# ΤΑ ΜΗΝΑΙΑ

Σεπτέμβριος Οκτώβριος Νοέμβριος
Δεκέμβριος Ιανουάριος Φεβρουάριος
Μάρτιος Απρίλιος Μαϊος
Ιούνιος Ιούλιος Αύγουστος

Τίτλος
Σεπτέμβριος_1 Σεπτέμβριος_2 Σεπτέμβριος_3 Σεπτέμβριος_4
Σεπτέμβριος_5 Σεπτέμβριος_6 Σεπτέμβριος_7 Σεπτέμβριος_8
Σεπτέμβριος_9 Σεπτέμβριος_10 Σεπτέμβριος_11 Σεπτέμβριος_12
Σεπτέμβριος_13 Σεπτέμβριος_14 Σεπτέμβριος_15 Σεπτέμβριος_16
Σεπτέμβριος_17 Σεπτέμβριος_18 Σεπτέμβριος_19 Σεπτέμβριος_20
Σεπτέμβριος_21 Σεπτέμβριος_22 Σεπτέμβριος_23 Σεπτέμβριος_24
Σεπτέμβριος_25 Σεπτέμβριος_26 Σεπτέμβριος_27 Σεπτέμβριος_28
Σεπτέμβριος_29 Σεπτέμβριος_30

Αρχή

## ΤΗ Α' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Αρχή τής Ινδίκτου, ήτοι τού νέου Έτους, καί μνήμη τού Οσίου Πατρός ημών Συμεών τού Στυλίτου καί Αρχιμανδρίτου, καί η σύναξις τής Υπεραγίας Θεοτόκου τών Μιασηνών, καί τού Αγίου μάρτυρος Αειθαλά, καί τών Αγίων τεσσαράκοντα Γυναικών, καί Αμμούν διακόνου καί διδασκάλου αυτών, καί τών Αγίων μαρτύρων Καλλίστης, Ευόδου καί Ερμογένους τών αυταδέλφων, καί μνήμη Ιησού τού Ναυή, καί η ανάμνησις τού μεγάλου εμπρησμού.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Στιχολογούμεν τήν α' στάσιν τού, Μακάριος ανήρ. Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ι' καί ψάλλομεν Στιχηρά τής Ινδίκτου τρία, καί έτερα Ιδιόμελα τού Οσίου δ'.

Τής Ινδίκτου

Ήχος α'
Τών ουρανίων

Τής αυτολέκτου καί θείας διδασκαλίας Χριστού, τήν προσευχήν μαθόντες, καθ' εκάστην ημέραν, βοήσωμεν τώ Κτίστη, Πάτερ ημών, ο εν τοίς ουρανοίς κατοικών, τόν επιούσιον άρτον δίδου ημίν, παρορών ημών τά πταίσματα.

Ως τών Εβραίων τά κώλα εν τή ερήμω ποτέ, απειθησάντων όντως, σοί τώ πάντων Δεσπότη, αξίως κατεστρώθη ούτω καί νύν, τά οστά διασκόρπισον, τών δυσσεβών καί απίστων Αγαρηνών, ψαλμικώς παρά τόν Αδην Χριστέ.

Ο εν Σιναίω τώ όρει τάς πλάκας γράψας ποτέ, αυτός καί νύν έν πόλει,

Ναζαρέτ κατά σάρκα, βιβλίον κατεδέξω προφητικόν, αναγνώναι Χριστέ ο Θεός, καί τούτο πτύξας εδίδασκες τούς λαούς, πεπληρώσθαι τήν Γραφήν επί σοί.

## Στιχηρά τού Οσίου

### Ήχος πλ. α'
### Αυτόμελον

Όσιε Πάτερ, καλήν εφεύρες κλίμακα, δι' ής ανήλθες εν τώ ύψει, ήν εύρεν Ηλίας άρμα πυρός, αλλ' εκείνος μέν τήν άνοδον άλλοις ουκ έλιπε, σύ δέ καί μετά θάνατον έχεις τόν στύλόν σου, Ουράνιε άνθρωπε, επίγειε άγγελε, φωστήρ ακοίμητε τής οικουμένης, Συμεων Όσιε, πρέσβευε τού σωθήναι τάς ψυχάς ημών.

Όσιε Πάτερ, ει ήν τόν στύλον φθέγξασθαι, ουκ άν επαύσατο βοών σου, τούς πόνους τούς μόχθους τούς οδυρμούς, αλλ' εκείνος εβαστάζετο, είπερ εβάσταζεν, ως δένδρον πιαινόμενος εκ τών δακρύων σου, εξέστησαν Άγγελοι, εθαύμασαν άνθρωποι, δαίμονες έπτηξαν τήν υπομονήν σου, Συμεών Όσιε, πρέσβευε τού σωθήναι τάς ψυχάς ημών.

Όσιε Πάτερ, δυνάμει θείου Πνεύματος, τόν σόν μιμούμενος Δεσπότην, εν στύλω ανήλθες ως εν σταυρώ, αλλ' εκείνος τό χειρόγραφον πάντων εξήλειψε, σύ δέ τήν επανάστασιν τών παθών έλυσας, εκείνος ως πρόβατον, καί σύ ώσπερ σφάγιον, εκείνος εν σταυρώ, καί σύ εν τώ στύλω, Συμεών Όσιε, πρέσβευε τού σωθήναι τάς ψυχάς ημών.

## Στιχηρά Ιδιόμελα τού Οσίου

### Ήχος β'

Εκ ρίζης αγαθής αγαθός εβλάστησε καρπός ο εκ βρέφους Ιερός Συμεών, χάριτι μάλλον ή γάλακτι τραφείς, καί επί πέτραν τό σώμα υψώσας, πρός Θεόν δέ υπερυψώσας τήν διάνοιαν, αιθέριον διεδομήσατο ταίς αρεταίς ενδιαίτημα, καί ταίς θείαις Δυνάμεσι συμμετεωροπορών, Χριστού γέγονεν οικητήριον, τού Θεού καί Σωτήρος τών ψυχών ημών.

### Ο αυτός

Τό μνημόσυνόν σου εις τόν αιώνα μένει, Όσιε Πάτερ Συμεών, καί τό πράον τής καρδίας σου θεράπον μακάριε, εί γάρ καί μετέστης εξ ημών, ο ποιμήν ο καλός, αλλ' ουκ απέστης αφ' ημών τώ πνεύματι, εν αγάπη Θεώ παριστάμενος, καί σύν Αγγέλοις χορεύων εν ουρανοίς, μεθ' ών ικέτευε, σωθήναι τάς ψυχάς ημών.

### Ο αυτός Κυπριανού

Η τών λειψάνων σου θήκη Πανεύφημε Πάτερ, πηγάζει ιάματα, καί η αγία σου ψυχή, Αγγέλοις συνούσα, αξίως αγάλλεται, Έχων ούν πρός Κύριον, Όσιε παρρησίαν, καί μετά τών Ασωμάτων χορεύων εν ουρανοίς, αυτόν ικέτευε, σωθήναι τάς ψυχάς ημών.

Ο αυτός  Γερμανού

Η γάπησας θεοφόρε, τήν ανωτάτω φιλοσοφίαν, καί έξω κόσμου εγένου, ζών υπέρ τά ορώμενα, καί έσοπτρον ακηλίδωτον Θεού, θείον ανεδείχθης, καί ών αεί ηνωμένος φωτί, φώς προσελάμβανες, καί τρανότερον τού μακαρίου έτυχες τέλους, πρέσβευε υπέρ τών ψυχών ημών σοφέ Συμεών.

Δόξα... Ήχος πλ. β'

Γερμανού

Θεία χάρις απηώρητο, επί τή θήκη τών λειψάνων σου, ηγιασμένε Συμεών, διό καί εις οσμήν μύρου τών θαυμάτων σου δραμούμεθα, τών νοσημάτων τήν ίασιν αρυόμενοι, Αλλά Πάτερ Όσιε, Χριστόν τόν Θεόν ικέτευε υπέρ τών ψυχών ημών.

Καί νύν... ο αυτός

Βυζαντίου

Ο Πνεύματι Αγίω συνημμένος, άναρχε Λόγε καί Υιέ, ο πάντων ορατών καί αοράτων συμπαντουργός καί συνδημιουργός, τόν στέφανον τού ενιαυτού ευλόγησον, φυλάττων εν ειρήνη τών Ορθοδόξων τά πλήθη, πρεσβείαις τής Θεοτόκου, καί πάντων τών Αγίων σου.

Είσοδος, τό, Φώς ιλαρόν. Προκείμενον τής ημέρας καί τά Αναγνώσματα.

Προφητείας Ησαϊου τό Ανάγνωσμα
(Κεφ. 61, 1-10)

Πνεύμα Κυρίου επ' εμέ, ού ένεκεν έχρισέ με, ευαγγελίσασθαι πτωχοίς απέσταλκέ με, ιάσασθαι τούς συντετριμμένους τήν καρδίαν, κηρύξαι αιχμαλώτοις άφεσιν, καί τυφλοίς ανάβλεψιν, καλέσαι ενιαυτόν Κυρίου δεκτόν, καί ημέραν ανταποδόσεως τώ Θεώ ημών, παρακαλέσαι πάντας τούς πενθούντας, δοθήναι τοίς πενθούσι Σιών δόξαν αντί σποδού, άλειμμα ευφροσύνης τοίς πενθούσι, καταστολήν δόξης, αντί πνεύματος ακηδίας, καί κληθήσονται γενεά, δικαιοσύνης, φύτευμα Κυρίου εις δόξαν. Καί οικοδομήσουσιν ερήμους αιωνίους, εξηρημωμένας τό πρότερον, εξαναστήσονται, καί ανακαινιούσι πόλεις ερήμους, εξηρημωμένας από γενεάς εις γενεάν. Καί ήξουσιν αλλογενείς ποιμαίνοντες τά πρόβατά σου, καί αλλόφυλοι αροτήρες, καί αμπελουργοί υμών. Υμείς δέ Ιερείς Κυρίου κληθήσεσθε, λειτουργοί Θεού ημών. Ρηθήσεται υμίν, ισχύν εθνών κατέδεσθε, καί εν τώ πλούτω αυτών θαυμασθήσεσθε, αντί της αισχύνης υμών τής διπλής, καί αντί τής εντροπής, αγαλλιάσεται ή μερίς αυτών. Διά τούτο τήν γήν αυτών εκ δευτέρου κληρονομήσουσι, καί ευφροσύνη αιώνιος υπέρ κεφαλής αυτών. Εγώ γάρ ειμι Κύριος, αγαπών δικαιοσύνην καί μισών άρπάγματα εξ αδικίας, καί δώσω τόν μόχθον αυτών δικαίοις, καί διαθήκην αιώνιον διαθήσομαι αυτοίς. Καί γνωσθήσεται εν τοίς έθνεσι τό σπέρμα αυτών, καί τά έκγονα αυτών εν μέσω τών λαών, καί ο ορών αυτούς, επιγνώσεται αυτούς, ότι ούτοί εισι σπέρμα ευλογημένον εις τούς αιώνας υπό Θεού, καί ευφροσύνη ευφρανθήσονται επί κυριον.

Λευϊτικού τό Ανάγνωσμα

(Κεφ. 26, 3-10 καί εκλογή)

Ελάλησε Κύριος τοίς υιοίς Ισραήλ, λέγων. Εάν τοίς προστάγμασί μου πορεύησθε, καί καί τάς εντολάς μου φυλάσσησθε, καί ποιήτε αυτάς, δώσω τόν υετόν εν καιρώ αυτού, καί η γή δώσει τά γεννήματα αυτής, καί τά ξύλα τών πεδίων αποδώσει τόν καρπόν αυτών, καί καταλήψεται υμίν ο αλοητός τόν τρυγητόν, καί ο τρυγητός καταλήψεται τόν σπόρον. Καί φάγεσθε τόν άρτον υμών εις πλησμονήν, καί κατοικήσετε μετά ασφαλείας επί τής γής υμών, καί ουκ έσται υμάς ο εκφοβών, καί απολώ θηρία εκ τής γής υμών, καί πόλεμος ου διελεύσεται διά τής γής υμών, καί πεσούνται οι εχθροί υμών ενώπιον υμών, καί διώξονται εξ υμών πέντε εκατόν, καί εκατόν υμών διώξονται μυριάδας. Καί επιβλέψω εφ' υμάς, καί ευλογήσω υμάς, καί αυξανώ υμάς, καί πληθυνώ υμάς, καί στήσω τήν διαθήκην μου μεθ' υμών. Καί φάγεσθε παλαιά, καί παλαιά παλαιών, καί παλαά εκ προσώπου νέων εξοίσετε. Καί ου βδελύξεται η ψυχή μου υμάς, καί εμπεριπατήσω εν υμίν, καί έσομαι υμών Θεός, καί υμείς έσεσθέ μοι λαός. Εάν δέ μή εισακούσητέ μου, μηδέ ποιήσητε τά προστάγματά μου ταύτα, αλλά απειθήσητε αυτοίς, καί τοίς κρίμασί μου προσοχθήση η ψυχή υμών, ως τε υμάς μή ποιείν πάσας τάς εντολάς μου, καί εγώ ποιήσω ούτως υμίν. Επιστλήσω εφ' υμάς τήν απορίαν, καί σπερείτε διακενής τά σπέρματα υμών, καί έδονται τούς πόνους υμών οι υπεναντίοι υμών. Καί επιστήσω τό πρόσωπόν μου εφ' υμάς, καί πεσείσθε εναντίον τών εχθρών υμών, καί διώξονται υμάς, καί φεύξεσθε ουδενός διώκοντος υμάς, καί συντρίψω τήν ύβριν τής υπερηφανίας υμών, καί θήσω τόν ουρανόν υμίν ως σιδηρούν, καί τήν γήν ωσεί χαλκήν. Καί έσται εις κενόν η ισχύς υμών, καί η γή υμών ου δώσει τόν σπόρον αυτής, καί τά ξύλα τού αγρού ου δώσει τόν καρπόν αυτών. Καί αποστελώ εφ' υμάς τά θηρία τά άγρια τής γής, καί εξαναλώσει τά κτήνη υμών, καί ολιγοστούς ποιήσει υμάς επιπορευομένη μάχαιρα. Καί έσται η γή υμών έρημος καί αι επαύλεις υμών έσονται έρημοι, ότι υμείς επορεύθητε πρός με πλάγοι, καγώ πορεύσομαι πρός υμάς εν θυμώ πλαγίω, λέγει Κύριος ο Θεός, ο Άγιος Ισραήλ.

Σοφίας Σολομώντος τό Ανάγνωσμα

(Κεφ. 4, 7-15)

Δίκαιος εάν φθάση τελευτήσαι, εν αναπαύσει έσται, γήρας γάρ τίμιον, ου τό πολυχρόνιον, ουδέ αριθμώ ετών μεμέτρηται. Πολιά δέ εστι φρόνησις ανθρώποις, καί ηλικία γήρως, βίος ακηλίδωτος. Ευάρεστος Θεώ γενόμενος, ηγαπήθη, καί ζών μεταξύ αμαρτωλών, μετετέθη. Ηρπάγη, μή κακία αλλάξη σύνεσιν αυτού, ή δόλος απατήση ψυχήν αυτού. Βασκανία γάρ φαυλότητος αμαυροί τά καλά, καί ρεμβασμός επιθυμίας μεταλλεύει νούν άκακον. Τελειωθείς εν ολίγω, επλήρωσε χρόνους μακρούς, αρεστή γάρ ήν Κυρίω η ψυχή αυτού, διά τούτο έσπευσεν εκ μέσου πονηρίας. Οι δέ λαοί ιδόντες καί μή νοήσαντες, μηδέ θέντες επί διανοία τό τοιούτον, ότι χάρις καί έλεος εν τοίς οσίοις αυτού, καί επισκοπή εν τοίς εκλεκτοίς αυτού.

Εις τόν Στίχον, Στιχηρά Ιδιόμελα τής Ινδίκτου.

Ιωάννου Μοναχού

Ήχος α'

Επέστη η είσοδος τού ενιαυτού, συγκαλούσα γεραίρειν ταύτην τούς λαμπρύνοντας, Καλλίστην, Εύοδον καί Ερμογένην, τούς αυταδέλφους αθλητάς, Συμεών τόν ισάγγελον, Ιησούν τόν τού Ναυή, τούς εν Εφέσω Επταρίθμους παίδας, καί τήν τετραδεκαπύρσευτον τών Αγίων Γυναικών χορείαν, ών ταίς μνείαις κοινωνούντες, φιλέορτοι, βοήσωμεν εκτενώς, Κύριε, ευλόγησον τά έργα τών χειρών σου, καί καταξίωσον ημάς λυσιτελώς Περαιώσαι, τήν τού χρόνου περίοδον.

Ο αυτός

Στίχ. Σοί πρέπει ύμνος ο Θεός εν Σιών.

Τού αυτού

Χριστέ ο Θεός ημών, ο εν σοφία τά πάντα δημιουργήσας, καί εκ μή όντων εις τό είναι παραγαγών, ευλόγησον τόν στέφανον τού ενιαυτού, καί τήν πόλιν ημών φύλαττε απολιόρκητον, τούς δέ πιστούς Βασιλείς ημών, εν τή δυνάμει σου εύφρανον, νίκας χορηγών αυτοίς κατά των πολεμίων, διά της Θεοτόκου δωρούμενος τώ κόσμω τό μέγα έλεος.

Ήχος β'

Στίχ. Πλησθησόμεθα εν τοίς αγαθοίς τού οίκου σου.

Κυπριανού

Θαυμαστός εί ο Θεός, καί θαυμαστά τά έργα σου, καί αι οδοί σου ανεξιχνίαστοι, πέλεις γάρ σοφία τού Θεού, καί υπόστασις τελεία καί δύναμις, συνάναρχός τε καί συναϊδιος συνεργία, διό παντοδυνάμω εξουσία κόσμω επεδήμησας, ζητών ο εκάλλυνας πλάσμα, ανεκφράστως εξ απειράνδρου Μητρός, μή τραπείς τή θεότητι, διαθέμενος όρους καί χρόνους, εις σωτηρίαν ημών αναλλοίωτε, διά τούτό σοι βοώμεν, Αγαθέ Κύριε, δόξα σοι.

ο αυτός

Στίχ. Ευλόγησον τόν στέφανον τού ενιαυτού.

Ιωάννου Μοναχού

Ο έν σοφία τά πάντα δημιουργήσας, προαιώνιε Λόγε τού Πατρός, καί τήν σύμπασαν κτίσιν, παντοδυνάμω σου λόγω συστησάμενος, ευλόγησον τόν στέφανον τού ενιαυτού τής χρηστότητός σου, καί τάς αιρέσεις κατάβαλε, διά τής Θεοτόκου, ως αγαθός καί φιλάνθρωπος.

Δόξα... Ήχος πλ. α'

Όσιε Πάτερ, καλήν εφεύρες κλίμακα, δι' ής ανήλθες εν τώ ύψει, ήν εύρεν Ηλίας άρμα πυρός, αλλ' εκείνος μέν τήν άνοδον άλλοις ουκ έλιπε, σύ δέ καί μετά θάνατον έχεις τόν στύλόν σου, Ουράνιε άνθρωπε, επίγειε άγγελε, φωστήρ ακοίμητε τής οικουμένης, Συμεων Όσιε, πρέσβευε τού σωθήναι τάς ψυχάς ημων.

Καί νύν... ο αυτός

Ιωάννου Μοναχού

Σύ Βασιλεύ, ο ών καί διαμένων, καί εις αιώνας ατελευτήτους, δέξαι δυσώπησιν αιτούντων αμαρτωλών σωτηρίαν, καί παράσχου φιλάνθρωπε τή γή σου ευφορίαν, ευκράτους τούς αέρας χαριζόμενος, τώ πιστοτάτω Βασιλεί συμπολέμει, κατά αθέων βαρβάρων, ως ποτέ τώ Δαυίδ, ότι ήλθοσαν ούτοι εν σκηναίς σου, καί τόν πανάγιον τόπον εμίαναν Σώτερ, αλλ' αυτός δώρησαι

νίκας, Χριστέ ο Θεός, τή πρεσβεία τής Θεοτόκου, νίκη γάρ σύ τών Ορθοδόξων καί καύχημα.

Απολυτίκιον τής Ινδίκτου
Ήχος β'

Ο πάσης δημιουργός τής κτίσεως, ο καιρούς καί χρόνους εν τή ιδία εξουσία θέμενος, ευλόγησον τόν στέφανον τού ενιαυτού τής χρηστότητός σου Κύριε, φυλάττων εν ειρήνη τούς Βασιλείς καί τήν πόλιν σου, πρεσβείαις τής Θεοτόκου, καί σώσον ημάς.

Δόξα... τού Οσίου  Ήχος α'

Υπομονής στύλος γέγονας, ζηλώσας τούς προπάτορας Όσιε, τόν Ιώβ εν τοίς πάθεσι, τόν Ιωσήφ εν τοίς πειρασμοίς, καί τήν τών Ασωμάτων πολιτείαν, υπάρχων εν σώματι, Συμεών Πατήρ ημών Όσιε, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον
Ήχος βαρύς

Χαίρε κεχαριτωμένη Θεοτόκε Παρθένε, λιμήν καί προστασία τού γένους τών ανθρώπων, εκ σού γάρ εσαρκώθη ο Λυτρωτής τού Κόσμου, μόνη γάρ υπάρχεις Μήτηρ καί Παρθένος, αεί ευλογημένη καί δεδοξασμένη, Πρέσβευε Χριστώ τώ Θεώ, ειρήνην δωρήσασθαι πάση τή οικουμένη.

Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα τής Ινδίκτου
Ήχος πλ. δ'
Τήν Σοφίαν καί Λόγον

Ο καιρούς καρποφόρους καί υετούς, ουρανόθεν παρέχων τοίς επί γής, καί νύν προσδεχόμενος, τάς αιτήσεις τών δούλων σου, από πάσης λύτρωσαι, ανάγκης τήν πόλιν σου, οι οικτιρμοί καί γάρ σου, εις πάντα τά έργα σου, Όθεν τάς εισόδους, ευλογών καί εξόδους, τά έργα κατεύθυνον εφ' ημάς τών χειρών ημών, καί πταισμάτων τήν άφεσιν, δώρησαι ημίν ο Θεός, σύ γάρ εξ ουκ όντων τά σύμπαντα, ως δυνατός εις τό είναι παρήγαγες.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα τού Οσίου
Ήχος πλ. α'
Τόν συνάναρχον Λόγον

Εγκρατεία τόν βίον σου κατεκόσμησας, καί νεκρώσας τό σώμά σου

εξηφάνισας, τού εχθρού τάς προσβολάς Πάτερ μακάριε, καί μετέστης πρός Θεόν, εις τήν αιώνιον ζωήν, ως άξιος κληρονόμος, διό μή παύση πρεσβεύων, ελεηθήναι τάς ψυχάς ημών.

Δόξα... Ήχος δ'

Ταχύ προκατάλαβε

Εισήλθες εν τώ σκάμματι, τού μαρτυρίου πιστώς, Καλλίστη κηρύττουσα, σύν τοίς δυσίν αδελφοίς, Χριστόν τόν Θεόν ημών, πόθω γάρ θρεψαμένη, νοερά σκεύη όντως, τής Χριστού Εκκλησίας, απετέλεσας τούτους, διό καί συνηρμόσθης αυτοίς, Μάρτυς εις τήν άνω ζωήν.

Καί νύν... Θεοτοκίον  όμοιον

Ταχύ δέξαι Δέσποινα, τάς ικεσίας ημών, καί ταύτας προσάγαγε, τώ σώ Υιώ καί Θεώ, Κυρία πανάχραντε, λύσον τάς περιστάσεις, τών εις σέ προστρεχόντων, σκέδασον τάς ενέδρας, καί τά θράση Παρθένε, τών νύν εφοπλιζομένων, κατά τών δούλων σου.

Μετά τόν Πολυέλεον

Κάθισμα τών αγίων Γυναικών

Ήχος α'

Τόν τάφον σου Σωτήρ

Αμνάδες λογικαί, τώ αμνώ καί ποιμένι, προσήχθητε πιστώς, διά τού μαρτυρίου, τόν δρόμον τελεσασαι, καί τήν πίστιν τηρήσασαι, όθεν σήμερον, περιχαρώς ευφημούμεν, Αξιάγαστοι, τήν ιεράν υμών μνήμην, Χριστόν μεγαλύνοντες.

Δόξα... Καί νύν... Ήχος δ'

Κατεπλάγη Ιωσήφ

Ως Δεσπότη τού παντός, καί χορηγώ τών αγαθών, σοί προσπίπτομεν πιστώς, αναβοώντες εκτενώς, Υπό τής σής δυσωπούμενος ευσπλαγχνίας, Σωτήρ καί ταίς ευχαίς τής τεκούσης σε, καί πάντων τών αεί ευαρεστούντων σοι, ενιαυτόν ευπρόσδεκτον προσάξαι σοι, ως αγαθός καταξίωσον, τούς εν ουσίαις, δυσί τιμώντας, καί πιστώς σε δοξάζοντας.

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί  Αντίφωνον Α'

- Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.
- Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον  Ήχος δ'

Μέγας ο Κύριος ημών, καί μεγάλη η ισχύς αθτού.
Στίχ. Αινείτε τόν Κύριον, ότι αγαθός.

Ευαγγέλιον Οσιακόν, Ο Ν'

Δόξα... Ταίς τού σού Οσίου...
Καί νύν... Ταίς τής Θεοτόκου...

Στίχ. Ελέησόν με ο Θεός...

Ήχος β'

Ο εν σοφία τά πάντα δημιουργήσας, προαιώνιε Λόγε τού Πατρός, καί τήν σύμπασαν κτίσιν παντοδυνάμω σου λόγω συστησάμενος, ευλόγησον τόν στέφανον τού ενιαυτού τής χρηστότητός σου, καί τάς αιρέσεις κατάβαλε, διά τής Θεοτόκου, ως αγαθός καί φιλάνθρωπος.

Καί οι Κανόνες

Ο Κανών τής Ινδίκτου

Ποίημα Ιωάννου Μοναχού

Ωδή α' Ήχος α' Ο Ειρμός

«Άσωμεν πάντες λαοί, τώ εκ πικράς δουλείας, Φαραώ τόν Ισραήλ απαλλάξαντι, καί εν βυθώ θαλάσσης, ποδί αβρόχω οδηγήσαντι, ωδήν επινίκιον, ότι δεδόξασται».

Άσωμεν πάντες Χριστώ, δι' ού συνέστη τά πάντα, καί εν ώ διατελεί αδιάπτωτα, ως εξ ανάρχου φύντι, Θεού Πατρός ενυποστάτω Λόγω, ηδήν επινίκιον, ότι δεδόξασται.

Άσωμεν πάντες Χριστώ, τώ πατρική ευδοκία, επιφανέντι εκ Παρθένου καί κηρύξαντι, ενιαυτόν Κυρίου δεκτόν, ημίν εις απολύτρωσιν, ωδήν επινίκιον, ότι δεδόξασται.

Εν Ναζαρέτ εισελθών, ο παροχεύς τού νόμου, εν ημέραις τών σαββάτων εδίδασκε, νομοθετών Εβραίοις, τήν έλευσιν αυτού τήν άφραστον, δι' ής ως ελεήμων, σώσει τό γένος ημών.

Θεοτοκίον

Άδοντες πάντες Πιστοί, τήν υπερθαύμαστον Κόρην, τήν τόν Χριστόν τή οικουμένη ανατείλασαν, καί χαράς τά πάντα πληρώσασαν, τής αϊδίου ζωής, αεί ανυμνήσωμεν, ότι δεδόξασται.

Κανών τών Αγίων Γυναικών, ού η Ακροστιχίς.

Στερρών Γυναικών Μαρτύρων μέλπω πόνους.

Ωδή α'  Ήχος δ'
Ανοίξω το στόμά μου

Στερρώς τόν αντίπαλον, κατηγωνίσασθε Μάρτυρες, ασκήσει μέν πρότερον, έπειτα δεύτερον, τή δι' αίματος, αθλήσει, διά τούτο, υμών τά μνημόσυνα, πίστει γεραίρομεν.

Τρωθείσαι τώ έρωτι, τού δι' ημάς υπομείναντος, σταυρόν τε καί θάνατον, τούτου τοίς ίχνεσιν, ηκολούθησαν, αι Αγίαι γυναίκες, σαρκός τήν ασθένειαν, επιλαθόμεναι.

Ελλήνων θρησκεύματα, καί τών δαιμόνων ιδρύματα, τώ οπλωτής πίστεως, κατηδαφίσατε, καί προσήχθητε, ναώ επουρανίω Κειμήλια έμψυχα, Μάρτυρες πάνσεμνοι.

Θεοτοκίον

Ρωσθείσαι τή χάριτι, τού εκ τής σής ανατείλαντος, νηδύος Πανάμωμε, κόραι νεάνιδες, διεκρούσαντο, βασάνων τρικυμίαν, καί σού απηνέχθησαν, οπίσω χαίρουσαι.

Κανών τού Οσίου, ού η Ακροστιχίς.

Δέχου τόν ύμνον, Συμεών πανόλβιε.

Άνευ τών Θεοτοκίων. Ιωάννου Μοναχού.

Ωδήα'  Ήχος πλ. δ'
Άσωμεν τώ Κυρίω

Δίδου μοι εν οργάνω, γλώττης σαθρώ, ώ θεοφόρε Συμεών, τώ τήν ωδήν σοι πλέκοντι, ταίς δεήσεσι ταίς σαίς, γνώσεως φώς θεοδίδακτον.

Έγνωσαν τήν σοφίαν, Πάτερ τήν σήν, Πέρσαι Αιθίοπτες, Ινδοί καί Σκύθαι καί Αράβων πληθύς, καί εδόξασαν Χριστόν, τόν διά σού δοξαζόμενον.

Χάριτος επληρώθης πνευματικής, ποιμαντικών γάρ εκ σηκών, ως, Ιακώβ Δαυϊδ καί Μωσής, αρχηγέτης λογικών, ώφθης θρεμμάτων Μακάριε.

Θεοτοκίον

Άχραντε Θεοτόκε, χαίρε σεμνή, η τόν αχώρητον Θεόν, εν σή γαστρί χωρήσασα, λυτρωθήναι τών δεινών, αίτησαι τούς ανυμνούντάς σε.

Καταβασία

«Σταυρόν χαράξας Μωσής, επ' ευθείας ράβδω, τήν Ερυθράν διέτεμε, τώ Ισραήλ πεζεύσαντι, τήν δέ επιστρεπτικώς, Φαραώ τοίς άρμασι, κροτήσας ήνωσεν, επ' εύρους διαγράψας, τό αήττητον όπλον, διό Χριστώ άσωμεν, τώ Θεώ ημών, ότι δεδόξασται».

## Τής Ινδίκτου

### Ωδή γ'  Ο Ειρμός
«Στερέωσόν με Χριστέ, επί τήν άσειστον πέτραν τών εντολών σου, καί φώτισόν με φωτί τού προσώπου σου, ουκ έστι γάρ Άγιος, πλήν σου φιλάνθρωπε».

Στερέωσον αγαθέ, ήν κατεφύτευσε πόθω, επί τής γής η δεξιά σου, κατάκαρπον άμπελον, φυλάττων σου τήν Εκκλησίαν Παντοδύναμε.

Εν έργοις πνευματικοίς, θεοτερπέσι κομώντας, τό έτος τούτο, διαγαγείν καταξίωσον Κύριε, τούς πίστει σε μέλποντας, Θεόν τού παντός.

Γαλήνιόν μοι Χριστέ, τόν ενιαύσιον κύκλον δίδου οίκτίρμον, καί έμπλησόν με τών λόγων τών θείων σου, ούς ώφθης φάσκων, Ιουδαίοις εν σάββασιν.

Θεοτοκίον

Ως μόνην υπερφυώς, τήν υπεράνθρωπον χάριν, εν τή γαστρί σου δεξαμένην ατρέπτως σκηνώσαντα, Χριστόν τόν Θεόν ημών, αεί σε δοξάζομεν.

## Τών Αγίων Γυναικών

### Τόξον δυνατών
Ρώμη πανσθενεί ρωννύμεναι, τήν τών αντιπάλων κατεπαλαίσατε δύναμιν, διά τούτο ως νικηφόροι, πρός Χριστού εστεφανώθητε.

Ώφθη τών θηρών τά χάσματα, θεία δυναστεία τού Χριστού ανενέργητα, καί ερρύσθητε θεοφόροι, αβλαβείς Θεόν γεραίρουσαι.

Νεύσει πρός Θεόν θεούμεναι, τής πολυθεΐας τόν κρυμόν απεκρούσασθε, καί πρός θάλψιν τής άνω δόξης, Αθληφόροι κατηντήσατε.

Θεοτοκίον

Γνόντες ευσεβώς κηρύττομεν, σέ παναληθή Θεού Μητέρα Πανάμωμε, διά σού γάρ ημίν ο Πλάστης, ομιλήσαι κατηξίωσεν.

## Τού Οσίου

### Τόν φόβον σου
Οξέως φυγών, τήν νιφετώδη φοράν τών πνευμάτων, πρός σωτήριον ηυτομόλησας μονήν Συμεών, εξ ής καί τήν αγήρω ζωήν εκαρπώσω.

Υπέκλινας χαίρων, τήν πειθήνιον ακοήν σου Παμμακάριστε, τώ Δεσπότη μακαρίζοντι, καί μακαριζομένην εύρες πολιτείαν.

Τού λόγου δεξάμενος τά σπέρματα, τής καρδίας σου ταίς αύλαξι, τών δακρύων επιβλύσεσι Χριστώ, πολύχουν στάχυν, αρετών εδρέψω.

Θεοτοκίον

Αρρήτως συνέλαβες Θεόνυμφε, τόν Σωτήρά τε καί Κύριον, τόν λυτρούμενον ημάς τών δεινών, τούς σέ εν αληθεία επικαλουμένους.

Καταβασία

«Ράβδος εις τύπον τού μυστηρίου παραλαμβάνεται, τώ βλαστώ γάρ προκρίνει τόν ιερέα, τή στειρευούση δέ πρώην Εκκλησία νύν εξήνθησε, ξύλον Σταυρού, εις κράτος καί στερέωμα».

Κάθισμα τού Οσίου

Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Υπερζέσας τή πίστει Πάτερ σοφέ, καί προσκαίρων απάντων υπεριδών, Χριστώ η κολούθη σας, τή δυνάμει τού Πνεύματος, εγκρατεία τήξας, τό σώμά σου Όσιε, ουρανών τήν δόξαν, αεί προορώμενος, όθεν καί εφεύρες, πρός ανάβασιν θείαν, τού στύλου τήν κλίμακα, τώ σώ πόθω κατάλληλον, Συμεων ιερώτατε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Τών Αγίων Γυναικών

Ήχος α'

Τόν τάφον σου Σωτήρ

Αμνάδες λογικαί, τώ αμνώ καί ποιμένι, προσήχθητε πιστώς, διά τού μαρτυρίου, τόν δρόμον τελέσασαι, καί τήν πίστιν τηρήσασαι, όθεν σήμερον, περιχαρώς ευφημούμεν, Αξιάγαστοι, τήν ιεράν υμών μνήμην, Χριστόν μεγαλύνοντες.

Καί νύν... τής Ινδίκτου

Ήχος δ'

Κατεπλάγη Ιωσήφ

Ως Δεσπότη τού παντός, καί χορηγώ τών αγαθών, σοί προσπίπτομεν πιστώς, αναβοώντες εκτενώς, Υπό τής σής δυσωπούμενος ευσπλαγχνίας, Σωτήρ καί ταίς ευχαίς τής τεκούσης σε, καί πάντων τών αεί ευαρεστούντων σοι, ενιαυτόν ευπρόσδεκτον, προσάξαι σοι, ως αγαθός καταξίωσον, τούς εν ουσίαις, δυσί τιμώντας, καί πιστώς σε δοξάζοντας.

Τής Ινδίκτου

Ωδή δ' Ο Ειρμός

«Κατενόησα Παντοδύναμε τήν σήν οικονομίαν, καί μετά φόβου εδόξασά σε Σωτήρ».

Απαρχήν σοι ενιαύσιον, ο λαός σου προσφέρει, Αγγέλων ύμνοις, δοξολογών σε Σωτήρ.

Ως φιλάνθρωπος καταξίωσον, αρξαμένους τού έτους, καί συμπληρώσαι σοί ευαρέστως Χριστέ.

Παντοκράτορ μόνε Κύριε, τών ετών τάς ελίξεις, γαληνιώσας τώ κόσμω δώρησαι.

Θεοτοκίον

Ως λιμένα νύν τών ψυχών ημών, καί βεβαίαν ελπίδα, τήν Θεοτόκον πάντες υμνήσωμεν.

Τών Αγίων Γυναικών

Ο καθήμενος

Υπομείνασαι βασάνους, καί στρεβλώσεις τού σώματος, διαφόροις τρόποις, θλάσιν τε μελών καί κατάφλεξιν, τάς ουρανίους σκηνώσεις εκληρώσασθε, απολαύουσαι, ξύλου ζωής, Αξιάγαστοι.

Νεανίδων μακαρίων, τόν αγώνα εθαύμασαν, ουρανών Δυνάμεις, όπως τόν εχθρόν ετροπώσαντο, εν γυναικεία τή φύσει δυναμούμεναι, τή δυνάμει, τού εκ γυναικός ανατείλαντος.

Απορρίψασαι τού κόσμου, ματαιότητα άπασαν, τώ Θεώ καί μόνω, όλη τή Ψυχή εκολλήθητε, όθεν ασκήσεως πόνους καί αθλήσεως, υπεμείνατε, Νύμφαι Χριστού καρτερώτατα.

Ισχυρότατον ως όπλον, τόν Σταυρόν περιφέρουσαι, πρός τάς εναντίας, αντιπαρετάξασθε φάλαγγας, μετά Χριστού δέ τήν νίκην, απηνέγκασθε, τού νικήσαντος, κόσμον δυνάμει θεότητος.

Θεοτοκίον

Καταβέβηκεν ως όμβρος, επί πόκον εν μήτρα σου, Κύριος, ως έφη, πάλαι ο Προφήτης Πανάμωμε, όν εν δυσί ταίς ουσίαις, απεγέννησας, ώ κραυγάζομεν, Δόξα Χριστέ τή δυνάμει σου.

Τού Οσίου

Εισακήκοα Κύριε

Ουκ εν ψάμμω Πανόλβιε, αλλ' εν βαθυτάτοις πόνοις σου θέμενος, τήν κρηπίδα τής ασκήσεως, αρετών εδείμω πύργον άσειστον.

Νεμομένης τό σώμά σου, σχοίνου τραχυτάτης φόβω καθήλωσαι, τώ τού πνεύματος, καί σχοίνισμα, κληρουχίας θείας εύρες Όσιε.

Υπενόστει τού σώματος, τά εγκεκρυμμένα πάθη πανόλβιε, εν σαπρία κοιταζόμενον, τών σκωλήκων Πάτερ δεδιότων σε.

Μετά πάθος εκούσιον, τόν ζωοποιόν νεκρόν εκμιμούμενος, ως περ μνήματι τώ φρέατι, σεαυτόν ζοφώδει ζώντα δέδωκας.

Θεοτοκίον

Τόν Θεόν όν εκύησας, άχραντε Μαρία δυσώπει πάντοτε, τοίς οικέταις σου

δωρήσασθαι, τών πλημμελημάτων τήν συγχώρησιν.

Καταβασία

«Εισακήκοα Κύριε, τής οικονομίας σου τό μυστήριον, κατενόησα τά έργα σου, καί εδόξασά σου τήν θεότητα».

Τής Ινδίκτου

Ωδή ε'  Ο Ειρμός

«Εκ νυκτός ορθρίζοντες υμνούμέν σε Χριστέ, τόν τώ Πατρί συν άναρχον, καί Σωτήρα τών ψυχών ημών, Τήν ειρήνην τώ κόσμω παράσχου φιλάνθρωπε».

Ο πληρών τά σύμπαντα χρηστότητος Χριστέ, σύ ευκραή καί εύφορον, ευλογίαις στεφανούμενον, τόν πολύκυκλον χρόνον, τοίς δούλοις σου δώρησαι.

Τήν τού έτους άμειψιν ανάδειξον ημίν, μεταβολήν πρός κρείττονα, ειρηναίαν τε κατάστασιν, τοίς ειδόσί σε Λόγε Πατρί συναϊδιον.

Επί γής ελήλυθας συνάναρχε Πατρί, τοίς αιχμαλώτοις άφεσιν, καί πηροίς ανάβλεψιν, πρός Πατρός αναγγέλλων, ο χρόνων επέκεινα.

Θεοτοκίον

Τάς ημών ελπίδας Θεοτόκε αγνή, καί τήν ημών πεποίθησιν, επί σέ ανατιθέμεθα, ευμενή ημίν δίδου, Παρθένε όν έτεκες.

Τών Αγίων Γυναικών

Ασεβείς ουκ όψονται

Ως αμνάδες άμωμοι, ως θύματα δεκτά, τώ αμνώ τώ αληθινώ, καί ποιμένι Μάρτυρες προσηνέχθητε, προσφοραί ολόκληροι, καί δεκτά ολοκαυτώματα.

Νεκρωθείσαι σώματι, εζήσατε ψυχή, τού νεκρώσαντος τήν ισχύν, τού θανάτου Μάρτυρες ως μιμησάμεναι, καί σταυρόν καί θάνατον, καί τά πάθη τά εκούσια.

Μίαν γνώμην φέρουσαι, εν σώμασι πολλοίς, ένα Κύριον Ιησούν, διαφόροις μάστιξι καταξαινόμεναι, καί πυρί καιόμεναι, ωμολόγουν αι θεόφρονες.

Θεοτοκίον

Ανόρθωσον πεσόντα με, εν λάκκω πειρασμών, καί κυβέρνησον η Θεόν, κυβερνήτην τέξασα, μόνη Πανάμωμε, τόν τά πρίν ενώσαντα, διεστώτα αγαθότητι.

Τού Οσίου

Φώτισον ημάς

Νέον Δανιήλ, Συμεων Χριστός σε έδειξεν, εκ γάρ λάκκου θηριώδους σε, δι'

εμφανείας, αλώβητον ανεκόμισεν.

Όλον σεαυτόν, τώ Κυρίω αναθέμενος νιφετού κρυμού και καύσωνος, ταίς εναντίαις, πιότησιν εγγεγύμνασο.

Νέος Μωϋσής, καί Ηλίας αναδέδειξαι, εν μιά τεσσαρακονθήμερον, τροφή ανύων, διά βίου παντός Όσιε.

Θεοτοκίον

Δυσώπησον αεί, τόν Υιόν σου καί Θεόν ημών, απειρόγαμε Μαρία αγνή, τού καταπέμψαι ημίν τοίς πιστοίς τό έλεος.

Καταβασία

«Ω τρισμακάριστον ξύλον! εν ώ ετάθη Χριστός, ο Βασιλεύς καί Κύριος, δι' ού πέπτωκεν ο ξύλω απατήσας, τώ εν σοί δελεασθείς, Θεώ τώ προσπαγέντι σαρκί, τώ παρέχοντι, τήν ειρήνην ταίς ψυχαίς ημών».

## Τής Ινδίκτου

### Ωδή ς'  Ο Ειρμός

«Τόν Προφήτην διέσωσας, εκ τού κήτους Φιλάνθρωπε, καμέ τού βυθού τών πταισμάτων, ανάγαγε δέομαι».

Πολιτείας απάρξασθαι, ευαρέστου σοι Δέσποτα, σύν τή ετησίω υπάρξει, ημάς καταξίωσον.

Ημερών τών τού πνεύματος, εν μεθέξει τού νόμου σου, ανάδειξον πλήρεις οικτίρμον, Σωτήρ τούς υμνούντάς σε.

Θεοτοκίον

Τούς εις σέ καταφεύγοντας, από πάσης δεόμεθα, ρύσαι απειλής η τεκούσα, Χριστόν τόν Θεόν ημών.

## Τών αγίων Γυναικών

### Εβόησε, προτυπών

Ρηγνύμενον, καί ποσί γυναικών συμπατούμενον, καθορώσα, η προμήτωρ ενθέως αγάλλεται, τόν αυτήν δολίως, Παραδείσου τό πρίν εξορίσαντα.

Τήν άσκησιν, τή αθλήσει προθύμως συνάψασαι, τώ νυμφίω, τών ψυχών νύν αφθόρως συνήφθητε, καί νυμφώνι θείω, γηθομένη ψυχή εναυλίζεσθε.

Υψούμενα, τών βασάνων τά άγρια κύματα, τών Μαρτύρων, τάς ολκάδας βυθίσαι ουκ, ίσχυσαν, κραταιά χειρί γάρ, πρός τούς θείους λιμένας κατήντησαν.

Θεοτοκίον

Ρημάτων σου, τάς εκβάσεις ορώσα μεγάλυνον, επί πλείον, Θεομήτορ τόν σέ μεγαλυναντα, γενεαί γάρ πάσαι, σέ ιδού αληθώς μακαρίζουσι.

Τού Οσίου

Χιτώνά μοι παράσχου

Σημείων καί τεράτων σε Χριστός, αυτουργόν ανέδειξε, τής θείας Μακάριε, ενεργείας δεδειχώς ενδιαίτημα.

Υψώθη σου τό σώμα Συμεών, ως σταυρώ τώ κίονι, διό συνδεδόξασαι, τώ εν ξύλω διά σέ υψωθέντι Χριστώ.

Μετάρσιον πορείαν εφευρών, Συμεών θεσπέσιε, πρός ύψος ουράνιον, τούς υμνούντάς σε πιστώς ανακόμιζε.

Θεοτοκίον

Ναόν σε τού Θεού καί κιβωτόν, καί παστάδα έμψυχον, καί πύλην ουράνιον, Θεοτόκε οι Πιστοί καταγγέλλομεν.

Καταβασία

«Νοτίου θηρός εν σπλάγχνοις, παλάμας Ιωνάς, σταυροειδώς διεκπετάσας, τό σωτήριον πάθος προδιετύπου σαφώς, όθεν τριήμερος εκδύς, τήν υπερκόσμιον Ανάστασιν υπεζωγράφησε, τού σαρκί προσπαγέντος Χριστού τού Θεού, καί τριημέρω εγέρσει τόν κόσμον φωτίσαντος».

Κοντάκιον τής Ινδίκτου

Ποιηθέν τώ 1813 έτει υπό τού αοιδίμου Πατριάρχου Κωνσταντινοπόλεως, Κυρίλλου ς'.

Ήχος γ'

Η Παρθένος σήμερον

Ο αρρήτω σύμπαντα, δημιουργήσας σοφία, καί καιρούς ο θέμενος, εν τή αυτού εξουσία, δώρησαι, τώ φιλοχρίστω λαώ σου νίκας, έτους δέ, τάς τε εισόδους καί τάς εξόδους, ευλογήσαις κατευθύνων, ημών τά έργα πρός θείόν σου θέλημα.

Τού Οσίου

Ήχος β'  Αυτόμελον

Τά άνω ζητών, τοίς κάτω συναπτόμενος, καί άρμα πυρός, τόν στύλον εργασάμενος, δι' αυτού συνόμιλος, τών Αγγέλων γέγονας Όσιε, σύν αυτοίς Χριστώ τώ Θεώ, πρεσβεύων απαύστως υπέρ πάντων ημών.

Ο Οίκος

Τού Συμεών τόν άμεμπτον βίον, ποία γλώσσα ανθρώπων εξαρκέσει ποτέ, πρός έπαινον εξηγήσασθαι; όμως υμνήσω Θεού σοφία, τά τού ήρωος άθλα καί τούς αγώνας, τού εν τή γή ως φωστήρος φανέντος τοίς πάσι βροτοίς, καί μεγάλως τή καρτερία τώ χορώ τών Αγγέλων εκλάμψαντος, σύν τούτοις γάρ ψάλλων απαύστως Χριστώ, πρεσβεύων ου παύει υπέρ πάντων ημών.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Α' τού αυτού μηνός, Αρχή τής, Ινδίκτου, ήτοι τού νέου έτους.

Στίχοι

- Ίνδικτον ημίν ευλόγει νέου Χρόνου,
- Ώ καί Παλαιέ, καί δι ανθρώπους Νέε.

Τή αυτή ημέρα, μνήμην ποιούμεν τού γενομένου θαυματος παρά τής Αγίας Θεοτόκου εν τή Μονή τών Μιασηνών, καί μνήμη τού γενομένου εμπρησμού.

Στίχοι

- Αυθαιρέτως άνεισιν άγρα τις ξένη,
- Λίμνης βυθού πάντιμος εικών Παρθένου.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Συμεών τού Στυλίτου.

Στίχοι

- Λιπών Συμεών τήν επί στύλου βάσιν,
- Τήν εγγύς εύρε τού Θεού Λόγου στάσιν.
- Υψιβάτης Συμεών Σεπτεμβρίου έκθανε πρώτη.

Τή αυτή ημέρα, μνήμη τής οσίας Μάρθας, μητρός τού Οσίου Συμεών, καί τής οσίας Ευανθίας, καί η κοίμησις Ιησού τού Ναυή.

Στίχοι

- Εν γή ξενίζει Μάρθα τόν Χριστόν πάλαι.
- Σέ δέ ξενίζει Μάρθα Χριστός εν πόλω.
- Ον τού τρέχειν έστησεν ήλιον πάλαι.
- Λιπών Ιησούς, Ήλιον δόξης βλέπει.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων τεσσαράκοντα γυναικών, Μαρτύρων, Παρθένων καί Ασκητριών, καί Αμμούν Διακόνου, καί διδασκάλου αυτών.

Στίχοι

- Δισεικαρίθμοις παρθένοις πύρ καί ξίφος,
- Θεού προεξένησαν Υιόν νυμφίον.
- Αμμούν καλύπτραν έμπυρον δεδεγμένος,
- Τό σαρκικόν κάλυμμα χαίρων εξέδυ.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων καί αυταδέλφων Ευόδου, Καλλίστης, καί Ερμογένους.

Στίχοι

- Κάλλιστον όντως εύρε Καλλίστη τέλος,
- Σύν τοίς καλοίς τμηθείσα διττοίς συγγόνοις.

Ο όσιος Μελέτιος ο νέος, ο εν τώ όρει Νυουπόλεως ασκήσας, εν ειρήνη τελειούται.

Ο άγιος νεομάρτυς, Αγγελής ο εν Κωνσταντινοπόλει μαρτυρήσας Κατά

τό 1680 ξίφει τελειούται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τής Ινδίκτου

Ωδή ζ'  Ο Ειρμός

«Οι Παίδες ευσεβεία συντραφέντες, δυσσεβούς προστάγματος καταφρονήσαντες, πυρός απειλήν ουκ επτοήθησαν, αλλ' εν μέσω τής φλογός εστώτες έψαλλον, ο τών Πατέρων Θεός ευλογητός εί».

Αρχόμενοι τού έτους καί τών ύμνων, απαρχήν ποιούμεθα τώ βασιλεύοντι Χριστώ, βασιλείαν τήν απέραντον, ο ορθόδοξος λαός, ευσεβώς μέλποντες, ο τών Πατέρων Θεός ευλογητός εί.

Ο ών πρό τών αιώνων, επ' αιώνα τε καί έτι Κύριος, τοίς αναμέλπουσι Χριστέ, η πηγή τής αγαθότητος, τών χρηστών σου δωρεών τό έτος πλήρωσον, ο τών Πατέρων Θεός ευλογητός εί.

Θεοτοκίον

Οι δούλοι τώ Δεσπότη, εις πρεσβείαν τήν αγνήν Μητέρα σου, σοί προβαλλόμεθα Χριστέ, από πάσης περιστάσεως, τόν λαόν σου αγαθέ ρυσθήναι ψάλλοντα, ο τών Πατέρων Θεός ευλογητός ει.

Τών αγίων Γυναικών

Ο διασώσας εν πυρί

Ως ακατάπληκτον τό σόν, φρόνημα Αμμούν θεοφόρε, καί γάρ εξάρχων τού χορού, τών παρθένων, βασάνους ουκ έπτηξας, συν αυταίς τελειούμενος, ως διάκονος καί μύστης τής θείας δόξης.

Νυμφαγωγός οία σοφός, λόγοις υπαλείφεις ανδρείας, πρός τόν νυμφίον αφοράν, καί σαρκός καρτερείν τά επίπονα, κραυγαζούσας τάς Μάρτυρας, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Μή αποκάμωμεν ιδού, ήνοικται τό στάδιον Κόραι, στώμεν ανδρείως ο Χριστός, τούς στεφάνους προτείνει, τού σώματος, εαυτών μή φεισώμεθα, ανεβόων αι γενναίαι εν τώ σταδίω.

Θεοτοκίον

Ευλογημένος ο καρπός, τής ευλογημένης γαστρός σου, όν ευλογούσιν ουρανών, αι Δυνάμεις, βροτών τε συστήματα, ως ημάς λυτρωσάμενον, τής κατάρας τής αρχαίας Ευλογημένη.

Τού Οσίου

Παίδες θεοσεβείς

Έλυσας μέν αυχμόν απορουμένοις, καί πύλας αυτοίς υετού ήνοιξας, καί τήν γήν κλονουμένην εντεύξεσιν έστησας, καί λαούς κραυγάζειν εδίδαξας, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Ως μέγιστος φωστήρ τής Εκκλησίας, πολύφωτός τε Συμεών ήλιος, πανταχού τάς ακτίνας, εκπέμπων εφώτιζες, καί λαούς κραυγάζειν εδίδασκες, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Νάματα πανταχόθεν συρρυέντα, θεράπον Χριστού, ανθρώπων πέλαγος, εν τή μάνδρα τής σής, συνεκρότει ασκήσεως, υπό σού βοάν παιδευόμενοι, Ευλογητός ο Θεός ο τών Πατέρων ήμών.

Πάλαι μέν τού Πρεσβύτου ταίς αγκάλαις, πλαξί δέ τής σής καρδίας Όσιε, αοράτω δυνάμει, Χριστός ανεπαύσατο, Συμεών, διό ανεκραύγαζες, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Θεοτοκίον

Έπρεπε τώ ασπόρως σαρκουμένω, εκ σού προελθείν Παρθένε άχραντε, σύ γάρ έφυσας τόν πάντων αγνή ανυπέρβλητον, ώ βοώντες, ύμνοις κραυγάζομεν, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Καταβασία

«Έκνοον πρόσταγμα τυράννου δυσσεβούς, λαούς εκλόνησε, πνέον απειλής, καί δυσφημίας θεοστυγούς, όμως τρείς Παίδας ουκ εδειμάτωσε, θυμός θηριώδης, ου πύρ βρόμιον, αλλ' αντηχούντι δροσοβόλω πνεύματι, πυρί συνόντες έψαλλον, ο υπερύμνητος, τών Πατέρων καί ημών Θεός ευλογητός εί».

## Τής Ινδίκτου

### Ωδή η'  Ο Ειρμός

«Τόν τούς υμνολόγους εν καμίνω, διαφυλάξαντα Παίδας, καί τήν βροντώσαν κάμινον, μεταβαλόντα εις δρόσον, Χριστόν τόν Θεόν υμνείτε, καί υπερυψούτε αυτόν εις τούς αιώνας».

Ως αρχηγώ τής σωτηρίας Χριστέ, απαρχήν σοι προσφέρει τήν ενιαύσιον, η σεπτή Εκκλησία κραυγάζουσα, Υμνείτε, καί υπερυψούτε Χριστόν εις τούς αιώνας.

Τόν εκ μή όντων τά πάντα σοφώς, καινουργήσαντα Κτίστην, καί διεξάγοντα τών καιρών τάς ελίξεις βουλήματι, υμνείτε, καί υπερυψούτε αυτόν εις τούς αιώνας.

Τώ διεξάγοντι τά πάντα Θεώ, καί καιρούς αλλοιούντι, πρός τήν πολύτροπον τών ανθρώπων κυβέρνησιν ψάλλομεν, Υμνείτε, καί υπερυψούτε αυτόν εις τούς αιώνας.

Θεοτοκίον

Τήν Θεομήτορα Παρθένον αγνήν, εν ετών περιόδοις καί ελίξεσιν, ορθοδόξων βροτών τά συστήματα, υμνούμέν σε ως Θεοτόκον, καί πάντων σωτηρίαν.

## Τών αγίων Γυναικών

### Παίδας ευαγείς

Λαμπρούς καί φαιδρούς ως εξ αιμάτων, χιτώνας μαρτυρικώς περιεβάλεσθε, συναπεκδυσάμεναι, όντως τόν φθειρόμενον, ταίς αμαρτίαις άνθρωπον, καί αναμέλπουσαι, τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Πλουσίου φωτός φωτοχυσίαις, Ηλίου τού νοητού θείαις λαμπρότησιν, μάρτυρες λαμπόμεναι, νύκτα παρεδράμετε, τής αθεϊας ψάλλουσαι εν ομονοία ψυχής, τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Ως άρνες ως άσπιλοι αμνάδες, ως θείαι περιστεραί καί εθελούσια, θύματα προσήχθητε, Μάρτυρες τώ κτίσαντι, καί ως θυσίαι άμωμοι, συμφώνως ψάλλουσαι, τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Προστάξει τυράννων παρανόμων, τόν άδικον θάνατον υπέστητε, μέλη συγκοπτόμεναι, ράβδοις συντριβόμεναι, ανηλεώς τυπτόμεναι, ξίφει τεμνόμεναι, διό τάς αθανάτους κληρούσθε, εν αγαλλιάσει πλουσίας αντιδόσεις.

### Θεοτοκίον

Οπίσω σου έδραμον γυναίκες, τών μύρων τών ηδυπνόων επαισθόμεναι, πάναγνε Θεόνυμφε, μόνη απειρόγαμε, τού εκ γαστρός σου λάμψαντος, μονογενούς Υιού, καί σοί συμβασιλεύουσιν όντως, ανυμνολογούσαι Χριστόν εις τούς αιώνας.

## Τού Οσίου

### Τόν εν όρει αγίω

Από πάσης χωρήσας προσπαθείας, καί μητρώαν ασθένειαν οικτείρας, οία περ ζών εφάνης μετά θάνατον, Κύριον υμνείτε, καί υπερυψούτε βοών εις τούς αιώνας.

Νεανίαν συσφίγγεις παρεθέντα, καί τήν κλίνην τόν Φύλαρχον προστάττεις, επί τών ώμων φέρειν ιερώτατε, Κύριον υμνούντα, καί υπερυψούντα εις πάντας τούς αιώνας.

Ολαμπρύνας Ιώβ διά τού πάθους, ηλκωμένης σαρκός σου τήν σαπρίαν, εις μαργαρίτην έτρεψε πολύτιμον, σέ Χριστού θεράπον, Συμεων δοξάζων, εις πάντας τούς αιώνας.

Λησταρχούντα αλάστορα ως πάλαι, επί ξύλου Ληστήν προσεκαλέσω, ταίς Συμεών ώ Δέσποτα εντεύξεσιν, όθεν σε υμνούμεν, καί υπερυψούμεν εις πάντας τούς αιώνας.

Θεοτοκίον

Τήν δι' Αγγέλου τό Χαίρε δεξαμένην, καί τεκούσαν τόν Κύριον τής δόξης, καί τό φώς τώ κόσμω ανατείλασαν, πάντες σέ υμνούμεν, καί δοξολογούμεν Παρθένε Θεοτόκε.

Καταβασία

«Ευλογείτε Παίδες, τής Τριάδος ισάριθμοι, Δημιουργόν Πατέρα Θεόν, υμνείτε τόν συγκαταβάντα Λόγον, καί τό πύρ εις δρόσον μεταποιήσαντα, καί υπερυψούτε, τό πάσι ζωήν παρέχον, Πνεύμα πανάγιον εις τούς αιώνας».

Τής Ινδίκτου

Ωδή θ' Ο Ειρμός

«Τύπον τής αγνής λοχείας σου, πυρπολουμένη βάτος έδειξεν άφλεκτος, καί νύν καθ' ημών, τών πειρασμών αγριαίνουσαν, κατασβέσαι αιτούμεν τήν κάμινον, ίνα σε Θεοτόκε, ακαταπαύστως μεγαλύνωμεν.

Λόγε τού Θεού καί Δύναμις, η αληθής Σοφία καί ενυπόστατος, η συνέχουσα, καί κυβερνώσα τά πάντα σοφώς, καί τόν νύν επιστάντα τοίς δούλοις σου, καιρόν εν καταστάσει, γαληνιώση διεξάγαγε.

Μόνη πρό αιώνων πέφυκας, ως ποιητής αιώνων καί βασιλεύουσα, τρισυπόστατε, μία θεότης αμέριστε, ταίς λιταίς τής αγνής Θεομήτορος, τόν νικηφόρον, τή κληρουχία σου ανάδειξον.

Θεοτοκίον

Σώτερ τού παντός καί πρύτανι, δημιουργέ καί παντοκράτορ τής κτίσεως, ταίς δεήσεσι, τής αλοχεύτως τεκούσης σε, τήν ειρήνην τώ κόσμω σου δώρησαι, τηρών τήν Εκκλησίαν, ακαταπαύστως αστασίαστον.

Τών αγίων Γυναικών

Εύα μέν τώ τής παρακοής

Νάουσιν ιάσεων κρουνούς τοίς χρήζουσιν, ως εκ κρήνης αι Πανόλβιοι, παύουσι λύμην νοσημάτων, παθών αποδιώκουσι καύσωνα, καρδίας τών φιλοθέων αρδεύουσι, πρός ευκαρπίαν θείων πράξεων.

Ο θείος διάκονος Αμμούν, Κελσίνα τε, καί πρός τούτοις τεσσαράκοντα, θείαι θεόφρονες γυναίκες, αθλήσασαι νομίμως εστέφθησαν, καί νύν μετά Αγγέλων χορεύουσιν, άς κατά χρέος μακαρίζομεν.

Υψώθητε κράτος κατ' εχθρών αράμεναι, Αγγέλοις ωμοιώθητε, ξύλου τρυφάτε ακωλύτως, ζωής εν Παραδείσω θεόνυμφοι, πηγήν νύν τών καλών κατειλήφατε, υπέρ τού κόσμου ικετεύουσαι.

## Θεοτοκίον

Σοφίας χωρίον υπέρ νούν τής κρείττονος, ανεδείχθης Κόρη άμωμε, έμψυχος θρόνος τε καί πύλη, διό ως βασιλίδα ηγάπησαν, παρθένοι σε Παρθένε Οπίσω σου, απενεχθείσαι τής θεόπαιδος.

## Τού Οσίου

## Τόν προδηλωθέντα

Βεβασιλευκότα, παθών διά καρτερίας, ο Χριστός σε προσήκατο, Συμεων θεοφόρε, τής αυτού κοινωνόν σκηπτρουχίας, όθεν σε ύμνοις μεγαλύνομεν.

Ιαματικής χάριτος κατηξιωμένος, εξ ασύλων τού Πνεύματος, θησαυρών θεοφόρε, Συμεών τάς ιάσεις βραβεύεις, τοίς πανηγυρίζουσι τήν μνήμην σου.

Επιβεβηκώς, Όσιε τής ουρανοδρόμου, αρετής καί αιθέριον άθλον ενδεδειγμένος, καί πρός σκηνάς αναπτάς ουρανίους, πρέσβευε σωθήναι τάς ψυχάς ημών.

## Θεοτοκίον

Βάτος καιομένη, πυρί καί μή φλεγομένη, ανεδείχθης ώ Παρθένε, συλλαβούσα ασπόρως, τόν Θεόν καί Σωτήρα τού κόσμου, όν ακαταπαύστως μεγαλύνομεν.

## Καταβασία

«Μυστικός εί Θεοτόκε Παράδεισος, αγεωργήτως βλαστήσασα Χριστόν, υφ' ού τό τού Σταυρού, ζωηφόρον εν γή, πεφυτούργηται δένδρον, δι' ού νύν υψουμένου, προσκυνούντες αυτόν, σέ μεγαλύνομεν».

## Ετέρα

«Ο διά βρώσεως τού ξύλου, τώ γένει προσγενόμενος θάνατος, διά Σταυρού κατήργηται σήμερον, τής γάρ προμήτορος η παγγενής κατάρα διαλέλυται, τώ βλαστώ τής Αγνής Θεομήτορος, ήν πάσαι αι Δυνάμεις τών ουρανών μεγαλύνουσιν».

## Εξαποστειλάριον τής Ινδίκτου
## Τοίς Μαθηταίς

Θεέ θεών καί Κύριε, τρισυπόστατε φύσις, απρόσιτε αϊδιε, άκτιστε καί τών όλων, δημιουργέ παντοκράτορ, σοί προσπίπτομεν πάντες, καί σέ καθικετεύομεν, Τό παρόν έτος τούτο, ως αγαθός, ευλογήσας φύλαττε εν ειρήνη, τους Βασιλείς καί άπαντα, τόν λαόν σου Οικτίρμον.

## Τού Οσίου  όμοιον

Φωστήρος δίκην Όσιε, ο φωσφόρος σου βίος, αστράψας κατεφώτισε, τήν υφήλιον πάσαν, ταίς τών θαυμάτων ακτίσι, διά στύλου γάρ Πάτερ, ανήλθες ως εν κλίμακι, πρός Θεόν ένθα πάντων, τών ορεκτών, Συμεών τό έσχατον όντως πέλει, υπέρ ημών δεόμενος, τών τιμώντων σε Μάκαρ.

## Θεοτοκίον  όμοιον

Δημιουργός καί πρύτανις, πάσης κτίσεως πέλων, καιρούς καί χρόνους θέμενος, εν τή σή εξουσία, τόν ενιαύσιον κύκλον, ευλογίαις Οικτίρμον,

χρηστότητος στεφάνωσον, εν ειρήνη φυλάττων, σού τόν λαόν, αβλαβή απήμαντον δυσωπούμεν, πρεσβείαις τής τεκούσης σε, καί τών θείων Αγγέλων.

Εις τούς Αίνους, ιστώμεν Στίοχυς δ' καί ψάλλομεν τά παρόντα Στιχηρά Ιδιόμελα.

Ήχος γ'
Ιωάννου Μοναχού

Προαιώνιε Λόγε τού Πατρός, ο εν μορφή Θεού υπάρχων, καί συστησάμενος τήν κτίσιν εκ τού μή όντος εις τό είναι, καί καιρούς καί χρόνους εν τή ιδία εξουσία θέμενος, ευλόγησον τόν στέφανον τού ενιαυτού τής χρηστότητός σου, δωρούμενος ειρήνην ταίς Εκκλησίαις σου, νίκας τώ πιστοτάτω Βασιλεί, ευφορίαν τε τή γή, καί ημίν τό μέγα έλεος.

Τού αυτού Ήχος δ'

Η βασιλεία σου Χριστέ ο Θεός, βασιλεία πάντων τών αιώνων, καί η δεσποτεία σου εν πάση γενεά καί γενεά, πάντα γάρ εν σοφία εποίησας, καιρούς ημίν καί χρόνους προθέμενος, διό ευχαριστούντες κατά πάντα καί διά πάντα βοώμεν, Ευλόγησον τόν στέφανον τού ενιαυτού τής χρηστότητός σου, καί καταξίωσον ημάς ακατακρίτως βοάν σοι, Κύριε δόξα σοι.

Ο αυτός Ανδρέου Πυρού

Αι πορείαί σου ο Θεός, αί πορείαί σου μεγάλαι καί θαυμασταί, διό τής οικονομίας σου, τήν δυναστείαν μεγαλυνούμεν, ότι φώς εκ φωτός, επεδήμησας εις ταλαίπωρον κόσμον σου, καί τήν πρώτην ανείλες αράν, τού παλαιού Αδάμ, ως ηυδόκησας Λόγε, καί ημίν εν σοφία, καιρούς καί χρόνους υπέθου, τού δοξάζειν τήν παντουργικήν σου αγαθότητα, Κύριε δόξα σοι.

Ήχος β' Γερμανού

Ότε τώ πάθει σου Κύριε, τήν οικουμένην εστερέωσας, τότε καί οι ασθενούντες περιεζώσαντο δύναμιν, Γυναίκες ηνδρίσαντο, κατά τού πικροτάτου τυράννου, καί τήν ήτταν τής μητρός ανακαλεσάμεναι, πάλαι εν τή τρυφή τού Παραδείσου γεγόνασιν, εις δόξαν σού τού γεννηθέντος εκ γυναικός, καί σώσαντος τό γένος τών ανθρώπων.

Δόξα... τού Οσίου Ήχος β'

Εκ ρίζης αγαθής, αγαθός εβλάστησε καρπός, ο εκ βρέφους ιερός Συμεών, χάριτι μάλλον ή γάλακτι τραφείς, καί επί πέτραν τό σώμα υψώσας, πρός Θεόν δέ υπερυψύσας τήν διάνοιαν, αιθέριον διεδομήσαντο ταίς αρεταίς ενδιαίτημα, καί ταίς θείαις δυνάμεσι συμμετεωροπορών, Χριστού γέγονεν οικητήριον, τού Θεού καί Σωτήρος τών ψυχών ημών.

Καί νύν... Ήχος πλ. δ'
Γερμανού

Ο αρρήτω σοφία συστησάμενος τά σύμπαντα, Λόγε Χριστέ ο Θεός, ο καιρούς καί χρόνους ημίν προθέμενος, τά έργα τών χειρών σου ευλόγησον, τόν δέ πιστόν Βασιλέα εν τή δυνάμει σου εύφρανον, διδούς αυτώ κατά βαρβάρων τήν ισχύν, ως μόνος αγαθός καί φιλάνθρωπος.

Δοξολογία μεγάλη, καί Απόλυσις

Εις τήν Λειτουργίαν, Τυπικά, καί εκ τών Κανόνων τής, Ινδίκτου, καί τού Οσίου, Ωδή γ' καί ς'.

Προκείμενον  Ήχος δ'

Μέγας ο Κύριος ημών, καί μεγάλη η ισχύς αθτού.
Στίχ. Αινείτε τόν Κύριον, ότι αγαθός.

Απόστολος πρός Τιμόθεον

Τέκνον Τιμόθεε, παρακαλώ πρώτον...

Ζήτει Σαββάτω λγ'

Καί Ετερον Απόστολον τού Οσίου
Πρός Κολασσαείς

Αδελφοί, ενδύσασθε ως εκλεκτοί...

Ζήτει Κυριακή λ'

Ευαγγέλιον κατά Λουκάν

Τώ καιρώ εκείνω, εισήλθεν ο Ιησούς εις Ναζαρετ...

Καί τού Οσίου, Εκ τού κατά Ματθαίον

Είπεν ο Κύριος. Πάντα μοι παρεδοθη υπό τού...

Ζήτει Ιανουαρίω κ'

Κοινωνικόν τής Ινδίκτου

Εθλόγησον τόν στέφανον τού ενιαυτού τής χρηστότητός σου, Κύριε. Αλληλούϊα.

---

Αρχή

**ΤΗ Β' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τού Αγίου Μάρτυρος Μάμαντος, καί τού Οσίου Πατρός ημών Ιωάννου τού Νηστευτού.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύ ριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τού Μάρτυρος γ' καί τού Οσίου γ'.

Τού Μάρτυρος

Ήχος πλ. δ'
Ώ τού παραδόξου θαύματος

Θήρας τό πρίν τροπωσάμενος, τών ακαθέκτων παθών, Αθλοφόρε αοίδιμε, τών λεόντων χάσματα, καί θηρών τά ορμήματα, εντεύξει θεία, σύ εχαλίνωσας,

τής τούτων βλάβης μείνας αμέτοχος, πύρ ού κατέπτηξας, ου θυμόν δικάζοντος, τής γάρ Χριστού, Μάκαρ αγαπήσεως, ουδέν προέκρινας.

Νέω εν σώματι ένδοξε, τόν παλαιόν πτερνιστήν, ετροπώσω τά στίγματα, τού Χριστού μακάριε, τή σαρκί σου δεξάμενος, καί νύν Μαρτύρων, συναγελάζη χοροίς, στεφανηφόρος Μάμα πανεύφημε, φέγγει λαμπόμμμιενος, τρισηλίω πάντοτε, τών εφετών, βλέπων τό ακρότατον, καθαρωτάτω νοϊ.

Τού σαρκωθέντος Θεού ημών, καί διά πάθους Σταυρού, καθελόντος τόν τύραννον, ζωηφόροις ίχνεσιν, αθλοφόρε επόμενος, Μαρτύρων χαίρων, υπήλθες στάδιον, καί ταίς αικίαις κατατεινόμενος, τόν καυχησάμενον, εξαλείφειν θάλασσαν, μετά σαρκός, Μάρτυς κατηδάφισας, καί ετραυμάτισας.

Τού Οσίου

Όμοια

Πάτερ, Ιωάννη πάνσοφε, σύ τώ ποδήρει σεπτώς, Ααρών ώσπερ δεύτερος, καθωραϊζόμενος, τών Αγίων τά Άγια, νύν κατοπτεύεις ένδον γενόμενος, καί τού δευτέρου καταπετάσματος, Ώ τής αρρήτου σου, υπέρ νούν ελλάμψεως, ιεραρχών, θείον εγκαλώπισμα, ής περ μετέσχηκας!

Πάτερ Ιωάννη πάνσοφε, θεοειδής γεγονώς, τή τών τρόπων απλότητι, Θεώ νύν παρίστασαι, τή ενώσει τή κρείττονι, καί ανενδότω νεύσει θεούμενος, καί τού εκείθεν φωτός πληρούμενος, νού καθαρότητι, καί ψυχής φαιδρότητι, ιεραρχών, θείον εγκαλλώπισμα, καί ιερώτατον.

Πάτερ Ιωάννη πάνσεπτε, τής κοσμικής αποστάς, ταραχώδους συγχύσεως, τού Χριστού προσέδραμες, τή γαλήνη πανόσιε, καί θεωρίας θείας καί πράξεως, τάς πανολβίους σαφώς λαμπρότητας, όντως επλούτησας, καί πιστοίς μετέδωκας, θεοπρεπεί, βίω λαμπρυνόμενος, Μακαριώτατε.

Δόξα... Ήχος β'  Βυζαντίου

Νέον φυτόν καθάπερ ελαίας, τή τού Θεού τραπέζη γεγένησαι, ως υιός τών πορευθέντων τήν τού Κυρίου οδόν, διά γάρ μαρτυρίου ευλόγησέ σε Κύριος, καί βλέπεις τά αγαθά τής άνω Σιών, κατατρυφών τής θείας αγαλλιάσεως, σύν τοίς γονεύσι διά παντός, Μάμα αξιάγαστε, ών κοινωνούς ημάς ταίς ικεσίαις σου, γενέσθαι ποίησον.

Καί νύν... Θεοτοκίον

Ότε, εκ τού ξύλου σε νεκρόν

Έργοις σκοτεινοίς συναπαχθείς, όλον απημαύρωσα κάλλος, τό τού Βαπτίσματος, θέλων ο πανάθλιος, καί περιβέβλημαι, στολισμόν κατακρίσεως, καί σκότους, διό περ, δέομαι Πανύμνητε τή δυναστεία σου, ρήξασα παθών μου τά ράκη, τόν τής απαθείας χιτώνα, ένδυσον γυμνώττοντα καί σώσόν με.

Η Σταυροθεοτοκίον

Ότε η αμίαντος αμνάς, έβλεπε τόν ίδιον άρνα, επί σφαγήν ως βροτόν, θέλοντα ελκόμενον, θρηνούσα έλεγεν, Ατεκνώσαι νύν σπεύδεις με, Χριστέ τήν

τεκούσαν, τί τούτο πεποίηκας, ο λυτρωτής τού παντός; όμως ανυμνώ καί δοξάζω, σού τήν υπέρ νούν τε καί λόγον, άκραν συγκατάβασιν φιλάνθρωπε.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος δ'

Δεύτε συμφώνως οι πιστοί, μνήμην τελέσωμεν Μάμαντος Μάρτυρος, ούτος γάρ νέος, Άβελ ανεδείχθη ημίν, ώσπερ γάρ εκείνος ποιμήν προβάτων γεγονώς, αμνόν εις θυσίαν πρώτος προσήγαγε, καί στέφανον αθλήσεως, πρώτος εκομίσατο, ούτω καί ο ένδοξος, Αθλοφόρος, θρεμματικοίς ποιμνίοις ενδιαπρέψας, εαυτόν θύμα ευπρόσδεκτον τώ Χριστώ, προσήγαγε διά τού μαρτυρίου, καί παρρησίαν έχων πρός αυτόν, τήν ειρήνην τώ κόσμω αιτείται, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Ως γενναίον εν Μάρτυσι

Οι τώ θείω τεμένει σου, καταφευγοντες άχραντε, καί πιστώς τό έδαφος καταβρέχοντες, εν μετανοία δακρύοντες, τήν λύσιν λαμβάνουσι, τών δεινών αμαρτιών, καί τήν χάριν κομίζονται, δυσωπούσης σου, εκτενώς τόν Δεσπότην καί Σωτήρα, τών απάντων καί Υιόν σου, Θεοκυήτορ πανάμωμε.

Η Σταυροθεοτοκίον

Τόν αμνόν καί ποιμένα σε, επί ξύλου ως έβλεψεν, Αμνάς η κυήσασα επωδύρετο, καί μητρικώς σοι εφθέγγετο, Υιέ ποθεινότατε, πώς εν ξύλω τού Σταυρού, ανηρτήθης μακρόθυμε; πώς τάς χείράς σου, καί τούς πόδας σου Λόγε προσηλώθης, υπ' ανόμων καί τό αίμα, τό σόν εξέχεας Δέσποτα;

Απολυτίκιον τού Μάρτυρος

Ήχος δ' Ταχύ προκατάλαβε

Ο Μάρτυς σου Κύριε, έν τή αθλήσει αυτού, τό στέφος εκομίσατο τής αφθαρσίας, εκ σού τού Θεού ημών, έχων γάρ τήν ισχύν σου, τούς τυράννους καθείλεν, έθραυσε καί δαιμόνων, τά ανίσχυρα θράση, αυτού ταίς ικεσίαις Χριστέ, σώσον τάς ψυχάς ημών.

Τού Οσίου, ο αυτός

Κανόνα πίστεως, καί εικόνα πραότητος, εγκρατείας διδάσκαλον, ανέδειξέ σε τή ποίμνη σου, η τών πραγμάτων αλήθεια, διά τούτο εκτήσω τή ταπεινώσει τά υψηλά, τή πτωχεία τά πλούσια, Πάτερ, Ιωάννη, Όσιε, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ήμων.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, Κανών τής Οκτωήχου εις, καί τών Αγίων δύο.

Ο Κανών τού Μάρτυρος

Ποίημα Θεοφάνους

Ωδή α'  Ήχος πλ. δ'

«Αρματηλάτην Φαραώ εβύθισε, τερατουργούσα ποτέ, Μωσαϊκή ράβδος, σταυροτύπως πλήξασα, καί διελούσα θάλασσαν, Ισραήλ δέ φυγάδα, πεζόν οδίτην διέσωσεν, άσμα τώ Θεώ αναμέλποντα».

Τούς ουρανούς περιπολών ως άριστος, μάρτυς γενόμενος, καί τριφεγγούς αίγλης, ένδοξε πληρούμενος, τούς επί γής τιμώντάς σου, τήν σεπτήν καί φωσφόρον, ημέραν τής τελειώσεως, θείου φωτισμού καταξίωσον.

Τό ευγενές καί κατά πάντα τέλειον, τής διανοίας σου, ο προειδως Λόγος, Μάμα εκ σπαργάνων σε, συνέσεως επλήρωσε, καί καλών ταίς ιδέαις, πολυειδώς κατεκόσμησε, μάρτυς αθλοφόρε πανεύφημε.

Οι σοί γενέται αμωμήτου πίστεως, προκινδυνεύοντες, εν διωγμώ πλάνης, καί εγκαθειργνύμενοι, ένθα καί τελευτήσαντες, υπέρ τού θείου πόθου, βλαστάνουσι σέ τόν λύσαντα, τής πολυθεϊας τόν σύνδεσμον.

Θεοτοκίον

Δεδοξασμένα περί σού λελάληνται, εν γενεαίς γενεών, η τόν Θεόν Λόγον, εν γαστρί χωρήσασα, αγνή δέ διαμείνασα, Θεοτόκε Μαρία, διό σε πάντες γεραίρομεν, τήν μετά Θεόν προστασίαν ημών.

Κανών τού Οσίου

Ποίημα Γερμανού

Ήχος ο αυτός

Τώ εκτινάξαντι

Τώ ανατείλαντι εν τώ κόσμω, τόν ιεράρχην τόν σοφόν, τοίς τής ευσεβείας διαλάμποντα δόγμασιν, άσωμεν τώ Χριστώ, ότι δεδόξασται εις τούς αιώνας.

Τόν διαλάμψαντα εν τώ κόσμω, τής ευσεβείας τώ φωτί, καί τής ασεβείας τήν αχλύν εκδιώξαντα, τιμήσωμεν οι πιστοί, ως ιεράρχην τόν μέγαν Ιωάννην.

Ως παριστάμενος σύν Αγγέλοις, τώ απροσίτω Βασιλεί, τοίς επιτελούσί σου τήν μνήμην ικέτευε, δοθήναι τόν ιλασμόν, Ιεροκήρυξ παμμάκαρ Ιωάννη.

Θεοτοκίον

Ως συλλαβούσα τόν πρό αιώνων, άναρχον Λόγον τού Πατρός, καί σαρκί τεκούσα υπέρ λόγον Πανύμνητε, ικέτευε εκτενώς, του λυτρωθήναι ημάς εκ τών κινδύνων.

Τού Μάρτυρος

Ωδή γ'

«Ουρανίας αψίδος, οροφουργέ Κύριε, καί τής Εκκλησίας Δομήτορ, σύ με στερέωσον, εν τή αγάπη τή σή, τών εφετών η ακρότης, τών πιστών τό

στήριγμα, μόνε φιλάνθρωπε».

Φωταυγή ως αστέρα, τόν αθλητήν Μάμαντα, έθετο Χριστός εν τώ ύψει, τής Εκκλησίας αυτού, άθλων λαμπρότησι, καί παραδόξων θαυμάτων, πάσαν τήν υφήλιον καταλαμπρύνοντα.

Ανελθών εν τώ όρει, τής αληθούς γνώσεως, καί καταστραφθείς θεωρίαις, νού καθαρότητι, φύσιν τήν άλογον, πρός λογικήν υμνωδίαν, θεϊκαίς προστάξεσι Μάρτυς διήγειρας.

Νεανίας ωραίος, περικαλής πέφηνας, όθεν τοίς ανόμως ζητούσι, τού συλλαβέσθαι σε, ώφθης απρόσιτος, εθελοντί πρός τό πάθος, ως ο πάντων Κύριος παραγενόμενος.

Θεοτοκίον

Ουρανόν ο τανύσας, καί τόν τής γής Άχραντε, γύρον ο κατέχων απάσης, φύσει θεότητος, εν ταίς αγκάλαις σου, σωματικώς κατεσχέθη, καί πιστοίς σε στήριγμα πάσιν ανέδειξεν.

Τού Οσίου

Ο στερεώσας λόγω

Δι' εγκρατείας Πάτερ καί προσευχής, ακλινούς εισήλθες πρός τήν ακρόπολιν, τής αρετής θεοφόρε, ένθα τής τρυφής τόν χειμάρρουν τρυφάς.

Ως παρρησίαν έχων πρός τόν Θεόν, Ιεράρχα Όσιε, Ιωάννη σοφέ, ικέτευε τού σωθήναι, τούς πίστει εκτελούντας τήν μνήμην σου.

Ως ευσεβών δογμάτων καθηγητής, καί σοφών λογίων υφηγητής αληθής, τόν στέφανον ανεδήσω, κατά τών αιρέσεων Όσιε.

Θεοτοκίον

Ως ουρανόν καί θρόνον σε τού Θεού, ανυμνούμεν πάντες Θεοκυήτορ αγνή, ότι εκ σού επεφάνη, Ιησούς Χριστός η αλήθεια.

Ο Ειρμός

«Ο στερεώσας λόγω τούς ουρανούς, καί τήν γήν εδράσας επί υδάτων πολλών, στερέωσόν με πρός ύμνον, καί δοξολογίαν σου Κύριε».

Κάθισμα τού Μάρτυρος

Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Ευσεβείας υπάρχων γόνος σεπτός, ασεβείας εδείχθης εκμειωτής, ώ Μάμα πανεύφημε, τή δυνάμει τού Πνεύματος, εν γάρ σταδίω πλάνην, ειδώλων διήλεγξας, καί ευθαρσώς Τριάδα, υμνείσθαι εκήρυξας, όθεν καί θηρίοις, εκδοθείς αθλοφόρε, τόν θήρα ενέκρωσας, καί αρχέκακον δράκοντα, διά τούτο βοώμέν σοι, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Τού Οσίου

Ήχος γ'  Θείας πίστεως

Σκεύος ένθεον τής εγκρατείας, πλούτος άσυλος τής ευσεβείας, ανεδείχθης, Ιωάννη μακάριε, εν απαθεία φαιδρύνας τόν βίον σου, καί δεομένοις αντλήσας τόν έλεον, Πάτερ Όσιε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Θεία γέγονας σκηνή τού Λόγου, μόνη πάναγνε Παρθενομήτορ, τή καθαρότητι Αγγέλους υπερέχουσα, τόν υπέρ πάντας εμέ γούν γενόμενον, ρερυπωμένον σαρκός πλημμελήμασιν, αποκάθαρον πρεσβειών σου, ενθέοις νάμασι, παρέχουσα σεμνή τό μέγα έλεος.

Η Σταυροθεοτοκίον

Η αμίαντος αμνάς τού Λόγου, η ακήρατος Παρθενομήτωρ, εν Σταυρώ θεασαμένη κρεμάμενον, τόν εξ αυτής ανωδίνως βλαστήσαντα, μητροπρεπώς θρηνωδούσα εκραύγαζεν, Οίμοι! τέκνον μου, πώς πάσχεις; θέλων ρύσασθαι, παθών τής ατιμίας τόν άνθρωπον;

Τού Μάρτυρος

Ωδή δ'

«Σύ μου ισχύς Κύριε, σύ μου καί δύναμις, σύ Θεός μου, σύ μου αγαλλίαμα, ο πατρικούς κόλπους μή λιπών, καί τήν ημετέραν, πτωχείαν επισκεψάμενος, διό σύν τώ Προφήτη Αββακούμ σοι κραυγάζω, τή δυνάμει σου δόξα φιλάνθρωπε».

Αυτοθελώς, πρός τούς αγώνας εχώρησας, απτοήτω, Ένδοξε φρονήματι, τόν γάρ Χριστόν, είχες συνεργόν, θεία δυναστεία, τό ασθενές σου ρωννύοντα, καί Μάρτυρα δεικνύντα, τών αυτού παθημάτων, καί τής άνω λαμπρότητος μέτοχον.

Ως συνεργός, ο εκ Θεού συνοδίτης σοι, καθυπείκει, οία λογικώτατος, άγριος θήρ, θεία γάρ στοργή, σύ καθυποτάξας, τά πάθη τά αλογώτατα, ωραίος απεφάνθης, λογισμώ σοφωτάτω, αλογίαν εχθρών τροπωσάμενος.

Δικαστικών, σύ πρό βημάτων παρίστασο, τήν τού Λόγου, σάρκωσιν Μακάριε, διαπρυσίως αναφωνών, καί τής αθεϊας απομαραίνων τό φρύαγμα, καί πάντας αδιστάκτως, μελωδείν εκδιδάσκων, Τή δυνάμει σου δόξα φιλάνθρωπε.

Θεοτοκίον

Τώ τοκετώ, τής υπέρ φύσιν λοχείας σου, τών ωδίνων, λέλυται τό έγκλημα, καί τής αράς η τών γηγενών, φύσις απηλλάγη, Θεοκυήτορ πανάμωμε, καί ήνοικται τοίς κάτω, διά σού τά τών άνω, καί Αγγέλοις βροτοί συγχορεύουσι.

Τού Οσίου

Μυστικώς ο Προφήτης προορών

Τόν ιεράρχην πάντες τόν σοφόν, εν ωδαίς ευφημήσωμεν, λέγοντες, θεοφόρε Κυρίου, εκτενώς δυσώπει, σωθήναι ημάς.

Ως ευσεβών δογμάτων φυτουργόν, καί σοφόν ιεράρχην σε έχοντες, θεομακάριστε Πάτερ, ύμνοις καί ωδαίς ευφημούμέν σε.

Τήν ιεράν σου μνήμην καί σεπτήν, αρχηγέ τών τροφίμων τής πίστεως, ιεράρχα Κυρίου, ύμνοις καί ωδαίς εορτάζομεν.

Θεοτοκίον

Η ανύμφευτος νύμφη καί αγνή, καί αλόχευτος Μήτηρ Χριστού τού Θεού, αυτόν απαύστως πρέσβευε, σωθήναι τάς ψυχάς ημών.

Τού Μάρτυρος

Ωδή ε'

«Ίνα τί με απώσω, από τού προσώπου σου τό φώς τό άδυτον, καί εκάλυψέ με, τό αλλότριον σκότος τόν δείλαιον, αλλ' επίστρεψόν με, καί πρός τό φώς τών εντολών σου, τάς οδούς μου κατεύθυνον δέομαι».

Ξεομένου ουδόλως, σώματος ο ένδοξος Μάμας εφρόντισε, τής φθοράς τό πάχος, τώ σπαράττεσθαι αποβαλλόμενος, καί τούς δερματίνους, αποδυόμενος χιτώνας, καί στολήν αφθαρσίας δεχόμενος.

Χαριστήριον αίνον, έμελπες τώ Κτίστη σου εξορυττόμενος, τάς πλευράς Παμμάκαρ, καί φωνήν ουρανόθεν ακήκοας, βεβαιούσαν μάλλον, τόν λογισμόν σου πρός τό κρείττον, καί τών πόνων τό άχθος κουφίζουσαν.

Εν ειρκτή συγκλεισθέντι, ώφθη ουρανόθεν σοι επικομίζουσα, παραδόξω θέα, Αθλοφόρε παμμάκαρ πολύαθλε, βρώσιν αφθαρσίας, περιστερά ωραιοτάτη, τής φθοράς γάρ τούς όρους εκβέβηκας.

Θεοτοκίον

Σωματώσεως θείας, καί καταλλαγής ανεκφράστου, γέγονας πρόξενος, η τόν πρό ηλίου, εκ Πατρός γεννηθέντα κυήσασα, διά σού γάρ φύσις, η τών βροτών Θεώ συνήφθη, καί εν θρόνω τής δόξης καθίδρυται.

Τού Οσίου

Ο εκ νυκτός αγνοίας

Ποιμαντικώς εχρίσθης, τής ευσεβείας τώ μύρω θεόσοφε, όθεν ως Ιεράρχην, πάντες ευφημούμέν σε Όσιε.

Ως μιμητής υπάρχων, τών Αποστόλων θεόφρον αοίδιμε, πόνοις καί αγρυπνίαις, τού τής Εκκλησίας προέστης λαού.

Τόν ζηλωτήν Ηλίαν, καί Μωϋσήν τόν θεόπτην μιμούμενος, Πάτερ Ιεροφάντορ, τούς αιρεσιάρχας κατήσχυνας.

Θεοτοκίον

Ως Βασιλίδα πάντες, καί Βασιλέα τών όλων κυήσασαν, δεύτε σύν τώ Αγγέλω, τήν ευλογημένην τιμήσωμεν.

Τού Μάρτυρος

Ωδη ς'

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αί ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

Τώ ζήλω τώ πρός Θεόν, πυρούμενος ιερώτατε, τής υφαπτούσης πυράς, ουδόλως εφρόντισας, θείω δροσιζόμενος, ουρανόθεν όμβρω, αθλοφόρε γενναιότατε.

Ο νεανίαις τρισί, μεταποιήσας τήν κάμινον, εις δρόσον φωτοφανώς, θεόφρον πανόλβιε, φλογός εξαρπάζει σε, καί πυρός δεικνύει, παραδόξως δυνατώτερον.

Μεγίστοις εγκαρτερών, αγώσιν ώφθης παμμέγιστος, εν αθληταίς θαυμαστός, εν Μάρτυσι δόκιμος, διό καί μεγίστων σε, ο αγωνοθετης, αντιδόσεων ηξίωσε.

Θεοτοκίον

Γεγόναμεν κοινωνοί, τής θείας φύσεως Άχραντε, τώ θείω σου τοκετώ, καί λήξιν ουράνιον σύν Αγγέλων τάξεσιν, οι σέ ευφημούντες, εν Χριστώ εκληρωσάμεθα.

Τού Οσίου

Ως τόν Προφήτην ερρύσω

Τής Εκκλησίας τήν δόξαν, κατεκόσμησας Ιωάννη μακάριε, τοίς θείοις σου δόγμασι, καί σοφοίς διδάγμασι, τάς αιρέσεις τε, εκ ποδών εποίησας.

Ως περ φωστήρ ευσεβείας, τών δογμάτων σου τώ κάλλει εξήστραψας, καθ' όλης τής κτίσεως, θεόφρον διδάσκαλε, καί ημαύρωσας τάς αιρέσεις λόγω Θεού.

Αντί μαχαίρας τή γλώττη, καί τώ λόγω χρησάμενος Όσιε, τά νόθα εξέκοψας, διδάγματα άπαντα, καί ετράνωσας τήν Τριάδα πάσι σαφώς.

Θεοτοκίον

Ο τεχθείς εκ Παρθένου, καί κόσμον φωτίσας Χριστέ ο Θεός, καμέ τών πταισμάτων μου, ρύσαι ως φιλάνθρωπος, καί κυβέρνησον τήν ζωήν μου δέομαι.

Ο Ειρμός

«Ως τόν Προφήτην ερρύσω, εκ βυθού κατωτάτου, Χριστέ ο θεός, καμέ τών πταισμάτων μου, ρύσαι ως φιλάνθρωπος, καί κυβέρνησον τήν ζωήν μου

δέομαι».

Κοντάκιον τού Μάρτυρος
Ήχος γ'
Η Παρθένος σήμερον

Εν τή ράβδω Άγιε, τή εκ Θεού σοι δοθείση, τόν λαόν σου ποίμανον, επί νομάς ζωηφόρους, θήρας δέ, τούς αοράτους καί ανημέρους, σύντριψον, υπό τούς πόδας τών σέ υμνούντων, ότι πάντες οι εν κινδύνοις, προστάτην Μάμα, θερμόν σε κεκτήμεθα.

Ο Οίκος

Τόν εν πάση τή γή περιβόητον Μάρτυρα, καί εν τοίς ουρανοίς σύν Αγγέλοις χορεύοντα, υμνήσωμεν Μάμαντα, τόν πρίν τάς ελάφους εν ταίς ερήμοις καινώς αμέλγοντα, καί νύν περιούσιον λαόν Κυρίου, ράβδω δυνάμεως, ως ποιμένα καλώς περιέποντα, καί οδηγούντα εις τόπον χλόης, ένθα υπάρχει αληθώς τού Παραδείσου η τρυφή, Όθεν πάντες οι εν κινδύνοις, προστάτην Μάμα, θερμόν σε κεκτήμεθα.

Σ υ ν α ξ ά ρ ιο ν

Τή Β' τού αυτού μηνός, Μνήμη τού Αγίου Μάρτυρος Μάμαντος.

Στίχοι

- Ακμαίος ών Τριάδος εις πίστιν Μάμας,
- Ακμαίς τριαίνης καρτερεί τετρωμένος.
- Δευτερίη χολάδες Μάμαντος χύντο τριαίνη.

Τή αυτή ημέρα, Μνήμη τού εν Αγίοις Πατρός ημών Ιωάννου, Πατριάρχου Κωνσταντινουπόλεως τού Νηστευτού.

Στίχοι

- Τοίς μή ρέουσιν εντρυφάς νύν ηδέσι,
- Νηστευτά ρευστών ηδονών Ιωάννη.

Ο Άγιος Διομήδης σπαθιζόμενος τελειούται.

Στίχοι

- Σίδηρος εις σίδηρον ών Διομήδης,
- Πρός τούς σπαθισμούς ανδρικώς εκαρτέρει.

Ο Άγιος Ιουλιανός, ξύλω θλασθείς τήν κεφαλήν, τελειούται.

Στίχοι

- Ιουλιανός, συντριβείς κάραν ξύλω,
- Τόν πρός Θεόν νούν σώος εις τέλος μένει.

Ο Άγιος Φίλιππος ξίφει τελειούται.

Στίχοι

- Ίππον ταχύν Φίλιππος τήν τομήν έχων,
- Πρός τόν φιλούντα θάττον ήλθε Δεσπότην.

Ο Άγιος Ευτυχιανός εν εσχάρα πυρός τελειούται.

Στίχοι

- Ευτυχιανός, πυρποληθείς εσχάρα,
- Εις ευτυχή μετήλθε κλήρον Μαρτύρων.

Ο Άγιος Ησύχιος απαγχονισθείς τελειούται.

Στίχοι

- Ποθών τόν όντως Ησύχιος Δεσπότην,
- Καί τόν δι' αυτόν ησύχως φέρει βρόχον.

Ο Άγιος Λεωνίδης πυρί τελειούται.

Στίχοι

- Τού πρός Θεόν σε φλόξ πόθου, Λεωνίδη,
- Έπειθε ράστα καί φλογός φέρειν βίαν.

Ο Άγιος Ευτύχιος σταυρωθείς τελειούται.

Στίχοι

- Βαίνων κατ' ίχνος Ευτύχιος Κυρίου,
- Δίκην εκείνου καρτερεί σταυρού πάθος.

Ο Άγιος Φιλάδελφος, λίθω τόν τράχηλον βαρυνθείς, τελειούται.

Στίχοι

- Σαρκός βάρος πάν εκλιπών λίθου βάρει,
- Ανήλθε κούφος Φιλάδελφος εις πόλον.

Ο Άγιος Μελάνιππος πυρί τελειούται.

Στίχοι

- Είπέρ τι Μελάνιππος είχε καί μέλαν,
- Κάθαρσιν εύρεν, εις τό πύρ βεβλημένος.

Η Αγία Παρθαγάπη εν τή θαλάσση τελειούται.

Στίχοι

- Θνήσκεις θαλάσσης ένδον, ώ Παρθαγάπη,
- Καί δωρεών θάλασσαν ευρίσκεις άνω.

Τή αυτή ημέρα, Μνήμη τών δικαίων ιερέων, Ελεαζάρου καί Φινεές, καί τών Αγίων Μαρτύρων Αειθαλά καί Αμμούν.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τού Μάρτυρος

Ωδή ζ'

«Θεού συγκατάβασιν, τό πύρ ηδέσθη εν Βαβυλώνι ποτέ, διά τούτο οι παίδες εν τή καμίνω, αγαλλομένω ποδί, ως εν λειμώνι χορεύοντες έψαλλον, Ευλογητός ο Θεός ο τών Πατέρων ημών».

Καμίνου τό είδός σοι, θαλάμου ώσπερ χρείαν επλήρωσεν, εις ημέρας γάρ πλείους, εν ταύτη Μάκαρ κατακλειόμενος, ού κατεφλέχθης, βοών τώ ποιήσαντι, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Αγγέλους συλλήπτορας, συγχορευτάς καί συγκοινωνούντάς σοι, απορρήτων ασμάτων, φλογός εν μέσω, Μάρτυς εκέκτησο, μεθ' ών τώ πάντων Δεσπότη εκραύγαζες, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Ως ρόδον αμάραντον, ως εκ παστάδος νυμφίος πρόεισιν, ωραιότατος όντως, εκ τής καμίνου φλέξας τούς άφρονας, καί τούς ορώντας φωτίσας κραυγάζοντας, Ευλογητός ο Θεός τών Πατέρων ημών.

Θεοτοκίον

Ιδού νύν πεπλήρωται, τού θεηγόρου η προαγόρευσις, εν γαστρί γάρ Παρθένε, τόν Θεόν Λόγον έσχες καί τέτοκας, τόν ζωοδότην, ώ πάντες κραυγάζομεν, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

## Τού Οσίου

### Ο εν αρχή τήν γήν

Ο επί γής, φωστήρα αναδείξας, τόν ευσεβή καί σοφόν Ιεράρχην, ευλογητός εί εις τούς αιώνας Κύριε, ο Θεός τών Πατέρων ημών.

Ο αληθή, Ιωάννη τόν μέγαν, ποίμνη τή σή ποιμένα αναδείξας, ευλογητός εί εις τούς αιώνας Κύριε, ο Θεός τών Πατέρων ημών.

Τάς τής σαρκός, επαναστάσεις Πάτερ, καταβαλων τώ Χριστώ ανεβόας, Ευλογητός εί εις τούς αιώνας Κύριε, ο Θεός τών Πατέρων ημών.

Θεοτοκίον

Ο δι' ημάς, γεννηθείς εκ Παρθένου, καί τού εχθρού ρυσάμενος τόν κόσμον, ευλογητός εί εις τούς αιώνας Κύριε, ο Θεός τών Πατέρων ημών.

## Τού Μάρτυρος

### Ωδή η'

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο Τύραννος, τοίς θεοσεβέσιν εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, τόν Δημιουργόν καί Λυτρωτήν ανεβόα, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Ως Δανιήλ τά χάσματα, τών θηρίων εφίμωσας, θεία τού Δεσπότου επικλήσει ένδοξε, τόν όφιν ενέκρωσας, τούς δυσσεβείς κατήσχυνας, καί ως νικητής,

τούς ουρανούς αναμέλπων, οικείς εν ευφροσύνη, ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Λιθολευστούσι μάκαρ σε, οι τοίς λίθοις λατρεύοντες, καί πεπωρωμένοι, τήν ψυχήν παράνομοι, τό όμμα ερείδοντα, τής ιεράς σου Μάμα ψυχής, πρός τήν αρραγή καί αταπείνωτον πέτραν, καί μέλποντα προθύμως, ιερείς ευλογείτε, λαός υπερυψούτε εις πάντας τούς αιώνας.

Αγωνοθέτης άνωθεν, σοί προτείνων τόν στέφανον, οία νικητή, καί τόν καλόν ανύσαντι, αγώνα πανόλβιε, επιφωνεί σοι τήν πρός αυτόν, στείλασθαι σεπτήν, καί γλυκυτάτην πορείαν, προθύμως μελωδούντι, ιερείς ευλογείτε, λαός ύπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Υπερφυώς συνέλαβες, τόν εκ Πατρός αμήτορα, μείνασα παρθένος, μετά τόκον Άχραντε, Θεού γάρ η ένωσις, καινοποιεί τάς φυσεις εν σοί, καί καινοποιούνται τής ουσίας οι όροι, διό σε ορθοδόξως, ως Θεόν τετοκυίαν, κυρίως Θεοτόκον, υμνούμεν εις αιώνας.

## Τού Οσίου

### Τόν εν όρει αγίω

Τόν Μωσέα μιμούμενος τρισμάκαρ, εν τώ όρει προσέβης καί τώ γνόφω, τόν νοητόν τής χάριτος δεξάμενος, νόμον Ιεράρχα, κράζων, Ανυμνείτε, Χριστόν εις τούς αιώνας.

Τόν λαόν σου ποιμάνας Ιεράρχα, τής Αιγύπτου τήν πλάνην απεκρούσω, καί Βαβυλώνα τών παθών εξέφυγες, καί Σιών την άνω, εύρες κατοικίαν, εις πάντας τούς αιώνας.

Ως τώ μύρω χρισθείς Ιεροφάντορ, τής εν λόγω καί έργω ευσεβείας, Ιερουργείς τά θεία ιερώτατε, όθεν τήν Τριάδα, εν μιά ουσία, υμνείς εις τούς αιώνας.

Θεοτοκίον

Τόν εν μήτρα οικήσαντα Παρθένου, καί εν ταύτη φρικτώς καί υπέρ λόγον, τόν παλαιόν Αδάμ ανακαινίσαντα, Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Τόν εν όρει αγίω δοξασθέντα, καί εν βάτω πυρί τό τής Αειπαρθένου, τώ Μωϋσή μυστήριον γνωρίσαντα, Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

## Τού Μάρτυρος

### Ωδή θ'

«Εξέστη επί τούτω ο Ουρανός, καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός,

ώφθη τοίς ανθρώποις σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα τών Ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί Ανθρώπων, ταξιαρχίαι μεγαλύνουσι».

Παρέθου τήν ψυχήν σου τώ Λυτρωτή, καί πρός τούτον προθύμως ανέδραμες, ταίς καλλοναίς, κατηγλαϊσμένος περιφανώς, τών ιερών αγώνων σου, καί τών παλαισμάτων τών θαυμαστών, πανεύφημε Οπλίτα, φωστήρ τής οικουμένης, τής Εκκλησίας εγκαλλώπισμα.

Συνήφθης τοίς Αγγέλοις αγγελικήν, επί γής πολιτείαν κτησάμενος, καί σύν αυτοίς, μέλπεις εν αινέσει χαρμονικώς, τό ιερόν μελώδημα, Μάμα τή Τριάδι πανευκλεώς, θεούμενος ταίς θείαις, μεθέξεσι καί δόξης, αδιαδόχου εμφορούμενος.

Ως έχων παρρησίαν πρός τόν Θεόν, τών τήν θείαν σου ταύτην πανήγυριν, περιχαρώς, Μάρτυς εκτελούντων καί τήν σεπτήν, καί ιεράν σου άθλησιν, πίστει ευφημούντων ειλικρινεί, μνημόνευε παμμάκαρ, καί ζάλης καί κινδύνων, καί πειρασμού ημάς διάσωσον.

Θεοτοκίον

Απείρανδρον μητέρα τών επί γής, παιδοτόκον τίς ήκουσε πώποτε, καί τό τεχθέν, άναρχον Θεόν τε καί συμφυά, Πατρί τώ προανάρχω τε, καί τή τετοκυία υπερφυώς; ώ ξένου μυστηρίου! ώ θείας κοινωνίας δι' ής Θεώ συνανεκράθημεν.

Τού Οσίου

Τόν προδηλωθέντα

Ο δι' απαθείας, καί πίστεως καί αγάπης, καί ελπίδος, λόγους ημίν ζωής τής αιωνίου, υποδείξας σοφέ Ιωάννη, πρέσβευε σωθήναι τάς ψυχάς ημών.

Εν τή βακτηρία, τού Πνεύματος τού Αγίου, τόν λαόν ως ποιμάναντα, τής σεπτής Εκκλησίας, καί διώξαντα θεομάχους αιρέσεις, πάντες ιεράρχα ευφημούμέν σε.

Ως τής Εκκλησίας, φωστήρα καί ιεράρχην, εν ψαλμοίς καί ύμνοις τιμώμέν σε ασιγήτως, τήν σορόν τών λειψάνων σου μάκαρ, Πάτερ, Ιωάννη μεγαλύνοντες.

Θεοτοκίον

Χαίρε τό αείζωον, ρείθρον τής αφθαρσίας, χαίρε η ολόφωτος τού ηλίου νεφέλη, χαίρε όχημα τής θεότητος όλης, χαίρε κιβωτέ τού αγιάσματος.

Ο Ειρμός

«Τόν προδηλωθέντα, εν όρει τώ νομοθέτη, εν πυρί καί βάτω, τόκον τόν τής Αειπαρθένου, εις ημών τών πιστών σωτηρίαν, ύμνοις ασιγήτοις μεγαλύνομεν».

Εξαποστειλάριον τού Οσίου

Τοίς Μαθηταίς συνέλθωμεν

Οι ερασταί τών λόγων σου, νύν πιστώς ευφημούμεν, τήν ιεράν σου πάνσοφε, καί υπέρφωτον μνήμην, σέ ιεράρχα τιμώντες, Ιωάννη θεόφρον, τής μετανοίας ώφθης γάρ, κήρυξ ένθεος Πάτερ, καί τής φρικτής, καί σεπτής Τριάδος πρόμαχος μάκαρ, πρός ήν ημών μνημονευε, παρεστώς θεοφάντορ.

Τού Μάρτυρος

Τών Μαθητών ορώντων σε

Τώ γάλακτι ετράφης τώ τών ελάφων, όρεσι διαιτώμενος Μάρτυς Μάμα, αλλ' ώφθης ως γενναίος εν τώ σταδίω, αθλήσας προθυμότατα, καί νίκης άρας βραβεία, πρός Κύριον παρεγένου.

Θεοτοκίον Όμοιον

Ο τής ζωής τής θείας καί μακαρίας, φθονήσας μοι τής πάλαι εν Παραδείσω, εχθρός ο δολιώτατος καί πανούργος, καί τής Εδέμ εξόριστον, ποιήσας με θανατούται, τή σή γεννήσει Παρθένε.

Εις τόν Στίχον τών Αίνων, Στιχηρά τής Οκτωήχου.

Καί τά λοιπά, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Γ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Ιερομάρτυρος Ανθίμου, Επισκόπου Νικομηδείας, καί τού Όσίου Πατρός ημών Θεοκτίστου, συνασκητού τού Μεγάλου Ευθυμίου.

ΕΙΣ ΤΟΝ ΕΣ ΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τού Ιερομάρτυρος.

Ήχος α'

Πανεύφημοι μάρτυρες

Θεόφρον μακάριε βαφαίς, τού οικείου αίματος, τήν ιεράν σου καί ένθεον, στολήν εφαίδρυνας, εκ δυνάμεως γάρ, ευσεβώς εις δύναμιν, εις δόξαν από δόξης προβέβηκας, καί νύν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Θυσίαν τό πρότερον Θεώ, φέρων τήν αναίμακτον, ως ιερεύς εννομώτατος, ως ολοκάρπωμα, καί δεκτήν θυσίαν, σεαυτόν δι' αίματος, ως Μάρτυς αληθέστατος ύστερον, Χριστώ προσήγαγες, θεορρήμον πανσεβάσμιε, όν δυσώπει, υπέρ τών υμνούντων σε.

Μαρτύρων στρατεύματα Χριστώ, Πάτερ προσενήνοχας, ταίς υποθήκαις σου Άνθιμε, καί παραινέσεσι, νουθετών διδάσκων, καί σαφές υπόδειγμα, θεόφρον σεαυτόν παρεχόμενος, μεθ' ών ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Τού Οσίου

Όμοια

Πάτερ Θεόκτιστε τό σόν, ευαγές μνημόσυνον, τών μοναστών τά συστήματα, ευφραίνει κάλλεσι, τής σής πολιτείας, καί θαυμάτων χάρισι, καί ταίς τών χαρισμάτων λαμπρότησι, Χριστόν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Πάτερ Θεόκτιστε τόν σόν, τόνον τής ασκήσεως, οι δυσμενείς επτοήθησαν, καί κατηργήθησαν, ταίς σαίς ανενδότοις, προσευχαίς πανεύφημε, Χριστόν γάρ συνεργούντα εκέκτησο, όν νύν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Πάτερ Θεόκτιστε Θεού, κτίσις εχρημάτισας, τό κατ' εικόνα φυλάξας γάρ, επαληθεύουσαν, διά πολιτείας, καί πανσέπτου σχήματος, τήν κλήσιν επεδείξω πανθαύμαστε, Χριστόν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Δόξα... Ήχος πλ. β'

Ιερεύς εννομώτατος, μέχρι τέλους σου εχρημάτισας μάκαρ Άνθιμε, ιερουργών γάρ τά θεία καί άρρητα μυστήρια, τό αίμα εξέχεας υπέρ Χριστού τού Θεού, καί θύμα ευπρόσδεκτον αυτώ προσήγαγες, διό παρρησίαν έχων πρός αυτόν, εκτενώς ικέτευε, υπέρ τών πίστει καί πόθω τελούντων, τήν αεισέβαστον μνήμην σου, καί τών αυτήν γεραιρόντων, ρυσθήναι πειρασμών, καί παντοίων κινδύνων καί περιστάσεων.

Καί νύν... Θεοτοκίον

Τριήμερος ανέστης

Ικέτευσον φιλάγαθε, τόν σόν Υιόν τού δούναί μοι, τών πολλών μου, εγκλημάτων ιλασμόν, καί τής εξ ευωνύμων, απαλλάξαι μερίδος, καί βασιλείας αξιώσαί με.

Η Σταυροθεοτοκίον

Παρίστατο τώ ξύλω ποτέ, καιρώ τώ τής σταυρώσεως, η Παρθένος, σύν παρθένω Μαθητή, καί κλαίουσα εβόα, Οίμοι! πώς πάσχεις πάντων, Χριστέ υπάρχων η απάθεια.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Τού Οσίου

Ήχος πλ. β'

Όσιε Πάτερ, εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος τών κατορθωμάτων σου, διό εν τοίς ουρανοίς, εύρες μισθόν τών καμάτων σου, τών δαιμόνων ώλεσας τάς φάλαγγας, τών Αγγέλων έφθασας τά τάγματα, ών τόν βίον αμέμπτως εζήλωσας, Παρρησίαν έχων πρός τόν Κύριον, εκτενώς ικέτευε υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

Τριήμερος ανέστης

Ζηλώσας ο αντίδικος, τήν ποίμνην σου πανάχραντε, καθ' εκάστην, πολεμεί ο πονηρός, κατάβρωμα ποιήσαι, αλλά σύ Θεοτόκε, τής βλάβης τούτου εξελού ημάς.

Η Σταυροθεοτοκίον

Η Πάναγνος ως ειδέ σε, επί σταυρού κρεμάμενον, θρηνωδούσα, ανεβόα μητρικώς, Υιέ μου καί Θεέ μου, γλυκύτατόν μου τέκνον, πώς φέρεις πάθος επονείδιστον.

Απολυτίκιον τού Ιερομάρτυρος
Ποίημα Πατριάρχου Κωνσταντινουπόλεως
Ανθίμου Δ' Ήχος α'
Τού λίθου σφραγισθέντος

Τής ποίμνης σου θεόφρον, στερρός προστάτης γενόμενος, υπέρ αυτής ετοίμως τό σόν αίμα εξέχεας, καί απειλάς τών δυσμενών μή πτοηθείς, εν ουρανοίς νύν αγάλλη, τώ θρόνω τής τρισηλίου θεότητος παριστάμενος, Δόξα τώ ενισχύσαντί σε Χριστώ, δόξα τή ευψυχία σου, δόξα τή μαρτυρική σου Άνθιμε καρτερότητι.

Δόξα... Τού Οσίου
Ήχος πλ. δ'

Ταίς τών δακρύων σου ροαίς, τής ερήμου τό άγονον εγεώργησας, καί τοίς εκ βάθους στεναγμοίς, εις εκατόν τούς πόνους εκαρποφόρησας, καί γέγονας φωστήρ, τή οικουμένή λάμπων τοίς θαύμασι, Θεόκτιστε Πατήρ ημών Όσιε, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον
Η Σταυροθεοτοκίον

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Κανών τής Οκτωήχου εις, καί τών Αγίων δύω.

Ο Κανών τού Ιερομάρτυρος, ού η Ακροστιχίς.

Άνθος σε μέλπω ποιμένων καί μαρτύρων. Ιωσήφ.

Ωδή α' Ήχος δ'

«Τριστάτας κραταιούς, ο τεχθείς εκ παρθένου, απαθείας εν βυθώ, ψυχής τό τριμερές, καταπόντισον δέομαι, όπως σοι ως εν τυμπάνω τή νεκρώσει τού σώματος, επινίκιον άσω μελώδημα».

Ανθήσας Ιερώς, ώσπερ κρίνον λειμώνι, τών Μαρτύρων τάς ψυχάς, απάντων ευσεβών, ευωδία τών άθλων σου, Άνθιμε ευωδιάζεις, τών πιστώς ευφημούντων σε, Ιεράρχα καί Μάρτυς πολύαθλε.

Νευρώσας τήν ψυχήν, επιμόνοις μελέταις, εξενεύρισας εχθρόν, ανδρείαις συμπλοκαίς, καί ανίσχυρον έδειξας, όθεν πάσα Εκκλησία, επιγνούσά σε Μάρτυρα, απερίτρεπτον Μάκαρ γεραίρει σε.

Θαμβείται κατιδών, πρό βημάτων ανδρείως, παρεστώτά σε Σοφέ, αλάστωρ δυσμενής, καί θωπείαις εκλύειν σου, οίεται τήν καρτερίαν, αλλ' ηττήθη καί πέπτωκεν, απονοίας αυτού τά φρυάγματα.

Θεοτοκίον

Ο Κύριος εκ σού, ανατείλας ως οίδε, τούς χορούς τών Αθλητών, ελάμπρυνεν Αγνή, τά αυτού εικονίζοντας, πάθη πάντα ζωηφόρα, καί τόν άδικον θάνατον, δικαιούντα ημάς αμαρτήσαντας.

Κανών τού Οσίου, ού η Ακροστιχίς.

Τούς σούς αγώνας ώ Θεόκτιστε φράσω.

Θεοφάνους.

Ωδή α' Ήχος πλ. δ'

Η κεκομμένη

Τής απαθείας τώ πόθω νυττόμενος, σαρκός τά σκιρτήματα, Πάτερ κατεμάρανας, Θεόκτιστε σοφέ, θεόθεν βοηθούμενος, καί νύν ημάς φωτός τού νοητού, πλησθήναι καθικέτευσον, τώ Κυρίω ψάλλοντας, Ενδόξως γάρ δεδόξασται.

Οικειωθείς σοι ο μέγας Ευθύμιος, τή θεία Πάτερ στοργή, καί συνδιαιτώμενος, Θεόκτιστε στερρώς, τήν τρίβον τής ασκήσεως, διήνυσεν εμπράκτως αληθώς, καί σοί συνεκραύγαζε, τώ Κυρίω άσωμεν, ενδόξως γάρ δεδόξασται.

Υπωπιάσας τό σώμα πανόλβιε, καί πάθη τά τής σαρκός, Πάτερ δουλωσάμενος, Θεόκτιστε τρανώς, εδέξω τήν λαμπρότητα, τής χάριτος, καί ταύτη λαμπρυνθείς, ενθέως ανεκραύγαζες, τώ Κυρίω άσωμεν, ενδόξως γάρ δεδόξασται.

Θεοτοκίον

Σέ σωτηρίας ελπίδα κτησάμενοι, Παρθενομήτορ αγνή, Λόγον ως κυήσασαν, θεόφρονες σοφοί, ασκήσει ενδιέπρεψαν, Ευθύμιος ο πάσι ποθητός, ο θείός τε Θεόκτιστος, τώ Κυρίω ψάλλοντες, ενδόξως γάρ δεδόξασται.

Τού Ιεράρχου

Ωδή γ'

«Ότι στείρα έτεκεν, η εξ εθνών Εκκλησία, καί η πολλή εν τέκνοις, ησθένησε συναγωγή, τώ θαυμαστώ Θεώ ημών βοήσωμεν, Άγιος εί Κύριε».

Εαυτόν παρέδωκας, ως ο Χριστός τοίς ζητούσι, καί πρός σφαγήν ηνέχθης, ώσπερ επίσημος κριός, καθαγιάζων Άνθιμε, τώ αίματι, πάντας τούς τιμώντάς

σε.

Λύσας τή θεία χάριτι, πάσαν δαιμόνων απάτην, ήχθης δεσμώτης Μάρτυς, τόν δεδεμένον διά σέ, εξεικονίζων Άνθιμε, καί θανάτω, λύσαντα τόν θάνατον.

Πρηστήρια όργανα, βασανιστήρια πάντα, πρό οφθαλμών σου βλέψας, ουκ εσαλεύθης τώ νοϊ αλλά θερμώς εχώρησας, πρός βάσανα, Άνθιμε πολύαθλε.

Θεοτοκίον

Ωραιώθης Πάναγνε, τόν υπέρ πάντας ωραίον, τούς γηγενείς τεκούσα, Υιόν καί Λόγον τού Πατρός, όν οι γενναίοι Μάρτυρες, ποθήσαντες, δόξη ελαμπρύνθησαν.

Τού Οσίου

Σύ εί τό στερέωμα

Σάρκα μέν ενέκρωσας, δι' εγκρατείας σου Όσιε, τήν δέ ψυχήν θείων χαρισμάτων, δωρεαίς κατελάμπρυνας.

Όλην μέν τήν έφεσιν, πρός τόν Δεσπότην σου έτρεψας, τόν δέ θυμόν, κατά τών δαιμόνων, θεοφόρε καθώπλισας.

Θεοτοκίον

Ύμνους αναμέλποντες, οι θεοδίδακτοι Δέσποινα, σέ Ασκηταί, ως Θεόν τεκούσαν, Θεοτόκον εδόξασαν.

Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Κάθισμα τού Ιερομάρτυρος

Ήχος α'

Τόν τάφον σου Σωτήρ

Τό αίμά σου σοφέ, μυστικώς ανεβόα, εκ γής πρός τόν Θεόν, ως τού Άβελ θεόφρον, σαφώς γάρ εκήρυξας, τήν Τριάδα τήν άκτιστον, όθεν Άνθιμε, ποιμαντικώς διαπρέψας, απεδίωξας, τούς τών αιρέσεων θήρας, ως φύλαξ τής πίστεως.

Δόξα... Τού Οσίου

Ήχος δ' Επεφάνης σήμερον

Τών Πατέρων έξαρχος, ανηγορεύθης, καί τώ κόσμω γέγονας, περιφανέστατος λαμπτήρ, Όσιε Πάτερ Θεόκτιστε, όθεν απαύστως, τιμώμεν τήν μνήμην σου.

Καί νύν... Θεοτοκίον

Τήν θερμήν αντίληψιν, τών εν ανάγκαις, τήν ημών βοήθειαν, καί πρός Θεόν καταλλαγήν, δι' ής φθοράς ελυτρώθημεν, τήν Θεοτόκον, πιστοί μακαρίσωμεν.

Η Σταυροθεοτοκίον

Επί ξύλου βλέπουσα, αναρτηθέντα, τόν Υιόν σου Πάναγνε, σπλάγχνα μητρώα γοερώς, σπαρασσομένη εκραύγαζες, Οίμοι! πώς έδυς, τό φώς μου

τό άχρονον.

## Τού Ιεράρχου

### Ωδή δ'

«Δι' αγάπησιν Οικτίρμον, τής σής εικόνος επί Σταυρού σου έστης, καί ετάκησαν τά έθνη, σύ γάρ εί Θεός ημών, ισχύς μου καί ύμνησις».

Πέτρα πίστεως τάς φρένας ερηρεισμένος, λίθοις ετύφθης Μάρτυς, εν μιμήσει Στεφάνου, όθεν στεφανούμέν σε, τοίς ύμνοις γηθόμενοι.

Ο Θεού σε επυρπόλησε θείος ζήλος, πεπυρωμένοις όθεν, ουκ ησθάνου σιδήροις, εμπερονιζόμενος, Μαρτύρων αγλάϊσμα.

Ιερέων χρίσμα άγιον κεχρισμένος, καί κατηγλαϊσμένος, τώ σεπτώ μαρτυρίω, χαίρων προσεχώρησας, Αγίων εις Άγια.

Θεοτοκίον

Μή κενώσας τούς πατρώους ο Λόγος κόλπους, σού εν τοίς κόλποις Κόρη, ανεκλίθη ως βρέφος, θέλων αναπλάσαι με, φθορά υποκείμενον.

## Τού Οσίου

### Επέβης εφ' ίππους

Σοφίας τής πρώτης, σύ εραστής ώφθης Πάνσοφε, τόν γάρ βίον αμέμπτως διήνυσας, κεκαθαρμένος άριστα ψυχήν καί έννοιαν, συμφώνως ανακράζων, δόξα τή δυνάμει σου Κύριε.

Αγνίσας τόν νούν σου, τής τών παθών τύρβης ένδοξε, τάς αισθήσεις εμφρόνως ρυθμίσας τε, αταραξίας γαλήνη Πάτερ προσώρμησας, προθύμως αναμέλπων, Δόξα τή δυνάμει σου Κύριε.

Γεώδεις φροντίδας, ασκητικώς απωσάμενος, ουρανίους ελπίδας εκτήσατο, ο σός θεράπων Δέσποτα, θείος Θεόκτιστος, Ευθυμίω συμψάλλων' Δόξα τή δυνάμει σου Κύριε.

Θεοτοκίον

Ως ώφθης εν κόσμω, εκ τής Παρθένου ως άνθρωπος, εδωρήσω τήν νίκην Οσίοις σου, τώ σώ Σταυρώ γάρ, δαίμονας ούτοι απήλασαν, εν πίστει εκβοώντες, Δόξα τή δυνάμει σου Κύριε.

## Τού Ιεράρχου

### Ωδή ε'

«Τόν φωτισμόν σου, Κύριε κατάπεμψον ημίν, καί τής αχλύος ημάς τών πταισμάτων λύσον αγαθέ, τήν ειρήνην ουρανόθεν δωρούμενος».

Εν τώ δεινώς πυρούσθαί σου τούς πόδας Αθλητά, συνθλάς τήν κάραν, ασάρκου δυσμενούς, καί πρός ουρανόν βαδίζεις, άθλοις ιεροίς εγκοσμούμενος.

Νενικημένος έμεινεν εχθρός εξεστηκώς, Θεός δέ ζώση εκάλει σε φωνή, θάρσος εντιθείς τή σή καρδία, Ιεράρχα πολύαθλε.

Ως προσφορά ολόκληρος, ως θύμα ιερόν, ως ιερείον, ως κάρπωμα θείον, τώ παμβασιλεί Ποιμήν καί Μάρτυς, ανηνέχθης γηθόμενος.

Θεοτοκίον

Νόμου σκιαί εδήλωσαν τό φέγγος τό εκ σού, εξανατείλαν πανάμωμε Κόρη, καί τών αθλητών καταλαμπρύναν, τούς χορούς ευφημούντάς σε.

Τού Οσίου

Φώτισον ημάς

Νέκρωσον ημών, τά φρονήματα φιλάνθρωπε, τής σαρκός καί τά σκιρτήματα, ταίς ευπροσδέκτοις, τού Οσίου σου εντεύξεσιν.

Άνωθεν ημάς, εποπτεύοις Παμμακάριστε, καί κατευθύνοις τόν βίον ημών, τών εκτελούντων πόθω, σοφέ τήν μνήμην σου.

Θεοτοκίον

Σύσκηνος δυάς, παναρίστη καί Θεόκλητος, τόν σαρκωθέντα εκ Παρθένου αγνής, Θεόν κηρύττει, αρρήτως ημίν εκλάμψαντα.

Τού Ιεράρχου

Ωδή ς'

«Εβόησε, προτυπών τήν ταφήν τήν τριήμερον, ο προφήτης Ιωνάς, εν τώ κήτει δεόμενος, Εκ φθοράς με ρύσαι, Ιησού βασιλεύ τών δυνάμεων».

Κυκλούμενος, θλιβερώς καί τροχώ προσδεσμούμενος, καί λαμπάσι, πανταχόθεν ευτόνως φλεγόμενος, ακλινής ωράθης, Ιεράρχα πολύαθλε Άνθιμε.

Ανέπεμπες, τώ Θεώ υμνωδίαν φλεγόμενος, καί τήν δρόσον, ως οι Παίδες εξ ύψους δεχόμενος, Αθλητά γενναίε, τών Αγίων Αγγέλων συνόμιλε.

Ιάτρευσον, τήν ψυχήν μου νοσούσαν ανίατα, ιερεύς γάρ, δεδειγμένος καί Μάρτυς αήττητος, εξουσίαν έχεις, αφαιρείν αμαρτίας Μακάριε.

Θεοτοκίον

Μαράνασα, τά φυτά τής κακίας Ανύμφευτε, τώ βλαστώ σου, τών παθών μου τούς σκόλοπας έκτιλον, καί βλαστάνειν θεία, τήν ψυχήν μου νοήματα ποίησον.

Τού Οσίου

Τήν δέησιν εκχεώ

Ως ήλιος, τοίς εν γή ανέτειλας, τώ πυρσώ τής ευσεβείας φωτίζων, καί αρετών, διασπείρων τό φέγγος, καί σωφροσύνης διδάσκων φαιδρότητα, Θεόκτιστε σαίς προσευχαίς, καί νύν τήν οικουμένην ειρήνευσον.

Θεόφρονι, λογισμώ χρησάμενος, τών εν γή καταπεφρόνηκας πάντων, καί ουρανών, παμμακάριστε Πάτερ, τήν κληρουχίαν πανσόφως προέκρινας, Θεόκτιστε, καί νύν σαφώς, ουρανούς εμβατεύεις γηθόμενος.

Θεοτοκίον

Εθέλχθητε, καλλονής τώ έρωτι, τού Χριστού τής ευπρεπούς τε καί θείας, διά σαρκός, τού φανέντος εν κόσμω, εκ τής Αγίας αγνής Θεομήτορος, καί ώφθητε τών μοναστών, ακριβούς πολιτείας προγράμματα.

Ο Ειρμός

«Τήν δέησιν εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών, η ψυχή μου επλήσθη, καί η ζωή μου τώ Άδη προσήγγισε, καί δέομαι ως, Ιωνάς, Εκ φθοράς ο Θεός με ανάγαγε».

Κοντάκιον τού Ιερομάρτυρος

Ήχος δ'  Ο υψωθείς

Εν ιερεύσιν ευσεβώς διαπρέψας, καί μαρτυρίου τήν οδόν διανύσας, τά τών ειδώλων έσβεσας σεβάσματα, πρόμαχος γενόμενος, τής σής ποίμνης θεόφρον, διό σε καί γεραίρουσα, μυστικώς εκβοά σοι, Εκ τών κινδύνων ρύσαί με αεί, ταίς σαίς πρεσβείαις, Πατήρ ημών Άνθιμε.

Ο Οίκος

Ενθείς μοι γνώσιν θεϊκήν, τόν ζόφον τής αγνοίας, εκ τής εμής καρδίας, απέλασον ευχαίς σου, όπως υμνήσω σου πιστώς τήν αγίαν μνήμην, εν ή Αγγέλων χοροί, μετά Μαρτύρων σήμερον ευφραίνονται ενθέως, καί άνθρωποι, ύμνοις εγκωμίων τήν σήν κάραν, ώσπερ άνθη συμπλέξαντες, στέφουσιν αξίως, αιτούντες παρά σού λαβείν, τών πταισμάτων αποχήν, καί τών κακών τού βίου λύσιν, καί εχθρών ορατών καί αοράτων ρυσθήναι, ταίς σαίς πρεσβείαις, Πατήρ ημών Άνθιμε.

Συναξάριον

Τή Γ' τού αυτού μηνός, Μνήμη τού Αγίου Ιερομάρτυρος Ανθίμου, Επισκόπου Νικομηδείας.

Στίχοι

- Τμηθείς κεφαλήν Μάρτυς Άνθιμε ξίφει,
- Καί νεκρός ανθείς εις Θεού δόξαν τρίχας.
- Άνθιμον εν τριτάτη απέκτεινε ξίφος οξύ.

Τή αυτή ημέρα, Μνήμη τού Οσοίυ Πατρός ημών Θεοκτίστου, συνασκητού τού Μεγάλου Ευθυμίου.

Στίχοι

- Ειδώς σόν είναι τόν Θεόν Κτίστην, Πάτερ,
- Αυτόν πρό πάντων εξελέξω κτισμάτων.

Τή αυτή ημέρα, ο Άγιος Ζήνων, εν λέβητι μολύβδου κοχλάζονος βληθείς, τελειούται.

Στίχοι

- Ζήνων ο θείος τού Θεού πόθω ζέων,
- Χαίρων υπήλθε τού μολύβδου τό ζέον.

Τή αυτή ημέρα, η Αγία Βασίλισσα, θηριομαχήσασα καί μηδέν βλαβείσα, τελειούται.

Στίχοι

- Οφθείσα Βασίλισσα φρικτή θηρίοις,
- Φρικτώ παρέστη παμβασιλέως θρόνω.

Τή αυτή ημέρα, ο Άγιος Αριστίων, Επίσκοπος Αλεξανδρείας, πυρί τελειούται.

Στίχοι

- Ως εις άριστον τήν πυράν σπεύδων τρέχεις,
- Χριστού άριστε Μαρτύρων Αριστίων.

Τή αυτή ημέρα, ο Άγιος Χαρίτων, εν ασβέστου βόθρω βληθείς, τελειούται.

Στίχοι

- Εισδύς Χαρίτων εις τόν ασβέστου βόθρον,
- Άσβεστον εύρε φώς ακηράτου τόπου.

Ο άγιος μάρτυς Αρχοντίων λιμώ τελειούται.

Ο άγιος νεομάρτυς Πολύδωρος ο εν τή νέα Εφέσω μαρτυρήσας κατά τό 1794, αγχόνη τελειούται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τού Ιεράρχου

Ωδή ζ'

«Αβραμιαίοι ποτέ, εν Βαβυλώνι παίδες, καμίνου φλόγα κατεπάτησαν, καί υμνούντες έψαλλον, ευλογητός ο Θεός, ο τών Πατέρων ημών».

Αι προσαχθείσαι τώ σώ, σεπτώ σαρκίω φλόγες, μηδέν σε όλως λυμηνάμεναι, επί τούς μισούντάς σε, επιστασία θείων, εστράφησαν Αγγέλων.

Ρώμη Θεού πανσθενεί, τροχός εξαίφνης έστη, ο τιμωρών σε, καί κυλίονται,

πρός πίστιν τώ θαύματι, οι τών απίστων δήμοι, σοφέ ιερομύστα.

Τών τού Χριστού εντολών, φύλαξ υπάρχων Μάκαρ, εφυλακίσθης φυλασσόμενος, πρός τούτου καί γέγονας, φρουρός τοίς σέ φρουρούσι, διδάγμασιν ενθέοις.

Θεοτοκίον

Υπερβολή Παρθένε, φιλανθρωπίας ώφθη, εκ σού ο Λόγος σωματούμενος, καί σώζει τούς μέλποντας, ο τών Πατέρων ημών Θεός ευλογητός εί.

Τού Οσίου

Παίδες Εβραίων

Όλω τώ πόθω συνημμένος, δι' ασκήσεως στερράς σου τώ Δεσπότη, ταίς αυτού νύν τρυφάς, ελλάμψεσι κραυγάζων, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Κάρπωμα θείον τώ Δεσπότη, προσενήνοχας τόν βίον σου Τρισμάκαρ, καί θυσίαν δεκτήν, καί άμωμον κραυγάζων, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Τέλος τών πόνων εύρες Μάκαρ, τήν απόλαυσιν τήν εν τώ Παραδείσω, εκ στενής γάρ οδού, κατήντησας πρός πλάτος, τής βασιλείας πάνσοφε, ευλογών τόν πάντων Κτίστην.

Θεοτοκίον

Ίδε Παρθένος θείον βρέφος, απεγέννησεν, όπερ οι θεοφόροι, έπιγνόντες Θεόν, καί Κύριον εβόων, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Τού Ιεράρχου

Ωδή η'

«Λυτρωτά τού παντός παντοδύναμε, τούς εν μέσω φλογός ευσεβήσαντας, συγκαταβάς εδρόσισας, καί εδίδαξας μέλπειν, Πάντα τά έργα ευλογείτε, υμνείτε τόν Κύριον».

Ρητορεύεις Κυρίου τήν σάρκωσιν, παρανόμων τυράννων ενώπιον, προσομιλών κολάσεσι, καί πικραίς τιμωρίαις καί αλγηδόσιν, ιεράρχα πολύαθλε Άνθιμε.

Ώσπερ σίδηρος Μάκαρ εστόμωσαι, τώ πυρί τών απείρων κολάσεων, καί τάς αμέτρους φάλαγγας, τών δαιμόνων συγκόψας, νίκης βραβεία, ανεπλέξω δοξάζων τόν Κύριον.

Νεκρωθείς εκουσίως πανόλβιε, τήν ζωήν τήν αγήρω απέλαβες, καί Παραδείσου είσοδον, καί τάς θείας σκηνώσεις, εν αίς χορεύων, τών Τιμώντων σε μέμνησο Άνθιμε.

Θεοτοκίον

Ιεραίς εν φωναίς μακαρίσωμεν, τού Θεού τήν σκηνήν τήν αμόλυντον, τήν κιβωτόν τήν έμψυχον, τών Μαρτύρων τήν δόξαν, τήν ανωτέραν Χερουβίμ καί απάσης τής κτίσεως.

Τού Οσίου

Επταπλασίως κάμινον

Σύν εγκωμίοις γίνεται, θεοφόρε η μνήμη σου, τής δικαιοσύνης γάρ εδείχθης τρόφιμος, ανδρείας φρονήσεως, καί σωφροσύνης Πάτερ σοφέ, τόν Δημιουργόν καί Λυτρωτήν ανακράζων, οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε εις πάντας τούς αιώνας.

Τόν θεοφόρον άπαντες, ευφημίαις τιμήσωμεν, ως εμπεπλησμένον εναργώς τής χάριτος, καί θείαις ελλάμψεσι, πεφωτισμένον άριστα, τόν Δημιουργόν καί Λυτρωτήν εκβοώντες, οι παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε εις πάντας τούς αιώνας.

Εν τή σορώ τό σώμά σου, ιεράρχης εκήδευσε, καί τής ευθυμίας, ο φαιδρός επώνυμος, ψυχήν δέ οι Άγγελοι, εν ουρανοίς προσήνεγκαν, τώ Δημιουργώ χαρμονικώς μελωδούντες, Οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε αυτόν εις τούς αιώνας.

Θεοτοκίον

Φιλοσοφείν επόθησαν, τής Σοφίας τώ έρωτι, τής ενυποστάτου, ασκηταί θεόφρονες, τής κόσμω πανάμωμε, αναδειχθείσης Κόρη εκ σού, καί θεοπρεπώς, τάς αρετάς φυτευσάσης, ήν Παίδες ευλογούσιν, ιερείς ανυμνούσι, λαοί υπερυψούσιν εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοις θεοσεβέσιν εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, Τόν Δημιουργόν, καί Λυτρωτήν ανεβόα, οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Τού ιεράρχου

Ωδή θ'

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, Όθεν σε πάντες μεγαλύνομεν».

Ως ρόδον ευώδες μυστικώς εξήνθησας, εν τώ οίκω τού Θεού ημών, όθεν ημάς ευωδιάζεις, Κυρίου ευωδία γενόμενος, καί πάθη τά δυσώδη Μακάριε, αποδιώκεις τών ψυχών ημών.

Σήμερον τήν μνήμην σου τελεί, τήν ένδοξον, συγκαλούσα πόλιν άπασαν, η

ευγενής Νικομηδέων, περιδοξός τε πόλις εν πόλεσιν, αυτής γάρ πολιούχος γεγένησαι, ήν ουρανόθεν Μάρτυς ποίμαινε.

Η γή σου τό αίμα εκχυθέν εδέξατο, Ιεράρχα, τό δέ πνεύμά σου, εις ουρανούς ανεκομίσθη, τοίς θείοις συναγάλλεσθαι Πνεύμασι, μεθ' ών ημών μνημόνευε Άνθιμε, θείων Μαρτύρων ακροθίνιον.

Θεοτοκίον

Φλογίνη ρομφαία η τό πρίν τήν είσοδον, Παραδείσου εναπείργουσα, νώτα νύν δίδωσι Παρθένε, τοίς πάθη τά σεπτά εικονίσασι, Χριστού τού λογχευθέντος θελήματι, καί σέ τιμώσι τήν υπέρτιμον.

Τού Οσίου

Εξέστη επί τούτω ο ουρανός

Ροαίς σου τών δακρύων εκκαθαρθείς, νύν φωτός απολαύεις Θεόκτιστε, τού τριφεγγούς, τούτω παριστάμενος εμφανώς, καί ταίς εκείθεν άριστα, εκλελαμπρυσμένος μαρμαρυγαίς, εξ ύψους εποπτεύοις, ημάς τούς τήν σήν μνήμην, επιτελούντας παμμακάριστε.

Αγάπη καί ελπίδι θωρακισθείς, καί πιστώς πεφραγμένος διέλυσας, τάς μηχανάς, καί τάς μεθοδείας τών δυσμενών, καί νικητής γενόμενος, νύν στεφανηφόρος περιπολείς, ταίς θείαις σύν χορείαις, Αγγέλων καί δικαίων, περί τόν θρόνον τού Παντάνακτος.

Σωφρόνως καί δικαίως καί εύσε σύν ανθρώποις βιβώς, εν τή γη ώσαντες, εν ουρανοίς, λάμπετε θεόφρονες Ασκηταί, σύν Ασωμάτων τάξεσιν, αίγλη εντρυφώντες θεαρχική, παρ' ής καί τών αγώνων, ενδίκως τοίς στεφάνοις, ως νικηφόροι εκοσμήθητε.

Θεοτοκίον

Ώ θεία καί θεόφρον καί ιερά, ξυνωρίς τών Πατέρων υπέρλαμπρε, ταίς σαίς λιταίς, κόσμω τήν ειρήνην παρά Θεού, καταπεμφθήναι αίτησαι, καί τή Εκκλησία ειλικρινή, ομόνοιαν καί πίστιν, πρεσβείαις ευπροσδέκτοις, τής Θεοτόκου παμμακάριστοι.

Ο Ειρμός

«Εξέστη επί τούτω ο ουρανός, καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι μεγαλύνουσιν».

Εξαποστειλάριον τού ιερομάρτυρος

Τών μαθητών ορώντων σε

Χορείαν άγε σήμερον ετησίαν, Νικομηδέων πάσα χαίρουσα πόλις, τού καλού Ποιμένος σου, καί σκίρτησον, τόν πολιούχον έχουσα, διατηρούντά σε βλάβης, τών δυσμενών ανωτέραν.

Τού Οσίου

Τοίς Μαθηταίς συνέλθωμεν

Αγγελικώς εβίωσας, επί γής θεοφόρε, σύν Ευθυμίω πάνσοφε, τώ μεγάλω φωστήρι, Θεόκτιστε διαπρέψας, εν ευχαίς καί νηστείαις, καί πλείστοις κατορθώμασι, πρακτικής θεωρίας, μεθ' ού καί νύν, παρεστώς τριάδι τή απροσίτω, υπέρ ημών ικέτευε, τών τιμώντων σε μάκαρ.

Θεοτοκίον

Τετυρωμένον πάναγνε, καί πιότατον όρος, Δαυίδ Θεογεννήτρια, μελωδών σε εκάλει, ο σός προπάτωρ Παρθένε, Σολομων δέ ο θείος, κλίνην σαφώς τοίς Άσμασιν, Ησαίας δέ ράβδον, καί Ιακώβ, κλίμακα σέ είδε, καί πύλην άλλος, εξ ής Θεός τό φύραμα, νεουργεί τών ανθρώπων.

Εις τόν Στίχον τών Αίνων, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος δ'

Εφραίμ Καρίας

Τή Νικομηδέων μεγαλοπόλει, πάσα πόλις καί χώρα συνεορτάζει σήμερον, επί τή μνήμη τού σεβασμίου αυτής πολιούχου, καί γάρ τά πέρατα τής γής, κροτεί επευφραινόμενα, τή νύν πανηγύρει τού ιερομάρτυρος, τούτω καί ημείς τοίς άσμασιν ως άνθεσι, στεφάνους πλέξαντες εκβοήσωμεν, Χαίροις ο ποιμήν ο καλός, ο τήν ψυχήν θείς υπέρ τών προβάτων, η θυσία καί θύτης, ο Ιερεύς καί Ιερείον, Σού δεόμεθα, σύν τοίς συνάθλοις σου, Χριστόν Άνθιμε ικέτευε, τήν ποίμνην σου ταύτην τών βαρβάρων λύκων λυτρωθήναι, καί τής ουρανίου μάνδρας αξιωθήναι.

Καί νύν... Θεοτοκίον

Έδωκας σημείωσιν

Εν κλίνη κατάκειμαι, τής αμελείας πανάμωμε, καί ραθύμως διέρχομαι, τόν βίον καί δέδοικα, τόν τής τελευτής μου, καιρόν Θεοτόκε, μή ώσπερ λέων αφειδώς, διασπαράξη τήν ταπεινήν μου ψυχήν, ο όφις ο παμπόνηρος, διό τή σή αγαθότητι, πρό τού τέλους προφθάσασα, πρός μετάνοιαν έγειρον.

Η Σταυροθεοτοκίον

Νεκρούμενον βλέπουσα, Χριστόν η πάναγνος Δέσποινα, καί νεκρούντα τόν δόλιον, ως Δεσπότην κλαίουσα, ύμνει τόν εκ σπλάγχνων, αυτής προελθόντα, καί τό μακρόθυμον αυτού, αποθαυμάζουσα ανεκραύγαζε, Τέκνον μου ποθεινότατον, μή επιλάθη τής δούλης σου, μή βραδύνης φιλάνθρωπε, τό εμόν παραμύθιον.

Καί τά λοιπά, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Δ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Ιερομάρτυρος Βαβύλα, Επισκόπου Αντιοχείας, καί τού Αγίου καί θεόπτου Μωϋσέως τού Προφήτου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τού Ιερομάρτυρος.

Ήχος πλ. β'
Όλην αποθέμενοι

Εν αίματι βάψας σου, τήν ιεράν διπλοϊδα, εισήλθες εις άγια, τών αγίων άγιος σύ γενόμενος, Βαβύλα ένδοξε, καί σαφώς πάντοτε, απολαύεις τής θεώσεως, ωραϊζόμενος, καί τώ μαρτυρίω λαμπόμενος, καί άγγελος δεικνύμενος, ταίς καθαρωτάταις μεθέξεσιν, όθεν σε τιμώμεν, καί πόθω εορτάζομεν τήν σήν, ιερωτάτην πανήγυριν, αξιομακάριστε.

Σιδήρω πεδούμενος, ανεμποδίστως τήν τρίβον, διώδευσας Όσιε, τήν πρός τήν ουράνιον πόλιν φέρουσαν, τά σεπτά στίγματα, Βαβύλα πάνσοφε, ώσπερ κόσμον περικείμενος, εν ή γενόμενος, οία νικητής αληθέστατος, καί Μάρτυς απαράτρωτος, καί ιερουργός ιερώτατος, μέλπεις σύν Αγγέλοις, μελώδημα τό θείον καθαρώς, Άγιος, Άγιος, Άγιος, Τριάς ομοούσιε.

Ποίμνης προϊστάμενος, τής λογικής ιεράρχα, βακτηρία γνώσεως, επί χλόην έθρεψας ταύτην πιστώς, καί θηρών έσωσας, καί Θεόν εύφρανας, τόν εξ ύψους σε ποιμάναντα, όν κατενώπιον, τών αθεωτάτων μακάριε, κηρύττων, ώσπερ άκακον, τέθυσαι αρνίον γηθόμενος, μετά τών ακάκων, παιδίων καί προσήχθης σύν αυτοίς, θύμα ευώδες ολόκληρον, Βαβύλα θεσπέσιε.

Καί τού Προφήτου

Ήχος δ'
Ως γενναίον εν Μάρτυσι

Εν θυέλλη τήν άσαρκον, καί εν γνόφω τόν άϋλον, Μωϋσή τεθέασαι, ως χωρείν δυνατόν, θεοειδής τε γενόμενος, τή δόξη τή κρείττονι, τώ σαρκίνω Ισραήλ, Νομοθέτης κεχείρισαι, αλλ' ού πέφυκε, νούς γεώδης τοίς θείοις εμβατεύειν, η γάρ χάρις τοίς ορώσι, τά λίαν κρείττονα δίδοται.

Ιερεύς εννομώτατος, στρατηγός γενναιότατος, τώ παραπικραίνοντι αναδέδειξαι, Μωσή μαστίζων τήν Αίγυπτον, τή ράβδω δέ θάλασσαν, διαιρών τήν Ερυθράν, καί βυθίζων αλάστορα, καί υψαύχενα, Φαραώ σύν τριστάταις, καί διάγων, εν ερήμω καί εκτρέφων, τόν Ισραήλ τόν αγνώμονα.

Μωϋσή τό υπόδημα, τών ποδών λύσον τάχιον, ο γάρ τόπος άγιος, εν ώ έστηκας, μή τι νεκρώσεως σύμβολον, εν σοί περιφέροιτο, εν γάρ βάτω καί πυρί, μυστικώς σοι οπτάνεται, τά παράδοξα, τής θεόπαιδος Κόρης, εν τώ όρει, τώ Χωρήβ ο χρηματίζων, τώ Μωϋσή απεφθέγγετο.

Δόξα... Ήχος πλ. β'

Βάσιμον κρηπίδα η Εκκλησία κέκτηται, τούς ιερούς σου αγώνας, Ιερομάρτυς Βαβύλα, ήν καί φυλάττοις ακράδαντον, καί ανεΠιβούλευτον εκ λύκων κραταιών, κηρύττουσαν τάς αριστείας σου, καί μεγαλύνουσαν σύν σοί τά

νήπια, τά υπέρ Χριστού τυθέντα, μετά σού μακάριε.

Καί νύν... Θεοτοκίον

Τριήμερος ανέστης

Κατάνυξιν ου κέκτησαι, ψυχή αμετανόητε, τί βραδύνεις, τού θανάτου η τομή, εγγίζει καί τό τέλος, εφέστηκεν ως κλέπτης, τή Θεοτόκω δράμε πρόσπεσον.

Η Σταυροθεοτοκίον

Εν ξύλω τήν ζωήν ημών, ορώσα η πανάμωμος, Θεοτόκος, κρεμαμένην μητρικώς, ωδύρετο βοώσα, Υιέ μου καί Θεέ μου, σώσον τούς πόθω ανυμνούντάς σε.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος πλ. β' Βαβύλα

Βήματι τυράννου παρεστηκώς, καί αγωνιζόμενος υπέρ τής ευσεβείας εκραύγαζες, ιδού εγώ καί τά παιδία, ά μοι έδωκεν ο Θεός, μεθ' ών εστεφανώθης εν ουρανοίς, Βαβύλα Ιερομάρτυς, πρεσβεύων απαύστως, τών παγίδων τού εχθρού, ρυσθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Τριήμερος ανέστης

Παρθένε παναμώμητε, δυσώπησον όν έτεκες, Βασιλέα, τού παντός καί Ποιητήν, εν ώρα όταν κρίνη, τό γένος τών ανθρώπων, κατοικτειρήσαί με τόν δούλόν σου.

Η Σταυροθεοτοκίον

Λαόν τόν ανομώτατον, αδίκως καθηλούντά σε, επί ξύλου, η Παρθένος καί αγνή, καί Μήτηρ σου ορώσα, ως Συμεών προέφη, τά σπλάγχνα Σώτερ διετέτρωτο.

Απολυτίκιον τού Ιερομάρτυρος

Ήχος δ'

Καί τρόπων μέτοχος, καί θπόνων διάδοχος, τών Αποστόλων γενόμενος, τήν πράξιν εύρες Θεόπνευστε, εις θεωρίας επίβασιν, διά τούτο τόν λόγον τής αληθείας ορθοτομών, καί τή πίστει ενήθλησας μέχρις αίματος, Ιερομάρτυς Κυπριανέ, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Καί τού Προφήτου

Ήχος β'

Τού Προφήτου σου Μωϋσέως τήν μνήμην, Κύριε, εορτάζοντες, δι' αυτού σε δυσωπούμεν, Σώσον τάς ψυχάς ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Κανών τής Οκτωήχου εις, καί τών Αγίων δύο. Ο Κανων τού Ιερομάρτυρος, ποίημα Θεοφάνους. Οι δέ, Ιωάννου Μοναχού, αλλ' ουδετέρου τούτων δοκεί κάλαμος είναι.

Ωδή α' Ήχος πλ. β'

Ως εν ηπείρω πεζεύσας

Τήν τών οικείων αιμάτων ως Μωϋσής, ερυθραίαν θάλασσαν, ακυμάντως διελθών, Βαβύλα μακάριε Θεώ, επινίκιον ωδήν, εβόας άσωμεν.

Σύ τών γηϊνων τόν πόθον τώ θεϊκώ, υποτάξας έρωτι, κατεφρόνησας τού ζήν, Βαβύλα μακάριε Χριστού, επειγόμενος ιδείν τήν ωραιότητα.

Τής υπερθέου Τριάδος ως εραστής, τοίς τρισί συνέθανες, αγαλλόμενος παισί, Βαβύλα μακάριε τήν σήν, Προϊέμενος ψυχήν, τώ ταύτης έρωτι.

Θεοτοκίον

Τόν σεαυτής τετοκυία Δημιουργόν, ως αυτός ηθέλησεν, εξ ασπόρου σου γαστρός, υπέρ νούν σαρκούμενον Αγνή, τών κτισμάτων αληθώς εδείχθης Δέσποινα.

Κανών τού Προφήτου, ού η Ακροστιχίς.

Μωσής Προφητών πρώτος, αινείσθω λόγοις.

Εν τοίς Θεοτοκίοις.

Κλήμεντος.

Ωδή α'  Ήχος δ'

Θαλάσσης τό ερυθραίον

Μωσής Προφητών αινείσθω πρότερος, ως ενωπίω Θεώ, συνομιλήσας πρώτος εμφανώς, εν προσώπω πρός πρόσωπον, ουκ αινιγμάτων φάσμασιν, αλλ' ως εν είδει σαρκός βλέψας αυτόν.

Ως θείον δημαγωγόν καί ρύστην σε, τού συγγενούς Ισραήλ, Μωσή θεόπτα δέδωκε Θεός, τώ πατρί ώσπερ ηύξατο, επαγγελίας ρήματι, προμυηθέντι σου τήν γέννησιν.

Σοφίας σε θησαυρόν εφεύραντο, αι γενικαί αρεταί, εγκεκρυμμένον γνώσει τού Θεού, ως εν θήβη θεόπτα, Μωσή, διό σε ανεθρέψατο, η βασιλίς καί θεία πρόνοια.

Ηρνήσω θεοπτικώς Πανεύφημε, εκ βρέφους πάσαν θηλήν, τώ δέ γνησίω γάλακτι τραφείς, προεδήλους σαφέστατα, τής πρός Θεόν εγγύτητος, τό υπεραίρόν σου αξίωμα.

Θεοτοκίον

Κατέπτης ιδών Μωσής παράδοξον, εν πρώτοις θέαμα, βάτον καί φλόγα, ξένην συμπλοκήν, τόν Θεόν εκ Παρθένου Μητρός, προζωγραφούσαν άφθαρτον, όν διαβάς τούς χρόνους είδε σαρκί.

Τού Ιερομάρτυρος

## Ωδή γ'

## Ουκ έστιν Αγιος ως σύ

Ουκ έστιν Άγιος ως σύ, Κύριε ο Θεός μου, ο υψώσας τό κέρας, σού Βαβύλα τού πιστού, καί στεφανώσας αυτόν, τώ στεφάνω τής ομολογίας σου.

Μαρτύρων γέγονεν ισχύς, Κύριε ο Σταυρός σου, στερεώσας τούς παίδας, σύν Βαβύλα τώ κλεινώ, καί καθελών δι' αυτών, τά τής πλάνης άθεα φρυάγματα.

Ισχύς εξέλιπε Χριστέ, διαβόλου εις τέλος, τοίς ακάκοις παισί γάρ, καί Βαβύλα τώ κλεινώ, ηττάται ο ισχυρός, καί γελάται υπ' αυτών παιζόμενος.

### Θεοτοκίον

Ισχύς μου ύμνησις Χριστός, ο εκ σού ανατείλας, περικείμενος σάρκα, Θεοτόκε δουλικήν, καί εκ δουλείας ημάς, διαβόλου σώζων αγαθότητι.

## Τού Προφήτου

## Τόξον δυνατών ησθένησε

Όλως τής αρρήτου γνώσεως, επλήσθης θεόπτα, τό γάρ Πνεύμα τό Πανάγιον, δι' Αγγέλου τήν τών αρχαίων, εμυήσατό σε γνώσιν τρανώς.

Φέρων τηλαυγώς τάς θείας αυγάς, ταίς θεοσημείαις, κατέπληττες Αίγυπτον, μεταβάλλων τήν τών στοιχείων, παραδόξως φύσιν Πάνσοφε.

Ηύγει τό ωραίον κάλος σου, τήν εκ θείας σου αίγλης, λαμπράν αστειότητα, καί πρός θείαν απλήστως πάντας, επεσπάσω ωραιότητα.

### Θεοτοκίον

Ήχθης τού φρικτού οράματος, πρός εκστατικήν κατανόησιν Πάνσοφε, αλλ' εσχέθης φωνή Κυρίου, τού τεχθέντος εκ Παρθένου σαρκί.

### Ο Ειρμός

«Τόξον δυνατώνησθένησε, καί οι ασθενούντες περιεζώσαντο δύναμιν, διά τούτο εστερεώθη, εν Κυρίω η καρδία μου».

## Κάθισμα τού ιερομάρτυρος

### Ήχος γ'  Θείας πίστεως

Ζέων πίστεως ομολογία, πλάνης έσβεσας κακοδοξίαν, στηλιτεύσας τών είδώλων τό άθεον, καί ολοκαύτωμα θείον γενόμενος, θαυματουργίαις δροσίζεις τά πέρατα, Πάτερ Όσιε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

### Δόξα... τού Προφήτου

### Ήχος δ'  Επεφάνης σήμερον

Προφητών απάντων σε, πρώτον ως όντα, ευσεβώς γινώσκοντες, ανευφημούμεν οι πιστοί, πρώτος Θεόν γάρ εώρακας, ως δυνατόν ήν, ανθρώπω θεάσασθαι.

### Καί νύν... Θεοτοκίον

Τήν θερμήν αντίληψιν, τών εν ανάγκαις, τήν ημών βοήθειαν, καί πρός Θεόν

καταλλαγήν, δι' ής φθοράς ελυτρώθημεν, τήν Θεοτόκον πιστοί μακαρίσωμεν.

Η Σταυροθεοτοκίον

Επί ξύλου βλέπουσα, αναρτηθέντα, τόν Υιόν σου Πάναγνε, σπλάγχνα μητρώα γοερώς, σπαρασσομένη εκραύγαζες, Οίμοι! πώς έδυς, τό φώς μου τό άχρονον.

Τού Ιερομάρτυρος

Ωδή δ'

Χριστός μου δύναμις

Χριστός μου δύναμις, Θεός καί Κύριος, πρό βημάτων εβόας τυραννικών, απειλαίς απτόητος, Ιερομάρτυς Βαβύλα, εν Κυρίω αγαλλόμενος.

Θυσίαν άμωμον, φρικτήν αναίμακτον, τώ Κυρίω προσφέρων, καί σεαυτόν, σφάγιον δι' αίματος, Ιερομάρτυς Βαβύλα, ακηλίδωτον προσήγαγες.

Τών παίδων Όσιε, τό νέον φρόνημα, ως σοφός παιδοτρίβης πνευματικώ, αποτρέφων γάλακτι Ιερομάρτυς Βαβύλα, εις τελείωσιν κατήρτισας.

Θεοτοκίον

Ναόν πανάγιον, Θεού γινώσκοντες, σέ τήν άσπιλον μόνην, καί τών πιστών, πάντων υπερέχουσαν, ιερωτάταις σε φωναίς, Θεοτόκε μακαρίζομεν.

Τού Προφήτου

Επαρθέντα σε ιδούσα

Τής ισχνότητος τής γλώττης καί τής φωνής σου, διαμειφθείσης θεία προνοία θεόπτα, φρικτών μυστηρίων Θεού, εδείχθης διάκονος, καί πληγαίς εμάστιξας Αίγυπτον.

Ως παράδοξος η κλήσίς σου ώ θεόπτα, ως φοβερά τά έργα τών σών τεραστίων! ώπται γάρ ο ών σοι Θεός, καί δόξη υψώσας σε,, Ισραήλ Σωτήρα απέστειλε.

Νομοθέτην παραδόξων καί δυσεφίκτων, τού Θεού διδαγμάτων, υμνούντές σε πίστει, κράζομεν θεόπτα Μωσή, Τήν ίλεων αίτησαι, τού Θεού ημίν θείαν δύναμιν.

Πάν πρωτότοκον επάταξας τής Αιγύπτου, ως ο Χριστός δαιμόνων ενέκρωσε κράτος, τύπος γάρ τού μέλλοντος, τά σοί ενεργούμενα, αληθώς υπήρχον Αοίδιμε.

Θεοτοκίον

Μή εγγίσης εν τοίς ώδε, Μωσής ακούσας, Θεού φωνής βοώσης, εκ φλογός καί τής βάτου, άγιος ο τόπος γάρ, εικότως προέγραψεν, εν σαρκί τεχθήσεσθαι Χριστόν εξ Αγνής.

Τού Ιερομάρτυρος

Ωδή ε'
Τώ θείω φέγγει σου

Τήν θείαν χάριν σου Ιησού, ο ιερομάρτυς Βαβύλας, όντως εξ ύψους εδέξατο, ως καί παίδας νέους, πρός σήν αγάπησιν, αλείφειν καί θανάτου πρός καταφρόνησιν.

Τή θεία γνώσει σου ελλαμφθείς, ο Ιερομάρτυς Βαβύλας, πάντας εδίδασκε Κύριε, σέ ειδέναι μόνον Θεόν τόν όντως Θεόν, εκ ζόφου καί τής πλάνης ανακαλούμενον.

Τή θεία ψήφω σου προκριθείς, ο ιερομάρτυς Βαβύλας, τήν λογικήν νέμειν ποίμνην σου, σοί προσφέρει Λόγε Θεού, τό αίμα αυτού, πρός τρίβον σωτηρίας, πάντας σοφώς οδηγών.

Θεοτοκίον

Υπέρ τών δούλων σου τόν εκ σού, Πάναγνε Δεσπότην τού παντός, εκδυσωπούσα ικέτευε, πάσης εναντίας βλάβης λυτρώσασθαι, τού σέ ομολογούντας Παρθενομήτορα.

Τού Προφήτου

Σύ Κύριέ μου φώς

Ραπίζεις Ερυθράν, καί δεικνύεις ισχύν τού Θεού, τή ράβδω σου ώ θεόπτα, καί χαράττεις εν ταύτη, Σταυρού τήν θείαν δύναμιν.

Ώ τόλμης προσφιλούς! ώ απλότητος ψυχής καθαράς! Εί έγνως με παρά πάντας, πρός Θεόν ο θεόπτης φησί, γνωστώς μοι φάνηθι.

Τή πέτρα σκεπασθείς, ου Θεού είδες πρόσωπον, ως κρύφιον ώ θεόπτα, τήν δέ σαρκωσιν έγνως, τού Λόγου ως οπίσθια.

Ούων υετόν, αντί ύδατος Μάννα ποτέ, Μωσής εστιν ο θεόπτης, ο δούς ορτυγομήτρας, τροφήν τώ, Ισραήλ δι' ευχής.

Θεοτοκίον

Εισέδυς αισθητώς, τώ γνόφω καί έμαθες, τά άρρητα ώ θεόπτα, ως μέλλει εκ Παρθένου, Θεός σαρκί τεχθήσεσθαι.

Τού Ιερομάρτυρος

Ωδή ς'
Τού βίου τήν θάλασσαν

Τού βίου τήν θάλασσαν, τώ τής πλάνης καθορών, κυμαινομένην κλύδωνι, Βαβύλας ο αοίδιμος αθλητής, εβόα, Ανάγαγε, εκ φθοράς τήν ζωήν μου Πολυέλεε.

Χριστόν εκμιμούμενος, πρό τής ποίμνης τήν ψυχήν, τήν εαυτού προδέδωκεν, ο αοίδιμος Μάρτυς καί αθλητής, ζωήν πρός αιώνιον, εκ φθοράς τού θανάτου μεθιστάμενος.

Τών Παίδων τό άστατον, επεστήριζε σοφώς, τοίς εαυτού παθήμασι, Βαβύλας ο αοίδιμος αθλητής, ζωήν πρός ουράνιον, από γής μεταφέρων ο πανεύφημος.

Θεοτοκίον

Δεσμών απολέλυμαι, καταδίκης καί αράς, ευλογημένη Πάναγνε, τώ τοκετώ σου, μόνη γάρ επί γής, Θεόν εσωμάτωσας, καθαρών εξ αιμάτων σου Πανάμωμε.

Τού Προφήτου

Θύσω σοι, μετά φωνής

Στρατείαν, κεκτημένος Θεού Ισραήλ δυνατήν, τά μέν επτά τής κακίας, Χαναναίων έθνη εξαφανίζεις, τώ λαώ σου, κατακληροδοτείς δέ τήν γήν τήν αυτών.

Αρρήτως, υπελθών εν τώ γνόφω τώ θείω Μωσή, ού ο Θεός ήν καλών σε, τάς γραφείσας πλάκας δακτύλω αυτού, τών νομίμων, υπεδέξω ως μέγας θεράπων αυτού.

Ίστησιν, υπακούειν Θεός τής φωνής αυτού, τόν Μωϋσήν τόν θεόπτην, κατενώπιον τού λαού εμφανώς, ίνα δείξη, φοβερόν μετά δόξης τόν μύστην αυτού.

Νόμιμοι, ως τής χάριτος παίδες υπάρχοντες, τήν ευλογίαν τρυγώμεν, ευφημούντες Μάκαρ σε, καί Εβραίους, ως περ πάλαι Ιακώβ, τόν Ησαύ νύν πτερνίζοντες.

Θεοτοκίον

Νεύματι, θεϊκώ σε προγράφει Μωσής ο κλεινός, ως κιβωτόν Θεοτόκε, ταίς αυγαίς τού Πνεύματος πανταχόθεν, ως χρυσίω, κατακεκαλυμμένην εις δόξαν Θεού.

Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Κοντάκιον τού Ιερομάρτυρος

Ήχος πλ. δ'

Ως απαρχάς τής φύσεως

Ως ευσεβείας κήρυκα, καί αθλητών εδραίωμα, η Εκκλησία δοξάζει σε ένδοξε, λαμπρυνομένη σήμερον, αλλ' ως έχων παρρησίαν, εν ειρήνη τελεία, τούς ανυμνούντάς σε, τόν Χριστόν φυλαχθήναι δυσώπησον, ώ Πολύαθλε.

## Ο Οίκος

Τήν τού κόσμου σαφώς ματαιότητα, εννοών ο τού κόσμου αλλότριος, καί τά πάθη Χριστού μιμησάμενος, τά τού σώματος πάθη ενέκρωσας, καί τόν σταυρόν σου αράμενος, ηκολούθησας Μάρτυς τώ Κτίστη σου, καί συμμένων αυτώ νύν ικέτευε, υπέρ τών σέ τιμώντων αληθώς, ώ Πολύαθλε.

## Σ υ ν α ξ ά ρ ιο ν

Τή Δ' τού αυτού μηνός, Μνήμη τού Αγίου Ιερομάρτυρος Βαβύλα, Επισκόπου Αντιοχείας τής μεγάλης, καί τών σύν αυτώ Αγίων τριών παίδων, οι διά ξίφους ετελειώθησαν.

### Στίχοι

- Ο Χριστόν αυτόν Βαβύλας θύων πάλαι,
- Χριστώ προθύμως θύεται διά ξίφους.

### Εις τούς παίδας

### Στίχοι

- Υπέρ μεγίστου Δεσπότου Θεού Λόγου,
- Τρέχουσι θερμώς πρός ξίφος τά παιδία.
- Παίδας καί Βαβύλαν πέφνε ξίφος αμφί τετάρτην.

Τή αυτή ημέρα, ο Άγιος Βαβύλας, ο εν Αντιοχεία διδάσκαλος, σύν τοίς υπ' αυτόν ογδοήκοντα τέσσαρσι παισί, ξίφει τελειούται.

### Στίχοι

- Μαθήσεώς σοι μισθός εκ τών παιδίων,
- Βαβύλα θείε τής τομής κοινωνία.

Ο Άγιος προφήτης Μωϋσής εν ειρήνη τελειούται.

### Στίχοι

- Ουκ εκ πέτρας νύν, ουδ' οπισθίων μέρει,
- Μωσή θεωρείς, αλλ' όλον Θεόν βλέπεις.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Ερμιόνης, μιάς τών θυγατέρων Φιλίππου τού αποστόλου.

### Στίχοι

- Χωρείς πρός αυτούς ουρανούς Ερμιόνη,
- Ερμαίον ευρηκυία τήν σωτηρίαν.

Οι Άγιοι Θεότιμος καί Θεόδουλος, οι από δημίων πιστεύσαντες, πυρί τελειούνται.

### Στίχοι

- Θεότιμος τέθνηκε σύν Θεοδούλω,
- Τιμήν σύν αυτώ δουλικήν δούς Κυρίω.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Κεντυρίωνος, Θεοδώρου, Αμιανού, καί Ιουλιανού, ορμωμένων εκ κώμης Κανδαύλης.

Στίχοι

- Ο Κεντυρίων πύρ πόθου θείου πνέων,
- Ψυχήν προθύμως εις τό πύρ αποπνέει.
- Τριττοίς αθληταίς, η πυρά κλίμαξ ξένη,
- Δι' ής ανήλθον ουρανού πρός τό πλάτος.

Τή αυτή, ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Πετρωνίου, Χαριτίνης, Ζαρβήλου (ή Σαρβήλου), Θαθουήλ, καί Βεβαίας.

Στίχοι

- Τμηθέντες άμφω θαθουήλ καί Βεβαία,
- Ζωήν βεβαίαν εύρον αντ' εψευσμένης.
- Βέβηλον ο Ζάρβηλος ου σέβων σέβας,
- Ανδρών βεβήλων χερσί βάλλεται λίθοις.

Τή αυτή ημέρα, Μνήμη τών αγίων τρισχιλίων εξακοσίων εικοσιοκτω Μαρτύρων.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τού ιερομαρτυρος

Ωδή ζ'

Δροσοβόλον μέν τήν κάμινον

Αιουράνιαι δυνάμεις κατοπτεύουσαι, παίδας καί παιδοτρίβην ομού, κατά τής πλάνης, νικηφόρους δυνάμει τού Σταυρού, εβόων χορεύουσαι Χριστώ, Ευλογητός εί ο Θεός, οδούς τήν νίκην αυτοίς.

Η φωσφόρος τού Δεσπότου κατελάμπρυνε, χάρις τούς συνελθόντας πιστούς, ο αοίδιμός τε Βαβύλας στεφανηφορών, προτρέπει συγχαίροντας βοάν, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Τών τυράννων μέν ηπόρει η επίνοια, βοηθείν τοίς μή ούσι θεοίς, τή Τριάδι δέ τή Αγία Βαβυλας ο κλεινός, προτρέπει Πιστούς τού εκβοάν, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Λαμπροτάταις αστραπαίς σου καταλάμπρυνον, τήν ζοφεράν καρδίαν μου, η κυήσασα επί γής τόν ήλιον Χριστόν, Παρθένε, ή ψάλλομεν αεί, Ευλογημένη η Θεόν σαρκί κυήσασα.

Τού Προφήτου

Εν τή καμίνω

Εν θεοπτίαις, τών απορρήτων θείος γραφεύς γεγονώς, πάσαν τήν σοφήν ιδέαν σύ τής σκηνής, διά λόγων τεχνησάμενος, τώ αρχιτέκτονι, Βεσελεήλ

παρέθου τήν πράξιν Μωσή.

Ιερατεύειν, θρασυστομήσας πάλαι Κορέ μετά σού, ώφθη κατελθών εις Άδου παγκλήρως ζών, τού Θεού σοι τό αιδέσιμον, Μωσή φυλάττοντος, βασιλείας καί ιερατείας ομού.

Συστρατηγών σοι, τού Ιουδαίων έθνους πάλαι Μωσή, ώφθη Μιχαήλ ο Άρχων τών ουρανών, καί τού σώματός σου θείος φρουρός, τόν γάρ αρχέκακον, ανθεστηκότα ούτος κατήσχυνε.

Θεοτοκίον

Τού Ααρών σε, η θεία ράβδος βλαστάνειν εδήλωσε, πάσι Θεοτόκε λύσιν αμαρτιών, ιλασμός γάρ βροτοίς γέγονας, καί απολύτρωσις, τής φρικτής τού Θεού πρός ημάς απειλής.

Τού Ιερομάρτυρος

Ωδή η'

Θεόν Πατέρα δημιουργόν

Η μνήμη σήμερον αδελφοί, τού Ιερέως καί Μάρτυρος Βαβύλα, τού εν φλογί Νεανίας άδειν προτρέπεται, Ευλογείτε, τόν Κύριον τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Οινέοι σήμερον φοιτηταί, τού Ιερέως καί Μάρτυρος Βαβύλα, σύν τώ πρεσβύτη στεφθέντες άδειν προτρέπονται, Ευλογείτε τόν Κύριον τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Τό χρίσμα τό Ιερατικόν, τού Ιερέως καί Μάρτυρος Βαβύλα, εν τή τού αίματος χύσει πλέον δοξάζεται, διά τούτο τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Θεοτοκίον

Θεόν εκύησας εν σαρκί, τόν κατέχοντα χειρί τά πάντα, καί εν αγκάλαις Παρθένε τούτον εβάστασας, όν υμνούσιν ως Κύριον τά έργα, καί υπερυψούσιν, εις πάντας τούς αιώνας.

Τού Προφήτου

Χείρας εκπετάσας Δανιήλ

Θεράπων εικότως τού Θεού, ως πράος ήκουσας καί έργοις γέγονας, διό εγνώσθη σοι κυριος, υπέρ πάντας τούς προφήτας Μωσή, καί ενοικήσας σοι πιστώς, ψάλλειν εδίδαξεν, Ευλογείτε πάντα τά έργα Κυρίου τόν Κύριον.

Ως μύστης Θεού καί λειτουργός, καί βασιλεύς, Ισραήλ, Μωσή θεόπτα δειχθείς, Χριστόν εκήρυξας έρχεσθαι, εν σαρκί προδιαγράψας αυτού, τήν πρός ανθρώπους φοβεράν καί θείαν έλευσιν, ού καί τύπος έμψυχος ώφθης σαφώς, καί Προφήτης πιστός.

Λόγου προφητείαις τόν λαόν, καί νόμου διαταγαίς καθοδηγήσας πιστώς, σημείων τέρασιν ίθυνας, καί θαυμάτων επιδείξεσιν, υπό Θεού δέ προσκληθείς, εν γή θεόπτα Μωάβ, προσετέθης, πρός τούς πατέρας τούς σούς μετά δόξης πολλής.

Όρει επιβάς ως ουρανώ, Θεού προστάξαντος κατείδες πνεύματι, τήν τών πραέων γήν Πάνσοφε, αισθητώς δέ κατενόησας, επαγγελίας τήν τρυφήν, καί μεταστάντος εκ γής, επεκρύβη, οικονομία Θεού καί τό σκήνός σου.

Θεοτοκίον

Ουδείς προακήκοε πρό σού, θεόπτης ένδοξε, Μωσή θεράπον Χριστού, διότι άπαντα έβλεψας, τής Παρθένου τά ινδάλματα, προδιαγράφοντα αυτής τήν θείαν γέννησιν, εν φλογί γάρ βάτου, κατείδες μορφήν τήν αόρατον.

Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Τού Ιερομάρτυρος

Ωδή θ'

Θεόν ανθρώποις ιδείν

Χριστός ανθρώποις οδόν υπέδειξε, διά Σταυρού πρός ύψος ουρανών ευεπίβατον, διά τούτο θάνατος ηττάται βροτοίς, παίδες γάρ νεανίαι, τούτον ουκ έπτηξαν, σύν τώ θαυμασίω Βαβύλα, ούς μακαρίσωμεν.

Ευρών τών πόνων σου τήν αντάμειψιν, παρά Χριστού θαυμάτων, παροχήν καί αιώνιον, κληρουχίαν Βαβύλα θεσπέσιε, μέλπεις σύν τοίς Αγγέλοις, Άγιος, Άγιος, Άγιος, Τριάς η παντουργός καί παντοδύναμος.

Παθών ιάματα αρυσώμεθα, τή ευκλεεί σκηνή τών αθλοφόρων προστρέχοντες, εν αυτή γάρ πάρεισιν Αγγέλων χοροί, Πνεύματά τε δικαίων, πάντων η Δέσποινα, σύν τώ θαυμασίω Βαβύλα ιάσεις νέμοντες.

Θεοτοκίον

Ωδήν προσάγω σοι Κόρη Δέσποινα, εκ ρυπαρών χειλέων μου ο τάλας δεόμενος, τού βορβόρου ρύσαί με τών έργων μου, άπαντας δέ τούς πίστει, νύν ευφημούντάς σε, τής εκ δεξιών τού σού Υιού δόξης αξίωσον.

Τού Προφήτου

Λίθος αχειρότμητος

Γέγονας αυτόπτης θεόπτα, καί μετά θάνατον Κυρίου, ου δι' αμυδρών αινιγμάτων, Χριστόν αθρήσας, ως εν τή πέτρα τό πρίν, αλλ' ανθρωπίνω σώματι, φώς απαστράπτοντα θεότητος.

Όρος τό θαβώρ εδοξάσθη, υπέρ τό Σίναιον πλουσίως, ένθα Μωϋσής εκ νεκάδων, καί ο θεσβίτης εκ χώρας ζώντων Χριστόν, σύν Αποστόλοις έβλεπον, μεταμορφούμενον ως όντως Θεόν.

Σώσον συμπαθεί σου πρεσβεία, καί προσευχών τή παρρησία, ως τόν Ισραήλ εκ κινδύνων, Μωσή θεόπτα, καί χαλεπών καί δεινών, Χριστιανών τό πλήρωμα, εκ πάσης βλάβης τών υμνούντων σε.

Θεοτοκίον

Στάμνον σε χρυσήν τε καί πλάκα, καί θείαν τράπεζαν Παρθένε, πρότερον Μωσής διαγράψας, τρανώς εδήλου Θεόν τεχθήναι εκ σού, όν περ ιδόντες σώματι, πιστώς τόν ύμνον συμπληρούμέν σοι.

Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός, συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Εξαποστειλάριον

Ο ουρανόν τοίς άστροις

Θύτης ομού καί θύμα, Βαβύλα ώφθης τού Θεού, θύων αυτώ αναιμάκτως, καί σοίς εν αίμασι τυθείς, σύν τοίς τελείοις νηπίοις, μεθ' ών σε ανευφημούμεν.

Θεοτοκίον

Τούς μή τήν σήν εικόνα, Παρθένε ασπαζομένους, καί τού Υιού καί Θεού σου, εκ πίστεως ειλικρινούς, κατάβαλε ως αθέους, καί τή γεέννη παράδος.

Καί τά λοιπά ως συνήθως, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Ε' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Προφήτου Ζαχαρίου, πατρός τού Προδρόμου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώίτίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'

Έδωκας σημείωσιν

Χρίσμα περικείμενος, στολήν τε θείαν αοίδιμε, Ζαχαρία ως άγγελος, Θεώ ιεράτευσας, μεσιτεύων πλάστη, καί πλάσματι μάκαρ, καί τάς δηλώσεις εναργώς, τού θείου Πνεύματος εισδεχόμενος, διό σε μακαρίζομεν, καί τήν αγίαν σου σήμερον, εκτελούντες πανήγυριν, τόν Σωτήρα δοξάζομεν.

Παιδίον εώρακας, αποτεχθέν τής νεάνιδος, Ζαχαρία θεόπνευστε, Πατρός τόν συνάναρχον, καί τώ σώ προδήλως, προλέγεις παιδίω, Προφήτης έση αληθώς, τούτου τάς τρίβους ετοιμαζόμενος, μεθ' ού σε μακαρίζομεν, καί τήν

σεπτήν σου πανήγυριν, Ιερώς εορτάζομεν, θεοφόρε Πανόλβιε.

Ναός ζών καί έμψυχος, τού θείου Πνευματος πέφυκας, καί ναού μέσον ένδοξε, Θεώ συγγινόμενος, καθαρά καρδία αδίκως εσφάγης, μαρτυρικώς αποπληρών, τόν θείον δρόμον σου Αξιάγαστε, διό πρός τόν ουράνιον, ναόν ανήλθες εν αίματι, τώ ιδίω αιτούμενος, ιλασμόν τοίς τιμώσι σε.

Δόξα... Ήχος πλ. δ'

Ιωάννου Μοναχού

Ιερωσύνης νομικής, ενδεδυμένος όντως στολήν, κατά τήν τάξιν Ααρών ελειτούργησας, καί παρεστώς εν τώ ναώ, αγγελικήν μορφήν εμφανώς, εθεάσω παμμακάριστε, διό σου τήν μετάστασιν άπαντες, μέλποντες χρεωστικώς Ζαχαρία, άσμασιν ευφημούμεν, σέ τόν μετά τό γήρας εκβλαστήσαντα, Ιωάννην τόν ένδοξον, Πρέσβευε υπέρ ημών, τόν ελεήμονα Θεόν, σωθήναι ημάς.

Καί νύν... Θεοτοκίον

Κύριε, ει καί κριτηρίω

Κύριε, σύ τής σέ τεκούσης πρεσβείαις, περιφρούρησον τήν ποίμνην σου, ήν περ αίματί σου τιμίω, ως οικτίρμων εξηγόρασας, καί επηρείας εχθρών, απήμαντον συντήρησον, όπως υμνούντες δοξολογώμεν, σού τήν θείαν συγκατάβασιν.

Η Σταυροθεοτοκίον

Κύριε, ότε σε ο ήλιος είδεν, επί τού ξύλου κρεμάμενον, Ήλιε τής δικαιοσύνης, τάς ακτίνας εναπέκρυψε, καί τής σελήνης τό φώς, εις σκότος μετεβάλετο, η δέ πανάμωμός σου Μήτηρ, τά σπλάγχνα διετέτρωτο.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'

Ώ τού παραδόξου θαύματος

Ώ τού παραδόξου θαύματος! ο παρεστώς τώ Θεώ, εν υψίστοις Αρχάγγελος, λειτουργώ θεόφρονι, Ζαχαρία την σύλληψιν, τήν τού Προδρόμου ευαγγελίζεται, παρ' ηλικίαν εκ τής στειρώσεως, Ώ τής αφράστου σου, προμηθείας Δέσποτα! δι' ής Χριστέ, σώσον τάς ψυχάς ημών, ως μόνος εύσπλαγχνος.

Στίχ. Ευλογητός Κύριος ο Θεός τού Ισραήλ, ο ποιών θαυμάσια μόνος.

Ώ τού παραδόξου θαύματος! τής Παλαιάς τήν σιγήν, καί τής Νέας τήν έκφανσιν, Ζαχαρίου κώφευσις, προφητεύει σαφέστατα, τήν γάρ τού νόμου σιγήσας πλήρωσιν, τό φώς υπέδειξε τό τής χάριτος, Ώ τής προνοίας σου, τής σοφής Φιλάνθρωπε! δι' ής ημάς, πάντας περιφρούρησον ως παντοδύναμος.

Στίχ. Καί σύ παιδίον, Προφήτης Υψίστου κληθήση.

Ώ τού παραδόξου θαύματος! εν ιερεύσι πιστός, καί εν Μάρτυσιν άριστος, καί

Προφήτης ένδοξος, προμηνύων τά μέλλοντα, ο Ζαχαρίας Δέσποτα δείκνυται, τριπλώ στεφάνω κατακοσμούμενος, Ώ τών πλουσίων σου, δωρεών φιλάνθρωπε! δι' ών Χριστέ, πάντας καταξίωσον, τής βασιλείας σου.

Δόξα... Ήχος β'

Ανατολίου

Ως καθαρός ιερεύς, εις τά Άγια τών Αγίων εισέδυς, καί τήν στολήν τήν ιεράν ενδυσάμενος, αμέμπτως τώ Θεώ ελειτούργησας, ως Ααρών νομοθετών, καί ως Μωσής ποδηγών τάς φυλάς τού Ισραήλ, εν τή τών κωδώνων ακραιφνεί συμβολή, διό καί πεφόνευσαι, αλλά τό αίμά σου τό δίκαιον, ημίν σωτήριον ίαμα γέγονε, καί ως μύρον ευώδες, τάς ακοάς ανοίγει, πρός πορισμόν τής αιωνίου ζωής, Ζαχαρία τρισόλβιε, τού Βαπτιστού Ιωάννου ο γενέτης, καί τής Ελισάβετ ο σύνευνος, εκτενώς πρέσβευε, υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

Ότε εκ τού ξύλου σε

Όντως υπερήραν αληθώς, τών ανομιών μου τά πλήθη, τήν κεφαλήν μου αγνή, καί αι ανομίαι μου υπερεπλήθυναν, καί φορτία δυσβάστακτα, καί άμετρα Κόρη, κέκτημαι ο δείλαιος, καί αδιόρθωτος, Σύ ούν, τή θερμή σου πρεσβεία, πρόφθασον καί σώσόν με μόνη, τών αμαρτανόντων η διόρθωσις.

Η Σταυροθεοτοκίον

Πόνους υπομείνασα πολλούς, εν τή τού Υιού καί Θεού σου σταυρώσει άχραντε, έστενες δακρύουσα καί ολολύζουσα, Οίμοι! τέκνον γλυκύτατον, αδίκως πώς πάσχεις, θέλων πάντας ρύσασθαι, τούς εξ Αδάμ γηγενείς, όθεν, Παναγία Παρθένε, σέ παρακαλούμεν εν πίστει, ίλεων ημίν τούτον απέργασαι.

Απολυτίκιον  Ήχος δ'

Κατεπλάγη Ιωσήφ

Ιερωσύνης στολισμόν, περιβαλλόμενος σοφέ, κατά τόν νόμον τού Θεού, ολοκαυτώματα δεκτά, ιεροπρεπώς προσενήνοχας Ζαχαρία, καί γέγονας φωστήρ, καί θεατής μυστικών, τά σύμβολα εν σοί, τά τής χάριτος, φέρων εκδήλως πάνσοφε, καί ξίφει αναιρεθείς εν τώ ναώ τού Θεού, Χριστού Προφήτα, σύν τώ Προδρόμω, πρέσβευε σωθήναι τάς ψυχάς ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τού Αγίου, ού η Ακροστιχίς.

Τον Προδρόμοιο τοκήα κροτώ σοφόν Αρχιερήα.

Θεοφάνους

Ωδή α'  Ήχος πλ. δ'

Υγράν διοδεύσας

Τήν μνήμην Προφήτα σού ευφημών, τού Πνεύματος χάριν, ικετεύω μοι συνεργείν, τή σή μεσιτεία ανακράζων, Τώ λυτρωτή καί Θεω ημών άσωμεν.

Ο βίος σου άμεμπτος ευρεθείς, τής ιερωσύνης, εκοσμήθη καταστολή, καί τής προφητείας φωτοφόροις, μαρμαρυγαίς θεορρήμον μακάριε.

Νομίμω ταινία τήν κεφαλήν, κατηγλαϊσμένος, Ζαχαρία αναδειχθείς, ως ιεροφάντωρ ανεβόας, Τώ λυτρωτή καί Θεώ ημών άσωμεν.

Θεοτοκίον

Ποδήρη χιτώνα ως Ααρών, περιβεβλημένος, τήν εκ ρίζης τού Ιεσσαί, βλαστήσασαν Κόρην υπεδέξω, τόν Λυτρωτήν εν κοιλία βαστάζουσαν.

Ωδή γ'

Σύ εί τό στερέωμα

Ότε τό θυμίαμα, τό τής συνθέσεως έφερες, Αρχιερεύ, τότε τού Προδρόμου, εκομίσω τήν γέννησιν.

Μύρον αγιάσματος, ιερατεύειν σε έχρισεν, ως Ααρών, όθεν οπτασίας, Αγγέλου ηξίωσαι.

Όρθρον προμηνύοντα, τή οικουμένη σε ήλιον, τόν νοητόν, Σώτερ Ζαχαρίας, Ιωάννην εκτέτοκεν.

Θεοτοκίον

Ίθυνον τόν βίον μου, Θεογεννήτρια πάναγνε, καί τήν ζωήν, η τού Ζαχαρίου, τήν οικίαν φαιδρύνασα.

Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Κάθισμα Ήχος πλ. δ'

Τό προσταχθέν μυστικώς

Ιερουργήσας τώ Θεώ κατά τόν νόμον, καί προφητεύσας τόν Χριστόν εκ τής Παρθένου, Ζαχαρία σαρκούμενον εκ Πνεύματος Αγίου, εφάνης τή οικουμένη στύλος φωτός, καί έφης δικαιοσύνης ανατολήν, εξ ύψους κόσμον εκλάμπουσαν, καί εις ειρήνης οδόν, ευθύνουσαν τούς πόδας ημών, τόν σώζοντα τό άνθρωπον.

Δόξα... Όμοιον

Τού Βαραχίου τόν υιόν νύν μακαρίσωμεν, ότι τόν νόμον ψαλμικώς προεμελέτησε, Ζαχαρίας ο δίκαιος νυκτός τε καί ημέρας, λατρεύων τώ εν υψίστοις πάντων Θεώ, ως έφη ο έν Προφήταις μέγας Δαυίδ, ός καί τέλος δι' αίματος, σφαγείς ετύθη ως αμνός, δεκτός εις ολοκάρπωσιν, τού Σωτήρος τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

Θεοχαρίτωτε Αγνή ευλογημένη, τόν διά σπλάγχνα οικτιρμών εκ σού τεχθέντα, σύν ταίς άνω Δυνάμεσι, καί σύν τοίς Προφήταις, καί άπασι τοίς Αγίοις υπέρ ημών, δυσώπει ακαταπαύστως δούναι ημίν, πρό τού τέλους διόρθωσιν, καί ιλασμόν αμαρτιών, καί βίου επανόρθωσιν, όπως εύρωμεν έλεος.

Η Σταυροθεοτοκίον

Τώ τού Υιού σου καί Θεού Σταυρώ Παρθένε, περιφρουρούμενοι αεί τάς τών δαιμόνων, προσβολάς εκτρεπόμεθα, καί τάς μεθοδείας, κυρίως σε Θεοτόκον καί αληθώς, υμνούντες, καί πόθω πάσαι αι γενεαί, μακαρίζοντες άχραντε, ως προεφήτευσας, διό, πταισμάτων ημίν άφεσιν, ταίς πρεσβείαις σου δώρησαι.

### Ωδή δ'

«Εισακήκοα Κύριε τής οικονομίας σου τό μυστήριον, κατενόησα τά έργα σου, καί εδόξασά σου τήν θεότητα».

Ο Προφήτης σου Δέσποτα, τύποις νομικοίς, πιστώς ελειτούργει σοι, καί τής χάριτος ηξίωται, κατιδείν εν γνώσει τήν αλήθειαν.

Τώ φωτί φώς προσέλαβες, τώ αμαυροτέρω σύ τό τρανότερον, Παμμακάριστε, τώ νόμω γάρ, καί η χάρις όντως προσετέθη σοι.

Ο Θεώ παριστάμενος, θείος Γαβριήλ ευαγγελιζόμενος, ανεφάνη σοι Μακάριε, τήν φωνήν τού λόγου καί τόν Πρόδρομον.

Θεοτοκίον

Καθαρόν ενδιαίτημα, ο Δημιουργός Παρθένε τής κτίσεως, ευρηκώς σε κατεσκήνωσεν, ο τής Ελισάβετ λύσας στείρωσιν.

### Ωδή ε'

Ορθρίζοντες βοώμέν σοι

Η κίδαρις ετέθη τή κάρα σου, ώ Προφήτα, εν σφραγίδι έχουσα, τύπον τής χάριτος ένδοξε.

Αγάλλεται η κτίσις τώ τόκω σου, Αρχιερεύ, σύ γάρ ανεβλάστησας, τής μετανοίας τόν κήρυκα.

Κοσμίως σου τόν βίον διήνυσας τάς εντολάς, πάσας τού Κυρίου γάρ, σύν Ελισάβετ ετέλεσας.

Θεοτοκίον

Ρυθμίζεται πρός ύμνον η γλώσσά σου, θεορρήμον, τήν γάρ Απειρόγαμον, κυοφορούσαν εώρακας.

### Ωδή ς'

Χιτώνά μοι παράσχου

Ο νόμου λατρεύων τή σκιά, ώφθη καί τής χάριτος κήρυξ, Σωτήρ ημών, ηξιώθη γάρ ιδείν σου τήν σάρκωσιν.

Τώ κρίσεων λογείω κοσμηθείς, Λόγον τόν αϊδιον, σάρκα φορέσαντα, Ζαχαρία, ιερεύ υποδέδεξαι.

Ωράθης τού ναού ένδον χωρών, Θεώ συγγινόμενος, Μύστα θεόπνευστε, ιερεύς καί λειτουργός αξιάγαστος.

Θεοτοκίον

Σωτήρα Θεομήτορ εν γαστρί, Παρθένε βαστάζουσα, Λόγον τόν άναρχον, εγνωρίσθης Ελισάβετ τή προφήτιδι.

Ο Ειρμός

«Χιτώνά μοι παράσχου φωτεινόν, Ο αναβαλλόμενος φώς ως ιμάτιον, πολυέλεε Χριστέ ο Θεός ημών».

Κοντάκιον Ήχος γ'

Η Παρθένος σήμερον

Ο Προφήτης σήμερον, καί ιερεύς τού Υψίστου, Ζαχαρίας προύθηκεν, ο τού Προδρόμου γενέτης, τράπεζαν τής αυτού μνήμης Πιστούς εκτρέφων, πόμα τε δικαιοσύνης τούτοις κεράσας, Διό τούτον ευφημούμεν, ως θείον μύστην Θεού τής χάριτος.

Ο Οίκος

Τήν τού νόμου σιγήν ο ιεράρχης δέδεκται, δι' Αγγέλου φωνής, τόν Άγγελον δεχόμενος, Χριστού παρουσίας Προφήτην καί μύστην, σύν Ελισάβετ στείρα καί σώφρονι, ού γεννηθέντος, ανεκαινίσθη χάρις καί λυτρωσις, καί Καταλλαγή ημών παγκόσμιος, κηρύττει γάρ τόν αμνόν, καί πλάστην, καί τής φύσεως νεουργόν, τόν εκ τής στείρας τόν καρπόν χορηγούντα, Υιόν δέ φανέντα τής Παρθένου, ως θείος μύστης Θεού τής χάριτος.

Συναξάριον

Τή Ε' τού αυτού μηνός, Μνήμη Ζαχαρίου τού Προφήτου τού Πατρός τού Προδρόμου.

Στίχοι

- Θείον δι' αμνόν τού Θεού Ζαχαρίας,
- Ώσπερ τις αμνός σφάττεται ναού μέσον.
- Πέμπτη Ζαχαρίαν δαπέδω σφάξαν παρά νηού.

Τή αυτή ημέρα, ο Άγιος Αβδαίος, ράβδοις ακανθώδεσι τυφθείς, τελειούται.

Στίχοι

- Ράβδων ακάνθας Μάρτυς Αβδαίος φέρει,
- Στεφθέντα τιμών ταίς ακάνθαις Δεσπότην.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Μεδίμνου, Ουρβανού, Θεοδώρου, καί τών σύν αυτοίς ογδοήκοντα Ιερέων καί Λευϊτών, ήτοι Διακόνων.

Στίχοι

- Ύδωρ διελθών ψαλμικώς καί πύρ άμα,
- Λέγει Μέδιμνος, εις αναψυχήν φθάνω.
- Σύν Ουρβανώ δέ καί Θεόδωρος μέγας,
- Άθλον τόν αυτόν εκτελεί τώ Μεδίμνω.
- Οκτάς δεκαπλή τών καθιερωμένων,

- Πρός πύρ, ύδωρ τε καρτερώς εκαρτέρει.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Πέτρου τού εν τώ Αθήρα.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Παίδες Εβραίων

Ότε φωνή η τού βοώντος, προελήλυθεν εκ στείρας Ζαχαρία, τής σής γλώσσης δεσμά, διέλυσε κραυγάζειν, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Φίλος ετέχθη τού νυμφίου, εκ στειρώσεως τόν τόκον τής Παρθένου, προμηνύων σαφώς, ο Πρόδρομος τοίς πίστει, Ευλογητός εί κράζουσιν, ο Θεός εις τούς αιώνας.

Όλος εγένου Ζαχαρία, θείον όργανον τού Πνεύματος τρισμάκαρ, καί προφήτην τό σόν, προέλεγες παιδίον, Ευλογητός εί Κύριε, εκβοών εις τούς αιώνας.

Θεοτοκίον

Νόμου τό πλήρωμά σε Κόρη, τό κεφάλαιον τής όλης προφητείας, Ζαχαρίας ορών, εγνώρισε κραυγάζων, Ευλογημένος πάναγνε, ο καρπός τής σής κοιλίας.

Ωδή η'

Τόν εν όρει αγίω δοξασθέντα

Αληθείας εδείχθης υποφήτης, τού Χριστού γάρ τάς τρίβους Ιωάννης, προπορευθείς ητοίμασεν ο Πρόδρομος, μάκαρ ιεράρχα, όν υπερυψούμεν, εις πάντας τούς αιώνας.

Ρητορεύων ευλόγεις τόν Δεσπότην, σωτηρίαν ημίν τόν δεδωκότα, τόν εκ Δαυϊδ σαρκί εξανατείλαντα, κύριον τής δόξης, όν υπερυψούμεν, εις πάντας τούς αιώνας.

Χαρισμάτων μεγάλων ηξιώθης, θεοφάντορ τόν Πρόδρομον γεννήσας, τόν Προφητών απάντων υπερκείμενον, Κύριον υμνούντα, καί υπερυψούντα, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Ιεράρχης ομού καί Θεοκήρυξ, Ζαχαρίας Μητέρα καί Παρθένον, τόν Κύριον βαστάζουσαν τής κτίσεως, χαίρων προσεκύνει, ήν υπερυψούμεν, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Τόν εν όρει αγίω δοξασθέντα, καί εν βάτω πυρί τό τής Αειπαρθένου, τώ Μωϋσή μυστήριον γνωρίσαντα, Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ'
Κυρίως Θεοτόκον

Επλήσθης επιπνοίας, τής τού Παρακλήτου, καί ευλογείν επεχείρεις τόν Κύριον, ιερομύστα θεόφρον θεομακάριστε.

Ρημάτων τάς εκβάσεις, τών τού Αρχαγγέλου, εωρακώς θεορρήμον πανεύφημε, πρός ευλογίαν τήν γλώτταν ευθύς εκίνησας.

Ηλέησεν ο Πλάστης, τούς απολλυμένους, καί Αβραάμ διαθήκης εμνήσθη σαφώς, ως προφητεύων εφθέγξω, πλησθείς τού Πνεύματος.

Αθλήσεως στεφάνοις, καί ιερωσύνης, καί φωτισμώ προφητείας κεκόσμησαι, ώ Ζαχαρία, καί δόξης μετέσχες κρείττονος.

Θεοτοκίον

Φωτός ούσα δοχείον, φώτισον Παρθένε, τήν σκοτισθείσαν ψυχήν μου τοίς πάθεσι, καί εξωτέρου με σκότους, ρύσαι πρεσβείαις σου.

Ο Ειρμός

«Κυρίως Θεοτόκον, σέ ομολογούμεν, οι διά σού σεσωσμένοι Παρθένε αγνή, συν Ασωμάτοις χορείαις σέ μεγαλύνοντες».

Εξαποστειλάριον
Γυναίκες ακουτίσθητε

Αμέμπτως ιεράτευσας, Θεώ τώ παντοκράτορι, τή νομική διατάξει, ώ Ζαχαρία Προφήτα, διό καί θυμιώντί σοι, Άγγελος λέγων φαίνεται, Τέξη Χριστού τόν Πρόδρομον, μεσίτην όντα τού Νόμου, καί χάριτος τής ενθέου.

Θεοτοκίον

Παρήλθον Μητροπάρθενε, τά σκιωδώς τελούμενα, τώ πάλαι νόμω καί τύπω, τόν γάρ τού νόμου δοτήρα, Θεόν ασπόρως έτεκες, βροτών εις απολύτρωσιν, διό καμέ τροπούμενον, τής αμαρτίας τώ νόμω, στήριξον νόμω τώ θείω.

Καί τά λοιπά ως συνήθως, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Η ανάμνησις τού γεγονότος θαύματος εν Κολασσαίς, ήτοι εν Χώναις, παρά τού Αρχαγγέλου Μιχαήλ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια, δευτερούντες αυτά.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσι

Τρισηλίου θεότητος, παραστάτης φαιδρότατος, Μιχαήλ δεικνύμενος, αρχιστράτηγε, μετά τών άνω Δυνάμεων, κραυγάζεις γηθόμενος, Άγιος εί ο Πατήρ, Άγιος ο συνάναρχος, Λόγος Άγιος, καί τό Άγιον Πνεύμα, μία δόξα, βασιλεία, μία φύσις, μία θεότης καί δύναμις.

Καί τό είδός σου πύρινον, καί τό κάλλος θαυμάσιον, Μιχαήλ πρωτάγγελε, τή αϋλω γάρ, φύσει διέρχη τά πέρατα, πληρών τά προστάγματα, τού τών όλων ποιητού, δυνατός εν ισχυϊ σου γνωριζόμενος, καί πηγήν ιαμάτων τόν ναόν σου, εργαζόμενος τή κλήσει, τή σή αγία τιμώμενον.

Ο ποιών τούς, Αγγέλους σου, ώσπερ γέγραπται πνεύματα, καί τούς λειτουργούντάς σοι, φλόγα πύρινον, μέσον ταγμάτων πρωτεύοντα, ανέδειξας Κύριε, σού τών αρχαγγελικών, Μιχαήλ αρχιστράτηγον, σού ταίς νεύσεσι, καθυπείκοντα Λόγε, καί τόν ύμνον, τόν Τρισάγιον εν φόβω, αναφωνούντα τή δόξη σου.

Δόξα... Ήχος πλ. β'
Βυζαντίου

Συγχάρητε ημίν, άπασαι αι τών Αγγέλων ταξιαρχίαι, ο πρωτοστάτης γάρ υμών, καί ημέτερος προστάτης, ο μέγας Αρχιστράτηγος, τήν σήμερον ημέραν, εν τώ σεπτώ αυτού τεμένει, παραδόξως εποπτανόμενος αγιάζει, όθεν κατά χρέος, ανυμνούντες αυτόν, βοήσωμεν, Σκέπασον ημάς, εν τή σκέπη τών πτερύγων σου, μέγιστε Μιχαήλ Αρχάγγελε.

Καί νύν... Θεοτοκίον

Συγχάρητε ημίν, άπασαι αι τών Παρθένων χοροστασίαι, η προστασία γάρ ημών, καί μεσίτρια καί σκέπη, καί μέγα καταφύγιον, τήν σήμερον ημέραν, εν τή σεπτή αυτής καί θεία προμηθεία, τούς θλιβομένους παραμυθείται, όθεν κατά χρέος, ανυμνούντες αυτήν, βοήσωμεν, Σκέπασον ημάς, εν τή θεία προστασία σου, άχραντε Θεοτόκε Δέσποινα.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος α'
Τών ουρανίων ταγμάτων

Τών ουρανίων ταγμάτων ως προεξάρχοντα, καί τών εν γή ανθρώπων, ισχυρόν σε προστάτην, φύλακα καί ρύστην, υμνούμεν πιστώς, Μιχαήλ αρχιστράτηγε, καθικετεύοντες πάσης φθοροποιού, αλγηδόνος ημάς ρύσασθαι.

Στίχ. Ο ποιών τούς Αγγέλους αυτού πνεύματα, καί τούς λειτουργούς αυτού πυρός φλόγα

Ο ταξιάρχης τών άνω θείων Δυνάμεων, σήμερον συγκαλείται, τών βροτών τάς χορείας, μίαν σύν Αγγέλοις φαιδράν εορτήν, συγκροτήσαι συνάξεως, αυτών τής θείας, καί άμα ύμνον Θεώ, αναμέλψαι τόν Τρισάγιον.

Στίχ. Ευλόγει η ψυχή μου, τόν Κύριον· Κύριε ο Θεός μου εμεγαλύνθης σφοδρα.

Υπό τήν σκέπην τών θείων ημάς πτερύγων σου, προσπεφευγότας πίστει, Μιχαήλ θείε νόε, φύλαττε καί σκέπε εν βίω παντί, καί εν ώρα Αρχάγγελε, τή τού θανάτου συ πάρεσο βοηθός, ημίν πάσιν ευμενέστατος.

Δόξα... Καί νύν... Ήχος πλ. δ'

Ιωάννου Μοναχού

Ως ταξιάρχης καί πρόμαχος, καί τών Αγγέλων αρχηγός Αρχιστράτηγε, πάσης ανάγκης καί θλίψεως, νόσων καί δεινών αμαρτημάτων, ελευθέρωσον τούς ειλικρινώς ανυμνούντας, καί αιτουμένους σε ένδοξε, εναργώς ως άϋλος τόν άϋλον καθορών, καί τώ απροσίτω φωτί, τής τού Δεσπότου δόξης καταλαμπόμενος, αυτός γάρ φιλανθρώπως σάρκα δι' ημάς, εκ Παρθένου προσείληφε, σώσαι βουληθείς τό ανθρώπινον.

Απολυτίκιον Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ

Τών ουρανίων στρατιών Αρχιστράτηγε, δυσωπούμέν σε αεί ημείς οι ανάξιοι, ίνα ταίς σαίς δεήσεσι τειχίσης ημάς, σκέπη τών πτερύγων, τής αϋλου σου δόξης, φρουρών ημάς προσπίπτοντας, εκτενώς καί βοώντας, Εκ τών κινδύνων λύτρωσαι ημάς, ως ταξιάρχης τών άνω Δυνάμεων.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ

Οι τώ ναώ σου τώ σεπτώ παρεδρεύοντες, καί εν αυτώ σε ευσεβώς μεγαλύνοντες, ως τών αϋλων τάξεων πρωτεύοντα, πίστει δυσωπούμέν σε, Αρχιστράτηγε θείε, Πάσης εξελού ημάς, τής εχθρών τυραννίδος, καί τής μελλούσης ρύσαι απειλής, καί τής γεέννης ταίς σαίς παρακλήσεσι.

Δόξα... Καί νύν... Θεοτοκίον

Ού σιωπήσωμεν ποτέ Θεοτόκε, τάς δυναστείας σου λαλείν οι ανάξιοι, Ειμή γάρ σύ προϊστασο πρεσβεύουσα, τίς ημάς ερρύσατο, εκ τοσούτων κινδύνων, τίς δέ διε, φύλαξεν έως νύν ελευθέρους; Ουκ αποστώμεν Δέσποινα εκ σού, σούς γάρ δούλους σώζεις αεί, εκ παντοίων δεινών.

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ

Τών ασωμάτων λειτουργών Αρχιστράτηγε, ο κατ' ενώπιον Θεού παριστάμενος, καί ταίς εκείθεν λάμψεσι λαμπόμενος, φαίδρυνον αγίασον, τούς πιστώς σε υμνούντας, πάσης απολύτρωσαι, τού εχθρού τυρρανίδος, καί

ειρηναίαν α ίτησαι ζωήν, τοίς Βασιλεύσι καί πάσι τοίς πέρασι.

Δόξα... Καί νύν... Θεοτοκίον

Τή Θεοτόκω εκτενώς νύν προσδράμωμεν, αμαρτωλοί καί ταπεινοί, καί προσπέσωμεν, εν μετανοία κράζοντες εκ βάθους ψυχής, Δέσποινα βοήθησον, εφ' ημίν σπλαγχνισθείσα, σπεύσον απολλύμεθα, υπό πλήθους πταισμάτων, μη αποστρέψης σούς δούλους κενούς, σέ γάρ καί μόνην ελπίδα κεκτήμεθα.

Οι κανόνες τής Θεοτόκου καί τού Αρχιστρατήγου.

Ο Κανών τού Αρχιστρατήγου, ού η Ακροστιχίς.

Τόν πρώτον υμνώ τών ασωμάτων Νόων. Ιωσήφ.

Ωδή α' Ήχος δ'

Ανοίξω τό στόμα μου

Ταίς θείαις λαμπρότησι, καταστραπτόμενος πάντοτε, τόν νούν μου καταύγασον, τού ανυμνήσαί σε, Αρχιστράτηγε, τών άνω στρατευμάτων, απάντων κραταίωμα, τών προστρεχόντων σοι.

Ο Νούς ο προάναρχος, υπερκοσμίου ταξίαρχον, ανέδειξε τάξεως, σέ παναοίδιμε, Αρχιστράτηγε, καί φώς τών εν τώ σκότει, καί θείον αγλάϊσμα, τής Εκκλησίας αυτού.

Νόων προηγούμενος, τών ουρανίων εν πνεύματι, τοίς κάτω πανάριστε, Μιχαήλ δέδοσαι, περιτείχισμα, καί κράτος καί ρομφαία, εχθρούς κατασφάττουσα, καί αφανίζουσα.

Θεοτοκίον

Παρθένε πανάμωμε, η τών Αγγέλων ευπρέπεια, ανθρώπων βοήθεια, σύ μοι βοήθησον, θαλαττεύοντι, καί ζάλη αμαρτίας, αεί περιπίπτοντι, καί κινδυνεύοντι.

Έτερος Κανών

Ήχος ο αυτός

Ποίημα καί ούτος Ιωσήφ

Τώ όδηγήσαντι πάλαι

Τόν αρχηγόν τών Αγγέλων, τόν φωταυγή ήλιον, καταυγάζοντα τήν γήν, ταίς τών θαυμάτων λαμπρότησι, καί τήν αχλύν απελαύοντα, πάντοτε τών πειρασμών, χαρμονικώς υμνολογήσωμεν.

Ο τούς Αγγέλους ποιήσας, φλόγα πυρός Κύριε, αποπληρούντας δυνατώς, τό σόν πανάγιον θέλημα, μέσον αυτών διαλάμποντα, έδειξας ώσπερ αστέρα,

Μιχαήλ τόν αρχιστράτηγον.

Υμνολογήσωμεν πάντες, τόν αγαθόν Κύριον, τόν δωρησάμενον ημίν, τείχος εχθροίς απροσμάχητον, καί απερίτρεπτον έρεισμα πάντοτε, κινδύνων σώζοντα ημάς, τόν ιερόν Μιχαήλ.

Επιστασίαις σου θείαις, αποτελείς πάντοτε, τόν θείον οίκόν σου σαφώς, αμαρτωλών ιλαστήριον, αδικουμένων προσφύγιον, νόσων τε φυγαδευτήριον πασών, Θεού πρωτάγγελε.

Θραύσον υιούς τούς τής Άγαρ, διηνεκώς ένδοξε, εγειρομένους καθ' ημών, καί τής αυτών ημάς λύτρωσαι, καί προσδοκίας καί θλίψεως, όπως σε ως αγαθόν ημών αεί, προστάτην σέβωμεν.

Θεοτοκίον

Ακατανόητον θαύμα, πώς τοίς βροτοίς ήνωται, ο ακατάληπτος Θεός, εκ σού σαρκί καθ' υπόστασιν, αποτεχθείς Απειρόγαμε, σώζων με τόν υπαχθέντα τή φθορά, κλοπή τού όφεως.

Καταβασία

Ανοίξω τό στομα μου, καί πληρωθήσεται Πνεύματος, καί λόγον ερεύξομαι, τή Βασιλίδι Μητρί, καί οφθήσομαι, φαιδρώς πανηγυρίζων, καί άσω γηθόμενος, ταύτης τά θαύματα.

Ωδή γ'

Ουκ εν σοφία

Ρώμη τή θεία, Στρατηγέ τών Αγγέλων πανεύφημε, περιέρχη πάσαν γήν, δεινών ημάς εξαιρούμενος, τούς προσκαλουμένους σου, τό θείον όνομα.

Ως θείος κήρυξ, ως προστάτης πιστών ακαταίσχυντος, πλανωμένων οδηγός, καί παιδευτής εχρημάτισας, Θεού Αρχιστράτηγε, θεοειδέστατε.

Τού θείου φέγγους, καθαρώτερον έσοπτρον πέφηνας, τάς εμφάσεις τού σεπτού, λαμπρώς δεχόμενος Πνεύματος, Μιχαήλ πρωτάγγελε, αξιοθαύμαστε.

Θεοτοκίον

Ο τούς αϋλους, συστησάμενος Νόας βουλήματι, τή ενύλω σου γαστρί, οικεί βουλήσει Πανάμωμε, σαρκί καθορώμενος, ο αθεώρητος.

Άλλος

Ο στερεών βροντήν

Παρεστηκως τώ θρόνω τής Τριάδος, μεθέξει τε θεούμενος, καί φωτιζόμενος αστραπαίς, ταίς εκείθεν πεμπομέναις, τούς υμνητάς σου φώτισον, Θεού Αρχιστράτηγε.

Ο Ιησούς ως ειδέ σε ρομφαίαν, εν τή χειρί κατέχοντα, τή φοβερά σου καταπλαγείς, θεωρία ανεβόα, Τί νύν προστάσσεις Κύριε, ποιείν τώ οικέτη σου;

Τού Ιουδαίων έθνους άρχων πάλαι, υπό Θεού καθέστηκας, Χριστιανών δέ νύν βοηθός, Αρχιστράτηγε καί ρύστης, τών αναγκών ρυόμενος, αυτούς καί τών θλίψεων.

Μεγαλωσύνην δώμεν τώ Κυρίω, τώ δόντι ημίν πρόμαχον, καί εν ταίς θλίψεσι βοηθόν, Αρχιστράτηγον τόν μέγαν, δι' ού βαρβάρων πάντοτε, αθέων λυτρούμεθα.

Απαγωγή βιαία, τούς εις έθνη αλλόφυλα τυγχάνοντας, καί δουλωθέντας ελεεινώς, επανάγαγε εν τάχει, εκδυσωπών τον Ύψιστον, Θεόν Αρχιστράτηγε.

Θεοτοκίον

Ο Δανιήλ σε όρος γράφει μέγα, ο Αββακούμ δέ Άχραντε, όρος κατάσκιον αρεταίς, καί Δαυίδ τετυρωμένον, εξ ού ο Θεός σεσάρκωται, τόν κόσμον λυτρούμενος.

Καταβασία

Τούς σούς υμνολόγους Θεοτόκε, ως ζώσα καί άφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικόν στερέωσον, καί εν τή θεία δόξη σου, στεφάνων δόξης αξίωσον.

Κάθισμα Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Ουρανίων ταγμάτων δημαγωγός, λειτουργός τε τής δόξης τής θεϊκής, αξίως γενόμενος, τή προστάξει τού Κτίστου σου, Χριστιανών υπάρχεις μεσίτης σωτήριος, τή αϋλω σου δόξη, δεινών εξαιρούμενος, όθεν κατά χρέος, ευφημούμέν σε πάντες, τήν θείαν σου σήμερον, ανυμνούντες πανήγυριν, Μιχαήλ Αρχιστράτηγε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τά θειά σου θαύματα.

Δόξα... Καί νύν... Θεοτοκίον

Τήν Σοφίαν καί Λόγον εν σή γαστρί, συλλαβούσα αφλέκτως Μήτηρ Θεού, τώ κόσμω εκύησας, τόν τόν κόσμον κατέχοντα, καί εν αγκάλαις φέρεις, τόν φέροντα άπαντα, τόν τροφοδότην πάντων, καί Κτίστην τής κτίσεως, όθεν δυσωπώ σε, Παναγία Παρθένε, ρυσθήναι, πταισμάτων μου, όταν μέλλω παρίστασθαι, πρό προσώπου τού πλάστου μου, Δέσποινα Παρθένε αγνή, τήν σήν βοήθειαν τότε μοι δώρησαι, καί γάρ δύνασαι όσα θέλεις πανύμνητε.

Ωδή δ'

Ο καθήμενος εν δόξη

Νούς ο πρώτος υποστήσας, θείους Νόας βουλήματι, αρχηγόν εν μέσω, τούτων Μιχαήλ απειργάσατο, εν πανολβίω μεθέξει φωτιζόμενον, καί νοήσεσι, θεαρχικαίς αστραπτόμενον.

Ύμνον άγιον σύν θρόνοις, καί Αρχαίς καί Δυνάμεσι, καί ταίς Εξουσίαις, καί ταίς Ιεραίς Κυριότησιν, αναφωνείς τή Τριάδι, παναοίδιμε, Μιχαήλ διασώζων, ημάς τούς υμνούντάς σε.

Μεγαλύνωμεν τόν πάντων, Ποιητήν τε καί Κύριον, τόν δι' ευσπλαγχνίαν, δόντα περιφύλαγμα μέγιστον, καί αδιάπτωτον τείχος καί χαράκωμα, Μιχαήλ ημίν, τόν φωταυγή αρχιστράτηγον.

Θεοτοκίον

Νοερώς τού σού Παρθένε, τοκετού τό παράδοξον, εμυείτο πάλαι, ο Ιεροφάντωρ εν πνεύματι, όρος κατάσκιον βλέπων, σέ τρανότατα, εξ ού Άγιος ήλθε, Θεός σωματούμενος.

Άλλος

Ακήκοεν ο Προφήτης

Σεναχηρείμ ώσπερ πάλαι, λαόν πολύν κατέστρωσας, θεία προστάξει, τούς τής Άγαρ ούτω σύντριψον πολεμούντας, καί κατεπεμβαίνοντας, λαώ τώ πιστώ, Μιχαήλ Αρχιστράτηγε.

Ως φοβερόν σου τό είδος, ως θαυμαστόν καί τό κάλλος, Μιχαήλ όντως, ως υπέρλαμπρος η δόξα σου ήν δεικνύεις, πάσι τοίς ποθούσί σε, τελών εναργώς άπειρα θαύματα.

Περιπολεύων τά άνω, επιφοιτάς εκάστοτε, φρικτώς τοίς κάτω, συμφορών πολλών καί θλίψεων, καί κινδύνων πάντας εξαιρούμενος, Θεού Λειτουργέ, τούς προσκαλουμένους σε.

Ίδε ο τόπος ο θείος, ίδε τό καταφύγιον τών θλιβομένων, ίδε οίκος ο πανάγιος, όν ο μέγας όντως Αρχιστράτηγος, λιμένα πολλών, σωζομένων δείκνυσι.

Στύλος πυρός καθωράθης, Αρχίππω τώ θεόφρονι, ότε απείροις, δήμος άνομος κατέσπευδε, κατακλύσαι ύδασι τό τέμενος τό σόν, αρχηγέ τών άνω Δυνάμεων.

Θεοτοκίον

Ο Γαβριήλ σοι τό Χαίρε, εκ τών υψίστων Πάναγνε κομίζων ήλθε, σύν αυτώ ούν εκβοώμεν, Χαίρε πύλη, μόνος ήν διώδευσε, Χριστός ο Θεός, σώζων τό ανθρώπινον.

Καταβασία

Τήν ανεξιχνίαστον θείαν βουλήν, τής εκ τής Παρθένου σαρκώσεως, σού τού Υψίστου, ο Προφήτης, Αββακούμ, κατανοών εκραύγαζε. Δόξα τή δυνάμει σου Κύριε.

Ωδή ε'

Ασεβείς ουκ όψονται

Ώφθης προηγούμενος, τού πάλαι Ισραήλ, προσταγαίς τού εξ, Ιακώβ, τοίς βροτοίς παχύτητι, Οφθέντος σώματος, Μιχαήλ ασώματε, τών Αγγέλων αρχιστράτηγε.

Ταίς αϋλοις λάμψεσι, θεούμενος αεί, εν μεθέξει θεαρχική, καί ημίν τήν

έλλαμψιν, τήν φωτοδότιδα, χορηγείς Πρωτάγγελε, παραδόξως θαυμαζόμενος.

Ωραιώθη χάριτι, ο θείός σου ναός, εν αυτώ γάρ επιφοιτών, ιαμάτων πέλαγος, τούτον ανέδειξας, Μιχαήλ πρωτάγγελε, καί παθών αλεξητήριον.

Θεοτοκίον

Νοερών Αγγέλων σε, ανέδειξε Θεός, ανωτέραν καθυποδύς, τήν σήν μήτραν Άχραντε, τήν παναμώμητον, όν δυσώπει πάντοτε, οικτειρήσαι τούς υμνούντάς σε.

Άλλος

Ανάτειλόν μοι Κύριε

Προγνόντες τά θαυμάσια, ά έμελλες Πρωτάγγελε, επιτελείν έν τώ τεμένει σου, οι κήρυκες τού Λόγου, πάσι προκατήγγειλαν, ών ημείς τήν έκβασιν, καθορώμεν εναργή.

Τή θεία εισηγήσει σου, Αρχάγγελε ανίστησιν, οίκον ευκτήριον τώ ύδατι, τώ βρύοντι τήν χάριν, εισβλέψας τήν ίασιν, τής παιδός ο πάλαι σου, βλασφημών τάς δωρεάς.

Προσέλθετε αρύσασθε, χάριν ομού καί έλεος, τών ιαμάτων η αέναος, πηγή πρόκειται πάσιν, ήν ο Αρχιστράτηγος, θείαις επινεύσεσιν, εφανέρωσεν ημίν.

Τυφλοίς τό βλέπειν δίδοται, καί τοίς κωφοίς ευήκοον, χωλοίς δέ πάσιν ευδρομία, αλάλοις ευφωνία, εν θείω οίκω σου, Μιχαήλ πρωτάγγελε, παροχεύ τών αγαθών.

Βαρβάρων θραύσον φρύαγμα, ζητούντων σου τό ποίμνιον, εξαφανίσαι Αρχιστράτηγε, τούς δέ γε συλληφθέντας, υπ' αυτών ανάρρυσαι, αιχμαλώτους πάντοτε, ευφημείν σε σύν ημίν.

Θεοτοκίον

Αγγελικών Δυνάμεων, Παρθένε υπερέχουσα, καί τετοκυία τόν απάντων, Θεόν καί βασιλέα, σύν αυτοίς ικέτευε, Παναγία Δέσποινα, διασώζεσθαι ημάς.

Καταβασία

Εξέστη τά σύμπαντα, επί τή θεία δόξη σου, σύ γάρ απειρόγαμε Παρθένε, έσχες εν μήτρα, τόν επί πάντων Θεόν, καί τέτοκας άχρονον Υιόν, πάσι τοίς υμνούσί σε, σωτηρίαν βραβεύοντα.

Ωδή ς'

Εβόησε, Προτυπών

Αγάλλεται, τών Πιστών η πληθύς ευφημούσά σε, καί δοξάζει, τόν πανάγιον Λόγον συνάψαντα, τούς βροτούς Αγγέλοις, Μιχαήλ τή αυτού αγαθότητι.

Στρατόπεδα, Ισραήλ διεσώσω φαινόμενος, καί τάς θείας προσταγάς, εκτελών Αρχιστράτηγε, καί τούς εχθρούς καθείλες, καί εις τέλος αυτούς εξηφάνισας.

Ως ειδέ σε, Ιησούς τού Ναυή προσεκύνησεν, ερωτήσας, τό σεπτόν σου καί άγιον όνομα, Αρχηγέ Αγγέλων, ευλαβεία καί φόβω κρατούμενος.

Θεοτοκίον

Μακάριος, ο λαός ο αεί μακαρίζων σε, μακαρία, η τεκούσα Θεόν τόν μακάριον, τούς βροτούς δι' οίκτον, απορρήτω ενώσει θεώσαντα.

Άλλος

Ζάλη με λογισμών

Τούς πάλαι βουληθέντας αφανίσαι, ποταμίοις ρεύμασι τό ύδωρ τής ευλογίας, ο παρέσχες Αρχάγγελε πιστοίς, απέδειξας απράκτους, επιστασία φρικώδει σου.

Πάλαι μέν Μωϋσής έπληξε πέτραν, καί ερρύη ύδατα, νύν δέ σου ρήξαντος πέτραν, κατεπόθησαν ρείθρα ποταμών, εισέτι μαρτυρούντα, τό θαύμα θείε Αρχάγγελε.

Οι πάλαι τή μανία τών ειδώλων, ζόφον περικείμενοι κακοπιστίας, τώ θείω προσερχόμενοι οίκω σου,τό φώς τής γνώσεως, ευχαίς σου περιφανώς εκομίζοντο.

Τό είδος καί η φύσις σου πυρίνη, πιστούς μέν φωτίζουσα, φλογίζουσα δέ απίστους, Αρχιστράτηγε θείων λειτουργών, προστάτα τών εν πίστει, ειλικρινεί ευφημούντων σε.

Τήν θείαν τού Δεσπότου ευσπλαγχνίαν, εν πάσι μιμούμενος, ορέγεις ταπεινοίς χείρα, καί ιάσαι συντρίμματα ψυχών, καί παύεις τάς οδύνας, τών προστρεχόντων σοι Άγιε.

Θεοτοκίον

Τόμον σε προεώρα ο Προφήτης, εν ώ Λόγος γέγραπται, δακτύλω Πατρός Παρθένε, όν ικέτευε βίβλω τής ζωής, ημάς καταγραφήναι, τούς ευσεβώς σε δοξάζοντας.

Καταβασία

Τήν θείαν ταύτην καί πάντιμον, τελούντες εορτήν οι θεόφρονες, τής Θεομήτορος, δεύτε τάς χείρας κροτήσωμεν, τόν εξ αυτής τεχθέντα Θεόν δοξάζοντες.

Κοντάκιον Ήχος β'

Αυτόμελον

Αρχιστράτηγε Θεού, λειτουργέ θείας δόξης, τών ανθρώπων οδηγέ, καί αρχηγέ τών Ασωμάτων, τό συμφέρον ημίν αίτησαι, καί τό μέγα έλεος, ως τών Ασωμάτων αρχιστράτηγος.

Ο Οίκος

Έφης φιλάνθρωπε εν Γραφαίς σου, πλήθη χαίρειν Αγγέλων εν ουρανώ, επ' ανθρώπω ενί μετανοούντι αθάνατε, όθεν ημείς οι εν ανομίαις, αναμάρτητε

μόνε καρδιογνώστα, σέ δυσωπείν καθ' εκάστην τολμώμεν ως εύσπλαγχνον, οικτείραι, καί καταπέμψαι αναξίοις κατάνυξιν Δέσποτα, παρέχων ημίν συγχώρησιν, υπέρ πάντων ημών γάρ πρεσβεύει σοι, ο τών Ασωμάτων αρχιστράτηγος.

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΣΤ' τού αυτού μηνός, η Ανάμνησις τού γενομένου παραδόξου θαύματος εν Κολασσαίς τής Φρυγίας παρά τού αρχιστρατήγου Μιχαήλ.

Στίχοι

- Ώφθης Μιχαήλ Νώε σώ ναώ νέος,
- Χώνη ποταμών τόν κατακλυσμόν λύων.
- Ρούν Μιχαήλ ποταμών χώνευσε, Νόων αγός, έκτη.

Τή αυτή ημέρα, Άθλησις τών Αγίων Μαρτύρων Ευδοξίου, Ζήνωνος, Ρωμύλου καί Μακαρίου.

Στίχοι

- Τμήθησαν Ευδόξιος, Ρωμύλος, Ζήνων,
- Καί Μακάριος, μακαριστοί, τού τέλους!

Τή αυτή ημέρα, οι Άγιοι εκατόν τέσσαρες καί χίλιοι στρατιώτοι, καί η αγία Καλοδότη, ξίφει τελειούνται.

Στίχοι

- Δεκάς δεκαπλή καί χιλιάς Μαρτύρων,
- Καί τετράς απλή συντελευτώσι ξίφει.
- Καλοδότη, τμηθείσα τήν κάραν ξίφει,
- Καλών δοτήρι σοί παρίσταται Λόγε.

Τή αυτή ημέρα, οι Άγιοι Φαύστος ο πρεσβύτερος, Μακάριος, Ανδρέας, καί ο μοναχός Βίβος, Κυριακός, Διονύσιος, Ανδρόνικος, καί αι άγιαι Ανδροπελαγία, καί θέκλα, καί θεόκτιστος ο ναύκληρος, καί έτερος Κυριακός ο Δημότης, ξίφει τελειούνται.

Στίχοι

- Τήν γήν ο Φαύστος εκλιπών διά ξίφους,
- Πρός φαύσιν ήρθη τής άνω κατοικίας.
- Ξίφει θανόντες Μακάριος, Ανδρέας,
- Ώδευσαν άμφω τήν μακαρίαν τρίβον.
- Τόν αρετής στέφανον αρνείται Βίβος,
- Ει μή στέφανον καί τόν εκ ξίφους λάβη.
- Διονυσίω συμφρονήσαντας δύω,
- Διονυσίω συγκατέκτεινε ξίφος.
- Ως ανδρική τις ήν Ανδροπελαγία,
- Πρός τήν κεφαλής εκτομήν, ώς η θέκλα.
- Θεόκτιστος ναύκληρος εκτμηθείς κάραν,

- Ψυχής ιθύνει τό σκάφος πρός τόν πόλον.
- Ο Κυριάκος Δημότης, αλλ' εκ ξίφους,
- Συνθιασώτης τού χορού τών Μαρτύρων.

Τή αυτή ημέρα, Συνέδραμε καί τά εγκαίνια τής Υπεραγίας Θεοτόκου εις τό Δεύτερον εν τώ οίκω τής Αγίας Ειρήνης.

Ταίς αυτών γίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Ο διασώσας εν πυρί

Αποσκοπήσας Δανιήλ, είδε συνεστώτά σε μάκαρ, καί συνετίζοντα αυτόν, εν Ουβάλ ήν εώρακεν όρασιν, Γαβριηλ αστραπόμορφε, Μιχαήλ τε μετά ταύτα αυτώ δηλούντα.

Τούς τών Αγγέλων οδηγούς, τούς θεοειδείς καί φωσφόρους, τόν Μιχαήλ καί Γαβριήλ, τούς ημών αγαθούς παρακλήτορας, καί προστάτας καί φύλακας ευφημήσωμεν, εν πίστει μεγαλωφώνως.

Ωραίος καί πανευπρεπής, καί θεοειδής χρηματίσας, δημαγωγός τών λειτουργών, τών αϋλων εν πνεύματι γέγονας, Μιχαήλ φωταυγέστατε, σύν αυτοίς ούν υπέρ πάντων ημών δυσώπει.

Θεοτοκίον

Νού τού μεγάλου αληθώς, Λόγον τόν αϊδιον Κόρη, εν σοί αρρήτως καί φρικτώς κατοικήσαντα βλέπων εβόησε, Γαβριήλ ο Αρχάγγελος, Χαίρε θρόνε τού Υψίστου ευλογημένη.

Άλλος

Τή εικόνι τή χρυσή

Συνεστώτά σε ποτέ, ο Δανιήλ ως κατείδε, δειλία όλως ληφθείς πεφόβηται, καί τοίς ποσί τοίς σοίς προσπελάσας, συνετίζεται σαφώς, μυστηρίων αφανών, τήν δήλωσιν κραυγάζων, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Τούς εθνών επαγωγαίς, απαγομένους δεσμίους, εις τόπους λίαν μακράν τυγχάνοντας, σέ δέ προστάτην προσκαλουμένους, Αρχιστράτηγε Θεού, προσεπανάγεις εν χαρά, κραυγάζοντας, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Τών Αγγέλων οι χοροί, κατανοούντές σε πόθω, χοροστασίαις βροτών υμνούμενον, χαράς πληρούνται αδιαδόχου, καί δοξάζουσι Θεόν, τόν διά σπλάγχνα οικτιρμών, τούς κάτω συνάψαντα, τοίς ουρανοίς μυστικώς, Αρχάγγελε Μιχαήλ.

Ποίος τόπος αμοιρεί, τών σών απείρων θαυμάτων, ποία σε πόλις ουκ έχει πρόμαχον, ποία ψυχή καταπονουμένων, ού καλεί σε βοηθόν, τόν

Αρχιστράτηγον Θεού;χαρμονικώς βοώσα, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Πλανωμένων οδηγός, αδικουμένων προστάτης, ολιγοψύχων παραμυθία τε, χειμαζομένων υπό πνευμάτων, γαληνότατος λιμήν, αμαρτωλών εγγυητής, νοσούντων επίσκεψις, εσκοτισμένων φωστήρ, σύ εί Αργάγγελε Θεού.

Θεοτοκίον

Τόν Σωτήρα καί Θεόν, καί Λυτρωτήν καί Δεσπότην, σαρκί τεκούσα πάναγνε Δέσποινα, τούτον αεί άχραντε δυσώπει, όπως λύσιν τών δεινών καί πολλών αμαρτιών τήν άφεσιν λάβωμεν, υμνολογούντες αυτού, τούς υπέρ νούν οικτιρμούς.

Καταβασία

Ουκ ελάτρευσαν τή κτίσει οι θεόφρονες, παρά τόν Κτίσαντα, αλλά πυρός απειλήν; ανδρείως πατήσαντες, χαίροντες έψαλλον. Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

## Ωδή η'

Λυτρωτά τού παντός

Νοερών ασωμάτων ταξίαρχος, πρεσβευτής τών ανθρώπων σωτήριος, θείος Θεού διάκονος, Μιχαήλ ανεδείχθης, μέλπων απαύστως, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον.

Οι φωστήρες οι δύο οι πάμφωτοι, Μιχαήλ Γαβριήλ τε Αρχάγγελοι, τρισσοφαούς θεότητος, φρυκτωρίαις τήν κτίσιν φωταγωγούντες, τών δεινών τήν ομίχλην διώκετε.

Ως καλοί κυβερνήται Αρχάγγελοι, πρός λιμένα τού θείου θελήματος, τήν ψυχικην ολκάδα μου, διασώσατε ζάλη αμαρτημάτων, περιπίπτουσαν καί κινδυνεύουσαν.

Θεοτοκίον

Νυμφοστόλος ο θείος Αρχάγγελος, επιστάς προσεφώνει τό Χαίρέ σοι, Νύμφη Θεού ανύμφευτε, τών Αγγέλων η δόξα καί τών ανθρώπων, τό διάσωσμα καί περιτείχισμα.

## Άλλος

Γή καί πάντα τά εν αυτή

Γήν διέρχη ως αστραπή, βούλημα τό θείον εκπληρών, περιπολείς τούς ουρανούς, προηγούμενος τών Αγγέλων, τό κλέος σου μέγα, υπέρ νούν δέ τά άπειρα θαύματα, άπερ επί πάσαν, φρικτώς τελείς τήν κτίσιν.

Οι αυτόπται τού δι' ημάς, σώματι φανέντος επί γής, Φίλιππος ο πανευκλεής, καί ο μέγιστος θεολόγος, εμπνεύσεσι θείαις, τήν αέναον χάριν Πρωτάγγελε, σού τών ιαμάτων, προλέγουσι πανσόφως.

Ράβδω πάλαι ο Μωϋσής, έτεμε τήν θάλασσαν, καί νύν, ο Αρχιστράτηγος

Θεού, τή δυνάμει τή αοράτω, ως ράβδω φανείση, τά ατάκτως φερόμενα ύδατα, ώσπερ εν χωνεία, τή πέτρα παραπέμπει.

Ως παμμέγιστος ουρανός, δείκνυται ο οίκος ο σεπτός, τού τών Αγγέλων αρχηγού, εν ώ θαύμασιν ώσπερ άστροις, φωτίζονται πάσαι, τών πιστών αι καρδίαι δοξάζουσαι, τόν αγαθοδότην Θεόν εις τούς αιώνας.

Ώσπερ πάλαι τού Βαλαάμ, τήν άλογον εκώλυσας ορμήν, τή τού αλόγου, Στρατηγέ τών Αγγέλων, εν λόγω φρικώδει στάσει, υιούς τούς τής Άγαρ κινουμένους, αλόγως εκάστοτε καθ' ημών απράκτους, απόδειξον ευχαίς σου.

Θεοτοκίον

Πύρ εκύησας ουδαμώς, φλογίσαν σου Παρθένε τήν νηδύν, Λόγον εγέννησας Πατρός, εξαιρούμενον αλογίας, τούς λόγους τού πλάνου υπακούσαντας, καί παρακούσαντας, τού πεποιηκότος Θεού τού φιλανθρώπου.

Καταβασία

Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

## Ωδή θ'

Εύα μέν τώ τής παρακοής

Ιδού η ευπρέπεια τού σού, Αρχάγγελε, θείου οίκου διαλάμπουσα, τή φωταυγεί σου παρρησία, θαυμάτων αστραπάς επαφίησι, καί σκότος νοσημάτων εκάστοτε, αποδιώκει θεία χάριτι.

Ως ζεύγος ωραίον καί τερπνόν υπάρχοντες, τού Δεσπότου τά προστάγματα, τοίς επί γής διακονείτε, Αρχάγγελοι δεινών εξαιρούμενοι, καί πάσι φωτισμόν επιπέμποντες, σωτηριώδη θείω Πνεύματι.

Σήμερον συγχαίρουσιν ημίν ασώματοι, θείοι Νόες ανυμνούμενον, βλέποντες τούτον υπό πάντων, τόν μέγαν καί φαιδρόν Αρχιστράτηγον, ημίν τε φωτισμόν εξαιτούμενον, καί τών πταισμάτων απολύτρωσιν.

Η θεία δυάς καί φωταυγής, Αρχάγγελοι, Μιχαήλ τε πανσεβάσμιε, καί Γαβριήλ δεδοξασμένε, Τριάδι τή σεπτή παριστάμενοι, πταισμάτων ανοχής καί κολάσεως, αιωνιζούσης ημάς ρύσασθε.

Θεοτοκίον

Φωνή τού Αγγέλου Γαβριήλ συνέλαβες, Θεόν Λόγον Παναμώμητε, λόγω τάς άνω στρατηγίας, ποιήσαντα καί λόγον παρέχοντα, υμνείν τήν υπέρ λόγον καί έννοιαν, τούτου αγίαν συγκατάβασιν.

## Άλλος

Εποίησε κράτος

Ως ώφθης ανθρώποις, διά σπλάγχνα οικτιρμών, επέστησας Αγγέλους τούτοις

Λόγε, διαφυλάττων αυτούς, από βλάβης πονηράς, μεθ' ών Μιχαήλ τόν θαυμαστόν, δι' ού σε δυσωπούμεν, πάσιν ημίν δώρησαι, ιλασμόν πταισμάτων.

Ισχύν σε καί κράτος, ο πιστός σε Βασιλεύς, Πρωτάγγελε καί σύμμαχον πρός έθνη, πολέμια καί δεινά, κεκτημένος τήν αυτών, τροπούται απόνοιαν αεί, καί ευχαριστηρίους, διά σού τώ Πλαστουργώ ωδάς αναπέμπει.

Ωδήν προσφωνεί σοι, άπας πάντοτε πιστός, τώ μέλποντι απαύστως εν υψίστοις, σύν μυριάσι πολλαίς, τήν τρισάγιον φωνήν, Προσάγαγε πάντας τώ Θεώ, εκ συμφορών καί πόνων, εκλυτρούμενος ημάς, αρχηγέ Αγγέλων.

Σκιρτάτω η κτίσις, ανυμνούσα μυστικώς, τόν μέγαν Αρχάγγελον Κυρίου, υπάρχει γάρ οδηγός πλανωμένων, καί λιμήν πολλών, συμφοραίς καί πειρασμοίς, καί χειμαζομένων, καί νοσούντων ιατρός, καί θαυμάτων βρύσις.

Ηγίασας τούτον τόν σεβάσμιον ναόν, καί έδειξας αυτόν πηγήν θαυμάτων, εν ώ εστώτες ομού, εκ, βοώμέν σοι πιστώς, Αρχάγγελε αίτησαι ημίν, αμαρτημάτων λύσιν, συμφορών απαλλαγήν, καί πολλήν γαλήνην.

Θεοτοκίον

Φανείσα Παρθένε, πλατυτέρα ουρανών, εχώρησας Θεόν ανερμηνεύτως, όν Ασωμάτων χοροί, ανυμνούσι μυστικώς, αυτόν ούν ικέτευε αγνή, πάντας ημάς σωθήναι, τούς σέ μακαρίζοντας, φωναίς ασιγήτοις.

Καταβασία

Άπας γηγενής, σκιρτάτω τώ πνεύματι λαμπαδουχούμενος, πανηγυριζέτω δέ, αύλων Νόων φύσις γεραίρουσα, τήν ιερά θαυμάσια τής Θεομήτορος, καί βοάτω. Χαίροις παμμακάριστε, Θεοτόκε Αγνή αειπάρθενε.

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Αθροίσθητε καί ίδετε, η ανθρωπότης άπασα, θεάσασθε ξένον θαύμα, τό τελεσθέν εν ταίς Χώναις, Μιχαήλ ο ασώματος, ράβδω τήν πέτραν έρρηξε, καί ποταμους ηκόντισε, κατερχομένους ατάκτως, επί τό άγιον ύδωρ.

Θεοτοκίον  όμοιον

Εικόνος ής μετέλαβον, θεουργικώς τής κρείττονος, εξώσθην, οίμοι ο τάλας! δι' ακρασίας τής πάλαι, σύ δέ Χριστέ ως εύσπλαγχνος, αρρήτως κοινωνήσας μοι, τού χείρονος μετείληφας, καινοποιήσας Σωτήρ με, παρθενικών εξ αιμάτων.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'

Τών ουρανίων ταγμάτων

Αγγελικώς οι εν κόσμω πανηγυρίζοντες, τώ επί θρόνου δόξης, Θεώ εποχουμένω, βοήσωμεν τόν ύμνον, Άγιος εί, ο Πατήρ ο ουράνιος, ο συναΐδιος

Λόγος Άγιος εί, καί τό Πνεύμα τό Πανάγιον. (Δίς)

Τών ουρανίων πρωτεύων, εν παρρησία πολλή, καί παρεστως τώ θρόνω, τώ αστέκτω εν δόξη, αυτόπτα τών αρρήτων, σώσον ημάς, Μιχαήλ αρχιστράτηγε, τούς εν ανάγκαις κινδύνων καί πειρασμών, ταίς πρεσβείαις σου δεόμεθα.

Τών ασωμάτων Αγγέλων, πρώτος υπάρχων σαφώς, καί λειτουργός τής θείας, φωταυγίας εκείνης, αυτόπτης τε καί μύστης, σώσον ημάς, Μιχαήλ αρχιστράτηγε, τούς ετησίως τιμώντάς σε ευσεβώς, καί υμνούντας τήν Τριάδα πιστώς.

Δόξα... Ήχος πλ. α'

Όπου επισκιάσει η χάρις σου Αρχάγγελε, εκείθεν τού διαβόλου διώκεται η δύναμις, ου φέρει γάρ τώ φωτί σου προσμένειν, ο πεσών Εωσφόρος, Διό αιτούμέν σε, τά πυρφόρα αυτού βέλη, τά καθ' ημών κινούμενα, απόσβεσον τή μεσιτεία σου, λυτρούμενος ημάς, εκ τών σκανδάλων αυτού, αξιύμνητε Μιχαήλ Αρχάγγελε.

Καί νύν... Θεοτοκίον

Μακαρίζομέν σε, Θεοτόκε παρθένε, καί δοξάζομέν σε οι πιστοί κατά χρέος, τήν πόλιν τήν άσειστον, τό τείχος τό άρρηκτον, τήν αρραγή προστασίαν, καί καταφυγή τών ψυχών ημών.

Δοξολογία μεγάλη καί απόλυσις

Εις τήν Λειτουργίαν, Τυπικά, καί από τού Κανόνος, Ωδή γ' καί ς'.

Προκείμενον Ήχος δ'

Ο ποιών τούς Αγγέλους αυτού πνεύματα, καί τούς λειτουργούς αυτού πυρός φλόγα

Στίχ. Ευλόγει η ψυχή μου, τόν Κύριον· Κύριε ο Θεός μου εμεγαλύνθης σφοδρα.

Ο Απόστολος πρός Εβραίους

Αδελφοί, εί ο δι' Αγγέλων λαληθείς λόγος...

Αλληλούϊα

Αινείτε τόν Κύριον εκ τών ουρανών, Αινείτε αυτόν εν τοίς υψίστοις.

Ευαγγέλιον κατά Λουκάν

Είπεν ο Κύριος ο ακούων υμών...

Κοινωνικόν

Ο ποιών τούς Αγγέλους αυτού πνεύματα, καί τούς λειτουργούς αυτού πυρός φλόγα. Αλληλούϊα.

---

Αρχή

**ΤΗ Ζ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Προεόρτια τής Γεννήσεως τής Υπεραγίας Θεοτόκου, καί τού Αγίου Μάρτυρος Σώζοντος.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τής Θεοτόκου τρία καί τού Αγίου τρία.

### Τής Θεοτόκου

Ήχος α'
Τών ουρανίων ταγμάτων

Τής παγκοσμίου τώ κόσμω, χαράς ανέτειλαν, αι νοηταί ακτίνες, προμηνύουσαι πάσι, τόν ήλιον τής δόξης, Χριστόν τόν Θεόν, εν τή γεννήσει σου Άχραντε, σύ γάρ μεσίτις εδείχθης τής αληθούς, ευφροσύνης τε καί χάριτος.

Η προεόρτιος αύτη, δόξα σου Άχραντε, προκαταγγέλλει πάσι, τάς τής σής ευμενείας, λαοίς ευεργεσίας, σύ γάρ τής νύν, ευφροσύνης η πρόξενος, καί τής μελλούσης αιτία χαράς ημίν, καί τρυφής θείας απόλαυσις.

Η θεοχώρητος Κόρη, καί Θεοτόκος αγνή, τών Προφητών τό κλέος, τού Δαυϊδ η θυγάτηρ, σήμερον γεννάται εξ Ιωακείμ, καί τής Άννης τής σώφρονος, καί τού Αδάμ τήν κατάραν τήν εις ημάς, ανατρέπει εν τώ τόκω αυτής.

### Τού Αγίου

Ήχος δ'
Έδωκας σημείωσιν

Σθένει δυναμούμενος, τό ασθενές σου Μακάριε, τού ημών τήν ασθένειαν, θελήσει φορέσαντος, τών Μαρτύρων δρόμον, διήνυσας χαίρων, καί τόν ανίσχυρον εχθρόν, ωραιοτάτοις ποσί συνέτριψας, διό σοι ανεπλέξατο, νικητικά διαδήματα, Ιησούς ο φιλάνθρωπος καί Σωτήρ τών ψυχών ημών.

Εχθρούς ετραυμάτισας, τώ τραυματίζεσθαι Ένδοξε, καί εις γήν κατηδάφισας, Σταυρόν οπλισάμενος, καί τήν παντευχίαν, περιβεβλημένος, τήν αδιάρρηκτον σαφώς, καί τήν αγάπην ενστερνισάμενος, τού σέ πρός τά βασίλεια, τά νοητά μετοικήσαντος, ως αήττητον Μάρτυρα, ως ουράνιον άνθρωπον.

Σωτήρα καί Κύριον, τόν υπέρ σού τά εκούσια, υποστάντα παθήματα, σαφώς εκμιμούμενος, αθλοφόρε Σώζων, σαυτόν εκουσίως, πρός αικισμούς πρός εκτομάς, πρός ανυποίστους βασάνους δέδωκας, διό σε αντημείψατο, επουρανίοις χαρίσμασι, καί πηγήν ιαμάτων σε, τοίς ποθούσιν ανέδειξε.

Δόξα... Καί νύν... Ήχος δ'

Τήν πάνσεπτόν σου γέννησιν, Παναγία Παρθένε αγνή, τών Αγγέλων τά πλήθη εν ουρανώ, καί ανθρώπων τό γένος επί τής γής μακαρίζομεν, ότι Μήτηρ γέγονας, τού Ποιητού τών απάντων Χριστού τού Θεού, Αυτόν ικετεύουσα υπέρ ημών μή παύση δεόμεθα, τών εις σέ μετά Θεόν τάς ελπίδας θεμένων, Θεοτόκε πανύμνητε καί απειρόγαμε.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'
Ώ τού παραδόξου θαύματος

Ώ τού παραδόξου θαύματος! ως εξ αγόνου μητρός, καί ακάρπου στειρώσεως, ράβδος άνθος φέρουσα, αναφύεται σήμερον, η Θεομήτωρ καί απειρόγαμος, εκ τών δικαίων Ιωακείμ καί' Άννης, όθεν καί χαίρει νύν, Προφητών τό σύστημα, Πατριαρχών, πάσα η ομήγυρις, εν τή γεννήσει αυτής.

Στίχ. Άκουσον, θύγατερ, καί ίδε, καί κλίνον τό ούς σου, καί επιλάθου τού λαού σου, καί τού οίκου τού πατρός σου, καί επιθυμήσει ο Βασιλεύς τού κάλλους σου.

Σήμερον Δαυϊδ αγάλλεται, καί, Ιεσσαί νύν σκιρτά καί Λευϊ με, γαλύνεται, καί χαίρει τώ πνεύματι, Ιωακείμ ο δίκαιος, καί ατεκνία τής Άννης λύεται, τή σή γεννήσει Μαρία άχραντε, θεοχαρίτωτε, καί Αγγέλων σύστημα, σύν τοίς βροτοίς, πάντες μακαρίζομεν, τήν θείαν μήτραν σου.

Στιχ. Τό πρόσωπόν σου λιτανεύσουσιν οι πλούσιοι τού λαού.

Χαίροις τών βροτών τό σύστημα, Χαίρε Κυρίου ναέ, χαίρε όρος τό άγιον, χαίρε θεία τράπεζα, χαίρε λύχνε ολόφωτε, χαίρε τό κλέος τών ορθοδόξων σεμνή, χαίρε Μαρία, Μήτηρ Χριστού τού Θεού, χαίρε πανάμωμε, χαίρε θρόνε πύρινε, χαίρε σκηνή, χαίρε βάτε άφλεκτε, χαίρε η πάντων ελπίς.

Δόξα... Καί νύν... Ήχος δ'
Γερμανού

Η παγκόσμιος, χαρά, εκ τών δικαίων ανέτειλεν ημίν, εξ Ιωακείμ καί τής Άννης, η πανύμνητος Παρθένος, ήτις δι' υπερβολήν καθαρότητος, ναός Θεού έμψυχος γίνεται, καί μόνη κατά αλήθειαν, Θεοτόκος γνωρίζεται, Αυτής ταίς ικεσίαις Χριστέ ο Θεός, τώ κόσμω τήν ειρήνην κατάπεμψον, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Απολυτίκιον Ήχος δ'
Κατεπλάγη Ιωσήφ

Εκ τής ρίζης Ιεσσαί, καί εξ οσφύος τού Δαυϊδ, η θεόπαις Μαριάμ, τίκτεται σήμερον ημίν, διό καί χαίρει η σύμπασα καί καινουργείται, συγχαίρει τε ομού, ο ουρανός καί η γή, Αινέσατε αυτήν αι πατριαί τών εθνών, Ιωακείμ ευφραίνεται, καί Άννα πανηγυρίζει κραυγάζουσα, Η στείρα τίκτει, τήν Θεοτόκον, καί τροφόν τής ζωής ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα  Ήχος α'
Τού λίθου σφραγισθέντος

Τεχθείσα παραδόξως, στειρωτικών εξ ωδίνων, παρθενικών εκ λαγόνων, εκύησας υπέρ φύσιν, ωραίος φανείσα γάρ βλαστός, εξήνθησας τώ κόσμω τήν ζωήν, διά τούτο αι Δυνάμεις τών ουρανών, βοώσί σοι Θεοτόκε, Δόξα τή νύν προόδω σου σεμνή, δόξα τή παρθενία σου, δόξα τή κυοφορία σου, μόνη Πανάχραντε.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα  Ήχος πλ. α'
Τόν συνάναρχον Λόγον

Τά ουράνια πάντα νύν επαγάλλονται, τών ανθρώπων τό γένος συνεορτάζει αυτοίς, καί οι Προφήται μυστικώς συνευφραίνονται, ήν γάρ προείδον τυπικώς, εν ταίς αρχαίαις γενεαίς, βάτον καί στάμνον καί ράβδον, νεφέλην πύλην καί θρόνον, καί μέγα όρος, γεννάται σήμερον.

Δόξα... Καί νύν... Τό αυτό

Οι Κανόνες, ο Προεόρτιος τής Θεοτόκου, καί τού Αγίου.

Τής Θεοτόκου, ού ή Ακροστιχίς

Γέννησιν υμνώ τής θεόπαιδος Κόρης. Ιωσήφ.

Ωδή α  Ήχος δ'
Ανοίξω τό στόμα μου

Γηθόμενοι σήμερον, μετ' ευφροσύνης υμνήσωμεν, τό θείον γενέθλιον, τής Θεομήτορος, καί γάρ τέτοκε, χαράν τή οικουμένη, λύπην Προμήτορος εξαφανίσασα.

Εκ στείρας προέρχεται, τής αμαρτίας η στείρωσις, ήν νόμος προέγραψε, καί τά κηρύγματα, προεδήλωσαν, τών θείων θεηγόρων, η πάναγνος Δέσποινα, καί παναμώμητος.

Ναός καί παλάτιον, τού Βασιλέως γεγένησαι, έν ώ τήν κατοίκησιν αυτού ποιούμενος, οικητήριον, τής Αγίας Τριάδος, πιστούς απεργάσεται ο υπερούσιος.

Νυμφών ωραιότατος, θρόνος Θεού υψηλότατος, εδείχθης Θεόνυμφε, εν ώ καθίσας σαρκί, τούς καθημένους, εν σκότει απωλείας, εγερεί πρός γνώσεως, φώς αγαθότητι.

Κανων τού Αγίου. Ποίημα Θεοφάνους.

Ωδή α' Ήχος δ'

Θαλάσσης τό ερυθραίον

Σωθήναι τούς τήν σεπτήν σου σήμερον, μνήμην γεραίροντας, από παντοίων Σώζων Πειρασμών, καί κινδύνων καί θλίψεων, τόν ευεργέτην Κύριον, νύν καθικέτευε πανένδοξε.

Αστέρα πυρσοφαή ανέδειξε, Χριστός εν ύψει σε, τής Εκκλησίας Μάρτυς αληθώς, ταίς τών άθλων σου λάμψεσι, τήν οικουμένην άπασαν, καταλαμπρύνοντα πανεύφημε.

Τοξεύσας υπομονής τοίς βέλεσι, τούς τού Κυρίου εχθρούς, καί τής ανδρείας ξίφει τά αυτών, διακόψας στρατεύματα, νικητικόν διάδημα, Σώζων απείληφας μακάριε.

Θεοτοκίον

Ασπόρως τώ τού Πατρός βουλήματι, εκ θείου Πνεύματος, τόν τού Θεού συνείληφας Υιόν, καί σαρκί απεκύησας, τόν εκ Πατρός αμήτορα, καί δι' ημάς εκ σού απάτορα.

Τής Θεοτόκου

Ωδή γ'

Ότι στείρα έτεκεν

Η γή η κατάκαρπος, εκ γής ακάρπου γεννάται, ήτις καρπογονήσει, τόν γεωργόν τών αγαθών, καί ζωηφόρον άσταχυν, τόν τρέφοντα πάντας θείω νεύματι.

Σήμερον εβλάστησε, τής Παρθενίας η ράβδος, εξ ής ανθήσει άνθος, ο φυτουργός ημών Θεός, τά πονηρά βλαστήματα, αποτέμνων άκρα αγαθότητι.

Ίδε τό αλάξευτον, όρος εκ πέτρας αγόνου, αποτεχθέν τόν λίθον, καρπογονεί τόν νοητόν, ός συντριβήν εργάσεται, τών ξοάνων πάντων τού αλάστορος.

Νόμου προχαράγματα, σέ προεδήλωσαν Κόρη, τόν νομοδότην σύ γάρ, νομίμων δίχα εν γαστρί, κυοφορείς τηρούντά σε, υπέρ λόγον άφθορον αμίαντον.

Τού Αγίου

Ευφραίνεται επί σοί

Αιμάτων σου αι ροαί, ποταμηδόν διά Χριστόν ρεύσασαι, πύρ ασεβών έσβεσαν, Μάρτυς αθλοφόρε αοίδιμε.

Υπέστης καρτερικώς, τών αικισμών τάς προσβολάς, άρρηκτος, πύργος καθάπερ Ένδοξε, πλάνης καθελών τό οχύρωμα.

Καθείλες δαυϊτικώς, ως Γολιάθ τόν νοητόν τύραννον, καί τό αυτού στράτευμα, πίστεως σφενδόνη Πανένδοξε.

Θεοτοκίον

Σύ μόνη τοίς επί γής, τών υπέρ φύσιν αγαθών πρόξενος, Μήτηρ Θεού γέγονας, όθεν σοι τό Χαίρε κραυγάζομεν.

Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα, Σύ μου ισχύς Κύριε, καί καταφυγή, καί στερέωμα».

Κάθισμα τού Αγίου

Ήχος δ'

Ταχύ προκατάλαβε Σωθείς διά πίστεως, Σώζων πολύαθλε, σωτήριος γέγονας, χειμαζομένων λιμήν, προνοία Χριστού τού Θεού, βρύεις γάρ ιαμάτων, ποταμούς τοίς ποθούσι, παύεις αρρωστημάτων, τόν φλογμόν καθ' εκάστην, διό τήν θείαν μνήμην σου, πίστει γεραίρομεν.

Δόξα... Καί νύν... Προεόρτιον

Ήχος πλ. δ'

Τό προσταχθέν

Αγαλλιάσθω ουρανός, γή ευφραινέσθω, ο τού Θεού γάρ ουρανός, εν γή ετέχθη, η Θεόνυμφος αύτη εξ επαγγελίας, Η στείρα βρέφος θηλάζει τήν Μαριάμ, καί χαίρει επί τώ τόκω Ιωακείμ, Ράβδος λέγων ετέχθη μοι, εξ ής τό άνθος Χριστός, εβλάστησεν εκ ρίζης Δαυϊδ, Όντως θαύμα παράδοξον!

Τής Θεοτόκου

Ωδή δ'

«Ο καθήμενος εν δόξη, επί θρόνου θεότητος, εν νεφέλη κούφη, ήλθεν Ιησούς ο υπέρθεος, τή ακηράτω παλάμη καί διέσωσε, τούς κραυγάζοντας, δόξα Χριστέ τή δυνάμει σου».

Υπερτέρα τών Αγγέλων, επί γής Κόρη τίκτεται, εν αγιωσύνη, ούσα καί καθάρσει ασύγκριτος, ήτις τήν κάθαρσιν πάντων Χριστόν τέξεται, αγιότητα, καί παντελή απολύτρωσιν.

Μακαρία η κοιλία, η τής Άννης γεγένηται, τήν γάρ εν κοιλία, μέλλουσαν χωρείν τόν μακάριον, καί μή χωρούμενον Λόγον, απεγέννησεν, αναγέννησιν, πάσι πιστοίς παρεχόμενον.

Νύν ο ζόφος τής κακίας, εκμειούσθαι απάρχεται, η γάρ τού ηλίου, έμψυχος νεφέλη ανέτειλε, στειρωτικών εκ λαγόνων, η πανάμωμος, ής τήν γέννησιν, τήν φωταυγή εορτάσωμεν.

Ως κατάκαρπον ελαίαν, τήν εκ ρίζης βλαστήσασαν, Ιεσσαί Παρθένε, Άννα σέ βλαστάνει βλαστάνουσαν, τόν ελεήμονα Λόγον, ού το έλεος, καί η αλήθεια, διά παντός προπορεύεται.

Τού Αγίου

Επαρθέντα σε ιδούσα

Πυρπολούμενος αγάπη Θεού Παμμάκαρ, τήν φρυγανώδη άπασαν, πλάνην τών αθέων, έφλεξας τοίς λόγοις σου, καί χαίρων εκραυγαζες, Δόξα τή Δυνάμει σου Κύριε.

Αγιότευκος υπάρχων ναός Κυρίου, εις τόν ναόν εισέδραμες τών αθεωτάτων καί τούτων σεβάσματα, γενναίως συνέτριψας Μάρτυς αθλοφόρε πανεύφημε.

Ιατρείον αναδέδεικται πάσης νόσου, τό ιερόν σου τέμενος, πίστει τοίς φοιτώσι καί τάς αριστείας σου, εν τούτω γεραίρουσι, Σώζων αθλοφόρε θαυμάσιε.

Θεοτοκίον

Απειρογάμως εκύησας ώ Παρθένε, καί μετά τόκον ώφθης παρθενεύουσα πάλιν, όθεν ασιγήτοις φωναίς, τό Χαίρέ σοι Δέσποινα, πίστει αδιστάκτω κραυγάζομεν.

Τής Θεοτόκου

Ωδή ε'

Εξέστη τά σύμπαντα

Τό εσφραγισμένον νύν βιβλίον αποτίκτεται, όπερ αναγνώσεται ουδόλως, φύσεως νόμω βροτός τηρούμενον, Λόγου εις κατοίκησιν καθώς, βίβλοι προεδήλωσαν, θεηγόρων εν πνεύματι.

Η άμπελος σήμερον, ετέχθη η σωτήριος, ήτις τόν ακήρατον ανθήσει, βότρυν τόν θείον, γλεύκος προχέοντα, εξ ού πάς ο πίνων μυστικώς, θείαν καί σωτήριον, ευφροσύνην καρπώσεται.

Σκιρτήσατε Άγγελοι, ανθρώποις συγχορεύοντες, σήμερον εκ στείρας η Παρθένος, αποτεχθείσα τήν λύπην έπαυσε, καί προοιμιάζεται χαράν, τοίς πανηγυρίζουσι, τήν αυτής θείαν γέννησιν.

Θείος προδιέγραψε, Προφήτης προδηλότατα, τόμον σε καινόν εν ώ δακτύλω, Λόγος πατρώω, Κόρη γραφήσεται, βίβλω καταγράφων τής ζωής, πάντας αγαθότητι, τούς αυτώ πειθαρχήσαντας.

Τού Αγίου

Σύ Κύριέ μου φώς

Σύ Μάρτυς τώ φωτί, τής Τριάδος λαμπόμενος, εμείωσας αθεϊας, πολυθέου τόν ζόφον, φωστήρ οφθείς αείφωτος.

Σύ ρόδον ευανθούν, ερυθρώ τών αιμάτων σου, Μακάριε δεδειγμένος, ευωδία θαυμάτων, τόν κόσμον ευωδίασας.

Σύ βότρυς νοητός, τής αμπέλου υπάρχων Χριστού, ανέβλυσας μαρτυρίου, ευκατάνυκτον οίνον, τοίς πίστει σε δοξάζουσι.

Θεοτοκίον

Σέ όπλον αρραγές, κατ' εχθρών προβαλλόμεθα, σέ άγκυραν καί ελπίδα, τής ημών σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

Τής Θεοτόκου

Ωδή ς'

Τήν θείαν ταύτην

Ετέχθη σήμερον γέφυρα, μετάγουσα πρός φώς τό ανθρώπινον, κλίμαξ ουράνιος, όρος Θεού εμφανέστατον, η Θεοτόκος Κόρη ήν μακαρίσωμεν.

Ο κόχλος Άννα προήγαγε, πορφύραν τήν τό έριον βάψασαν, τής σωματώσεως, τού Βασιλέως εις ύστερον, ήν επαξίως πάντες υμνολογήσωμεν.

Πηγή νυνί προελήλυθε, ρανίδος εκ μικράς η Πανάμωμος, ήτις τήν άβυσσον, τής σωτηρίας κυήσασα, πολυθείας παύσει άπειρα ρεύματα.

Ακάρπου ρίζης εβλάστησας, καί πρόρριζον κακίας τήν άκανθαν, τώ υπέρ φύσιν σου, θείω βλαστώ εναπέτεμες, Θεογεννήτορ Κόρη αειμακάριστε.

Τού Αγίου

Θύσω σοι, μετά φωνής

Θύεσθαι, δι' αγάπην Θεού προελόμενος, άμωμον θύμα καθάπερ, τή αυτού τραπέζη προσενηνέχθης, διά τούτο, ευσεβώς σε τιμώμεν πανεύφημε.

Αβρόχως, διαπλεύσας τής πλάνης τό πέλαγος, εις τόν λιμένα τής άνω, βασιλείας Μάρτυς, εγκαθωρμίσθης, αιωνίου απολαύων γαλήνης μακάριε.

Όνυξι, σιδηροίς σου τά σπλάγχνα κατέξανεν, ανηλεώς ο διώκτης, αλλ' εις χείρας Θεού τό πνεύμα, μετά δόξης εναπέθου Παμμάκαρ αοίδιμε.

Θεοτοκίον

Ώ θαύμα, τών απάντων θαυμάτων καινότερον, ότι Παρθένος εν μήτρα, τόν τά

σύμπαντα περιέχοντα, απειράνδρως, συλλαβούσα ουκ εστενοχώρησε.

Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως κυριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Κοντάκιον Προεόρτιον

Ήχος γ'

Η Παρθένος σήμερον

Η Παρθένος σήμερον, καί Θεοτόκος Μαρία, η παστάς η άλυτος, τού ουρανίου Νυμφίου, τίκτεται, από τής στείρας θεοβουλήτως, όχημα, τού Θεού Λόγου ευτρεπισθήναι, εις τούτο γάρ καί προωρίσθη, η θεία πύλη, καί Μήτηρ τής όντως ζωής.

Ο Οίκος

Τή στειρευούση καρπός εδόθη η θεόπαις Μαρία, ήν προείδον ποτέ θείοι Προφήται εν Πνεύματι, ταύτην ημείς σήμερον ορώντες, εν τοίς κόλποις τής Άννης σκιρτώσαν, σύν τώ πιστώ Ιωακείμ, νοητώς πρός εστίασιν συνέλθωμεν, καί τούς πόρρω καλέσωμεν, λέγοντες, Τού κόσμου νύν η ανάκλησις, εξ ακάρπου γαστρός ανεβλάστησεν, η θεία πύλη, καί Μήτηρ τής όντως ζωής.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Ζ' τού αυτού μηνός, Μνήμη τού Αγίου Μάρτυρος Σώζοντος.

Στίχοι

- Αντείχε Σώζων σώματος πρός αικίας,
- Πρός τόν μόνον σώζοντα τήν ψυχήν βλέπων.
- Εβδομάτη Σώζων θάνε, τυπτόμενος χρόα λαμπρόν.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Αποστόλων Ευόδου καί Ονησιφόρου.

Ο Άγιος Ευψύχιος ξίφει τελειούται.

Στίχοι

- Εύψυχος Ευψύχιος ήν πρός τό ξίφος,
- Χαίρων ότι πλάσαντι τήν ψυχήν θυει.

Τή αυτή ημέρα, εορτάζεται η κοίμησις τού Οσίου Λουκά, τού τής Λυκαόνων Επαρχίας, τρίτου δέ Ηγουμένου τής Μονής τού Σωτήρος, τής επιλεγομένης Βαθέος Ρύακος.

Ταίς τών σών Αγίων πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τής Θεοτόκου

Ωδή ζ'

Ουκ ελάτρευσαν

Ιωακείμ τε καί Άννα μακαρίζονται, αποκυήσαντες, τήν μακαρίαν σαφώς, αγνήν Θεομήτορα, Λόγον κυήσασαν, τόν μακάριον, τόν μακαρίους άπαντας, τούς πιστούς αποτελούντα.

Δώρον τίμιον εκτήσαντό σε πάναγνε, οι σοί γεννήτορες, τήν συλλαβούσαν Θεόν, τόν καταπλουτίσαντα, δωρεαίς κρείττοσι, τούς κραυγάζοντας, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Οι μαστοί σου υπέρ οίνον αγαθώτατοι, Άννα Θεόκλητε, ότι μαστοίς αγαθοίς, τήν τόν αγαθώτατον Λόγον θηλάσασαν, σύ εθήλασας, τόν χορηγόν τού γάλακτος, καί πνοής τροφέα πάσης.

Σκίρτα κρούε τήν κινύραν σου θεόπνευστε, Δαυίδ καί χόρευε, η κιβωτός γάρ ιδού, ήν πάλαι προήγγειλας, εκ στειρευούσης γαστρός, προελήλυθε, τώ βασιλεί τής κτίσεως, καί Θεώ τετηρημένη.

Τού Αγίου

Εν τή καμίνω

Εν τή καμίνω, τών αλγεινών βασάνων Μάρτυς βληθείς, δρόσον εκ Θεού εδέξω υπομονής, ευχαρίστως τε εκραύγαζες, Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε.

Εκλαμπροτέραν, παντός χρυσίου έχων ψυχήν, θύσαι χρυσοτεύκτω Μάρτυς Θεώ, καί αψύχω ου προήρησαι, σεαυτόν θυσίαν δέ, ευωδεστάτην Θεώ τέθυκας.

Ποιμήν ο μέγας, ποιμένα όντα προβάτων σε, Μάρτυς ως αρνίον άμωμον, τή αυτού απλανεί ποίμνη συνέταξε, λυκοις ανάλωτον, τοίς νοητοίς σε δείξας πανεύφημε.

Θεοτοκίον

Τό τού υψίστου, ηγιασμένον θείον σκήνωμα χαίρε, διά σού γάρ δέδοται η χαρά, Θεοτόκε τοίς κραυγάζουσιν. Ευλογημένη σύ εν γυναιξίν, υπάρχεις Πανάμωμε.

Τής Θεοτόκου

Ωδή η'

Παίδας ευαγείς

Κινήσωμεν γλώτταν Υμνωδίας, τό Θείον γενέθλιον γεραίροντες, τής τόν υπερύμνητον, Λόγον καί υπέρθεον, σωματωσάσης Πνεύματι, καί ανακράξωμεν, τόν Κύριον Υμνείτε τά έργα, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Οι θείοι σκιρτήσατε Προφήται, τιμώντες Παρθένου τό γενέθλιον, αύτη γάρ

επλήρωσε, πάντα τά κηρύγματα, τόν υφ' υμών δηλούμενον αποκυήσασα, Χριστόν τόν τού παντός Βασιλέα, όν υπερυψούμεν εις πάντας τούς αιώνας.

Ρήξατε τά Όρη ευφροσύνην, απόστολοι Μάρτυρες χορεύσατε, όσιοι καί Δίκαιοι, νύν αγαλλιάσθητε, τώ γενεθλίω σήμερον τής τού Κυρίου Μητρός, τόν Κύριον Υμνείτε βοώντες, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Ήνθησε τό μήλον τό ευώδες, τό ρόδον το θείον πεφανέρωται, καί κατευωδίασε, σήμερον τά πέρατα, καί τό δυσώδες έπαυσε, τής Αμαρτίας ημών, η Πάναγνος καί Μήτηρ τού Λόγου, ήν υπερυψούμεν εις πάντας τούς αιώνας.

Στειρεύουσα φύσις τών ανθρώπων, σεπτών χαρισμάτων θείου Πνεύματος, σήμερον ευφράνθητι, στείρας τήν θεόπαιδα, αποτεχθείσαν βλέπουσα καί αναβόησον, τόν Κύριον Υμνείτε τά έργα, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Τού Αγίου

Χείρας εκπετάσας

Χείρα χρυσοτεύκτου αφελών, σοφέ ιδρύματος, πένησι δέδωκας, τόν αδαπάνητον ένδοξε, σεαυτώ περιποιούμενος, τού μαρτυρίου αληθώς, πλούτον αοίδιμε, Ευλογείτε κράζων, τά έργα Κυρίου τόν Κύριον.

Σαρκί τώ ασάρκω συμπλακείς, τή συμμαχία Χριστού, τούτον κατέβαλες, βραβείον όθεν σοι Ένδοξε, τών θαυμάτων τήν ενέργειαν, αυτός παρέσχετο, πρός όν χαίρων εκραύγαζες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ανοίξας επλήρωσας σαυτού, τό στόμα Πνεύματος, Σώζων πανεύφημε, εχθρών δέ στόματα έπλησας, βλασφημούντων τόν ποιήσαντα, πάσης αισχύνης, καί Χριστώ χαίρων εκραυγαζες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Θεοτοκίον

Σύ μόνη εν πάσαις γενεαίς, Παρθένε άχραντε, Μήτηρ εδείχθης Θεού, σύ τής θεότητος γέγονας, ενδιαίτημα πανάμωμε, μή φλογισθείσα τώ πυρί, τού απροσίτου φωτός, όθεν πάντες, σέ ευλογούμεν Μαρία Θεόνυμφε.

Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Τής Θεοτόκου

Ωδή θ'

Άπας γηγενής

Ίδε τού Θεού, ο τόπος ο άγιος προφανώς δέδεικται, πόλις η περίδοξος, τού Βασιλέως ανωκοδόμηται, ο φωταυγής Παράδεισος, φαιδρώς εξήνθησε, Παραδείσου, πρόξενος υπάρχουσα, πρός Θεόν τε ανθρώπων οικείωσις.

Ωφθη η λαμπάς, λυχνία τε σήμερον, η χρυσαυγίζουσα, φώς τό προαιώνιον, εν ή οικήσαν, τούς εν νυκτί τών δεινών, καταφωτίσει παύσει τε, τής αθεΐας αχλύν, καί ημέρας, πάντας απεργάσεται, κοινωνούς αληθώς διά πίστεως.

Σήμερον η γή, χορεύει, τόν νέον γάρ, ουρανόν έβλεψε, Θεού τόν τερπνότατον, αποτεχθένταεν ώ οικήσας σαρκί, τών ουρανών επέκεινα, αναβιβάσει βροτούς, καί θεώσει, πάντας αγαθότητι, όν υμνούντες πιστώς μεγαλύνομεν.

Ηπερικαλής, δυάς ανεβλάστησεν, Άννα καί Ιωακείμ, δάμαλιν τήν άσπιλον, εξ ού ο μόσχος ο σιτευτός προελθών, υπέρ τού κόσμου τέθυται, αίρων τά πταίσματα, τών ανθρώπων, τάς προσαγομένας τε, καταπαύων θυσίας τοίς δαίμοσι.

Φώτισον ημάς, τό φώς η κυήσασα τούς τήν φωσφόρον σου, γέννησιν εν Πνεύματι, Θεογεννήτορ πανηγυρίζοντας, καί τού φωτός τού μέλλοντος, δείξον αγνή κοινωνούς, καί ειρήνην, βράβευσον καί λύτρωσιν, τών δεινών μητρικαίς ικεσίαις σου.

Τού Αγίου

Λίθος αχειρότμητος

Λίθος εκλεκτός ανεδείχθης, Χριστού τού ακρογωνιαίου, Μάρτυς κυλιόμενος εν γή, καί τό τής πλάνης λύων οχύρωμα, τάς τών πιστών καρδίας δέ, εδραιοτέρας εργαζόμενος.

Ρείθρόν σε ζωής κεκτημένην, η τού Χριστού νύν Εκκλησία, αίμασιν ως νάμασι τοίς σοίς, καταρδευθείσα Μάρτυς τών άθλων σου, καί τών θαυμάτων πάντοτε, τή ευπρεπεία ωραΐζεται.

Εύρες αμοιβήν τών αγώνων, καί τών θαυμάτων σου θεόφρον, τήν τών ουρανών βασιλείαν, εν ή τών πίστει επιτελούντων σου, τό ιερόν μνημόσυνον, Σώζων μνημόνευε πανεύφημε.

Θεοτοκίον

Σειράς τών εμών νύν πταισμάτων, λύσον Παρθένε Θεοτόκε, η τής ευσπλαγχνίας την πηγήν, τεκούσα μόνη θεοχαρίτωτε, καί θυμηδίας έμπλησον, όπως αξίως μεγαλύνω σε.

Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Εξαποστειλάριον τού Μάρτυρος
Γυναίκες ακουτίσθητε

Τώ όπλω τού τιμίου σου, Σταυρού θωρακισάμενος, ο Αθλοφόρος σου Λόγε, τάς εναντίας δυνάμεις, στερρώς υπερενίκησε, καί τούς τυράννους ήσχυνε, καί υπέρ σού ενήθλησε, καί σοί Χριστέ μου παντάναξ, συμβασιλεύει απαύστως.

Τής Θεοτόκου
Τοίς μαθηταίς συνέλθωμεν

Αγάλλου κτίσις άπασα, τήν χαράν αισθομένη, εξ Άννης τής θεόφρονος, ήτις λέγεται Χάρις, Ιωακείμ τε τού θείου, τίκτεσθαι παρ' ελπίδα, Μαρίαν τήν πανάχραντον καί αγνήν Θεοτόκον, ής ο καρπός, σωτηρία γέγονε τοίς ανθρώποις, Χριστός ο σαρκωθείς Θεός, εξ αυτής απορρήτως.

Εις τόν Στίχον τών Αίνων, Στιχηρά Προσόμοια.

Ήχος β'
Οίκος τού Εφραθά

Δεύτε οι εξ Αδάμ, τήν εκ Δαυίδ φυείσαν, καί τόν Χριστόν τεκούσαν, υμνήσωμεν Παρθένον, Μαρίαν τήν πανάχραντον.

Στίχ. Άκουσον, θύγατερ, καί ίδε, καί κλίνον τό ούς σου, καί επιλάθου τού λαού σου, καί τού οίκου τού πατρός σου, καί επιθυμήσει ο Βασιλεύς τού κάλλους σου.

Αίνον τώ λυτρωτή, προσάξωμεν Κυρίω, τώ εκ τής στείρας δόντι, ημίν τήν Θεότοκον, καί μόνην αειπάρθενον.

Στιχ. Τό πρόσωπόν σου λιτανεύσουσιν οι πλούσιοι τού λαού.

Σήμερον η χαρά, πάσης τής οικουμένης, στειρωτικής εκ μήτρας, γεννάται παραδόξως, η Μήτηρ τού Κυρίου μου.

Δόξα... Καί νύν... Ήχος β'

Η προορισθείσα παντάνασσα Θεού κατοικητήριον, εξ ακάρπου σήμερον νηδύος προήκται, τής Άννης ηγλαϊσμένης, τής αϊδίου ουσίας τό θείον τέμενος, δι' ής ιταμός Άδης καταπεπάτηται, καί παγγενή Εύα εν ασφαλεί ζωή εισοικίζεται, ταύτη επαξίως εκβοήσωμεν, Μακαρία σύ εν γυναιξί, καί ο καρπός τής κοιλίας σου ευλογημένος.

Καί τά λοιπά, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Η' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Γενέθλιον τής Υπεραγίας Δεσποίνης ημών Θεοτόκου.

ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'
Τών ουρανίων ταγμάτων

Ιωακείμ καί η Άννα πανηγυρίζουσι, τήν απαρχήν τεκόντες, τής ημών σωτηρίας, τήν μόνην Θεοτόκον, οίς καί ημείς, συνεορτάζομεν σήμερον, τήν εκ τής ρίζης εκείνης τού Ιεσσαί, μακαρίζοντες Παρθένον αγνήν.

Εξ Άννης σήμερον ράβδος, φυτόν θεόσδοτον, η Θεοτόκος έφυ, σωτηρία ανθρώπων, εξ ής ο τών απάντων Δημιουργός, γεννηθείς υπέρ έννοιαν, τήν τού Αδάμ εκκαθαίρει ως αγαθός, πάσαν λύμην αγαθότητι.

Ηθεοχώρητος Κόρη, καί Θεοτόκος αγνή, τών Προφητών τό κλέος, τού Δαυίδ η θυγάτηρ, σήμερον γεννάται εξ, Ιωακείμ, καί τής Άννης τής σώφρονος, καί τού Αδάμ τήν κατάραν τήν εις ημάς, ανατρέπει εν τώ τόκω αυτής.

Η πρώην άγονος χώρα, γήν καρποφόρον γεννά, καί εξ ακάρπου μήτρας, καρπόν άγιον δούσα, γάλακτι εκτρέφει, θαύμα φρικτόν! η τροφός τής ζωής ημών, η τόν ουράνιον άρτον εν τή γαστρί, δεξαμένη γαλουχείται μαζώ.

Δόξα... Καί νύν... Ήχος β'

Δεύτε φιλοπάρθενοι πάντες, καί τής αγνείας ερασταί, δεύτε υποδέξασθε πόθω, τής παρθενίας τό καύχημα, εκ πέτρας βλυστάνουσαν στερεάς, τήν πηγήν τής ζωής, καί εκ τής ατεκνούσης, τήν βάτον τού αύλου πυρός, καί καθαίροντος, καί φωτίζοντος τάς ψυχάς ημών.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος β'
Οίκος τού Εφραθά

Γόνος Ιωακείμ, καί Άννης η Παρθένος, εφάνη τοίς ανθρώποις, τών δεσμών αφιείσα, τής αμαρτίας άπαντας.

Στίχ. Άκουσον, θύγατερ, καί ίδε, καί κλίνον τό ούς σου, καί επιλάθου τού λαού σου, καί τού οίκου τού πατρός σου, καί επιθυμήσει ο Βασιλεύς τού κάλλους σου.

Όρος ως αληθώς, κατάσκιον εδείχθη, η στείρωσις τής Αννης, εξ ού η σωτηρία, πάσι πιστοίς δεδώρηται.

Στιχ. Τό πρόσωπόν σου λιτανεύσουσιν οι πλούσιοι τού λαού.

Ρήξασα τά δεσμά, στειρώσεως τής Άννης, η πάναγνος Παρθένος, προήλθε τοίς ανθρώποις, τήν άφεσιν βραβεύουσα.

Δόξα... Καί νύν... Όμοιον

Ίωμεν οι πιστοί, δοξάζοντες τήν Κόρην, ετέχθη γάρ εκ στείρας, τήν στειρωθείσαν φύσιν, ημών ανακαινίζουσα.

Απολυτίκιον  Ήχος δ'

Η γέννησίς σου Θεοτόκε, χαράν εμήνυσε πάση τή οικουμένη, εκ σού γάρ ανέτειλεν ο ήλιος τής δικαιοσύνης, Χριστός ο Θεός ημών, καί λύσας τήν κατάραν, έδωκε τήν ευλογίαν, καί καταργήσας τόν θάνατον, εδωρήσατο ημίν ζωήν τήν αιώνιον.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετά τόν Προοιμιακόν, τού Μακάριος ανήρ, τήν α' στάσιν. Εις δέ τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν τά παρόντα Ιδιόμελα.

Ήχος πλ. β'  Σεργίου

Σήμερον, ο τοίς νοεροίς θρόνοις επαναπαυόμενος Θεός, θρόνον άγιον επί γής εαυτώ προητοίμασεν, ο στερεώσας εν σοφία τούς ουρανούς, ουρανόν έμψυχον, εν φιλανθρωπία κατεσκεύασεν, εξ ακάρπου γάρ ρίζης, φυτόν ζωηφόρον, εβλάστησεν ημίν τήν Μητέρα αυτού, ο τών θαυμασίων Θεός, καί τών ανελπίστων ελπίς, Κύριε δόξα σοι.

Ο αυτός

Αύτη ημέρα Κυρίου, αγαλλιάσθε λαοί, ιδού γάρ τού φωτός ο νυμφών, καί η βίβλος τού λόγου τής ζωής, εκ γαστρός προελήλυθε, καί η κατά ανατολάς πύλη αποκυηθείσα, προσμένει τήν είσοδον τού Ιερέως τού μεγάλου, μόνη καί μόνον εισάγουσα Χριστόν εις τήν οικουμένην, πρός σωτηρίαν τών ψυχών ημών.

Ο αυτός

Ει καί θείω βουλήματι, περιφανείς στείραι γυναίκες εβλάστησαν, αλλά πάντων η Μαρία τών γεννηθέντων, θεοπρεπώς υπερέλαμψεν, ότι καί εξ αγόνου παραδόξως τεχθείσα μητρός, έτεκεν εν σαρκί τόν απάντων Θεόν, υπέρ φύσιν εξ ασπόρου γαστρός, η μόνη πύλη τού μονογενούς Υιού τού Θεού, ήν διελθών κεκλεισμένην διεφύλαξε, καί πάντας σοφώς οικονομήσας, ως οίδεν αυτός, πάσι τοίς ανθρώποις, σωτηρίαν απειργάσατο.

Ο αυτός

Στεφάνου Αγιοπολίτου

Σήμερον στειρωτικαί πύλαι ανοίγονται, καί πύλη παρθενική θεία προέρχεται, Σήμερον καρπογονείν η χάρις απάρχεται, εμφανίζουσα τώ κόσμω Θεού Μητέρα, δι' ής τά επίγεια, τοίς ουρανοίς συνάπτεται, εις σωτηρίαν τών ψυχών ημών.

Ο αυτός

Σήμερον τής παγκοσμίου χαράς τά προοίμια, σήμερον έπνευσαν αύραι, σωτηρίας προάγγελοι, η τής φύσεως ημών διαλέλυται στείρωσις, η γάρ στείρα μήτηρ δείκνυται, τής παρθενευούσης μετά τόκον τού κτίσαντος, εξ ής τό αλλότριον οικειούται ο φύσει Θεός, καί τοίς πλανηθείσι διά σαρκός σωτηρίαν απεργάζεται, Χριστός ο φιλάνθρωπος, καί λυτρωτής τών ψυχών

ημών.

Ο αυτός

Σήμερον η στείρα Άννα τίκτει θεόπαιδα, τήν εκ πασών τών γενεών προεκλεχθείσαν, εις κατοίκησιν τώ παμβασιλεί, καί Κτίστη Χριστώ τώ Θεώ, εις εκπλήρωσιν τής θείας οικονομίας, δι' ής ανεπλάσθημεν οι γηγενείς, καί ανεκαινίσθημεν εκ τής φθοράς, πρός ζωήν τήν άληκτον.

Δόξα... Καί νύν...

Ο αυτός Σεργίου

Σήμερον, ο τοίς νοεροίς θρόνοις επαναπαυόμενος Θεός, θρόνον άγιον επί γής εαυτώ προητοίμασεν, ο στερεώσας εν σοφία τούς ουρανούς, ουρανόν έμψυχον, εν φιλανθρωπία κατεσκεύασεν, εξ ακάρπου γάρ ρίζης φυτόν ζωηφόρον, εβλάστησεν ημίν τήν Μητέρα αυτού, ο τών θαυμασίων Θεός, καί τών ανελπίστων ελπίς, Κύριε δόξα σοι.

Είσοδος τό Φώς ιλαρόν, τό Προκείμενον, καί τά Αναγνώσματα.

Γενέσεως τό Ανάγνωσμα

(Κεφ. 28, 10-17)

Εξήλθεν Ιακώβ από τού φρέατος τού όρκου καί επορεύθη εις Χαρράν. Καί απήντησε τόπω, καί εκοιμήθη εκεί, έδυ γάρ ο ήλιος, καί έλαβεν από τών λίθων τού τόπου, καί εθηκεπρός κεφαλής αυτού, καί εκοιμήθη εν τώ τόπω εκείνω, καί ενυπνιάσθη. Καί ιδού κλίμαξ εστηριγμένη εν τή γή, ής η κεφαλή αφικνείτο εις τόν Ουρανόν, καί οι Άγγελοι τού Θεού ανέβαινον καί κατέβαινον επ' αυτής. Ο δέ Κύριος επεστήρικτο επ' αυτής, καί είπεν. Εγώ ειμι ο Θεός Αβραάμ τού πατρός σου, καί ο Θεός Ισαάκ, μή φοβού, η γή, εφ' ής σύ καθεύδεις επ' αυτής, σοί δώσω αυτήν, καί τώ σπέρματί σου. Καί έσται τό σπέρμα σου ωσεί άμμος τής γής καί πλατυνθήσεται επί θάλασσαν, καί λίβα, καί βορράν, καί επί ανατολάς, καί ενευλογηθήσονται εν σοί πάσαι αι φυλαί τής γής, καί εν τώ σπέρματί σου. Καί ιδού εγώ ειμι μετά σού, διαφυλάσσων σε εν τή οδώ πάση, ού εάν πορευθής, καί επιστρέψω σε εις τήν γήν ταύτην, ότι ου μή σε εγκαταλίπω, έως τού ποιήσαι με πάντα όσα ελάλησά σοι. Καί εξηγέρθη Ιακώβ εκ τού ύπνου αυτού καί είπεν. Ότι εστί Κύριος εν τώ τόπω τούτω, εγώ δέ ουκ ήδειν. Καί εφοβήθη, καί είπεν. Ως φοβερός ο τόπος ούτος! Ουκ έστι τούτο, αλλ' ή οίκος Θεού, καί αύτη η πύλη τού ουρανού.

Προφητείας, Ιεζεκιήλ τό Ανάγνωσμα

(Κεφ. 43, 27 & 44, 1-4)

Έσται από τής ημέρας τής ογδόης καί επέκεινα, ποιήσουσιν οι Ιερείς επί τό θυσιαστήριον τά ολοκαυτώματα υμών, καί τά τού σωτηρίου υμών, καί προσδέξομαι υμάς, λέγει Κύριος (μδ' 1). Καί επέστρεψέ με κατά τήν οδόν τής πύλης τών Αγίων τής εξωτέρας τής βλεπούσης κατά ανατολάς, καί αύτη ήν κεκλεισμένη. Καί είπε Κύριος πρός με. Η πύλη αύτη κεκλεισμένη έσται, ουκ ανοιχθήσεται, καί ουδείς ου μή διέλθη δι' αυτής, ότι Κύριος ο Θεός, Ισραήλ εισελεύσεται δι' αυτής, καί έσται κεκλεισμένη. Διότι ο Ηγούμενος ούτος κάθηται επ' αυτήν τού φαγείν άρτον ενώπιον Κυρίου, κατά τήν οδόν τού Αιλάμ τής πύλης εισελεύσε ται, καί κατά τήν οδόν αυτού εξελεύσεται. Καί εισήγαγέ

με κατά τήν οδόν τής πύλης τών Αγίων τής πρός βορράν, κατέναντι τού οίκου, καί είδον καί ιδού πλήρης δόξης ο οίκος Κυρίου.

Παροιμιών τό Ανάγνωσμα
(Κεφ. 9, 1-11)

Η σοφία ωκοδόμησεν εαυτή οίκον καί υπήρεισε στύλους επτά. Έσφαξε τά εαυτής θύματα, καί εκέρασεν εις κρατήρα τόν εαυτής οίνον, καί ητοιμάσατο τήν εαυτής τράπεζαν. Απέστειλε τούς εαυτής δούλους, συγκαλούσα μετά υψηλού κηρύγματος, ως επί κρατήρα, λέγουσα. Ός εστιν άφρων, εκκλινάτω πρός με, καί τοίς ενδεέσι φρενών είπεν. Έλθετε φάγετε τόν εμόν άρτον, καί πίετε οίνον, όν κεκέρακα υμίν, απολίπετε αφροσύνην, καί ζήσεσθε, καί ζητήσατε φρόνησιν, ίνα βιώσητε, καί κατορθώσητε σύνεσιν εν γνώσει, ο παιδεύων κακούς, λήψεται εαυτώ ατιμίαν, ελέγχων δέ τόν ασεβή, μωμήσεται εαυτόν, (οι γάρ έλεγχοι τώ ασεβεί, μώλωπες αυτώ). Μή έλεγχε κακούς, ίνα μή μισήσωσί σε, έλεγχε σοφόν καί αγαπήσει σε. Δίδου σοφώ αφορμήν, καί σοφώτερος έσται, γνώριζε δικαίω, καί προσθήσει τού δέχεσθαι. Αρχή σοφίας, φόβος Κυρίου, καί βουλή Αγίων, σύνεσις, (τό γάρ γνώναι Νόμον, διανοίας εστίν αγαθής), τούτω γάρ τώ τρόπω πολύν ζήσεις χρόνον, καί προστεθήσεταί σοι έτη ζωής.

Εις τήν Λιτήν, Στιχηρά Ιδιόμελα.

Ήχος α'
Στεφάνου Αγιοπολίτου

Η απαρχή τής ημών σωτηρίας, λαοί σήμερον γέγονεν, ιδού γάρ η προορισθείσα από γενεών αρχαίων, Μήτηρ καί Παρθένος, καί δοχείον Θεού, εκ στείρας γεννηθήναι προέρχεται, άνθος εκ τού Ιεσσαί, καί εκ τής ρίζης αυτού ράβδος εβλάστησεν, Ευφραινέσθω Αδάμ ο προπάτωρ, καί η Εύα αγαλλιάσθω χαίρουσα, ιδού γάρ η οικοδομηθείσα εκ πλευράς τού Αδάμ, τήν θυγατέρα καί απόγονον, μακαρίζει εμφανώς, Ετέχθη μοι γάρ φησι λύτρωσις, δι' ής εκ τών δεσμών τού Άδου ελευθερωθήσομαι, Αγαλλιάσθω ο Δαυϊδ κρούων τήν κινύραν, καί ευλογείτω τόν Θεόν, ιδού γάρ η Παρθένος πρόεισιν εκ πέτρας αγόνου, πρός σωτηρίαν τών ψυχών ημών.

Ήχος β'

Δεύτε φιλοπάρθενοι πάντες, καί τής αγνείας ερασταί, δεύτε υποδέξασθε πόθω, τής παρθενίας τό καύχημα, εκ πέτρας βλυστάνουσαν στερεάς, τήν πηγήν τής ζωής, καί εκ τής ατεκνούσης, τήν βάτον τού αϋλου πυρός, τού καθαίροντος, καί φωτίζοντος τάς ψυχάς ημών.

Ο αυτός Ανατολίου

Τίς ο ήχος τών εορταζόντων γίνεται; Ιωακείμ καί Άννα πανηγυρίζουσι μυστικώς, Συγχάρητε ημίν λέγοντες, Αδάμ καί Εύα σήμερον, ότι τοίς πάλαι παραβάσει κλείσασι Παράδεισον, καρπός ευκλεέστατος ημίν εδόθη, η θεόπαις Μαρία, ανοίγουσα τούτοις πάσι τήν είσοδον.

Ο αυτός

Η προορισθείσα παντάνασσα, Θεού κατοικητήριον, εξ ακάρπου σήμερον νηδύος προήκται, τής Άννης ηγλαϊσμένης, τής αϊδίου ουσίας τό θείον τέμενος,

δι' ής ιταμός Άδης καταπεπάτηται, καί παγγενή Εύα εν ασφαλεί ζωή εισοικίζεται, ταύτη επαξίως εκβοήσωμεν, Μακαρία σύ εν γυναιξί, καί ο καρπός τής κοιλίας σου ευλογημένος.

Δόξα... Καί νύν...
Ήχος πλ. δ'
Σεργίου Αγιοπολίτου

Εν ευσήμω ημέρα εορτής ημών σαλπίσωμεν, πνευματική κιθάρα, η γάρ εκ σπέρματος Δαυϊδ, σήμερον τίκτεται, η Μήτηρ τής ζωής τό σκότος λύουσα, τού Αδάμ η ανάπλασις, καί τής Εύας η ανάκλησις, τής αφθαρσίας η πηγή, καί τής φθοράς απαλλαγή, δι' ής ημείς εθεώθημεν, καί τού θανάτου ελυτρώθημεν, καί βοήσωμεν αυτή σύν τώ Γαβριήλ οι πιστοί, Χαίρε Κεχαριτωμένη, ο Κύριος μετά σού, διά σού, χαριζόμενος ημίν τό μέγα έλεος.

Εις τόν Στίχον, Στιχηρά. Ιδιόμελα.

Ήχος δ' Γερμανού Πατριάρχου

Η παγκόσμιος χαρά, εκ τών δικαίων ανέτειλεν ημίν, εξ Ιωακείμ καί τής Άννης, η πανύμνητος Παρθένος, ήτις δι' υπερβολήν αγαθότητος, ναός Θεού έμψυχος γίνεται, καί μόνη κατά αλήθειαν, Θεοτόκος γνωρίζεται, Αυτής ταίς ικεσίαις Χριστέ ο Θεός, τώ κόσμω τήν ειρήνην κατάπεμψον, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Στίχ. Άκουσον, θύγατερ, καί ίδε, καί κλίνον τό ούς σου, καί επιλάθου τού λαού σου, καί τού οίκου τού πατρός σου, καί επιθυμήσει ο Βασιλεύς τού κάλλους σου.

Δι' Αγγέλου προρρήσεως, γόνος πάνσεπτος, εξ, Ιωακείμ καί τής Άννης τών δικαίων, σήμερον προήλθες Παρθένε, ουρανός καί θρόνος Θεού, καί δοχείον καθαρότητος, τήν χαράν προμηνύουσα παντί τώ κόσμω, τής ζωής ημών πρόξενε, κατάρας αναίρεσις, ευλογίας η αντίδοσις, Διό εν τή γεννήσει σου Κόρη θεόκλητε, τήν ειρήνην αίτησαι, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Στιχ. Τό πρόσωπόν σου λιτανεύσουσιν οι πλούσιοι τού λαού.

Στείρα άγονος η Άννα, σήμερον χείρας κροτείτω φαιδρώς, λαμπροφορείτω τά επίγεια, βασιλείς σκιρτάτωσαν, ιερείς εν ευλογίαις ευφραινέσθωσαν, εορταζέτω ο σύμπας κόσμος, ιδού γάρ η Βασίλισσα καί άμωμος νύμφη τού Πατρός, εκ τής ρίζης τού Ιεσσαί ανεβλάστησεν, Ουκ έτι γυναίκες εν λύπαις τέξονται τέκνα, η χαρά γάρ εξήνθησε, καί η ζωή τών άνθρώπων εν κόσμω πολιτεύεται, Ουκ έτι τά δώρα τού Ιωακείμ αποστρέφονται, ο θρήνος γάρ τής Άννης εις χαράν μετεβλήθη, Συγχάρητέ μοι λεγούσης, πάς εκλεκτός Ισραήλ, ιδού γάρ δέδωκέ μοι Κύριος, τό έμψυχον παλάτιον τής θείας δόξης αυτού, εις κοινήν ευφροσύνην καί χαράν, καί σωτηρίαν τών ψυχών ημών.

Δόξα... Καί νύν... Ήχος πλ. δ'
Σεργίου Αγιοπολίτου

Δεύτε άπαντες πιστοί, πρός τήν Παρθένον δράμωμεν, ιδού γάρ γεννάται, η πρό γαστρός προορισθείσα τού Θεού ημών Μήτηρ, τό τής παρθενίας κειμήλιον, ή τού Ααρών βλαστήσασα ράβδος, εκ τής ρίζης τού Ιεσσαί, τών Προφητών τό κήρυγμα, καί τών δικαίων, Ιωακείμ καί Άννης τό βλάστημα, Γεννάται τοίνυν, καί ο κόσμος σύν αυτή ανακαινίζεται, Τίκτεται, καί η Εκκλησία τήν εαυτής ευπρέπειαν καταστολίζεται, ο ναός ο άγιος, τό τής θεότητος δοχείον, τό παρθενικόν όργανον, ο βασιλικός θάλαμος, εν ώ τό παράδοξον τής απορρήτου ενώσεως, τών συνελθουσών επί Χριστού φύσεων, ετελεσιουργήθη μυστήριον, όν προσκυνούντες ανυμνούμεν, τήν τής Παρθένου πανάμωμον γέννησιν.

Απολυτίκιον Ήχος δ'

Η γέννησίς σου Θεοτόκε, χαράν εμήνυσε πάση τή οικουμένη, εκ σού γάρ ανέτειλεν ο ήλιος τής δικαιοσύνης, Χριστός ο Θεός ημών, καί λύσας τήν κατάραν, έδωκε τήν ευλογίαν, καί καταργήσας τόν θάνατον, εδωρήσατο ημίν ζωήν τήν αιώνιον.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος δ'
Κατεπλάγη Ιωσήφ

Αναβόησον Δαυϊδ, τί ώμοσέ σοι ο Θεός; Ά μοι ώμοσε φησί, καί εκπεπλήρωκεν ιδού, εκ τού καρπού τής κοιλίας μου δούς τήν Παρθένον, εξ ής ο πλαστουργός, Χριστός ο νέος Αδάμ, ετέχθη βασιλεύς, επί τού θρόνου μου, καί βασιλεύει σήμερον, ο έχων τήν βασιλείαν ασάλευτον, Η στείρα τίκτει, τήν Θεοτόκον, καί τροφόν τής ζωής ημών.

Δόξα... Καί νύν... τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα όμοιον

Εκ τής ρίζης Ιεσσαί, καί εξ όσφύος τού Δαυϊδ, η θεόπαις Μαριάμ, τίκτεται σήμερον ημίν, καί νεουργείται, η σύμπασα καί θεουργείται, Συγχάρητε ομού, ο ουρανός καί η γή, αινέσατε αυτήν, αι πατριαί τών εθνών, Ιωακείμ ευφραίνεται, καί Άννα πανηγυρίζει κραυγάζουσα, Η στείρα τίκτει, τήν Θεοτόκον, καί τροφόν τής ζωής ημών.

Δόξα... Καί νύν... τό αυτο

Μετά τόν Πολυέλεον

Κάθισμα Ήχος πλ. δ'

Τό προσταχθέν μυστικώς

Αγαλλιάσθω ουρανός, γή ευφραινέσθω, ο τού Θεού γάρ ουρανός, εν γή ετέχθη, η Θεόνυμφος αύτη εξ επαγγελίας, Η στείρα βρέφος θηλάζει τήν Μαριάμ καί χαίρει επί τώ τόκω Ιωακείμ, Ράβδος λέγων ετέχθη μοι, εξ ής τό άνθος Χριστός, εβλάστησεν εκ ρίζης Δαυϊδ, Όντως θαύμα παράδοξον!

Δόξα... Καί νύν... Τό αυτό

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί  Αντίφωνον Α'

- Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.
- Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον  Ήχος δ'

Μνησθήσομαι τού ονόματός σου εν πάση γενεά καί γενεά.
Στίχ. Εξηρεύξατο η καρδία μου λόγον αγαθόν.

Τό, Πάσα πνοή

Ευαγγέλιον εκ τού κατά Λουκάν.

Αναστάσα Μαριάμ επορεύθη...

Δόξα... Ταίς τής Θεοτόκου...

Καί νύν... τό αυτό

Στίχ. Ελέησόν με ο Θεός κατά τό μέγα έλεός σου...

Τό Ιδιόμελον
Ήχος δ'  Γερμανού Πατριάρχου

Η παγκόσμιος χαρά, εκ τών δικαίων ανέτειλεν ημίν, εξ Ιωακείμ καί τής Άννης, η πανύμνητος Παρθένος, ήτις δι' υπερβολήν αγαθότητος, ναός Θεού έμψυχος γίνεται, καί μόνη κατά αλήθειαν, Θεοτόκος γνωρίζεται, Αυτής ταίς ικεσίαις Χριστέ ο Θεός, τώ κόσμω τήν ειρήνην κατάπεμψον, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Οι Κανόνες τού Κυρίου Ιωάννου μετά τών Ειρμών εις η καί τού Κυρίου Ανδρέου Τροπάρια εις ς'.

## Ο Κανών τού Κυρίου Ιωάννου

### Ωδή α'  Ήχος β'
### Ο Ειρμός

«Δεύτε λαοί, άσωμεν άσμα Χριστώ τώ Θεώ, τώ διελόντι θάλασσαν, καί οδηγήσαντι, τόν λαόν όν ανήκε, δουλείας Αιγυπτίων, ότι δεδόξασται».

Δεύτε πιστοί, Πνεύματι θείω γηθόμενοι, τήν εξ ακάρπου σήμερον, επιδημήσασαν, εις βροτών σωτηρίαν, αειπάρθενον Κόρην, ύμνοις τιμήσωμεν.

Χαίρε σεμνή, Μήτηρ καί δούλη Χριστού τού Θεού, η τής αρχαίας πρόξενος, μακαριότητος, τών ανθρώπων τώ γένει, σέ πάντες επαξίως, ύμνοις δοξάζομεν.

Η τής ζωής, τίκτεται σήμερον γέφυρα, δι' ής βροτοί ανάκλησιν, τής καταπτώσεως, τής εις Άδου ευρόντες, Χριστόν τόν ζωοδότην, ύμνοις δοξάζουσιν.

## Ο Κανών τού Κυρίου Ανδρέου.

### Ωδή α'  Ήχος πλ. δ'
### Ο Ειρμός

«Τώ συντρίψαντι πολέμους, εν βραχίονι αυτού, καί διαβιβάσαντι, τόν Ισραήλ εν Ερυθρά θαλάσση, άσωμεν αυτώ, ως λυτρωτή ημών Θεώ, ότι δεδόξασται».

Χορευέτω πάσα κτίσις, ευφραινέσθω καί Δαυϊδ, ότι εκ φυλής αυτού, καί εκ τού σπέρματος αυτού, προήλθε ράβδος, άνθος φέρουσα τόν Κύριον, καί λυτρωτήν τού παντός.

Η Αγία τών Αγίων, εν αγίω ιερώ βρέφος ανατίθεται, ανατραφήναι εκ χειρός Αγγέλου, πάντες ούν πιστώς συνεορτάσωμεν, εν τή γεννήσει αυτής.

Στείρα άγονος η Άννα, αλλ' ουκ άτεκνος Θεώ, ήδη γάρ προώριστο, εκ γενεών αγνής Παρθένου Μήτηρ, όθεν ο τής κτίσεως εβλάστησε, Κτίστης εν δούλου μορφή.

Σέ τήν άσπιλον αμνάδα, την τό έριον Χριστώ, μόνην εκ κοιλίας σου προσαγαγούσαν, τήν ημών ουσίαν, πάντες εκ τής Άννης τικτομένην σε, ύμνοις γεραίρομεν.

### Δόξα...

Τρία άναρχα δοξάζω, τρία άγια υμνώ, τρία συναϊδια, εν ουσιότητι μιά κηρύττω, εις γάρ έν Πατρί Υιώ καί Πνεύματι, δοξολογείται Θεός.

### Καί νύν... Θεοτοκίον

Τίς εώρακε παιδίον, ο ουκ έσπειρε πατήρ, γάλακτι τρεφόμενον; ή πού τεθέαται παρθένος Μήτηρ; Όντως υπέρ έννοιαν αμφότερα, Θεογεννήτορ

αγνή.

Καταβασία

«Σταυρόν χαράξας Μωσής, επ' ευθείας ράβδω τήν Ερυθράν διέτεμε, τώ Ισραήλ πεζεύσαντι, τήν δέ επιστρεπτικώς, Φαραώ τοίς άρμασι κροτήσας ήνωσεν, επ' εύρους διαγράψας, τό αήττητον όπλον, διό Χριστώ άσωμεν, τώ Θεώ ημών ότι δεδόξασται».

Ωδή γ'  Ο Ειρμός

«Στερέωσον ημάς εν σοί Κύριε, ο ξύλω νεκρώσας τήν αμαρτίαν, καί τόν φόβον σου εμφύτευσον, εις τάς καρδίας ημών τών υμνούντων σε».

Αμέμπτως τώ Θεώ πολιτευσάμενοι, τήν πάντων εκύησαν σωτηρίαν, οι θεόφρονες γεννήτορες, τής τόν Κτίστην τεκούσης καί Θεόν ημών.

Ο πάσι τήν ζωήν πηγάζων Κύριος, εκ στείρας προήγαγε τήν Παρθένον, ήν εισδύναι κατηξίωσε, μετά τόκον φυλάξας αδιάφθορον.

Τής Άννης τόν καρπόν Μαρίαν σήμερον, τήν βότρυν κυήσασαν ζωηφόρον, ως Θεοτόκον ανυμνήσωμεν, προστασίαν τε πάντων καί βοήθειαν.

Ειρμός άλλος

«Εστερεώθη η καρδία μου εν Κυρίω, υψώθη τό κέρας μου εν Θεώ μου, επλατύνθη επ' εχθρούς μου τό στόμα μου, ευφράνθη εν σωτηρίω σου».

Ευλογημένη η κοιλία σου σώφρων Άννα, καρπόν γάρ ήνθησε παρθενίας, τήν ασπόρως τόν τροφέα τής κτίσεως, τεκούσαν καί λυτρωτήν Ιησούν.

Σέ μακαρίζει Αειπάρθενε πάσα κτίσις, εξ Άννης σήμερον γεννηθείσαν, τήν εκ ρίζης Ιεσσαί ράβδον άχραντον, τό άνθος Χριστόν βλαστήσασαν.

Σέ ανωτέραν πάσης κτίσεως Θεοτόκε, δεικνύων άχραντε ο Υιός σου, τήν εξ Άννης μεγαλύνει σου γέννησιν, καί πάντας ευφραίνει σήμερον.

Ανατραφείσα εις τά Άγια τών Αγίων, Παρθένε άχραντε Θεοτόκε, ανωτέρα ανεδείχθης τής κτίσεως, τόν Κτίστην σαρκί κυήσασα.

Δόξα...

Σέ προσκυνούμεν Πάτερ άναρχε τή ουσία, υμνούμεν άχρονον τόν Υιόν σου, καί τό Πνεύμα συναΐδιον σέβομεν, ως ένα τά τρία φύσει Θεόν.

Καί νύν... Θεοτοκίον

Τόν φωτοδότην καί αρχίζωον τών ανθρώπων, τεκούσα άχραντε Θεοτόκε, ανεδείχθης θησαυρός τής ζωής ημών, καί πύλη τού απροσίτου φωτός.

Καταβασία

«Ράβδος εις τύπον τού μυστηρίου παραλαμβάνεται, τώ βλαστώ γάρ προκρίνει τόν ιερέα, τή στειρευούση δέ πρώην Εκκλησία νύν εξήνθησε, ξύλον Σταυρού, εις κράτος καί στερέωμα».

## Η Υπακοή Ήχος β'

Πύλην αδιόδευτον ο Προφήτης, μόνω τώ Θεώ ημών τηρουμένην, τήν Αγίαν Παρθένον εκάλεσε, δι' αυτής διήλθεν ο Κύριος, εξ αυτής προήλθεν ο Υψιστος, καί πάλιν εσφραγισμένην κατέλιπε, λυτρούμενος εκ φθοράς Τήν ζωήν ημών.

## Κάθισμα Ήχος δ'
## Κατεπλάγη Ιωσήφ

Η Παρθένος Μαριάμ, και Θεοτόκος αληθώς, ως νεφέλη τού φωτός, σήμερον έλαμψεν ημίν, καί εκ Δικαίων προέρχεται εις δόξαν ημών, Ουκ έτι ο Αδάμ κατακρίνεται, η Εύα τών δεσμών ηλευθέρωται, καί διά τούτο κράζομεν βοώντες, εν παρρη σία τή μόνη Αγνή, Χαράν μηνύει, η γέννησίς σου, πάση τή οικουμένη.

## Δόξα... Καί νύν... Τό αυτό

## Ωδή δ' Ο Ειρμός

«Εισακήκοα Κύριε, τήν ακοήν τής σής οικονομίας, καί εδόξασά σε μόνε φιλάνθρωπε».

Ανυμνούμέν σε Κύριε, τόν τοίς πιστοίς σωτήριον λιμένα, παρασχόντα πάσι τήν σέ κυήσασαν.

Σέ Θεόνυμφε καύχημα, πάσι Χριστός ανέδειξε καί κράτος, τοίς υμνούσι πίστει σού τό μυστήριον.

Απειρόγαμε Δέσποινα, ταίς σαίς λταίς λυτρούμενοι πταισμάτων, ευγνωμόνως πάντες σέ μακαρίζομεν.

## Ειρμός άλλος

«Ακήκοα Κύριε τήν ακοήν σου καί εφοβήθην, οτι αρρήτω βουλή, Θεός ών αϊδιος, εκ τής Παρθένου προήλθες σαρκωθείς, Δόξα τή δόξη σου Χριστέ, δόξα τή δυνάμει σου».

Τήν πάνσεπτον γέννησιν τής Θεοτόκου, ψαλμοίς καί ύμνοις, δοξολογούντες πιστοί, τόν άψευστον, τόν τώ Δαυϊδ προομόσαντα καρπόν, εκ τής οσφύος παρασχείν, πίστει προσκυνήσωμεν.

Διήνοιξας Κύριε τήν μήτραν Σάρρας, καρπόν εν γήρα τόν Ισαάκ παρασχών, ο αυτός καί σήμερον, τή ευσεβεί Άννη δέδωκας Σωτήρ, εκ μήτρας γόνιμον καρπόν, άσπιλον Μητέρα τήν σήν.

Επήκουσας Κύριε τής προσευχής μου, λεγέτω Άννα, επαγγελίας καρπόν, παρασχών μοι σήμερον, τήν εκ πασών γενεών καί γυναικών προορισθείσαν, εις αγνήν άχραντον Μητέρα σου.

Συγχαίρει σοι σήμερον θεόφρον Άννα, η οικουμένη, τού λυτρωτού γάρ αυτής, τήν Μητέρα ήνθησας, τήν εκ ρίζης βλαστήσασαν Δαυϊδ, δυνάμεως ράβδον ημίν, φέρουσαν τό άνθος Χριστόν.

Δόξα...

Δοξάζω σε άναρχε Τριάς, αμέριστε τή ουσία, χερουβικώς εκβοών, τή πηλίνη γλώσση μου, Άγιος Άγιος Άγιος, ο ών καί διαμένων εις αεί, είς Θεός αϊδιος.

Καί νύν... Θεοτοκίον

Πεπλήρωνται Άχραντε, τών θηγόρων αι προφητείαι, εν τή γεννήσει τή σή, τών πιστώς καλούντων σε, σκηνήν καί πύλην καί όρος νοητόν, βάτον καί ράβδον Ααρών, φυείσαν εκ ρίζης Δαυϊδ.

Καταβασία

«Εισακήκοα Κύριε, τής οικονομίας σου τό μυστήριον, κατενόησα τά έργα σου, καί εδόξασά σου τήν θεότητα».

Ωδή ε'  Ο Ειρμός

«Οσκιόγραφον αχλύν, αινιγμάτων σκεδάσας, καί τών πιστών εκβάσει τής αληθείας, διά τής θεόπαιδος, καταυγάσας τάς καρδίας, καί ημάς τώ φωτί σου Χριστέ καθοδήγησον».

Ανυμνήσωμεν λαοί, τήν τών πάντων αιτίαν, τού καθ' ημάς γενέσθαι τόν αίτιον, ής τόν τύπον έχαιρον, αξιούμενοι Προφήται, εναργή σωτηρίαν ταύτης καρπούμενοι.

Τής ανίκμου ο βλαστός ράβδου τού ιερέως, τώ Ισραήλ εδήλωσε πρόκρισιν, καί νύν τήν λαμπρότητα, τών φυσάντων παραδόξως, δαδουχεί τό εκ στείρας πανένδοξον
κύημα.

Ειρμός άλλος

«Κύριε ο Θεός ημών, ειρήνην δός ημίν, Κύριε ο Θεός ημών, κτήσαι ημάς, Κύριε, εκτός σου άλλον ουκ οίδαμεν, τό όνομά σου ονομάζομεν».

Αχραντός σου η γέννησις, Παρθένε άχραντε, άφραστος καί η σύλληψις, καί η ωδίς, άρρητος ο τόκος σου, νύμφη ανύμφυτε, Θεός γάρ ήν, όλον φορέσας εμέ.

Σήμερον ευφραινέσθωσαν, Αγγέλων τάγματα, άσμασι χορευέτωσαν οι εξ Αδάμ, ετέχθη γάρ ράβδος, τό άνθος βλαστάνουσα, Χριστόν τόν μόνον λυτρωτήν τού Αδάμ.

Σήμερον Εύα λέλυται τής καταδίκης, λέλυται καί ο Αδάμ, τής αρχαίας αράς, επί τή γεννήσει τή σή βοών άχραντε, Εν σοί τής φθοράς ελυτρώθημεν.

Δόξα σοι τώ δοξάσαντι, τήν στείραν σήμερον, έτεκε γάρ τήν ράβδον τήν

αειθαλή, εξ επαγγελίας, εξ ής ανεβλάστησε Χριστός, τό άνθος τής ζωής ημών.

Δόξα...

Άναρχον προσκυνούμέν σε Τριάς αμέριστε, άκτιστον συναϊδιον καί συμφυή, εν μιά ουσία, τρισίν υποστάσεσιν, υπερφυώς κηρυττομένην αεί.

Καί νύν... Θεοτοκίον

Γέγονεν η κοιλία σου Αγία Τράπεζα, έμεινεν η άγνεία σου ώσπερ τό πρίν, ασινής Παρθένε, Χριστός γάρ ο ήλιος, ως εκ παστού νυμφίος ώφθη εκ σού.

Καταβασία

«Ω τρισμακάριστον ξύλον, εν ώ ετάθη Χριστός, ο Βασιλεύς καί Κύριος, δι' ού πέπτωκεν ο ξύλω απατήσας, τώ εν σοί δελεασθείς, Θεώ τώ προσπαγέντι σαρκί, τώ παρέχοντι, τήν ειρήνην ταίς ψυχαίς ημών».

Ωδή ς'  Ο Ειρμός

«Πρός Κύριονεκκήτους ο Ιωνάς εβόησε, Σύ με ανάγαγε, εκ πυθμένοςΆδου δέομαι, ίνα ως λυτρωτή, εν φωνή αινέσεως, αληθείας τε πνεύματι θύσω σοι».

Πρός Κύριον εν θλίψει στειρώσεως εβόησαν, τής Θεομήτορος, οι θεόφρονες γεννήτορες, καί ταύτην γενεαίς γενεών εκύησαν, εις κοινήν σωτηρίαν καί καύχημα.

Εδέξαντο ουράνιον δώρον αξιόθεον, τής Θεομήτορος, οι θεόφρονες γεννήτορες, αυτών τών Χερουβίμ υπερφέρον όχημα, τήν τού Λόγου καί Κτίστου λοχεύτριαν.

Ειρμός άλλος

«Ως ύδατα θαλάσσης φιλάνθρωπε, τά κύματα τού βίου χειμάζει με, αλλ' ώσπερ τόν Ιωνάν εκ τού κήτους, ανάγαγε εκ φθοράς τήν ζωήν μου, εύσπλαγχνε Κύριε».

Υμνούμεν τήν αγίαν σου γέννησιν, τιμώμεν καί τήν άσπορον σύλληψιν, σού νύμφη Θεόνυμφε καί Παρθένε, σκιρτώσι δέ σύν ημίν Αγγέλων τάξεις, καί τών Αγίων ψυχαί.

Αγίαν τών Αγίων υπάρχουσαν, οι σώφρονες πατέρες σου Άχραντε, ανέθεντό σε εν οίκω Κυρίου, ανατραφήναι σεμνώς, καί εις Μητέρα ετοιμασθήναι αυτώ.

Αι στείραι καί μητέρες χορεύσατε, θαρσείτε καί σκιρτήσατε άγονοι, η άτεκνος γάρ στείρα, τήν Θεοτόκον βλαστάνει, ήτις λύσει τών ωδίνων τήν Εύαν, καί τής αράς τόν Αδάμ.

Ακούω τού Δαυϊδ μελωδουντός σοι, Αχθήσονται παρθένοι οπίσω σου, αχθήσονται εις ναόν Βασιλέως, καί σύν αυτώ σε καγώ, θυγατέρα τού Βασιλέως υμνώ.

Δόξα...

Εν σοί τό τής Τριάδος μυστήριον, υμνείται καί δοξάζεται άχραντε, Πατήρ γάρ ηυδόκησε, καί ο Λόγος εσκήνωσεν εν ημίν, καί θείον Πνεύμα σοί επεσκίασε.

Καί νύν... Θεοτοκίον

Χρυσούν θυμιατήριον γέγονας, τό πύρ γάρ εν γαστρί σου εσκήνωσεν, ο Λόγος εκ Πνεύματος τού Αγίου, καί εν ανθρώπου μορφή καθωράθη, Θεογεννήτορ αγνή.

Καταβασία

«Νοτίου θηρός εν σπλάγχνοις, παλάμας Ιωνάς σταυροειδώς διεκπετάσας, τό σωτήριον πάθος προδιετύπου σαφώς, όθεν τριήμερος εκδύς, τήν υπερκόσμιον Ανάστασιν υπεζωγράφησε, τού σαρκί προσπαγέντος Χριστού τού Θεού, καί τριημέρω εγέρσει, τόν κόσμον φωτίσαντος».

Κοντάκιον

Ήχος δ' Αυτόμελον

Ιωακείμ καί Άννα όνειδισμού ατεκνίας, καί Αδάμ καί Εύα, εκ τής φθοράς τού θανάτου, ηλευθερώθησαν, Άχραντε, εν τή αγία γεννήσει σου, αυτήν εορτάζει καί ο λαός σου, ενοχής τών πταισμάτων, λυτρωθείς εν τώ κράζειν σοι, Η στείρα τίκτει τήν Θεοτόκον, καί τροφόν τής ζωής ημών.

Ο Οίκος

Η προσευχή ομού καί στεναγμός, τής στειρώσεως καί ατεκνώσεως Ιωακείμ τε καί Άννης, ευπρόσδεκτος, καί εις τά ώτα Κυρίου ελήλυθε, καί εβλάστησαν καρπόν ζωηφόρον τώ κόσμω, ο μέν γάρ προσευχήν εν τώ όρει ετέλει, η δέ εν παραδείσω όνειδος φέρει, αλλά μετά χαράς, η στείρα τίκτει τήν Θεοτόκον, καί τροφόν τής ζωής ημών.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Η' τού αυτού μηνός, τό Γενέθλιον τής Υπεραγίας Δεσποίνης ημών Θεοτόκου καί αειπαρθένου Μαρίας.

Στίχοι

- Πάσας αληθώς, Άννα, νικάς μητέρας,
- Μήτηρ έως άν σή γένηται θυγάτηρ.
- Εξάγαγε πρός φώς Θεομήτορα ογδόη Άννα.

Τή αυτή ημέρα, οι Άγιοι αυτάδελφοι, Ρούφος καί Ρουφιανός, ξίφει τελειούνται.

Στίχοι

- Κλίνων εαυτόν Ρουφιανός τώ ξίφει,
- Μένω σε, φησί, Ρούφε, μή μέλλης, έπου.

Τή αυτή ημέρα, ο Άγιος Σεβήρος ξίφει τελειούται.

Στίχοι

- Ετοιμός ειμι πρός τό πάν οίσειν πάθος,
- Σεβήρος είπε, καί πρός με τό ξίφος;

Τή αυτή ημέρα, ο Άγιος Αρτεμίδωρος πυρί τελειούται.

Στίχοι

- Αρτεμίδωρος ως καθάλλεσθαι σθένει,
- Καί τού πυρός φλέγοντος έργω δεικνύει.

Ο Άγιος νεομάρτυς Αθανάσιος ο εν Θεσσαλονίκη μαρτυρήσας κατά τό 1774 αγχόνη τελειούται.

Ταίς τών αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ' Ειρμός

«Βάτος εν όρει πυράφλεκτος, καί δροσοβόλος κάμινος Χαλδαϊκή, σαφώς προγράφει σε Θεόνυμφε, τό γάρ θείον άϋλον εν υλική γαστρί, πύρ αφλέκτως εδέξω, διό τώ εκ σού τεχθέντι κράζομεν, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών».

Σού ταίς αϋλοις εμφάσεσιν, ονομοθέτης είργετο κατανοείν, τό μέγα Πάνσεμνε μυστήριον, μή φρονείν χαμαίζηλα, συμβολικώς παιδευόμενος ποτέ, διό εκπλαγείς τό θαύμα έλεγεν, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Όρος καί πύλην ουράνιον, καί νοητήν σε κλίμακα θεοπρεπώς, χορός ο θείος προηγόρευσε, εκ σού γάρ λίθος τέτμηται, ουχ υποστάς εγχειρίδιον ανδρός, καί πύλην, δι' ής διήλθε Κύριος, τών θαυμασίων Θεός, ο τών Πατέρων ημών.

Ειρμός άλλος

«Τών Χαλδαίων η κάμινος, πυρί φλογιζομένη, εδροσίζετο Πνεύματος, Θεού επιστασία, οι Παίδες υπέψαλλον, Ευλογητός ο Θεός ο τών Πατέρων».

Εορτάζομεν Άχραντε, καί πιστώς προσκυνούμεν, τήν αγίαν σου γέννησιν, τήν εξ επαγγελίας, δι' ής ελυτρώθημεν, τής αρχεγόνου αράς, επιφανέντος Χριστού.

Νύν η Άννα ευφραίνεται, καί βοά καυχωμένη, Στείρα ούσα γεγέννηκα, τού Θεού τήν Μητέρα, δι' ής τό κατάκριμα, τής Εύας λέλυται, καί η εν λύπαις ωδίς.

Ο Αδάμ ηλευθέρωται, καί η Εύα χορεύει, καί βοώσιν εν πνεύματι, πρός σέ τήν Θεοτόκον, Εν σοί ελυτρώθημεν, τής αρχεγόνου αράς, επιφανέντος Χριστού.

Στείραι άγονοι σπεύσατε, ψυχαί ητεκνωμέναι, ότι Άννα πολύτεκνος, καί νύν ευφραινομένη, μητέρες χορεύσατε, σύν τή Μητρί τού Θεού, καί συναγάλλεσθε.

Δόξα...

Τόν Πατέρα δοξάσωμεν, τόν Υιόν καί τό Πνεύμα, εν μονάδι θεότητος, Τριάδα Παναγίαν, αχώριστον άκτιστον, καί συναϊδιον καί ομοούσιον.

Καί νύν... Θεοτοκίον

Σύ Θεόν μόνη έτεκες, Παρθένε μετά τόκον, σύ τήν φύσιν εκαίνισας, τώ τόκω σου Μαρία, σύ τήν Εύαν έλυσας, τής πρωτογόνου αράς, Θεογεννήτορ αγνή.

Καταβασία

«Έκνοον πρόσταγμα τυράννου δυσσεβούς, λαούς εκλόνησε, πνένον απειλής καί δυσφημίας θεοστυγούς, όμως τρείς παίδας ουκ εδειμάτωσε, θυμός θηριώδης, ού πύρ βρόμιον, αλλ' αντηχούντι δροσοβόλω πνεύματι, πυρί συνόντες έψαλλον, ο υπερύμνητος τών Πατέρων ημών, Θεός ευλογητός εί».

Ωδή η'  Ο Ειρμός

«Εν τή καμίνω τή τών Παίδων, προαπεικόνισας ποτέ, τήν σήν Μητέρα Κύριε, ο γάρ τύπος τούτους πυρός εξείλετο, αφλέκτως εμβατεύοντας, ήν υμνούμεν εμφανισθείσαν, διά σού τοίς πέρασι σήμερον, καί υπερυψούμεν εις πάντας τούς αιώνας».

Τής πρός Θεόν ημών καταλλαγής, η προορισθείσα σκηνή, τού είναι νύν απάρχεται, τεξομένη Λόγον ημίν παχύτητι, σαρκός εμφανιζόμενον, όν υμνούμεν οι εκ μή όντων, δι' αυτού τό είναι λαβόντες, καί υπερυψούμεν εις πάντας τούς αιώνας.

Η τής στειρώσεως μεταβολή, τήν κοσμικήν τών αγαθών, διέλυσε στείρωσιν, καί τρανώς τό θαύμα Χριστόν υπέδειξε, βροτοίς επιδημήσαντα, όν υμνούμεν οι εκ μή όντων, δι' αυτού τό είναι λαβόντες, καί υπερυψούμεν εις πάντας τούς αιώνας.

Ειρμός άλλος

«Ο στεγάζων εν ύδασι, τά υπερώα αυτού, ο τιθείς θαλάσση όριον ψάμμον, καί συνέχων τό πάν, σέ υμνεί ήλιος, σέ δοξάζει σελήνη, σοί προσφέρει ύμνον πάσα κτίσις, τώ Δημιουργώ καί Κτίστη
εις τούς αιώνας».

Ο ποιήσας παράδοξα, τή στειρωθείση γαστρί, ο ανοίξας Άννης άγονον μήτραν, καί καρπόν αυτή δούς, σύ Θεός άγιος, σύ Υιός τής Παρθένου, σύ εκ ταύτης σάρκα προσελάβου, τής αειθαλούς Παρθένου καί Θεοτόκου.

Ο σφραγίζων τήν άβυσσον, καί εξανοίγων αυτήν, ο ανάγων ύδωρ εν ταίς νεφέλαις, καί διδούς υετόν, σύ ο δούς Κύριε, ρίζης εκ τής ακάρπου εξανθήσαι,, Άννης τής αγίας, άχραντον καρπόν, τήν ράβδον τήν Θεοτόκον.

Σύ ο λύσας τά άλυτα, τής απαιδίας δεσμά, σύ ο δούς τή στείρα γόνιμον τόκον, καί καρπόν ευκλεή, ής Υιός γέγονας καί βλαστός ανεφύης, ήν Μητέρα έσχες κατά σάρκα, εν τή πρός ημάς Οικτίρμον επιδημία.

Γεωργέ τών φρενών ημών, καί φυτουργέ τών ψυχών, σύ ο άκαρπον γήν, εύκαρπον δείξας, σύ τήν πάλαι ξηράν, γόνιμον εύσταχυν, άρουραν

καρποφόρον απειργάσω, Άνναν τήν αγίαν, άχραντον καρπόν ανθήσαι τήν Θεοτόκον.

Δόξα...

Ώ Τριάς υπερούσιε, μονάς συνάναρχε, σέ υμνεί καί τρέμει, πληθύς Αγγέλων, ουρανός καί η γή, άβυσσοι φρίττουσιν, άνθρωποι ευλογούσι, πύρ δουλεύει, πάντα υπακούει, σοί Τριάς αγία, φόβω τά εν τή κτίσει.

Καί νυν... Θεοτοκίον

Ώ καινότατον άκουσμα! Θεός Υιός γυναικός, καί ασπόρου τόκου, άνανδρος Μήτηρ, καί Θεός τό τεχθέν, ώ φρικτόν θέαμα! ώ συλλήψεως ξένης τής παρθένου! ώ αφράστου τόκου! όντως υπέρ νούν τά πάντα καί θεωρίαν.

Καταβασία

«Ευλογείτε Παίδες, τής Τριάδος ισάριθμοι, δημιουργόν Πατέρα Θεόν, υμνείτε τόν συγκαταβάντα Λόγον, καί τό πύρ εις δρόσον μεταποιήσαντα, καί υπερυψούτε τό πάσι ζωήν παρέχον, Πνεύμαπανάγιον εις τούς αιώνας».

## Ωδή θ'

Η Τιμιωτέρα ου στιχολογείται

Ο Ειρμός

«Η τόν πρό ηλίου φωστήρα, τόν Θεόν εξανατείλαντα, σωματικώς ημίν επιδημήσαντα, εκ λαγόνων παρθενικών, αφράστως σωματώσασα, ευλογημένη πάναγνε, σέ Θεοτόκε μεγαλύνομεν».

Ο τοίς απειθούσι λαοίς, εξ ακροτόμου βλύσας νάματα, τοίς ευπειθούσιν έθνεσι χαρίζεται, εκ λαγόνων στειρωτικών, καρπόν εις ευφροσύνην ημίν, σέ Θεομήτορ άχραντε, ήν επαξίως μεγαλύνομεν.

Τήν τής αποτόμμμιου αρχαίας, αναιρέτιν αποφάσεως, καί τής Προμήτορος τήν επανόρθωσιν, τήν τού γένους τής πρός Θεόν αιτίαν οικειώσεως, τήν πρός τόν Κτίστην γέφυραν, σέ Θεοτόκε μεγαλύνομεν.

Ειρμός άλλος

«Αλλότριον τών μητέρων η παρθενία, καί ξένον ταίς παρθένοις η παιδοποιϊα, επί σοί Θεοτόκε αμφότερα ωκονομήθη, Διό σε πάσαι αι φυλαί τής γής, απαύστως μακαρίζομεν».

Επάξιον Θεομήτορ τής σής αγνείας, τόν τόκον εκληρώσω δι' επαγγελίας, τή ποτέ γάρ ακάρπω, θεόβλαστος καρπός εδόθης, διό σε πάσαι αί φυλαί τής γής, απαύστως μακαρίζομεν.

Πεπλήρωται τού βοώντος η προφητεία, φησί γάρ, Αναστήσω σκηνήν τήν πεπτωκυίαν, τού ιερού Δαυϊδ, εν σοί, Άχραντε προτυπωθείσαν, δι' ής ο σύμπας τών ανθρώπων χούς, εις σώμα ανεπλάσθη Θεώ.

Τά σπάργανα προσκυνούμέν σου Θεοτόκε, δοξάζομεν τόν δόντα καρπόν τή

πρώην στείρα, καί ανοίξαντα μήτραν, τήν άγονον εκ παραδόξου, ποιεί γάρ πάντα όσα βούλεται, Θεός ων παντεξούσιος.

Εβλάστησας νυμφοτόκε Άννα θεόφρον, εκ μήτρας παρ' ελπίδα, καί εξ επαγγελίας, παρθενόφυτον άνθος, θεόβλαστον αγνείας κάλλος, διό σε πάντες μακαρίζομεν, ως ρίζαν τής ζωής ημών.

Δόξα...

Αλλότριον τοίς ανόμοις εστί δοξάζειν, τήν άναρχον Τριάδα, Πατέρα καί Υιόν τε, καί τό Άγιον Πνεύμα, τήν άκτιστον παγκρατορίαν, δι' ής ο σύμπας κόσμος ήδρασται, τώ νεύματι τού κράτους αυτής.

Καί νύν... Θεοτοκίον

Εχώρησας έν γαστρί σου Παρθενομήτορ, τόν ένα τής Τριάδος Χριστόν τόν Βασιλέα, όν υμνεί πάσα κτίσις, καί τρέμουσιν οι άνω θρόνοι, αυτόν δυσώπει πανσεβάσμιε, σωθήναι τάς ψυχάς ημών.

Καταβασία

«Μυστικός εί Θεοτόκε Παράδεισος, αγεωργήτως βλαστήσασα Χριστόν, υφ' ού τό τού Σταυρού, ζωηφόρον εν γή, πεφυτούργηται δένδρον, δι' ού νύν υψουμένου, προσκυνούντες αυτόν, σέ μεγαλύνομεν».

Ετέρα

«Ο διά βρώσεως τού ξύλου, τώ γένει προσγενόμενος θάνατος, διά Σταυρού κατήργηται σήμερον, τής γάρ Προμήτορος η παγγενής, κατάρα διαλέλυται, τώ βλαστώ τής αγνής Θεομήτορος, ήν πάσαι αι Δυνάμεις, τών ουρανών μεγαλύνουσι».

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Αγάλλονται τά πέρατα, τής οικουμένης σήμερον, εν τή γεννήσει σου Κόρη, Θεοκυήτορ Μαρία, καί απειρόγαμε νύμφη, εν ή καί τών φυσάντων σε, τό λυπηρόν διέλυσας, τής ατεκνίας όνειδος, καί τής Προμήτορος Εύας, τήν εν τώ τίκτειν κατάραν.

Έτερον όμοιον

Αδάμ ανακαινίσθητι, καί Εύα μεγαλύνθητι, Προφήται σύν Αποστόλοις, χορεύσατε καί Δικαίοις, κοινή χαρά εν τώ κόσμω, Αγγέλων τε καί ανθρώπων, εκ τών Δικαίων σήμερον, Ιωακείμ καί τής Άννης, γεννάται η Θεοτόκος.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια γ' δευτερούντες τό α'.

Ήχος α'

Ώ τού παραδόξου θαύματος

Ώ τού παραδόξου θαύματος! η πηγή τής ζωής, εκ τής στείρας τίκτεται, η χάρις καρπογονείν, λαμπρώς απάρχεται, Ευφραίνου Ιωακείμ, τής Θεοτόκου γεννήτωρ γενόμενος, ουκ έστιν άλλος ως σύ, τών γηγενών γεννητόρων θεόληπτε, η γάρ θεοδόχος Κόρη, τού Θεού τό σκήνωμα, τό πανάγιον ορος, διά σού ημίν δεδώρηται.

Ὠ τού παραδόξου θαυματος! ο εκ στείρας καρπός, αναλάμψας νεύματι, τού πάντων Δημιουργού, καί παντοκράτορος, ευτόνως τήν κοσμικήν, τών αγαθών διαλέλυκε στείρωσιν, Μητέρες σύν τή Μητρί, τής Θεοτόκου χορεύσατε κράζουσαι, Κεχαριτωμένη χαίρε, μετά σού ο Κύριος, ο παρέχων τώ κόσμω, διά σού τό μέγα έλεος.

Όμοιον

Στήλη σωφροσύνης έμψυχος, καί λαμπρόν δοχείον, αποστίλβον χάριτι, η Άννα η ευκλεής, φανείσα τέτοκε, τήν πρόβολον αληθώς, τής παρθενίας τό θείον απάνθισμα, τήν πάσαις παρθενικαίς, καί παρθενίας ποθούσαις τό χάρισμα, τό τής παρθενίας κάλλος, εμφανώς βραβεύουσαν, καί παρέχουσαν πάσι, τοίς πιστοίς τό μέγα έλεος.

Δόξα... Καί νύν... Ήχος πλ. β'

Αύτη ημέρα Κυρίου, αγαλλιάσθε λαοί, ιδού γάρ τού φωτός ο νυμφών, καί η βίβλος τού λόγου τής ζωής, εκ γαστρός προελήλυθε, καί η κατά ανατολάς πύλη αποκυηθείσα, προσμένει τήν είσοδον, τού Ιερέως τού μεγάλου, μόνη καί μόνον εισάγουσα Χριστόν εις τήν οικουμένην, πρός σωτηρίαν τών ψυχών ημών.

Δοξολογία Μεγάλη, καί Απόλυσις

Εις τήν Λειτουργίαν, Τυπικά, καί εκ τών Κανόνων, Ωδή γ' καί ς'.

Αντίφωνον Α'

Στίχος α'. Μνήσθητι Κύριε τού Δαυϊδ καί πάσης τής πραότητος αυτού.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχος β'. Ιδού ηκούσαμεν αυτήν εν Εφραθά, εύρομεν αυτήν εν τοίς πεδίοις τού δρυμού.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχος γ'. Δεδοξασμένα ελαλήθη περί σού η πόλις τού Θεού.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχος δ'. Ο Θεός εν μέσω αυτής καί ου σαλευθήσεται.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Δόξα... Καί νύν...

Ταίς πρεσβείαις τής Θεοτόκου...

Αντίφωνον Β'

Στίχος α'. Ώμοσε Κύριος τώ Δαυϊδ αλήθειαν καί ού μή αθετήσει αυτήν.

Σώσον ημάς, Υιέ Θεού, ο δι' ημάς σαρκωθείς...

Στίχος β'. Εκ καρπού τής κοιλίας σου θήσομαι επί τού θρόνου σου.

Σώσον ημάς, Υιέ Θεού, ο δι' ημάς...

Στίχος γ'. Εκεί εξανατελώ κέρας τώ Δαυϊδ, ητοίμασα λύχνον τώ Χριστώ

Σώσον ημάς, Υιέ Θεού, ο δι' ημάς...

Στίχος δ'. Ότι εξελέξατο Κύριος τήν Σιών, ηρετίσατο αυτήν εις κατοικίαν εαυτώ.

Σώσον ημάς, Υιέ Θεού, ο δι' ημάς...

Δόξα... Καί νύν...

Ο μονογενής Υιός καί Λόγος,..

Αντίφωνον Γ'

Στίχος α'. Ώδε κατοικήσω, ότι ηρετισάμην αυτήν.

Ήχος δ'

Η γέννησίς σου Θεοτόκε, χαράν εμήνυσε πάση τή οικουμένη, εκ σού γάρ ανέτειλεν ο ήλιος τής δικαιοσύνης, Χριστός ο Θεός ημών, καί λύσας τήν κατάραν, έδωκε τήν ευλογίαν, καί καταργήσας τόν θάνατον, εδωρήσατο ημίν ζωήν τήν αιώνιον.

Στίχος β'. Ηγίασε τό σκήνωμα αυτού ο Ύψιστος.

Η γέννησίς σου Θεοτόκε...

Στίχος γ'. Άγιος ο ναός σου, θαυμαστός εν δικαιοσύνη.

Η γέννησίς σου Θεοτόκε...

Κοινωνικόν

Ποτήριον σωτηρίου λήψομαι, καί τό όνομα Κυρίου επικαλέσομαι. Αλληλούϊα.

---

Αρχή

**ΤΗ Θ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τών Αγίων καί Δικαίων Θεοπατόρων Ιωακείμ καί Άννης, καί τού

Αγίου Μάρτυρος Σεβηριανού.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

### Τών Θεοπατόρων

Ήχος δ'
Έδωκας σημείωσιν

Δεύτε νύν χορεύσωμεν, ασματικώς ώ φιλέορτοι, καί πιστώς εορτάσωμεν, τήν μνήμην γεραίροντες, Ιωακείμ καί Άννης, τής σεπτής δυάδος, αυτοί γάρ έτεκον ημίν, τήν Θεομήτορα καί Παρθένον αγνήν, διό περ καί μετέστησαν, εκ τών προσκαίρων πρός άληκτον, καί αείζωον οίκησιν, δυσωπούντες σωθήναι ημάς.

Ευφρόσυνον τέρπεται, σήμερον κτίσις η σύμπασα, Θεοτόκε πανύμνητε, ετήσιον άγουσα, μνήμην ομοφρόνως, τών σών γεννητόρων, Ιωακείμ τού θαυμαστού, ομού καί Άννης πανηγυρίζουσα, χαράν γάρ προεξένησαν, σέ παρ' ελπίδα βλαστήσαντες, τήν τό φώς απαστράψασαν, καί τροφόν τής ζωής ημών.

Αγάλλεται σήμερον, Άννα σκιρτώσα εν πνεύματι, καί ευφραίνεται χαίρουσα, τυχούσα εφέσεως, ής περ επεπόθει, πάλαι ευτεκνίας, επαγγελίας γάρ καρπόν, καί ευλογίας θείον εβλάστησε, Μαρίαν τήν πανάμωμον, τήν τόν Θεόν ημών τέξασαν, καί τόν ήλιον λάμψασαν, τοίς εν σκότει καθεύδουσι.

### Τού Αγίου

Όμοια

Νεύροις συγκοπτόμενος, διά Χριστόν Παναοίδιμε, καί ικρίω κρεμάμενος, καί σάρκας ξεόμενος, απηνώς ξυστήρσι, θύειν τε ειδώλοις, εγκελευόμενος σοφέ, ουκ εξηρνήσω τόν πάντων Κύριον, αλλ' ήλεγξας τοίς πόνοις σου, τό ασθενές καί εξίτηλον, τών ειδώλων καί γέγονας τών Αγγέλων συνόμιλος.

Δέσμιος αγόμενος, καί ταίς πληγαίς σεμνυνόμενος, τούς ορώντας προέτρεπες, μιμείσθαι τόν δρόμον σου, πρός τάς ουρανίους, Μάκαρ αντιδόσεις, αποσκοπούντας, αι πολλήν, τήν ευφροσύνην καί τήν τερπνότητα, παρέχουσιν ως άφθαρτοι, καί εις αεί παραμένουσαι, τούς Χριστόν θεραπεύοντας, κληρονόμους λαμβάνουσιν.

Λίθοις συνθλαττόμενος, τάς σιαγόνας, Αοίδιμε, καί πλευράς σπαθιζόμενος, λίθωπαμμεγίστω τε, τράχηλον καί πόδας, συνθλώμενος Μάκαρ, καί αρμονίας απηνώς, παραλυόμενος όντως έθλασας, τήν κεφαλήν τού δράκοντος,

υπομονής γενναιότητι, ήν ηττήσαι ουκ, ίσχυσε, τών βασάνων η κάκωσις.

Δόξα... Καί νύν...

Ήχος πλ. α'  Εφραίμ Καρίας

Ώ μακαρία δυάς, υμείς πάντων γεννητόρων υπερήρθητε, ότι τήν τής κτίσεως πάσης υπερέχουσαν εβλαστήσατε, Όντως μακάριος εί Ιωακείμ, τοιαύτης παιδός χρηματίσας Πατήρ, Μακαρία η μήτρα σου Άννα, ότι τήν Μητέρα τής ζωής ημών εβλάστησε, Μακάριοι οι μαστοί, οίς εθήλασας τήν γαλακτοτροφήσασαν, τόν τρέφοντα πάσαν πνοήν, όν δυσωπείν υμάς παμμακάριστοι αιτούμεθα, ελεηθήναι τάς ψυχάς ημών.

Εις τόν Στίχον. Στιχηρά Προσόμοια.

Ήχος α'

Τών ουρανίων ταγμάτων

Ιωακείμ καί η Άννα πανηγυρίζουσι, τήν απαρχήν τεκόντες, τής ημών σωτηρίας, την μόνην Θεοτόκον, οίς καί ημείς, συνεορτάζοντες σήμερον, τήν εκ τής ρίζης εκείνης τού Ιεσσαί, μακαρίζομεν Παρθένον αγνήν.

Στίχ. Άκουσον, θύγατερ, καί ίδε, καί κλίνον τό ούς σου, καί επιλάθου τού λαού σου, καί τού οίκου τού πατρός σου, καί επιθυμήσει ο Βασιλεύς τού κάλλους σου.

Η θεοχώρητος Κόρη, καί Θεοτόκος αγνή, τών Προφητών τό κλέος, τού Δαυίδ η θυγάτηρ, σήμερον γεννάται εξ Ιωακείμ, καί τής Άννης τής σώφρονος, καί τού Αδάμ τήν κατάραν τήν εις ημάς, ανατρέπει έν τώ τόκω αυτής.

Στιχ. Τό πρόσωπόν σου λιτανεύσουσιν οι πλούσιοι τού λαού.

Η πρώην άγονος χώρα, γήν καρποφόρον γεννά, καί εξ ακάρπου μήτρας, καρπόν άγιον δούσα, γάλακτι εκτρέφει, θαύμα φρικτόν! η τροφός τής ζωής ημών, η τόν ουράνιον άρτον εν τή γαστρί, δεξαμένη γαλουχείται μαζώ.

Δόξα... Καί νύν... Ήχος πλ. δ'

Οι εξ ακάρπων λαγόνων, ράβδον αγίαν τήν Θεοτόκον βλαστήσαντες, εξ ής η σωτηρία τώ κόσμω ανέτειλε, Χριστός ο Θεός, τό ζεύγος τό άγιον, η ξυνωρίς η αγία, Ιωακείμ καί, Άννα, ούτοι μεταστάντες πρός ουρανίους σκηνάς, σύν τή αυτών θυγατρί υπεραχράντω Παρθένω, μετ' Αγγέλων χορεύουσιν, υπέρ τού κόσμου πρεσβείας ποιούμενοι, οίς καί ημείς συνελθότες ευσεβώς, υμνούντες λέγομεν, οι διά τής θεόπαιδος καί πανάγνου Μαρίας, προπάτορες Χριστού χρηματίσαντες, πρεσβεύσατε υπέρ τών ψυχών ημών.

Απολυτίκιον τών Αγίων

Ήχος β'

Τών δικαίων Θεοπατόρων σου Κύριε, τήν μνήμην εορτάζοντες, δι' αυτών σε δυσωπούμεν, Σώσον τάς ψυχάς ημών.

Καί τής Εορτής

Απολυτίκιον  Ήχος δ'

Η γέννησίς σου Θεοτόκε, χαράν εμήνυσε πάση τή οικουμένη, εκ σού γάρ ανέτειλεν ο ήλιος τής δικαιοσύνης, Χριστός ο Θεός ημών, καί λύσας τήν κατάραν, έδωκε τήν ευλογίαν, καί καταργήσας τόν θάνατον, εδωρήσατο ημίν ζωήν τήν αιώνιον.

Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί Καθίσματα τής Θεοτόκου.

Μετά τήν α' Στιχολογίαν

Κάθισμα  Ήχος α'
Τού λίθου σφραγισθέντος

Τεχθείσα παραδόξως στειρωτικών εξ ωδίνων, παρθενικών εκ λαγόνων εκύησας υπέρ φύσιν, ωραίος φανείσα γάρ βλαστός, εξήνθησας τώ κόσμω τήν ζωήν, διά τούτο αι Δυνάμεις τών ουρανών, βοώσί σοι Θεοτόκε, Δόξα τή νύν προόδω σου σεμνή, δόξα τή παρθενία σου, δόξα τή κυοφορία σου, μόνη πανάχραντε.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα  Ήχος πλ. α'
Τόν συνάναρχον Λόγον

Τά ουράνια πάντα νύν επαγάλλονται, τών ανθρώπων τό γένος συνεορτάζει αυτοίς, καί οι Προφήται μυστικώς συνευφραίνονται, ήν γάρ προείδον τυπικώς, εν ταίς αρχαίαις γενεαίς, βάτον καί στάμνον καί ράβδον, νεφέλην πύλην καί θρόνον, καί μέγα όρος, γεννάται σήμερον.

Δόξα... Καί νύν... Τό αυτό

Ο Κανών τής Εορτής, καί τών Αγίων.

Ο Κανών τών Αγίων, ού η Ακροστιχίς Τούς σούς γονείς Πάναγνε μέλπω προφρόνως.

Ωδή α'  Ήχος β'
Εν βυθώ

Τήν λαμπάδα τήν τόν νοητόν, ήλιον αστράψασαν, σωματικώς εξ αυτής ανατείλαντα, αρετής λαμπρότησι, διαπρέποντες εκτεκείν ηξιώθησαν, Άννα η θεόφρων, καί Ιωακείμ ο παναοίδιμος.

Ολοτρόπω νεύσει πρός Θεόν, όντως ο θεόληπτος, Ιωακείμ καί η Άννα η ένθεος, ακλινώς προσέχοντες, τήν πανάχραντον Θεοτόκον εκύησαν, τήν υπερκειμένην, κτίσεως απάσης αγιότητι.

Υπερτέραν έχοντες ζωήν, βίου τε λαμπρότητα, πάντων ομού γεννητόρων γεγόνατε, γηγενών υπέρτεροι, τήν ακήρατον Παρθένον ως γεννήσαντες, καί Θεού πατέρες, όντως διά ταύτης χρηματίσαντες.

Σωτηρίας πάσης αρχηγοί, ο μακαριώτατος, Ιωακείμ καί η Άννα η ένδοξος, τήν αγνήν καί άμωμον, καί πανάχραντον Θεοτόκον εγέννησαν, τής θεοσεβείας, ταύτην ειληφότες τήν αντίδοσιν.

## Κανών τού Μάρτυρος

### Ωδή α' Ήχος πλ. δ'
Υγράν διοδεύσας

Εκράτει τό δόγμα τό δυσσεβές, τό θύειν ειδώλοις, τοίς αψύχοις τε καί κωφοίς, ενίκα Χριστός δέ, τών Μαρτύρων, ταίς καρτεραίς καί γενναίαις ενστάσεσιν.

Ελύττα Λυσίας κατά Χριστού, καί πάντας ούς εύρε, σεβομένους αυτόν Θεόν, παντοίως κολάζειν επεχείρει, αλλ' εντυχών σοι θεόφρον ησχύνετο.

Εξέπληξας Μάκαρ τόν δυσσεβή, γενναίως χωρήσας, εις τό στάδιον τών θεών, απήλεγξας τούτου παρρησία, τό ασθενές καί σαθρόν καί ανίσχυρον.,

Θεοτοκίον

Εχώρησας μόνη τόν ουρανοίς, αχώρητον Κόρη, εν γαστρί σου θεοπρεπώς, οικήσαντα ταύτην καί τήν φύσιν, τήν τών βροτών εξ αυτής προσλαβόμενον.

## Τών Θεοπατόρων

### Ωδή γ'
Εν πέτρα με τής πίστεως

Στειρεύουσα καί παίδων απορουμένη, καί δάκρυσι τόν Κτίστην εκδυσωπούσα, τήν μόνην ηξιώθης ευλογημένην, τεκείν θεόληπτε, Άννα κραυγάζουσα, Ως ουκ έστιν άγιος πλήν σου Κύριε.

Ο σύνοικον πλουτήσας τήν θείαν χάριν, Ιωακείμ ο θείος καί θεηγόρος, τήν πρόξενον ανθρώποις τής σωτηρίας, τεκείν ηξίωται, πρός ήν κραυγάζομεν, Ως ουκ έστιν άμεμπτος πλήν σου Δέσποινα.

Υμνήσωμεν τήν πάνσεπτον ξυνωρίδα, δι' ής ημίν εξέλαμψεν η Παρθένος, η πάντων ποιημάτων αγιωτέρα, Θεόν γάρ τέτοκε, πρός όν κραυγάζομεν, Ως ουκ έστιν άγιος πλήν σου Κύριε.

Στειρώσεως τό όδεινος εκφυγούσα, γεγέννηκεν η Άννα τήν Θεοτόκον, τό όνειδος τής Εύας νύν παραδόξως εξαφανίζουσαν, πρός ήν κραυγάζομεν, Ως ουκ έστιν άμεμπτος πλήν σου Δέσποινα.

Τού Μάρτυρος

Σύ εί τό στερέωμα

Έχαιρες τυπτόμενος, υπέρ Χριστού σοφέ μάστιξιν, ανηλεώς, είχες γάρ βεβαίαν, τήν τών πόνων αντίδοσιν.

Νεύροις συγκοπτόμενος, υπαλλαγή συχνή Ένδοξε, τών δημίων, ως περ αλλοτρίω, ουκ ησθάνου εν σώματι.

Εύρες τήν αντάμειψιν, παρά Χριστού Σοφέ στέφανον, απολαβων τής δικαιοσύνης, καί χαράν τήν μή λήγουσαν.

Θεοτοκίον

Όλη η πλησίον μου, καλή καί άμωμος πέφυκε, σέ προορών, έφη Θεοτόκε, Σολομών εν τοίς Άσμασιν.

Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Κάθισμα τού Μάρτυρος

Ήχος α'

Τόν τάφον σου Σωτήρ

Ανδρεία τήν ψυχήν, ωπλισμένος θεόφρον, εξέδωκας σαυτόν, εις ποικίλας βασάνους, τώ πόθω φλεγόμενος, τού Δεσπότου πανόλβιε, όθεν ήλεγξας, τήν τών τυράννων μανίαν, καί τόν στέφανον, παρά Θεού εκομίσω, τής νίκης τόν άφθαρτον.

Δόξα... Καί νύν...

Τής Εορτής  Ήχος πλ. α'

Τόν συνάναρχον Λόγον

Ιωακείμ καί η Άννα πανηγυρίζουσιν, εν Θεώ γάρ αξίως χάριν εφεύραντο, καί εγέννησαν καρπόν τόν θεοδόχον ναόν, τήν Παρθένον καί αγνήν, τήν Μητέρα τού Θεού, τήν μόνην ευλογημένην, πρεσβεύουσαν αενάως, εις τό σωθήναι τάς ψυχάς ημών.

Τών Θεοπατόρων

Ωδή δ'

Ελήλυθας, εκ Παρθένου

Γηθόμενος, τήν Παρθένον εκ στείρας κομίζεται, δι' ής περ η στείρωσις η κοσμική διαλέλυται, τόκω παρθενεύοντι, Ιωακείμ ο θεόφρον καί θεόληπτος.

Ο προπάτωρ, τού Χριστού Ιωακείμ νύν πρόκειται, ημίν εις εστίασιν,

πνευματικήν ο πανόλβιος, ός τήν Θεομήτορα, καί πανακήρατον Κόρην απεγέννησε.

Νεκρώσεως, καί φθοράς τούς ανθρώπους τήν σώζουσαν, η χάρις προβάλλεται, τήν εσομένην Μητέρα Θεού, Λόγον τόν αϊδιον, τήν δεξομένην αφράστως σωματούμενον.

Εκ τής ρίζης, Ιεσσαί ξυνωρίς ανατέταλκεν, εξ ής ανεβλάστησε ράβδος τό άνθος η φέρουσα, όλον με τόν άνθρωπον, ευωδιάζον τώ μύρω τής θεότητος.

Ιθυνόν μου, Θεοτόκε τόν βίον προστάγμασιν, ενθέως ρυθμίζουσα, τού σαρκωθέντος Λόγου εκ σού, καί πρός φώς οδήγησον, Παρθενομήτορ Μαρία Θεονύμφευτε.

Τού Μάρτυρος

Εισακήκοα Κύριε

Ταίς θωπείαις ο τύραννος, σού καταμαλάττειν Μάρτυς τό εύτονον, καί νικήσαί σε οιόμενος, ουρανόν τοξεύειν ενομίζετο.

Ουκ αισθάνη παράφορε, τού Χριστού τήν δύναμιν στερεούσάν με, πρός τούς πόνους καί τά σκάμματα; τώ τυράννω έκραζες Παναοίδιμε.

Ει μή δύναμις άνωθεν, ήν μοι δεδομένη τύραννε έκραζε, Σεβηριανός, πώς ίσχυον, σάρξ ών υπενέγκαι, εκτομάς τών μελών.

Θεοτοκίον

Παναγία Θεόνυμφε, δίδου μοι βοήθειαν ταίς πρεσβείαις σου, λυτρωθήναι τού αλάστορος, ίνα σε δοξάζω τήν ελπίδα μου.

Τών Θεοπατόρων

Ωδή δ'

Ο φωτισμός

Σώφρων δυάς, καθαρότητος αίγλη λελαμπρυσμένη, τήν τής παρθενίας τώ θείω φέγγει, κατακοσμούσαν, τήν στειρεύουσαν φύσιν, τών ανθρώπων ημίν εκτέτοκεν, Άννα καί Ιωακείμ οι θεόληπτοι.

Παρθενικόν, θεοκόσμητον θρόνον τώ τών απάντων, περιδεδραγμένω παλάμη θεία, τής σωφροσύνης η σεπτή συζυγία, καί θεόφρων δυάς εκτέτοκεν, Άννα καί Ιωακείμ οι πανεύφημοι.

Ανατολής, τής έξ ύψους φανείσης εις οδηγίαν, τών πεπλανημένων τήν φωτοφόρον, πύλην ο θείος, Ιωακείμ καί Άννα, θεοφρόνως πολιτευσάμενοι, τεκείν οι θεόπται σαφώς ηξιώθησαν.

Νόμου καινού, τήν θεόγραφον πλάκα εν ή τήν λύσιν, τών αμαρτημάτων τού πάλαι νόμου, ο θείος Λόγος προετύπωσε πρώην, ως εκ πέτρας νύν ελατόμησε, νεύματι ο πάντων κρατών εκ στειρώσεως.

Αίγλη τή σή, Θεομήτορ τόν νούν μου καταυγασθήναι, τόν εσκοτισμένον τή αμαρτία νεύσον Παρθένε, τής αγνοίας τόν ζόφον, καί πταισμάτων εξαφανίζουσα, άλλην γάρ εκτός σου φρουρόν ουκ επίσταμαι.

Τού Μάρτυρος

Ορθρίζοντες βοώμέν σοι

Ικρίω ανηρτήθης Αοίδιμε, καί τό σώμα κατεξάνθης όνυξιν, υπέρ τού πάντων δεσπόζοντος.

Θεέ μου ανεβόας ενίσχυσον, τόν αγώνα τούτον εκτελέσαι με, τού μαρτυρίου ξεόμενος.

Ως είδέ σε ο τύραννος Ένδοξε, ανενδότως, τάς βασάνους φέροντα, κατεβροντήθη ο δείλαιος.

Θεοτοκίον

Ελπίς καί προστασία καί σκέπη μου, Θεοτόκε σώσόν με πρεσβείαις σου, εκ τών σκανδάλων τού όφεως.

Τών Θεοπατόρων

Ωδή ς'

Εν αβύσσω

Γονιμώτατον σπόρον η στείρα τό πρίν, Άννα δεξαμένη εκ θείας ελλάμψεως, παίδα τεκείν ηξίωται, τήν τών πάντων κτισμάτων δεσποζουσαν.

Νύν η στείρα γεννώσα βουλήσει Θεού, πείθει παραδέχεσθαι Παρθένον τίκτουσαν, άνευ σαρκός θελήματος, τού αυτού βουληθέντος Θεού προφανώς.

Ελλαμφθείς Ησαίας τώ Πνεύματι, τού Ιωακείμ καί τής Άννης τό κύημα, τόμον καινόν εώρακεν, ώ εγράφη ο Λόγος σαρκούμενος.

Μυστηρίου προτρέχει μυστήριον, πρίν γάρ η στειρεύουσα, χάρις γεγέννηκε, τής σωτηρίας πρόξενον, παρθενίας γεννήσει φανείσαν ημίν.

Τού Μάρτυρος

Χιτώνά μοι παράσχου

Φρουρά σε καθειργνύει ο δεινός, καί λιμώ βιάζει σε αρνήσασθαι Κύριον, όν Παμμάκαρ εκ νεότητος έστερξας.

Αγόμενος Σοφέ εις φυλακήν, πάντας τούς ορώντάς σε, Χριστού μή αφίστασθαι, παρρησία νουθετών εξεπαίδευσας.

Σπαθίζεσθαί σε Μάρτυς ο δεινός, καί παράφρων τύραννος, κελεύει μή θύοντα, τοίς ειδώλοις, αλλά σύ ουκ εφρόντισας.

Θεοτοκίον

Χιτώνά με ενδύσασθαι φωτός, σαίς πρεσβείαις ποίησον, Αγνή τόν υμνούντά σε, εν ημέρα τόν δυσείμονα κρίσεως.

Ο Ειρμός

«Χιτώνά μοι παράσχου φωτεινόν, ο αναβαλλόμενος φώς ως ιμάτιον, πολυελεε Χριστέ ο Θεός ημών».

Κοντάκιον Ήχος β'

Τά άνω ζητών

Ευφραίνεται νύν, η Άννα τής στειρώσεως, λυθείσα δεσμών, καί τρέφει τήν πανάχραντον, συγκαλούσα άπαντας ανυμνήσαι τόν δωρησάμενον, εκ νηδύος αυτής τοίς βροτοίς, τήν μόνην Μητέρα καί απείρανδρον.

Ο Οίκος

Η τών δεσμών τής πρίν ατεκνίας δι' ευχής λυθείσα, προσκαλείται ημάς συνεορτάσαι τώ θαύματι, καί δώρα προσάξαι τή γεννηθείση, λιτανεύοντας έμπροσθεν μετά πόθου, ής περ ποτέ αι παρθένοι εν τάχει προέτρεχον, χορεύουσαι καί βοώσαι, Ιδού ήλθεν η πάντων ανάκλησις, ιδού Αδάμ ηλευθέρωται, ότι Άννα καρπόν ανεβλάστησε, τήν μόνην Μητέρα καί απείρανδρον.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Θ' τού αυτού μηνός, η Σύναξις τών Δικαίων Ιωακείμ, καί Άννης.

Στίχοι

- Ιωακείμ τέρφθητι σύν τή Συζυγω,
- Τεκόντες άμφω ψυχικήν τέρψιν κτίσει.
- Η δ' εννάτη τοκέων Θεομήτορος εύρε σύναξιν.

Τή αυτή η μέρα, ο άγιος Μάρτυς Σεβηριανός, λίθον παρά τούς πόδας φέρων, επί τού τείχους εις τόν αέρα κρεμασθείς τελειούται.

Στίχοι

- Σεβηριανός κάν λίθων αλγή βάρει,
- Χαίρει κρεμασθείς, ως αποσπών γής πόδας.

Τή αυτή ημέρα, Μνήμη τού οσίου Πατρός ημών θεοφάνους τού Ομολογητού, τού πρό τού Διοκλητιανού ασκήσαντος.

Τή αυτή ημέρα, ο Άγιος Χαρίτων ξίφει τελειούται.

Στίχοι

- Πολλή χάρις σοι χριστομάρτυς Χαρίτων,

- Χριστού χάριν τράχηλον εκκεκομμένω.

Μνήμη τής αγίας καί Οικουμενικής Τρίτης Συνόδου τών αγίων διακοσίων Πατέρων, τών επί τής βασιλείας θεοδοσίου τού Μικρού εν Εφέσω συναχθέντων, καί τόν δυσσεβή Νεστόριον καθελόντων.

Ταίς τών σών Αγίων πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τών Θεοπατόρων

Ωδή ζ'
Αντίθεον πρόσταγμα
Εκ ρίζης βλαστήσασα δυάς αγία, Δαυϊδ τού θεόφρονος, τήν ράβδον τήν πανίερον, Παρθένον τήν άχραντον, τώ κόσμω τέτοκεν, άνθος ιερώτατον ημίν, Χριστόν ασπόρως εξανατέλλουσαν.

Λαμπάδα πολύφωτον τήν Θεοτόκον, η Άννα η ένθεος, καθάπερ χρυσαυγίζουσα, λυχνία βαστάζουσα τόν κόσμον άπαντα, θείω κατελάμπρυνε φωτί, καί παρθενίας λαμπροίς πυρσεύμασι.

Προπάτορες ένδοξοι τού σαρκωθέντος, δι' άφατον έλεος, Θεού τού παντοκράτορος, παιδός εκ θεόφρονος υμών πανόλβιοι, νύν μοι τώ προσφεύγοντι υμίν, πλημμελημάτων λύσιν βραβεύσατε.

Ως όντες υπέρτεροι τών γεννητόρων, τήν πάντων δεσπόζουσαν, κτισμάτων εκτετόκατε, Μαρίαν τήν άχραντον, τήν τετοκυίαν Θεόν, σάρκα περιθέμενον ημίν, ομοίαν πάντη, δι' ευσπλαγχνίαν πολλήν.

Τού Μάρτυρος

Ο εν αρχή τήν γήν
Λίθοις αδροίς συντρίβει σου τό σώμα ο ασεβής, υμνούντος παρρησία, Χριστόν εν μέσω τών παρανόμων, ού τής δόξης τυχών, νύν χορεύεις λαμπρώς.

Αιωρηθείς τού τείχους Αθλοφόρε, τού δικαστού, πολλή παραπληξία, έν βάρει λίθων πεπεδημένος ουκ ηρνήσω, Θεόν τόν τών Πατέρων ημών.

Ώ τής στερράς ενστάσεώς σου Μάκαρ! ώ τής θερμής αγάπης πρός τόν Κτίστην! δι' ήν στεφάνω κατακοσμεί σε τώ αφθάρτω, καλώς υπεραθλήσαντα.
Θεοτοκίον
Σύ εί μου φώς Παρθένε Θεοτόκε, σύ εί χαρά καί σκέπη καί λιμήν μου, ευλογημένη, καί σέ δοξάζω ως τεκούσαν, Θεόν τόν τών Πατέρων ημών.

Τών Θεοπατόρων

## Ωδή η'

### Τόν εν καμίνω τού πυρος

Πλούτω κομώντες αρετών, τήν έν δόξη θεϊκή πεποικιλμένην, Βασιλίδα Παρθένον, Ιωακείμ ο σεπτός, καί Άννα η σώφρων τετόκασιν, ήν πάσα η κτίσις, υμνεί ως Θεοτόκον.

Ράβδος δυνάμεως ημίν, δι' υμών φίλοι Θεού εξαπεστάλη, η πανάμωμος νύμφη, δι' ής εν μέσω εχθρών, αθέων κατακυριεύομεν, τάς μηχανουργίας αυτών καταπατούντες.

Όπλον ημίν παρά Θεού, ευδοκίας διά σού ιερωτάτη, ξυνωρίς εδωρήθη, ώ νύν ημείς οι πιστοί ωραίως αεί, στεφανούμεθα, η Θεόν τεκούσα, αγνή Παρθενομήτωρ.

Φωτοχυσίαις τού εκ σού, σαρκωθέντος δι' ημάς λελαμπρυσμένη, η δυάς η αρίστη, τών γεννητόρων τών σών, γεννώσί σε πάναγνε Δέσποινα, πρόξενον ημίν, αγαθών επουρανίων.

Ρώμη Θεού καρπογονεί, ή στειρεύουσα γαστήρ ανοιγομένη, καί προέρχεται πύλη, παρθενική παμφαής, ο Λόγος δι' ής επεδήμησεν, τοίς επί τής γής, σαρκωθείς αφράστω λόγω.

### Τού Μάρτυρος

### Τόν Βασιλέα τών ουρανών

Εγκαρτερήσας, τοίς αικισμοίς έως τέλους, Στρατιώτα Κυρίου μετέστης, χαίρων πρός τήν άνω, παμμάκαρ βασιλείαν.

Ού κατησχύνθης, διά Χριστόν Γενναιόφρον, υπομείναι βάσανα ποικίλα, όθεν συνδοξάζη, αυτώ εις τούς αιώνας.

Στεφανηφόρος, σύν αθληταίς νύν χορεύων, αληθώς περί τόν Βασιλέα, μέμνησο τών πίστει τελούντων σου τήν μνήμην.

### Θεοτοκίον

Ώ Θεομήτορ Χριστιανών η προστάτις, εξελού ημάς πάσης ανάγκης, ίνα σε υμνώμεν, εις πάντας τούς αιώνας.

### Ο Ειρμός

«Τόν Βασιλέα, τών ουρανών όν υμνούσι, στρατιαί τών Αγγέλων υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

### Τών Θεοπατόρων

## Ωδή θ'

### Ανάρχου Γεννήτορος

Ομόφρονες σύμψυχοι, τήν αρετήν υπάρχοντες, τής πανάγνου Παρθένου σεπτοί γεννήτορες, τούς επιτελούντας προθυμως, τήν ευκλεή καί ένδοξον μνήμην, υμών ιερώτατοι, τού σωθήναι δυσωπήσατε.

Νομήν κατεπαύσατε, τήν τού θανάτου Ένδοξοι, τής ζωής τήν Μητέρα, λαμπρώς γεννήσαντες, τήν εξαφανήσασαν τούτου, τήν προσβολήν, καί τής αθανάτου, ζωής προξενήσασαν, τήν ελπίδα διά πίστεως.

Ωραίος ως ήλιος, Ιωακείμ ενούμενος, τή φωσφόρω σελήνη, τή Άννη τέτοκε, τήν τής παρθενίας ακτίνα, δι' ής αυγή τής θείας ουσίας, σαρκί καθ' υπόστασιν, ενωθείσα ημίν έλαμψε.

Σωφρόνως βιώσαντες, καί ευσεβώς Μακάριοι, νύν τρυφής τής αφράστου, κατηξιώθητε, τής θεοφανείας τυχόντες, τού εξ υμών τώ κόσμω φανέντος, όν περ δυσωπήσατε, τού σωθήναι τάς ψυχάς ημών.

Τού Μάρτυρος

Κυρίως Θεοτόκον

Χερσί τών σέ ποθούντων, Μάκαρ σου τό σώμα, περισταλέν κατετάφη ώς άγιον, καί ιαμάτων εκβλύζει, κρουνούς εις δόξαν Θεού.

Ώ θαύμα! πώς ανέστη, ο θανών οικέτης, καί προσηπήντα σου δρόμω τώ σώματι, πρός τήν ταφήν αγομένω, Μάρτυς πανάριστε.

Τυχών τής αιωνίου, Μάκαρ βασιλείας, καί τώ Δεσπότη Χριστώ παριστάμενος, υπέρ τών σέ ανυμνούντων θερμώς ικέτευε.

Θεοτοκίον

Εξίσταντο Αγγέλων, αι ταξιαρχίαι, σεσαρκωμένον ορώσαί σε φέρουσαν, τόν Ποιητήν τών αιώνων καί σέ εδόξαζον.

Ο Ειρμός

«Κυρίως Θεοτόκον, σέ ομολογούμεν, οι διά σού σεσωσμένοι Παρθένε αγνή, σύν Ασωμάτοις χορείαις σέ μεγαλύνοντες».

Εξαποστειλάριον τών Θεοπατόρων

Επεσκέψατο ημάς

Η τής Εύας τήν αράν, εξάρασα νύν τίκτεται, εκ γηραλέων ακάρπων, τής Άννης καί Ιωακείμ, ήν σύν Αγγέλοις άπαντες, κατά χρέος εν ύμνοις, πιστοί ευφημήσωμεν.

Τού Αγίου

Γυναίκες ακουτίσθητε

Αλείπτης εχρημάτισας, Μαρτύρων τεσσαράκοντα, αριστευσάντων εν λίμνη, παμμάκαρ Σεβηριανέ, μεθ' ών αεί μνημόνευε, τών εκτελούντων ένδοξε, τήν φωτοφόρον σου μνήμην, καί σέ τιμώντων εκ πόθου, Μάρτυς Χριστού αθλοφόρε.

Τής εορτής όμοιον

Αδάμ ανακαινίσθητι, καί Εύα μεγαλύνθητι, Προφήται σύν Αποστόλοις, χορεύσατε καί Δικαίοις, κοινή χαρά εν τώ κόσμω, Αγγέλων τε καί ανθρώπων, εκ τών δικαίων σήμερον, Ιωακείμ τε καί Άννης, γεννάται η Θεοτόκος.

Εις τόν Στίχον τών Αίνων, Στιχηρά.

Ήχος β'

Οίκος τού Εφραθά

Χάρις τώ λυτρωτή, καί πάντων κηδεμόνι, τώ στείραν παρ' ελπίδα, τεκείν τήν Θεοτόκον, αρρήτως ευδοκήσαντι.

Στίχ. Άκουσον, θύγατερ, καί ίδε, καί κλίνον τό ούς σου, καί επιλάθου τού λαού σου, καί τού οίκου τού πατρός σου, καί επιθυμήσει ο Βασιλεύς τού κάλλους σου.

Δεύτε τήν εκ Δαυϊδ, καί Ιούδα φυείσαν, Θεοτόκον Μαρίαν, εξ ής η σωτηρία, απαύστως μεγαλύνωμεν.

Στιχ. Τό πρόσωπόν σου λιτανεύσουσιν οι πλούσιοι τού λαού.

Σήμερον ευκλεώς, εξ' Άννης η Παρθένος, η φωτοφόρος πύλη, γεννάται παραδόξως, λαοί φυλαί σκιρτήσατε.

Δόξα... Καί νύν... Ήχος β'

Πρός το, Σήμερον ο Χριστός εν Βηθλεέμ

Σήμερον η πανάμωμος Αγνή προήλθεν εκ τής στείρας, σήμερον τά πάντα ευφραίνονται, εν τή αυτής γεννήσει, ο Αδάμ τών δεσμώναπολύεται, καί η Εύα της αράς ηλευθέρωται, Τά ουράνια πάντα αγάλλονται, καί ειρήνη τοίς ανθρώποις βραβευεται, Ημείς δέ δοξολογούντες βοώμεν, Δόξα εν υψίστοις Θεώ, καί επί γής ειρήνη, εν ανθρώποις ευδοκία.

Εις τήν Λειτουργίαν, Τυπικά, καί εκ τού Κανόνος τής Εορτής, Ωδή γ' καί εκ τού τών Αγίων Ωδή ς'.

Προκείμενον Ήχος δ'

Θαυμαστός ο Θεός εν τοίς αγίοις αυτού ο Θεός Ισραήλ αυτός δώσει δύναμιν καί κραραίωσιν τώ λαώ αυτού ευλογητός ο Θεός.
Στίχ. Εν Εκκλησίαις ευλογείτε τόν Θεόν, τόν Κύριον εκ πηγών Ισραήλ.

Ο Απόστολος πρός Εβραίους

Αδελφοί, είχε μέν η πρώτη σκηνή...

Αλληλούϊα

Δικαίων παρά Σωτηρία δέ τών Κυρίου.

Ευαγγέλιον κατά Λουκάν

Είπεν ο Κύριος, ουδείς λύχνον άψας...

Ζήτει Σαββάτω ς'

Κοινωνικόν

Αγαλλιάσθε δίκαιοι εν Κυρίω, τοίς ευθέσι πρέπει αίνεσις. Αλληλούϊα.

---

Αρχή

## ΤΗ Ι' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Μαρτύρων Μηνοδώρας, Μητροδώρας καί Νυμφοδώρας.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ'.

Ήχος β'

Ποίοις ευφημιών στέμμασιν

Ποίοις οι ευτελείς χείλεσιν, ευφημήσωμεν νύν τήν τεχθείσαν; τήν αγιωτέραν τής κτίσεως, καί Τιμιωτέραν υπάρχουσαν, Χερουβίμ, καί πάντων τών Αγίων, τόν θρόνον, τού Βασιλέως τόν ασάλευτον, τόν οίκον, εν ώ κατώκησεν ο Ύψιστος, τήν σωτηρίαν τού κόσμου, τό Θεού αγίασμα, τήν παρέχουσαν τοίς πιστοίς, εν τή θεία γεννήσει αυτής, τό μέγα έλεος.

Ποία πνευματικά άσματα, νύν προσάξωμέν σοι Παναγία; τή γάρ εκ τής στείρας κυήσει σου, άπαντα τόν κόσμον ηγίασας, καί Αδάμ δεσμών απελυτρώσω, καί Εύαν, εκ τών ωδίνων ηλευθέρωσας, Αγγέλων, διό χοροί συνεορτάζουσιν, ο ουρανός τή γή χαίρει, καί επικροτούσιν, αι ψυχαί Δικαίων ωδάς, πιστώς ανακράζουσαι, εις δόξαν τών γενεθλίων σου.

Τίνα τά φοβερά άσματα, ά προσήξάν σοι τότε Παρθένε; κύκλω σου τεχθείσης ιστάμεναι, κόραι χαρμοσύνως χορεύουσαι, καί θαμβητικώς αναβοώσαι, Ετέχθη, τού Βασιλέως τό παλάτιον, εκλάμπει, η κιβωτός τού αγιάσματος, πύλαι ηνοίχθησαν στείραι, τού Θεού γάρ πύλη, ευτεκνίαν τών αρετών εισάγει βραβεύουσα, ειρήνην καί μέγα έλεος.

Καί τών Αγίων γ'

Ήχος δ'

Ως γενναίον εν Μάρτυσιν

Ταίς βαφαίς ταίς εξ αίματος, εαυτάς ωραϊσασαι, τώ ωραίω κάλλει, κόραι νεάνιδες, αδιαφθόρως συνήφθητε, Χριστώ τώ Θεώ ημών, συντηρούντι τήν υμών, παρθενίαν αμόλυντον, εις ακήρατον, αφθαρσίας νυμφώνα, εις θαλάμους, ουρανίους εις παστάδα, αχειροποίητον Μάρτυρες.

Ατελεί εν τώ σώματι, καί τελείω φρονήματι, παλαμναίον δράκοντα, τόν αρχέκακον, κατεπαλαίσατε ένδοξοι, δυνάμει τού Πνεύματος, καί ανίσχυρον αυτού, τήν ισχύν άπεδείξατε, όθεν ήρατε, τούς στεφάνους τής νίκης, Μηνοδώρα, Μητροδώρα, Νυμφοδώρα, αι τής Τριάδος υπέρμαχοι.

Καί τά μέλη στρεβλούμεναι, καί πυρί δαπανώμεναι, σιδηροίς τε όνυξι σπαραττόμεναι, καί επί ξύλου κρεμάμεναι, καί ξίφει τεμνόμεναι, ουκ ηρνήσασθε Χριστόν, αθληφόροι πανεύφημοι, όθεν εύρατε, τούς στεφάνους τής νίκης, Μηνοδώρα, Μητροδώρα, Νυμφοδώρα, αι τής Τριάδος ισάριθμοι.

Δόξα... Καί νύν... Ήχος δ'

Δι' Αγγέλου προρρήσεως, γόνος πάνσεπτος, εξ Ιωακείμ καί Άννης τών δικαίων, σήμερον προήλθες Παρθένε, ουρανός καί θρόνος Θεού, καί δοχείον καθαρότητος, τήν χαράν προμηνύουσα παντί τώ κόσμω, τής ζωής ημών πρόξενε, κατάρας αναίρεσις, ευλογίας η αντίδοσις, διό εν τή γεννήσει σου Κόρη θεόκλητε, τήν ειρήνην αίτησαι, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος β'

Οίκος τού Ευφραθά

Χορός τών Προφητών, αγάλλεσθε, ιδού γάρ, στείρα καρπόν εκφύει, εν ώ αι προφητείαι, υμών περαιωθήσονται.

Στίχ. Άκουσον, θύγατερ, καί ίδε, καί κλίνον τό ούς σου, καί επιλάθου τού λαού σου, καί τού οίκου τού πατρός σου, καί επιθυμήσει ο Βασιλεύς τού κάλλους σου.

Σκίρτα Ιωακείμ, ορών Άνναν κοιλίας, καρπόν εκφύουσάν σοι, εξ ού ζωή τώ κόσμω, καί λύτρωσις τεχθήσεται.

Στιχ. Τό πρόσωπόν σου λιτανεύσουσιν οι πλούσιοι τού λαού.

Γήρας, Ιωακείμ, καί στείρωσις τής Άννης, σκιρτάτωσαν ως πάλαι, γηράσασαν τήν φύσιν, τήν βρότειον καινίζοντα.

Δόξα... Καί νύν... Όμοιον

Ύμνον εκ ρυπαρών, χειλέων Θεοτόκε, προσδέχου καί τήν λύσιν, δίδου μοι τών πταισμάτων, καί τών κακών διόρθωσιν.

Απολυτίκιον τής Εορτής

Απολυτίκιον Ήχος δ'

Η γέννησίς σου Θεοτόκε, χαράν εμήνυσε πάση τή οικουμένη, εκ σού γάρ ανέτειλεν ο ήλιος τής δικαιοσύνης, Χριστός ο Θεός ημών, καί λύσας τήν κατάραν, έδωκε τήν ευλογίαν, καί καταργήσας τόν θάνατον, εδωρήσατο ημίν ζωήν τήν αιώνιον.

Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος δ'
Κατεπλάγη Ιωσήφ
Αναβόησον Δαυϊδ, τί ώμοσε σοι ο Θεός; Ά μοι ώμοσε φησί, καί εκπεπλήρωκεν ιδού, εκ τού καρπού τής κοιλίας μου δούς τήν Παρθένον, εξ ής ο πλαστουργός, Χριστός ο νέος Αδάμ, ετέχθη βασιλεύς επί τού θρόνου μου, καί βασιλεύει σήμερον, ο έχων τήν βασιλείαν ασάλευτον, Η στείρα τίκτει, τήν Θεοτόκον, καί τροφόν τής ζωής ημών.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα, όμοιον
Εκ τής ρίζης Ιεσσαί, καί εξ οσφύος τού Δαυϊδ, ή θεόπαις Μαριάμ, τίκτεται σήμερον ημίν, καί νεουργείται η σύμπασα, καί θεουργείται, Συγχάρητε ομού, ο ουρανός καί η γή, αινέσατε αυτήν, αι πατριαί τών εθνών, Ιωακείμ ευφραίνεται, καί Άννα, πανηγυρίζει κραυγάζουσα, Η στείρα τίκτει, τήν Θεοτόκον, καί τροφόν τής ζωής ημών.

Ο Κανών τής Εορτής, καί τών Αγίων, ού η Ακροστιχίς.

Τριών αδελφών γνησίων άθλους σέβω, Ιωσήφ.

Ωδή α' Ήχος δ'
Ανοίξω τό στόμά μου
Τριάδα τήν άκτιστον, ήν ευσεβώς εκηρύξατε, ημίν ιλεώσασθε, Μάρτυρες ένδοξοι, νύν γεραίρουσιν, υμών τους θείους άθλους, καί τά κατορθώματα, θεομακάριστοι.

Ρημάτων ηλόγησαν, τού δυσμενούς αι Νεάνιδες, τώ θείω φραττόμεναι, όπλω τής πίστεως, καί υπέστησαν, βασάνων τρικυμίαν, καί θάνατον άδικον, διά τήν πάντων ζωήν.

Ισχύϊ ρωννύμεναι, παντοδυνάμω τού κτίσαντος, ανδρείαν ανέλαβον, γνώμην αί πάνσεμνοι, καί τόν δράκοντα, τόν σκολιόν τόν μέγαν, ποσί κατεπάτησαν, καί κατηδάφισαν.

Θεοτοκίον
Ως έμψυχον θάλαμον, ως αδιάφθορον σκήνωμα, ως πύλην ουράνιον, ως

θείαν τράπεζαν, ως παλάτιον, καί θρόνον τού Δεσπότου, Μαρίαν τήν άχραντον, ύμνοις τιμήσωμεν.

Ωδή γ'

Ουκ εν σοφία

Νενεκρωμένω, λογισμώ ο παράνομος τύραννος, τήν ζωήν ημών Χριστόν, δεινώς αρνείσθαι ηνάγκαζε, Μάρτυς Μηνοδώρα σε, καταικιζόμενος.

Ατενιζούσης, πρός Θεόν δικαστής ουκ εφείσατο, αλλά ράβδοις απηνώς, συνθλά τά μέλη σου στέφος σοι, πλέκων ως ουκ ώετο, Μάρτυς αμάραντον.

Διά βασάνων, αι τρισόλβιοι άγιαι Μάρτυρες, θησαυρόν εν ουρανοίς, καί αιωνίζουσαν εύκλειαν, εύραντο τρανότερον, Θεώ εγγίζουσαι.

Θεοτοκίον

Επιφανείσα, τής ψυχής μου τό σκότος απέλασον, αμαρτίας τάς σειράς, αγνή Παρθένε διάρρηξον, σώσόν με κυήσασα, τόν πανοικτίρμονα.

Ο Ειρμός

«Ουκ εν σοφία, καί δυνάμει καί πλούτω καυχώμεθα, αλλ' εν σοί τή τού Πατρός, ενυποστάτω σοφία Χριστέ, ου γάρ εστιν Άγιος, πλήν σου φιλάνθρωπε».

Κάθισμα τών Μαρτύρων

Ήχος δ'

Κατεπλάγη Ιωσήφ

Κατεπλάγησαν υμών, τήν καρτερίαν τήν πολλήν, επουράνιοι χοροί, τών ασωμάτων Λειτουργών, ως περ γάρ άλλου πάσχοντος διέκεισθε, τά σκέλη τοίς μοχλοίς συντριβόμεναι, θάνατον πικρόν υπομένουσαι, καί γυναικείω σώματι, τόν δράκοντα τόν αποστάτην συντρίβουσαι, παρθένοι Νύμφαι, τού Ζωοδότου, πίστεως αι υπέρμαχοι.

Δόξα... Καί νύν.... Τής Εορτής

Η Παρθένος Μαριάμ, καί Θεοτόκος αληθώς, ως νεφέλη τού φωτός, σήμερον έλαμψεν ημίν, καί εκ Δικαίων προέρχεται, εις δόξαν ημών, Ουκ έτι ο Αδάμ, κατακρίνεται, η Εύα τών δεσμών, απολέλυται, καί διά τούτο κράζομεν βοώντες, εν παρρησία τή μόνη Αγνή, Χαράν μηνύει, η γέννησίς σου, πάση τή οικουμένη.

Ωδή δ'

Ο καθήμενος εν δόξη

Λαμπομένη ταίς ακτίσι, τού Σταυρού η αοίδιμος, Μητροδώρα ξύλω, απαιωρουμένη υπέφερε, τήν τού πυρός τιμωρίαν, πλάνης άνθρακας, δροσισμώ αγάπης, τού Χριστού αποσβέσασα.

Φανοτάτη θεωρία, λογισμώ ατενίζουσα, καί φανταζομένη, κάλλος τού Νυμφίου αμήχανον, κατεαγείσα μοχλώ τε η αοίδιμος, Μηνοδώρα, φέρει καρτερώς τά επίπονα.

Ωρωιώθητε παρθένοι, καί φαιδρώς εδοξάοθητε, τόν δεδοξασμένον, Λόγον ολικώς αγαπήσασαι, ού τετρωμέναι τώ πόθω υπεμείνατε, παθημάτων, τάς επαγωγάς καρτερώτατα.

Θεοτοκίον

Νεκρωθέντα με κακία, τού δολίου Πανάχραντε, η ζωήν τεκούσα, ζώωσον, πρός σέ γάρ κατέφυγον, καί εμπεσόντα εις βάθη παραπτώσεων, επανάγαγε, ως συμπαθής Παναμώμητε.

Ωδή ε'

Σύ Κύριέ μου φώς

Γνώμην καρτερικήν, καί αήττητον φρόνημα, αι Μάρτυρες πρό βημάτων, ενδεικνύμεναι νίκης, στεφάνους ανεπλέξαντο.

Νύν φέρει σιδηρών, εξ ονύχων σπαράγματα, στερρότατα κρεμαμένη, Νυμφοδώρα Νυμφίον, ποθούσα τόν αθάνατον.

Η τρίφωτος λαμπάς, τό τριώροφον οίκημα, τό σκήνωμα τής Τριάδος, ευφημείσθωσαν ύμνοις, Παρθένοι αί θεόφρονες.

Θεοτοκίον

Σέ μόνην εκλεκτήν, καί καλήν καί αμώμητον, ευράμενος σωματούται, ο υπέρθεος Λόγος, εκ σού Θεοχαρίτωτε.

Ωδή ς'

Θύσω σοι, μετά φωνής

Ιδείν σου, εφιέμεναι κάλλος αμήχανον, αι τετρωμέναι τώ πόθω, σού τώ γλυκυτάτω άναρχε Λόγε, τών βασάνων, τήν πικρίαν γενναίως υπήνεγκαν.

Ως κρίνα, αθλητών εν λειμώνι εξήνθησαν, αι πανοίδιμοι Κόραι, καί τήν Εκκλησίαν πνοαίς βασάνων, τών ποικίλων, ευωδίασαν Πνεύματος χάριτι.

Νυμφίον, τόν αθάνατον μόνον ποθήσασαι, τού ορωμένου θανάτου, αοράτω σθένει νευρούμεναι, αριδήλως, ουκ εφρόντισαν Κόραι νεάνιδες.

Θεοτοκίον

Άγιος, ο σκηνώσας εν μήτρα σου Κύριος, αγιωτέραν ευρών σε, καί καθαρωτέραν κτίσεως πάσης, Θεομήτορ, κυριώνυμε άχραντε Δέσποινα.

Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Κοντάκιον Ήχος δ'

Ο υψωθείς

Υπέρ Τριάδος καρτερώς εναθλούσαι, τόν πολυμήχανον εχθρόν ετροπώσασθε, αδελφικώς τώ πνεύματι συνδούμεναι, όθεν εισωκίσθητε, σύν ταίς πέντε Παρθένοις, πρός τόν επουράνιον, Αθληφόροι νυμφώνα, καί σύν

Αγγέλοις τώ παμβασιλεί, εν ευφροσύνη απαύστως παρίστασθε.

Ο Οίκος

Ιερωτάτην συγκροτεί, πανήγυριν εν πίστει, η Χριστού Εκκλησία, αυταδέλφων Μαρτύρων επιτελούσα ευσεβώς, μνήμην υμών τήν φωσφόρον, καί λαμπράν καί παμφαή, πανεύφημοι ομότροποι, στερρώς γάρ επί τής γής, τόν αντίπαλον νούν καταπατήσασαι, ανεδήσασθε στεφάνους εκ χειρός τού παμβασιλέως, παρ' ού μοι φωτισμόν αιτήσασθε, όντως ευφημήσαι τήν υμών μνήμην αξίως, καί τάς θαυμαστάς καί θείας ανδραγαθίας, υμείς γάρ τώ παμβασιλεί, εν ευφροσύνη απαύστως παρίστασθε.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Ι' τού αυτού μηνός, Μνήμη τών Αγίων Μαρτύρων γυναικών Μηνοδώρας, Μητροδώρας, Νυμφοδώρας.

Στίχοι

- Ηγούντο Μηνοδώρα καί Μητροδώρα,
- Καί Νυμφοδώρα δώρα σαρκός αικίας.
- Θεινόμεναι δεκάτη δωρώνυμοι έκθανον αι τρείς.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Βαρυψαβά.

Στίχοι

- Βαρυψαβάς δι' αίμα θείον Δεσπότου,
- Οικείον αίμα συντριβείς ξύλοις χέει.

Τή αυτή ημέρα, η Αγία Πουλχερία, η Βασίλισσα, εν ειρήνη τελειούται.

Στίχοι

- Οντως παρέστη ψαλμικώς Πουλχερία,
- Εκ δεξιών σου Βασίλισσα Χριστέ μου.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Αποστόλων Απελλού, Λουκά καί Κλήμεντος.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος Ίας, ήτις ξίφει ετελειώθη.

Στίχοι

- Εκ γής εκάρθη κοιλάδων Ία ξίφει,
- Καί σοι προσήχθη Σώτερ ως εύπνουν Ίον.

Ταίς τών σών Αγίων πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Αβραμιαίοι ποτέ

Θύειν ειδώλοις σαφώς, τού δυσσεβούς τυράννου, κελευομένου κατεπτύσατε, βοώσαι Νεάνιδες, ο τών Πατέρων ημών Θεός ευλογητός εί.

Λελαμπρυσμέναι τόν νούν, θεαρχικαίς ακτίσιν, αχλύν είδώλων ημαυρώσατε,

βοώσαι Πανεύφημοι, ο τών Πατέρων ημών Θεός ευλογητός εί.

Ουκ εκτομαί τών μελών, ού διωγμός ου θλίψις, Χριστού χωρίσαι όλως, ίσχυσαν, βοώσας τάς Μάρτυρας, ο τών Πατέρων ημών Θεός ευλογητός εί.

Θεοτοκίον

Υπερφυώς τόν Θεόν, εν τή γαστρί σου Κόρη, κυοφορήσαι κατηξίωσαι, βροτούς αναπλάττοντα, τούς μελωδούντας πιστώς, Χριστέ ευλογητός εί.

## Ωδή η'

Λυτρωτα τού παντός

Στομωθείσαι αγάπη τού κτίσαντος, απημβλύνατε κέντρα τού οφεως, εν γυναικείω σώματι, ανδρικούς διανύουσαι τούς αγώνας, καί στεφάνοις ενθέοις στεφόμεναι.

Συμπλακείσαι εν μέσω τού σκάμματος, αοράτοις εχθροίς μετά σώματος, τούς ασωμάτους έτρεψαν, αι θεόφρονες Κόραι, αναβοώσαι, Ευλογείτε τά έργα τόν Κύριον.

Εν Θεώ τώ Σωτήρι νευρούμεναι, εν Χριστώ Ιησού δυναμούμεναι, τό τού εχθρού ανίσχυρον, διωλέσατε κράτος, αναβοώσαι, Ευλογείτε τά έργα τόν Κύριον.

Βασιλείας τής άνω ετύχετε, σύν Χριστώ Ιησού βασιλεύουσαι, πεποικιλμέναι στίγμασι, τών βασάνων τώ κάλλει διηνθισμέναι, αξιάγαστοι Κόραι νεάνιδες.

Θεοτοκίον

Ως Θεού ακηλίδωτον τέμενος, υπεδέξω αυτόν σωματούμενον, καί εν δυσί ταίς φύσεσι, γνωριζόμενον Κόρη, ώ μελωδούμεν, Ευλογείτε τά έργα τόν Κύριον.

Ο Ειρμός

«Λυτρωτά τού παντός Παντοδύναμε, τούς εν μέσω φλογός ευσεβήσαντας, συγκαταβάς εδρόσισας, καί εδίδαξας μέλπειν, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον,

## Ωδή θ'

Λίθος αχειρότμητος

Ιδείν εφιέμεναι κάλλος, τό τού Νυμφίου ολοτρόπω, νεύσει πρός αυτόν θεοφόροι, αθανασίαν εμελετήσατε, εν τώ θνητώ τού σώματος, όθεν αξίως μακαρίζεσθε.

Ώφθητε τυράννων εν μέσω, οίά περ λύκων ωμοτάτων, άσπιλοι αμνάδες τήν τούτων, θηριωδίαν καταπαλαίουσαι, καί τώ Χριστώ ευπρόσδεκτα, ως Ιερεία προσαγόμεναι.

Στέφος ανεπλέξασθε άμα, μή παλαιούμενον παρθένοι, θείας επετύχετε δόξης, καί βασιλείαν όντως ασάλευτον, παραλαβείν ως Μάρτυρες, μετά

Μαρτύρων ηξιώθητε.

Ής κατηξιώθητε δόξης, καί επετύχετε χορείαις, τούς επιτελούντας εκ πόθου, υμών τήν μνήμην τυχείν πρεσβεύσατε, ως παρρησίαν έχουσαι, πρός τόν Δεσπότην Σεμνοπάρθενοι.

Θεοτοκίον

Φείσαί μου Χριστέ όταν έλθης, κρίναι τόν κόσμον μετά δόξης, λύσον τήν αχλύν τών παθών μου, ταίς ικεσίαις τής κυησάσης σε, καί τών σεπτών Μαρτύρων σου, ως αγαθός καί πολυέλεος.

Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, έξ «ασαλεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη Χριστός, συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Εξαποστειλάριον

Φώς αναλλοίωτον

Αι τρείς παρθένοι Τριάδα, Θεόν αφράστως ποθούσαι, κηρύττουσι τών τυράννων, ενώπιον διά τούτο, βασανισθείσαι τού στέφους, τυγχάνουσι τού αφθάρτου.

Θεοτοκίον όμοιον

Ο γλυκασμός τών Αγγέλων, ο φωτισμός τών ανθρώπων, η προστασία τού κόσμου, Θεογεννήτορ Μαρία, τούς σέ υμνούντας εν πίστει, ρύσαι πταισμάτων Παρθένε.

Εις τόν Στίχον τών Αίνων Στιχηρά.

Ήχος β'

Οίκος τού Εφραθά

Γόνος Ιωακείμ, καί Άννης η Παρθένος, εφάνη τοίς ανθρώποις, τών δεσμών αφιείσα, τής αμαρτίας άπαντας.

Στίχ. Άκουσον, θύγατερ, καί ίδε, καί κλίνον τό ούς σου, καί επιλάθου τού λαού σου, καί τού οίκου τού πατρός σου, καί επιθυμήσει ο Βασιλεύς τού κάλλους σου.

Όρος ως αληθώς, κατάσκιον εδείχθη, η στείρωσις τής Άννης, εξ ού η σωτηρία, πάσι πιστοίς δεδώρηται.

Στιχ. Τό πρόσωπόν σου λιτανεύσουσιν οι πλούσιοι τού λαού.

Ρήξασα τά δεσμά, στειρώσεως τής Άννης, η πάναγνος Παρθένος, προήλθε τοίς ανθρώποις, τήν άφεσιν βραβεύουσα.

Δόξα... Καί νύν... Όμοιον

Ίωμεν οι πιστοί, δοξάζοντες τήν Κόρην, ετέχθη γάρ εκ στείρας, τήν στειρωθείσαν φύσιν, ημών ανακαινίζουσα.

Καί η λοιπή Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΑ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής Οσίας Μητρός ημών Θεοδώρας τής εν Αλεξανδρεία.

ΕΙΔΗΣΙΣ

Εν ταύτη τή η μέρα ψάλλεται καί η Ακολουθία τού Αγίου Μάρτυρος Αυτονόμου, δά τό αποδίδοσθαι εν τή ΙΒ' τήν Εορτήν τής Θεοτόκου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά τής Οσίας.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Γυναικείω εν σώματι, καί ανδρείω εν σχήματι, ανδρικά διήνυσας αγωνίσματα, μέσον ανδρών κατοικήσασα, καί πάθη μειώσασα, καί ορμάς τών ηδονών, παντελώς χαλινώσασα, ταίς ασκήσεσι, τή συντόνω δεήσει Θεοδώρα, καί ταίς θείαις πρός τό θείον, καί ανενδότοις σου νεύσεσιν.

Υπό γήν σε ο ήλιος, υποδύς ουχ εώρακε, πλημμελούσαν, έγνω δέ σε ο άδυτος, καρδιογνώστης καί Κύριος, ο βλέπων τά κρύφια, καί κατηύγασε φωτί, μετανοιας τά όμματα, τής καρδίας σου, όθεν έσπευσας τούτον θεραπεύσαι, επιμόνω εγκρατεία, καί αρετών τελειότητι.

Τού εχθρού τά σοφίσματα, μηδαμώς αγνοήσασα, όπερ ουκ ωδίνησας στέργεις νήπιον, καί πατρικοίς σπλάγχνοις ένδοξε, εκτρέφουσα έφερες, ευσεβεί τώ λογισμώ, τό ανθρώπινον όνειδος, τήν ανύποιστον, επιτίμησιν όντως Θεοδώρα, διά τούτο τήν σεπτήν σου, επιτελούμεν πανήγυριν.

Καί τού Αγίου

Όμοια

Αρεταίς πυρσευόμενος, ευσεβεία κοσμούμενος, Ιεράρχης ένθεος εχρημάτισας, καί ως πολύφωτος ήλιος, τόν κόσμον διέδραμες, κατασπείρων πανταχού, τό τής κτίσεως κήρυγμα, τήν απάτην δέ, εκριζών τή δρεπάνη τής σής γλώττης, Ιεράρχα θεοφόρε, μεγαλοκήρυξ Αυτόνομε.

Πρός επίπονα σκάμματα, πρός ανδρεία παλαίσματα, πρός πληγάς καί θάνατον, προσεχώρησας, ταίς γάρ νιφάσι χωννύμενος, τών λίθων Αυτόνομε, καί χρησάμενος αυτοίς, ως βαθμίσι καί κλίμαξιν, ανελήλυθας, πρός Θεόν στεφανίτης, καί συνήφθης, στρατιαίς τών Ασωμάτων, υπέρ τού κόσμου

δεόμενος.

Τήν στολήν σου εν αίματι μαρτυρίου ετέλεσας, λαμπροτέραν χάριτι θείου Πνεύματος, καί νοερώς εις τά Άγια, τα άνω ανέδραμες, ένθα πρόδρομος ημών, Ιησούς εισελήλυθε, νίκης στέφανον, πρός Θεού δεδεγμένος, μετά πάντων, τών εν αίματι Τιμίω, τελειωθέντων Αυτόνομε.

Δόξα... Καί νύν... Ήχος πλ. β'

Ει καί θείω βουλήματι, περιφανείς στείραι γυναίκες εβλάστησαν, αλλά πάντων ή Μαρία τών γεννηθέντων, θεοπρεπώς υπερέλαμψεν, ότι καί εξ ακάρπου παραδόξως τεχθείσα μητρός, έτεκεν εν σαρκί τών απάντων Θεόν, υπέρ φύσιν εξ ασπόρου γαστρός, η μόνη πύλη τού μονογενούς Υιού τού Θεού, ήν διελθών, κεκλεισμένην διεφύλαξε, καί πάντα σοφώς οικονομήσας, ως οίδεν αύτος, πάσι τοίς ανθρώποις σωτηρίαν απειργάσατο.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος α'

Τών ουρανίων ταγμάτων

Ιωακείμ καί η Άννα πανηγυρίζουσι, τήν απαρχήν τεκόντες, τής ημών σωτηρίας, τήν μόνην Θεοτόκον, οίς καί ημείς, συνεορτάζοντες σήμερον, τήν εκ τής ρίζης εκείνης τού Ιεσσαί, μακαρίζομεν Παρθένον αγνήν.

Στίχ. Άκουσον, θύγατερ, καί ίδε, καί κλίνον τό ούς σου, καί επιλάθου τού λαού σου, καί τού οίκου τού πατρός σου, καί επιθυμήσει ο Βασιλεύς τού κάλλους σου.

Η θεοχώρητος Κόρη, καί Θεοτόκος αγνή, τών Προφητών τό κλέος, τού Δαυϊδ η θυγάτηρ, σήμερον γεννάται εξ, Ιωακείμ, καί τής Άννης τής σώφρονος, καί τού Αδάμ τήν κατάραν την εις ημάς, ανατρέπει εν τώ τόκω αυτής.

Στιχ. Τό πρόσωπόν σου λιτανεύσουσιν οι πλούσιοι τού λαού.

Η πρώην άγονος χώρα, γήν καρποφόρον γεννά, καί εξ ακάρπου μήτρας, καρπόν άγιον δούσα, γάλακτι εκτρέφει, θαύμα φρικτόν! η τροφός τής ζωής ημών, η τόν ουράνιον άρτον εν τή γαστρί, δεξαμένη γαλουχείται μαζώ.

Δόξα... Καί νύν... Ήχος πλ. δ'

Σεργίου Αγιοπολίτου

Εν ευσήμω ημέρα Εορτής ημών σαλπίσωμεν, πνεύματι κή κιθάρα, η γάρ εκ σπέρματος Δαυϊδ, σήμερον τίκτεται, η Μήτηρ τής ζωής, τό σκότος λύουσα, τού Αδάμ η ανάπλασις, καί τής Εύας η ανάκλησις, τής αφθαρσίας η πηγή, καί τής φθοράς απαλλαγή, δι' ής ημείς εθεώθημεν, καί τού θανάτου ελυτρώθημεν, καί βοήσωμεν αυτή σύν τώ Γαβριήλ οι πιστοί, Χαίρε Κεχαριτωμένη, ο Κύριος μετά σού, διά σού χαριζόμενος ημίν τό μέγα έλεος.

Απολυτίκιον τής Εορτής, καί Απόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα  Ήχος δ'
Επεφάνης σήμερον

Αι ακτίνες έλαμψαν, τής παγκοσμίου, χαρμονής τού τόκου σου, Παρθενομήτορ Μαριάμ, επί τής γής, καί κατηύγασαν, τάς διανοίας τών πόθω υμνούντων σε.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα  όμοιον

Τή σεπτή γεννήσει σου, η οικουμένη, τώ αύλω Πνεύματι, πεποικιλμένη νοερώς, εν ευφροσύνη κραυγάζει σοι, Χαίρε Παρθένε, Χριστιανών τό καύχημα.

Δόξα... Καί νύν... Τό αυτό

Ο Κανών τής Εορτής, καί τών Αγίων.

Ο Κανών τής Οσίας. Ποίημα Ιγνατίου.

Ωδή α'  Ήχος δ'
Ανοίξω τό στόμα μου

Τό στόμα μου πλήρωσον, τής σής αινέσεως Κύριε, υμνούντος τήν δόξαν σου, τήν πολυύμνητον, καί γεραίροντος, τούς πόνους Θεοδώρας, ευαρεστησάσης σοι, βίου λαμπρότητι.

Ανέτειλε σήμερον, η Ιερά σου πανήγυρις, ηλίου φαιδρότερον, τάς εν τώ κόσμω ψυχάς, καταυγάζουσα, καί ζόφον τών δαιμόνων, συντόνως ελαύνουσα, Αξιοθαύμαστε.

Ουκ έγνω δυόμενος, σέ πλημμελούσαν ο ήλιος, ο άδυτος έγνω δέ, μόνος ως πάντα ειδώς, καί κατηύγασεν, ακτίσι μετανοίας, ψυχής σου τά όμματα, θεομακάριστε.

Θεοτοκίον

Ως έμψυχον θάλαμον, ως αδιάφθορον σκήνωμα, ως πύλην ουράνιον, ως θείαν τράπεζαν, ως παλάτιον, καί θρόνον τού Δεσπότου, Μαρίαν την άχραντον, ύμνοις τιμήσωμεν.

Έτερος Κανών τού Αγίου Αυτονόμου.

Ωδή α'  Ήχος δ'
Άρματα Φαραώ
Αίγλη θεαρχική, ελλαμπόμενος αεί, ζόφου με εξάρπασον, αμαρτιών Ιεράρχα, όπως τήν φαιδράν σου σήμερον, ανευφημήσω πανήγυριν.

Παύλου ως μιμητής, γεγονώς Αρχιερεύ, πάσαν περιώδευσας, τήν οικουμένην κηρύττων, τό σωτηριώδες κήρυγμα, καί καθαιρών τών ειδώλων βωμούς.

Πέτρα τή νοητή, στηριχθείς σου τήν ψυχήν, λίθοις θανατούμενος, πρός τήν ζωήν τήν αγήρω, Μάρτυς Ιερέ Αυτόνομε, μετά χαράς προσεχώρησας.
Θεοτοκίον
Έτεκες τόν πρό σού, γεννηθέντα εκ Πατρός, Μήτηρ απειρόγαμε, υπέρ αιτίαν καί λόγον, όν υπέρ ημών ικέτευε, τών ευσεβώς ανυμνούντων σε.

Τής Οσίας

Ωδή γ'
Τούς σούς υμνολόγους
Ανδρείαν στολήν ενδυσαμένη, καί φρόνημα έδραμες σπουδή, καί μοναστών συστήμασι, Σεμνή σαυτήν κατέμιξας, πρός τάς αρχάς πυκτεύουσα, τού πονηρού κοσμοκράτορος.

Τό χαύνον τού θήλεος ανδρείως, ηλλάξω τή κλήσει αληθώς, καί τώ καινώ τού σχήματος, τοίς έργοις δώρον τίμιον, καί τώ Θεώ ποθούμενον, σαυτήν Οσία ανέδειξας.

Φρονήματι τεταπεινωμένω, καί τρόποις χρηστοίς διακονείν, σού τήν ισχύν επέδωκας, τοίς τού Θεού θεράπουσι, πρός απαθείας ύψος σε, όθεν αυτός ανεβίβασε.
Θεοτοκίον
Χειμάζει με κλύδων αμαρτίας, καί σάλος ατόπων λογισμών, σπλαγχνίσθητι Πανάμωμε, καί χείρα βοηθείας μοι, ως συμπαθής επέκτεινον, όπως σωθείς μεγαλύνω σε.

Τού Αγίου

Εστερεώθη η καρδία μου
Τούς διωγμούς σου, λιθασμούς καί τάς εκκεντήσεις, καί αιμάτων ποταμηδόν εκχύσεις, τά δεσμά τάς φυλακάς τόν θάνατον, Μάρτυς αναμέλπω, Ιεράρχα Αυτόνομε.

Αυτομολία, καθελών τήν παρανομίαν, ταίς ρανίσι τών σών αιμάτων Μάρτυς, Ιεραρχίας τήν στολήν ελάμπρυνας, καί συμβασιλεύεις, τώ Βασιλεί τών αιώνων Χριστώ.

Τά κατά τύπον, αριστεύματά σου μή φέρων, ο διώκτης αντίπαλος Παμμάκαρ, διαφόρους πειρασμούς σοι ήγειρεν, αλλ' αυτόν τώ όπλω, τώ τού Σταυρού απενέκρωσας,

Θεοτοκίον

Αγιωτέραν, τών Αγγέλων καί πλατυτέραν, Θεοτόκε τών ουρανών ευρών σε, ο εν αγίοις αναπαυόμενος, αχώρητος φύσει, εν σοί χωρείται καί ο σώζει με.

Ο Ειρμός

«Εστερεώθη η καρδία μου εν Κυρίω, τώ δίδοντι ευχήν τώ ευχομένω, ότι τόξον δυνατών ησθένησε, καί οι ασθενούντες, περιεζώσαντο δύναμιν».

Κάθισμα τής Οσίας

Ήχος δ'

Ταχύ προκατάλαβε

Ασκήσει ελάμπρυνας, τήν Ιεράν σου στολήν, καί δώρον προσήνεξαι, τώ σαρκωθέντι Θεώ, Θεοδώρα θεόπνευστε, χάριν δέ ιαμάτων, πρός αυτού ειληφυία, νόσων αποδιώκεις, τήν αχλύν μακαρία, πρεσβεύουσα τού σωθήναι, ημάς τούς ευφημούντάς σε.

Δόξα... Τού Αγίου, όμοιον

Διπλούν σοι τόν στέφανον, τής αφθαρσίας Χριστός, παμμάκαρ δεδώρηται, ως Αθλητή καί σεπτώ, Ιεράρχη Αυτόνομε, τούτω γάρ προσηγάγω, αναιμάκτους θυσίας, τούτου τό θείον πάθος, αψευδώς εμιμήσω, αυτού καί τής αγήρω, τρυφάς μακαριότητος.

Καί νύν... Τής Εορτής, όμοιον

Ιούδα μεγαλύνθητι, καί κραταιούσθω Δαυϊδ, Αδάμ ανακαινίσθητι, καί ευφραινέσθω Λευϊ, εξ ών μοι ετέχθη Χριστός, Τείνόν σου τήν κινύραν, υμνογράφε καί ο λέγε, Τίς εστιν η τεχθείσα, ήν καλείς θυγατέρα; Τροφός εστι τής ζωής μου, Μήτηρ Χριστού τού Θεού.

Τής Οσίας

Ωδή δ'

Τήν ανεξιχνίαστον θείαν

Ήσκεις πολυήμερον καρτερικώς, Ένδοξε νηστείαν ως άσαρκος, τό ασθενές σου, νευρουμένη τού Χριστού, τώ πανσθενεί βουλήματι, θεία τρεφομένη τε χάριτι.

Θείαν επεπόθησας περιβολήν, καί καταστολήν αδιάφθορον, όθεν τριχίνοις, περιστέλλεις σεαυτήν, ευτελεστάτοις ράκεσι, πόνοις τό σαρκίον σου θλίβουσα.

Ίδε τήν ταπείνωσιν καί τόν κλαυθμόν, ίδε μου τήν θλίψιν καί κούφισον, τής αμαρτίας, τόν βαρύτατον κλοιόν, η Θεοδώρα έκραζε, πρός τόν μόνον σώζειν δυνάμενον.

Θεοτοκίον

Η πανυπερθαύμαστος Μήτηρ Θεού, λάμψον μετανοίας ακτίνά μοι, λύσον τήν ζόφον, τών αμέτρων μου κακών, τούς πονηρούς επέλασον, Κόρη λογισμούς τής καρδίας μου.

Τού Αγίου

Εισακήκοα ο Θεός

Δεδεμένος τή τού Χριστού αγάπη Πάτερ, τούς δεδεμένους τή απάτη λύεις ένδοξε, ταίς πλοκαίς τών λόγων σου, καί προσηλοίς τώ πόθω τής όντως ζωής.

Εμπειρότατος ιατρός υπάρχων Μάρτυς, τούς φαρμαχθέντας τώ ιώ τής ματαιότητος, τών ειδώλων πάνσοφε, καταγλυκαίνεις λόγοις τής πίστεως.

Τών Μαρτύρων η καλλονή, Αρχιερέων η ωραιότης, Εκκλησίας τό εδραίωμα, καί τών πιστών τό στήριγμα, ο θαυμαστός τιμάσθω Αυτόνομος.

Θεοτοκίον

Τώ πελάγει τών οικτιρμών, σού τής τεκούσης τήν ζωήν τώ κόσμω, νεκρωθείς τοίς παραπτώμασι, καταφεύγω Άχραντε, ταίς σαίς πρεσβείαις σώσόν με Δέσποινα.

Τής Οσίας

Ωδή ε'

Εξέστη τά σύμπαντα

Εξέστησαν τάξεις σε, τών Ασωμάτων βλέπουσαι, σώματι ενύλω μιμουμένην, τούτων τόν βίον, και τήν σεπτήν αρετήν, καί καταπαλαίουσαν εχθρόν, πάλαι τόν πτερνίσαντα, Θεοδώρα απάτη σε.

Θηρίων ορμήματα, Θεός σοι καθυπέταξε, χάριν ιαμάτων δεδωκώς σοι, τούτο κηρύττει ο τή χειρί σου σωθείς, βρώσεις αγρίου τού θηρός, όν περ εθεράπευσας, συντριβέντα Αοίδιμε.

Εχθρός ο πανούργός σοι, πολυειδείς εξήγειρε, Μήτερ πειρασμούς, αλλά τώ ξίφει, τούτον οσία τής ταπεινώσεως, έτρωσας συντρίψασα αυτού, κάραν πολυμήχανον, Θεοδώρα θεόπνευστε.

Εκτρέφεις τό νήπιον, τελείω τώ φρονήματι, φέρεις τήν δεινήν συκοφαντίαν, ευχαριστούσα τώ Παντοκράτορι, τώ σοί χορηγήσαντι ισχύν, τώ σέ θαυμαστώσαντι, Θεοδώρα πανεύφημε.

Θεοτοκίον

Ισχύς τε καί στήριγμα, τής ασθενούς καρδίας μου, σύ εί απειρόγαμε Παρθένε, άρρηκτον τείχος, από προσώπου εχθρού, σώζουσα παντοίων με δεινών, τρέπουσα τάς φάλαγγας, τού δεινού πολεμήτορος.

Τού Αγίου

Ανάτειλόν μοι Κύριε

Ως ήλιος ανέτειλας, λαμπρός τώ στερεώματι, τής Εκκλησίας καί φωτίζεις, ακτίσι τών αγώνων, Μάρτυς καί θαυμάτων σου, τούς πιστούς Αυτόνομε, λύων δαιμόνων τήν αχλύν.

Ωραίος ώσπερ κάλαμος, εύ τεθηγμένος Πνεύματι, τώ παναγίω ανεδείχθη, η γλώσσά σου τόν νόμον, τού Χριστού Αυτόνομε, εν πλαξί χαράττουσα, καρδιών τών ευσεβών.

Τό Πνεύμα τό πανάγιον, δοχείόν σε ευράμενον, καί καταγώγιον τής τούτου, αϋλου παρουσίας, θείων χαρισμάτων σε, αληθώς ενέπλησεν, Ιερομάρτυς τού Χριστού.

Θεοτοκίον

Ανάτειλόν μοι Δέσποινα, ακτίνα τού ελέους σου, τώ έν τώ σκότει τών πταισμάτων μου, αεί συνεχομένω, καί πρός φώς οδήγησον, μετανοίας άχραντε, ίνα πίστει σε υμνώ.

Τής Οσίας

Ωδή ς'

Τήν θείαν ταύτην

Πηγήν δακρύων προσφέρουσα, απαύστως τρυχομένη καί στένουσα, τήν επιτίμησιν, καί μοναστών τήν διάζευξιν, ευχαριστούσα φέρεις, θεομακάριστε.

Ποτόν θαλάσσιον έχουσα, αγρίαις τρεφομένη βασάνοις τε, μετά θηρίων δέ, αυλιζομένη τήν έρημον, ως ουρανόν κατώκεις, Αξιοθαύμαστε.

Φλογμόν ηλίου υπήνεγκας, νυκτός τόν παγετόν εκαρτέρησας, τού θείου Πνεύματος, συνθαλπομένη τή χάριτι, όθεν τρυφάς τής άνω, μακαριότητος.

Θεοτοκίον

Τήν θείαν στάμνον καί τράπεζαν, τόν άρτον τής ζωής τήν βλαστήσασαν, τήν αγεώ οργητον, χώραν τό όρος τό άγιον, τήν Θεοτόκον Κόρην, ύμνοις τιμήσωμεν.

Τού Αγίου

Ζάλη με λογισμών

Τή θεία κυβερνώμενος παλάμη, αβλαβώς διέπλευσας, τό πέλαγος τής απάτης, καί προσώρμησας όρμω γαληνώ, τής άνω βασιλείας, Ιερομάρτυς Αυτόνομε.

Πλευράν σου κεντηθείς λόγχη θεόφρον, Χριστού εξεικόνισας τό πάθημα, καί τών λίθων συγχωννύμενος Μάκαρ νιφετοίς, τόν πρώτον τών Μαρτύρων, ως

αληθώς παρεζήλωσας.

Τελούντες τήν σεβάσμιον ημέραν, τής σής τελειώσεως, δεόμεθά σου εν πίστει, Παρρησίαν έχων πρός Θεόν, απαύστως εκδυσώπει, υπέρ ημών Παναοίδιμε.

Θεοτοκίον

Η ζάλη τών πολλών μου εγκλημάτων, εις βυθόν καθείλκυσε, τής απογνώσεως Κόρη, αλλ' αυτή με χειρί πρεσβευτική, ανάγαγε καί σώσον, ίνα υμνώ σε πανύμνητε.

Ο Ειρμός

«Ζάλη με λογισμών καταλαβούσα, εις βυθόν καθέλκει με, αμέτρων αμαρτημάτων, αλλά σύ Κυβερνήτα αγαθέ, προφθάσας ανάγαγε, ως τόν Προφήτην καί σώσόν με».

Κοντάκιον Ήχος α'

Χορός, Αγγελικός

Τήν νύκτα τών παθών, εκφυγούσα θεόφρον, προσήλθες νοητώς, τώ Ηλίω τής δόξης, ασκήσει νεκρώσασα, τής σαρκός τά σκιρτήματα, όθεν γέγονας, υπογραμμός μοναζόντων, καί ανόρθωσις, τών πεπτωκότων έν βίω, διό σε γεραίρομεν.

Ο Οίκος

Υπογραμμός αναδέδεικται πεπτωκόσιν ο βίος σου, καί βουλομένοις προσέρχεσθαι διά μετανοίας, τώ ειδότι τά πταίσματα συγχωρείν, καθώς γέγραπται, αυτώ γάρ πιστεύσασα, καθάπερ η πόρνη, αντί μύρου προσήγαγες όμβρους δακρύων, εν οίς τόν όφιν ποντίσασα καθείλες, καί τήν νίκην ανεδήσω, Θεοδώρα τρισόλβιε, διό τό θηρίον νεκρώσασα ευχαίς σου, νεκρόν εξανέστησας δυνάμει τού Κτίστου σου, υπέρ ού σύ νενέκρωσαι, διό σε γεραίρομεν.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΑ' τού αυτού μηνός, Μνήμη τής Οσίας Μητρός ημών Θεοδώρας τής εν Αλεξανδρεία.

Στίχοι

- Καί σχήμα καί νούν αρρενοί Θεοδώρα,
- Καί τόν μέγαν νούν αισχυνει πρό τού τέλους.
- Ενδεκάτη πύματον Θεοδώρη ύπνον ιαύει.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Ευφροσύνου τού μαγείρου.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων, Διοδώρου, Διομήδους καί Διδύμου.

Στίχοι

- Διόδωρος μάστιξι σύν τοίς συνάθλοις,

- Τήν σάρκα δόντες, μαστιγούσι τήν πλάνην.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος, Ία, πρεσβύτιδος τήν ηλικίαν.

Στίχοι

- Οσμήν μύρων έπνευσεν η Μάρτυς, Ία,
- Ερυθροβαφών αιμάτων ατμοπνόων.

Ο άγιος Δημήτριος καί Ευανθία η σύζυγος αυτού καί Δημητριανός ο υιός αυτών λιμώ τελειούνται.

Ταίς τών Αγίων σου πρεσβείαις, Χριστέ ο Θεός, ελέησον ημάς. Αμήν.

Τής Οσίας

Ωδή ζ'

Ουκ ελάτρευσαν

Αφορήτοις σε, πληγαίς ο πολυμήχανος, εχθρός συνέκοψε, φαντασιούμενος, αλλ' αυτού κατέβαλες, μάταιον φρύαγμα, αναμέλπουσα, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Ξηροτάτους, λάκκους έπλησας εντεύξει σου, υδάτων Ένδοξε, θαυματουργούσα σαφώς, Θεόν μεγαλύνουσα, τόν σέ δοξάσαντα, ώ κραυγάζομεν, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Υπεκκαύματα, παθών εναπεμάρανας, δακρύων επιρροαίς, καί φρυγανώδεις εχθρού, κακίας κατέφλεξας, τής εγκρατείας πυρί, αναμέλπουσα, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Θεοτοκίον

Η Βασίλισσα, Παρθένος η κυήσασα, τόν Βασιλέα Χριστόν, οίκτειρον σώσόν με νύν, κλονούμενον πάθεσι, πίστει στερέωσον, καί οδήγησον, πρός σωτηρίας τρίβον με, τών πιστών η σωτηρία.

Τού Αγίου

Ο εν τώ όρει τώ Μωσεί

Εν τή Χωνεία εμβληθείς τών βασάνων, χρυσίου καθαρώτερος ανεδείχθης, ταίς λαμπηδόσιν Άγιε, τών θαυμάτων φωτίζων ημάς.

Λιθολευστούντές σε τόν δίκαιον όντως, οι λίθους προσκυνούντες, πρός όν επόθεις Χριστόν, τήν πέτραν Ένδοξε, τής ζωής διεβίβαζον.

Οι διωγμοί σου τών δαιμόνων διώξεις, θεόφρον ανεδείχθησαν, τών αιμάτων οι ποταμοί δέ έσβεσαν, αθεϊας τήν κάμινον.

Θεοτοκίον

Ο εν τή μήτρα τής Παρθένου οικήσας, καί ταύτην ουρανών πλατυτέραν δείξας, ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Τής Οσίας

Ωδή η'

Παίδας ευαγείς

Νοί καθαρώ λελαμπρυσμένος, ο σός αρχηγός αρθείς μετάρσιος, είδεν ά ητοίμασεν, αγαθά σοι Κύριος, φωτοειδή Παράδεισον, καί ανεκλάλητον, νυμφώνα Θεοδώρα, εν ώ σε, ο αγωνοθέτης κατώκισε νυμφίος.

Αγγέλων Μαρτύρων καί Οσίων, χοροί τής ψυχής σου προεξάρχοντες, ταύτην πρός ουράνια, έφερον σκηνώματα, πρός τήν εκεί κατάπαυσιν, ευφραινομένων εν ή, υπάρχει κατοικία βοώντων, Σέ υπερυψούμεν, Χριστέ εις τούς αιώνας.

Πληθύς μοναστών συναθροισθείσα, τό θείον κηδεύει πίστει σώμά σου, είδον δέ παράδοξα, έμαθον εξαίσια, όπως γυνή τώ σώματι, ανδρών εν μέσω οικείν, ηυδόκησας χειρί σκεπομένη, τού Παντοδυνάμου θεόφρον Θεοδώρα.

Θεοτοκίον

Ο πίσω σου έδραμον γυναίκες, τών μύρων τών ηδυπνόων επαισθόμεναι, πάναγνε Θεόνυμφε, Κόρη απειρόγαμε, τού εκ γαστρός σου λάμψαντος, μονογενούς σου Υιού, καί σοί συμβασιλεύουσιν όντως, ανυμνολογούσαι Χριστόν εις τούς αιώνας.

Τού Αγίου

Γή καί πάντα τά εν αυτή

Γή τό αίμά σου τό σεπτόν, εδέξατο χυθέν διά Χριστόν, οι ουρανοί δέ τήν ψυχήν, μετά δόξης ανερχομένην, Αγγέλων χορείαι, καί Δικαίων απάντων τά πνεύματα, εν αγαλλιάσει υπήντησάν σοι Μάρτυς.

Τών ιδρώτων σου οι κρουνοί, κατέσβεσαν τό πύρ τών ασεβών οι τών θαυμάτων ποταμοί, απεξήραναν τάς θαλάσσας, Αυτόνομε Μάρτυς, τών παθών ημών μάκαρ τών πίστει σε, ανυμνολογούντων εις πάντας τούς αιώνας.

Διερχόμενος πανταχού, εκήρυξας τό όνομα τού Χριστού, πλάνης κατέρραξας βωμούς, τούς εν σκότει τής αγνωσίας εφώτισας Πάτερ, καί ναούς απειργάσω τού Κτίστου σου, όν υπερυψούμεν εις πάντας τούς αιώνας.

Θεοτοκίον

Γή Αγία εν ή Χριστός, εσκήνωσεν η πέτρα τής ζωής, πύλη φωτός τού νοητού, αλατόμητον όντως όρος, Παράδεισος δόξης, καί λυχνία χρυσή προηγόρευσαι, άχραντε Παρθένε, αεί ευλογημένη.

Ο Ειρμός

«Γή καί πάντα τά εν αυτή, θάλασσα καί πάσαι αι πηγαί, οι ουρανοί τών ουρανών, φώς καί σκότος, ψύχος καί καύσων, υιοί, τών ανθρώπων, Ιερείς ευλογείτε τόν Κύριον».

Τής Οσίας

Ωδή θ'
Άπας γηγενής
Έδυς ως αστήρ, εν κόσμω Πανεύφημε, καί εξανέτειλας, πρός τήν υπερκόσμιον, ζωήν λιπούσα ώσπερ ακτίνας ημίν, τάς αρετάς τού βίου σου, καί κατορθώματα, τάς καρδίας, πάντων καταυγάζουσα, τών πιστώς εκτελούντων τήν μνήμην σου.

Πύλαι ουρανών, φαιδρώς διηνοίγησαν, απολαβούσαί σε, καί τών πρωτοτόκων νύν, η Εκκλησία έχει χορεύουσαν, σύν εκλεκτοίς αοίδιμε, τήν Ιεράν σου ψυχήν, ένθα ήχος, έστιν εορτάζοντος, Θεοδώρα καί φώς τό ανέσπερον.

Εύρες αμοιβάς, τών πόνων ως ήλπισας, τάς ουρανίους τιμάς, έστης τής εφέσεως, αυτήν ευρούσα τών αγαθών τήν πηγήν, κατατρυφάς τρανότερον καί καθαρώτερον, τού νυμφίου, βλέπεις άπερ βλέπουσι, Θεοδώρα Αγγέλων τά τάγματα.
Θεοτοκίον
Σώσόν με άγνή, Σωτήρα κυήσασα, καί πανοικτίρμονα, οίκτειρον τόν δούλόν σου, πρός μετανοίας οδούς κατεύθυνον, τού πονηρού τά σκάνδαλα εκ μέσου ποίησον, τής αυτού δέ λύτρωσαι ενέδρας με, Θεοτόκε πιστών η βοήθεια.

Τού Αγίου

Ότι εποίησε μοι
Τρανότερον χωρήσας, πρός τό φώς τό άδυτον, λυθέντων τών εσόπτρων τής σαρκός, τελεώτερον οράς τόν ποθούμενον Χριστόν, μάκαρ Αυτόνομε.

Τελέσας σου τόν δρόμον, καί τήν πίστιν τετηρηκώς, εδέξω τούς στεφάνους τής ζωής, καί πρεσβεύεις εκτενώς, υπέρ ημών τόν λυτρωτήν, Ιερομάρτυς Χριστού.

Ανέτειλέ σοι φέγγος, ανεσπέρου διαγωγής, τά έργα δεδρακότι τού φωτός, επί γής Αρχιερεύ, καί συνευφραίνη τώ Χριστώ, εις τούς αιώνας αεί.
Θεοτοκίον
Ελπίς καί προστασία, τών πιστών υπάρχουσα, διάσωζε ημάς εκ τών παθών, καί παντοίων Πειρασμών, τούς Θεοτόκον σε αεί, ομολογούντας Αγνή.
Ο Ειρμός
«Ότι εποίησέ μοι μεγαλεία ο δυνατός, καί άγιον τό όνομα αυτού, καί τό έλεος αυτού εις γενεάν, καί γενεάν τοίς φοβουμένοις αυτόν».

Εξαποστειλάριον τής Οσίας
Γυναίκες ακουτίσθητε

Τό σχήμα διαμείψασα, κρυπτοφανώς εσκήνωσας, μέσον ανδρών μοναζόντων, νύμφη Χριστού Θεοδώρα, τρωθείσα θείω έρωτι, ώ θαύμα! πώς τήν άδικον, συκοφαντίαν ήνεγκας, τόν πτερνιστήν τροπουμένη, τής Εύας Μήτηρ Οσία.

Τού Αγίου
Τών μαθητών ορώντων σε

Εν Ιερεύσιν ώφθης κλέος Μαρτύρων, διπλών τε τών στεφάνων έτυχες μάκαρ, τών ειδώλων πλάνην πάσαν πατήσας, Ιερουργέ Αυτόνομε, καί τά βραβεία τρισμάκαρ, τής νίκης όθεν εδέξω.

Τής Εορτής
Εν πνεύματι τώ ιερώ

Εκ τής ακάρπου σήμερον, Άννης άνθος προήλθεν, η Θεοτόκος άπαντα, ευωδίας ενθέου, πληρούσα πέρατα κόσμου, καί χαράς αϊδίου, εμπιπλώσα τήν κτίσιν, ήν υμνούντες αξίως, ευφημήσωμεν ως ούσαν, τών γηγενών υπερτέραν.

Εις τόν Στίχον, Στιχηρά τής Εορτής.

Ήχος β'
Οίκος τού Ευφραθά

Τύπος θεοπρεπής, τού θείου τοκετού σου, θεόφρον Άννα ώφθη, τού Ααρών η ράβδος, ανίκμως εκβλαστήσασα.

Στίχ. Άκουσον, θύγατερ, καί ίδε, καί κλίνον τό ούς σου, καί επιλάθου τού λαού σου, καί τού οίκου τού πατρός σου, καί επιθυμήσει ο Βασιλεύς τού κάλλους σου.

Ότε τήν υλικήν, ουσίαν τών ανθρώπων, ηυδόκησας φορέσαι, προήγαγες εκ στείρας, τήν σήν Μητέρα κυριε.

Στιχ. Τό πρόσωπόν σου λιτανεύσουσιν οι πλούσιοι τού λαού.

Νέον ως ουρανόν, τήν μήτραν τής Παρθένου, καί Θεοτόκου Λόγε, κατώκησας θεώσας, βροτών τό γένος Δέσποτα.

Δόξα... Καί νύν... Όμοιον

Δεύτε οι εξ Αδάμ, τήν εκ Δαυϊδ φυείσαν, καί τόν Χριστόν τεκούσαν, υμνήσωμεν Παρθένον, Μαρίαν τήν πανάχραντον.

Καί η λοιπή Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

**ΤΗ ΙΒ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Η Απόδοσις τής εορτής.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Μετά τόν Προοιμιακόν, τού Μακάριος ανήρ, τήν α' στάσιν. Εις δέ τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν τά παρόντα Ιδιόμελα.

Ήχος πλ. β' Σεργίου

Σήμερον, ο τοίς νοεροίς θρόνοις επαναπαυόμενος Θεός, θρόνον άγιον επί γής εαυτώ προητοίμασεν, ο στερεώσας εν σοφία τούς ουρανούς, ουρανόν έμψυχον, εν φιλανθρωπία κατεσκεύασεν, εξ ακάρπου γάρ ρίζης, φυτόν ζωηφόρον, εβλάστησεν ημίν τήν Μητέρα αυτού, ο τών θαυμασίων Θεός, καί τών ανελπίστων ελπίς, Κύριε δόξα σοι.

Ο αυτός

Αύτη ημέρα Κυρίου, αγαλλιάσθε λαοί, ιδού γάρ τού φωτός ο νυμφών, καί η βίβλος τού λόγου τής ζωής, εκ γαστρός προελήλυθε, καί η κατά ανατολάς πύλη αποκυηθείσα, προσμένει τήν είσοδον τού Ιερέως τού μεγάλου, μόνη καί μόνον εισάγουσα Χριστόν εις τήν οικουμένην, πρός σωτηρίαν τών ψυχών ημών.

Ο αυτός

Ει καί θείω βουλήματι, περιφανείς στείραι γυναίκες εβλάστησαν, αλλά πάντων η Μαρία τών γεννηθέντων, θεοπρεπώς υπερέλαμψεν, ότι καί εξ αγόνου παραδόξως τεχθείσα μητρός, έτεκεν εν σαρκί τόν απάντων Θεόν, υπέρ φύσιν εξ ασπόρου γαστρός, η μόνη πύλη τού μονογενούς Υιού τού Θεού, ήν διελθών κεκλεισμένην διεφύλαξε, καί πάντας σοφώς οικονομήσας, ως οίδεν αυτός, πάσι τοίς ανθρώποις, σωτηρίαν απειργάσατο.

Ο αυτός

Στεφάνου Αγιοπολίτου

Σήμερον στειρωτικαί πύλαι ανοίγονται, καί πύλη παρθενική θεία προέρχεται, Σήμερον καρπογονείν η χάρις απάρχεται, εμφανίζουσα τώ κόσμω Θεού Μητέρα, δι' ής τά επίγεια, τοίς ουρανοίς συνάπτεται, εις σωτηρίαν τών ψυχών ημών.

Ο αυτός

Σήμερον τής παγκοσμίου χαράς τά προοίμια, σήμερον έπνευσαν αύραι, σωτηρίας προάγγελοι, η τής φύσεως ημών διαλέλυται στείρωσις, η γάρ στείρα μήτηρ δείκνυται, τής παρθενευούσης μετά τόκον τού κτίσαντος, εξ ής τό αλλότριον οικειούται ο φύσει Θεός, καί τοίς πλανηθείσι διά σαρκός σωτηρίαν απεργάζεται, Χριστός ο φιλάνθρωπος, καί λυτρωτής τών ψυχών ημών.

Ο αυτός

Σήμερον η στείρα Άννα τίκτει θεόπαιδα, τήν εκ πασών τών γενεών προεκλεχθείσαν, εις κατοίκησιν τώ παμβασιλεί, καί Κτίστη Χριστώ τώ Θεώ, εις εκπλήρωσιν τής θείας οικονομίας, δι' ής ανεπλάσθημεν οι γηγενείς, καί ανεκαινίσθημεν εκ τής φθοράς, πρός ζωήν τήν άληκτον.

Δόξα... Καί νύν...

Ο αυτός  Σεργίου

Σήμερον, ο τοίς νοεροίς θρόνοις επαναπαυόμενος Θεός, θρόνον άγιον επί γής εαυτώ προητοίμασεν, ο στερεώσας εν σοφία τούς ουρανούς, ουρανόν έμψυχον, εν φιλανθρωπία κατεσκεύασεν, εξ ακάρπου γάρ ρίζης φυτόν ζωηφόρον, εβλάστησεν ημίν τήν Μητέρα αυτού, ο τών θαυμασίων Θεός, καί τών ανελπίστων ελπίς, Κύριε δόξα σοι.

Εις τόν Στίχον, Στιχηρά. Ιδιόμελα.

Ήχος δ'  Γερμανού Πατριάρχου

Η παγκόσμιος χαρά, εκ τών δικαίων ανέτειλεν ημίν, εξ Ιωακείμ καί τής Άννης, η πανύμνητος Παρθένος, ήτις δι' υπερβολήν αγαθότητος, ναός Θεού έμψυχος γίνεται, καί μόνη κατά αλήθειαν, Θεοτόκος γνωρίζεται, Αυτής ταίς ικεσίαις Χριστέ ο Θεός, τώ κόσμω τήν ειρήνην κατάπεμψον, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Στίχ. Άκουσον, θύγατερ, καί ίδε, καί κλίνον τό ούς σου, καί επιλάθου τού λαού σου, καί τού οίκου τού πατρός σου, καί επιθυμήσει ο Βασιλεύς τού κάλλους σου.

Δι' Αγγέλου προρρήσεως, γόνος πάνσεπτος, εξ, Ιωακείμ καί τής Άννης τών δικαίων, σήμερον προήλθες Παρθένε, ουρανός καί θρόνος Θεού, καί δοχείον καθαρότητος, τήν χαράν προμηνύουσα παντί τώ κόσμω, τής ζωής ημών πρόξενε, κατάρας αναίρεσις, ευλογίας η αντίδοσις, Διό εν τή γεννήσει σου Κόρη θεόκλητε, τήν ειρήνην αίτησαι, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Στιχ. Τό πρόσωπόν σου λιτανεύσουσιν οι πλούσιοι τού λαού.

Στείρα άγονος η Άννα, σήμερον χείρας κροτείτω φαιδρώς, λαμπροφορείτω τά επίγεια, βασιλείς σκιρτάτωσαν, ιερείς εν ευλογίαις ευφραινέσθωσαν, εορταζέτω ο σύμπας κόσμος, ιδού γάρ η Βασίλισσα καί άμωμος νύμφη τού Πατρός, εκ τής ρίζης τού Ιεσσαί ανεβλάστησεν, Ουκ έτι γυναίκες εν λύπαις τέξονται τέκνα, η χαρά γάρ εξήνθησε, καί η ζωή τών ανθρώπων εν κόσμω πολιτεύεται, Ουκ έτι τά δώρα τού Ιωακείμ αποστρέφονται, ο θρήνος γάρ τής Άννης εις χαράν μετεβλήθη, Συγχάρητέ μοι λεγούσης, πάς εκλεκτός Ισραήλ, ιδού γάρ δέδωκέ μοι Κύριος, τό έμψυχον παλάτιον τής θείας δόξης αυτού, εις κοινήν ευφροσύνην καί χαράν, καί σωτηρίαν τών ψυχών ημών.

Δόξα... Καί νύν... Ήχος πλ. δ'

Σεργίου Αγιοπολίτου

Δεύτε άπαντες πιστοί, πρός τήν Παρθένον δράμωμεν, ιδού γάρ γεννάται, η πρό γαστρός προορισθείσα τού Θεού ημών Μήτηρ, τό τής παρθενίας κειμήλιον, ή τού Ααρών βλαστήσασα ράβδος, εκ τής ρίζης τού Ιεσσαί, τών Προφητών τό κήρυγμα, καί τών δικαίων, Ιωακείμ καί Άννης τό βλάστημα, Γεννάται τοίνυν, καί ο κόσμος σύν αυτή ανακαινίζεται, Τίκτεται, καί η Εκκλησία τήν εαυτής ευπρέπειαν καταστολίζεται, ο ναός ο άγιος, τό τής θεότητος

δοχείον, τό παρθενικόν όργανον, ο βασιλικός θάλαμος, εν ώ τό παράδοξον τής απορρήτου ενώσεως, τών συνελθουσών επί Χριστού φύσεων, ετελεσιουργήθη μυστήριον, όν προσκυνούντες ανυμνούμεν, τήν τής Παρθένου πανάμωμον γέννησιν.

Απολυτίκιον Ήχος δ'

Η γέννησίς σου Θεοτόκε, χαράν εμήνυσε πάση τή οικουμένη, εκ σού γάρ ανέτειλεν ο ήλιος τής δικαιοσύνης, Χριστός ο Θεός ημών, καί λύσας τήν κατάραν, έδωκε τήν ευλογίαν, καί καταργήσας τόν θάνατον, εδωρήσατο ημίν ζωήν τήν αιώνιον.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος δ'
Κατεπλάγη Ιωσήφ

Αναβόησον Δαυϊδ, τί ώμοσέ σοι ο Θεός; Ά μοι ώμοσε φησί, καί εκπεπλήρωκεν ιδού, εκ τού καρπού τής κοιλίας μου δούς τήν Παρθένον, εξ ής ο πλαστουργός, Χριστός ο νέος Αδάμ, ετέχθη βασιλεύς, επί τού θρόνου μου, καί βασιλεύει σήμερον, ο έχων τήν βασιλείαν ασάλευτον, Η στείρα τίκτει, τήν Θεοτόκον, καί τροφόν τής ζωής ημών.

Δόξα... Καί νύν... τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα όμοιον

Εκ τής ρίζης Ιεσσαί, καί εξ όσφύος τού Δαυϊδ, η θεόπαις Μαριάμ, τίκτεται σήμερον ημίν, καί νεουργείται, η σύμπασα καί θεουργείται, Συγχάρητε ομού, ο ουρανός καί η γή, αινέσατε αυτήν, αι πατριαί τών εθνών, Ιωακείμ ευφραίνεται, καί Άννα πανηγυρίζει κραυγάζουσα, Η στείρα τίκτει, τήν Θεοτόκον, καί τροφόν τής ζωής ημών.

Δόξα... Καί νύν... τό αυτο

Μετά τόν Πολυέλεον

Κάθισμα Ήχος πλ. δ'
Τό προσταχθέν μυστικώς

Αγαλλιάσθω ουρανός, γή ευφραινέσθω, ο τού Θεού γάρ ουρανός, εν γή ετέχθη, η Θεόνυμφος αύτη εξ επαγγελίας, Η στείρα βρέφος θηλάζει τήν Μαριάμ καί χαίρει επί τώ τόκω Ιωακείμ, Ράβδος λέγων ετέχθη μοι, εξ ής τό άνθος Χριστός, εβλάστησεν εκ ρίζης Δαυϊδ, Όντως θαύμα παράδοξον!

Δόξα... Καί νύν... Τό αυτό

Οι Κανόνες τού Κυρίου Ιωάννου μετά τών Ειρμών εις η καί τού Κυρίου Ανδρέου Τροπάρια εις ς'.

Ο Κανών τού Κυρίου Ιωάννου

Ωδή α' Ήχος β'
Ο Ειρμός
«Δεύτε λαοί, άσωμεν άσμα Χριστώ τώ Θεώ, τώ διελόντι θάλασσαν, καί οδηγήσαντι, τόν λαόν όν ανήκε, δουλείας Αιγυπτίων, ότι δεδόξασται».

Δεύτε πιστοί, Πνεύματι θείω γηθόμενοι, τήν εξ ακάρπου σήμερον, επιδημήσασαν, εις βροτών σωτηρίαν, αειπάρθενον Κόρην, ύμνοις τιμήσωμεν.

Χαίρε σεμνή, Μήτηρ καί δούλη Χριστού τού Θεού, η τής αρχαίας πρόξενος, μακαριότητος, τών ανθρώπων τώ γένει, σέ πάντες επαξίως, ύμνοις δοξάζομεν.

Η τής ζωής, τίκτεται σήμερον γέφυρα, δι' ής βροτοί ανάκλησιν, τής καταπτώσεως, τής εις Άδου ευρόντες, Χριστόν τόν ζωοδότην, ύμνοις δοξάζουσιν.

Ο Κανών τού Κυρίου Ανδρέου.

Ωδή α' Ήχος πλ. δ'
Ο Ειρμός
«Τώ συντρίψαντι πολέμους, εν βραχίονι αυτού, καί διαβιβάσαντι, τόν Ισραήλ εν Ερυθρά θαλάσση, άσωμεν αυτώ, ως λυτρωτή ημών Θεώ, ότι δεδόξασται».

Χορευέτω πάσα κτίσις, ευφραινέσθω καί Δαυϊδ, ότι εκ φυλής αυτού, καί εκ τού σπέρματος αυτού, προήλθε ράβδος, άνθος φέρουσα τόν Κύριον, καί λυτρωτήν τού παντός.

Η Αγία τών Αγίων, εν αγίω ιερώ βρέφος ανατίθεται, ανατραφήναι εκ χειρός Αγγέλου, πάντες ούν πιστώς συνεορτάσωμεν, εν τή γεννήσει αυτής.

Στείρα άγονος η Άννα, αλλ' ουκ άτεκνος Θεώ, ήδη γάρ προώριστο, εκ γενεών αγνής Παρθένου Μήτηρ, όθεν ο τής κτίσεως εβλάστησε, Κτίστης εν δούλου μορφή.

Σέ τήν άσπιλον αμνάδα, την τό έριον Χριστώ, μόνην εκ κοιλίας σου προσαγαγούσαν, τήν ημών ουσίαν, πάντες εκ τής Άννης τικτομένην σε, ύμνοις γεραίρομεν.

Δόξα...

Τρία άναρχα δοξάζω, τρία άγια υμνώ, τρία συναΐδια, εν ουσιότητι μιά κηρύττω, εις γάρ έν Πατρί Υιώ καί Πνεύματι, δοξολογείται Θεός.

Καί νύν... Θεοτοκίον

Τίς εώρακε παιδίον, ο ουκ έσπειρε πατήρ, γάλακτι τρεφόμενον; ή πού τεθέαται παρθένος Μήτηρ; Όντως υπέρ έννοιαν αμφότερα, Θεογεννήτορ αγνή.

Καταβασία

«Σταυρόν χαράξας Μωσής, επ' ευθείας ράβδω τήν Ερυθράν διέτεμε, τώ Ισραήλ πεζεύσαντι, τήν δέ επιστρεπτικώς, Φαραώ τοίς άρμασι κροτήσας ήνωσεν, επ' εύρους διαγράψας, τό αήττητον όπλον, διό Χριστώ άσωμεν, τώ Θεώ ημών ότι δεδόξασται».

Ωδή γ' Ο Ειρμός

«Στερέωσον ημάς εν σοί Κύριε, ο ξύλω νεκρώσας τήν αμαρτίαν, καί τόν φόβον σου εμφύτευσον, εις τάς καρδίας ημών τών υμνούντων σε».

Αμέμπτως τώ Θεώ πολιτευσάμενοι, τήν πάντων εκύησαν σωτηρίαν, οι θεόφρονες γεννήτορες, τής τόν Κτίστην τεκούσης καί Θεόν ημών.

Ο πάσι τήν ζωήν πηγάζων Κύριος, εκ στείρας προήγαγε τήν Παρθένον, ήν εισδύναι κατηξίωσε, μετά τόκον φυλάξας αδιάφθορον.

Τής Άννης τόν καρπόν Μαρίαν σήμερον, τήν βότρυν κυήσασαν ζωηφόρον, ως Θεοτόκον ανυμνήσωμεν, προστασίαν τε πάντων καί βοήθειαν.

Ειρμός άλλος

«Εστερεώθη η καρδία μου εν Κυρίω, υψώθη τό κέρας μου εν Θεώ μου, επλατύνθη επ' εχθρούς μου τό στόμα μου, ευφράνθη εν σωτηρίω σου».

Ευλογημένη η κοιλία σου σώφρων Άννα, καρπόν γάρ ήνθησε παρθενίας, τήν ασπόρως τόν τροφέα τής κτίσεως, τεκούσαν καί λυτρωτήν Ιησούν.

Σέ μακαρίζει Αειπάρθενε πάσα κτίσις, εξ Άννης σήμερον γεννηθείσαν, τήν εκ ρίζης Ιεσσαί ράβδον άχραντον, τό άνθος Χριστόν βλαστήσασαν.

Σέ ανωτέραν πάσης κτίσεως Θεοτόκε, δεικνύων άχραντε ο Υιός σου, τήν εξ Άννης μεγαλύνει σου γέννησιν, καί πάντας ευφραίνει σήμερον.

Ανατραφείσα εις τά Άγια τών Αγίων, Παρθένε άχραντε Θεοτόκε, ανωτέρα ανεδείχθης τής κτίσεως, τόν Κτίστην σαρκί κυήσασα.

Δόξα...

Σέ προσκυνούμεν Πάτερ άναρχε τή ουσία, υμνούμεν άχρονον τόν Υιόν σου, καί τό Πνεύμα συναΐδιον σέβομεν, ως ένα τά τρία φύσει Θεόν.

Καί νύν... Θεοτοκίον

Τόν φωτοδότην καί αρχίζωον τών ανθρώπων, τεκούσα άχραντε Θεοτόκε,

ανεδείχθης θησαυρός τής ζωής ημών, καί πύλη τού απροσίτου φωτός.

Καταβασία

«Ράβδος εις τύπον τού μυστηρίου παραλαμβάνεται, τώ βλαστώ γάρ προκρίνει τόν ιερέα, τή στειρευούση δέ πρώην Εκκλησία νύν εξήνθησε, ξύλον Σταυρού, εις κράτος καί στερέωμα».

Η Υπακοή  Ήχος β'

Πύλην αδιόδευτον ο Προφήτης, μόνω τώ Θεώ ημών τηρουμένην, τήν Αγίαν Παρθένον εκάλεσε, δι' αυτής διήλθεν ο Κύριος, εξ αυτής προήλθεν ο Υψιστος, καί πάλιν εσφραγισμένην κατέλιπε, λυτρούμενος εκ φθοράς Τήν ζωήν ημών.

Κάθισμα  Ήχος δ'

Κατεπλάγη Ιωσήφ

Η Παρθένος Μαριάμ, και Θεοτόκος αληθώς, ως νεφέλη τού φωτός, σήμερον έλαμψεν ημίν, καί εκ Δικαίων προέρχεται εις δόξαν ημών, Ουκ έτι ο Αδάμ κατακρίνεται, η Εύα τών δεσμών ηλευθέρωται, καί διά τούτο κράζομεν βοώντες, εν παρρη σία τή μόνη Αγνή, Χαράν μηνύει, η γέννησίς σου, πάση τή οικουμένη.

Δόξα... Καί νύν... Τό αυτό

Ωδή δ'  Ο Ειρμός

«Εισακήκοα Κύριε, τήν ακοήν τής σής οικονομίας, καί εδόξασά σε μόνε φιλάνθρωπε».

Ανυμνούμέν σε Κύριε, τόν τοίς πιστοίς σωτήριον λιμένα, παρασχόντα πάσι τήν σέ κυήσασαν.

Σέ Θεόνυμφε καύχημα, πάσι Χριστός ανέδειξε καί κράτος, τοίς υμνούσι πίστει σού τό μυστήριον.

Απειρόγαμε Δέσποινα, ταίς σαίς λταίς λυτρούμενοι πταισμάτων, ευγνωμόνως πάντες σέ μακαρίζομεν.

Ειρμός άλλος

«Ακήκοα Κύριε τήν ακοήν σου καί εφοβήθην, οτι αρρήτω βουλή, Θεός ών αϊδιος, εκ τής Παρθένου προήλθες σαρκωθείς, Δόξα τή δόξη σου Χριστέ, δόξα τή δυνάμει σου».

Τήν πάνσεπτον γέννησιν τής Θεοτόκου, ψαλμοίς καί ύμνοις, δοξολογούντες πιστοί, τόν άψευστον, τόν τώ Δαυϊδ προομόσαντα καρπόν, εκ τής οσφύος παρασχείν, πίστει προσκυνήσωμεν.

Διήνοιξας Κύριε τήν μήτραν Σάρρας, καρπόν εν γήρα τόν Ισαάκ παρασχών, ο αυτός καί σήμερον, τή ευσεβεί Άννη δέδωκας Σωτήρ, εκ μήτρας γόνιμον

καρπόν, άσπιλον Μητέρα τήν σήν.

Επήκουσας Κύριε τής προσευχής μου, λεγέτω Άννα, επαγγελίας καρπόν, παρασχών μοι σήμερον, τήν εκ πασών γενεών καί γυναικών προορισθείσαν, εις αγνήν άχραντον Μητέρα σου.

Συγχαίρει σοι σήμερον θεόφρον Άννα, η οικουμένη, τού λυτρωτού γάρ αυτής, τήν Μητέρα ήνθησας, τήν εκ ρίζης βλαστήσασαν Δαυϊδ, δυνάμεως ράβδον ημίν, φέρουσαν τό άνθος Χριστόν.

Δόξα...

Δοξάζω σε άναρχε Τριάς, αμέριστε τή ουσία, χερουβικώς εκβοών, τή πηλίνη γλώσση μου, Άγιος Άγιος Άγιος, ο ών καί διαμένων εις αεί, είς Θεός αϊδιος.

Καί νύν... Θεοτοκίον

Πεπλήρωνται Άχραντε, τών θεηγόρων αι προφητείαι, εν τή γεννήσει τή σή, τών πιστώς καλούντων σε, σκηνήν καί πύλην καί όρος νοητόν, βάτον καί ράβδον Ααρών, φυείσαν εκ ρίζης Δαυϊδ.

Καταβασία

«Εισακήκοα Κύριε, τής οικονομίας σου τό μυστήριον, κατενόησα τά έργα σου, καί εδόξασά σου τήν θεότητα».

Ωδή ε'  Ο Ειρμός

«Οσκιόγραφον αχλύν, αινιγμάτων σκεδάσας, καί τών πιστών εκβάσει τής αληθείας, διά τής θεόπαιδος, καταυγάσας τάς καρδίας, καί ημάς τώ φωτί σου Χριστέ καθοδήγησον».

Ανυμνήσωμεν λαοί, τήν τών πάντων αιτίαν, τού καθ' ημάς γενέσθαι τόν αίτιον, ής τόν τύπον έχαιρον, αξιούμενοι Προφήται, εναργή σωτηρίαν ταύτης καρπούμενοι.

Τής ανίκμου ο βλαστός ράβδου τού ιερέως, τώ Ισραήλ εδήλωσε πρόκρισιν, καί νύν τήν λαμπρότητα, τών φυσάντων παραδόξως, δαδουχεί τό εκ στείρας πανένδοξον
κύημα.

Ειρμός άλλος

«Κύριε ο Θεός ημών, ειρήνην δός ημίν, Κύριε ο Θεός ημών, κτήσαι ημάς, Κύριε, εκτός σου άλλον ουκ οίδαμεν, τό όνομά σου ονομάζομεν».

Αχραντός σου η γέννησις, Παρθένε άχραντε, άφραστος καί η σύλληψις, καί η ωδίς, άρρητος ο τόκος σου, νύμφη ανύμφευτε, Θεός γάρ ήν, όλον φορέσας εμέ.

Σήμερον ευφραινέσθωσαν, Αγγέλων τάγματα, άσμασι χορευέτωσαν οι εξ Αδάμ, ετέχθη γάρ ράβδος, τό άνθος βλαστάνουσα, Χριστόν τόν μόνον λυτρωτήν τού Αδάμ.

Σήμερον Εύα λέλυται τής καταδίκης, λέλυται καί ο Αδάμ, τής αρχαίας αράς, επί τή γεννήσει τή σή βοών άχραντε, Εν σοί τής φθοράς ελυτρώθημεν.

Δόξα σοι τώ δοξάσαντι, τήν στείραν σήμερον, έτεκε γάρ τήν ράβδον τήν αειθαλή, εξ επαγγελίας, εξ ής ανεβλάστησε Χριστός, τό άνθος τής ζωής ημών.

Δόξα...

Άναρχον προσκυνούμέν σε Τριάς αμέριστε, άκτιστον συναϊδιον καί συμφυή, εν μιά ουσία, τρισίν υποστάσεσιν, υπερφυώς κηρυττομένην αεί.

Καί νύν... Θεοτοκίον

Γέγονεν η κοιλία σου Αγία Τράπεζα, έμεινεν η άγνεία σου ώσπερ τό πρίν, ασινής Παρθένε, Χριστός γάρ ο ήλιος, ως εκ παστού νυμφίος ώφθη εκ σού.

Καταβασία

«Ω τρισμακάριστον ξύλον, εν ώ ετάθη Χριστός, ο Βασιλεύς καί Κύριος, δι' ού πέπτωκεν ο ξύλω απατήσας, τώ εν σοί δελεασθείς, Θεώ τώ προσπαγέντι σαρκί, τώ παρέχοντι, τήν ειρήνην ταίς ψυχαίς ημών».

Ωδή ς' Ο Ειρμός

«Πρός Κύριονεκκήτους ο Ιωνάς εβόησε, Σύ με ανάγαγε, εκ πυθμένοςΆδου δέομαι, ίνα ως λυτρωτή, εν φωνή αινέσεως, αληθείας τε πνεύματι θύσω σοι».

Πρός Κύριον εν θλίψει στειρώσεως εβόησαν, τής Θεομήτορος, οι θεόφρονες γεννήτορες, καί ταύτην γενεαίς γενεών εκύησαν, εις κοινήν σωτηρίαν καί καύχημα.

Εδέξαντο ουράνιον δώρον αξιόθεον, τής Θεομήτορος, οι θεόφρονες γεννήτορες, αυτών τών Χερουβίμ υπερφέρον όχημα, τήν τού Λόγου καί Κτίστου λοχεύτριαν.

Ειρμός άλλος

«Ως ύδατα θαλάσσης φιλάνθρωπε, τά κύματα τού βίου χειμάζει με, αλλ' ώσπερ τόν Ιωνάν εκ τού κήτους, ανάγαγε εκ φθοράς τήν ζωήν μου, εύσπλαγχνε Κύριε».

Υμνούμεν τήν αγίαν σου γέννησιν, τιμώμεν καί τήν άσπορον σύλληψιν, σού νύμφη Θεόνυμφε καί Παρθένε, σκιρτώσι δέ σύν ημίν Αγγέλων τάξεις, καί τών Αγίων ψυχαί.

Αγίαν τών Αγίων υπάρχουσαν, οι σώφρονες πατέρες σου Άχραντε, ανέθεντό σε εν οίκω Κυρίου, ανατραφήναι σεμνώς, καί εις Μητέρα ετοιμασθήναι αυτώ.

Αι στείραι καί μητέρες χορεύσατε, θαρσείτε καί σκιρτήσατε άγονοι, η άτεκνος γάρ στείρα, τήν Θεοτόκον βλαστάνει, ήτις λύσει τών ωδίνων τήν Εύαν, καί τής αράς τόν Αδάμ.

Ακούω τού Δαυϊδ μελωδουντός σοι, Αχθήσονται παρθένοι οπίσω σου, αχθήσονται εις ναόν Βασιλέως, καί σύν αυτώ σε καγώ, θυγατέρα τού Βασιλέως υμνώ.

Δόξα...

Εν σοί τό τής Τριάδος μυστήριον, υμνείται καί δοξάζεται άχραντε, Πατήρ γάρ ηυδόκησε, καί ο Λόγος εσκήνωσεν εν ημίν, καί θείον Πνεύμα σοί επεσκίασε.

Καί νύν... Θεοτοκίον

Χρυσούν θυμιατήριον γέγονας, τό πύρ γάρ εν γαστρί σου εσκήνωσεν, ο Λόγος εκ Πνεύματος τού Αγίου, καί εν ανθρώπου μορφή καθωράθη, Θεογεννήτορ αγνή.

Καταβασία

«Νοτίου θηρός εν σπλάγχνοις, παλάμας Ιωνάς σταυροειδώς διεκπετάσας, τό σωτήριον πάθος προδιετύπου σαφώς, όθεν τριήμερος εκδύς, τήν υπερκόσμιον Ανάστασιν υπεζωγράφησε, τού σαρκί προσπαγέντος Χριστού τού Θεού, καί τριημέρω εγέρσει, τόν κόσμον φωτίσαντος».

Κοντάκιον

Ήχος δ' Αυτόμελον

Ιωακείμ καί Άννα όνειδισμού ατεκνίας, καί Αδάμ καί Εύα, εκ τής φθοράς τού θανάτου, ηλευθερώθησαν, Άχραντε, εν τή αγία γεννήσει σου, αυτήν εορτάζει καί ο λαός σου, ενοχής τών πταισμάτων, λυτρωθείς εν τώ κράζειν σοι, Η στείρα τίκτει τήν Θεοτόκον, καί τροφόν τής ζωής ημών.

Ο Οίκος

Η προσευχή ομού καί στεναγμός, τής στειρώσεως καί ατεκνώσεως Ιωακείμ τε καί Άννης, ευπρόσδεκτος, καί εις τά ώτα Κυρίου ελήλυθε, καί εβλάστησαν καρπόν ζωηφόρον τώ κόσμω, ο μέν γάρ προσευχήν εν τώ όρει ετέλει, η δέ εν παραδείσω όνειδος φέρει, αλλά μετά χαράς, η στείρα τίκτει τήν Θεοτόκον, καί τροφόν τής ζωής ημών.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΒ' τού αυτού μηνός, η προσκύνησις τών τιμίων ξύλων, καί άθλησις τού Αγίου Ιερομάρτυρος Αυτονόμου.

Στίχοι

- Θύμα τραπέζη προυτέθη τώ σή Λόγε,
- Θύτης σός Αυτόνομος, εκθανών λίθοις.
- Αυτόνομος δέ λίθοις δυωκαιδεκάτη κατελεύσθη.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Ιερομάρτυρος Κουρνούτου,' Επισκόπου Ικονίου.

Στίχοι

- Κλέους καταγνούς τού παρόντος Κουρνούτος,
- Ξίφει τό μέλλον εμπορεύεται κλέος.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Ιερομάρτυρος Θεοδώρου,' Επισκόπου Αλεξανδρείας.

Στίχοι

- Τμηθείς κεφαλήν Θεόδωρος εκ ξίφους,
- Θεού μετέσχε δωρεών φερωνύμως.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Ιουλιανού τού εν Γαλατία.

Στίχοι

- Ασκητικοίς ιδρώσι συμμίξας άθλους,
- Ιουλιανός διττά τά στέφη λάβη.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Μακεδονίου, Τατιανού, καί Θεοδούλου, καί μνήμη τού Οσίου Δανιήλ τού εν τώ θασίω.

Τή αυτή ημέρα, ο Άγιος Μάρτυς Ωκεανός πυρί τελειούται.

Στίχοι

- Τόν Ωκεανόν ήλιον λαμπρόν νόει,
- Εις Ωκεανόν τήν πυράν λελουμένον.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ' Ειρμός

«Βάτος εν όρει πυράφλεκτος, καί δροσοβόλος κάμινος Χαλδαϊκή, σαφώς προγράφει σε Θεόνυμφε, τό γάρ θείον άϋλον εν υλική γαστρί, πύρ αφλέκτως εδέξω, διό τώ εκ σού τεχθέντι κράζομεν, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών».

Σού ταίς αϋλοις εμφάσεσιν, ονομοθέτης είργετο κατανοείν, τό μέγα Πάνσεμνε μυστήριον, μή φρονείν χαμαίζηλα, συμβολικώς παιδευόμενος ποτέ, διό εκπλαγείς τό θαύμα έλεγεν, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Όρος καί πύλην ουράνιον, καί νοητήν σε κλίμακα θεοπρεπώς, χορός ο θείος προηγόρευσε, εκ σού γάρ λίθος τέτμηται, ουχ υποστάς εγχειρίδιον ανδρός, καί πύλην, δι' ής διήλθε Κύριος, τών θαυμασίων Θεός, ο τών Πατέρων ημών.

Ειρμός άλλος

«Τών Χαλδαίων η κάμινος, πυρί φλογιζομένη, εδροσίζετο Πνεύματος, Θεού επιστασία, οι Παίδες υπέψαλλον, Ευλογητός ο Θεός ο τών Πατέρων».

Εορτάζομεν Άχραντε, καί πιστώς προσκυνούμεν, τήν αγίαν σου γέννησιν, τήν εξ επαγγελίας, δι' ής ελυτρώθημεν, τής αρχεγόνου αράς, επιφανέντος Χριστού.

Νύν η Άννα ευφραίνεται, καί βοά καυχωμένη, Στείρα ούσα γεγέννηκα, τού

Θεού τήν Μητέρα, δι' ής τό κατάκριμα, τής Εύας λέλυται, καί η εν λύπαις ωδίς.

Ο Αδάμ ηλευθέρωται, καί η Εύα χορεύει, καί βοώσιν εν πνεύματι, πρός σέ τήν Θεοτόκον, Εν σοί ελυτρώθημεν, τής αρχεγόνου αράς, επιφανέντος Χριστού.

Στείραι άγονοι σπεύσατε, ψυχαί ητεκνωμέναι, ότι Άννα πολύτεκνος, καί νύν ευφραινομένη, μητέρες χορεύσατε, σύν τή Μητρί τού Θεού, καί συναγάλλεσθε.

Δόξα...

Τόν Πατέρα δοξάσωμεν, τόν Υιόν καί τό Πνεύμα, εν μονάδι θεότητος, Τριάδα Παναγίαν, αχώριστον άκτιστον, καί συναΐδιον καί ομοούσιον.

Καί νύν... Θεοτοκίον

Σύ Θεόν μόνη έτεκες, Παρθένε μετά τόκον, σύ τήν φύσιν εκαίνισας, τώ τόκω σου Μαρία, σύ τήν Εύαν έλυσας, τής πρωτογόνου αράς, Θεογεννήτορ αγνή.

Καταβασία

«Έκνοον πρόσταγμα τυράννου δυσσεβούς, λαούς εκλόνησε, πνένον απειλής καί δυσφημίας θεοστυγούς, όμως τρείς παίδας ουκ εδειμάτωσε, θυμός θηριώδης, ού πύρ βρόμιον, αλλ' αντηχούντι δροσοβόλω πνεύματι, πυρί συνόντες έψαλλον, ο υπερύμνητος τών Πατέρων ημών, Θεός ευλογητός εί».

Ωδή η'  Ο Ειρμός

«Εν τή καμίνω τή τών Παίδων, προαπεικόνισας ποτέ, τήν σήν Μητέρα Κύριε, ο γάρ τύπος τούτους πυρός εξείλετο, αφλέκτως εμβατεύοντας, ήν υμνούμεν εμφανισθείσαν, διά σού τοίς πέρασι σήμερον, καί υπερυψούμεν εις πάντας τούς αιώνας».

Τής πρός Θεόν ημών καταλλαγής, η προορισθείσα σκηνή, τού είναι νύν απάρχεται, τεξομένη Λόγον ημίν παχύτητι, σαρκός εμφανιζόμενον, όν υμνούμεν οι εκ μή όντων, δι' αυτού τό είναι λαβόντες, καί υπερυψούμεν εις πάντας τούς αιώνας.

Η τής στειρώσεως μεταβολή, τήν κοσμικήν τών αγαθών, διέλυσε στείρωσιν, καί τρανώς τό θαύμα Χριστόν υπέδειξε, βροτοίς επιδημήσαντα, όν υμνούμεν οι εκ μή όντων, δι' αυτού τό είναι λαβόντες, καί υπερυψούμεν εις πάντας τούς αιώνας.

Ειρμός άλλος

«Ο στεγάζων εν ύδασι, τά υπερώα αυτού, ο τιθείς θαλάσση όριον ψάμμον, καί συνέχων τό πάν, σέ υμνεί ήλιος, σέ δοξάζει σελήνη, σοί προσφέρει ύμνον πάσα κτίσις, τώ Δημιουργώ καί Κτίστη
εις τούς αιώνας».

Ο ποιήσας παράδοξα, τή στειρωθείση γαστρί, ο ανοίξας Άννης άγονον μήτραν, καί καρπόν αυτή δούς, σύ Θεός άγιος, σύ Υιός τής Παρθένου, σύ εκ

ταύτης σάρκα προσελάβου, τής αειθαλούς Παρθένου καί Θεοτόκου.

Ο σφραγίζων τήν άβυσσον, καί εξανοίγων αυτήν, ο ανάγων ύδωρ εν ταίς νεφέλαις, καί διδούς υετόν, σύ ο δούς Κύριε, ρίζης εκ τής ακάρπου εξανθήσαι,, Άννης τής αγίας, άχραντον καρπόν, τήν ράβδον τήν Θεοτόκον.

Σύ ο λύσας τά άλυτα, τής απαιδίας δεσμά, σύ ο δούς τή στείρα γόνιμον τόκον, καί καρπόν ευκλεή, ής Υιός γέγονας καί βλαστός ανεφύης, ήν Μητέρα έσχες κατά σάρκα, εν τή πρός ημάς Οικτίρμον επιδημία.

Γεωργέ τών φρενών ημών, καί φυτουργέ τών ψυχών, σύ ο άκαρπον γήν, εύκαρπον δείξας, σύ τήν πάλαι ξηράν, γόνιμον εύσταχυν, άρουραν καρποφόρον απειργάσω, Άνναν τήν αγίαν, άχραντον καρπόν ανθήσαι τήν Θεοτόκον.

Δόξα...

Ώ Τριάς υπερούσιε, μονάς συνάναρχε, σέ υμνεί καί τρέμει, πληθύς Αγγέλων, ουρανός καί η γή, άβυσσοι φρίττουσιν, άνθρωποι ευλογούσι, πύρ δουλεύει, πάντα υπακούει, σοί Τριάς αγία, φόβω τά εν τή κτίσει.

Καί νυν... Θεοτοκίον

Ώ καινότατον άκουσμα! Θεός Υιός γυναικός, καί ασπόρου τόκου, άνανδρος Μήτηρ, καί Θεός τό τεχθέν, ώ φρικτόν θέαμα! ώ συλλήψεως ξένης τής παρθένου! ώ αφράστου τόκου! όντως υπέρ νούν τά πάντα καί θεωρίαν.

Καταβασία

«Ευλογείτε Παίδες, τής Τριάδος ισάριθμοι, δημιουργόν Πατέρα Θεόν, υμνείτε τόν συγκαταβάντα Λόγον, καί τό πύρ εις δρόσον μεταποιήσαντα, καί υπερυψούτε τό πάσι ζωήν παρέχον, Πνεύμαπανάγιον εις τούς αιώνας».

## Ωδή θ'
## Η Τιμιωτέρα ου στιχολογείται

### Ο Ειρμός

«Η τόν πρό ηλίου φωστήρα, τόν Θεόν εξανατείλαντα, σωματικώς ημίν επιδημήσαντα, εκ λαγόνων παρθενικών, αφράστως σωματώσασα, ευλογημένη πάναγνε, σέ Θεοτόκε μεγαλύνομεν».

Ο τοίς απειθούσι λαοίς, εξ ακροτόμου βλύσας νάματα, τοίς ευπειθούσιν έθνεσι χαρίζεται, εκ λαγόνων στειρωτικών, καρπόν εις ευφροσύνην ημίν, σέ Θεομήτορ άχραντε, ήν επαξίως μεγαλύνομεν.

Τήν τής αποτόμμμιου αρχαίας, αναιρέτιν αποφάσεως, καί τής Προμήτορος τήν επανόρθωσιν, τήν τού γένους τής πρός Θεόν αιτίαν οικειώσεως, τήν πρός τόν Κτίστην γέφυραν, σέ Θεοτόκε μεγαλύνομεν.

### Ειρμός άλλος

«Αλλότριον τών μητέρων η παρθενία, καί ξένον ταίς παρθένοις η παιδοποιΐα,

επί σοί Θεοτόκε αμφότερα ωκονομήθη, Διό σε πάσαι αι φυλαί τής γής, απαύστως μακαρίζομεν».

Επάξιον Θεομήτορ τής σής αγνείας, τόν τόκον εκληρώσω δι' επαγγελίας, τή ποτέ γάρ ακάρπω, θεόβλαστος καρπός εδόθης, διό σε πάσαι αί φυλαί τής γής, απαύστως μακαρίζομεν.

Πεπλήρωται τού βοώντος η προφητεία, φησί γάρ, Αναστήσω σκηνήν τήν πεπτωκυίαν, τού ιερού Δαυϊδ, εν σοί, Άχραντε προτυπωθείσαν, δι' ής ο σύμπας τών ανθρώπων χούς, εις σώμα ανεπλάσθη Θεώ.

Τά σπάργανα προσκυνούμέν σου Θεοτόκε, δοξάζομεν τόν δόντα καρπόν τή πρώην στείρα, καί ανοίξαντα μήτραν, τήν άγονον εκ παραδόξου, ποιεί γάρ πάντα όσα βούλεται, Θεός ων παντεξούσιος.

Εβλάστησας νυμφοτόκε Άννα θεόφρον, εκ μήτρας παρ' ελπίδα, καί εξ επαγγελίας, παρθενόφυτον άνθος, θεόβλαστον αγνείας κάλλος, διό σε πάντες μακαρίζομεν, ως ρίζαν τής ζωής ημών.

Δόξα...

Αλλότριον τοίς ανόμοις εστί δοξάζειν, τήν άναρχον Τριάδα, Πατέρα καί Υιόν τε, καί τό Άγιον Πνεύμα, τήν άκτιστον παγκρατορίαν, δι' ής ο σύμπας κόσμος ήδρασται, τώ νεύματι τού κράτους αυτής.

Καί νύν... Θεοτοκίον

Εχώρησας έν γαστρί σου Παρθενομήτορ, τόν ένα τής Τριάδος Χριστόν τόν Βασιλέα, όν υμνεί πάσα κτίσις, καί τρέμουσιν οι άνω θρόνοι, αυτόν δυσώπει πανσεβάσμιε, σωθήναι τάς ψυχάς ημών.

Καταβασία

«Μυστικός εί Θεοτόκε Παράδεισος, αγεωργήτως βλαστήσασα Χριστόν, υφ' ού τό τού Σταυρού, ζωηφόρον εν γή, πεφυτούργηται δένδρον, δι' ού νύν υψουμένου, προσκυνούντες αυτόν, σέ μεγαλύνομεν».

Ετέρα

«Ο διά βρώσεως τού ξύλου, τώ γένει προσγενόμενος θάνατος, διά Σταυρού κατήργηται σήμερον, τής γάρ Προμήτορος η παγγενής, κατάρα διαλέλυται, τώ βλαστώ τής αγνής Θεομήτορος, ήν πάσαι αι Δυνάμεις, τών ουρανών μεγαλύνουσι».

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Αγάλλονται τά πέρατα, τής οικουμένης σήμερον, εν τή γεννήσει σου Κόρη, Θεοκυήτορ Μαρία, καί απειρόγαμε νύμφη, εν ή καί τών φυσάντων σε, τό λυπηρόν διέλυσας, τής ατεκνίας όνειδος, καί τής Προμήτορος Εύας, τήν εν τώ τίκτειν κατάραν.

Έτερον όμοιον

Αδάμ ανακαινίσθητι, καί Εύα μεγαλύνθητι, Προφήται σύν Αποστόλοις, χορεύσατε καί Δικαίοις, κοινή χαρά εν τώ κόσμω, Αγγέλων τε καί ανθρώπων,

εκ τών Δικαίων σήμερον, Ιωακείμ καί τής Άννης, γεννάται η Θεοτόκος.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια γ' δευτερούντες τό α'.

Ήχος α'
Ώ τού παραδόξου θαύματος

Ώ τού παραδόξου θαύματος! η πηγή τής ζωής, εκ τής στείρας τίκτεται, η χάρις καρπογονείν, λαμπρώς απάρχεται, Ευφραίνου Ιωακείμ, τής Θεοτόκου γεννήτωρ γενόμενος, ουκ έστιν άλλος ως σύ, τών γηγενών γεννητόρων θεόληπτε, η γάρ θεοδόχος Κόρη, τού Θεού τό σκήνωμα, τό πανάγιον ορος, διά σού ημίν δεδώρηται.

Ώ τού παραδόξου θαυματος! ο εκ στείρας καρπός, αναλάμψας νεύματι, τού πάντων Δημιουργού, καί παντοκράτορος, ευτόνως τήν κοσμικήν, τών αγαθών διαλέλυκε στείρωσιν, Μητέρες σύν τή Μητρί, τής Θεοτόκου χορεύσατε κράζουσαι, Κεχαριτωμένη χαίρε, μετά σού ο Κύριος, ο παρέχων τώ κόσμω, διά σού τό μέγα έλεος.

Όμοιον

Στήλη σωφροσύνης έμψυχος, καί λαμπρόν δοχείον, αποστίλβον χάριτι, η Άννα η ευκλεής, φανείσα τέτοκε, τήν πρόβολον αληθώς, τής παρθενίας τό θείον απάνθισμα, τήν πάσαις παρθενικαίς, καί παρθενίας ποθούσαις τό χάρισμα, τό τής παρθενίας κάλλος, εμφανώς βραβεύουσαν, καί παρέχουσαν πάσι, τοίς πιστοίς τό μέγα έλεος.

Δόξα... Καί νύν... Ήχος πλ. β'

Αύτη ημέρα Κυρίου, αγαλλιάσθε λαοί, ιδού γάρ τού φωτός ο νυμφών, καί η βίβλος τού λόγου τής ζωής, εκ γαστρός προελήλυθε, καί η κατά ανατολάς πύλη αποκυηθείσα, προσμένει τήν είσοδον, τού Ιερέως τού μεγάλου, μόνη καί μόνον εισάγουσα Χριστόν εις τήν οικουμένην, πρός σωτηρίαν τών ψυχών ημών.

Δοξολογία Μεγάλη, καί Απόλυσις

Εις τήν Λειτουργίαν, Τυπικά, καί εκ τών Κανόνων, Ωδή γ' καί ς'.

Αντίφωνον Α'

Στίχος α'. Μνήσθητι Κύριε τού Δαυϊδ καί πάσης τής πραότητος αυτού.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχος β'. Ιδού ηκούσαμεν αυτήν εν Εφραθά, εύρομεν αυτήν εν τοίς πεδίοις τού δρυμού.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχος γ'. Δεδοξασμένα ελαλήθη περί σού η πόλις τού Θεού.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχος δ'. Ο Θεός εν μέσω αυτής καί ου σαλευθήσεται.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Δόξα... Καί νύν...

Ταίς πρεσβείαις τής Θεοτόκου...

## Αντίφωνον Β'

Στίχος α'. Ώμοσε Κύριος τώ Δαυϊδ αλήθειαν καί ού μή αθετήσει αυτήν.

Σώσον ημάς, Υιέ Θεού, ο δι' ημάς σαρκωθείς...

Στίχος β'. Εκ καρπού τής κοιλίας σου θήσομαι επί τού θρόνου σου.

Σώσον ημάς, Υιέ Θεού, ο δι' ημάς...

Στίχος γ'. Εκεί εξανατελώ κέρας τώ Δαυϊδ, ητοίμασα λύχνον τώ Χριστώ

Σώσον ημάς, Υιέ Θεού, ο δι' ημάς...

Στίχος δ'. Ότι εξελέξατο Κύριος τήν Σιών, ηρετίσατο αυτήν εις κατοικίαν εαυτώ.

Σώσον ημάς, Υιέ Θεού, ο δι' ημάς...

Δόξα... Καί νύν...

Ο μονογενής Υιός καί Λόγος,..

## Αντίφωνον Γ'

Στίχος α'. Ώδε κατοικήσω, ότι ηρετισάμην αυτήν.

### Ήχος δ'

Η γέννησίς σου Θεοτόκε, χαράν εμήνυσε πάση τή οικουμένη, εκ σού γάρ ανέτειλεν ο ήλιος τής δικαιοσύνης, Χριστός ο Θεός ημών, καί λύσας τήν κατάραν, έδωκε τήν ευλογίαν, καί καταργήσας τόν θάνατον, εδωρήσατο ημίν ζωήν τήν αιώνιον.

Στίχος β'. Ηγίασε τό σκήνωμα αυτού ο Ύψιστος.

Η γέννησίς σου Θεοτόκε...

Στίχος γ'. Άγιος ο ναός σου, θαυμαστός εν δικαιοσύνη.

Η γέννησίς σου Θεοτόκε...

Κοινωνικόν

Ποτήριον σωτηρίου λήψομαι, καί τό όνομα Κυρίου επικαλέσομαι. Αλληλούϊα.

---

Αρχή

## ΤΗ ΙΓ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών εγκαινίων τής αγίας τού Χριστού ημών Αναστάσεως, καί Προεόρτια τής Υψώσεως τού τιμίου καί ζωοποιού Σταυρού, καί τού Αγίου Μάρτυρος Κορνηλίου τού Εκατοντάρχου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Ιδιόμελα τών Εγκαινίων γ' καί τού Αγίου Προσόμοια γ'.

Τών Εγκαινίων

Ήχος πλ. β'

Εγκαίνια τιμάσθαι, παλαιός νόμος, καί καλώς έχων, μάλλον δέ τά νέα τιμάσθαι δι' Εγκαινίων, εγκαινίζονται γάρ νήσοι πρός Θεόν, ως φησιν Ησαίας, άς τινας υποληπτέον τάς εξ εθνών Εκκλησίας, άρτι καθισταμένας, καί πήξιν λαμβανούσας βάσιμον τώ Θεώ, διό καί ημείς, τά παρόντα Εγκαίνια πνευματικώς πανηγυρίσωμεν.

Ο αυτός

Εγκαινίζεσθε αδελφοί, καί τόν παλαιόν άνθρωπον αποθέμενοι, εν καινότητι ζωής πολιτεύεσθε, πάσι χαλινόν επιθέντες, εξ ών ο θάνατος, πάντα τά μέλη παιδαγωγήσωμεν, πάσαν πονηράν τού ξύλου βρώσιν μισήσαντες, καί διά τούτο μόνον μεμνημένοι τών παλαιών, ίνα φύγωμεν, Ούτως εγκαινίζεται άνθρωπος, ούτω τιμάται η τών Εγκαινίων ημέρα.

Ο αυτός Ανατολίου

Έθου πύργον ισχύος, τήν Εκκλησίαν σου Χριστέ, προαιώνιε Λόγε, εθεμελίωσας γάρ αυτήν, επί πέτραν τής πίστεως, διό ασάλευτος διαμένει εις τόν αιώνα, έχουσά σε τόν δι' αυτήν επ' εσχάτων, ατρέπτως γενόμενον άνθρωπον, ευχαριστούντες ούν, ανυμνούμέν σε λέγοντες, Σύ εί ο πρό τών αιώνων, καί επ αιώνα, καί έτι βασιλεύς ημών, δόξα σοι.

Τού Αγίου

Ήχος δ'

Έδωκας σημείωσιν

Χριστός επινεύσας σου, ταίς ευποιΐαις Κορνήλιε, καί ταίς θείαις εντεύξεσιν, Άγγελόν σοι Άγιον, αποστέλλει όλον, σέ φωταγωγούντα, καί Αποστόλων Ιερών, τόν Κορυφαίον ανακαινίζοντα, δι' ύδατος καί Πνεύματος, σέ πανοικί αξιάγαστε, καί μυούντα τά κρείττονα, τή τού Πνεύματος χάριτι.

Χρίσμα περικείμενος, Ιερωσύνης διέδραμες, τό σωτήριον κήρυγμα, κηρύξαι τοίς έθνεσιν, εκριζών τής πλάνης, ακάνθας θεόφρον, καί εμφυτεύων απλανή, διδασκαλίαν ψυχαίς εν πνεύματι, διό σε μακαρίζομεν, ως Ιεράρχην θεόληπτον, καί αήττητον Μάρτυρα, γεγηθότες Κορνήλιε.

Τρόποις σου χρηστότητος, ακολουθούντες οι άφρονες, απεδείχθησαν έμφρονες, θανών δέ καί φύσεως, νόμω κατοικήσας, μακάριον τάφον, τούτον πηγήν αποτελείς, πολλών θαυμάτων, σοφέ Κορνήλιε, ιώμενος τούς κάμνοντας, καί φυγαδεύων τά πνεύματα, πονηρίας εν Πνεύματι, τώ Αγίω θεόπνευστε.

Δόξα... Ήχος πλ. β'

Ιωάννου Μοναχού

Τήν μνήμην τών Εγκαινίων, επιτελούντες Κύριε, σέ τόν τού αγιασμού δοτήρα δοξάζομεν, δεόμενοι αγιασθήναι ημών, τά αισθητήρια τών ψυχών, τή πρεσβεία τών ενδόξων αθλοφόρων, αγαθέ Παντοδύναμε.

Καί νύν... Ο αυτός

Σήμερον ξύλον εφανερώθη, σήμερον γένος Εβραίων απώλετο, σήμερον διά πιστών Βασιλέων, η πίστις φανερούται, καί ο Αδάμ διά τού ξύλου εξέπεσε, καί πάλιν διά ξύλου δαίμονες έφριξαν, Παντοδύναμε Κύριε, δόξα σοι.

Είσοδος, τό Προκείμενον τής ημέρας, καί τά Αναγνώσματα.

Βασιλειών τρίτης τό Ανάγνωσμα

(Κεφ. 10, 22-23, 27-31)

Έστη Σολομών κατά πρόσωπον τού θυσιαστηρίου Κυρίου, ενώπιον πάσης εκκλησίας Ισραήλ, καί διαπέτασε τάς χείρας αυτού εις τόν ουρανόν, καί είπε, Κύριε ο Θεός Ισραήλ, ουκ έστι Θεός ως σύ εν τώ ουρανώ άνω, καί επί τής γής κάτω. Ει ο ουρανός τού ουρανού ουκ αρκέσουσί σοι, πώς ο οίκος ούτος, όν ωκοδόμησα έν τώ ονόματί σου; Πλήν καί επιβλέψεις επί τήν δέησίν μου, Κύριε ο Θεός Ισραήλ, ακούειν τής δεήσεως καί τής προσευχής, ής ο δούλός σου προσεύχεται ενώπιόν σου, πρός σέ σήμερον, τού είναι τούς οφθαλμούς σου άνεω γμένους εις τόν οίκον τούτον, όν είπας, έσται τό όνομά σου εκεί. Τού εισακούειν τής προσευχής, ής προσεύχεται ο δούλός σου εις τόν τόπον τούτον ημέρας καί νυκτός. Καί εισακούσή τής δεήσεως τού δούλου σου, καί τού λαού σου Ισραήλ, ά άν προσεύχωνται εις τόν τόπον τούτον, καί σύ εισακούσή εις τόν τόπον τής κατοικήσεώς σου εν τώ ουρανώ, καί ποιήσεις, καί ϊλεως έση αυτοίς.

Παροιμιών τό ανάγνωσμα

(Κεφ. 3, 19-34)

Ο Θεός τή σοφία εθεμελίωσε τήν γήν. ητοίμασε δέ ουρανούς εν φρονήσει. Εν αισθήσει αυτού άβυσσοι ερράγησαν, νέφη δέ ερρύει δρόσον. Υιέ, μή παραρρυής, τήρησον δέ εμήν βουλήν καί έννοιαν, ίνα ζή σή ψυχή, καί χάρις ή περί τώ τραχήλω, έσται δέ ίασις ταίς σαρξί σου, καί επιμέλεια τοίς οστέοις σου, ίνα πορεύη πεποιθώς εν ειρήνη πάσας τάς οδούς σου, ο δέ πούς σου ού μή προσκόπτη. Εάν γάρ κάθη, άφοβος έση, εάν δέ καθεύδης, ηδέως υπνώσεις, καί ού φοβηθήση πτόησιν επελθούσαν, ουδέ ορμάς ασεβών επερχομένας, ο γάρ Κύριος έσται επί πασών οδών σου, καί ερείσει σόν πόδα, μή αγρευθής. Μή απόσχου εύ ποιείν ενδεή, ηνίκα άν έχη η χείρ σου βοηθείν. Μή είπης, Επανελθών επάνηκε, καί αύριον δώσω, δυνατού σου όντος εύ ποιείν, ου γάρ οίδας τί τέξεται η επιούσα. Μή τέκταινε επί σόν φίλον κακά, παροικούντα καί πεποιθότα επί σοί. Μή φιλεχθρήσης πρός άνθρωπον μάτην, ίνα μήτι εις σέ εργάσητε κακόν. Μή κτήση κακών ανδρών ονείδη, μηδέ ζήλου τάς οδούς αυτών, ακάθαρτος γάρ έναντι Κυρίου πάς παράνομος, εν δέ δικαίοις ου συνεδρευει. Κατάρα Κυρίου εν οίκοις ασεβών, επαύλεις δέ δικαίων ευλογούνται. Κύριος υπερηφάνοις αντιτάσσεται, ταπεινοίς δέ δίδωσι χάριν.

Παροιμιών τό Ανάγνωσμα
(Κεφ. 9, 1-11)

Η σοφία ωκοδόμησεν εαυτή οίκον, καί υπήρεισε στύλους επτά. Έσφαξε τά εαυτής θύματα, καί εκέρασεν εις κρατήρα τόν εαυτής οίνον, καί ητοιμάσατο τήν εαυτής τράπεζαν. Απέστειλε τούς εαυτής δούλους, συγκαλούσα μετά υψηλού κηρύγματος επί κρατήρα λέγουσα. Ός εστιν άφρων, εκκλινάτω πρός με, καί τοίς ενδεέσι φρενών είπεν. Έλθετε, φάγετε τόν εμόν άρτον, καί πίετε οίνον, όν κεκέρακα υμίν. Απολίπετε αφροσύνην καί ζήσεσθε, καί ζητήσατε φρόνησιν, ίνα βιώσητε, καί κατορθώσητε σύνεσιν εν γνώσει, ο παιδεύων κακούς, λήψεται εαυτώ ατιμίαν, ελέγχων δέ τόν ασεβή, μωμήσεται εαυτόν, οι γάρ έλεγχοι τώ ασεβεί, μώλωπες αυτώ. Μή έλεγχε κακούς, ίνα μή μισήσωσί σε, έλεγχε σοφόν, καί αγαπήσει σε. Δίδου σοφώ αφορμήν, καί σοφώτερος έσται, γνώριζε δικαίω, καί προσθήσει τού δέχεσθαι. Αρχή σοφίας, φόβος Κυρίου, καί βουλή αγίων, σύνεσις, τό δέ γνώναι νόμον, διανοίας εστίν αγαθής. Τούτω γάρ τώ τρόπω πολύν ζήσεις χρόνον, καί προστεθήσεταί σοι έτη ζωής.

Εις τόν Στίχον, Στιχηρά τού Σταυρού.

Ήχος πλ. α'
Χαίροις ασκητικών αληθώς

Χαίροις ο ζωηφόρος Σταυρός, τής ευσεβείας τό αήττητον τρόπαιον, η θύρα τού Παραδείσου, ο τών πιστών στηριγμός, τό τής Εκκλησίας περιτείχισμα, δι' ού εξηφάνισται, η φθορά καί κατήργηται, καί κατεπόθη, τού θανάτου η δύναμις, καί υψώθημεν, από γής πρός ουράνια, Όπλον ακαταμάχητον, δαιμόνων αντίπαλε, δόξα Μαρτύρων, Οσίων, ως αληθώς εγκαλλώπισμα, λιμήν σωτηρίας, ο δωρούμενος τώ κόσμω, τό μέγα έλεος.

Στίχ. Υψούτε Κύριον τόν Θεόν ημών καί προσκυνείτε τώ υποποδίω τών

ποδών αυτού.

Χίροις ο τού Κυρίου Σταυρός, δι' ού ελύθη τής αράς τό ανθρώπινον, τής όντως χαράς σημείον, ο καταράσσων εχθρούς, εν τή σή υψώσει πανσεβάσμιε, ημών η βοήθεια, βασιλέων κραταίωμα, σθένος δικαίων, Ιερέων ευπρέπεια, ο τυπούμενος, καί δεινών εκλυτρούμενος, ράβδος η τής δυνάμεως, υφ' ής ποιμαινομεθα, όπλον ειρήνης εν φόβω, ο περιέπουσιν Άγγελοι, Χριστού θεία δόξα, τού παρέχοντος τώ κόσμω, τό μέγα έλεος.

Στίχ. Ο δέ Θεός Βασιλεύς ημών πρό αιώνος ειργάστο σωτηρίαν εν μέσω τής γής.

Χαίροις ο τών τυφλών οδηγός, τών ασθενούντων ιατρός η ανάστασις, απάντων τών τεθνεώτων, ο ανυψώσας ημάς, εις φθοράν Πεσόντας, Σταυρέ τίμιε, δι' ού διαλέλυται, η φθορά καί εξήνθησεν, η αφθαρσία, καί βροτοί εθεώθημεν, καί διάβολος, παντελώς καταβέβληται, Σήμερον ανυψούμενον, χερσί καθορώντές σε, Αρχιερέων υψούμεν, τόν υψωθέντα εν μέσω σου, καί σέ προσκυνούμεν, αρυόμενοι πλουσίως, τό μέγα έλεος.

Δόξα... Ήχος β'

Ανατολίου

Τόν εγκαινισμόν τελούντες, τού πανιέρου ναού τής σής Αναστάσεως, σέ δοξάζομεν Κύριε, τόν αγιάσαντα τούτον, καί τελειώσαντα τή αυτοτελεί σου χάριτι, καί τερπόμενον ταίς εν αυτώ Ιερουργουμέναις, υπό πιστών μυστικαίς καί Ιεραίς τελεταίς, καί προσδεχόμενον εκ χειρός τών δούλων σου, τάς αναιμάκτους καί αχράντους θυσίας, αντιδιδόντα τε τοίς ορθώς προσφέρουσι, τήν τών αμαρτημά των κάθαρσιν, καί τό μέγα έλεος.

Καί νύν... Ο αυτός

Θείος θησαυρός εν γή κρυπτόμενος, τού Ζωοδότου ο Σταυρός, εν ουρανοίς εδείκνυτο Βασιλεί ευσεβεί, νίκης κατ' εχθρών, υπογραμμόν δηλών νοερόν, όν γεγηθώς πίστει καί πόθω, θεόθεν αναδραμών πρός θεωρίας ύψωσιν, σπουδή μεγίστη, εκ γής λαγόνων ανέφηνεν, εις κόσμου λύτρον, καί σωτηρίαν τών ψυχών ημών.

Απολυτίκιον τών Εγκαινίων

Ήχος δ'

Ως τού άνω στερεώματος τήν ευπρέπειαν, καί τήν κάτω συναπέδειξας ωραιότητα, τού αγίου σκηνώματος τής δόξης σου Κύριε, Κραταίωσον αυτό εις αιώνα αιώνος, καί πρόσδεξαι ημών, τάς εν αυτώ απαύστως προσαγομένας σοι δεήσεις, πρεσβείαις τής Θεοτόκου, η πάντων ζωή καί ανάστασις.

Δόξα... Καί νύν...

Τού Σταυρού  Ήχος β'

Τόν ζωοποιόν Σταυρόν τής σής αγαθότητος, όν εδωρήσω ημίν τοίς αναξίοις Κύριε, σοί προσάγομεν εις πρεσβείαν, Σώζε τούς βασιλείς καί τήν πόλιν σου, ειρηνεύοντας διά τής Θεοτόκου, μόνε φιλάνθρωπε.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετα τήν α' Στιχολογίαν

Κάθισμα  Ήχος δ'
Ταχύ προκατάλαβε

Τά πάντα εφώτισε τή παρουσία Χριστός, τόν κόσμον ανεκαίνισε Πνεύματι θείω αυτού, ψυχαί εγκαινίζονται, οίκος γάρ ανετέθη, νύν εις δόξαν Κυρίου, ένθα καί εγκαινίζει, τών πιστών τάς καρδίας, Χριστός ο Θεός ημών, εις σωτηρίαν βροτών.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα  όμοιον

Εόρτιος σήμερον τών Εγκαινίων πιστοί, ημέρα κατέλαβε, τήν εκλογήν τού Χριστού, ημάς καί προτρέπεται, πάντας εγκαινισθήναι, καί φαιδρώ τώ προσώπω, άσματα τώ Δεσπότη, εκ μυχού τής καρδίας, άσαι πιστώς ως λυτρωτή, καί ημάς εγκαινίζοντι.

Δόξα... Καί νύν... Τό αυτό

Κανών ο Προεόρτιος, ού η Ακροστιχίς κατά Αλφάβητον, άνευ τών Θεοτοκίων. Γερμανού.

Ωδή α'  Ήχος δ'  Ο Ειρμός

«Τριστάτας κραταιούς, ο τεχθείς εκ Παρθένου, απαθείας εν βυθώ, ψυχής τό τριμερές, καταπόντισον δέομαι, όπως σοι ως εν τυμπάνω τή νεκρώσει τού σώματος, επινίκιον άσω μελώδημα».

Αγάλλου ουρανέ καί ή γή ευφραινέσθω, ο πανάγιος Σταυρός, προέρχεται ημάς, αγιάζων εν χάριτι, τούτον κατασπαζομένους, ως πηγήν αγιάσματος, καί τής πάντων θεώσεως αίτιον.

Βαδίζειν ευσεβώς τήν ουράνιον τρίβον, ενδυνάμωσον ημάς, πανάγιε Σταυρέ τούς πιστώς προσκυνούντάς σε, όπως τά τών εναντίων αποκλίναντες βάραθρα κοινωνοί θείας δόξης γενώμεθα.

Γνωστοί τώ Ποιητή, διά σού γεγονότες, πανσεβάσμιε Σταυρέ, καρδία καί ψυχή, προσπτυσσόμεθα πάντοτε, σέ προκείμενον ορώντες, καί τόν νούν φωτιζόμεθα, τόν παναίτιον Λόγον δοξάζοντες.

Θεοτοκίον

Η πόλις τού Θεού, τό τού παμβασιλέως, Θεοδόχον ευαγές κειμήλιον σεπτόν, Θεοτόκε πανάμωμε, φρούρησον τήν κληρουχίαν, τήν αεί ευφημούσάν σε, καί

γεραίρουσαν πίστει τόν τόκον σου.

Κανών τών Εγκαινίων
Ιωάννου Μοναχού

Ωδή α'  Ήχος δ'
Θαλάσσης, τό ερυθραίον

Ο στύλω καθοδηγών τό πρότερον τόν εκλεκτόν Ισραήλ, διά λουτρού βαπτίσματος Χριστέ, εν Σιών Κατεφύτευσας τήν Εκκλησίαν κράζουσαν, Άσωμεν άσμα τώ Θεώ ημών.

Σήμερον, τής απροσίτου δόξης σου, η επιφοίτησις, τόν επί γής παγέντα σοι ναόν, ουρανόν κατεσκεύασεν, εν ώ συμφώνως ψάλλομεν, Άσωμεν άσμα τώ Θεώ ημών.

Ού νόμω, η Εκκλησία Κύριε, εγκαλλωπίζεται, ου δουλικών εκτάσεσι χειρών, τού Σταυρού δέ τή χάριτι, εγκαυχωμένη ψάλλει σοι, Άσωμεν άσμα τώ Θεώ ημών.

Θεοτοκίον

Ασπόρως, τώ τού Πατρός βουλήματι, εκ θείου Πνεύματος, τόν τού Θεού συνείληφας Υιόν, καί σαρκί απεκύησας, τόν εκ Πατρός αμήτορα, καί δι' ημάς εκ σού απάτορα.

Κανών τού Αγίου, ού η Ακροστιχίς.

Τών θαυμάτων σου τό κλέος μέλπω μάκαρ. Ιωσήφ.

Ωδή α'  Ήχος α'
Ίππον καί αναβάτην

Ταύτην σου τήν φωσφόρον, καί θείαν κοίμησιν, καί υπέρλαμπρον μνήμην, καί Ιεράν πανήγυριν, τούς πανηγυρίζοντας, ταίς ευχαίς σου φώτισον, Ιεράρχα θεομακάριστε.

Ώφθης καί πρό τελείας, σοφέ μυήσεως, ταίς ελεημοσύναις, καί ταίς ευχαίς Κορνήλιε, σχολάζων πανόλβιε, καί τόν πάντων Κύριον, διανοίας ζητών ευθύτητι.

Νόμους τούς σωτηρίους, σαφώς εξέμαθες, τού σαρκί ενωθέντος, δι' άκραν αγαθότητα, τού τών Αποστόλων σε, Κορυφαίου νεύσεσι, τού Δεσπότου Μάκαρ μυήσαντος.

Θεοτοκίον

Θέλγεις πιστών καρδίας, αεί δοξάζειν σε, ακορέστω εφέσει, Θεογεννήτορ Δέσποινα, δόξα χρηματίζεις γάρ, τών βροτών κυήσασα, τόν τής δόξης Κύριον άχραντε.

## Προεόρτιος

### Ωδή γ'  Ο Ειρμός

«Ουκ εν σοφία, καί δυνάμει καί πλούτω καυχώμεθα, αλλ' εν σοί τή τού Πατρός, ενυποστάτω σοφία Χριστέ, ου γάρ εστιν άγιος, πλήν σου Φιλάνθρωπε».

Δόξαν Χριστού σε, χρηματίσαντα πίστει δοξάζομεν, δοξαζόμενοι ταίς σαίς, δεδοξασμένε Κυρίου Σταυρέ, σεπταίς περιπτύξεσι, καί φωτιζόμενοι.

Εν ευφροσύνη, προσελθόντες Πιστοί αρυσώμεθα, ως εκ κρήνης καθαράς Σταυρού, αείζωα νάματα, καί διασωζόμενοι, Θεόν υμνήσωμεν.

Ζωή υπάρχων, Ιησούς κρεμασθείς τεθανάτωται, επί ξύλου τού Σταυρού, όν νύν πιστώς προσπτυσσόμενοι, πάθη αποφεύγομεν, θανάτου πρόξενα.

Θεοτοκίον

Επιφανείσα, τής ψυχής μου τό σκότος απέλασον, αμαρτίας τάς σειράς, αγνή Παρθένε διάρρηξον, σώσόν με κυήσασα, τόν Πανοικτίρμονα.

## Τών Εγκαινίων

### Ευφραίνεται επί σοί

Ηγίασας επί γής, τήν Εκκλησίαν σου Χριστέ Πνεύματι, χρίσας αυτήν σήμερον, σής αγαλλιάσεως έλαιον.

Θεμέλιόν σε Χριστέ, η Εκκλησία αρραγές έχουσα, τώ σώ Σταυρώ στέφεται, ως βασιλικώ διαδήματι.

Ανέδειξας αγαθέ, τήν χειροποίητον σκηνήν σήμερον, τής υπέρ νούν δόξης σου, οικονομικώς οικητήριον.

Θεοτοκίον

Σύ μόνη τοίς επί γής, τών υπέρ φύσιν αγαθών πρόξενος, Μήτηρ Θεού γέγονας, όθεν σοι τό χαίρε προσάγομεν.

## Τού Αγίου

### Ο πήξας επ' ουδενός

Αγίου τόν φωτισμόν, μετέλαβες Πνεύματος, καί τήν θείαν χάριν εκ θείου στόματος, όλην εισεδέξω πανοικί, τού θείου Κορυφαίου, επιστασίαις καταγγέλλοντος, τά σωτηριώδη διδάγματα.

Υψώθης ταίς αρεταίς, ως κέδρος υψίκομος, καί καρπούς ευώδεις ημίν προσήνεγκας, τήν τών διδαγμάτων παροχήν, τήν χάριν τών θαυμάτων, καί ιαμάτων τήν ενέργειαν, μάκαρ Ιεράρχα Κορνήλιε.

Μεγίστης αξιωθείς, ευκλείας Κορνήλιε, σύν τώ Κορυφαίω καί άλλοις πλείοσιν, έδραμες κηρύττων πανταχού, τό κήρυγμα τό θείον, δι' ού ημείς φωταγωγούμενοι, σκότους αγνωσίας ερρύσθημεν.

Θεοτοκίον

Αγνείας φωτοειδές, γεγένησαι σκήνωμα, καί τόν φωτοδότην φέρεις σαρκούμενον, άνθρωπον οφθέντα καθ' ημάς, διά φιλανθρωπίαν, καί τήν φθοράν εξαφανίσαντα, Άφθορε βροτών η ανάκλησις.

Κάθισμα  Ήχος πλ. δ'

Τό προσταχθέν

Τού μαρτυρίου τήν σκηνήν Θεός παρέδειξε, καί ο θεσπέσιος Μωσής εν γή επήξατο, καί ναόν εγκαινίζει Σολομών εν θυσίαις, ημείς δέ επί τήν νέαν Ιερουσαλήμ, τή πίστει καταφυγόντες δαυϊτικώς, δώμεν θείαν ανύμνησιν, τώ Σταυρωθέντι δι' ημάς, αιτούμενοι συγχώρησιν, πάντων ών περ ημάρτομεν.

Κάθισμα τού Σταυρού

Ήχος δ'

Επεφάνης σήμερον

Ο Σταυρός σου Κύριε, ως φώς εκλάμπων, τάς τού σκότους φάλαγγας, αποδιώκει, καί πιστούς, καταφαιδρύνει τούς ψάλλοντας, Σταυρός υπάρχει, τού κόσμου τό καύχημα,

Δόξα... τού Αγίου  όμοιον

Απαρχήν αγίαν σε, η Εκκλησία, εξ εθνών εδέξατο, καταφωτίζοντα αυτήν, ταίς εναρέτοις σου πράξεσιν, Ιερομύστα, θεόφρον Κορνήλιε.

Καί νύν... Θεοτοκίον

Ταχύ προκατάλαβε

Εν πίστει τά Εγκαίνια, επιτελούμεν φαιδρώς, τού οίκου σου Άχραντε, ευλογημένη αγνή, Παρθένε πανύμνητε, χαίροντες τή ελπίδι, τή εις σέ Θεοτόκε, αιτούμέν σε τού πρεσβεύειν, τώ Σωτήρι απαύστως, αυτώ τώ σαρκωθέντι εκ σού, σώσαι τάς ψυχάς ημών.

Προεόρτιος

Ωδή δ'  Ο Ειρμός

«Δι' αγάπησιν Οικτίρμον τής σής εικόνος, επί Σταυρού σου έστης, καί ετάκησαν έθνη, σύ γάρ εί φιλάνθρωπε, ισχύς μου καί ύμνησις».

Ηλιόμορφος ορώμενος προσκυνείται, υπό πιστών ανθρώπων, ο Σταυρός τού Κυρίου, όν κατασπαζόμενοι, ψυχάς φωτιζόμεθα.

Θεός Κύριος σαρκούμενος επεφάνη, καί υψωθείς εν ξύλω, τούς αυτόν προσκυνούντας, φωτίζει εκάστοτε, δεινών εξαιρούμενος.

Ιλασμόν ημίν καί άφεσιν τών πταισμάτων, Λόγε Θεού παράσχου, τοίς πιστώς προσκυνούσι, σήμερον προκείμενον, Σταυρόν σου τόν τίμιον.

Θεοτοκίον

Μή κενώσας τούς Πατρώους ο Λόγος κόλπους, σού εν τοίς κόλποις Κόρη, ανεκλίθη ως βρέφος, θέλων αναπλάσαι με, φθορά υποκείμενον.

### Τών Εγκαινίων

### Επαρθέντα σε ιδούσα

Ουκ εν θύμασιν αλόγων η Εκκλησία, αλλά τώ σώ τιμίω εκ πλευράς ζωηφόρου, αίματι ραντίζεται, εικότως κραυγάζουσα, Δόξα τή δυνάμει σου Κύριε.

Τά σκηνώματα Κυρίου ηγαπημένα, τοίς κατιδείν ποθούσιν ανακεκαλυμμμένως, τήν δόξαν τού προσώπου αυτού, συμφώνως κραυγάζουσι, Δόξα τή δυνάμει σου Κύριε.

Εικονίζουσα τήν χρίσιν η Εκκλησία, τού εκλεκτού λαού σου τό πολύτιμον μύρον, σήμερον αλείφεται, τήν θείαν τού Πνεύματος, χάριν αοράτως λαμβάνουσα.

### Θεοτοκίον

Απειρογάμως εκύησας ώ Παρθένε, καί μετά τόκον ώφθης, παρθενεύουσα πάλιν, όθεν ασιγήτοις φωναίς, τό Χαίρέ σοι Δέσποινα, πίστει αδιστάκτω κραυγάζομεν.

### Τού Αγίου

### Τήν θείαν εννοήσας σου

Τού Πνεύματος τήν χάριν δεξάμενος, ήλιος ώσπερ φωταυγής, τήν γήν επήλθες Κορνήλιε, αποδιώκων τό σκότος, τής ειδωλομανίας πανεύφημε.

Ως μέγας ποταμός εκπεπόρευσαι, άπαν τό πρόσωπον τής γής, αρδεύων θείοις διδάγμασι, καί τά ζιζάνια πνίγων, τά τής πολυθεϊας Κορνήλιε.

Νεκρός παντί τώ κόσμω γενόμενος, τού νεκρωθέντος δι' ημάς, τήν θείαν έγερσιν άπασι, τοίς εκ παθών νεκρωθείσι, διήγγειλας παμμάκαρ Κορνήλιε.

### Θεοτοκίον

Σοφίας καθαρόν ενδιαίτημα, τής τού Πατρός υπερφυώς, αγνή Παρθένε γεγένησαι, δι' ής ημάς τής κακίας, νυνί τού σοφιστού ελυτρώθημεν.

### Προεόρτιος

### Ωδή ε' Ο Ειρμός

«Τόν φωτισμόν σου Κύριε, κατάπεμψον ημίν, καί τής αχλύος ημάς τών πταισμάτων, λύσον αγαθέ, τήν σήν ειρήνην ουρανόθεν δωρούμενος».

Κατά παθών ενίσχυσον, ημάς φθοροποιών, τούς σέ τιμώντας, καί ασπαζομένους τίμιε Σταυρέ, αγίου πάθους, αγιώτατον σύμβολον.

Λελαμπρυσμένοι σήμερον καρδίας καί ψυχάς, καλών ιδέαις, προσέλθωμεν πιστοί, καί τό σεπτόν καί θείον ξύλον, τού Σταυρού προσκυνήσωμεν.

Μερράς γλυκαίνει πρότερον τά ύδατα Μωσής, σημαίνων ξύλω, σέ τίμιε Σταυρέ, δι' ού γλυκασμόν σωτηριώδη, τοίς βροτοίς εναπέσταξας.

Θεοτοκίον

Υπέρ ημών δυσώπησον, Χριστόν τόν εκ τών σών, αγνών αιμάτων, πανάχραντε Κόρη, σάρκα υλικήν ημφιεσμένον, καί βροτούς αναπλάσαντα.

Τών Εγκαινίων

Σύ Κύριέ μου φώς

Σύ πάλαι εν Σινά, σκηνήν αχειροποίητον, υπέδειξας τώ θεόπτη, Μωϋσή διαγράφων, Χριστέ τήν Εκκλησίαν σου.

Σύ Κύριε σκηνήν, επί γής κατεσκεύασας, σύ τάξεσιν ουρανίαις, τών βροτών τάς χορείας, συνάπτεις τή δυνάμει σου.

Σέ Κύριε πηγήν, τής ζωής επιστάμεθα, σύ Άγιε τήν ειρήνην, ελθών ευηγγελίσω, Χριστέ τή Εκκλησία σου.

Θεοτοκίον

Σέ όπλον αρραγές, κατ' εχθρών προβαλλόμεθα, σέ άγκυραν καί ελπίδα, τής ημών Σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

Τού Αγίου

Ο αναβαλλόμενος

Όλος ανακείμενος, τώ Παντοκράτορι, κωφοίς ξοάνοις ιερομύστα, σέβας ού προσένειμας, υπό μιαιφόνων, ανθρώπων συνωθούμενος.

Ύψιστον αόρατον, Θεόν Κορνήλιε, εν εκτενεία επεκαλέσω, καί ναόν ηδάφισας, βδελυκτών ξοάνων, μεγάλως θαυμαζόμενος.

Τό τού Παντοκράτορος, φυλάττων πρόσταγμα, εφυλακίσθης, δεσμά υπέστης, καί δεσμών απέλυσας, τής κακοπιστίας, τούς άφρονας θεόσοφε.

Θεοτοκίον

Ομβρησόν μοι Πάναγνε, πταισμάτων άφεσιν, επίσκεψαί με τόν ασθενούντα, καί κλυδωνιζόμενον, συμφοραίς τού βίου, καί πάθεσι τού σώματος.

Προεόρτιος

Ωδή ς' Ο Ειρμός

«Ήλθον εις τά βάθη τής θαλάσσης, καί κατεπόντισέ με, καταιγίς πολλών αμαρτημάτων, αλλ' ως Θεός εκ φθοράς ανάγαγε, τήν ζωήν μου ως

φιλάνθρωπος».

Νυγείς επί σοί πλευράν ο Κτίστης, Σταυρέ εθελουσίως, αναρτώμενος, αίμα καί ύδωρ αποκενοί, δι' ών ανεπλάσθημεν, οι πιστώς σε ασπαζόμενοι.

Ξύλον ζωοδώρητον Κυρίου, πηγή αθανασίας, απολύτρωσις παντός τού κόσμου, σώζε ημάς, τούς ασπαζομένους σε, ως φρουρόν ημών σωτήριον.

Όπλον ημίν άρρηκτον εδόθης, δι' ού νικώμεν πάσας, τάς ενέδρας τών αντικειμένων, θείε Σταυρέ, οι ψυχής ευθύτητι, Ιερώς σε ασπαζόμενοι.

Θεοτοκίον

Άγιος ναός τού εν Αγίοις, επαναπεπαυμένου, εχρημάτισας Θεογεννήτορ, όθεν ημάς, τούς πιστώς υμνούντάς σε, αγιάζεις Μητροπάρθενε.

Τών Εγκαινίων

Θύσω σοι, μετά φωνής

Τού κάλλους, ο Βασιλεύς Χριστός επεθύμησε, νύν τής σεπτής Εκκλησίας, καί εθνών μητέρα απέδειξεν, εκ δουλείας, υιοθετουμένων διά τού Πνεύματος.

Φρίττουσι, τών δυσμενών δαιμόνων αι φάλαγγες, τήν τού Χριστού Εκκλησίαν, τού Σταυρού τώ τύπω ση με ιουμένην, καί σκιάζει, αγιαστική τού Πνεύματος έλλαμψις.

Ού ψάμμον, αλλά Χριστόν θεμέλιον έχουσα, η εξ εθνών Εκκλησία, στεφανούται κάλλει τώ απροσίτω, καί διαδήματι, τής βασιλείας εγκαλλωπίζεται.

Θεοτοκίον

Ώ θαύμα, τών απάντων θαυμάτων καινότερον! ότι Παρθένος εν μήτρα, τόν τά σύμπαντα περιέποντα, απειράνδρως συλλαβούσα, ουκ εστενοχώρησε.

Τού Αγίου

Μαινομένην κλύδωνι

Καθαρώς ποιούμενος, τάς ευχάς σου, Άγγελον Θεού, φανερώς τεθέασαι μυούντά σε, τά κρείττονα, καί σωτηρίας εχόμενα.

Λαμπρυνθείς τώ πνεύματι, φωτοβόλος γέγονας αστήρ, φωτοβόλοις λάμψεσι τά πέρατα, φωταγωγών, Ιερομύστα Κορνήλιε.

Επιγνούς τόν Κύριον, ο τή πλάνη πρώην σκοτισθείς, ανανεύει Μάκαρ τή εντεύξει σου, καί πανοικί, θείαν εισδέχεται κάθαρσιν.

Θεοτοκίον

Ο τής δόξης Κύριος, εξ αιμάτων σου παρθενικών, εσαρκώθη μόνος ως επίσταται, Πανύμνητε, σώζων ημάς αγαθότητι.

Κοντάκιον τών Εγκαινίων
Ήχος δ'
Επεφάνης σήμερον

Ουρανός πολύφωτος η Εκκλησία, ανεδείχθη άπαντας, φωταγωγούσα τούς πιστούς, εν ώ εστώτες κραυγάζομεν, Τούτον τόν οίκον, στερέωσον Κύριε.

Ο Οίκος

Επιδημήσαντος ημίν, τού Λόγου κατά σάρκα, ο τής βροντής μέν γόνος φησί καθυπογράφων, Εθεασάμεθα φαιδρώς τήν δόξαν, ήν είχεν ο Υιός παρά τού Πατρός, εν αληθείας χάριτι, Όσοι δέ πίστει τούτον ελάβομεν, έδωκε τοίς πάσιν εξουσίαν, τού γενέσθαι τέκνα Θεού, οί ουκ εξ αιμάτων, ουδέ εκ θελήματος σαρκός αναγεννηθέντες, αλλ' εκ Πνεύματος Αγίου επαυξηθέντες, οίκον προσευχής επήξαμεν, καί βοώμεν, Τούτον τόν οίκον στερέωσον Κύριε.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΓ' τού αυτού μηνός, Μνήμη τών Εγκαινίων τής αγίας τού Χριστού καί Θεού ημών Αναστάσεως.

Στίχοι

- Νόμον παλαιόν Ισραήλ πληρών νέος,
- Εγκαινίοις σοι τόν τάφον τιμά Λόγε.
- Τύχθη αναστάσεως τρισκαιδεκάτη καινισμός.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Κορνηλίου τού Εκατοντάρχου.

Στίχοι

- Ζωής απίστου Κορνήλιον εξάγεις,
- Πιστών απαρχήν τών εθνών Χριστέ μου.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Κρονίδου, Λεοντίου, Σεραπίωνος, Στράτωνος, Σελευκου, Μακροβίου, Γορδιανού, Ζωτικού, Ηλεί, Λουκιανού, καί Ουαλεριανού.

Ο όσιος πατήρ ημών Πέτρος ο εν τή Αγρέα εν ειρήνη τελειούται.

Ο όσιος νέος Ιερόθεος ο Ιβηρίτης, ο κατά τό 1720 ακμάσας, εν ειρήνη τελειούται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Προεόρτιος

Ωδή ς'  Ο Ειρμός

«Νέοι τρείς εν Βαβυλώνι, προσταγμα τυραννικόν, εις φλήναφον θέμενοι, μέσον τού πυρός ανεβόων, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών».

Πάλαι εν ταίς ευλογίαις, τών παίδων ο Ιακώβ, σέ προδιεχάρατε, τίμιε Σταυρέ, αλλ' ημείς σε νύν προσκυνούντες πάντοτε, φωτισμόν αρυόμεθα.

Ράβδω σε προεικονίζει, θείος πάλαι Μωϋσής, Σταυρέ, τέμνων θάλασσαν, ημείς δέ σε νύν προσκυνούντες, παθών αβρόχως πέλαγος, χαλεπόν περαιούμεθα.

Στόματί σε καί καρδία, πανσεβάσμιε Σταυρέ, νύν περιπτυσσόμενοι, τόν αγιασμόν, τήν υγείαν, τήν σωτηρίαν πάντοτε, απαντλούμεν ψυχής τε καί σώματος.

Θεοτοκίον

Παρθένε ευλογημένη, πρέσβευε υπέρ ημών, καθικετευόντων σε, εις σέ γάρ ελπίζομεν πάντες, καί σοί βοώμεν, Δέσποτα, μή παρίδης τήν ποίμνην σου.

Τών Εγκαινίων

Εν τή καμίνω Αβραμιαίοι

Δροσοβόλος μέν, η καμινιαία φλόξ εδείχθη ποτέ, νύν δέ εξ ελαίου χρίσμα πνευματικόν, αγιάζει τούς κραυγάζοντας, Ευλογημένος εί εν τώ ναώ, τής δόξης σου Κύριε.

Ως εν καμίνω, τή θεοδόχω νέα σκηνή, πάντες οι εξ Ισραήλ τού πνευματικού, δροσιζόμενοι βοήσωμεν, Ευλογημένος εί εν τώ ναώ, τής δόξης σου Κύριε.

Οι τετρωμένοι, τώ γλυκυτάτω θείω έρωτι, δεύτε εν παστάδι ταύ τη τή μυστική, συναφθώμεν τώ νυμφίω Χριστώ, Ευλογημένος εί εκβοώντες, τής δόξης ο Κύριος.

Θεοτοκίον

Τό τού Υψίστου, ηγιασμένον θείον σκήνωμα, χαίρε, διά σού γάρ δέδοται η χαρά, Θεοτόκε τοίς κραυγάζουσιν, Ευλογημένη σύ εν γυναιξίν, υπάρχεις πανάμωμε.

Τού Αγίου

Ο υπερυψούμενος

Σύ εθνών γεγένησαι, απαρχή Κορνήλιε, πρώτος γάρ τό βάπτισμα, εδέξω τό άγιον, καί Πνεύματος τήν χάριν, ως τό πρίν οι θεηγόροι.

Μέγιστα τεράστια, τελών θεία χάριτι, πρός πίστιν εζώγρησας, τούς πάλαι κακόφρονας, διδάξας αναμέλπειν, ο Θεός ευλογητός εί.

Εν τή γή κρυπτόμενος, καί βάτω σκεπτόμενος, θείαις εισηγήσεσι, Σοφέ πεφανέρωσαι, θαυμάτων βρύων χάριν, καί νοσήματα διώκων.

Λύρα μελωδήσασα, δόγματα σωτήρια, καί πάντων Κορνήλιε, ψυχάς

ενηδύνουσα, εδείχθης αναμέλπων, ο Θεός ευλογητός εί.

Τριαδικόν

Πάντες τρισυπόστατον, μονάδα δοξάσωμεν, Πατέρα προάναρχον, Υιόν ομοούσιον, καί Πνεύμα μελωδούντες, ο Θεός ευλογητός εί.

Θεοτοκίον

Ώφθης τό ανθρώπινον, φύραμα θεώσασα, τή θεία γεννήσει σου, Παρθένε πανάμωμε, διό σε κατά χρέος, οι πιστοί δοξολογούμεν.

Προεόρτιος

Ωδή η' Ο Ειρμός

«Λυτρωτά τού παντός Παντοδύναμε, τούς εν μέσω φλογός ευσεβήσαντας, συγκαταβάς εδρόσισας, καί εδίδαξας μέλπειν, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον».

Τό σωτήριον όπλον καί άρρηκτον, τών πιστών τήν ετοίμην βοήθειαν, τήν κραταιάν αντίληψιν, τόν Σταυρόν τού Κυρίου, νύν προσκυνούμεν, κατενώπιον πάντων προκείμενον.

Υψηλώς επί ξύλου ανήρτησεν, εγκαρσίως τόν όφιν ως γέγραπται, ο Μωϋσής προγράφων σε, πανσεβάσμιον ξυλον, δι' ού τής βλάβης, νοητών εκλυτρούμεθα όφεων.

Φωτισμός τών ψυχών ημών πέφυκας, φωτοδότα Σταυρέ πανσεβάσμιε, σέ γάρ περιπτυσσόμενοι, τάς αρχάς τε τού σκότους καί εξουσίας, εκτρεπόμεθα θεία δυνάμει σου.

Θεοτοκίον

Τήν αγνήν καί Παρθένον τιμήσωμεν, τήν τόν άναρχον Λόγον καί άκτιστον, υπερφυώς κυήσασαν, εις ημών σωτηρίαν, αναβοώντες, Ευλογούμεν Παρθένε τόν τόκον σου.

Τών Εγκαινίων

Χείρας εκπετάσας Δανιήλ

Σήμερον χιτώνα νοητόν, τόν άνωθεν υφαντόν εκ θείας χάριτος, η Εκκλησία σου Κύριε, ώσπερ νύμφη εστολίσατο, καί τούς οικείους συγκαλεί πρός ευφροσύνην λαούς, εις τό μέλπειν, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Σήμερον ο δεύτερος Αδάμ, Χριστός ανέδειξε, Παράδεισον νοητόν, τήν νέαν ταύτην σκηνήν, φέρουσαν κατά ξύλου τού τής γνώσεως, τό ζωηφόρον τού Σταυρού, όπλον τοίς ψάλλουσιν, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Τριαδικόν

Πατρός εξ ανάρχου σε Υιόν, καί Πνεύμα Άγιον μίαν θεότητα, τελείαν άναρχον άτμητον, ομοούσιον ασύγχυτον, εν υποστάσεσι τρισί σέβοντες ψάλλομεν,

Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Θεοτοκίον

Σύ μόνη εν πάσαις γενεαίς, Παρθένε άχραντε, Μήτηρ εδείχθης Θεού, σύ τής θεότητος γέγονας, ενδιαίτημα πανάμωμε, μή φλογισθείσα τώ πυρί τού απροσίτου φωτός, όθεν πάντες, σέ ευλογούμεν Μαρία Θεόνυμφε.

Τού Αγίου

Σοί τώ παντουργώ

Μόνον εκ ψυχής, τόν επί γής οφθέντα, Θεόν εξεζήτησας, νοός ευθύτητι όθεν εγένου, απαρχή θεοφόρε, τών εθνών τιμία, καί Πνεύματος δοχείον.

Άνθρακι τών σών, Μάκαρ εμπύρων λόγων, τήν ύλην κατέφλεξας, τής ματαιότητος, όθεν πρός φέγγος, ανέσπερον μετέβης, πάντας καταυγάζων, τούς πόθω σε υμνούντας.

Κλήρος καί μερίς, καί βοηθός καί ρύστης, ισχύς τε καί ύμνησις, καί φώς σοι γέγονε, Λόγος ο πάντα, καλών εκ τού μή όντος, καί χειραγωγία, Κορνήλιε θεόφρον.

Τριαδικόν

Άγιε Πατήρ, Άγιε Λόγε, Πνεύμα, παναγία άκτιστε, Τριάς αμέριστε, σώζε τούς πόθω, υμνούντάς σου τό κράτος, καί τήν βασιλείαν, καί τήν μεγαλωσύνην.

Θεοτοκίον

Ράνον εφ' ημάς, τά σά ελέη Κόρη, συνήθως καί αίτησαι, αγνή συγχώρησιν, πάντων πταισμάτων, εν γνώσει καί αγνοία, εξ απροσεξίας, ημίν επισυμβάντων.

Προεόρτιος

Ωδή θ' Ο Ειρμός

«Ο τόκος σου άφθορος εδείχθη, Θεός εκ λαγόνων σου προήλθε, σαρκοφόρος ός ώφθη επί γής, καί τοίς ανθρώποις συνανεστράφη, σέ Θεοτόκε, διό πάντες μεγαλύνομεν».

Χριστός επί σοί ανηρτημένος, τόν κόσμον ανύψωσε πεσόντα, εις βυθόν απωλείας αληθώς, Σταυρέ Κυρίου, όθεν σέ πόθω, νύν προσκυνούμεν, καί τιμώμεν καί δοξάζομεν.

Ψυχάς αγνισθώμεν καί καρδίας, καλών επιμόνοις εργασίαις, καί προκείμενον μέσον, τό σωτήριον ορώντες τού Σταυρού ξύλον, πίστει καί πόθω, θεοφρόνως προσκυνήσωμεν.

Ως ήλιος μέγας ταίς ακτίσι, ταίς σαίς καταυγάζεις τούς εν σκότει, καί τούς δαίμονας φλέγεις, ωραιότατε Σταυρέ όθεν φώτισον πάντας, τούς εν πίστει προσκυνούντάς σε.

Θεοτοκίον

Φωτί με καταύγασον τώ θείω, φωτός οικητήριον Παρθένε, τών παθών μου τό σκότος, καί τών ηδονών τήν βαθυτάτην όντως νύκτα, Θεοκυήτορ, παναγία απελαύνουσα.

Τών Εγκαινίων

Λίθος αχειρότμητος

Δεύτε καθαρά τή καρδία καί νηφαλέοις όμμασι νοός, τής τού Βασιλέως θυγατρός, τής Εκκληοίας τήν ωραιότητα, υπέρ χρυσίον λάμπουσαν, κατανοούντες μεγαλύνωμεν.

Χαίρε καί ευφραίνου η νύμφη, τού Βασιλέως τού μεγάλου, κατοπτριζομένη τηλαυγώς, τού σού νυμφίου τήν ωραιότητα, σύν τώ λαώ σου κράζουσα, Σέ Ζωοδότα μεγαλύνομεν.

Τήν εξ ύψους άμυναν Σώτερ, τή Εκκλησία σου παράσχου, άλλον γάρ ουκ οίδεν, ει μή σέ, τόν υπέρ ταύτης τήν σήν φιλάνθρωπε, πάλαι ψυχήν προθέμενον, εν επιγνώσει μεγαλύνουσα.

Θεοτοκίον

Χαίρε κεχαριτωμένη η Νύμφη, τού Βασιλέως τού μεγάλου, διά σού τής κατάρας, τής Εύας πάντες Αγνή ερρύσθημεν, καί τήν ζωήν ευράμεθα, εν τή κυήσει σου ανύμφευτε.

Τού Αγίου

Ησαϊα χόρευε

Ιεράν πανήγυριν, Εκκλησία πάσα συγκροτεί, τή μνήμει σου τή σεπτή, κήρυξ τού Χριστού, σύ γάρ ισοστάσιος, τών Αγίων ώφθης μαθητών, Πνεύμα τό Άγιον, ως εκείνοι κληρωσάμενος.

Ωραιώθης δόγμασιν, ευσεβείας ως ιερουργός, εξωμοιώθης Θεού, θείοις λειτουργοίς, πηγάζεις δέ πάντοτε, ιαμάτων Μάκαρ ποταμούς, παύων νοσήματα, τών ανθρώπων Ιερώτατε.

Στολισθείς ιμάτιον, σωτηρίου όπερ ο Χριστός, εξύφανε σαρκωθείς, νύν περιχαρώς, τά άνω βασίλεια, περιπολείς βλέπων καθαρώς, κάλλος αμήχανον, τού νυμφίου Αξιάγαστε.

Η τιμία θήκη σου, άσπερ κρήνη βρύει τοίς πιστοίς, ιάματα δαψιλώς, καί αποσοβεί, Κορνήλιε πνεύματα τά πονηρά, καί φωταγωγεί, πάντων τά όμματα, τών εν πίστει ευφημούντων σε.

Θεοτοκίον

Φωτισμόν μοι αίτησαι, η τεκούσα φώς τό εκ φωτός, εκλάμψαν τόν σκοτασμόν, πόρρω απ' έμού, εναποδιώκουσα, καί πειρασμών καί τών

ηδονών, άχραντε Δέσποινα, προστασία ακαταίσχυντε.

### Εξαποστειλάριον
### Τοίς Μαθηταίς συνέλθωμεν

Εν Γολγοθά ο Κύριος, υψωθείς εκουσίως, επί Σταυρού ειργάσατο, τήν ημών σωτηρίαν, καινίσας πάσαντήνκτίσιν, τάφω δέζωοδόχω, ετέθη καί τριήμερος, ως Θεός εξανέστη, ού τής λαμπράς, καί σεπτής εγέρσεως εκτελούμεν, σύν ασωμάτοις τάξεσι, τά εγκαίνια πάντες.

### Έτερον όμοιον

Μέσον τής γής ο Κύριος, καί Θεός σωτηρίαν, διά Σταυρού ειργάσατο, σαρκωθείς εκουσίως, εις ανακαίνισιν κόσμου, τάφω κατατεθείς δέ, τριήμερος εγήγερται, καί ζωής αρραβώνα, τήν εαυτού, προδεικνύει έγερσιν, ής εν πίστει, τελούμεν τά εγκαίνια, τού Θεού σύν Αγγέλοις.

### Θεοτοκίον όμοιον

Μετ' ευφροσύνης κράζομεν, σοί τό Χαίρε Παρθένε, χαίρε αράς η λύτρωσις, τού Αδάμ καί τής Εύας, Χαίρε δι' ής ανυψώθη, τών βροτών η ουσία, πρός δόξαν υπερκόσμιον, τού Υιού καί Θεού σου, χαίρε δι' ής, υπ' Αγγέλων πάντοτε προσκυνείται, εν ουρανοίς πανύμνητε, Θεοτόκε Μαρία.

Εις τούς Αίνους, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσομοια.

### Ήχος δ'
### Έδωκας σημείωσιν

Σήμερον ο ένθεος, καί Ιερός καί σεβάσμιος, τής Χριστού αναστάσεως, φαιδρώς εγκαινίζεται, φωτοφόρος οίκος, καί νέμει εν κόσμω, τάφος ο θείος τήν ζωήν, καί εμπαρέχει πηγήν αθάνατον, βλυστάνει ρείθρα χάριτος, θαυμάτων βρύει τά νάματα, καί δωρείται ιάματα, τοίς αυτόν πίστει μέλπουσιν.

Ήστραψεν η άνωθεν, φωτοφανής αίγλη λάμπουσα, καί τά πάντα φωτίζουσα, πιστώς ούν τιμήσωμεν, τήν Χριστού τού Κτίστου, ανάστασιν πάντες, καί εγκαινίων Ιερών, τήν ζωηφόρον θείαν πανήγυριν, εν ύμνοις εορτάσωμεν, καί εν ψαλμοίς αλαλάξωμεν, όπως ίλεων εύρωμεν, τόν Σωτήρα καί Κύριον.

Μέσον γής υψούμενον, προκατιδείν εφιέμενοι, τού Σταυρού σκήπτρον άγιον, ψυχάς προκαθάρωμεν, αστραφθώμεν φρένας, φωτί λαμπρυνθώμεν, καί εν δυνάμει θεϊκή, καταυγασθέντες Χριστόν υμνήσωμεν, τώ ξύλω τώ σεπτώ αυτού, αγιασμόν παρεχόμενον, τοίς εν πίστει γεραίρουσι, καί θερμώς αυτόν μέλπουσιν.

### Έτερα Στιχηρά Ιδιόμελα

### Ήχος α' Ιωάννου Μοναχού

Εγκαινίζου εγκαινίζου η νέα Ιερουσαλήμ, ήκει γάρ σου τό φώς, καί η δόξα Κυρίου επί σέ ανατέταλκε, Τούτον τόν οίκον ο Πατήρ ωκοδόμησε, τούτον τόν οίκον ο Υιός εστερέωσε, τούτον τόν οίκον τό Πνεύμα τό Άγιον ανεκαίνισε, τό

φωτίζον καί στηρίζον, καί αγιάζον τάς ψυχάς ημών.

Ο αυτός  Ανατολίου

Πάλαι μέν εγκαινίζων τόν ναόν ο Σολομών, αλόγων ζώων θυσίας, καί ολοκαυτώματα προσέφερε Κύριε, ότε δέ ηυδόκησας Σωτήρ τούς τύπους μέν αργήσαι, γνωσθήναι δέ τήν αλήθειαν, αναιμάκτους θυσίας, τά πέρατα τού κόσμου προσφέρει τή δόξη σου, πάντων γάρ δεοπόζων, τά πάντα αγιάζεις τώ Αγίω Πνεύματι.

Ήχος δ'

Ιωάννου Μοναχού

Εγκαινίζεται σήμερον η εξ εθνών Εκκλησία, τώ τιμίω καί ζωηρύτω αίματι, τής αχράντου καί ακηράτου πλευράς, τού σαρκωθέντος εκ τής Αγίας Παρθένου, Χριστού τού Θεού ημών, διό αθροισθείσαι τών πιστών αι χορείαι, δοξάσωμεν τόν Πατέρα καί Υιόν, καί τό Άγιον Πνεύμα, τήν μίαν θεότητα, τήν κρατούσαν τά σύμπαντα.

Δόξα... Ήχος γ'

Πρός σεαυτόν επανάγου άνθρωπε, γενού καινός αντί παλαιού, καί ψυχής εόρταζε τά εγκαίνια, έως καιρός, ο βίος εγκαινιζέσθω σοι, πάσης πολιτείας οδός, τά αρχαία παρήλθεν, ιδού γέγονε τά πάντα καινά, Τούτο τή εορτή καρποφόρησον, τήν καλήν αλλοίωσιν αλλοιούμενος, ούτως εγκαινίζεται άνθρωπος, ούτω τιμάται η τών Εγκαινίων ημέρα.

Καί νύν...

Ο αυτός  Ιωάννου Μοναχού

Χριστέ ο Θεός ημών, ο τήν εκούσιόν σου σταύρωσιν, εις κοινήν εξανάστασιν, τού γένους τών ανθρώπων καταδεξάμενος, καί τώ καλάμω τού Σταυρού, βαφαίς ερυθραίς τούς σεαυτού δακτύλους αιματώσας, ταίς αφεσίμοις ημίν, βασιλικώς υπογράψαι φιλανθρωπευσάμενος, μή παρίδης ημάς κινδυνεύοντας, καί πάλιν τήν από σού διάστασιν, αλλ' οικτείρησον μόνε μακρόθυμε, τόν εν περιστάσει λαόν σου, καί ανάστηθι, πολέμησον τούς πολεμούντας ημάς, ως μόνος παντοδύναμος.

Δοξολογία μεγάλη, καί Απόλυσις.

Εις τήν Λειτουργίαν, Τυπικά, καί εκ τών Κανόνων, Ωδή γ' καί ς'.

Προκείμενον  Ήχος δ'

Τώ οίκω σου πρέπει αγίασμα, Κύριε, εις μακρότητα ημέραν.
Στίχ. Ο Κύριος εβασίλευσεν, ευπρέπειαν ενεδύσατο.

Ο Απόστολος πρός Εβραίους

Αδελφοί, οι Άγιοι κλήσεως επουρανίου...

Αλληλούϊα  Ήχος α'

Στίχ. Οι θεμέλιοι αυτού εν τοίς όρεσι τοίς αγιός.
Δεδοξασμένα ελαλήθη περί σού, η πόλις τού Θεού.

Ευαγγέλιον κατά Ματθαίον

Τώ καιρώ εκείνω ελθών ο Ιησούς εις τά μέρη Καισαρείας...

Ζήτει Ιουνίου κθ'

Κοινωνικόν

Κύριε, ηγάπησα ευπρέπειαν οίκου σου, καί τόπον σκηνώματος δόξης σου. Αλληλούϊα.

---

Αρχή

## ΤΗ ΙΔ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Η παγκόσμιος Ύψωσις τού τιμίου καί ζωοποιού Σταυρού.

ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Εις τό, Κυριε εκέκραξα, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσι

Υψουμένου σου Δέσποτα, εν Σταυρώ συνανύψωσας, τού Αδάμ τήν έκπτωτον, φύσιν άπασαν, διό υψούντες τόν άχραντον, Σταυρόν σου φιλάνθρωπε, τήν εξ ύψους σου ισχύν, εξαιτούμεν κραυγάζοντες, Σώσον Υψιστε, ως Θεός ελεήμων τούς τιμώντας, τήν σεπτήν τε καί φωσφόρον, τού σού Σταυρού θείαν ύψωσιν. (Δίς)

Ψαλμικώς νυνί βλέπομεν, υποπόδιον Δέσποτα, ένθα πόδες έστησαν, σού οι άχραντοι, σήμερον πόθω υψούμενον, Σταυρόν σου τόν τίμιον, καί υψούντες ευσεβώς, δυσωπούμέν σε κράζοντες, Πάντας Ύψιστε, τώ Σταυρώ σου τώ θείω αγιάσας, τής αφάτου ευσπλαγχνίας, μετόχους δείξον καί χάριτος.

Ως αήττητον τρόπαιον, θυρεόν απροσμάχητον, καί ως σκήπτρον έν Θεον, προσκυνούμέν σου, Σταυρόν Χριστέ τόν πανάγιον, δι' ού κόσμος σέσωσται, καί χορεύει ο Αδάμ, γηγενών τά συστήματα, τούτον άσμασιν, ευφημούντες τιμώμεν, καί τήν τούτου, θείαν Ύψωσιν τελούντες, τόν ιλασμόν εξαιτούμεθα.

Δόξα... Καί νύν... Ήχος β'

Σύ μου σκέπη κραταιά, υπάρχεις ο τριμερής Σταυρός τού Χριστού, αγίασόν με τή δυνάμει σου, ίνα πίστει καί πόθω, προσκυνώ καί δοξάζω σε.

Απόστιχα Στιχηρά

Ήχος β'
Οίκος τού Εφραθά

Σήμερον τού Χριστού, ο Σταυρός ανυψούται, τό ζωηφόρον ξύλον, εν ώ σαρκί επάγη, πάντας ανακαλούμενος.

Στίχ. Υψούτε Κύριον τόν Θεόν ημών καί προσκυνείτε τώ υποποδίω τών ποδών αυτού.

Ξυλον τό τού Σταυρού, υψούμενον ορώντες, μεγαλωσύνην δώμεν, Θεώ τώ σταυρωθέντι, σαρκί δι' αγαθότητα.

Στίχ. Ο δέ Θεός Βασιλεύς ημών πρό αιώνος ειργάστο σωτηρίαν εν μέσω τής γής.

Χαίροις τό τών Πιστών, φυλακτήριον θείον, απροσμάχητον τείχος, Σταυρός ο τού Κυρίου, δι' ού από γής ήρθημεν.

Δόξα... Καί νύν... Όμοιον

Δεύτε χαρμονικώς, ασπασώμεθα πάντες, τό σωτήριον ξύλον, εν ώ εξετανύθη, Χριστός η απολύτρωσις.

Απολυτίκιον  Ήχος α'

Σώσον Κύριε τόν λαόν σου καί ευλόγησον τήν κληρονομίαν σου, νίκας τοίς Βασιλεύσι κατά βαρβάρων δωρούμενος καί τό σόν φυλάττων διά τού Σταυρού σου πολίτευμα.

Απόλυσις

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετά τόν Προοιμιακόν Ψαλμόν, ει μέν εστι Κυριακή, στιχολογούμεν τό, Μακάριος ανήρ, τό Κάθισμα όλον, ειδέ μή, μετά τόν Προοιμιακόν, ευθύς τό, Κύριε εκέκραξα, ιστώμεν δέ Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια, δευτερούντες αυτά.

Ήχος πλ. β,
Όλην αποθέμενοι

Σταυρός ανυψούμενος, τού εν αυτώ υψωθέντος, τό πάθος τό άχραντον, ανυμνείν προτρέπεται κτίσιν άπασαν, εν αυτώ κτείνας γάρ, τόν ημάς κτείναντα, νεκρωθέντας ανεζώωσε, καί κατεκάλλυνε, καί εις ουρανούς πολιτεύεσθαι, ηξίωσεν ως εύσπλαγχνος, δι' υπερβολήν αγαθότητος, όθεν γεγηθότες, υψώσωμεν τό όνομα αυτού, καί τήν αυτού μεγαλύνωμεν, άκραν συγκατάβασιν. (Δίς)

Μωσής προετύπου σε, χείρας εκτείνας εις ύψος, καί κατατροπούμενος, Αμαλήκ τόν τύραννον, Σταυρέ τίμιε, τών πιστών καύχημα, Αθλητών στήριγμα, Αποστόλων εγκαλλώπισμα, Δικαίων πρόμαχε, πάντων τών Οσίων διάσωσμα, διό σε ανυψούμενον, βλέπουσα η κτίσις ευφραίνεται, καί πανηγυρίζει, δοξάζουσα Χριστόν τόν διά σού, τά διεστώτα συνάψαντα, άκρα αγαθότητι. (Δίς)

Σταυρέ πανσεβάσμιε, όν περιέπουσι τάξεις, Αγγέλων γηθόμεναι, σήμερον υψούμενος, θείω νεύματι, ανυψοίς άπαντας, τούς κλοπή βρώσεως, απωσθέντας καί εις θάνατον, κατολισθήσαντας, όθεν σε καρδία καί χείλεσι, πιστώς περιπτυσσόμενοι, τόν αγιασμόν αρυόμεθα, Υψούτε βοώντες, Χριστόν τόν υπεράγαθον Θεόν, καί τό αυτού προσκυνήσατε, θείον υποποδιον. (Δίς)

Δόξα... Καί νύν... Ήχος β'

Δεύτε άπαντα τά έθνη, τό ευλογημένον ξύλον προσκυνήσωμεν, δι' ού γέγονεν η αιώνιος δικαιοσύνη, τόν γάρ Προπάτορα Αδάμ, ο απατήσας εν ξύλω, τώ Σταυρώ δελεάζεται, καί πίστει κατενεχθείς πτώμα εξαίσιον, ο τυραννίδι κρατήσας τού βασιλείου πλάσματος, Αίματι Θεού, ο ιός τού όφεως αποπλύνεται, καί κατάρα λέλυται, καταδίκης δικαίας, αδίκω δίκη τού δικαίου κατακριθέντος, ξύλω γάρ έδει τό ξύλον ιάσασθαι, καί πάθει τού απαθούς, τά εν ξύλω λύσαι πάθη τού κατακρίτου, Αλλά δόξα Χριστέ Βασιλεύ, τή περί ημάς σου φρικτή οικονομία δι' ής έσωσας πάντας, ως αγαθός καί φιλάνθρωπος.

Είσοδος. Το Προκείμενον τής ημέρας καί τά Αναγνώσματα.

Τής Εξόδου τό Ανάγνωσμα
(Κεφ. 15, 22-27 & 16, 1)

Εξήρε Μωϋσής τούς υιούς, Ισραήλ από θαλάσσης Ερυθράς, καί ήγαγεν αυτούς εις τήν έρημον Σούρ, καί επορεύοντο τρείς ημέρας εν τή ερήμω, καί ουχ εύρισκον ύδωρ ώστε πιείν. Ήλθον δέ εις Μερράν, καί ουκ ηδύναντο πιείν ύδωρ εκ Μερράς, πικρόν γάρ ήν, διά τούτο επωνομάσθη τό όνομα τού τόπου εκείνου, Πικρία. Καί διεγόγγυζεν ο λαός κατά Μωϋσή λέγοντες, Τί πιώμεθα; Εβόησε δέ Μωϋσής πρός Κύριον, καί έδειξεν αυτώ Κύριος ξύλον καί ενέβαλεν αυτό εις τό ύδωρ, καί εγλυκάνθη τό ύδωρ, εκεί έθετο αυτώ δικαιώματα καί κρίσεις, καί εκεί αυτόν επείραζε καί είπεν. Εάν ακοή ακούση Κυρίου τού Θεού σου, καί τά αρεστά ενώπιον αυτού ποιήσης, καί ενωτίση τάς εντολάς αυτού καί φυλάξης πάντα τά δικαιώματα αυτού, πάσαν νόσον, ήν επήγαγον τοίς Αιγυπτίοις, ουκ επάξω επί σέ, εγώ γάρ ειμι Κύριος ο ιώμενός σε. Καί ήλθον εις Αιλείμ, καί ήσαν εκεί δώδεκα πηγαί υδάτων, καί εβδομήκοντα στελέχη φοινίκων, παρενέβαλον δέ εκεί παρά τά ύδατα. Απήραν δέ εξ Αιλείμ, καί ήλθε πάσα η συναγωγή υιών Ισραήλ εις τήν έρημον Σίν, ο εστιν, αναμέσον Αιλείμ, καί αναμέσον Σινά.

Παροιμιών το Ανάγνωσμα
(Κεφ. 3, 11-18)

Υιέ, μη ολιγώρει παιδείας Κυρίου, μηδέ εκλύου υπ' αυτού ελεγχόμενος. Όν γάρ αγαπά κυριος, παιδεύει, μαστιγοί δέ πάντα υιόν, όν παραδέχεται. Μακάριος άνθρωπος, ός εύρε σοφίαν, καί θνητός, ός οίδε φρόνησιν. Κρείσσον γάρ αυτήν εμπορεύεσθαι, ή χρυσίου καί αργυρίου θησαυρούς. Τιμιωτέρα δέ εστι λίθων πολυτελών, ουκ αντιτάσσεται αυτή ουδέν πονηρόν, ευγνωστός εστι πάσι τοίς αγαπώσιν αυτήν, πάν δέ τίμιον, ουκ άξιον αυτής εστι, Μήκος γάρ βίου, καί έτη ζωής εν τή δεξιά αυτής, εν δέ τή αριστερά αυτής πλούτος καί δόξα εκ τού στόματος αυτής εκπορεύεται δικαιοσύνη, νόμον δέ καί έλεον επί γλώσσης φορεί. Αι οδοί αυτής οδοί καλαί, καί πάσαι αι τρίβοι

αυτής μετ' ειρήνης. Ξύλον ζωής εστι πάσι τοίς αντεχομένοις αυτής, καί τοίς επερειδομένοις επ' αυτήν, ως επί Κύριον ασφαλής.

Προφητείας Ησαϊου τό Αναγνωσμα
(Κεφ. 60, 11-16)

Τάδε λέγει Κύριος, Ανοιχθήσονται αι πύλαι σου Ιερουσαλήμ ημέρας καί νυκτός ού διά παντός, κλεισθήσονται, τού εισαγαγείν πρός σέ δύναμιν εθνών, καί βασιλείς αυτών αγομένους. Τά γάρ έθνη καί οι βασιλείς, οίτινές σοι ού δουλεύσουσιν απολούνται, καί τά έθνη ερημία ερημωθήσονται. Καί η δόξα του Λιβάνου πρός σέ ήξει, εν κυπαρίσσω καί πεύκη καί κέδρω, άμα δοξάσαι τόν τόπον τόν άγιόν μου, καί τόν τόπον τών ποδών μου δοξάσω. Καί πορεύσονται πρός σέ δεδοικότες οι υιοί τών ταπεινωσάντων σε, καί παροξυνάντων σε, καί προσκυνήσουσιν επί τά ίχνη τών ποδών σου πάντες οι παροξύναντές σε, καί κληθήση Πόλις Κυρίου Σιών τού Αγίου Ισραήλ, διά τό γεγενήσθαί σε καταλελειμμένην καί μεμισημένην, Καί ουκ ήν ο βοηθών σοι, καί θήσω σε αγαλλίαμα αιώνιον, ευφροσύνην γενεαίς γενεών. Καί θηλάσεις γάλα εθνών, καί πλούτον βασιλέων φάγεσαι καί γνώση, ότι εγώ Κύριος ο σώζων σε, καί ο εξαιρούμενός σε ο Θεός Ισραήλ.

Εις τήν Λιτήν, Στιχηρά Ιδιόμελα.

Ήχος α'
Ανδρέου Ιεροσολυμίτου

Σήμερον ως αληθώς, η άγιό φθογγος ρήσις τού Δαυϊδ πέρας είληφεν, ιδού γάρ εμφανώς, τό τών αχράντων ποδών σου προσκυνούμεν υποπόδιον, καί εν τή τών πτερύγων σου ελπίζοντες σκιά, πανοικτίρμον βοώμέν σοι. Σημειωθήτω εφ' ημάς τό φώς τού προσώπου σου, καί ανύψωσον τού ορθοδόξου λαού σου τό κέρας, τή τού τιμίου Σταυρού σου ανυψώσει, Χριστέ πολυέλεε.

Ο αυτός

Τό φυτευθέν εν Κρανίου τόπω ξύλον τής όντως ζωής, εν ώ ειργάσατο σωτηρίαν ο τών αιώνων Βασιλεύς, εν μέσω τής γής, υψούμενον σήμερον αγιάζει τού κόσμου τά πέρατα, καί εγκαινίζεται τής Αναστάσεως ο οίκος, αγάλλονται Άγγελοι εν ουρανώ, καί ευφραίνονται άνθρωποι επί τής γής, δαυϊτικώς βοώντες καί λέγοντες, Υψούτε Κύριον τόν Θεόν ημών, καί προσκυνείτε τώ υποποδίω τών ποδών αυτού, ότι άγιός εστιν ο παρέχων τώ Κόσμω τό μέγα έλεος.

Ο αυτός

Προτυπών τόν Σταυρόν σου Χριστέ, ο πατριάρχης Ιακώβ, τοίς εγγόνοις τήν ευλογίαν χαριζόμενος, επί ταίς κάραις εναλλάξ τάς χείρας επέθηκε, τούτον δέ Σωτήρ ημείς, σήμερον ανυψούντες κραυγάζομεν, Δώρησαι τώ φιλοχρίστω Βασιλεί τό νίκος, ως Κωνσταντίνω τό τρόπαιον.

Ήχος β'
Θεοφάνους

Θείος θησαυρός εν γή κρυπτόμενος, τού Ζωοδότου ο Σταυρός, εν ουρανοίς εδείκνυτο Βασιλεί ευσεβεί, νίκης κατ' εχθρών υπογραμμόν δηλών νοερώς, όν

γεγηθώς πίστει καί πόθω, θεόθεν αναδραμών πρός θεωρίας ύψωσιν, σπουδή μεγίστη, εκ γής λαγόνων ανέφηνεν, εις κόσμου λύτρον, καί σωτηρίαν τών ψυχών ημών.

Ο αυτός

Κυπριανού

Η τών χειρών εναλλαγή τού Πατριάρχου Ιακώβ, επ' ευλογία τών τέκνων, τό κραταιόν τού Σταυρού σου προεδήλωσε σύμβολον, όν περ ημείς κατέχοντες αρραγές φυλακτήριον, τήν τών δαιμόνων πανσθενώς εκδιώκομεν φάλαγγα, καί τού Βελίαρ εν αυτώ τήν οφρύν καταβαλόντες, τού εχθίστου Αμαλήκ τροπούμεθα τήν πανώλεθρον δύναμιν, Αυτόν καί νύν ανυψούμενον, ευσεβοφρόνως οι πιστοί, εις ιλασμόν αμαρτιών, τή σή αγαθότητι, εν πολλώ πλείονι φωνή βοώντες προσφέρομεν, Κύριε ελέησον, ο εκ Παρθένου σαρκωθείς, οίκτιρον τό τών χειρών σου αγαθέ, σοφόν δημιούργημα.

Ο αυτός

Λέοντος Δεσπότου

Σύ μου σκέπη κραταιά υπάρχεις, ο τριμερής Σταυρός τού Χριστού, αγίασόν με τή δυνάμει σου, ίνα πίστει καί πόθω προσκυνώ καί δοξάζω σε.

Ήχος δ'

Κροτήσωμεν σήμερον ασματικήν πανήγυριν, καί φαιδρώ τώ προσώπω, καί τή γλώττη τρανώς βοήσωμεν, ο δι' ημάς Χριστέ, κρίσιν καταδεξάμενος, καί εμπτυσμούς καί μάστιγας, καί τό κόκκινον περιβαλόμενος, καί εν Σταυρώ ανελθών, όν ιδών ο ήλιος καί η σελήνη, τό φέγγος απέκρυψαν, καί τώ φόβω γή εσείετο, καί τό καταπέτασμα τού ναού εσχίσθη διχώς, αυτός καί νύν δώρησαι, τόν Σταυρόν σου τόν τίμιον, ημίν φρουρόν καί φύλακα, καί ελατήρα τών δαιμόνων, ίνα πάντες προσπτυσσόμενοι, βοώμεν αυτώ, Σώσον ημάς Σταυρέ τή δυνάμει σου, αγίασον ημάς τή λαμπρότητί σου, τίμιε Σταυρέ, καί κραταίωσον ημάς τή υψώσει σου, ότι φώς ημίν δεδώρησαι, καί σωτηρία τών ψυχών ημών.

Ο αυτός

Ανατολίου

Φωτολαμπής αστέρων τύπος, προεδείκνυε Σταυρέ, τρόπαιον νίκης ευσεβεί άνακτι τώ πάνυ, ού η μήτηρ Ελένη ανευραμένη, κοσμοφανή πεποίηκε, καί σέ σήμερον ανυψούντες τών πιστών αι χορείαι κραυγάζομεν, Φώτισον ημάς τή ελλάμψει σου, Σταυρέ ζωηφόρε, αγίασον ημάς τή ισχΰϊ σου, πανσέβαστε Σταυρέ, καί κράτυνον ημάς, τή υψώσει σου, υψούμενος πρός παράταξιν εχθρών.

Δόξα... Καί νύν...

Ο αυτός

Ανατολίου

Τού τιμίου Σταυρού Χριστέ τήν ενέργειαν, προδιατυπώσας Μωϋσής, ετροπώσατο τόν εναντίον Αμαλήκ, εν τή ερήμω Σινά, ότε γάρ εφήπλου τάς χείρας, Σταυρού τόν τύπον ποιών, ενίσχυεν ο λαός, νυνί τών πραγμάτων η έκβασις εις ημάς πεπλήρωται, Σήμερον Σταυρός υψούται, καί δαίμονες φυγαδεύονται, Σήμερον η κτίσις πάσα εκ τής φθοράς ηλευθέρωται, πάντα γάρ διά Σταυρού, επέλαμψεν ημίν τά χαρίσματα, διό γηθόμενοι πάντες,

προσπίπτομέν σοι, λέγοντες, Ως εμεγαλύνθη τά έργα σου, Κύριε δόξα σοι.

Εις τόν Στίχον Στιχηρά Προσόμοια.

Ήχος πλ. α'
Χαίροις ασκητικών

Χαίροις ο ζωηφόρος Σταυρός, τής ευσεβείας τό αήττητον τρόπαιον, η θυρα τού Παραδείσου, ο τών πιστών στηριγμός, τό τής' Εκκλησίας περιτείχισμα, δι' ού εξηφάνισται, η φθορά καί κατήργηται, καί κατεπόθη, τού θανάτου η δύναμις, καί υψώθημεν, από γής πρός ουράνια, Όπλον ακαταμάχητον, δαιμόνων αντίπαλε, δόξα Μαρτύρων Οσίων, ως αληθώς εγκαλλώπισμα, λιμήν σωτηρίας, ο δωρούμενος τώ κόσμω τό μέγα έλεος.

Στίχ. Υψούτε Κύριον τόν Θεόν ημών καί προσκυνείτε τώ υποποδίω τών ποδών αυτού.

Χαίροις ο τού Κυρίου Σταυρός, δι' ού ελύθη τής αράς τό ανθρώπινον, τής όντως χαράς σημείον, ο καταράσσων εχθρούς, εν τή σή υψώσει πανσεβάσμιε, ημών η βοήθεια, Βασιλέων κραταίωμα, σθένος δικαίων, Ιερέων ευπρέπεια, ο τυπούμενος, καί δεινών εκλυτρούμενος, ράβδος η τής δυνάμεως, υφ' ής ποιμαινόμεθα, όπλον ειρήνης εν φόβω, ο περιέπουσιν Άγγελοι, Χριστού θεία δόξα, τού παρέχοντοστώ κόσμω τό μέγα έλεος.

Στίχ. Ο δέ Θεός Βασιλεύς ημών πρό αιώνος ειργάστο σωτηρίαν εν μέσω τής γής.

Χαίροις ο τών τυφλών οδηγός, τών ασθενούντων ιατρός, η ανάστασις, απάντων τών τεθνεώτων, ο ανυψώσας ημάς, εις φθοράν πεσόντας, Σταυρέ τίμιε, δι' ού διαλέλυται, η φθορά καί εξήνθησεν, η αφθαρσία, καί βροτοί εθεώθημεν, καί διάβολος, παντελώς καταβέβληται, Σήμερον ανυψούμενον, χερσί καθορώντές σε, Αρχιερέων υψούμεν, τόν υψωθέντα εν μέσω σου, καί σέ προσκυνούμεν, αρυόμενοι πλουσίως τό μέγα έλεος.

Δόξα... Καί νύν... Ήχος πλ. δ'
Ιωάννου Μοναχού

Όν περ πάλαι Μωϋσής, προτυπώσας εν εαυτώ, τόν Αμαλήκ καταβαλών ετροπώσατο, καί Δαυϊδ ο μελωδός, υποπόδιόν σοι βοών, προσκυνείσθαι διετάξατο, τίμιον Σταυρόν σου, Χριστέ ο Θεός, σήμερον αμαρτωλοί προσκυνούντες χείλεσιν αναξίοις, σέ τόν καταξιώσαντα παγήναι εν αυτώ, ανυμνούντες βοώμέν σοι, Κύριε σύν τώ Ληστή τής βασιλείας σου αξίωσον ημάς.

Απολυτίκιον  Ήχος α'

Σώσον Κύριε τόν λαόν σου καί ευλόγησον τήν κληρονομίαν σου, νίκας τοίς Βασιλεύσι κατά βαρβάρων δωρούμενος καί τό σόν φυλάττων διά τού Σταυρού σου πολίτευμα.

Εκ τρίτου

Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος α'
Τού λίθου σφραγισθέντος

Τού Σταυρού σου τό ξύλον προσκυνούμεν Φιλάνθρωπε, ότι εν αυτώ προσηλώθης η ζωή τών απάντων, Παράδεισον ηνέωξας Σωτήρ, τώ πίστει προσελθόντι σοι Ληστή, καί Τρυφής κατηξιώθη, ομολογών σοι, Μνήσθητί μου Κύριε, Δέξαι ώσπερ εκείνον καί ημάς, κραυγάζοντας, Ημάρτομεν, πάντες τή ευσπλαγχνία σου, μή υπερίδης ημάς. (Δίς)

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος πλ. β'

Μόνον επάγη τό ξύλον Χριστέ τού Σταυρού σου, τά θεμέλια εσαλεύθη τού θανάτου Κύριε, όν γάρ κατέπιε πόθω Άδης, απήμεσε τρόμω, έδειξας ημίν τό σωτήριόν σου Άγιε, καί δοξολογούμέν σε, Υιέ Θεού, ελέησον ημάς. (Δίς)

Μετά τόν Πολυέλεον

Κάθισμα Ήχος πλ. δ'
Τό προσταχθέν

Προδιετύπου μυστικώς πάλαι τώ χρόνω, ο Ιησούς ο τού Ναυή, Σταυρού τόν τύπον, ως τάς χείρας εξέτεινε σταυροφανώς Σωτήρ μου, καί έστη ο ήλιος έως εχθρούς, ανείλεν, ανθισταμένους σοί τώ Θεώ, νύν δέ ούτος εσκότισται, επί Σταυρού σε ορών, θανάτου κράτος λύοντα, καί τόν Άδην σκυλεύοντα.

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί Αντίφωνον Α'

- Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.
- Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον Ήχος δ'

Είδοσαν πάντα τά πέρατα τής γής τό σωτήριον τού Θεού ημών.

Στίχ. Άσατε τώ Κυρίω άσμα καινόν.

Πάσα πνοή. Τό Ευαγγέλιον. Τό, Ανάστασιν Χριστού θεασάμενοι, εν ή άν ημέρα τύχη η Εορτή τού Σταυρού.
Ο Ν'.

Δόξα... Ήχος β'
Σύ μου σκέπη κραταιά υπάρχεις, ο τριμερής Σταυρός τού Χριστού, αγίασόν με τή δυνάμει σου, ίνα πίστει καί πόθω, προσκυνώ καί δοξάζω σε.

Καί νύν... Τό αυτό

Τό Ιδιόμελον

Ήχος πλ. β'
Σταυρέ τού Χριστού, Χριστιανών η ελπίς, πεπλανημένων οδηγέ, χειμαζομένων λιμήν, εν πολέμοις νίκος, οικουμένης ασφάλεια, ασθενούντων ιατρέ, νεκρών η ανάστασις, ελέησον ημάς.

Ο Κανών, ός τήν δε τήν ακροστιχίδα φέρει.

Σταυρώ πεποιθώς, ύμνον εξερεύγομαι.

Ποίημα τού Κυρίου Κοσμά.

Ωδή α' Ήχος πλ. δ' Ο Ειρμός
«Σταυρόν χαράξας Μωσής, επ' ευθείας ράβδω, τήν Ερυθράν διέτεμε, τώ Ισραήλ πεζεύσαντι, τήν δέ επιστρεπτικώς, Φαραώ τοίς άρμασι κροτήσας ήνωσεν, επ' εύρους διαγράψας, τό αήττητον όπλον, διό Χριστώ άσωμεν, τώ Θεώ ημών, ότι δεδόξασται».

Τόν τύπον πάλαι Μωσής, τού αχράντου πάθους, εν εαυτώ προέφηνε, τών Ιερών μεσούμενος, Σταυρώ δέ σχηματισθείς, τεταμέναις τρόπαιον, παλάμαις ήγειρε, τό κράτος διολέσας, Αμαλήκ τού πανώλους, διό Χριστώ άσωμεν, τώ Θεώ ημών, ότι δεδόξασται.

Ανέθηκε Μωϋσής, επί στήλης άκος, φθοροποιού λυτήριον, καί Ιοβόλου δήγματος, καί ξύλω τύπω Σταυρού, τόν πρός γήν συρόμενον, όφιν προσέδησεν, εγκάρσιον εν τούτω, θριαμβεύσας τό πήμα, διό Χριστώ άσωμεν, τώ Θεώ ημών, ότι δεδόξασται.

Υπέδειξεν ουρανός, τού Σταυρού τό τρόπαιον, τώ ευσεβείας κράτορι, καί Βασιλεί θεόφρονι, εχθρών εν ώ δυσμενών, κατεβλήθη φρύαγμα, απάτη ανετράπη δέ, καί πίστις εφηπλώθη, γής τοίς πέρασι θεία, διό Χριστώ άσωμεν, τώ Θεώ ημών, ότι δεδόξασται.

## Καταβασία

Σταυρόν χαράξας Μωσής, επ' ευθείας ράβδω, τήν Ερυθράν διέτεμε, τώ Ισραήλ πεζεύσαντι, τήν δέ επιστρεπτικώς, Φαραώ τοίς άρμασι κροτήσας ήνωσεν, επ' εύρους διαγράψας, τό αήττητον όπλον, διό Χριστώ άσωμεν, τώ Θεώ ημών, ότι δεδόξασται.

## Ωδή γ' Ο Ειρμός

«Ράβδος εις τύπον τού μυστηρίου παραλαμβάνεται, τώ βλαστώ γάρ προκρίνει τόν ιερέα, τή στειρευούση δέ πρώην, Εκκλησία νύν εξήνθησε, ξύλον Σταυρού, εις κράτος καί στερέωμα».

Ως επαφήκε ραπιζομένη ύδωρ ακρότομος, απειθούντι λαώ, καί σκληροκαρδίω, τής θεοκλήτου έδήλου, Εκκλησίας τό μυστήριον, ής ο Σταυρός, τό κράτος καί στερέωμα.

Πλευράς αχράντου λόγχη τρωθείσης, ύδωρ σύν αίματι εξεβλήθη, εγκαινίζον διαθήκην, καί ρυπτικόν αμαρτίας, τών πιστών γάρ Σταυρός καύχημα, καί Βασιλέων κράτος καί στερέωμα.

## Καταβασία

Ράβδος εις τύπον τού μυστηρίου παραλαμβάνεται, τώ βλαστώ γάρ προκρίνει τόν ιερέα, τή στειρευούση δέ πρώην, Εκκλησία νύν εξήνθησε, ξύλον Σταυρού, εις κράτος καί στερέωμα.

## Κάθισμα Ήχος πλ. δ'
## Τό προσταχθέν

Εν Παραδείσω με τό πρίν, ξύλον εγύμνωσεν, ούπερ τή γεύσει, ο εχθρός εισφέρει νέκρωσιν, τού Σταυρού δέ τό ξύλον, τής ζωής τό ένδυμα, ανθρώποις φέρον, επάγη επί τής γής, καί κόσμος όλος επλήσθη πάσης χαράς, όν ορώντες υψούμενον, Θεώ εν πίστει λαοί, συμφώνως ανακράξωμεν, Πλήρης δόξης ο οίκός σου. (Δίς)

## Ωδή δ' Ο Ειρμός

«Εισακήκοα Κύριε, τής οικονομίας σου τό μυστήριον, κατενόησα τά έργα σου, καί εδόξασά σου τήν θεότητα».

Πικρογόνους μετέβαλε, ξύλω Μωϋσης πηγάς εν ερήμω πάλαι, τώ Σταυρώ πρός τήν ευσέβειαν, τών εθνών προφαίνων τήν μετάθεσιν.

Ο βυθώ κολπωσάμενος, τέμνουσαν ανέδωκεν Ιορδάνης ξύλω, τώ Σταυρώ καί τώ Βαπτίσματι, τήν τομήν τής πλάνης τεκμαιρόμενος.

Ιερώς προστοιβάζεται, ο τετραμερής λαός προηγούμενος, τής εν τύπω μαρτυρίου σκηνής, σταυροτύποις τάξεσι κλεϊζόμενος.

Θαυμαστώς εφαπλούμενος, τάς ηλιακάς βολάς εξηκόντισεν, ο Σταυρός, καί

διηγήσαντο, ουρανοί τήν δόξαν τού Θεού ημών.

Καταβασία

Εισακήκοα Κύριε, τής οικονομίας σου τό μυστήριον, κατενόησα τά έργα σου, καί εδόξασά σου τήν θεότητα.

Ωδή ε' Ο Ειρμός

«Ώ τρισμακάριστον ξύλον, εν ώ ετάθη Χριστός, ο Βασιλεύς καί Κύριος, δι' ού πέπτωκεν ο ξύλω απατήσας, τώ εν σοί δελεασθείς, Θεώ τώ προσπαγέντι σαρκί, τώ παρέχοντι, τήν ειρήνην ταίς ψυχαίς ημών».

Σέ τό αοίδιμον ξύλον, εν ώ ετάθη Χριστός, τήν Εδέμ φυλάττουσα, στρεφομένη ρομφαία, Σταυρέ ηδέσθη, τό φρικτόν δέ Χερουβίμ, είξε τώ σοί παγέντι Χριστώ, τώ παρέχοντι, τήν ειρήνην ταίς ψυχαίς ημών.

Υποχθονίων δυνάμεις, αντίπαλοι τού Σταυρού, φρίττουσι χαραττόμενον, τό σημείον εν αέρι ώ πολούσιν, ουρανίων γηγενών, γένος δέ γόνυ κάμπτει Χριστώ, τώ παρέχοντι, τήν ειρήνην ταίς ψυχαίς ημών.

Μαρμαρυγαίς ακηράτοις, φανείς ο θείος Σταυρός, εσκοτισμένοις έθνεσι, τοίς εν πλάνη απάτης τό θείον φέγγος, απαστράψας οικειοί, τώ εν αυτώ παγέντι Χριστώ, τώ παρέχοντι, τήν ειρήνην ταίς ψυχαίς ημών.

Καταβασία

Ώ τρισμακάριστον ξύλον, εν ώ ετάθη Χριστός, ο Βασιλεύς καί Κύριος, δι' ού πέπτωκεν ο ξύλω απατήσας, τώ εν σοί δελεασθείς, Θεώ τώ προσπαγέντι σαρκί, τώ παρέχοντι, τήν ειρήνην ταίς ψυχαίς ημών.

Ωδή ϛ' Ο Ειρμός

«Νοτίου θηρός εν σπλάγχνοις, παλάμας Ιωνάς, σταυροειδώς διεκπετάσας, τό σωτήριον πάθος προδιετύπου σαφώς, όθεν τριήμερος εκδύς, τήν υπερκόσμιον Ανάστασιν υπεζωγράφησε, τού σαρκί προσπαγέντος, Χριστού τού Θεού, καί τριημέρω εγέρσει, τόν κόσμον φωτίσαντος».

Ο γήρα καμφθείς, καί νόσω τρυχωθείς, ανωρθούτο Ιακώβ χείρας αμείψας, τήν ενέργειαν φαίνων τού ζωηφόρου Σταυρού, τήν παλαιότητα καί γάρ, τού νομικού σκιώδους, γράμματος εκαινογράφησεν, ο εν τούτω σαρκί προσπαγείς Θεός, καί τήν ψυχόλεθρον νόσον, τής πλάνης απήλασε.

Νεαζούσαις θείς παλάμας, ο θείος Ισραήλ, σταυροειδώς κάραις εδήλου, ως πρεσβύτερον κλέος ο νομολάτρης λαός, υποπτευθείς όθεν ούτως εξηπατήσθαι, ουκ ηλλοίωσε τόν ζωηφόρον τύπον, υπερέξει λαός γάρ Χριστού τού Θεού, νεοπαγής ανεβόα, Σταυρώ τειχιζόμενος.

Καταβασία

Νοτίου θηρός εν σπλάγχνοις, παλάμας Ιωνάς, σταυροειδώς διεκπετάσας, τό σωτήριον πάθος προδιετύπου σαφώς, όθεν τριήμερος εκδύς, τήν υπερκόσμιον Ανάστασιν υπεζωγράφησε, τού σαρκί προσπαγέντος, Χριστού

τού Θεού, καί τριημέρω εγέρσει, τόν κόσμον φωτίσαντος.

Κοντάκιον

Αυτόμελον Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ εκουσίως, τή επωνύμω σου καινή πολιτεία, τούς οικτιρμούς σου δώρησαι, Χριστέ ο Θεός, Εύφρανον εν τή δυνάμει σου, τούς πιστούς Βασιλείς ημών, νίκας χορηγών αυτοίς, κατά τών πολεμίων, τήν συμμαχίαν έχοιεν τήν σήν, όπλον ειρήνης, αήττητον τρόπαιον.

Ο Οίκος

Ο μετά τρίτον ουρανόν αρθείς εν Παραδείσω, καί ρήματα τά άρρητα καί θεία, ά ουκ εξόν γλώσσαις λαλείν, τί τοίς Γαλάταις γράφει, ως ερασταί τών Γραφών, ανέγνωτε καί έγνωτε, Εμοί, φησί, καυχάσθαι μή γένοιτο, πλήν ει μή εν μόνω τώ Σταυρώ τώ τού Κυρίου, εν ώ παθών, έκτεινε τά πάθη, Αυτόν ούν καί ημείς βεβαίως κραιώμεν τού Κυρίου τόν Σταυρόν καύχημα πάντες, έστι γάρ σωτήριον ημίν τούτο τό ξύλον, όπλον ειρήνης αήττητον τρόπαιον.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΔ' τού αυτού μηνός, η παγκόσμιος Ύψωσις τού τιμίου καί ζωοποιού Σταυρού.

Στίχοι

- Τάς εν λάρυγγι Σώτερ υψώσεις φέρει,
- Υψούμενον βλέπουσα τόν Σταυρόν κτίσις.
- Υψώθη δεκάτη, Σταυρού ξύλον, ηδέ τετάρτη.

Τή αυτή ημέρα, Η κοίμησις τού εν Αγίοις Πατρός ημών Ιωάννου Αρχιεπισκόπου Κωνσταντινουπόλεως τού Χρυσοστόμου, εν ταύτη γάρ ανεπαύσατο, αλλά διά τήν Εορτήν τού τιμίου Σταυρού μετετέθη η τούτου Εορτή εις τόν Νοέμβριον μήνα.

Καί μνήμη τής ευσεβεστάτης Βασιλίσσης Πλακίλλης, συζύγου γενομένης τού μεγάλου Βασιλέως Θεοδοσίου.

Στίχοι

- Φθαρτόν λιπούσα στέμμα γής η Πλακίλλα,
- Εν ουρανοίς άφθαρτον εύρηκε στέφος.

Τή αυτή ημέρα, Μνήμη τών εν Αγίοις Πατέρων ημών, τών συνελθόντων εν τή Αγία καί Οικουμενική Έκτη Συνόδω, επί τής Βασιλείας Κωνσταντίνου τού Πωγωνάτου, υιού Ιουστινιανού τού δευτέρου, τού καλουμένου Ρινοτμήτου, Σεργίου τήν Εκκλησίαν Κωνσταντινουπόλεως ιθύνοντος, καί Αγάθωνος τών Ρωμαίων, Ηθροίσθη δέ εν τώ Τρούλλω τού Παλατίου, τώ λεγομένω, Ωάτω, αναθέματι καθυποβαλούσα Σέργιον, καί Πύρρον, καί Πέτρον, καί Παύλον, Επισκόπους γενομένους Κωνσταντινουπόλεως, Μακρόβιόν τε τόν Αντιοχείας, καί Κύρον τόν Αλεξανδρείας, καί Ονώριον τόν Ρώμης, Στέφανόν τε καί Πολυχρόνιον, καί τούς σύν αυτοίς, Ήτις αγία

Σύνοδος επί μέν τού δηλωθέντος Κωνσταντίνου τού Πωγωνάτου συνηθροίσθη, η δέ τών Κανόνων έκδοσις επί Ιουστινιανού τού υιού αυτού γέγονε.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Πάπα.

Στίχοι

- Ηδείτο Πάπας πρός τά στίγματα στένειν,
- Βοηθόν εγγύς τόν Θεόν κεκτημένος.

Τή αυτή ημέρα, ο Άγιος Μάρτυς Θεοκλής ξίφει τελειούται.

Στίχοι

- Πρός κλήσιν ήκει καί Θεοκλής τήν άνω,
- Έχων όχημα τήν τομήν τήν εκ ξίφους.

Τή αυτή ημέρα, ο άγιος Βαλεριανός, τό νήπιον, ξίφει τελειούται.

Στίχοι

- Βαλεριανώ τώ μικρώ Θεός μέγας,
- Εν ουρανώ δέδωκε πάμμεγα στέφος.

Ο άγιος νέος οσιομάρτυς Μακάριος, ο εν Θεσσαλονίκη μαρτυρήσας κατά τό 1527, ο καί μαθητής χρηματίσας τού Πατριάρχου Κωνσταντινουπόλεως Νήφωνος, ξίφει τελειούται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Έκνοον πρόσταγμα τυράννου δυσσεβούς, λαούς εκλόνησε, πνέον απειλής καί δυσφημίας θεοστυγούς, όμως τρείς Παίδας ουκ εδειμάτωσε, θυμός θηριώδης, ου πύρ βρόμιον, αλλ' αντηχούντι δροσοβόλω πνεύματι, πυρί συνόντες έψαλλον, ο υπερύμνητος, τών Πατέρων καί ημών, Θεός ευλογητός εί».

Ξύλου γευσάμενος ο πρώτος εν βροτοίς, φθορά παρώκησε, ρίψιν γάρ ζωής ατιμοτάτην κατακριθείς, όλω τώ γένει σωματοφθορος τις, ως λύμη τής νόσου μετέδωκεν, αλλ' ευρηκότες γηγενείς ανάκλησιν, Σταυρού τό ξύλον κράζομεν, ο υπερύμνητος, τών Πατέρων καί ημών, Θεός ευλογητός εί.

Έλυσε πρόσταγμα Θεού παρακοή, καί ξύλον ήνεγκε θάνατον βροτοίς, τό μή ευκαίρως μεταληφθέν, εν ασφαλεία τής εριτίμου δέ, εντεύθεν ζωής τό ξύλον είργετο, ο νυκτιλόχου δυσθανούς ηνέωξεν, ευγνωμοσύνης κράζοντος, ο υπερύμνητος, τών Πατέρων καί ημών, Θεός ευλογητός εί.

Ράβδου προσπτύσσεται τό άκρον, Ιωσήφ, ο γενησόμενον, βλέπων, Ισραήλ, τής βασιλείας τό κραταιόν, όπως συνέξει ο υπερένδοξος Σταυρός προδηλών,

ούτος γάρ τοίς βασιλεύσι, τροπαιούχον καύχημα, καί φώς τοίς πίστει κράζουσιν, ο υπερύμνητος, τών Πατέρων καί ημών, Θεός ευλογητός εί.

Καταβασία

Έκνοον πρόσταγμα τυράννου δυσσεβούς, λαούς εκλόνησε, πνέον απειλής καί δυσφημίας θεοστυγούς, όμως τρείς Παίδας ουκ εδειμάτωσε, θυμός θηριώδης, ου πύρ βρόμιον, αλλ' αντηχούντι δροσοβόλω πνεύματι, πυρί συνόντες έψαλλον, ο υπερύμνητος, τών Πατέρων καί ημών, Θεός ευλογητός εί.

Ωδή η'  Ο Ειρμός

«Ευλογείτε Παίδες, τής Τριάδος ισάριθμοι, δημιουργόν Πατέρα Θεόν, υμνείτε τόν συγκαταβάντα Λόγον, καί τό πύρ εις δρόσον μεταποιήσαντα, καί υπερυψούτε, τό πάσι ζωήν παρέχον, Πνεύμα πανάγιον εις τούς αιώνας».

Υψουμένου ξύλου, ραντισθέντος εν αίματι, τού σαρκωθέντος Λόγου Θεού, υμνείτε αι τών ουρανών Δυνάμεις, βροτών τήν ανάκλησιν εορτάζουσαι, Λαοί προσκυνείτε Χριστού τόν Σταυρόν, δι' ού τώ κόσμω ανάστασις εις τούς αιώνας.

Γηγενείς παλάμαις, οικονόμοι τής χάριτος, Σταυρόν ού έστη Χριστός ο Θεός, υψούτε ιεροπρεπώς καί Λόγχην, Θεού Λόγου σώμα αντιτορήσασαν, ιδέτωσαν έθνη πάντα τό σωτήριον, τού Θεού δοξάζοντα εις τούς αιώνας.

Οι τή θεία ψήφω, προκριθέντες αγάλλεσθε, Χριστιανών πιστοί Βασιλείς, καυχάσθε τώ τροπαιοφόρω όπλω, λαχόντες θεόθεν, Σταυρόν τόν τίμιον, εν τούτω γάρ φύλα πολέμων, θράσος επιζητούντα, σκεδάννυνται εις τούς αιώνας.

Καταβασία

Ευλογείτε Παίδες, τής Τριάδος ισάριθμοι, δημιουργόν Πατέρα Θεόν, υμνείτε τόν συγκαταβάντα Λόγον, καί τό πύρ εις δρόσον μεταποιήσαντα, καί υπερυψούτε, τό πάσι ζωήν παρέχον, Πνεύμα πανάγιον εις τούς αιώνας.

Ωδή θ'

Η Τιμιωτέρα ου στιχολογείται

Ο Ειρμός

«Μυστικώς εί Θεοτόκε Παράδεισος, αγεωργήτως βλαστήσασα Χριστόν, υφ' ού τό τού Σταυρού, ζωηφόρον εν γή, πεφυτούργηται δένδρον, δι' ού νύν υψουμένου, προσκυνούντες αυτόν σέ μεγαλύνομεν».

Αγαλλέσθω τά δρυμού ξύλα σύμπαντα, αγιασθείσης τής φύσεως αυτών, υφ' ού περ εξ αρχής, εφυτεύθη Χριστού, τανυθέντος εν ξύλω, δι' ού νύν υψουμένου, προσκυνούμεν αυτόν καί μεγαλύνομεν.

Ιερόν ηγέρθη κέρας θεόφροσι, τής κεφαλής τών απάντων ο Σταυρός, εν ώ αμαρτωλών νοουμένων, συνθλώνται τά κέρατα πάντα, δι' ού νύν υψουμένου,

προσκυνούμεν αυτόν καί μεγαλύνομεν.

Ειρμός άλλος

«Ο διά βρώσεως τού ξύλου, τώ γένει προσγενόμενος θάνατος, διά Σταυρού κατήργηται σήμερον, τής γάρ Προμήτορος η παγγενής κατάρα διαλέλυται, τώ βλαστώ τής αγνής Θεομήτορος, ήν πάσαι αι Δυνάμεις, τών ουρανών μεγαλυνουσι».

Μή τήν πικρίαν τήν τού ξύλου, εάσας αναιρέσιμον Κύριε, διά Σταυρού τελείως εξήλειψας, όθεν καί ξύλον έλυσε ποτέ, πικρίαν υδάτων Μερράς, προτυπούν τού Σταυρού τήν ενέργειαν, ήν πάσαι αι Δυνάμεις, τών ουρανών μεγαλύνουσιν.

Αδιαλείπτως βαπτομένους, τώ ζόφω τού προπάτορος Κύριε, διά Σταυρού ανύψωσας σήμερον, ως γάρ τή πλάνη άγαν ακρατώς, η φύσις προκατηνέχθη, παγκλήρως ημάς πάλιν ανώρθωσε, τό φώς τό τού Σταυρού σου, όν οι πιστοί μεγαλύνομεν.

Ίνα τόν τύπον υποδείξης, τώ κόσμω προσκυνούμενον Κύριε, τόν του Σταυρού εν πάσιν ως ένδοξον, εν ουρανώ εμόρφωσας, φωτί απλέτω ηγλαϊσμένον, Βασιλεί πανοπλίαν αήττητον, ήν πάσαι αι Δυνάμεις, τών ουρανών μεγαλύνουσιν.

Καταβασίαι

Μυστικώς εί Θεοτόκε Παράδεισος, αγεωργήτως βλαστήσασα Χριστόν, υφ' ού τό τού Σταυρού, ζωηφόρον εν γή, πεφυτούργηται δένδρον, δι' ού νύν υψουμένου, προσκυνούντες αυτόν σέ μεγαλύνομεν.

Ο διά βρώσεως τού ξύλου, τώ γένει προσγενόμενος θάνατος, διά Σταυρού κατήργηται σήμερον, τής γάρ Προμήτορος η παγγενής κατάρα διαλέλυται, τώ βλαστώ τής αγνής Θεομήτορος, ήν πάσαι αι Δυνάμεις, τών ουρανών μεγαλυνουσι.

Εξαποστειλάριον

Ήχος β'

Τών μαθητών ορώντων σε

Σταυρός, ο φύλαξ πάσης τής οικουμένης, Σταυρός, η ωραιότης τής Εκκλησίας, Σταυρός, Βασιλέων τό κραταίωμα, Σταυρός, Πιστών τό στήριγμα Σταυρός, Αγγέλων η δόξα, καί τών δαιμόνων τό τραύμα. (Δίς)

Έτερον, ο λέγεται άπαξ

Γυναίκες ακουτίσθητε

Σταυρός υψούται σήμερον, καί κόσμος αγιάζεται, ο γάρ Πατρί συνεδρεύων, καί Πνεύματι τώ Αγίω, εν τούτω χείρας απλώσας, τόν κόσμον όλον είλκυσας, πρός σήν Χριστέ επίγνωσιν, τούς ούν εις σέ πεποιθότας, θείας αξίωσον δόξης. (Δίς)

Εις τούς Αίνους. ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'

Ώ τού παραδόξου θαυματος

Ώ τού παραδόξου θαύματος! τό ζωηφόρον φυτόν, ο Σταυρός ο πανάγιος, εις ύψος αιρόμενος, εμφανίζεται σήμερον, δοξολογούσι πάντα τά πέρατα, εκδειματούνται δαίμονες άπαντες, ώ οίον δώρημα, τοίς βροτοίς κεχάρισται! δι' ού Χριστέ, σώσον τάς ψυχάς ημών, ως μόνος εύσπλαγχνος. (Δίς)

Ώ τού παραδόξου θαύματος! ως βότρνν πλήρη ζωής, ο βαστάσας τόν ύψιστον, από γής υψούμενος, Σταυρός οράται σήμερον, δι' ού πρός Θεόν πάντες ειλκύσθημεν, καί κατεπόθη εις τέλος θάνατος, Ώ ξύλον άχραντον! υφ' ού απολαύομεν τής εν Εδέμ, αθανάτου βρώσεως, Χριστόν δοξάζοντες.

Ώ τού παραδόξου θαύματος! εύρος καί μήκος Σταυρού, ουρανού ισοστάσιον, ότι θεία χάριτι, αγιάζει τά σύμπαντα, εν τούτω έθνη βάρβαρα ήττηνται, εν τούτω σκήπτρα ανάκτων ήδρασται, Ώ θείας κλίμακος! δι' ής ανατρέχομεν εις ουρανούς, υψούντες εν άσμασι, Χριστόν τόν κυριον.

Δόξα...Καί νών...

Ήχος πλ. β'

Σήμερον προέρχεται ο Σταυρός τού Κυρίου, καί πιστοί εισδέχονται αυτόν εκ πόθου, καί λαμβάνουσιν ιάματα ψυχής τε καί σώματος, καί πάσης μαλακίας, Αυτόν ασπασώμεθα τή χαρά καί τώ φόβω, φόβω διά τήν αμαρτίαν, ως ανάξιοι όντες, χαρά δέ διά τήν σωτηρίαν, ήν παρέχει τώ κόσμω, ο εν αυτώ προσπαγείς Χριστός ο Κύριος, ο έχων τό μέγα έλεος.

## Δοξολογία Μεγάλη

Μετά δέ τό τέλος αυτής αρχόμεθα ψάλλειν τό Ασματικόν. Ο δέ Ιερεύς, λαβών επί τής κεφαλής αυτού τόν Τίμιον Σταυρόν επί δίσκου, μετά καί κλάδων βασιλικών, εξέρχεται τού Ιερού, καί προπορευομένων τών Εξαπτερύγων καί λαμπάδων καί θυμιατών, φέρει αυτόν εντώ μέσω τού ναού, όπου πληρουρουμένου τού Ασματικού, εκφωνεί. Σοφία, Ορθοί! καί τίθησι τόν Σταυρόν επί τού προευτρεπισθέντος Τετραποδίου, καί θυμιά σταυροειδώς, ψάλλων τό, Σώσον Κύριε τόν λαόν σου, άπαξ, ωσαύτως καί οι δύο Χοροί ανά μίαν. Είθ' ούτω, βαλών μετανοίας τρείς, εν ή άν ημέρα τύχη, καί λαβών ανά χείρας τόν Τίμιον Σταυρόν μετά βασιλικών κλάδων, ίσταται έμπροσθεν τού Τετραποδίου, καί βλέπων πρός Ανατολάς λέγει εις επήκοον πάντων.

Ελέησον ημάς ο Θεός, κατά τό μέγα έλεός σου, δεομεθά σου, επάκουσον καί ελέησον.

Καί αρχόμεθα τής πρώτης Εκατοντάδος, τού Κύριε ελέησον, σφραγίζοντος τού Ιερέως έν ταίς ενάρξεσι μετά τού Τιμίου Σταυρού τρίς.

Είτα κλίνει τήν κεφαλήν, όσον σπιθαμήν απέχειν τής γής, καί κατά μικρόν ανίσταται, άχρι τής συμπληρώσεως τής Εκατοντάδος.

Είτα στραφείς επί τά δεξιά, καί βλέπων πρός Βορράν, λέγει.

Έτι δεόμεθα υπέρ τών ευσεβών καί ορθοδόξων Χριστιανών.

Καί αρχόμεθα τής δευτέρας Εκατοντάδος, καί ποιεί ο Ιερεύς τήν δευτέραν ύψωσιν, ως προγέγραπται. Είθ' ούτω, στραφείς πρός Ανατολάς τού Τετραποδίου, καί βλέπων πρός δυσμάς λέγει.

Έτι δεόμεθα υπέρ τού Αρχιεπισκόπου ημών (δείνος) καί πάσης τής εν Χριστώ ημών αδελφότητος.

Καί αρχόμεθα τής τρίτης Εκατοντάδος. Πληρωθείσης δέ καί ταύτης, στρέφεται ο Ιερεύς επί τό Βόρειον μέρος, καί βλέπων πρός Νότον, λέγει.

Έτι δεόμεθα υπέρ πάσης ψυχής Χριστιανών ορθοδόξων, υγείας, καί σωτηρίας, καί αφέσεως τών αμαρτιών αυτών.

Καί γίνεται η τετάρτη ύψωσις. Καί αύθις στρέφεται έμπροσθεν τού Τετραποδίου, καί βλέπων κατά Ανατολάς, λέγει.

Έτι δεόμεθα υπέρ πάντων τών διακονούντων καί διακονησάντων εν τή Αγία Μονή (ή Εκκλησία) ταύτη, υγείας, σωτηρίας, καί αφέσεως τών αμαρτιών αυτών.

Καί αρχόμεθα τής πέμπτης Εκατοντάδος. Μετά δέ τήν συμπλήρωσιν αυτής, υψοί τόν Σταυρόν, ψάλλων τό, Ο υψωθείς εν τώ Σταυρώ, καί ευλογών δι' αυτού σταυροειδώς τόν λαόν. Είτα, θέμενος τόν τίμιον Σταυρόν επί τού Τετραποδίου, ψάλλει, τόν Σταυρόν σου προσκυνούμεν Δέσποτα, άπαξ, καί οι Χοροί ομοίως ανά μίαν καί προσκυνεί ευθύς τόν τίμιον Σταυρόν, καί εφεξής πάντες. Όπου δέ παρευρίσκεται Αρχιερεύς, αυτός υψοί τόν Σταυρόν. Εν όσω δέ γίνεται η προσκύνησις, ψάλλομεν τά παρόντα Ιδιόμελα.

Ήχος β'

Δεύτε Πιστοί, τό ζωοποιόν ξυλον προσκυνήσωμεν, εν ώ Χριστός ο Βασιλεύς τής δόξης, εκουσίως χείρας εκτείνας, ύψωσεν ημάς εις τήν αρχαίαν μακαριότητα, ούς πρίν ο εχθρός, δι' ηδονής συλήσας, εξορίστους Θεού πεποίηκε, Δεύτε Πιστοί, ξύλον προσκυνήσωμεν, δι' ού ηξιώθημεν, τών αοράτων εχθρών συντρίβειν τάς κάρας, Δεύτε πάσαι αι πατριαί τών εθνών, τόν Σταυρόν τού Κυρίου ύμνοις τιμήσωμεν, Χαίροις Σταυρέ τού πεσόντος Αδάμ η τελεία λύτρωσις, Εν σοί οι πιστότατοι Βασιλείς ημών καυχώνται, ως τή σή δυνάμει, Ισμαηλίτην λαόν κραταιώς υποτάττοντες, Σέ νύν μετά φόβου Χριστιανοί ασπαζόμενοι, τόν εν σοί προσπαγέντα Θεόν δοξάζομεν λέγοντες, Κύριε, ο εν αυτώ σταυρωθείς, ελέησον ημάς, ως αγαθός καί φιλάνθρωπος.

Ήχος πλ. α'

Δεύτε λαοί, τό παράδοξον θαύμα καθορώντες, τού Σταυρού τήν δύναμιν

προσκυνήσωμεν, ότι ξύλον εν Παραδείσω θάνατον εβλάστησε, τό δέ, τήν ζωήν εξήνθησεν, αναμάρτητον έχον προσηλωμένον τόν Κύριον, εξ ού πάντα τά έθνη, αφθαρσίαν τρυγώντες κραυγάζομεν, ο διά Σταυρού θάνατον καταργήσας, καί ημάς ελευθερώσας, δόξα σοι.

Ο αυτός

Η φωνή τών Προφητών σου, Ησαϊου καί Δαυϊδ, επληρώθη ο Θεός, η λέγουσα, Ήξουσι πάντα τά έθνη Κύριε, καί προσκυνήσουσιν ενώπιόν σου, ιδού γάρ ο λαός, ός τής σής αγαθέ χάριτος πεπλήρωται, εν ταίς αυλαίς σου Ιερουσαλήμ, ο Σταυρόν υπομείνας υπέρ ημών, καί τή αναστάσει σου ζωοποιών, φύλαξον καί σώσον ημάς.

Ήχος πλ. β'

Σήμερον τό φυτόν τής ζωής, εκ τών τής γής αδύτων ανιστάμενον, τού εν αυτώ παγέντος Χριστού, πιστούται τήν ανάστασιν, καί ανυψούμενον χερσίν Ιεραίς, τήν αυτού πρός ουρανούς καταγγέλλει ανύψωσιν, δι' ής τό ημέτερον φύραμα, εκ τής εις γήν καταπτώσεως, εις ουρανούς πολιτεύεται, διό ευχαρίστως βοήσωμεν, Κύριε, ο υψωθείς εν αυτώ, καί δι' αυτού συνυψώσας ημάς, τής ουρανίου χαράς, αξίωσον τούς υμνούντάς σε.

Ο αυτός

Ο τετραπέρατος κόσμος σήμερον αγιάζεται, τού τετραμερούς υψουμένου σου Σταυρού, Χριστέ ο Θεός ημών, καί τό κέρας τών πιστών, συνυψούται Βασιλέων ημών, εν αυτώ τών δυσμενών συντριβόντων τά κέρατα, Μέγας εί Κύριε καί θαυμαστός εν τοίς έργοις σου! δόξα σοι.

Ο αυτός

Τών Προφητών αι φωναί, τό Ξύλον τό άγιον προκατήγγειλαν, δι' ού τής αρχαίας ήλευθερώθη κατάρας, τής τού θανάτου ο Αδάμ, η κτίσις σήμερον, υψουμένου τούτου, συνυψοί τήν φωνήν, τό εκ Θεού αιτουμένη πλούσιον έλεος, Αλλ' ο μόνος εν ελέει αμέτρητος Δέσποτα, ιλασμός γενού ημίν, καί σώσον τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Ήχος πλ. δ'

Η φωνή τού Προφήτου σου, Μωϋσέως ο Θεός, πεπλήρωται η λέγουσα, Όψεσθε τήν ζωήν υμών κρεμαμένην, απέναντι τών οφθαλμών υμών, Σήμερον Σταυρός υψούται, καί κόσμος εκ πλάνης ηλευθέρωται, Σήμερον τού Χριστού η, Ανάστασις εγκαινίζεται, καί τά πέρατα τής γής αγάλλονται, εν κυμβάλοις Δαυϊτικοίς, ύμνον σοι προσφέροντα, καί λέγοντα, Ειργάσω σωτηρίαν εν μέσω τής γής ο Θεός, Σταυρόν καί τήν Ανάστασιν, δι' ών ημάς έσωσας, αγαθέ καί φιλάνθρωπε, Παντοδύναμε Κύριε δόξα σοι.

Απόλυσις

Εις τήν Λειτουργίαν  Αντίφωνα

Αντίφωνον Α'  Ήχος α'

Στίχος α'. Ο Θεός μου πρόσχες μοι, ίνα τί εγκατέλιπές με;

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχος β'. Μακράν από τής σωτηρίας μου οι λόγοι τών παραπτωμάτων μου.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχος γ'. Ο Θεός μου κεκράξομαι ημέρας, καί ουκ εισακούση.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχος δ'. Σύ δέ εν Αγίω κατοικείς, ο έπαινος τού Ισραήλ.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Δόξα... Καί νύν...

Ταίς πρεσβείαις τής Θεοτόκου...

## Αντίφωνον Β'  Ήχος β'

Στίχος α'. Ίνα τί ο Θεός απώσω εις τέλος;

Σώσον ημάς Υιέ Θεού, ο σαδρκί σταυρωθείς, ψάλλοντάς σοι Αλληλούϊα.

Στίχος β'. Μνήσθητι τής συναγωγής σου, ής εκτήσω απ' αρχής.

Σώσον ημάς Υιέ Θεού...

Στίχος γ'. Όρος Σιών τούτο, ο κατεσκήνωσας εν αυτώ.

Σώσον ημάς Υιέ Θεού...

Στίχος δ'. Ο δέ Θεός Βασιλεύς ημών πρό αιώνων.

Σώσον ημάς Υιέ Θεού...

Δόξα... Καί νύν...

Ο μονογενής Υιός καί Λόγος τού Θεού...

## Αντίφωνον Γ'  Ήχος α'

Στίχος α'. Ο Κύριος εβασίλευσεν, οργιζέσθωσαν λαοί.

Σώσον Κύριε τόν λαόν σου καί ευλόγησον τήν κληρονομίαν σου, νίκας τοίς Βασιλεύσι κατά βαρβάρων δωρούμενος καί τό σόν φυλάττων διά τού Σταυρού σου πολίτευμα.

Στίχος β'. Κύριος εν Σιών μέγας καί υψηλός έστι.

Σώσον Κύριε τόν λαόν σου.

Στίχος γ'. Εξομολογησάσθωσαν τώ ονόματί σου τώ μεγάλω.

Σώσον Κύριε τόν λαόν σου.

Στίχος δ'.

Σώσον Κύριε τόν λαόν σου.

## Εισοδικόν

Υψούτε Κύριον τόν Θεόν ημών. καί προσκυνείτε τώ υποποδίω τών ποδών αυτού, ότι άγιος εστι. Σώσον ημάς Υιέ Θεού, ο σαρκί σταυρωθείς, ψάλλοντάς σοι. Αλληλούϊα.

Απολυτίκιον Ήχος α'

Σώσον Κύριε τόν λαόν σου καί ευλόγησον τήν κληρονομίαν σου, νίκας τοίς Βασιλεύσι κατά βαρβάρων δωρούμενος καί τό σόν φυλάττων διά τού Σταυρού σου πολίτευμα.

Κοντάκιον

Αυτόμελον Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ εκουσίως, τή επωνύμω σου καινή πολιτεία, τούς οικτιρμούς σου δώρησαι, Χριστέ ο Θεός, Εύφρανον εν τή δυνάμει σου, τούς πιστούς Βασιλείς ημών, νίκας χορηγών αυτοίς, κατά τών πολεμίων, τήν συμμαχίαν έχοιεν τήν σήν, όπλον ειρήνης, αήττητον τρόπαιον.

Αντί δέ τού Τρισαγίου

Ήχος πλ. β'

Τόν Σταυρόν σου προσκυνούμεν Δέσποτα, καί τήν αγίαν σου Ανάστασιν δοξάζομεν.

Προκείμενον τού Αποστόλου

Ήχος βαρύς

Υψούτε Κύριον τόν Θεόν ημών.
Στίχ. Ο Κύριος εβασίλευσεν, οργιζέσθωσαν λαοί.

Ο Απόστολος Πρός Κορινθίους α'

Αδελφοί, ο λόγος ο τού Σταυρού...

Αλληλουϊα Ήχος α'

Μνήσθητι τής Συναγωγής σου, ής εκτήσω απ' αρχής.
Στίχ. Ο δέ Βασιλεύς ημών πρό αιώνων, ειργάσατο σωτηρίαν εν μέσω τής γής.

Ευαγγέλιον κατά Ιωάννην

Τώ καιρώ εκείνω συμβούλιον εποίησαν...

Κοινωνικόν

Εσημειώθη εφ' ημάς τό φώς τού προσώπου σου Κύριε. Αλληλουϊα.

---

Αρχή

## ΤΗ ΙΕ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Μεγαλομάρτυρος Νικήτα.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής τρία καί τού Αγίου τρία.

Τής Εορτής

Ήχος πλ. α'
Χαίροις ασκητικών

Χαίροις ο ζωηφόρος Σταυρός, τής ευσεβείας τό αήττητον τρόπαιον, η θύρα τού Παραδείσου, ο τών πιστών στηριγμός, τό τής Εκκλησίας περιτείχισμα, δι' ού εξηφάνισται, η φθορά καί κατήργηται, καί κατεπόθη, τού θανάτου η δύναμις, καί υψώθημεν, από γής πρός ουράνια, Όπλον ακαταμάχητον, δαιμόνων αντίπαλε, δόξα Μαρτύρων Οσίων, ως αληθώς εγκαλλώπισμα, λιμήν σωτηρίας, ο δωρούμενος τώ Κόσμω τό μέγα έλεος.

Χαιροις ο τού Κυρίου Σταυρός, δι' ού ελύθη τής αράς τό ανθρώπινον, τής όντως χαράς σημείον, ο καταράσσων εχθρούς, εν τή σή υψώσει πανσεβάσμιε, ημών η βοήθεια, Βασιλέων κραταίωμα, σθένος δικαίων, Ιερέων ευπρέπεια, ο τυπούμενος, καί δεινών εκλυτρούμενος, ράβδος η τής δυνάμεως, υφ' ής ποιμαινόμεθα, όπλον ειρήνης εν φόβω, ό περιέπουσιν Άγγελοι, Χριστού θεία δόξα, τού παρέχοντος τώ κόσμω τό μέγα έλεος.

Χαίροις ο τών τυφλών οδηγός, τών ασθενούντων ιατρός, η ανάστασις, απάντων τών τεθνεώτων, ο ανυψώσας ημάς, εις φθοράν πεσόντας, Σταυρέ τίμιε, δι' ού διαλέλυται, η φθορά καί εξήνθησεν, η αφθαρσία, καί βροτοί εθεώθημεν, καί διάβολος, παντελώς καταβέβληται, Σήμερον ανυψούμενον, χερσί καθορώντές σε, Αρχιερέων υψούμεν, τόν υψωθέντα εν μέσω σου, καί σέ προσκυνούμεν, αρυόμενοι πλουσίως τό μέγα έλεος.

Τού Μάρτυρος

Ήχος α' Τών ουρανίων

Τόν αλιτήριον Μάρτυς κατεπολέμησας, τή παναλκίμω πίστει, τού Σωτήρος θεόφρον, βασάνους υπομείνας, όθεν σοφέ, τούς βαρβάρους επέστρεψας, πρός τόν τών όλων Δεσπότην καί ποιητήν, καί δοξάζουσιν αυτόν ευσεβώς.

Τά ακροθίνια Μάρτυς εκ τών βαρβάρων Χριστώ, δόξαν προσάξας ώφθης, αθλητά θεηγόρε, θανών υπέρ Τριάδος, όθεν σαφώς, καί τό στέφος απείληφας, καί ως φωστήρ διαλάμπεις θεοπρεπώς, εν τώ κόσμω αξιάγαστε.

Τήν ευσεβή πανοπλίαν αμφιεσάμενος, πρός πόλεμον εδείχθης, Χριστού τού Βασιλέως, Νικήτα αθλοφόρε, ως περ ποτέ, Γεδεών ο παγκράτιστος, τών αλλοφύλων τά στίφη καταβαλών, ρωμαλέα παρρησία σου.

Δόξα...

Ήχος πλ. β' Θεοφάνους

Φωστήρα τών Μαρτύρων σε έγνωμεν, Νικήτα τού Χριστού αθλητά, σύ γάρ τού επί γής αξιώματος, τήν δόξαν καταλείψας, καί πατρικήν αθεϊαν βδελυξάμενος, τούς θεούς αυτών συνέτριψας, καί νικητικώς τούς βαρβάρους κατήσχυνας, υπέρ Χριστού τό μαρτύριον τής ομολογίας εκπληρώσας, καί

στρατιώτης τού επουρανίου Θεού γέγονας, υπέρ ημών δυσωπών τόν ευεργέτην τού παντός, τού οικτειρήσαι καί σώσαι τάς ψυχάς ημών.

Καί νύν... Ο αυτός

Τών Προφητών αι φωναί, τό Ξύλον τό άγιον προκατήγγειλαν, δι' ού τής αρχαίας ηλευθερώθη κατάρας, τής τού θανάτου ο Αδάμ, η δέ κτίσις σήμερον, υψουμένου τούτου συνυψοί τήν φωνήν, τό εκ Θεού αιτουμένη πλούσιον έλεος, Αλλ' ο μόνος εν ελέει αμέτρητος Δέσποτα, ιλασμός γενού ημίν, καί σώσον τάς ψυχάς ημών.

Είσοδος Προκείμενον

Ήχος βαρύς

Ο Θεός ημών εν τώ ουρανώ καί εν τή γή, πάντα όσα ηθέλησεν, εποίησεν.
Στίχ. Έν εξόδω Ισραήλ εξ Αιγύπτου.
Στίχ. Η θάλασσα είδε, καί έφυγεν.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος πλ. β'

Όλην αποθέμενοι

Σταυρός ανυψούμενος, τού εν αυτώ υψωθέντος, τό πάθος τό άχραντον, ανυμνείν προτρέπεται κτίσιν άπασαν, εν αυτώ κτείνας γάρ, τόν ημάς κτείναντα, νεκρωθέντας ανεζώωσε, καί κατεκάλλυνε, καί εις ουρανούς πολιτεύεσθαι, ηξίωσεν ως εύσπλαγχνος, δι' υπερβολήν αγαθότητος, όθεν γεγηθότες, υψώσωμεν τό όνομα αυτού, καί τήν αυτού μεγαλύνωμεν, άκραν συγκατάβασιν.

Στίχ. Υψούτε Κύριον τόν Θεόν ημών καί προσκυνείτε τώ υποποδίω τών ποδών αυτού.

Μωσής προετύπου σε, χείρασεκτείνας εις ύψος, καί κατατροπούμενος, Αμαλήκ τόν τύραννον, Σταυρέ τίμιε, τών πιστών καύχημα, Αθλητών στήριγμα, Αποστόλων εγκαλλώπισμα, Δικαίων πρόμαχε, πάντων τών Οσίων διάσωσμα, διό σε ανυψούμενον, βλέπουσα η κτίσις ευφραίνεται, καί πανηγυρίζει, δοξάζουσα Χριστόν τόν διά σού, τά διεστώτα συνάψαντα, άκρα αγαθότητι.

Στίχ. Ο δέ Θεός Βασιλεύς ημών πρό αιώνος ειργάστο σωτηρίαν εν μέσω τής γής.

Σταυρέ πανσεβάσμιε, όν περιέπουσι τάξεις, Αγγέλων γηθομεναι, σήμερον υψούμενος θείω νεύματι, ανυψοίς άπαντας, τούς κλοτή βρώσεως, απωσθέντας, καί εις θάνατον, κατολισθήσαντας, όθεν σε καρδία καί χείλεσι, πιστώς περιπτυσσόμενοι, τόν αγιασμόν αρυόμεθα, Υψούτε βοώντες, Χριστόν τόν υπεράγαθον Θεόν, καί τό αυτού προσκυνήσατε, θείον υποπόδιον.

Δόξα... Ήχος πλ. δ'

Τής νίκης επώνυμος ανεδείχθης, Μάρτυς Νικήτα πανσεβάσμιε, έν σταδίω κηρύξας Χριστόν τόν Θεόν ημών, καί εναντίον βασιλέων καί τυράννων αυτόν ομολογήσας, διό μή παύση πρεσβεύων, υπέρ ειρήνης τού κόσμου, καί τών φιλοχρίστων ανάκτων, καί πάντων τών τήν μνήμην σου τελούντων πιστώς, τόν μόνον φιλάνθρωπον, λυτρωθήναι πάσης οργής.

Καί νύν... Ο αυτός

Η φωνή τού Προφήτου σου Μωϋσέως ο Θεός, πεπλήρωται η λέγουσα, Όψεσθε τήν ζωήν υμών κρεμαμένην, απέναντι τών όφθαλμών υμών, Σήμερον Σταυρός υψούται, καί κόσμος εκ πλάνης ηλευθέρωται, Σήμερον τού Χριστού η ανάστασις εγκαινίζεται, καί τά πέρατα τής γής αγάλλεται, εν κυμβάλοις Δαυϊτικοίς ύμνον σοι προσφέροντα, καί λέγοντα, Ειργάσω σωτηρίαν εν μέσω τής γής ο Θεός, Σταυρόν καί τήν ανάστασιν, δι' ών ημάς έσωσας, αγαθέ καί φιλάνθρωπε, Παντοδύναμε Κύριε, δόξα σοι.

Απολυτίκιον τού Αγίου

Ήχος δ'  Ταχύ προκατάλαβε

Ο Μάρτυς σου, Κύριε, εν τή αθλήσει αυτού, τό στέφος εκομίσατο τής αφθαρσίας, εκ σού τού Θεού ημών, έχων γάρ τήν ισχύν σου, τούς τυράννους καθείλεν, έθραυσε καί δαιμόνων, τά ανίσχυρα θράση. Αυτού ταίς ικεσίαις, Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

Τής Εορτής

Απολυτίκιον  Ήχος α'

Σώσον Κύριε τόν λαόν σου καί ευλόγησον τήν κληρονομίαν σου, νίκας τοίς Βασιλεύσι κατά βαρβάρων δωρούμενος καί τό σόν φυλάττων διά τού Σταυρού σου πολίτευμα.

Απολυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα  Ήχος α'

Τού λίθου σφραγισθέντος

Τού Σταυρού σου τό ξύλον προσκυνούμεν φιλάνθρωπε, ότι εν αυτώ προσηλώθης η ζωή τών απάντων, Παράδεισον ηνέωξας Σωτήρ, τώ πίστει προσελθόντι σοι Ληστή, καί τρυφής κατηξιώθη, ομολογών σοι, Μνήσθητί μου Κύριε, Δέξαι ως περ εκείνον καί ημάς, κραυγάζοντας, Ημάρτομεν, πάντες τή ευσπλαγχνία σου, μή υπερίδης ημάς.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα  Ήχος α'

Τόν τάφον σου Σωτήρ

Απλώσας εν Σταυρώ, τάς παλάμας Οικτίρμον, τά έθνη τά μακράν, από σού γεγονότα, συνήγαγες δοξάζειν σου, τήν πολλήν αγαθότητα, αλλ' επίβλεψον, επί τήν σήν κληρουχιαν, καί κατάβαλε, τούς καθ' ημών πολεμιους, Σταυρώ τώ τιμίω σου.

Δόξα... Καί νύν... Τό αυτό

Οι Κανόνες τής Εορτής, καί τού Αγίου, ού η, Ακροστιχίς.

Νίκης σε μέλπω τόν φερώνυμον πρόμον.

Θεοφάνους.

Ωδή α' Ήχος δ'

Θαλάσσης τό ερυθραίον

Νεκρώσας, τό τής σαρκός μου φρόνημα, τόν νούν καταύγασον, φωτιστική λαμπρότητι τήν σήν, ανυμνήσαι πανήγυριν, ως νικητής πανάριστος, καθικετεύων ώ Νικήτα Χριστόν.

Ιόν τόν εκ τών παθών γενόμενον, αποτιθέμενος, τούς αικισμούς υπέμεινας στερρώς, καί χιτώνα τόν έντιμον, μαρτυρικώς ενδέδυσαι, εκ σών αιμάτων υφαινόμενον.

Καινήν τε, καί θαυμασίαν έδειξας, οδόν αθλήσεως, υπέρ ημών τώ ξύλω προσπαγείς, απαρχή γάρ γεγένησαι, τής τών Μαρτύρων Δέσποτα, ομολογίας καί στερρότητος.

Θεοτοκίον

Η πύλη, τής πρός ημάς σου Κύριε, συγκαταβάσεως, ανατολήν καί ήλιον καί φώς, μυστικώς σε καλούμενον, υπερφυώς εξήστραψε, διπλούν τή φύσει τόν φιλάνθρωπον.

Ωδή γ'

Ευφραίνεται επί σοί

Στερρότητι τής ψυχής, τάς τών τυράννων απειλάς έφερες, Μάρτυς Χριστού ένδοξε, θεία δυναστεία ρωννύμενος.

Σαρκός σου τόν σκορπισμόν, καί τών μελών τήν εκκοπήν ήνεγκας, Μάρτυς Χριστού πανεύφημε, τήν δέ σήν ψυχήν συνεκρότησας.

Ευφραίνεται επί σοί, ο τών Μαρτυρων τού Χριστού σύλλογος, μνήμην τήν σήν σήμερον, επιτελουμένην θεώμενος.

Θεοτοκίον

Μαρία τό καθαρόν, τής παρθενίας καί σεπτόν σκήνωμα, τά χαλεπά τραύματα, τής εμής καρδίας θεράπευσον.

Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα, Σύ μου ισχύς Κύριε, καί καταφυγή, καί στερέωμα».

Κάθισμα Ήχος δ'
Ταχύ προκατάλαβε

Τών πόνων μακάριε, κατατρυφών τής σαρκός, τήν θείαν καί άπονον, εν Παραδείσω τρυφήν, αξίως απείληφας, στέφος αθανασίας, εκ Θεού δεδεγμένος, όθεν καί τών θαυμάτων, ποταμούς αναβλύζεις, τοίς πόθω καταφεύγουσι, Μάρτυς τή σκέπησου.

Δόξα... Καί νύν... Θεοτοκίον, όμοιον

Ταχύ προκατάλαβε, πρίν δουλωθήναι ημάς, εχθροίς βλασφημούσί σε, καί απειλούσιν ημίν, Χριστέ ο Θεός ημών, άνελε τώ Σταυρώ σου, τούς ημάς πολεμούντας, γνώτωσαν πώς ισχύει, Ορθοδόξων η πίστις, πρεσβείαις τής Θεοτόκου, μόνε φιλάνθρωπε.

Ωδή δ'

«Επαρθέντα σε ιδούσα η Εκκλησία, επί Σταυρού τόν Ήλιον τής δικαιοσύνης, έστη εν τή τάξει αυτής, εικότως κραυγάζουσα, Δόξα τή δυνάμει σου Κύριε».

Ενηδόμενος Κυρίου τή θεωρία, καί ταίς αυτού λαμπρότησιν, εντρυφών ο Μάρτυς, πάσχων ουκ ησθάνετο, καί χαίρων εκραύγαζε, Δόξα τή δυνάμει σου Κύριε.

Λελυτρωμένος τώ αίματι τού Δεσπότου, ο αθλητής Νικήτας, τό ίδιον αίμα, χαίρων προσκομίζει Χριστώ, δι' όν αναιρούμενος, Δόξα σοι Θεέ μου, εκραύγαζεν.

Πεπυρσευμένος τώ έρωτι τού Σωτήρος, ειδωλικήν ο Μάρτυς, κατεπάτησε φλόγα, πάσάν τε δαιμόνων ισχύν, καί κράζει τώ κτίσαντι, Δόξα τή δυνάμει σου Κύριε.

Θεοτοκίον

Ωραϊσμένος ποικίλη φωτοχυσία ο ουρανός ο έμψυχος, σού τού Βασιλέως, τών βασιλευόντων Χριστέ, Παρθένος η άχραντος, νύν ως Θεοτόκος δοξάζεται.

Ωδή ε'

«Σύ Κύριέ μου φώς, εις τόν κόσμον ελήλυθας, φώς άγιον επιστρέφον, εκ ζοφώδους αγνοίας τούς πίστει ανυμνούντάς σε».

Τίς δύναται λαλείν, σού Νικήτα τά έπαθλα, πανεύφημε τούς στεφάνους, ούς δωρείται Χριστός σοι, υπέρ αυτού αθλήσαντι;

Οι Μάρτυρες εν γή, τούς αγώνας ανύσαντες, ουράνιον εν υψίστοις, παρά σού Ζωοδότα, τήν αντίδοσιν έλαβον.

Νύν λάμπεις ως φωστήρ, ώ Νικήτα πανεύφημε, φώς δεύτερον χρηματίσας, τώ φωτί τώ μεγάλω ενδόξως παριστάμενος.

Θεοτοκίον

Φώς άχρονον ημίν, υπό χρόνον γενόμενον, εγέννησας Θεομήτορ, τοίς εν σκότει τού βίου, καί κόσμον κατεφώτισας.

Ωδή ς'

Θύσω σοι, μετά φωνής

Εθέλχθης, ταίς καλλοναίς τού Κτίσαντος Ένδοξε, καί τάς εκείθεν εμφάσεις, δεδεγμένος μάκαρ ανεπτερώθης, καί θανάτου, καταφρονών αυτώ προσεχώρησας.

Ρεόντων, λογιστικώ χρησάμενος σώφρονι, τά μή κενούμενα Μάρτυς προτιμήσας, σώμά σου τοίς βασάνοις ώ Νικήτα, μετ' ευφροσύνης χαίρων παρέδωκας.

Θεοτοκίον

Ως μήλον, εν τώ δρυμώ σε μόνην ευράμενος, καί καθαρώτατον κρίνον, καί κοιλάδων άνθος ώ Θεομήτορ, ο νυμφίος, ο νοητός εν σοί κατεσκήνωσε.

Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Κοντάκιον Ήχος β'

Τά άνω ζητών

Τής πλάνης τεμών, τό κράτος τή ενστάσει σου, καί νίκης λαβών, τό στέφος τή αθλήσει σου, τοίς Αγγέλοις ένδοξε, συναγάλλη Νικήτα φερώνυμε, σύν αυτοίς Χριστώ τώ Θεώ, πρεσβεύων απαύστως υπέρ πάντων ημών.

Ο Οίκος

Γνώσιν ενθείς τή ψυχή μου, κάθαρόν μου τήν φρένα καί τών σών εντολών εργάτην Σώτερ ανάδειξον, ίνα ισχύσω καταπαλαίσαι τάς ποικίλας τών παθών μου επαναστάσεις, νικητικόν αφθαρσίας βραβείόν τε δέξασθαι, πρεσβείαις τού σού γενναίου αθλοφόρου Νικήτα, φιλάνθρωπε, καί γάρ αυτός ημάς εν τή μνήμη αυτού συνεκαλέσατο, πρεσβεύων απαύστως υπέρ πάντων ημών.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΕ' τού αυτού μηνός, Άθλησις τού Αγίου Μεγαλομάρτυρος Νικήτα.

Στίχοι

- Φλέγη, Νικήτα, καί γίνη νικηφόρος,
- Η μάλλον ειπείν, πυρφόρος νικηφόρος.
- Πέμπτη καί δεκάτη καμίνω βλήθη Νικήτας.

Τή αυτή ημέρα, Μνήμη τού οσίου Πατρός ημών Φιλοθέου Πρεσβυτέρου καί θαυματουργού.

Στίχοι

- Ζήσας ο Φιλόθεος ως Θεώ φίλος.
- Ζωήν άληκτον εύρε σύνΘεώ φίλοις.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Πορφυρίου τού από Μίμων.

Στίχοι

- Βάπτισμα παίξαι προτραπείς, παίζεις πλάνην,
- Ρύπτη δέ Πορφύριε, καί τέμνη ξίφει.

Τή αυτή ημέρα, Η εύρεσις τού λειψάνου τού Αγίου Ακακίου Επισκόπου Μελιτηνής.

Στίχοι

- Τιμώντες ημείς εύρεσιν σού λειψάνου,
- Εύροιμεν Ακάκιε τών κακών λύσιν.

Τή αυτή ημέρα, ο Άγιος Μάρτυς Μάξιμος ξίφει τελειούται.

Στίχοι

- Χριστόν θεωρών σοι προτείνοντα στέφος,
- Τήν σήν προτείνεις Μάξιμε ξίφει κάραν.

Τή αυτή ημέρα, αι Άγιαι δύο Κόραι ξίφει τελειούνται.

Στίχοι

- Γνώμην έχουσαι καί προθυμίαν μίαν,
- Κόραι δύο κλίνουσιν αυχένας ξίφει.

Τή αυτή ημέρα, Η εύρεσις τού λειψάνου τού Αγίου Πρωτομάρτυρος Στεφάνου.

Στίχοι

- Εύρημα κοινόν ο Στέφανος τή κτίσει,
- Θεού μεγίστου πρωταγωνιστής μέγας.

Ο εν αγίοις πατήρ ημών Βησσαρίων αρχιεπίσκοπος Λαρίσσης εν ειρήνη τελειούται.

Ο όσιος Γεράσιμος, ο κτίτωρ τής μονής τής αγίας Τριάδος τής επονομαζομένης Σουρβιάς, τής παρά τήν Μακρυνίτσαν τής Ζαγοράς, εν ειρήνη τελειούται.

Ο άγιος νεομάρτυς, Ιωάννης ο Κρής, ο μαρτυρήσας εν τή νέα Εφέσω κατά τό 1811, ξίφει τελειούται.

Ταίς τών σών Μαρτύρων ευχαίς, Χριστέ ο Θεός, ελέησον καί σώσον ημάς. Αμήν.

Ωδή ζ'

Εντήκαμίνω

Νύν απροσίτω, τή λαμπηδόνι καταυγαζόμενος, Μάρτυς τούς υμνούντας νύν τήν σήν εορτήν, τώ φωτί σου καταλάμπρυνον, Ευλογημένος ει, ο Θεός μου, κραυγάζων καί Κύριος.

Υπερηγάσθη, σού τήν ανδρείαν τά στρατεύματα, μάκαρ τών Αγγέλων βλέποντα καρτερώς, εναθλούντά σε καί λέγοντα, Ευλογημένος ει, εν τώ ναώ τής δόξης σου Κύριε.

Θεοτοκίον

Μετά τής άνω, χοροστασίας ο ασώματος, Χαίρε Θεοτόκε πάναγνε Γαβριήλ, αγαλλόμενος κραυγάζει σοι, Ευλογημένη σύ εν γυναιξίν, υπάρχεις Πανάμωμε.

Ωδή η'

Χείρας εκπετάσας

Ολόκληρον θύμα καί δεκτόν, σαυτόν προσήγαγες Μάρτυς αήττητε, καί ολοκάρπωμα γέγονας, ευωδίας τώ Δεσπότη σου, τώ σταυρωθέντι δι' ημάς, μετ' ευφροσύνης βοών, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Νομίμως ως θείος αριστεύς, εχθρού τάς φάλαγγας καταστρεψάμενος, αξίως είληφας στέφανον, τόν τής νίκης τόν αμάραντον, εκ ζωηφόρου δεξιάς, ή νύν παρέστηκας αναμέλπων, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Ποθήσας ασχέτως τόν Χριστόν, τώ τούτου αίματι, τό σόν κατέμιξας, καί συντεμνόμενος μάστιξι, καί ποικίλως αναιρούμενος, ώ περ καί νύν ως μιμητής, συμβασιλεύεις βοών, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Θεοτοκίον

Ρύπον τόν τής φύσεως ημών, Χριστόν κυήσασα τόν μόνον άχραντον, σαφώς απέπλυνας άχραντε, Θεοτόκε παναμώμητε, καί Χερουβίμ καί Σεραφίμ, γέγονας ύπερθεν, τών βοώντων, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Ωδή θ'

Λίθος αχειρότμητος

Όλον εμαυτόν σοι προσφέρω, θεομακάριστε Νικήτα, ίνα σε πλουτήσω προστάτην, πρός τόν Δεσπότην σώζειν δυνάμενον, εκ πάσης περιστάσεως, καί σωτηρίας θείας πρόξενον.

Μάρτυς αληθώς χρηματίσας, τής αληθείας Αθλοφόρε, τή ενυποστάτω καί σεπτή, νύν άληθεία χαίρων παρίστασαι, τά τών αγώνων έπαθλα, σύν παρρησία κομισάμενος.

Όρμω γαληνώ προσωρμίσθης, αναπαυσάμενος τών πόνων, καί στεφανηφόρος χορεύεις εν Παραδείσω, μετά Μαρτύρων Χριστού, διό σε νύν πανόλβιε, πάντες αξίως σε δοξάζομεν.

Νέμοις μοι τήν άφθονον χάριν, τούς τών επαίνων σοι τοίς λόγοις, πλέξαντι προθύμως στεφάνους, ρυόμενός με τής αμαρτίας μου, καί τών δεινών μου πράξεων, ταίς σαίς πρεσβείαις Παμμακάριστε.

Θεοτοκίον

Νόμων τών τής φύσεως δίχα, τόν νομοδότην αποτίκτεις, σάρκα γεγονότα ατρέπτως, δι' ευσπλαγχνίαν ανεξιχνίαστον, ευλογημένη Άχραντε, δυσίν ουσίαις γνωριζόμενον.

Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας, τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Εξαποστειλάριον τού Μάρτυρος

Τοίς Μαθηταίς συνέλθωμεν

Ως ετροπώσω πάνσοφε, τού Σταυρού τή δυνάμει, βαρβαρικήν θρασύτητα, καί τυράννων μανίαν, στήσον γενναίε Νικήτα, καί ημών ταίς ευχαίς σου, τά τής σαρκός κινήματα, καί παθών τάς εφόδους, αμαρτιών, λύσιν παρεχόμενος, αθλοφόρε, ως παρρησίαν άπλετον, πρός Θεόν κεκτημένος.

Καί τής Εορτής

Τών Μαθητών ορώντων σε

Σταυρός, ο φύλαξ πάσης τής οικουμένης, Σταυρός, η ωραιότης τής Εκκλησίας, Σταυρός, Βασιλέων τό κραταίωμα, Σταυρός πιστών τό στήριγμα, Σταυρός Αγγέλων η δόξα, καί τών δαιμόνων τό τραύμα.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος β'

Οίκος τού Εφραθά

Σήμερον τού Χριστού, ο Σταυρός ανυψούται, τό ζωηφόρον ξύλον, εν ώ σαρκί επάγη, πάντας ανακαλούμενος.

Στίχ. Υψούτε Κύριον τόν Θεόν ημών καί προσκυνείτε τώ υποποδίω τών ποδών αυτού.

Χαίροις τό τών πιστών, φυλακτήριον θείον, απροσμάχητον τείχος, Σταυρός ο τού Κυρίου, δι' ού από γής ήρθημεν.

Στίχ. Ο δέ Θεός Βασιλεύς ημών πρό αιώνος ειργάστο σωτηρίαν εν μέσω τής γής.

Δεύτε χαρμονικώς, ασπασώμεθα πάντες, τό σωτήριον ξυλον, εν ωεξετανύθη,

Χριστός η απολύτρωσις.

Δόξα... Ήχος πλ. β'

Σήμερον η οικουμένη πάσα, τή τού αθλοφόρου αγάλλεται αθλήσει, καί η τού Χριστού Εκκλησία, τοίς άνθεσιν ωραϊζομένη, Χριστομάρτυς βοά σοι, θεράπον Χριστού, καί προστάτα θερμότατε, μή ελλίπης πρεσβεύειν υπέρ τών δούλων σου.

Καί νύν... ο αυτός

Σήμερον τό φυτόν τής ζωής εκ τών τής γής αδύτων ανιστάμενον, τού εν αυτώ παγέντος Χριστού, πιστούται τήν ανάστασιν, καί ανυψούμενον χερσίν ιεραίς, τήν αυτού πρός ουρανούς, καταγγέλλει ανύψωσιν, δι' ής τό ημέτερον φύραμα, εκ τής εις γήν καταπτώσεως, εις ουρανούς πολιτεύεται, διό ευχαρίστως βοήσωμεν, Κύριε, ο υψωθείς εν αυτώ, καί δι' αυτού συνανυψώσας ημάς, τής ουρανίου χαράς αξίωσον τούς υμνούντάς σε.

Εις τήν Λειτουργίαν, Τυπικά, καί Μακαρισμοί από τού Κανόνος τής Εορτής καί τού Αγίου.

Προκείμενον  Ήχος βαρύς

Ευφρανθήσεται δίκαιος εν Κυρίω, καί ελπιεί επ' αυτόν καί επαινεσθήσονται πάντες οι ευθείς τή καρδία.
Στίχ. Εισάκουσον ο Θεός τής φωνής μου εν τώ δέεσθαί με από φόβου εχθρού εξελού τήν ψυχήν μου.

Ο Απόστολος πρός Τιμόθεον

Τέκνον Τιμόθεε, ενδυναμού...

Ζήτει Οκτωβρίου κς'

Αλληλούϊα

Δίκαιος ως φοίνιξ ανθήσει καί ωσεί κέδρος η εν τώ Λιβάνω πληθυνθήσεται.

Ευαγγέλιον κατά Ματθαίον

Είπεν ο Κύριος, ιδού εγώ αποστέλλω υμάς ως πρόβατα εν μέσω λύκων...

Κοινωνικόν

Εις μνημόσυνον αιώνιον έσται Δίκαιος. Αλληλούια.

---

Αρχή

## ΤΗ ΙΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής Αγίας Μεγαλομάρτυρος καί Πανευφήμου Ευφημίας.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά τής Εορτής γ'.

Ήχος β'
Ότε εκ τού ξύλου σε νεκρόν

Ώφθη, η τού ξύλου πονηρά, γεύσις εν Εδέμ τοίς γενάρχαις, συμβάσα πάλαι δεινώς, θάνατον εισάξασα παντί τώ γένει βροτών, αλλά νύν πρός ακήρατον, ζωήν καί αμείνω, λήξιν ανεκλήθημεν, διά τού θείου Σταυρού, όν περ ανυψούντες υμνούμεν, τόν ανυψωθέντα εν τούτω, Κύριον καί κόσμον, συνυψώσαντα.

Ήρας, τό πλανώμενον Σωτήρ, πρόβατον επ' ώμων καί τούτο, τώ σώ προσήξας Πατρί, διά τού τιμίου σου, καί ζωηφόρου Σταυρού, καί Αγγέλοις ηρίθμησας, εν Πνεύματι θείω, ξύλον γάρ αντέθηκας, αντί τού ξύλου Χριστέ, όν νύν ανυψούντες εν πίστει, σέ τόν εν αυτώ υψωθέντα, καί ημάς υψώσαντα δοξάζομεν.

Στώμεν, εν τώ οίκω τού Θεού, πράξεσι κομώντες ενθέοις, και τόν Κρανίου πιστοί, χώρον εποπτεύσωμεν, καθαρωτάτω νοϊ, καί υψούμενον βλέψωμεν, βροτοί σύν Αγγέλοις, ξύλον τό πανάγιον, εν ώ Χριστός ο Θεός, χείρας εκουσίως απλώσας, είλκυσεν εζώγρησε πάντας, καί πρός ουρανούς ημάς ανύψωσεν.

Καί τής Αγίας γ'

Ήχος δ'
Ως γενναίον

Παρθενίας εν κάλλεσι, καί Μαρτύρων εν αίμασι, τήν ψυχήν λαμπρύνασα, Μάρτυς ένδοξε, κατηγγυήθης τώ κτίσαντι, τηρούντί σε άφθορον, εις αιώνας αληθώς, περί τούτον χορεύουσα, σύν στρατεύμασιν, Αρχαγγέλων, Αγγέλων, Αποστόλων, Προφητών τε καί Μαρτύρων, χοροστασίαις πανεύφημε.

Καί τροχοίς ομιλήσασα, καί θηρσί προσπαλαίσασα, καί πυρί καί ύδατι στομωθείσά σου, τόν λογισμόνθείω Πνεύματι, τού σκότους τόν άρχοντα, ταίς τού αίματος ροαίς, ανδρικώς εναπέπνιξας, καί ανέδραμες, νοητούς πρός θαλάμους ώσπερ προίκα, τώ νυμφίω σου Παρθένε, προσαγαγούσα τήν άθλησιν.

Καί θανούσα αείζωον, τών αιμάτων τήν πρόσχυσιν, εις Κυρίου αίνεσιν Μάρτυς έβλυσας, τούς μέν πιστούς καταρδεύουσα, καί γνώσει φωτίζουσα, τούς απίστους δέ εχθρούς, εν αυτοίς αποπνίγουσα, όθεν τόμος σοι, εμπιστεύεται θείος, όν φυλάττεις, καί κρατύνεις εις αιώνας, τής Εκκλησίας τά δόγματα.

Δόξα... Ήχος πλ. β'
Ανατολίου

Η διηνθισμένη ταίς αρεταίς, καί πεφωτισμένη τόν λογισμόν, η μύρα προχέουσα εν ταίς καρδίαις τών πιστών, η εκ τής Εώας ανατείλασα, ως αστήρ φαεινός, καί αθροισμόν ποιήσασα, διά τής τού Αγίου Πνεύματος

επιφοιτήσεως, τών θείων Πατέρων, μή διαλίπης υπέρ ημών δυσωπούσα πρός Κύριον, Ευφημία πανένδοξε, σωθήναι τάς ψυχάς ημών.

Καί νύν... ο αυτός

Ο τετραπέρατος κόσμος, σήμερον αγιάζεται, τού τετραμερούς υψούμένου σου Σταυρού, Χριστέ ο Θεός ημών, καί τό κέρας τών πιστών συνυψούται Βασιλέων ημών, συντριβόντων εν αυτώ, τών δυσμενών τά κέρατα, Μέγας εί Κύριε, καί θαυμαστός εν τοίς έργοις σου! δόξα σοι.

Απόστιχα Στιχηρά

Ήχος πλ. β'

Τριήμερος ανέστης

Ραπίσματα υπήνεγκας, καί σταύρωσιν μακρόθυμε, καί ονείδη, θέλων πάντας εκ χειρός, λυτρώσασθαι τού πλάνου, ο μόνος ζωοδότης, καί πανοικτίρμων καί φιλάνθρωπος.

Στίχ. Υψούτε Κύριον τόν Θεόν ημών καί προσκυνείτε τώ υποποδίω τών ποδών αυτού.

Τιμώ σου τόν Σταυρόν αγαθέ, τούς ήλους καί τήν λόγχην Σωτήρ, δι' ών πάντας, ελυτρώσω τής φθοράς, ως μόνος ζωοδότης, καί πάντων ευεργέτης, μόνε φιλάνθρωπε Σωτήρ ημών.

Στίχ. Ο δέ Θεός Βασιλεύς ημών πρό αιώνος ειργάστο σωτηρίαν εν μέσω τής γής.

Σταυρώ προσηλωθείς δι' εμέ, Σωτήρ μου υπεράγαθε, ερραπίσθης, καί υβρίσθης λυτρωτά, καί όξος εποτίσθης, καί λόγχη εκεντήθης, καί πάντα φέρεις αναμάρτητε.

Δόξα... Ήχος πλ. δ'

Βυζαντίου

Πάσα γλώσσα κινείσθω πρός ευφημίαν, τής πανενδόξου Ευφημίας, άπαν γένος, καί ηλικία πάσα, νεανίσκοι καί παρθένοι, τήν Χριστού παρθενομάρτυρα, εγκωμίοις στεφανώσωμεν, νομίμως γάρ ανδρισαμένη, καί τό χαύνον τού θήλεος απορρίψασα, δι' αθλητικών πόνων, τόν τύραννον εχθρόν καταβέβληκεν, ουρανίω δέ καί θείω σθένει κοσμηθείσα, αιτείται τόν νυμφίον καί Θεόν, δωρήσασθαι ημίν τό μέγα έλεος.

Καί νύν... ο αυτός

Όν περ πάλαι Μωϋσής, προτυπώσας εν εαυτώ τόν Αμαλήκ καταβαλών ετροπώσατο, καί Δαυϊδ ο μελωδός, υποπόδιόν σοι βοών, προσκυνείσθαι διετάξατο, τίμιον Σταυρον σου, Χριστέ ο Θεός, σήμερον αμαρτωλοί προσκυνούντες, χείλεσιν αναξίοις, σέ τόν καταξιώσαντα παγήναι εν αυτώ, ανυμνούντες δεόμεθα, Κύριε, σύν τώ Ληστή, τής βασιλείας σου αξίωσον ημάς.

Απολυτίκιον τής Αγίας

Ήχος δ'

Η αμνάς σου Ιησού, κράζει μεγάλη τή φωνή, Σέ νυμφίε μου ποθώ, καί σέ ζητούσα αθλώ, καί συσταυρούμαι, καί συνθάπτομαι τώ βαπτισμώ σου, καί πάσχω διά σέ, ως βασιλεύσω σύν σοί, καί θνήσκω υπέρ σού, ίνα καί ζήσω εν σοί αλλ' ως θυσίαν άμωμον, προσδέχου τήν μετά πόθου τυθείσάν σοι, Αυτής πρεσβείαις, ως ελεήμων, σώσον τάς ψυχάς ημών.

Τής Εορτής

Απολυτίκιον Ήχος α'

Σώσον Κύριε τόν λαόν σου καί ευλόγησον τήν κληρονομίαν σου, νίκας τοίς Βασιλεύσι κατά βαρβάρων δωρούμενος καί τό σόν φυλάττων διά τού Σταυρού σου πολίτευμα.

Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα τής Αγίας

Ήχος δ' Ο υψωθείς εν τώ Σταυρώ

Τόν νυμφίον σου Χριστόν αγαπήσασα, τήν λαμπάδα σου φαιδρώς ευτρεπίσασα, ταίς αρεταίς διέλαμψας Πανεύφημε, όθεν εισελήλυθας, σύν αυτώ εις τούς γάμους, τό στέφος τής αθλήσεως, παρ' αυτού δεξαμένη, αλλ' εκ κινδύνων λύτρωσαι ημάς, τούς εκτελούντας εν πίστει τήν μνήμην σου.

Δόξα... Καί νύν... Τής Εορτής

Ο υψωθείς εν τώ Σταυρώ εκουσίως, τή επωνύμω σου και νή πολιτεία, τούς οικτιρμούς σου δώρησαι, Χριστέ ο Θεός, Εύφρανον εν τή δυνάμει σου, τούς πιστούς Βασιλείς ημών, νίκας χορηγών αυτοίς, κατά τών πολεμίων, τήν συμμαχίαν έχοιεν τήν σήν, όπλον ειρήνης αήττητον τρόπαιον.

Μετά τήν β' Στιχολογίαν

Κάθισμα τής Αγίας

Ήχος δ' Ο υψωθείς εν τώ Σταυρώ

Οι αγώνές σου Σεμνή καί ο στέφανος, οι ιδρώτές σου αγνή καί τά θαύματα, τού διαβόλου ήσχυναν τά τρόπαια, Χριστόν γάρ τόν νυμφίον σου, εκ καρδίας ποθούσα, ου μάστιγας ου θανατον, δι' αυτόν επτοήθης, αλλ' ανετέθης όλη τώ Θεώ, τής ευσεβείας φορούσα τόν στέφανον.

Δόξα... Καί νύν... Τής Εορτής

Εν παραδείσω με δεινώς πεπτωκότα, τού βροτοκτόνου τή πικρά συμβουλία, εν τώ κρανίω πάλαι εξανέστησας Χριστέ, ξύλω ιασάμενος, τήν τού ξύλου κατάραν, κτείνας τόν απάτη με, θανατώσαντα όφιν, καί εδωρήσω θείαν μοι ζωήν, Δόξα τή θεία Σταυρώσει σου Κύριε.

Εις τόν ναόν τής Αγίας ψάλλεται τό παρόν Πεντηκοστάριον.

Ήχος δ'
Πρός τό, Αναστάς ο Ιησούς

Ευφημείν σε τήν σεμνήν, κόρην πανεύφημε Ευφημία, δίδου μοι ισχύν, ικετεύουσα Χριστόν τού ελεήσαί με.

Ο Κανών τής Εορτής, καί τής Αγίας, ού η Ακροστιχίς.

Εγκωμιάζω τήν πανεύφημον κόρην.

Άνευ τών Θεοτοκίων.

Ιωάννου Μοναχού.

Ωδήα' Ήχος πλ. δ'
Άσωμεν τώ Κυρίω

Έλκει πρός υμνωδίαν, τών υπερκοσμίων τά συστήματα, τών βροτών τάς χορείας, η πανεύφημος Κόρη τοίς θαύμασιν.

Γένος υπεριδούσα, καί τήν εκ τού πλούτου περιφάνειαν, η σεπτή Ευφημία, αντί πάντων Χριστόν επεκτήσατο.

Κάλλος επιθυμήσας, τής ωραιοτάτης σου πανεύφημε, ο Δεσπότης καρδίας, ουρανίων θαλάμων ηξίωσεν.

Θεοτοκίον

Άχραντε Θεοτόκε, η σεσαρκωμένον τόν αϊδιον, καί υπέρθεον Λόγον, υπέρ φύσιν τεκούσα, υμνούμέν σε.

Ωδή γ'
Σύ εί τό στερέωμα

Ώφθης επί βήματος, αρρενωπόν ψυχήν φέρουσα, καί τόν εχθρόν, ανδρικοίς εν άθλοις, ετροπώσω Πανεύφημε.

Μώμος εν τώ κάλλει σου, ουδέ ρυτίς ψυχής πέφυκε, καί σέ Χριστός, νύμφην ακηράτοις, εν νυμφώσι προσήκατο.

Ίασαι πανεύφημε, τούς τής εμής ψυχής μώλωπας, Μάρτυς Χριστού, θραύσον σαίς πρεσβείαις, τού εχθρού τά σοφίσματα.

Θεοτοκίον

Σέ πάντες κεκτήμεθα, καταφυγήν καί σκέπην ημών, Χριστιανοί, σέ δοξολογούμεν, ασιγήτως Θεόνυμφε.

Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Κάθισμα  Ήχος πλ. δ'
Τήν Σοφίαν καί Λόγον

Τών αιμάτων σου ρείθροις Μάρτυς Χριστού, ποντισμόν ασεβείας διηνεκώς, εργάζη πανεύφημε, επομβρίαις δέ χάριτος, λογικάς αρούρας, αρδεύουσα πάνσεμνε, εν αυταίς αυξάνεις, τόν στάχυν τής πίστεως, όθεν παραδόξως μετά θάνατον ώφθης, νεφέλη πηγάζουσα, τής ζωής τό μαρτύριον, Αθλοφόρε πανεύφημε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω τήν αγίαν μνήμην σου.

Δόξα... Καί νύν... Τής Εορτής

Τόν Σταυρόν τού Σωτήρος από τής γής, κεκρυμμένον ανείλετο εν σπουδή, χαράς τε εμπίπλησιν, οικουμένης τά πέρατα, καί τεμένη θεσπίζει, υψούσθαι έν Πνεύματι, καί τό σκήπτρον κομίζει, επί τά βασίλεια, η σεπτή Ελένη, τώ υιώ εκβοώσα, Υφάπλωσον Δέσποτα, τάς σάς χείρας καί πρόσδεξαι, τόν δεικνύμενον άπασι, κράτος σου καί νίκας σοφέ, καί τά έθνη δίδαξον εν χάριτι, προσκυνείν τόν Σταυρόν καί τά πάθη Χριστού.

Ωδή δ'
Εισακήκοα Κύριε

Ακηλίδωτον έσοπτρον, θείων εννοιών σαυτήν καταστήσασα, ως φωστήρ αριπρεπέστατος, αθλητών εν μέσω, Μάρτυς έλαμψας.

Ζοφερώ ού προσήνεγκας, δαίμονι θυσίαν, Μάρτυς αήττητε, ζωηφόρον γάρ ηγάπησας, υπέρ ευσεβείας σπείσαι θάνατον.

Ως ανάλγητον φέρουσα, σύν τοίς αθλοφόροις σώμα η Άμεμπτος, ταίς αικείαις ανεπαίσθητος, διετέλει θείας στοργής έρωτι.

Τληπαθούν σου τό πρόσωπον, Μάρτυς ταίς βολαίς λαμπρώς εφαιδρύνετο, αστραπή δέ θείου Πνεύματος, τών εχθρών ημαύρου τήν διάνοιαν.

Θεοτοκίον

Ιλασμόν ημίν δώρησαι, τών αγνοημάτων ως αναμάρτητος, καί ειρήνευσον τόν κόσμον σου, ο Θεός πρεσβείαις τής τεκούσης σε.

Ωδή ε'
Ορθρίζοντες βοώμέν σοι

Ημέρας καί ειρήνης αντίθετον, επιγνούσα, στέργειν ουκ ηξίωσας τόν φιλοπόλεμον δαίμονα.

Νομίσας σου εκλύειν τόν ένθεον, Μάρτυς τόνον, γέλως απεδείκνυτο, ταίς μηχαναίς ο παμπόνηρος.

Παράσχου φωτισμόν μοι Πανεύφημε, καί ειρήνην, λύουσα πρεσβείαις σου, τήν πολυτάραχον άγνοιαν.

Θεοτοκίον

Παρθένον μετά τόκον υμνούμέν σε, Θεοτόκε, σύ γάρ τόν Θεόν Λόγον, σαρκί τώ κόσμω εκύησας.

## Ωδή ς'

## Χιτώνά μοι παράσχου

Ανδρείον εν θηλεία τή σαρκί, τής ψυχής τό φρόνημα, φέρουσα Ένδοξε, τών εν ύδασι θηρών κατεφρόνησας.

Νενίκηκας τυράννων τήν οφρύν, ασινής εν ύδασι, Μάρτυς αήττητε, συν θηρσίν ως Ιωνάς διαμείνασα.

## Θεοτοκία

Ερρύσατο θηρών διαφθοράς, επακούσας Κύριος, σού τής δεήσεως, ως εκ λάκκου Δανιήλ, σέ Πανεύφη με.

Η μόνη διά λόγου εν σαρκί, τόν Λόγον κυήσασα, ρύσαι δεόμεθα, τών παγίδων τού εχθρού, τάς ψυχάς ημών.

## Ο Ειρμός

«Χιτώνα μοι παράσχου φωτεινόν, ο αναβαλλόμενος, φώς ως ιμάτιον, πολυέλεε Χριστέ ο Θεός ημών».

## Κοντάκιον  Ήχος δ'

## Ο υψωθείς εν τώ Σταυρώ

Εν τή αθλήσει σου καλώς ηγωνίσω, καί μετά θάνατον ημάς αγιάζεις, ταίς τών θαυμάτων βλύσεσι Πανεύφημε, όθεν σου τήν κοίμησιν, τήν αγίαν τιμώμεν, πίστει παριστάμενοι, τώ σεπτώ σου λειψάνω, ίνα ρυσθώμεν νόσων ψυχικών, καί τών θαυμάτων τήν χάριν αντλήσωμεν.

## Ο Οίκος

Τής πανευφήμου ο ναός, Παράδεισος εδείχθη, εν μέσω κεκτημένος, φυτόν αθανασίας, τό σώμα ταύτης τό σεπτόν, Τούτου οι τρυγώντες καρπούς τούς ευθαλείς, συντόμως αγιάζονται, ορώντες δέ θαυμάζουσιν, ότι πώς τό νεκρόν σώμα, ώσπερ ζών, αναβλυστάνει τά αίματα, μυρίζοντα πάντας, Διό μετά σπουδής δεύτε πάντες σύν εμοί τώ ταπεινώ, καί καθαρθέντες μολυσμού παντός, περιπτυξώμεθα τούτο, καί τών θαυμάτων τήν χάριν αντλήσωμεν.

## Συναξάριον

Τή ΙΣΤ' τού αυτού μηνός, Μνήμη τής Αγίας Μεγαλομάρτυρος καί πανευφήμου Ευφημίας.

## Στίχοι

- Υπέρ Θεού κτανθείσαν άρκτου ταίς μύλαις,
- Ευφημίαις σε χρή στέφειν Ευφημία.
- Τή εκκαιδεκάτη Ευφημίαν έκτανεν άρκτος.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος Μελιτηνής.

## Στίχοι

- Μελιτηνή, τμηθείσα τήν κάραν ξίφει,
- Αίμα προσήγεν ως γλυκύ Χριστώ μέλι.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς.' Αμήν.

Ωδή ζ'

Οι εκ τής Ιουδαίας

Υπέρ έννοιαν ώφθη, τά τών θείων Μαρτύρων ανδραγαθήματα, ο Κτίστης γάρ τών όλων, τήν κτίσιν υποτάττει, τοίς εν άθλοις κραυγάζουσιν, ο τών Πατέρων ημών, Θεος ευλογτός εί.

Φληναφούντα εμφράττει, η αοίδιμος Κόρη τυράννων στόματα, τερθρείαις παρανόμοις, εν πνεύματι Αγίω, θεϊκώς αντιμέλπουσα, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Η τριάς τών Οσίων, τούς εκκαύσαντας πάλαι φλέγει τήν κάμινον, νυνί δέ η θεόφρων, Τριάδα ανυμνούσα, υπηρέτας εζώγρησε, τόν τών Πατέρων Θεόν, υμνούντας εις αιώνας.

Μυστικώς ο νυμφίος, πρός τήν πάναγνον νύμφην, εν τή καμίνω μολών, τού Πνεύματος τή δρόσω, Πατρός ευδοκία, διεσώσατο ψάλλουσαν, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Θεοτοκίον

Τήν ημών σωτηρίαν, ως ηθέλησας Σώτερ οικονομήσασθαι, εν μήτρα τής Παρθένου, κατώκησας τώ κόσμω, ήν προστάτιν ανέδειξας, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Ωδή η'

Τόν Βασιλέα

Ολβιωτάτη εν γυναιξί τού Υψίστου, αντί φερνής έχουσα τήν χάριν, έψαλλες υμνούσα, Χριστόν εις τούς αιώνας.

Νενευρωμένη τόν λογισμόν τού νυμφίου, τώ αΰλω έρωτι τό σώμα, δέδωκας θανάτω, καί ζής εις τούς αιώνας.

Κατά τής πλάνης ώσπερ θηρός οπλισθείσα, τώ αγίω Πνεύματι η Μάρτυς, ήρατο βραβεία, εις πάντας τούς αιώνας.

Ου ψυχοφθόρον μόρον είλου, ευθαρσώς δέ, τού θηρός τώ δήγματι αγήρω, άμεμπτε ηλλάξω, ζωήν εις τούς αιώνας.

Θεοτοκίον

Τούς βοηθείας τής παρά σού δεομένους, μή παρίδης Παρθένε υμνούντας, καί υπερυψούντάς σε Κόρη εις αιώνας.

Ο Ειρμός

«Τόν Βασιλέα τών ουρανών όν υμνούσι, στρατιαί τών Αγγέλων υμνείτε, καί

υπερυψούτε εις πάντας τούς αιώνας».

Ωδή θ'
Σέ τήν απειρόγαμον

Ρύσις ζώντος αίματος, τεκμήριον τής ακηράτου, σοί δεδωρημένης άνωθεν, ζωής Μάρτυς πανεύφημε, τών γάρ ιαμάτων, θησαυρός αδιάλειπτος, τοίς εν πίστει αρυομένοις αναδέδειξαι.

Ηψατό σου θάνατος, θεόφρον φύσεως τώ νόμω, τήν δέ ζωηφόρον νέκρωσιν, απαθώς αμφιέννυσαι, ή ως ψυχικόν σου σώμα θείσα τό πάναγνον, ζής αφθάρτως, καί μαρτυρεί σου τά αιμόρρυτα.

Νόμοις τής αθλήσεως, στεφθείσα Μάρτυς χριστοκήρυξ, τόμον ευσεβώς πεπίστευσαι, Ευφημία δογμάτων σεπτών, όν εκ χειρών Συνοδικών, στήλη κατέχουσα, ώσπερ ζώσα, ορθοδοξίας επιδείκνυσαι.

Θεοτοκίον

Νύμφη απειρόγαμε, τό σκεύος τό τής ευωδίας, σέ ως αληθή καί άμωμον, καί αϋλου νεφέλην φωτός, τήν εισδεξαμένην τόν ουράνιον όμβρον εν τή νηδύϊ, Παρθενομήτορ μεγαλύνομεν.

Ο Ειρμός

«Σέ τήν απειρόγαμον, Θεού Μητέρα τού Υψίστου, σέ τήν υπέρ νούν κυήσασαν, διά λόγου τόν όντως Θεόν, τήν υψηλοτέραν τών αχράντων Δυνάμεων, ασιγήτοις δοξολογίαις μεγαλύνομεν».

Εξαποστειλάριον
τών Μαθητών

Τής πανευφή μου Μάρτυρος Ευφημίας, τήν μνήμην συνελθόντες ανευφημούμεν, αυτη γάρ τόν όρον ορθοδοξίας, εκ τών Πατέρων είληφε, καί τούτον διατηρούσα, τούς ορθοδόξους λαμπρύνει.

Τού Σταυρού όμοιον

Σταυρός, τού κόσμου πέφυκε σωτηρία, Σταυρός, Αγίων πάντων η βακτηρία, Σταυρός, Βασιλέων τό στερέωμα, Σταυρός, πιστών οχύρωμα, Σταυρός, ανθρώπων η ρώσις, Σταυρός, δαιμόνων η πτώσις.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Ιδιόμελα τής Αγίας.

Ήχος γ'

Αθλητικήν πανήγυριν πιστοί, θεοφρόνως τελουμένην θεώμενοι, τώ θαυμαστώ εν βουλαίς Θεώ ημών, ευχαριστήριον ύμνον μελωδήσωμεν, τό γάρ αόρατον κράτος, τής εναντίας δυνάμεως, εν γυναικεία φύσει κατηγωνίσατο, τήν θεί εν ασθενεία αν εαυτού δύναμιν, τελειώσας τής Καλλιμάρτυρος, Ταίς αυτής πρεσβείαις, σώσον τάς ψυχάς ημών. (Δίς)

Ο αυτός

Αληθείας κρατήρα, εξ οικείων αιμάτων αθλητικών, η πανεύφημος Μάρτυς

Χριστού κερασαμένη, καί τούτον αενάως τή Εκκλησία προτιθεμένη, εν αυτή τούς τής ευσεβείας τροφίμους, σοφίας φωνή προτρέπεται λέγουσα, Αρύσασθε πόμα, τής αναστάσεως μαρτύριον, παθών καθαρτήριον, ευσεβών δέ ψυχών φυλακτήριον, τώ Σωτήρι κράζοντες, ο ποτίσας ημάς τόν χειμάρρουν τής τρυφής τού πνεύματος, σώσον τάς ψυχάς ημών.

Ο αυτός

Οι τώ αίματι Χριστού τάς ψυχάς σφραγισθέντες, εις ημέραν απολυτρώσεως, αίμα άγιον, εκ μαρτυρικής πηγής αναβλύζον ημίν, μετ' ευφροσύνης πνευματικής προφητικώς αντλήσωμεν, τών ζωηρύτων παθημάτων τού Σωτήρος, καί τής αϊδίου δόξης μορφωτικόν, διό αυτώ βοήσωμεν, ο ενδοξαζόμενος εν τοίς Αγίοις σου Κύριε, ταίς τής πανευφήμου σου Αθληφόρου πρεσβείαις, σώσον τάς ψυχάς ημών.

Δόξα... Ήχος πλ. β'

Ιωάννου Μοναχού

Εκ δεξιών τού Σωτήρος, παρέστη η παρθένος καί αθληφόρος καί Μάρτυς, περιβεβλημένη ταίς αρεταίς τό αήττητον, καί πεποικιλμένη ελαίω τής αγνείας, καί τώ αίματι τής αθλήσεως, καί βοώσα πρός αυτόν εν αγαλλιάσει, τήν λαμπάδα κατέχουσα, Εις οσμήν μύρου σου έδραμον, Χριστέ ο Θεός, ότι τέτρωμαι τής σής αγάπης εγώ, μή χωρίσης με νυμφίε επουράνιε, Αυτής ταίς ικεσίαις κατάπεμψον ημίν, παντοδύναμε Σωτήρ τά ελέη σου.

Καί νύν... ο αυτός

Σήμερον τό φυτόν τής ζωής, εκ τών τής γής αδύτων ανιστάμενον, τού εν αυτώ παγέντος Χριστού, πιστούται τήν ανάστασιν, καί ανυψούμενον χερσίν Ιεραίς, τήν αυτού πρός ουρανούς καταγγέλλει ανύψωσιν, δι' ής τό ημέτερον φύραμα, εκ τής εις γήν καταπτώσεως, εις ουρανούς πολιτεύεται, διό ευχαρίστως βοήσωμεν, Κύριε, ο υψωθείς εν αυτώ, καί δι' αυτού συνανυψώσας ημάς, τής ουρανίου χαράς αξίωσον τούς υμνούντάς σε.

## Απόστιχα Στιχηρά

Ήχος πλ. β'

Τριήμερος ανέστης

Ού έστησαν οι πόδες Χριστού, τόν τόπον προσκυνήσωμεν, ανυψούντες, τόν τρισόλβιον Σταυρόν, εν ώ κατεκενώθη, τό αίμα τού Δεσπότου, τό βλύσαν κόσμω τήν ανάστασιν.

Στίχ. Υψούτε Κύριον τόν Θεόν ημών καί προσκυνείτε τώ υποποδίω τών ποδών αυτού.

Νεκρώσαντες τά πάθη σαρκός, καί πνεύματος θεόφρονες, επειχθώμεν, υψωθήναι από γής, ουράνιον πρός λήξιν, Σταυρού τή ανυψώσει, συσταυρωθέντες τώ Δεσπότη Χριστώ.

Στίχ. Ο δέ Θεός Βασιλεύς ημών πρό αιώνος ειργάστο σωτηρίαν εν μέσω τής γής.

Ζωήρυτος εκ θείας πλευράς, πηγή σαφώς εξέβλυσε, τού Σωτήρος, καταρδεύουσα ψυχάς, τών πίστει προσκυνούντων, τό θείον πάθος τούτου, καί τόν Σταυρόν καί τήν ανάστασιν.

Δόξα... Ήχος α'

Βυζαντίου

Σήμερον χοροί Πατέρων Πανεύφημε, συναθροισθέντες διά Χριστόν, τόν τόμον σοι προσάγουσι τής ορθοδόξου πίστεως, όν περ λαβούσα εν ταίς τιμίαις σου χερσί, φυλάττεις μέχρι τέλους, όθεν καί βροτών χοροστασίαι συνελθόντες, τήν σήν άθλησιν γεραίρομεν, βοώντες ευσεβώς, Χαίροις πανεύφημε, η τήν ορθόδοξον καί Πατροπαράδοτον πίστιν, άτρωτον φυλάξασα, χαίροις η πρεσβεύουσα υπέρ τών ψυχών ημών.

Καί νύν... τής Εορτής

Ήχος ο αυτός

Ανδρέου Ιεροσολυμίτου

Σήμερον ως αληθώς, η αγιόφθογγος ρήσις τού Δαυίδ πέρας είληφεν, ιδού γάρ εμφανώς τό τών αχράντων ποδών σου προσκυνούμεν υποπόδιον, καί εν τή τών πτερύγων σου ελπίζοντες σκιά, πανοικτίρμον βοώμέν σοι, Σημειωθήτω εφ' ημάς τό φώς τού προσώπου σου, καί ανύψωσον τού ορθοδόξου λαού σου τό κέρας, τή τού τιμίου Σταυρού σου ανυψώσει, Χριστέ πολυέλεε.

Εις τήν Λειτουργίαν, Τυπικά, καί εκ τών Κανόνων τής Εορτής, καί τής Αγίας.

Προκείμενον

Θαυμαστός ο Θεός εν τοίς αγίοις αυτού ο Θεός Ισραήλ αυτός δώσει δύναμιν καί κραταίωσιν τώ λαώ αυτού ευλογητός ο Θεός.
Στίχ. Εν Εκκλησίαις ευλογείτε τόν Θεόν, τόν Κύριον εκ πηγών Ισραήλ.

Ο Απόστολος Πρός Γαλάτας

Αδελφοί, συνεργούντες...

Ευαγγέλιον κατά Λουκάν

Τώ καιρώ εκείνω, ηρώτησέ τις τών Φαρισαίων τόν Ιησούν...

Ζήτει τή β' τής δ' Εβδομάδος τού Λουκά

Κοινωνικόν

Εις μνημόσυνον αιώνιον έσται Δίκαιος. Αλληλούια.

---

Αρχή

**ΤΗ ΙΖ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τής Αγίας μάρτυρος Σοφίας, καί τών τριών θυγατέρων αυτής, Πίστεως, Αγάπης, καί Ελπίδος.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά τής Εορτής Προσόμοια.

Ήχος δ'
Έδωκας σημείωσιν

Σήμερον εξέλαμψε, φωτοειδής ώσπερ ήλιος, ο Σταυρός σου ο τίμιος, Χριστέ στηριζόμενος, έν Κρανίου τόπω, τώ δεδοξασμένω, καί ανυψούμενος Σωτήρ, επί τό όρος σου τό πανάγιον, δηλοί εμφαντικώτατα, ως δι' αυτού παντοδύναμε, τήν ημών φύσιν ύψωσας, ουρανοίς ως φιλάνθρωπος.

Ανήγγειλαν σήμερον, οι ουρανοί ακατάληπτε, τοίς ανθρώποις τήν δόξαν σου, φαιδρώς εξαστράψας γάρ, τού Σταυρού ο τύπος, φέγγει απροσίτω, τήν μανιώδη καί σκληράν, τών θεοκτόνων γνώμην διήλεγξε, διό σου τήν φιλάνθρωπον, οικονομίαν δοξάζομεν, Ιησού παντοδύναμε, ο Σωτήρ τών ψυχών ημών.

Σταυρός ο πανάγιος, τό ακατάλυτον τρόπαιον, από γής φανερούμενον, σήμερον προέρχεται, ως περ κεκρυμμένος, θησαυρός πλουτίζων, τήν οικουμένην ταίς αυγαίς, τής παγκοσμίου αυτού χρηστότητος, διό σου τήν φιλάνθρωπον, οικονομίαν δοξάζομεν, Ιησού παντοδύναμε, ο Σωτήρ τών ψυχών ημών.

Καί τών Αγίων

Όμοια

Παρθένοι νεάνιδες, φύσεως νόμω συνδούμεναι, καί σαφώς κρατυνόμεναι, αγάπη τού κτίσαντος, τόν δεσμόν τής πλάνης, διέλυσαν πίστει, καί τόν ανίσχυρον εχθρόν, ανδρειωθείσαι, ποσί συνέτριψαν, καί νίκης διαδήματι, φωτοειδώς εκοσμήθησαν, καί νυμφώνα κατώκησαν, νοητόν αγαλλόμεναι.

Πίστις η πανεύφημος, καί η Αγάπη η ένδοξος, καί Ελπίς η θεόσοφος, αρετών επώνυμοι, τών φαεινοτάτων, αναδεδειγμέναι, αθλητικώς τόν πονηρόν, καταβαλούσαι, τόν τήν Προμήτορα, δολίως απατήσαντα, τού Παραδείσου τήν οίκησιν, θεωθείσαι απέλαβον, υπέρ πάντων πρεσβεύουσαι.

Πυρός κατεφρόνησαν, καί πολυτρόπων κολάσεων, καί θανάτου αι πάνσεμνοι, νυμφίου τό κάλλος γάρ, τού ωραιοτάτου, πίστει εκζητούσαι, διά ποικίλων αικισμών, ωραιωθείσαι, τούτω συνήφθησαν, Σοφίας τά βλαστήματα, Πίστις Ελπίς καί Αγάπη τε, δι' αυτών ημάς Κύριε, τών δεινών ελευθέρωσον.

Δόξα... Καί νύν... Ήχος πλ. β'

Τών Προφητών αι φωναί, τό Ξύλον τό άγιον προκατήγγειλαν, δι' ού τής αρχαίας ηλευθερώθη κατάρας, τής τού θανάτου ο Άδάμ, η δέ κτίσις σήμερον, υψουμένου τούτου, συνυψοί τήν φωνήν, τό εκ Θεού αιτουμένη πλούσιον

έλεος, Αλλ' ο μόνος εν ελέει αμέτρητος Δέσποτα, ιλασμός γενού ημίν, καί σώσον τάς ψυχάς ημών.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος β'
Οίκος τού Εφραθά

Ξύλον τό τού Σταυρού, υψούμενον ορώντες, μεγαλωσύνην δώμεν, Θεώ τώ σταυρωθέντι, σαρκί δι' αγαθότητα.

Στίχ. Υψούτε Κύριον τόν Θεόν ημών καί προσκυνείτε τώ υποποδίω τών ποδών αυτού.

Λύσιν τών δυσχερών, καί κτήσιν τών αρίστων, υψουμενος βραβεύει, τώ γένει τών ανθρώπων, Σταυρός Χριστού ο άγιος.

Στίχ. Ο δέ Θεός Βασιλεύς ημών πρό αιώνος ειργάστο σωτηρίαν εν μέσω τής γής.

Ότε τόν Αμαλήκ, Μωσής κατετροπούτο, Χριστού προγράφων πάθος, Σταυρόν προδιετύπου, δαιμόνων αμυντήριον.

Δόξα... Καί νύν... Όμοιον

Δεύτε χαρμονικώς, ασπασώμεθα πάντες, τό σωτήριον ξύλον, εν ώ εξετανύθη, Χριστός η απολύτρωσις.

Απολυτίκιον Ήχος α'

Σώσον Κύριε τόν λαόν σου καί ευλόγησον τήν κληρονομίαν σου, νίκας τοίς Βασιλεύσι κατά βαρβάρων δωρούμενος καί τό σόν φυλάττων διά τού Σταυρού σου πολίτευμα.

Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος δ'
Ταχύ προκατάλαβε

Εν σοί τρισμακάριστε, καί ζωοδότα Σταυρέ, λαοί ευωχούμενοι, πανηγυρίζουσι νύν, αϋλων σύν τάγμασι, τάξεις Αρχιερέων, ευσεβώς ανυμνούσι, πλήθη τών Μοναζόντων, ευλαβώς προσκυνούσι, Χριστόν δέ τόν σταυρωθέντα πάντες δοξάζομεν.

Μετά τήν β' Στιχολογίαν

Κάθισμα  Ήχος δ'
Επεφάνης σήμερον

Ο Σταυρός σου Κύριε, ως φώς εκλάμπων, τάς τού σκότους φάλαγγας, αποδιώκει, καί πιστούς, καταφαιδρύνει τούς ψάλλοντας, Σταυρός υπάρχει τού κόσμου τό καύχημα.

Ο κανών τής Εορτής, καί τών Αγίων, ού η Ακροστιχίς.

Τής Σοφίης αρίδηλα καί αγλαά τέκνα λιγαίνω.
Θεοφάνους.

Ωδή α'  Ήχος α'
Σού η τροπαιούχος

Τής υπερκοσμίου σου Χριστέ, καί τής αφράστου σοφίας τήν έλλαμψιν, δώρησαί μοι Δέσποτα, τάς ευπρεπείς καί ευκλεείς σου Μάρτυρας, όπως ανυμνήσω, τά τής Σοφίας βλαστήματα.

Η προσηγορία σου σαφώς, τή πολιτεία θεόφρον κεκόσμηται, πάσαν διήνυσας, σού τήν ζωήν, τώ τής σοφίας έρωτι, ένδοξε Σοφία, σοφίας λάμψασα χάρισι.

Σού ο παμμακάριστος καρπός, τής υπερθέου σοφίας τρισσότητι, εγκαλλωπιζόμενος, αθλητικώς υπέρ εκείνης έλαμψε, πάνσοφε Σοφία, σοφίας θείας επώνυμε.

Σώμα καί ψυχήν δι' αρετής, εκκαθαρθείσαι παρθένοι νεανιδες, τρείς σοι προσηνέχθησαν, μαρτυρικώς τώ νοητώ νυμφίω, Χριστέ, Πίστις σύν Ελπίδι, καί η Αγάπη η ένδοξος.

Θεοτοκίον

Όλην τήν μορφήν μου προσλαβών, ο εν μορφή Θεού πρίν εννοούμενος, όλην ανεκαίνισεν, εν σή γαστρί θεοπρεπώς σκηνώσας Αγνή, όθεν Θεοτόκον, πιστοί σε πάντες δοξάζομεν.

Ωδή γ'
Ο μόνος είδως τής τών βροτών

Φωνής σου ακούσασαι Χριστέ, καλούντος πρός αθάνατον, καί απαθή ζωήν ηκολούθησαν, στεφανηφόροι παρθένοι Μάρτυρες, τού βοάν σοι, Άγιος, ο ναός ο έμψυχος, τής αχράντου σου δόξης Φιλάνθρωπε.

Ισχύν εδωρήσατο Χριστός, εστώσαις πρό τού βήματος, μαρτυρικού υμίν ως υπέσχετο, καί θεοπνεύστου σοφίας έπλησε, καί λαμπράς ανέδειξε, νικηφόρους Μάρτυρας, παρθενίας λαμπούσας τή χάριτι.

Ημβλύνατε νύν τόν δυσμενή, Παρθένοι τόν μεγάλαυχον καί τήν αυτού οφρύν κατεβάλετε, μεγαλοφρόνως αγωνισάμεναι, καί τόν πρίν καυχώμενον,

εξαλείφειν θάλασσαν, ταίς ροαίς τών αιμάτων επνίξατε.

Σοφίας τής άνωθεν Χριστού, πλουσίως εμφορούμεναι, τής εκλεκτής Σοφίας καί έμφρονος, αι θυγατέρες αι τρείς κατήσχυναν, τυραννούντων φρύαγμα, καί μανίαν άσχετον, ρητορεύουσαι θεία διδάγματα.

Θεοτοκίον

Αγίων τόν Άγιον Χριστόν, αγίως απεκύησας, αγιωσύνης άγιον σκήνωμα, τόν εν Αγίοις αναπαυόμενον, ώ βοώμεν, Άγιος, ο ναός ο έμψυχος, τής αφράστου σου δόξης Φιλάνθρωπε.

Ο Ειρμός

«Ο μόνος είδως τής τών βροτών, ουσίας τήν ασθένειαν, καί συμπαθώς αυτήν μορφωσάμενος, περίζωσόν με εξ ύψους δύναμιν, τού βοάν σοι, Άγιος, ο ναός ο έμψυχος, τής αφράστου σου δόξης Φιλάνθρωπε».

Κάθισμα τών Αγίων

Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Τάς ψυχάς δεσμευθείσαι πόθω Χριστού, τών φθαρτών καί προσκαίρων τήν καλλονήν, εν λήθη παρεδραμετε, ως τού Λόγου μαθήτριαι, ασκητικώς τό πρώτον, τά πάθη νεκρώσασαι, καί αλγειναίς βασάνοις, στερρώς εναθλήσασαι, όθεν ο Δεσπότης, τής διπλής μαρτυρίας, στεφάνους εδωρήσατο, καί νυμφώνος ηξίωσε, Παμμακάριστοι Μάρτυρες, πρεσβεύσατε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην υμών.

Δόξα... Καί νύν... Τής Εορτής

Τό προσταχθέν μυστικώς

Εν Παραδείσω με τό πρίν ξύλον εγύμνωσεν, ούπερ τή γεύσει ο εχθρός εισφέρει νέκρωσιν, τού Σταυρού δέ τό ξύλον, τής ζωής τό ένδυμα, ανθρώποις φέρον, επάγη επί τής γής, καί κόσμος όλος, επλήσθη πάσης χαράς, όν ορώντες υψούμενον, Θεώ εν πίστει λαοί, συμφώνως ανακράζομεν, Πλήρης δόξης ο οίκός σου.

Ωδή δ'

Όρος σε τή χάριτι

Ρωσθείσαι τή χάριτι, τή θεία καλλίνικοι, Πίστις Αγάπη καί Ελπίς, τάς τών τυράννων απειλάς, ανδρείως κατήσχυναν, διά πυρός ολοκαυτούμεναι πάνσοφοι, καί τώ νυμφίω Χριστώ προσαγόμεναι.

Ίσχυσαν τού Σταυρού, τή πανοπλία φραξάμεναι, Πίστις Αγάπη καί Ελπίς, τάς τών κολάσεων πληγάς, ευτονως αι Άγιαι, υπενεγκείν μέχρις αιμάτων στερρότατα, πρός τήν αμαρτίαν αντικαθιστάμεναι.

Δυνάμει καί πόθω τής Τριάδος ερρώσθησαν, Πίστις, Αγάπη καί Ελπίς, αι τής Τριάδος τής σεπτής, παρθένοι ισάριθμοι, καί αλγεινών τήν δριμυτάτην επίτασιν, υπενεγκείν αι πάνσεμνοι ίσχυσαν.

Ήσχυναν καί Κόραι, τρυφεραί τού αλάστορος, διά τού όπλου τού Σταυρού, τήν υπερήφανον Οφρύν, καί πρός γήν κατέβαλον, περιφανώς τόν πρίν αμέτρως καυχώμενον, τήν οικουμένην πάσαν καταλήψεσθαι.

Λαμπάδες τρισάριθμοι, σοφίας αστράπτουσαι, Πίστις Αγάπη καί Ελπίς, τοίς τής Τριάδος φωτισμοίς, σαφώς λαμπρυνόμεναι, διαφανώς τάς Εκκλησίας φωτίζουσι, πρός σωτηρίαν ημών καί αντίληψιν.

Θεοτοκίον

Αγίων Αγία, Θεοτόκε πανύμνητε, η προσδοκία τών εθνών καί σωτηρία τών πιστών, εκ σού άνατέταλκεν, ο λυτρωτής καί ζωοδότης καί Κύριος, εις σωτηρίαν τών υμνούντων σε.

## Ωδή ε'

Ο φωτίσας τή ελλάμψει

Καρτερία τών φρενών, τάς βασάνους υπέμειναν, καί σοφίας τής ενθέου λαλούσαι μυστήρια, τόν κρατούντα ήσχυναν, αι τρείς Παρθένοι θεοφόροι, πίστει καί φύσει συνδούμεναι.

Αγάλλεται η Προμήτωρ, ορώσα νικώμενον τόν δόλιον, τόν αυτήν εξ Εδέμ εξορίσαντα, γυναιξί θεόφροσιν Ελπίδι Πίστει καί Αγάπη, τοίς τής Σοφίας γεννήμασι.

Ιοβόλους τού τυράννου, θωπείας εξέφυγον, καί βασάνων τάς πληγάς εκουσίως υπέμειναν, αι σεμναί νεάνιδες τή σή αγάπη τετρωμέναι, Χριστέ καί θείω σου έρωτι.

Θεοτοκίον

Αγάλλονται ουρανών, αι Δυνάμεις ορώσαί σε, ευφραίνονται σύν αυτοίς τών βροτών τά συστήματα, τώ γάρ τόκω ήνωνται τώ σώ, Παρθένε Θεοτόκε, όν επαξίως δοξάζομεν.

## Ωδή ς'

Εκύκλωσεν ημάς

Γηθόμεναι ταίς σαίς αχράντοις Δέσποτα, παλάμαις εναπέθεντο, τάς ελπίδας, αι Νεάνιδες αι τρείς, καί τής Τριάδος τρισμακάριαι, τώ αριθμώ τετιμημέναι καί σεμνυνόμεναι.

Λαμπόμεναι τής παρθενίας κάλλεσι, Μαρτύρων διαδήμασιν, εκοσμήθησαν, καί στέφανον διπλούν, άνωθεν αξίως εκομίσαντο, παρά Χριστού, τού ζωοδότου καί πανοικτίρμονος.

Ανήχθησαν εν τώ ναώ σου Δέσποτα, τού πάντων βασιλεύοντος, παρθενεύοντα κειμήλια σεπτά, σού τής βασιλείας κοινωνήσοντα, σύ γάρ αυτών, καί φώς υπάρχεις καί αγαλλίαμα.

Θεοτοκίον

Αγάλλονται εν σοί Παρθένε άχραντε, τού γένους οι προπάτορες, τήν Εδέμ απολαβόντες διά σού, ήν έκ παραβάσεως απώλεσαν, σύ γάρ αγνή, καί πρό τού τόκου καί μετά γέννησιν.

Ο Ειρμός

«Εκύκλωσεν ημάς εσχάτη άβυσσος, ουκ έστιν ο ρυόμενος, ελογίσθημεν ως πρόβατα σφαγής, σώσον τόν λαόν σου ο Θεός ημών, σύ γάρ ισχύς, τών ασθενούντων καί επανόρθωσις».

Κοντάκιον Ήχος α'

Χορός αγγελικός

Σοφίας τής σεμνής, ιερώτατοι κλάδοι, ή Πίστις καί Ελπίς, καί Αγάπη δειχθείσαι, σοφίαν απεμώραναν, τών Ελλήνων εν χάριτι, καί αθλήσασαι, καί νικηφόροι φανείσαι, στέφος άφθαρτον, παρά τού πάντων Δεσπότου, Χριστού ανεδήσαντο.

Ο Οίκος

Ότε εις πάντα τά πέρατα, τό αθέμιτον εξελήλυθε πρόσταγμα, θύειν ειδώλοις καί σπένδεσθαι, καί βωμούς δαιμόνων, καί ναούς ευτρεπίζεσθαι, πρός ανθρώπων απώλειαν, τότε αι πανεύφημοι καί καλλιπάρθενοι, ως αστέρες εξέλαμψαν, ζόφον αθεϊας καί αγνωσίας ελαύνουσαι, καί φέγγος ευσεβείας εν ταίς καρδίαις τών πιστών υπανάπτουσαι, τρανώς ανεβόων, Θεός μέγιστός εστιν ο σταυρωθείς βουλήματι, καί αναστάς τριήμερος, εν ώ καί καυχώμεθα, όθεν καί επαξίως, στέφος άφθαρτον παρά Χριστού ανεδήσαντο.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΖ' τού αυτού μηνός, Μνήμη τών Αγίων Μαρτύρων καί καλλινίκων Παρθένων Πίστεως, Ελπίδος, καί Αγάπης, καί τής μητρός αυτών Σοφίας.

Στίχοι

- Τή πρός σέ πίστει Πίστις, Ελπίς, Αγάπη,
- Αι τρείς, Τριάς, κλίνουσιν αυχένας ξίφει.
- Εβδομάτη δεκάτη Αγάπην τάμον, Ελπίδα, Πίστιν.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος Αγαθοκλείας.

Στίχοι

- Αγαθόκλεια πύρ επ' αυχένος φέρει,
- Δεινής πλάνης φλέγουσα δεινόν αυχένα.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Μαξίμου, Θεοδότου καί Ασκληπιοδότης.

Στίχοι

- Μιά γυναικί, καί νεανίσκοις δύο,
- Προς τήν τομήν ήν καρδιών ζέσις μία.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Λουκίας, καί Γεμινιανού τού υιού αυτής καί Μάρτυρος.

Στίχοι

- Ειρηνικώς σή Χριστέ δούλη Λουκία,
- Ειρηνικόν μετήλθεν όντως εις τόπον.
- Θάρσους ο Μάρτυς Γεμινιανός γέμων,
- Τιμήν υπέστη καρτερώς τήν εκ ξίφους.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος Θεοδότης.

Στίχοι

- Τήν Θεοδότην πρός ξίφος τεθηγμένον,
- Ποιεί πρόθυμον η Θεόσδοτος χάρις.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων εκατόν Μαρτύρων.

Στίχοι

- Δεκάς δεκαπλή Μαρτύρων Αιγυπτίων,
- Μιά κεφαλάς τέμνεται προθυμία.

Εις τούς Αγίους Πηλέα καί Νείλον τούς Επισκόπους.

Στίχοι

- Έπους ο Πηλεύς πού μέγας πρός Πηλέα;
- Νείλω συνεισβαίνοντα καί πυρός μέσον.

Εις τούς εν Παλαιστίνη Ν' Μάρτυρας.

Στίχοι

- Θεοφρονούντες άνδρες εξ ευβουλίας,
- Πυρός καταφρονούσιν εξ ευτολμίας.

Εις τόν Αγιον Πατερμούθιον καί Ηλίαν.

Στίχοι

- Πατερμούθιος εμπεσων τή καμίνω,
- Πρός ζήλον ίσον οτρύνει τόν Ηλίαν.

Τή αυτή ημέρα, τών Αγίων Μαρτύρων Χαραλάμπους, Παντολέοντος καί τής συνοδίας αυτών. Τελείται η τούτων σύναξις, εν τώ μαρτυρείω αυτών, τώ όντι εν τώ Δευτέρω.

Στίχοι

- Χαίρων υπήρχε πρός σφαγήν Χαραλάμπης,
- Καί Παντολέων πρός μάχαιραν ήν λέων.

Τή αυτή ημέρα, τών Αγίων Ιερομαρτύρων Ηρακλείδου καί Μύρωνος Επισκόπων Ταμάσου τής Κύπρου.

Στίχοι

- Πυρά τεθέντες Ηρακλείδης καί Μύρων,
- Χριστώ προσηνέχθησαν ως οσμή μύρου.

Ταίς αυτών αγίαις πρεσβείαις, Χριστέ ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Σέ νοητήν Θεοτόκε

Τρισσοφεγγεί ενιαία χάριτι, καταλαμπόμεναι σαφώς, αι Παρθένοι δαιμονικήν, έλυσαν σκοτόμαιναν, φώς τό τρισυπόστατον, θεολογούσαι καί μέλπουσαι, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Εν ουρανοίς τάς παστάδας έχουσαι, λαμπαδηφόροι τώ Χριστώ, σύν Αγγέλοις χαρμονικώς, νύν περιχορεύετε, δόξαν τήν αϊδιον συνθεωρούσαι καί μέλπουσαι, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Καρτερικήν ως οι Παίδες ένστασιν, επιδειξάμεναι τό πύρ, κατεπάτησαν ανδρικώς, τούτων γάρ Ισάριθμοι, γνώμην ισοστάσιον, αι θεοφόροι εκτήσαντο, τόν αινετόν τών Πατέρων, αεί Θεόν δοξάζουσαι.

Θεοτοκίον

Νέμοις αγνή τών πταισμάτων άφεσιν, τοίς ανυμνούσί σε πιστώς, λυτρουμένη τών πειρασμών, πάσης περιστάσεως, σέ γάρ νύν κεκτήμεθα, καταφυγήν Θεονύμφευτε, ως αινετόν τών Πατέρων, Θεόν χερσί βαστάσασαν.

Ωδή η'

Εν καμίνω Παίδες

Αι παρθένοι αι θεοφεγγείς, Πίστις, Ελπίς, Αγάπη, τώ κάλλει τής ευσεβείας, καθαρώτερον χρυσού, απέστιλβον λέγουσαι, Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Λαμπομένας καί φωτοειδείς, διά τού μαρτυρίου, προδήλως γεγενημένας, τάς παρθένους οι πιστοί, υμνήσωμεν λέγοντες, Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ιαμάτων ρείθρον δαψιλώς, αφθόνως καί πλουσίως, αι θήκαι τών Αθληφόρων, αναβρύουσιν αεί, τοίς πίστει κραυγάζουσιν, Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Γή αγία πέφηνας αγνή, τόν ζωηφόρον στάχυν, τεκούσα τής αϊδίου, ζωής πρόξενον Χριστόν, ώ πάντες κραυγάζομεν, Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τους αιώνας.

Ο Ειρμός

«Εν τή καμίνω Παίδες, Ισραήλ, ως εν χωνευτηρίω τώ κάλλει τής ευσεβείας, καθαρώτερον χρυσού απέστιλβον λέγοντες, Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ'

Τύπον τής αγνής

Αίγλης τριφεγγούς πληρούμεναι, καί λαμπηδόνος θείας νύν εμφορούμεναι, αι

ομώνυμοι, τών αρετών καί φερώνυμοι, τής Αγάπης, Επλίδος καί Πίστεως, ελπίδι καί αγάπη, ημάς καί πίστει βεβαιώσατε.

Ίνα η εξ ύψους δύναμις, νύν κατευνάση τόν κατέχοντα κλύδωνα, τής αιρέσεως, ώ Αθληφόροι αήττητοι, καί βραβεύση πιστοίς τήν ομόνοιαν, αιτείσθε δυσωπούμεν, ακαταπαύστως καλλιπάρθενοι.

Νύκτα τήν τού βίου Πάνσοφοι, διαδραμούσαι τήν ημέραν εφθάσατε, τήν ανέσπερον, μαρτυρικώς αγαλλόμεναι, καί παρθένων καυχώμεναι χάριτι, καί θείας βασιλείας, τής ακηράτου αξιούμεναι.

Θεοτοκίον

Ώ πώς η Παρθένος τέτοκε, τόν αεί όντα Λόγον, καί ενυπόστατον, τό απαύγασμα τής πατρικής υποστάσεως, τόν υμών ευεργέτην καί Κύριον, εξ αυτής σαρκωθέντα, όν επαξίως μεγαλύνομεν.

Ο Ειρμός

«Τύπον τής αγνής λοχείας σου, πυρπολουμένη βάτος, έδειξεν άφλεκτος, καί νύν καθ' ημών, τών πειρασμών αγριαίνουσαν, κατασβέσαι αιτούμεν τήν κάμινον, ίνα σε Θεοτόκε, ακαταπαύστως μεγαλύνωμεν».

Εξαποστειλάριον

Ο ουρανόν τοίς άστροις

Τώ τής Τριάδος Κόραι, πυρούμεναι αι τρείς ζήλω, τών αρετών τή τριάδι, Ελπίδι, Πίστει, Αγάπη, προσκείμεναι ομωνύμως, ηλόγησαν τών βασάνων.

Θεοτοκίον Όμοιον

Τόν ποιητήν τών αιώνων, καί τών Αγγέλων Δεσπότην, αποτεκούσα Παρθένε, τούτον ικέτευε δείξαι, τής δεξιάς παραστάτας, μερίδος τούς σούς οικέτας.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος β'

Οίκος τού Εφραθά

Λόγχην σύν τώ Σταυρώ, τούς ήλους καί τά άλλα, εν οίς τό ζωηφόρον, Χριστού επάγη σώμα, υψούντες προσκυνήσωμεν.

Στίχ. Υψούτε Κύριον τόν Θεόν ημών καί προσκυνείτε τώ υποποδίω τών ποδών αυτού.

Ύλην φθοροποιόν, εξαίρει αμαρτίας, τό τού Σταυρού σου ξύλον, υψούμενον Σωτήρ μου, λαμπρύνει δέ τά σύμπαντα.

Στίχ. Ο δέ Θεός Βασιλεύς ημών πρό αιώνος ειργάστο σωτηρίαν εν μέσω τής γής.

Ύδατι θεουργώ, καί αίματί σου Λόγε, λαμπρώς η Εκκλησία, στολίζεται ως νυμφη, Σταυρού τήν δόξαν μέλπουσα.

Δόξα... Καί νύν... Όμοιον

Χαίροις τό τών πιστών, φυλακτήριον θείον, απροσμάχητον τείχος, Σταυρός ο τού Κυρίου, δι' ού από γής ήρθημεν.

Καί τά λοιπά, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΗ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Ευμενίου, Επισκόπου Γορτύνης, τού θαυματουργού.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ'.

Ήχος α'
Τών ουρανίων ταγμάτων

Τό ανυψούμενον ξύλον τής σωτηρίας ημών, εν ώ Χριστός τάς χείρας, η ζωή τών απάντων, προσήλωσε βουλήσει, πάντας πιστούς, προσκαλείται εν άσμασιν, εορταζόντων μετ' ήχου τού προσκυνείν, υποπόδιον τό θείον αυτού.

Τών εγκαινίων τήν μνήμην τής αναστάσεως, δι' ής τοίς εν τώ σκότει, φώς επέλαμψε μέγα, ζωής καί αφθαρσίας, δεύτε πιστοί, εκτελούντες υφώσωμεν, τό ζωοπάροχον ξύλον τό τού Σταυρού, προσκυνούντες τόν Σωτήρα Χριστόν.

Μωσής ο μέγας, τό πάλαι επί τού όρους Σινά, σταυροειδώς τάς χείρας, εκπετάσας εις ύψος, ετύπου τόν Σταυρόν σου, Χριστέ ο Θεός, τόν υψούμενον σήμερον, καί αγιάζοντα πάντας τούς επί γής, εν αυτώ σε προσκυνούτας πιστώς.

Καί τού Αγίου γ'

Ήχος δ'
Ως γενναίον εν Μάρτυσι

Τήν ψυχήν καί τό σώμά σου, τών παθών καθηράμενος, τού Αγίου Πνεύματος οίκος γέγονας, καί Ιερέων εν χρίσματι, σαυτόν κατεκόσμησας, παραστάτης δεξιός, χρηματίσας Ευμένιε, καί συνόμιλος, τών Αγίων Αγγέλων, καί τής δόξης, τού Κυρίου κληρονόμος, καί πρεσβευτής τών υμνούντων σε.

Ο περίδοξος βίος σου, αρεταίς φαιδρυνόμενος, τών θαυμάτων έλαμψε ταίς φαιδρότησι, καί ευκλεή σε τοίς πέρασι, παμμάκαρ ειργάσατο, καί φωστήρα απλανή, καί Αγίων ομόσκηνον, καί τής πόλεως, τής αγίας πολίτην Ιεράρχα, τών Αγγέλων συμπολίτα, θαυματουργέ αξιάγαστε.

Τών Κρητών εγκαλλώπισμα, τής Γορτύνης τόν πρόεδρον, Εκκλησίας άσειστον τό θεμέλιον, τόν ιεράρχην Ευμένιον, εν θαύμασι μέγιστον, καί δυνάμεσι πολλαίς, γεγονότα περίδοξον, καί φωτίσαντα, τάς εν ζόφω καρδίας, ως φωστήρα, τών πιστών μεγαλοφώνως, οι συνελθόντες τιμήσωμεν.

Δόξα... Καί νύν... Ήχος δ'

Τού τιμίου Σταυρού σου Χριστέ τήν ενέργειαν, προδιατυπώσας Μωϋσής, ετροπούτο τόν εναντίον Αμαλήκ, εν τή ερήμω Σινά, ότε γάρ εφήπλου τάς χείρας, Σταυρού τόν τύπον ποιών, ενίσχυεν ο λαός, νυνί δέ τών πραγμάτων η έκβασις, εις ημάς πεπλήρωται, Σήμερον ο Σταυρός υψούται, καί δαίμονες φυγαδεύονται, Σήμερον η κτίσις πάσα εκ τής φθοράς ηλευθέρωται, πάντα γάρ διά Σταυρού, επέλαμψεν ημίν τά χαρίσματα, διό γηθόμενοι πάντες προσπίπτομέν σοι λέγοντες, Ως εμεγαλύνθη τά έργα σου Κύριε, δόξα σοι.

Απόστιχα Στιχηρά

Ήχος πλ. β'

Τριήμερος ανέστης

Ραπίσματα υπήνεγκας, καί σταύρωσιν Μακρόθυμε, καί Ονείδη, θέλων πάντας εκ χειρός, λυτρώσασθαι τού πλάνου, ο μόνος ζωοδότης, καί πανοικτίρμων καί φιλάνθρωπος.

Στίχ. Υψούτε Κύριον τόν Θεόν ημών καί προσκυνείτε τώ υποποδίω τών ποδών αυτού.

Τιμώ σου τόν Σταυρόν αγαθέ, τούς ήλους καί τήν λόγχην Σωτήρ, δι' ών πάντας, ελυτρώσω τής φθοράς, ως μόνος ζωοδότης, καί πάντων ευεργέτης, μόνε φιλάνθρωπε Σωτήρ ημών.

Στίχ. Ο δέ Θεός Βασιλεύς ημών πρό αιώνος ειργάστο σωτηρίαν εν μέσω τής γής.

Σταυρώ προσηλωθείς δι' εμέ, Σωτήρ μου υπεραγαθε, ερραπίσθης καί υβρίσθης λυτρωτά, καί όξος εποτίσθης, καί λόγχη εκεντήθης, καί πάντα φέρεις αναμάρτητε.

Δόξα... Καί νύν... Ήχος πλ. β'

Σήμερον ξύλον εφανερώθη, Σήμερον γένος Εβραίων απώλετο, Σήμερον διά πιστών βασιλέων, η πίστις φανερούται, καί ο Αδάμ διά τού ξύλου εξέπεσε, καί πάλιν διά ξύλου δαίμονες έφριξαν, Παντοδύναμε Κύριε δόξα σοι.

Απολυτίκιον Ήχος α'

Σώσον Κύριε τόν λαόν σου καί ευλόγησον τήν κληρονομίαν σου, νίκας τοίς Βασιλεύσι κατά βαρβάρων δωρούμενος καί τό σόν φυλάττων διά τού Σταυρού σου πολίτευμα.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος α'
Τόν τάφον σου Σωτήρ

Ο άνω ως Θεός, ουρανόν θρόνον έχων, καί γήν Χριστέ Σωτήρ, υποπόδιον φέρων, Σταυρόν ημίν υπέδειξας, σών ποδών υποπόδιον, Τούτον άπαντες, δαυϊτικώς προσκυνούμεν, Τούτον φύλακα, καί βοηθόν εξαιτούμεν καί πίστει δοξάζομεν.

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος δ'
Ο υψωθείς εν τώ Σταυρώ

Εν Παραδείσω με δεινώς πεπτωκότα, τού βροτοκτόνου τή πικρά συμβουλία, εν τώ Κρανίω πάλιν εξανέστησας Χριστέ, ξύλω ιασάμενος, τήν τού ξύλου κατάραν, κτείνας τόν απάτη με, θανατώσαντα όφιν, καί εδωρήσω θείαν μοι ζωήν, Δόξα τή θεία Σταυρώσει σου Κύριε.

Ο Κανών τής Εορτής, καί τού Αγίου, ού η ακροστιχίς.

Ευχαίς δίδου μοι Χριστόν ευμενή Μάκαρ. Ιωσήφ.

Ωδή α' Ήχος β'
Δεύτε λαοί άσωμεν

Έχων Χριστόν, Πάτερ θεόφρον Ευμένιε, τών σών καθυπακούοντα, θείων εντεύξεων, ευμενή τούτον Μάκαρ, απέργασαι τοίς πόθω ανευφημούσί σε.

Υψοποιον, από νεότητος Όσιε, ηγαπηκώς ταπείνωσιν, τόν υπερήφανον, εταπείνωσας όφιν, καί χάριν ιαμάτων, σαφώς επλούτησας.

Χωρητικόν, Πνεύματος όργανον γέγονας, τά τής σαρκός φρονήματα, πολλαίς ασκήσεσι, τή ψυχή υποτάξας, τώ κρείττονι τό χείρον, σύ δουλωσάμενος.

Θεοτοκίον

Αι περί σού, νύν προφητείαι πεπλήρωνται, Θεοκυήτορ Δέσποινα, όν γάρ προήγγειλαν, υψηγόρως εν μήτρα, εχώρησας εν δύω, τελείαις φύσεσι.

Ωδή γ'
Στερέωσον ημάς εν σοί Κύριε

Διέτρεχες σπουδή καθώς η μέλιττα, λειμώνας τούς λογικούς Ιεράρχα, τό γλυκύ μέλι θηρώμενος, καί καρδίας τοίς σίμβλοις εντιθέμενος.

Ο βίος καθαρός ο λόγος άλατι, τώ θείω Ευμένιε ηρτυμένος, διεδείκνυ σού τήν ένδοθεν, κεκρυμμένην καί χάριν καί λαμπρότητα.

Υψώθης αρεταίς καλλωπιζόμενος, καί θρόνον επέβης υψηλοτάτων, μύρω θείω χρισθείς Πνεύματος, καί Χριστού ευωδία γνωριζόμενος.

Θεοτοκίον

Μαρία τό χρυσούν θυμιατήριον, παθών μου, απέλασον τό δυσώδες, καί στερέωσον κλονούμενον, προσβολαίς του δολίου πολεμήτορος.

Ο Ειρμός

«Στερέωσον ημάς εν σοί Κύριε, ο ξύλω νεκρώσας τήν αμαρτίαν, καί τόν φόβον σου εμφύτευσον, εις τάς καρδίας ημών τών υμνούντων σε».

Κάθισμα τού Αγίου

Ήχος πλ. α'

Τόν συνάναρχον Λόγον

Ορθοδόξοις εμπρέπων Πάτερ διδάγμασι, τάς ζοφώδεις αιρέσεις πάσας εμείωσας, καί θαυμάτων αυτουργός δειχθείς Ευμένιε, περιβόητος παντί, προμηθεία θεϊκή, εγένου, όθεν σε πίστει, τιμώμεν ως Ιεράρχην, καί τών Αγγέλων ομότιμον.

Δόξα... Καί νύν...

Τής Εορτής, όμοιον

Τό πανάγιον ξύλον τού Βασιλέως Χριστού, αναλάβωμεν πίστει επί τών ώμων ημών, καί τού βίου τά τερπνά απορρίψωμεν, ό οι πάλαι βασιλείς, αναλαμβάνοντες πιστώς, ενίκησαν πολεμίους, καί φύλα τά τών βαρβάρων, τή δυνάμει τούτου ανέτρεψαν.

Ωδή δ'

Εισακήκοα Κύριε τήν ακοήν

Οίκος γέγονας Πνεύματος, θείοις ναοίς σχολάζων Ιεράρχα, καί σεπταίς μελέταις ωραϊζόμενος.

Ιεράρχης θεόληπτος, Πάτερ σοφέ καί πρόεδρος Γορτύνης, γεγονώς θαυμάτων, αίγλην απήστραψας.

Χάσμα μέγα τού δράκοντος, τών προσευχών ενέπρησας λαμπάσι, κατά τού ορμήσαντος Ιερώτατε.

Ρωμαλέω φρονήματι, τόν δυσμενή κατέβαλες ανδρείως, καί ορμάς λεόντων σύ εχαλίνωσας.

Θεοτοκίον

Ιεραί προκατήγγειλαν, πάλαι φωναί τού τόκου σου τό βάθος, ών νύν τάς εκβάσεις είδομεν Άχραντε.

Ωδή ε'

Ο τού φωτός χορηγός

Σύνεσιν έσχηκας, ως ειρηνεύσας εκ παθών Όσιε, νούν καί ψυχήν, όθεν διαλύεις τάς έριδας Πιστώς, τών βασιλευόντων, καλώς πειθομένων σοι.

Τάς ακοάς υποθείς, σοί Βασιλέων ο πιστός έλυσεν, έχθραν μακράν, όλεθρον γεννώσαν, καί τήν αδελφικήν, ομόνοιαν στέργει, θεόφρον Ευμένιε.

Οία πυρσός επιστάς, Ρώμην φωτίζεις εκτελών θαύματα, καί τούς παθών, βυθώ νηχομένους, πρός όρμον γαληνόν, ιάσεως Μάκαρ, σοφώς εκκαλούμενος.

Θεοτοκίον

Νέον ως βρέφος ημίν, τόν προαιώνιον Υιόν τέτοκας, θελητικαίς, δυσίν ενεργείαις, υπάρχοντα διπλούν, ως άνθρωπον άμα, Θεόν τε Πανάμωμε.

Ωδή ς'

Εν αβύσσω πταισμάτων

Ενεργή θησαυρόν αδαπάνητον, έχων εν καρδία σου, Χριστόν Ευμένιε, ώσπερ πηλόν λελόγισαι, τόν χρυσόν Βασιλεύς, όν παρέσχε σοι.

Υψηλήν εις καθέδραν εκάθισας, Πάτερ τής ειρήνης, φθεγξάμενος πρόσρημα, τή Εκκλησία άνωθεν, ούπερ τή προσκλήσει σεμνύνεται.

Μή βραχείς αμαρτίαις διέπλευσας, βίου τό κλυδώνιον τό πολυώδυνον, καί τούς λιμένας έφθασας, ένθα δήμος οσίων ευφραίνεται.

Θεοτοκίον

Επί σέ καταβάς ο ουράνιος, όμβρος χερσωθείσαν τήν γήν Αειπάρθενε, θεογνωσίας νάμασι, καταρδεύσας πολύφορον έδειξε.

Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευ σπλαγχνίας σου, επικαλούμαι άβυσσον, Εκ φθοράς ο Θεός με ανάγαγε».

Κοντάκιον Ήχος β'

Τά άνω ζτών

Φωτί θεϊκώ, ελλαμφθείς παμμάκαριστε, φωτίζεις ημάς, τούς πόθω ανυμνούντάς σου, τήν σεπτήν και ένδοξον, καί αγίαν Πάτερ μετάστασιν, Ιεράρχα Ευμένιε, πρεσβεύεις γάρ απαύστως υπέρ ημών.

Ο Οίκος

Οίκτειρον Κύριε τόν σόν δούλον, καί συγχώρησον πάντα τά οφειλήματα νύν, καί δώρησαί μοι τό έλεος τής ευσπλαγχνίας σου, ίνα ύμνοις σε δοξάζω απαύστως, καί τόν πιστόν σου θεράποντα στέψω ωδαίς, τόν πρόεδρον Γορτύνης σήμερον, Ευμένιον τόν φωστήρα, γής πάσης τό μέγα κειμήλιον, τής Εκκλησίας τό στήριγμα, καί τής Κρήτης τό θείον αγλάϊσμα, πρεσβεύει γάρ απαύστως υπέρ πάντων ημών.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΗ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Ευμενίου, Επισκόπου Γορτύνης.

Στίχοι

- Τό λείον Ευμένιος όμμα Γορτύνης,

- Πανευμενές κατείδεν όμμα Κυρίου.
- Ογδοάτη δεκάτη θάνεν Ευμένιος μεγαλήτωρ.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων γυναικών, Σοφίας καί Ειρήνης.

Στίχοι

- Ειρήνη καί Σοφία τμηθείσαι κάρας,
- Σέ τήν υπέρ νούν είδον ειρήνην Λόγε.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος Αριάδνης.

Στίχοι

- Σώζει ραγείσα τήν Αριάδνην πέτρα.
- Χριστός γάρ αύτήν έσκεπε ζωής πέτρα.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Κάστορος.

Στίχοι

- Ου θήρ ο Κάστωρ, αλλ' ανήρ τις γεννάδας,
- Η μάλλον ειπείν, ανδριάς πρός αικίας.

Ταίς αυτών αγίαις πρεσβείαις ο Θεός, ελέησον ημάς. Αμήν.

## Ωδή ζ'

### Εικόνος χρυσής

Νεκρών λογισμών, προθυμία τής ψυχής κατακαυχ ώμενος, εν βαθυτάτω γήρα Όσιε, αποδημίαις εκέχρησο, επ' ευεργεσία τών πίστει, δεχομένων Ευμένιε, σέ τόν σπορέα τών σεπτών, καί Ιερών διδαχών.

Η Ρώμη τών σών, απολαύσασα καλών, δώρον ποθούμενον, τή θηβαϊδι μή βουλόμενον, Πάτερ εκπέμπει Ευμένιε, ένθα γεγονώς αναστέλλεις, τού αυχμού τήν κατήφειαν, τή επομβρία τών σεπτών ευχών σου Όσιε.

Μαζοίς εκτραφείς, εγκρατείας τό σεπτόν γάλα εθήλασας, καί ηλικίας μέτρον έφθασας, ανενεχθείς εις ακρώρειαν, Πάτερ αρετών καί ηλίου, απαστράψας φαιδρότερον, θεοσημείαις τοίς νυκτί κατασχεθείσι παθών.

Θεοτοκίον

Αϋλου φωτός, οικητήριον η σή μήτρα γεγένηται, τού φρυκτωρίαις θείας γνώσεως, τήν αθεϊαν μειώσαντος, άχραντε Θεόνυμφε Κόρη, όν υμνούντες κραυγάζομεν, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

## Ωδή η'

### Τόν εν καμίνω τού πυρός

Καταπαλαίσας τόν εχθρόν, καί τόν δρόμον τόν καλόν διατελέσας, βαθυτάτω εν γήρα, πρός τούς πατέρας τούς σούς, μετέβης σίτος ώσπερ ώριμος, ξένης επί χώρας, λαβών τού βίου πέρας.

Αμνημονήσαντες τών σών, ουδαμώς Πάτερ καλών παίδες θηβαίων, τή πατρίδι καί ποίμνη τήν Ιεράν σου σορόν, αισίως κρίναντες εκπέμπουσιν, ής τή επανόδω, θαυμάτων έρρει χάρις.

Ράξος Κυρίλλου τό σεπτόν, καί πολύαθλον τό πρίν κατέχων σώμα, καί τό σόν νύν συγκρύπτει, παραπλησίως Σοφέ, συνάψας τούς βίω ομόφρονας, ούς η άνω φέρει, πατρίς εις τούς αιώνας.

Θεοτοκίον

Ιερωτάτη Προφητών, σέ προγράφει αληθώς σεμνή χορεία, αλατόμητον όρος, ράβδον καί πύλην, δι' ής διήλθεν ως οίδεν ο Ύψιστος, πάλιν κεκλεισμένην, εάσας σε Παρθένε.

Ο Ειρμός

«Τόν εν καμίνω τού πυρός, τών Εβραίων τοίς Παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον, μεταβαλόντα Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε εις πάντας τούς αιώνας».

Ωδή θ'

Τόν εκ Θεού Θεόν Λόγον

Ως τού Χριστού Ιεράρχης, εκ δυνάμεως Πάτερ, εις δύναμιν μετέβης θαυμαστώς, ένθα χοροί Ιερώτατοι, λειτουργούσιν εν φόβω Τριάδι, τή σεπτή μετά πασών, ουρανίων παμμάκαρ, Ευμένιε Δυνάμεων.

Στήσον τήν νύν καταιγίδα, τής πατρίδος τό θείον, ταίς σαίς εξευμενίζων προσευχαίς, βαρβαρικήν μάκαρ έφοδον, τήν ημάς τυραννούσαν, καί πείρα συνωθούσαν τών κακών, εις βυθόν απωλείας, αοίδιμε Ευμένιε.

Ησή πανίερος μνήμη, συγκαλείται ποιμένας, οσίους καί λαόν τόν ευσεβή, αγιασμόν πάσι φέρουσα, ήν τελούντας πλουσίως, καταύγασον ημάς μαρμαρυγαίς, τών εν σοί χαρισμάτων, πανεύφημε Ευμένιε.

Θεοτοκίον

Φέρεις τόν φέροντα πάντα, θεϊκή δυναστεία, καί τρέφεις εκ μαζών πάσαν πνοήν, τόν διατρέφοντα Πάναγνε, υπέρ νούν σού τό θαύμα, Αγγέλους καταπλήττον καί βροτούς, τούς αεί σε υμνούντας, καί πόθω μακαρίζοντας.

Ο Ειρμός

«Τόν εκ Θεού Θεόν Λόγον, τόν αρρήτω σοφία ηκόντα καινουργήσαι τόν Αδάμ, βρώσει φθορά πεπτωκότα δεινώς, εξ αγίας Παρθένου, αφράστως σαρκωθέντα δι' ημάς, οι πιστοί ομοφρόνως, εν υμνόις μεγαλύνομεν».

Εξαποστειλάριον τού Αγίου

Γυναίκες ακουτίσθητε

Ευμένιε θεόληπτε, τών Αρχαγγέλων σύσκηνε, ως παρρησίαν πλουτήσας, πρός τόν Χριστόν Ιεράρχα, ού καί τώ θρόνω Άγιε, ενδόξως νύν παρίστασαι, τών εκτελούντων μέμνησο, τήν φωτοφόρον σου μνήμην, καί σέ τιμώντων εκ πόθου.

Καί τής Εορτής
Ήχος β'
Τών μαθητών ορώντων σε

Σταυρός, ο φύλαξ πάσης τής οικουμένης, Σταυρός, η ωραιότης τής Εκκλησίας, Σταυρός, Βασιλέων τό κραταίωμα, Σταυρός, Πιστών τό στήριγμα Σταυρός, Αγγέλων η δόξα, καί τών δαιμόνων τό τραύμα.

Εις τόν Στίχον Στιχηρά Προσόμοια.

Ήχος β'
Οίκος τού Εφραθά

Ξύλον τό τού Σταυρού, υψούμενον ορώντες, μεγαλωσύνην δώμεν, Θεώ τώ σταυρωθέντι, σαρκί δι' αγαθότητα.

Στίχ. Υψούτε Κύριον τόν Θεόν ημών καί προσκυνείτε τώ υποποδίω τών ποδών αυτού.

Ύδατι θεουργώ, καί αίματί σου Λόγε, λαμπρώς η Εκκλησία, στολίζεται ως νύμφη, Σταυρού τήν δόξαν μέλπουσα.

Στίχ. Ο δέ Θεός Βασιλεύς ημών πρό αιώνος ειργάστο σωτηρίαν εν μέσω τής γής.

Λόγχην σύν τώ Σταυρώ, τούς ήλους καί τά άλλα, εν οίς τό ζωηφόρον, Χριστού επάγη σώμα, εν ύμνοις προσκυνήσωμεν.

Δόξα... Καί νύν... Όμοιον

Δεύτε χαρμονικώς, ασπασώμεθα πάντες, τό σωτήριον ξύλον, εν ώ εξετανύθη, Χριστός η απολύτρωσις.

Καί τά λοιπά ως σύνηθες, καί Απολυσις.

---

Αρχή

## ΤΗ ΙΘ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Μαρτύρων Τροφίμου, Σαββατίου, καί Δορυμέδοντος.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά τής Εορτής γ'.

Ήχος πλ. δ'
Ώ τού παραδόξου θαύματος

Ώ τού παραδόξου θαύματος! τό ζωηφόρον φυτόν, ο Σταυρός ο πανάγιος, εις ύψος αιρόμενος, εμφανίζεται σήμερον, δοξολογούσι, πάντα τά πέρατα, εκδειματούνται, δαίμονες άπαντες, Ώ οίον δώρημα, τοίς βροτοίς κεχάρισται!

δι' ού Χριστέ, σώσον τάς ψυχάς ημών, ως μόνος εύσπλαγχνος.

Ώ τού παραδόξου θαύματος! ως βότρυν πλήρη ζωής, ο βαστάσας τόν ύψιστον, από γής υψούμενος, Σταυρός οράται σήμερον, δι' ού πρός Θεόν, πάντες ειλκύσθημεν, καί κατεπόθη, εις τέλος θάνατος, Ώ ξύλον άχραντον! υφ' ού απολαύομεν τής εν Εδέμ, αθανάτου βρώσεως, Χριστόν δοξάζοντες.

Ώ τού παραδόξου θαύματος! εύρος καί μήκος Σταυρού, ουρανού ισοστάσιον, ότι θεία χάριτι, αγιάζει τά σύμπαντα, εν τούτω έθνη, βάρβαρα ήτηνται, εν τούτω σκήπτρα, ανάκτων ήδρασται, Ώ θείας κλίμακος! δι' ής ανατρέχομεν εις ουρανούς, υψούντες εν άσμασι, Χριστόν τόν Κύριον.

Καί τών Αγίων γ'

Ήχος ο αυτός
Οι Μάρτυρές σου Κύριε

Τρυφήν τήν αδαπάνητον, ποθών κληρώσασθαι, Τρόφιμε Μάρτυς, πόνοις τού σώματος, σύ ενετρύφας, καί δή μετέστης εκ φθοράς, πρός τήν αφθαρσίαν αγαλλόμενος, καί τώ μαρτυρίω εγκοσμούμενος, διό ταίς σαίς πρεσβείαις, αίτησαι πάσι μάκαρ τό μέγα έλεος.

Σαββάτιος ο ένδοξος, πολλαίς κολάσεσιν εγκαρτερήσας, νύν εσαββάτισεν εις τάς επαύλεις, τών ουρανών περιχαρώς, γέρα τών αγώνων κομιζόμενος, δήμοις τών Αγγέλων αριθμούμενος, αυτού Χριστέ πρεσβείαις, δώρησαι τώ λαώ σου τό μέγα έλεος.

Αθέων βουλευτήριον, αποκρουσάμενος βουλαίς ενθέοις, τόν νούν ωχύρωσεν ο Δορυμέδων, καί προσεχώρησε στερρώς, πρός τά τών βασάνων πειρατήρια, νίκης τε βραβεία κομισάμενος, Χριστώ συμβασιλεύει, πάντοτε υπέρ πάντων ημών δεομενος.

Δόξα... Καί νύν... Ήχος πλ. δ'

Η φωνή τού Προφήτου σου Μωϋσέως, ο Θεός πεπλήρωται, η λέγουσα, Όψεσθε τήν ζωήν υμών κρεμαμένην, απέναντι τών οφθαλμών υμών, Σήμερον Σταυρός υψούται, καί κόσμος εκ πλάνης ηλευθέρωται, Σήμερον τού Χριστού η ανάστασις εγκαινίζεται, καί τά πέρατα τής γής αγάλλονται, εν κυμβάλοις Δαυϊτικοίς, ύμνον σοι προσφέροντα καί λέγοντα, Ειργάσω σωτηρίαν εν μέσω τής γής ο Θεός, Σταυρόν καί τήν ανάστασιν, δι' ών ημάς έσωσας αγαθέ καί φιλάνθρωπε, Παντοδύναμε Κύριε, δόξα σοι.

Απόστιχα Στιχηρά

Ήχος πλ. β'
Τριήμερος ανέστης

Ού έστησαν οι πόδες Χριστού, τόν τύπον προσκυνήσωμεν, ανυψούντες τόν τρισόλβιον Σταυρον, εν ώ κατεκενώθη, τό αίμα τού Δεσπότου, τό βλύσαν

κόσμω τήν ανάστασιν.

Στίχ. Υψούτε Κύριον τόν Θεόν ημών καί προσκυνείτε τώ υποποδίω τών ποδών αυτού.

Νεκρώσαντες τά πάθη σαρκός, καί πνεύματος θεόφρονες, επειχθώμεν, υψωθήναι από γής, ουράνιον πρός λήξιν, Σταυρού τή ανυψώσει, συσταυρωθέντες τώ Δεσπότη Χριστώ.

Στίχ. Ο δέ Θεός Βασιλεύς ημών πρό αιώνος ειργάστο σωτηρίαν εν μέσω τής γής.

Ζωήρυτος εκ θείας πλευράς, πηγή σαφώς εξέβλυσε, τού Σωτήρος καταρδεύουσα ψυχάς, τών πίστει προσκυνούντων, τό θείον πάθος τούτου, καί τόν Σταυρόν καί τήν Ανάστασιν.

Δόξα... Καί νύν... Ήχος πλ. β'

Ο τετραπέρατος κόσμος σήμερον αγιάζεται, τού τετραμερούς υψουμένου σου Σταυρού, Χριστέ ο Θεός ημών, καί κέρας τών πιστών συνυψούται Βασιλέων ημών, συντριβόντων έν αυτώ τών δυσμενών τά κέρατα, Μέγας εί Κύριε, καί θαυμαστός εν τοίς έργοις σου! δόξα σοι.

Απολυτίκιον Ήχος α'

Σώσον Κύριε τόν λαόν σου καί ευλόγησον τήν κληρονομίαν σου, νίκας τοίς Βασιλεύσι κατά βαρβάρων δωρούμενος καί τό σόν φυλάττων διά τού Σταυρού σου πολίτευμα.

Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος α'

Τού λίθου σφραγισθέντος

Τού Σταυρού σου τό ξύλον προσκυνούμεν Φιλάνθρωπε, ότι εν αυτώ προσηλώθης η ζωή τών απάντων, Παράδεισον ηνέωξας Σωτήρ, τώ πίστει προσελθόντι σοι Ληστή, καί τρυφής κατηξιώθη, ομολογών σοι, Μνήσθητί μου Κύριε, Δέξαι ώσπερ εκείνον καί ημάς, κραυγάζοντας, Ημάρτομεν, πάντες τή ευσπλαγχνία σου, μή υπερίδης ημάς.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος α'

Τόν τάφον σου Σωτήρ

Απλώσας εν Σταυρώ, τάς παλάμας Οικτίρμον, τά έθνη τά μακράν, από σού γεγονότα, συνήγαγες δοξάζειν σου, τήν πολλήν αγαθότητα, αλλ' επίβλεψον, επί τήν σήν κληρουχίαν, καί κατάβαλε, τούς καθ' ημών πολεμίους, Σταυρώ τώ τιμίω σου.

Δόξα... Καί νύν... Τό αυτό

Ο Κανών τής Εορτής, καί τών Αγίων, ού η ακροστιχίς.

Τρίφωτον υμνώ Μαρτυρων διαυγίαν. Ιωσήφ.

Ωδήα'  Ήχος πλ. δ'

Αρματηλάτην Φαραώ

Ταίς υπερφώτοις αστραπαίς τού Πνεύματος, καταλαμπόμενοι, τά σκοτεινά νέφη, τής ψυχής μου λύσατε, τόν νούν μου καταυγάσατε, καί τά χείλη πρός ύμνον, υμάς γεραίρειν ανοίξατε, Μάρτυρες Χριστού μεγαλώνυμοι.

Ρωμαλεότητι φρενών αντέστητε, τώ ματαιόφρονι, νέμειν θεοίς σέβας, Μάρτυρες αλλόκοτον, υμάς καταναγκάζοντι, καί θυσία τελεία, διά ποικίλων κολάσεων, τώ Παμβασιλεί προσηνέχθητε.

Ισχύς υμίν παρά Θεού δεδώρηται, τού παντοκράτορος, καταβαλείν πάσαν, τήν Ισχύν τού δράκοντος, σεπτοί Μεγαλομάρτυρες, τής Τριάδος οπλίται, Σαββάτιε αξιάγαστε, θείε Δορυμέδον καί Τρόφιμε.

Θεοτοκίον

Φωτιστικαίς σου πηγαζούσαις χάρισι, θεοχαρίτωτε, πύλη φωτός μόνη, οι γενναίοι Μάρτυρες, φαιδρώς καταυγαζόμενον, τό βαθύτατον σκότος, τών ανυποίστων κολάσεων, σέ υμνολογούντες παρέδραμον.

Ωδή γ'

Ο στερεώσας κατ' αρχάς

Ωραιοτάτω λογισμώ καί σταθερά διανοία, πρός βασάνων εχωρήσατε πείραν, αικιζόμενοι σφοδρώς, καί μάστιξι ξεόμενοι, καί αηττήτω γνώμη, απαρασάλευτοι μένοντες.

Ταίς τών αιμάτων προχοαίς, Ιερωτάτην πορφύραν, επιχρώσαντες γενναίοι οπλίται, αθανάτω Βασιλεί, Κυρίω νύν παρίστασθε, υπέρ ημών πρεσβείαν, ακαταπαύστως ποιούμενοι.

Ουκ εξηρνήσασθε Χριστόν, προσομιλούντες βασάνοις καί ξεόμενοι τό σώμα ποικίλως, καί τεινόμενοι δεινώς, καί τοίς θηρσί διδόμενοι, πανευκλεείς οπλίται, Άγιοι Μεγαλομάρτυρες.

Θεοτοκίον

Νομοθεσίαις τού εκ σού, σεσαρκωμένου Δεσπότου, πειθαρχούντες

παναμώμητε Κόρη, οι γενναίοι Αθληταί, ανόμους ετροπώσαντο, σέ συνεργόν ως σχόντες, τήν σώζουσαν τάς ψυχάς ημών.

Ο Ειρμός

«Ο στερεώσας κατ' αρχάς, τούς ουρανούς εν συνέσει, καί τήν γήν επί υδάτων εδράσας, εν τή πέτρα με Χριστέ, τών εντολών σου στήριξον, ότι ουκ έστι πλήν σου, άγιος μόνε φιλάνθρωπε».

Κάθισμα τών Μαρτύρων

Ήχος α' Τόν τάφον σου Σωτήρ

Βασάνων ανδρικώς, υπομείναντες πόνους, τήν άπονον ζωήν, εκομίσασθε άμα, Δορυμέδον καί Τρόφιμε, καί Σαββάτιε πάνσοφε, όθεν σήμερον, η τού Χριστού Εκκλησία, εορτάζουσα, τήν Ιεράν ομών μνήμην, ενθέως αγάλλεται.

Δόξα... Καί νύν... τής Εορτής

Ο άνω ως Θεός, ουρανόν θρόνον έχων, καί γήν Χριστέ Σωτήρ, υποπόδιον φέρων, Σταυρόν ημίν υπέδειξας, σών ποδών υποπόδιον, Τούτον άπαντες, δαυϊτικώς προσκυνούμεν, Τούτον φύλακα, καί βοηθόν εξαιτούμεν, καί πίστει δοξάζομεν.

Ωδή δ'

Σύ μου ισχύς, Κύριε

Υπομονή, τών αικισμών λαμπρυνόμενοι, επί ξύλου, Μάρτυρες ηρτήθητε, καί σιδηροίς όνυξι πλευράς, ένδοξοι ξεσθέντες, τή απεκδύσει τού σώματος, τήν θείαν αφθαρσίαν, ενεδύσασθε θρόνω, τής Τριάδος αεί παριστάμενοι.

Μαστιγωθείς, διά Χριστόν Μάρτυς Τρόφιμε, ενετρύφας, πόνοις υπερβάλλουσιν, αποσκοπών τάς εν ουρανοίς, θείας αντιδόσεις, καί τήν τρυφήν τήν αδάπανον, ής νύν κατηξιώθης, τόν αγώνα τελέσας, καί τρυφή τώ Δεσπότη γενόμενος.

Νεανικώς, εγκαρτερήσας Σαββάτιε, ταίς βασάνοις, χαίρων εναπέδωκας, Θεού εις χείρας τήν σήν ψυχήν, καί πρός ουρανίους, μονάς καλώς εσαββάτισας, νικήσας τόν εκείθεν, εκριφθέντα αθλίως, καί βραβεία τής νίκης δεξάμενος.

Θεοτοκίον

Ως καθαρόν, τού Βασιλέως παλάτιον, σέ Μαρτύρων, σύστημα τρισάριθμον, επικαλούμενοι βοηθόν, άχραντε Παρθένε, ναούς δαιμόνων ηδάφισαν, καί πρός ναόν άνω, μετετέθησαν δόξης, εν αινέσει αεί σε γεραίροντες.

Ωδή ε'

Ίνα τί με απώσω

Μακρυνθέντες φιλίας, σώματος Πανεύφημοι προσωκειώθητε, διά πλείστων πόνων, καί μεγίστων Θεώ πανοικτίρμονι, τώ υμάς δι' οίκτον, πεφιληκότι καί τά πάθη, τοίς αυτού αποκτείναντι πάθεσιν.

Αι πορείαί σου Μάρτυς, Τρόφιμε γεγόνασι κατευθυνόμεναι, πρός οδούς πανσόφους, μαρτυρίου, εν αίς καλλυνόμενος, σιδηραίς κρηπίσι,

καθηλωμένος τού Βελίαρ, κεφαλήν καί τά κέντρα συνέτριψας.

Ρητορεύων τά θεία, Τρόφιμε πολύαθλε, τυράννους ήσχυνας, καί τοίς αίμασί σου, βηματίζων τήν γήν καθηγίασας, εμπεριπατείς δέ, χαρμονικώς τώ Παραδείσω, σωτηρίαν ημίν εξαιτούμενος.

Θεοτοκίον

Τήν αγίαν Παρθένον, τήν θεοχαρίτωτον καί παναμώμητον, οι στερροί οπλίται, εις βοήθειαν επικαλούμενοι, τών βασάνων όγκον, καί τών δεινών τήν τρικυμίαν, ακλονήτω διήλθον φρονήματι.

Ωδή ς'

Ιλάσθητί μοι Σωτήρ

Υπέπλευσαν γαληνώς, τή κυβερνήσει τού Πνεύματος, οι ευκλεείς, Αθληταί, βασάνων τό πέλαγος, καί πρός τόν ακύμαντον, σωτηρίας όρμον, Ιερώς εγκαθωρμίσθησαν.

Ραινόμενα καθορών, εις γήν τά μέλη σου Τρόφιμε, καί όξος κατά τών σών, μυκτήρων δεχόμενος, ευώδους οσφρήσεως, αντελάβου πλέον, τού Χριστού τής αγαπήσεως.

Ως βουλευτής τών Χριστού, δικαιωμάτων γενόμενος, βουλάς αθέων εχθρών, τελείως εξέκλινας, καί σαυτόν παρέδωκας, Δορυμέδον Μάρτυς, ταίς βασάνοις μαστιζόμενος.

Θεοτοκίον

Νευρούμενοι ταίς εκ σού, εκπεμπομέναις δυνάμεσιν, οι Αθλοφόροι Χριστέ, νομίμως ενήθλησαν, τήν αγνήν Μητέρα σου, ανυμνολογούντες, απορρήτως σε κυήσασαν.

Ο Ειρμός

«Ιλασθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

Κοντάκιον Ήχος δ'

Ως απαρχάς

Ως αθλητών εδραίωμα, καί ευσεβείας έρεισμα, η Εκκλησία τιμά καί γεραίρει σου, τήν φωτοφόρον άθλησιν, παναοίδιμε μάκαρ, αθλητά γενναιόφρον, ένδοξε Τρόφιμε, σύν τοίς συνάθλοις σου, ιλασμόν τοίς υμνούσί σε αίτησαι, ως αήττητος.

Ο Οίκος

Τών Αγίων Μαρτυρων τά έπαθλα, ουρανών αι Δυνάμεις εθαύμασαν, ότι σώμα θνητόν περικείμενοι, ασωμάτους εχθρούς ετροπώσαντο, Σταυρού τή ισχύϊ κρατυνόμενοι, όθεν μακαρίζονται εις αιώνας, ιλασμόν τών πταισμάτων αιτούμενοι υπέρ πάντων ημών, καί γάρ τιμώνται αυτοί, ως αήττητοι.

Σ υ ν α ξ α ρ ι ο ν

Τή ΙΘ' τού αυτού μηνός, Μνήμη τών Αγίων Μαρτύρων Τροφίμου, Σαββατίου καί Δορυμέδοντος.

Στίχοι

- Πνέοντες έν Τρόφιμε καί Δορυμέδον,
- Εν εκ ξίφους δέχεσθε καί βίου τέλος.
- Ξεσθείς σιδηροίς Σαββάτιος οξέσιν,
- Εις σαββατισμόν θείον ως Μάρτυς φθάνει.
- Εννεαδεκάτη Τρόφιμον τάμον, ηδέ συνάθλους.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Θεού συγκατάβασιν

Διόλου ταίς νεύσεσι, ταίς πρός τό θείον καλλωπιζόμενος, οβελίσκοις τε μάκαρ, πυρακτωθείσι καταφλεγόμενος, καί τάς πλευράς σου αδίκως ξεόμενος, ώ Δορυμέδον, στερρώς ενεκαρτέρησας.

Ιδείν αφιέμενος, Θεού τήν δόξαν τήν ανεκλάλητον, οφθαλμούς επηρώθης, πυρακτωθείσι σιδήροις Τρόφιμε, καί ευχαρίστως Κυρίω εκραύγαζες, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Αγάπη φλεγόμενοι, σεπτής Τριάδος οι τρείς ηνύσατε, τούς μεγίστους αγώνας, καί μυριάσι νύν συναγάλλεσθε, επουρανίαις, μεθ' ών ημών μέμνησθε, λύσιν πταισμάτων αεί ημίν αιτούμενοι.

Θεοτοκίον

Υπάρχουσα Δέσποινα, καθαρωτέρα πάσης τής κτίσεως, υπεδέξω τόν Λόγον, εκ σού αρρήτως αποτικτόμενον, όν οι γενναίοι ποθήσαντες Μάρτυρες, τή τών βασάνων πυρά ενεκαρτέρησαν.

Ωδή η'

Επταπλασίως κάμινον

Γεγυμνωμένοις σώμασιν, αικισμοίς προσπαλαίοντες, τόν τής αφθαρσίας, στολισμόν εδέξασθε, αισχύνην ενδύσαντες τόν δυσμενή αιώνιον, καί στεφανηφόροι, μεταβάντες πρός λήξιν, τήν θείαν εκβοάτε, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ιχνηλατούντες Μάρτυρες, τού Χριστού τά παθήματα, ξύλοις προσδεθέντες, πειρασμούς ηνέγκατε, γενναίω φρονήματι, καί ταίς ροαίς τού αίματος, πνίξαντες δαιμόνων, πονηρότατα στίφη, ενθέως μελωδείτε, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ανευφημείσθω Τρόφιμος, δοξαζέσθω Σαββάτιος, καί μεγαλυνέσθω, Δορυμέδων σήμερον, οι στύλοι οι άσειστοι, τά τών πιστών προπύργια, οι φωτοειδείς, τής Εκκλησίας φωστήρες, οι ταύτην ταίς ακτίσι, τών μεγίστων

αγώνων, σεπτώς φωταγωγούντες, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Νέον βρέφος τέτοκας, τώ Πατρί καί τώ Πνεύματι, άχραντε Παρθένε, συμφυώς νοούμενον, Χριστόν τόν Θεόν ημών, όν οι γενναίοι Μάρτυρες, καθομολογούντες, ιερώς εναθλούσι, μεθ' ών σε Παναγία, μακαρίζουσι πίστει, λαοί φυλαί καί γλώσσαι, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέ σιν εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, Τόν Δημιουργόν καί Λυτρωτήν, ανεβόα, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

## Ωδή θ'

Εξέστη επί τούτω

Ισχύϊ τού τών όλων Δημιουργού, τών θηρών τάς ορμάς επεδήσατε, καί αβλαβείς, Μάρτυρες εμείνατε εξ αυτών, μεγάλως θαυμαζόμενοι, ταίς αμετατρέπτοις μεταβολαίς, διό ταίς τών Μαρτύρων, αγέλαις συναφθέντες, υπέρ ημών αεί πρεσβεύσατε.

Ως θύματα τραπέζη τή λογική, προσηνέχθητε ξίφει τεμνόμενοι, πανευκλεώς, καί τών πρωτοτόκων νύν εν σκηναίς, περιχαρώς αυλίζεσθε, βλέποντες τήν δόξαν τήν τού Θεού, καί τάς επικαρπίας, δεχόμενοι τών πόνων, καί τά βραβεία τής αθλήσεως.

Συμφώνως συνελθόντες δεύτε πιστοί, Δορυμέδοντα νύν καί Σαββάτιον, καί τόν κλεινόν, Τρόφιμον δοξάσωμεν τούς στερρούς, τής αληθείας Μάρτυρας, βότρυας σμπέλου τής νοητής, εξ ών ημίν ο οίνος, τής όντως ευφροσύνης, εναποστάζει θεία χάριτι.

Η μνήμη η πανέορτος τών σοφών, Αθλητών ανατείλασα σήμερον, ως αληθώς, υπέρ τάς αυγάς τάς ηλιακάς, καταφωτίζει άπαντας, σκότος απελαύνουσα τών παθών, καί νέφη ραθυμίας, ών Λόγε ταίς πρεσβείαις, παράσχου πάσι τά ελέησου.

Θεοτοκίον

Φυλάξας σε Παρθένον ο εκ τών σών, ανατείλας λαγόνων ανέσπερος, ως αληθώς, Ήλιος Παρθένε τούς αθλητάς, περιφανώς ελάμπρυνε, διηγωνισμένους καρτερικώς, μεθ' ών αυτόν δυσώπει, ημάς κατοικτειρήσαι, τούς ευσεβώς σε μακαρίζοντας.

Ο Ειρμός

«Εξέστη επί τούτω ο ουρανός, καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι μεγαλύνουσιν».

## Εξαποστειλάριον τών Αγίων

Ο ουρανόν τοίς άστροις

Ο ουρανόν τοίς άστροις, κατακοσμήσας ως Θεός, καί διά τών σών Αγίων, πάσαν τήν γήν φωταγωγών, Δημιουργέ τών απάντων, τούς ανυμνούντάς σε σώζε.

Καί τής Εορτής

Ήχος β'

Τών μαθητών ορώντων σε

Σταυρός, ο φύλαξ πάσης τής οικουμένης, Σταυρός, η ωραιότης τής Εκκλησίας, Σταυρός, Βασιλέων τό κραταίωμα, Σταυρός, Πιστών τό στήριγμα Σταυρός, Αγγέλων η δόξα, καί τών δαιμόνων τό τραύμα.

Απόστιχα Στιχηρά

Ήχος β'

Οίκος τού Εφραθά

Ύλην φθοροποιόν, εξαίρει αμαρτίας, τό τού Σταυρού σου ξύλον, υψούμενον Σωτήρ μου, λαμπρύνει δέ τά σύμπαντα.

Στίχ. Υψούτε Κύριον τόν Θεόν ημών καί προσκυνείτε τώ υποποδίω τών ποδών αυτού.

Λύσιν τών δυσχερών, καί κτήσιν τών αρίστων, υψούμενος βραβεύει, τώ γένει τών ανθρώπων, Σταυρός Χριστού ο άγιος.

Στίχ. Ο δέ Θεός Βασιλεύς ημών πρό αιώνος ειργάστο σωτηρίαν εν μέσω τής γής.

Ότε τόν Αμαλήκ, Μωσής κατετροπούτο, Χριστού προλέγων πάθη, Σταυρόν προδιετύπου, τόν θείον καί πανάχραντον.

Δόξα... Καί νύν... Όμοιον

Δεύτε χαρμονικώς, ασπασώμεθα πάντες, τό σωτήριον Ξύλον, εν ώ εξετανύθη, Χριστός η απολύτρωσις.

Καί τά λοιπά, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Κ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Μεγαλομάρτυρος Ευσταθίου καί τής συνοδίας αυτού.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις το, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά τής Εορτής γ'.

Ήχος β'

Ότε εκ τού ξυλου σε νεκρόν

Όφιν, ανεστήλωσε χαλκούν, πάλαι Μωϋσής ο θεόπτης, πρός τήν αναίρεσιν, τών δακνόντων όφεων, αυτός δέ όλον σαυτόν, επί ξύλου ανύψωσας, Σωτήρ μου ζωώσας, πάντας εν τώ θείω σου, καί ζωηφόρω Σταυρώ, ός νύν, ανυψούμενος φλέγει, φάλαγγας δαιμόνων, καί τρέπει, τών βαρβάρων φύλα καί φρυάγματα.

Σύ μου, τό φθαρτόν τε καί θνητόν, Σώτερ εκ Παρθένου γορέσας, καί Θεομήτορος, άφθαρτον απέδειξας, καί πρός ζωήν καί τρυφήν, ατελεύτητον είλκυσας, πρός ήν επανάγεις, πάντας τούς υμνούντάς σε, Λόγε Χριστέ ο Θεός, όπλον κραταιόν εν πολέμοις, Δέσποτα τόν θείον Σταυρόν σου, τώ πιστώ σου Άνακτι δωρούμενος.

Λάμψον, φώς απρόσιτον ημίν, έργον γάρ εσμέν τών χειρών σου, πάντες Χριστέ ο Θεός, όπλω δέ στεφάνωσον, τούς ευσεβείς Βασιλείς, νίκας τούτοις δωρούμενος, κατά πολεμίων, τείχος καί οχύρωμα, ισχύν καί άσυλον, όλβον, τόν Σταυρόν σου πλουτούσιν, Ύψιστε ο άφθορον μήτραν, Σώτερ υποδύς τής Θεομήτορος.

Καί τών Αγίων γ'

Ήχος δ'

Έδωκας σημείωσιν

Άνωθεν η κλήσίς σου, ουκ απ' ανθρώπων Ευστάθιε, αλλ' αυτός σοι οπτάνεται, Χριστός ο φιλάνθρωπος, καί αγρεύει μάκαρ, πίστεως δικτύοις, καί τώ Βαπτίσματι αυτού, αποκαθάρας τάς αμαρτίας σου, πρός βίου πειρατήριον, υπομονήν σοι προτείνεται, ο Δεσπότης καί δείκνυσι, νικητήν διά βόητον.

Χαίρων εν νεότητι, τής αρετής τό γυμνάσιον, υπεδέξω Ευστάθιε, τών παίδων στερούμενος, καί τής σής συζύγου, τήν αιχμαλωσίαν, υπενεγκών καρτερικώς, καί υπομείνας θητείαν άτιμον, αλλά σε παναοίδιμε, η εν πολέμοις ανδρία σου, ποθητόν κατεστήσατο, καί λαμπρώς επανήγαγε.

Θείον ως θυμίαμα, διά πυρός ευωδέστατον, καί τερπνόν ολοκαύτωμα, θυσία ευπρόσδεκτος, προσφορά τε ζώσα, καί τελειοτάτη, συ προσηνέχθης τώ Θεώ, πανοικεσία καρποφορούμενος, διό σε η ουράνιος, νύν κατοικία Ευστάθιε, σύν τοίς σοίς εισεδέξατο, καί Αγίων στρατεύματα.

Δόξα... Ήχος β'

Εφραίμ Καρίας

Ο δεύτερος Ιώβ Ευστάθιος, τόν βίον τούς άθλους καί τούς στεφάνους, εις προτροπήν αρετών, εαυτόν ημίν προέθηκε, καί στήλην καρτερίας, υπερβάς αληθώς τόν, Ιώβ, τή αρετή, σύν τή συζύγω καί τοίς τέκνοις, ο πιστός εν βίω, καί ακράδαντος εν πειρασμοίς, καί εν αθλήσει νικηφόρος, όν προσάξωμεν εις πρεσβείαν Χριστώ, τού δωρηθήναι ταίς ψυχαίς ημών φωτισμόν, καί ιλασμόν τών πλημμελημάτων.

Καί νύν... Ήχος ο αυτός

Θείος θησαυρός εν γή κρυπτόμενος, τού Ζωοδότου ο Σταυρός, εν ουρανοίς εδείκνυτο Βασιλεί ευσεβεί, νίκης κατ' εχθρών υπογραμμόν δηλών νοερόν, όν γεγηθώς πίστει καί πόθω, θεόθεν αναδραμών πρός θεωρίας ύψωσιν, σπουδή μεγίστη εκ γής λαγόνων ανέφηνεν, εις κόσμου λύτρον, καί σωτηρίαν τών ψυχών ημών.

Απόστιχα Στιχηρά

Ήχος πλ. β'

Τριήμερος

Ραπίσματα υπήνεγκας, καί σταύρωσιν Μακρόθυμε, καί ονείδη, θέλων πάντας εκ χειρός, λυτρώσασθαι τού πλάνου, ο μόνος ζωοδότης, καί πανοικτίρμων καί φιλάνθρωπος.

Στίχ. Υψούτε Κύριον τόν Θεόν ημών καί προσκυνείτε τώ υποποδίω τών ποδών αυτού.

Τιμώ σου τόν Σταυρόν αγαθέ, τούς ήλους καί τήν λόγχην Σωτήρ, δι' ών πάντας, ελυτρώσω τής φθοράς, ως μόνος ζωοδότης, καί πάντων ευεργέτης, μόνε φιλάνθρωπε Σωτήρ ημών.

Στίχ. Ο δέ Θεός Βασιλεύς ημών πρό αιώνος ειργάστο σωτηρίαν εν μέσω τής γής.

Σταυρώ προσηλωθείς δι' εμέ, Σωτήρ μου υπεράγαθε, ερραπίσθης, καί υβρίσθης Λυτρωτά, καί όξος εποτίσθης, καί λόγχη εκεντήθης, καί πάντα φέρεις αναμάρτητε.

Δόξα... Ήχος πλ. β'

Εφραίμ Καρίας

Αδαμάντινε τήν ψυχήν, πώς σε κατ' αξίαν επαινέσωμεν; τήν γάρ φύσιν υπερέβης, χρημάτων καί παίδων, καί τής συμβίου στερούμενος, τήν μακαρίαν εκείνην, καί αοίδιμον φωνήν τού Ιώβ εξεβόησας, ο Κύριος έδωκεν, ο Κύριος αφείλετο, ως τώ Κυρίω έδοξεν, Ούτω καί εγένετο, Αλλ' όν ηγάπησας Θεόν, καί όν θερμώς επεπόθησας, πάλιν σοι τούς φιλτάτους εδωρήσατο, συναθλητάς γενέσθαι σοι προμηθευσάμενος, μεθ' ών διά ποικίλων βασάνων, τό μακάριον τέλος διήνυσας, αυτούς καί συμπρεσβευτάς σου λαβόμενος, καρτερόψυχε Ευστάθιε, δυσώπησον λυτρωθήναι ημάς, τών ανομιών ημών.

Καί νύν... ο αυτός

Σήμερον προέρχεται ο Σταυρός τού Κυρίου, καί πιστοί εισδέχονται αυτόν εκ πόθου, καί λαμβάνουσιν ιάματα, ψυχής τε καί σώματος, καί πάσης μαλακίας, αυτόν ασπασώμεθα τή χαρά καί τώ φόβω, φόβω διά τήν αμαρτίαν, ως ανάξιοι όντες, χαρά δέ διά τήν σωτηρίαν, ήν παρέχει τώ κόσμω, ο εν αυτώ προσπαγείς Χριστός ο Κύριος, ο έχων τό μέγα έλεος.

Απολυτίκιον τών Αγίων
Ήχος δ'

Οι Μάρτυρές σου Κύριε, εν τή αθλήσει αυτών, στεφάνους εκομίσαντο τής αφθαρσίας, εκ σού τού Θεού ημών, σχόντες γάρ τήν ισχύν σου, τούς τυράννους καθείλον, έθραυσαν καί δαιμόνων, τά ανίσχυρα θράση, Αυτών ταίς ικεσίαις, Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

Απολυτίκιον τής Εορτής Ήχος α'

Σώσον Κύριε τόν λαόν σου καί ευλόγησον τήν κληρονομίαν σου, νίκας τοίς Βασιλεύσι κατά βαρβάρων δωρούμενος καί τό σόν φυλάττων διά τού Σταυρού σου πολίτευμα.

Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος πλ. δ'
Ανέστης εκ νεκρών

Εν μέσω τής Εδέμ, ξύλον ήνεγκε θάνατον, εν μέσω δέ τής γής, ξύλον ζωής εβλάστησε, γευσάμενοι γάρ τού πρώτου, άφθαρτοι όντες, φθαρτοί γεγόναμεν, τυχόντες δέ τού δευτέρου, τής αφθαρσίας κατετρυφήσαμεν, διά Σταυρού γάρ σώζει ο Θεός, τό γένος τών ανθρώπων. (Δίς)

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος πλ. δ'
Τό προσταχθέν

Προδιετύπου μυστικώς πάλαι τώ χρόνω, ο Ιησούς ο τού Ναυή Σταυρού τόν τύπον, ως τάς χείρας εξέτεινε, σταυροφανώς Σωτήρ μου, καί έστη ο ήλιος έως εχθρούς, ανείλεν ανθισταμένους σοί τώ Θεώ, νύν δέ ούτος εσκότισται, επί Σταυρού σε ορών, θανάτου κράτος λύοντα, καί τόν Άδην σκυλευοντα. (Δίς)

Ο Κανών τής Εορτής, καί τών Αγίων, ού η Ακροστιχίς.

Τής ευσταθείας τώ φερωνύμω κρότος.
Θεοφάνους.

Ωδή α' Ήχος δ'
Θαλάσσης τό ερυθραίον

Τώ λόγω, τό τών παθών μου σκίρτημα, ταίς ικεσίαις σου, καθυποτάξας Μάρτυς τού Χριστού, ευφημείν παρασκεύασον, τήν Ιεράν πανήγυριν, τών σών αγώνων παμμακάριστε.

Η κλήσις, ουκ απ' ανθρώπων γέγονεν, η σή Πανάριστε, αλλ' ουρανόθεν Παύλον ως τό πρίν, ο Χριστός σε εκάλεσεν, επιφανείς ως έλαφος, τών ιοβόλων εκλυτρούμενος.

Σοφίας, τής ανωτάτω έμπλεως, Μάρτυς γενόμενος, τού φθειρομένου πλούτου καί τρυφής, ουρανών τήν απόλαυσιν, πανευσεβώς προέκρινας, πανοικεσία στεφανούμενος.

Θεοτοκίον

Ευρών σε, καθαρωτέραν Πάναγνε, πάσης, τής κτίσεως ο τών απάντων Κτίστης καί Θεός, σαρκωθήναι ηυδόκησεν, εκ σού σαρκί τόν άνθρωπον, αναμορφώσαι προμηθούμενος.

Ωδή γ'

Ευφραίνεται επί σοί

Υπέφερες πειρασμών, τάς τρικυμίας καρτερώς ένδοξε, Μάρτυς Χριστού Ευστάθιε, τέκνων γυναικός τε στερούμενος.

Σωθέντες παρά Θεού, τής τών θηρών διαρπαγής παίδές σου, Μάρτυς Χριστού Ευστάθιε, θήρας νοητούς ετροπώσαντο.

Τόν βίον διαπερών, ως ποταμόν τοίς πειρασμοίς Ένδοξε, σού τής ψυχής διέσωσας, τό θεοειδές αταπείνωτον.

Θεοτοκίον

Αγνείας τό καθαρόν, καί παρθενίας τό σεπτόν σκήνωμα, δεύτε πιστοί υμνήσωμεν, εν χαρμονικοίς μελωδήμασιν.

Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα, Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

Κάθισμα  Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Ευσεβείας τοίς τρόποις ανδραγαθών, καρτερίας τοίς πόνοις υπεραθλών, νέος ανηγόρευσαι, Ιώβ Μάρτυς πανένδοξε, τών γάρ τερπνών τού βίου, παθών τήν αφαίρεσιν, σύν γυναικί καί τέκνοις, Θεώ ηυχαρίστησας, όθεν επί τέλει, τών αγώνων ως νίκης, βραβείον παρέσχε σοι, τήν τού αίματος πρόσχυσιν, Αθλοφόρε Ευστάθιε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων, άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Καί νύν...

τής Εορτής, όμοιον

Τόν Σταυρόν τού Σωτήρος υπό τήν γήν, κεκρυμμένον ανείλετο η σεμνή, Ελένη, καί πίμπλησι, χαράς κοσμου τό πλήρωμα, καί τεμένη θεσπίζει, υψούσθαι εν πνεύματι, καί τό σκήπτρον κομίζει, επί τά βασίλεια, όπερ καί δεικνύσα, τώ υιώ ανεβόα, Υφάπλωσον Δέσποτα, τάς σάς χείρας καί πρόσδεξαι, τόν δεικνύμενον άπασι, κράτος σου, καί νίκας σοφέ, καί τά έθνη δίδαξον εν χάριτι, τού προσκυνείν μετά πόθου, Σταυρόν καί τά πάθη Χριστού.

## Ωδή δ'

### Επαρθέντα σε ιδούσα

Θεία παλάμη σωθείσα τής τυραννίδος, τής τού εχθρού διέμεινε, τά τής σωφροσύνης, σώζουσα η σύμβιος, η σή ανακράζουσα, Δόξα τή δυνάμει σου Κύριε.

Επειράσθης καί ποικίλως εδοκιμάσθης, Μάρτυς Χριστού Ευστάθιε, καί τού μαρτυρίου, έδραμες τό στάδιον, βοών τώ Δεσπότη σου, Δόξα τή δυνάμει σου Κύριε.

Ιθυνόμενος προστάγματι τού Δεσπότου, μαρτυρικοίς εν αίμασι, καθωραϊσμένος, ώφθης παναοίδιμε, Ευστάθιε ένδοξε, σύν γυναικί καί τοίς τέκνοις σου.

### Θεοτοκίον

Απειρογάμως εκύησας ώ Παρθένε, καί μετά τόκον ώφθης παρθενεύουσα πάλιν, όθεν ασιγήτοις φωναίς, τό χαίρέ σοι Δέσποινα, πίστει αδιστάκτω κραυγάζομεν.

## Ωδή ε'

### Σύ Κύριέ μου φώς

Σύ οίά περ Ιώβ, ανεφάνης Ευστάθιε, σύ άμεμπτος ευσεβής τε, μακροθύμως τόν βίον, ευρέθης περαιούμενος.

Τίς μάκαρ ανυμνείν, τούς σούς πόνους δυνήσεται, Ευστάθιε, ούς υπέστης, τήν ομόζυγον Μάρτυς, καί παίδας αφαιρούμενος;

### Θεοτοκίον

Ώ Μήτερ τού Θεού, τής ψυχής μου τήν κάκωσιν, θεράπευσον η τεκούσα, τόν πανάγαθον Λόγον, τόν πάντας αγαθύνοντα.

## Ωδή ς'

### Θύσω σοι, μετά φωνής

Φανέντα, σύ τόν Χριστόν επόθησας ένδοξε, καί συνεκράθης τώ πόθω, ως φανήναι Μάρτυς ωραϊσμένος, πορφυρίδι, τών σών αιμάτων καλλωπιζόμενος.

Έδραμες, ακολουθών Χριστού θείοις ίχνεσι, καί κοινωνός ανεδείχθης, τών παθών τών τούτου καί βασιλείας, ολοκλήρως, πανοικεσία Μάρτυς στεφόμενος.

### Θεοτοκίον

Ρήμασι, τού Γαβριήλ Παρθένε πανάμωμε, νύν κεχρημένοι βοώμεν, Χαίρε μόνη Μήτηρ ευλογημένη, χαίρε πύλη, δικαιοσυνης Ήλιον έχουσα.

### Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Κοντάκιον Ήχος β'
Τά άνω ζητών

Τά πάθη Χριστού, σαφώς μιμησάμενος, καί τούτου πιών, πιστώς τό ποτήριον, κοινωνός Ευστάθιε, καί τής δόξης σύγκληρος γέγονας, παρ' αυτού τού πάντων Θεού, λαμβάνων εξ ύψους θείαν άφεσιν.

Ο Οίκος

Ύμνον μοι δώρησαι ο Θεός μου, ανυμνήσαι καί λέγειν νυνί τούς αγώνας τού Αθλοφόρου σου Κύριε, όπως ευρύθμως εγκωμιάσω τόν γενναίον εν τοίς άθλοις Ευστάθιον, τόν νικητήν εν πολέμοις εχθρών γεγονότα αεί, τόν μέγαν εν ευσεβεία, καί χορώ τών Μαρτύρων εκλάμψαντα, σύν τούτοις γάρ ψάλλει απαύστως σοι, μετ' Αγγέλων ο πάνσοφος, λαμβάνων εξ ύψους θείαν άφεσιν.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Κ' τού αυτού μηνός, Μνήμη τού Αγίου Μεγαλομάρτυρος Ευσταθίου, καί θεοπίστης, συμβίου αυτού, καί τών δύο υιών αύτών, Αγαπίου καί θεοπίστου.

Στίχοι

- Ευστάθιον βούς παγγενή χαλκούς φλέγει,
- Καί παγγενή σύ τού Θεού σώζεις Λόγε.
- Εικάδι Ευστάθιος γενεή άμα βοϊ καύθη.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Πατέρων ημών καί Ομολογητών, Υπατίου Επισκόπου, καί Ανδρέου Πρεσβυτέρου.

Στίχοι

- Υπέρ πανάγνων Υπάτιον εικόνων,
- Συν Ανδρέα σφάττουσιν άνδρες αιμάτων.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων, Μαρτίνου Πάπα Ρώμης, Μαξίμου, καί τών σύν αυτοίς.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Αρτεμιδώρου καί Θαλού.

Στίχοι

- Αρτεμίδωρον καί Θαλόν κτείνει ξίφος,
- Μή προσκυνούντας Άρτεμιν ξενοκτονον.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρος ημών Μελετίου, Επισκόπου Κύπρου.

Στίχοι

- Ζωής ρεούσης ου μέλει Μελετίω.
- Όθεν τελευτάν, πώς άν είποις; ηγάπα.

Καί Μνήμη τού εν Ομολογηταίς μεγίστου Ιωάννου τού Αιγυπτίου.

Ο άγιος νέος οσιομάρτυς Ιλαρίων ο Κρής, ο εν Κωνσταντινουπόλει

μαρτυρήσας κατά τό 1804, ξίφει τελειούται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

## Ωδή ζ'

«Εν τή καμίνω, Αβραμιαίοι Παίδες τή Περσική πόθω ευσεβείας μάλλον ή τή φλογί, πυρπολούμενοι εκραύγαζον, Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε».

Ως εν καμίνω, τώ πυρωθέντι χαλκουργήματι, ένδον καθειργμένοι Μάρτυρες τού Χριστού, ευχαρίστως εκραυγάζετε, Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε.

Νόμω φιλίας, ως ηνωμένοι καί τής φύσεως, μίαν καρτερίαν Μάρτυρες ευκλεείς, εναθλούντες επεδείξασθε, Ευλογημένος εί, ο Θεός εκβοώντες καί Κύριος.

### Θεοτοκίον

Υψηλοτέρα, τών ουρανίων θείων Δυνάμεων, μόνη εξ αιώνων πέφηνας αληθώς, τόν γάρ Κτίστην τούτων τέτοκας, ανερμηνεύτως σύ, Θεογεννήτορ πάναγνε Δέσποινα.

## Ωδή η'

### Χείρας εκπετάσας Δανιήλ

Μαρτύρων χορείαν αψευδών, συγκροτουμένην λαμπρώς, θεσμοίς τής φύσεως, καί λόγω πίστεως, άπαντες, ευσεβώς νύν ευφημήσωμεν, ως ευσεβείας εραστάς, καί πίστει μέλψωμεν, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ωραίως ηνώθητε σεπτοί, διαιρεθέντες πρίν, προνοία μείζονι, οικείοις αίμασι βάψαντες, τήν πορφύραν τής νυμφεύσεως, καί πρός ουράνιον θερμώς, παστάδα σπεύδοντες, καί βοώντες, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Καρπόν τής κοιλίας ευσεβώς, Θεώ προσήγαγες, μάκαρ Ευστάθιε, καί τήν ομόζυγον χαίρουσαν, κοινωνούς γάρ τής αθλήσεως, τούς εκ τής φύσεως Χριστώ, ψάλλοντας είληφας, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

### Θεοτοκίον

Ράβδος εκ τής ρίζης Ιεσσαί, Παρθένος πέφηνας, άνθος βλαστήσασα, τόν παντοδύναμον Κύριον, τόν ημάς ευωδιάσαντα, καί τήν οσμήν τήν εαυτού, πάσι παρέχοντα, τοίς βοώσι, Πάντα τά έργα υμνείτε τόν Κύριον.

### Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείαςερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε πάντα, τά έργα Κυρίου τόν Κύριον».

## Ωδή θ'

Λίθος αχειρότμητος

Όλω τώ φωτί τής Τριάδος, μετ' ευφροσύνης προσχωρήσας, ταίς αγγελικαίς στρατηγίαις, νύν συναγάλλη Μάρτυς Ευστάθιε, μεθ' ών απαύστως πρέσβευε, πάντας σωθήναι τούς υμνούντάς σε.

Τούς επί τής γής σου αγώνας, καί τάς ποικίλας περιστάσεις, η εν ουρανοίς ευφροσύνη, μετά Δικαίων νύν διεδέξατο, ής απολαύειν Ένδοξε, τούς σέ υμνούντας καταξίωσον.

Όλον εμαυτόν σοι προσφέρω, Μάρτυς Ευστάθιε προθύμως, ίνα σε πλουτήσω προστάτην, πρός τόν Δεσπότην σώζειν δυνάμενον, εκ πάσης περιστάσεως, καί σωτηρίας θείας πρόξενον.

Θεοτοκίον

Σέ τήν απειράνδρως τεκούσαν, τόν ζωοδότην καί Σωτήρα, πάντες δυσωπούμεν εκτενώς, οι Θεοτόκον ομολογούντές σε, ρυσθήναι πάσης θλίψεως, σαίς ικεσίαις Μητροπάρθενε.

Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Εξαποστειλάριον τών Αγίων

Εν Πνεύματι τώ Ιερώ

Τής αθανάτου δόξης τε, καί ζωής τής αλήκτου, επέτυχες καταλιπών, τά τού κόσμου ηδέα, σύν παισί θεόφροσι, καί γυναικί πανολβίω, διά τούτό σου πόθω, τήν πανίερον καί θείαν, εορτάζομεν μνήμην.

Η Σταυροθεοτοκίον, όμοιον

Ημείς εν σοί θαρρούντες τή Θεοτόκω, εχθρούς διπλούς τροπούμεθα κατά κράτος, τόν Σταυρόν κατέχοντες τού Υιού σου, όπλον ημίν καί τρόπαιον, ασπίδα ξίφος καί δόρυ, καί βέλος κατά Βελίαρ.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Ιδιόμελα τών Αγίων.

Ήχος δ'

Ανδρέου Πυρού

Τίς μή μακαρίσει σου, τόν πανόλβιον τρόπον Ευστάθιε; ότι γενναίως υπήνεγκας, τού αρχεκάκου εχθρού τάς προσβολάς, τής γάρ συζύγου καί τών τέκνων, τήν στέρησιν ουκ εδυσφόρησας, αλλ' εβόας τήν ευχάριστον φωνήν τού Ιώβ, Γυμνός εξήλθον εκ κοιλίας μητρός μου, γυμνός καί απελεύσομαι πρός τόν μόνον Δημιουργόν, καί Σωτήρα τών ψυχών ημών. (Δίς)

Ήχος πλ. β'

Αφθόρου τόκου Μαρίας, υπάρχων Μάρτυς καταγώγιον, αλήκτως τε πέλων εν φωτί αΰλω, καί ημίν ευνίζου Τριάδα τήν άκτιστον.

Ήχος πλ. δ'

Τώ αδύτω γνόφω εισδύς, καί τώ τής δικαιοσύνης Ηλίω οικειωθείς, τή εξ ύψους νοητώς φανείση διά ζώου εικόνι, θείως προσψαύσας, έμπνους είκων υπήρξας, παμμάκαρ Ευστάθιε, όθεν τήν εκ Πνεύματος καί ύδατος εσχηκώς ενέργειαν, τώ μαρτυρικώ τε λουσάμενος αίματι, ταίς ουρανίαις κατηξίωσαι συγχορεύειν, τών Αγγέλων ομηγύρεσιν, εν ώ καί ημάς προσοικείωσον, τώ Σωτήρι Χριστώ καί Θεώ ημών.

Δόξα... Ήχος πλ. β'

Γερμανού

Τήν στρατοπεδαρχίαν τής κάτω βασιλείας αποβαλόμενος, καί διά ζώου οφθέντος σοι εν εικόνι, τού Σωτήρος ημών γενόμενος εραστής, νύν συγχορεύεις τοίς άνω σύν γυναικί σου καί τέκνοις, παμμάκαρ Ευστάθιε, διό δυσωπούμέν σε, τώ Κυρίω πρεσβευειν, υπέρ τών ψυχών ημών.

Καί νύν... Ο αυτός

Όνπερ πάλαι Μωϋσής, προτυπώσας εν εαυτώ, τόν Αμαλήκ καταβαλών ετροπώσατο, καί Δαυϊδ ο Μελωδός, υποπόδιόν σοι βοών, προσκυνείσθαι διετάξατο, τίμιον Σταυρόν σου Χριστέ ο Θεός, σήμερον αμαρτωλοί προσκυνούντες, χείλεσιν αναξίοις, σέ τόν καταξιώσαντα παγήναι εν αυτώ, ανυμνούντες δεόμεθα, Κύριε, σύν τώ Ληστή τής βασιλείας σου αξίωσον ημάς.

Εις τόν Στίχον Στιχηρά Προσόμοια.

Ήχος β'

Οίκος τού Εφραθά

Ξύλον τό τού Σταυρού, υψούμενον ορώντες, μεγαλωσύνην δώμεν Θεώ τώ σταυρωθέντι, σαρκί δι' αγαθότητα.

Στίχ. Υψούτε Κύριον τόν Θεόν ημών καί προσκυνείτε τώ υποποδίω τών ποδών αυτού.

Ύδατι θεουργώ, καί αίματί σου Λόγε, λαμπρώς η Εκκλησία, στολίζεται ως νύμφη, Σταυρού τήν δόξαν μέλπουσα

Στίχ. Ο δέ Θεός Βασιλεύς ημών πρό αιώνος ειργάστο σωτηρίαν εν μέσω τής γής.

Ύλην φθοροποιόν, εξαίρει αμαρτίας, τό τού Σταυρού σου ξύλον, υψούμενον Σωτήρ μου, λαμπρύνει δέ τά σύμπαντα.

Δόξα... Ήχος πλ. δ'

Ώσπερ Παύλος τήν κλήσιν, ουκ εξ ανθρώπων δεξάμενος, Μάρτυς Ευστάθιε, καί αύξάνων εν Θεώ τή τού Σταυρού πεποιθήσει, τών τυράννων τό δυσσεβές, καί τών βασάνων τό απηνές ανδρείως κατήσχυνας, διό καί μέχρις αίματος, αντικατέστης πρός τήν αμαρτίαν, πρός αοράτους εχθρούς ανταγωνισάμενος, καί πρεσβεύεις απαύστως τώ Βασιλεί καί Θεώ, δωρηθήναι τή οικουμένη ειρήνην, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Καί νύν... ο αυτός

Η φωνή τού Προφήτου σου Μωϋσέως ο Θεός, πεπλήρωται η λέγουσα, Όψεσθε την ζωήν ημών κρεμαμένην, απέναντι τών οφθαλμών υμών, Σήμερον Σταυρός υψούται, καί κόσμος εκ πλάνης ηλευθέρωται, Σήμερον τού Χριστού η ανάστασις εγκαινίζεται, καί τά πέρατα τής γής αγάλλονται, εν κυμβάλοις Δαυϊτικοίς, ύμνον σοι προσφέροντα καί λέγοντα, Ειργάσω σωτηρίαν εν μέσω τής γής ο Θεός, Σταυρόν καί τήν ανάστασιν, δι' ών ημάς έσωσας, αγαθέ καί φιλάνθρωπε, Παντοδύναμε Κύριε, δόξα σοι.

Εις τήν Λειτουργίαν, Τυπικά, καί εκ τού Κανόνος τής Εορτής καί τών Αγίων.

Προκείμενον Ήχος δ'

Τοίς Αγίοις τοίς εν τή γή αυτού εθαυμάστωμεν πάντα τά θέλημα αυτού εν αυτοίς.
Στίχ. Προωρώμην τόν Κύριον ενώπιόν μου διαπαντός.

Ο Απόστολος πρός Εφεσίους

Αδελφοί, ενδυναμούσθε εν Κυρίω...

Ζήτει Κυριακή κζ'

Αλληλούϊα Ήχος δ'

Στίχ. Εκέκραξαν οι δίκαιοι, καί ο Κύριος εισήκουσεν αυτών.
Πολλαί αι θλίψεις τών δικαίων καί εκ πασών αυτών ρύσεται αυτούς ο Κύριος.

Ευαγγέλιον κατά Λουκάν

Είπεν ο Κύριος, προσέχετε από τών ανθρώπων...

Ζήτει τή γ' τής β' Εβδομάδος

Κοινωνικόν

Εις μνημόσυνον αιώνιον έσται Δίκαιος. Αλληλούια.

---

Αρχή

## ΤΗ ΚΑ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Απόδοσις τής εορτής τής Υψώσεως, καί μνήμη τού Αγίου Αποστόλου Κοδράτου, τού εν Μαγνησία.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Μετά τόν Προοιμιακόν Ψαλμόν, ει μέν εστι Κυριακή, στιχολογούμεν τό, Μακάριος ανήρ, τό Κάθισμα όλον, ειδέ μή, μετά τόν Προοιμιακόν, ευθύς τό, Κύριε εκέκραξα, ιστώμεν δέ Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια, δευτερούντες αυτά.

Ήχος πλ. β,

Όλην αποθέμενοι

Σταυρός ανυψούμενος, τού εν αυτώ υψωθέντος, τό πάθος τό άχραντον, ανυμνείν προτρέπεται κτίσιν άπασαν, εν αυτώ κτείνας γάρ, τόν ημάς κτείναντα, νεκρωθέντας ανεζώωσε, καί κατεκάλλυνε, καί εις ουρανούς πολιτεύεσθαι, ηξίωσεν ως εύσπλαγχνος, δι' υπερβολήν αγαθότητος, όθεν γεγηθότες, υψώσωμεν τό όνομα αυτού, καί τήν αυτού μεγαλύνωμεν, άκραν συγκατάβασιν. (Δίς)

Μωσής προετύπου σε, χείρας εκτείνας εις ύψος, καί κατατροπούμενος, Αμαλήκ τόν τύραννον, Σταυρέ τίμιε, τών πιστών καύχημα, Αθλητών στήριγμα, Αποστόλων εγκαλλώπισμα, Δικαίων πρόμαχε, πάντων τών Οσίων διάσωσμα, διό σε ανυψούμενον, βλέπουσα η κτίσις ευφραίνεται, καί πανηγυρίζει, δοξάζουσα Χριστόν τόν διά σού, τά διεστώτα συνάψαντα, άκρα αγαθότητι. (Δίς)

Σταυρέ πανσεβάσμιε, όν περιέπουσι τάξεις, Αγγέλων γηθόμεναι, σήμερον υψούμενος, θείω νεύματι, ανυψοίς άπαντας, τούς κλοπή βρώσεως, απωσθέντας καί εις θάνατον, κατολισθήσαντας, όθεν σε καρδία καί χείλεσι, πιστώς περιπτυσσόμενοι, τόν αγιασμόν αρυόμεθα, Υψούτε βοώντες, Χριστόν τόν υπεράγαθον Θεόν, καί τό αυτού προσκυνήσατε, θείον υποποδιον. (Δίς)

Δόξα... Καί νύν... Ήχος β'

Δεύτε άπαντα τά έθνη, τό ευλογημένον ξύλον προσκυνήσωμεν, δι' ού γέγονεν η αιώνιος δικαιοσύνη, τόν γάρ Προπάτορα Αδάμ, ο απατήσας εν ξύλω, τώ Σταυρώ δελεάζεται, καί πίστει κατενεχθείς πτώμα εξαίσιον, ο τυραννίδι κρατήσας τού βασιλείου πλάσματος, Αίματι Θεού, ο ιός τού όφεως αποπλύνεται, καί κατάρα λέλυται, καταδίκης δικαίας, αδίκω δίκη τού δικαίου κατακριθέντος, ξύλω γάρ έδει τό ξύλον ιάσασθαι, καί πάθει τού απαθούς, τά εν ξύλω λύσαι πάθη τού κατακρίτου, Αλλά δόξα Χριστέ Βασιλεύ, τή περί ημάς σου φρικτή οικονομία δι' ής έσωσας πάντας, ως αγαθός καί φιλάνθρωπος.

Εις τόν Στίχον Στιχηρά Προσόμοια.

Ήχος πλ. α'

Χαίροις ασκητικών

Χαίροις ο ζωηφόρος Σταυρός, τής ευσεβείας τό αήττητον τρόπαιον, η θυρα τού Παραδείσου, ο τών πιστών στηριγμός, τό τής' Εκκλησίας περιτείχισμα, δι' ού εξηφάνισται, η φθορά καί κατήργηται, καί κατεπόθη, τού θανάτου η δύναμις, καί υψώθημεν, από γής πρός ουράνια, Όπλον ακαταμάχητον, δαιμόνων αντίπαλε, δόξα Μαρτύρων Οσίων, ως αληθώς εγκαλλώπισμα, λιμήν σωτηρίας, ο δωρούμενος τώ κόσμω τό μέγα έλεος.

Στίχ. Υψούτε Κύριον τόν Θεόν ημών καί προσκυνείτε τώ υποποδίω τών ποδών αυτού.

Χαίροις ο τού Κυρίου Σταυρός, δι' ού ελύθη τής αράς τό ανθρώπινον, τής

όντως χαράς σημείον, ο καταράσσων εχθρούς, εν τή σή υψώσει πανσεβάσμιε, ημών η βοήθεια, Βασιλέων κραταίωμα, σθένος δικαίων, Ιερέων ευπρέπεια, ο τυπούμενος, καί δεινών εκλυτρούμενος, ράβδος η τής δυνάμεως, υφ' ής ποιμαινόμεθα, όπλον ειρήνης εν φόβω, ο περιέπουσιν Άγγελοι, Χριστού θεία δόξα, τού παρέχοντοςτώ κόσμω τό μέγα έλεος.

Στίχ. Ο δέ Θεός Βασιλεύς ημών πρό αιώνος ειργάστο σωτηρίαν εν μέσω τής γής.

Χαίροις ο τών τυφλών οδηγός, τών ασθενούντων ιατρός, η ανάστασις, απάντων τών τεθνεώτων, ο ανυψώσας ημάς, εις φθοράν πεσόντας, Σταυρέ τίμιε, δι' ού διαλέλυται, η φθορά καί εξήνθησεν, η αφθαρσία, καί βροτοί εθεώθημεν, καί διάβολος, παντελώς καταβέβληται, Σήμερον ανυψούμενον, χερσί καθορώντές σε, Αρχιερέων υψούμεν, τόν υψωθέντα εν μέσω σου, καί σέ προσκυνούμεν, αρυόμενοι πλουσίως τό μέγα έλεος.

Δόξα... Καί νύν... Ήχος πλ. δ'

Ιωάννου Μοναχού

Όν περ πάλαι Μωϋσής, προτυπώσας εν εαυτώ, τόν Αμαλήκ καταβαλών ετροπώσατο, καί Δαυΐδ ο μελωδός, υποπόδιόν σοι βοών, προσκυνείσθαι διετάξατο, τίμιον Σταυρόν σου, Χριστέ ο Θεός, σήμερον αμαρτωλοί προσκυνούντες χείλεσιν αναξίοις, σέ τόν καταξιώσαντα παγήναι εν αυτώ, ανυμνούντες βοώμέν σοι, Κύριε σύν τώ Ληστή τής βασιλείας σου αξίωσον ημάς.

Απολυτίκιον Ήχος α'

Σώσον Κύριε τόν λαόν σου καί ευλόγησον τήν κληρονομίαν σου, νίκας τοίς Βασιλεύσι κατά βαρβάρων δωρούμενος καί τό σόν φυλάττων διά τού Σταυρού σου πολίτευμα.
Εκ τρίτου

Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος α'

Τού λίθου σφραγισθέντος

Τού Σταυρού σου τό ξύλον προσκυνούμεν Φιλάνθρωπε, ότι εν αυτώ προσηλώθης η ζωή τών απάντων, Παράδεισον ηνέωξας Σωτήρ, τώ πίστει προσελθόντι σοι Ληστή, καί Τρυφής κατηξιώθη, ομολογών σοι, Μνήσθητί μου Κύριε, Δέξαι ώσπερ εκείνον καί ημάς, κραυγάζοντας, Ημάρτομεν, πάντες τή ευσπλαγχνία σου, μή υπερίδης ημάς. (Δίς)

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος πλ. β'

Μόνον επάγη τό ξύλον Χριστέ τού Σταυρού σου, τά θεμέλια εσαλεύθη τού θανάτου Κύριε, όν γάρ κατέπιε πόθω Άδης, απήμεσε τρόμω, έδειξας ημίν τό σωτήριόν σου Άγιε, καί δοξολογούμέν σε, Υιέ Θεού, ελέησον ημάς. (Δίς)

Μετά τόν Πολυέλεον

Κάθισμα Ήχος πλ. δ'

Τό προσταχθέν

Προδιετύπου μυστικώς πάλαι τώ χρόνω, ο Ιησούς ο τού Ναυή, Σταυρού τόν τύπον, ως τάς χείρας εξέτεινε σταυροφανώς Σωτήρ μου, καί έστη ο ήλιος έως εχθρούς, ανείλεν, ανθισταμένους σοί τώ Θεώ, νύν δέ ούτος εσκότισται, επί Σταυρού σε ορών, θανάτου κράτος λύοντα, καί τόν Άδην σκυλεύοντα.

Ο Κανών, ός τήν δε τήν ακροστιχίδα φέρει.

Σταυρώ πεποιθώς, ύμνον εξερεύγομαι.

Ποίημα τού Κυρίου Κοσμά.

Ωδή α' Ήχος πλ. δ' Ο Ειρμός

«Σταυρόν χαράξας Μωσής, επ' ευθείας ράβδω, τήν Ερυθράν διέτεμε, τώ Ισραήλ πεζεύσαντι, τήν δέ επιστρεπτικώς, Φαραώ τοίς άρμασι κροτήσας ήνωσεν, επ' εύρους διαγράψας, τό αήττητον όπλον, διό Χριστώ άσωμεν, τώ Θεώ ημών, ότι δεδόξασται».

Τόν τύπον πάλαι Μωσής, τού αχράντου πάθους, εν εαυτώ προέφηνε, τών Ιερών μεσούμενος, Σταυρώ δέ σχηματισθείς, τεταμέναις τρόπαιον, παλάμαις ήγειρε, τό κράτος διολέσας, Αμαλήκ τού πανώλους, διό Χριστώ άσωμεν, τώ Θεώ ημών, ότι δεδόξασται.

Ανέθηκε Μωϋσής, επί στήλης άκος, φθοροποιού λυτήριον, καί Ιοβόλου δήγματος, καί ξύλω τύπω Σταυρού, τόν πρός γήν συρόμενον, όφιν προσέδησεν, εγκάρσιον εν τούτω, θριαμβεύσας τό πήμα, διό Χριστώ άσωμεν, τώ Θεώ ημών, ότι δεδόξασται.

Υπέδειξεν ουρανός, τού Σταυρού τό τρόπαιον, τώ ευσεβείας κράτορι, καί Βασιλεί θεόφρονι, εχθρών εν ώ δυσμενών, κατεβλήθη φρύαγμα, απάτη ανετράπη δέ, καί πίστις εφηπλώθη, γής τοίς πέρασι θεία, διό Χριστώ άσωμεν, τώ Θεώ ημών, ότι δεδόξασται.

Καταβασία

Σταυρόν χαράξας Μωσής, επ' ευθείας ράβδω, τήν Ερυθράν διέτεμε, τώ Ισραήλ πεζεύσαντι, τήν δέ επιστρεπτικώς, Φαραώ τοίς άρμασι κροτήσας ήνωσεν, επ' εύρους διαγράψας, τό αήττητον όπλον, διό Χριστώ άσωμεν, τώ

Θεώ ημών, ότι δεδόξασται.

Ωδή γ' Ο Ειρμός

«Ράβδος εις τύπον τού μυστηρίου παραλαμβάνεται, τώ βλαστώ γάρ προκρίνει τόν ιερέα, τή στειρευούση δέ πρώην, Εκκλησία νύν εξήνθησε, ξύλον Σταυρού, εις κράτος καί στερέωμα».

Ως επαφήκε ραπιζομένη ύδωρ ακρότομος, απειθούντι λαώ, καί σκληροκαρδίω, τής θεοκλήτου έδήλου, Εκκλησίας τό μυστήριον, ής ο Σταυρός, τό κράτος καί στερέωμα.

Πλευράς αχράντου λόγχη τρωθείσης, ύδωρ σύν αίματι εξεβλήθη, εγκαινίζον διαθήκην, καί ρυπτικόν αμαρτίας, τών πιστών γάρ Σταυρός καύχημα, καί Βασιλέων κράτος καί στερέωμα.

Καταβασία

Ράβδος εις τύπον τού μυστηρίου παραλαμβάνεται, τώ βλαστώ γάρ προκρίνει τόν ιερέα, τή στειρευούση δέ πρώην, Εκκλησία νύν εξήνθησε, ξύλον Σταυρού, εις κράτος καί στερέωμα.

Κάθισμα Ήχος πλ. δ'

Τό προσταχθέν

Εν Παραδείσω με τό πρίν, ξύλον εγύμνωσεν, ούπερ τή γεύσει, ο εχθρός εισφέρει νέκρωσιν, τού Σταυρού δέ τό ξύλον, τής ζωής τό ένδυμα, ανθρώποις φέρον, επάγη επί τής γής, καί κόσμος όλος επλήσθη πάσης χαράς, όν ορώντες υψούμενον, Θεώ εν πίστει λαοί, συμφώνως ανακράξωμεν, Πλήρης δόξης ο οίκός σου. (Δίς)

Ωδή δ' Ο Ειρμός

«Εισακήκοα Κύριε, τής οικονομίας σου τό μυστήριον, κατενόησα τά έργα σου, καί εδόξασά σου τήν θεότητα».

Πικρογόνους μετέβαλε, ξύλω Μωϋσης πηγάς εν ερήμω πάλαι, τώ Σταυρώ πρός τήν ευσέβειαν, τών εθνών προφαίνων τήν μετάθεσιν.

Ο βυθώ κολπωσάμενος, τέμνουσαν ανέδωκεν Ιορδάνης ξύλω, τώ Σταυρώ καί τώ Βαπτίσματι, τήν τομήν τής πλάνης τεκμαιρόμενος.

Ιερώς προστοιβάζεται, ο τετραμερής λαός προηγούμενος, τής εν τύπω μαρτυρίου σκηνής, σταυροτύποις τάξεσι κλεϊζόμενος.

Θαυμαστώς εφαπλούμενος, τάς ηλιακάς βολάς εξηκόντισεν, ο Σταυρός, καί διηγήσαντο, ουρανοί τήν δόξαν τού Θεού ημών.

Καταβασία

Εισακήκοα Κύριε, τής οικονομίας σου τό μυστήριον, κατενόησα τά έργα σου, καί εδόξασά σου τήν θεότητα.

Ωδή ε'  Ο Ειρμός

«Ώ τρισμακάριστον ξύλον, εν ώ ετάθη Χριστός, ο Βασιλεύς καί Κύριος, δι' ού πέπτωκεν ο ξύλω απατήσας, τώ εν σοί δελεασθείς, Θεώ τώ προσπαγέντι σαρκί, τώ παρέχοντι, τήν ειρήνην ταίς ψυχαίς ημών».

Σέ τό αοίδιμον ξύλον, εν ώ ετάθη Χριστός, τήν Εδέμ φυλάττουσα, στρεφομένη ρομφαία, Σταυρέ ηδέσθη, τό φρικτόν δέ Χερουβίμ, είξε τώ σοί παγέντι Χριστώ, τώ παρέχοντι, τήν ειρήνην ταίς ψυχαίς ημών.

Υποχθονίων δυνάμεις, αντίπαλοι τού Σταυρού, φρίττουσι χαραττόμενον, τό σημείον εν αέρι ώ πολούσιν, ουρανίων γηγενών, γένος δέ γόνυ κάμπτει Χριστώ, τώ παρέχοντι, τήν ειρήνην ταίς ψυχαίς ημών.

Μαρμαρυγαίς ακηράτοις, φανείς ο θείος Σταυρός, εσκοτισμένοις έθνεσι, τοίς εν πλάνη απάτης τό θείον φέγγος, απαστράψας οικειοί, τώ εν αυτώ παγέντι Χριστώ, τώ παρέχοντι, τήν ειρήνην ταίς ψυχαίς ημών.

Καταβασία

Ώ τρισμακάριστον ξύλον, εν ώ ετάθη Χριστός, ο Βασιλεύς καί Κύριος, δι' ού πέπτωκεν ο ξύλω απατήσας, τώ εν σοί δελεασθείς, Θεώ τώ προσπαγέντι σαρκί, τώ παρέχοντι, τήν ειρήνην ταίς ψυχαίς ημών.

Ωδή ς'  Ο Ειρμός

«Νοτίου θηρός εν σπλάγχνοις, παλάμας Ιωνάς, σταυροειδώς διεκπετάσας, τό σωτήριον πάθος προδιετύπου σαφώς, όθεν τριήμερος εκδύς, τήν υπερκόσμιον Ανάστασιν υπεζωγράφησε, τού σαρκί προσπαγέντος, Χριστού τού Θεού, καί τριημέρω εγέρσει, τόν κόσμον φωτίσαντος».

Ο γήρα καμφθείς, καί νόσω τρυχωθείς, ανωρθούτο Ιακώβ χείρας αμείψας, τήν ενέργειαν φαίνων τού ζωηφόρου Σταυρού, τήν παλαιότητα καί γάρ, τού νομικού σκιώδους, γράμματος εκαινογράφησεν, ο εν τούτω σαρκί προσπαγείς Θεός, καί τήν ψυχόλεθρον νόσον, τής πλάνης απήλασε.

Νεαζούσαις θείς παλάμας, ο θείος Ισραήλ, σταυροειδώς κάραις εδήλου, ως πρεσβύτερον κλέος ο νομολάτρης λαός, υποπτευθείς όθεν ούτως εξηπατήσθαι, ουκ ηλλοίωσε τόν ζωηφόρον τύπον, υπερέξει λαός γάρ Χριστού τού Θεού, νεοπαγής ανεβόα, Σταυρώ τειχιζόμενος.

Καταβασία

Νοτίου θηρός εν σπλάγχνοις, παλάμας Ιωνάς, σταυροειδώς διεκπετάσας, τό σωτήριον πάθος προδιετύπου σαφώς, όθεν τριήμερος εκδύς, τήν υπερκόσμιον Ανάστασιν υπεζωγράφησε, τού σαρκί προσπαγέντος, Χριστού τού Θεού, καί τριημέρω εγέρσει, τόν κόσμον φωτίσαντος.

Κοντάκιον

Αυτόμελον  Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ εκουσίως, τή επωνύμω σου καινή πολιτεία, τούς οικτιρμούς σου δώρησαι, Χριστέ ο Θεός, Εύφρανον εν τή δυνάμει σου, τούς πιστούς Βασιλείς ημών, νίκας χορηγών αυτοίς, κατά τών πολεμίων, τήν συμμαχίαν έχοιεν τήν σήν, όπλον ειρήνης, αήττητον τρόπαιον.

Ο Οίκος

Ο μετά τρίτον ουρανόν αρθείς εν Παραδείσω, καί ρήματα τά άρρητα καί θεία, ά ουκ εξόν γλώσσαις λαλείν, τί τοίς Γαλάταις γράφει, ως ερασταί τών Γραφών, ανέγνωτε καί έγνωτε, Εμοί, φησί, καυχάσθαι μή γένοιτο, πλήν ει μή εν μόνω τώ Σταυρώ τώ τού Κυρίου, εν ώ παθών, έκτεινε τά πάθη, Αυτόν ούν καί ημείς βεβαίως κραιώμεν τού Κυρίου τόν Σταυρόν καύχημα πάντες, έστι γάρ σωτήριον ημίν τούτο τό ξύλον, όπλον ειρήνης αήττητον τρόπαιον.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΑ' τού αυτού μηνός, Μνήμη τού Αγίου Αποστόλου Κοδράτου.

Στίχοι

- Λίθοις νέμειν θέλοντα μηδαμώς σέβας,
- Τόν Κοδράτον βάλλουσιν άφρονες λίθοις.
- Εικάδι δέ πρώτη Κοδράτος στέφος εύρατο άθλοις.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Προφήτου Ιωνά.

Στίχοι

- Από προσώπου τού Θεού φεύγεις πάλαι,
- Νύν δέ πρόσωπον, Ιωνά τούτου βλέπεις.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Ιωνά τού Σαββαϊτου.

Στίχοι

- Αφείς Ιωνάς αστάτου βίου τόπον,
- Εστώτα καί βέβαιον ευρίσκει τόπον.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Ευσεβίου.

Στίχοι

- Ευσέβιον κτείνουσι δυσσεβείς ξίφει,
- Τόν ευσεβώς βιούντα καί Χριστού φίλον.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων καί αυταδέλφων Ευσεβίου, Νεστάβου, καί Ζήνωνος.

Στίχοι

- Ευσέβιος, Νέσταβος, αλλά καί Ζήνων,
- Δι' ευσεβή θνήσκουσι πίστιν εκ ξίφους.

Τή αυτή ημέρα Μνήμη τών Αγίων Πατέρων ημών καί Επισκόπων Κύπρου Μελετίου καί Ισακίου.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Πρίσκου.

Στίχοι

- Φέρων ύδωρ ζών Πρίσκος εν τή καρδία,
- Εμπρησμόν ου δέδοικε τόν τού σαρκίου.

Τή αυτή ημέρα Μνήμη τών Αγίων ς' Μαρτύρων, υπασπιστών όντων Μαξιμιανού.

Στίχοι

- Υπέρ Θεού κλίναντος εν ξύλω κάραν,
- Εξ Μάρτυρες κλίνουσι τήν κάραν ξίφει

Ταίς αυτών αγίαις πρεσβείαις, Χριστέ ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ' Ο Ειρμός

«Έκνοον πρόσταγμα τυράννου δυσσεβούς, λαούς εκλόνησε, πνέον απειλής καί δυσφημίας θεοστυγούς, όμως τρείς Παίδας ουκ εδειμάτωσε, θυμός θηριώδης, ου πύρ βρόμιον, αλλ' αντηχούντι δροσοβόλω πνεύματι, πυρί συνόντες έψαλλον, ο υπερύμνητος, τών Πατέρων καί ημών, Θεός ευλογητός εί».

Ξύλου γευσάμενος ο πρώτος εν βροτοίς, φθορά παρώκησε, ρίψιν γάρ ζωής ατιμοτάτην κατακριθείς, όλω τώ γένει σωματοφθορος τις, ως λύμη τής νόσου μετέδωκεν, αλλ' ευρηκότες γηγενείς ανάκλησιν, Σταυρού τό ξύλον κράζομεν, ο υπερύμνητος, τών Πατέρων καί ημών, Θεός ευλογητός εί.

Έλυσε πρόσταγμα Θεού παρακοή, καί ξύλον ήνεγκε θάνατον βροτοίς, τό μή ευκαίρως μεταληφθέν, εν ασφαλεία τής ερετίμου δέ, εντεύθεν ζωής τό ξύλον είργετο, ο νυκτιλόχου δυσθανούς ηνέωξεν, ευγνωμοσύνης κράζοντος, ο υπερύμνητος, τών Πατέρων καί ημών, Θεός ευλογητός εί.

Ράβδου προσπτύσσεται τό άκρον, Ιωσήφ, ο γενησόμενον, βλέπων, Ισραήλ, τής βασιλείας τό κραταιόν, όπως συνέξει ο υπερένδοξος Σταυρός προδηλών, ούτος γάρ τοίς βασιλεύσι, τροπαιούχον καύχημα, καί φώς τοίς πίστει κράζουσιν, ο υπερύμνητος, τών Πατέρων καί ημών, Θεός ευλογητός εί.

Καταβασία

Έκνοον πρόσταγμα τυράννου δυσσεβούς, λαούς εκλόνησε, πνέον απειλής καί δυσφημίας θεοστυγούς, όμως τρείς Παίδας ουκ εδειμάτωσε, θυμός θηριώδης, ου πύρ βρόμιον, αλλ' αντηχούντι δροσοβόλω πνεύματι, πυρί συνόντες έψαλλον, ο υπερύμνητος, τών Πατέρων καί ημών, Θεός ευλογητός εί.

Ωδή η' Ο Ειρμός

«Ευλογείτε Παίδες, τής Τριάδος ισάριθμοι, δημιουργόν Πατέρα Θεόν, υμνείτε τόν συγκαταβάντα Λόγον, καί τό πύρ εις δρόσον μεταποιήσαντα, καί υπερυψούτε, τό πάσι ζωήν παρέχον, Πνεύμα πανάγιον εις τούς αιώνας».

Υψουμένου ξύλου, ραντισθέντος εν αίματι, τού σαρκωθέντος Λόγου Θεού, υμνείτε αι τών ουρανών Δυνάμεις, βροτών τήν ανάκλησιν εορτάζουσαι, Λαοί προσκυνείτε Χριστού τόν Σταυρόν, δι' ού τώ κόσμω ανάστασις εις τούς αιώνας.

Γηγενείς παλάμαις, οικονόμοι τής χάριτος, Σταυρόν ού έστη Χριστός ο Θεός, υψούτε ιεροπρεπώς καί Λόγχην, Θεού Λόγου σώμα αντιτορήσασαν, ιδέτωσαν έθνη πάντα τό σωτήριον, τού Θεού δοξάζοντα εις τούς αιώνας.

Οι τή θεία ψήφω, προκριθέντες αγάλλεσθε, Χριστιανών πιστοί Βασιλείς, καυχάσθε τώ τροπαιοφόρω όπλω, λαχόντες θεόθεν, Σταυρόν τόν τίμιον, εν τούτω γάρ φύλα πολέμων, θράσος επιζητούντα, σκεδάννυνται εις τούς αιώνας.

Καταβασία

Ευλογείτε Παίδες, τής Τριάδος ισάριθμοι, δημιουργόν Πατέρα Θεόν, υμνείτε τόν συγκαταβάντα Λόγον, καί τό πύρ εις δρόσον μεταποιήσαντα, καί υπερυψούτε, τό πάσι ζωήν παρέχον, Πνεύμα πανάγιον εις τούς αιώνας.

## Ωδή θ'

Η Τιμιωτέρα ου στιχολογείται

Ο Ειρμός

«Μυστικώς εί Θεοτόκε Παράδεισος, αγεωργήτως βλαστήσασα Χριστόν, υφ' ού τό τού Σταυρού, ζωηφόρον εν γή, πεφυτούργηται δένδρον, δι' ού νύν υψουμένου, προσκυνούντες αυτόν σέ μεγαλύνομεν».

Αγαλλέσθω τά δρυμού ξύλα σύμπαντα, αγιασθείσης τής φύσεως αυτών, υφ' ού περ εξ αρχής, εφυτεύθη Χριστού, τανυθέντος εν ξύλω, δι' ού νύν υψουμένου, προσκυνούμεν αυτόν καί μεγαλύνομεν.

Ιερόν ηγέρθη κέρας θεόφροσι, τής κεφαλής τών απάντων ο Σταυρός, εν ώ αμαρτωλών νοουμένων, συνθλώνται τά κέρατα πάντα, δι' ού νύν υψουμένου, προσκυνούμεν αυτόν καί μεγαλύνομεν.

Ειρμός άλλος

«Ο διά βρώσεως τού ξύλου, τώ γένει προσγενόμενος θάνατος, διά Σταυρού κατήργηται σήμερον, τής γάρ Προμήτορος η παγγενής κατάρα διαλέλυται, τώ βλαστώ τής αγνής Θεομήτορος, ήν πάσαι αι Δυνάμεις, τών ουρανών μεγαλυνουσι».

Μή τήν πικρίαν τήν τού ξύλου, εάσας αναιρέσιμον Κύριε, διά Σταυρού τελείως εξήλειψας, όθεν καί ξύλον έλυσε ποτέ, πικρίαν υδάτων Μερράς, προτυπούν τού Σταυρού τήν ενέργειαν, ήν πάσαι αι Δυνάμεις, τών ουρανών μεγαλύνουσιν.

Αδιαλείπτως βαπτομένους, τώ ζόφω τού προπάτορος Κύριε, διά Σταυρού

ανύψωσας σήμερον, ως γάρ τή πλάνη άγαν ακρατώς, η φύσις προκατηνέχθη, παγκλήρως ημάς πάλιν ανώρθωσε, τό φώς τό τού Σταυρού σου, όν οι πιστοί μεγαλύνομεν.

Ίνα τόν τύπον υποδείξης, τώ κόσμω προσκυνούμενον Κύριε, τόν του Σταυρού εν πάσιν ως ένδοξον, εν ουρανώ εμόρφωσας, φωτί απλέτω ηγλαϊσμένον, Βασιλεί πανοπλίαν αήττητον, ήν πάσαι αι Δυνάμεις, τών ουρανών μεγαλύνουσιν.

Καταβασίαι

Μυστικώς εί Θεοτόκε Παράδεισος, αγεωργήτως βλαστήσασα Χριστόν, υφ' ού τό τού Σταυρού, ζωηφόρον εν γή, πεφυτούργηται δένδρον, δι' ού νύν υψουμένου, προσκυνούντες αυτόν σέ μεγαλύνομεν.

Ο διά βρώσεως τού ξύλου, τώ γένει προσγενόμενος θάνατος, διά Σταυρού κατήργηται σήμερον, τής γάρ Προμήτορος η παγγενής κατάρα διαλέλυται, τώ βλαστώ τής αγνής Θεομήτορος, ήν πάσαι αι Δυνάμεις, τών ουρανών μεγαλυνουσι.

Εξαποστειλάριον

Ήχος β'

Τών μαθητών ορώντων σε

Σταυρός, ο φύλαξ πάσης τής οικουμένης, Σταυρός, η ωραιότης τής Εκκλησίας, Σταυρός, Βασιλέων τό κραταίωμα, Σταυρός, Πιστών τό στήριγμα Σταυρός, Αγγέλων η δόξα, καί τών δαιμόνων τό τραύμα. (Δίς)

Έτερον, ο λέγεται άπαξ

Γυναίκες ακουτίσθητε

Σταυρός υψούται σήμερον, καί κόσμος αγιάζεται, ο γάρ Πατρί συνεδρεύων, καί Πνεύματι τώ Αγίω, εν τούτω χείρας απλώσας, τόν κόσμον όλον είλκυσας, πρός σήν Χριστέ επίγνωσιν, τούς ούν εις σέ πεποιθότας, θείας αξίωσον δόξης. (Δίς)

Εις τούς Αίνους. ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'

Ώ τού παραδόξου θαυματος

Ώ τού παραδόξου θαύματος! τό ζωηφόρον φυτόν, ο Σταυρός ο πανάγιος, εις ύψος αιρόμενος, εμφανίζεται σήμερον, δοξολογούσι πάντα τά πέρατα, εκδειματούνται δαίμονες άπαντες, ώ οίον δώρημα, τοίς βροτοίς κεχάρισται! δι' ού Χριστέ, σώσον τάς ψυχάς ημών, ως μόνος εύσπλαγχνος. (Δίς)

Ώ τού παραδόξου θαύματος! ως βότρυν πλήρη ζωής, ο βαστάσας τόν ύψιστον, από γής υψούμενος, Σταυρός οράται σήμερον, δι' ού πρός Θεόν πάντες ειλκύσθημεν, καί κατεπόθη εις τέλος θάνατος, Ώ ξύλον άχραντον! υφ' ού απολαύομεν τής εν Εδέμ, αθανάτου βρώσεως, Χριστόν δοξάζοντες.

Ώ τού παραδόξου θαύματος! εύρος καί μήκος Σταυρού, ουρανού ισοστάσιον, ότι θεία χάριτι, αγιάζει τά σύμπαντα, εν τούτω έθνη βάρβαρα ήττηνται, εν τούτω σκήπτρα ανάκτων ήδρασται, Ώ θείας κλίμακος! δι' ής ανατρέχομεν εις ουρανούς, υψούντες εν άσμασι, Χριστόν τόν κυριον.

Δόξα...Καί νών...

Ήχος πλ. β'

Σήμερον προέρχεται ο Σταυρός τού Κυρίου, καί πιστοί εισδέχονται αυτόν εκ πόθου, καί λαμβάνουσιν ιάματα ψυχής τε καί σώματος, καί πάσης μαλακίας, Αυτόν ασπασώμεθα τή χαρά καί τώ φόβω, φόβω διά τήν αμαρτίαν, ως ανάξιοι όντες, χαρά δέ διά τήν σωτηρίαν, ήν παρέχει τώ κόσμω, ο εν αυτώ προσπαγείς Χριστός ο Κύριος, ο έχων τό μέγα έλεος.

## Δοξολογία Μεγάλη καί Απόλυσις

## Εις τήν Λειτουργίαν  Αντίφωνα

### Αντίφωνον Α'  Ήχος α'

Στίχος α'. Ο Θεός μου πρόσχες μοι, ίνα τί εγκατέλιπές με;

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχος β'. Μακράν από τής σωτηρίας μου οι λόγοι τών παραπτωμάτων μου.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχος γ'. Ο Θεός μου κεκράξομαι ημέρας, καί ουκ εισακούση.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχος δ'. Σύ δέ εν Αγίω κατοικείς, ο έπαινος τού Ισραήλ.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Δόξα... Καί νύν...

Ταίς πρεσβείαις τής Θεοτόκου...

### Αντίφωνον Β'  Ήχος β'

Στίχος α'. Ίνα τί ο Θεός απώσω εις τέλος;

Σώσον ημάς Υιέ Θεού, ο σαδρκί σταυρωθείς, ψάλλοντάς σοι Αλληλούϊα.

Στίχος β'. Μνήσθητι τής συναγωγής σου, ής εκτήσω απ' αρχής.

Σώσον ημάς Υιέ Θεού...

Στίχος γ'. Όρος Σιών τούτο, ο κατεσκήνωσας εν αυτώ.

Σώσον ημάς Υιέ Θεού...

Στίχος δ'. Ο δέ Θεός Βασιλεύς ημών πρό αιώνων.

Σώσον ημάς Υιέ Θεού...

Δόξα... Καί νύν...

Ο μονογενής Υιός καί Λόγος τού Θεού...

## Αντίφωνον Γ' Ήχος α'

Στίχος α'. Ο Κύριος εβασίλευσεν, οργιζέσθωσαν λαοί.

Σώσον Κύριε τόν λαόν σου καί ευλόγησον τήν κληρονομίαν σου, νίκας τοίς Βασιλεύσι κατά βαρβάρων δωρούμενος καί τό σόν φυλάττων διά τού Σταυρού σου πολίτευμα.

Στίχος β'. Κύριος εν Σιών μέγας καί υψηλός έστι.

Σώσον Κύριε τόν λαόν σου.

Στίχος γ'. Εξομολογησάσθωσαν τώ ονόματί σου τώ μεγάλω.

Σώσον Κύριε τόν λαόν σου.

Στίχος δ'.

Σώσον Κύριε τόν λαόν σου.

## Εισοδικόν

Υψούτε Κύριον τόν Θεόν ημών. καί προσκυνείτε τώ υποποδίω τών ποδών αυτού, ότι άγιος εστι. Σώσον ημάς Υιέ Θεού, ο σαρκί σταυρωθείς, ψάλλοντάς σοι. Αλληλούϊα.

Απολυτίκιον Ήχος α'

Σώσον Κύριε τόν λαόν σου καί ευλόγησον τήν κληρονομίαν σου, νίκας τοίς Βασιλεύσι κατά βαρβάρων δωρούμενος καί τό σόν φυλάττων διά τού Σταυρού σου πολίτευμα.

Κοντάκιον

Αυτόμελον Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ εκουσίως, τή επωνύμω σου καινή πολιτεία, τούς οικτιρμούς σου δώρησαι, Χριστέ ο Θεός, Εύφρανον εν τή δυνάμει σου, τούς πιστούς Βασιλείς ημών, νίκας χορηγών αυτοίς, κατά τών πολεμίων, τήν συμμαχίαν έχοιεν τήν σήν, όπλον ειρήνης, αήττητον τρόπαιον.

Αντί δέ τού Τρισαγίου

Ήχος πλ. β'

Τόν Σταυρόν σου προσκυνούμεν Δέσποτα, καί τήν αγίαν σου Ανάστασιν δοξάζομεν.

Προκείμενον τού Αποστόλου

Ήχος βαρύς

Υψούτε Κύριον τόν Θεόν ημών.

Στίχ. Ο Κύριος εβασίλευσεν, οργιζέσθωσαν λαοί.

Ο Απόστολος Πρός Κορινθίους α'

Αδελφοί, ο λόγος ο τού Σταυρού...

Αλληλουϊα Ήχος α'

Μνήσθητι τής Συναγωγής σου, ής εκτήσω απ' αρχής.

Στίχ. Ο δέ Βασιλεύς ημών πρό αιώνων, ειργάσατο σωτηρίαν εν μέσω τής γής.

Ευαγγέλιον κατά Ιωάννην

Τώ καιρώ εκείνω συμβούλιον εποίησαν...

Κοινωνικόν

Εσημειώθη εφ' ημάς τό φώς τού προσώπου σου Κύριε. Αλληλουϊα.

---

Αρχή

**ΤΗ ΚΒ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τού Οσίου Ιερομάρτυρος Φωκά.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά τού Αγίου Αποστόλου Κοδράτου τρία, καί τού Αγίου Ιερομάρτυρος Φωκά τρία.

Τού Αγίου Κοδράτου

Ήχος α'
Τών ουρανίων ταγμάτων
Τών ουρανίων χαρίτων, ταίς επιλάμψεσι, καταυγασθείς εδείχθης, εν τώ κόσμω Κοδράτε, φωστήρ πάσι προφαίνων, ακτίνας φαιδράς, τού ενθέου κηρύγματος, καί διά τούτο τιμώμέν σε οι πιστοί, ως Απόστολον καί Μάρτυρα.

Σύ τάς ευθείας πορείας, βαδίσας ένδοξε, τών σκολιών ερρύσω, τρίβων τής ασεβείας, ανθρώπους πλανωμένους, όθεν πιστοί, απλανή σε δοξάζομεν, καί οδηγόν καί μεσίτην τής πρός Θεόν, οικειώσεως, Απόστολε.

Ο θαυμαστός εν Αγίοις, υπάρχων Κύριος, σέ τή αφθόνω δόξη, τών αυτού χαρισμάτων, εδόξασεν εν κόσμω, καί τών ψυχών, καί σωμάτων παρέσχετο, θεραπευτήν, ώ Κοδράτε, τοίς ευσεβώς, ευφημούσί σε Απόστολε.

Τού Ιερομάρτυρος Φωκά

Όμοια
Καταβαλών τών ειδώλων, τήν ματαιότητα, τώ Ιερώ σου λόγω εβεβαίωσας πίστει, καρδίας αστηρίκτους, καί πρός ζωήν, Ιεράρχα ωδήγησας, καί εναθλήσας νομίμως Μάρτυς Φωκά, τού Κυρίου εχρημάτισας.

Τήν ιεράν διπλοϊδα, βάψας εν αίματι, τής Ιεράς σαρκός σου, Ιερώτατε Πάτερ, διπλούς στεφάνους όντως, παρά Χριστού, υπεδέξω πανόλβιε, καί σύν Αγγέλοις χορεύεις εν ουρανοίς, ικετεύων τού σωθήναι ημάς.

Ταίς τών θαυμάτων ακτίσι, πάσαν φωτίζεις τήν γήν, τοίς εν θαλάσση Πάτερ, βοηθείς καθ' εκάστην, νοσήματα διώκεις, παύεις ψυχής, καί σαρκός αρρωστήματα, παρά Κυρίου τήν χάριν Μάρτυς Φωκά, ειληφώς θεομακάριστε.
Δόξα... Ήχος δ'  Κυπριανού
Εκ βρέφους εγένου τού Κυρίου εραστής, Φωκά παμμακάριστε, Ιερομάρτυς Χριστού, τό γάρ όπλον τού Σταυρού επ' ώμων αράμενος, ακλινώς επορεύθης τήν οδόν τής σωτηρίας, δι' ής τών Αγγέλων συνέστιος γέγονας, δαιμόνων αντίπαλος, καί τού κόσμου πρεσβευτής ώφθης διαπρύσιος.
Καί νύν... Θεοτοκίον
Έδωκας σημείωσιν
Ζόφος φοβερώτατος, ο τού θανάτου Θεόνυμφε, τήν ψυχήν κατατρύχει μου, τό δέ λογοθέσιον, εξιστάν καί τρέμειν, αεί τών δαιμόνων, παρασκευάζει αγαθή, εξ ών με ρύσαι τή δυναστεία σου, Παρθένε απειρόγαμε, καί πρός λιμένα σωτήριον, καί πρός φώς τό ανέσπερον, τών Αγίων κατάταξον.
Η Σταυροθεοτοκίον
Νεκρούμενον βλέπουσα, Χριστόν η πανάγνος Δέσποινα, καί νεκρούντα τόν δόλιον, ωλόλυζε κράζουσα, πικρώς τώ εκ σπλάγχνων, αυτής προελθόντι, καί τό μακρόθυμον αυτού, αποθαυμάζουσα κατεπλήττετο, Τέκνον μου

ποθεινότατον, μή επιλάθη τής δούλης σου, μή βραδύνης φιλάνθρωπε, τό εμόν καταθύμιον.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Απολυτίκιον τού Αποστόλου
Ήχος γ'

Απόστολε Άγιε Κοδράτε, πρέσβευε τώ ελεήμονι Θεώ ίνα πταισμάτων άφεσιν, παράσχη ταίς ψυχάς ημών.

Καί τού Ιερομάρτυρος
Ήχος δ’

Καί τρόπων μέτοχος, καί θπόνων διάδοχος, τών Αποστόλων γενόμενος, τήν πράξιν εύρες Θεόπνευστε, εις θεωρίας επίβασιν, διά τούτο τόν λόγον τής αληθείας ορθοτομών, καί τή πίστει ενήθλησας μέχρις αίματος, Ιερομάρτυς Κυπριανέ, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, Κανών τής Οκτωήχου είς, καί τών Αγίων δύο, προηγείται δέ ό τού Αποστόλου, έχων τήν δε τήν ακροστιχίδα.

Σοί Κοδράτε μέγιστε τούς ύμνους πλέκω. Ιωσήφ.

Ωδή α'  Ήχος πλ. β'

«Δεύτε λαοί, άσωμεν άσμα Χριστώ τώ Θεώ, τώ διελόντι θάλασσαν, καί οδηγήσαντι τόν λαόν όν ανήκε, δουλείας Αιγυπτίων, ότι δεδόξασται».

Στεφηφορών, τώ Βασιλεί τών Δυνάμεων, παρεστηκώς ικέτευε, καταλαμπρύνεσθαι, τούς τήν μνήμην σου ταύτην, φαιδρώς επιτελούντας μάκαρ Απόστολε.

Οικοδομών, τώ θεμελίω τής πίστεως, τών ευσεβών τό πλήρωμα, οχυρωτάταις σου, διδαχαίς θεοφόρε, ειδώλων τήν απάτην, πάσαν κατέστρεψας.

Ιερουργών, τό ιερόν Ευαγγέλιον, Ιερωτάτοις λόγοις σου, ψυχάς τώ Κτίστη σου, καθιέρωσας πίστει, αοίδιμε Κοδράτε, σθένει τού Πνεύματος.

Θεοτοκίον

Κόρης σαρκί, εξ απειράνδρου τικτόμενος, ο Ποιητής τής κτίσεως, μετά τήν κύησιν, ως πρό τόκου Παρθένον, αυτήν διαφυλάττει, Καθώς ηυδόκησεν.

Κανών τού Αγίου Φωκά, ού ή, Ακροστιχίς.

Υμνείν σε Φωκά προσθέτω Θεός χάριν. Ιωσήφ.

Ωδή α'  Ήχος δ'
Θαλάσσης τό ερυθραίον

Υμνήσαι, προθυμουμένω σήμερον, τήν θείαν μνήμην σου, φωτιστικαίς τού Πνεύματος αυγαίς, τήν ψυχήν μου καταύγασον, ποιμήν καί Μάρτυς ένδοξε, τού Παντοκράτορος Θεού ημών.

Μαρτύρων, περιφανώς επλούτησας, τήν θείαν εύκλειαν ποιμαντικαίς εκπρέψας καλλοναίς, καί φοινίξας εν αίματι, τής Ιεράς αθλήσεως, σού τήν στολήν θεομακάριστε.

Νευρώσας, τόν λογισμόν ταίς κρείττοσιν, ελπίσι πάνσοφε, τόν εν κακία όντα δυνατόν, παντελώς εξενεύρισας, καί νικηφόρος άριστος, πρός ουρανούς Φωκά ανέδραμες.

Θεοτοκίον

Ελύθη, τών Προπατόρων άχραντε, τό επιτίμιον, τόν πρό αιώνων τίκτεις γάρ Θεόν, νέον βρέφος γινόμενον, καί νεουργούντα άπασαν, τήν ανθρωπίνην όντως ύπαρξιν.

Τού Αποστόλου

Ωδή γ'

«Στερέωσον ημάς εν σοί Κύριε, ο ξύλω νεκρώσας τήν αμαρτίαν, καί τόν φόβον σου εμφύτευσον, εις τάς καρδίας ημών τών υμνούντων σε».

Τελών τά φοβερά Κοδράτε θαύματα, απίστους εις πίστιν θείαν ενήγες, ως Απόστολος θεόληπτος, ως σεπτός Ιεράρχης ιερώτατε.

Ενθέοις διδαχαίς πολλούς εφώτισας, φωτός γάρ διάκανος ανεδείχθης, τού φωτίσαντος τά πέρατα, Ιεράρχα Κοδράτε, θείαις λάμψεσι.

Μεγίστων αγαθών υπήρξας πρόξενος, τή ποίμνη εξαίρων ταύτης τό σκότος, τής αγνοίας, καί φωτίζων αυτήν, παραδόξων θαυμάτων επιδείξεσιν.

Θεοτοκίον

Εσκήνωσεν εν σοί τό πύρ τό άστεκτον, μή φλέξαν τήν μήτραν σου Θεοτόκε, καί κατέφλεξε τά πάθη ημών, καί τήν ύλην τής πλάνης απετέφρωσεν.

Τού Ιερομάρτυρος

Ευφραίνεται επί σοί

Ιάσεις επιτελών, τή επικλήσει τού Χριστού Όσιε, πλάνης εχθρού έσωσας, πόλεις καί λαούς θεία χάριτι.

Ναός υπάρχων Θεού, ειδωλικούς Μάρτυς ναούς έρριψας, τήν παντουργόν δύναμιν, έχων συνεργόν καί συνέριθον.

Στρατός ωράθη Φωκά, αγγελικός καί φώς Θεού άπλετον, δικαστικών θρόνων σε, έναντι Κυρίου δοξάζοντος.

Θεοτοκίον

Εκ σού Θεός σαρκωθείς, δι' ευσπλαγχνίαν τοίς βροτοίς ήνωται, καί τήν αράν έλυσε, μόνη παντευλόγητε Δέσποινα.

Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα, Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

Κοντάκιον τού Αγίου Φωκά

Ήχος β' Τούς ασφαλείς

Ως θεαυγή καί φωτοφόρον ήλιον, σέ νοητόν τή Εκκλησία έθετο, ο Δεσπότης καταλάμποντα, πιστών τά πλήθη Μάρτυς ένδοξε, τόν βίον γάρ τήν πίστιν καί τούς άθλους σου, ως μύρον ευωδίας προσεδέξατο, ο μόνος υπάρχων πολυέλεος.

Ο Οίκος

Φώτισόν με φωτί ανεσπέρω τής σής γνώσεως Σώτερ, τήν αχλύν τών παθών σκεδάζων μου, καί σκοτόμαιναν, λόγον σοφίας δίδου μοι Λόγε, καί συνέσεως θείας εν κατανύξει, όπως τόν σόν παναοίδιμον Μάρτυρα στέψω Φωκάν, εν ύμνοις καί μελωδίαις, απορούντων γάρ πέλεις αντίληψις καί πλούτος πάσι πτωχεύουσι, καί πηγή αγαθών δωρεών, ο μόνος υπάρχων πολυέλεος.

Κάθισμα τού Αποστόλου

Ήχος δ'

Ταχύ προκατάλαβε

Τόν μέγαν Απόστολον, καί ιεράρχην Χριστού, Κοδράτον τόν ένδοξον, εν θεοπνεύστοις ωδαίς, πιστοί ευφημήσωμεν, βρύει γάρ ως εκ κρήνης, τοίς εν πίστει αιτούσιν, άφεσιν εγκλημάτων, καί παθών θεραπείαν, λαβών εκ τού Υψίστου, τήν χάριν τήν άφθονον.

Δόξα... τού Ιερομάρτυρος

Όμοιον

Η χάρις τού Πνεύματος, εν σοί σκηνώσασα, πηγήν σε ανέδειξε, πολλών χαρίτων Φωκά, πλουσίως εκβλύζουσαν, όθεν καί τοίς πλωτήρσι, βοηθείς καθ' εκάστην, πίστει επιζητούσι, σήν βοήθειαν Πάτερ, σύν τούτοις καί ημίν, ιλασμόν νέμοις θεόσοφε.

Καί νύν... Θεοτοκίον

Παρθένε πανάμωμε, τόν υπερούσιον, Θεόν η κυήσασα, σύν Ασωμάτοις αυτόν, απαύστως ικέτευε, άφεσιν τών πταισμάτων, καί διόρθωσιν βίου, δούναι ημίν πρό τέλους, τοίς εν πίστει καί πόθω, υμνούσί σε κατά χρέος, μόνη πανύμνητε.

Η Σταυροθεοτοκίον

Παρθένε πανάμωμε, Μήτηρ Χριστού τού Θεού, ρομφαία διήλθέ σου, τήν παναγίαν ψυχήν, ηνίκα σταυρούμενον, έβλεψας εκουσίως, τόν Υιόν καί Θεόν σου, όν περ ευλογημένη, δυσωπούσα μή παύση, συγχώρησιν πταισμάτων, ημίν δωρήσασθαι.

Τού Αποστολου

Ωδή δ'

Εισακήκοα Κύριε

Γηπονήσας τήν άρουραν τών καρδιών, δρεπάνη σου τών λόγων, τής κακίας ύλην πάσαν εξέκοψας.

Ιαμάτων χαρίσματα, πάσιν ημίν ο τάφος σου πηγάζει, ιερέ Κοδράτε, τούς αιτουμένους σε.

Συμπαθώς επικλώμενος, τών δυσχερών λυτρούσαι καί κινδύνων, Ιερέ Κοδράτε τούς αιτουμένους σε.

Ταίς λαμπάσι τών λόγων σου, φωταγωγών τούς πλάνη σκοτισθέντας, φρυγανώδη πάσαν απάτην έφλεξας.

Θεοτοκίον

Εξ αγνών σου σεσάρκωται, ο πλαστουργός αιμάτων Θεοτόκε, καί φθαρέντας πάντας εκαινοποίησεν.

Τού Ιερομάρτυρος

Επαρθέντα σε ιδούσα

Φαεινότατον αστέρα σε εν τώ ύψει, τής Εκκλησίας έθετο, Φωκά ο Δεσπότης, άθλων Ιερώτατε, θαυμάτων τε λάμψεσι, πάντων τάς καρδίας φωτίζοντα.

Ωμολόγησας τήν σάρκωσιν τού Δεσπότου, τυραννικού πρό βήματος, Μάρτυς αθλοφόρε, καί λαμπρώς κατήσχυνας, Ελλήνων σεβάσματα, καί πολυθεϊας τό άθεον.

Κορυφουμένην τήν θάλασσαν τής απάτης, πολυθεϊας λαίλαπι, θεία κυβερνήσει, Ένδοξε παρέδραμες, λιμήν γαληνότατος, πάσι γεγονώς θαλαττεύουσιν.

Θεοτοκίον

Απειρογάμως εκύησας ώ Παρθένε, καί μετά τόκον ώφθης, παρθενευουσα πάλιν, όθεν ασιγήτοις φωναίς, τό Χαίρέ σοι Δέσποινα, πίστει αδιστάκτω κραυγάζομεν.

Τού Αποστόλου

Ωδή ε'

«Ο τού φωτός χορηγός, καί τών αιώνων ποιητής Κύριος, εν τώ φωτί τών προσταγμάτων, οδήγησον ημάς, εκτός σου γάρ άλλον Θεόν ου γινώσκομεν».

Τήν καθαράν σου ψυχήν, ο καθαρώτατος Θεός σκήνωμα, τής εαυτού

ευράμενος δόξης, καθαίρει διά σού, ψυχάς ρυπωθείσας, δεινοίς παραπτώμασιν.

Οι τών Ελλήνων σοφοί, σού ηττηθέντες τοίς σοφοίς δόγμασιν, Ομολογείν επείσθησαν Μάκαρ, Χριστόν δημιουργόν, Πατρός προανάρχου, σοφίαν καί δύναμιν.

Υποφωνών ιερώς, τήν γενομένην τοίς βροτοίς έλλαμψιν, εκ τού Πατρός τών φώτων Κοδράτε, εφώτισας λαούς, σέβειν καί δοξάζειν, Τριάδα αχώριστον.

Θεοτοκίον

Σεσαρκωμένον ημίν, εν δύο φύσεσιν Υιόν τέτοκας, τόν εκ Πατρός πρό πάντων αιώνων, αγνή γεννηθέντα, αρρεύστως αχρόνως, ως μόνος επίσταται.

Τού Ιερομάρτυρος

Σύ Κύριέ μου φώς

Πορείας τού εχθρού, προφανώς υπεσκέλισας, ιθύνων σου τάς πορείας, πρό Θεού θελημάτων, τάς τρίβους Ιερώτατε.

Ρηγνύμενον πληγαίς, τό πολύαθλον σώμά σου, διέρρηξεν αθεϊας, τούς δεσμούς θείω σθένει, Φωκά θεομακάριστε.

Ολόκληρον Θεώ προσενήνεξαι σφάγιον, Πανεύφημε τώ τυθέντι, καί εναίμους θυσίας, ειδώλων καταπαύσαντι.

Θεοτοκίον

Σοφία τού Θεού, εαυτή ωκοδόμησεν, ώ Δέσποινα Θεοτόκε, εξ αγνών σου αιμάτων, τόν οίκον ως ηυδόκησεν.

Τού Αποστόλου

Ωδή ς'

Εν αβύσσω πταισμάτων

Υψηλός ουρανός εχρημάτισας, δόξαν διηγούμενος, Θεού σωτήριον, ως Ιεράρχης ένθεος, ως κλεινός σύ Κοδράτε Απόστολος.

Μίαν φύσιν θεότητος άναρχον, μίαν κυριότητα κηρύττων πάνσοφε, πολυθεϊας έλυσας, τήν σκοτώδη Κοδράτε απόνοιαν.

Νόμω φύσεως τάφω τό σωμά σου, μάκαρ ιερώτατε, νύν κατακείμενον, θαυματουργεί παράδοξα, υπέρ φύσιν Κοδράτε καί έννοιαν.

Θεοτοκίον

Ουρανόν ο τανύσας βουλήματι, άλλον ουρανόν επί γής σε ανέδειξε, Θεογεννήτορ Δέσποινα, καί εκ σού τοίς εν σκότει ανέτειλεν.

Τού Ιερομάρτυρος

Θύσω σοι, μετά φωνής

Θάλασσαν, αθεϊας εξήρανας Πάνσοφε, πηγήν ζωής αναβλύζων, διδαχών οσίων, νύν δέ θαυμάτων, επομβρίαις, αποπλύνεις παθών πάντα βόρβορον.

Επήρθης, επί ξύλου δεινώς σπαθιζόμενος, καί εξαρθρούμενος μάκαρ, καί φωνήν εξ ύψους σε δυναμούσαν, ενωτίσθης, Ιεράρχα καί Μάρτυς πολύαθλε.

Τό πάθος, τού απαθούς Φωκά μιμησάμενος, πάθη ποικίλα ιάσαι, καί λυτρούσαι ζάλης καί τρικυμίας, τούς πλωτήρας, ταίς πρός Θεόν σου θείαις εντεύξεσιν.

Θεοτοκίον

Ως όμβρος, ο σωτήριος Λόγος κεκένωται, εν τή αφθόρω σου μήτρα, Παναγία Κόρη, καί τής κακίας, τούς χειμάρρους, θεϊκή δυναστεία εξήρανε.

Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Κοντάκιον τού Αποστόλου

Ήχος πλ. δ'  Ως απαρχάς

Ως ιεράρχην τίμιον, καί αθλητήν στερρότατον, η οικουμένη προσάγει σοι Κύριε, θείον Κοδράτον Απόστολον, καί τοίς ύμνοις γεραίρει, τήν σεπτήν αυτού μνήμην, αιτούσα πάντοτε, πταισμάτων άφεσιν, δωρηθήναι τοίς μέλπουσιν, Αλληλούϊα.

Ο Οίκος

Τόν σοφόν Ιεράρχην τιμήσωμεν, ως ποιμένα πιστόν καί διδάσκαλον, ότι εν τώ λειμώνι τής αθλήσεως, εξήνθησε ρόδον ιερώτατον, καί ημάς τούς πιστούς κατεμύρισε, βολαίς θαυμάτων τε, καί πράξεων εναρέτων, φωτισμού πληρώσας πάσαν γήν, ιαμάτων ταίς λάμψεσιν, εθαυμάστωσε γάρ ο Θεός τούς βοώντας αυτώ, Αλληλούϊα.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΒ' τού αυτού μηνός, Μνήμη τού Αγίου Ιερομάρτυρος Φωκά τού θαυματουργού, τού εν λουτρώ σφοδρώς πυρωθέντι τελειωθέντος.

Στίχοι

- Φωκά, τό λουτρόν σμήγματος παντός δέχου.
- Λουτρόν γάρ ήν αγώνος, ου καθαρσίου.
- Εικάδι δευτερίη λουτρόν πέφνεν ένδοθι Φωκάν.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Φωκά τού κηπουρού.

Στίχοι

- Ήδει χάριν σοι, σου Χάριν θνήσκων Λόγε,
- Φωκάς ο Μάρτυς τώ διά ξίφους τέλει.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Ισαάκ, καί τού Αγίου Μαρτίνου.

Στίχοι

- Χριστού τό θάρσος εμπνέοντος υψόθεν,
- Πρός τήν σπάθην έσπευδεν εκπνείν Μαρτίνος.

Μνήμη τών αγίων είκοσιν εξ οσιομαρτύρων Ζωγραφιτών, τών ελεγξάντων τούς Λατινόφρονας Μιχαήλ τόν βασιλέα Παλαιολόγον Η' καί τόν πατριάρχην Ιωάννην τόν Βέκκον, άνωθεν τού πύργου πυρί τελειωθέντων.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τού Αποστόλου

Ωδη ζ'

Εικόνος χρυσής

Υψώσας τόν νούν, πρός τό πρώτον αγαθόν θεοειδέστατος, ναός Τριάδος εχρημάτισας, καί τούς εν βάθει κακώσεως, ύψωσας ταίς υψηλοτάταις, διδαχαίς σου κραυγάζοντας, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Συντρίψας ναούς, τών ειδώλων προσευχών αναμοχλεύσεσιν, ανεδομήσω θείω Πνεύματι, ναούς Θεώ Ιερώτατε, καί τών σωζομένων τά πλήθη, προσηγάγω κραυγάζοντα, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Πυρίπνοος ών, ως τού Πνευματος τό πύρ τό θείον Πάνσοφε, εν τή καρδία έχων πάντοτε, λαμπάς ωράθης φλογίζουσα, πάσαν φρυγανώδη απάτην, καί τούς βοώντας φωτίζουσα, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Λυθέντες αράς, διά σού προγονικής θεοχαρίτωτε, καλών αιτίαν σε γινώσκομεν, ως τόν πανταίτιον τέξασαν, Λόγον υπέρ νούν τε καί λόγον, όθεν βοώμέν σοι Άχραντε, Ευλογημένη εί, Θεόν σαρκί κυήσασα.

Τού Ιερομάρτυρος

Εν τή καμίνω

Θυμόν τυράννων, ουκ εδειλίασας πάνσοφε, ποίμνης προϊστάμενος δέ τής λογικής, ως αρνίον προσενήνεξαι, τώ αρχιποίμενι, μαρτυρικώς Φωκά κλεϊζόμενος.

Εδοκιμάσθης, ως εν χωνεία Μάρτυς χρυσός, μέσον εμβληθείς ασβέστου φλογοειδούς, καί μηδόλως φλογιζόμενος, Ευλογημένος εί, ο Θεός μου κραυγάζων καί Κύριος.

Ο θείος πόθος, προσαναφλέγων τήν καρδίαν σου, θείω δροσισμώ σε ένδοξε συντηρεί, εν πυρί μή δαπανώμενον, τής αθείας δέ, Ιεράρχα τήν ύλην

συγκαίοντα.

Θεοτοκίον

Σεσαθρωμένον, τόν τής ψυχής μου οίκον πανάμωμε, Κόρη μετανοίας τρόποις ως αγαθή, ανακαίνισον η άπασαν, τήν ανθρωπότητα, τώ τοκετώ σου ανακαινίσασα.

Τού Αποστόλου

Ωδή η'

Τόν εν καμίνω

Εστηριγμένος νοητήν, επί πέτραν τής ψυχής έχων τάς βάσεις, υπεσκέλισας μάκαρ, τούς Κυρίου εχθρούς, καί πάντας Κοδράτε εστήριξας, τούς υπερυψούντας, αυτόν εις τούς αιώνας.

Κεκοσμημένην αρεταίς, κεκτημένος τήν ψυχήν καί τήν καρδίαν, Κατεκόσμησας λόγοις, διδασκαλίας ψυχάς, εξαίρων ακοσμίαν άπασαν, ειδωλομανίας, εις πάντας τούς αιώνας.

Ως μαθητής τού Ιησού, ως Απόστολος φαιδρός, ως τού Ηλίου τού τής δικαιοσύνης, φωτοφανής αστραπή, Κοδράτε φωτίσας αγίασον, τούς επιτελούντας, τήν σήν αγίαν μνήμην.

Θεοτοκίον

Ιερωτάταις σε φωναίς, Ιερώτατοι Θεού Αγνή Προφήται, εσομένην Μητέρα, προανεφώνουν τρανώς, τού πάντων δεσπόζοντος άχραντε, όθεν σε υμνούμεν, εις πάντας τούς αιώνας.

Τού Ιερομάρτυρος

Χείρας εκπετάσας

Χάρις σου τοίς χείλεσι σοφέ, Φωκά εκκέχυται, όθεν επέστρεψας, λαόν πλανώμενον όφεως, υποθήκαις καί προσήγαγες, οία ποιμήν αληθινός, Χριστώ κραυγάζοντα, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ακοίμητον έχει σε πιστών, Σοφέ ομήγυρις πρέσβυν κοιμίζοντα, παθών θαλάσσης τά κύματα, πειρασμούς τε κατευνάζοντα, καί οδυνών παντοδαπών ημάς λυτρούμενον, τούς βοώντας, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Ρείθρα ιαμάτων ο ναός, ο σός τοίς χρήζουσι, πηγάζει πάντοτε, λιμήν δεικνύμενος άκλυστος, καί παθών φυγαδευτήριον, τοίς σέ τιμώσι, καί Χριστώ Μάρτυς κραυγάζουσιν, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ίνα σου τιμώμεν τό σεπτόν, Φωκά μνημόσυνον, πανηγυρίζοντες, τόν υπεράγαθον Κύριον, εκδυσώπει προθυμότατα, απαλλαγήν τών δυσχερών, ημίν δωρήσασθαι, τοίς βοώσι, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Θεοτοκίον

Νόμου σε ετύπου κιβωτός, καί στάμνος φέρουσα, τό μάννα Πάναγνε, η θεία τράπεζα αύθίς τε, καί λυχνία χρυσαυγίζουσα, εις αποκάλυψιν εθνών τό φώς κυήσασαν, τό φωτίζον, θεογνωσία τού κόσμου τά πέρατα.

Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Τού Αποστόλου

Ωδή θ'

Τόν εκ Θεού Θεόν

Ωραιωθείς διανοία, τώ ωραίω Δεσπότη, παρίσταται φαιδρότατος αεί, ως Ιεράρχης θεόληπτος, ως Απόστολος θείος, σύν πάσιν Αποστόλοις αληθώς, την ειρήνην τώ κόσμω, Κοδράτε εξαιτούμενος.

Σού Μαγνησία κατέχει, τών λειψάνων τήν θήκην, ως θείαν κιβωτόν, καί εξ αυτής, πάσαν Κοδράτε ωφέλειαν, απαρύεται πόθω, σκηναί δέ ουρανών τήν σήν ψυχήν, κεκτημέναι σύν πάσιν, Αγίοις επαγάλλονται.

Ηφωταυγής σου ημέρα, η φωσφόρος σου μνήμη, η όντως ευκλεής σου εορτή, πάσιν ως ήλιος έλαμψεν, ήν πιστώς εκτελούμεν, Κοδράτε ιλασμόν αμαρτιών, δυσωπούντες ευχαίς σου, λαβείν καί μέγα έλεος.

Θεοτοκίον

Φείσαί μου Κύριε φείσαι, όταν μέλλης με κρίνειν, καί μή καταδικάσης με εις πύρ, μή τώ θυμώ σου ελέγξης με, δυσωπεί σε Παρθένος, η σέ κυοφορήσασα Χριστέ, Αποστόλων ο δήμος, καί σύν Προφήταις Μάρτυρες.

Τού Ιερομάρτυρος

Λίθος αχειρότμητος

Ιερολογίαις ενθέοις, τού ιερού δεύτε Ποιμένος, πάντες την πανίερον μνήμην, Ιερωτάτως πανηγυρίσωμεν, τόν ευεργέτην Κύριον, υπέρ ημών καθικετεύοντος.

Ώφθης πυρακτούμενος ζήλω, τώ τού Δεσπότου οπηνίκα, Μάρτυς τό λουτρόν υπεισήλθες, εκκεκαυμένον, εν ώ τό πνεύμά σου, Θεού επαγαλλόμενος, μάκαρ εις χείρας παραδέδωκας.

Σέ Ιεραρχών αι χορείαι, καί τών Μαρτύρων αι αγέλαι, καί τών ιερών Αποστόλων, η συναυλία πάντων Δικαίων τε, Μάρτυς Φωκά τά πνεύματα, έχοντα μέσον επαγάλλονται.

Ήπλωται εν κόσμω η μνήμη, η σή ψυχάς φωταγωγούσα, τών ανευφημούντων εν πίστει, τούς σους αγώνας καί τά παλαίσματα, καί τήν

γενναίαν άθλησιν, ποιμήν καί Μάρτυς αξιάγαστε.

Θεοτοκίον

Φώτισον Αγνή τήν ψυχήν μου, εσκοτισμένην αμαρτία, καί αιωνιζούσης φλογός με, καί σκότους ρύσαι τή μεσιτεία σου, ίνα τήν σήν γηθόμενος, ανευφημώ μεγαλειότητα.

Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Εξαποστειλάριον τού Αποστόλου

Γυναίκες ακουτίσθητε

Ως Μάρτυς καί Απόστολος, καί Ιεράρχης ένθεος, Κοδράτε μύστα τού Λόγου, Χριστού κηρύξας τό θείον, πανσόφως Ευαγγέλιον, πάσαν τήν γήν εφαίδρυνας, εκ πλάνης λυτρωσάμενος, τούς γηγενείς καί διδάσκων, τού προσκυνείν τήν Τριάδα.

Τού Ιερομάρτυρος

Ο ουρανόν τοίς άστροις

Ιεραρχών ακρότης, καί Αθλοφόρων τό κλέος, Φωκά καί μέγας προστάτης, τοίς θαλαττεύουσι πέλων, περίσωζε εκ κινδύνων, τούς ευφημούντάς σε μάκαρ.

Θεοτοκίον

Τόν Ποιητήν τών αιώνων, καί τών Αγγέλων Δεσπότην, αποτεκούσα Παρθένε, τούτον ικέτευε δείξαι, τής δεξιάς παραστάτας, μερίδος τούς σούς οικέτας.

Η λοιπή Ακολουθία καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΓ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Η Σύλληψις τού τιμίου ενδόξου Προφήτου, Προδρόμου, καί Βαπτιστού Ιωάννου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια γ' δευτερούντες αυτά.

Ήχος δ'

Ο εξ υψίστου κληθείς

Ιερατεύων ο θείος Ζαχαρίας, καί ένδον γενόμενος, τού θειοτάτου ναού, καί τού λαού τά αιτήματα, προσαναφέρων, τώ ευεργέτη καί πανοικτίρμονι, θειότατον Άγγελον, είδε βοώντα αυτώ, Η προσευχή καί η δέησις, σού εισηκούσθη, θάρσει πρεσβύτα, καί μή απίστει μοι, έξεις γάρ παίδα θείον Πρόδρομον, γεννητοίς γυναικών υπερέχοντα, Ηλιού εν δυνάμει, τού Χριστού προπορευσόμενον.

Ξένος μοι φαίνη τή θέα καί τώ τρόπω, ξένος καί τοίς ρήμασι, καί τοίς μηνύμασιν, ο Ζαχαρίας αντέφησεν, εγώ γάρ ήλθον, τήν σωτηρίαν λαού αιτήσασθαι, ουχί δέ κομίσασθαι, παίδα ως προσφωνείς, απ' εναντίας ευρίσκω σε, τών αιτημάτων, καί υποπτεύω μή αληθεύειν σε, πώς γάρ ο λέγεις πιστωθήσεται; Ελισάβετ τά μέλη νενέκρωται, καί εμού δέ τό γήρας, δυσπιστίαν νύν τεκμαίρεται.

Τί απιστείς μου τοίς λόγοις Ζαχαρία, ψευδή ευαγγέλια, λέγων κομίζειν με; Θεού Αρχάγγελος πέφυκα, ά προσετάχθην, ταύτά σοι λέγω σύν σοί ιστάμενος, επεί δέ ηπίστησας, καί ουκ επίστευσας, έση κωφεύων καί άλαλος, έως άν ίδης, εμών ρημάτων τήν θείαν έκβασιν, Επάν δέ τέκη Ελισάβετ σοι, τήν τού Λογου φωνήν μέγαν Πρόδρομον, τρανουμένης τής γλώττης, ευλογήσεις τον Θεόν Ισραήλ.

Δόξα... Ήχος πλ. β'

Βυζαντίου

Εκ στειρευούσης σήμερον νηδύος, καρπός προσευχής ανεβλάστησεν, Ιωάννης ο Πρόδρομος, Αγάλλου η έρημος, καί χόρευε η ανθρωπότης, ο τής μετανοίας κήρυξ, ιδού άρχεται, εν κοιλία μητρική σαρκούσθαι, Δεύτε αγαλλόμενοι εν τή ενδόξω αυτού συλλήψει, οι φιλέορτοι χορεύσωμεν βοώντες, ο εν γεννητοίς γυναικών μείζων υπάρχων, μή διαλίπης πρεσβύειν, υπέρ τών πίστει τιμώντων, τήν θείαν σου σύλληψιν, όπως εύρωμεν ιλασμόν αμαρτιών, καί τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον  ο αυτός

Τίς μή μακαρίσει σε, Παναγία Παρθένε; τίς μή ανυμνήσει σου τόν αλόχευτον τόκον, ο γάρ αχρόνως εκ Πατρός εκλάμψας Υιός μονογενής, ο αυτός εκ σού τής Αγνής προήλθεν, αφράστως σαρκωθείς, φύσει Θεός υπάρχων, καί φύσει γενόμενος άνθρωπος δι' ημάς, ουκ εις δυάδα προσώπων τεμνόμενος, αλλ' εν δυάδι φύσεων ασυγχύτως γνωριζόμενος, Αυτόν ικέτευε, σεμνή παμμακάριστε, ελεηθήναι τάς ψυχάς ημών.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος πλ. β'

Όλην αποθέμενοι

Μολούντι εις Άγια, τά τών Αγίων αγίως, ιερεί Προφήτη τε, καί αγίω άγιος, καθώς γέγραπται, επιστάς Άγγελος, προσεφώνει λέγων, Εισηκούσθη σου η δέησις, καί διαλύεται, νύν τής Ελισάβετ η στείρωσις, καί τέξεται πρεσβύτά σοι, υιόν Ιωάννην καί Πρόδρομον, λύχνον τού Ηλίου, προφήτην τού Υψίστου καί φωνήν, τού εκ Παρθένου θεόπαιδος, Λόγου ανατείλαντος.

Στίχ. Καί σύ παιδίον, Προφήτης Υψίστου κληθήση.

Λέγε μοι τρανότατα, κατά τί γνώσομαι τούτο; αύθις πρός τόν Άγγελον, ο μακαριώτατος πρέσβυς έφησεν, ως οράς πλήρης γάρ, ημερών υπάρχω,

Ελισάβετ στείρα πέφυκε, Πώς ούν μοι ρήματα, φθέγγη υπέρ φύσιν, εξίσταμαι, ουδόλως αληθεύοντα, νύν υπονοώ σε ώ άνθρωπε, Άπιθι, εγώ γάρ, λαού τήν σωτηρίαν εξαιτώ, ουχί δέ παίδα κομίσασθαι, πράγμα δυσπαράδεκτον.

Στίχ. Λατρεύειν αυτώ εν οσιότητι, καί δικαιοσύνη ενώπιον αυτού πάσας τάς ημέρας ημών.

Θεού Παντοκράτορος, εγώ Αρχάγγελος πέλω, Γαβριήλ μοι όνομα, τώ πρεσβύτη έφησεν ο Ασώματος, τό Παρόν κύφευσον, καί σιγήν άσκησον, απιστήσας εμοίς ρήμασιν, Επάν δέ τέκη σοι, σάλπιγγα τού Λόγου η σύζυγος, τού Πνεύματος τρανούντός σοι, γλώτταν εκβοήσεις τρανότατα, Προφήτης Υψίστου, κληθήση ώ παιδίον τάς αυτού, προετοιμάσαι εν χάριτι, τρίβους ως ηυδόκησεν.

Δόξα... Ήχος πλ. β'

Άγγελος, εκ στειρωτικών ωδίνων προήλθες Βαπτιστά, εξ αυτών τών σπαργάνων, τήν έρημον οικήσας, σφραγίς τε πάντων τών Προφητών εδείχθης, όν γάρ εκείνοι πολυτρόπως εθεάσαντο, καί αινιγματωδώς προεκήρυξαν, τούτον βαπτίσαι εν Ιορδάνη κατηξιώθης, φωνής τε ακήκοας Πατρικής ουρανόθεν, μαρτυρούσης αυτού τήν υιότητα, καί τό Πνεύμα είδες, περιστεράς εν είδει, τήν φωνήν έλκον επί τόν βαπτιζόμενον, Αλλ' ώ πάντων τών Προφητών υπέρτερε, μή διαλίπης πρεσβεύειν υπέρ ημών, τών πιστώς σου τελούντων τό μνημόσυνον.

Καί νύν... Θεοτοκίον

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής, σέ ικετεύομεν, Πρέσβευε Δέσποινα, μετά καί τού Προδρόμου, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Απολυτίκιον Ήχος δ'

Ταχύ προκατάλαβε

Η πρώην ού τίκτουσα, στείρα ευφράνθητι, ιδού γάρ συνέλαβες, Ηλίου λύχνον σαφώς, φωτίζειν τόν μέλλοντα, πάσαν τήν οικουμένην, αβλεψίαν νοσούσαν, χόρευε Ζαχαρία, εκβοών παρρησία, Προφήτης τού Υψίστου εστίν, ο μέλλων τίκτεσθαι.

Ήχος δ' Θεοτοκίον

Τό απ' αιώνος απόκρυφον, καί αγγέλοις άγνωστον Μυστύριον, διά σού Θεοτόκε τοίς επί γής πεφανέρωται, Θεός εν ασυγχύτω ενώσει σαρκούμενος, καί Σταυρόν εκουσίως υπέρ ημών καταδεξάμενος, δι' ού αναστήσας τόν Πρωτόπλαστον, έσωσεν εκ θανάτου τάς ψυχάς ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος πλ. α'

Τόν συνάναρχον Λόγον

Ελισάβετ στειρώσεως ηλευθέρωται, η Παρθένος δέ πάλιν Παρθένος έμεινεν, ότε φωνή τού Γαβριήλ, γαστρί συνέλαβεν, αλλ' εν νηδύϊ προσκιρτά τόν εν γαστρί παρθενική, Θεόν προγνούς καί Δεσπότην, ο Πρόδρομος Ιωάννης, εις σωτηρίαν ημών σαρκούμενον.

Δόξα... τό αυτό

Καί νύν... Θεοτοκίον όμοιον

Χαίρε άγιον όρος καί θεοβάδιστον, χαίρε έμψυχε βάτε καί ακατάφλεκτε, χαίρε η μόνη πρός Θεόν κόσμου γέφυρα, η μετάγουσα θνητούς, πρός τήν αιώνιον ζωήν, χαίρε ακήρατε Κόρη, η απειράνδρως τεκούσα, τήν σωτηρίαν τών ψυχών ημών.

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος δ'

Ταχύ προκατάλαβε

Τρυγών η φιλέρημος, ο ιερός Βαπτιστής, κηρύξας μετάνοιαν, καί φανερώσας Χριστόν, γενόμενον άνθρωπον, πάντων αμαρτανόντων, εγεννήθη προστάτης, πάσι χειμαζομένοις, βοηθών αενάως, αυτού ταίς ικεσίαις Χριστέ, σώσον τόν κόσμον σου.

Δόξα... τό αυτό

Καί νύν... Θεοτοκίον όμοιον

Η μόνη κυήσασα, τό Ποιητήν τού παντός, η μόνη κοσμήσασα, τήν ανθρωπότητα, τώ τόκω σου Άχραντε, ρύσαί με τών παγίδων, τού δολίου Βελίαρ, στήσόν με επί πέτραν, τών Χριστού θελημάτων, αυτόν εκδυσωπούσα εκτενώς, όν εσωμάτωσας.

Οι Κανόνες, τής Οκτωήχου είς, καί τού Αγίου. Ποίημα Ιωάννου τού Δαμασκηνού.

Μετά δέ τόν Κανόνα, ει βούλει, ειπέ καί Καταβασίας.

Ανοίξω τό στόμα μου

Ωδή α' Ήχος πλ. β'

Ως εν ηπείρω

Τής στειρευούσης ψυχής μου τούς λογισμούς, τούς ακάρπους έκτιλον, στειρευούσης ο βλαστός, ευφημείν ορμήσαντος τήν σήν, εν νηδύϊ μητρική, αγίαν Σύλληψιν.

Ο Ιερός Ζαχαρίας εν τώ ναώ, εισελθών τεθέαται, θείον Άγγελον αυτώ, εμφανώς μηνύοντα, Υιόν, μετά γήρας Ιερεύ, έξεις τόν Πρόδρομον.

Λύχνος Ηλίου τής δόξης ο φωταυγής, εν νηδύϊ άρχεται, αναλάμπειν μητρική, δι' ού σκότος λέλυται παθών, καί στειρώσεως δεσμά, ο μέγας Πρόδρομος.

Θεοτοκίον

Τόν εν γαστρί σου Δεσπότην εν μητρική, Θεοτόκε πάναγνε, βασταζόμενον γαστρί, κατιδων εσκίρτησε σαφώς, Ιωάννης ως αυτού, υπάρχων Πρόδρομος.

Ωδή γ'

Ουκ έστιν Άγιος

Η στείρα σήμερον καρπόν, ιερόν συλλαμβάνει, τόν μετέπειτα πάσαν, ακαρπίαν τών ψυχών, αξίην τή νοητή, αποτέμνειν, μέλλοντα εν Χάριτι.

Κωφεύσας ένδον τού ναού, Ζαχαρίας ο μέγας, τήν φωνήν τήν τού Λογου, αγγελία φοβερά, κομίζεται καί λαμπρώς, μεγαλύνει, Κύριον τόν εύσπλαγχνον.

Ο δείξας τρίβον ασφαλή, τοίς πιστοίς μετανοίας, προτροπή τού Αγγέλου, εν νηδύϊ μητρική, βλαστάνει θεία βουλή, παρ' ελπίδα, ο Ένδοξος Πρόδρομος.

Θεοτοκίον

Γαστρί φερόμενον Χριστόν, τής Παρθένου ως έγνω, ο εκ στείρας εσκίρτα, προμηνύων τήν χαράν, επιδημούσαν εν γή, κατηφείας, πάντας εκλυτρώσασθαι.

Ο Ειρμός

«Ουκ έστιν άγιος ως σύ, Κύριε ο Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου, Αγαθέ, καί στερεώσας ημάς, εν τή πέτρα, τής Ομολογίας σου».

Κάθισμα  Ήχος δ'

Κατεπλάγη Ιωσήφ

Θυμιώντι εν ναώ, τώ Ζαχαρία Ιερεί, Γαβριήλ εξ ουρανού, επέστη λέγων πρός αυτόν, Ότι εν γήρα σου έξεις καρπόν ευκλεή, Καί στείρωσις ή πρίν, τής Ελισάβετ νυνί, λυθήσεται ευθύς, καί ακαρπία γονής, καί συλλαβούσα τέξεται τόν κήρυκα, τού Ιησού τε καί Πρόδρομον, Αυτών πρεσβείαις, Σωτήρ τού κόσμου, σώσον τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Κατεπλάγη, Ιωσήφ, τό υπέρ φύσιν θεωρών, καί ελάμβανεν εις νούν, τόν επί πόκον υετόν, εν τή ασπόρω συλλήψει σου Θεοτόκε, βάτον εν πυρί ακατάφλεκτον, ράβδον Ααρών τήν βλαστήσασαν, καί μαρτυρών ό μνήστωρ σου καί φύλαξ, τοίς Ιερεύσιν εκραύγαζε, Παρθένος τίκτει, καί μετά τόκον, πάλιν μένει Παρθένος.

Ωδή δ'

Χριστός μου δύναμις

Φωνή Αγγέλου σε, τόν όντως άγγελον, τής Χριστού παρουσίας τώ Ιερεί, Ιερώς προήγγειλε, στειρωτικής από γαστρός, εκβλαστάνειν μάκαρ Πρόδρομε.

Η πρώην άγονος, καί η ου τίκτουσα, νύν ευφράνθητι στείρα ότι Χριστού,

Βαπτιστήν καί Πρόδρομον, καρπογονείς πανευκλεώς, Ελισάβετ αξιάγαστε.

Αξίνη Πρόδρομε, τής σής δεήσεως, τών παθών μου ακάνθας καί λογισμών, έκτιλον Προσκόμματα, καί Καρποφόρον μου τόν νούν, αρεταίς παμμάκαρ ποίησον.

Θεοτοκίον

Νηδύς σε έφερε, τόν πάντα φέροντα, τής Παρθένου ηνίκα ο Βαπτιστής, εν γαστρί φερόμενος, σέ προσεκύνησε Χριστέ, καί σκιρτών ηγαλλιάσατο.

Ωδή ε'

Τώ θείω φέγγει σου

Μολούντι ένδον τού Ιερού, καί τάς νομικάς τώ Ποιητή, λατρείας προσαναφέροντι, ώφθη τώ Προφήτη Άγιος Άγγελος, μηνύων τού Προδρόμου, τήν θείαν σύλληψιν.

Πώς έσται τούτό μοι τηλαυγώς; πέλω γάρ πρεσβύτης ως οράς, καί στείραν σύζυγον κέκτημαι, έφη Ζαχαρίας πρός τόν Αρχάγγελον, φύσεως εναντία, λέγεις μοι ρήματα.

Πρός Σάρραν βλέψον τού Αβραάμ, ίδε πώς εκείνη Ισαάκ, εν γήρα τέτοκεν άνθρωπε, καί τοίς λεγομένοις δικαίως πίστευε, πρεσβύτη προσεφώνει, ο μέγας Άγγελος.

Θεοτοκίον

Ευλογημένη εν γυναιξί, σύ Θεοχαρίτωτε σαφώς, η Ελισάβετ εβόα σοι, ότι κυοφόρον ανάνδρως έγνων σε, τήν μόνην μετά τόκον, άφθορον μείνασαν.

Ωδή ς'

Τού βίου τήν θάλασσαν

Αμφίβολον κέκτημαι, τήν διάνοιαν εγώ, καί απιστώ τοίς λόγοις σου, τώ Αρχαγγέλω έφη ο Ιερεύς, λαού σωτηρίαν γάρ, ουκ εμής εξ οσφύος καρπόν ήτησα.

Ο πλάστης τής φύσεως, τών Αγγέλων Βασιλεύς, ο λειτουργός αντέφησε, τής παρουσίας Αγγελον τής αυτού, ηυδόκησε τίκτειν σε, τοίς εμοίς μή απίστει λόγοις άνθρωπε.

Τό είδός σου πύρινον καί η θέα σου φρικτή, καί θαυμαστός ο λόγος σου, ο Ζαχαρίας έφη τώ λειτουργώ, αλλ' ούν ου πιστεύω σοι, υπέρ φύσιν λαλούντι ξένα ρήματα.

Θεοτοκίον

Ο λύχνος τόν Ήλιον, εν νεφέλη μητρική, γαστρός κατακρυπτόμενον, επεγνωκώς υπάρχων εν ζοφερώ, τής μήτρας σκηνώματι, προσεκύνησε χαίρων καί εσκίρτησε.

Ο Ειρμός

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι,

τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι, Ανάγαγε, εκ φθοράς τήν ζωήν μου πολυέλεε».

Κοντάκιον Ήχος α'
Χορός Αγγελικός

Ευφραίνεται λαμπρώς, Ζαχαρίας ο μέγας καί η πανευκλεής, Ελισάβετ η σύζυξ, αξίως συλλαμβάνουσα, Ιωάννην τόν Πρόδρομον, όν Αρχάγγελος ευηγγελίσατο χαίρων, καί οι άνθρωποι, αξιοχρέως τιμώμεν, ως μύστην τής χάριτος.

Ο Οίκος

Τό ιερόν Ευαγγέλιον αναπτύξωμεν, ο Λουκάς ημίν έγραψεν ο Ιερός καί θαυμάσιος, καί τήν τού Προδρόμου θεασώμεθα σύλληψιν, την φαιδράν καί επίσημον, φησί γάρ, ως εισήλθεν ο πρεσβύτης καί δίκαιος Ζαχαρίας, εις τά Άγια τών Αγίων τού θυμιάσαι, τώ τής εφημερίας καιρώ, επέστη αυτώ Γαβριήλ, ευαγγελιζόμενος καί λέγων, Έξεις Ιεράρχα υιόν εν τώ γήρα, Προφήτην τε καί Πρόδρομον, φωνήν τε καί κήρυκα, καί λύχνον αείφωτον, τόν μύστην τής χάριτος.

Συναξάριον

Τή ΚΓ' τού αυτού μηνός, η Σύλληψις τού αγίου καί ενδόξου προφήτου Προδρόμου, καί Βαπτιστού, Ιωάννου.

Στίχοι

- Ανδρί Προφήτη χρησμός εξ Αρχαγγέλου,
- Τεκείν προφήτην, καί Προφήτου τι πλέον.
- Εικάδη τή τριτάτη γαστήρ λάβε Πρόδρομον είσω.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Ανδρέου, Ιωαννου, Πέτρου καί Αντωνίου, τών εν Αφρική τελειωθέντων.

Στίχοι

- Υπέρ νυγέντος πρίν μιά λόγχη Λόγου,
- Λόγχαις νυγείς, ήνεγκε διτταίς Ανδρέας.
- Έχθραν πλάνη θείς, καί σφαγείς, Ιωάννης,
- Σφάττει τόν εχθρόν, καί σύν αυτώ τήν πλάνην.
- Αντώνιος καί Πέτρος, ώς στερραί πέτραι,
- Πρός τάς μεληδόν εκκοπάς εκαρτέρουν.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος Ραΐδος τής παρθένου.

Στίχοι

- Ποθούσα κάλλος η Ραΐς Θεου βλέπειν,
- Σαρκός τό κάλλος εκδίδωσι τώ ξίφει.

Τή αυτή ημέρα, Μνήμη τών οσίων γυναικών Ξανθίππης καί Πολυξένης τών αυταδέλφων.

Στίχοι

- Τάς συγγόνους Ξανθίππην καί Πολυξένην,
- Χοροί συνοίκους λαμβάνουσιν Αγγέλων.

Τή αυτή ημέρα, ο άγιος νεομάρτυς Νικόλαος ο παντοπώλης, ο εν Κωνσταντινουπόλει μαρτυρήσας κατά τό 1672, ξίφει τελειούται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Δροσοβόλον μέν τήν κάμινον

Απιστήσας μου τοίς ρήμασι τήν κώφευσιν, κομίζου προδηλότατα, καί τικτομένην οπηνίκα, ίδης τήν φωνήν, τού Λόγου ανάλαβε φωνήν, Ευλογητός εί εκβοών, τού Ισραήλ ο Θεός.

Τή σελήνη Ελισάβετ προσενούμενος, πολύφωτος ως ήλιος, ο Ζαχαρίας σελασφόρον λύχνον τού φωτός, εκτέτοκε φαίνοντα ημίν, τοίς εν τώ σκότει τών παθών, κατασχεθείσι δεινώς.

Τοίς σκιρτήμασιν ως ρήμασι χρησάμενος, Χριστού ο μέγας Πρόδρομος, προσεκύνησεν εν νηδύϊ σε Παρθενική, αυτός βασταζόμενος γαστρί, τής Ελισάβετ Ιησού, ο τών Πατέρων Θεός.

Θεοτοκίον

Η σελήνη Ελισάβετ ένδον φέρουσα, αστέρα θείον Πρόδρομον, προσεκύνησε, φωτεινήν νεφέλην Μαριάμ, τόν ήλιον φέρουσαν Χριστόν, σαρκοφορούμενον εκ σού, διά τό σώσαι ημάς.

Ωδή η'

Εκ φλογός τοίς Οσίοις

Τού νυμφίου ο φίλος προετοιμάζεται, η φωνή δέ τού Λόγου αρχήν εισδέχεται, καί στειρωτικαίς, νύν λαγόσιν εκτρέφεται, τού παμβασιλέως, ο μέγας Στρατιώτης.

Στειρευούσαις καρδίαις γεωργός ήνθησε, τών παθών η αξίνη ήδη χαλκεύεται, μόσχος ο σεπτός, εγκρατεία σιτεύεται, Πρόδρομος ο μέγας, λαοί αγαλλιάσθε.

Τά δεσμά ώσπερ πάλαι τά τής στειρώσεως, τής εμής διανοίας, ούτω τήν πώρωσιν, λύσον Βαπτιστά, καί καρπούς μετανοίας με, ποίησον βλαστάνειν, καί ζήν εις τούς αιώνας.

Θεοτοκίον

Κυοφόρον σε Κόρη ως εθεάσατο, Ελισάβετ ενθέως ηγαλλιάσατο, ένδοθεν αυτής, τού εμβρύου σκιρτήσαντος, ως επιγνωκότος, τόν εαυτού Δεσπότην.

Ωδή θ'

Θεόν ανθρώποις ιδείν

Χριστού ο μέγας καί θείος Πρόδρομος, στειρωτικάς νύν πύλας, διανοίξας

αυλίζεται, ως εν βασιλείοις εν νηδύϊ μητρός, ός τις ως στρατιώτης, προεξελεύσεται, τού Παμβασιλέως τάς οδούς ετοιμαζόμενος.

Θεού Προφήτα πρεσβύτα χόρευε, έξεις υιόν, ού μείζων εν βροτοίς ουκ εγήγερται, Ιωάννην Κυρίου τόν Πρόδρομον, Σκίρτησον Ελισάβετ, γή πάσα γήθησον, αίνεσιν τώ πάντων Ποιητή Θεώ προσάγουσα.

Ημών τών πίστει ανευφημούντων σε, μέμνησο νύν Προφήτα τού Κυρίου καί Πρόδρομε, ψυχικών εκ παθών εκλυτρουμενος, σώζων ημάς κινδύνων, καί πρός ουράνιον τρίβον οδηγών, θεοπρεπώς αειμακάριστε.

Θεοτοκίον

Αγνήν μητέρα σαφώς επέγνω σε, στειρωτικών δεσμών η Ελισάβετ ως ήσθετο, εαυτήν λελυμένην καί φέρουσαν, Πρόδρομον τού εν μήτρα, σού κατοικήσαντος, άχραντε Παρθένε, Μαριάμ Θεοχαρίτωτε.

Εξαποστειλάριον

Τοίς Μαθηταίς συνέλθωμεν

Η τού Προδρόμου ένδοξος, σύλληψις προμηνύει, τόν εκ Παρθένου μέλλοντα, τίκτεσθαι Βασιλέα, ως ούτος εξ Ελισάβετ, τής ακάρπου καί στείρας, πρεσβύτου Ιερέως τε, Ζαχαρίου τού πάνυ, ών ταίς ευχαίς, καί τής Θεοτόκου καί Ιωάννου, τού Βαπτιστού σου Κύριε, σώσον οίκτειρον πάντας.

Θεοτοκίον όμοιον

Χαρμονικώς τό Χαίρέ σοι, τού σεπτού Αρχαγγέλου, οι λυτρωθέντες πάναγνε, τής αρχαίας κατάρας, διά τού θείου σου τόκου, ευχαρίστως, βοώμεν, Χαίρε, Αδάμ η λύτρωσις, Θεοτόκε Παρθένε, χαίρε σεμνή, δι' ής απηλλάγημεν τού θανάτου, χαίρε, δι' ής ετύχομεν, ουρανών Βασιλείας.

Εις τούς Αίνους, Στιχηρά Προσόμοια.

Ήχος α'

Τών ουρανίων ταγμάτων

Αγαλλιάται η κτίσις εν τή συλλήψει σου, Πρόδρομε καί Προφήτα, Βαπτιστά Ιωάννη, ο θείος γάρ σου τόκος, σημαίνει ημίν, τού Δεσπότου τήν γέννησιν, καί διά τούτο συμφώνως οι επί γής, επαξίως ευφημούμέν σε. (Δίς)

Ως θαυμαστήν μαρτυρίαν ευρών ο Άγγελος, τήν σύλληψιν τής στείρας, τή Μαρία προσάγει, πρός πίστωσιν προσφέρων, διό καί ημείς, Ελισάβετ πρίν άγονον, καί Ζαχαρίαν ομόζυγον τόν αυτής, καί Ιωάννην ευφημήσωμεν.

Ο θεοσκεύαστος λύχνος τού αϊδίου φωτός, ο τού νυμφίου φίλος, τού Ηλίου τής δόξης, ο μέγας Εωσφόρος, η ζώσα φωνή, Θεού Λόγου ο Πρόδρομος, τής παρουσίας Κυρίου αγγελική, προσφωνήσει νύν συνείληπται.

Δόξα... Καί νύν... Ήχος πλ. δ'

Η Ελισάβετ συνέλαβε τόν Πρόδρομον τής χάριτος, η δέ Παρθένος τόν Κύριον τής δόξης, ησπάσαντο αλλήλας αι μητέρες, καί τό βρέφος εσκίρτησεν,

ένδοθεν γάρ ο δούλος ήνει τόν Δεσπότην, θαυμάσασα η μήτηρ τού Προδρόμου, ήρξατο βοάν, Πόθεν μοι τούτο, ίνα η Μήτηρ τού Κυρίου μου έλθη πρός με; ίνα σώση λαόν απεγνωσμένον, ο έχων τό μέγα έλεος.

Δοξολογία Μεγάλη καί Απόλυσις

Εις τήν Λειτουργίαν, Τυπικά, καί εκ τού Κανόνος τού Προδρόμου Ωδή γ' καί ς' κτλ.

Κοινωνικόν

Εις μνημόσυνον αιώνιον έσται Δίκαιος. Αλληλούια.

---

Αρχή

## ΤΗ ΚΔ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής Αγίας Μεγαλομάρτυρος καί Ισαποστόλου Θέκλης.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'

Κύριε, ει καί κριτηρίω

Κύριε, ει καί εν θυρίδι η Θέκλα, προσεπάγη τώ πόθω σου, αλλά νοερώς εν υψίστοις, παρισταμένη τώ θρόνω σου, εξεπλήττετο τήν σήν, ασύγκριτον ευπρέπειαν, τού σαρκωθέντος φιλανθρώπως, ίνα σώσης τάς ψυχάς ημών.

Κύριε, ει καί δεσμευθέντι η Θέκλα, τώ Αποστόλω προσέδραμεν, αλλά προσπαθείας γηϊνων, τόν δεσμόν εναπεσείσατο, καί κραταιότητι τής σής, αλούσα αγαπήσεως, βεβαιωθείσα συνεδέθη, σοί τώ Σωτήρι τών ψυχών ημών.

Κύριε, ει καί διδασκάλου η Θέκλα, ουχί εκούσα μεμόνωται, αλλά συμπαρόντα σε είχεν, εν καιρώ τό τής αθλήσεως, καί γυμνωθείσα στολής, εσκέπετο τή δόξη σου, καί στεφθείσα τή χειρί σου, προασπίζει τών ψυχών ημών.

Κύριε, ει καί τώ πυρί παρεδόθη, η αγνή καί Πρωτομάρτυς σου, αλλ' ου κατεφλέχθη εν τούτω, δροσισμόν εγκεκτημένη σε, καί εν θηρίοις πολλοίς, ανάλωτος διέμεινε, τή χειρί σου φυλαχθείσα, τού Σωτήρος τών ψυχών ημών.

Δόξα... Ήχος πλ. β

Ανατολίου

Οι δέ, Ανδρέου Ιεροσολυμίτου

Αθλητικοίς παλαίσμασι, τόν εχθρόν κατεπάτησας, Θέκλα παμμακάριστε, καί τάς τούτου μηχανάς, μαρτυρικώς συντρίψασα, θάμυριν έφυγες, καί Χριστώ ενυμφεύθης τώ αληθεί εραστή, τού Παύλου συνόμιλε, καί τού Στεφάνου

σύναθλε, Παρρησίαν έχουσα, Πρωτομάρτυς Χριστού εν γυναιξί, τών πιστώς εκτελούντων τήν πανέορτον μνήμην σου, εκ κινδύνων λύτρωσαι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Τριήμερος ανέστης

Τό μέγα σου προσφύγιον, ελπίς τε καί προστάτις μου, σύ υπάρχεις, Μητροπάρθενε αγνή, σπεύσον τοίνυν εν τάχει, καί ρύσαί με τών κύκλω, κακών συνεπιτιθεμένων μοι.

Η Σταυροθεοτοκίον

Ορώσά σε σταυρούμενον Χριστέ η κυήσασα, θρηνωδούσα ανεβόα μητρικώς, Υιέ μου καί Θεέ μου, γλυκύτατόν μου τέκνον, πώς φέρεις πάθος επονείδιστον.

Απόστιχα Στιχηρά

Ήχος α'

Τών ουρανίων ταγμάτων

Ώ ευκλεής Πρωτομάρτυς, καί Ισαπόστολε, τών αθλουσών η δόξα, καλλιπάρθενε Θέκλα, ίασαι, βοώ σοι, πάθη δεινά, τής ψυχής μου καί μώλωπας, θεοπειθέσι λιταίς σου, καί εκ πυρός, τού ασβέστου με εξάρπασον.

Στίχ. Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών.

Δι' ομβροτόκου νεφέλης, τήν φλόγα έσβεσε, δροσίζουσά σε Θέκλα, ως πιστήν καί ενδίκως, φλέγουσα απίστους η πανσθενής, τού Χριστού θεία δύναμις, καί εκ θηρίων καί ταύρων διασπασμών, ρυομένη σε εδόξασε.

Στίχ. Καί έστησεν επί πέτραν τούς πόδας μου καί κατεύθυνε τά διαβήματά μου.

Τόν πανωραίον εν κάλλει, νυμφίον άχραντον, επιποθούσα Θέκλα, τόν μνηστήρα ηρνήσω, Παύλου Εκκλησίας νυμφαγωγού, επομένη τοίς ρήμασι, μεθ' ού αρθείσα εις λήξιν τήν παντερπή, εμνηστεύσω όν επόθη σας.

Δόξα... Ήχος πλ. δ'

Ανατολίου

Λεόντων ορμάς κατεπάτησας, καί θάμυριν, καταισχύνασα, Πρωτομάρτυς Απόστολε, ηκολούθησας τώ νυμφίω σου κράζουσα, Εις οσμήν μύρου σου έδραμον, Χριστέ, διο καί Παύλον διώκουσα, εξ ουρανού εδέξω τό χάρισμα, καί τό στέφος κεκλήρωσαι παρά τού αθλοθέτου Θεού, καί πρεσβεύεις απαύστως, δωρηθήναι πταισμάτων ιλασμόν, τοίς εν πίστει εκτελούσι τό Ιερόν σου μνημόσυνον.

Καί νύν... Θεοτοκίον

Οι Μάρτυρές σου Κύριε

Ελπίς μου καί προστάτις μου, θερμή αντίληψις καί προσφυγή μου, σύ τών

πιστών η σωτηρία, πέλεις πανάχραντε Αγνή, όθεν καί προσφεύγω πρός σέ Δέσποινα, κράζων καί βοών σοι τό, Ημάρτηκα Σώσόν με Κόρη σώσον, αμαρτανόντων μόνη, ως αληθώς εγγυήτρια.

Η Σταυροθεοτοκίον

Ου φέρω τέκνον βλέπειν σε, τόν τήν εγρήγορσιν πάσι διδόντα, ξύλω υπνώσαντα, όπως τοίς πάλαι, εκ παραβάσεως καρπού, ύπνω Ολεθρίω αφυπνώσασι, θείαν καί σωτήριον εγρήγορσιν, παράσχης, η Παρθένος έλεγεν θρηνωδούσα, ήν μεγαλύνομεν.

Απολυτίκιον  Ήχος δ'

Η αμνάς σου Ιησού, κράζει μεγάλη τή φωνή Σέ νυμφίε μου ποθώ, καί σέ ζητούσα αθλώ, καί συσταυρούμαι, καί συνθάπτομαι τώ βαπτισμώ σου, καί πάσχω διά σέ, ως βασιλεύσω συν σοί, καί θνήσκω υπέρ σού, ίνα καί ζήσω εν σοί αλλ' ως θυσίαν άμωμον, προσδέχου τήν μετά πόθου τυθείσάν σοι, Αυτής πρεσβείαις, ως ελεήμων σώσον τάς ψυχάς ημών.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τής Αγίας, ού η Ακροστιχίς.

Η Πρωτομάρτυς ενθέως δοξάζεται.

Άνευ τών Θεοτοκίων

Ποίημα Ιωάννου Μοναχού.

Ωδή α'  Ήχος πλ. δ'
Άσωμεν τώ Κυρίω

Ήχος γλώττης ου σθένει, τούς πανευκλεείς τής Πρωτομάρτυρος, διηγήσασθαι άθλους, ατονεί γάρ πρός ύμνον επάξιον.

Πέπαυται τού τυράννου, η αλαζονεία η υπέροφρυς, κατά τούτου γυναίκες, ευσεβώς εν Χριστώ γάρ ηνδρίσαντο.

Ρήμασιν απορρήτοις, ευαγγελικώς ενηχηθείσά σου, παμμακάριστε Παύλε, τώ Χριστώ η παρθένος νενύμφευται.

Θεοτοκίον

Άχραντε Θεοτόκε, η σεσαρκωμένον τόν αΐδιον, καί υπέρθεον Λόγον, υπέρ φύσιν τεκούσα υμνούμέν σε.

Ωδή γ'
Σύ εί τό στερέωμα

Ώ τής αγαπήσεως, τής υπέρ έννοιαν Πάνσεπτε! ή εν Χριστώ, Παύλω συνεδέθης, ενωθείσα τώ Πνεύματι.

Τρώσαι η ενήδονος, τήν τετρωμένην σου έρωτι, πνευματικώ, φρένα ουκ ισχύει, τών γηϊνων απόλαυσις.

Όλη εκδημήσασα, τών τής σαρκός παθών ρήμασι, τοίς μητρικοίς, ουκ εμαλακίσθης, Αθληφόρε πανεύφημε.

Θεοτοκίον

Δός ημίν βοήθειαν, ταίς ικεσίαις σου Πάναγνε, τάς προσβολάς αποκρουομένη, τών δεινών περιστάσεων.

Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Κάθισμα Ήχος πλ. δ'

Τήν σοφίαν καί Λόγον

Εις ανδρίαν τό θήλυ δι' αρετών, μεταθείσα τώ πόθω τώ τού Χριστού, Θεού οικητήριον, αμφοτέρωθεν γέγονας, τών παθών γάρ τόν γνόφον, ασκήσει μειώσασα, μαρτυρικώς εδείχθης, αθλήσεως καύχημα, όθεν καί τώ κόσμω, ως φωστήρ διαλάμπεις, δισσώς εξαστράπτουσα, τάς ακτίνας τού Πνεύματος, Πρωτομάρτυς πανεύφημε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, την αγίαν μνήμην σου.

Δόξα... Καί νύν... Θεοτοκίον

Ως Παρθένον καί μόνην εν γυναιξί, σέ ασπόρως τεκούσαν Θεόν σαρκί, μακαρίζομεν, γενεαί τών ανθρώπων, τό γάρ πύρ εσκήνωσεν, εν σοί τής θεότητος, καί ως βρέφος θηλάζεις, τόν Κτίστην καί Κύριον, όθεν τών Αγγέλων, καί ανθρώπων τό γένος, αξίως δοξάζομεν, τόν πανάγιον τόκον σου, καί συμφώνως βοώμέν σοι, Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς ανυμνούσιν αξίως, τήν δόξαν σου Άχραντε.

Η Σταυροθεοτοκίον

Τόν αμνόν καί ποιμένα καί λυτρωτήν, η αμνάς θεωρούσα εν τώ Σταυρώ, ωλόλυζε δακρύουσα, καί πικρώς εκβοώσα, ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήνπερ υπομένεις, διά σπλάγχνα ελέους, Μακρόθυμε Κύριε, τού ελέους η άβυσσος, καί πηγή αγαθότητος, ιλάσθητι καί δώρησαι ούν, τών πταισμάτων άφεσιν τοίς δούλοις σου, τοίς ανυμνούσιν εν πίστει, τά άχραντα πάθη σου.

Ωδή δ'

Εισακήκοα Κύριε

Μνηστευθείσαν θαμύριδι, ο νυμφαγωγός σε Παύλος ηρμόσατο, τώ εκπουτώ νυιμφίω ως αμώμητον, ρανίω Θέκλα πάνσοφε.

Απηρτήθης τού έρωτος, τής θεοσεβείας Παύλου τοίς έπεσι, καί θαμύριδος τά ρήματα, ώσπερ λήρον Μάρτυς εμυκτήρισας.

Ραντισμώ θείου αίματος, τό Αδαμιαίον γένος ηυλόγηται, Εύα χαίρει καθορώσα δέ, γυναιξί τόν όφιν υποπίπτοντα.

Τήν αγνείαν ποθήσασα, πάντα τά τερπνά τού βίου απώσατο, πλούτον γένος ωραιότητα, καί ηδύν μνηστήρα η πρωτόαθλος.

Θεοτοκίον

Ιλασμόν ημίν δώρησαι, τών αγνοημάτων ως αναμάρτητος, καί ειρήνευσον τόν κόσμον, ο Θεός πρεσβείαις τής τεκούσης σε.

## Ωδή ε'

Ορθρίζοντες βοώμέν σοι

Υπέρογκον αθλήσεως στάδιον, ηγωνίσω, Θέκλα παμμακάριστε, καί τού βραβείου ηξίωσαι.

Σεσύληται ο δράκων ο δόλιος, η παρθένος, θείοις γάρ παθήμασιν, υπακοήν εδιδάσκετο.

Ενίκα τήν αίδώ σου η ένθεος, παρρησία, πύρ γάρ σε εγκάρδιον, τό τής Τριάδος εξέκαυσε.

Θεοτοκίον

Παρθένον μετά τόκον υμνούμέν σε, Θεοτόκε, σύ γάρ τόν Θεόν Λόγον, σαρκί τώ κόσμω εκύησας.

## Ωδή ς'

Τήν δέησιν εκχεώ

Νεάνιδος τό τής φύσεως σαθρόν, τή δυνάμει τού Σωτήρος ερρώσθη, νεανικόν, κόσμον τώ θείω πόθω, περιελούσα γάρ νύκτωρ εθάρσησε, καί έδραμε τού εραστού, τά ευώδη ζητούσα διδάγματα.

Θαλάμων υπερφυώς τών νυμφικών, αυθαιρέτω αντηλλάξατο πόθω η ευκλεής, καί πρωτόαθλος Θέκλα, τό τών κακούργων οικείν δεσμωτήριον, ο πόθος γάρ τού Ποιητού, τών κτισμάτων ενίκα τούς έρωτας.

Εν πνεύματι κατεφίλει τά δεσμά, τού ενθέου Διδασκάλου η Μάρτυς, εν τή φρουρά, ως ενθέω λειμώνι, αρδευομένη τοίς λόγοις καί ηύξανε, καί έφερεν ως αληθώς, τώ Δεσπότη καρπόν ωραιότατον.

Θεοτοκίον

Μή παύση υπέρ ημών πρεσβεύουσα, Παναγία Θεοτόκε Παρθένε, ότι πιστών, στήριγμα σύ υπάρχεις, καί τή ελπίδι τή σή κραταιούμεθα, καί πόθω σέ καί τόν εκ σού, σαρκωθέντα αφράστως δοξάζομεν.

Ο Ειρμός

«Τήν δέησιν εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών ή ψυχή μου επλή σθη, καί η ζωή μου τώ Άδη προσήγγισε, καί δέομαι ως Ιωνάς, Εκ φθοράς ο Θεός με ανάγαγε».

Κοντάκιον Ήχος πλ. δ'
Ως απαρχάς

Τής παρθενίας τώ κάλλει εξέλαμψας, μαρτυρίου στεφάνω κεκόσμησαι, αποστολήν πιστεύη Παρθένε ως ένδοξος, καί τού πυρός μέν τήν φλόγα, εις δρόσον μετέβαλες, τού ταύρου δέ τόν θυμόν, προσευχή σου ημέρωσας ως πρωτόαθλος.

Ο Οίκος

Εορτής σεβασμίας η έλλαμψις, υπερλάμπει φαιδρώς υπέρ ήλιον, μαρμαρυγάς γάρ φωτός απαστράπτουσα, τοίς πιστών Οφθαλμοίς ενοπτρίζεται, διό Αγγέλοις συγχορεύοντες, τώ Σωτήρι Θεώ αλαλάξωμεν πάντες, βοώντες αυτώ, Εμεγάλυνας Σώτερ τά ελέη σου, δωρησάμενος δώρημα τέλειον τώ λαώ, τήν Πρωτόαθλον.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΔ' τού αυτού μηνός, Μνήμη τής Αγίας Μεγαλομάρτυρος καί Ισαποστόλου Θέκλης.

Στίχοι

- Αυτός σε σώζει Θέκλα ρήξας τήν πέτραν,
- Ού τώ πάθει πρίν ερράγησαν αι πέτραι.
- Πέτρη αμφί τετάρτην εικάδα δέξατο Θέκλην.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Κόπριος.

Στίχοι

- Ουκ ήν ο Κόπρις κόπρις, αλλ' άλλος βότρυς,
- Καλόν κυπρισμόν προσφέρων τώ Κυρίω.

Μνήμη τού γεγονότος θαύματος παρά τής Θεομήτορος εν τή νήσω Κυθήρων, ένθα η εν τοίς μυρτιδίοις ευρεθείσα είκων τής Θεοτόκου ήγειρε τόν παράλυτον.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'
Οι εκ τής Ιουδαίας

Ως δεσμίω τώ Παύλω, συνεδέθης τώ πόθω, ώ Παμμακάριστε, εν άμμασιν αλύτοις, τή πίστει συμφωνούσα, ευσεβώς καί συμψάλλουσα, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Συμπαρέστης τώ Παύλω, πρό βημάτων αδίκων, ώ καλλιπάρθενε, καί πόθω τού Δεσπότου, εβόας εν εκστάσει, τήν αιδώ απορρίψασα, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Διά πόθον τόν θείον, τή καμίνω τό σώμα, Μάρτυς εκδέδωκας, καί τή τού

ποθουμένου, διέμεινας δυνάμει, ακατάφλεκτος ψάλλουσα, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Ομβροτόκος νεφέλη, υετώ καί χαλάζη, τήν φλόγα σβέσασα, ενδίκως καταφλέγει, τούς άφρονας καί σώζει, μελωδούσαν τήν Μάρτυρα, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Θεοτοκίον

Παρθενικής εκ νηδύος, σαρκωθείς επεφάνης, εις σωτηρίαν ημών, διό σου τήν Μητέρα, ειδότες Θεοτόκον, ευχαρίστως κραυγάζομεν, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

## Ωδή η'

Τόν Βασιλέα τών ουρανών

Ξενοφανής σου ο λογισμός, τόν γάρ τάφον, ως Εδέμ κατώκησας Παρθένε, Μάρτυς ανυμνούσα, Χριστόν εις τούς αιώνας.

Αμαυρωθήναι τής ευπρεπούς παρθενίας, τό φαιδρόν μή φέρουσά σου κάλλος, θνήσκειν ηρετίσω, καί ζής εις τούς αιώνας.

Ζωοποιώ καί υπερφυεί συναφθείσα, τώ Χριστώ Πρωτόαθλε νυμφίω, θήρας ηρετίσω, φρουρούς τής Παρθενίας.

Εκδυσαμένη σου τής φθοράς τήν εδθήτα, ευσταλής Χριστού σταδιοδρόμος, ήλθε πρός αγήρω, ζωήν εις τούς αιώνας.

Θεοτοκίον

Τόν κατελθόντα εξ ουρανού καί εν μήτρα, παρθενική οικήσαντα υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Τόν Βασιλέα τών ουρανών όν υμνούσι, στρατιαί τών Αγγέλων υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

## Ωδή θ'

Σέ τήν απειρόγαμον

Τίς σου τό αήττητον, ώ Πρωτομάρτυς μή θαυμάση; θήρας νοητούς τά πάθη γάρ, τής ψυχής τιθασεύσασα, τά ακρατή θηρών ορμήματα ουκ επτοήθης, αλλά μένεις, εν μέσω τούτων αδιάφθορος.

Άβατος ακρότομος, Θεού προστάξει σοι ερράγη, πέτρα θεοφόρω Μάρτυρι, λουτρώ αναγεννήσεως, εσφραγισμένη θεία νύμφη, ως θάλαμος τή φυγάδι, καί εν αγκάλαις υπεδέξατο.

Ίασαι Πρωτόαθλε, τούς μώλωπας τούς τής ψυχής μου, κόσμω τήν ειρήνην βράβευσον, τώ πιστώ Βασιλεί ημών, κατά βαρβάρων δυσμενών νέμουσα τρόπαια, καί ειρήνην ταίς Εκκλησίαις σαίς δεήσεσι.

Θεοτοκίον

Νέκρωσόν μου Δέσποινα, τήν έτι ζώσαν αμαρτίαν, ζώωσον ψυχής τήν νέκρωσιν, ενεργεία τής όντως ζωής, τής γεγεννημένης εκ γαστρός σου, δι' άφατον ευσπλαγχνίαν, τοίς ευσεβώς σε μεγαλύνουσιν.

Ο Ειρμός

«Σέ τήν απειρόγαμον, Θεού Μητέρα τού Υψίστου, σέ τήν υπέρ νούν κυήσασαν, διά λόγου τόν όντως Θεόν, τήν υψηλοτέραν τών αχράντων Δυνάμεων, ασιγήτοις δοξολογίαις μεγαλύνομεν».

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Ρωσθείσα καλλιπάρθενε, ταίς θείαις εισηγήσεσι, τού θεοκήρυκος Παύλου, φθαρτόν μνηστήρα παρείδες, καί τούτω ηκολούθησας, Πρωτομάρτυς πολύαθλε, ώ Θέκλα ισαπόστολε, διό καί νίκης τό στέφος παρά Χριστού εκομίσω.

Θεοτοκίον  όμοιον

Κυρίως Θεοτόκον σε, ομολογούμεν Δέσποινα, οι διά σού σεσωσμένοι, τόν γάρ Θεόν απορρήτως, εκύησας τόν λύσαντα, διά Σταυρού τόν θάνατον, πρός εαυτόν δ' ελκύσαντα, Μαρτύρων δήμους, μεθ' ών σε, ανευφημούμεν Παρθένε.

Εις τούς Αίνους, Στιχηρά Ιδιόμελα.

Ήχος α'  Ανατολίου

Αθλητικόν στάδιον σήμερον πρόκειται, λαοί χορεύσωμεν, καί τά εν αυτώ τελούμενα, παράδοξα πράγματα κατοπτεύσωμεν, άσπιλος γάρ αμνάς, πρόκειται σφαγή, υπέρ τού σφαγιασθέντος Χριστού τού Θεού ημών, η καλλιπάρθενος Θέκλα καί Θεόνυμφος, διό Τριάδος τή πίστει, τήν τών τυράννων κατήργησεν αθεότητα, καί σύν, Αγγέλοις χορεύουσα, τώ Σωτήρι πρεσβεύει, σωθήναι τάς ψυχάς ημών.

Ανατολίου

Νυμφίον έχουσα έν ουρανοίς, Χριστόν τόν Θεόν ημών, νυμφώνος κατεφρόνησας τού επιγείου καί μνηστήρος, Θέκλα πρώταθλε, ταίς γάρ μητρώαις θωπείαις εμφρόνως μή πεισθείσα, Παύλω ηκολούθησας, επ' ώμων αραμένη τό σημείον τού Σταυρού, καί τό μέν πύρ ουκ ενάρκησας, τών δέ θηρών τήν ωμότητα, εις ημερότητα μετέβαλες, φώκας δέ απενέκρωσας, τή εν Χριστώ καταδύσει τού αγίου Βαπτίσματος. Αλλ' εν άθλοις γενναίοις διαπρέψασα, μή διαλίπης πρεσβεύουσα απαύστως τώ Κυρίω, υπέρ τών πίστει τελούντων, τήν αεισέβαστον μνήμην σου.

Ήχος δ'  Ανατολίου

Αναθείσα σεαυτήν παντοδυνάμω νεύματι, κρατυνομένη ως πρώταθλος τού Χριστού, καί τήν γεώδη καταλείψασα στοργήν, ανεδέξω τήν λαμπάδα τής αιωνίου ζωής, όλβιος υπάρξασα θάλαμος, εις όν αι τών θηλειών αγέλαι προσαναπαύονται, είσοδον ευράμεναι τής αιωνίου ζωής, μεθ' ών ικέτευε Απόστολε Θέκλα, υπέρ τών ψυχών ημών.

Ήχος δ'  Ανατολίου

Χορείας εγείρατε φιλομάρτυρες, τών αγώνων γάρ εφέστηκεν ο καιρός, καί τής Πρωτομάρτυρος η ετήσιος μνήμη, πάντας εις δοξολογίαν προτρέπουσα Θεού, Θέκλα γάρ η πρώτη Μαρτύρων εν γυναιξί, τό αθλητικόν στάδιον ανύσασα, πρώτη καί στεφηφόρος αναδέδεικται, καί παρρησία πρεσβεύει, υπέρ τών ψυχών ημων.

Δόξα... Ήχος δ'

Τήν σήν υπέρ άνθρωπον άθλησιν, Πρωτομάρτυς Χριστού, ουκ ανθρώπων μόνον έθαύμασαν τά γένη, αλλά καί θήρες τεθήπασιν άγριοι, αι φλόγες, ου φλόγες ελογίσθησάν σοι καλλιπάρθενε Θέκλα, διά τόν σόν νυμφίον Χριστόν, γέγηθας γάρ δι' αυτόν πάσχουσα, καί κόσμου χωριζομένη, ίνα τής επουρανίου τύχης μακαριότητος, εν παρρησία πρεσβεύουσα, υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

Ως γενναίον εν Μάρτυσιν

Επομβρίαις τού Πνεύματος, τού Αγίου Πανάχραντε, τήν εμήν διάνοιαν καταδρόσισον, η τήν σταγόνα κυήσασα, Χριστόν τόν τήν άμετρον ανομίαν τών βροτών, οικτιρμοίς αποσμήχοντα, αποξήρανον, τήν πηγήν τών παθών μου, καί χειμάρρου, καταξίωσον τρυφής με, τής αειζώου Πανάχραντε.

Η Σταυροθεοτοκίον

Εν Σταυρώ ως εώρακε, καθηλούμενον Κύριε, η αμνάς καί Μήτηρ σου εξεπλήττετο, καί, Τί τό όραμα έκραζεν, Υιέ ποθεινότατε; ταύτά σοι ο απειθής, δήμος ανταποδίδωσιν, ο παράνομος, ο πολλών σου θαυμάτων απολαύσας; Αλλά δόξα τή αρρήτω, συγκαταβάσει σου Δέσποτα.

Απόστιχα Στιχηρά τής Οκτωήχου

Δόξα...

Ήχος β' Ανατολίου

Δεύτε φίλαθλοι, τών θηλειών τό καύχημα, τήν Πρωτομάρτυρα Θέκλαν, εν ύμνοις Τιμήσωμεν, αύτη γάρ τόν αντίπαλον εχθρόν, τή δυνάμει τού Σταυρού κατεπάτησε, καί τήν νίκην άρασα, αξίως εστεφανώθη, διό δυσωπεί η πολύαθλος, τού ρυσθήναι κινδύνων, καί τής μελλούσης κρίσεως, τούς εν πίστει καί πόθω τελούντας τήν μνήμην αυτής.

Καί νύν... Θεοτοκίον

Ότε, εκ τού ξύλου σε νεκρόν

Άλλην, κραταιάν καταφυγήν, καί ισχύος πύργον καί τείχος, ακαταμάχητον, όντως ου κεκτήμεθα, ει μή σέ Πάναγνε, καί πρός σέ καταφεύγομεν, καί σύ εκβοώμεν, Δέσποινα βοήθησον, μή απολώμεθα, δείξον, τήν σήν χάριν εις πάντας, καί τής δυναστείας τήν δόξαν, καί τής ευσπλαγχνίας σου τό μέγεθος.

Η Σταυροθεοτοκίον

Βότρυν η τεκούσα τής ζωής, όν αγεωργήτως εν μήτρα, εκυοφόρησας, ξύλω ως εώρακας, τούτον κρεμάμενον, θρηνωδούσα ωλόλυζες, καί έκραζες, Τέκνον, γλεύκος εναπόσταξον, δι' ού η μέθη αρθή, πάσα τών παθών ευεργέτα, δι' εμού τής σέ τετοκυίας, σού την ευσπλαγχνίαν ενδεικνύμενος.

Καί η λοιπή Ακολουθία, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΕ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής Οσίας Μητρός ημών Ευφροσύνης.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά.

Ήχος πλ. α'
Όσιε Πάτερ

Μήτερ Οσία, Ευφροσύνη αξιάγαστε, τήν όντως ευφροσύνην επιποθήσασα, τήν ταύτην προξενούσαν ώδευσας τρίβον, πλούτου ηλλάξω γάρ, πτωχείαν πολλήν, σαρκικού μνηστήρος, τόν ζώντα εις αιώνας, τρυφής ρεούσης, τό εγκρατές, τής αναπαύσεως, πόνους τούς εν ασκήσει, τήν υπερκόσμιον ζωήν τήν εν τώ κόσμω, ής καί επέτυχες φρονίμοις σύν Παρθένοις, διατηρήσασα τήν σήν λαμπάδα άσβεστον, καί νυμφώνος αξιωθείσα, ως παρθένος, ως νύμφη Χριστού πανεύφημε.

Ρείθροις δακρύων, αρδευθείσα τήν διάνοιαν, ευθήνησας ασκήσει, τούς εναρέτους καρπούς, άμπελος καθάπερ ωραιοτάτη, ήνεγκας βότρυας ωραίους σεμνή, ών τού θείου γλεύκους, σαφώς εμφορηθέντες, τά αισθητήρια τής ψυχής, καταγλυκαίνομεν όντως σού τή μιμήσει, καί ευφραινόμεθα τήν θείαν ευφροσύνην, μέθην ωθούμενοι τήν εκ τής αμαρτίας, βοώντες, Πάνσεμνε, Χριστόν δυσώπει πάντοτε, δωρηθήναι τή οικουμένη, ομόνοιαν ειρήνην καί μέγα έλεος.

Θέαμα ξένον, καί τή φύσει δυσπαράδεκτον! πώς έλαθες τής Εύας τού παλαιού πτερνιστού, δεινάς μηχανουργίας, μέσον ανδρών, κατασκηνώσασα τελείω νοΐ, πώς πυρός εν μέσω, διήλθες μή φλεχθείσα, πώς συνεκαλυψας γυναικών τό ασθενές, νευρουμένη θεία δυνάμει, τού τήν ασθένειαν ημών αναλαβόντος, καί ανατείλαντος εκ Κόρης απειράνδρου, όν καθικέτευε, Αγγέλοις συγχορεύουσα, δωρηθήναι τή οικουμένη, ομόνοιαν ειρήνην καί μέγα έλεος.

Δόξα... Ήχος β'
Τού Στουδίτου

Τό καθαρόν τής αγνείας σου χρήμα, άμωμον εξ ανδρών φυλάξασα, νύμφη Χριστού εχρημάτισας, Ευφροσύνη παμμακάριστε, σώματος μέν κάλλος, ασκητικοίς πόνοις μαράνασα, ψυχήν δέ ωραΐσασα, τή ευμορφία τής χάριτος, εν γάρ τώ άρρενι τό θήλυ σαφώς υποκρύψασα, έλαθες Βελίαρ τά ένεδρα, αγγελικώς εν γή βιώσασα, Αλλ' αίτησαι ειρήνην, τοίς πόθω ευφημούσί σε, ως χαράς επώνυμος κοσμοχαρμόσυνε.

Καί νύν... Θεοτοκίον
Ότε, εκ τού ξύλου σε

Χαίρε, ηλιόμορφε αστήρ, χαίρε η αιτία απάντων, καλών Πανάμωμε, χαίρε η χωρήσασα, Θεόν αχώρητον, η τον στάχυν βλαστήσασα, τής αθανασίας, χαίρε θείον όχημα, πύλη η πάμφωτος, χαίρε η αράς αναιρέτις, τής προγονικής ημών Κόρη, αγαθών η πρόξενος υπάρχουσα.

Η Σταυροθεοτοκίον

Ότε, η αμίαντος αμνάς, έβλεψε τόν ίδιον άρνα, επί σφαγήν ως βροτόν, θέλοντα ελκομενον, θρηνούσα έλεγεν, Ατεκνώσαι νύν σπεύδεις με, Χριστέ τήν τεκούσαν, τί τούτο πεποίηκας, ο λυτρωτής τού παντός; Όμως, ανυμνώ καί δοξάζω, σού τήν υπέρ νούν τε καί λόγον, άκραν αγαθότητα φιλάνθρωπε.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Απολυτίκιον Ήχος πλ. δ'

Εν σοί Μήτερ ακριβώς διεσώθη τό κατ' εικόνα, λαβούσα γάρ τόν Σταυρόν, ηκολούθησας τώ Χριστώ καί πράττουσα εδίδασκες, υπερoράν μέν σαρκός, παρέρχεται γάρ, επιμελείσθαι δέ ψυχής, πράγματος αθανάτου, διό καί μετά Αγγέλων συναγάλλεται, Όσία Ευφροσύνη, τό πνεύμά σου.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, Κανόνες τής Οκτωήχου είς, καί τής Αγίας δύο (ο παρών ουχ ευρίσκε ται εν τώ χειρογράφω).

Ωδήα' Ήχος πλ. δ'

Αρματηλάτην

Ο τρισαγίαις εν φωναίς υμνούμενος, υπό φρικτών στρατιών, καί συνωδά δείξας, τούς βροτούς δοξάζειν σε, καί νύν αυτός τήν βλάσφημον, ανατρέπων προσθήκην, τού Τρισαγίου εξαίσιον, έθου τού παιδός αρπαγήν καί φωνήν.

Σύ τόν Θεόν από ψυχής επόθησας, καί εμνηστεύθης αυτώ, κοσμικόν μνηστήρα, καί σαρκός ευπάθειαν, καί πλούτον τόν επίκηρον, καί τρυφήν καί τήν δόξαν, καταλιπούσα Πανεύφημε, καί ασκητικόν βίον ζήσασα.

Ευφορωτάτη γή καθάπερ πέφηνας, εκατοστεύοντα, καρπόν αποδούσα, Ευφροσύνη πάνσεμνε, καί γάρ εν τή καρδία σου, δεξαμένη προθύμως, τήν συμβουλήν τήν σωτήριον, ενεγκείν εις έργον εσπούδασας.

Θεοτοκίον

Ρήσεσι θείων Προφητών επόμενοι, καθωμολόγησαν, τόν τού Θεού Λόγον, σάρκα προσλαβόμενον, οι θεοφόροι Μάρτυρες, εξ αχράντου Παρθένου, ήν Θεοτόκον δοξάζομεν, άσμασιν αεί μακαρίζοντες.

Έτερος Κανών, τής Οσίας, ού η Ακροστιχίς.

Ύμνον σοι μέλπω προφρόνως Ευφροσύνη. Ο Ιωσήφ.

Ωδή α'  Ήχος πλ. α'

Ίππον καί αναβάτην

Ύμνοις Θεοτερπέσιν, υμνούντα σήμερον, τήν αγίαν σου μνήμην, καί όντως αξιέπαινον, φωτί με καταύγασον, τών εύχών σου Πάνσεμνε, ευφροσύνης θείας επώνυμε.

Μόνον τό θείον κάλλος, Χριστού ποθήσασα, καί ταίς τουτου θελχθείσα, αϋλοις ωραιότησι, τό κάλλος τού σώματος, εβδελύξω ένδοξε, θεωρίαις θείαις σχολάζουσα.

Νύμφη ωραϊσμένη, τών αρετών καλλοναίς, εμνηστεύσω τόν όντως, ωραίον κάλλει Χριστόν, λιπούσα τόν πρόσκαιρον, Ευφροσύνη μνήστορα, καί τού βίου πάσαν τερπνότητα.

Θεοτοκίον

Όλος επιθυμία, καί γλυκασμός καί ζωή, ο εκ σού ανατείλας, υπερβολή χρηστότητος, Παρθένε πανάμωμε, όν δυσώπει σώσαί με, τόν απαύστως σε μακαρίζοντα.

Ωδή γ'

Ο στερεώσας

Από σοφών καί συνετών, ο αποκρύψας τά βάθη, μυστηρίων σου καί αποκαλύψας, νηπίοις ταύτα θαυμαστώς, νηπίω εκκαλύπτεις νύν, αρθέντι εν νεφέλαις, μέλος σαφώς τό Τρισαγιον.

Τής εμπαθείας δυσειδή, χιτώνα εκδυσαμένη, εν σοφία τήν στολήν ενεδύσω, απαθείας εν Χριστώ, μέσον ανδρών απήστραψας, ασκητικώς βιούσα, καί σκεπομένη τή χάριτι.

Τής εγκρατείας χαλινώ, τάς ακαθέκτους ορέξεις, τής σαρκός αναχαιτίζουσα, Μήτερ, πρός τόν δρόμον τόν καλόν, τής Ιεράς ασκήσεως, τήν σήν καρδίαν είχες, ευθυπορούσαν απρόσκοπα.

Θεοτοκίον

Απειρογάμως τού Θεού, τόν Λόγον ώ Θεοτόκε, απεγέννησας εκ σού σαρκωθέντα, όν οι Μάρτυρες Θεόν, ανδρείως ωμολόγησαν, ως στρατιώται τούτου, στεφανίται γενόμενοι.

Άλλος

Ο πήξας επ' ουδενός

Μεγάλως εγκαρτερήσασα αγωνίσμασι, τού εχθρού καθείλες τά μηχανήματα, έτρεψας δαιμόνων προσβολάς, Αγγέλοις ωμοιώθης, αθανασίαν μελετήσασα, Μήτερ, εν θνητώ σου τώ σώματι.

Ευφραίνει τών Μοναστών καρδίας ο βίος σου, στηριγμός υπάρχων καί παιδαγώγησις, πρός σωτηριώδεις εντολάς, πρός τρίβους αφθαρσίας, πρός τής αγάπης τόν ακρότατον, όρον Ευφροσύνη τού Κτίσαντος.

Λαμπρύνει τά τών πιστών ενθέως συστήματα, η λαμπρά σου μνήμη καί αξιέπαινος, θέλγει τών Οσίων τούς χορούς, Αγγέλους επευφραίνει, μεθ' ών αυλίζη ώσπερ Άγγελος, ών περ καί τόν βίον εζήλωσας.

Θεοτοκίον

Παθών με τό χαλεπόν χειμάζει κλυδώνιον, πονηρών πνευμάτων βυθός συνέχει με, η τής αμαρτίας καταιγίς, δονεί μου τήν καρδίαν, Θεοκυήτορ σύ με στήριξον, ειλικρινώς σε δοξάζοντα.

Ο Ειρμός

«Ο πήξας επ' ουδενός τήν γήν τή προστάξει σου, καί μετεωρίσας ασχέτως βρίθουσαν, επί τήν ασάλευτον Χριστέ, πέτραν τών εντολών σου, τήν Εκκλησίαν σου στερέωσον, μόνε αγαθέ καί φιλάνθρωπε».

Κάθισμα  Ήχος πλ. α'

Τόν συνάναρχον

Τό τού θήλεος χαύνον επινευρώσασα, ουρανίαις ελπίσι μέσον Κατώκησας, αδιστάκτω λογισμώ ανδρών θεόπνευστε, τόν τής Εύας πτερνιστήν, υποτάττουσα ταίς σαίς, Παρθένε πτέρναις τοίς πόνοις, καί ταίς αγρύπνοις μελέταις, διό εν πίστει σέ μακαρίζομεν.

Δόξα... Καί νύν... Θεοτοκίον

Σέ λιμένα καί τείχος καί καταφύγιον, Καί ελπίδα καί σκέπην καί προστασίαν θερμήν, ευρηκότες οι πιστοί, πρός σέ προστρέχομεν, καί εκβοώντες εκτενώς, ανακράζομεν πιστώς, Ελέησον Θεοτόκε, τούς επί σοί πεποιθότας, καί τών πταισμάτων απάλλαξον.

Η Σταυροθεοτοκίον

Εν Σταυρώ σε ορώσα Χριστέ η Μήτηρ σου, εκουσίως εν μέσω ληστών κρεμάμενον, κοπτομένη μητρικώς τά σπλάγχνα έλεγεν, Αναμάρτητε Υιέ, πώς αδίκως εν Σταυρώ, ώσπερ κακούργος επάγης, τό γένος τό τών ανθρώπων, ζωώσαι θέλων ως υπεράγαθος.

Ωδή δ'

«Σύ μου ισχύς Κύριε, συ μου καί δύναμις, σύ Θεός μου, σύ μου αγαλλίαμα, ο Πατρικούς κόλπους μή λιπών, καί τήν ημετέραν, πτωχείαν επισκεψάμενος, διό σύν τώ Προφήτη, Αββακούμ σοι κραυγάζω, Τή δυνάμει σου δόξα φιλάνθρωπε».

Οικονομών, πρός τό συμφέρον τά πάντα Σωτήρ, καί παιδεύων, πάντας πρός διόρθωσιν, καί τών κακών πάντων αποχήν, καί τά νύν συνήθως, σεισμώ τήν γήν συνετάραξας, βλασφήμους ανατρέπων, δόξας αιρετιζόντων, καί διδάσκων ως θέμις δοξάζειν σε.

Ασκητικήν, παλαίστραν ήνυσας χαίρουσα, Ευφροσύνη, ανδρών μέσον μένουσα, καί θανατούσα τάς εμπαθείς, τής σαρκός ορέξεις, τώ πόθω τώ τού Δεσπότου σου, διό τής αθανάτου, κατοικίας καί δόξης, ηξιώθης λαβούσα τόν στέφανον.

Τούς στεναγμους, τών σών δακρύων προσφέρουσα, ώσπερ μύρα, Μήτερ τώ Δεσπότη σου, τήν ευωδίαν τήν παρ' αυτού, τήν τών χαρισμάτων, τών θεϊκών ανταπείληφας, δι' ών ευωδιάσθης, καί διέπνευσας πάσι, τήν οσμήν τών θαυμάτων θεόπνευστε.

Θεοτοκίον

Όπλον Χριστέ, τήν σέ τεκούσαν Πανάμωμον, κεκτημένοι, πλάνης ετροπώσαντο, τάς μηχανάς, Μάρτυρες σοφοί, καί τάς τών τυράννων, θωπείας σοφώς διέλυσαν, καί νύν στεφανηφόροι, δεδειγμένοι βοώσι, Τή δυνάμει σου δόξα φιλάνθρωπε.

Άλλος

Τήν θείαν εννοήσας αου

Πατρί σε ουρανίω προσέχουσαν, τώ τών ψυχών νυμφαγωγώ, πατρός στοργή ουκ εκώλυσε, ούτε προσκαίρου νυμφίου, οδεύσαι τήν οδόν τήν σωτήριον.

Ως φοίνιξ θεοφρόνως εξήνθησας, δικαιοσύνης γλυκασμόν, καί ωσεί κέδρος παρ' ύδατα, τής εγκρατείας θεόφρον, καρπούς τούς εναρέτους επλήθυνας.

Πυρί τής εγκρατείας ετέφρωσας, τάς φρυγανώδεις ηδονάς, καί πυρωθείσα τώ άνθρακι, τής τού Κυρίου αγάπης, θαυμάτων λαμπηδόνας εξήστραψας.

Θεοτοκίον

Οικτείρησον οικτίρμων υπάρχουσα, τήν παναθλίαν μου ψυχήν, Θεοκυήτορ πανάμωμε, τήν εκ παθών αμαρτίας, δεινώς αμαυρωθείσαν καί στένουσαν.

Ωδή ε'

Ίνα τί με απώσω

Προτυπών τών δικαίων τήν εν τή δευτέρα Χριστέ παρουσία σου, υπαντήν φρικώδη, εν νεφέλαις καί νύν τήν εξαίσιον, αρπαγήν ειργάσω τήν τού παιδός, δι' ού διδάσκεις, τό Τρισάγιον μέλος ορθότομον.

Τοίς ενθέοις σου έργοις, έδειξας τήν κλήσίν σου επαληθεύουσαν, ως γάρ λίθος ώφθης, πολυτίμητος σμάραγδος ένδοξε, διαλάμπων μέσον τών ιερών ανδρών Παρθένε, τή λαμπρότητι τής καθαρότητος.

Ευφροσύνην τήν θείαν, έσχες εν καρδία σου, ευφραινομένη αεί, εν τοίς τού Κυρίου διατάγμασιν, οίς εντρυφήσασα, πολιτείαν ήσκεις, τήν ακραιφνή καί πανολβίαν, Ευφροσύνη παρθένε Θεόνυμφε.

Θεοτοκίον

Αληθή Θεοτόκον, πάντες επιγνόντες σε Μάρτυρες ένδοξοι, τόν εκ σού τεχθέντα, Θεόν Λόγον ειδότες εκήρυξαν, πρός τήν αμαρτίαν, νεανικώς μέχρι τού θανάτου, ανθιστάμενοι Κόρη πανύμνητε.

Άλλος

Ο αναβαλλόμενος

Φέγγει θείων πράξεων, ως λίθος σμάραγδος, σεμνή ωράθης, ανδρών εν μέσω, ανδρικά παλαίσματα, επιδεικνυμένη, καί τέρπουσα τόν Κύριον.

Ραίνουσα τά δάκρυα, ώσπερ αρώματα ευωδιάσθης, εμεγαλύνθης ως μύρον πολύτιμον, Θεώ προσηνέχθης, παρθένος αδιάφθορος.

Όλην σου τήν έφεσιν, Θεώ προσένειμας, αυτόν ποθούσα, αυτόν ζητούσα, αυτού ανιχνεύουσα, τήν νομοθεσίαν, Παρθένε τήν σωτήριον.

Θεοτοκίον

Νέον απεκύησας, ως βρέφος άχραντε, τόν πρό αιώνων, Πατρός ανάρχου, αχρόνως εκλάμψαντα, όν υπέρ τού κόσμου, δυσώπει Θεονύμφευτε.

Ωδή ς'

Ιλάσθητί μοι Σωτήρ

Συνέσεισας μέν τήν γήν, καί βλέμματι, συνετάραξας, καρδίας δέ τών βροτών, κλονήσας εσάλευσας δεινώς βλασφημούντων σε, αλλ' ανεκαλέσω, συμπαθώς αύθις τό σύντριμμα.

Ωραία νύμφη Χριστού, εδείχθης καί περιδέξιος, τώ κάλλει τών αρετών, σεαυτήν κοσμήσασα, Ευφροσύνη πάνσεμνε, διό καί παστάδος ουρανίου κατηξίωσαι.

Μαράνασα τής σαρκός, τά θηριώδη ορμήματα, τόν έρωτα τής Χριστού, αγάπης λαμπρότερον, έσχες διανάπτοντα, καί φωτίζοντά σου, τής ψυχής τά αισθητήρια.

Θεοτοκίον

Νευρούμενοι ταίς εκ σού, εκπεμπομέναις δυνάμεσιν, οι Αθλοφόροι Χριστέ, νομίμως ενήθλησαν, τήν αγνήν Μητέρα σου, ανυμνολογούντες, απορρήτως σε κυήσασαν.

Άλλος

Μαινομένην κλύδωνι

Ως αγνή καί άμωμος, ως ωραία ως περικαλής, τώ νυμφίω Λόγω σύ μεμνήστευσαι, εις αιώνας, διατηρούντί σε άφθορον.

Στεναγμοίς καί δάκρυσιν, εκζητούσα τόν Δημιουργόν, τής εκείνου θέας κατηξίωσαι, ως εκλεκτή, σύν εκλεκτοίς αξιάγαστε.

Εγκρατείας άγαλμα, σωφροσύνης έμψυχος εικών, τοίς πιστοίς ωράθης ευφημούσί σου, τό Ιερόν, ώ Ευφροσύνη μνημόσυνον.

Θεοτοκίον

Υπέρ νούν τόν άχρονον, υπέρ λόγον τόν Δημιουργον, Παναγία τέτοκας λυτρούμενον, πάσης φθοράς, τούς Θεοτόκον υμνούντάς σε.

Ο Ειρμός

«Μαινομένην κλύδωνι, ψυχοφθόρω Δέσποτα Χριστέ, τών παθών τήν

θάλασσαν κατεύνασον, καί εκ φθοράς, ανάγαγέ με ως εύσπλαγχνος».

Κοντάκιον Ήχος β'
Τά άνω ζητών

Τής άνω ζωής, τυχείν επιποθήσασα, τήν κάτω τρυφήν, σπουδαίως καταλέλοιπας, καί σαυτήν ανέμιξας, αναμέσον ανδρών παναοίδιμε, διά Χριστόν γάρ τόν νυμφίον σου, μνηστήρος προσκαίρου κατεφρόνησας.

Ο Οίκος

Εν ευφροσύνη καί θυμηδία, τάς ψυχάς ευφρανθέντες, αναστώμεν σπουδή ακούσαι λόγον παράδοξον, υπερβαίνει γάρ έννοιαν πάσαν τό διήγημα τούτο καί καταπλήττει, ότι γυνή εν μέσω ανδρών καταμένουσα, ενίκησε τόν Βελίαρ, καί τό πύρ κατεπάτησε τών ηδονών, καί ουκ εφλέχθη τό σύνολον, τόν Χριστόν γάρ ποθούσα η άσπιλος, μνηστήρος προσκαίρου κατεφρόνησε.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΕ' τού αυτού μηνός, Μνήμη τής Οσίας Μητρός ημών Ευφροσύνης, θυγατρός Παφνουτίου τού Αιγυπτίου.

Στίχοι

- Τό θήλυ κρύπτεις ανδρικώς Ευφροσύνη,
- Καί κρυπτά τόν βλέποντα Δεσπότην βλέπεις.
- Εικάδα Ευφροσύνη κατά πέμπτην πότμον υπέστη.

Εις τόν Όσιον Παφνούτιον, τόν πατέρα αυτής.

Στίχοι

- Μύσας ο Παφνούτιος εν τώ σαρκίω,
- Τώ πνεύματι ζή, καί θεωρεί φώς μέγα.

Τή αυτή ημέρα, Μνημη τού Αγίου Μάρτυρος Παφνουτίου.

Στίχοι

- Σταυρούσι Παφνούτιον οι κόσμου φίλοι.
- Τόν παντί κόσμω καί πρίν εσταυρωμένον.

Τή αυτή ημέρα, η ανάμνησις τού μεγάλου σεισμού, εν ή τελείται η εν αέρι αρπαγή τού παιδός.

Στίχοι

- Αρθείς άνω παίς τό τρισύμνητον μέλος,
- καθώς νόες ψάλλουσιν, αγγέλλει κάτω.

Τή αυτή ημέρα, μνήμη τών Αγίων μαρτύρων Παύλου, Τάττης, καί τέκνων αυτών Σαβινιανού, Μαξίμου, Ρούφου καί Ευγενίου.

Στίχοι

- Πατήρ ο Παύλος μαρτυρεί σύν τοίς τέκνοις,
- Μεθ' ών σεαυτήν Τάττα τάττεις εμφρόνως.

Ταίς αυτών αγίαις, πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

## Ωδή ζ'

### Θεού συγκατάβασιν

Εχθρούς ματαιόφρονας, νηπιοφρόνως σε παροργίζοντας, καί δεινώς βλασφημούντας, προσθήκη νόθω τής τρισαγίας φωνής, διά νηπίου φωνής νύν διήλεγξας, επιστηρίξας πιστούς εν ξένοις τέρασι.

Θεώ προσανέθηκας τήν τής καρδίας πάσαν έφεσιν, αυτόν στέργουσα πίστει, αυτόν ζητούσα καί ανιχνεύουσα, τών προσταγμάτων αυτού τήν σωτήριον, νομοθεσίαν σεμνή, δι' ής εφεύρες ζωήν.

Νηστείαις δεήσεσι, σκληραγωγίαις καί χαμευνίαις σεμνή, εκλεπτύνασα σάρκα, τόν νούν ανύψωσας πρός τόν Κτίστην σου, ώ ενυμφεύθης, όν καί επόθησας, ού κατετρύφησας νύν τής ωραιότητος.

### Θεοτοκίον

Υπάρχουσα Δέσποινα, καθαρωτέρα πάσης τής Κτίσεως, υπεδέξω τόν Λόγον, εκ σού αρρήτως αποτικτόμενον, όν οι γενναίοι ποθήσαντες Μάρτυρες, τή τών βασάνων πυρά ενεκαρτέρησαν.

## Άλλος

### Ο υπερυψούμενος

Φώς σοι ανατέταλκε, καί η τούτου σύζυγος, ευφροσύνη Ένδοξε, ευθείαν γάρ έσχηκας, τήν γνώμην μελωδούσα, ο Θεός ευλογητός εί.

Ράβδον δυναμούσάν σε, τόν Σταυρόν κατέχουσα, δαιμόνων τά χάσματα, διέβης απήμαντος, Οσία μελωδούσα, ο Θεός ευλογητός εί.

Οίκον τήν καρδίαν σου, τού Αγίου Πνεύματος, Οσία ετέλεσας, τού ενισχύσαντος, καί δείξαντος πνευμάτων, πονηρών δυνατωτέραν.

### Θεοτοκίον

Σώμα περικείμενον, Θεόν τόν ασώματον, Πανάμωμε τέτοκας, ημάς εκλυτρούμενον, τούς φόβω μελωδούντας, ο Θεός ευλογητός εί.

## Ωδή η'

### Επταπλασίως κάμινον

Επί τώ πύργω πάλαι μέν, τής Χαλάνης συνέχεας, γλώσσας τών κακώς, ομονοούντων Κύριε, καί νύν εστηλίτευσας, τάς γλωσσαλγίας τών δυσσεβών, επί βλασφημία, συμφωνούντων αθέσμω, εν γλώσση ψελλιζούση, αιθερίου αρθέντος, νηπίου παραδόξως, εις θάμβος τών ορώντων.

Ασκητικοίς παλαίσμασι, τόν εχθρόν κατεπάτησας, καί ηγαλλιάσθης, αληθώς τώ πνεύματι, εντεύθεν αϊδιος, σέ ευφροσύνη πάνσεμνε, Κόρη υπεδέχθη, τά βραβεία τής νίκης, κατέχουσαν καί πίστει, τόν Σωτήρα βοώσαν, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Μέσον ανδρών κατώκησας, τήν αγνείαν φυλάττουσα, καί συντηρουμένη, μηχαναίς τού όφεως, απήμων ακράδαντος, τού Θεού σε σκεπάζοντος, καί διατηρούντος, τή οικεία δυνάμει, καί πάσι προδεικνύντος, τής ψυχής σου τήν αίγλην, καί γνώμην καί ανδρίαν, θεόφρον Ευφροσύνη.

Θεοτοκίον

Νέον ως βρέφος τέτοκας, τόν Πατρί καί τώ Πνεύματι, άχραντε Παρθένε, συμφυώς νοούμενον, Χριστόν τόν Θεόν ημών, όν οι γενναίοι Μάρτυρες, καθομολογούντες, Ιερώς εναθλούσι, μεθ' ών σε Παναγία, μακαρίζουσι πίστει, λαοί φυλαί καί γλώσσαι, εις πάντας τούς αιώνας.

Άλλος

Σοί τώ παντουργώ

Ύλην τών παθών, απετινάξω κόρη, Αγγέλων τόν άϋλον, βίον ζηλώσασα, οις περ συμμέλπεις, τόν κυριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Νέμει σοι ζωήν, ο τής ζωής ταμίας, αυτού γάρ τοίς ίχνεσιν, εξηκολούθησας, τούτου τό κάλλος, ποθήσασα τό θείον, ώ καί συνεφραίνη, εις πάντας τους αιώνας.

Ήρθης πρός μονάς, τάς αειζώους όντως, εφέσεως έτυχες, ής επεπόθησας, ξύλου Παρθένε, ζωής κατατρυφώσα, καί υπερυψούσα, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Όλη εκλεκτή, ωραϊσμένη όλη, Θεός ήν ηγίασεν, ήν εξελέξατο, ώφθης Παρθένε, αεί δεδοξασμένη, όθεν σε υμνούμεν, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Σοί τώ παντουργώ, εν τή καμίνω Παίδες, παγκόσμιον πλέξαντες, χορείαν έμελπον, Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ'

Εξέστη επί τούτω

Εξέστη επί ξένω καί φοβερώ, τεραστίω τώ νύν τελεσθέντι γή, καί ουρανός, ότι πρός αιθέριον αρπαγήν, από λαού θεόφρονος, τό νήπιον ήρθη τό τήν ωδήν, μεμυσταγωγημένον, τού Τρισαγίου μέλους, δι' ού αθάνατος υμνείται Θεος.

Εκσπάσας σε ιλύος βιωτικής, ο νυμφίος ο σός Ευφροσύνη σεμνή, εις τήν στερράν, πέτραν προσταγμάτων τών εαυτού, έστησε καί κατεύθυνε, σού τά διαβήματα προφανώς, εις πράξιν εναρέτου, καί σεμνής πολιτείας, καί κατεσκήνωσεν εις θείας αυλάς.

Ασκήσεως τόν δρόμον τόν ευκλεή, διανύσασα σθένει τού Πνεύματος, καί σεαυτήν, τέμενος τελέσασα θεϊκόν, τήν ευφροσύνην είληφας, τήν διηνεκή τε καί καθαράν, τού κάλλους τού νυμφίου, αεί κατατρυφώσα, ώ Ευφροσύνη

παμμακάριστε.

Θεοτοκίον

Ως ήλιος η μνήμη τών αθλητών, τούς πιστούς Περιλάμπει τοίς θαύμασιν, ο γάρ εκ σού, άχραντε Παρθένε τεχθείς Θεός, όν ευσεβώς εκήρυξαν, τούτοις κατελάμπρυνεν εμφανώς, δοξάζων τούς εν πίστει, αυτού τήν παρουσίαν, τετιμηκότας ως υπέσχετο.

Άλλος

Ησαΐα χόρευε

Ιεράν πανήγυριν, μοναζόντων δήμος συγκροτεί, τήν μνήμην σου εκτελών τήν θεολαμπή, χορός επαγάλλεται, μοναζουσών, ώφθης γάρ σεμνή, πάντων αγλάϊσμα, Ευφροσύνη αξιάγαστε.

Ως σεπτόν ανάθημα, ουρανίου γέγονας ναού, ως κρίνον εν ταίς αυλαίς, ήνθησας Θεού, ως ρόδον ηδύπνοον, προσηνέχθης τώ Παμβασιλεί, μύρον ως τίμιον, Ευφροσύνη παμμακάριστε.

Σεαυτήν εφαίδρυνας, αρετών σου κόσμω φωτεινώ, καί ήχθης πρός νοητόν θάλαμον αγνή, καί νύν τό αμήχανον, κατανοείς, κάλλος τού Χριστού, καί τής Θεώσεως, απολαύεις τελεώτερον.

Η αγία μνήμη σου, αγιάζει σήμερον πιστούς, πηγάζουσα φωτισμόν αγιαστικόν, εν ή δυσωπούμέν σε, ως εκλεκτήν νύμφην τού Χριστού, σώζε πρεσβείαις σου, Ευφροσύνη τούς τιμώντάς σε.

Θεοτοκίον

Φωτί τού προσώπου σου, τόν εν σκότει κείμενον παθών, καταύγασον τού φωτός, πύλη νοητή, μή νύξ καταλάβη με, τού θανάτου άχραντε Αγνή, τής σωτηρίας μου, τάς ελπίδας ανακόπτουσα.

Ο Ειρμός

«Ησαΐα χόρευε, η Παρθένος έσχεν εν γαστρί, καί έτεκεν υιόν τόν Εμμανουήλ, Θεόν τε καί άνθρωπον, ανατολή όνομα αυτώ, όν μεγαλύνοντες, τήν Παρθένον μακαρίζομεν».

Εξαποστειλάριον

Εν πνεύματι τώ Ιερώ

Τόν άρχοντα διέλαθες, τής αισχύνης καί τούτον, εν φιλοσόφω σχήματι, εναπέδειξας άνουν, παρθένος ούσα τήν ψυχήν, καί το σώμα γέγονας, ανήρ φρονήσει καί πίστει, Ευφροσύνη Οσία, τών παρθένων καλλονή, μοναζουσών ωραιότης.

Θεοτοκίον

Θρόνοι καί Κυριότητες, Εξουσίαι Δυνάμεις,, Αρχάγγελοι καί Άγγελοι, Μητροπάρθενε Κόρη, τώ σώ Υιώ λατρεύουσιν, ως Θεώ καί Δεσπότη, καί σέ απαύστως υμνούσι, τούτον αεί ικέτευε, λυτρωθήναί με αγνή, τής φοβεράς καταδίκης.

Καί η λοιπή Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Η Μετάστασις τού Αγίου, ενδόξου καί πανευφήμου Αποστόλου καί θεολόγου, Ιωάννου τού Ευαγγελιστού.

Ει βουλει, ποίησον Αγρυπνίαν, εν ή

ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους γ' καί ψάλλομεν τά παρόντα Προσόμοια.

Ήχος β'
Ότε, εκ τού ξύλου σε νεκρόν

Δεύτε, τής σοφίας τόν βυθόν, καί τών ορθοδόξων δογμάτων, τόν συγγραφέα πιστοί, ύμνοις στεφανώσωμεν, ενθέοις σήμερον, Ιωάννην τόν ένδοξον, καί ηγαπημένον, ούτος γάρ εβρόντησεν, Ο Λόγος ήν εν αρχή, όθεν βροντοφώνος εδείχθη, ως τό Ευαγγέλιον κόσμω, γράψας πολυσόφως ο αοίδιμος. Δίς

Όντως, σύ εφάνης αληθώς, επιστήθιος μέγας, τώ Διδασκάλω Χριστώ, στήθει γάρ ενέπεσας, όθεν εξήντλησας, τής σοφίας τά δόγματα, εν οίς καί πλουτίζεις, πάσαν τήν περίγειον, ως θεηγόρος Θεού, όθεν καί κατέχουσα ταύτα, η τερπνή τού Χριστού Εκκλησία, νύν ευφραινομένη επαγάλλεται.

Χαίροις, θεολόγε αληθώς, χαίροις τής Μητρός τού Κυρίου, υιέ παμπόθητε, σύ γάρ παριστάμενος, εν Σταυρώ τού Χριστού, τής ενθέου ακήκοας, φωνής τού Δεσπότου, Ίδε νύν η μήτηρ σου, πρός σέ βοήσαντος, όθεν, επαξίως σε πάντες, ως Χριστού Απόστολον μέγαν, καί ηγαπημένον μακαρίζομεν.

Δόξα... Ήχος β'

Θεολόγε Παρθένε, Μαθητά ηγαπημένε τού Σωτήρος, ταίς ικεσίαις σου ημάς περίσωζε δεόμεθα, από βλάβης παντοίας, ότι σού εσμεν ποίμνιον.

Καί νύν... Θεοτοκίον

Ώ σεί ελαία κατάκαρπος, η Παρθένος εβλάστησε, σέ τόν καρπόν τής ζωής, καρποφορούντα κόσμω, τό μέγα καί πλούσιον έλεος.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος πλ. β'
Τριήμερος ανέστης Χριστέ

Τήν μνήμην τού σεπτού Μαθητού, Χριστού τού Βασιλέως ημών, επαξίως, ανυμνήσωμεν πιστοί, αυτός γάρ τής Τριάδος, τήν γνώσιν αριδήλως, πάσι τοίς έθνεσιν εκήρυξεν.

Στίχ. Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών.

Τήν ζάλην μετεποίησε, τής πλάνης τών ειδώλων πρίν, εις γαλήνην, ο Απόστολος Χριστού, τόν κόσμον οδηγήσας, εν πίστει ορθοδόξω, καί νύν πρεσβεύει υπέρ πάντων ημών.

Στίχ. Οι ουρανοί διηγούνται δόξαν Θεού ποίησιν δέ χειρών αυτού αναγγέλλει τό στερέωμα.

Μέγιστον αντιλήπτορα, Χριστέ τόν σόν Απόστολον, εδωρήσω, Εφεσίοις τόν σόφον, καί θείον θεολόγον, όν καί νύν ευφημούμεν, ως οικιστήν καί πολιούχον αυτής.

Δοξα... Καί νύν... όμοιον

Τριάς απειροδύναμε, Μονάς η τρισυπόστατος, ταίς πρεσβείαις, θεολόγου τού σεπτού, καί τής αειπαρθένου, καί μόνης Θεοτόκου, σώσον ημάς τούς ανυμνούντάς σε.

Απολυτίκιον  Ήχος β'

Απόστολε, Χριστώ τώ Θεώ ηγαπημένε, επιτάχυνον, ρύσαι λαόν αναπολόγητον, δέχεταί σε προσπίπτοντα, ο επιπεσόντα τώ στήθει καταδεξάμενος, όν ικέτευε θεολόγε, καί επίμονον νέφος εθνών διασκεδάσαι, αιτούμενος ημίν ειρήνην, καί τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Πάντα υπέρ έννοιαν, πάντα υπερένδοξα, τά σά Θεοτόκε μυστήρια, τή αγνεία εσφραγισμένη, καί παρθενία φυλαττομένη, μήτηρ εγνώσθης αψευδής, Θεόν τεκούσα αληθινόν, αυτόν ικέτευε, σωθήναι τάς ψυχάς ημών.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετά τόν Προοιμιακόν, τήν α' στάσιν τού Μακάριος ανήρ, Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν τά παρόντα Προσόμοια γ', ά καί δευτερούμεν.

Ήχος α'

Τών ουρανίων ταγμάτων

Ο θεατής τών αρρήτων αποκαλύψεων, καί ερμηνεύς τών άνω, τού Θεού μυστηρίων, ο παίς τού Ζεβεδαίου, γράψας ημίν, τό Χριστού Ευαγγέλιον, θεολογείν τόν Πατέρα καί τόν Υιόν, καί τό Πνεύμα εξεπαίδευσεν. (Δίς)

Η θεοκίνητος λύρα, τών ουρανίων ωδών, ο μυστογράφος ούτος, τό θεόπνευστον στόμα, τό άσμα τών ασμάτων, άδει τερπνώς, τά μέν χείλη κινών ως νευράς, ως περ δέ πλήκτρον τήν γλώτταν ανακινών, καί πρεσβεύει τού σωθήναι ημάς. (Δίς)

Τή βροντοφώνω σου γλώττη αναφθεγγόμενος, τής τού Θεού σοφίας, τόν απόκρυφον λόγον, Θεώ ηγαπημένε, κράζεις αεί, αναπτύσσων τά χείλη πυκνώς, τό, Εν αρχή ήν ο Λόγος, καί δαδουχείς, πάντα άνθρωπον πρός γνώσιν Θεού. (Δίς)

Δόξα... Ήχος β'
Γερμανού
Οι δέ Βυζαντίου

Τόν υιόν τής βροντής, τόν θεμέλιον τών θείων λόγων, τόν αρχηγόν τής θεολογίας, καί κήρυκα πρώτιστον, τής αληθούς δογμάτων Θεού σοφίας, τόν ηγαπημένον Ιωάννην καί Παρθένον, μερόπων γένος κατά χρέος ευφημήσωμεν, ούτος γάρ, άληκτον έχων τό θείον εν εαυτώ, τό, Εν αρχή μέν έφησεν ο Λόγος, αύθίς τε τό πρός τόν Πατέρα αχώριστον, καί τό ίσον μετά ταύτα, τής τού Πατρός ουσίας, δεικνύων ημίν δι' αυτού, τήν ορθοδοξίαν τής Αγίας Τριάδος, δημιουργόν τε όντα σύν τώ Πατρί, καί ζωήν φέροντα, καί φώς αληθινόν, τόν αυτόν έδειξεν ημίν, Ώ θαύματος εκστατικού καί πράγματος εκπληκτικού! ότι πλήρης ών τής αγάπης, πλήρης γέγονε καί τής θεολογίας, δόξη καί τιμή καί πίστει, θέμεθλος υπάρχων, τής ακραιφνούς ημών πίστεως, δι' ής τύχοιμεν τών αιωνίων αγαθών, εν τή ημέρα τής κρίσεως.

Καί νύν... Θεοτοκίον  ο αυτός

Παρήλθεν η σκιά τού νόμου, τής χάριτος ελθούσης, ως γάρ η βάτος ουκ εκαίετο καταφλεγομένη, ούτω παρθένος έτεκες, καί παρθένος έμεινας, αντί στύλου πυρός, δικαιοσύνης ανέτειλεν ήλιος, αντί Μωϋσέως Χριστός, η σωτηρία τών ψυχών ημών.

Είσοδος, τό Φώς ιλαρόν, τό Προκείμενον τής ημέρας, καί τά αναγνώσματα.

Καθολικής Α' Επιστολής, Ιωάννου
(Κεφ. 3, 21-24 & 4, 1-6)

Αγαπητοί, εάν η καρδία ημών μή καταγινώσκη ημών, παρρησίαν έχομεν πρός τόν Θεόν, καί ο εάν αιτώμεν, λαμβάνομεν παρ' αυτού, ότι τάς εντολάς αυτού τηρούμεν, καί τά αρεστά ενώπιον αυτού ποιούμεν. Καί αύτη εστίν η εντολή αυτού, ίνα πιστεύωμεν τώ ονόματι τού Υιού αυτού Ιησού Χριστού, καί αγαπώμεν αλλήλους, καθώς έδωκεν ημίν εντολήν, καί ο τηρών τάς εντολάς αυτού, εν αυτώ μένει, καί αυτός εν αυτώ καί εν τούτω γινώσκομεν, ότι μένει εν ημίν, εκ τού Πνεύματος ού έδωκεν ημίν. Αγαπητοί, μή παντί πνεύματι πιστεύετε, αλλά δοκιμάζετε τά πνεύματα, εί εκ τού Θεού εστιν, ότι πολλοί ψευδοπροφήται εξεληλύθασιν εις τόν κόσμον. Εν τούτω γινώσκετε τό Πνεύμα τού Θεού. Πάν πνεύμα, ο ομολογεί Ιησούν Χριστόν εν σαρκί εληλυθότα, εκ τού Θεού εστικαί πάν πνεύμα, ο μή ομολογεί Ιησούν Χριστόν εν σαρκί εληλυθότα, εκ τού Θεού ουκ έστι, καί τούτό εστι τό τού Αντιχρίστου, ο ακηκόατε, ότι έρχεται, καί νύν εν τώ κόσμω εστίν ήδη. Υμείς εκ τού Θεού εστε, τεκνία, καί νενικήκατε αυτούς, ότι μείζων εστίν ο εν υμίν, ή ο εν τώ κόσμω. Αυτοί εκ τού κόσμου εισί, διά τούτο εκ τού κόσμου λαλούσι, καί ο κόσμος αυτών ακούει. Ημείς εκ τού Θεού εσμεν, ο γινώσκων τόν Θεόν, ακούει ημών,

ός ουκ έστιν εκ τού Θεού, ουκ ακούει ημών.

Καθολικής Α' Επιστολής Ιωάννου

(Κεφ. 4, 1-16)

Αγαπητοί, ει ούτως ο Θεός ηγάπησεν ημάς, καί ημείς οφείλομεν αλλήλους αγαπάν, Θεόν ουδείς πώποτε τεθέαται, εάν αγαπώμεν αλλήλους, ο Θεός εν ημίν μένει, καί η αγάπη αυτού τετελειωμένη εστίν εν ημίν. Εν τούτω γινώσκομεν, ότι εν αυτώ μένομεν, καί αυτός εν ημίν, ότι εκ τού Πνεύματος αυτού δέδωκεν ημίν. Καί ημείς τεθεάμεθα καί μαρτυρούμεν, ότι ο Πατήρ απέσταλκε τόν Υιόν σωτήρα τού κόσμου. Ός άν ομολογήση, ότι Ιησούς εστιν ο Υιός τού Θεού, ο Θεός εν αυτώ μένει, καί αυτός εν τώ Θεώ. Καί ημείς εγνώκαμεν καί πεπιστεύκαμεν τήν αγάπην, ήν έχει ο Θεός εν ημίν. Ο Θεός αγάπη εστί, καί ο μένων εν τή αγάπη, εν τώ Θεώ μένει καί ο Θεός εν αυτώ.

Καθολικής Α' Επιστολής Ιωάννου

(Κεφ. 4, 20-21 & 5, 1-5)

Αγαπητοί, εάν τις είπη. Ότι αγαπώ τόν Θεόν καί τόν αδελφόν αυτού μισή, ψεύστης εστί, ο γάρ μή αγαπών τόν αδελφόν αυτού, όν εώρακε, τόν Θεόν, ουχ εώρακε, πώς δύναται αγαπάν. Καί ταύτην τήν εντολήν έχομεν απ' αυτού, ίνα ο αγαπών τόν Θεόν, αγαπά καί τόν αδελφόν αυτού. Πάς ο πιστεύων, ότι Ιησούς εστιν ο Χριστός, εκ τού Θεού γεγέννηται, καί πάς ο αγαπών τόν γεννήσαντα αγαπά καί τόν γεγεννημένον εξ αυτού. Εν τούτω γινώσκομεν, ότι αγαπώμεν τά τέκνα τού Θεού, όταν τόν Θεόν αγαπώμεν, καί τάς εντολάς αυτού τηρώμεν. Αύτη γάρ εστιν η αγάπη τού Θεού, ίνα τάς εντολάς αυτού τηρώμεν, καί αι εντολαί αυτού βαρείαι ουκ εισίν, ότι πάν τό γεγεννημένον εκ τού Θεού νικά τόν κόσμον. Καί αύτη εστίν η νίκη, η νικήσασα τόν κόσμον, η πίστις ημών. Τίς εστιν ο νικών τόν κόσμον, ειμή ο πιστεύων, ότι Ιησούς εστίν ο Υιός τού Θεού.

Εις τήν Λιτήν Στιχηρά Ιδιομελα.

Ήχος α'  Γερμανού

Ποταμοί θεολογίας εκ τού τιμίου σου στόματος ανέβλυσαν Απόστολε, εξ ών η Εκκλησία τού Θεού αρδευομένη, προσκυνεί ορθοδόξως Τριάδα ομοούσιον, ήν καί νύν αίτησαι, Ιωάννη θεολόγε, στηριχθήναι, καί σωθήναι τάς ψυχάς ημών.

Ο αυτός

Ανδρέου Πυρού

Τό φυτόν τής αγνείας, τό μύρον τής ευωδίας, πάλιν ανέτειλεν ημίν, εις τήν παρούσαν Εορτήν, βοήσαι πρός αυτόν, ο αναπεσών επί τό στήθος τό δεσποτικόν, καί επομβρήσας τώ κόσμω τόν λόγον, Ιωάννη Απόστολε, ο τήν Παρθένον φυλάξας ως κόρην οφθαλμού, αίτησαι ημίν παρά Χριστού τό μέγα έλεος.

Ο αυτός

Μαθητά τού Σωτήρος, Παρθένε καί θεολόγε, σοί ως Παρθλενω τήν Παρθένον καί Θεοτόκον παρέθετο, Χριστός ο Θεός σταυρούμενος, καί ταύτην εφύλαξας ως κόρην οφθαλμού, διό πρέσβευε σωθήναι τάς ψυχάς ημών.

Ο αυτός

Ως τών απορρήτων μυστηρίων αυτόπτης εκέκραγες βοών, τόν προαιώνιον Λόγον εν αρχή υπάρχειν πρός Θεόν, καί αυτόν είναι Θεον, Ιωάννη Απόστολε, επιστήθιε Χριστού, καί φίλε γνήσιε, τής Τριάδος τό ήδυσμα, Εφέσου καί τής πάτμου, τό στήριγμα τό άσειστον, ημών δέ βοήθεια, Πρέσβευε θεολόγε παμμακάριστε, εκ δυσσεβών εχθρών, αισθητών καί νοητών, λυτρωθήναι λαόν τόν τήν μνήμην σου, αεί εκτελούντα πιστώς.

Ήχος β' Θεοφάνους

Τήν τών Αποστόλων ακρότητα, τής θεολογίας τήν σάλπιγγα, τόν πνευματικόν στρατηγόν, τόν τήν οικουμένην Θεώ καθυποτάξαντα, δεύτε οι πιστοί μακαρίσωμεν, Ιωάννην τόν αοίδιμον, εκ γής μεθιστάμενον, καί γής ουκ αφιστάμενον, αλλά ζώντα καί μένοντα, τήν φοβεράν τού Δεσπότου δευτέραν έλευσιν, ήν ακατακρίτως υπαντήσαι ημάς αίτησαι, φίλε μυστικέ, Χριστού επιστήθιε, τούς εκ πόθου εκτελούντας τήν μνήμην σου.

Δόξα... Ήχος δ'
Βυζαντίου

Αναπεσών εν τώ στήθει τού Διδασκάλου Χριστού, εν τώ δείπνω Κυρίου, ηγαπημένε Μαθητά, εκείθεν έγνως τά άρρητα, καί τήν ουράνιον πάσιν εβρόντησας φωνήν, Εν αρχή ήν ο Λόγος, καί ο Λόγος ήν πρός τόν Θεόν, καί Θεός ήν ο Λόγος, τό φώς τό αληθινόν, τό φωτίζον πάντα άνθρωπον, εις τόν κόσμον ερχόμενον, Χριστός ο Θεός, καί Σωτήρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

Ο σύν Πατρί καί Πνεύματι δοξολογούμενος Υιός, εν υψίστοις υπό τών Χερουβίμ, τόν πρωτόπλαστον αναπλάσαι βουλόμενος, όλον εαυτόν εκένωσεν αφράστως εν μήτρα, σου, Θεοτόκε πανύμνητε, καί εκ σού ανατείλας, εφώτισε πάντα τόν κόσμον θεότητι, ρυσάμενος ειδωλομανίας, καί εν εαυτώ Θεώσας εις ουρανούς συνανήγαγε τό ανθρώπινον, Χριστός ο Θεός, καί Σωτήρ τών ψυχών ημών.

Εις τόν Στίχον, Στιχηρά Προσομοια.

Ήχος δ'
Ο εξ υψίστου κληθείς

Τόν τού Υψίστου Υιόν θεολογήσας, Πατρί συναΐδιον καί ομοούσιον, φώς εκ φωτός απαράλλακτον, καί χαρακτήρα, τής υποστάσεως τού γεννήτορος, αχρόνως εκλάμψαντα, καί απαθώς εξ αυτού, Δημιουργόν τε καί Κύριον, πάντων αιώνων, Ηγαπημένε σύ ανεκήρυξας, τούτον τώ κόσμω, τόν εξάγοντα, φώς εκ σκότους Χριστόν τόν Θεόν ημών, όν ικέτευε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

Στίχ. Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών.

Τού Παρακλήτου τό φώς εισδεδεγμένος, ώ καί φωτιζόμενος εθεολόγησας, εκ τού Πατρός προερχόμενον, διά Υιού δέ, τή ανθρωπότητι φανερούμενον,

ομότιμον σύνθρονον καί ομοούσιον, όν τώ Πατρί τώ ανάρχω τε, καί θείω Λόγω, Ηγαπημένε πάσιν εκήρυξας, όθεν εν ύμνοις, σέ γεραίρομεν, ως τής πίστεως θείον θεμέλιον, ήν ασάλευτον τήρει, ταίς πρός Κύριον πρεσβείαις σου.

Στίχ. Οι ουρανοί διηγούνται δόξαν Θεού ποίησιν δέ χειρών αυτού αναγγέλλει τό στερέωμα.

Τής υψηλής επιβάς θεολογίας, εμυήθης άρρητα Θεού μυστήρια, μίαν ουσίαν θεότητος, καί μίαν δόξαν, καί βασιλείαν καί κυριότητα, τρισίν υποστάσεσι, διαιρουμένην αυτήν, ουσιωδώς αδιαίρετον, καί ενουμένην, εν ασυγχύτω θεία ενότητι, ούτω δοξάζων ανεκήρυξας, θεολόγε Τριάδα αχώριστον, ήν ικέτευε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

Δόξα... Ήχος πλ. β'

Ιωάννου Μοναχού

Απόστολε Χριστού, Ευαγγελιστά θεολόγε, τών απορρήτων μύστης γενόμενος, τής σοφίας τά απόρρητα, ημίν εβρόντησας δόγματα, τό, Εν αρχή ήν τρανώσας τοίς πιστοίς, καί τό, Ουκ ήν αποβαλών, τών αιρετιζόντων απεκρούσω τούς λόγους, επιστήθιος φανείς καί φίλος ηγαπημένος, ως Ησαϊας ο μεγαλοφωνότατος, καί Μωσής ο θεόπτης, Παρρησίαν έχων πρός Θεόν, εκτενώς ικέτευε υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

Ο ποιητής καί λυτρωτής μου Πάναγνε, Χριστός ο Κύριος, εκ τής σής νηδύος προελθών, εμέ ενδυσάμενος, τής πρώην κατάρας τον Αδάμ ηλευθέρωσε, διό σοι άπαντες, ως τού Θεού Μητρί τε, καί Παρθένω αληθώς, βοώμεν ασιγήτως, τό Χαίρε τού Αγγέλου, Χαίρε Δέσποινα, προστασία καί σκέπη, καί σωτηρία τών ψυχών ημών.

Απολυτίκιον Ήχος β'

Απόστολε, Χριστώ τώ Θεώ ηγαπημένε, επιτάχυνον, ρύσαι λαόν αναπολόγητον, δέχεταί σε προσπίπτοντα, ο επιπεσόντα τώ στήθει καταδεξάμενος, όν ικέτευε θεολόγε, καί επίμονον νέφος εθνών διασκεδάσαι, αιτούμενος ημίν ειρήνην, καί τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Πάντα υπέρ έννοιαν, πάντα υπερένδοξα, τά σά Θεοτόκε μυστήρια, τή αγνεία εσφραγισμένη, καί παρθενία φυλαττομένη, μήτηρ εγνώσθης αψευδής, Θεόν τεκούσα αληθινόν, αυτόν ικέτευε, σωθήναι τάς ψυχάς ημών.

Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Σύ υιός επεκλήθης θείας βροντής, ως τά ώτα κωφεύσας τών δυσσεβών, καί σάλπιγγος ηδύτερον, διηχήσας ώ πάνσοφε, εις ευθείας καρδίας τού Λόγου τήν σάρκωσιν, καί ως γνήσιος φίλος, τώ στήθει ανέπεσας, όθεν εξαντλήσας, τό τής γνώσεως βάθος, τοίς πάσιν εκήρυξας, τού Πατρός τόν συνάναρχον, Ιωάννη Απόστολε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Θεοτοκίον

Τήν Σοφίαν καί Λόγον εν σή γαστρί, συλλαβούσα αφράστως Μήτερ Θεού, τώ κόσμω εκύησας, τόν κόσμον κατέχοντα, καί εν αγκάλαις έσχες, τόν πάντα συνέχοντα, τόν τροφοδότην πάντων, καί πλάστην τής φύσεως, όθεν δυσωπώ σε, Παναγία Παρθένε, ρυσθήναι πταισμάτων μου, όταν μέλλω παρίστασθαι, πρό προσώπου τού Κτίστου μου, Δέσποινα Παρθένε αγνή, τήν σήν βοήθειαν τότε μοι δώρησαι, καί γάρ δύνασαι, δσα θέλεις πανύμνητε.

Μετά τήν β' Στιχολογίαν

Κάθισμα  όμοιον

Τόν βυθόν τής αλείας καταλιπών, τού Σταυρού τώ καλάμω πάντα σαφώς, τά έθνη εζώγρησας, ως ιχθύας Πανεύφημε, καί γάρ καθώς σοι έφη, Χριστός αναδέδειξαι, αλιεύς ανθρώπων, ζωγρών πρός ευσέβειαν, όθεν κατασπείρας, Θεού Λόγου τήν γνώσιν, τήν Πάτμον καί τήν Έφεσον, εκαρπώσω τοίς λόγοις σου, θεολόγε Απόστολε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Θεοτοκίον

Ενθυμούμαι τήν κρίσιν καί δειλιώ, έργα πράξας αισχύνης ο ταπεινός, άξια καί δέομαι, Θεοτόκε πανύμνητε, Πρίν ή νύξ με φθάση, θανάτου επίστρεψον, πρός τήν τής μετανοίας, οδόν οδηγούσά με, ίνα ευχαρίστως, προσκυνών ανυμνώ σου, τήν άμετρον δύναμιν, καί τήν θείαν αντίληψιν, Παναγία Θεόνυμφε, πρεσβεύουσα Χριστώ τώ Θεώ, υπέρ ού αιτούμαί σε, δοθήναί μοι, ιλασμόν αμαρτιών, καί τό μέγα έλεος.

Μετά τόν Πολυέλεον

Κάθισμα  Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Αναπεσών εν τώ στήθει τού Ιησού, παρρησίας τυγχάνων ως μαθητής, ηρώτησας, Τίς εστιν, ο προδότης σου Κύριε; καί ως ηγαπημένω, υπάρχοντι ένδοξε, διά τού άρτου ούτος, σαφώς υπεδείχθη σοι, Όθεν καί ως μύστης, γεγονώς τών αρρήτων, τού Λόγου τήν σάρκωσιν, εκδιδάσκεις τά πέρατα, θεολόγε Απόστολε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Θεοτοκίον

Παναγία Παρθένε Μήτηρ Θεού, τής ψυχής μου τά πάθη τά χαλεπά, θεράπευσον δέομαι, καί συγγνώμην παράσχου μοι, τών εμών πταισμάτων,

αφρόνως ών έπραξα, τήν ψυχήν καί τό σώμα, μολύνας ο άθλιος, Οίμοι! τί ποιήσω, εν εκείνη τή ώρα, ηνίκα οι Άγγελοι, τήν ψυχήν μου χωρίζουσιν, εκ τού αθλίου μου σώματος; τότε Δέσποινα, βοήθειά μοι γενού, καί προστάτις θερμότατος, σέ γάρ έχω ελπίδα ο δούλός σου.

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί Αντίφωνον Α'

- Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.
- Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον Ήχος δ'

Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών.
Στίχ. Οι ουρανοί διηγούνται δόξαν Θεού ποίησιν δέ χειρών αυτού αναγγέλλει τό στερέωμα.

Πάσα πνοή. Ευαγγέλιον Εωθινόν ΙΑ'

Ο Ν'

Δόξα... Ταίς τού Αποστόλου...
Καί νύν... Ταίς τής Θεοτόκου...

Ιδιόμελον Ήχος β'

Θεολόγε Παρθένε, Μαθητά ηγαπημένε τού Σωτήρος, ταίς ικεσίαις σου ημάς, περίσωζε δεόμεθα, από βλάβης παντοίας, ότι σού εσμεν ποίμνιον.

Οι Κανόνες τής Θεοτόκου, καί τού Αποστόλου οι δύο.

Κανών τής Θεοτόκου, ού η Ακροστιχίς.

Αλφάβητος αντιστρόφως. Θεοφάνους.

Ωδή α' Ήχος β'
Ο Ειρμός

«Εν βυθώ κατέστρωσε ποτέ, τήν Φαραωνίτιδα, πανστρατιάν η υπέροπλος δύναμις, σαρκωθείς ο Λόγος δέ, τήν παμμόχθηρον αμαρτίαν εξήλειψεν, ο δεδοξασμένος Κύριος, ενδόξως γάρ δεδόξασται».

Ως ωραίαν ως περικαλή, όλην ως αμώμητον, εν γυναιξί Θεός σε εκλεξάμενος, σού τήν μήτραν ώκησε, τήν αμώμητον, όν δυσώπει Πανάμωμε, μώμου εγκλημάτων, άπαντας ρυσθήναι τούς υμνούντάς σε.

Ψαλμικώς Αγνή εκ δεξιών, οίά περ Βασίλισσα, τού εκ τής σής νηδύος αναλάμψαντος, Βασιλέως έστηκας, όν ικέτευε, δεξιόν παραστάτην με, δείξαι εν ημέρα, τής ανταποδόσεως Θεόνυμφε.

Χερσωθείσαν φύσιν τών βροτών, πάσιν ατοπήμασι, τόν υετόν τεκούσα τόν ουράνιον, όλην ανεκαίνισας, αλλά δέομαι, τής ψυχής μου τήν αύλακα, αποχερσωθείσαν, δείξον καρποφόρον Θεονύμφευτε.

Κανών τού Αγίου, ού η Ακροστιχίς.

Βροντής τόν υιόν χριστοτερπώς
Θεοφάνους.

Ωδή α' Ήχος β'
Εν βυθώ κατέστρωσε ποτέ

Βασιλείαν τήν τών ουρανών, Μάκαρ ήν εκήρυξας, απολαβων καί τώ Λόγω συνόμιλος, γεγονώς ουράνιος, τούς πιστεύοντας τώ σεπτώ σου κηρύγματι, καί θεολογία, ταίς σαίς ικεσίαις διαφύλαξον.

Ρωμαλέον φρόνημα δεικνύς, πάντων κατεφρόνησας, τών επί γής καί δεσμών τών τής φύσεως, καί τώ Λόγω Πάνσοφε, λογικώς τε καί νουνεχώς συγγινόμενος, εκ τής αλογίας, τούς αλογωθέντας ηλευθέρωσας.

Ουρανίων γνώσιν ειληφώς, θεολογικώτατα, τόν τού Θεού Θεόν Λόγον εκήρυξας, Εν αρχή ο Λόγος ήν, καί ο Λόγος ήν πρός τόν αυτού Γεννήτορα, καί Θεός ο Λόγος, ευαγγελιζόμενος θεόσοφε.

Θεοτοκίον

Νεανίδων θείων ο χορός, ενθεαστικώτατα, εν γυναιξί σε καλήν ασματίζουσι, Θεοτόκε Δέσποινα, καλλοναίς ωραϊζομένην θεότητος, τόν καλλοποιόν γάρ, Λόγον υπέρ λόγον απεκύησας.

Έτερος Κανών, τού Αγίου, ού η Ακροστιχίς.

Έκτην δέησιν τώ Θεού Μύστη φέρω. ο Ιωσήφ.

Ωδή α' Ήχος πλ. β'
Ως εν ηπείρω πεζεύσας

Εις τά τού Πνεύματος βάθη τόν λογισμόν, ελλαμφθείς ενέκυψας, καί τήν γέννησιν ημίν, τήν φρικτήν ετράνωσας βοών, θεολόγε, Εν αρχή, ο Λόγος ήν τού Θεού.

Κατακαμπτόμενοι πλήθει τών πειρασμών, καί παθών καί θλίψεων, καί δεινών επαγωγαίς, πίστει καταφεύγομεν πρός σέ, θεολόγε, βοηθός, γενού τοίς δούλοις σου.

Τά τών ψυχών ημών πάθη τά χαλεπά, ιατρός ως άριστος, ιασάμενος σοφέ, αιωνίου λύτρωσαι ημάς, καταδίκης καί πυρός, τή μεσιτεία σου.

Θεοτοκίον

Η τόν Θεόν συλλαβούσα τόν δι' ημάς, γεγονότα άνθρωπον, τούτον αίτησαι Αγνή, εν ημέρα κρίσεως ημάς, οικτειρήσαι τούς πολλά, ημαρτηκότας αυτώ.

Καταβασία

Ανοίξω τό στομα μου, καί πληρωθήσεται Πνεύματος, καί λόγον ερεύξομαι, τή Βασιλίδι Μητρί, καί οφθήσομαι, φαιδρώς πανηγυρίζων, καί άσω γηθόμενος, ταύτης τά θαύματα.

Τής Θεοτόκου

Ωδή γ'  Ο Ειρμός

«Εξήνθησεν η έρημος, ωσεί κρίνον Κύριε, η τών εθνών στειρεύουσα, Εκκλησία τή παρουσία σου, εν ή εστερεώθη η καρδία μου».

Φορέσας με τόν άνθρωπον, εκ γαστρός σου πρόεισιν, ο Ποιητής Πανάμωμε, αφθαρσίας στολήν δωρούμενος, τοίς πολλοίς γυμνωθείσιν ατοπήμασιν.

Υπέρτιμον εκύησας, Θεόν Λόγον Δέσποινα, όν εκτενώς ικέτευε, οικτειρήσαι τήν ταπεινήν μου ψυχήν, ηδονών ατιμίαις, σκυθρωπάζουσαν.

Τά τραύματα θεράπευσον, τής ψυχής μου Άχραντε, τήν ταπεινήν καρδίαν μου, φαρμαχθείσαν ιώ τού όφεως, δραστικώ σου φαρμάκω περιποίησαι.

Τού Αγίου

Ο αυτός

Τριάδος εφανέρωσας, θεολόγω γλώττη σου, τό υπέρ νούν μυστήριον, Ιωάννη θεομακάριστε, εν ή εστερεώθη η καρδία μου.

Η γλώσσά σου γεγένηται, γραμματέως κάλαμος, τού Παναγίου Πνεύματος, θεογράφως υποσημαίνουσα, τό σεπτόν τε καί θείον Ευαγγέλιον.

Σοφίας σύ τήν άβυσσον, ανυμνήσω πάνσοφε, αναπεσών θεόφρονι, παρρησία τή τής σοφίας πηγή, καί ταύτης θεοκήρυξ εχρημάτισας.

Θεοτοκίον

Τήν μόνην παρθενεύουσαν, καί Μητέρα σέβομεν, ως σωτηρίας πρόξενον, γενομένην ημίν Πανάμωμε, καί κόσμον ρυομένην ταίς πρεσβείαις σου.

Άλλος

Ουκ έστιν άγιος ως σύ

Νοϊ λαμπρώ καί καθαρώ, ομιλήσας τώ Λόγω, θεολόγε τρισμάκαρ, εμυήθης παρ' αυτού, τά υπέρ λόγον σαφώς, καί τήν κτίσιν, πάσαν κατεφώτισας.

Δεσμών με ρύσαι χαλεπών, αμαρτίας Τρισμάκαρ, τή στοργή συνδεσμών με, τού Δεσπότου καί Θεού, όν αγαπήσας θερμώς, θεολόγος, τούτου εχρημάτισας.

Εδόθης πρόμαχος ημίν, καί μεσίτης καί ρύστης, καί πρός Κύριον πρέσβυς, καί θαυμάτων αυτουργος, καί ιαμάτων πηγή, θεολόγε, όθεν σε γεραίρομεν.

Θεοτοκίον

Η νίκα Λόγος ο εκ σού, σαρκωθείς απορρήτως, Θεοτόκε εν ξύλω, ανυψούτο τού Σταυρού, παρθενω τώ Μαθητή, ως παρθένον, Κόρην σε παρέθετο.

Καταβασία

Τούς σούς υμνολόγους Θεοτόκε, ως ζώσα καί άφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικόν στερέωσον, καί εν τή θεία δόξη σου, στεφάνων δόξης αξίωσον.

Κάθισμα  Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Τής σοφίας τώ στήθει αναπεσών, καί τήν γνώσιν τού Λόγου καταμαθών, ενθέως εβρόντησας, Εν αρχή ήν ο Λόγος, καλλιγραφήσας πρώτος, τήν άναρχον γέννησιν, καί καταγγείλας πάσι, τού Λόγου τήν σάρκωσιν, όθεν καί τή γλώττη, σαγηνεύσας τά έθνη, τήν χάριν τού Πνεύματος, εκδιδάσκεις τοίς πέρασι, θεολόγε Απόστολε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Θεοτοκίον

Ελεήμονα Λόγον καί συμπαθή, ως κυήσασα Δέσποινα τού παντός, ελέησον άπαντας, τούς εις σέ καταφεύγοντας, πειρασμών καί νόσων, καί πάσης κακώσεως, καί τής αιωνιζούσης φλογός ελευθέρωσον, όπως ευχαρίστως, τών πολλών οικτιρμών σου, τόν πλούτον δοξάζωμεν, καί τό άμετρον έλεος, καί βοώμέν σοι πάντοτε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς ανυμνούσιν αξίως, τόν τόκον σου Άχραντε.

Τής Θεοτόκου

Ωδή δ'  Ο Ειρμός

«Ελήλυθας, εκ Παρθένου ου πρέσβυς ουκ Άγγελος, αλλ' αυτός ο Κύριος, σεσαρκωμένος, καί έσωσας, όλον με τόν άνθρωπον, διό κραυγάζω σοι, Δόξα τή δυνάμει σου Κύριε».

Σταγόνα μοι, κατανύξεως όμβρησον Δέσποινα, εξαίρουσαν άπαντα, τον τής καρδίας μου καύσωνα, καί τής αθυμίας μου, τάς βλαβεράς επικλύσεις αναστέλλουσαν.

Ρομφαία με, ηδονής πληγωθέντα καί κείμενον, τραυματίαν Άχραντε, μή υπερίδης, αλλ' ίασαι, λόγχη καί τώ αίματι, τού σταυρωθέντος Υιού σου καί Θεού ημών.

Πλουτήσασα, δεσποτείαν απάσης τής κτίσεως, δεινώς με πτωχεύσαντα, χάριτος θείας αξίωσον, όπως μεγαλύνω σε, ως αγαθήν με προστάτιν Παναμώμητε.

Τού Αγίου

Ο αυτός

Ο Λόγος σε, θεολόγον αξίως ανέδειξε, τήν αυτού θεότητα, μυσταγωγήσας Πανάριστε, καί τήν κατά άνθρωπον, οικονομίαν διδάξας τήν απόρρητον.

Νούν ένθεον καί παρθένον τό σώμα κτησάμενος, ναός εχρημάτισας, ζών τε καί έμψυχος ένδοξε, καί κατοικητήριον, τής πανυμνήτου Τριάδος Ιερώτατε.

Υιότητι, τής αχράντου Παρθένου τετίμησαι, Παρθένε μακάριε, καί αδελφάς αναδέδειξαι, τού εκλεξαμένου σε, καί μαθητήν θεολόγον εκτελέσαντος.

Θεοτοκίον

Ιώμενος, τήν τής Εύας αρχαίαν παράβασιν, σέ τήν παναμώμητον, καί Παναγίαν κατώκησεν, όλον με τόν άνθρωπον, αναμορφώσας πεσόντα ο Υπέρθεος.

Άλλος

Χριστός μου δύναμις

Σταγόσιν ήρδευσας, τού Λόγου Ένδοξε, τήν υφήλιον πάσαν, τά θολερά, ασεβείας ύδατα, αποξηράνας ευσεβώς, διά τούτό σε γεραίρομεν.

Ισχύν περίζωσον, καί κράτος δέομαι, παρειμένην παντοίαις επιφοραίς, τήν ψυχήν μου Πάνσοφε, τών ακαθάρτων δυσμενών, προσφυγούσαν εν τή σκέπη σου.

Ναός γενόμενος, τού θείου Πνεύματος, τούς τώ θείω ναώ σου διηνεκώς, πίστει προσεδρεύοντας, ναούς ανάδειξον Θεού, θεολόγε μεσιτεία σου.

Θεοτοκίον

Τό θείον τέμενος, Θεού υμνήσωμεν, τήν Αγίαν Παρθένον περιφανώς, πάντες μακαρίσωμεν, οι θεωθέντες δι' αυτής, καί δεινών απολυτρούμενοι.

Καταβασία

Τήν ανεξιχνίαστον θείαν βουλήν, τής εκ τής Παρθένου σαρκώσεως, σού τού Υψίστου, ο Προφήτης, Αββακούμ, κατανοών εκραύγαζε. Δόξα τή δυνάμει σου Κύριε.

## Τής Θεοτόκου

## Ωδή ε'  Ο Ειρμός

«Μεσίτης Θεού, καί ανθρώπων γέγονας, Χριστέ ο Θεός, διά σού γάρ Δέσποτα, τήν πρός τόν αρχίφωτον Πατέρα σου, εκ νυκτός αγνωσίας, προσαγωγήν εσχήκαμεν».

Οδόν τής ζωής, η τεκούσα Άχραντε, οδήγησον, οδόν εις ευθείάν με, νύν εις ανοδίας τε καί βάραθρα, χαλεπών συμπτωμάτων, αλόγως κρημνιζόμενον.

Ξενώσας φρενί, εμαυτόν αγνώμονι Παρθένε Θεού, ασώτως εβίωσα, χώραν εις μακράν παθών πλανώμενος, αλλ' επίστρεψον σώσον, ταίς σαίς με παρακλήσεσι.

Ναμάτων τών σών, ζωηρύτων πότισον τόν δούλόν σου, φλογμώ συγκαιόμενον, τών αμαρτιών καί φλογιζόμενον, προσβολαίς τών δαιμόνων, Παρθενομήτορ άχραντε.

## Τού Αγίου

## Ο αυτός

Ουράνιος νούς, θεολόγε πέφηνας τή χάριτι, όλος φώς γενόμενος, τή πρός τόν αρχίφωτον εγγύτητι, καί συντόνω σου νεύσει, τή πρός αυτόν Θεούμενος.

Νοΐ καθαρώ, καί αγίοις χείλεσι θεόπνευστε, καί πανάγνω στόματι, τό σόν Ευαγγέλιον εκήρυξας, καί κοινήν σωτηρίαν, πάσι πιστοίς προτέθεικας.

Χριστώ συνοικών, από βρέφους όργανον τής χάριτος, υπ' αυτού προβέβλησαι, τήν θεολογίαν εξασκούμενος, καί Τριάδος τήν δόξαν, υπερφυώς μυούμενος.

## Θεοτοκίον

Ρημάτων τών σών, μεμνημένοι σέ νύν μακαρίζομεν, διά σού Πανάμωμε, τήν μακαριότητα τήν άφραστον, καί ζωήν τήν αγήρω, παναληθώς πλουτήσαντες.

## Άλλος

## Τώ θείω φέγγει σου αγαθέ

Ως όρθρος έλαμψας τοίς εν γή, τήν ανατολήν τήν νοητήν, ανακηρύττων Απόστολε, κόσμω μετά σώματος ενδημήσασαν, καί τής πολυθεΐας τό σκότος λύσασαν.

Θεολογίαις σου Ιεραίς, άπασαν κατήρδευσας ψυχήν, Ιεροκήρυξ, Απόστολε, όθεν σοι κραυγάζω, τήν χερσωθείσάν μου, καρδίαν αμαρτίαις, όλην κατάρδευσον.

Επλήγην βέλεσι τού εχθρού, όλον με υγίωσον Σοφέ, επιστασία σου δέομαι, καί πρός τάς οδούς με Θεού κατεύθυνον, αεί ταίς ανοδίαις αποπλανώμενον.

Θεοτοκίον

Ότε παρέστης σύν Μαθητή, τώ ηγαπημένω εν Σταυρώ, τού σού Υιού Παναμώμητε, έστενες δακρύουσα καί εθαύμαζες, αυτού τήν πρός ανθρώπους πολλήν συμπάθειαν.

Καταβασία

Εξέστη τά σύμπαντα, επί τή θεία δόξη σου, σύ γάρ απειρόγαμε Παρθένε, έσχες εν μήτρα, τόν επί πάντων Θεόν, καί τέτοκας άχρονον Υιόν, πάσι τοίς υμνούσί σε, σωτηρίαν βραβεύοντα.

Τής Θεοτόκου

Ωδή ς' Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, Εκ φθοράς ο Θεός με ανάγαγε».

Μή με δείξης δαιμόνων επίχαρμα, εν τώ κριτηρίω τώ μέλλοντι Δέποινα, αλλ' ευμενώς προσβλέψαι μοι, τόν Κριτήν καί Υιόν σου δυσώπησον.

Λογισμοίς παροργίζων σε Κύριε, καί ταίς πονηραίς καί αθέσμοις μου πράξεσιν, εις ιλασμόν προσάγω σοι, τήν Μητέρα σου, Οίκτειρον σώσόν με.

Κατακρίσεως ρύσαί με Δέσποινα, τόν αυτοκατάκριτον όντα τοίς πταίσμασιν, ως τόν Κριτήν κυήσασα, καί Θεόν τών απάντων πανύμνητε.

Τού Αγίου

Ο αυτός

Ιησούς ο Θεός μου καί Κύριος, σέ τής καθαρότητος αποδεξάμενος, καί παντελούς αγνότητος, αδελφόν θεολόγε προσήκατο.

Στεφανώσας αγίως τόν βίον σου, ούτω πεποιθώς τής σοφίας ανέπεσες, επί τό στήθος Ένδοξε, καί τήν χάριν εκείθεν ανείλκυσας.

Τά μεγάλα καί θεία πυρσεύματα, τής θεολογίας σου πάσαν εφώτισαν, τήν οικουμένην Ένδοξε, καί φωτί Τρισηλίω κατηύγασαν.

Θεοτοκίον

Ουρανόν ο τανύσας βουλήματι, ουρανόν επίγειον άλλον επλάτυνε, σέ Θεομήτορ άχραντε, καί εκ σού ανατείλας επέφανεν.

Άλλος

Τού βίου τήν θάλασσαν

Υπήρξεν ως κάλαμος, οξυγράφου αληθώς, η θεολόγος γλώττά σου,

καλλιγραφούσα γνώσιν αληθινήν, καί νόμον καινότατον, εν πλαξί θεολόγε καρδιών ημών.

Μαράνας προθέλυμνα, ασεβείας τά φυτά, ως γεωργός πανάριστος, εν τή ψυχή μου φόβον τόν τού Θεού, εμφύτευσον Ένδοξε, αρετών ευκαρπίαν αναθαλλοντα.

Υιόν τής Παρθένου σε, ο εκ ταύτης προελθών, περιφανώς ώνόμασε, μεθ' ής δυσώπει, θέσει πάντας υιούς, Θεού Παναοίδιμε, χρηματίσαι ποιούντας τά ευάρεστα.

Θεοτοκίον

Σαρκός ομοιώματι, εγνωρίσθη τοίς βροτοίς, Θεός εκ σού Πανάμωμε, όν εκδυσώπει πάντοτε τής σαρκός, ημών τά φρονήματα, Παναγία νεκρώσαι τά ολέθρια.

Καταβασία

Τήν θείαν ταύτην καί πάντιμον, τελούντες εορτήν οι θεόφρονες, τής Θεομήτορος, δεύτε τάς χείρας κροτήσωμεν, τόν εξ αυτής τεχθέντα Θεόν δοξάζοντες.

Κοντάκιον Ήχος β'

Τά μεγαλείά σου Παρθένε, τίς διηγήσεται; βρύεις γάρ θαύματα, καί πηγάζεις ιάματα, καί πρεσβεύεις υπέρ τών ψυχών ημών, ως θεολόγος καί φίλος Χριστού.

Ο Οίκος

Ύψη ουράνια εκμανθάνειν, καί θαλάσσης τά βάθη ερευνάν, τολμηρόν υπάρχει καί ακατάληπτον, ώσπερ ούν άστρα εξαριθμήσαι, καί παράλιον ψάμμον ουκ έστιν όλως, ούτως ούτε τά τού θεολόγου ειπείν ικανόν, τοσούτοις αυτόν στεφάνοις ο Χριστός, όν ηγάπησεν έστεψεν! ού τώ στήθει ανέπεσε, καί εν τώ μυστικώ δείπνω συνειστιάθη, ως θεολόγος καί φίλος Χριστού.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΣΤ' τού αυτού μηνός, η Μετάστασις τού Αγίου ενδόξου, καί Αποστόλου, καί Ευαγγελιστού, Φίλου, Επιστηθίου, Παρθένου, Ηγαπημένου, Ιωάννου τού θεολόγου.

Στίχοι

- Πατρός παρέστης ηγαπημένω Λόγω,
- Πάντων μαθητών Ηγαπημένε πλέον.
- Πρός γε Θεον μετέβη βροντής παίς εικάδι έκτη.

Ταίς αυτού αγίαις πρεσβείαις ο Θεός, ελέησον ημάς. Αμήν.

Τής Θεοτόκου

Ωδή ζ' Ο Ειρμός

«Αντίθεον πρόσταγμα, παρανομούντος τυράννου, μετάρσιον τήν φλόγα

ανερρίπισε, Χριστός δέ εφήπλωσε, θεοσεβέσι Παισί, δρόσον τήν τού Πνεύματος, ο ών ευλογημένος, καί υπερένδοξος».

Ισχύς μου καί ύμνησις καί σωτηρία, βεβαία αντίληψις, καί τείχος απροσμάχητον, υπάρχουσα Δέσποινα, τούς πολεμούντάς με, δαίμονας πολέμησον αεί, επιζητούντας τού θανατώσαί με.

Θεόν σωματώσασα παρθενικών σου, αιμάτων εθέωσας, Παρθένε τό ανθρώπινον, διό με τοίς πάθεσι καταρρυπούμενον, καί καταφθειρόμενον εχθρού, ταίς μεθοδείαις ρύσαι πρεσβείαις σου.

Η κάμινος γέννησιν προδιετύπου, τήν σήν Παναμώμητε, τούς Παίδας γάρ ουκ έφλεξεν, ως ουδέ τήν μήτραν σου τό πύρ τό άστεκτον, όθεν ικετεύω σε, πυρός τού αιωνίου ρύσαι τόν δούλον σου.

Τού Αγίου

Ο αυτός

Τή θεία λαμπόμενος φωτοχυσία, τό Πνεύμα τό Άγιον, τρανώς εθεολόγησας, τό εκπορευόμενον εκ τού ανάρχου Πατρός, καί αναπαυόμενον Υιώ, ανεκφοιτήτως ως ομοούσιον.

Εν σοί Μάκαρ έθετο δικαιοσύνης, ο ήλιος σκήνωμα, ουρανόν αεικίνητον, ο σέ εργασάμενος, καί θεολόγω σου, γλώττη κηρυττόμενος Χριστός, ηγαπημένε ο υπερένδοξος.

Ρημάτων η δύναμις, ο θείος φθόγγος, τών σών εξελήλυθε, Παμμάκαρ αξιάγαστε, καί τό υπερκόσμιον σού Ευαγγέλιον, πάσαν περιέλαβε τήν γήν, τή τών δογμάτων μεγαλειότητι.

Θεοτοκίον

Πανάχραντον σύλληψιν, άφθορον τόκον, σύ μόνη υπέδειξας, παρθένος διαμείνασα, Θεόν γάρ συνέλαβες, τόν επί πάντων Αγνή, άνθρωπον γενόμενον πιστών, πρός σωτηρίαν καί απολύτρωσιν.

Άλλος

Δροσοβόλον μέν τήν κάμινον

Τήν βροντήν τήν διηχήσασαν εις άπαντα, τά πέρατα υμνήσωμεν, τόν θεολόγον, δι' ού πάσα όντως ακοή, εμβρόντητος ήρθη από γής, καί μεγαλύνεται Χριστός, ο τού παντός Ποιητής.

Η περίβλεπτος τού οίκου σου ευπρέπεια, πάσαν φαιδρύνει έννοιαν, εν ώ πάντοτε αθροιζόμενοι θεοπρεπώς, υμνούμεν τόν πάντων Ποιητήν, καί ευφημούμέν σε πιστώς, όντα προστάτην ημών.

Φωτοβόλον ως αστέρα σε γινώσκοντες, ταίς σελασφόροις λάμψεσι, σού φωτίζεσθαι, μαθητά δεόμεθα Χριστού, ρυόμενοι σκότους τών παθών, καί πειρασμών παντοδαπών τή μεσιτεία σου.

Θεοτοκίον

Ευλογούμέν σε πανάμωμε κυήσασαν, ευλογημένον Κύριον, τόν ευλογίαις καταστέψαντα ταίς θεϊκαίς, επάρατον φύσιν τών βροτών, καί καινουργήσαντα ημάς, παλαιωθέντας φθορά.

Καταβασία

Ουκ ελάτρευσαν τή κτίσει οι θεόφρονες, παρά τόν Κτίσαντα, αλλά πυρός απειλήν; ανδρείως πατήσαντες, χαίροντες έψαλλον. Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

## Τής Θεοτόκου

Ωδή η' Ο Ειρμός

«Κάμινος ποτέ, πυρός εν Βαβυλώνι, τάς ενεργείας διεμέριζε, τύ θείω προστάγματι, τούς Χαλδαίους καταφλέγουσα, τούς δέ πιστούς δροσίζουσα ψάλλοντας, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Ζήλου τά καλά, κακών μακρυνομένη, δι' εμμελείας θείων πράξεων, ψυχή μου πρεσβεύουσαν, υπέρ σού τήν Θεομήτορα, καί πάντων ακαταίσχυντον, έχουσα προστασίαν, ως συμπαθή καί φιλάνθρωπον.

Έλυσας δεσμού, τής πάλαι καταδίκης, Θεοκυήτορ τό ανθρώπινον, όθεν ικετεύω σε, διαλύσαι πάντα σύνδεσμον, κακίας τής καρδίας μου, Άχραντε συνδεσμούσα, θεία στοργή με τού κτίσαντος.

Δόξης τού Πατρός, απαύγασμα, τεκούσα, τήν αδοξία σκυθρωπάζουσαν πταισμάτων καρδίαν μου, Θεοτόκε καταφαίδρυνον, καί δόξης με ανάδειξον, μέτοχον αϊδίου, όπως εν πίστει δοξάζω σε.

## Τού Αγίου

Ο αυτός

Ώσπερ αστραπή, φωτός διερχομένη, τή οικουμένη Μάκαρ έφανας, αγνείας λαμπρότητι, παρθενίας τε φανότητι, καί ευσεβείας δόγμασι, κόσμον καταλαμπρύνων, ηγαπημένε Χριστώ τώ Θεώ.

Σώμα καί ψυχήν, καί νούν κεκαθαρμένος ευηγγελίσω τό ουράνιον, Χριστού Ευαγγέλιον, καί Αγγέλοις ομοδίαιτος, εν ουρανοίς γενόμενος, κράζεις νύν, Ευλογείτε, πάντα τά έργα τόν Κύριον.

Άγαλμα φαιδρόν, ανάθημά τε θείον, επουρανίου ναού γέγονας, καί θρόνου αισθήσεως, καί σοφίας ενδιαίτημα, θεολογίας όργανον, μέλπων, Υπερυψούτε, πάντα τά έργα τόν Κύριον.

Θεοτοκίον

Ίνα τήν αράν, τήν πρώην αφανίσης, καί τού θανάτου τό κατάκριμα, τής πάλαι Προμήτορος, εκ Παρθένου Θεομήτορος, Λόγε Θεού γεγέννησαι, πάσι δεδωρημένος, αθανασίαν ανώλεθρον.

Άλλος

Εκ φλογός τοίς Οσίοις

Ρητορεύουσαν γλώσσαν, Μάκαρ ευπόρησας, καί θανόντας κακία, πάντας εζώωσας, τούς τό ιερόν, δεξαμένους σου κήρυγμα, όθεν σε τιμώμεν, ως μύστην τών αρρήτων.

Ως Παράδεισος άλλος, ο θείος οίκός σου, αναδέδεικται θαύμασιν, ώσπερ άνθεσι, πάντων τάς ψυχάς, ενηδύνων Απόστολε, καί τών παθημάτων, διώκων το δυσώδες.

Ο Θεός ο Θεός μου, πρόσχες καί ρύσαί με, εξ εχθρών καθ' εκάστην, επεμβαινόντων μοι, καί τήν ταπεινήν, συντριβόντων καρδίαν μου, έχων δυσωπούντα, τόν θείον Μαθητήν σου.

Θεοτοκίον

Ιησούν τόν Σωτήρα, όν εσωμάτωσας, εξ αγνών σου αιμάτων, θεοχαρίτωτε, αίτησαι ημάς, οικτειρήσαι τούς δούλους σου, καί τής αιωνίου κολάσεως εξάραι.

Καταβασία

Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Τής Θεοτόκου

Ωδή θ'  Ο Ειρμός

«Ανάρχου Γεννήτορος, Υιός Θεός καί Κύριος, σαρκωθείς εκ Παρθένου ημίν επέφανε, τά εσκοτισμένα φωτίσαι, συναγαγείν τά εσκορπισμένα, διό τήν πανύμνητον, Θεοτόκον μεγαλύνομεν».

Γευσάμενος βρώσεως, μή προσηκούσης θάνατον, ο Αδάμ εκ τού ξύλου πικρώς ετρύγησε, ξύλω δέ παγείς ο Υιός σου, τόν γλυκασμόν τής αθανασίας, επήγασεν Άχραντε, διά τούτό σε γεραίρομεν.

Βασίλισσα πέφυκας, τόν Βασιλέα Κύριον, υπέρ λόγον τεκούσα τόν διαλύσαντα, Άδου τά βασίλεια Κόρη, όν εκτενώς, δυσώπει τής άνω, βασιλείας άπαντας, αξιώσαι τούς τιμώντάς σε.

Αγάθυνον Δέσποινα, τήν Ταπεινήν καρδίαν μου, ηδονών κακωθείσαν ταίς

επικλύσεσιν, ως τόν αγαθόν τετοκυία, καί αγαθή υπάρχουσα όλη, καί πρός μετανοίας με, αγαθάς πύλας εισάγαγε.

Τού Αγίου

Ο αυτός

Νύν ουκ εν αινίγματι, πρός πρόσωπον δέ πρόσωπον, τής τρυφής τόν χειμάρρουν οράν ηξίωσαι, καί τόν ποταμόν τής ειρήνης, καί τήν πηγήν τής αθανασίας, εξ ής αρδευόμενος, απολαύεις τής Θεώσεως.

Επίγειον ήτησας, παρά Χριστού καθέδραν λαβείν, αλλ' αυτός σοι τό στήθος αυτού χαρίζεται, ώ επικλιθείς θεολόγε, τήν ασφαλή καί μόνιμον έδραν, τού καλού πεπλούτηκας, Αποστόλων εγκαλλώπισμα.

Σοφίας κατέσβεσας, Ελληνικής τό άθεον, εν αρχή ήν ο Λόγος σοφέ φθεγξάμενος, καί πρός τόν Θεόν ήν ο Λογος, καί αληθώς Θεός ήν ο Λόγος, δι' ού πάντα γέγονεν, ορατά καί τά αόρατα.

Θεοτοκίον

Ως όρθρος ευρέθης πρωϊνός, εν τή τού βίου νυκτί, παρθενίας ακτίσι περιαστράπτουσα, τήν ανατολήν τού Ηλίου, τού νοητού τής δικαιοσύνης, ημίν φανερώσασα, Θεομήτορ πανσεβάσμιε.

Άλλος

Θεόν ανθρώποις ιδείν αδύνατον

Ωρών καί χρόνων υπάρχων κύριος, ο Λυτρωτής μεσούσης τής ημέρας εκρέματο, επί ξύλου καί σοί παρετίθετο, οία παρθένω Μάκαρ, τήν Αειπάρθενον, κλέος αναφαίρετον διδούς, τού μεγαλύνειν σε.

Συνών ταίς άνω θείαις Δυνάμεσι, καί σύν αυταίς τό θείον ανακράζων μελώδημα, τούς εν οίκω αγίω σου ψάλλοντας, καί ανυμνολογούντας, τόν υπεράγαθον, σώζε μεσιτείαις σου σεπταίς, Χριστού Απόστολε.

Ημάς τούς πίστει παρακαλούντάς σε, σώζε παντός κινδύνου, θεολόγε μακάριε, τάς πορείας ημών τάς πρός Κύριον, πνεύματι κατευθύνων, καί οδηγών ημάς, εις οδόν ειρήνης, εντολών τού Παντοκράτορος.

Θεοτοκίον

Φωνήν προσάξωμεν χαριστήριον, τή τού Θεού μητρί περιφανώς καί βοήσωμεν, Χαίρε θρόνε Θεού υψηλότατε, χαίρε φωτός νεφέλη, χαίρε παράδεισε, δι' ής Παραδείσου τής τρυφής κατηξιώθημεν.

Καταβασία

Άπας γηγενής, σκιρτάτω τώ πνεύματι λαμπαδουχούμενος, πανηγυριζέτω δέ, αύλων Νόων φύσις γεραίρουσα, τήν ιερά θαυμάσια τής Θεομήτορος, καί βοάτω. Χαίροις παμμακάριστε, Θεοτόκε Αγνή αειπάρθενε.

Εξαποστειλάριον
Γυναίκες ακουτίσθητε

Βροντής υιός γενόμενος, βροτοίς εθεολόγησας, τό, εν αρχή ήν ο Λόγος, Απόστολε Ιωάννη, επιπεσών τώ στήθει γάρ, Πιστώς τώ τού Δεσπότου σου, κακείθεν αρυσάμενος, θεολογίας τά ρείθρα, τήν κτίσιν πάσαν αρδεύεις.

Η Σταυροθεοτοκίον

Σταυρώ τώ τού Κυρίου σου, παρισταμένη Πάναγνε, σύν Μαθητή τώ Παρθένω, Γύναι ιδού ο υιός σου, ακήκοας τού πλάσαντος, τώ Μαθητή ωσαύτως δέ, ιδού φησίν η μήτηρ σου, μεθ' ού σε πάντες υμνούμεν, Θεογεννήτορ Παρθένε.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'
Ώ τού παραδόξου θαύματος

Μάκαρ, Ιωάννη πάνσοφε, περιουσία θερμή, τής Χριστού αγαπήσεως, πλέον πάντων πέφηνας, Μαθητών αγαπώμενος, τώ παντεπόπτη Λόγω καί κρίνοντι, δικαίοις πάσαν τήν οικουμένην ζυγοίς, τής καθαρότητος, καί αγνείας κάλλεσι καταυγασθείς, σώμα καί διάνοιαν θεομακάριστε.

Θεολογίας τά νάματα, επί τού στήθους πεσών, τής σοφίας εξήντλησας, καί τόν κόσμον ήρδευσας, Ιωάννη πανάριστε, τή τής Τριάδος γνώσει τήν θάλασσαν, καταξηράνας τής αθεότητος, στύλος γενόμενος, καί νεφέλη έμψυχος καθοδηγών, πρός τήν επουράνιον, κληροδοσίαν ημάς.

Τό παρθενίας απάνθισμα, τό τών σεπτών αρετών, δεκτικόν ενδιαίτημα, τής σοφίας όργανον, τό τού Πνεύματος τέμενος, τό φωτοφόρον στόμα τής χάριτος, τής Εκκλησίας τό φαεινότατον, όμμα τόν πάνσεπτον, Ιωάννην άσμασι πνευματικοίς, νύν ανευφημήσωμεν, ως υπηρέτην Χριστού.

Ευαγγελιστά θεσπέσιε, τών αγαθών τήν πηγήν, βασιλείαν ασάλευτον, καί ζωήν αιώνιον, καί χαράν ανεκλάλητον, καί θεωρίας θείας απολαυσιν, καί πλουτοδότως Χριστού χαρίσματα, νούν υπερβαίνοντα, καί βροτών διάνοιαν, γόνε βροντής, ευαγγελιζόμενος, τώ κόσμω έλαμψας.

Δόξα... Ήχος.πλ. δ'

Ευαγγελιστά Ιωάννη, Ισάγγελε Παρθένε, θεολόγε θεοδίδακτε, ορθοδόξως τώ κόσμω, τήν άχραντον πλευράν, τό αίμα καί τό ύδωρ βλύζουσαν εκήρυξας, εν ώ τήν αιώνιον ζωήν, ποριζόμεθα ταίς Ψυχαίς ημών.

Καί νύν... Θεοτοκίον

Δέσποινα πρόσδεξαι, τάς δεήσεις τών δούλων σου, καί λύτρωσαι ημάς, από πάσης ανάγκης καί θλίψεως.

Δοξολογία μεγάλη, καί Απόλυσις

Εις τήν Λειτουργίαν, Τυπικά, καί εκ τών Κανόνων, Ωδή γ' καί ς' κλπ.

Κοινωνικόν

Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών, καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών. Αλληλούϊα.

---

Αρχή

## ΤΗ ΚΖ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Μάρτυρος Καλλιστράτου, καί τών σύν αυτώ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'

Ώ τού παραδόξου θαύματος

Μάρτυς αθλητά Καλλίστρατε τής ευσεβείας φωτί, φωτισθείς τήν διάνοιαν, τήν οδόν εβάδισας, ακλινώς τήν εισάγουσαν, πρός τήν εκείθεν μακαριότητα, νικήσας πάντα τά μηχανήματα, τού πολεμήτορος, όθεν ευφημούμέν σε, τήν ιεράν, μνήμην σου γεραίροντες, μακαριώτατε.

Μάρτυς θεόφρον Καλλίστρατε, λόγον πλουτήσας ζωής, πρός ζωήν καθωδήγησας, τούς αγνοία πρότερον, εν νεκρώσει υπάρχοντας, οι καί θανόντες, προθύμως ένδοξε, διά τήν πάντων, ημών ανάστασιν, ζήν αληθέστατα, εν Χριστώ πιστεύονται, μεθ' ών ημών, μέμνησο πρός Κύριον, τόν υπεράγαθον.

Μάρτυς Ιερέ Γυμνάσιε, ξίφει τήν κάραν τμηθείς, τή πλημμύρα τού αίματος, Φαραώ τόν δόλιον, αληθώς κατεπόντισας, καί νύν πηγάζεις, πάσιν ιάματα, τοίς τώ ναώ σου, πίστει προστρέχουσι, καί τούς αγώνάς σου, εν αυτώ γεραίρουσι, καί τήν σεπτήν, μνήμην σου μακάριε, πανηγυρίζουσιν.

Δόξα... Ήχος δ'

Βυζαντίου

Πρό τού τιμίου Σταυρού σου, φοβερός ο θάνατος τοίς ανθρώποις, μετά τό ένδοξον πάθος, φοβερός ο άνθρωπος τώ θανάτω, ούτως ενίσχυσεν ο Αθλοφόρος, ούτω κατήργησεν πάσαν τού εχθρού τήν δύναμιν, αυτού ταίς πρεσβείαις Χριστέ, σώσον τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Ως γενναίον εν Μάρτυσι

Χαίροις ηλιόμορφε, ηλίου άδυτον όχημα, η τόν ήλιον λάμψασα, τόν απερινόητον χαίρε, νούς αστράπτων, θείαις φρυκτωρίαις, η λαμπηδών τής αστραπής, η διαυγάζουσα, γής τά πέρατα, η όντως χρυσαυγίζουσα, η παγκαλής καί πανάμωμος, η τό φώς τό ανέσπερον, τοίς πιστοίς εξαστράψασα.

Η Σταυροθεοτοκίον

Νεκρούμενον βλέπουσα, Χριστόν η πάναγνος Δέσποινα, καί νεκρούντα τόν δόλιον, ως Δεσπότην κλαίουσα, ύμνει τόν εκ σπλάγχνων, αυτής προελθοντα, καί τό μακρόθυμον αυτού, αποθαυμάζουσα ανεκραύγαζε, Τέκνον μου ποθεινότατον, μή επιλάθη τής δούλης σου, μή βραδύνης φιλάνθρωπε, τό εμόν καταθύμιον.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Απολυτίκιον
Ήχος δ' Ταχύ προκατάλαβε

Οι Μάρτυρές σου, Κύριε, εν τή αθλήσει αυτών, στεφάνους εκομίσαντο τής αφθαρσίας, εκ σού τού Θεού ημών, σχόντες γάρ τήν ισχύν σου, τούς τυράννους καθείλον, έθραυσαν καί δαιμόνων, τά ανίσχυρα θράση. Αυτών ταίς ικεσίαις, Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, Κανόνες τής Οκτωήχου, καί τού Αγίου, ού η Ακροστιχίς.

Τώ παμμεγίστω προσλαλώ Καλλιστράτω. Ιωσήφ.

Ωδή α' Ήχος πλ. δ'
Άσμα αναπέμψωμεν

Τρίβον διοδεύσας ακλινώς, τού μαρτυρίου γέγονας, πεπλανημένοις οδός, πρός θείας καταπαύσεις, παμμάκαρ εισάγουσα, όθεν σε συνελθόντες, ευφημούμεν Καλλίστρατε πίστει.

Ώσπερ φαεινότατος αστήρ, εξανατείλας ηύγασας, θεογνωσίας φωτί, Χριστού τήν Εκκλησίαν, τό σκότος δέ ήλασας, Μάρτυς τής αγνωσίας, καί τεμένη τής πλάνης καθείλες.

Πάντα πειρασμόν καρτερικώς, υπενεγκων Καλλίστρατε, διά τήν πάντων ζωήν, θανείν ου παρητήσω, διό πρός αθάνατον, χαίρων λήξιν μετέβης, καί Αγγέλων χοροίς συναγάλλη.

Άνθραξ θείου Πνεύματος πυρί, ο Ιερός Γυμνάσιος, προσαναπτόμενος, εδείχθη καί τής πλάνης, τήν ύλην κατέφλεξε, θαύμασι δέ δροσίζει, φλεγομένους καύσει παθημάτων.

Θεοτοκίον

Μόνη γυναικών κυοφορείς, υπερφυώς Πανάμωμε, πείραν μή γνούσα ανδρός, τόν ένα τής Τριάδος, διό σε δοξάζομεν, καί τόν εκ σού τεχθέντα, υπέρ πάσαν αιτίαν καί λόγον.

Ωδή γ'

Ο στερεώσας λόγω

Μή επιθύσας όλως γλυπτοίς θεοίς, καθαρά θυσία προσηνέχθης Θεώ, υπέρ ημών τώ τυθέντι, Μάρτυς αθλοφόρε Καλλίστρατε.

Εστολισμένος χλαίναν εξ ιερών, βεβαμμένην Μάρτυς όντως αιμάτων σου, τώ βασιλεί τών αιώνων, μάκαρ στεφηφόρος παρίστασαι.

Γεγυμνωμένος ώφθη ο δυσμενής, σού τήν θείαν δόξαν, καί τών σύν σοί αθλητών, ενδυσαμένων εξ ύψους, βλέπων αθλοφόρε Γυμνάσιε.

Θεοτοκίον

Ικετηρίαν ποίησον εκτενή, πρός τόν σόν Υιόν Παρθένε, τού σώσαι ημάς, προσδοκωμένων κινδύνων, καί αιωνιζούσης κολάσεως.

Ο Ειρμός

«Οστερεώσας λόγω τους ουρανούς, καί τήν γήν εδράσας επί υδάτων πολλών, στερέωσόν με πρός ύμνον, καί δοξολογίαν σου Κύριε».

Κάθισμα Ήχος πλ. α'

Τόν συνάναρχον Λόγον

Καλλιστράτου τούς άθλους ανευφημήσωμεν, Γυμνασίου τούς πόνους υμνολογήσωμεν, καί σύν αυτοίς τούς καρτερώς ποθω αθλήσαντας, μακαρίσωμεν πιστοί, καί εκβοήσωμεν αυτοίς, Οπλίται τής ευσεβείας, αιτήσασθε δωρηθήναι, ημίν ειρήνην καί τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Σέ λιμένα καί τείχος καί καταφύγιον, καί ελπίδα καί σκέπην καί προστασίαν θερμήν, ευρηκότες οι πιστοί, πρός σέ προστρέχομεν, καί εκβοώντες εκτενώς, ανακράζομεν πιστώς, Ελέησον Θεοτόκε, τούς επί σοί πεποιθότας, καί τών πταισμάτων απάλλαξον.

Η Σταυροθεοτοκίον

Εν Σταυρώ σε ορώσα, Χριστέ η Μήτηρ σου, εκουσίως εν μέσω ληστών κρεμάμενον, κοπτομένη μητρικώς τά σπλάγχνα έλεγεν, αναμάρτητε Υιέ, πώς αδίκως εν Σταυρώ, ώσπερ κακούργος επάγης; τό γένος τό τών ανθρώπων, ζωώσαι θέλων ως υπεράγαθος.

Ωδή δ'

Εισακήκοα Κύριε

Στρατηγός ώσπερ άριστος, Μάρτυς τώ διώκτη παραταξάμενος, εσαγήνευσας πρός θείαν ζωήν, αιχμαλώτους πάλαι ούς εκέκτητο.

Τή πλημμύρα τών λόγων σου, ήρδευσας καρδίας καί καθωδήγησας, πρός τό ύδωρ τό αείζωον, αθλητά Κυρίου αξιάγαστε.

Ως κριός σφαγιάζεται, έχων ώσπερ άρνας προθυομένους αυτού, ο αοίδιμος Καλλίστρατος, τούς στερρούς οπλίτας προθυμότατα.

Πιανθείς ο Γυμνάσιος, άμπελος καθάπερ Μάρτυς τώ λόγω σου, μαρτυρίου

βότρυν ήνθησε, ευσεβείας οίνον αποστάζοντα.

Θεοτοκίον

Ρυπωθείσαν τοίς πάθεσι, Κόρη τήν καρδίαν μου αποκάθαρον, καί δοχείον αποτέλεσον, καθαρόν ενθέων επιλάμψεων.

Ωδή ε'

Ο εκ νυκτός αγνοίας

Ολοκαρδίως Μάρτυς, επιποθήσας Χριστόν τόν Θεόν ημών, ήθλησας καί τό κράτος, ώλεσας εχθρού τό ανίσχυρον.

Στρατολογίας θείας, αναφανείς κορυφαίος Καλλίστρατε, στρατιαίς τών Αγγέλων, Μάρτυς ηριθμήθης γηθόμενος.

Λελαμπρυσμένος δόξη, μαρτυρικής αγλαίας Γυμνάσιε, χαίρων νύν μετετέθης, πρός τάς τών Αγγέλων λαμπρότητας.

Θεοτοκίον

Ανατολή εδείχθης, δικαιοσύνης Ηλίου Πανάμωμε, όν ικέτευε σώσαι, τούς ειλικρινώς σε δοξάζοντας.

Ωδή ς'

Ιλάσθητί μοι Σωτήρ

Λεόντων μύλας σοφέ, τών αοράτων συνέθλασας, καί βρώμα τού δυσμενούς, τούς πάλαι υπάρχοντας, Θεού τέκνα έδειξας, καί τρυφής αΰλου, κοινωνούς Μάρτυς Καλλίστρατε.

Ωραίως περί Θεού, τόν θείον λόγον ποιούμενος, θεοίς αψύχοις τούς πρίν, αθλίως προσέχοντας, ενθέους απέδειξας, σύν αυτοίς αθλήσας, περιβόητε Καλλίστρατε.

Κυρίω τούς εαυτών, αυχένας κλίναντες Μάρτυρες, εδέξασθε τήν σφαγήν, καί θύματα τέλεια, Θεώ προσηνέχθητε, καί τήν πρωτοτόκων, Εκκλησίαν εφαιδρύνατε.

Θεοτοκίον

Αγίασόν μου τόν νούν, καί φώτισον τήν καρδίαν μου, αγία Μήτηρ Θεού, καί τών συνεχόντων με, δυσχερών απάλλαξον, ίνα σε δοξάζω, Θεοτόκε αειπάρθενε.

Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

Κοντάκιον Ήχος δ'

Επεφάνης σήμερον

Ώσπερ άστρον μέγιστον, έλαμψας κόσμω, τάς ακτίνας άπασι, τών σών αγώνων εφαπλών, καί τών θαυμάτων τοίς κράζουσι, Χαίροις Μαρτύρων, τό

κλέος Καλλίστρατε.

Ο Οίκος

Τόν τού Κυρίου αθλητήν, καί μέγαν στρατιώτην, καί φίλον τής Τριάδος, καί μύστην τών αρρήτων, καί μιμητήν τού Ιησού, άσμασιν εν πίστει συνελθόντες οι πιστοί χαρμονικώς υμνήσωμεν, γεραίροντες αυτού τά παλαίσματα καί τάς αριστείας, τούς πόνους, ούς υπέστη διά Χριστόν τόν παμβασιλέα, αιτούμενοι τυχείν αυτού ταίς πρεσβείαις, τής αμείνονος ζωής τού Παραδείσου, ένθα οι χοροί ευφραίνονται τών κραζόντων, Χαίροις Μαρτύρων τό κλέος Καλλίστρατε.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΖ' τού αυτού μηνός, Μνήμη τού αγίου Μάρτυρος Καλλιστράτου, καί τών σύν αυτώ αγίων μθ' Μαρτύρων.

Στίχοι

- Τμηθείς ο Καλλίστρατος αυχένα ξίφει,
- Στρατώ συνήφθη καλλινίκων Μαρτύρων.

Εις τούς αγίους μθ' Μάρτυρας

- Δεκάς τετραπλή Μαρτύρων σύν εννάδι,
- Διά ξίφους άθλησιν αθλεί τιμίαν.
- Εικάδι εβδομάτη Καλλίστρατος άνθεν αέρθη.

Τή αυτή ημέρα, Μνήμη τής αγίας Μάρτυρος Επιχάρεως.

Στίχοι

- Εύτολμος Επίχαρις ήν πρός τό ξίφος,
- Συλλήπτορα πλουτούσα τήν θείαν χάριν.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Ιγνατίου, Ηγουμένου γενομένου τής Μονής τού Σωτήρος Χριστού, τού επιλεγομένου Βαθέος Ρύακος.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Αποστόλων Μάρκου, Αριστάρχου, καί Ζήνωνος.

Τή αυτή ημέρα Μνήμη τών Αγίων Μαρτύρων Φιλήμονος επισκόπου, καί Φουρτουνιανού καί τής Αγίας Μάρτυρος Γαϊανής.

Στίχοι

- Γαϊανή φλεχθήναι τά νώτα δίδου,
- Ως άν φλογίνης ρομφαίας νώτα φύγης.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων δεκαπέντε Μαρτύρων, οίτινες εν πλοίω εμβληθέντες τού πλοίου πυρποληθέντος, εν τή θαλάσση απεπνίγησαν.

Στίχοι

- Ο τριπλοπεντάριθμος αθλητών στόλος,
- Καί πυθμένος κατήρε μέχρι ποντίου.

Η αγία Μάρτυς Ακυλίνα, ράβδοις συνθλασθείσα τελειούται.

Ταίς αυτών αγίαις πρεσβείαις, Χριστέ ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Οι εκ τής Ιουδαίας

Λαμπρυνθείς ως χρυσίον, τώ πυρί τών βασάνων, τών παθημάτων Χριστού, εκσφράγισμα εδείχθης, καί νύν εναπετέθης, θησαυροίς θείοις Ένδοξε, ο τών Πατέρων βοών, Θεός ευλογητός εί.

Λιπανθείς τοίς βασάνοις, ξίφος ώφθης παμμάκαρ, ουρανοχάλκευτον, συγκόπτων αοράτων, τάς φάλαγγας δαιμόνων, καί κραυγάζων Καλλίστρατε, ο τών Πατέρων ημών, Θεός ευλογητος εί.

Ισχυρός απεφάνθης, κατά τής ασεβείας, Μάρτυς Καλλίστρατε, ισχύϊ τής Τριάδος, ής νύν ταίς λαμπηδόσιν, εκβοάς φωτιζόμενος, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Σταθηρά διανοία, τόν Χριστόν αγαπήσας, Μάρτυς Γυμνάσιε, σύν πάσιν ομοζήλοις, ετύθης αναμέλπων, ευχαρίστως θεόπνευστε, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Θεοτοκίον

Τόν εκ σού σαρκωθέντα, υπέρ νούν τε καί λόγον Θεοχαρίτωτε, ικέτευε σωθήναι, τούς πόθω σε τιμώντας, καί συμφώνως κραυγάζοντας, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Ωδή η'

Οι θεορρήμονες Παίδες

Ριζοτομήσας τής πλάνης τάς ακάνθας, τού Παραδείσου εδείχθης, Μάρτυς φυτόν ωραιότατον, ευσεβείας προσφέρον, καρπούς θεία χάριτι.

Αποσκοπών τάς ελπίδας τάς μελλούσας, εν πεποιθήσει τελεία, πρός τούς αγώνας εχώρησας, καί νικήσας νομίμως, εστέφθης Καλλίστρατε.

Τόν σόν ναόν ιατρείον κεκτημένοι, οι ευσεβώς προσιοντες, τών δυσχερών απολύονται, ευφημούντές σε πίστει, Γυμνάσιε ένδοξε.

Θεοτοκίον

Ως ανωτέρα απάντων τών ποιημάτων, Θεοχαρίτωτε Κόρη, τόν λογισμόν μου ανώτερον, τών τού πλάνου σκανδάλων, Πανάμωμε ποίησον.

Ο Ειρμός

Οι θεορρήμονες Παίδες εν τή καμίνω, σύν τώ πυρί καί τήν πλάνην, καταπατούντες υπέψαλλον, Ευλογείτε τά έργα Κυρίου τόν Κύριον».

Ωδή θ'

Έφριξε πάσα

Ίασιν πάσιν η σορός, τών λειψάνων σου πηγάζει τοίς χρήζουσι, Μάρτυς Καλλίστρατε, καί πάθη παύει όντως δυσίατα, καί απελαύνει πονηρών, πνευμάτων σκοτόμαιναν, τού θείου Πνεύματος, ενεργεία καί δυνάμει καί χάριτι.

Ώφθητε Μάρτυρες Χριστού, ως θεόπλοκος σειρά εξαρτώμενοι, αλλήλων χάριτι, καί πρός τό ύψος επανατρέχοντες, καί αγιάζοντες τήν γήν, τώ λύθρω τού αίματος, διό τήν μνήμην υμών, εορτάζομεν πιστώς ευφραινόμενοι.

Στέφανον είληφας σαφώς, αμαράντινον καί δόξαν ουράνιον, καί αγαλλίασιν, καί ευφροσύνην πέρας ουκ έχουσαν, καί βασιλείαν ουρανών θεόφρον Καλλίστρατε, συν τοίς συνάθλοις σου, μεθ' ών μέμνησο ημών πρός τόν Κύριον.

Η θεία μνήμη τού σοφού, Καλλιστράτου Γυμνασίου τε σήμερον, καί τών συνάθλων αυτών, ηλίου πλέον εξανατείλασα, φωτιστικαίς μαρμαρυγαίς, φωτίζει τά πέρατα, ών ταίς πρεσβείαις Χριστέ, κατακρίσεως ημάς ελευθέρωσον.

Θεοτοκίον

Φωνήν σοι τήν τού Γαβριήλ, γεγηθότι λογισμώ ανακράζομεν, Χαίρε χαρά τών πιστών, χαίρε λυχνία χρυσή καί τράπεζα, όρος καί πύλη νοητή, χαίρε θείον όχημα τού Βασιλέως Χριστού, χαίρε λύσις τής αράς παντευλόγητε.

Ο Ειρμός

«Έφριξε πάσα ακοή, τήν απόρρητον Θεού συγκατάβασιν, όπως ο Ύψιστος, εκών κατήλθεν μέχρι καί σώματος, Παρθενικής από γαστρός, γενόμενος άνθρωπος, διό τήν άχραντον, Θεοτοκον οι πιστοί μεγαλύνομεν».

Εξαποστειλάριον

Τοίς Μαθηταίς

Κραταιωθέντες Πνεύματι, τώ Αγίω καθείλον, οι αθλοφόροι Μάρτυρες, τών τυράννων τά θράση, διά Χριστόν υποστάντες, πάσαν πείραν βασάνων, ο πάνσοφος Καλλίστρατος, καί Γυμνάσιος όντως, ο θαυμαστός, μετά τών συνάθλων, ών τήν φωσφόρον, μνήμην τελούντες εύροιμεν, ψυχικήν σωτηρίαν.

Θεοτοκίον

Θεοπαρόχων μέγεθος, δωρεών καί χαρίτων, ών περ ημάς ηξίωσας, Δέσποτα πανοικτίρμον, τίς λόγος δύναται φράσαι; ρεύσαντας γάρ αθλίως, ζωής Χριστέ τής κρείττονος, επανήγαγες αύθις, ουσιωθείς, όλον με τόν άνθρωπον εκ Παρθένου, καί σώσας ως φιλάνθρωπος, καί Θεός ελεήμων.

Καί η λοιπή Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΗ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών καί Ομολογητού Χαρίτωνος.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε, εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'
Έδωκας σημείωσιν

Πάθη τά τού σώματος, δι' εγκρατείας εμάρανας, καί συντόνου δεήσεως, καί όφιν τόν δόλιον, τών δακρύων όμβροις, απέπνιξας Πάτερ, καί ευηρέστησας Θεώ, υπερβαλλόντως Χαρίτων Όσιε, διό σε κατεκόσμησεν, επουρανίοις χαρίσμασιν, Ιησούς ο φιλάνθρωπος, καί Σωτήρ τών ψυχών ημών.

Ιδρώσιν ασκήσεως, εναποσβέσας τούς άνθρακας, τών παθών αξιάγαστε, πυρί προσωμίλησας, αικισμών καί πόνων, καθομολογήσας, πρό τών ανόμων δικαστών, τού σαρκωθέντος Λόγου τήν κένωσιν, καί Μάρτυς εχρημάτισας, πεποικιλμένος, τοίς στίγμασι, πολυτρόπων κολάσεων, θεοφόρε πανόλβιε.

Ερήμοις καί όρεσι, σύ φυγαδεύων εμάκρυνας, τήν ψυχήν ακηλίδωτον, τηρών ιερώτατε, καί Τριάδος οίκος, Χαρίτων εδείχθης, ής τή δυνάμει ιερούς, ανεδομήσω οίκους μακάριε, καί μάνδρας εις σωτήριον, τών μοναστών περιποίησιν, τών τιμώντων τήν μνήμην σου, τήν αγίαν αοίδιμε.

Δόξα... Ήχος δ'
Ιωάννου Μοναχού

Θεοφόρε Χαρίτων, σύ καί μετά θάνατον εν ουρανοίς ζής εν τώ Χριστώ, δι' όν τώ κόσμω σεαυτόν ανεσταύρωσας, έξω γάρ σαρκός καί κόσμου γενόμενος, υπέρ τά ορώμενα έζης αληθώς, ου γάρ έζης σεαυτώ, έζη δέ μάλλον εν σοί Χριστός ο Θεός ημών, Αυτόν ικέτευε σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον
Ως γενναίον εν Μάρτυσιν

Εν θαλάσση με πλέοντα, εν οδώ με βαδίζοντα, εν νυκτί καθεύδοντα περιφρούρησον, επαγρυπνούντα χαρίτωσον, τόν νούν μου Πανάμωμε, καί αξίωσον ποιείν, τού Κυρίου τό θέλημα, όπως εύροιμι, εν ημέρα τής δίκης τών εν βίω, πεπραγμένων μοι τήν λύσιν, ο προσφυγών εν τή σκέπη σου.

Η Σταυροθεοτοκίον

Εν Σταυρώ ως εώρακε, καθηλούμενον Κύριε, η αμνάς καί Μήτηρ σου εξεπλήττετο, καί τί τό όραμα έκραζεν, Υιέ ποθεινότατε; ταύτά σοι ο απειθής, δήμος ανταποδίδωσιν, ο παράνομος, ο πολλών σου θαυμάτων απολαύσας; Αλλά δόξα τή αρρήτω, συγκαταβάσει σου Δέσποτα.

Εις τόν Στίχον Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος πλ. δ'

Τών Μοναστών τά πλήθη, τόν καθηγητήν σε τιμώμεν Χαρίτων Όσιε, διά σού

γάρ τήν τρίβον, τήν όντως ευθείαν πορεύεσθαι έγνωμεν, Μακάριος εί τώ Χριστώ δουλεύσας, καί εχθρού θριαμβεύσας τήν δύναμιν, Αγγέλων συνόμιλε, Οσίων συμμέτοχε καί Δικαίων, μεθ' ών πρέσβευε τώ Κυρίω, ελεηθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Ώ τού παραδόξου θαυματος Χαίρε πιστών περιποίησις, αμαρτανόντων λιμήν, αμελούντων διόρθωσις, χαίρε ψυχαγώγημα, θλιβομένων βοήθεια, παραμυθία, χαίρε ψυχών αγαθή, τών ασθενούντων, ψυχών η ίασις, χαίρε σννάλλαγμα, πρός Θεόν μεσίτρια, τών Σεραφίμ πάντων υπερέχουσα, αγιωτέρα σεμνή.

Η Σταυροθεοτοκίον

Τί τό ορώμενον θέαμα, ο τοίς εμοίς οφθαλμοίς, καθοράται ώ Δέσποτα; ο συνέχων άπασαν, κτίσιν ξύλω ανήρτησαι, καί θανατούσαι ο πάσι νέμων ζωήν; η Θεοτόκος κλαίουσα έλεγεν, ότε εώρακεν, εν Σταυρώ κρεμάμενον, τόν εξ αυτής, αρρήτως εκλάμψαντα, Θεόν καί άνθρωπον.

Απολυτίκιον  Ήχος πλ. δ'

Ταίς τών δακρύων σου ροαίς, τής ερήμου τό άγονον εγεώργησας, καί τοίς εκ βάθους στεναγμοίς, εις εκατόν τούς πόνους εκαρποφόρησας, καί γέγονας φωστήρ, τή οικουμένη λάμπων τοίς θαύμασι, Χαρίτων Πατήρ ημών Όσιε πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία

Κάθισμα  Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Τής αθλήσεως πόνοις δοκιμασθείς, τής ασκήσεως άθλοις βεβαιωθείς, χρυσίου λαμπρότερον, ευσεβεία απήστραψας, καί καθαρόν δοχείον υπάρξας τού Πνεύματος, πονηρών πνευμάτων τό σκότος εμείωσας, όθεν συναθροίσας, μοναζόντων αγέλας, ποιμήν τούτων γέγονας, καί φωστήρ διαυγέστατος, Ώ Χαρίτων μακάριε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Καί νύν...

Θεοτοκίον, όμοιον

Λογισμοίς ολισθαίνων τοίς πονηροίς, εις βυθόν κατηνέχθην αμαρτιών, καί στένων κραυγάζω σοι, εκ καρδίας Πανάχραντε, Εν εμοί θαυμάστωσον, τό πλούσιον έλεος, καί τής σής ευσπλαγχνίας, τό άπειρον πέλαγος, καί τών οικτιρμών σου, τόν αμέτρητον πλούτον, καί δός μοι μετάνοιαν, καί

πταισμάτων συγχώρησιν, ίνα πόθω κραυγάζω σοι, Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δοθήναί μοι, σέ γάρ έχω ελπίδα ο δούλός σου.

Η Σταυροθεοτοκίον

Τόν αμνόν καί ποιμένα καί λυτρωτήν, η αμνάς θεωρούσα εν τώ Σταυρώ, ωλόλυζε κλαίουσα, καί πικρώς απεφθέγγετο, ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήν περ υπομένεις, διά σπλάγχνα ελέους, Μακρόθυμε Κύριε, τού ελέους η άβυσσος, καί πηγή αγαθότητος, ιλάσθητι καί δώρησαι ούν, τών πταισμάτων, άφεσιν τοίς δούλοις σου, τοίς ανυμνούσιν εν πίστει, τά άχραντα πάθη σου.

Οι Κανόνες, τής Οκτωήχου, καί τού Αγίου εις ς'. Ποίημα Θεοφάνους. οι δέ, Ιωάννου Μοναχού.

Ωδή α' Ήχος δ'

Θαλάσσης τό ερυθραίον

Θαλάσσης, αθλητικής τό πέλαγος, διανηξάμενος, τώ ζωηφόρω όπλω τού Σταυρού, Φαραώ τόν αλάστορα, τόν νοητόν Μακάριε, θεία δυνάμει κατεπόντισας.

Κυρίω, ανατεθείς Μακάριε, σπαργάνων εκ μητρικών, τυραννικού πρό βήματος Χριστόν, θεοφρόνως εκήρυξας, μωσαϊκώς καθείλες δέ, τών αντιθέων τά φρυάγματα.

Τής πλάνης, καταλιπών τήν Αίγυπτον, Χαρίτων Όσιε, καί ερημοπολίτης γεγονώς, καθαρώς προσωμίλησας, τώ καθαρώ καί είληφας, τήν κληρουχίαν τήν ουράνιον.

Θεοτοκίον

Ασπόρως, τώ τού Πατρός βουλήματι, εκ θείου Πνεύματος, τόν τού Θεού συνείληφας Υιόν, καί σαρκί απεκύησας, τόν εκ Πατρός αμήτορα, καί δι' ημάς εκ σού απάτορα.

Ωδή γ'

Ευφραίνεται επί σοί

Ευφραίνεται επί σοί, τών φοιτητών η λογική ποίμνη σου, πνευματικής Όσιε, τής σής κοινωνούσα φαιδρότητος.

Τό φρόνημα τής σαρκός, ως δυσμενείας εις Θεόν αίτιον, τώ τής ζωής πνεύματι, Όσιε Χαρίτων υπέταξας.

Καθείλες δαυϊτικώς, τού αλλοφύλου Γολιάθ Όσιε, τήν νοητήν δύναμιν, εν τή παντευχία τού Πνεύματος.

Θεοτοκίον

Σύ μόνη τοίς επί γής, τών υπέρ φύσιν αγαθών πρόξενος, Μήτηρ Θεού γέγονας, όθεν σοι τό Χαίρε κραυγάζομεν.

## Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα, Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

## Κάθισμα Ήχος δ'

## Ταχύ προκατάλαβε

Τοίς λόγοις εκόσμησας, τήν Εκκλησίαν Χριστού, τοίς έργοις ετίμησας, τό κατ' εικόνα Θεού, Χαρίτων μακάριε, έλαμψε γάρ εν κόσμω, η εν σοί σωφροσύνη, χάριτας ιαμάτων, απαστράπτουσα πίστει, διό καί εορτάζομεν, πόθω τήν μνήμην σου.

## Θεοτοκίον

Παρθένε πανάμωμε, τόν υπερούσιον, Θεόν η κυήσασα, σύν τοίς Οσίοις αυτόν, απαύστως ικέτευε, άφεσιν τών πταισμάτων, καί διόρθωσιν βίου, δούναι ημίν πρό τέλους, τοίς εν πίστει καί πόθω, υμνούσί σε κατα χρέος, μόνη πανύμνητε.

## Η Σταυροθεοτοκίον

Σταυρώ σε ηλούμενον, ως εθεάσατο, η άχραντος Μήτηρ σου, Λόγε Θεού μητρικώς, θρηνούσα εφθέγγετο, Τί τό καινόν καί ξένον, τούτο Υιέ μου θαύμα; πώς η ζωή τών όλων, ομιλείς τώ θανάτω; ζωώσαι τούς τεθνεώτας, θέλων ως εύσπλαγχνος.

## Ωδή δ'

## Δι' αγάπησιν Οικτίρμον

Τάς τυραννούσας Χαρίτων πρό τελευτής σου, τής εγκρατείας πονοις, ηδονάς θανατώσας, ζωηφόρον νέκρωσιν, οσίως ενδέδυσαι.

Τάς συμπνιγούσας ψυχής τήν καρποφορίαν, βιωτικάς μερίμνας, τή εμπύρω μελέτη, ως ακάνθας έφλεξας, Χαρίτων μακάριε.

Εστεφάνωσαν αι χάριτες σέ Χαρίτων, αθλητικώ στεφάνω, τής Χριστού βασιλείας, τής γάρ πλάνης έσβεσας, τήν μέθην μακάριε.

## Θεοτοκίον

Ανεκλάλητος ο τόκος σου ανεδείχθη, Θεογεννήτορ μόνη, αγνή ευλογημένη, όθεν σοι προσπίπτοντες, τό Χαίρε κραυγάζομεν.

## Ωδή ε'

## Σύ Κύριέ μου φώς

Σύ Όσιε φωτός, ακηλίδωτον έσοπτρον, τής άνωθεν φρυκτωρίας, τηλαυγώς ανεδείχθης, Χαρίτων παμμακάριστε.

Σύ Όσιε δισσοαίς, απαστράπτεις ταίς χάρισιν, αθλήσεων αικισμοίς γάρ, ευσεβώς επυρσώθης, καί πόνοις τής ασκήσεως.

Σύ Όσιε ψυχών, ιατρός αναδέδειξαι, τήν ένθεον εξ ονύχων, απαλών εκζητήσας, σοφίαν παμμακάριστε.

Θεοτοκίον

Σέ όπλον αρραγές, κατ' εχθρών προβαλλόμεθα, σέ άγκυραν καί ελπίδα, τής ημών σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

Ωδή ς'

Θύσω σοι, μετά φωνής

Ου ψάμμον, αλλά Χριστόν θεμέλιον θέμενος, επωκοδόμησας Πάτερ, αρετήν χρυσίου τιμιωτέραν, καί Τριάδος, τής Παναγίας γέγονας οίκημα.

Όργανον, τής κακίας ο όφις γνωρίζεται, αλλά ταίς σαίς θεοφόρε, αρεταίς Χαρίτων νενικημένος, τούς αδίκους, εκ δικαίας προνοίας αμύνεται.

Ουδέν σε, τής πρός Θεόν αγάπης εχώρισεν, ουκ αικιζόμενον σώμα, ου θανάτου ψήφος απειλουμένη, εν ενώσει, Θεού κατατρυφώντα Μακάριε.

Θεοτοκίον

Ώ θαύμα, τών απάντων θαυμάτων καινότερον! ότι Παρθένος εν μήτρα, τόν τά σύμπαντα περιέποντα, απειράνδρως, συλλαβούσα ουκ εστενοχώρησε.

Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Κοντάκιον Ήχος β'

Τούς ασφαλείς

Τόν ασκητήν τής εγκρατείας άπαντες, καί αθλητήν τής ευσεβείας σήμερον, οι πιστοί εν ύμνοις στέψωμεν, καί εγκωμίοις ευφημήσωμεν, Χαρίτωνα ποιμένα καί Διδάσκαλον, καί Μάρτυρα Χριστού τόν χαριτώνυμον, τού κόσμου φωστήρα τόν παγκόσμιον.

Ο Οίκος

Τούτον τόν μέγαν εν τοίς Οσίοις, τόν φωστήρα τόν θείον Ικονίου πιστοί, Χαρίτωνα τόν μακάριον, εν υμνωδίαις ανευφημήσωμεν, καί εν άσμασι θείοις, αυτού τήν κάραν στέψωμεν, τήν γάρ οφρύν τών ματαίων ειδώλων ηδάφισε, σύν τούτοις καί τών δαιμόνων τήν ενέργειαν πάσαν ενέκρωσε, διό τούς πόνους μέν ήνεγκε, τών βραβείων δέ έτυχεν αληθώς, Αυτόν ούν επαινούντες γεραίρομεν, τού κόσμου φωστήρα τόν παγκόσμιον.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΗ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών καί Ομολογητού Χαρίτωνος.

Στίχοι

- Τής γής πατήσας τάς τρυφάς ο Χαρίτων,
- Κατατρυφά νύν ουρανού τών χαρίτων.
- Εικάδι ογδοάτη Χαρίτων θάνε γήραϊ μακρώ.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Προφήτου Βαρούχ.

Τή αυτή ημέρα Μνήμη τών Αγίων Μαρτύρων, καί αυταδέλφων, Αλεξάνδρου, Αλφειού, καί Ζωσίμου, καί τού Αγίου Μάρτυρος Μάρκου τού ποιμένος, καί τών Αγίων Μαρτύρων Νίκωνος, Νέωνος, Ηλιοδώρου, καί τών λοιπών παρθένων καί παίδων.

Στίχοι

- Εισδύντες εις γήν Μάρτυρες τρείς Κυρίου,
- Εκείθεν εκδύνουσιν εις θείαν δρόσον.
- Ποιμήν ο Μάρκος, Μάρκος, όν κτείνει ξίφος,
- Ποιμήν προβάτων, ως ο τής Γράφης Άβελ.
- Ηλιόδωρος, Νίκων, αλλά καί Νέων,
- Χριστού κατ' εχθρών εκ ξίφους νίκη νέα.
- Τμηθέντα Παίδων καί Γυναικών μυρία,
- Ώ παί γυναικός, καί Θεέ, πλήθη δέχου.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Ευσταθίου τού Ρωμαίου.

Στίχοι

- Ρωμαίός εστιν, αλλά καί ρωμαλέος.
- Ο Μάρτυς Ευστάθιος, αθλών πρός ξίφος.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Αλεξάνδρου, καί τών σύν αυτώ τριάκοντα Μαρτύρων.

Στίχοι

- Έξαρχον Αλέξανδρον είχον τού τέλους,
- Τμηθέντες άνδρες, ών αριθμός τρισδέκα.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ώδή ζ'

Εν τή καμίνω

Τοίς εν καμίνω, Αβραμιαίοις αμιλλώμενος, ζήλω ευσεβείας δόγμα τυραννικόν, θεοφόρε κατεπάτησας, Ευλογημένος εί ο Θεός μου, κραυγάζων καί Κύριος.

Ως εν καμίνω, τών πειρασμών τοίς υπεκκαύμασι, θεία δροσοβόλος χάρις εξ ουρανού, επεσκέψατο σε Όσιε, Ευλογημένος εί ο Θεός μου, βοώντα καί Κύριος.

Ως τετρωμένος, τώ τής Τριάδος θείω έρωτι, ταύτη ισαρίθμους μάνδρας πνευματικάς, μελωδούσας ανατέθεικας, Ευλογημένος εί εν τώ ναώ, τής δόξης σου Κύριε.

Θεοτοκίον

Τό τού Υψίστου, ηγιασμένον θείον σκήνωμα, χαίρε, διά σού γάρ δέδοται, η χαρά, Θεοτόκε τοίς κραυγάζουσιν, Ευλογημένη σύ εν γυναιξίν, υπάρχεις Πανάμωμε.

## Ωδή η'
### Χείρας εκπετάσας

Τά στέρνα πυρούμενος φλογί, αδίκους Όσιε ταύτη κατέφλεξας, αυτός δέ άφλεκτος έμεινας, ενεργεία θείου Πνεύματος, καί πρός ευσέβειαν λαούς, ψάλλειν διήγειρας, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Χριστόν ενεδύσω αληθώς, τόν πάλαι άνθρωπον, απεκδυσάμενος, καί εθριάμβευσας Όσιε, τόν τού σκότους κοσμοκράτορα, εν αικισμοίς μαρτυρικοίς, μετ' ευφροσύνης βοών, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Τού Παύλου Χαρίτων αψευδώς, γενόμενος φοιτητής, τοίς τούτου ίχνεσιν, επηκολούθησας Όσιε, καί αλείπτης εχρημάτισας, τών μοναζόντων γεγονώς, πάσι κανών αρετής, τοίς βοώσι, Πάντα τά έργα, υμνείτε τόν Κύριον.

### Θεοτοκίον

Σύ μόνη εν πάσαις γενεαίς, Παρθένε άχραντε, Μήτηρ εδείχθης Θεού, σύ τής θεότητος γέγονας, ενδιαίτημα πανάμωμε, μή φλογισθείσα τώ πυρί, τού απροσίτου φωτός, όθεν πάντες, σέ ευλογούμεν Μαρία Θεόνυμφε.

### Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

## Ωδή θ'

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Ου τάφος ο πρόξενος λήθης, επικαλύψαι ίσχυσέ σου, Όσιε Χαρίτων αρετάς, η σή γάρ μνήμη διαιωνίζουσα, ηλιακώς εξέλαμψεν, ήν επαξίως μεγαλύνομεν.

Δεύτε τήν ετήσιον μνήμην, πνευματικώς επιτελούντες, τή τών αρετών εκμιμήσει, τόν θεοφόρον πάντες ζηλώσωμεν, καί σύν αυτώ βοήσωμεν, Σέ μεγαλύνομεν Τρισάγιε.

### Τριαδικόν

Μονάδα μέν θείας ουσίας, αλλ' υποστάσεων Τριάδα, πάντες οι πιστοί προσκυνούμεν, εν ασυγχύτοις ταίς υποστάσεσιν, ισοσθενή ομότιμον, ήν ευσεβούντες μεγαλύνομεν.

### Θεοτοκίον

Χαίρε καί ευφραίνου η Νύμφη, τού Βασιλέως τού μεγάλου, κατοπτριζομένη τηλαυγώς, τού σού Νυμφίου τήν ωραιότητα, υπέρ χρυσίον λάμπουσαν, καί υπέρ ήλιον αστράπτουσαν.

### Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ

Θεοτόκε μεγαλύνομεν».

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Αθλήσει μέν τό πρότερον, καλώς εγγυμνασάμενος, τό δεύτερον δέ ασκήσει, δρόμον τόν θείον τελέσας, εις ουρανούς ανέδραμες, καί τώ Χριστώ παρίστασαι, Χαρίτων πάτερ Όσιε, υπέρ ημών εντυγχάνων, τών σέ θερμώς ανυμνούντων.

Θεοτοκίον

Βουλής μεγάλης Άγγελον, τής τού Πατρός γεγέννηκας, Χριστόν πανύμνητε Κόρη, τόν Βασιλέα τής δόξης, ού τόν σταυρόν αράμενοι, οι Ασκηταί καί Μάρτυρες, οπίσω τούτου έδραμον, μεθ' ών απαύστως δυσώπει, υπέρ ημών Θεοτόκε.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'

Έδωκας σημείωσιν

Χάρις η τού Πνεύματος, Χαρίτων Πάτερ σοί λάμψασα, τηλαυγώς κατεφώτισεν, εντεύθεν εμείωσας, τών παθών τήν νύκτα, καί τής απαθείας, ημέραν φθάσας καθαρώς, καθαρωτάτω φωτί ωμίλησας, εν ώ ενδιαιτώμενος, μή επιλάθη Θεσπέσιε, τών εν πίστει υμνούντων σου, Ιερώς τά μνημόσυνα. (Δίς)

Χάριν επανθούσάν σοι, Χαρίτων φέρων ουράνιον, επιγείων ηλόγησας, εντεύθεν ως άσαρκος, κακουχίαις είλου, ζήν ως αϊδίου, τρυφής χειμάρρουν ευσεβώς, περιπολεύειν μέλλων θεόληπτε, καί δάκρυσιν εξήρανας τήν θολεράν πηγήν Όσιε, τών παθών καί κατήρδευσας, ψυχοτρόφους τούς στάχυας.

Χάριν τών ιάσεων, Χαρίτων θείας εκ χάριτος, επαξίως απείληφας, εντεύθεν πνευμάτων σοι, τών τής πονηρίας, τέτραπται η πλάνη, καί νοσημάτων δυσχερών, λύμη φυγούσα οίχεται Όσιε, πηγάζεις γάρ ως νάματα, τών χαρισμάτων τά ρείθρά σου, αφ' ών νύν αρδευόμενοι, ανυμνούμεν τήν μνήμην σου.

Δόξα... Ήχος πλ. β'

Όσιε Πάτερ, εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος τών κατορθωμάτων σου, διό εν τοίς ουρανοίς, εύρες μισθόν τών καμάτων σου, τών δαιμόνων ώλεσας τάς φάλαγγας, τών Αγγέλων έφθασας τά τάγματα, ών τόν βίον αμέμπτως εζήλωσας, Παρρησίαν έχων πρός Χριστόν τόν Θεον, ειρήνην αίτησαι ταίς ψυχαίς ημών.

Καί νύν... Θεοτοκίον

Τριήμερος ανέστης

Εμέ τόν αδιόρθωτον, διόρθωσον πρεσβείαις σου, Θεοτόκε, η ελπίς Χριστιανών, καί ρύσαί με βασάνων, καί πάσης τιμωρίας, καί τού πυρός τού

αιωνίζοντος.

Ει βούλει, ποίησον Δοξολογίαν μεγάλην.

Εις τήν Λειτουργίαν, Τυπικά, καί εκ τού Κανόνος Ωδή γ' καί ς' κτλ.

Κοινωνικόν

Εις μνημόσυνον αιώνιον έσται Δίκαιος. Αλληλούια.

---

Αρχή

## ΤΗ ΚΘ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Κυριακού τού Αναχωρητού.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε, εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'
Τί υμάς καλέσωμεν

Παθών κυριεύσας τού σώματος, εγκρατείας χαλινώ, θαυματουργέ Κυριακέ, απαθείας τήν λαμπράν, Πάτερ ενδέδυσαι στολήν, καί πάσαν, τήν κακίαν απεγύμνωσας, τού πάλαι, τούς Προπάτορας γυμνώσαντος, καί νύν οικείς τόν Παράδεισον, διά παντός ευφραινόμενος, ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Φέρων τόν σταυρόν επί ώμων σου, ηκολούθησας Χριστώ, ανεπιστρόφω λογισμώ, τών εν βίω ηδονών, καταφρονών Κυριακέ, καί πάθη, θανατώσας τά τού σώματος, συντόνοις, αγρυπνίαις καί δεήσεσι, χάριν απείληφας Όσιε, τού θεραπεύειν νοσήματα, ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Έρημον κατώκησας όσιε, εδωδήν Κυριακέ, σκίλλαν ποιούμενος πικράν, καί τήν αίσθησιν πικραίνων, τής ψυχής τάς ηδονάς, προρρίζους, εναπέτεμες μακάριε, διό σε η ουράνιος απόλαυσις, μετά τό τέλος εδέξατο, αγγελικώς βιοτεύσαντα, ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Δόξα... Ήχος πλ. δ'

Τών Μοναστών τα πλήθη, τόν καθηγητήν σε τιμώμεν Κυριακέ Πατήρ ημών, διά σού γάρ τήν τρίβον, τήν όντως ευθείαν, πορεύεσθαι έγνωμεν, Μακάριος εί τώ Χριστώ δουλεύσας, καί εχθρού θριαμβεύσας τήν δύναμιν, Αγγέλων συμμέτοχε, Οσίων ομόσκηνε καί Δικαίων, μεθ' ών πρέσβευε τώ Κυρίω, ελεηθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον
Τί υμάς καλέσωμεν

Τίς ο προσφυγών εν τή σκέπη σου, Θεοτόκε αειπάρθενε, ανύμφευτε Αγνή, ου λαμβάνει τήν ταχείαν, τών δεινών απαλλαγήν, ευρίσκει, βοηθόν σε

ακαταίσχυντον, προστάτιν τε, καί πύργον αρραγέστατον, Θεογεννήτορ πανάμωμε, Χριστιανών η αντίληψις, μεσίτευσον, τού σωθήναι τούς τιμώντας σε.

Η Σταυροθεοτοκίον

Άρνα η αμνάς ως εώρακε, τόν Υιόν τόν εαυτής, καθηλωμένον εν Σταυρώ, ετιτρώσκετο τής λύπης, τή ρομφαία τήν ψυχήν, τά σπλάγχνα, εδονείτο γόους πλέκουσα, καί λύπης, τήν καρδίαν ενεπίμπλατο, Οίμοι Υιέ μου! κραυγάζουσα, πώς ταύτα πάσχεις μακρόθυμε; Δοξάζω σου, τό πρός άπαντας μακρόθυμον.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος πλ. β'

Όσιε Πάτερ, εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος τών κατορθωμάτων σου, διό εν τοίς ουρανοίς εύρες μισθόν τών καμάτων σου, τών δαιμόνων ώλεσας τάς φάλαγγας, τών Αγγέλων έφθασας τά τάγματα, ών τόν βίον αμέμπτως εζήλωσας, Παρρησίαν έχων πρός τόν Κύριον, ειρήνην αίτησαι ταίς ψυχαίς ημών.

Καί νύν... Θεοτοκίον

Τριήμερος ανέστης

Μεγίστων δωρημάτων ημίν, ο τόκος ο αλόχευτος, τής Παρθένου, πάσι γέγονε σαφώς Θεός γάρ τήν φθαρείσαν, καινίζει βροτών φύσιν, καί αναπλάττει τό ανθρώπινον.

Η Σταυροθεοτοκίον

Ορώσά σε σταυρούμενον, Χριστέ η σέ κυήσασα, ανεβόα, Τί τό ξένον ο ορώ, μυστήριον Υιέ μου; πώς επί ξύλου θνήσκεις, σαρκί κρεμάμενος, ζωής χορηγέ.

Τροπάριον Ήχος α'

Τής ερήμου πολίτης, καί εν σώματι Άγγελος, καί θαυματουργός ανεδείχθης, θεοφόρε Πατήρ ημών Κυριακέ, νηστεία, αγρυπνία, προσευχή, ουράνια χαρίσματα λαβών, θεραπεύεις τούς νοσούντας, καί τάς ψυχάς τών πίστει προστρεχόντων σοι, Δόξα τώ δεδωκότι σοι ισχύν, δόξα τώ σέ στεφανώσαντι, δόξα τώ ενεργούντι διά σού πάσιν ιάματα.

Δόξα... Καί νύν... Θεοτοκίον

Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, οι Κανόνες τής Οκτωήχου καί τού Αγίου, ού η Ακροστιχίς.

Κυριακέ γένοιο πρός Θεόν μοι προστάτης.

Άνευ τών Θεοτοκίων

Ποίημα Στεφάνου τού Σαββαίτου.

Ωδήα'  Ήχος πλ. δ'
Άσμα αναπέμψωμεν

Κλέος θείας γνώσεως Χριστέ, παράσχου μοι καί χάριτος, τόν όσιον αξίως, Κυριακόν υμνήσαι, ταίς τούτου εντεύξεσι, σύ γάρ τών υπέρ λόγον, ο ταμίας σοφών διδαγμάτων.

Ύμνον προσκομίζοντά σοι νύν, Κυριακέ μακάριε, ευμενώς δεδεγμένος, τής θείας μετασχείν με, Χριστόν καθικέτευε, αίγλης καί φωταυγίας, καί τής όντως τυχείν σωτηρίας.

Ρώμη τού Δεσπότου κραταιά, ρωννύμενος τούς άρχοντας, Κυριακέ παμμάκαρ, τού σκότους ετροπώσω, τοίς τούτου δέ ίχνεσι, Πάτερ ακολουθήσας, πρός τήν άνω κατήντησας λήξιν.

Ίσην εδείξω επί γής, πρός Ασωμάτους άμιλλαν, όλον καθυποτάξας, σαρκός τώ ζωηφόρω, τό φρόνημα Πνεύματι, όθεν εν ουρανοίς νύν, συγχορεύεις αυτοίς θεοφόρε.

Θεοτοκίον

Κλίμαξ ανεδείχθης νοητή, ήν Ιακώβ τεθέαται, ο εκλεκτός τού Θεού, δι' ής αρρήτω λόγω, κατήλθεν ο άσαρκος, σάρξ ατρέπτως, γενέσθαι, υπέρ λόγον εκ σού Θεοτόκε.

Ωδή γ'
Ουκ έστιν άγιος

Αόκνως διήνυσας, τήν τρίβον τής ζωής, εκ γάρ βρέφους επόθησας, τόν Κτίστην σου Όσιε, όν διψών εξεζήτεις, ελάφου μιμούμενος, τόν δρόμον εφ' υδάτων πηγάς.

Καρδίας τοίς πίναξιν, εγγραφείσας τής σής, δεδεγμένος Θεσπέσιε, δακτύλω τού Πνεύματος, ώσπερ έμψυχος βίβλος, εμπράκτως ετήρησας, Χριστού τάς ζωτικάς εντολάς.

Εκράτησας Όσιε, εν νηστείαις γαστρός, τής λιχνώδους ορέξεως, καί τήν υπόγαστρον ηδονήν συννεκρώσας, αγνεία συνέζησας, Πάτερ διά βίου παντός.

Γηθόμενος έμφρονα, τή Τριάδι ναόν, σαυτόν κατεσκεύασας, τόν νούν καθηράμενος, καί σώμα καί Πνεύμα, Τρισμάκαρ καί γέγονας, δοχείον τρισηλίου φωτός.

Θεοτοκίον

Παρθένος έτεκες απειρόγαμε, καί Παρθένος έμεινας Μήτηρ ανύμφευτε, Θεοτόκε Μαρία, Χριστόν τόν Θεόν ικέτευε, σωθήναι ημάς.

Ο Ειρμός

«Ουκ έστιν άγιος ως ο Κύριος, καί ουκ έστι δίκαιος, ως ο Θεός ημών, όν υμνεί πάσα κτίσις, ουκ έστιν άγιος πλήν σου Κύριε».

Κάθισμα  Ήχος δ'

Ταχύ προκατάλαβε

Τής άνω εφιέμενος, υπερκοσμίου ζωής, τού κόσμου την τερπνότητα, ως διαπίπτουσαν, κατέλιπες Όσιε, όθεν εν ταίς ερήμοις, καί σπηλαίοις οικήσας, πόλεως ουρανίου, ανεδείχθης πολίτης, εν ή τών εκτελούντων την σήν, μνήμην μνημόνευε.

Δόξα... Καί νύν... Θεοτοκίον

Εκαίνισας άχραντε, τώ θείω τόκω σου, φθαρείσαν εν πάθεσι, τών γηγενών τήν θνητήν, ουσίαν καί ήγειρας, πάντας εκ τού θανάτου, πρός ζωήν αφθαρσίας, όθεν σε κατά χρέος, μακαρίζομεν πάντες, Παρθένε δεδοξασμένη, ως προεφήτευσας.

Η Σταυροθεοτοκίον

Παρθένε πανάμωμε, Μήτηρ Χριστού τού Θεού, ρομφαία διήλθέ σου, τήν παναγίαν ψυχήν, ηνίκα σταυρούμενον, έβλεψας εκουσίως, τόν Υιόν καί Θεόν σου, όν περ ευλογημένη, δυσωπούσα μή παύση, συγχώρησιν πταισμάτων, ημίν δωρήσασθαι.

Ωδή δ'

Σύ μου ισχύς Κύριε

Έφριξε σού ήλιος, τό εγκρατές καί στερρόν, δι' ετών σε, πλείστων οργιζόμενον, μή δυνηθείς, όλως κατιδείν, μήτε εν ημέρα, τροφής μετέχοντα Όσιε, ευτόνως μελωδούντα, αγρυπνίαις απαύστοις, Τή δυνάμει σου δόξα Φιλάνθρωπε.

Νόμοις Καινής, καί Παλαιάς Διαθήκης σοφέ, εν συνέσει, Μακαρ τών Αγίων ανδρών, εμμελετών άπαν αρετής, είδος απεμάξω, σοφής μελίσσης τόν τρόπον ζηλών, καί σκεύος χρηματίσας, εκλογής ανεβόας, Τή δυνάμει σου δόξα Φιλάνθρωπε.

Όλβος τρυφής, καύχημα καί αγαλλίαμα, τών Οσίων, πέφυκας Χριστέ ο Θεός, όθεν ποθών, σέ Κυριακός, πάντα τά εν κόσμω, τερπνά λελόγισται σκύβαλα, διό καί εν ερήμοις, ερωτικώς αβάτοις, κατετρύφα τής σής ωραιότητος.

Ίσμεν ποτέ, Μερράς γλυκάναντα νάματα, τόν Προφήτην, σκίλλης δέ πικράν εδωδήν, μεταβαλών, σύ Κυριακέ, εις γλυκείαν γεύσιν, τήν παρρησίαν δεικνύεις σαφώς, πρός Κύριον τόν όντως, τούς αυτού υπηρέτας, θεϊκή δυναστεία δοξάζοντα.

Ο φοιτητής, καί μιμητής τού Δεσπότου Χριστού, τού ικέτου σεληνιαζόμενον, σύ τόν υιόν, διά προσευχής, οίκτω θεραπεύεις, πρός τούτου χάριν δεξάμενος, τάς νόσους φυγαδευειν, καί δαιμόνων τά στίφη, απελαύνειν τώ τύπω τού θείου Σταυρού.

Θεοτοκίον

Σύ τών πιστών, καύχημα πέλεις Ανύμφευτε, σύ προστάτις, σύ καί καταφύγιον, Χριστιανών, τείχος καί λιμήν, πρός γάρ τόν Υιόν σου, εντεύξεις φέρεις Πανάμωμε, καί σώζεις εκ κινδύνων, τούς εν πίστει καί πόθω, Θεοτόκον αγνήν σε γινώσκοντας.

Ωδή ε'

Ίνα τί με απώσω

Πρός Χριστού δεδεγμένος, τήν ακαταμάχητον χάριν τού Πνεύματος, καταβέβληκας μέν, κατά κράτος δεινούς κοσμοκράτορας, ψυχικών παθών δέ, Κυριακέ επικρατήσας, απαθείας στεφάνω κατέστεψαι.

Ρωμαλέος εδείχθης, πόνοις τής ασκήσεως, εγκαρτερήσας στερρώς, μέχρι γήρως μείνας, βαθυτάτου ανένδοτος Όσιε, εν ερήμοις ώσπερ, βασιλικών αυλών θαλάμοις, σύν πολλή χαρμονή διαιτώμενος.

Ολονύκτους ανύων, Μάκαρ αγρυπνίας, πρός τόν Θεόν εκδημών, αμετεωρίστως, δι' ευχής τώ αϋλω ωμίλεις Νοϊ, καί λαμπράς εδέχου, Κυριακέ φωτός ακτίνας, φεγγοβόλους τόν νούν ελλαμπόμενος.

Σελασφόρου πλησθείσα, καί προφητικής αναρρήσεως Όσιε, η σεπτή σου γλώσσα, προηγόρευσε τής τυραννούσης ποτέ, Ωριγένους λύμης, φρενοβλαβούς καί ψυχοφθόρου, παντελή καί τελείαν καθαίρεσιν.

Θεοτοκίον

Νοερώς εμυήθη, Προφητών ο σύλλογος τά σά μυστήρια, ουρανού γάρ πύλην, ο Δεσπότης σε έδειξεν άχραντε, καί εκ σού Παρθένε, σωματωθείς δικαιοσύνης, τοίς εν σκότει ανέτειλεν ήλιος.

Ωδή ς'

Ιλάσθητί μοι Σωτήρ

Θεός θετός γεγονώς, Χριστού θεώσει τού φύσει Θεού, τής φύσεως αλγεινάς, πηρώσεις ανώρθωσας, νοσούντας ιώμενος, δαιμονώντας αύθις, θεραπεύων θεία χάριτι.

Εξέφυγες τού πρός σέ, φοιτώντος πλήθους τήν όχλησιν, καί πάλιν τούς φοβερούς, χειμάρρους κατέλαβες, εκκλίνων, αοίδιμε, τών κενών επαίνων, ανθρώπων τό δοξάριον.

Ονείρου δίκην φθαρτού, τού κόσμου πάσαν τήν δόξαν ορών, τού νόμου ζώντος Θεού, τής δόξης τής κρείττονος, επόθησας μέτοχος, σοφέ χρηματίσαι, ής ενδίκως κατηξίωσαι.

Θεοτοκίον

Ως έμψυχος κιβωτός, εδέξω Λόγον τόν άναρχον, ως Άγιον Ιερόν, τόν Κτίστην εχώρησας, ως θρόνος πυρίμορφος, φέρεις τόν Δεσπότην, Θεομήτορ πάσης κτίσεως.

Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

Κοντάκιον Ήχος πλ. δ'
Τή υπερμάχω

Ως υπερμάχω κραταιώ καί αντιλήπτορι, η σέ τιμώσα ιερά Λαύρα εκάστοτε, εορτάζει τά μνημόσυνα ετησίως, Αλλ' ως έχων παρρησίαν πρός τόν Κύριον, εξ εχθρών επεμβαινόντων ημάς φρούρησον, ίνα κράζωμεν, Χαίροις Πάτερ τρισόλβιε.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΘ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Κυριακού τού Αναχωρητού.

Στίχοι

- Σκίλλης αμύνη Κυριακέ πικρία,
- Γεύσιν γλυκείαν, ή θανείν κατεκρίθης.
- Σκιλλοβορος δ' εννάτη μύσεν εικάδι Κυριακός.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων εκατόν πεντήκοντα Μαρτύρων τών εν Παλαιστίνη, καί τών Αγίων Μαρτύρων Τρύφωνος, Τροφίμου καί Δορυμέδοντος, καί τής Αγίας Μάρτυρος Πετρωνίας.

Στίχοι

- Ξίφει κλίνασα τήν κάραν, Πετρωνία,
- Ψυχής ερείδεις όμμα τή θεία πέτρα.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος Γουδελίας.

Στίχοι

- Σοί τήν κεφαλήν τή κεφαλή τών όλων,
- Χριστέ, προσήξεν εκ ξίφους Γουδελία.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Κασδόου καί Κασδόας.

Στίχοι

- Αθλούσιν άμφω Κασδόος καί Κασδόα,
- Ο μέν σπαθισθείς, η δε θλασθείσα ξύλω.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Δάδα, Γοβδελαά, υιού Σαβωρίου βασιλέως Περσών.

Στίχοι

- Ξίφει μεληδόν σώμα πάν τετμημένος,
- Τό πνεύμα σώζεις, Μάρτυς Υψίστου Δάδα.
- Ο Γοβδελαάς πείρεται τοίς καλάμοις,
- Τόν καλάμω τυφθέντα Χριστόν μου σέβων.

Η αγία Μάρτυς Πετρωνία ξίφει τελειούται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

### Ωδή ζ'
### Παίδες Εβραίων

Νόμων καί λόγων θεοπνεύστων, κατεγλύκανε τόν λάρυγγα μελέτη, υπέρ μέλι ο σός, πιστότατος θεράπων, Ευλογητός εί Κύριε, μελωδών εις τούς αιώνας.

Μάκαρ Θεσπέσιε προσάγοις, τούς υμνούντάς σε Θεώ κεκαθαρμένους, εξ ιλύος παθών, πρεσβείαις σου βοώντας, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Όλην τού Πνεύματος τήν χάριν, εισωκίσατο Χριστέ, σού εραστής γάρ, τού αφράστου φωτός, ολόψυχος υπήρχε, Κυριακός κραυγάζων σοι, ο Θεός ευλογητός εί.

Ίνα λεόντων διαδράση, τήν ωμότητα Δανιήλ εδοξάσθη, υπουργοίς δέ αυτοίς, εκέχρηστο προστάσσων, Κυριακός κραυγάζων σοι, ο Θεός ευλογητός εί.

Πράξει προσθείς τήν θεωρίαν, Τρισυπόστατον εκήρυξας ουσίαν, εν Πατρί καί Υιώ, καί Πνεύματι κραυγάζων, Κυριακέ θεόληπτε, ο Θεός ευλογητός εί.

### Θεοτοκίον

Σβέσον τήν φλόγα τών παθών μου, καί κατεύνασον αιρέσεων τήν ζάλην, Θεομήτορ, καί γάρ, σέ έχομεν προστάτιν, Χριστιανοί καί πρόμαχον, καί σέ πίστει ανυμνούμεν.

### Ωδή η'
### Νικηταί τυράννου

Ροαίς τών δακρύων, ήρδευσας Μακάριε τήν ιεράν σου, κατανύξει θεία ψυχήν, καί πολύκαρπον έδειξας μέλπων, Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε αυτόν εις τούς αιώνας.

Ο Θεσβίτης πάλαι, αυχμώ κατεξήρανεν όμβρων ψεκάδας, υετού δέ χύσιν, εν ακμή κατήγαγες θέρους σύ Μάκαρ, Ευλογείτε μέλπων τά έργα τόν Κύριον, καί υπερυψούτε αυτόν εις τούς αιώνας.

Σύ τών κακοδόξων, τήν απάτην ήλεγξας τού Ωριγένους, γενναίοις αγώσι, μαθητών τού λήρου τε καί μυθολόγου, Ευλογείτε μέλπων, ευσεβώς τόν Κύριον πάσα η κτίσις, καί υπερυψούτε αυτόν εις τούς αιώνας.

Τής Τριάδος λίαν, ευσεβώς εδίδαξας Πάτερ ουσίαν, τρισίν εν ηλίοις, ώσπερ μίαν αίγλην τε καί λαμπηδόνα, Ευλογείτε λέγων, ευσεβώς τόν Κύριον πάσα η κτίσις, καί υπερυψούτε αυτόν εις τούς αιώνας.

Θεοτοκίον

Τού Αδάμ Παρθένε, τού παραπεσόντος μέν ώφθης θυγάτηρ, τού Θεού δέ Μήτηρ, τού ανακαινίσαντος μου τήν ουσίαν, όν υμνούμεν πάντα τά έργα ως Κύριον, καί υπερυψούμεν εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Νικηταί τυράννου, καί φλογός τή χάριτί σου γεγονότες, οι τών εντολών σου σφόδρα αντεχόμενοι Παίδες εβόων, ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε αυτόν εις τούς αιώνας».

Ωδή θ'

Έφριξε πάσα ακοή

Άντρον σε δέδεκται σοφέ, τόν δεξάμενον πηγήν τήν θεόσδοτον, τερατουργήσαντος, τού θείου πάλαι Πατρός Χαρίτωνος, μωσαϊκώς Κυριακέ, καί τείχος ακράδαντον, τή ποίμνη γέγονας, τή εκείνου φρουρός ασφαλέστατος.

Τής όντως έρωτι ζωής, τόν σταυρόν επί τών ώμων αράμενος, τόν βίον Κυριακέ, μελέτην έθου θανάτου, όθεν καί νύν, πρός τήν αγήρω μεταστάς, τρυφήν τήν ακήρατον, τοίς ουρανίοις χοροίς, εν φωτί περί Θεόν συγχορεύεις αεί.

Ήστραψας αίγλη πυρωθείς, τή τού Πνεύματος καί ώφθης ταίς ύπερθεν, χοροστασίαις φαιδρός, αλλ' αυγασόν μου τόν νούν Μακάριε, τώ νοερώ καί τριφεγγεί, φωτί τής θεότητος, ταίς ικεσίαις σου, καί παθών με καί πταισμάτων διάσωσον.

Στεφθέντες τώ νικητικώ, διαδήματι Χαρίτων Θεσπέσιε, Κυριακέ τε μάκαρ, καί παρεστώτες τώ εν υψίστοις Θεώ, ποίμνην ιδίαν πατρικώς, κινδύνων λυτρούμενοι, νύν εποπτεύετε, εορτάζουσαν υμών τά μνημόσυνα.

Θεοτοκίον

Έντεινε καί κατευοδού, καί βασίλευε Υιέ Θεομήτορος, Ισραηλίτην λαον, καθυποτάττων τόν πολεμούντα ημάς, τώ φιλοχρίστω Βασιλεί, πρεσβείαις δεομεθα, τής κυησάσης σε απειράνδρως, ως Θεός καί φιλάνθρωπος.

Ο Ειρμος

«Έφριξε πάσα ακοή, τήν απόρρητον Θεού συγκατάβασιν, όπως ο Ύψιστος, εκών κατήλθε μέχρι καί σώματος, παρθενικής από γαστρός, γενόμενος άνθρωπος, διό τήν άχραντον, Θεοτόκον οι πιστοί μεγαλύνομεν».

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Εν δόξη παριστάμενος, Θεώ τώ Παντοκράτορι, Κυριακέ σύν τώ θείω, Χαρίτωνι θεοκήρυξ, αδιαλείπτως μέμνησο, τών εκτελούντων Άγιε, τήν φωτοφόρον μνήμην σου, καί σέ Χριστού υπηρέτην, τιμώντων Πάτερ εκ πόθου.

Θεοτοκίον

Κυρίως Θεοτόκον σε, ομολογούμεν Δέσποινα, οι διά σού σεσωσμένοι, καί γάρ Θεόν απορρήτως εκύησας τόν λύσαντα, διά Σταυρού τόν θάνατον, πρός δ' εαυτόν ελκύσαντα, Οσίων δήμους, μεθ' ών σε, ανευφημούμεν Παρθένε.

Καί η λοιπή Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Λ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Ιερομάρτυρος Γρηγορίου τής μεγάλης Αρμενίας.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. β'
Όλην αποθέμενοι

Μαρτύρων εν αίματι, τήν Ιεράν διπλοίδα, φοινίξας εισέδραμες, εις Αγίων Άγια, αξιάγαστε, ένθα φώς άρρητον, ένθα θεία δόξα, όπου ήχος εορτάζοντος, εν ώ τών πόνων σου, Μάρτυς αποδέχη τά έπαθλα, καί στέφος τό αμάραντον, καί τήν αιωνίζουσαν εύκλειαν, καί τού Παραδείσου, τήν οίκησιν Γρηγόριε σοφέ, εν παρρησία δεόμενος, υπέρ τών ψυχών ημών.

Βασάνων ουκ έσεισε, σού τήν ψυχήν τρικυμία, ου κάθειρξις χρόνιος, εν ζοφώδει λάκκω σε κατακρύπτουσα, Αθλητά ένδοξε, αλλ' ως φώς ήστραψας, τοίς εν σκότει κινδυνεύουσι, τής ματαιότητος, ούς υιούς ημέρας ανέδειξας, λουτρού διά Βαπτίσματος, καί αναγεννήσεως κρείττονος, καί σωτηριώδους, καί θείας αληθώς διαγωγής, ως ιεράρχης θεόληπτος, πάνσοφε Γρηγόριε.

Νυμφίον αθάνατον, σέ τόν απάντων Δεσπότην, Ριψιμία στέργουσα, τήν δοράν αφήρηται, τήν τού σώματος, τών παθών πρότερον, τόν ζοφώδη σακκον, εγκρατεία διαρρήξασα, μεθ' ής ηγώνισται, καί Γαϊανή η αοίδιμος, παρθένων επιφέρουσα, όμιλον στερρώς εναθλήσαντα, καί καταβαλόντα, τής Εύας τόν αρχαίον πτερνιστήν, άς επαξίως γεραίροντες, σέ Χριστέ δοξάζομεν.

Δόξα... Ήχος πλ. β'
Σεργίου

Τίς επαξίως τών αρετών σου διηγήσεται τά τρόπαια; ποίον στόμα τού μαρτυρίου τήν καρτερίαν αποφθέγξεται; εν αμφοτέροις γάρ ηρίστευσας Γρηγόριε, Αλλά μή παύση δυσωπών, ευαρεστήσας Χριστώ, σωθήναι τάς ψυχάς ημών, ως έχων Ιερομάρτυς παρρησίαν πολλήν.

Καί νύν... Θεοτοκίον
Τριήμερος ανέστης Χριστέ

Τήν πάσάν μου ελπίδα εις σέ, Παρθένε ανατίθημι, μή παρίδης, αλλά σπεύσον αγαθή, ρυσθήναί με εν τάχει, παθών τών ενοχλούντων, καί καθ' εκάστην πολεμούντων με.

Η Σταυροθεοτοκίον

Ο ήλιος εσκότισεν, Υιέ μου προσηλούμενον, φωτοδότα, καθορών σε καί η γή, τώ φόβω εκλονείτο, λαός δέ Ιουδαίων, ουδόλως ώκτειρε παμφίλτατε.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος πλ. β'

Εις τόν άδυτον γνόφον τού αφράστου φωτός, εισδύσας νοητώς ο Μάρτυς καί Ποιμήν, εμυήθη τά απόρρητα τών μυστηρίων Θεού, ως Μάρτυς μέν φωτιζόμενος, ως ποιμήν δέ μυσταγωγούμενος, διό διπλούς καί τούς στεφάνους, εκ τής άνω δόξης ανεδήσατο, πρεσβεύων πάντοτε Χριστώ υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

Ήχος πλ. β'

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής. Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Η Σταυροθεοτοκίον

Τριήμερος ανέστης Χριστέ

Παρίστατο τώ ξύλω ποτέ, καιρώ τώ τής σταυρώσεως, η Παρθένος, σύν παρθένω Μαθητή, καί κλαίουσα εβόα, Οίμοι! πώς πάσχεις πάντων, Χριστέ υπάρχων η απαθεια!

Απολυτίκιον  Ήχος δ'

Καί τρόπων μέτοχος, καί θπόνων διάδοχος, τών Αποστόλων γενόμενος, τήν πράξιν εύρες Θεόπνευστε, εις θεωρίας επίβασιν, διά τούτο τόν λόγον τής αληθείας ορθοτομών, καί τή πίστει ενήθλησας μέχρις αίματος, Ιερομάρτυς Κυπριανέ, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, οι Κανόνες τής Οκτωήχου καί τού Αγίου, ού η Ακροστιχίς.

Τόν γρήγορον μέλπω σε, Μάρτυς, ποιμένα. Ο Ιωσήφ.

Ωδή α'  Ήχος δ'

Τριστάτας κραταιούς

Τριάδι τή σεπτή παρεστώς στεφηφόρος, ως γρήγορος ποιμήν, ως Μάρτυς ιερός, Ιεραίς σου δεήσεσι, κοίμισον τά τών παθών μου, αχλυώδη ινδάλματα, ευφημούντός σε, Μάκαρ Γρηγόριε.

Ο άδυτος λαμπτήρ, Ιεράρχης ο μέγας, ο πολύαθλος ποιμήν, αγώνων η τριβή, Αρμενίας τό καύχημα, σήμερον πρός ευωχίαν, τούς πιστούς συνεκάλεσε,

συνελθόντες αυτόν μακαρίσωμεν.

Ναμάτων ζωηρών, τών τού Πνεύματος Μάκαρ, εμπλησθείς ως ποταμός, Εδέμ τής νοητής, εκπεπόρευσαι πρόσωπον, άρδων τό τής Εκκλησίας, καί ξηραίνων τό πέλαγος, τής ειδωλομανίας Γρηγόριε.

Θεοτοκίον

Γυναίκες τώ Σταυρώ, τού εκ σού σαρκωθέντος, κραταιούμεναι Αγνή, ενήθλησαν στερρώς, καί αυτώ προσηνέχθησαν, όπισθέν σου τής Παρθένου, παρθενίας λαμπρότησι, καί Μαρτύρων εν αίματι λάμπουσαι.

## Ωδή γ'

Ότι στείρα έτεκεν

Ραπισμοίς σιαγόνων σου, μύλας συντρίβεις λεόντων, καί οχετοίς αιμάτων, δαιμόνων λύθρον εκμειοίς, ειδωλικάς προρρίζους τε, καταστρέφεις στήλας, Αξιάγαστε.

Ου δεινών επίτασις, ου χαλεπαί τιμωρίαι, ού ζοφωτάτη λάκκου, κάθειρξις χρόνιος τήν σήν, αδαμαντίνην έτρεψε διάνοιαν Μάρτυς αξιάγαστε.

Νυσταγμόν σοίς όμμασι, Μάρτυς ουκ έδωκας έως, τούς νυσταγμώ κακίας, κεκρατημένους δυσσεβώς, υιούς ημέρας έδειξας κραυγάζοντας, Άγιος εί Κύριε.

Θεοτοκίον

Μητροπάρθενον Κόρην, σέ Ριψιμία η Μάρτυς, επισταμένη μόνην, εθέλχθη σού ταίς καλλοναίς, καί τώ Χριστώ οπίσω σου προσήνεκται, άθλοις διαλάμπουσα.

Ο Ειρμός

«Ότι στείρα έτεκεν, η εξ εθνών Εκκλησία, καί η πολλή εν τέκνοις ησθένησε συναγωγή, τώ θαυμαστώ Θεώ ημών βοήσωμεν, Άγιος εί Κύριε».

## Κάθισμα  Ήχος γ'

Θείας πίστεως

Βλέμμα γρήγορον τής διανοίας, Μάρτυς ένδοξε προκεκτημένος, ομωνύμως καί καταλλήλως διέπρεψας, υπέρ Χριστού τή αθλήσει στρεβλούμενος, εν προσευχαίς ανενδότως ηγρύπνησες, όθεν είληφας, Ιεραρχικώς δι' αίματος, βραβείον κατ' άμφω παμμάκαρ Γρηγόριε.

Δόξα... Καί νύν... Θεοτοκίον

Θεία γέγονας σκηνή τού Λόγου, μόνη πάναγνε Παρθενομήτορ, τή καθαρότητι Αγγέλους υπεράρασα, τόν υπέρ πάντας εμέ γούν γενόμενον, ρερυπωμένον σαρκός πλημμελήμασιν, αποκάθαρον, πρεσβειών σου ενθέοις νάμασι, παρέχουσα σεμνή τό μέγα έλεος.

Η Σταυροθεοτοκίον

Η αμίαντος αμνάς τού Λογου, η ακήρατος Παρθενομήτωρ, εν τώ Σταυρώ θεασαμένη κρεμάμενον, τόν εξ αυτής ανωδίνως βλαστήσαντα, μητροπρεπώς θρηνωδούσα εκραύγαζεν, Οίμοι τέκνον μου! πώς πάσχεις; θέλων ρύσασθαι,

παθών τής ατιμίας τόν άνθρωπον.

Ωδή δ'

Ο καθήμενος εν δόξη

Εις περίβλεπτόν σε ύψος, μαρτυρίου ανήνεγκεν, υψηλός εν δόξη, Κύριος Ύψιστος ένδοξε, ού τά παθήματα χαίρων εξεικόνισας, Ιερομάρτυς, δόξα βοών τή δυνάμει σου.

Λυμαινόμενον αθέως, τόν εχθρόν χώραν άπασαν, τήν τών Αρμενίων, θεία δυναστεία κατέβαλες, καί ως πυρσός αναλάμψας κατεφώτισας, τούς εν σκότει, κειμένους σοφέ ματαιότητος.

Πολυπλάσιον τώ Κτίστη, σού τό τάλαντον ήνεγκας, τών ανασωθέντων, θείαις διδαχαίς σου Γρηγόριε, καί πρός αυτού τόν αγήρω κλήρον είληφας, βασιλείαν, τήν τών ουρανών καί λαμπρότητα.

Θεοτοκίον

Ως καλήν ως εκλεκτήν σε, ως ωραίαν ηγάπησαν, νεάνιδες Κόραι, μετά Ριψιμίας αθλήσασαι, παρθενομήτορ Μαρία, καί οπίσω σου, προσηνέχθησαν, τώ σώ Υιώ ευφραινόμεναι.

Ωδή ε'

Τόν φωτισμόν σου Κύριε

Σταυροφανές εώρακας, σημείον εμφανώς, φωτί εκλαμπον, καί λύον τήν νύκτα τήν ειδωλικήν, φωτός τε τέκνα, τούς πιστούς εργαζόμενον.

Εν κατωτάτω λάκκω σε, διέσωσε Θεός, θηρσί συνόντα ετών περιόδους, μέλλοντα φωτί τού θείου Λόγου, καταυγάζειν τούς άφρονας.

Μαρτυρικώς ηγώνισαι, καί στεφθείς ως νικητής, χρισθείς δέ μύρω Ιερωσύνης, έχρισας λαούς, δυσώδους πλάνης, απαλλάξας Γρηγοριε.

Θεοτοκίον

Οι τής οσμής αισθόμεναι, τού μύρου τού εκ σού αγνή, Παρθένε εκλάμψαντος Λόγου, δι' αθλητικών, αυτώ αγόνων, ευηρέστησαν χαίρουσαι.

Ωδή ς'

Εβόησε, προτυπών

Ρημάτων σου, δυναστεία ναοί κατερράγησαν, καί δαιμόνων κατεβλήθη, ανίδρυτα ξόανα, καί Πιστών καρδίαι, θεϊκώ ενιδρύθησαν έρωτι.

Τηριδάτην, ώσπερ συνδεδεμένον προσήγαγες, τώ Κυρίω, ώσπερ άρνα τόν πρίν λύκον άγριον, διά μέγαν πλούτον, ευσπλαγχνίας Θεού νύν σωζόμενον.

Υπέδειξας, πλανηθείσι τήν τρίβον τήν ένθεον, απλανέσι διδαχαίς, Ιεράρχα χρησάμενος, ως ποιμήν Ποιμένος, αληθούς μιμητής ώ Γρηγόριε.

Θεοτοκίον

Σταυρωθέντα, τόν εκ σού ως επέγνω σαρκούμενον, Θεοτόκε, Ριψιμία αυτώ συνεσταύρωται, ως αμνάς ποιμένι, Ιερείον Θεού ως αμώμητον.

Ο Ειρμός

«Εβόησε, προτυπών τήν ταφήν τήν τριήμερον, ο Προφήτης Ιωνάς, εν τώ κήτει δεόμενος, Εκ φθοράς με ρύσαι, Ιησού Βασιλεύ τών δυνάμεων».

## Κοντάκιον Ήχος β'

Τούς ασφαλείς

Τόν ευκλεή καί Ιεράρχην άπαντες, ως αθλητήν τής αληθείας σήμερον, οι πιστοί θείοις εν άσμασι, καί υμνωδίαις ευφημήσωμεν, τόν γρήγορον ποιμένα καί διδάσκαλον, Γρηγόριον, φωστήρα τόν παγκόσμιον, Χριστώ γάρ πρεσβεύει τού σωθήναι ημάς.

Ο Οίκος

Τούτον τόν μέγαν έν αθλοφόροις, τόν φωστήρα τόν θείον, Αρμενίας πιστοί ποιμένα τε καί πρόμαχον, εν υμνωδίαις ευφημούμεν, καί άσμασιν ενθέοις αυτού τήν μνήμην, τήν γάρ αχλύν τών ματαίων ειδώλων ηφάνισε, σύν αυτοίς καί τών δαιμόνων τήν ενέργειαν ενέκρωσε, διό τούς πόνους υπήνεγκε, σταθερά διανοία καί χάριτι, καί πρεσβεύει Χριστώ τού σωθήναι ημάς.

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή Λ' τού αυτού μηνός, Μνήμη τού Αγίου Ιερομάρτυρος Γρηγορίου τής μεγάλης Αρμενίας.

Στίχοι

- Ειδώς τό, Γρηγορείτε, τού Θεού Λόγου,
- Θεού καλούντος, γρηγορών ώφθης Πάτερ,
- Αρμενίης μεγάλης θάνε Γρηγόριος τριακοστή.

Τή αυτή ημέρα, Μνήμη τών αγίων Μαρτύρων γυναικών Ριψιμίας, Γαϊανής, καί ετέρων λβ' Οσιομαρτύρων γυναικών καί παρθένων.

Στίχοι

- Ήλγει σπαθισμοίς ουδαμώς Ριψιμία,
- Άπειρα τούτοις ανταριθμούσα στέφη.
- Γϊανήν έστεψεν άσκησις πάλαι.
- Καί νύν άθλησις η διά ξίφους στέφει.
- Τιμά Τριάς, δεκάς σε τριπλή Μαρτύρων,
- Σύν ταίς δυσί θνήσκουσα σού χάριν ξίφει.

Τή αυτή ημέρα, Μνήμη τών αγίων εβδομήκοντα Μαρτύρων, τών συναναιρεθέντων τή αγία Ριψιμία, καί μνήμη τών Οσίων δύο γυναικών.

Στίχοι

- Τέθνηκεν, ανδρών εβδομηκοντάς ξίφει,
- Θνήσκειν ετοίμων, ει δέοι, καί πολλάκις.
- Δυάς γυναικών, αρεταίς τεθραμμένων,
- Αθλητικώ τμηθείσα κοσμείται ξίφει.

Τή αυτή ημέρα, Μνήμη τού Μάρτυρος Στρατονίκου.

Στίχοι

- Ο Στρατόνικος τώ διά ξίφους τέλει,
- Άπαν στράτευμα δαιμόνων νικά μόνος.

Τή αυτή ημέρα, ο άγιος Μάρτυς Μαρδόνιος, άνθρακας επί τού ομφαλού δεξάμενος τελειούται.

Στίχοι

- Γνώρισμα Μαρδόνιε τού πάθους φέρεις,
- Επ' ομφαλού σφράγισμα καύσεως φέρων.

Τή αυτή ημέρα, οι άγιοι χίλιοι Μάρτυρες, ξίφει τελειούνται.

Στίχοι

- Χιλιάριθμος αυχενοτμήτων φάλαγξ,
- Έπαθλον εύρεν ουκ αριθμητά στέφη.

Ταίς αυτών αγίαις πρεσβείαις, Χριστέ ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Αβραμιαίοι ποτέ

Πολυειδείς βασάνους, καθυπομείνας Μάρτυς, πολλούς βασάνων ηλευθέρωσας, μελλούσης ετάσεως, ο τών Πατέρων βοών, Θεός ευλογητός εί.

Οίκον Τριάδος σαυτόν, αποτελέσας Μάρτυς, ναούς ειδώλων κατηδάφισας, ναούς δέ ανήγειρας, τώ παντεπόπτη Λόγω, λαού εις σωτηρίαν.

Ιερουργός εδείχθης, σαυτόν θυσίαν πρώην, θερμώς προσάγων τώ Δεσπότη σου, όν θύων μετέπειτα, τοίς ευσεβέσι νέμεις, ψυχών εις σωτηρίαν.

Θεοτοκίον

Μαρτυρικοίς στεφάνοις, κεκοσμημέναι Κόραι, τώ εκ Παρθένου ανατείλαντι, Θεώ προσηνέχθησαν, μελωδικώς βοώσαι, Χριστέ, ευλογητός εί.

Ωδή η'

Λυτρωτά τού παντός

Εναθλήσας νομίμως κατήσχυνας, τούς ανόμους εχθρούς κραταιότατα, Ιερουργέ Γρηγόριε, καί Θεώ προσηγάγω μέλποντα δήμον, Ευλογείτε υμνείτε τόν Κύριον.

Νεουργήσας τήν άκαρπον άρουραν, κατεβάλου τού λόγου τά σπέρματα, εις εκατόν δρεψάμενος, λογικών ασταχύων τήν ευκαρπίαν, γεωργώ τών ψυχών ευφορήσασαν.

Αστραπαίς σου τών λόγων εφώτισας, καί πολλάς μυριάδας προσήγαγες, τώ

δι' ημάς εκούσια, υπομείναντι πάθη, ώ μελωδούμεν, Ευλογείτε υμνείτε τόν Κύριον.

Θεοτοκίον

Ού βασάνων πληθύν δειλιάσασα, ού σαρκός ηδοναίς υποκύψασα, τόν έκ Παρθένου Κύριον, ωμολόγει βοώσα η Ριψιμία, Ευλογείτε υμνείτε τόν Κύριον.

Ο Ειρμός

«Λυτρωτά τού παντός παντοδύναμε, τούς εν μέσω φλογός ευσεβήσαντας, συγκαταβάς εδρόσισας, καί εδίδαξας μέλπειν, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον».

Ωδή θ'

Εύα μέν τώ τής παρακοής

Ισχύϊ νευρούμενος Χριστού υπήνεγκας, τών βασάνων τό επίπονον, στήλας κατέαξας δαιμόνων, ναούς ειδωλικούς κατηδάφισας, λαούς τε τούς εν αγνοία εφώτισας, Ιερομάρτυς πανσεβάσμιε.

Ως όρθρος ανέτειλεν ημίν η μνήμη σου, χαρισμάτων αίγλην φέρουσα, σύ γάρ φωτός ώφθης δοχείον, τού θείου καί πρός φώς εξεδήμησας, ανέσπερον πλουσίως λαμπόμενος, φωτοχυσίαις θείαις Όσιε.

Συνόμιλος ώφθης Προφητών, Μαρτύρων τε, Αποστόλων ομοδίαιτος, Αρχιερέων καί Οσίων, Αγγέλων Αρχαγγέλων Ισόρροπος, μεθ' ών υπέρ ημών τών υμνούντων σε, Πάτερ δυσώπει τόν φιλάνθρωπον.

Ηρίστευσαν γύναια σεμνά τήν έκπτωσιν, τήν τής Εύας ανορθούμενα, ήνεγκαν πόνων τρικυμίαν, μεγάλα τόν εις ύψος καυχώμενον, ποσίν ωραιοτάτοις συνέτριψαν, άς επαξίως μακαρίζομεν.

Θεοτοκίον

Φωτί τού προσώπου τού εκ σού εκλάμψαντος, ελλαμφθείσα Αειπάρθενε, πόθω ασχέτω Ριψιμία, παθήματα αυτού καί τόν θάνατον, οικεία τή σαρκί εξεικόνισεν, όθεν σύν σοί νύν επαγάλλεται.

Ο Ειρμός

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν».

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Φρικτόν ιδόντες θέαμα, εξέστησαν οι άπιστοι, όν γάρ ενόμιζον είναι, νεκρόν εν λάκκω θηρίων, ζώντα αναβιβάσαντες, προσπίπτουσι κραυγάζοντες, Μέγας Θεός Γρηγορίου, ο τούτον δείξας φωστήρα.

Θεοτοκίον

Ο νώτοις εποχούμενος, χερουβικοίς Πανάχραντε, εν ταίς αγκάλαις σου θέλων, σάρκα λαβων ανεκλήθη, όπως ημάς εργάσηται, υιούς Θεού τή χάριτι, τούς εις αυτόν πιστεύοντας, καί σέ αεί ευφημούντας, τήν πρόξενον σωτηρίας.

Καί η λοιπή Ακολουθία τού Όρθρου, καί Απόλυσις.

---

Αρχή
**Τίτλος**
**Οκτώβριος_1 Οκτώβριος_2 Οκτώβριος_3 Οκτώβριος_4 Οκτώβριος_5 Οκτώβριος_6 Οκτώβριος_7 Οκτώβριος_8 Οκτώβριος_9 Οκτώβριος_10 Οκτώβριος_11_17 Οκτώβριος_11 Οκτώβριος_12 Οκτώβριος_13 Οκτώβριος_14 Οκτώβριος_15 Οκτώβριος_16 Οκτώβριος_17 Οκτώβριος_18 Οκτώβριος_19 Οκτώβριος_20 Οκτώβριος_21 Οκτώβριος_22 Οκτώβριος_23 Οκτώβριος_24 Οκτώβριος_25 Οκτώβριος_26 Οκτώβριος_27 Οκτώβριος_28 Δοξολογία_28 Οκτώβριος_30 Οκτώβριος_31**

---

## ΤΗ Α' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Αποστόλου Ανανίου, ενός τών Εβδομήκοντα, καί τού Οσίου Πατρός ημών Ρωμανού τού Μελωδού.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τού Αποστόλου τρία.

Ήχος δ'
Ο εξ υψίστου κληθείς

Ο τήν ακτίνα τήν θείαν δεδεγμένος, ότε νεύσει κρείττονι πεπληρωμένος σοι, ο πρώην ζόφω κρατούμενος, προσήλθε Σαύλος, τήν θείαν κάθαρσιν εξαιτούμενος, τότε παμμακάριστε, ως Ιεράρχης σοφός, υιοθετείς τώ βαπτίσματι, τόν μετά ταύτα, τήν οικουμένην υιοθετήσαντα, όθεν σύν τούτω μακαρίζομεν, σέ τού Χριστού τόν Απόστολον, Ανανία θεόφρον, Ικετεύοντα σωθήναι ημάς.

Μεμυημένος τά θεία παραδόξως, βροντής γεγωνότερον Μάκαρ εσάλπισας, λόγον Θεού τόν σωτήριον, καί τούς υπνούντας, εν τοίς μνημείοις τής ματαιότητος, εξήγειρας νέκρωσιν εναπορρίψαντας, τήν τοίς νεκροίς συνοικίζουσαν, καί εν τώ Άδη, τούς κεκτημένους εναποστρέφουσαν, ούς απειργάσω τού νεκρώσαντος, τόν νεκρωτήν σκεύη τίμια, Ιησού τού Δεσπότου, καί Σωτήρος τών ψυχών ημών.

Ως φωτοφόρος, ως θείος υποφήτης, ως Μάρτυς θεόκριτος τών παθημάτων Χριστού, καί τής μελλούσης φανήσεσθαι, αρρήτου δόξης, συγκληρονόμος τε καί συμμέτοχος, συνών τώ δεσπόζοντι καί ενηδόμενος, ταίς πηγαζούσαις εκάστοτε, φωτοχυσίαις, εκ τού αδύτου φέγγους θεσπέσιε, τήν φαιδροτάτην τούς τελούντάς σου, νύν Εορτήν ικεσίαις σου, ζοφερών εκ κινδύνων, Ανανία

ελευθέρωσον.

Καί τού Οσίου τρία
Ήχος α'
Τών ουρανίων ταγμάτων

Ο μουσουργέτης, η λύρα, τού θείου Πνεύματος, η αηδών, ο τέττιξ, ο τών θείων ασμάτων, αυλός τής Εκκλησίας, πάσιν ημίν, τάς αυτού παρατίθεται, μελω δικάς ευωχίας, καί δι' αυτών, κατευφραίνει τούς θεόφρονας.

ο φαεινότατος λύχνος, καί διειδέστατος, η μελουργός κιθάρα, η νευρά τών ευσήμων, τού Πνεύματος λογίων, άδει τρανώς, εκδιδάσκων τά πέρατα, εν ασιγήτοις τοίς ύμνοις δοξολογείν, τής θεότητος τήν μίαν αυγήν.

Σύ τώ Δεσπότη τών όλων, ως παριστάμενος, καί παρρησίαν Πάτερ, πρός αυτόν κεκτημένος, ημών τών εκτελούντων, μνήμην ποιού, τήν φαιδράν σου πανήγυριν, τού λυτρωθήναι κινδύνων καί πειρασμών, Ρωμανέ θεομακάριστε.

Δόξα... Ήχος α'
Βυζαντίου, οι δέ, Ανατολίου

Τό σκεύος τής εκλογής, τό μέγα δοχείον τού Πνεύματος, Παύλον τόν Απόστολον εφώτισας Απόστολε, θεόθεν κατ' αποκάλυψιν χρηματισθείς, ως αυτόπτης τού Λόγου, καί μύστης τών θαυμάτων αυτού, Απόστολος δέ πρό τών μαθητών, καί πιστός οικονόμος τής νέας Διαθήκης. Διό αυτόν μιμούμενος, τόν διδάσκαλον Χριστόν, τό οικείον αίμα εξέχεας, μαρτυρικώ πάθει ομολογητής γενόμενος, Ανανία Ιεράρχα Χριστού, καί τόν δρόμον τελέσας, τήν πίστιν τε άσυλον τηρήσας, σύν τοίς άνω λειτουργοίς εν υψίστοις αυλιζομενος, πρέσβευε σωθήναι τάς ψυχάς ήμών.

Καί νύν... Θεοτοκίον
Πανεύφημοι, Μάρτυρες

Ελέους η άβυσσος εμέ, τόν βυθόν γενόμενον, ακαθαρσίας ελέησον, καί λούσον πάντα μου, τών παθών τόν ρύπον, μετανοίας δάκρυσι, καί θεία κατανύξει, λαμπρύνασα, δι' ής μοι δώρησαι, ταπεινόν τώ όντι φρόνημα, καί καρδίας, συντριβήν σωτήριον.

Η Σταυροθεοτοκίον

Τόν ίδιον άρνα η αμνάς, καί άμωμος Δέσποινα, εν τώ Σταυρώ ως εώρακεν, είδος ουκ έχοντα, ουδέ κάλλος, Οίμοι! θρηνωδούσα έλεγε. Πού σου τό κάλλος έδυ γλυκύτατε; πού η ευπρέπεια; πού η χάρις η αστράπτουσα, τής μορφής σου, Υιέ μου προσφιλέστατε;

Εις τόν Στίχον Στιχηρά τής Οκτωήχου, λέγομεν δέ καί τό παρόν ιδιόμελον τού Αποστόλου μετά τού Στίχου αυτού.

Ήχος δ'
Εις πάσαν τήν γήν εξήλθεν

Αθλοφορικόν ενδιαίτημα απεφάνθης, Ανανία Απόστολε, καί λίθοις ως άνθεσι πυκαζόμενος, υπέρ τού παθόντος σαρκί δι' ημάς, εκουσίως τό αίμά σου

εξέχεας όθεν η Δαμασκός εναβρύνεται, τή ιερά, πανηγύρει σου σήμερον, ού μόνον δέ εκείνη, αλλά καί πάσα η υφήλιος, τών θαυμάτων σου τά τεράστια σαφώς ανακηρύττουσα βοά. Πρέσβευε πρός Θεόν, τού δωρήσασθαι ημίν, τών πταισμάτων τήν συγχώρησιν.

Δόξα... Ήχος πλ. β’

Πρώτη καλών απαρχή, ώφθης σωτηρίας αφορμή, Ρωμανέ Πατήρ ημών, Αγγελικήν γάρ υμνωδίαν συστησάμενος, θεοπρεπώς επεδείξω τήν πολιτείαν σου. Χοιστόν τόν Θεόν ικέτευε, πειρασμών καί κινδύνων λυτρωθήναι τούς ανυμνούντάς σε.

Καί νύν… Θεοτοκίον

Τριήμερος ανέστης Χριστέ

Αντίληψις καί σκέπη μου, υπάρχεις παναμώμητε, Θεοτόκε, σέ γάρ έχω βοηθόν, εν θλίψεσι καί νόσοις, καί ταίς στενοχωρίαις, καί σέ δοξάζω τήν αμώμητον.

Η Σταυροθεοτοκίον

Η Πάναγνος ώς είδέ σε, επί Σταυρού κρεμάμενον, θρηνωδούσα, ανεβόα μητρικώς. Υιέ μου καί Θεέ μου, γλυκύτατόν μου τέκνον, πώς φέρεις πάθος επονείδιστον;

Απολυτίκιον τού Αποστόλου  Ήχος γ’

Απόστολε Άγιε Ανανία, πρέσβευε τώ ελεήμονι Θεώ ίνα πταισμάτων άφεσιν, παράσχη ταίς ψυχάς ημών.

Καί τού Οσίου  Ήχος πλ. δ’

Εν σοί Πάτερ ακριβώς διεσώθη τό κατ' εικόνα, λαβών γάρ τόν σταυρόν, ηκολούθησας τώ Χριστώ, καί πράττων εδίδασκες, υπερoράν μέν σαρκός, παρέρχεται γάρ επιμελείσθαι δέ ψυχής, πράγματος αθανάτου, διό καί μετά Αγγέλων συναγάλλεται, Όσιε Ρωμανέ τό πνεύμά σου.

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία καί οι Κανόνες, τής Οκτωήχου εις, καί οι δύο παρόντες τών Αγίων.

Ο Κανων τού Αποστόλου, ού η Ακροστιχίς (άνευ τών Θεοτοκίων).

Ανανίου με τό κλέος δοξαζέτω.

Ιωάννου Μοναχού

Ωδή α'  Ήχος πλ. α'

Υγράν διοδεύσας

Ανοίξωμεν στόμα ευφημικόν, τρανώσωμεν γλώτταν, εν τή μνήμη πάντες πιστοί, τού αρχιποιμένος Ανανίου, καί σύν αυτώ τώ Θεώ ημών άσωμεν.

Νυμφίω αχράντω νυμφαγωγεί, τήν άσπιλον νύμφην, Ανανίας ο ευκλεής, Χριστού τήν ενταύθα Εκκλησίαν, μεθ' ής φαιδρώς τώ Θεώ ημών άσωμεν.

Αρχαίος γενόμενος μαθητής, τώ νέω βραβεύεις, τήν ανάβλεψιν φοιτητή, τώ πάλαι διώκτη Ανανία, καί μελωδείς. Τώ Θεώ ημών άσωμεν.

Θεοτοκίον

Τάξεις σε Αγγέλων καί τών βροτών, ανύμφευτε Μήτερ, ευφημούσιν ανελλιπώς, τόν Κτίστην γάρ τούτων ώσπερ βρέφος, εν ταίς αγκάλαις σου εβάστασας.

Ο Κανων τού Οσίου

Ωδή α'  Ήχος πλ. β’

Ως εν ηπείρω

Φωτολαμπείς λαμπηδόνας εξ ουρανού, ημίν εξαπόστειλον, ταίς πρεσβείαις σου σοφέ, Ρωμανέ θεσπέσιε, την σήν, ευφημήσαι ιεράν μνήμην εν άσμασιν.

Από νεότητος όλον σύ τώ Χριστώ, σαυτόν παραθέμενος, ηκολούθησας αυτώ, φεγγοβόλοις λάμψεσι τόν νούν, ουρανόθεν, Ρωμανέ Καταστραπτόμενος.

Ωραϊσμένος τώ καλλει τού παντουργού, καί Αγίου Πνεύματος, ως αστήρ φωτολαμπής, αρετών φαιδρότητι σοφέ, ανεδείχθης Ρωμανέ, κόσμου τοίς πέρασιν.

Θεοτοκίον

Εκ σού προήλθεν αφράστως ο τού Θεού, Λόγος ο συνάναρχος, επ' εσχάτων τών καιρών, καί τόν πρώτον άνθρωπον φθορά, πεπτωκότα, Θεοτόκε ανεσώσατο.

Τού Αποστόλου

Ωδή γ’

Σύ εί τό στερέωμα

Νεύμασιν επόμενος, τού Διδασκάλου σου γέγονας, Αρχιερεύς, αθλοφορικόν τε, ιερείον Απόστολε.

Ίλεων εντεύξεσι, θεοπειθέσι σου έργασαι, τόν Λυτρωτήν, τοίς σέ ανυμνούσιν, Ανανία Απόστολε.

Όλην σοι επέδησε, τήν τού θηρός ορμήν Κύριος, επιφανείς, εν φωτί αρρήτω, αμαυρώσας τό πρόσωπον.

Θεοτοκίον

Σέ πάντες κεκτήμεθα, καταφυγήν καί τείχος ημών, Χριστιανοί σέ δοξολογούμεν, ασιγήτως ανύμφευτε.

Τού Οσίου

Ουκ έστιν Άγιος

Ο νούς σου γέγονε σοφέ, σκήνωμα τής Τριάδος, Ρωμανέ τής Αγίας, δεδεγμένος ευσεβώς, τήν γνώσιν τήν αληθή, καί προχέων, ένθεα διδάγματα.

Ρευμάτων έβλυσε πηγάς, η τιμία σου γλώσσα, κελαδούσα τά θεία, καί τρανούσα εμφανώς, τήν τού Χριστού πρός ημάς, εκ Παρθένου, γέννησιν τήν άφραστον.

Ιδού εκτρέφεις δαψιλώς, ταίς σοφαίς ομιλίαις, καί τερπναίς μελωδίαις, τάς διανοίας ημών, καί εμπιπλάς γλυκασμού, θειοτάτου, Ρωμανέ θεσπέσιε.

Θεοτοκίον

Πασών υπαρχεις στρατιών, ανωτέρα Παρθένε. τόν εκείνων γάρ Κτίστην, τόν Υιόν τόν τού Θεού, συνέλαβες εν γαστρί, καί τεκούσα, μένεις αειπάρθενος.

Ο Ειρμός

«Ούκ έστιν Άγιος ως σύ, Κύριε ο Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου Αγαθέ, καί στερεώσας ημάς, εν τή πέτρα τής ομολογίας σου».

Κάθισμα τού Αποστόλου

Ήχος α’

Τόν τάφον σου Σωτήρ

Τοίς πάθεσι Χριστού, κοινωνός ανεδείχθης, Απόστολε σοφέ, καί αυτόπτα τού Λόγου, πιών γάρ τό ποτήριον, ετελέσθης δι' αίματος. Αλλ' ως σύνθρονος, καί κληρονόμος υπάρχων, εκδυσώπησον, υπέρ ειρήνης τού κόσμου, αυτόν ως φιλάνθρωπον.

Δόξα… Τού Οσίου

Ήχος πλ. α’

Τόν συνάναρχον Λόγον

Τόν συνάναρχον Λόγον Πατρί καί Πνεύματι, δογματίσας τώ κόσμω ως ομοούσιον, τούς πιστούς ως αληθώς κατεφώτισας. καί αιρέσεων δεινάς, ερεσχελίας καθελών, παρίστασαι τώ Κυρίω, υπέρ ημών ικετεύων, τών σέ υμνούντων Ρωμανέ θαυμάσιε.

Καί νύν... Θεοτοκίον

Τόν εκ σού σαρκωθέντα Θεόν καί Κύριον, δι' ημάς τους φθαρέντας τοίς αμαρτήμασι, τούτον ικέτευε θερμώς, τού οικτειρήσαι ημάς, καί αποστρέψαι τόν θυμόν, καί τήν οργήν αυτού Σεμνή, από τών πίστει τιμώντων, καί ευφημούντων απαύστως, τήν δυναστείαν καί τό κράτος σου.

Η Σταυροθεοτοκίον

Εν Σταυρώ σε ορώσα Χριστέ η Μήτηρ σου, εκουσίως εν μέσω ληστών κρεμάμενον, κοπτομένη μητρικώς τά σπλάγχνα, έλεγεν, Αναμάρτητε Υιέ, πώς αδίκως εν Σταυρώ ώς περ κακούργος επάγης; τό γένος τό τών ανθρώπων, ζωώσαι θέλων ως υπεράγαθος.

Τού Αποστόλου

Ωδή δ’
Εισακήκοα Κύριε

Υπό σού παιδευόμενος, αθλοφορικώς τροπούται τόν θάνατον, Ανανίας ο αοίδιμος, παρά σού βραβεία κομιζόμενος.

Μαθητής εχρημάτισας, τού διωκομένου Λόγου αοίδιμε, Ανανία καί Διδάσκαλος, τής θεοσεβείας τώ διώκοντι.

Ενεφάνισε Κύριος, Σαύλω αομμάτω, σέ τόν κρυπτόμενον, καί υπέδειξε μεσίτην σε, Ανανία τούτω τής ιάσεως.

Θεοτοκίον

Τόν Θεόν όν εκύησας, άχραντε Παρθένε, τούτον ικέτευε, από πάσης περιστάσεως, λυτρωθήναι πάντας τούς υμνούντάς σε.

Τού Οσίου

Χριστός μου δύναμις

Δοχείον γέγονας, τού θείου Πνεύματος καί πυρίπνοον στόμα αναφωνούν, θεία μελωδήματα, καί καταθέλγον τάς ψυχάς, Ρωμανέ τών ανυμνούντων σε.

Ως λύρα πέφηνας, σύ επουρανιος, καί κιθάρα η πάσαν πρός εαυτήν, έλκουσα διάνοιαν, τοίς διηγήμασι τοίς σοίς, καί τερπνοίς σου μελωδήμασιν.

Η χάρις έπνευσε, καί κατεσκήνωσε, τή αγία ψυχή σου, τού παντουργού, Πνεύματος Πανεύφημε καί σέ δοχείον καί σοφόν, θεηγόρον απειργάσατο.

Θεοτοκίον

Ιόν εξέχεε, ταίς τής προμήτορος, ακοαίς μέν ο όφις, αλλ' η Αγνή, τούτον εξετίναξε, τού Αρχαγγέλου τή φωνή, συλλαβούσα καί τεκούσα Χριστόν.

Τού Αποστόλου

Ωδή ε’
Ίνα τί με απώσω

Τοίς εν σάλω λιμένα, θείον η αέναος πηγή σε έδειξε, τοίς εν ζόφω, φέγγος, τό απρόσι τον φώς απειργάσατο, Ανανία μάκαρ, ως φοιτητή αξιοχρέω, ευμενώς εν σοί αναπαυσάμενον.

Ο ορών κεκρυμμένα, καί πρό τής γενέσεως ειδώς τά σύμπαντα, σοί τώ κεκρυμμένω, τόν λανθάνοντα ήλιον έδειξε, τόν ποτέ διώκτην, μετ' ου πολύ τής πορθουμένης, υπ' αυτού αληθείας υπέρμαχον.

Καταλήψεως πέραν, η ανεξιχνίαστος οικονομία σου, δι' αυτής γάρ Σώτερ, ο φρικτός εξουδένωται θάνατος. Ανανίας όθεν, ως νικητής καί ιεράρχης, υπέρ σού γεγηθώς σφαγιάζεται.

Θεοτοκίον

Ως Θεόν συλλαβούσαν, τόν Δημιουργόν τών απάντων καί Κύριον, γενεαί σε πάσαι, τών ανθρώπων Αγνή μακαρίζουσι, καί τών Ασωμάτων, αι νοεραί ταξιαρχίαι, ως Μητέρα Θεού σε δοξάζουσι.

Τού Οσίου

Τώ θείω φέγγει σου

Ως ευπρεπέστατον ιερόν, σκεύος ως αγνότατον σοφέ, τού Παρακλήτου η χάρις σε, Ρωμανέ ευρούσα, ναόν ειργάσατο, φωτί λελαμπρυσμένον, καί κατεσκήνωσε.

Σεσαρκωμένον η τόν Υιόν, τού Θεού τεκούσα αληθώς, σού τήν ψυχήν κατεφώτισε, καί τόν νούν ενθέου, γνώσεως έπλησε, νυκτός σοι επιστάσα, η Αειπάρθενος.

Ταίς συγγραφαίς σου τών ιερών, λόγων Παναοίδιμε οφθείς, άρτος τοίς πάσιν ηδύτατος, πάντας κατευφραίνεις, πάντων φωτίζων τόν νούν, καί πάντας εκδιδάσκων, γνώσιν σωτήριον.

Θεοτοκίον

Φώς η τεκούσα τόν τού Πατρός, Λόγον τόν αΐδιον Αγνή, φωτιστικαίς ταίς πρεσβείαις σου, φώτισον τόν νούν μου, καί αποδίωξον, τό σκότος τής ψυχής μου, πάναγνε Δέσποινα.

Τού Αποστόλου

Ωδή ς'

Ιλάσθητι μοι Σωτήρ

Λατρεύειν ζώντι Θεώ, μεμαθηκως Ιερώτατε, καί λύσας πολυσχιδή, αφρόνων κακόνοιαν, τήν μίαν εδίδαξας, Ανανία σέβειν, τρισυπόστατον θεότητα.

Εδέξω εν ταίς χερσί, τής Εκκλησίας τούς οίακας, τώ κυβερνήτη Χριστώ, φοιτήσας Απόστολε, καί ταύτην τώ Πνεύματι, ως ολκάδα θείαν, Ανανία εκυβέρνησας.

Ο πλαστουργήσας ευθή, οδόν ευθύπορον στέλλεσθαι, σού τώ κλεινώ μαθητή, προσέταξας Δέσποτα, τής δικαιοτάτης σου, εκλογής τό σκεύος, εκκαλύπτων προσευχόμενον.

Θεοτοκίον

Ως έμψυχος κιβωτός, τόν νομοδότην εχώρησας, ως άγιος δέ ναός, εδέξω τόν Αγιον, άνθρωπον γενόμενον, επ' ευεργεσία, τών ανθρώπων Μητροπάρθενε.

Τού Οσίου

Τού βίου τήν θάλασσαν

Φωτισμού πληρούμενος, καί πρός ύψος αρετών, ενθέων αναγόμενος, κατεφρόνησας πάντων τών επί γής, καί στύλος ουράνιος, καί φωστήρ ευσεβείας εχρημάτισας.

Σαρκός κατεμάρανας, τάς ορέξεις καί ψυχήν, τήν σεαυτού εκόσμησας, λαμπροτάταις αγνείαις μαρμαρυγαίς, καί κάλλος εράσμιον, αρετών ευμορφία περιέθηκας.

Μισήσας τήν πρόσκαιρον, καί ματαίαν καί σαθράν, καί ρέουσαν απόλαυσιν, τώ ναώ τής Πανάγνου προσκαρτερών, τόν νούν καθηγίασας, καί ψυχήν καί τό σώμα αξιάγαστε.

Θεοτοκίον

Άπαντες προβλέποντες, οι Προφήται τηλαυγώς, τήν εσομένην ύστερον, εκ Παρθένου Χριστέ σου επί τής γής, πανάχραντον γέννησιν, εμφανώς οι θεόπται προηγόρευσαν.

Ο Ειρμός

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι. Ανάγαγε, εκ φθοράς τήν ζωήν μου Πολυέλεε».

Κοντάκιον Ήχος β’

Τήν έν πρεσβείαις

Ο εν πρεσβείαις θερμότατος αντιλήπτωρ, καί τοίς αιτούσι ταχύτατα υπακουων, δέξαι τήν δέησιν Ανανία ημών, καί τόν Χριστόν δυσώπει τού ελεήσαι ημάς, τόν μόνον Αγίοις δοξαζόμενον.

Ο Οίκος

Τώ φωτισμώ τής ελλάμψεώς σου εκκαθάρας, Σωτήρ μου, τήν αχλύν τής εμής καρδίας καί τήν πώρωσιν, δίδου μοι λόγον ανευφημήσαι, καθαρώ συνειδότι, τού Αποστόλου τάς θεαυγείς αρετάς, καί τούς άθλους τού μάκαρος, πηγή γάρ σύ εί σοφίας, καί δοτήρ αγαθός πολυεύσπλαγχνε, διό τρανώσας τήν γλώτταν μου, τόν εφύμνιον ύμνον μου πρόσδεξαι, ο μόνος Αγίοις δοξαζόμενος.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Α' τού αυτού μηνός, Μνήμη του Αγίου Αποστόλου Ανανίου.

Στίχοι

Λίθοις νέμειν θέλοντα μηδαμώς σέβας,
Ανανίαν βάλλουσι δυσσεβείς λίθοις.
Λεύσθη Ανανίας Οκτωβρίου ήματι πρώτω.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Ρωμανού, τού Ποιητού τών Κοντακίων.

Στίχοι

Καί πρίν μέν ύμνει Ρωμανός Θεόν Λόγον,
Υμνεί δέ καί νύν, αλλά σύν τοίς Αγγέλοις.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Μιχαήλ εκ τής Μόνης Ζώβης, καί τών σύν αυτώ λς’ Αγίων Μοναχών τών μαρτυρησάντων εν τή ενορία Σεβαστουπόλεως.

Στίχοι

Τμηθείς Μιχαήλ σύν μαθηταίς τρισδέκα,
Χορώ συνήφθη τών Μοναστομαρτύρων.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων έξ Οσιομαρτύρων ξίφει τελειωθέντων.

Στίχοι

Εξ συμμονασταί τούς εαυτών μανδύας,
Άθλοις ερυθραίνουσι τοίς διά ξίφους.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Δομνίνου.

Στίχοι

Δεινήν Δομνίνος συντρίβην σκελών φέρων,
Υποσκελισμούς τού Σατάν καταισχύνει.

Ο Όσιος Ιωάννης ο Κουκουζέλης ο ηδύμολπος, ό εν τοίς ορίοις τής εν τώ Άθω μεγίστης Λαύρας ασκήσας, εν ειρήνη τελειούται.

Ο Όσιος Γρηγόριος ο Δομέστικος, ο εν τή αυτή μεγίστη Λαύρα τού Άθου ασκήσας, καί έν χρυσούν νόμισμα παρά τής Θεοτόκου λαβών, εν ειρήνη τελειούται.

Ταίς των Αγίων σου πρεσβείαις, Χριστέ ο Θεός, ελέησον ημάς. Αμήν.

Τού Αποστόλου

Ωδή ζ'

Οι εκ τής Ιουδαίας

Σαλπιζέτω εμφρόνως, η θεόλεκτος ποίμνη, ευήχω σάλπιγγι, τούς άθλους τού Ποιμένος, Ανανίου βοώσα, τώ αυτής ποιμενάρχη Χριστώ. Ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Δοξαζέτω Θεού σε, μαθητήν Ανανία, καί ιεράρχην σεπτόν, καί Μάρτυρα τών θείων, παθημάτων φωνούσα, η σεπτή Εκκλησία Χριστώ. Ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Ου θανάτου τώ δέει, αλλά πόθω τής ποίμνης αποκρυπτόμενος, τόν λύκον ώσπερ άρνα, ορών τιθασευθέντα, Ανανίας εκραύγαζεν. Ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Θεοτοκίον

Παρθενικής εκ νηδύος, σαρκωθείς επεφάνης εις σωτηρίαν ημών, διό σου τήν Μητέρα, ειδότες Θεοτόκον, ευχαρίστως κραυγάζομεν. Ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Τού Οσίου

Οι παίδες εν Βαβυλώνι

Τήν Θεοτόκον Μαρίαν, θεόφρον έσχες διδάσκαλον, συνετίζουσάν σε καί μυούσαν, καί ψάλλειν προτρέπουσαν. Ευλογητός εί Κύριε, ο Θεός ο τών Πατέρων ημών.

Τών σών ρημάτων ο φθόγγος, τήν οικουμένην επλήρωσε, καί τερπνώς μελωδείν τούς ανθρώπους, Χριστώ παρεσκεύασεν. Ευλογητός εί Κύριε, ο Θεός ο τών Πατέρων ημών.

Εξέλαμψας εν τώ κόσμω, ως φαεινότατος ήλιος, Ρωμανέ καί πυρσός καταυγάζων, τούς εν πίστει κραυγάζοντας. Ευλογητός εί Κύριε, ο Θεός ο τών Πατέρων ημών.

Θεοτοκίον

Νύν μακαρίζουσι πάσαι, αι γενεαί τών ανθρώπων σε, Θεοτόκε αγνή ως προέφης, καί πίστει δοξάζουσιν. Ευλογημένος πάναγνε, ο καρπός τής κοιλίας σου.

Τού Αποστόλου

Ωδή η'

Επταπλασίως κάμινον

Ξενακουστείν ενόμιζεν, Ανανίας ο ένδοξος, εξ αρπακτικής, τού πορθητού τής ποίμνης σου, δυνάμεως Δέσποτα, την υπέρ λόγον άμειψιν, πρός ποιμαντικήν, όθεν σκιρτών ανεβόα, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Αγαλλιάσθω σήμερον, καί σκιρτάτω τώ πνεύματι, η πανευκλεής, καί μακαρία πόλις σου, τήν σήν ευμοιρήσασα, επιστασίαν Ένδοξε, καί ευχαριστούσα τώ Σωτήρι βοάτω. Οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστον εις τούς αιώνας.

Ζωοποιώ προστάγματι, Ανανία υπέρτιμε, τήν φωτοποιόν τού οραθέντος δύναμιν, τώ Σαύλω εκήρυξας, καί απεκρούσω πήρωσιν, τάς αλεξικάκους, επιθείς σου παλάμας, φολίδας δρακοντείους, εκβαλων ώς λεπίδας, βοών. Υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Η εν αναγκαις σώζουσα, καί θερμώς προστατεύουσα, πάντας εν θλίψει, Παναγία Δέσποινα, σπλαγχνίσθητι σώσόν με, καί πεπτωκότα έγειρον, χείρα βοηθείας, πρό τού τέλους διδούσα, μή νύξ με τού θανάτου, καταλάβη υπνούντα, ίνα σε κατά χρέος, δοξάζω εις αιώνας.

Τού Οσίου

Νόμων πατρώων

Πάσαν τού κόσμου τήν τερπνότητα, καί τήν τρυφήν καί δόξαν αποσεισάμενος, τήν ψυχήν σου ανεπτέρωσας, πρός τάς άνω χορείας, πρός τάς εκείνων, δόξας καί λαμπρότητας Σοφέ, πρός τά κάλλη τά άρρητα, πρός μονάς τάς εκείσε, πρός φώς τής θεαρχίας κραυγάζων. Σέ υπερυψούμεν, Χριστέ εις τούς αιώνας.

Τώ θείω πόθω πυρπολούμενος, τάς αναβάσεις έθου εν τή καρδία σου, καί ασώματον εν σώματι, πολιτείαν εκτήσω, τάς τών Αγγέλων τάξεις, εκμιμούμενος Σοφέ, τάς εκείνων επόθησας, εν κόσμω μελωδίας, εν πίστει Ρωμανέ ανακράζων. Σέ υπερυψούμεν, Χριστέ εις τούς αιώνας.

Υψηγορία, τών ενθέων σου, καί γλυκυτάτων λογων μακαριώτατε, Ρωμανέ, πάσαν διάνοιαν, καταθέλγεις ανθρώπων καί κατευφραίνεις, οίά τις τροφεύς πλουτοποιός, καί φωτίζεις φαιδρότατα, καί βοάν εκδιδάσκεις. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Ισοθεϊα δελεάσας με, ο βροτοκτόνος όφις ο σκολιώτατος, ώς αιχμάλωτον αφήρπασε, τρυφής τού Παραδείσου, αλλ' ο Δεσπότης, φύσει ο Υιός ό τού Θεού, σαρκωθείς επεδήμησεν, εκ Παρθένου Μαρίας, καί ήρέ με πρός ύψος Θεώσας, όν υπερυψούμεν, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Νόμων πατρώων οι μακαριστοί, εν Βαβυλώνι Νέοι προκινδυνεύοντες, βασιλεύοντος κατέπτυσαν, ροσταγής αλογίστου, καί συνημμένοι, ώ ουκ εχωνεύθησαν πυρί, τού κρατούντος επάξιον, ανέμελπον τόν ύμνον. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε,εις πάντας τούς αιώνας».

Τού Αποστόλου

Ωδή θ'

Σέ τήν απειρόγαμον

Έλυσας Πανεύφημε, τό σκότος τό τής αγνωσίας, φώς δέ αληθώς εξήστραψας, Δαμασκώ τρισυπόστατον, αλλά ως φιλότεκνος πατήρ, καί φιλοστοργος ποιμενάρχης, ορθοδοξούσαν ταύτην φύλαττε.

Ταύτην τήν ετήσιον, πανήγυριν επιτελούντες, δεύτε φωταυγεί εκλάμποντες, τής ψυχής αξιώματι, τού τής Τριάδος, λατρευτού τε καί κήρυκος Ανανίου, τήν τριφεγγή αρετήν μέλψωμεν.

Ω τής υπέρ άνθρωπον, αξίας σου μάκαρ Ανανία! ως γάρ μαθητής ηγάπησας, ώς ποιμήν αναπέπαυσαι, καί ως αθλοφόρος, τώ Χριστώ συνδεδόξασαι, τοίς στεφάνοις μαρτυρικώς αγλαϊζόμενος.

Θεοτοκίον

Άχραντε παναμωμε, τό σκεύος τό τής ευωδίας, αίτησαι Χριστόν όν έτεκες,

Βασιλεί μέν τά τρόπαια, τού τής δουλείας δέ ζυγού, δούναι τήν άνεσιν τώ λαώ σου. σέ γάρ απαύστως μεγαλύνομεν.

Τού Οσίου

Απορεί πάσα γλώσσα

Ταίς ανωτάταις Ένδοξε, χορείαις συνήφθης τών ασωμάτων, ένθα η ανέκφραστος υπάρχει ευφροσύνη, καί διηνεκής απόλαυσις, ένθα εκείνο, τής θεαρχίας φάος υπάρχει καί χαρά, ένθα η ανεκλάλητος, δόξα Μακαριώτατε.

Μετά δικαίων ένδον, εις Θεού θείαν δόξαν κατασκηνώσας, βλέπεις τήν τερπνότητα, τήν άφραστον εκείνην, βλέπεις τήν τρυφήν τήν άληκτον, βλέπεις τά κάλλη τών ουρανών, τά όντως εράσμια σοφέ, βλέπεις Πατριαρχών τάς χορείας, Ρωμανέ ένδοξε.

Σού τήν φωσφόρον μνήμην, τούς πιστώς εκτελούντας, εκ τών κινδύνων λύτρωσαι, πρεσβείαις σου θεόφρον, καί εκ πάσης βλάβης, Ρωμανέ καί θλίψεως τού αλλοτρίου, καί τής επουρανίου αξίωσον τυχείν, δόξης καί βασιλείας τής άνω, μακαριώτατε.

Ωραϊσμένος κάλλει, ασυγκρίτω θεόφρον τώ τής τριαδος, καί πεποικιλμένος λαμπηδόνας εξαστράπτεις, καί περιχαρώς πανόλβιε περιπολεύεις, περί τόν θρόνον όντως τού Κτίστου καί Θεού. Μα εορταζοντων ο ήχος, Ρωμανέ ένδοξε.

Θεοτοκίον

Υπό τής πάλαι πτώσεως, ανθρώπων τό γένος, τού πρωτοπλάστου γέγονεν αιχμάλωτον, Παρθένε Θεοτόκε, καί δεδουλωμένον πάθεσι τής αμαρτίας, αλλ' ο εκ σού τεχθείς, υπεράγαθος Θεός, τούτο τή εαυτού ευσπλαγχνία ανεκαλέσατο.

Ο Ειρμός

«Απορεί πάσα γλώσσα, ευφημείν πρός αξίαν, ιλιγγιά δέ νούς, καί υπερκόσμιος, υμνείν σε Θεοτόκε, όμως αγαθή υπάρχουσα τήν πίστιν δέχου, καί γάρ τόν πόθον οίδας, τόν ένθεον ημών, σύ γάρ Χριστιανών εί προστάτις, σέ μεγαλύνομεν».

Εξαποστειλάριον τού Αποστόλου

Τοίς Μαθηταίς

Αρχαίος μαθητής Χριστού, γεγονως Ανανία, τώ νέω τήν ανάβλεψιν, μαθητή σύ βραβεύεις, Παύλω τώ θείω, διό σε, σύν αυτώ ευφημούμεν, ως ιεράρχην ένθεον, ως Απόστολον θείον, ως αληθή, Μάρτυρα καί κήρυκα θεηγόρον, καί πρεσβευτήν θερμότατον, πάσης τής οικουμένης.

Τού Οσίου καί Θεοτοκίον, ομού

Εν θεοπνεύστοις άσμασι, κατετράνωσας, Μάκαρ, τήν τού Χριστού απόρρητον, θείαν οικονομίαν, καί ύμνοις έστεψας πάντας, Ρωμανέ τούς Αγίους, μεθ' ών φαιδρώς ανύμνησας, τήν αγνήν καί Παρθένον, καί αληθή, τού

Θεού Μητέρα πάνσοφε Πάτερ, μεθ' ής ημών μνημόνευε, παρεστώς τή Τριάδι.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος πλ. δ'
Ανατολίου

Μαθητά τού Σωτήρος, αρχιεράρχα ένδοξε, κλέος Μαρτύρων, Ανανία φωστήρ φαεινότατε, ημών δέ πολιούχε, εκτενώς ικέτευε, ρυσθήναι τήν ποίμνην σου εκ κινδύνων, καί σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον
Ω τού παραδόξου

Ήθη τά μακράν ποιούντά με, τού αγαθού σου Υιού, αγαθή καί πανάμωμε, πόρρωθι απέλασον, τής αθλίας καρδίας μου, καί τόν ζητούντα καί ωρυόμενον, καταπιείν με κάκιστον λέοντα, όφιν τόν δόλιον, σκολιόν καί δράκοντα, τόν πονηρόν, σύντριψον τώ κράτει σου, υπό τούς πόδας μου.

Η Σταυροθεοτοκίον
Αυτόμελον

Ω τού παραδόξου θαύματος! ώ μυστηρίου καινού! ώ φρικτής εγχειρήσεως! η Παρθένος έλεγεν, εν Σταυρώ σε ως έβλεψεν, εν μέσω δύο ληστών κρεμάμενον, όν ανωδίνως φρικτώς εκύησεν, έκλαιε κράζουσα, Οίμοι τέκνον φίλτατον! πώς σε δεινός, δήμος καί αχάριστος, Σταυρώ προσήλωσεν;

Καί τά λοιπά ως συνήθως, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Β' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Ιερομάρτυρος Κυπριανού, καί Ιουστίνης τής Παρθένου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια τών Αγίων τρία.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσι

Ιερέων εν χρίσματι, καί Μαρτύρων εν αίματι τώ Θεώ προσήγγισας, τελεώτατα, Κυπριανέ παναοίδιμε, τό άνθος τής φύσεως, η τών λόγων καλλονή, τής σοφίας ακρόπολις, τής ορθότητος, τών δογμάτων η στάθμη, τών κανόνων, παναρμόνιος ευθύτης. Εκκλησιών η ευπρέπεια.

Τών αθλούντων τήν εύκλειαν, τών Μαρτύρων τόν στέφανον, υπογράφων έπεισας τούς θεόφρονας, κατατολμάν γενναιότατα, ποικίλων κολάσεων, καί δεσμών καί φυλακής, καί σωμάτων γυμνώσεως, καί στρεβλώσεων, καί κρυμού δριμυτάτου καί μαστίγων, καί θανάτου τελευταίον, Κυπριανέ πανσεβάσμιε.

Επωδαίς ταίς τού δαίμονος, τάς ωδάς τάς τού Πνεύματος, καί Σταυρού τό τρόπαιον αντιτάξασα, τήν παρθενίαν ετήρησας, καί Μάρτυς αήττητος, προσηνέχθης τώ Χριστώ, ιερώτατον σφάγιον, όθεν έτυχες, τών στεφάνων τής νίκης, Ιουστίνα, τών Παρθένων καί Μαρτύρων, κεκοσμημένη φαιδρότησι.

Δόξα... Ήχος β'

Διδασκαλίαν τής πλάνης, καί γνώσιν τών ειδώλων, απεδύσω αληθώς, καί Σταυρόν ημφιάσω, όπλον εις σωτηρίαν, Κυπριανέ παμμακάριστε. Έρριψας τάς βίβλους τάς μαγικάς, τόν άνθρωπον απέθου τόν παλαιόν, καί ώκησεν εν σοί θεογνωσία, η τριάς η ομοούσιος. Αυτήν ικέτευε Ιεράρχα, σύν Αγγέλοις τού σωθήναι ημάς.

Καί νύν... Θεοτοκίον

Ότε, εκ τού ξύλου σε

Πάντων, θλιβομένων η χαρά, καί αδικουμένων προστάτις, καί πενομένων τροφή, ξένων τε παράκλησις, χειμαζομένων λιμήν, ασθενούντων επίσκεψις, καταπονουμένων, σκέπη καί αντίληψις, καί βακτηρία τυφλών, Μήτηρ τού Θεού τού υψίστου, σύ υπάρχεις. Άχραντε σπεύσον, δυσωπούμεν ρύσασθαι τούς δούλους σου.

Η Σταυροθεοτοκίον

Ξύλω, τού Σταυρού σε Ιησού, προσαναρτηθέντα ορώσα, η Απειρόγαμος, έκλαιε καί έλεγε. Τέκνον γλυκύτατον, ίνα τί εγκατέλιπες, εμέ τήν τεκούσαν, μόνην φώς απρόσιτον, τού προανάρχου Πατρός; σπεύσον, καί δοξάσθητι όπως, δόξης επιτύχωσι θείας, οι τά θεία πάθη σου δοξάζοντες.

Εις τόν Στίχον, Στιχηρά της Οκτωήχου.

Δόξα... Ήχος β'

Τόν φωστήρα τόν θεολαμπή, τόν τού Παύλου συνόμιλον, καί έργοις συμμέτοχον, Κυπριανόν ευφημήσωμεν, μετ' Αγγέλων γάρ αγάλλεται, λαβών τό στέφος τής αφθαρσίας, παρά τού μόνου Θεού, καί Πρεσβεύει, σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Ότε, εκ ξύλου σε

Άλλην, κραταιάν καταφυγήν, καί ισχύος πύργον καί τείχος, ακαταμάχητον, όντως ου κεκτήμεθα, ειμή σέ Πάναγνε, καί πρός σέ καταφεύγομεν, καί σοί εκβοώμεν. Δέσποινα βοήθησον, μή απολώμεθα, δείξον, εις ημάς τήν σήν χάριν, καί τής δυναστείας τήν δόξαν, καί τής ευσπλαγχνίας σου τό μέγεθος.

Η Σταυροθεοτοκίον

Ότε, η αμίαντος αμνάς, έβλεψε τόν ίδιον άρνα, επί σφαγήν ως βροτόν, θέλοντα ελκόμενον, θρηνούσα έλεγεν, Ατεκνώσαι νύν σπεύδεις με, Χριστέ τήν τεκούσαν, τί τούτο πεποίηκας, ο λυτρωτής τού παντός; όμως, ανυμνώ καί δοξάζω, σού τήν υπέρ νούν τε καί λόγον, άκραν αγαθότητα Φιλάνθρωπε.

Απολυτίκιον Ήχος δ'

Καί τρόπων μέτοχος, καί θρόνων διάδοχος, τών Αποστόλων γενόμενος, τήν πράξιν εύρες Θεόπνευστε, εις θεωρίας επίβασιν, διά τούτο τόν λόγον τής

αληθείας ορθοτομών, καί τή πίστει ενήθλησας μέχρις αίματος, Ιερομάρτυς Κυπριανέ, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, οι Κανόνες της Οκτωήχου καί τών Αγίων ό παρών, ού η Ακροστιχίς.

Μέλπω μάκαρ σου τήν κυπρίζουσαν χάριν.

Ωδή α' Ήχος δ'
Θαλάσσης τό ερυθραίον

Μετά τής υπερκοσμίου τάξεως, νύν αυλιζόμενος, ώ ιερά καί θεία κεφαλή, ουρανόθεν επίβλεψον, καί τούς πιστώς υμνούντάς σε, ταίς σαίς πρεσβείαις περιφρούρησον.

Εν ζόφω,τής αγνωσίας πρότερον, δεινώς κρατούμενος, καί ψυχολέθροις πάθεσι σαρκός, ακρασία πυρούμενος, μεταβολήν παράδοξον, εύρες αθρόως Παμμακάριστε.

Λοιμών μέν, επί καθέδραν πρότερον, Πάτερ εκάθισας, καί εν καθέδρα πάλιν τόν Χριστόν, πρεσβυτέρων εδόξασας, αλλοιωθείς σαφέστατα, τή τού Υψίστου θεία χάριτι.

Θεοτοκίον

Παρθένος, μετά τόν τόκον έμεινας, αυτόν γάρ τέτοκας, τόν Ποιητήν τών όλων καί Θεόν, ασυνήθως καί ξένως ημίν, επιφανέντα σώματι, Θεογεννήτορ Μητροπάρθενε.

Ωδή γ'
Ευφραίνεται επί σοί

Ως Παύλος πρός τόν Χριστόν, τήν τής ψυχής μεταβαλων έφεσιν, Κυπριανέ πάνσοφε, τούτου μαθητής εχρημάτισας.

Μνηστεύεταί σε Χριστός, αντί χιτώνος τών παθών δόξης σοι, καταστολήν δωρούμενος, καί αναγεννήσεως ένδυμα.

Αλείπτης ασκητικός, προγεγονώς καρτερικός υστερον, Κυπριανέ πανεύφημε, Μάρτυς αληθείας γεγένησαι.

Θεοτοκίον

Κυρίως καί αληθώς, σέ Θεοτόκον οι πιστοί σέβομεν, σύ γάρ Θεόν τέτοκας, σάρκα γεγονότα πανάμωμε.

Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλη»σία σου Χριστέ κράζουσα. Σύ μου ισχύς

Κύριε, καί καταφυγή καί στερέωμα».

Κάθισμα Ήχος πλ. δ'
Τήν Σοφίαν καί Λόγον

Παιδευθείς εν τή πλάνη επιμελώς, ως ο Παύλος εκλήθης εξ ουρανού, σταυρώ οδηγούμενος, πρός τό φώς τό τής γνώσεως, τής γάρ σεμνής Παρθένου, τώ πόθω, φλεγόμενος, δι' αυτής ηρμόσθης, τώ Πλάστη τής κτίσεως, όθεν θριαμβεύσας, τού εχθρού τό ανίσχυρον, σύν αυτή κατηξίωσαι, τού χορού τών Μαρτύρων, Κυπριανέ Ιερώτατε πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα… Καί νύν... Θεοτοκίον

Λογισμοίς ολισθαίνων τοίς πονηροίς, εις βυθόν κατηνέχθην αμαρτιών, καί στένων κραυγάζω σοι, εκ καρδίας Πανάχραντε. Εν εμοί θαυμάστωσον, τό πλούσιον έλεος, καί τής σής ευσπλαγχνίας, τό άπειρον πέλαγος, καί τών οικτιρμών σου, τόν αμέτρητον πλούτον, καί δός μοι μετάνοιαν, καί τού βίου διόρθωσιν, ίνα πόθω κραυγάζω σοι. Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δοθήναί μοι, σέ γάρ έχω ελπίδα, ο ανάξιος δούλός σου.

Η Σταυροθεοτοκίον

Τόν αμνόν καί ποι.μένα καί λυτρωτήν, η αμνάς θεωρούσα εν τώ Σταυρώ, ωλόλυζε δακρύουσα, καί πικρώς ανεκραύγαζεν. Ο μέν Κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήν περ υπομένεις, διά σπλάγχνα ελέους, Θεέ υπεράγαθε, ανεξίκακε Κύριε, ή πιστώς εκβοήσωμεν. Σπλαγχνίσθητι Παρθένε εφ' ημάς, καί πταισμάτων δώρησαι τήν άφεσιν, τοίς ευσεβώς προσκυνούσιν, αυτού τά παθήματα.

Ωδή δ'
Επαρθέντα σε ιδούσα

Ανανήψας θεοφάντορ τής πρίν μανίας, δαιμονικήν απάτην, καί ψυχόλεθρον πλάνην, πάσαν εθριάμβευσας, καί χαίρων εκραύγαζες. Δόξα τή δυνάμει σου Κύριε.

Ρωμαλέως Ιουστίνα κραταιουμένη, καί τήν αγνήν Παρθένον, καί κεχαριτωμένην σφόδρα ικετεύουσα, τούς βρόχους διέφυγες, καί τά τών εχθρών μηχανήματα.

Στηριζομένη τή πίστει τού σού Νυμφίου, καί τού Σταυρού τήν δύναμιν περιβεβλημένη, δαίμοσιν ανάλωτος, βοώσα διέμεινας. Δόξα τή δυνάμει σου Κύριε.

Θεοτοκίον

Ο κατά φύσιν ελεύθερος τήν ιδίαν, δούλου μορφήν επτώχευσε, χρηστότητος πλούτω, Μήτερ αειπάρθενε εκ σού καθ' υπόστασιν, όλον προσλαβών τό ανθρώπινον.

Ωδή ε'

Σύ Κύριέ μου φώς

Υπέρμαχον σαφώς, τήν αγνήν θεομήτορα, πλουτίσασα Ιουστίνα, τήν σεπτήν παρθενίαν, ετήρησας αμώμητον.

Τό έμψυχον Θεού, καί τερπνότατον άγαλμα, τιμήσωμεν Ιουστίναν, τό απόθετον κάλλος, τό άσυλον ανάθη μα.

Η νύμφη τού Χριστού, η γνησία καί άσπιλος, τήν άθλησιν τή ασκήσει, προσλαβούσα δικαίως, διπλούν στέφος κομίζεται.

Θεοτοκίον

Νούς ουκ αγγελικός, ουκ ανθρώπινος δύναται, τό άφραστον ερμηνεύσαι καί παράδοξον θαύμα, τού τόκου σου Πανάχραντε.

Ωδή ς'

Θύσω σοι, μετά φωνής

Κακίας, τόν πυθμένα τόν κάτω κατείληφας, τής ακροτάτης δέ πάλιν, αρετής ανήλθες Πάτερ εις ύψος, παραδόξως, αλλοιωθείς τώ θείω βαπτίσματι.

Υπήρξας, υπηρέτης δαιμόνων τό πρότερον, αλλά Χριστού θεοφάντορ, μαθητής εσύστερον ανεδείχθης, διαθέσει, τών ορεκτών ποθήσας τό έσχατον.

Πολλούς σύ, τώ Δεσπότη προσήγαγες Μάρτυρας, πραγματειών τήν μεγίστην, υποφαίνων αίματι βραχυτάτω, βασιλείαν τών ουρανών θεόφρον ωνήσασθαι.

Θεοτοκίον

Ρήξόν μου, τάς σειράς τών πταισμάτων Θεόνυμφε, τής αμαρτίας τού νόμου, τής ζωής τώ νόμω ελευθερίαν, δωρουμένη, η δοτήρα τού νόμου κυήσασα.

Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Κοντάκιον  Ήχος πλ. δ’

Ως απαρχάς

Ως ιεράρχην τίμιον, καί αθλητήν στερρότατον, η οικουμένη αξίως γεραίρει σε, Κυπριανέ αοίδιμε, καί τοίς ύμνοις δοξάζει, τήν αγίαν σου μνήμην, αιτούσα πάντοτε, πταισμάτων άφεσιν, διά σού δωρηθήναι τοίς μέλπουσιν. Αλληλούϊα.

Ο Οίκος

Τόν σοφόν Ιεράρχην τιμήσωμεν, ως ποιμένα σοφόν καί διδάσκαλον, ότι εξ ακανθών πλάνης ήνθησεν, ώσπερ ρόδον τερπνότατον, καί ημάς τούς πιστούς κατεμύρισεν, ιαμάτων οδμαίς καί βολαίς θαυμάτων. ώστε ψάλλειν ημάς τού Δαυίδ τήν ωδήν. Αλληλούϊα.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Β' τού αυτού μηνός, Μνήμη τού αγίου Ιερομάρτυρος Κυπριανού, καί Ιουστίνης τής Παρθένου.

Στίχοι

Αλγεί Σατανάς, τόν πάλαι φίλον βλέπων,
Ξίφει φιλούντα συνθανείν Ιουστίνη.
Τμήθη δευτερίη σύν Ιουστίνη Κυπριανός.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Θεοφίλου τού Ομολογητού.

Στίχοι

«Εναντίον μου σή τελευτή τιμία»,
Λέγει Θεός σοί τώ φίλω θεοφίλω.

Ο άγιος μάρτυς Γεώργιος, ο εις τό Καρατζασού μαρτυρήσας εν έτει 1794, ξίφει τελειούται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ’

Ο διασώσας εν πυρί

Ιεραρχίας επιβάς, ιεραρχικώτατον τύπον, τοίς ιεράρχαις σεαυτόν, καί εικόνα κραυγάζων ανέδειξας. Υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Ζωαρχικής τής δεξιάς, όντως σή αλλοίωσις Πάτερ, Κυπριανέ, ή καί σοφόν, θεηγόρον ειργάσατο ψάλλοντα. Υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Όπλον αήττητον ημίν, κατά τού αλάστορος Μάκαρ, σύ ανεδείχθης τάς αυτού, στηλιτεύων απάτας τοίς μέλπουσιν. Υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Θεοτοκίον

Υπερουράνιοι χοροί, καί οι επουράνιοι δήμοι, υμνολογούσι τόν εκ σού, Θεοτόκε τεχθέντα κραυγάζοντες. Υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Ωδή η’

Ευφράνθητι Ιερουσαλήμ

Σοφώτατα τής ελληνικής, καταπεφρόνηκας σοφίας ένδοξε, τών Αποστόλων δέ τόν θείον φθόγγον, Πνεύματι τόν κρουόμενον Πάτερ, καί πυρίνη γλώσση τρανώς εκφωνούμενον, ανεβόας. Ευλογείτε τά έργατόν Κύριον.

Ανέδραμες πρός τά υψηλά, καί υπερκόσμια φαιδρώς σκηνώματα, Χριστώ δι' αίματος ως ιερείον, άμωμον προσαγόμενος Πάτερ, καί θυσία ζώσα δεκτή καί ευάρεστος, αναμέλπων. Ευλογείτε τά έργα τόν Κύριον.

Νικώμεναι υπό τής εν σοί, σκηνούσης χάριτος δαιμόνων φάλαγγες, αποδιώκονται, καί δραπετεύει, πάθη Κυπριανέ τών νοσούντων, οι πιστοί δέ

θείου φωτός εμφορούμενοι, βοώμεν. Ευλογείτε τά έργα τόν Κύριον.

Θεοτοκίον

Χορεύουσι σύν αγγελικαίς, Αγνή Δυνάμεσιν επί τώ τόκω σου, οι θεομήτορα καί Θεοτόκον, πίστει σε καταγγέλλοντες, σύ γάρ τον Δεσπότην καί λυτρωτήν ημών τέτοκας, ώ βοώμεν. Ευλογείτε τά έργα τόν Κύριον.

Ο Ειρμός

«Ευφράνθητι Ιερουσαλήμ, πανηγυρίσατε οι αγαπώντες Σιών, ο βασιλεύς γάρ εις τούς αιώνας, Κύριος τών Δυνάμεων ήλθεν ευλαβείσθω πάσα η γή εκ προσώπου αύτού, καί βοάτω. Ευλογείτε τά έργα τόν Κύριον».

Ωδή θ'

Εύα μέν τώ τής παρακοής

Άνωθεν ημάς τούς ευσεβώς υμνούντάς σε, εποπτεύων θεία χάριτι, Κυπριανέ σαίς ικεσίαις, εν όπλω, ευδοκίας στεφάνωσον, ειρήνην καί σωτηρίαν βραβεύων ημίν, ως ιεράρχης ενθεώτατος.

Ρείθρον ιαμάτων δαψιλώς η κόνις σου, τοίς ποθούσιν αναδέδεικται, σέ γάρ γυναίκες θεοφόροι, ως θείον θησαυρόν υποδέχονται, καί πρόθυμοι φανερούσι κρυπτόμενον, ίνα σου πάντες απολαύσωμεν.

Ίθυνον ημών πρός τόν Χριστόν Πανόλβιε, τήν πορείαν διά πράξεως, καί θεαρέστου πολιτείας, καί ειλικρινεστάτης καθάρσεως, τήν όντως θείαν γαλήνην αιτούμενος, ως ιεράρχης συμπαθέστατος.

Θεοτοκίον

Νεύρωσον ημών τήν τής ψυχής ασθένειαν, θεομήτορ τή δυνάμει σου, λύσον τό κράτος Παναγία, τών επιτιθεμένων τοίς δούλοις σου, η κόσμω δικαιοσύνης τόν Ήλιον, ανερμηνεύτως ανατείλασα.

Ο Ειρμός

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν είσω κίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν».

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Τόν πρότερον υπάρχοντα, κακίας μύστην ύστερον, διά τιμίας Παρθένου, Αρχιερέα φανέντα, Κυπριανόν τόν μέγιστον, συμφώνως μακαρίσωμεν, καί πρός αυτόν βοήσωμεν. Ταίς σαίς λιταίς εύμενίζου, ημίν τών πάντων Δεσπότην.

Θεοτοκίον όμοιον

Χαράν τήν ανεκλάλητον, πάναγνε η κυήσασα, χαράς ημάς αιωνίου, μετόχους ποίησον πάντας, Παρθένε θεονύμφευτε, η σκέπη τό κραταίωμα, τών ευσεβώς βοώντων σοι. Μή επιλάθη σών δούλων, Θεοκυήτορ Μαρία.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα… Ήχος πλ. δ’

Ο τής κακίας πρότερον, ακριβής υπέρμαχος, τής Εκκλησίας ύστερον, αληθής διδάσκαλος, ο λειτουργός τής πλάνης τών ειδώλων, αρχιερεύς τής πίστεως εφάνη, καί ο ακόλαστος, σώφρων διά τιμίας Παρθένου. Αμφοτέρων ταίς ευχαίς, σώσον ημάς Κύριε.

Καί νύν… Θεοτοκίον

Ώ τού παραδόξου

Πώς σου τήν χάριν υμνήσαιμι, καί τήν πολλήν πρός εμέ, τόν ανάξιον δούλόν σου, καθ' εκάστην πρόνοιαν, ήν σαφώς επιδείκνυσαι; πώς δέ σου φράσω τήν αγαθότητα, καί τήν ποικίλην όντως κυβέρνησιν; Σύ ούν καί έτι νύν, εις αεί μου πρόστηθι, παντός κακού, ζώντα καί θανόντα με, εκλυτρουμένη Σεμνή.

Η Σταυροθεοτοκίον

Σέ καθηλούμενον βλέπουσα, εν τώ Σταυρώ Ιησού, καί τά πάθη δεχόμενον, εκουσίως Δέσποινα, η Παρθένος καί Μήτηρ σου, Τέκνον εβόα, τέκνον γλυκύτατον, πληγάς αδίκως, πώς φέρεις ο ιατρός; ο ιασάμενος, βροτών τήν ασθένειαν, καί τής φθοράς, άπαντας ρυσάμενος, τή εύσπλαγχνία σου.

Καί η λοιπή Ακολουθία του Όρθρου, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Γ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Ιερομάρτυρος Διονυσίου τού Αρεοπαγίτου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Είς τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'

Πανεύφημοι Μάρτυρες

Αγκίστρω τής χάριτος σοφώς, ο Παύλος ο ένθεος, δημηγορήσας εζώγρησεν, Ιεροφάντορα, καί τών απορρήτων, θεωρόν ειργάσατο, σέ σκεύος εκλογής θεασάμενος, μεθ' ού δυσώπησον, θεορρήμον Διονύσιε, τού σωθήναι, τούς πόθω υμνούντάς σε.

Αγγέλοις ομότιμον τόν νούν, Πάτερ Διονύσιε, δι' αρετής εργασάμενος, τήν υπερκόσμιον, τής ιεραρχίας, ευταξίαν πάνσοφε, εν βίβλοις ιεροίς ανιστόρησας, καθ' ήν ερρύθμισας, Εκκλησίας τά συστήματα, ουρανίων, τάς τάξεις μιμούμενος.

Εμφιλοσοφώτατα Θεώ μάκαρ Διονύσιε, ως δυνατόν ομοιούμενος, τών ονομάτων σύ, μυστικώς τών θείων, ευσεβώς εξήπλωσας, τήν ένθεον θεόφρον ανάπτυξιν, ενώσει κρείττονι, μυηθείς τά υπέρ έννοιαν, καί μυήσας, τού κόσμου τά πέρατα.

Δόξα... Ήχος β’

Ανδρέου Ιεροσολυμίτου, οι δέ, Βυζαντίου.

Δεύτε συμφώνως οι πιστοί, τήν ετήσιον μνήμην τών ιεραρχών ευφημήσωμεν, Διονυσίου τε καί Κυπριανού, ο μέν γάρ, καταπτύσας τών Στωϊκών φιλοσόφων, καί τώ σκεύει τής εκλογής μαθητευθείς, τών απορρήτων μυστηρίων γνώστης εγένετο, ο δέ, διά τής καλλίστης παρθένου Ιουστίνης, τήν διάνοιαν φωτισθείς, τήν τών δαιμόνων απάτην εξέφυγε, καί τάς μαγικάς βίβλους εν πυρί αναλώσας, τού Ευαγγελίου κήρυξ γέγονε. Διό καί ημείς οι αμαρτωλοί, τόν δοξάσαντα τούτους, δοξολογούντες Σωτήρα βοήσωμεν, ο τούς σούς Αθλοφόρους στεφανώσας εν δόξη, Χριστέ ό Θεός, ταίς αυτών ικεσίαις, σώσον τάς ψυχάς ημών.

Καί νύν… Θεοτοκίον

Ότε, εκ τού ξύλου σε

Χαίρε, πάσα κτίσις σοι βοά, χαίρε Παναγία Παρθένε, χαίρε τό σκήπτρον Δαυϊδ, χαίρε η βλαστήσασα τόν βότρυν τόν μυστικόν, χαίρε πύλη ουράνιε, καί άφλεκτε βάτε, χαίρε φώς παγκόσμιον, χαίρε η πάντων χαρά, χαίρε, Αποστόλων τό κλέος, χαίρε η αντίληψις, χαίρε, προστασία πάντων τών τιμώντων σε.

Η Σταυροθεοτοκίον

Ότε, η Πανάμωμος αμνάς, άρνα τόν αυτής εθεώρει, ελκόμενον πρός σφαγήν, θρήνοις ενεκόπτετο, αναβοώσα πικρώς. Τί σοι δήμος αχάριστος, γλυκύτατον τέκνον, πάλαι ανταπέδωκεν, ο απολαύσας σου, οίμοι! τών πολλών δωρημάτων, πώς δέ καί τόν πόνον υποίσω, ότι θέλων ταύτα νύν υφίστασαι;

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος δ'

Της ουρανίου γνώσεως, αθεώρητον βυθόν σε καλέσωμεν, λαμπρότατε Μάρτυς τού Χριστού, ως γάρ οπλίτην, καί στερρόν υπέρμαχον τής Εκκλησίας, ανυμνούμέν σε σοφέ, πυρί γάρ ελλαμφθείς τώ αγνοτάτω ηξιώθης άμα ταίς άνω στρατολογίαις, τό φωτεινόν περιβόλαιον, ενδύσασθαι Χριστόν, καί λαμπρυνθήναι τή αίγλη τού Πνεύματος, τόν νούν Διονύσιε, διό σου τήν παγκόσμιον μνήμην πανηγυρίζοντες, πιστώς δοξάζομεν, τόν δοξάσαντά σε Κύριον.

Καί νύν… Θεοτοκίον

Ως γενναίον

Από πάσης με θλίψεως, καί παντοίας κακώσεως, καί δεινής εκλύτρωσαι περιστάσεως, καί πειρασμών πολυτρόπων με, ταίς θείαις πρεσβείαις σου, καί σκανδάλων πονηρών, εξ ανθρώπων μισούντων με, καί δαιμόνων δέ, τών ζητούντων εκάστης απολέσαι, τής ημέρας Θεοτόκε, τόν προστασίαν σε θέμενον.

Η Σταυροθεοτοκίον

Ως εώρακε Κύριε, η Παρθένος καί Μήτηρ σου, εν Σταυρώ κρεμάμενον, επωδύρετο, καί θρηνωδούσα εφθέγγετο. Τί σοι ανταπέδωκαν, οι πολλών σου δωρεών, απολαύσαντες Δέσποτα; Αλλά δέομαι. Μή με μόνην εάσης εν τώ κόσμω, αλλά σπεύσον αναστήναι, συνανιστών τους προπάτορας.

Απολυτίκιον  Ήχος δ'

Χρηστότητα εκδιδαχθείς, καί νήφων εν πάσιν, αγαθήν συνείδησιν ιεροπρεπώς ενδυσάμενος, ήντλησας εκ τού σκεύους τής εκλογής τά απόρρητα, καί τήν πίστιν τηρήσας, τόν Ίσον δρόμον τετέλεκας, Ιερομάρτυς Διονύσιε. Πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί του Αγίου ούτος, ού η Ακροστιχίς.

Τόν νούν γεραίρω τών σοφών διδαγμάτων.

Ποίημα Θεοφάνους

Ωδή α'  Ήχος πλ. δ'

Υγράν διοδεύσας

Τώ Παύλω τώ θείω μαθητευθείς, τώ τών ουρανίων, Διονύσιε θεατή, ουράνιος μύστης παραυτίκα, καί θεηγόρος εχρημάτισας.

Ο χάριτι θεία καταυγασθείς, καταύγασον Μάκαρ, τών υμνούντων σε τάς ψυχάς, τάς σάς συνιέναι θεοπνεύστους, διδασκαλίας Διονύσιε.

Νοός καθαρότητι καί ψυχής, τών επουρανίων διακόσμων τάς αστραπάς, μαθείν ηξιώθης καί τάς τούτων, χοροστασίας ιδείν Διονύσιε.

Θεοτοκίον

Νυμφων φωτοφόρος τής υπέρ νούν, σαρκώσεως ώφθης, τού τών όλων Δημιουργού, εκ σού τήν σάρκα Θεομήτορ, τήν ημετέραν ημφιάσατο.

Ωδή γ'

Ουρανίων αψίδων, υπεραρθείς Όσιε, τών υπερκοσμίων τάς τάξεις καί τά στρατεύματα, καί τάς λαμπρότητας, υψηγορίαις τών λόγων, καί πανσόφοις φράσεσι, πάσιν ετράνωσας.

Υψηλής θεωρίας, εμφορηθείς Ένδοξε, τήν τών ονομάτων τών θείων, πάσαν ανάπτυξιν, εθεολόγησας, Τριαδικός θεολόγος, γεγονώς τή χάριτι, θεομακάριστε.

Νεκρωθείς τοίς παρούσι, τώ πρός Θεόν έρωτι, καί φιλοσοφία συντόνως εγγυμνασάμενος, τών υπέρ έννοιαν, ζωοποιών χαρισμάτων, θεοφόρον όργανον, Πάτερ γεγένησαι.

Θεοτοκίον

Γεωργία Παρθένε, τού παντουργού Πνεύματος, σώμα τώ Δεσπότη τών όλων εκαρποφόρησας, εν ώ κατέκρινε, τήν αμαρτίαν τού κόσμου, καί ζωήν

επήγασε, τήν αιων ίζουσαν.

Ο Ειρμός

«Ουρανίας αψίδος, οροφουργέ Κύριε, καί τής Εκκλησίας δομήτορ, σύ με στερέωσον, εν τή αγάπη τή σή, τών εφετών η ακρότης, τών πιστών τό στήριγμα, μό»νε φιλάνθρωπε».

Κάθισμα  Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Ως τού σκεύους υπάρχων τής εκλογής, απεικόνισμα θείον ως αληθώς, τά θεία μυστήρια, εκδιδάσκεις τώ Πνεύματι. Καί φωτισθείς τή χάριτι, τής θείας ελλάμψεως, τάς τών Αγγέλων τάξεις, τρανώς διεσάφησας, όθεν καί τώ κόσμω, νοητώς καταλείψας, τά θειά σου δόγματα, κατεφώτισας άπαντα, Ιερομύστα Διονύσιε. Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Καί νύν... Θεοτοκίον

Του Ηλίου νεφέλη τού νοητού, θείου φέγγους λυχνία χρυσοφαής, άσπιλε αμόλυντε, παναμώμητε Δέσποινα, τήν σκοτεινήν ψυχήν μου, τυφλώττουσαν πάθεσι, τής απαθείας αίγλη, καταύγασον δέομαι, καί μεμολυσμένην, τήν καρδίαν μου πλύνον, ροαίς κατανύξεως, μετανοίας τε δάκρυσι, καί τού ρύπου με κάθαρον, πρεσβεύουσα Χριστώ τώ Θεώ, τών πταισμάτων δούναί μοι τήν άφεσιν, τώ ευσεβώς προσκυνούντι, τόν πανάγιον τόκον σου.

Η Σταυροθεοτοκίον

Τόν αμνόν καί ποιμένα καί λυτρωτήν, η αμνάς θεωρούσα εν τώ Σταυρώ, ωλόλυζε δακρύουσα, καί πικρώς ανεκραύγαζεν, ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήν περ υπομένεις, διά σπλάγχνα ελέους, Θεέ υπεράγαθε, ανεξίκακε Κύριε. ή πιστώς εκβοήσωμεν. Σπλαγχνίσθητι Παρθένε εφ' ημάς, καί πταισμάτων δώρησαι την άφεσιν, τοίς ευσεβώς προσκυνούσιν, αυτού τά παθήματα.

Ωδή δ'

Σύ μου ισχύς, Κύριε

Εκκλησιών, τήν ευκοσμίαν ερρυθμισας, εν αυταίς γάρ, Πάτερ εζωγράφησας, μορφωτικαίς, τύπους εμφανείς, ιεροπλαστίαις, τών αμορφώτων Δυνάμεων, δι' ών μυσταγωγείται, καί φωτίζεται πάσα, τών πιστών η θεόφρων ομήγυρις.

Ρείθρα τής σής, θεολογίας Θεόληπτε, τούς λειμώνας, άγαν καταρδεύουσι, τούς λογικούς καί αειθαλείς, καί πεφυτευμένους, επί δογμάτων ορθότητι. Μονάδα γάρ ουσίας, εν Τριάδι προσώπων, την σεπτήν Μοναρχίαν εκήρυξας.

Αγγελικής, ιεραρχίας τόν σύντονον, ιεράρχα, πόθον καί τόν έρωτα, πρός τόν Θεόν, καί τήν ακλινή, νεύσιν πρός τό ύψος, τό θείον καί ακατάληπτον, εδίδαξας εμφρόνως, τούς εν πίστει βοώντας. Τή δυνάμει σου δόξα φιλάνθρωπε.

### Θεοτοκίον

Ιερουργός, τής σωτηρίας εγένετο, ο Υιός σου, πάσι τοίς υμνούσί σε, καί ποδηγός καί φωταγωγός, καί δικαιοσύνη, Παρθένε καί απολύτρωσις, διό σε Θεοτόκον, αληθώς καί κυρίως, οι πιστοί ομοφρόνως δοξάζομεν.

### Ωδή ε’

### Ίνα τί με απώσω

Ρημάτων σου ο φθόγγος, ώσπερ τις ουράνιος ήχος φερόμενος, τάς αθέους φρένας, κατεβρόντησε λόγω τής χάριτος, καί δογμάτων θείων, μαρμαρυγαίς ταίς φανοτάταις, τών πιστών τάς καρδίας ελάμπρυνεν.

Ωμοιώθης εμπόρω, τώ τούς μαργαρίτας ζητούντι πανόλβιε, καί ευρών τόν ένα, μαργαρίτην τόν όντως πολύτιμον, καί θαυμάσας τούτου, τάς θεουργούς φωτοβολίας, Ιεράρχα θεόν ωμολόγησας.

Τήν πηγήν τής σοφίας, εμφιλοσοφώτατα, Πάτερ ηγάπησας, καί τώ ταύτης φίλτρω, καί αγάπη συμπεριφερόμενος, πολλοστός εγένου, καί ποταμούς θείων ναμάτων, αενάως πηγάζεις Θεόληπτε.

### Θεοτοκίον

Ως κεχαριτωμένη, την καλλοποιόν υπεδέξω ευπρέπειαν, τήν τά πάντα μόνω, τώ βουλήματι κατασκευάσασαν, καί τώ θείω κάλλει, καί φωτισμώ τής ευσεβείας, Θεομήτορ ημάς καλλωπίσασαν.

### Ωδή ς'

### Ιλάσθητί μοι Σωτήρ

Νομίμως φιλοσοφών, σοφίας δώρων επέτυχες, ενθέως θεολογών, ορθόδοξα δόγματα, Παμμάκαρ κατέλιπες, ών κατατρυφώντες, οι πιστοί σέ μακαρίζομεν.

Συνέσει θεοπρεπεί, θεόφρον καλλωπιζόμενος, τώ θείω μυσταγωγώ, τό ούς σου υπέκλινας, καί τήν υπερκόσμιον, υπ' αυτού σοφίαν, εμυήθης Διονύσιε.

Ο βίος σου θαυμαστός, ο λόγος θαυμασιώτερος, η γλώσσά σου φωταυγής, τό στόμα πυρίπνοον, μάκαρ Διονύσιε, ο δέ νούς σου Πάτερ, ακριβώς θεοειδέστατος.

### Θεοτοκίον

Φωνήν σοι τού Γαβριήλ, τό Χαίρε πίστει κραυγάζομεν, εξ ής αφράστως ημίν, ό ζωαρχικώτατος, ανήρ εχρημάτισε, καί συνανεστράφη, τοίς ανθρώποις ο φιλάνθρωπος.

### Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα. Καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

### Κοντάκιον Ήχος πλ. δ’

### Τή υπερμάχω

Τάς ουρανίους διαβάς πύλας εν πνεύματι, μαθητευθείς τώ υπέρ τρείς ουρανούς φθάσαντι, Αποστόλω Διονύσιε τών αρρήτων, επλουτίσθης πάσαν γνώσιν καί κατηύγασας, τούς εν σκότει αγνωσίας πρίν καθεύδοντας, διό κράζομεν, Χαίροις Πάτερ παγκόσμιε.

Ο Οίκος

Άγγελος εξ ανθρώπων αρεταίς χρηματίσας, ο μέγας Διονύσιος πάσαν, ως υπόπτερος, εμυήθη τόν νούν τήν ουράνιον γνώσιν, διό άσμασιν, ως Άγγελον τιμήσωμεν, βοώντες πρός αυτόν τοιαύτα.

Χαίρε, ο γνούς Χριστόν διά Παύλου, χαίρε, πολλούς πρός Χριστόν επιστρέψας.

Χαίρε, πολυθέου σκηνής ολετήριον, χαίρε, θεογνώστου βουλής σκοπευτήριον.

Χαίρε, βίβλος θεοχάρακτος, μυστηρίων θησαυρέ, χαίρε πίναξ θεομόρφωτε, καί διόπτρα ουρανού.

Χαίρε, ότι τό Πάθος τού Κυρίου κατείδες, χαίρε, ότι προθύμως δι' αυτόν σφαγιάζη.

Χαίρε, πηγή βλυστάνουσα άφεσιν, χαίρε, ρανίς κοιλαίνουσα άνοιαν.

Χαίρε, οδός απλανής σωτηρίας, χαίρε, φραγμός ασεβών παροδίας.

Χαίροις, Πάτερ παγκόσμιε.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Γ ’ τού αυτού μηνός, Μνήμη τού Αγίου Ιερομάρτυρος Διονυσίου τού Αρεοπαγίτου.

Στίχοι

Τέμνη κεφαλήν, καί τό λοιπόν ως μέγα!
Άρας γάρ αυτήν, Διονύσιε τρέχεις.
Τμηθείς Διονύσιε τρίτη κεφαλήν θέες αίρων.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Ρουστικού καί Ελευθερίου.

Στίχοι

Ελευθέριον καί Ρουστικόν τό ξίφος,
Ελευθέρους τίθησι καί τών γηίνων.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Θεοκτίστου.

Στίχοι

Κτίστη σέβας δούς θεόκτιστος, ου κτίσει,
Χαίρων κεφαλής τήν αφαίρεσιν φέρει.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Ιερομάρτυρος Διονυσίου καί τών σύν αυτώ οκτώ Μαρτύρων.

Στίχοι

Διονύσιος σύν συναθλων οκτάδι,
Ζόφου μεταστάς, φωτός οικεί χωρίον.

Τή αυτή ημέρα, Μνήμη τού Αγιου Μάρτυρος θεαγένους.

Στίχοι

Ως ήλθεν εν χρώ τής πυράς θεαγένης,
Εισήλθεν αυτήν ου ταραχθείς τή θέα.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Θεοτέκνου.

Στίχοι

«Άπαξ ελεύσθην» καί θεότεκνος λέγει,
Ως Παύλος είπε, πρός Κορινθίους γράφων.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος, Αδαύκτου.

Στίχοι

Ξίφει θανών, Άδαυκτε Μάρτυς Κυρίου,
Σύν Μάρτυσι ζής, καί Θεόν ζώντα βλέπεις.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Ιωάννου τού Χοζεβίτου, Επισκόπου Καισαρείας.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ’

Θεού συγκατάβασιν

Ως όμβρος ουράνιος, εν γή διψώση τά σά διδάγματα, τών πιστών τάς καρδίας, αεί ποθούσας καταπιαίνουσι, καί ακορέστως βοάν εκδιδάσκουσιν. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Νοήσει θεόφρονι, τούς ασωμάτους Νόας διέγραψας, καί τάς τούτων Παμμάκαρ, υμνολογίας ένθους γενόμενος, τήν Εκκλησίαν υμνείν εξεπαίδευσας. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Δοχείον τού Πνεύματος, τού Παναγίου ώφθης ευάρμοστον, καί τάς τούτου εμπνεύσεις, καί φανερώσεις προφητικώτατα, προαγορεύων, εβόας γηθόμενος. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Ιδού νύν πεπλήρωται, τού Ησαϊου η προαγόρευσις, εν γαστρί γάρ Παρθένε, τόν Θεόν Λόγον έσχες, καί τέτοκας τόν Ζωοδότην, ώ πάντες κραυγάζομεν. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Ωδή η’

Επταπλασίως κάμινον

Διαφανές ως έσοπτρον, γεγονώς Διονύσιε, καί χωρητικόν τών καθαρών εμφάσεων, τόν νούν εργασάμενος, δι' αρετής πανόλβιε, τάς μαρμαρυγάς, τών υπέρ νούν λαμπηδόνων, δεχόμενος εβόας. Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Αφθονωτέρα χάρις σου, εξεχύθη τοίς χείλεσιν, όθεν τάς ενθέους, διδαχάς

Παρέθηκας, τήν τούτων διάνοιαν, υπερφυώς ημίν εξαπλών, καί διατρανών, καί τηλαυγώς αναπτύσσων, τοίς πίστει μελωδούσιν. Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Γνωριμωτέρα γέγονε, διά σού Διονύσιε, η τών Αθηνών πανευκλεής Μητρόπολις, Χριστώ προσενέγκασα, σέ απαρχήν πανίερον, τώ Παμβασιλεί, διηνεκώς μελωδούντα, οι παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Μήτηρ Θεού Πανάμωμε, τής ψυχής μου τά τραύματα, καί τής αμαρτίας, τάς ουλάς εξάλειψον. Υιόν γάρ εγέννησας, τόν εξουσίαν έχοντα, τούς πεπεδημένους ταίς σειραίς τών πταισμάτων, ευκόλως ανιέναι τών δεσμών τών αλύτων, τόν μόνον ευεργέτην, καί μόνον ζωοδότην.

Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν, εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τού τους ιδών. Τόν Δημιουργόν, καί Λυτρωτήν ανεβόα, οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

## Ωδή θ’

Εξέστη επί τούτω ο ουρανός

Αγίων Αποστόλων αξιωθείς, θεατής χρηματίσαι καί σύμπονος, συγκοινωνός, γέγονας τής δόξης καί σύν αυτοίς, επί τήν θέαν έσπευσας, σώματος τού όντως ζωαρχικού, τής μόνης Θεοτόκου, καί σεβασμιωτάτης. ήν επαξίως μεγαλύνομεν.

Τής θείας βασιλείας εν ουρανοίς, κληρονόμος εγένου ως έννομος, Αρχιερεύς, Πάτερ ως αήττητος αθλητής, ιερωσύνης χρίσματι, αίμα συγκεράσας μαρτυρικόν, διό διπλούς στεφάνους, απείληφας αξίως, Ιερομύστα Διονύσιε.

Ως έχων παρρησίαν πρός τόν Θεόν, ιεράρχα σοφέ Διονύσιε, διά παντός, πρέσβευε ρυσθήναι εκ πειρασμών, τούς ευσεβώς υμνούντάς σε, μύστα τών αρρήτων θεωριών, ως τής κρυφιομύστου, καί θεαρχικωτάτης, ιεροφάντης αγαθότητος.

Θεοτοκιον

Νικώσαν τάς αιρέσεις θριαμβικώς, τήν σεπτήν Εκκλησίαν ανάδειξον, ήν ο Χριστός, αίματι τιμίω, τώ εαυτού, ως αγαθός εκτήσατο, Κεχαριτωμένη ο σός υιός, καί σώσον εκ κινδύνων, καί τής αμηχανίας, τής κατεχούσης ημάς λύτρωσαι.

Ο Ειρμός

«Εξέστη επί τούτω ο ουρανός, καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι μεγαλύνουσιν».

Εξαποστειλάριον
Τοίς Μαθηταίς

Τώ Παύλω Διονύσιε, τώ κλεινώ κορυφαίω, μαθητευθείς πανόλβιε, υπ' αυτού εμυήθης, τών αποκρύφων τήν γνώσιν, όθεν σε καί λαμπτήρα, τή Εκκλησία τίθησιν, Αθηνών προχειρίσας, τής ευσεβούς, Ιεράρχην πόλεως, ήν φυλάττοις, ορθοδοξούσαν πάνσοφε, σαίς ευχαίς θεοκήρυξ.

Θεοτοκίον

Εν τή σεπτή κοιμήσει σου, Παναγία Παρθένε, παρήν ό Διονύσιος, σύν τώ Ιεροθέω, καί Τιμοθέω τώ θείω, Άμα τοίς, Αποστόλοις, έκαστος ύμνον άδοντες, πρόσφορον τή σή μνήμη, μεθ' ών καί νύν, πάσα γλώσσα βρότειος ανυμνεί σε, τήν τού Θεού λοχεύτριαν, καί τού κόσμου προστάτιν.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος πλ. δ'
Γερμανού

Εν Ιερεύσι καί Μάρτυσι διαπρέψας Όσιε, πιστός ανεδείχθης Ποίμήν, τού Χριστού πιών τό ποτήριον, διό εν εκατέροις ευαρεστήσας αυτώ τώ Χριστώ, πρέσβευε υπέρ πάντων ημών, σύν τοίς άνω Λειτουργοίς, εν φωτί νύν αυλιζόμενος.

Καί νύν... Θεοτοκίον
Ω τού παραδόξου θαύματος

Άπασαν έξωσον Δέσποινα, τής ταπεινής μου ψυχής, ραθυμίαν, ατέλειαν, ακηδίαν, άνοιαν, ασωτίαν, ασέλγειαν, αντιλογίαν, ανηκοΐαν δεινήν, τών προσταγμάτων τού θείου Πνεύματος, πάσαν πρός τούτοις δέ, απληστίαν, άγνοιαν, ασυμπαθή, τρόπον ασυνείδητον, γνώμην καί σώσόν με.

Η Σταυροθεοτοκίον
Κύριε, εί καί κριτηρίω

Άναρχε Λόγε τού Πατρός ώ Υιέ μου, καί τώ Πνευματι σύνθρονε, πώς τάς σάς αχράντους παλάμας, επί τού ξύλου εξέτεινας; τίς η τοσαύτη σου νύν, πτωχεία υπεράγαθε; παρισταμένη τή σή σταυρώσει, ανεβόα η Πανάμωμος.

Καί τά λοιπά, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Δ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού εν Αγίοις Πατρός ημών Ιεροθέου, Επισκόπου Αθηνών.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια τού Αγίου τρία.

Ηχος α'
Πανεύφημοι Μάρτυρες

Ο φωτοειδέστατος Χριστού, έρως καί θειότατος, τήν σήν ψυχήν

κατελάμπρυνε, καί τήν διάνοιαν, γλυκυτάτω φέγγει, ευσεβώς επύρσευσε, καί πάσαν αισθητήν ηδυπάθειαν, ώς πύρ κατέφλεξεν, ουρανίων επιλάμψεων, εκτελέσας,δοχείον πανέντιμον.

Η μεγαλοπρέπεια τών σών, λόγων Ιερόθεε, καί τών σοφών αποδείξεων, η παναρμόνιος, καί ακριβεστάτη, αγωγή καί μέθοδος, επιστημονικής διαθέσεως, καρπός γνωρίζεται, καί φωτίζει τούς προστρέχοντας, καί σοφίζει τούς αναγνώσκοντας.

Τό περιφανέστατον τών σών, συνταγμάτων Όσιε, περί τά θεία θεάματα, ο Διονύσιος, ο πολύς τά θεία, τοίς πιστοίς εκήρυξε, καί τό υπερφυές τών δογμάτων σου, μεθ' ού δυσώπησον, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Δόξα… Καί νύν... Θεοτοκίον

Παρθένε πανύμνητε Μωσής, τό εν σοί μυστήριον, προφητικοίς ειδεν όμμασι, βάτον τήν άφλεκτον, καίπερ καιομένην, πύρ γάρ τής θεότητος, τήν μήτραν σου Αγνή ού κατέφλεξε. διό αιτούμέν σε, ως Μητέρα τού Θεού ημών, τήν ειρήνην, παράσχου τοίς δούλοις σου.

Η Σταυροθεοτοκίον

Σφαγήν σου τήν άδικον Χριστέ, η Παρθένος βλέπουσα, οδυρομένη εβόα σοι. Τέκνον γλυκύτατον, πώς αδίκως θνήσκεις, πώς τώ ξύλω κρέμασαι, ο πάσαν γήν κρεμάσας τοίς ύδασι; Μή λίπης μονην με, Ευεργέτα πολυέλεε, τήν μητέρα, καί δούλην σου δέομαι.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τού Αγίου ο παρών, ού ή Ακροστιχίς.

Τήν φωσφόρον σου, Παμμάκαρ μνήμην σέβω.
Θεοφάνους

Ωδή α' Ήχος πλ. δ'
Υγράν διοδεύσας

Τόν ουρανοφοίτην μυσταγωγόν, θεόληπτον Παύλον, τόν τού κόσμου σαγηνευτήν, διδάσκαλον έχων θεωρίας, τής ανωτάτω μύστης γέγονας.

Η πνευματοκίνητος εμφανώς, τού Παύλου σε γλώσσα, φθεγγομένη τά τού Θεού, μυστήρια Μάκαρ παριέσχε, καί θεηγόρον απειργάσατο.

Νυττόμενος πόθω πνευματικώ, καί θείοις λογίοις, εν συνέσει προσομιλών, τώ πάντων Δεσπότη
πανιέρους, θεολογίας ανατέθεικας.

Θεοτοκίον

Φωτός αϊδίου θεοπρεπές, δοχείον Παρθένε, γενομένη καί καθαρόν, κηλίδων

με πάσης αμαρτίας, καί μολυσμάτων πλύνον Δέσποινα.

Ωδή γ'

Ουρανίας αψίδος

Ως ιερολογούντα, τά ιερά γράμματα, καί τής ευσεβείας τόν λόγον, ανακηρύττοντα, πάντες τιμώμέν σε, χαρμονικώς συνελθόντες, μάκαρ Ιερόθεε καί μακαρίζομεν.

Συντονία καί νεύσει, καί θεϊκώ έρωτι, πρός τόν ευεργέτην τών όλων, ανατεινόμενος, τόν νούν ελάμπρυνας, μαρμαρυγαίς ταίς εκείθεν, καί ψυχήν εφαίδρυνας Μακαριώτατε.

Φερωνύμως εκλήθης, καί Ιερόν ένθεον, καί ηγιασμένον θεόφρον, ώφθης ανάθημα, τώ Παντοκράτο-
ρι, καί Ποιητή τών αιώνων, καί ναόν εκόσμησας, τόν επουρανιον.

Θεοτοκίον

Ουρανόν ο τανύσας, καί τόν τής γής Αχραντε, γύρον ο κατέχων τά πάντα, φύσει θεότητος, εν ταίς αγκάλαις σου, σωματικώς κατεσχέθη, καί πιστοίς σε στήριγμα, πάσιν ανέδειξεν.

Ο Ειρμός

«Ούρανίας αψίδος, οροφουργέ Κύριε, καί τής Εκκλησίας δομήτορ, σύ με στερέωσον, εν τή αγάπη τή σή, τών εφετών η ακρότης, τών πιστών τό στήριγμα, μόνε φιλάνθρωπε».

Κάθισμα Ήχος γ'

Θείας πίστεως

Πάσαν ήρδευσας τήν οικουμένην, ώσπερ νάμασι ταίς διδαχαίς σου, τής ευσεβείας εκβλύζων τά δόγματα, η τής ζωής γάρ πηγή, ο Χριστός εν σοί, επανεπαύσατο ώ Ιερόθεε. Πάτερ όσιε, αυτόν εκτενώς Ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Δόξα.. καί νύν… Θεοτοκίον

Θείας φύσεως ούκ εχωρίσθη, σάρξ γενόμενος εν τή γαστρί σου, αλλά Θεός ενανθρωπήσας μεμένηκεν, ό μετά τόκον Μητέρα Παρθένον σε,ως πρό τού τόκου φυλάξας πανάμωμον, μόνος Κύριος. Αυτόν εκτενώς Ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Η Σταυροθεοτοκίον

Η αμίαντος αμνάς τού Λόγου, η ακήρατος Παρθενομήτωρ, εν τώ Σταυρώ θεασαμένη κρεμάμενον, τόν εξ αυτής ανωδίνως βλαστήσαντα, μητροπρεπώς θρηνωδούσα εκραύγαζεν. Οίμοι! τέκνον μου, πώς πάσχεις θέλων ρύσασθαι, παθών τής ατιμίας τόν άνθρωπον.

Ωδή δ'

Σύ μου ισχύς, Κύριε

Ρητορικαίς, θεηγορίαις ελάμπρυνας, τάς χορείας, μάκαρ Ιερόθεε, τάς τών πιστών, καί τόν ιερόν, σύλλογον θεόφρον, τών Αποστόλων Κατηύφρανας,

εκστάσει θειοτέρα, κεχρη μένος καί ψάλλων. Τή δυνάμει σου δόξα φιλάνθρωπε.

Όλος Θεώ, Ιερωμένος γεγένησαι, ολοτρόπως, μάκαρ εξιστάμενος, ταίς πρός αυτόν θεολογικαίς, Ιερολογίαις, Ιεροφάντορ θεόληπτε καί θείος υμνολόγος, καί σοφός θεηγόρος, τοίς παρούσιν εμφρόνως κρινόμενος.

Νύν καθορών, Πάτερ τά θεία τρανότερον, παρελθόντων, πάντων ιερώτατε, τών αινιγμάτων καί τών σκιών, ταίς αληθεστάταις, τής θεοπτίας εμφάσεσι, δυσώπησον σωθήναι, τούς πιστώς μελωδούντας. Τή δυνάμει σου δόξα φιλάνθρωπε.

Θεοτοκίον

Σύ τόν Θεόν, τόν αχωρήτως χωρούμενον, εν κοιλία, Πάναγνε εχώρησας, ως καθαρά καί παρθενικαίς, καθωραϊσμένη, φαιδρότησιν αειπάρθενε, διό σε Θεοτόκον, αληθώς ευφημούμεν, καί τόν τόκον σου πίστει δοξάζομεν.

Ωδή ε'

Ίνα τί με απώσω

Ο μοδίαιτος Μάκαρ, τώ τών Αποστόλων υπάρχων συστήματι, σύν αυτοίς επέστης, τή κοιμήσει τή θεία Θεσπέσιε, τής τόν Ζωοδότην, σωματικώς ημίν τεκούσης, Παναγίας αγνής Θεομήτορος.

Υπερφυώς εννοήσας, καί πρεσβευτικώς τά υπέρ λόγον θεάματα, υφηγήσω πάσι, τοίς πιστώς δεχομένοις τήν έλλαμψιν, καί τάς σάς Παμμάκαρ, συνοπτικάς θεολογίας, συνιέναι ποθούσι πανάριστε.

Πανολβίαις ακτίσι, τής υπερφυούς φωταυγίας λαμπόμενος, ακριβεία θείων, αποδείξεων καί καθαρότητι, τών πολλών εκράτεις, χρόνου τριβή καί θεωρία, σοφωτέρα τά θεία μυούμενος.

Θεοτοκίον

Απειράνδρως Παρθένε, τόν απεριόριστον φύσει θεότητος, ανδρωθέντα Λόγον, δι' ημάς τούς ανθρώπους συνέλαβες, εξ αιμάτων Κόρη, παρθενικών διαπλασθέντα, υπέρ λόγον καί νόμον τής φύσεως.

Ωδή ς'

Ιλάσθητί μοι Σωτήρ

Μυήσει θεοπρεπεί, τήν θείαν γνώσιν μυούμενος, τούς λόγους Πάτερ τούς σούς, ως δεύτερα λόγια, σαφώς καταλέλοιπας, ιερογνωσίαις, τάς ψυχάς ημών φωτίζοντα.

Μακάριος αληθώς, εγένου Θεομακάριστε, κεκαθαρμένην ψυχή, τό όντως μακάριον καί μόνον εράσμιον, αγαπήσας κάλλος, τού Σωτήρος Ιερόθεε.

Αχράντοις επιβολαίς, ενατενίζων θεόληπτε, ταίς νοηταίς αστραπαίς, τών θείων ελλάμψεων, τής τούτων μεθέξεως, καί φωτοδοσίας, κοινωνός ώφθης

μακάριε.

Θεοτοκίον

Κυρίως καί αληθώς, σέ Θεοτόκον δοξάζομεν, τόν όντως όντα θεόν, αρρήτως γάρ τέτοκας, σαρκί καθ' υπόστασιν, συνδεδραμηκότα, ΠαΙναγία Μητροπάρθενε.

Ο Ειρμός

«Ιλάσθητί μου Σωτήρ. πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, Ο Θεός τής σωτηρίας μου».

Κοντάκιον Ήχος πλ. δ'

Τή υπερμάχω

Τόν Ιεράρχην Αθηνών ανευφημούμέν σε, ως μυηθέντες διά σού ξένα καί άρρητα, ανεδείχθης γάρ θεόληπτος υμνολόγος. Αλλά πρέσβευε παμμάκαρ. Ιερόθεε, εκ παντοίων συμπτωμάτων ημάς ρύεσθαι, ίνα κράζωμεν, Χαίροις Πάτερ Θεόσοφε.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Δ' τού αυτού μηνός, Μνήμη τού εν Αγίοις Πατρός ημών Ιεροθέου, Επισκόπου Αθηνών.

Στίχοι

Ιερόθεος Ιερώθη σοι πάλαι,
Νύν δ' αύ μεταστάς, καί συνήφθη σοι Λόγε.
Ηοί σήμα κάλυψε τετάρτη Ιερόθειον.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Ιερομάρτυρος Πέτρου Καπιτωλίων.

Στίχοι

Εύθηκτος ών μάχαιρα Πνεύματος Πέτρος,
Τό τού ξίφους εύθηκτον ούκ εδειλία.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος Δομνίνης καί τών θυγατέρων αυτής Βερίνης, καί Προσδόκης.

Στίχοι

Τό τού ποταμού ρεύμα ρύμμα τρείς κόραι,
Βοιωτικών έχουσιν αγνοημάτων.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Αυδάκτου, καί Καλλισθένης τής αυτού θυγατρός.

Στίχοι

Ξίφει θανών, Αύδακτε Μάρτυς Κυρίου,
Σύν Μάρτυσι ζής καί Θεόν ζώντα βλέπεις.
Θεού θεωρεί κάλλος η Καλλισθένη,
Ούπερ τό θείον είχεν εις σκέπην σθένος.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Αμμούν τού Αιγυπτίου.

Στίχοι

Ασκήσεως διήλθε τήν στενήν τρίβον,
Αμμούν ο θείος, καί τρυφής εύρε πλάτος.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Φαύστου, Γαϊου, Ευσεβίου, καί Χαιρήμονος τών Διακόνων.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Θεού συγκατάβασιν

Αγίων τά άγια, κατανοήσαι σπεύδων Μακάριε, καθαρότητα βίου, καί θεωρίας θείας ακρότητα, σοφώς εκτήσω, καί ψάλλων εκραύγαζες. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Ρημάτων ο φθόγγος σου, καί συγγραμμάτων η καλλιέπεια, κατευφραίνει τούς πόθω, προσομιλούντας καί διανίστησι, πρός υμνωδίαν κραυγάζειν διδάσκουσα. Εύλογητός ο Θεός, ο τών Πατέρων ημών.

Μονάδα θεότητος, γνωριζομένην εθεολόγησας, εν προσώποις Τριάδι, καί υμνουμένην εν υποστάσεσι, τρισί θεόφρον, καί ψάλλων ανέμελπες. Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Θεοτοκίον

Νομίμων τής φύσεως, Παρθενομήτορ άνευ γεγέννηκας, τόν δεσπόζοντα πάντων, τών ορωμένων καί νοουμένων Αγνή, όν ανυμνούντες, συμφώνως κραυγάζομεν. Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Ωδή η'

Επταπλασίως κάμινον

Η πανσθενής τού Πνεύματος, τού Αγίου ενέργεια, τή καθαρωτάτη σου ψυχή σκηνώσασα, θεόληπτον κήρυκα, καί θεηγόρον έδειξεν, Ιεροπρεπώς τόν Λυτρωτήν ανυμνούντα, καί πίστει μελω δούντα. Ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Μετ' ευσεβούς ζητήσεως, ερευνήσας τά άρρητα, τής οικονομίας τού Χριστού μυστήρια, τρανώς εφανέρωσας, υψηγορία χρώμενος, καί τή γλυκυτάτη, τών σών λόγων συνθήκη, βοών αδιαλείπτως. Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Η πανολβία χάρις σε, θειοτέρας εμπνεύσεως, καί θεολογίας, ακριβούς ενέπλησεν, εντεύθεν ανέβλυσας, ως ποταμούς τά δόγματα, τάς τών Αποστόλων, κατευφραίνων χορείας, μεθ' ών νύν αναμέλπεις. Ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Νενεκρωμένην Πάναγνε, τήν ψυχήν μου τοίς πταίσμασι, καί κεκακωμένην,

ιοβόλω δήγματι, Θεόν τόν δυνάμενον, ζωοποιείν τά σύμπαντα, η απειρογάμως υπέρ φύσιν τεκούσα, ανάστησον βοώσαν, Ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν, εμμανώς εξέκαυσε. δυνάμει δέ κρείττονι περισωθέντας τούτους ιδών, Τόν Δημιουργόν, καί Λυτρωτήν ανεβόα, οι Παίδες ευ»λογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ'

Εξέστη επί τούτω ο ουρανός

Σοφίας υπερσόφου ώς εραστής, γεγονώς τών χαρίτων τόν στέφανον, τόν ευπρεπή, χαίρων εκομίσω νύν παρ' αυτής, καί χορευτής ουράνιος, περί τόν τών όλων Δημιουργόν, γενόμενος δυσώπει, σωθήναι εκ κινδύνων, τούς σέ υμνούντας Ιερόθεε.

Εσκήνωσας τάς άνω θείας αυλάς, καί μονάς αιωνίους κατώκησας, καί στρατιαίς, νύν συνεορτάζεις αγγελικαίς, σύν Αποστόλων τάγμασιν, οις καί συναυλίζη χαρμονικώς, μεθ' ών καί συναγάλλη, τοίς πίστει σε τιμώσι, θείαν ειρήνην εξαιτούμενος.

Βεβαίας αντιδόσεις απολαβών, ών εν γή τάς εμφάσεις εκέκτησο, διηνεκεί, πόθω ανανεύων πρός τόν Θεόν, νύν εκτενώς Ικέτευε, Πάτερ Ιερόθεε ιλασμόν, δοθήναι τοίς εν πίστει, τήν μνήμην σου τελούσι, τήν φωτοφόρον καί πανίερον.

Θεοτοκίον

Ω Μήτερ τού τών όλων Δημιουργού, μητρική παρρησία δυσώπησον, τόν σόν Υιόν, σώσαι δυναστείας τυραννικής, τούς αιχμαλώτους δούλους σου, καί συκοφαντίας τών πονηρών, ανθρώπων καταργήσαι, γαλήνην τε βραβεύσαι, καί σωτηρίαν τοίς υμνούσί σε.

Ο Ειρμός

«Εξέστη επί τούτω ο ουρανός, καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις
σωματικώς, καί η γαστήρ σου γέγονεν, εύρυχωροτέρα τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι μεγαλύνουσιν».

Εξαποστειλάριον

Ο ουρανόν τοίς άστροις

Ότε η Μήτηρ τού Λόγου, πρός τάς εκεί καταπαύσεις, μεταναστεύουσα ώφθη, σύν τοίς λοιποίς Αποστόλοις, σύ Ιερόθεε ύμνοις, επέστης ταύτην προπέμπων.

Καί τά λοιπά τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Ε' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη της Αγίας Μάρτυρος Χαριτίνης.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσι

Τής χαράς ως επώνυμος, εν χαρά προσεχώρησας , εις νυμφώνα πάνσεμνε τόν ουράνιον, ένθα τό σόν επεπόθησας, κεκτήσθαι πολίτευμα, υπομείνασα στερρώς, αλγεινήν όντως βάσανον, τών οδόντων τε, καί ονύχων απάντων εκριζώσεις, αθλοφόρε Χαριτίνη, Παρθενομάρτυς πολύαθλε.

Τών λεόντων συνέθλασας, σιαγόνας πολύαθλε, σιαγόνων φέρουσα τά συνθλάματα, τών δέ ονύχων εκρίζωσιν, γενναίως υπήνεγκας, εκριζούσα τά δεινά, τής απάτης φρυάγματα, θαλαττίοις δέ, εν βυθοίς απερρίφης, τήν κακίαν, υποβρύχιον ποιούσα, τού πονηρού πολεμήτορος.

Μετά τέλος μακάριον, εν θαλάσση ριφείσάν σε, σός γεννήτωρ Ένδοξε συνεκόμισεν, αναβοών μετ' εκπλήξεως. Πώς νύν κεχαρίτωσαι, Ιερώτατον εμόν, καί ποθούμενον γέννημα, ταίς κολάσεσι, τού σεπτού μαρτυρίου, καί τήν κλήσιν, αληθεύουσαν ειργάσω, προτυπωθείσάν σοι χάριτι!

Δόξα… Καί νύν.... Θεοτοκίον

Σωτηρίας λιμένα σε, τόν πανάκλυστον Άχραντε, καί πραείαν όντως γαλήνην έχομεν, οι εν πελάγει Θεόνυμφε, σφοδρώς χειμαζόμενοι, τών τού βίου δυσχερών, καί δεινών περιστάσεων, διά τούτό σοι, καί προστρέχομεν πάντες εκβοώντες. Εις τούς αιώνας μή ελλίπης, τών οικετών σου προϊστασθαι.

Η Σταυροθεοτοκίον

Η αμνάς η κυήσασα, τό αρνίον τό άμωμον, τό τήν αμαρτίαν ελθόν ιάσασθαι, παντός τού κόσμου Πανάχραντε, οικείω εν αίματι, τό σφαγέν υπέρ ημών, καί ζωώσαν τά σύμπαντα, σύ με ένδυσον, γυμνωθέντα τής θείας αφθαρσίας, εξ ερίου τού σού τόκου, περιβολήν θείας χάριτος.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τής Αγίας ό παρών, ού η Ακροστιχίς.

Τής Χαριτίνης τήν χάριν μέλπω πόθω. Ιωσήφ.

Ωδή α'  Ήχος δ'
Θαλάσσης τό ερυθραίον

Ταίς σαίς μου, ώ Χαριτίνη χάρισι, τόν νούν χαρίτωσον, χαριτωθείσα άθλοις Ιεροίς, Ιερώς ανυμνήσαί σε, ως αθληφόρον Μάρτυρα, καί παρθενία διαλάμπουσαν.

Η χάρις, τού Παναγίου Πνεύματος, σέ χαριτώσασα, χαροποιαίς εφαίδρυνε πλοκαίς, καί χαράν τήν αιώνιον, κληρονομείν ενίσχυσεν, ανδρειοφρόνως εναθλήσασαν.

Σταυρώ σε, αναρτηθέντα Δέσποτα, κατανοήσασα, η ευκλεής σου Μάρτυς αικισμών, καρτερεί τό επίπονον, δυναμουμένη σθένει σου, τού τήν ημών φύσιν νευρώσαντος.

Θεοτοκίον

Χωρίον, χωρητικόν γεγένησαι, τής θείας φύσεως, θεογεννήτορ άχραντε, διό, Χαριτίνη ποθήσασα, παρθενικώς οπίσω σου, τώ σώ Υιώ προσαπενήνεκται.

Ωδή γ'

Ευφραίνεται επί σοί

Ανάψας σου τήν ψυχήν, έρως ο θείος τής σαρκός έρωτας, καί χαλεπά βράσματα, τά τώων αικισμών εναπέσβεσε.

Ρηγνύμενον πρό ποδών, Μαρτυρικών τόν δυσμενή βλέποντες, τή τού Χριστού χάριτι, αίνεσιν αυτώ προσενέγκωμεν.

Ισχύϊ παντουργική, τήν κεφαλήν τού δυσμενούς έθλασας, σής κεφαλής φέρουσα, Μάρτυς καρτερικώς τήν κατάφλεξιν.

Θεοτοκίον

Τήν μόνην εν γυναιξίν, εύλογημένην σε Αγνή στέργουσα, σαίς αγαθαίς χάρισι, Μάρτυς Χαριτίνη δεδόξασται.

Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα. Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

Κάθισμα Ήχος δ'

Ο υψωθείς

Τών νοουμένων τό τερπνόν αγαπήσασα, τών ορωμένων τό ρευστόν καταλείψασα, ταίς θεϊκαίς ωχύρωσαι ελπίσι τόν νούν, όθεν πρός τό στάδιον, τής αθλήσεως Μάρτυς, χαίρουσα εισέδραμες, καί τόν όφιν καθείλες, καί ανεπλέξω νίκης εύπρεπή, στέφανον κόρη, Μαρτύρων αγλάϊσμα.

Δόξα... Καί νύν... Θεοτοκίον

Τών ακαθάρτων λογισμών μου τά πλήθη, καί τών ατόπων εννοιών τάς νιφάδας, τίς εξειπείν δυνήσεται Πανάμωμε; τάς επαναστάσεις δέ, τών ασάρκων εχθρών μου, τίς εκδιηγήσεται, καί τήν τούτων κακίαν, αλλά τή σή πρεσβεία Αγαθή, τούτων μοι πάντων, τήν λύτρωσιν δώρησαι.

Η Σταυροθεοτοκίον

Τόν εξ ανάρχου τού Πατρός γεννηθέντα, η επ' εσχάτων σε σαρκί τετοκυία, επί Σταυρού κρεμάμενον ορώσά σε Χριστέ. Οίμοι ποθεινότατε, Ιησού! Ανεβόα, πώς ό δοξαζόμενος, ως Θεός υπ' Αγγέλων, υπό ανόμων νύν βροτών Υιέ, θέλων σταυρούσαι; Υμνώ σε Μακρόθυμε.

## Ωδή δ'

### Επαρθέντα σε ιδούσα

Ιερείον ώσπερ άμωμον πρός σφαγήν σε, εκ πατρικών αφήρπασαν, Μάρτυς αθληφόρε, αγκαλών οι τύραννοι, Πατέρα ουράνιον, υπερβολικώς αγαπήσασαν.

Νεάνισι ταίς φρονίμοις ακολουθούσα, τήν ψυχικήν λαμπάδα σου, αίματι πλουσίως, ήρδευσας πανεύφημε, καί θείον κεκλήρωσαι, Μάρτυς χαριτώνυμε θάλαμον.

Η καρδία σου τώ έρωτι τού νυμφίου, πυρπολουμένη άνθρακας, πλάνης γενναιόφρον, λύθρω εναπέσβεσεν, αιμάτων καί θάλασσαν, τής πολυθεΐας εξήρανεν.

### Θεοτοκίον

Σωματούμενον εκύησας Θεόν Λόγον, Θεογεννήτορ άχραντε, όν η Χαριτίνη, στέργουσα θερμότατα, πυρί αντετάξατο, καί πολυειδέσι στρεβλώσεσι.

## Ωδή ε'

### Σύ Κύριέ μου φώς

Τήν κάραν ξυρισμώ, καί ανθράκων πυρώσει, συνθλίβοντές σου θεόφρον, λογισμού σου τόν τόνον, ούδόλως παρεσάλευσαν.

Ήλους σου καί σφαγήν, εικονίζουσα Κύριε, τήν έμπυρον οβελίσκων, υποφέρω οδύνην, η Μάρτυς ανεκραύγαζεν.

Νίκαις τήν κεφαλήν, Χαριτίνη κατέστεψαι, νικήσασα τόν τήν Εύαν, εκνικήσαντα όφιν, τοίς άθλοις καλλιπάρθενε.

### Θεοτοκίον

Νούς βρότειος τήν σήν, υπέρ έννοιαν σύλληψιν, ου δύναται εννοήσαι, Μητροπάρθενε Κόρη. Θεόν γάρ απεκύησας.

## Ωδή ς'

### Θύσω σοι, μετά φωνής

Χάρισι, καί σημείοις Χριστός εστεφάνωσε, τήν Ιεράν κορυφήν σου, υπέρ ού τό πάσχειν προήρησο, Αθληφόρε, τής χαράς τής ενθέου επώνυμε.

Άγιος, Ιωνάν εκ βυθού ο ρυσάμενος, σέ θαλαττίω πελάγει, ερριμμένην σώζει, ζώσαν θεόφρον, καί βυθώ σου, τών αιμάτων εχθρούς κατεπόντισε.

Ρομφαία, καρτερίας εχθρούς εθανάτωσας, καί καρτερούσα οδόντων, παντελή εκρίζωσιν Ένδοξε, τών λεόντων, τών ασάρκων τάς μύλας συνέθλασας.

### Θεοτοκίον

Ισχύν σε, ευραμένη Παρθένε καί στήριγμα, η Χαριτίνη αικίσεις, καρτερώς υποφέρει. καί χαίρουσα, σού οπίσω, τώ τών όλων Δεσπότη προσάγεται.

Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Ε' τού αυτού μηνός, Μνήμη τής Αγίας Μάρτυρος Χαριτίνης.

Στίχοι

Οπερ δι' ευχής είχε, σαρκός τήν λύσιν,
Ιδού δι' ευχής λαμβάνει Χαριτίνη.
Πέμπτην Χαριτίνη εlσέδραμεν άστυ θεοίο.

Τή αυτή ημέρα Μνήμη τής Αγίας Μάρτυρος Μαμέλχθης.

Στίχοι

«Ομού λελουμένην με Χριστέ προσδέχου,
(Μαμέλχθα φησί) καί λίθοις βεβλημένην».

Τή αυτή ημέρα, Μνήμη οπτασίας Κοσμά Μοναχού, φοβεράς καί ωφελίμου.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Εν τή καμίνω

Νέους τρείς παίδας, ο εκ καμίνου λυτρωσάμενος, σώζει εκ τροχού σε Μάρτυς πυροειδούς, Χαριτίνη αναμέλπουσαν. Ευλογημένος ει εν τώ Ναώ, τής δόξης σου Κύριε.

Μετά Παρθένων, λαμπαδηφόρος εις ουράνια, βαίνεις τού πυρός λαμπάδας καρτερικώς, εν τώ ψάλλειν υπομείνασα. Εύλογημένος εί εν τώ Ναώ, τής δόξης σου Κύριε.

Εληλεγμένος, υπομονή σου ο παράνομος, χείρας συνδεσμεί καί πόδας καί τώ βυθώ, παραπέμπει σε κραυγάζουσαν. Ευλογημένος εί εν τώ Ναω, τής δόξης σου Κύριε.

Λόγω σου θείω, τήν αλογίαν στηλιτεύσασα, πάθει παθημάτων Μάρτυς ζωοποιών, ανεπλήρωσας υστέρημα, Ευλογημένος εί ο Θεός μου, βοώσα καί Κύριος.

Θεοτοκίον

Παρθένον μόνην, καί καθαράν σε καί ακήρατον, Λόγος καθαρός ηγάπησε καί εκ σού, ανεπλάσατο σαρκούμενος, Κόρη τόν άνθρωπον, ο Χαριτίνην δοξάσας τοίς θαύμασι.

Ωδή η’

Χείρας εκπετασας Δανιήλ

Ωραία εν κάλλεσι τών σών, στιγμάτων γέγονας, καί κατηγγύησαι, Παρθένος άφθορος μείνασα, τώ ωραίω Λόγω πάνσεμνε, τώ εκ Παρθένου δι' ημάς, σεσαρκωμένω Χριστώ, ώ βοώμεν. Πάντα τά έργα υμνείτε τόν Κύριον.

Πάσαις μαχομένη προσβολαίς, τών τιμωρούντων σε, γενναίως ήνεγκας, τροχού φλογίζοντος κάκωσιν, οβελίσκων τήν πυράκτωσιν, τήν είς βυθόν απορριφήν, καί τών οδόντων Σεμνή, καί ονύχων τάς εκριζώσεις, Χριστόν μεγαλύνουσα.

Οι πόδες οι σοί, ταίς καλλοναίς τών πόνων ένδοξε καθωραϊσθησαν, διό εν ύδασι βαίνοντες, ουκ εβράχησαν συνόντων σοι, Παρθενομάρτυς εύκλεών Θεού Αγγέλων, μεθ' ών ανεβόας. Πάντα τά έργα υμνείτε τόν Κύριον.

Θαύμα καταπλήττον πάντα νούν, μετά τελείωσιν, πώς τώ γεννήτορι, τό σόν εκδέδωκε λείψανον, βυθός ο κολπωσάμενος, όπερ κηδεύσας πατρικώς, τρυγά τήν χάριν εκ σού, Χαριτίνη, τήν βασιλείαν λαβών τήν ουράνιον.

Θεοτοκίον

Ώφθης υπερτέρα ουρανών, Θεόν ουράνιον αποκυήσασα, τόν ουρανώσαντα Πάναγνε, γηγενών όλων τό φύραμα, καί Χαριτίνης τήν σεπτήν, μνήμην φαιδρύναντα, ώ βοώμεν, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Ωδή θ'

Λίθος αχειρότμητος όρους

Ίνα τών στεφάνων τής δόξης, ως αδιάφθορος παρθένος, Μάρτυς επιτύχης παντοίων, κολαστηρίων είδος υπήνεγκας, αγαλλομένη πνεύματι, καί διανοίας αναστήματι.

Ως περικαλής ως ωραία, ως περιδέξιος παρθένος, ως ακαταγώνιστος Μάρτυς, ως τού Δεσπότου νύμφη πανάμωμος, χρυσοειδέσι πτέρυξι, πρός τά ουράνια κατέπαυσας.

Σύ φωτοειδείς Χαριτίνη, εναπαστράπτεις λαμπηδόνας, ζόφον πονηρίας δαιμόνων, καί παθημάτων αποδιώκουσα, ταίς θεοδότοις πάντοτε, θαυματουργίαις αξιάγαστε.

Η περιχαρής σου ημέρα, περιχαρώς λαούς αθροίζει, σού τάς αριστείας υμνήσαι, καί τούς αγώνας καί τά παλαίσματα, καί τήν γενναίαν άθλησιν, Μεγαλομάρτυς χαριτώνυμε.

Θεοτοκίον

Φώς ημίν ανέτειλε μήτρας, εξ απειράνδρου σου Παρθένε, ού ταίς φρυκτωρίαις ενθέως, καταυγασθείσα φώς εχρημάτισεν, η τής χαράς επώνυμος, Θεοκυήτορ απειρόγαμε.

Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος

ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύ»νομεν».

Εξαποστειλάριον
Ο ουρανόν τοίς άστροις

Εν ουρανοίς ως Μάρτυς, Χαριτίνη τώ Θεώ, παρισταμένη ενδόξως, πάντας ημάς τούς ευσεβείς, μνήμην τήν σήν εκτελούντας, σώζε θερμαίς σου πρεσβείαις.

Θεοτοκίον

Τόν σόν Υιόν Παρθένε, μή διαλίπης δυσωπείν, υπέρ ημών τών σών δούλων, ίνα ρυσθώμεν τής εκεί, φρικτής κολάσεως πάντες, καί τού πυρός τού ασβέστου.

Καί η λοιπή τού Όρθρου Ακολουθία, ως συνήθως, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου ενδόξου Αποστόλου Θωμά.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν, Στίχους στ' καί ψάλλομεν Στιχηρά Προσόμοια τού Αποστόλου τρία, δευτερούντες αυτά.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσι

Τής πλευράς εφαψάμενος, τού Δεσπότου Πανόλβιε, τών καλών κατείληφας τό ακρότατον, ώσπερ γάρ σπόγγος τά νάματα, εκείθεν εξήντλησας, τήν πηγήν τών αγαθών, καί ζωήν τήν αιώνιον, καί επότισας, χερσωθείσας καρδίας αγνωσία, τού Θεού θεογνωσίας, αναπηγάζων τά δόγματα.

Τή πιστή απιστία σου, τούς πιστούς εβεβαίωσας, ως Θεόν καί Κύριον πάσης κτίσεως, θεολογείν επαρξάμενος, τόν σάρκα φορέσαντα, δι' ημάς τούς επί γής, καί Σταυρόν τε καί θάνατον υπομείναντα, καί τάς τρήσεις τών ήλων, καί τή λόγχη, τήν πλευράν διανυγέντα, εξ ής ζωήν αρυόμεθα.

Ο Θωμάς ο θαυμάσιος, τήν πηγήν ανεστόμωσε, τών δογμάτων Δέσποτα τοίς θεόφροσι, τήν γάρ πλευράν ψηλαφήσας σου, διπλήν τήν ενέργειαν, ταίς ουσίαις ταίς διτταίς, καταλλήλως μεμύηται, καί εβόησε. Σύ Θεός μου υπάρχεις καί Δεσπότης, σύ καί Κύριος τής δόξης, ο δι' εμέ σάρξ γενόμενος.

Δόξα… Ήχος πλ. β’

Ως υπηρέτης τού Λόγου, καί τής αρρήτου σαρκώσεως αυτού, βυθόν σοφίας εξήντλησας, Θωμά Απόστολε, τώ γάρ καλάμω τού Σταυρού, ανιχνεύων εκ τού βυθού τής απάτης, ψυχάς εζώγρησας. Όθεν τή σαγήνη τών σών δογμάτων, πάσαν εφώτισας τήν οικουμένην, καί τώ φωτί τής γνώσεως, τάς

τών Ινδών εζοφωμένας ψυχάς κατελάμπρυνας. Διό τής δόξης τηλαυγώς, Χριστού κατατρυφών, αυτόν ικέτευε, ελεηθήναι τάς ψυχάς ημών.

Καί νύν… Θεοτοκίον

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής. Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος δ'  Έδωκας σημείωσιν

Ώσπερ μαργαρίτην σε, εκ τού βυθού ανιμήσατο, τής τού κόσμου συγχύσεως, Χριστός ο φιλάνθρωπος, διά σού πλουτίσας, τούς ηπορημένους, καί τή πενία τών δεινών, συγκεκραμένους Θωμά Απόστολε, διό σε μακαρίζομεν, καί τήν πανέορτον Μνήμην σου, εν αινέσει δοξάζομεν, ευσεβώς σε γεραίροντες.

Στίχ. Εις πάσαν τήν γήν εξήλθεν.

Ινδών κατελάμπρυνας, πάσαν τήν γήν ιερώτατε, καί θεόπτα Απόστολε, φωτίσας γάρ άπαντας, υιούς απειργάσω, φωτός καί ημέρας, τούτους εν Πνεύματι σοφέ, ειδωλικούς τε ναούς κατέρραξας, ανήγειρας δέ χάριτι, Θεού εις δόξαν καί αίνεσιν, εκκλησίας Μακάριε, πρεσβευτά τών ψυχών ημών.

Στίχ. Οι ουρανοί διηγούνται δόξαν.

Χειρί φιλοπράγμονι, θείαν πλευράν εξηρεύνησας, καί τών ήλων τά τραύματα, άπερ ο αθάνατος, δι' ημάς υπέστη, καί τήν απιστίαν, μεταβαλών χαρμονικώς, εις ευπιστίαν Θωμά εβόησας. Σύ εί Θεός καί Κύριος, καί σέ δοξάζω φιλάνθρωπε, τόν τοίς πάθεσι βλύσαντα, τοίς πιστοίς τήν απάθειαν.

Δόξα... Ήχος πλ. β'  Ανατολίου

Τά θεία εποπτεύων, Χριστού τής σοφίας νοητός αναδέδειξαι κρατήρ, μυστικώς θωμά Απόστολε, εν ώ τών πιστών αι ψυχαί ευφραίνονται, τή γάρ θεία σαγήνη τού Πνεύματος, λαούς ανείλκυσας εκ βυθού τής απογνώσεως. όθεν εκ Σιών, ως ποταμός τής χάριτος εξήλθες, τά σά εκβλύζων ένθεα δόγματα, εις τήν σύμπασαν κτίσιν. Διό τού Χριστού τά πάθη εκμιμούμενος, τήν πλευράν ελογχεύθης, καί εν τώ γνόφω εισδύσας τής αφθαρσίας, αυτόν ικέτευε, ελεηθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Όλην αποθέμενοι

Όταν μου εις έννοιαν, τό φοβερόν έλθη βήμα, τού Υιού σου Πάναγνε, καί τό δικαστήριον τό παγκόσμιον, απορώ δέδοικα, δειλιών καί τρέμων, τήν τών έργων μου εξέτασιν, φαύλα γάρ άπαντα, καί αισχύνης πάσης ανάπλεα, καί σκότους καί κολάσεως, καί αποστροφής όντως άξια. Ίδε μου τήν θλίψιν, καί ίδε τής ψυχής τήν συντριβήν, καί τής ανάγκης εκείνης με, ρύσαι καί κολάσεως.

Απολυτίκιον Ήχος γ'

Απόστολε Άγιε Θωμά, πρέσβευε τώ ελεήμονι Θεώ ίνα πταισμάτων άφεσιν, παράσχη ταίς ψυχάς ημών.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία.

Μετά τήν β' Στιχολογίαν, Κάθισμα

Ήχος πλ. α'

Τόν Απόστολον πάντες καί μαθητήν τού Χριστού, ευφημήσωμεν ύμνοις επί τή μνήμη αυτού. θεοπρεπώς γάρ τάς ημών διανοίας αυτός, τύπους τών ήλων ψηλαφών, βεβαίαν πίστιν εκζητών, εστήριξεν εν Κυρίω, αδιαλείπτως πρεσβεύων, ελεηθήναι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Τόν εκ σού σαρκωθέντα Θεόν καί Κύριον, δι' ημάς τούς φθαρέντας τοίς αμαρτήμασι, τούτον ικέτευε αεί, τού οικτειρήσαι ημάς, καί αποστρέψαι τόν θυμόν, καί τήν οργήν αυτού Σεμνή, από τών πίστει βοώντων, καί ευφημούντων απαύστως, τά μεγαλεία τής σής χάριτος.

Είτα οι Κανόνες τής Οκτωήχου, καί τού Αποστόλου ο παρών, ού η Ακροστιχίς.

Τών θαυμάτων γέμοντα θωμάν θαυμάσω.

Ποίημα Θεοφάνους

Ωδή α' Ήχος δ'

Τριστάτας κραταιούς

Τόν άναρχον Υιόν, τού Θεού Θεόν Λόγον, τόν φανέντα επί γής, μορφή τή καθ' ημάς, όν εώρακας Ένδοξε, ού καί τάς χείρας παλάμη, καί πλευράν εψηλάφησας, καθικέτευε σώσαι τούς δούλους σου.

Ο γνώστης τών κρυπτών, καί νεφρους ο ετάζων, καί καρδίας ερευνών, Θεός μου Ιησούς, σέ Θωμά παμμακάριστε, τής αυτού θεοφανείας, υπηρέτην καί μάρτυρα, καί Απόστολον θείον προσήκατο.

Ναμάτων μυστικών, ποταμός ανεδείχθης, περικλύζων σύ Θωμά, τό πρόσωπον τής γής, Εκκλησίας τε σύστημα, ρεύμασι θεογνωσίας, και τώ ροίζω τού Πνεύματος, τήν πολύθεον πλάνην απήλασας.

Θεοτοκίον

Θανάτου καί φθοράς, καθαιρέτης υπάρχεις, αφθαρσίας τήν πηγήν, τεκούσα τόν Χριστόν, Θεοτόκε πανύμνητε, τόν καί τής αθανασίας, ωραϊσαντα χάριτι, τών ανθρώπων τήν φύσιν πανάμωμε.

## Ωδή γ’
### Ουκ εν σοφία

Αρετής κάλλει, διαπρέπων θεόπτα καί θαύμασι, τών Ινδών τό δυσειδές, φωτί τώ θείω κατηύγασας, πίστει καί εφαίδρυνας, τούτων τήν ζόφωσιν.

Υπό τής αίγλης, πυρσωθείς αυτουργία τού Πνεύματος, ως βολίς θεοφεγγής, εξαπεστάλης θεόληπτε, καί κόσμον εφώτισας, Θωμά τοίς θαύμασι.

Μεμυημένος, τής ενθέου σοφίας τά δόγματα, ώσπερ τάχος αστραπής, διερχομένης Απόστολε, Θωμά κατελάμπρυνας, κόσμου τά πέρατα.

### Θεοτοκίον

Απειρόγαμε, η Θεόν σαρκωθέντα κυήσασα, τών παθών ταίς προσβολαίς, κλονούμενόν με στερέωσον, ου γάρ εστιν Άχραντε, πλήν σου βοήθεια.

### Ο Ειρμός

«Ούκ εν σοφία καί δυνάμει καί πλούτω καυχώμεθα, αλλ' εν σοί τή τού Πατρός, ενυποστάτω σοφία Χριστέ, ού γάρ εστιν Αγιος, πλήν σου φιλάνθρωπε».

## Κάθισμα   Ήχος πλ. δ'
### Τήν Σοφίαν καί Λόγον

Τή σαγήνη τών λόγων τών θεϊκών, τούς ιχθύας ζωγρήσας τούς λογικούς, τούτους σύ προσήγαγες, απαρχήν τώ Θεώ ημών, καί τού Χριστού τά στηρίγματα, παθών επενδύσασθαι, μιμητής τού πάθους, αυτού πεφανέρωσαι, όθεν συνελθόντες, κατά χρέος τιμώμεν, Απόστολε ένδοξε, τήν πανέορτον μνήμην σου, καί συμφώνως βοώμέν σοι, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν Αγίαν μνήμην σου.

### Δόξα… Καί νύν... Θεοτοκίον

Τήν ουράνιον πύλην καί κιβωτόν, τό πανάγιον όρος τήν φωτεινήν, νεφέλην υμνήσωμεν, βάτον τήν ακατάφλεκτον, τόν λογικόν Παράδεισον, τής Εύας τήν λύτρωσιν,τής οικουμένης πάσης, τό μέγα κειμήλιον, ότι σωτηρία, εν αυτή διεπράχθη, τώ κόσμω καί άφεσις, τών αρχαίων εγκλημάτων, διά τούτο βοώμεν αυτή. Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εύσεβώς προσκυνούσι, τόν πανάγιον τόκον σου.

## Ωδή δ'
### Ο καθήμενος εν δόξη

Τή μεγίστη τών θαυμάτων, επιδείξει χρησάμενος, καί δογμάτων θείων, δόξαν τηλαυγώς εκτιθέμενος, τήν οικουμένην επέσχες τώ κηρύγματι, τήν κραυγάζουσαν. Δόξα Χριστέ τή δυνάμει σου.

Ως αυτόπτην σε τού Λόγου, υπηρέτην τε ένθερμον, καί τής τούτου δόξης, καί μεγαλειότητος μάρτυρα, καί ώς πιστόν οικονόμον καί Απόστολον, ευφημούμέν σε, μάκαρ Θωμά πανσεβάσμιε.

Νυμφικήν ώσπερ παστάδα, καί σκηνήν επουράνιον, υποβάθραν λίθον, ακρογωνιαίον πηξάμενος, επωκοδόμησας Μάκαρ παναοίδιμε, Αποστόλων ακρότης, Θωμά τοίς πιστεύουσι.

Θεοτοκίον

Γήν ανήροτον καί στάχυν, τής ζωής γεωργήσασα, καί νεφέλην κούφην, όμβρον ζωοδότην πηγάσασαν, τήν Παναγίαν Παρθένον Ονομάζομεν, οι κραυγάζοντες. Δόξα Χριστέ τή δυνάμει σου.

Ωδή ε'

Ασεβείς ουκ όψονται

Ελλαμφθείς Απόστολε, τή δόξη τού Χριστού, καί πλευράν τήν ζωοποιόν, ψηλαφήσας ήντλησας, ανεξιχνίαστον ευλογίας άβυσσον, καί τόν κόσμον κατεπλουτισας.

Μή παρών τή πρώτη σου, εισόδω ό Θωμάς, απιστών τε τοίς Μαθηταίς, πιστωθείς δέ ύστερον, χαίρων εβόησε. Σέ Θεόν καί Κύριον, άναγγέλλω πολυέλεε.

Ουρανός ο έμψυχος, τής δόξης σου Χριστέ, τή βροντή τή πνευματική, ό Θωμάς εβόησεν, εκδιηγούμενος καί Θεόν καί Κύριον, σέ σεπτώς ευηγγελίσατο.

Θεοτοκίον

Νικητήν ανάδειξον, Πανάμωμε τόν νούν, τών παθών καί τώ λογισμώ, τάς ό ρ μάς υπόταξον, τούτων θεόνυμφε, η Θεόν γεννήσασα, τόν Σωτήρα τών ψυχών ημών.

Ωδή ς’

Θύσω σοι, μετά φωνής

Τήν πάντων, απιστίαν Θωμά τήν ψυχόλεθρον, η απιστία σου μάκαρ, θεραπεύει, σύ γάρ αναμφιλέκτως, καί τών ήλων, καί τής λόγχης τούς τύπους ηρεύνησας.

Αφήκας, ως δυωατός Χριστέ τόν Απόστολον, ηκονημένον ως βέλος, εν εχθρών καρδίαις σου ζωοδότα, καί τών σκύλων, τήν προνομήν σοι τούτων προσήγαγεν.

Θυσίας, ειδωλικάς οικτίρμον κατήργησας, σφαγιασθείς επί ξύλου, καί σφαγαίς αγίαις τών θεηγόρων, Αποστόλων, τών τά σά μιμουμένων παθήματα.

Θεοτοκίον

Ώ θαύμα, τών απάντων θαυμάτων καινότατον! ότι Παρθένος εν μήτρα, τόν τά σύμπαντα περιέποντα, απειράνδρως συλλαβούσα, ουκ εστενοχώρησεν.

Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Κοντάκιον Ήχος δ'
Επεφάνης σήμερον

Ο τής θείας χάριτος πεπληρωμένος, τού Χριστού Απόστολος, καί υπηρέτης αληθής, εν μετανοία εκραύγαζε. Σύ μου υπάρχεις, Θεός τε καί Κύριος.

Ο Οίκος

Πρός τόν Χριστού Μαθητήν, καί μέγαν μυστολέκτην, Θωμάν τόν θεηγορον τού Πέτρου εκβοώντος. «Εωράκαμεν τόν Κύριον», έφησεν ούτος. «Εάν μή ίδω εν ταίς χερσίν αυτού τόν τύπον τών ήλων, ψηλαφήσω δέ καί τήν πλευράν, ου μή πιστεύσω». Αλλ' ο Κτίστης τών απάντων καί Δεσπότης, ώσπερ δούλος ελήλυθε, θέλων πάντας σώσαι, καί λέγει τώ Θωμά. Ψηλάφησον χειρών καί πλευράς τούς τύπους, καί μή απίστει, εγώ γάρ ειμι Κύριος ο Θεός σου». ο δέ εν μετανοία εβόησε. Συ μου υπάρχεις, Θεός τε καί Κύριος.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΣΤ' τού αυτού μηνός, Μνήμη τού Αγίου Αποστόλου Θωμά.

Στίχοι

Ο χείρα πλευρά σή βαλείν ζητών πάλαι,
Πλευράν υπέρ σού νύττεται Θωμάς Λόγε.
Δούρασιν ουτάσθη Θωμάς μακροίσιν εν έκτη.

Τή αυτή ημέρα, Μνήμη τής αγίας μάρτυρος Ερωτηϊδος.

Στίχοι

Ερωτηϊδα πυρπολούσι παρθένον,
Έρωτι Χριστού τήν προπυρπολουμένην.

Ο άγιος νέος Οσιομάρτυς Μακάριος, ο εκ Κίου μέν τής Βιθυνίας καταγόμενος, εν Προύση δέ μαρτυρήσας, λιθοβοληθείς πρότερον, ύστερον ξίφει τελειούται κατά τό έτος 1590.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'
Εν τή καμίνω

Μετά τής άνω, χοροστασίας ως Απόστολος, χαίρων συγχορεύεις Μάκαρ εν ουρανοίς, αναμέλπεις τε γηθόμενος, Ευλογημένος εί εν τώ ναώ, τής δόξης σου Κύριε.

Από περάτων, έως περάτων ο σός διέδραμε, φθόγγος καί ρημάτων θείων η προφορά, τούς κραυγάζοντας παιδεύουσα. Εύλογημένος εί εν τώ ναώ, τής δόξης σου Κύριε.

Ναός εγένου, σύ τής Τριάδος παναοίδιμε, όθεν καί ναούς, ειδώλων τε καί βωμούς, απεκάθηρας Απόστολε, ναούς δέ ήγειρας εις υμνωδίαν, καί αίνον

Χριστού τού Θεού.

Θεοτοκίον

Νόμου δουλείας, τή σή γεννήσει λελυτρώμεθα, σύ γάρ Θεοτόκε τόν ελευθερωτήν, απειράνδρως ημίν τέτοκας, Ευλογημένη σύ εν γυναιξίν, υπάρχεις πανάμωμε.

Ωδή η' Παίδας ευαγείς

Θεώ ομιλών σεσαρκωμένω , σαρκός επιλελησμένος εναπέφηνας, τήν δέ υπερκόσμιον, θέωσιν επλούτησας, τή πρός Θεόν εγγύτητι θεοποιούμενος, καί Κύριον υμνείτε κραυγάζων, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Αγάπη Θεώ συγκεκραμένος, τόν θάνατον μετ' αυτού Μάκαρ επόθησας, τοίς συναποστόλοις σου, Άγωμεν φθεγξάμενος, καί σύν αυτώ τόν θάνατον καταδεξώμεθα. Τόν κυριον υμνείτε βοώντες, καί υπερυψούτε, αύτόν εις τους αιώνας.

Υμάς ο Χριστός τούς Αποστόλους, νεφέλας τής ουρανίου βροχής έδειξεν, όμβροις επικλύζοντας, θείας επιγνώσεως, τάς Εκκλησίας πάνσοφοι, καί καταρδεύοντας, καί Κύριον υμνείτε βοώντας, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Μώμων καθαρά καί μολυσμάτων, καί πάσης αγιωσύνης ούσα τέμενος, Λογον τόν παναγιον, πάντας αγιάζοντα, τόν τώ Πατρί συνάναρχον εκυοφόρησας, διό σε τήν Παρθένον υμνούμεν, καί υπερυψούμεν, εις πάντας τους αιώνας.

Ο Ειρμός

«Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν αγείρει ψάλλειν σοι. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώ»νας».

Ωδή θ'

Λίθος αχειρότμητος όρους

Άρμα φωτοφόρον εδείχθης, επικαθήμενον τόν Λόγον, τή ευπειθεστάτη ψυχή σου, καί θεοφόρω επιφερόμενος, πρός σωτηρίαν Ένδοξε, ηνιοχούντα τούς υμνούντάς σε.

Σού τήν παμμακάριστον μνήμην, επιτελούντες δυσωπούμεν, πάσης τρικυμίας ρυσθήναι, τή μεσιτεία τής παρρησίας σου, ήν ως Χριστού Απόστολος, έχεις θεόπτα πανσεβάσμιε.

Σήμερον τήν μνήμην σου πάντες, Θωμά Απόστολε τελούμεν, φώτισον αγίασον πίστει, πειρατηρίων καί περιστάσεων, καί παθημάτων πάντοτε, απολυτρούμενος πρεσβείαις σου.

Θεοτοκίον

Ώφθης θεονύμφευτος Μήτηρ, καί πανακήρατος Παρθένος, σύ γάρ παρθενίαν καί τόκον, εις εν συνήψας άχραντε Δέσποινα, τόν Ποιητήν καί Κύριον, πάσης

τής Κτίσεως γεννήσασα.

Ο Ειρμός

»Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Αυτόπτα καί Απόστολε, Χριστού τού πανοικτίρμονος, ειρήνην δώρησαι πάση, τή οικουμένη καί νίκας, τώ φιλοχρίστω Άνακτι, ημίν πταισμάτων άφεσιν, καί σωτηρίαν αίτησαι, τοίς σέ Θωμά ευφημούσιν, ως μαθητήν θεηγόρον.

Έτερον

Χριστός ό μέγας Ήλιος, ακτίνά σε πολύφωτον, εν τή Ινδία εκπέμπει, τήν ζοφεράν πλάνην μύστα, συντόνως εκδιώκοντα, Θωμά σοφέ Απόστολε, καί τούς λαούς φωτίζοντα, Τριάδα σέβειν τήν θείαν, παρ' ής φρουρούμεθα πάντες.

Θεοτοκίον

Πανάμωμε Μητρόθεε, τό μέγα περιήχημα, τών Αποστόλων Μαρτύρων, καί Προφητών καί Οσίων, τόν σόν Υιόν καί Κύριον, ιλέωσαι τοίς δούλοις σου, ημίν θεογεννήτρια, όταν καθίση τού κρίναι, τά κατ' αξίαν εκάστω.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν τά παρόντα τρία Στιχηρά ιδιόμελα, δευτερούντες τό πρώτον.

Ήχος β' Ανατολίου

Χριστώ ηκολούθησας, Θωμά Απόστολε, καί τού κόσμου κατεφρόνησας καί τά τούτου διδάγματα, εν τώ ταμείω σου κρύψας, ανεδείχθης, Απόστολος, όθεν γενόμενος εν τοίς έθνεσι, τάς τούτων υπό τής πλάνης, καί τών παθών σκοτισθείσας ψυχάς, εντολαίς τού Σωτήρος εφώτισας, πιστεύειν εις Τριάδα ομοούσιον.

Ήχος δ'

Τώ τής γνώσεως θείω πυρί, την ψυχήν καταυγασθείς, εν πάσι τού Δεσπότου μιμητής γέγονας, ως έννομος μαθητής, Θωμά Απόστολε, τώ γάρ καλάμω τού Σταυρού, εκ τού βυθού τής αγνωσίας, ευσεβών ψυχάς εζώγρησας. Όθεν καί τήν τών Ινδών εζοφωμένην διάνοιαν, τώ τού θείου Πνεύματος αγκίστρω εσαγήνευσας. Χριστόν τόν Θεόν αεί δυσώπει, καί ημάς ρυσθήναι τής τού εχθρού εζοφωμένης όψεως, καί σωθήναι τάς ψυχάς ημών.

Ο αυτός

Τόν τής αλείας βυθόν καταλιπών, τώ τού Σταυρού καλάμω πίστει προσέδραμες, καί εν αυτώ πάντας εζώγρησας, Θωμά Απόστολε. διό καί τήν άχραντον πλευράν τού Λόγου, τή χειρί ψηλαφήσας, τών πεπαρμένων ήλων τάς ωτειλάς, τώ δακτύλω κατιδείν κατηξίωσαι. Χριστώ τώ Θεώ εκτενώς πρέσβευε αεί, τού σωθήναι τάς ψυχάς ημών.

Δόξα... Ήχος πλ. δ'

Τά θεία εποπτεύων, Χριστού τής σοφίας, νοητός αναδέδειξαι κρατήρ,

μυστικώς Θωμά Απόστολε, εν ώ τών πιστών αι ψυχαί ευφραίνονται, τή γάρ θεία σαγήνη τού Πνεύματος, λαους ανείλκυσας, εκ βυθού τής απογνώσεως, όθεν εκ Σιών, ως ποταμός τής χάριτος εξήλθες, τά σά εκβλύζων ένθεα δόγματα, εις τήν σύμπασαν κτίσιν. Διό τού Χριστού τά πάθη εκμιμούμενος, τήν πλευράν ελογχεύθης, καί εν τώ γνόφω εισδύς της αφθαρσίας, αυτόν ικέτευε, ελεηθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής. Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Δοξολογία Μεγάλη, καί Απόλυσις.

Εις τήν Λειτουργίαν, τά Τυπικά, καί τά λοιπά ως συνήθως.

---

Αρχή

## ΤΗ Ζ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Μαρτύρων Σεργίου καί Βάκχου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς’ καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α' Πανεύφημοι Μάρτυρες

Βάκχε καί Σέργιε υμάς, ο τής δόξης Κύριος, κατακοσμήσας ταίς χάρισι, ταίς τών ιάσεων, θαυμαστούς εν κόσμω , ευκλεώς ανέδειξε, νοσούντας δι' υμών θεραπεύων αεί, διό πρεσβεύσατε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Βάκχε καί Σέργιε υμείς, επί γής αθλήσαντες, έν ουρανοίς συγχορεύετε, σύν Ασωμάτοις γάρ, αεί παρεστώτες, τή Τριάδι Άγιοι, καί δόξη εντρυφώντες αγάλλεσθε, διό πρεσβεύσατε, δωρηθήναι ταίς ψυχαίς ημών, την ειρήνην, καί τό μέγα έλεος.

Βάκχε καί Σέργιε υμείς, τού εχθρού την ένστασιν, ανδρείως άμφω ελύσατε. καί τών ειδώλων δέ, ολεθρίαν πλάνην, ευσεβώς απώσασθε, Χριστόν τόν Βασιλέα κηρύξαντες. όν ικετεύσατε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Δόξα... Ήχος δ'

Σέργιος καί Βάκχος, η φαιδρά τών Μαρτύρων καί τερπνή λαμπηδών, τών μέν τυράννων τό θράσος κατέβαλε, τών δέ ειδώλων τήν πλάνην κατήργησε. καί τής θεογνωσίας τό τέλειον μυστήριον, λαμπρά τή φωνή, υψηγορούντες ανεκήρυττον. Ών ταίς πρεσβείαις Χριστέ, ο τούτων νομοδότης, αγωνοθέτης τε καί στεφανοθέτης, καί ημάς αξίωσον, κατά τών αοράτων καί ορατών

δυνάμεων, τό κράτος αναδήσασθαι.

Καί νύν... Θεοτοκίον

Έδωκας σημείωσιν

Ήλιον κυήσασα, δικαιοσύνης πανάμωμε, τό ζοφώδες διάλυσον, παθών τών θλιβόντων με, καί τόν απατώντα, τήν ψυχήν μου όφιν, καί καταθέλγοντά με νύν, φιληδονίαις καί ματαιότησι, πόρρωθεν αποδίωξον, τής ταλαιπώρου καρδίας μου, εν γαλήνη φυλάττουσα, απαθείας τόν δούλόν σου.

Η Σταυροθεοτοκίον

Σταυρούμενον βλέπουσα, καί τήν πλευράν ορυττόμενον, υπό λόγχης η Πάναγνος, Χριστόν τόν φιλάνθρωπον, έκλαιε βοώσα. Τί τούτο Υιέ μου; τί σοι αχάριστος λαός, αποτιννύει ανθ' ών πεποίηκας, καλών αυτοίς, καί σπεύδεις με ατεκνωθήναι παμφίλτατε; Καταπλήττομαι εύσπλαγχνε, σήν εκούσιον σταύρωσιν.

Εις τόν Στίχον Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος πλ. δ'

Εκραταιώθη τών τού Χριστού Μαρτύρων, κατ' εχθρών τό σύστημα, εν οίς ως φωστήρες κοσμικοί διαλάμπουσιν, οι εύσθενείς καί άριστοι Αθλοφόροι, Σέργιός τε καί Βάκχος. Τούτοις έκλινε τά νώτα η πονηρά φάλαγξ τών δαιμόνων. Τούτους εξεπλάγησαν τύραννοι, καί εθαύμασαν Άγγελοι, ορώντες τόν ασώματον, υπό σαρκός πατούμενον, τών δέ πιστών η Εκκλησία, πανέορτον εορτήν καί κοσμικήν χαρμονήν, επιτελούσα βοά. ο ασθενεία σαρκός πεδήσας τόν ισχυρόν, ταίς πρεσβείαις τών Αγίων σου, σώσον τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Ώ τού παραδόξου

Πώς σου την χάριν υμνήσαιμι, καί τήν πολλήν πρός εμέ, τόν ανάξιον δούλόν σου, καθ' εκάστην πρόνοιαν, ήν σαφώς επιδείκνυσαι; πώς δέ σου φράσω τήν αγαθότητα, καί τήν ποικίλην όντως κυβέρνησιν; σύ ούν καί έτι νύν, εις αεί μου πρόστηθι, παντός κακού, ζώντα καί θανόντα με, εκλυτρουμένη Σεμνή.

Η Σταυροθεοτοκίον

Ω τού παραδόξου θαύματος! ώ μυστηρίου καινού! ώ φρικτής εγχειρήσεως! η Παρθένος έλεγεν, εν Σταυρώ θεωρούσά σε, εν μέσω δύο ληστών κρεμάμενον, όν ανωδίνως φρικτώς εκύησεν. Έκλαιε κράζουσα. Οίμοι Τέκνον φίλτατον! πώς σε δεινός, δήμος καί αχάριστος. Σταυρώ προσήλωσεν.

Απολυτίκιον

Ήχος δ' Ταχύ προκατάλαβε

Οι Μάρτυρές σου, Κύριε, εν τή αθλήσει αυτών, στεφάνους εκομίσαντο τής αφθαρσίας, εκ σού τού Θεού ημών, σχόντες γάρ τήν ισχύν σου, τούς τυράννους καθείλον, έθραυσαν καί δαιμόνων, τά ανίσχυρα θράση. Αυτών ταίς ικεσίαις, Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, οι Κανόνες τής Οκτωήχου, καί τών Αγίων ο παρών, ού η Ακροστιχίς,

Σέργιον αθλοφόρον καί Βάκχον αοίδιμον άδω.
Θεοφάνους

Ωδή α' Ήχος α'
«Σού η τροπαιούχος δεξιά, θεοπρεπώς εν ισχΰϊ δεδόξασται. αύτη γάρ αθάνατε, ως πανσθενής υπεναντίους έθραυσε, τοίς Ισραηλίταις, οδόν βυθού καινουργή»σασα».

Σέργιε θεράπον τού Χριστού, συμπεσβευτήν προσλαβων καί συλλήπτορα, Βάκχον τόν αοίδιμον, μεθ' ού τούς άθλους θεοφρόνως ήνυσας, λόγον μοι σοφίας, ημάς υμνούντι βραβεύσατε.

Επί τήν ασάλευτον Χριστού, πετραν τής πίστεως Άγιοι Μάρτυρες, θέντες τόν θεμέλιον, επ' ασφαλούς ερηρεισμένοι βάσεως, πρόβολοι καί πύργοι, τής ευσεβείας εδείχθητε.

Ρήμασι Πιστεύσαντες Χριστού, καί πρός αυτόν ακλινώς ατενίζοντες, πάσαν διεπτύσατε, παρερχομένην ευδοξίαν Άγιοι, δόξης αϊδίου, κατασχεθέντες τώ έρωτι.

Γένους καί πατρίδος καί τιμής, διά Χριστόν γυμνωθέντες ηγάλλεσθε, καί περιβαλλόμενοι, θηλυπρεπές ανδρειοφρόνως ένδυμα τήν τής αφθαρσίας, καταστολήν ημφιάσασθε.

Θεοτοκίον
Ίλεων γενέσθαι τοίς πιστοίς, καί ευμενή Θεομήτορ δυσώπησον, Λόγον όν εγέννησας, σωματικώς ημίν επιδημήσαντα, σέ γάρ προστασίαν, καί σωτηρίαν κεκτήμεθα.

Ωδή γ'
Ο μόνος ειδώς
Ο μόνος γινώσκων ως Θεός, τά πάντα πρίν γενέσεως, τήν πρός αυτόν ορών υμών πρόθεσιν, σοφίας λόγων καί θείας γνώσεως, καί στερρού φρονήματος, δαψιλώς ενέπλησεν, ως αυτού στρατιώτας Μακάριοι.

Νομίμως θεράποωτες Χριστού, αθλήσαι προελόμενοι, τήν φθειρομένην δόξαν καί ρέουσαν, καί κόσμον πάντα καί κοσμοκράτορα, λογισμώ θεόφρονι, αθλοφόροι Μάρτυρες, εβδελύξασθε πόθω τού κτίσαντος.

Αχράντοις νοός επιβολαίς, Θεώ νύν παριστάμενοι, καί τής εκείθεν αίγλης πληρούμενοι, καί τής αφράστου μακαριότητος, σαφώς απολαύοντες,

πειρασμών τούς ημάς γεραίροντας, Αθλοφόροι λυτρώσασθε.

Θεοτοκίον

Θανάτω κρατούμενος τό πρίν, Αδάμ νύν ηλευθέρωται, τή σή γεννήσει μόνη Θεόνυμφε, ζωήν γάρ όντως τήν ενυπόστατον, ενωθείσαν σώματι, Αγνή καθ' υπόστασιν, υπέρ φύσιν καί λόγον εκύησας.

Ο Ειρμός

«Ο μόνος είδως τής τών βροτών, ουσίας τήν ασθένειαν, καί συμπαθώς αυτήν μορφωσάμενος, περίζωσόν με εξ ύψους δύναμιν, τού βοάν σοι Άγιος, ο ναός ο έμψυχος, τής αφράστου σου δόξης φιλάνθρωπε».

Κάθισμα   Ήχος πλ. δ'

Τήν σοφίαν καί λόγον

Τά τής πίστεως άνθη, τούς νοητούς μαργαρίτας Κυρίου καί αθλητάς, Σέργιον τιμήσωμεν, καί τόν Βάκχον τούς Μάρτυρας, ως τού εχθρού τήν πλάνην, ενθέως πατήσαντας, καί τών ειδώλων πάσαν ισχύν εδαφίσαντας, όθεν επαξίως, ουρανόθεν τό στέφος, τής νίκης δεξάμενοι, σύν Αγγέλοις χορεύουσι. διό πίστει βοήσωμεν. Πρεσβεύσατε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην υμών.

Δόξα… Καί νύν… Θεοτοκίον

Ενθυμούμαι τήν κρίσιν καί δειλιώ, έργα πράξας αισχύνης ο ταπεινός, άξια καί δέομαι, Θεοτόκε πανύμνητε. Πρίν τάς πύλας φθάσω, θανάτου επίστρεψον, πρός τήν τής μετανοίας, οδόν οδηγούσά με, ίνα ευχαρίστως, προσκυνών ανυμνώ σου, τήν άμετρον δύναμιν, καί τήν θείαν αντίληψιν, Παναγία Θεόνυμφε, πρεσβεύουσα Χριστώ τώ Θεώ, υπέρ ού αιτούμαί σε δοθήναί μοι, ιλασμόν αμαρτιών, καί μέγα έλεος.

Η Σταυροθεοτοκίον

Εν Σταυρώ παρεστώσα Μήτηρ η σή, καί Θεόν σε ειδυία υπέρ βροτών, σαρκί προσιέμενον, το νεκούσιον θάνατον, ως μέν μήτηρ ρομφαία, καρδίαν ετέτρωτο, καί ουχ ήττον οδύναις, καί πόνοις προσήλωτο, ως δέ βουλομένη, τήν βροτών σωτηρίαν, καί κόσμου τήν λύτρωσιν, ευχομένη ανύμνει σε, καί σύν δάκρυσιν έλεγεν.  Ανάστηθι καί σώσον Υιέ, τούς τά πάθη πίστει σου δοξάζοντας, ο υπέρ πάντων εκχέας, σόν αίμα τό άγιον.

Ωδή δ'

Όρος σε τή χάριτι

Λαμπτήρες διττοί, από δυσμών εξανέτειλαν, τήν εναντίαν τώ της γής, τότε κρατούντι δυσσεβεί, ποιούμενοι κίνησιν, καί πρός τήν σήν ανατολήν επειγόμενοι, τήν φωτοφόρον Χριστέ καί σωτήριον.

Ου ξίφος ού πύρ, ού διωγμός ουδέ μάστιγες, τής εύσεβούς περί Θεόν, γνώμης εχώρισαν υμάς, ζωήν γάρ ηγήσασθε, τήν τελευτήν τήν δι' αυτόν Αξιάγαστοι, καί μακαρίαν τρυφήν καί ανώλεθρον.

Φωστήρες οι όντως, απλανείς τό στερέωμα, τής Εκκλησίας τού Χριστού, περιαυγάζουσι φωτί, τής θείας ελλάμψεως, καί τάς ψυχάς τών ευσεβών

κατευφραίνουσι, τάς τών θαυμάτων ακτίνας εκπέμποντες.

Ο Βάκχος ο θείος, καί πανάριστος Σέργιος, ενιαυτών περιτροπαίς, τούς ευσεβείας εραστάς, καί τούς φιλομάρτυρας, πνευματικώς πρός ευωχίαν προτρέπονται, τάς αριστείας αυτών προτιθέμενοι.

Θεοτοκίον

Ρομφαία τάς πύλας, τής Εδέμ η φυλάττουσα, παραχωρεί νύν τοίς πιστοίς, καί υποδέχεται φαιδρώς, τιμίω εν αίματι, τού εκ τής σής γαστρός τεχθέντος Πανάμωμε, σημειωθέντας ορώσα καί χάριτι.

Ωδή ε'

Ο φωτίσας τή ελλάμψει

Οι τήν πλάνην αληθείας εν όπλω ελάσαντες, καί τυράννων καρτερώς ακισμούς υπομείναντες, νικηταί γεγόνατε, παρά Χριστού στεφανωθέντες, καί νύν αξίως αγάλλεσθε.

Νευρούμενοι αηττήτω δυνάμει καί χάριτι, τής Τριάδος, η δυάς τών Μαρτύρων κατέβαλε, τόν τού σκότους άρχοντα, καί τούς αυτώ δεδουλωμένους, τής τούτου πλάνης ερρύσατο.

Καρτερία καί ανδρεία ψυχής καί στερρότητι, διανοίας ξυνωρίς, τών Μαρτύρων η ένδοξος, υπερέβη άπασαν, τών διωκτών πικράν μανίαν, καί σύν Αγγέλοις αυλίζεται.

Θεοτοκίον

Ανέτειλας Θεομήτορ ως όρθρος τόν Ήλιον, τόν άδυτον ηνωμένον σαρκί καθ' υπόστασιν, εν αγκάλαις φέρουσα, τής αληθούς δικαιοσύνης, διό σε πάντες δοξάζομεν.

Ωδή ς'

Εκύκλωσεν ημάς

ιάσεων πηγάς Μαρτύρων λείψανα, πλουσίως αναβρύουσιν, αρυσώμεθα προθύμως ούν πιστοί, καί τούς Αθλοφόρους μακαρίσωμεν, τόν ευκλεή, Σέργιον καί Βάκχον τόν αοίδιμον.

Βαρούμενοι τήν μετ' ανόμων σκήνωσιν, καί πλάνη δυσχεραίνοντες, τήν ουράνιον πορείαν ευσταλώς, Σέργιος καί Βάκχος επορεύοντο, καί πρός Χριστόν, λιμένα έφθασαν τόν αχείμαστον.

Ανοίγονται τοίς αθλοφόροις Μάρτυσιν, αι πύλαι αι ουράνιαι, ευλαβούμεναι τό παθος τό σεπτόν, τό τή εκτιμήσει τού Θεού ημών, χαριτωθέν, καί φυγαδεύον δαιμόνων φάλαγγας.

Θεοτοκίον

Κυρίως σε Θεού Μητέρα Πάναγνε, φρονούντες καταγγέλλομεν, τόν γάρ άναρχον Υιόν μονογενή, τόν πρό τών αιώνων αναλάμψαντα, εκ τού Πατρός, ανερμηνεύτως Παρθένε τέτοκας.

O Ειρμός

«Εκύκλωσεν ημάς εσχάτη άβυσσος, ουκ έστιν ο ρυόμενος, ελογίσθημεν ως πρόβατα σφαγής. Σώσον τόν λαόν σου ο Θεός ημών, σύ γάρ ισχύς, τών ασθενούντων καί επανόρθωσις».

Κοντάκιον Ήχος β'

Τά άνω ζητών

Τόν νούν πρός εχθρούς ανδρείως παρατάξαντες, τήν πάσαν αυτών απάτην κατελύσατε, καί τήν νίκην άνωθεν, ειληφότες Μάρτυρες πανεύφημοι, ομοφρόνως εκράζετε. Καλόν καί τερπνόν τό συνείναι Χριστώ.

Ο Οίκος

Εν ουρανοίς Χριστέ, κατοικούντες, Σέργιός τε καί Βάκχος, καί τού θείου φωτός τού παρά σού εμφορούμενοι, εμέ τόν εν σκότει τής αγνωσίας πορευόμενον, προφθάσειαν διά τάχους, καί τών παθών αφαρπάσειαν, μόνε αθάνατε, στολήν μοι τής αφθαρσίας καταπέμποντες. όπως λευχειμονών, τήν φωτοφόρον αυτών εορτήν ανυμνώ, καί κραυγάζω σοι Κύριε. Καλόν καί τερπνόν τό συνείναι Χριστώ.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Ζ' τού αυτού μηνός, Μνήμη τών Αγίων μεγάλων Μαρτύρων, Σεργίου καί Βάκχου.

Στίχοι

Χαλκά σά νεύρα, Βάκχε, πρός νεύρων βίαν,
Καί πρός ξίφος, Σέργιε, πύρ σή καρδία.
Σέργιον εβδομάτη ξίφος έκτανε, νεύρα δέ Βάκχον.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων, Ιουλιανού Πρεσβυτέρου, καί Καισαρίου Διακόνου.

Στίχοι

Σάκκω δοθείσι καί βυθώ, Θεός Λόγος,
Διττοίς Αθληταίς, σάκκον εις χαράν στρέφει.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Γερομάρτυρος Πολυχρονίου.

Στίχοι

Κτείνουσι πολλά Πολυχρόνιον ξίφη.
Πρός τά ξίφη δέ λήψεται, καί τά γέρα.

Ο Αγιος Λεόντιος ο Υπατικός, τώ Χριστώ πιστεύσας καί επευξάμενος, εν ειρήνη τελειούται.

Οι άγιοι Μάρτυρες Ευσέβιος Πρεσβύτερος καί Φήλιξ ξίφει τελειούνται.

Οι Όσιοι ενενήκοντα εννέα πατέρες, οι εν τή νήσω Κρήτη ασκήσαντες, εν ειρήνη τελειούνται.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'
Σέ νοητήν, Θεοτόκε

Χαίρε δυάς, Αθλοφορων ένδοξε, χαίρε νικήσασα λαμπρώς, τών τυράννων τάς απειλάς, χαίρε η ανύσασα, δρόμον τόν μακάριον, χαίρε τρυφής αεί ένδον μένουσα, χαίρε τρανώς, παρεστώσα Θεώ θεομακάριστε.

Ο λολαμπείς, επί γής βαδίζοντες, τάς τών δαιμονων μηχανάς, καί τάς όψεις τών διωκτών, Μάρτυρες ημβλύνατε, φέγγει τώ τής χάριτος, καί ταίς αυγαίς τής αθλήσεως, τόν αινετόν ανυμνούντες, Θεόν τόν υπερένδοξον.

Ναοί Θεού, πεφηνότες ένδοξοι, ζώντος καί ζώντες Αθληταί, τή δυνάμει τή τού Σταυρού, όντως δυναμούμενοι, στίφος ετροπώσασθε, τών δυσμενών παμμακάριστοι, τον κραταιόν εν πολέμοις, Θεόν ύμνοις γεραίροντες.

Θεοτοκίον

Άχραντε σύ, ναός εχρημάτισας, καί Παναγία κιβωτός, δεξαμένη τόν Ποιητήν, τόν απερινόητον, καί τόν απερίληπτον, εν τή γαστρί σου χωρήσασα, τόν αινετόν τών Πατέρων, Θεόν καί υπερένδοξον.

Ωδή η'
Εν καμίνω Παίδες

Ο τή δρόσω πάλαι τοίς Παισί, τήν φλόγα καταψύξας, εστώτας εν τοίς αγώσιν, εδυνάμωσεν αυτού, τούς Μάρτυρας ψάλλοντας. Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ιοβόλους καί ψυχοβλαβείς, θωπείας τών τυράννων, εμφρόνως οι, Αθλοφόροι, διεκρούσαντο, Χριστώ, βοώντες καί ψάλλοντες. Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Δραστηρίους φύλακας ημίν, τόν Σέργιον καί Βάκχον, τούς όντως στεφανηφόρους, επεστήσατο Χριστός, φρουρούντας τούς ψάλλοντας. Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ιθυνόν μοι Δέσποτα Χριστέ, πρεσβείαις τών Μαρτύρων, τήν τρίβον τής αρετής μοι, κατευμαρίζων καί σοί, κραυγάζειν αξίωσον. Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Μακαρίζω σε τήν αληθή, Θεού ημών Μητέρα, τό Χαίρε σύν τώ Αγγέλω, προσκομίζων σοι αγνή, πανάμωμε Δέσποινα, σέ γάρ όντως πάντα τά έργα, Παρθένε ευλογούσι, καί υπερυψούσιν, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Εν καμίνω Παίδες Ισραήλ, ως έν χωνευτηρίω τώ κάλλει τής ευσεβείας, καθαρώτερον χρυσού, απέστιλβον λέγοντες. Ευλογείτε πάντα τά έργα

Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ'

Τύπον τής αγνής

Όλον τόν Χριστόν εκτήσασθε, κόσμον γάρ όλον δι' αυτόν κατελίπετε. Καί νύν Μάρτυρες, τούς ουρανούς εμβατεύοντες, τάς χορείας τών άνω Δυνάμεων, ανδρών τε μακαρίων, κατανοείτε τάς λαμπρότητας.

Νέμοις ξυνωρίς πανάριστε, τώ τούς επαίνους πόθω σοι προσκομίζοντι, χάριν άνωθεν, καί τών πταισμάτων συγχώρησιν, δυσωπούσα τόν μόνον οικτίρμονα, πρός όν επειγομένη, τών χαμαιζήλων κατεφρόνησας.

Αίγλη τριλαμπούς θεότητος, πεφωτισμένοι οι αήττητοι Μάρτυρες, τήν πολύθεον απατηλήν αθεότητα, καί τυράννων τόν φόβον απώσαντο, καί νύν τής ακηράτου, κατατρυφώσιν απολαύσεως.

Δρόμον τόν καλόν τελέσαντες, τήν ευσεβή τε πίστιν σώζειν σπουδάσαντες, την ασάλευτον παραλαβείν ηξιώθητε, βασιλείαν πανένδοξοι Μάρτυρες, διάδημα τού κάλλους, καί ευπρεπείας περικείμενοι.

Θεοτοκίον

Ω τών υπέρ νούν θαυμάτων σου! τόν τού Θεού γάρ Λόγον σάρκα γενόμενον, μόνη τέτοκας, υπερφυώς Μητροπάρθενε, τόν τά σύμπαντα θείω βουλήματι, σοφώς διακρατούντα, καί κυβερνώντα καί συνέχοντα.

Ο Ειρμός

«Τύπον τής αγνής λοχείας σου, πυρπολουμένη βάτος έδειξεν άφλεκτος. Καί νύν καθ' ημών, τών πειρασμών αγριαίνουσαν, κατασβέσαι αιτούμεν τήν κάμινον, ίνα σε Θεοτόκε, ακαταπαύστως μεγαλύνωμεν».

Εξαποστειλάριον

Τοίς Μαθηταίς

Αδελφική συνδούμενοι, τή στοργή καί τή πίστει, οι αθλοφόροι Μάρτυρες, Σέργιος ο θεόφρων, καί Βάκχος ο αοίδιμος, σέ Χριστέ δυσωπούσιν, ειρήνην σήν δωρήσασθαι, κόσμω καί τοίς εν κόσμω, καί Βασιλεί, κατ' εχθρών βαρβάρων τρόπαια νίκης, ημίν πταισμάτων άφεσιν, καί ψυχών σωτηρίαν.

Θεοτοκίον

Τόν σαρκωθέντα Κύριον, εξ αγνών σ' ου αιμάτων, Παρθενομήτορ άχραντε, δυσωπούσα μή παύση, υπέρ αχρείων σου δούλων, όπως εύρωμεν χάριν, καί εύκαιρον βοήθειαν, εν ημέρα ή κρίνη, γένος βροτών, ως Θεός παρέχων τά κατ' αξίαν, σέ γάρ προστάτιν άπαντες, έχομεν εν ανάγκαις.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν τά παρόντα τρία ιδιόμελα, δευτερούντες τό πρώτον.

Ήχος α'  Γερμανού

Δαυϊτικώς ανεβόων, Σέργιος καί Βάκχος οι Μάρτυρες. Ιδού δή τί καλόν, ή τί

τερπνόν, αλλ' ή τό κατοικείν Αδελφούς επί τό αυτό, ου δεσμούμενοι φύσεως σχέσει, αλλά πίστεως τρόπω. Όθεν οι Άγιοι, τόν εχθρόν κατεπάτησαν, καί τόν σταυρόν αράμενοι, τώ Χριστώ ηκολούθησαν, καί πρεσβεύουσι τώ Βασιλεί καί Θεώ, δωρηθήναι ταίς ψυχαίς ημών τό μέγα έλεος.

Ήχος γ'

Ει τι καλόν, εί τι τερπνόν, η αυτάδελφος γνώμη τών Μαρτύρων σου Κύριε, ούς γάρ η φύσις σαρκικούς αδελφούς ούκ εγνώρισε, τούτους η πίστις αδελφά φρονείν μέχρις αίματος κατηνάγκασεν, ο Θεός, ταίς ευχαίς αυτών, ελέησον ημάς.

Ήχος δ' Ανατολίου

Προφητικώς τοίς Αγίοις συνελθόντες, τόν ύμνον βοήσωμεν. Ιδού δή τί καλον, ή τί τερπνόν, αλλ' ή τό κατοικείν αδελφούς επί τό αυτό, ου φύσεως ακολουθία, αλλά, πίστεως ενώσει τού Αγίου Πνεύματος. τά γάρ φθαρτά βδελυξάμενοι πάντα, ήραν τόν σταυρόν επ' ώμων, καί ηκολούθησαν τώ Χριστώ, Σέργιος καί Βάκχος οι γενναίοι Μάρτυρες, καί παρρησίαν εν ουρανοίς κεκτημένοι, πρεσβεύουσιν αυτώ υπέρ ημών, τού καταπεμφθήναι ημίν τό μέγα έλεος.

Δόξα... Ήχος δ'

Υποδησάμενος Σέργιος, εν ετοιμασία τού Ευαγγελίου τής ειρήνης, τά τών ήλων υποδήματα, τώ αίματι τώ τών ποδών απορρέοντι, τόν όφιν τόν επιτηρούντα τήν πτέρναν ημών εξετύφλωσε, καί τόν τού μαρτυρίου στέφανον εκομίσατο. Διό ευχαίς αυτού Χριστέ ο Θεός, καθήλωσον εκ τού φόβου σου τάς σάρκας ημών, καί ημάς ελέησον.

Καί νύν… Θεοτοκίον

Ρύσαι ημάς εκ τών αναγκών ημών, Μήτηρ Χριστού τού Θεού, η τεκούσα τόν τών όλων ποιητήν, ίνα πάντες κράζωμέν σοι. Χαίρε η μόνη προστασία τών ψυχών ημών.

Η Σταυροθεοτοκίον

Ως γενναίον εν Μάρτυσι

Τόν αμνόν καί Ποιμένα σε, επί ξύλου ως έβλεψεν, αμνάς η κυήσασα επωδύρετο, καί μητρικώς σοι εφθέγγετο. Υιέ ποθεινότατε, πώς εν ξύλω τού Σταυρού, ανηρτήθης φιλάνθρωπε; πώς τάς χείράς σου, καί τούς πόδας σου Λόγε προσηλώθης, υπ' ανόμων καί τό αίμα, τό σόν εξέχεας Δέσποτα;

Εις τόν Στίχον, Στιχηρά τής Οτωήχου.

Δόξα… Ήχος β'

Ανατολίου

Καθορώσα πάλαι η Εκκλησία τού Θεού, τούς υμών αγώνας, Μάρτυρες παγκόσμιοι, σήμερον φαιδρώς στολίζεται, καί πιστώς εορτάζει εν τή μνήμη υμών, ως κόσμον βασίλειον περιφέρουσα τήν αισχύνην, τήν επί τοίς θείοις υμών αυχέσιν, επιτεθείσαν παικτικώς, δι' ής δόξης κατηξιώθητε τής επουρανίου, καί τής ατελευτήτου μακαριότητος.

Καί νύν… Θεοτοκίον

Ότε, εκ τού ξύλου σε

Όλην, τήν ζωήν μου εν κακοίς, καταδαπανήσας ο τάλας, νύν κατελείφθην Αγνή, πάσης όντως έρημος, αγαθής πράξεως, προσεγγίζοντα βλέπων δέ, τόν θάνατον οίμοι! τρέμω τό κριτήριον τού σού Υιού καί θεού, ούπερ, εξελού με Παρβένε, καί Πρό τής ανάγκης εκείνης, Δέσποινα επίστρεψον καί σώσον με.

Η Σταυροθεοτοκίον

Πονους, υπομείνασα πολλούς, εν τή τού Υιού καί Θεού σου, σταυρώσει Άχραντε, έστενες δακρύουσα, καί ολολύζοθσα. Οίμοι τέκνον γλυκύτατον! αδίκως πώς πάσχεις; πώς τώ ξύλω κρέμασαι; ο πάσαν γήν εκπληρών. Όθεν, Παναγία Παρθένε, σέ παρακαλούμεν εν πίστει ίλεων ημίν τούτον απέργασαι.

Καί η λοιπή Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Η' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής Οσίας Μητρός ημών Πελαγίας.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Εγκρατεία τό σώμά σου, Πελαγία νεκρώσασα, τήν ψυχήν εζώωσας καί εκόσμησας, καί οικητήριον Πνεύματος, σαυτήν απετέλεσας, καί συνήφθης μυστικώς, τώ νυμφίω καί Κτίστη σου, όν ικέτευε, εκ φθοράς καί κινδύνων λυτρωθήναι, τους εν πίστει εκτελούντας, τήν αεισέβαστον μνήμην σου.

Το ωραίον τού σώματος, εις το πρώτον αξίωμα, Πελαγία ένδοξε μετερρύθμισας, ουχί χρωμάτων τοίς άνθεσιν, αρετών δέ κάλλεσι, κατεποίκιλας σαυτήν, καί τού Κτίστου γεγένησαι καθ' ομοίωσιν, εκτενώς δυσωπούσα υπέρ πάντων, τών εν πίστει εκτελούντων, τήν αεισέβαστον μνήμην σου.

Των δακρύων αλάβαστρον, καθ' εκάστην προχέουσα, ευωδίας έπλησας τά ουράνια, διό ώς μύρα πολύτιμα, Χριστώ προσηνέχθησαν, εις οσμήν τήν μυστικήν, τής αυτού αγαπήσεως, εκχεόμενα, διά τούτο δυσώπει υπέρ πάντων, των εν πίστει εκτελούντων, τήν αεισέβαστον μνήμην σου.

Δόξα… Ήχος δ'
Ιωάννου Μοναχού

Ο που επλεόνασεν ή αμαρτία, υπερεπερίσσευσεν η χαρις, καθώς ο Απόστολος διδάσκει, εν προσευχαίς γάρ καί δάκρυσι Πελαγία, τών πολλών πταισμάτων τό πέλαγος εξήρανας, καί τό τέλος ευπρόσδεκτον τώ Κυρίω, διά τής μετανοίας προσήγαγες, καί νύν τούτω πρεσβεύεις, υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον
Ως γενναίον
Επομβρίαις τού Πνεύματος, τού Αγίου Πανάχραντε, τήν εμήν διάνοιαν καταδρόσισον, η τήν σταγόνα κυήσασα, Χριστόν τόν τήν άμετρον, ανομίαν τών βροτών, οικτιρμοίς αποσμήχοντα, αποξήρανον, τήν πηγήν τών παθών μου καί χειμάρρου, καταξίωσον τρυφής με, ταίς αειζώοις πρεσβείαις σου.
Η Σταυροθεοτοκίον
Ως εώρακε Κύριε, η Παρθένος καί Μήτηρ σου, εν Σταυρώ κρεμάμενον, επωδύρετο, καί θρήνω δούσα εφθέγγετο. Τί σοι ανταπέδωκαν, οι πολλών σου δωρεών, απολαύσαντες Δέσποτα; Αλλά δέομαι. Μή με μόνην εάσης εν τώ κόσμω, αλλά σπεύσον αναστήναι, συνανιστών τούς προπάτορας.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος πλ. δ'
Μελετίου Ιερομάρτυρος Βλαστού
Μετά τό αρνήσασθαι σαρκός τήν ευπάθειαν, ανεδείχθης καθαρόν δοχείον, τού δι’ εύσπλαγχνίαν τοίς ανθρώποις συγκαταβάντος φιλανθρώπου Λόγου, όθεν καί πρός ζωήν τήν αγήρω οικείν σε ηξίωσεν ως υπεράγαθος. Τά ουράνια πάντα συγχαίρουσι, τήν πρίν σε ασέμνως βιώσασαν, νύν καθορώντα Χριστού άσπιλον κειμήλιον, τού εν ουρανοίς από τής γής σε μεταθέντος, καί πάντας πιστούς φρουρούντος τή μνήμη σου.
Καί νύν... Θεοτοκίον
Ώ τού παραδόξου
Ήθη τά μακράν ποιούντά με, τού αγαθού σου Υιού, Αγαθή καί Πανάμωμε, πόρρωθι απέλασον, τής αθλίας καρδίας μου, καί τόν ζητούντα καί ωρυόμενον, καταπιείν με κάκιστον λέοντα, όφιν τόν δόλιον, σκολιόν καί δράκοντα, τόν πονηρόν, σύντριψον τώ κράτει σου, υπό τούς πόδας μου.
Η Σταυροθεοτοκίον
Ω τού παραδόξου θαύματος! ώ μυστηρίου καινού! ώ φρικτής εγχειρήσεως! η Παρθένος έλεγεν, εν Σταυρώ σε ως έβλεπεν, εν μέσω δύο ληστών κρεμάμενον, όν ανωδίνως φρικτώς εκύησεν. Έκλαιε κράζουσα, Οίμοι τέκνον φίλτατον! πώς σε δεινός, δήμος καί αχάριστος, Σταυρώ προσήλωσεν.

Απολυτίκιον  Ήχος πλ. δ'
Εν σοί Μήτερ ακριβώς διεσώθη τό κατ' εικόνα, λαβών γάρ τόν σταυρόν, ηκολούθησας τώ Χριστώ, καί πράττων εδίδασκες, υπερoράν μέν σαρκός, παρέρχεται γάρ επιμελείσθαι δέ ψυχής, πράγματος αθανάτου, διό καί μετά Αγγέλων συναγάλλεται, οσία Πελαγία τό πνεύμά σου.

Καί Απόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τής Αγίας ούτος,

ού η Ακροστιχίς.

Πόθω γεραίρω τήν σοφήν Πελαγίαν.

Εν δέ τοίς Θεοτόκοις
Γεωργίου

Ωδή α'  Ήχος δ'
Θαλάσσης τό ερυθραίον

Προθείσα, ως πανδαισίαν σήμερον, τήν θείαν μνήμην αυτής, τή οικουμένη πάση μυστικώς, Πελαγία προτρέπεται, κατατρυφήσαι άπαντας, τών εδεσμάτων τών αγώνων αυτής.

Ο πόθος, ό υπέρ πάσαν έφεσιν, εν τή ψυχή σου Σεμνή, κατωκηκώς επύρσευσε τόν νούν, καί τήν φλόγα τού πνεύματος, ανάψας σέ εφώτισε, καί τών παθών τήν ύλην έφλεξεν.

Θαλάσσης, τής αμαρτίας κλύδωνα, υπεκφυγούσα σεμνή, τώ γαληνώ λιμένι τού Χριστού, Πελαγία προσώρμισαι, διό τή μετανοία σου, επεκληρώσω τόν Παράδεισον.

Θεοτόκιον

Γαλήνη, τών εν τώ βίω, Άχραντε, χειμαζομένων βροτών, η ασφαλής καί άγκυρα στερρά, καί λιμήν καί κυβέρνησις, αυτή υπάρχεις πάντοτε, χειραγωγούσα καί διέπουσα.

Ωδή γ'

Ευφραίνεται επί σοί, η Εκκλησία σου, Χριστέ κράζουσα, Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα.

Ανέπτης είς ουρανούς, η τού Χριστού περιστερά πτέρυξι, τής εγκρατείας σαυτήν, πόνοις τε πολλοίς ανυψώσασα.

Ίλυος τής τών παθών, σύ τό δυσώδες τώ Χριστού ύδατι, αποσμη. χθείσα σεμνή, μύρον Πελαγία εδείχθης αυτώ.

Ρομφαία τώ πονηρώ θανατηφόρος αληθώς γέγονεν, η πρός Θεόν σου σεμνή, έμπυρος αγάπη καί έφεσις,

Θεοτόκιον

Ως δρόσος εωθινή, η ευφροσύνη σου Αγνή στάζουσα, τήν τών παθών κάμινον, τών σέ ανυμνούντων σβεννύει αεί.

Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα, Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

Η Σταυροθεοτοκίον

Καθελκόμενον Λόγε εν τώ Σταυρώ υπ' ανδρών παρανόμων γνώμη σκαιά,

ορώσα η Μήτηρ σου, τήν ψυχήν ετιτρώσκετο, καί κοπτομένη σπλάγχνα, εθρήνει κραυγάζουσα, καί συνοχή καρδίας, εβόα στενάζουσα. Οίμοι τή τεκούση, σέ Υιέ καί Θεέ μου! πώς θέλων υπέμεινας, τού προσώπου ραπίσματα, καί εμπτύσματα βέβηλα, άδικόν τε θάνατον νύν, επί ξύλου ήλοις προσπηγνύμενος; Όντως ταύτα πάσχεις,τού σώσαι τόν άνθρωπον.

Κάθισμα Ήχος πλ. δ'
Τήν Σοφίαν

Μετανοίας τή δρόσω τήν τών παθών, αποσβέσασα φλόγα τήν σεαυτής, ζωήν ανατέθεικας, τώ Θεώ καί Σωτήρί σου, διά τούτο κόσμον, φυγούσα εμόνασας, εν ερήμω βίον, Αγγέλων ζηλώσασα, όθεν σού τό τέλος, μετά δόξης μεγάλης, θεόθεν τιμώμενον, επεγνώσθη τοίς πέρασι, Πελαγία πανένδοξε, πρέσβευε Χριστώ τώ θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Καί νύν... Θεοτοκίον

Πειρασμοίς πολυπλόκοις περιπεσών, εξ εχθρών αοράτων καί ορατών, τώ σάλω συνέχομαι, τών αμέτρων πταισμάτων μου, καί θερμήν αντίληψιν, καί σκέπην μου έχων σε, τώ λιμένι προστρέχω, τής σής αγαθότητος, όθεν Παναγία, τόν εκ σού σαρκωθέντα, απαύστως ικέτευε, υπέρ πάντων τών δούλων σου, τών απαύστως υμνούντων σε, Θεοτόκε πανάχραντε, πρεσβεύουσα αυτώ εκτενώς, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς προσκυνούσιν εν πίστει, τόν πανάγιον τόκον σου.

Ωδή δ'
Επαρθέντα σε ιδούσα

Ως θυμίαμα υπέρτιμον Πελαγία, τής εγκρατείας άνθραξιν ολοκαυτωθείσα, ευωδία γέγονας, Χριστώ τώ Θεώ ημών, εις οσιμήν δραμούσα τού μύρου αυτού.

Τήν τού σώματος ευπρέπειαν Πελαγία, τής αμαρτίας ύλην πρώην γενομένην, όλην μετερρύθμισας, εις κάλλος ανόθευτον, ού ο σός νυμφίος, ηράσθη Χριστός.

Η τού Πνεύματος ενσπείρασα Πελαγία, εν τή ψυχή σου χάρις σπινθήρα τού λόγου, τήν φλόγα μετέωρον, ανήψε τής πίστεως, καί τήν αμαρτίαν εχώνευσεν.

Θεοτοκίον

Ράβδος έφυς Θεοτόκε εξ ής τό άνθος, τό νοητόν εβλάστησε, θείας ευωδίας, πληρώσαν τά σύμπαντα, Χριστός ο Θεός ημών, μύρον ων ακένωτον τίμιον.

Ωδή ε'
Σύ Κύριέ μου φώς

Νάμασι μυστικοίς, πιανθείσα τού Πνεύματος, εξήνθησας εν τή πίστει, αρετών ευφορίαις, καί πόνοις τής ασκήσεως.

Σύ Κύριε τό φώς, τών εν σκότει κειμένων βροτών, σύ έλαμψας εν καρδία, τής Οσίας τήν αίγλην, τής θείας επιγνώσεως.

Οι πόνοι σου σεμνή, Πελαγία εν δάκρυσι, σπειρόμενοι ευφροσύνης, καί χαράς αφθονίαν, εν ουρανοίς συνήθροισαν.

Θεοτοκίον

Γνωστή σου αληθώς, η χάρις αναδέδεικται, Πανάχραντε παραδόξως, ενεργούσα δυνάμεις, καί τέρατα εν πάση τή γή.

## Ωδή ς'

Θύσω σοι, μετά φωνής

Φανείσης, τής ανεσπέρου αίγλης Χριστού τού Θεού, εν τή ψυχή Πελαγίας, ο τού σκότους άρχων απεσοβήθη, καί ωκίσθη, η τού Πνεύματος χάρις καί πίστις αυτού.

Η πάλαι, παγιδευθείσα υπό τού όφεως, παγίς αυτώ ανεδείχθη, τήν αυτού συνέχουσα δυναστείαν, καί πατούσα, τήν αυτού πανουργίαν δυνάμει Θεού.

Νυμφίον, τόν Χριστόν καί Θεόν αγαπήσασα, ταίς αρεταίς κοσμηθείσα, καί πεποικιλμένη πόνοις ενθέοις, τού νυμφώνος, τού αυτού Πελαγία ηξίωσαι.

Θεοτοκίον

Ιδείν σου, Θεοτόκε τήν δόξαν τήν άφραστον, πάλαι ωδίνησαν θείως, οι Προφήται πάντες, αλλ' επ' εσχάτων, ημίν ώδθη, τοίς ποθούσί σε Κόρη πανάμωμε.

Ο Ειρμος

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμονων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

## Κοντάκιον Ήχος β'

Τά άνω ζητών

Τό σώμα τό σόν, νηστείαις Κατατήξασα, αγρύπνοις ευχαίς, τόν Κτίστην καθικέτευες, τού λαβείν σών πράξεων, τήν τελείαν Μήτερ συγχώρησιν, ήν καί έλαβες αληθώς, οδόν μετανοίας υποδείξασα.

Ο Οίκος

Όσοι εν βίω αμαρτίαις εμολύνθητε, ως ο τάλας εγώ, ζηλώσωμεν τήν μετάνοιαν, τόν οδυρμόν τε μετά δακρύων τής Οσίας Μητρός ημών Πελαγίας, ίνα ταχύ εκ Θεού τήν συγχώρησιν λάβωμεν, καθάπερ η μακαρία, έτι ζώσα, τόν ρύπον απέπλυνε τής αμαρτίας, καί έλαβεν εκ Θεού τήν τελείαν συγχώρησιν, οδόν μετανοίας υποδείξασα.

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή Η' τού αυτού μηνός, Μνήμη τής Οσίας Μητρός ημών Πελαγίας.

Στίχοι

Αίσχους πλυθείσα καί λιπούσα τόν σάλον,
Πρός όρμον ήκεις ουρανού Πελαγία.

Ογδοάτη υπάλυξε βίου πέλαγος Πελαγία.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Πελαγίας τής Παρθένου.

Στίχοι

Κρημνώ φυγούσα κρημνόν αισχύνης μέγαν,
Κρημνείς τόν εχθρόν ευφυώς Πελαγία.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Ταϊσίας τής πόρνης.

Στίχοι

Εκ τού ρύπου σμηχθείσα τής ασωτίας,
Φαιδρά πρόσεισι τώ Θεώ Ταϊσία.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Εν τή καμίνω

Πέλαγος θείων, κατορθωμάτων ώφθης ως αληθώς, όλην τού εχθρού βυθίσασα εν αυτώ, την ισχύν, διό ανέμελπες. Εύλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε.

Εν τή καμίνω , τής εγκρατείας σώμα καί τήν ψυχήν, θείως ως χρυσόν εχώνευσας, καθαρόν, καί τό πρώτον κάλλος έδειξας, οβρυζωθέν σεμνή, Πελαγία τή άκρα ασκή σει σου.

Λουτρώ τώ θείω, εκδυσαμένη όλον σύ αληθώς, όν περ παλαιόν ενδέδυσο τών παθών, καί φθειρόμενόν σου άνθρωπον, τόν νέον Ένδοξε ημφιάσω, Χριστώ συμμορφούμενον.

Θεοτοκίον

Ο εν τώ θρόνω, τώ Πατρικώ οχούμενος Λόγος Θεού, ξένως επί σοί εσκήνωσε καί φρικτώς, Θεοτόκε καί ανήγαγεν, ημών τό φύραμα, εαυτώ συνυψώσας ως ευσπλαγχνος.

Ωδή η'

Χείρας εκπετάσας Δανιήλ

Λάμπουσιν ακτίνες φαειναί, τών θαυμασίων σου, καθάπερ ήλιος, καί τήν τού βίου σου άπασαν, υπερφαίνουσι λαμπρότητα, καί τήν αστράψασαν εν σοί, τής θείας πίστεως εκβοώσι, πάση τή κτίσει αυγήν Πελαγία σεμνή.

Άλυτον δεσμόν τόν εις Χριστόν, πιστώς συνδήσασα, προσεκολλήθης αυτώ, καί αδιάσπαστος έμεινας, τή ενώσει τής αγάπης αυτού, ώ καί ηρμόσθης νοητώς, τάς προσβολάς τού εχθρού, Πελαγία, εκ τής καρδίας σου εκδιώξασα.

Γνώσιν δεξαμένη αληθή, εν τή καρδία σου, διά τού Πνεύματος, σαφώς κατέλιπες άπασαν, τήν τού βίου ματαιότητα, διό κατέπληξας βροτούς, εν τή αθρόα Σεμνή, μεταθέσει, καί ουρανούς ευφροσύνης επλήρωσας.

Θεοτοκίον

Υμνούσι πανάχραντε Αγνή, τά μεγαλειά σου, αι νοεραί στρατιαί, ανακηρύττουσιν άπαντες, Πατριάρχαι καί Προφήται τρανώς, σύν Αποστόλοις ιεροίς, καί τών Μαρτύρων χοροί, καί Οσίων άπαν τό πλήθος, μεθ' ών προσκυνούμέν σε.

Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν εσβε»σαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες. Ευλογείτε πάντα τά έργα, Κυρίου τόν Κύριον».

Ωδή θ’

Λίθος αχειρότμητος όρους

Ιδείν επεθύμησας όντως, τού εραστού Χριστού τό κάλλος, δι' όν εσταυρώθης τώ κόσμω, καί τό ωραίον άνθος τού σώματος, Οσία κατεμάρανας, καί τήν τού βίου εβδελύξω στοργήν.

Άπαν τό τού σώματος άχθος, αποθεμένη Πελαγία, διά εγκρατείας καί πόνων, πρός ουρανίους σκηνάς ανέδραμες, εν αίς τού ποθουμένου σοι, επαπολαύεις κάλλους ένδοξε.

Νύν τούς σέ τιμώντας εκ πόθου, πάντας Οσία εποπτεύοις, καί τούς τήν ετήσιον ταύτην, επιτελούντάς σου μνήμην πρέσβευε, τώ Ποιητή καί Κτίστη σου, ίνα μετάσχωμεν τής δόξης αυτού.

Θεοτοκίον

Υμνώ σου τόν τόκον Παρθένε, καί μεγαλύνω σου τήν χάριν, σύ γάρ φωτισμός τής ψυχής μου, υπάρχεις όντως καί η παράκλησις, η ταχινή βοήθεια, καί σωτηρία καί αντίληψις.

Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός, συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Εξαποστειλάριον

Τοίς Μαθηταίς

Υπογραμμός ο βίος σου, Μοναζόντων εδείχθη, καί ακριβής ανόρθωσις, τών δεινώς πεπτωκότων, αοίδιμε Πελαγία, τών παθών γάρ τήν νύκτα, φυγούσα προσεπέλασας,τώ Ηλίω τής δόξης, Χριστώ σεμνή, Ασκητών εκλάμψασα ομηγύρει, μεθ' ών σου τήν υπέρλαμπρον, εορτάζομεν μνήμην.

Θεοτοκίον

Χαρμονικώς τό Χαίρέ σοι, τού σεπτού Αρχαγγέλου, οι λυτρωθέντες Πάναγνε, τής αρχαίας κατάρας, διά τού θείου σου τόκου, ευχαρίστως βοώμεν Χαίρε, Αδάμ η λύτρωσις, χαίρε Εύας η λύσις, χαίρε δι' ής, άπαν ημών βρότειον εθεώθη, χαίρε δι' ής ετύχομεν, ουρανών βασιλείας.

Καί τά λοιπά τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

**ΤΗ Θ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη του Αγίου Αποστόλου Ιακώβου τού Αλφαίου, καί τού Οσίου Πατρός ημών Ανδρονίκου, καί τής συμβίας αυτού.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσι

Τώ καλάμω τής χάριτος, εκ βυθού ματαιότητος, τούς βροτούς ανείλκυσας αξιάγαστε, τού Διδασκάλου τοίς νεύμασιν, υπείκων Ιάκωβε, τού φωτίσαντος τήν σήν, κατά πάντα διάνοιαν, καί Απόστολον, καί σεπτόν θεηγόρον σε παμμάκαρ, αναδείξαντος τής τούτου, ακαταλήπτου θεότητος.

Η τού Πνεύματος έλλαμψις, επί σέ καταβέβηκε, τού πυρός εν είδει, καί σέ μακάριε, θείον δοχείον ειργάσατο, συντόνως ελαύνοντα, αθεϊας τήν αχλύν, καί τόν κόσμον φωτίζοντα, τή λαμπρότητι, τών πανσόφων σου λόγων μυστολέκτα, Αποστόλων η ακρότης, Χριστού αύτόπτα Ιάκωβε.

Αστραπαίς τού κηρύγματος, τούς εν σκότει καθεύδοντας, αγνωσίας ένδοξε, κατεφώτισας, ούς αναδείξας Ιάκωβε, υιούς διά πίστεως, τού Δεσπότου καί Θεού, τούτου πάθος εζήλωσας, καί τόν θάνατον, καί τής δόξης εγένου κληρονόμος, ως σοφός καί θεηγόρος, ως μαθητης αληθέστατος.

Καί τών Οσίων γ'
Ήχος πλ. β' Όλην αποθέμενοι

Όλην αποθέμενοι, βιωτικήν τυραννίδα, καί πλούτον μισήσαντες, καί τρυφήν τήν ρέουσαν βδελυξάμενοι, τόν Σταυρόν ήρατε, ως ζυγόν ένθεον, καί Χριστώ ηκολουθήσατε, καί πρός ουράνιον, χλόην θαυμαστώς εσκηνώσατε, εν οίς συναγαλλόμενοι, μέμνησθε ημών τών εκ πίστεως, υμών μεμνημένων, καί πόθω εκτελούντων εύλαβώς, την Ιεράν καί σεβάσμιον, μνήμην υμών Άγιοι.

Όλως αγαπήσασα, σέ εκ ψυχής τόν Δεσπότην, οπίσω σου έδραμε, δυάς η αοίδιμος καί ομόζυγος, καί τερπνά άπαντα, καί δεσμόν άλυτον, ως ιστόν αράχνης έλυσε, διό καί έτυχε, σού τής βασιλείας Αθάνατε. Αυτών ούν ταίς δεήσεσιν, ιλασμόν οικτίρμον παράσχου μοι, τών πλημμελημάτων, καί δείξόν με ανώτερον παθών, τών ενοχλούντων μου Δέσποτα, τήν ψυχήν εκάστοτε.

Παίδων εστερήθητε, τής ποθεινής ξυνωρίδος, προστάξει τή κρείττονι, καί τώ βίω μένοντες απαράκλητοι, τήν φωνήν ήρατε, τήν γενναιοτάτην, τού Ιωβ καί ανεκράξατε. Κύριος έδωκε, Κύριος καί πάλιν αφείλετο. Διό καί τό ποθούμενον, έργον ευχερώς διηνύετε, καί πρός ερημίας, καί τόπους τούς

Αγίους εν χαρά, μεταναστεύοντες ώφθητε, ζεύγος Ιερώτατον.

Δόξα... Τού Αποστόλου

Ήχος δ'  Θεοφάνους

Τήν τού θείου Πνεύματος σαφώς χάριν δεξάμενος, τής ιερωτάτης χορείας τών Αποστόλων, συναρίθμιος , Ιάκωβε γέγονας, όθεν καί ούρανόθεν τήν φερομένην ποτέ πνοήν βιαίαν, πυρίνη γλώσση εμπνευσθείς, τήν τών εθνών ακανθώδη έφλεξας αθεότητα. Χριστόν τόν Θεόν, Θεοκήρυξ ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Ως γενναίον εν Μάρτυσι

Ο κριτής ήδη πάρεστι, τό κριτήριον έτοιμον, ο πρός τούτο φέρων θάνατος ήγγικεν, οι υπουργοί ετοιμότατοι, τά πάντα ηυτρέπισται, τί ούν μέλλεις ώ ψυχή; τί βραδύνεις μή κράζουσα; ο Θεός ημών, καί Θεός τού ελέους ταίς πρεσβείαις, τής Μητρός σου οίκτειρόν με, καί πάσης ρύσαι κολάσεως.

Η Σταυροθεοτοκίον

Η αμνάς η κυήσασα, τό αρνίον τό άμωμον, τό τήν αμαρτίαν ελθόν ιάσασθαι, παντός τού κόσμου Πανάχραντε, οικείω εν αίματι, τό σφαγέν υπέρ ημών, καί ζωώσαν τά σύμπαντα, σύ μι, ένδυσον, γυμνωθέντα τής θείας αφθαρσίας, εξ ερίου τού σού τόκου, περιβολήν θείας χάριτος.

Εις τόν Στίχον Στιχηρά τής Οκτωήχου

Δόξα... τού Αποστόλου

Ήχος πλ. α'

Πιστώς πανηγυρίζομεν, τήν πάνσεπτον ημέραν τής σής μνήμης, σέ ανυμνούντες Ιάκωβε ένδοξε, ούχ ως Αλφαίου υιόν, αλλ' ως τού Χριστού Απόστολον, καί κήρυκα τής αυτού αρρήτου σαρκώσεως. Όθεν τώ δεσποτικώ θρόνω, σύν Ασωμάτοις αεί παριστάμενος, καί Αποστόλων καί Μαρτύρων χοροίς, εκτενώς ικέτευε, τού σωθήναι ημάς, τόν σωτήρα καί Θεόν ημών.

Καί νύν... Θεοτοκίον

Χαίροις ασκητικών

Ρυσαι από ρομφαίας εχθρών, νύν τήν ψυχήν μου, Θεομήτορ πανάμωμε εν σοί γάρ καί εν τώ τόκω, τώ σώ Παρθένε αγνή, πάσα κατηργήθη τού αλάστορος, ισχύς καί ηφάνισται, τών δαιμόνων στρατεύματα, καί σωτηρία καί τών πόνων ανάπαυσις, τοίς πιστεύουσι, τώ σώ τόκω γεγένηται. Όθεν καγώ κραυγάζω σοι. Πολέμησον Δέσποινα, τούς πολεμούντας αεί με, καί δίκην τούτους απαίτησον, τής πρίν επηρείας, δι' ής πάσης μοι κακίας, πρόξενοι ώφθησαν.

Η Σταυροθεοτοκίον

Βλέπουσα η αμνάς τόν αμνόν, Θεού τόν αίροντα τού κόσμου τά πταίσματα, εν ξύλω ανηρτημένον, καί πεπληγμένον πλευράν, θρηνωδούσα ταύτα απεφθέγγετο. Υιέ πώς ηνέσχου, θανατωθήναι ως άνθρωπος, Θεός υπάρχων, καί Δεσπότης τής κτίσεως, ει καί πέφηνας, σαρκοφόρος θελήματι; τίνος χάριν ετάχυνας, τόν δρόμον ποιήσασθαι, καί εγκατέλιπες μόνην, τέκνον εμόν τήν τεκούσάν σε, αγνώς ευεργέτα. Λόγον δός μοι μή βραδύνης, καί μέγα έλεος.

Απολυτίκιον

Τού Αποστόλου Ήχος γ’

Απόστολε Άγιε Ιάκωβε, πρέσβευε τώ ελεήμονι Θεώ ίνα πταισμάτων άφεσιν, παράσχη ταίς ψυχάς ημών.

Τού Οσίου Ήχος α'

Τού λίθου σφραγισθέντος

Τής ερήμου πολίτης, καί εν σώματι άγγελος, καί θαυματουργός ανεδείχθης, θεοφόρε πατήρ ηνών Ανδρόνικε, νηστεία, αγρυπνία, προσευχή, ουράνια χαρίσματα λαβών, θεραπεύεις τούς νοσούντας, καί τάς ψυχάς των πίστει προστρεχόντων σοι. Δόξα τώ δεδωκότι σοι ισχύν, δόξα τώ σέ στεφανώσαντι, δόξα τώ ενεργούτι διά σού πάσιν ιάματα.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες, είς τής Οκτωήχου, καί των Αγίων οι δύο παρόντες.

Ο Κανών τού Αποστόλου, ού η Ακροστιχίς.

Χριστού μαθητήν υιόν Αλφαίου σέβω

Θεοφάνους

Ωδή α' Ήχος πλ. β'

Ως εν ηπείρω

Χείρά μοι δίδου θεόπτα καί μαθητά, τού Χριστού Ιάκωβε,τήν σεπτήν σου εορτήν, ευφημείν ορμήσαντι καί φώς, τή καρδία μου ταίς σαίς, πρεσβείαις έλλαμψον.

Ρείθροις ενθέου σοφίας περικλυσθείς, ποταμός εξώρμησας, Παραδείσου τής τρυφής, καί τής γής τό πρόσωπον ροαίς, ευσεβείας αληθώς, Σοφέ κατήρδευσας.

Ιερωτάτη χορεία τών Μαθητών, τού Χριστού Ιάκωβε, συνετάγης συμπληρών, αριθμών τών δώδεκα, μεθ' ών, τώ Δεσπότη παρεστώς, ημών μνημόνευε.

Θεοτοκίον

Σέ Παναγία Παρθένε τόν ουρανόν, ό τανύσας Κύριος, καί τήν γήν θεμελιών, ουρανόν επίγειον εκ σού, προελθων μετά σαρκός, ημίν ανέδειξε.

Ο κανων τών Οσίων, έχων Ακροστιχίδα εν τοίς Θεοτόκοις

Δημητρίου

Ωδή α' Ήχος πλ. δ'

Αρματηλάτην Φαραώ

Προκαθαρθείς σου τήν ψυχήν Ανδρόνικε, ταίς γενικαίς αρεταίς, καί θεϊκού πόθου, πυρωθείς τοίς άνθραξι, τάς τής σαρκός εξέκλινας, πυρακτώσεις, τήν δρόσον, τήν θείαν είχες γάρ άνωθεν, σέ καταδροσίζουσαν πάντοτε.

Τή τού Δεσπότου προσταγή πειθόμενος, ως πατριάρχης ποτέ, ο Αβραάμ Πάτερ, τήν σήν γήν κατέλιπες, καί συγγενών ηλόγησας, γυναικός τε καί πλούτου, μακράν εγένου καί έρημον, μάκαρ καταμόνας κατώκησας.

Τήν τού Κυρίου εντολήν πεπλήρωκας, πάντα πωλήσας τά σά, καί τοίς πτωχοίς νείμας, δι' αυτών τήν όνησιν, τού μαργαρίτου εύρηκας, τού τιμίου καί τούτον, λαβών επλούτησας άφθονον, πλούτον τήν τών μύρων ανάβλυσιν.

Θεοτοκίον

Δημιουργείται βουληθείς εν μήτρα σου, ο τού Αδάμ Πλαστουργός, καί ο δρακί φέρων, Θεοτόκε σύμπαντα, ταίς σαίς αγκάλαις φέρεται, ώ φρικτού μυστηρίου! καί νήπιος αναδέδεικται, πάντων τών αιώνων ο Κύριος.

Τού Αποστόλου  Ωδή γ'

Ουκ έστιν Άγιος

Τού θείου Πνεύματος σαφώς, δεδεγμένος τήν χάριν, τοίς εν σκότει ως όρθρος, ανεδείχθης πρωϊνός, Ηλίου τού νοητού, καταγγέλλων πάσι τήν εμφάνειαν.

Ο πούς σου έστη προφανώς, εν ευθύτητι Μάκαρ, περί τόν Βασιλέα, τόν ευθύν τε καί χρηστόν, χορεύων περιχαρώς, καί βαδίζων τρίβον τήν ουρανιον.

Υιόν τόν άναρχον Θεού, τόν τά πάντα ποιούντα, θεϊκή εξουσία, απλανή μυσταγωγόν, τήν γνώσιν τήν αληθή, σέ μυούντα, έσχηκας Ιάκωβε.

Θεοτοκίον

Μαρία τών πάντων η ελπίς, τών εις σέ πεποιθότων, η τεκούσα τόν Λογον, σαρκωθέντα δι' ημάς, ποικίλων με πειρασμών, καί κινδύνων, Πάναγνε διάσωσον.

Τών Οσίων

Ο στερεώσας κατ' αρχάς

Εξωστρακίσθη τής Εδέμ, τή συμβουλή τή τής Εύας, ο Αδάμ, σύ δέ πεισθείς συμβουλία, τής συζύγου σου σοφέ, τού Παραδείσου γέγονας, ένδον σύν ταύτη χαίρων, πάντοτε μάκαρ Ανδρόνικε.

Ο κεκρυμμένως καί σοφώς, οικονομών πάντα Λόγος, καί βροτούς πρός σωτηρίαν ιθύνων, από γής πρός ουρανον, τούς ποθεινούς ιμεθίστησι, παίδας υμών τούς δύο, τρίβον ευθείαν δεικνύς υμίν.

Τής επικήρου καί φθαρτής, ηλογηκότες αγάπης, τής εν γή, καταλιπόντες δέ ταύτην, συνεδέθητε στοργή, πνευματική Μακάριοι, όθεν καί νύν οικείτε, ένθα Δικαίων σκηνώματα.

Θεοτοκίον

Η ασυγκρίτως Χερουβίμ, καί Σεραφίμ υπερτέρα, η Θεόν ανερμηνεύτως τεκούσα, καί τήν βρότειον αράν, εις ευλογίαν τρέψασα, ύμνοις αεί τιμάσθω, αυτή ημών γάρ πεποίθησις.

Ο Ειρμός

«Ο στερεώσας κατ' αρχάς, τους ουρανούς εν συνέσει, καί τήν γήν επί ύδάτων εδράσας, εν τή πέτρα με Χριστέ, τής Εκκλησίας στήριξον, ότι ουκ έστι πλήν σου, Άγιος μόνε φιλάνθρωπε».

Κάθισμα τού Αποστολου

Ήχος πλ.δ'

Τήν Σοφίαν καί Λόγον

Τήν σοφίαν τήν όντως παιδαγωγόν, εσχηκώς σέ μυούσαν τά υπέρ νούν, σοφίαν εμώρανας, τών Ελλήνων Θεόπνευστε, καί εθνών εγένου, φωστήρ καί διδάσκαλος, εύσεβείας λόγοις, ρυθμίζων τούς άφρονας, όθεν οι ρυσθέντες, διά σού τής απάτης, αξίως υμνούμέν σε, καί πιστώς μακαρίζομεν. Θεηγόρε Ιάκωβε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Τού Οσίου

Τόν ζυγόν τού Κυρίου τόν ελαφρόν, ολοψύχως επ' ώμων αναλαβών, αυτώ ηκολούθησας, Θεοφόρε Ανδρόνικε, καί κοσμικούς θορύβους, καλώς βδελυξάμενος, εν ταίς ερήμοις Μάκαρ, προθύμως εξέδραμες, ένθα καί τόν δρόμον, τής ασκήσεως Πάτερ, αμέμπτως διήνυσας, τώ Θεώ συγγινόμενος, διά τούτο βοώμέν σοι. Πρέσβευε Χριστώ τώ Θεώ τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Καί νύν... Θεοτοκίον

Ως πανάμωμος νύμφη τού Ποιητού, ως απείρανδρος Μήτηρ τού Λυτρωτού, δοχείον ως υπάρχουσα, τού Παρακλήτου πανάμωμε, ανομίας με όντα αισχρόν καταγώγιον, καί δαιμόνων παίγνιον, εν γνώσει γενόμενον, σπεύσον καί τής τούτων, κακουργίας με ρύσαι, λαμπρόν οικητήριον, δι' αρετής απαρτίσασα, Φωτοδόχε ακήρατε, δίωξον τό νέφος τών παθών, καί τής άνω μεθέξεως αξίωσον, καί φωτός ανεσπέρου πρεσβείαις σου.

Η Σταυροθεοτοκίον

Τόν αμνόν καί Ποιμένα καί Λυτρωτήν, ή αμνάς Θεωρούσα εν τώ Σταυρώ, ωλόλυζε δακρύουσα, καί πικρώς ανεβόα, ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήν περ υπομένεις, διά σπλάγχνα ελέους. Μακρόθυμε Κύριε, τού ελέους η άβυσσος, καί πηγή αγαθότητος, σπλαγχνίσθητι καί δώρησαι ούν, τών πταισμάτων άφεσιν τοίς δούλοις σου, τοίς ανυμνούσί σου πίστει, τά θεία πσθήματα.

Τού Αποστόλου  Ωδή δ'

Χριστός μου δύναμις

Αυτός σε Κύριος, ο μόνος Άγιος, τή σεπτή ομηγύρει τών Μαθητών, Μάκαρ συνηρίθμησε, τήν ευαγή σου καί λαμπράν, πολιτείαν προορώμενος.

Θαυμάτων έμπλεως, τού θείου Πνεύματος, γεγονώς Θεοκήρυξ εκ τών βροτών, νόσους εφυγάδευσας, καί πονηρίας πνευμάτων, τούς ανθρώπους ηλευθέρωσας.

Η θεία έλλαμψις, επιφοιτήσασα, τή καρδία σου Μάκαρ θεολαμπή, ταύτην απειργάσατο καί δεκτικήν τών υπέρ νούν, χαρισμάτων κατεσκεύασε.

Θεοτοκίον

Τώ θείω τόκω σου, Παρθένε πάναγνε, τών Αγγέλων αι τάξεις καί τών βροτών, ήνωνται συστήματα. τόν ειρηνάρχην γάρ Χριστόν, καί σωτήρα πάντων τέτοκας.

Τών Οσίων

Εισακήκοα Κύριε

Οι ιδρώτες τών πόνων σου, οι εκ τής σαρκός σου εναποστάξαντες, Ιερώτατε Ανδρόνικε, εις οσμήν σου μύρου μετημείφθησαν.

Ωσπερ φοίνιξ υψίκομος, σύ εν ταίς ερήμοις Πάτερ εξήνθησας, καί Θεώ εκαρποφόρησας, γλυκυτάτους πόνους τών καμάτων σου.

Τών δακρύων τοίς χεύμασι, τήν τής ερημίας γήν κατεδρόσισας, καρποφόρον δέ απέδειξας, τήν ψυχήν σου πόνοις τής ασκήσεως.

Θεοτοκίον

Μή κενώσας ο Κύριος, κόλπους τούς Πατρώους, τήν σήν κατώκησε, μήτραν Κόρη τήν πανάχραντον, καί τόν κόσμον όλον ανεκαίνισεν.

Τού Αποστόλου Ωδή ε'

Τώ θείω φέγγει σου

Ηλίω Μάκαρ τώ νοητώ, σύνοικος τελών καί τάς αυγάς, νύν τάς εκείθεν δεχόμενος, όπερ κατ' ουσίαν πρώτος εκείνός εστι, δεύτερος κατά χάριν γέγονας ένδοξε.

Νούν καθαρώτατον εσχηκώς, καί ειλικρινή σύ τήν ψυχήν, καί τήν καρδίαν κτησάμενος, τόν σεσαρκωμένον Θεόν εώρακας, τόν ακαταληψία κατανοούμενον.

Υποχωρεί σοι τώ Μαθητή, πάσα προφητεία καί πάσα, νομοθεσία Πανόλβιε, τόν γάρ ταύταις πάλαι προχαραττόμενον, αυτόπτως ηξιώθης Μάκαρ θεάσασθαι.

Θεοτοκίον

Ιδού Παρθένε προφητικώς, έσχες εν γαστρί σου, τόν επί πάντων Δεσπότην καί Κύριον, όν αφράστω τρόπω σεμνή γεγέννηκας, παρθένος μετά τόκον άφθορος μείνασα.

Τών Οσίων

Ορθρίζοντες βοώμεν σοι

Υμνήσωμεν Ανδρόνικον άσμασι, πάντες πιστοί, καί τήν τούτου σύνοικον, Αθανασίαν δοξάσωμεν, ο ύδόλως ώσπερ γέγραπται δέδωκας, σοίς οφθαλμοίς, ύπνον ουδέ άνεσιν, τοίς σοίς κροτάφοις Ανδρόνικε.

Εδόξασε τοίς μύροις σε Κύριος, Μάκαρ τούς σούς, πόνους προσδεξάμενος, ως θύμα όντως ευπρόσδεκτον.

Θεοτοκίον

Τόν ένα τής Τριάδος εκύησας, Κόρη φρικτώς, καί γάλακτι έθρεψας, βροτών τήν φύσιν τόν τρέφοντα.

Τού Αποστόλου Ωδή ς'

Τού βίου τήν θάλασσαν

Οι πόδες ωραίοί σου, τήν ειρήνην απλανώς, ως ευαγγελιζόμενοι, τήν ειρήνην τήν όντως υπερφυή, καί νούν υπερέχουσαν, Μαθητά τού Κυρίου πανσεβάσμιε.

Νοείν τό μυστήριον, καί κηρύττειν τό φρικτόν, τής τού Θεού σαρκώσεως, ηξιώθης, Ιάκωβε πρωτουργούς, ακτίνας δεξάμενος, παρ' αυτού τού Υψίστου παμμακάριστε.

Ναός Θεού έμψυχος, ανεδείχθης καί ναούς, τούς τών δαιμόνων ώλεσας, καί ναούς εδομήσω τή τού Χριστού, δυνάμει καί χάριτι, Αποστόλων τό θείον εγκαλλώπισμα.

Θεοτοκίον

Απάντων δεσπόζουσα, τών κτισμάτων ως Θεόν, τόν αγαθόν γεννήσασα, τών πταισμάτων μου Πάναγνε τάς ουλάς, εις τέλος εξάλειψον, ευσπλαγχνία χρωμένη τού τεχθέντος εκ σού.

Τών Οσίων

Χιτώνά μοι παράσχου

Τής φύσεως τό χαύνον ουδαμώς, τήν πρόθεσιν ήμβλυνεν, ήν περ εκέκτησο, πρός τών πόνων ώ Οσία τά σκάμματα.

Αμείψασα τό ένδυμα σοφώς, τήν φύσιν ελάνθανες, όθεν ανύποπτον, τήν οδόν τής σωτηρίας διήνυσας.

Εγνώρισας τόν σύζυγον τόν σόν, οδώ πορευόμενον, ώ καί συνώδευσας, μηδαμώς τι πρός αυτόν ομιλήσασα.

Θεοτοκίον

Ρημάτων Γαβριήλ σοι τήν φωνήν, Κόρη νύν προσάγομεν. Χαίρε ο Κύριος, μετά σού εύλογημένη βοώντές σοι.

Ο Ειρμός

«Χιτώνά μοι παράσχου φωτεινόν, ο αναβαλλόμενος, φώς ως ιμάτιον, πολυέλεε Χριστέ ο Θεός ημών».

Κοντάκιον τού Αποστολου
Ήχος β'  Τήν εν πρεσβείαις

Ως εωσφόρον εκλάμποντα πάσαν κτίσιν, τόν τού Χριστού αυτόπτην τε καί θεηγορον, ύμνοις Ιάκωβον ευφημήσωμεν, γεραίροντες τήν τούτου πανήγυριν σήμερον, πρεσβεύει γάρ αεί υπέρ πάντων ημών.

Ο Οίκος

Τόν ουρανόθεν τού Λόγου μυηθέντα τήν γνώσιν, καί τρανώς τοίς εν γή τό Ευαγγέλιον κηρύξαντα, Ιάκωβον τόν μέγαν προηρημένος, τού Αλφαίου τόν γόνον, ανευφημήσαι, σέ δυσωπώ καταπέμψαι μοι χάριν, Χριστέ Ιησού, ο πλήσας Πνεύματος θείου τόν σοφόν Μαθητήν σου, καί κήρυκα τούτον πάσι τοίς πέρασι δωρησάμενος, καί πρέσβυν πρός σέ εύπρόσδεκτον, πρεσβεύει γάρ αεί υπέρ πάντων ημών.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Θ' τού αυτού μηνός, Μνήμη τού Αγίου Αποστόλου Ιακώβου τού Αλφαίου.

Στίχοι

Τόν σταυρόν Ιάκωβος αίρων ηδέως,
Ως έστι Σώτερ άξιός σου δεικνύει.
Αμφ' ενάτην Ιάκωβος ενί σταυρώ τετάνυστο.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Ανδρονίκου, καί Αθανασίας τής συμβίου αυτού.

Στίχοι

Σύσκηνον Ανδρόνικος Αθανασίαν,
Κόσμω τ' εν ασκήσει κάν πόλω έχει.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος Ποπλίας.

Στίχοι

Ρυσθείσα κόσμου τής πλάνης η Ποπλία,
Πόλου πρόσεισι φωλεοίς ως στρουθίον.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Πέτρου.

Στίχοι

Εις ύψος αρθείς αρετών θείος Πέτρος,
Τόν χούν απεκδύς, ύψος ούρανού φθάνει.

Τή αυτή η μέρα, Μνήμη τού Οσίου Πατρός ημών Δωροθέου Επισκόπου Τύρου.

Τή αυτή ημέρα, Μνήμη τού δικαίου Αβραάμ, καί τού ανεψιού αυτού Λώτ.

Στίχοι

Τίς οίκός εστιν. Αβραάμ τεθνηκότος.
Ου κόλπος άλλοις οίκος, ώς τώ Λαζάρω.

Υπήρξε τώ Λώτ ούρανός Σηγωρ νέα,
Εις δν φθάσας, πέφευγεν ως πύρ τόν βίον.

Ταίς τών αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τού Αποστόλου  Ωδή ζ'
Οι Παίδες εν Βαβυλώνι

Αϋλω φωτοχυσία, πεπυρσευμένος Απόστολε, τούς εν ζόφω δεινώ αγνωσίας κεκρατημένους εφώτισας, Ευλογητός ει κράζοντας, ο Θεός τών Πατέρων ημών.

Λαμπάσι καί φρυκτωρίαις, λελαμπρυσμένον τού Πνεύματος, τών εθνών η πληθύς, σπέρμα θείόν σε ονομάζει κραυγάζουσα. Ευλογητός ει Κύριε, ο Θεός τών Πατέρων ημών.

Φρονήσει κεκοσμημένος, θεοδωρήτω κατέλυσας, τήν τού κόσμου σοφίαν θεοφρόνως, κραυγάζων Ιάκωβε. Ευλογητός ει Κύριε, ο Θεός τών Πατέρων ημών.

Θεοτοκίον

Αγίων αγιωτέρα, Παρθενομήτορ γεγένησαι, συλλαβούσα θεόν, όν υμνούντες απαύστως κραυγάζομεν. Ευλογημένος πάναγνε, ο καρπός τής κοιλίας σου.

Τών Οσίων
Παίδες Εβραίων

Πάλαι καυχώμενον αμέτρως, τόν αρχέκακον συλλήψεσθαι τήν κτίσιν, ως στρουθίον οικτρόν, κατέρραξας δυνάμει, θωρακισθείς τού Πνεύματος, καί Σταυρού τή πανοπλία.

Φέρων επ' ώμων τόν σταυρόν σου, ηκολούθησας Κυρίω ολοψύχως, καί τής δόξης αυτού, τετύχηκας τής θείας, ως πληρωτής Ανδρόνικε, τών αυτού διαταγμάτων.

Δείκνυσι χάρις η τών μύρων, τήν πρός Κύριον σήν Πάτερ παρρησίαν, τών υδάτων καί γάρ, τήν χύσιν εκμιμείται, εις σωτηρίαν πάντοτε, τών πιστών προχεομένη.

Θεοτοκίον

Ίνα θεώση μου τήν φύσιν, ο παντέλειος αρρήτως νηπιάζει, καί εκ σού τής Αγνής, προέρχεται ο λόγω, παραγαγων τά σύμπαντα, καί συνέχων καί κρατύνων.

Τού Αποστόλου  Ωδή η’
Νόμων πατρώων

Ιερομύστης τά ουράνια, μεμυημένος μάκαρ όντως μυστήρια, διελήλυθας τήν σύμπασαν, οικουμένην κηρύττων μεγαλοφώνως, λόγον τόν τής πίστεως Χριστού, καί διδάσκων Απόστολε, τήν απόρρητον χάριν. Τόν Κύριον υμνείτε

κραυγάζεις, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Όλβιος έφυς καί μακάριος, ηξιωμένος πάσης μακαριότητος, ως συνόμιλος καί σύνοικος, γεγονως τού Δεσπότου, καί τήν εσχάτην όντως ευκληρίαν πλπυτήσας. καί τώ Λόγω γηθόμενος, ανέμελπες Τρισμάκαρ. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Υπέρ τού κόσμου πρέσβυς άριστος, πρός τόν Σωτήρα στήθι μάκαρ Ιάκωβε, εξαιτούμενος τήν άνωθεν, καί πλουσίαν ειρήνην ταίς Εκκλησίαις, καί τοίς ευφημούσί σε πιστώς, τών πταισμάτων τήν άφεσιν, καί ψυχών σωτηρίαν. Τόν Κύριον υμνείτε βοώσι, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Σύ σωτηρίας πάσι πρόξενος, θεογεννήτορ ώφθης μόνη πανύμνητε, τόν σωτήριον γεννήσασα, τού Θεού Θεόν Λόγον. δι' ού κόσμος σέσωσται τής πάλαι κατάρας, καί τοίς πίστει κραυγάζουσιν, εύλογίαν πηγάζει. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τους αιώνας.

Τών Οσίων

Τόν Βασιλέα τών ουρανών

Ταίς τών δακρύων επιρροαίς καταρδεύσας, τής ψυχής τήν άρουραν εδρέψω, τήν εκ τών θαυμάτων, αντίδοσιν πλουσίαν.

Τραυματισθείσάν μου τήν ψυχήν αμαρτίαις, προσβοώ σοι. Τώ θείω σου φαρμάκω, ταύτην θεραπεύσαις, θεράπον τού Κυρίου.

Τήν υπεράρχιον οι πιστοί ανυμνούμεν, ευσεβώς Τριάδα παναγίαν, τήν εκ τού μή όντος, παραγαγούσαν πάντα.

Θεοτοκίον

Ο Δανιήλ σε προθεωρεί όρος Κόρη, αλαξεύτως εξ ού απετμήθη, λίθος ο συντρίψας, βωμούς τούς τών ειδώλων.

Ο Ειρμός

«Τόν Βασιλέα τών ουρανών όν υμνούσι, στρατιαί τών Αγγέλων υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Τού Αποστόλου Ωδή θ'

Απορεί πάσα γλώσσα

Έφανας κόσμω , ώσπερ αστραπή διατρέχων, τούς εν τώ σκότει πάλαι, καί σκιά τής αγνωσίας καθημένους, έλκων πρός τό φώς τό άδυτον, τού σαρκωθέντος μονογενούς Υιού, ού αυτόπτης εγένου Μάκαρ, καί δραστικός ύπηρέτης, όν μεγαλύνομεν.

Βιαίαν Μάκαρ, τήν εξ ουρανού φερομένην,πνοήν εδέξω, γλώσσάν τε πυρίπνοον πλουτήσας καταφλέγεις, δίκην ακανθών τήν άθεον κοσμου σοφίαν, φωτιστικαίς αυγαίς τού κηρύγματος Χριστού, λάμπων καί τήν αχλύν, διαλύων Θεομακάριστε.

Ωραϊσμένος κάλλει, ασυγκρίτω τώ τού Δεσπότου, καί Θεόφρον, πεποικιλμένος λαμπηδόνας εξαστράπτεις, καί περιχαρώς Ιάκωβε, περιπολεύεις περί τόν θρόνον, όντος τού Κτίστου καί Θεού, ένθα τών Αποστόλων, χορείαι μακαριώτατε.

Ως απειράνδρως έσχες, εν γαστρί σου τόν Λόγον, ούτως αφθόρως τίκτεις, διαμένουσα Παρθένος Θεοτόκε, τόν Εμμανουήλ υπάρχοντα, τούτο κακείνο, καί γάρ ομού Θεός τε καί άνθρωπός εστι. Τούτον διπλούν τή φύσει ειδότες, σέ μεγαλύνομεν.

Τών Οσίων

Κυρίως Θεοτόκον

Μετέστης τών προσκαίρων, χαίρων πρός τά άνω, καί σύν Πατράσιν Αγίοις σκηνώσας ημών, τών μεμνημένων σου Πάτερ, μέμνησο πάντοτε.

Εκβλύζεις τήν τών μύρων, χάριν ακενώτως, καί τοίς προστρέχουσι πάσι παρέχεις πιστώς, τών νοσημάτων τήν λύσιν, Πάτερ Ανδρόνικε.

Προσδέχου μου τόν ύμνον, ώ δυάς Οσίων, καί αμοιβήν μοι παράσχου τήν σήν πρός Θεόν, ικετηρίαν πταισμάτων, εκλυτρουμένη με.

Θεοτοκίον

Υπέγραψε σήν μήτραν, πάλαι τούς τρείς Παίδας, μή καταφλέξασα κάμινος, Κόρη αγνή καί γάρ αφλέκτως εδέξω, πύρ τής θεότητος.

Ο Ειρμός

«Κυρίως Θεοτόκον, σέ ομολογούμεν, οι διά σού σεσωσμένοι Παρθένε αγνή, σύν ασωμάτοις χορείαις, σέ μεγαλύνοντες».

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Ως μύστης καί Απόστολος, καί υπηρέτης άριστος, Χριστού τού μόνου Δεσπότου, Ιάκωβε Θεοκήρυξ, τούτον δούναι ικέτευε, τώ βασιλεί τά τρόπαια, καί ιλασμόν πανεύφημε, αμαρτιών τοίς τελούσι, τήν παναγίαν σου μνήμην.

Θεοτοκίον

Σέ οι Προφήται άπαντες, Παρθένε προηγόρευσαν, στάμνον καί ράβδον καί πλάκα, καί αλατομητον όρος, καί κιβωτόν καί τραπεζαν, λυχνίαν χρυσαυγίζουσαν, ημείς δέ σέ Θεοτόκον, αξίως ανευφημούμεν.

Εις τούς Αίνους, Στιχηρά Προσόμοια τού Αποστόλου.

Ήχος δ'    Έδωκας σημείωσιν

Έλαμψας Απόστολε, φωτοειδής ώσπερ ήλιος, ταίς ακτίσι τού Πνεύματος, καί πάσαν κατηύγασας, οικουμένην μάκαρ, τή θεογνωσία, καί απεδίωξας αχλύν, πολυθεϊας, θείω κηρύγματι. Διό σου τήν υπέρφωτον, καί αξιέπαινον σήμερον, εκτελούντες πανήγυριν, εύσεβώς σε γεραίρομεν.

Εν ύψει καθήμενος, θεογνωσίας Ιάκωβε, υπεδέξω τού Πνεύματος, τήν χάριν φανείσάν σοι, τού πυρός εν είδει καί γλώσση πυρίνη, πάσαν κατέφλεξας σαφώς, τής ασεβείας ύλην πολύθεον. Διό σε ως Απόστολον, καί θεηγόρον γεραίρομεν, τήν αγίαν σου σήμερον, εκτελούντες πανήγυριν.

Εβρόντησας Πάνσοφε, τή οικουμένη διδάγματα, Ιερά καί σωτήρια, καί πάσαν εκάθηρας, ειδωλομανίας, τήν κτίσιν θεόφρον, καί κατεφώτισας λαούς, θεογνωσίας ταίς επιλάμψεσιν, ειδώλων τά τεμένη δέ, καταστρεψάμενος χάριτι, Εκκλησίας εις αίνεσιν, τού Θεού ημών ήγειρας.

Δόξα... Ήχος πλ. α'

Πιστώς πανηγυρίζομεν, τήν πάνσεπτον ημέραν τής σής μνήμης, σέ ανυμνούντες Ιάκωβε ένδοξε, ουχ ως Αλφαίου υιόν, αλλ' ως τού Χριστού Απόστολον, καί κήρυκα τής αυτού αρρήτου σαρκώσεως. Όθεν τώ δεσποτικώ θρόνω , σύν Ασωμάτοις αεί παριστάμενος, καί Αποστόλων καί Μαρτύρων χοροίς, εκτενώς ικέτευε, τού σωθήναι ημάς, τόν Σωτήρα καί Θεόν ημών.

Καί νύν... Θεοτοκίον

Μακαρίζομέν σε, Θεοτόκε παρθένε, καί δοξάζομέν σε οι πιστοί κατά χρέος, τήν πόλιν τήν άσειστον, τό τείχος τό άρρηκτον, τήν αρραγή προστασίαν, καί καταφυγή τών ψυχών ημών.

Δοξολογία μεγάλη

Εις τήν Λειτουργίαν, τά Τυπικά, καί εκ τού Κανόνος τού Αποστόλου, ή γ' καί ς' Ωδή.

---

Αρχή

**ΤΗ Ι' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τών Αγίων Μαρτύρων Ευλαμπίου καί Ευλαμπίας.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια τών Αγίων γ'.

Ήχος δ' Έδωκας σημείωσιν

Ηλίου λαμπρότερον, λελαμπρυσμένη η μνήμη σου, τοίς πιστοίς εξανέτειλε, τήν κτίσιν φωτίζουσα, θείαις φρυκτωρίαις, Ευλάμπιε μάκαρ, καί παθημάτων τήν αχλύν, καί τών δαιμόνων νύκτα διώκουσα, διό σε μακαρίζομεν, καί ετησίως γεραίρομεν, ως φωστήρα παγκόσμιον, πρεσβευτήν ως θερμότατον.

Σιδή ρω ξεόμενος, καί ταίς λαμπάσι φλεγόμενος, καί ειρκτή συγκλειόμενος, ξύλω αναρτώμενος, καί θηρίοις βρώμα, διδόμενος μάκαρ, απαρασάλευτος τόν νούν, διεφυλάχθης τή θεία χάριτι, καί νίκης διαδήματι, κατεκοσμήθης Ευλάμπιε, διά τούτο τήν μνήμην σου, χαρμοσύΝως γεραίρομεν.

Τήν Εύαν τόν τρώσαντα, καί Παραδείσου εξώσαντα, πολυμήχανον έτρωσας, τρωθείσα τώ έρωτι, του Παμβασιλέως, Χριστού Εύλαμπία, καί υπομείνασα στερρώς, σώματος τρώσιν καί πάσαν βάσανον, διό μεθέξει κρείττονι, θείας θεώσεως έτυχες, υπέρ πάντων πρεσβεύουσα, τών πιστώς εύφημούντων σε.

Δόξα... Ήχος δ'

Ιωάννου Μοναχού

Τή φιλαδελφία η ομωνυμία συγκραθείσα, καί η αγνεία τή απαθεία συμμιχθείσα, αβλαβώς διεφύλαξε τής γνώμης τό εύτονον. όπου γάρ Θεός ο ποθούμενος, κόσμος όλος καταπεφρόνηται. Ώ τού θαύματος! ο όφις νενέκρωται, καί ο εις ύψος αδικίαν λαλήσας, υποχθόνιος αυταδέλφοις Μάρτυσι καταπέπτωκεν, Ευλαμπίω τώ σοφώ και Εύλαμπία. Τούτοις ευστοχωτάτοις άσμασι βοήσωμεν, οι καλώς εν Χριστώ τόν δρόμον τελέσαντες, αιτήσασθε τώ κόσμω τήν ειρήνην, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Έδωκας σημείωσιν

Χαίρε ηλιόμορφε, ηλίου άδυτον όχημα, η τόν Ήλιον λάμψασα, τόν απερινόητον, χαίρε νούς αστράπτων, θείαις φρυκτωρίαις, η λαμπηδών τής αστραπής, η διαυγάζουσα γής τά πέρατα, η όντως χρυσαυγίζουσα, η παγκαλής καί πανάμωμος, η τό φώς τό ανέσπερον, τοίς πιστοίς εξαστράψασα.

Η Σταυροθεοτοκίον

Ρήγνυται χειρόγραφον, τό απ' αιώνος νυγείσης σου, τής πλευράς Πολυέλεε, Αδάμ τού προπάτορος, καί η απωσμένη, φύσις τών ανθρώπων, ρανίσιν αίματος τού σού, καθαγιάζεται ανακράζουσα. Δόξα τή ευσπλαγχνία σου. δόξα τή θεία σταυρώσει σου, Ιησού παντοδύναμε, ο Σωτήρ τών ψυχών ημών.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος δ'

Τώ τής Τριάδος φωτί, η αυτάδελφος ξυνωρίς λαμπρυνθείσα, τών τυράννων τήν ωμότητα κατέβαλεν. όθεν καί τήν φλόγα καταπατούντες, χορεύοντες έψαλλον. Ιδού δή τί καλόν, ή τί τερπνόν, αλλ' ή τό κατοικείν αδελφούς άμα; Καί πρός ένθεον δόξαν αποβλέποντες, ουρανίου δόξης κατηξιώθησαν, Χριστώ τώ Θεώ, υπέρ ημών αεί πρεσβεύοντες, τού σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Έδωκας σημείωσιν

Δαιμόνων κλονούμενον, ταίς προσβολαίς καί εις βάραθρον, απωλείας ωθούμενον, οικτείρησον Δέσποινα, καί στερέωσόν με, αρετών εν πέτρα, καί τάς βουλάς τών δυσμενών, διασκεδάσασα καταξίωσον, ποιείν με τά προστάγματα, τού σού Υιού καί Θεού ημών, όπως τύχω αφέσεως, εν ημέρα τής κρίσεως.

Η Σταυροθεοτοκίον

Μήτηρ απειρόγαμος, Θεού εδείχθης Πανάμωμε, τού Σταυρώ ομιλήσαντος,

καί πάθη μειώσαντος, τοίς Τιμίοις τούτου, πάθεσι καί πόνοις, ούς περ υπέμεινεν εκών, διά τό σώσαι βροτούς εν χάριτι, διό καμέ δυσώπησον, σωθήναι σαίς παρακλήσεσι, Μητροπάρθενε Δέσποινα, τών Αγγέλων υπέρτιμε.

Απολυτίκιον Ήχος δ'
Ταχύ προκατάλαβε

Οι Μάρτυρές σου, Κύριε, εν τή αθλήσει αυτών, στεφάνους εκομίσαντο τής αφθαρσίας, εκ σού τού Θεού ημών, σχόντες γάρ τήν ισχύν σου, τούς τυράννους καθείλον, έθραυσαν καί δαιμόνων, τά ανίσχυρα θράση. Αυτών ταίς ικεσίαις, Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί ο παρών τών Αγίων, ού η Ακροστιχίς.

Τήν λαμπράν υμνώ Μαρτύρων ξυνωρίδα. Ιωσήφ.

Ωδή α' Ήχος πλ. β'
Ως εν ηπείρω

Ταίς φανοτάταις ακτίσι τής τριλαμπούς, αθλοφόροι Μάρτυρες, ελλαμπόμενοι αυγής, φωτισμόν αιτήσασθε ημίν, τήν πανέορτον υμών μνήμην γεραίρουσιν.

Ηλιακάς απαστράπτει μαρμαρυγάς, η σεπτή καί εύσημος, τών Μαρτύρων Εορτή, καί τής γής τά πέρατα αεί, καταυγάζει μυστικώς, σθένει τού Πνευματος.

Νέω εν σώματι Μάρτυς τόν παλαιόν, τής κακίας άρχοντα, κατεπάλαισας στερρώς, υπομείνας βάσανα καί πύρ, καί δεινών επιφοράς, μάκαρ Ευλάμπιε.

Θεοτοκίον

Λελυτρωμένοι Παρθένε προγονικής, καταδίκης άχραντε, τή γεννήσει σου σαφώς, εν φωναίς ασμάτων σε αεί, μακαρίζομεν πιστοί, ως Θεομήτορα.

Ωδή γ'
Ουκ έστιν Άγιος ως σύ

Αγώνας ήνυσας στερρώς, υπομείνας βασάνους, καί πικράς τιμωρίας, τών μελλόντων αγαθών, νευρούμενος προφανώς, ταίς ελπίσιν, ένδοξε Ευλάμπιε.

Μαρτύρων εύκλειαν φαιδράν, περικείμενον Μάρτυς, καθορώσά σε όλην, ταίς βασάνοις εαυτήν, εκδέδωκεν η σεμνή, Εύλαμπία, αδελφά φρονούσά σοι.

Ποθήσας Μάρτυς τόν Χριστόν, τά ορώμενα πάντα, εις ούδέν ελογίσω, τών τυραννούντων ορμάς, Ευλάμπιε αθλητά, ολεθρίους, πίστει τροπωσάμενος.

Θεοτοκίον

Ρυσθήναι πάσης πονηράς, εναντίων εφόδου, καί παθών ψυχοφθόρων, καί κινδύνων χαλεπών, τους σέ τιμώντας αεί, Θεοτόκε, πάναγνε ικέτευε.

Ο Ειρμός

«Ούκ έστιν Άγιος ως σύ, Κύριε ο Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου Αγαθέ, καί στερεώσας η μάς, εν τή πέτρα τής ομολογίας σου».

Κάθισμα Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Τών βασάνων τά νέφη τά χαλεπά, Αθληταί παριδόντες καρτερικώς, ως ήλιος χάριτι, τού Σωτήρος ελάμψατε, αδελφική στοργη δέ, ενθέως συνδούμενοι, εφ' ομοίοις πόνοις, λαμπρώς εδοξάσθητε, όθεν μετά τέλος, ατελεύτητον χάριν, εξ ύψους εδέξασθε, θεραπεύειν νοσήματα, Αθλοφόροι αυτάδελφοι,πρεσβεύσατε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην υμών.

Δόξα... Καί νύν... Θεοτοκίον

Τήν ψυχήν μου Παρθένε τήν ταπεινήν, τήν εν ζάλη τού βίου τών πειρασμών, νύν ως ακυβέρτητον, ποντουμένην πανάμωμε, αμαρτιών τε φόρτω, οφθείσαν υπέραντλον, καί εν πυθμένι Άδου, ελθείν κινδυνεύουσαν, φθάσον Θεοτόκε, τή θερμή σου πρεσβεία, καί σώσον παρέχουσα, τόν λιμένα τόν εύδιον, ίνα πίστει κραυγάζω σοι. Πρέσβευε τώ σώ Υιώ καί Θεώ, των πταισμάτων δούναί μοι τήν άφεσιν. σέ γάρ έχω ελπίδα, ο δούλός σου Δέσποινα.

Η Σταυροθεοτοκίον

Τόν αμνόν καί ποιμένα καί Λυτρωτήν, η αμνάς θεωρούσα εν τώ Σταυρώ, ωλόλυζε δακρόουσα καί πικρώς εκβοώσα, ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήν περ υπομένεις, διά σπλάγχνα ελέους, Θεέ υπεράγαθε, ανεξίκακε Κύριε. Η πιστώς εκβοήσωμεν. Σπλαγχνίσθητι Παρθένε εφ' ημάς, καί πταισμάτων δώρησαι τήν άφεσιν, τοίς ευσεβώς προσκυνούσιν, αυτού τά παθήματα.

Ωδή δ'

Χριστός μου δύναμις

Αγρίων χάσματα, θηρών εφίμωσας, επικλήσεσι θείαις Αγγελική, δόξη καλλυνόμενος, καί μαρτυρίου ιεραίς, φωταυγίαις λαμπρυνόμενος.

Ναόν σε έμψυχον, ναόν πανάγιον, η τού Πνεύματος χάρις Μάρτυς σοφέ, εύρατο Ευλάμπιε, ώ κραταιούμενος Ναούς, τών ειδώλων κατηδάφισας.

Υπήρξας άσειστος, ακαταπτόητος, απερίτρεπτος πάσαις επιβολαίς, χαλεπών κολάσεων, κραταιουμένη εν Χριστώ, Ευλαμπία παναοίδιμε.

Μαρτύρων αίμασι, καλλωπιζόμενοι, καί ομόνοιαν πίστει αδελφική, σώζοντες Μακάριοι, τών διωκτών τάς ζοφεράς, επινοίας διεκρούσασθε.

Θεοτοκίον

Νοήσας πόρρωθεν, εμφαντικώτατα, Αββακούμ σε εκάλει όρος Αγνή, αρεταίς κατάσκιον, εξ ού επέφανεν ημίν, ο φωτίζων τάς ψυχάς ημών.

Ωδή ε'

Τώ θείω φέγγεισου Αγαθέ

Ως όρθρος έλαμψας ευπρεπής, ως ημερινός όντως αστήρ, ως φαεινότατος ήλιος, άθλων καί σημείων μαρμαρυγαίς τούς Πιστούς, ενθέως καταυγάζων, Μάρτυς Ευλάμπιε.

Μεγίστοις πόνοις εγκαρτερών, καί τάς ανενδότους τών δεινών, επιφοράς λογιζόμενος, Μάρτυς ως ηδίστας τρυφάς Εύλάμπιε, τάς θείας αντιδόσεις, χαίρων κεκλήρωσαι.

Αιμάτων ρείθρα Μάρτυς σεμνή, χέουσα εκτήσω τής Τρυφής, σύ τόν χειμάρρουν πανεύφημε, καί τήν δι' αιώνος δόξαν αμάραντον, καί τήν εν Παραδείσω, τερπνήν απόλαυσιν.

Θεοτοκίον

Ρομφαίαι πάσαι τού δυσμενούς, άχραντε πανάμωμε Αγνή, όντως εις τέλος εξέλιπον, σύ γάρ τόν απάντων Θεόν εκύησας, τόν Σταυρώ καθελόντα, τούτου τό φρύαγμα.

Ωδή ς’

Τού βίου τήν θάλασσαν

Τεινόμενοι Μάρτυρες, καί στρεβλούμενοι δεινώς, καί τοίς θηρσί ριπτόμενοι, καί μεληδόν κοπτόμενοι καί πυρί, ενύλω φλεγόμενοι, τήν αμώμητον πίστιν ούκ ηρνήσασθε.

Υψούμενα κύματα, τών κολάσεων σφοδρώς, δικαστικαίς προστάξεσι, τό σταθηρόν τής γνώμης τών Αθλητών βυθίσαι ουκ ίσχυσε, τή γάρ θεία παλάμη εκρατύνοντο.

Ροαίς απεπνίξατε, Φαραώ τόν δυσμενή, τού εκχυθέντος αίματος, τήν δέ Χριστού ηρδεύσατε ευσεβώς,αήττητοι Μάρτυρες, Εκκλησίαν, τή πίστει αναθάλλουσαν.

Θεοτοκίον

Ως όμβρος κεκενωται, εν τή μήτρα σου Θεός, δι' ευσπλαγχνίαν άφατον, καί τόν χειμάρρουν άπαντας τής τρυφής, επότισε Δέσποινα, καί τήν κτίσιν φθαρείσαν εκαινούργησε.

Ο Ειρμός

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι. Ανάγαγε, εκ φθοράς τήν ζωήν μου Πολυέλεε».

Κοντάκιον Ήχος γ’
Η Παρθένος σήμερον

Τούς γενναίους Μάρτυρας, καί αδελφούς κατά σάρκα, τόν σοφόν Ευλάμπιον, καί Ευλαμπίαν τιμώμεν, ούτοι γάρ τών τυραννούντων μηχανουργίας, ήσχυναν τή δυναστεία τού σταυρωθέντος. ανεδείχθησαν διόπερ, Μαρτύρων δόξα, ομού καί καύχημα.

Ο Οίκος

Τήν δυάδα πιστοί τών Αθλοφόρων σήμερον, εν ωδαίς ιεραίς καί ύμνοις εύφημήσωμεν, ότι τών ειδώλων καθείλον τήν πλάνην, πολυθεϊας τό πύρ κατασβέσαντες, καί δαίμονας ήσχυναν, τών δέ τυράννων τόν θυμόν ούκ έπτηξαν ξίφη τε καί πύρ μή δειλιάσαντες, ούτε θηρίων ορμάς αγρίων, αγωνισάμενοι καλώς, Ευλάμπιος ό εύκλεής, σύν τή σεπτή Ευλαμπία, αδελφοί σύναθλοι δειχθέντες, Μαρτύρων δόξα, ομού καί καύχημα.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Ι' τού αυτού μηνός, Μνήμη τών Αγίων Μαρτύρων Ευλαμπίου καί Ευλαμπίας.

Στίχοι

Καί προφθάσασα τήν τομήν Ευλαμπία.
Ευλαμπίω τμηθέντι κοινωνεί στέφους.
Τμήθησαν δεκάτη Ευλάμπιος ηδέ αδελφή.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων διακοσίων Μαρτύρων, τών συναναιρεθέντων τώ Αγίω Ευλαμπίω.

Στίχοι

Ανδρών τετραπλήν οιδα πεντηκοντάδα,
Ξίφει τελειωθείσαν, ώ θείου τέλους!

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Βασιανού.

Στίχοι

Ο Βασιανός, τόν κάτω λιπών βίον,
Χαίρων πρός αύτήν τήν άνω χωρεί βάσιν.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Θεοφίλου τού Ομολογητού.

Στίχοι

Τήν κλήσιν έργοις Θεόφιλος δεικνύων,
Θεανδρικής ήθλησεν εικόνος χάριν.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ’
Δροσοβόλον μέν τήν κάμινον

Νεανίας τρείς εν χάριτι μιμούμενοι, τό πύρ κατεπατήσατε, δροσιζόμενοι τώ αϋλω Πνεύματος πυρί, καί ψάλλοντες Μάρτυρες Χριστώ, Ευλογητός εί ο

Θεός, ο τών Πατέρων ημών.

Ξεομένης τής σαρκός η πρός τόν Κτίσαντα, αγάπη εκρατύνετο, οι γάρ Άγιοι ολοτρόπω Νεύσει πρός Θεόν, θεούμενοι έμελπον πιστώς. Εύλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Υπερείδων σου καρδίας τά κινήματα, ταίς θείαις αναβάσεσιν, εν ασαλεύτω, Αθλοφόρε πέτρα τής ζωής, ακλόνητος ίστασο βοών. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Νεανίας τρείς η κάμινος ουκ έφλεξε, γέννησιν προτυπούσα τήν σήν, τό γάρ θείον πύρ, σέ μή φλέξαν ώκησεν εν σοί, καί πάντας εφώτισε βοάν. Ευλογητός ει ο Θεός, ό τών Πατέρων ημών.

Ωδή η'

Εκ φλογός τοίς Οσίοις

Ωραιότατος ώφθης ψυχή καί σώματι, τών βασάνων νιφάσι καταχωννύμενος, Μάρτυς αθλητά, ούδαμώς δέ ηττώμενος, μέλπεις τώ Δεσπότη, Χριστώ εις τούς αιώνας.

Ρητορεύοντες άμα λόγον τόν ένθεον, εξεφαύλισαν πόθω δόγμα τό άθεον, οι αδελφική, αγχιστεία συνδούμενοι, Μάρτυρες τού πάντων Θεού καί Βασιλέως.

Ιερεία καί θεία ολοκαυτώματα, εθελόθυτοι άρνες άμωμα σφάγια, κάρπωμα δεκτόν, τώ Θεώ προσηνέχθητε, εν επουρανίω, τραπέζη Αθλοφόροι.

Διαυγή σε αστέρα φωτοειδέστατον, ιαμάτων ακτίσι καταλαμπρύνοντα, πάντων τάς ψυχάς, αθλοφόρε Ευλάμπιε, πίστει εγνωκότες, υμνούμεν είς αιώνας.

Θεοτοκίον

Απειρόγαμε Κορη χαίρε πανάμωμε, ο λιμήν τών εν ζάλη χαίρε Θεόνυμφε, τών αμαρτωλών, χαίρε τό ιλαστήριον, χαίρε η τεκούσα, Θεόν σεσαρκωμένον.

Ο Ειρμός

«Εκ φλογός τοίς Οσίοις δρόσον επήγασας, καί Δικαίου θυσίαν ύδατι έφλεξας, άπαντα γάρ δράς, Χριστέ μόνω τώ βούλεσθαι. Σε υπερυψούμεν, εις πάντας τούς αίώνας».

Ωδή θ'

Θεόν ανθρώποις ιδείν

Ιδείν τήν δόξαν τού Παντοκράτορος, επιποθών καί κάλλος δέ αυτού τό αμήχανον, αδοξίαν τού βίου παρέδραμες, άτιμον υπομείνας, θάνατον ένδοξε, δόξαν προξενούντά σοι αεί, Μάρτυς Εύλάμπιε.

Ως φώς ως λύχνος αειλαμπέστατος, τοίς εν νυκτί τού βίου καθωράθης Ευλάμπιε, αγνωσίας τό σκότος εδίωξας, έλυσας παθημάτων τήν αμαυρότητα,

φέγγει ιαμάτων, Αθλητά Θεομακάριστε.

Στολαίς βαφείσαις υμών εξ αίματος, μαρτυρικού ωραίους εαυτούς περιστείλαντες, στεφηφόροι Κυρίω παρίστασθε, μέλποντες σύν Αγγέλοις, Άγιος, Άγιος, Άγιος Τριάς, η παντουργός καί παντοδύναμος.

Ημών τών πίστει τήν αεισέβαστον, καί ιεράν καί πλήρη φωτισμού καί λαμπρότητος, αθλοφόροι Μάρτυρες, τελούντων υμών, Μνήμην καί προσκυνούντων, πίστει τά λείψανα, μέμνησθε παντοίων πειρασμών, πάντας λυτρούμενοι.

Θεοτοκίον

Φωτός δοχείον τού αναλάμψαντος, θεοπρεπώς εκ σού τής καθαράς Παναμώμητε, τής ψυχής μου τά όμματα φώτισον, σκότος τής αγνωσίας αποδιώκουσα, καί τής αμαρτίας τήν αχλύν, εξαφανίζουσα.

Ο Ειρμός

Θεόν ανθρώποις ιδείν αδύνατον, όν ού τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ Πάναγνε, ωράθη βροτοίς, Λόγος σε σαρκωμένος, όν μεγαλύνοντες, σύν ταίς ουρανίαις, Στρατιαίς σέ μακαρίζομεν».

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Αξίως εποφείλομεν, υμνείν τούς ουρανόφρονας, Ευλάμπιον Ευλαμπίαν, τούς ιερούς αθλοφόρους, ώς αυταδέλφους Μάρτυρας, καί τήν αυτών υπέρλαμπρον, μνήμην τελείν εν άσμασιν, υπέρ τού κόσμου γάρ ούτοι, εξιλεούνται τό θείον.

Θεοτοκίον  Όμοιον

Ρανίσι τού ελέους σου, κατάρδευσον Πανάμωμε, τήν εκτακείσαν ψυχήν μου, τής αμαρτίας τή καύσει, καί σκοτισθέντα πάθεσι, τόν νούν μου Φωταγώγη σον, τούτον σαφώς ιθύνουσα, πρός άϋλον θεωρίαν, τού σού Υιού Θεοτόκε.

Καί η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

**Ακολουθία τών Αγίων Πατέρων τής Ζ' οικουμενικής Συνόδου.**

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Μετά τόν Προοιμιακόν, στιχολογούμεν τό, Μακάριος ανήρ. Εις δέ τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ι' καί ψάλλομεν Στιχηρά Αναστάσιμα γ' καί Ανατολικόν α' καί τών Αγίων Πατέρων Στιχηρά Προσόμοια ς'.

Ήχος πλ. β'

Η απεγνωσμένη

Τάς επτά Συνόδους τάς τών Πατέρων, κατά διαφόρους καιρούς συστάσας, εις ένα συνήθροισεν ενί Κανόνι τώ δε, μάλα καλώς ο Πατριάχης, ό Γερμανός ο νέος, γράφων ομού τε καί κρατύνων, τά δόγματα τά τούτων, ός καί πρέσβεας

αυτούς αγρύπνους, τής σωτηρίας τώ Κυρίω προβάλλεται, καί τού ποιμνίου συμ πο ίμενας.

Τό τού Νόμου γράμμα παισίν Εβραίων, έθετο τιμίαν τήν εβδομάδα, σκιά προσανέχουσι, καί λατρεύουσι ταύτη, ήν περ Πατέρες συνδραμόντες, εν επτάδι Συνόδων, νεύσει Θεού τού εν εξάδι, ημερών σύμπαν τόδε, απαρτίσαντος, καί τήν εβδόμην ευλογήσαντος, σεμνοτέραν ειργάσασθε, όρον εκθέμενοι Πίστεως.

Τήν Τριάδα πάσιν εκ τών πραγμάτων, τής κοσμογενείας ούσαν αιτίαν, τρανώς παρεδώκατε, τρισόλβιοι Πατέρες, τρείς γάρ καί τέσσαρας Συνόδους, μυστικωτάτω λόγω θέντες, καί έκδικοι φανέντες, τού ορθοδόξου λόγου, τά στοιχεία τά τέσσαρα όντα, καί τήν Τριάδα ενεφήνατε, κτίσασαν ταύτα, καί κόσμον ποιήσασαν.

Ήρκεσε καί μία ζωήν εμπνεύσαι, τώ κειμένω γόνω τής υπουργούσης, Προφήτου ανάκαμψις Ελισσαιέ τού πάνυ, όμως ανέκαμψεν επτάκις, καί συνέκυψε τούτω, οία προόπτης προαγγέλλων, τάς υμών συνελεύσεις, αίς τήν νέκρωσιν τού Θεού Λόγου εψυχώσατε, θανατώσαντες Άρειον, καί τούς εκείνω συγ κάμ νοντας.

Τόν διηρημένον Χριστού χιτώνα, καί διερρηγμένον κυσίν υλάκταις, σοφώς συνερράψατε σεβάσμιοι Πατέρες, βλέπειν τήν γύμνωσιν τήν τούτου, μηδαμώς ενεγκόντες, ώσπερ ο Σήμ τε καί Ιάφεθ, τήν πατρώαν τό πάλαι, καταισχύναντες τόν πατραλοίαν, καί τούς εκείνω συμφρονήσαντας Άρειον, τόν της μανίας επώνυμον.

Τούς Μακεδονίους καί Νεστορίους, καί τούς Ευτυχέας καί Διοσκόρους, Απολλιναρίους τε Σαβελλιοσεβήρους, λύκους βαρείς αποδειχθέντας, εν δέρμασι προβάτων, πόρρω τής ποίμνης τού Σωτήρος, ως αληθείς Ποιμένες, απηλάσατε γυμνούς κωδίων, τούς τρισαθλίους καταστήσαντας άριστα, όθεν υμάς μακαρίζομεν.

Δόξα... Ήχος πλ. β'

Τάς μυστικάς σήμερον τού Πνεύματος σάλπιγγας, τούς θεοφόρους Πατέρας ανευφημήσωμεν, τούς μελω δήσαντας εν μέσω τής Εκκλησίας, μέλος εναρμόνιον θεολογίας, Τριαδα μίαν απαράλλακτον, ουσίαν τε καί θεότητα, τούς καθαιρέτας Αρείου, καί Ορθοδόξων προμάχους, τούς πρεσβεύοντας πάντοτε Κυρίω, ελεηθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον
τό α' τού Ήχου

Είσοδος, Φώς ιλαρόν. Τό Προκείμενον τής ημέρας, καί τά Αναγνώσματα.

Γενέσεως τό Ανάγνωσμα

(Κεφ. 14, 14-20)

Ακούσας Άβραμ, ότι ηχμαλώτευται Λώτ ο αδελφιδούς αυτού, ηρίθμησε τούς ιδίους οικογενείς αυτού, τριακοσίους δέκα καί οκτώ, καί κατεδίωξεν οπίσω αυτών έως Δάν, καί επέπεσεν επ' αυτούς τήν νύκτα αυτός, καί οι Παίδες αυτού μετ' αυτού καί επάταξεν αυτούς καί κατεδίωξεν αυτούς έως Χοβάλ, ή εστιν εν αριστερά ο Δαμασκού, καί απέστρεψε πάσαν τήν ίππον Σοδόμων, καί Λωτ τόν αδελφιδούν αυτού απέστρεψε, καί πάντα τά υπάρχοντα αυτού, καί τάς γυναίκας, καί τόν λαόν, Εξήλθε δέ βασιλεύς Σοδόμων εις συνάντησιν αυτώ ο μετά τό υποστρέψαι αυτόν από τής κοπής τού Χοδολλογόμορ καί τών βασιλέων τών μετ' αυτού, εις τήν κοιλάδα τού Σαβύ, τούτο ήν πεδίον Βασιλέως, καί Μελχισεδέκ, βασιλεύς Σαλήμ, εξήνεγκεν άρτους καί οίνον, ήν δέ Ιερεύς τού Θεού τού Υψίστου, καί ευλόγησε τόν Αβραμ, καί είπεν. Ευλογημένος Άβραμ τώ Θεώ τώ Υψίστω, ός έκτισε τόν ο ουρανόν καί τήν γήν. Καί ευλογητός ο Θεός ο Ύψιστος, ός παρέδωκε τούς εχθρούς σου υποχειρίους σοι.

Δευτερονομίου τό Ανάγνωσμα

(Κεφ. 1, 8-11, 15-17)

Έλιπε Μωσής πρός τούς υιούς, Ισραήλ ίδετε, παρέδωκα ενώπιον υμών τήν γήν, εισελθόντες κληρονομήσατε τήν γήν, ήν ώμοσε Κύριος τοίς πατράσιν υμών, τώ Αβραάμ καί τώ Ισαάκ καί τώ Ιακώβ, δούναι αυτοίς καί τώ σπέρματι αυτών μετ' αυτούς. Καί είπον πρός υμάς εν τώ καιρώ εκείνω, λέγων ου δυνήσομαι μόνος φέρειν υμάς. Κύριος ο Θεός ημών επλήθυνεν υμάς, καί ιδού εστε σήμερον ωσεί τά άστρα τού ουρανού τώ πλήθει. Κύριος ο Θεός τών Πατέρων υμών προσθείη υμίν, ως εστέ χιλιοπλασίως, καί ευλογήσαι υμάς, καθότι ελάλησεν υμίν. Καί έλαβον εξ υμών άνδρας σοφούς, καί επιστήμονας, καί συνετούς, καί κατέστησα αυτούς ηγείσθαι εφ' ημών, χιλιάρχους καί εκατοντάρχους, καί πεντηκοντάρχους, καί δεκάρχους, καί γραμματοεισαγωγείς τοίς κριταίς υμών. Καί ενετειλάμην τοίς κριταίς υμών εν τώ καιρώ εκείνω, λέγων. Διακούετε αναμέσον τών αδελφών υμών, καί Κρίνατε δικαίως αναμέσον ανδρός καί αναμέσον τού αδελφού αυτού. Καί τού προσηλύτου αυτού. Ουκ επιγνώσει πρόσωπον εν κρίσει, κατά τόν μικρόν καί κατά τόν μέγα κρινείς, ου μή υποστείλη πρόσωπον ανθρώπου, ότι η κρίσις τού Θεού εστι.

Δευτερονομίου τό Ανάγνωσμα

(Κεφ. 10, 14-21)

Είπε Μωσής πρός τούς υιούς Ισραήλ, ιδού, Κυρίου τού Θεού σου ο ουρανός, καί ο ουρανός τού ουρανού, η γή καί πάντα όσα εστίν εν αυτή. Πλήν τούς πατέρας υμών προείλετο Κύριος αγαπάν αυτούς, καί εξελέξατο τό σπέρμα αυτών μετ' αυτούς, υμάς παρά πάντα τά έθνη, κατά τήν ημέραν ταύτην. Καί περιτεμείσθε τήν σκληροκαρδίαν υμών, καί τόν τράχηλον υμών ου σκληρυνείτε έτι, ο γάρ Κύριος ο Θεός υμών, ούτος Θεός τών Θεών, καί Κύριος τών Κυρίων, ο Θεός ο μέγας, καί ισχυρός, καί φοβερός, ός τις ου θαυμάζει πρόσωπον, ουδ' ου μή λάβη δώρον, ποιών κρίσιν προσηλύτω καί ορφανώ καί χήρα, καί αγαπά τόν προσήλυτον, δούναι αυτώ άρτον καί ιμάτιον. Κύριον τόν Θεόν σου φοβηθήση, καί αυτώ μόνω λατρεύσεις, καί

πρός αυτόν κολληθήση, καί επί τώ ονόματι αυτού ομή, αυτός Καύχημά σου, καί αυτός Θεός σου, ός τις εποίησέ σοι τά μεγάλα καί τά ένδοξα ταύτα, ά είδον οι οφθαλμοί σου.

Εις τήν Λιτήν, τά συνήθη

Δόξα… Ήχος γ'

Αποστολικών παραδόσεων, ακριβείς φυλακες γεγόνατε Άγιοι Πατέρες,τής γάρ Αγίας Τριάδος τό ομοούσιον, ορθοδόξως δογματίσαντες, Αρείου τό βλάσφημον συνοδικώς κατεβάλετε. Μεθ' όν καί Μακεδονιον, Πνευματομάχον απελέγξαντες, κατεκρίνατε Νεστόριον, Ευτυχέα καί Διόσκορον, Σαβέλλιόν τε καί Σεβήρον, τόν Ακέφαλον. Ών τής πλάνης αιτήσασθε, ρυσθέντας ημάς, ακηλίδωτον ημών τόν βίον, εν τή πίστει διατηρείν δεόμεθα.

Καί νύν... Θεοτοκίον

Θεοτόκε η προστασία πάντων τών δεομένων, εις σέ θαρρούμεν, είς σέ καυχώμεθα, εν σοί πάσα η ελπίς ημών εστι. Πρέσβευε τώ εκ σού τεχθέντι, υπέρ αχρείων δούλων σου.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα… Ήχος δ'

Τήν ετήσιον μνήμην μερον, τών θεοφόρων Πατέρων, τών εκ πάσης τής οικουμένης, συναθροισθέντων, εν τή λαμπρά πόλει Νικαέων, τών ορθοδόξων τά συστήματα, ευσεβούντες πιστώς εορτάσωμεν. Ούτοι γάρ τού δεινού Αρείου τό άθεον δόγμα, εύσεβοφρόνως καθείλον, καί τής Καθολικής Εκκλησίας, συνοδικώς τούτον εξωστράκισαν, καί τρανώς τόν Υιόν τού Θεού, ομοούσιον καί συναΐδιον, πρό τών αιώνων όντα, τοίς πάσιν εδίδαξαν ομολογείν, εν τώ τής Πίστεως Συμβόλω, ακριβώς καί ευσεβώς τούτο εκθέμενοι. Όθεν καί ημείς τοίς θείοις αυτών δόγμασιν επόμενοι, βεβαίως πιστεύοντες λατρεύομεν, σύν Πατρί τόν Υιόν, καί τό Πνεύμα τό Πανάγιον, εν μιά θεότητι, Τριάδα ομοούσιον.

Καί νύν… Θεοτοκίον   Ο αυτός

Νεύσον παρακλήσεσι, σών οικετών Πανάμωμε, παύουσα δεινών ημών επαναστάσεις, πάσης θλίψεως ημάς απαλλάττουσα, σέ γάρ μόνην ασφαλή, καί βεβαίαν άγκυραν έχομεν, καί τήν σήν προστασίαν κεκτή μεθα. Μή αισχυνθώμεν Δέσποινα, σέ προσκαλούμενοι, σπεύσον εις ικεσίαν, τών σοί Πιστώς βοώντων. Χαίρε Δέσποινα, η πάντων βοήθεια, χαρά καί σκέπη, καί σωτηρία τών ψυχών ημών.

Απολυτίκιον Αναστάσιμον

Δόξα... Τών Πατέρων
Ήχος πλ. δ'

Υπερδεδοξασμένος εί Χριστέ ο Θεός ημών, ό φωστήρας επί γής τούς Πατέρας ημών θεμελιώσας, καί δι' αυτών πρός τήν αληθινήν πίστιν πάντας

ημάς οδηγήσας, πολυεύσπλαγχνε δόξα σοι.

Καί νύν... Θεοτοκίον
Ήχος πλ. δ’
Ο δι’ ημάς γεννηθείς εκ Παρθένου, καί σταύρωσιν υπομείνας Αγαθέ, ο θανάτω τον θάνατον σκυλεύσας, καί Έγερσιν δείξας ως Θεός, μή παρίδης ούς έπλασας τή χειρί σου, δείξον τήν φιλανθρωπίαν σου ελεήμον, δέξαι τήν τεκούσάν σε Θεοτόκον πρεσβεύουσαν υπέρ ημών καί σώσον Σωτήρ ημών, λαόν απεγνωσμένον.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, αντί δέ του, Αμώμου λέγομεν τόν Πολυέλεον, Καθίσματα Αναστάσιμα, καί τά λοιπά ομοίως, κατά τήν συνήθειαν.

Είτα οι Κανόνες τής Οκτωήχου, καί τών Αγίων Πατέρων εις ς'.

Ο Κανών τών Αγίων, ού η Ακροστιχίς.

Υμνώ μακάρων συνδρομήν τήν εβδόμην.
Ποίημα Θεοφάνους

Ωδή α'  Ήχος πλ. δ’
Αρματηλάτην
Υμνολογήσαι τήν εβδόμην άθροισιν, εφιεμένω μοι νύν, τήν τών επτά δίδου, χαρισμάτων σύνοδον, τού Παρακλήτου Κύριε, τήν σοφίσασαν ταύτην, γλωσσοπυρσεύτως, καί βλάσφημον, πάσαν γλωσσαλγίαν σιγήσασαν.

Μείζων αρχήθεν αριθμών ο έβδομος, δημιουργίας καί γαρ, τής τού Θεού πάσης, πρωτοτύπως γέγονεν, η παντελής κατάπαυσις, εις εβδόμην ημέραν, καί νύν πασών τών αιρέσεων, λήξις είς ισάριθμον Σύνοδον.

Νενικηκώς τόν θεομάχον Άρειον, εν τή Νικαία τό πρίν, ποιμαντική ράβδω ορθοδόξοις ίθυνε, τήν Εκκλησίαν δόγμασιν, ο χορός τών Πατέρων, καί νύν εν ταύτη κατήσχυνε, τούς Εικονομάχους ο σύμμαχος.

Θεοτοκίον
Ως οι Πατέρες ευσεβώς εδίδαξαν, ομολογούμεν πιστώς, Παρθενικήν μήτραν, ανωδίνως τέξασαν, μετά σαρκός τόν άσαρκον, προσκυνούμέν τε τούτου, στηλογραφούντες τήν μόρφωσιν, καί τιμητικώς ασπαζόμεθα.

Ωδή γ'
Ο στερεώσας κατ' αρχάς
Μή σαλευθήναι τού Χριστού, τήν αρραγή Εκκλησίαν, υπ' αυτού

μυσταγωγούμενοι θείοι, Ποιμενάρχαι τούς αυτήν, παρασαλεύσαι θέλοντας, ως Αντιχρίστου μοίρας, τών εύσεβών παρεσάλευσαν.

Ανακαθαίρει θολερούς, καί βορβορώδεις χειμάρρους, εκ πηγών τού σωτηρίου αντλήσας, καί διψώντα τόν λαόν, τόν τού Χριστού κορέννυσι, τών διδαχών τοίς ρείθροις, ο τών Πατέρων κατάλογος.

Κατά τών όντως μισητών, Χριστιανοκατηγόρων, συνδρομή τών φιλοχρίστων εβδόμη, εν τή πολει τή λαμπρά, τών Νικαέων γέγονεν, ής Βασιλείς Ειρήνη, καί Κωνσταντίνος συνήγοροι.

Θεοτοκίον

Άπας απέστω δυσσεβής, ο τήν εικόνα μή σέβων, τήν σεπτήν τής Θεοτόκου καί ταύτην, μή κηρύττων τόν Χριστόν, θεανδρικώς κυήσασαν, καί τώ πυρί πεμπέσθω, κατακαιόμενος άπαυστα.

Κάθισμα  Ήχος δ'

Ταχύ προκατάλαβε

Φωστήρες υπέρλαμπροι, τής αληθείας σαφώς, τώ κόσμω εδείχθητε, μακαριώτατοι, Πατέρες υεόφθογγοι, τήξαντες τάς αιρέσεις, τών βλασφήμων γλωσσάλγων, σβέσαντες τάς φλογώδεις, τών δυσφήμων συγχύσεις, διό ως Ιεράρχαι Χριστού, πρεσβεύσατε σωθήναι ημάς.

Δόξα... Τό αυτό

Καί νύν… Θεοτοκίον

Ταχύ ημάς πρόφθασον, Παρθενομήτορ αγνή, εχθρών ημάς λύτρωσαι, τών βλασφημούντων εις σέ, καί μή προσκυνούντων σε. θραύσον τάς γλωσσαλγίας, τών αιρέσεων πάσας, γνώτωσαν ότι μόνη, θεομήτωρ υπάρχεις, πρεσβείαις σου Ορθοδόξων, τό σύστη μα σώζουσα.

Ωδή δ'

Σύ μου ισχύς, Κύριε

Ρήμα Θεού, έχοντες βέλος καί μάχαιραν, πάντας άρδην, τούτους κατασφάττουσι, τούς δυσμενείς, τύπω σταυρικώ, τούς μή σεβομένους, επίσης τά εκτυπώματα, Χριστού τής Θεοτόκου, τών Αγίων τε πάντων, οι Πατέρες οι θεοειδέστατοι.

Ωσπερ επτά, σάλπιγγες Ιεριχούντια, εις εβδόμην, τείχη κατηδάφισαν, περιδρομήν, ούτως αι επτά, Σύνοδοι πάν στίφος, κατά Θεού επαιρόμενον, κατήγαγον εις χάος, συνδρομήν εις εβδόμην, τών ευήχων σαλπίγγων τού Πνεύματος.

Νεανικήν, ένστασιν επιδεικνύμενος, καί τώ θείω, ζήλω πυρπολούμενος, ο Πατρικός δήμος Ηλιού, οία τής αισχύνης, τούς Ιερείς εθανάτωσε, διό σύν παρρησία, τού Χριστού τήν εικόνα, σχετικώς προσκυνείν εδογμάτισε.

Θεοτοκίον

Σύ μου ελπίς, Πάναγνε σύ μου καί ύμνησις, σύ λιμήν μου, σύ μου καί κυβέρνησις, η τόν Θεόν, Λόγον τού Πατρός, σεσωματωμένον, ασυνδυάστως κυήσασα, διό σου αδιστάκτως, προσκυνώ τήν εικόνα, τή Ισχύϊ σου ενδυναμούμενος.

Ωδή ε'

Ίνα τί με απώσω

Υψηλή διανοία, συνδιασκεψάμενοι ανεθεμάτισαν, τούς Εικονομάχους, ως αλλόκοτα τούτους φρονήσαντας, οι σεπτοί Πατέρες, καί τήν τιμήν Χριστού τώ τύπω, ως εικός απονέμειν εθέσπισαν.

Νύν καιρός ευφροσύνης, άρτι σωτηρίας ημέρα επέφανεν, ευφρανθώμεν τοίνυν, καί Χριστώ εύφροσύνως βοήσωμεν. Τήν ειρήνην δίδου, τήν σήν ημίν λιταίς Πατέρων, τής έβδόμης Συνόδου Φιλάνθρωπε.

Θεοτοκίον

Διά σπλάγχνα ελέους, από τής Παρθένου ο Υιός γεγέννηται, τού Θεού ατρέπτως, τό αλλότριον φέρων ως ίδιον, καί μορφή τή τούτου, περιγραπτός οράται θέλων, κατ' ουσίαν ο ών απερίγραπτος.

Ωδή ς

Ιλάσθητί μοι Σωτήρ

Ρανάτωσαν γλυκασμόν, τά όρη καί αγαλλίασιν, αιρετικών η πληθύς, απεσκορακίσθη γάρ, πικρόν η προχέουσα, ιόν τών εικόνων, τών αγίων τήν αθέτησιν.

Ο ουρανός καί η γή, συμφώνως εορταζέτωσαν, τής θυγατρός τού Θεού, τήν μεγαλειότητα, καί γάρ μεγαλύνεται, καταβαλλομένη τούς αυτήν κατασμικρύνοντας.

Θεοτοκίον

Μητρός Υιός, ο Πατρός αμήτωρ τό πρίν, απάτωρ δέ, θεοπρεπώς γεννηθείς, καί αναγεννήσας με, διό τήν γεννήσασαν, σύν τώ γεννηθέντι, εικονίζων κατασπάζομαι.

Κοντάκιον Ήχος β'

Χειρόγραφον εικόνα

Ο εκ Πατρός εκλάμψας Υιός αρρήτως, εκ γυναικός ετέχθη διπλούς τή φύσει, όν ειδότες, ουκ αρνούμεθα τής μορφής τό εκτύπωμα, αυτό δέ εύσεβώς ανιστορούντες, σέβομεν πιστώς. Καί διά τούτο, τήν αληθινήν πίστιν κρατούσα η Εκκλησία, ασπάζεται τήν εικόνα τής Χριστού ενανθρωπήσεως.

Ο Οίκος

Θέλων ο πανοικτίρμων Θεός ημάς διεγείρειν αεί πρός μνήμην τελείαν τής αυτού ενανθρωπήσεως, τήν υπόθεσιν ταύτην παρέδωκε τοίς ανθρώποις, διά τής χρωματουργίας τών εικόνων, τήν σεβάσμιον ανατυπούσθαι μορφήν, όπως ταύτην επ' όψεσιν ορώντες, πιστεύωμεν, άπερ λόγω ακηκόαμεν,

γνωρίζοντες σαφώς τήν πράξιν καί τό όνομα, τό σχήμα καί τούς άθλους τών Αγίων ανδρών, καί Χριστόν τόν στεφοδότην στεφάνους παρεχόμενον τοίς Αγίοις Αθληταίς τε καί Μάρτυσι, δι' ών άρτι τρανότερον τήν αληθινήν πίστιν κρατούσα η Εκκλησία, ασπάζεται τήν εικόνα τής Χριστού ενανθρωπήσεως.

## Συναξάριον

Τή αύτή ημέρα, Μνήμην επιτελούμεν τών Αγίων καί μακαρίων Πατέρων, τών εν Νικαία συνελθόντων τό δεύτερον, επί τών ευσεβών καί φιλοχρίστων Βασιλέων, Κωνσταντίνου καί Ειρήνης, κατά τών δυσσεβώς καί αμαθώς καί απερισκέπτως τήν Εκκλησίαν τού Θεού ειδωλολατρείν ειπόντων, καί τάς σεπτάς καί Αγίας εικόνας καταβαλόντων.

### Στίχοι

Υπέρμαχοι σοί τοίς λόγων όπλοις, Λόγε,
Εχθρούς τροπούνται τών σεβαστών εικόνων.

Ταίς τών Αγίων Πατέρων πρεσβείαις, ο Θεός, ελέησον ημάς.

## Ωδή ζ'

### Θεού συγκατάβασιν

Ηττώνται τοίς δόγμασιν, αιρεσιάρχαι τών θεηγόρων ανδρών, τών τό σέβας τών τύπων, τοίς αρχετύποις μεθαρμοζόντων ορθώς, καθάπερ έφη ο Μέγας Βασίλειος. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Ναοί καλλωπίζονται, φαιδραίς εικόσι κατακοσμούμενοι νύν, διά τούτο ο κόσμος, εν εκκλησίαις, τώ υπέρ πάντας βροτούς, ωραίω κάλλει, συμψάλλει τοίς άλλουσιν. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Τό φώς ανατέταλκε, μακράν τό σκότος, οι δυσσεβείς εκποδών, διά τούτο τά πάντα φωτός πλησθέντα, τόν φωτοδότην ΧρΙστόν, μετ' ευθυμίας υμνούσι καί λέγουσιν. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

### Θεοτοκίον

Η παναγνος Δέσποινα, η μόνη πάντων τής σωτηρίας ελπίς, η φρικτώς τετοκυία, τόν Βασιλέα τών βασιλέων Χριστόν, εν ταίς ωλέναις αυτόν βρέφος φέρουσα, συμπροσκυνείται γραπτώς, ως οι Πατέρες φασίν.

## Ωδή η’

### Επταπλασίως κάμινον

Νομοθετεί μέν άριστα, τών Πατέρων ο σύλλογος, τοίς θεοσεβέσι, σχετικήν προσκύνησιν, καί τήν αναστήλωσιν, τής Ιεράς εικόνος Χριστού. οι φιλευσεβείς δέ, τήν ετήσιον μνήμην, ως παίδες εκτελούμεν, ευπειθείς τήν εκείνων, καί πόθω τήν εικόνα, Χριστού καταφιλούμεν.

Επταπλασίως έκαμπτον, ταπεινούς υψηλόφρονες, καί τών φιλαρέτων, τάς ορμάς ανέκοπτον, δι' ών ενδιέβαλλον, εις τάς ενθέους πράξεις αυτών, αλλ' οι τής εβδόμης, συνελθόντες Συνόδου, Πατέρες εν Νικαία τήν οφρύν τήν

εκείνων, αυτίκα κατασπώσιν, επταπλασιωτέρως.

Βέλη νηπίων γίνονται, ψαλμικώς γηραιόφροσι, τών νηπιοφρονων, αι πληγαί καί μάστιγες, τή θεία δυνάμει δέ, εξασθενούσι γλωσσαι πολλαί, τών τάς βλασφημίας, εις τό ύψος λαλούντων, καί πάς τις τόν Πατέρα, τόν Υιόν καί τό Πνεύμα, Θεόν ένα γινώσκει, πανταίτιον καί μονον.

Θεοτοκίον

Δημιουργείται νήπιος, εκοντί διά έλεος, ο Δημιουργός εκ τών αγνών αιμάτων σου, τηρών μετά τόκον σε, κεκαθαρμένην όλην Αγνή, καί τήν ρυπωθείσαν, εκκαθαίρων εικόνα, διό περ εν εικόσι, συμμορφούταί σοι φύσει, βροτός γεγενημένος, Θεός υπάρχων φύσει.

Ωδή θ'

Εξέστη επί τούτω ο ουρανός

Ο μέγας τή Ισχΰϊ καί τή βουλή, ο τό πάν συγκρατών ακατάληπτε, μόνε Θεέ, κράτιστε παντάρχα Παμβασιλεύ, τήν Εκκλησίαν κράτυνον, τή ορθοδοξία σου συντηρών, Πατέρων πανενδόξων, παραδειγματισάντων, κακοδοξίαν παρακλή σεσι.

Μεγάλων ηξιώθητε τών Τιμών, επί γής ουρανόφρονες Άγιοι, ότι Χριστού, τύπον ετιμήσατε σχετικώς, καί νύν σκιάν εκθέμενοι, καί τό περικάλυμμα τής σαρκός, αυτόν αυτοπροσώπως, εις πρόσωπον οράτε, καί τών μειζόνων αξιούμενοι.

Ήν ίνα παιδευθώμεν πανστρατιάς, βαρβαρώδους Ιππείας ηρέθισας, ρύμην αυτός, θραύσον καί τό θράσος τό καθ' ημών, καί Βασιλεί συμμάχησον, τώ τεθαρρηκότι σοι Παντουργέ, ταίς εύπαρρησιάστοις, πρεσβείαις τών Πατέρων, ών εκτελούμεν τό μνημόσυνον.

Θεοτοκίον

Νοήσαι τό μυστήριον ουδαμώς, τής φρικτής σου λοχείας, δεδύνηται, βρότειος νούς, αλλ' ουδ' υψηλόνους αγγελικός, ότι Θεόν εγέννησας, σύ σεσαρκωμένον υπερφυώς, διό σε Θεοτόκον, ειδότες σύν εκείνω, καθιστορούντες μεγαλύνομεν.

Εξαποστειλάριον

Εν πνεύματι τώ Ιερώ

Πατέρες ούρανόφρονες, οι Συνόδω εβδόμη, συναθροισθέντες δέησιν, έκτενή τή Τριάδι, προσάξατε τού ρυσθήναι, εκ πάσης αιρέσεως, καί κρίσεως αιωνίου, Βασιλείας τε τυχείν, ουρανών τούς τήν υμών, σύναξιν θείαν υμνούντας.

Θεοτοκίον

Πρεσβείαις υπεράγαθε, Κύριε τής Μητρός σου, καί τών εν επτά Συνόδοις, αθροισθέντων Πατέρων, τήν Εκκλησίαν στήριξον, καί τήν Πίστιν κράτυνον. καί ουρανών Βασιλείας, δείξον πάντας κοινωνούς, όταν έλθης επί γής, τού κρίναι πάσαν τήν κτίσιν.

Εις τούς Αίνους, ψάλλομεν Στιχηρά Αναστάσιμα δ' καί τών Πατέρων Προσόμοια γ', δευτερούντες τό πρώτον.

Ήχος πλ. β'
Όλην αποθέμενοι

Όλην συγκροτήσαντες, τήν τής ψυχής επιστήμην, καί τώ θείω Πνεύματι, συνδιασκεψάμενοι τό ουράνιον, καί σεπτόν Σύμβολον, οι σεπτοί Πατέρες, θεογράφως διεχάραξαν, εν ώ σαφέστατα, τώ Γεγεννηκότι συνάναρχον, τόν Λόγον εκδιδάσκουσι, καί παναληθώς Ομοούσιον, ταίς τών Αποστόλων, επόμενοι προδήλως διδαχαίς, οι ευκλεείς καί πανόλβιοι, όντως καί θεόφρονες.

Στίχ. Ευλογητός εί Κύριε ο Θεός τών πατέρων ημών.

Όλην εισδεξάμενοι, τήν νοητήν λαμπηδονα, τού Αγίου Πνεύματος, τό υπερφυέστατον χρησμολόγημα, τό βραχύ ρήματι, καί πολύ συνέσει, θεοπνεύστως απεφθέγξαντο, οι χρηστοκήρυκες, Εύαγγελικών προϊστάμενοι, δογμάτων οι μακάριοι, καί τών ευσεβών παραδόσεων, άνωθεν λαβόντες, τήν τούτων αποκάλυψιν σαφώς, καί φωτισθέντες εξέθεντο, Πίστιν θεοδίδακτον.

Στίχ. Συναγάγετε αυτώ τούς Οσίους αυτού.

Όλην συλλεξάμενοι, ποιμαντικήν εμπειρίαν, καί θυμόν κινήσαντες, νύν τόν δικαιότατον ενδικώτατα, τούς βαρείς ήλασαν, καί λυμώδεις λύκους, τή σφενδόνη τή τού Πνεύματος, εκσφενδονήσαντες, τού τής Εκκλησίας πληρώματος, πεσόντας ως πρός θάνατον, καί ως ανιάτως νοσήσαντας, οι θείοι Ποιμένες, ως δούλοι γνησιώτατοι Χριστού, καί τού ενθέου κηρύγματος, μύσται Ιερώτατοι.

Δόξα... Ήχος πλ. δ'

Τών αγίων Πατέρων ό χορός, εκ τών τής οικουμένης περάτων συνδραμών, Πατρός καί Υιού και Πνεύματος Αγίου, μίαν οθσίαν εδογμάτισε καί φύσιν, καί τό μυστήριον τής θεολογίας, τρανώς περέδωκε τή Εκκλησία. Ούς εύφημούντες εν πίστει, μακαρίσωμεν λέγοντες. Ώ θεία παρεμβολή, θεηγόροι οπλίται, παρατάξεως Κυρίου, αστέρες πολύφωτοι, τού νοητού στερεώματος, τής μυστικής Σιών, οι ακαθαίρετοι πύργοι, τά μυρίπνοα άνθη τού Παραδείσου, τά πάγχρυσα στόματα τού Λόγου. Νικαίας τό καύχημα, οικουμένης αγλάϊσμα, εκτενώς πρεσβεύσατε, υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

Υπερευλογημένη υπάρχεις, Θεοτόκε Παρθένε, διά γάρ τού εκ σού σαρκωθέντος, ο Άδης ηχμαλώτισται, ο Αδάμ ανακέκληται, η κατάρα νενέκρωται, η Εύα ηλευθέρωται, ο θάνατος τεθανάτωται, καί ημείς εζοποιήθημεν, διό ανυμνούντες βοώμεν. Ευλογητός Χριστός ο Θεός ημών, ο ούτως ευδοκήσας, δόξα σοί.

Δοξολογία μεγάλη, καί Απόλυσις.

Εις τήν Λειτουργίαν, τά Τυπικά, οι Μακαρισμοί τού ήχου, καί από τού Κανόνος τών Πατέρων, Ωδή ς'.

Κοινωνικόν

Εις μνημόσυνον αιώνιον έσται Δίκαιος. Αλληλούϊα.

---

Αρχή

**ΤΗ ΙΑ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τού Αγίου Αποστόλου Φιλίππου, ενός τών επτά Διακόνων, καί τού Οσίου Πατρός ημών Θεοφάνους τού Ομολογητού, Επισκόπου Νικαίας, τού Ποιητού καί Γραπτού.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τού Αποστόλου τρία.

Ήχος δ'
Ο εξ υψίστου κληθείς

Ο Διακόνοις επτά κατειλεγμένος, ως πλήρης σοφίας τε καί θείας χάριτος, διακονείν μάκαρ Φίλιππε, ταίς τών Αγίων, άμα Στεφάνω χρείαις προκέχρισαι, όθεν αναιρούμενον, τούτον θεώμενος, επί Σαμάρειαν έδραμες, προστάξει θεία, Θεού τόν Λόγον κηρύττων ένδοξε, καί καταυγάζων τούς υπάρχοντας, εν τώ σκότει τό πρίν, ούς ετέλεσας, διά Πνεύματος θείου, τής ημέρας υιούς πάνσοφε.

Θεοσημείας χειρί σου τελουμένας, οι δήμοι θεώμενοι, τυφλών ανάβλεψιν, καί παρειμένων ανόρθωσιν, καί ακαθάρτων, ούπερ κατώκουν πνευμάτων δίωξιν, εξίσταντο Φίλιππε, καί συνηλαύνοντο, πρός τήν σωτήριον κάθαρσιν, εξ απιστίας, πιστοί εξαίφνης αποδεικνύμενοι, άπερ ό θείος ως ακήκοεν, Αποστόλων χορός επευφραίνετο, ότι καί Σαμαρείας, η πληθύς Θεώ προσήνεκται.

Άρμα τού Λόγου υπάρχων Θεηγόρε, εφ' άρματος βλέψας τε, προσεποχούμενον, καί τάς ζητήσεις ποιούμενον, τόν τής Κανδάκης, φθάνεις ευνούχον τόν αξιάγαστον, καί τούτω τήν δήλωσιν, καί τήν σαφήνειαν, τών ποθουμένων Μακάριε, καθυποδείξας, πείθεις τήν θείαν αιτήσαι κάθαρσιν, ής μετασχόντα, θείον κήρυκα, ο παντουργός Θεός απειργάσατο, πάσης Αιθιοπίας, καί Μαρτύρων ακροθίνιον.

Καί τού Οσίου τρία

Ήχος δ'

Ως γενναίον εν Μάρτυσιν

Αύτοκίνητον όργανον, ταίς πνοαίς υπηχούμενον, τού Αγίου Πνεύματος εχρημάτισας, τή πυριφθόγγω γάρ γλώττη σου, τά θεία εβρόντησας, καί κατέφλεξας εχθρών, δυσσεβών τά ζιζάνια, τών μή χρώμασιν, υλικοίς προσκυνούντων τού Κυρίου, καί Θεού ημών τό είδος, καί τής αχράντου Μητρός αυτού.

Ως φωστήρ διαυγέστατος, τώ πυρσώ τών δογμάτων σου, καταλάμπεις άπασαν τήν υφήλιον. Δαυϊτικώς τήν κινύραν σου, κινών εμελώδησας, τών Αγίων τού Χριστού, αξιέπαινα άσματα, καί έξέπεμψας, εις τήν ήπειρον πάσαν, διά τούτο, εδοξάσθης επαξίως. Ιερομύστα Θεόφανες.

Ιερέων εν τάγμασιν, Ασκητών ομηγύρεσι, καί χοροίς Μαρτύρων σύ καταλέλεξαι, υπέρ Χριστού μέχρις αίματος, στερρώς ανθιστάμενος, παρανόμου δικαστού, διελέγχων απόνοιαν, καί προστάγματι, ασεβούς Βασιλέως τώ μετώπω , ως εν τίτλω διεγράφης, σημειωθείς θεία χάριτι.

Δόξα… Καί νύν... Θεοτοκίον

Απορώ καί εξίσταμαι, τί ποιήσω ό άθλιος, όταν τέλος φθάση, τό τής ζωής μου λοιπόν, πού μοι ό δρόμος ο άκαιρος; πού τά αξιώματα; πού ο πλούτος, πού τρυφή; πού η δόξα η πρόσκαιρος; πού τής φύσεως, τό καινότατον άνθος; Αλλά δεύρο, πρό τού τέλους ώ ψυχή μου, τή Θεοτόκω προσπέσωμεν.

Η Σταυροθεοτοκίον

Τόν αμνόν καί ποιμένα σε, επί ξύλου ως έβλεψεν, αμνάς η κυήσασα επωδύρετο, καί μητρικώς σοι εφθέγγετο. Υιέ ποθεινότατε, πώς εν ξύλω τού Σταυρού, ανηρτήθης μακρόθυμε; πώς τάς χείράς σου, καί τούς πόδας σου Λόγε προσηλώθης, υπ' ανόμων καί τό αιμα, τό σόν εξέχεας Δέσποτα;

Απολυτίκιον τού Αποστόλου Ήχος γ'

Απόστολε Άγιε Φίλιππε, πρέσβευε τώ ελεήμονι Θεώ ίνα πταισμάτων άφεσιν, παράσχη ταίς ψυχάς ημών.

Καί τού Οσίου Ήχος πλ. δ'

Ορθοδοξίας Οδηγέ, ευσεβίας διδάσκαλε καί σεμνότητος, τής οικουμένης ο φωστήρ, αρχιερέων θεόπνευστον εγκαλλώπισμα, Θεόφανες σοφέ, ταίς διδαχαίς σου πάντας εφώτισας, λύρα τού Πνεύματος, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, αναγινώσκονται οι Κανόνες, εις τής Οκτωήχου, καί τών Αγίων οι δύο παρόντες.

Ο Κανών τού Αποστόλου, ού η Ακροστιχίς.

Τό τού Φιλίππου αινέσω κλέος.
Ιωσήφ.

Ωδή α'   Ήχος πλ. β'
Ως εν ηπείρω

Ταίς φανοτάταις ακτίσι ταίς τού Χριστού, αστραφθείς Θεότητος, κατά μέθεξιν σοφέ, φώς ωράθης δεύτερον πιστούς, Ιερώς φωταγωγών, ένδοξε Φίλιππε.

Ο υπερούσιος Λόγος ουσιωθείς, όλον τό ημέτερον, Ιερόν σε Μαθητήν, Ιερώς προβάλλεται Σοφέ, ανιέρου σκοτασμού, έθνη λυτρούμενον.

Τή τών χειρών επιθέσει τών Ιερών, Μαθητών εκλέλεξαι, σύν Στεφάνω καί λοιποίς, Ιερός Διάκονος ως ών, πλήρης Πνεύματος Θεού, πάνσοφε Φίλιππε.

Θεοτοκίον

Ο εκ μή όντων τά πάντα δημιουργών, ως αιτίαν έσχε σε, τής σαρκώσεως αυτού, Θεομήτορ άχραντε, διό, κατά χρέος οι πιστοί, σέ μακαρίζομεν.

Ο Κανών τού Οσίου
Ήχος καί Ειρμός ο αυτός

Τόν τής εμής διανοίας ταίς σαίς λιταίς, ζόφον εξαφάνισον, Ιεράρχα τού Χριστού, όπως μέλπω ένδοξε τήν σήν, φωτοφόρον εορτήν, Πάτερ Θεόφανες.

Ταίς θεϊκαίς λαμπηδόσι τήν σήν ψυχήν, αυγασθείς Θεόφανες, τών παθών τάς ηδονάς, εγκρατείας έφλεξας πυρί, μελωδών ειλικρινώς. Άσωμεν άσμα Χριστώ.

Οία περ άνθραξ εν κόσμω εκ τής Σιών, ανατείλας δέδειξαι, καί κατέφλεξας πυρί, εξαφθείς εν Πνεύματι Θεού, τών αιρέσεων Σοφέ, τήν ύλην άπασαν.

Θεοτοκίον

Φαεινοτάταις ακτίσι τού σού Υιού, Θεοτόκε φώτισον, τήν ζοφώδη μου ψυχήν, καί παθών τόν τάραχον τή σή, μεσιτεία πρός τόν Θεόν, κόπασον Δέσποινα.

Τού Αποστολου  Ωδή γ'
Ουκ έστιν Άγιος ώς σύ

Υιούς ετέλεσας φωτός, τούς εν σκότει αγνοίας, ενυπάρχοντας Μάκαρ, εν σημείοις φοβεροίς, ως ουρανός υψηλός, τήν τού Λόγου, δόξαν διηγούμενος.

Φυλής Ιούδα τόν Χριστόν, ανατείλαντα μάκαρ, Ιερώς καταγγέλλων, τώ τής χάριτος φωτί, υπέδειξας όν Μωσής, καί Προφήται, πάλαι προκατήγγειλαν.

Ιόν ψυχόλεθρον φυγείν, καί σωτήριον χάριν, υποδέξασθαι πείθεις, μελιρρύτοις λαλιαίς, τούς απωσθέντας μακράν, αγνωσία Φίλιππε Θεόπνευστε.

Θεοτοκίον

Λυχνία ώφθης μυστική, τό λαμπάδιον Κόρη, περιφέρουσα όντως, τό φωτίσαν τούς νυκτί, τής αγνωσίας τό πρίν, συσχεθέντας, άκρα αγαθότητι.

Τού Οσίου Ο αυτός

Δογμάτων θείας αστραπάς, εξαστράπτων παμμάκαρ, εφυγάδευσας πάσαν, τής αιρέσεως αχλύν, τώ ζωοδότη Χριστώ, αναμέλπων. Άγιος ει Κύριε.

Υπάρχων έμπλεως Σοφέ, θείου Πνεύματος ώφθης, διατρέφων πλουσίως, ευσεβείας γλυκασμώ, τώ λόγω τώ ζωτικώ, τάς καρδίας,
τών προσανεχόντων σοι.

Εις όρος θείων αρετών, ανελθων Ιεράρχα, καί εις γνόφον εισδύσας, συνανεκράθης Θεώ, καί διανοίας πλαξίν, εκομίσω, νόμον τόν τής χάριτος.

Θεοτοκίον

Ιδού η κλίμαξ, Ιακώβ, ήν εώρακε πάλαι, ιδρυμένην εν ή περ, επεστήρικτο Θεός, η φωτοφόρος αγνή, Θεοτόκος, ώφθη παρθενεύουσα.

Ο Ειρμός

«Ούκ έστιν Άγιος ως σύ, Κύριε ο Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου αγαθέ, καί στερεώσας ημάς, εν τή πέτρα τής ομολογίας σου».

Κοντάκιον τού Αποστόλου

Ήχος δ' Επεφάνης σήμερον

Μιμητής γενόμενος, τού Διδασκάλου, δι' αυτόν Απόστολε, ταίς τών Αγίων τών αυτού, χρείαις πιστώς διηκόνησας, όθεν σε πάντες, πιστοί μακαρίζομεν.

Ο Οίκος

Τούς σωτηρίους τού Χριστού, καί ζωοποιούς λογους, καί τά θαυμαστά έργα, ακούων τε καί βλέπων, φώς εφωτίσθης δι' αυτών τό τής αληθείας, καί χαίρων αυτώ πεπιστευκώς μακάριε, προθύμως καί τοίς άλλοις εκήρυξας, βοών «Η σωτηρία τών βροτών επεφάνη. Ο Ήλιος ανέτειλε τής δικαιοσύνης». Διό πρός τήν επίγνωσιν αυτού Σοφέ καί θείαν πίστιν, πλείστοις εγένου λύχνος καί πυρσός, καί φέγγος τών εν σκότει, όθεν σε πάντες πιστοί μακαρίζομεν.

Κάθισμα τού Αποστόλου

Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Ελατήρ τών δαιμόνων αναδειχθείς, καί φωστήρ τών εν σκότει αποφανείς, έδειξας τόν Ήλιον, εκ Παρθένου εκλάμψαντα, καί ναούς ειδώλων, συντρίψας ανήγειρας, εκκλησίας Μάκαρ, εις δόξαν Θεού ημών, όθεν σε τιμώμεν, καί τήν θείαν σου μνήμην, πιστώς εορτάζομεν, καί συμφώνως βοώμέν σοι. Ώ Απόστολε Φίλιππε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Τού Οσίου

Τώ τής χάριτος λόγω τάς ακοάς, τών πιστών ενηδύνων ταίς διδαχαίς, ταίς σαίς Παναοίδιμε, ετροπώσω τόν τύραννον, καί καλώς τόν δρόμον, τελέσας τής πίστεως, επί τέλει δόξης, Μαρτύρων ηξίωσαι, όθεν κατά χρέος, τήν αγίαν σου μνήμην, τιμώμεν αοίδιμε, τόν Σωτήρα δοξάζοντες, Θεοφόρε Θεόφανες. Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Καί νύν… Θεοτοκίον

Τήν Σοφίαν καί Λόγον εν σή γαστρί, συλλαβούσα αφλέκτως Μήτηρ Θεού, τώ κόσμω εκύησας, τόν τόν κόσμον κατέχοντα, καί εν αγκάλαις έσχες, τόν πάντα συνέχοντα, τόν τροφοδότην πάντων, καί πλάστην τής κτίσεως, όθεν δυσωπώ σε Παναγία Παρθένε, ρυσθήναι πταισμάτων μου, όταν μέλλω παρίστασθαι, πρό προσώπου τού Κτίστου μου. Δέσποινα Παρθένε Αγνή, τήν σήν βοήθειαν τότε μοι δώρησαι, καί γάρ δύνασαι, όσα θέλεις Πανύμνητε.

Η Σταυροθεοτοκίον

Η Παρθένος καί Μήτηρ τού Ιησού, επί ξύλου ορώσα τόν Ποιητήν, έστενε δακρύουσα, καί πικρώς κατετρύχετο, τήν ψυχήν καί τό σώμα, σπαράττουσα τύπτουσα, καί πρός αυτόν βοώσα, πικρώς καί κραυγάζουσα. Οίμοι! ώ Υιέ μου, πώς ενέγκω σόν πάθος, τούς ήλους, τήν λόγχευσιν, καί τόν άδικον θάνατον, αλλά σπεύσον εγερθήναι, τού ιδείν σε Υιέ καί Θεέ, καί τού θρήνου παύσασθαι καί πόνου, καί τούς υμνούντάς σου τά πάθη, πταισμάτων λύσιν κομίσασθαι.

Τού Αποστόλου   Ωδή δ'

Χριστός μου δύναμις

Ιδών τελούντά σε, ο Σίμων θαύματα, καί σημεία μεγάλα υποκριθείς, Φίλιππε βαπτίζεται, μή τήν κακίαν δέ φυγών, απωλεία παραδίδοται.

Πολλάς δυνάμεις σε, τελούντα βλέποντες, οι τήν πόλιν οικούντες κήρυξ Χριστού, Σαμαρείας Φίλιππε, τής επιγνώσεως τό φώς, γεγηθότες υποδέχονται.

Πορεύου έφη σοι, Κυρίου Άγγελος, τάς πορείας ευθύνων τού ιερού, Φίλιππε Αιθίοπος, τού επιγνώναι τήν οδόν, τής τού Λόγου σωματώσεως.

Ο Ιερώτατος, Αιθίοψ βλέψας σε, συνετίζοντα τούτον, σού τή χειρί, Φίλιππε βαπτίζεται, καί πλήρης Πνεύματος όφθείς, κήρυξ θείος εχρημάτισεν.

Θεοτοκίον

Υιούς ετέλεσε, Θεού πανάμωμε, τούς υιούς τών ανθρώπων ο σός Υιός, εξ αγνών αιμάτων σου, σωματωθείς καί γεννηθείς. διά τούτό σε δοξάζομεν.

Τού Οσίου  Ο αυτός

Ασκήσει πάνσοφε, Πάτερ Θεόφανες, σεαυτόν εκκαθάρας όλος φωτός, έμπλεως γεγένησαι, όλος Θεού χωρητικός, όλος Πνεύματος συμμέτοχος.

Λιμώ τηκόμενος, δειναίς βαλλόμενος, εξορίαις Παμμάκαρ αθλητικώς, πάσχων εκαρτέρησας, εκ διανοίας καθαράς, εν Κυρίω αγαλλόμενος.

Αστράψας ένδοξε, τοίς κατορθώμασι, τεθηγμένη εδείχθης οία Θεού, μάχαιρα συγκόπτουσα, αιρετικών τάς μηχανάς, θείω Πνεύματι ρωννύμενος.

Θεοτοκίον

Λυχνία πάμφωτος, η θεία τράπεζα, τού Θεού τό χωρίον η κιβωτός, ράβδος η

βλαστήσασα, άνθος εν κόσμω τόν Χριστόν, σύ εδείχθης Μητροπάρθενε.

Τού Αποστόλου   Ωδή ε'
Τώ θείω φέγγει σου

Θυμόν ανόμων μή πτοηθείς, μέσον ως αρνίον αληθώς, Φίλιππε λύκων πεπόρευσαι, τούτους μεταπλάττων πρός τήν ευσέβειαν, τής χάριτος τώ λόγω μακαριώτατε.

Επί σφαγήν ήχθη ως αμνός, ο Εμμανουήλ, καθώς φησίν, ό Ησαϊας ο ένθεος, όπερ εννοήσαι μη σθένων Φίλιππε, ο Ιερός Ευνούχος πρός σού διδάσκεται.

Ιερολόγον σε Μαθητήν, ένα Διακόνων τών επτά, εκλελεγμένον επέγνωμεν, καί τής Εκκλησίας θείον θεμέλιον, καί πάντων τών εν σκότει, φωστήρα Φίλιππε.

Θεοτοκίον

Οι Θεοτόκον σε αληθώς, καθομολογούντες πειρασμών, καί δυσχερών εξαιρούμεθα, σού ταίς πρός τόν πάντων Θεόν καί Κύριον, Παρθένε μεσιτείαις Θεοχαρίτωτε.

Τού Οσίου  Ο αυτός

Ταίς φωτοβόλοις σου αστραπαίς, Πάτερ Ιερώτατε αχλύν, τήν ζοφεράν εξηφάνισας, τών αιρετιζόντων θεογνωσίας φωτί, αυγάζων διδαχαίς σου, κόσμου τά πέρατα.

Τών δυσσεβών οι προασπισταί, σέ τόν αξιάγαστον όντα, δειναίς αικίαις ετίτρωσκον. όν Αγγέλων τάξεις περιεπτύσσοντο, Χριστού ως Ιεράρχην, καί θείον Μάρτυρα.

Υπήρξας Πάτερ φωτοειδής, τών πεπλανημένων οδηγός, αδικουμένων κυβέρνησις, τών σαλευομένων Πάτερ Θεόφανες, εδραίωμα καί τείχος ακαταμάχητον.

Θεοτοκίον

Η καλλονή η τού Ιακώβ, ήν Θεός ηγάπησε σαφώς, καί κατοικείν ηρετίσατο, πιστών δέ τό κλέος καί καταφύγιον, Παρθένε Θεοτόκε σύ αναδέδειξαι.

Τού Αποστόλου  Ωδή ς'
Τού βίου τήν θάλασσαν

Ναμάτων τού Πνεύματος, πληρωθείς ως ποταμός, θείας Εδέμ πεπόρευσαι, προσεπικλύζων κύματι γαληνώ, τής γής τά πληρώματα, καί αρδεύων καρδίας Αξιάγαστε.

Ανοίξας τό στόμα σου, επληρώθης Μαθητά, πνευματικής συνέσεως, καί διανοίξας φάρυγγος πονηρού, τήν πτύξιν ανέσπασας, αναρίθμητα πλήθη καί διέσωσας.

Ισχύς καταβέβληται, αοράτου δυσμενούς, καί παντελώς ηφάνισται, σού εν Ισχΰϊ Πνεύματος τόν Χριστόν, κηρύττοντος Φίλιππε, σταυρωθέντα καί έθνη προσκαλούμενον.

Θεοτοκίον

Νομίμων τής φύσεως, δίχα τέτοκε Χριστόν, τόν πλαστουργόν τής φύσεως, καί υπέρ φύσιν έμεινεν αληθώς, παρθένος αμίαντος, η Αγία σου Μήτηρ Υπεράγαθε.

Τού Οσίου  Ο αυτός

Υπάρχων ως ήλιος, θεαυγείς μαρμαρυγάς, παμμάκαρ εξαπέστειλας, ανυμνών τών Μαρτύρων τούς αικισμούς, στρεβλώσεις καί μάστιγας, καί τούς ξένους αγώνας Ιεράρχα Χριστού.

Τήν πάναγνον Δέσποιναν, ευφημών ειλικρινώς, τή γλώσση σου Θεόφανες, εκελάδησας λόγους φωτοειδείς, πιστών τά συστήματα, καί σοφών τάς καρδίας ιλαρύνοντας.

Γραφείς σου τήν πάνσεπτον, καί σεβάσμιον Σοφέ, όψιν τυράννων γράμμασιν, εξαλείφεις τά τούτων θεοστυγή, καί άθεα δόγματα, καταγγέλλων, τιμάσθαι τήν εικόνα Χριστού.

Θεοτοκίον

Ο πάντα βουλήματι, συστησάμενος Θεός, καί περιέχων Πάναγνε, περιγραφή τού σώματος εν ταίς σαίς, αγκάλαις βαστάζεται, ό τή θεία ούσία απερίγραπτος.

Ο Ειρμός

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ εύδίω λιμένι σου προσδραμών, βοώ σοι. Ανάγαγε, εκ φθοράς τήν ζωήν μου πολυέλεε».

Κοντάκιον τού Οσίου

Ήχος δ'

Επεφάνης σήμερον

Ανεφάνης Όσιε, τή Εκκλησία ώσπερ άλλος ήλιος, ταύτην φωτίζων αστραπαίς, τών σών δογμάτων Θεόφανες, ώς θυηπόλος, Χριστού τού Θεού ημών.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΑ' τού αυτού μηνός, Μνήμη τού Αγίου Αποστόλου Φιλίππου, ενός τών επτά Διακόνων.

Στίχοι

Ών περ διηκόνησας εν γή πραγμάτων,
Εν ουρανοίς Φίλιππε μισθόν λαμβάνεις.
Λειτουργός λάβε μισθόν εν ενδεκάτη γε Φίλιππος.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών καί Ομολογητού Θεοφάνους, αδελφού τού Αγίου Θεοδώρου τού Γραπτού.

Στίχοι
Ο Γραπτός εν γή τήν θέαν Θεοφάνης,
Καί κλήσίν εστιν εκθανών Γραπτός πόλω.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Ζηναϊδος καί Φιλονίλλας τών αυταδέλφων.

Στίχοι
Ειρηνικώς ύπνωσαν ειρήνης φίλαι,
Η Φιλονίλλα Ζηναϊς τε αι δύο.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Πατριαρχών Κωνσταντινουπόλεως, Νεκταρίου, Αρσακίου καί Σισινίου.

Στίχοι
Ο Νεκτάριος ου τό τού μύθου Λόγε,
Αληθινόν δέ, σής τρυφής νέκταρ πίνει.
Τόν Χριστόν εν γή Αρσάκιος δοξάσας,
Πρός αύτόν ελθών, αντεδοξάσθη πλέον.
Ασινές ήραν πνεύμα τό Σισινίου,
Ου συνιασθέν μηχαναίς τών δαιμόνων.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τού Αποσπόλου  Ωδή ζ'
Δροσοβόλον μέν

Επεβίβασεν ως ίππον σε ταράσσοντα, εθνών θαλάσσας Φίλιππε, ο υπέρΘεος, κεφαλάς συνθλώντα τών εχθρών, καί μέλποντα τούτω εμμελώς. Ευλογητός ει ο Θεός, ό τών Πατέρων ημών.

Σαφηνίζων τό πρό πάντων αποκείμενον, αιώνων σύ μυστήριον, μυστολέκτης τε, χρηματίσας Φίλιππε σοφέ, εμύησας έθνη καί λαούς, καί μυστηρίων εναγών εναπεκάθηρας.

Ώφθης ένδοξος αστήρ μέγιστε Φίλιππε, καί Τράλλης εγκαλλώπισμα, εν ή τό σώμα τό σεπτόν σου κείμενον τελεί, θαυμάτων παράδοξα σοφέ, εις φωτισμόν τών εύσεβώς μακαριζόντων σε.

Θεοτοκίον
Κυοφόρον σε Παρθένον ονομάζομεν, Μαρία Θεονύμφευτε, οι σωζόμενοι διά σού ημέρας καί νυκτός, εχθρών επηρείας βλαβεράς, καί πειρασμών παντοδαπών, καί ψυχικών μολυσμών.

Τού Οσίου
Οι Παίδες εν Βαβυλώνι

Ορθοτομήσας τόν λόγον, μαστίγων πείραν υπέμεινας, εξορίας πικρίας καί κακώσεις, κραυγάζων Θεόφανες. Ευλογητός ει Κύριε, ό Θεός ο τών Πατέρων ημών.

Οι ποταμοί σοι τών λόγων, τών μελιρρύτων Θεόφανες, τών ανθρώπων ψυχάς, εύφροσύνης ενθέου επλήρωσαν, υμνολογούντων άσμασι, τόν Θεόν τών Πατέρων ημών.

Τον δρόμον σου Ιεράρχα, τετελεκώς μεταβέβηκας, εν υψίστοις Χριστώ, σύν Αγγέλοις κραυγάζων Θεόφανες. Εύλογητός ει Κύριε, ό Θεός τών Πατέρων ημών.

Θεοτοκίον

Εν σοί τό μέγα επράχθη, Παρθενομήτορ μυστήριον, ό Υιός τού Θεού, εν γαστρί σου σκηνώσας επέφανεν, ώ γεγηθότες ψάλλομεν. 'Ο Θεός τών Πατέρων ημών.

Τού Αποστόλου Ωδή η'

Εκ φλογός τοίς Οσίοις

Λόγω θείω Παμμάκαρ καθάπερ άλατι, κεχρημένος τής πλάνης εναπεκάθηρας, σήψιν χαλεπήν, καί καρδίας υγιώσας, σέβειν καί δοξάζειν, Χριστόν είς τούς αιώνας.

Εστερέωντο βάσεις χωλών τώ λόγω σου, καί βοώντα μεγάλη φωνή εξήρχετο, πνεύματα Σοφέ, τών εχόντων ακάθαρτα, φέρειν τήν δοθείσαν, μή σθένοντά σοι χάριν.

Οι Σαμάρειαν πάλαι οικούντες Φίλιππε, τό τής χάριτος φέγγος υπό σού δέχονται, βλέποντες πολλά, εκτελούντά σε θαύματα, Πνεύματος δυνάμει, πηγής τών χαρισμάτων.

Θεοτοκίον

Σαλευθείσαν κακία τού πολεμήτορος, τήν ψυχήν μου Παρθένε αγνή στερέωσον, η τόν θεϊκή επιβλέψει σαλεύοντα, πάντα δεξαμένη, καί μή σαλευομένη.

Τού Οσίου

Νόμων Πατρώων

Νόμων πατρώων παμμακάριστε, τής αληθείας φέρων τόν εννομώτατον, βασιλεύοντος κατέπτυσας, προσταγής αλογίστου, τού αναιρούντος Πάτερ τού Κυρίου την μορφήν, εύσεβώς κατασπάζεσθαι, ήν λαβών εν τώ κόσμω, επέφανεν εκ Κόρης Παρθένου, όν υπερυψούμεν, εις πάντας τούς αιώνας.

Ο νούς ο θείος η τού Πνεύματος, τού παναγίου λύρα η παναρμόνιος, άηδων η καλλικέλαδος τών πιστών η ακρότης, ορθοδοξίας στύλος, καί εδραίωμα σοφέ, Εκκλησίας τό στήριγμα, Μοναζόντων τό κλέος Θεόφανες, Πατέρων η δόξα, μέλπων ανεδείχθης, Χριστόν είς τούς αιώνας.

Η μυροθήκη η τού Πνεύματος, τού παναγίου Πάτερ σύ αναδέδειξαι, προφορά τών μυριπνόων σου, καί σοφών διδαγμάτων, εξαφανίζεις πλάνης

δυσωδεστάτην φθοράν, καί μυρίζεις τοίς λόγοις σου τήν σεπτήν Εκκλησίαν, κραυγάζων ασιγήτως εν ύμνοις. Σέ υπερυψούμεν, Χριστέ εις τούς αιώνας.

Θεοτοκίον

Θεού τό όρος τό πιότατον, ό ο προπάτωρ πάλαι Δαυϊδ προέγραψε, μελωδών προφητικώτατα, σύ εδείχθης Παρθένε, εξ ού ετμήθη, λίθος ο ακρόγωνος Χριστός, καί συνέτριψεν άπασαν, τήν ισχύν τών ειδώλων, αυτόν ακαταπαύστως υμνούμεν, καί υπερυψούμεν, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Νόμων πατρώων οι μακαριστοί, εν Βαβυλώνι νέοι προκινδυνεύοντες, βασιλεύοντος κατέπτυσαν, προσταγής αλογίστου, καί συνημμένοι, ώ ουκ εχωνεύθησαν πυρί, τού κρατούντος επάξιον, ανέμελπον τόν ύμνον. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τους αιώνας».

Τού Αποστόλου Οδή θ'

Θεόν ανθρώποις

Ιδων τά πάλαι σοι ελπιζόμενα, καί τού Θεού λαβών τήν βασιλείαν ασάλευτον, περί ής τούς ανθρώπους εδίδαξας, Φίλιππε Θεηγόρε, τερπου καί χόρευε, θείου απολαύων, φωτισμού καί παρακλήσεως.

Ως φώς ώς άστρον ως μέγας ήλιος, φωτιστικαίς ακτίσιν οικουμένην επέδραμες, διαγγέλλων τό ένθεον κήρυγμα. Τράλλην δέ τής, Ασίας, πόλιν επέφθασας, ής επιτροπεύσας, εν αυτή Μάκαρ κεκοίμησαι.

Σταυρόν καί θάνατον καί τήν έγερσιν, τού Λυτρωτού τοίς πέλας καί τοίς πόρρω κατήγγειλας, ουρανός χρηματίσας κατάστερος, θείαις φωτοχυσίαις αγλαϊζόμενος, Φίλιππε Αποστολε, Χριστού αξιοθαύμαστε.

Η γή τό σώμά σου τό πολύαθλον, μαρμαρυγάς εκπέμπον ιαμάτων εκάλυψεν, ουρανός δέ τό άγιον πνεύμά σου, μετά τών Αποστόλων φέρει γηθομενον, μεθ' ών ημών μέμνησο Σοφέ, τών ευφημούντων σε.

Θεοτοκίον

Φωνήν προσάγει σοι χαριστήριον, πάσα πνοή βοώσα χαρμοσύνως καί λέγουσα. Χαίρε θρονε Υψίστου πυρίμορφε, χαίρε Θεού χωρίον εύρυχωρότατον, χαίρε Αποστόλων, ευπρεπές Αγνή στεφάνωμα.

Τού Οσίου

Απορεί πάσα γλώσσα

Υπερμαχούντα υπέρ τής Χριστού Εκκλησίας, ο βροτοκτονος βλέπειν ουκ ισχύων σε, πειρασμούς σοι επεκτείνει, όμως ακλινής μεμένηκας, ανδρειοφρονως πρός βασιλείς σκαιούς, ανθιστάμενος καλώς, πείθων προσκυνείν τήν εικόνα Χριστού Θεόφανες.

Τών σών αγώνων είληφας αξίως τά γέρα, καί στεφηφορος, νύν εν Ουρανοίς μετ' Αγγέλων συνευφραίνη, ένθα Προφητών τό σύστημα, καί Αποστόλων, καί τών Μαρτύρων όντως στράτευμα μάκαρ, ένθα Πατριαρχών αι χορείαι Πάτερ

Θεόφανες.

Μή επιλάθη εν ταίς πρός Θεόν σου πρεσβείαις, τών εκτελούντων, σού τήν πανσεβάσμιον ημέραν Ιεράρχα, πάσης απειλής λυτρούμενος, απαγωγής τε δεινής τών εναντίων, καί θλίψεων πολλών, σώζων καί περιέπων εκ βλάβης, Πάτερ Θεόφανες.

Θεοτοκίον

Υπερμαχούσα Άνακτι πιστώς, εν πολέμοις κατά βαρβάρων, δίδου νικητήρια Παρθένε Θεοτόκε, σκέπουσα παντοίας βλάβης εχθρών ευλογημένη, δεδοξασμένη Μήτερ, απείρανδρε Κόρη, ίνα τόν σόν Υιόν ανυμνούντες, σέ μεγαλύνωμεν.

Ο Ειρμός

«Απορεί πάσα γλώσσα ευφημείν πρός αξίαν, ιλιγγιά δέ νούς καί υπερκόσμιος, υμνείν σε Θεοτόκε, όμως αγαθή υπάρχουσα, τήν πίστιν δέχου, καί γάρ τόν πόθον οίδας, τόν ένθεον ημών, σύ γάρ Χριστιανών εί προστάτις, σέ μεγαλύνομεν».

Εξαποστειλάριον

Τοίς Μαθηταίς

Ιθυτενείς ποιούμενος, ο Κανδάκης Ευνούχος, τάς τρίβους επί άρματος, Ησαϊου τήν βίβλον, αναγινώσκων ηπόρει, όν ο Φίλιππος φθάσας, υπό τού θείου Πνεύματος, τών απόρων τήν λύσιν, μυσταγωγεί, καί βαπτίσας, κήρυκα αποστέλλει, τής Ιησού Θεότητος, πάση Αιθιοπία.

Έτερον τού Οσίου, καί Θεοτοκίον, ομού.

Τώ τού Χριστού νύν βήματι, παρεστως Ιεράρχα, μετά τής Θεομήτορος, καί πανάγνου Παρθένου, εκδυσωπών μή ελλίπης, νίκην κατά βαρβάρων, τώ σταυροφόρω Άνακτι, καί ειρήνην τώ κόσμω, καί ψυχικήν, σωτηρίαν πάνσοφε τοίς τελούσι, τήν μνήμην σου Θεόφανες, δούναι τόν Εύεργέτην.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Καί τά άλλα κατά τήν τάξιν αυτών, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΒ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Μαρτύρων Πρόβου, Ταράχου, καί Ανδρονίκου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'

Πανεύφημοι Μάρτυρες

Οι Άγιοι Μάρτυρες οι τρείς, εν ενί φρονήματι, τή τρισαγίω θεότητι, αεί λατρεύοντες, απειλάς τυράννων, καί πληγάς αικίσεων, υπέμειναν τή πίστει

ρωννύμενοι, Πρόβος καί Τάραχος, καί ο σύναθλος Ανδρόνικος, καί τής νίκης, στεφάνους εδέξαντο.

Χριστόν ενδυσάμενοι Σταυρόν, ως όπλον δέ φέροντες, εν ταίς χερσίν υμών Άγιοι, στερρώς καθείλετε, τών εχθρών τά θράση, καί τής νίκης ένδοξοι, βραβεία εκ Θεού εκομίσασθε, αύτώ πρεσβεύοντες, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνηνι καί τό μέγα έλεος.

Τώ πόθω φλεγομενοι Χριστού, Αθλοφόροι ένδοξοι, ακαταγώνιστοι ώφθητε, ξίφος ου κάμινος, ού θυμός τυράννων, ου ποιναί κολάσεων, ου θάνατος υμάς εξεφόβησεν, αλλ' εκτελέσαντες, τόν αγώνα τής αθλήσεως, επαξίως, στεφάνους εδέξασθε.

Δόξα... Ήχος δ' Ανατολίου

Στρατευθέντες τώ Χριστώ, τά επί γής τερπνά κατελίπετε, καί τόν σταυρόν επ' ώμων άραντες, διά βασάνων πολυπλόκων, αυτώ ηκολουθήσατε, καί εναντίον βασιλέων καί τυράννων πολλών, μή αρνησάμενοι αυτόν, υπ' Αγγέλων τά βραβεία τής νίκης εδέξασθε, τάς κεφαλάς υμών στεφθέντες, καί πεπαρρησιασμένη τή ψυχή, φαιδρώς εις τόν νυμφώνα τόν μέγαν συνεληλύθατε. Πρόβε, τό κλέος τών Μαρτύρων, Τάραχε, τών δαιμόνων ολοθρευτά, καί Ανδρόνικε, νίκη τών Πιστών,παρρησίαν έχοντες, τώ Σωτήρι τών όλων πρεσβεύσατε, υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

'Εδωκας σημείωσιν

Δαιμόνων κλονούμενον, ταίς προσβολαίς καί είς βάραθρον, απωλείας ώθούμενον, οικτείρησον Δέσποινα, καί στερέωσόν με, αρετών εν πέτρα, καί τάς βουλάς τών δυσμενών, διασκεδάσασα καταξίωσον, ποιείν με τά προστάγματα, τού σού Υιού καί Θεού ημών, όπως τύχω αφέσεως, εν ημέρα τής κρίσεως.

Η Σταυροθεοτοκίον

Νεκρούμενον βλέπουσα, Χριστόν η πάναγνος Δέσποινα, καί νεκρούντα τόν δόλιον, ωλόλυζε κράζουσα, πικρώς τώ εκ σπλάγχνων, αυτής προελθόντι, καί τό μακρόθυμον αυτού, αποθαυμάζουσα κατεπλήττετο. Τέκνον μου ποθεινότατον, μή επιλάθη τής δούλης σου, μή βραδύνης φιλάνθρωπε, τό εμόν καταθύμιον.

Εις τόν Στίχον, Στιχηρά της Οκτωήχου.

Δόξα... Ήχος α'

Ανδρέου Ιεροσολυμίτου

Τό τριστέλεχον άθροισμα, οι ισάριθμοι τής Αγίας Τριάδος,ώσπερ αστέρες φαεινοί εκ τής Εώας φανέντες, τήν κτίσιν συγκαλούσι, πρός ιεράν πανήγυριν, Πρόβος, καί Τάραχος σύν  Ανδρονίκω τώ σοφώ, τάς γάρ σάρκας αυτών θηρίοις παρέδωκαν, καί τώ αίματι τήν γήν πορφυρώσαντες, στεφηφόροι εν ουρανοίς, μετ' Αγγέλων χορεύουσιν, αιτούμενοι υπέρ ημών τον φιλάνθρωπον Θεόν, πλημμελημάτων άφεσιν δωρηθήναι, καί τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον
Τών ουρανίων ταγμάτων

Μεταβολήν μοι τού βίου, Παρθένε δώρησαι, από τών εμπαθών με, μεταφέρουσα τρόπων, πρός θείας απαθείας, νεύσιν ομού, καί οικείωσιν άρρητον, πένθος χαρμόσυνον βρύειν μου τήν ψυχήν, αενάως μοι παρέχουσα.

Η Σταυροθεοτοκίον

Αναρτηθέντα ως είδεν, επί Σταυρού τόν αμνόν, η άμωμος Παρθένος, θρηνωδούσα εβόα, Γλυκύτατόν μου τέκνον, τί τό καινόν, καί παράδοξον θέαμα; πώς ο κατέχων τά πάντα εν τή χειρί, επί ξύλου προσηλώθης σαρκί;

Απολυτίκιον, Ήχος πλ. α’
Τόν συνάναρχον Λόγον

Τών Αγίων Μαρτύρων τά κατορθώματα, ουρανών αι Δυνάμεις υπερεθαύμασαν, ότι εν σώματι θνητώ, τόν ασώματον εχθρόν, τή δυνάμει τού Σταυρού, αγωνισάμενοι καλώς, ενίκησαν αοράτως, καί πρεσβεύουσι τώ Κυρίω, ελεηθήωαι τάς ψυχάς ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η Συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τών Αγίων ο παρών, ού η Ακροστιχίς.

Μέλψοιμι τών σών Μαρτύρων Σώτερ κλέος. Ιωσήφ

Ωδή α'   Ήχος πλ. δ'
Αρματηλάτην Φαραώ

Μαρτυρικαίς ηγλαϊσμένοι χάρισι, τώ στεφοδότη Χριστώ, εν ουρανοίς πόθω, Μάρτυρες παρίστασθε, φωτί καταυγαζόμενοι, τρισηλίου λαμπάδος, καί πάντας καταφωτίζετε, πίστει τούς υμάς μακαρίζοντας.

Εν διωγμώ τής εύσεβείας ώφθητε, πάσαν διώκοντες, τήν δυσσεβή πλάνην, Μάρτυρες αήττητοι, γενναίοις αγωνίσμασιν, ως καλοί στρατιώται, ως Εκκλησίας ερείσματα, καί τής αληθείας κραταίωμα.

Λελογισμένη διανοία Πάνσοφοι, αποκρουσάμενοι, τήν πονηράν ζάλην, καί τήν αγριαίνουσαν, τής ασεβείας θάλασσαν, ταίς τού Πνεύματος αύραις, πρός τούς λιμένας εφθάσατε, τούς επουρανίους γηθόμενοι.

Ψυχαίς Μαρτύρων τά υμών συγχαίρουσι, Μάρτυρες πνεύματα, εν ουρανοίς όντως, Πρόβε καί Ανδρόνικε, καί Τάραχε μακάριε, ανδρικώς γάρ τούς πόνους, τής μαρτυρίας ηνύσατε, νίκαις θεϊκαίς κλεϊζόμενοι.

Ο τώ Πατρί καί τώ Αγίω Πνεύματι, Λόγος συνάναρχος, Παρθενικήν μήτραν, βουληθείς κατώκησε, καί σάρξ ατρέπτως γέγονε.καί παθών εκουσίως,

Μαρτύρων θεία στρατεύματα, πίστει εναθλείν παρεσκεύασεν.

Ωδή γ’
Ουρανίας αψίδος

Ισχυρώς τώ διώκτη, αντιταχθείς Τάραχε, καί τήν συντριβήν τού προσώπου, φέρων στερρότατα, μύλας συνέθλασας, τών νοουμένων λεόντων, αριστεύς γενόμενος, σθένει τού Πνεύματος.

Μεγαλόφρονι γνώμη, τούς αικισμούς ήνεγκας, νώτου καί γαστρός Μάρτυς Πρόβε, διατεινόμενος, καί συμφλεγόμενος, τοίς οβελίσκοις τά στέρνα, καί τό θεολόγον σου, στόμα τυπτόμενος.

Ιερείον καθάπερ, αναρτηθείς έφερες, πόνους δριμυτάτων μαστίγων, Μάρτυς Ανδρόνικε, πυρός κατάφλεξιν, εκρίζωσιν τών οδόντων, καί τής θεολόγου σου, γλώσσης αφαίρεσιν.

Τριφεγγείς αστέρες, ταίς νοηταίς λάμψεσιν, άπασαν εν δόξη τήν κτίσιν, καταφωτίζετε, σκότος διώκοντες, τής πολυθέου απάτης, αθλοφόροι Μάρτυρες, θεοειδέστατοι.

Θεοτοκίον

Ως καλήν ως ωραίαν, ως εκλεκτήν άχραντε, Λόγος ο τό πάν ουσιώσας, σέ εκλεξάμενος, σού τήν αμόλυντον, καί θεοδόχον γαστέρα, βουληθείς κατώκησεν ο υπερούσιος.

Ο Ειρμός

«Ούρανίας αψίδος, οροφουργέ Κύριε, καί τής Εκκλησίας δομήτορ, σύ με στερέωσον, εν τή αγάπη τή σή, τών εφετών η ακρότης, τών πιστών τό στήριγμα, μόνε φιλάνθρωπε».

Κάθισμα  Ήχος πλ. δ’
Τήν Σοφίαν

Τής Αγίας Τριάδος τήν κραταιάν, οπλισάμενοι πίστιν νεανικώς, Ανδρόνικος, Πρόβος τε, καί ο πάνσοφος Τάραχος, τής πολυθέου πλάνης, τό κράτος διέλυσαν, καί λαούς πρός θείαν, αγάπην συνέδησαν, όθεν τά τής νίκης, κομισάμενοι γέρα, χοροίς συνευφραίνονται, ασωμάτων Δυνάμεων, οίς εν πίστει βοήσωμεν. Πρεσβεύσατε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην υμών.

Δόξα… Καί νύν... Θεοτοκίον

Τού Ηλίου νεφέλη τού νοητού, θείου φέγγους λυχνία χρυσοφαής, άσπιλε αμόλυντε, παναμώμητε Δέσποινα, τήν σκοτεινήν ψυχήν μου, τυφλώττουσαν πάθεσι, τής απαθείας αίγλη, καταύγασον δέομαι, καί μεμολυσμένην, τήν καρδίαν μου πλύνον, ροαίς κατανύξεως, μετανοίας τε δάκρυσι, καί τού ρύπου με κάθαρον, πρεσβεύουσα Χριστώ τώ Θεώ, τών πταισμάτων δούναί μοι τήν άφεσιν, τώ ευσεβώς προσκυνούντι, τόν πανάγιον τόκον σου.

Η Σταυροθεοτοκίον

Εν τώ ξύλω ορώσα τώ σταυρικώ, η πανάμωμος Μήτηρ τόν Λυτρωτήν,

εθρήνει δακρύουσα, καί πικρώς απεφθέγγετο, καί συνοχή καρδίας, τάς κόμας εσπάραττε, καί πρός αυτόν εβόα. Υιέ μου καί Κύριε, πώς σε τών Εβραίων, ανομώτατος δήμος, αδίκως προσπήγνυσι, τώ σταυρώ Αναμάρτητε; πώς καί θέλων υφίστασαι, όξος καί τήν τρήσιν πλευράς, χολήν τε, οίμοι! καί ήλους μακρόθυμε; αλλά δόξα σου Σώτερ, τοίς θείοις παθή μασι.

Ωδή δ'

Σύ μου ισχύς, Κύριε

Νόμον τόν σόν, Λόγε τηρούντες οι Μάρτυρες, τών ανόμων νόμους εβδελύξαντο, τούς αθετείν σε τόν Ποιητήν, εγκελευομένους, δαιμόνων επιτηδεύμασι, καί πάσαν υποστάντες, τρικυμίαν βασάνων, ουρανίου γαλήνης επέτυχον.

Στέργων Χριστού, φέρειν ζυγόν επαυχένιον, τόν αυχένα χαίρεις συντριβόμενος, τόν δέ Σταυρόν, ράβδον κραταιάς, Τάραχε παμμάκαρ, δυνάμεως επαγομενος, τών ράβδων τάς νιφάδας, υποφέρεις κραυγάζων. Τή δυνάμει σου δόξα Φιλάνθρωπε.

Ως δυνατός, θείω γενόμενος Πνεύματι, τών κνημών σου, φέρεις τήν επώδυνον, καρτερικώς, Πρόβε συντριβήν, καί τήν τών ομμάτων, αφαίρεσιν φωτιζόμενος, τή γνώσει τής Τριάδος, τελεώτατον Μάρτυς, καί τοίς άνω χοροίς συναπτόμενος.

Νεανικώς, Μάρτυς Ανδρόνικε ίστασο, πρό βημάτων, ανταγωνιζόμενος, τώ δυσμενεί, λίαν καρτερώς, όθεν κατατέμνων, τάς κνήμας σου ευτονώτερον, ειργάζετό σε κάραν, τήν αυτού συμπατούντα, καί πορείαν τήν άνω στελλόμενον.

Θεοτοκίον

Μόνη Θεόν, φέρεις εν μήτρα σαρκούμενον, τόν τό είναι, πάσι παρεχόμενον, όν εν σταδίω οι ακλινείς, καθομολογούντες, ενήθλησαν θείοι Μάρτυρες. Παρθένε Θεοτόκε, τών Αγγέλων τό θαύμα, καί δαιμόνων τό τραύμα πανύμνητε.

Ωδή ε'

Ίνα τί με απώσω

Ακλινείς οδοιπόροι, τρίβου τής στενής καί τραχείας γεγόνατε, πειρασμών νιφάδας, ως αφρούς θαλαττίους ωθούμενοι, αρραγείς ως πύργοι, ως επί πέτραν τήν καρδίαν, Αθλοφόροι εδράσαντες πίστεως.

Ρητορεύων τά θεία, καί θεολογών τά σωτήρια δόγματα, τών χειλέων φέρεις, τά σπαράγματα γνώμης στερρότητι, αποφράττων στόμα, κατά Θεού Τάραχε μάκαρ, βλασφημίαν λαλούν τού ποιήσαντος.

Τετραχώς τεταμένος, καί ταίς εκ μαστίγων πληγαίς συνεχόμενος, τής ψυχής εδήλου, τό γενναίον ο Πρόβος ανάστημα, στεφηφόρος όθεν, αναδειχθείς σύν

τοίς συνάθλοις, Βασιλεί τών αιώνων παρίσταται.

Θεοτοκίον

Υπερτέρα τών άνω, πέφυκας Δυνάμεων, Λόγον κυήσασα, τού Πατρός Παρθένε, τόν συνάναρχον Καί συναΐδιον, ού ταίς φρυκτωρίαις, οι, Αθληταί καταυγασθέντες, αθεϊας τήν νύκτα παρέδραμον.

Ωδή ς'

Ιλάσθητί μοι Σωτήρ

Ρομφαία τού δυνατού, γενόμενοι διά πίστεως, καρδίας τών ασεβών, ανδρείως ετρώσατε, ανταγωνισάμενοι, κατ' αυτών γενναίως, Αθλοφόροι μεγαλώνυμοι.

Ως πάλαι τόν Δανιήλ, εν λάκκω θήρες ηδέσθησαν, ούτω καί νύν τούς στερρούς, οπλίτας τής χάριτος, εν σταδίω έπτηξαν, κατευλαβηθέντες, τά σεπτά τούτων παθήματα.

Νυγείσάν σου τήν πλευράν, εξεικονίζων ο Τάραχος, εισδέχεται ταίς πλευραίς, κεντή ματα Δέσποτα, καί όξος ποτίζεται, καί πυρί τήν κάραν, ωμοτάτως καταφλέγεται.

Θεοτοκίον

Συνέλαβες εν γαστρί, τόν προαιώνιον άχραντε, καί τέτοκας εν σαρκί, τόν φύσει απρόσιτον, καί γάλα επότισας, τόν τροφέα πάντων, Θεομήτορ απειρόγαμε.

Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, Ο Θεός τής σωτηρίας μου».

Κοντάκιον Ήχος β’

Τά άνω ζητών

Τριάδος ημίν, τήν δόξαν εμφανίσαντες, γενναίοι Χριστού, οπλίται θείοι Μάρτυρες, σύν Ταράχω Πρόβος τε καί Ανδρονικος, ήλεγξαν άπασαν, τών τυράννων αθεότητα, τή πίστει γενναίως εναθλήσαντες.

Ο Οίκος

Του Ιησού τά πάθη γενναίως μιμησάμενοι, άμα σύν Ταράχω τώ σοφώ, ο Πρόβος τε καί Ανδρόνικος, χαίροντες ήχθησαν εν σταδίω, παρανόμων ελέγχοντες αθεϊαν. Όθεν ημείς οι εκ πόθου τιμώντες τήν μνήμην αυτών, εν ύμνοις ανευφημούμεν, καί πιστώς τούς αγώνας κηρύττομεν, εθαυμάστωσε γάρ ο Κύριος, ως φωστήρας εν κόσμω, τή πίστει γενναίως εναθλήσαντας.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΒ' τού αυτού μηνός, Μνήμη τών Αγίων Μαρτύρων Πρόβου, Ταράχου, καί Ανδρονίκου.

Στίχοι

Ξίφει Τάραχος, Ανδρόνικος καί Πρόβος,

Ήραντο νίκην, γήν προβάντες ταράχου.
Τμήθη δωδεκάτη, Πρόβος, Ανδρόνικος, Τάραχός τε.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Καλλινίκου Μάρτυρος Δομνίνης.

Στίχοι

Μέλη Δομνίνα καί περ εξαρθρουμένη,
Ούκ ήν αληθή πίστιν εξαρνουμένη.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος Αναστασίας τής Παρθένου.

Οι Άγιοι εβδομήκοντα Μάρτυρες, ξίφει τελειούνται.

Ο Άγιος Θεόδωρος, Επίσκοπος Εφέσου εν ειρήνη τελειούται.

Αι Άγιοι Μάρτυρες Μαλεφθά, Ανθία καί οι Μάρτυρες, Ιουβεντίνος, Μάξιμος, Δωρόθεος καί Διόδωρος, ξίφει καί πυρί τελειούνται.

Ο Άγιος Ιωάννης, Επίσκοπος Δαμασκού εν ειρήνη τελειούται.

Ταίς αυτών αγίαις πρεσβείαις, Χριστέ ο Θεός ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Θεού συγκατάβασιν

Ωτίων αφαίρεσιν, υπέστης χαίρων Τάραχε ένδοξε, ως εύή κοος δούλος, τού κλίναντός σοι ούς ευμενέστατον, καί τάς ευχάς σου πληρώσαντος, κράζοντος. Εύλογη τός ο Θεός, ο τών Πατέρων ημών.

Τεινόμενοι Μάρτυρες, καί ταίς βασάνοις καταικιζόμενοι, σταθηρά διανοία, τοίς παρανόμοις αντικατέστητε. καί νικηφόροι γενόμενοι ψάλλετε. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Επλήσθη τό πνεύμά σου, ενθέου δρόσου καί αναψύξεως, οπηνίκα τάς χείρας, πυρί καί κάραν καταφλεγόμενος, ώσπερ οι Παίδες εκραύγαζες Τάραχε. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Ραντίσματι Άγιοι, σεπτών αιμάτων πλάνης τούς άνθρακας, κατασβέσαντες, δρόσον ημίν ενθέου βλύζετε χάριτος, καί ιαμάτων προχέετε νάματα, τοίς ευφημούσιν υμών, τήν μνήμην πάντοτε.

Θεοτοκίον

Κενούται εν μήτρα σου, πατρώων κόλπων μή αφιστάμενος, ο πληρέστατος Λόγος, καί σάρξ Οράται, καί βρέφος τίκτεται, ώ μελωδούμεν Παρθένε γηθόμενοι. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Ωδή η'

Επταπλασίως κάμινον

Λελαμπρυσμένοι στίγμασι, καί ωραίοι εν κάλλεσι, τής καλλοποιού Μακάριοι αθλήσεως, Κυρίω παρίστασθε, στεφανηφόροι πάντοτε, αίγλης τής εκείθεν, πεμπομένης πλουσίως, πληρούμενοι, καί πόθω, μελωδούντες απαύστως, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Εν εαυτώ μαινόμενος, ο παράφορος τύραννος, ως νενικημένος ταίς υμών ενστάσεσι, τομώς αποφαίνεται, θανατωθήναι ξίφει υμάς, Τόν Δημιουργόν καί Λυτρωτήν μελωδούντας, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Οι τής Τριάδος πρόμαχοι, οι καλλίνικοι Μάρτυρες, οι τής αθεϊας τόν κρυμόν σκεδάσαντες, τή θέρμη τής πίστεως, τά τών πιστών προπύργια, άνθη τά τερπνά τού νοητού Παραδείσου, λιμένες τών εν ζάλη, οι ακλόνητοι στύλοι, Ανδρόνικος καί Πρόβος,καί Τάραχος τιμάσθωσαν.

Θεοτοκίον

Σύν Ασωμάτων τάξεσι, σύν Μαρτύρων στρατεύμασι, σύν τοίς Αποστόλοις, καί Προφήταις άπαντες, τήν πάντων δεσπόζουσαν, τών ποιημάτων Δέσποιναν, ώς τών Χερουβίμ, αγιωτέραν καί μόνην, Θεού αγνήν Μητέρα, ευσεβώς ανυμνούμεν, Χριστόν υπερυψούντες, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς Θεοσεβέ»σιν, εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών. Τόν Δημιουργόν καί Λυτρωτήν ανεβόα, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ'

Έφριξε πάσα ακοή

Ίσχυσαν σώματι φθαρτοίς αφθαρσίαν τοίς αγώσι προσκτήσασθαι, οι γενναιότατοι, καί τοίς Αγγέλοις εξωμοιώθησαν, τήν βασιλείαν τού Θεού, λαβόντες ασάλευτον, Πρόβος καί Τάραχος, καί Ανδρόνικος Χριστού οι θεράποντες.

Ώφθητε άνθρακες πυρί, τώ αϋλω μυστικώς αναπτόμενοι, καί κατεφλέξατε, υλώδη πλάνην Μεγαλομάρτυρες, καί αναλάμψαντες ώς φώς, τήν κτίσιν αυγάζετε, καί περισώζετε, εκ κινδύνων καί παθών τάς ψυχάς ημών.

Σήμερον άγει εορτήν, ετησίαν καί λαμπράν καί χαρμόσυνον, η Εκκλησία Χριστού, τήν θείαν ταύτην υμών πανήγυριν, καί συναγάλλονται υμίν, Προφήται Απόστολοι, καί πάντες Μάρτυρες, Αθλοφόροι νικηταί μεγαλώνυμοι.

Ήρθητε πρός φωτοειδή Παραδείσου Αθλοφόροι σκηνώματα, περιβαλλόμενοι λαμπράν εσθήτα, ήν εξυφάνατε, πολυειδέσιν αικισμοίς, καί θρόνω παρ ίστασθε, τού Παντοκράτορος, υπέρ πάντων εκτενώς ικετεύοντες.

Θεοτοκίον

Φείσαί μου Σώτερ ο τεχθείς, καί φυλάξας τήν τεκούσάν σε άφθορον, μετά τήν

κύησιν, όταν καθίσης κρίναι τά έργα μου, τάς ανομίας παρορών, καί τάς αμαρτίας μου, ως αναμάρτητος, ελεήμων ως Θεός καί φιλάνθρωπος.

Ο Ειρμός

«Εφριξε πάσα ακοή, τήν απόρρητον Θεού συγκατάβασιν, όπως ο Ύψιστος, εκων κατήλθε μέχρι καί σώματος, Παρθενικής από γαστρός, γενόμενος άνθρωπος, διό τήν άχραντον, Θεοτόκον οι πιστοί μεγαλύνομεν».

Εξαποστειλάριον

Τοίς Μαθηταίς

Πολυειδείς οι Μάρτυρες, αικισμούς ενεγκόντες, πολλών επάθλων έτυχον, καί βραβείων τής νίκης, παρά Χριστού τού Σωτήρος, Τάραχος ο θεόφρων καί Πρόβος καί Ανδρόνικος, οι στερροί, Αθλοφόροι, ών τήν σεπτήν, εκτελούντες μνήμην, τούτους τιμώμεν, υπέρ ημών πρεσβεύοντας, τού ρυσθήναι πταισμάτων.

Θεοτοκίον

Αμαρτιών πελάγει με, καί παθών εν τή ζάλη, διηνεκώς ποντούμενον, πρόφθασον Θεοτόκε, τή παναλκεί σου δυνάμει, καί διάσωσον τάχος, καί πρός λιμένα ίθυνον, μετανοίας με όπως, δοξολογώ, σόν Υιόν όν έτεκες απορρήτως, καί σέ τήν Θεομήτορα, ευλαβώς μεγαλύνω.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα… Ήχος δ' Ανατολίου

Στρατευθέντες τώ Χριστώ, τά επί γής τερπνά κατελίπετε, καί τόν σταυρόν επ' ώμων άραντες, διά βασάνων πολυπλόκων, αυτώ ηκολουθήσατε, καί εναντίον βασιλέων καί τυράννων πολλών, μή αρνησάμενοι αυτόν, υπ' Αγγέλων τά βραβεία τής νίκης εδέξασθε, τάς κεφαλάς υμών στεφθέντες, καί πεπαρρησιασμένη τή ψυχή, φαιδρώς εις τόν νυμφώνα τόν μέγαν συνεληλύθατε. Πρόβε, τό κλέος τών Μαρτύρων, Τάραχε, τών δαιμόνων ολοθρευτά, καί Ανδρόνικε, νίκη τών Πιστών,παρρησίαν έχοντες, τώ Σωτήρι τών όλων πρεσβεύσατε, υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

Έδωκας σημείωσιν

Τό χαύνον καί έκλυτον, Παρθενομήτορ μετάβαλε, τής ψυχής μου πανάμωμε, εις ρώσιν καί δύναμιν, τού φόβω καί πόθω, ποιείν τε καί πράττειν, τά δικαιωματα Χριστού, όπως εκφύγω τό πύρ τό άστεκτον, καί κλήρον τόν ουράνιον, καί τήν ζωήν τήν απέραντον, διά σού απολάβοιμι, ευφραινόμενος πάντοτε.

Η Σταυροθεοτοκίον

Ρήγνυται χειρόγραφον, τό απ' αιώνος νυγείσης σου, τής πλευράς Πολυέλεε, Αδάμ τού προπάτορος, καί η απωσμένη, φύσις τών ανθρώπων, ρανίσιν αίματος τού σού, καθαγιάζεται ανακραζουσα. Δόξα τή ευσπλαγχνία σου, δόξα τή θεία σταυρώσει σου, Ιησού παντοδύναμε, ο Σωτήρ τών ψυχών ημών.

Καί τά λοιπά τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΓ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Μαρτύρων Κάρπου καί Παπύλου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'
Πανεύφημοι Μάρτυρες

Καρπούς προσενήνοχας Θεώ, τή διδασκαλία σου, τούς σεσωσμένους Αοίδιμε, σαυτόν δέ κάρπωμα, Ιερόν προσήξας, μαρτυρίου αίματι, παμμάκαρ φοινιχθείς ιερώτατε, διό ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Τόν νούν επερείσαντες Χριστώ, ακλινείς εδείχθητε, ταίς προσβολαίς τών κολάσεων, οικείοις αίμασι, πλάνης τούς προμάχους, άρδην κατακλύσαντες, καί ένδον Παραδείσου σκηνώσαντες, ώ Ιερώτατοι, Ιερεία ως αμώμητα, ώς τής θείας, αμπέλου βλαστήματα.

Πυρός δυνατώτερον τόν νούν, εξαφθέντες Μάρτυρες, εν τή αγάπη τού Κτίσαντος, Κάρπε καί Πάπυλε, νοητοί φωστήρες, τό πύρ απεσβέσατε, ειδώλων βδελυρών θεία χάριτι, δρόσω τής πίστεως, καί αιμάτων ταίς προσχύσεσι, τόν χειμάρρουν, τρυφής εκληρώσασθε.

Δόξα... Ήχος πλ. β'

Ως άξιος εν θεόπταις, τούς ουρανούς σύ είδες Όσιε ανεωγμένους, καί τόν Κύριον εν θρόνω καθήμενον, καί Χερουβίμ καί Σεραφίμ περικύκλω αυτού, καί παρά σού πάλιν ημείς φωτισθέντες, τό Ιερόν σου ποίμνιον, Κάρπε βοά σοι. Αίτησαι ειρήνην τώ κόσμω, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον
Τριήμερος ανέστης

Τήν πάσάν μου ελπίδα εις σέ, Παρθένε ανατίθημι, μή παρίδης, αλλά σπεύσον Αγαθή, ρυσθήναί με εν τάχει, παθών τών ενοχλούντων, καί καθ' εκάστην πολεμούντων με.

Η Σταυροθεοτοκίον

Παρίστατο τώ ξύλω ποτέ, καιρώ τώ τής σταυρώσεως, η Παρθένος, σύν Παρθένω Μαθητή, καί κλαίουσα εβόα. Οίμοι! πώς πάσχεις πάντων, Χριστέ υπάρχων η απάθεια;

### ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οί Κανόνες τής Οκτωήχου, καί τών Αγίων ο παρών, ού η Ακροστιχίς.

Κάρπω τόν αίνον σύν Παπύλω Προσφέρω.

Θεοφάνους

Ωδή α'  Ήχος πλ.β'
Ως εν ηπείρω

Καταυγασθήναι τή αίγλη τής σής Χριστέ, ανάρχου θεότητος, τήν ζοφώδη μου ψυχήν, καί δοθήναι λόγον μοι αιτώ, τούς αξίως τούς σοφούς, υμνήσαι Μάρτυρας.

Απαρνησάμενοι πάσαν τήν γεηράν, Αθληταί απόλαυσιν, επτερώσατε υμών, τόν νούν πρός ουράνιον οδόν, δι' ασκήσεως τό πρίν, καί νύν δι' αίματος.

Ραδίως ήχθητε πάντα πρός πειρασμόν, υποστήναι Πάνσοφοι, δυναστεία θεϊκή, δι' ής καί τήν άπασαν Ισχύν, τών εχθρών καταβαλόντες, κλέος ήρασθε.

Θεοτοκίον

Παλαιωθέντα τό πρίν με τή συμβουλή, τού δολίου όφεως, ολωλότα ο Θεός, καθορά μή φέρων με εν σοί, κατοικήσας τή Σεμνή εκαινοποίησεν.

Ωδή γ'
Ουκ έστιν Άγιος ως σύ

Ως τό τού Κτίστου αληθώς, κατ' εικόνα τηρούντες, ουκ εκάμψατε γόνυ, αντιθέοις τών εθνών, σεβάσμασιν, αλλ' ευχή, αηττήτω, ταύτα κατεστρέψατε.

Τή δυσσεβεί τού δικαστού, οι γενναίοι προστάξει, αισθητώς γυμνωθέτες, ενεδύσαντο Χριστόν, δι' όν καί ώσπερ κριοί, πεδηθέντες, ήγοντο αλύσεσιν.

Ορών τό άτρεπτον υμών, πρός αυτόν τής ελπίδος, ο τών όλων Δεσπότης, εν νυκτί αγγελικαίς, επιστασίαις θαρρείν, εν βασάνοις, Ένδοξοι προτρέπεται.

Θεοτοκίον

Νοσούσαν Δέσποινα δεινώς, τήν ψυχήν μου τώ πλήθει, τών πολλών μου πταισμάτων, θεραπεύσασα θερμή, πρεσβεία σου πρός Θεόν, καί τα πάθη, ίασαι τού σώματος.

Ο Ειρμός

«Ουκ έστιν Άγιος ως σύ, Κύριε ο Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου αγαθέ, καί στερεώσας ημάς, εν τή πέτρα, τής ομολογίας σου».

Κάθισμα   Ήχος γ'
Θείας πίστεως

Όπλοις πίστεως καθωπλισμένοι, διελύσατε τάς παρατάξεις, τών αθέων Αθλοφόροι πανεύφημοι, καί αφθαρσίας τό στέφος εδέξασθε, Μαρτυρικόν διανύσαντες δίαυλον. Κάρπε Πάπυλε, Χριστόν τόν Θεόν αιτήσασθε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Δόξα… Καί νύν… Θεοτοκίον

Θεία γέγονας σκηνή τού Λόγου, μόνη πάναγνε Παρθενομήτορ, τή καθαρότητι Αγγέλους υπεράρασα, τόν υπέρ πάντας εμέ γούν γενόμενον, ρερυπωμένον σαρκός πλημμελήμασιν, αποκάθαρον, πρεσβειών σου ενθέοις νάμασι, παρέχουσα σεμνή τό μέγα έλεος.

Η Σταυροθεοτοκίον

Η αμίαντος αμνάς τού Λόγου, η ακήρατος Παρθενομήτωρ, εν τώ Σταυρώ θεασαμένη κρεμάμενον, τόν εξ αυτής ανωδίνως βλαστήσαντα, μητροπρεπώς θρηνωδούσα εκραύγαζεν. Οίμοι τέκνον μου! πώς πάσχεις θέλων ρύσασθαι, παθών τής ατιμίας τόν άνθρωπον.

Ωδή δ'

Χριστός μου δύναμις

Αρίστην ένδοξοι, Θεώ προσήξατε, Αθλοφόροι θυσίαν τήν ευκλεή, πίστει Αγαθόδωρον, αποκρουσάμενοι εχθρού, τήν απάτην αγαπήσει Χριστού.

Ιώ τού όφεως, μανείς ο τύραννος, δεσμευθήναί σε φήσας καί τάς πλευράς, Κάρπε καταξέεσθαι, αύθις δέ φλέγεσθαι πυρί, τό στερρόν σου ου διέλυσε.

Νυμφώνα Πάπυλε, επιποθήσας ιδείν, τού Δεσπότου πρός ύψος αναρτηθείς, ξέεσθαι ού δέδοικας, ούτε πυρός απειλούντος, υπεχώρησας θεσπέσιε.

Θεοτοκίον

Ορών εκ σπλάγχνων σου, Θεόν ερχόμενον, ό Αδάμ ως εν ζόφω τώ τών παθών, Δέσποινα εβόα σοι. Σή μεσιτεία τών δεινών, τού θανάτου με εξάρπασον.

Ωδή ε'

Τώ θείω φέγγει σου Αγαθέ

Νηπίων ώσπερ τών ασεβών, βέλη τάς τών λίθων βολίδας, δέσμιος ών σύ λελόγισαι, Πάπυλε τρισμάκαρ, ενδεδυμένος στολήν, τής πίστεως τήν όντως ακαταμάχητον.

Νεκρός γεγένηται ο εχθρός, εν τή καρτερία σου μάκαρ, καί σταθηρά γενναιότητι, κράτος γάρ θεόθεν, περιεβάλου σαφώς, δι' ού διττούς πολέμους Κάρπε ενίκησας.

Στόματα θηρών ως Δανιήλ, Μάρτυρες εφράξατε όπλοις, ενθέοις Κάπρε καί Πάπυλε, τούτους δέ κηρύττειν, Θεού υπάρχειν υμάς, γενναίους Αθλοφόρους, πίστει εδείξατε.

Θεοτοκίον

Υιόν Θεού τόν Εμμανουήλ, τίκτειν Ησαΐας σέ μόνην, προανεφώνει Αμόλυντε, τόν δι' ευσπλαγχνίαν καταξιώσαντα, ημίν ομοιωθήναι, καί απαλλάξαι φθοράς.

Ωδή ς’

Τού βίου τήν θάλασσαν

Νευρούμενοι Πνεύματι, καί τήν δρόσον παρ' αυτού, δεχόμενοι Αήττητοι, εμβληθέντες ασβέστω εκκαυστική, ούδόλως εφλέχθητε, αλλά ταύτην ως λίθους απειργάσασθε.

Νάμασι κατήρδευσας, διδαγμάτων τάς ψυχάς, τών ευσεβών Αοίδιμε, καί διά τούτο άφθονον ο Χριστός, πηγήν σε ανέδειξε, τών θαυμάτων εν κόσμω παναοίδιμε.

Προθύμως ανέκραζον, ως εκ στόματος ενός, Αθλοφόροι Κύριε, ού λιμός ουδέ θλίψις ού διωγμός, τής σής ημάς Δέσποτα, δυνηθή εκχωρίσαι αγαπήσεως.

Θεοτοκίον

Αδάμ τόν προπάτορα, γυναικεία συμβουλή, πάλαι μέν εθανάτωσε, νύν δέ Θεός εν μήτρα σου χωρηθείς, εζώωσε Δέσποινα, καί υιόν φωτός αύθις απειργάσατο.

Ο Ειρμός

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι. Ανάγαγε, εκ φθοράς τήν ζωήν μου Πολυέλεε».

Κοντάκιον Ήχος δ'

Ο υψωθείς

Ως θησαυρόν πολυτελή ο Δεσπότης, καί κρήνην βρύουσαν κρουνούς ιαμάτων, τοίς επί γής παρέσχετο τά λείψανα υμών, νόσους μέν καθαίροντα, παθημάτων ποικίλων, χάριν δέ βραβεύοντα, ταίς ψυχαίς αενάως, διό συμφώνως Κάρπε τήν υμών, Πάπυλε πόθω, τελούμεν πανήγυριν.

Ο Οίκος

Η προαιώνιος Θεού Σοφία τε καί Λόγος, νοός μου τήν ομίχλην απέλασον, καί δίδου λόγον σοφίας ως Θεός, τούς μιμησαμένους διά πόθον ολικώς τά θειά σου παθήματα, ανυμνήσαι προθύμως, ως υπό σού. Δέσποτα τών όλων, επαξίως τών αγώνων τάς αμοιβάς αποληψομένους. Ενταύθα γάρ πιστών οι δήμοι κυκλούντες τών λειψάνων τήν σορόν, τήν ευεξίαν δρέπονται αεί, συμφώνως επιτελούντες, Πάπυλε, Κάρπε, υμών τήν πανήγυριν.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΓ' τού αυτού μηνός, Μνήμη τών Αγίων Μαρτύρων Κάρπου, Παπύλου, Αγαθοδώρου, καί Αγαθονίκης.

Στίχοι

Κάρπω, Παπύλω, τοίς Θεού καρποίς δύο,
Πάς πυλεων τμηθείσιν ηνοίγη πόλου.
Αγαθόδωρον δωρεών πληθύς μένει,
Πρός πληθύν αθλήσαντα δεινών μαστίγων.
Ούκ εμποδών σοι, Μάρτυς Αγαθονίκη,
Τό θήλυ πρός τό θείον εκ ξίφους τέλος.
Κάρπον σύν Παπύλω δεκάτη τρίτη έκτανε χαλκός.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Φλωρεντίου.

Στίχοι

Ώ θάρσος οιον Μάρτυρος Φλωρεντίου!
Πρός τή ν φλόγα τρέχοντος, ώσπερ πρός δρόσον.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Διοσκόρου.

Στίχοι

Τμηθείς ο Διόσκορος αισχύνει Δία,
Τόν μή λαβόντα ψυχαπωλείας κόρον.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Νικήτα Πατρικίου τού Ομολογητού.

Στίχοι

Θλίψεις υποστάς εικόνων θείων χάριν,
Χαίρει χαράν Νικήτας, οίαν οι Νόες.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Βενιαμίν τού Διακόνου.

Τή αυτή ημέρα Μνήμη τού Αγίου Μάρτυρος Αντιγόνου, διά πυρός τελειωθέντος.

Στίχοι

Τεθνήξομαί σοι τής εκείθεν, Χριστέ μου,
Τήν ώδε καύσιν Αντίγονος προκρίνων.

Ταίς τών αγίων σου Πρεσβείαις, ό Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ’

Δροσοβόλον μέν

Ποδών Μάρτυρες καθήλωσιν υπέστητε, κρηπίσι πανσεβάσμιοι, πορευόμενοι, εν οδώ καί άδοντες Θεώ, καί κέντρα συντρίψαντες, ως χούν τής ασεβείας, ευσεβή πίστιν ιδρύσατε.

Υπέρ ήλιον αθλούντες ανελάμψατε, Μάρτυρες αξιάγαστοι, καί τής πλάνης δέ τών ειδώλων, άπασαν αχλυν, σαφώς εδιώξατε πιστοίς, θεογνωσίας φωτισμόν, αεί δωρούμενοι.

Λαβροτάτην φλόγα μέλλουσαν ανάπτεσθαι, τού ταύτη εμβληθήναι υμάς, η πανόλβιος κ αθορώσα, έκραζε Χριστώ, Χορού μή στερήσης με τών σών, Αγαθονίκη Αθλητών, ο τών Πατέρων Θεός.

Θεοτοκίον

Ως ακένωνον πηγήν σε πάντων Δέσποινα, κατέχομεν οι δούλοί σου, καί βοήθειαν, καί στερρόν οχύρωμα αγνή, καί τείχος καί σκέπην αγαθήν, μή στερηθείημεν αεί, σής αντιλήψεως.

Ωδή η’

Εκ φλογός τοίς Οσίοις

Πυρί παραδοθέντας Κάρπον καί Πάπυλον, καθορώσα η Μάρτυς, Αγαθονίκη θερμώς, πόθω πρός αυτούς, συνεισήλθε χορεύουσα, οι καί τήν Τριάδα, τυπούντες εφρουρούντο.

Ρήσιν τήν τού Δεσπότου αναλαβόντες Σοφοί, υπέρ τών αναιρούντων καθικετεύετε, όθεν καί υμείς, εκτμηθέντες τάς κάρας ομού, εν χερσί Κυρίου, παρέθεσθε τό πνεύμα.

Οι κρουνοί τών αιμάτων υμών Πανεύφημοι, ραντισμός τε καί άκος ημών γεγόνασι, καί ειδωλικήν πλάνην κατεξωλόθρευσαν, Θεού τών απάντων, γνησίως κηρυχθέντος.

Θεοτοκίον

Συμπαθής Θεοτόκε τόν ευσυμπάθητον, η τεκούσα τόν Σωτήρα, ίδε τήν κάκωσιν, καί τόν στεναγμόν, τού λαού σου καί τάχυνον, τού παρακαλέσαι, ημάς οικτειρηθήναι.

Ο Ειρμός

«Εκ φλογός τοίς Οσίοις δρόσον επήγασας, καί δικαίου θυσίαν ύδατι έφλεξας, άπαντα γάρ δράς, Χριστέ μόνω τώ βούλεσθαι. Σέ υπερυψούμεν εις πάντας τους αιώνας».

Ωδή θ’

Θεόν ανθρώποις ιδείν

Φωτί τώ θείω νύν πλησιάζοντες, πρεσβευτικαίς αυγαίς τήν Εκκλησίαν φωτίζετε, τήν εσκοτισμένην εξ αγνοίας δεινήν, δόξαν Εικονομάχων αποδιώξαντες, καί τή ορθοδόξω, πρός Θεόν πίστει στηρίξαντες.

Εχθρών δαιμόνων στίφη διώκετε, καί πειρασμών ημάς απολυτρούσθε μακάριοι, μαλακίας πάσης τε καί νοσήματος, τούς ημών τώ τεμένει πίστει προστρέχοντας, νεύσει απαλλάττετε Θεού, Κάρπε καί Πάπυλε.

Ροήν δακρύων μου μή απώσησθε, ώ ξυνωρίς Αγίων Αθλοφόρων, ως έχοντες, παρρησίαν νύν πρός τόν Δεσπότην Χριστόν, σκότους με αφαρπάσαι, τούτον αιτήσασθε, καί τού ακηράτου φωτισμού καταξιώσατε.

Θεοτοκίον

Ωδήν προσάγω σοι πόθω Δέσποινα, εκ ρυπαρών χειλέων μου ο τάλας καί δέομαι, τού βορβόρου ρύσαί με τών έργων μου, πάντας δέ τούς εν πίστει, ανευφημούντάς σε, τής εκ δεξιών τού σού Υιού δόξης αξίωσον.

Ο Ειρμός

«Θεόν ανθρώποις ιδείν αδύνατον, όν ού τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ Πάναγνε, ωράθη βροτοίς, Λόγος σεσαρκωμένος, όν μεγαλύνοντες, σύν ταίς ούρανίαις στρατιαίς σέ μακαρίζομεν».

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Συνόντες παμμακάριστοι, Θεώ τώ Παντοκράτορι, καί αστραπαίς ταίς εκείθεν, λαμπόμενοι Αθλοφόροι, Κάρπε Χριστού, Ιεράρχα, καί Πάπυλε αοίδιμε, στεφανηφόροι Μάρτυρες; τών τήν υμών εκτελούντων, μέμνησθε πάμφωτον μνήμην.

Θεοτοκίον

Τήν μόνην θεομήτορα, απαύστως μακαρ ίσωμεν, Οι σεσωσμένοι τώ ταύτης, υπερφυεί θείω τόκω, αξιοχρέως μέλποντες, τήν Θεοτόκον Δέσποιναν, λύτρον ημίν γάρ τέτοκε, πλημμελημάτων αρχαίων, Χριστόν Τριάδος τόν ένα.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Καί η λοιπή του Όρθρου Ακολουθία, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΔ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Μαρτύρων Ναζαρίου, Γερβασίου, Προτασίου, καί Κελσίου, καί τού Οσίου Πατρός ημών Κοσμά τού Ποιητού.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν τά εφεξής Προσόμοια Στιχηρά.

Τών Μαρτύρων τρία.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσι

Οι τής πίστεως πρόμαχοι, τόν αγώνα τελέσαντες, τόν τής νίκης στέφανον εκομίσαντο, ό γενναιόφρων Ναζάριος, ο μέγας Προτάσιος, σύν Κελσίω τώ σοφώ, ο θεόφρων Γερβάσιος, ούς υμνήσωμεν, ως γενναίους οπλίτας, ως τής άνω, βασιλείας κληρονόμους, ως εθελόθυτα θύματα.

Ευφημείσθω Ναζάριος, καί τιμάσθω Προτάσιος, καί ο θείος Κέλσιος, καί Γερβάσιος. οι ευκλεώς εναθλήσαντες, καί πλάνην μειώσαντες, καί Αγγέλων τοίς χοροίς, ιερώς αριθμούμενοι, καί θεούμενοι, κατά μέθεξιν θείαν, καί τής νίκης, τούς στεφάνους εκ παλάμης, ζωαρχικής κομισάμενοι.

Ο θεόφρων Ναζάριος, τώ ενθέω κηρύγματι, πόλεις διερχόμενος κατεφώτιζεν, όν μιμησάμενος Κέλσιος, τό κλέος εκτήσατο, τών ενθέων αρετών, συμπατήσας τόν δόλιον. Τούτους άπαντες, εν αινέσει τιμώμεν, ως αστέρας, ως φωστήρας τών εν σκότει, καί ιατρούς τών ψυχών ημών.

Καί τού Οσίου τρία, όμοια

Ταίς ακτίσι τού Πνεύματος, ελλαμφθείς τήν διάνοιαν,φωτοφόρος γέγονας, Αξιάγαστε, καταφαιδρύνων τά σύμπαντα, τώ κάλλει τών λόγων σου, καί

διδάσκων ανυμνείν, τού Σωτήρος τά θαύματα, ά ειργάσατο, θεϊκή δυναστεία, καί τά πάθη, ά υπέστη εκουσίως, υπέρ ημών ως φιλάνθρωπος.

Εκκλησία λαμπρύνθητι, καί τά τέκνα σου κάλεσον, υψηλώ κηρύγματι, συνευφραίνεσθαι, η γάρ κιθάρα τού Πνεύματος, η λύρα η ένθεος, συγκαλείται μυστικώς, εις εστίασιν άπαντας, τά μελλίρρυτα, καί θεόφθεγκτα ταύτης τών ασμάτων, μελω δή ματα προθείσα, Κοσμάς ό θείος καί ένδοξος.

Σάλπιξ γέγονας Όσιε, κελαδών τά σωτήρια, τού Χριστού παθήματα, καί τά θαύματα, καί τής Πανάγνου τήν κοίμησιν, καί πάντας ευφραίνουσα, ηδυφθόγγοις σου Κοσμά, καί ευήχοις τοίς ρήμασι, διό πάντες σε, κατά χρέος τιμώμεν ανυμνούντες, τήν πανεύφημον καί θείαν, καί Ιεράν σου μετάστασιν.

Δόξα... Ήχος πλ. δ’

Βυζαντίου

Τά θύματα τά λογικά, Ναζάριον, Προτάσιον, Γερβάσιον, καί Κέλσιον ευφημήσωμεν, ότι πάσαν τυράννων μανίαν, σύν τοίς ειδώλοις κατήργησαν. Διό ταίς ευχαίς αυτών, Χριστέ ο Θεός, τήν ειρήνην τώ κόσμω δώρησαι, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Καί νύν… Θεοτοκίον

Κύριε, εί καί κριτηρίω

Δέδοικα τήν τής αποφάσεως ώραν, εν αμελεία τόν βίον μου, όλον δαπανήσας ως άλλος, τών ανθρώπων ουδείς πώποτε, αλλά προφθάσασα νύν, πρό τέλους Μητροπάρθενε, εκ τής δουλείας τού αλλοτρίου, τήν ψυχήν μου ελευθέρωσον.

Η Σταυροθεοτοκίον

Άναρχε Λόγε τού Πατρός καί Υιέ μου, καί τώ Πνεύματι σύνθρονε, πώς τάς σάς αχράντους παλάμας, επί τού ξύλου εξέτεινας; τίς η τοσαύτη σου δέ, πτωχεία υπεράγαθε; παρισταμένη τή σή σταυρώσει, ανεβόα ή Πανάμωμος.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια τού Οσίου.

Ήχος α'

Τών ουρανίων ταγμάτων

Εν προσευχαίς καί νηστείαις, καί αγρυπνίαις πολλαίς, τά τής σαρκός τελείως, απενέκρωσας πάθη, ψυχήν δέ απαθεία, μάκαρ Κοσμά, εναρέτοις εν πράξεσιν, ευσεβοφρόνως εζώωσας καί ζωήν, πρός αγήρω μεταβέβηκας.

Στίχ. Τίμιος εναντίον Κυρίου ο θάνατος τού Οσίου αυτού.

Τοίς θεοφθόγγοις σου λόγοις, τάς τού Χριστού καί Θεού, εναρμονίως Μάκαρ, εορτάς συνεγράψω, ευρύθμοις μελω δίαις, καί τής σεπτής, καί πανάγνου θεόπαιδος, ως ετησίως γεραίρωνται παρ' ημών, καί κοσμώνται σού τοίς άσμασιν.

Στίχ. Στόμα δικαίου μελετήσει σοφίαν, καί η γλώσσα αυτού λαλήσει κρίσιν.

Ως παριστάμενος Μάκαρ, τώ ουρανίω φωτί, τούς επί γής υμνούντας, τήν σεπτήν καί φωσφόρον, καί θείαν Εορτήν σου φαίδρυνον σαίς, φωτοβόλοις πρεσβείαις Κοσμά, καί τήν τών θλίψεων νύκτα, καί τών παθών, τήν ομίχλην διασκέδασον.

Δόξα... Ήχος πλ. δ'

Δαυϊτικοίς άσμασι, τόν πνευματικόν ασματογράφον, ευφημήσωμεν λέγοντες. Εξεχύθη η χάρις εν χείλεσί σου Όσιε Πάτερ, καί ανεδείχθη η γλώσσά σου, κάλαμος γραμματέως οξυγράφου, καλλιγραφούσα ημίν μέλη τά σωτήρια, δι' ών τήν κατά Χριστόν οικονομίαν, καί τής Αγίας Τριάδος τό μέγα μυστήριον, ασματικώς δοξολογείν διδασκόμεθα, αιτούμενοι ταίς ψυχαίς ημών τό μέγα έλεος.

Καί νύν… Θεοτοκίον

Ώ τού παραδόξου θαύματος

Ήθη τά μακράν ποιούντά με, τού αγαθού σου Υιού, Αγαθή καί πανάμωμε, πόρρωθι απέλασον, τής αθλίας καρδίας μου, καί τόν ζητούντα καί ωρυόμενον, καταπιείν με κάκιστον λέοντα, όφιν τόν δόλιον, σκολιόν καί δράκοντα τόν πονηρόν, σύντριψον τώ κράτει σου, υπό τούς πόδας μου.

Η Σταυροθεοτοκίον   Αυτόμελον

Ω τού παραδόξου θαύματος! ώ μυστηρίου καινού! ώ φρικτής εγχειρήσεως! η Παρθένος έλεγεν, εν Σταυρώ σε ως έβλεψεν, εν μέσω δύο, ληστών κρεμάμενον, όν ανωδίνως φρικτώς εκύησεν. Έκλαιε κράζουσα, Οίμοι τέκνον φίλτατον! πώς σε δεινός, δήμος καί αχάριστος, Σταυρώ προσήλωσεν.

Απολυτίκιον τών Μαρτύρων

Ήχος δ’  Ταχύ προκατάλαβε

Οι Μάρτυρές σου, Κύριε, εν τή αθλήσει αυτών, στεφάνους εκομίσαντο τής αφθαρσίας, εκ σού τού Θεού ημών, σχόντες γάρ τήν ισχύν σου, τούς τυράννους καθείλον, έθραυσαν καί δαιμόνων, τά ανίσχυρα θράση. Αυτών ταίς ικεσίαις, Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

Καί τού Οσίου   Ήχος πλ. δ’

Ορθοδοξίας Οδηγέ, ευσεβίας διδάσκαλε καί σεμνότητος, τής οικουμένης ο φωστήρ, αρχιερέων θεόπνευστον εγκαλλώπισμα, Θεόφανες σοφέ, ταίς διδαχαίς σου πάντας εφώτισας, λύρα τού Πνεύματος, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, αναγιγνώσκονται οι Κανόνες, είς της Οκτωήχου, καί εφεξής δύο των Αγίων.

Ο Κανων τών Μαρτύρων, ού η Ακροστιχίς.

Πιστώς ανυμνώ Μάρτυρας στεφηφόρους. Ιωσήφ.

Ωδή α'   Ήχος δ'
Ανοίξω τό στόμα μου

Πιστώς εναθλήσαντες, καί τόν αγώνα τελέσαντες, τής νίκης τόν στέφανον, συνανεδήσασθε, θείοι Μάρτυρες, τήν θείαν υμών μνήμην, όθεν εορτάζομεν, επαγαλλόμενοι.

Ιστίω πτερούμενοι, Πνεύματος θείουτό πέλαγος, αβρόχως διήλθετε, Μάρτυρες ένδοξοι, τών κολάσεων, καί νύν πρός θείον όρμον, τής άνω λαμπρότητος, κατεσκηνώσατε.

Σταυρόν ώσπερ θώρακα, ενδεδυμένοι μακάριοι, εχθρόν τόν ασώματον, κατεπαλαίσατε, μετά Ισώματος, βασάνους πολυπλόκους, καί θάνατον άδικον, καθυπομείναντες.

Θεοτοκίον

Τήν μόνην χωρήσασαν, τόν προαιώνιον Κύριον, εν μήτρα πανάμωμον, Κόρην υμνήσωμεν, ότι γέγονεν, ουρανών πλατυτέρα. Θεόν σωματώσασα, δι' αγαθότητα.

Ο Κανών τού Οσίου
Ήχος ο αυτός
Θαλάσσης τό ερυθραίον

Ως θείος,ως φωτοφόρος Όσιε, πάσιν εξέλαμψας, φωταγωγίαις Μάκαρ τών λαμπρών, καί πανσόων ρημάτων σου, υφ' ών καταφωτίζεσθαι, πάντας ευχαίς σου Κοσμά αίτησαι.

Τριάδος τής υπερθέου γέγονας, σάλπιγξ θεόφθογγος, αναφωνούσα πάσι τά σεπτά, καί σωτήρια δόγματα, καί τάς ψυχάς ευφραίνουσα, τών ορθοδόξων Παναοίδιμε.

Ουδόλως, τοίς σοίς βλεφάροις δέδωκας, ύπνον μακάριε, έως ού όντως έφθασας σαφώς, ορεκτών τό ακρότατον, παρ, ού τήν χάριν είληφας, τής αληθούς Πάτερ νοήσεως.

Θεοτοκίον

Παρθένος, καί μετά τόκον έμεινας, αυτόν γάρ τέτοκας, τόν Ποιητήν τών όλων καί Θεόν, ασυνήθως καί ξένως ημίν, επιφανέντα σώματι, Θεογεννήτορ Μητροπάρθενε.

Τών Μαρτύρων  Ωδή γ'
Τούς σούς υμνολόγους

Ως βότρυες θείοι γεγονότες, αμπέλου τής θείας αληθώς, αθλήσεως προχέουσιν, οίνον ημίν οι Μάρτυρες, πνευματικώς ευφραίνοντα, τάς διανοίας εν χάριτι.

Στερρώς αντετάξω τώ διώκτη, Ναζάριε Μάρτυς τού Χριστού, προστάττοντι κιβδήλοις σε, θύειν θεοίς πανόλβιε, τώ ως αρνίον θύεσθαι, ετοίμως έχοντι

Ένδοξε.

Αινέσεως πάντες συμφωνία, υμνήσωμεν σήμερον πιστώς, Ναζάριον, Προτάσιον, Γερβάσιον καί Κέλσιον, τής αληθείας Μάρτυρας, γεγενημένους εν Πνεύματι.

Θεοτοκίον

Νόμου προετυπου η σκηνή σε, γενήσεσθαι μέλλουσαν Αγνή, Θεού άγιον σκήνωμα, εν ώ ο ιλασμός ημών, αγιασμόν δωρούμενος, πάσιν ημίν επελεύσεται.

Τού Οσίου

Ευφραίνεται επί σοί

Επ' ώμων άρας Σοφέ, τόν τού Κυρίου σου σταυρόν έκραζες. Κόσμω καγω εσταύρωμαι, σάρκα καθηλώσας τώ φόβω σου.

Ως χείμαρρος τής τρυφής, πάσι προχέεις τά σεπτά νάματα, άρδων αεί Όσιε, φρένας καί ψυχάς τών υμνούντων σε.

Η χάρις η τού Θεού, επισκιάσασα εν σοί Πάνσοφε, άλλον ημίν έδειξε, θείον Χρυσορρόαν τοίς φθέγμασι.

Θεοτοκίον

Κυρίως καί αληθώς, σέ Θεοτόκον οι πιστοί σέβομεν. σύ γάρ Θεόν τέτοκας, σάρκα γεγονότα Πανάμωμε.

Ο Ειρμός

«Εύφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα. Σύ μου ισχύς Κύριε, καί καταφυγή καί »στερέωμα».

Κάθισμα τών Μαρτύρων

Ήχος α'

Τόν τάφον σου Σωτήρ

Τεσσάρων Ιερών, αθλησάντων Μαρτύρων, τήν θείαν καί σεπτήν, εορτάζομεν μνήμην, τρυφώντες τά θαύματα, καθ' εκάστην ως νάματα, άπερ βρύουσιν, εκ τών τιμίων λειψάνων, αποπαύοντες, τάς τών πιστών ασθενείας, δυνάμει τού Πνεύματος.

Δόξα... Τού Οσίου

Ηλύρα τής σεπτής, καί Αγίας Τριάδος, Κοσμάς ο ιερός, μελωδών ιδού ήκε, τό μέλος τό Τρισάγιον. Σύν αυτώ ούν βοήσωμεν. Ο Πατήρ Υιός, καί θείον Πνεύμα τόν κοσμον, σού ειρήνευσον, καί τόν Σατάν υπό πόδας, ημών ταχύ σύντριψον.

Καί νύν... Θεοτοκίον

Φωτί σου αγαθή, τήν εν σκότει ψυχήν μου, καταύγασον Αγνή, καί τήν πώρωσιν λύσον, καί δίδαξον πράττειν με, τού Υιού σου τό θέλημα, όπως άφεσιν, τήν τών πολλών μου πταισμάτων, εύρω Πάναγνε, καί τού πυρός τού ασεέστου, ρυσθώ ταίς πρεσβείαις σου.

Η Σταυροθεοτοκίον

ο ρώσά σε Χριστέ, η πανάμωμος Μήτηρ, νεκρόν επί Σταυρού, ηπλωμένον εβόα. Υιέ μου συνάναρχε, τώ Πατρί καί τώ Πνεύματι, τίς η άφατος, οικονομία Ισόυ αύτη, δι' ής έσωσας, τό τών αχράντων χειρών σου, Οικτίρμον πλαστούργημα;

Τών Μαρτύρων  Ωδή δ'

Ο καθήμενΟς εν δόξη

Υπέρ έννοιαν ο πόθος, τών Αγίων Μαρτύρων σου, υπερβαίνει πάντα, Λόγε λογισμόν τά παλαίσματα, καί οι ανδρείοι αγώνες καί τά έπαθλα, ά παρέσχες, νομίμως αυτοίς εναθλήσασι.

Μίαν γνώμην διαφόροις, αικιζόμενοι σώμασιν, οι Χριστού οπλίται, υπερβολικώς επεδείξαντο, ένα Θεόν εν σταδίω ωμολόγησαν, καί πολύθεον, πλάνην σαφώς εξηφάνισαν.

Ναζαρίου, Γερβασίου, Προτασίου, Κελσίου τε, τών σεπτών Μαρτύρων, Άγγελοι τήν πάλην εθαύμασαν, πώς εν σαρκί τώ ασάρκω συμπλεκόμενοι, κατηδάφισαν τούτον εις γήν ανδρικώτατα.

Ως γενναίοι στρατιώται, ως αήττητοι Μάρτυρες, οι Χριστού Οπλίται, ως τής ευσεβείας υπέρμαχοι, τάς ουρανίους σκηνώσεις εκληρώσασθε, καί χοροίς τών Αγγέλων, αεί επαγάλλεσθε.

Θεοτοκίον

Μή κενώσας τούς πατρώους, ο υπέρθεος άχραντε, Θεοτόκε κόλπους, κόλποις σου αχράντοις καθέζεται, θείαν καθέδραν τοίς πάσιν αγαθότητι, ετοιμάζων καί δόξαν, αεί διαμένουσαν.

Τού Οσίου

Επαρθέντα σε ιδούσα

Ο ξυγράφου ως κάλαμος σού η γλώσσα, παναληθώς γεγένηται, άριστα Παμμάκαρ, γράψασα ως έν πίνακι, Χριστού τά σεβάσμια, καί σωτηριώδη παθήματα.

Ανυψούμενος ως φοίνιξ ταίς θεωρίαις, τών αρετών υψίκομον, δένδρον καθωράθης, γλυκασμόν σωτήριον, παρέχων τοίς μέλπουσι. Δόξα τή δυνάμει σου Κύριε.

Υψηγορία τών λόγων σου θεοφάντορ, τας τής Πανάγνου ύμνησας, καί πάντων Αγίων εορτάς λαμπρότατα, κραυγάζων γηθόμενος. Δόξα τή δυνάμει σου Κύριε.

Θεοτοκίον

Ο κατά φύσιν ελεύθερος τήν ιδίαν, δούλου μορφήν επτώχευσε, χρηστότητος πλούτω Μήτηρ αειπάρθενε, εκ σού καθ' υπόστασιν, όλον προσλαβών τό ημέτερον.

Τών Μαρτύρων  Ωδή ε'
Εξέστη τά σύμπαντα

Αικίαις τό σώμά σου, Ναζάριε ωμίλησε, στρέβλαις καί βασάνοις πολυπλόκοις, μύρον ευώδες, όθεν πηγάζει ημίν, κατευωδιάζον τάς ψυχάς, πίστει αδιστάκτω σε, τών τιμώντων Πανεύφημε.

Ρανίσιν αιμάτων σου, κατέσβεσας τούς άνθρακας, τής πολυθεϊας Αθλοφόρε, ύλην παθημάτων χαλεπών, φλέγεις θεία χάριτι,τού Σωτήρος Ναζάριε.

Τά άνθη τά πνέοντα, οσμήν ενθένου γνώσεως, τής θεογνωσίας τούς λειμώνας, τού Παραδείσου δένδρα τά έγκαρπα, τούς περικαλείς καί φωταυγείς, Μάρτυρας υμνήσωμεν, καί πιστώς μακαρίσωμεν.

Υμνείσθω Ναζάριος, μεγαλυνέσθω Κέλσιος, άμα Προτασίω ο γενναίος, ανευφημείσθω πίστει Γερβάσιος, οι τής Εκκλησίας ακλινείς, στύλοι καί θεμέλιοι, αρραγείς χρηματίσαντες.

Θεοτοκίον

Ρομφαία τό πρότερον, η τήν Εδέμ φυλάττουσα, νώτα τοίς πιστοίς Αγνή παρέχει, σημειουμένοις τιμίω αίματι, πάλαι κενωθέντι εκ πλευράς, λόγχης εκκεντήματι, τού εκ σού ανατείλαντος.

Τού Οσίου
Σύ Κύριέ μου φώς

Σύ ώσπερ παμφαής, εωσφόρος ανέτειλας, σύ ρήμασι καταυγάζεις, τών πιστών τάς καρδίας, βολίσι τών ρημάτων σου.

Σύ ώσπερ αριστεύς, τή σφενδόνη χρησάμενος, τών λόγων σου θεομάκαρ, τά τών αιρετιζόντων, κατέβαλες φρυάγματα.

Τίς όντως εξειπείν, τούς σούς πόνους δυνήσεται, αγώνάς τε καί ιδρώτας, εκουσίως ούς έτλης, σαρκός έξω γενόμενος;

Θεοτοκίον

Νούς ούκ αγγελικός, ουκ ανθρώπινος δύναται, τό άφραστον ερμηνεύσαι, καίπαράδοξον θαύμα, τού τόκου σου Πανάχραντε.

Τών Μαρτύρων  Ωδή ς'
Τήν θείαν ταύτην

Αι σαί πορείαι εν ύδασιν, εγένοντο παμμάκαρ Ναζάριε, καί ουκ εγνώσθη σου, τούτοις τά ίχνη εν Πνεύματι, ού τή δυναμει πάντας εχθρούς κατήσχυνας.

Σωμάτων πάθη ανίατα, τή θεία εθεράπευσας χάριτι, Μάρτυς Ναζάριε, μύρον εύώδες πηγάζεις δέ, τοίς τώ σεπτώ λειψάνω σου προσπελάζουσι.

Σοφώς ο θείος Προτάσιος, ο μέγας τε σύν τούτω Γερβάσιος, πλούτον

επίκηρον, καί δυναστείαν πατήσαντες, τής αιωνίου δόξης κατηξιώθησαν.

Θεοτοκίον

Τούς νόμους Κόρη εκαίνισας, τής φύσεως Παρθένε κυήσασα, Θεόν αθάνατον, σάρκα θνητήν ενδυσάμενον, ίνα θνητούς θεώση δι' αγαθότητα.

Τού Οσίου

Εβοησε προτυπών

Σύ τόν Άβελ, παρεζήλωσας φέρων τάς απαρχάς, τών σών λόγων, ως θρεμμάτων θυσίας Κοσμά προφανώς, προτιθείς εις βρώσιν, τών ασμάτων τά μέλη τά κάλλιστα.

Μαρτυρία, συνειδήσεως έτλης τόν βίον σου, θυσιάζων, Ισαάκ ώς περ άλλον τό πρόθυμον, Αβραάμ ενθέως αληθώς μιμησάμενος Πάνσοφε.

Αναβάσεις, ψυχοσώστους υπέθου ως κλίμακα, Πατριάρχης, ήν εώρα τό πάλαι Κοσμά τηλαυγώς, ανελκύων πάντας, ηδυφθόγγοις βαθμίσι σου εύθετα.

Θεοτοκίον

Μή ελλίπης, ιλεούσθαι Παρθένε τών δούλων σου, τόν Υιόν σου, τάς ουλάς εξαλείφειν πταισμάτων ημών, τών ορθά φρονούντων, Θεοτόκον σε Κόρη Πανύμνητε.

Ο Ειρμός

«Εβόησε, προτυπών τήν ταφήν τήν τριήμερον, ο Προφήτης ιωνάς, εν τώ κήτει δεόμενος. Εκ φθοράς με ρύσαι, Ιησού Βασιλεύ τών δυνάμεων».

Κοντάκιον Ήχος α’

Χορός, Αγγελικός

Μαρτύρων τού Χριστσύ, τήν τετράριθμον δόξαν, υμνήσωμεν πιστοί, ευφημίαις ασμάτων, Ναζάριον Προτάσιον, καί Γερβάσιον Κέλσιον, ούτοι ήθλησαν μέχρι τομής καί θανάτου, ούτοι στέφανον, τής αφθαρσίας λαβόντες, αιτούσι σωθήναι ημάς.

Ο Οίκος

Τών Αθλοφόρων τήν άθλησιν, τά παλαίσματα, καί τόν ένδοξον θάνατον, δεύτε φιλέορτοι άπαντες, ύμνοις εγκωμίων καί φδαίς ευφημήσωμεν τήν τετράριθμον φάλαγγα, τόν σοφόν Προτάσιον, σύν τούτω Γερβάσιον, καί τόν θείον Ναζάριον, άμα Κελσίω τώ θεηγόρω καί νέω πεφηνότι. ότι πάσαν τών Ελλήνων απετέφρωσαν μανίαν, καθομολογούντες τόν Χριστόν, Θεόν μέγαν, πρό αιώνων βασιλεύοντα σύν Πατρί καί Πνεύματι, νύν δέ μετά θάνατον, αιτούσι σωθήναι ημάς.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΔ’ τού αυτού μηνός, Μνήμη τών Αγίων Μαρτύρων Ναζαρίου, Γερβασίου, Προτασίου, καί Κελσίου.

Στίχοι

Τόν Ναζάριον καί συνάθλους τρείς άμα,
Θεώ προσήξε Ναζαρηνώ τό ξίφος.

Σύν τρισί Ναζάριος τμήθη δεκάτη γε τετάρτη.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Κοσμά τού Ποιητού, Επισκόπου Μαϊουμά τού Αγιοπολίτου.

Στίχοι

Απήλθε Κοσμάς ένθα πάσα τερπνότης,
Μέλη λιπών τέρποντα τήν Εκκλησίαν.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Σιλβανού.

Στίχοι

Μετήλθεν αύχήν Σιλβανού τομήν ξίφος,
Καντεύθεν ώφθη Σιλβανός τομεύς πλάνη.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Πέτρου τού Αυσελάμου.

Στίχοι

Τό πύρ υπελθών ενθέω ζήλω Πέτρος,
Τό τής πλάνης πύρ σβεννύει τής δυσθέου.

Ο άγιος Ευθύμιος ο νέος, ο εν Θεσσαλονίκη υπέρ τών αγίων εικόνων αγωνισάμενος, τελειούται.

Οι Άγιοι τεσσαράκοντα Μάρτυρες οι εξ Αιγύπτου καί Παλαιστίνης ξίφει τελειούνται.

Μνήμη τής Οσίας μητρός ημών Παρασκευής τής νέας.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τών Μαρτύρων  Ωδή ζ'

Ουκ ελάτρευσαν

Επί πέτραν, θείας γνώσεως ερείσαντες, τάς βάσεις, Ενδοξοι, τών καρδιών υμών, εχθρών μηχανήμασιν, ου παρετράπητε, αναμέλποντες. Ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Φώς ανέσπερον, αθλήσασι δι' αϊματος, υμίν ανέτειλε, καί ευφροσύνη σαφώς, υμάς διεδέξατο Μεγαλομάρτυρες, αναμέλποντας. Ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Ηγιάσατε, προθύμως διερχόμενοι, πόλεις Μακάριοι, όμολογούντες Χριστόν, τυράννων ενώπιον, καί πάσαν ίασιν, παρεχόμενοι, τοίς δεομένοις χάριτι, τού Σωτήρος Αθλοφόροι.

Θεοτοκίον

Φωτεινότατον, παλάτιον ευράμενος, Θεός τήν μήτραν σου, ταύτην κατώκησεν, υιούς εργαζόμενος, φωτός Πανάμωμε, τούς κραυγάζοντας. Ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Τού Οσίου

Ο διασώσας εν πυρί

Επί τό όρος ανελθών, Πάτερ αρετών εκομίσω, νόμον Θεού καί ως Μωσής, πλανηθέντας εφείλκυσας εύθετα, μελω δών Αξιάγαστε.ο Θεός ο τών Πατέρων ευλογητός εί.

Λύμην αιρέσεως δεινήν, έστησας φαρμάκω τών λόγων, τών σών δογμάτων μελωδών, επινίκιον ύμνον τώ Κτίσαντι. Υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Πηγή θεόβρυτος η σή, Πάτερ αναδέδεικται γλώσσα, φλογιζομέναις εκ παθών, ταίς ψυχαίς, αί πιούσαι κραυγάζουσιν. Υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Θεοτοκίον

Ως κιβωτόν σε καί σκηνήν, κλίνην τε τού Λόγου υμνούμεν, κήπον ανθούντα τόν Χριστόν, τήν τερπνήν ευωδίαν, ώ ψάλλομεν. Υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Τών Μαρτύρων  Ωδή η'

Παίδας εύαγείς

Ορθρίζοντες πρός τόν εκ Παρθένου, εκλάμψαντα παραδόξως μέγαν Ήλιον, Μάρτυρες αήττητοι, φώς εχρηματίσατε, καί τό τής πλάνης χάριτι, σκότος ελύσατε, Τόν Κύριον υμνείτε βοώντες, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ρώμη σου η πάλαι τούς αγώνας, κηρύττει Ναζάριε πολύαθλε, η Κωνσταντινούπολις, άδει τά τεράστια, τό Ιερόν σου λείψανον, πίστει κατέχουσα, καί Κύριον υμνείτε βοώσα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ο θείος Ναζάριος πηγάζων, τά μύρα τής χάριτος προτρέπεται, πάντας τούς προστρέχοντας, πίστει απαρύσασθαι, εις φωτισμόν, καί κάθαρσιν, ανακραυγάζοντας. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, αυτόν εις τούς αιώνας.

Υμάς τούς γενναίους, Αθλοφόρους, Ναζάριον, Κέλσιον, Προτάσιον, αύθις τόν Γερβάσιον, πρέσβεις πρός τόν Κύριον, δυνατωτάτους έχοντες, πόθω κραυγάζομεν. Τόν Κύριον υμνείτε τά έργα καί υπερυψούτε, αυτόν εις τούς αιώνας.

Θεοτοκίον

Σαρκί ενωθείς σοι κατ' ουσίαν, ο πάσι τό είναι παρεχόμενος, όλον με ανέπλασεν, όλον ανεκαίνισε, παλαιωθέντα Πάναγνε, ταίς παραβάσεσι, διό σε τήν Παρθένον υμνούμεν, καί υπερυψούμεν, εις πάντας τούς αιώνας.

Τού Οσίου

Λυτρωτά τού παντός

Καθαρθείς τήν ψυχήν παναοίδιμε, ανεδείχθης δοχείον τού Πνεύματος, καί φωτισμού πληρούμενος, κατεφώτισας πάντας, μέλπειν αξίως. Ευλογείτε τά έργα τόν Κύριον.

Τοίς επαίνοις σε στέφειν μή σθένοντες, πρό τούς σούς αποβλέποντες. Όσιε, χάριν αιτούμεν άνωθεν, δωρηθήναι ποθούσι νύν εξυμνήσαι, τήν σήν εύσημον μνήμην Μακάριε.

Νύν αυλίζη τοίς άνω γηθόμενος, σύν χοροίς τών Αγίων πανόλβιε, ών τούς λαμπρούς αγώνάς τε, καί τούς άθλους ανύμνεις, πόθω κραυγάζων. Ευλογείτε τά έργα τόν Κύριον.

Θεοτοκίον

Ιλασμόν τών πταισμάτων μοι δώρησαι, καί κακών αποχήν Παναμώμητε, ταίς μητρικαίς πρεσβείαις σου, Θεοτόκε Παρθένε ευλογημένη, τών πιστών η βεβαία αντίληψις.

Ο Ειρμός

«Λυτρωτά τού παντός Παντοδύναμε, τούς εν μέσω φλογός ευσεβήσαντας, συγκαταβάς εδρόσισας, καί εδίδαξας μέλπειν. Πάντα τά έργα ευλογείτε τόν Κύριον».

Τών Μαρτύρων   Ωδή θ’

Εύα μέν

Ισχύϊ νευρούμενοι Χριστού τού λύσαντος, τήν κακίαν τού αλάστορος, κλίναντες τούτω τόν αυχένα, τό τέλος διά ξίφους εδέξασθε, λυθέντες τής σαρκός Μεγαλώνυμοι, όθεν αξίως μακαρίζεσθε.

Ωραίοι εν στίγμασι σαρκος γεγόνατε, καί Αγγέλοις ωμοιώθητε, νύν δέ παρίστασθε, τή πάντων γηθόμενοι αεί ωραιότητι, μεθέξεσι σαφώς καλλυνόμενοι, ωραιοτάταις Πανσεβάσμιοι.

Σημείοις καί τέρασιν υμάς εκόσμησε, καί πρό τέλους παναοίδιμοι, καί μετά τέλος ο Δεσπότης, Ναζάριε, Προτάσιε, Κέλσιε, Γερβάσιε αήττητοι Μάρτυρες. όθεν αξίως μακαρίζεσθε.

Ηγίασται πόθω τήν υμών η σύμπασα,εκτελούσα μνήμην σήμερον, χαίρουσι Μάρτυρες καί πάντες, Προφήται σύν υμίν εορτάζουσι, μεθ' ών υπέρ ημών ικετεύσατε, τόν εύεργέτην Παμμακάριστοι.

Θεοτοκίον

Φωνήν σοι τού θείου Γαβριήλ προσάγομεν, γεγηθότες Κόρη πάναγνε. Χαίρε η Κεχαριτωμένη, Μαρτύρων, Αποστόλων τό καύχημα, καί πάντων τών Πιστών τό διάσωσμα, Παρθενομήτορ απειρόγαμε.

Τού Οσίου  Ο αυτός

Ιδού νύν επέλαμψεν ημίν ευφρόσυνος, θεία μνήμη καί πανάγαθος, πάντας ευφραίνουσα αξίως, Κοσμά τού θαυμαστού καί θεόφρονος, τού θείου μελωδού καί τρισμάκαρος, ήν επαξίως ευφημήσωμεν.

Χάριν ιαμάτων ειληφώς πανόλβιε, εν μεθέξει θείου Πνεύματος, λύσον τόν ζόφον τής ψυχής μου, τά νέφη τών παθών αποδίωξον, πρός τρίβους ευθυπορείν με εύόδωσον, τάς ουρανίους Αξιάγαστε.

Νόμοις καθεπόμενοι τοίς σοίς Μακάριε, εξυμνήσαι προεθέμεθα, σήν πρός τά άνω εκδημίαν, βεβαίας αντιδόσεις ελπίζοντες, λαμβάνειν παρά σού αξιύμνητε, τόν στεφοδότην ικετεύοντος.

Θεοτοκίον

Νεύρωσον ήμών τήν τής ψυχής ασθένειαν, Θεομήτορ τή δυνάμει σου, λύσον τό βάρος Παναγία, τών επιτιθεμένων τοίς δούλοις σου, η κόσμω δικαιοσύνης τόν Ήλιον, ανερμηνεύτως ανατείλασα.

Ο Ειρμός

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο. Ίσυ δέ Παρθένε Θεοτόκε, τώ της κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν».

Εξαποστειλάριον τών Μαρτύρων

Τών Μαθητών ορώντων σε

Τήν τετρακτύν χορείαν τών Αθλοφόρων, Ναζάριον Γερβάσιον σύν Κελσίω, ύμνοις εγκωμίων καταστέψωμεν, καί τόν κλεινόν Προτάσιον, υπέρ τού κόσμου γάρ ούτοι, εξιλεούνται τό θείον.

Έτερον τού Οσίου, καί Θεοτοκίον, ομού.

Τοίς Μαθηταίς συνέλθωμεν

Υμνωδιών εν κάλλεσι, τής ηδίστης σου γλώττης, καί θεοφθόγγοις άσμασι, τήν Αγνήν καί Παρθένον, ανύμνησας Θεοτόκον, αληθώς καί κυρίως, μεθ' ής Κοσμά θεόληπτε, παρεστως τή Τριάδι, σού μιμητήν, κατά νούν καί πράξιν καί θεωρίαν, καμέ γενέσθαι πρέσβευε, Ιερώτατε Πάτερ.

Εις τόν Στίχον τών Αίνων, Στιχηρά Προσόμοια τού Οσίου.

Ήχος α’

Τών ουρανίων ταγμάτων

Ο παμφαέστατος λυχνος, καί τηλαυγέστατος, η μελουργός κιθάρα, η νευρά τών εύσήμων, τού Πνεύματος λογίων πάσιν ημίν, τάς αυτού παρατίθεται, μελω δικάς ευχχίας καί δι' αυτών, κατευφραίνει τούς θεόφρονας.

Στίχ. Τίμιος εναντίον Κυρίου ο θάνατος τού Οσίου αυτού.

Ο μουσουργέτης η λύρα, τού θείου Πνεύματος, η αηδών ο τέττιξ, ο τών θείων ασμάτων, αυλός τής Εκκλησίας άδει τερπνώς, εκδιδάσκων τά πέρατα, εν

θεοπνεύστοις τοίς ύμνοις δοξολογείν, τήν Τριάδα τήν υπέρθεον.

Στίχ. Τί ανταποδώσωμεν τώ Κυρίω περί πάντων.

Σύν ταίς αϋλοις ουσίαις, ως παριστάμενος, τώ τών απάντων Κτίστη, καί Θεώ θείε Πάτερ, Κοσμά τών εκτελούντων μνήμην ποιού, τήν φαιδράν σου πανήγυριν, τού λυτρωθήναι κινδύνων καί πειρασμών, καί παντοίων περιστάσεων.

Δόξα... Ήχος πλ. δ’

Δαυϊτικοίς άσμασι, τόν πνευματικόν α σματογράφον ευφημήσωμεν λέγοντες. Εξεχύθη η χάρις εν χείλεσί σου Όσιε Πάτερ, καί ανεδείχθη η γλώσσά σου, κάλαμος γραμματέως οξυγράφου, καλλιγραφούσα ημίν μέλη τά σωτήρια, δι' ών τήν κατά Χριστόν οικονομίαν, καί τής Αγίας Τριάδος τό μέγα μυστήριον, ασματικώς δοξολογείν διδασκομεθα, αιτούμενοι ταίς ψυχαίς η μών τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Ώ τού παραδόξου θαύματος

Ήθη τά μακράν ποιούντά με, τού αγαθού σου Υιού, Αγαθή καί πανάμωμε, πόρρωθι απέλασον, τής αθλίας καρδίας μου, καί τόν ζητούντα καί ωρυόμενον, καταπιείν με κάκιστον λέοντα, όφιν τόν δόλιον, σκολιόν, καί δράκοντα τόν πονηρόν, σύντριψον τώ κράτει σου, υπό τούς πόδας μου.

Η Σταυροθεοτοκίον

Ώ τού παραδόξου θαύματος! ώ μυστηρίου καινού! ώ φρικτής εγχειρήσεως! η Παρθένος έλεγεν, εν Σταυρώ σε ως έβλεψεν, εν μέσω δύο ληστών κρεμάμενον, όν ανωδίνως φρικτώς εκύησεν. Έκλαιε κράζουσα. Οίμοι τέκνον φίλτατον! πώς σε δεινός, δήμος καί αχάριστος, Σταυρώ προσήλωσεν.

Καί τά λοιπά ως συνήθως, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΕ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Οσιομάρτυρος Λουκιανού, Πρεσβυτέρου τής Μεγάλης Αντιοχείας.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ’

Έδωκας σημείωσιν

Λόγον θείας γνώσεως, πεπλουτηκως διά πίστεως, τούς πιστούς εβεβαίωσας,πολύπλοκα βάσανα, καί θυμόν τυράννων, φέρειν θαρσαλέως, διά τήν μέλλουσαν ζωήν, καί αφθαρσίαν καί αγαλλίασιν, διό σε μακαρίζομεν, Λουκιανέ αξιάγαστε, καί τήν θείαν σου σήμερον, εκτελούμεν πατήγυριν.

Ειρκτήν πολυχρόνιον, καί βιαιότατον θάνατον, εκαρτέρησας Όσιε, ιμάσι πεδούμενος, καί λεπτοίς οστράκοις, κεντούμενος Μάκαρ, καί ασιτία χαλεπή, μακρά τε δίψη εκπιεζόμενος, διό σε η ουράνιος, τρυφή σαφώς διεδέξατο, ως αήττητον Μάρτυρα, Αθλητά γενναιότατε.

Κόλπος σε θαλάττιος, Λουκιανέ εισδεξάμενος, μεθ' ημέρας τριάκοντα, τή χέρσω εκδίδωσιν, Ιωνάν ως πάλαι, θηρός υπουργία, πρός θεοτίμητον ταφήν, καί ιαμάτων θείαν ανάβλυσιν, Μαρτύρων ακροθίνιον, τής Εκκλησίας εδραίωμα, διά τούτο τιμώμέν σε, πρεσβευτά τών ψυχών ημών.

Δόξα… καί νύν... Θεοτοκίον

Τόν ρύπον απόσμηξον, τής ταλαιπώρου καρδίας μου, Θεοτόκε πανύμνητε, καί πάντα τά τραύματα, καί τά έλκη ταύτης, τά εξ αμαρτίας, εναποκάθαρον Αγνή, καί τού νοός μου στήσον τό άστατον, όπως τήν δυναστείαν σου, καί τήν μεγάλην αντίληψιν, μεγαλύνω ο άθλιος, καί αχρείος οικέτης σου.

Η Σταυροθεοτοκίον

Νεκρούμενον βλέπουσα, Χριστόν η πάναγνος Δέσποινα, καί νεκρούντα τόν δολιον, ως Δεσπότην κλαίουσα, ύμνει τόν εκ σπλάγχνων, αυτής προελθόντα, καί τό μακρόθυμον αυτού, εκπληττομένη θρηνούσα έλεγε. Τέκνον μου ποθεινότατον, μή επιλάθη τής δουλης σου.μή βραδύνης Φιλάνθρωπε, τό εμόν καταθύμιον.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες της Οκτωήχου, καί τού Αγίου ούτος, ού η Ακροστιχίς.

Σού Λουκιανέ παμμάκαρ μέλπω κλέος.

Ποίημα Θεοφάνους

### Ωδή α'. Ήχος δ'

Άσομαί σοι Κύριε

Σοφία καί χάριτι καί δυνάμει, πνευματική Λουκιανέ, εκλάμψας εφώτισας, λαούς καί πρός επίγνωσιν, Χριστού Μάρτυς ώδήγησας.

Όπλοις ευσεβείας σε θωρακίσας, ό τήν ασθένειαν ημών, φορέσας ως εύσπλαγχνος, αήττητον ειργάσατο, εχθρών Μάρτυς παλαίσμασιν.

Ύψος πρός ουράνιον τούς εις βάθος, κακοπιστίας Αθλητά, πεσόντας ανείλκυσας, δικτύοις τών ενθέων σου, δογμάτων Αξιάγαστε.

Θεοτοκίον

Λόγω τόν αϊδιον Πατρός Λόγον, υπέρ αιτίαν καί Λόγον, ασπόρως συνέλαβες, Αγνή καί απεκύησας, υμών εις απολύτρωσιν.

### Ωδή γ'

Τόξον δυνατών

Οίκον αρετών λαμπρότητι, Μάρτυς τήν ψυχήν σου Θεώ απετέλεσας, τών ειδώλων δέ τά τεμένη, προσευχαίς σου κατηδάφισας.

Ύμνεις πειρασμοίς κυκλούμενος, Μάρτυς καί βασάνων, αλγεινοίς πιεζόμενος, τόν τοιούτων ως ευεργέτην, αγαθών σε αξιώσαντα.

Σώμα αικισμοίς παρέδωκας, Μάρτυς τήν ψυχήν δέ, ασφαλώς διετήρησας, θύμα άμωμον τώ Δεσπότη, σεαυτόν προσάξας πάντιμον.

Θεοτοκίον

Κόρης βρέφος αποτίκτεται, ο δημιουργήσας τούς αιώνας βουλήματι, ήν υμνούμεν ως Θεοτόκον, καί απαύστως μακαρίζομεν.

Ο Ειρμός

«Τόξον δυνατών ήσθένησε, καί οι ασθενούντες περιεζώσαντο δύναμιν, διά τούτο εστερεώθη, εν Κυρίω ή καρδία μου».

Κάθισμα Ήχος πλ. δ’

Τήν Σοφίαν

Τώ τής χάριτος λόγω τάς τών πιστών, υπαλείφων καρδίας Λουκιανέ, αθλείν παρεσκεύασας, καί τροπούσθαι τόν τύραννον, καί καλώς τόν δρόμον, τελέσας τόν ένθεον, επί τέλει δόξης, Μαρτύρων ήξίωσαι. όθεν συνελθόντες, τήν αγίαν σου μνήμην, τιμώμεν αοίδιμε, τόν Σωτήρα δοξάζοντες, Αθλοφόρε πανεύφημε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Θεοτοκίον

Ως Παρθένον καί μόνην εν γυναιξί, σέ ασπόρως τεκούσαν Θεόν σαρκί, πάσαι μακαρίζομεν, γενεαί τών ανθρώπων, τό γάρ πύρ εσκήνωσεν, εν σοί τής θεότητος. καί ως βρέφος θηλάζεις, τόν Κτίστιν καί Κύριον, όθεν τών Αγγέλων, καί ανθρώπων τό γένος, αξίως δοξάζουσι, τόν πανάγιον τόκον σου, καί συμφώνως βοώμέν σοι. Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς ανυμνούσιν αξίως, τήν δόξαν σου Άχραντε.

Η Σταυροθεοτοκίον

Εν τώ ξύλω ορώσα τώ σταυρικώ, η πανάμωμος Μήτηρ τόν Λυτρωτήν, εθρήνει δακρύουσα, καί πικρώς απεφθέγγετο, καί συνοχή καρδίας, τάς κόμας εσπάραττε, καί πρός αυτόν εβόα. Υιέ μου καί Κύριε, πώς σε τών Εβραίων, ανομώτατος δήμος, αδίκως προσπήγνυσι, τώ Σταυρώ αναμάρτητε; πώς καί θέλων υφίστασαι, όξος καί τήν τρήσιν πλευράς, χολήν τε, οίμοι! καί ήλους μακρόθυμε; αλλά δόξα σου Σώτερ, τοίς θείοις παθήμασι.

Ωδή δ'

Ο καθήμενος εν δόξη

Ισχυρός κατά τής πλάνης, ανεδείχθης Μακάριε, καί πολλών αλείπτης, θείους πρός αγώνας εκάστοτε, υπομονή δέ βασάνων τήν ανίσχυρον, εταπείνωσας, Μάρτυς ισχύν τού αλάστορος.

Απλωθείς επί τού ξύλου, καί ιμάσι τεινόμενος, καί λιμώ καί δίψει, τή πολυχρονίω τηκόμενος, καί λεπτοτάτοις οστράκοις εκκεντούμενος, εκαρτέρησας, Λουκιανέ αξιάγαστε.

Νόμον θείον καταγγέλλων, ανομούντας επέστρεψας, καί πιείν προθύμως, πόμα μαρτυρίου υπέδειξας, μεθ' ών εις θείας επαύλεις κατεσκήνωσας, εντρυφών τώ ξύλω, τής ζωής Παναοίδιμε.

Θεοτοκίον

Εκ γαστρός σου αναλάμψας, τής Θεότητος Ήλιος, τούς εν σκότει Κόρη, τής πολυθεΐας εφώτισε, τούς εν σκιά τού θανάτου κατελάμπρυνεν, ώ κραυγάζομεν. Δόξα Χριστέ τή δυνάμει σου.

Ωδή ε'

Ασεβείς ουκ όψονται

Πυρπολήσας Όσιε, ακάνθας τών παθών, δι' ιδρώτων ασκητικών, ταίς ροαίς κατέσβεσας τών αγώνων σου, ασεβείας κάμινον, γενναιόφρον παμμακάριστε.

Αικισμοίς βαλλόμενος, νιφάσιν αλγεινών, διαμένεις πρός τόν Θεόν, ατενίζων Άγιε, σώζειν δυνάμενον, ού χερσί τό πνεύμά σου, εναπέθου ευφραινόμενος.

Μακρυνθέντας ήλεγχες, Θεού τούς δυσσεβείς, καί μακραίς καί οδυνηραίς, αλγηδόσιν Ένδοξε περικυκλούμενος, τώ Χριστώ προσήγγισας, ού τό πάθος εξεικόνισας.

Θεοτοκίον

Μετά τόκον άφθορος, διέμεινας Αγνή, καί φθοράς γένος τών βροτών, ως Θεόν γεννήσασα ηλευθέρωσας, διά τούτο πίστει σε, ορθοδόξως μακαρίζομεν.

Ωδή ς'

Θύσω σοι, μετά φωνής

Αβρόχως, τών βασάνων διέβης τόν κλύδωνα, τή παναλκεί δέ παλάμη, εκ βυθού τό σώμά σου διεσώθη, τοίς ποθούσιν, ασινές Θεομάκαρ ρώμενον.

Αγάπη, τού Χριστού πυρπολούμενος, Ένδοξε, μέχρι θανάτου αντέστης, τοίς τυράννοις πάνσοφε, διά τούτο, βασιλείας ουρανών ηξιώθης γηθόμενος.

Κητώας, εκ γαστρός, Ιωνάν ο ρυσάμενος, τριημερεύσαντα σώζει, σέ βυθού θαλάσσης καθυπουργούντων, εναλίων, σοί θηρών μεθ' ημέρας τριάκοντα.

Θεοτοκίον

Αγνήν σε, περιστεράν καί μόνην αμίαντον, ο καθαρός εύρε Λόγος, καί εκ σού τεχθήναι εύδόκησε, Παναγία, Θεομήτορ Παρθένε πανάμωμε.

Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Κοντάκιον   Ήχος β'

Τήν εν πρεσβείαις

Τόν εν ασκήσει τό πρότερον λαμπρυνθέντα, καί εν αθλήσει τό δεύτερον φαιδρυνθέντα, πάντες ως φωστήρά σε φαιδρότατον, Λουκιανέ τοίς ύμνοις, ενδόξως σέ γεραίρομεν. Πρεσβεύων μή παύση υπέρ πάντων ημών.

Ο Οικος

Γνώσει τή θεία καθωπλισμένος, καί τόν νούν θεία δόξη ελλαμφθείς Αθλητά, τώ Πνεύματι φωτιζόμενος, μάχαιρα ώφθης εστιλβωμένη, τά ζιζάνια πάντα άρδην εκτέμνων, αιρετικών τά αλλόφυλα δόγματα ένδοξε, καί κήρυξ τής αληθείας, πρός ζωήν υπαλείφων άπαντας, τούς ευσεβώς προσιόντας σοι, εκ κινδύνων δέ λυτρούσαι καί θλίψεων. Πρεσβεύων μή παύση υπέρ πάντων ημών.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΕ’ τού αυτού μηνός, Μνήμη τού Αγίου Ιερομάρτυρος Λουκιανού, πρεσβυτέρου Αντιοχείας τής μεγάλης.

Στίχοι

Άρτου στερήσει Λουκιανός αντέχει,
Τού ζώντος άρτου μή στερηθήναι θέλων.
Λιμώ Λουκιανός δεκάτη θάνεν ηδέ τε Πέμπτη.

Τή αυτή ημέρα, Μνήμη του Οσίου Πατρός ημών Σαβίνου Επισκόπου.

Στίχοι

Ισάγγελον Σαβίνος εύ βιούς βίον,
Θανών συνήφθη τώ χορώ τών Αγγέλων.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών καί Ομολογητού Βάρσου, Επισκόπου Εδέσσης.

Τή αυτή ημέρα, Μνήμη τής αθλήσεως Μοναχού τινος καί Μάρτυρος, καί ωφέλιμος διήγησις περί αυτού.

Ταίς τών Αγίων σου πρεσβείαις, ό Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ’

Ο διασώσας εν πυρί

Ρύμην ρημάτων τών σοφών, τύραννος διώκτης μή φέρων, καί θανατοί σε καί βυθώ, θαλαττίω προσρίπτει τήν άνω σοι, προξενών ως ουκ ώετο, βασιλείαν εις αιώνας καί θείαν δόξαν.

Μή προσκυνήσας τοίς γλυπτοίς, γόνυ τε μή κάμψας ειδώλοις, εις πύρ εβλήθης θλιβερόν, εις βασάνων εισήλθες τήν κάμινον, δροσιζόμενος Πνεύματος, δροσοβόλω δυναστεία Θεόφρον Μάρτυς.

Νενεκρωμένους καί βυθώ, τής Ελληνικής αθεϊας, καταποθέντας τούς λαούς, ζωηφόροις σου λόγοις ανείλκυσας μελω δών Αξιάγαστε. Ο Θεός ό τών

Πατέρων ευλογητός εί.

Θεοτοκίον

Ευλογημένος ο καρπός, τής ευλογημένης γαστρός σου, όν ευλογούσιν ουρανών, αι Δυνάμεις βροτών τε συστήματα, ό ημάς λυτρωσάμενος, τής κατάρας τής αρχαίας ευλογημένη.

Ωδή η’

Παίδας ευαγείς

Λιμώ νοητώ τούς εκτακέντας, τώ άρτω τών λόγων σου εστήριξας, μόνον σέβειν Κύριον, άρτον τής ζωής ημών, καθυποδείξας Ένδοξε, ώ πάντες ψάλλομεν. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Πατήσας δεινάς μηχανουργίας, εχθρού τού απατεώνος τή αθλήσει σου, ήρθης πρός περίδοξον, ύψος Αξιάγαστε, καί τών Αγγέλων έφθασας, βοών τά τάγματα.Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ω ξένων πραγμάτων τελεσθέντων, εν σοί Λουκιανέ Μάρτυς αοίδιμε! κόλπος γάρ θαλάττιος, σώμά σου τό άγιον, εφ' ικανόν δεξάμενος ουκ ελυμήνατο, τή χέρσω διασώζει δέ σώον, ρείθρα ιαμάτων, εκβλύζον τοίς ποθούσι.

Θεοτοκίον

Καί γλώσση Παρθένε καί καρδία’ αγνήν Θεοτόκον σέ κηρύττομεν. Κύριον γάρ έτεκες, σάρκα περικείμενον, καί εν δυσί ταίς φύσεσι κατανοούμενον, όν πάσαι ουρανών αί Δυνάμεις, ανυμνολογούσιν, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Παίδας ευαγείς εν τή καμίνω ό τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπουμενος, νύν δέ εννεργούμενος, τήν οικουμένην άπασαν αγείρει ψάλλουσαν. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ’

Εύα μέν τό τής παρακοής

Λάμπει σου Σοφέ τό Ιερόν μνημόσυνον, ταίς ακτίσι τού πνεύματος, νέφος παθών διασκεδάζον, φωτίζον ευσεβών τά συστήματα, καί φλέγον τών δαιμόνων στρατεύματα, ό εκτελούντας ημάς φύλαττε.

Ελύθης τού σώματος δεσμών Μακάριε, καί πρός ύψος επουράνιον, χαίρων ανέπτης καί επώφθης, ωραίος τών στιγμάτων τερπνότησι, Θεώ τώ Ποιητή ώ παρίστασαι, μετά Μαρτύρων ευφραινόμενος.

Ο Μάρτυς ημών Λουκιανός συνήγαγεν, ευφημήσαι τούτου σήμερον, άθλους λαμπρούς καί τούς αγώνας, τήν μέχρι τελευτής γενναιότητα, θαυμάτων τε τήν χάριν τήν άφθονον, όν επαξίως μακαρίζομεν.

Θεοτοκίον

Σοφίας δοχείον υπέρ νούν τής κρείττονος, ανεδείχθης Κόρη Πάναγνε, έμψυχος θρόνος τε καί πύλη, διό σε τών βροτών τά συστήματα, Αγγέλων τε δοξάζει στρατεύματα, μόνην τών πάντων υπερέχουσαν.

Ο Ειρμός

Εύα μέ τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ της κυοφορίας βλαστήματι, τώ κόσμω, τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μακαρίζομεν».

Εξαποστειλάριον

Τοίς Μαθηταίς

Πνευματικής ως έμπλεως, χάριτος καί σοφίας, Λουκιανέ πανεύφημε, τήν Θεόπνευστον Μάρτυς, Γραφήν ηρμήνευσας πάσαν, πλάνην δέ τών Ελλήνων, ήλεγξας τήν πολύθεον, καί ψευδώνυμον γνώσιν, τήν δέ Χριστού, Εκκλησίαν ηύφρανας, Αθλοφόρε, φαιδρύνων εν τοίς λόγοις σου, Ορθοδόξων τά πλήθη.

Θεοτοκίον

Ναός εγένου Πάναγνε, τής Θεότητος όλης, τόν τής Τριάδος ένα γάρ, τέτοκας απορρήτως, διπλούν τή φύσει Παρθένε, εν μιά υποστάσει, όν εκτενώς ικέτευε, σώσαι τούς σέ υμνούντας, εκ πειρασμών, καί Κινδύνων Δέσποινα Θεοτόκε, σοί γάρ τό Χαίρε κράζομεν, προστασία τού κόσμου.

Καί τά λοιπά τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Μάρτυρος Λογγίνου τού Εκατοντάρχου, τού επί τού Σταυρού.

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'

Ως γενναίον εν Μάρτυσι

Τόν βροτόν χρηματίσαντα, καί Σταυρώ ομιλήσαντα, καί ηλίου έλλαμψιν αμαυρώσαντα, καί εκ πλευράς αναβλύσαντα, σωτήριον άφεσιν, κατιδών μετά ληστού, τού ευγνώμονος Ένδοξε, ωμολόγησας, καί Θεόν καί Δεσπότην εκουσίως, υπομείναντα τά πάθη, δι' ευσπλαγχνίαν αμέτρητον.

Τήν κατάκαρπον άμπελον, επί ξύλου Θεώμενος, ηρτημένην Ένδοξε καί πηγάζουσαν, οίνον ζωής καί αφέσεως, τά χείλη υπέθηκας, τής καρδίας καί πιών, ευφροσύνης πεπλήρωσαι, τήν κατάπικρον, απιστίαν εμέσας ως εχέφρων, ως τού χείρονος τό κρείττον, περιφανώς προελόμενος.

Θανατώσας τόν τύραννον, ευτολμία τών λόγων σου, πρός σφαγήν εκούσιον ηύτομόλησας, ού δειλιάσας πανεύφημε, Λογγίνε τόν θάνατον, τήν αθανατον ζωήν, προξενούντά σοι χάριτι, όθεν πίστει σου, τήν πανέορτον μνήμην

εκτελούμεν, δυσωπούντές σε πρεσβεύειν, υπέρ ημών πρός τόν Κύριον.

Δόξα... Ήχος πλ. β’

Ιωάννου Μοναχού

Εν τώ πάθει σου, Χριστέ, τόν ναόν θεωρήσας διαρραγέντα Λογγίνος ο Εκατόνταρχος, Υιόν Θεού σε είναι τοίς , Ιουδαίοις εκήρυττεν. Όθεν οι δεινοί, τήν θείαν κάραν αυτού τεμόντες τώ ξίφει, εν κοπρία έρριψαν, γυνή δέ ταύτην ευρούσα, τάς κεκλεισμένας κόρας αυτής τών ομμάτων ανέωξε, μεθ' ής καί ημείς βοώμέν σοι. Ο τούτον στεφανώσας, υπέρ σού αθλήσαντα, ταίς αυτού ικεσίαις, καί ημών τά όμματα τής καρδίας φώτισον, τού δοξάζειν σε Θεόν, τόν εν Σταυρώ προσηλωθέντα, εις τό σώσαι ημάς.

Καί νύν… Θεοτοκίον

'Ολην αποθέμενοι

Μόνος υπέρ άπαντας, υιούς ανθρώπων ό τάλας, μόνος επλημμέλησα, τά καί λόγω άφθεγκτα, καί ακούσματι, μηδαμώς άχραντε, φορητά πέλοντα, διά τούτό σου καί δέομαι. Σύγγνωθι Δέσποινα, σύγγνωθι καί δός μοι μετάνοιαν, δός μοι εξομολόγησιν, δός μοι στεναγμούς τε καί δάκρυα, ίνα διά τούτων, συντρίβων τήν καρδίαν μου αεί, κράζω τό, Ήμαρτον, ήμαρτον, ιλάσθητι σώσόν με.

Η Σταυροθεοτοκίον

Ρομφαία ως έφησεν, ό Συμεων τήν καρδίαν, τήν σήν διελήλυθε. Παναγία Δέσποινα, ότε έβλεψας, τόν εκ σού λάμψαντα, απορρήτω λόγω, υπ' ανόμων ως κατάκριτον. Σταυρώ υψούμενον, όξος καί χολήν τε γευόμενον, πλευράν τε Ορυττόμενον, χείράς τε καί πόδας ηλούμενον, καί οδυρομένη, ωλόλυζες βοώσα μητρικώς. Τί τούτο, τέκνον γλυκύτατον, τό καινόν μυστήριον.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος πλ. β’

Ιωάννου Μοναχού

Εν τώ Σταυρώ παρεστηκώς, καί τά γενόμενα σκοπών, τόν σταυρωθέντα επί ξύλου, Θεόν καί άνθρωπον εωρακώς, εβόας πρός αύτόν. Εν τή βασιλεία σου μνήσθητί μου Κύριε. Διό καί ο Σωτήρ εφώνει σοι. Μακάριος ει Λογγίνε, καί τό μνημόσυνόν σου εις γενεάν καί γενεάν.

Καί νύν... Θεοτοκίον

Τριήμερος ανέστης

Τήν πάσάν μου ελπίδα εις σέ, Παρθένε ανατίθημι, μή παρίδης, αλλά σπεύσον αγαθή, ρυσθήναί με εν τάχει, παθών τών ενοχλούντων, καί καθ' εκάστην πολεμούντων με.

Η Σταυροθεοτοκίον

Εν ξύλω τήν ζωήν ημών, ορώσα η πανάμωμος, Θεοτόκος, κρεμαμένην μητρικώς, ωδύρετο βοώσα. Υιέ μου καί Θεέ μου, σώσον τούς πόθω ανυμνούντάς σε.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τού Αγίου, ού η Ακροστιχίς.

Τό Λογγίνου μέγιστον υμνήσω κλέος. Ιωσήφ.

Ωδή α'. Ήχος δ'

Θαλάσσης τό ερυθραίον

Ταίς θείαις, φωτοχυσίαις Ένδοξε, περιλαμπόμενος, καί σύν Αγγέλων τάξεσι Χριστώ, τώ Θεώ παριστάμενος, τήν φωτοφόρον μνήμην σου, τούς εκτελούντας καταφαίδρυνον.

Ούδέν σε, τής πρός Θεόν ενώσεως, Μάρτυς εχώρισε, κεχωρισμένον πάσης σαρκικής, ηδονής διά πίστεως, καί καθαρώς τώ έρωτι, τώ ακροτάτω ενηδόμενον.

Λατρεύων, Θεώ τώ ζώντι ένδοξε, Λογγίνε πάνσοφε, νεκροίς ξοάνοις μάκαρ ουδαμώς, σύ λατρείαν προσένειμας, διό πρός ατελεύτητον, θανατωθείς ζωήν κατήντησας.

Θεοτοκίον

Ο Λόγος, ο τού Θεού εν μήτρα σου, λόγω συνείληπται, τής αλογίας ρύσασθαι βροτούς, βουληθείς αγαθότητι, Παρθενομήτορ άχραντε, ευλογημένη παναμώμητε.

Ωδή γ'

Εύφραίνεται επί σοί

Γνωρίσας επί Σταυρού, Υιόν Θεού τόν αληθή Κύριον, υπέρ ημών πάσχοντα, τούτω ολοψύχως επίστευσας.

Γή ώσπερ πίων η σή, ψυχή λαβούσα λογικά σπέρματα, στάχυν Σοφέ ώριμον, θείας εύσεβείας εβλάστησεν.

Ιστίω τώ τού Σταυρού, τό τών βασάνων διελθών πέλαγος, τούς γαληνούς έφθασας, ένδοξε λιμένας γηθόμενος.

Θεοτοκίον

Νοσούσάν μου τήν ψυχήν, ταίς τών παθών επαγωγαίς ίασαι, Μήτηρ Θεού Πάναγνε, καί πρός σωτηρίαν κατεύθυνον.

Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα, Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

Κάθισμα. Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Σταυρωθέντα κατείδες τόν Λυτρωτήν, καί αυτού ταίς ακτίσι καταυγασθείς, σκότος τό βαθύτατον, τής αγνοίας απέφυγες, καί πρός θείαν γνώσιν, σαυτόν μετερρύθμισας, πιστωθείς ως έστι, Θεός ο ορώμενος, όθεν καί αθλήσας, τοίς

χοροίς ήριθμήθης, Λογγίνε μακάριε, τών Μαρτύρων γηθόμενος, μεθ' ών πάντοτε ένδοξε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα… Καί νύν... Θεοτοκίον

Τήν ψυχήν μου Παρθένε τήν ταπεινήν, τήν εν ζάλη τού βίου τών πειρασμών, νύν ως ακυβέρνητον, ποντουμένην Πανάμωμε, αμαρτιών τώ φόρτω, φανείσαν υπέραντλον, καί εις πυθμένα Άδου, πεσείν κινδυνεύουσαν, φθάσον Θεοτόκε, τή θερμή σου πρεσβεία, καί σώσον παρέχουσα, σόν λιμένα τόν εύδιον, ίνα πίστει κραυγάζω σοι. Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων δούναί μοι τήν άφεσιν, σέ γάρ έχω ελπίδα, ό δούλός σου Δέσποινα.

Η Σταυροθεοτοκίον

Τόν αμνόν καί ποιμένα καί λυτρωτήν, η αμνάς θεωρούσα εν τώ Σταυρώ , ωλόλυζε δακρύουσα, καί πικρώς ανεκραύγαζε, ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήν περ υπομένεις, διά σπλάγχνα ελέους, Θεέ υπεράγαθε, ανεξίκακε Κύριε. Η πιστώς εκβοήσωμεν. Σπλαγχνίσθητι Παρθένε εφ' ημάς, καί πταισμάτων δώρησαι τήν άφεσιν, τοίς προσκυνούσιν εν πίστει, αυτού τά παθήματα.

Ωδή δ'

Επαρθέντα σε ιδούσα

Οχυρώτατον κτησάμενος εν τή πίστει, τόν λογισμόν μακάριε, ανίσχυρον πλάνης, ελυσας οχύρωμα, Λογγίνε καί έκραζες. Δόξα τή δυνάμει σου Κύριε.

Υψωθέντα Καί τώ ξύλω προσηλωθέντα, τόν απαθή Θεώμενος, Κύριον τής δόξης, τούτον ωμολόγησας, Υιόν Θεού ένδοξε, πάσχοντα οικείω θελή ματι.

Μαραινόμενον τόν θάνατον τώ θανάτω, τού απαθούς Θεώμενος, έσπευσας Λογγίνε, δι' αυτόν τεθνήξεσθαι, καί ζήν μετά θάνατον, σύν τοίς εύκλεώς εναθλήσασιν.

Θεοτοκίον

Ενωθέντα καθ' υπόστασιν εν γαστρί σου, καί γεγονότα άνθρωπον, Άχραντε τόν Λόγον, υπέρ λόγον τέτοκας, διπλούν ταίς θελήσεσι, καί ταίς ενεργείαις δεικνύμενον.

Ωδή ε'

Σύ Κύριέ μου φώς

Γής πάσης αληθώς, γεγονώς παρεπίδημος, εν στίγμασιν Αθλοφόρων, ωραιώθης Λογγίνε, καί γήν πραέων ώκησας.

Ισχυσας τού Σταυρού, τή δυνάμει φραξάμενος, ανίσχυρον τών τυράννων, Αθλοφόρε Λογγίνε, τροπώσασθαι απόνοιαν.

Στήσας εν ασφαλεί, θεμελίω καρδίας σου, Αήττητε τάς κινήσεις, πειρασμών

επικλύσει, ασάλευτος διέμεινας.

Θεοτοκίον

Τήν μόνην τόν Θεόν, απειράνδρως κυήσασαν, υμνήσωμεν Θεοτόκον, δι' αυτής οι σωθέντες, καί πόθω μακαρίσωμεν.

Ωδή ς’

Θύσω σοι, μετά φωνή

Όρη τε, καί τήν γήν σαλευθείσαν Θεώμενος, εν τή τού πάθους ημέρα, απιστίας στάσεως εσαλεύθης, καί τή πίστει, ενιδρύθης Λογγίνε τού πάσχοντος.

Νόησιν, αληθή καί τελείαν καί έμφρονα, αναλαβείν ηδυνήθης, καθορών τήν κτίσιν αλλοιουμένην, καί πρός θείαν, ηλλοιώθης Λογγίνε επίγνωσιν.

Υπέστης, χαλεπήν τιμωρίαν γηθόμενος, καί τόν αυχένα τώ ξίφει, αδιστάκτω γνώμη τμηθείς Λογγίνε, διακόπτεις, κεφαλάς δυσμενών διά πίστεως.

Θεοτοκίον

Μάρανον, καί προρρίζους Πανάμωμε έκτιλον, τάς ακανθώδεις εννοίας, τής εμής καρδίας, καί καρποφόρον, ταύτην δείξον, μεσιτεία σου Κόρη πανάμωμε.

Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Κοντάκιον Ήχος δ'

Επεφάνης σήμερον

Ευφροσύνως γέγηθεν η Εκκλησία, εν τή μνήμη σήμερον, τού αοιδίμου αθλητού, Λογγίνου ανακραυγάζουσα. Σύ μου τό κράτος, Χριστέ καί στερέωμα.

Ο Οίκος

Τόν ουρανόν σκότει πολλώ , τήν γήν τε σειομένην, καί πέτρας ρηγνυμένας, ναού τε τό καταπέτασμα σχισθέν εις δύο θεωρών εν τώ θείω πάθει τού Χριστού ό αθλητής, Θεού Υιόν αυτόν εγνώρισε, πάσχοντα τή οικεία ευσπλαγχνία, απαθή δέ όντα τή θεότητι καί δόξη, σύν τώ Πατρί καί Πνεύματι Αγίω συνέχοντα τό πάν καί διακρατούντα, ως Θεόν αληθινόν καί Βασιλέα, όθεν εν χαρά Λογγίνος ανακραυγάζει. Σύ μου τό κράτος Χριστέ καί στερέωμα.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΣΤ' τού αυτού μηνός, Μνήμη τού Αγίου Μάρτυρος Λογγίνου τού Εκατοντάρχου.

Στίχοι

Υιόν Θεού λέγων σε Χριστέ καί πάλιν,
Λογγίνος ως πρίν τέμνεται τόν αυχένα.
Έκτη καί δεκάτη Λογγίνον άορ κατέπεφνεν.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων δύο Μαρτύρων, τών συναναιρεθέντων

τώ Αγίω Λογγίνω.

Στίχοι

Φθαρτήν στρατείαν εκλελοιπυία ξίφει,
Δυάς συνάθλων εστρατεύθη Κυρίω.

Τή αύτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Λεοντίου, Δομετίου, Τερεντίου καί Δομνίνου.

Στίχοι

Τρείς Λεόντιε, τούς συναθλούντας έχων,
Λεόντιόν τι τής πυράς άλλη μέσον.

Τή αύτή ημέρα, μνήμη τού Οσίου Πατρός ημων Μαλού.

Στίχοι

Μαλός βραχείαν γής λιπών παροικίαν,
Πόλου κατοικεί τήν μακράν κατοικίαν.

Ταίς αυτών αγίαις πρεσβείαις, ό Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ’

Εν τή καμίνω

Νομίμως Μάρτυς, εναθλήσας ανδρεία γνώμη ψυχής, πάσας ανομούντων ήσχυνας τάς βουλάς, καί νομίμως εστεφάνωσαι, Ευλογημένος ει αναβοών, τής δόξης ο Κύριος.

Η θεία χάρις, επιφοιτώσα τοίς λειψάνοις σου, πάσαν αλ γηδόνα λύει τών εύσεβώς, προσιόντων σοι Μακάριε, καί κηρυττόντων σε, αληθείας αήττητον Μάρτυρα.

Σαρκός θνησκούσης, ούκ εφείσω Λογγίνε διά Χριστόν, θύειν απηρνήσω δαίμοσι καί σαυτόν, τώ Θεώ θυσίαν άμωμον, χαίρων προσήγαγες, διά ξίφους τμηθείς αξιάγαστε.

Θεοτοκίον

Ως καθαράν σε, ο καθαρός Λόγος κατώκησε, Κόρη διά σού καθάραι τούς μολυσμούς τών ανθρώπων προελόμενος. ευλογημένος γάρ ό καρπός, τής κοιλίας σου πέφυκεν.

Ωδή η'

Χείρας εκπετάσας

Κοιμίσας τό πρίν τάς τής σαρκός, κινήσεις Ένδοξε, ταίς εγρηγόρσεσι, ταίς πρός τόν Κύριον ύπνωσας, τόν γλυκύν ύπνον αοίδιμε, θανατωθείς διά Χριστόν, τόν επί ξύλου Σταυρού, αφυπνώσει θεία, νεκροίς τήν ζωήν αναβλύσαντα.

Λόγχη κεντηθέντα τήν πλευράν, Μακαριώτατε, καί αίμα βλύσαντα, Θεόν εώρακας άνθρωπον, διά σπλάγχνα χρηματίσαντα, καί κατετρώθης τώ αυτού

ηδίστω έρωτι, αναμέλπων. Πάντα τά έργα υμνείτε τόν Κύριον.

Έσβεσας πυράν ειδωλικήν, αιμάτων ρεύμασι, Λογγίνε πάνσοφε, καί κατενέπρησας ξόανα, καί ανίδρυτα σεβάσματα, τώ θείω ζήλω τήν ψυχήν αναφλεγόμενος, και κραυγάζων. Πάντα τά έργα υμνείτε τόν Κύριον.

Όμματα καρδίας φωτισθείς, ταίς θείαις λάμψεσι, τού αμαυρώσαντος ηλίου πάνσοφε έλλαμψιν, τήν αχλύν Λογγίνε έλιπες, τής δυσσεβείας καί φωστήρ, ώφθης φωτίζων ήμάς, τούς βοώντας. Πάντα τά έργα υμνείτε τόν Κύριον.

Θεοτοκίον

Στόματι καί γλώσση καί ψυχή, ανακηρύττω σε θεογεννήτριαν, καί ικετεύω σε Άχραντε, Τήν καρδίαν μου κατάγαυσον, τώ φωτισμώ σου, καί δεινού σκότους με λύτρωσαι, εκβοώντα. Πάντα τά έργα υμνείτε τόν Κύριον.

Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι εύσεβείας ερασταί, Παίδες κραυγάζοντες. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

## Ωδή θ'

Λίθος αχειρότμητος

Ισχύς μου καί ύμνησις Λόγος, ο εν Σταυρώ χείρας απλώσας, Μάρτυς τοίς ανόμοις εβόας, αυτού τό πάθος τό παμμακάριστον, εξεικονίζων θάνατον, εθελουσίως καθυφίσταμαι.

Ως περικαλής αθλοφόρος, χαριτωθείς Μάρτυς Λογγίνε, όλος ωραιότατος ώφθης, καί τώ ωραίω Λόγω παρίστασαι, τάς αμοιβάς τών πόνων σου, πλουσιωτάτως κομιζόμενος.

Σέ τόν διαυγία φανέντα, ήλιον άδυτον Λογγίνε, καί μαρμαρυγαίς Ιαμάτων, τήν οικουμένην πάσαν φωτίζοντα, καί τήν αχλύν σκεδάζοντα, τής αγνωσίας μακαρίζομεν.

Ήρθης πρός μονάς ουρανίους, καί τοίς χοροίς συνηριθμήθης, πάντων τών άγίων Μαρτύρων, μεθ' ών Λογγίνε Μάρτυς μνημόνευε, τών ευσεβώς τήν μνήμην σου, εορταζόντων παμμακάριστε.

Θεοτοκίον

Φωτός οικητήριον ώφθης, τού ανεσπέρου Θεοτόκε, δι' ού οι εν σκότει καί σκιά, τής άμαρτίας φώς εθεάσαντο, διό μου φωταγώγησον, τά τής καρδίας αισθητήρια.

Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

## Εξαποστειλάριον

Τοίς Μαθηταίς
Ορών τόν πάντων Κύριον, καί Θεόν αφυπνούντα, επί Σταυρού θελήματι, κλονουμένην τε πάσαν, καιρώ τού πάθους τήν κτίσιν, Αθλοφόρε Λογγίνε, Ληστή σύν τώ ευγνώμονι, ωμολόγησας τούτον, Υιόν Θεού, υπέρ ού καί χαίρων εσφαγιάσθης, καί νύν ως Μάρτυς άριστος, υπέρ πάντων πρεσβεύεις.

Θεοτοκίον

Κενούται εν τή μήτρα σου, ο πληρέστατος Λόγος, κόλπων πατρώων άχραντε, ουκ εκστάς απορρήτως, καί σάρξ οράται καί βρέφος. τίκτεται Θεοτόκε. Όν εκτενώς ικέτευε, λυτρωθήναι κινδύνων, καί πειρασμών, καί πταισμάτων Δέσποινα καί γεέννης, τούς ευσεβώς κηρύττοντας, τού Θεού σε Μητέρα.

Καί η λοιπή τού Όρθρου Ακολουθία, κατά τήν τάξιν, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΖ’ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Προφήτου Ωσηέ καί τού Αγίου Οσιομάρτυρος Ανδρέου τού εν τή Κρίσει.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς’ καί ψάλλομεν Στιχηρά Προσόμοια τών Αγίων.

Στιχηρά τού Προφήτου

Ήχος α’
Πανεύφημοι Μάρτυρες

Τό Πνεύμα τό Άγιον Πατρός, τό εκπορευόμενον, διά τής σής γλώττης ώρισε, Χριστού τήν μέλλουσαν, εν εσχάτοις χρόνοις, παρουσίαν έσεσθαι, επί ανακαινίσει τής κτίσεως. καί νύν τήν έκβασιν, θεωρούντες τών προρρήσεων, σού Προφήτα, τήν μνήμην γεραίρομεν.

Τή γνώμη πορνεύουσαν τό πρίν, από σού Φιλάνθρωπε, φύσιν ημών μνηστευσάμενος, τής βεβηλώσεως, ελυτρώσω ταύτην, σεαυτώ καθ' ένωσιν, συνάψας υπέρ νούν αδιάρρηκτον, καί τούτου σύμβολον, ό Προφήτης σου γενόμενος, τάς πρίν πόρνας, σωφρόνως ηγάγετο.

Προφήτα θεσπέσιε τάς σάς, ρήσεις νύν Θεώμενος, πεπληρωμένας τή χάριτι, καί παριστάμενος, τώ Θεώ τών όλων, υπέρ πάντων πρέσβευε, τών πίστει εκτελούντων τήν μνήμην σου, τούτοις αιτούμενος, τών πταισμάτων τήν συγχώρησιν, καί ειρήνην, καί βίου διόρθωσιν.

Στιχηρά τού Οσιομάρτυρος

Ήχος δ'

Ως γενναίον εν Μάρτυσι

Οι τών πόνων ιδρώτές σου, τής ασκήσεως ένδοξε, πρός Μαρτύρων στάδιον εκκαλούμενοι, πλήρη Ανδρέα τήν έφεσιν, εν σοί εναπέθεντο, ούς ευκαίρως εις Θεόν, επεδείξω στερρότατα, αλλά πρέσβευε, εκ φθοράς καί κινδύνων λυτρωθήναι, τούς έν πίστει εκτελούντας, τήν αεισέβαστον μνήμην σου.

Λίθος άλλος υπέρτιμος, γεγονώς διά πίστεως, ουχ υπέστης θραύσιν δεινώς τυπτόμενος, αλλ' επί γής κυλιόμενος, τής πίστεως ένδοξε, ομαλίσας τήν οδόν, ευεπίβατον τέθεικας. καί κατέστρεψας, τής δοκήσεως Μάκαρ Κοπρωνύμου, φαυλοτάτην δόξαν ώσπερ, σεσαθρωμένον θεμέλιον.

Αποστόλων τοίς δόγμασι, τεθραμμένος Μακάριε, καί Πατέρων ενθέων τοίς διδάγμασι, τού σαρκωθέντος ετίμησας, Θεού τό ορώμενον, εν συμβόλοις ιεροίς,καί σεπτοίς τοίς μορφώμασιν, όθεν ένδοξε, υπέρ τούτου αθλήσας ανεδείχθης, ευσεβείας υποφήτης, καί τών Μαρτύρων καλλώπισμα.

Δόξα… Καί νύν... Θεοτοκίον

Μυριάκις πανάχραντε, υπεσχόμην μετάνοιαν, τών εμών ποιήσασθαι παραπτώσεων, αλλ' ουκ εά με η φαύλη μου, των κακών συνήθεια, διά τούτό σοι βοώ, καί προσπίπτω καί δέομαι. Σύ με Δέσποινα, εξελού τής τοιαύτης τυραννίδος, οδηγούσα πρός τά κρείττω, καί σωτηρίας εχόμενα.

Η Σταυροθεοτοκίον

Η αμνάς η κυήσασα, τό αρνίον τό άμωμον, τό τήν αμαρτίαν ελθόν ιάσασθαι, παντός τού κόσμου Πανάχραντε, οικείω εν αίματι, τό
σφαγέν υπέρ ημών, καί ζωώσαν τά πέρατα, σύ με ένδυσον, γυμνωθέντα τής θείας αφθαρσίας, εξ ερίου τού σού τόκου, περιβολήν θείας χάριτος.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Απολυτίκιον τού Προφήτου

Ήχος β'

Τού Προφήτου σου Ωσηέ τήν μνήμην, Κύριε εορτάζοντες, δι΄αυτού σε δυσωποούμεν, Σώσον τάς ψυχάς ημών.

Καί τού Οσιομάρτυρος

Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ

Ασκητικώς προγυμνασθείς εν τώ όρει, τάς νοητάς τών δυσμενών παρατάξεις, τή πανοπλία ώλεσας παμμάκαρ τού Σταυρού, αύθις δέ πρός άθλησιν, ανδρικώς απεδύσω, κτείνας τόν Κοπρώνυμον, τώ τής πίστεως ξίφει, καί δι' αμφοίν εστέφθης εκ Θεού, οσιομάρτυς Ανδρέα αοίδιμε.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, αναγινώσκονται οι Κανόνες τής Οκτωήχου είς, καί οι δύο παρόντες τών Αγίων.

Ο Κανών τού Προφήτου, ού η Ακροστιχίς.

Ωσηέ μέλπω τούς θεοπνεύστους λόγους.

Θεοφάνους

Ωδή α' Ήχος α'
Τώ βοηθήσαντι Θεώ

Ως θεηγόρος αληθώς, ώ Προφήτα Ωσηέ, τώ Ζωοδότη παρεστώς, εκτενώς ικέτευε, λυτρωθήναι κινδύνων, άπαντας τούς ευφημούντάς σε.

Σού τής ψυχής τό οπτικόν, εκκαθάρας μολυσμών, κατηξιώθης προοράν, τηλαυγώς τά μέλλοντα, καί προλέγειν αψεύστως, άριστα τά εκβησόμενα.

Η τής προγνώσεως πηγή, η σοφία τού Θεού, τόν θεηγόρον Ωσηέ, προφητείας ποταμόν, ανέδειξε τοίς πάσι, βρύοντα θεία διδάγματα.

Θεοτοκίον

Επιφανέντα τόν Χριστόν, εκ Παρθένου δι' ημάς, εκ τής Αιγύπτου προφανώς, ο Πατήρ εκάλεσεν, Ωσηέ ως προείπε, πάλαι ο θεοπτικώτατος.

Ο Κανων τού Οσιομάρτυρος, έχων Ακροστιχίδα τήν δε.

Ανδρείας υμνώ τόν φερώνυμον πόθω. Ιωσήφ.

Ωδή α' Ήχος β'
Εν βυθώ κατέστρωσε

Ανδρικώς τά πάθη τής σαρκός, Πάτερ δουλωσάμενος, τώ λογισμώ ανδρείας ως επώνυμος, τυράννων ωμότητα, κατεπάλαισας, καί νομίμως ενήθλησας, όθεν σε συμφώνως, πίστει συνελθόντες μακαρίζομεν.

Νοητώς ως άνθραξ πυρωθείς, θέρμη θείου Πνεύματος, τόν παγετόν τών παθών διεσκέδασας, κρουνοίς τών αιμάτων δέ, πύρ απέσβεσας, δυσσεβείας αλλότριον, μέγιστε Ανδρέα, Ομολογητά θεομακάριστε.

Δεσμευθείς τώ πόθω τού Χριστού, Πάτερ εκ νεότητος, τόν σόν σταυρόν αναλαβών, γηθόμενος τούτω ηκολούθησας, αρνησάμενος σεαυτόν διά πίστεως, καί ομολογίας, καί τελειοτάτης εναθλήσεως.

Θεοτοκίον

Ραθυμίας ύπνω τήν ψυχήν, πάντοτε βαρούμενος, επί τήν σήν Παρθενομήτορ άχραντε, προστρέχω αντίληψιν. Πρός εγρήγορσιν μετανοίας διέγειρον, τής αιωνιζούσης, τότε ρυομένη με κολάσεως.

Τού Προφήτου Ωδή γ’
Στερέωσόν με Χριστέ

Μυήσει θεοπρεπεί, δεδιδαγμένος τάς θείας εκφαντορίας, εθνών τήν κλήσιν, σαφώς προηγόρευσας Προφήτα, Πνεύματι Αγίω τυπούμενος.

Εσόμενα προοράν, ως ενεστώτα θεόφρον ηξιωμένος, τών Ιουδαίων, σαφώς τήν απόπτωσιν προείπας, καί τών νομικών τήν διάβασιν.

Λυτρούσθαι τόν Ισραήλ, ουκ εν πολέμω καί τόξω καί πανοπλία, αλλ' εν Κυρίω Θεώ Παντοκράτορι προέφης, σάρκωσιν τού Λόγου σημαίνων ημίν.

Θεοτοκίον

Παρθένε χαίρε σεμνή, η συλλαβούσα τόν Λόγον σωματωθέντα, τόν τώ Ιδίω, ημάς λυτρωσάμενον εκ πλάνης, αίματι αγίω, καί σώματι.

Τού Οσιομάρτυρος

Εν πέτρα με τής πίστεως

Ερείσας τού νοός σου τάς βάσεις Πάτερ, εν πέτρα τής αγάπης Χριστού ουδόλως, προσπνεύσεσι σεσάλευσαι εναντίαις, βοών τώ Κτίστη σου. Σύ εί Θεός ημών, καί ουκ έστιν άγιος πλήν σου Κύριε.

Ιάσεις καί πρό τέλους καί μετά τέλος, πηγάζεις θεορρήμον τοίς ασθενούσι, καί πνεύματα ακάθαρτα απελαύνεις, Ανδρέα Όσιε, βοών τώ Κτίστη σου. Ως ουκ έστιν άγιος πλήν σου Κύριε.

Ασκήσεως τοίς δάκρυσι λελουμένος, εν αίμασι Μαρτύρων εκαλλωπίσθης. καί όλος ωραιότατος δεδειγμένος, βοών ανέδραμες, πρός τόν ποθούμενον. Ως ουκ έστιν άγιος πλήν σου Κύριε.

Θεοτοκίον

Σαρκός εν ομοιώματι γεγονότα, Πατρός τόν Ομοούσιον Θεόν Λόγον, εκύησας Πανάμωμε υπέρ λόγον, Παρθένος μείνασα, μετά τήν κύησιν, διά τούτο πίστει σε μακαρίζομεν.

Ο Ειρμός

«Εν πέτρα με τής πίστεως στερεώσας, επλάτυνας τό στόμα μου επ' εχθρούς μου. ηυφράνΘη γάρ τό Πνεύμά μου εν τώ ψάλλειν. Ούκ έστιν Άγιος, ως ο Θεός ημών, καί ουκ έστι δίκαιος πλήν σου Κύριε».

Κάθισμα τού Προφήτου

Ήχος α'

Τόν τάφον σου Σωτήρ

Υπέκλινας τό ούς, τώ λαλούντι Προφήτα, καί πάντων μυηθείς, τών μελλόντων τήν γνώσιν, Χριστού προεσήμανας, παρουσίαν τήν ένθεον, όθεν σήμερον, τήν Παναγίαν σου μνήμην, εορτάζοντες, τόν Λυτρωτήν ανυμνούμεν, τόν σέ μεγαλύναντα.

Δόξα... Τού Οσιομάρτυρος

Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Φερωνύμως Ανδρέα ως αληθώς, κραταιούμενος πίστει τή ευσεβεί, Μάρτυς

αξιάγαστε, ως Χριστώ συνεπόμενος, Μοναστών τάς χορείας, εφαίδρυνας πράξεσι, καί Οσίων τής δόξης εδείχθης εφάμιλλος, όθεν καί Μαρτύρων, υπελθών τούς αγώνας, γενναίως ενήθλησας, καί νομίμως ηρίστευσας. Πρωτοκλήτου ομώνυμε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω τήν αγίαν μνήμην σου.

Καί νύν... Θεοτοκίον

Λογισμοίς ολισθαίνων τοίς πονηροίς, εις βυθόν κατηνέχθην αμαρτιών, καί στένων κραυγάζω σοι, εκ καρδίας Πανάχραντε. Εν εμοί θαυμάστωσον, τό πλούσιον έλεος, καί τής σής ευσπλαγχνίας, τό άπειρον πέλαγος, καί τών οικτιρμών σου, τόν αμέτρητον πλούτον, καί δός μοι μετάνοιαν, καί πταισμάτων συγχώρησιν, ίνα πόθω κραυγάζω σοι, Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δοθήναί μοι, σέ γάρ έχω ελπίδα, ό ανάξιος δούλός σου.

Η Σταυροθεοτοκίον

Καθελκόμενον Λόγε εν τώ Σταυρώ, υπ' ανδρών παρανόμων γνώμη σκαιά, ορώσα η Μήτηρ σου, τήν ψυχήν ετιτρώσκετο, καί κοπτομένη σπλάγχνα, εθρήνει κραυγάζουσα, καί συνοχή καρδίας, εβόα στενάζουσα. Οίμοι τή τεκούση, σέ Υιέ καί Θεέ μου! πώς θέλων υπέμεινας, τού προσώπου ραπίσματα, καί εμπτύσματα βέβηλα, αδικόν τε θάνατον νύν, επί ξύλου ήλοις προσπηγνύμενος; Όντως ταύτα πάσχεις, τού σώσαι τόν άνθρωπον.

Τού Προφήτου Ωδή δ’

Κατενόησα Παντοδύναμε

Ωσηέ τό θεοπτικώτατον όμμα της Εκκλησίας, κινδύνων σώζε τούς ανυμνούντάς σε.

Τό λαμπρότατον καί στερρότατον, τού Πνεύματος δοχείον, πρεσβεύων σώζε τούς ανυμνούντάς σε.

Ο Κριτή πάντων παριστάμενος, ως ένθεος Προφήτης, παθών με ρύσαι ταίς ικεσίαις σου.

Θεοτοκίον

Υπερβέβηκας αειπάρθενε, τών Αγγέλων τάς τάξεις, τόν Κτίστην τούτων κυοφορήσασα.

Τού Οσιομάρτυρος

Ελήλυθας, εκ Παρθένου

Υπήκοος, γεγονως τών Χριστού διατάξεων, τό τούτου ομοίωμα, Πάτερ σεπτώς προσεκύνησας, όθεν ο παράνομος, σέ πολυτρόποις αικίαις εθανάτωσε.

Μυρίπνοος, αρετών ευωδία γενόμενος, εν τάφω νύν κείμενος, ευωδιάζεις τά πρόσωπα, τών προσπελαζόντων σοι, εν αδιστάκτω καρδία Πάτερ Οσιε.

Νοσήσαντα, Μαμωνάν τόν παγκάκιστον Όσιε, αθλίως τήν αίρεσιν, εν

παρρησία διήλεγξας, πρόμαχος γενόμενος, τών Ορθοδόξων Ανδρέα αξιάγαστε.

Θεοτοκίον

Ως εύφορον, εγεώργησας χάριτος άσταχυν, τόν τρέφοντα άπαντας, τούς ορθοδόξως τιμώντάς σε, Δέσποινα πανύμνητε, τόν εκ τής σής σαρκωθέντα μήτρας Κύριον.

Τού Προφήτου Ωδή ε'

Εκ νυκτός ορθρίζοντες

Συμπαθώς κινούμενος, εδίδαξας ημάς, τήν τού Θεού μακρόθυμον, ευσπλαγχνίαν καί χρηστότητα, δι' ής φείδεται πάντων, Προφήτα θεσπέσιε.

Θανατώσας θάνατον, ανέστη ο Χριστός, ως η σοφή σου πρόρρησις, θεοφάντορ προεμήνυσε, καί ζωήν ταίς εν Άδου, ψυχαίς εδωρήσατο.

Εκ βυθού πταισμάτων με, Προφήτα Ωσηέ, προσευχαίς εξάρπασον, παρρησίαν ακατάγνωστον, πρός Χριστόν κεκτημένος, θεόφρον πανόλβιε.

Θεοτοκίον

Ο τών όλων Κύριος, καί πάντων βασιλεύς, ο τώ Πατρί συνάναρχος, υπό χρόνον γέγονε Θεοτόκε Παρθένε, καί σάρξ εχρημάτισεν.

Τού Οσιομάρτυρος

Ο φωτισμός

Τόν σκοτασμόν, βδελυξάμενος Πάτερ τής αμαρτίας, όλος αναλάμψει τής απαθείας, φώς καθωράθης καί φωτίζεις τούς πίστει, προσιόντας τώ θείω τάφω σου, ταίς τών ιαμάτων αύγαίς θεία χάριτι.

Όλος Θεού, καταγώγιον ώφθης καλώς βιώσας, καί γενναιοφρόνως αθλήσας Πάτερ, καί νύν εν τάφω κατακείμενος μένεις, σώος μάκαρ καί αδιάλυτος, πάντων διαλύων πιστών τά νοσήματα.

Νεανικώς, αριστεύσας παμμάκαρ κατά δαιμόνων, καί κατά ανθρώπων αιρετιζόντων, αιωνιζούσης ηξιώθης ευκλείας, καί στεφάνων Ανδρέα, όθεν σε, μετά πόθου πάντες πιστοί μακαρίζομεν.

Θεοτοκίον

Φέρεις Χριστόν, εν αγκάλαις αρρήτω κυοφορία, εναγκαλιζόμενον τούς κακία, καθυπαχθέντας καί τώ πλάνω αθλίως, δουλωθέντας Κόρη πανύμνητε, όθεν ως Θεού σε Μητέρα δοξάζομεν.

Τού Προφήτου Ωδή ς'

Τόν Προφήτην διέσωσας

Προθεσπίζων τά μέλλοντα, Ωσηέ παμμακάριστε, τήν πρός τούς ανθρώπους τού Λόγου, εδήλωσας κάθοδον.

Νεκρωθέντα τοίς πταίσμασιν, η ζωή η αθάνατος, εκ τών κενεώνων τού Άδου,

ως έφης ανήγαγε.

Νομικών τήν αναίρεσιν, Ιουδαίων τήν έκπτωσιν, καί τών εθνών τήν στάσιν, Προφήτα εδήλωσας.

Θεοτοκίον

Εκ γαστρός σου ανέτειλε, Θεός Λόγος Πανάμωμε, σάρκα δι' ημάς απορρήτως, φορέσας ως εύσπλαγχνος.

Τού Οσιομάρτυρος

Εν αβύσσω πταισμάτων

Εν φρουρά σε ο άνομος έθετο, υπέρ τού Δεσπότου Ανδρέα φρουρούμενον, καί τό αυτού φυλάττοντα, απαράτρωτον ένθεον θέλημα.

Ρηγνυμένης σαρκός ουκ εφρόντισας, ταίς κατατομαίς τών μαστίγων Μακάριε, αλλ' ώσπερ άλλου πάσχοντος, εκαρτέρεις ενθέως ρωνννύμενος.

Ως πολύτιμος όλβος κρυπτόμενος, Πάτερ φανερούσαι υπ' όψεσι κείμενος, ως ευσεβών καί θαύμασι, πάντας καταπλουτίζεις τούς τιμώντάς σε.

Θεοτοκίον

Νοεράν σε λυχνίαν προέβλεπε, πάλαι ο Προφήτης τό θείον λαμπάδιον, Χριστόν Αγνή βαστάζουσαν, δι' ού πάντες ημείς εφωτίσθημεν.

Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον. Εκ φθοράς ο Θεός με ανάγαγε».

Κοντάκιον Ήχος γ'

Η Παρθένος

Εορτάζει σήμερον, η Βασιλεύουσα πόλις, εορτήν υπέρλαμπρον, τής φωτοφόρου σου Μνήμης, άπασαν προσκαλουμένη πόλιν καί χώραν, χαίρει γάρ, ως κτησαμένη θησαυρόν μέγαν, τό πολύαθλόν σου σώμα, Ανδρέα Μάρτυς, ορθοδοξίας φωστήρ.

Ο Οίκος

Αντί όπλων, σταυρόν αράμενος πανένδοξε, αντί θώρακος δέ, τήν πίστιν ενδυσάμενος, πρός πάλην εξήλθες εχθρών αοράτων καί ορωμένων, Μάρτυς, αυτόκλητος, καί τούτων κατέβαλες τάς παρατάξεις σθένει τού Πνεύματος, ού εμφορηθείς πλουσίως Όσιε, καμοί παράσχου βραχείαν χάριν, φωταγωγούσάν μου τόν νούν, αξίως τού υμνήσαί σου τούς γενναίους αγώνας, ορθοδοξίας φωστήρ.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΖ' τού αυτού μηνός, Μνήμη τού Αγίου Προφήτου Ωσηέ.

Στίχοι

Θεόν τυποίς μνηστήρα γής πορνευτρίας,
Πόρνη συναφθείς, όν Προφήτα νύν βλέπεις.
Εβδομάτη δεκάτη Ωσηέ νέκυν κτερέϊξαν.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Οσιομάρτυρος, Ανδρέου τού εν τή Κρίσει.

Στίχοι

Αμφοίν ποδών σών Ανδρέα τμηθείς ένα,
Αθλήσεως σής εκπεραίνεις τόν δρόμον.

Τή αυτή ημέρα, Μνήμη τής ανακομιδής τού τιμίου λειψάνου τού Αγίου καί Δικαίου Λαζάρου.

Στίχοι

Αίρουσα Χριστού τώ φίλω Πόλις πύλας,
«Λάζαρε δεύρο» χριστομιμήτως λέγει.

Εις τήν κατάθεσιν τού Λειψάνου τού αυτού Αγίου Λαζάρου.

Στίχοι

Κρύπτουσα νεκρόν Λαζάρου Ρώμη Νέα,
Άλλη παρ' ημίν δείκνυται Βηθανία.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων αυταδέλφων Μαρτύρων καί Αναργύρων, Κοσμά καί Δαμιανού, Λεοντίου, Ανθίμου, καί Ευτροπίου.

Στίχοι

Εκ τού γένους Άραβας, εκ δέ τού ξίφους,
Θείους αριστείς οίδα τούς, Αναργύρους.
Λεοντίου τμηθέντος, ώλετο πλάνος,
Λεοντομήρμυξ, ως Ιώβ βίβλος λέγει.
Άνθιμος, Ευτρόπιος εκτετμημένοι,
Ανθούσι λαμπρόν καί πανευπρεπές μάλα.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τού Προφήτου Ωδή ζ'

Αβραμιαίοι Παίδες

Υπερφυεί φωτισμώ, Ωσηέ τόν νούν φωτιζόμενος, τών μελλόντων μάκαρ' τήν γνώσιν επλούτησας, τώ Δεσπότη κραυγάζων. Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Σύ εν χερσί προφητών, ωμοιώθης πληθύνας αθάνατε, τάς οράσεις Σώτερ ποικίλως μορφούμενος, τοίς σοί πίστει βοώσιν. Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Τού Ισραήλ σύ πηγή, σωτηρίας προχέουσα νάματα, ποταμόν ειρήνης Χριστόν προκηρύττουσα, Ωσηέ, ώ βοώμεν. Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Θεοτοκίον

Ο εξ ανάρχου Πατρός, αναλάμψας εκ σού σεσωμάτωται, Θεομήτορ Κόρη, δι'

άφατον έλεος, όν υμνούντες βοώμεν. Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Τού Οσίου
Αντίθεον πρόσταγμα

Υψούμενα κύματα τής πονηρίας, τόν νούν ούκ εσάλευσαν, τόν σόν Ανδρέα Όσιε, εν πέτρα τής γνώσεως, Χριστού ιστάμενον, όθεν πάσιν άκλυστος λιμήν, χειμαζομένοις σαφώς γεγένησαι.

Μωραίς συζητήσεσιν ο δολιόφρων, τόν νούν σκοτιζόμενος, συλήσαι επειράτό σε, δογμάτων λαμπρότησι καλλωπιζόμενον, ώφλησε δέ γέλωτα Σοφέ, πλησθείς αισχύνης τή παρρησία σου.

Ο νούς σου ταίς νεύσεσι ταίς θειοτάταις, καθωραϊζόμενος, Ανδρέα αξιάγαστε, αστέρα ολόφωτον, πάσί σε έδειξε, θαύμασιν εκάστοτε πιστούς, φωταγωγούντα ανευφημούντάς σε.

Θεοτοκίον

Ναός εχρημάτισας Θεού τού ζώντος, εν ώ τήν κατοίκησιν αρρήτως εποιήσατο, Παρθένε πανύμνητε, ο ουρανούς κατοικών, καί δι' αγαθότητα πολλήν, βροτός γενέσθαι καταδεξάμενος.

Τού Προφήτου Ωδή η'
Τόν εν φλογί πυρός

Υπέρ κατάληψιν, η Προφήταις δοθείσα παρά τής θείας δωρεάς, προγνωστική ενέργεια, καί μελλόντων γνώσις! Υμνείτε Κύριον, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Στόμα θεόπνευστον, κεκτημένος καί γλώσσαν, θεηγορούσαν Ωσηέ θεοσεβείας αίγλην τε, φωταγωγούσαν μέλπεις, Υμνείτε Κύριον, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Λόγοις καί πράγμασι προφητεύων ελέγχεις, τόν εκπορνεύσαντα λαόν, συμβολικώς Πανόλβιε, εκδιδάσκων μέλπεις. Υμνείτε Κύριον, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Θεοτοκίον

Ο συναΐδιος, τού Θεού Θεός Λόγος, εκ τής αγίας σου γαστρός, σωματωθείς επέφανεν, Αγνή τοίς βοώσιν. Υμνείτε Κύριον, καί υπερυψούτε είς πάντας τούς αιώνας.

Τού Οσίου
Κάμινος ποτέ

Πάθη τής σαρκός, Σοφέ προθανατώσας, ασκητικοίς επ' αγωνίσμασιν, ήθλησας στερρότατα, τού Σωτήρος τό ομοίωμα, καί τής Παρθένου πάντων τε, Όσιε τών Αγίων, τιμητικώς ασπαζόμενος.

Οι μανιωδώς, κατά Χριστού λυττώντες, θήρες ως άγριοι επέθεντο, Πάτερ θανατώσαί σε, όθεν σύροντες καί παίοντες, απέρριψαν εις βάραθρα, Μάρτυρα αληθείας, σέ προφανώς εργαζόμενοι.

Θαύμασι πιστούς, ως νάμασιν αρδεύεις, καί φυγαδεύεις Παμμακάριστε, πονηρίας πνεύματα, καί καθαίρεις αρρωστήματα, τήν χάριν τών ιάσεων, άνωθεν δεδεγμένος, παρά Χριστού τού Θεού ημών.

Ώφθης Ουρανών, Παρθένε πλατυτέρα, Θεόν εν μήτρα σου χωρήσασα, τόν πάσιν αχώρητον, όν ικέτευε λυτρώσασθαι, στενοχωρίας άχραντε, Δέσποινα ψυχοφθόρου, τούς εύσεβώς ανυμνούντάς σε.

Ο Ειρμός

«Κάμινος ποτέ, πυρός εν Βαβυλώνι, τάς ενεργείας διεμέριζε, τώ θείω προστάγματι, τούς Χαλδαίους καταφλέγουσα, τούς δέ πιστούς δροσίζουσα, ψάλλοντας. Εύλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Τού Προφήτου Ωδή θ’

Χαίρε Παρθενίας

Γέρας ως Προφήτης είληφας, Ωσηέ δεξάμενος, στέφανον εύπρεπείας, παρά τού Θεού παμμακάριστε.

Όλω τώ φωτί λαμπόμενος, τού Χριστού Πανάριστε, δίδου ταίς σαίς πρεσβείαις, τούτον ευμενή τοίς υμνούσί σε.

Ύμνοις σύν Αγγέλων τάγμασιν, Ωσηέ παρέστηκας, τόν Δεσπότην γεραίρων, ζήσας πολιτείαν ισάγγελον.

Θεοτοκίον

Σώσαι βουληθείς τόν άνθρωπον, ο Σωτήρ καί Δεσπότης, εξ αχράντου Παρθένου, σάρκα τήν ημών ενεδύσατο.

Τού Οσίου

Ανάρχου Γεννήτορος

Ιδού Πάτερ Όσιε, τόν δρόμον σου ετέλεσας, τήν ορθόδοξον πίστιν τηρήσας άμωμον, δι' ήν εναθλήσας νομίμως, στέφος διπλούν άνωθεν εδέξω, ως Μάρτυς αήττητος, ασκητής ακαταγώνιστος.

Ως κρίνον ηδύπνοον, ως ρόδον Πάτερ ήνθησας, εν λειμώνι, τής θείας σαφώς ασκήσεως, καί ευωδιάζεις ως κέδρος, μαρτυρικώς κατηγλαϊσμένος, Ανδρέα πανόλβιε, μοναζόντων εγκαλλώπισμα.

Σημείοις καί τέρασι, σαφώς ωραϊόμενος, αδιάλυτος μένεις πάντων επ' όψεσι, κείμενος παμμάκαρ Ανδρέα, καί τάς ψυχάς φωτίζων τών πίστει, θερμή προσιόντων σοι, καί αεί μακαριζόντων σε.

Ημέραν εόρτιον, καί θυμηδίας έμπλεων, τήν αγίαν σου μνήμην άγοντες

σήμερον, πίστει εκβοώμέν σοι Πάτερ. Ταίς πρός Θεόν αγίαις λιταίς σου, πασών ημάς λύτρωσαι, τών τού βίου περιστάσεων.

Θεοτοκίον

Φωτός οικητήριον, η μήτρα σου γεγένηται, τού φωτίσαντος κόσμον αυγαίς Θεότητος, καί τής αγνωσίας τό σκότος, από τής γής πανάμωμε Κόρη, τελείως διώξαντος, διά τούτό σε δοξάζομεν.

Ο Ειρμός

«Ανάρχου Γεννήτορος, Υιός Θεός καί Κύριος, σαρκωθείς εκ Παρθένου, ημίν επέφανε, τά εσκοτισμένα φωτίσαι, συναγαγείν τά εσκορπισμένα, διό τήν πανύμνητον, Θεοτόκον μεγαλύνομεν».

Εξαποστειλάριον τού Προφήτου

Τοίς Μαθηταίς συνέλθωμεν

Ως λίαν υπερθαύμαστος, Ωσηέ θεηγόρε, η εκ Θεού δοθείσά σοι, πνευματέμφορος χάρις, δι' ής προείπας Προφήτα, εμφανώς τού Σωτήρος, τήν εκ Παρθένου σάρκωσιν, τόν σταυρόν καί τά πάθη, καί τήν σεπτήν, θείαν εξανάστασιν, Ισραήλ δέ, τού όντως ματαιόφρονος, εξολόθρευσιν άρδην.

Τού Οσίου, όμοιον

Ανδρέαν τόν καλλίνικον, ευφημήσωμεν πάντες, ενθέως εορτάζοντες, τήν σεπτήν αυτού μνήμην, οι ευσεβείς μετά πόθου, ούτος γάρ τού Σωτήρος, τά σεπτά εκτυπώματα, τών Αγίων τε πάντων, πανευσεβώς, τιμών ανεκήρυξεν, όθεν στέφος, εν ουρανοίς εδέξατο, σύν Αγγέλοις χορεύων.

Θεοτοκίον

Σέ προεδήλου Πάναγνε, προελθείν εκ λαγόνων, στειρωτικών η άνικμος, ράβδος του Ιερέως, βλαστήσασα παραδόξως, σέ Προφήται καί νόμος, Μητέρα προεκήρυττον, τού Δεσπότου τών όλων, καί Ποιητού, όν δυσώπει πάναγνε Παναγία, σωθήναι τούς υμνούντάς σε, άχραντε Θεοτόκε.

Εις τόν Στίχον, Στιχηρά της Οκτωήχου. Καί η λοιπή τού Όρθρου Ακολουθία, κατά τήν τάξιν, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΗ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Αποστόλου καί Ευαγγελιστού Λουκά.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους, ς' καί ψάλλομεν τά παρόντα Προσομοια Στιχηρά.

Ήχος πλ.δ'

Τί υμάς καλέσωμεν

Τί σε ονομάσω Απόστολε; ουρανόν, ότι τήν δόξαν διηγήσω τού Θεού. αστραπήν, ότι τόν κόσμον καταυγάζεις φωτισμώ, νεφέλην, επομβρούσαν θεία νάματα, κρατήρα, τής σοφίας ενθεώτατον, οινον ημίν αναβρύοντα, τόν τάς

καρδίας ευφραίνοντα. Ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Τί σε νύν προσείπω Θεόληπτε; ποταμόν, εκ Παραδείσου προερχόμενον ημίν, κιβωτόν τής διαθήκης, ήν διέθετο Χριστός, φωστήρα, νοητόν φώς απαστράπτοντα, λυχνίαν, Εκκλησίαν καταυγάζουσαν, άρτον ζωής, θείαν τράπεζαν, ποτήριον θείου πόματος. Ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Τί σε νύν θεόπτα καλέσωμεν; λειτουργόν τών μυστηρίων, δραστικώτατον Χριστού, τής σκηνής τής νοουμένης, αρχιτέκτονα σοφόν, τάς πλάκας, λατομούντα τάς τής χάριτος, τόν νόμον, γεγραφότα τόν καινότατον, τόν εκ Σιων προερχόμενον, καί διά σού κηρυττόμενον. Ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Τί σε νύν καλέσωμεν Ένδοξε; θησαυρόν τών ουρανίων, χαρισμάτων ασφαλή, ιατρόν καί τών ψυχών, καί τών σωμάτων ακριβή, τού Παύλου, συνεργάτην καί συνέκδημον, τάς Πράξεις Αποστόλων εκτιθέμενον. Πολλά Λουκά τά ονόματα, η αρετή σοι πεποίηκεν. Ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Τί σε Θεορρήμον προσφθέγξωμαι; Μαθητήν ότι ημίν, ευηγγελίσω τόν Χριστόν, ιατρόν ότι τά πάθη, θεραπεύεις τών ψυχών, λυχνίαν, νοητον φώς απαστράψασαν, κρηπίδα, ικαί θεμέλιον τής πίστεως, σύ γάρ ημίν διεχάραξας, τό πάνσεπτον Ευαγγέλιον. Ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Τί σε νύν προσείπω Θαυμάσιε; θεωρόν τών τής σοφίας, διδαγμάτων αψευδή; συγγραφέα πρακτικόν, τής Αποστόλων διδαχής, καί στύλον, ευσεβείας ακατάσειστον, ή πύργον Εκκλησίας ακατάλυτον. Πολλά σου τά προτερήματα, καί μείζονα τά χαρίσματα. Ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Δόξα... Ήχος πλ. β'  Ανατολίου

Απόστολε Χριστού, καί τών θείων δογμάτων Συγγραφεύ, καί της Εκκλησίας εδραίωμα, σύ ως αληθώς, τάς εν ζόφω τής αγνωσίας καρδίας, εισδυσάσας εν τώ βυθώ τής απωλείας, ελκύσας θεηγορίαις, διέσωσας ως εκ σάλου τρικυμίας, οπαδός γενόμενος τού σκεύους τής εκλογής Παύλου, αλλά καί μιμητής. Όθεν αιτούμέν σε, Λουκά αξιάγαστε, τών Αντιοχέων τό εγκαλλώπισμα. Πρέσβευε τώ Σωτήρι καί Θεώ υπέρ τών πίστει εκτελούντων τήν αεισέβαστον μνήμην σου.

Καί νύν... Θεοτοκίον

Τριήμερος ανέστης

Τριάς απειροδύναμε, μονάς η Τρισυπόστατος, ταίς πρεσβείαις τού σεπτού σου Μαθητού, καί θείου Αποστόλου, καί τής Αειπαρθένου, σώσον ημάς τούς ανυμνούντάς σε.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος πλ. α’  Χαίροις ασκητικών

Χάρις τοίς χείλεσί σου Λουκά, πυρίνη γλώσση εξεχύθη Απόστολε, καί

γλώσσα πυρός εδείχθης, λόγους εκπέμπων φωτός, τοίς φωτός αξίοις τώ κηρύγματι, βολίδας φλεγούσας δέ, τοίς τό σκότος ποθήσασι, γράφων διδάσκων, τό σεπτόν Ευαγγέλιον, καί οσμή ζωής, τοίς ζωήν οντως Θέλουσιν, ώφθης ως Παύλος έφησεν, όν έσχες διδάσκαλον, οσμή θανάτου δέ πάλιν, τοίς μή ζωήν αγαπήσασιν. Αλλ' ημίν ειρήνην, καί ζωήν καί φώς παράσχου, καί μέγα έλεος.

Στίχ. Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών.

Έγνωμεν εκ τών λόγων τών σών, καθάπερ έφης τήν τών λόγων ασφάλειαν, ών έθου ενθέως Μύστα, επείπερ γράψαι ημίν, περί τών πραγμάτων επεχείρησας, ών πεπληροφόρησαι, καί καθώς σοι παρέδωκαν, οι πρίν αυτόπται, ών καί σύ ίσος γέγονας, υπηρέτης τε, τής τού Λόγου σαρκώσεως, όν μετά την Ανάστασιν, εις Εμμαούς έβλεψας, καί καιομένη καρδία, μετά Κλεόπα συνέφαγες. Αυτού θείας θέρμης, καί ημών τών σέ τιμώντων, τάς ψυχάς πλήρωσον.

Στίχ. Οι ουρανοί διηγούνται δόξαν Θεού ποίησιν δέ χειρών αυτού αναγγέλλει τό στερέωμα.

Χαίρε ο μόνος γράψας ημίν, τό Χαίρε χαίρων τής Αγνής Ευαγγέλιον, καί ταύτην Κυριοτόκον, ειπόντα τόν Βαπτιστήν, εκ γαστρός ού γράφεις, καί τήν σύλληψιν, καί Λόγου τήν σάρκωσιν, πειρασμούς καί τά θαύματα, λόγους καί πάθη, τόν σταυρόν καί τόν θάνατον, καί τήν έγερσιν, ήν περ είδες, καί άνοδον, Πνεύματός τε τήν κάθοδον, κηρύκων τάς πράξεις τε, καί εξαιρέτως τού Παύλου, ού περ εδείχθης συνέκδημος, ακέστορ καί Μύστα, καί φωστήρ τής Εκκλησίας, ήν φρούρει πάντοτε.

Είτα τό παρόν ιδιόμελον.

Στίχ. Εξεχύθη η χάρις εν χείλεσί σου.

Ήχος δ’ Βασιλείου

Τώ τής Σοφίας αλιευτικώ καλάμω, τής νοητής θαλάσσης, τόν βυθόν ανιχνεύων, εκ θανατηφόρου βυθού, τάς τών πιστών ψυχάς εζώγρησας, Λουκά παμμακάριστε. Όθεν τώ Παύλω μαθητευθείς, όλην εκάθηρας τήν σαυτού καρδίαν, τή επιλάμψει τού Πνεύματος, καί τοίς δόγμασί σου τά έθνη φωτίσας, τά τών παθών νοσήματα, τοίς θαύμασιν ιάτρευσας, Χριστόν τόν Θεόν υπέρ ημών αεί δυσωπών, τού σωθήναι τάς ψυχάς ημών.

Δόξα... Ήχος πλ. β'

Πάνσοφε Αλιεύ, Άγιε Μαθητά, εργάτα τού Σωτήρος, καί θρίαμβε τών αυτού παθημάτων, ο τήν κτίσιν τή πίστει διαδραμών, καί τής πλάνης τά έθνη συναγαγών, καί Θεώ προσενέγκας, ως θυμίαμα καλόν, εις ουρανούς ευωδώθης. Διό παριστάμενος τώ Κριτή, πρέσβευε ρυσθήναι ημάς, τών

ανομιών ημών, καί εν η μέρα κρίσεως, λυτρωθήναι κολάσεως.

Καί νύν… Θεοτοκίον

Ο ποιητής καί λυτρωτής μου Πάναγνε, Χριστός ο Κύριος, εκ τής σής νηδύος προελθών, εμέ ενδυσάμενος, τής πρώην κατάρας τόν Αδάμ ηλευθέρωσε, διό σοι Πάναγνε, ως τού Θεού Μητρί τε, καί Παρθένω αληθώς, βοώμεν ασιγήτως, τό χαίρε τού Αγγέλου. Χαίρε Δέσποινα, προστασία καί σκέπη, καί σωτηρία τών ψυχών ημών.

Απολυτίκιον Ήχος γ’

Απόστολε Άγιε, καί Ευαγγελιστά Λουκά, πρέσβευε τώ ελεήμονι θεώ, ίνα πταισμάτων άφεσιν, παράσχη ταίς ψυχαίς ημών.

Δόξα… Καί νύν... Θεοτοκίον

Σέ τήν μεσιτεύσασαν, τήν σωτηρίαν τού γένους ημών, ανυμνούμεν Θεοτόκε Παρθένε, εν τή σαρκί γάρ τή εκ σού προσληφθείση, ο Υιός σου καί Θεός ημών, τό διά Σταυρού καταδεξάμενος πάθος, ελυτρώσατο ημάς, εκ φθοράς ως φιλανθρωπος.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, ψάλλονται οι Κανόνες τής Οκτωήχου, καί τού Αποστόλου, ο παρών, εις ς’.

Ποίημα Θεοφάνους

Ωδή α' Ήχος πλ. δ'
Η κεκομμένη

Τής ανωτάτω σοφίας τό στόμα σου, κρατήρα θείον Σοφέ, πάντες επιστάμενοι, Απόστολε Λουκά, τόν μέγαν καί απόρρητον, τής χάριτος πλουτούντες θησαυρόν, προθύμως αρυόμεθα, τώ Κυρίω ψάλλοντες. Ενδόξως γάρ δεδόξασται.

Μυσταγωγών σε Χριστός τά ουράνια, καί θεοπνεύστους γραφάς, αμέσως διανοίγων σοι Απόστολε Λουκά, καί μύστην αναδείκνυσι, καί κήρυκα σοφόν τών υπέρ νούν, ευτόνως ανακράζοντα. Τώ Κυρίω άσωμεν. Ενδόξως γάρ δεδόξασται.

Χειροτονεί σε τώ Παύλωσυνέκδημον, η Εκκλησία Χριστού, Λουκά παμμακάριστε, τή χάριτι αυτού ευθέως διαλάμποντα, επόμενόν τε ίχνεσιν αυτού, καί συνανακράζοντα. Τώ Κυρίω άσωμεν. Ενδόξως γάρ δεδόξασται.

Θεοτοκίον

Τής ανεκφράστου καί θείας συλλήψεως, τής πανυμνήτου Αγνής, τόν τρόπον διεσάφησας, Απόστολε Λουκά, τό Πνεύμα τό Πανάγιον, ελήλυθε σαφώς γάρ επ' αυτήν, καί Λόγος επεσκίασεν, ώ συμφώνως ψάλλομεν. Ενδόξως γάρ δεδόξασται.

Ωδή γ’  Σύ εί τό στερέωμα

Σού τό Ευαγγέλιον, Λουκά Θεσπέσιε άνωθεν, Ανατολήν, επισκεψαμένην, τούς ανθρώπους παρίστησι.

Πράξεις ενθεώτατα, διαπραττόμενος άριστα, πανευσεβώς, τάς τών Αποστόλων, γραφικώς ανιστόρησας.

Παύλος ο μακάριος, τών εγκωμίων σοι έπλεξε, τάς απαρχάς, καί τούς σούς επαίνους, επιγράψας παρέθετο.

Θεοτοκίον

Σέ νύν μακαρίζουσιν, ως προεφήτευσας Άχραντε, αι γενεαί, πάσαι τών ανθρώπων, διά σού νύν σω ζόμεναι.

Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς τών εσκοτισμένων, καί υμνείσε τό πνεύμά μου».

Κάθισμα   Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Ως συνέκδημος Παύλου αναδειχθείς, τούς ποικίλους κινδύνους καρτερικώς, υπέμεινας πανεύφημε, τού Κυρίου Απόστολε, καί τόν δρόμον αθλήσει, τελέσας τής πίστεως, σύν αυτώ εν υψίστοις, εύφραίνει Μακάριε, όθεν καί τώ κόσμω, τό Χριστού Ευαγγέλιον, κηρύξας εφώτισας, τήν υφήλιον άπασαν. Λουκά πανσεβάσμιε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα… Καί νύν... Θεοτοκίον

Τήν ουράνιον πύλην καί κιβωτόν, τό πανάγιον όρος τήν φωταυγή, νεφέλην υμνήσωμεν, τήν ακατάφλεκτον βάτον, τόν λογικόν Παράδεισον, τής Εύας τήν ανάκλησιν, τής οικουμένης πάσης, τό μέγα κειμήλιον, ότι σωτηρία, εν αυτή διεπράχθη, τώ κόσμω καί άφεσις, τών αρχαίων εγκλημάτων. Διά τούτο βοώμεν αύτή, Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς προσκυνούσιν εν πίστει, τόν άχραντον τόκον σου.

Ωδή δ'

«Επέβης εφ' ίππους, τούς αποστόλους σου Κύριε, καί εδέξω χερσί σου, ηνίας αυτών, καί σωτηρία γέγονεν, η ιππασία σου, τοίς πιστώς μελωδούσι. Δόξα τή δυνάμει σου Κύριε».

Ως ώφθης τή αίγλη, πεφωτισμένος τού Πνεύματος, ηξιώθης χερσί σου, τούς νόμους αυτού, τοίς θεοφίλοις άριστα διατυπώσασθαι, τοίς πιστώς μελωδούσι. Δόξα τή δυνάμεισου Κύριε.

Η χάρις ευρούσα, τού Παρακλήτου σε σκήνωμα, εξεχύθη πλουσίως, σοίς χείλεσι, καί τής ειρήνης κήρυκα, πάσιν ανέδειξε, τοίς πιστώς μελωδούσι. Δόξα τή δυνάμει σου Κύριε.

Αγώνων τώ Παύλω, ως κοινωνός ώφθης Ένδοξε, καί στεφάνων ενδίκως ηξίωσαι, τής βασιλείας, ένθα νύν συναγαλλόμενοι, κραυγάζετε συμφώνως. Δόξα τή δυνάμει σου Κύριε.

Ευρών σου τό κάλλος, τής διανοίας ο Κύριος, ως ταίς θείαις ακτίσιν, ωραίως διαλαμπούσης, κήρυκά σε προχειρίζεται, τοίς πίστει μελωδούσι. Δόξα τή δυνάμει σου Κύριε.

Θεοτοκίον

Καθείλε δυνάστας, από τών θρόνων ο Κύριος, η Παρθένος καί Μήτηρ ως έφησε, τούς δέ πεινώντας, θείων αγαθών ενέπλησε, τούς πιστώς μελωδούντας. Δόξα τή δυνάμει σου Κύριε.

## Ωδή ε' Φώτισον ημάς

Φώς τό νοητόν, τή καρδία σου δεξάμενος, τών μολυσμάτων εκ τών πρίν καθαρθείς, αγάπης νόμω, τοίς πάσι Λουκά μετέδωκας.

Σύ ταίς αστραπαίς, ταίς τής χάριτος πανόλβιε, κατηυγασμένος καθωράθης σαφώς, πυρίνη γλώσση, ενθέως Λουκά φθεγγόμενος.

Παύλω τώ σοφώ, συνοδεύειν επεπόθησας, αγαπητός γάρ προσηγόρευσαι, ως υπηρέτης, Ευαγγελιστά τής χάριτος.

Θεοτοκίον

Χαίροις αληθώς, παρθενίας τό κειμήλιον, η τής Προμήτορος ανάκλησις, καί τής κατάρας, η λύσις τού Προπάτορος.

## Ωδή ς' Τήν δέησιν εκχεώ

Εις όρος τών αρετών Απόστολε, αναβάς τώ ποθουμένω ωμίλεις, καί ως Μωσής θεογράφους, τάς πλάκας, εγγεγραμμένας δακτύλω του Πνεύματος, εδέξω Μακάριε διττάς, Λουκά τής οικουμένης διδάσκαλε.

Τόν κόσμον σαίς διδαχαίς εφώτισας, οία ρήτωρ τής σεπτής Εκκλησίας, ταίς γάρ αυγαίς, τής ακτίστου Τριάδος, πεπυρσευμένος ωράθης Θεόληπτε, καί γέγονας ώσπερ αστήρ, δαδουχών οικουμένης τά πέρατα.

Τάς νόσους νύν τών ψυχών Θεόπνευστε, ιατρεύεις τών σωμάτων ώς πάλαι, εμπιστευθείς, ουρανόθεν τό δώρον, καί ως πλουτήσας τήν χάριν τού Πνεύματος, ο Παύλος γάρ σε μαρτύρων, ιατρόν γεγονέναι παρίστησιν.

Θεοτοκίον

Επέβλεψεν επί σέ ο Κύριος, τήν εμήν ανακαινίζων ουσίαν, ως δυνατός, μεγαλεία ποιήσας, Θεογεννήτορ ως έφης Πανάμωμε, καί έσωσέ με διά σού εκ φθοράς, ως Θεός καί φιλάνθρωπος.

Ο Ειρμός

«Τήν δέησιν εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών, η Ψυχή μου επλήσθη, καί η ζωή μου τώ, Άδη προσήγγισε, καί δέομαι ως Ιωνάς. Εκ φθοράς ο Θεός με ανάγαγε».

## Κοντάκιον Ήχος δ’
## Επεφάνης σήμερον

Μαθητής γενόμενος τού Θεού Λόγου, σύν τώ Παύλω άπασαν, εφωταγώγησας τήν γήν, καί τήν αχλύν απεδίωξας, τό θείον γράψας, Χριστού Ευαγγέλιον.

## Ο Οίκος

Ως ιατρός καί μαθητής Λουκά ηγαπημένος, μυστική χειρουργία τά πάθη τής ψυχής μου, καί τά τού σώματος ομού ίασαι, καί δός μοι κατά πάντα ευεκτείν, καί σού τήν παναοίδιμον γηθόμενος γεραίρειν πανήγυριν, όμβροις τε δακρύων, αντί μύρων τό σεπτόν σου καί πάντιμον σώμα καταβρέχειν, ως στήλη γάρ ζωής εγγεγραμμένη τώ ναώ τώ θαυμαστώ τών Αποστόλων πάσιν εκφωνει, καθάπερ καί σύ τό πρώτον, το θείον γράψας Χριστού Ευαγγέλιον.

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΗ’ τού αυτού μηνός, Μνήμη τού Αγίου Αποστόλου καί Ευαγγελιστού Λουκά.

## Στίχοι

«Είς Εμμαούς βλέπειν σε κάν πρίν ειργόμην,
(Λουκάς λέγει), τρανώς σε νύν Χριστέ βλέπω».
Ογδοάτη δεκάτη πέρατος βίου έμμορε Λουκάς.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Μαρίνου τού γέροντος.

## Στίχοι

Γέρων Μαρίνος εξελέγχει γραύν πλάνην,
Τόλμη νεάζων, καί τελειούται ξίφει.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Ιουλιανού τού εν τώ Ευφράτη.

## Στίχοι

Εκ τού παρατρέχοντος ως όναρ βίου,
Ιουλιανός άσμενος παρατρέχει.

Ο Άγιος Μνάσων επίσκοπος Κύπρου, καί οι Άγιοι τεσσαράκοντα παίδες ξίφει τελειούνται.

Μνήμη τών Αγίων νεοφανών Μαρτύρων Γαβριήλ καί Κυρμιδώλη τών εν Αιγύπτω αθλησάντων τώ 1522.

Ταίς αυτών αγίαις πρεσβείαις, ο θεός,ελέησον ημάς. Αμήν.

## Ωδή ζ' Παίδες Εβραίων

Όπως Λουκά τε καί Κλεόπα, εμφανίζεται Δεσπότης εκ τού τάφου! αναστάς γάρ αυτούς, εδίδασκε κραυγάζειν. Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Τρίβον τού βίου διατρέχων, συνοδεύοντα τόν Λόγον εύρες Μάκαρ, ουρανίων σκηνών, ανοίγοντά σοι πύλας, Ευλογητός ει κράζοντι, ό Θεός εις τούς αιώνας.

Λύρα τού Πνεύματος εδείχθης, μελωδήματα θεόθεν φθεγγομένη, τούς ανθρώπους Λουκά, φωτίζουσα βοώντας. Εύλογητός εί Κύριε, ο Θεός είς τούς αιώνας.

Θεοτοκίον

Χαίρε Μαρία Θεοτόκε, ο Ασώματος εβόα σοι Παρθένε. σύν αυτώ δέ πιστοί, βοώμέν σου τώ τόκω. Ευλογημένος πάναγνε, ο καρπός τής σής κοιλίας.

## Ωδή η' Τόν εν όρει αγίω

Θεογράφους, ως πλάκας δεδεγμένοι, τάς σάς βίβλους, πιστώς κατατρυφώμεν, τού φωτισμού τής χάριτος πανόλβιε, Κύριον υμνούντες, καί υπερυψούντες, εις πάντας τούς αιώνας.

Ως οργάνω, τή γλώττη σου τό πνεύμα, κεχρημένον, φωτίζει τούς ανθρώπους, μυσταγωγούν τής χάριτος τά δόγματα, Κύριον υμνούντας, καί υπερυψούντας, εις πάντας τούς αιώνας.

Συνεδέθης, τή σχέσει μετά Παύλου, Θεορρήμον, Λουκά τώ θεηγόρω, καί ξυνωρίς πανέντιμος εδείχθητε, Κύριον υμνούντες, καί υπερυψούντες, εις πάντας τούς αιώνας.

Θεοπλόκω, σαγήνη σου τών λόγων, θεοκήρυξ, τους πλάνη κρατουμένους, πρός φωτισμόν τής πίστεως εζώγρησας, Κύριον υμνούντας, καί υπερυψούντας, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Ελισάβετ, Μητέρα σε Κυρίου, προσεφώνει, Προφήτις δεδειγμένη, τόν Βαπτιστήν καί Πρόδρομον βαστάζουσα. Κύριον υμνείτε, καί υπερυψούτε, βοώσα εις αιώνας.

Ο Ειρμός

«Τόν εν όρει, αγίω δοξασθέντα, καί εν βάτω, πυρί τό τής Παρθένου, τώ Μωϋσεί μυστήριον γνωρίσαντα, Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

## Ωδή θ' Όρους παρήλθες

Έστης Λουκά τής εφέσεως, τό τών ορεκτών οία φθάσας τό έσχατον, καί τέλους μακαρίου σαφώς επέτυχες, λυθέντων τών εσόπτρων,τής αληθείας ταίς εμφάσεσι.

Λάμψας τώ κόσμω ως ήλιος, ενθεαστικώς τή Τριάδι παρίστασαι, σύν Παύλω τώ θεόπτη, Λουκά πανεύφημε, μεθ' ού σεθεοφάντορ, ακαταπαύστως μεγαλύνομεν.

Αίγλη Λουκά τή φωσφόρω σου, τούς σούς υμνητάς φαιδρυνθήναι δυσώπησον, καί κόσμω τήν ειρήνην παμμάκαρ βράβευσον, όπως σε θεηγόρε, ακαταπαύστως μεγαλύνωμεν.

Χαίρων Λουκά νύν παρίστασαι, τώ Παμβασιλεί τώ στεφάνω κοσμούμενος, τής θείας ευπρεπείας καί ωραιότητος, διό σε θεορρήμον, ακαταπαυστως μεγαλύνομεν.

Θεοτοκίον

Λόγον εδέξω τόν άσαρκον, φύσιν τήν εμήν αναπλάσαι βουλόμενον, καί τούτον σαρκωθέντα Παρθένε τέτοκας, διό σε Θεοτόκε, ακαταπαύστως μεγαλύνομεν.

Ο Ειρμός

«Όρους παρήλθες τής φύσεως,τόν Δημιουργόν συλλαβούσα καί Κύριον, καί πύλη σωτηρίας τώ κόσμω γέγονας, διό σε Θεοτόκε, ακαταπαύστως μεγαλυνομεν».

Εξαποστειλάριον

Τοίς Μαθηταίς

Λουκά Χριστού Αποστολε, μύστα τών απορρήτων, καί των εθνών Διδάσκαλε, μετά Παύλου τού θείου, καί τής αγνής Θεοτόκου, ής τήν θείαν εικόνα, εκ πόθου ανιστόρησας, εκδυσώπει θεόπτα, υπέρ ημών, τών μακαριζόντων σε καί τιμώντων, τήν ιεράν σου κοίμησιν, Πάνσοφε μυστολέκτα.

Θεοτοκίον

Δέσποινα πάντων Άνασσα, πρόφθασον εν κινδύνοις, πρόφθασον εν ταίς θλίψεσι, πάρεσο εν ανάγκαις, τής τελευταίας ημέρας, μή Σατάν ημάς λάβη, μή Άδης, μή απώλεια, αλλά τώ τού Υιού σου, τότε φρικτώ, ανευθύνως βήματι παραστώμεν, ως Θεομήτωρ γάρ αγνή, όσα θέλεις ανύεις.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'  Νεφέλην σε φωτός

Χριστού τόν Μαθητήν, τόν τού Ευαγγελίου συγγραφέα σοφώτατον, σκεύους τής εκλογής τόν ωραίον, χαρακτήρα έμψυχον πιστοί, ού εν ταίς Εκκλησίαις απάσαις ο έπαινος, Λουκάν τόν Απόστολον, εν ύμνοις Τιμήσωμεν. αυτός γάρ εκήρυξε, τού Θεού τά παράδοξα θαύματα, φωτίσας τούς επί γής, θεολογίας ακτίσι διά τής χάριτος.

Ψυχών ιατρικήν, υπέρ τήν τών σωμάτων εκμαθών, επιστήμην Σοφέ, κατ' άμφω παγκαλής ανεδείχθης, τήν Θεού σοφίαν εμπνευσθείς, εν ή καί θεραπεύων ψυχάς καί τά σώματα, Λουκά παμμακάριστε, καλείς πρός επίγνωσιν, πτεροίς πρός τόν έρωτα τού Θεού, τούς ανθρώπους εκάστοτε, ανάγεις εις ουρανόν, καί υπέρ πάντων πρεσβεύεις τών ευφημούντων σε.

Αγκίστρω λογικώ, τούς εν βάθει αγνοίας, ως ιχθύας εισδύσαντας, ελκύσας εις

επίγνωσιν θείαν, τώ Χριστώ οψώνιον καλόν, προσηγάγω Παμμάκαρ, τιμήν αξιόχρεων, ζωήν τήν ακήρατον λαβόντας καί άληκτον, διό καί Απόστολος τού Χριστού εχρημάτισας, Σοφός Ευαγγελιστής, καί συγγραφεύς τών πραχθέντων έργων τής Χάριτος.

Είτα τό ιδιόμελον τούτο.

Ήχος πλ. δ’
Λέοντος Μαϊστορος

Δεύτε πάσα κτίσις, τόν αληθώς ιατρόν πνευματικόν, καί τού Σωτήρος Μαθητήν, Λουκάν τόν αοίδιμον εν ωδαίς ευφημήσωμεν. Ούτος γάρ αθεϊας τήν νοσον, τώ επιχρίσματι τής Χριστού κολυμβήθρας εθεράπευσε, καί ποταμούς θεοβρύτων ναμάτων εκ στόματος, εψυχωμέναις χώραις, τού Ευαγγελίου κατήρδευσεν, όθεν εξήλθε προφητικώς ο φθόγγος αυτού εις τήν οικουμένην, καί πρεσβεύει σωθήναι τάς ψυχάς ημών.

Δόξα... Ήχος ο αυτός

Δαυϊτικώς συνελθόντες οι Πιστοί εν άσμασι, τώ μυστικώ ρήτορι τού Λόγου, Λουκά εκβοήσωμεν. Η γλώσσά σου κάλαμος γραμματέως εδείχθη, Χριστού τού οξυγράφου, ωραϊζουσα τάς όψεις, πρός τήν γνώσιν τών εθνών, τής θείας επιγνώσεως, εν ή ανεκήρυξας τό Ευαγγέλιον, καί τών συναποστόλων σου τάς Πράξεις συνεγράψω. Διό παριστάμενος τή Τριάδι καί Θεώ, πρέσβευε υπέρ τών ψυχών ημών.

Καί νύν… Θεοτοκίον

Δέσποινα πρόσδεξαι, τάς δεήσεις τών δούλων σου, καί λύτρωσαι ημάς, από πάσης ανάγκης καί θλίψεως.

Δοξολογία Μενάλη, καί Απόλυσις

Εις τήν Λειτουργίαν

Τά Τυπικά, καί εκ τού Κανόνος τού Αποστόλου η γ' καί ς' Ωδή.

Κοινωνικόν

Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών, καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών. Αλληλούϊα.

---

Αρχή

**ΤΗ ΙΘ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τού Αγίου Προφήτου Ιωήλ καί τού Αγίου Μάρτυρος Ουάρου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Προσόμοια Στιχηρά.

Τρία τού Προφήτου

Ήχος πλ.δ'
Ώ τού παραδόξου θαύματος

Τό θείον Πνεύμα εκκέχυται, ως ο σεπτός Ιωήλ, προφητεύων εθέσπισε, παρ' αυτού κινούμενος, εφ' ημάς τούς πιστεύοντας, καί μυστηρίων θείων φανέρωσιν, αποκαλύπτει, καί προφητεύουσιν, οι τήν ενέργειαν, τήν αυτού δεξάμενοι, καί θεϊκή, αίγλη φωτιζόμενοι, καί θεία χάριτι.

Θεηγορίας ανάπλεως, ο θαυμαστός Ιωήλ, ως πηγή εκπορεύεται, τάς ψυχάς αρδεύουσα, εκ τού οίκου σου Δέσποτα, καί γλυκασμόν ημίν απεστάλαξε, τάς διανοίας καταγλυκαίνοντα, όλος μετάρσιος, γεγονως τώ πνεύματι, δι ' αρετής, ανακουφιζόμενος, πρός θείον ύψωμα.

Προφητική παρρησία σου, καί νοερά πρός Θεόν, Ιωήλ οικειότητι, δι' ής τά ουράνια, κατοπτεύεις θεάματα, υπέρ ημών αυτόν εξιλέωσαι, τών εκτελούντων, πίστει τήν μνήμην σου, λύσιν αιτούμενος, τών πταισμάτων ένδοξε, καί μετοχήν, θείων απολαύσεων, καί μέγα έλεος.

Καί τρία τού Μάρτυρος

Ήχος πλ. β’
Όλην αποθέμενοι

Άθλους θεασάμενος, τών καλλινίκων Μαρτύρων, θάρσους θείου έμπλεως, γεγονώς εισέδραμες εις τό στάδιον, καί Χριστόν Ούαρε, δι' ημάς άνθρωπον, γεγονότα ανεκήρυξας, μή πτήξας θάνατον, μηδέ τά προκείμενα βάσανα, διό καταικιζόμενος, καί ανηλεώς συγκοπτόμενος, έχαιρες τελείω, νοϊ αποσκοπούμενος σοφέ, τήν διαμένουσαν εύκλειαν, τοίς Θεόν ποθήσασι.

Σάρκας σύν τοίς αίμασι, καταπιπτούσας εώρας, καί ως άλλου πάσχοντος, Αθλητά διέκεισο γενναιότατε, προσδεθείς ξύλω γάρ, σπαραγμούς ήνεγκας, υπ' ανόμων καρτερώτατα, Θεού εις χείρας δέ, πνεύμά σου τό θείον παρέδωκας, εκπλήξας τούς ορώντάς σε, ταίς απεριτρέπτοις ενστάσεσιν, όθεν σε τιμώμεν, μεγάλως αριστεύσαντα Σοφέ, καί καθελόντα τόν τύραννον, Ούαρε τοίς πόνοις σου.

Αλείφουσα μύροις σε, η θαυμαστή Κλεοπάτρα, υπό γήν κατέθετο, καί ναόν πανάγιον ανεδείματο, εορτήν άγουσα, θαυμαστήν Ούαρε, καί πιστώς σε λιτανεύουσα. ής τό παιδάριον, νοητή στρατεία κατέλεξας, καί δόξη κατεκάλλυνας, καί χοροίς Αγίων συνέταξας, ού περ τής μερίδος, αξίωσον ημάς τούς ευσεβώς, τήν σήν τελούντας πανήγυριν, Μάρτυς αξιάγαστε.

Δόξα… Καί νύν... Θεοτοκίον

Μόνος υπέρ άπαντας, υιούς ανθρώπων ό τάλας, μόνος επλημμέλησα, τά καί λόγω άφθεγκτα καί ακούσματι, μηδαμώς Άχραντε, φορητά πέλοντα, διά τούτό σου καί δέομαι. Σύγγνωθι Δέσποινα, σύγγνωθι καί δός μοι μετάνοιαν, δός μοι

εξομολόγησιν, δός μοι στεναγμούς τε καί δάκρυα, ίνα διά τούτων, συντρίβων τήν καρδίαν μου αεί, κράζω τό, Ήμαρτον Κύριε, ιλάσθητι σώσόν με.

Η Σταυροθεοτοκίον

Ρομφαία ως έφησεν, ο Συμεών τήν καρδίαν, τήν σήν διελήλυθε, Παναγία Δέσποινα, ότε έβλεψας, τόν εκ σού λάμψαντα, απορρήτω λόγω υπ' ανόμων ως κατάκριτον, Σταυρώ υψούμενον, όξος και χολήν τε γευόμενον, πλευράν τε ορυττόμενον, χείράς τε καί πόδας ηλούμενον, καί οδυρομένη, ωλόλυζες βοώσα μητρικώς. Τί τούτο, τέκνον γλυκύτατον, τό καινόν μυστήριον.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, οι Κανόνες, είς τής Οκτωήχου, καί τών Αγίων οι παρόντες δύο. Ο Κανών τού Προφήτου, ού η Ακροστιχίς.

Χρησμούς, Ιωήλ τού Προφήτου θαυμάσω.

Ποίημα Θεοφάνους

Ωδή α' Ήχος β'
Δεύτε λαοί

Χορός ημίν, τών Προφητών συνευφραίνεται, εγκωμιαζομένου σου, τού ούρανόφρονος, Ιωήλ θεοφάντορ, μεθ' ών ημάς σωθήναι, Μάκαρ δυσώπησον.

Ρημα Θεού, προκαταγγέλλων θεσπέσιε, τήν χαλεπήν εμήνυσας, οργήν καί ένδικον, τήν εκ τής ασεβείας, συμβάσαν τώ λαώ σου τώ ματαιόφρονι.

Η θαυμαστή, καί φωτοφόρος τού Πνεύματος, ζωοποιός επίπνοια, σοί επεσκίασε, καί μελλόντων τήν γνώσιν, ενέπνευσε Προφήτα, μακαριώτατε.

Θεοτοκίον

Σέ η σκηνή, τού μαρτυρίου προέγραψε, πολυειδώς τυπούμενον, αποδεικνύουσα, τόν εκ σού σαρκωθέντα, ατρέπτως Θεομήτορ, Πάναγνε Δέσποινα.

Ο κανών τού Μάρτυρος, φέρων , Ακροστιχίδα.

Άθλους επαινείν Ουάρου κλέος μέγα. Ιωσήφ

Ωδή α' Ήχος πλ. β'
Ως εν ηπείρω

Αναφανείς εν τώ ύψει τής τού Χριστού, Εκκλησίας Ούαρε, ώσπερ ήλιος φαιδρός, αστραπαίς ελάμπρυνας τών σών, παλαισμάτων τά τής γής Μάκαρ πληρώματα.

Θείας αγάπης Παμμάκαρ κατασχεθείς, τώ γλυκίστω έρωτι, απηρνήσω σεαυτόν, καί πρός πάσαν βάσανον σαρκός, προσεχώρησας στερρώς

αγωνισάμενος.

Λελογισμένως τών θείων αγωνιστών, τοίς δεσμοίς συνέδησας, Αθλοφόρε σεαυτόν, καί τής πλάνης έλυσας δεσμά, σταθηρά υπομονή πολλών κολάσεων.

Θεοτοκίον

Ουπερούσιος Λόγος σου εν γαστρί, υπέρ λόγον ώκησε, καί τεχθείς θεοπρεπώς, τών Μαρτύρων άχραντε χορούς, επεσπάσατο, μεθ' ών υμνολογούμέν σε.

Τού Προφήτου

Ωδή γ'

Στερέωσον ημάς

Μυούμενοι τοίς σοίς σοφοίς δόγμασι, νηστείαν Προφήτα καί θεραπείαν, ευσεβώς ανακηρύττομεν, εις τόν οίκον Κυρίου πορευόμενοι.

Οι ταίς σαίς διδαχαίς ακολουθήσαντες, εξ όλης καρδίας καί διανοίας, εν κλαυθμώ τε καί δεήσεσι, τόν Θεόν εκζητούμεν αξιάγαστε.

Υπέφηνας ημίν τού Παντοκράτορος, Δεσπότου Προφήτα μακροθυμίαν, καί τήν θείαν αγαθότητα, διετράνωσας τούτου καί χρη στότητα.

Θεοτοκίον

Συνέλαβες Αγνή Θεόν καί έτεκες, τόν Λόγον αφράστως σεσαρκωμένον, εν Προφήταις τόν λαλήσαντα καί τελέσαντα τουτων τά κηρύγματα.

Τού Μάρτυρος

Ου έστιν Άγιος ως σύ

Υπήλθες γνώμη σταθηρά, τούς ανδρείους αγώνας, νευρωθείς ταίς ελπίσι, τών μελλόντων αγαθών, καί τών Μαρτύρων Χριστού, ταίς πανσόφοις, Μάκαρ παραινέσεσι.

Στρατόν Αγίων Αθλητών, εναθλούντα νομίμως, καθορών τήν εκείνων, επεδείξω ανδρικώς, στερρότητα ομιλών, πολυτρόποις Ούαρε κολάσεσιν.

Εν παρατάξει Ιερά Ούαρε ως γενναίος, στρατιώτης ευρέθης, καί κατέσφαξας πληθύν, ανδρείας ξίφει Σοφέ, πολεμίων, νίκαις κλεϊζόμενος.

Θεοτοκίον

Παρθένε Μήτηρ τού Θεού, τής εμής ραθυμίας, τό βαρύτατον σκότος, καί τά νέφη τών παθών, τώ φωτισμώ τής εν σοί, δυσωπώ σε, χάριτος απέλασον.

Ο Ειρμός

«Ούκ έστιν Άγιος ως σύ, Κύριε ο Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου αγαθέ, καί στερεώσας ημάς, εν τή πέτρα τής Ομολογίας σου».

Κάθισμα τού Προφήτου

Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ

Τών μολυσμών προκαθαρθείς τής καρδίας, δοχείον ώφθης καθαρόν θεορρήμον, τού Παναγίου Πνεύματος Προφήτα Ιωήλ, όθεν καθυπέδειξας, αληθείας τήν γνώσιν, καί προανεκήρυξας, τού Σωτήρος καί Κτίστου, τήν εν σαρκί επέλευσιν εν γή, τήν επ' εσχάτων φανείσαν τοίς έθνεσι.

Δόξα… Τού Μάρτυρος

Ήχος α'

Τόν τάφον σου Σωτήρ

Τούς άθλους τών σεπτών, θεωρήσας Μαρτύρων, καί τούτων τά δεσμά, ασπαζόμενος πόθω, είς ύψος ανέδραμες, μαρτυρίου Πανθαύμαστε, επί ξύλου γάρ, αναρτηθείς τάς αικίσεις, εκαρτέρησας, έως εις χείρας Κυρίου, τό πνεύμα παρέδωκας.

Καί νύν... Θεοτοκίον

Ανύμφευτε Αγνή, Θεοτόκε Μαρία, η μόνη τών πιστών, προστασία καί σκέπη, κινδύνων καί θλίψεων, καί δεινών περιστάσεων, πάντας λύτρωσαι, τούς επί σοί τάς ελπίδας, Κόρη έχοντας, καί τάς ψυχάς ημών σώσον, ταίς θείαις πρεσβείαις σου.

Η Σταυροθεοτοκίον

Η άσπιλος αμνάς, τόν αμνόν καί ποιμένα, κρεμάμενον νεκρόν, επί ξύλου ορώσα, θρηνούσα εφθέγγετο, μητρικώς ολολύζουσα. Πώς ενέγκω σου, τήν υπέρ λόγον Υιέ μου, συγκατάβασιν, καί τό εκούσιον πάθος, Θεέ υπεραγαθε;

Τού Προφήτου

Ωδή δ'

Εισακήκοα τήν ακοήν

Ίλεως γενού Κύριε, τοίς ευσεβώς πρός σέ μετανοούσιν, ως μόνος οικτίρμων καί πολυέλεος.

Ως προήγγειλας Ένδοξε, παρά Θεού εκκέχυται τό Πνεύμα, επί πάσαν σάρκα ήδη πιστεύσασαν.

Η τού Πνεύματος κάθοδος, τους Μαθητάς σοφίσασα Κυρίου, τούς σούς θεηγόρους λόγους ετέλεσε.

Θεοτοκίον

Λελυτρωμένοι Πάναγνε, τών ζοφερών του Άδου κενεώνων, τώ θείω σου τόκω, σέ μακαρίζομεν.

Τού Μάρτυρος

Χριστός μου δύναμις

Αγίοις στίγμασι, καλλωπιζόμενος, ωραιότατος ώφθης καί τώ Θεώ , Ούαρε

ποθούμενος, τώ στεφανώσαντι τήν σήν, κορυφήν αξιοθαύμαστε.

Ικρίω ένδοξε, προσαναρτώμενος, καί εις γήν τεταμένος τούς χαλεπούς, πόνους εκαρτέρησας δι' ών τήν άπονον ζωήν, εκληρώσω αγαλλόμενος.

Νομίμως βλέποντες, οι θείοι Μάρτυρες, εναθλούντά σε Μάκαρ υπομονής, λόγοις παρεθάρρυνον, μεθ' ών τούς πόνους τούς μακρούς, διανύσας μεμακάρισαι.

Θεοτοκίον

Ιλύος Δέσποινα, παθών ανάγαγε, καί τής ταλαιπωρίας τών λογισμών, τών αλλοτριούντων με, Θεού τού μόνου καθαρού, ίνα πίστει μακαρίζω σε.

Τού Προφήτου

Ωδή ε'

Τής νυκτός διελθούσης

Την Χριστού παρουσίαν, Ιωήλ ο θείος, διαρρήδην πάσι προέλεγεν. Ότι ήξει καί σώσει, ανθρώπων τό γένος, εκ τής τών ειδώλων κακότητος.

Ολικώς ανανεύσας, ένδοξε Προφήτα, πρός τά υπέρ νούν καί διάνοιαν, προφητείας τήν χάριν, είλκυσας εκείθεν, καί δικαιοσύνην εκήρυξας.

Υπέρ τών σέ υμνούντων, πρέσβευε σωθήναι, πάσης επηρείας πανόλβιε, Ιωήλ καί τής θείας, χάριτος καί αίγλης, καταξιωθήναι δυσώπησον.

Θεοτοκίον

Παναγία Παρθένε, Δέσποινα τού κόσμου, τούς σέ Θεοτόκον κηρύττοντας, εξ αμέτρων πταισμάτων, πρέσβευε ρυσθήναι, καί βιωτικών περ ιστάσεων.

Τού Μάρτυρος

Τώ θείω φέγγει σου

Νευρούσαι νεύσεσι θεϊκαίς, καί τούς ανενδότους σπαραγμούς, φέρεις γενναίω φρονήματι, Ούαρε σπαράττων τήν τού αλάστορος, καρδίαν τού κακίαν δημιουργήσαντος, ο περιδέξιος Αθλητής, βλέπων εκπιπτούσας εις τήν γήν, τάς εαυτού σάρκας έχαιρε, τάς αιωνιζούσας νοϊ λαμπρότητας, καί θείας αντιδόσεις προφανταζόμενος. Υμνώ σε Κύριε ό Θεός, καί δοξολογώ καί προσκυνώ, τών αγαθών αξιούμενος, τών ητοιμασμένων τοίς σέ ποθήσασιν, ο Μάρτυς εν τώ πάσχειν Ούαρος έκραζεν.

Θεοτοκίον

Αναφανείσα τών Χερουβίμ, καί τών Σεραφίμ ως αληθώς, αγιωτέρα Πανάμωμε, πάντας τούς πιστώς σε νύν μακαρίζοντας, αγίασον καί σώσον τή μεσιτεία σου.

Τού Προφήτου

Ωδή ς’

Αβυσσος αμαρτημάτων

Ρέουσι τών σών δογμάτων, πηγαί τής θεηγορίας, καί τόν ψυχοτρόφον γλυκασμόν, στάζουσιν Ένδοξε, αρδεύουσαι, τούς πιστώς σε τιμώντας.

Όρος σε τής προφητείας, γλυκύτητα αποστάζον, καί θεοσεβείας Ιωήλ, κήρυκα πάνσοφον, γνωρίζομεν θεηγόρε Προφήτα.

Φρούρησον σαίς ικεσίαις, Θεού Προφήτα ως έχων, θείαν παρρησίαν πρός τόν Θεόν, τούς πόθω υμνούντάς σου, τήν ένδοξον, καί αοίδιμον μνήμην.

Θεοτοκίον

Φώτισον η φώς τεκούσα, τό άδυτον τάς καρδίας, τών δοξολογούντων σε πιστώς, άχραντε Δέσποινα, καί τόν εκ σού απορρήτως τεχθέντα.

Τού Μάρτυρος

Τού βίου τήν θάλασσαν

Ρημάτων ηλόγησας, παρανόμου δικαστού, καί τήν πυράν υπέμεινας, τών ανυποίστων πόνων καρτερικώς, πολύαθλε Ούαρε, πρεσβευτά τών εν πίστει ανυμνουντων σε.

Ουκ έληξε τύραννος, ό παράφρων ταίς πληγαίς, ανηλεώς συγκόπτων σε, έως Θεού εις χείρας τήν ιεράν, ψυχήν εναπέδωκας, καλλοναίς λαμπρυνθείσαν τών αγώνων σου.

Υψώθης μιμούμενος, επί ξύλου τόν Χριστόν, καί εν αυτώ κρεμάμενος, τήν σήν ψυχήν παρέδωκας τώ Θεώ, τώ σέ στεφανώσαντι, Αθλοφόρε νομίμως αριστεύσαντα.

Θεοτοκίον

Κυβέρνησον Δέσποινα, εν πελάγει τών δεινών, χειμαζομένην πάντοτε, τήν ταπεινήν ψυχήν μου, καί γαληνόν, πρός όρμον ανάγαγε, αδιστάκτω σε γνώμη μακαρίζουσαν.

Ο Ειρμός

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ εύδίω λιμένι σου προσδραμών, βοώ σοι, Ανάγαγε, εκ φθοράς τήν ζωήν μου πολυέλεε».

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΘ' τού αυτού μηνός, Μνήμη τού Αγίου Προφήτου Ιωήλ.

Στίχοι

Ο γής Ιωήλ εκτραγω δήσας πάθη,
Μετήλθεν εκ γής είς τόπον κρείττω πάθους.
Εννεακαιδεκάτη μόρος αμφ' εκάλυψεν Ιωήλ.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Ουάρου καί τών σύν αυτώ.

Στίχοι

Ξεσμούς απείρους καρτερούντος Ουάρου,
Σατάν πλάνης έξαρχος Ουαί μοι! λέγει.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Σαδώθ, καί τών σύν αυτώ είκοσι καί εκατόν Μαρτύρων, εν Περσίδι τελειωθέντων.

Στίχοι

Σαδώθ ο θείος τήν κάραν τμηθείς ξίφει,
Θεού Σαβαώθ νύν παρίσταται θρόνω.
Δεκάς δεκαπλή Μαρτύρων συμμαρτύρων,
Καί δίς δέκα θνήσκουσι πληγέντες ξίφει.

Ο Άγιος Λεόντιος ο φιλόσοφος, εν ειρήνη τελειούται.

Οι Άγιοι Φήλιξ πρεσβύτερος καί Ευσέβιος Διάκονος ξίφει τελειούνται.

Ο 'Οσιος πατήρ ημών Ιωάννης ο θαυματουργός, ο κατά τό όρος τού Ρίλα ασκήσας, καί τήν εκείσε μονήν οικοδομήσας, εν ειρήνη τελειούται.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τού Προφήτου

Ωδή ζ'

Ο τήν κάμινον πάλαι

Η εκπορευομένη, εκ τού οικου Κυρίου, καί ποτίζουσα κρήνη, ως προέφης προήλθε, Προφήτα πανσεβάσμιε.

Τόν χειμάρρουν τών σχοίνων, σιτοφόρον ειργάσω, τής τρυφής ο χειμάρρους, Ιωήλ ως προείπεν. Ευλογητός εί Κύριε, ο Θεός ό τών Πατέρων ημών.

Θεοτοκίον

Ο τά πάντα ποιήσας, γεννηθείς εκ Παρθένου, διεσώσατο κόσμον, ευσεβώς ανυμνούντα. Ευλογητός εί Κύριε, ο Θεός ο τών Πατέρων ημών.

Τού Μάρτυρος

Δροσοβόλον μέν

Λαμπρυνθέντα σε αγώνων επιδόσεσιν, η Κλεοπάτρα ένδοξε, συνεκόμισεν, ευραμένη κλέος διά σού, τής πίστεως άξιον σαφώς, ής ενεδείξατο θερμώς, εις σέ τελείω νοϊ.

Επιχέουσά σοι δάκρυα καί μύροις σε, εντίμοις επαλείφουσα, κατακρύπτει σε, υπό γήν ή πάνσεμνος γυνή, ενθάψαντα πλάνην πονηράν, καί ταίς εκ τάφου αστραπαίς, φωταγωγούντα ημάς.

Ούκ ενέδωκεν οσίως θεραπεύουσα, σέ τόν Χριστού θεράποντα, η αείμνηστος, έως ώφθης πρόξενος αυτή, Σοφέ βασιλειας ουρανών, ής ηξιώθη διά σού, σύν τώ φιλτάτω υιώ.

Θεοτοκίον

Συντριβέντα με αμέτροις παραβάσεσι, Παρθένε μεσιτεία σου, καινοποίησον, ιατρεύουσά μου τήν ψυχήν, καί λόγον παρέχουσα βοάν. Ευλογημένη η Θεόν σαρκί κυήσασα.

Τού Προφήτου

Ωδή η'

Τόν πάλαι δροσίσαντα

Υπέδειξας ένδοξε, μετανοίας τούς τρόπους εμφανώς, τόν εύσπλαγχον Κύριον, εγγυώμενον τοίς πίστει πρός αυτόν, προσιούσι καί ψάλλουσιν. Ευλογείτε καί υπερυψούτε, Θεόν εις τούς αιώνας.

Θεράπων γενόμενος, τού Κυρίου προφήτα Ιωήλ, τά τούτου μυστήρια, επιστεύθης προφητευων τοίς λαοίς, ανυμνούσι καί λέγουσιν. Ευλογείτε καί υπερυψούτε, Θεόν εις τούς αιώνας.

Αφέσεις προχέουσι, τού Ιούδα θαυμάτων ποταμοί, Απόστολοι ένδοξοι, τού Κυρίου ως προέφη Ιωήλ, τούς βοώντας αρδεύοντες. Ευλογείτε καί υπερυψούτε, Θεόν εις τούς αιώνας.

Θεοτοκίον

Υπόστασιν σύνθετον, εν δυσί ταίς ουσίαις τόν Χριστόν, Πανάμωμε τέτοκας, διαμείνασα Παρθένος καθαρά, όν υμνούντες κραυγάζομεν. Ευλογείτε καί υπερυψούτε, είς πάντας τούς αιώνας.

Τού Μάρτυρος

Εκ φλογός τοίς Οσίοις

Μητρικώς υπακούσας Μάρτυς δεήσεων, ουρανίω στρατεία λαμπρώς εστράτευσας, παίδα τόν οεπτόν, καί τής σής συμμεθέξοντα, έδειξας ευκλείας, αρρήτω συμπαθεία.

Εξ Αιγύπτου σε όλβον ώς περ πολύτιμον, μετηγάγετο Μάρτυς καταπλουτίζοντα, θείαις δωρεαις, Κλεοπάτρα ιάσεων, πάσαν Παλαιστίνην, τήν πόθω σε τιμώσαν.

Γεγηθώς τούς αγώνας τούς σούς διήνυσας, στρατιώτα γενναίε τού Παντοκράτορος, καί ως νικητής, παρ' αυτού εστεφάνωσαι, Ούαρε παμμάκαρ, τών Αθλοφόρων κλέος.

Θεοτοκίον

Αμαρτίας συνάπτω εφ' αμαρτήμασι, καί τό μέλλον ου φρίττω φρικτόν κριτήριον, ίασαι Αγνή τής ψυχής μου τήν πώρωσιν, καί τή σή πρεσβεία,

επίστρεψόν με σώσον.

Ο Ειρμός

«Εκ φλογός τοίς Οσίοις δρόσον επήγασας, καί δικαίου θυσίαν ϋδατι έφλεξας, άπαντα γάρ δράς, Χριστέ μόνω τώ βούλεσθαι. Σέ υπερυψούμεν, εις πάντας τούς αιώνας».

Τού Προφήτου

Ωδή θ'

Η εν ουρανοίς

Μετά Προφητών ως υποφήτης, χαρμονικώς εν επουρανίοις, νύν ευφραίνη σκηνώμασιν.

Άνωθεν ημάς νύν εποπτεύοις, τούς ευσεβώς σε δοξολογούντας, θεηγόρε πανόλβιε.

Σύντομον οδόν τής σωτηρίας, ο Ιωήλ διά μετανοίας, θεοφρόνως υπέδειξεν.

Θεοτοκίον

Ώρθωσας ημάς τούς πεπτωκότας, Μήτηρ Θεού, εύσπλαγχνον Δεσπότην, καί Σωτήρα γεννήσασα.

Τού Μάρτυρος

Θεόν ανθρώποις ιδείν

Ισχύν καθείλες τού πολεμήτορος, τήν θεϊκην σαφώς περιζωσάμενος δύναμιν, Αθλητά γενναιότατε Ούαρε, όθεν σε ευφημούμεν, ίασιν άφθονον, εκ τών σών λειψάνων, οι πιστοί απαρυόμενοι.

Ως φώς ως όρθρος ως μέγας ήλιος, πάση τή γή η μνήμη σου εξήπλωται Ούαρε, σελασφόροις φωτίζουσα λάμψεσι, σού τών σεπτών αγώνων, πάντας πανεύφημε, καί τόν σκοτασμόν τών καρδιών αποδιώκουσα.

Σύν σοί αστράπτοντα ως εώρακε, δόξη πολλή τόν ίδιον υιόν η φιλότεκνος, τόν τών όλων Θεόν εμεγάλυνε, σέ δέ γνησιωτάτως, Μάρτυς εδόξασε, μέγιστον προστάτην, εμφανώς καταπλουτήσασα.

Η γή εν ή σου τό καρτερώτατον, σώμα Σοφέ κατάκειται, ενθέως ηγίασται, αλλά δίδου ημίν ταίς πρεσβείαις σου, λύσιν αμαρτημάτων, βίου διόρθωσιν, Ούαρε καί πάντων, δυσχερών τήν απολυτρωσιν.

Θεοτοκίον

Φανείς Παρθένε εκ σού ο Κύριος, τής φωτεινής νεφέλης, τής Αιγύπτου τά ξόανα, παντελεί απωλεία παρέδωκε, πλήθους δέ Αθλοφόρων, ταύτην ηξίωσε, φέρειν μιμουμένων, τά αυτού σεπτά παθή ματα.

Ο Ειρμός

«Θεόν ανθρώποις ιδείν αδύνατον, όν ού τολμά Αγγέλων ατενίσαι τά τάγματα,

διά σού δέ Πάναγνε, ωράθη βροτοίς, Λόγος σεσαρκωμένος, όν μεγαλύνοντες, σύν ταίς ούρανίαις, στρατιαίς σέ μακαρίζομεν».

Καί τά λοιπά τού Ορθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Κ’ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Μεγαλομάρτυρος Αρτεμίου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ’
Ως γενναίον εν Μάρτυσιν

Ουρανίαις ελλάμψεσι, φωτισθείς τήν διάνοιαν, τό τής πλάνης έφυγες σκότος Ένδοξε, καί τώ φωτί προσεπέλασας, Χριστού τού Θεού ημών, καί ταίς χάρισιν αυτού, καταυγάζεις τά πέρατα, διό πρέσβευε, εκ φθοράς καί κινδύνων λυτρωθήναι, τούς εν πίστει εκτελούντας, τήν αεισέβαστον μνήμην σου.

Επιπνοία τού Πνεύματος, μυηθείς γνώσιν ένθεον, τόν τών όλων Κτίστην έγνως Αρτέμιε, καί τούς τή κτίσει λατρεύοντας, πανσόφως διήλεγξας, καί ωδήγησας λαούς, εις Θεού τήν επίγνωσιν, δι' όν ήθλησας, καί τό στέφος εδέξω τών καμάτων, λυτρωθήναι ικετεύων, διαφθοράς τούς υμνούντάς σε.

Πολυτρόποις κολάσεσι, χαλεπαίς μαστιγώσεσι, παραδούς αικίζεσθαι τό πολύαθλον, καί καρτερώτατον σώμά σου, θεόφρον Αρτέμιε, ούκ ηρνήσω τόν Χριστόν, ου ξοάνοις επέθυσας, αλλ' υπέμεινας, ώς περ πάσχοντος άλλου αναμένων, τάς μελλούσας αντιδόσεις, καί τήν αθάνατον εύκλειαν.

Δόξα... Ήχος β'
Τού Στουδίτου

Τόν νοερόν φωστήρα τής πίσΤεως, Αρτέμιον τιμήσωμεν, ότι ήλεγξε Βασιλέα τόν έχθιστον. καί τώ αίματι τού μαρτυρίου αυτού, τήν Εκκλησίαν Θεός επορφύρωσεν, όθεν καί απέλαβε, τών ιαμάτων τήν χάριν τήν άφθονον, τού ιάσθαι τάς νόσους, τών πιστώς προστρεχόντων, εν τή σορώ τών λειψάνων αυτού.

Καί νύν... Θεοτοκίον
Ότε, εκ τού ξύλου σε

Σκέπη, καί αντίληψις ημών, τών Χριστιανών σύ υπάρχεις, καί προσφυγή κραταιά, Μήτηρ τού Θεού ημών, αλλά καί νύν καί αεί, τή αγρύπνω δεήσει σου, μή παύση πρεσβεύειν, σώζεσθαι τούς δούλους σου, εκ περιστάσεως, πάντες, ότι σέ μετά Θεόν, έχομεν αντίληψιν μόνην, οι Χριστιανοί καί καταφύγιον.

Η Σταυροθεοτοκίον

Ότε, η πανάμωμος αμνάς, άρνα τόν αυτής εθεώρει, ελκόμενον πρός σφαγήν,

θρήνοις ενεκόπτετο, βοώσα ολολυγμοίς. Τί σοι δήμος αχάριστος, γλυκύτατον Τέκνον, ήδη ανταπέδωκεν, ό απολαύσας ποτέ, οίμοι! σών πολλών δωρημάτων; πώς δέ καί τόν πόνον ενέγκω, ότι θέλων ταύτα νύν υφίστασαι;

Εις τόν Στίχον, Στιχηρά της Οκτωήχου.

Δόξα... Ήχος πλ. β'

Σήμερον η οικουμένη πάσα, ταίς τού Αθλοφόρου αυγάζεται ακτίσικαί η τού Θεού Εκκλησία, τοίς άνθεσιν ωραϊζομένη, Αρτέμιε βοά σοι, θεράπον Χριστού, καί προστάτα θερμότατε, μή ελλίτης πρεσβεύων, υπέρ τών δούλων σου.

Καί νύν… Θεοτοκίον

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής. Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Η Σταυροθεοτοκίον

Τριήμερος ανέστης

Η Πάναγνος ως είδέ σε, επί Σταυρού κρεμάμενον, θρηνωδούσα, ανεβόα μητρικώς. Υιέ μου καί Θεέ μου, γλυκύτατόν μου τέκνον, πώς φέρεις πάθος επονείδιστον.

Απολυτίκιον

Ήχος δ' Ταχύ προκατάλαβε

Ο Μάρτυς σου, Κύριε, εν τή αθλήσει αυτού, τό στέφος εκομίσατο τής αφθαρσίας, εκ σού τού Θεού ημών, έχων γάρ τήν ισχύν σου, τούς τυράννους καθείλεν, έθραυσε καί δαιμόνων, τά ανίσχυρα θράση. Αυτού ταίς ικεσίαις, Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τού Αγίου ο παρών, ού η Ακροστιχίς.

Τήν σήν νέμοις μοι πλουσίαν χάριν Μάκαρ. Ιωσήφ.

Ωδή α' Ήχος β'

Εν βυθώ κατέστρωσε

Τόν αγώνα Μάρτυς τόν καλόν, ως αγωνισάμενος, καί τούς λαμπρούς στεφάνους κομισάμενος, τώ φωτί παρίστασαι, φωτιζόμενος κατά μέθεξιν άϋλον, όθεν δυσωπούμεν, φώτισον ημάς ταίς ικεσίαις σου.

Η φαιδρά σου Μάρτυς εορτή, πάντας συνεκάλεσε, χαρμονικώς εις πανδαισίαν σήμερον, προθείσα τούς άθλους σου, τά παλαίσματα, καί τήν ανδρείαν ένστασιν, ών κατατρυφώντες, πίστει σε καί πόθω μακαρίζομεν.

Νεκρωθέντα Μάκαρ εν σταυρώ, τόν ακατανόητον, σωματικώς κατανοήσας

Κύριον, τής ζωής τόν αίτιον, εθελούσιον επεπόθησας νέκρωσιν, τήν διά βασάνων, όθεν αθανάτου δόξης έτυχες.

Θεοτοκίον

Σαρκωθείς εκ σού θεοπρεπώς, Λόγος ό ασώματος, υπερβολή φιλανθρωπίας Πάναγνε, πάθει προσωμίλησε, καί απάθειαν τοίς ανθρώποις επήγασεν, ο δεδοξασμένος Κύριος, ενδόξως γάρ δεδόξασται.

Ωδή γ'

Εξήνθησεν η έρημος

Μαρτύρων καλλωπίζεσθαι, τοίς στεφάνοις Ένδοξε, επιποθών υπήνεγκας, τών μαστίγων καί τών στρεβλώσεων, τάς πικράς αλγηδόνας θεία χάριτι.

Ουκ έσεισε τόν πύργον σου, τής καρδίας Πάνσοφε, η σφοδροτάτη πρόσρηξις, τών βασάνων, καί γάρ εστήρικτο, νοητήν επί πέτραν τήν ασάλευτον.

Ικρίω αναρτώμενος, καί νιφάσι πάντοθεν, τών σπαραγμών κυκλούμενος, σού τό όμμα πρός τόν δυνάμενον, ενητένιζες σώζειν Αξιάγαστε.

Θεοτοκίον

Σεσάρκωται βουλήματι, εξ αιμάτων Δέσποινα, σού παναχράντων Κύριος, διασώζων τήν ανθρωπότητα, καί Μαρτύρων τούς δήμους επεσπάσατο.

Ο Ειρμός

«Εξήνθησεν η έρημος, ωσεί κρίνον Κύριε, η τών εθνών στειρεύοθσα, Εκκλησία τή παρουσία σου, εν ή εστερεώθη η καρδία μου».

Κάθισμα Ήχος δ’

Ο υψωθείς

Τόν στρατιώτην τού Χριστού τόν αήττητον, καί καθαιρέτην τού εχθρού γενναιότατον, τόν εν μεγίστοις τέρασιν εκλάμψαντα, άπαντες Αρτέμιον, ευφημήσωμεν πίστει, βρύει γάρ ιάματα, τοίς προστρέχουσι πόθω, καί καταπαύει πάθη χαλεπά, καί τών εν θλίψει ανθρώπων προϊσταται.

Δόξα… καί νύν... Θεοτοκίον

Ο επί θρόνου Χερουβίμ καθεζόμενος, καί εν τοίς κόλποις τού Πατρός αύλιζόμενος, ως επί θρόνου κάθηται Αγίου αυτού, Δέσποινα εν κόλποις σου, σαρκικώς, ο Θεός γάρ, όντως εβασίλευσεν, επί πάντα τά έθνη, καί συνετώς νύν ψάλλομεν αυτώ, όν εκδυσώπει, σωθήναι τούς δούλους σου.

Η Σταυροθεοτοκίον

Τόν εξ ανάρχου τού Πατρός γεννηθέντα, η επ' εσχάτων σε σαρκί τετοκυία, επί Σταυρού κρεμάμενον Ορώσά σε Χριστέ, Οίμοι! ποθεινότατε, Ιησού ανεβόα, πώς ο δοξαζόμενος, ως Θεός υπ' Αγγέλων, υπό ανόμων νύν βροτών Υιέ, θέλων σταυρούσαι; Υμνώ σε μακρόθυμε.

Ωδή δ’

Ελήλυθας, εκ Παρθένου

Μιμούμενος, τόν ταθέντα εν ξύλω θελήματι, υψώθης τεινόμενος, καί

ωμοτάτως ξεόμενος, καί αποδυόμενος, τούς δερματίνους χιτώνας τής νεκρώσεως.

Οι πόνοι σου, τής σαρκός καί δεινών η επίτασις, τήν άπονον λήξίν σοι, Μάρτυς σαφώς προεξένησαν, ής νύν εμφορούμενος, άπαντα πόνον κουφίζεις τών ψυχών ημών.

Ισαγγέλω, γεγονότι τών άθλων λαμπρότησι, χειρός δι' Αγγέλου σοι, πέμπει τροφήν ο ούράνιος, άρτος η ζωή ημών, ενδυναμούσάν σε Μάρτυς παναοίδιμε.

Θεοτοκίον

Παρθένον σε, μετά τόκον αμίαντον άφθορον, Θεός συνετήρησεν, ο ευδοκήσας εν μήτρα σου, όλον με τόν άνθρωπον, αναλαβέσθαι δι' άκραν αγαθότητα.

## Ωδή ε'

Μεσίτης Θεού

Λαμπάς φωταυγής, καθωράθης Πνεύματος Αρτέμιε, πιστούς καταυγάζουσα, καί τής πονηρίας απελαύνουσα, τά ζοφώδη καί σκότους, πεπληρωμένα πνεύματα.

Ο πέτρα ζωής, τής ψυχής τά βήματα πηξάμενος, ταίς πέτραις σφιγγόμενος, καί τοίς αλγεινοίς περικυκλούμενος, αληθής αθλοφόρος, ακλόνητος διέμεινας.

Υπάρχων σεπταίς, ωπλισμένος Πνεύματος δυνάμεσι, τριβόλων οξύτητος, Μάρτυς αθλοφόρε κατεφρόνησας, εν αυτοίς συμπατήσας, τά κέντρα τού αλάστορος.

Θεοτοκίον

Σταυρόν καί ταφήν, ο εκ σού θελήματι τεχθείς δι' ημάς, υπομείνας Δέσποινα, Μάρτυρα στερρότατον, Αρτέμιον, τών αυτού παθημάτων, ως κραταιός ειργάσατο.

## Ωδή ς'

Εν αβύσσω

Ιερείον καί θύμα ολόκληρον, Μάρτυς προσενήνοχας σαυτόν, Αρτέμιε, τώ εκουσίαν σταύρωσιν, εις ημών δεξαμένω ανάκλησιν.

Ανενδότοις πληγαίς συντριβέντος σου, σώματος Αρτέμιε, τού καρτερού Σοφέ, τήν ψυχικήν ευγένειαν, διετήρησας πίστει αλώβητον.

Νοσημάτων ημάς απολυτρωσαι, Μάρτυς καί παθών, πειρασμών τε καί θλίψεων, τούς επί σοί προστρέχοντας, μιμητά τού Σωτήρος Αρτέμιε.

Θεοτοκίον

Χειμαζόμενον σάλω τών θλίψεων, καί κλυδωνιζόμενον επαναστάσεσι, τρικυμιών διάσωσον, Θεοτόκε Παρθένε τούς δούλους σου.

## Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον. Εκ φθοράς ο Θεός με ανάγαγε».

## Κοντάκιον Ήχος β’

## Τούς ασφαλείς

Τόν ευσεβή καί στεφηφόρον Μάρτυρα, τόν κατ' εχθρών νίκης αράμενον τρόπαια, συνελθόντες επαξίως νύν, εν υμνωδίαις ευφημήσωμεν, Αρτέμιον τόν μέγιστον εν Μάρτυσι, θαυμάτων τε δοτήρα πλουσιώτατον, πρεσβεύει γάρ Κυρίω υπέρ πάντων ημών.

## Ο Οικος

Τίς τούς αγώνας εξαρκέσει εξειπείν Αθλοφόρε, ή τούς πόνους τούς σούς, ούς περ ανδρείως υπέμεινας, διά τής πίστεως τού Κυρίου, καί τής χάριτος ής περ Κατηξιώθης; ούκ εξαρκεί διηγήσασθαι στόμα ανθρώπινον, σοφίαν γάρ ενδεδυμένος καί ανδρείαν, τόν πλούτον εμίσησας καί τήν αξίαν τήν πρόσκαιρον, στρατιώτης φανείς γνησιώτατος. Καί νύν πρεσβεύεις Κυρίω υπέρ πάντων ημών.

## Σ υ ν α ξ α ρ ι ο ν

Τή Κ’ τού αύτού μηνός, Μνήμη τού Αγίου Μεγαλομάρτυρος Αρτεμίου.

## Στίχοι

Ο πάντα λαμπρός Αρτέμιος εν βίω,
Τμηθείς απήλθεν εις υπέρτατον κλέος.
Εικάδι’Αρτέμιος πυκινόφρων αυχένα τμήθη.

Μνήμη τού Οσίου καί θεοφόρου πατρός ημών Γερασίμου τού νέου, τού εκ Τρικάλων τής Πελοποννήσου, ού τό σεπτόν καί άγιον λείψανον σώζεται άφθορον εν Κεφαλληνία.

Οι Άγιοι Μάρτυρες Εβόρης, Ενόης, Ζεβινάς, Γερμανός, Νικηφόρος, Αντωνίνος, καί η Αγία Μάρτυς Μαναθω η παρθένος, ξίφει καί πυρί τελειούνται.

Ταίς αυτών Αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

## Ωδή ζ'

## Αντίθεον πρόσταγμα

Αήττητον φρόνημα, αρραγεστάτην, ψυχής καρτερότητα, Αρτέμιε κτησάμενος, εχθρών πανουργεύματα, Μάρτυς κατήργησας, μέλπων εμμελέστατα. Ο ών ευλογημένος καί υπερένδοξος.

Ροαίς τών αιμάτων σου, τήν επηρμένην, βασάνων κατέσβεσας, πυράν Θεομακάριστε, καί δρόσω τού Πνεύματος περιχεόμενος, χαίρων ανεκραύγαζες, ο ών εύλογημένος καί υπερένδοξος.

Ιάσεων χάριτας, αναπηγάζων, παθών υπεκκαύματα, σβεννύεις θεία χάριτι, διώκεις δέ πνεύματα επιστασίαις σου, ένδοξε Αρτέμιε, διό μεγαλοφώνως σέ μακαρίζομεν.

Θεοτοκίον

Νεκροίς τόν πηγάσαντα, αθανασίαν, Παρθένε πανάμωμε, θεοπρεπώς εκύησας, αυτόν ούν ικέτευε, τού θανατώσαι ημών, πάθη τά τού σώματος αγνή, καί αιωνίου καταξιώσαι ζωής.

Ωδή η'

Κάμινος ποτέ

Μάστιξι σφοδραίς, Αρτέμιε τό σώμα, εκδαπανώμενος υπήνεγκας, εναποσκοπούμενος, τήν αντίδοσιν τήν μέλλουσαν, ήν νέμει σοι κραυγάζοντι, ένδοξε ο Δεσπότης. Πάντα τά έργα, υμνείτε τον Κύριον.

Αίμασι τοίς σοίς, η γή καθηγιάσθη, καί ιατρείον αναδέδεικται, σώμα τό πολύαθλον, πάσαν νόσον, πάσαν κάκωσιν, πάσαν δαιμόνων πάντοτε, βλάβην αποδιώκον, εκ τών πιστώς προσφευγόντων σοι.

Κόσμος αθλητών, εδείχθης τά εν κόσμω, ευσεβοφρόνως απωσάμενος, καί τά υπερκόσμια, βραχυτάτω εξωνούμενος, τιμίω σου Αρτέμιε, αίματι ανακράζων. Πάντα τά έργα υμνείτε τόν Κύριον.

Άκλυστος λιμήν, χειμαζομένοις ώφθης, καί θαλαττεύουσιν εκάστοτε, κινδύνοις καί θλίψεσι, καί παθήμασιν Αρτέμιε, εν ώ διασωζόμενοι, χάριτι μελωδούμεν, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Θεοτοκίον

Ρεύσαντας ημάς, πικρά τού ξύλου βρώσει, καί συμπτωθέντας ολισθήμασι, Πάναγνε ανέπλασας, Πλαστουργόν αποκυήσασα, καί Λόγον ενυπόστατον, Άχραντε, όν υμνούμεν, πάντα τά έργα ως Κύριον.

Ο Ειρμός

«Κάμινος ποτέ, πυρός εν Βαβυλώνι, τάς ενεργείας διεμέριζε, τώ θείω προστάγματι, τούς Χαλδαίους καταφλέγουσα, τούς δέ πιστούς δροσίζουσα ψάλλοντας. Εύλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Ωδή θ'

Ανάρχου Γεννήτορος

Ιδείν εφιέμενος, τά κάλλη τά ουράνια, τά φαινόμενα κόσμου κάλλη παρέδραμες, καί καλλοποιΐα τών άθλων, ωραϊσθείς, Αρτέμιε Μάρτυς, καλών τό ακρότατον, ευφραινόμενος κατείληφας.

Ως όρθρος ως ήλιος, η μνήμη σου φωτίζουσα, τών πιστών τάς καρδίας Μάκαρ ανέτειλε, σύ γάρ καί φωτός καί ημέρας, φωτοειδής, ώφθης κληρονόμος, σκεδάζων Αρτέμιε, τήν ομίχλην τών ψυχών ημών.

Σκιρτήσωμεν σήμερον, πνευματικώς χορεύοντες, Αρτεμίου τή μνήμη τού

θείου Μάρτυρος, ψάλλωμεν Θεώ εν αινέσει, τώ θαυμαστώ, όντι εν Αγίοις, καί καθαγιάζοντι, τούς εν πίστει τούτον σέβοντας.

Ηθήκη σου βρύουσα, απαύστως τά Ιάματα, τούς πιστούς προσκαλείται πόθω αρύσασθαι, εις σωματικήν ευρωστίαν, εις ψυχικήν, όντως σωτηρίαν, Παμμάκαρ, Αρτέμιε, πρεσβευτά τών ευφημούντων σε.

Θεοτοκίον

Φωτί με καταύγασον, τού σού προσώπου Κύριε, ραθυμίας τώ σκότει συγκαλυπτόμενον, έχων δυσωπούσάν σε Λόγε, τήν αληθή, αγνήν σου Μητέρα, Αγγέλων λαμπρότητας, καί τόν Ένδοξον, Αρτέμιον.

Ο Ειρμός

«Ανάρχου Γεννήτορος, Υιός Θεός »καί Κύριος, σαρκωθείς εκ Παρθένου, ημίν επέφανε, τά εσκοτισμένα φωτίσαι, συναγαγείν, τά εσκορπισμένα, διό τήν πανύμνητον, Θεοτόκον μεγαλύνομεν».

Εξαποστειλάριον

Τοίς Μαθηταίς

Παρεστηκως Αρτέμιε, τή Αγία Τριάδι, καί αστραπαίς λαμπόμενος, τοίς εκείθεν πλουσίως, εξ ούρανού εποπτεύοις, τούς τιμώντάς σε πόθω, μεγαλομάρτυς Ένδοξε, συμμαχών θείοις όπλοις, ως τού Χριστού, στρατιώτης άριστος αθλοφόρε, τώ σταυροφόρω Άνακτι, κατ' εχθρών πολεμίων.

Θεοτοκίον

Ευλογημένη πάναγνε, Θεοτόκε Παρθένε, Χριστιανών τό καύχημα, τών Αγγέλων η δόξα, καί Αθλοφόρων τό κλέος, κράτος τείχος καί σκέπη, καί οχυρόν προπύργιον, φύλαττε καί προστάτις, καί βοηθός, εν κινδύνοις φάνηθι τοίς σοίς δούλοις, καί γάρ εν σοί καυχώμεθα, προστασία τού Κόσμου.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου. Καί τά λοιπά τού Όρθρου, ως συνήθως, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΑ’ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Ιλαρίωνος τού Μεγάλου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'

Ο εξ υψίστου κληθείς

Ο ιλαρός τήν ψυχήν καί τήν καρδίαν, ότε σε ο ένθεος έρως κατέτρωσε, καί ιεραίς αναβάσεσιν, επαναστήναι, τών κοσμικών σε θορύβων έπεισε, τότε οπλισάμενος Σταυρού τήν δύναμιν, πρός τήν δαιμόνων εχώρησας, Παμμάκαρ πάλην, καί ανεπλέξω νίκης διάδημα, καί νύν αυλίζη, ταις λαμπρότησι, τών Αγίων, μεθ' ών ημίν αίτησαι, φωτισμόν καί ειρήνην, καί

πταισμάτων απολύτρωσιν.

Ταίς φωτοβόλοις ακτίσι παραδόξως, Πάτερ αξιάγαστε τών ιαμάτων σου, φωταγωγείς τήν υφήλιον, τών νοσημάτων, διασκεδάζων σκότος βαθύτατον, εντεύθέν σε ήλιον άλλον γνωρίζομεν, καί μοναζόντων εδραίωμα, καί ποδηγέτην, τών σωζομένων θείω εν Πνεύματι, καί νύν τήν μνήιμην εκτελούμέν σου, τήν φωταυγή καί σωτήριον Όσιε, Ιλαρίων πταισμάτων, διά σού λύσιν λαμβάνοντες.

Δι' εγκρατείας τού σώματος τά πάθη, Πάτερ καθυπέταξας, τώ νοερώ τής ψυχής, καί απαθείας ταίς πτέρυξι, κεκοσμημένος, χάριν εδέξω ιάσθαι Όσιε, ανθρώπων εν Πνεύματι, τά αρρωστήματα, καί απελαύνειν τά Πνευματα, τής πονηρίας, καί διασώζειν τούς προσιόντας σοι, όθεν χοροί σε μακαρίζουσιν, Μοναζόντων Σοφέ αξιάγαστε, καί Τιμά πάσα κτίσις, Ιλαρίων τούς αγώνάς σου.

Δόξα... Ήχος β’ Ανατολίου

Εκ νεότητός σου φέρων τελειότητος φρόνημα, υπέθου σεαυτόν Ιλαρίων τώ ζυγώ τού Χριστού, καί τόν βίον ζηλώσας τού θείου Αντωνίου, τοίς ίσοις μέτροις τής αρετής αφομοιούμενος, κατέτηξας τήν σάρκα, σκιρτώσαν ώς περ πώλον, ως ώφειλε τή ψυχή καθυποτάσσεσθαι, καί τής ασκήσεως δρόμον εξετέλεσας. Αλλ’ ώ μακαριώτατε Πάτερ, καί θαυματουργέ θεοφόρε, τοίς τήν μνήμην σου εκ πόθου τελούσιν, αίτησαι Ιλασμόν καί τό μέγα έλεος.

Καί νύν… Θεοτοκίον

Ότε, εκ τού ξύλου σε

Όλην, τήν ζωήν μου εν κακοίς, καταδαπανήσας ο τάλας, νύν κατελείφθην αγνή, πάσης όντως έρημος, αγαθής πράξεως, προσεγγίζοντα βλέπων δέ, τόν θάνατον οίμοι! τρέμω τό κριτήριον τού σού Υιού καί Θεού, ούπερ, εξελού με Παρθένε, καί πρό τής ανάγκης εκείνης, Δέσποινα επίστρεψον καί σώσόν με.

Η Σταυροθεοτοκίον

Άνθραξ, όν προείδεν ο κλεινός, πρώην Ησαϊας σαρκούται, εξ απειράνδρου Μητρός, νεύματι τού φύσαντος αυτόν Γεννήτορος, καί τεχθείς σφαγιάζεται, εκών ο τού κόσμου, αίρων αμαρτήματα, αμνός ως άμωμος, όθεν, η αμνάς καί Παρθένος, τούτον εν Σταυρώ καθορώσα, λυπης τή ρομφαία ετιτρώσκετο.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος πλ. δ’

Πνεύματος Αγίου πλήρης γενόμενος, ο Όσιος Ιλαρίων, τάς τών δαιμόνων επινοίας κατήργησε, τώ Σταυρώ γάρ οπλισάμενος, καί εν τούτω θαρρών, πασας τάς νόσους λόγω εθεράπευσε, ψυχών μέν τά πάθη, σωμάτων δέ πάσαν μαλακίαν. Αυτού ταίς ικεσίαις Χριστέ, κατάπεμψον καί ημίν τήν ειρήνην σου, ως φιλάνθρωπος.

Καί νύν... Θεοτοκίον

Οι Μάρτυρές σου

Εγώ ειμι Πανάμωμε, δένδρον τό άκαρπον τού θείου λόγου, καρπόν σωτήριον

μηδόλως φέρον, καί δειλιώ τήν εκκοπήν, μήπως εις τό πύρ βληθώ τό άσβεστον, όθεν δυσωπώ σε. Τούτου ρύσαί με, δείξασα καρποφόρον, άχραντε τώ Υιώ σου, τή μεσιτεία σου.

Η Σταυροθεοτοκίον

Ου φέρω Τέκνον βλέπειν σε, τόν τήν εγρήγορσιν πάσι διδόντα, ξύλω υπνώσαντα, όπως τοίς πάλαι, εκ παραβάσεως καρπού ύπνω, Ολεθρίω αφυπνώσασι, θείαν καί σωτήριον εγρήγορσιν, παράσχης, η Παρθένος, έλεγε θρηνωδούσα, ήν μεγαλύνομεν.

Απολυτίκιον  Ήχος πλ. δ’

Ταίς τών δακρύων σου ροαίς, τής ερήμου τό άγονον εγεώργησας, καί τής εκ βάθους στεναγμοίς, εις εκατόν τούς πόνους εκαρποφόρησας, καί γέγονας φωστήρ, τή οικουμένη λάμπων τοίς θαύμασι. Θεόκτιστε Πατήρ ημών Όσιε, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, οι Κανόνες της Οκτωήχου, καί τού Αγίου ο παρών, ού η Ακροστιχίς.

Τό φαιδρόν υμνώ, παμμάκαρ, σών θαυμάτων.

Ποίημα Θεοφάνους

Ωδή α'  Ήχος β'

Εν βυθώ κατέστρωσε

Τόν φωσφόρον καί φωτοειδή, βίον σου Μακάριε, περιχαρώς ευφημείν προθυμούμενος, τή τής σής λαμπρότητος, ιλαρότητι φαιδρυνθήναί με πρέσβευε, καί τής αμαρτίας, Πάτερ τήν κατήφειαν απέλασον.

Ολοτρόπως Μάκαρ τώ Θεώ, χαίρων προσεχώρησας, έξω σαρκός καί τού κόσμου γενόμενος, καί τόν νούν αθόλωτον, τεταμένης δι' εγκρατείας ετήρησας, τό τής απαθείας, ένθεον εντεύθεν μνηστευσάμενος.

Φανοτάταις σύ μαρμαρυγαίς, περιαυγαζόμενος, τής αρχικής καί ακτίστου θεότητος, πατρικής ηλόγησας, αθεΐας καί πολυτάραχον άγνοιαν, ταύτης απεστράφης, μόνη τή Τριάδι συντασσόμενος.

Θεοτοκίον

Ανατείλας Ήλιος εκ σού, Μήτερ αειπάρθενε, ο εκ Πατρός πρό αιώνων νοούμενος, καί τώ ορωμένω δέ, παραδόξως περιγραφόμενος σώματι, τώ τής ευσεβείας, φέγγει τούς ανθρώπους κατεφώτισεν.

Ωδή γ’

Εν πέτρα με τής πίστεως

Ιώμενος παθών τάς επαναστάσεις, συντόνοις ταίς ασκήσεσιν, Ιλαρίων, εμάρανας αοίδιμε ανακράζων, ουκ έστιν Άγιος, ως ο Θεός ημών, καί ουκ έστι δίκαιος, πλήν σου Κύριε.

Δερματίνους νεκρώσεως τούς χιτώνας, απέξεσας τώ ξίφει τής εγκρατείας, καί ύφανας ιμάτιον σωτηρίου, βοών τώ Κτίστη σου. Σύ εί Θεός ημών, καί ουκ έστι δίκαιος, πλήν σου Κύριε.

Ρωννύμενος ελπίδι τών αιωνίων, καί Θεώ προσαγόμενος θεοφόρε, παλάμαις τού θεόφρονος Αντωνίου, όν καί μιμούμενος, φωστήρ γεγένησαι, Ιλαρίων θαύμασι, λάμπων Όσιε.

Θεοτοκίον

Ο πάντα τή βουλήσει μόνη μορφώσας, τόν άνθρωπον ηξίωσε μορφωθήναι, πλαττόμενος εν μήτρα σου Θεομήτορ, ώ νύν κραυγάζομεν. Σύ εί ο Θεός ημών, καί ουκ έστιν Άγιος, πλήν σου Κύριε.

Ο Ειρμός

«Εν πέτρα με τής πίστεως στερεώσας, επλάτυνας τό στόμα μου επ' εχθρούς μου, ευφράνθη γάρ τό πνεύμά μου εν τώ ψάλλειν. Ούκ έστιν Άγιος, ως ο Θεός ημών, καί ούκ έστι δίκαιος, πλήν σου κυριε».

Κάθισμα  Ήχος πλ. δ'

Τήν Σοφίαν

Αντωνίου τού θείου εζηλωκώς, τόν ενάρετον βίον πνευματικώς, επ' ώμων σου έλαβες,τόν σταυρόν τού Κυρίου σου, καταλιπών τού βίου, τήν άπασαν μέριμναν, τή τών παθών νεκρώσει, τώ πνεύματι έζησας, όθεν καί τήν κτίσιν, παραδόξων θαυμάτων, επλήρωσας Όσιε, τή τού πνεύματος χάριτι, Ιλαρίων Πατήρ ημών, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα… καί νύν… Θεοτοκίον

Τήν ουράνιον πύλην καί κιβωτόν, τό πανάγιον όρος τήν φωτεινήν, νεφέλην υμνήσωμεν, βάτον τήν ακατάφλεκτον, τόν λογικόν Παράδεισον, τής Εύας τήν λύτρωσιν, τής οικουμένης πάσης, τό μέγα κειμήλιον, ότι σωτηρία, εν αυτή διεπράχθη, τώ κόσμω καί άφεσις, τών αρχαίων εγκλημάτων, διό καί βοώμεν αυτή, Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς ευσεβώς προσκυνούσι, τόν πανάγιον τόκον σου.

Η Σταυροθεοτοκίον

Εν τώ ξύλω ορώσα τώ σταυρικώ, η πανάμωμος μήτηρ τόν Λυτρωτήν, εθρήνει δακρύουσα, καί πικρώς απεφθέγγετο, συνοχή καρδίας τάς κόμας εσπάραττε, καί πρός αυτόν εβόα. Υιέ μου καί Κύριε, πώς σε τών Εβραίων, ανομώτατος δήμος, αδίκως προσπήγνυσι, τώ Σταυρώ αναμάρτητε; πώς καί θέλων υφίστασαι, όξος καί τήν τρήσιν πλευράς, χολήν τε οίμοι! καί ήλους μακρόθυμε; αλλά δόξα σου Σώτερ, τοίς θείοις παθήμασι.

Ωδή δ'

Υμνώ σε, ακοή γάρ Κύριε

Νεκρώσας, τής σαρκός τό φρόνημα, τόν χειμάρρουν τής ανομίας, ιλαρίων Όσιε δαιμόνων τε τάς μεθοδείας φυγών, εν γαλήνη θείου Πνεύματος, μετά δικαίων Πάτερ αναπέπαυσαι.

Υδάτων, επιρροίαις Όσιε, αρδευόμενος τών δακρύων, τήν τής ψυχής άρουραν, πολύκαρπον τή γεωργία σαφώς, τού Σωτήρος πάσιν έδειξας, τών Ασκητών πληθύνας τά συστήματα.

Μεθέξει, τού Αγίου Πνεύματος κρατυνόμενος, Ιλαρίων, πονηρίας πνεύματα κατέρραξας, καί τή δυνάμει Χριστού, ασθενούντας εθεράπευσας, προφητικήν πλουτήσας καθαρότητα.

Θεοτοκίον

Ναόν σε, καί παστάδα έμψυχον, Θεομήτορ ευλογημένη, καί νοητήν τράπεζαν, καί λυχνίαν κατανοούμεν, εξ ής τοίς εν σκότει εξανέτειλε, τής πατρικής ουσίας τό απαύγασμα.

Ωδή ε’

Ο φωτισμός

Ως αστραπή, καθαρότητι βίου καί πολιτεία, τή τών Ασωμάτων ομοιουμένη, λάμψας εν κόσμω, τόν τού σκότους προστάτην, απελαύνεις Θεομακάριστε, τώ τής ευσεβείας φωτί λαμπρυνόμενος.

Παντοδαπαίς, διαλάμπων θεόφρον θαυματουργίαις, καί χάριτι θεία πεφωτισμένος, πάσιν εγνώσθης, θησαυρός ιλαρίων, ιαμάτων Πάτερ θεόληπτε, άλλος τις Προφήτης Θεού γνωριζόμενος.

Αίγλη τών σών, Ιλαρώτατε Πάτερ κατορθωμάτων, τάς εσκοτισμένας εχθρού δυνάμεις καταδιώξας, καί τής τούτων μανίας, αφαρπάσας τούς σοί προστρέχοντας, θείαις δα δουχίαις, πρός πίστιν εφώτισας.

Θεοτοκίον

Μίαν ημίν, εν δυσί ταίς ουσίαις καθορωμένην, υπόστασιν μόνη ευλογημένη, τίκτεις αφράστως τόν Θεού Θεόν Λόγον, σαρκωθέντα δι' οίκτον άφατον. Τούτον ούν δυσώπει, φρουρήσαι τούς δούλους σου.

Ωδή ς'

Εν αβύσσω πταισμάτων

Μοναρχία λατρευων θεότητος, τό τής αναρχίας πολύαρχον ήλεγξας, ειδωλικήν δυσσέβειαν, καταργήσας θεόφρον τή χάριτι.

Ανατείλας ως φοίνιξ εξήνθησας, εν τή Εκκλησία Πατήρ ημών Όσιε, τή τών καρπών γλυκύτητι, κατευφραίνων πιστών τά πληρώματα.

Καθαιρέτης εδείχθης αήττητος, τών τής πονηρίας πνευμάτων αοίδιμε, πλουτοποιά χαρίσματα, πρός Θεού Ιλαρίων δεξάμενος.

### Θεοτοκίον

Απειράνδρως Παρθένε εκύησας, καί διαιωνίζεις Παρθένος εμφαίνουσα, τής αληθούς θεότητος, τού Υιού καί Θεού σου τά σύμβολα.

### Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον. Εκ φθοράς ο Θεός με ανάγαγε».

### Κοντάκιον Ήχος γ'

### Η Παρθένος

Ως φωστήρα άδυτον, τού νοητού σε Ηλίου, συνελθόντες σήμερον, ανευφημούμεν εν ύμνοις. Έλαμψας τοίς εν τώ σκότει τής αγνωσίας, άπαντας άναβιβάζων πρός θείον ύψος, Ιλαρίων τούς βοώντας. Χαίροις ώ Πάτερ, τών Ασκητών η κρηπίς.

### Ο Οίκος

Ερασθείς τών τού Χριστού θείων παραγγελμάτων, καί μισήσας σαρκός καί κόσμου τήν απόλαυσιν, προσήλθες προθύμως αυτώ, καί εγένου αστήρ, φωτίζων τά πέρατα πάντα, τή αίγλη τού Πνεύματος, διό προσπίπτων καθικετεύω σε. Φώτισον καμού τούς όφθαλμούς τής ψυχής, τού ανυμνήσαι τούς σούς αγώνας, ούς επεδείξω επί γής διά τήν μέλλουσαν ζωήν, ής περ νύν απολαύων, μνήσθητι τών εκβοώντων. Χαίροις ώ Πάτερ, τών Ασκητών η κρηπίς.

### Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΑ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Ιλαρίωνος τού μεγάλου.

### Στίχοι

Εν δάκρυσι πρίν καί πόνοις σπείρας κάτω,
Ιλαρίων θέριζε νύν χαίρων άνω.
Υστατα Ιλαρίων κοιμήσατο εικάδι πρώτη.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων, Γαϊου, Δασίου καί Ζωτικού.

### Στίχοι

Εις αλμυρόν θανόντες άνδρες τρείς ύδωρ,
Γλυκύν τρυφής πίνουσι χειμάρρουν άνω.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων νεοφανών Μαρτύρων, Ανδρέου, Στεφάνου, Παύλου, καί Πέτρου.

### Στίχοι

Τρείς ο Στέφανος σύ στεφανίτας έχεις,
Τούς σοί συναθλήσαντας εξ ενός ξίφους.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος θεοδότης, καί Σωκράτους Πρεσβυτέρου.

### Στίχοι

Τήν θεοδότην, εκ ξίφους τετμημένην,

Θεώ δοτήν έγνωμεν αγνήν θυσίαν.
Ο Σωκράτης έσπευδεν οφθήναι, Λόγε,
Τετμημένος σοι Σωκράτης στεφοκράτης.

Τή αυτή ημέρα, ο Άγιος Μάρτυς Ευκράτης ξίφει τελειούται.

Στίχοι

Αίμα τραχήλου τοίς πρίν όμβροις δακρύων,
Κιρνών, συνιστάς εύκρατον κράσιν Μάκαρ.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Αντίθεον πρόσταγμα

Ρημάτων ο φθόγγος σου, καί τών θαυμάτων η χάρις η ένθεος, εις πάσαν εξελήλυθε, τήν γήν Πάτερ Όσιε, θεοσεβείας πυρσώ, πάσιν Επιλάμπουσα Πιστοίς, τών ιαμάτων τήν ιλαρότητα.

Σταυρώ τειχιζόμενος, τώ τού Σωτήρος, αλώβητος έμεινας, αλόγως Εφορμήσαντος, δαιμόνων φρυάγματος επί σέ πάνσοφε, οίδε γάρ ό ύψιστος Θεός, περιφρουρείν τούς αυτού θεράποντας.

Ως στύλος ακράδαντος, ουρανομήκης, ως πύργος ασάλευτος, ωράθης δι' ασκήσεως, πυρσεύων τά θαύματα, διδούς ιάματα, βρύων θεία δόγματα πηγής, εξ αενάου τών θεοπνεύστων Γραφών.

Θεοτοκίον

Νεφέλη Παρθένος σε, δικαιοσυνης, τόν Ήλιον έτεκε, παρθένος διαμείνασα, τώ πάθει τού σώματος προσομιλήσαντα, άνθρωπον γενόμενον Χριστέ, δι' ευσπλαγχνίαν καί συγκατάβασιν.

Ωδή η’

Κάμινος ποτέ

Θρόνος αληθώς, αισθήσεως εγένου, θεία συνέσει λαμπρυνόμενος, καί θείοις προστάγμασι, θεοφρόνως οδηγούμενος, καί αρετή λαμπόμενος, Όσιε Ιλαρίων, τών Ασκητών εγκαλλώπισμα.

Άρμα μυστικόν, τό όνομα βαστάζων, τό τού Κυρίου ώφθης Όσιε, δι' έργων λαμπρότητος, καί θαυμάτων επιδείξεως, καί καθαράς βιώσεως, Όσιε Ιλαρίων, τών Ασωμάτων ομόσκηνε.

Υιοθετηθείς, τή χάριτι τή θεία συγκληρονόμος Θεού γέγονας, καί πλούτον ούράνιον, βασιλείαν αδιάδοχον απείληφας θεσπέσιε, κράζων. Υπερυψούτε, πάντα τά έργα τόν Κύριον.

Θεοτοκίον

Μύρον νοητόν, εκκενωθέν Παρθένε, ωνομασμένον Υιόν τέτοκας, ατμοίς τής θεότητος, τούς βροτούς ευωδιάζοντα, καί τής φθοράς ρυόμενον, κράζοντας.

Ευλογείτε πάντα τά έργα τόν κυριον.

Ο Ειρμός

«Κάμινος ποτέ, πυρός εν ΒαΒυλώνι, τάς ενεργείας διεμέριζε, τώ θείω προστάγματι, τούς Χαλδαίους καταφλέγουσα, τούς δέ Πιστούς δροσίζουσα ψάλλοντας. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Ωδή θ’

Ανάρχου Γεννήτορος

Αγίων σκηνώματα, χοροβατείν ηξίωσε, τήν ζωήν διανύσας αγίως Όσιε, καί ως πεφηνότι δικαίω, σοί τριλαμπές, ανέτειλε φέγγος, καί η τούτου σύζυγος, εύφροσύνη σε εδέξατο.

Τών άθλων τά έπαθλα, παρά Θεού δεξαμενος, καί ζωής αιωνίου σαφώς λαβόμενος, καί τής καλλονής Ιλαρίων, τής υπέρ νούν, Πάτερ ευμοιρήσας, υπέρ τών υμνούντων σε, τόν Δεσπότην καθικέτευε.

Ως κέδρος υψίκομος, δι' αρετής υψούμενος, εν αυλαίς Ιλαρίων, Θεού πεφύτευσαι, καί ως κεκλεισμένος δέ κήπος, ως ευθαλής, Παράδεισος ώφθης, ως πηγή ιάματα, Ιλαρίων αναβλύζουσα.

Θεοτοκίον

Νυμφών εχρημάτισας, τής υπέρ νούν σαρκώσεως, τής τού Λόγου Παρθένε θεογεννήτρια, περιβεβλημένη εν δόξη, τών αρετών, καί πεποικιλμένη, διό σε πανάμωμε, Θεοτόκον καταγγέλλομεν.

Ο Ειρμός

«Ανάρχου Γεννήτορος, Υιός Θεός καί Κύριος, σαρκωθείς εκ Παρθένου ημίν επέφανε, τά εσκοτισμένα φωτίσαι, συναγαγείν, τά εσκορπισμένα, διό τήν πανύμνητον, Θεοτόκον μεγαλύνομεν».

Εξαποστειλάριον

Ο ουρανόν τοίς άστροις

Τό ιλαρόν σου Πάτερ, καί καθαρώτατον ορών, τής διανοίας ο πάντων, γινώσκων τάς ενθυμήσεις, φωστήρα κόσμω δεικνύει, σέ Μοναζόντων τό κλέος.

Θεοτοκίον

Τόν Ποιητήν τών αιώνων, καί τών Αγγέλων Δεσπότην, αποτεκούσα Παρθένε, τούτον ικέτευε δείξαι, τής δεξιάς παραστάτας, μερίδος τούς σούς ικέτας.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ’ καί ψάλλομεν Στιχηρά Προσόμοια τρία, δευτερούντες τό πρώτον.

Ήχος πλ. β'

Όλην αποθέμενοι

Όλος ανακείμενος, διά παντός τώ Κυρίω, σάρκα μέν ενέκρωσας, αρετών ασκήσεσιν εκ νεότητος, τής ψυχής δμμα δέ, θεωρίαις Πάτερ, φωτοβόλοις ανεπτέρωσας, διό γενόμενος, θείων δεκτικός διαδόσεων, ιάσεων χαρίσματα,

καί θεοσημίας επλούτησας, πάσι διανέμων, τοίς χρήζουσι πλουσίας δωρεάς, καί παρρησία δεόμενος, υπέρ τών ψυχών ημών.

Αίγλην την τρισήλιον, φωτιστικώς δεδεγμένος, Ιλαρίων Όσιε, αισθητός ως ήλιος διελήλυθας, τά τής γής πέρατα, διασπείρων πάσι, τάς ακτίνας τών θαυμάτων σου, διο Προφήτην σε, καί θαυματουργόν ανεκήρυττον, καί θείον καί θεόληπτον, οι τής ευποιίας μετέχοντες, καί τών ιαμάτων, θεόφρον απολαύοντες τών σών, καί σωτηρίαν καρπουμενοι, ταίς διδασκαλίαις σου.

Βίου τήν τερπνότητα, καί τά ορώμενα πάντα, υπερβάς τή χάριτι, καί πρός τά νοούμενα καί ασάλευτα, μεταβάς Όσιε, καθαρώς τώ μόνω, καθαρώ τε προσωμίλησας, νοός οξύτητι, καί τή τής ψυχής καθαρότητι, ως Άγγελος εβίωσας, καί μετά τής ύλης ορώμενος. καί νύν τώ Δεσπότη, των όλων παριστάμενος Χριστώ, εν παρρησία, ικέτευε, υπέρ τών ψυχών ημών.

Δόξα… Ήχος β'

Τό ιλαρόν σου Πάτερ, καί καθαρόν τού βίου, ιδών ο Χριστός, τό πράον καί ησύχιον, μονήν πεποίηται εν σοί, καί γέγονας οικητήριον θείον, καί διά τούτο σύν Αγγέλοις εν ουρανοίς, αυλίζη μακάριε.

Καί νύν… Θεοτοκίον

Ότε εκ τού ξυλου σε

Όλος, ηδονών φθοροποιών, όλος πεπλησμένος παντοίων, κακών γεγένημαι, όλος ο ταλαίπωρος, εκ παίδων βέβηλος, έως γήρως μεστός ειμι, κακών τών συνήθων, αλλά η τόν αίροντα τά αμαρτήματα, κόσμου απορρήτως τεκούσα, τούτον καθικέτευε δούναι, τών πλημμελημάτων μοι τήν άφεσιν.

Η Σταυροθεοτοκίον

Ξύλω τού Σταυρού σε Ιησού, προσαναρτηθέντα ορώσα η απειρόγαμος, έκλαιε καί έλεγε. Τέκνον γλυκύτατον, ίνα τί εγκατέλιπες, εμέ τήν τεκούσαν, μόνην φώς απρόσιτον, τού προανάρχου Πατρός; Σπεύσον καί δοξάσθητι όπως, δόξης επιτύχωσι θείας, οι τά θεία πάθη σου δοξάζοντες.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα… Ήχος πλ. δ'

Τών Μοναστών τά πλήθη, τόν καθηγητήν σε τιμώμεν, Ιλαρίων Πατήρ ημών, διά σού γάρ τήν τρίβον, τήν όντως ευθείαν, πορεύεσθαι έγνωμεν. Μακάριος εί, τώ Χριστώ δουλεύσας, καί εχθρού θριαμβευσας τήν δύναμιν, Αγγέλων συνόμιλε, Οσίων συμμέτοχε καί Δικαίων, μεθ' ών πρέσβευε τώ Κυρίω, ελεηθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Οι Μάρτυρές σου

Οι λόγοι μου ακάθαρτοι, τά χείλη δόλια, τά έργα δέ μου, εισί παμμίαρα, καί τί ποιήσω, πώς υπαντήσω τώ Κριτή; Δέσποινα Παρθένε καθικέτευσον, τόν Υιόν καί Πλάστην σου και Κύριον, ό πως εν μετανοία, δέξηταί μου τό πνεύμα, ως μόνος εύσπλαγχνος.

Η Σταυροθεοτοκίον

Η Πάναγνος ως είδέ σε, Σταυρώ κρεμάμενον εθελουσίως, κατανοούντά σου τήν δυναστείαν, λύπη συνείχετο Χριστέ, καί οδυρομένη ανεβόα σοι. Τέκνον, μή με λίπης τήν τεκούσάν σε, δός μοι λόγον Υιέ μου, μή με σιγών παρέλθης, Λόγε Θεού τήν δούλην σου.

Καί τά λοιπά τού Όρθρου, ως σύνηθες καί Απόλυσις.

---

Αρχή

**ΤΗ ΚΒ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τού Αγίου καί Ισαποστόλου Αβερκίου, Επισκόπου Ιεραπόλεως τού θαυματουργού, καί τών Αγίων επτά Παίδων τών εν Εφέσω.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τρία τού Ιεράρχου.

Ήχος β'
Ότε, εκ τού ξύλου σε

Όλος, ανακείμενος Θεώ, θείων πληρωτής προσταγμάτων, ώφθης Αβέρκιε, χάριν δέ δεξάμενος, εξ ύψους Άγιε, νοσημάτων απήλλαξας, ποικίλων ανθρώπους, δαίμονας απήλασας, βωμούς κατέρραξας. γνώσιν ενεφύτευσας θείαν, τοίς τή αγνωσία αθλίως, πρώην κινδυνεύουσι μακάριε.

Θείων, διδαγμάτων αστραπαίς, έλυσας πολύθεον νύκτα, Πάτερ Αβέρκιε, όρθρος δέ ανέτειλας, υιούς ημέρας τελών, τούς εν ζόφω υπάρχοντας, τό πρίν ιεράρχα, θαύματα παράδοξα επιδεικνύμενος, όθεν τήν αγίαν σου μνήμην, πίστει εορτάζομεν πάντες, ανυμνολογούντές σε θεόπνευστε.

Σκεύει, εν ενί θαυματουργών, οινόν τε καί έλαιον Πάτερ, καί είδος έτερον, ήνωσας τηρούμενα εν τώ προχέεσθαι, αμιγή θεία χάριτι, θερμών δε υδάτων, χάριν δι' εντεύξεως, βλύσαι πεποίηκας, νόσους θεραπεύουσαν πάσας, τών προσερχομένων εν πίστει, καί μακαριζόντων σε Αβέρκιε.

Καί τρία τών Μαρτύρων

Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Παρανόμου προστάγματος, τώ Θεώ πειθαρχήσαντες, Παίδες οι μακάριοι κατεφρόνησαν, καί δεσμευθέντες διέλυσαν, τής πλάνης τόν σύνδεσμον, καί αξίαν κοσμικήν, απωσάμενοι έλαβον, τό αξίωμα, τό αυτούς περιδόξους εκτελέσαν, καί τήν άνω προξενήσαν, τής βασιλείας απόλαυσιν.

Εαυτούς πρός τά σκάμματα, τής αθλήσεως Άγιοι, καρτερώς γυμνάζοντες

κατεκρύπτεσθε, εν τώ σπηλαίω δεήσεσιν, απαύστοις τόν Κύριον, ικετεύοντες ισχύν, χορηγήσαι καί δύναμιν, οίς δέ κρίμασιν, ο φιλάνθρωπος οιδεν αφυπνώσαι, εν ειρήνη υμάς πάντας, θεαρχικώς εγκελεύεται.

Μυστηρίω μυστήριον, τοίς Αγίοις προστίθεται, ως γάρ τελευτήσαντες, ουκ ησθάνοντο, ούτω καί νύν εγειρόμενοι, σαφώς κατεπλήττοντο, εις γάρ πίστωσιν νεκρών, αναστάσεως γέγονε, τό τελούμενον, όπερ γνόντες οι ταύτην αθετούντες, στερεούνται εν τή πίστει, δοξολογούντες τούς Μάρτυρας.

Δόξα... Ήχος γ’

Ιωάννου Μοναχού

Αρχιερεύ Όσιε, παμμακάριστε Πάτερ, Θαυματουργέ θεράπον Χριστού Αβέρκιε, προφητικώ εκλάμψας βίω, καί αποστολικών αξιωθείς χαρισμάτων, τώ Σωτήρι λειτουργών, σύν Αγγέλοις απαύστως, πρέσβευε ρυσθήναι από πάσης απειλής τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Μεγάλη τού Σταυρού σου

Αγγέλων χαρμονή τών θείων Κόρη πέφυκας, τών Αποστόλων δόξα, καί Προφητών εκσφράγισμα, τών ανθρώπων τε πιστών η προστασία, καί οδηγός σωτήριος, διά τούτό σε προσκυνούμεν Παρθένε.

Η Σταυροθεοτοκίον

Ορώσα τόν εκ σού τεχθέντα Παναμώμητε κρεμάμενον εν ξύλω, ωλόλυζες βοώσα, Ποθεινότατόν μου τέκνον, πού σου έδυ τό κάλλος τό φωσφορον, τού καλλωπίσαντος, τών ανθρώπων τό γένος;

Εις τόν Στίχον, Στιχηρά της Οκτωήχου.

Δόξα... Ήχος πλ. δ'

Δεύτε πάσα κτίσις, εν κυμβάλοις ψαλμικοίς, καί εν φωναίς αλαλαγμού, αίνον Θεώ αναπέμψωμεν, τώ πρό τής κοινής αναστάσεως, τήν ανάστασιν ημίν εμφανίσαντι, καί τούς πρό τριακοσίων δύο καί εβδομήκοντα τετελευτηκότας χρόνων Αγίους Παίδας επτά, δι' ικεσίας ευσεβούς Βασιλέως αναστήσαντι εκ χοός, εις πτώσιν απίστων εχθρών, καί αισχύνην αιώνιον, δόξαν δέ καί έπαινον τών φοβουμένων αυτόν, οίδε γάρ Κύριος, δοξάζειν τούς αύτόν αντιδοξάζοντας, θέλημα γάρ ποιεί τών φοβουμένων αυτόν εν αληθεία, ο μονος εύσπλαγχνος καί φιλάνθρωπος.

Καί νύν... Θεοτοκίον

Ώ τού παραδόξου

Χαίρε Θεοτόκε Δέσποινα, χαίρε Θεού καθαρον, οικητήριον άχραντε. χαίρε θείον όχημα, τού Λόγου Θεοχώρητε, τό θεότευκτον χαίρε παλάτιον, θεοπάροχον χαίρε θησαύρισμα, θάλαμος έμψυχος, Θεού θεία τράπεζα, καί κιβωτέ, καί δοχείον άμωμον, τού θείου Πνεύματος.

Η Σταυροθεοτοκίον

Ώ τού παραδόξου θαύματος! ώ μυστηρίου καινού! ώ φρικτής εγχειρήσεως! η Παρθένος έλεγεν, εν Σταυρώ θεωρούσά σε, εν μέσω δύο ληστών κρεμάμενον, όν ανωδίνως φρικτώς εκύησε. Έκλαιε κράζουσα. Οίμοι τέκνον

φίλτατον! πώς σε δει νός, δή μος καί αχάριστος, Σταυρώ προσήλωσεν;

Απολυτίκιον τού Ιεράρχου
Ήχος δ'

Κανόνα πίστεως, καί εικόνα πραότητος, εγκπατείας διδάσκαλον, ανεδείξέ σε τή ποίμνη σου, η τών πραγμάτων αλήθεια, διά τούτο εκτήσω, τή ταπεινώσει τά υψηλά, τή πτςχεία τά πλούσια. Πάτερ Αβέρκιε Όσιε, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Καί τών Μαρτύρων
Ήχος δ' Ταχύ προκατάλαβε

Οι Μάρτυρές σου, Κύριε, εν τή αθλήσει αυτών, στεφάνους εκομίσαντο τής αφθαρσίας, εκ σού τού Θεού ημών, σχόντες γάρ τήν ισχύν σου, τούς τυράννους καθείλον, έθραυσαν καί δαιμόνων, τά ανίσχυρα θράση. Αυτών ταίς ικεσίαις, Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, αναγινώσκονται οι Κανόνες, είς τής Οκτωήχου, καί οι δύο παρόντες τών Αγίων.

Ο Κανών τού Ιεράρχου, ού η Ακροστιχίς.

Αβερκίου μέγιστον εξάδω κλέος.
Ιωσήφ.

Ωδή α' Ήχος β'
Δεύτε λαοί

Αίγλη φαιδρά, τής Τρισηλίου θεότητος, καταυγασθείς Αβέρκιε, φώς εχρημάτισας, τούς εν σκότει φωτίζων, καί πάσαν τών δαιμονων, λύων σκοτόμαιναν.

Βίον εν γή, έσχες Παμμάκαρ ουράνιον, μετά σαρκός ως άσαρκος, πολιτευσάμενος, καί τά πάθη νεκρώσας, καί τής Ιερωσύνης, χαριν δεξάμενος.

Έχων εν σοί, Πάτερ τόν λόγον φθεγγόμενον, τής αλογίας έλυσας, τούς ματαιόφρονας, τών δαιμόνων τεμένη, καί ξόανα τής πλάνης, καταστρεψάμενος.

Θεοτοκίον

Ρητορικαί, γλώσσαι σού λέγειν ού σθένουσι, τήν υπέρ λόγον σύλληψιν, Θεόν γάρ τέτοκας, εν σαρκί Παναγία, ημίν ομοιωθέντα, δι' αγαθότητα.

Κανών τών Μαρτύρων, ού η Ακροστιχίς.

Τήν επτάφωτον Μαρτύρων σέβω χάριν.
Ιωσήφ.

Ωδή α'   Ήχος δ'

Θαλάσσης τό ερυθραίον

Τήν θείαν, καί φωταυγή πανήγυριν, υμών τούς σέβοντας, ως τώ μεγάλω Μάρτυρες φωτί, παρεστώτες δεόμεθα, περιφανώς πρεσβευσατε, παθών αχλύος εκλυτρώσασθαι.

Η νίκα, τό δυσσεβές καί άλογον, έγνωτε πρόσταγμα, παρακελεύον θύσαι βδελυκτοίς, τού Θεού τοίς προστάγμασιν, ωχυρωμένοι Μάρτυρες, απαρασάλευτοι γεγόνατε.

Νηστείαις, καί προσευχαίς προσείχετε, κατακρυπτόμενοι, καί εαυτούς πρός πάλην δυσμενών, ετοιμάζοντες Άγιοι, όθεν υμάς ο Κύριος, απαρατρώτους διεφύλαξεν.

Θεοτοκίον

Ευρών σε,καθαρωτέραν Πάναγνε, πάσης τής κτίσεως, ο καθαρός ενώκησεν εν σοί, εξοικίσαι βουλόμενος, τήν εν’ Αδάμ οἰκήσασαν, παρανομίαν ως φιλάνθρωπος.

Τού Ιεράρχου

Ωδή γ’

Στερέωσον ημάς

Καί λογοις ιεροίς καί επιδείξεσι, θαυμάτων Αβέρκιε παραδόξων, τούς τή πλάνη θαλαττεύοντας, σωτηρίας πρός όρμον καθωδήγη σας.

Ιάσεις ενεργών, τελών εξαίσια, δαιμόνων απείργων τάς φαντασίας, σωτηρίας πάσιν αίτιος, τοίς πλουτούσι προστάτης σύ γεγέννησαι.

Ο λόγος ιερός ο βίος ένθεος, ο τρόπος τοίς θαύμασι διαλάμπων, η ζωή σου Πάτερ ένδοξος, καί ο θάνατος τίμιος γεγένηται.

Θεοτοκίον

Υπάρχων ο Θεός τό πρίν αόρατος, ωράθη Παρθένε δι' ευσπλαγχνίαν, εκ γαστρός σου σωματούμενος, διά τούτο σε πίστει μακαρίζομεν.

## Τών Μαρτύρων

Ευφραίνεται επί σοί

Προσήχθητε Βασιλεί, ομολογήσαι δυσσεβεί Μάρτυρες, τό τού Θεού όνομα, τού εν ούρανοίς βασιλεύοντος.

Τήν πίστιν περιφανώς, ενδεδυμένοι ως φαιδρόν θώρακα, τοίς τού εχθρού βέλεσιν, άτρωτοι εμείνατε Μάρτυρες.

Αντέστητε ανδρικώς, τώ παρανόμω Βασιλεί Άγιοι, σέβας υμίν άλογον, φέρειν τοίς ειδώλοις προστάττοντι.

Θεοτοκίον

Φορέσας με εκ τών σών, θείων αιμάτων ο Χριστός Άχραντε, καταστολήν χάριτος, πάλαι γυμνωθέντα ενέδυσεν.

Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα. Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

## Κάθισμα τού Ιεράρχου

Ήχος πλ. δ’

Τήν Σοφίαν καί Λόγον

Ιεράρχης εδείχθης χρίσμα σεπτόν, περικείμενος Πάτερ θεουργικώς, καί πάντας εν χάριτι, τελειών ιερώτατε, δωρεαίς δέ θείων, θαυμάτων κοσμουμενος, ενεργείς σημεία, καί θαυματα άπειρα, νόσους θεραπεύων, καί τούς δαίμονας φλέγων, καί πλήθη πλανώμενα, επιστρέφων Αβέρκιε, διά τούτο βοώμέν σοι. Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν Αγίαν μνήμην σου.

Δόξα… τών Μαρτύρων

Ήχος δ’

Ταχύ προκατάλαβε

Ως στύλοι υπάρχοντες, τής Εκκλησίας Χριστού, τά τείχη ερρήξατε, τής απιστίας σοφοί, επτάφωτοι Μάρτυρες, όθεν πρό τού θανάτου, τήν Ελλήνων μανίαν, πάλιν δέ μετά πότμον, τής αιρέσεως ζάλην, ελάσαντες πρεσβεύσατε, υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

Εκαίνισας Άχραντε, τώ θείω τόκω οου, φθαρείσαν εν πάθεσι, τών γηγενών τήν θνητήν, ουσίαν καί ήγειρας, πάντας εκ τού θανάτου, πρός ζωήν αφθαρσίας, όθεν σε κατά χρέος, μακαρίζομεν πάντες, Παρθένε δεδοξασμένη, ως προεφήτευσας.

Η Σταυροθεοτοκίον

Παρθένε πανάμωμε, Μήτηρ Χριστού τού Θεού, ρομφαία διήλθέ σου, τήν Παναγίαν ψυχήν, ηνίκα σταυρούμενον, έβλεψας εκουσίως, τόν Υιόν καί Θεόν σου, όν περ ευλογημένη, δυσωπούσα μή παύση συγχώρησιν πταισμάτων ημίν δωρήσασθαι.

Τού Ιεράρχου

Ωδή δ'

Υμνώ σε, ακοή

Μεγάλως, σήν καθέδραν Όσιε, κατεκόσμησας Ιεράρχα, μεγάλοις γάρ θαύμασι διέπρεψας, καί πολιτεία λαμπρά, διά τούτό σε Αβέρκιε, ο Θεός ημών μεγάλως εδόξασεν.

Ελέους, θελητήν τόν Κύριον, επιστάμενος θεοφόρε, θερμώς αυτόν ήτησας, εις ίασιν καί σωτηρίαν πολλών, τών θερμών υδάτων έκβλυσιν, τήν θαυμαστήν ποιήσασθαι Αβέρκιε.

Γονίμους, τάς αγόνους χάριτι, απετέλεσας διανοίας, ενθέμενος ταύταις γάρ, Αβέρκιε τού λόγου σπόρον σαφώς, ως καλών σπορεύς εθέρισας, στάχυν εκατοστεύοντα θεόπνευστε.

Θεοτοκίον

Ιάσω, συντριβήν Πανάμωμε, καί τήν πάλαι ταλαιπωρίαν, τών γηγενών τέξασα, τόν βαστάσαντα τάς νόσους ημών, δι' ευσπλαγχνίαν άφατον Θεόνυμφε.

Τών Μαρτύρων

Δι' αγάπησιν Οικτίρμον

Ωραιώθησαν οι Παίδες ωραιοτάτως, τώ τού Παντός Δεσπότη, οικειούμενοι, όθεν, πάσαν απεκρούσαντο, κακίαν τού όφεως.

Τάς πλουσίας εκδεχόμενοι αντιδόσεις, πάντα τόν πλούτον πάσι, πενομένοις κενούσιν, όλβον αντικτώμενοι, οι Άγιοι άφθαρτον.

Οι ευγένειαν τήν άνω ηγαπηκότες, εξ ευγενών γονέων, γεννηθέντες ουδόλως, είλοντο δυσγένειαν, κακών επισύρεσθαι.

Θεοτοκίον

Νέον βρέφος απεκύησας τόν προόντα, γεγηρακότα κόσμον, νεουργούντα Παρθένε, θείαις επιγνώσεσι, διό σε δοξάζομεν.

Τού Ιεράρχου

Ωδή ε’
Ο φωτισμός

Στήσας τούς σούς, επί πέτραν καρδίας θεόφρον πόδας, τούς υποπεσόντας τή απωλεία, καί σέβας λίθοις απονέμοντας μάκαρ, θείοις λόγοις σέβειν εδίδαξας, πέτραν Ιησούν, τόν Χριστόν καί Θεόν ημών.

Τόν ιατρόν, τών ποικίλως νοσούντων καί σωτηρίαν, πάντων πλανωμένων τήν οδηγίαν, τήν μυροθήκην, τών σεπτών χαρισμάτων, τό δοχείον τού θείου Πνεύματος, τόν ιερομύστην, τιμώμεν Αβέρκιον.

Οίνος ενί, τή προστάξει σου σκεύει μετά ελαίου, έτερόν τε είδος εμβεβλημένα, καιρώ ιδίω, αμιγή παραδόξως εκκενούται τήν υπερβάλλουσαν, χάριν σου δηλούντα θεόφρον Αβέρκιε.

Θεοτοκίον

Νόμοι εν σοί, παραδόξως Παρθένε καινοτομούνται, τίκτεις γάρ ασπόρως Θεόν Σωτήρα, καί διαμένεις παρθενεύουσα πάλιν, ξένον θαύμα! όθεν Μητέρα σε, τού Εμμανουήλ ευσεβώς καταγγέλλομεν.

Τών Μαρτύρων

Σύ Κύριέ μου φώς

Μαξιμιλιανόν, Ιωάννην, Ιάμβλιχον, Μαρτίνόν τε τούς φωστήρας, τούς τά πέρατα πάντα, φωτίζοντας τιμήσωμεν.

Αινέσωμεν πιστοί, Αντωνίνον τόν Ένδοξον, Εξακουστωδιανόν τε, Διονύσιον πόθω, τόν πάνσοφον δοξάζοντες.

Ρεόντων καί φθαρτών, αντηλλάξασθε Άγιοι, τά άφθαρτα καί μηδόλως παλαιούμεθα, όθεν αξίως μακαρίζεσθε.

Θεοτοκίον

Τήν πώρωσιν Αγνή, τής ψυχής μου διάλυσον, καί δίδου μοι εύαισθήτως, τού Υιού σου προσέχειν, τοίς θείοις επιτάγμασιν.

Τού Ιεράρχου

Ωδή ς'

Εν αβύσσω πταισμάτων

Εξ Εώας εις Δύσιν επέδραμες, τής δαιμονικής καί δεινής ενοχλήσεως, τήν Βασιλίδα Όσιε, απολύων δυνάμει τού Πνευματος.

Ξένος κόσμου οφθείς Ιερώτατε, ξένα καί φρικτά επετέλεσας θαύματα, καί περιων εν σώματι, καί τών τή δε απάρας Αβέρκιε.

Αστραπόμορφος Πάτερ ορώμενος, τάς δαιμονικάς καθυπέταξας φάλαγγας, στέγειν τήν σήν Αβέρκιε, απειλήν μή σθενούσας θεόπνευστε.

Θεοτοκίον

Διά σού Παναγία Θεόνυμφε, οι νενεκρωμένοι ζωής ηξιώθημεν, καί τή φθορά δουλεύοντες, αφθαρσίαν σαφώς επλουτήσαμεν.

Τών Μαρτύρων

Θύσω σοι, μετά φωνής

Ύπερθεν, ειδωλικού πελάγους εκπλέοντες, οιακιζόμενοι όπλω, τού Σταυρού λιμένας τούς αιωνίους, Αθλοφόροι, νύν εφθάσατε Θέσει θεούμενοι.

Ραίνοντες, σταλαγμοίς τών δακρύων τό έδαφος, τή πρός Θεόν ικεσία, εκοιμήθητε χρόνοις πλείοσι, καί τήν πάντων, αναστάντες δηλούτε ανάστασιν.

Ω θαύμα! πώς οι πλείοσι χρόνοις υπνώσαντες, τήν εσομένην τών πάντων, αβεβαίαν πλείστοις ανάστασιν, βεβαιούνται, αιρετικών εμφράττοντες στόματα.

Θεοτοκίον

Νέκρωσον, τής σαρκός μου Παρθένε τό φρόνημα, η τήν Ζωήν τετοκυία, τήν θανάτω θάνατον καθελούσαν, καί τούς Παίδας παραδόξω εγέρσει δοξάσασαν.

Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ Δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οικτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

## Κοντάκιον τού Ιεράρχου

Ήχος πλ. δ’

Ως απαρχάς

Ως Ιερέα μεγιστον, καί Αποστόλων σύσκηνον, η Εκκλησία γεραίρει σε άπασα, η τών πιστών Αβέρκιε, ήν ταίς σαίς ικεσίαις περιφύλαττε μάκαρ, ακαταγώνιοτον, εξ αιρέσεως πάσης, καί άσειστον πολυθαύμαστε.

Ο Οίκος

Ως πολύς σου ο πλούτος τής χάριτος! αριθμός δέ ουκ έστι τής δόξης σου, εκ μή όντων γάρ πάντα παρήγαγες,ορατά καί αόρατα Κύριε. Αυτός ούν φιλάνθρωπε, δώρησαι τή βεβήλω καρδία μου αίνεσιν θείαν, ο υπ' Αγγέλων απαυστως υμνούμενος, ίνα τόν Ιεράρχην τιμήσω, τόν ως αληθώς πολυθαύμαστον.

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΒ’ τού αυτού μηνός, Μνήμη τού εν Αγίοις Πατρός ημών καί Ισαποστόλου Αβερκίου, Επισκόπου, Ιεραπόλεως, τού Θαυματουργού.

Στίχοι

Δούς Αβέρκιος χούν χοί θνητών νόμω,  
Θεός Θεώ πρόσεισι, τώ φύσει,θέσει.  
Εικάδι δευτερίη’ Αβέρκιος ώ χετο γαίης.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων επτά Παίδων τών εν Εφέσω Μαξιμιλιανού, Ιαμβλίχου, Μαρτινιανού, Διονυσίου, Αντωνίου, Εξακουστωδιανού, καί Ιωάννου.

Στίχοι

Παίδες λιπόντες πρός μικρόν μακρούς ύπνους,  
Ύπνωσαν αύθις τόν μετ' ειρήνης ύπνον.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Αλεξάνδρου, Επισκόπου, καί Ηρακλείου, Θεοδότης καί Γλυκερίας, Άννης καί Ελισάβετ.

Στίχοι

Τμηθείς ο σεπτός, Αλέξανδρος αυχένα,
Καί Μάρτυς εστίν, ου θύτης Χριστού μόνον.
Θεοδότην άγχουσι καί Γλυκερίαν,
Θεού γλυκείας ηγαπηκυίας δόσεις.
«Στώμεν καλώς, καί θώμεν αυχένας ξίφει»,
Αθληφόροι λέγουσιν αλλήλαις δύο.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τού Ιεράρχου

Ωδή ζ'

Εικόνος χρυσής

Ως θείος ποιμήν, ως θαυμάτων αυτουργός τυφλοίς τό βλέπειν, εντεύξει Πάτερ εχορήγησας, τήν ακοην τοίς κωφεύουσι, κάθαρσιν λεπροίς, ευδρομίαν τοίς χωλοίς αναμέλπουσιν. Ευλογητός εί ό Θεός, ο τών Πατέρων ημών.

Κηρύττει τό σόν, τερατούργημα Σοφέ εις τόν αιώνα, θερμών υδάτων η ανάβλυσις, βωμός τώ τάφω σου κείμενος, όν εκ τής Ρωμαίων μεγίστης, μετηνέγκατο πόλεως, τό πονηρόν εξελαθέν, πνεύμα Αβέρκιε.

Λαού ταπεινού, προηγήσω υψηλός εν θεωρίαις, καί ενεργείαις καί δυνάμεσιν, αποδειχθείς Ιερώτατε, καί τού υψηλού Βασιλέως, θεραπευτής, ώ κραυγάζομεν. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Ετέχθη εκ σού, όν εγέννησε Πατήρ πρό τών αιώνων, διτταίς ουσίαις καί θελήσεσιν, οία Θεός τε καί άνθρωπος, Κόρη γνωριζόμενος πάσι, τοίς εν πίστει κραυγάζουσιν. Εύλογητός εί ό Θεός, ό τών Πατέρων ημών.

Τών Μαρτύρων

Εν τή καμίνω

Σύν Ιαμβλίχω, Εξακουστωδιανόν, Μαρτινιανόν, άμα Αντωνίνω καί τόν ευκλεή, Ιωάννην, Διονύσιον Μαξιμιλιανόν, τούς τού Χριστού τιμήσωμεν Μάρτυρας.

Εγκεκρυμμένοι, τώ τά κρυπτά ειδότι ηύχεσθε, παύσαι φανερόν τόν φθόνον τού δυσσεβούς, κεκρυμμένως.καί θανόντες δέ, τήν φοβεράν τυπούτε ανάστασιν.

Βίαις ουδόλως, παρανομούντων κατεκάμφθητε, σέβας τοίς ειδώλοις νείμαι θεοστυγές, διά τούτο πίστει σέβομεν, υμών τά λείψανα, αγιασμόν λαμβάνοντες Άγιοι.

Θεοτοκίον

Ώφθης Αγγέλων, θεοκυήτορ υπερέχουσα, ώφθης, Αθλητών κραταίωμα αληθώς, ώφθης πάναγνε διάσωσμα, τών γινωσκόντων σε, παναληθή τού Λόγου λοχεύτριαν.

Τού Ιεράρχου

Ωδή η'

Τόν εν καμίνω

Ο περιδέξιος Ποιμήν, η ακένωτος πηγή τών ιαμάτων, Εκκλησίας ο στύλος, ο τών Πιστών στηριγμός, ο μέγας αστήρ ο πολύφωτος, ο ιερομύστης, Αβέρκιος τιμάσθω.

Σύ ώσπερ φοίνιξ ψαλμικώς, εξανθήσας εν αύλαίς Θεού τού ζώντος, επληθύνθης ως κέδρος, καί ως ελαία Σοφέ, εφάνης ελαίω τών έργων σου, πάντων ιλαρύνων, τά πρόσωπα εν πίστει.

Όρους επάνω πρακτικής, πολιτείας εμφανώς καθάπερ πόλις, εγνωρίσθης κειμένη, καί βυθισθείσαν τό πρίν, τή πλάνη Όσιε τήν πόλιν σου, πόλεως τής άνω, δεικνύεις κληρονόμον.

Θεοτοκίον

Ιδού η κλίνη Σολομών, ήν κυκλούσι δυνατοί, ως αι προρρήσεις, νύν Γραφής τής αγίας, εν ή Χριστός ο Θεός, σαρκώσει θεία ανεπαύσατο, η ευλογημένη και κεχαριτωμένη.

Τών Μαρτύρων

Χείρας εκπετάσας Δανιήλ

Χαίρει Εφεσίων η λαμπρά, σαφώς Μητρόπολις, υμάς πλουτήσασα, πρός τόν Πανάγαθον Άγιοι, πρεσβευτάς καί αντιλήπτορας, ξένον όφθέντας επί γής, τοίς πάσι θέαμα, τή εγέρσει τή παραδόξω, δι' ής εδοξάσθητε.

Άγρυπνοι ωράθητε ημών, μετά τήν κοίμησιν, Πάνσοφοι φύλακες, κατακοιμήσαντες κύματα, απιστίας καί εμφράττοντες, αιρετιζόντων εμφανώς, άθεα στόματα, παραδόξως νεύσει Θεού, εκτελούντες θαυμάσια.

Ρήγνυται υμών πρό τών ποδών, ο πλάνος κείμενος, νεκρός αναίσθητος, ο πρίν καυχώμενος άμετρα, καί οιήσει σκοτιζόμενος, καί μεγαλύνεται Χριστός, ο μεγαλύνας υμάς, ώ βοώμεν. Πάντα τά έργα υμνείτε τόν Κύριον.

Ιερολογίαις Ιεραίς, υμνολογήσωμεν τούς Παίδας σήμερον, ούς περ κατέστεψε

Κύριος, αμαράντοις διαδήμασι, καί εμεγάλυνε, πολλών θαυμάτων λάμψεσι, μελω δούντας. Πάντα τά έργα υμνείτε τόν Κύριον.

Θεοτοκίον

Νοσούσαν Παρθένε τήν εμήν, ψυχην θεράπευσον, καί τόν ενόντα μοι, παθών απόπλυνον βόρβορον, καί τώ βήματι παράστησον, τού Παντοκράτορος Θεού, όλον σωζόμενον, ίνα μέλπω. Πάντα τά έργα υμνείτε τόν Κύριον.

Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι εύσεβείας ερασταί, Παίδες κραυγάζοντες. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Του Ιεράρχου

Ωδή θ’

Τόν έκ Θεού Θεόν Λόγον

Ως φωταυγής σου ο βίος, ως ωραίοι οι πόδες, ως λίαν θαυμαστή η πρός Θεόν, νεύσις ομού καί οικείωσις, ως μεγίστη η χάρις, η άνωθεν δοθείσά σοι Σοφέ, διά τούτο εν πίστει, τιμώμέν σε Αβέρκιε.

Σέ τόν ομόσκηνον πάντων, τών Αγίων Μαρτύρων, τόν σύνθρονον τών θείων Μαθητών, Πατριαρχών τόν Ομότιμον, Προφητών καί Οσίων, καί τών επουρανίων Λειτουργών, τόν συνόμιλον πίστει, γεραίρομεν Αβέρκιον.

Η παναγία σου μνήμη, απλουμένη εν κόσμω, φωτίζει τών ανθρώπων τάς ψυχάς, φέγγει πλουσίω εν χάριτι, ήν τελούντες εκ πόθου, παθών ημάς καί σκότους πειρασμών, ταίς πρεσβείαις σου ρύσαι, δεόμεθα Αβέρκιε.

Θεοτοκίον

Φωτιστικήν σε λυχνίαν, ο Προφήτης προβλέπει, λαμπάδιον τό θείον αληθώς,εν εαυτή επιφέρουσαν, Παναγία Παρθένε, τόν μόνον υπερούσιον Θεόν, διά σπλάγχνα ελέους, εκ σού ενανθρωπήσαντα.

Τών Μαρτύρων

Λίθος αχειρότμητος όρους

Ιδού δή τί καλόν, ή τί τερπνόν, Δαυϊδ ό θείος ανεβόα, αλλ' ή οικείν εν ομονοία, Αγίους Παίδας σεπτά σκηνώματα, τήν πρός τόν Κτίστην ένωσιν, τετηρηκότας αδιάσπαστον.

Ώφθητε επτώροφος οίκος, Μάρτυρες θείοι τής Τριάδος, ένδον εν σπηλαίω θανόντες, καί τών ειδώλων οίκους συντρίψαντες, καί πρός ναόν ουράνιον, ευσεβοφρόνως μετοικήσαντες.

Σκίρτησον Χριστού Εκκλησία, στύλους επτά βαστάζοντάς σε, έχουσα Κυρίου τούς Παίδας, δι' ών πεπτώκει τείχη ανίδρυτα, κακοπιστίας χάριτι, τού τήν ζωήν νεκροίς εμπνέοντος.

Ημεροφαείς ως αστέρες, πάσαν τήν γήν φωταγωγείτε, θείων αρετών καί θαυμάτων, φαιδραίς ακτίσι Παίδες μακάριοι, διό ημών φωτίσατε, τά τής καρδίας αισθητήρια.

Θεοτοκίον

Φέρεις εν αγκάλαις τόν πάντα, θεία κατέχοντα παλάμη, όν περ εκδυσώπει Παρθένε, εμέ τόν μόνον όντα κατάκριτον, δι' ευσπλαγχνίαν άφατον, εναγκαλίσασθαι καί σώσαί με.

Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, έξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνά»ψας, τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Εξαποστειλάριον τού Ιεράρχου
Τοίς Μαθηταίς συνέλθωμεν

Επιτελών Αβέρκιε, τέρατα καί σημεία, θερμών υδάτων έκβλυσιν, σαίς ευχαίς απειργάσω, καί τή προστάξει σου Πάτερ, εν ενί σκεύει οίνος, μετά ελαίου ειδός τε, έτερον βεβλημένα, θεία ροπή, αμιγή προήρχοντο παραδόξως, καιρώ ιδίω έκαστον, εις Χριστού δόξαν θείαν.

Έτερον τών Μαρτύρων καί
Θεοτοκίον ομού

Σύν Ιαμβλίχω μέλψωμεν, Ιωάννην, Μαρτίνον, καί Αντωνίνον άσμασι, Μαξιμιλιανόν τε, καί Διονύσιον άμα, τώ κλεινώ Εξακούστω, φαιδρώς πανηγυρίζοντες, τήν λαμπράν αυτών μνήμην, όπως ευχαίς, τούτων καί πρεσβείαις τής Θεοτόκου, πταισμάτων λύσιν εύρωμεν, πρός Χριστού τού Σωτήρος.

Εις τούς Αίνους, ψάλλομεν Στιχηρά Προσόμοια τού Ιεράρχου τρία, δευτερούντες τό πρώτον.

Ήχος πλ. δ'
Κύριε, εί καί κριτηρίω

Έχρισε, σέ Αρχιερέα η χάρις, τού Παρακλήτου, Αβέρκιε, πλάνης καθαιρούντα τεμένη, καί ανιστώντα τή χάριτι, ναούς Θεού Ιερούς, εις δόξαν τε καί αίνεσιν,τού τεχθέντος εκ Παρθένου, καί τά πάντα αγιάσαντος.

Θαύμασι, Πάτερ εβεβαίωσας πάντας, λόγους τού θείου κηρύγματος, καί τούς πλανωμένους ανθρώπους, πρός θείαν γνώσιν επέστρεψας, φωταγωγός απλανής, Αβέρκιε δεικνύμενος, καί δαιμόνων καθαιρέτης, διά τούτο ευφημούμέν σε.

Μέγιστος, πάσιν ώσπερ ήλιος Πάτερ, τή οικουμένη ανέτειλας, λάμψεσι πανσόφων σου λόγων, καί ιαμάτων λαμπρότησι, φωταγωγών τούς πιστούς, καί σκότος παθών πάντοτε, εκδιώκων συνεργεία, τού Αγίου μάκαρ Πνεύματος.

Δόξα... Ήχος γ’

Αρχιερεύ Όσιε, παμμακάριστε Πάτερ, θαυματουργέ θεράπον Χριστού Αβέρκιε, προφητικώ εκλάμψας βίω, καί αποστολικών αξιωθείς χαρισμάτων, τώ Σωτήρι λειτουργών, σύν Αγγέλοις απαύστως, πρέσβευε ρυσθήναι από πάσης απειλής τάς ψυχάς ημών.

Καί νύν… Θεοτοκίον
Μεγάλη τού Σταυρού σου

Αγγέλων χαρμονή τών θείων Κόρη πέφυκας, τών Αποστόλων δόξα, καί Προφητών εκσφράγισμα, τών ανθρώπων τε πιστών η προστασία, καί οδηγός σωτήριος, διά τούτό σε προσκυνούμεν Παρθένε.

Η Σταυροθεοτοκίον

Ορώσα τόν εκ σού τεχθέντα Παναμώμητε, κρεμάμενον εν ξύλω, ωλόλυζες

βοώσα. Ποθεινότατόν μου Τέκνον, πού σου έδυ τό κάλλος τό φωσφόρον, τού καλλωπίσαντος τών ανθρώπων τό γένος;

Καί η λοιπή Ακολουθία τού Όρθρου, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΓ’ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Ιερομάρτυρος καί Αποστόλου Ιακώβου τού Αδελφοθέου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς’ καί ψάλλομεν Στιχηρά Προσόμοια τρία, δευτερούντες αυτά.

Ήχος δ’
Έδωκας σημείωσιν

Δεύτε τό μνημόσυνον, τού θεαδέλφου τιμήσωμεν, ιερώς οι θεόφρονες, ζυγόν γάρ δεξάμενος, τού Χριστού προθύμως, τού Ευαγγελίου, τής αγαθότητος αυτού, καί βασιλείας κήρυξ γεγένηται, καί τούτου τήν ανέκφραστον, οικονομίαν πιστεύεται. Δι' αυτού Παντοδύναμε, ιλασμόν ημίν δώρησαι.

Πάντα περιήχησε, τής οικουμένης τά πέρατα, τών ρημάτων ο φθόγγος σου, δι' ών φωτιζόμεθα, αρετής ενθέου, πρός πάσαν ιδέαν, καί οδηγούμεθα πιστώς, πρός τής Τριάδος θείαν επίγνωσιν, διό εκδυσωπούμέν σε, ως Ιεράρχης ικέτευε, Ιησούν τόν φιλάνθρωπον, τού σωθήναι τάς ψυχάς ημών.

Πόρρωθεν προβλέπων σου, τήν πολιτείαν Ιάκωβε, αδελφόν σε προσήκατο, Χριστός ό φιλάνθρωπος, ο σοφός προγνώστης, Ιεροσολύμων, ιεροφάντορα πιστον, καί ποιμενάρχην προχειρισάμενος, καί μύστην τά απόρρητα, ιερουργούντα μυστήρια. Όν καί νύν καθικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Δόξα… Ήχος πλ. β’

Αίματι τού μαρτυρίου, τήν ιερωσύνην κατεποίκιλας, Ιερομάρτυς, Απόστολε, τώ γάρ πτερυγίω του Ιερού παρεστώς, Θεόν Λόγον εκήρυξας, Δημιουργόν όντα τού παντός, όθεν υπό Ιουδαίων ριφείς, ουρανίων θαλάμων ηξίωσαι, Αδελφόθεε Ιάκωβε, Χριστόν τόν θεόν ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Καί νύν… Θεοτοκίον
Τριήμερος ανέστης

Τήν πάσάν μου ελπίδα εις σέ, Παρθένε ανατίθημι, μή παρίδης, αλλά σπεύσον αγαθή, ρυσθήναί με εν τάχει, παθών τών ενοχλούντων, καί καθ' εκάστην πολεμούντων με.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'
Κύριε, ει καί κριτηρίω

Κύριε, ει καί πτερυγίω παρέστη, τού ιερού ο Ιάκωβος, αλλά παρρησία λαλήσας, Θεόν Λόγον σε εκήρυξε, Δημιουργόν τού παντός, κόσμω επιδημήσαντα, ού ταίς πρεσβείαις καί νύν παράσχου, τόν φωτισμόν ταίς ψυχαίς ημων.

Στίχ. Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών.

Κύριε, ει καί εν τώ ξύλω η κάρα, τού Αποστόλου συντέτριπται, αλλ' εν Παραδείσω τώ ξύλω, τώ τής ζωής σοι προσήνεκται, τών γάρ προσκαίρων λυθείς, αιωνίως αγάλλεται, ού ταίς πρεσβείαις ταίς Εκκλησίαις, τήν ειρήνην σου κατάπεμψον.

Στίχ. Οι ουρανοί διηγούνται δόξαν Θεού ποίησιν δέ χειρών αυτού αναγγέλλει τό στερέωμα.

Κύριε, σέ ομολογήσας γενναίως, ο Αδελφόθεος γέγηθεν, Υιόν τού Θεού τού υψίστου, ειλικρινώς ο αοίδιμος, τούς δέ δυσφήμους εχθρούς, κατήσχυνε καί έπαυσε, διά τούτο καί εναθλήσας, σοί παρέστη αγαλλόμενος.

Δόξα… Ήχος πλ. δ'

Τού αρχιποίμενος Χριστού, Αδελφός χρηματίσας καί διάδοχος, καί εν Αποστόλοις επίσημος, τόν υπέρ αυτού θάνατον ηγάπησας, καί τό μαρτύριον ουκ επησχύνθης, Ιάκωβε ένδοξε. Αυτόν ικέτευε αδιαλείπτως, τού σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον
Κύριε, ει καί κριτηρίω

Ίδε μου, τής συντετριμμένης καρδίας, τούς στεναγμούς θεονύμφευτε, προσδεξαι Παρθένε Μαρία, καί μή απώση πανάμωμε, τάς τών χειρών μου αγνή, επάρσεις ως φιλάγαθος, ίνα υμνώ καί μεγαλύνω, τόν μεγαλύνοντα τό γένος ημών.

Απολυτίκιον Ήχος δ'

Ως τού Κυρίου μαθητής, ανεδέξω Δίκαιε τό Ευαγγέλιον, ως Μάρτυς έχεις τό απαράτρεπτον, τήν παρρησίαν ως Αδελφόθεος, τό πρεσβεύειν ως ιεράρχης. Πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τού Αποστόλου ο παρων εις ς'.

Ποίημα θεοφάνους

Ωδή α'  Ήχος δ'

Θαλάσσης τό ερυθραίον

Την δόσιν, τήν αγαθήν Ιάκωβε, καί δώρον τέλειον, εκ τού Πατρός τών φώτων τοίς βροτοίς, χορηγείσθαι διδάσκεις σαφώς, ής μετασχείν Απόστολε, τούς σέ υμνούντας καθικέτευε.

Τή αίγλη, σύ φωτισθείς Ιάκωβε, τού θείου Πνεύματος, καί σύν αυτώ τούς νόμους εκτιθείς, Εκκλησίας ρυθμίζεις εθνών, ως τού Χριστού Απόστολος, ιεροφάντορ παμμακάριστε.

Χορείαν, τών Αποστόλων πάνσοφε, σαφώς εκόσμησας, Αρχιερεύς ως πρώτος γεγονώς, αυτουργία τού Λόγου χρισθείς, ως μαθητής θεάδελφος, ιεροκήρυξ μυστικώτατος.

Θεοτοκίον

Πηγήν σε, τών ιαμάτων έχοντες, απαρυόμεθα, ως τήν πηγήν τεκούσαν τής ζωής, Θεοτόκε πανύμνητε, καί τών ψυχών την ίασιν, καί τών σωμάτων τήν ανάκτησιν.

Ωδή γ’

Ευφραίνεται επί σοί

Ευφραίνεται η φυλή, η τού Ιούδα επί σοί σήμερον, ταίς τού Χριστού βλέπουσα, σέ μαρμαρυγαίς απαστράπτοντα.

Αστέρα θεολαμπή, σέ η Εκκλησία τών εθνών έχουσα, τόν ευκλεή κήρυκα, θείαις δαδουχίαις λαμπρύνεται.

Τόν νόμον τόν τής ζωής, τή Εκκλησία τού Χριστού τέθεικας, ζωοποιώ Πνεύματι, σύ νομοθετών καί φθεγγόμενος.

Θεοτοκίον

Ον έτεκες εν σαρκί, Παρθενομήτορ εκ Πατρός λάμψαντα, τούτον Αγνή, Ιάκωβος, ως Θεόν τών όλων εκήρυττε.

Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα. Συ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

Κάθισμα  Ήχος α’

Τόν τάφον σου Σωτήρ

Απόστολε Χριστού, καί αυτόπτα καί Μάρτυς, Ιάκωβε σοφέ, Αδελφόθεε μάκαρ, τούς πίστει εορτάζοντας, τό σεπτόν σου μνημόσυνον, ελευθέρωσον, τών συνεχόντων πταισμάτων, ταίς πρεσβείαις σου, τούς ουρανούς εμβατευων, δυνάμει τού Πνεύματος.

Δόξα… Ήχος πλ. δ’

Τήν Σοφίαν καί Λόγον

Συγγενής κατά σάρκα τού Ιησού, χρηματίσας πρός τούτου χάριν πολλήν, Απόστολε είληφας, καί τοίς πάσι μετέδωκας, φωτισμού καί γνώσεως,

πανσόφου, Ιάκωβε, καί ειδώλων πλάνην, ριζόθεν ανέσπασας, όθεν οι τού σκότους, προϊστάμενοι πλάνοι, αδίκως σε κτείνουσι, τόν Σωτήρα κηρύττοντα, διά τούτο βοώμέν σοι, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Καί νύν... Θεοτοκίον

Ως πανάμωμος Νύμφη τού Ποιητού, ως απείρανδρος Μήτηρ τού Λυτρωτού, δοχείον ως υπάρχουσα, τού Παρακλήτου πανύμνητε, ανομίας με όντα, αισχρόν καταγώγιον, καί δαιμονων παίγνιον, εν γνώσει γενόμενον, σπεύσον καί τής τούτων, κακουργίας με ρύσαι, λαμπρόν οικητήριον, αρετής απαρτίσασα, φωτοδόχε άκήρατε, δίωξον τό νέφος τών παθών, καί τής άνω μεθέξεως αξίωσον, καί φωτός ανεσπέρου, πρεσβείαις σου Άχραντε.

Ωδή δ'

Δι' αγάπησιν Οικτίρμον

Επεβίβασας είς θάλασσαν σού τούς ίππους, τούς Αποστόλους Σώτερ, καί εφώτισαν τά έθνη, πρός τήν σήν επίγνωσιν, ελκύσαντες Κύριε.

Ακηλίδωτον ως έσοπτρον δεδειγμένος, καί πρωτουργούς ακτίνας, τής ακτίστου Τριάδος, ακριβώς δεξάμενος, τοίς πάσιν εξέλαμψας.

Κυλιόμενόν σε λίθον η προφητεία, ηγιασμένον βλέπει, καί συντρίβοντα πλάνης, σαθράν ματαιότητα, ισχύϊ τού Πνεύματος.

Θεοτοκίον

Υποδύς Παρθενομήτορ τήν σήν γαστέρα, ο πρό αιώνων Λόγος, γεννηθείς απορρήτως, εκ Πατρός, Ιάκωβον, Απόστολον δείκνυσι.

Ωδή ε'

Σύ Κύριέ μου φώς

Σύ Κύριε φωτός, αστραπήν τόν Ιάκωβον, ανέδειξας φρυκτωρούσαν, καί βροτούς τής αγνοίας, καί πλανης απαλλάττουσαν.

Σέ Κύριε φωνή, ελευθέρα εκήρυξεν, ο δίκαιος αδελφός σου, μιμητής τε τού πάθους, εγένετο κτεινόμενος.

Τίς βρότειός σοι νούς, εγκωμίων εφύμνιον, δυνήσεται προσκομίζειν, αρετής λαμπρυνθέντι, ταίς χάρισιν Ιάκωβε;

Θεοτοκίον

Σέ θείον αληθώς, ευρηκώς ενδιαίτημα, κατώκησεν ώ Παρθένε, τήν ημών σωτηρίαν, ο Λόγος προμηθούμενος.

Ωδή ς’

Θύσω σοι, μετά φωνής

Στολήν σε, τής νομικής ενέδυσε κρείττονα, καί.Ιεράρχην δεικνύει, Ααρών τού πάλαι τιμιωτέραν, ό δι' οίκτον, εις αδελφότητά σε δεξάμενος.

Όργανον, ενεργείαις κρουόμενον Πνεύματος, πάσαν διάνοιαν θέλγον, καί Θεώ προσάγον τούς σωζομένους, εκ δουλείας, χαλεπωτάτης γέγονας άριστον.

Διψήσας, τού τής ζωής εξέπιες νάματος, καί ποταμούς αναβλύζεις, θεορρημοσύνης τής σής κοιλίας, αλλομένους, τή οικουμένη τώ θείω Πνεύματι.

Θεοτοκίον

Εύα μέν, παρακοή τόν θάνατον έτεκεν, η Θεοτόκος ζωήν δέ, συλλαβούσα τέτοκε τήν αγήρω, καί τό πάλαι, υπέρ πάντων απέτισεν όφλημα.

Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Κοντάκιον Ήχος δ’

Ο υψωθείς

Ο τού Πατρός μονογενής Θεός Λόγος, επιδημήσας πρός ημάς επ' εσχάτων, τών ημερών Ιάκωβε θεσπέσιε, πρώτόν σε ανέδειξε τών Ιεροσολύμων, Ποιμένα καί Διδάσκαλον, καί πιστόν οικονόμον, τών μυστηρίων τών πνευματικών, όθεν σε πάντες τιμώμεν Απόστολε.

Ο Οίκος

Τόν γόνον σε τού’ Ιωσήφ, και Ιεροσολύμων τόν πρώτον ιεράρχην, Ιάκωβε θεόπτα, καί τού Κυρίου αδελφόν ύμνοις εγκωμίων ανυμνούμεν εύσεβώς, καί πίστει ανακράζομεν. Δώρησαι ημίν δώρημα τέλειον εκ τού Πατρός τών φώτων, καί απέλασον τήν θλίψιν τήν επερχομένην καί ενεστώσαν εκ πλήθους πταισμάτων, επήραν γάρ οι εχθροί καθ' ημών τήν πτέρναν, καί εκύκλωσαν ημάς Ισμαηλίται, ών θραύσον ταχύ τά τόξα ιεροφάντορ, ίνα σε πάντες τιμώμεν Απόστολε.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΓ' τού αυτού μηνός, Μνήμη τού Αγίου ιερομάρτυρος καί Αποστόλου Ιακώβου τού Αδελφοθέου.

Στίχοι

Κληθείς αδελφός τού Κατακρίτου ξύλω
Θνήσκεις δι' αυτόν, παμμάκαρ, κρουσθείς ξυλω.
Εσθλόν Αδελφόθεον τριτάτη ξύλω εικάδι πλήξαν.

Τή αυτή ημέρα, Μνήμη του Οσίου Πατρός ημών Ιγνατίου, Πατριάρχου Κωνσταντινουπόλεως.

Στίχοι

Εύρες μεταστάς τήν παλαιάν αξίαν,
Ιγνάτιε Πρόδρομε Ρώμης τής Νέας.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Μακαρίου τού Ρωμαίου.

Στίχοι

Έρημον ηγάπησας οικείν παμμάκαρ,

Θεώ ομιλείν καταμόνας τώ μόνω.

Ο Όσιος πατήρ ημών Νικηφόρος ο ιδρυτής τήν εν Χαρσιανώ Μονής καί ο Όσιος Πετρώνιος εν ειρήνη τελειούνται.

Οι Άγιοι δύο Παίδες εις πύρ κατά γής στρωθέν, τρέχειν αναγκασθέντες, τελειούνται.

Ταίς αυτών αγίαις πρεσβείαις, ό Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Εν τή καμίνω

Ως εν καμίνω' τώ υπερώω πυρσευόμενος, θείου παρουσία Πνεύματος μυστικώς, ο Ιάκωβος εβόησεν. Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε.

Η εκ τού ύψους, πνοή βιαία τόν Ιάκωβον, γλώσση πυριμόρφω φθέγγεσθαι τού Θεού, μεγαλεία παρεσκεύασεν. Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε.

Τής θεωρίας, τής πρακτικής σύ εκτιθέμενος, δέλτον εκ πυξίδος ώσπερ πνευματικής, τούς ανθρώπους εβελτίωσας. Ευλογημένος εί, ο Θεός μου κραυγάζων καί Κύριος.

Θεοτοκίον

Ο αναπλάσας, κόσμον εν μήτρα σου θεόνυμφε, θείας λειτουργίας δείκνυσι τελεστήν, τόν Ιάκωβον κραυγάζοντα. Ευλογημένη σύ, εν γυναιξίν υπάρχεις πανάμωμε.

Ωδή η'

Χείρας εκπετάσας Δανιήλ

Χείρας εκπετάσας κραταιάς, τούς Αποστόλους σου Σώτερ ευλόγησας, επανερχόμενος Δέσποτα, πρός τόν άναρχον Πατέρα σου, καί παρεσκεύασας αυτούς μετ' ευφροσύνης βοάν, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ώσπερ επηγγείλω αψευδώς, τοίς, Αποστόλοις σου Πνεύμα απέστειλας, τούτου, Ιάκωβος Δέσποτα, τή λαμπρότητι λαμπόμενος, τήν οικουμένην αστραπαίς, καταγλαϊζει φαιδρώς, καί κραυγάζει. Πάντα τά έργα υμνείτε τόν Κύριον.

Σοφίαν Ιάκωβε σοφέ, τήν ενυπόστατον έσχες διδάσκαλον, μυσταγωγούσάν σε άρρητα, καί ανέκφραστα μυστήρια, καί πρός ευσέβειαν λαούς, μέλπων διήγειρας. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Θεοτοκίον

Όρος εκφανθείσαν νοητόν, Παρθένε άχραντε, Προφήτης βλέπει σε, εκ σού υπέρτιμος λίθος γάρ, εκτμηθείς περιεσώσατο, τήν οικουμένην αληθώς,

ενθέως ψάλλουσαν. Εύλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Ωδή θ’

Λίθος αχειρότμητος όρους

Δεύτε τόν πρωτόθρονον πάντες, τής Εκκλησίας τόν φωστήρα, ιεροίς Ιάκωβον ύμνοις, ως ιεράρχην καί θείον κήρυκα, τόν φερωνύμως Δίκαιον, ονομασθέντα μεγαλύνωμεν.

Θείας κοινωνόν ως φανέντα, ατελευτήτου βασιλείας, καί Θεού κληρωθέντα αδελφόν, καί πολιτείαν επαληθεύουσαν, προσηγορία δείξαντα, σέ μεγαλύνομεν’ Ιάκωβε.

Θρόνω παριστάμενος Μάκαρ, στεφανηφόρος τής Τριάδος, πίστει τούς τιμώντάς σε πόθω, τών ακηράτων κατατρυφήσαι γερών, Αρχιερεύ Ιάκωβε, τόν σόν Δεσπότην καθικέτευε.

Θεοτοκίον

Σύ τόν εκ Παρθένου τεχθέντα, απειρογάμως θεοφάντορ, ταίς μυσταγωγίαις σου σαφώς θεόν, διδάσκεις σεσαρκωμένον Λόγον, εις όν περ καί πιστεύοντες, νύν επαξίως μεγαλύνομεν.

Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύ»νομεν».

Εξαποστειλάριον

Τοίς Μαθηταίς

Ως Ιεράρχης πρώτιστος, τής καινής Διαθήκης, ως μέγιστος Απόστολος, ως σοφός Υποφήτης, καί Μάρτυς ων αληθείας, παρά πάντας πλουτήσας, εξαίρετον αξίωμα, αδελφός τού Κυρίου, νύν πρός αυτόν, λίθοις αναιρούμενος μετετέθης, παρ' ού ημίν Ιάκωβε, λύσιν αίτει πταισμάτων.

Θεοτοκίον

Η φοβερά τής κρίσεως, καί μεγάλη ημέρα, νύν επί θύραις έστηκεν, όρα πρόσεχε νήφε, ψυχή μου καί εκ καρδίας, πρόσπεσον τή Παρθένω, καί μόνη θεομήτορι, δάκρυσιν εκβοώσα. Πάσης Αγνή, τιμωρίας ρύσαί με δυσωπώ σε, καί δεξιοίς προβάτοις με, σύνταξον τού Υιού σου.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ’ καί ψάλλομεν τά παρόντα τρία Προσόμοια Στιχηρά, δευτερούντες τό πρώτον.

Ήχος α'

Τών ουρανίων ταγμάτων

Τών ευσεβούντων τά πλήθη, νύν ιερά εορτήν, χαρμονικώς τελούντες, αλαλάξωμεν πάντες, πιστώς ανευφημούντες, ψαλμοίς καί ωδαίς, τόν θεάδελφον σήμερον, καί μαθητήν τού Κυρίου, όστις αεί, ικετεύει τού σωθήναι ημάς.

Τής κατά σάρκα Κυρίου, επιδημίας Σοφέ, αδελφός ανεδείχθης, μαθητής καί αυτόπτης, τών θείων μυστηρίων, φυγάς σύν αύτώ, εν Αιγύπτω γενόμενος, σύν Ιωσήφ τή Μητρί τε τού Ιησού, μεθ' ών πρέσβευε σωθήναι ημάς.

Τών Αποστόλων ο δήμος, σέ εξελέξατο, ιερατεύειν πρώτον, εν Σιων τή αγία, Χριστώ τώ ευεργέτη, ως όντα αυτού, τής κατά σάρκα γεννήσεως, καί αδελφόν συνοδίτην καί οπαδόν, τών ιχνών αυτού, Ιάκωβε.

Δόξα... Ήχος α'

Βυζαντίου

Εν τή πυρίνη αίγλη τού θείου Πνεύματος φωτισθείς, τής ευσεβείας ώφθης θείος ζηλωτής, Αδελφόθεε Ιάκωβε, όθεν καί στολήν σε νομικής ιερωσύνης, ως Ααρών τού πάλαι, τιμιωτέραν ενέδυσεν ο δι' οίκτον εις αδελφότητα δεξάμενος. Αυτόν ικέτευε, Αποστόλων Ένδοξε, τού σωθήναι τάς ψυχάς ημών.

Καί νύν… Θεοτοκίον

Αμαρτωλών τάς δεήσεις προσδεχομένη, καί θλιβομένων στεναγμόν μή παρορώσα, πρέσβευε τώ εξ αγνών λαγόνων σου, σωθήναι ημάς, Παναγία Παρθένε.

Δοξολογία Μεγάλη, καί Απόλυσις.

Εις τήν λειτουργίαν, τά Τυπικά, καί εκ τού Κανόνος τού Αποστόλου Ωδή γ' καί ς'.

Απόστολος

Αδελφοί, γνωρίζω υμίν...

Ζήτει Κυριακή κ'

Ευαγγέλιον κατά Μάρκον

Τώ καιρώ εκείνω, ήλθεν ο Ιησούς εις τήν πατρίδα αυτού...

Ζήτει τή γ’ τής ιε’ Εβδομάδος τού Ματθαίου

Κοινωνικόν

Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών, καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών. Αλληλούϊα.

---

Αρχή

**ΤΗ ΚΔ’ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τού Αγίου Μεγαλομάρτυρος Αρέθα, καί τής συνοδίας αυτού.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλομεν Στιχηρά Προσόμοια.

Ήχος α’
Πανεύφημοι Μάρτυρες

Εβραίων ωμότητι τήν σήν, ανδρείαν αντέθηκας, Μάρτυς Αρέθα πανεύφημε. καί θεία χάριτι, νικηφόρος ώφθης, καί χορόν προσήγαγες, Μαρτύρων τώ Χριστώ στρατευόμενον, εκ πάσης ένδοξε, ηλικίας συγκροτούμενον, καί εκ γένους, παντός συνιστάμενον.

Αρέθα πανένδοξε τερπνήν, χορείαν στησάμενος, τών ιερών συμμαρτύρων σου, μεθ' ών ηγώνισαι, τόν καλόν αγώνα, καί τόν δρόμον ήνυσας, τής σής ανδρειοτάτης αθλήσεως, Χριστόν δυσώπησον, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Παρθένοι νεάνιδες Χριστού, έρωτι πυρούμεναι, τής ασθενείας τής φύσεως, επιλαθόμεναι, καί δυνάμει θεία, προφανώς ρωννύμεναι, τήν πλάνην τού εχθρού κατεπάτησαν, μή δειλιάσασαι, τών βασάνων τό επίπονον, καί καμίνου, τό πύρ μή πτοούμεναι.

Δόξα... Ήχος δ’
Ανατολίου

Ασματικώς τόν ποιμενάρχην, σήμερον πιστοί, ομοφρόνως τιμήσωμεν, Αρέθαν τόν ενδοξότατον, μετά τής συνοδίας αυτού, ότι ήλεγξε βασιλέα παρανομήσαντα, καί τό αίμα εξέχεεν υπέρ Χριστού τής ομολογίας, όθεν καί πύρινον νέφος κατέφλεγεν από προσώπου τής γής, διελέγχον τών παρανόμων τήν ασέβειαν. Διό Χριστέ ο Θεός, ο τούς σούς, Αθλοφόρους ενισχύσας πρός σήν δοξολογίαν, καί ημάς διάσωσον ως τών δλων Δεσπότης, εκ πειρασμών καί θλίψεων, ταίς πρεσβείαις τών Αγίων σου.

Καί νύν... Θεοτοκίον
Εδωκας σημείωσιν

Τόν ρύπον απόσμηξον, τής ταλαιπώρου καρδίας μου, Θεοτόκε πανύμνητε, καί πάντα τά τραύματα, καί τά έλκη ταύτης, τά εξ αμαρτίας, εναποκάθαρον Αγνή, καί τού νοός μου στήσον τό άστατον, όπως τήν δυναστείαν σου, καί τήν μεγάλην αντίληψιν, μεγαλύνω σωζόμενος, ο αχρείος οικέτης σου.

Η Σταυροθεοτοκίον

Ιδών σε ο ήλιος, καί η σελήνη φιλάνθρωπε, επί ξύλου κρεμάμενον, ακτίνας απέκρυψε, τής δικαιοσύνης, Ήλιε Χριστέ μου, καί τά θεμέλια τής γής, διεδονήθη φόβω τού κράτους σου, η Μήτηρ σου τά σπλάγχνα δέ, τιτρωσκομένη εβόα σοι. Ιησού υπεράγαθε, δόξα τή Ευσπλαγχνία σου.

Εις τόν Στίχον, Στιχηρά της Οκτωήχου.

Δόξα… Ήχος πλ. δ’

Τήν πονηράν καί άπιστον, κακοβουλίαν Εβραίων προδιαγνοντες, εν τή τού

πνεύματος τόλμη, υπέρ Χριστού μαρτυρήσαι ηγωνίσασθε, ως γάρ έκπαλαι εν νόμω, τόν εξ Αιγύπτου σώσαντα, εν ερήμω παρώργισαν, καί τούτον σταυρώ κατεδίκασαν, ούτω νύν καί υμίν, έργω τόν λόγον παρήλθον, καί απιστίαν ζηλώσαντες υμάς τώ πυρί κατεδίκασαν. Υμείς δέ ομοφρόνως, ανδρείως τή καρτερία εναθλήσαντες, φοβεροί εν Μάρτυσιν ανεδείχθητε. Παρρησίαν έχοντες πρός Θεόν, αιτήσασθε ρυσθήναι, εκ πταισμάτων πολλών τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Οι Μάρτυρές σου

Εξάρπασόν με Δέσποινα, χειρός τού δράκοντος τού βροτοκτόνου, τού πολεμούντός με εν υποκρίσει, καταπιείν ολοτελώς, σύντριψον τάς μύλας τούτου δέομαι, καί τά μηχανήματα διάλυσον, όπως ρυσθείς τών τούτου ονυχων, μεγαλύνω τήν δυναστείαν σου.

Η Σταυροθεοτοκίον

Ορώσά σε σταυρούμενον, καί θανατούμενον η Θεοτόκος, οίμοι! εκραύγαζε, πώς τάς οδύνας, φέρεις γλυκύτατε Υιέ; βάλλει τήν καρδίαν μου η λόγχη σου, φλέγει δέ τά σπλάγχνα μου τό πάθος σου, όμως υμνολογώ σε, θέλων γάρ ταύτα πάσχεις, σώσαι τόν άνθρωπον.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Αναγινώσκεται η συνήθης Στιχολογία, είτα οι Κανόνες της Οκτωήχου, καί τών Αγίων ούτος, ού η Ακροστιχίς.

Μαρτυρικήν σύνοδον Θεοτερπέα μέλψομεν ύμνοις.

Θεοφανους

Ωδή α' Ήχος πλ. δ'

Άσμα αναπέμψωμεν

Μάρτυς αθλοφόρε τού Χριστού, Αρέθα παμμακάριστε ταίς ικεσίαις σου, καί τών σύν σοί Μαρτύρων, τόν νούν μου καταύγασον, όπως υμών υμνήσω, τήν φωσφόρον καί ένθεον μνήμην.

Άνω τό πολί τευμα σαφώς, εν ουρανοίς κτησάμενος, Θεομακάριστε, Χριστού τή εκμιμήσει, σαυτόν παραδέδωκας, πόθω τού Μαρτυρίου, τοίς ανόμοις Εβραίοις θεόφρον.

Ρήμα παραβάς τό τού Θεού, Εβραίος ο παράνομος, καί αδικώτατος τήν θεόλεκτον ποίμνην, Χριστού ελυμήνατο, όμως εισπράττει δίκην, τή δικαία καί θεία προνοία.

Τρίβον διοδεύων αληθώς, πρός ουρανόν τήν φέρουσαν, Χριστώ προσήγαγες, Μαρτύρων Εκκλησίαν, Αρέθα πανεύφημε, πάσης εξ ηλικίας, καί εκ γένους παντός ηθροισμένην.

Θεοτοκίον

Ύμνοις τήν πανάχραντον πιστοί, Παρθένον ευφημήσωμεν, τήν Θεομήτορα, τήν κεχαριτωμένην, τήν σκέπην τήν ένθεον, τόν εύδιον λιμένα, τήν απάντων πιστών σωτηρίαν.

Ωδή γ'

Ουρανίας αψίδος

Ρωννυμένην ορώντες, τή τού Σταυρού χάριτι, σού τήν Εκκλησίαν, Εβραίων παίδες παράνομοι, φθόνω τηκόμενοι, εν αικισμοίς πολυτρόποις, αφειδώς ηκίζοντο, μόνε Φιλανθρωπε.

Ιοβόλον τήν γλώσσαν, οι δυσσεβείς έχοντες, καί σέ βλασφημούντες τόν τούτων, τούς προγεννήτορας, ελευθερώσαντα, τής παλαιάς τυραννίδος, τούς εις σέ πιστεύοντας, Σώτερ κατέσφαξαν.

Κατά μόνας ό πλάσας, θεουργικώ νεύματι, σύ τάς τών ανθρώπων καρδίας, τίς τής προνοίας σου, βάθος δυνήσεται, καταλαβείν όπως ποίμνην, ήν Χριστέ συνήγαγες, λύκοις παρέδωκας;

Η θεόφρων σου ποίμνη, βαρβαρικοίς ξίφεσι, κατατεμνομένη προθύμως, επεκαλείτό σε. Δέξαι τα πνεύματα, καί τάς ψυχάς ημών Σώτερ, καί πρός φώς οδήγησον, τής βασιλείας σου.

Θεοτοκίον

Νεκρωθέντα με πάλαι, πρός τήν ζωήν Πάναγνε, πάλιν επανήγαγες, μόνη τήν ενυπόστατον, ζωήν γεννήσασα, ή προσβαλων διερράγη, προφανώς ο θάνατος, ο δυσμενέστατος.

Ο Ειρμός

«Ουρανίας αψίδος, οροφουργέ Κύριε, καί τής Εκκλησίας δομήτορ, σύ με στερέωσον, εν τή αγάπη τή σή, τών εφετών η ακρότης, τών πιστών τό στήριγμα, μόνε φιλάνθρωπε».

Κάθισμα  Ήχος πλ. δ'

Τήν Σοφίαν

Τού Σταυρού τή δυνάμει καθοπλισθείς, καί τή πίστει τειχίσας πόλιν τήν σήν, τοίς έργοις κατήσχυνας, τού τυράννου τό φρύαγμα, υπομονής δέ τύπος, ενθέου γενόμενος, τώ Χριστώ προσήγαγες, εν ταύτη τούς Μάρτυρας, όθεν συνελθόντες, κατά χρέος τιμώμεν, Αρέθα αείμνηστε, τήν πανέορτον μνήμην σου. Αθλοφόρε μακάριε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων λύτρωσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα… Καί νύν… Θεοτοκίον

Ως πανάμωμος Νύμφη τού Ποιητού, ως απείρανδρος Μήτηρ τού Λυτρωτού, δοχείον ως υπάρχουσα, τού Παρακλήτου πανάμωμε, ανομιών με όντα, αισχρόν καταγώγιον, καί δαιμόνων παίγνιον, εν γνώσει γενόμενον, σπεύσον καί τής τούτων, κακουργίας με ρύσαι, λαμπρόν οικητήριον, αρετής απαρτίσασα, φωτοδόχε ακήρατε, δίωξον τό νέφος τών παθών, καί τής άνω

μεθέξεως αξίωσον, καί φωτός ανεσπέρου, πρεσβείαις σου Άχραντε.

Η Σταυροθεοτοκίον

Ανελκόμενον Σώτερ εν τώ Σταυρώ, αγαθότητος πλούτω φύσει Θεόν, ορώσα η κτίσις σε, ακατάληπτε έτρεμε, καί κλονουμένη πάσα, τώ φόβω συνείχετο, αλλ' ιουδαίων δήμος, Πιλάτω εκραύγαζεν. Άρον ως κακούργον, καί σταυ αναρτήσας, τοίς ήλοις καθήλωσον, καί τή λόγχη εκκέντησον, καί θανάτω κατάγαγε  καί ταύτα πάσχοντά σε δεινώς, καθορώσα έλεγεν η Μήτηρ σου. Υμνολογώ σου τήν άκραν, Υιέ συγκατάβασιν.

Ωδή δ’

Σύ μου ισχύς Κύριε

Συναγωγή, κραταιουμένη τώ Πνεύματι, καί χορεία, θεία καί υπέρλαμπρος, μαρτυρικός δήμος καί στρατός, ο τροπαιοφόρος, Αρέθαν έχων ταξίαρχον, υμνείσθω φιλοτίμως, υπό τών μελωδούντων. Τή δυνάμει σου δόξα Φιλάνθρωπε.

Υπό τής σής, συγκροτουμένη συνέσεως, η θεόφρων, πόλις σου Πανόλβιε, τού πολιά, λάμποντος σεμνή, πρός τούς παρανόμους, ανδρείως διηγωνίσατο, καί νίκην αραμένη, μελωδεί τώ Σωτήρι. Τή δυνάμει σου δόξα Φιλάνθρωπε.

Νόμω καινώ, ζωοποιούντι τώ Πνεύματι, πεφραγμένη, νόμον τόν τού γράμματος, τόν αναιρούντα η ευσεβής, πόλις υπερέσχε, τή τής ψυχής καθαρότητι, καί τρόπων ευγενεία, τώ Χριστώ μελωδούσα, τή δυνάμει σου δόξα Φιλάνθρωπε.

Όντως Θεού, πόλις εδείχθης Υπέρτιμε, καί Μαρτύρων, θείον ενδιαίτημα, καί περί σού άδεται φαιδρώς, νύν δεδοξασμένα, μεγάλα καί αξιάκουστα, χορόν γάρ μελωδούντα, τώ Δεσπότη προσήγες. Τή δυνάμει σου δόξα Φιλάνθρωπε.

Θεοτοκίον

Δαυϊτικής, εκ βασιλίδος βλαστήσασα, συγγενείας, τόν παμβασιλεύοντα, τόν πρό αιώνων εκ τού Πατρός, Λόγον απορρήτως, καί υπ έρ νούν αναλάμψαντα, εγέννησας Παρθένε, Θεοτόκον διό σε, θεοφρόνως πιστοί μακαρίζομεν.

Ωδή ε’

Ίνα τί με απώσω

Ο θεόλεκτος δήμος, καί θεομακάριστος αγωνιζόμενος, καί θερμώς αλλήλους, ενισχύοντες καί συνασπίζοντες, υπό τών ανόμων, υπέρ Χριστού σφαγιασθήναι, ευκλεώς οι καλλίνικοι είλοντο.

Νευρωθέντες τή πίστει, καί τής ευσεβείας τώ ζήλω Σώτερ πυρούμενοι, οι θεράποντές σου, παρανόμων τόν φόβον ουκ έπτηξαν, καί τή σή αγάπη, ειλικρινώς συνδεδεμένοι, εαυτούς εκουσίως παρέδωκαν.

Θεού θεία προνοία, καί τοίς ανεφίκτοις της σοφίας κρίμασιν, αναθέντες πάσαν, τήν ζωήν αυτών δήμος ο ένθεος, πρός τάς παρανόμους, Εβραϊκάς μιαιφονίας, ευθαρσώς οι γενναίοι εχώρησαν.

Επί σοί πεποιθότες, καί πεπιστευκότες εν τή Αναστάσει σου, οι σοί Σώτερ μύσται, ούκ ερίζοντες ουδέ κραυγάζοντες, υπό τών ανόμων, υπέρ τής σής ομολογίας, ανηρέθησαν οι γενναιότατοι.

Θεοτοκίον

Ο Θεού Θεός Λόγος, ο πρό τών αιώνων Πατρί συναΐδιος, ευσπλαγχνίας πλούτω, εν γαστρί σου σκηνώσας επτώχευσε, καί βροτός εφάνη, επί τής γής σάρξ χρηματίσας, Θεοτόκε Παρθένε πανύμνητε.

Ωδή ς’

Ιλάσθητί μοι Σωτήρ

Τώ αίματι τού Χριστού, σημειωθέντες οι Άγιοι, τά αίματα εαυτών, προθύμως εξέχεον, οι ένδοξοι Μάρτυρες, καί νύν βασιλεύειν, σύν αυτώ κατη ξιώθη σαν.

Ειρήνην προφητικώς, ελάλουν γλώσσαι ψελλίζουσαι, εκήρυττον τόν Χριστόν, νηπίων ψελλίσματα, παρθένοι θεόφρονες, υπέρ ευσεβείας, εαυτάς Θεώ προσήνεγκαν.

Ραγήσεταί σοι τό φώς, ανατελεί τά ιμάτια, πλουσίως παρά Θεού, Αρέθα θεσπέσιε, πρός όν εξεδήμησας, αποστάζων έτι, τούς ιδρώτας τής αθλήσεως.

Πληθύς σοι Μαρτυρική, ενθέως Σώτερ προσήνεκται,τά αίματα διά σέ, προθυμως κενώσασα, καί αιτεί τήν άφεσιν, τών αμαρτημάτων, τοίς αυτήν αεί δοξάζουσιν.

Θεοτοκίον

Εξέλαμψεν εκ Σιών, η τού Υψίστου ευπρέπεια, τό πρόβλημα τής σαρκός, καθ' ένωσιν άρρητον, εκ σού Απειρόγαμε, περιβεβλημένη, καί τόν κόσμον κατεφώτισεν.

Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηριας μου».

Κοντάκιον Ήχος δ’

Επεφάνης σήμερον

Ευφροσύνης πρόξενος ημίν επέστη, η φωσφόρος σήμερον, τών Αθλοφόρων εορτή, ήν ανυμνούντες δοξάζομεν, τόν εν υψίστοις υπάρχοντα Κύριον.

Ο Οίκος

Τόν νούν μου φώτισον Χριστέ, τή αίγλη τών αγώνων, Αρέθα τού γενναίου, καί πάντων τών αγίων τών αθλησάντων σύν αυτώ, πρώτος γάρ απάντων ανεδείχθη ο στερρός, φαιδρώς παραταξάμενος κατά τών αθετούντων τήν σάρκωσιν σού, τού υπέρ φύσιν σαρκωθέντος καί τεχθέντος, ίνα ημάς

λυτρώσης τής πλάνης, καί δείξης απλανώς τοίς βουλομένοις διοδεύειν τήν οδόν τού μαρτυρίου, ήν οι Αθληταί εβάδισαν, σέ ανυμνούντες τόν εν υψίστοις υπάρχοντα κυριον.

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΔ' τού αυτού μηνός, Μνήμη τού Αγίου Μεγαλομάρτυρος Αρέθα, καί τής συνοδίας αυτού.

### Στίχοι

Τμηθείς, Θεώ προσήξε Μάρτυς Αρεθας,
Πολλούς ομοίως Μάρτυρας τετμημένους.
Αρέθα εικάδι σύν γνωστοίσι τετάρτη τμήθης.

Τή αυτή ημέρα, Μνήμη μιάς γυναικός καί τού βρέφους αυτής, ήν ιδόν τό βρέφος εν τώ πυρί, επιρρίψαν εν τή φλογί εαυτό τελειούτα.

### Στίχοι

Τή μητρί πρός πύρ ησύχως τεφρουμένη,
Φωναίς υποψελλίζον είπετο βρέφος.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος Σεβαστιανής.

### Στίχοι

Σεβαστιανή τή τομή βλύζει γάλα,
Ούχ αίμα καί σάρξ ώς περ ούσα πρός ξίφος.

Οι άγιοι Μάρκος, Σωτήριχος, Ουαλεντίνος κατά γής συρόμενοι, καί οι άγιοι Ακάκιος ο πρεσβύτερος καί Νέρδων ξίφει καί πυρί τελειούνται.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

## Ωδή ζ'

### Θεού συγκατάβασιν

Αιμάτων οι χείμαρροι, τών αθλητών σου αναπηγάζουσι, τάς ιάσεις τοίς πίστει, τήν τούτων Μνήμην καταγεραίρουσι, καί σοί τώ Κτίστη προθύμως κραυγάζουσιν. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Μητέρες οικτίρμονες, ως τετρωμέναι τής σής αγάπης Χριστέ, ουκ εφείσαντο παίδων, αλλ' εν καμίνω καταφλεγόμεναι, σοί τώ Δεσπότη εκραύγαζον λέγουσαι. Ευλογητός ό Θεός, ο τών Πατέρων ημών.

Εμώραναν άπασαν, οι Αθλοφόροι τήν τών ανόμων βουλήν, ως τή θεία συνέσει, καί αγχινοία κατακοσμούμενοι, καί γεγηθότες εσφάττοντο ψάλλοντες. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Λαμπάδα αθλήσεως, καί παρθενίας φαιδρώς ανάψασαι, εις τόν θείον νυμφώνα, αι νικηφόροι αγαλλιώμεναι, σύν ταίς φρονίμοις Παρθένοις κραυγάζουσιν. Ευλογητός ό Θεός, ό τών Πατέρων ημών.

Θεοτοκίον

Ψυχών καθαρτήριον, καί σωτηρίας υπάρχεις πρόξενος, τοίς εν πίστει καί πόθω, Θεού Μητέρα σε καταγγέλλουσι, καί τώ Υιώ σου συμφώνως κραυγάζουσιν. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Ωδή η’

Επταπλασίως κάμινον

Ουκ εν τώ νόμω πέφυκε, προφανώς η τελείωσις, αλλ' έν τώ Χριστώ, η σωτηρία δέδοται, εβόων οι Μάρτυρες, τοίς θεοκτόνοις λέγοντες, όθεν γεγηθότες αναιρούμενοι πάντες, καί θνήσκομεν προθύμως, καί αυτώ μελω δούμεν. Λαός υπερυψούτε, Χριστόν είς τούς αιώνας.

Μυσταγωγεί τό νήπιον, καί διδάσκει τούς άφρονας, πρός τήν σήν εικόνα, καθοράν τήν άχραντον, καί πίστιν εισδέξασθαι, τής εν γή παρουσίας σου, καί διαλαθόν τών παρανόμων τάς χείρας, τήν φλόγα υπεισήλθε, τή τεκούση συμψάλλον. Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Επί τής γής οι Μάρτυρες, ευσεβώς ηγωνίσαντο, καί εν ουρανοίς, παρά Χριστού τόν στέφανον αξίως εδέξαντο, χαρμονικώς απάραντες, τών ευφραινομένων, ένθα η κατοικία, τών πίστει μελωδούντων, καί βοώντων απαύστως. Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Νενικηκότες Άγιοι, τόν δεινόν κοσμοκράτορα, καί τούς υπουργούντας, τοίς αυτού θελήμασι πρός τόν Παντοκράτορα, καί τόν τών όλων Κύριον, μετά παρρησίας καί χαράς ανεκφράστου, μετέστησε βοώντες. Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Υπέρ ημών δυσώπησον, τόν Υιόν σου Πανάχραντε, τών ειλικρινώς καί καθαρώς βοώντων σοι, καί σέ θεομήτορα ομολογούντων Πάναγνε, τών αμαρτημάτων, αιτουμένη τήν λύσιν, τυχείν τε σωτηρίας, τούς πιστώς μελωδούντας. Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών. Τόν Δημιουργόν καί Λυτρωτήν ανεβόα, οι παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ’

Έφριξε πάσα ακοή

Μέτοχοι δόξης τού Χριστού, κοινωνήσαντες θανάτου γεγόνατε, Άγιοι Μάρτυρες, καί βασιλείας τώ διαδήματι, κατεκοσμήθητε φαιδρώς. Θεώ δέ παρίστασθε, ημίν αιτούμενοι, σωτηρίαν ψυχικήν αξιάγαστοι.

Νόμιμοι ώφθητε Χριστού, στρατιώται καί αήττητοι Μάρτυρες, Αρέθα πάνσοφε, καί σοί προθύμως οι συναθλήσαντες, σύν Αθλοφόροις γυναιξί,

παρθένοι νεάνιδες, διό δεόμεθα, εκτενώς υπέρ ημών ικετεύσατε.

Όμιλος πρόκειται ημίν, εκκλησία τε Μαρτύρων θεόλεκτος, δεύτε φιλόθεοι, μετ' εγκωμίων τούτους υμνήσωμεν, ως νικηφόρους Αθλητάς, ως θείους θεράποντας, ως ικετεύοντας, εκτενώς υπέρ ημών τόν φιλάνθρωπον.

Ίθυνον Λόγε τού Θεού, τήν ζωήν μου καί κυβέρνησον Δέσποτα, τών θεραπόντων σου, ταίς ικεσίαις τών αγαπώντων σε, καί καταξίωσον αυτών, γενέσθαι συμμέτοχον, τάς αμαρτίας μου, παρορών ως αγαθός καί φιλάνθρωπος.

Θεοτοκίον

Σκήνωμα γέγονας Θεού, τόν αχώρητον εν μήτρα χωρήσασα, καί τόν πρίν άσαρκον, σεσαρκωμένον ημίν γεγέννηκας, όν νύν δυσώπησον Αγή, πταισμάτων συγχώρησιν, πάσι δωρήσασθαι, τοίς εν πίστει σε αεί μεγαλύνουσιν.

Ο Ειρμός

«Έφριξε πάσα ακοή, τήν απόρρητον Θεού συγκατάβασιν, όπως ο Ύψιστος, εκων κατήλθε μέχρι καί σώματος, Παρθενικής από γαστρός, γενόμενος άνθρωπος, διό τήν άχραντον, Θεοτόκον οι πιστοί μεγαλύνομεν».

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Αρέθα παναοίδιμε, σύν τοίς συνάθλοις πρέσβευε, Χριστώ βραβεύσαι τώ κόσμω, ομόνοιαν καί ειρήνην, τώ ευσεβείας κράτορι, καί Βασιλεί θεόφρονι, Μεγαλομάρτυς ένδοξε, καί ιλασμόν τοίς τελούσι, τήν ιεράν ημών μνήμην.

Θεοτοκίον

Φθαρείσαν ανεκαίνισας, τήν φύσιν τού Προπάτορος, υπερφυώς συλλαβούσα, καί απειράνδρως τεκούσα, τόν Ποιητήν τής κτίσεως, υφ' ού ρωσθέντες ήθλησαν, χοροί Μαρτύρων μέλποντες, σέ τής ημών σωτηρίας, τήν απαρχήν Θεοτόκε.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Καί τά λοιπά τού Όρθρου, ως συνήθως, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΕ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Μαρτύρων καί Νοταρίων, Μαρκιανού καί Μαρτυρίου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ’

Ως γενναίον εν Μάρτυσιν

Οι τόν δρόμον τελέσαντες, καί τήν πίστιν τηρήσαντες, μαρτυρίου στέφανον ανεδήσαντο, Μαρκιανός καί Μαρτύριος, οι πύργοι οι άσειστοι, Εκκλησίας οι μαζοί, οι τό γάλα τό άδολον, αναβλύζοντες, οι φαιδροί μαργαρίται, οι φωστήρες, οι τήν κτίσιν ταίς ακτίσι, τής ευσεβείας πυρσεύοντες.

Μίαν γνώμην προφέρουσα, καί τό έν συμφρονήσασα, η δυάς η ένθεος, τήν διαίρεσιν, τήν τού Αρείου διέλυσε, διδάσκουσα σέβεσθαι, συναΐδιον Πατρί, τόν Υιόν καί συνάναρχον, καί τώ Πνεύματι, εν μονάδι Τριάδα, καί Μονάδα, εν Τριάδι μίαν φύσιν, τρισί προσώποις αμέριστον.

Ο παδοί καί ομότροποι, μιμηταί, καί ομόζηλοι, τού Ιεροκήρυκος Παύλου ώφθητε, καί τή εκχύσει τού αίματος, εχθρούς εβυθίσατε.καί αιρέσεων δεινών, εξηράνατε χείμαρρον, καί εδείχθητε, ποταμός ευσεβείας καταρδεύων, τού Χριστού την Εκκλησίαν, Μαρκιανέ καί Μαρτύριε.

Δόξα... Ήχος α' Γερμανού

Μαθηταί καί οπαδοί γεγονότες, τού τής ομοουσίου Τριάδος ομολογητού καί κήρυκος, καί σύν αυτώ υπέρ αυτής διωκόμενοι Μακάριοι, τόν διά ξίφους θάνατον, τών αιρετικών γλωσσαλγιών προεκρίνατε, όθεν καί μαρτυρικοίς στεφάνοις κοσμηθέντες παρά Θεού, καί παρρησίαν λαβόντες, πρεσβεύσατε τού ρυσθήναι εκ κινδύνων, τούς τιμώντας τήν μνήμην υμών.

Καί νύν... Θεοτοκίον

Τών ουρανίων ταγμάτων

Γνώμη σαθρά ολισθήσας, γυμνός κατάκειμαι,καί πρός τήν σήν Παρθένε, καταφεύγω γαλήνην, εκ ζάλης εναντίας καί πειρασμών, πολυτρόπων με λύτρωσαι, ίνα υμνώ σου τήν χάριν θεοπρεπώς, Θεοτόκε αειπάρθενε.

Η Σταυροθεοτοκίον

Υπέρ ημών ό Υιός σου,παθείν ηνέσχετο, ίνα τώ τούτου πάθει, τήν απάθειαν πάσι, παράσχη Θεοτόκε, όθεν αυτόν, καθικέτευε πάντοτε, παθών παντοίων με ρύσασθαι, καί ψυχής, καί τού σώματος πρεσβείαις σου.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος γ'

Οι νοεροί τής Εκκλησίας φωστήρες, καί Τριάδος υπέρμαχοι, Μαρκιανός καί Μαρτύριος, τώ θυρεώ τής πίστεως τάς αιρέσεις τρεψάμενοι, ορθοδοξίας φωτί τόν κόσμον κατεφαίδρυναν. Παύλω δέ πειθαρχούντες ισαποστόλω. ποιμένι καί διδασκάλω τών αληθών δογμάτων, Αρείου καί Νεστορίου καθείλον τήν διαίρεσιν, Σαβελλίου καί Σεβήρου τήν σύγχυσιν εκτρεπόμενοι, καί τριαδικώς θεολογούντες μονάδα, καί τόν εκ Παρθένου σαρκωθέντα Θεόν, εν δυσί ταίς ουσίαις ενα Υιόν, ευσεβώς πάσιν ανυμνείν οι πανεύφημοι εκήρυξαν. Διό στεφάνους τής νίκης ουρανόθεν κομισάμενοι οι θεσπέσιοι, αιτούνται ημίν τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Εν γυναιξίν αγία, Θεοτόκε Μήτηρ ανύμφευτε, πρέσβευε όν έτεκες Βασιλέα καί Θεόν, ίνα σώση ημάς ως φιλάνθρωπος.

Η Σταυροθεοτοκίον
Μεγάλη τού Σταυρού σου, Κύριε η δύναμις.

Ορώσα τόν εκ σού τεχθέντα Παναμώμητε, κρεμάμενον εν ξύλω, ωλόλυζες βοώσα, Ποθεινότατόν μου Τέκνον, πού σου έδυ τό κάλλος, τό καλλωπίσαν τών ανθρώπων τήν φύσιν.

Απολυτίκιον
Ήχος δ' Ταχύ προκατάλαβε

Οι Μάρτυρές σου, Κύριε, εν τή αθλήσει αυτών, στεφάνους εκομίσαντο τής αφθαρσίας, εκ σού τού Θεού ημών, σχόντες γάρ τήν ισχύν σου, τούς τυράννους καθείλον, έθραυσαν καί δαιμόνων, τά ανίσχυρα θράση. Αυτών ταίς ικεσίαις, Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν αναγινώσκονται οι Κανόνες τής Οκτωήχου, καί τών Αγίων ο παρών, ού η Ακροστιχίς.

Διττοίς προσοίσω Μάρτυσιν μελωδίαν. Ιωσήφ.

Τριστάτας κραταιούς

Ωδή α' Ήχος δ'

Διόλου τώ φωτί, τής Αγίας Τριάδος, ελλαμπόμενοι αεί, φωστήρες απλανείς, χρηματίζετε Άγιοι, όθεν πίστει τήν φωσφόρον, εορτήν υμών σήμερον, εκτελούντες φαιδρώς αγαλλόμεθα.

Ιδείν τόν επί γής, αναλάμψαντα Λόγον, εκ Παρθένου δι' ημάς, ποθούντες Αθληταί, τώ Πατρί ομοούσιον, τούτον καθομολογούντες, βιαιότατον θάνατον, λογισμώ στερροτάτω υπέστητε.

Τού Παυλου τού σοφού, θεηγόροι δειχθέντες, οπαδοί καί φοιτηταί, ομότιμον Πατρί, τόν Υιόν εκηρύξατε, όθεν ξίφεσι τμηθέντες, τή πλημμύρα τού αίματος, Αθλοφόροι τήν γήν ηγιάσατε.

Θεοτοκίον

Τόν άναρχον Υιόν, τού Θεού συλλαβούσα, εσωμάτωσας Αγνή, γενόμενον βροτόν, διά έλεος άφατον, όθεν τούτον προσκυνούντες, ευσεβώς σε δοξάζομεν, τήν αιτίαν τής πάντων Θεώσεως.

Ωδή γ'
Ουκ εν σοφία

Ορθοδοξία, λαμπρυνόμενοι θείω εν Πνεύματι, τόν Αρείου σκοτασμόν, ολοσχερώς διεφύγετε, Μάρτυρες γενόμενοι τού Παντοκράτορος.

Ίσον τόν Λόγον, τώ Πατρί δογματίσαντες Άγιοι, κατεκρίθητε θανείν, Μαρκιανέ

καί Μαρτύριε, καί πρός ατελεύτητον, ζωήν μετέβητε.

Στρατολογία, ιερά τών Αγγέλων συνήφθητε, καί Μαρτύρων τοίς χοροίς, περιφανώς ηριθμήθητε, όθεν τήν σεπτήν υμών, μνήμην γεραίρομεν.

Θεοτοκίον

Πεποικιλμένη, κροσσωτοίς εν χρυσοίς ως Βασίλισσα, τού Δεσπότου καί Θεού, εκ δεξιών νύν παρίσταται, Δέσποινα πρεσβεύουσα, υπέρ τών δουλων σου.

Ο Ειρμός

«Ουκ εν σοφία, καί δυνάμει καί πλούτω καυχώμεθα, αλλ' εν σοί τή τού Πατρός ενυποστάτω σοφία Χριστέ, ού γάρ εστιν Άγιος, πλήν σου Φιλάνθρωπε».

Κάθισμα Ήχος γ’

Τήν ωραιότητα

Τόν ομοούσιον, τού πρό αιώνων Πατρός, Υιόν καί κύριον, ένσαρκον Λόγον Χριστόν, ανεκηρύξατε σαφώς, αδιαιρέτως Άγιοι, όθεν μέχρις αίματος, υπέρ τούτου ανέστησε, πάσαν στηλιτεύσαντες, τού Αρείου δυσσέβειαν, διό εν παρρησία υπάρχοντες, πρεσβεύσατε υπέρ τών ψυχών ημών.

Δόξα… Καί νύν... Θεοτοκίον

Ακατανόητον, καί ακατάληπτον, υπάρχει Δέσποινα, θεοχαρίτωτε, τό πεπραγμένον επί σοί, Αγνή φρικτόν μυστήριον, τόν γάρ απερίγραπτον, συλλαβούσα εκύησας, σάρκα περιθέμενον, εξ αχράντων αιμάτων σου, όν πάντοτε Αγνή ως Υιόν σου, δυσώπει τού σώσαι τάς ψυχάς ημών.

Η Σταυροθεοτοκίον

Η απειρόγαμος, Αγνή καί Μήτηρ σου, Χριστέ ορώσά σε, νεκρόν κρεμάμενον, επί τού ξύλου μητρικώς, θρηνολογούσα έλεγε. Τί σοι ανταπέδωκε, τών Εβραίων ο άνομος, δήμος καί αχάριστος, ο πολλών καί μεγάλων σου, Οικτίρμον δωρεών απολαύσας; Υμνώ σου τήν θείαν συγκατάβασιν.

Ωδή δ'

Ο καθήμενος εν δόξη

Ρωμαλέα διανοία, καί τελείω φρονήματι, τήν ορθοδοξίαν, Μάρτυρες Κυρίου κρατύναντες, μαρτυρικώς τόν αγώνα ετελέσατε, τής αιρέσεως, τόν σκοτασμόν απελάσαντες.

Ο τόν Λόγον μή κηρύξας, τώ Πατρί όμοούσιον, ως μανείς αφρόνως, Μάρτυρες νευραίς απηγχόνισται, τών ιερών υμών πόνων καί βεβύθισται, τών αιμάτων, ταίς επιρροαίς θεία χάριτι.

Στρατευθέντες τώ Κυρίω, διά πίστεως Άγιοι, καί ενηθληκότες, τοίς επουρανίοις στρατεύμασι, συνηριθμήθητε, όθεν μακαρίζεσθε, στηριγμός ημών, καί φωτισμός χρηματίσαντες.

Οι μαζοί τής Εκκλησίας, οι τό γάλα προχέοντες, τής ορθοδοξίας, καί τούς

ευσεβείς διατρέφοντες, Μαρκιανός ο γενναίος καί Μαρτύριος, ευφημείσθωσαν, χαρμονικοίς μελωδήμασιν.

Θεοτοκίον

Ιερός πάλαι Προφήτης, όρος θείον εκάλεσεν, αρεταίς Παρθένε, πάναγνε διόλου κατάσκιον, εξ ού σωτήριος Λόγος πεφανέρωται, είς ανάπλασιν, καί φωτισμόν τών Ψυχών ημών.

Ωδή ε'

Ασεβείς ουκ όψονται

Σοφωτάτων ώφθητε, δογμάτων οπαδοί, Παύλου θείου ιερουργού, ού τούς τρόπους Μάρτυρες εκμιμησάμενοι, καρτερώς ηθλήσατε, καί νομίμως κατεστέφθητε.

Ως αστέρες λάμπετε, εν ύψει τής σεπτής, Εκκλησίας περιφανώς, σκότος τό βαθύτατον αποδιώκοντες, τής Αρείου Άγιοι, γενναιότατοι αιρέσεως.

Μακρυνθέντες Αγιοι, τού βίου τών τερπνών, ωκειώθητε τώ Χριστώ, βραχυτάτω αίματι, καί τήν ασάλευτον, βασιλείαν ένδοξοι, Αθλοφόροι εκληρώσασθε.

Θεοτοκίον

Αληθώς Θεού Υιόν, εκύησας Αγνή, ομοούσιον τώ Πατρί, καί τώ θείω Πνεύματι θεογεννήτρια, όν απαύστως αίτησαι, οικτειρήσαι τάς ψυχάς ημών.

Ωδή ς'

Ήλθον είς τά βάθη

Ρήμασι ποιμενος θεοσόφου, σοφοί ακολουθούντες, τήν ορθόδοξον πίστιν τηρείτε, Μαρκιανέ, καί θείε Μαρτύριε, υπέρ ής εσφαγιάσθητε.

Τίμιος ενώπιον Κυρίου, ο θάνατος ωράθη, υμών Άγιοι, σοφοί οπλίται, όθεν τιμαίς, ετησίοις ένδοξοι, υπό πάντων μακαρίζεσθε.

Υμάς τούς γενναίους Αθλοφόρους, Μαρκιανέ παμμάκαρ, καί Μαρτύριε πηγήν θαυμάτων, η τού Χριστού, Εκλησία έχουσα, αιωνίως επαγάλλεται.

Θεοτοκίον

Στόματι καί γλώσση σε Μητέρα, παναληθώς Παρθένε, τού Θεού ημών ομολογούμεν, αυτόν Αγνή, εκτενώς ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Ο Ειρμός

«Ήλθον εις τά βάθη τής θαλάσσης, καί κατεπόντισέ με, καταιγίς πολλών αμαρτημάτων, αλλ' ως Θεός, εκ φθοράς ανάγαγε, τήν ζωήν μου πολυέλεε».

Κοντάκιον  Ήχος δ'

Ο υψωθείς

Αγωνισάμενοι καλώς από βρέφους, Μαρκιανέ σύν τώ σοφώ Μαρτυρίω, τόν αποστάτην Άρειον καθείλετε, άτρωτον τηρήσαντες, τήν ορθόδοξον πίστιν, Παύλω εφεπόμενοι, τώ σοφώ διδασκάλω, όθεν σύν τούτω εύρατε ζωήν, ως

τής Τριάδος υπέρμαχοι άριστοι.

Ο Οίκος

Ως υπηρέται ευσεβώς Θεού τού φιλανθρώπου, Δυάς ευλογημένη, προφθάσατέ με τάχος, λυτρούμενοί με τών δεινών, λόγον μοι σοφίας χορηγούντες, τήν υμών ανευφημούντι άθλησιν, ήν υπέρ τής πίστεως Άγιοι, γνώμ! Ιαδιστάκτω υποστάντες, τών στεφάνων ετύχετε τών επουρανίων, χοροίς τε τών Αθλητών καί Αποστόλων, Διδασκάλων καί σεπτών Αρχιερέων συγχαίρετε αεί, ως κήρυκες Θεού Λόγου, ως τής Τριάδος υπέρμαχοι άριστοι.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΕ' τού αυτού μηνός, Μνήμη τών Αγίων Μαρτύρων καί Νοταρίων, Μαρκιανού καί Μαρτυρίου.

Στίχοι

Χριστού καλάμους τούς Νοταρίους νόει,
Εις αιμα τό σφών εκ ξίφους βεβαμμένους.
Πέμπτη Μαρκιανόν τάμον εικάδι Μαρτύριόν τε.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Αναστασίου.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Ουαλλερίνου.

Στίχοι

Ουαλλερίνος τήν κάραν τμηθείς ξίφει,
Τομής βραχείας ώ πόσα στέφη λάβοι!

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Σαβίνου.

Στίχοι

Είσδύς τό πύρ χορευε, Μάρτυς Σαβίνε,
θείαν χορείαν, πρόξενον θείου στέφους.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Ουαλλερίου καί Χρυσάφου.

Στίχοι

Διττοίς Αθληταίς η τιμωρία ξίφος,
Ηγουμένοις τρύφημα τήν Τιμωρίαν.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Ταβιθάς, ήν ανέστησεν εκ νεκρών ο Άγιος Πέτρος.

Στίχοι

Πού σοι, Ταβιθά, Πέτρος; ει γάρ ήν πάλιν,
Ήγειρεν άν σε καί θανούσαν ως πάλαι.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Αβραμιαίοι ποτέ

Ιχνηλατούντες καλώς, τόν ιερόν Ποιμένα, ορθοδοξία καλλυνόμενοι, χερσίν

ανηρέθητε, κακοδοξούντων μάτην, πανευκλεείς οπλίται.

Νομοθεσίας Θεού, απαρατρώτους πίστει, διατηρούντες θείοι Μαρτυρες, νομίμως ηθλήσατε, υπό χειρών ανόμων, αναιρεθέντες ξίφει.

Μετά ταφήν ιεράν, τών προσιόντων πίστει, υμών τώ τάφω τά νοσήματα, ενθάπτετε Άγιοι, ταίς πρός τόν Ζωοδότην, αγίαις μεσιτείαις.

Εκ τών πηγών μυστικώς, τών ιερών πλουτούντες, τήν θείαν χάριν τών ιάσεων, πιστούς καταρδεύετε, τών νοσημάτων πάσαν, ξηραίνοντες πλημμύραν.

Θεοτοκίον

Λελυτρωμένοι τώ σώ, Θεογεννήτορ τόκω, τής αιωνίου κατακρίσεως, τό Χαίρέ σοι κράζομεν αεί, ευλογημένη καί κεχαριτωμένη.

## Ωδή η’

Λυτρωτά τού παντός

Ώσπερ δύο αμνοί σφαγιάζεσθε, τόν Αμνόν τού Θεού ομοούσιον, Πατρός ανακηρύττοντες, καί τραπέζη τή άνω προσενεχθέντες, αθλητών ομηγύρει συντάττεσθε.

Δυναμούμενοι σθένει τού Πνεύματος, εξενευρισαν πλάνης τό φρύαγμα, καί καρτερώς αθλήσαντες, τούς δεινώς παρεθέντας ταίς ασθενείαις, οι πιστοί θεραπεύουσι Μάρτυρες.

Ιατροί τών πιστών χρηματίζοντες, τών παθών ημών Άγιοι Μάρτυρες, τά χαλεπά νοσήματα, καί τάς επαναστάσεις τάς εναντίας, θεραπεύσατε θείαις δεήσεσιν.

Τριαδικόν

Ανυμνούμεν Πατέρα αγέννητον, τόν Υιόν καί τό Πνεύμα τό Άγιον, μίαν ουσίαν άκτιστον, καί θεότητα μίαν. Πάντα τά έργα, ευλογείτε βοώντες τόν Κύριον.

Θεοτοκίον

Νεκρωθέντας ημάς ανεζώωσας, τήν ζωήν τών απάντων κυήσασα, Θεοκυήτορ Δέσποινα, τών Μαρτύρων η δόξα, καί τών ανθρώπων, τό διάσωσμα καί περιτείχισμα

Ο Ειρμός

«Λυτρωτά τού παντός Παντοδύναμε, τούς εν μέσω φλογός ευσεβήσαντας, συγκαταβάς εδρόσισας, καί εδίδαξας μέλπειν. Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον».

## Ωδή θ'

Εύα μέν τώ τής παρακοής

Ισχύϊ νευρούμενοι Χριστού, τόν θάνατον αθλοφόροι ουκ επτήξατε, αλλά προθύμως υποθέντες, τοίς ξίφεσιν αυχένας ηνύσατε, γενναίως τόν αγώνα τόν ένθεον, όθεν αξίως μακαρίζεσθε.

Ως δύο αστέρες φαεινοί, φωτίζετε οικουμένης τά πληρώματα, θείαις τών άθλων λαμπηδόσι, Μαρκιανέ σοφέ καί Μαρτύριε, τό σκότος τής ζοφώδους αιρέσεως, τής τού Αρείου απελαύνοντες.

Στεφάνους τής δόξης εκ Θεού, νικήσαντες τόν τυφλόνουν Μακεδόνιον, ήδη ειλήφατε αξίως, καί θρόνω τού Δεσπότου παρίστασθε, ημίν αμαρτιών εξαιτούμενοι, λύσιν τελείαν Αξιάγαστοι.

Η μνήμη η ένθεος υμών, ανέτειλε τού ηλίου τηλαυγέστερον, πάντων φωτίζουσα καρδίας, τών ταύτην εκτελούντων Μακάριοι, εν ή εκδυσωπείτε τόν Κύριον, σκότους πταισμάτων ημάς ρύσασθαι.

Θεοτοκίον

Φωτός οικητήριον Αγνή υπάρχουσα, τής ψυχής μου κόρας φώτισον, αμαυρωθείσας αμελεία, καί σκότος ραθυμίας βαθύτατον, αεί περικειμένας πανάμωμε, όπως εν πίστει μακαρίζω σε.

Ο Ειρμός

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν».

Εξαποστειλάριον

Ταίς μαθηταίς

Μαρκιανός ο πάνσοφος, καί Μαρτύριος άμα, τό τού Αρείου έκφυλον, δόγμα καί μανιώδες, καθείλον χάριτι θεία τής Αγίας Τριάδος, υπέρ ής καί ενήθλησαν, καί ως Μάρτυρες θείοι, στέφος λαμπρόν, πρός Χριστού δεξάμενοι τού Σωτήρος, υπέρ ημών πρεσβεύουσι, τών αυτούς ευφημούντων.

Θεοτοκίον

Σέ κιβωτόν καί τράπεζαν, καί λυχνίαν καί στάμνον, καί όρος καί παλάτιον, θρόνον κλίνην καί πύλην, τού Βασιλέως τής δόξης, τήν Αγίαν Παρθένον, καί Θεοτόκον άπαντες, ανυμνούμεν εκ πόθου. Χριστιανών, σκέπη γάρ υπάρχεις καί σωτηρία, καί αρραγής υπέρμαχος, καί προστάτις καί φύλαξ.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Καί η λοιπή Ακολουθία τού Όρθρου, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Μεγαλομάρτυρος Δημητρίου τού Μυροβλύτου, καί η Ανάμνησις τού γεγονότος σεισμού.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Μετά τόν Προοιμιακόν, λέγομεν τήν α' Στάσιν τού, Μακάριος ανήρ.

Εις τό, κυριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν τά παρόντα Προσόμοια Στιχηρά τού Αγίου.

Ήχος πλ. δ’
Ω τού παραδόξου θαύματος!

Ω τού παραδόξου θαύματος! εν ουρανώ καί εν γή, αγαλλίαμα σήμερον, εν τή μνήμη ηύγασται, Δημητρίου τού Μάρτυρος, εκ τών Αγγέλων επαίνοις στέφεται, καί εξ ανθρώπων άσματα δέχεται. Ώοιον ήθλησε! πώς καλώς ηγώνισται! δι' ού εχθρός, πέπτωκεν ο δόλιος, Χριστού νικήσαντος.

Ω τού παραδόξου θαύματος! ταίς τών θαυμάτων βολαίς, τού ηλίου φανότερον, εις αεί Δημήτριος, διαλάμπει τοίς πέρασιν, εξ ανεσπέρου φωτός λαμπόμενος, καί τώ αδύτω φωτί τερπόμενος, ού ταίς ελλάμψεσι, νέφη απηλάθησαν βαρβαρικά, νόσοι εδιώχθησαν, δαίμονες ήττηνται.

Ω τού παραδόξου θαύματος! υπέρ Χριστού λογχευθείς, ο τρισμάκαρ Δημήτριος,πρός εχθρούς εκάστοτε, ρομφαία ώφθη δίστομος, αποθερίζων εχθρών γαυρίαμα, καί καταράσσων δαιμόνων φρύαγμα. Ώ εκβοήσωμεν, Άγιε Δημήτριε, σκέπε ημάς, σού τήν αεισέβαστον, μνήμην γεραίροντας.

Πύργος ευσεβείας πέφηνας, ερηρεισμένος στερρώς, επί πέτραν τής πίστεως, πειρασμοίς ανάλωτος, καί κινδύνοις ακλόνητος, μετά σφοδρού γάρ σάλου καί κλύδωνος, σοί προσραγέντα αθέων κύματα, σήν ού κατέβαλον, ακλινή στερρότητα, μαρτυρικώ στέφει γάρ επόθησας, εγκαλλωπίζεσθαι.

Πάθει τό πάθος μιμούμενος, τό ζωηφόρον Χριστού, παρ' αυτού τήν ενέργειαν, τών θαυμάτων εϊληφας, Αθλοφόρε Δημήτριε, καί διασώζεις τούς σοί προστρέχοντας, πολλών κινδύνων αυτούς ρυόμενος, έχων ευάρεστον, παρρησίαν ένδοξε πρός τόν Χριστόν, ώ καί νύν παρίστασαι, δόξης πληρούμενος.

Αίματι τώ σώ σταζόμενος, τώ ζωοδότη Χριστώ, τώ τό αίμα τό τίμιον, διά σέ κενώσαντι, προσηνέχθης Δημήτριε, καί κοινωνόν σε δόξης ειργάσατο, καί βασιλείας αυτού συμμέτοχον, ως αριστεύσαντα, κατά τού αλάστορος, καί τά δεινά, τούτου μηχανήματα, τελείως σβέσαντα.

Δόξα… Ήχος πλ. β’
Βυζαντίου

Σήμερον συγκαλείται ημάς, τού Αθλοφόρου η παγκόσμιος πανήγυρις. Δεύτε ούν φιλέορτοι, φαιδρώς εκτελέσωμεν, τήν μνήμην αυτού λέγοντες. Χαίροις ό τόν χιτώνα τής ασεβείας διαρρήξας, διά τής πίστεως, τήν δέ ανδρείαν τού Πνεύματος σεαυτώ περιθέμενος. Χαίροις, ο καταργήσας τάς επινοίας τών παρανόμων, τή ισχΰϊ τή δοθείση σοι, παρά τού Θεού. Χαίροις, ο λογχευθέντων τών μελών, τό μακάριον πάθος πνευματικώς ημίν

αναζωγραφήσας τού Χριστού. Όν καθικέτευε, Αθλητών εγκαλλώπισμα Δημήτριε, λυτρωθήναι ημάς ορατών καί αοράτων εχθρών, καί σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον, πρός τό, Φοβερός εί Κύριε

Παναγία Δέσποινα, τού κόσμου βοήθεια, καί ελπίς Χριστιανών, σέ νύν εκδυσωπούμεν, καί σέ παρακαλούμεν αγαθή, υπέρ ημών ημαρτηκότων καί απεγνωσμένων, τόν Υιόν σου καί Κύριον, ίλεων ποιήσαι Θεοτόκε, έχεις γάρ τό δύνασθαι, τή μητρική σου πρός αυτόν χρωμένη παρρησία. Πρόφθασον Άχραντε, πρόφθασον μεσίτευσον, καί ρύσαι τόν λαόν σου τής ενεστώσης απειλής, διά σπλάγχνα ελέους, μή παρίδης τούς υμνούντάς σε.

Είσοδος. Φώς ιλαρόν. Τό Προκείμενον τής ημέρας, καί τά αναγνώσματα.

Προφητείας Ησαίου τό Ανάγνωσμα
(Κεφ. 63, 15-19 & 64, 15 καί εκλογή)

Επίβλεψον εκ τού ουρανού Κύριε, καί ίδε εκ τού οίκου τού Αγίου σου καί δόξης σου. Πού εστι τό πλήθος τού ελέους σου καί τών οικτιρμών σου, ότι ηνέσχου ημών Κύριε; Σύ γάρ εί Πατήρ ημών, ότι Αβραάμ ουκ εγνω ημάς, καί, Ισραήλ ουκ επέγνω ημάς, αλλά σύ Κύριε, Πατήρ ημών, ρύσαι ημάς, απ' αρχής τό όνομά σου εφ' ημάς εστι. Τί επλάνησας ημάς, Κύριε, από τής οδού σου; εσκλήρυνας τάς καρδίας ημών, τού μή φοβείσθαί σε; Επίστρεψον διά τούς δούλους σου, διά τάς φυλάς τής κληρονομίας σου, ίνα μικρόν κληρονομήσωμεν τού όρους τού αγίου σου, οι υπεναντίοι ημών κατεπάτησαν τό αγίασμά σου, εγενόμεθα ως τό απαρχής, ότε ουκ ήρξας ημών, ουδέ επεκλήθη τό όνομά σου εφ' ημάς. Εάν ανοίξης τόν ουρανόν, τρόμος λήψεται από σού όρη, καί τακήσονται, ωσεί κηρός τήκεται από πυρός, καί κατακαύσει πύρ τούς υπεναντίους σου, καί φανερόν έσται τό όνομά σου τοίς υπεναντίοις σου, από προσώπου σου έθνη ταραχθήσονται. Όταν ποιής τά ένδοξα, τρόμος λήψεται από σού όρη. Από τού αιώνος ουκ ηκούσαμεν ουδέ οι οφθαλμοί ημών είδον Θεόν πλήν σου, καί τά έργα σου αληθινά, καί ποιήσεις τοίς υπομένουσί σε έλεος. Συναντήσεται γάρ έλεος τοίς ποιούσι τό δίκαιον, καί τών οδών σου μνησθήσονται. Καί νύν, Κύριε, Πατήρ ημών σύ εί, ημείς δέ πηλός καί σύ ο Πλάστης ημών. έργα χειρών σου πάντες ημείς. Μή οργίζου ημίν, Κύριε, έως σφόδρα, καί μή εν καιρώ μνησθής αμαρτιών ημών. Καί νύν επίβλεψον, Κύριε, ότι λαός σου πάωτες ημείς.

Προφητείας Ιερεμίου τό Ανάγνωσμα
( Κεφ. 2, 1-12)

Τάδε λέγει Κύριος, Εμνήσθην ελέους νεότητός σου, καί αγάπης τελειώσεώς σου, τού εξακολουθήσαί σε τώ αγίω Ισραήλ, λέγει Κύριος, ο άγιος τού Ισραήλ. Τώ Κυρίω αρχή γεννημάτων αυτού. Πάντες οι εσθίοωτες αυτόν πλημμελή σουσι, κακά ήξει επ' αυτούς, λέγει Κύριος. Ακούσατε λόγον Κυρίου, οίκος Ιακώβ, καί πάσα πατριά οίκου Ισραήλ. Τάδε λέγει Κύριος. Τί εύροσαν οι πατέρες υμών εν εμοί πλημμέλημα, ότι απέστησαν μακράν απ' εμού, καί επορεύθησαν οπίσω τών ματαίων, καί εματαιώθησαν, καί ουκ είπον. Πού εστι

Κύριος, ο αναγαγών ημάς εκ γής Αιγύπτου, ο καθοδηγή σας ημάς εν τή ερήμω, εν γή απείρω καί αβάτω, εν γή ανύδρω, καί ακάρπω, καί σκιά θανάτου, εν γή, εν ή ου διώδευσεν εν αυτή ανήρ, ουδέ κατώκησεν υιός ανθρώπου εκεί; Καί εισήγαγον υμάς εις τόν Κάρμηλον, τού φαγείν τούς καρπούς αυτού, καί τά αγαθά αυτού, καί εισήλθετε καί εμιάνατε τήν γήν μου, καί τήν κληρονομίαν μου έθεσθε εις βδέλυγμα. Οι ιερείς ουκ είπον. Πού εστι Κύριος, καί οι αντεχόμενοι τού νόμου ουκ ηπίσταντό με, καί οι ποιμένες ησέβουν εις εμέ, καί οι προφήται προεφήτευον τή Βάαλ, καί οπίσω ανωφελούς επορεύθησαν. Διά τούτο έτι κριθήσομαι πρός υμάς λέγει Κύριος, καί πρός τούς υιούς τών υιών υμών κριθήσομαι. Διέλθετε εις νήσους Χεττιείμ καί ίδετε, καί εις Κηδάρ καί αποστείλατε, καί νοήσατε σφόδρα, καί ίδετε, ει γέγονε τοιαύτα, ει αλλάξονται έθνη θεούς αυτών, καί αυτοί ουκ εισί θεοί, ο δέ λαός μου ηλλάξατο τήν δόξαν αυτού, εξ ής ουκ ώφεληθήσονται. Εξξέστη ο ουρανός επί τούτω καί έφριξεν επί πλείον σφόδρα, λέγει Κύριος.

Σοφίας Σολομώντος τό Ανάγνωσμα

(Κεφ. 3,1-9)

Δικαίων ψυχαί εν χειρί Θεού, καί ου μή άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι, καί ελογίσθη κάκωσις η έξοδος αυτών, καί η αφ' ημών πορεία σύντριμμα, οι δέ εισιν εν ειρήνη. Καί γάρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Καί ολίγα παιδευθέντες, μεγάλα ευεργετηθήσονται, ότι ο Θεός επείρασεν αυτους, καί εύρεν αυτούς αξίους εαυτού. Ως χρυσόν εν χωνευτηρίω εδοκίμασεν, αυτούς, καί ως ολοκαρπωμα θυσίας προσεδέξατο αυτούς. Καί εν καιρώ επισκοπής αυτών αναλάμψουσι, καί ως σπινθήρες εν καλάμη διαδραμούνται. Κρινούσιν έθνη, καί κρατήσουσι λαών, καί βασιλεύσει αυτών Κύριος εις τούς αιώνας. Οι πεποιθότες επ' αυτόν συνήσουσιν αλήθειαν, καί οι πιστοί εν αγάπη προσμενούσιν αυτώ, ότι χάρις καί έλεος εν τοίς οσίοις αυτού, καί επισκοπή εν τοίς εκλεκτοίς αυτού.

Εις τήν Λιτήν, Στιχηρά ιδιόμελα.

Ήχος α’

Γεωργίου Σικελιώτου

Ευφραίνου εν Κυρίω πόλις Θεσσαλονίκη, αγάλλου καί χόρευε, πίστει λαμπροφορούσα, Δημήτριον τόν πανένδοξον αθλητήν, καί Μάρτυρα τής αληθείας, εν κόλποις κατέχουσα ως θησαυρόν, απόλαβε τών θαυμάτων τάς ιάσεις καθορώσα, καί βλέπε καταράσσοντα τών Βαρβάρων τά θράση, καί ευχαρίστως τώ Σωτήρι ανάκραξον. Κύριε δόξα σοι.

Ο αυτός. Ανατολίου

Τή τών ασμάτων τερπνότητι, τήν παρούσαν φαιδρύνωμεν ημέραν, καί ηχήσωμεν τά τού Μάρτυρος αγωνίσματα, πρόκειται γάρ ημίν είς ευφημίαν ο μέγας Δημήτριος. Καί γάρ τάς τών τυράννων επιφοράς ανδρείως ελών, πρός τό στάδιον προθύμως ήλατο, καί τά νικητήρια ενδόξως απενεγκάμενος, τόν Σωτήρα δυσωπεί, σωθήναι τάς ψυχάς ημών.

Δόξα... Ήχος β’

Γερμανού

Εις τά υπερκόσμια σκηνώματα, τό πνεύμά σου Δημήτριε Μάρτυς σοφέ, Χριστός ο Θεός προσήκατο αμώμητον, σύ γάρ τής Τριάδος γέγονας υπέρμαχος, εν τώ σταδίω ανδρείως εναθλήσας ως άδάμας στερρός, λογχευθείς δέ τήν πλευράν, τήν ακήρατόν σου πανσεβάσμιε, μιμούμενος τόν επί ξύλου τανυσθέντα, εις σωτηρίαν παντός τού κόσμου, τών θαυμάτων είληφας τήν ενέργειαν, ανθρώποις παρέχων τάς ιάσεις αφθόνως. Διό σου σήμερον τήν κοίμησιν εορτάζοντες, επαξίως δοξάζομεν, τόν σέ δοξάσαντα κύριον.

Καί νύν… Θεοτοκίον

Ω τού μεγίστου μυστηρίου! βλέπων τά θαύματα, ανακηρύττω τήν θεότητα, ούκ αρνούμαι τήν ανθρωπότητα, ο γάρ Εμμανουήλ, φύσεως μέν πύλας ήνοιξεν ως άνθρωπος, παρθενίας δέ κλείθρα ού διέρρηξεν ως Θεός, αλλ' ούτως εκ μήτρας προήλθεν, ως δι' ακοής εισήλθεν, ούτως εσαρκώθη, ως συνελήφθη. Απαθώς εισήλθεν, αφράστως εξήλθε, κατά τόν Προφήτην τόν λέγοντα. Αύτη η πύλη κεκλεισμένη έσται, ουδείς ού μή διέλθη δι' αυτής, εί μή Κύριος ο Θεός Ισραήλ, ο έχων τό μέγα έλεος.

Εις τόν Στίχον, Στιχηρά ιδιόμελα τού σεισμού.

Ποίημα Συμεων τού θαυμαστορείτου.

Ήχος β'

Τής γής συνταρασσομένης τώ τής οργής σου φόβω, βουνοί καί τά όρη συσσείονται Κύριε, αλλ' ευσπλαγχνίας όμματι εφ' ημάς επιβλέψας, μή τώ θυμώ σου οργισθής ημίν, αλλά σπλαγχνισθείς επί τό πλάσμα τών χειρών σου, τής φοβεράς ημάς τού σεισμού απειλής ελευθέρωσον, ώς αγαθός καί φιλάνθρωπος.

Ήχος πλ. β'

Στίχ. Συνέσεισας τήν γήν, καί συνετάραξας αυτήν.

Φοβερός εί Κύριε, καί τίς υποστήσεται τήν δικαίαν σου οργήν, ή τίς σε δυσωπήσει, ή τίς παρακαλέσει αγαθέ, υπέρ λαού ημαρτηκότος καί απεγνωσμένου; τά ουράνια τάγματα Άγγελοι, Αρχαί καί Εξουσίαι, θρόνοι, Κυριότητες, τά Χερουβίμ καί τά Σεραφίμ, υπέρ ημών σοί βοώσιν. Άγιος, Άγιος, Άγιος, εί Κύριε, τά έργα τών χειρών σου μή παρίδης αγαθέ, διά σπλάγχνα ελέους, σώζε πολιν κινδυνεύουσαν.

Στίχ. Ο επιβλέπων επί τήν γήν.

Νινευίται τοίς παραπτώμασι, τήν διά τής τού σεισμού απειλής κατάχωσιν ήκουον, εν δέ τώ μεσιτεύοντι σημείω τού κήτους, τήν διά του Ιωνά ανάστασιν, η μετάνοια παρακαλεί, αλλ' ως εκείνους, βοή λαού σου μετά νηπίων καί κτηνών, οικτείρας προσεδέξω, καί ημάς παιδευομένους, διά τής τριημέρου Αναστάσεως, φείσαι καί ελέησον.

Δόξα... Τού Αγίου
Ήχος πλ. δ’ Ανατολίου

Έχει μέν η θειοτάτη σου ψυχή καί άμωμος, αοίδιμε Δημήτριε, τήν ουράνιον ιερουσαλήμ κατοικητήριον, ής τά τείχη, εν ταίς αχράντοις χερσί τού αοράτου Θεού εζωγράφηνται. Έχει δέ καί τό πανέντιμον, καί αθλητικώτατόν σου σώμα, τόν περίκλυτον τούτον ναόν επί γής, ταμείον άσυλον θαυμάτων, νοσημάτων αλεξητήριον, ένθα προστρέχοντες, τάς ιάσεις αρυόμεθα. Φρούρησον πανεύφημε, τήν σέ μεγαλύνουσαν πόλιν, από τών εναντίων προσβολών, παρρησίαν ως έχων, πρός Χριστόν τόν σέ δοξάσαντα.

Καί νύν... Θεοτοκίον

Ανύμφευτε Παρθένε, η τόν Θεόν αφράστως συλλαβούσα σαρκί, Μήτερ Θεού τού υψίστου, σών οικετών παρακλήσεις δέχου πανάμωμε, η πάσι χορηγούσα, καθαρισμόν τών πταισμάτων, νύν τάς ημών ικεσίας προσδεχομένη, δυσώπει σωθήναι πάντας ημάς.

Απολυτίκιον Ήχος γ’

Μέγαν εύρατο εν τοίς κινδύνοις, σέ υπέρμαχον η οικουμένη, Αθλοφόρε τά έθνη τροπούμενον. Ως ούν Λυαίου καθείλες τήν έπαρσιν, εν τώ σταδίω θαρρύνας τόν Νέστορα, ούτως Άγιε, Μεγαλομάρτυς Δημήτριε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Ετερον τού σεισμού
Ήχος πλ. δ’

Ο επιβλέπων επί τήν γήν, καί ποιών αυτήν τρέμειν, ρύσαι ημάς τής φοβεράς τού σεισμού απειλής, Χριστέ ο Θεός ημών, καί κατάπεμψον ημίν, πλούσια τά ελέη σου, πρεσβείαις τής Θεοτόκου, μόνε Φιλάνθρωπε.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α’ Στιχολογίαν, Κάθισμα.

Ήχος δ'.
Ταχύ προκατάλαβε

Η μνήμη σου ένδοξε, Μάρτυς Δημήτριε, εφαίδρυνε σήμερον, τήν Εκκλησίαν Χριστού, καί πάντας συνήγαγεν, άσμασιν επαξίως, ευφημείν σε θεόφρον, ως όντως στρατιώτην, καί εχθρών καθαιρέτην, διό ταίς ικεσίαις ταίς σαίς, ρύσαι ημάς πειρασμών.

Δόξα... Όμοιον

Αθλήσεως καύχημα, Μάρτυς Δημήτριε, Χριστόν ενδυσάμενος, κατεπολέμησας, εχθρόν τόν ανίσχυρον, πλάνην γάρ τών ανόμων, εν αυτώ καταργήσας, γέγονας τοίς εν πίστει, ευσεβείας αλείπτης, διό σου καί τήν μνήμην, σεπτώς πανηγυρίζομεν.

Καί νύν... Θεοτοκίον

Ελπίς ακαταίσχυντε, τών πεποιθότων εις σέ, η μόνη κυήσασα, υπερφυώς εν σαρκί, Χριστόν τόν Θεόν ημών, τούτον σύν τοίς Αγίοις, Αποστόλοις δυσώπει, δούναι τή οικουμένη, ιλασμόν καί ειρήνην, καί πάσιν ημίν πρό τέλους, βίου

διόρθωσιν.

Μετά τήν β' Στιχολογίαν, Κάθισμα.

Ήχος πλ. α'
Τόν συνάναρχον

Αδιστάκτω τή πίστει ο Αθλοφόρος Χριστού, τών τυράννων τά θράση καταβαλων άνδρικώς, αθλητικώς τόν πονηρόν κατεπάλαισε, καί τών βασάνων αμοιβήν, τήν τών θαυμάτων παροχήν, εδέξατο εκ τού μόνου, Θεού τού αγωνοθέτου, ώ καί πρεσβεύει ελεηθήναι ημάς.

Δόξα… Τό αυτο

Καί νύν... Θεοτοκίον

Χαίρε πύλη Κυρίου η αδιόδευτος, χαίρε τείχος καί σκέπη τών προστρεχόντων εις σε, χαίρε αχείμαστε λιμήν καί απειρόγαμε, η τεκούσα εν σαρκί, τόν Ποιητήν σου καί Θεόν, πρεσβεύουσα μή ελλίπης, υπέρ τών ανυμνούντων, καί προσκυνούντων τόν τοκον σου.

Μετά τόν Πολυέλεον, Κάθισμα

Ήχος γ’
Τήν ωραιότητα

Τόν συμπαθέστατον, Κυρίου Μάρτυρα, εκδυσωπούμέν σε πιστώς Δημήτριε, ρύσαι ημάς παντοδαπών, κινδύνων επερχομένων, ίασαι ψυχών ημών, καί σωμάτων τά τραύματα, θραύσον τά φρυάγματα, τών εχθρών ημών Άγιε, ειρήνευσον ημών τήν ζωήν, όπως αεί σε δοξάζωμεν.

Δόξα... Τό αυτό

Καί νύν… Θεοτοκίον

Θεομακάριστε, Μήτηρ ανύμφευτε, τήν ασθενούσαν μου, ψυχήν θεράπευσον, ότι συνέχομαι πολλοίς, εν πταίσμασι Θεοτόκε, όθεν καί κραυγάζω σοι, στεναγμώ τής καρδίας μου. Δέξαι με πανάχραντε, τόν πολλά αμαρτήσαντα, ίνα εν παρρησία κραυγάζω σοι. Χαίρε η Κεχαριτωμένη.

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί Αντίφωνον Α'

Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.

Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον  Ήχος δ’

Θαυμαστός ο Θεός εν τοίς αγίοις αυτού ο Θεός Ισραήλ αυτός δώσει δύναμιν καί κραραίωσιν τώ λαώ αυτού ευλογητός ο Θεός.

Στίχ. Τοίς Αγίοις τοίς εν τή γή αυτού εθαυμάστωμεν πάντα τά θέλημα αυτού εν αυτοίς.

Πάσα πνοή. Ευαγγέλιον. Ο Ν'

Δόξα… Ταίς τού Αθλοφόρου

Καί νύν... Ταίς τής Θεοτόκου

Στίχ. Ελέησόν με ο Θεός...

Καί τό ιδιόμελον
Ήχος β'

Εις τά υπερκόσμια σκηνώματα, τό πνεύμά σου Δημήτριε Μάρτυς σοφέ, Χριστός ο Θεός προσήκατο αμώμητον, σύ γάρ τής Τριάδος γέγονας υπέρμαχος, εν τώ σταδίω ανδρείως εναθλήσας ως αδάμας στερρός, λογχευθείς δέ τήν πλευράν, τήν ακήρατόν σου πανσεβάσμιε, μιμούμενος τόν επί ξύλου τανυσθέντα, εις σωτηρίαν παντός τού κόσμου, τών θαυμάτων είληφας τήν ενέργειαν, ανθρώποις παρέχων τάς ιάσεις αφθόνως. Διό σου σήμερον, τήν κοίμησιν εορτάζοντες, επαξίως δοξάζομεν, τόν σέ δοξάσαντα Κύριον.

Είτα οι Κανόνες, ο μέν τού σεισμού μετά τών Ειρμών εις ς’ οι δέ δύο τού Αγίου εις η’. Ο Κανών τού σεισμού, ού η Ακροστιχίς.

Ώ Χριστέ, τής γής τόν κλόνον παύσον τάχος. Ιωσήφ.

Ωδή α'   Ήχος πλ. β’   Ο Ειρμός

«Ως εν ηπείρω πεζευσας ο Ισραήλ, εν αβύσσω ίχνεσι, τόν διώκτην Φαραώ, καθορών ποντούμενον, Θεώ επινίκιον ωδήν εβόα άσωμεν».

Ως φοβερά η οργή σου, εξ ής ημάς, ελυτρώσω Κύριε, μή συγχώσας εν τή γή, άπαν τό ανάστημα ημών, ευχαρίστως σε διό αεί δοξάζομεν.

Χαίρων αεί καθ' εκάστην τή παντελεί, διορθώσει Δέσποτα, ώς περ φύλλον ευτελές, διασείεις άπασαν τήν γήν, εις τόν φόβον σου πιστούς στηρίζων ημάς.

Ρύσαι σεισμού βαρυτάτου πάντας ημάς, καί μή δώης Κύριε, απολέσθαι παντελώς, τήν. κληρονομίαν σου πολλοίς, παροργίζουσαν κακοίς σέ τόν μακρόθυμον.

Θεοτοκίον

Ικετευτικώς σοι βοώμεν Μήτερ Θεού, τά συνήθη σπλάγχνα σου, επί πόλιν και λαόν, συμπαθώς δεικνύουσα σεισμού, βαρυτάτου καί φθοράς ημάς απάλλαξον.

Τού Αγίου πρώτος Κανών, έχων Ακροστιχίδα.

Τώ καλλινίκω προσλαλώ Δημητρίω.

Θεοφάνους

Ωδή α' Ήχος δ'

Θαλάσσης, τό ερυθραίον

Τόν θείον, τού μαρτυρίου στέφανον, αναδησάμενος, περί Θεόν χορεύεις αστραπαίς, ταίς εκείθεν λαμπόμενος, καί φωτισμού πληρούμενος, Μάρτυς αοίδιμε Δημήτριε.

Ως όντα, τής αληθείας Μάρτυρα, καί μέχρις αίματος, ηγωνισμένον Μάκαρ καρτερώς, σταθηράν τε τήν ένστασιν, πρός τούς αγώνας δείξαντα, σέ ο Δεσπότης προσεδέξατο.

Κακίας, τόν ευρετήν κατέρραξας, πρός γήν Δημήτριε, μαρτυρική σου λόγχη καθελών, θεϊκής αγαθότητος, ταίς υπέρ νούν δυνάμεσιν, εις τούτο Μάκαρ δυναμούμενος.

Θεοτοκίον

Αμήτωρ, καθ' ό Θεός τό πρότερον, υπάρχων γέγονε, τό καθ' ημάς απάτωρ ο εκ σού, Θεοτόκε πανύμνητε, σάρκα λαβων καθ' ένωσιν, τήν υπέρ λόγον καί διάνοιαν.

Δεύτερος Κανών, ού η Ακροστιχίς.

Μύρω νοητώ προσπλακείς, μύρον γίνη.

Εν δέ τοίς Θεοτοκίοις

Φιλοθέου

Ποίημά εστιν ούτος τού Αγιωτάτου καί οικουμενικού Πατριάρχου κυρίου Φιλοθέου, υπόθεσιν έχων εγκωμίων ομού καί δεήσεως τό ιερόν αυτού μύρον.

'Ωδή α' Ήχος ο αυτός

Ανοίξω τό στόμα μου

Μερίς μου Δημήτριε, καί δόξα θεία γεγένησαι, τής μάνδρας γάρ πρόβατον, καγω τής φίλης σου, διό δέξαι μου, τόν ύμνον στεφηφόρε, κροτούντα τού μύρου σου, τήν χάριν σήμερον.

Υπήλθες Δημήτριε, λαμπρώς Μαρτύρων τό στάδιον, ελαίω αλείψας σου, τών αρετών τήν ψυχήν, καινώ τρόπω δέ, πεσών νικάς γενναίε, καί μύρου τό σωμά σου, κρήνην ανέδειξας.

Ρευμάτων βορβόρου με, καί δυσωδίας Δημήτριε, απόσμηξον δέομαι, τών ακαθάρτων παθών, καί τώ μύρω σου, λαμπρώς ευωδιάσας, Χριστού μύρου ποίησον, άξιον σκήνωμα.

Ως μύρον μέν έφησε, Δαυϊδ ο θείος εν Πνευματι, τήν ένωσιν Ένδοξε, τών αδελφών τήν τεεπνήν, τά δέ μύρα σου, σοφέ τήν νέαν κτίσιν, συνάγει πρός ένωσιν, μύρου τού κρείττονος.

Θεοτοκίον

Φανείσαν Πανάμωμε, μύρου τού θείου αλάβαστρον, καί σκεύος εξαίρετον, τής εύωδίας Χριστού, ικετεύω σε, παθών τής δυσωδίας, βορβόρου τε λύτρωσαι, τής αμαρτίας με.

Καταβασία

Ανοίξω τό στόμα μου, καί πληρωθήσεται Πνεύματος, καί λόγον ερεύξομαι, τή Βασιλίδι Μητρί, καί οφθήσομαι, φαιδρώς πανηγυρίζων, καί άσω γηθόμενος, ταύτης τά θαύματα.

## Τού σεισμού

### Ωδή γ’  Ο Ειρμός

«Ουκ έστιν Άγιος ως σύ, Κύριε Ο Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου Αγαθέ, καί στερεώσας ημάς, εν τή πέτρα, τής όμολογίας σου».

Η γή μαστίζεται ημών, κακώς διακειμένων, καί αεί τήν οργήν σου, συγκινούντων καθ' ημών, οικτίρμον Παμβασιλεύ, αλλά φείσαι, Δέσποτα τών δούλων σου.

Συσσείσας Κύριε τήν γήν, εστερέωσας πάλιν, νουθετών επιστρέφων, τήν ασθένειαν ημών, στηρίζεσθαι εν τώ σώ, θείω φόβω, θέλων υπεράγαθε.

Γεννώσας θάνατον πικρόν, καί σεισμούς βαρυτάτους, καί πληγάς ανηκέστους, αμαρτίας αδελφοί, εκφύγωμεν καί Θεόν, μετανοίας, τρόποις εκμειλίξωμεν.

Θεοτοκίον

Η μόνη ούσα αγαθή, τόν πανάγαθον Λόγον, εκτενώς εκδυσώπει, τής παρούσης τού σεισμού, ρυσθήναι πάντας οργής, Θεοτόκε, άχραντε δεόμεθα.

### Τού Αγίου πρώτος Κανών. Ευφραίνεται επί σοί.

Λελόγισται παρ' ουδέν, τό τών τυράννων παρά σοί πρόσταγμα, τόν τού Θεού Λόγον γάρ, πάντων Αθλοφόρε προέκρινας.

Λυχνία φωτοειδής, τού Μαρτυρίου εν σκηνή γέγονας, θείω φωτί λάμπουσα. Μάρτυς Αθλοφόρε Δημήτριε.

Θεοτοκίον

Ιώμενος τήν μορφήν, τήν σαθρωθείσαν τών βροτών Πάναγνε, ταύτην εκ σού ενδύεται, μείνας όπερ ήν ο φιλάνθρωπος.

## Δεύτερος Κανών

Τούς σούς υμνολόγους

Ναμάτων επέβης ζωηρύτων, Βαπτίσματι θείω καθαρθείς αίματι, δέ λουσάμενος, μαρτυρικώ Δημήτριε, κράσιν καινήν τετέλεκας, πηγή τών μύρων γενόμενος.

Ο μέγας φρουρός Θεσσαλονίκης, ως μέγας Κυρίου ποταμός, τέρπεις λαμπρώς τήν πόλιν σου, τού μύρου τοίς ορμήμασιν, ως θεία δέ σκηνώματα, καθαγιάζεις τά σύμπαντα.

Η πόλις σου Μάρτυς ώς περ κρήνη, ναμάτων οράται ζωτικών, ως ρεύματα τά μύρα σου, ποταμηδόν προχέουσα, θαλάσσας τών αιρέσεων, καί τών παθών κατακλύζοντα.

Τό μύρον Χριστός εν τή ψυχή σου, Δημήτριε ρεύσαν νοητώς, ως χείλεσι σοίς μέλεσι, μύρου πηγήν εξέχεε, τής χάριτος τού Πνεύματος, σεπτόν δεικνύων σε σκήνωμα.

Θεοτοκίον

Ιδού η Παρθένος ανακράζει, τώ πάντων Δεσπότη καί Υιώ. Καλός εί ο Νυμφίος μου, ιδού καλός ωραίός τε, εις τήν οσμήν τού μύρου σου, σπουδή δραμούμαι οπίσω σου.

Καταβασία

Τούς σούς υμνολόγους Θεοτόκε, ως ζώσα καί άφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικόν στερέωσον, καί εν τή θεία δόξη σου, στεφάνων δόξης αξίωσον.

## Κάθισμα τού Αγίου

Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λογον

Ευσεβείας τοίς τρόποις κατά, πλουτών, ασεβείας τήν πλάνην καταβαλών, Μάρτυς κατεπάτησας, τών τυράννων τά θράση, καί τώ θείω πόθω, τόν νούν πυρπολούμενος, τών ειδώλων τήν πλάνην, εις χάος εβύθισας. όθεν επαξίως, αμοιβήν τών αγώνων, εδέξω τά θαύματα, καί πηγάζεις ιάματα, Αθλοφόρε Δημήτριε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Έτερον τού Αγίου

Βασιλεί τών αιώνων ευαρεστών, βασιλέως ανόμου πάσαν βουλήν, εξέκλινας Ένδοξε, καί γλυπτοίς ούκ επέθυσας, διά τούτο θύμα, σαυτόν προσενήνοχας, τώ τυθέντι Λόγω αθλήσας στερρότατα, όθεν καί τή λόγχη, τήν πλευράν εξωρύχθης, τά πάθη ιώμενος, τών πιστώς προσιόντων σοι, Αθλοφόρε Δημήτριε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Καί νύν... Τού Σεισμού

Ήχος δ’

Ο υψωθείς εν τώ Σταυρώ

Τής επελθούσης σου οργής αφορήτου, ότι ήλέησας ημάς καί ερρύσω, φιλανθρωπίας πέλαγος δεικνύων Χριστέ, νύν ευχαριστούμέν σοι, παιδευθέντες εκκλίναι, από τών κακών ημών, τών ημάς θανατούντων. Αλλ' επιβλέψας οικτειρον ημάς, ταίς ικεσίαις Σωτήρ τής τεκούσης σε.

Τού σεισμού

Ωδή δ’ Ο Ειρμός

«Χριστός μου δύναμις, Θεός καί Κύριος, η σεπτή Εκκλησία θεοπρεπώς, μέλπει ανακράζουσα, εκ διανοίας καθαράς, εν Κυρίω έορτάζουσα».

Σαλεύεις Κύριε, τήν γήν βουλόμενος, εδρασμώ αληθείας πάντας ημάς, Δέσποτα στηρίζεσθαι, σαλευομένους προσβολαίς, τού δολίου πολεμήτορος.

Τή θεία νεύσει σου, κλονείς τά σύμπαντα, καί δονείς τάς καρδίας τών επί γής, κατοικούντων Δέσποτα, τής ούν δικαίας σου οργής, άνες Κύριε τά κύματα.

Ουδόλως έχοντας, εις νούν τόν φόβον σου, εκφοβείς τή Κινήσει πάσης τής γής, μόνε ευσυμπάθητε, αλλά συνήθως εφ' ημάς, τά ελέη σου θαυμάστωσον.

Θεοτοκίον

Ναόν σε Δέσποινα, Θεού γινώσκοντες, εν αγίω ναώ σου χείρας οικτράς, αίρομεν εις δέησιν, ίδε τήν κάκωσιν ημών, καί παράσχου σήν βοήθειαν.

Τού Αγίου πρώτος Κανών

Επαρθέντα σε ιδούσα

Νενικηκοτα τό ψεύδος τής ασεβείας, ο τού Θεού πανύψιστος, Θεώμενος Λόγος, δόξη, εστεφάνωσε, Δημήτριε ψάλλοντα. Δόξα τή δυνάμει σου Κύριε.

Ιθυνόμενος παλάμη τή ζωηφόρω, πρός τούς λειμώνας έφθασας, τούς γαληνοτάτους, ένθα νύν γηθόμενος, κραυγάζεις Δημήτριε. Δοξα τή δυνάμει σου Κύριε.

Κατά τής πλάνης τό τρόπαιον αναστήσας, νικητικόν διάδημα, τής δικαιοσύνης, είληφας Δημήτριε, κραυγάζων τώ Κτίστη σου. Δόξα τή δυνάμει

σου Κύριε.

Θεοτοκίον

Ως τών κτισμάτων απάντων ιερωτέρα, Μήτηρ Θεού γενέσθαι, μόνη ηξιώθης, τούτον γάρ γεννήσασα, τόν κοσμον εφώτισας, τής θεογνωσίας τή χάριτι.

## Δεύτερος Κανών

Τήν ανεξιχνίαστον

Ώριμον ως βότρυν σε μάκαρ Χριστός, θείας εξ αμπέλου δρεψάμενος, εναποθλίβει, Μαρτυρίου τοίς ληνοίς, τό καταρρεύσαν γλεύκος δέ, μύρου θείαν βρύσιν ειργάσατο.

Πού μένεις Νυμφίε μου; πού τήν σκηνήν, σού εν μεσημβρία κατέπηξας; ο στεφανίτης, ανεβόα τώ Χριστώ, εις τήν οσμήν τών μύρων σου, μυρον εκδραμούμαι ληψόμενος.

Ρεύματα Δημήτριε πλάνης δεινής, κλύσας τών ιαμάτων σου ρεύμασιν, αμαρτιών μου, καί παθών τούς ποταμούς, εις τέλος αποξήρανον, μύρων σου τοίς ρευμασι δέομαι.

Θεοτοκίον

Λέγε μοι Νυμφίε μου, λέγε τρανώς. Πού ποτε ποιμαίνεις τά προβατα; η Νύμφη κράζει, τώ Νυμφίω καί υιώ, η οσμή γάρ τών μύρων σου, πάντας τούς φιλούντάς σε είλκυσεν.

Καταβασία

Τήν ανεξιχνίαστον θείαν βουλήν, τής εκ τής Παρθένου σαρκώσεως, σού τού Υψίστου, ο Προφήτης, Αββακούμ, κατανοών εκραύγαζε. Δόξα τή δυνάμει σου Κύριε.

## Τού σεισμού

Ωδή ε’ Ο Ειρμός

«Τώ θείω φέγγει σου Αγαθέ, τάς τών ορθριζόντων σοι ψυχάς, πόθω καταύγασον δέομαι, σέ ειδέναι Λόγε Θεού, τόν όντως Θεόν, εκ ζόφου τών πταισμάτων άνακαλούμενος».

Καί σύ καρδία σείσθητι νύν, βλέπουσα Θεού τήν απειλήν, επικειμένην καί βόησον. Φείσαι τού λαού σου Δέσποτα Κύριε, καί παύσον τήν δικαίαν οργήν σου εύσπλαγχνε.

Λαόν καί πόλιν ήν περ τώ σώ, αίματι εκτήσω Ιησού, μή παραδώς εις απώλειαν, εν τώ συνταράσσειν τήν γήν σεισμώ φοβερώ, χορός τών Αποστόλων καθικετεύει σε.

Οδούς σου Δέσποτα τάς ορθάς, γνώμη υπεκκλίνοντες στρεβλή, εις αγανάκτησιν τρέπομεν, σέ τόν συμπαθή τε καί αμνησίκακον, αλλ' ίλεως

οικτίρμον γενού τοίς δούλοις σου.

Θεοτοκίον

Νύν βοηθείας ήλθεν καιρός, νύν καταλλαγής χρεία Αγνή, πρός τόν Υιόν σου καί Κύριον, όπως οικτειρήση προσκεκρουκότας ημάς, καί τής επικειμένης οργής λυτρώσηται.

Τού Αγίου πρώτος Κανών

Σύ Κύριέ μου φώς

Πύρ πόθου θεϊκού, εν καρδία δεξάμενος, πύρ έσβεσας τής αθέου, τών ειδώλων μανίας, αοίδιμε Δημήτριε.

Ρυόμενος ημάς, εκ κινδύνων επίφανον, Δημήτριε ταίς ευχαίς σου, περισκέπων τούς πίστει, καί πόθω ευφημούντάς σε.

Οι πίστει πρός τό σόν, επειγόμενοι τέμενος, Δημήτριε νοσημάτων, καί παθών ψυχοφθόρων, συντόμως απαλλάττονται.

Θεοτοκίον

Ο Λόγος τού Θεού, ό Πατρί ομοούσιος, σός γίνεται θεομήτορ, υπέρ νούν τε καί λόγον, Υιός σοι ομοούσιος.

Δεύτερος Κανών

Εξέστη τά σύμπαντα

Ο μέγας εν Μάρτυσι, Δημήτριος τοίς αίμασιν, ιδρώτας κεράσας τών αγώνων, μύρον τό θείον ημίν εσκεύασε, πυρί τώ τού Πνεύματος καλώς, εψήσας τό φάρμακον, εις ψυχών καινήν κάθαρσιν.

Σωμάτων τά τραύματα, καί τών ψυχών Δημήτριε, ώς περ αντιδότω δραστηρίω, μύρω καθαίρεις τώ εκ τού τάφου σου, ιόν αποπλύνων νοητόν, ζήλω τού Δεσπότου σου, σταλαγμοίς τών αιμάτων σου.

Πυρός ενεργέστερον, τό μυρον σου Δημήτριε, πάσαν διατρέχον Εκκλησίαν, βλυζει πηγάζει, ζεί τε καί δρά μυστικώς, τοίς πίστει προστρέχουσιν αυτώ, φλέγον τά νοσήματα, καί διώκον τούς δαίμονας.

Θεοτοκίον

Ο Λόγος εν μήτρα σου, Κόρη σκηνώσας είργασται, ταύτην μυροθήκην καινού μύρου, όθεν Παρθένε Αγίων θείων ψυχαί, οπίσω σου έδραμον θερμώς. Εί καλή βοώσαί σοι, εί καλή Κόρη Δέσποινα.

Καταβασία

Εξέστη τά σύμπαντα, επί τή θεία δόξη σου, σύ γάρ απειρόγαμε Παρθένε, έσχες εν μήτρα, τόν επί πάντων Θεόν, καί τέτοκας άχρονον Υιόν, πάσι τοίς υμνούσί σε, σωτηρίαν βραβεύοντα.

Τού σεισμού

Ωδή ς' Ο Ειρμος

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι. Ανάγαγε, εκ φθοράς τήν ζωήν μου Πολυέλεε».

Ουκ έχοντες Δέσποτα, παρρησίαν δυσωπείν, οι ταπεινοί τό ύψος σου, τούς εκλεκτούς Αγγέλους σου εις θερμήν, κινούμεν παράκλησιν, δι' αυτών τής οργής σου εξελού ημάς.

Νύν έγνωμεν Κύριε, ως ηθέλησας ημάς, καί ουδαμώς συνέχωσας, υπό τήν γήν συμπτώμασιν χαλεποίς, πολλά πλημμελήσαντας, ευχαρίστως διό σε μεγαλύνομεν.

Προστάττεις σαλεύεσθαι, τά θεμέλια τής γής, όπως ημείς παυσώμεθα, οι ταπεινοί σαλεύεσθαι αρετών, τής κρείττονος στάσεως, καί τώ φόβω σου Λόγε στηριζώμεθα.

Θεοτοκίον

Αγία Θεόνυμφε, απορούμενον νυνί, τόν σόν λαόν οικτείρησον, καί μητρικαίς πρεσβείαις τήν καθ' ημών, Θεού αγανάκτησιν, μεταποίησον τάχος δυσωπούμέν σε.

Τού Αγίου πρώτος Κανών

Θύσω σοι, μετα φωνής

Συμφώνως, συνελθόντες υμνούμεν Δημήτριε, τήν φωτοφόρον σου μνήμην, καί θαυμάτων πλήρη καί χαρισμάτων, τού Αγίου, καί σεπτού παμμακάριστε Πνεύματος.

Λύσόν μου, τάς σειράς τών πταισμάτων πρεσβείαις σου, ως γάρ αήττητος Μάρτυς, παρρησίαν έχεις πρός τόν Δεσπότην, καί γενού μοι, καταφυγή καί σκέπη Δημήτριε.

Θεοτοκίον

Άσπιλον, τών ακανθών εν μέσω ευράμενος, ως καθαρώτατον κρίνον, καί κοιλάδων άνθος ώ θεομήτορ, ο νυμφίος, εν τή γαστρί σου Λόγον εσκήνωσεν.

Δεύτερος Κανών

Τήν θείαν ταύτην

Λουτρόν τού θείου Βαπτίσματος, λουσάμενος εχρίσθης Αοίδιμε, μύρω τού Πνεύματος. ό τηρηθέν σοι αμόλυντον, τής σής πλευράς τό αίμα, μύρον ειργάσατο.

Ανάστα δεύρο πλησίον μου, ψυχή τού Δημητρίου προσφθέγγεται, νυμφίος Κύριος, οίκον τού νάρδου εισέλθωμεν, καί τής οσμής τού μύρου μου

μεταλάβωμεν.

Καινά Δημήτριε κράζει σοι, νυμφίος ο Χριστός τά τελούμενα, ο χειμών λέλυται, δεύρο, τό ρόδον εξήνθησεν, εις τήν οσμήν ως φίλος, δράμε τών μύρων μου.

Εγώ φησίν ο ερώμενος, εγω Νυμφίε σπεύδω οπίσω σου, οσμή γάρ μύρων σου, πάντων τών μύρων υπέρκειται, ήτις ημών τό αίμα μύρον ειργάσατο.

Θεοτοκίον

Θανάτω θάνατος λέλυται, ζωή από τού τάφου ανέτειλε, τώ ξένω τόκω σου, νόμων λυθέντων των φύσεων. Μαρτύρων δέ τό αίμα, μύρον γεγένηται.

Καταβασία

Τήν θείαν ταύτην καί πάντιμον, τελούντες εορτήν οι θεόφρονες, τής Θεομήτορος, δεύτε τάς χείρας κροτήσωμεν, τόν εξ αυτής τεχθέντα Θεόν δοξάζοντες.

Κοντάκιον αυτόμελον

Ήχος β'

Τοίς τών ιαμάτων σου ρείθροις Δημήτριε, τήν Εκλησίαν Θεός επορφύρωσεν, ο δούς σοι τό κράτος αήττητον, καί περιέπων τήν πόλιν σου άτρωτον, αυής γάρ υπάρχεις τό στήριγμα.

Ο Οίκος

Τύτον τόν μέγαν, πάντες συμφώνως οι πιστοί συνελθόντες, ως οπλίτην Χριστού καί Μάρτυρα τιμήσωμεν, εν ωδαίς καί ύμνοις αναβοώντες τώ Δεσπότη καί Κτίστη τής οικουμένης. Ρύσαι ημάς τού σεισμού τής ανάγκης φιλάνθρωπε, πρεσβείαις τής Θεοτόκου καί πάντων τών Αγίων Μαρτύρων. εις σέ γάρ ελπίζομεν, τού ρυσθήναι κινδυνων καί θλίψεων, ότι σύ υπάρχεις ημών τό στήριγμα.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΣΤ’ τού αυτού μηνός, Μνήμη τού Αγίου καί Ενδόξου Μεγαλομάρτυρος Δημητρίου τού Μυροβλύτου, καί θαυματουργού.

Στίχοι

Δημήτριον νύττουσι λόγχαι Χριστέ μου,
Ζηλούντα πλευράς λογχονύκτου σής πάθος.
Εικοστή μελίαι Δημήτριον έκτη ανείλον.

Τή αυτή ημέρα, οι Άγιοι Μάρτυρες Αρτεμίδωρος καί Βασίλειος, ξίφει τελειούνται.

Στίχοι

Αρτεμίδωρος, ώ τέλους ψήφος ξίφος,
Σύναθλον ειχε Βασίλειον πρός ξίφος.

Τή αυτή ημέρα, η Αγία Μάρτυς Λεπτίνα κατά γής συρομένη, τελειούται.

Στίχοι

Εν γή συρείσα χερσί δυσσεβοφρόνων,
Αφήκεν εις γήν Λεπτίνα σαρκός πάχος.

Τή αυτή ημέρα, ο Άγιος Μάρτυς Γλύκων ξίφει τελειούται.

Στίχοι

Ξίφει προτείνας Μάρτυς αυχένα Γλύκων,
Σπονδήν γλυκείαν αίμά σου Χριστώ χέεις.

Τή αυτή ημέρα, Μνήμη τού μεγάλου καί φρικώδους σεισμού.

Στίχοι

Έσεισας, αλλ' έσωσας αύθις γήν Λόγε.
Τής σής γάρ οργής οικτός εστι τό πλέον.

Τού σεισμού

Ωδή ζ' Ο Ειρμός

«Δροσοβόλον μέν τήν κάμινον ειργάσατο, Άγγελος τοίς Οσίοις Παισί, τούς Χαλδαίους δέ καταφλέγον πρόσταγμα Θεού, τόν τύραννον έπεισε βοάν. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών».

Υπερύμνητος εί Κύριε μακρόθυμε, ότι ουκ εθανάτωσας, τούς οικέτας σου, σπαραγμώ καί κλόνω φοβερώ, τής γής, αλλ' εφόβησας ζητών, τό επιστρέψαι τών κακών, καί ζήσαι πάντας ημάς.

Στεναγμόν από καρδίας αναπέμψωμεν, καί δάκρυα προχέωμεν, όπως ίλεων τόν Δεσπότην, εύρωμεν Χριστόν, εκτρίψαι σεισμώ πάντας ημάς, διά πληθύν αμαρτιών, επαπειλούντα δεινώς.

Οίμοι! κράξωμεν, καί χείρας εκπετάσωμεν, πρός τόν Θεόν τόν ύψιστον, καί παυσώμεθα τού λοιπού, ποιείν τό πονηρόν, ιδού ο Σωτήρ αγανακτών, σαλεύει άπασαν τήν γήν, στηρίξαι θέλων ημάς.

Θεοτοκίον

Νεύσον άχραντε, σωθήναι τούς οικέτας σου, απολεσθήναι μέλλοντας, εν οργή Θεού, καί θυμώ μεγάλω καί φρικτώ, τής νύν επελθούσης απειλής, διά τό πλήθος τών πολλών, αμαρτημάτων ημών.

Τού Αγίου Κανών πρώτος

Εν τή καμίνω

Λελαμπρυσμένος, τή θεία δόξη καί τή χάριτι, Μάρτυς αθλοφόρε, λάμπεις φωτοειδώς, καί φωτίζεις τούς κραυγάζοντας. Ευλογημένος εί εν τώ ναώ τής δόξης σου Κύριε.

Ως πορφυρίδι, κεκοσμημένος τώ σώ αίματι, έχων αντί σκήπτρου Ένδοξε τόν

Σταυρόν, τώ Χριστώ συμβασιλεύεις νύν, Ευλογημένος εί ο Θεός μου, κραυγάζων καί Κύριος.

Θεοτοκίον

Δεδοξασμένη, πεφωτισμένη Μητροπάρθενε, πάντας τούς τιμώντάς σε τήν παναληθή, Θεοτόκον περιφρούρησον, ευλογημένη σύ εν γυναιξίν, υπάρχουσα Δέσποινα.

Κανων δεύτερος

Ουκ ελάτρευσαν

Ιερουργήσας τό αίμά σου Δημήτριε, σπείσας πανάριστε, τώ Βασιλεί τού παντός, πλευράν δέ λελόγχευσαι, τούτον μιμούμενος, όθεν δίδωσι, τήν αμοιβήν κατάλληλον, μύρον άλλοις δεδειχώς σε.

Σεσωμάτωται τό μύρον τό ουράνιον, Χριστός ο κυριος, διά φιλίαν βροτών, αυτόν δέ Δημήτριος, φιλήσας άριστα, χριστός γίνεται, μύρω καινώ χρισάμενος, καί σαρκός εκβλύζει μυρα.

Μύρω χρίσας με Χριστός αγαλλιάσεως, δουλείας έλυσε, καί τυραννίδος πικράς, αλλ' αύθις δεδούλωμαι, αισχίσταις πράξεσιν, ελευθέρωσον, αισχράς δουλείας Άγιε, σού τώ μύρω καταχρίσας.

Θεοτοκίον

Εκλεξάμενος νυμφίος ο ωραίος σε, Παρθένε Δέσποινα, τών γηγενών εκ φυλής, λαμπρώς παρεστήσατο, εκ δεξιών αυτού, Δεύρο Νύμφη μου, από Λιβάνου λέγων σοι, δεύρο Νύμφη μου καί Μήτερ.

Καταβασία

Ουκ ελάτρευσαν τή κτίσει οι θεόφρονες, παρά τόν Κτίσαντα, αλλά πυρός απειλήν; ανδρείως πατήσαντες, χαίροντες έψαλλον. Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Τού σεισμού

Ωδή η' Ο Ειρμός

«Εκ φλογός τοίς Οσίοις δρόσον επήγασας, καί δικαίου θυσίαν ύδατι έφλεξας, άπαντα γάρ δράς, Χριστέ μόνω τώ βούλεσθαι. Σέ υπερυψούμεν, εις πάντας τούς αιώνας».

Τής δικαίας σου ταύτης οργής φιλάνθρωπε, επελθούσης αθρόως συνεταράχθημεν, καί απελπισμώ παντελεί συνεσχέθημεν, προσαγανακτούντα, ορώντες καθ' ημών σε.

Ανατείνωμεν χείρας πιστοί καί όμματα, πρός τόν μόνον Δεσπότην σώζειν δυνάμενον, κράζοντες. Χριστέ, τόν θυμόν σου απόστρεψον, αφ' ημών ταχέως, φιλάνθρωπος υπάρχων.

Χιλιάδες Αγγέλων, Μαρτύρων σύλλογος, Προφητών Αποστόλων, Οσίων.

Ιεραρχών, άγιος χορός, ικετεύει σε Δέσποτα. Φείσαι τού λαού σου, τού τεταπεινωμένου.

Ο γινώσκων Οικτίρμον τό ασθενές ημών, καί ευόλισθον πάντη καί αδιόρθωτον, άνες τήν οργήν, καί τόν τάραχον κόπασον, καί τώ σώ ελέει, οικτείρησον τόν κοσμον.

Θεοτοκίον

Συμπαθής Θεοτόκε τόν ευσυμπάθητον, η τεκούσα Σωτήρα, ίδε τήν κάκωσιν, καί τόν στεναγμόν τού λαού σου, καί τάχυνον, τού παρακαλέσαι, ημάς οικτειρηθήναι.

## Τού Αγίου Κανών πρώτος

Χείρας εκπετάσας

Ημαύρωσας πάσαν τού εχθρού, μανίαν ένδοξε, καί τά παλαίσματα, τήν ακαθαίρετον δύναμιν, τού Χριστού περιζωσάμενος, καί νικηφόρος γεγονώς, Μάρτυς Δημήτριε, ανεβόας. Πάντα τά έργα υμνείτε τόν Κύριον.

Μαρτύρων ευστάθειαν δεικνύς, Μαρτύρων εύκλειαν έσχες Δημήτριε, λουτρόν λουσάμενος άγιον, ό δευτέραις ου μολύνεται, αμαρτημάτων προσβολαίς, λόγχη νυττόμενος, καί κραυγάζων. Πάντα τά έργα υμνείτε τόν Κύριον.

Η τών θαυμασίων πληθύς, τήν υπέρ νούν δωρεάν, ήν σου παρέσχε. Χριστός τοίς πάσιν Ένδοξε δείκνυσι, καί η χάρις τών ιάσεων, τήν υπέρ λόγον σοι σαφώς, χάριν κηρύττει ημίν, τοίς βοώσι. Πάντα τά έργα υμνείτε τόν Κύριον.

Θεοτοκίον

Τήν μόνην εν πάσαις ταίς γενεαίς, Παρθενομήτορα, καί Θεοτόκον Αγνήν υμνολογήσωμεν, αυτή γάρ, σωτηρίας ημίν πρόξενος, ώς τόν τού κόσμου Λυτρωτήν, Λόγον γεννήσαντα, ώ βοώμεν. Πάντα τά έργα υμνείτε τόν κυριον.

## Κανών δεύτερος

Παίδας ευαγείς εν τή καμίνω

Υψώσας Χριστόν εν Εκκλησία, αλήθειαν σού ο λάρυγξ εμελέτησε, στόμα σόν λελάληκε, σοφίας τά ρήματα, τών αρωμάτων ώφθησαν αι σιαγόνες σου, φιάλαι, διά τούτο Χριστός σε, μύρου θείου κρήνην, ανέδειξε τώ κόσμω.

Ρημάτων ισχύν σου Στεφηφόρε, ως βέλη τού δυνατού ο σός αντίπαλος, φρίττων ανά χείράς σου, πορρωθεν στρεφόμενα, σού τήν πλευράν ανώρυξεν, μυρίω δόρατι, ή μύρων αναδούσα θαλάσσας, ως τούς Αιγυπτίους αυτόν καταβαπτίζει.

Ο μέγας φρουρός θεσσαλονίκης, ο ρύστης εν τοίς κινδύνοις ο εξαίρετος, πρόμαχος ο κράτιστος, πάσης Εκκλησίας τε, οία πατήρ φιλόστοργος, τοίς τέκνοις δίδωσι, θηλήν αυξητικήν ψυχοτρόφον, τήν πλευράν ως γάλα, τό

μύρον χορηγούσαν.

Νόσων καί δεινών αρρωστημάτων, δαιμόνων επιβουλής τε σύ διέσωσας, μέγιστε Δημήτριε, μύρου ταίς αρδείαις σου, τήν πατρικήν οικίαν μοι, ήν περ εφίλησας, τιμών τήν αρετήν τών τεκόντων, οίς ημάς συνάπτοις, υμνούντάς σου τήν χάριν.

Θεοτοκίον

Όλβον σε κοινόν, ώ Θεοτόκε, καί δόξαν οι σέ τιμώντες πάντες έχοντες, πίστει σοι προστρέχομεν, πόθω σου δεόμενοι, τής αδοξίας λύτρωσαι, τής εν τώ μέλλοντι, τρυφής τής αιωνίου καί δόξης, εν σκηναίς Δικαίων, ημάς καταξιούσα.

Καταβασία

Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Τού σεισμού

Ωδή θ’  Ο Ειρμος

«Θεόν ανθρώποις ιδείν αδύνατον, όν ου τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ Πάναγνε, ωράθη βροτοίς, Λόγος σεσαρκωμένος, όν μεγαλύνοντες, σύν ταίς ουρανίαις, Στρατιαίς σέ μακαρίζομεν».

Ιδού οι πάντες ημείς επταίσαμεν, καί φοβερώς η γή μηδέν σφαλείσα κολάζεται, νουθετών γάρ ημάς ο φιλάνθρωπος, όλην αυτήν σαλεύει, λάβωμεν αίσθησιν, καί τής σωτηρίας εαυτών επιμελώμεθα.

Ωρών καί χρόνων υπάρχων Κύριος, μιά ροπή ηθέλησας εκτρίψαι τούς δούλους σου, υπό δέ τής πολλής εύσπλαγχνίας σου, Δέσποτα εκωλύθης, ευχαριστούμέν σοι, οι αναπολόγητοι ημείς, μόνε φιλάθρωπε.

Σεισμού μαχαίρας, πικράς αλώσεως, καί έθνικής Χριστέ επιδρομής καί συμπτώσεως, καί λιμού καί λοιμού καί κακώσεως, πάσης άλλης οικτίρμον, ρύσαι τήν πόλιν σου, άπασάν τε χώραν, τών πιστώς υμνολογούντων σε.

Η γή αγλώσσως βοά στενάζουσα, τί με κακοίς μιαίνετε πολλοίς πάντες άνθρωποι; καί υμών ο Δεσπότης φειδόμενος, όλην εμέ μαστίζει, λάβετε αίσθησιν, καί εν μετανοία, τόν Θεόν εξιλεώσασθε.

Θεοτοκίον

Φθοράν τώ τίκτειν μή υπομείνασα, πάσης φθοράς Παρθένε εξελού ημάς άπαντας, καί σεισμού βαρυτάτου καί θλίψεως, παύουσα τού Δεσπότου τήν αγανάκτησιν, ταίς σαίς μητρικαίς καταλλαγαίς θεοχαρίτωτε.

Τού Αγίου Κανών πρώτος

Λίθος αχειρότμητος

Ρήξον τά δεσμά τών πταισμάτων, τών σέ υμνούντων Αθλοφόρε, παύσον τών παθών τάς προσβολάς, τόν σάλον λύσον τόν τών αιρέσεων, τών πειρασμών κατεύνασον, τήν καταιγίδα ταίς πρεσβείαις σου.

Ίθυνον πρός τρίβους ευθείας, τής ουρανίου βασιλείας, τήν ιερωτάτην σου ποίμνην, στεφανηφόρε Μάρτυς Δημήτριε, επί νομήν σωτήριον, επί τόν τόπον τόν αιώνιον.

Θεοτοκίον

Ως ρίζαν πηγήν καί αιτίαν, τής αφθαρσίας σε Παρθένε, πάντες οι πιστοί πεπεισμένοι, ταίς ευφημίαις καταγεραίρομεν, σύ γάρ τήν ενυπόστατον, αθανασίαν ημίν έβλυσας.

Κανών δεύτερος

Άπας γηγενής

Γή καί ουρανός, τό πράγμα θαυμάζουσι, τό σόν Δημήτριε, τήν γάρ εν σαρκί ζωήν, καλών παντοίων κοσμήσας είδεσι, τό κατ' εικόνα βέλτιστε, λαμπρώς απείληφας, τό δέ σώμα, βάψας σου τοίς αίμασι, Βασιλεύς ως λαμπρός μύρω κέχρισαι.

Ίνα τήν στολήν, ενδύση Δημήτριε, ήν εξεδύσατο, πρίν ο παλαιός Αδάμ, Αδάμ τόν νέον καλώς ενδέδυσαι, καί τής σαρκός τό κώδιον χαίρων απέρριψας, διά τούτο, μύροις τε καί στέμμασι, βασιλεία λαμπρά σοι μνηστεύεται.

Νούς ουκ εξαρκεί, καί λόγος ανθρώπινος εκδιηγήσασθαι, τάς υπερφυείς τιμάς, καί δόξας Μάρτυς, άς περ απείληφας, συμβασιλεύων άληκτα, Χριστώ μακάριε, τό δέ μύρον, σύμβολον σαφέστατον, υπέρ φύσιν εκβλύζον σής κόνεως.

Ήν περ Αθλητά, Χριστός εξηγόρασε, ποίμνην τώ αίματι, λόγοις ιεροίς καί σύ, καί νόμοις αίμασί τε συνέστησας, αλλά καί νύν τοίς μύροις σου τρέφων καί θαύμασιν, εις αιώνας, άτρωτον συντήρησον, χαλεπών εξ αιρέσεων μέγιστε.

Θεοτοκίον

Ύμνους ευτελείς, δεήσεις τε προσδεξαι τάς ημών Δέσποινα, λύσον συμφορών πικρών, ημίν τό νέφος, κοινών ιδίων τε, τής Εκκλησίας κοίμισον, Αγνή τόν κλύδωνα τών Βαρβάρων, σκόρπισον τάς φάλαγγας, καί μελλούσης κολάσεως λύτρωσαι.

Καταβασία

Άπας γηγενής, σκιρτάτω τώ πνεύματι λαμπαδουχούμενος, πανηγυριζέτω δέ, αύλων Νόων φύσις γεραίρουσα, τήν ιερά θαυμάσια  τής Θεομήτορος, καί βοάτω. Χαίροις παμμακάριστε, Θεοτόκε Αγνή αειπάρθενε.

Εξαποστειλάριον

Τοίς Μαθηταίς

Μάρτυς Χριστού Δημήτριε, ως ποτέ τού Λυαίου, τήν οφρύν καί τήν έπαρσιν, καί τό ίππειον θράσος, καθείλες χάριτι θεία, τόν γενναίον κρατύνας, εν τώ σταδίω Νέστορα, τού Σταυρού τή δυνάμει, ούτω καμέ, ταίς ευχαίς σου κράτυνον Αθλοφόρε, Κατά δαιμόνων πάντοτε, καί παθών ψυχοφθόρων.

Θεοτοκίον

Τόν σαρκωθέντα Κύριον, εξ αγνών σου αιμάτων, Παρθενομήτορ άχραντε, δυσωπούσα μή παύση, υπέρ ημών τών σών δούλων, όπως εύρωμεν χάριν, καί εύκαιρον βοήθειαν, εν ημέρα ανάγκης, γένος βροτών, απειλής σεισμού τε τού βαρυτάτου, κινδύνων τε εξαίρουσα, μητρικαίς σου πρεσβείαις.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ’ καί ψάλλομεν Στιχηρά Προσόμοια τρία, δευτερούντες τό πρώτον.

Ήχος πλ.α'

Χαίροις ασκητικών

Δεύρο Μάρτυς Χριστού πρός ημάς, σού δεομένους, συμπαθούς επισκέψεως. καί ρύσαι κεκακωμένους, τυραννικαίς απειλαίς, καί δεινή μανία τής αιρέσεως, υφ' ής ως αιχμάλωτοι, καί γυμνοί διωκόμεθα, τόπον εκ τόπου, συνεχώς διαμείβοντες, καί πλανώμενοι, εν σπηλαίοις καί όρεσιν. Οίκτειρον ούν πανεύφημε, καί δός ημίν άνεσιν, παύσον τήν ζάλην καί σβέσον, τήν καθ' ημών αγανάκτησιν, Θεόν ικετεύων, τόν παρέχοντα τώ κόσμω τό μέγα έλεος.

Τείχος ωχυρωμένον ημίν, τάς ελεπόλεις τών εχθρών μή πτοούμενον, εδόθης τάς τών βαρβάρων, επιδρομάς καταργών, καί πασών τών νόσων τά συμπτώματα, κρηπίς ακατάβλητος, καί θεμέλιος άρρηκτος, καί πολιούχος, οικιστής καί υπέρμαχος, εχρημάτισας, τή σή πόλει Δημήτριε, ήν καί νύν παμμακάριστε, δεινώς κινδυνεύουσαν, καί τρυχομένην αθλίως, ταίς σαίς πρεσβείαις διάσωσον, Χριστόν ικετεύων, τόν παρέχοντα τώ κόσμω τό μέγα έλεος.

Πάσαν τήν αρετήν συλλαβών, τών Αθλοφόρων ο χορός αναδείκνυται, εντεύθεν τής ακηράτου, καί μακαρίας ζωής, τήν τρυφήν αξίως εκληρώσαντο, εν οις αξιάγαστε, διαπρέπων Δημήτριε, καί τή μιμήσει, τού Χριστού σεμνυνόμενος, καί καυχώμενος, τή τής λόγχης ισότητι, αίτησαι εκτενέστερον, ημάς τούς τιμώντάς σε, τών παθημάτων ρυσθήναι, καί χαλεπών περιστάσεων, θερμώς ικετεύων, τόν περέχοντα τώ κόσμω τό μέγα έλεος.

Δόξα… Ήχος δ'

Ανδρέου Ιεροσολυμίτου

Τόν λόγχαις κληρωσάμενον, τής σωτηρίου πλευράς τήν χάριν, τής νυγείσης τή λόγχη, εξ ής ημίν πηγάζει ο Σωτήρ, ζωής καί αφθαρσίας νάματα, Δημήτριον τιμήσωμεν, τόν σοφώτατον εν διδαχαίς, καί στεφανίτην εν Μάρτυσι, τόν δι' αίματος τελέσαντα, τόν τής αθλήσεως δρόμον, καί θαύμασιν εκλάμψαντα πάση τή οικουμένη, τόν ζηλωτήν τού Δεσπότου, καί συμπαθή φιλόπτωχον, τόν εν πολλοίς καί πολλάκις κινδύνοις χαλεποίς, τών

Θεσσαλονικέων προϊστάμενον, ού καί τήν ετήσιον μνήμην γεραίροντες, δοξάζομεν Χριστόν τόν Θεόν, τόν ενεργούντα δι' αυτού πάσι τά ιάματα.

Καί νύν... Θεοτοκίον

Ρύσαι ήμάς εκ τών αναγκών ημών, Μήτερ Χριστού τού Θεού, η τεκούσα τόν τών όλων Ποιητήν, ίνα πάντες κράζωμέν σοι. Χαίρε η μόνη προστασία τών ψυχών ημών.

Δοξολογία Μεγάλη, καί Απόλυσις.

Δίδοται καί άγιον Μύρον εκ τού Αγίου, ψαλλομένων τών ιδιομέλων αυτού.

Εις τήν Λειτουργίαν, τά Τυπικά, καί εκ τών Κανόνων τού Αγίου η γ' καί ς' Ωδή.

Ο Απόστολος πρός Τιμόθεον β'

Τέκνον Τιμόθεε, ενδυναμού εν τή χάριτι...

Ευαγγέλια δύο

Εις μέν τήν εορτήν τού Αγίου τό κατά Ιωάννην.

Είπεν ο Κύριος τοίς εαυτού Μαθηταίς. Ταύτα εντέλλομαι υμίν, ίνα αγαπάτε αλλήλους...

Εις δέ τήν ανάμνησιν τού σεισμού τό κατά Ματθαίον.

Τώ καιρώ εκείνω, εμβάντι τώ, Ιησού είς πλοίον...

Κοινωνικόν

Εις μνημόσυνον αιώνιον έσται Δίκαιος. Αλληλούϊα.

---

Αρχή

## ΤΗ ΚΖ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Μάρτυρος Νέστορος.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τρία τού Αγίου Δημητρίου.

Ήχος α'

Τών ουρανίων ταγμάτων

Δεύτε πιστοί συνελθόντες ανευφημήσωμεν, τόν Αθλητήν τόν μέγαν, καί γενναίον οπλίτην, Δημήτριον τόν πάσαν τήν τού εχθρού, δυναστείαν πατήσαντα, τούτω βοώντες εν πίστει. Υπέρ ημών, τόν Χριστόν Μάρτυς ικέτευε.

Τόν αριστέα τόν θείον καί μιμητήν τού Χριστού, τό τής αγνείας κάλλος, τήν πηγήν τών θαυμάτων, Δημήτριον τόν μέγαν πάντες πιστοί, εν ωδαίς ευφημήσωμεν, αγιαζομενοι σώματα καί ψυχάς, εν τή μνήμη τή ενδόξω αυτού.

Θεσσαλονίκη χορεύει επί τή μνήμη σου, καί συγκαλείται πάσας, τών πιστών τάς χορείας, Δημήτριε τρισμάκαρ, τελέσαι τήν σήν, φωτοφόρον πανήγυριν, οίς καί ημείς συνελθόντες ασματικώς, ευφημούμεν τούς αγώνάς σου.

Καί τρία τού Αγίου Νέστορος

Ήχος πλ. δ’
Ω τού παραδόξου θαύματος

Νέστορ Αθλητά μακάριε, τήν πανοπλίαν Χριστού, σεαυτώ περιθέμενος, αισθητώς Λυαίω μέν, συμπλακείς τούτον ώλεσας, ταίς αοράτοις δέ τόν αόρατον, λαβαίς Βελίαρ σύ συνεπόδισας, καί εθανάτωσας, νίκης διαδήματι όθεν τήν σήν, κάραν εστεφάνωσεν, ο μεγαλόδωρος.

Λόγοις ενθέοις νευρούμενος, Νέστορ σοφέ αληθώς, Δημητρίου τού Μάρτυρος, αλαζόνα τύραννον, ανδρικώς εθανάτωσας, καί τόν θανόντα καί Άδην λύσαντα, ομολογήσας Θεόν αθάνατον, θάνατον άδικον, καθυπέστης ένδοξε, όθεν ζωήν, χαίρων ατελεύτητον, εκληρονομησας.

Θείος νεανίας πέφυκας, σώματος ώρα σοφέ, διαπρέπων καί χάριτι, θεϊκή κοσμούμενος, καί ρώμη σεμνυνόμενος. όθεν Λυαίου λύσας τήν δύναμιν, τή δυναστεία τού, Παντοκράτορος, χαίρων ενήθλησας, καί χοροίς ηρίθμησαι τών αθλητών, οίς συναγαλλόμενος, ημών μνημόνευε.

Δόξα... Ήχος πλ. β'

Σήμερον η οικουμένη πάσα, ταίς τού Αθλοφόρου αυγάζεται ακτίσι, καί η τού Χριστού Εκκλησία, τοίς άνθεσιν ωραϊζομένη, Δημήτριε βοά σοι, θεράπον Χριστού, καί προστάτα θερμότατε, μή ελλίπης πρεσβεύειν υπέρ τών δούλων σου.

Καί νύν… Θεοτοκίον

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής. Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια, τού Αγίου Δημητρίου.

Ήχος β'
Οίκος τού Εφραθά

Μύρον τό νοητόν, σέ Μάρτυς καταθέλξαν, πρός αρετών τά μύρα, διήγειρε καί μύρα, βλύζειν αφθόνως δέδωκε.

Στίχ. Δίκαιος ως φοίνιξ ανθήσει καί ωσεί κέδρος η εν τώ Λιβάνω πληθυνθήσεται.

Εύγε τής καλλονής, τού μύρου τής σαρκός σου. υπέρευγε τού μύρου, τού τής ψυχής σου Μάκαρ, ού περ εκείνο γνώρισμα.

Στίχ. Πεφυτευμένοι εν τώ οίκω Κυρίου, εν ταίς Θεού ημών εξανθήσουσι.

Εις βόθρον τόν Σατάν, όν ώρυξέ σοι Μάκαρ, εμβεβληκώς γενναίως, απέπνιξας τελείως, τοίς ποταμοίς τών μύρων σου.

Δόξα… Καί νύν... Θεοτοκίον

Μύρου τού νοητού, αξία μυροθήκη, γεγενημένη Κόρη, παθών με δυσωδίας, απάλλαξον πρεσβείαις σου.

Απολυτίκιον Ήχος γ'

Μέγαν εύρατο εν τοίς κινδύνοις, σέ υπέρμαχον η οικουμένη, Αθλοφόρε τά έθνη τροπούμενον. Ως ούν Λυαίου καθείλες τήν έπαρσιν, εν τώ σταδίω θαρρύνας τόν Νέστορα, ούτως Άγιε, Μεγαλομάρτυς Δημήτριε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Δόξα… Ήχος δ'

Ταχύ προκατάλαβε

Ο Μάρτυς σου, Κύριε, εν τή αθλήσει αυτού, τό στέφος εκομίσατο τής αφθαρσίας, εκ σού τού Θεού ημών, έχων γάρ τήν ισχύν σου, τούς τυράννους καθείλεν, έθραυσε καί δαιμόνων, τά ανίσχυρα θράση. Αυτού ταίς ικεσίαις, Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

Καί νύν… Θεοτοκίον

Τό απ' αιώνος απόκρυφον, καί αγγέλοις άγνωστον Μυστύριον, διά σού Θεοτόκε τοίς επί γής πεφανέρωται, Θεός εν ασυγχύτω ενώσει σαρκούμενος, καί Σταυρόν εκουσίως υπέρ ημών καταδεξάμενος, δι' ού αναστήσας τόν Πρωτόπλαστον, έσωσεν εκ θανάτου τάς ψυχάς ημών.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, λέγονται οι Κανόνες τής Οκτωήχου, καί τού Αγίου Νέστορος ο παρών.

Ωδή α' Ήχος δ'

Άρματα Φαραώ

Άρματι φλογερώ, τώ σώ αίματι Σοφέ, χαίρων επιβέβηκας, καί πρός ουράνιον ύψος, ένθα Ιησούς τό άχρονον φώς, μετά χαράς ανελήλυθας.

Θώρακα νοητόν, τόν τής πίστεως σαυτώ, Νέστορ περιθέμενος, και τόν Σταυρόν ως δόρυ έχων εν χερσί, τάς τού εχθρού, στερρώς συνέκοψας φάλαγγας.

Ζέσει τής τού Χριστού, κρατυνόμενος στοργής, ένδον εισεπήδησας, εν τώ σταδίω καί πάσας, έλυσας Λυαίου μηχανάς, καί νίκης τρόπαιον έστησας.

Θεοτοκίον

Συνέλαβες εν γαστρί, τόν συνάναρχον Πατρί, έτεκες απείρανδρε, υπερφυώς κατά σάρκα, μείνασα παρθένος όντως Αγνή, διό σε πάντες γεραίρομεν.

Ωδή γ’

Ο στερεών βροντήν

Δυναμωθείς τώ κράτει τής ισχύος, τού τούς μοχλούς συντρίψαντος, καί τάς τού Άδου πύλας, σπουδή εις τό στάδιον εισήλθες, καί κραταιώς συνέτριψας, εχθρού μηχανήματα.

Ο παλαιάς απάτης αρχηγέτης, πρό τών ποδών σου ήπλωται, νεανικώς γάρ πρός εκτομήν, προσεχώρησας τού ξίφους, Νέστορ Μαρτύρων καύχημα, διό ευφημούμέν σε.

Προκαταλύσας θράσος παρανόμων, Θεώ θυσίαν έθυσας, Μάρτυς τό αίμά σου αμοιβήν, ιεράν αυτώ παρέχων, διό σε αντημείψατο, πλουσίοις χαρίσμασι.

Θεοτοκίον

Τήν εξ, Αδάμ τού γένους αμορφίαν, επεισαχθείσαν βρώματι, κυοφορούμενος Ιησού, εν γαστρί τής Θεοτόκου, υπερφυώς ανέπλασας, τό πρώτον κάλλος δούς ημίν.

Ο Ειρμός

«Ο στερεών βροντήν καί κτίζων πνεύμα, στερέωσόν με Κύριε, ϊνα υμνώ σε ειλικρινώς, καί ποιώ τό θέλημά σου, ότι ουκ έστιν Άγιος, ως σύ ο Θεός ημών».

Κάθισμα   Ήχος δ’  Ο υψωθείς

Ού κατεπλάγης τών εχθρών τήν μανίαν, ούκ εδειλίασας σαρκός αλγηδόνας, αλλ’ απτοήτως έδραμες πρός πάλην Σοφέ, φέρων τό υπέρμαχον, τού Σταυρού θείον όπλον, όθεν τόν αλάστορα, παρευθύς θανατώσας, εθανατώθης Νέστορ καί ζωής, κατηξιώθης Χριστώ παρ ιστάμενος.

Θεοτοκίον

Ο επί θρόνου Χερουβίμ καθεζόμενος, καί έν τοίς κόλποις τού Πατρός αυλιζόμενος, ως επί θρόνου κάθηται αγίου αυτού, Δέσποινα εν κόλποις σου, σαρκικώς, ο Θεός γάρ, όντως εβασίλευσεν, επί πάντα τά έθνη, καί συνετώς νύν ψάλλομεν αυτώ, όν εκδυσώπει, σωθήναι τούς δούλους σου.

Ωδή δ'

Εισακήκοα ο Θεός

Δημητρίου καταυγασθείς, ταίς φωτοβόλοις διδασκαλίαις, τής Ελλήνων ματαιότητος, τήν αχλύν διέφυγες, καί μαρτυρίου φέγγος απήστραψας.

Απιστίας τήν αλμυράν, ταράξας θάλασσαν γλυκασμώ σου, τής νοστίμου Νέστορ πίστεως, ασεβών στρατεύματα, βυθώ τών σών αιμάτων απέπνιξας.

Φυτευόμενον πρός ζωήν,εδείχθης δένδρον τή ευκαρπία, διατρέφων τών αγώνων σου, τών πιστών τό πλήρωμα, Νέστορ Χριστού Μαρτύρων τό καύχημα.

Θεοτοκίον

Καθαρτήριόν μοι γενού, αμαρτημάτων, καί δός μοι χείρα, βοηθείας κινδυνεύοντι, Παναγία Δέσποινα, Χριστιανών βεβαία αντίληψις.

Ωδή ε'

Ορθρον φαεινόν ημίν

Άογοις θείας γνώσεως, τήν διάνοιαν καταρδευθείς, μαρτυρίου στάχυν ώριμον, ένδοξε Νέστορ εβλάστησας.

Νόμοις τοίς τών λογων σου, ώ Δημήτριε Μάρτυς τού Χριστού, αθεϊας τό ανομημα, ο Νέστωρ τό μέγα κατέπαυσεν.

Εχθρόν πρός ορώμενον, συμπλεκόμενος τήν τού Θεού, αοράτως συμμαχίαν, εκέκτησο Νέστορ αοίδιμε.

Θεοτοκίον

Χαίρε η κυήσασα, τόν Θεόν άνευ σποράς, χαίρε μόνη Θεομήτορ πανάχραντε, χαίρε Νύμφη ανύμφευτε.

Ωδή ς'

Ζάλη με λογισμών

Σφραγίδι σημανθείς σου τήν καρδίαν, γενναίως κατέτρωσας τώ δόρατι τής ανδρείας, τήν καρδίαν Λυαίου Αθλητά, καί χαίρων θανατούσαι, διά τήν πάντων ζωήν.

Νυμφίος εκ παστάδος τής σαρκός σου, Νέστορ εκπεπόρευσαι, στολαίς ταίς εξυφανθείσαις, εξ αιμάτων σου Μάρτυς ιερών φαιδρώς ωραϊσμένος, καί τώ Δεσπότη παρέστης Χριστώ.

Υψώσας επί πέτραν σού τούς πόδας, ευσεβείας έστησε, Χριστός τής ζωής η πέτρα, καί κατεύθυνε Νέστορ πρός αυτον, τά διαβήματά σου, καί τούς εχθρούς σου κατήσχυνε.

Θεοτοκίον

Ρήξον μου τάς σειράς τών εγκλημάτων, η Θεόν κυήσασα, τόν αίροντα τήν τού κοσμου αμαρτίαν, Παρθένε Μαριάμ, εν σοί γάρ τάς ελπίδας, τής σωτηρίας ανέθηκα.

Ο Ειρμός

«Ζάλη με λογισμών καταλαβούσα, εις βυθόν καθέλκει με, αμέτρων πλημμελημάτων, αλλά σύ Κυβερνήτα αγαθέ, προφθάσας διάσωσόν με».

Κοντάκιον Ήχος β’

Τά άνω ζητών

Αθλήσας καλώς, αθάνατον τήν εύκλειαν, κεκλήρωσαι νύν, καί στρατιώτης άριστος, τού Δεσπότου γέγονας, ταίς ευχαίς Δημητρίου τού Μάρτυρος, σύν αυτώ ούν Νέστορ σοφέ, πρεσβεύων μή παύση υπέρ πάντων ημών.

Ο Οίκος

Ρώμη Θεού αθλήσας, παμμάκαρ, νικηφόρος εδείχθης, τόν εχθρόν τοίς ποσί καταπατήσας, δεδόξασαι, στεφανίτης σύν ταίς χορείαις τών σεπτών Αθλοφόρων Νέστορ εφάνης, καί Ααρών υπερήρθης Χριστού Αθλητά, σύν Άβελ αίμα τό θείον σου προσενέγκας, καί θρόνω θείω τού κτίσαντος παρεστώς, σύν Αγγέλων τοίς τάγμασι, πρεσβεύων μή παύση υπέρ πάντων ημών.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΖ' τού αυτού μηνος, Μνήμη τού Αγίου Μάρτυρος Νέστορος.

Στίχοι

Ομού Λυαίον καί λύμην τήν τής πλάνης,
Κτείνας ο Νέστωρ, τέμνεται διά ξίφους.
Εικάδι εβδομάτη αποκέρσαν Νέστορα κεδνόν.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Καπιτωλίνης, καί Ερωτηΐδος.

Στίχοι

Κτείνουσι δούλην εκ ξίφους καί κυρίαν,
Δούλας Τριάδος, τής αληθούς Κυρίας.

Τή αυτή ημέρα, Μνήμη τού εν Αγίοις Πατρός ημών Κυριακού, Πατριάρχου Κωνσταντινουπόλεως.

Στίχοι

Ο Κυριακος, εκλιπών γήν καί βίον,
Πρός αυτόν ήκει Κύριον τών κυρίων.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Πρόκλης, συζύγου τού Πιλάτου.

Στίχοι

Εχειπαρεστώσάν σε, Πρόκλα Δεσπότης,
Ο Πιλάτω πρίν σώ παραστάς συζύγω.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Ο εν τώ όρει τώ Μωσεί

Ο καταυγάσας τών πιστών τάς καρδίας, ακτίσι τών αγώνων τού, Αθλοφόρου, ευλογητός εί Κύριε, ο Θεός ο τών Πατέρων ημών.

Τής ασεβείας κατασβέσας τήν φλογα, τή δρόσω τών αιμάτων σου Μάρτυς Νέστορ, Ευλόγητός ει μέλπεις νύν, ό Θεός τών Πατέρων ημών.

Θυσία ζώσα εις οσμήν ευωδίας, Κυρίω προσαγόμενος Μάρτυς Νέστορ,

Ευλογητός εί έκραζες, ό Θεός τών Πατέρων ημών.

Θεοτοκίον

Αγιωτέρα Χερουβίμ ανεδείχθης, τεκούσα υπεράγιον Θεόν Λόγον, Υπεραγία Δέσποινα, τόν ημάς αγιάζοντα.

Ωδή η'

Γή καί πάντα τά εν αυτή

Γή τό αίμά σου τό σεπτόν, εδέξατο χυθέν υπέρ Χριστού, οι ουρανοί δέ τήν ψυχήν, ώσπερ νύμφην ωραϊσμένην, Μαρτύρων χορείαι, καί Δικαίων απάντων τά πνευματα, εν αγαλλιάσει, υπήντησάν σοι Μάρτυς.

Ω ψυχής σου θεοφιλούς, τόν θάνατον τόν πρόσκαιρον, ουδέν ηγησαμένης, τό δέ ζήν εν Κυρίω εκλεξαμένης! ώ θείας ανδρείας, εχθρών κραταιότητα, τών μή ομολογούντων Χριστόν στηλιτευσάσης!

Τόν αγώνά σου τόν καλόν, ηγώνισαι τόν δρόμον αληθώς, Νέστορ τετέλεκας σοφέ, καί τετήρηκάς σου τήν πίστιν, λοιπόν σοι τό στέφος, τό τής δικαιοσύνης απόκειται, όπερ παρέξει Χριστός εις τούς αιώνας.

Θεοτοκίον

Ου πτοούμαι τού δυσμενούς, τά θήρατρα σέ έχων βοηθόν, ου φοβηθήσομαι κακά, σοί προστρέχων Θεοκυήτορ, εν σοί γάρ καυχώμαι, καί εν σοί υπερβήσομαι Πάναγνε, τείχος αμαρτίας σωθείς τή σή πρεσβεία.

Ο Ειρμός

«Γή καί πάντα τά εν αυτή, θάλασσα καί πάσαι αι πηγαί, οι ουρανοί τών ουρανών, φώς καί »σκότος, ψύχος καί καύσων, υιοί τών ανθρώπων, ιερείς ευλογείτε τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ'

Ότι εποίησέ μοι μεγαλεία

Πορφύραν εξ αιμάτων, βεβαμμένην σου ιερών, φορέσας καί κατέχων δεξιά ώσπερ σκήπτρον τόν Σταυρόν, συμβασιλεύεις τώ Χριστώ, Νέστορ μακάριε.

Πέπειρος βότρυς ώφθης, τής αμπέλου τής νοητής, ληνοίς δέ μαρτυρίου εκθλιβείς, κατανυξεως ημίν, οίνον ανέβλυσας πιστοίς, Νέστορ πολύαθλε.

Χορεύων μετ' Αγγέλων, πρό προσώπου τού Ιησού, καί δόξης απολαύνων τής αυτού, τών τελούντων σου πιστώς, Νέστορ τήν μνήμην τήν σεπτήν, αεί μνημόνευε.

Θεοτοκίον

Φωτός ώφθης δοχείον, τού σκεδάσαντος τήν αχλύν, τής πάλαι αγνωσίας αληθώς, αγιάσματος σκηνή, χρυσή λυχνία ουρανών, υψηλοτέρα Αγνή.

Ο Ειρμός

«Οτι εποίησέ μοι, μεγαλεία ο δυνατός, καί άγιον τό όνομα αυτού, καί τό έλεος αυτού, εις γενεάν και γενεάν, τοίς φοβουμένοις αυτόν».

Εξαποστειλάριον
Γυναίκες ακουτίσθητε

Λυαίου τήν απόνοιαν, καί μανιώδη έπαρσιν, τή τού Σταυρού δυναστεία, καί ταίς ευχαίς Δημητρίου, τού πανενδόξου Μάρτυρος, καθείλες Νέστορ πρότερον, τά πάθη τροπωσάμενος, καί Μάρτυς άριστος ώφθης, Χριστού σοφέ αθλοφόρε.

Θεοτοκίον

Συνήθως τά ελέη σου, φιλάγαθε πανύμνητε, καί τούς πολλούς οικτιρμούς σου, δείξον καί νύν Θεοτόκε, εκ πάσης περιστάσεως, κινδύνων τε καί θλίψεων, πάντας ημάς εξαίρουσα, τής απειλής τού σεισμού τε, τής φοβεράς λυτρουμένη.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια, άπερ είπομεν χθές εν τώ Εσπερινώ.

Καί τά λοιπά τού Όρθρου, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΗ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Μαρτύρων, Τερεντίου καί Νεονίλλης, καί τού Οσίου Πατρός ημών Στεφάνου τού Σαββαϊτου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν τά εφεξής Προσόμοια Στιχηρά τών Μαρτύρων.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσι

Πολυτροποις κολάσεσιν, ανδρικώς ομιλήσαντες, τού εχθρού τήν έπαρσιν κατεβάλετε, ομολογούντες Μακάριοι, τυράννων ενώπιον, τόν οφθέντα δι' ημάς, εν παχύτητι σώματος, καί τά άχραντα, υπομείναντα πάθη εκουσίως, καί πηγάσαντα τώ κόσμω, τόν ιλασμόν καί τό έλεος.

Τερεντίω συνήστραψαν, Νεονίλλα η ένδοξος, Νιτάς τε καί Σάρβιλος οι θαυμάσιοι, καί ο Φωκάς σύν ίερακι, νομίμως αθλήσαντες, καί τό πύρ τών αικισμών, θεία δρόσω τού Πνεύματος, αποσβέσαντες, καί γενομενοι πύργοι ευσεβείας, καί ευπρόσδεκτοι θυσίαι, καί προσφοραί καθαρώταται.

Ως πολύφωτος Ήλιος, τή Σελήνη ενούμενος, Νεονίλλη τέτοκας ώ Τερέντιε, χορόν αστέρων επτάριθμον, Μαρτύρων εν αίματι, φοινιχθέντων καί φαιδράν, αφιέντων τήν έλλαμψιν, σκηνωσάντων τε, εις ανέσπερον λήξιν, ένθα πάντων, Αθλοφόρων αι αγέλαι, περιφανώς πολιτεύονται.

Καί τού Οσίου

Ήχος πλ. δ’
Ω τού παραδόξου θαύματος

Πάτερ θεοφόρε Στέφανε, θεία φρονήσει τόν νούν, οχυρώσας λαμπρότατα, τόν θυμόν ανδρεία τε, σωφροσύνη τήν έφεσιν, δικαιοσύνη πάσαν τήν δύναμιν, ψυχής ιθύνας φιλοσοφώτατα, άρμα τερπνότατον, αρετών συνήρμοσας, ού επιβάς, χαίρων ανελήλυθας, πρός ύψος Όσιε.

Πάτερ θεορρήμον Στέφανε, θεολογία τόν νούν, κατελάμ πρυνας Όσιε, δορυφόρον οίά περ, τόν θυμόν προτεινόμενος, κατά βλασφήμων μάκαρ αιρέσεων, επιθυμία τρυφής τής άνωθεν, ής κατηξίωσαι, μετασχείν θεσπέσιε, περεστηκώς, θρόνω τού Παντάνακτος, καί Παντοκράτορος.

Πάτερ θεορρήμον Στέφανε, δι' εγκρατείας τόν νούν, πιαινόμενος πάντοθεν, πρός τό πρώτον αίτιον, ανατρέχειν εποίησας, καί κατευνάσας, παθών τόν τάραχον, καί τούς θορύβους αποσεισάμενος, νού καθαρότητι, συνεκράθης πάνσοφε, πρός εφετών, όντως τό ακρότατον, θεόφρον Όσιε.

Δόξα… Καί νύν... Θεοτοκίον

Σώσόν με σώσον πανάμωμε, η τόν Σωτήρα Χριστόν, απορρήτως κυήσασα, σέ γάρ μόνην κέκτημαι, προστασίαν καί άρρηκτον, τείχος καί σκέπην καί αγαλλίαμα, καί τής ψυχής μου θείαν παράκλησιν, σύ ούν με λύτρωσαι, ακοιμήτου σκώληκος, καί τού πυρός, τού διαιωνίζοντος, Μήτηρ Χριστού τού Θεού.

Η Σταυροθεοτοκίον

Σέ καθηλούμενον βλέπουσα, εν τώ Σταυρώ Ιησού, καί τά πάθη δεχόμενον, εκουσίως Δέσποτα, η Παρθένος καί Μήτηρ σου, Τέκνον εβόα, τέκνον γλυκύτατον, πληγάς αδίκως πώς φέρεις ο ιατρός, ο ιασάμενος, βροτών τήν ασθένειαν, καί τής φθοράς, άπαντας ρυσάμενος, τή ευσπλαγχνία σου;

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, αναγινώσκεται εις Κανών τής Οκτωήχου, καί τών Αγίων οι παρόντες δύο.

### Ο Κανών τών Μαρτύρων

Ωδή α' Ήχος δ'
Ανοίξω τό στόμα μου

Βυθώ χειμαζόμενος, τής αμαρτίας φιλάνθρωπε, πρός μόνον τό πέλαγος, τής ευσπλαγχνίας σου, ατενίζω μου, τό όμμα τής καρδίας, κυβέρνησον σώσόν με, τών Αθλοφόρων ευχαίς.

Ο άδυτος Ήλιος, υμάς αστέρας ανέδειξεν, εν τώ στερεώματι, τής Εκκλησίας αυτού, καταυγάζοντας, τή λάμψει τών αγώνων, Μάρτυρες πανεύφημοι, ταύτης τό πλήρωμα.

Τής Πίστεως πρόβολος, τής Εκκλησίας εδραίωμα, Τερέντιος γέγονε, Νιτάς τε Σάρβιλος, καί Θεόδουλος, Ιέραξ Νεονίλλα, Βήλης ο θαυμάσιος, Ευνίκη τε καί Φωκάς.

Θεοτοκίον

Χαράς ημίν πρόξενος, ως δεξαμένη τό πλήρωμα, τής όλης θεότητος, ώφθης πανάμωμε, όθεν πάντες σοι, τό Χαίρε τού Αγγέλου, συμφώνως κραυγάζομεν, θεοχαρίτωτε.

Ο Κανων τού Οσίου, ού η Ακροστιχίς.

Σοί Στέφανε στέφανόν σοι ομώνυμον οίσομεν ύμνον.

Θεοφάνους

Ωδή α' Ήχος β'

Εν βυθώ κατέστρωσε

Σοί τής σής παμμάκαρ διδαχής, χρέος προσκομίζοντες, τήν οφειλήν απονέμομεν Στέφανε, εγκώμιον πλέκοντες, σύ δέ ίλεως δεδεγμένος πανόλβιε, ταίς σαίς ικεσίαις, χάριν μοι παράσχου τήν τού Πνεύματος.

Ολεθρίων όρμημα παθών, Πάτερ κατεμάρανας, λογιστικώ κεχρημένος θεόφρονι, ευμενής γάρ γέγονας, ευπροσήγορος, προσηνής τε καί μέτριος, λόγω τής Σοφίας, Στέφανε καί γνώσεως στεφόμενος.

Ιερώς εκόσμησας σαυτόν, Πάτερ διά γνώσεως, καί πρακτικής ενεργείας χαρίσματος, θεορρήμον Στέφανε, εφιέμενος τών στεφάνων τής δόξης Χριστού, όθεν τής ελπίδος άριστα, παμμάκαρ ου διήμαρτες.

Θεοτοκίον

Τών κτισμάτων πέφηνας Αγνή, πάντων αοράτων τε, καί ορατών υπερτέρα πανάμωμε, τόν γάρ Κτίστην τέτοκας, ως ηυδόκησε, σαρκωθήναι εν μήτρα σου, ώ σύν παρρησία πρέσβευε, σωθήναι τάς Ψυχάς ημών.

Τών Μαρτύρων

Ωδή γ’

Ουκ εν σοφία

Ήλιος ώσπερ, πολυφώτω σελήνη ενούμενος, Νεονίλλη ο κλεινός, Τερέντιος απεγέννησεν, αστέρων επτάριθμον, χορόν Μαρτύρων Χριστού.

Η συντριβή σου, τών μελών Αθλοφόρε Τερέντιε χούν εξελέπτυνε, σοί δέ προεξένησε, δόξαν τήν άφραστον.

Κεχρυσωμέναις, αναπτάσα Ευνίκη ταίς πτέρυξι, τών ανόμων ιξευτών, τάς πανουργίας εξέφυγες, καί ένδον εσκήνωσας, παστάδος τής νοητής.

Θεοτοκίον
Σέ η Σοφία, τού Θεού καθαρώτατον σκήνωμα, ευραμένη εκ τών σών, αγνών αιμάτων σεσάρκωται, καί μετά τήν κύησιν, άφθορον έδειξεν.

Τού Οσίου

Εξήνθησεν η έρημος
Εξέλαμψεν ο βίος σου, θεοφόρε Στέφανε, ολολαμπής ως ήλιος, εν τώ κόσμω καί κατεφώτισε, τούς σοί πίστει καί πόθω προσανέχοντας.

Φωτίζεται τά πέρατα, διδαχαίς σου Όσιε, ως γάρ φωστήρ εξέλαμψας, θεοφόρε τή Εκκλησία Χριστού, εν ή εστερεώθη η καρδία σου.

Αδούλωτον ετήρησας, τήν ψυχήν σου πάθεσι, καί ηδοναίς τού σώματος, θεοφόρε Στέφανε τίμιε, διό νύν επαξίως ευφημούμέν σε.
Θεοτοκίον
Εφάνης καθαρότητι, ωσεί κρίνον Δέσποινα, τών ακανθών εκλάμψασα, λαμπηδόσι τής παρθενίας σου, έν μέσω Θεοτόκε πανσεβάσμιε.
Ο Ειρμός
«Εξήνθησεν η έρημος, ωσεί κρίνον Κύριε, η τών εθνών στειρεύουσα, Εκκλησία τή παρουσία σου, εν ή εστερεώθη η καρδία μου».

Κάθισμα τών Μαρτύρων

Ήχος πλ. δ'
Τήν Σοφίαν
Ως αστέρες ηλίω φωτοειδείς, Τερεντίω οι παίδες οι ιεροί, σαφώς συνανατέλλουσι, καί τήν κτίσιν αυγάζουσιν, ανδρικών αγώνων, γενναίοις πυρσεύμασι, πολυθεϊας όντως, τήν νύκτα σκεδάσαντες, ούς εν ευφροσύνη μακαρίσωμεν πίστει, ως όντας θεράποντας, τού Θεού καί βοήσωμεν. Αθλοφόροι πανεύφημοι, πρεσβεύσατε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην υμών.
Δόξα… Τού Οσίου
Ήχος ο αυτός
Ανέστης εκ νεκρών
Ναόν φωτοειδή, Πνεύματος τού Αγίου, τελέσας τήν ψυχήν, παναοίδιμε Πάτερ, ένδον έσχες αφράστως, τόν Βασιλέα Χριστόν καί Κύριον, εύρες πλούτον θαυμάτων, καί κόσμω νέμεις χάριν τήν άφθονον, διό κινδύνων πάντας καί φθοράς, συντήρει τούς υμνούντάς σε.
Καί νύν… Θεοτοκίον
Παρθένε Μαριάμ, τών Αγγέλων η δόξα, ωράϊσμα τερπνόν, καί γηγενών ο κόσμος, δίδου τοίς σέ υμνούσιν, αμαρτημάτων πάντων συγχώρησιν, ίλαθι τοίς σοίς δούλοις, ότι υπάρχεις Αγνή η λύτρωσις, απεγνωσμένων όντως ισχυρόν, προσφύγιον ανθρώπων.

### Η Σταυροθεοτοκίον

Η άσπιλος Αμνάς, τόν Αμνόν καί Ποιμένα, κρεμάμενον Σταυρώ, κατιδούσα εβόα, Τέκνον μου τί τό ξένον, καί παρ' ελπίδα τούτο νύν θέαμα; πώς η ζωή θανάτω, βροτοίς ομοίως καταδικάζεται; αλλά ανάστηθι εκ τών νεκρών, ϊνα χαίρουσα δοξάζω σε.

### Τών Μαρτύρων

### Ωδή δ'

### Επαρθέντα σε

Η επτάδελφος χορεία τών Αθλοφόρων, σύν τοίς δυσί γεννήτορσιν, άμωμος θυσία, σοί τώ δι' ημάς θαυμαστώς, τυθέντι ως πρόβατον, Δέσποτα Χριστέ προσηνέχθησαν.

Η τού Πνεύματός σοι χάρις ώσπερ εν είδει, περιστεράς οπτάνεται, ένδοξε Ευνίκη, τού επικειμένου σε, κουφίζουσα κλύδωνος, τών δεινών βασάνων καί θλίψεων.

Επαιρόμενον τώ κράτει τής ασεβείας, τόν αλαζόνα τύραννον, πίστεως τοίς όπλοις, Μάρτυρες πανεύφημοι, καθείλετε ψάλλοντες. Δόξα τή δυνάμει σου Κύριε.

### Θεοτοκίον

Ο θελήματι τά πάντα δημιουργήσας, δημιουργείται θέλων, εξ αγνών σου αιμάτων, σώζων Απειρόγαμε, τούς πίστει κραυγάζοντας. Δόξα τή δυνάμει σου Κυριε.

### Τού Οσίου

### Ελήλυθας, εκ Παρθένου

Σύ Στέφανε, Μοναζοντων εγένου στεφάνωμα, ού λίθον πολύτιμον, αλλ' αρετήν περικείμενος, ώφθης γάρ μακάριε, θεοχαρίτωτον όντως ενδιαίτημα.

Τήν ένθεον, θεοφόρε σοφίαν τετίμηκας, διό τών χαρίτων σε, αύτη στεφάνοις ελάμπρυνε, δόξαν τήν αϊδιον, σοί προξενήσασα Πάτερ παναοίδιμε.

Επόθησας, ολοκλήροις καρδίας κινήμασιν, ορεκτόν τό έσχατον, κόσμου λιπών τήν τερπνότητα, πόθω δέ κατάλληλον, καί τήν απόλαυσιν εύρες Παμμακάριστε.

### Θεοτοκίον

Νεκρώσεως, τόν καρπόν μοι η Εύα προσήγαγε, ζωήν δέ γεννήσασα, τήν ενυπόστατον Πάναγνε, αύθίς με ηνώρθωσας, διό κραυγάζω σοι. Δόξα τή κυήσει σου Δέσποινα.

### Τών Μαρτύρων

Ωδή ε'

Σύ Κύριέ μου φώς

Σέ Κύριε ισχύν, κεκτημένοι οι Μάρτυρες, στρεβλώσεων καί μαστίγων, καί πυρός καί θανάτου, ανδρείως κατετόλμησαν.

Ω παίδες ιεροί, ώ θεόδεκτα σφάγια, ώ σύστημα διαλύσαν, μηχανάς πολυπλοκους, εχθρού τού πολεμήτορος!

Νίκαις τήν κεφαλήν, αθανάτοις κατέστεψαι, νικήσασα τόν τήν Εύαν, εκνικήσαντα όφιν, Ευνίκη καλλιπάρθενε.

Θεοτοκίον

Φώς άχρονον ημίν, τού Πατρός τό απαύγασμα, γεγέννηκας υπό χρόνον, αγαθότητος πλούτω, γενόμενον Πανάμωμε.

Τού Οσίου

Μεσίτης Θεού

Ορμήν τών παθών, απαθείας έρωτι κατέσβεσας θεοφόρε Στέφανε, καί ταίς θεωρίαις καί ταίς πράξεσι, κατελάμπρυνας πάσαν, τήν τής ψυχής κατάστασιν.

Νοϊ καθαρώ, ταίς Γραφαίς ωμιλησας τού Πνεύματος, θεορρήμον Στέφανε, καί τής θεωρίας καί τής πράξεως, συνελέξω τόν πλούτον, θεόφρον Πάτερ Όσιε.

Σοφίας βυθόν, ερευνήσας Στέφανε κατέλαβες, ευρείν όσον χρήσιμον, καί τόν μαργαρίτην τόν πολύτιμον, διά πόνων εκτήσω, παμμάκαρ τόν τής γνώσεως.

Θεοτοκίον

Ιδού εν γαστρί, Θεοτόκε πάναγνε Χριστόν τόν Θεόν, υπέρ λόγον έσχηκας, ως περ Ησαϊας προηγόρευσεν, υπέρ φύσιν δέ τούτον, Θεογεννήτορ τέτοκας.

Τών Μαρτύρων

Ωδή ς'

Θύσω σοι, μετά φωνής

Τείνεσθαι, ανηλεώς προστάττει ό τύραννος, καί τοίς τροχοίς συνδεσμείσθαι, πολυτρόπω βίω τούς Μάρτυρας, αλλ' ησχύνθη, αηττήτους αυτούς θεασάμενος.

Σάρβιλος, Νεονίλλα Φωκάς καί θεόδουλος, Βήλης Ιέραξ Ευνίκη, καί Νιτάς ό θείος σύν Τερεντίω, ως γενναίοι, ευσεβώς ευφημείσθωσαν Μάρτυρες.

Λειμώνι, τής υμών εισιόντες αθλήσεως, οσμής πληρούμεθα θείας, τών υμών αγώνων Μακάριοι, τό δυσώδες, τών παθών εκ ψυχής απορρίπτοντες.

Θεοτοκίον

Η βάτος, προετύπου τό μέγα μυστήριον, τής υπέρ νούν σου λοχείας, τώ πυρί διόλου σπαργανουμένη, καί μηδόλως, καιομένη Παρθένε πανύμνητε.

Τού Οσίου

Εν αβύσσω πταισμάτων

Οικουμένης φωστήρ φαεινότατος, Πάτερ αναδέδειξαι λόγου λαμπρότησι, καταφωτίζων Στέφανε, τούς σοί πίστει καί πόθω προστρέχοντας.

Μακαρίως τόν βίον διήνυσας, μύσας τάς αισθήσεις γάρ έξω γεγένησαι, τής κοσμικής συγχύσεως, καί Θεώ προσωμίλησας Στέφανε.

Ως καλός ως ωραίος ο στέφανος, ώ νύν εστεφάνωσαι πάνσοφε Στέφανε, ταίς αρεταίς στεφόμενος, καί παθών βασιλεύσας πανάριστε.

Θεοτοκίον

Υπέρ φύσιν Παρθένε εκύησας, καί διαιωνίζεις Παρθένος εμφαίνουσα, τής αληθούς θεότητος, τού Υιού καί Θεού σου τά σύμβολα.

Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι ά»βυσσον. Εκ φθοράς ό Θεός με ανάγαγε».

Κοντάκιον τού Οσίου

Ήχος δ'

Ο υψωθείς

Καταφυτεύσας αρετών τόν παράδεισον, καί καταρδεύσας ταίς ροαίς τών δακρύων, ως τής ζωής Πανένδοξε τού ξύλου τυχών, σώσον ικεσίαις σου, εκ φθοράς τήν σήν ποίμνην, ρύσαι περιστάσεως τούς θερμώς σε τιμώντας, σέ γάρ προστάτην μέγιστον Σοφέ, πάντες εν πίστει καί πόθω κεκτήμεθα.

Ο Οίκος

Ως καθαιρέτην τών παθών, καί τύπον ορθού βίου, αλείπτην τε αζύγων, κανόνα Μοναζοντων, και αρετών υπογραμμόν, πάντες συνελθόντες εν τή μνήμη σου Σοφέ, οι φοιτηταί σου κράζομεν. Δόξα τώ σέ αξίως δοξάσαντι, τέρασιν αλήκτοις καί σημείοις φοβεροίς, ουκ εν βίω μόνον, αλλά καί μετά τέλος. Διό εκδυσωπείν Χριστώ, μή ελλίπης, τοίς τιμώσί σε αεί, καταπεμφθήναι λύσιν τών πολλών καί χαλεπών εγκλημάτων, σέ γάρ προστάτην μέγιστον Σοφέ, πάντες εν πίστει καί πόθω κεκτήμεθα.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΗ' τού αυτού μηνός, Μνήμη τών Αγίων Μαρτύρων Τερεντίου καί Νεονίλλης, καί τών τέκνων αυτών, Νιτά, Σαρβίλου, Ιέρακος, Θεοδούλου, Φωκά, Βήλη καί Ευνίκης.

Στίχοι

Σύν επτά τέκνοις η δυάς τών συζύγων
Τιμήν τομήν ηγείτο τήν εκ τού ξίφους.
Δειρήν ογδοάτη γε Τερέντιος εικάδι κάρθη.

Τή αύτή ημέρα, Μνήμη τού Οσίου πατρός ημών Στεφάνου τού Σαββαϊτου, τού καί Επισκόπου γενομένου.

Στίχοι

Επώνυμος Στέφανος ού φορεί στέφους,
Ό πρακτική χείρ αρετής πλέκειν.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Τερεντίου, Αφρικανού, Μαξίμου, Παμπηΐου, καί ετέρων τριάκοντα έξ.

Στίχοι

Τέμνουσι Τερέντιον, δς βλύσας γάλα,
Εδειξε καινόν καί τετμημένος τέρας.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Φιρμιλιανού Επισκόπου Καισαρείας, καί Μελχίωνος σοφιστού, πρεσβυτέρου Αντιοχείας, οίτινες καθείλον Παύλον τόν Σαμοσατέα.

Στίχοι

Ειρηνικώς θνήσκουσιν ειρήνης τέκνα,
Φιρμιλιανός καί σύν αυτώ Μελχίων.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Φεβρωνίας, θυγατρος Ηρακλείου Βασιλέως καί τού Αγίου Ιερομάρτυρος Κυριακού, τού φανερώσαντος τόν τίμιον Σταυρόν επί τής Βασιλείας Κωνσταντίνου τού Μεγάλου καί Ελένης, τής αυτού μητρός.

Στίχοι

Μίξας ελαίω, Κυριακέ παμμάκαρ,
Σόν αίμα σεπτόν, μίγμα καινόν ειργάσω.

Τή αυτή ημέρα, η μήτηρ τού Αγίου Κυριακού Άννα, λαμπάσι φλεχθείσα καί ξεσθείσα, ετελειώθη.

Στίχοι

Φλεχθείσα σάρκα Μάρτυς Άννα λαμπάσιν,
Αειφανής υπήρξε λαμπάς Κυρίου.

Μνήμη τού Οσίου Πατρός ημών, Αθανασίου Πατριάρχου Κωνσταντινουπόλεως τού εν τώ Άθω ασκήσαντος.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τών Μαρτύρων

Ωδή ζ'

Εν τή καμίνω

Εν τή καμίνω, τών αικισμών οι θείοι Μαρτυρες, δρόσον ουρανόθεν εύρον υπομονής, ευχαρίστως αναμέλποντες. Ευλογημένος εί εν τώ ναώ τής δόξης σου Κύριε.

Ερηρεισμένον, τό τής ψυχής έχοντες φρόνημα, πέτρα τής ατρέπτου πίστεως τού Χριστού, τών αθέων τά φρυάγματα, σεισμόν οι Μάρτυρες, δι' ευχής εκτελούντες κατέβαλον.

Αναρτηθέντες, καί τάς πλευράς ευτόνως ξεόμενοι, όξει δριμυτάτω τε καί πυρκαϊά, συμφλεγόμενοι Μακάριοι, πάσαν εφλέξατε, τήν ολώδη απάτην, υμνούντες τόν Κύριον.

Θεοτοκίον

Ο περιβάλλων, τόν ουρανόν εν νεφέλαις Πανάχραντε, άλλον ουρανόν σε έδειξε επί γής, καί εκ σού περιεβάλετο, όλον τόν άνθρωπον, καί θεοί με δι' οίκτον αμέτρητον.

Τού Οσίου

Αντίθεον πρόσταγμα

Μυρίζουσιν Όσιε τών σών δογμάτων, οι λόγοι τή χάριτι, τού Πνεύματος λαμπόμενοι, θεότητα μίαν γάρ σέβων, προσώποις τρισί, Λόγου τε τήν σάρκωσιν υμνών, ευωδιάζεις ημάς πανόλβιε.

Ο βίος τώ λόγω σου συνδραμών Πάτερ, διπλούν σοι τόν στέφανον, παμμάκαρ προεξένησε, σοφίας γάρ όργανον, Πάτερ πανέντιμε, γέγονας τώ Κτίστη σου βοών. Ευλογημένος καί υπερένδοξος.

Ο λόγος σου άλατι διηρτυμένος, ο βίος σου χάριτι Παμμάκαρ λαμπρυνόμενος, εφάνη θεσπέσιε, διό τάς άνω μονάς, ώκησας γηθόμενος Χριστώ, σύν παρρησία νύν παριστάμενος.

Θεοτοκίον

Ιθύνασα πάναγνε τόν εμόν βίον, πρός τόν σόν πανεύδιον λιμένα καθοδήγησον, Θεόν ως κυήσασα, τών αγαθών τήν πηγήν, τοίς πάσι παρέχοντα πιστοίς, τής αφθαρσίας τήν αγαθότητα.

Τών Μαρτύρων

Ωδή η’

Χείρας εκπετάσας

Πυρός κατετόλμησαν φωτί, τού θείου Πνεύματος καταλαμπομενοι, λεβήτων βράσματα, έδειξαν ανενέργητα, τήν ένθεον αναψυχήν εξ ουρανού οι θείοι Μάρτυρες, δεδεγμένοι, ούς επαξίως πιστοί ανυμνήσωμεν.

Αγγέλων επέφανε πληθύς, εν τώ σταδίω φαιδρώς παραθαρρύνουσα, υμάς πανεύφημοι Μάρτυρες, καί τών πόνων υπεξαίρουσα, μεθ' ών τών Παίδων τήν ωδήν ανεκραυγάζετε. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Εγρήγορον έχων πρός Θεόν, τό όμμα Σάρβιλε, τό τής καρδίας σου,

βλεφάρων έφερες κέντησιν, διελέγχων τόν δικάζοντα, τής αθεϊας τή νυκτί περικρατούμενον, όθεν πάντες, σέ ως ημέρας υιόν μακαρίζομεν.

Θεοτοκίον

Πατρός ευδοκία τόν Υιόν, εν μήτρα είληφας επισκιάσαντος, τού θείου Πνεύματος Άχραντε, καί τεκούσα ως πρίν πάναγνος, διαμεμένηκας. πρός όν απαύστως πρέσβευε, λυτρωθήναι, πάντα τόν κόσμον φθοράς καί κολάσεως.

Τού Οσίου

Κάμινος ποτέ

Στέφος ευπρεπές, Χριστός ο ζωοδότης, τή κορυφή σου επιτέθεικε, φερώνυμε Στέφανε, καί γάρ πράξεσι διέπρεψας, καί θεωρίαις έφανας κράζων. Υπερυψούτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Όλην υπερβάς,τήν αίσθησιν παμμάκαρ, νοΐ τώ πρώτω προσωμίλησας, ψυχής καθαρότητι πολιτείας τε σεμνότητι, στεφανηφορε Στέφανε, κράζων. Υπερυψούτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Μάρτυρας Χριστού, θεόφρον ανυμνήσας, καί τών αγίων τά συστήματα, σύν τούτοις εσκήνωσας, ευφροσύνης εμφορουμενος, καί θείας απολαύσεως, κράζων Υπερυψούτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Θεοτοκίον

Νούς ο απαθής, εν μήτρα σου ενούται, τώ ανθρωπίνω, νοΐ Πάναγνε, σαρκός τε παχύτητι, υπό χρόνον δέ εγένετο, αιώνων ο υπέρτερος, όθεν σε Θεοτόκον, πίστει καί πόθω δοξάζομεν.

Ο Ειρμός

«Κάμινος ποτέ, πυρός εν Βαβυλώνι, τάς ενεργείας διεμέριζε, τώ θείω προστάγματι, τούς Χαλδαίους καταφλέγουσα, τούς δέ πιστούς δροσίζουσα ψάλλοντας. Ευ»λογείτε πάντα τά έργα, Κυρίου τόν Κύριον».

Τών Μαρτύρων

Ωδή θ’

Λίθος αχειρότμητος

Παράδεισος ώφθητε μέσον, ζωής τό ξύλον κεκτημένοι, κρήνη τε προχέουσα κρουνούς, τών ιαμάτων καί ποταμός αληθώς, πεπληρωμένοι Άγιοι, θείων ναμάτων τών τού Πνεύματος.

Πυργοι τής Χριστού Εκκλησίας, καί γαληνότατοι λιμένες, τών εν τώ πελάγει τών δεινών, χειμαζομένων Μάρτυρες ώφθητε, καί τής ειρήνης τρόφιμοι, καί τών Αγγέλων ομοδίαιτοι.

Τών αμαραντίνων στεφάνων, επιτυχόντες Αθλοφόροι, καί τού Παραδείσου τό πλάτος, χοροβατούντες πάσης στενώσεως, καί πειρασμών λυτρώσασθε, τούς επί γής υμάς γεραίροντας.

Θεοτοκίον

Η τών ουρανών πλατυτέρα, καί Χερουβίμ αγιωτέρα, πάσης τε τής κτίσεως ομού, τιμιωτέρα Θεόν όν έτεκες, υπέρ ημών ικέτευε, Παρθενομήτορ τών τιμώντων σε.

Τού Οσίου

Ανάρχου Γεννήτορος

Υπέρτιμε Στέφανε, νύν καθαρώς ηδόμενος, καί τρυφής απολαύων τής υπέρ έννοιαν, ένθα τών Αγίων οι δήμοι, περί Θεόν χορεύουσι Μάκαρ, τούς σοί καταφεύγοντας, μεσιτεύων πρός σέ έλκυσον.

Μετέστης γηθόμενος, πρός εφετών ακρότατον, πρός τό μόνον τώ όντι σαφώς μακάριον, πρός τό πανυπέρτατον κάλλος, πρός τήν ζωήν, τήν όντως αγήρω, πρός φώς τό ανέσπερον, θεοφόρε Πάτερ Στέφανε.

Ως ήλιος έλαμψας, εν Μοναστών συστήμασιν, απαλών εξ ονύχων καθιερούμενος, καί ώσπερ ακτίνας εκπέμπων, τάς αρετάς, τής σής πολιτείας, γλυκύτατε Στέφανε, θεοφόρε Πάτερ Όσιε.

Θεοτοκίον

Νοήσαντες πόρρωθεν, προβλεπτικοίς τοίς όμμασιν, οι Προφήταί σε πάντες προανεφώνησαν, ως γενησομένην Μητέρα, τού παντουργού, καί πάντων Δεσπότου, διό σε πανύμνητε, Θεοτόκε μεγαλύνομεν.

Ο Ειρμός

«Ανάρχου Γεννήτορος, Υιός θεός καί Κύριος, σαρκωθείς εκ Παρθένου ημίν επέφανε, τά εσκοτισμένα φωτίσαι, συναγαγείν τά »εσκορπισμένα, διό τήν πανύμνητον, Θεοτόκον μεγαλύνομεν».

Εξαποστειλάριον τών Μαρτύρων

Τοίς Μαθηταίς συνέλθωμεν

Σύν Τερεντίω ήστραψ εν, η σεπτή Νεονίλλα, Νιτάς Φωκάς καί Σάρβιλος, Βήλης τε καί Ίεραξ, Θεόδουλος καί Ευνίκη, τού Χριστού γάρ προθύμως, γενναίως υπερήθλησαν, καί τυράννους καθείλον, οι ευκλεείς, Αθλοφόροι Μάρτυρες ούς τιμώντες, φαιδρώς πανηγυρίζομεν, τήν λαμπράν αυτών μνήμην.

Καί τού Οσίου

Στεφανηφόρε Στέφανε, σύ δεξάμενος ζέσιν, τού Παναγίου Πνεύματος, απερράγης τού κόσμου, τόν σόν σταυρόν άρας Πάτερ, συγκραθείς τώ Χριστώ δέ δι' ακριβούς ασκήσεως, καί αγνής παρθενίας, τών υπέρ νούν, χαρισμάτων Όσιε ήξιώθης, έξ ών πλουτίζεις πάνσοφε, τήν υφήλιον πάσαν.

Θεοτοκίον

Τόν σαρκωθέντα Κύριον, εξ άγνών σου αιμάτων, Παρθενομήτορ Άχραντε, δυσωπούσα μή παύση, υπέρ αχρείων σών δούλων, όπως εύρωμεν χάριν, καί εύκαιρον βοήθειαν, εν ημέρα ή κρίνη, γένος βροτών, ως Θεός παρέχων τά κατ' αξίαν, σέ γάρ προστάτιν άπαντες, έχομεν εν ανάγκαις.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Καί τά λοιπά τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

ΔΟΞΟΛΟΓΙΑ ΕΠΙ ΤΗ ΕΘΝΙΚΗ ΕΟΡΤΗ

Ιερεύς: Ευλογητός ο Θεός ημών, πάντοτε, νύν καί αεί καί εις τούς αιώνας τών αιώνων.

Ήχος α' Τής ερήμου πολίης

Τής Σκέπης σου Παρθένε, ανυμνούμεν τάς χάριτας, ή ω φωτοφόρον νεφέλην, εφαπλοίς υπέρ έννοιαν, και Σκέπεις τόν λαόν σου νοερώς, εκ πάσης τών εχθρών επιβουλής, σε γάρ σκέπην, καί προστάτιν, καί Βοηθόν, κεκήμεθα βοώντές σοι, Δόξα τοίς μεγαλείοις σου Αγνή, δόξα τή θεία σκέπη σου, δόξα τή πρός ημάς σου, προμηθεία, Άχραντε.

Κοντάκιον Ήχος πλ. δ'

Τή υπερμάχω στρατηγώ τά νικητήρια, ως λυτρωθείσα τών δεινών ευχαριστήρια, αναγράφω σοι η Πόλις σου Θεοτόκε, Αλλ' ως έχουσα τό κράτος απροσμάχητον, εκ παντοίων με κινδύνων ελευθέρωσον, ίνα κράζω σοι, Χαίρε νύμφη ανύμφευτε.

καί Δοξολογία

Δόξα σοι τώ δείξαντι το Φώς...

- Ελέησον ημάς, ο Θεός, κατά τό μέγα έλεός σου, δεόμεθά σου, επάκουσον καί ελέησον.
-Have mercy on us, O God, according to Your great love, we pray You, hearken, and have mercy.
- Έτι δεόμεθα υπέρ τών ευσεβών καί Ορθοδόξων Χριστιανών.
-Again we pray for pious and Orthodox Christians.
- Έτι δεόμεθα υπέρ τού Αρχιεπισκόπου ημών __, καί πάσης τής εν Χριστώ ημών αδελφότητος.
-Again we pray for our Archbishop __, and all our brotherhood in Christ.
- Έτι δεόμεθα υπέρ τού ευσεβούς ημών Έθνους καί πάσης Αρχής καί εξουσίας εν αυτώ, τού κατά ξηράν, θάλασσαν και αέρα φιλοχρίστου ημών Στρατού, και υπέρ τού Κύριον τον Θεόν ημών επί πλέον συνεργήσαι καί κατευοδώσαι αυτούς εν πάσιν,
-Again we pray for this country, those in authority, all those in public service, and for our Christ loving forces on land, sea and air, and that the Lord our God would assist and accompany them in all.
- Έτι δεόμεθα υπέρ μακαρίας μνήμης καί αιωνίου αναπαύσεως πάντων τών υπέρ τής Πίστεως καί τής Πατρίδος ημών ηρωϊκώς αγωνισαμένων καί ενδόξως πεσόντων εν τοίς ιεροίς τού Έθνους ημών αγώσι, πάλαι τε καί επ'

εσχάτων, καί υπέρ τού συγχρωρηθήναι αυτοίς πάν πλημμέλημα εκούσιόν τε καί ακούσιον.
-Again, let us pray the blessed memory and eternal repose of all those involved in the heroic struggles for the faith and our Homeland and who have gloriously fallen in the sacred national struggles, those of old and of late, and for the forgiveness of all their sins and transgressions both voluntary and involuntary.

-Again, let us pray for the blessed memory and eternal repose of the souls of the servants of God: Hellenes and Phil-hellenes who heroically fought and have fallen asleep for the liberation of Greece, for whom this prayer is offered and for the forgiveness of their sins and transgressions both voluntary and involuntary.

- Έτι δεόμεθα υπέρ τού διαφυλαχθήναι τήν αγίαν Εκκλησίαν καί τήν πόλιν ταύτην, καί πάσαν πόλιν και χώραν από οργής, λοιμού, λιμού, σεισμού, καταποντισμού, πυρός, μαχαίρας, επιδρομής αλλοφύλων, εμφιλίου πολέμου, καί αιφνιδίου θανάτου, υπέρ τον ίλεων, ευμενή καί ευδιάλακτον, γενέσθαι τόν αγαθόν και φιλάνθρωπον Θεόν ημών, τού αποστρέψαι καί, διασκεδάσαι πάσαν οργήν και νόσον, τήν καθ' ημών κινουμένην, καί ρύσασθαι ημάς εκ τής επικειμένης δικαίας αυτού απειλής, καί ελέησαι ημάς.
-Again we pray for the safekeeping of this holy church and this city, and of all cities and towns from pestilence, famine, earthquake, flood, fire and the sword, from invasion of enemies, civil war, and unforeseen death; for His mercy, that He will be kind to entreat as our good God, Who loves mankind and that He may turn away and scatter all wrath and disease that moves against us, and deliver us from His impending, justified chastisement, and have mercy on us.
- Έτι δεόμεθα καί υπέρ τού εισακούσαι Κύριον τόν Θεόν φωνής τής δεήσεως ημών τών αμαρτωλών, και ελέησαι ημάς.
-Again we pray that the Lord God will hear the voice of the petitions of us sinners and have mercy on us.
- Επάκουσον ημών, ο Θεός, ο Σωτήρ ημών, η ελπίς πάντων τών περάτων τής γής καί τών εν θαλάσση μακράν, καί ίλεως, ίλεως γενού ημίν, Δέσποτα επί ταίς αμαρτίαις ημών, καί ελέησον ημάς.
-Hear us, O God, our Saviour, the hope of all the ends of the earth, and of those who are far off upon the sea; and show compassion on us, O Master, on our many sins, and have mercy upon us.
-Τού Κυριαυ δεηθώμεν.

Ευχαριστούμέν σοι, Κύριε ο Θεός ημών, ότι καί αύθις επί τήν εύσημον ταύτην ημέραν ήγαγες ημάς, επινίκιον ωδήν σοι αναμέλψαι τώ ευεργέτη καί σωτήρι ημών, Ιδού γάρ οι Άρχοντες ημών καί πάσα συναγωγή λαού επί ταυτό συναχθέντες ανάμνησιν επιτελούμεν έργου θαυμαστού καί μεγάλου, ό η δεξιά σου ειργάσατο εν ταίς ημέραις ημών, εις ένδειξιν, ότι ημέρα Κυρίου επί πάντα υβριστήν καί υπερήφανον καί ημέρα πτώσεως επί πάντα υψηλόν καί μετέωρον, τούς γάρ ενδόξους συνετάραξας μετά ισχύος καί τούς υψηλούς τή

ύβρει συνέτριψας μετά δυνάμεως, Διά τούτο, Κύριε, σήμερον τής αινέσεώς σου πλήρης ημών πάσα η γή καί εν ευγνωμοσύνη καί αγαλλιάσει βοώμέν σοι, Τάς οδούς σου, Κύριε, γνώρισον ημίν καί τάς τρίβους σου δίδαξον ημάς, νομοθέτησον ημάς εν τή όδώ σου καί οδήγησον πάντας, τούς Άρχοντας καί τόν Λαόν, επί τήν αλήθειάν σου, ότι πολλοί κυκλόθεν οι εχθροί ημών καί μακάριος ο λαός, ού εστι βοηθός Κύριος ο Θεός αυτού, Έτι δέ καί υπέρ τών ψυχών τών μαρτύρων αδελφών ημών δεόμεθά σου, τών τε εν πολέμω πεσόντων, τών τε αναιρεθέντων καί τών εν αιχμαλωσία καί εξορία τελειωθέντων, ίνα αυλισθώσιν εν αγαθοίς καί αναπαύσωνται μετά δικαίων καί ίνα τά οστά αυτών ως βοτάνη ανατείλη, όπως άν οί τε ζώντες καί οι επ' ελπίδι αναστάσεως κεκοιμημένοι ευχαριστήριον αίνον καί δοξολογίαν σοι αναπέμπωμεν τώ κραταιώ Βασιλεί τών αιώνων εις τούς αιώνας. Αμήν.

Απόλυσις

---

Αρχή

## ΤΗ ΚΘ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής Αγίας Οσιομάρτυρος Αναστασίας τής Ρωμαίας, καί τού Οσίου Πατρός ημών Αβραμίου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τών Αγίων.

Προσόμοια τής Οσιομάρτυρος

Ήχος δ'
Ως γενναίον εν Μάρτυσι

Τάς στρεβλώσεις τού σώματος, καί μαστών τήν αφαίρεσιν, καί χειρών υπήνεγκας καρτερώτατα, τήν τε οδόντων εκρίζωσιν, πλευρών τήν κατάφλεξιν, τών ποδών τήν εκκοπήν, καί τόν άδικον θάνατον, όθεν είληφας, τούς στεφάνους τής νίκης ουρανίοις, εν θαλάμοις κατοικούσα, Αναστασία πολύαθλε.

Παρθενίας κειμήλιον, κεκλεισμένος Παράδεισος, ιερόν ανάθημα, θείον τέμενος, νύμφη Χριστού πανακήρατε, καί έμψυχον άγαλμα, ασκουσών υπογραμμός, τών Μαρτύρων αγλάϊσμα, κρήνη βρύουσα, ποταμούς ιαμάτων ανεδείχθης, τοίς τελούσί σου τήν μνήμην, Αναστασία πανεύφημε.

Τών Μαρτύρων αγλάϊσμα, τών Παρθένων απάνθισμα, τών Οσίων μέγιστον εγκαλλώπισμα, Αναστασίαν πολύαθλον, τής Ρώμης τό καύχημα, καί τερπνότατον Θεού, καί αμώμητον σφάγιον, τήν ακράδαντον, ευσεβείας κρηπίδα, δεύτε πάντες, ανυμνήσωμεν προθύμως, περιφανώς εναθλήσασαν.

Προσόμοια τού Οσίου

Ήχος πλ. δ’
Ω τού παραδόξου θαύματος
Πάτερ θεόφρον Αβράμιε, τού Αβραάμ μιμητής, χρηματίσας εν πνευματι, μετανάστης γέγονας, τής πατρίδος μακάριε, σαρκός Ορέξεις απαρνησάμενος, καί εν οικίσκω σμικρώ τό σώμά σου, κλείσας μακάριε, τόν νούν ανεπτέρωσας, πρός ουρανόν, ένθα τό πολίτευμα, σαφώς εκέκτησο.

Όσιε Πάτερ Αβράμιε, αβραμιαίαν ψυχήν, φερωνύμως κτησάμενος, πειρασμούς υπήνεγκας, θεία πίστει ρωννύμενος, καί δι' αγάπης Θεώ ενούμενος, επαγγελίας τήν γήν κεκλήρωσαι, ωραϊζόμενος, αρετών λαμπρότησιν, όθεν τήν σήν, μνήμην ευφραινόμενοι, πανηγυρίζομεν.

Όσιε Πάτερ Αβράμιε, τήν ταίς απάταις δεινώς, υπαχθείσαν τού όφεως, καί κατολισθήσασαν, απωλείας πρός βάραθρον, δι' επινοίας θείας ανείλκυσας, καί σωζομένην Θεώ παρέστησας, ής την μετάνοιαν, πάντες κατεπλάγησαν, οι ευσεβώς, κυριον δοξάζοντες, τόν υπεράγαθον.

Δόξα… Καί νύν… Θεοτοκίον
Πώς σου τήν χάριν υμνήσαιμι, καί τήν πολλήν πρός εμέ, τόν ανάξιον δούλόν σου, καθ' εκάστην πρόνοιαν, ήν σαφώς επιδείκνυσαι; πώς δέ σου φράσω τήν αγαθότητα, καί τήν ποικίλην όντως κυβέρνησιν; σύ ούν καί έτι νύν, εις αεί μου πρόστηθι, παντός κακού, ζώντα καί θανόντα με, εκλυτρουμένη Σεμνή.

Η Σταυροθεοτοκίον
Ω τού παραδόξου θαύματος! ώ μυστηρίου καινού! ώ φρικτής εγχειρήσεως! η Παρθένος έλεγεν, εν Σταυρώ θεωρούσά σε, εν μέσω δύο ληστών κρεμάμενον, όν ανωδίνως φρικτώς εκύησεν. Έκλαιε κράζουσα. Οίμοι Τέκνον φίλτατον! πώς σε δεινός, δήμος καί αχάριστος Σταυρώ προσήλωσεν.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Απολυτίκιον τής Μάρτυρος
Ήχος δ’ Κατεπλάγη Ιωσήφ
Η αμνάς σου Ιησού, κράζει μεγάλη τη φωνή, Σέ Νυμφίε μου ποθώ, καί σέ ζητούσα αθλώ, καί συσταυρούμαι, καί συνθάπτομαι τώ βαπτισμώ σου, καί πάσχω διά σέ, ως βασιλεύσω σύν σοί, καί θνήσκω υπέρ σού, ίνα καί ζήσω εν σοί, αλλ’ ως θυσίαν άμωμον, προσδέχου τήν μετά πόθου τυθείσάν σοι. Αυτής πρεσβείαις, ως ελεήμων, σώσον τάς ψυχάς ημών.

Καί τού Οσίου
Ήχος πλ. δ'
Εν σοί Πάτερ ακριβώς διεσώθη τό κατ' εικόνα, λαβών γάρ τόν σταυρόν, ηκολούθησας τώ Χριστώ, καί πράττων εδίδασκες, υπερoράν μέν σαρκός, παρέρχεται γάρ επιμελείσθαι δέ ψυχής, πράγματος αθανάτου, διό καί μετά Αγγέλων συναγάλλεται, Όσιε Αβράμιε τό πνεύμά σου.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, αναγινώσκονται οι Κανόνες, είς τής Οκτωήχου, καί τών Αγίων οι δύο παρόντες.

Ο Κανών τής Αγίας, ού η Ακροστιχίς.

Τούς ανδρικούς σου, Μάρτυς, ευφημώ πονους. Ιωσήφ.

Ωδή α'  Ήχος πλ.δ'
Άσωμεν τώ Κυρίω

Ταύτην τήν φωτοφορον, μνήμην σου γεραίροντι Θεόνυμφε, φωτισμόν μοι παράσχου, τής ψυχής μου τό σκότος διώκουσα.

Όλην από σπαργάνων, σεαυτήν ανέθηκας τώ Κτίστη σου, καί πυρί εγκρατείας, τά τού σώματος πάθη κατέφλεξας.

Ύψος πρός μαρτυρίου, Μάρτυς ανηνέχθης αφειδήσασα, τής σαρκός καί θαλάμων, νοητών ως παρθένος ηξίωσαι.

Θεοτοκίον

Σέ τήν ουρανομήκη, κλίμακα εν ή Θεός επεστήρικτο, τούς βροτούς ουρανίους, εργαζόμενος Κόρη γεραίρομεν.

Ο Κανών τού Οσίου, ού η Ακροστιχίς.

Τόν σόν γεραίρω παμφαή βίον μάκαρ. Ιωσήφ.

Ωδή α'  Ήχος ό αυτός
Υγράν διοδεύσας

Ταίς θείαις λαμπόμενος αστραπαίς, τούς τήν φωτοφόρον, εκτελούντάς σου εορτήν, παθών αμαυρότητος παμμάκαρ, ταίς προσευχαίς σου Αβράμιε λύτρωσαι.

Ο θείος ανάψας σου τήν ψυχήν, Αβράμιε πόθος, εναπέσβεσε τής σαρκός, τούς έρωτας Πάτερ καί αϋλως, επί τής γής σε βιώναι εποίησεν.

Νεκρώσας τά μέλη τά επί γής, νηστεία καί πάσαις, κακουχίαις Πάτερ σοφέ, ζωής ηξιώθης τής αμείνω, εν ούρανοίς θεοφόρε Αβράμιε.

Θεοτοκίον

Σαρκός εξ αιμάτων σου ιερών, Θεού Πατρός Λόγος, εσαρκώθη υπερφυώς, παρθένε Μαρία, όν δυσώπει, τά τής σαρκός μου νεκρώσαι φρονήματα.

Τής Αγίας

Ωδή γ'

Σύ ειτό στερέωμα

Ιστασο πρό βήματος, τυραννικού Χριστόν ένδοξε, τόν ποιητήν, πάντων καί Δεσπότην, Θεόν Λόγον κηρύττουσα.

Κάλλος τό εγκάρδιον, τή ορατή μορφή Ένδοξε, διαδοθέν, σέ ωραιοτάτην, τοίς ορώσιν υπέφαινεν.

Όλβον αναφαίρετον, τών ιαμάτων σοι δίδωσι, Κορη Χριστός, ού Αναστασία, τήν πτωχείαν ηγάπησας.

Θεοτοκίον

Ύλην τών πταισμάτων μου, σών πρεσβειών πυρί σύμφλεξον, Μήτηρ Θεού, δροσον μοι τήν θείαν, τής αφέσεως φέρουσα.

Τού Οσίου

Ουρανίας αψίδος

Ολοτρόπως ποθήσας, τών ορεκτών έσχατον, κόσμου καί σαρκός θεοφόρε, έξω γεγένησαι, όθεν απείληφας, τήν υπερκόσμιον δόξαν, καί θείαν απόλαυσιν, Πάτερ Αβράμιε.

Ναός ζών ανεδείχθης, τού παντουργού Πνεύματος, πάτερ εν οικίσκω τό σώμα, συγκλείσας Όσιε, όθεν απήστραψας, τών αρετών λαμπηδόνας, ιερώς κοσμούμενος, Πάτερ, Αβράμιε.

Γεωργία τών πόνων, τών αρετών ώριμον, Όσιε εξήνθησας στάχυν, Πάτερ Αβράμιε, ώ διατρέφονται, μιμητικώς οι τήν θείαν, καί σεπτήν σου κοίμησιν πανηγυρίζοντες.

Θεοτοκίον

Επί σοί Παναγία, ο τού παντός αίτιος, δι' υπερβολήν ευσπλαγχνίας, θέλων εσκήνωσε, καί καθηγίασε, τήν τών ανθρώπων ουσίαν, παραβάσει πρότερον εξολισθήσασαν.

Ο Ειρμός

«Ουρανίας αψίδος, οροφουργέ Κύριε, καί τής Εκκλησίας δομήτορ, σύ με στερέωσον, εν τή αγάπη τή σή, τών εφετών η ακρότης, τών πιστών τό στήριγμα, μόνε φιλάνθρωπε».

Κάθισμα τής Αγίας

Ήχος α'

Τόν τάφον σου Σωτήρ

Εκ βρεφους τώ Θεώ, ανετέθης Οσία, νεκρώσασα σαρκός, εγκρατεία τά πάθη, εις ύψος δ' ανέδραμες, μαρτυρίου περίδοξον, εναθλήσασα, Αναστασία νομίμως, καί τον δράκοντα, καταβαλούσα εις χάος, δυνάμει τού Πνεύματος.

Δόξα... Τού Οσίου

Τόν πάλαι Αβραάμ, εκμιμούμενος, Πάτερ, εμάκρυνας σαυτόν, συγγενών κατά σάρκα, πειθόμενος Αβράμιε, τώ καλούντι Θεώ ημών, όθεν ήσκησας, καί τήν

ψυχήν λαμπροτέραν, εναπέδειξας, τών τού ηλίου ακτίνων, θεόφρον πανόλβιε.

Καί νύν... Θεοτοκίον

Τήν βάτον ήν Μωσής, ακατάφλεκτον είδε, τό όρος τού Θεού, τήν αγίαν νεφέλην, σκηνήν τήν αμόλυντον, τήν θεόδεκτον τράπεζαν, τό παλάτιον, τού υψηλού Βασιλέως, τήν ολόφωτον, καί αδιόδευτον πύλην, Παρθένον υμνούμέν σε.

Η Σταυροθεοτοκίον

Υμνώ σου τον Σταυρόν, προσκυνώ καί τά πάθη, δοξάζω καί τήν σήν, αγαθοτητα Τέκνον, εκών γάρ καθυπέμεινας, επονείδιστον θάνατον. Τί τό ξένον σου, καί φρικωδέστατον Σώτερ, τής αφράστου σου, οικονομίας τό βάθος; η Μήτηρ εβόα σοι.

## Τής Αγίας

### Ωδή δ'

Εισακήκοα Κύριε

Σέ ζυγόν ελαφρότατον, Μάρτυς τήν βαστάσασαν εκ νεότητος, σιδηρούν κλοιόν βαστάζειν σε, οι παρανομούντες κατεδίκασαν.

Σταλαγμοί τών αιμάτων σου, τής πολυθεϊας έσβεσαν άνθρακας, ο πυρσός δέ τών θαυμάτων σου, τών παθών τήν ύλην απετέφρωσεν.

Ουκ εγύμνωσε χάριτος, σωμά σου γυμνώσας ο πονηροτατος, υφαντόν δέ μάλλον άνωθεν, αρραγή χιτώνα προεξένει σοι.

Υπέρ γήν αιρομένης σου, πύρ επί τά στέρνα Μάρτυς εφήπτετο, υπεξάπτον σου τόν έρωτα, τόν προς τόν Δεσπότην καλλιπάρθενε.

Θεοτοκίον

Μετά τόκον διέμεινας, άφθορος Παρθένε ως πρό γεννήσεως, νέον βρέφος γάρ εκύησας, τόν πρό τών αιώνων γνωριζόμενον.

## Τού Οσίου

### Ο αυτός Ειρμός

Ρείθροις Πάτερ δακρύων σου, ψυχικάς κηλίδας απονιψάμενος, θείον γέγονας τού Πνεύματος, καί σεπτόν παμμάκαρ καταγώγιον.

Αγρυπνίαν παννύχιον, προσευχήν αέναον απροσπάθειαν, καί αγάπην ανυπόκριτον, καί τελείαν πίστιν Πάτερ ήσκησας.

Ιατρεύειν νοσήματα, καί αποδιώκειν Όσιε πνεύματα, χάριν είληφας Αβράμιε, ως Θεού θεράπων αληθέστατος.

Θεοτοκίον

Ραθυμία κρατούμενον, καί τή αμαρτία με βυθιζόμενον, τή πρεσβεία σου διάσωσον, Θεοτόκε Μήτηρ αειπάρθενε.

Τής Αγίας

Ωδή ε'

Ορθρίζοντες βοώμέν σοι

Ανάλωτος πυρί, τώ ενύλω εδείχθης Μάρτυς, πύρ γάρ σε εγκάρδιον, θείας αγάπης εδρόσιζε.

Ραπίσματι τό πρόσωπον Μάρτυς ωραιωθείσα, εχθρών απερρύπωσας, δυσειδεστάτων τά πρόσωπα.

Ταθείσα επί ξύλου θεόφρον Αναστασία, πόθω τού νυμφίου σου, τό θείον πάθος εικόνιζες.

Θεοτοκίον

Υμνούμέν σε πανύμνητε Δέσποινα Θεοτόκε, Θεόν υπερύμνητον, σαρκί ασπόρως κυήσασαν.

Τού Οσίου

Ίνα τί με απώσω

Ως κατάκαρπον κλήμα, βότρυας εξήνθησας Πάτερ Αβράμιε, αρετών ενθέων, κατανύξεως οίνον πηγάζοντας, τών παθών τήν μέθην, εκ τών ψυχών αποσοβούντα, καί καρδίας πιστών κατευφραίνοντα.

Πειρασμούς σοι ποικίλους, όφις ο παμπόνηρος Πάτερ εξήγειρεν, αλλ’ αυτός τώ όπλω, τού Σταυρού θεοφόρε ενέκρωσας, καί τής νίκης στέφος, παρά Θεού δικαία ψήφω, εκομίσω θεόφρον Αβράμιε.

Αγιώτατος οίκος, Πάτερ θείου Πνεύματος πίστει γενόμενος, εδομήσω οίκον, ιερόν καί πανίερον σύστημα, ανιέρου πλάνης, μεταβαλών ταίς νουθεσίαις, τώ τών όλων Θεώ καθιέρωσας.

Θεοτοκίον

Μητροπάρθενε Κορη, θείω φωτιζόμενοι Πνεύματι πάναγνε, ιεροί Προφήται, ιεραίς εν φωναίς σε προήγγειλαν, εξ ής Θεός Λόγος, υπέρ αιτίαν τε καί λόγον, εσαρκώθη δι' οίκτον αμέτρητον.

Τής Αγίας

Ωδή ς'

Χιτώνά μοι παράσχου

Στρεβλούμενον τό σώμα αικισμοίς, εδήλου τό όρθιον, σής προαιρέσεως, πρός θεόν Αναστασία πανεύφημε.

Εκρέμασο μετέωρος πληγάς, Μάρτυς οποφέρουσα, άπληγον σώζουσα, τής ψυχής τό ευγενές αξιάγαστε.

Υπήνεγκας μαζών τήν εκκοπήν, πιστούς διατρέφουσα, γάλακτι Ένδοξε, τής μιμήσεως τής σής εμφανέστατα.

Θεοτοκίον

Φιλάνθρωπον κυήσασα Θεόν, φιλάγαθε Δέσποινα, αυτόν ικέτευε, τής γεέννης τού πυρός λυτρωθήναί με.

Τού Οσίου

Τήν δέησιν εκχεώ

Φωστήρά σε οι εν σκότει τής πλάνης, απλανώς καθοδηγούντα ευρόντες, πρός τάς οδούς, τής ζωής θεοφόρε, τής αγνωσίας τό σκότος απέλιπον, γενόμενοι φωτοειδείς, διά πίστεως θείας Αβράμιε.

Αγρύπνως εξευμενίσας τό θείον, επιπέμψαι φωτισμόν σωτηρίας, τοίς εν νυκτί, τής ειδωλομανίας, κατασχεθείσι θεόφρον Αβράμιε, ανέδειξας πάντας υιούς, καί φωτός καί ημέρας εν χάριτι.

Η συχως σου τήν ζωήν εκτελέσας, τάς εν βίω τρικυμίας Παμμάκαρ, τή πρός Θεόν, πεποιθήσει παρήλθες, καί γαληνούς πρός λιμένας κατήντησας, Αβράμιε τής ουρανών, βασιλείας καί θείας λαμπρότητος.

Θεοτοκίον

Βαρούμενον νυσταγμώ ραθυμίας, διανάστησον τή σή μεσιτεία, Μήτηρ Θεού, καί μή δώης υπνώσαι, τής αμαρτίας Παρθένε εις θάνατον, προστάτιν γάρ καί οδηγόν, τής εμής σε ζωής επιγράφομαι.

Ο Ειρμός

«Τήν δέησιν εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών η ψυχή μου »επλήσθη, καί η ζωή μου τώ Άδη προσήγγισε, καί δέομαι ως Ιωνάς. Εκ φθοράς ο Θεός με ανάγαγε».

Κοντάκιον τής Οσιομάρτυρος

Ήχος γ'

Η Παρθένος σήμερον

Παρθενίας νάμασι, καθηγνισμένη οσία, μαρτυρίου αίμασιν, Αναστασία πλυθείσα, παρέχεις τοίς εν ανάγκαις τών νοσημάτων, ίασιν καί σωτηρίαν τοίς προσιούσιν, εκ καρδίας, ισχύν γάρ νέμει, Χριστός ο βρύων, χάριν αέναον.

Τού Οσίου όμοιον

Εν σαρκί ως Άγγελος, επί τής γής ανεφάνης, καί ασκήσας γέγονας, πεφυτευμένον ως ξύλον, ύδατι τής εγκρατείας καλώς αυξήσας, ρεύματι τών σών δακρύων ρύπον εκπλύνας, διά τούτο ανεδείχθης, δοχείον θείου, Αβράμιε Πνεύματος.

Ο Οίκος

Τά φθαρτά παριδών, τήν αφθαρσίαν είληφας, τάς τερπνάς ηδονάς τού σώματος εμίσησας σοφέ από βρέφους, ποθήσας αγνείαν, όθεν θαλάμου καί

κόσμου απέδρασας, συζύγου τε εύκλειαν, καί τών γονέων εξέκλινας, μόνου Θεού σοφέ τόν έρωτα επιποθήσας, καί άγαπήσας εξ όλης, Πάτερ τής ψυχής, καί διανοίας αληθώς, διά τούτο νεδείχθης,δοχείον θείου, Αβράμιε Πνεύματος.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΘ’ τού αυτού μηνός, Μνήμη τής Αγίας Οσιομάρτυρος Αναστασίας τής Ρωμαίας.

Στίχοι

Κάρας τομήν ήνεγκε ρώμη καρδίας,
Βλάστημα Ρώμης, Μάρτυς Αναστασία.
Τλή δέ Αναστασίη ενάτη ξίφος εικάδι οξύ.

Τή αυτή ημέρα, Μνήμη του Οσίου Πατρός ημών Αβραμίου, καί Μαρίας τής ανεψιάς αυτού.

Στίχοι

Σαρκός νεκρώσας Αβράμιε πάν μέλος,
Θανών συνοικείς τοίς ασάρκοις Αγγέλοις.
Αφείσα σαρκός τούς εραστάς Μαρ ία,
Ψυχών εραστή μυστικώς περιπλέκη.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Κυρίλλου.

Στίχοι

Υπόσχεσιν μέλλοντος ούσάν μοι στέφους,
Κύριλλος οίδα τήν απειλήν τού ξίφους.

Τή αυτή ημέρα, ο Άγιος Σάββας ο Στρατηλάτης ένθεν κακείθεν κεντηθείς, τελειούται.

Στίχοι

Σάββας κατ' άμφω κλήσεως μέρη Σάββας,
Όθεν κατ' άμφω νύττεται λόγχαις μέρη.

Τή αυτή ημέρα, Μνήμη τής οσίας Μητρός ημών Άννης, τής μετονομασθείσης Ευφημιανός.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος Μελιτηνής.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ταίς Αγίαις

Ωδή ζ'

Παίδες Εβραίων

Ήχος φωνής εορταζόντων, ένθα πέφυκε χορεύεις, Αθληφόρε, σύν παρθένων χοροίς, τώ Κτίστη μελωδούσα. Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Μέλη συνθλώμενα ορώσα, καί ονύχων σπαραγμόν προσκαρτερούσα, ανηνέχθης Χριστώ, θυσία μελωδούσα.  Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Ώφθης ως άμπελος θεόφρον, χείρας πόδας τε ως κλάδους τεμνομένη, καί ημίν νοητώς, τόν οίνον γεωργούσα, καρδίας τόν ευφραίνοντα, καί παθών ωθούντα μέθην.

Πύρ αισθητόν ουκ επτοήθης, νεανίας τρείς τούς πάλαι μιμουμένη, θείαν δρόσον καί γάρ, εδέξω μελω δούσα. Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Θεοτοκίον

Όλον τόν άνθρωπον φορέσας, ο υπέρθεος δίχα τής αμαρτίας, εκ γαστρός σου Αγνή, προήλθε σαρκοφόρος όν εκδυσώπει πίστει σε, τούς τιμώντας διασώσαι.

Τού Οσίου

Ο αυτός

Ίνα τής άνω βασιλείας, επιτύχης καί τής δόξης τής αρρήτου, πατουμένης Σοφέ, καί φθειρομένης δόξης, ως νουνεχής καί φρόνιμος, κατεφρόνησας εμφρόνως.

Ότε ο λύκος ο πανούργος, τήν αμνάδα σου εσπάραξε δολίως, τότε τούτου Σοφέ, τάς μύλας διαθλάσας, ταύτην ποιμήν ως άριστος, πρός ζωήν επανηγάγου.

Νόμοις υπείκων τού Δεσπότου, τό πλανώμενον εζήτησας καί εύρες, καί τοίς ώμοις τοίς σοίς, αράμενος Παμμάκαρ, οία ποιμήν εισήγαγες, μετανοίας εν τή μάνδρα.

Θεοτοκίον

Μόνη τόν ένα τής Τριάδος, απεγέννησας εν δύο ταίς ουσίαις, υποστάσει μιά, ορώμενον Παρθένε, ώ μελωδούμεν Πάναγνε, ασιγήτως εις αιώνας.

Τής Αγίας

Ωδή η’

Επταπλασίως κάμινον

Νεανικώς ηρίστευσας, Αθληφόρε πανεύφημε, καί κατά τής πλάνης, ανεστήσω τρόπαια, χειρών στερουμένη γάρ, καί τών ποδών υπέφερες, καί τομής μαστών, καί εκριζώσεως Μάρτυς, ηνέσχου τών οδόντων, εν χαρά μελωδούσα. Λαός υπερυψούτε, Χριστόν εις τους αιώνας.

Ολολαμπής ως ήλιος, παρθενίας λαμπρότησι, καί τής μαρτυρίας, καλλοναίς εξήστραψας, καί κόσμον εφώτισας, ταίς φωτοβόλοις λάμψεσι, σού

Αναστασία, τής πολλής καρτερίας, προθύμως εκβοώσα. Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Υλομανούσαν πάθεσι, τήν ψυχήν μου θεόνυμφε, καί αμαυρουμένην, προσβολαίς τού όφεως, ταίς σαίς παρακλήσεσιν, εκ τών δεινών καθάρισον, καί φωτιστική, επισκιάσει σου Μάρτυς, καταύγασον βοώντα. Ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Σέ τήν Αγνήν καί άμωμον, η Παρθένος ποθήσασα, άμωμον καί σώμα, καί ψυχήν ετήρησε, παθών υπεκκαύματα, υπομονή τεφρώσασα, πείράν τε πολλών, υπενεγκούσα βασάνων, καί νύν επουρανίοις, εν θαλάμοις χορεύει, σύν σοί ευφραινομένη, εις πάντας τούς αιώνας.

Τού Οσίου

Νικηταί τυράννου

Απωλείας βόθρω, τήν αγνήν συνώθησε περιστεράν σου, ο κακούργος όφις, αλλ’ αυτήν ανήγαγες Πάτερ πανσόφως, Ευλογείτε μέλπων, τά έργα τόν Κύριον.

Καί εν βίω Πάτερ, περιων Αβράμιε καί μετά τέλος, ιατρός νοσούντων, ανεδείχθης Πνεύματος χάριτι θεία. Ευλογείτε μέλπων, τά έργα τόν Κύριον.

Ακακία Πάτερ, εν δικαιοσύνη τε καί σωφροσύνη, πίστει διαλάμψας, τοίς, Αγγέλοις Όσιε συνηριθμήθης. Ευλογείτε μέλπων, τά έργα τόν Κύριον.

Θεοτοκίον

Ρείθρου ζώντος ώφθης, πανάγιον σκήνωμα εξ ού πιόντες, οι θανατωθέντες, τήν ζωήν κληρούμεθα αναβοώντες. Ευλογείτε πάντα, τά εργατόν Κύριον.

Ο Ειρμός

«Νικηταί τυράννου καί φλογός, τής χάριτός σου γεγονότες, οι τών εντολών σου, σφόδρα αντεχόμενοι, Παίδες εβόων. Ευλογείτε πάντα, τά έργα τόν Κύριον».

Τής Αγίας

Ωδή θ'

Εξέστη επί τούτω

Ικρίω ανηρτήθης Λόγου Θεού, εικονίζουσα πάθος σωτήριον, καί εκκοπήν, ήνεγκας χειρών σου καί τών ποδών, οδόντων τήν εκρίζωσιν, γλώσσης τήν αφαίρεσιν καί μαστών, αγνή Αναστασία, Μοναζουσών τό κλέος, καί τών Μαρτύρων εγκαλλώπισμα.

Ως νύμφη ωραϊσθης καλλοποιώ, αρμοσθείσα νυμφίω παθήμασι, καλλοποιοίς, ένδον τε θαλάμων φωτοειδών, ως εκλεκτή εσκήνωσας, φέρουσα λαμπάδα περθενικήν, καί νύν συμβασιλεύεις, τώ ζώντι εις αιώνας, Αναστασία

διαλάμπουσα.

Σταλάζουσιν οι πόνοι σου γλυκασμόν, αμαρτίας πικρίαν εξαίροντες, η δέ σορός, βρύει ιαμάτων τούς ποταμούς, καί κατακλύζει πάντοτε, πάθη καί νοσήματα χαλεπά, εις δόξαν τού Σωτήρος, σεμνή Αναστασία, τού επαξίως σε δοξάσαντος.

Ηρίστευσαν γυναίκες τώ σώ Σταυρώ, κρατυνθείσαι Χριστέ παντοδύναμε, καί τού εχθρού, κάραν πολυμήχανον ανδρικώς, Λόγε Θεού συνέθλασαν, καί τού Παραδείσου χαρμονικώς, τήν οίκησιν λαχούσαι, Θεώσεως μετέσχον, επιτηδείως ανυμνούσαί σε.

Θεοτοκίον

Φορέσαντά σε σάρκα εκ γυναικός, ως επέγνω η Μάρτυς σου Κύριε, παρθενικαίς, κατηγλαϊσμένη μαρμαρυγαίς, καί μαρτυρίου αίματι, περιηνθισμένη σοι τώ Χριστώ, Οπίσω τής Μητρός σου ενδόξως προσηνέχθη, ως βασιλεύοντι τής κτίσεως.

Τού Οσίου

Κυρίως Θεοτόκον

Ιδείν κατηξιώθης, Πάτερ θεοφόρε, τά δι' ελπίδος σοι πάλαι ποθούμενα, ά οφθαλμός ού κατείδε, καί ούς ουκ ήκουσεν.

Ωραίος απεφάνθης, θείαις αγλαΐαις, τών αρετών διαλάμπων Αβράμιε, καί τώ τών όλων Δεσπότη χαίρων παρίστασαι.

Συνήφθης ταίς χορείαις, πάντων τών Οσίων, καί σύν αυτοίς τής Θεώσεως Όσιε, επιτυχών ικετεύεις, εις τό σωθήναι ημάς.

Ημέραν ευφροσύνης, άγει χαρμοσυνως, τής ιεράς σου ώ Πάτερ κοιμήσεως, η Εκκλησία, τιμώσα τήν πολιτείαν σου.

Θεοτοκίον

Φιλάγαθε Παρθένε, τήν κεκακωμένην, τή αμαρτία ψυχήν μου αγάθυνον, καί αγαθών αιωνίων, μέτοχον ποίησον.

Ο Ειρμός

«Κυρίως Θεοτόκον, σέ ομολογούμεν, οι διά σού σεσωσμένοι Παρθένε αγνή, σύν ασωμάτοις χορείαις, σέ μεγαλύνοντες».

Εξαποστειλάριον

Τής Οσιομάρτυρος

Ο ουρανόν τοίς άστροις

Μοναζουσών τό κλέος, καί ωραιότης Μαρτύρων, Αναστασία σύ ώφθης, εν παρθενία ασκούσα, καί καρτερώς εναθλούσα, υπέρ Χριστού τής αγάπης.

Τού Οσίου

Τοίς Μαθηταίς συνέλθωμεν

Ως ελυτρώσω Όσιε, τώ Θεώ καί Σωτήρι, εκ πλάνης κακοδαίμονος, σύστημα δυσσεβούντων, Αβράμιε θεοφόρε, καί τήν πάλαι πεσούσαν, εις απωλείας βάραθρον, καί ημάς ταίς ευχαίς σου, ρύσαι πολλών, πειρασμών καί θλίψεων καί κινδύνων, τούς πόθω εκτελούντάς σου, τήν σεβάσμιον μνήμην.

Θεοτοκίον

Θεοφανής Παράδεισος, ώφθης έχουσα μέσον, ξύλον ζωής τόν Κύριον, άχραντε Θεοτόκε, εξ ού φαγόντες ούκ έτι, αποθνήσκομεν όλως, αλλά ζωήν αμείνονα, διά σού ζώμεν πάντες, τό τού Σταυρού, όπλον περιφέροντες καί νικώντες, τόν αποστάτην τύραννον, σέ υμνούντες Παρθένε.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου. Καί τά λοιπά τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Λ’ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Ιερομάρτυρος Ζηνοβίου καί Ζηνοβίας τής αδελφής αυτού.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ’
Ως γενναίον εν Μάρτυσιν

Μαρτυρίου εν αίματι, τήν στολήν σου Ζηνόβιε, επιχρώσας ένδοξε απετέλεσας, ιερωτέραν εν χάριτι, μεθ' ής εισελήλυθας, ως σοφός Αρχιερεύς, τών Αγίων εις Αγία, θύμα άμωμον, διά σέ τώ τυθέντι καί τελεία, προσφορά καθαρωτάτη, ανενεχθείς Ιερώτατε.

Ξεομένου τού σώματος, τής ψυχής σου τό ένδοθεν, κάλλος διεδείκνυτο αξιάγαστε, Ιερομάρτυς λαμπρότερον, θεόφρον Ζηνόβιε, ιερέων καλλονή, Αθλοφόρων τό καύχη μα, τών θαυμάτων τε, η αέναος βρύσις τών πνευμάτων, ακαθάρτων ό διώκτης, καί βραβευτής τών ψυχών ημών.

Συναθλείν σοι προήρηται, αδελφά συμφρονούσά σοι, Ζηνοβία πάνσοφε η ομαίμων σου, τά τών λεβήτων γάρ βράσματα, ανδρείως υπήνεγκε, τού πυρός τήν απειλήν, καί τόν βίαιον θάνατον, όθεν έτυχε, μετά σού τών στεφάνων τών τής νίκης, καί τής άνω βασιλείας, Ιερομύστα Ζηνόβιε.

Δόξα… Ήχος πλ. δ’
Ιωάννου Μοναχού, οι δέ τού
Στουδίτου

Ασματικήν χορείαν κροτήσωμεν σήμερον, ώ φιλομάρτυρες, επί τή μνήμη τών πανευσεβών Αθλητών, Ζηνοβίου καί Ζηνοβίας, ούτοι γάρ τής Τριάδος γεγόνασιν υπέρμαχοι, καί εν σταδίω ανδρείως, τόν αόρατον εχθρόν, εν τώ

σεπτώ αυτών αίματι απέπνιξαν, καί τόν τής νίκης στέφανον ενδόξως εκομίσαντο, διό πρός αυτούς αναβοήσωμεν. Ζεύγος άγιον Κυρίω, ευλογημένη δυάς καί πεφωτισμένη, τόν Σωτήρα πρέσβευε, υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

Τριήμερος ανέστης

Αντίληψις καί σκέπη μου, υπάρχεις πανσμώμητε, Θεοτοκε, σέ γάρ έχω βοηθόν, εν θλίψεσι καί νόσοις, καί ταίς στενοχωρίαις, καί σέ δοξάζω τήν αμώμητον.

Η Σταυροθεοτοκίον

Εν ξύλω τήν ζωήν ημών, ορώσα ή πανάμωμος Θεοτόκος, κρεμαμένην μητρικώς, ώδύρετο βοώσα. Υιέ μου καί Θεέ μου, σώσον τούς πόθω ανυμνούντάς σε.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, έγονται οι Κανόνες της Οκτωήχου, καί τών Αγίων ο παρών.

Ποίημα Ιωσήφ

Ωδή α'  Ήχος πλ. δ'

Άσμα αναπέμψωμεν

Θρόνω παρισταμενος Θεού, ως ιερεύς ευπρόσδεκτος, καί μάρτυς άριστος, Ζηνόβιε τρισμάκαρ, τούς πόθω τιμώντάς σου, μνήμην τήν φωτοφόρον, τών τού βίου λύτρωσαι σκανδάλων.

Αίγλη φωτιζόμενος Σοφέ, τής τρισηλίου λάμψεως, σκότος διέλυσας, Ελλήνων δυσφημίας, καί φέγγει τών λογων σου, πάντα καταφωτίσας, νύν μετέβης πρός άδυτον φέγγος.

Άνθραξ δεδειγμένος νοητός, πυρί προσαναπτόμενος, τού θείου Πνεύματος, απάντων τάς καρδίας, υφήψας πρός έρωτα, θείον Ιερομύστα, καί τήν πλάνην κατέφλεξας πάσαν.

Θεοτοκίον

Χαίροις ο πανάγιος ναός, ο πόκος ό θεόδροσος, εσφραγισμένη πηγή, τού αθανάτου ρείθρου, τήν ποίμνην σου Δέσποινα, φύλαττε εκ παντοίων, πολεμίων απολιορκήτως.

Ωδή γ'

Τόν φόβον σου Κύριε

Τώ μύρω τής χρίσεως τού Πνεύματος, κεχρισμένος Ζηνόβιε, ιεράτευσας ως Άγγελος, Μαρτύρων επί τέλει, κοσμηθείς στεφάνω.

Ψυχών επιμέλειαν δεξάμενος, γεωργία θείου Πνεύματος, καρποφόρους

ταύτας έδειξας, διό τής τού Κυρίου, χαράς ηξιώθης.

Ομαίμων σοι σύμφρων αναδέδεικται, Ζηνοβία ώ Ζηνόβιε, συναθλείν γάρ σοι προήρηται, καί σοί συναπολαύειν, τής ενθέου δόξης.

Θεοτοκίον

Τριάδος τόν ένα απεκύησας, τό ανθρώπινον φορέσαντα, Παναγία Μητροπάρθενε, όν αίτησαι σωθήναι, τούς σέ ανυμνούντας.

Ο Ειρμός

«Τόν φόβον σου Κύριε εμφύτευσον, εν ταίς καρδίαις τών δούλων σου, καί γενού ημίν στερέωμα, τοίς σέ εν αληθεία, επικαλουμένοις».

Κάθισμα Ήχος πλ. δ’

Τήν Σοφίαν

Τήν σοφήν ξυνωρίδα τών Αθλητών, ευφημήσωμεν πίστει μαρτυρικώς, Ζηνόβιον άπαντες, τόν αήττητον Μάρτυρα, Ζηνοβίαν ωσαύτως, τό ζεύγος τό τίμιον, ως κρατήρας θεία, προχέοντας νάματα, όθεν αενάως, καθ' εκάστην αντλούμεν, πιστώς τά ιάματα, ευσεβώς ανακράζοντες. Αθλοφόροι πανεύφημοι, πρεσβεύσατε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην υμών.

Δόξα… Καί νύν… Θεοτοκίον

Ασθενεία βαρεία.. περιπεσών, καί δεινώς εν τοίς πόνοις κατακαμφθείς, ου φέρω τόν καύσωνα, τής δεινής ραθυμίας μου, αλλ’ ο ειδώς εκάστου, Σωτήρ τήν ασθένειαν, καί ως Πατήρ παιδεύων, τούς γνώμη σοι πταίσαντας, σύ με ανάστησον, δυνατός γάρ υπάρχεις, ιάσθαι νοσήματα, καί ψυχής καί τού σώματος, ίνα πάντοτε κράζω σοι. Μεγάλα σου τά έργα Σωτήρ, φοβερά τε όντως τά θαυμάσια, καί γάρ πιστούς λυτρούσαι, λιταίς τής τεκούσης σε.

Η Σταυροθεοτοκίον

Εν τώ ξύλω ορώσα τώ σταυρικώ, η πανάμωμος Μήτηρ τόν Λυτρωτήν, εθρήνει δακρύουσα, καί πικρώς απεφθέγγετο καί συνοχή καρδίας, τάς κόμας εσπάραττε, καί πρός αυτόν εβόα. Υιέ μου καί Κύριε, πώς σε τών Εβραίων, ανομώματος δήμος, αδίκως προσπήγνυσι, τώ Σταυρώ αναμάρτητε; πώς καί θέλων υφίστασαι, όξος καί τήν τρήσιν τής πλευράς, χολήν τε, οίμοι! καί ήλους μακρόθυμε; αλλά δόξα σου Σώτερ, τοίς θείοις παθήμασι.

Ωδή δ’

Επέβης εφ' ίππους

Υψόθεν εφάνης, άθλοις σεπτοίς ωραιότατος, καί εδέξω στεφάνους τής νίκης σοφέ, καί αιωνίου έτυχες αγαλλιάσεως, διό σε ευφημούμεν, Μάρτυς ιεράρχα Ζηνόβιε.

Τόν ξύλω ταθέντα, εθελουσίως μιμούμενος, ανηρτήθης εξέσθης Ζηνόβιε, καί τής φθοράς Μακάριε καί τής νεκρώσεως, απεδύθης τό πάχος, άφθαρτον στολήν ενδυσάμενος.

Ευχή σου εδραία, τά τών δαιμόνων ιδρύματα, κατεβλήθη ναοί δέ ερράγησαν,

αρραγεστάτη πίστει σου αφανιζόμενοι, ώ Ζηνόβιε Μάκαρ, Ιερομαρτύρων τό καυχημα.

Θεοτοκίον

Τώ ξένω σου τόκω, τούς εκ Θεού ξενιτεύσαντας, εν αυτώ ωκείωσας Πανύμνητε, μεγαλοφώνως όθεν σε, πίστει δοξάζομεν, καί κραυγάζομεν. Χαίρε, πάντων γηγενών τό διάσωσμα.

Ωδή ε'

Ίνα τί με απώσω

Η τού θήλεος φύσις, Πνεύματι νενεύρωται θείω καί ήσχυνε, τόν τήν Εύαν πάλαι, τήν προμήτορα εξαπατήσαντα, καί τής θείας δόξης, εν ουρανοίς κατηξιώθη, Ζηνοβία τοίς άθλοις εκλάμπουσα.

Ομβροτόκος νεφέλη, γέγονεν η γλώσσά σου ως υετίζουσα, ευσεβείας όμβρους, καί πιστών τάς καρδίας αρδεύουσα, καί πρός ευκαρπίαν, τάς διανοίας οδηγούσα, εναρέτων Ζηνόβιε πράξεων.

Παρθενίας ακτίσι τής φιληδονίας τό σκότος εμείωσας, καί φωτί τών άθλων, αθεΐας τήν νύκτα ηφάνισας, Ζηνοβία Μάρτυς, τού Ιησού ωραία νύμφη, καταγώγιον θείον τού Πνεύματος.

Θεοτοκίον

Αμαρτίας βαρέα, πάντοτε περίκειμαι φορτία Άχραντε, καί βοώ σοι. Τούτων, μεσιτεία, τή σή με ελάφρυνον, σύ γάρ ει προστάτις, αμαρτωλών δεδοξασμένη, Λυτρωτήν καί Σωτήρα κυήσασα.

Ωδή ς'

Τήν δέησιν εκχεώ

Η δέησις τής ενθέου ψυχής σου, προσεδέχθη ως θυμίαμα Πάτερ, εις γάρ οσμήν, ευωδίας παμμάκαρ, τών παθημάτων Ζηνόβιε έσπευσας, τού λάμψαντος εκ γυναικός, καί τήν συμπασαν κτίσιν φωτίσαντος.

Τώ αίματι τής αθλήσεως Μάρτυς, καθηγίασας τήν γήν, τό δέ πνεύμα, εν ουρανοίς ανελθόν πρωτοτόκων, τήν Εκκλησίαν ενθέως εφαίδρυνε, Ζηνόβιε Ιεραρχών, καί Μαρτύρων περίβλεπτον καύχημα.

Εστένωσας τήν ασέβειαν Μάκαρ, πλατυσμώ τής αληθούς ευσεβείας, καί τάς οδούς, τάς εις ταύτην φερούσας, τοίς πλανωμένοις λαοίς καθυπέδειξας, καί έσωσας τούς χαλεπώς, θαλαττεύοντας πλάνης τοίς ύδασιν.

Θεοτοκίον

Ωραίωσον τήν ψυχήν μου Παρθένε, αμορφία τών παθών κρατουμένην, καί λογισμοίς, αληθούς μετανοίας, τήν ταπεινήν μου καρδίαν οχύρωσον, καί σώσόν με τόν επί σοί, αδιστάκτως Αγνή καταφεύγοντα.

Ο Ειρμός

«Την δέησιν εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών, η ψυχή μου επλήσθη, καί η ζωή μου τώ Άδη προσήγγισε, καί δέομαι

ως, Ιωνάς. Εκ φθοράς ο Θεός με ανάγαγε».

Κοντάκιον Ήχος πλ. δ'
Ως απαρχάς

Τούς αληθείας Μάρτυρας, καί ευσεβείας κήρυκας, τών αδελφών τήν δυάδα τιμήσωμεν, εν θεοπνεύστοις άσμασι, τόν Ζηνόβιον άμα τή σεπτή Ζηνοβία, ομού βιώσαντας, καί διά μαρτυρίου τευξαμένους στέφος άφθαρτον.

Ο Οίκος

Τόν γενναίον καί μέγαν Ζηνόβιον, εν ασμάτων ωδαίς ευφημήσωμεν, καί σύν αυτώ τήν παρθένον καί άσπιλον Ζηνοβίαν, υπάρχει γάρ σύναθλος. Ούτοι καθείλον εχθρού φρυάγματα, τήν δέ πίστιν Χριστού κατετράνωσαν. διό περιφανώς εκομίσαντο, ουρανόθεν αξίως παρά Θεού, στέφος άφθαρτον.

Σ υ ν α ξ α ρ ι ο ν

Τή Λ' τού αυτού μηνός, Μνήμη τών Αγίων Μαρτύρων Ζηνοβίου καί Ζηνοβίας τών αύταδέλφων.

Στίχοι

Συγκαρτερεί σοι Ζηνόβιε τό ξίφος,
Η καρτερόφρων, κάν γυνή, Ζηνοβία.
Τμήθη Ζηνοβίη καί αδελφεός εν τριακοστή.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Ιερομάρτυρος Μαρκιανού, Επισκόπου Συρακούσης, μαθητού τού Αγίου Αποστόλου Πέτρου.

Στίχοι

Χριστού τόν ευνουν Μαρκιανόν οικέτην,
Διά βρόχου κτείνουσιν οι Χριστοκτόνοι.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Αλεξάνδρου, Κρονίωνος, Ιουλιανού, Μακαρίου, καί ετέρων δέκα καί τριών.

Στίχοι

Σύν Αλεξάνδρω τής τιτάνου τό ζέον,
Φέρει Κρονίων, υιόν ου σέβων Κρόνου.
Ιουλιανός καί Μακάριος ξίφει,
Ζωήν εφεύρον τήν μακαριωτάτην.
Ου πύρ αναφθέν, ου ξίφος θηχθέν, Λόγε,
Δίς πέντε καί τρείς άνδρας εκ σού χωρίσει.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος Ευτροπίας.

Στίχοι

Τήν Ευτροπίαν οία νύμφην λαμπάδες,
Προύπεμπον οίκω τού νοητού Νυμφίου.

Τή αυτή ημέρα., Μνήμη τού Αγίου Αποστόλου Κλεόπα καί τού Οσίου Πατρός ημών Ιωσήφ, Πατριάρχου Κωνσταντινουπόλεως, καί τών Αγίων Μαρτύρων, Αστερίου, Κλαυδίου, Νέωνος, καί τής αδελφής αυτών Νεονίλλης.

Στίχοι

Κλαύδιος, Αστέριος, αλλά καί Νέων, Άθλω ξίφους ώφθησαν αστέρες νέοι.
Επί ξύλου ταθείσα η Νεονίλλα,
Ξύλου παλαιάν εξερεύγεται βλαδην.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Αποστόλων εκ τών Εβδομήκοντα, Τερτίου, Μάρκου, Ιούστου καί Αρτεμά.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ’

Παίδες Εβραίων

Ρείθροις αιμάτων κατέσβεσας, παναοίδιμε τό πύρ τής ασεβείας, τών θαυμάτων ημάς, εκάστοτε δροσίζεις, τώ νιφετώ Ζηνόβιε, τούς εν πίστει σε υμνούντας.

Θείον εις γνόφον υπεισδύσας, τόν αθέατον ως θέμις εθεάσω, τήν ψυχήν καί τόν νούν, φωτίζοντά σου Μάκαρ, ευσεβοφρόνως μέλποντα, Ο Θεός ευλογητός εί.

Μάρτυς ομαίμων συμφρονούσα, καί τά όσια συμπράττουσά σοι πόθω, τής εκείθεν χαράς, σύν σοί καταξιούται, Ιερουργέ Ζηνόβιε, μεθ' ής πίστει σε τιμώμεν.

Θεοτοκίον

Τόπος Παρθένε ανεδείχθης, αγιάσματος εξ ού Θεός εφάνη, αγιάζων ημάς, τούς πίστει μελωδούντας. Ευλογημένος πάναγνε, ο καρπός τής σής κοιλίας.

Ωδή η'

Οι θεορρήμονες Παίδες

Ουκ εδειλίασας ξίφος Ιεράρχα, ούκ επτοήθης κινδύνους, ού κατεπλάγης τόν θάνατον, αθανάτου σε δόξης, δεικνύοντα μέτοχον.

Ιερουργός μυστηρίων ανεδείχθης, καί σεαυτόν ιερεύσας, θύμα ευώδες γεγένησαι, καί τής άνω τραπέζης, Ζηνόβιε άξιον.

Θαυματουργίαις εκλάμπων Ιεράρχα, μαρτυρικάς λαμπηδόνας, περιφανώς εναπήστραψας, καί τόν ζόφον τής πλάνης, εις τέλος εμείωσας.

Θεοτοκίον

Τόν αγεώργητον βότρυν συλλαβούσα, αναπηγάζοντα οίνον, Παρθενομήτορ αφέσεως, τών παθών με τής μέθης, απάλλαξον δέομαι.

Ο Ειρμός

«Οι θεορρήμονες Παίδες εν τή καμίνω, σύν τώ πυρί καί τήν φλόγα, καταπατούντες υπέψαλλον. Ευλογείτε τά έργα Κυρίου τόν Κύριον».

Ωδή θ’

Έφριξε πάσα ακοή

Ίστατο πρό δικαστικών, Παναοίδιμε βημάτων τήν σάρκωσιν, διαπρυσίω φωνή, ανακηρύττων τού Παντοκράτορος, καί τά παθήματα αυτού, σταυρόν τε καί θάνατον, καί τήν ανάστασιν, δι' ής έσωσεν ημάς ως φιλάνθρωπος.

Ω θαύμα πώς μετά σαρκός, τούς ασάρκους δυσμενείς ετροπώσατο! πώς καταβέβληκε, οι ασθενείας τόν πολυμήχανον! πώς ουρανίοις λειτουργοίς, συνήφθη ό γήϊνος, αγωνισάμενος, ο Ζηνόβιος, όν νύν μακαρίζομεν.

Σώματα Μάρτυρες σεπτοί, αικισμοίς παντοδαποίς παρεδώκατε, προσαποβλέποντες, τήν δι' αιώνος μακαριότητα, αδελφική γάρ τή στοργή, αλλήλοις συνδούμενοι, μαρτυρικαίς καλλοναίς, ελαμπρύνθητε, διό μακαρίζεσθε.

Η μνήμη σήμερον υμών, φωταυγία λαμπομένη τού Πνεύματος, πάσιν επέλαμψε, θαυμάτων χάριν εναπαστράπτουσα, καί ιαμάτων ποταμούς, πηγάζει εκάστοτε, ήν εορτάζοντες, μακαρίζομεν υμάς Χριστομάρτυρες.

Θεοτοκίον

Φώτισον πύλη τού φωτός, τής καρδίας μου τά όμματα δέομαι, μακράν ελαύνουσα, τής αμαρτίας σκότος βαθύτατον, εκ τής αθλίας μου ψυχής, ίνα μεγαλύνω σε, ϊνα δοξάζω σε, ϊνα πόθω σε υμνώ τήν πανύμνητον.

Ο Ειρμός

«Έφριξε πάσα ακοή, τήν απόρρητον Θεού συγκατάβασιν, όπως ο Ύψιστος, εκών κατήλθε μέχρι καί σώματος, Παρθενικής από γαστρός, γενόμενος άνθρωπος, διό τήν Άχραντον, Θεοτόκον οι πιστοί μεγαλύνομεν».

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Φοινίξας ερυθρότερον, τήν ιεράν σου αίματι, στολήν Ζηνόβιε Μάκαρ, Χριστώ παρίστασαι χαίρων, ως Ιεράρχης ένθεος, υπέρ ημών δεόμενος, μετά τής σής ομαίμονος, τής ιεράς καί Παρθένου, καί Μάρτυρος Ζηνοβίας.

Θεοτοκίον

Σέ κιβωτόν καί τράπεζαν, Προφήται προηγόρευσαν, στάμνον καί ράβδον καί όρος, καί τόμον εγγεγραμμένον, παλάτιον καί κλίμακα, καί γέφυραν μετάγουσαν, εις ύψος θείας γνώσεως, ημείς δέ σέ Θεοτοκον, αξίως ανευφημούμεν.

Εις τόν Στίχον, τά Στιχηρά τής Οκτωήχου.

Καί τά λοιπά τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΛΑ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Αποστόλων Στάχυος, Απελλού, Αμπλία, Ουρβανού, Αριστοβούλου καί Ναρκίσσου, καί τού Αγίου Μάρτυρος Επιμάχου.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τρία τών Αποστόλων.

Ήχος α'
Πανεύφημοι Μάρτυρες υμάς

Εις πάσαν εξέδραμε τήν γήν υμών ο σωτήριος, φθόγγος Κυρίου Απόστολοι φέγγει τής χάριτος, καταυγάζων πάντων τάς καρδίας ένδοξοι, καί λύων τής απάτης τήν ζόφωσιν, διό πρεσβεύσατε, δωρηθήναι ταίς ψυχαίς ημών τήν ειρήνην, καί τό μέγα έλεος.

Στάχυς ο πανόλβιος Χριστού, κήρυξ καί Απόστολος, καί Απελλής ο θαυμάσιος καί Αριστόβουλος, Ουρβανός, Αμπλίας καί ο θείος Νάρκισσος, Τριάδα παναγίαν κηρύξαντες έθνη εφώτισαν καί δουλείας ελυτρώσαντο, ούς εν πίστει πάντες μακαρίσωμεν.

Φωστήρες υπέρλαμπροι Χριστού, σκεύη καθαρώτατα, όλην τήν αίγλην τού Πνεύματος πίστει χωρήσαντες, Εκκλησίας στύλοι, ουρανοί περίδοξοι, τήν δόξαν τού Θεού διηγούμενοι, αυτώ πρεσβεύσατε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Καί τρία τού Μάρτυρος

Ήχος ο αυτός
Τών ούρανίων ταγμάτων

Τών ούρανίων τά κάλλη, ποθήσας ένδοξε, τήν τών προσκαίρων δόξαν, εις ουδέν ελογίσω, διό καί ισαγγέλως εν τή σαρκί, βιοτεύων ως άσαρκος τάς πολθτρόπους κολάσεις τών διωκτών, καρτερώς φέρεις Επίμαχε.

Εν ουρανίαις παστάσι, χορεύων ένδοξε, καί εντρυφών τή δόξη τού τών όλων Δεσπότου, Επίμαχε τρισμάκαρ δυσώπει αυτόν, υπέρ ημών τών τιμώντων σε, ίνα τρυφής αιωνίου καί τής χαράς σύν Αγγέλοις απολαύσωμεν.

Φωστήρ λαμπρότατος ώφθης Μάρτυς Επίμαχε τοίς εν τώ σκότει φαίνων καί αγνοίας τώ ζόφω τους πάλαι Κρατουμένους, φωτίσας ταίς σαίς, ιεραίς παραινέσεσι, καί εναθλήσας νομίμως υπέρ Χριστού νίκης στέφανον απείληφας.

Δόξα… Καί νύν... Θεοτοκίον

Μεταβολήν μοι τού βίου, Παρθένε χάρισαι, από τών εμπαθών μου, μεταφέρουσα τρόπων, πρός θείας απαθείας νεύσιν ομού καί οικείωσιν άρρητον πένθος χαρμόσυνον βρύειν μου τήν ψυχήν, αενάως μοι παρέχουσα.

Η Σταυροθεοτοκίον

Υπέρ ημών ο Υιός σου, παθείν ηνέσχετο, ίνα τώ τούτου πάθει, την απάθειαν

πάσι, παράσχη Θεοτόκε, όθεν αυτόν, καθικέτευε πάντοτε, παθών παντοίων με ρύσασθαι καί ψυχής, καί τού σώματος πρεσβείαις σου.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωηχου.

Απολυτίκιον τών Αποστολων
Ήχος γ’

Απόστολοι Άγιοι, πρεσβεύσατε τώ ελεήμονι Θεώ ίνα πταισμάτων άφεσιν, παράσχη ταίς ψυχάς ημών.

Καί τού Μάρτυρος
Ήχος δ’ Ταχύ προκατάλαβε

Ο Μάρτυς σου, Κύριε, εν τή αθλήσει αυτού, τό στέφος εκομίσατο τής αφθαρσίας, εκ σού τού Θεού ημών, έχων γάρ τήν ισχύν σου, τούς τυράννους καθείλεν, έθραυσε καί δαιμόνων, τά ανίσχυρα θράση. Αυτού ταίς ικεσίαις, Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν Συνήθη Στιχολογίαν, αναγινώσκονται οι Κανόνες, εις τής Οκτωήχου, καί τών Αγίων οι δύο παρόντες.

Ο Κανων τών Αποστόλων, ού η Ακροστιχίς.

Πιστώς επαινώ τούς Θεού υπηρέτας. Ιωσήφ.

Ωδή α' Ήχος α'
Σού η τροπαιούχος

Πίστει τους γεραίροντας υμών, τό ιερόν θεηγόροι μνημόσυνον, καί πανηγυρίζοντας, χαρμονικώς παθών αχλύος ρύσασθε, καί τής αιωνίου, χαράς μετόχους εργάσασθε.

Ίχνεσιν επόμενοι Χριστού, τού σαρκωθέντος δι' οίκτον Πανόλβιοι, τούτου τε προστάξεσι, θεαρχικαίς
καθυπουργούντες ώφθητε, πάντων πλανωμένων, καθηγηταί πρός ευσέβειαν.

Στάχυν καί Αμπλίαν τόν σοφόν, καί Ουρβανόν Απελλήν τε καί Νάρκισσον, καί τόν Αριστόβουλον, τούς τού Χριστού Μαθητάς χρηματίσαντας, πίστει συνελθόντες, χρεωστικώς μακαρίσωμεν.

Θεοτοκίον

Τό περιφανές όρος Θεού, τήν κιβωτόν τήν Αγίαν καί Τράπεζαν, στάμνον τε τήν πάγχρυσον, τό καθαρόν τού Κυρίου παλάτιον, τήν ευλογημένην, εν γυναιξί μακαρίσωμεν.

Ο Κανων τού Μάρτυρος, ποίημα καί ούτος τού αυτού Ιωσήφ.

Ωδή α'  Ήχος δ'

Άσομαί σοι Κύριε

Ταίς θείαις λαμπρότησιν Αθλοφορε, τούς τήν φωσφόρον καί σεπτήν, τελούντάς σου πανήγυριν, φωτίζεσθαι ικέτευε, Επίμαχε μακάριε.

Χαίρων προσεχώρησας ταίς βασανοις, μή πτοηθείς τών διωκτών, τά θράση πανόλβιε, αλλ έρωτι τού Κτίστου σου, ευφραίνου αναιρούμενος.

Έστης επί βήματος Αθλοφόρε, τή πανοπλία τού Σταυρού, φραττόμενος όλος, γενναίω φρονή ματι.
μεγαλύνων τόν Κύριον.

Θεοτοκίον

Άσομαί σοι Κύριε ο Θεός μου, ότι ασπόρως εκ γαστρός, Παρθένου ετέχθης, δι' ής καί σώζεις άπαντας, ως μόνος πολυέλεος.

τών Αποστόλων

Ωδή γ'

Ο μόνος ειδώς

Ως στάχυς πολύφορος σοφέ, ωράθης λόγω γνώσεως, τούς τώ λιμώ τακέντας τής πίστεως, εκτρέφων Στάχυ θεομακάριστε, καί τροφής τής κρείττονος, κοινωνούς εν χάριτι, εργαζόμενος σθένει τού Πνεύματος.

Σαγήνη τή γλώττη ευφυώς, χρησάμενος ηλίευσας, εκ τού βυθού τής πλάνης Απόστολε, καί προσηγάγου θείον οψώνιον, τώ ελθόντι Νάρκισσε, σώσαι τό πλανώμενον, Βασιλεί καί Δεσπότη τής κτίσεως.

Επέδραμες οιά περ αστήρ, Εώας εξορμώμενος, καί Βρεττανίας πόλεις επέφθασας, Χριστού κηρύττων τό Ευαγγέλιον, καί φωτίζων χάριτι, μάκαρ Αριστόβουλε, τούς πιστώς δεχομένους τόν λόγον σου.

Θεοτοκίον

Παστάς φωτοφόρος τού Χριστού, καί θρόνος υψηλότατος, Θεογεννήτορ ώφθης Πανάμωμε, εν σοί γάρ μόνος αναπαυσάμενος, τούς ημών αφείλετο, κόπους καί τήν μέλλουσαν, τοίς αξίοις ηυτρέπισεν άνεσιν.

Τού Μάρτυρος

Τόξον δυνατών

Θράσος ασεβών ημαύρωσεν, εν τή παντευχία,τού Σταυρού εγκαυχώμενος, τροπαιούχος καί στεφανίτης, τού Χριστού Μάρτυς Επίμαχος.

Δόξαν παριδών τήν πρόσκαιρον, καί πρός τούς αγώνας, αποδυσάμενος, έχαιρες γενναιόφρων ως στρατιώτης, τού Χριστού Μάρτυς Επίμαχε.

Σώμα αικισμοίς παρέδωκας, τήν ψυχήν δέ Μάρτυς, ασφαλώς διετήρησας, θύμα άμωμον τώ Δεσπότη, σεαυτόν προσάξας πάντιμον.

Θεοτοκίον

Χαίροις μήτηρ απειρόγαμε, η Θεόν Λόγον, εν γαστρί σου χωρήσασα, καί τεκούσα σεσαρκωμένον, ως Θεόν ομού καί άνθρωπον.

Ο Ειρμός

«Τόξον δυνατών ησθένησε, καί οι ασθενούντες, περιεζώσαντο, δύναμιν, διά τούτο εστερεώθη, εν Κυρίω η καρδία μου».

Κάθισμα τών Αποστόλων

Ήχος α'

Τόν τάφον σου Σωτήρ

Εις άπασαν τήν γήν, ο σοφός ομών φθόγγος, εξήλθεν αληθώς, τού Κυρίου αυτόπται, Απόστολοι ένδοξοι, ουρβανέ σύν Αμπλία τε, Αριστόβουλε, καί Απελλή σύν Ναρκίσσω, μετά Στάχυος, υπέρ υμών τόν Σωτήρα, απαύστως πρεσβεύσατε.

Δόξα... Τού Μάρτυρος

Ήχος δ'

Ταχύ προκατάλαβε

Ταίς θείαις λαμπρότησι καλλωπιζόμενος, τό σκότος εμείωσας, τής αθεϊας σοφέ, αθλήσας δι' αίματος, όθεν τήν παναγίαν, καί φωσφόρον σου μνήμην, πίστει επιτελούντες, εξαιτούμεθα πάντες, λαβείν θείον έλεος, Μάρτυς Επίμαχε.

Καί νύν... Θεοτοκίον

Αγνή παναμώμητε, καί απειρόγαμε, η μόνη τόν άχρονον, Υιόν καί Λόγον Θεού, εν χρόνω κυήσασα, τούτον σύν τοίς αγίοις, καί σεπτοίς Πατριάρχαις, Μάρτυσι καί Οσίοις καί Προφήταις δυσώπει, δωρήσασθαι ημίν, ιλασμόν καί μέγα έλεος.

Η Σταυροθεοτοκίον

Παρθένε πανάμωμε, Μήτηρ Χριστού τού Θεού, ρομφαία διήλθέ σου, τήν παναγίαν ψυχήν, ηνίκα σταυρούμενον, έβλεψας εκουσίως τόν Υιόν καί Θεόν σου, όν περ ευλογημένη, δυσωπούσα μή παύση, συγχώρησιν πταισμάτων ημίν δωρή σασθαι.

Τών Αποστόλων

Ωδή δ'

Όρος σε τή χάριτι

Αστράψας εν γή, δικαιοσύνης ο Ήλιος, ώς περ ακτίνας μυστικάς, προσεπαφήκεν εμφανώς, Στάχυν τε καί Νάρκισσον, καί Ουρβανόν Αμπλίαν καί Αριστόβουλον, καί Απελλήν τούς εν σκότει φωτίζοντας.

Ισχύϊ τού θείου, δυναμούμενος Πνευματος, τούς κατοικούντας, Οδησσόν, υιούς απέδειξας φωτός, Αμπλία Απόστολε, επιτελών θαυμάτων έργα παράδοξα, καί καταργών τών δαιμόνων τάς φάλαγγας.

Ναμάτων ενθέων, πεπλησμένος εξέδραμες, καθάπερ ρεύμα Ουρβανέ, σωτηριώδες τά πικρά, καί άποτα νάματα, αποσοβών καί καταρδεύων εν χάριτι, τών ευσεβούντων παμμάκαρ τό πλήρωμα.

Θεοτοκίον

Ωράθης Αγγέλων, υπερέχουσα Δέσποινα, τόν γάρ εκείνοις φοβερόν, ανερμηνεύτως εν γαστρί, χωρήσαι ηξίωσαι, καί εν χειρί βαστάσαι καθάπερ νήπιον, τών ημερών τε καί χρόνων επέκεινα.

Τού Μάρτυρος

Τούς ουρανούς η αρετή σου

Τής τών αθέων μή φροντίσας αθεότητος, πρός τους αγώνας θαρσαλέως παρετάξατο, ο ευκλεής Επίμαχος, Δόξα σοι κραυγάζων φιλάνθρωπε.

Τή ελπίδι τών μελλόντων αγαθών νευρούμενος, τών αλγηδόνων ανδρείως κατεφρόνησεν, αναβοών Επίμαχος. Δόξα τή δυνάμει σου Κύριε.

Τών επιγείων καταπτύσας τήν λαμπρότητα, διά θανάτου βασιλείαν εκληρώσατο, ο θαυμαστός Επίμαχος, δόξαν αναπέμπων τώ ζώντι Θεώ.

Θεοτοκίον

Χερουβικών ταγμάτων υπερέχουσα, καί θεόν εν αγκάλαις εποχούμενον, μετά σαρκός βαστάσασα, χαίρε Θεοτόκε ανύμφευτε.

Τών Αποστόλων

Ωδή ε'

Ο φωτίσας

Τού Ποιμένος τού καλού τά αμώμητα πρόβατα, μέσον λύκων υπ' αυτού προφανώς απεστάλησαν, τούτους τιθασεύοντες, καί εισελαύνοντες πρός μάνδραν, τήν νοητήν διά πίστεως.

Ο μέγας σε Βυζαντίου Ανδρέας κατέστησεν, Επίσκοπον τούς εκείσε πιστούς εκδιδάσκοντα, Στάχυ Ιερώτατε, καί κυβερνώντα πρός λιμένας, τούς γαληνούς θεία χάριτι.

Υπέρτιμον ώς περ λίθον σε έσχεν ακρόγωνον, Ηρακλείας η σεπτή Εκκλησία στηρίζοντα, Απελλή μακάριε, ταύτην εν λόγω αληθείας, όθεν αξίως υμνούμέν σε.

Θεοτοκίον

Συνέλαβες υπέρ λόγον τόν Λόγον καί έτεκες, πανύμνητε, όν Πατήρ εκ γαστρός απεγέννησε, πρό αιώνων Άχραντε, όθεν ως τούτου σε Μητέρα, χρεωστικώς μακαρίζομεν.

Τού Μάρτυρος

Τόν φωτισμόν σου Κύριε

Θωρακισθείς τή χάριτι, τώ όπλω τού Σταυρού, τοίς ασεβέσιν εβόα ο Μάρτυς. Ξίφος τε καί πύρ ού με χωρίσει, τής τού Χριστού αγαπήσεως.

Ο ευκλεής Επίμαχος, βήματι παρεστώς, τοίς ανομούσιν εβόα ευθαρσώς. Γήν καί ουρανόν θεοί μή δρώντες, δυσσεβώς απολέσθωσαν.

Ο αθλητής Επίμαχος, θεόθεν εμπνευσθείς, Πατέρα Λόγον, καί Άγιον Πνεύμα, φύσει εν μιά τοίς αγνοούσι, τήν Τριάδα εκήρυξε.

Θεοτοκίον

Τίς εξειπείν δυνήσεται,τού τόκου σου Αγνή, τόν υπέρ Λόγον παράδοξον τρόπον; φύσει γάρ Θεόν, σεσαρκωμένον υπέρ λόγον εκύησας.

Τών Αποστόλων

Ωδή ς'

Εκύκλωσεν ημάς

Θαλάσσας τών εθνών διαταράξαντες, ταίς θείαις επιβάσεσι, διεσώσατε τούς πάλαι τή πικρά, άλμη συμπνιγέντας καί προσήξατε, τώ Λυτρωτή διασωθέντας Θεομακάριστοι.

Ελέους θελητήν Θεόν εκήρυξας, καί πλάνης ηλευθέρωσας, θείε Νάρκισσε ψυχάς τών ασεβών, μέγας γεγονως Αθηνών πρόεδρος, καί φυτουργός φυτών ωραίων Θεομακάριστε.

Ο θείος Ουρβανός λόγον ζωήρυτον, καί χάριν τών ιάσεων, αναβλύσας εφειλκύσατο λαούς, πρός τόν φωτισμόν τής θείας χάριτος, ως μιμητής τού σαρκωθέντος, καί κόσμον σώσαντος.

Θεοτοκίον

Υμνούμέν σε δι' ής εδικαιώθημεν, οι πρότερον κατάκριτοι, καί συνήφθημεν αϋλοις Λειτουργοίς, καί τού Παραδείσου ηξιώθημεν, εν γυναιξίν ευλογημένη Θεοχαρίτωτε.

Τού Μάρτυρος

Εβόησε, προτυπών

Κατήργησε, τών ειδώλων τήν πλάνην Επίμαχος, τή δυνάμει, τού σαρκί σταυρωθέντος Χριστού τού Θεού ημών, καί στεφάνους δόξης, αληθώς παρ' αυτού εκομίσατο.

Κατέλιπε, τά εν κόσμω καί κόσμον Επίμαχος, καί τό σώμα,ταίς βασάνοις ανδρείως παρέδωκεν, υπέρ τού Δεσπότου, καί σύν τοίς Αθλοφόροις αγάλλεται.

Κοινωνήσας, τών Χριστού παθημάτων. Επίμαχος, τή δυνάμει, τού σαρκί σταυρωθέντος Θεού ημών, καί τής θείας δόξης, ως αυτού μιμητής κεκοινώνηκε.

Θεοτοκίον

Δυσώπησον, υπέρ τών οικετών σου Θεόνυμφε, Θεοτόκε, τόν εκ σού σαρκωθέντα Θεόν ημών, ότι σέ καί μόνην, προστασίαν πιστοί επιστάμεθα.

Ο Ειρμός

«Εβόησε, προτυπών τήν ταφήν τήν τριήμερον, ο Προφήτης, Ιωνάς εν τώ κήτει δεόμενος. Εκ φθοράς με ρύσαι, Ιησού Βασιλεύ τών Δυνάμεων».

Κοντάκιον Ήχος β'

Τοίς τών αιμάτων σου

Εις τά τού κόσμου δραμοντες πληρώματα, θεογνωσίας τόν λόγον εσπείρατε, καί στάχυν πολύχουν δρεψάμενοι, Βασιλεί τών απάντων προσήξατε, Απόστολοι Χριστού παναοίδιμοι.

Ο Οίκος

Τών Αποστόλων τήν μνήμην πάντες, ως σωτηρίας ημέραν ευφημήσωμεν νύν, καί ευσεβώς μακαρίσωμεν. Αύτη γάρ πάση τή οικουμένη ώς περ ήλιος λάμπει, φωτός ακτίσι πάσαν αχλύν εκδιώκουσα, καί καταλάμπουσα τούς πόθω ταύτην εκτελούντας, καί πίστει γεραίροντας, διό προθύμως συνδράμωμεν, ανυμνούντες αυτούς καί κραυγάζοντες. Εκ τών κινδύνων ρύσασθε ημάς, Απόστολοι Κυρίου παναοίδιμοι.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΛΑ' τού αυτού μηνός, Μνήμη τών Αγίων Αποστόλων εκ τών εβδομήκοντα, Στάχυος, Απελλού, Αμπλία, Ουρβανού, Ναρκίσσου καί Αριστοβούλου.

Στίχοι

Στάχυς δρεπάνω τής τελετής, ως στάχυς,
Εκ τού παρόντος εκθερίζεται βίου.
Σιγά στερήσει πνευμάτων ώς κολλάβων.
Η τετράχορδος τών Αποστόλων λύρα.
Ψυχάς, Αριστόβουλος, αγρεύσας λόγω,
Θεώ πρόσεισι, μισθόν αιτών τής άγρας.
Πρώτη εν τριακοστή Απόστολοι έξ τέλος εύρον.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Επιμάχου.

Στίχοι

Ου δειλός Επίμαχος ώφθη πρός ξίφος,
Απροσμάχητον σύμμαχον Θεόν φέρων.

Τή αυτή ημέρα, Μνήμη τού εν Αγίοις Πατρός ημών Ιακώβου, Επισκόπου Μυγδονίας, ενός τών τριακοσίων δέκα καί οκτώ Αγίων Πατέρων τών εν Νικαία.

Τή αυτή ημέρα, Διήγησις Θεοδωρήτου Επισκόπου, περί βίου καί αθλήσεως Ομολογητού τινος ανωνύμου.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τών Αποστόλων

Ωδή ζ'
Σέ νοητήν, Θεοτόκε

Υπομονή, πειρασμών ερρύσθητε, εχθρού πειράζοντος υμάς, επομβρίαις δέ λογικαίς, ένδοξοι Απόστολοι, όλον κατεπτύσατε, φλογμόν τής πλάνης κραυγάζοντες, Ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Περιφανώς, άριστα βουλεύεσθαι καί τελειότατα τούς σούς, Αριστόβουλε φοιτητάς, μάκαρ εξεπαίδευσας, ως τήν ενυπόστατον, Σοφίαν σχών σε παιδεύουσαν, τόν αινετόν τών Πατέρων, Θεόν καί υπερένδοξον.

Η τών πιστών, ιερά ομήγυρις, ιερωτάταις εν φωναίς, μακαρίζει σε Απελλή, τέλος γάρ μακάριον έσχες πολιτείαν τε, αγγελικήν μέλπων πάντοτε. Ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Θεοτοκίον

Ρύσαι ημάς, πειρασμών καί θλίψεων, καί συμφορών παντοδαπών, καί Βαρβάρων επιδρομής, Δέσποινα πανύμνητε, όπως σε δοξάζωμεν, καί τόν εκ σού τεχθέντα Θεόνυμφε, τόν αινετόν τών Πατέρων, Θεόν καί υπερένδοξον.

Τού Μάρτυρος

Αβραμιαίοι ποτέ

Καταπατών ανδρικώς, σύν τώ πυρί τήν πλάνην, τώ σταυρωθέντι ο αοίδιμος, εβόα Επίμαχος, Ο τών Πατέρων ημών, Θεός ευλογητος εί.

Ού κατεπλάγη φλογός, ούτε θηρών αγρίων, ούτε βασάνων τήν επίθεσιν, κραυγάζων Επίμαχος, Ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Υπομονή πειρασμών, θεοίς αψύχοις σέβας, ο Μάρτυς όλως ουκ απένειμεν, αλλά πίστει έκραζεν, Ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Θεοτοκίον

Εν τή άφλέκτω βάτω, και δροσοβόλω καμίνω, σύ προεγράφης Μητροπάρθενε, αφράστως κυήσασα, σεσαρκωμένον Θεόν, αγνή ευλογημένη.

Τών Αποστόλων

Ωδή η'
Εν καμίνω Παίδες Ισραήλ

Εντώ κόσμω ώσπερ αστραπαί, εφάνητε θεόπται, φλογίζοντες μέν τήν

πλάνην, τούς δέ μέλποντας υιούς, ημέρας δεικνύοντες, Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Τώ νοστίμω άλατι τών σών, Αμπλία διδαγμάτων, τής πλάνης σηπεδόνα, απεκάθηρας διό, τιμώντές σε ψάλλομεν, Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ανυμνείσθω Στάχυς ο κλεινός, Αμπλίας Απελλής τε, καί Νάρκισσος Ουρβανός τε, καί ό πάνσοφος βοών, πιστώς Αριστόβουλος. Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Σέ καί τείχος καί καταφυγήν, καί κλίμακα πρός ύψος, μετάγουσαν τό ανθρώπινον, παναμώμητε. Αγνή, ειδότες κραυγάζομεν. Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

## Τού Μάρτυρος

Τόν εν τώ Σταυρώ προσηλωθέντα

Πάθος τό σεπτόν εξεικονίζων, εν τοίς σοίς μέλεσι Σοφέ, υπέφερες ανδρείως, πείραν πολλών βασάνων, Χριστόν τόν Θεόν ημών ανακηρύττων.

Στάζουσιν οι σοί ιδρώτες Μάρτυς, θεοσεβείας γλυκασμόν, εξαίροντα πικρίαν, πλάνης αθεότητος, διό, Επίμαχε δοξάζεις, Χριστόν εις τούς αιώνας.

Έχαιρες ποιναίς προσομιλήσας, παντοδαπαίς πανευσθενώς, Επίμαχε παμμάκαρ, κράζων. Υπερυψούτε, Χριστόν τόν Θεόν ημών εις τούς αιώνας.

Θεοτοκίον

Σώσόν με Αγνή η τόν Σωτήρα, αποκυήσασα Χριστόν ημίν ομοιωθέντα, όπως εν αινέσει σε αεί, μακαρίζωμεν ευλογημένη.

Ο Ειρμός

«Τόν εν τώ Σταυρώ προσηλωθέντα, καί αποδείξαντα ημίν όπλον εις σωτηρίαν, Παίδες υπερυψούτε, Χριστόν τόν Θεόν ημών εις τούς αιώνας».

## Τών Αποστόλων

### Ωδή θ’

Τύπον τής αγνής

Ίνα τά τής γής πληρώματα, πεπληρωμένα πλάνης τού πολεμήτορος, καί μεμεστωμένα, σκοτασμού αθεότητος, τώ φωτί καταυγάσης τής γνώσεως, τάς σάς σωτηριώδεις, αυγάς Οικτίρμον τούτοις έπεμψας.

Ώφθης φερωνύμως ένδοξε, σωτηριώδης στάχυς, σίτον τοίς χρήζουσι, φέρων στηριγμόν, θεογνωσίας παρέχοντα, καί λιμού νοητού εξαιρούμενον, τούς πίστει σε καί πόθω, Ιεροκήρυξ μακαρίζοντας.

Στόμα τού Θεού γενόμενος, τάς τών ρητόρων γλώσσας αλάλους έδειξας, καί εκ φάρυγγος, τού δυσμενούς Αριστόβουλε, ανιμήσω ψυχάς καί προσήγαγες, Κυρίω σεσωσμένας, διά τελείας επιγνώσεως.

Ήδη ουρανούς γηθόμενοι, θεοειδείς οικούντες, Θεού Απόστολοι, τούς επί τής γής, ειλικρινώς υμάς σέβοντας, καί γνησίως υμάς μακαρίζοντας, μετόχους αιωνίου,καταξιώσατε λαμπρότητος.

Θεοτοκίον

Φέρεις τόν τά πάντα φέροντα, καί γαλουχείς τόν πάσι τροφήν παρέχοντα μέγα καί φρικτόν, τό υπέρ νούν σου μυστήριον, κιβωτέ τού σεπτού αγιάσματος, Παρθένε Θεοτόκε, όθεν πιστώς σε μακαρίζομεν.

Τού Μάρτυρος

Εύα μέν τώ τής παρακοής

Ισχύϊ ρωννύμενος Χριστου Επίμαχε, Αθλοφόρε εταπείνωσας, κράτος ανίσχυρον δαιμόνων, καί νίκης τό λαμπρόν ήρας τρόπαιον, χοροίς τών Αθλητών στεφανούμενος, όθεν σε πίστει μακαρίζομεν.

Ώφθη ώς περ κρήνη αληθώς Επίμαχε, η σή θήκη αναβλύζουσα, χάριν θαυμάτων παραδόξων, καί νέφος τών παθών εκδιώκουσα, τών πίστει προσερχομένων σοι πάντοτε, Μάρτυς θεόφρον αξιάγαστε.

Συνέτριψας πάσας τού εχθρού πανεύφημε, τάς παγίδας καί ηφάνισας, τούτου τό όνομα μετ' ήχου, Χριστόν ομολογήσας ενώπιον, τυράννων καί βασιλέων Επίμαχε, όΘεν σε πάντες μακαρίζομεν.

Ηλίου λαμπρότερον ημίν εξέλαμψε, σού η Μνήμη παναοίδιμε, πάντων φωτίζουσα καρδίας, εν ταύτη τών πιστών ευφημούντων σε, παμμάκαρ Αθλοφόρε Επίμαχε, όθεν σε πάντες μακαρίζομεν.

Θεοτοκίον

Φωτός οικητήριον αγνή γεγένησαι, διά τούτο ικετεύω σε, Φώτισον Δέσποινα τάς κόρας, τής τεταπεινωμένης καρδίας μου, παθών ταίς χαλεπαίς αμαυρότησιν, όπως εν πίστει μακαρίζω σε.

Ο Ειρμός

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν είσω κίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν».

Εξαποστειλάριον

Γυναίκες ακουτίσΘητε

Στάχυς, Αμπλίας, Νάρκισσος, καί Απελλής ο ένδοξος, καί Αριστόβουλος θείος, καί Ουρβανός οι φωστήρες, νύν παρ' ημών κατά χρέος, φαιδρώς ανευφημείσθωσαν, ως τού Χριστού Απόστολοι, υπέρ ημών πρεσβεύοντες, τών πόθω επιτελούντων, τήν Ιεράν αυτών

Μνήμην.

Θεοτοκίον

Επίβλεψον Πανύμνητε, εις τήν κληρονομίαν σου, καί τή αμάχω σου ταύτην, συντήρησον δυναστεία, τής βασιλείας ίθυνον, τά σκήπτρα καί κραταίωσον, τά έθνη καταπράϋνον, καί έκχεον τήν ειρήνην, επί τά πέρατα κόσμου.

Εις τόν Στίχον, Στιχηρά τής Οτωήχου. Καί τά λοιπά τής τού Όρθρου Ακολουθίας.

Καί Απόλυσις

---


Αρχή
**Τίτλος**
**Νοέμβριος_1 Νοέμβριος_2 Νοέμβριος_3 Νοέμβριος_4 Νοέμβριος_5 Νοέμβριος_6 Νοέμβριος_7 Νοέμβριος_8 Νοέμβριος_9 Αγ_Νεκτάριος Νοέμβριος_10 Νοέμβριος_11 Νοέμβριος_12 Νοέμβριος_13 Νοέμβριος_14 Νοέμβριος_15 Νοέμβριος_16 Νοέμβριος_17 Νοέμβριος_18 Νοέμβριος_19 Νοέμβριος_20 Νοέμβριος_21 Νοέμβριος_22 Νοέμβριος_23 Νοέμβριος_24 Νοέμβριος_25 Νοέμβριος_26 Νοέμβριος_27 Νοέμβριος_28 Νοέμβριος_29 Νοέμβριος_30**


Αρχή

## ΤΗ Α' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Αναργύρων, Κοσμά καί Δαμιανού.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς’ καί ψάλλομεν Στιχηρά Προσόμοια τών Αγίων τρία, δευτερούντες αυτά.

Ήχος πλ. β'

Όλην αποθέμενοι, Αυτόμελον

Όλην αποθέμενοι, εν ουρανοίς τήν ελπίδα, θησαυρόν ασύλητον, εαυτοίς οι Άγιοι εθησαύρισαν, δωρεάν έλαβον, δωρεάν διδούσι, τοίς νοσούσι τά ιάματα, χρυσόν ή άργυρον, ευαγγελικώς ουκ εκτήσαντο, ανθρώποις τε καί κτήνεσι, τάς ευεργεσίας μετέδωκαν, ίνα διά πάντων, υπήκοοι γενομενοι Χριστώ, εν παρρησία πρεσβεύωσιν, υπέρ τών ψυχών ημών.

Ύλην εβδελύξαντο, τήν επί γής φθειρομένην, ουρανοπολίται δέ, εν σαρκί ως Άγγελοι εχρημάτισαν, η ομόφρων σύσκηνος, ξυνωρίς ομότροπος, τών Αγίων καί ομόψυχος. Διό τοίς κάμνουσι, πάσι τάς ιάσεις βραβεύουσιν, ανάργυρον παρέχοντες, τήν ευεργεσίαν τοίς χρήζουσιν, ούς εν ετησίοις, υμνήσωμεν αξίως εορταίς, εν παρρησία πρεσβεύοντας, υπέρ τών ψυχών ημών.

Όλην εισοικίσασα, εν εαυτή τήν Τριάδα, δυάς η αοίδιμος, Κοσμάς καί Δαμιανός οι θεόφρονες, ως κρουνοί βλύζουσιν, εκ πηγής νάματα, ζωηφόρου τών ιάσεων, ών καί τά λείψανα, πάθη δι' αφής θεραπεύουσι, καί μόνα τά ονόματα, νόσους εκ βροτών απελαύνουσι, πάντων τών προσφύγων, σωτήριοι τελούντες τώ Χριστώ εν παρρησία πρεσβεύουσιν, υπέρ τών ψυχών ημών.

Δόξα… Ήχος πλ. β' Ανατολίου

Ατελεύτητος υπάρχει τών Αγίων η χάρις, ήν παρά Χριστού εκομίσαντο, όθεν αυτών καί τά λείψανα, εκ θείας δυνάμεως, διηνεκώς ενεργούσι τοίς θαύμασιν, ών καί τά ονόματα μόνα, εκ πίστεως επιβοώμενα, τών ανιάτων αλγηδόνων απαλλάττουσι, δι' ών Κύριε καί ημάς, τών τής ψυχώς καί σώματος παθών ελευθέρωσον, ώς φιλάνθρωπος.

Καί νύν… Θεοτοκίον

Όλην αποθέμενοι

Γνώμη ολισθήσας τε, καί δουλωθείς τώ τυράννω, απάτη Θεόνυμφε, πρός τήν υπερθαύμαστον ευσπλαγχνίαν σου, καί θερμήν δέησιν, Παναγία Κόρη, καταφεύγω ό πανάθλιος. Διό με λύτρωσαι, τών πειρατηρίων καί θλίψεων, καί σώσόν με Πανάμωμε, τών δαιμονικών επιθέσεων, ίνα σε δοξάζω, καί πόθω προσκυνώ καί ανυμνώ, καί μεγαλύνω σε Δέσποινα, τήν αειμακάριστον.

Η Σταυροθεοτοκίον

Ρομφαία ώς έφησεν, ο Συμεων τήν καρδίαν, τήν σήν διελήλυθε, Παναγία Δέσποινα, ότε έβλεψας, τόν εκ σού λάμψαντα, απορρήτω λόγω, υπ' ανόμων ώς κατάκριτον, Σταυρώ υψούμενον, όξος καί χολήν ποτιζόμενον, πλευράν δέ ορυττόμενον, χείράς τε καί πόδας ηλούμενον, καί οδυρομένη, ωλόλυζες βοώσα μητρικώς. Τί τούτο Τέκνον γλυκύτατον, τό καινόν μυστήριον.

Εις τόν Στίχον

Στιχηρά ιδιόμελα Ήχος β'

Η πηγή τών ιαμάτων, ένα καί μόνον εθεράπευε τού έτους, η σκηνή τών Αναργύρων, άπαν τό πλήθος θεραπεύει τών νοσούντων, ανενδεής γάρ υπάρχει καί αδαπάνητος, ο πλούτος τών Αγίων. Ταίς αυτών ικεσίαις Χριστέ, ελέησον ημάς.

Ο αυτός Θεοφάνους

Στίχ. Θαυμαστός ο Θεός εν τοίς Αγίοις αυτού.

Πόθω θείω καί έρωτι τών μελλόντων, πρακτικώς πολιτευσάμενοι, τάς σωτηρίους οδούς διηνύσατε. Όθεν τό καθαρόν τής ψυχής, ακηλίδωτον τηρήσαντες, τών ενύλων τελείως απέστησε. Πνεύματι δέ θείω χρυσωθέντες, αχρύσως
τάς ιάσεις τοίς νοσούσι παρέχετε, δυάς ιερά, φωταυγής ξυνωρίς, πεφωτισμένον θείον ζεύγος Ανάργυροι, εν θλίψεσι καί νόσοις επισκεπτόμενοι ημάς, καί τών ψυχών ημών τάς νόσους, αναργύρως ιώμενοι.

Ο αυτός Γερμανού

Στίχ. Τοίς Αγίοις τοίς εν τή γή αυτού.

Μεγάλων αξιωθέντες δωρεών πανεύφημοι, εν ταπεινότητι βίου, εν τή γή επολιτεύσασθε, καί διερχόμενοι πανταχού, δωρεάν τών νοσούντων τά πάθη ιώμενοι, ώφθητε Αγγέλων συνόμιλοι, Κοσμά σύν τώ Δαμιανώ τώ σοφώ αδελφοί τερπνότατοι, καί ημών τά πάθη, ταίς ευχαίς υμών ιάσασθε.

Δόξα… Ήχος πλ. β'

Πάντοτε έχοντες Χριστόν, ενεργούντα εν υμίν, Άγιοι Ανάργυροι, θαυματουργείτε εν κόσμω ασθενούντας θεραπεύοντες, καί γάρ τό ιατρείον υμών, πηγή υπάρχει ανεξάντλητος, αντλουμένη δέ μάλλον υπερεκβλύζει, καί χεομένη περισσεύεται, καθ' εκάστην κενουμένη καί πληθυνομένη, πάσι χορηγούσα καί μή λειπομένη, καί οι αρυόμενοι κορέννυνται ιάματα, καί αύτη διαμένει άδαπάνητος. Τί ούν ημάς καλέσωμεν; θεράτοντας ιατρους ψυχών τε καί σωμάτων, ιατήρας παθών ανιάτων, δωρεάν ιωμένους άπαντας, ειληφότας χαρίσματα, παρά τού Σωτήρος Χριστού, τού παρέχοντος ημίν τό μέγα έλεος.

Καί νύν… Θεοτοκίον

Θεοτοκε σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής, σέ ικετεύομεν, πρέσβευε Δέσποινα μετά τών Αναργύρων καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Η Σταυροθεοτοκίον

Τριήμερος ανέστης

Λαόν τόν ανομώτατον, αδίκως καθηλούντά σε, επί ξύλου, η παρθένος καί αγνή, καί Μήτηρ σου Ορώσα, ώς Συμεων προέφη, τά σπλάγχνα Σώτερ επιτρώσκετο.

Απολυτίκιον  Ήχος πλ. δ’

Άγιοι Ανάργυροι καί θαυματουργοί, επισκέψασθε τάς ασθενείας ημών, δωρεάν ελάβετε, δωρεάν δότε ημίν.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν τού Ψαλτηρίου, αναγινώσκομεν ένα Κανόνα τής Οκτωήχου, καί τούς δύο παρόντας τών Αγίων.

Κανών πρώτος, ού η Ακροστιχίς.

Ύμνοις γεραίρω τούς σοφούς Αναργύρους.

Ποίημα Ιωάννου τού Δαμασκηνού

Ωδήα'  Ήχος α'

«Άσωμεν πάντες λαοί, τώ εκ πικράς δουλείας, Φαραω τόν Ισραήλ απαλλάξαντι, καί εν βυθώ θαλάσσης, ποδί αβρόχω οδηγήσαντι, ωδήν

επινίκιον, ότι δεδόξασται».

Υπό τής χάριτος, τής αρχικής Τριάδος, η δυάς η θαυμαστή καί σεβάσμιος, φωτιζομένη πάσιν ιάμμμμιατα, τοίς προσιούσι πιστώς, παρέχει αενάως, αναβλυστάνουσα.

Μυσταγωγούμενοι, τοίς ζωηφόροις λόγοις, ως φωστήρες εν κόσμω εξέλαμψαν, τήν τών παθών ομίχλην, ευκόλως διασκεδάζοντες, τή ζέσει τής πίστεως,οι Παμμακάριστοι.

Νόμω πειθόμενοι, τώ τού Σωτήρος πάσαν, ηδυπάθειαν σαρκός μέν απέθεντο, ταίς αρεταίς ψυχάς δέ, φανότατα καταλαμπρύναντες, εν κόσμω διέπρεψαν, οι αξιάγαστοι.

Θεοτοκίον

Όλον τόν άνθρωπον, εν σή γαστρί σκηνώσας, Θεομήτορ απορρήτως ημφιάσατο, ο εκ Πατρός εκλάμψας, Υιός αχρόνως ο υπέρθεος, αυτόν ανυμνήσωμεν, ότι δεδόξασται.

Κανων δεύτερος

έχων Ακροστιχίδα τήν δε

Δυάς με σώζοις τών σοφών Αναργύρων. Ιωσήφ.

Ωδή α'  Ήχος δ'

«Τριστάτας κραταιούς, ο τεχθείς εκ Παρθένου, απαθείας εν βυθώ, ψυχής τό τριμερές, καταπόντισον δέομαι, όπως σοι ως εν τυμπάνω, τή νεκρώσει τού σώματος, επινίκιον άσω μελώδημα».

Δυάς φωτοειδής, τών σοφών Αναργύρων, Τριάδι τή σεπτή, σύν πάσιν εκλεκτοίς, παρεστώσα ικέτευε, μνήμην σου τήν φωτοφόρον, τούς τελούντας φωτίζεσθαι, ταίς τού Πνεύματος θείαις λαμπροτησιν.

Υπέρτερον τόν νούν, τών ενύλων δεικνύντες, τάς αϋλους αστραπάς, τού Πνεύματος σοφοί, υπεδέξασθε Άγιοι, όθεν σκότος νοσημάτων, διαλύετε πάντοτε, επισκέψεσι θείαις Ανάργυροι.

Ανύστακτον ψυχής, κεκτημένοι τό όμμα, πρός εκπλήρωσιν Θεού, τών θείων εντολών, τούς υπνούντας νοσήμασιν, ένδοξοι πρός εύρωστίαν, διϋπνίζετε χάριτι, συμπαθείς θεοφόροι Ανάργυροι.

Θεοτοκίον

Σωτήρα καί Θεόν, εξ αγνών σου αιμάτων, εσωμάτωσας Αγνή, τόν δείξαντα ημίν, ιατρούς τών παθών ημών, Άχραντε σωτηριώδεις, καί θερμούς αντιλήπτορας, τούς σεπτούς Αναργύρους εν Πνεύματι.

Ωδή γ’

«Στερέωσόν με Χριστέ, επί την άσειστον πέτραν τών εντολών σου, καί φώτισόν με φωτί του προσώπου σου, ουκ έστι γάρ Άγιος, πλήν σου Φιλάνθρωπε».

Ιάσεων τάς πηγάς, τών δωρεών τε τών θείων τούς οχετούς, τού αϋλου φωτός τά λαμπρότατα, δοχεία άπαντες, αξίως υμνήσωμεν.

Σωμάτων τε καί ψυχών, ως ιατρεύοντες πάθη τάς αρρωστίας, τών προσιόντων υμίν Πανσεβάσμιοι, προθύμως νύν, ως ευεργέται θεραπεύετε.

Γονίμοις εν αρεταίς, κατακοσμούμενοι πάσαν τήν φθειρομένην, τρυφήν τού βίου σαφώς απεκρούσαντο, τώ θείω κάλλει,ανενδότως ατενίζοντες.

Θεοτοκίον

Εν είδει τώ καθ' ημάς, ο πρίν ανείδεος ώφθη Θεογεννήτορ, συνεισδραμούσης σαρκί τής θεότητος, εν μήτρα σου,τής παναγίας Θεόνυμφε.

Κανών δεύτερος

Ουκ εν σοφία

Μύρον ευώδες, ιαμάτων ο θείος να ός υμών, αναβλύζων ιερώς, ταίς επομβρίαις τού Πνεύματος, πάθη δυσωδέστατα, εκπλύνει πάντοτε.

Επουρανίαις, εν σκηναίς αυλιζόμενοι πάντοτε, τήν σκηνήν υμών αεί, πηγήν ιάσεων Άγιοι, χάριτι δεικνύετε, τού Παντοκράτορος.

Σαρκός τά πάθη, εγκρατείας κημώ χαλινώσαντες, τάς τού Πνεύματος αυγάς, πλουσιωτάτως εδέξασθε, όθεν ταίς ιάσεσι, κόσμον πλουτίζετε.

Θεοτοκίον

Ωραιοτάτην, εν γυναιξί σε Θεός εξελέξατο, καί εκ σού σωματικώς, Αγνή τεχθήναι εύδόκησεν, ο αναπαυόμενος, εν τοίς Αγίοις αυτού.

Ο Ειρμός

«Ούκ εν σοφία. καί δυνάμει καί πλούτω καυχώμεθα, αλλ’ εν σοί τή τού Πατρός, ενυποστάτω Σοφία Χριστέ, ου γάρ εστιν Άγιος, πλήν σου φιλάνθρωπε».

Κάθισμα  Ήχος πλ. δ'

Τήν Σοφίαν

Ουρανόθεν θαθμάτων τήν δωρεάν, παραδόξως λαβόντες παρά Χριστού, πάντα θεραπεύετε, αενάως τά πάθη, εν υμίν γάρ ώφθη, η χάρις τού Πνεύματος, χορηγούσα θείων, ιάσεων δύναμιν, όθεν καί αφθάρτων, αγαθών ευπορίαν, τή πίστει εκτήσασθε, αναργύρω φρονήματι, θεοφόροι Ανάργυροι, πρεσβεύσατε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην υμών.

Δόξα… Όμοιον

Ιαμάτων δοτήρες θαυματουργοί, καί θαυμάτων λαμπτήρες φωταγωγοί, πάσιν ανεδείχθητε, τή τού Πνεύματος χάριτι, τών γάρ παθών τήν φλογα, τή πίστει δροσίζοντες, τών Πιστών εν ταύτη, τό φρονημα θάλπετε, όθεν ιατρείον, τών ψυχών κεκτημένοι, τόν θείον ναόν υμών, εναυτώ καταφεύγομεν, θεοφοροι Ανάργυροι πρεσβεύσατε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην υμών.

Καί νύν… Θεοτοκίον

Τήν Βασίλισσαν πάντες δεύτε πιστοί, τήν Μητέρα τού πάντων Δημιουργού, φωναίς μεγαλύνωμεν, καί υμνούντες βοήσωμεν. Η τής χαράς αιτία, Παρθένε πανύμνητε, τούς τιμώντάς σε σώζε, καί σκέπε πρεσβείαις σου, έχεις γάρ ως Μήτηρ, τού Θεού παρρησίαν, οικτείρειν βραβεύειν τε, νοσημάτων τήν ίασιν, διά τούτο βοώμέν σοι. Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τού δοθήναι άφεσιν τοίς δούλοις σου, τοίς ευσεβώς προσκυνούσι, τόν άστορον τοκον σου.

Η Σταυροθεοτοκίον

Τόν Αμνόν καί Ποιμένα εν τώ Σταυρώ, ως εώρα κρεμάμενον η Αγνή, τά σπλάγχνα εκόπτετο, μη τρικώς ολολύζουσα. Οίμοι! φώς τού κόσμου, Θεέ μου καί Κύριε, τίνος χάριν ταύτα, εκών νύν υφίστασαι; θέλων πάντως σώσαι, γηγενείς καί πρός θείαν, ζωήν μετοικίσασθαι, τήν φθαρείσαν εικονα σου, Μεγαλύνω τά πάθη σου, αυτά, διά σπλάγχνα οικτιρμών υπήνεγκας, τάς τών απάντων οδύνας, ταίς σαίς εξιώμενος.

Ωδή δ’

«Κατενόησα παντοδύναμε, τήν σήν οικονομίαν, καί μετά φόβου εδόξασά σε Σωτήρ».

Ρήσει θεία σαφώς επόμενοι, ου χρυσού λαμπηδόνας, ουδέ αργυρίου θείοι εκτήσασθε.

Απαστράπτοντες θείοις θαύμασιν, οι Ανάργυροι πάντας, ευεργετούσι χάριν βραβεύοντες.

Ιατροί σοφοί ανεδείχθητε, τών παθών ταίς οδύναις, αλεξικάκους χείρας προσάγοντες.

Θεοτοκίον

Ραπιζέσθωσαν νύν τά πρόσωπα, τών μή σέ Θεοτόκον ομολογούντων, παναγνε Δέσποινα.

Κανών δεύτερος

Ο καθήμενος εν δόξη

Ζωηφόροις ενεργείαις, ολικαίς επιδόσεσι, τά θανατηφόρα, πάθη τών βροτών θεραπεύετε, φωτοειδέστατοι στύλοι, πύργοι άσειστοι, τής αμπέλου, τής αληθινής θεία κλήματα.

Οι μαζοί τής Εκκλησίας, οι τό γάλα προχέοντες, τό τών ιαμάτων, οι πεφωτισμένοι Ανάργυροι, οι διατρέφοντες πάντας, θείοις βρώμασιν, ευφημείσθωσαν, χαρμονικοίς μελωδήμασιν.

Ιατρείον ανεδείχθη, ο ναός υμών Άγιοι, τών χειμαζομένων, άκλυστος λιμήν καί σωτήριος, εν ώ προστρέχοντες πάντες κομιζόμεθα, τήν γαλήνην, καί τήν τών δεινών απολύτρωσιν.

Θεοτοκίον

Συμπαθείας με Παρθένε, τής εν σοί καταξίωσον, η τεκούσα Λόγον, μόνον αληθώς συμπαθέστατον, τόν συμπαθείς τούς Αγίους αναδείξαντα, ιατήρας, καί θαυματουργούς εν τοίς πέρασιν.

## Ωδή ε’

«Εκ νυκτός ορθρίζοντες, ανυμνούμέν σε Χριστέ ο Θεός, τόν δι' ημάς πτωχεύσαντα, καί σταυρόν καί θάνατον, εν τή σαρκί σου υπομείναντα».

Ως κρουνοί θεορρυτοι, πηγάζετε πιστοίς, ευεργεσίας νάματα, τής ψυχής τε καί τού σώματος, θεραπεύοντες νόσους, Ανάργυροι ένδοξοι.

Τήν πηγήν τής χάριτος, Ανάργυροι σεπτοί, αναστομούντες άπασιν, ευρωστίαν διανέμετε, τοίς εν πίστει καί πόθω, υμίν νύν προστρέχουσιν.

Οι λαμπροί καί πάνσοφοι, αστέρες οι τήν γήν, προφανώς ουρανώσαντες, εν μιμήσει τής λαμπρότητος, τών Αγγέλων απαύστως, ημάς καταυγάζουσιν.

Θεοτοκίον

Υπερτέρα πέφηνας, τόν πάντων ποιητήν, τόν τώ Πατρί συνάναρχον, συλλαβούσα Μητροπάρθενε, καί Τεκούσα τώ κόσμω, Σωτήρα καί Κύριον.

## Κανων δεύτερος

Εξέστη τά σύμπαντα

Ταίς θείαις λαμπρότησι, σαφώς καταστραπτομενοι, πάντα περιέρχεσθε τόν κόσμον, πάντας ανθρώπους καταφωτίζοντες, σκότος εκδιώκοντες παθών, δαίμονας ελαύνοντες, θεοφόροι Ανάργυροι.

Ως δύω φωτίζετε, φωστήρες τήν υφήλιον, πνευματοκινήτως θεοφόροι, πάσαν τήν κτίσιν περιερχόμενοι, καί τούς επί κλίνης οδυνών προσεπισκεπτόμενοι, καί δεινών εξαιρούμενοι.

Νοσούσι τήν ίασιν, παθών καί απολύτρωσιν, επιχορηγούντες αναργύρως, πάντων προστάται μέγιστοι ώφθητε, πάντων βοηθοί μετά Θεόν, πάντων αντιλήπτορες, θεοφόροι Ανάργυροι.

Θεοτοκίον

Σοφίαν εκύησας, Θεού τήν ενυπόστατον, άχραντε Παρθένε Θεοτόκε, τήν τούς Αγίους πανσόφους αναδείξασαν, δι' ών τού κακίας σοφιστού, πέπτωκε τό

φρύαγμα, καί δεινά πανουργεύματα.

## Ωδή ς'

«Τόν Προφήτην διέσωσας, εκ τού κήτους φιλάνθρωπε, κάμέ τού βυθού τών πταισμάτων, ανάγαγε δέομαι».

Σωτηρίους θεράποντας, ευεργέτας θεόφρονας, Κοσμάν καί Δαμιανόν τούς θείους, προθύμως τιμήσωμεν.

Σωφροσύνην τηρήσαντες, καί φρονήσει κοσμούμενοι, Κοσμάς καί Δαμιανός οι θείοι, Χριστώ συναγάλλονται.

Ο μοφρόνως οικήσαντες, ομοψύχως ασκήσαντες, ομού τάς ιάσεις βραβεύειν, ημίν επιστεύθητε.

### Θεοτοκίον

Φώς απρόσιτον τέτοκας, μετά σώματος Πάναγνε, τό πάντα τόν κόσμον φωτίζον, αυγαίς τής θεότητος.

## Κανων δεύτερος

### Θύσω σοι, μετά φωνής

Ού τέχνη, ανθρωπίνη εν θεία δέ χάριτι, αποκαθαίρετε νόσους, τών ανθρώπων Ένδοξοι, διά τούτο, κατά χρέος, ευφημούντες υμάς μακαρίζομεν.

Φιλία, πρός Χριστόν θεοφόροι συνδούμενι, πάσαν κακίαν δαιμόνων, διαλύετε θεία χάριτι, διά τούτο, τήν υμών εκτελούμεν πανήγυριν.

Ως όντες, τής αμπέλου τής θείας βλαστήματα, οίνον ημίν ιαμάτων, τοίς εν κατηφεία τών νοσημάτων, κεραννύντες, ευφροσύνης πληρούτε Ανάργυροι.

### Θεοτοκίον

Ναόν σε, καθαρόν απειργάσατο Δέσποινα, ο καθαρώτατος Λόγος, ο τόν θείον οίκον τών Αναργύρων, μεγαλύνων, εν σημείοις καί τέρασι πάντοτε.

### Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

## Κοντάκιον  Ήχος β’

Οι τήν χάριν λαβόντες τών ιαμάτων, εφαπλούτε τήν ρώσιν τοίς εν ανάγκαις, Ιατροί θαυματουργοί Ένδοξοι, αλλά τή υμών επισκέψει, καί τών πολεμίων τά θράση κατεβάλετε, τόν κόσμον ιώμενοι εν τοίς θαύμασιν.

### Ο Οίκος

Πάσης συνέσεως καί σοφίας υπέρκειται ο λόγος τών σοφών. Ιατρών, τού γάρ Υψίστου χάριν λαβόντες, αοράτως τήν ρώσιν δωρούνται πάσιν, όθεν καμοί, διηγήσεως χάριν δεδώρηνται, υμνήσαι ώς θεοφόρους, ευαρέστους Θεού καί θεράποντας, ιαμάτων πλήθη παρέχοντας, αλγηδόνων γάρ πάντας

λυτρούνται, τόν κόσμον ιώμενοι εν τοίς θαύμασι.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Α' τού αυτού μηνός, Μνήμη τών Αγίων καί θαυματουργών Αναργύρων, Κοσμά καΙ Δαμιανού, υιών θεοδότης τής εξ Ασίας.

Στίχοι

Εί καί παρήκαν γήν Ανάργυροι δύω,
Πληρούσιν, ώς πρίν, καΙ πάλιν γήν θαυμάτων.
Πρώτη Ακέστορε φώτε Νοεμβρίου έκπτατον εκ γής.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων γυναικών, Κυριαίνης καί Ιουλιανής.

Στίχοι

Καί Κυρίαινα πρός τό πύρ αποπνέει,
Πάσης πνοής τιμώσα Κύριον μέγαν.
Τώ πρός σέ φίλτρω, Σώτερ, εκκεκαυμένη, Ιουλιανή καύσιν εκ πυρός φέρει.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Καισαρίου, Δασίου, καΙ ετέρων πέντε.

Στίχοι

Σύν έξ συνάθλοις, τής αληθείας φίλοις,
Τέμνουσι Καισάριον οι ψεύδους φίλοι.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Ιερομαρτύρων, Ιωάννου Επισκόπου, καί Ιακώβου Πρεσβυτέρου.

Στίχοι

Σύν Ιακώβω τώ θύτη Χριστού, ξίφος
Ιωάννης ήνεγκεν ο Χριστού θύτης.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Ερμηνιγγέλδου.

Στίχοι

Ερμηνίγγελδος εκπλυθείς βαφήν πλάνης,
Σφαγην υποστάς, βάπτεται λύθρου κοχλω.

Οι Άγιοι Μάρτυρες Κυπριανός καί Ιουλιανή πυρί τελειούνται.

Μνήμη τού Αγίου νέου Ιερομάρτυρος, Ιακώβου, καί τών δύο μαθητών αυτού Ιακώβου διακόνου καί Διονυσίου μοναχού, τών δι' αγχόνης τελειωθέντων κατά τό 1520.

Ο Όσιος πατήρ ημών Δαβίδ, ο εν Ευβοία ασκήσας, εν ειρήνη τελειούται.

Ταίς τών Αγίων σου πρεσβείαις ο Θεός, ελέησον καί σώσον ημάς. Αμήν.

## Ωδή ζ'

«Σέ νοητήν, Θεοτόκε κάμινον, κατανοούμεν οι πιστοί ως γάρ Παίδας έσωσε τρείς, ο υπερυψούμενος, όλον με τόν άνθρωπον, εν τή »γαστρί σου ανέπλασεν, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος».

Όλοι Θεού, θεοφρόνως ώφθητε, όλοι Θεού χωρητικοί, τόν γάρ κόσμον διά Θεόν, πάντα κατελίπετε, ίχνεσιν επόμενοι, τοίς τού Σωτήρος Πανένδοξοι, θεοπρεπώς, τόν τών Πατέρων Θεόν καταγεραίροντες.

Υπερφυώς, Ιατροί πανάριστοι, τών ασθενούντων τάς πληγάς, χειρουργίαις ταίς μυστικαίς, πάσας θεραπεύετε, φάρμακα σωτήρια, εκ θησαυρών αρυόμενοι, τών θεϊκών, ανυμνούντες Θεόν τόν υπερένδοξον.

Στέφει τής σής, βασιλείας Δέσποτα, καί διαδή ματι λαμπρώ, κατεκόσμησας ευπρεπώς, τούς υπερποθήσαντας, κάλλος τό αμήχανον. Χριστέ τής σής ωραιότητος; καί τοίς πιστοίς, ευεργέτας κοινούς τούτους ανέδειξας.

### Θεοτοκίον

Ανατολής, τής εξ ύψους Πάναγνε, φανερωθείσης επί γής, ανεδείχθης πανευπρεπής, πύλη καί ολόφωτος, κόσμον καταυγάζουσα, μαρμαρυγαίς καθαρότητος, καί τοίς πιστοίς, λαμπηδόνας αεί θαυμάτων πέμπουσα.

## Κανών δεύτερος

### Εν τή καμίνω

Αναστομούντες, τήν πηγήν τήν θεόσδοτον Άγιοι, πάσι ποταμούς εκβλύζετε καθαρών, ιαμάτων αποπλύνοντες, παθών μιάσματα, καί δαιμόνων κακίαν ολέθριον.

Νενευρωμένη, τή ρωστική τού Πνεύματος χάριτι, ρώσιν ασθενούσι παντοτε χορηγεί, η δυάς τών Αναργύρων σου, η αξιέπαινος, Λόγε Θεού σοφία καί δύναμις.

Άγιος μόνος, εί ο δοξάζων τούς Αγίους σου, κόσμον δι' αυτών λυτρούσαι γάρ τών δεινών, καί φωτίζεις τούς κραυγάζοντας. Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε.

### Θεοτοκίον

Ράβδος εκ ρίζης, Ιεσσαί σύ ανεβλάστησας, άνθος, τόν Χριστόν βλαστήσασα Μαριάμ, τόν ως άνθεσι τοίς θαύμασι, καθωραίσαντα, τούς αυτού Αναργύρους θεράποντας.

## Ωδή η'

«Εν καμίνω Παίδες Ισραήλ, ως εν χωνευτηρίω, τώ κάλλει τής εύσεβείας, καθαρώτερον χρυσού, απέστιλβον λέγοντες. Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Νεκρωθέντες κόσμου τοίς τερπνοίς, καί τής φιλαργυρίας,τήν νόσον αποτεμόντες, ωνομάσθητε σοφοί,τοίς πάσιν Ανάργυροι, τοίς βοώσι. Πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Αιωνίου μέτοχοι ζωής, γεγόνατε προδήλως, ζωής γάρ τής φθειρομένης, κατελίπετε τερπνά, συμφώνως κραυγάζοντες, Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Ρύσαι πάντας Δέσποτα Χριστέ, δεινών αρρωστημάτων, πρεσβείαις τών Αναργύρων, καί αξίωσον αεί, συμφώνως κραυγάζειν σοι. Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Θεοτοκίον

Γεγηθότες πάντες οι πιστοί, καί χάριτι ρωσθέντες οι τόκω λελυτρωμένοι, Μητροπάρθενε τώ σώ, απαύστως κραυγάζομεν. Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

## Κανών δεύτερος

Χείρας εκπετάσας Δανιήλ

Γυμνοί πάσης ώφθητε εχθρού, κακίας Άγιοι, τώ θείω Πνεύματι, ημίν γενόμενοι ένδυμα, σωτηρίας καί αφέσεως, καταστολή καί τών δεινών, απαλλοτρίωσις τοίς βοώσι, πάντα τά έργα υμνείτε τόν Κύριον.

Υιοί κατά μέθεξιν Θεού, Δαμιανέ καί Κοσμά, πίστει γενόμενοι, πατρώον κλήρον νύν εύρατε, τήν ουράνιον απόλαυσιν, καί τών θαυμάτων τήν φαιδράν, όντως ενέργειαν, καί βοάτε. Πάντα τά έργα υμνείτε τόν Κύριον.

Ρανίσιν υμών θεουργικαίς, τόν ρύπον πλύνατε, τόν ψυχικόν ημών, καί τά επώδυνα Άγιοι, φυγαδεύσατε νοσήματα, καί τών δαιμόνων τάς ορμάς, αποδιώξατε, ως ιατήρες ημών συμπαθέστατοι.

Ως κρίνα ως άνθη νοητά, ως ρόδα Πνεύματι, ωραϊζόμενοι, ημίν εδείχθητε Άγιοι, ευωδίαν αποπέμποντες, καί τό δυσώδες τών παθών αποδιώκοντες, τών βοώντων, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Θεοτοκίον

Νεκρούται ο θάνατος εν σοί, ζωήν γάρ έτεκες, τήν ενυπόστατον, Χριστόν τόν Κύριον Άχραντε, τόν προστάτας τής ζωής ημών, τούς Αναργύρους Ιατρούς, βοώντας δείξαντα. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

## Ωδή θ'

«Σέ τήν φαεινήν λαμπάδα, καί Μητέρα τού Θεού, τήν αρίζηλον δόξαν, καί

ανωτέραν πάντων τών ποιημάτων, εν ύμνοις μεγαλύνομεν».

Ύμνοις τήν σοφήν δυάδα, τού φωτός τού νοητού, απαστράπτουσαν αίγλην, καί φωτισμού τοίς πάσι μεταδιδούσαν, απαύστως μακαρίσωμεν.

Ρώμην ψυχικής υγείας, εμποιούντες τοίς πιστοίς, καί σωμάτων ιάσθαι, πεπιστευμένοι, πάθη οία σωτήρες, αξίως ανυμνείσθε αεί.

Οι θεοφεγγείς φωστήρες, νοητώς τόν ουρανόν, τής σεπτής Εκκλησίας, φωτοδοσίας χύσει νύν δαδουχούντες, απαύστως καταυγαζουσιν.

Υπό τής σεπτής Τριάδος, η θεόκλητος δυάς, σθενουμένη προχέει, τών ιαμάτων πάσι τάς χορηγίας, τοίς πόθω μακαρίζουσι.

Θεοτοκίον

Σέ τήν τού φωτός νεφέλην, καί αγίαν κιβωτόν, τήν ολόφωτον πύλην, τού νοητού Ηλίου ως Θεοτόκον, εν ύμνοις μεγαλύνομεν.

## Κανων Δεύτερος

Εύα μέν τώ τής παρακοής

Ιδού δή τί καλόν ή τί τερπνόν φησιν, αλλ' ή μόνον τό οικίζεσθαι, νύν αδελφούς εν ομονοία, εις τόπους φωταυγείς, εις σκηνώματα ουράνια, εις δόξαν αμάραντον ούς επαξίως μακαρίσωμεν.

Ως μέγιστος ούτος ο ναός τοίς θαύμασι, καθ' εκάστην σεμνυνόμενος, ένθα αεί επιδημούντες, Κοσμά Δαμιανέ αξιάγαστοι, τήν ρώσιν τοίς δεομένοις παρέχετε. όθεν αξίως μακαρίζεσθε.

Σήμερον συγχαίρουσιν ημίν μακάριοι, εν τή μνήμη ομών Άγγελοι, θείοι Απόστολοι Προφήται, καί Όσιοι καί Δίκαιοι άπαντες, μεθ' ών περιχαρώς αυλιζόμενοι, υπέρ τού κόσμου ικετεύσατε.

Η θεία Δυάς καί φωταυγής Ανάργυροι, θεοφόροι πανσεβάσμιοι, άφεσιν τών αμαρτημάτων, διόρθωσίν τε βίου αιτήσασθε, καί πάντων τών δεινών απολύτρωσιν, τοίς ευφημούσιν υμάς πάντοτε.

Θεοτοκίον

Φωτός οικητήριον Αγνή γεγένησαι, τού τά πάντα καταυγάσαντος, καί φωτοφόρους τούς Αγίους, δεικνύντος νύν τό σκότος εξαίροντας, παθών τών ψυχοφθόρων εν Πνεύματι, Άχραντε μόνη πολυΰμνητε.

Ο Ειρμός

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν εύλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν».

## Εξαποστειλάριον

Εν Πνεύματι τώ Ιερώ

Τήν χάριν τών ιάσεων, εκ Θεού ειληφότες, Ανάργυροι μακάριοι, θεραπεύετε νόσους, καί ιάσθε άπαντας, τούς πιστώς προστρέχοντας, τώ θείω υμών τεμένει, διά τούτο συμφώνως, μακαρίζομεν αξίως, τήν σεπτήν υμών μνήμην.

Θεοτοκίον

Εκύησας Πανάχραντε, τού Θεού Θεόν Λόγον, τώ κόσμω την σωτήριον, εκτελούντα πανσόφως, οικονομίαν αρίστην, διά τούτό σε πάντες, υμνολογούμεν αξίως, ως πρεσβεύουσαν τούτω, λυτρωθήναι ημάς νόσων, καί παντοίων κινδύνων.

Εις τους Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά ιδιόμελα.

Ήχος α' Ανατολίου

Τήν χάριν τών ιαμάτων, εκ Θεού ειληφότες, αναργύρως τά πάθη, τών ψυχών καί τών σωμάτων ημών, θεραπεύετε, παγκόσμιοι Ανάργυροι. όθεν δι' υμών Χριστός τοίς πιστοίς, τήν δεδομένην ευρωστίαν χαριζόμενος, φωστήρας απλανείς υμάς αναδείκνυσι τή οικουμένη, αυτώ πρεσβεύσατε, σωθήναι τάς ψυχάς ημών.

Ο αυτός

Εκ τής άνωθεν προμηθείας, τήν τών ιαμάτων άβυσσον εξαντλήσαντες, πάσιν αναβλύζετε τοίς πιστοίς, τάς ιάσεις Ανάργυροι, υπερφυώς γάρ τών νοσούντων τά πάθη, εν χειρουργίαις μυστικαίς, εκ θησαυρών τού Πνεύματος, φάρμακα προτιθέντες σωτήρια, τοίς κάμνουσι θεραπεύετε, όθεν ναός σεπτός γεγονότες, τής ζωαρχικής Τριάδος, εν υμίν σαφώς την κατοικίαν ποιησαμένης, αυτή πρεσβεύσατε, σωθήναι τάς ψυχάς ημών.

Ήχος β' Γερμανού

Αγάλλεται ο χορός τών Αγίων εις αιώνας, βασιλείαν γάρ ουρανών εκληρονόμησαν. Γή τά λείψανα αυτών δεξαμένη, ευωδίαν διέπνευσε. Δούλοι Χριστού γεγόνασι, κατασκηνώσαντες εις ζωήν αιώνιον.

Ο αυτός

Ιατροί τών ασθενούντων, θησαυροί τών ιαμάτων, σωτήρες τών πιστών, Ανάργυροι πανευκλεείς, τούς εν ανάγκαις κράζοντας, καί οδυνωμένους ιάσασθε, σύν τή θεοδότη, ικετεύοντες, Θεόν τόν αγαθόν, λυτρώσασθαι ημάς, τών παγίδων τού εχθρού.

Δόξα... Ήχος δ' Θεοφάνους

Πηγήν ιαμάτων έχοντες, Άγιοι Ανάργυροι, τάς ιάσεις παρέχετε πάσι τοίς δεομένοις, ώς μεγίστων δωρεών αξιωθέντες, παρά τής αενάου πηγής τού Σωτήρος Χριστού. Φησί γάρ πρός υμάς ο Κύριος, ως ομοζήλους τών Αποστόλων, Ιδού δέδωκα υμίν τήν εξουσίαν, κατά πνευμάτων ακαθάρτων, ως τε αυτά εκβάλλειν καί θεραπεύειν πάσαν νόσον, καί πάσαν μαλακίαν. Διό

τοίς προστάγμασιν αυτού, καλώς πολιτευσάμενοι, δωρεάν ελάβετε, δωρεάν παρέχετε, ιατρεύοντες τά πάθη, τών ψυχών καί τών σωμάτων ημών.

Καί νύν... Θεοτοκίον

Έδωκας σημείωσιν

Χαίρε καταφύγιον, Χριστιανών καί κραταίωμα, χαίρε κλίμαξ ουράνιε, χαίρε τό κειμήλιον, το τής παρθενίας, χαίρε Θεοτόκε, η κιβωτός η λογική, τής θείας δόξης χαίρε τό καύχημα, τού κοσμου καί στερέωμα, τών πεπτωκότων ανάκλησις, η σκηνή η ολόφωτος. η αγία καί πάγκαλος.

Η Σταυροθεοτοκίον

Σταυρούμενον βλέπουσα, καί τήν πλευράν ορυττόμενον, υπό λόγχης η Πάναγνος, Χριστόν τόν φιλάνθρωπον, έκλαιε βοώσα, Τί τούτο Υιέ μου; τί σοι αχάριστος λαός, ανταποδίδωσιν ών πεποίηκας, καλών αυτοίς καί σπεύδεις με, ατεκνωθήναι παμφίλτατε; καταπλήττομαι εύσπλαγχνε, σήν εκούσιον σταύρωσιν.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος πλ. δ’

Τίς μή θαυμάσει; τίς μή δοξάσει; τίς μή υμνήσει πιστώς, τών σοφών καί ενδόξων Αναργύρων τά θαύματα; ότι καί μετά τήν αγίαν αυτών μετάστασιν, πάσι χορηγούσι τοίς προστρέχουσι πλουσίως τά ιάματα, καί τά τίμια καί άγια λείψανα αυτών, βρύουσι τήν χάριν τών ιάσεων. Ώ Δυάς αγία! ώ τίμιαι κάραι! ώ σοφία καί δόξα, τής εκ Θεού δοθείσης ημίν χάριτος! Διό ύμνοις άσωμεν τώ ευεργέτη Θεώ, τώ αναδείξαντι τούτους, εις ιατρείαν τών ψυχών καί τών σωμάτων ημών.

Καί νύν… Θεοτοκίον

Δέσποινα πρόσδεξαι, τάς δεήσεις τών δούλων σου, καί λύτρωσαι ημάς, από πάσης ανάγκης καί θλίψεως.

Η Σταυροθεοτοκίον

Οι Μάρτυρές σου, Κυριε

Ου φέρω τέκνον βλέπειν σε, τόν τήν εγρήγορσιν πάσι διδούντα, ξύλω υπνώσαντα, όπως τοίς πάλαι, εκ παραβάσεως καρπού, ύπνω ολεθρίω αφυπνώσασι, θείαν καί σωτήριον εγρήγορσιν παράσχης, η Παρθένος, έλεγε θρηνωδούσα, ήν μεγαλύνομεν.

Εις τήν Λειτουργίαν

Τά Τυπικά, καί από τών Κανόνων τών Αγίων η γ' καί ς' Ωδή.

Κοινωνικόν

Εις μνημόσυνον αιώνιον έσται Δίκαιος. Αλληλούϊα.

---

Αρχή

**ΤΗ Β' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήιμη τών Αγίων Μαρτύρων Ακινδύνου, Πηγασίου Αφθονίου

Ελπιδηφόρου καί Ανεμποδίστου.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά προσόμοια τών Αγίων τρία.

Ήχος δ’
Ως γενναίον εν Μάρτυσιν

Τό πεντάριθμον σύνταγμα, τών Μαρτύρων υμνήσωμεν, τόν σοφόν Ακίνδυνον καί Πηγάσιον, Ελπιδηφόρον Αφθόνιον, καί τόν Ανεμπόδιστον, τούς γενναίους Αθλητάς, καί θερμούς αντιλήπτορας, τούς πηγάζοντας, ανεμπόδιστον χάριν καί ελπίδος, αφθονίαν ακινδύνως, τοίς ευσεβέσι παρέχοντας.

Ου λιμός ουδέ κίνδυνος, ού ζωή ουδέ θάνατος, ου λεβήτων βράσματα, ου γής χάσματα, ουδέ θηρίων τά στόματα, χωρίσαι δεδύνηνται, τής αγάπης τού Χριστού, τήν υμών καρτερόφρονες, γενναιότητα, πρός αυτόν γάρ απαύστως ενορώντες, καί αυτόν μόνον ποθούντες, τούς δυσμενείς ετροπώσασθε.

Οι τρυφής απολαύοντες, καί φωτός εμφορούμενοι, καί ζωήν αιώνιον κληρωσάμενοι, τούς πρός υμάς καταφεύγοντας, κινδύνων λυτρώσασθε, καί δεσμών καί φυλακής, καί παντοίας κακώσεως, τή θεόφρονι, πρός Θεόν παρρησία κεχρημένοι, καί συμπάθειαν δεικνύντες, τήν αληθώς χρστομίμητον.

Δόξα… Ήχος πλ. β' Αντωνίου

Σήμερον η πενταυγής τών Μαρτύρων ομήγυρις, ώς σελασφόρων αστέρων συνέλευσις, τούς πιστούς σελαγίζουσα, πρός μυστικήν ευφροσύνην εκάλεσεν. Ούτοι καί γάρ, ώς τού νοητού Ηλίου θεράποντες, καί τών Περσικών καθαιρέται δογμάτων, τούς τώ αισθητώ Ηλίω προσανέχοντας, καί προσκυνούντας τό πύρ, εχειραγώγησαν πρός ευσέβειαν, εκέρασαν δέ πλήρη τόν αθλοφορικόν αυτών κρατήρα, καί τοίς διά Χριστόν εκχυθείσιν αίμασιν έστεψαν, ημάς προτρεπόμενοι τούς ευσεβείας εραστάς, Δεύτε, λέγοντες, τούς αγώνας ημών εστιάθητε καί τούς στεφάνους καί τά γέρα προσβλέψατε, ο γάρ υπομείνας εις τέλος, ούτος σωθήσεται, Χριστός η αλήθεια απεφήνατο, ίνα κοινωνοί γένησθε τών στεφάνων ημίν, καί πρεσβευτάς ημάς, πρός Κύριον έχητε.

Καί νύν... Θεοτοκίον
Όλην αποθέμενοι

Κητώας κοιλίας με, τής πονηράς αμαρτίας, εξάγαγε Δέσποινα, εν γαστρί χωρήσασα τόν αχώρητον, χαλεπού κλύδωνος, πειρασμών λύτρωσαι, καταιγίδος παραπτώσεων, Κόρη εξάρπασον, τών ανομιών μου ξηραίνουσα, τό πέλαγος καί παύουσα, τής δαιμονικής παρατάξεως, τάς επαναστάσεις, τή θεία συμπαθεία σου Αγνή, όπως απαύστως δοξάζω σε, τήν αειμακάριστον.

Η Σταυροθεοτοκίον

Τόν Άρνα τόν ίδιον, Αμνάς η άσπιλος πάλαι, καί άμωμος Δέσποινα, εν Σταυρώ υψούμενον ώς εώρακε, μητρικώς ωλόλυζε, καί εκπληττομένη, ανεβόα. Τί τό όραμα, τέκνον γλυκύτατον, τούτο τό καινόν καίπαράδοξον, πώς

δήμος ο αχάριστος, βήματι Πιλάτου παρέδωκε, καί κατέκρινέ σε, θανάτω τήν ζωήν τήν τών βροτών, αλλ’ ανυμνώ σου τήν άφατον, Λόγε συγκατάβασιν.

Εις τόν Στίχον, Στιχηρά της Όκτωήχου.

Δόξα... Ήχος β’

Δεύτε αγαλλιασώμεθα τώ Κυρίω, εν τή μνήμη σήμερον τών Αθλοφόρων ώ φιλέορτοι. Δεύτε ευφημήσωμεν αυτούς, μυστικώς εγκωμιάζοντες. Χαίροις, Ακίνδυνε, χαίροις Πηγάσιε, χαίροις Ανεμποδιστε, χαίροις Ελπιδηφόρε, χαίροις Αφθόνιε, οι τήν πλάνην τών ειδώλων εις χάος βυθίσαντες, καί Χριστόν τόν Κύριον, εν μέσω τού σταδίου, τρανώς κηρύξαντες. Διό παμμακάριστοι καί πολύαθλοι, μή παύσητε πρεσβεύειν, υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

Τήν πάσαν ελπίδα μου εις σέ ανατίθημι, Μήτηρ τού Θεού, φύλαξόν με υπό τήν σκέπην σου.

Η Σταυροθεοτοκίον

Ότε εκ τού ξυλου

Ξύλω, τού Σταυρού σε Ιησού, προσαναρτηθέντα ορώσα, η Απειρόγαμος, έκλαιε καί έλεγε. Τέκνον γλυκύτατον, ίνα τί εγκατέλιπες, εμέ τήν τεκούσαν, μόνην φώς απρόσιτον, τού προανάρχου Πατρός; σπεύσον, καί δοξάσθητι όπως, δόξης επιτύχωσι θείας, οι τά θεία πάθη σου δοξάζοντες.

Απολυτίκιον Ήχος β’

Αθλοφόροι Κυρίου, μακαρία η γή, η πιανθείσα τοίς αίμασιν υμών, καί άγιαι αι σκηναί, αι δεξάμεναι τά πνεύματα όμων, εν σταδίω γάρ τόν εχθρόν εθριαμβεύσατε, καί Χριστόν μετά παρρησίας εκηρύξατε. Αυτόν ως αγαθόν ικετεύσατε, σωθήναι δεόμεθα τάς ψυχάς ημών.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, λέγονται οι Κανόνες τής Οκτωήχου, καί τών Αγίων ο παρών, ού ή, Ακροστιχίς.

Ταίς σαίς λιταίς με Μαρτύρων πληθύς σκέπε.

Ποίημα Θεοφάνους

Ωδή α' Ήχος δ'

«Ανοίξω τό στόμα μου, καί πληρωθήσεται Πνεύματος, καί λόγον ερεύξομαι,τή Βασιλίδι Μητρί, καί οφθήσομαι, φαιδρώς πανηγυρίζων, καί άσω γηθόμενος, ταύτης τά θαύματα».

Τριάδος ισάριθμοι, τής Παναγίας πανόλβιοι, Τριάδος εδείχθητε, προσκυνηταί

τής σεπτής, καί παρίστασθε, τώ θρόνω τής Τριάδος, θερμοί αντιλήπτορες, τών προστρεχόντων υμίν.

Ακίνδυνον Άγιοι, ανεμποδίστως πηγάζετε, τήν χάριν προσνέμοντες, τοίς προσιούσι πιστώς, πάντα κίνδυνον, καί πάσαν αθυμίαν, καί ζάλην καί τάραχον, ικαταπραΰνοντες.

Ισχύν τήν ανίκητον, περιζωσάμενοι Άγιοι, σαρκός τήν ασθένειαν, ουκ ελογίσασθε, αλλ' απτόητον, τό φρόνημα δεικνύντες, πυρός καί κολάσεων, κατετολμήσατε.

Θεοτοκίον

Σύ μόνη Θεονυμφε, τόν εν υψίστοις καθήμενον, αγκάλαις εβάστασας, σάρκα γενόμενον, σύ γάρ πέφηνας, εκ πάντων τών αιώνων, δοχείον επάξιον, τού Παντοκράτορος.

Ωδή γ’

«Ουκ εν σοφία, καί δυνάμει καί πλούτω καυχώμεθα, αλλ’ εν σοί τή τού Πατρός, ενυποστάτω σοφία Χριστέ, ού γάρ εστιν Άγιος, πλήν σου Φιλάνθρωπε».

Στερεωθέντες, τού Χριστού τή δυνάμει πανάριστοι, διανοία σταθηρά, διά πυρός τε καί ύδατος, αθλούντες διήλθετε, πρός τά ουράνια.

Αρραγεστάτη, τών μελλόντων ελπίδι νευρούμενοι, τών παρόντων αλγεινών, ανδρειοτάτω φρονήματι, πανένδοξοι Μάρτυρες, κατεφρονήσατε.

Ίσα φρονούντες, τοίς τρισί Νεανίαις πανεύφημοι, απονοίας Περσικής, τό πύρ σβεννύντες εφανητε, τή δρόσω τού Πνεύματος, περιχεόμενοι.

Θεοτοκίον

Σέ προστασίαν, ασφαλή Θεομήτορ κεκτήμεθα, τάς ελπίδας επί σοί, ανατιθέντες σωζόμεθα, πρός σέ καταφεύγοντες, περιφρουρούμεθα.

Κάθισμα Ήχος δ’

Κατεπλάγη Ιωσήφ

Κατεπλάγησαν ποτέ, τών ανομούντων οι λαοί, τό ανδρείον τών ψυχών, βλέποντες Μάρτυρες υμών, καί τώ Κυρίω πιστεύοντες ανεκραύγαζον. Δόξα σοι Χριστέ, παντοδυναμε, σύ γάρ εί Θεός, καί ουκ οίδαμεν έτερον, ο ενεργών παράδοξα θαυμάσια, εν τοίς αγίοις σου Μάρτυσιν. Αυτών πρεσβείαις, Σωτήρ τού κόσμου, φώτισον τούς υμνούντάς σε.

Δόξα… Ήχος πλ. δ’ Τήν Σοφίαν

Ακινδύνως τόν δρόμον τόν ευσεβή, εν σταδίω αθλούντες οι ευκλεείς, ελπίδι διήνυσαν, τών στεφάνων ρωννύμενοι, τούς γάρ υπεναντίους, εις τέλεον ώλεσαν, ανεμποδίστως τήν νίκην, αυτών περαιώσαντες, όθεν καί αφθόνως, τοίς αιτούσιν εν πίστει, πηγάζουσι πάντοτε, τήν πληθύν τών ιάσεων, οίς εν

πίστει βοήσωμεν. Πρεσβεύσατε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοις εορτάζουσι πόθω, τήν αγίαν μνήμην υμών.

Καί νύν... Θεοτοκίον

Τήν Σοφίαν καί Λόγον εν σή γαστρί, συλλαβούσα αφλέκτως Μήτηρ Θεού, τώ κόσμω εκύησας, τόν τόν κόσμον κατέχοντα, καί εν αγκάλαις έσχες, τόν πάντα συνέχοντα, τόν τροφοδότην πάντων, καί πλάστην καί Κύριον, όθεν δυσωπώ σε, Παναγία Παρθένε. Ρυσθήναι πταισμάτων μου, όταν μέλλω παρίστασθαι, πρό προσώπου τού Κτίστου μου. Δέσποινα Παρθένε Αγνή, τήν σήν βοήθειαν τότε μοι δώρησαι, καί γάρ δύνασαι, όσα θέλεις πανάμωμε.

Η Σταυροθεοτοκίον

Τόν Αμνόν καί Ποιμένα καί Λυτρωτήν, η Αμνάς θεωρούσά σε εν Σταυρώ, αδίκως κρεμάμενον, θρηνωδούσα εβόα σοι, Ο μέν κόσμος ευφραίνεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήν περ υπομένεις, διά σπλάγχνα ελέους, Θεέ υπεράγαθε, ανεξίκακε Κύριε. Ή πιστώς εκβοήσωμεν. Σπλαγχνίσθητι Παρθένε εφ' ημάς, καί πταισμάτων δώρησαι τήν άφεσιν, τοίς προσκυνούσιν εν πίστει, αυτού τά παθήματα.

Ωδή δ'

«Ο καθήμενος εν δόξη, επί θρόνου θεότητος, εν νεφέλη κούφη, ήλθεν Ιησούς ο υπέρθεος, τή ακηράτω παλάμη καί διέσωσε, τούς κραυγάζοντας. Δόξα Χριστέ τή δυνάμει σου».

Λαμπρυνόμενοι τώ κάλλει, τής αρίστης αθλήσεως, φαεινοί λαμπτήρες, Μάρτυρες Χριστού ανεδείχθητε, φαεινοτάταις ακτίσι καταυγάζοντες, τούς κραυγάζοντας. Δόξα Χριστέ τή δυνάμει σου.

Ιλαστήριον τό αίμα, τών Μαρτύρων γεγένηται, καί ευωδεστάτη, όντως τώ Θεώ καθιέρωσις, ανεμποδίστως διδούσα τήν ακίνδυνον, αναβρύουσαν, πάσι πηγήν τών ιάσεων.

Τών ποικίλων πειρασμών τε, καί κινδύνων τήν έφοδον, ταίς υμών πρεσβείαις, ταίς πρός τόν Χριστόν διεκρούσασθε, τών εκτελούντων εν πίστει τήν πανίερον, καί πανέορτον, μνήμην υμών αξιάγαστοι.

Ανατρέψαντες τής πλάνης, τών ειδώλων τό άθεον, τού Θεού τών όλων, τήν ζωοποιούσαν ενέργειαν, επί τών έργων δεικνύντες εκραυγάζετε, αεισέβαστοι. Δόξα Χριστέ τή δυνάμει σου.

Θεοτοκίον

Ισχυρότατόν σε όπλον, κατ' εχθρών προβαλλόμεθα, δυσχερείας πάσης, καί τών χαλεπών περιστάσεων, αποσειόμεθα βλάβην καί τόν κλύδωνα, τών αιρέσεων, Μήτηρ Θεού διαφεύγομεν.

Ωδή ε'

«Ασεβείς ουκ όψονται, τήν δόξαν σου, αλλ' ημείς σέ Μονογενές, Πατρικής απαύγασμα, δόξης θεότητος, εκ νυκτός ορθρίζοντες, ανυμνούμέν σε

φιλάνθρωπε».

Σεαυτόν Αφθόνιε, προσήγαγες Θεώ, καρτερώς τήν τυραννικήν διελέγξας Ένδοξε, γνώμην τήν άθεον, καί φωτί προσέδραμες, τώ τής πίστεως γηθόμενος.

Μυηθείς Αφθόνιε, τό πάθος τού Χριστού, δι' αυτόν σού τήν κεφαλήν, απετμήθης άριστε, καί πρός τήν άληκτον ευφροσύνην έσπευσας, καί αθάνατον απόλαυσιν.

Επί τήν ασάλευτον, ελπίδα στηριχθείς, καί τερπνών τών επί τής γής, καταπτύσας πάνσοφε Ελπιδηφόρε, επτερώθης έρωτι, τής αχράντου ωραιότητος.

Μακαρίας λήξεως, αφράστου τε τρυφής, εν σκηναίς ταίς εν ουρανοίς, ηξιώθης Ένδοξε, Μάρτυς Ακίνδυνε, ακλινώς γάρ έδραμες, σύ τόν δρόμον τής αθλήσεως.

Θεοτοκίον

Ανατείλας Ήλιος, εκ σού ο νοητός, τηλαυγώς τάς μαρμαρυγάς, τής αυτού θεότητος, πάσιν εφήπλωσε, Θεοτόκε Δέσποινα, διό πάντες σε δοξάζομεν.

Ωδή ς'

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμονων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Ρεόντων, τό φθαρτόν παριδόντες τά άφθαρτα, κατηξιώθητε βλέπειν, πειρασμών ούν ρύσασθε καί κινδύνων, τούς εν πίστει, υμάς προσκαλουμένους Αήττητοι.

Τριάδος, τής αρχικής πανένδοξοι Μάρτυρες, τούς χαλεπώς δεδεμένους, καί φρουραίς αφύκτοις κατεχομένους, διαλύσαι, ταίς υμών ικεσίαις σπλαγχνίσθητε.

Υπέρ σού, εαυτούς παραδόντες εις θάνατον, αθανασίας Σωτήρ μου, οι γενναίοι έτυχον καί σωτήρες, τών εν ζάλη, καί συμφοραίς καί θλίψει γεγόνασιν.

Θεοτοκίον

Ρήξόν μου, τό τών πταισμάτων Κόρη χειρόγραφον, τής συνεχούσης με λύπης, καί παθών τήν λύσιν χαριζομένη, καί τηρούσα, διηνεκώς αλώβητον Δέσποινα.

Κοντάκιον Ήχος δ' Ο υψωθείς

Τή τής Τριάδος καλλονή λαμπρυνθείσα, η πενταυγής τών Αθλητών θεία φάλαγξ, τάς τών τυράννων ήμβλυνε δεινάς προσβολάς, άφθονον ακίνδυνον, ανεμπόδιστον χάριν, άπασι πηγάζουσα, τοίς ελπίδι καί πόθω, ενθέως

προσιούσι δι' αυτών, τώ πάντων Κτίστη, Χριστώ τώ Θεώ ημών.

Ο Οίκος

Τήν ρυπωθείσαν μου ψυχήν, τώ ρείθρω τού ελέους, τής σής φιλανθρωπίας, απόσμηξον Οικτίρμον, καί εν φωτί αειλαμπεί, αύγασον υμνήσαι τόν πεντάριθμον χορόν τών Μαρτύρων σου, Ακίνδυνον καί θείον Πηγάσιον, σύν Ελπιδηφόρω καί Αφθονίω τόν γενναίον Ανεμπόδιστον, τούς σεπτούς Αθλοφόρους, οί πάσαν προσβολήν βασάνων ανδρείως, τή αγάπη σου σαφώς τρέψαντες Λόγε, θύμα λογικόν προσήγαγόν σοι εαυτούς τώ πάντων Κτίστη, Χριστώ τώ Θεώ ημών.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Β’ τού αυτού μηνός, Μνήμη τής αθλήσεως τών Αγίων Μαρτύρων Ακινδύνου, Πηγασίου, Αφθονίου, Ελπιδηφορου, καί Ανεμποδίστου.

Στίχοι

Ακίνδυνον πύρ, τών δέ λοιπών τεττάρων,
Ούς μέν τό πύρ έκτεινεν, ούς δέ τό ξίφος.
Δευτέρη Αφθονίω καί τέταρσι, πύρ άορ, άθλος.

Τή αυτή ημέρα οι από τής Συγκλήτου βουλής Άγιοι ξίφει τελειούνται.

Στίχοι

Συγκλητικοί ποθούντες άφθαρτον γέρας,
Συγκλητικά τμηθέντες αρνούνται γέρα.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Ευδοξίου, Αγαπίου, καί λοιπών Αγίων οκτώ.

Στίχοι

Τό πύρ αριστείς καρτερήσαντες δέκα,
Πρός τήν αρίστην λήξιν ήκον οι δέκα.

Τή αύτή ημέρα Μνήμη τού Οσίου Πατρός ημών Μαρκιανού τού εν τή Κύρω.

Οι Άγιοι Μάρτυρες Ευδόξιος καί Αγάπιος, καί έτεροι οκτώ πυρί τελειούνται.

Αι Άγιαι Μάρτυρες Κυριακή Δομνίνα καί Δόμνη, ξίφειτελειούνται.

Ταίς αυτών Αγίαις πρεσβείαις, ο Θεός ελέησον ημάς. Αμήν.

Ωδή ζ'

«Ο διασώσας εν πυρί, τούς Αβραμιαίους σου Παίδας, καί τούς Χαλδαίους ανελών, οις αδίκως δικαίους ενήδρευσαν, υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί».

Ως ελυτρώσω τής φλογός, τούς τρείς ευσεβείς Νεανίας, ούτω καί νύν τούς

Αθλητάς, εν καμίνω πυρός διεφύλαξας, ομοφρόνως βοώντάς σοι. Ο Θεός ο τών Πατέρων ευλογητός εί.

Νέμεις αφθόνους δωρεάς, καί θαυματουργίας πηγάζεις, τοίς Αθλοφόροις σου Χριστέ, συνεργών καί συμπράττων ως εύσπλαγχνος, καί φαινόμενος ψάλλουσιν, Ο Θεός ο τών Πατέρων ευλογητός εί.

Πλήθη Μαρτύρων αψευδώς, συγκεκροτημένα πίστει, προσενηνόχατε Χριστώ, παραδόξων θαυμάτων επίδειξιν, ενεργούντες καί ψάλλοντες. Ο Θεός ο τών Πατέρων ευλογητός εί.

Θεοτοκίον

Λελυτρωμένοι διά σού, τής τών προπατόρων κατάρας, καί πρός αϊδιον τρυφήν, μεταστάντες τό Χαίρέ σοι κράζομεν, υπερένδοξε Δέσποινα, η Θεόν σεσαρκωμένον ημίν τεκούσα.

## Ωδή η'

«Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις παντας τούς αιώνας».

Η ευαγεστάτη τών Μαρτύρων, πανήγυρις χαρμοσύνως επεδήμησε, κόσμον καταυγάζουσα, πάντας κατευφραίνουσα, καί τηλαυγώς φαιδρύνουσα, πίστει τούς ψάλλοντας. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θηρίων καί βόθρων καί βασάνων, αγρίων κατετολμήσατε Μακάριοι, έχοντες συλλήπτορα, τόν ακαταγώνιστον, καί τόν τής δόξης Κύριον, ώ νύν κραυγάζομεν. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Υμάς τούς γενναίους Αθλοφόρους, Ακίνδυνον Πηγάσιον Αφθόνιον, αύθις Ανεμπόδιστον καί τόν παναοίδιμον, Ελπιδηφόρον έχοντες, τείχος ακράδαντον, τόν Κύριον υμνούμεν απαύστως, καί υπερυψούμεν, εις πάντας τούς αιώνας.

Στεφάνω τής νίκης κοσμηθέντες, καί κάλλους διαδήματι λαμπόμενοι, αίγλην τήν ανέσπερον, τέλος τό μακάριον, εν ουρανοίς ειλήφατε, Μάρτυρες κράζοντες. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τους αιώνας.

Θεοτοκίον

Στόματι καί γνώμη Θεοτόκον, φρονούντες ομολογούμέν σε Πανάμωμε, τέτοκας γάρ Πάναγνε, σάρκα περιθέμενον, τόν Ποιητήν καί Κύριον, καί Βασιλέα Χριστόν, διό σε τήν Παρθένον υμνούμεν, καί υπερυψούμεν, εις πάντας τούς αιώνας.

Ωδή θ'

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μακαρίζομεν».

Καμάτους υμών τούς επί γής ουράνιος, ευφροσύνη διεδέξατο, ένθα Μαρτύρων αι χορείαι, καί τά τών Αθλοφόρων στρατεύματα, καί πάσα τών Πρωτοτόκων ομήγυρις, τοίς οθρανίοις συνευφραίνεται.

Εκ τών δεσμών τών οδυνηρών Πανόλβιοι, καί κινδύνων διασώσατε, πάντας τούς πίστει, τήν αγίαν πανήγυριν, υμών εορτάζοντας, ειρήνην καί γαλήνην αιτούμενοι, καί σωτηρίαν πανσεβάσμιοι.

Πλουσίω λαμπόμενοι φωτί καί χάριτι, Αθλοφόροι διαπρέποντες, λύσιν πταισμάτων καί φροντίδων, άμα τοίς σύν υμίν αριστεύσασι, δοθήναι τοίς πρός υμάς καταφεύγουσι, τόν ευεργέτην δυσωπήσατε.

Θεοτοκίον

Εύα μέν τού ξύλου τής ζωής εξώρισται, κωλυθείσα τής μεθέξεως σύ δέ Παρθένε Θεοτόκε, ζωήν τήν πρό αιώνων εκύησας, τώ κόσμω τήν ζωηφόρον ενέργειαν, χαριζομένη διά πίστεως.

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Ακίνδυνον πηγάζετε, τήν χάριν τών ιάσεων, ανεμποδίστως αφθόνως, τοίς επ' ελπίδι τελούσι, τήν μνήμην υμών Άγιοι, αλλά καί νύν πηγάζοιτε, ιάματα πανεύφημοι, τοίς υμάς πόθω τιμώσι, πεντάριθμοι Αθλοφόροι.

Θεοτοκίον

Τήν φύσιν ανεκαίνισας, φθαρείσαν τού προπάτορος, υπερφυώς συλλαβούσα, καί απειράνδρως τεκούσα, τόν Πλάστην πάσης φύσεως, υφ' ού ρωσθέντες ήθλησαν, χοροί Μαρτύρων μέλποντες, σέ τής ημών σωτηρίας, τήν απαρχήν Θεοτόκε.

Εις τόν Στίχον, τά Στιχηρά τής Οκτωήχου, είτα τό ιδιόμελον τούτο.

Ήχος β’

Στίχ. Θαυμαστός ο Θεός εν τοίς Αγίοις αυτού.

Αιμάτων τοίς κρουνοίς τό σώμα βάψας, ακινδύνως διήλθες, τήν τού μαρτυρίου οδόν, αθλοφόρε Ακίνδυνε. όθεν καί ισχύν τήν ένθεον περιζωσάμενος, τά τού εχθρού εξέκοψας μηχανουργήματα, Χριστώ τώ Θεώ, υπέρ ημών πρεσβεύων,τού σωθήναι τάς ψυχάς ημών.

Δόξα… Ήχος δ’

Η πενταφεγγής τών Αθλητών λαμπάς, ώς εν δρυμώ ξύλων αξίνη, δαυϊτικώς εξέκοψε τήν πλάνην τού εχθρού, καί ομολογήσαντες Χριστόν, εναντίον

βασιλέων, απαύστως πρεσβεύουσιν, υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

Ως γενναίον εν Μάρτυσι

Μακαρίζω σε Πάναγνε, τήν βροτούς αφαρπάσασαν, εκ βυθού κακίας καί απογνώσεως, υμνολογώ σε Θεόνυμφε τήν αειμακάριστον, καί δοξάζω σου Σεμνή, τήν απόρρητον κύησιν, ότι έτεκες, τόν Σωτήρα τού κόσμου, καί κατάρας, ηλευθέρωσας Παρθένε, προγονικής τό ανθρώπινον.

Η Σταυροθεοτοκίον

Εν Σταυρώ ως εώρακε, καθηλούμενον Κύριε, η Αμνάς καί Μήτηρ σου εξεπλήττετο, καί, Τί τό όραμα έκραζεν, Υιέ ποθεινότατε; ταύτά σοι ο απειθής, δήμος ανταποδίδωσιν, ο παράνομος, ο πολλών σου θαυμάτων απολαύσας; Αλλά δόξα τή αρρήτω, συγκαταβάσει σου Δέσποτα.

Καί τά λοιπά τού Όρθρου, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Γ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Μαρτύρων, Ακεψιμά, Ιωσήφ, καί Αειθαλά, καί τών εγκαινίων τού ναού τού Αγίου Μεγαλομάρτυρος Γεωργίου, τού εν Λύδδη, ήτοι τής καταθέσεως τού τιμίου σώματος αυτού.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Προσόμοια Στιχηρά τών Μαρτυρων.

Ήχος πλ. α'

Χαίροις ασκητικών αληθώς

Χαίροις η τής Τριάδος τριάς, τών αρετών τά καθαρά καταγώγια, κρατήρες τόν θείον οίνον, τής ευσεβείας ημών, τάς ψυχάς ευφραίνοντα οι προχέοντες, μαζοί οι τό γάλα, τών ιαμάτων πηγάζοντες, άστρα τό φέγγος, αληθείας πυρσεύοντα, καί τά πέρατα, φωταυγίαις λαμπρύνοντα, Μάρτυρες μεγαλώνυμοι, οι νύκτα μειώσαντες, τής αγνωσίας καί πάντων, τάς διανοίας φωτίσαντες, Χριστόν δυσωπείτε, ταίς ψυχαίς ημών δοθήναι, τό μέγα έλεος.

Χαίροις, Ακεψιμά Ιερέ, Αειθαλά καί Ιωσήφ αξιάγαστοι, τώ θείω πυρί τήν πλάνην, πυρσολατρών δυσσεβών, επιγνώσει θεία κατασβέσαντες, δι' ών οι θρησκεύοντες, παρανόμως τόν ήλιον, καί τούς αστέρας, παντελώς ημαυρώθησαν, καί κατήργηται, η τών μάγων επίνοια, Μάρτυρες αεισέβαστοι, Τριάδος υπέρμαχοι, φώς τοίς εν σκότει αγνοίας, τού αληθούς Αρχιποίμενος, Χριστού τού τυθέντος, καί παρέχοντος τώ κόσμω, τό μέγα έλεος.

Πάσαν επιφοράν τών δεινών, ανδρειοτάτω λογισμώ υπηνέγκατε, αλόγοις τε ώσπερ φόρτος, επιτεθέντες σοφοί, πρός βασάνων πλείω πείραν ήγεσθε, διό συγκοπτόμενοι, καί ροπάλοις τυπτόμενοι, καί ταίς αικίαις, χαλεπώς

δαπανώμενοι, ουκ εκάμφθητε, ου Θεόν εξηρνήσασθε, όθεν προσαπηνέγκατε, τής νίκης τόν στέφανον, καί ταίς Μαρτύρων αγέλαις, περιφανώς ηριθμήθητε, μεθ' ών εξαιτείσθε, ταίς ψυχαίς ημών δοθήναι, τό μέγα έλεος.

Καί τού Αγίου Γεωργίου, όμοια

Χαίρων αυτοκινήτοις ορμαίς, πρός τούς αγώνας ανδρικώς προσεχώρησας, καί πάσαν εκπλήξας φρένα, τή καρτερία τή σή, τών τυράννων θράση κατεπάτησας, λαμπράν πρός Αγγέλων, διαγωγήν μεταβέβηκας, περιχορεύων, σύν αυτοίς καί γηθόμενος, σώζων πάντοτε, τούς Πιστώς σε γεραίροντας, Μάρτυς επιστασίαις σου, παμμάκαρ Γεώργιε, καί συμπαθεία πενήτων, τοίς οδυρμοίς επικλώμενος, Χριστόν ικετεύεις, τόν παρέχοντα τώ κόσμω τό μέγα έλεος.

Ίθι τοίς ευφημούσιν ημίν, καί θλιβομένοις αρωγός γενησόμενος, τόν πονον επικουφίζων, τών χαλεπών πειρασμών, καί τό βάρος τούτων αφαιρούμενος, φρουρών καί φυλάττων, καί διασώζων Γεώργιε, διαβιβάζων, πρός Θεόν διά πίστεως, καί προστάγμασιν, εμβιβάζων τού Κτίσαντος, όπως δι' αγαθότητος, τής τούτου βιώσαντες, τύχωμεν πάντες τών θείων, εν ουρανοίς αντιδόσεων, Χριστόν ανυμνούντες, τόν παρέχοντα τώ κόσμω, τό μέγα έλεος.

Μέγα καί θαυμαστόν αληθώς, τής σής αρρήτου μαρτυρίας κηρύττεται, τό κλέος Ένδοξε Μάρτυς, ως γάρ λαμπρός αριστεύς, διατρέχεις πάσαν αξιάγαστε, τήν κτίσιν Γεώργιε, πλείσταις όντως κοσμούμενος, θαυματουργίαις, καί τάς νόσους ιώμενος, καί τούς πάσχοντας, θεραπεύων πρεσβείαις σου, όθεν ως αντιλήπτορα, θερμόν σε γινώσκομεν, καί ευεργέτην παμμάκαρ, τούς αιχμαλώτους ρυόμενον, Χριστόν ούν δυσώπει, ταίς ψυχαίς ημών δοθήναι, τό μέγα έλεος.

Δόξα… τού Αγίου Γεωργίου

Ήχος πλ. β'

Αξίως τού ονόματος, επολιτεύσω στρατιώτα Γεώργιε, τόν Σταυρόν γάρ τού Χριστού, επ' ώμων αράμενος, τήν εκ διαβολικής πλάνης, χερσωθείσαν γήν εκαλλιέργησας, καί τήν ακανθώδη θρησκείαν τών ειδώλων εκριζώσας, τής ορθοδόξου πίστεως κλήμα κατεφύτευσας, όθεν βλυστάνεις ιάματα, τοίς εν πάση τή οικουμένη πιστοίς καί Τριάδος γεωργός, δίκαιος ανεδείχθης, Πρέσβευε δεόμεθα, υπέρ ειρήνης τού κόσμου, καί σωτηρίας τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής. Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Η Σταυροθεοτοκίον

Τριήμερος ανέστης

Ορώσά σε σταυρούμενον, Χριστέ η σέ κυήσασα, ανεβόα. Τί τό ξένον ό ορώ, μυστήριον Υιέ μου; πώς επί ξύλου θνήσκεις, σαρκί κρεμάμενος ζωής χορηγέ;

Εις τόν Στίχον, Στιχηρά Προσόμοια, τού Αγίου Γεωργίου.

Ήχος δ’
Ως γενναίον εν Μάρτυσι

Αθλοφόρε Γεώργιε, τών Αγγέλων συνόμιλε, τών Μαρτύρων σύσκηνε, καταφύγιον, τών θλιβομένων εκάστοτε, λιμήν αναψυξεως, θαλαττευοντι καμοί, εν τώ βίω γενήθητι, καί κυβέρνησον, δυσωπώ τήν ζωήν μου, όπως πίστει, αδιστάκτω μακαρίζω, τούς υπέρ φύσιν αγώνάς σου.

Στίχ. Θαυμαστός ο Θεός εν τοίς αγίοις αυτού ο Θεός Ισραήλ αυτός δώσει δύναμιν καί κραραίωσιν τώ λαώ αυτού ευλογητός ο Θεός.

Εν θαλάσση με πλέοντα, εν οδώ με βαδίζοντα, εν νυκτί καθεύδοντα περιφρούρησον, επαγρυπνούντα διάσωσον, παμμάκαρ Γεώργιε, καί οδήγησον ποιείν, τού Κυρίου τό θέλημα, όπως εύροιμι, εν ημέρα τής δίκης τών εν βίω, πεπραγμένων μοι τήν λύσιν, ο καταφεύγων τή σκέπη σου.

Στίχ. Τοίς Αγίοις τοίς εν τή γή αυτού εθαυμάστωμεν πάντα τά θέλημα αυτού εν αυτοίς.

Τώ τής πίστεως θώρακι, καί ασπίδι τής χάριτος, καί Σταυρού τώ δόρατι συμφραξάμενος, τοίς εναντίοις ανάλωτος, εγένου Γεώργιε, καί ως θείος αριστεύς, τών δαιμόνων τάς φάλαγγας, τροπωσάμενος, σύν Αγγέλοις χορεύεις, τούς πιστούς δέ, περιέπων αγιάζεις, καί διασώζεις καλούμενος.

Δόξα... Τών Μαρτύρων
Ήχος πλ. β’ Εφραίμ Καρίας

Προοίμιον τυπικώς, τής τρισσοφεγγούς υμών ομονοίας, καί εν Χριστώ μαρτυρίας τής ακηράτου Τριάδος, καί υπερουσίου Μονάδος Αθληταί, οι εν Περσίδι άφλεκτοι συντηρηθέντες, τρείς Παίδες γεγονασιν, ως γάρ εκείνοι φλογός κατετόλμησαν, εις Θεόν μή υβρίσαντες, ούτω καί υμείς θανείν ου παρητήσασθε, μή υπενδόντες τή τού Χριστού αγαπήσει. Αλλ’ ως εκείνους ο φανείς τέταρτος, εν τή φλογί εδρόσιζεν, ούτω καί υμάς Χριστός, ο εις τής Τριάδος, προσεδέξατο εν τόπω αναψύξεως. Ακεψιμά σύν τώ Ιωσήφ, καί Αειθαλά θεόληπτοι, πρεσβεύσατε υπέρ τών ψυχών ημών.

Καί νύν… Θεοτοκίον

Θεόν εκ σού σαρκωθέντα έγνωμεν, Θεοτόκε Παρθένε, αυτόν ικέτευε, σωθήναι τάς ψυχάς ημών.

Η Σταυροθεοτοκίον
Τριήμερος ανέστης Χριστέ

Η Πάναγνος ως είδέ σε, επί Σταρού κρεμάμενον, θρηνωδούσα, ανεβόα μητρικώς, Υιέ μου καί Θεέ μου, γλυκύτατόν μου τέκνον, πώς φέρεις πάθος επονείδιστον.

Απολυτίκιον τών Μαρτύρων
Ήχος δ’ Ταχύ προκατάλαβε

Οι Μάρτυρές σου, Κύριε, εν τή αθλήσει αυτών, στεφάνους εκομίσαντο τής αφθαρσίας, εκ σού τού Θεού ημών, σχόντες γάρ τήν ισχύν σου, τούς τυράννους καθείλον, έθραυσαν καί δαιμόνων, τά ανίσχυρα θράση. Αυτών ταίς ικεσίαις, Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

Καί τού Αγίου Γεωργίου   Ήχος δ’

Ως τών αιχμαλώτων ελευθερωτής, καί τών πτωχών υπερασπιστής, ασθενούντων ιατρός, βασιλέων υπέρμαχος, τροπαιοφόρε μεγαλομάρτυς Γεώργιε, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν τού Ψαλτηρίου, αναγινώσκονται οι Κανόνες, εις τής Οκτωήχου, καί οι δύο παρόντες τών Αγίων.

Ο Κανών τών Μαρτύρων, ού η Ακροστιχίς.

Άνθη τά τερπνά Μαρτύρων επαινέσω. Ιωσήφ.

Ωδή α'  Ήχος α'

«Σού η τροπαιούχος δεξιά, θεοπρεπώς εν ισχύϊ δεδόξασται, αύτη γάρ αθάνατε ως πανσθενής υπεναντίους έθραυσε, τοίς Ισραηλίταις, οδόν βυθού καινουργήσασα».

Αίγλη τρισηλίου αστραπής, φωτιστικώς αυγαζόμενοι Μάρτυρες, ταύτην τήν πανίερον μνήμην υμών, τούς ευσεβώς γεραίροντας, σκότους αμαρτίας, καί παθημάτων λυτρώσασθε.

Νόμοις τού Δεσπότου καί Θεού, συμπεφραγμένοι τόν νούν ιερώτατοι, νόμους τούς κελεύοντας παρανομείν, ανδρείως εξεκλίνατε, όθεν εναθλούντες, νομίμως δόξης ετύχετε.

Θύματα προσήχθητε Χριστώ, τή εκουσίω σφαγή καθαρώτατα, Μάρτυρες πανόλβιοι, ιερουργοί, καί θύται χρηματίσαντες, τού εθελουσίω, σφαγή τόν κόσμον ζωώσαντος.

Θεοτοκίον

Η τόν απερίληπτον Θεόν, περιγραφόμενον σώματι τέξασα, σάρκα χρηματίσαντα, υπερβολή Παρθένε αγαθότητος, τούτον εκδυσώπει, κινδύνων σώσαι τούς δούλους σου.

Ο Κανων τού Αγίου Γεωργίου, ού η Ακροστιχίς.

Τόν σεπτόν εν Μάρτυσιν υμνώ προφρόνως.

Ωδή α' Ήχος δ'

«Τώ οδηγήσαντι πάλαι, τόν Ισραήλ φεύγοντα, εκ τής δουλείας Φαραώ, καί εν ερήμω εκθρέψαντι, μελώδημα επινίκιον, άσωμεν τώ λυτρωτή ημών Θεώ, ότι δεδόξασται».

Τό δυσχερές τού νοός μου, καί αδρανές Άγιε, τώ διαπύρω τής σεπτής, σού προσευχής μεταποίησον, ευρυσθενή εργαζόμενος, όπως σου τήν παναγίαν, εορτήν εγκωμιάσαιμι.

Ο εν αμφοίν υψιβάμων, καί τών πολλών ύπερθεν, έργω καί λόγω πεφηνώς, σού ουκ ισχύει Γεώργιε, ανεθφημείν τά τεράστια, πέλεις γάρ παγκρατιάρχης ακραιφνής, καί αιχμητής κραταιός.

Νόμοις επαίνων ουδόλως, η σή σεπτή άθλησις, υποπεσείται Αθλητά, ιλιγγιώ γάρ καί δέδοικα, καί απορώ καί εξίσταμαι, ψαύσαί σου κάν γούν ποσώς, Αθλοφόρε τοίς προτερήμασι.

Θεοτοκίον

Σωτήρα πάντων τεκούσα, τήν τής ζωής έκπτωσιν, επηνωρθώσω Αγαθή, τήν γάρ ζωήν απεκυησας, πάσιν ημίν πρυτανεύουσαν, άφεσιν αμαρτιών ταίς πρεσβείαις σου.

Τών Μαρτυρων

Ωδή γ'

«Ο μόνος είδως τής τών βροτών, ουσίας τήν ασθένειαν, καί συμπαθώς αυτήν μορφωσάμενος, περίζωσόν με εξ ύψους δύναμιν, τού βοάν σοι, Άγιος, ο τής δόξης Κύριος, ο ανείκαστος εν αγαθότητι».

Τά πάθη ασκήσεως πυρί, τεφρώσας Ιερώτατε, Ακεψιμά πρός πείρας αθλήσεως, κριός καθάπερ επισημότατος, υπ' ανόμων τέθυσαι, ταίς ροαίς τού αίματος, αγιάσας πιστών τά πληρώματα.

Αδίκως στρεβλούμενος Σοφέ, καί ράβδοις συντριβόμενος, καί απηνώς βασάνοις ξεόμενος, ουκ εξηρνήσω τό θείον όνομα, ου πυρί επέθυσας, Ιωσήφ πανάριστε, πυρακτούμενος ζήλω τής πίστεως.

Τόν νώτον καί τά στέρνα αφειδώς, τυπτόμενος υπέφερες, Αειθαλά ετέρου ως πάσχοντος, νοϊ γάρ Μάρτυς, τελείως ένδοξε, πρός Θεόν ητένιζες, σώζειν τόν δυνάμενον, τούς αυτώ ολοψύχως πιστεύοντας.

Θεοτοκίον

Εκ σού ανατέταλκεν ημίν, ο Ήλιος ο άδυτος, φωτιστικαίς πανάμωμε λάμψεσι, φωτίζων κόσμον σκότει κρατούμενον, καί προσαπολλύμενον, πλάνη τού αλάστορος, Παναγία Παρθένε Θεόνυμφε.

Τού Αγίου Γεωργίου

Ο στερεών βροντήν

Επιπαφλάζον πύρ τό τής απάτης, ού φέρων βλέπειν Άγιε, ώς ο πυρίπνους καί ζηλωτής, ανομούντας διελέγχων, Ουκ έστιν άλλος έλεγες, Θεός ως ο Κύριος.

Πύρ τό τού Λόγου όπερ ήλθε Μάκαρ, βαλείν εις κόσμον άπαντα, σού καθαψάμενος τής ψυχής, στέγειν όλως ουκ εία, αλλά θερμώς ανέκραζες. Χριστός μοι στερέωμα.

Τά τών βασάνων είδη σου δεικνύων, ώσπερ φοβείν ο τύραννος, τήν ακαταπληκτόν σου ψυχήν, υπετόπασε θεόφρων, σύ δέ στερρώς ανέκραζες, Χριστός μοι στερέωμα.

Θεοτοκίον

Όρος σε μέγα βλέπων ο Προφήτης, υπερκειμένην έχον, τήν κορυφήν απάντων τών βουνών, τών αγγελικών ταγμάτων, υπέρ αιτίαν έλεγε, Παρθένος γεννήσεται.

Ο Ειρμός

«Ο στερεών βροντήν καί κτίζων πνεύμα, στερέωσόν με Κύριε, ίνα υμνώ σε ειλικρινώς, καί ποιώ τό θελημά σου, ότι ουκ έστιν Άγιος, ώς σύ ο Θεός ημών».

Κοντάκιον τών Μαρτύρων

Ήχος β'  Τά άνω ζητών

Τά θεία σοφέ, σεπτώς εμυσταγώγησας, θυσία δεκτή εγένου Παμμακάριστε, τού Χριστού γάρ έπιες, τό ποτήριον ενδόξως Άγιε, Ακεψιμά σύν τοίς συνάθλοις σου, πρεσβεύων απαύστως υπέρ πάντων ημών.

Ο Οίκος

Τήν χερσωθείσάν μου καρδίαν πολλοίς πταίσμασιν, Ιησού παντοδύναμε, όμβροις τής σής αγαθότητος, δείξον καρποφόρον αρεταίς, καί παράσχου φωτισμόν γνώσεως τή διανοια μου, ίνα υμνήσω γηθόμενος, τόν, Ιεράρχην καί Αθλοφόρον, Ακεψιμάν τόν μέγαν σύν Αειθαλά τώ γενναίω, καί Ιωσήφ τώ πανολβίω, εν σοί γάρ θαρρούντες, ποικίλων βασάνων ανδρείως κατετόλμησαν, διό καί παρέχουσι νοσούσι τήν ίασιν, ως χάριν δεξάμενοι, πρεσβεύοντες απαύστως υπέρ πάντων ημών.

Κάθισμα   Ήχος πλ. δ’

Τήν Σοφίαν καί Λόγον

Ιωσήφ ο γενναίος αγωνιστής, Ακεψιμάς ο τής πλάνης ολοθρευτής, Αειθαλάς ο Ένδοξος, αθλητής καί αήττητος, οι φαιδροί αστέρες, τής πίστεως άσμασιν, επαξίως όντως υμνείσθωσαν σήμερον, ούτοι γάρ τήν δόξαν, τών Περσών αμαυρούντες, ηλίω ουκ έθυσαν, ου τό πύρ εσεβάσθησαν. Οίς εν πίστει βοήσωμεν, Πρεσβεύσατε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην υμών.

Δόξα… Τού Αγίου Γεωργίου

Τού Σταυρού τώ σημείω καθοπλισθείς, εν αυτώ τών τυράννων πάσαν ισχύν, ανδρείως κατέβαλες, ως τής πίστεως πρόμαχος, τήν αθεϊαν πάσαν, ειδώλων διήλεγξας, καί τούς πιστούς θεόφρον, τή πίστει εστήριξας, όθεν επαξίως, τούς τής νίκης στεφάνους, αθλήσας απέλαβες εκ χειρός τού Κυρίου σου, Αθλοφόρε Γεώργιε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Καί νύν... Θεοτοκίον

Χαριστήριον αίνον χρεωστικώς, ως η χήρα εκείνη δύο λεπτά, προσφέρω σοι Δέσποινα, υπέρ πασών τών χαρίτων σου, σύ γάρ ώφθης σκέπη, ομού καί βοήθεια, πειρασμών καί θλίψεων, αεί με εξαίρουσα, όθεν ως εκ μέσου φλογιζούσης καμίνου, ρυσθείς τών θλιβόντων με, εκ καρδίας κραυγάζω σοι, Θεοτόκε βοήθει μοι, πρεσβεύουσα τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δοθήναί μοι, σέ γάρ έχω ελπίδα, ο ανάξιος δούλός σου.

Η Σταυροθεοτοκίον

Τόν Αμνόν καί Ποιμένα καί Λυτρωτήν, η Αμνάς θεωρούσα εν τώ Σταυρώ, ωλόλυζε δακρύουσα, καί πικρώς ανεκραύγαζεν, ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήν περ υπομένεις, διά σπλάγχνα ελέους, Θεέ υπεράγαθε ανεξίκακε Κύριε. Η πιστώς εκβοήσωμεν. Σπλαγχνίσθητι Παρθένε εφ' ημάς, καί πταισμάτων δώρησαι τήν άφεσιν, τοίς προσκυνούσιν εν πίστει, αυτού τά παθήματα.

Τών Μαρτύρων  Ωδή δ’

«Όρος σε τή χάριτι, τή θεία κατάσκιον, προβλεπτικοίς ο Αββακούμ, κατανοήσας οφθαλμοίς, εκ σού εξελεύσεσθαι, τού Ισραήλ προανεφώνει τόν Άγιον, εις σωτηρίαν ημών καί ανάπλασιν».

Ρήμασι Σοφέ Ακεψιμά, θείας γνώσεως, τούς αγνωσίας σκοτασμώ, κεκρατημένους δυσμενείς, στερρώς κατεπάλαισας, τάς υπ' αυτών μή πτήξας στρέβλας Μακάριε, προσαγομένας τώ θείω σου σώματι.

Πυρί σε πυρός οι λατρευταί κατηνάγκαζον, σέβας προσάξαι δολερώς, αλλά τόν νούν τή τού Θεού, αγάπη πυρούμενος, πυρσολατρείν απείπας όλως δεχόμενος, αναψυχήν Ιωσήφ δυναμούσάν σε.

Ναμάτων τών θείων πεπλησμένος τού Πνεύματος, Αειθαλά τά θολερά, τής απιστίας καί πικρά εξέφυγες ύδατα, καί ταίς ροαίς τών εκχυθέντων αιμάτων σου, τους αοράτους εχθρούς κατεπόντισας.

Θεοτοκίον

Αγίων Μαρτύρων ιερόν εγκαλλώπισμα, ώφθης Παρθένε αληθώς, καί τών πιστών καταφυγή, τείχός τε καί στήριγμα, καί παντελής απολύτρωσις, μεγαλοφώνως διό σε δοξάζομεν.

Τού Αγίου Γεωργίου

Εισακήκοα ο Θεός
Νέμοις πάσι τοίς υμνηταίς, τήν ευκλεή τε καί σεβασμίαν, αρωγήν σου καί αντίληψιν, παμμάκαρ Γεώργιε, ώς παρρησίαν έχων πρός Κύριον.

Έχων άμαχον τήν ισχύν, δεδωρημένην σοι εξ Αγίου, τών Αγίων ακροθίνιον, τήν βαρβάρων έφοδον, σαίς προσευχαίς ταχέως κατάλυσον.

Νύξ με πάντοθεν πειρασμών, επιπολάζει καί ανενδότως, συνωθεί με πρός τήν χάρυβδιν, τών παθών Γεώργιε, αλλά προφθάσας διάσωσον.

Θεοτοκίον

Μόνη έσχες εν τή γαστρί, τόν συνοχέα παντός τού κόσμου, μόνη τούτον απεκύησας, Θεοτόκε Πάναγνε, τόν ακαταληψία νοούμενον.

## Τών Μαρτύρων

Ωδή ε'

«Ο φωτίσας τή ελλάμψει, τής σής παρουσίας Χριστέ, καί φαιδρύνας τώ Σταυρώ σου, τού κόσμου τά πέρατα, τάς καρδίας φώτισον, φωτί τής σής θεογνωσίας, τών ορθοδόξως υμνούντων σε».

Μακάριοι απεφάνθητε, Λόγον μακάριον, κηρύξαντες εν σταδίω, ανδρείως αοίδιμοι, τόν υμάς συνάψαντα, τών μακαρίων ταίς χορείαις, πανευκλεώς αριστεύσαντας.

Απόρθητοι ανεδείχθητε, πύργοι τής πίστεως, ελεπόλεις τού εχθρού, παντελώς αφανίσαντες, Ιωσήφ θεσπέσιε, Ακεψιμά ιερομύστα, Αειθαλά ιερώτατε.

Ρηγνύμενα ταίς πληγαίς, τών Μαρτύρων τά σώματα, διέρρηξαν αθεϊας, ανίσχυρον δύναμιν, καί εδήλουν άριστα, τήν αρραγή ψυχής αγάπην, πρός τόν Δεσπότην, καί Κύριον.

Θεοτοκίον

Τηρήσας σε ως πρό τόκου, παρθένον ακήρατον, Πανάμωμε ο οικήσας, ασπόρως εν μήτρα σου, διπλούς προελήλυθε, Θεός καί άνθρωπος Θεώσας, τό προσληφθέν αγαθότητι.

## Τού Αγίου Γεωργίου

Ανάτειλον μοι Κύριε

Ατίθασον παράταξιν, δαιμόνων τροπωσάμενος, καί Σταυρού τώ όπλω χρησάμενος, ώς θείω ακοντίω, τούτω εξεκέντησας, καί εις γήν κατέρραξας, φαλαγγάρχας ζοφερούς.

Ρώμη τού Παντοκράτορος, ρωννύμενος Γεώργιε, καί τή προνοία ποδηγούμενος, τή πάντα κυβερνώση, τό σκάφος διέσωσας, τής ψυχής

ακύμαντον, πρός λιμένα τής ζωής.

Τί με θωπείαις έλεγες, τώ κακεργάτη Άγιε, τής τού Χριστού μου αγαπήσεως, ελπίζεις μεταστήσαι; λίθον έψειν έοικας, γράφειν τε εις θάλασσαν, καί τοξεύειν ουρανόν.

Θεοτοκίον

Υψαύχενας κατάβαλε, αιρετικούς Πανάμωμε, τούς αφειδώς κατεπεμβαίνοντας, λαώ τώ ορθοδόξω, έχεις γάρ τό δύνασθαι, τή θελήσει σύνδρομον, οία μήτηρ τού Θεού.

Τών Μαρτύρων

Ωδή ς'

«Εκύκλωσεν ημάς εσχάτη άβυσσος, ουκ έστιν ο ρυόμενος, ελογίσθημεν ως πρόβατα σφαγής, Σώσον τόν λαόν σου ο Θεός ημών, σύ γάρ ισχύς τών ασθενούντων καί επανόρθωσις».

Υψούμενα σφοδρώς βασάνων, κύματα, υμών ου κατεκάλυψε, τήν ανδρείαν καί τό εύτονον Σοφοί, θεία κυβερνήσει γάρ εφθάσατε, τόν γαληνόν τής σωτηρίας όρμον γηθόμενοι.

Ρανίσιν ιερών αιμάτων Άγιοι, φοινίξαντες Μακάριοι, περιβόλαιον τό θείον εαυτών, τούτο τε οσίως ενδυσάμενοι, τώ Βασιλεί τώ αθανάτω συμβασιλεύετε.

Ωραίοι καλλοναίς άθλων γεγόνατε, νυμφώνος ένδον Άγιοι, εχωρήσατε Θεούμενοι φαιδρώς, θέσει καί υιοί αποδεικνύμενοι, πανευκλεώς Πατρός τών φώτων αξιοθαύμαστοι.

Θεοτοκίον

Νενέκρωται εχθρός τώ ζωηφόρω σου, Παρθένε τόκω άχραντε, καί εζώωται Αδάμ παρακοή, πάλαι νεκρωθείς καρπού γευσάμενος, όθεν υμνεί καί μακαρίζει σε Παναμώμητε.

Τού Αγίου Γεωργίου

Ζάλη με λογισμών

Σώμά σου παραδούς ταίς τιμωρίαις, τήν ψυχήν ετήρησας, απήμαντον θεομάκαρ, τήν άνωθεν γάρ έσχες αρωγήν, φρουράν προμηθεστάτην, εν τοίς πολέμοις Γεώργιε.

Ίλεων τόν Δεσπότην, ταίς ευχαίς σου, απεργάζου πάντοτε, τήν μνήμην σου τοίς εκ πόθου εκτελούσι, καί ζάλης ορατών, εχθρών καί αοράτων, απήμονας διαφύλαττε.

Νόες σου κατεπλάγησαν ορώντες, τήν ανδρείαν άνωθεν, πώς αγχεμάχοις όπλοις κατεπάλαισας, άσαρκον εχθρόν, τόν πάλαι τούς γενάρχας, εν

Παραδείσω πτερνίσαντα.

Θεοτοκίον

Ύφανας ιστουργία τή αρρήτω' αλουργίδα Πάναγνε, Πατρός καί Πνεύματος θείου, ευδοκία τώ πάντων Βασιλεί, ατρέπτως καί αφύρτως, σάρκα τήν σήν αμφιάσασα.

Ο Ειρμός

«Ζάλη με λογισμών καταλαβούσα, εις βυθόν καθέλκει με, αμέτρων αμαρτημάτων, αλλά σύ κυβερνήτα αγαθέ, κυβέρνησον προφθάσας, ως τόν Προφήτην καί σώσόν με».

Κοντάκιον τού Αγίου Γεωργίου

Ήχος πλ. δ' Τή υπερμάχω

Τή υπερμάχω καί ταχεία αντιλήψει σου, προσπεφευγότες οι πιστοί καθικετεύομεν, λυτρωθήναι παρά τού Χριστού Αθλοφόρε, τών σκανδάλων τού εχθρού τούς ανυμνούντάς σε, καί παντοίων εκ κινδύνων καί κακώσεων, ίνα κράζωμεν, Χαίροις Μάρτυς Γεώργιε.

Ο Οίκος

Μέγας εν προστασίαις επί γής ανεδείχθης, τού Κυρίου θεράπον καί φίλε, τόν πιστόν γάρ λαόν περισκέπων, σώζεις αεί Ένδοξε, διό πίστει καί πόθω βοώμέν σοι πολύαθλε.

Χαίρε, δι' ού φρυκτωρείται ο κόσμος, χαίρε, δι' ού ο στρατός καταλάμπει.

Χαίρε, τών πιστών αιχμαλώτων η λύτρωσις, χαίρε, δεσμωτών η οξεία αντίληψις.

Χαίρε, ύψος τών εκ πίστεως προστρεχόντων σοι θερμώς, χαίρε, πλούτος τών ποθούντων σε, καί εν θλίψει χαρμονή.

Χαίρε, ότι υπάρχεις βασιλέων τό τείχος, χαίρε, ότι παρέχεις εν πολέμοις τό νίκος.

Χαίρε, αστήρ φωτίζων τούς πλεοντας, χαίρε, λυτήρ παντοίας κακώσεως.

Χαίρε, εις όν πάς πιστός καταφεύγει, χαίρε, δι' ού ευφημείται ο πλάστης.

Χαίροις, Μάρτυς Γεώργιε.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Γ' τού αυτού μηνός, Μνήμη τών Αγίων Μαρτύρων Ακεψιμά, Ιωσήφ, καί Αειθαλά.

Στίχοι

Ακεψιμάν κτείνουσιν εκ ραβδισμάτων.
Ακεψιμά δέ τούς φίλους εκ λευσμάτων.
Τύψαν Ακεψιμάν τριτάτη, λεύσαν δέ συνάθλους.

Τή αυτή ημέρα εορτάζομεν τά εγκαίνια τού ναού τού αγίου Μεγαλομάρτυρος Γεωργίου εν Λύδδη, ήτοι τήν κατάθεσιν τού αγίου σώματος αυτού.

Στίχοι

Ναού τά εγκαίνια, Μάρτυς καί θέσιν,
Τών λειψάνων σου νύν γεραίρει ή κτίσις.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Ακεψιμά.

Στίχοι

Τήξας εαυτόν εγκρατεία καί πόνοις,
Ακεψιμάς μετήλθε, ένθα μή πόνοι.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών καί ομολογητού Θεοδώρου, Επισκόπου Αγκύρας, καί τών Αγίων Μαρτύρων, Δασίου, Σεβήρου, Ανδρωνά, Θεοδότου καί Θεοδότης, ξίφει τελειωθέντων.

Στίχοι

Σύμμαρτυς έστω καί γυνή τοίς ανδράσι,
Τετμημένοις τέσσαρσι συντετμημένη.

Τή αυτή ημέρα, ο Όσιος Πατήρ ημών Ηλίας εν ειρήνη τελειούται.

Στίχοι

Τών αρετών εις άρμα προβάς Ηλίας,
Πόλω προσήλθεν, ώς περ άλλος Ηλίας.

Τή αυτή ημέρα, οι Άγιοι εννέα Μάρτυρες ξίφει τελειουνται.

Στίχοι

Ψυχαίς ατρέπτοις χερσί τμηθέντες πλάνων,
Πλάνην περιτρέπουσιν άνδρες εννέα.

Τή αυτή ημέρα, οι Άγιοι κη’ Μάρτυρες πυρί τελειούνται.

Στίχοι

Φλέγουσιν άνδρας πέντε δίς καί δίς δύο,
Οίς συμφλέγουσι πέντε δίς καί δίς δύο.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Αχεμενίδου τού Ομολογητού.

Ταίς αυτών αγίαις πρεσβείαις, ό Θεός ελέησον ημάς. Αμήν.

Ωδή ζ'

«Σέ νοητήν, Θεοτόκε κάμινον, κατανοούμεν οι Πιστοί, ως γάρ Παίδας έσωσε τρείς, ο υπερυψούμενος, όλον με τόν άνθρωπον, εν τή γαστρί σου ανέπλασεν, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος».

Εκ Περσικής, χώρας αναλάψαντες, ώς περ αστέρες φωταυγείς, Ιωσήφ καί Αειθαλάς, άθλων ταίς λαμπρότησι, κόσμον κατεφώτισαν, εν ευσεβεία κραυγάζοντες, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Πόνοις πολλοίς, ζωήν εκληρώσασθε, άπονον Μάρτυρες Χριστού, πάντα πόνον καί πειρασμόν, όθεν ταίς ευχαίς υμών, παντοτε κουφίζετε, τών εκβοώντων πανένδοξοι, Ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Ακεψιμάν, νύν τόν ιερώτατον, καί, Ιωσήφ τόν θαυμαστόν, καί τόν μέγαν Αειθαλάν, τούς Ιερομάρτυρας, λόγοις μακαρίσωμεν, ιερωτάτοις κραυγάζοντες, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Θεοτοκίον

Ιεραρχών, θείον εγκαλλώπισμα, καί Αθλοφόρων ευκλεών, παναμώμητε αληθώς, στέφανος γεγένησαι, πάντων τε κραταίωμα, τών μελωδούντων εκάστοτε, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Τού Αγίου Γεωργίου

Ο διασώσας εν πυρί

Μόνα ποθών τά νοητά, μόνοις τε γαννύμενος Μάκαρ, τοίς εν ελπίσιν αγαθοίς, τά παρόντα ως όναρ λελόγισαι, εκβοών, υπερύμνητε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Νούν ηγεμόνα τών παθών, Ένδοξε εποίεις ως νόμος, Θεού ο κάλλιστός εστιν, ισχυρός επί πάσης τής κτίσεως, εκνικάν τόν βελτίονα, τών χειρόνων τάς κινήσεις χάριτι θεία.

Ω τού θερμού σου, πρός Θεόν έρωτος Παμμάκαρ! πώς όλβον, ως χούν λελόγισαι βοών. Τού Δεσπότου τών όλων αντάξιον, τής αγάπης ου κέκρικα, κόσμον όλον εξισούσθαι, κάν χρυσός πέλη.

Θεοτοκίον

Παρθένε Μήτηρ τού Θεού, θραύσον τών βαρβάρων τά θράση, καί τάς βουλάς τών ασεβών, τώ πιστώ Βασιλεί καθυπόταξον, καί τό κέρας αυχήμασι, τής ανδρείας μεγάλυνον τών Ορθοδόξων.

Τών Μαρτυρων

Ωδή η'

«Εν καμίνω Παίδες Ισραήλ, ως εν χωνευτηρίω, τώ κάλλει τής ευσεβείας, καθαρώτερον χρυσού, απέστιλβον λέγοντες. Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τους αιώνας».

Νομισθέντες έναντι εχθρών, Σοφοί εβδελυγμένοι, μετήγεσθε από τόπων, επί τόπους πρός πολλών, πείραν μαστιγώσεων, εκβοώντες. Πάντα τά έργα Κυρίου, τόν κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Εν γυμνώσει σώματος υμείς, πληγαίς προσομιλούντες, επλήξατε τόν ασώματον, πανευφημοι εχθρόν, λόγχη καρτερότητος, μελωδούντες, Πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Συντριβέντες λίθοις ώς ποτε, ο πρώτος τών Μαρτυρων, τήν πέτραν ουκ εξηρνήσασθε, τήν όντως αρραγή, Χριστόν μεγαλώνυμοι, μελωδούντες. Πάντα τά έργα Κυρίου, τόν κυριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Τριαδικον

Ως Μονάδα φύσει μέν απλήν, Τριάδα δέ προσώποις, δοξάσωμεν τόν Πατέρα, τόν προάναρχον Υιόν, καί Πνεύμα τό Άγιον, μελωδούντες. Πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Θεοτοκίον

Ιακώβ σε κλίμακα ποτέ, εώρακε Παρθένε, δι' ής μέν ο Θεός Λόγος, κατήλθεν επί γής, ημάς δέ ανήγαγε πρός τό ύψος, τούτον απαύστως υμνούμεν Θεοτόκε, καί υπερυψούμεν εις πάντας τούς αιώνας.

Τού Αγίου Γεωργίου

Γή καί πάντα τά εν αυτή

Ράβδω λόγων σου ιερών, ανέτρεψας δαιμόνων τήν πληθύν, καί ηλευθέρωσας πιστών, τάς αγέλας τής τούτων λύμης, Χριστώ μελωδούντων. Ευλογείτε τά έργα τόν Κύριον, καί υπερυψούτε αυτόν εις τούς αιώνας.

Όμμα τείναντ' εις ουρανόν, ανέτειλέ σοι πρώϊμον τό φώς, ώς περ υπέσχετο Θεός, έτι γάρ σου προσευχομένου, παρέστη βοών σοι, Επιτάρροθος ήκω σοι, πτόησιν πάσαν απορρίψας, ανδρίζου εις αιώνας.

Φοβεράν σου τήν προσβολήν, ανέδειξε Χριστός τοίς πονηροίς, καί αλαζόσι λοχαγοίς, τάς γάρ τούτων μηχανουργίας, ιστόν ως αράχνης, εξηφάνισας κράζων Γεώργιε, Υπερευλογώ σε, Χριστέ εις τους αιώνας.

Θεοτοκίον

Ρύμην άστατον καί φθοράν, ο τόκος σου κατέλυσεν αγνή, τήν τού θανάτου καί ζωήν, τοίς ανθρώποις πάσι παρέσχε, τοίς τούτον υμνούσιν, ως Θεόν τών απάντων καί Κύριον, καί υπερυψούσιν, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Γή καί πάντα τά εν αυτή, θάλασσα, καί πάσαι αι πηγαί, οι ουρανοί τών ουρανών, φώς καί σκότος, ψύχος καί καύσων, υιοί τών ανθρώπων, ιερείς ευλογείτε τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Τών Μαρτύρων

Ωδή θ'

«Τύπον τής αγνής λοχείας σου, πυρπολουμένη βάτος, έδειξεν άφλεκτος, καί νύν καθ' ημών, τών πειρασμών αγριαίνουσαν, κατασβέσαι αιτούμεν τήν κάμινον, ίνα σε Θεοτόκε, ακαταπαυστως μεγαλύνωμεν».

Ώσπερ άνοδοι καί κλίμακες, πρός ουρανόν ανάγουσαι, υμάς ώφθησαν, μάκαρ Ιωσήφ, Αειθαλά τε πανένδοξοι, αι τών λίθων νιφάδες πανεύφημοι, δι' ών θανατωθέντες, αθανασίας ηξιώθητε.

Στώμεν ευσεβώς γεραίροντες, Ακεψιμάν τόν θείον ιερομάρτυρα, τόν ιερουργόν τε, Ιωσήφ τόν πανάριστον, καί Χριστού μυστηρίων διάκονον,

Αειθαλάν τόν μέγαν, τούς ευκλεείς Θεού θεράποντας.

Ήδη πρός Θεόν σκηνώσαντες, καί φωτισμού αρρήτου καταξιούμενοι, καί αγγελικαίς χοροστασίαις ενούμενοι, καί συνόντες Μαρτύρων στρατεύμασι, σύν τούτοις Αθλοφόροι, υπέρ ημών αεί πρεσβεύσατε.

Θεοτοκίον

Φράσαι τό φρικτόν μυστήριον, τού τοκετού σου γλώσσα όλως ου δύναται, τόν γάρ ουρανού, καί πάσης κτίσεως Κύριον, εσωμάτωσας σάρκα πτωχεύσαντα, αγνή Παρθενομήτορ, όθεν συμφώνως σε δοξάζομεν.

Τού Αγίου Γεωργίου

Ο τόκος σου άφθορος

Όρει μαρτυρίου προσεπέβης, καί στέφος εδέξω Αθλοφόρε, εκ χειρός τού Κυρίου, τούτο γάρ εστι τό γέρας τών Μαρτύρων, όθεν σε πάντες, επαξίως μεγαλύνομεν.

Νέμεις λύσιν τών αμπλακημάτων, καί νόσους διώκεις Αθλοφόρε, τάς τού σώματος πόρρω, καί άρτιον όλον με αποδεικνύεις, διό σου πόθω, τήν εμφέρειαν Προσπτύσσομαι.

Ως πόλον πολεύων Αθλοφόρε, καί θρόνω τού πάντων Βασιλέως, παριστάμενος αίγλην, τήν σκεδάζουσαν νέφος αμαρτημάτων, πέμψον τώ πόθω, τήν ωδήν σοι εξυφάναντι.

Θεοτοκίον

Σύμμορφος Υιός εξ αγεννήτου, Πατρός γεννηθείς πρό τών αιώνων, επ' εσχάτων δέ αύθις, διά Πνεύματος Αγίου, ενδημήσας τή Παρθένω, σάρκα πτωχεύσας, τό ανθρώπινον εθέωσας.

Ο Ειρμός

«Ο τόκος σου άφθορος εδείχθη, Θεός εκ λαγονων σου προήλθε, σαρκοφόρος ως ώφθη επί γής, καί τοίς ανθρώποις συνανεστράφη, σέ Θεοτόκε, διό πάντες μεγαλύνομεν».

Εξαποστειλάριον

Τοίς Μαθηταίς συνέλθωμεν

Ακεψιμάς ο ένδοξος, Ιωσήφ ο γενναίος, Αειθαλάς ό πάνσοφος, τού Χριστού τή ισχύϊ, ενήθλησαν καί τήν πλάνην, τών Περσών καθελόντες, υπέρ ημών πρεσβεύουσι, τή Αγία Τριάδι, ούς ευσεβώς, ως ιερομάρτυρας ευφημούντες, φαιδρώς πανηγυρίζομεν, τήν λαμπράν τούτων μνήμην.

Τού Αγίου Γεωργίου

Εν πνεύματι τώ Ιερώ

Τοίς ρείθροις τών αιμάτων σου, τής απάτης τήν φλόγα, απέσβεσας Μακάριε, καί τυράννων τά θράση, εις τέλος εξηφάνισας, καί Χριστόν εδόξασας, Γεώργιε Αθλοφόρε, όθεν στέφος εδέξω, αφθαρσίας καί ζωής, εκ δεξιάς τού Υψίστου.

Θεοτοκίον

Ουκ έστιν όλως εν εμοί, σωτηρία Παρθένε, ότι κακώς εισπέπτωκα, βάθος αμαρτημάτων, καί προσδοκώ τήν απειλήν, τής φρικτής κολάσεως, καί τών ερίφων τής μοίρας, οίκτειρόν με πρό δίκης, ως υπάρχουσα θερμή, αντίληψις Θεοτόκε.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ’ καί ψάλλομεν τρία Στιχηρά Προσόμοια τού Αγίου Γεωργίου, δευτερούντες τό πρώτον.

Ήχος δ'  Ως γενναίον

Τού Χριστού τό γεώργιον, τόν γενναίον εν Μάρτυσι, τόν σοφόν Γεώργιον ευφημήσωμεν, τής αληθείας τόν κήρυκα, κλήμα τό αείζωον, τής αμπέλου τής ζωής, τόν καρπόν εξανθήσαντα, καί πηγάσαντα, ευσεβείας τό γλεύκος καί τούς πίστει, εκτελούντας ετησίως, τούτου τήν μνήμην ευφραίνοντα.

Ως αστέρα πολύφωτον, ώσπερ ήλιον λάμποντα, εν τώ στερεώματι σέ γινώσκομεν, ως μαργαρίτην πολύτιμον, ως λίθον αυγάζοντα, ως ημέρας σε υιόν, ως γενναίον εν Μάρτυσιν, ως υπέρμαχον, τών πιστών εν κινδύνοις ευφημούμεν, εκτελούντές σου τήν μνήμην, τροπαιοφόρε Γεώργιε.

Εν θαλάσση με πλέοντα, εν οδώ με βαδίζοντα, εν νυκτί καθεύδοντα περιφρούρησον, επαγρυπνούντα διάσωσον, παμμάκαρ Γεώργιε, καί αξίωσον ποιείν, τού Κυρίου τό θέλημα, όπως εύροιμι, εν ημέρα τής δίκης τών εν βίω, πεπραγμένων μοι τήν λύσιν, ο προσδραμών εν τή σκέπη σου.

Δοξα... Ήχος δ’

Τόν νοερόν αδάμαντα τής καρτερίας αδελφοί, πνευματικώς ευφημήσωμεν, Γεώργιον τόν αοίδιμον Μάρτυρα, όν υπέρ Χριστού πυρούμενον, εχάλκευσαν κίνδυνοι, καί εστόμωσαν βάσανοι, καί ποικίλαι κολάσεις ανήλωσαν, σώμα τό φύσει φθειρόμενον, ενίκα γάρ ο πόθος τήν φύσιν, διά θανάτου πείθων τόν εραστήν, διαβήναι πρός τόν ποθούμενον, Χριστόν τόν Θεόν, καί Σωτήρα τών ψυχών ημών.

Καί νύν… Θεοτοκίον

Εδωκας σημείωσιν

Ζόφος φοβερώτατος, ο τού θανάτου Θεόνυμφε, τήν ψυχήν κατατρύχει μου, τό δέ λογοθέσιον, εξιστάν καί τρέμειν, αεί τών δαιμόνων, παρασκευάζει Αγαθή, εξ ών με ρύσαι τή δυναστεία σου, Παρθένε απειρόγαμε, καί πρός λιμένα σωτήριον, καί πρός φώς τό ανέσπερον, τών Αγίων κατάταξον.

Δοξολογία Μεγάλη, καί Απόλυσις

---

Αρχή

## ΤΗ Δ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών, Ιωαννικίου τού Μεγάλου, καί τών αγίων Ιερομαρτύρων, Νικάνδρου, Επισκόπου Μύρων, καί Ερμαίου Πρεσβυτέρου.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς’ καί ψάλλομεν Στιχηρά Προσόμοια τού Οσίου.

Ήχος δ’
Ως γενναίον εν Μάρτυσιν

Εγκρατείας τοίς βέλεσι, τόν εχθρόν ετραυμάτισας καί τάς τούτου φάλαγγας εξεπόρθησας, διό τής νίκης απέλαβες, βραβεία Μακάριε, παρ' αυτού τού κραταιώς, σέ Χριστού ενισχύσαντος, όν ικέτευε, εκ φθοράς καί κινδύνων λυτρωθήναι, τούς εν πίστει εκτελούντας, τήν αεισέβαστον μνήμην σου.

Θεωρίας τής κρείττονος, επιβάς παμμακάριστε, τά γεώδη άπαντα καί επίκηρα, καί περιων εν τώ σώματι, παρείδες, καί άϋλον, πολιτείαν επί γής, επεσπάσω αοίδιμε, θείω Πνεύματι, οδηγούμενος, όθεν Μοναζόντων, οδηγός κανων καί τύπος, γέγονας πίστει περίδοξος.

Τών χαρίτων τού Πνεύματος, ταίς ενθέοις ελλάμψεσι, φαιδρυνθείς θεόφρον Ιωαννίκιε, φωστήρ εδείχθης τοίς πέρασιν, οδύνας κακώσεων, καί τό σκότος τών παθών, απελαύνων πρεσβείαις σου, καί ρυόμενος, νοσημάτων παντοίων καί κινδύνων, τους εν πίστει εκτελούντας, τήν παναοίδιμον μνήμην σου.

Στιχηρά
Τών Ιερομαρτύρων Ήχος β'
Ότε, εκ τού ξύλου σε

Κλήσιν, τήν φερώνυμον πλουτών, εκ τής τού Θεού προμηθείας, ταύτην τοίς πράγμασι, Μάκαρ επεσφράγισας, καί εβεβαίωσας. πολεμίων γάρ σύστημα, καί στίφος τυράννων, εν τή καρτερία σου κατεπολέμησας, όθεν νικητήρια φέρων, πίστει ανεκραύγαζες. Δόξα, τώ αμάχω κράτει σου φιλάνθρωπε.

Μύρα, εύωδεστατα ημίν, τά τών ιαμάτων εκβλύζεις, σήμερον Νίκανδρε, εν τή θεία μνήμη σου, καί απελαύνεις Σοφέ, δυσωδίαν τών θλίψεων, καί πάθη σωμάτων, καί πλουσίας χάριτος, πληροίς τόν σύλλογον, πάντων τών Χριστώ εκβοώντων. Σύ εί τό ακένωτον μύρον, τό ευωδιάζον τούς υμνούντάς σε.

Έχων, παρρησίαν πρός Χριστόν, τόν ενδοξαζόμενον μόνον, εν τοίς Αγίοις αυτού, τούτον καθικέτευε, Όσιε Νίκανδρε, υπέρ πάντων τών πόθω σου, τελούντων τήν μνήμην, καί ανευφημούντων σου, τά κατορθώματα, όπως τών αφράστων εκείνων, θείων αγαθών καί τής δοξης, κοινωνοί γενώμεθα πρεσβείαις σου.

Δόξα... Τού Οσίου Ήχος β’

Ανδρειοφρόνως τελέσας τό ασκητικόν στάδιον, τόν δίαυλον τών αρετών διήλθες προθύμως, τούς τών παθών θήρας τε νεκρώσας, τό κατ' εικόνα αλώβητον διέσωσας. Πνεύματος δέ ταμίας γενόμενος, τά πόρρω ώς

ενεστώτα προείδες, καί θαυματουργός ανεδείχθης, θεοφόρε Πατήρ ημών Ιωαννίκιε, καί νύν τώ θρόνω τώ θείω παριστάμενος, πρεσβεύεις απαύστως, σωθήναι τάς ψυχάς ημών.

Καί νύν… Θεοτοκίον

Ότε, εκ τού ξύλου σε

Άλλην, κραταιάν καταφυγήν, καί ισχύος πύργον καί τείχος, ακαταμάχητον, όντως ου κεκτήμεθα, εί μή σέ Πάναγνε, καί πρός σέ καταφεύγομεν, καί σοί εκβοώμεν. Δέσποινα βοήθησον, μή απολώμεθα, δείξον εις ημάς τήν σήν χάριν, καί τής δυναστείας τόν πλούτον, καί τής ευσπλαγχνίας σου τό μέγεθος.

Η Σταυροθεοτοκίον

Πόνους,υπομείνασα πολλούς, εν τή τού Υιού καί Θεού σου, σταυρώσει Άχραντε, έστενες δακρύουσα, καί ανακράζουσα, Οίμοι τέκνον γλυκύτατον Ιαδίκως πώς θνήσκεις, θέλων εκλυτρώσασθαι, τούς εξ Αδάμ γηγενείς; όθεν, Παναγία Παρθένε, σέ παρακαλούμεν εν πίστει, ίλεων ημίν τούτον απέργασαι.

Εις τόν Στίχον, τά Στιχηρά τής Οκτωήχου.

Δόξα... Τού Οσίου  Ήχος πλ. β'

Τώ τού Χριστού έρωτι τρωθείς τήν διάνοιαν, εις όρος υψηλόν, ανήλθες Ιωαννίκιε, καί έλαβες ποικίλα χαρίσματα, ιατρεύειν τάς νόσους, τών ανυμνούντων σου πόθω, τήν θείαν κοίμησιν.

Καί νύν... Θεοτοκίον

Όλην αποθέμενοι

Νοός καθαρότητι, ο Ησαϊας Παρθένε, πορρωθεν προέφησε, Ποιητήν τής κτίσεως τεξομένην σε, ώ Σεμνή πάναγνε, σύ γάρ ώφθης μόνη, εξ αιώνος παναμώμητος. Διό σου δέομαι, τήν μεμολυσμένην καρδίαν μου, καθάρισον καί λάμψεως, θείας κοινωνόν με ανάδειξον, Κόρη τού Υιού σου, καί στάσεως αυτού τής δεξιάς, όταν καθίση ως γέγραπται, κρίναι κόσμον άπαντα.

Η Σταυροθεοτοκίον

Κρίσιν Ισραήλ Κριταί, θανατηφόρον κριθήναι, σέ Υιέ κατέκριναν, ώς κριτόν σε στήσαντες επί βήματος, τόν νεκρούς κρίνοντα, καί τούς ζώντας Σώτερ, καί Πιλάτω σε παρέδωκαν, καί κατακρίνουσι, πρό τής δίκης φεύ! οι παρανομοι, καί βλέπουσα τιτρώσκομαι, καί συγκατακρίνομαι Κύριε, όθεν καί προκρίνω, θανείν υπέρ τό ζήν εν στεναγμοίς, η Θεοτόκος εκραύγαζε, μόνη Πολυέλεε.

Απολυτίκιον τού Οσίου  Ήχος πλ. δ'

Ταίς τών δακρύων σου ροαίς,τής ερήμου τό άγονον εγεώργησας, καί τοίς εκ βάθους στεναγμοίς, εις εκατόν τούς πόνους εκαρποφόρησας, καί γέγονας φωστήρ, τή οικουμένη λάμπων τοίς θαύμασιν, Ιωαννίκιε, Πατήρ ημών Όσιε, Πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Τού Ιερομάρτυρος  Ήχος δ'

Καί τρόπων μέτοχος, καί θρόνων διάδοχος, τών Αποστόλων γενόμενος,τήν πράξιν εύρες θεόπνευστε, εις θεωρίας επίβασιν, διά τούτο τόν λόγον τής αληθείας ορθοτομών, καί τή πίστει ενήθλησας μέχρις αίματος, Ιερομάρτυς

Νίκανδρε. Πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, λέγομεν ένα Κανόνα τής Οκτωήχου, καί τούς δύο παρόντας τών Αγίων.

Ο Κανών τού Οσίου, ού η Ακροστιχίς.

Τού Προδρόμου σε τόν μιμητήν αινέσω. Ιωσήφ.

Ωδή α' Ήχος δ'

«Ανοίξω τό στόμα μου, καί πληρωθήσεται Πνεύματος, καί λόγον ερεύξομαι, τή βασιλίδι Μητρί, καί οφθήσομαι, φαιδρώς πα»νηγυρίζων, καί άσω γηθόμενος, ταύτης τά θαύματα».

Τώ φέγγει τής χάριτος, καταυγαζόμενος Όσιε, τούς πίστει τήν μνήμην σου, πανηγυρίζοντας, φωταγώγησον, καί σκότους αμαρτίας, πρεσβείαις σου λύτρωσαι, Ιωαννίκιε.

Οδόν τήν εισάγουσαν, ανεπιστρόφως διώδευσας, πρός πόλιν ουράνιον, Ιωαννίκιε. τό γάρ Άγιον, ωδήγησέ σε Πνεύμα, επαναπαυσάμενον εν τή καρδία σου.

Υψούσαν ταπείνωσιν, Ιωαννίκιε έσχηκας, διό σου δεόμεθα, οίκτειρον Όσιε, τήν ταπείνωσιν, ημών καί τάς οδύνας, πάσας επικούφισον, τών καρδιών ημών.

Θεοτοκίον

Πεσόντων ανάκλησις, καί ισταμένων βεβαίωσις, υπάρχεις Πανάμωμε, όθεν σου δέομαι, συμπεσόντα μου, τόν νούν τή αμαρτία, ανόρθωσον Δέσποινα, όπως δοξάζω σε.

Ο Κανών τών Ιερομαρτύρων Ποίημα Ιωσήφ.

Ωδή α’ Ήχος ο αυτός

«Χοροί Ισραήλ, ανίκμοις ποσί, πόντον ερυθρόν, καί υγρόν βυθόν διελάσαντες, αναβάτας τριστάτας, δυσμενείς ορώντες, εν αυτώ υποβρυχίους, εν αγαλλιάσει έμελπον, Άσωμεν τώ Θεώ ημών, ότι δεδόξασται».

Σεπτών Αθλητών, σεπτήν εορτήν, Ιερομαρτύρων ιεράν μνήμην σήμερον, ιεραίς μελωδίαις, νύν η τού Χριστού ιερωτάτη Εκκλησία, ιεροπρεπώς εκτελούσα, άσμασι κατατέρπεται, τούτους γεραίρουσα.

Σεπτώ κεχρισμένος χρίσματι, τής ιερωσύνης πιστώς, ιεράρχα Νίκανδρε, τιμιώτερον τούτο, ταίς εκ τών αιμάτων σου βαφαίς εναπειργάσω, εν αγαλλιάσει κραυγάζων, Άσωμεν τώ Θεώ ημών, ότι δεδόξασται.

Οδόν μαρτυρίου τρέχοντες, τέρψιν αληθή εν αυτή, σαφώς ενδεικνύμενοι, επλουτήσατε χάριν, θαυματουργιών καί δωρεών επουρανίων, Μάρτυρες συμφώνως βοώντες. Άσωμεν τώ Θεώ ημών, ότι δεδόξασται.

Θεοτοκίον

Ο απεριγράπτως κόλποις τού Πατρός, κόλποις τής Μητρός, σαρκικώς Χριστός περιγράφεται, μετά γέννησιν ταύτην, αληθή Παρθένον υπέρ νούν διαφυλάξας, ώ μεγαλοφώνως βοώμεν. Άσωμεν τώ Θεώ ημών, ότι δεδόξασται.

Τού Οσίου

Ωδή γ'

«Τούς σούς υμνολόγους Θεοτόκε, ως ζώσα καί άφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικόν στερέωσον, καί εν τή θεία δόξη σου, στεφάνων δόξης αξίωσον».

Ρεόντων τά μένοντα ηλλάξω, εμφρόνως τόν σόν αναλαβών, σταυρόν Ιωαννίκιε, καί εν αβάτοις όρεσιν, ως Ηλίου ο μέγιστος, υποχωρών διετέλεσας.

Οδόν σοι τήν λίαν ποθουμένην, Πατέρων υπέδειξε δυάς, ήν εύρες χρόνοις πλείοσιν, εγκεκρυμμένην όρεσι, προφητικώ χαρίσματι, λελαμπρυσμένος Μακάριε.

Δονούμενοι πάθεσι ποικίλοις, εν πίστει προστρέχομεν τή σή, σκέπη, Ιωαννίκιε, αγίαις μεσιτείαις σου, πάντας ημάς επίσκεψαι, εκδυσωπών τόν φιλάνθρωπον.

Θεοτοκίον

Ρανίσιν ελέους σου Παρθένε,τούς άνθρακας σβέσον τών εμών, παθών θεοχαρίτωτε, καί εσβεσμένον άναψον, τόν λύχνον τής καρδίας μου, χρυσή λυχνία Πανάμωμε.

Τών Ιερομαρτύρων

Ότι στείρα έτεκεν

Τά τών λόγων δίκτυα, προσεφαπλών τούς εν πλάνη, θαυματουργών εζώγρεις, οψώνιον πολυτελές, τώ εκ Παρθένου Νίκανδρε εκλάμψαντι, τούτους προσαγόμενος.

Κλήμα ευφορώτατον, Τίτου φυτείας εγένου, τού τών Κρητών φωστήρος, βότρυας φέρον λογικούς, γλεύκος ημίν πηγάζοντας σωτήριον, Νίκανδρε Μακάριε.

Σύν τώ Ερμαίω τώ θείω κεχερσωμένας καρδίας, τώ τού Σταυρού αρότρω κατενεώσατε Σοφοί, καί καρποφόρους Νίκανδρε εδείξατε, όθεν μακαρίζεσθε.

Θεοτοκίον

Νούς ουδέ ουράνιος, τήν υπέρ νούν σου λοχείαν, διερμηνεύει Κόρη. Νού γάρ τού πρώτου εν γαστρί, Λόγον Αγνή συνέλαβες, τόν τά πάντα, λόγω συστησάμενον.

Ο Ειρμός

«Ότι στείρα έτεκεν, η εξ Εθνών Εκκλησία, καί η πολλή εν τέκνοις, ησθένησε συναγωγή, τώ θαυμαστώ Θεώ βοήσωμεν. Άγιος εί Κύριε».

Κάθισμα τού Οσίου Ήχος γ'

Τήν ωραιότητα

Κόσμου τερπνότητα, προθύμως έλιπες, καί τώ Δεσπότη σου, κατηκολούθησας, έρωτι θείω τήν ψυχήν, τρωθείς, Ιωαννίκιε, όθεν καί τήν κάμινον, τών παθών εναπέσβεσας, δρόσω τή τού Πνεύματος, τού Αγίου πανόλβιε, διό σύν τοίς, Αγγέλοις χορεύεις, νύν τούτων τόν βίον μιμησάμενος.

Δόξα… Τών Ιερομαρτύρων

Νίκης επώνυμος, Μάρτυς γενόμενος, ανδρών ενίκησας, άθεον ένστασιν, καί τά σεβάσματα αυτών, ώ Νίκανδρε ηφάνισας, έχων συναθλούντά σοι, τόν Ερμαίον τόν ένδοξον, πάσάν τε υπήνεγκας, σύν αυτώ μάκαρ βάσανον, καί νύν τάς αθανάτους κληρούσθε λήξεις, πρεσβεύοντες σωθήναι τάς ψυχάς ημών.

Καί νύν… Θεοτοκίον

Άπας ό βίος μου, εν ραθυμία πολλή, διήλθε Πάναγνε,καί νύν προσήγγισα, τώ τής εξόδου μου καιρώ καί δέδοικα τούς εχθρούς μου, μή διασπαράξωσι,τήν ψυχήν μου Θεόνυμφε, καί τής απωλείας με, τώ βυθώ παραπέμψωσιν, αλλ' οίκτειρον τόν δούλόν σου Κόρη, καί ρύσαί με τής τούτων κατακρίσεως.

Η Σταυροθεοτοκίον

Τόν επονείδιστον, Οικτίρμον θάνατον, διά σταυρώσεως, εκών υπέμεινας, όν η τεκούσά σε Χριστέ, ορώσα ετιτρώσκετο, σπλάγχνα κοπτομένη γάρ, μητρικώς επωδύρετο, ής ταίς παρακλήσεσι, διά σπλάγχνα ελέους σου, οικτείρησον καί σώσον τόν κόσμον, ο αίρων τήν τούτου αμαρτίαν.

Τού Οσίου

Ωδή δ'

«Τήν ανεξιχνίαστον θείαν βουλήν, τής εκ τής Παρθένου σαρκώσεως, σού τού Υψίστου, ο Προφήτης Αββακούμ, κατανοών εκραύγαζε. Δόξα τή δυνάμει σου Κύριε».

Όρη υψηλότατα καταλαβών, κορυφάς δαιμόνων υψούμενος, εν ταπεινώσει, εταπείνωσας Σοφέ, καί κατ' αυτών ηρίστευσας, κλέος Μοναστών καί εδραίωμα.

Μάχαιραν ως δίστομον τόν τού Χριστού, φόβον οπλισάμενος δράκοντα, τόν αποστάτην, καταβάλλεις νοητώς, καί αισθητώς Μακάριε, νίκαις ιεραίς κλεϊζόμενος.

Όλος θείω Πνεύματι πυρακτωθείς, Πάτερ παγετόν εκαρτέρησας, έτεσι πλείστοις ταίς ερήμοις προσχωρών, καί εκζητών τόν Κύριον, χάριτί σε θεία συνθάλποντα.

Υπό ψυχικών ημάς ασθενειών, Πάτερ δονουμένους καί πίστει σε, νύν επίσκεψαι προσκαλουμένους ταίς σαίς, πρός τόν Θεόν δεήσεσιν, όπως ευσεβώς σε γεραίρωμεν.

Θεοτοκίον

Σέ τό ιλαστήριον πάντων βροτών, πίστει ικετεύω καί δέομαι. Ευλογημένη, ίλεών μοι τόν Κριτήν, τόν σόν Υιόν απέργασαι, όπως κατά χρέος δοξάζω σε.

Τών Ιερομαρτύρων

Ο καθήμενος εν δόξη

Άρμα ώφθητε τού Λόγου, νοητώς τούτον φέροντες, όθεν προσδεθέντες, ίπποις απηνώς τε συρόμενοι, ουκ εξηρνήσασθε τούτον, ουχ ηττήθητε, πρός ουράνιον, νύσσαν σαφως επειγόμενοι.

Ταίς φρουραίς προσομιλούντες, καί δεσμά περικείμενοι, τών δεσμών τής πλάνης, πόλιν καί λαόν διεσώσατε, καί τώ δεσμώ τής αγάπης συνεδήσατε, τού δεθέντος, σαρκί δι' ημάς αγαθότητι.

Σύν Αγγέλοις τόν Δεσπότην, κεκλεισμένοι εδόξαζον, ουρανίω άρτω, οι πανευκλεείς εκτρεφόμενοι, όθεν σαρκός αλγηδόνων ουκ εφρόντισαν, δυνατώτεροι, τών αικισμών χρηματίσαντες.

Θεοτοκίον

Επί θρόνου επηρμένου, φοβερώς ο καθήμενος, μητρικαίς αγκάλαις, βρέφος χρηματίσας καθέζεται, τήν συμπεσούσαν εικόνα ανορθούμενος, καί τήν θέωσιν, τοίς εξ Αδάμ χαριζόμενος.

Τού Οσίου

Ωδή ε’

«Εξέστη τά σύμπαντα, επί τή θεία δόξη σου, σύ γάρ απειρόγαμε Παρθένε, έσχες εν μήτρα τόν επί πάντων Θεόν, καί τέτοκας άχρονον Υιόν, πάσι τοίς υμνούσί σε, τήν ειρήνην βραβεύουσα».

Εβάδισας Όσιε, στενήν καί τεθλιμμένην οδόν, θείαις αναβάσεσι καρδίας, καί θεωρίαις εμπλατυνόμενος, καί θέσει Θεούμενος σαφώς, πόλιν τήν ουράνιον, νύν οικείς αγαλλόμενος.

Τό όμμα καθάραντι τής διανοίας Όσιε, χάρις σοι εδόθη προφητείας, ως ενεστώτα λέγειν τά μέλλοντα, βλέπειν τε τά πόρρω ως εγγύς, ώ Ιωαννίκιε, τή τού Πνεύματος χάριτι.

Ο δύνης με λύτρωσαι, αμαρτιών καί θλίψεων, παύσον τής καρδίας μου τόν πόνον, καί τών πταισμάτων τήν λύσιν βράβευσον, τόν αγαθοδότην καί Θεόν, έχων υπακούοντα, τών σεπτών σου δεήσεων.

Θεοτοκίον

Νοός μου θεράπευσον, τάς εκτροπάς Πανάμωμε, ίασαι τά πάθη τής ψυχής μου, τής ραθυμίας σκότος απέλασον, όπως εν αινέσει σε υμνώ, τήν αειμακάριστον, Θεοτόκε πανύμνητε.

Τόν Ιερομαρτύρων

Τόν φωτισμόν σου Κύριε

Εις φωτισμόν τής πίστεως, ωδήγησας λαούς, λιπόντας σκότος ειδωλομανίας, τέκνα δέ φωτός γεγενη μένους, μεσι τεία σου Νίκανδρε.

Φωτιστικαίς τού Πνεύματος, αυγάζοντες αυγαίς, βασάνων σκότος διήλθον αβλαβώς, λύοντες αχλύν τής αθεϊας, οι φωστήρες οι ένδοξοι.

Παύλου ναμάτων έμπλεως, ό Τίτος γεγονώς, σέ καταρδεύει δεικνύων ποταμόν, ρείθρα θολερά τής αθεϊας, κατακλύζοντα Νίκανδρε.

Θεοτοκίον

Η τόν αμνόν καί Κύριον, κυήσασα σαρκί, Παρθένε μόνη, αμόλυντε σεμνή, θεία κιβωτέ, σεπτή λυχνία, τήν ψυχήν μου καταύγασον.

Τού Οσίου

Ωδή ς'

«Τήν θείαν ταύτην καί πάντιμον, τελούντες εορτήν οι θεόφρονες, τής θεομήτορος, δεύτε τάς χείρας κροτήσωμεν, τόν εξ αυτής τεχθέντα Θεόν δοξάζοντες».

Μαράνας πάθη τού σώματος, ως δένδρον καθωράθης υψίκομον, καρπούς τά θαύματα, καί τά σεπτά κατορθώματα, ιερωτάτως φέρων' Ιωαννίκιε.

Ιάσατό σε ο Κύριος, οράσει Ευσταθίου τού Μάρτυρος, ιόν όλέθριον, καταπιόντα πανόλβιε, διά χειρός αδίκου καί κινδυνεύοντα.

Μυρίοις πόνοις ωμίλησας, τό σώμα ασθενώς διακείμενος Ιωαννίκιε, όθεν εν πίστει κραυγάζω σοι, τάς αλγηδόνας παύσον τών νοσημάτων μου.

Θεοτοκίον

Η μόνη πάντων βοήθεια, βοήθησον ημίν κινδυνεύουσι, καί χείρα όρεξον, καί πρός λιμένας εμβίβασον, τής σωτηρίας Κόρη Θεοχαρίτωτε.

Τών Ιερομαρτύρων

Εβόησε, προτυπών

Ηλούμενοι, ταίς περόναις τό σώμα οι Μάρτυρες, παθημάτων μιμηταί, τού Σωτήρος εδείκνυντο, τού προσηλωθέντος, εν Σταυρώ καί φθοράς κόσμον σώσαντος.

Τό πέλαγος, τών βασάνων διήλθετε Μάρτυρες, κυβερνήσει, τού Αγίου πανεύφημοι Πνεύματος, καί πρός θείον όρμον, κατηντήσατε δόξης πληρούμενοι.

Ενίκησας, φερωνύμων ανδρών πάσαν ένστασιν, μιαιφόνων, ιεράρχα αοίδιμε Νίκανδρε, καί στεφάνους δόξης, εκομίσω τώ Θεώ παριστάμενος.

Θεοτοκίον

Ηφάνισας, τής Προμήτορος Κόρη τό όνειδος, ευλογίαις τόν ημάς, στεφανούντα κυήσασα, καί τήν λύπην ταύτης, εις χαράν αγαθή μετενήνοχας.

Ο Ειρμός

«Εβόησε, προτυπών τήν ταφήν τήν τριήμερον, ο Προφήτης Ιωνάς εν τώ κήτει δεόμενος. Εκ φθοράς με ρύσαι, Ιησού Βασιλεύ τών Δυνάμεων».

Κοντάκιον τού Οσίου

Ήχος πλ. δ' Τή υπερμάχω

Αστήρ εφάνης παμφαής επί γής λάμπων, καί τούς εν ζόφω τών παθών περιαυγάζων, ιατρός δέ αρωγοτατος τών νοσούντων, αλλ' ως χάριν ειληφώς, τήν τών ιάσεων, τοις αιτούσί σε παράσχου πάσαν ίασιν, ίνα κράζωμεν. Χαίροις Πάτερ, Ιωαννίκιε.

Ο Οίκος

Η στραψεν εν τώ κόσμω' ο θεόληπτος βίος τών σών κατορθωμάτων, Παμμάκαρ, καί απήλασε πάσαν αχλύν ψυχικών παθημάτων, καί φώς άϋλον κατηύγασε, τοίς πίστει σοι καί πόθω εκβοώσι ταύτα.

Χαίροις, τερπνόν Μοναζόντων κλέος, χαίροις, φωστήρ διαυγής τού κόσμου.

Χαίροις, τών νοσούντων ταχεία παράκλησις, χαίροις, ευρωστούντων ακλόνητον έρεισμα.

Χαίροις, ότι τήν επίγειον απεβάλου στρατιάν, χαίροις, ότι τά ουράνια αντηλλάξω τών φθαρτών.

Χαίροις, τών θείων όντως αρετών ο ταμίας, χαίροις τών απορρήτων αυτουργός θαυμασίων.

Χαίροις, παθών παντοίων καθαίρεσις, χαίροις, ημών προστάτης θερμότατος.

Χαίροις, παντός ετοιμότατος ρύστης, χαίροις, παντός καταφύγιον κόσμου.

Χαίροις, Πάτερ Ιωαννίκιε.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Δ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Ιωαννικίου τού μεγάλου, τού εν τώ Ολύμπω.

Στίχοι

Τόν Ιωαννίκιον εκ γής λαμβάνει
Ο τώ λόγω γήν τού Θεού πήξας Λόγος.
Σήμά σοι έν γε τετάρτη Ιωαννίκιε χεύσαν.

Τή αυτή ημέρα, μνήμη τών Αγίων Ιερομαρτύρων, Νικάνδρου Επισκόπου Μύρων, καί Ερμαίου Πρεσβυτέρου, χειροτονηθέντων παρά τού Αγίου Αποστόλου Τίτου.

Στίχοι

Χριστόν ποθούντας ζώντας Μάρτυρας δύω,
Καί ζώντας ενθάπτουσι πικρώς τώ τάφω.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Πορφυρίου.

Στίχοι

Ο Πορφύριος ευστόλιστος εκ ξίφους,
Λαμπράν στολισθείς πορφύραν εξ αιμάτων.

Τή αυτή ημέρα, Διήγησις εις τόν θρήνον τού Προφήτου Ιερεμίου περί τής Ιερουσαλήμ, καί εις τήν άλωσιν ταύτης, καί περί τής εκστάσεως Αβιμέλεχ.

Μνήμη τού αγίου καί ευσεβάστου βασιλέως, Ιωάννου τού Βατάτζη, τού καί Ελεήμονος επικληθέντος.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός ελέησον ημάς. Αμήν.

Τού Οσίου

Ωδή ζ'

«Ουκ ελάτρευσαν, τή κτίσει οι θεόφρονες, παρά τόν κτίσαντα, αλλά πυρός απειλήν, ανδρείως πατήσαντες, χαίροντες έψαλλον. Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί».

Τήν καρδίαν, τής Τριάδος οικητήριον, απεργασάμενος, τρείς εδομήσω ναούς, εν οίς θεία χάριτι, Ιωαννίκιε, μύρα βλύζουσιν, εις φωτισμόν καί κάθαρσιν, τών πιστώς σοι προσιόντων.

Η ψυχή σου φωταυγεία θείου Πνεύματος, ελλαμπομένη αεί, ψυχών εώρα πιστώς, τών προσερχομένων σοι, Ιωαννίκιε, τά βουλεύματα, προφητικαίς προγνώσεσιν, ιερώς θαυμαζομένη.

Νοσημάτων, χειμαζόντων με Μακάριε, ψυχής καί σώματος, ταίς ικεσίαις σου, συντόμως απάλλαξον, καί μέλπειν ποίησον. Υπερύμνητε, ό τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Θεοτοκίον

Αναλλοίωτον, τεκούσα μόνη Κύριον, Θεοχαρίτωτε, τή δεξιά τή αυτού, Αγνή αλλοιώσαί μου, τόν νούν ικέτευε, πρός τά κρείττονα, δεινώς περιτρεπόμενον, ταίς τού βίου ασχολίαις.

Τών Ιερομαρτύρων

Αβραμιαίοι ποτέ

Τήν ιεράν σου στολήν, προσεπιχρώσας μάκαρ, βαφαίς αιμάτων απετέλεσας, λαμπροτέραν Νίκανδρε, ανακραυγάζων. Χριστέ ευλογητός εί.

Προσομιλούντες πυρί, ανενδοιάστω πόθω, τώ πρός τόν Κτίστην ουκ εφλέχθητε, βοώντες Μακάριοι. Ο τών Πατέρων Θεός ευλογητός εί.

Την τής καμίνου φλόγα, υμίν ετοιμασθείσαν, εις τιμωρίαν μετετρέψατε, εις δρόσον εν Πνεύματι, τώ παντουργώ βοώντες. Χριστέ ευλογητός εί.

Θεοτοκίον

Σωματωθέντα Λόγον, ανερμηνεύτως τίκτεις, αγνή Παρθένε τους κραυγάζοντας, θανάτου λυτρούμενον, ο τών Πατέρων Θεός ευλογητός εί.

Τού Οσίου

Ωδή η’

«Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Ιστάμενος άνω πρός τό όρος, ως επί λυχνίας λύχνος, Όσιε, πάντων τά νοήματα, πίστει κατεφώτιζες, υποδεικνύων άριστα Ιωαννίκιε, τήν τρίβον τής ζωής καί ανάγων, τούτους θείω λόγω, πρός ύψος απαθείας.

Νοί απαθεία καθαρθέντι, ωμίλησας Κυρίω παντοκράτορι, υφ' ού τά απόρρητα, Όσιε μυούμενος, προφητικώς προέλεγες, εις σωτηρίαν ψυχών, ως μέγιστος παμμάκαρ προφήτης, όθεν σε συμφώνως, πιστοί ανευφημούμεν.

Επήλθόν μοι μάστιγες βαρείαι, καί νόσοι αλλεπαλλήλως με χειμάζουσι, τούτων με απάλλαξον, Πάτερ ικετεύω σε, ως εκ Θεού δεξάμενος, Ιωαννίκιε, τήν χάριν ιατρεύειν τά πάθη, καί τάς αλγηδόνας, πιστών επικουφίζειν.

Τριαδικόν

Σύν πάσαις ταίς άνω στρατηγίαις, Πατέρα Υιόν καί Πνεύμα Άγιον, Τριάδα αμέριστον, άκτιστον θεότητα, υμνολογούντες, Άγιος, Άγιος, Άγιος, βοήσωμεν εν αγαλλιάσει, μία εξουσία, αρχή καί βασιλεία.

Θεοτοκίον

Ωράθης Αγγέλων υπερτέρα, Θεόν απορρήτως σωματώσασα, τούτον ούν

ικέτευε, Δέσποινα πανάμωμε, τών σαρκικών ανώτερον, παθών γενέσθαι με, νοός εν υψηλή ταπεινώσει, ανυμνολογούντα, τήν σήν μεγίστην χάριν.

Τών Ιερομαρτύρων

Λυτρωτά τού παντός

Ιεράρχης σεπτός εχρημάτισας, ουδαμώς αλλοτρίω εν αίματι, τώ δέ οικείω Νίκανδρε, εισελθών εις τόν άνω ναόν, καί μέλπων. Ευλογείτε, υμνείτε τόν Κύριον.

Εν καθέδρα αινέσας τόν Κύριον, πρεσβυτέρων Ερμαίος ό ένδοξος, καλλωπισθείς εν αίματι, μαρτυρίου κραυγάζει. Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον.

Ιερώς προτελούντες τά άγια, ιερεία σεπτά ανεδείχθητε, καί εις οσμήν προσήχθητε, ευωδίας Κυρίω Αναβοώντες. Ευλογείτε υμνείτε τόν Κύριον.

Θεοτοκίον

Τών κακών μου τό πέλαγος ξήρανον, ευσπλαγχνίας κυήσασα πέλαγος, τόν Λυτρωτήν καί Κύριον, ώ βοώμεν Παρθένε. Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον.

Ο Ειρμός

«Λυτρωτά τού παντός παντοδύναμε, τούς εν μέσω φλογός ευσεβήσαντας, συγκαταβάς εδρό»σισας, καί εδίδαξας μέλπειν. Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον».

Τού Οσίου

Ωδή θ’

«Άπας γηγενής, σκιρτάτω τώ πνεύματι λαμπαδουχούμενος. πανηγυριζέτω δέ, αϋλων Νόων φύσις γεραίρουσα, τήν ιεράν πανήγυριν τής Θεομήτορος, καί βοάτω. Χαίροις παμμακάριστε, Θεοτόκε αγνή αειπάρθενε».

Ίσχυσας Θεού, τόν νούν σου κρατύναντος, κατακρατήσαι παθών, Άγγελος εν σώματι, εντεύθεν Πάτερ σύ εχρημάτισας, καί σύν Αγγέλοις πάντοτε, τούς ουρανούς κατοικείς, τώ τής δόξης, θρόνω παριστάμενος, καί φωτός ανεσπέρου πληρούμενος.

Ώσπερ ουρανόν, τά όρη καί σπήλαια ώκησας Όσιε, όθεν σοι ειρήνευσαν, άγριοι θήρες καθυποτάξαντι, πάθη ψυχής δυσκάθεκτα, Ιωαννίκιε, καί δικαίω, ήδη χρηματίσαντι, διά τούτο πιστοί σε γεραίρομεν.

Σού τό ιερόν, καί άγιον λείψανον εν τάφω κείμενον, θάπτει τά νοσήματα, καί φλέγει στίφη δαιμόνων πάντοτε, σοφέ Ιωαννίκιε, τή θεία χάριτι, αναβλύζον, πάσι τά ιάματα, τοίς πιστώς σε αεί μακαρίζουσιν.

Ήδη τώ Χριστώ εγγίζων τρανότερον καί καθαρώτερον, μέμνησο τών πίστει σου, μνημονευόντων Ιωαννίκιε, αμαρτιών συγχώρησιν, ημίν αιτούμενος, νοσημάτων, πάντων απολύτρωσιν, καί Θεού βασιλείας οικείωσιν.

Θεοτοκίον

Φώτισον Αγνή, ψυχής μου τά όμματα φώς η κυήσασα, καί μή καταλάβη με, τής αμαρτίας σκότος βαθύτατον, μηδέ βυθός καλύψη με τής απογνώσεως, αλλ' αυτή με, σώσον καί κυβέρνησον, πρός λιμένα τού θείου θελήματος.

Τών Ιερομαρτύρων

Εύα μέν τώ τής παρακοής

Ικρίω σοφέ καρτερικώς τεινόμενος, καί λαμπάσι φλογιζόμενος, δρόμον ουράνιον εδέξω, χειρί αγγελική Μάρτυς Νίκανδρε, τούς φλέγοντας νεκρούς δέ απέδειξας, ταίς ζωηφόροις σου εντεύξεσιν.

Ωράθητε θέαμα φρικτόν γυμνούμενοι, καί αλόγοις συνδεσμούμενοι, καί επί πλείστον Αθλοφόροι, συρόμενοι καί σώοι δεικνύμενοι, πυρί προσομιλούντες καί άφλεκτοι, Πνεύματι θείω συντηρούμενοι.

Σήμερον τών Μύρων ιερά μητρόπολις, εορτάζει πόλιν άπασαν, πρός εύωχ ίαν συγκαλούσα, εν τή μνήμη υμών ταύτη Πανεύφημοι, εν ή τήν ιεράν υμών άθλησιν, μεγαλοφρόνως ετελέσατε.

Ηνοίγη υμίν ο ουρανός καί Άγγελοι, τή ανόδω επεκρότησαν, τάξεις Αγίων καί Δικαίων, ηυφράνθησαν, εσκίρτησαν Μάρτυρες, μεθ' ών κατασκηνώσαντες μνήσθητε, τών μεμνημένων ημών Άγιοι.

Θεοτοκίον

Φωτί με καταύγασον τώ σώ Πανάμωμε, η τεκούσα φώς απρόσιτον, λύσον τά νέφη τής ψυχής μου, καί σκότους με εξάρπασον δέομαι, καί θείας σωτηρίας αξίωσον, ίνα υμνώ σε τήν πανύμνητον.

Ο Ειρμός

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν είσω κίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω, τήν ευλογίαν εξήνθησας. Όθεν σε πάντες μεγαλύνομεν».

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Εμφρόνως καθυπέταξας, σοφέ Ιωαννίκιε, τώ αυτοκράτορι Πάτερ, νοϊ σαρκός τάς ορέξεις, εντεύθεν τό ακρότατον, τών εφετών κατέλαβες, καί θείας δόξης έτυχες, υπέρ ημών ούν πρεσβεύων, μή διαλίπης παμμάκαρ.

Τών Ιερομαρτύρων

Φυτεία τού παμμάκαρος, εδείχθης Τίτου Νίκανδρε, υφ' ού τής πόλεως Μύρων, εχρίσθης Όσιε Πάτερ, Αρχιερεύς θεόληπτος, εν ή καί τό μαρτύριον,

σύν τώ Ερμαίω πάνσοφε, υπέρ Χριστού διανύσας, εν ουρανοίς βασιλεύεις.

Θεοτοκίον

Καί σχετικώς ασπάζομαι, καί πόθω τήν προσκύνησιν, προσνέμω πίστει καί φόβω, τή παναχράντω καί θεία, εικόνι σου πανάμωμε, αφ' ής ψυχών εκβλύζουσι, καί τών σωμάτων Δέσποινα, ιάματα τοίς υμνούσι, σέ Θεοτόκον κυρίως.

Η λοιπή, Ακολουθία τού Όρθρου ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Ε' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Μαρτύρων Γαλακτίωνος καί Επιστήμης.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις το, Κύριε εκέκραξα, ψάλλομεν τρία Στιχηρά Προσόμοια τών Αγίων.

Ήχος πλ. δ'

Ωτού παραδόξου θαύματος

Γάλακτι τραφείς ασκήσεως, διά βασάνων πολλών, Γαλακτίων καί θλίψεων, εις Χριστού κατήντησας, ηλικίαν γενόμενος, δεκτή θυσία, τέλειον σφάγιον, τή αυθαιρέτω ορμή πανόλβιε. Ώ τής εδραίας σου, καί βεβαίας πίστεως! δι' ής Θεού, έτυχες Θεούμενος, νύν τελεώτερον.

Επιστημόνως εζήτησας, τών αγαθών τήν πηγήν, ορεκτών τό ακρότατον, ταίς αυτού λαμπρότησι,καί ψυχήν καί διάνοιαν, καταυγασθείσα Θεομακάριστε, καί καθελούσα στερραίς ενστάσεσι, τόν πολυμήχανον, καί αρχαίον δράκοντα, Μοναζουσών, θείον εγκαλλώπισμα, Μάρτυς πολύαθλε.

Δύο φωστήρες υπέρλαμπροι, Ανατολής νοητής, ανατέλλουσι χάριτι, καί τήν κτίσιν άπασαν, ευσεβώς καταυγάζουσιν, υπερβαλλούσαις άθλων λαμπρότησι, καί ιαμάτων, θείοις πυρσεύμασιν, ών τήν υπέρφωτον, εορτήν γεραίροντες, τόν δι' αυτών, πάντας αγιάζοντα, Χριστόν δοξάσωμεν.

Δόξα… Καί νύν... Θεοτοκίον

Δεύρο ψυχή μου στενάζουσα, καί τών δακρύων κρουνούς, εκ καρδίας πηγάζουσα, τή Παρθένω βόησον, καί Μητρί τού Θεού ημών. Διά τό πλήθος τών οικτιρμών σου Αγνή, τής φοβεράς με ρύσαι κολάσεως, καί κατασκήνωσον, ένθα η ανάπαυσις, καί η χαρά, η διαιωνίζουσα, καί η απόλαυσις.

Η Σταυροθεοτοκίον

Ω τού παραδόξου θαύματος! ώ μυστηρίου φρικτού! ώ φρικτής εγχειρήσεως! η Παρθένος έλεγεν, εν Σταυρώ σε ως έβλεψεν, εν μέσω δύο ληστών κρεμάμενον, όν ανωδίνως φρικτώς εκύησεν. Έκλαιε λέγουσα, Οίμοι Τέκνον φίλτατον! πώς ο δεινός, δήμος καί αχάριστος, Σταυρώ προσή λωσεν.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.
Καί τά λοιπά τού Εσπερινού, καί Απόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, λέγονται οι κανόνες τής Οκτωήχου, καί τών Αγίων ο παρών.

### Ωδή α' Ήχος πλ. β'

«Ως εν ηπείρω πεζεύσας ο Ισραήλ, εν αβύσσω ίχνεσι, τόν διώκτην Φαραώ, καθορών ποντούμενον Θεώ επινίκιον ωδήν, εβόα άσωμεν».

Τούς ανεσπέρους φωστήρας τούς λογικούς, ουρανούς τούς λάμψαντας, υπέρ ήλιον εν γή, τού Χριστού τούς θείους Αθλητάς, εν ωδαίς πνευματικαίς πίστει τιμήσωμεν.

Ελληνικής από ρίζης στειρωτικής, ευθαλής εβλάστησας θεοδώρητος βλαστός, Γαλακτίων κόσμω τούς καρπούς, προβαλλόμενος τής σής ατρέπτου πίστεως.

Επιστημόνως τήν πίστιν τήν πρός Χριστόν, εκζητούσα έδραμες, πρός επίγνωσιν αυτού, καί τυχούσα θείας δωρεάς, Επιστήμη νυμφικώς τούτω νενύμφευσαι.

Θεοτοκίον

Κατεποντίσθην ο τάλας εν τώ βυθώ, τών πολλών μου πράξεων, καί πρός σέ τήν αγαθήν, καταφεύγω Μήτερ τού Θεού, δός μοι χείρα βοηθείας καί διάσωσον.

### Ωδή γ'

«Ούκ έστιν άγιος ως σύ, Κύριε ό Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου Αγαθέ, καί στερεώσας ημάς, εν τή πέτρα,τής ομολογίας σου».

Εφέσει κρείτονος ζωής, καί τρυφής ανεκφράστου, τών φθαρτών υπερείδες, καί ρευστών πάντα τερπνά, σύν Επιστήμη Χριστώ Γαλακτίων, ευπειθώς επόμενος.

Ρυσθέντες βρόχων σαρκικών, καί παθών πολυπλόκων, εν ασκήσει τώ πόθω, συνεδέθητε Χριστού, θυσία δέ καθαρά, εν αθλήσει, τούτω προσηνέχθητε.

Τώ θείω πόθω τού Χριστού, αρνησάμενοι κόσμον,συνεδέθητε μάλλον, τώ Πνεύματι Αθληταί, καί διά πόνων πολλών, βασιλείας,θείας ηξιώθητε.

Θεοτοκίον

Ουκ έστιν όστις πρός τήν σήν, καταπέφευγε σκέπην, καί ουκ έτυχε Κόρη, τών πολλών σου οικτιρμών, διό δέομαι τής σής, όπως τύχω, Κόρη αντιλήψεως.

Κάθισμα  Ήχος δ’
Ταχυ προκατάλαβε

Ασκήσει λαμπρύνας σου, τό οπτικόν τής ψυχής, ακτίσιν αθλήσεως, φωταγωγείς τούς πιστούς, Γαλακτίων μακάριε, όθεν σου τήν αγίαν, καί φωσφόρον ημέραν, πίστει επιτελούμεν, ευσεβώς σοι βοώντες. Ως έχων παρρησίαν πρός Χριστόν, πρέσβευε σωθήναι ημάς.

Δόξα… Καί νύν... Θεοτοκίον

Παρθένε πανάμωμε, τόν υπερούσιον, Θεόν η κυήσασα, σύν Ασωμάτοις αυτόν, απαύστως ικέτευε, άφεσιν τών πταισμάτων, καί διόρθωσιν βίου, δούναι ημίν πρό τέλους, τοίς εν πίστει καί πόθω, υμνούσί σε κατά χρέος, μόνη Πανύμνητε.

Η Σταυροθεοτοκίον

Σταυρώ σε υψούμενον, ως εθεάσατο, η άχραντος Μήτηρ σου, Λόγε Θεού μητρικώς, θρηνούσα εφθέγγετο. Τί τό καινόν καί ξένον, τούτο Υιέ μου θαύμα; πώς η ζωή τών όλων, ομιλεί τώ θανάτω; ζωώσαι τούς τεθνεώτας, θέλων ως εύσπλαγχνος.

Ωδή δ’

«Χριστός μου δύναμις, Θεός καί Κύριος, η σεπτή Εκκλησία θεοπρεπώς, μέλπει ανακράζουσα, εκ διανοίας καθαράς, έν Κυρίω εορτάζουσα».

Θεού σε πρόνοια, βλαστόν ανέδειξε, στειρευούσης νηδύος τών αρετών, τούς καρπούς πληθύνοντα, καί καρποφόρον δεικνύντα, παραινέσεσι τήν σύζυγον.

Χριστόν επόθησας, κόσμον εμίσησας, κατεφρόνησας πλούτου, δόξης, τρυφής, καί τιμής ηλόγησας, φθαρτών τά άφθαρτα σοφώς, αλλαξάμενος πανόλβιε.

Χριστού τοίς ίχνεσι, κατηκολούθησας, ακλινώς Γαλακτίων σύν τή σεπτή, Επιστήμη ένδοξε, διό καί δόξης παρ' αυτού, καί στεφάνων κατηξίωσαι.

Θεοτοκίον

Ναόν εμόλυνα, κακώς τού σώματος, Παναγία Παρθένε τό καθαρόν, Θεού οικητήριον, κάθαρον ρύπου με παντός, τών παθών μου ταίς πρεσβείαις σου.

Ωδή ε’

«Τώ θείω φέγγει σου αγαθέ, τάς τών ορθριζόντων σοι ψυχάς, πόθω καταύγασον δέομαι, σέ ειδέναι Λόγε Θεού, τόν όντως Θεόν, εκ ζόφου τών πταισμάτων ανακαλούμενον».

Τώ θείω φέγγει καταυγασθείς, καί τής απαθείας καλλοναίς, περιλαμφθείς Γαλακτίων σοφέ, έπεισας αγνεύειν σύν σοί τήν σύζυγον, ζυγόν ανελομένην, τόν ελαφρόν τού Χριστού.

Πυρί πυρούμενοι πειρασμών, πύρ φιληδονίας καί πυράν, πολυθεϊας εσβέσατε, άμφω τά συμφέροντα συμφρονήσαντες, εν πόνοις πολυτρόποις,

ψυχής καί σώματος.

Νόμω πειθόμενοι τού Θεού, άραντες επ' ώμων τόν σταυρόν, είλεσθε βίον τόν άμεμπτον, καί διπλοίς στεφάνοις κατεκοσμήθητε, ασκήσει καί νομίμοις, άθλοις εκλάμψαντες.

Θεοτοκίον

Ηλίου όχημα φωτεινόν, κάθαρον τόν ρύπον τής ψυχής, καμού τού δούλου σου δέομαι. τάχυνον τήν χάριν τής ευσπλαγχνίας σου, καί ίασαι νοσούντα, Κόρη Θεόνυμφε.

Ωδή ς'

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ εύδίω λιμένι σου προσδραμών, βοώ σοι, Ανάγαγε, εκ φθοράς τήν ζωήν μου Πολυέλεε».

Τού βίου τό βίαιον, βδελυξάμενοι σαφώς, είλεσθε βίον άμεμπτον, ως βιασταί τής φύσεως καί διπλοίς, εν άθλοις προλάμψαντες, διττοίς τοίς στεφάνοις κατεκοσμήθητε.

Σωμάτων διάστασιν, υποστάντες τών ψυχών, ενώσει διά πίστεως, ασάρκους πρίν καθείλετε δυσμενεϊς, αύθις ορωμένους δέ, κατεβάλετε, σθένει θείου Πνεύματος.

Νομίμως ηρίστευσαν, Γαλακτίων ό κλεινός, καί η θεόφρων σύζυγος, Επιστήμη ανδρείως καί καρτερώς, αυτών ταίς δεήσεσι, τά ελέη σου Λόγε πάσι δώρησαι.

Θεοτοκίον

Αγάθυνον Δέσποινα, τήν ψυχήν μου εν πολλοίς, κεκακωμένην πταίσμασι, καί τόν δοτήρα πάντων τών αγαθών, Θεόν καθικέτευε, βασιλείας τής άνω αξιώσαί με.

Κοντάκιον Ήχος β'

Τά άνω ζητών

Μαρτύρων Χριστού, τοίς δήμοις ηριθμήθητε, αγώσι στερροίς, φαιδρώς αγωνισάμενοι, Γαλακτίων ένδοξε, σύν συζύγω σεπτή καί συνάθλω σου, Επιστήμη, τώ μόνω Θεώ, πρεσβεύοντες άμφω υπέρ πάντων ημών.

Ο Οίκος

Τόν γενναίον εν Μάρτυσι Γαλακτίωνα, εν ασμάτων ωδαίς ευφημήσωμεν, σύν τή πανευκλεεί συζύγω, τή φερωνύμω Επιστήμη ούτοι γάρ καθείλον τού εχθρού τό φρύαγμα, καί ειδώλων τό άθεον ήλεγξαν, τήν δέ πίστιν Χριστού ανεκήρυξαν. Διό περιφανώς λαβόντες παρ' αυτού, τούς στεφάνους τής αφθαρσίας, απαύστως πρεσβεύουσιν υπέρ πάντων ημών.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Ε' τού αυτού μηνός, Μνήμη τών Αγίων Μαρτύρων Γαλακτίωνος καί

Επιστήμης.

Στίχοι

Ασυνδυάστους συζύγους κτείνει ξίφος,
Τήν ψυχικήν σύζευξιν ηγαπηκότας.
Τμήθη Επιστήμη Γαλακτίων τ' ενί πέμπτη.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Αποστόλων εκ τών Εβδομήκοντα Ερμά, Πατρόβα, Λίνου, Γαϊου καί Φιλολόγου.

Στίχοι

Ερμάς, Πατρόβας καί Γάϊος τρείς άμα,
Απόστολοι θνήσκουσιν, οις τριάς φίλη.
Καθείς, Ιησούς γνώσεως θείας λίνον,
Ζωγρεί σε, Λίνε, καί μεθιστά τού βίου.
Φιλόλογος φιλών σέ τόν Θεόν Λόγον,
Πληροί λόγους σούς, καί θανων σύνεστί σοι.

Τή αυτή ημέρα, ο Άγιος Δομνίνος πυρί τελειούται.

Στίχοι

Ανασκοπών πύρ τής γεέννης Δομνίνος,
Τό τή δε πύρ έφριττεν ούμενουν όλως.

Τή αυτή ημέρα, οι Άγιοι Τιμόθεος, Θεόφιλος καί Θεότιμος, πυγμαίς τελειούνται.

Στίχοι

Τόν Τιμόθεον, καί συναθλητάς δύω
Κτείνουσι πυγμαί, καί Θεός τιμά Λόγος.

Τή αυτή ημέρα, ό Άγιος Δωρόθεος, θηρίοις εκδοθείς, τελειούται.

Στίχοι

Ο Δωρόθεος εκδοθείς τοίς θηρίοις,
Δώρον προσήχθη τώ Θεώ προσδεκτέον.

Τή αυτή ημέρα, οι άγιοι Ευψύχιος καί Καρτέριος,τά αιδοία τμηθέντες, τελειούνται.

Στίχοι

Αιδοία Καρτέριος εκτετμημένος,
Σύν Ευψυχίω καρτεροψύχως φέρει.

Τή αυτή ημέρα, ο Άγιος Σιλβανός, εις μέταλλα βληθείς, τελειούται.

Στίχοι

Εν τοίς μετάλλοις Σιλβανός βεβλημένος,
Λείπει μέταλλα καί μεταλλάττει βίον.

Τή αυτή ημέρα, ό Άγιος Πάμφιλος, ξεσθείς καί φυλακισθείς τελειούται.

Στίχοι

Φρουρά δαμασθείς, καί πρό τής φρουράς ξέσει,
Διπλούν λάβοι Πάμφιλος εικότως στέφος.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Γρηγορίου, Αρχιεπισκόπου Αλεξανδρείας, τού Ομολογητού.

Τή αυτή ημέρα ο Άγιος Αγαθάγγελος ξίφει τελειούται.

Στίχοι

Χριστάγγελός τις ψήφος Αγαθαγγέλω
Η τής τελευτής ψήφος ήν εκ τού ξίφους.

Μνήμη τού εν αγίοις πατρός ημών Ιωνά, αρχιεπισκόπου Νοβογοροδίας Ρώσσου τού θαυματουργού.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελεήσον ημάς. Αμήν.

Ωδή ζ’

«Δροσοβολον μέν τήν κάμινον ειργάσατο, Άγγελος τοίς Οσίοις Παισί, τούς Χαλδαίους δέ καταφλέγον, πρόσταγμα Θεού, τόν τύραννον έπεισε βοάν. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών».

Δροσοβόλος υμάς χάρις η τού Πνεύματος, πανσόφως προσανέψυχε, πυρπολουμένους πειρασμών πυρί καί αλγεινών, ασκήσεως καί τών αικισμών, ούς εν αθλήσει καρτερώς, αύθις υπέστητε.

Τής αγνείας μέν τώ πόθω καί ασκήσεως, στέργετε τήν διάστασιν, εν ομονοία δέ ψυχής διά πίστεως στερράς, συνδούμενοι πρός αθλητικάς, αύθις ηνώθητε λαβάς, Οσιομάρτυρες.

Γαλακτίων ο πανένδοξος θεσπίσμασι, πειθήσας τού Παντάνακτος, τά θεσπίσματα ως ληρήματα τών δυσσεβών, ηγήσατο, όθεν ουρανών, τήν βασιλείαν εν Χριστώ κλήρον απείληφεν.

Θεοτοκίον

Υπερτέρα εχρημάτισας Πανάμωμε, τών νοερών Δυνάμεων, όν γάρ εκείνοι ου τολμώσιν όλως κατιδείν, αγκάλαις εβάστασας ταίς σαίς, χαριστηρίοις σε φωναίς, όθεν δοξάζομεν.

Ωδή η’

«Εκ φλογός τοίς Οσίοις δρόσον επήγασας, καί Δικαίου θυσίαν ύδατι έφλεξας, άπαντα γάρ δράς, Χριστέ μόνω τώ βούλεσθαι. Σέ υπερυψούμεν, εις πάντας τούς αιώνας».

Τού τής φύσεως πόθου φίλτρον θερμότερον, πρός Χριστόν εσχηκότες, σαρκί καί αίματι, όλω τώ νοί προσανέχειν απείπασθε, σχέσεως υλώδους, εμφρόνως

αποστάντες.

Τής πρός σάρκα φιλίας ξένως διέστητε, τής αγνείας τώ φίλτρω θείως ηνώθητε, καί τή τού Χριστού αγάπη συνηρμόσθητε, κλέος συζυγίας, αζύγων μέγα θαύμα.

Βασιλείαν τήν άνω Μάρτυς θεσπέσιε, κατοικήσαι σπουδάζων, ταύτην κατέλαβες, αίμασι τοίς σοίς, Γαλακτίων ωνούμενος, σύν τή Επιστήμη, τή σή καλή συνάθλω.

Θεοτοκίον

Ώσπερ πύρινος θρόνος φέρεις Πανάμωμε, τόν εν κόλποις πατρώοις αναπαυόμενον, όν υπέρ ημών, Θεοτόκε ικέτευε, όπως αιωνίου, ρυσθώμεν καταδίκης.

## Ωδή θ’

«Θεόν ανθρώποις ιδείν αδύνατον, όν ου τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ παναγνε, ωράθη βροτοίς, Λόγος σεσαρκωμένος, όν μεγαλύνοντες, σύν ταίς ουρανίαις στρατιαίς σέ μακαρίζομεν».

Χριστού τώ πόθω θερμώς στομούμενοι, σχέσιν ψυχράν τού βίου καί τού φίλτρου τής φύσεως, καί δεσμούς τής σαρκός διερρήξατε, διά τήν εν Τριάδι μίαν θεότητα, Μάρτυρες δυάδος, υλικής υπεργενόμενοι.

Χοροίς Μαρτύρων, Παρθένων τάγμασιν, εν ουρανοίς χορεύων, καί φωτί αγαλλόμενος, σύν τή σή συζύγω Επιστήμη κακών, λύσιν ημίν βραβεύεις, νίκας τώ Άνακτι, κόσμω Γαλακτίων, ειρήνην καί μέγα έλεος.

Στερρώς εν πίστει εις έν ενούμενος, πανευκλεώς ο θείος Γαλακτίων ο πάνσοφος, καί τή σεμνή Επιστήμη συνδούμενος, συνήθλησε γενναίως, τούτων δεήσεσιν, οίκτειρον ημάς Λόγε Θεού, ώς υπεράγαθος.

Θεοτοκίον

Φωναίς υμνούμεν χαριστηρίοις σε, οι διά σού τυχόντες αληθώς τής Θεώσεως, καί βοώμέν σοι. Χαίρε Πανάμωμε, χαίρε ευλογημένη, χαίρε παλάτιον, τού Παμβασιλέως καί Θεού, χαίρε Μητρόθεε.

## Εξαποστειλάριον

Ο ουρανόν τοίς άστροις

Τραφείς τώ γάλακτι Μάρτυς, τής πίστεως Γαλακτίων, σύν τή σεμνή Επιστήμη, ενήθλησας μεχρι τέλους, υμών αγίαις πρεσβείαις, ρυσθείημεν τής γεέννης.

Θεοτοκίον

Χαριστηρίοις ύμνοις, δοξάζοντές σε Παρθένε, σύν τώ Αγγέλω τό χαίρε, βοώμέν σοι Θεοτόκε. Χαίρε ανύμφευτε Μήτηρ, τού Βασιλέως τής δόξης.

Η λοιπή Ακολουθία τού Όρθρου, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού εν Αγίοις Πατρός ημών Παύλου, Αρχιεπισκόπου Κωνσταντινουπόλεως, τού Ομολογητού.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'
Έδωκας σημείωσιν

Παύλος ο θεσπέσιος, σέ μιμητήν προχειρίζεται, ομωνύμως καλούμενον, καί τρόποις κοσμούμενον, τοίς αυτού Παμμάκαρ, καί θεοσεβεία, καί τή ανδρεία τής ψυχής, καί καρτερία τών περιστάσεων, καί ζήλω πυρακτούμενον, Ορθοδοξίας υπέρμαχε, ώ καί νύν συνδεδόξασαι, ουρανίοις σκηνώμασιν.

Άρειον τόν άθεον, καί δυσσεβή Μακεδόνιον, ταίς στερραίς τών δογμάτων σου, νευραίς απηγχονιδιδασας, τώ ορθώ δέ λόγω, τής σκαλίας, τών Ορθοδόξων τήν πληθύν, Ιερομύστα μάκαρ εστήριξας, διό σου τήν υπέρλαμπρον, ομολογίαν δεξάμενος, βασιλείας ανέδειξε, κοινωνόν ο Φιλάνθρωπος.

Δρόμον εκτελέσαντα, σέ καί τήν πίστιν τηρήσαντα, ιεράρχα μακάριε, Χριστός εστεφάνωσε, τώ λαμπρώ στεφάνω, τής δικαιοσύνης, καί κατελάμπρυνε τήν σήν, ομολογίαν αξιοθαύμαστε, διό τήν επουράνιον, κληρονομίαν δεξάμενος, τόν Σωτήρα δυσώπησον, υπέρ τών ανυμνούντων σε.

Παύλε παμμακάριστε, ομολογίας επώνυμε, τών θερμώς ευφημούντων σε, προστάτης γενόμενος, εκ παντός κινδύνου, πάσης αμαρτίας καί καταιγίδος τών παθών, καί τυραννίδος Πάτερ διάσωσον,ως Μάρτυς γάρ αήττητος, καί Ιεράρχης ευπρόσδεκτος, παρρησίαν σύ κέκτησαι, πρός Χριστόν τόν Θεόν ημών.

Δόξα... Ήχος α' Γερμανού

Αρχιερατικήν στολήν ενδυσάμενος, Όσιε Πάτερ, τόν ομώνυμον Παύλον εζήλωσας, διωγμούς υπομείνας καί περιστάσεις, καί εν τοίς σοίς οικείοις πόνοις, τά βλάσφημα δόγματα Αρείου κατέβαλες, παθών γάρ υπέρ τής ανάρχου, καί ομοουσίου Τριάδος, τόν δυσσεβή καί πνευματομάχον καθείλες Μακεδόνιον, καί τήν ορθόδοξον πάσι τρανώσας πίστιν, τοίς αϋλοις συναυλίζη Αγγέλοις, μεθ' ών καί νύν ικέτευε τού σωθήναι τάς ψυχάς ημών.

Καί νύν… Θεοτοκίον αυτόμελον

Τών ουρανίων ταγμάτων τό αγαλλίαμα, τών επί γής ανθρώπων, κραταιά προστασία, άχραντε Παρθένε, σώσον ημάς, τους εις σέ καταφεύγοντας, ότι εν σοί τάς ελπίδας μετά Θεόν, Θεοτοκε ανεθέμεθα.

Η Σταυροθεοτοκίον όμοιον

Υπέρ ημών ο Υιός σου παθείν ηνέσχετο, ίνα τώ τούτου πάθει, τήν απάθειαν πάσι, παράσχη Θεοτόκε, όθεν αύτόν, καθικέτευε πάντοτε, παθών παντοίων με ρύσασθαι, καί ψυχής, καί τού σώματος Πανύμνητε.

Εις τόν Στίχον Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος β’ Βυζαντίου

Ασκήσεως τό πέλαγος διαπλέων, τής εγκρατείας αύρα, τό τών παθών κλυδώνιον εξέφυγες Όσιε, όθεν τή ομωνυμία φερωνυμήσας τού θείου Παύλου, διωγμούς υπήνεγκας καί περιστάσεις, κακουχούμενος εν ταίς τών αιρετιζοντων γλωσσαλγίαις, Διό Αρείου κατέβαλες τά δόγματα, καί Νεστορίου τάς αιρέσεις τρεψάμενος, τής Εκκλησίας Χριστού, ώφθης ζηλωτής, Αυτόν ικέτευε, Ιεράρχα μακάριε, σωθήναι τάς ψυχάς ημών.

Καί νύν… Θεοτοκίον

Ότε, εκ τού ξύλου σε

Ώσπερ, εν λιμένι προσδραμών, υπό τήν αγίαν σου σκέπην, Παρθενομήτορ αγνή, δέομαι σπλαγχνίσθητι, μή απορρίψης με, αλλά ρύσαι τόν δούλόν σου, τής νύν επελθούσης, θλίψεως ώς έχουσα, τό συμπαθές φυσικόν, Μήτερ τού Θεού τού υψίστου,πάντοτε πρεσβεύουσα σώζε, πάσης περιστάσεως τους δούλους σου.

Η Σταυροθεοτοκίον

Βότρυν, η τεκούσα τής ζωής, τόν αγεωργήτως εν μήτρα σού εκβλαστήσαντα, ξύλω ως εώρακας, τούτον κρεμάμενον, θρηνωδούσα ωλόλυζες, καί έκραζες, Τέκνον, γλεύκος εναπόσταξον, δι' ού η μέθη αρθή, πάσα τών παθών Ευεργέτα, δι' εμού τής σέ τετοκυίας, σού τήν ευσπλαγχνίαν ενδεικνύμενος.

Απολυτίκιον

Ήχος γ' Αυτόμελον

Θείας πίστεως ομολογία, άλλον Παύλόν σε τή Εκκλησία, ζηλωτήν εν ιερεύσιν ανέδειξε, Συνεκβοά σοι καί Άβελ πρός Κύριον, καί Ζαχαρίου τό αίμα τό δίκαιον, Πάτερ Όσιε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν τού Ψαλτηρίου, αναγινώσκομεν τούς Κανόνας τής Όκτωήχου, είτα τού Αγίου τούτον, ού η Ακροστιχίς.

Τόν μυσταγωγόν Παύλον υμνώ προφρόνως.

Ποίημα Θεοφανους

Ωδή α' Ήχος δ'

«Ανοίξω τό στόμα μου, καί πληρωθήσεται Πνεύματος, καί λόγον ερεύξομαι τή Βασιλίδι Μητρί, καί οφθήσομαι,φαιδρώς πανηγυρίζων, καί άσω γηθόμενος,ταύτης τά θαύματα».

Τής πίστεως έρεισμα, τής Εκκλησίας διδάσκαλον, καί στύλον ακράνδαντον ομολογίας σε, καί πολύφωτον, τής χάριτος φωστήρα, καί στόμα πυρίπνοον, Παύλε κηρύττομεν.

Ο Παύλος ο μέγιστος, τής οικουμένης ο ήλιος, Τρισμάκαρ προβάλλεται, σέ Παύλον δεύτερον, ως πύρ φλέγοντα, ευτόνως τάς αιρέσεις, καί πέλεκυν κόπτοντα, τήν αθεότητα.

Νομίμως ηγώνισαι, προκινδυνεύων θεσπέσιε, τού θείου κηρύγματος, ως Ιεράρχης πιστός, καί κατέπνιξας, νευραίς τών σών δογμάτων, ως θήρα τόν Αρειον, τόν ματαιόφρονα.

Θεοτοκίον

Μαρίαν τήν άχραντον, δεύτε υμνήσωμεν άπαντες, τήν μόνην κοσμήσασαν, τήν ανθρωπότητα, τήν κυήσασαν, Θεόν σεσαρκωμένον, Παρθένον τε μείνασαν, αδιαλώβητον.

Ωδή γ'

«Τούς σούς υμνολόγους Θεοτόκε, ως ζώσα καί άφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικόν στερέωσον, καί εν τή θεία δόξη σου, στεφάνων δόξης αξίωσον».

Υιοθετηθείς χάριτι θεία, τόν φύσει Υιόν Μονογενή, εις κτίσιν ού κατήγαγες, τόν τώ Πατρί συνάναρχον, Παύλε τοίς Παύλου δόγμασι, τού θεοφόρου επόμενος.

Στόματι καί γλώσση καί καρδία, σοφίαν καί δύναμιν Θεού, καί Λόγον ενυπόστατον, σύ τόν Χριστόν εκήρυξας, Παύλε θεόφρον Όσιε, τόν δυσμενή φαυλίσας Άρειον.

Τής υπερουσίου εξουσίας, τό Πνεύμα τό Άγιον Θεού, δι' ού θεοποιούμεθα, κρίσει δικαία Πάνσοφε, φύσει Θεόν εδίδαξας,καί παντουργόν καί παντοδύναμον.

Θεοτοκίον

Ανάρχου Γεννήτορος ό Λόγος, ο πάσης ανώτερος αρχής, αρχήν νύν σωματούμενος, εκ σού Αγνή εδέξατο, καί υπό χρόνον γέγονεν, ο χρόνων πάντων υπέρτερος.

Κάθισμα

Ήχος πλ. δ'   Τήν Σοφίαν

Ως τού σκεύους υπάρχων τής εκλογής, καί ομώνυμος Πάτερ καί μιμητής, κινδύνους υπέμεινας, καί διωγμούς υπέρ πίστεως, καί ως αυτός τήν Ρώμην, κατέλαβες Όσιε, πανταχού κηρύσσων, Τριάδος τό ομότιμον, όθεν καί τόν

δρόμον, εν Αρμενία τελέσας, αξίως απείληφας, εκ Κυρίου τόν στέφανον, καταισχύνας τόν Άρειον, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Ήχος γ'

Θείας πίστεως

Δόγμα ένθεον επικρατύνας, ρήμα άθεον εξοστρακίσας, Παύλε θεόφρον κατήσχυνας Άρειον, τώ γάρ Πατρί τόν Υιόν ομοούσιον, ανακηρύξας πιστούς εβεβαίωσας, Πάτερ Όσιε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Καί νύν… Θεοτοκίον

Θείας φύσεως ούκ εχωρίσθη, σάρξ γενόμενος εν τή γαστρί σου, αλλά Θεός ενανθρωπήσας μεμένηκεν, ο μετά τόκον Μητέρα Παρθένον σε, ως πρό τού τόκου φυλάξας πανάμωμον, μόνος Κύριος, Αυτόν εκτενώς ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Η Σταυροθεοτοκίον

Η αμίαντος Αμνάς τού Λόγου, η ακήρατος Παρθενομήτωρ, εν τώ Σταυρώ θεασαμένη κρεμάμενον, τόν εξ αυτής ανωδίνως βλαστήσαντα, μητροπρεπώς θρηνωδούσα εκραύγαζεν, Οίμοι! Τέκνον μου, πώς πάσχεις θέλων ρύσασθαι, παθών τής ατιμίας τόν άνθρωπον;

Ωδή δ’

«Τήν ανεξιχνίαστον θείαν βουλήν, τής εκ τής Παρθένου σαρκώσεως, σού τού Υψίστου, ο Προφήτης Αββακούμ, κατανοών εκραύγαζε, Δόξα τή δυνάμει σου Κύριε».

Γέρας πολυτίμητον σή κορυφή, τής ομολογίας τόν στέφανον, ως νικηφόρω, ζωηφόρω δεξιά, ο πλαστουργός επέθηκε, Παύλε θεοφάντορ μακάριε.

Ώσπερ προηγώνισαι τών ευσεβών, Πάνσοφε δογμάτων απείληφας, τάς αντιδόσεις, νύν τού ξύλου τής ζωής, τετυχηκώς Μακάριε, Παύλε θεοφάντορ θεσπέσιε.

Γήν τήν επουράνιον χοροβατείν, ήν πόδες πραέων χορεύουσι, κατηξιώθης, ως λαμπρός αγωνιστής, τής αληθείας πάντιμε, Παύλε γεγονως καί υπέρμαχος.

Θεοτοκίον

Ο μοουσιότητι τή τού Πατρός, Σώτερ ως Υιός καθορώμενος, εκ τής Παρθένου, ομοούσιος ημών, σωματωθείς γεγέννησαι, σώσαι βουληθείς τό ανθρώθινον.

Ωδή ε'

«Εξέστη τά σύμπαντα, επί τή θεία δόξη σου, σύ γάρ απειρόγαμε Παρθένε, έσχες εν μήτρα τόν επί πάντων Θεόν, καί τέτοκας άχρονον Υιόν, πάσι τοίς υμνούσί σε, τήν ειρήνην βραβεύουσα».

Νομήν τής αιρέσεως, καί σηπεδόνα έστησας, βαλών δραστικώτατον θεόφρον, φάρμακον Πάτερ ομολογίαν τήν σήν, καί τών σών δογμάτων τό λαμπρόν, νού τε καθαρότητα, καί τόν ζήλον τόν ένθεον.

Πλουσίως εκκέχυται, η τού Αγίου Πνεύματος, χάρις σού τοίς χείλεσι Παμμάκαρ, πρόμαχον όντως ορθοδοξίας στερρόν, ευρούσά σε καί προασπιστήν, όθεν κατεφώτισας, Ορθοδόξων συστήματα.

Αρείου τό άθεον, Μακεδονίου βλάσφημον, Παύλε θεοπνεύστων σου δογμάτων, καί διδαγμάτων εκσφενδονίσας πλοκαίς, Δαυίδ ως αλλόφυλον τό πρίν, τούτους απηγχόνισας, καί στερρώς κατεδίκασας.

Θεοτοκίον

Υπάρχων αιώνιος, νύν υπό χρόνου γέγονε, σάρκα προσλαβόμενος Παρθένε, έμψυχον έννουν, Λόγος ο άναρχος, εκ σού απειρόγαμε Αγνή, πάσι τοίς υμνούσί σε, τήν ειρήνην δωρούμενος.

## Ωδή ς'

«Ήλθον εις τά βάθη τής θαλάσσης, καί κατεπόντισέ με καταιγίς, πολλών αμαρτημάτων, αλλ' ως Θεός, εκ φθοράς ανάγαγε, τήν ζωήν μου Πολυέλεε».

Λαλήσας εις ύψος βλασφημίαν, καί τόν Υιόν καί Λόγον, τού Θεού ο Άρειος εις κτίσιν, καταγαγών υπό σού ο δείλαιος, θεοφόρε κατακέκριται.

Ο άνους καί άθεος καί άφρων, ο αθετήσας Πάτερ, Μακεδόνιος τό θείον Πνεύμα, διά τής σής καρτεράς ενστάσεως, θεοφάντορ καταβέβληται.

Νεκρούται συρόμενος ως όφις, τοίς ζωτικοίς σου λόγοις, προσβαλών αιρέσεων τό στίφος, Άρχιερεύ, τού Θεού πανόλβιε, θεορρήμον Ιερώτατε.

Θεοτοκίον

Υμνούμεν Παρθένε Θεομήτορ, τόν υπέρ φύσιν τόκον, καί τήν σήν αμόλυντον αγνείαν, καί γάρ εν σοί, θαυμαστώς συνέδραμε, παρθενία, τόκος άφθορος.

## Κοντάκιον

Ήχος β’  Τά άνω ζητών

Αστράψας εν γή, ως άστρον ουρανόφωτον, τήν καθολικήν φωτίζεις Εκκλησίαν νύν, υπέρ ής καί ήθλησας, τήν ψυχήν σου Παύλε προθέμενος, καί ως Ζαχαρίου καί Άβελ τρανώς, βοά σου τό αίμα πρός Κύριον.

Ο Οίκος

Ο μολογίας στύλος υπάρχεις, καί ομώνυμος Παύλου τού φωστήρος τής γής, ομότροπός τε καί σύναθλος, τά στίγματα τού Ιησού βαστάζων εν τώ σώματι, Παύλε ιερομύστα, καί εν αυτοίς εντρυφών, καί καυχώμενος πάντοτε, ενώπιον βασιλέων κακοδόξων ώφθης ιστάμενος, καί μή πτοούμενος, μάλλον δέ δυναμούμενος, όθεν τρανώτερον βοά σου τό αίμα πρός Κύριον.

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή ς' τού αυτού μηνός, Μνήμη τού εν Αγίοις Πατρός ημών Παύλου, Αρχιεπισκόπου Κωνσταντινουπόλεως τού Ομολογητού.

Στίχοι

Τήν εις φάρυγγα Παύλος αυχών αγχόνην,
Λύει φάρυγξι ρευμάτων τήν αγχόνην.
Ούνεκα ωμολόγει Παύλος Θεόν, άγχεται έκτη.

Τή αυτή ημέρα, Μνήμη τής μετά φιλανθρωπίας κατενεχθείσης κόνεως, επί Λέοντος τού Μεγάλου.

Στίχοι

Φλέγειν απειλείς, αλλά πάλιν ού φλέγεις,
Οργή κεράσας μακροθυμίαν Λόγε.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Λουκά.

Στίχοι

Αρεστά, Λουκά, τώ Θεώ πράξας Λόγω.
Τής ευαρέστων εκθανων μοίρας γίνη.

Τή αυτή ημέρα, ο Άγιος Παύλος, ο διά Χριστόν Σαλός, εν ειρήνη τελειούται.

Στίχοι

Υποκριθείς ο Παύλος εν γή μωρίαν,
Χορώ θανων σύνεστι τών θεοφρόνων.

Μνήμη τών Οσίων πατέρων ημών Αβραάμ τού εν Χοτίνη, καί Λουκά τού εν τώ σπηλαίω Ρώσσων.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός ελέησον ημάς. Αμήν.

Ωδή ζ'

«Ουκ ελάτρευσαν τή κτισει οι θεόφρονες, παρά τόν κτίσαντα, αλλά πυρός απειλήν, ανδρείως πατήσαντες, χαίροντες έψαλλον, Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί».

Μεταβέβηκας θεόφρον πρός ουράνια, Παύλε σκηνώματα, καί προσπελάσας Θεώ, μεθέξει Θεούμενος, ένθεος γέγονας, ψάλλων Όσιε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Νουθετούμενοι σοίς λόγοις διδασκόμεθα, Παύλε πανεύφημε, ως εν ηλίοις τρισίν, αμέριστον άτμητον, σέβειν θεότητα, ή καί ψάλλομεν, Ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Ως πανίερος η θεία καί θεάρεστος, ομολογία σου, ως γάρ χρυσός καθαρθείς, Θεώ προσενήνεξαι, θύμα ευπρόσδεκτον, αγαλλόμενος, τή εκμιμήσει Όσιε, τών παθών τών τού Σωτήρος.

Θεοτοκίον

Πάσι πρόξενος ανθρώποις εναπέφηνας, θείας λυτρώσεως, τόν Λυτρωτήν τού παντός, τεκούσα Πανάμωμε, ώ πάντες ψάλλομεν, Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Ωδή η’

«Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν, Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Ρέουσι πηγαί τών σών δογμάτων, καί πάσαν τήν Εκκλησίαν καταρδεύουσι, σώ δέ Πάτερ αίματι, πάντας καθηγίασας, τούς ορθοδόξω πίστει σοι, ακολουθήσαντας, καί Κύριον υμνείτε βοώντας, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Όρμω γαληνώ σύ προσωρμίσθης, τού βίου τάς τρικυμίας απωσάμενος, είχες γάρ ιθύνοντα, πάσαν τήν πορείαν σου, τόν κυβερνήτην Κύριον, Παύλε πανόλβιε, τόν νεύματι τά πάντα ποιούντα, όν υπερυψούμεν, εις πάντας τούς αιώνας.

Τριαδικόν

Φώς τό τριλαμπές τής υπερθέου, Τριάδος εν σοί σκηνώσαν φώς σε δεύτερον, έδειξε φωτίζοντα, δήμον μέν ορθόδοξον, αιρετικήν δέ φάλαγγα, Πάτερ αμβλύνοντα, καί Κύριον υμνείτε βοώντα, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Θεοτοκίον

Ρήσεις Προφητών ακολουθούντες, Παρθένε σέ Θεοτόκον καταγγέλλομεν, τέτοκας παιδίον γάρ, πάντων αρχαιότερον, Εμμανουήλ καλούμενον, ώ καί κραυγάζομεν, Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ωδή θ’

«Άπας γηγενής, σκιρτάτω τώ πνεύματι, λαμπαδουχούμενος, πανηγυριζέτω δέ, αϋλων Νόων φύσις γεραίρουσα, τήν ιεράν πανήγυριν τής Θεομήτορος, καί βοάτω, Χαίροις παμμακάριστε, θεοτόκε αγνή αειπάρθενε».

Όλον εμαυτόν, προσάγω θεσπέσιε, τή θεία σκέπη σου, ως Ιερομάρτυς δέ,τήν εξουσίαν λύειν τά πταίσματα, παρά Χριστού δεξάμενος, εμών σφαλμάτων σειράς, διαρρήξας, σώσόν με πρεσβείαις σου, καί τώ θείω φωτί καταλάμπρυνον.

Νέος πεφηνώς, τώ ζήλω πυρούμενος Παύλος πανάριστε, τών εν Παραδείσω νύν, αρρήτων λόγων Πάτερ ακήκοας, ως κοινωνός τών τρόπων γάρ, τής αναρρήσεως, συμμετέσχες, στέφανον δεξάμενος, βασιλείας Χριστού ευπρεπέστατον.

Ως τις αριστεύς, εφάνης κατήγορος, πάσης αιρέσεως, τής ορθοδοξίας δέ, Ιερομάρτυς θείος συνήγορος, μαρμαρυγαίς τής χάριτος, ηγλαϊσμένος σαφώς, καί τή αίγλη, Παύλε παναοίδιμε, τής ακτίστου Τριάδος λαμπόμενος.

Θεοτοκίον

Σάρκα τήν εκ σού, ο Λόγος Πανάμωμε περιεβάλετο, σεσωματωμένος δέ, συνανεστράφη κόσμω ως εύσπλαγχνος, μεμενηκώς ουκ έλαττον, ως πρίν ασώματος, καί τον πάλαι, πάντας τυραννήσαντα, θεϊκή δυναστεία Κατέβαλεν.

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Τόν Παύλον εκμιμούμενος, τόν κήρυκα τής πίστεως, τής ανωτάτης σοφίας, τά δόγματα κατασπείρας, πάσας αιρέσεις ήμβλυνας, Ιεραρχών αγλάϊσμα, Παύλε Μακαριώτατε, διό καί στύλος εφάνης, ορθοδοξίας θεόφρον.

Θεοτοκίον

Θεόν σαρκί όν έτεκες, Μαρία Θεονύμφευτε, υπέρ ημών εκδυσώπει, τών σε υμνούντων εκ πόθου, καί σήν εικόνα Τιμώντων, καί τού Υιού σου Πάναγνε, κολάσεως λυτρώσασθαι, καί αναγκών αιωνίων, τούς σοί θερμώς εγκειμένους.

Εις τόν Στίχον, τά Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος βαρύς   Ανατολίου

Ενέκυψας εις τά βάθη τού Πνεύματος, ως επί γής ασάρκως βιώσας, κακείθεν αντλήσας τόν πλούτον τής θείας γνώσεως, ορθοδοξίαν ανθρώποις επήγασας, διδασκαλίαις σου, Όσιε Πάτερ.

Καί νύν... Θεοτοκίον

Ουκέτι κωλυόμεθα

Τεκούσα τόν Δεσπότην μου κατά σάρκα, εξουσίας με, καί δουλείας τού αλλοτρίου λύτρωσαι Δέσποινα.

Η Σταυροθεοτοκίον

Τώ ξύλω προσπαγέντα σε εκουσίως, ως εώρακεν η Πανάμωμος, θρηνωδούσα ύμνει τό κράτος σου.

Καί η λοιπή Ακολουθία τού Όρθρου, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Ζ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων τριάκοντα τριών Μαρτύρων, τών έν Μελιτηνή, καί Μνήμη τού Οσίου Πατρός ημών καί θαυματουργού Λαζάρου, τού εν τώ Γαλησίω όρει ασκήσαντος.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τών Μαρτύρων.

Ήχος δ’
Ως γενναίον

Θεοσύλλεκτον σύνταγμα, ιερώτατον στράτευμα, Εκκλησία ένθεος, δήμος άγιος, φάλαγξ Μαρτύρων θεόπνευστος, ωραία ομήγυρις, αρραγής συνασπισμός, αληθώς ανεδείχθητε, αξιάγαστοι, καί τής άνω πολίται επαξίως, μητροπόλεως εντεύθεν, χρεωστικώς μακαρίζεσθε.

Σύν Νικάνδρω Ησύχιον, Αθανάσιον Μάμαντα, θείόν τε Βαράχιον καί Καλλίνικον, καί Θεαγένην καί Νίκωνα, Λογγίνον Θεόδωρον, Ουαλέριον ομού, καί Ξανθίαν Θεόδουλον καί Καλλίμαχον, καί Ευγένιον πάντες συνελθόντες, σύν τώ θείω θεοδοχω καί Οστρυχίω τιμήσωμεν.

Τόν γενναίον, Ιέρωνα, τόν κλεινόν Επιφάνιον, Μαξιμιανόν ομού καί Δουλκίτιον, Κλαυδιανόν καί Θεόφιλον, τόν θείον Γιγάντιον καί Δωρόθεον πιστώς, καί Θεόδοτον μέλψωμεν, καί Καστρίκιον, καί Ανίκητον άμα θεμελίω, Ευτυχίω τε συμφώνως, τής αληθείας τούς Μάρτυρας.

Καί τού Οσίου

Ήχος πλ. β’
Όλην αποθέμενοι

Όλην αποθέμενος, τήν τών παθών αλογίαν, καί σάρκα τώ πνεύματι, υποτάξας γέγονας αρετής κανών, Μοναστών έρεισμα, Ασκητών άγαλμα, τών Οσίων εγκαλλώπισμα, καί νύν τό άρρητον, κάλλος εποπτεύων τού Κτίστου σου, τρυφάς αεί τοίς κάλλεσι, τοίς επουρανίοις τώ πνεύματι, όθεν συνελθόντες, ασμάτων εμμελέσιν εν ωδαίς, τήν σήν σεπτήν καί πανίερον, μνήμην εορτάζομεν.

Ύλης αχθοφόρημα, εκτιναξάμενος άπαν, καί σαρκός προσπάθειαν, καί γηϊνης σχέσεως πάσαν έφεσιν, υψηλής ώδευσας, πολιτείας τρίβον, ευσταλώς μεταρσιούμενος, καί ανυψούμενος, πάσης αρετής εις ακρώρειαν, καί τρέπων τόν αντίπαλον, άϋλον εχθρόν ύλη σώματος, όθεν τοίς Αγγέλων, αϋλοις συγκατείλεξαι χοροίς, Λάζαρε Πάτερ δεόμενος, υπέρ τών ψυχών ημών.

Κόσμον απωσάμενος, απαρνησάμενος σάρκα, καί τά πάθη Όσιε, μετά τών προλήψεων βδελυξάμενος, ακριβής γέγονας, τηρητής Λάζαρε, προσταγμάτων τού Κυρίου σου, καί φύλαξ άριστος, όθεν συν Πατρί καί τώ Πνεύματι, μονήν εν σοί πεποίηται, καί τά υπέρ φύσιν χαρίσματα, νέμει σοι πλουσίως, θαυμάτων εξαισίων αυτουργόν, καί τών εν θλίψει θερμότατον, ρύστην αναδείξας σε.

Δόξα... Ήχος πλ. α'

Όσιε Πάτερ, ουκ έδωκας ύπνον σοίς οφθαλμοίς, ουδέ τοίς βλεφάροις σου νυσταγμόν, έως ού τήν ψυχήν καί τό σώμα, τών παθών ηλευθέρωσας, καί σεαυτόν ητοίμασας τού Πνεύματος καταγώγιον, ελθών γάρ ο Χριστός σύν τώ

Πατρί, μονήν παρά σοί εποιήσατο, καί τής ομοουσίου Τριάδος θεράπων γενομενος, μεγαλοκήρυξ Πατήρ ημών, πρέσβευε υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

Χαίροις ασκητικών

Λάμψον τον φωτισμόν σόυ εμοί, τώ τών παθών σκότει δεινώς ενυπάρχοντι, τό φέγγος τής αληθείας, η συλλαβούσα Θεόν, καί σαρκί τεκούσα Μητροπάρθενε, βυθού απογνώσεως, διά τάχους ανάγαγε, καί επί πέτραν, ασφαλούς βιοτεύσεως, επιστήριξον, τής ψυχής μου τα βήματα, Δίκασον τούς απαύστως με, πιέζοντας δαίμονας, παύσον τόν πόνον εν τάχει, τής ταλαιπώρου καρδίας μου, ελπίς τών περάτων, η τώ κόσμω δωρουμένη, τό μέγα έλεος.

Η Σταυροθεοτοκίον

Στάσα εν τώ Σταυρώ Ιησού, η σέ τεκούσα θρηνωδούσα ωδύρετο, βοώσα, Ού φέρω Τέκνον, προσηλωμένον οράν, επί ξύλου όν περ απεκύησα, εγώ καί διέφυγον, τάς ωδίνας ως άνανδρος, καί πώς αρτίως, τή οδύνη συνέχομαι, καί σπαράττομαι, τήν καρδίαν η άμεμπτος; άρτι γάρ ούν πεπλήρωται, ό είρηκε Συμεών, ότι ρομφαία καρδίαν, εμήν πικρώς διελεύσεται, Αλλ’ ώ νύν Υιέ μου, εξανάστηθι καί σώσον, τούς ανυμνούντάς σε.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος πλ. δ’

Όσιε Πάτερ, εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος τών κατορθωμάτων σου, διό εν τοίς ουρανοίς, εύρες μισθόν τών καμάτων σου, Τών δαιμόνων ώλεσας τάς φάλαγγας, τών Αγγέλων έφθασας τά τάγματα, ών τόν βίον αμέμπτως εζήλωσας, Παρρησίαν έχων πρός Χριστόν τόν Θεόν, ειρήνην αίτησαι ταίς ψυχαίς ημών.

Καί νύν… Θεοτοκίον

Τριήμερος ανέστης

Τό όμμα τής καρδίας μου, εκτείνω πρός σέ Δέσποινα, μή παρίφης τόν πικρόν μου στεναγμόν, εν ώρα όταν κρίνη, ο σός Υιός τόν κόσμον, γενού μοι σκέπη καί βοήθεια.

Η Σταυροθεοτοκίον

Επάγην μέν ως άνθρωπος, εν ξύλω καί νενέκρωμαι, καί εν τάφω, κατετέθην ως θνητός, ως δέ Θεός, ώ Μήτερ, νεκρούς εξαναστήσω, καί σέ δοξάσω τή εγέρσει μου.

Απολυτίκιον τών Μαρτύρων

Ήχος δ’  Ταχύ προκατάλαβε

Οι Μάρτυρές σου, Κύριε, εν τή αθλήσει αυτών, στεφάνους εκομίσαντο τής αφθαρσίας, εκ σού τού Θεού ημών, σχόντες γάρ τήν ισχύν σου, τούς τυράννους καθείλον, έθραυσαν καί δαιμόνων, τά ανίσχυρα θράση. Αυτών ταίς ικεσίαις, Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

Καί τού Οσίου

Ήχος πλ. δ’

Ταίς επαγρύπνοις προσευχαίς, εν οχετοίς δακρύων τόν στύλον κατέβρεχες, καί τοίς εκ βάθων στεναγμοίς, εις εκατόν τούς πόνους εκαρποφόρησας, καί γέγονας ποιμήν, τοίς προσιούσι νέμων συγχώρησιν, Όσιε Πατήρ ημών Λάζαρε, πρέσβευε Χριστώ τώ Θεώ σωθήναι τάς ψυχάς ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, λέγονται οι Κανόνες, εις τής Οκτωήχου καί τών Αγίων οι εφεξής δύο.

Ο Κανών τών Μαρτύρων, ού η Ακροστιχίς.

Δόξα κροτείσθω Χριστός η τών Μαρτύρων.

Ποίημα Ιωάννου Μοναχού

### Ωδή α'   Ήχος β'

«Δεύτε λαοί, άσωμεν άσμα Χριστώ τώ Θεώ, τώ διελόντι θάλασσαν, καί οδηγήσαντι, τόν λαόν όν ανήκε, δουλείας Αιγυπτίων, ότι δεδόξασται».

Δεύτε πιστοί, άπαντες χείρας κροτήσωμεν, καί θεοφθόγγοις άσμασι, πανηγυρίσωμεν, τών Μαρτύρων τούς άθλους, Χριστόν, δοξολογούντες, ότι δεδόξασται.

Όπλον ημίν, θείον εδόθη καί καύχημα, τό τού Σωτήρος τρόπαιον, η ακαθαίρετος, τού Σταυρού πανοπλία, δι' ής οι νικηφόροι, στέφονται Μάρτυρες.

Ξίφος καί πύρ, βόθρον σταυρόν τε καί θάνατον, τοίς αοιδίμοις Μάρτυσιν, επανετείνοντο, οι τού θείου διώκται, ζωήν πρός τήν αμείνω, τούτους ενάγοντες.

Θεοτοκίον

Άρτον ζωής, τόν επουράνιον τέτοκας, σεσαρκωμένον Πάναγνε, τόν πρίν ασώματον, ενυπόστατον Λόγον, όν περ οι τών Μαρτύρων, δήμοι δοξάζουσιν.

Ο Κανών τού Οσίου, έχων Ακροστιχίδα.

Λάζαρε μάκαρ, τούς εμούς ύμνους δέχου.

### Ωδή α'   Ήχος δ'

«Ανοίξω τό στόμα μου, καί πληρωθήσεται Πνεύματος, καί λόγον ερεύξομαι, τή Βασιλίδι Μητρί, καί οφθήσομαι, φαιδρώς πανηγυρίζων, καί άσω γηθόμενος, ταύτης τά θαύματα».

Λαμπτήρ θεαυγέστατε, φωτοειδέστατε Λάζαρε, τό σκότος απέλασον, τής

διανοίας μου, λαμπηδόσι με, φωτός αυγάσας θείου, όπως ευφημήσω σου, τά κατορθώματα.

Αστράψας ως ήλιος, φωταγωγείς τήν υφήλιον, φωτός οικητή ριον, φώς θείον Λάζαρε, ανατέλλων τε, καί δύνων φωτοφόρος, γεννήσεως θαύματι, καί τής κοιμήσεως.

Ζωής εφιέμενος, τής αϊδίου καί κρείττονος, εικότως ηλόγησας, τής επικήρου ζωής, μακρυνόμενος, σαρκίνης συγγενείας, Χριοτώ συννεκρούμενος, καί συζωούμενος.

Θεοτοκίον

Αγνόν ευραμένη σε, η πανυπέραγνος Δέσποινα, πανόσιε Λάζαρε, επιφοιτώσα πρός σέ, ώς ευγνώμονα, οικέτην σε προσείπε, μεθ' ής τόν φιλάνθρωπον, ημίν ιλέωσαι.

Τών Μαρτύρων

Ωδή γ'

«Εν πέτρα με τής πίστεως στερεώσας, επλάτυνας τό στόμα μου επ' εχθρούς μου, ηυφράθνη γάρ τό πνεύμά μου εν τώ ψάλλειν, Ουκ έστι δίκαιος πλήν σου Κύριε».

Καθείλον οι καλλίνικοι Αθλοφόροι, τώ πάθει σου τώ θείω δυναμωθέντες, τής πλάνης τήν πολύθεον αθεϊαν, Ούκ έστι κράζοντες, ώς ο Θεός ημών, καί ουκ έστιν Άγιος, πλήν σου Κύριε.

Ρανίσι θείου αίματος καθαρθέντες, καί αίμασιν οικείοις τελειωθέντες, θυσίαις ουκ εχράνθητε Αθλοφόροι, δαιμόνων κράζοντες, ουκ έστιν Άγιος, ως ο Θεός ημών, καί ούκ έστι δίκαιος, πλήν σου Κύριε.

Όλον σε κεκτημένοι οι Αθλοφόροι, ταίς εαυτών καρδίαις εισοικισθέντα, τρανούντες τήν ευσέβειαν ανεβόων, Ούκ έστιν Άγιος ως ο Θεός ημών, καί ουκ έστι δίκαιος, πλήν σου Κύριε.

Θεοτοκίον

Τήν μόνην παρθενεύουσαν μετά τόκον, πρός πίστιν τής θεότητος τού τεχθέντος, τιμώντές σε κραυγάζομεν τώ Υιώ σου, Ουκ έστιν Άγιος, ως ο Θεός ημών, καί ούκ έστι δίκαιος, πλήν σου Κύριε.

Τού Οσίου

Τούς σούς υμνολόγους

Ρωννύμενος σθένει τού Δεσπότου, νηπίων τοξεύματα Σοφέ, τά κατά σού απέδειξας, τού πονηρού τεχνάσματα, ού καί ημάς ενίσχυσον, αποφυγείν μηχανήματα

Εν σώματι Άγγελος εδείχθης, Θεώ σύν Αγγέλοις λειτουργών, πάχους σαρκός καί φύσεως, υπερηρμένος Λάζαρε, θεουργικώς λαμπόμενος, καί θαυμαστώς κλεϊζόμενος.

Θεοτοκίον

Μεσίτρια σκέπη καί προστάτις, γενού μοι Γεννήτρια Θεού, τά τής ζωής ιθύνουσα, εχθρούς αποτειχίζουσα, καί συμπαθώς με σώζουσα, καί σώ Υιώ καταλλάττουσα.

Ο Ειρμός

«Τους σούς υμνολόγους Θεοτόκε, ως ζώσα καί άφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικόν στερέωσον, καί εν τή θεία δόξη σου, στεφάνων δόξης αξίωσον».

Κάθισμα τών Μαρτύρων

Ήχος δ' Ταχύ προκατάλαβε

Ιέρων ο ένδοξος, καί σύν αυτώ ο χορός, Μαρτύρων ο ένθεος, τής αθεϊας πυράν, τοίς αίμασι σβέσαντες, τάς διαιωνιζούσας, απολαύσεις κληρούνται, καί τούς τών ασθενούντων, ιατρεύουσι πόνους, Αυτών Χριστέ πρεσβείαις, σώσον τάς ψυχάς ημών.

Δόξα... Τού Οσίου

Ήχος πλ. δ' Τήν Σοφίαν

Τόν λαμπτήρα τόν μέγαν καί φαεινόν, τόν πραότατον άμα καί συμπαθή, τόν φύσιν νικήσαντα, καί σαρκός τά κινήματα, χαλινώσαντα πάντα, αοίδιμον Λάζαρον, καί Χριστώ απείρω, τώ πόθω λατρεύσαντα, καί συγκληρονόμον, τής αυτού βασιλείας, γενόμενον άπαντες, οι πιστοί ευφημήσωμεν, πρεσβευτήν ώς θερμότατον, Πρεσβεύει γάρ Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην αυτού.

Καί νύν… Θεοτοκίον

Χαριστήριον αίνον χρεωστικώς, ως η χήρα εκείνη δύο λεπτά, προσφέρω σοι Δέσποινα, υπέρ πασών τών χαρίτων σου, σύ γάρ ώδθης σκέπη, ομού καί βοήθεια, πειρασμών καί θλίψεων, αεί με εξαίρουσα, όθεν ως εκ μέσου, φλογιζούσης καμίνου, ρυσθείς τών θλιβόντων με, εκ καρδίας κραυγάζω σοι, Θεοτόκε βοήθει μοι, πρεσβεύουσα τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δοθήναί μοι, σέ γάρ έχω ελπίδα, ο ανάξιος δούλός σου.

Η Σταυροθεοτοκίον

Τόν Αμνόν καί Ποιμένα καί Λυτρωτήν, η Αμνάς θεωρούσα εν τώ Σταυρώ, ωλόλυζε δακρύουσα, καί πικρώς ανεκραύγαζεν, ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήν περ υπομένεις, διά σπλάγχνα ελέους, Θεέ υπεράγαθε, ανεξίκακε Κύριε, Ή πιστώς εκβοήσωμεν, Σπλαγχνίσθητι Παρθένε εφ' ημάς, καί πταισμάτων δώρησαι τήν άφεσιν, τοίς προσκυνούσιν εν πίστει, αυτού τά παθήματα.

Τών Μαρτύρων

## Ωδή δ'

«Εισακήκοα Κύριε, τήν ακοήν, τής σής οικονομίας, καί εδόξασά σε, μόνε φιλάνθρωπε».

Εμιμησαντο Κύριε,οι αθληταί, τό πάθος σου τό θείον, εαυτούς προθύμως δόντες εις θάνατον.

Ικετεύοντας Κύριε, τούς αθλητάς, προσδέχου καί κινδύνων, καί πταισμάτων λύσιν ημίν κατάπεμψον.

Σεσιώπηται Κύριε, δαιμόνων πλάνη, όντως γάρ Θεόν σε, άληθή οι μάρτυρες ανεκήρυξαν.

### Θεοτοκίον

Θεοτόκον σε σέβοντες, οι αθληταί, Θεόν σεσαρκωμένον, τόν Υιόν σου Δέσποινα καταγγέλλουσιν.

## Τού Οσίου

### Ο καθήμενος εν δόξη

Απηλλάγης εκ δουλείας, δολερώς ηρτημένης σοι, καί τώ ρυσαμένω δούλος ως ευγνώμων εδούλευσας, συντονωτάτη ασκήσει, λυτρωσάμενος, τήν ψυχήν εκ δουλειας, παθών θείε Λάζαρε.

Καταράττεται πρός Άδην, συρρηγνύμενος Λάζαρε, επικρήμνοις πέτραις, σών υποθηκών ο παρήκοος, καί γλυκασμού μελιτώδους, αντιδρέπεται, οικτροτάτου θανάτου, πικρίαν ο δείλαιος.

Ανηνέχθης υπερτάτην, αρετών εις ακρώρειαν, εν αβάτω όρει, Πάτερ τώ Θεώ συγγενόμενος, ως Μωϋσής καί Ηλίας, ών τήν εύκλειαν, ως τόν βίον ζηλώσας, αυτών εναπείληφας.

### Θεοτοκίον

Ρυομένην σου τήν ποίμνην, Θεοτόκε επίφανον, καταδυναστείας, πάσης καί δεινής επιθέσεως, τών μηδαμώς κηρυττόντων,τήν αλήθειαν, καί τόν Κλήρόν σου, δίδου νικάν τόν ορθόδοξον.

## Τών Μαρτύρων

### Ωδή ε'

«Ο τού φωτός χορηγός, καί τών αιώνων ποιητής Κύριος, εν τώ φωτί τών προσταγμάτων οδήγησον ημάς, εκτός σου γάρ άλλον, Θεόν ου γινώσκομεν».

Ωραιοτάτην στολήν, πεφοινιγμένην ευσεβώς αίματι, μαρτυρικώ καί εξυφασμένην, τή χάριτι τή σή, σού οι αθλοφόροι, Χριστέ ημφιάσαντο.

Χάρις καί έλεος, τού παντοκράτορος Θεού στέφουσι, τούς Αθλητάς, πόθω καταλλήλως, τού νέμοντος ισχύν, δι' ής νικηφόροι εδείχθησαν Μάρτυρες.

Ράβδον δυνάμεως, τοίς Αθλοφόροις τόν Σταυρόν δέδωκας, καί τών εχθρών, κατακυριεύειν εποίησας αυτούς, διό σου υμνούμεν, Χριστέ τήν θεότητα.

Θεοτοκίον

Ιερουργόν εκ Δαυϊδ, καταγομένη τόν Χριστόν τέτοκας, όθεν Αγνή, τής ιερωσύνης μετατιθεμένης, δικαίως καί νόμου μετάθεσις γίνεται.

Τού Οσίου

Εξέστη τά σύμπαντα

Τώ κρείττονι Λάζαρε, τό χείρον καθυπέταξας, ταίς πρακτικωτάταις εργασίαις, εις θεωρίας φθάσας ακροτητα, όθεν εν μεθέξει θεωθείς, θαύματα εξαίσια, αυτουργών εναπέφηνας.

Οδοίς εφεπόμενος, τού Βαπτιστού κατώκησας, έρημον εις άβατον θεόφρον, οικείοις δ' αύθις επαναδέδειξαι, Πάτερ ως εκείνος Ισραήλ, πάλαι τώ αγνώμονι, οδηγών εις μετάνοιαν.

Υπήρεισε Λάζαρε, στύλοις επτά τού Πνεύματος, Πάτερ επταρίθμοις επιπνοίαις, οίκον οικείον σέ η ενούσιος, καί ζώσα σοφία τού Θεού, ώ επανεπαύσατο, σύν Πατρί καί τώ Πνεύματι.

Θεοτοκίον

Στενούμενος θλίψεσι, καί πάθεσι χωννύμενος, σέ τών ουρανών τήν πλατυτέραν, καθικετεύω Μήτηρ τού ζώντος Θεού, πλάτος ειρηναίας μοι ζωής, ύψος απαθείας τε, ταίς πρεσβείαις σου βράβευσον.

Τών Μαρτύρων

Ωδή ς'

«Άβυσσος αμαρτημάτων, εκύκλωσέ με εσχάτη, αλλ' ως τόν Προφήτην Ιωνάν, ανάγαγε Κύριε Κύριε, εκ φθοράς τήν ζωήν μου».

Σάλπιγγος ήχος κροτείτω, πνευματικής επαξίως, λογικών χειλέων καρδίας, ύμνον εκπέμπουσα, καί μέλπουσα τών Μαρτύρων τούς άθλους.

Σήμερον η οικουμένη, φαιδρύνεται εν τή μνήμη, τών σεπτών Χριστού Αθλοφόρων, πίστει δοξάζουσα, τόν τή χειρί, στεφανώσαντα τούτους.

Τέτρωται καταπληγείσα, τών δυσμενών η καρδία, Χριστός γάρ εντείνας τόν Σταυρον, ως τόξον απέστειλε, τούς Μάρτυρας, βέλη ηκονημένα.

Θεοτοκίον

Όντως σε Θεού Μητέρα, οι Αθλοφόροι ειδότες, τόν σεσαρκωμένον Θεόν, τώ κόσμω εκήρυξαν, εις θάνατον, τάς ψυχάς προδιδόντες.

Τού Οσίου

Τήν θείαν ταύτην

Ερρύσω κόρην καί έσωσας, αγνείας εραστήν αδιάφθορον, ως καί αδούλωτον, διό καμέ κινδυνεύοντα, απαγωγής βιαίας, ρύσαι καί θλίψεων.

Μυστών δυάδα διέσωσας, γυναίων τών αισχρών επιθέσεων,τόν μέν φωνήματι, Πάτερ εγείρας τής πράξεως, τόν δέ σοφώ τώ όντι επινοήματι.

Οστήσας ύδασιν όρια, ο θρέψας δι' αγγέλων θεράποντας, αγγέλου ύδατι, σέ παραδόξως επότισεν, υπερβάλλουσα δόξη, αυτός εκτρέφων σε.

Θεοτοκίον

Υμνούσι τάξεις Αγγέλων σε, δοξάζει καί βροτών τά συστήματα, Θεογεννήτρια, ως αφανίσασαν δαίμονας, καί σωτηρίαν κόσμω, παντί βραβεύσασαν.

Ο Ειρμός

«Τήν θείαν ταυτην καί πάντιμον, τελούντες εορτήν οι θεόφρονες, τής θεομήτορος, δεύτε τας χείρας κροτήσωμεν, τόν εξ αυτής τεχθέντα Θεόν δοξάζοντες».

Κοντάκιον τών Μαρτύρων

Ήχος δ’  Ο υψωθείς

Χορός Μαρτύρων τηλαυγής καί φωσφόρος, εξανατείλας νοητώς κατεφαίδρυνε, τήν Εκκλησίαν σήμερον θαυμάτων βολαίς, όθεν εορτάζοντες, τήν σεπτήν αυτών μνήμην, αιτούμέν σε Σωτήρ ημών, Ταίς αυτών ικεσίαις, εκ τών κινδύνων λύτρωσαι ημάς, ώς ελεήμων Θεός καί φιλάνθρωπος.

Κοντάκιον  Τού Οσίου

Ήχος πλ. δ'  Τή υπερμάχω

Τούς υπέρ φύσιν σου Σοφέ πόνους καί σκάμματα, αυτοί οι Άγγελοι ιδόντες κατεπλάγησαν, δι' ών είληφας θεόθεν καί τούς στεφάνους, Αλλ’ ώς έχων παρρησίαν πρός τόν Κύριον, εκ παντοίων ημάς σώζε περιστάσεων, ίνα κράζωμεν, Χαίροις Πάτερ Ποιμήν ημών.

Ο Οίκος

Άγγελος εξ ανθρώπων, Θεόφορε εγένου, εκ γής πρός τά ουράνια φθάσας, διό σύν ασωμάτοις χοροίς, αμιλλώμενόν σε θεωρών Όσιε, εξίσταμαι καί φόβω σοι κραυγάζω σχετικώς τοιαύτα,

Χαίρε, κανων απλανής μονοτρόπων, χαίρε, λειμών αρετής ψυχοτροφε,

Χαίρε, πρεσβευτα τών ψυχών ακαταίσχυντε, χαίρε, χορευτά τών αγγέλων ομόσκηνε,

Χαίρε, ότι σύ επλήθυνας τών θρεμμάτων τόν χορόν, χαίρε, ότι σύ διέσωσας είσω ταύτα τής Εδέμ,

Χαίρε, τής αυταρκείας σύν Θεώ δούς τόν άρτον, χαίρε, τής αυθαδείας τών δαιμόνων διώκτα,

Χαίρε, πηγή θαυμάτων αέναε, χαίρε,τρυφής μελλούσης εχέγγυε,

Χαίρε, λαμπτήρ τής Ασίας απάσης, χαίρε, φωστήρ Μοναστών ποδηγέτα,

Χαίροις, Πάτερ Ποιμήν ημών.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Ζ' τού αυτού μηνός, Μνήμη τών Αγίων τριάκοντα τριών Μαρτύρων τών έν Μελιτινή, Ιέρωνος καί τών λοιπών.

Στίχοι

Ώ πώς, Ιέρων ουδέν εξ ευτολμίας
Άτολμον είδεν, ούδ' αγενές πρός ξίφος!
Διά ξίφους ανείλον άνδρας τρίς δέκα,
Άνδρες πονηροί, καί μίαν ξυνωρίδα.
Ουδ' έλαθ' εβδομάτη Ιέρων ξίφει αυχένα τμηθείς.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών καί θαυματουργού Λαζάρου, τού εν τώ Γαλησίω όρει ασκήσαντος.

Στίχοι

Ετοίμασον τόν κόλπον, Αβραάμ Πάτερ,
Ούχ υστερούντι Λαζάρω σού Λαζάρου.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Μελασίππου, Κασίνης, καί Αντωνίου.

Στίχοι

Ου σάρκες ήσαν, αλλ' άσαρκός τις φύσις.
Ο Μελάσιππος πρός ξέσεις καί Κασίνη.
Στάς Αντώνιε, τήν τομήν χαίρων δέχου,
Καί δέξεταί σε τής χαράς θείος τόπος.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Αύκτου, Ταυρίωνος, καί Θεσσαλονίκης.

Στίχοι

Εφεύρον Αύκτος, Ταυρίων ευκτόν τέλος,
Ξίφει τμηθέντες, οία ταύροι Κυρίου.
Φυγήν κατακριθείσα πατρώ ου πεδου,
Πέδον χλόης ώκησε Θεσσαλονίκη.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Αθηνοδώρου.

Στίχοι

Εκ γής καλούσιν Αθηνόδωρον Νόες,
Πρός τάς νοητάς δωρεάς τού Κυρίου.

Τή αυτή ημέρα, ο Άγιος Μάρτυς Αλέξανδρος ο εκ Θεσσαλονίκης, ξίφει τελειούται.

Στίχοι

Τής θετταλών γής Αλέξανδρος φύς κλάδος,
Αθλήσεως ήπλωσεν εκτμηθείς κλάδους.

Ταίς τών αγίων σου πρεσβείαις, ο Θεός ελέησον ημάς. Αμήν.

Τών Μαρτύρων

Ωδή ζ'

«Εικόνος χρυσής, εν πεδίω Δεηρά λατρευομένης, οι τρείς σου Παίδες κατεφρόνησαν, αθεωτάτου προστάγματος, μέσον δέ πυρός εμβληθέντες, δροσιζόμενοι έψαλλον, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών».

Σαρκών Δανιήλ, ού κατίσχυσαν ποτέ λεόντων χάσματα, αλλ' ουδέ θάνατος τών Μαρτύρων σου, εν τή χειρί σου γάρ Κύριε, ζώσιν αι ψυχαί τών δικαίων, καί ανακράζουσι χαίρουσαι, Ευλσγητός ει ο Θεός, ο τών Πατέρων ημών.

Η φλόξ τοίς τρισίν, εδροσίζετο Παισίν εν Βαβυλώνι ποτέ, τοίς Αθλοφοροις δέ η πολύθεος, κατεμαραίνετο κάμινος, όθεν τήν απάτην ορώντες, τεφρουμένην εκραύγαζον, Ευλογητός ει ο Θεός, ο τών Πατέρων ημών.

Τώ πόθω Χριστέ, εκκαιόμενοι τώ σώ οι Αθλοφόροι σου, ώσπερ ανάλγητον περικείμενοι, τό τής σαρκός περιβόλαιον, βασάνων πικρών κατεφρόνουν, σοί εντρυφώντες καί λέγοντες, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Ως εύπλοκος ών, καί ωραίος ο χορός τών Αθλοφόρων σου, η πολυπόθητος καί θεόκλητος, τών εκλεκτών σου ομήγυρις, Πνεύματι τώ σώ κροτουμένη, εν ρυθμώ ανακρούεται, Ευλογητός εί ο Θεός ο τών Πατέρων ημών.

Θεοτοκίον

Νικάται εν σοί, πάσης φύσεως θεσμός καί εγκωμίων, μόνη Παρθένε απειρόγαμε, σύ γάρ ασπόρως συνέλαβες, καί τίκτεις αφθόρως τόν Λόγον, τού Πατρός τόν αϊδιον, όν ανυμνούντες ευσεβώς, σέ μακαρίζομεν.

Τού Οσίου

Ουκ ελάτρευσαν τή κτίσει

Συναγάλλου ουρανέ, συνευφραινέσθωσαν, ανθρώποις σήμερον, Αγγέλων αι στρατιαί, βροτός επουράνιος, Άγγελος γήϊνος εορτάζεται, νύν ο θεόφρων Λάζαρος, εις τιμήν Θεού των όλων.

Υψιβάμων αρεταίς υπερουράνιος, πάνσοφε Λάζαρε, τή πολιτεία τελών, τό φρόνημα μέτριος, υπήρχες καί ταπειωός, υπέρ άπαντας, Θεός σε καί ανύψωσεν, υπέρ πάντας θαυμασίως.

Μετά πείραν φανεράν ήττάν τε πρόδηλον, Σατάν ο δόλιος, εκ δεξιών σε συλάν, επείρα ως Άγγελος, υπούλως Λάζαρε, ο παμπόνηρος, αλλά καί ούτως ήσχυνας, τάς αυτού μηχανουργίας.

Θεοτοκίον

Νεμομένην τού θανάτου ρύμην έστησας, σεμνή τώ τόκω σου, τούς δέ

βροτούς πρός ζωήν, Παρθένε ανήγαγες, τώ Κτίστη μέλποντας, Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Τών Μαρτύρων

Ωδή η’

«Τόν αρρήτω σοφία, συστησάμενον πάντα Θεόν Λόγον, καί εκ μή όντων, εις τό είναι παραγαγόντα, ευλογείτε τά έργα ως Κύριον, καί υπερυψούτε εις πάντας τούς αιώνας».

Μεμηνότων τυράννων, τήν δυσκάθεκτον ορμήν καταβαλόντες, οι Αθλοφόροι μελωδούντες, διαπρυσίως εβόων, Ευλογείτε τά έργα Κυρίου τόν Κύριον.

Ανανήψατε πλάνοι, καί επίγνωτε τόν Θεόν τόν όντα, πρός τούς τυράννους οι Αθληταί, μελωδούντες εβόων, Ευλογείτε τά έργα Κυρίου τόν Κύριον.

Ρητορεύειν μηδολως, μελετήσαντες οι Χριστού Αθλοφόροι, Πνεύματος θείου εμπλησθέντες φαιδρώς ανεβοων, Ευλογείτε τά έργα Κυρίου τόν Κύριον.

Θεοτοκίον

Τόν εκ Πατρός προελθόντα, προαιώνιον καί άναρχον Θεόν Λόγον, καί επ' εσχάτων ανατείλαντα εκ τής Παρθένου, ευλογείτε απαύστως τά έργα τόν Κύριον.

Τού Οσίου

Άκουε Κόρη Παρθένε

Όφις ποτέ τόν γενάρχην Αδάμ, εξέωσεν εκ τής Εδέμ, απάτη Εύας, σοί δέ Σοφέ προσβαλών, δολίως τή τής αισχράς ορμή Μοναχής, κατησχύνθη καί νενίκηται, τή καρτερά ενστάσει σου, διό νύν χαίρων βοάς, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ύλην τήν κάτω προσνεύειν αεί, φιλούσαν δή ως γεηράν, εις πόλον έλκων τώ σώ συνανύψωσας, εν στύλω βιβάζων αιθερίως Σοφέ, υπέρ Κόσμου μεσιτεύων τε, ενθέρμως τώ Δεσπότη σου, καί σύν Αγγέλοις βοών, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Σκότους τόν προστάτην καθείλες φωτί, τών θείων Πάτερ εντολών τού σού Δεσπότου, σύ γάρ τηρήσας αυτάς, διώδευσας αληθώς οδόν τήν στενήν, ευσχημόνως φωτιζόμενος, ταίς ακτίσι ταίς τού Πνεύματος, καί μέλπων διηνεκώς, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Θεοτοκίον

Δέξαι Παρθένε δεσμίων φωνάς, ανθ' ών τήν πίστιν τήν καθαραν, αιρετικών ούκ εμίαναν μολυσμώ, καί δίδου τάς νίκας ευσεβεί Βασιλεί, ικετεύει γάρ ο δούλος σου, σύν σοί καί φίλος Λάζαρος, υπέρ ημών ευσεβώς, τών βοώντων, Πάντα τά έργα υμνείτε τόν Κύριον.

## Ο Ειρμός

«Άκουε Κόρη Παρθένε αγνή, ειπάτω δή ο Γαβριήλ, βουλήν Υψίστου αρχαίαν αληθινήν, γενού πρός υποδοχήν ετοίμη Θεού, Διά σού γάρ ο αχώρητος, βροτοίς συναναστρέφεται, διό καί χαίρων βοώ, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

## Τών Μαρτύρων

## Ωδή θ'

«Τόν εκ Θεού Θεόν Λόγον, τόν αρρήτω σοφία, ήκοντα καινουργήσαι τόν Αδάμ, βρώσει φθορά πεπτωκότα δεινώς, εξ αγίας Παρθένου, αφράστως σαρκωθέντα δι' ημάς, οι πιστοί ομοφρόνως, εν ύμνοις μεγαλύνομεν».

Υλομανήσασαν πάλαι, τών ειδώλων τήν πλάνην, Χριστέ εν ταίς καρδίαις τών βροτών, σύ τώ πυρί τής θεότητος καταφλέξας Μαρτύρων, τής ευσεβείας ήθροισας χορούς, επαξίως σε ύμνοις, απαύστως μεγαλύνοντας.

Ρευστήν οι Μάρτυρες δόξαν, καί τόν άστατον πλούτον, Χριστέ καταλιπόντες επί γής, σέ τό τής δόξης απαύγασμα, αναφαίρετον πλούτον, εύρον τών αιωνίων αγαθών, επαξίως σε ύμνοις, απαύστως μεγαλύνοντες.

Ως ελευθέρα η φύσις, τών ανθρώπων η πάλαι, τής πλάνης υποκύψασα ζυγώ, σού τή σαρκώσει γεγένηται, τού τών όλων Δεσπότου, όν επιγνούσα κήρυκας τούς νύν, τής ημών σωτηρίας, τούς Μάρτυρας προβάλλεται.

## Θεοτοκίον

Νύμφη καί Μήτηρ Παρθένε, σύν Αγγέλων χορείαις, τόν σόν Υιόν ικέτευσον αγνή, πάντων η μόνη ελπίς τών πιστών, τήν ειρήνην τώ κόσμω, νίκας τώ φιλοχρίστω Βασιλεί, καί ημίν σωτηρίαν, βραβεύσαι τοίς υμνούσί σε.

## Τού Οσίου

## Ως εμψύχω Θεού κιβωτώ

Ευλογήσας τήν άλω ποιείς, ακάρπου εκ καλάμης καρποδότιν, θήρας θανατοίς τετολμηκότας, βεβρωκέναι σοφέ, Μαθητών σου τό ονάριον, όθεν ακαρπίας με ρύσαι, θήρας κατ' εμού φονώντας, σαίς προσευχαίς θανατών.

Χειροήθεις ώς άρνες εν σοί, καί λέοντες καί άρκτοι υπεχώρουν, Λάζαρε κρηπίς καί εγκαλλώπισμα Οσίων, διό ικετεύομεν τά τέκνα σου, όρμημα χαλίνωσον άπαν, πάντων τών λεόντων δίκην, επεμβαινόντων ημίν.

Ού θανείν αλλά ζήν καί θανών, ζωήν τήν κρυπτομένην επιστώσω, τάς διαταγάς καί μετά τέλος αυτοχείροις, ταίς σαίς εν σημειώσεσι πιστούμενος, Λάζαρε Πατέρων ακρότης, όθεν καί ημάς θανάτου, ρύσαι τά τέκνα σου.

## Θεοτοκίον

Υπεφθάρη ποιμέσι πολλοίς, η άμπελος τής ποίμνης σου Παρθένε, πάναγνε

Ποιμένα, τόν καλόν η τετοκυία, αυτών τής φθοράς ταύτην εξάρπασον, άμα τώ ποιμένι Λαζάρω, πρέσβυς υπέρ ταύτης ούσα, σεμνή καί υπέρμαχος.

Ο Ειρμός

«Ως εμψύχω Θεού κιβωτώ, ψαυέτω μηδαμώς χείρ αμυήτων, χείλη δέ πιστών τή Θεοτόκω ασιγήτως, φωνήν τού Αγγέλου αναμέλποντα, εν αγαλλιάσει βοάτω,Χαίρε Κεχαριτωμένη, ο Κύριος μετά σού».

Εξαποστειλάριον τών Μαρτύρων

Γυναίκες ακουτίσθητε

Τώ θρόνω παριστάμενοι, Χριστού τού πανοικτίρμονος, τρείς καί τριάκοντα πύργοι, τής αρραγούς Εκκλησίας, ημών πρεσβείαις Άγιοι, φρουρείτε κόσμον άπαντα, καΙτούς υμάς γεραίροντας, καί τήν υμών Αθλοφόροι, τελούντας πάμφωτον Μνήμην.

Καί τού Οσίου

Τοίς Μαθηταίς συνέλθωμεν

Εκ μητρικής ηγίασε, σέ νηδύος ο Πλάστης, καί Πνεύματος ειργάσατο, σκήνωμα τού Αγίου, όθεν φωστήρ ανεδείχθης, Μοναζόντων θεόφρον, εκ σκότους παραπτώσεων, οδηγών πρός τό φέγγος τών τού Θεού, ενταλμάτων Λάζαρε καί προσάγων, Χριστώ' όν καθικέτευε, τούς υμνούντάς σε σώσαι.

Θεοτοκίον

Όρος ποτέ εώρακεν, ο Προφήτης σε Κόρη, εξ ού βροτείων άνευθεν, χειρών λίθος ετμήθη, καί τούς βωμούς τών ειδώλων, καί δαιμόνων τάς στήλας, ελέπτυνε Θεόνυμφε, όν δυσώπει συντρίψαι, τά εμπαθή, τού νοός μου είδωλα καί τήν τούτου, εικόνα ανεγείραί μου, νοερώς εν καρδία.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν τρία Στιχηρά Προσόμοια τού Οσίου, δευτερούντες τό πρώτον.

Ήχος δ'

Ο εξ υψίστου κληθείς

Ο τού Κυρίου τήν ζώσαν εζωσμένος, μυρίπνοον νέκρωσιν εν τή σαρκί αυτού, Λάζαρος άλλος καί φίλτατος, εκ τών ιδρώτων, αυτού καί πόνων έτι ατμίζουσαν, στολήν περικείμενος, νύν ημίν πρόκειται, εις πανδαισίαν αδάπανον, καί ευφημίαν, Δεύτε συμφώνως τούτον τιμήσωμεν, ως τού Κυρίου καί Θεού ημών, οικονόμον πιστόν καί θεράποντα, Μοναζόντων τά πλήθη, φιλεόρτων τά συστήματα. (Δίς)

Ως εν θαλάμω φωτός πεπληρωμένω, τώ στύλω παρέμεινας, ώ ιερώτατε, κύκλω δέ τούτου παρέστησας, ώς περ ενόπλους, υπασπιστάς τάς πράξεις σου Όσιε, εναποτειχίζοντας παρεμβολάς τών παθών, εν τώ νυμφώνι δέ ή λασας, τώ θείω μάκαρ, εν παρρησία νύν παριστάμενος, τώ σώ νυμφίω καί Θεώ ημών, τή αυτού εντρυφών ωραιότητι, όν ικέτευε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

Ο έξ οσφύος μητρός ηγιασμένος, ο όσιος Λάζαρος τό τού Χριστού καθαρόν,

θύμα καί θύτης γενόμενος, εις ευωχίαν, τής αυτού Μνήμης νύν συνεκάλεσε, τούς πάντας εν Πνεύματι ευωδιάζων σαφώς, Δεύτε λοιπόν καί συνδράμωμεν, καί ευλογίας, εκ τών τιμίων τούτου μετάσχωμεν, θείων λειψάνων, καί δοξάσωμεν, τόν εν αγίοις Χριστόν τόν Θεόν ημών, θαυμαζόμενον όντως, καί αυτοίς αναπαυόμενον.

Δόξα... Ήχος πλ. β’

Όσιε Πάτερ, εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος τών κατορθωμάτων σου, δι' ών εν τοίς ουρανοίς, εύρες μισθόν τών καμάτων σου, Τών δαιμόνων ώλεσας τάς φάλαγγας, τών Αγγέλων έφθασας τά τάγματα, ών τόν βίον αμέμπτως εζήλωσας, Παρρησίαν έχων πρός Χριστόν τόν Θεόν, ειρήνην αίτησαι ταίς ψυχαίς ημών.

Καί νύν… Θεοτοκίον

Μεταβολή τών θλιβομένων, απαλλαγή τών ασθενούντων, υπάρχουσα Θεοτόκε Παρθένε, σώζε πόλιν καί λαόν, τών πολεμουμένων η ειρήνη, τών χειμαζομένων η γαλήνη, η μόνη προστασία τών πιστών.

Η Σταυροθεοτοκίον

Τριήμερος ανέστης

Η πάναγνος ως ειδέ σε, επί Σταυρού κρεμάμενον, θρηνωδούσα ανεβόα μητρικώς, Υιέ μου καί Θεέ μου, γλυκύτατόν μου τέκνον, πώς φέρεις πάθος επονείδιστον.

Καί η λοιπή Ακολουθία τού Όρθρου, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Η' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Η σύναξις τών Αρχιστρατήγων Μιχαήλ καί Γαβριήλ, καί τών λοιπών Ασωμάτων Δυνάμεων.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τού Μιχαήλ.

Ήχος δ'

Ως γενναίον εν Μάρτυσιν

Τρισηλίου θεότητος, παραστάτης φαιδρότατος, Μιχαήλ δεικνύμενος Αρχιστράτηγε, μετά τών άνω Δυνάμεων, κραυγάζεις γηθόμενος, Άγιος εί ο Πατήρ, Άγιος ο συνάναρχος Λογος, Άγιος καί τό Άγιον Πνεύμα, μία δόξα, βασιλεία μία φύσις, μία θεότης καί Δύναμις.

Καί τό είδός σου πύρινον, καί τό κάλλος θαυμάσιον, Μιχαήλ πρωτάγγελε, τή αΰλω γάρ, φύσει διέρχη τά πέρατα, πληρών τά προστάγματα, τού τών όλων Ποιητού, δυνατός εν ισχύϊ σου, γνωριζόμενος, καί πηγήν ιαμάτων τόν ναόν σου, εργαζόμενος τή κλήσει, σού τή αγία τιμώμενον.

Οποιών τούς Αγγέλους σου, ώς περ γέγραπται πνεύματα, καί τούς λειτουργούντάς σοι φλόγα πύρινον, μέσον ταγμάτων πρωτεύοντα, ανέδειξας Κύριε, σού τών Αρχαγγελικών, Μιχαήλ Αρχιστράτηγον, σού τοίς νεύμασι, καθυπείκοντα Λόγε, καί τόν ύμνον, τόν τρισάγιον εν φόβω, αναφωνούντα τή δόξη σου.

Τού Γαβριήλ

Ήχος ο αυτός
Έδωκας σημείωσιν

Νούς ο προαιώνιος, φώς υπεστήσατο δεύτερον, Γαβριήλ σε μεθέξεσιν, ενθέοις φωτίζοντα, πάσαν οικουμένην, καί τό απ' αιώνος, ανακαλύπτοντα ημίν, θείον καί μέγα όντως μυστήριον, εν μήτρα σωματούμενον, Παρθενική τόν ασώματον, καί γενόμενον άνθρωπον, εις τό σώσαι τόν άνθρωπον.

Θρόνω παριστάμενος, τής τρισηλίου θεότητος, καί πλουσίως λαμπόμενος, ταίς θείαις λαμπρότησι, ταίς εκπεμπομέναις, απαύστως εκείθεν, τούς επί γής χαρμονικώς, χοροστατούντας καί ευφημούντάς σε, παθών αχλύος λύτρωσαι, καί φωτισμώ καταλάμπρυνον, Γαβριήλ Αρχιστράτηγε, πρεσβευτά τών ψυχών ημών.

Θραύσον τά φρυάγματα, τών εκ τής Άγαρ τή ποίμνη σου, συνεχώς επερχόμενα, κόπασον τά σχίσματα, τά τής Εκκλησίας, πράϋνον τόν σάλον, τών αμετρήτων πειρασμών, ρύσαι κινδύνων καί περιστάσεων, τούς πόθω σε γεραίροντας, καί σού τή σκέπη προστρεχοντας, Γαβριήλ Αρχιστράτηγε, πρεσβευτά τών ψυχών ημών.

Δόξα… Ήχος πλ. β’ Βυζαντίου

Συγχάρητε ημίν, άπασαι αι τών Αγγέλων ταξιαρχίαι, ο πρωτοστάτης γάρ υμών, καί ημέτερος προστάτης, ο μέγας Αρχιστράτηγος, τήν σήμερον ημέραν, εν τώ σεπτώ αυτού τεμένει, παραδόξως εποπτανόμενος αγιάζει, Όθεν κατά χρέος, ανυμνούντες αυτόν βοήσωμεν, Σκέπασον ημάς εν τή σκέπη τών πτερύγων σου, μέγιστε Μιχαήλ Αρχάγγελε.

Καί νύν... Θεοτοκίον

Συγχάρητε ημίν, άπασαι αι τών Παρθένων χοροστασίαι, η προστασία γάρ ημών, καί μεσίτρια καί σκέπη, καί μέγα καταφύγιον, τήν σήμερον ημέραν, εν τώ σεπτώ αυτής τεμένει, παραδόξως εποπτανομένη αγιάζει, Όθεν κατά χρέος ανυμνούντες αυτήν βοήσωμεν, Σκέπασον ημάς, εν τή σκέπη τών πτερύγων σου, άχραντε Θεοτόκε Δέσποινα.

Είσοδος, τό Φώς ιλαρόν, τό Προκείμενον τής ημέρας, καί τά Αναγνώσματα.

Ιησού τού Ναυή τό Ανάγνωσμα.
(Κεφ. 5, 13-15)

Εγένετο, ως ήν Ιησούς εν Ιεριχώ, αναβλέψας τοίς οφθαλμοίς αυτού, είδεν

άνθρωπον εστηκότα εναντίον αυτού, καί η ρομφαία αυτού εσπασμένη εν τή χειρί αυτού, καί προσελθων Ιησούς, είπεν αυτώ. Ημέτερος εί, ή τών υπεναντίων. Ο δέ είπεν αυτώ. Εγώ Αρχιστράτηγος δυνάμεως Κυρίου, νυνί παραγέγονα, καί Ιησούς έπεσεν επί πρόσωπον επί τήν γήν, καί είπεν αυτώ Δέσποτα, τί προστάσσεις τώ σώ οικέτη; Καί είπεν ο Αρχιστράτηγος Κυρίου πρός Ιησούν. Λύσον τό υπόδημα εκ τών ποδών σου, ο γάρ τόπος εφ' ού σύ έστηκας επ αυτού, άγιός εστι, καί εποίησεν Ιησούς ούτως.

Κριτών τό Ανάγνωσμα

(Κεφ. 6, 6, 11-24)

Εγένετο εν τή ημέρα εκείνη, καί κατίσχυσε Μαδιάμ επί τούς υιούς Ισραήλ, καί αυτοί εβόησαν πρός τόν Θεόν. Καί ιδού Άγγελος Κυρίου παρεγένετο, καί εκάθισεν υπό τήν δρύν, τήν ούσαν εν Εφραθά, τήν τού Ιωάς, καί Γεδεών ο υιός αυτού ερράβδιζε πυρούς εν ληνώ, καί έσπευδε τού εκφυγείν από προσώπου Μαδιάμ. Καί ώφθη αυτώ Άγγελος Κυρίου, καί είπε πρός αυτόν. Κύριος μετά σού δυνατός τή ισχΰϊ. Καί είπε πρός αυτόν Γεδεών. Εν εμοί, Κύριέ μου, καί εί έστι Κύριος μεθημών, ίνα τί εύρεν ημάς τά κακά ταύτα; καί πού εστι πάντα τά θαυμάσια αυτού, όσα διηγήσαντο ημίν οι πατέρες ημών, λέγοντες. Ουχί εξ Αιγύπτου ανήγαγεν ημάς Κύριος; καί νύν απώσατο ημάς, καί παρέδωκεν ημάς, εν χειρί Μαδιάμ. Καί επέβλεψε πρός αυ τόν ο Άγγελος Κυρίου, καί είπεν αυτώ. Πορεύου εν τή ισχΰϊ σου ταύτη, καί σώσεις τόν Ισραήλ εκ χειρός Μαδιάμ, ιδού εξαπέστειλά σε. Καί είπε πρός αυτόν Γεδεών. Εν εμοί, Κύριε, εν τίνι σώσω τόν Ισραήλ; Ιδού η χιλιάς μου ταπεινοτέρα εν Μανασσή, καί εγώ ειμι μικρότερος εν τώ οίκω τού πατρός μου. Καί είπε πρός αυτόν ο Άγγελος Κυρίου. Κύριος έσται μετά σού, καί πατάξεις τόν Μαδιάμ ωσεί άνδρα ένα. Καί είπε πρός αυτόν Γεδεών. Ει εύρον χάριν εν οφθαλμοίς σου, καί ποιήσεις μοι σήμερον πάν ό,τι σύ λαλείς μετ' εμού, μή δή χωρισθής εντεύθεν, έως τού ελθείν με πρός σέ, καί οίσω τήν θυσίαν μου, καί θύσω ενώπιόν σου. Καί είπεν. Εγώ ειμι, καθήσομαι έως τού επιστρέψαι σε. Καί Γεδεών εισήλθε, καί εποίησεν έριφον αιγών, καί οιφί αλεύρου άζυμα, καί τά κρέα έθηκεν εν τώ κοφίνω, καί τόν ζωμόν έβαλεν εν τή χύτρα, καί εξήνεγκεν αυτά πρός αυτόν υπό τήν δρύν, καί προσήγγισε. Καί είπε πρός αυτόν ο άγγελος Κυρίου. Λάβε τά κρέα καί τούς άρτους τούς αζύμους, καί θές πρός τήν πέτραν εκείνην, καί τόν ζωμόν εχόμενα έκχεε, καί εποίησεν ούτω. Καί εξέτεινεν ο Άγγελος Κυρίου τό άκρον τής ράβδου τή εν τή χειρί αυτού, καί ήψατο τών κρεών, καί τών αζύμων, καί ανήφθη πύρ εκ τής πέτρας, καί κατέφαγε τά κρέα καί τούς αζύμους, καί ό Άγγελος Κυρίου απήλθεν απ' οφθαλμών αυτού. Καί είδε Γεδεών, ότι Αγγελος Κυρίου εστί, καί είπε Γεδεών. Οίμοι Κύριε, Κύριε! ότι είδον τόν Άγγελον Κυρίου πρόσωπον πρός πρόσωπον. Καί είπεν αυτώ Κύριος. Ειρήνη σοι, μή φοβού, ου μή αποθάνης. Καί ωκοδόμησεν εκεί Γεδεών θυσιαστήριον τώ Κυρίω, καί εκάλεσεν αυτό, Ειρήνη Κυρίου, έως τής ημέρας ταύτης.

Προφητείας Δανιήλ τό Ανάγνωσμα

(Κεφ. 10, 1-21)

Εν έτει τρίτω κυρου τού βασιλέως Περσών, λόγος απεκαλύφθη τώ Δανιήλ, ού τό όνομα επεκλήθη Βαλτάσαρ, καί αληθινός ο λόγος, καί δύναμις μεγάλη, καί

σύνεσις εδόθη αυτώ εν Οπτασία. Εν ταίς ημέραις εκείναις, εγώ Δανιήλ ήμην πενθών τρείς εβδομάδας ημερών. Καί άρτον επιθυμιών ουκ έφαγον καί κρέας καί οίνος ουκ εισήλθεν εν τώ στόματί μου, καί άλειμμα ουκ ηλειψάμην, έως πληρώσεως τριών εβδομάδων ημερών. Καί εν ημέρα εικοστή τετάρτη τού μηνός τού πρώτου, εν τώ τρίτω έτει, εγω ήμην εχόμενα τού ποταμού τού μεγάλου, ούτός εστι Τίγρις. Καί ήρα τούς οφθαλμούς μου, καί είδον, καί ιδού ανήρ είς, ενδεδυμένος βαδδίν, καί η οσφύς αυτού περιεζωσμένη χρυσίω Ωφάζ, καί τό σώμα αυτού ωσεί θαρσίς, καί τό πρόσωπον αυτού ωσεί όρασις αστραπής, καί οι οφθαλμοί αυτού ωσεί λαμπάδες πυρός, καί οι βραχίονες αυτού καί τά σκέλη, ως όρασις χαλκού στίλβοντος, καί η φωνή τών λόγων αυτού, ώς φωνή όχλου. Καί είδον εγώ Δανιήλ μόνος τήν οπτασίαν, καί οι άνδρες οι μετ' εμού ουκ είδον, αλλ' ή έκστασις μεγάλη επέπεσεν επ' αυτούς, καί έφυγον εν φόβω. Καί εγω υπελείφθην μόνος, καί είδον τήν Οπτασίαν τήν μεγάλην ταύτην, καί ουχ υπελείφθη εν εμοί ισχύς, καίη δόξα μου μετεστράφη εις διαφθοράν, καί ουκ εκράτησα ισχύος. Καί ήκουσα τήν φωνήν τών λόγων αυτού, καί εντώ ακούσαί με φωνήν ρημάτων αυτού ήμην κατανενυγμένος επί πρόσωπόν μου επί τήν γήν. Καί ιδού χείρ απτομένη μου, καί ήγειρέ με επί τά γόνατά μου, καί ταρσούς χειρών μου. Καί είπε πρός με. Δανιήλ, ανήρ επιθυμιών, σύνες εν τοίς λόγοις, οις εγώ λαλώ πρός σέ, καί στήθι επί τή στάσει σου, ότι νύν απεστάλην πρός σέ, καί εν τώ λαλήσαι αυτόν πρός με τόν λόγον τούτον, ανέστην έντρομος. Καί είπε πρός με. Μή φοβού Δανιήλ, ότι από τής ημέρας τής πρώτης, ής έδωκας τήν καρδίαν σου συνιέναι, καί κακωθήναι έναντι Κυρίου τού Θεού σου ηκούσθησαν οι λόγοι σου, καί εγω ήλθον εν τοίς λόγοις σου. Καί ο Άρχων τής βασιλείας Περσών ειστήκει εξεναντίας μου είκοσι καί μίαν ημέραν, καί ιδού Μιχαήλ, εις τών Αρχόντων τών πρώτων ήλθε βοηθήσαί μοι, καί αυτόν κατέλιπον εκεί μετά τού Άρχοντος βασιλείας Περσών. Καί ήλθον συνετίσαι σε όσα απαντήσει τώ λαώ σου επ' εσχάτων τών ημερών, ότι έτι η όρασις εις ημέρας. Καί εν τώ λαλή σαι αυτόν μετ' εμού κατά τούς λόγους τούτους, έδωκα τό πρόσωπόν μου επί τήν γήν, καί κατενύγην. Καί ιδού ως ομοίωσις υιού ανθρώπου ήψατο τών χειλέων μου, καί ήνοιξα τό στόμα μου καί ελάλησα, καί είπα πρός τόν εστώτα εναντίον μου. Κύριε εν τή Οπτασία σου εστράφη τά εντός μου εν εμοί, καί ουκ έσχον ισχύν. Καί πώς δυνήσεται ο παίς σου, Κύριε, λαλή, σαι μετά τού Κυρίου μου τούτου; καί από τού νύν ού στήσεται εν εμοί ισχύς, καί πνοή ουχ υπελείφθη εν εμοί. Καί προσέθετο, καί ήψατό μου ως όρασις ανθρώπου, καί ενίσχυσέ με καί είπέ μοι. Μή φοβού ανήρ επιθυμιών, ειρήνη σοι, ανδρίζου καί ίσχυε. Καί εν τώ λαλήσαι αυτόν μετ εμού, ίσχυσα καί είπα. Λαλείτω ο Κύριός μου, ότι ενίσχυσάς με. Καί είπεν. Ει οίδας ότι ήλθον πρός σέ; καί νύν επιστρέψω τού πολεμήσαι μετά τού Άρχοντος Περσών, καί εγώ εξεπορευόμην, καί ο Άρχων τών Ελλήνων ήρχετο. Αλλ' ή αναγγελώ σοι τό εντεταγμένον εν γραφή αληθείας καί ουκ έστιν είς αντεχόμενος μετ' εμού περί τούτων, αλλ' ή Μιχαήλ ο άρχων υμών.

Εις τήν Λιτήν, Στιχηρά ιδιόμελα.

Ήχος α’  Κυπριανού

Τών νοερών Δυνάμεων Αρχιστράτηγοι, οι παρεστώτες απαύστως, τώ δεσποτικώ θρόνω, πρεσβεύσατε πρός Κύριον, ειρήνην τώ κόσμω δωρήσασθαι, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Ο αυτός Αρσενίου

Ο Ταξιάρχης τών άνω Δυνάμεων, Μιχαήλ ο πρωτοστάτης τών θείων ταγμάτων, σήμερον ημάς πρός πανήγυριν συνεκάλεσεν, ο καθ' εκάστην μεθ' ημών πορευόμενος, καί φυλάττων τούς πάντας, εκ πάσης τού διαβόλου περιστάσεως, Δεύτε ούν φιλέορτοι καί φιλόχριστοι, τά άνθη τών αρετών δρεψάμενοι, καθαραίς εννοίαις, καί συνειδότι ευστάθμω, τού Αρχαγγέλου τήν Σύναξιν τιμήσωμεν, αυτός γάρ αδιαλείπτως τώ Θεώ παριστάμενος, καί τόν τρισάγιον ύμνον αναμέλπων, πρεσβεύει σωθήναι τάς ψυχάς ημών.

Ήχος β’  Τού Στουδίτου

Τής αϋλου ουσίας, τών νοερών Δυνάμεων προστατεύοντες, καί τής Τρισηλίου δόξης ταίς μαρμαρυγαίς, φωτοδοτούντες τήν οι κουμένην, Αρχιστράτηγοι, αλήκτω φωνή, τόν τρισάγιον ύμνον εξάδετε, διό πρεσβεύσατε σωθήναι τάς ψυχάς ημών.

Ο αυτός   Αρσενίου

Τώ αϋλω θρόνω περικυκλούντες, νοεραί ουσίαι θείοι Ασώματοι, τήν τρισάγιον ωδήν, τώ πρύτανι Θεώ, φλογεροίς τοίς χείλεσιν άδετε, Άγιος ο Θεός, ο Πατήρ ο άναρχος, Άγιος ισχυρός, ο Υιός ο συνάναρχος, Άγιος αθάνατος, τό ομοούσιον Πνεύμα, τό σύν Πατρί καί Υιώ συνδοξαζόμενον.

Ο αυτός   Ανατολίου

Ασωμάτοις χείλεσι, καί νοεροίς στόμασι, τών Αγγέλων αι τάξεις, τόν ακατάπαυστον ύμνον προσφέρουσι, τή σή απροσίτω θεότητι Κύριε, καί νόες καθαροί καί λειτουργοί τής σής δόξης αινούσί σε Δέσποτα, Σύν αυτοίς δέ Μιχαήλ ο ασώματος, καί πρωτοστάτης τών άνω Δυνάμεων, ο Αρχιστράτηγος τών Αγγέλων, εστιάτωρ ημίν σήμερον γέγονε, τά τών ασωμάτων άσματα προτρεπόμενος ημάς άδειν, τή απροσίτω σου δόξη Φιλάνθρωπε, ίνα πρεσβεύη απαύστως, υπέρ τών ψυχών ημών.

Ήχος δ’

Εφραίμ Καρίας

Τής ηλιακής ακτίνος τού θείου φωτός, καταλαμπόμενοι Αρχιστράτηγοι, τάς τών αϋλων καταυγάζετε ταξιαρχίας, ως φώς λευχειμονούντες, εν υψίστοις τό πύρ καταυγάζετε εν κόσμω, τής απροσίτου θεότητος, όθεν καί τόν τρισάγιον ύμνον, εν φλογεροίς τοίς χείλεσιν ακαταπαύστως άδετε, Άγιος, Άγιος, Άγιος ει, ο Θεός ημών δόξα σοι.

Ήχος πλ. β’

Οι Αγγελοί σου Χριστέ, τώ θρόνω τής μεγαλωσύνης, εν φόβω παρεστώτες, καί τή σή φωτοχυσία αεί λαμπόμενοι, εν τοίς υψίστοις υμνωδοί σου, καί τής βουλής σου λειτουργοί, υπό σού εκπεμπόμενοι, νέμουσι φωτισμόν ταίς ψυχαίς ημών.

Δόξα… Ήχος δ’

Πυρίνοις χείλεσιν, υμνεί σε τά Χερσυβίμ, Χριστέ ό Θεός, ασωμάτοις δέ στόμασιν ασιγήτως, δοξολογεί σε τών Αρχαγγέλων ό χορός, Μιχαήλ δέ ο

Αρχιστράτηγος, τών άνω δυνάμεων, τόν επινίκιον ύμνον, ακαταπαύστως προσφέρει τή δόξη σου, Αυτός γάρ ημάς σήμερον κατηύγασε, πρός πανήγυριν φαιδράν, κροτήσαι επαξίως ψαλμικώς, αίνον τόν τρισάγιον, τοίς πηλίνοις χείλεσιν, ότι τά πάντα τής σής αινέσεως επλήσθη, καί παρέχεις τώ κόσμω δι' αυτού τό μέγα έλεος.

Καί νύν… Ο αυτός Θεοτοκίον

Σήμερον ο θεοχώρητος ναός, η Θεοτόκος, εν ναώ Κυρίου προσάγεται, καί Ζαχαρίας ταύτην υποδέχεται, Σήμερον τά τών Αγίων Άγια αγάλλονται, καί ο χορός τών Αγγέλων, μυστικώς πανηγυρίζει, μεθ' ών καί ημείς εορτάζοντες σήμερον, σύν τώ Γαβριήλ εκβοήσωμεν, Χαίρε Κεχαριτωμένη, ο Κύριος μετά σού, ο έχων τό μέγα έλεος.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος α' Τών ουρανίων

Αγγελικώς οι εν κόσμω πανηγυρίζοντες, τώ επί θρόνου δόξης, Θεώ εποχουμένω, βοήσωμεν τόν ύμνον, Άγιος εί, ο Πατήρ ο ουράνιος, ο συναΐδιος Λόγος Άγιος εί, καί τό Πνεύμα τό Πανάγιον.

Στίχ. Ο ποιών τούς Αγγέλους αυτού πνεύματα, καί τούς λειτουργούς αυτού πυρός φλόγα

Τών ουρανίων πρωτεύων, εν παρρησία πολλή, καί παρεστώς τώ θρόνω, τώ αστέκτω εν δόξη, αυτόπτα τών αρρήτων, σώσον ημάς, Μιχαήλ Αρχιστράτηγε, τούς εν ανάγκαις κινδύνων καί πειρασμών, ταίς πρεσβείαις σου δεόμεθα.

Στίχ. Ευλόγει η ψυχή μου, τόν Κύριον· Κύριε ο Θεός μου εμεγαλύνθης σφοδρα.

Τών ασωμάτων Αγγέλων, πρώτος υπάρχεις σαφώς, καί λειτουργός τής θείας, φωταυγείας εκείνης, αυτόπτης τε καί μύστης, σώσον ημάς, Μιχαήλ Αρχιστράτηγε, τούς ετησίως τιμώντάς σε ευσεβώς, καί υμνούντας τήν Τριάδα πιστώς.

Δόξα… Καί νύν… Ήχος πλ. δ'

Ιωάννου Μοναχού

Ως ταξιάρχης καί πρόμαχος, καί τών Αγγέλων Αρχηγός Αρχιστράτηγε, πάσης ανάγκης καί θλίψεως, νόσου καί δεινών αμαρτημάτων ελευθέρωσον, τούς ειλικρινώς ανυμνούντας, καί αιτουμένους σε Ένδοξε, εναργώς ως άϋλος τόν άϋλον καθορών, καί τώ απροσίτω φωτί, τής τού Δεσπότου δόξης καταλαμπόμενος, αυτός γάρ φιλανθρώπως, σάρκα δι' ημάς εκ Παρθένου προσείληφε, σώσαι βουληθείς τό αθρώπινον.

Απολυτίκιον Ήχος δ’

Τών ουρανίων στρατιών Αρχιστράτηγοι, δυσωπούμεν υμάς ημείς οι ανάξιοι, ίνα ταίς υμών δεήσεσι, τειχίσητε ημάς, σκέπη τών πτερύγων, τής αΰλου υμών

δόξης, φρουρούντες ημάς προσπίπτοντας, εκτενώς καί βοώντας, Εκ τών κινδύνων λυτρώσασθε ημάς, ως Ταξιάρχαι τών άνω Δυνάμεων.

Δόξα… Καί νύν…  Θεοτοκίον

Καί απόλυσις

Μετά τήν α' Στιχολογίαν,
Κάθισμα  Ήχος δ'
Ο υψωθείς εν τώ Σταυρώ

Τών ασωμάτων λειτουργών Αρχιστράτηγε, ο κατ' ενώπιον Θεού παριστάμενος, καί ταίς εκείθεν λάμψεσι λαμπόμενος, φαίδρυνον αγίασον, τούς πιστώς σε υμνούντας, πάσης απολύτρωσαι, τού εχθρού τυραννίδος, καί ειρηναίαν αίτησαι ζωήν, τοίς Βασιλεύσι καί πάσι τοίς πέρασιν.

Δόξα…  τό αυτό

Καί νύν... Θεοτοκίον

Ου σιωπήσομεν ποτέ Θεοτόκε, τού ευχαρίστως ανυμνείν εκ καρδίας, τά σά ελέη Δέσποινα οι δούλοί σου, κράζοντες καί λέγοντες, Παναγία Παρθένε, πρόφθασον καί λύτρωσαι, εξ εχθρών αοράτων, καί ορατών καί πάσης απειλής, σους γάρ δούλους σώζεις αεί, εκ παντοίων δεινών.

Μετά τήν β’ Στιχολογίαν,
Κάθισμα  Ήχος δ'
Ο υψωθείς εν τώ Σταυρώ

Τά Χερουβίμ καί Σεραφίμ πολυόμματα, τών Αρχαγγέλων λειτουργών τά στρατεύματα, σύν Εξουσίαις θρόνοι Κυριότητες, Άγγελοι Δυνάμεις τε, καί Αρχαί δυσωπούσι, σέ τόν Ποιητήν ημών, καί θεόν καί Δεσπότην, Μή υπερίδης δέησιν λαού, ημαρτηκότος, Χριστέ πολυέλεε.

Δόξα… Τό αυτό

Καί νύν… Θεοτοκίον αυτόμελον

Ταχύ προκατάλαβε, πρίν δουλωθήναι ημάς, εχθροίς βλασφημούσί σε, καί απειλούσιν ημίν, Χριστέ ο Θεός ημών, άνελε τώ σταυρώ σου, τούς ημάς πολεμούντας, γνώτωσαν πώς ισχύει, Ορθοδόξων η πίστις, πρεσβείαις τής Θεοτόκου, μόνε φιλάνθρωπε.

Μετά τόν Πολυέλεον, Κάθισμα
Ήχος πλ. δ'  Τό προσταχθέν

Τών ουρανίων αρχηγοί καί πρωτοστάται, τών υψιθρόνων καί φρικτών τής θείας δόξης, Μιχαήλ καί Γαβριήλ Αρχιστράτηγοι, σύν πάσι τοίς ασωμάτοις ώ Λειτουργοί, Δεσπότου υπέρ τού κόσμου διαπαντός, πρεσβεύοντες αιτήσασθε τήν άφεσιν, τών επταισμένων ημίν, καί έλεος καί χάριν ευρείν, εν ημέρα τής κρίσεως.

Δόξα… Καί νύν… Θεοτοκίον

Θεοχαρίτωτε Αγνή ευλογημένη, τόν διά σπλάγχνα οικτιρμών εκ σού τεχθέντα, σύν ταίς άνω Δυνάμεσι καί τοίς Αρχαγγέλοις, καί πάσι τοίς ασωμάτοις υπέρ ημών, δυσώπει ακαταπαύστως δούναι ημίν, πρό τού τέλους συγχώρησιν, καί ιλασμόν αμαρτιών, καί βίου επανόρθωσιν, όπως εύρωμεν έλεος.

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί  Αντίφωνον Α'

Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.

Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον Ήχος δ’

Ο ποιών τους Αγγέλους αυτού πνεύματα, καί τούς Λειτουργούς αυτού πυρός φλόγα.

Στίχ. Ευλόγει η ψυχή μου, τόν Κύριον.

Ευαγγέλιον κατά Ιωάννην

Ζήτει τή β’ τής Πεντηκοστής

Ο Ν'

Δόξα… Ταίς τών Ασωμάτων, Οικτίρμον, προστασίαις, εξάλειψον τά πλήθη τών εμών εγκλημάτων.

Καί νύν… Ταίς τής Θεοτοκου...

Είτα, Ελέησόν με ο Θεός, κτλ. Καί ψάλλομεν Στιχηρόν ιδιόμελον.

Ήχος β’

Τώ αϋλω θρόνω περικυκλούντες, νοεραί ουσίαι θείοι Ασώματοι, τήν τρισάγιον ωδήν, τώ πρύτανι Θεώ, φλογεροίς τοίς χείλεσιν άδετε, Άγιος ο Θεός, ο Πατήρ ο άναρχος, Άγιος ισχυρός, ο Υιός ο συνάναρχος, Άγιος αθάνατος, τό ομοούσιον Πνεύμα, τό σύν Πατρί καί Υιώ συνδοξαζόμενον.

Είτα ψάλλονται οι Κανόνες, ο τής Θεοτόκου εις ς’ καί οι δύο παρόντες τών Ασωμάτων εις η’.

Κανών πρώτος τών Ασωμάτων

Ποίημα Ιωάννου Μοναχού

Ωδή α'   Ήχος πλ. δ'

«Άσμα αναπέμψωμεν λαοί, τώ θαυμαστώ Θεώ ημών, τώ απαλλάξαντι τόν Ισραήλ εκδουλείας, ωδήν επινίκιον, άδοντες καί βοώντες, Άσωμέν σοι τώ μόνω Δεσπότη».

Πάντες ανυμνήσωμεν πιστοί, τήν πάσας διευθύνουσαν, τάς αΰλους τών άνω, χορών ταξιαρχίας, Τριάδα τήν άκτιστον, εκβοώντες, Άγιος, Άγιος, Άγιος εί, Θεέ παντοκράτορ.

Έθου τών κτισμάτων σου αρχήν, ουσίαν τήν ασώματον, Ποιητά τών Αγγέλων, τόν άχραντόν σου θρόνον, κυκλούσαν κραυγάζειν σοι, Άγιος, Άγιος, Άγιος εί, Θεέ παντοκράτορ.

Χαίροις Γαβριήλ μυσταγωγέ, τής τού Θεού σαρκώσεως, Μιχαήλ τε ταγμάτων, αΰλων πρωτοστάτα, απαύστως κραυγάζοντες, , Άγιος, Άγιος, Άγιος εί, Θεέ παντοκράτορ.

Θεοτοκίον

Εύα η προμήτωρ τή αρά, τό γένος καθυπέβαλε, τή παραβάσει ποτέ, τό τών ανθρώπων, σύ δέ Παρθένε θεόνυμφε, όλον πρός ευλογίαν, μετηγάγου τόν Κτίστην τεκούσα.

Κανών δεύτερος, ού η Ακροστιχίς.

Τοίς Ταξιάρχαις τών Ασωμάτων Νόων.

Εν δέ τοίς Θεοτοκίοις

Κλήμεντος

Ωδή α'  Ήχος ο αυτός

«Αρματηλάτην Φαραώ εβύθισε, τερατουργούσα ποτέ, Μωσαϊκή ράβδος, σταυροτύπως πλήξασα, καί διελούσα θάλασσαν, Ισραήλ δέ φυγάδα, πεζόν οδίτην διέσωσεν, άσμα τώ Θεώ αναμέλποντα».

Τούς νοερούς τών ασωμάτων τάξεων, χορούς εν άσμασιν, ως Λειτουργούς θείους, δεύτε ευφημήσωμεν, χορείαν συγκροτήσαντες, τήν ημών σωτηρίαν, αδιαλείπτως πρεσβεύοντας, καί τή μετανοία συγχαίροντας.

Οι τών Αγγέλων αρχηγοί καί πρόκριτοι, καί ταξιάρχαι φαιδροί, τούς ασωμάτους Νόας, σήμερον εγείρουσι, πρός τελετήν εόρτιον, τής αυτών λαμπράς μνήμης, μεθ' ών συγχαίρουσιν άνθρωποι, ύμνον τή Τριάδι προσάγοντες.

Συνευφρανθώμεν τοίς Αγγέλοις άνθρωποι, πνευματικώς εν χαρά, ο Γαβριήλ αύθις, νύν ευαγγελίζεται, Εκκλησιών τήν ένωσιν, καί καθαίρεσιν πάσης, τής εναντίας αιρέσεως, εν τή παρουσία τής μνήμης αυτών.

Θεοτοκίον

Κυοφορείς τόν υπέρ φύσιν Άχραντε, εν σοί σκηνώσαντα, τού Πατρός λόγον, εν Αγίω Πνεύματι δυσί μέν εν ταίς φύσεσι, καί θελήσεσιν όντα, εν υποστάσει δ' ατρέπτως μιά, ής καί τήν μορφήν ασπαζομεθα.

Καταβασία

Ανοίξω τό στόμα μου, καί πληρωθήσεται Πνεύματος, καί λόγον ερεύξομαι τή Βασιλίδι Μητρί, καί οφθήσομαι,φαιδρώς πανηγυρίζων, καί άσω γηθόμενος,ταύτης τά θαύματα.

Ωδή γ'

«Τόν φόβον σου Κύριε, εμφύτευσον ταίς καρδίαις τών δούλων σου, καί γενού ημίν στερέωμα, τοίς σέ εν αληθεία, επικαλουμένοις».

Ισχύϊ κατέστησας Αθάνατε, δυνατούς εξανύοντας, τό πανάγιόν σου θέλημα, τούς σοί εν τοίς υψίστοις, αεί παρεστώτας.

Τούς μύστας τής σής ενανθρωπήσεως, τής σεπτής τε εγέρσεως, τών Αγγέλων τούς εξάρχους Χριστέ, υπέρ ημών προσδέχου, επικαλουμένους.

Αγγέλους επέστησας φύλακας, τοίς ανθρώποις ως εύσπλαγχνος, διακόνους τε ανέδειξας Χριστέ, τής σωτηρίας τών σών θεραπόντων.

Θεοτοκίον

Αρρήτως συνέλαβες τόν Κύριον, Σωτήρα Θεόνυμφε, τόν λυτρούμενον ημάς τών δεινών, τούς σέ εν αληθεία επικαλουμένους.

Κανών δεύτερος

Σύ εί τό στερέωμα

Τών Αγγέλων πρώτιστος, καί τής Τριάδος φώς δεύτερον, ώφθης ημίν, Μιχαήλ ο άρχων, τοίς πιστώς ευφημούσί σε.

Αίγλη θείας χάριτος, ο Γαβριήλ πιστώς έπληξε, πάσαν τήν γήν, τού Θεού κηρύξας, τήν εν σώματι κάθοδον.

Ξυνωρίς αοίδιμε, καί φωταυγής δυάς άϋλε, φώτα Θεού, τούς πιστώς τελούντας, τήν υμών μνήμην δείξατε.

Θεοτοκίον

Ήσεν Ησαϊας, σού τήν υπέρ νούν Αγνή κύησιν, άδω καγώ, ίνα τής εκείνου, επιτύχω καθάρσεως.

Καταβασία

Τούς σούς υμνολόγους Θεοτόκε, ως ζώσα καί άφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικόν στερέωσον, καί εν τή θεία δόξη σου, στεφάνων δόξης αξίωσον.

Κάθισμα Ήχος πλ. δ'
Τό προσταχθέν

Τών ασωμάτων τούς χορούς εφιέμενοι, ανευφημείν οι επί γής μιμησώμεθα, ως εφικτόν τούτων τήν αγιότητα, νεκρούντες πάντα τά μέλη τά τής σαρκός, αιτούντες, ως υπερμάχους τε καί φρουρούς, πάσης πλάνης λυτρώσασθαι, τού αοράτου εχθρού, ημάς τούς ανυμνούντας αυτούς, όπως εύρωμεν έλεος.

Δόξα… Καί νύν… Θεοτοκίον

Ευχαριστούμέν σοι αεί Θεοτόκε, καί μεγαλύνομεν άγνή καί προσκυνούμεν, ανυμνούντες τόν τόκον σου κεχαριτωμένη, βοώντες ακαταπαύστως, σώσον ημάς, Παρθένε Παντελεήμον ως αγαθή, καί δαιμόνων εξάρπασον, λογοθεσίου φοβερού, εν ώρα τής ετάσεως, μή αισχυνθώμεν οι δούλοί σου.

Ωδή δ'

«Επέβης εφ' ίππους, τούς Αποστόλους σου Κύριε, καί εδέξω χερσί σου ηνίας αυτών, καί σωτηρία γέγονεν η ιππασία σου, τοίς πιστώς μελωδούσι, Δόξα τή δυνάμει σου Κύριε».

Επέβης Αγγέλοις, ώσπερ εφ' ίπποις Φιλάνθρωπε, καί εδέξω χερσί σου ηνίας αυτών, καί σωτηρία γέγονεν η ιππασία σου, τοίς απαύστως βοώσι, Δόξα τή δυνάμει σου Κύριε.

Καλύπτει Αγγέλους, η αρετή σου Φιλάνθρωπε, καί τής γής επληρώθη τά πέρατα, τής σής ενδόξου άναρχε θείας αινέσεως, σύν αυτοίς σοι βοώσης, Δόξα τή δυνάμει σου Κύριε.

Εξήλθες οικτίρμον, εις σωτηρίαν λαού σου Χριστέ, συγκαλείς δέ τάς φίλας Δυνάμεις σου, καί ευφροσύνη γέγονεν η παρουσία σου, τοίς πιστώς σοι βοώσι, Δόξα τή δυνάμει σου Κύριε.

Θεοτοκίον

Παρθένος καί Μήτηρ, υπερφυώς ώφθης Πάναγνε, ως Θεόν τόν αυτόν τε καί άνθρωπον, Χριστόν τεκούσα, ώ μετά δέους κραυγάζουσι, τών Αγγέλων αι τάξεις, Δόξα τή δυνάμει σου Κύριε.

Κανών δεύτερος
Σύ μου ισχύς, Κύριε

Ιεριχώ, ώφθη δυνάμεως Αρχιστράτηγος, πολεμούντι, πάλαι Ιησού τώ Ναυή, νικοποιών καί υπερμαχών, Μιχαήλ ο μέγας, τών Ασωμάτων ο έξαρχος, υφ' ού λαβών τό σθένος, ο θεράπων Κυρίου, δορυάλωτον είλε τό φρούριον.

Άρχων ποτέ, τών ασωμάτων Δυνάμεων, ώφθη φέρων, τέκνου ευαγγέλια, τώ Ζαχαρία τώ ιερεί, Γαβριήλ ο μέγας, ο θείος όντως Αρχάγγελος, διό φωνή τού Λόγου, γεννηθείς, Ιωάννης, τώ πατρί τήν φωνήν αποδίδωσιν.

Χαίρει χαρά πάντα τά πέρατα σήμερον, τήν αισίαν, μνήμην εορτάζοντα, τών

Αρχαγγέλων σου ό Θεός, Μιχαήλ τού θείου, καί Γαβριήλ τού θεόφρονος, συγχαίρει δέ καί πάσα, τών Αγγέλων η τάξις, ότι σώζεται κόσμος τη σκέπη αυτών.

Θεοτοκίον

Μόνη αγνή, πέφυκας καί μετά γέννησιν, μόνη ώφθης, άνανδρος θηλάζουσα, τόν τού Πατρός Λόγον αληθή, Πνεύματι Αγίω, λαβόντα δούλου μορφήν καθ' ημάς, Παρθένε Θεοτόκε, ού τήν θέαν τιμώντες, τής μορφής τήν εμφέρειαν σέβομεν.

Καταβασία

Τήν ανεξιχνίαστον θείαν βουλήν, τής εκ τής Παρθένου σαρκώσεως, σού τού Υψίστου, ο Προφήτης Αββακούμ, κατανοών εκραύγαζε, Δόξα τή δυνάμει σου Κύριε.

Ωδή ε'

«Τόν εκ νυκτός αγνωσίας, επί τήν ψυχάλωτον οδόν αεί πλανώμενον, φωτί τής γνώσεώς σου Κύριε, ποδηγών με εν τή τρίβω τών εντολών σου καθοδήγησον».

Ανεπιστρέπτω τώ πόθω, αεί πρός τό άναντες, πρός σέ Χριστέ φερόμεναι, τό ακρότατον απάντων τών εφετών, Αγγέλων αι δυνάμεις, ακαταπαύστως σε δοξάζουσιν.

Σύ νοερούς κατ' ουσίαν, αφθάρτους τή χάριτι, τή σή Χριστέ κατέστησας, υμνωδούς τής σής μεγαλειότητος, τούς Αγγέλους σου κατ' εικόνα, εδημιούργησας ακατάληπτε.

Σύ ακλινείς πρός τό χείρον, τή πρός σέ εγγύτητι Χριστέ, τούς σούς εφύλαξας λειτουργούς, πηγή γάρ αγαθότητος, σύ υπάρχων αγαθύνεις, τούς επαξίως σοι λατρεύοντας.

Θεοτοκίον

Η μετά τόκον Παρθένος, μόνη απειρόγαμε αγνή, Μαρία άχραντε, τώ λιμένι σου ημάς καθόρμισον, εκ κινδύνων οδηγούσα, πρός σωτηρίαν τήν αιώνιον.

Κανών δεύτερος

Ίνα τί με απώσω

Απειθούντι τό πάλαι, τού Θεού πρός άρρητα καί θεία θαύματα, Βαλαάμ τώ μάντει, εν αμφόδω ο Άγγελος όνω φανείς, φοβερώς ήλεγξε, καί λογικόν τό ζώον δείξας, τό τής φύσεως ήμειψε γνώρισμα.

Συσχεθέντι τώ Πέτρω, καί ειρκτή προσμένοντι, Άγγελος ώφθη Θεού, τών χειρών Ηρώδου, καί δεσμών καί θανάτου λυτρούμενος, διό δεύτε πάντες, ως τών ψυχών φρουρούς ενθέους, τούς σοφούς Αρχαγγέλους τιμήσωμεν.

Τών πολέμων τάς στάσεις, Άγγελοι Αρχάγγελοι θείαι Δυνάμεις Θεού, καί τής Εκκλησίας, τάς αιρέσεις καί πάντα τά σκάνδαλα, ταίς υμών λύσατε, πρός τόν

Θεόν αεί πρεσβείαις, καί ημάς εν ειρήνη φρουρήσατε.

Θεοτοκίον

Εν δυσί ταίς ουσίαις, ένα σε γινώσκομεν Θεόν τής κτίσεως, ενεργείαις άμφω, καί θελήσεσιν όντα ασύγχυτον, τόν Υιόν τού Θεού, εκ γυναικός σάρκα λαβόντα, ής τήν θέαν τιμώμεν τοίς πίναξιν.

Καταβασία

Εξέστη τά σύμπαντα, επί τή θεία δόξη σου, σύ γάρ απειρόγαμε Παρθένε, έσχες εν μήτρα τόν επί πάντων Θεόν, καί τέτοκας άχρονον Υιόν, πάσι τοίς υμνούσί σε, τήν ειρήνην βραβεύουσα.

Ωδή ς'

«Τόν Ιωνάν εν τώ κήτει Κύριε, μονώτατον κατώκισας, εμέ δέ τόν πεπεδημένον, εν άρκυσι τού εχθρού, ώς εκ φθοράς εκείνον δ ιάσωσον».

Θεοπρεπώς, εκ μή όντων Κύριε, τώ λόγω σου παρήγαγες, ουσίας τών επουρανίων, αθανάτων στρατιών, φωτοειδείς αυτάς εργασάμενος.

Μύσται σεπτοί, τής Θεού αινέσεως, γεγόνατε Ασώματοι, πολίται τής επουρανίου, καί θείας όντως σκηνής, τώ Ποιητή αξίως λατρεύοντες.

Τών Ασωμάτων, τάξεις νοεραί σε, Υιέ Θεού προάναρχε, αινούσιν ακαταπαύστως, καί δοξολογούσιν, ως Ποιητήν καί Κτίστην τού σύμπαντος.

Θεοτοκίον

Τόν τώ Πατρί, εν υψίστοις άχραντε, ανάρχως συνεδρεύοντα, αγκάλαις σαίς επανακλίναι ηξίωσαι, όν ημίν δίδου Αγνή, τοίς δούλοις σου ίλεων.

Κανών δεύτερος

Ιλάσθητί μοι Σωτήρ

Ως πύρ καί φλόγα καί φώς, τους ασωμάτους υπάρχοντας, εκ τής υλώδους φθοράς, τόν νούν ανιπτάμενοι, υλαίοις εν χείλεσι, τούς αΰλους φόβω, εν τοίς άσμασι τιμήσωμεν.

Νεκρώσατε τών παθών, τάς καταιγίδας Αρχάγγελοι, καί παύσατε σύν αυτοίς, τά σκάνδαλα άπαντα, τής πίστεως Αγιοι, τής Τριάδος όντες, Αρχιστράτηγοι πυρίμορφοι.

Αρχάγγελοι τού Θεού, τών Ασωμάτων οι έξαρχοι, τή παρρησία υμών, εκ πάσης αιρέσεως, ημάς διασώσατε, Μιχαήλ ο Άρχων, καί Γαβριήλ οι Αρχιστράτηγοι.

Θεοτοκίον

Νηδύος ώφθης εκών, εξ απειράνδρου σαρκούμενος, ο άσαρκος ως Θεός, Χριστέ σαρκοφόρος δέ, ως άνθρωπος πέφυκας, ού τής εμφερείας, οι πιστοί τό είδος σέβομεν.

Καταβασία

Τήν θείαν ταυτην καί πάντιμον, τελούντες εορτήν οι θεόφρονες, τής θεομήτορος, δεύτε τας χείρας κροτήσωμεν, τόν εξ αυτής τεχθέντα Θεόν δοξάζοντες.

## Κοντάκιον   Ήχος β

Αρχιστράτηγοι Θεού, λειτουργοί θείας δόξης, τών ανθρώπων οδηγοί, καί άρχηγοι Ασωμάτων, τό συμφέρον ημίν αιτήσασθε, καί τό μέγα έλεος, ως τών Ασωμάτων Αρχιστράτηγοι.

## Ο Οίκος

Έφης φιλάνθρωπε εν Γραφαίς σου, πλήθη χαίρειν Αγγέλων εν ουρανώ, επ' ανθρώπω ενί μετανοούντι, Αθάνατε, όθεν ημείς οι εν ανομίαις, αναμάρτητε, μόνε καρδιογνώστα, σέ δυσωπείν καθ' εκάστην τολμώμεν ως εύσπλαγχνον, οικτείραι καί καταπέμψαι αναξίοις κατάνυξιν, Δέσποτα, παρέχων ημίν συγχώρησιν, υπέρ πάντων γάρ ημών πρεσβεύουσιν, οι τών Ασωμάτων Αρχιστράτηγοι.

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή Η' τού αυτού μηνός, η Σύναξις τών Αρχιστρατήγων Μιχαήλ λοιπών ακαί Γαβριήλ, καί των γίων ασωμάτων καί ουρανίων Ταγμάτων.

## Στίχοι

Εβουλόμην σοι, Μιχαήλ, άσμα πρέπον
Άσαι πρεπόντως, αλλ' άϋλον, ούκ έχω.
Ογδόη ουρανίης κυδαίνει τάξιος Αρχούς.

Εις τήν Σύναξιν τών εννέα Ταγμάτων, Σεραφίμ, Χερουβίμ, θρόνων, Κυριοτήτων, Εξουσιών, Αρχών, Δυνάμεων, Αρχαγγέλων καί Αγγέλων.

## Στίχοι

Επάξιόν τι Ταγμάτων τών εννέα
Τίς άν γόνος φθέγξαιτο μηνών εννέα.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός ελέησον ημάς. Αμήν.

## Ωδή ζ'

«Παίδες Εβραίων εν καμίνω, κατεπάτησαν τήν φλόγα θαρσαλέως, καί εις δρόσον τό πύρ, μετέβαλον βοώντες, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας».

Ω παρειστήκεισαν απαύστως, λειτουργούσαι μυριάδες τών Αγγέλων, τού προσώπου οράν μή φέρουσαι τήν θέαν, ευλογητός εί Κύριε, ο Θεός αναβοώσιν.

Φώτα ανέδειξας οικτίρμον, τών Αγγέλων σου τήν άϋλον ουσίαν, τού αρρήτου φωτός πληρούμενα απαύστως, Ευλογητός εί κράζοντα, ο Θεός εις τούς αιώνας.

Λόγω σου τώ ενυποστάτω, τών Αγγέλων τήν πληθύν δημιουργήσας, αγιάσας δέ θείω Πνεύματι Τριάδα, θεολογείν εδίδαξας, ο Θεός εις τούς αιώνας.

Τριαδικόν

Τρείς εννοούντες υποστάσεις, απερίγραπτον δοξάζομεν ουσίαν, τόν Πατέρα καί Υιόν καί τό Πνεύμα βοώντες, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Κανών δεύτερος

Οι εκ τής, Ιουδαίας

Σύν χοροίς Ασωμάτων, τών ανθρώπων τό γένος δεύτε κροτήσωμεν, τήν αίσιον ημέραν, τής μνήμης εκτελούντες, τών σοφών Αρχαγγέλων Χριστού, Ευλογητός εί Θεέ, βοώντες τών Πατέρων.

Ως φιλόξενοι πάλαι, Αβραάμ ο θεόπτης, καί Λώτ ο Ένδοξος, εξένισαν Αγγέλους, καί εύρον κοινωνίαν, σύν Αγγέλοις κραυγάζοντες, Ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Μανωέ τώ γενναίω, καί Τωβίτ τώ πανσόφω, ώφθησαν Άγγελοι, αμείβοντες τά άθλα, τού βίου κατ' αξίαν, καί τών Παίδων ο Άγγελος, έσβεσε φλόγα ποτέ, πυρός καμίνου όντως.

Θεοτοκίον

Τό ημέτερον όλον, εκ Παρθένου λαβόντα, δίχα τροπής, Ιησού, ταίς φύσεσι διπλούν σε, αλλ' ένα υποστάσει, πατρικώς σε κηρύττομεν, ής καί τό είδος Πιστώς, σέβομεν εκτυπούντες.

Καταβασία

Ουκ ελάτρευσαν τή κτισει οι θεόφρονες, παρά τόν κτίσαντα, αλλά πυρός απειλήν, ανδρείως πατήσαντες, χαίροντες έψαλλον, Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Ωδή η’

«Τόν εν όρει, αγίω δοξασθέντα, καί εν βάτω πυρί τό τής Παρθένου, τώ Μωϋσή μυστήριον γνωρίσαντα, Κύριον υμνείτε, καί υπερυψούτε, είς πάντας τούς αιώνας».

Τών Αγγέλων, ζηλώσωμεν τόν βίον, καί τάς φρένας, πτερώσωμεν εις ύψος, καί σύν αυτοίς αΰλως αναμέλψωμεν, Κύριον υμνούντες, καί υπερυψούντες, είς πάντας τούς αιώνας.

Θιασώται, χορείας ουρανίου, οι τόν θρόνον αμφέποντες τής δόξης, περί Θεόν τε πάντοτε στρεφόμενοι, Άγγελοι υμνούσι, καί υπερυψούσιν, αυτόν εις τούς αιώνας.

Τήν αΰλου, πυρός ποιούσαν φλόγα, τούς εν ύψει, απαύστως λειτουργούντας, καί τους Αγγέλους πνεύματα δεικνύουσαν, Τριάδα προσκυνούμεν, καί δοξολογούμεν, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Ως εν πόλω, παρειστήκεισαν τρόμω, μυριάδες, Αγγέλων Αρχαγγέλων, εν ταίς αγκάλαις φέρειν κατηξίωσαι, τούτω Θεοτόκε, πρέσβευε σωθήναι, τούς δοξολογούντας, αυτόν εις τούς αιώνας.

Κανών δεύτερος
Επταπλασίως κάμινον

Άρχων Αγγέλων πέφυκε, Μιχαήλ ό Αρχάγγελος, αλλά συνδοξάζεται, αυτώ λαμπρότατα, ό μύστης τής χάριτος, καί τής Παρθένου μνήστωρ σεπτός, ο τών Ασωμάτων, Στρατηγός επαξίως, χαράν προδιαγγέλλων, Γαβριήλ τοίς βοώσι, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Τά τών Αγγέλων τάγματα, εν ποικίλη μορφή κατιδών, Ιεζεκιήλ προϊστορών εκήρυττεν, εν οίς εξαπτέρυγα, τά Σεραφίμ παρίστανται, καί τά Χερουβίμ, πολυομμάτως εκύκλουν, μεθ' ών τούς Αρχαγγέλους, ήλεκτρίνους εώρα, Χριστον δοξολογούντας, εις πάντας τούς αιώνας.

Ως φοβεράν τήν έλευσιν, τής δευτέρας καθόδου σου, εκδηλοποιών ο Δανιήλ προέλεγεν, Ως θρόνοι ετέθησαν, καί παλαιός εκάθησε, καί τάς τών Αγγέλων, μυριάδας εισάγει, εν φόβω, παρεστώσας, καί φωναίς ασιγήτοις, βοώσας τή Τριάδι, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Ο τώ Πατρί καί Πνεύματι, ομοούσιος Λόγος εκών, ώφθη καί ημίν, εκ τής Παρθένου σύμμορφος, ού φύρας εις άλληλα, τά τής φρικτής ενώσεως, εις γάρ ο αυτός, εν εκατέροις δείκνυται, εν δύο ταίς ουσίαις, καί μιά, υποστάσει, ής νύν τής εμφερείας, τόν τύπον προσκυνούμεν.

Καταβασία

Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν, Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ωδή θ'

«Όρους παρήλθες τής φύσεως, τόν Δημιουργόν συλλαβούσα καί Κύριον, καί πύλη σωτηρίας τώ κόσμω γέγονας, διό σε Θεοτόκε, ακαταπαύστως μεγαλύνομεν».

Σέ τόν αρρήτως ενώσαντα, τοίς επουρανίοις Χριστέ τά επίγεια, καί μίαν Εκκλησίαν, αποτελέσαντα Αγγέλων καί ανθρώπων, ακαταπαύστως μεγαλύνομεν.

Άγγελοί τε καί Αρχάγγελοι, θρόνοι, Εξουσίαι καί Κυριότητες, Αρχαί τε καί Δυνάμεις, Χερουβίμ καί Σεραφίμ, μετά τής Θεοτόκου, υπέρ τού κόσμου ικετεύσατε.

Πάντων προστάται δεικνύμενοι Μιχαήλ σύν τώ, Γαβριήλ, επισκέψασθε τούς

εκ πόθου τιμώντας, τήν πανέορτον υμών μνήμην, καί πιστώς ανυμνούντας, σώζεσθε παντοίας περιστασεως.

Θεοτοκίον

Λόγον εδέξω τόν άρχον, φύσιν τήν εμήν, αναπλάσαι βουλόμενον, καί τούτον σαρκωθέντα, Παρθένε τέτοκας, διό σε Θεοτόκε, ακαταπαύστως μεγαλύνομεν.

Κανών δεύτερος

Κυρίως Θεοτόκον

Νοσούντων καί πλεόντων, καί τών εν ανάγκαις, πρός σωτηρίαν υπέρμαχοι ώφθητε, τών Ασωμάτων οι πρώτοι, Μιχαήλ καί Γαβριήλ.

Δυνάμεων καί θρόνων, χοροίς συγχορεύων, ως Στρατηγός τών Αγγέλων καί μύστης Θεού, υπέρ ημών τώ Σωτήρι, Γαβριήλ πρέσβευε.

Ως φύλακες τού κόσμου, καί τής Εκκλησίας, καί Ταξιάρχαι τών άνω Δυνάμεων, υπέρ ημών τόν Σωτήρα, καθικετεύσατε.

Θεοτοκίον

Συμφώνως Θεοτόκε, Σέ δοξολογούμεν, ότι παθών καί κινδύνων λυτρούσαι ημάς, καί τάς ημών ικεσίας, επ' αγαθοίς εκπληροίς.

Καταβασία

Άπας γηγενής, σκιρτάτω τώ πνεύματι, λαμπαδουχούμενος, πανηγυριζέτω δέ, αϋλων Νόων φύσις γεραίρουσα, τήν ιεράν πανήγυριν τής Θεομήτορος, καί βοάτω, Χαίροις παμμακάριστε, Θεοτόκε αγνή αειπάρθενε.

Εξαποστειλάριον

Εν πνεύματι τώ Ιερώ

Ως πρόμαχον καί πρύτανιν, τού βροτείου σε γένους, καί προνομέα άριστον, Αρχιστράτηγε θείε, ανέδειξεν ο Ποιητής, καί Θεός καί δόξη σε, τετίμηκεν απορρήτως, τού προσφωνείν ανενδότως, τόν τρισάγιον καί θείον, επινίκιον ύμνον.

Έτερον Γυναίκες ακουτίσθητε

Αρρήτως πυρσευόμενος, ταίς θεϊκαίς ελλάμψεσι, τής υπερφώτου Τριάδος, διέρχη πάσαν τήν κτίσιν, ως αστραπή Αρχάγγελε, πληρών τό θείον πρόσταγμα, Μιχαήλ αστραπόμορφε, φρουρών φυλάττων καί σκέπων, τούς σέ φαιδρώς ανυμ νούντας.

Έτερον Τοίς Μαθηταίς

Εξουσιών Δυνάμεων, Αρχαγγέλων Αγγέλων, Κυριοτήτων θρόνων τε, καί Αρχών πρωτοστάτης, υπό Θεού κατεστάθης, Αρχιστράτηγε θείε, Μιχαήλ υπερένδοξε, τώ αστέκτω ούν θρόνω, παρεστηκώς, σκέπε φρούρει φύλαττε σώζε πάντας, τούς πίστει σε γεραίροντας, τόν τού κόσμου προστάτην.

Θεοτοκίον

Τιμιωτέρα πέφυκας, Χερουβίμ τών ενδόξων, καί Σεραφίμ Πανύμνητε, τών φρικτών ασυγκρίτως, ενδοξοτέρα καί πάντων, τών Αγίων Αγγέλων, αγιωτέρα Πάναγνε, τόν γάρ Κτίστην τών όλων, σωματικώς, απορρήτως τέτοκας Θεοτόκε, όν αίτησαι τοίς δούλοις σου, λύτρον δούναι πταισμάτων.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ’ καί ψάλλομεν Στιχηρά προσόμοια τρία, δευτερούντες τό πρώτον.

Ήχος α’ Τών ουρανίων ταγμάτων.

Τών ουρανίων ταγμάτων ως προεξάρχοντα, καί τών εν γή ανθρώπων, ισχυρόν σε προστάτην, φύλακα καί ρύστην υμνούμεν πιστώς, Μιχαήλ Αρχιστράτηγε, καθικετεύοντες πάσης φθοροποιού, αλγηδόνος ημάς ρύσασθαι. (Δίς)

Ο ταξιάρχης τών άνω θείων Δυνάμεων, σήμερον συγκαλείται, τών βροτών τάς χορείας, μίαν σύν Αγγέλοις φαιδράν εορτήν, συγκροτήσαι Συνάξεως, αυτών τής θείας καί άμα ύμνον Θεώ, αναμέλψαι τόν τρισάγιον.

Υπό τήν σκέπην τών θείων ημάς πτερύγων σου, προσπεφευγότας πίστει, Μιχαήλ θείε νόε, φύλαττε καί σκέπε εν βίω παντί, καί εν ώρα Αρχάγγελε, τή τού θανάτου σύ πάρεσο βοηθός, ημίν πάσιν ευμενέστατος.

Δόξα... Ήχος πλ. α’

Ο που επισκιάση η χάρις σου Αρχάγγελε, εκείθεν τού διαβόλου διώκεται η δύναμις, ού φέρει γάρ τώ φωτί σου προσμένειν, ο πεσών Εωσφόρος, Διό αιτούμέν σε τά πυρφόρα αυτού βέλη, τά καθ' ημών κινούμενα απόσβεσον, τή μεσιτεία σου λυτρούμενος ημάς, εκ τών σκανδάλων αυτού, αξιύμνητε Μιχαήλ Αρχάγγελε.

Καί νύν… Θεοτοκίον

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καί δοξάζομέν σε, οι πιστοί κατά χρέος, τήν πόλιν τήν άσειστον, τό τείχος τό άρρηκτον, τήν αρραγή προστασίαν, καί καταφυγήν τών ψυχών ημών.

Δοξολογία μεγάλη, καί Απόλυσις.

Εις τήν Λειτουργίαν, Τά Τυπικά, καί από τών Κανόνων η γ’ καί ς’ Ωδή.

Απόστολος

Αδελφοί, εί ο δι' Αγγέλων λαληθείς...

Ευαγγέλιον κατά Λουκάν

Είπεν ο Κύριος τοίς εαυτού Μαθηταίς, Ο ακούων υμών εμού ακούει...

Κοινωνικόν

Ο ποιών τούς Αγγέλους αυτού, πνεύματα, καί τούς λειτουργούς αυτού πυρός φλόγα. Αλληλούϊα.

---

Αρχή

**ΤΗ Θ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τών Αγίων Μαρτύρων Ονησιφόρου καί Πορφυρίου, καί τής Οσίας Μητρός ημών Ματρώνης.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τών Μαρτύρων.

Ήχος πλ. δ'
Ώ τού παραδόξου

Μάρτυς Αθλητά μακάριε, Ονησιφόρε Χριστόν, τόν Θεόν ωμολόγησας, εναθλών στερρότατα, ανομούντων πρό βήματος, πληγάς μαστίγων, καί γάρ υπήνεγκας, καί πυρακτώσεις, παντός τού σώματος, όθεν στεφάνω σε, τώ τής νίκης έστεψε, ζωαρχική, ο ζωαρχικώτατος, χειρί πανεύφημε.

Μάρτυς Αθλητά Πορφύριε, ταίς τών αιμάτων βαφαίς, σεαυτώ προσεπέχρωσας, πορφυρίδα χάριτι, καί δυνάμει τού Πνεύματος, ήν περ φορέσας, ώφθης λαμπρότατος, συμβασιλεύων τώ βασιλεύοντι, μόνω Θεώ ημών, εις αιώνας Ένδοξε, όν εκτενώς, πάντοτε ικέτευε, εις τό σωθήναι ημάς.

Μάρτυρες αξιοθαυμαστοι, διά τήν πάντων ζωήν, ιερώς θανατούμενοι, επ' εσχάρας χαίροντες, φλογιζούσης ηπλώθητε, καί προσδεθέντες, ίπποις συρόμενοι, τό θείον τέλος, καθυπεδέξασθε, όθεν δοξάζεσθε, καί συμμακαρίζεσθε, υπέρ ημών, πάντοτε δεόμενοι, Αειμακάριστοι.

Καί τής Οσίας Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Τής σαρκός τά σκιρτήματα, διά πόνων αθλήσεως, εμφιλοσοφώτατα καθυπέταξας, καί τώ Χριστώ ηκολούθησας, Ματρώνα οικήσασα, Ασκητών πανευσεβών, μέσον κατασβεννύουσα, υπεκκαύματα, ηδονών θείοις όμβροις τών δακρύων, καί σφοδρότερον τόν πόθον, τόν πρός τόν Κτίστην εξάπτουσα.

Ιερόν φροντιστήριον, εις πολλών περιποίησιν, τώ Θεώ ανήγειρας χρηματίσασα, ναός τού Πνεύματος Πάνσοφε, ψυχής καθαρότητι, καί ωδήγησας λαούς, πρός επίπονα σκάμματα, τής ασκήσεως, καί προσήγαγες τούτους ώσπερ προίκα, σεσωσμένους τώ Δεσπότη, μεθ' ών σε πίστει γεραίρομεν.

Αι νεάνιδες έστερξαν, τόν νυμφίον καί Κύριον, τή διδασκαλία σου πειθαρχήσασαι, καί τής σαρκός παρωσάμεναι, τό χαύνον εν πνεύματι, προθυμία τών παθών, ευσεβώς κατεκράτησαν, καί εισήχθησαν, μετά σού εις νυμφώνα τού Νυμφίου, τόν ουράνιον Ματρώνα, διά παντός ευφραινόμεναι.

Δόξα… Καί νύν… Θεοτοκίον

Η Θεόν τόν αχώρητον, εν γαστρί σου χωρήσασα, φιλανθρώπως άνθρωπον

χρηματίσαντα, καί τό ημέτερον φύραμα, εκ σού προσλαβόμενον, καί Θεώσαντα σαφώς, μή παρίδης με Πάναγνε, νύν θλιβόμενον, αλλ' οικτίρησον τάχος καί παντοίας, δυσμενείας τε καί βλάβης, τού πονηρού ελευθέρωσον.

Η Σταυροθεοτοκίον

Εν Σταυρώ ως εώρα σε, καθηλούμενον Κύριε, η αμνάς καί Μήτηρ σου εξεπλήττετο, καί Τί τό όραμα έκραζεν, Υιέ ποθεινότατε; ταύτά σοι ο απειθής, δήμος ανταποδίδωσιν, ο παράνομος, ό πολλών σου θαυμάτων απολαύσας; Αλλά δόξα τή αρρήτω συγκαταβάσει σου Δέσποτα.

Καί τά λοιπά τού Εσπερινού, καί Απόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, ψάλλεται είς Κανων τής Οκτωήχου, καί τών Αγίων οι δύο παρόντες.

Ο Κανων τών Μαρτύρων, ού η Ακροστιχίς.

Φέρεις όνησιν σοίς επαινέταις Μάκαρ. Ιωσήφ.

Ωδή α' Ήχος δ'

«Ασομαί σοι Κύριε ο Θεός μου, ότι εξήγαγες λαόν, δουλείας Αιγύπτου, εκάλυψας δέ άρματα Φαραώ, καί τήν δύναμιν».

Φέρουσα τοίς πίστει σε ευφημούσιν, όνησιν θείαν η σεπτή, εφέστηκε μνήμη σου, εν ή σέ ικετεύομεν, Παμμάκαρ ημών μνήσθητι.

Έχων παρρησίας μεμεστωμένον, τόν σόν γενναίον λογισμόν, αλόγου προστάγματος, ηλόγησας θεόπνευστε, καί χαίρων Μάκαρ ήθλησας.

Ρώμη δυναμούμενος ουρανίω, Ονησιφόρε πρός δεινά, εχώρησας βάσανα, καί πάσαν κατεπάλαισας, ισχύν τού πολεμήτορος.

Θεοτοκίον

Έστησας θανάτου τήν τυραννίδα, αθανασίαν καί ζωήν, τώ κόσμω κυήσασα, Χριστόν τόν λυτρωτήν ημών, Παρθένε απειρόγαμε.

Ο Κανών τής Οσίας, ού η Ακροστιχίς.

Τό τής Ματρώνης προφρόνως άδω κλέος. Ιωσήφ.

Ωδή α' Ήχος πλ. δ'

«Άσωμεν τώ Κυρίω πάντες λαοί, τώ εν θαλάσση Ερυθρά, τον Φαραώ βυθίσαντι, ωδήν επινίκιον, ότι δεδόξασται».

Τάξεσιν ουρανίαις, πάντοτε συνκαί μεθέξεσι, θεϊκαίς θεουουσαμένη, τούς

τιμώντάς σε, σώζε πρεσβείαις σου.

Όλη τώ θείω ποθώ, περικαιομένη υπεκκαύματα, ηδονών ψυχοφθόρων, εγκρατείας τοίς όμβροις κατέσβεσας.

Τίμιον τού Δεσπότου, σκεύος άνεδείχθης εκκαθάρασα, τήν καρδίαν Ματρώνα, τών παθών τής σαρκός δι' ασκήσεως.

Θεοτοκίον

Η κυήσασα κόσμω, θείαν σωτηρίαν καί ανάκλησιν, ταίς πρεσβείαις σου σώζε, τούς πιστώς σοι προστρέχοντας Άχραντε.

Τών Μαρτύρων

Ωδή γ'

«Τόξον δυνατών ησθένησε, καί οι ασθενούντες, περιεζώσαντο δύναμιν, διά τούτο εστερεώθη, εν  Κυρίω η καρδία μου».

Ίσον τώ Πατρί καί Πνεύματι, Λόγον εν σταδίω, ομολογούντες οι Μάρτυρες, τρικυμίαν τήν τών βασάνων, ανδρικώς εναπεκοούσαντο.

Στήσας ασφαλώς τούς πόδας σου, Μάρτυς επί πέτραν, ομολογίας καί πίστεως, ταίς μάστιξιν, Ονησιφόρε, τών ανόμων ου σεσάλευσαι.

Όλω τώ νοϊ μακάριε, Μάρτυς εκδημήσας, πρός Χριστόν τόν ποθούμενον, ουκ ησθάνου τών εκ μαστίγων, αλγηδόνων Παμμακάριστε.

Θεοτοκίον

Νεύσον Πάναγνε σωθήναί με, τόν γάρ θείω νεύματι, τό πάν περιάγοντα, εσωμάτωσας Θεόν Λόγον, υπέρ λόγον καί διάνοιαν.

Τής Οσίας

Σύ εί τό στερέωμα

Ράβδω θείας πίστεως, παθών διέτεμες θάλασσαν, θείαις ψυχαίς προοδοποιούσα, τήν ευθείαν διάβασιν.

Ώφθης εγκαλλώπισμα, Μοναζουσών σαφώς Πάνσεμνε, καί Μοναστών βίον κτησαμένη, καθαρόν καί αμώμητον.

Νέκρωσιν ενδέδυσαι, φθοροποιών παθών Ένδοξε, καί τόν εχθρόν διά πολιτείας, ευσεβούς απεγύμνωσας.

Θεοτοκίον

Ήνωται εν μήτρα σου, ο πλαστουργός σαρκί Πάναγνε, μείνας ό ήν, όπως τό εύ είναι, τοίς ανθρώποις δωρήσηται.

Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών

εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Κάθισμα τών Μαρτύρων

Ήχος α' Τόν τάφον σου Σωτήρ

Πυρί τού θεϊκού, αναπτόμενοι πόθου, πυρός τού αισθητού, τή προσψαύσει ούδολως, Μακάριοι εφλέχθητε, τήν δέ πλάνην εφλέξατε, καί συρόμενοι ανηλεώς Αθλοφόροι, τό αοίδιμον, καθυπεδέξασθε τέλος, καί δόξης ετύχετε.

Δόξα... Τής Οσίας

Ήχος πλ. δ' Τήν Σοφίαν καί Λόγον

Ανδρειοφρόνως λαθούσα τάς τού εχθρού, μεθοδείας Ματρώνα πρός τήν ζωήν, χαίρουσα προσέδραμες, αληθώς τήν εν πνεύματι, καί ακλινώς τόν δρόμον, θεόφρον τελέσασα, παρά Χριστού εδέξω, τήν χάριν τού Πνεύματος, όθεν καί τά ρείθρα, τών ιαμάτων προχέεις, τοίς πόθω γεραίρουσι, τήν σήν μνήμην αοίδιμε, Μοναζουσών τό καύχημα, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Καί νύν... Θεοτοκίον

Χαριστήριον αίνον χρεωστικώς, ως η χήρα εκείνη δύο λεπτά, προσφέρω σοι Δέσποινα, υπέρ πασών τών χαρίτων σου, σύ γάρ ώφθης σκέπη, ομού καί βοήθεια, πειρασμών καί θλίψεων αεί με εξαίρουσα, όθεν ως εκ μέσου, φλογιζούσης καμίνου, ρυσθείς τών θλιβόντων με, εκ καρδίας κραυγάζω σοι, Θεοτόκε βοήθει μοι, πρεσβεύουσα τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δοθήναί μοι, σέ γάρ έχω ελπίδα, ο ανάξιος δούλός σου.

Η Σταυροθεοτοκίον

Τόν Αμνόν καί Ποιμένα καί Λυτρωτήν, η Αμνάς θεωρούσα εν τώ Σταυρώ. ηλάλαζε δακρύουσα, καί πικρώς ανεκραύγαζεν, Ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήνπερ υπομένεις, δια σπλάγχνα ελέους, Θεέ υπεράγαθε, ανεξίκακε Κύριε, Η πιστώς εκβοήσωμεν, Σπλαγχνίσθητι Παρθένε εφ' ημάς, καί πταισμάτων δώρησαι τήν άφεσιν, τοίς προσκυνούσιν εν πίστει, αυτού τά παθήματα.

Τών Μαρτύρων

Ωδή δ'

«Δι' αγάπησιν Οικτίρμον τής σής εικόνος, επί Σταυρού έστης, καί ετάκησαν έθνη, σύ γάρ εί Φιλάνθρωπε, ισχύς μου καί ύμνησις».

Η αστράπτουσα τών πόνων σου φωταυγία, Ονησιφόρε Μάρτυς, εφειλκύσατο πόθω, πίστει συναθλήσαί σοι, τόν θείον Πορφύριον.

Συνωθήσαντες εσχάρα πυρακτωθείση, προσεφαπλούσιν άμα, τούς Χριστού στρατιώτας, χαίροντας οι τύραννοι, καί ζέοντας πνεύματι.

Ιερεία ως ολόκληρα Αθλοφόροι, καί καθαραί θυσίαι τώ Δεσπότη τών όλων,

χαίροντες προσήχθητε, διό μακαρίζεσθε.

Νουνεχώς σε ανακείμενον τώ Δεσπότη, προσλαλιαί αι δόλιαι, απατήσαι ουδόλως, ίσχυσαν Πορφύριε, θεόφρον πανόλβιε.

Θεοτοκίον

Σωματούμενον εκύησας Θεόν Λογον, ομοιωθήναι Κόρη, διά σπλάγχνα ελέους, βροτοίς ευδοκήσαντα, πανάμωμε Δέσποινα.

## Τής Οσίας

Εισακήκοα Κύριε

Σταλαγμοίς τών δακρύων σου, ήρδευσας καρδίαν καί εγεώργησας, αρετών εκατοστεύοντα, Μακαρία στάχυν θεία χάριτι.

Πρός Χριστόν επερείσασα, τάς τής διανοίας βάσεις διέμεινας, επηρείαις απερίτρεπτος, πονηρών δαιμόνων Αξιάγαστε.

Ρωμαλέω φρονή ματι, σύζυγον λιπούσα καί βίου τάραχον, τόν ζυγόν Χριστού επόθησας, καί αυτού οπίσω η κολούθησας.

Θεοτοκίον

Ού λιπων τά ουράνια, Άχραντε κενούται Θεός εν μήτρα σου, καί μετρείται ο αμέτρητος, τά αμέτρητά μου λύων πταίσματα.

## Τών Μαρτύρων

Ωδή ε'

«Σύ Κύριέ μου φώς, εις τόν κόσμον ελήλυθας, φώς άγιον επιστρέφον, εκ ζοφώδους αγνοίας, τούς πίστει ανυμνούντάς σε».

Οι πύργοι τής Χριστού, Εκκλησίας οι άσειστοι, μοχλεύσεσι τών βασάνων, απερίτρεπτοι σθένει, τού Πνεύματος εδείχθησαν.

Ινδάλματα Θεών, μιαρών ελεπτύνατε, καί ώφθητε εύσεβείας, καί ανδρείας εικονες, σεπτοί Μεγαλομάρτυρες.

Στρατείαν αληθή, εκ Θεού διεζώσασθε, τήν πρόσκαιρον δυναστείαν, παρωσάμενοι πίστει, καί χαίροντες ηθλήσατε.

Θεοτοκίον

Ενώκησεν εν σοί, χωρηθείς ο αχώρητος, καί έδειξεν ουρανών σε, πλατυτέραν Παρθένε, διό σε μακαρίζομεν.

## Τής Οσίας

Ορθρίζοντες βοώμέν σοι

Φορέσασα τό σχήμα τό άγιον, ώ Ματρώνα, εχθρόν τόν αλάστορα,

ασχημοσύνην ενέδυσας.

Ρεόντων αντηλλάξω τά μένοντα, καί συζύγου, μνήστορα αθάνατον, φωταγωγόν τών ψυχών ημών.

Ολόνυκτον προσάγουσα δέησιν, τώ Δεσπότη, Ματρώνα εκοίμισας, τάς ηδονάς τάς τού σώματος.

Θεοτοκίον

Νεκρών τε καί τών ζώντων Δεσπότην, αποτεκούσα, τά πάθη Πανάμωμε, τά τής σαρκός μου θανάτωσον.

Τών Μαρτύρων

Ωδή ς'

«Ήλθον εις τά βάθη τής θαλάσσης, καί κατεπόντισέ με, καταιγίς πολλών αμαρτημάτων, αλλ' ως Θεός εκ φθοράς με ανάγαγε, τήν ζωήν μου Πολυέλεε».

Πόνοις αικισμών εγκαρτερήσας, Ονησιφόρε Μάρτυς, δρόμον ήνυσας τού μαρτυρίου, καί νικητής, γεγονώς απείληφας, τά βραβεία τά ουράνια.

Αλλήλοις συνδούμενοι τή πίστει, προσδεδεμένοι άμφω, καί συρόμενοι λύσιν τού σκήνους, οία στερροί, Αθληταί υπέστητε, τώ Κυρίω συναπτόμενοι.

Ίπποις προσδεθέντες καί βιαίως, διασυρθέντες γνώμη, τού δικάζοντος βιαιοτάτη, οι ευκλεείς, τού Κυρίου Μάρτυρες, θείου τέλους ηξιώθησαν.

Θεοτοκίον

Νόμον δίχα φύσεως Παρθένε, τόν νομοδότην τίκτεις, αναπλάττοντα τήν συντριβείσαν, φύσιν ημών, όν δυσώπει σώσαί με, αμαρτίαις συντριβόμενον.

Τής Οσίας

Τήν δέησιν εκχεώ

Ως όρνις ευκέλαδος εν τώ άλσει τής ασκήσεως ηδύ προσφωνούσα, ως νοητά, εφειλκύσω στρουθία, ιερωτάτων γυναίων συνάθροισιν, τά θήρατρα τού δυσμενούς, διαδράσα Ματρώνα εν Πνεύματι.

Σαρκός μέν φιλοσοφία κρατούσα, καί δαμάζουσα τά πάθη Οσία, τής δέ ψυχής, τό τερπνότατον κάλλος, περιφανώς τώ Χριστώ εύτρεπίζουσα, ωραία τε καί ευπρεπής, εγνωρίσθης Ματρώνα θεόσοφε.

Αγγέλων επί τής γής πολιτείαν, επεπόθησας υμνούσα απαύστως, τόν δι' ημάς, εξ αγίας Παρθένου, υπερβολή σαρκωθέντα χρηστότητος, τήν φύσιν τε τών γυναικών, κατ' εχθρού τού δολίου νευρώσαντα.

Θεοτοκίον

Δεδούλωτο αμαρτία η φύσις, τών ανθρώπων, αλλά ταύτην ερρύσω τής πονηράς, Θεοτόκε δουλειας, τόν τών απάντων Δεσπότην κυήσασα, τόν δείξαντα πάσιν, τής ζωής τάς εισόδους Πανάμωμε.

Ο Ειρμός

«Τήν δέησιν εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών, η ψυχή μου επλήσθη, καί η ζωή μου τώ Άδη προσήγγισε, καί δέομαι ώς, Ιωνάς. Εκ φθοράς ο Θεός με ανάγαγε».

Κοντάκιον τών Μαρτύρων

Ήχος β'  Τά άνω ζητών

Μαρτύρων δυάς, αθλήσαντες στερρότατα, εχθρού τήν οφρύν, εις γήν κατηδάφισαν, ελλαμφθέντες χάριτι, τής ακτίστου Τριάδος οι ένδοξοι, καί νύν μετ' Αγγέλων αυτή, πρεσβεύουσιν απαύστως υπέρ πάντων ημών.

Καί τής Οσίας, όμοιον

Τό σώμα τό σόν, νηστείαις Κατατήξασα, εν μέσω ανδρών, Ματρώνα κατοικήσασα, προσευχαίς σχολάζουσα, τόν Δεσπότην ενθέως εθεράπευσας, δι' δν πάντα κατέλιπες, οσίως τόν βίον διανύσασα.

Ο Οίκος

Άνοιξον μου τό στόμα Χριστέ μου, ανυμνήσαι καί λέγειν τούς αγώνας τής σής Οσίας Φιλάνθρωπε, όπως τά πάντα καταλιπούσα, καί ποθήσασα μόνον σέ τόν Νυμφίον, τόν επί γής ως φθαρτά ελογίσατο άπαντα, καί τόν τύπον τού ζωηφόρου Σταυρού εν εαυτή τυπώσασα, δαιμόνων θράση κατήργησε, καί εις τέλος αυτούς εξηφάνισεν, οσίως τόν βίον διανύσασα.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Θ’ τού αυτού μηνός, Μνήμη τών Αγίων Μαρτύρων Ονησιφόρου καί Πορφυρίου.

Στίχοι

'Ιποις Ονησιφόρε πρός Θεόν τρέχων,
Εχεις συνιππεύοντα καί τόν Ικέτην.
Νύσσης ούρανίης επέβητ, ενάτη ώ αθληταί.

Τή αυτή ημέρα, Μνήμη τοίς Οσίας Μητρός ημών Ματρώνης.

Στίχοι

Ζωής μελλούσης αξιούται Ματρώνα,
Ως εν βίω ζήσασα ταύτης αξίως.

Τή αυτή ημέρα, Μνήμη τής Οσίας Θεοκτίστης τής Λεσβίας.

Στίχοι

Λέσβου τό θρέμμα, παρθένος θεοκτίστη,
Κτίστη Θεώ πρόσεισι νύμφη παγκάλη.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Γυναικών, Ευστολίας καί Σωπάτρας.

Στίχοι

Όλη καλή σύ πρός Θεόν χωρείς Λόγον,
Στολαίς σταλείσα ψυχικαίς Ευστολία.
Σωπάτρα Πατρός Πνεύματός τε καί Λόγου,
Θρόνω παρέστη, δούσα γή τό σαρκίον.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Αντωνίου.

Στίχοι

Αντώνιον κτείνουσι τόν θείον ξυλοις,
Οι τό ξύλον τιμώντες ως Θεόν πλάνοι.

Τή αυτή ημέρα, οι Άγιοι Χριστοφόρος καί Μαύρα ξίφει τελειούνται.

Στίχοι

Πλάνην αμαυροί Μαύρα καρθείσα ξίφει.
Χριστού δέ τμηθείς φώς ορά Χριστοφόρος.

Τή αυτή ημέρα, ο Όσιος, Ιωάννης ο Κολοβός εν ειρήνη τελειούται.

Στίχοι

Ιωάννην έκρυψε γής βραχύς τόπος,
Ός, κάν βραχύς τό σώμα, τήν πράξιν μέγας.

Τή αυτή ημέρα, ο Όσιος Ελλάδιος εν ειρήνη τελειούται.

Στίχοι

Ει καί μετέστης, Ελλάδιε, τού βίου,
Πίναξ έμεινας αρετών τοίς εν βίω.

Ο Όσιος πατήρ ημών Συμεών ο Μεταφραστής εν ειρήνη τελειούται.

Οι Όσιοι καί θεοφόροι πατέρες ημών Ευθύμιος καί Νεόφυτος, οι κτίτορες τής σεβασμίας μονής τού Δοχειαρίου, εν ειρήνη τελειούνται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός ελέησον ημάς. Αμήν.

Τών Μαρτύρων

Ωδή ζ'

«Αβραμιαίοι ποτέ, εν Βαβυλώνι Παίδες, καμίνου φλόγα κατεπάτησαν, εν ύμνοις κραυγάζοντες, Ο τών Πατέρων, Θεός ευλογητός εί».

Ευγενεστάτης ψυχής, τούς ευγενείς σου τρόπους, υποδεικνύων ωμολόγησας, τυράννων ενώπιον, Ο νησιφόρε Μάρτυς, Θεόν σεσαρκωμένον.

Τήν δι' αιώνος θείαν, ελευθερίαν στέργων, τώ σώ δεσπότη ώς ευήκοος, οικέτης συνήθλησας, καί σύν αυτώ χορεύεις, Πορφύριε παμμάκαρ.

Αίμασι θείοις υμών, τήν επηρμένην φλόγα, τής αθεϊας κατασβέσαντες, βοάτε

Πανεύφημοι, Ό τών Πατέρων ημών, Θεός ευλογητός εί.

Ίνα τής μακαρίας, καί αθανάτου δόξης, αξιωθήτε τόν μακάριον, υπέστησε θάνατον, θεοφεγγείς αστέρες, τού νοητού Ηλίου.

Θεοτοκίον

Σεσαρκωμένον Λόγον, σών εξ αιμάτων τίκτεις, βροτούς Θεώσαι ευδοκήσαντα, Παρθένε τούς μέλποντας, Ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Τής Οσίας

Παίδες Εβραίων

Ώσπερ τρυγών ωραιοτάτη, διετήρησας Θεώ τήν σωφροσύνην, ευτεκνίαν, παθών στειρώσει Μακαρία, ως αληθώς πλουτήσασα, διά σού τών σεσωσμένων.

Κόσμον σεμνή καί τά εν κόσμω, καταλείψασα ενθέω πεποιθήσει, υπερκόσμιον νύν, κληρούσαι κληρουχίαν, Μοναζουσών υπάρχουσα, αληθώς Ματρώνα κόσμος.

Θεοτοκίον

Λύουσα Εύας τήν κατάραν, παναμώμητε εγέννησας Παρθένε, τόν τών όλων θεον, αφράστως συλλαβούσα, καί υπέρ νούν κυήσασα, σωτηρίαν τοις ανθρώποις.

Τών Μαρτύρων

Ωδή η’

«Τόν εν Σταυρώ, σαρκί προσηλωθέντα, καί υποδείξαντα ημίν όπλον εις σωτηρίαν, Παίδες υπερυψούτε, Χριστόν τόν Θεόν ημών εις τούς αιώνας».

Μέλη σπαραγμοίς εκδεδωκότες, κατεσπαράξατε εχθρού, ασύνετον καρδίαν, μείναντες ασάλευτοι τόν νούν, μεγαλώνυμοι στεφανηφόροι.

Αίμασιν υμών τό πύρ εσβέσθη, τής αγνωσίας Αθληταί, πιστών δέ κατηρδεύθη, πάντων καί καρδία καί ψυχή, αναθάλλουσα θεογνωσίαν.

Κύματα δεινών κολαστηρίων, τή κυβερνήσει τού Χριστού, διήλθετε καί όρμω, θείας βασιλείας ουρανών, προσωρμίσθητε εν άφθαρσία.

Άνθρακες πυρί τού Παρακλήτου, προσαναπτόμενοι σαφώς, οι Μάρτυρες δειχθέντες, έφλεξαν τήν πλάνην τού εχθρού, καί εφώτισαν τήν οικουμένην.

Θεοτοκίον

Ρόδον εκλεκτόν εν ταίς κοιλάσι, Κόρη τού βίου ευρηκώς, ηράσθη σου τού κάλλους, Λόγος τού Θεού καί σαρκωθείς, ευωδίασε τήν οικουμένην.

## Τής Οσίας

## Νικηταί τυράννου

Ευσεβείας τρόποις, τήν ψυχήν κοσμήσασα Ματρώνα, θείον τώ Χριστώ προσήξας, μελωδούντα πάνσεμνε χορόν παρθένων, Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Οι τών σών ιδρώτων, όμβροι θεία χάριτι τών παθημάτων, τούς όμβρους Ματρώνα, θαλερούς ξηραίνουσι καί τάς καρδίας, τών πιστώς φοιτώντων πάντοτε αρδεύουσιν, όθεν σε τιμώμεν, εις πάντας τούς αιώνας.

Σεαυτήν τοίς όπλοις, πίστει καθοπλίσασα τής εγκρατείας, ουκ ετρώθης βέλει, ηδονής διάγουσα ανδρών εν μέσω, τόν τήν Εύαν πάλαι τρώσαντα δέ έτρωσας, λόγχη σωφροσύνης, Ματρώνα μακαρία.

## Θεοτοκίον

Ιδού η Παρθένος, ώς φησιν εν Πνεύματι ο Ησαϊας, έσχεν εν κοιλία, τόν η μάς ρυσάμενον Άδου κοιλίας, ευσεβώς βοώντας, Υμνείτε τόν Κύριον, καί υπερυψούτε, εις πάντας τους αιώνας.

## Ο Ειρμός

Νικηταί τυράννου, καί φλογός τή χάριτί σου γεγονότες, οι τών εντολών σου, σφόδρα αντεχόμενοι Παίδες εβόων, Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

## Τών Μαρτύρων

## Ωδή θ'

«Εύα μέν τό τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν».

Ίσχυσαν δυνάμει τού Χριστού νευρούμενοι, τούς ασάρκους μετά σώματος, καταπαλαίσαι οι γενναίοι αδάμαντες, οι στύλοι τής πίστεως, καί νύν εις ουρανούς συνευφραίνονται, τοίς απ' αιώνος εναθλήσασιν.

Ως άρμα τού Λόγου ιερόν γενόμενοι, τοίς αλόγοις προσεδέθητε, Μάρτυρες θείοι καί πρός νύσσαν, ουράνιον εφθάσατε χαίροντες, καί νίκης τά βραβεία εδέξασθε, όθεν αξίως μοκαρίζεσθε.

Σώματα υμών Παγκεανών Περίδοξος, νύν κατέχει κώμη Μάρτυρες, θείους πλουτήσασα προστάτας, υμάς καί ιατρούς θεραπεύοντας, σωμάτων καί ψυχών αρρωστήματα, τών προσιόντων πίστει πάντοτε.

Η θεία δυάς καί φωταυγής Πορφύριε, Αθλοφόρε παναοίδιμε, Ονησιφόρε γενναιόφρον, Τριάδι τή Αγία πρεσβεύσατε, ειρήνην καί δεινών απολύτρωσιν, παρασχεθήναι τοίς υμνούσιν υμάς.

Θεοτοκίον

Φορέσας με όλον εκ τών σών προέρχεται, ως νυμφίος Παναμώμητε, θείων αιμάτων ο Δεσπότης, καί γάλακτι εκτρέφεται άπασαν, τήν κτίσιν διατρέφων βουλήματι, εύλογημένη αειπάρθενε.

Τής Οσίας
Έφριξε πάσα ακοή

Ως θεία σύ περιστερά, αρετών κεχρυσωμέναις ταίς πτέρυξι, Ματρώνα ένδοξε, ανεκουφίσθης, καί νύν κατέπαυσας, ένθα Οσίων οι χοροί, Δικαίων τά τάγματα, καί η αιώνιος, ευφροσύνη καί χαρά ανεκλάλητος.

Στέργουσα τόν εκ γυναικός, διά σπλάγχνα οικτιρμών ανατείλαντα, άδυτον Ήλιον, τήν καυστικήν τε καί δυσδιόδευτον, ραδίως ώδευσας Σεμνή, τρίβον τής ασκήσεως, δαίμονας φλέγουσα, καί τά πάθη τής σαρκός εκλεαίνουσα.

Η θεία μνήμη σου ημίν, τηλαυγέστερον ηλίου ανέτειλε, φωταγωγούσα ημών τάς διανοίας καί τά νοήματα, εν ή μνημόνευε ημών, τών μνημονευόντων σου, Ματρώνα πάνσεμνε, παρρησίαν πρός Χριστόν όντως έχουσα.

Θεοτοκίον

Φέρουσα Κόρη ταίς χερσί, τόν τά σύμ παντα τώ νεύματι φέροντα, χειρός με λύτρωσαι, τού αλλοτρίου τή μεσιτεία σου, καί τώ φωτί σου τήν εμήν, διάνοιαν φώτισον, καί αλλοτρίωσον, τών παθών τών αναιδώς πολεμούντων με.

Ο Ειρμός

«Έφριξε πάσα ακοή, τήν απόρρητον Θεού συγκατάβασιν, όπως ο Ύψιστος, εκών κατήλθε μέχρι σώματος, Παρθενικής από γαστρός, γενόμενος άνθρωπος, διό τήν άχραντον, Θεοτόκον οι πιστοί  μεγαλύνομεν».

Εξαποστειλάριον τών Μαρτύρων
Γυναίκες ακουτίσθητε

Τούς Μάρτυρας τιμήσωμεν, τούς εν αθλήσει λάμψαντας, καί καταυγάσαντας κόσμον, μαρτυρικαίς αγλαϊαις, Ονησιφόρον τόν μέγαν, καί τόν σεπτόν Πορφύριον, καί γάρ αυτοί πρεσβεύουσιν, υπέρ ημώντών εν πίστει, αυτών τελούντων τήν μνήμην.

Καί τής Οσίας
Ο ουρανόν τοίς άστροις

Όλον υψώσασα τόν νούν, τής σχέσεως τών γηϊνων, ανεπιστροφως Ματρώνα, ώδευσας τρίβον θεόφρον, τών εντολών τού Σωτήρος, διό ημών υπερεύχου.

Θεοτοκίον

Ιερωτάταις φωναίς σε, σεπτοί Προφήται Παρθένε, κατήγγειλαν εσομένην, Θεού Μητέρα, διό σε, ειδότες πίστει καί πόθω, γεραίρομεν Θεοτόκον.

Εις τόν Στίχον, τά Στιχηρά τής Οκτωήχου.

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

# ΑΚΟΛΟΥΘΙΑ

Τού εν Αγίοις Πατρός ημών
ΝΕΚΤΑΡΙΟΥ
Επισκόπου Πενταπόλεως τού Θαυματουργού

ΨΑΛΛΟΜΕΝΗ ΤΗ Θ' ΝΟΕΜΒΡΙΟΥ

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ιστώμεν στίχους δ' κάι ψάλλομεν τά εξής Προσόμοια.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσι.

Τών Οσίων τοίς ίχνεσιν, Ιεράρχα Νεκτάριε, εν εσχάτοις έτεσιν ηκολούθησας, τή καθαρά πολιτεία σου, καί τρόπων χρηστότητι, καί φρονήσει αληθεί, καί αγάπης ταίς χαρίσι, διά τούτο σε, ο τών όλων Δεσπότης αγιάσας, τών Αγίων τή χορεία περιφανώς σε ηρίθμησε.

Ως τό νέκταρ τής χάριτος, φερωνύμως δεξάμενος, ιερέ Νεκτάριε τή καρδία σου, τή τών σών λόγων γλυκύτητι, ευφραίνεις εν Πνεύματι, τάς ψυχάς τών ευσεβών, ως σοφός καί θεόπνευστος, καί θαυμάτων σου, ταίς ακτίσιν αεί καταπυρσεύεις, τού Χριστού τήν Εκκλησίαν, λαμπρυνομένην τή δόξη σου.

Εις οσμήν τήν ουράνιον, τών τιμίων λειψάνων σου, δοξασθέντων χάριτι θείου Πνεύματος, μετ' ευλαβείας προστρέχοντες, Νεκτάριε Όσιε, εξ αυτών αγιασμόν, καί παθών απολύτρωσιν κομιζόμεθα, καί ιάσεις λαμβάνουσι ταχείας, οι νοσούντες ανιάτως, μεγαλοφώνως τιμώντές σε.

Τήν Μονήν ήν ανήγειρας, καί κανόσι τετείχικας, εις ψυχών Νεκτάριε περιποίησιν, σκέπε απαύστως καί φύλαττε, Αιγίνη τή νήσω δέ, δίδου Πάτερ δαψιλώς, τήν θερμήν σου αντίληψιν πρός τόν Κύριον, υπέρ ταύτης αεί καθικετεύων, σύν τώ ταύτης Ποιμενάρχη, Διονυσίω τώ μάκαρι.

Δόξα... Ήχος α'

Δεύτε άπαντες πιστοί, τόν νεοφανή φωστήρα τής Εκκλησίας, Νεκτάριον τιμήσωμεν, ούτος γάρ εν ταίς καθ' ημάς ημέραις, εν οσιότητι καί αληθεία, θεοπρεπώς πολιτευσάμενος, τών πάλαι Αγίων, τάς αρετάς ανεμάξατο, καί σκεύος εκλογής, κατά Παύλον γενόμενος, επαξίως δεδόξασται, τή αγιαστική τού Πνεύματος χάριτι, παρέχων ενί εκάστω, τά πρός σωτηρίαν αιτήματα, ως Ιεράρχης ενθεώτατος.

Καί νύν... Θεοτοκίον

Αμαρτωλών τάς δεήσεις προσδεχομένη, καί θλιβομένων στεναγμόν μή παρορώσα, πρέσβευε τώ εξ αγνών λαγόνων σου, σωθήναι ημάς, Παναγία Παρθένε.

## Απόστιχα

### Ήχος β'
### Οίκος τού Εφραθά

Νέκταρ τό νοητόν, τής χάριτος τώ λογω, Νεκτάριε πηγάζεις, Χριστού τή Εκκλησία, ως καθαρθείς τώ πνεύματι.

Στίχ. Οι Ιερείς σου Κύριε ενδύσονται δικαιοσύνην καί οι όσιοί σου αγαλλιάσονται.

Μέγας ως αληθώς, θεράπων τού Κυρίου εν τοίς εσχάτοις χρόνοις, Νεκτάριε εδείχθης, καί τούς Πιστούς εστήριξας.

Στίχ. Τίμιος εναντίον Κυρίου ο θάνατος τών οσίων αυτού.

Χαίρει πνευματικώς, Χριστού η Εκκλησία, ορώσά σου τήν χάριν, ήν ουρανόθεν εύρες, Νεκτάριε Πατήρ ημών.

### Δόξα... Τριαδικόν

Σοί πρεπει Παντουργέ, Τρισήλιε Θεότης, η αίνεσις καί δόξα, ότι τόν Ιεράρχην, τόν θείόν σου εδόξασας.

### Καί νύν... Θεοτοκίον

Λόγοις εν ιεροίς, κηρυττεί σου τήν δόξαν Παρθένε Θεοτόκε, Νεκτάριος ο θείος, ο δοξασθείς τώ Πνεύματί.

### Απολυτίκιον  Ήχος α'
### Τής ερήμου πολίτης

Σηλυβρίας τον γόνον και Αιγίνης τον έφορον, τον εσχάτοις χρόνοις φανέντα, αρετής φίλον γνήσιον, Νεκτάριον τιμήσωμεν πιστοί, ως ένθεον θεράποντα Χριστού, αναβλύζεις γαρ ιάσεις παντοδαπάς, τοίς ευλαβώς κραυγάζουσι, δόξα τώ σέ δοξάσαντι Χριστώ, δόξα τώ σε θαυμαστώσαντι, δόξα τώ ενεργούντι διά σού, πάσιν ιάματα.

### Έτερον
### Ταχύ προκατάλαβε
### Ήχος δ'

Οσίως εβίωσας, ως Ιεράρχης σοφός, δοξάσας τόν Κύριον, δι' εναρέτου ζωής, Νεκτάριε Όσιε. Όθεν του Παρακλήτου, δοξασθείς τή δυνάμει, δαίμονας απελαύνεις, και νοσούντας ιάσαι, τους πιστώς προσιόντας, τοίς θείοις λειψάνοις σου.

### Καί νύν... Θεοτοκίον

Το απ' αιώνος απόκρυφον, και Αγγέλοις άγνωστον μυστήριον, διά σού Θεοτόκε τοίς επί γής πεφανέρωται. Θεός εν ασυγχύτω ένώσει σαρκούμενος, και Σταυρόν εκουσίως, υπέρ ημών καταδεξάμενος, δι' ου αναστήσας τον Πρωτόπλαστον, έσωσεν εκ θανάτου τας ψυχάς ημών.

Απόλυσις

**ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ**

Μετά τον Προοιμιακόν, τό Μακάριος ανάρ. Εις δέ τό Κύριε εκέκραξα, ιστώμεν στίχους ς' καί ψάλλομεν τά εξής Προσόμοια.

Ήχος ά
Ώ τού παπαδόξου θαύματος
Ώ τού παραδόξου θαύματος! εν εσχάτοις καιροίς, ώσπερ τώ λύχνος πάμφωτος, Νεκτάριος ο σοφός, τώ κόσμω έλαμψε, και ηύγασε τοίς Πιστοίς, Ευαγγελίου το φώς το υπέρλαμπρον, εν λόγω θεοπρεπεί, και πολιτεία αμέμπτω και κρείττονι. Όθεν τή τού Παρακλήτου, δωρεά δεδόξασται, και παρέχει απαύστως, τοίς αιτούσι τα ιάματα.

Ιαβαί τής σής προμηθείας Χριστέ! Σύ γαρ ως υπέσχου, θαυμαστώς εδόξασας, Νεκτάριον τον σοφόν, ως φίλον γνήσιον, θαυμάτων τή δωρεά, τον σε δοξάσαντα βίου λαμπρότητι, δεικνύων πάσι σαφώς, τής προς σε Σώτερ αγάπης την δύναμιν. Όθεν ταίς αυτού πρεσβείαις, τών πταισμάτων άφεσιν, και ειρήνην τελείαν, ημίν δίδου Υπεράγαθε.

Σήμερον λαμπρώς ευφραίνονται, τή καινή σου μνήμη, τών πιστών οι σύλλογοι, Νεκτάριε ιερέ, υμνολογούντες σε, χορεύει δέ μυστικώς, η τού Χριστού Εκκλήσια τή δόξη σου, εδραίωμα αρραγές, εν ταίς εσχάταις ημέραις ευρούσά σε, εξαιρέτως δέ η νήσος, τής Αιγίνης γάννυται, ώσπερ όλβον πλουτούσα, τα μυρίπνοά σου λείψανα.

Προσόμοια έτερα

Ήχος β'
Ποίοις ευφημιών
Ποίοις ευφημιών στέμμασιν, αναδήσωμεν τον Ιεράρχην; τον αρτιφανώς αναλάμψαντα, και την Εκκλησίαν φαιδρύναντα, ταίς τής ευσεβείας λαμπηδόσι, το νέον, των Ορθοδόξων εγκαλλώπισμα, τών πάλαι, Αρχιερέων τον ομόζηλον, τή γαρ αυτών πολιτεία, νουνεχώς στοιχήσας, εδοξάσθη παρά Χριστού, τού πάσι παρέχοντος, δι' αυτού το μεγαέλεος.

Ποίοις μελωδικοίς άσμασιν, επαινέσωμεν τον Ιεράρχην; τού Θεού τόν θείον θεράποντα, καί τών αρετών το κειμήλιον, τής θεολογίας την Κιθάραν, τον άρτι τή Εκκλησία αναβλύσαντα, το νέκταρ, τής ευσεβείας το ουράνιον, λόγω τής χάριτος θείω, εκ σοφών χειλέων, και θαυμάτων την δωρεάν, θεόθεν δεξάμενον, τον θεόληπτον Νεκτάριον.

Ποίοις πνευματικοίς ρήμασι, μακαρίσωμέν σε Ιεράρχα; τον εν μέσω κόσμου βιώσαντα, βίον αληθώς ενθεώτατον, πράξεσιν οσίαις και αμέμπτοις,

εντεύθεν, Μονήν αγίαν Θεώ ίδρυσας, ως άλλον, ψυχών λιμένα ακλυδώνιστον, εν τή Αιγίνη τή νήσω, ην απαύστως σκέπε, συν τώ ταύτης καθηγητή, Νεκτάριε Όσιε, Διονυσίω τώ θεόφρονι.

Δόξα… Ήχος πλ. β'

Σήμερον φαιδρώς εξέλαμψεν, ως αστήρ νεοφανής, η νέα πανήγυρις τού Ιεράρχου Νεκταρίου, την Εκκλησίαν καταλαμπρύνουσα. Δεύτε ούν, τών Ορθοδόξων τα πλήθη, εν φωνή αγαλλιάσεως, τούτω εκβοήσωμεν, χαίροις ο των πάλαι Οσίων, χαρακτηρίσας την ζωήν, εν ημέραις πονηραίς, εν αίς η τών πολλών αγάπη εψύγη, ως έφη ο Σωτήρ, χαίροις ο τή παιδεία την αρετήν συνάψας, και τώ λόγω τής σοφίας σου, τών πιστών τας ψυχάς φαιδρύνας, χαίροις Αρχιερέων καλλονή, τής Αιγίνης προστάτης, και τής οικείας Μονής, αντιλήπτωρ θερμότατος. Διό παμμάκαρ Νεκτάριε, τώ τής θείας μεγαλωσύνης θρόνω παριστάμενος, απαύστως ικέτευε, υπέρ τών πίστει τελούντων, την αεισέβαστον μνήμην σου.

Καί νύν… Ο αυτός

Τις μη μακαρίσει σε Παναγία Παρθένε, τις μη ανυμνήσει σου, τον αλόχευτον τόκον; ο γαρ αχρόνως εκ Πατρός εκλάμψας Υιός μονογενής, ο αυτός εκ σού τής Αγνής προήλθεν, αφράστως σαρκωθείς, φύσει Θεός υπάρχων, και φύσει γενόμενος άνθρωπος δι' ημάς, ουκ εις δυάδα προσώπων τεμνόμενος, αλλ’ εν δυάδι φύσεων, ασυγχύτως γνωριζόμενος. Αυτόν ικέτευε, σεμνή παμμακάριστε, ελεηθήναι τας ψυχάς ημών.

Είσοδος, Φώς ιλαρόν, τό Προκείμενον τής ημέρας, καί τά Αναγνώσματα.

Παροιμιών τό Ανάγνωσμα.

Μνήμη δικαίου μετ' εγκωμίων, καί ευλογία Κυρίου επί κεφαλήν αυτού. Μακάριος άνθρωπος, ός εύρε σοφίαν, καί θνητός ός οίδε φρόνησιν. Κρείσσον γάρ αυτήν εμπορεύεσθαι, ή χρυσίου καί αργυρίου θησαυρούς. Τιμιωτέρα δέ εστι λίθων πολυτελών, πάν δέ τίμιον ουκ άξιον αυτής εστιν. Εκ γάρ τού στόματος αυτής εκπορεύεται δικαιοσύνη, νόμον δέ καί έλεον επί γλώσσης φορεί. Τοιγαρούν ακούσατέ μου, ώ τέκνα, σεμνά γάρ ερώ, καί μακάριος άνθρωπος, ός τάς εμάς οδούς φυλάξει. Αι γάρ εξοδοί μου, έξοδοι ζωώς, καί ετοιμάζεται θέλησις παρά Κυρίου. Διά τούτο παρακαλώ υμάς, καί προϊεμαι εμήν φωνήν υιοίς ανθρώπων. Ότι εγώ η Σοφία κατεσκεύασα βουλήν, καί γνώσιν καί έννοιαν εγώ επεκαλεσάμην. Εμή βουλή καί ασφάλεια, εμή φρόνησις, εμή δέ Ισχύς. Εγώ τούς εμέ φιλούντας αγαπώ, οι δέ εμέ ζητούντες ευρήσουσι χάριν. Νοήσατε τοίνυν άκακοι πανουργίαν, οι δέ απαίδευτοι ένθεσθε καρδίαν. Εισακούσατέ μου καί πάλιν, σεμνά γάρ ερώ, καί ανοίγω από χειλέων ορθά. Ότι αλήθειαν μελετήσει ο λάρυγξ μου, εβδελυγμένα δέ εναντίον εμού χείλη ψευδώ. Μετά δικαιοσύνης πάντα τά ρήματα τού στόματός μου, ουδέν εν αυτοίς σκολιόν, ουδέ στραγγαλιώδες. Πάντα ευθέα εστί τοίς νοούσι, καί ορθά τοίς ευρίσκουσι γνώσιν. Διδάσκω γάρ υμίν αληθή, ίνα γένηται εν Κυρίω η ελπίς υμών, καί πλησθήσεσθε πνεύματος.

Σοφίας Σολομώντος τό Ανάγνωσμα.

Δίκαιος, εάν φθάση τελευτήσαι, εν αναπαύσει έσται. Γήρας γάρ τίμιον ού τό πολυχρόνιον, ουδέ αριθμώ ετών μεμέτρηται. Πολιά δέ εστι φρόνησις ανθρώποις, καί ηλικία γήρως βίος ακηλίδωτος. Ευάρεστος Θεώ γενόμενος, ηγαπήθη, καί ζών μεταξύ αμαρτωλών, μετετέθη. Ηρπάγη, μή κακία αλλάξη σύνεσιν αυτού, ή δόλος απατήση ψυχήν αυτού, βασκανία γάρ φαυλότητος αμαυροί τά καλά, καί ρεμβασμός επιθυμίας μεταλλεύει νούν άκακον. Τελειωθείς εν ολίγω, επλήρωσε χρόνους μακρούς, αρεστή γάρ ήν Κυρίω η ψυχή αυτού, διά τούτο έσπευσεν εκ μέσου πονηρίας. Οι δέ λαοί ιδόντες καί μή νοήσαντες, μηδέ θέντες επί διανοία τό τοιούτον, ότι χάρις καί έλεος εν τοίς οσίοις αυτού, καί επισκοπή εν τοίς εκλεκτοίς αυτού.

Σοφίας Σολομώντος τό Ανάγνωσμα.

Στόμα δικαίου αποστάζει σοφίαν, χείλη δέ ανδρών επίστανται χάριτας. Στόμα σοφών μελετά σοφίαν, δικαιοσύνη δέ ρύεται αυτούς εκ θανάτου. Τελευτήσαντος ανδρός δικαίου ουκ όλλυται ελπίς, υιός γάρ δίκαιος γεννάται εις ζωήν,καί εν αγαθοίς αυτού καρπόν δικαιοσύνης τρυγήσει. Φώς δικαίοις διαπαντός, καί παρά Κυρίου ευρήσουσι χάριν καί δόξαν. Γλώσσα σοφών καλά επίσταται, καί εν καρδία αυτών αναπαύσεται σοφία. Αγαπά Κύριος οσίας καρδίας, δεκτοί δέ αυτώ πάντες άμωμοι εν οδώ. Σοφία Κυρίου φωτιεί πρόσωπον συνετού, φθάνει γάρ τούς επιθυμούντας αυτήν, πρό τού γνωσθήναι, καί ευχερώς θεωρείται υπό τών αγαπώντων αυτήν. Ο ορθρίσας πρός αυτήν ου κοπιάσει, καί ο αγρυπνήσας δι' αυτήν, ταχέως αμέριμνος έσται. Ότι τούς αξίους αυτής αυτή περιέρχεται ζητούσα, καί εν ταίς τρίβοις φαντάζεται αυτοίς ευμενώς. Σοφίας ου κατισχύσει ποτέ κακία. Διά ταύτα καί εραστής εγενόμην τού κάλλους αυτής καί εφίλησα ταύτην, καί εξεζήτησα εκ νεοτητός μου, καί εζήτησα νύμφην αγαγέσθαι εμαυτώ. Ότι ο πάντων Δεσπότης ηγάπησεν αυτήν. Μύστις γάρ εστι τής τού Θεού επιστήμης, καί αιρέτις τών έργων αυτού. Οι πόνοι αυτής εισιν αρεταί, σωφροσύνην δέ καί φρόνησιν αύτη διδάσκει, δικαιοσύνην καί ανδρείαν, ών χρησιμώτερον ουδέν εστιν εν βίω ανθρώποις. Ει δέ καί πολυπειρίαν ποθεί τις, οίδε τά αρχαία καί τά μέλλοντα εικάζειν, επίσταται στροφάς λόγων, καί λύσεις αινιγμάτων, σημεία καί τέρατα προγινώσκει, καί εκβάσεις καιρών καί χρόνων, καί πάσι συμβουλός εστιν αγαθή. Ότι αθανασία εστίν εν αυτή, καί εύκλεια εν κοινωνία λόγω αυτής. Διά τούτο ενέτυχον τώ Κυρίω, καί εδεήθην αυτού, καί είπον εξ όλης μου τής καρδίας. Θεέ Πατέρων, καί Κύριε τού ελέους, ο ποιήσας τά πάντα εν λόγω σου, καί τή σοφία σου κατασκευάσας τόν άνθρωπον, ίνα δεσπόζη τών υπό σού γενομένων κτισμάτων, καί διέπη τόν κόσμον εν οσιότητι καί δικαιοσύνη, δός μοι τήν τών σών θρόνων πάρεδρον σοφίαν, καί μή με αποδοκιμάσης εκ παίδων σου, ότι εγώ δούλος σός, καί υιός τής παιδίσκης σου. Εξαπόστειλον αυτήν εξ αγίου κατοικητηρίου σου καί από θρόνου δόξης σου, ίνα συμπαρούσά μοι διδάξη με, τί ευάρεστόν εστι παρά σοί. Καί οδηγήση με εν γνώσει, καί φυλάξη με εν τή δόξη αυτής. Λογισμοί γάρ θνητών πάντες δειλοί καί επισφαλείς αι επίνοιαι αυτών.

Εις τήν Λιτήν, Ιδιόμελα.

### Ήχος α'

Ευφραίνου εν Κυρίω, η Ορθόδοξος Εκκλησία, αγάλλου καί χόρευε, η νύμφη η εκλεκτή, τού ουρανίου Βασιλέως. Ιδού γάρ εν τή καθ' ημάς γενεά, ο αληθής τού Χρίστού Ιεράρχης, Νεκτάριος ο Όσιος, τά πάλαι σοι θεόθεν δεδογμένα, έτι άπαξ σφραγίζει, καί διαπρυσίως κηρύττει, τή δόξη η εδοξάσθη, παρά τού μόνου Θεού. Όθεν στύλον καί εδραίωμα, τούτον κεκτημένη, καί τών θαυμάτων αυτού τήν χάριν ορώσα, τώ νυμφίω σου βόησον, Κύριε δόξα σοι.

### Ήχος β'

Τίς μή σκιρτήσει; τίς μή χορεύσει τώ πνεύματι, επί τή νέα πανηγύρει, τού Ιεράρχου Νεκταρίου; πάσα γάρ ψυχή αγάλλεται, ορώσα τούτον δεδοξασμένον, καί τών Αγίων ισοστάσιον, καί εν θαύμασι περιφανή, όθεν τής ζωής αυτού τήν λαμπρότητα, καί τών προτερημάτων τήν οσιότητα, μακαρίζοντες βοήσωμεν. Ιησούς Χριστός χθές καί σήμερον, ο αυτός καί εις τούς αιώνας.

### Ήχος γ'

Δαβιτικήν αναλαβόντες ρήσιν, τώ Ιερομύστη Νεκταρίω, προσφόρως βοήσωμεν λέγοντες, Μακάριος εί, καί καλώς σοι έσται, παμμακάριστε Πάτερ, σύ γάρ σωφρόνως καί αμέμπτως πολιτευσάμενος, ουρανόφρων εν βίω ώφθης, καί Ιεράρχης όσιος καί άκακος, καί Ιεροπρεπώς τά πρός Θεόν τελέσας, σοφώς διηκόνησας, τή Εκκλησία τού Χριστού, καί εν θαύμασιν αξίως δοξασθείς, τούς εν ανάγκαις προφθάνεις, καί παρέχεις ενί εκάστω, τά πρός σωτηρίαν αιτήματα.

### Ήχος δ'

Τώ λόγω τής χάριτος διαπρέψας, τού Ευαγγελίου τής ειρήνης, εργάτης δόκιμος ώφθης, Πάτερ Νεκτάριε, καί στόμα θείον προφητικώς, καί τής κοσμικής αποστάς συγχύσεως, δι' ησύχιας Θεώ ηνώθης, εν τή νήσω Αιγίνη γενόμενος, εν η ψυχών εγείρας φροντιστήριον, καί τύπος αρετών ταίς μοναζούσαις γεγονώς, καί πατήρ καί διδάσκαλος, τόν οσίοις πρέποντα ύπνον κεκοίμησαι, πρεσβεύων απαύστως, υπέρ τών ψυχών ημών.

### Ο αυτός

Ως ιερός ο βίος σου, καί τώ Θεώ ευάρεστος, θεοφόρε Νεκτάριε, ως ξένα σου τά θαύματα, ά καθ' εκάστην τελείς, τή δεδομένη σοι χάριτι! Τίς ούν μή θαυμάσει σε, τόν όντως αξιάγαστον; η τίς μή δοξάσει σε, τόν παρά Θεού δοξασθέντα; πηγή γάρ ιαμάτων ώφθησαν, τά θειά σου λείψανα, χαλεπάς γάρ ασθενείας ιώνται, καί πνεύματα διώκουσιν ακάθαρτα, καί πάς πιστώς προστρέχων, ψυχών σωτηρίαν λαμβάνει καί σωμάτων θεραπείαν, Χριστόν δοξάζων, τόν θαυμαστώς σε δοξάσαντα.

### Δόξα... Ήχος πλ. α'

Δεύτε τών πιστών αι πατριαί, δεύτε εν Αιγίνη συνδράμωμεν, ξενοπρεπή θαυμάσια, ά η δεξιά τού Υψίστου, αρτίως εργάσατο, τόν γάρ θεόφρονα Νεκτάριον, ως ευαγγελικώς εμπρέψαντα, αθανάτοις χάρισι δοξάζει, ως αψευδώς επηγγείλατο. Όθεν καί τά σεπτά αυτού οστέα, πλήρη ευωδίας ανέδειξε καί πηγήν ιάσεων, τοίς ευλαβώς προσιούσιν, εξ ών Οσμής ζωής εμφορούμενοι, δαβιτικώς βοήσωμεν, Μέγας εί Κύριε, καί τής μεγαλωσύνης σου ουκ έσται πέρας, δι' ής φιλάνθρωπε, σώσον τάς ψυχάς ημών.

## Καί νύν... Θεοτοκίον

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καί δοξάζομέν σε, οι πιστοί κατάχρεος, τήν πόλιν τήν Άσειστον, τό τείχος τό άρρηκτον, τήν αρραγή προστασίαν, καί καταφυγήν τών ψυχών ημών.

Εις τον Στίχον  Στιχηρά Προσόμοια

Ήχος πλ. α'
Χαίροις ασχητικών

Χαίροις ο εν εσχάτοις καιροίς, εξανατείλας ως αστήρ ουρανόφωτος, και αίγλη τών σών θαυμάτων, φωταγωγών νοητώς, τους εσκοτισμένους εν τοίς πάθεσιν, ο νούς ο θεόληπτος, ο φωτός θείου έμπλεως, ο εν τώ νόμω, μελετήσας ως γέγραπται, τού Θεού ημών, εν συνέσει Νεκτάριε, λύχνος ο παμφαέστατος, ο ήδη τώ βίω σου, τής ευσεβείας το φέγγος, αυγάζων Πάτερ τοίς πέρασι. Χριστόν εκδυσώπει, ταίς ψυχαίς ημών δοθήναι, το μέγα έλεος.

Στίχ. Το στόμα μου λαλήσει σοφίαν και η μελέτη τής καρδίας μου σύνεσιν.

Ιίον πνευματικόν διελθών, εν ουρανίω Ιεράρχα φρονήματι, τού Πνεύματος τού Αγίου, δοχείον ώφθης σεπτόν, ταπεινοφροσύνη σεμνυνόμενος, καί τρόποις χρηστότητος, και απλάστοις σου ήθεσι, την τής ψυχής σου, υποφαίνων λαμπρότητα, δι' ης γέγονεν, εν αγίοις ο κλήρός σου. Όθεν την τών λειψάνων σου σορόν την μυρίπνοον, περικυκλούντες βοώμεν, εν κατανύξει Νεκτάριε, ημίν σωτηρίαν, και ψυχών τε και σωμάτων, δίδου εκάστοτε.

Στίχ. Οι ιερείς σου Κύριε ενδύσονται δικαιοσύνην και οι όσιοί σου αγαλλιάσονται.

Χαίρει η Εκκλησία Χριστού, δεδοξασμένον σε ορώσα Νεκτάριε, εν δόξη τή ουρανίω, και μεγαλύνει Χριστόν, τον θαυματουργόν σε αναδείξαντα, η νήσος Αιγίνης δέ, εξαιρέτως φαιδρύνεται, ως κεκτημένη τήν σορόν τών λειψάνων σου, ως ακένωτον, θησαυρόν αγιάσματος. Πλέον δέ τούτων γάννυται, Μονή σου η ένθεος, προς σε αεί αφορώσα, και εκβοώσα συν δάκρυσι. Σύ δόξα μου πέλεις, και αντίληψις και σκέπη, Πάτερ και έφορος.

Δόξα… Ήχος πλ. δ'

Έχει μεν η ουράνιος Ιερουσαλήμ, την ηγιασμένην ψυχήν σου, συν τοίς τών Αγίων πνεύμασιν, αοίδιμε Νεκτάριε. Έχει δέ και η νήσος Αιγίνης, τα χαριτόβρυτά σου λείψανα, πλούτον θεόσδοτον, και ιατρείον άμισθον, παντοίων αρρωστημάτων, και πάσης θλίψεως, εν αυτοίς γαρ προστρέχοντες, πανταχόθεν οι πάσχοντες, τας ιάσεις κομίζονται, και τα προς σωτηρίαν αιτήματα, και ευχαρίστω φωνή δοξάζουσι, τον σε δοξάσαντα Κύριον. ω πρέσβευε δεόμεθα, υπέρ τών ψυχών ημών.

Καί νύν… Θεοτοκίον

Ανύμφευτε Παρθένε, η τον Θεόν αφράστως συλλαβούσα σαρκί, Μήτερ Θεού τού Υψίστου, σών ικετών παρακλήσεις δέχου Πανάμωμε, η πάσι χορηγούσα καθαρισμόν τών πταισμάτων, νύν τας ημών ικεσίας προσδεχομένη, δυσώπει, σωθήναι πάντας ημάς.

Απολυτίκιον  Ήχος α'

Τής ερήμου πολίτης

Σηλυβρίας τον γόνον και Αιγίνης τον έφορον, τον εσχάτοις χρόνοις φανέντα, αρετής φίλον γνήσιον, Νεκτάριον τιμήσωμεν πιστοί, ως ένθεον θεράποντα Χριστού, αναβλύζεις γαρ ιάσεις παντοδαπάς, τοίς ευλαβώς κραυγάζουσι, δόξα τώ σέ δοξάσαντι Χριστώ, δόξα τώ σε θαυμαστώσαντι, δόξα τώ ενεργούντι διά σού, πάσιν ιάματα.

Έτερον

Ταχύ προκατάλαβε

Ήχος δ'

Οσίως εβίωσας, ως Ιεράρχης σοφός, δοξάσας τόν Κύριον, δι' εναρέτου ζωής, Νεκτάριε Όσιε. Όθεν του Παρακλήτου, δοξασθείς τή δυνάμει, δαίμονας απελαύνεις, και νοσούντας ιάσαι, τους πιστώς προσιόντας, τοίς θείοις λειψάνοις σου.

Καί νύν... Θεοτοκίον

Το απ' αιώνος απόκρυφον, και Αγγέλοις άγνωστον μυστήριον, διά σού Θεοτόκε τοίς επί γής πεφανέρωται. Θεός εν ασυγχύτω ενώσει σαρκούμενος, και Σταυρόν εκουσίως, υπέρ ημών καταδεξάμενος, δι' ου αναστήσας τον Πρωτόπλαστον, έσωσεν εκ θανάτου τας ψυχάς ημών.

Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά την α' Στιχολογίαν

Κάθισμα Ήχος α'

Τόν ταφον σου Σωτήρ

Ως ήλιος λαμπρός, εν εσχάτοις τοίς χρόνοις, ανέτειλας ημίν, τή οσία ζωή σου, Νεκτάριε Όσιε, και προς δόξαν και αίνεσιν, πάντας ήγειρας, Χριστού τού πάντων Δεσπότου, τού σε δείξαντος, δεδοξασμένον σε Πάτερ, θαυμάτων δυνάμεσι.

Δόξα... Όμοιον

Ιάσεις δαψιλείς, καθ' εκάστην ημέραν, πηγάζει θαυμαστώς, θεϊκή χορηγία, η πάντιμος κάρα σου, μυστικώς κατευφραίνουσα, τή τού Πνεύματος, μυρεψική ευωδία, τους προστρέχοντας, μετ' ευλαβείας και πόθου, τή σή Μονή Άγιε.

Καί νύν... Θεοτοκίον

Αιμάτων εξ αγνών, τον Δεσπότην τών όλων, τεκούσα και ο ην, μη τραπέντα μηδόλως, παρθένος διέμεινας, μετά τόκον και άφραστον, όθεν άπαντες, τα μεγαλειά σου Κόρη, μεγαλύνομεν, και τή θερμή σου πρεσβεία, σωθήναι ελπίζομεν.

Μετά την β' Στιχολογίαν

Κάθισμα Ήχος γ'

Τήν ωραιότητα

Την καθαρότητα, τής πολιτείας σου, καί τήν ευθύτητα, Πάτερ τών τρόπων σου, ως προσφοράν πνευματικήν, δεξάμενος ο Δεσπότης, ιαμάτων κρήνην σε, εν Αιγίνη ανέδειξε, τοίς πιστώς προστρέχουσι, τοίς αγίοις λειψάνοις σου, τοίς νέμουσιν οσμήν ουρανίαν, πάσι και θείαν ευωδίαν.

Δόξα… Ήχος δ'

Κατεπλάγη Ιωσήφ

Καταπλήττει αληθώς, τας διανοίας τών πιστών, η δοθεισά σοι σοφέ, θαυμάτων χάρις εκ Θεού, η εν τοίς θείοις λειψάνοις σου ενεργουμένη. Όθεν τή Μονή, τή σή συρρέουσι, πλήθη ευσεβών εκ πάσης τάξεως, και οι νοσούντες υγείαν λαμβάνουσι, τή αντιλήψει σου Άγιε, εν ευφροσύνη, Χριστόν υμνούντες, τον αγιάσαντά σε Όσιε.

Καί νύν… Θεοτοκίον

Ο τών όλων συνοχεύς, και τών αιώνων Ποιητής, συνεσχέθη υπέρ νούν, όλος τή θεία σου γαστρί, μη αποστάς τής Πατρικής μονής Άχραντε, διπλούς δέ εκ τής σής, μήτρας προέδοαμεν, άνθρωπος ομού, και Θεός τέλειος, και τού Αδάμ την φύσιν εθέωσε, καί πάντα κόσμον διέσωσεν. Αυτόν δυσώπει, Θεογεννήτορ, σωθήναι τας ψυχάς ημών.

Μετά τον Πολυέλεον

Κάθισμα Ήχος πλ. δ'

Την Σοφίαν καί Λόγον

Ορθοδόξων δογμάτων ερμηνευτής, διδαχών θεοφθόγγων υφηγητής, δεικνύμενος Όσιε, Ιεράρχης ως ένθεος, τών ευσεβών ρυθμίζεις, ενθέως το φρόνημα, προς θεϊκην αγάπην, και τρίβον σωτηρίον. Όθεν εν Αιγίνη, θεοφρόνως εγείρεις, Μονήν σεπτήν Όσιε, εις ψυχών περιποίησιν, Θεοφόρε Νεκτάριε, εν η Μοναζουσών η πληθύς, τα σεπτά σου προσκυνούσα λείψανα, ευλαβώς εορτάζει, την αγίαν μνήμην σου.

Δόξα... Καί νύν… Θεοτοκίον

Μανναδόχον σε στάμνον και λογικήν, φωτοφόρον λυχνίαν και θεαυγή, ο θείος Νεκτάριος, επιστάμενος Άχραντε, ταίς σαίς φωταγωγίαις, ψυχήν και διάνοιαν, ως αρετής εργάτης, αξίως πεφώτισται, όθεν σε παρθένον, εν ταυτώ και Μητέρα, Χριστού πανακήρατον, ορθοδόξως εκήρυξε, Θεοτόκε Πανύμνητε. Καί νύν τής τού Υιού σου Αγνή, απολαύων υπέρ νούν ελλάμψεως, συν Αγγέλοις δοξάζει, την άρρητον δόξαν σου.

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί Αντίφωνον Α'

Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.

Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον

Τό στόμα μου λαλήσει σοφίαν, και η μελέτη τής καρδίας μου σύνεσιν.
Στιχ. Οι ιερείς σου Κύριε ενδύσονται δικαιοσύνην και οι όσιοί σου αγαλλιάσονται.

Ευαγγέλιον εκ τού κατά Ματθαίον

(Κεφ. κδ'. 42-47)

Είπεν ο Κύριος, γρηγορείτε...

Ο Ν' Ψαλμός

Δόξα

Ταίς τού Ιεράρχου, πρεσβείαις ελεήμον, εξάλειψον τα πλήθη, τών εμών εγκλημάτων.

Καί νύν…

Ταίς τής Θεοτόκου, πρεσβείαις ελεήμον, εξάλειψον τα πλήθη, τών εμών εγκλημάτων.

Στίχ. Ελέησόν με ο Θεός, κατά το μέγα έλεός σου, και κατά το πλήθος τών οικτιρμών σου εξάλειψον τα ονόμημά μου.

Ιδιόμελον  Ήχος πλ. β'

Σήμερον ο Θεοφόρος Νεκτάριος, το νεον τής Εκκλησίας αγλάϊσμα, τον τής αρετής περάνας δρόμον, την πρός ουρανόν πορείαν εποιήσατο, και εν ταίς τών Αγίων λαμπρότησι σκηνώσας, ανακεκαλυμμένως τρυφά, τού ξύλου τής ζωής, τής μεγαλοπρεπούς δόξης, τας ελλάμψεις δεχόμενος, ημίν δέ εξαιτείται, κινδύνων απαλλαγήν, και ειρήνην σταθηράν, και μέγα έλεος.

Είτα οι Κανόνες. Της Θεοτόκου εις ς’ και τού Αγίου οι δύο εις η'.

Κανών τής Θεοτόκου φέρων τήν δε ακροστιχίδα.

Χαράς νοητής αξίωσόν με Κόρη. Γερασίμου.

Ωδή α'  Ήχος α'

Ο Ειρμός

Ωδήν επινίκιον, άσωμεν πάντες, Θεώ τώ ποιήσαντι, θαυμαστά τέρατα, βραχίονι υψηλώ, και σώσαντι τον Ισραήλ ότι δεδόξασται. (Δίς)

Χαρίτων την άβυσσον σαρκί τεκούσα, Χριστόν τον Θεόν ημών, χάριν μοι δώρησαι, τοίς χείλεσί μου Αγνή, όπως υμνήσω ευσεβώς, τα μεγαλειά σου.

Ανήροτος άρουρα, Παρθένε ώφθης, ασπόρως βλαστήσασα, ζωής τον πρύτανιν, τον εκ τής πάλαι φθοράς, ζωοποιήσαντα ημάς, ότι δεδόξασται.

Ιημάτων αινίγματα, προφητοφθόγγων, εν σοι πέρας ελαβον, Παρθένε Άχραντε, συ γαρ τεκούσα Χριστόν, τύπους τού Νόμου και σκιάς, σαφώς επλήρωσας.

Ανθήσασαν ράβδον σε, ο Ησαϊας, Παρθένε προέγραψεν, εν θείω Πνεύματι, συ γαρ Χριστόν τον Θεόν, οίά περ άνθος μυστικόν, αφράστως ήνθησας.

Κανών τού Αγίου ου η ακροστιχίς.

Νεκταρίω αίνεσις τώ θεηγόρω. Γερασίμου.

Ήχος και Ειρμός ο αυτός

Νοός μου την ζόφωσιν, τών πρεσβειών σου, φωτί διασκέδασον, και λόγον δίδου μοι, ως αν υμνήσω φαιδρώς, Νεκτάριε θαυματουργέ, την θείαν μνήμην σου.

Εσχάτοις εν έτεσιν, εξανατείλας, ως ήλιος άδυτος, φωτί τών έργων σου, Ευαγγελίου το φώς, εκφαίνεις Πάτερ θαυμαστώς, πάσι τοίς πέρασι.

Κατ ίχνος Νεκτάριε, ακολουθήσας, ζωής καθαρότητι, τοίς πάλαι Όσιε, Αρχιερεύσι Χριστού, ίσος ευκλείας τής αυτών, ώφθης και μέτοχος.

Θεοτοκίον

Την φύσιν την άστεκτον, εν τή γαστρί σου, αφλέκτως βαστάσασα, σαρκί γεγέννηκας, δίχα τροπής και φυρμού, Χριστόν τον πάντων Ποιητήν, Παρθένε Άχραντε.

Κανών δεύτερος ου η ακροστιχίς.

Νέκταρ ζωής ημίν Πάτερ δίδως. Γερασίμου.

Ήχος δ' Ανοίξω το στόμα μου.

Ναμάτων τού Πνεύματος, εμφορηθείς βίω κρείττονι, το νέκταρ τής χάριτος, ήδη ανέβλυσας, και κατηύφρανας, ημών τας διανοίας, Νεκτάριε Όσιε, τοίς σοίς χαρίσμασι.

Εόρτιον αίνεσιν, αγαλλομένη προσάδει σοι, καί νέαν πανήγυριν, κροτεί σοι Άγιε, η Ορθόδοξος, Αγία Εκκλησία, τή σή αγιότητι, εχθρούς αισχύνουσα.

Κοσμήσας τον βίον σου, απο νεότητος Όσιε, ηθών τη σεμνότητι, τής αρετής εραστής, ώφθης γνήσιος, και τής σοφίας μυστής, ενθέω φρονήματι, Πάτερ Νεκτάριε.

Θεοτοκίον

Την πάντων Βασίλισσαν, και αειπάρθενον Δέσποιναν, υμνών θείοις λόγοις σου, εκ ταύτης έλαβες, σθένος άμαχον, και πειρασμών εφόδους, εν βίω υπέμεινας, ανδρείως Άγιε.

Καταβασία

Ανοίξω τό στομα μου, καί πληρωθήσεται Πνεύματος, καί λόγον ερεύξομαι, τή Βασιλίδι Μητρί, καί οφθήσομαι, φαιδρώς πανηγυρίζων, καί άσω γηθόμενος, ταύτης τά θαύματα.

Ωδή γ'  Ο Ειρμός

Στερεωθήτω η καρδία μου, εις το θέλημά σου Χριστε ο Θεός, ο εφ' υδάτων ουρανών, στερέωσας τον δεύτερον, και δράσας εν τοίς ύδασι, την γήν Παντοδύναμε. (Δίς)

Σκηνή τού Λόγου η αμόλυντος, το τής θείας δόξης αγίασμα, ο ουρανός ο λογικός, εξ ου κόσμω ανέτειλεν ο ζωής άδυτος ήλιος, Θεοτόκος υμνείσθω μοι.

Νόμους τής φύσεως διέλαθες, και τον νομοδότην και Κύριον, δίχα φθοράς τε και φυρμού, Θεοτόκε εκύησας, ζωής νέας εγκαινίζοντα, τους νόμους εν Πνεύματι.

Όρος εδείχθης αλατόμητον, και δασύ και πίον εν Πνεύματι, εξ ου επέφανεν ημίν, ο απτόμενος Δέσποινα, τών ορέων και καπνίζονται, ώς φησί Δαβίδ ο Δίκαιος.

Η κιβωτός τού αγιάσματος, το θεοπρεπές ιλαστήριον, τής ευδοκίας τού Θεού, ο ευώδης παράδεισος, ανυμνείσθω θείοις άσμασιν, η Παρθένος και Δέσποινα.

Τού Αγίου  Ο αυτός

Αγάπη θεία εκ νεότητος, Πάτερ, ιερώς στοιχειούμενος, ακολουθήσαι τώ Χριστώ ηρετίσω Νεκτάριε, και εκ πάσης ματαιότητος, εμφρόνως εμάκρυνας.

Γησεσι Πάτερ τών χειλέων σου, στάζεις γλυκασμόν τον ουρανίον, εν ταίς καρδίαις τών πιστώς, δεχομένων τον λόγον σου, και παιδεύεις προς τα κρείττονα, πιστών την διάνοιαν.

Ιεραρχών νέον αγλάϊσμα, ώφθης Ιεράρχα Νεκτάριε, αγιωσύνην αληθή, ενδυσάμενος Όσιε, πολιτείας καθαρότητι, διό ευφημούμέν σε.

Θεοτοκίον

Ωραϊσμένη υπέρ έννοιαν, ταίς τής παρθενίας λαμπρότησι, τίκτεις Θεόν υπερφυώς, μετά σώματος Άχραντε, και τής Εύας το κατάκριμα, εν τώ τόκω σου έλυσας.

Δεύτερος  Τούς σούς υμνολόγους

Αγίων σοφώς Ιχνηλατήσας, τους τρόπους και πράξεις τας αγνάς, τον νούν σου καθηγίασας, εν πάση οσιότητι, Νεκτάριε μακάριε, και την καρδίαν εκάθηρας.

Γαντίσματι ύδατος τού θείου, την βλάβην τών δένδρων και φυτών, απήλασας Νεκτάριε, και πλούτος θείας χάριτος, τοίς Αιγινήταις πέφηνας, θαυμαστωθείς θείω Πνεύματι.

Ζωήν την ησύχιον ποθήσας, Μονήν ωκοδόμησας σεπτην, εν τή Αιγίνη Όσιε, και τύπος θείων πράξεων, εν ταύτη εχρημάτισας, ταίς μοναζούσαις Νεκτάριε.

Θεοτοκίον

Ως Μήτηρ Θεού τού φιλανθρώπου, σπλαγχνίσθητι Κόρη επ' εμοί, και ίασαι τον καύσωνα, τον τής φυχής μου δέομαι, τή δρόσω τής σής χάριτος, ίνα σωθείς μεγαλύνω σε.

Καταβασία

Τούς σούς υμνολόγους Θεοτόκε, ως ζώσα καί άφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικόν στερέωσον, καί εν τή θεία δόξη σου, στεφάνων δόξης αξίωσον.

Κάθισμα   Ήχος πλ. α'

Τόν συνάναρχον Λόγον

Αρετής διανύσας τον δρόμον Όσιε, θεοπρεπώς μετετέθης προς την αγήρω ζωήν, και αγίων κοινωνός ώφθης Νεκτάριε, μεθ' ων πρέσβευε αεί, τώ Παντάνακτι Χριστώ, δοθήναι πταισμάτων λύσιν, και ψυχικήν σωτηρίαν, τοίς εορτάζουσι την μνήμην σου.

Δόξα… Καί νύν... Θεοτοκίον

Την υπέρτιμον στάμνον και θεοχώρητον, την αειπαρθένον Κόρην και Θεοτόκον Αγνήν, ανυμνήσωμεν πιστοί και μεγαλύνωμεν, ότι ερρύσατο ημάς, εκ τής αρχαίας αράς, τεκούσα απειρογάμως, τον Υπερούσιον Λόγον, προς σωτηρίαν τών ψυχών ημών.

Ωδή δ'  Ο Ειρμός

Εν Πνεύματι προβλέπων Προφήτα Αββακούμ, την του Λόγου σάρκωσιν εκήρυττες βοών, εν τώ εγγίζειν τα έτη επιγνωσθήση, εν τώ παρείναι τον καιρόν αναδειχθήση. Δόξα τή δυνάμει σου Κύριε. (Δίς)

Τήν άχραντόν σου μήτραν ως θρόνον νοητόν, ο Χριστός ανέδειξεν ο Λόγος τού Θεού, ο εν τοίς κόλποις του Πατρός αεί υπάρχων, και εν γαστρί σου όλος όλω ενωθείς μοι, όθεν επαξίως υμνούμέν σε.

Η πύλη ήν προείδεν ο Ιεζεκιήλ, λαμπομένην Άχραντε αυγαίς παρθενικαίς, δι' ης διήλθεν ο πάντα κτίσας Λόγος και κεκλεισμένην σε λιπών μετά τον τόκον, συ ει Θεοτόκε Πανάχραντε.

Σιών Θεού ωράθης και κήπος ευθαλής, και κλίνη πορφυρόστρωτος και κλίμαξ

υψηλή, συ γαρ εν νόμω τυπικώς προκηρυχθείσα, την τών συμβόλων διετράνωσας εικόνα, τον Δημιουργόν σωματώσασα.

Αφλέκτως συλλαβούσα τό φώς το Πατρικόν, τον εν πυρί λαλήσαντα και γνόφω εν Σινά, εν ταίς αγκάλαις σου βαατάζεις ώσπερ βρέφος, ακαταφλεκτως ως η βάτος Θεοτόκε, τον Δημιουργόν πάσης Κτίσεως.

Τού Αγίου  Ο αυτός

Αγίως σου τον βίον ανύσας επί γής, Αγίων πάντων σύσκηνος ωφθής εν ουρανοίς, τών δέ λειψάνων σου η θήκη αναβλύζει, αγιασμόν και σωτηρίαν τοίς τελούσι, νόσοις Ιεράρχα καί θλίψεσι.

Ιέρευσας οσίως σοφέ και καθαρώς, ως ιερεύς ευπρόσδεκτος Χριστώ τώ παντουργώ, και ως θυσίαν καθαράν αυτώ προσήξας, την ακηλίδωτον ζωήν σου Ιεράρχα, όθεν κατ’ αξίαν δεδόξασαι.

Νοσήματα ποικίλα και πάθη χαλεπά, η παναγία κάρα σου ιάται θαυμαστώς, η γαρ εν ταύτη ενοικούσα θεία χαρις, ποικιλοτρόπως ενεργεί τοίς προσιούσι, κατ’ αναλογίαν τής Πίστεως.

Θεοτοκίον

Στέχθη εκ γαστρός σου μορφή τή καθ' ημάς, ο άϋλος ών πρότερον μείνας ο ην Θεός, και αναπλάσας τον Αδάμ εκ τής κατάρας, τέκνα Θεού αναδεικνύει τους εν πίστει, σε ως Θεοτόκον δοξάζοντας.

Δεύτερος  Ο καθήμενος εν δόξη

Η σορός τών σών λειψάνων, την οσμήν την τού Πνεύματος, και την , ευωδίαν Πάτερ τής ζωής την ουράνιον, αρωματίζει Νεκτάριε μακάριε, κατευφραίνουσα, τους προς αυτήν καταφεύγοντας.

Σώματός σου τας ορέξεις, κατεμάρανας Όσιε, προσευχή συντόνω, και τή εγκρατεία Νεκτάριε, τής δέ ψυχής τας δυνάμεις ανεπτέρωσας, θείω έρωτι, προς τας ελλάμψεις τού Πνεύματος.

Η κολούθησας αμέμπτως, τοίς χρηστοίς Πάτερ τρόποις σου, τώ Διονυσίω, τώ Αιγίνης θείω ποιμάντορι, μεθ' ου τής άνω μετέχων δόξης Άγιε, ταύτην σώζεσθαι, αεί την νήσον ικέτευε.

Θεοτοκίον

Μετά σώματος τεκούσα, τον ασωμάτον Κύριον, Κεχαριτωμένη, ώφθης ασωμάτων Δυνάμεων, αγιωτέρα Αγνή και υπερέχουσα, όθεν άπαντες, υμνολογούμεν την δόξαν σου.

Καταβασία

Τήν ανεξιχνίαστον θείαν βουλήν, τής εκ τής Παρθένου σαρκώσεως, σού τού Υψίστου, ο Προφήτης, Αββακούμ, κατανοών εκραύγαζε. Δόξα τή δυνάμει σου Κύριε.

Ωδή ε' Ο Ειρμός

Την σην ειρήνην δός ημίν, Υιε τού Θεού, άλλον γαρ εκτός σου, Θεόν ου γινώσκομεν, το όνομά σου ονομάζομεν, ότι Θεός ζώντων, και τών νεκρών υπάρχεις. (Δίς)

Ξενίζεις τή γεννήσει σου, Αγγέλων χορούς, και σώζεις τώ σώ τόκω, βροτών τα συστήματα, συ γαρ Χριστόν αφθόρως έτεκες, τον τα διεστώτα, συνάψαντα Παρθένε.

Ιάτρευσον Πανάμωμε, ψυχήν την εμήν, δεινώς φαρμαχθείσαν, κακίστη αμαρτία, και προς το φώς με καθοδήγησον, εναρέτου βίου, τή χάριτι σου Κόρη.

Ως άνθος σε πανεύοσμον, ο Λόγος ευρών, ακανθών εν μέσω, εν σοι κατεσκήνωσε, και εκ γαστρός σου σάρκα είληφεν, ο σε προορίσας, Αγνή προ τών αιώνων.

Στολή εκ τών αιμάτων σου, υφάνθη φρικτώς, τώ εκ τού μη όντος, τα όντα συστήσαντι, εκ σού γαρ σάρκα Κόρη είληφεν, ο σε προορίσας, Αγνή προ , τών αιώνων.

Τού Αγίου Ο αυτός

Σοφία τή τού Πνεύματος, και λόγω ζωής, πιστών τας καρδίας, ρυθμίζεις Νεκτάριε, προς πολιτείαν Πάτερ, κρείττονα, ως τού Ευαγγελίου, σοφός Ιεροκήρυξ.

Ιεραρχίας ένδυμα, σοφέ στολισθείς, έργοις εναρέτοις τών αυτό κατεποίκιλας, ως Ιεράρχης ενθεώτατος, και των μυστηρίων, τών θείων οικονόμος.

Συνέσει και πραότητι, εμπρεπών σοφώς, οσίας παρθένους, ενθέως συνήθροισας, και τώ Χριστώ αυτάς ωδήγησας, λόγοις τε και έργοις, αμέμπτου πολιτείας.

Θεοτοκίον

Τή σή ελλάμψει Άχραντε, ψυχήν την εμήν, τήν εζοφωμένην, παθών αμαυρότησιν, ως συμπαθής Αγνή
καταύγασον, και τώ θείω φόβω καθήλωσον με όλον.

Δεύτερος Εξέστη τά σύμπαντα

Ιάματα άφθονα, η θήκη τών λειψάνων σου, τή του Παρακλήτου επομβρία, αεί βλυστάνει Πάτερ Νεκτάριε, και αποδιώκει πονηρά, πνεύματα εκάστοτε, τών αιτούντων την χάριν σου.

Νοσούσι την ίασιν, και πάσχουσι την λυτρωσιν, τοίς προσερχομένοις σοι παρέχων, παύεις τα χρόνια ασθενήματα, και κατασβεννύεις χαλεπήν, πυρεσσόντων φλόγωσιν, δρόσω Πάτερ σής χάριτος.

Πατέρων ισότιμος, τών πάλαι εχρημάτισας, τούτων μιμησάμενος τον τρόπον, τόν θείον ζήλον και τας , λοιπάς αρετάς, ταπεινοφροσύνη αληθεί, και απλάστοις ήθεσι, διαπρέψας Νεκτάριε.

Θεοτοκίον

Αγνείας κειμήλιον, Παρθένε Παναμώμητε, έμψυχον αλάβαστρον και θείον, τού κενωθέντος μύρου εν σοι τής ζωής, σκεύος ευωδίας αρετών, την ψυχήν μου έργασαι, διά βίου σεμνότητος.

Καταβασία

Εξέστη τά σύμπαντα, επί τή θεία δόξη σου, σύ γάρ απειρόγαμε Παρθένε, έσχες εν μήτρα, τόν επί πάντων Θεόν, καί τέτοκας άχρονον Υιόν, πάσι τοίς υμνούσί σε, σωτηρίαν βραβεύοντα.

Ωδή ς' Ο Ειρμός

Τον προφήτην Ιωνάν, εκμιμούμενος βοώ, την ζωήν μου αγαθέ, ελευθέρωσον φθοράς, και σώσόν με, Σωτήρ τού κόσμου κράζοντα, δόξα σοι. ( Δίς)

Ο εκλάμψας εκ Πατρός, προ αιώνων ως Υιός, επ' εσχάτων ημερών, εκ γαστρός σου προελθών, εθέωσε, Παρθενομήτορ, βροτών το φύραμα.

Νύμφη πάναγιος Πατρός, Μήτηρ άφθορος Υιού, ανεδείχθης αληθώς, η καλή εν γυναιξί, τώ Πνεύματι, προαγνισθείσα, Παρθένε Άχραντε.

Μυστηρίων θεϊκών, θησαυρός υπερφυής, ουρανίων δωρεών, κιβωτός χρυσοειδής, Πανάμωμε, σαφώς εδείχθης, Χριστόν κυήσασα.

Εργαστήριον φρικτόν, και παστάς φωτοειδής, τής σαρκώσεως Αγνή, καθωράθης τού Θεού, μορφώσαντος, ημών την σάρκα, εκ τών αιμάτων σου.

Τού Αγίου Ο αυτός

Ως νεόφωτος αστήρ, εν εσχάτοις τοίς καιροίς, αναλάμψας μυστικώς, τας καρδίας τών πιστών, Νεκτάριε, προς θείον πόθον Πάτερ ανέφλεξας.

Θεοφρόνως επί γής, και σοφώς πολιτευθείς, εν ημέραις πονηραίς, κατά Παύλον τον σοφόν, Νεκτάριε, παρά Κυρίου, λαμπρώς δεδόξασαι.

Εν τώ φόβω τού Θεού, την αγίαν σου Μονήν, ως στηρίξας ασφαλώς, όρμον άκλυστον αυτήν, ανέδειξας, προς σωτηρίαν, ψυχών Νεκτάριε.

Θεοτοκίον

Η τεκούσα εν σαρκί, τον τών όλων Ποιητήν, και την πάλαι τού Αδάμ, αφανίσασα αράν, Πανάμωμε, τής των παθών με, ρύσαι ζοφώσεως.

Δεύτερος Τήν θείαν ταύτην

Το θείον νέκταρ τής χάριτος, δεξάμενος Νεκτάριε Όσιε, εν τή καρδία σου, τόν γλυκασμόν τον ουράνιον, Χριστού τή Εκκλησία, άρτι επήγασας.

Εν Ιεράρχαις θεόληπτος, και εν τοίς διδασκάλοις θεόσοφος, Πάτερ Νεκτάριε, ως αληθώς εχρημάτισας, ιδέαις εναρέτοις, καλλωπιζόμενος.

Ιόδον καθάπερ ηδύπνευστον, τή θεια ευωδία τού Πνεύματος, Πάτερ η κάρα σου, ημάς ευφραίνει Νεκτάριε, και παυει το δυσώδες, παθών και θλίψεων.

Θεοτοκίον

Δύναμιν δίδου μοι Πάναγνε, κατα τού παλαιού πολεμήτορος, τού καθ' εκαστην μοι, λόχους και, δόλους τεκταίνοντος, ίνα τής τούτου βλάβης, φανώ ανώτερος.

Καταβασία

Τήν θείαν ταύτην καί πάντιμον, τελούντες εορτήν οι θεόφρονες, τής Θεομήτορος, δεύτε τάς χείρας κροτήσωμεν, τόν εξ αυτής τεχθέντα Θεόν δοξάζοντες.

Κοντάκιον Ήχος πλ. δ'

Τή Υπερμάχω

Ορθοδοξίας τον αστέρα τον νεόφωτον, καί Εκκλησίας το νεόδμητον προτείχισμα Ανυμνήσωμεν καρδίας εν ευφροσύνη. Δοξασθείς γάρ ενεργεία τή τού Πνεύματος. Ιαμάτων αναβλύζει χάριν άφθονον τοίς κραυγάζουσι. χαιροις Πάτερ Νεκτάριε.

Ο Οίκος

Άνθρωπος ουρανόφρων, ανεδείχθης εν κόσμω, Νεκτάριε Χριστού Ιεράρχα, ζωήν γαρ οσίαν διελθών, ακέραιος όσιος και θεόληπτος, εν πάσιν εχρημάτισας, εντεύθεν παρ' ημών ακούεις.

Χαίρε δι' ου οι πιστοί υψούνται, χαίρε δι' ου εχθροί θαμβούνται.

Χαίρε τών Οσίων Πατέρων εφάμιλλος, χαίρε Ορθοδόξων ο θείος διδάσκαλος.

Χαίρε οίκος αγιώτατος ενεργείας θεϊκής, χαίρε βίβλος θεοτύπωτος πολιτείας τής καινής.

Χαίρε ότι αρτίως ημιλλήθης Αγίοις, χαίρε ότι εμφρόνως εχωρίσθης τής ύλης.

Χαίρε λαμπρόν τής Πίστεως τρόπαιον, χαίρε σεπτόν τής χάριτος όργανον.

Χαίρε δι' ού Εκκλησία χορεύει, χαίρε δι' ού νήσος Αίγινα χαίρει.

Χαίροις Πάτερ Νεκτάριε.

ΣΥΝΑΞΑΡΙΟΝ

Τή Θ' τού αυτού μηνός, Μνήμη τού εν Αγίοις Πατρός ημών Νεκταρίου Μητροπολίτου Πενταπόλεως τής εν Αιγύπτω, τού θαυματουργού καί κτίτορος τής εν Αιγίνη Ιεράς Μονής τής Αγίας Τριάδος τών Μοναζουσών, Κοιμηθέντος οσίως κατά τό έτος 1920.

Στίχοι

Νέκταρ τής ζωής τής αιωνίου πίνων,
Νάμα Νεκτάριε ιάσεων βλύζεις.
Αμφ' ενάτη Νεκταρίοιο εκ ρεθέων θυμός ήρθη.

Τή αυτή ημέρα. μνήμη τών Αγίων Μαρτύρων Ονησιφόρου καί

Πορφυρίου.

Στίχοι

Ίπποις πρός Θεόν Ονησιφόρε τρέχων
Έχεις συνιππεύοντα καί τόν οικέτην.
Νύσσης ουρανίης επέβητ ενάτη ω Αθληταί.

Τή αυτή ημέρα, μνήμη τής Οσίας Μητρός ημών Ματρώνης.

Στίχοι

Ζωής μελλούσης αξιούται Ματρώνα
Ως εν βίω ζήσασα ταύτης αξίως.

Τή αυτή ημέρα, μνήμη τής Οσίας Μητρός ημών Θεοκτίστης τής Λεσβίας.

Στίχοι

Λέσβου τό θρέμμα παρθένος Θεοκτίστη
Κτίστη Θεώ πρόσεισι πάγκαλος νύμφη.

Τή αυτή ημέρα, μνήμη τών Οσίων Μητέρων ημών Ευστολίας καί Σωπάτρας.

Στίχοι

Όλη καλή σύ πρός Θεόν χωρείς Λόγον
Στολαίς σταλείσα ψυχικαίς Ευστολία.
Σωπάτρα Πατρός, Πνεύματός τε καί Λόγου
Θρόνω παρέστη δούσα γή τό σαρκίον.

Τή αυτή ημέρα μνήμη τού Αγίου Μάρτυρος Αντωνίου.

Στίχοι

Αντώνιον κτείνουσι τόν θείον ξύλοις
Οι τό ξύλον τιμώντες ως θεόν πλάνοι.

Τή αυτή ημέρα, οι Άγιοι Μάρτυρες Χριστοφόρος καί Μαύρα ξίφει τελειούνται.

Στίχοι

Πλάνην αμαυροί Μαύρα κοπείσα ξίφει,
Χριστού δέ τμηθείς φώς ορά Χριστοφόρος.

Τή αυτή ημέρα, μνήμη τών Αγίων Μαρτύρων Ναρσή καί Αρτέμονος.

Στίχοι

Ναρσής σύν Αρτέμονι εκκοπείς ξίφει,
Σύν Αρτέμονι λαμβάνει καί τά στέφη.

Τή αυτή ημέρα, ο Όσιος Πατήρ ημών Ιωάννης, ο διά τό βραχύ τής ηλικίας (αναστήματος) ονομασθείς Κολοβός, εν ειρήνη τελειούται.

Στίχοι

Ιωάννην έκρυψε γής βραχύς τόπος,

Ός κάν βραχύς τό σώμα, τήν πράξιν μέγας.

Τή αυτή ημέρα, ο Όσιος Πατήρ ημών Ελλάδιος εν ειρήνη τελειούται.

Στίχοι

Ει καί μετέστης Ελλάδιε τού βίου,
Πίναξ έμεινας αρετών τοίς εν βίω.

Τή αυτή ημέρα, ο Όσιος Πατήρ ημών Συμεών ο Μεταφραστής εν ειρήνη τελειούται.

Στίχοι

Εκκλησία σοι Συμεών όφλει χάριν
Υπέρ μεταφράσιος Αγίων βίων.

Τή αυτή ημέρα, οι Όσιοι καί θεοφόροι Πατέρες ημών Ευθύμιος καί Νεόφυτος οι κτίτορες τής εν Άθω ιεράς σεβασμίας Μονής τού Διοχειαρίου, εν ειρήνη τελειούνται.

Στίχοι

Ευθύμιον συνάμα τώ Νεοφύτω
Τιμώ κτίσαντας τήν Μονήν Αρχαγγέλων.

Ταίς αυτών πρεσβείαις Χριστέ ο Θεός, ελέησον καί σώσον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

Τους εν καμίνω Παίδάς σου Σωτήρ, ουχ ήψατο ουδέ παρηνώχλησε τό πύρ, τότε οι τρείς ως εξ ενός στόματος, ύμνουν καί ευλόγουν λέγοντες. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών. (Δίς)

Κεκοσμημένη θείοις κροσσωτοίς, ως πάντων βασίλισσα αρετών υπερφυών, έστης εκ δεξιών τού σού Υιού καί Πλάστου, υπέρ νούν εκλάμπουσα, παρθενικαίς καλλοναίς, Παρθένε Μήτερ Θεού.

Ο τών απάντων Κτίστης καί Θεός, θεώσαι βουλόμενος διά σπλάγχνα οικτιρμών, τόν πεπτωκότα άνθρωπον εκ σού τήν σάρκα, τού Αδάμ ενδύεται, καί σε Προστάτιν Αγνή, δείκνυσι κόσμου παντός.

Ρερυπωμένον βίον μετελθών, τό κάλλος ημαύρωσα τής ψυχής μου ολικώς, αλλά σύ δίδου μοι μετάνοιαν Παρθένε, καί πταισμάτων άφεσιν, ίνα Χριστώ τώ Θεώ, δουλεύσω ειλικρινώς.

Ηυπερτέρα πάντων αληθώς, ως Μήτηρ πανάφθορος τού τών όλων Ποιητού, πάσης φθοράς υπέρτερον τόν νούν μου, δείξον καί φωτί με λάμπρυνον, τής αγλαΐας τής σής, Θεογεννήτορ Αγνή.

Τού Αγίου

Ο αυτός

Ινώμη ευθεία Πάτερ λειτουργών, Χριστώ τώ Παντάνακτι καί καρδία καθαρά, τόν φωτισμόν τού Παρακλήτου εισεδέξω, τή ψυχή σου Όσιε, ευλογητός εκβοών, ο τών Πατέρων Θεός.

Ολολαμπής ως ήλιος ημίν, εσχατοίς εν έτεσιν ανατείλας νοητώς, φωταγωγείς τών ευσεβών τάς διανοίας, τώ φωτί τών έργων σου, Νεκτάριε ιερέ, Ιεραρχών καλλονή.

Γώσιν ψυχής καί σώματος αεί, ώς άλλο Νεκτάριε ιατρείον θαυμαστόν, η τών λειψάνων σου σορός Πάτερ παρέχει, τοίς πιστώς προστρέχουσιν, εν ευλαβεία πολλή, τή ευαγεί σου Μονή.

Θεοτοκίον

Ως τού Σωτήρος Μήτερ καί,Θεού, Παρθένε Πανάμωμε όμματί σου συμπαθεί, βλέψον τήν κάκωσιν ψυχής μου τής αθλίας, καί βιαίας ρύσαι με, έξεως τής πονηράς, τών ολεθρίων παθών.

Δεύτερος

Ουκ ελάτρευσαν

Ιαμάτων σε, πηγήν Πάτερ ανέδειξε, Χριστός δοξάσας σε, ο υπό σού δοξασθείς, εντεύθεν οι πάσχοντες, ποικίλοις πάθεσι, καταφεύγουσι, τή θήκη τών λειψάνων σου, καί ευρίσκουσιν υγείαν.

Διδαγμάτων σου, τά ιερά συντάγματα, αεί ευφραίνουσι, τών ευσεβών τάς ψυχάς, Αγίω γάρ Πνεύματι, Πάτερ κινούμενος, τόν τής χάριτος, λόγον σοφώς συνέγραψας, καί ζωής τάς υποθήκας.

Ως πραότατος, καί ταπεινός καί μέτριος, τού υπέρ έννοιαν, Πάτερ επλήσθης φωτός, εντεύθεν θεόληπτος, εφαίνου Όσιε, πρός τά κρείττονα, μυσταγωγών χαρίσματα, θεαρέστου πολιτείας.

Θεοτοκίον

Σωματώσασα Θεόν τόν Υπερούσιον, εκ τώ αιμάτων σου, δίχα τροπής καί φυρμού, σωτήριος γέφυρα, ημάς ανάγουσα, πρός ουράνια, ώφθης τοίς πίστει κράζουσι, χαίρε Κεχαριτωμένη

Καταβασία

Ουκ ελάτρευσαν τή κτίσει οι θεόφρονες, παρά τόν Κτίσαντα, αλλά πυρός απειλήν; ανδρείως πατήσαντες, χαίροντες έψαλλον. Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Ωδή η'  Ο Ειρμός

Ον φρίττουσιν Άγγελοι, καί πάσαι στρατιαί, ως Κτίστην καί Κύριον, υμνείτε ιερείς, δοξάσατε Παίδες, ευλογείτε λαοί, καί υπερυψούτε, εις πάντας τούς αιώνας. (Δίς)

Γεννάται ο άναρχος, εν χρόνω σαρκικώς, εκ σού Αειπαρθένε, καί μετά

τοκετόν, παρθένον τηρεί σε, ως πρό τόκου Αγνήν, ω τών υπέρ νούν σου αρρήτων μεγαλείων!

Εν θρόνω ως σύνθρονος, Πατρός καί εν χερσί, ταίς σαίς ώσπερ νήπιον, βροτοίς ομοιωθείς, ο Λόγος οράται, ο συνέχων τό πάν, καί ανακαινίζει, Παρθένε τούς φθαρέντας

Γευμάτων χρηστότητος, ακένωτος πηγή, χαρίτων τού Πνεύματος λειμών πανευθαλής, εδείχθης Παρθένε, τετοκυία Χριστόν, τόν ζωοποιούντα, τούς σέ υπερυψούντας.

Αγίων Αγίαν σε, ανέδειξε Χριστός, Αγίων ο Άγιος, Υιός σου γεγονώς, διό τήν ψυχήν μου, εναγή τή φθορά, γεγονυϊαν Κόρη, αγίασον καί σώσον.

Τού Αγίου

Ο αυτός

Γνωρίσαι ο Κύριος, θελήσας τοίς εν γή, ήν δέδωκε δόξαν σοι, σοφέ εν ουρανοίς, πηγήν ιαμάτων, καί Θαυμάτων πολλών, έδειξε παμμάκαρ, τά θεία λείψανά σου.

Εκ γής ανεφάνησαν, ως κρίνα τού αγρού, ευθύς ως ηνοίγη σου, ο τάφος ο σεπτός, Νεκτάριε Πάτερ, τά σεπτά σου οστά, εκπέμποντα πάσιν, οσμήν αθανασίας.

Ρυσθήναι ικέτευε, Μονήν σου τήν σεπτήν, εκ πάσης στενώσεως, καί βλάβης καί οργής, εν σοί καυχωμένην, Ιεράρχα Χριστού, καί τή πατρική σου, στοργή ανακειμένην.

Θεοτοκίον

Ασπόρως συνέλαβες, τόν Πάντων Ποιητήν, αφθόρως δέ τέξασα, αυτόν μετά σαρκός, φθοράς με Παρθένε, σαρκικών λογισμών, τή χάριτί σου ρύσαι, τόν σόν οικτρόν ικέτην.

Δεύτερος

Παίδας ευαγείς

Γνώσει καί σοφία διαλάμπων, δογμάτων τής αληθείας Πάτερ Όσιε, Ορθοδόξου πίστεως, ακριβής διδάσκαλος, καί φυτοκόμος άριστος ηθών σεμνότητος, εδείχθης Ιεράρχα παμμάκαρ, τών παθών τάς ρίζας, τώ λόγω σου εκτέμνων.

Έχει σε η Αίγινα η νήσος, προστάτην καί αρωγόν καί αντιλήπτορα, μετά τόν θεόληπτον, Πάτερ Διονύσιον, μεθ' ού απαύστως φύλαττε ταύτην Νεκτάριε, εκ πάσης συμφοράς καί ανάγκης, πίστει προσκυνούσαν, τά θεία λείψανά σου.

Ρήσεσι τών θείων σου χειλέων, ως τέκνα πνευματικά σοί αι μονάστριαι, άς εν

ταύτη Όσιε, τή Μονή συνήγαγες, εκ κοσμικής συγχύσεως καί ματαίοτητος, εμφρόνως πειθαρχούσαι πρός δόξαν, άγονται τήν θείαν, τελούσαί σου τήν μνήμην.

Θεοτοκίον

Άχραντε Παρθένε Θεοτόκε, Αγγέλων καί Αρχαγγέλων αγαλλίαμα, καί βροτών διάσωσμα, καί μέγα προσφύγιον, τής τών παθών με λύτρωσαι δουλείας τής πονηράς, καί δίδου μοι ανάνευσιν Κόρη, τώ κεκακωμένω, εχθρού τή επηρεία.

Καταβασία

Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ωδή θ' Ο Ειρμός

Τήν ζωοδόχον πηγήν τήν αέναον, τήν φωτοφόρον λυχνίαν τήν πάγχρυσον, τόν ναόν τόν έμψυχον, τήν σκηνήν τήν άχραντον, τού ουρανού καί τής γής τήν πλατυτέραν, τήν Θεοτόκον εν ύμνοις τιμήσωμεν. (Δίς)

Σωτηριώδη πηγήν Πολυχεύμονα, σέ Θεοτόκε Παρθένε γινώσκομεν, τής ζωής πηγάζουσαν, ύδωρ το αθάνατον, καί τάς καρδίας ποτίζουσαν πλουσίως, τών ορθοδόξως υμνούντων σε Δέσποινα.

Ιεροτύπως Μωσής σε προέγραψε, στάμνον, λυχνίαν καί βάτον καί τράπεζαν, κιβωτόν κατάχρυσον, καί σκηνήν θεότευκτον, ών τάς εκβάσεις ημείς νύν καθορώντες, σε αληθή Θεοτόκον δοξάζομεν.

Μετά σαρκός τόν ασώματον τέξασα, όν ο Πατήρ πρό αιώνων εγέννησε, Λόγον τόν Υπέρθεον, Θεοτόκε Άχραντε, τής σωτηρίας ημίν ώφθης αιτία, τοίς μεγαλύνουσι Κόρη τόν τόκον σου.

Ολολαμπές ανεδείχθης παλάτιον, καί φωτοφόρος καθέδρα καί πάγχρυσος, τού έν κόλποις Άχραντε, τού Πατρός υπάρχοντος, Λόγου αφράστως εκ σού σωματωθέντος, εις σωτηρίαν ημών καί ανάπλασιν.

Υπερκειμένη απάσης τής κτίσεως, τής ορατής καί αϋλου Πανάχραντε, ώφθης σωματώσασα, τόν πάντων, Δεσπόζοντα, όθεν τόν νούν μου τής κάτω προσπαθείας, δείξον υπέρτερον Κόρη καί σώσον με.

Τού Αγίου

Ο αυτός

Στέφανον δόξης εδέξω Νεκτάριε, παρά Χριστού τού λαμπρώς σε δοξάσαντος, οσίως τόν δρόμον σου, Πάτερ ως ετέλεσας, καί τών Αγίων ισότιμος εδείχθης, μεθ' ών δυσώπει τών τιμώντων σε.

Ιεραρχίας στολήν ενδυσάμενος, ιερωτέραν αυτήν Πάτερ έδειξας, ιεροίς σου σκάμμασι, καί οσίοις πόνοις σου, καί τών Πατέρων τών πάλαι ανεμάξω, τή καθαρά σου ζωή τήν λαμπρότητα.

Μετ' εγκωμίων τελούσα τήν μνήμην σου, η τού Χριστού Εκκλησία Νεκτάριε, χαίρει εν σοί Άγιε, ταύτην γάρ εφαίδρυνας, εν ταίς εσχάταις ημέραις Ιεράρχα, ηγιασμένος φανείς Θείω Πνεύματι.

Οσμήν ζωής ουρανίαν μυρίπνοον, ήν αποπνέει η πάντιμος κάρα σου, νοητώς μοι δώρησαι, τή ψυχή μου Άγιε, καί ώσπερ μύρον ευώδες Πάτερ δέξαι, τούτον τόν ύμνον όν πόθω σοι ύφανα.

Θεοτοκίον

Υψηλοτέρα τών άνω Δυνάμεων, καί λαμπροτέρα ηλίου υπάρχουσα, ασυγκρίτως Δέσποινα, τόν τής δόξης Ήλιον, τόν φωτοδότην Χριστόν σαρκί τεκούσα, καταφωτίζεις τούς σε μεγαλύνοντας.

Δεύτερος

Άπας γηγενης

Στήλην αρετών, τή σή καθαρότητι Χριστός σε έδειξε, προμηθεία κρείττονι, εν ταίς εσχάταις ημέραις Άγιε, καί έμψυχον παράδειγμα πρός βίον ένθεον, τών πιστών μέν, τάς ψυχάς ευφραίνοντα, καί απίστων το θράσος αισχύνοντα.

Ίνα τής ζωής, τής σής το υπόλοιπον ανύσης Όσιε, ησύχως Νεκτάριε, ενδελεχεία θείας ενώσεως, κόσμου παντός εμάκρυνας καί τή σεπτή σου Μονή εν Αιγίνη, Πάτερ κατεσκήνωσας, πρός Χριστόν ολικώς αναγόμενος.

Μέτοχος ζωής, τής άνω γενόμενος Πάτερ Νεκτάριε καί Αγγέλων σύσκηνος, ως θεαρέστως Πολιτευσάμενος, απαύστως καθικέτευε υπέρ τής ποίμνης σου, καί απάσης, τής Ελλάδος Άγιε, τής πλουτούσης σε νέον αγλάϊσμα.

Όμιλοι πιστών, εκ πάσης συντρέχουσιν Ελλάδος πάντοτε, τή Μονή σου Άγιε, καί θείαν χάριν καί πάσαν αίτησιν, εκ τών σεπτών λειψάνων σου πιστώς λαμβάνουσιν, αλλ' ώ Πάτερ καμού τού ικέτου σου, ώσπερ οίδας τήν αίτησιν πλήρωσον.

Θεοτοκίον

Ύψωσας ημών, τήν φύσιν τήν έκπτωτον πρός τά ουρανια, τώ υψίστω τόκω σου, Υπεραγία Κόρη Πανύμνητε, διό καμού ανύψωσον ψυχής τήν έφεσιν, πρός τό κάλλος, Δέσποινα τό άρρητον τής αλήκτου ζωής καί λαμπρότητος.

Καταβασία

Άπας γηγενής, σκιρτάτω τώ πνεύματι λαμπαδουχούμενος, πανηγυριζέτω δέ, αύλων Νόων φύσις γεραίρουσα, τήν ιερά θαυμάσια τής Θεομήτορος, καί βοάτω. Χαίροις παμμακάριστε, Θεοτόκε Αγνή αειπάρθενε.

Εξαποστειλάρια

Ο ουρανόν τοίς άστροις

Η Εκκλησία αγάλλου, καί άδε άσματα καινά, τόν σόν υιόν ευφημούσα καί ιερόν νυμφαγωγόν, Νεκτάριον τόν αρτίως, ηγιασμένον φανέντα.

Έτερον όμοιον

Θεοπρεπώς βιώσας, εμεγαλύνθης θαυμαστώς, Νεκτάριε Ιεράρχα, παρά τού πάντων Ποιητού, πηγή θαυμάτων γάρ ώφθη, η τών λειψάνων σου θήκη.

Θεοτοκίον

Θεοχαρίτωτε Κόρη, ικέτευε διά παντός, τόν σόν Υιόν καί Δεσπότην, καί πολυεύσπλαγχνον Θεόν, πάσης ανάγκης, τούς ευσεβείς Θεοτόκε.

Εις τούς Αίνους. Ιστώμεν στίχους δ' καί ψάλλομεν τά εξής Προσόμοια.

Ήχος α'

Τών ουρανίων ταγμάτων

Ασματικωώς συνελθόντες πανηγυρίσωμεν, τήν μνήμην τήν αγίαν, Νεκταρίου τού Θείου, τού άρτι δοξασθέντος παρά Χριστού, τή τού βίου λαμπρότητι, τών ιαμάτων ταίς χάρισι Θαυμαστώς, ευσεβών εις περιποίησιν.

Η τών λειψανων σου θήκη Πάτερ Νεκτάριε, ως άλλη καθοράται, Σιλωάμ κολυμβήθρα. νοσήματα γάρ παύει τά χαλεπά, καί υγείαν καί λύτρωσιν, τοίς πρός αυτήν προσιούσι νέμει αεί, ενεργεία τή τού Πνεύματος.

Τίς επαξίως υμνήσει τάς δυναστείας σου, ώ Ζωοδότα Σώτερ; ότι δέδωκας ήδη, στύλον καί εδραίωμα αρραγές, τή σεπτή Εκκλησία σου, τόν θεηγόρον Νεκτάριον αληθώς, τόν οσίως σοι λατρεύσαντα.

Υπέρ οσμήν αγρού πλήρους κατά τήν θείαν φωνήν, η ευωδία πέλει τών σεπτών σου λειψάνων, Νεκτάριε τρισμάκαρ τών ευσεβών, τάς αισθήσεις ευφραίνουσα, όθεν η Αίγινα βλέπουσα τήν εν σοι, θείαν χάριν μακαρίζει σε.

Δόξα... Ήχος πλ. α'

Όσιε Πάτερ, μελέτην θείου νόμου, τόν βίον ποιούμενος, τών πάλαι Αγίων, τήν ζωήν εχαρακτήρισας, τό γάρ φρόνημα τής σαρκός, υποτάξας τώ πνεύματι, Χρηστότητα εποίησας, καί οσιότητα ημφιάσω, ως Ιεράρχης θεόσοφος, καί τής αρετής αληθής εργάτης, όθεν λαμπρώς παρά Θεού εδοξάσθης, καί ιαμάτων κρήνη, η τών λειψάνων σου σορός εδείχθη, τή τού Παρακλήτου επισκιάσει. Αλλ' ώ Νεκτάριε μακάριε, ράνον εν ταίς ψυχαίς ημών, τό νέκταρ τής σής χάριτος, καί πρέσβευε τώ Κυρίω, δοθήναι ημίν το μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Μακαρίζομέν σε, Θεοτόκε παρθένε, καί δοξάζομέν σε οι πιστοί κατά χρέος, τήν πόλιν τήν άσειστον, τό τείχος τό άρρηκτον, τήν αρραγή προστασίαν, καί καταφυγή τών ψυχών ημών.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τα Τυπικά, οι Μακαρισμοί, και εκ τών Κανόνων του Αγίου η γ’ και ς’ ωδή.

Απόστολος

Προκείμενον Ήχος βαρύς

Τίμιος εναντίον Κυρίου ο θάνατος τών οσίων αυτού.
Στίχ. Τί ανταποδώσωμεν τώ Κυρίω περί πάντων, ών ανταπέδωκεν ημίν.

Πρός Εφεσίους Επιστολής Παύλου το Ανάγνωσμα.
Εφ. 5,8-19

Αδελφοί, ως τέκνα φωτός...

Αλληλούϊα Ήχος α'

Οι Ιερείς σου Κύριε ενδύσονται δικαιοσύνην καί οι όσιοί σου αγαλλιάσονται.
Στίχ. Ότι εξελέξατο Κύριος τήν Σιών.

Ευαγγέλιον
Εκ τού κατά Ματθαίον
4,25-5,12

Τώ καιρώ εκείνω, ηλοκούθησαν τώ Ιησού...

Κοινωνικόν

Εις μνημόσυνον αιώνιον έσται δίκαιος. Αλληλούϊα.

Μεγαλυνάρια

Ώφθης Εκκλησίας νέος αστήρ, εν εσχάτοις χρόνοις, τή οσια σου βιοτή, όθεν καταυγάζεις, πιστών τας διανοίας, ταίς νοηταίς ακτίσι Πάτερ Νεκτάριε.

Χάριτι θαυμάτων παρά Χριστού, λαμπρώς εδοξάσθης, μετά τέλος σου το σεπτον, όθεν των λειψάνων, η θήκη σου πηγάζει, ιάματα ποικίλα Πάτερ τοίς πάσχουσι.

Φύλαττε και σκέπε την σην Μονήν, Νεκτάριε Πάτερ, την τιμώσαν σε ευλαβώς, και αεί ευλόγει, την νήσον τής Αιγίνης, και πάσαν την Ελλάδα τή αντιλήψει σου.

Απόλυσις

---

Αρχή

## ΤΗ Ι’ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Αποστόλων Ολυμπά, Ροδίωνος, Σωσιπάτρου, Τερτίου, Εράστου καί Κουάρτου καί τού Αγίου Μάρτυρος Ορέστου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς’ καί ψάλλομεν Στιχηρά

Προσόμοια.

Τών Αποστόλων

Ήχος α'
Πανεύφημοι Μάρτυρες
Κόσμου τά πληρώματα καθά, αετοί υπόπτεροι, περιφανώς περιθέοντες, Ιεροκήρυκες, τούς εζωγρημένους, υπό τού αλάστορος, ειλκύσατε πρός πίστιν αμώμητον, διό πρεσβεύσατε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Τέρτιον Σωσίπατρον φωναίς, ιεραίς τιμήσωμεν, καί Ολυμπάν καί Ροδίωνα, σύν τούτοις Έραστον, τόν ιερομύστην, καί τόν θείον Κούαρτον, δοξάζοντας Χριστόν τόν Θεόν ημών, καί ικετεύοντας, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Έθνη προσηγάγετε Χριστώ, τώ Θεώ Μακάριοι, λελυτρωμένα τώ αίματι, τού ευδοκήσαντος, επί γής τεχθήναι, καί σταυρόν καί θάνατον, θελήσει υπομείναντ10ς πάνσοφοι, ώ νύν πρεσβεύσατε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Καί τού Μάρτυρος   όμοια
Ορέστα πανόλβιε βαφαίς, τού ιδίου αίματος, σαυτώ πορφύραν επέχρωσας, ήν στολισάμενος, καί τής νίκης στέφος, επαναδησάμενος, Χριστώ τώ αθανάτω παρίστασαι, όν καθικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Πυρί τών αγώνων σου Σοφέ, πλάνην κατενέπρησας, καί ταίς σταγόσι τού αίματος, εχθρόν εβύθισας, παρατάξεις πάσας, καί πιστών κατήρδευσας, καρδίας βλαστανούσας ευσέβειαν, καί νύν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Όρθρος εξανέτειλας αυγαίς, καταστράπτων άπασαν, τήν οικουμένην τών άθλων σου, Ορέστα ένδοξε, Αθλητών τό κλέος, καί τής άθεότητος, τό σκότος εκδιώκων τή χάριτι, διό ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.
Δόξα... Καί νύν... Θεοτοκίον
Χαίρε ξένον άκουσμα Αγνή, χαίρε ξύλον άγιον, τού Παραδείσου θεόφυτον, χαίρε εξάλειψις, πονηρών δαιμόνων, χαίρε ξίφος δίστομον, εχθρού τήν κεφαλήν αποτέμνουσα, τώ ξένω τόκω σου, Παναγία υπεράμωμε, ξενωθέντας, ημάς ανακάλεσαι.
Η Σταυροθεοτοκίον
Τόν ίδιον άρνα η αμνάς, καί άμωμος Δέσποινα, εν τώ Σταυρώ ως εώρακεν, είδος ουκ έχοντα, ουδέ κάλλος, Οίμοι! θρηνωδούσα έλεγε, πού σου τό κάλλος έδυ γλυκύτατε; πού η ευπρέπεια; πού η χάρις η αστράπτουσα, τής μορφής

σου, Υιέ μου παμφίλτατε;

Καί η λοιπή τού Εσπερινού Ακολουθία, καί Απόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν τού Ψαλτηρίου, λέγομεν ίνα Κανόνα τής Οκτωήχου, καί τών Αγίων τους δύο παρόντας.

Ο Κανων τών Αποστόλων, ού η Ακροστιχίς.

Θεηγόρους Μαθητάς υμνώ συντόνως. Ιωσήφ.

Ωδή α' Ήχος α'

«Σού ή τροπαιούχος δεξιά, θεοπρεπώς εν ισχύϊ δεδόξασται, αυτηγάρ αθάνατε, ως πανσθενής, υπεναντίους έθραυσε, τοίς Ισραηλίταις, οδόν βυθού καινουργήσασα».

Θείοι πεφυκότες Μαθηταί, τού σαρκωθέντος δι' οίκτον Θεού ημών, τούτον δυσωπήσατε, αμαρτιών δωρήσασθαι συγχώρησιν, τοίς επιτελούσιν, υμών τήν μνήμην Μακάριοι.

Έσοπτρα Θεού φωτοειδή, χωρητικά τών αυτού διαδόσεων, ώφθητε μακάριοι, πάσι πιστοίς αγαθοδότως νέμοντες, τάς σωτηριώδεις, αυγάς θεόπται Απόστολοι.

Ηύγασαν τοίς πάσι φωτισμόν, απαυγασμάτων πηγάς αρυσάμενοι, Έραστος καί Τέρτιος, καί Ολυμπάς, Ροδίων καί Σωσίπατρος, άμα τώ Κουάρτω, ούς ευσεβώς μακαρίσωμεν.

Θεοτοκίον

Γένος τό ανθρώπινον τή σή, κυοφορία Παρθένε ανέπλασας, Λόγον γάρ εκύησας, τόν τού Πατρός σάρκα θνητήν φορέσαντα, καί αθανασίας, οδούς ημίν υποδείξαντα.

Ο Κανών τού Μάρτυρος, ού η Ακροστιχίς.

Τούς σούς, Ορέστα Μάρτυς, άθλους αινέσω.

Ωδή α' Ήχος β'

«Δεύτε λαοί, άσωμεν άσμα Χριστώ τώ Θεώ, τώ διελόντι θάλασσαν, καί οδηγήσαντι, τόν λαόν όν ανήκε, δουλείας Αιγυπτίων, ότι δεδόξασται».

Ταίς θεϊκαίς, καταστραπτόμενος πάντοτε, μαρμαρυγαίς Πανεύφημε, τήν φωτοφόρον σου εορτήν τούς τιμώντας, καταύγασον, καί σκότους δεινών απάλλαξον.

Ο τού Χριστού, θείός σε πόθος εξέκαυσε, καί δυνατόν ειργάσατο, τήν ευκατάπρηστον, καταφλέγοντα ύλην, τής ειδωλομανίας, Μάρτυς πανάριστε.

Υπομονή, καί καρτερία διήλεγξας, τούς παρανόμους σέβειν σε, καταναγκάζοντας, Αθλοφόρε, Ορέστα, έργα χειρών ανθρώπων, άψυχα ξόανα.

Θεοτοκίον

Σέ τού Θεού, τό καθαρώτατον σκήνωμα, καθικετεύω Άχραντε, τήν σπιλωθείσάν μου, ηδοναίς ακαθάρτοις, καθάρισον καρδίαν, τή μεσιτεία σου.

## Τών Αποστόλων

### Ωδή γ’

«Ο μόνος ειδώς τής τών βροτών, ουσίας τήν ασθένειαν, καί συμπαθώς αυτήν μορφωσάμενος, περίζωσόν με εξ ύψους δύναμιν, τού βοάν σοι, Άγιος, ο τής δόξης Κύριος, ο ανείκαστος εν αγαθότητι».

Οι λόγον ώς λύχνον νοητόν, προσφέροντες Απόστολοι, θεοπειθώς τήν πάσαν κτίσιν διήλθετε, τό ταύτης σκότος αποδιώκοντες, καί υιούς δεικνύοντες, τού φωτός εν χάριτι, τούς νυκτί αγνωσίας δουλεύοντας.

Ρημάτων υμών προφητικώς, εις πάσαν εξελήλυθε, τήν οικουμένην φθόγγος σωτήριος, καί η τών έργων λαμπρά επίδειξις, πάσαν γήν επέδραμε, ψυχάς μεταπλάττουσα, θεηγόροι Κυρίου Απόστολοι.

Οικήσαν ψυχαίς υμών σοφοί, τό Πνεύμα τό Πανάγιον, θεοειδείς διόλου ειργάσατο, εντεύθεν κόσμον περιερχόμενοι, ναούς κατεστρέψατε, τών ειδώλων χάριτι, καί Θεώ εκκλησίας εδείμασθε.

Θεοτοκίον

Υιόν τού Πατρός μονογενή, αμήτορα τό πρότερον, εκ σού τεχθέντα γνόντες απάτορα, Θεού Μητέρα ομολογούμέν σε, απαθώς κυήσασαν, καί Παρθένον μείνασαν, υπέρ λόγον Μαρία θεονυμφε.

## Τού Μάρτυρος

### Εν πέτρα με τής πίστεως

Σθενούμενος, δυνάμει τού Παρακλήτου, παρέστης τώ δικάζόντι παρανόμως, καί τούτον τή τών λόγων σου δυναστεία, Παμμάκαρ ήσχυνας, καί ψάλλων έλεγες, Ως ούκ έστιν Άγιος, πλήν σου Κύριε.

Ο λόγος σου, τώ βίω λελαμπρυσμένος, ο βίος σου τώ λόγω πεπυρσευμένος, πολλούς πρός φώς μετήγαγον ευσεβείας, Μάρτυς πολύαθλε, μεθ’ ών καί έψαλλες, Ως Ουκ έστιν Άγιος, πλήν σου Κύριε.

Υψούμενον, τόν άνομον απονοία, κατέρραξας ανδρεία καί καρτερία, υψώθης δέ πρός Κύριον Αθλοφόρε, ‘ Ορέστα ένδοξε, καί ψάλλων έλεγες, Ως ούκ έστιν Άγιος, πλήν σου Κύριε.

Θεοτοκίον

Συνέλαβες, εν μήτρα σου Θεομήτορ, τόν Πλάστην σου καί Κύριον τών απάντων, καί τούτον απεκύησας υπέρ λόγον, σάρκα γενόμενον, διό σοι κράζομεν, Ως ούκ έστιν άχραντος, πλήν σου Δέσποινα.

Ο Ειρμός

«Εν πέτρα με, τής πίστεως στερεώσας, επλάτυνας τό στόμα μου επ’ εχθρούς μου, ηύφράνθη γάρ τό πνεύμά μου εν τώ ψάλλειν, Ούκ έστιν Άγιος, ως ο Θεός ημών, καί ουκ έστι δίκαιος, πλήν σου Κύριε».

Κάθισμα τών Αποστόλων

Ήχος α’  Τόν τάφον σου Σωτήρ

Εράστου Ολυμπά, Σωσιπάτρου Τερτίου, Ροδίωνος ομού, καί Κουάρτου τήν μνήμην, συμφώνως τιμήσωμεν, πρός αυτούς ανακράζοντες, θείοι Κήρυκες, καί υπηρέται τού Λόγου, τάς ψυχάς ημών, αιωνιζούσης βασάνου, ευχαίς υμών ούσασθε.

Δόξα… Τού Μάρτυρος

Ήχος δ’  Ο υψωθείς

Τήν τών μελών αποκοπήν καρτερήσας, καί τού πυρός τήν χαλεπήν τιμωρίαν, μαρτυρικώς ηγώνισαι πανόλβιε, στέφος ανεπλέξω δέ, αφθαρσίας παμμάκαρ, θρόνω παριστάμενος, τής Αγίας Τριάδος, ήν εκδυσώπει ρύσασθαι κακών, Μάρτυς Ορέστα, τούς πίστει υμνούντάς σε.

Καί νύν… Θεοτοκίον

Τών ακαθάρτων λογισμών μου τά πλήθη, καί τών ατόπων εννοιών τάς νιφάδας, τίς εξειπείν δυνήσεται Πανάμωμε; τάς επαναστάσεις δέ, τών ασάρκων εχθρών μου, τίς εκδιηγήσεται, καί τήν τούτων κακίαν, Αλλά τή σή πρεσβεία Αγαθή, τούτων μοι πάντων, τήν λύτρωσιν δώρησαι.

Η Σταυροθεοτοκίον

Τόν εξ ανάρχου τού Πατρός γεννηθέντα, η επ’ εσχάτων σε σαρκί τετοκυία, επί Σταυρού κρεμάμενον ορώσά σε Χριστέ, Οίμοι! ποθεινότατε, Ιησού ανεβόα, πώς ο δοξαζόμενος, ως Θεός υπ’ Αγγέλων, υπό ανόμων νύν βροτών Υιέ, θέλων σταυρούσαι; Υμνώ σε Μακρόθυμε.

Τών Αποστόλων

Ωδή δ’

«Όρος σε τή χάριτι, τή θεία κατάσκιον, προβλεπτικοίς ό Αββακούμ, κατανοήσας όφθαλμοίς, εκ σού εξελεύσε σθαι, τού Ισραήλ προανεφώνει τόν Άγιον, εις σωτηρίαν ημών καί ανάπλασιν».

Στηρίγματα τοίς πάλαι, αστηρίκτοις γενόμενοι, ανεμοχλεύσατε υμών θεοπαρόχοις διδαχαίς, εχθρού οχυρώματα παντοδαπά, καί αφανεία δεδώκατε, θεοειδείς τού Σωτήρος Απόστολοι.

Μεγάλως Χριστού, τά μεγαλεία κηρύττοντες, τούς σμικρυνθέντας παντελώς, μεγαλοκήρυκες βροτούς, μεγάλως φωτίσαντες, περιφανείς τώ μεγαλείω τής χάριτος, απετελέσατε θείοι Απόστολοι.

Αινείσθω ενθέοις, Ολυμπάς μελωδήμασι, καί ό Ροδίων σύν αυτώ, μεγαλυνέσθω ευσεβώς, τόν δρόμον τελέσαντες μαρτυρικώς, σύν Πέτρω τώ θεοκήρυκι, επί τής Ρώμης τάς κάρας τεμνόμενοι.

Θεοτοκίον

Θαυμάτων επέκεινα, απάντων πανάμωμε, τό επί σοί καινουργηθέν, θαύμα εδείχθη εμφανώς, Θεόν γάρ εκύησας σωματικώς, βροτοίς δι' οίκτον ενούμενον, εν άσυγχύτω ενώσει Θεόνυμφε.

## Τού Μάρτυρος

### Ελήλυθας εκ Παρθένου

Ουκ έσεισαν, τής ψυχής σου τόν πύργον συρρεύσαντες, βασάνων οι χείμαρροι, Μάρτυς Ορέστα μακάριε, πέτρα γάρ εστήρικτο, τής τού Κυρίου αγάπης αξιάγαστε.

Ρημάτων σου, αντιβλέψαι τώ φέγγει ο τύραννος, νυκτί πορευόμενος, τής αγνωσίας ουκ ίσχυσεν, όθεν καταικίζων σε, υιόν φωτός καί ημέρας απειργάσατο.

Ενεύρου σε, Ιησούς ο Χριστός θεία χάριτι, βασάνοις θλιβόμενον, καί αικισμοίς δαπανώμενον, καί κατατεινόμενον, ανηλεώς Αθλοφόρε παναοίδιμε.

Θεοτοκίον

Σέ Άχραντε, Αββακούμ όρος γράφει κατάσκιον, έξ ού επεδήμησε, μόνος ο Λόγος σαρκούμενος, άνθρωπος γενόμενος, υπερβολή ευσπλαγχνίας ο φιλάνθρωπος.

## Τών Αποστόλων

### Ωδή ε'

«Ο φωτίσας τή ελλάμψει τής σής παρουσίας Χριστέ, καί φαιδρύνας τώ Σταυρώ σου τού κόσμου τά πέρατα, τάς καρδίας φώτισον φωτί, τής σής θεογνωσίας, τών ορθοδόξως υμνούντων σε».

Η σοφία τού Πατρός η τό πάν ουσιώσασα, διδασκάλους εις τόν κόσμον υμάς εξαπέστειλεν, εν σοφία Πνεύματος, καί αληθείας επιδείξει, πάντας ενθέως φωτίζοντας.

Τό τού λόγου επιβάλλοντες Πάνσοφοι άγκιστρον, ανιμάσθε εκ βυθού αγνωσίας εν χάριτι, τούς ιχθύων πέλοντας, αφωνοτέρους καί Κυρίω, πεπιστευκότας προσήξατε.

Αινέσωμεν, Ολυμπάν καί τόν μέγαν Ροδίωνα, καί Τέρτιον καί Σωσίπατρον άμα καί Έραστον, καί τόν θείον Κούαρτον, τούς Χριστοκήρυκας καί πάντων, τών ευσεβών αντιλήπτορας.

Θεοτοκίον

Συνέλαβες διά λόγου τόν Λόγον Πανάμωμε, καί έτεκες υπέρ λόγον γενόμενον άνθρωπον, Θεοτόκε Δέσποινα, διό σε λόγοις θεοπνεύστοις, διαπαντός μακαρίζομεν.

Τού Μάρτυρος

Ο φωτισμός, τών εν σκότει

Τοίς ραβδισμοίς, συντριβόμενος Μάκαρ, άπαν τό σώμα, έστης ως αδάμας ευσθενεστάτην, τήν καρτερίαν ενδεικνύμενος πίστει, καί κραυγάζων Ορέστα Ένδοξε, Έτερον εκτός σου, Θεόν ουκ επίσταμαι.

Αφανισμώ, τούς Θεούς τών Ελλήνων σύ παραπέμψας, ταίς ιερωτάταις σου πρός τόν Κτίστην, ευχαίς Ορέστα, αικισμούς καθυπέστης, σφοδροτάτους καταικιζόμενος, καί τήν τής σαρκός σου, δοράν αφαιρουμενος.

Τριαδικόν

Μίαν αρχήν, τρισυπόστατον σέβων μίαν ουσίαν, μίαν κυριότητα καταγγέλλων, τής υπερθέου καί ακτίστου Τριάδος, ψευδωνύμους Θεούς συνέτριψας, καί τούς τών ειδώλων, ναούς κατηδάφισας.

Θεοτοκίον

Ανατολής, τού Ηλίου τής δοξης Μήτηρ εδείχθης, Κόρη επί δύσιν τής ανθρωπίνης, γεγεννημένου απωσμένης ουσίας, καί τους πάντας καταφωτίζοντος, πάντας εκ νυκτός τών δεινών απαλλάττοντος.

Τών Αποστόλων

Ωδή ς'

«Εκύκλωσεν ημάς εσχάτη άβυσσος, ουκ έστιν ο ρυόμενος, ελογίσθημεν ως πρόβατα σφαγής, Σώσον τόν λαόν σου ο Θεός ημών, σύ γάρ ισχύς, τών ασθενούντων καί επανόρθωσις».

Υπέρτιμοι ως λίθοι κυλιόμενοι, εν γή κατεκυλίσατε, πρός ευσέβειαν τούς γνώμη πονηρά, λίθοις αναισθήτοις επιθύοντας, θεοειδείς, τού Λόγου μυσται μακαριώτατοι.

Μονάδα εν τρισί προσώποις άτμητον, ασύγχυτον κηρύττοντες, τήν πολύθεον εξήρατε εκ γής, πλάνην απλανείς Χριστού Απόστολοι, καί τούς δεινώς, πεπλανημένους καθωδηγήσατε.

Νοήμασι τερπνοίς ανοηταίνοντας, τούς άφρονας οι έμφρονες, εβεβαίωσαν Θεώ παμβασιλεί, μόνω προσανέχειν κτίσιν άπασαν, ταίς θεϊκαίς, φωτοχυσίαις

καταφαιδρύνοντι.

Θεοτοκίον

Ως άλλον ουρανόν τού πρώην Δέσποινα, δειχθείσαν υψηλότερον, σέ δοξάζομεν τόν Ήλιον ημίν, τής δικαιοσύνης ανατείλασαν, καί τό βαθύ, τής αγνωσίας σκότος διώξασαν.

Τού Μάρτυρος

Εν αβύσσω πταισμάτων

Ραντισμώ τών πανσέπτων αιμάτων σου, λύθρον εναγές απεπαύθη τοίς δαίμοσι, φρενοβλαβώς φερόμενον, Αθλοφόρε Χριστού γενναιότατε.

Τών ψυχών ιατρόν καί σωμάτων σε, Μάρτυς ευμοιρήσαντες παθών λυτρουμεθα, καί πειρασμών καί θλίψεων, εύπροσδέκτοις καί θείαις πρεσβείαις σου.

Υφαντόν εκ τής άνωθεν χάριτος, εν τή απεκδύσει τού σώματος ένδυμα, απολαβων εγύμνωσας, δυσμενών παρατάξεις Πανόλβιε.

Θεοτοκίον

Συμπαθείας με θείας αξίωσον, τόν ασυμπαθή καί κακία κρατούμενον, καί ηδοναίς προσκείμενον, Παναγία Παρθένε Θεονυμφε.

Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, Εκ φθοράς ο Θεός με ανάγαγε».

Κοντάκιον τών Αποστόλων

Ήχος α' Χορός Αγγελικός

Τριάδος τής σεπτής, εκηρύξατε πίστιν, πολύθεον σοφοί, τών ειδώλων απάτην, εκ μέσου ποιήσαντες, ταίς σεπταίς διδαχαίς υμών, όθεν εύρατε, τήν αμοιβήν τών καμάτων, αιωνίζουσαν, εν ουρανοίς τούς στεφάνους, λαβόντες Απόστολοι.

Συναξάριον

Τή Ι' τού αυτού μηνός, Μνήμη τών Αγίων Αποστόλων εκ τών εβδομήκοντα, Ολυμπά, Ροδίωνος, Σωσιπάτρου, Τερτίου, Εράστου καί Κουάρτου.

Στίχοι

Εξάδα μυστών τού Λογου υμνώ λόγοις,
Λόγω βροτούς λύσαντας εξ αλογίας.
Εξάς Αποστολέων δεκάτη βίον εξεπέρησεν.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Ορέστου.

Στίχοι

Αθλητικών, Ορέστα, σών ιππασμάτων,
Νικητικά βραβεία πολλά προσδόκα.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Θεοστηρίκτου τού εν Συμβόλοις, καί τού Οσίου Πατρός ημών Νόνου Επισκόπου, τού κατηχήσαντος τήν Αγίαν Πελαγίαν.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Μαρτίνου Επισκόπου.

Στίχοι

Βίου διαστάς, ού βραχυς τις ο δρόμος,
Τόν πρός πόλον Μαρτίνος έδραμε δρόμον.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Μίλου Επισκόπου, καί τών δύο μαθητών αυτού.

Στίχοι

Έκτειναν εχθροί σύν δυσί μύσταις Μίλον,
Σφαγή μέν αυτόν, τούς δέ μύστας τοίς λίθοις.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Καλλιοπίου, Νίρου, καί Ωρίωνος.

Στίχοι

Ξίφει τράχηλον, Καλλιόπιε, κλίνας,
Κάλλος θεωρείς ακλινώς Θεού Λόγου.
Υπήρξεν ημίν η κεφαλή σου, Νίρε,
Θείου κεφαλή Μάρτυρος διά ξίφους.
Κάν ζών εβλήθη Μάρτυς εις γήν Ωρίων,
Υπέρ τόν Ωρίωνα λάμπει τού πολου.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός ελέησον καί σώσον ημάς. Αμήν.

Τών Αποστόλων

Ωδή ζ'

«Σέ νοητήν, Θεοτόκε κάμινον, κατανοούμεν οι πιστοί, ως γάρ Παίδας έσωσε τρείς ο υπερυψούμενος, όλον με τόν άνθρωπον, εν τή γαστρί σου ανέπλασεν, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος».

Σέ ιερον, οικονόμον Έραστε, τής Εκκλησίας τού Χριστού, τής εν τή ιερουσαλήμ, γράφων ανεκήρυττε, Παύλος ο Απόστολος, μεθ' ού τιμώντές σε ψάλλομεν, Ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Υπομονή, πειρασμών καί θλίψεων, καί διωγμών δοκιμασθείς, καί τοίς στίγμασι τού Χριστού, εγκαλλωπιζόμενος, Έραστε πανολβιε, μεγαλοφώνως εκραύγαζες, Ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Νόμου καινού, ανεδείχθης Κούαρτε, καταγγελεύς τής παλαιάς, ανομίας προσαφιστών, τούς αλλοτριόφρονας, καί πρός ανακαίνισιν, ζωής μετάγων

κραυγάζοντας, Ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Θεοτοκίον

Τόν τού Πατρός Λόγον συναΐδιον, εμφανισθέντα τοίς βροτοίς, εσωμάτωσας καί σαρκί, Κόρη απεκύησας, άνθρωπον γενόμενον, διά τό σώσαι τόν άνθρωπον, τόν αινετόν τών Πατέρων, Θεόν καί υπερένδοξον.

Τού Μάρτυρος

Εικόνος χρυσής

Αιμάτων κρουνοίς, αθεϊας τήν πυράν εναποσβέσας, όμβροις θαυμάτων Αξιάγαστε, τούς εκτακέντας τοίς πάθεσι, πάντοτε δροσίζεις βοώντας, καί πιστώς αναμέλποντας, Ευλογητός ει ο Θεός, ο τών Πατέρων ημών.

Θαυμάτων βυθός, ιαμάτων ποταμός κρήνη προχέουσα, πάσαν υγείαν πάσαν άφεσιν, τών λυπηρών αναδέδεικται, Μάρτυς αθλοφόρε Ορέστα, η σωρός τών λειψανων σου, ήν προσκυνούντες ευσεβώς, σέ μακαρίζομεν.

Λυθείς τών παθών, τών τού σώματος σοφέ διά βασάνων, ζώω δεσμείσαι απαγόμενος, καί ωμοτάτως συρόμενος, όθεν τής σαρκός απελύθης, καί Θεώ καθαρώτερον, καί τελεώτερον σαυτόν, Μάρτυς συνέδησας.

Θεοτοκίον

Ο φύσει Θεός, φύσιν είληφεν εκ σού Αγνή βροτείαν, καί σάρξ ωράθη υπέρ έννοιαν, διά πολλήν αγαθότητα, σώσαι βουληθείς τούς ανθρώπους, όν υμνούντες κραυγάζομεν, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Τών Μαρτύρων

Ωδή η’

«Εν καμίνω παίδες Ισραήλ, ως εν χωνευτηρίω, τώ κάλλει τής εύσεβείας, καθαρώτερον χρυσού, απέστιλβον λέγοντες, Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Οι αρραγείς πύργοι τής Χριστού, δειχθέντες Εκκλησίας, κατέστρεψαν δυσσεβείας τείχη, άπαντας πιστούς, ως λίθους δομήσαντες, επί πέτραν τού θεμελίου Χριστού τής Εκκλησίας, όν υπερυψούτε, εις πάντας τούς αιώνας.

Νομοθέται ώφθητε υμείς, τού Πνεύματος τόν νόμον, εγγράφοντες εν καρδίαις, Παμμακάριστοι πιστών, δι’ ού φωτιζόμενοι ανεβόων, Πάντα τά έργα Κυρίου τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ωραιώθης Μάκαρ Ολυμπά, καθ’ ήν ημέραν Πέτρος, ο μέγας τέλος εδέξατο, σαφώς τελειωθείς, άμα τώ Ροδίωνι διά ξίφους, Νέρωνος προστάξει ανομου βασιλέως, καί ταίς ουρανίαις, συνήφθητε χορείαις.

Θεοτοκίον

Στάμνος πάλαι φέρουσαν Αγνή, ετύπου σε τό μάννα, Χριστόν γάρ τόν

γλυκασμόν, ημών εβάστασας γαστρί, καί σαρκί εκύησας, εξαιρούντας πάσης πικρίας, ατόπων εγκλημάτων, τούς υπερυψούντας, αυτόν εις τούς αιώνας.

Τού Μάρτυρος

Τόν εν καμίνω τού πυρός

Υπέρ τήν πρόσκαιρον ζωήν, τήν αιώνιον σοφέ επιποθήσας, τής θνησκούσης Ορέστα, καί φθειρομένης σαρκός, ουδόλως εφείσω πανόλβιε, όθεν τάς βασάνους, υπέμεινας γενναίως.

Σέ τό αρνίον τού Χριστού, ώσπερ λύκος πονηρός κατασπαράττων, αικισμοίς ο διώκτης, θύμα δεκτόν ιερόν, καί θείον ειργάσαντο σφάγιον, άξιον τής άνω, Δεσποτικής τραπέζης.

Άρμα τού Λόγου γεγονώς, εποχούμενον αυτόν έσχες Παμμάκαρ, όθεν δεθείς αλόγοις απαγωγή πονηρά, συρμώ τε βιαίω εξέπνευσας, καί πρός τήν αγήρω, νύσσαν έφθασας χαίρων.

Θεοτοκίον

Ιερωτάταις σε φωναίς, προκατήγγειλαν Θεού σεπτοί Προφήται, εσομένην Μητέρα, ξενοπρεπεί τοκετώ, τού πάντων κτισμάτων δεσπόζοντος, όθεν σε υμνούμεν, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Τόν εν καμίνω τού πυρός, τών Εβραίων τοίς Παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον, μεταβαλόντα Θεόν, υμνείτε τά έργα ώς Κύριον, καί υπερυψούτε εις πάντας τούς αιώνας».

Τών Αποστόλων

Ωδή θ’

«Τύπον τής αγνής λοχείας σου, πυρπολουμένη βάτος, έδειξεν άφλεκτος, καί νύν καθ’ ημών, τών πειρασμών αγριαίνουσαν, κατασβέσαι αιτούμεν τήν κάμινον, ίνα σε Θεοτόκε, ακαταπαύστως μεγαλύνωμεν».

Ίσον δρόμον διανύσαντες, , ίσον πρός τού Δεσπότου λόγον πλουτήσαντες, ίσων δωρεών αξιωθέντες τού Πνεύματος, καί βραβείων τών ίσων ετύχετε, Απόστολοι Κυρίου, φωταγωγοί τών καρδιών ημών.

Ώσπερ ουρανοί κατάστεροι, θεοσημείαις πάσαν γήν εφωτίσατε, σκότος τό βαθύ τής αγνωσίας διώξαντες, καί ημέρας υιούς αναδείξαντες, τούς πάλαι δουλωθέντας, ταίς μεθοδείαις τού αλάστορος.

Στίφος δυσμενών ώλέσατε, τή απωλεία πάλαι παραπεμψάμενοι, έθνη καί λαούς, δή μον Θεώ δέ προσήξατε, σεσωσμένον πληθύϊ ενούμενον, Δυνάμεων αϋλων, πανευκλεείς σοφοί Απόστολοι.

Ήρθη πρός τά υπερκόσμια, ο, Ολυμπάς ο μέγας καί ο Σωσίπατρος, Τέρτιος ομού καί ο Ροδίων καί Κούαρτος, καί ο Έραστος ο ιερώτατος, καί νύν υπέρ τού κόσμου, τόν Λυτρωτήν καθικετεύουσιν.

Θεοτοκίον

Φείσαι τού λαού σου Κύριε, επιδρομής βαρβάρων ημάς λυτρούμενος, καί αμαρτιών καί πειρασμών καί κολάσεως, αιωνίου ευχαίς τής τεκούσης σε, Παρθένου παναγίας, καί τών ενδόξων Αποστόλων σου.

Τού Μάρτυρος

Τόν εκ Θεού Θεόν Λόγον

Νενικηκώς τούς τυράννους, μετά πλείστας βασάνους, μετήλθες πρός Θεόν περιχαρώς, νίκης βραβεία δεξάμενος, ως οπλίτης γενναίος, ως μέγας αριστεύς, ως εκλεκτός τού Χριστού στρατιώτης, Ορέστα παμμακάριστε.

Εν ουρανοίς συγχορεύεις, τοίς Αγγέλοις παμμάκαρ, καί μέλπεις σύν αυτοίς χαρμονικώς, Άγιος, Άγιος, Άγιος, Πατήρ ο παντοκράτωρ, Υιός ο ομοούσιος Πατρί, καί τό Άγιον Πνεύμα, Τριάς η παντοδύναμος.

Συναγελάζων χορείαις, Αποστόλων Μαρτύρων, Οσίων Προφητών ιεραρχών, Μάρτυς σύν τούτοις δεήθητι, τοίς τιμώσί σε πόθω, δοθήναι ιλασμόν αμαρτιών, καί παντοίων κινδύνων, Ορέστα απολύτρωσιν.

Θεοτοκίον

Ως τού Κυρίου Μητέρα, Χερουβίμ υπερτέραν, πανάχραντε Παρθένε δυσωπώ, Τής ταλαιπώρου καρδίας μου, τά επώδυνα πάθη, θεράπευσον καί ρύσαί με πυρός, εν ημέρα τής δίκης, τόν καταδίκης άξιον.

Ο Ειρμός

«Τόν εκ Θεού Θεόν Λογον, τόν αρρήτω σοφία ήκοντα καινουργήσαι τόν Αδάμ, βρώσει φθορά πεπτωκότα δεινώς, εξ αγίας Παρθένου, αφράστως σαρκωθέντα δι’ ημάς, οι πιστοί ομοφρόνως, εν ύμνοις μεγαλύνομεν».

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Ροδίων καί Σωσίπατρος, καί Ολυμπάς καί Τέρτιος, καί Έραστος σύν Κουάρτω, νύν παρ’ ημών κατά χρέος, λαμπρώς ανευφημείσθωσαν, ώς τού Χριστού Απόστολοι, καί Μαθηταί πρεσβεύοντες, υπέρ ημών τών τελούντων, τήν ιεράν αυτών μνήμην.

Θεοτοκίον

Μαρία καθαρώτατον, χρυσούν θυμιατήριον, τής αχωρήτου Τριάδος, δοχείον όντως εγένου, εν ώ Πατήρ ηυδόκησεν, ο δέ Υιός εσκήνωσε, καί Πνεύμα τό Πανάγιον, επισκιάσαν σοι Κόρη, ανέδειξε Θεοτόκον.

Εις τόν Στίχον, τά Στιχηρά τής Οκτωήχου.

Καί τά λοιπά τού Όρθρου, καί Απόλυσις.

Αρχή

**ΤΗ ΙΑ’ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τών Αγίων Μαρτύρων Μηνά, Βίκτωρος καί Βικεντίου, καί τής Αγίας Μάρτυρος Στεφανίδος, καί τού Οσίου Πατρός ημών καί Ομολογητού Θεοδώρου τού Στουδίτου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς’ καί ψάλλομεν Στιχηρά Προσόμοια τών Μαρτύρων.

Ήχος πλ. δ’
Ώ τού παραδόξου θαύματος

Πάθος Μηνά εκμιμούμενος, τού απαθούς σεαυτόν, ώς αρνίον παρέδωκας, πρός σφαγήν εκούσιον, Αθλοφόρε πανεύφημε, θυμόν αρχόντων ούκ εδειλίασας, σαρκός αικίσεις ού κατενάρκησας, Ώ τών αγώνων σου, καρτεράς ενστάσεως! δι’ ών πρός γήν, Μάρτυς καταβέβληκας, τόν υπερήφανον.

Μάστιξι καταξαινόμενος, καί επί ξύλου ως πρίν, ο Δεσπότης τεινόμενος, καί σιδήρω πάντοθεν, τάς πλευράς δαπανώμενος, ουκ εξηρνήσω Χριστού τό όνομα, πρός τούτο έχων ψυχής τά όμματα, ώ συντονώτατα, ατενίζων Άγιε, τά τής σαρκός, έφερες επίπονα, Μηνά μακάριε.

Μάρτυς Μηνά παναοίδιμε, σύ τήν τού κόσμου αχλύν, καί στρατείαν επίκηρον, καί ειδώλων σκότωσιν, ασεβών τε συνέδρια, τή αγαπήσει Χριστού κατέλιπες, στρατολογία συναριθμούμενος, τών εκλετών αυτού, όθεν καί αήττητος, παναληθώς, Μάρτυς ανεδέδειξαι, υπέρ αυτού εναθλών.

Καί τού Οσίου, όμοια

Πάτερ αληθώς φερώνυμε, τάς υπέρ νούν δωρεάς, ουρανόθεν δεξάμενος, ευσεβώς μετέδωκας, τοίς ποθούσι Θεόδωρε, καί πλεονάσας μάκαρ τό τάλαντον, ευλογημένης φωνής ακήκοας, ένδον καλούσης σε, τού νυμφώνος, ένθα νύν, περιπολείς, θρόνω τού Παντάνακτος, εμφανιζόμενος.

Πάτερ Πατέρων Θεόδωρε, σύ Μοναζόντων πληθύν, τώ Χριστώ προσενήνοχας, σωτηρίας αίτιος, γεγονώς χριστομίμητος, διδασκαλίαις αγλαϊζόμενος, καί προστασίαις ψυχών κοσμούμενος, στόμα δεικνύμενος, τού Κυρίου πάνσοφε, προφητικώς, ώ νύν παριστάμενος, ημών μνημόνευε.

Χάρις δαψιλής τού Πνεύματος, ιερομύστα σαφώς, εξεχύθη σοίς χείλεσι, καί πηγήν ανέβλυσε, διδαγμάτων Θεόδωρε, τής ευσεβείας δείξασα πρόμαχον, τής αληθείας σφοδρόν συνήγορον, στύλον εδραίωμα, ορθοδόξου πίστεως, μοναδικού, βίου ακριβέστατον, κανόνα πάνσοφε.

Δόξα... Ήχος πλ. β’ Βυζαντίου

Πάλιν ημίνη ετήσιος μνήμη, τών τού κόσμου φωστήρων ανέτειλε, Μηνά τε καί Βίκτωρος καί Βικεντίου, τών πιστών τάς καρδίας φωτίζουσα, τοίς υπέρ Χριστού διά σταυρού αυτών αγωνίσμασι, διό τόν εν δόξη καί τιμή στεφανώσαντα αυτούς, Χριστόν τόν Θεόν ημών, εν ύμνοις τιμήσωμεν.

Καί νύν... Θεοτοκίον

Τριήμερος ανέστης

Μεγάλων χαρισμάτων αγνή, Παρθένε μόνη Μήτηρ Θεού, ηξιώθης, ότι έτεκες σαρκί, τόν ένα τής Τριάδος, Χριστόν τόν ζωοδότην, εις σωτηρίαν τών ψυχών ημών.

Η Σταυροθεοτοκίον

Λαόν τόν ανομώτατον, αδίκως καθηλούντά σε, επί ξύλου, η Παρθένος καί αγνή, καί Μήτηρ σου ορώσα, ως Συμεών προέφη, τά σπλάγχνα Σώτερ επιτρώσκετο.

Εις τόν Στίχον, Στιχηρά προσόμοια τών Μαρτύρων.

Ήχος δ'

Ως γενναίον εν Μάρτυσιν

Τοίς τριβολοις κεντούμενος, τοίς βουνεύροις τυπτόμενος, τώ πυρί τό σώμά σου δαπανώμενος, ουκ εξηρνήσω τό όνομα, Χριστού τό σωτήριον, ουχ ηττήθης λογισμώ ού ξοάνοις επέθυσας, αλλά γέγονας, εθελόθυτον θύμα καί θυσία, καθαρά τε καί τελεία, Μάρτυς Μηνά τώ Δεσπότη σου.

Στίχ. Θαυμαστός ο Θεός εν τοίς αγίοις αυτού ο Θεός Ισραήλ αυτός δώσει δύναμιν καί κραραίωσιν τώ λαώ αυτού ευλογητός ο Θεός.

Ο φθαλμούς εκκεντούμενος, καί εν ξύλω κρεμάμενος, καί λαμπάσι πάντοθεν φλογιζόμενος, καί απηνεία δικάζοντος, τά νεύρα τεμνόμενος, καί τώ ξίφει κεφαλήν, αφαιρούμενος έχαιρες, Βίκτωρ ένδοξε, Αθλητά τού Σωτήρος ο νικήσας, τού εχθρού τάς παρατάξεις, τή συνεργεία τού Πνευματος.

Στίχ. Τοίς Αγίοις τοίς εν τή γή αυτού εθαυμάστωμεν πάντα τά θέλημα αυτού εν αυτοίς.

Εστεφάνωσε Κύριος, τών χαρίτων στεφάνω σε, Στεφανίς πολύαθλε, έ κουσίως γάρ, σαυτήν βασάνοις εκδέδωκας, ψυχής γενναιότητι, προσδεθείσα δέ δυσίν, εμερίσθης τοίς φοίνιξι, καί επέτασας, πρός Θεόν ώς στρουθίον τό σαρκίον, εν χερσί καταλιπούσα, τών θηρατών αξιάγαστε.

Δόξα... Ήχος πλ. β'

Όσιε Πάτερ, εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος τών κατορθωμάτων σου, δι' ών εν τοίς ουρανοίς, εύρες μισθόν τών καμάτων σου, τών δαιμόνων ώλεσας τάς φάλαγγας, τών Αγγέλων έφθασας τά τάγματα, ών τόν βίον αμέμπτως εζήλωσας, Παρρησίαν έχων πρός Χριστόν τόν Θεόν, ειρήνην αίτησαι ταίς ψυχαίς ημων.

Καί νύν… Θεοτοκίον

Τριήμερος ανέστης

Τό όμμα τής καρδίας μου, εκτείνω πρός σέ Δέσποινα, μή παρίδης, τόν πικρόν μου στεναγμόν, Εν ώρα όταν κρίνη, ο σός Υιός τόν κόσμον, γενού μοι σκέπη καί βοήθεια.

Η Σταυροθεοτοκίον

Ορώσά σε σταυρούμενον, Χριστέ η σέ κυήσασα, ανεβόα, Τί το ξένον ο ορώ, μυστήριον Υιέ μου; πώς επί ξύλου θνήσκεις, σαρκί κρεμάμενος, ζωής χορηγέ;

Απολυτίκιον τού Αγίου Μηωά

Ήχος δ' Ταχύ προκατάλαβε

Στρατείαν κατέλιπες τήν κοσμικήν, αθλητά, ουράνιον είληφας τήν κληρουχίαν, σόφε, καί στέφος αμάραντον, δόξαν αποδιώξας βασιλέως γηϊνου, άθλους δέ διανύσας μαρτυρίου γενναίου. Διό, μεγαλομάρτυς Μηνά, πρέσβευε σωθήναι ημάς.

Τών Μαρτύρων

Ήχος δ' Ταχύ προκατάλαβε

Οι Μάρτυρές σου, Κύριε, εν τή αθλήσει αυτών, στεφάνους εκομίσαντο τής αφθαρσίας, εκ σού τού Θεού ημών, σχόντες γάρ τήν ισχύν σου, τούς τυράννους καθείλον, έθραυσαν καί δαιμόνων, τά ανίσχυρα θράση, Αυτών ταίς ικεσίαις, Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

Καί τού Οσίου Ήχος πλ. δ'

Ορθοδοξίας οδηγέ, ευσεβείας διδάσκαλε καί σεμνότητος, τής οικουμένης ο φωστήρ, τών Μοναζόντων θεόπνευστον εγκαλλώπισμα, Θεόδωρε σοφέ, ταίς διδαχαίς σου πάντας εφώτισας, Λύρα τού Πνεύματος, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ήμών.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, αναγινώσκονται οι Κανόνες, εις τής Οκτωήχου, καί οι παρόντες δύο τών Αγίων.

Ο Κανών τών Μαρτύρων, ού ή Ακροστιχίς.

Ωδή α' Ήχος δ'

«Ανοίξω τό στόμα μου, καί πληρωθήσεται Πνεύματος, καί λόγον ερεύξομαι, τή Βασιλίδι Μητρί, καί οφθήσομαι, φαιδρώς πανηγυρίζων, καί άσω γηθομενος, ταύτης τά θαύματα».

Τιμώντι τήν μνήμην σου, καί τούς γενναίους αγώνάς σου, Μηνά παναοίδιμε, αίγλην εξ ύψους μοι, φωτοδότιδα, πεμφθήναι εκδυσώπει, τό νέφος διώκουσαν τής αγνωσίας μου.

Ιδείν εφιέμενος, αθανασίαν τήν μέλλουσαν, θανείν τιμωρούμενος, Μάρτυς

ηγάπησας, τού τόν θάνατον, θανάτω καθελόντος, τό παθος μιμούμενος, Μηνά Μακάριε.

Μή φέρων Αοίδιμε, Θεόν οράν υβριζόμενον, εμάκρυνας όρεσιν, ενδιαιτώμενος, καί πρός άθλησιν, σαυτόν καί πρός αγώνας, γυμνάζων ούς ήνυσας, γνώμης στερρότητι.

Θεοτοκίον

Ως έμψυχος τράπεζα, άρτον χωρείς τής ζωής ημών, ως βάτος βαστάσασα, ού κατεφλέχθης τό πύρ, καί ώς άμπελος, απότιστος βλαστάνεις, τόν βότρυν Πανάμωμε, τόν αγεώργητον.

## Ο Κανών τού Οσίου, έχων Ακροστιχίδα

Τόν κλεινόν Θεόδωρον εν άσμασι τοίσδε γεραίρω. Θεοφάνους.

### Ωδή α' Ήχος πλ. δ'

«Αρματηλάτην Φαραώ εβύθισε, τερατουργούσα ποτέ, Μωσαϊκή ράβδος, σταυροτύπως πλήξασα, καί διελούσα θάλασσαν, Ισραήλ δέ φυγάδα, πεζόν οδίτην διέσωσεν, άσμα τώ Θεώ αναμέλποντα».

Ταίς φωτοβόλοις αστραπαίς τού Πνεύματος, καταλαμπόμενος, ολολαμπής στύλος, Πάτερ εχρημάτισας, καθοδηγών θεσπέσιε, πρός τήν γήν θεοφρόνως, επαγγελίας τούς σπεύδοντας, μύστα τών αρρήτων Θεόδωρε.

Ολοσχερώς ταίς ανενδότοις νεύσεσι, πρός τόν Θεόν εκδημών, πρό τελευτής ώφθης, ζωηφόρον νέκρωσιν, ενδεδυμένος Όσιε, καί ζωήν τήν αγήρω, νύν επαξίως απείληφας, Πάτερ θεοφόρε Θεόδωρε.

Νενικηκώς τά τών παθών σκιρτήματα, τάς τών τυράννων ορμάς, νεανικώς Μάκαρ, πάσας εξεφαύλισας, πεπαρρησιασμένη ψυχή, τού Χριστού τήν εικόνα, τιμάν διδάσκων Θεόδωρε, καί τά τών Αγίων μορφώματα.

Κεκαθαρμένη διανοία πάνσοφε, ταίς θεοπνεύστοις Γραφαίς, προσομιλών πλούτον, αρετών συνήθροισας, καί ευσεβείας δόγματα, θεωρίαν πλουτήσας, καί βίου μάκαρ λαμπρότητα, λάμψας αμφοτέρωθεν Όσιε.

Θεοτοκίον

Λόγον Θεού σωματωθέντα τέτοκας, τόν πρίν ασώματον, θεανδρικώς κόσμω, συναναστρεφόμενον, υπερφυώς πανάμωμε, Θεοτόκε Παρθένε, διό σε πάντες γεραίρομεν, τήν μετά Θεόν προστασίαν ημών.

## Τών Μαρτύρων

### Ωδή γ'

«Ουκ εν σοφία καί δυνάμει καί πλούτω καυχώμεθα, αλλ’ εν σοί τή τού Πατρός, ενυποστάτω σοφία Χριστέ, ού γάρ εστιν άγιος, πλήν σου Φιλάνθρωπε».

Σεσοβημένος, τοίς πανσόφοις σου λόγοις ο τύραννος, σέ μαστίζει αφειδώς, ωμοίς βουνεύροις οιόμενος, τούτοις κατακάμπτειν σε, Μηνά μακάριε.

Ενατενίζων, νοεροίς οφθαλμοίς πρός τόν Κύριον, τής σαρκός τά δυσαχθή, βασάνων βάρη υπέφερες, γνώμης γενναιότητι, Μηνά θαυμάσιε.

Μή δειλιάσας, τών βασάνων τό λίαν επίπονον, πνέων ζήλου θεϊκού, πρός τούς αγώνας εχώρησας, κράζων, Μή ζητούμενος, ήλθον αυτοκλητος.

Θεοτοκίον

Άδου πυλών με, ο εκ σού σαρκωθείς ανηγάγετο, ξύλου βρώσει πονηρά, θανατωθέντα Πανάμωμε, θάνατον εκούσιον, καταδεξάμενος.

Τού Οσίου

Ο στερεώσας κατ’ αρχάς

Νενευρωμένος τού Χριστού, Παμμάκαρ τή παντευχία, τών πληγών τάς αλγηδόνας υπέστης, μαστιζόμενος δεινώς, καί σκότει καθειργνύμενος, ως κοινωνός δέ πάθους, καί βασιλείας γεγένησαι.

Θεοφορούμενος σαφώς, καί ζήλω πεπυρσευμένος, τάς βεβήλους διδαχάς τών αφρόνων, διαλέλυκας ταίς σαίς, διδασκαλίαις Πάνσοφε, τήν εκ Θεού χάριν, Θεόδωρε κατεπλούτησας.

Εν θεωρίαις πρακτικός, εν πράξεσι θεολόγος, εχρημάτισας Θεόδωρε Πάτερ, ασκητής διδακτικός, Ιερομάρτυς ένδοξος, ορθοδοξίας στύλος, τής Εκκλησίας εδραίωμα.

Θεοτοκίον

Ο συναΐδιος Πατρί, καί Πνεύματι Θεός, Λόγος, αναπλάσαι βουληθείς τόν γενάρχην, καθ’ υπόστασιν αυτόν, εκ σού Αγνή συνέλαβεν, αγιωτέραν πάντων, σέ θεομήτορ ευράμενος.

Ο Ειρμός

«Οστερεώσας κατ’ αρχάς, τους ουρανούς εν συνέσει, καί τήν γήν επί υδάτων εδράσας, εν τή πέτρα με Χριστέ, τών εντολών σου στήριξον, ότι ουκ έστι πλήν σου, Άγιος μόνε φιλάνθρωπε».

Κοντάκιον τού Οσίου

Ήχος β’ Τά άνω ζητών

Τόν ασκητικόν, ισάγγελόν τε βίον σου, τοίς αθλητικοίς, εφαίδρυνας παλαίσμασι, καί Αγγέλοις σύσκηνος, θεομάκαρ ώφθης Θεόδωρε, σύν αυτοίς Χριστώ τώ Θεώ, πρεσβεύων απαύστως υπέρ πάντων ημών.

Κάθισμα τού Μάρτυρος
Ήχος πλ. δ’ Τήν Σοφίαν

Η τό πρίν αγνωσίας σκότει δεινώ, κρατουμένη θεόφρον, Μάρτυς Μηνά, Αίγυπτος ανέτειλε, σέ φωστήρα παγκόσμιον, αθεϊας νύκτα, συντόνως ελαύνοντα, ταίς βολίσι Μάκαρ, τών θείων αγώνων σου, όθεν τήν φωσφόρον, καί σεπτήν σου ημέραν, φαιδρώς εορτάζοντες, εκτενώς σοι κραυγάζομεν, Αθλητών εγκαλλώπισμα, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα… Τού Οσίου
Ήχος γ’ Θείας πίστεως

Θεία δόγματα καταπλουτήσας, πίστιν έσωσας Ορθοδοξίας, προκινδυνεύσας υπέρ ταύτης Θεόδωρε, εν εξορίαις αθλήσας καί μάστιξιν, εν φυλακαίς καρτερήσας τήν κάκωσιν, Πάτερ Όσιε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Καί νύν… Θεοτοκίον

Θεία γέγονας σκηνή τού Λόγου, μόνη Πάναγνε Παρθενομήτορ, τή καθαρότητι Αγγέλους υπερέχουσα, τόν υπέρ πάντας εμέ γούν γενόμενον, ρερυπωμένον σαρκός πλημμελήμασιν, αποκάθαρον πρεσβειών σου ενθέοις νάμασι, παρέχουσα Σεμνή τό μέγα έλεος.

Η Σταυροθεοτοκίον

Η αμίαντος αμνάς τού Λόγου, η ακήρατος Παρθενομήτορ, εν τώ Σταυρώ θεασαμένη κρεμάμενον, τόν εξ αυτής ανωδίνως βλαστήσαντα μητροπρεπώς θρηνωδούσα εκραύγαζεν, Οίμοι τέκνον μου! πώς πάσχεις θέλων ρύσασθαι, παθών τής ατιμίας τόν άνθρωπον.

Τών Μαρτύρων

Ωδή δ’

«Ο καθήμενος εν δόξη, επί θρόνου θεότητος, εν νεφέλη κούφη, ήλθεν Ιησούς ο υπέρθεος, τή ακηράτω παλάμη, καί διέσωσε, τούς κραυγάζοντας, Δόξα Χριστέ τή δυνάμει σου».

Ραντισμώ σου τών αιμάτων, κατεσβέσθησαν άνθρακες, τής πολυθεϊας, φάλαγξ τών δαιμόνων βεβύθισται, η τού Χριστού Εκκλησία, κατηρδεύθη δέ, Αθλοφόρε παμμάκαρ, Μηνά αξιάγαστε.

Τή εν ξύλω αναρτήσει, εικονίζεις τό πάθημα, τού Σταυρού τόν όφιν, Μάρτυς τόν πικρόν θανατώσαντος, τούς δέ ξεσμούς υπομένεις, προξενούντάς σοι, απολαύσεις, τάς εν ουρανοίς γενναιότατε.

Υπέρ φύσιν αλγηδονων, Αθλητά πείραν έλαβες, ο γάρ θείος έρως, σού κατακρατήσας τής φύσεως, λήθην Μηνά ενεποίει, ερεθίζων σε, επεκτείνεσθαι, πρός αικισμούς αγαλλόμενον.

Θεοτοκίον

Σαρκωθέντα απορρήτως, τόν Θεόν απεκύησας, εκ τών σών αιμάτων, οίκον

εαυτώ δομησάμενον, τόν εν δυσί ταίς ουσίαις καί θελήσεσι, γνωριζόμενον, θεοπρεπώς Απειρόγαμε.

Τού Οσίου

Σύ μου ισχύς

Δώρον Θεού, δέδοσαι κόσμω φερώνυμε, ταίς πλουσίαις, χάρισι λαμπόμενος, ώς τήν πηγήν, έχων αληθώς, τών απαυγασμάτων, τών τή δε μάκαρ Θεόδωρε, εντεύθεν Διδασκάλων, Ασκητών καί Μαρτύρων, συγχορεύειν τοίς δήμοις ηξίωσαι.

Ω τής στερράς, καί καρτεράς σου εντάσεως! ή τυράννων, θράσος κατεπάτησας, δι' ής σαφώς, σύ τήν υπέρ νούν, τής αγαθαρχίας εσχάτην μακαριότητα, κατέλαβες θεόφρον, ασωμάτοις συμψάλλων, Τή δυνάμει σου δόξα Φιλάνθρωπε.

Ρήμα Θεού, σοί ενοικήσαν φανότατα, τών δογμάτων, πάνσοφε Θεόδωρε, τούς ποταμούς βρύει δαψιλώς, οίς νύν εντρυφώντες, οι φοιτηταί σου θεόπνευστε, βοώμεν ευχαρίστως, εν φωναίς ασιγήτοις, Τή δυνάμει σου δόξα Φιλάνθρωπε.

Θεοτοκίον

Όλον εν σοί, ανακαινίζει τόν άνθρωπον, όλως όλω, Πάναγνε ενούμενος, ο πατρικούς, κόλπους μή λιπών, καί τήν σήν γαστέρα, οικήσαι καταδεξάμενος, ο πλούτω ευσπλαγχνίας, εκουσίως πτωχεύσας, καί πλουτήσας τόν κόσμον θεότητι.

Τών Μαρτύρων

Ωδή ε'

«Ασεβείς ουκ όψονται, τήν δόξαν σου Χριστέ, αλλ' ημείς σέ Μονογενές, Πατρικής απαύγασμα δόξης θεότητος, εκ νυκτός ορθρίζοντες, ανυμνούμέν σε Φιλάνθρωπε».

Μαρτυρίου ήστραψας, φαιδρώς μαρμαρυγαίς, αμαυρώσας τήν ζοφεράν, αθεΐαν πάνσοφε, καί κατεφώτισας, τών πιστών πληρώματα, Αθλητά Μηνά πανεύφημε.

Η φανίσθη άπασα, επίνοια εχθρών, τή στερρά σου υπομονή, ου λιμός ου μάστιγες, ουδέ κατάφλεξις, ου τριβόλων κάκωσις, σού τό πρόθυμον ημαύρωσε.

Θεοτοκίον

Νεουργεί φθαρέντα με, τικτόμ, ένος εκ σού, υπέρ φύσιν ο λυτρωτής, παλαιάς κατάρας με, εκλυτρωσάμενος, Θεομήτορ άχραντε, όν ικέτευε σωθήναι ημάς.

Τού Οσίου

Ινατί με απώσω

Νούν ψυχήν τε καί σώμα, λόγω καθηράμενος, ναός πανέντιμος, τού Θεού τών όλων, εχρημάτισας Πάτερ Θεόδωρε, εόωδίας θύμα, όλον σαυτόν Χριστώ προσφέρων, ιερεύς καί θυσία γενόμενος.

Ελλαμπόμενος μάκαρ, αίγλη τή τού Πνεύματος, πάσιν απήστραψας, θεολόγω γλώσση, τής Τριάδος τό φέγγος τό άχραντον, τής σαρκώσεώς τε, τής υπέρ νούν τού Θεού Λόγου, τό απόρρητον Πάτερ μυστήριον.

Νοερώς τοίς Αγγέλοις, νύν συναυλιζόμενος, Χριστόν δυσώπησον, τών παθών ρυσθήναι, καί κινδύνων τούς σέ μακαρίζοντας, καί τήν σήν τιμώντας, πανευκλεή καί θείαν μνήμην, παμμακάριστε μάκαρ Θεόδωρε.

Θεοτοκίον

Ανεκφράστω Παρθένε, τρόπω ενοικήσας σοι, άνθρωπος γίνεται, ο πρό τών αιώνων, εκ Πατρός αναλάμψας τόν δ’ άνθρωπον, εκ φθοράς λυτρούται, καί πρός ζωήν καί αφθαρσίαν, επανάγει ως μόνος φιλάνθρωπος.

Τών Μαρτύρων

Ωδή ς’

«Εβόησε, προτυπών τήν ταφήν τήν τριήμερον, ο προφήτης, Ιωνάς εν τώ κήτει δεόμενος, Εκ φθοράς με ρύσαι, Ιησού Βασιλεύ τών Δυνάμεων».

Ανάλγητος, διαμένεις πυρί δαπανώμενος, καί τριχίνοις, τάς πλευράς προστριβόμενος ράκεσιν, η γάρ θεία χάρις, συμπαρούσα Μηνά σε ενίσχυσε.

Παρίστασο, πρό βημάτων τυράννων κρινόμενος, καί τήν πλάνην, στηλιτεύων Μηνά παναοίδιμε, σεαυτόν δέ στήλην, ευσεβείας πιστοίς παρεχόμενος.

Ιδρωτί σου, τών αφώνων τήν πλάνην εξήρανας, τών ειδώλων, σεαυτόν δέ ναόν ωκοδόμησας, τής σεπτής Τριάδος, Αθλοφόρε Μηνά αξιάγαστε.

Θεοτοκίον

Ιάτρευσον, τά ανίατα πάθη Πανάμωμε, τής ψυχής μου, τή μοτώσει τής σής αγαθότητος, αγαθόν Σωτήρα, τόν Χριστόν τοίς εν κόσμω κυήσασα.

Τού Οσίου

Ιλάσθητί μοι

Σωφρόνως σου τήν ζωήν, Θεόδωρε μάκαρ ήνυσας, δικαιοσύνη σαφώς, ανδρεία φρονήσει τε, τερπνότατον όχημα, αρετών ηρμόσω, σεαυτώ θεόφρον, Όσιε.

Μυρίζουσιν ευπρεπώς, δογμάτων οι θείοι λόγοι σου, καί εκ βυθού τών κακών, αιρέσεων άπαντας, ανάγουσι Πάνσοφε, τής όρθοδοξίας, πρός

μετάρσιον ακρότητα.

Ανέτειλέ σοι τό φώς, καί τούτου Πάτερ η σύζυγος, νύν ευφροσύνη σαφώς, ως φοίνιξ γάρ ήνθησας, Παμμάκαρ Θεόδωρε, καί καθάπερ κέδρος, επληθύνθης αξιάγαστε.

Θεοτοκίον

Σωθείημεν διά σού, θεογεννήτορ Πανάμωμε, καί τύχοιμεν αληθώς, τής θείας ελλάμψεως, Θεοτόκε Άχραντε, τού εκ σού αφράστως, σαρκωθέντος Υιού τού Θεού.

Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

Κοντάκιον τού Μάρτυρος

Ήχος δ'   Επεφάνης σήμερον

Τής στρατείας ήρπασε, τής επικήρου, καί αφθάρτου έδειξε, σέ Αθλοφόρε κοινωνόν, Μηνά Χριστός ο Θεός ημών, ο τών Μαρτύρων ακήρατος στέφανος.

Ο Οίκος

Μεγάλης πρόξενος ημίν, υπάρχει θυμηδίας, η μνήμη τών Μαρτύρων, κατά παθών ανδρείαν, καί αριστείαν κατ' εχθρών επιδεικνυμένη, εν φαιδρά καί προσηνεί ομολογίας χάριτι, Δεύτε ούν εν ταύτη, φιλέορτοι πάντες ευφρανθώμεν, τής προσκαίρου ευφροσύνης τήν κρείτονα καί τελεωτέραν, Μηνά τού Αθλητού τήν μνήμην τελούντες, καί λαμβάνοντες παθών δώρον τήν λύσιν, τούτων δέ δοτήρ, Χριστός ο Θεός υπάρχει, ο τών Μαρτύρων ακήρατος στέφανος.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΑ' τού αυτού μηνός, Μνήμη τού Αγίου Μεγαλομάρτυρος Μηνά τού εν τώ Κοτυαείω.

Στίχοι

Αίγυπτος όντως, ειτέκοι, τίκτει μέγα.
Τμηθείς αληθές τούτο Μηνάς δεικνύει.
Μηνάς ενδεκάτη έτλη ξίφος γηθόσυνος κήρ.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Βίκτωρος.

Στίχοι

Ού δειλιών ήν ουδέ Βίκτωρ πρός ξίφος,
Πάσαν μακράν που καρδίας θείς δειλίαν.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Βικεντίου Διακόνου.

Στίχοι

Βληθείς ο Βικέντιος εν φρουρά φέρει.
Λυθείς δέ φρουράς σαρκικής άνω τρέχει.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος Στεφανίδος.

Στίχοι

Δένδροις Στεφανίς προσδεθείσα φοινίκων,
Τών Μαρτύρων ήνθησεν ως φοίνιξ μέσον.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Πατρός ημών Θεοδώρου, Ηγουμένου τού Στουδίου.

Στίχοι

Πολλάς αμοιβάς, Θεόδωρε Τρισμάκαρ,
Βίου μεταστάς, ως βιούς εύ, προσδόκα.

Τού Αγίου καί μακαρίου Μαξίμου τού διά Χριστόν Σαλού, τού εν Μόσχα θαυματουργού Ρώσσου.

Ταίς αυτών Αγίαις πρεσβείαις, ο Θεός ελέησον ημάς. Αμήν.

Τών Μαρτύρων

Ωδή ζ'

«Ο διασώσας εν πυρί, τούς Αβραμιαίους σου Παίδας, καί τούς Χαλδαίους ανελών, οις αδίκως δικαίους ενήδρευσαν, υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων, ευλογητός εί».

Συναπεβάλου ταίς πληγαίς, συ τούς δερματίνους χιτώνας, τής αμαρτίας, καί στολήν ενεδύσω μηκέτι παλαίωσιν δεχομένην Μακάριε, ήν εξύφανεν η χάρις επιφανείσα.

Τή πυρπολήσει τών πολλών, Μάρτυς καί σεπτών σου αγώνων, η ακανθώδης πονηρά, αθεϊα τεφρούται αιμάτων τε, ταίς ροαίς αποσβέννυται, αγνωσίας επηρμένη πυρά Παμμάκαρ.

Έχων αφθόνους δωρεάς, καί θαυματουργίας πηγάζεις, τοίς τήν σεπτήν σου εορτήν, εκτελούσι Μηνά αξιάγαστε, καί συμπράττεις τοίς ψάλλουσιν, ο Θεός ο τών Πατέρων, ευλογητός εί.

Θεοτοκίον

Ευλογημένος ο καρπός, τής ευλογημένης γαστρός σου, όν ευλογούσιν ουρανών, αι Δυνάμεις βροτών τε συστήματα, ο ημάς λυτρωσάμενος, τής κατάρας τής αρχαίας Ευλογημένη.

Τού Οσίου

Θεού συγκατάβασιν

Ιδών ο προγνώστης σου, τής διανοίας τήν καθαρότητα, λογικών σε προβάτων, καθηγεμόνα Πάτερ προβάλλεται, ώ νύν παμμάκαρ, κραυγάζεις Θεόδωρε, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Τό θείον εικόνισμα, μορφής τρισμάκαρ τής ανθρωπίνης Χριστού, προσκυνών διετέλεις, τοίς θεομάχοις αντιταττόμενος, μέχρι θανάτου, καί ψάλλων Θεόδωρε, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Ο λόγος σου άλατι, διηρτυμένος ώφθη Θεόδωρε, καί ο βίος σου Πάτερ, λελαμπρυσμένος αίγλη τού Πνεύματος, ώ νύν αστράπτων, βοάς αγαλλόμενος, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Ιδού νύν πεπλήρωται, Δαυϊδ τού θείου η θεία πρόρρησις, λιτανεύουσιν όντως, τώ σώ προσώπω Θεογεννήτορ Αγνή, οι κεκτημένοι τόν πλούτον τής χάριτος, καί ευλογούσι Θεόν, τόν τών Πατέρων ημών.

Τών Μαρτύρων

Ωδή η'

«Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν, Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωράθης ώς άρτος εν τώ μέσω, πυράς απτομένης εξοπτώμενος, θύμα ως αμώμητον, τέλειον ως σφάγιον, ως ιερείον έμψυχον, ολοκαυτούμενος, καί θείαν ευωδίαν εκπέμπων, ήν Θεός ωσφράνθη, Μηνά Θεού θεράπον.

Συρόμενος Μάρτυς καί τριβόλοις, οξέσι κεντούμενος συνέτριψας, κέντρα τού αλάστορος, ξίφει δέ τεμνόμενος, ως εν εκτάσει πίστεως, όπλοις διέκοψας, ανόμων κεφαλάς Αθλοφόρε, μέλπων, ευλογείτε, Χριστόν εις τούς αιώνας.

Λυθείς τής σαρκός πληγή τού ξίφους, στοργή συνεδέθης τελειότερον, Μάρτυς τού Δεσπότου σου, πρόσωπον πρός πρόσωπον, νύν δέ οράς Θεούμενος, Μηνά καί μέλπεις αυτώ, Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Οικεί εν γαστρί σου υπέρ λόγον, ο λόγω δημιουργήσας κτίσιν άπασαν, βρέφος καθοράται δέ, σού αποτικτόμενος, ό πρό αιώνων άχραντε, εκ τού Πατρός γεννηθείς, όν πάσα ευλογεί καί δοξάζει, κτίσις Θεοτόκε, εις πάντας τούς αιώνας.

Τού Οσίου

Επταπλασίως κάμινον

Σεσοβημένους έδειξας, θεοφόρε Θεόδωρε, τούς εφευρετάς τών δυσσεβών αιρέσεων, διδάσκων τήν άχραντον, τιμητικώς εικόνα Χριστού, σέβειν προσκυνείν τε, καί τιμάν θεοφρόνως, καί μέλπειν τώ Δεσπότη, ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τους αιώνας.

Διά παντός τού βίου σου, θεοφόρε Θεόδωρε, τής ορθοδοξίας, οδηγός γεγένησαι, φωστήρ φαεινότατος, θεοειδής διδάσκαλος, τύπος Μοναστών, καί ακριβής νομογράφος, διδάσκων αναμέλπειν, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Επί τής γής ηγώνισαι, ευσεβείας διδάσκαλος, καί τής αληθείας, αψευδής συνήγορος, Παμμάκαρ γενόμενος, εν ουρανοίς δέ δώρον Θεού, τής δικαιοσύνης ανεδήσω στεφάνους, τόν δρόμον εκτελέσας, καί τήν πίστιν τηρησας, Χριστόν δοξολογήσας, εις πάντας τούς αιώνας.

Γνώσει τόν νούν ελάμπρυνας, σωφροσύνη τήν έφεσιν, καί τό θυμικόν δέ τή ανδρεία έζωσας, ιθύνας Θεόδωρε, δικαιοσύνη πάνσοφε, ιεροπρεπώς τάς ψυχικάς σου δυνάμεις, συμφώνως αναμέλπων, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Ευλογημένη Δέσποινα, τής ψυχής μου τά τραύματα, καί τής αμαρτίας, τάς ουλάς εξάλειψον, Θεόν η κυήσασα, τών επί πάντων Κόρη αγνή, εκ παρθενικής απειρογάμου νηδύος, όν Παίδες ευλογούσιν, ιερείς ανυμνούσι, λαός υπερυψούσιν, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τυραννος, τοίς θεοσεβέσιν, εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, τόν Δημιουργόν, καί λυτρωτήν ανεβόα, οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

## Τών Μαρτύρων

### Ωδή θ’

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν εύλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν».

Γή σου νύν τό σώμα τό στερρόν, Μακάριε, εναθλήσαν κατεκάλυψε, φέρει τό πνεύμα ουρανός δέ, σύν πνεύμασι Μαρτύρων γηθόμενον, καί φαιδροτάτη δόξη λαμπόμενον, όθεν σε πάντες μακαρίζομεν.

Οικείς μετ’ Αγγέλων εν φωτί, ισάγγελον πολιτείαν ασπασάμενος, βλέπεις νοϊ κεκαθαρμένω, Μηνά τήν τού Κυρίου τερπνότητα, πλουσίως ταίς εκείθεν λαμπόμενος, φωτοχυσίαις αξιάγαστε.

Ιδών τόν ποθούμενον Χριστόν, πανεύφημε απολαύεις τής Θεώσεως, έστης τού πόθου επιφθάσας, Μηνά τών εφετών τό ακρότατον, ημών δέ μνημονεύεις τών πόθω σου μνήμην τελούντων τήν πανίερον.

Θεοτοκίον

Σαρκί καθ’ υπόστασιν ημίν εκύησας, Θεόν Λόγον Μητροπάρθενε, όθεν κυρίως Θεοτόκον, καρδία σε καί γλώσση κηρύττοντες, φωνήν σοι τού Γαβριήλ προσφθεγγόμεθα, Χαίρε βοώντες πάντων Δέσποινα.

Τού Οσίου

Εξέστη επί τούτω

Ροαίς σου τών δακρύων ως Ασκητής, καί πηγαίς τών αιμάτων ως Μάρτυς Χριστού, εκλαμπρυνθείς, λάμπεις εκατέρωθεν τηλαυγώς, δικαιοσύνην Όσιε, περιβεβλημένος ως ιερεύς, τών θείων ανακτόρων, χορεύων ενδοτάτω, περί Θεόν Πάτερ Θεόδωρε.

Αγίως σου τόν δρόμον διαδραμών, εν Αγίων αγίοις σκηνώμασι, νύν κατοικείς, στέφος αφθαρσίας απειληφώς, καί βασιλείας ένδυμα, μεγαλοπρεπές τε καί ιερόν, εν οις ηγλαϊσμένος, Θεόδωρε παρέστης, τώ σώ Δεσπότη αγαλλόμενος.

Ιδείν κατηξιώθης τών αγαθών, τήν πηγήν θεοφόρε Θεόδωρε, ως μετελθών, βίον ενθεώτατον αληθώς, καί τής τού κόσμου σχέσεως, διά πολιτείας ειλικρινούς, τόν νούν ελευθερώσας, καί Μάρτυς στεφηφόρος, γεγενημένος ώφθης άριστος.

Ρημάτων σου ο φθόγγος δώρον Θεού, επί πάσας η κούσθη πανεύφημε, οια βροντή, τάς τής οικουμένης εσχατιάς, ως ποταμοί δέ βρύουσι, τών σών διδαγμάτων αι διδαχαί, Θεόδωρε διό σε, ως θείον θεηγόρον, νύν επαξίως μακαρίζομεν.

Θεοτοκίον

Ωράθης ώ Παρθένε Μήτηρ Θεού, υπέρ φύσιν τεκούσα εν σώματι, τόν αγαθόν, Λόγον εκ καρδίας τής εαυτού, όν ο Πατήρ ηρεύξατο, πάντων πρό αιώνων ως αγαθός, ό νύν καί τών σωμάτων, επέκεινα νοούμεν, εικαί τό σώμα περιβέβληται.

Ο Ειρμός

«Εξέστη επί τούτω ο ουρανός, καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξια, ρχίαι μεγαλύνουσιν».

Εξαποστειλάριον τών Μαρτύρων

Ο ουρανόν τοίς άστροις

Τούς ουρανούς αστέρες, κατακοσμούσιν Οικτίρμον, τήν εκκλησίαν Μηνάς δέ, Βίκτωρ, Βικέντιος κοσμεί, καί Στεφανίς, δι’ ών σώσον, ημάς τούς σέ ανυμνούντας.

Τού Οσίου

Υπέρ τών θείων εικονων, υπέμεινας πάσαν θλίψιν, βασάνους καί εξορίας, διό διπλούν καί τό στέφος, εκ δεξιάς τού Υψίστου, εδέξω Όσιε Πάτερ.

Θεοτοκίον

Εν σοί πανάχραντε Κόρη, εθεωρήθησαν όντως, αι τού Κυρίου πορείαι, καί τούς βροτούς οδηγούσιν, ένθα χορείαι Αγγέλων, καί πάντων Αγίων δήμοι.

Εις τόν Στίχον τά στιχηρά τής Οκτωήχου.

Είτα λέγομεν.

Στίχ. Τοίς Αγίοις τοίς εν τή γή αυτού εθαυμάστωσεν ο Κύριος.

Καί ψάλλομεν τό παρόν ιδιόμελον Ήχος β'.

Δεύτε φίλαθλοι τήν τρισαυγή τών Μαρτύρων Τιμήσωμεν χορείαν, Μηνάν τε καί Βίκτωρα καί Βικέντιον, ότι αίματα έδωκαν, καί ωνήσαντο τήν αιώνιον ζωήν, διό καί καρτερικώς αντέλεγον τώ εφευρετή τών κακών, Ου προκρίνομεν τά φθαρτά τών αφθάρτων, ού στρατευόμεθα βασιλεί θνητώ γηϊνω, αλλά τώ ζώντι βασιλεί στρατευόμεθα, τώ αεί βοώντι τοίς πιστοίς, Ο πιστεύων εις εμέ κάν αποθάνη ζήσεται.

Δόξα... Ήχος α' Ανατολίου

Τόν αριστέα τού Χριστού, Μηνάν τόν αοίδιμον, συνελθόντες οι πιστοί, εγκωμίοις μαρτυρικοίς, καί ωδαίς πνευματικαίς ευφημήσωμεν, Ούτος γάρ τόν πρός εχθρούς αοράτους πόλεμον υπελθών, καί νομίμως αθλήσας, αξίως τό τής νίκης βραβείον εδέξατο, Καί νύν εν ουρανοίς μετ' Αγγέλων, χορεύων τήν ακατάλυτον χορείαν, αιτείται τή οικουμένη ειρήνην, καί τό μέγα έλεος.

Καί νύν… Θεοτοκίον

Πανεύφημοι Μάρτυρες

Φωτός ενδιαίτημα Αγνή, μόνη εχρημάτισας, τού εκ Πατρός αναλάμψαντος, όθεν κραυγάζω σοι, Τήν εσκοτισμένην, ψυχήν μου τοίς πάθεσι, φωτί τών αρετών καταφαίδρυνον, καί εν σκηνώμασι, φωτεινοίς σου κατασκήνωσον, εν ημέρα τής κρίσεως Άχραντε.

Η Σταυροθεοτοκίον

Σφαγήν σου τήν άδικον Χριστέ, η Παρθένος βλέπουσα, οδυρομένη εβόα σοι, Τέκνον γλυκύτατον, πώς αδίκως πάσχεις; πώς τώ ξύλω κρέμασαι, ο πάσαν γήν κρεμάσας τοίς ύδασι; Μή λίπης μονην με, ευεργέτα πολυέλεε, τήν μητέρα, καί δούλην σου δέομαι.

Καί τά λοιπά τού Όρθρου, καί απόλυσις.

---

Αρχή

## ΤΗ ΙΒ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού εν Αγίοις Πατρός ημών Ιωάννου τού Ελεήμονος, καί τού Οσίου Πατρός ημών Νείλου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις το, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τού Ιεράρχου.

Ήχος δ’
Έδωκας σημείωσιν

Εσκόρπισας έδωκας, τοίς δεομένοις τόν άρτον σου, Ιωάννη θαυμάσιε, έλεος μιμούμενος, τού συμπαθεστάτου Όσιε Δεσπότου, διό σου μένει αληθώς, εις τόν αιώνα η μνήμη Άγιε, ήν πίστει εορτάζοντας, ταίς σαίς πρεσβείαις περίσωζε, πειρασμών τε καί θλίψεων, ιεράρχα πανόλβιε.

Σού τήν καθαρότητα, καί τού νοός τήν ευθύτητα, καί τόν τρόπον τόν ένθεον, ο βλέπων τά κρύφια, κατιδών ανάγει, εις μέγιστον θρόνον, χρίσας τώ μύρω σε σοφέ, καί τελειώσας, καί ποίμνης οίακας, σαφώς εγχειρισάμενος, ήν πρός λιμένας ωδήγησας, τού ενθέου θελήματος, Ιωάννη θεσπέσιε.

Πάντα τά αιτήματα, τής σής καρδίας ο Κύριος, αξιάγαστε δέδωκε, πάσας γάρ ετήρησας, τάς νομοθεσίας, τάς σωτηριώδεις, τόν γάρ Θεόν ολοσχερώς καί τόν πλησίον θεομακάριστε, ως σεαυτόν ηγάπησας, καί δεομένοις επήρκεσας, διά τούτό σε σήμερον, Ιωάννη γεραίρομεν.

Τού Οσίου
Τί υμάς καλέσωμεν
Ήχος πλ. δ’

Τί σε νύν καλέσωμεν Άγιε; ποταμόν τής νοητής, εκπορευόμενον Εδέμ, οχετόν τών τού Θεού, χορηγουμένων δωρεών, πλημμύραν, διδαγμάτων τών τής χάριτος, κρατήρα, τής σοφίας καί τής γνώσεως, προσεκτικόν συντονώτατον, διδακτικόν πρακτικώτατον, ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Τί σε ονομάσωμεν Όσιε; γεωργόν τών αθανάτων, παμμακάριστε φυτών, φυτουργόν τού νοουμένου, Παραδείσου τών πιστών, νομίμων, θεοσδότων εμπειρότατον, δογμάτων, θεοπνεύστων επιστήμονα, ερμηνευτήν ευφυέστατον, καί παιδευτήν ικανώτατον, ικέτευε τού σωθήναι τάς ψυχάς ημών.

Τί σε νύν προσείπω θαυμάσιε; οριστήν τής συζυγίας, σωφροσύνης βραβευτήν, παιδευτήν τών Μοναζόντων, παρθενίας οδηγόν, δικαίως, αμφοτέροις ταλαντεύοντα, ως πείρα, διελθόντα τά εκάτερα, Πολλά τά σά πρστερή ματα, καί ένΘεός σου η άσκησις, ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Δόξα... Ήχος β’ Ανατολίου

Η τού ελέους πηγή, τοίς ενδεέσι πλημμυρεί, ευσυμπαθήτους οικτιρμούς, , Ιωάννης ο Χριστού μιμητής, ο μέγας ποιμήν τών Αλεξανδρέων καί φωστήρ, Δεύτε κορεσθώμεν οι πτωχοί κατά πνεύμα, μιμούμενοι αυτού τήν ιλαρότητα, φιλευσπλάγχνω γάρ στοργή, Χριστόν ξενίσας διά τών πενήτων, ως πάλαι Αβραάμ, τού μακαρισμού ηξιώθη, καί παρρησία πρεσβεύει, ελεηθήναι τάς ψυχάς ημών.

Καί νύν… Θεοτοκίον

Ότε, εκ τού ξύλου σε

Τί σοι, ο ταλαίπωρος εγώ, Δέσποινα τού κόσμου Προσοίσω; ει' μή δακρύων πηγάς, καί εξομολόγησιν τών πεπραγμένων μοι, αλλ' ιλέω σου όμματι, επίβλεψον Κόρη, επί τήν ασθένειαν, τής ταπεινής μου ψυχής, λύσον, τών παθών μου τά νέφη, καί τής κατεχούσης αχλύος, δέομαι απάλλαξον τόν δούλον σου.

Η Σταυροθεοτοκίον

Ξύλω τού Σταυρού σε, Ιησού, προσαναρτηθέντα ορώσα, η απειρόγαμος, έκλαιε καί έλεγε, Τέκνον γλυκύτατον, ίνα τί εγκατέλιπες, εμέ τήν τεκούσαν, μόνην φώς απρόσιτον, τού προανάρχου Πατρός;σπεύσον, καί δοξάσθητι όπως, δόξης επιτύχωσι θείας, οι τά θεία πάθη σου δοξάζοντες.

Εις τόν Στίχον.

Στιχ. Προσόμοια τού Ιεράρχου.

Ήχος πλ. α'

Χαίροις ασκητικών

Χαίροις τής Εκκλησίας φωστήρ, τής οικουμένης τό περίβλεπτον καύχημα, τό κλέος Αλεξανδρείας, ορθοδοξίας κρηπίς, εγκρατείας στάθμη καί ασκήσεως, λιμήν τών εν ζάλη, κινδυνευόντων η λύτρωσις, πύργος ισχύος, καί φρουρός ασφαλέστατος, νόμος έμπρακτος, ευποιϊας το πέλαγος, δότης ο ιλαρώτατος, ο πάσι τά πρόσφορα, νέμων πλουσίως Παμμάκαρ, τοίς σοί εν πίστει προστρέχουσι, Χριστόν εκδυσώπει, ταίς ψυχαίς ημών δοθήναι, τό μέγα έλεος.

Στίχ. Τίμιος εναντίον Κυρίου ο θάνατος τών οσίων αυτού.

Χαίροις ο τών πεινώντων τροφεύς, τών δεομένων παροχεύς αφθονώτατος, η βρύσις τής συμπαθείας, η τού ελέους πηγή, καταπονουμένων η αντίληψις χηρών ο προστάτης, τών ασθενούντων επίσκεψις, γυμνητευόντων, ασφαλές περιβόλαιον, η οξυτάτη τών πιπτόντων ανόρθωσις, Πάτερ υπερουράνιε, ιλέω σου όμματι, άνωθεν πρόσχες καί θείας, φιλανθρωπίας μετάδοσιν, Χριστόν καταπέμψαι, ταίς ψυχαίς ημών δυσώπει, καί μέγα έλεος.

Στίχ. Τί ανταποδώσωμεν τώ Κυρίω.

Χαίροις χειραγωγία τυφλών, παιδαγωγία τής νεότητος ένδοξε, τού γήρως η βακτηρία, τών πλανωμένων ποιμήν, τών αμαρτανόντων η διόρθωσις, λειμών ευωδέστατος, μυροθήκη τού Πνεύματος, τής ευποιϊας, ποταμός ο αέναος, καταγώγιον, τής Αγίας Τριάδος σεπτόν, Μέμνησο τών υμνούντων σε, ρυόμενος θλίψεων, καί τών κινδύνων καί νόσων, καί αιωνίου κολάσεως, Χριστόν ικετεύων, τόν παρέχοντα τώ κόσμω, τό μέγα έλεος.

Δόξα... Ήχος πλ. β'

Όσιε Πάτερ, εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος τών κατορθωμάτωνσου, δι' ών εν τοίς ουρανοίς, εύρες μισθόν τών καμάτων σου, Τών δαιμόνων

ώλεσας τάς φάλαγγας, τών Αγγέλων έφθασας τά τάγματα, ών τόν βίον αμέμπτως εζήλωσας, Παρρησίαν έχων πρός Χριστόν τόν Θεόν, ειρήνην αίτησαι ταίς ψυχαίς ημών.

Καί νύν... Θεοτοκίον

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής, Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Η Σταυροθεοτοκίον

Τριήμερος ανέστης

Ορώσά σε σταυρούμενον, Χριστέ, η σέ κυήσασα, θρηνωδούσα, ανεβόα μητρικώς, Υιέ μου καί Θεέ μου, γλυκύτατον μου Τέκνον, πώς φέρεις πάθος επονείδιστον.

Απολυτίκιον τού Ιεράρχου

Ήχος πλ. δ'

Εν τή υπομονή σου εκτήσω τόν μισθόν σου Πάτερ, Όσιε, ταίς προσευχαίς αδιαλείπτως εγκαρτερήσας, τούς πτωχούς αγαπήσας, καί τούτοις επαρκέσας, Αλλά πρέσβευε Χριστώ τώ Θεώ, Ιωάννη Ελεήμον μακάριε, σωθήναι τάς ψυχάς ημών.

Δόξα... Τού Οσίου   ο αυτός

Ταίς τών δακρύων σου ροαίς, τής ερήμου τό άγονον εγεώργησας, καί τοίς εκ βάθους στεναγμοίς, εις εκατόν τούς πόνους εκαρποφόρησας, καί γέγονας φωστήρ, τή οικουμένη λάμπων τοίς θαύμασι, Νείλε Πατήρ ημών, Όσιε, Πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον   ο αυτός

Ο δι' ημάς γεννηθείς εκ Παρθένου, καί σταύρωσιν υπομείνας Αγαθέ, ο θανάτω τον θάνατον σκυλεύσας, καί Έγερσιν δείξας ως Θεός, μή παρίδης ούς έπλασας τή χειρί σου, δείξον τήν φιλανθρωπίαν σου ελεήμον, δέξαι τήν τεκούσάν σε Θεοτόκον πρεσβεύουσαν υπέρ ημών καί σώσον Σωτήρ ημών, λαόν απεγνωσμένον.

Καί απόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, αναγινώσκεται είς Κανών τής Οκτωήχου, καί οι δύο παρόντες τών Αγίων.

Ο Κανών τού Ιεράρχου, ού η Ακροστιχίς εν τή θ' Ωδή.

Ιωσήφ

Ωδή α'   Ήχος πλ. δ'

«Η κεκομμένη τήν άτομον έτεμε, καί είδεν ήλιος γήν, ήν ουκ εθεάσατο, αλάστορα εχθρόν το ύδωρ κατεπόντισε, καί άβατον διήλθεν Ισραήλ, ωδή δέ

ενεμέλπετο, Τώ Κυρίω άσωμεν, ενδόξως γάρ δε, δόξασται».

Τή συμπαθεία τόν νούν λαμπρυνόμενος, καί τή αγάπη Χριστού, Πάτερ πυρσευόμενος, ελεημοσυνών, αστράπτων ταίς λαμπρότησι, τού μόνου ελεήμονος Θεού, δοχείον καθαρώτατον, Ιωάννη γέγονας, διο σε μακαρίζομεν.

Τά δι' αιώνος αεί διαμένοντα, σκοπών σοφώ λογισμώ, Πάτερ Ιερώτατε, ηλλάξω τών φθαρτών, περιφανώς τά άφθαρτα, καί νύν τούς ουρανούς περιπολείς, βοών σύν ασωμάτοις χοροίς, Τώ Κυρίω άσωμεν, ενδόξως γάρ δεδόξασται.

Ο τού ελέους δοτήρ χαριτώσας σου, τήν ελεήμονα πρίν, Όσιε διάνοιαν, ηλέησε πολλούς, τή θεία μεσιτεία σου, εγένου γάρ παράκλησις ψυχών, πενήτων τε προμήθεια, Ιωάννη πάνσοφε, θεόφρον Ιερώτατε,

Θεοτοκίον

Ίνα τούς κάτω τοίς άνω συνάψειεν, ο μόνος πάντων Θεός, μητράν απειρόγαμον, υπέδυ καί σαρκός, φανείς εν ομοιώματι, τής έχθρας τό μεσότοιχον ελών, ειρήνην εμεσίτευσε, καί ζωήν εβράβευσε, καί θείαν απολύτρωσιν.

Ο Κανών τού Οσίου, ού η Ακροστιχίς.

Άρδει με Νείλος γνωστική παγκαρπία. Θεοφάνους

Ωδή α' Ήχος πλ. δ'

«Υγράν διοδεύσας ωσεί ξηράν, καί τήν Αιγυπτίαν μοχθηρίαν διαφυγών, ο Ισραηλίτης ανεβόα, τώ Λυτρωτή καί Θεώ ημών άσωμεν».

Αρδείαις σου Μάκαρ ταίς μυστικαίς, αρδεύων πλουσίως, τόν ψυγέντα μου λογισμόν, ως στάχυν τόν ύμνον σοι προσφέρειν, ταίς σαίς πρεσβείαις καταξίωσον.

Ρημάτων ροαί σου ώς εξ' Εδέμ, πανόλβιε Νείλε, προερχόμεναι προφανώς, τό πρόσωπον άπαν αενάως, τής Εκκλησίας καταρδεύουσι.

Δογμάτων καί λόγων ο ποταμός, τών σών θεορρήμον, τάς καρδίας τών ευσεβών, αρδεύων ποτίζει, δυσσεβών δέ, καταποντίζει τά συστή ματα.

Θεοτοκίον

Εξήμεσεν Εύας ταίς ακοαίς, ιόν ψυχοφθόρον, ο αλάστωρ καί δυσμενής, Χριστόν δέ τεκούσα Θεομήτορ, τήν τούτου βλάβην εθεράπευσας.

Τού Ιεράρχου

Ωδή γ'

Ουρανίας αψίδος, οροφουργέ Κύριε, καί τής Εκκλησίας δομήτορ, συ με

στερέωσον, εν τή αγάπη τή σή, τών εφετών η ακρότης, τών πιστών τό στήριγμα, μονε φιλάνθρωπε».

Ευπρεπής ώσπερ κόρη, εξ ελαιών στέφανον, επιφερομένη επώφθη σοι Αξιάγαστε, τού Ελεήμονος, η ευσυμπάθητος χάρις, προσεφελκομένη σε, πρός θείον έλεος.

Ιερόν επί θρόνον, ψήφω Θεού ένδοξε, Πάτερ Ιωάννη καθίσας, καθάπερ Άγγελος, σύ πεπολίτευσαι, ειρηνικάς αναφέρων, ιεράς θυσίας τε τώ Πανοικτίρμονι.

Τή πολλή συμπαθεία, τόν συμπαθή Κύριον, Πάτερ θεραπεύων δι' οίκτον, σάρκα πτωχεύσαντα, πτωχοίς επήρκεσας, ξένους αστέγους συνήξας, πληρωτής προστάξεων, θείων γενόμενος.

Θεοτοκίον

Επί σοί Παναγία, ο τού παντός αίτιος, δι' υπερβολήν ευσπλαγχνίας, θέλων εσκήνωσε, καί καθηγίασε, τήν τών ανθρώπων ουσίαν, παραβάσει πρότερον, εξολισθήσασαν.

Τού Οσίου

Σύ εί τό στερέωμα

Ίνα τά χαρίσματα, Πάτερ τού Πνεύματος φέρη σου, ο λογισμός, τούς τής πονηρίας, λογισμούς απεδίωξας.

Μύρον ευωδέστατον, τής προσευχής ημίν έπνευσας, ιερουργέ, διά θεωρίας, πρακτικής εκτιθέμενος.

Έβλυσας διδάγματα, σύ επουράνια Πάνσοφε, ώς εκ πηγής, καί τής Εκκλησίας, τούς τροφίμους, πλούτισας.

Θεοτοκίον

Νέκρωσον τό φρόνημα, τό τής σαρκός ημών Πάναγνε, η τήν πηγήν, τής αθανασίας, τοίς ανθρώποις πηγάσασα.

Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμα μου».

Κοντάκιον τού Οσίου

Ήχος πλ. δ' Τή υπερμάχω

Τάς φρυγανώδεις τών παθών τών εκ τού σώματος, επαναστάσεις τμητικώς Νείλε Μακάριε, έν αγρύπνω σου συνέκοψας ικεσία, αλλ' ως έχων παρρησίαν πρός τόν Κύριον, εκ παντοίων με κινδύνων ελευθέρωσον, ίνα κράζω σοι, Χαίροις Πάτερ παγκόσμιε.

Ο Οίκος

Τίς σου τών επιγείων, εξισχύσειε, Νείλε, ειπείν τής πολιτείας τά άθλα, καί τού

βίου σου τούς αμέτρους μόχθους, καί πολλούς κόπους σου, ούς επί γής ως άσαρκος ετέλεσας; αλλ' όμως ίδε, ούτω σοι κράζω,

Χαίροις, Θεού ποταμέ χαρίτων, χαίροις, Χριστού διδαγμάτων πλημμύρα.

Χαίροις, τής σοφίας κρατήρ καί τής γνώσεως, χαίροις, αθανάτων φυτών τό γεώργιον.

Χαίροις δόγμα πρακτικώτατον θεοπνεύστων λογίων, χαίροις, νόμου εμπειρότατε θεοσδότου ερμηνεύς.

Χαίροις, τού νοουμένου Παραδείσου φυτουργέ, χαίροις, τής παρθενίας φυλακτήριον μέγα.

Χαίροις, τερπνή κιθάρα τού Πνεύματος, χαίροις, παθών ριζοτόμος μάχαιρα.

Χαίροις, ανδρών δικαίων τό έρεισμα, χαίροις, πιστών γηγενών ο προστάτης.

Χαίροις, Πάτερ παγκόσμιε.

Κάθισμα τού Ιεράρχου

Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λογον

Ελεήμονα γνώμην αναλαβών, ευσυμπάθητος ώφθης προσεπαρκών, πτωχοίς ενδεέσι τε, Ιωάννη θεόπνευστε, διά τούτο κλήσιν, τή πράξει κατάλληλον, παρά πάντας μάκαρ, Αγίους επλούτησας, όθεν ό δοτήρ σε, τού ελέους μεγάλως, θεόφρον ηλέησε, καί φαιδρώς κατελάμπρυνεν, Ιεράρχα πανόλβιε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν Αγίαν μνήμην σου.

Δόξα… Τού Οσίου

Τό προσταχθέν μυστικώς

Καταλαμπρύνας σου τόν νούν θεωρίαις, θεολογίας ποταμούς εξηρεύξω, καταρδεύων καρδίας Νείλε θεοφόρε, τών πίστει αρυομένων σών διδαχών, τό πόμα τό διαυγές τε καί καθαρόν, καί τιμώντων τήν μνήμην σου, τήν φωταυγή τε καί σεπτήν, Οσίων εγκαλλώπισμα, καί Πατέρων τό καύχημα.

Καί νύν… Θεοτοκίον

Τή σταθηρά σου Θεομήτορ πρός τόν Κτίστην, καί τή αλήκτω ικεσία τούς εν πίστει, τον πανάγιον Τόκον τόν σόν σεβομένους, εκ πάσης ρύσαι ανάγκης καί συμφοράς, καί δίδου πρός τόν Υιόν σου οικειακήν, παρρησίαν ως δυνατή, εξευμενίσασθαι αυτόν, ευρείν ημάς διάλυσιν, ών εν βίω ημάρτομεν.

Η Σταυροθεοτοκίον

Τόν εξ αιμάτων σου αγνών σωματωθέντα, καί υπέρ έννοιαν εκ σού Σεμνή τεχθέντα, επί ξύλου κρεμάμενον, μέσον τών κακούργων, ορώσα τά σπλάγχνα ήλγεις καί μητρικώς, θρηνούσα εβόας, Οίμοι! Τέκνον εμόν, τίς η θεία καί άφατος, οικονομία σου δι' ής, εζώωσας τό πλάσμα σου; Ανυμνώ σου τό εύσπλαγχνον.

Τού Ιεράρχου

Ωδή δ'

«Εισακήκοα Κύριε, τής οικονομίας σου τό μυστήριον, κατενόησα τά έργα σου, καί εδοξασά σου τήν θεότητα».

Καθαρόν καταγώγιον, ώφθης τής Αγίας Τριάδος, Όσιε, καί ναού θείου κειμήλιον, καί αρχιερέων ακροθίνιον.

Τή πολλή συμπαθεία σου, Κύριος προσέχων ο συμπαθέστατος, τήν ψυχήν σου καθηγίασεν, Ιωάννη Πάτερ Ιερώτατε.

Εντολών ακαταίσχυντος, γέγονας εργάτης τού Πανοικτίρμονος, καί επλήσθης αγαθών αυτού, εν σκηναίς αγίων αυλιζόμενος.

Θεοτοκίον

Ιασαί μου τά τραύματα, Κόρη τής καρδίας καί κατευόδωσον, τής ψυχής μου τά κινήματα, εις Θεού Παρθένε τά θελήματα.

Τού Οσίου

Ο αυτός

Επανάγαγε Πάνσοφε, τής τών παθημάτων αιχμαλωσίας με, ως αντίλυτρον καί τίμημα, τώ Θεώ προσάγων τάς εντεύξεις σου.

Ιερώς ανατάξασθαι, τής εν τώ Χριστώ σοφίας τά δόγματα, δοκιμάσας δι’ ασκήσεως, σεαυτόν Παμμάκαρ προεκάθηρας.

Λογισμών άπαν ύψωμα, Πάτερ επαιρόμενον εταπείνωσας, τή πλημμύρα τής σοφίας σου, αφανίσας τούτων τό μνημόσυνον.

Θεοτοκίον

Ο Πατρί συναϊδιος, καί ως Θεός Λόγος τό πρίν ασώματος, επ’ εσχάτων σεσωμάτωται, εξ αγνών αιμάτων σου Πανύμνητε.

Τού Ιεράρχου

Ωδή ε’

«Τόν εκ νυκτός αγνωσίας, επί τήν ψυχάλωτον οδόν αεί πλανώμενον, τώ φωτί τής γνώσεώς σου Κύριε, ποδηγών με εν τή τρίβω, τών εντολών σου καθοδήγησον».

Τού νεκρωθέντος δι’ οίκτον, νέκρωσιν εκούσιον, Πάτερ σοφέ μιμούμενος, εσταυρώθης κόσμω καί τοίς πάθεσι, καί ζωής υπερκοσμίου, κατηξιώθης αξιάγαστε.

Μακαρισμού ηξιώθης, πράος ευσυμπάθητος, ειρηνικός γενόμενος, καί πεινώντων άρτος αδαπάνητος, καί πενήτων χορηγία, περιβολή τε γυμνητεύουσι.

Θείαις μεθέξεσι Πάτερ, κατακαλλυνόμενος, οιά περ Άγγελος, τώ Θεώ αμέμπτως ιερούργησας, τούς πιστούς καταφωτίζων, ταίς ιεραίς διδασκαλίαις

σου.

Θεοτοκίον

Τήν σκοτισθείσαν ψυχήν μου, ταίς φιληδονίαις τού βίου, αγνή Πανάμωμε, τώ φωτί τώ σώ ταύτην καταύγασον, η τό φως Χριστόν τεκούσα, τής αγνωσίας σκότος λύοντα.

Τού Οσίου

Ορθρίζοντες βοώμέν σοι

Σοφίας ορεγόμενος Πάνσοφε, τής ενθέου, σπουδαίως κατέλιπες, τού βίου πάσαν προσπάθειαν.

Γνωστώς σύ τόν επέκεινα γνώσεως, Θεοφάντορ, νοητώς κατείληφας, ενώσει θεία μυούμενος.

Νεφέλην σε τοίς όμβροις τής γνώσεως, Θεοφόρε, πάσαν κατακλύζουσαν, τήν αγνωσίαν γινώσκομεν.

Θεοτοκίον

Ως κρίνον αναμέσον εκλάμπουσαν, τών ακανθών, ευρών ο νυμφίος σε, Παρθενομήτορ ηγάπησεν.

Τού Ιεράρχου

Ωδή ς’

«Τήν δέησιν εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών, η ψυχή μου επλήσθη, καί η ζωή μου τώ Άδη προσήγγισε, καί δέομαι ως Ιωνάς, Εκ φθοράς ο Θεός με ανάγαγε».

Δεήσεσι καί νηστεία σχολάζων, καί αγρύπνως τόν Θεόν ικετεύων, οπτασιών, καί οράσεων θείων, κατηξιώθης Θεόφρον πανόλβιε, μυούμενος τά υπέρ νούν, διανοίας σοφέ καθαρότητι.

Ως Άγγελος μετά σώματος Πάτερ, επί γής επολιτεύσω θυσίας, ειρηνικάς, αναιμάκτους τή πίστει, συντετριμμένη καρδία καί πνεύματι, Μακάριε τώ ποιητή, Ιωάννη προσφέρων γηθόμενος.

Ο βίος σου υπέρ ήλιον λάμψας, συμπαθείας επαφήκεν ακτίνας, τό σκοτεινόν, νέφος εξελαυνούσας, τών δεομένων πενίας πανόλβιε, θαλπούσας τε τούς τώ κρυμώ, τών δεινών κρατουμένους Θεόπνευστε.

Θεοτοκίον

Νοήσαντες θεηγόροι Προφήται, μυστηρίου σου Παρθένε τό βάθος, προφητικώς, προκατήγγειλαν τούτο, φωταγωγούμενοι θείω εν Πνεύματι, καί νύν ημείς περιφανώς, τάς εκβάσεις ορώντες πιστεύομεν.

Τού Οσίου

Ο αυτός

Σοφίας τή δωρεά κοσμούμενος, καί τόν βίον πολιτεία φαιδρύνας, ιερουργός, εχρημάτισας θείος, τώ Πλαστουργώ μεσιτεύων καί πλάσματι, καί γέγονας περιφανής, καί περίβλεπτος Πάτερ διδάσκαλος.

Τώ όρει τών αρετών Προσήγγισας, καί τώ θείω καλυφθείς Πάτερ γνόφω παρά Θεού, τών δογμάτων τάς πλάκας, τάς θεογράφους εδέξω πανόλβιε, καί δεύτερος ημίν Μωσής, νομοθέτης εδείχθης τής χάριτος.

Ιέρευσας σεαυτόν εκουσίως, μυστικώς ως εθελόθυτον θύμα, τώ Πλαστουργώ, παριστάμενος Νείλε, καί θεωρία καί πράξει κοσμούμενος, μνημόνευε ούν καί ημών, τών πιστώς εκτελούντων τήν μνήμην σου.

Θεοτοκίον

Ιδόντες συμβολικαίς εμφάσεσι, τού φρικτού σου μυστηρίου τό βάθος, ότι Θεός, εν γαστρί σου σκηνώσει, οι θεηγόροι Προφήται προήγγειλαν, Πανάμωμε, καί νύν ημείς, τάς εκβάσεις ορώντες δοξάζομεν.

Ο Ειρμός

«Τήν δέησιν εκχεώ πρός Κύριον,  καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών, η ψυχή μου επλήσθη, καί η ζωή μου τώ Άδη προσήγγισε, καί δέομαι ως Ιωνάς, Εκ φθοράς ο Θεός με ανάγαγε».

Κοντάκιον τού Ιεράρχου

Ήχος β’  Τά άνω ζητών

Τόν πλούτον τόν σόν, εσκόρπισας τοίς πένησι, καί τών ουρανών, τόν πλούτον νύν απείληφας, Ιωάννη πάνσοφε, διά τούτο πάντες σε γεραίρομεν, εκτελούντες τήν μνήμην σου, τής ελεημοσύνης ώ επώνυμε.

Ο Οίκος

Ίδιον κάλλος ενθείς τή ψυχή σου, τήν γνησίαν αγάπην, καί τήν ωραίαν συμπάθειαν, κόρην ωραίως κεκοσμημένην, τήν ελεημοσύνην, κλάδοις ελαίας εν τή νυκτί αψευδώς, Ιωάννη εώρακας, ιλαρώς σοι φθεγγομένην, Εάν κτήση με φίλην καί σύνοικον, άξω σε ενώπιον τού Βασιλέως Χριστού, καί πεισθείς, τού σκοπού ου διήμαρτες, τής ελεημοσύνης ώ επώνυμε.

Συναξάριον

Τή ΙΒ’ τού αυτού μηνός, Μνήμη τού εν Αγίοις Πατρός ημών Ιωάννου Αρχιεπισκόπου Αλεξανδρείας, τού Ελεήμονος.

Στίχοι

Ιωάννης πένησι δούς καί σκορπίσας,
Ώ ποία Χριστώ νύν παρεστως λαμβάνει!
Ώχετο ακτεάνων δυοκαιδεκάτη Ελεητής.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Νείλου τού Ασκητού.

Στίχοι

Αίγυπτον άρδει Νείλος, αλλά καί κτίσιν.

Λόγω κατάρδει, καί θανών, Νείλος μέγας.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Μαρτίνου τού θαυματουργού, Επισκόπου Φραγκίας.

Στίχοι

Ουκ ήν ο κόσμος άξιός σου, Μαρτίνε.
Όν καί λιπών απήλθες εις κόσμον μέγαν.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Προφήτου Αχιά.

Στίχοι

Οτι Προφήτης Αχιά, πρίν τεθνάναι,
Ιεροβοάμ μάρτυς, υιός Ναβάτου.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Μαρτίνου, Επισκόπου Ταρακίνης.

Στίχοι

Κλέος κράτιστον εκ Θεού ο Μαρτίνος,
Είληφεν, ως έλεον ενδεδυμένος.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Αντωνίου καί τών σύν αυτώ.

Στίχοι

Ξίφος Ζεβινάν, Γερμανόν, Νικηφόρον.
Σύν Αντωνίω δεικνύει νικηφόρους.

Ο Όσιος Νείλος ο εκ Κυνουρίας, ασκήσας εν τοίς ορίοις τής μεγίστης Λαύρας τού Άθω, ο μετά θάνατο μυροβλύτης γενόμενος, καί πολλούς τών ασθενών ιασάμενος, εν ειρήνη τελειούται.

Ο άγιος πατριάρχης Κωνσταντινουπολεως Λέων ο Στύππης, εν ειρήνη τελειούται.

Ο άγιος νεομάρτυς Σάββας ό Νιγδελής καί Σαμολαδάς, ο εν Κωνσταντινουπόλη μαρτυρήσας κατά τό 1726, ξίφει τελειούται.

Ο άγιος νεομάρτυς Νικόλαος, ο κατά τό 1732 εν Κωνσταντινουπολη μαρτυρήσας, εκ τής ενορίας τών έξ Μαρμάρων, ξίφει τελειούται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός ελέησον ημάς. Αμήν.

Τού Ιεράρχου

Ωδή ζ'

«Παίδες Εβραίων εν καμίνω, κατεπάτησαν τήν φλόγα θαρσαλέως, καί εις δρόσον τό πύρ, μετέβαλον βοώντες, Ευλογητός εί Κύριε, ο Θεός εις τούς

αιώνας».

Έργοις τούς λόγους τού Σωτήρος, εβεβαίωσας καί μακαριζομένων, συνετάγης χορώ, υπάρξας ελεήμων, καί καθαρός τώ πνεύματι, Ιωάννη θεοφόρε.

Μέλιτος γεύσις ηδυτάτη, μετενήνεκται εις δόκιμον χρυσόν σοι, τή πλουσία σου γάρ, προσέχων προαιρέσει, ο Ποιητής πλουσίας σοι, χορηγεί τάς αντιδόσεις.

Φέγγει Τριάδος ανεσπέρου, λαμπρυνόμενος θεράπων τής Τριάδος, τους τιμώντάς σε νύν, φωτίζεις μελωδούντας, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Θεοτοκίον

Μόνη τόν ένα τής Τριάδος, απεγέννησας εν δύο ταίς ουσίαις, υποστάσει μιά, ορώμενον Παρθένε, ώ μελωδούμεν, Κύριε, ο Θεος ευλογητός εί.

Τού Οσίου

Οι εκ τής Ιουδαίας

Καταρδόμενος Πάτερ, υετοίς ουρανίοις ώφθης πολύφορος, καρπούς ωραιοτάτους, προσάγων τώ Δεσπότη, τούς εν πίστει κραυγάζοντας, Ο τών Πατέρων ημών, Θεός Ευλογητός εί.

Ησή Παμμάκαρ γλώσσα, καταρράκτας δογμάτων, αναπετάσσασα, αιρέσεως τήν πλάνην, συντόμως κατακλύζει, τούς πιστούς εκδιδάσκουσα, Ο τών Πατέρων βοάν, Θεός ευλογητός εί.

Πολιτείαν Αγγέλων, μετά σώματος Πάτερ, εν γή εβίωσας, καί θείαις θεωρίαις, τών άνω θεαμάτων, ενετρύφας καί έψαλλες, Ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Θεοτοκίον

Παρθενικής εκ νηδύος, σαρκωθείς επεφάνης, εις σωτηρίαν ημών, διό σου τήν Μητέρα, ειδότες Θεοτόκον, ευχαρίστως κραυγάζομεν, Ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Τού Ιεράρχου

Ωδή η’

Νικηταί τυράννου, καί φλογός τή χάριτί σου γεγονότες, οι τών εντολών σου, σφόδρα αντεχόμενοι Παίδες εβόων, Ευλογείτε πάντα τά έργα Κυρίου τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Φωταυγή άστέρα, ο Χριστός εν ύψει σε τής Εκκλησίας, αναδείξας Πάτερ, διά σού τούς μέλποντας πίστει φωτίζει, Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί

υπερυψούτε, εις πάντας τούς αιώνας.

Ελεήμων ώφθης, πράος ευσυμπάθητος, άκακος Πάτερ, πλούτος πενομένων, καί στολή καί ένδυμα γυμνητευόντων, Ευλογείτε μέλπων τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Τόν τού Μάρκου θρόνον, ιερώς εκόσμησας, έργοις ενθέοις, εξαιρέτως Πάτερ, ελεημοσύνη τε και συμπαθεία, Ελεήμων όθεν, υπέρ πάντας κέκλησαι, τούς εν συμπαθεία, εκλάμψαντας Αγίους.

Θεοτοκίον

Ρείθρου ζώντος ώφθης, Παναγία σκήνωμα, εξ ού πιόντες, οι θανατωθέντες, τήν ζωήν κληρούμεθα αναβοώντες, Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τους αιώνας.

Τού Οσίου

Μουσικών οργάνων

Αρετής αντείχου τής τελείας, αγαθών τό πρώτον αγαπήσας, καί ταίς αυτού νύν αστραπαίς, λαμπόμενος κραυγάζεις, Τόν Κύριον υμνείτε καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Γνωστικήν πλουτήσας επιστήμην, πρακτικής επέβης ευδοξίας, τής χάριτος μαρμαρυγάς, εκπέμπων τοίς βοώσι, Τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Κοσμικούς θορύβους αποδράσας, ησυχίας όρμω προσωρμίσθης, καί τών παθών τάς προσβολάς, ενέκρωσας κραυγάζων, Τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Ασφαλώς γινώσκοντες Παρθένε, τόν εκ σού τεχθέντα Θεόν Λογον, υμνούμέν σε πανευσεβώς, οι πίστει μελωδούντες, Τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Μουσικών οργάνων συμφωνούντων, καί λαών απείρων προσκυνούντων, εικόνι τή εν Δεηρά, τρείς Παίδες μή πεισθέντες, τόν Κύριον ανύμνουν, καί εδοξολόγουν, εις πάντας τούς αιώνας».

Τού Ιεράρχου

Ωδή θ’

«Κυρίως Θεοτόκον, σέ ομολογούμεν, οι διά σού σεσωσμένοι Παρθένε Αγνή, σύν Ασωμάτοις χορείαις, σέ μεγαλύνοντες».

Ιδού σε μετά τέλος, μέσον συλλαμβάνει, δυάς, Αγίων Πατέρων εν μνήματι, ιερωτάτην τιμήν σοι, Πάτερ προσνέμουσα.

Ως όρθρος ώς ημέρα, Πάτερ Ιωάννη, η φωταυγής σου εξέλαμψε κοίμησις, φωταγωγούσα τους πίστει, σέ μακαρίζοντας.

Συνήφθης ταίς χορείαις, τών Αρχιερέων, τών Προφητών Αποστόλων Μαρτύρων τε, μεθ’ ών μνημονευε Πάτερ, τών ανυμνούντων σε.

Η θήκη ένθα κείται, Πάτερ Ιωάννη, τό ιερόν σου καί Άγιον λείψανον, πηγή θαυμάτων υπάρχει, τοίς σοί προστρέχουσι.

Θεοτοκίον

Φανείσα πλατυτέρα, ουρανών Παρθένε, τόν λογισμόν μου στενούμενον πλάτυνον, χωρητικόν χαρισμάτων, θείων δεικνύουσα.

Τού Οσίου

Εξέστη επί τούτω ο ουρανός

Ρηγνύντα προσπαθείας τής κοσμικής, τά δεσμά καί Θεώ συγγινόμενον, σέ καθορών, Πάτερ ο αλάστωρ βαρβαρικάς, σοί τρικυμίας ήγειρε, λύειν σου νομίζων τό σταθηρόν, τή θεία δέ προνοία, τάς τούτου διεκρούσω, μηχανουργίας παναοίδιμε.

Πλουσίαις διαλάμπων μαρμαρυγαίς, διδαχαίς πολυτρόποις ελάμπρυνας, τών ευσεβώς, πίστει προσιόντων σοι τάς ψυχάς, καί γάρ κρατήρι πάνσοφε, Νείλε τής σοφίας τώ καθαρώ, τά χείλη προσπελάσας, εξήντλησας αφθόνως, καί τοίς ποθούσι μεταδέδωκας.

Ιέρευσας προθύμως Πάτερ σαυτόν, μυστικώς ως αμώμητον σφάγιον, τώ Πλαστουργώ, τούτον αγαπήσας ειλικρινώς, ού νύν τώ θρόνω πάνσοφε, Νείλε παριστάμενος εκτενώς, δυσώπει τούς εν πίστει, τελούντάς σου τήν μνήμην, επιτυχείν σου τής λαμπρότητος.

Θεοτοκίον

Ανώρθωσας Παρθένε τής γυναικός, τό ολίσθημα Λόγον κυήσασα, τόν ανορθούν, τούς κατερραγμένους ως αγαθόν, καί κραταιόν δυνάμενον, τόν δι’ ευσπλαγχνίας υπερβολήν, εκ σού σωματωθέντα, καί σώσαντα τόν κόσμον, τοίς παθοκτόνοις αυτού πάθεσιν.

Ο Ειρμός

«Εξέστη επί τούτω ο ουρανός, καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα τών ουρανών, διο σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι μεγαλύνουσιν».

Εξαποστειλάριον

Ο ουρανόν τοίς άστροις

Τον μιμητήν φανέντα, τού φιλοικτίρμονος Θεού, υμνήσωμεν Ιωάννην, όπως χρεών αποκοπήν, καί λύσιν πλημμελημάτων, δι’ αυτού τύχωμεν πάντες.

Τού Οσίου

Ταίς τών δακρύωναρδείαις, τήν σήν ψυχήν εκπιάνας, Νείλε θεόφρον δυσώπει, τάς τών ψυχών ημών πλύναι, ακαθαρσίας τών πόθω, σέ ανυμνούντων καί ζέσει.

Θεοτοκίον

Ο γλυκασμός τών Αγγέλων, τών θλιβομένων η χαρά, Χριστιανών η πραστάτις, Παρθένε Μήτηρ Κυρίου, αντιλαβού μου καί ρύσαι, τών αιωνίων βασάνων.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος πλ. β’

Όσιε Πάτερ, εις πάσαν τήν γήν, εξήλθεν ο φθόγγος τών κατορθωμάτων σου, δι’ ών εν τοίς ουρανοίς, εύρες μισθόν τών καμάτων σου, Τών δαιμόνων ώλεσας τάς φάλαγγας, τών Αγγέλων έφθασας τά τάγματα, ών τόν βίον αμέμπτως εζήλωσας, Παρρησίαν έχων πρός Χριστόν τόν Θεόν, ειρήνην αίτησαι ταίς ψυχαίς ημών.

Καί νύν… Θεοτοκίον

Τριήμερος ανέστης

Παρθένε παναμώμητε, δυσώπησον όν έτεκες, όπως σώση, άπαν γένος τών βροτών, καί γάρ σε Θεοτόκον, καί γλώσση καί καρδία, ομολογούμεν Μητροπάρθενε.

Η Σταυροθεοτοκίον

Η Άμεμπτος ως είδέ σε, επί Σταυρού κρεμάμενον, θρηνωδούσα, ανεβόα μητρικώς, Υιέ μου καί Θεέ μου, γλυκύτατόν μου Τέκνον, μή καταλίπης με τήν δούλην σου.

Η λοιπή του Όρθρου Ακολουθία, κατά τήν τάξιν, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΓ’ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού εν Αγίοις Πατρός ημών Ιωάννου, Αρχιεπισκόπου Κωνσταντινουπόλεως τού Χρυσοστόμου.

ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Εις τό Κύριε εκέκραξα, ιστώμεν Στίχ. δ’ καί ψάλλομεν Στιχηρά προσόμοια τρία, δευτερούντες τό πρώτον.

Ήχος α’

Τών ουρανίων

Τόν Βαπτιστήν εμιμήσω, συνωνυμήσας καλώς, τή εγκρατεία Πάτερ, καί Ηλίαν τόν μέγαν, νηστείας καί αγνείας, ζήλω τρωθείς, αμφοτέρων Χρυσόστομε, βασιλικής τυραννίδος κατατολμών, ώς ποιμήν τής Εκκλησίας Χριστού.

Θεία εμπνεύσει τού Λόγου, διαδραμών γραφικώς, πάσαν τήν γήν ο φθόγγος, τών δογμάτων σου Πάτερ, εφώτισε τόν κόσμον, ανοίξας ημίν, τής μετανοίας τήν είσοδον, τήν τε πενήτων φροντίδα ανατυπών, καί Χριστού τό Ευαγγέλιον.

Τό καθαρόν τής ψυχής σου, καί ακηλίδωτον φώς, ηλιακάς ακτίνας, καταλάμπει τώ κόσμω, δογμάτων ευσεβείας, Πάτερ σοφέ, Ιωάννη Χρυσόστομε, καί τήν αχλύν εκδιώκει καί δαδουχεί, τήν οικουμένην πρός ευσέβειαν.

Δόξα… Ήχος δ'

Γέγονας Χρυσόστομε, θεόπνευστον όργανον, δι' ού ημίν τό Πνεύμα τό Άγιον εφώνησε, τή ευσήμω, γάρ βοή, διέδραμε τά πέρατα, ο φθόγγος τής διδασκαλίας σου, καί μιμητής γενόμενος τών Αποστόλων Όσιε, τόν χώρον κατέλαβες εκείνον, όν επόθησας, Πρέσβευε τώ Κυρίω, Παμμακάριστε, ειρηνεύσαι τόν κόσμον, καί σώσαι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Ρύσαι ημάς εκ τών αναγκών ημών, Μήτερ Χριστού τού Θεού, η τεκούσα τόν τών όλων Ποιητήν, ίνα πάντες κράζωμέν σοι, Χαίρε η μόνη προστασία τών ψυχών ημών.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος β'

Οίκος τού Εφραθά

Σάλπιγξ χρυσοειδής, λαμπρώς αναβοώσα, τά θεία μεγαλεία, εδείχθης Ιωάννη, εις τά τού κόσμου πέρατα.

Στίχ. Τό στόμα μου λαλήσει σοφίαν καί η μελέτη τής καρδίας μου σύνεσιν

Νόμον ως Μωϋσής, εδέξω εκ Κυρίου, Χρυσόστομε τόν κόσμον, σοφίζων καί φωτίζων, τοίς θείοις σου διδάγμασιν.

Στίχ. Οι Ιερείς σου Κύριε ενδύσονται δικαιοσύνην καί οι όσιοί σου αγαλλιάσονται

Κήρυξ ως αληθώς, τής θείας βασιλείας, εγένου Χρυσολόγε, βοών, Μετανοείτε, βυθίζων τήν απόγνωσιν.

Δόξα... Όμοιον

Τριάδος τής σεπτής, τήν μίαν μοναρχίαν, εδίδαξας πιστεύειν, Πατέρα Λόγον Πνεύμα, Χρυσόστομε Πατήρ ημών.

Καί νύν... Θεοτοκίον όμοιον

Παρθένε τόν εκ σού, τεχθέντα Θεόν Λόγον, δυσώπει Θεοτόκε, μετά τού Χρυσολόγου, τού σώσαι τάς ψυχάς ημών.

Νύν απολύεις. Τό Τρισάγιον, καί τά λοιπά.

Απολυτίκιον Ήχος πλ. δ'
Αυτόμελον

Η τού στόματός σου καθάπερ πυρσός εκλάμψασα χάρις, τήν οικουμένην εφώτισεν, αφιλαργυρίας τώ κόσμω θησαυρούς εναπέθετο, τό ύψος ημίν τής ταπεινοφροσύνης υπέδειξεν, Αλλά σοίς λόγοις παιδεύων, Πάτερ Ιωάννη Χρυσόστομε, πρέσβευε τώ Λόγω Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημων.

Καί Απόλυσις

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετά τόν Προοιμιακόν, Στιχολογούμεν τήν Α’ Στάσιν τού Α’ Καθίσματος τού Ψαλτηρίου, Εις δέ τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς, καί ψάλλομεν Στιχηρά Προσόμοια γ’ δευτερούντες αυτά.

Ήχος δ’
Ως γενναίον εν Μάρτυσιν

Τήν χρυσήλατον σάλπιγγα, τό θεόπνευστον όργανον, τών δογμάτων πέλαγος ανεξάντλητον, τής Εκκλησίας τό στήριγμα, τόν νούν τόν ουράνιον, τής σοφίας τόν βυθόν, τόν κρατήρα τόν πάγχρυσον, τόν προχέοντα, ποταμούς διδαγμάτων μελιρρύτων, καί αρδεύοντα τήν κτίσιν, μελωδικώς ανυμνήσωμεν.

Τόν αστέρα τόν άδυτον, τόν ακτίσι φωτίζοντα, διδαγμάτων άπασαν τήν υφήλιον, τής μετανοίας τόν κήρυκα, τόν σπόγγον τόν πάγχρυσον, τόν υγρότητα δεινής, απογνώσεως αίροντα, καί δροσίζοντα, εκτακείσας καρδίας αμαρτίαις, Ιωάννην επαξίως, τόν Χρυσολόγον τιμήσωμεν.

Ο επίγειος Άγγελος, καί ουράνιος άνθρωπος, χελιδών η εύλαλος καί πολύφωνος, τών αρετών τό θησαύρισμα, η πέτρα η άρρηκτος, τών πιστών υπογραμμός, τών Μαρτύρων εφάμιλλος, ισοστάσιος, τών αγίων Αγγέλων, Αποστόλων, ο ομότροπος εν ύμνοις, μεγαλυνέσθω Χρυσόστομος.

Δόξα... Ήχος πλ. β’

Όσιε τρισμάκαρ, αγιώτατε Πάτερ, ο ποιμήν ο καλός, καί τού Αρχιποίμενος Χριστού Μαθητής, ο τιθείς τήν ψυχήν υπέρ τών προβάτων, αυτός καί νύν πανεύφημε, Ιωάννη Χρυσόστομε, αίτησαι πρεσβείαις σου, δωρηθήναι ημίν τό μέγα έλεος.

Καί νύν... ο αυτός Θεοτοκίον

Τίς μή μακαρίσει σε, Παναγία Παρθένε; τίς μή ανυμνήσει σου, τόν αλόχευτον τόκον; ο γάρ αχρόνως εκ Πατρός, εκλάμψας Υιός μονογενής, ο αυτός εκ σού τής αγνής προήλθεν, αφράστως σαρκωθείς, φύσει Θεός υπάρχων, καί φύσει γενόμενος άνθρωπος δι’ ήμάς, ουκ εις δυάδα προσώπων τεμνόμενος, αλλ’ εν δυάδι φύσεων ασυγχύτως γνωριζόμενος, Αυτόν ικέτευε, Σεμνή παμμακάριστε, ελεηθήναι τάς ψυχάς ημών.

Είσοδος, Φώς ιλαρόν, τό Προκείμενον τής ημέρας, καί τά Αναγνώσματα.

## Παροιμιών τό Ανάγνωσμα.

Μνήμη δικαίου μετ' εγκωμίων, καί ευλογία Κυρίου επί κεφαλήν αυτού. Μακάριος άνθρωπος, ός εύρε σοφίαν, καί θνητός ός οίδε φρόνησιν. Κρείσσον γάρ αυτήν εμπορεύεσθαι, ή χρυσίου καί αργυρίου θησαυρούς. Τιμιωτέρα δέ εστι λίθων πολυτελών, πάν δέ τίμιον ουκ άξιον αυτής εστιν. Εκ γάρ τού στόματος αυτής εκπορεύεται δικαιοσύνη, νόμον δέ καί έλεον επί γλώσσης φορεί. Τοιγαρούν ακούσατέ μου, ώ τέκνα, σεμνά γάρ ερώ, καί μακάριος άνθρωπος, ός τάς εμάς οδούς φυλάξει. Αι γάρ εξοδοί μου, έξοδοι ζωώς, καί ετοιμάζεται θέλησις παρά Κυρίου. Διά τούτο παρακαλώ υμάς, καί προϊεμαι εμήν φωνήν υιοίς ανθρώπων. Ότι εγώ η Σοφία κατεσκεύασα βουλήν, καί γνώσιν καί έννοιαν εγώ επεκαλεσάμην. Εμή βουλή καί ασφάλεια, εμή φρόνησις, εμή δέ Ισχύς. Εγώ τούς εμέ φιλούντας αγαπώ, οι δέ εμέ ζητούντες ευρήσουσι χάριν. Νοήσατε τοίνυν άκακοι πανουργίαν, οι δέ απαίδευτοι ένθεσθε καρδίαν. Εισακούσατέ μου καί πάλιν, σεμνά γάρ ερώ, καί ανοίγω από χειλέων ορθά. Ότι αλήθειαν μελετήσει ο λάρυγξ μου, εβδελυγμένα δέ εναντίον εμού χείλη ψευδώ. Μετά δικαιοσύνης πάντα τά ρήματα τού στόματός μου, ουδέν εν αυτοίς σκολιόν, ουδέ στραγγαλιώδες. Πάντα ευθέα εστί τοίς νοούσι, καί ορθά τοίς ευρίσκουσι γνώσιν. Διδάσκω γάρ υμίν αληθή, ίνα γένηται εν Κυρίω η ελπίς υμών, καί πλησθήσεσθε πνεύματος.

## Σοφίας Σολομώντος τό Ανάγνωσμα.

Στόμα δικαίου αποστάζει σοφίαν, χείλη δέ ανδρών επίστανται χάριτας. Στόμα σοφών μελετά σοφίαν, δικαιοσύνη δέ ρύεται αυτούς εκ θανάτου. Τελευτήσαντος ανδρός δικαίου ουκ όλλυται ελπίς, υιός γάρ δίκαιος γεννάται εις ζωήν,καί εν αγαθοίς αυτού καρπόν δικαιοσύνης τρυγήσει. Φώς δικαίοις διαπαντός, καί παρά Κυρίου ευρήσουσι χάριν καί δόξαν. Γλώσσα σοφών καλά επίσταται, καί εν καρδία αυτών αναπαύσεται σοφία. Αγαπά Κύριος οσίας καρδίας, δεκτοί δέ αυτώ πάντες άμωμοι εν οδώ. Σοφία Κυρίου φωτιεί πρόσωπον συνετού, φθάνει γάρ τούς επιθυμούντας αυτήν, πρό τού γνωσθήναι, καί ευχερώς θεωρείται υπό τών αγαπώντων αυτήν. Ο ορθρίσας πρός αυτήν ου κοπιάσει, καί ο αγρυπνήσας δι' αυτήν, ταχέως αμέριμνος έσται. Ότι τούς αξίους αυτής αυτή περιέρχεται ζητούσα, καί εν ταίς τρίβοις φαντάζεται αυτοίς ευμενώς. Σοφίας ου κατισχύσει ποτέ κακία. Διά ταύτα καί εραστής εγενόμην τού κάλλους αυτής καί εφίλησα ταύτην, καί εξεζήτησα εκ νεοτητός μου, καί εζήτησα νύμφην αγαγέσθαι εμαυτώ. Ότι ο πάντων Δεσπότης ηγάπησεν αυτήν. Μύστις γάρ εστι τής τού Θεού επιστήμης, καί αιρέτις τών έργων αυτού. Οι πόνοι αυτής εισιν αρεταί, σωφροσύνην δέ καί φρόνησιν αύτη διδάσκει, δικαιοσύνην καί ανδρείαν, ών χρησιμώτερον ουδέν εστιν εν βίω ανθρώποις. Ει δέ καί πολυπειρίαν ποθεί τις, οίδε τά αρχαία καί τά μέλλοντα εικάζειν, επίσταται στροφάς λόγων, καί λύσεις αινιγμάτων, σημεία καί τέρατα προγινώσκει, καί εκβάσεις καιρών καί χρόνων, καί πάσι συμβουλός εστιν αγαθή. Ότι αθανασία εστίν εν αυτή, καί εύκλεια εν κοινωνία λόγω αυτής. Διά τούτο ενέτυχον τώ Κυρίω, καί εδεήθην αυτού, καί είπον εξ

όλης μου τής καρδίας. Θεέ Πατέρων, καί Κύριε τού ελέους, ο ποιήσας τά πάντα εν λόγω σου, καί τή σοφία σου κατασκευάσας τόν άνθρωπον, ίνα δεσπόζη τών υπό σού γενομένων κτισμάτων, καί διέπη τόν κόσμον εν οσιότητι καί δικαιοσύνη, δός μοι τήν τών σών θρόνων πάρεδρον σοφίαν, καί μή με αποδοκιμάσης εκ παίδων σου, ότι εγώ δούλος σός, καί υιός τής παιδίσκης σου. Εξαπόστειλον αυτήν εξ αγίου κατοικητηρίου σου καί από θρόνου δόξης σου, ίνα συμπαρούσά μοι διδάξη με, τί ευάρεστόν εστι παρά σοί. Καί οδηγήση με εν γνώσει, καί φυλάξη με εν τή δόξη αυτής. Λογισμοί γάρ θνητών πάντες δειλοί καί επισφαλείς αι επίνοιαι αυτών.

Σοφίας Σολομώντος τό Ανάγνωσμα.

Εγκωμιαζομένου δικαίου, ευφρανθήσονται λαοί, αθανασία γάρ εστιν η μνήμη αυτού, ότι καί παρά Θεώ γινώσκεται, καί παρά ανθρώποις, καί αρεστή Κυρίω η ψυχή αυτού. Επιθυμήσατε τοιγαρούν, ώ άνδρες, σοφίαν, καί ποθήσατε, καί παιδευθήσεσθε. Αρχή γάρ αυτής αγάπη, καί τήρησις νόμων. Τιμήσατε σοφίαν, ίνα εις τόν αιώνα βασιλεύσητε. Απαγγελώ υμίν, καί ου κρύψω αφ' υμών μυστήρια Θεού. Ότι αυτός καί τής σοφίας οδηγός εστι, καί τών σοφών διορθωτής, καί εν τή χειρί αυτού πάσα φρόνησις, καί εργασιών επιστήμη. Η πάντων τεχνίτις εδίδαξέ με σοφία, έστι γάρ εν αυτή πνεύμα νοερόν, άγιον, απαύγασμα φωτός αϊδίου, καί είκων τής αγαθότητος τού Θεού. Αύτη φίλος Θεού καί Προφήτας κατασκευάζει. Ευπρεπεστέρα δέ εστιν ηλίου, καί υπέρ πάσαν αστέρων θέσιν, φωτί συγκρινομένη, ευρίσκεται προτέρα. Αύτη τούς θεραπεύσαντας αυτήν εκ πόνων ερρύσατο, καί ωδήγησεν εν τρίβοις ευθείαις. Έδωκεν αυτοίς γνώσιν αγίαν, καί διεφύλαξεν αυτούς από ενεδρευόντων, καί αγώνα Ισχυρόν εβράβευσεν αυτοίς, ίνα γνώσι πάντες, ότι δυνατωτέρα παντός εστιν η ευσέβεια, καί ού μή κατισχύση ποτέ κακία σοφίας, ούδ' ου μή παρελεύσεται πονηρούς ελέγχουσα η δίκη. Είπον γάρ εν εαυτοίς, λογισάμενοι ουκ ορθώς. Καταδυναστεύσωμεν τόν δίκαιον, μή φεισώμεθα τής οσιότητος αυτού, μηδέ εντραπώμεν πολιάς πρεσβύτου πολυχρονίους, έστω δέ ημών η Ισχύς νόμος. Καί ενεδρεύσωμεν τόν δίκαιον, ότι δύσχρηστος ημίν εστι, καί εναντιούται τοίς έργοις ημών καί επιφημίζει ημίν αμαρτήματα παιδείας ημών. Επαγγέλλεται γνώσιν έχειν Θεού, καί παίδα Κυρίου εαυτόν ονομάζει. Εγένετο ημίν εις έλεγχον εννοιών ημών. Βαρύς εστιν ημίν καί βλεπόμενος, ότι ανόμοιος τοίς άλλοις ο βίος αυτού, καί εξηλλαγμέναι αι τρίβοι αυτού. Εις κίβδηλον ελογίσθημεν αυτώ ,καί απέχεται τών οδών ημών, ως από ακαθαρσιών, καί μακαρίζει έσχατα δικαίων, ίδωμεν ούν εί οι λόγοι αυτού αληθείς, καί πειράσωμεν τά εν εκβάσει αυτού. Ύβρει καί βασάνω ετάσωμεν αυτόν, ίνα γνώμεν τήν επιείκειαν αυτού, καί δοκιμάσωμεν τήν ανεξικακίαν αυτού. Θανάτω ασχήμονι καταδικάσωμεν αυτόν, έσται γάρ αυτού επισκοπή εκ λόγων αυτού. Ταύτα ελογίσαντο, καί επλανήθησαν, απετύφλωσε γάρ αυτούς η κακία αυτών. Καί ούκ έγνωσαν μυστήρια Θεού, ουδέ έκριναν, ότι σύ εί Θεός μόνος, ο ζωής έχων καί θανάτου εξουσίαν, καί σώζων εν καιρώ θλίψεως καί ρυόμενος εκ παντός κακού, ο οικτίρμων καί ελεήμων, καί διδούς τοίς Οσίοις σου χάριν, καί τώ σώ βραχίονι τοίς υπερηφάνοις αντιτασσόμενος.

Εις την Λιτήν, Στιχηρά ιδιόμελα.

Ήχος α' Ανατολίου

Φωστήρ Ιωάννη, στόμα χρυσεμφανές, εγκαλλώπισμα τών θεουργών αρετών, καί ενδιαίτημα Γραφών μυσταρχικών, σύ τού παναχράντου Αγίου Πνεύματος, ακήρατος θησαυρός εχρημάτισας, όθεν επεύφρανας πάσαν Εκκλησίαν, σωτηριώδει σου λόγω υπαρκτικώ, Παρρησίαν ούν ευράμενος πρός τόν Θεόν, εν τή απολαύσει τής άνω κληρουχίας, πρέσβευε υπέρ ημών, Πάτερ αγιώτατε.

Ο αυτός

Εξεχύθη η χάρις εν χείλεσί σου, Όσιε Πάτερ, Ιωάννη Χρυσόστομε, διά τούτο έχρισέ σε ο Θεός, Αρχιερέα τού λαού αυτού, ποιμαίνειν τό ποίμνιον αύτού, εν οσιότητι καί δικαιοσύνη, Διό περιζωσάμενος τήν ρομφαίαν τού δυνατού, διέκοψας τάς γλωσσαλγίας τών αιρέσεων, καί νύν μή παύση πρεσβεύων, ειρηνεύσαι τόν κόσμον, καί σώσαι τάς ψυχάς ημών.

Ήχος β' Τού Στουδίτου

Σέ τόν μέγαν Αρχιερέα καί Ποιμένα, τόν άκακον καί όσιον, τής μετανοίας τόν κήρυκα, τό χρυσίπνοον στόμα τής χάριτος, ανευφημούντες πόθω δεόμεθα, Μετάδος ημίν τών πρεσβειών σου Πάτερ, εις αντάμειψιν τών ψυχών ημών.

Ο αυτός

Γεωργίου Νικομηδείας

Χρυσέοις λόγοις σου η Εκκλησία, ώς κόσμω χρυσώ περικοσμηθείσα, Ιωάννη Χρυσόστομε, νυμφικώς χαίρουσα βοά σοι, κεκόρεσμαι εκ σών χρυσοβρύτων ναμάτων, καταγλαϊσθείσα χρυσοφαέσι καί μελιχρύσοις πόμασιν, εκ πράξεως γάρ εις θεωρίαν ανάγομαι, διά τών πραέων σου παραινέσεων, καί πρός Χριστόν τόν νοητόν νυμφίον ενούμαι, συμβασιλεύουσα αυτώ, Διό καί ημείς συναθροισθέντες εν τή μνήμη σου κράζομεν, Μή αποκάμης δεόμενος, υπέρ ημών πρός Κύριον, τού σωθήναι τάς ψυχάς ημών.

Ο αυτός

Είληφας Ιεράρχα, τήν ανωτάτω φιλοσοφίαν, καί έξω κόσμου εγένου, ζών υπέρ τά ορώμενα, καί έσοπτρον ακηλίδωτον Θεού σαφώς ανεδείχθης, καί ών αεί ηνωμένος φωτί, φώς προσελάμβανες, καί τρανότερον τού μακαρίου έτυχες τέλους, Πρέσβευε Χρυσόστομε, υπέρ τών ψυχών ημών.

Ήχος δ'

Ρήμασι χρυσαυγεστάτοις, τά πέρατα σαφώς κατήρδευσας, χρυσόρρυτον έχων τήν τε ψυχήν καί τό σώμα πανόλβιε, καί πάντα διαχρυσώσας τοίς λόγοις σου, χρυσουργέ τών δογμάτων σου, καί βίβλους συγγραψάμενος χρυσογραφικάς, ανέπτης εις ουρανούς, Διό βοώμέν σοι, Χρυσορρόα καί Χρυσόστομε, Χριστόν τόν Θεόν ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Δοξα... Ήχος ο αυτός

Γερμανού

Έπρεπε τή βασιλίδι τών πόλεων, Ιωάννην αυχείν Αρχιερέα, ώσπερ τινά κόσμον βασιλικόν, καί χρυσήλατον σάλπιγγα, πάντα περιηχούσαν τά πέρατα, τά σωτήρια δόγματα, καί πάντας συναγείρουσαν, πρός συνασπισμόν ασμάτων θεοπρεπών, πρός όν βοήσωμεν, Χρυσολόγε καί Χρυσόστομε, Χριστόν τόν Θεόν ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Σέ τείχος κεκτήμεθα, Θεοτόκε άχραντε, καί εύδιον λιμένα καί οχύρωμα, διό δεόμεθα, οι εν βίω χειμαζόμενοι, Κυβέρνησον καί διάσωσον ημάς.

Εις τόν Στίχον, τά Στιχηρά Προσόμοια.

Ήχος πλ. α'
Χαίροις ασκητικών αληθώς

Χαίροις τό χρυσαυγές καί τερπνόν, τής Εκκλησίας τό θεόπνευστον όργανον, η γλώσσα η φιλανθρώπως, τής μετανοίας ημίν, τούς ποικίλους τρόπους υπογράφουσα, ο νούς ο χρυσίμορφος, χελιδων η χρυσόστομος, περιστερά τε, ψαλμικώς τά μετάφρενα, χρυσαυγίζουσα, αρετών εν χλωρότητι, ρείθρον χρυσοειδέστατον, προχέον τά νάματα, στόμα τό θείον καί θείας, φιλανθρωπίας εχέγγυον, Χριστόν καταπέμψαι, ταίς ψυχαίς ημών δυσώπει, τό μέγα έλεος.

Στίχ. Τό στόμα μου λαλήσει σοφίαν καί η μελέτη τής καρδίας μου σύνεσιν

Χαίροις τών ορφανών ο Πατήρ, αδικουμένων οξυτάτη βοήθεια, πενήτων η χορηγία, η τών πεινώντων τροφή, τών αμαρτανόντων η διόρθωσις, ψυχών ευστοχώτατος, ιατρός καί σεμνότατος, θεολογίας, υψηλής η ακρίβεια, η σαφήνεια, τών Γραφών τών τού Πνεύματος, νόμος ο πρακτικώτατος, κανών ο ευθύτατος, η θεωρία καί πράξις, αι τής σοφίας ακρότητες, Χριστόν καταπέμψαι, ταίς ψυχαίς ημών δυσώπει, τό μέγα έλεος.

Στίχ. Στόμα δικαίου μελετήσει σοφίαν.

Οίκον τών ιερών αρετών, ιερωμένον σεαυτόν απετέλεσας, εν σοί γάρ τήν κατοικίαν, ώς εν αγίω ναώ, καί καθαρωτάτω Πάτερ έθεντο, σοφώς κυβερνήσας γάρ, τάς αισθήσεις τού σώματος, ώς εν ασύλω, θησαυρώ διετήρησας, τήν διάνοιαν, τών παθών καθαρεύουσαν, όθεν θεοειδέστατος, Παμμάκαρ γενόμενος, τής Εκκλησίας προέστης, ιεραρχία κοσμούμενος, Χριστόν ικετεύων, τόν παρέχοντα τώ κόσμω, τό μέγα έλεος.

Δόξα... Ήχος πλ. β'

Σάλπιγξ χρυσόφωνος ανεδείχθης, Χρυσορρήμον Χρυσόστομε, χρυσουργών τάς καρδίας τών πιστών, τοίς χρυσεπόνοις σου διδάγμασι, προφητικώς γάρ εξήλθεν ο φθογγος τών δογμάτων σου, Όσιε Πάτερ, καί κόσμου παντός τά πέρατα εφώτισας.

Καί νύν... Θεοτοκίον

Ο ποιητής καί λυτρωτής μου Πάναγνε, Χριστός ο Κύριος, εκ τής σής νηδύος προελθών, εμέ ενδυσάμενος, τής πρώην κατάρας, τόν Αδάμ ηλευθέρωσε, διό σοι Πάναγνε, ως τού Θεού Μητρί τε, καί Παρθένω αληθώς, βοώμεν ασιγήτως, τό Χαίρε τού Αγγέλου, χαίρε Δέσποινα, προστασία καί σκέπη, καί σωτηρία τών ψυχών ημών.

Απολυτίκιον Ήχος πλ. δ'

Αυτόμελον

Η τού στόματός σου καθάπερ πυρσός εκλάμψασα χάρις, τήν οικουμένην εφώτισεν, αφιλαργυρίας τώ κόσμω θησαυρούς εναπέθετο, τό ύψος ημίν τής ταπεινοφροσύνης υπέδειξεν, Αλλά σοίς λόγοις παιδεύων, Πάτερ Ιωάννη Χρυσόστομε, πρέσβευε τώ Λόγω Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημων.

Θεοτοκίον

Ο δι' ημάς γεννηθείς εκ Παρθένου, καί σταύρωσιν υπομείνας αγαθέ, ο θανάτω τόν θάνατον σκυλεύσας, καί έγερσιν δείξας ώς Θεός, μή παρίδης ούς έπλασας τή χειρί σου, δείξον τήν φιλανθρωπίαν σου Ελεήμον, δέξαι τήν τεκούσάν σε Θεοτόκον, πρεσβεύουσαν υπέρ ημών, καί σώσον Σωτήρ ημών, λαόν απεγνωσμένον.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν, Κάθισμα.

Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Τήν σοφίαν εξ ύψους καταμαθών, καί τήν χάριν τών λόγων παρά Θεού, τοίς πάσιν εξέλαμψας, ως χρυσός εν καμίνω, καί τήν Αγίαν Τριάδα, Μονάδα εκήρυξας, τήν φιλάργυρον πλάνην, τοξεύσας τοίς λόγοις σου, όθεν καί πρός ζήλον, Βασιλίδα ελέγξας, αδίκως τής ποίμνης σου, απελάθης μακάριε, Ιωάννη Χρυσόστομε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Τό αυτό

Καί νύν... Θεοτοκίον

Τήν ψυχήν μου Παρθένε τήν ταπεινήν, τήν εν ζάλη τού βίου τών πειρασμών, νύν ως ακυβέρνητον, ποντουμένην τώ κλύδωνι, αμαρτιών τε φόρτω, φανείσαν υπέραντλον, καί εις πυθμένα Άδου, πεσείν κινδυνεύουσαν, φθάσον Θεοτόκε, τή θερμή σου πρεσβεία, καί σώσον παρέχουσα, σόν λιμένα τόν εύδιον, ίνα πίστει κραυγάζω σοι, Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων δούναί μοι τήν άφεσιν, σέ γάρ έχω ελπίδα, ο ανάξιος δούλός σου.

Μετά τήν β' Στιχολογίαν, Κάθισμα

Ήχος γ'

Θείας πίστεως

Σκεύος ένθεον τής Εκκλησίας, πλούτος άσυλος τής ευσεβείας, ανεδείχθης Ιεράρχα Χρυσόστομε, εν απαθεία φαιδρύνας τόν βίον σου, τοίς δεομένοις επαντλήσας τόν έλεον, Πάτερ Όσιε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Δόξα... Ήχος πλ. α'

Τόν συνάναρχον Λόγον

Τόν λειμώνα τών λόγων τών θεοπνεύστων Γραφών, τόν ημάς Οδηγούντα πρός τήν μετάνοιαν, τόν τούς ποικίλους πειρασμούς υπομείναντα, τόν Χρυσόστομον πιστοί, ως διδαχθέντες υπ' αυτού, Τιμήσωμεν κατά χρέος, πρεσβεύει γάρ τώ Κυρίω, ελεηθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Τό εξαίσιον θαύμα τό τής συλλήψεως, καί ο άφραστος τρόπος ο τής κυήσεως, εν σοί εγνώρισται, Αγνή Αειπάρθενε, καταπλήττει μου τόν νούν, καί εξιστά τόν λογισμόν, η δόξα σου Θεοτόκε, τοίς πάσιν εφαπλουμένη, πρός σωτηρίαν τών ψυχών ημών.

Μετά τόν Πολυέλεον, Κάθισμα

Ήχος δ'

Επεφάνης σήμερον

Τοίς χρυσέοις λόγοις σου, η Εκκλησία, αρδομένη άπαντας, ποτίζει νάματα χρυσά, καί ιατρεύει νοσήματα, τών σέ υμνούντων, παμμάκαρ Χρυσόστομε.

Δόξα... Ήχος πλ. α'

Τόν συνάναρχον Λόγον

Ούτε έχθρα συνόδου ούσα παράνομος, ούτε μίσος Αυγούστης ούσης παράφρονος, τάς αρετάς τάς εν σοί Πάτερ κατέσβεσαν, αλλ' ως χρυσός εν τώ πυρί, δοκιμασθείς τών πειρασμών, καθικετεύεις απαύστως, τήν Παναγίαν Τριάδα, υπέρ ής ηγωνίσω ζέων τώ πνεύματι.

Καί νύν... Θεοτοκίον

Τήν ταχείάν σου σκέπην καί τήν αντίληψιν, καί τό έλεος δείξον επί τόν δούλόν σου, καί τά κύματα Αγνή καταπράϋνον, τών ματαίων λογισμών, καί τήν πεσούσάν μου ψυχήν, ανάστησον Θεοτόκε, οίδα γάρ οίδα Παρθένε, ως πάντα όσα βούλει καί δύνασαι.

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί  Αντίφωνον Α'

Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.

Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον   Ήχος δ'

Τό στόμα μου λαλήσει σοφίαν, καί η μελέτη τής καρδίας μου σύνεσιν.
Στίχ. Ακούσατε ταύτα πάντα τά έθνη.

Πάσα πνοή.

Ευαγγέλιον κατά Ιωάννην.

Είπεν ο Κύριος, ο μή εισερχόμενος διά τής θύρας...

Ο Ν’

Ήχος β’ Δόξα...

Σήμερον σκιρτώσιν εν πνεύματι, Αρχιερέων δήμοι, σύν ημίν τιμώντές σου τήν μνήμην Ιεράρχα, Χρυσόστομε Όσιε, φωστήρ τής Εκκλησίας.

Καί νύν... Ταίς τής Θεοτόκου πρεσβείαις.

Στίχ. Ελέησόν με ο Θεός...

Καί τό ιδιόμελον Ήχος πλ. β’

Εξεχύθη η χάρις εν χείλεσί σου, Όσιε Πάτερ, καί γέγονας Ποιμήν τής τού Χριστού Εκκλησίας, διδάσκων τά λογικά πρόβατα, πιστεύειν εις Τριάδα ομοούσιον, εν μιά θεότητι.

Οι Κανόνες ο τής Θεοτόκου μετά τών Ειρμών, εις ς’ , καί τού Αγίου εις η’.

Ωδή α’ Ήχος πλ. δ’

Ο Ειρμός

«Υγράν διοδεύσας ωσεί ξηράν, καί τήν Αιγυπτίαν, μοχθηρίαν διαφυγών, ο Ισραηλίτης ανεβόα, Τώ λυτρωτή καί Θεώ ημών άσωμεν».

Πολλοίς συνεχόμενος πειρασμοίς, πρός σέ καταφεύγω, σωτηρίαν επιζητών, ώ Μήτερ τού Λόγου καί Παρθένε, τών δυσχερών καί δεινών με διάσωσον.

Παθών με ταράττουσι προσβολαί, πολλής αθυμίας, εμπιπλώσαί μου τήν ψυχήν, ειρήνευσον Κόρη τή γαλήνη, τή τού Υιού καί Θεού σου πανάμωμε.

Σωτήρα τεκούσάν σε καί Θεόν, δυσωπώ Παρθένε, λυτρωθήναί με τών δεινών, σοί γάρ νύν προσφεύγων ανατείνω, καί τήν ψυχήν καί τήν διάνοιαν.

Νοσούντα τό σώμα καί τήν ψυχήν, επισκοπής θείας, καί προνοίας τής παρά σού, αξίωσον μόνη Θεομήτορ, ως αγαθή αγαθού τε λοχεύτρια.

Εν θλίψει με όντα καί συμφορά, επισκοπής θείας, καί προνοίας μόνη Αγνή, αξίωσον όπως σε δοξάζω, τήν θεοδόξαστον καί υπεράμωμον.

Ο Κανών τού Αγίου, ού η Ακροστιχίς.

Τού Πνεύματος μέλπω σε τό χρυσούν στόμα. Θεοφάνους.

Ωδή α’ Ήχος πλ. δ’

«Αρματηλάτην Φαραω εβύθισε, τερατουργούσα ποτέ, Μωσαϊκή ράβδος, σταυροτύπως πλήξασα, καί διελούσα θάλασσαν, Ισραήλ δέ φυγάδα, πεζόν οδίτην διέσωσεν, άσμα τώ Θεώ αναμέλποντα».

Τής μετανοίας γεγονώς θερμότατος, κήρυξ Χρυσόστομε, μετανοείν Πάτερ, τώ Θεώ με πρέσβευε, εξ όλης τής καρδίας μου, καί τών πάλαι πταισμάτων, θεραπευθήναι τά τραύματα, τή σή συμπαθεία δυσώπησον.

Όλην τήν αίγλην τού Αγίου Πνεύματος, Πάτερ δεξάμενος, ολολαμπής ώφθης, στύλος προηγούμενος, τής Εκκλησίας, Όσιε, φωτεινή τε νεφέλη, παμμάκαρ επισκιάζουσα, τά τών Ορθοδόξων συστή ματα.

Υπό Χριστού προχειρισθείς Διδάσκαλος, θεία διδάγματα, χρυσοειδεί γλώσση, γνώμη τε θεόφρονι, πλουσίως σύ επήγασας, τού Θεού ποταμός γάρ, υδάτων πλήρης τού Πνεύματος, ώφθης θεοφάντορ Χρυσόστομε.

Θεοτοκίον

Πεποικιλμένη ποικιλία χάριτος, θεοχαρίτωτε, τόν τού Πατρός Λόγον, σάρκα χρηματίσαντα, δι’ ευσπλαγχνίαν άφατον, υπέρ νούν τε καί λόγον, ευλογημένη γεγέννηκας, μείνασα Παρθένος αμόλυντος.

Καταβασία

Ανοίξω τό στόμα μου, καί πληρωθήσεται Πνεύματος, καί λόγον ερεύξομαι τή Βασιλίδι Μητρί, καί οφθήσομαι,φαιδρώς πανηγυρίζων, καί άσω γηθόμενος,ταύτης τά θαύματα.

Τής Θεοτοκου

Ωδή γ’

Ο Ειρμός

«Ουρανίας αψίδος, οροφουργέ Κύριε, καί τής Εκκλησίας δομήτορ, σύ με στερέωσον, εν τή αγάπη τή σή, τών εφετών η ακρότης, τών πιστών τό στήριγμα, μόνε φιλάνθρωπε».

Προστασίαν καί σκέπην, ζωής εμής τίθημι, σέ Θεογεννήτορ Παρθένε, σύ με κυβέρνησον, πρός τόν λιμένα σου, τών αγαθών η αιτία, τών πιστών τό στήριγμα, μόνη Πανύμνητε.

Ικετεύω Παρθένε, τόν ψυχικόν τάραχον, καί τής αθυμίας τήν ζάλην, διασκεδάσαι μου, σύ γάρ Θεόνυμφε, τόν αρχηγόν τής γαλήνης, τόν Χριστόν εκύησας, μόνη Πανάχραντε.

Ευεργέτην τεκούσα, τόν τών καλών αίτιον, τής ευεργεσίας τόν πλούτον, πάσιν ανάβλυσον, πάντα γάρ δύνασαι, ώς δυνατόν εν ισχυϊ, τόν Χριστόν κυήσασα, Θεομακάριστε.

Χαλεπαίς αρρωστίαις, καί νοσεροίς πάθεσιν, εξεταζομένω Παρθένε, σύ μοι βοήθησον, τών ιαμάτων γάρ, ανελλιπή σε γινώσκω, θησαυρόν πανάμωμε, καί αδαπάνητον.

Τού Αγίου
Ο στερεώσας κατ' αρχάς

Νούν σύ Χριστού πεπλουτηκώς, σή καθαρά πολιτεία, τής ανθρώπων σωτηρίας εγένου, συνεργός υφηγητής, δημηγόρος Χρυσάστομε, διδασκαλίας βρύων, σωτηριώδεις θεόπνευστε.

Εκ τών ασύλων θησαυρών, τού Πνεύματος σύ πλουτήσας, εκ πηγών τού σωτηρίου αντλήσας, τήν αέναον πηγήν, τών διδαγμάτων ήρδευσας, τής Εκκλησίας άπαν, Όσιε Πάτερ τό προσωπον.

Υλομανούσας τών ψυχών, Χρυσόστομε τάς αρούρας, τή πανσόφω γεωργία τών λόγων, εξεκάθηρας σαφώς, καί καρποφόρους έδειξας, τοίς ουρανίοις όμβροις, ταύτας επάρδων Θεόληπτε.

Θεοτοκίον

Μώμος εν σοί καί μολυσμός, ουκ έστιν όλως Παρθένε, ενδιαίτημα δέ μάλλον εφάνης, ουρανίων αρετών, εν σοί γάρ κατεσκήνωσε, τών αρετών η πάσα, αγιωσυνη Πανάμωμε.

Καταβασία

Τούς σούς υμνολόγους Θεοτόκε, ως ζώσα καί άφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικόν στερέωσον, καί εν τή θεία δόξη σου, στεφάνων δόξης αξίωσον.

Καθισμα Ήχος πλ. δ'
Τήν Σοφίαν καί Λογον

Τής αρρήτου σοφίας θεοπτικώς, εξαντλήσας τόν πλούτον τόν γνωστικόν, πάσιν εθησαύρισας, ορθοδοξίας τά νάματα, τών μέν πιστών καρδίας, ενθέως ευφραίνοντα, τών δέ απίστων αξίως, βυθίζοντα δόγματα, όθεν δι' αμφοτέρων, ευσεβείας ιδρώσιν, εδείχθης αήττητος, τής Τριάδος υπέρμαχος, Ιωάννη Χρυσόστομε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δοξα… Καί νύν… Θεοτοκιον

Τόν φλογμόν τής γεέννης καί εμπρησμόν, τόν κλαυθμόν τόν εν ταύτη καί οδυρμόν, τόν ελεεινότατον, χωρισμόν καί πικρότατον, τού τών Αγίων κλήρου, καί τής ομηγύρεως, ενθυμουμένη φρίξον, ψυχή μου καί στέναξον, καί τά γραμματεία, τών μυρίων χρεών σου, απαλείψαι επείχθητι, κατανύξεως δάκρυσι, συνεργόν ακαταίσχυντον, έχουσα τήν μόνην Αγνήν, δι' ής παιισμάτων δίδοται η άφεσις, τοίς αυτήν Θεοτόκον, ορθοδόξως δοξάζουσι.

Τής Θεοτόκου

Ωδή δ'

## Ο Ειρμός

«Εισακήκοα Κύριε, τής οικονομίας σου τό μυστήριον, κατενόησα τά έργα σου, καί εδόξασά σου τήν Θεότητα».

Τών παθών μου τόν τάραχον, η τόν κυβερνήτην τεκούσα Κύριον, καί τόν κλύδωνα κατεύνασον, τών εμών πταισμάτων Θεονύμφευτε.

Ευσπλαγχνίας τήν άβυσσον, επικαλουμένω τής σής παράσχου μοι, η τόν εύσπλαγχνον κυήσασα, καί Σωτήρα πάντων τών υμνούντων σε.

Οι ελπίδα καί στήριγμα, καί τής σωτηρίας τείχος ακράδαντον, κεκτημένοι σε Πανάμωμε, δυσχερείας πάσης εκλυτρούμεθα.

Απολαύοντες Πάναγνε, τών σών δωρημάτων σοί χαριστήρια, αναμέλπομεν εφύμνια, οι γινώσκοντές σε Θεομήτορα.

Επί κλίνης οδύνης μου, καί τής αρρωστίας κατακειμένω μοι, ως φιλάγαθος βοήθησον, Θεότοκε μόνη αειπάρθενε.

## Τού Αγίου

## Σύ μου ισχύς, Κύριε

Άλλον ημίν, τών Αποστόλων ομότροπον, ο προνοία, πάντων προμηθούμενος, ως αγαθός δέδωκε Χριστός, σέ τής ουρανίου μυσταγωγίας τόν κήρυκα, καί θείον υποφήτην, μυστηρίων τών άνω, Ιωάννη παμμάκαρ Χρυσόστομε.

Τόν χρυσαυγή, καί χρυσολόγον τιμήσωμεν, Ιωάννην, πάντας τόν χρυσώσαντα, χρυσοειδέσι μαρμαρυγαίς, τής διδασκαλίας, καί κόσμον γλώσσα φαιδρύναντα, χρυσίου λαμπροτέρα, καί φωτός πληρεστάτη, εκβρυούση τήν χάριν τήν ένθεον.

Όλος Θεού, γέγονας κατοικητήριον, όλος ώφθης, όργανον τού Πνεύματος, αναφωνούν, πάσης αρετής, θεόπνευστον μέλος, καί σωτηρίας υπόθεσιν, καί κάλλος υποφαίνον, ουρανών βασιλείας, Ιωάννη παμμάκαρ Χρυσόστομε.

Σύ τού Θεού, τήν ευσπλαγχνίαν εκήρυξας, μετανοίας, τρόπους εκτιθέμενος, καί τών κακών τήν αποφυγήν, άριστα διδάσκων, παμμάκαρ καί τελεώτατα, καί έργων τών αρίστων, παραινέσεις υφαίνων, πανσέβασμιε Πάτερ Χρυσόστομε.

## Θεοτοκίον

Μετά Θεόν, σέ προστασίαν κεκτήμεθα, σύ γάρ Μήτηρ, Θεού εχρημάτισας, τού Ποιητού καί Δημιουργού, τού τήν ημετέραν, μορφήν λαβοντος Πανάμωμε, καί ταύτην σεσωκότος, εκ φθοράς καί θανάτου, καί τή δόξη τή θεία δοξάσαντος.

Καταβασία

Τήν ανεξιχνίαστον θείαν βουλήν, τής εκ τής Παρθένου σαρκώσεως, σού τού Υψίστου, ο Προφήτης Αββακούμ, κατανοών εκραύγαζε, Δόξα τή δυνάμει σου Κύριε.

Τής Θεοτόκου

Ωδή ε’

Ο Ειρμος

«Φώτισον ημάς, τοίς προστάγμασί σου Κύριε, καί τώ βραχίονί σου τώ υψηλώ, τήν σήν ειρήνην, παράσχου ημίν φιλάνθρωπε».

Έμπλησον Αγνή, ευφροσύνης τήν ζωήν ημών, τήν σήν ακήρατον διδούσα χαράν, τής ευφροσύνης, η γεννήσασα τόν αίτιον.

Λύτρωσαι ημάς, εκ κινδύνων Θεοτόκε Αγνή, η αιωνίαν τεκούσα λύτρωσιν, καί τήν ειρήνην, τήν πάντα νούν υπερέχουσαν.

Λύσον τήν αχλύν, τών πταισμάτων μου Θεόνυμφε, τώ φωτισμώ τής σής λαμπρότητος, η φώς τεκούσα, τό θείον καί προαιώνιον.

Ίασαι Αγνή, τών παθών μου τήν ασθένειαν, επισκοπής σου αξιώσασα, καί τήν υγείαν, ταίς πρεσβείαις σου παράσχου μοι.

Τού Αγίου

Ίνα τί με απώσω

Εκκλησίας φωστήρα, πάντες σέ γινώσκομεν φωτοειδέστατον, καί ψυχών σωτήρα, αναρπάζοντα ταύτας τού φάρυγγος, τού θανατηφόρου καί πρός ζωήν καθοδηγούντα, τήν αιώνιον Πάτερ αοίδιμε.

Λύεις τάς παρατάξεις, τών αιρετιζόντων συ περιφραξάμενος, ευσεβείας όπλοις, καί ανδρεία ψυχής ιερώτατε, συγκροτείς δέ χαίρων, περιφανώς τών Ορθοδόξων, τάς χορείας συνδέσμω τού Πνεύματος.

Πλήρεις ώσπερ φιάλαι, αρωμάτων ενθέων αι σιαγόνες σου, καί τήν οικουμένην, νοηταίς ευωδίαις ευφραίνουσι, τή τών νοημάτων, μυρεψική μυσταγωγία, καί τώ κάλλει τών λόγων σου Πάνσοφε.

Θεοτοκίον

Ως Θεόν συλλαβούσα, τόν δημιουργόν τε καί κτίστην καί Κύριον, γενεαί σε πάσαι, τών ανθρώπων Αγνή μακαρίζουσι, καί τών Ασωμάτων, αι νοεραί Ταξιαρχίαι, ως Μητέρα Θεού σε δοξάζουσιν.

Καταβασία

Εξέστη τά σύμπαντα, επί τή θεία δόξη σου, σύ γάρ απειρόγαμε Παρθένε, έσχες εν μήτρα τόν επί πάντων Θεόν, καί τέτοκας άχρονον Υιόν, πάσι τοίς υμνούσί σε, τήν ειρήνην βραβεύουσα.

Τής Θεοτόκου

Ωδή ς'
Ο Ειρμός

«Τήν δέησιν εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών, η ψυχή μου επλήσθη, καί η ζωή μου τώ Άδη προσήγγισε, καί δέομαι ως Ιωνάς, Εκ φθοράς ο Θεός με ανάγαγε».

Θανάτου καί τής φθοράς ός έσωσεν, εαυτόν εκδεδωκώς τώ θανάτω, τήν τή φθορά, καίθανάτω μου φύσιν, κατασχεθείσαν Παρθένε δυσώπησον, τόν Κύριόν σου καί Υιόν, τής εχθρών κακουργίας με ρύσασθαι.

Προστάτιν σε τής ζωής επίσταμαι, καί φρουράν ασφαλεστάτην Παρθένε, τών πειρασμών, διαλύουσαν όχλον, καί επηρείας δαιμόνων ελαύνουσαν, καί δέομαι διά παντός, τών παθών μου ρυσθήναι πανάμωμε.

Ως τείχος καταφυγής κεκτήμεθα, καί ψυχών σε παντελή σωτηρίαν, καί πλατυσμόν, εν ταίς θλίψεσι Κόρη, καί τώ φωτί σου αεί αγαλλόμεθα, ώ Δέσποινα καί νύν ημάς, εκ παθών καί κινδύνων διάσωσον.

Εν κλίνη νύν ασθενών κατάκειμαι, καί ουκ έστιν ίασις τή σαρκί μου, αλλ' η Θεόν, καί Σωτήρα τού κόσμου, καί τόν λυτήρα τών νόσων κυήσασα, σού δέομαι τής αγαθής, Εκ φθοράς νοσημάτων ανάστησον.

Τού Αγίου

Ιλάσθητί μοι Σωτήρ

Σοφία πνευματική, τον κόσμον όλον επλούτισας, τού λόγου διανομεύς, γενόμενος πλούσιος, πλουσία γάρ άνωθεν, ιεράρχα χάρις, εξεχύθη σού τοίς χείλεσιν.

Εις πάσαν ως αστραπή, τήν γήν εξήλθεν ο φθόγγος σου, η δύναμις δέ τών σών ρημάτων, Χρυσόστομε, ως σάλπιγξ πανεύσημος, οικουμένης πάντα, περιήχησε τά πέρατα.

Τόν άνωθεν θφαντόν, χιτώνα περιβαλλόμενος, Παμμάκαρ τών αρετών, καί λόγων λαμπρότητα, περιποιησάμενος, αληθείας ώφθης, περιδέξιον εδραίωμα.

Θεοτοκίον

Ο παντοκρατορική, δυνάμει φέρων τά συμπαντα, τό ασθενές τής σαρκός, εκ σού περιβάλλεται, Παρθένε πανάμωμε, επ' ευεργεσία, τών ανθρώπων ο

Φιλάνθρωπος.

Καταβασία

Τήν θείαν ταυτην καί πάντιμον, τελούντες εορτήν οι θεόφρονες, τής θεομήτορος, δεύτε τας χείρας κροτήσωμεν, τόν εξ αυτής τεχθέντα Θεόν δοξάζοντες.

Κοντάκιον Ήχος πλ. β'

Τήν υπέρ ημών

Εκ τών ουρανών εδέξω τήν θείαν χάριν, καί διά τών σών χειλέων, πάντας διδάσκεις, προσκυνείν εν Τριάδι τόν ένα Θεόν, Ιωάννη Χρυσόστομε, παμμακάριστε Όσιε, επαξίως ευφημούμέν σε, υπάρχεις γάρ καθηγητής, ως τά θεία σαφών.

Ο Οίκος

Τώ τών όλων Ποιητή κλίνω τό γόνυ, τώ προαιωνίω Λόγω χείρας εκτείνω, λόγου ζητών χάρισμα, ίνα θμνήσω τόν Όσιον, όν αυτός εμεγάλυνε, φησί γάρ τώ Προφήτη, ο ζών εις τούς αιώνας, Δοξάζω τούς εν πίστει δοξάζοντάς με, Ο ούν εν τοίς πάλαι τόν Σαμουήλ ανυψώσας, εδόξασε νύν τόν Ιεράρχην, τό τάλαντον γάρ ό επιστεύθη, καλώς εμπορευσάμενος, τώ Βασιλεί προσήγαγε, διό καί υπερύψωσεν αυτόν ο υπερούσιος, Τούτου χάριν αιτώ ο ανάξιος εγώ λόγον δοθήναί μοι, ίνα ισχύσω ευσεβώς ανυμνήσαι αυτόν, Τών περάτων γάρ υπάρχει καθηγητής, ως τά θεία σαφών.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΓ' τού αυτού μηνός, Μνήμη τού εν Αγίοις Πατρός ημών Ιωάννου, Αρχιεπισκόπου Κωνσταντινουπόλεως, τού Χρυσοστόμου.

Στίχοι

Μύσας ο χρυσούς Ιωάννης τό στόμα,
Αφήκεν ημίν άλλο τάς βίβλους στόμα.
Αμφί τρίτην δεκάτην σίγησεν χρύσεα χείλη.

Ταίς τού Χρυσορρήμονος πρεσβείαις, Χριστέ ο Θεός, ελέησον καί σώσον ημάς. Αμήν.

Μνήμη τού αγίου νέου Οσιομάρτυρος Δαμασκηνού Κωνσταντινουπολίτου καί εν Κων)πόλη κατά τό 1681 μαρτυρήσαντος.

Τής Θεοτόκου

Ωδή ζ'

Ο Ειρμός

«Οι εκ τής Ιουδαίας, καταντήσαντες Παίδες, εν Βαβιλώνι ποτέ, τή πίστει τής Τριάδος, τήν φλόγα τής καμίνου, Κατεπάτησαν ψάλλοντες, Ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Τήν ημών σωτηρίαν, ως ηθέλησας Σώτερ οικονομήσασθαι, εν μήτρα τής

Παρθένου, κατώκησας τώ κοσμω' ήν προστάτιν ανέδειξας, Ο τών Πατέρων ημών, Θεός ευλογητός εI.

Θησαυρόν σωτηρίας, καί πηγήν αφθαρσίας τήν σέ κυήσασαν, καί πύργον ασφαλείας, καί θύραν μετανοίας, τοίς κραυγάζουσιν έδειξας, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Θελητήν τού ελέους, όν εγέννησας Μήτερ αγνή δυσώπησον, ρυσθήναι τών πταισμάτων, ψυχής τε μολυσμάτων, τούς εν πίστει κραυγάζοντας, Ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Σωμάτων μαλακίας, καί ψυχών αρρωστίας Θεογεννήτρια, τών πόθω προσιόντων, τή σκέπη σου τή Θεία, θεραπεύειν αξίωσον, η τόν Σωτήρα Χριστόν, ημίν αποτεκούσα.

Τού Αγίου

Θεού συγκατάβασιν

Χρηστότητος άβυσσον, καί ευσπλαγχνίας μεμυημένος Θεού, εγγυώμενος ώφθης, τήν σωτηρίαν μετανοούσι θερμώς, καί ολοψύχως Κυρίω κραυγάζουσι, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Ρυθμίζεις Χρυσόστομε, ταίς διδαχαίς σου πάσαν διάνοιαν, καί ψυχών θεραπεύεις, τάς αρρωστίας ως συμπαθέστατος, καί ευδρομούσι συμψάλλεις γηθόμενος, Ευλογητός ο Θεός ό τών Πατέρων ημών.

Υψώθης γενόμενος, εκλελεγμένος όσιος άκακος, ιερεύς τού Υψίστου, δικαιοσύνην ενδεδυμένος λαμπρώς, καί ευφροσύνη κραυγάζων Πανόλβιε, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Θεοτοκίον

Συνέλαβες Άχραντε, τόν επί πάντων Θεόν καί Κύριον, ευδοκήσαντα σώσαι, τό τών ανθρώπων γένος θανάτου φθοράς, όν επαξίως υμνούντες κραυγάζομεν, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Καταβασία

Ουκ ελάτρευσαν τή κτισει οι θεόφρονες, παρά τόν κτίσαντα, αλλά πυρός απειλήν, ανδρείως πατήσαντες, χαίροντες έψαλλον, Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Τής Θεοτόκου

Ωδή η'

Ο Ειρμός

«Τόν Βασιλέα τών ουρανών, όν υμνούσι, στρατιαί τών Αγγέλων υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας».

Τούς βοηθείας τής παρά σού δεομένους, μή παρίδης Παρθένε υμνούντας, καί υπερυψούντάς σε Κόρη εις αιώνας.

Τών ιαμάτων τό δαψιλές επιχέεις, τοίς πιστώς υμνούσί σε Παρθένε, καί υπερυψούσι τόν αφραστόν σου τόκον.

Τάς ασθενείας μου τής ψυχής ιατρεύεις, καί σαρκός τάς οδύνας Παρθένε, ίνα σε δοξάζω τήν κεχαριτωμένην.

Τών πειρασμών σύ τάς προσβολάς εκδιώκεις, καί παθών τάς εφόδους Παρθένε, όθεν σε υμνούμεν εις πάντας τούς αιώνας.

Τού Αγίου

Επταπλασίως κάμινον

Οι νουνεχώς τοίς λόγοις σου, ομιλούντες Χρυσόστομε, τής θεολογίας, τό σεπτόν μυούμεθα, καί πάσαν καρπούμεθα, τών αγαθών τήν όνησιν, καί τήν τής κακίας, αποφεύγομεν βλάβην, κοινόν γάρ πρυτανείον, σωτηρίας εγένου, βοών, Υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Υπέρ ημών δυσώπησον, τόν Δεσπότην Χρυσόστομε, τή συμπαθεστάτη, παρρησία χρώμενος, καί τή ελεήμονι, καί φιλανθρώπω Πάτερ στοργή, σέ γάρ τώ Σωτήρι, προβαλλόμεθα πίστει, μεσίτην καί προστάτην, καί θερμότατον πρέσβυν, θεόφρον Ιεράρχα, Παμμάκαρ Ιωάννη.

Νεανικήν τήν ένστασιν, αταπείνωτον φρόνημα, πρός τούς αδικούντας, βασιλείς ενδέδειξαι, θερμώς προϊστάμενος, αδικουμένων Όσιε, καί τών ορφανών, καί τών χηρών καί πενήτων, Πατήρ γεγενημένος, στοργική διαθέσει, βοών, Υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Σωματικαίς μορφώσεσι, καί ποικίλοις αινίγμασι, καί συμβολικαίς καί τυπικαίς εμφάσεσι, τήν σήν προεμήνυον, οι θεηγόροι γέννησιν, τήν υπερφυά, καί θαυμαστήν σου Παρθένε, διό σε γεγηθότες, ευσεβώς ανυμνούμεν, Χριστόν υπερυψούντες, εις πάντας τούς αιώνας.

Καταβασία

Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν, Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Τής Θεοτόκου

Ωδή θ’

Ο Ειρμός

«Κυρίως Θεοτόκον, σέ μολογούμεν, οι διά σού σεσωσμένοι Παρθένε Αγνή, σύν ασωμάτοις χορείαις σέ μεγαλύνοντες».

Ροήν μου τών δακρύων, μή αποποιήσης, η τόν παντός εκ προσώπου πάν δάκρυον, αφηρηκότα Παρθένε Χριστόν κυήσασα Χαράς μου τήν καρδίαν, πλήρωσον Παρθένε, η τής χαράς δεξαμένη τό πλήρωμα, τής αμαρτίας τήν λύπην εξαφανίσασα.

Λιμήν καί προστασία, τών σοί προσφευγόντων, γενού Παρθένε καί τείχος ακράδαντον, καταφυγή τε καί σκέπη καί αγαλλίαμα.

Φωτός σου ταίς ακτίσι, λάμπρυνον Παρθένε, τό ζοφερόν τής αγνοίας διώκουσα, τούς ευσεβώς Θεοτόκον σέ καταγγέλλοντας.

Κακώσεως εν τόπω, τώ τής ασθενείας, ταπεινωθέντα Παρθένε θεράπευσον, εξ αρρωστίας εις ρώσιν μετασκευάζουσα.

Τού Αγίου

Εξέστη επί τούτω

Τής όντως απολαύων Πάτερ ζωής, υπέρ ής ηγωνίσω πρός δύναμιν, επί τής γής, βίω διαπρέψας αγγελικώ, καί τού Χριστού κτησάμενος, γλώσσαν καί τό στόμα τό γαληνόν, σωθήναι θεηγόρε, δυσώπει τούς σέ πίστει, διαφερόντως μακαρίζοντας.

Οι λόγοι σου Τρισμάκαρ λόγοι ζωής, τήν ζωήν προξενούντες τήν άληκτον, σέ γάρ πηγήν, βρύουσαν ανέδειξεν ο Χριστός, καί ποταμόν προχέοντα, θείων διδαγμάτων επιρροάς, τρυφής όντως χειμάρρουν, αφέσεώς τε ρείθρον, καί μετανοίας λαμπρόν κήρυκα.

Μεσίτης ανεδείχθης Αρχιερεύ, τού Θεού καί ανθρώπων υπέρλαμπρος, σύ γάρ φωστήρ, ώφθης ευσεβείας θεοφεγγής, καί τής ενθέου γέγονας, ελεημοσύνης εισηγητής, διο σε Χρυσολόγε, καρδίας διαθέσει, νύν επαξίως μεγαλύνομεν.

Θεοτοκίον

Αγνή δεδοξασμένη Μήτηρ Θεού, τους υμνούντάς σε πόθω περίσωζε, τών πειρασμών, όχλον διαλύουσα συμπαθώς, ως γάρ Θεόν γεννήσασα, πάντα δσα θέλεις επιτελείν, ανύεις ακωλύτως, καί δύνασαι Παρθένε, διό σε πάντες μεγαλύνομεν.

Καταβασία

Άπας γηγενής, σκιρτάτω τώ πνεύματι, λαμπαδουχούμενος, πανηγυριζέτω δέ, αϋλων Νόων φύσις γεραίρουσα, τήν ιεράν πανήγυριν τής Θεομήτορος, καί βοάτω, Χαίροις παμμακάριστε, Θεοτόκε αγνή αειπάρθενε.

Εξαποστειλάριον

Εν πνεύματι τώ Ιερώ
Τοίς χρυσαυγέσι λόγοις σου, η Χριστού Εκκλησία, φαιδρύνεται λαμπρύνεται, ώ Χρυσόστομε Πάτερ, ψυχαί δέ κατευφραίνονται, τών πιστών γεραίρουσαι, τήν παναγίαν σου μνήμην, σύ γάρ πάσιν εφάνης, σωτηρίας οδηγός, καί κήρυξ τής μετανοίας.

Έτερον Γυναίκες ακουτίσθητε

Τόν μεγαλοφωνότατον, τής μετανοίας κήρυκα, τόν θησαυρόν τών πενήτων, τό στόμα τής Εκκλησίας, τό χρύσεον καί εύλαλον, τών Γραφών τήν σαφήνειαν, Ιωάννην τόν πάνσοφον, ανευφημήσωμεν πάντες, ως υπ’ αυτού στηριχθέντες.

Θεοτοκίον

Παρθένε παναμώμητε, Κυρία μου καί Δέσποινα, τόν σόν Υιόν εκδυσώπει, σύν τώ κλεινώ Χρυσοστόμω, πειρατηρίων ρύσασθαι, παντοίων τούς υμνούντάς σε, καί αιωνίων άπαντας, αγαθών αξιώσαι, δύνασαι γάρ όσα θέλεις.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ’ καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ’ Έδωκας σημείωσιν

Χρυσού τηλαυγέστερον, τά ιερά σου διδάγματα, προχεόμενος πάνσοφε, πλουτίζεις Χρυσόστομε, πενομένας φρένας, καί αποδιώκεις, τών παθημάτων τήν αχλύν, φιλαργυρίας πικρόν χειμώνά τε, διό σε μακαρίζομεν, χρεωστικώς καί τήν κόνιν σου, τών λειψάνων σεβόμεθα, ως πηγήν αγιάσματος.

Ο στύλος ο πύρινος, ο ποταμός ο τοίς νάμασι, τών δογμάτων κατάρρυτος, ο νούς ο ουράνιος, τής θεολογίας, τό πάγχρυσον στόμα, αμαρτωλών εγγυητής, τής μετανοίας κήρυξ ο ένθεος, φωστήρ ο διαυγέστατος, ο επουράνιος άνθρωπος, ο μακάριος σήμερον, ανυμνείσθω Χρυσόστομος.

Ήλιος πολύφωτος, τήν οικουμένην τοίς λόγοις σου, καταυγάζων γεγένησαι, αστήρ φαεινότατος, λαμπάς φανοτάτη, πυρσός τούς θαλάσση, τή κοσμική διαπαντός, χειμαζομένους ο προσκαλούμενος, πρός όρμον γαληνότατον, τής σωτηρίας εν χάριτι, Χρυσόλογε Χρυσόστομε, πρεσβευτά τών ψυχών ημών.

Αδίκως τής ποίμνης σου, απελαθείς Πάτερ Όσιε, προσωμίλησας θλίψεσι, Πικραίς εξορίαις τε, εν αις ηξιώθης, μακαρίου τέλους, οία γενναίος Αθλητής, καταπαλαίσας τόν πολυμήχανον, καί νίκης διαδήματι, σέ ο Χριστός εστεφάνωσε, Ιωάννη Χρυσόστομε, πρεσβευτά τών ψυχών ημών.

Δόξα… Ήχος πλ. δ’

Ανατολίου

Χρυσέοις έπεσι, καί θεοφθόγγοις διδάγμασι, κατακοσμήσας τήν τού Θεού Εκκλησίαν, πλούτον πνευματικόν εθησαύρισας εν αυτή, τά σά θεοπαράδστα λόγια, διό στέφανον εξ ακηράτων ανθέων, πλεξαμένη τοίς άσμασι, τή Ιερά σου προσφέρει μνήμη, πάγχρυσε τή ψυχή σύν τή γλώττη, Ιωάννη Θεοσοφε, Αλλ’ ως έχων παρρησίαν Όσιε, πρέσβευε υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

Δέσποινα πρόσδεξαι, τάς δεήσεις τών δούλων σου, καί λύτρωσαι ημάς, από πάσης ανάγκης καί θλίψεως.

Δοξολογία Μεγάλη
καί Απολυσις.

Δίδοται καί άγιον έλαιον τοίς Αδελφοίς.

Εις τήν Λειτουργίαν, τά Τυπικά, καί εκ τού Κανόνος τού Αγίου η γ' καί ς' Ωδή.

Απόστολος.

Αδελφοί, τοιούτος ημίν έπρεπεν Αρχιερεύς...

Ευαγγέλιον κατά Ιωάννην.

Είπεν ο Κύριος, Εγώ ειμι η θύρα...

Κοινωνικόν.

Εις μνημόσυνον αιώνιον έσται Δίκαιος, Αλληλούϊα.

---

Αρχή

**ΤΗ ΙΔ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τού Αγίου καί πανευφήμου Αποστολου Φιλίππου, καί τού Αγίου ενδόξου Μεγαλομάρτυρος Κωνσταντίνου τού εξ Ύδρας, τού αθλήσαντος εν έτει 1800 εν τή νήσω τής Ρόδου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις το, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσομοια τρία, δευτερούντες αυτά.

Ήχος πλ. β'
Όλην αποθέμενοι

Πράξιν μέν επίβασιν, ειλικρινούς θεωρίας, θεωρίαν τέλος δέ, φιλοθέου πράξεως Μάκαρ θέμενος, τόν Χριστόν ηξίωσας, τού Πατρός τήν δόξαν, υποδείξαί σοι τήν άφραστον, καί γάρ εφίεται, πάσα λογική φύσις ένδοξε, Θεού τού υποστήσαντος, καί τού ποθουμένου τετύχηκας, τούτου παραυτίκα, δεξάμενος σφραγίδα τόν Υιόν, όν παρρησία δυσώπησον, υπέρ τών ψυχών ημών.

Θείαις αναβάσεσι, διαπαντός κεχρημένος, ως Μωσής τό πρότερον, τόν Θεόν θεάσασθαι επεπόθησας, καί γνωστώς είδες δέ, τήν αυτού εικόνα, δεδεγμένος πρός εμφέρειαν, Πατρός γάρ σύντομος, γνώσις ο Υιός καί απόδειξις, Υιού δέ καί Γεννήτορος, μία η ουσία γνωρίζεται, καί η διά πάντων, ταυτότης

αναφαίνεται σεπτώς, καί βασιλεία καί δύναμις, δόξα καί προσκύνησις.

Όργανον κρουόμενον, ταίς θεϊκαίς επιπνοίαις, καί ταίς υφηγήσεσι, τού Αγίου Πνεύματος εχρημάτισας, καί τό υπερκόσμιον, μελωδών εν κόσμω, τού Σωτήρος Ευαγγέλιον, πυρίνη γλώσση σου, πάσαν τήν απάτην κατέφλεξας, ως ύλην ευκατάπρηστον, καί ως χόρτον γής μαραινόμενον, καί τόν επί πάντων, Δεσπότην τε καί Κύριον Χριστόν, τή οικουμένη εκήρυξας, Φίλιππε θεσπέσιε.

Δόξα... Ήχος πλ. β’
Βύζαντος

Τού μεγάλου Φίλιππε φωτός, ταίς αστραπαίς πυρωθείς, παγκόσμιος εξέλαμψας φωστήρ, τόν Πατέρα δέ τών φώτων, εν Υιώ ζητήσας εύρες, εντώ φωτί τό φώς γάρ ευρίσκεται, καί γάρ ούτος σφραγίς ισότυπος, δηλών τό αρχέτυπον. Όν Απόστολε δυσώπει, τούς εσφραγισμένους τώ θείω, περισώζεσθαι αίματι.

Καί νύν... Θεοτοκίον

Τίς μή μακαρίσει σε, Παναγία Παρθένε; τίς μή ανυμνήσει σου, τόν αλόχευτον τόκον; ο γάρ αχρόνως εκ Πατρός εκλάμψας Υιός μονογενής, ο αυτός εκ σού τής Αγνής προήλθεν, αφράστως σαρκωθείς, φύσει Θεός υπάρχων, καί φύσει γενόμενος άνθρωπος δι’ ημάς, ούκ εις δυάδα προσώπων τεμνόμενος, αλλ’ εν δυάδι φύσεων, ασυγχύτως γνωριζόμενος, Αυτόν ικέτευε, Σεμνή Παμμακάριστε, ελεηθήναι τάς ψυχάς ημών.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος πλ. δ’
Ώ τού παραδοξου θαύματος

Ω τού παραδόξου θαύματος! ο τούς ιχθύας ποτέ, σαγηνεύων Απόστολος, τών ανθρώπων γέγονεν, αλιεύς θεοπροβλητος, λόγων σαγήνη, έθνη εζώγρησε. Σταυρού αγκίστρω, κόσμον ανείλκυσεν, Ώ οίον θήραμα, τώ Χριστώ προσήγαγεν, ο θεουργός! ούπερ τό μνημόσυνον, νύν εορτάζομεν.

Στίχ. Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών.

Ω τού παραδόξου θαύματος! αποσταλείς εκ Θεού, ο Απόστολος Φίλιππος, μέσον λύκων πρόβατον, απτοήτως νύν πρόεισι, τούς θήρας άρνας, πίστει ανέδειξε, τόν κόσμον θείως, μετεστοιχείωσεν. Ώ έργα πίστεως! ώ δυνάμεις άρρητοι! ού ταίς ευχαίς, σώσον τάς ψυχάς ημών, ως μόνος εύσπλαγχνος.

Στίχ. Οι ουρανοί διηγούνται δόξαν Θεού ποίησιν δέ χειρών αυτού αναγγέλλει τό στερέωμα.

Ω τού παραδόξου θαύματος! φρέαρ πηγάζον ζωήν, εν σοφίας αντλήματι, τοίς εν κόσμω πέφηνεν, ο Απόστολος Φίλιππος, αφ’ ού περ ρείθρα, δογμάτων

πρόεισιν, εξ ού θαυμάτων, ρεύματα πίνομεν, Ώ οία δέδρακε, φοβερά τεράστια, ο θεουργός! ούπερ τό μνημόσυνον πίστει γεραίρομεν.

Δόξα... Ήχος β' Βυζαντίου

Καταλιπών τά επί γής, ηκολούθησας Χριστώ, καί σφραγισθείς τώ εμφυσήματι τού Αγίου Πνεύματος, απεστάλης ύτ' αυτού, εις Τά έθνη τά απολωλότα, επιστρέφειν τούς ανθρώπους, εις φώς θεογνωσίας, Φίλιππε Απόστολε, καί τελέσας τόν αγώνα τού θείου σου πόθου, διά βασάνων πολυπλόκων, τήν ψυχήν σου τώ Θεώ παρέδωκας, Αυτόν ικέτευε παμμακάριστε, δωρηθήναι ημίν τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Τήν πάσαν ελπίδα μου εις σέ ανατίθημι, Μήτηρ τού Θεού, φύλαξόν με υπό τήν σκέπην σου.

Απολυτίκιον Ήχος γ'

Απόστολε Άγιε Φίλιππε, πρέσβευε τώ ελεήμονι Θεώ, ίνα πταισμάτων άφεσιν, παράσχη ταίς ψυχαίς ημών.

Απολυτίκιον τού Μάρτυρος
Ήχος α' Τής ερήμου πολίτης

Τόν λαμπρόν γονον Ύδρας καί τής Ρόδου τό καύχημα, καί Νεομαρτύρων τό κλέος, Κωνσταντίνον τιμήσωμεν, εν ύμνοις καί ωδαίς πνευματικαίς, τήν μνήμην εκτελούντες τήν αυτού, ίνα λάβωμεν πλουσίαν τήν αμοιβήν, παρά Θεού κραυγάζοντες, δόξα τώ σέ δοξάσαντι Χριστώ, δόξα τώ σε ενισχύσαντι, καί εν υστέροις καιροίς σέ στεφανώσαντι.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, λέγονται οι Κανόνες τής Οκτωήχου, καί τού Αποστόλου ο παρών, ού η Ακροστιχίς.

Τόν ευκλεή Φίλιππον υμνώ ροφρόνως. Θεοφάνους.

Ωδή α' Ήχος πλ. β'

«Ως εν ηπείρω πεζεύσας ο Ισραήλ, εν αβύσσω ίχνεσι, τόν διώκτην Φαραώ, καθορών ποντούμενον Θεώ, επινίκιον ωδήν, εβόα άσωμεν».

Ταίς υπερφώτοις ακτίσι τής τού Χριστού, θεϊκής λαμπρότητος, ενηδόμενος τρανώς, θεοκήρυξ Φίλιππε ταίς σαίς, κατά μέθεξιν αυγαίς, ημάς καταύγασον.

Ο τού Πατρός σοι τήν δόξαν δι' εαυτού, υποδείξας Φίλιππε, τώ χορώ τών Μαθητών, σέ Χριστός ενέταξε τήν σήν, προγινώσκων αρετήν, θεομακάριστε.

Νύν ουκ αινίγμασι βλέπεις ουδέ σκιαίς, ουδ' εσόπτροις Πάνσοφε, τήν πηγήν τών αγαθών, ορεκτών τό έσχατον Χριστόν, αλλά πρόσωπον οράς, σαφως

πρός πρόσωπον.

Θεοτοκίον

Εκλελοιπότων Αρχόντων εκ τής φυλής, τού Ιούδα Πάναγνε, ο Υιός σου καί Θεός, προελθών Ηγούμενος τής γής, τών περάτων αληθώς, νύν εβασίλευσεν.

Ωδή γ’

«Ουκ έστιν άγιος ως σύ, Κύριε ο Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου αγαθέ, καί στερεώσας, ημάς, εν τή πέτρα τής Ομολογίας σου».

Υπάρχων έμπλεως φωτός, πρακτικής θεωρίας, τώ φωτί τώ μεγάλω, γενομένω μεθ’ ημών, κατηξιώθης Χριστώ, λειτουργήσαι, Φίλιππε θεσπέσιε.

Κρηπίς δογμάτων ευσεβών, ή σή μυσταγωγία, τοίς πιστοίς ανεδείχθη, δι’ αυτής γάρ τόν Υιόν, επέγνωμεν συμφυώς, ηνωμένον, όντα τώ Γεννήτορι.

Λυχνία γέγονας χρυσή, δαδουχών τοίς ανθρώποις, τό αΐδιον φέγγος, καί φωτίζων τή αυτού, τήν οικουμένην σαφώς, επιγνώσει, Φίλιππε πανάριστε.

Θεοτοκίον

Επί σοί πάναγνε σεμνή, πεποιθως μή εκπέσω, τής εις σέ προσδοκίας, αλλ’ ως Μήτηρ συμπαθής, τού φιλανθρώπου Θεού, τών παγίδων, τού εχθρού με λύτρωσαι.

Κάθισμα

Ήχος πλ. δ’  Τήν Σοφίαν

Ελατήρ τών δαιμόνων αναδειχθείς, καί φωστήρ τών εν σκότει αποφανθείς, έδειξας τόν Ήλιον, εκ Παρθένου εκλάμψαντα, καί ναούς ειδώλων, συντρίψας ανήγειρας, εκκλησίας Μάκαρ, εις δόξαν Θεού ημών, όθεν σε τιμώμεν, καί τήν θείαν σου μνήμην, λαμπρώς εορτάζομεν, καί συμφώνως βοώμέν σοι, Απόστολε Φίλιππε, πρέσβευε Χριστώ τώ Θεώ τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Όμοιον

Ο μβροφόρος νεφέλη πνευματική, αληθώς ανεδείχθης τοίς επί γής, ποτίζων ως άρουραν, μυστικώς τάς καρδίας ημών, διαδραμών γάρ τώ λόγω, δροσίζεις τά πέρατα, υετούς προχέων, τά μύρα τή λάρνακι, όθεν διαπνεύσας, ταίς απίστοις καρδίαις, οσμήν τήν τού Πνεύματος, εν αυταίς εθησαύρισας, Απόστολε Φίλιππε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, την αγίαν μνήμην σου.

Καί νύν… Θεοτοκίον

Τήν ψυχήν μου Παρθένε τήν ταπεινήν, από βρέφους μολύνας ο μιαρός, καί λόγοις καί πράξεσιν, εμαυτόν κατερρύπωσα, καί ουκ έχω τί πράξαι, ουδέ καταφύγιον, αλλ’ ουδ’ άλλην ελπίδα, πλήν σου Κόρη επίσταμαι, Φεύ μοι τώ αχρείω! Διά τούτο ικέτης, πρός σέ τήν Πανάχραντον, νύν προστρέχω καί δέομαι, ομολογών σοι το, Ήμαρτον, Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δοθήναί μοι, εις σέ γάρ πάσαν ελπίδα, ανέθηκα

Δέσποινα.

Ωδή δ'

«Χριστός μου δύναμις, Θεός καί Κύριος, η σεπτή Εκκλησία θεοπρεπώς, μέλπει ανακράζουσα, εκ διανοίας καθαράς, εν Κυρίω εορτάζουσα».

Ηλίου σκήνωμα, Χριστού τού όντως φωτός, καί ναός ανεδείχθης χωρητικός, τούτου τής λαμπρότητος, καί ουρανός δόξαν Θεού, τοίς ανθρώποις διηγούμενος.

Φθαρείσης πάθεσι, τής ανθρωπότητος, εμβληθείς θείον άλας παρά Χριστού, ταύτης απεξήρανας, τήν σηπεδόνα τήν δεινήν, θεοφάντορ αξιάγαστε.

Ισχύϊ Φίλιππε, Χριστού ρωννύμενος, τών δαιμόνων τού στίφους καί δυσσεβών, ώφθης δυνατώτερος, τοίς επί γής αναβοών, ζωής θείας ευαγγέλια.

Θεοτοκίον

Λιμένα εύδιον, Χριστός ανέδειξε, τοίς εν πίστει καί πόθω σέ αληθεί, Δέσποινα πανάμωμε, εκ διανοίας καθαράς, Θεοτόκον καταγγέλλουσιν.

Ωδή ε'

«Τώ θείω φέγγει σου Αγαθέ, τάς τών ορθριζόντων σοι ψυχάς, πόθω καταύγασον δέομαι, σέ ειδέναι Λόγε Θεού, τόν όντως Θεόν, εκ ζόφου τών πταισμάτων ανακαλούμενον».

Ιόν ψυχόλεθρον τού εχθρού, ταίς αλεξικάκοις σου, θεορρήμον παλάμαις εξήρανας, τούς θανατηφόρω κεκρατημένους βυθώ, χαλεπής αλγηδόνος αναρρυόμενος.

Πυρίπνους όλος αναδειχθείς τή τού Παρακλήτου επιδημία, καί χάριτι Φίλιππε, τούς αποψυγέντας, εν αθεϊας κρυμώ, τή τής πίστεως θέρμη εζωοποίησας.

Πλησίον γέγονας τού Χριστού, τάς ενδιδομένας σοι, λαμπηδόνας αμέσως δεχόμενος, καί διαβιβάζων τοίς σοί προστρέχουσι, φωτίζων καί προσάγων, τούτους τώ Κτίστη σου.

Θεοτοκίον

Ο λόγω πάντα δημιουργών, καί σοφή προνοία κυβερνών, μόνος ως βούλεται Κύριος, άκρα ευσπλαγχνία, δημιουργείται εκ σού, καί σάρξ ανερμηνεύτως Πάναγνε γίνεται.

Ωδή ς'

«Συνεσχέθη, αλλ' ου κατεσχέθη, στέρνοις κητώοις Ιωνάς, σού γάρ τόν τύπον φέρων, τού παθόντος, καί ταφή δοθέντος, ως εκ θαλάμου τού θηρός ανέθορε, προσεφώνει δέ τή κουστωδία, Οι φυλασσόμενοι μάταια καί ψευδή, έλεον αυτοίς εγκατελίπετε».

Νεμομένην, καί λυμαινομένην, βλέπων τήν πλάνην τού εχθρού, τό τών ανθρώπων γένος, τά σά βέλη τά ηκονημένα, τούς Αποστόλους τείνας εξαπέστειλας, καί διήνοιξας θώρακος πτύξιν, Χριστέ τού δράκοντος, άπαντας τής αυτού, λύμης καί φθοράς Σώτερ ιώμενος.

Υπερτέρω, φέγγει καταλάμπων, ώφθης καθάπερ αστραπή, τή οικουμένη φαίνων, καί ως όρος γλυκασμόν σταλάζων, ως Θεού δρόσος ουρανόθεν πίπτουσα, ως Απόστολος εκλελεγμένος, τήν δωδεκάριθμον, φάλαγγα συμπληρών, τήν τών Μαθητών Χριστού Πανόλβιε.

Μυηθείς σου, τό τού μυστηρίου, βάθος ο θείος Μαθητής, ως ποταμόν ειρήνης, επιβλύζοντα τρυφής χειμάρρουν, ως επικλύζον κύμα δόξαν έθνεσι, σέ εκήρυξε μεγαλοφώνως, καί τήν σήν ένδοξον, κένωσιν Αγαθέ, τήν υπέρ ημών ευηγγελίσατο.

Θεοτοκίον

Νεκρουμένους, καί απολλυμένους, πάντας θανάτω τούς βροτούς, σύ τόν Χριστόν τεκούσα, τήν ακήρατον αθανασίαν, ανεκαλέσω πρός ζωήν αιώνιον, καί εφώτισας εσκοτισμένους, καί ηλευθέρωσας, λύσασα τά δεσμά, τής απαγωγής ημών Πανύμνητε.

Κοντάκιον  Ήχος πλ. δ’

Ως απαρχάς

Ο μαθητής καί φίλος σου, καί μιμητής τού πάθους σου, τή οικουμένη Θεόν σε εκήρυξεν, ο θεηγόρος Φίλιππος, Ταίς αυτού ικεσίαις, εξ εχθρών παρανόμων, τήν Εκκλησίαν σου, διά τής Θεοτόκου συντήρησον Πολυέλεε.

Ο Οίκος

Ρείθρα λόγου παράσχου μοι Κύριε, ο υδάτων τήν φύσιν δειμάμενος, τήν καρδίαν μου στήριξον Δέσποτα, ο τήν γήν στερεώσας τώ λόγω σου, καί φώτισον μου τήν διάνοιαν, ο τό φώς ώς χιτώνα αναβαλλόμενος, ίνα λέγω καί ψάλλω τά πρέποντα, καί αξίως υμνήσω τόν σόν Μαθητήν Πολυέλεε.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΔ’ τού αυτού μηνός, Μνήμη τού Αγίου ενδόξου καί πανευφήμου Αποστολου Φιλίππου, ενός τής πρώτης χορείας τών δώδεκα.

Στίχοι

Αρθείς Φίλιππος εκ ποδών επί ξύλου,
Τά τών ποδών σοι νίπτρα Σώτερ εκτίνει.
Ήρθης κακκεφαλής δεκάτη Φίλιππε τετάρτη.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου ενδόξου Μεγαλομάρτυρος Κωνσταντίνου τού εξ’ ΄Υδρας, τού αθλήσαντος εν έτει 1800 εν τή νήσω τής Ρόδου.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός ελέησον ημάς. Αμήν.

## Ωδή ζ’

«Οι Παίδες εν Βαβυλώνι, καμίνου φλόγα ούκ έπτηξαν, αλλ’ εν μέσω φλογός εμβληθέντες, δροσιζόμενοι έψαλλον, Ευλογητός εί Κύριε, ο Θεός τών Πατέρων ημών».

Ως φέγγος εξαπεστάλης, βολίδος δίκην Απόστολε, σελασφόροις βολαίς καταυγάζων, τούς εν πίστει κραυγάζοντας, Ευλογητός εί Κύριε, ο Θεός τών Πατέρων ημών.

Πλουσίαις φωτοχυσίαις, τού θείου Μάκαρ κηρύγματος, διαλάμπων φαιδρώς τούς εν σκότει, μελωδείν κατεφώτισας, Ευλογητός εί Κύριε, ο Θεός τών Πατέρων ημών.

Ρητόρων αδολεσχίαν, καί λόγων πάσαν δεινότητα, τώ συντόνω λόγω εκνικήσας, τώ τής πίστεως έψαλλες, Ευλογητός εί Κύριε, ο Θεός τών Πατέρων ημών.

### Θεοτοκίον

Ουσίας υπερουσίως, Παρθένε δύο γεγέννηκας, ηνωμένας Αγνή ασυγχύτως, τώ Χριστώ, ώ κραυγάζομεν, Ευλογητός εί Κύριε, ο Θεός τών Πατέρων ημών.

## Ωδή η’

«Νόμων πατρώων οι μακαριστοί, εν Βαβυλώνι Νέοι προκινδυνεύοντες, βασιλεύοντος κατέπτυσαν, προσταγής αλογίστου, καί συνημμένοι, ώ ούκ εχωνεύθησαν πυρί, τού κρατούντος επάξιον, ανέμελπον τόν Ύμνον, Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Φώς σε τού κόσμου απετέλεσε, τό πατρικόν φώς, Λόγος ο ενυπόστατος, εκλεξάμενος Απόστολον, εκ τού κόσμου Τρισμάκαρ, καί καθοπλίσας, θεία δυναστεία τή αυτού, επαφήκεν αήττητον, ως οπλίτην βοώντα, Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ρώμη τή θεία δυναμούμενος, τάς αντιπάλους τάξεις υπερενίκησας, τήν ατίθασον παράταξιν, τήν αυτών καταλύσας, την γάρ ειρήνην, κλήρον αναφαίρετον λαβών, ειρηναίαν κατάστασιν, εφύτευσας τώ κόσμω, Τόν Κύριον υμνείτε κραυγάζων, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Όλω τώ πόθω προσεπέλασας, τώ σαρκωθέντι Λόγω Θεού Απόστολε, μαθητής τούτου γενόμενος, καί θείος υπηρέτης, καί μυστολέκτης, όθεν υπ’ αυτού αποσταλείς, εις τά έθνη εκήρυξας, αυτού τήν παρουσίαν, Τόν Κύριον υμνείτε κραυγάζων, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

### Θεοτοκίον

Όλος ηνώθη υπέρ έννοιαν, αναλλοιώτως όλη τή ανθρωπότητι, ό υπέρθεος εν μήτρα σου, Παναγία Παρθένε, όθεν εν δύο φύσεσι, γνωρίζεται Χριστός, είς υπάρχων αμφότερα, όν υμνούντες βοώμεν, Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, είς πάντας τούς αιώνας.

Ωδή θ’

«Απορεί πάσα γλώσσα, ευφημείν πρός αξίαν, ιλιγγιά δέ νούς καί υπερκόσμιος, υμνείν σε Θεοτόκε, όμως αγαθή υπάρχουσα, τήν πίστιν δέχου, καί γάρ τόν πόθον οίδας, τόν ένθεον ημών, σύ γάρ χριστιανών εί προστάτις, σέ μεγαλύνομεν».

Νύν απορρήτου δόξης, καί φωτός ανεσπέρου, ηξιωμένος ένθα η ανέκφραστος, υπάρχει ευφροσύνη, ένθα η χαρά η άληκτος, εν εκκλησία, τών πρωτοτόκων ένθα, δικαίων αι σκηναί, πάντων Χριστιανών υπερεύχου, Φίλιππε, πάνσοφε.

Ωραϊσμένος κάλλει, νοητής ευπρεπείας, καί βασιλείας στέφος περικείμενος, θεόφρον καί πλουσίαις, Φίλιππε περιχεόμενος, φωτοδοσίαις, τής τού υπερουσίου, φωτός μαρμαρυγής, χαίρων τώ τού Δεσπότου σου, θρόνω μάκαρ παρίστασαι.

Σύν Αποστόλοις πάσι, σεπτοίς τε καί Προφήταις, καί σύν Αθλοφόροις Φίλιππε Οσίοις, Ιεράρχαις Δικαίοις, σύν τή Θεοτόκω πρέσβευε, λύσιν πταισμάτων, καί τών αμπλακημάτων, δοθήναι ιλασμόν, πίστει τοίς τήν φωσφόρον καί θείαν, μνήμην τελούσί σου.

Θεοτοκίον

Σεσαρκωμένον Λόγον, τόν πρίν άσαρκον όντα, υπερφυώς Παρθενομήτορ τέτοκας, διό σε Θεοτόκον, πάντες ευσεβώς κηρύττομεν, αληθεστάτην σοί τήν προσηγορίαν, αρμόζοντες Αγνή, σύ γάρ τής τών πιστών σωτηρίας, ρίζα καθέστη κας.

Εξαποστειλάριον

Εν πνεύματι τώ Ιερώ

Δρόμον ωραίων σου ποδών, Φίλιππε αναστρέψας, πορείαν τήν ουράνιον, ανελήλυθας χαίρων, καί τή Τριάδι παρεστώς, εν Πατρί τεθέασαι, Υιόν καί Πνεύμα τό θείον, διά τούτό σου πόθω, τήν πανίερον καί θείαν, εορτάζομεν μνήμην.

Έτερον, Ο ουρανόν τοίς άστροις

Πνεύματος θείου ακτίνα, θεσπέσιε δεδεγμένος, καί κόσμον καταφωτίσας, τώ φθόγγω τών σών ρημάτων, υπέρ ημών νύν δυσώπει, τόν Κύριον τού σωθήναι.

Θεοτοκίον

Υπεραγία Παρθένε, δέησιν νύν τώ Υιώ σου, υπέρ ημών σύν Φιλίππω, τώ θείω καί θεηγόρω, προσφέρουσα εκ παντοίων, κακών περίσωζε πάντας.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ’ καί ψάλλομεν Στιχηρά Προσόμοια τρία, δευτερούντες τό πρώτον.

Ήχος α’

Τών ούρανίων ταγμάτων

Τών ουρανίων σου φθόγγων τά απηχήματα, επί τής γής παμμάκαρ, διεχύθη καί ταύτην, επλήρωσε δογμάτων, δι’ ών τόν Υιόν, τώ Πατρί καί τώ Πνεύματι, θεολογούντες Απόστολε μυστικώς, ομοούσιον δοξάζομεν. (Δίς)

Ως εωσφόρον σε πάντες τών Αποστόλων Χριστού, καί φαεινόν λαμπτήρα, τής σεπτής Εκκλησίας, Φίλιππε τρισμάκαρ, έχοντες νύν, τάς ψυχάς φωτιζόμεθα, καί εκ κινδύνων λυτρούμεθα δυσχερών, ταίς πρεσβείαις σου πανεύφη με.

Διά σταυρού τόν αγώνα τόν τής αθλήσεως, διηνεκώς τής νίκης, ανεδήσω στεφάνους, Φίλιππε αξίως, μεθ’ ών εισελθών, εις τά άνω βασίλεια, συμπαρεδρεύεις Απόστολε τώ Χριστώ, καί πρεσβεύεις τού σωθήναι ημάς.

Δόξα… Ήχος β’

Φιάλαι τών αρωμάτων εν κόσμω, αι σιαγόνες σου Σοφέ, ώφθησαν Απόστολε Φίλιππε, περικιρνώσαι τοίς πιστοίς, πόμα τό ζωοποιόν, πράξιν γάρ εις θεωρίας επίβασιν εσχηκώς, Χριστού Οπαδός εχρημάτισας, τήν στείραν καί άτεκνον εθνών Εκκλησίαν, ευτεκνωθείσαν εν αυτώ, καταποικίλας διδαχαίς, ήν καί νύν δυσώπει λυτρωθήναι, δεινών καί αναγκών, δύνασαι γάρ εν Θεώ, πολλά εγγίζων αυτώ.

Καί νύν... Θεοτοκίον

Τήν πάσαν ελπίδα μου εις σέ ανατίθημι, Μήτηρ τού Θεού, φύλαξόν με υπό τήν σκέπην σου.

Δοξολογία Μεγάλη, καί Απόλυσις.

Εις τήν Λειτουργίαν.

Τά Τυπικά, εκ τού Κανόνος και ή γ’ καί ς’ Ωδή.

Τό Κοινωνικόν

Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών, καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών. Αλληλούϊα.

ΕΙΔΗΣΙΣ

Από τής αύριον αρχόμεθα σύν Θεώ, τής Νηστείας τών Χριστουγέννων.

---

Αρχή

## ΤΗ ΙΕ’ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Μαρτύρων καί Ομολογητών Γουρία, Σαμωνά καί Αβίβου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς’ καί ψάλλομεν Στιχηρά

Προσόμοια τέσσαρα, δευτερούντες δύο έξ αυτών.

Ήχος δ’ Έδωκας σημείωσιν

Άβιβος ο πάνσοφος, καί Σαμωνάς ο θαυμάσιος, καί Γουρίας ό ένδοξος, κοινήν συστησάμενοι, τοίς πιστοίς χορείαν, εν αγαλλιάσει, νύν συγχορεύουσιν ημίν, οι Αθλοφόροι καί συνευφραίνονται, ψυχαίς ταίς τών Μαρτύρων γάρ, παρά Θεού τούτο δέδοται, τά ενταύθα γινόμενα, νεορώς ενοπτρίζεσθαι.

Πόνους υπομείναντες, τών αφορήτων κολάσεων, καί γενναίως αθλήσαντες, Τριάδος ισάριθμοι, Σαμωνά Γουρία, καί’ Άβιβε μάκαρ, τής αιωνίου καί τερπνής, κατατρυφάτε νύν απολαύσεως, καμάτων τήν αντίδοσιν, αντιμετρούντος υμίν Χριστού, όν θερμώς ικετεύσατε, τού σωθήναι τάς ψυχάς ημών.

Μονάδα τρισάριθμον, ομολογήσαντες Άγιοι, τών Ελλήνων ελύσατε, πολύθεον φρόνημα, καί μωράν σοφίαν, τή νομιζομένη, μωρία είναι παρ’ αυτοίς, Σταυρού δυνάμει μακαριώτατοι, υφ’ ού ενδυναμούμενοι, τάς χαλεπάς τών κολάσεων, υπεμείνατε μάστιγας, θαρσαλέω φρονήματι.

Όρμον πρός ακύμαντον, καί πρός ζωήν αστασίαστον, καί λιμένα πανεύδιον, Αθλοφόροι Μάρτυρες, προσκεχωρηκότες, τό διαιωνίζον, τής απαθούς διαμονής, καί διαρκούσης νύν αντηλλάξασθε, τών πόνων τήν αντίδοσιν, καί τών καμάτων τά έπαθλα, εκ Θεού κομισάμενοι, επαξίως Μακάριοι.

Δόξα... Ήχος β’

Ικασίας Μοναχής

Η Έδεσσα ευφραίνεται, ότι εν τή σορώ τών Αγίων επλουτίσθη, Γουρία Σαμωνά καί Αβίβου, καί τό φιλόχριστον ποίμνιον, συγκαλουμένη βοά, Δεύτε φιλομάρτυρες λαμπρύνθητε, εν τή μνήμη τή φαιδρά, Δεύτε ώ φιλέορτοι φωτίσθητε, Δεύτε ίδετε φωστήρας ουρανίους, εν γή περιπλέοντας, Δεύτε καί ακούσατε, οίον θάνατον πικρόν, οι γενναίοι αδάμαντες υπέστησαν, διά τήν ατελεύτητον ζωήν, Διό καί εγγυηταί όντες τής αληθείας, κόρην διέσωσαν εν μνήματι ζώσαν βεβλημένην, καί τόν τούτους αθετήσαντα παμμίαρον, τώ ολέθρω παρέδωκαν, ως φονέα καί ανελεήμονα, καί εκτενώς δυσωπούσι, τήν Παναγίαν Τριάδα, τού ρυσθήναι εκ φθοράς καί πειρασμών, καί παντοίων κινδύνων, τούς εν πίστει εκτελούντας, αυτών τά μνημόσυνα.

Καί νύν... Θεοτοκίον

Ότε, εκ τού ξύλου σε

Τί σοι, ο ταλαίπωρος εγώ, Δέσποινα τού κόσμου προσάξω, ειμή δακρύων πηγάς, καί εξομολόγησιν τών πεπραγμένων μοι; Αλλ’ ιλέω σου όμματι, επίβλεψον Κόρη, επί τήν ασθένειαν τής ταπεινής μου ψυχής, λύσον τών παθών μου τά νέφη, καί τής κατεχούσης αχλύος, δέομαι απάλλαξον τόν δούλόν σου.

Η Σταυροθεοτοκίον

Ξύλω, τού Σταυρού σε Ιησού, προσαναρτηθέντα ορώσα, η Απειρόγαμος, έκλαιε καί έλεγε, Τέκνον γλυκύτατον, ίνα τί εγκατέλιπες, εμέ τήν τεκούσαν,

μόνην φώς απρόσιτον, τού προανάρχου Πατρός;σπεύσον καί δοξάσθητι όπως, δόξης επιτύχωσι θείας, οι τά θεία πάθη σου δοξάζοντες.

Εις τόν Στίχον, τά Στιχηρά τής Οκτωήχου.

Εί δέ βούλει, ειπέ τά παρόντα Προσόμοια.

Ήχος α'
Τών ουρανίων ταγμάτων

Θαύμα θαυμάτων αξίως, θαυμασιώτερον, τώ κόσμω ανεδείχθη, τό υμέτερον θαύμα, Μάρτυρες Κυρίου, από δυσμών, τών εθνών γάρ τήν κόρην ποτέ, ταφή δοθείσαν αδίκως, ταίς μητρικαίς, διεσώσατε αγ κάλαις υμείς.

Στίχ. Θαυμαστός ο Θεός εν τοίς αγίοις αυτού ο Θεός Ισραήλ αυτός δώσει δύναμιν καί κραταίωσιν τώ λαώ αυτού ευλογητός ο Θεός.

Μαρτυρικώς εναθλούντες, θεομακάριστοι, τάς τών εχθρών αικίας, ώς περ χάριν πλουσίαν, εδέξασθε προθύμως καί ορεκτών, γεηρών απολαύσεως, ηλογηκότες τών θείων τή εκλογή, ταίς ποιναίς ού κατεκάμφθητε.

Στίχ. Τοίς Αγίοις τοίς εν τή γή αυτού εθαυμάστωμεν πάντα τά θέλημα αυτού εν αυτοίς.

Γουρίαν πάντες τόν μέγαν, καί γενναιότατον, σύν Σαμωνά τώ θείω, καί Αβίβω τώ πάνυ, τώ όντι εν Λευΐταις, ύμνοις πιστώς, ευφημήσωμεν σήμερον, ότι θερμότατοι πάντων προασπισταί, εν ταίς θλίψεσιν υπάρχουσι.

Δόξα... Ήχος β'

Δεύτε φιλομάρτυρες πάντες, τούς τού Χριστού αριστέας, ύμνοις τιμήσωμεν, Γουρίαν, Άβιβον καί Σαμωνάν, ότι παραδόξως ενεργούσι τοίς θαύμασιν, όρκω γάρ ου παρείδον μεταναστεύσαι κόρην, αλλ' εκπληρούντες τό αίτημα, τήν παίδα διεσώσαντο, παρανομω Γότθω, άμυναν ποιήσαντες, Δι' ών Χριστέ ο Θεός, ως αγαθός καί φιλάνθρωπος, σώσον τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον
Ότε, εκ τού ξύλου σε

Μόνη, τόν αχώρητον Θεόν, αστενοχωρήτως εν μήτρα, εκυοφόρησας, άνθρωπον γενόμενον, δι' αγαθότητα, Παναγία Θεόνυμφε, διό δυσωπώ σε, τών στενοχωρούντων με, παθών απάλλαξον, όπως, τήν στενήν καί ευθείαν, τρίβον διοδεύσας προφθάσω, τήν επί ζωήν Παρθένε φέρουσαν.

Η Σταυροθεοτοκίον

Ύβρεις, υπομείναντα πολλάς, καί επί Σταυρού υψωθέντα, τόν τού παντός Ποιητήν, βλέψασα Πανάχραντε, έστενες λέγουσα, Υπερύμνητε Κύριε, Υιέ καί Θεέ μου, πώς τιμήσαι θέλων σου, τό πλάσμα Δέσποτα, φέρεις, εν σαρκί ατιμίαν; Δόξα τή πολλή ευσπλαγχνία, καί συγκαταβάσει σου Φιλάνθρωπε.

Απολυτίκιον Ήχος πλ. α'

Τά θαύματα τών Αγίων σου Μαρτύρων, τείχος ακαταμάχητον ημίν δωρησάμενος, Χριστέ ό Θεός, ταίς αυτών ικεσίαις, βουλάς εθνών διασκέδασον, τής βασιλείας τά σκήπτρα κραταίωσον, ως μόνος αγαθός καί φιλάνθρωπος.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη στιχολογίαν τού ψαλτηρίου αναγινώσκονται οί κανόνες τής Οκτωήχου, καί τών Αγίων ούτος, ού η ακροστιχίς.

Τούς τρείς ομού λέγοντας αινώ προφρόνως. Θεοφάνους.

### Ωδή α' Ήχος δ'

«Θαλάσσης τό ερυθραίον πέλαγος, αβρόχοις ίχνεσιν, ο παλαιός πεζεύσας, Ισραήλ, σταυροτύποις Μωσέως χερσί, τού Αμαλήκ τήν δύναμιν, εν τή ερή μω ετροπώσατο».

Τριάδος τήν μοναρχίαν Άγιοι, θεολογούντες σεπτώς, πολυαρχίας άστατον αχλύν, ευμαρώς διελύσατε, Ανατολής πολύφωτοι, ώσπερ αστέρες ανατείλαντες.

Οι τρείς Ομολογηταί τή χάριτι, καταλαμπόμενοι, τής αρχικής Τριάδος εμφανώς, τό τής πλάνης πολύθεον, καρτερικήν τήν ένστασιν, επιδεικνύντες εξηφάνισαν.

Υμάς πρίν υιοθετήσας Ενδοξοι, θέσει ο φύσει Υιός, τής νύν αυτώ δοθείσης εκ Πατρός, κληρουχίας ως εύσπλαγχνος, συγκληρονόμους έδειξε, βασιλείας συμμετέχοντας.

Θεοτοκίον

Σοφίας τής υπερσόφου γέγονας, σκηνή Πανάμωμε, τόν εαυτής γάρ οίκον εκ τών σών, παναχράντων αιμάτων σεμνή, οικοδομείν ευδόκησε, πρός σωτηρίαν τών ψυχών ημών.

### Ωδή γ'

«Εφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα, Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

Τό σώμα τοίς αικισμοίς, εθελουσίως καί δειναίς μάστιξιν, οι τού Χριστού παρέδωκαν, ομολογηταί καί θεράποντες.

Ρυσθήναι τών χαλεπών, τής αμαρτίας λογισμών Άγιοι, τούς τήν υμών άθλησιν, πίστει ανυμνούντας πρεσβεύσατε.

Εν ξύλω καρτερικώς, αναρτηθέντες οι σεπτοί Μάρτυρες, πανευσεβώς άτρωτον, τήν ομολογίαν διέσωσαν.

Θεοτοκίον

Ιασεών, σε πηγήν, ο τήν σήν μήτραν υποδύς έδειξε, Μήτηρ Θεού πάναγνε, τήν εμήν ψυχήν ούν θεράπευσον.

Κάθισμα  Ήχος α'

Τόν τάφον σου Σωτήρ

Τριάδος τής σεπτής, καταγγέλλοντες πίστιν, πολύθεον Σοφοί, τών ειδώλων απάτην, ανδρείως καθείλετε, ως τής πίστεως πρόμαχοι, κόρην ζώσαν δέ, κατακλεισθείσαν εν τάφω, διεσώσατε, θανατηφόρου κινδύνου, υμάς μακαρίζουσαν.

Δόξα... Ήχος πλ. δ'  Τήν Σοφίαν

Τώ Σταυρώ οπλισθέντες τώ τού Χριστού, εν αυτώ τών τυράννων πάσαν ισχύν, ανδρείως καθείλετε, τής πίστεως πρόμαχοι, τήν αως θεϊαν πάσαν, ειδώλων ελέγξαντες, καί τήν Τριάδα Άγιοι, προθύμως κηρύξαντες, όθεν επαξίως, παρ' αυτής τούς στεφάνους, τής νίκης ελάβετε, ως νομίμως αθλήσαντες, Αθληφόροι Πανεύφημοι, πρεσβεύσατε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην υμών.

Καί νύν... Θεοτοκίον

Τήν Σοφίαν καί Λόγον εν σή γαστρί, συλλαβούσα αφλέκτως Μήτηρ Θεού, τώ κόσμω εκύησας, τόν τόν κόσμον κατέχοντα, καί εν αγκάλαις έσχες, τόν πάντα συνέχοντα, τόν τροφοδότην πάντων, καί πλάστην καί Κύριον, όθεν δυσωπώ σε, Παναγία Παρθένε, ρυσθήναι πταισμάτων μου, όταν μέλλω παρίστασθαι, πρό προσώπου τού Κτίστου μου, Δέσποινα Θεοτόκε αγνή, τήν σήν βοήθειαν τότε μοι δώρησαι, καί γάρ δύνασαι πάντα, όσα θέλεις πανάμωμε.

Η Σταυροθεοτοκίον

Τόν αμνόν καί ποιμένα καί λυτρωτήν, η αμνάς θεωρούσα εν τώ Σταυρώ, ωλόλυζε δακρύουσα, καί πικρώς ανεκραύγαζεν, ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλαγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήν περ υπομένεις, διά σπλάγχνα ελέους, Θεέ υπεράγαθε, ανεξίκακε Κύριε, Η πιστώς εκβοήσωμεν, Σπλαγχνίσθητι Παρθένε εφ' ημάς, καί πταισμάτων δώρησαι τήν άφεσιν, τοίς προσκυνούσιν εν πίστει, αυτού τά παθήματα.

Ωδή δ'

«Επαρθέντα σε ιδούσα η Εκκλησία, επί σταυρού τόν Ήλιον τής δικαιοσύνης, έστη εν τή τάξει αυτής, εικότως κραυγάζουσα, Δόξα τή δυνάμει σου Κύριε».

Σταθηράν τήν καρτερίαν οι Αθλοφόροι, ανηλεώς στρεβλούμενοι, ποικίλαις βασάνοις, πάσιν επεδείξαντο, συμφώνως κραυγάζοντες, Δόξα τή δυνάμει σου Κύριε.

Οι τής Τριάδος ισάριθμοι στεφανίται, τρισοφεγγεί λαμπάδι, τούς νύνεκτελούντας, μνήμην τήν πανίερον, αυτών καταυγάζουσι, πάσι τάς ιάσεις βραβεύοντες.

Μετ’ ευλαβείας προσδράμωμεν τή φωσφόρω, καί φωταυγεί θεόφρονες, θήκη τών Μαρτύρων, βρύει γάρ ιάματα, τοίς πίστει κραυγάζουσι, Δοξα τή δυνάμει σου Κύριε.

Ο μολογούντες τής θείας οικονομίας, τό υπέρ νούν μυστήριον, γλώσσαις θεολόγοις, πάσαν αθεότητα, οι θείοι καί πάνσοφοι, Ομολογηταί κατηδάφισαν.

Θεοτοκίον

Υπέρ έννοιαν εκύησας ώ Παρθένε, καί μετά τοκον ώφθης, παρθενεύουσα πάλιν, Μέγα τό μυστήριον, τής κυοφορίας σου, Μήτερ αειπάρθενε άχραντε!

Ωδή ε’

«Συ Κύριέ μου φώς, εις τόν κόσμον ελήλυθας, φώς άγιον επιστρέφον, εκ ζοφώδους αγνοίας, τούς πίστει ανυμνούντάς σε».

Λαμπρότησι σαφώς, τών αγώνων εκλάμποντες, εφαύλισαν τών τυράννων, τό ανίσχυρον θράσος, τής πίστεως οι πρόβολοι.

Εις πάντα προφανώς, οικουμένης τά πέρατα, τά θαύματα τών Μαρτύρων, διεδόθη καί πάντας, τή πίστει εβεβαίωσαν.

Γή ώσπερ αγαθή, τά τής χάριτος σπέρματα, δεξάμενοι πολιτεία, φιλοπόνω πλουσίως, οι θείοι εγεώργησαν.

Θεοτοκίον

Ο μόνος αγαθός, καί πελάγει χρηστότητος, τά σύμπαντα Θεομήτορ, συγκρατών σαίς αγκάλαις, κρατείσθαι κατηξίωσεν.

Ωδή ς’

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η’ Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι’ οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Νομίμως, ως καλοί στρατιώται θεόφρονες, εγκρατευσάμενοι πάντα, καί τρανώς τήν πίστιν τετηρηκότες, τόν τής θείας, δικαιοσύνης ήρατε στέφανον.

Το πρίν μέν, ο Αββακούμ μετάρσιος αίρεται, τή τού Δεσπότου προστάξει, δι’ υμών δέ κόρη τυραννουμένη, θεηγόροι, τή θρεψαμένη αποκαθίσταται.

Αστράπτει, η σορός τών Μαρτύρων τοίς θαύμασι, καί ποταμούς αναβλύζει, ιαμάτων πάσι τοίς προσιούσι, καί τοίς πίστει, τήν αυτών καρτερίαν θαυμάζουσι.

Θεοτοκίον

Σέ μόνην, τών ακανθών εν μέσω ευράμενος, ώς καθαρώτατον κρίνον, καί κοιλάδων άνθος ώ Θεομήτορ, ο Νυμφίος ο νοητός εν σοί κατεσκήνωσε.

Κοντάκιον Ήχος β’

Τά άνω ζητών

Εξ ύψους σοφοί, τήν χάριν κομισάμενοι, τών εν πειρασμοίς, προϊστασθε πανεύφημοι, διό κόρην Άγιοι, εκ θανάτου πικρού ελυτρώσασθε, υμείς γάρ όντως υπάρχετε, Εδέσσης η δόξα, καί τού κόσμου χαρά.

Ο Οίκος

τής τού εχθρού δουλείας με ρύσαι, Ιησού ζωοδότα, ταίς τών σών αθλητών εντεύξεσι δυσωπούμενος, όπως αδούλωτον κεκτημένος, τών παθών τήν ψυχήν καί τό σώμα, ανευφημώ τήν αύτών οξυτάτην βοήθειαν, προφθάσαντες γάρ, τού θανάτου ερρύσαντο κράζουσαν τήν κόρην, ήν περ παρέθετο εκβοώσα η μήτηρ τοίς μάρτυσιν, Υμείς όντως υπάρχετε, Εδέσσης η δόξα, καί τού κόσμου χαρα.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΕ’ τού αυτού μηνός, Μνήμη τών Αγίων Μαρτύρων καί Ομολογητών Γουρία, Σαμωνά καί Αβίβου.

Στίχοι

Ξίφος τελειοί Σαμωνάν καί Γουρίαν,
Καί φλόξ Άβιβον, οις χαρά φλόξ καί ξίφος.
Πύρ πέμπτη δεκάτη, Άβιβον πέφνε, χαλκός ετάρους.

Τή αυτή ημέρα, μνήμη τού Οσίου Πατρός ημών Κυντιριανού, Επισκόπου Σελευκείας, καί μνήμη τών ευσεβών βασιλέων, Ιουστίνου καί θεοδώρας, καί τού Αγίου Θωμά, Πατριάρχου Κωνσταντινουπόλεως τού νέου.

Στίχοι

Ζωήν ο Θωμάς εκλιπών μετρουμένην,
Ζωήν πρεπόντως εύρεν ού μετρουμένην.

Τή αυτή ημέρα, μνήμη τών Αγίων Μαρτύρων, Ελπιδίου, Μαρκέλλου, Ευστοχίου, καί τών σύν αυτοίς.

Στίχοι

Πύρ, Ελπίδιε, σύν δυσί στέγειν φίλοις,
Η τών επάθλων ελπίς ηρέθιζέ σε.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Δημητρίου.

Στίχοι

Ο Δημήτριος, χειρί τμηθείς δημίου,
Δήμοις αθλητών συγχορεύει Κυρίου.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ’

«Εν τή καμίνω Αβραμιαίοι Παίδες τή Περσική, πόθω ευσεβείας μάλλον ή τή φλογί, πυρπολούμενοι εκραύγαζον, Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε».

Αβραμιαίους εν τή καμίνω ο ρυσάμενος, ούτος καί τήν ξένην κόρην τής χαλεπής, περιστάσεως διέσωσε, τή μεσιτεία νύν, τών αυτού θεραπόντων ως εύσπλαγχνος.

Ιταμωτάτης, απανθρωπίας δίκην έδωκε, πάντων τών κακών αθρόως απαιτηθείς, ο αλάστωρ καί δυσώνυμος, κρίσει δικαία σου, Λόγε Θεού σοφία καί δύναμις.

Νενευρωμένη, τή πρός υμάς ελπίδι Ένδοξοι, κόρη καθειργμένη τάφω μετά νεκρών, προσδοκίας ού διήμαρτεν, Ευλογημένος εί, ο Θεός μου βοώσα καί Κύριος.

Θεοτοκίον

Ως νεόσμηκτον, καί φωταυγείας πέμπον έσοπτρον, αίγλην θεϊκής Παρθένε μαρμαρυγής, προσβαλούσάν σοι εχώρησας, Ευλογημένη σύ, εν γυναιξί πανάμωμε Δέσποινα.

Ωδή η’

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Παγκόσμιος σήμερον ημίν, λαμπρά πανήγυρις, η τών Μαρτύρων Χριστού, περιαυγάζουσα χάριτι, τών θαυμάτων τούς προστρέχοντας, καί χαρμονή πνευματική, πίστει κραυγάζοντας, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ραδίως οι Ομολογηταί, τής σής θεότητος, πάσαν κατήργησαν, τήν αθεότητα Δέσποτα, τών τυράννων μή πτοούμενοι τάς απειλάς, αλλ, ευσθενώς ανακραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Οι πάνσοφοι Ομολογηταί, οι προϊστάμενοι, τού θείου δόγματος, εχθρών τάς φάλαγγας τρέπονται, διά ξίφους αναιρούμενοι, νίκην παράδοξον σαφώς, καί διαλάμπουσαν δεδειχότες, πίπτοντες τούς εναντίους γάρ ήττησαν.

Θεοτοκίον

Φύσεσιν ορώμενον διτταίς, Χριστόν εγέννησας, τόν μίαν φέροντα, σαφώς υπόστασιν σύνθετον, ανθρωπότητι θεότητος, συνεισδραμούσης υπέρ νούν, όντως καθ’ ένωσιν, όθεν πάντες, σέ ευλογούμεν Μαρία Θεόνυμφε.

Ωδή θ’

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας, τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Ρήσεσιν επόμενοι θείαις, καί θεοπνεύστοις τού Σωτήρος, Ομολογηταί θεοφεγγείς, σταυρόν επ’ ώμων χαίροντες ήρασθε, τοίς ζωηφόροις ίχνεσιν,

ακολουθούντες αξιάγαστοι.

Όλω τώ φωτί τής Τριάδος, μετ’ ευφροσύνης οι γενναίοι, Ομολογηταί προσχωρούντες, τά τών αγώνων γέρα κομίζονται, ταίς Ασωμάτοις τάξεσιν, αξιωθέντες συναυλίζεσθαι.

Νύν ουκ εν εσόπτρω οράτε, τών μακαρίων τάς ελπίδας, Ομολογηταί τού Σωτήρος, τής αληθείας μάλλον δέ πάνσοφοι, τό κάλλος ενοπτρίζεσθε, στεφανηφόροι πανσεβάσμιοι.

Ως τής υπερθέου Τριάδος, σαφώς ισάριθμοι φανέντες, Ομολογηταί θεηγόροι, τή ταύτης αίγλη καταλαμπρύνεσθε, ως δι’ αυτήν αθλήσαντες, ζωής αφθάρτου αξιούμενοι.

Θεοτοκίον

Σαρκί επιδημήσαι θελήσας, ο διακοσμήσας πάντα Λόγος, εν σοί κατεσκήνωσε μόνην, αγιωτέραν πάντων ευράμενος, καί Θεοτόκον έδειξεν, επ’ αληθείας Μητροπάρθενε.

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Ως πάλαι διεσώσατε, πικρού θανάτου Άγιοι, κόρην εν τάφω βληθείσαν, τόν δέ παράνομον Γότθον, θανάτω παρεδώκατε, καμέ τών ακαθέκτων μου, παθών νύν εκλυτρώσασθε, όπως υμών τήν φωσφόρον, μνήμην φαιδρώς εορτάσω.

Θεοτοκίον

Ο πάντα τή θεότητι, πληρών ως απερίγραπτος, εκ σού Θεός απορρήτως, εσωματώθη Παρθένε, δι’ οίκτον ανορθούμενος, τό τού Αδάμ παράπτωμα, νέος Αδάμ γενόμενος, όν ως Υιόν σου δυσώπει, υπέρ ημών Θεοτόκε.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Η λοιπή Ακολουθία τού Όρθρου. Καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΣΤ’ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Αποστόλου καί Ευαγγελιστού Ματθαίου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό Κύριε εκέκραξα, ιστώμεν Στίχους ς’ καί ψάλλομεν Στιχηρά Προσόμοια τρία, δευτερούντες αυτά.

Ήχος δ’

Ο εξ υψίστου κληθείς

Ο εμβατεύων καρδίας τών ανθρώπων, ότε σου τήν ένθεον γνώμην Απόστολε, θεία προγνώσει εώρακε, καί εκ τού κοσμου, τής αδικίας σέ

ελυτρώσατο, τότε σε παγκόσμιον, φώς απειργάσατο, τής οικουμένης τά πέρατα, καταφωτίζειν, καί διαλάμπειν εγκελευσάμενος, ού καί τό θείον Ευαγγέλιον, ηξιώθης σαφώς αναγράψασθαι, όν ικέτευε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

Ο εκ τελώνου κληθείς εις μαθητείαν, ότε σε ο άναρχος Λόγος εφώνησεν, ακολουθείν προτρεπόμενος, καί κοινωνίαν, τής βασιλείας επαγγειλάμενος, τότε Παμμακάριστε, πάντα αφέμενος, καί ταραχώδους συγχύσεως, αναχωρήσας, αυτώ συντόνως επηκολούθησας, καί νύν θεόπτα εμφορούμενος, τής αφράστου αυτού θεωρίας τρανώς, καθικέτευε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

Προφητική τις σαφώς οξυδερκία, πάλαι μέν σε Άγιον, λίθον τεθέαται, επί τής γής κυλιόμενον, καί τής απάτης, τάς ελεπόλεις καταλεαίνοντα, ο Λόγος δέ πάνσοφε, ο ενυπόστατος, φώς σε τού κόσμου καί κήρυκα, δικαιοσύνης, καί αληθείας αποτετέλεκε, λελαμπρυσμένον ταίς λαμπρότησι, τού τρισηλίου φωτός Πανσεβάσμιε, όν ικέτευε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

Δόξα... Ήχος δ’

Καλούντι Χριστώ, πρός μαθητείαν ουράνιον, προθύμως ηκολούθησας θεόληπτε, πάσαν σχολήν φροντίδος γηΐνης, υφ’ έν παρωσάμενος, επαξίαν γάρ τής άνω βασιλείας, γνώμην ευπειθώς άναλαβόμενος, τής χαμαιζήλου πολιτείας, καί δόξης κενής απέστης, Ευαγγελιστής από Τελώνου γενόμενος, φώς τε τών εν σκότει χρηματίσας, καί πεπλανημένων οδηγός πρός σωτηρίαν, νύν δέ πρεσβευτής παντός τού κόσμου θερμότατος, καί τών σέ γεραιροντων Ματθαίε, φύλαξ σωτήριος.

Καί νύν… Θεοτοκίον

Ο εξ υψίστου κληθείς

Σωματωθέντα τόν Κτίστην τών απάντων, έσχες εν τή μήτρα σου, θεομακάριστε, αναμορφούντα τόν άνθρωπον, τόν πρίν πεσόντα, τή παραβάσει διά τού όφεως, Θεόν γάρ εγέννησας, Λόγον αφράστως Αγνή, καί τής φθοράς ηλευθέρωσας, τήν φύσιν πάσαν, παλαιωθείσαν διά τού τόκου σου, διό υμνούμεν καί δοξάζομεν, σού τήν χάριν Παρθένε ανύμφευτε, δι’ ής σκέπε καί σώζε, τούς εν πίστει σέ δοξάζοντας.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος δ’

Ως γενναίον εν Μάρτυσιν

Τή τών λόγων σου σάλπιγγι, τούς ανθρώπους συνήθροισας, εις Θεού επίγνωσιν Παναοίδιμε, καί τά τής πλάνης αθροίσματα, εκ γής απεσόβησας, καί εις μίαν τούς πιστούς, τήν ομόνοιαν ίθυνας, καί πρεσβεύεις νύν, εκ φθοράς καί κινδύνων λυτρωθήναι, τούς εν πίστει εκτελούντας, τήν αεισέβαστον μνήμην σου.

Στίχ. Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών.

Ο εν γλώσση πυρίνη σε, καθοπλίσας τού Πνεύματος, κραταιόν ανέδειξε πολεμήτορα, κατά τής πλάνης Απόστολε, Χριστός ο Θεός ημών, παρ' ού έλαβες λαμπρά, τά βραβεία τής χάριτος, όν ικέτευε, εκ φθοράς καί κινδύνων λυτρωθήναι, τούς εν πίστει εκτελούντας, τήν αεισέβαστον μνήμην σου.

Στίχ. Οι ουρανοί διηγούνται δόξαν Θεού ποίησιν δέ χειρών αυτού αναγγέλλει τό στερέωμα.

Εις τά βάθη τού Πνεύματος, διακύψας Απόστολε, πλούτον τόν ακένωτον κατενόησας, καί εξ αυτού αρυσάμενος, τήν χάριν τήν άφθονον, ημίν ευαγγελικώς, πάσι ταύτην διένειμας, καί πρεσβεύεις νύν, εκ φθοράς καί κινδύνων λυτρωθήναι, τούς εν πίστει εκτελούντας, τήν αεισέβαστον μνήμην σου.

Δόξα... Ήχος πλ. β'

Εκ πυθμένος κακίας εσχάτης, πρός ακρότατον ύψος αρετής, ως αετός υψιπέτης, παραδόξως ανέδραμες, Ματθαίε πανεύφημε, τού γάρ καλύψαντος ουρανούς αρετή, καί τής συνέσεως αυτού πάσαν τήν γήν πληρώσαντος, Χριστού ακολουθήσας τοίς ίχνεσι, μιμητής διάπυρος εν πάσιν αυτού πεφανέρωσαι, ευαγγελιζόμενος ειρήνην, ζωήν καί σωτηρίαν, τοίς πειθαρχούσιν ευσεβώς, τοίς θείοις προστάγμασιν, εν οίς ημάς καθοδήγησον, ευαρεστούντας τώ Κτίστη, καί σέ μακαρίζοντας.

Καί νύν… Θεοτοκίον

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής, Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Απολυτίκιον  Ήχος γ'

Απόστολε Άγιε, καί Ευαγγελιστά Ματθαίε, πρέσβευε τώ ελεήμονι Θεώ, ίνα πταισμάτων άφεσιν, παράσχη ταίς ψυχαίς ημών.

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, λέγομεν τούς Κανόνας τής Οκτωήχου, καί τού Αποστόλου τόν παρόντα.

Ποίημα Θεοφάνους.

Ωδή α'  Ήχος δ'

«Ανοίξω τό στόμα μου, καί πληρωθήσεται Πνεύματος, καί λόγον ερεύξομαι, τή Βασιλίδι Μητρί, καί οφθήσομαι, φαιδρώς πανηγυρίζων, καί άσω

γηθόμενος, ταύτης τά θαύματα».

Πλουσίως μετάδος μοι, τής ενοικούσης σοι χάριτος, Ματθαίε πανένδοξε, καί υπηρέτα Χριστού, καί βοήσομαι, λαμπρώς ανακηρύττων, καί μέλψω γηθόμενος, τά σά θαυμάσια.

Τελείως κατέλιπες, τών επιγείων τήν σύγχυσιν, τού Λόγου ώς ήκουσας, τού σαρκωθέντος φωνής, καί τής χάριτος, εδείχθης οικονόμος, καί κήρυξ θεόληπτος, θεομακάριστε.

Αυτόπτης γενόμενος, καί υπηρέτης διέπρεψας, τού Λόγου Απόστολε, τού πρό αιώνων Πατρός, καί διέδραμες, αυτού τήν παρουσίαν, ευαγγελιζόμενος, πάσι τοίς έθνεσιν.

Θεοτοκίον

Θανάτου καθαίρεσιν, καί τής φθοράς τήν κατάλυσιν, ζωής τε φανέρωσιν, ευηγγελίσω Σοφέ, τής Παρθένου γάρ, εν μήτρα ενοικήσας, ο απεριόριστος, κόσμον ανέπλασεν.

Ωδή γ’

«Τούς σούς υμνολόγους Θεοτόκε, ως ζώσα καί άφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικόν στερέωσον, καί εν τή θεία δόξη σου, στεφάνων δόξης αξίωσον».

Τούς σούς Αποστόλους Θεού Λόγε, φωστήρας ανέδειξας ζωής, τόν ζόφον απελαύνοντας, τής αθεϊας Δέσποτα, καί εν τή θεία δόξη σου, τόν κόσμον όλον φωτίζοντας.

Τή σή καθοπλίσας, παντευχία, Ματθαίον τόν άριστον Σωτήρ, τυράννων δυνατώτερον, τούτον ειργάσω Δέσποτα, καί καθαιρέτην έδειξας, ειδώλων πλάνης Φιλάνθρωπε.

Γλώσσης τής πυρίνης σου ο φθόγγος, δαιμόνων ενέπρησε βωμούς, Ματθαίε τό θεότευκτον, τού Παρακλήτου όργανον, δι’ ού Χριστός κηρύττεται, Λόγος ο ενυπόστατος.

Θεοτοκίον

Σάλπιγξ θεολόγος φθεγγομένη, συντόνως εφώτισε λαούς, Ματθαίου τού θεόφρονος, τήν τής Τριάδος έλλαμψιν, τήν υπέρ νούν τε σάρκωσιν, τού Λόγου εκ σού Πανάχραντε.

Ο Ειρμός

«Τούς σούς υμνολόγους Θεοτόκε, ως ζώσα καί άφθονονς πηγή, θίασον συγκροτήσαντας, πνευματικόν στερέωσον, καί εν τή θεία δόξη σου, στεφάνων δόξης αξίωσον».

Κάθισμα   Ήχος α’

Τόν τάφον σου Σωτήρ

Ο πρώτος τού Χριστού, Ευαγγέλιον γράψας, καί πάσαν δαδουχών, τήν υφήλιον κτίσιν, Ματθαίος ο σοφώτατος, καί Χριστού μύστης άριστος, νύν τιμώμενος, ταίς ιεραίς μελωδίαις, πάσιν άφεσιν, αμαρτιών εξαιτείται, τοίς πόθω τιμώσιν αυτόν.

Δόξα… Ήχος πλ. δ’

Τήν Σοφίαν

Τόν χρυσόν καταλείψας ως αληθώς, τόν Χριστόν δέ ποθήσας φιλευσεβώς, Ματθαίε Απόστολε, τών περάτων εδείχθης φωστήρ, καί εκ Τελώνου ώφθης, Απόστολος ένδοξος, μαθητής γενόμενος, καί κήρυξ τής πίστεως. Όθεν συνελθόντες, κατά χρέος τιμώμεν, τήν πάνσεπτον μνήμην σου, καί πιστώς εορτάζομεν, μελω δούντες καί λέγοντες. Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Καί νύν… Θεοτοκίον

Τήν ουράνιον πύλην καί κιβωτόν, τό πανάγιον όρος τήν φωταυγή, νεφέλην υμνήσωμεν, τήν ουράνιον κλίμακα, τόν λογικόν Παράδεισον, τής Εύας τήν λυτρωσιν, τής οικουμένης πάσης, τό μέγα κειμήλιον, ότι σωτηρία, εν αυτή διεπράχθη, τώ κόσμω καί άφεσις, τών αρχαίων εγκλημάτων, διά τούτο βοώμεν αυτή. Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς προσκυνούσιν ενπίστει, τόν άχραντον τόκον σου.

Ωδή δ’

«Τήν ανεξιχνίαστον θείαν βουλήν, τής εκ τής Παρθένου σαρκώσεως, σού τού Υψίστου, ο Προφήτης Αββακούμ, κατανοών εκραύγαζε. Δόξα τή δυνάμει σου Κύριε».

Τώ ενυποστάτω σου Λόγω Θεέ, μεμαθητευμένος διέλυσε, κόσμου σοφίαν, ο θεόπτης Μαθητής, μεγαλοφώνως κράζων σοι. Δόξα τή δυνάμει σου Κύριε.

Τώ μεμακαρισμένω υπό Χριστού, ποίαν ευφημίαν προσείπωμεν, σοί θεηγόρε; ουκ ισχύει γάρ βροτός, τήν επανθούσαν χάριν σοι, λόγω εξειπείν αξιάγαστε.

Σού τόν ακηλίδωτον καί ακραιφνή, νούν τεθεαμένος ο Ύψιστος, ώσπερ λαμπάδα, εις λυχνίαν υψηλήν, τοίς εν τώ σκότει φαίνουσαν, πάσι θεοφάντορ προτέθεικεν.

Θεοτοκίον

Τήν τεταπεινωμένην φύσιν βροτών, η ευλογημένη ανύψωσας, τήν τού Υψίστου, ως κυήσασα ισχύν, υπερφυώς πανάχραντε, Μήτηρ ως Ματθαίος εδίδαξεν.

Ωδή ε’

«Εξέστη τά σύμπαντα, επί τή θεία δόξη σου, σύ γάρ απειρόγαμε Παρθένε, έσχες εν μήτρα, τόν επί πάντων θεον, καί τέτοκας άχρονον Υιόν, πάσι τοίς υμνούσί σε, τήν ειρήνην βραβεύουσα».

Τήν χάριν δεξάμενος, τού Παναγίου Πνεύματος, θείον ενδιαίτημα εδείχθης, θείως διδάξας, θεογνωσίας τό φώς, πιστευθείς τά δόγματα Χριστού, γράμμασιν εκτίθεσθαι, ως αυτόπτης θεόκριτος.

Η γλώσσά σου κάλαμος, τού Παρακλήτου γέγονεν, ενθέως τού λύτρωσιν διδόντος, τοίς έπιγνούσι τήν δεσποτείαν αυτού, καί ταίς σοφών εμπνέοντος ψυχαίς, γνώσιν επουράνιον, ώ Ματθαίε πανέντιμε.

Αστράπτοντα θαύμασι, καί ιαμάτων χάρισι, σέ Χριστός εξέπεμψε τώ κόσμω, τήν τών δαιμονων καταπατούντα ισχύν, καί ψυχάς φωτίζοντα Πιστών, πάντων τών υμνούντων σε, τής ειρήνης τόν κήρυκα.

Θεοτοκίον

Παρθένος γεγέννηκεν, Υιόν τόν προαιώνιον, φύσιν ενδυσάμενον ανθρώπων, ώς εκδιδάσκων ο θεηγόρος φησί, καί σώσαντα ταύτην εκ φθοράς, πάθει τώ τού σώματος, καί Παρθένος διέμεινεν.

Ωδή ς’

«Ήλθον εις τά βάθη τής θαλάσσης, καί κατεποντισέ με καταιγίς πολλών αμαρτημάτων, αλλ’ ως Θεός εκ φθοράς ανάγαγε, τήν ζωήν μου Πολυέλεε».

Ευαγγελιστής από τελώνου, ώς ηκολούθησέ σοι, μετεσκεύασται ο θεηγόρος, τή παναλκεί Παντουργέ δυνάμει σου, ο Ματθαίος ο πανάριστος.

Ρυθμίζεται τού Ευαγγελίου, τοίς ψυχοτρόφοις λόγοις, τών εθνών πληθύς ανυψουμένη, πρός αρετών υψηλών ακρότητα, ώ Ματθαίε παμμακάριστε.

Ματθαίου ζωγρείται θεοπλόκοις, τού Μαθητού δικτύοις, τά συστήματα τών πιστευόντων, διά παντός πρός τήν σήν επίγνωσιν, Ευεργέτα ποδηγούμενα.

Θεοτοκίον

Παρθένον τεκούσαν αναγράφων, ευαγγελίζεταί σε, τόν τά σύμπαντα πεποιηκότα, άνευ σποράς καί φθοράς Πανάμωμε, ο Ματθαίος ο πανάριστος.

Ο Ειρμός

«Ήλθον εις τά βάθη τής θαλάσσης, καί κατεπόντισέ με, καταιγίς πολλών αμαρτημάτων, αλλ’ ως Θεός εκ βυθού αναγαγε, τήν ζωήν μου Πολυέλεε».

Κοντάκιον   Ήχος δ’

Ο υψωθείς εν τώ Σταυρώ

Τού τελωνείου τόν ζυγόν απορρίψας, δικαιοσύνης τώ ζυγώ προσηρμόσθης, καί ανεδείχθης έμπορος πανάριστος, πλούτον κομισάμενος, τήν εξ ύψους σοφίαν, όθεν ανεκήρυξας, αληθείας τόν λόγον, καί τών ρα θύμων ήγειρας ψυχάς, καθυπογράψας, τήν ώραν τής κρίσεως.

Ο Οίκος

Η τού εχθρού με τυραννίς βιαζεται απλήστως, καί τής ψυχής μου όλον τόν σπόρον καθαρπάζει, Ματθαίε φίλε τού Χριστού, αλλ’ αυτός τόν σπόρον τών

ευχών σου δεδωκώς, πρός σήν δουλείαν κάρπωσον, καί δείξον υμνωδόν σου σμικρότατον, καί υφηγητήν με τών πολλών σου καί μεγάλων κατορθωμάτων, καί τής πρός Χριστόν σου σχέσεως, τά πάντα παρευθύς εγκαταλείψας, ηκολούθησας θερμώς τώ κεκληκότι, πρώτος γεγονώς Ευαγγελιστής εν τώ κόσμω, καθυπογράψας τήν ώραν τής κρίσεως.

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΣΤ' τού αυτού μηνός, Μνήμη τού Αγίου Αποστόλου καί Ευαγγελιστού Ματθαίου.

### Στίχοι

«Σώζεις, Ιησού καί τελώνας, σοί χάρις».
Ούτω βοά Ματθαίος εκ πυρός μέσου.
Ακάματον Ματθαίον πύρ δεκάτη κτάνεν έκτη.

Ταίς αυτού αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

## Ωδή ζ'

«Ουκ ελάτρευσαν τή κτίσει οι θεόφρονες, παρά τόν κτίσαντα, αλλά πυρός απειλήν, ανδρείως πατήσαντες, χαίροντες έψαλλον, Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Εχρημάτισας τού πρώτου απαυγάσματος, θείον εκτύπωμα, ως Μαθητής ταίς αυτού, ακτίσι πυρσούμενος, ώ ψάλλων έλεγες, Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Ως διάκονον τού λόγου Παμμακάριστε, θείοις σκηνώμασιν, όπου Χριστός κατοικεί, εκεί σε κατώκισεν, ως σοί υπέσχετο, ο υπέρθεος, ο τών Πατέρων Κύριος, καί Θεός μόνος τών όλων.

Τά νοσή ματα Ματθαίε φυγαδεύονται, καί δραπετεύουσιν, η τών δαιμόνων πληθύς, τοίς εν σοί χαρίσμασι, τού θείου Πνεύματος, εν οίς έψαλλες, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

### Θεοτοκίον

Τήν πανύμνητον Παρθένον εξιστόρησας, τοίς θείοις λόγοις σου, τόν Ποιητήν τού παντός, τεκούσαν Απόστολε, ώ πάντες ψάλλομεν, Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

## Ωδή η'

«Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Νεύσεσι πρός σέ ταίς ανενδότοις Ματθαίος ο ιερώτατος Θεούμενος, θέσει χρηματίσας τε, φύσει όπερ πέφυκας, τήν οικουμένην Δέσποτα, είλκυσε

ψάλλειν σοι. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ώσπερ αστραπήν τή οικουμένη, ο Λόγος τόν θεολόγον εξ, απέστειλε, ζόφον μέν διώκοντα, έθνη δέ φωτίζοντα, θεολογίας δόγμασιν, όθεν καί έψαλλε, Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Λόγω καθαρώ καί διανοία, Θεώ σοι προσομιλήσαι εξεγένετο, ύλην γάρ ως έτεμες, τούτω προσεπέλασας, καί συνεκράθης, Ένδοξε, όθεν καί έψαλλες, Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Επ' ευεργεσία τών ανθρώπων, ο Λόγος σωματωθήναι κατηξίωσε, πύλην παρθενίας γάρ, ώδευσεν ο Κύριος, καί Θεοτόκον έδειξε, διό κραυγάζομεν. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τους αιώνας.

Ο Ειρμός

«Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τους αιώνας».

Ωδή θ'

«Άπας γηγενής, σκιρτάτω τώ πνεύματι, λαμπαδουχούμενος, πανηγυριζέτω δέ, αϋλων Νόων φύσις γεραίρουσα, τήν ιεράν πανήγυριν τής θεομήτορος, καί βοάτω. Χαίροις παμμακάριστε, Θεοτόκε αγνή αειπάρθενε».

Κάλλους νοητού, εδέξω διάδημα, θείον Απόστολε, καί τής βασιλείας δέ, ευπρεπεστάτω στέφει κεκόσμησαι, χειρί τού Παντοκράτορος, καί διαλάμπεις σοφέ, συν Αγγέλοις, θρόνω παριστάμενος, τού Δεσπότου Χριστού παμμακάριστε.

Ξύλου τής ζωής, αξίως τετύχηκας, κήρυξ τού ζώντος Θεού, ευαγγελισάμενος, ζωής τώ κόσμω θείαν επίσκεψιν, τώ γάρ φυτώ τής γνώσεως, ου διεφθάρης τόν νούν, διαμείνας, άσειστος ακράδαντος, Εκκλησίας κρηπίς παμμακάριστε.

Νύμφην τού Χριστού, ενθέως εκόσμησας, Ευαγγελίω σου, ώσπερ διαδήματι, τήν Εκκλησίαν θεομακάριστε, καί νύν τήν θείαν μνήμην σου, πανηγυρίζει φαιδρώς, ήν ρυσθήναι, πάσης περιστάσεως, καί κινδύνων δεινών καθικέτευε.

Θεοτοκίον

Κόλπων ουκ εκστάς, ανάρχου Γεννήτορος, Λόγος ο άναρχος, ως ευαγγελίζεται, Ματθαίος γράφων, Θεός σεσάρκωται, εκ σού Αγνή πανύμνητε, τήν τών ανθρώπων μορφήν, ολοτρόπως, πάσαν ενδυσάμενος, καί τά ταύτης λαβών ιδιώματα.

Ο Ειρμός

«Άπας γηγενής, σκιρτάτω τώ πνεύματι, λαμπαδουχούμενος, πανηγυριζέτω δέ, αϋλων Νόων φύσις γεραίρουσα, τήν ιεράν πανήγυριν τής θεομήτορος, καί

βοάτω. Χαίροις παμμακάριστε, Θεοτόκε αγνή αειπάρθενε».

Εξαποστειλάριον
Εν πνεύματι τώ Ιερώ

Τού τελωνείου τόν ζυγόν, απορρίψας εμφρόνως, Χριστώ κατηκολούθησας, ώ Ματθαίε θεόφρον, τοίς ίχνεσι δέ τοίς αυτού, θαυμαστώς επόμενος, εν μετοχή εγεγόνεις, τής αυτού βασιλείας, καί τής δόξης κοινωνός, καί μύστης τών απορρήτων.

Θεοτοκίον

Τάς παναγίας χείράς σου, Θεοτόκε Παρθένε, αίς τόν κτίστην εβάστασας, έπαρον εις πρεσβείαν, υπέρ ημών δυσωπούσα, όπως ρύσηται ημάς, πάσης πείρας Δαιμόνων, καί τού τυχείν Πανάμωμε, τών μελλόντων εκείνων, αγαθών αξιώση.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια τρία, δευτερούντες τό πρώτον.

Ήχος δ' Έδωκας σημείωσιν

Έλαμψας Απόστολε, φωτοειδής ώσπερ ήλιος, ταίς ακτίσι τού Πνεύματος, καί πάσαν κατηύγασας, οικουμένην μάκαρ, τή θεογνωσία, καί απεδίωξας αχλύν, πολυθεϊας Ματθαίε πάνσοφε, διό σου τήν υπέρφωτον, καί αξιάγαστον σήμερον, εκτελούμεν πανήγυριν, ως πηγήν αγιάσματος. (Δίς)

Εν ύψει καθήμενος, θεογνωσίας Απόστολε, υπεδέξω τού Πνεύματος, τήν αίγλην φανείσάν σοι, τού πυρός εν είδει, καί γλώσση πυρίνη, πάσαν κατέφλεξας σαφώς, τής ασεβείας ύλην πολύθεον, διό σε ως Απόστολον, καί θεηγόρον γεραίρομεν, τήν αγίαν σου σήμερον, εκτελούντες πανήγυριν.

Εβρόντησας πάνσοφε, τή οικουμένη διδάγματα, ιερά καί σωτήρια, καί πάσαν εκάθηρας, ειδωλομανίας, τήν κτίσιν Ματθαίε, καί κατεφώτισας λαούς, Ευαγγελίου ταίς επιλάμψεσιν, ειδώλων τά τεμένη δέ, καταστρεψάμενος χάριτι, Εκκλησίας εις αίνεσιν, τού Θεού ωκοδόμησας.

Δόξα... Ήχος πλ. δ'

Κροτήσωμεν εν άσμασι σήμερον πιστοί, επί τή μνήμη τού σεπτού Αποστόλου, καί Ευαγγελιστού Ματθαίου, ούτος γάρ ρίψας τόν ζυγόν, καί τόν χρυσόν τού τελωνείου, ηκολούθησε Χριστώ, καί κήρυξ τού Ευαγγελίου θείος εχρημάτισεν, όθεν εξήλθε προφητικώς ο φθόγγος αυτού, εις τήν οικουμένην, καί πρεσβεύει σω θήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Δέσποινα πρόσδεξαι, τάς δεήσεις τών δούλων σου, καί λύτρωσαι ημάς, από πάσης ανάγκης καί θλίψεως.

Δοξολογία μεγάλη. Καί Απολυσις.

Εις τήν Λειτουργίαν, τά Τυπικά καί από τού Κανόνος η γ' καί ς' Ωδή.

Απόστολος πρός Ρωμαίους.
Αδελφοί, λέγει η γραφή. Πάς ο πιστεύων επί Κύριον, ου καταισχυνθήσεται…
Ζήτει τή γ' τής τετάρτης Εβδομάδος.

Ευαγγέλιον κατά Ματθαίον.
Τώ καιρώ εκείνω, παράγων ο Ιησούς, είδεν άνθρωπον καθήμενον…
Ζήτει Σαββάτω ε'

Κοινωνικόν
Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών, καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών. Αλληλούϊα.

---

Αρχή

**ΤΗ ΙΖ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τού εν Αγίοις Πατρός ημών Γρηγορίου, Επισκόπου Νεοκαισαρείας, τού θαυματουργού.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις το, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τρία, δευτερούντες αυτά.

Ήχος πλ. δ'
Τί υμάς καλέσωμεν
Τί σε νύν καλέσω Γρηγόριε; πρακτικόν, ότι τά πάθη, καθυπέταξας τώ νώ, θεωρόν, ότι εδρέψω, τής σοφίας τόν καρπόν, ενθέου, οπτασίας αξιούμενον, καί δόγματα, ουράνια μυούμενον, ιερουργόν ιερώτατον, θαυματουργόν υπερθαύμαστον, ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Τί προσαγορεύσω σε Όσιε; οδηγόν τών πλανωμένων, καί νοσούντων ιατρόν, χορηγόν τών πρός τήν χρείαν, τοίς αιτούσι δαψιλή, διώκτην, τών δαιμόνων ισχυρότατον, αλείπτην, τού Μαρτύρων αγωνίσματος, προφητικώς διαλάμποντα, χαρίσμασιν αξιάγαστε, ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Τί σε νύν προσείπω Γρηγόριε; καθαιρέτην τής αθέου, δυσσεβείας κρατερόν, οριστήν τής ευσεβείας, καί διδάσκαλον εθνών, ειρήνης, βραβευτήν ακαταμάχητον, πολέμων, καταλύτην ακαθαίρετον, εν όρεσι διαιτώμενον, καί βλέποντα τά εν πόλεσιν, ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.
Δόξα... Ήχος πλ. β'
Εις βάθος θεωρίας υπελθών πανσόφως, Ιεράρχα Χριστού, τήν θείαν εμυήθης τής Τριάδος φανέρωσιν, καί πνεύματι προσβλέπων ακλινώς, Χριστόν τόν Θεόν ημών, τών θαυμάτων άβυσσον πηγάζεις ημίν, τήν υγράν υδάτων φύσιν, εις λιθώδη μεταποιήσας, καί νεωκόρον πλάνης απαλλάξας ζοφεράς, τούς διώκτας έπεισας πιστούσθαι τήν αλήθειαν, καί στύλος ευσεβείας αρετών

οφθείς αυτοίς, τών θαυμάτων υποφήτης ανηγορεύθης, Διό δυσωπούμέν σε, μή παύση υπέρ ημών τόν Σωτήρα δυσωπείν, τού σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Όλην αποθέμενοι

Γνώμη ολισθήσας τε, καί δουλωθείς τή τού πλάνου, απάτη Θεόνυμφε, πρός τήν υπερθαύμαστον ευσπλαγχνίαν σου, καί θερμήν δέησιν, Παναγία Κόρη, καταφεύγω ο πανάθλιος, Δεσμού με λύτρωσαι, τών πειρατηρίων καί θλίψεων, καί σώσον με πανάμωμε, τών δαιμονικών επιθέσεων, ίνα σε δοξάζω, καί πόθω ανυμνώ καί προσκυνώ, καί μεγαλύνω σε Δέσποινα, τήν αειμακάριστον.

Η Σταυροθεοτοκίον

Ξύλω σε κρεμάμενον, μέσον ληστών καθορώσα, η χωρίς ωδίνων σε, καί φθοράς κυήσασα Μητροπάρθενος, χαλεπώ βέβληται, τήν ψυχήν Κύριε, βέλει λύπης καί σπαράττεται, πικρά στενάζουσα, σπλάγχνα καί καρδίαν τήν άχραντον, καί ξέουσα τοίς όνυξιν, αφειδώς τάς όψεις καί πύρινα, δάκρυα κενούσα, μετ' οιμωγής σοι κέκραγε Σωτήρ, Οίμοι γλυκύτατον σπλάγχνον μου! πώς αδίκως πασχεις νύν.

Εις τόν Στίχον, τά Στιχηρά τής Οκτωήχου.

Δόξα… Ήχος πλ. β'

Γρηγόρησις Θεού, εδόθη σοι σοφέ κατά τόν Δανιήλ, ώσπερ γάρ εκείνω τό ενύπνιον, ούτω τό τής πίστεως μυστήριον απεκαλύφθη σοι, διό σωθήναι πρέσβευε, τάς ψυχάς ημών Όσιε Πάτερ.

Καί νύν... Θεοτοκίον

Αρχαγγελικόν λόγον υπεδέξω, καί Χερουβικός θρόνος ανεδείχθης, καί εν αγκάλαις εβάστασας Θεοτόκε, τήν ελπίδα τών ψυχών ημών.

Η Σταυροθεοτοκίον

Τριήμερος ανέστης Χριστέ

Ορώσά σε σταυρούμενον, Χριστέ η σέ κυήσασα, ανεβόα, τί τό ξένον ό ορώ, μυστήριον Υιέ μου; πώς επί ξύλου θνήσκεις, σαρκί κρεμάμενος ζωής χορηγέ;

Απολυτίκιον   Ήχος πλ. δ'

Εν προσευχαίς γρηγορών, ταίς τών θαυμάτων εργασίαις εγκαρτερών, επωνυμίαν εκτήσω τά κατορθώματα, αλλά πρέσβευε Χριστώ τώ Θεώ, Πάτερ Γρηγόριε, φωτίσαι τάς ψυχάς ημών, μή ποτε υπνώσωμεν, εν αμαρτίαις εις θάνατον.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, λέγονται οι Κανόνες τής Οκτωήχου, καί τού Αγίου ο παρών, ού η Ακροστιχίς.

Τώ τερατουργώ Γρηγορίω τόν έπαινον υφαίνω. Θεοφάνους.

Ωδή α'  Ήχος πλ. δ'

«Αρματηλήτην Φαραώ εβύθισε, τερατουργούσα ποτέ, Μωσαϊκή ράβδος, σταυροτύπως πλήξασα, καί διελούσα θάλασσαν, Ισραήλ δέ φυγάδα, πεζόν οδίτην διέσωσεν, άσμα τώ Θεώ αναμέλποντα».

Τών σών θαυμάτων εν εμοί Γρηγόριε, θείαν ενέργειαν, περιφανώς Πάτερ, καί τανύν ανάδειξον, εκ τού βυθού ρυόμενος, τών πταισμάτων με μάκαρ, καί σή φωτίζων λαμπρότητι, όπως επαξίως υμνήσω σε.

Ως εντρεχής καί νουνεχής καί φρόνιμος, τό τής ψυχής ευγενές, τών τής σαρκός μάκαρ, ηδονών προέκρινας, τά τής σοφίας δόγματα, φιλοπόνως συλλέγων, δι' ών εκείνη Γρηγόριε, τρέφεται Θεώ πλησιάζουσα.

Τήν σωφροσύνην αδελφήν κτησάμενον, ως συνεργόν τών καλών, σέ καθορών όφις, ο δεινός Γρηγόριε, σοί τούς βασκάνους ήγειρεν, ούς κατήσχυνας Πάτερ, μακροθυμία τό γύναιον, πάθει συσχεθέν ιασάμενος.

Επί τής ξένης διατρίβων Όσιε, πάσιν αιδέσιμος, δι' αρετήν ώφθης, ευσεβής φιλόθεος, θαυματουργίας χάρισμα, πρός Θεού δεδεγμένος, δι' ής γνωρίζη ως ήλιος, λάμψας εν τώ κόσμω Γρηγόριε.

Θεοτοκίον

Ρίζης Αγνή βασιλικής εβλάστησας, καί Βασιλέα Χριστόν, τον τού Θεού Λόγον, υπέρ νούν καί έννοιαν, σεσαρκωμένον τέτοκας, εξ αγνών σου αιμάτων, διττόν τήν φύσιν υπάρχοντα, καί μοναδικόν τήν υπόστασιν.

Ωδή γ'

«Οστερεώσας κατ' αρχάς, τούς ουρανούς εν συνέσει, καί τήν γήν επί υδάτων εδράσας, εν τή πέτρα με Χριστέ, τών εντολών σου στήριξον, ότι ουκ έστι πλήν σου, άγιος, μόνε Φιλάνθρωπε».

Ανακαθάρας σου τόν νούν, τής τών παθών τρικυμίας, καί πανσόφου θεωρίας εμπλήσας, ανεδείχθης ευπρεπές, σοφίας ενδιαίτημα, καί προφητείας χάριν, κατεπλουτίσθης Γρηγόριε.

Τή θεοπνεύστω συγγραφή, προσομιλήσας παμμάκαρ, καί Ποικίλης πολιτείας ιδέαν, εκλεξάμενος σοφώς, Εν αρετής εικόνισμα, εν σεαυτώ θεόφρον, απηκριβώσω Γρηγόριε.

Ο θεοφάντωρ μυηθείς, τή θεία μυσταγωγία, τό μυστήριον τής θεολογίας, κατεφώτισεν ημάς, Τριάδα ομοούσιον, ομοφυή τε σέβειν, άκτιστον καί συναΐδιον.

Υπό Θεού οδηγηθείς, ως πόθω τούτον ζητήσας, τήν αγνήν καί Θεοτόκον Μαρίαν, καί τόν γόνον τής Βροντής, μυσταγωγούς εκέκτησο, τό τής Τριάδος φέγγος, σέ θεορρήμον διδάσκοντας.

Θεοτοκίον

Ράβδον βλαστήσασαν Χριστόν, τό άνθος τής αφθαρσίας, καί χρυσούν θυμιατήριον πάντες, σέ γινώσκομεν Αγνή, θείας ουσίας φέρουσαν, εν ταίς αγκάλαις Κόρη, άνθρακα θεομακάριστε.

Ο Ειρμός

«Οστερεώσας κατ' αρχάς, τούς ουρανούς εν συνέσει, καί τήν γήν επί υδάτων εδράσας, εν τή πέτρα με Χριστέ, τών εντολών σου στήριξον, ότι ουκ έστι πλήν σου, άγιος, μόνε Φιλάνθρωπε».

Κάθισμα Ήχος γ'

Θείας πίστεως

Νέος γέγονας Μωσής τοίς έργοις, πλάκας πίστεως επί τού όρους, τής μυστικής θεοφανείας δεξάμενος, νομοθετήσας λαοίς τήν ευσέβειαν, τού τής Τριάδος μυστηρίου Γρηγόριε, όθεν άπαντες, Τιμώμεν πιστοί τήν μνήμην σου, αιτούντες διά σού τό μέγα έλεος.

Θεοτοκίον

Θεία γέγονας σκηνή τού Λόγου, μόνη Πάναγνε Παρθενομήτορ, τή καθαρότητι Αγγέλους υπερέχουσα, τόν υπέρ πάντας εμέ γούν γενόμενον, ρερυπωμένον σαρκός πλημμελήμασιν, αποκάθαρον, πρεσβειών σου ενθέοις νάμασι, παρέχουσα σεμνή τό μέγα έλεος.

Η Σταυροθεοτοκίον

Η αμίαντος Αμνάς τού Λόγου, η ακήρατος Παρθενομήτωρ, εν Σταυρώ θεασαμένη κρεμάμενον, τόν εξ αυτής ανωδίνως βλαστήσαντα, μητροπρεπώς θρηνωδούσα εκραύγαζεν, Οίμοι Τέκνον μου! πώς πάσχεις; θέλων ρύσασθαι, παθών τής ατιμίας τόν άνθρωπον.

Ωδή δ'

«Σύ μου ισχύς, Κύριε συ μου καί δύναμις, σύ Θεός μου, σύ μου αγαλλίαμα, ο Πατρικούς κόλπους μή λιπών, καί τήν ημετέραν, πτωχείαν επισκεψάμενος, Διό σύν τώ Προφήτη, Αββακούμ σοι κραυγάζω, Τή δυνάμει σου δόξα Φιλάνθρωπε».

Γήν τήν καλήν, Πάτερ θεόφρον εζήλωσας, καί τού λόγου, σπόρον εισδεξάμενος, εις εκατόν εύαγγελικώς, πολλαπλασιάζεις, εισέτι καί νύν Γρηγόριε, προσάγων διδαχαίς σου, τούς πιστώς μελωδούντας, τή δυνάμει σου δόξα Φιλάνθρωπε.

Ως αστραπή, Πάτερ εκλάμψας ο βίος σου, τών δαιμονων, πλάνην εφυγάδευσε, τώ γάρ φωτί, τής σής αρετής, τό εκείνων σκότος, προσομιλήσαι ούκ ίσχυσε, διό ο νεωκόρος, ψυχοφθόρου απάτης, κυλισθείς ώσπερ λίθος φωτίζεται.

Γνόφον φωτός, τού θειοτάτου θεάσασθαι, ηξιώθης, νόμον τε θεόγραφον, ως Μωϋσής, Πάτερ ειληφώς, τής θεολογίας, τό ακριβές εκπεπαίδευσαι, εντεύθεν νομοθέτης, τή Χριστού Εκκλησία, ανεδείχθης θεόφρον Γρηγοριε.

Ρητορικήν, ερεσχελίαν εξέκλινας, καί τώ λόγω, Πάτερ τώ τής χάριτος, καταυγασθείς, αποστολικήν, όντως εξουσίαν, κατά δαιμόνων επλούτησας, τήν σήν γάρ δραπετεύει, απαστράπτουσαν αίγλην, ο τού σκότους προστάτης Γρηγόριε.

Θεοτοκίον

Η κιβωτός, πόρρωθεν σέ προετύπωσε, δεξαμένη, νόμον τον θεόγραφον, τήν εν γαστρί, τόν ζωαρχικόν, Λόγον συλλαβούσαν, ανερμηνεύτως Πανάμωμε, τόν τρέφοντα πλουσίως, τάς ψυχάς τών βοώντων, τή δυνάμει σου δόξα Φιλάνθρωπε.

Ωδή ε'

«Ινα τί με απώσω, από τού προσώπου σου τό φώς τό άδυτον, καί εκάλυψέ με, τό αλλότριον σκότος τόν δείλαιον, αλλ' επίστρεψόν με, καί πρός τό φώς τών εντολών σου, τάς οδούς μου κατεύθυνον δέομαι».

Γεωργία σών λόγων, τάς κεχερσωμένας καρδίας ωμάλισας, καί τόν θείον σπόρον, εν αυταίς Ιεράρχα κατέβαλες, καί καρπόν πολύχουν, τώ Λυτρωτή τήν σωτηρίαν, τών πιστών θεορρήμον προσήγαγες.

Ο Θεού παραστάτης, ζήλω πυρακτούμενος χρίει σε Φαίδιμος, Ιερέα Πάτερ, τώ Θεώ τώ τά σύμπαντα βλέποντι, ευσεβώς θαρρήσας, καί τή σεπτή σου πολιτεία, πεποιθώς θεορρήμον Γρηγόριε.

Ροαίς τών σών δογμάτων, τάς ειδωλικάς πυρπολήσεις κατέσβεσας, καί ταίς διδαχαίς σου, τούς πιστούς εβεβαίωσας Πάνσοφε, αναβάς εις ύψος, ώς Σαμουήλ ταίς θεωρίαις, καί ως δένδρον φανείς τοίς διώκουσι.

Ιεράρχα θεόφρον, ταίς σαίς ικεσίαις δεινών με λυτρούμενος, τών εμών πταισμάτων, τό χειρόγραφον Πάτερ διάρρηξον, ιερεύς υπάρχων, καί εκ Θεού τήν εξουσίαν, ειληφώς αφιέναι τά πταίσματα.

Θεοτοκίον

Ωραιώθης Παρθένε, τοίς τής παρθενίας σου αχράντοις κάλλεσι, καί τής πρώτης Εύας, περιέστειλας αίσχος τό δύσμορφον, τόν Χριστόν τεκούσα, περιβολήν αθανασίας, χαριζόμενον τοίς σέ γεραίρουσιν.

Ωδή ς'

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου ο Θεός τής σωτηρίας μου».

Τήν λίμνην θαυματουργών, αδελφοκτόνον εξήρανας, καί ποταμού τάς ορμάς, ανέστειλας Πάνσοφε, τήν ράβδον πηξάμενος, τήν καί παραχρήμα, δενδρωθείσαν θείω νεύματι.

Ο ζήλος ο τού Θεού, κατέφαγέ σε Γρηγόριε, μή καρτερών γάρ οράν, Θεόν

υβριζόμενον, λαόν ματαιόφρονα, ταίς σαίς ικεσίαις, θεορρήμον εξωλόθρευσας.

Νενέκρωται βουληθείς, εξουθενείν σε ο δείλαιος, Εβραίος ο δυσσεβής, Θεού σε δοξάζοντος, θεόφρον Γρηγόριε, τών αυτού δογμάτων, πληρωτήν αναδεικνύμενον.

Θεοτοκίον

Επήλθε τό παντουργόν, επί σέ Πνεύμα Πανάμωμε, καί Λόγος ο τού Θεού, εν σοί κατεσκήνωσε, καί σάρξ εχρημάτισεν, ανεκδιηγήτως, διαμείνας αναλλοίωτος.

Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσον μου, ο Θεός τής σωτηρίας μου».

Κοντάκιον Ήχος β’

Τά άνω ζητών

Θαυμάτων πολλών, δεξάμενος ενέργειαν, σημείοις φρικτοίς, τούς δαίμονας επτόησας, καί τάς νόσους ήλασας τών ανθρώπων, πάνσοφε Γρηγόριε, διό καλή θαυματουργός, τήν κλήσιν εξ έργων κομισάμενος.

Ο Οίκος

Πόθεν απάρξομαι τούς επαίνους εξυφαίνειν ο τάλας, καθορών τά πολλά καί υπερθαύμαστα πράγματα; Εάν από τού βίου τού Οσίου εγχειρήσω, τό σύνολον ουκ ισχύω, πάντα γάρ νούν υπερβαίνει ο ένθεος βίος αυτού, Εάν από τών θαυμάτων, καί εν τούτω λοιπόν αισχυωθήσομαι, υπέρ τήν ψάμμον γάρ υπάρχουσι, διά τούτο ακούει θαυματουργός, τήν κλήσιν εξ έργων κομισάμενος.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΖ’ τού αυτού μηνός, Μνήμη τού εν αγίοις Πατρός ημών Γρηγορίου, Επισκόπου Νεοκαισαρείας τού θαυματουργού.

Στίχοι

Ο Γρηγόριος, θαυματουργών καί πάλαι,
Θεώ παραστάς, θαυματουργεί τι πλέον.
Εβδομάτη δεκάτη τε μέγας θάνε θαυματουργος.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου καί Ομολογητού Λαζάρου τού Ζωγράφου.

Στίχοι

Ου ζωγραφεί σε Λάζαρος καί νύν Λόγε,
Αλλά βλέπει σε ζώντα, μή ληπτόν χρόαις.

Τή αυτή ημέρα Μνήμη τών Οσίων Ζαχαρίου τού Σκυτοτομου, καί’ Ιωάννου, καί διήγησις ωφέλιμος.

Ο Όσιος Γεννάδιος, ο εν τή μονή τού Βατοπεδίου ασκήσας, καί δοχειάρης (τροφοδότης) αυτής ών, καί τό θαύμα τού έλαιον αναβλύσαντος εκ κενού πίθου ιδών, εν ειρήνη τελειούται.

Τή αυτή ημέρα, ο Όσιος Λογγίνος εν ειρήνη τελειούται.

Στίχοι

Έχεις αθλητήν Χριστέ Λογγίνον μέγαν.
Έχεις δέ καί Λογγίνον ασκητήν μέγαν.

Τή αύτή ημέρα, ο άγιος Γεννάδιος, Πατριάρχης Κωνσταντινουπόλεως, εν ειρήνη τελειούται.

Στίχοι

Ο Γεννάδιος εύρε τήν Εδέμ στέφος,
Φανείς νοητήν πρός παλαίστραν γεννάδας.

Τή αύτή ημέρα, ο άγιος Μάξιμος, Πατριάρχης Κωνσταντινουπόλεως, εν ειρήνη τελειούται.

Στίχοι

Μάξιμος ωδίνησε, καί τεκών τέκνα,
Πράξεις αγνάς, άπεισιν αγνός εκ βίου.

Τή αυτή ημέρα, ο Όσιος Ιουστίνος εν ειρήνη τελειούται.

Στίχοι

Ασκητικός άγρυπνος οφθαλμός μύει,
Ιουστίνος, τό θαύμα τών ησκηκότων.

Ταίς τών Αγίων σου πρεσβείας, ο Θεός ελέησον ημάς. Αμήν.

Ωδή ζ'

«Θεού συγκατάβασιν, τό πύρ ηδέσθη εν Βαβυλώνι ποτέ, διά τούτο οι Παίδες, εν τή καμίνω αγαλλομένω ποδί, ως εν λειμώνι χορεύοντες έψαλλον, Ευλογητός ό Θεός, ο τών Πατέρων ημών».

Πατέρων τό καύχημα, καί Διδασκάλων τό σεμνολόγημα, φωστήρ τής Εκκλησίας, τής ευσεβείας στύλος ακράδαντος, σύ καθωράθης, κραυγάζων Γρηγόριε, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Αστράψας τοίς θαύμασι, τήν οικουμένην εφωταγώγησας, διά τούτο θεόφρον, συναθροισθέντες σέ μακαρίζομεν, οι τών σών λόγων, τρυφώντες καί ψάλλοντες, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Ιάματα Πάνσοφε, τοίς ασθενούσι πάσιν επήγασας, εξεχύθη γάρ χάρις, δαψιλεστάτη σού εν τοίς χείλεσι, θαυματουργίας, δι' ής ανακράζομεν, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Νύν πάντα πεπλήρωται, φωτός τού θείου, διά σού Πάναγνε, σύ γάρ πύλη εφάνης, δι' ής τώ κόσμω Θεός ωμίλησε, καταφωτίζων τούς πίστει κραυγάζοντας, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Ωδή η'

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν, εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, τόν Δημιουργόν καί Λυτρωτήν ανεβόα, οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Οι διά σού πλουτήσαντες, τής Τριάδος τήν έλλαμψιν, τής ομοουσίου, καί σεπτής Γρηγόριε, τήν σήν νύν πανήγυριν, επιτελούντες χάριτι, θαυματουργική, καταλαμφθήναι αιτούμεν, βοώντες, Τόν Δεσπότην, ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Νεοφανές ώς έσοπτρον, δεδεγμένος πανόλβιε, τάς μαρμαρυγάς, τής αρχικής θεότητος, τόν κόσμον εφώτισας, αντανακλάσεις πέμπων φωτός, τοίς μελωδικώς, ορθοδοξία βοώσιν, Οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Υπό Θεού σκεπόμενος, ευσεβείας υπόθεσις, τοίς θεοσεβέσιν, εφρουρήθης πάνσοφε, εις όρος ιστάμενος, ώς νομοθέτης άλλος Μωσής, τόν Δημιουργόν, καί Λυτρωτήν εκδιδάσκων, Γρηγόριε κραυγάζεις, ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Φωτός αδύτου γέγονας, ενδιαίτημα Πάναγνε, ταίς τής παρθενίας, καλλοναίς αστράπτουσα, καί πάντας κατηύγασας, τούς Θεοτόκον σε αληθή, καθομολογούντας, εκ ψυχής καί βοώντας, Οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν, εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, τόν Δημιουργόν, καί Λυτρωτήν ανεβόα, οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ'

«Εξέστη επί τούτω ο ουρανός, καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι μεγαλύνουσιν».

Αρίστης πολιτείας λάμψας φωτί, νύν φωτί τώ μεγάλω παρέστηκας, θεουργικαίς, θαυματοποιΐαις ώς νικητής, κατεστεμμένος Όσιε, Πάτερ, Ιεράρχα θαυματουργέ, Γρηγόριε θεόφρον, φωστήρ τής Εκκλησίας, τών Ορθοδόξων εγκαλλώπισμα.

Ιθύνεσθαι δυσώπει σαίς προσευχαίς, τό βασίλειον νύν ιεράτευμα, τό εκλεκτόν, καί ηγιασμένον θαυματουργέ, καί τούς πιστώς τήν μνήμην σου, νύν επιτελούντας επιτυχείν, τής άνω βασιλείας, Γρηγόριε θεόφρον, αξιωθήναι καθικέτευε.

Νικήσας τών δαιμόνων τάς προσβολάς, καί σαρκός υποτάξας τό φρόνημα, καί ιερεύς, άκακος καί όσιος γεγονώς, δικαιοσύνης ένδυμα, περιβεβλημένος θαυματουργέ, παρίστασαι τώ θρόνω, τού πάντων Βασιλέως, νύν παρρησία παμμακάριστε.

Θεοτοκίον

Ωράθης ώ Παρθένε Μήτηρ Θεού, υπέρ φύσιν τεκούσα εν σώματι, τόν αγαθόν, Λόγον εκ καρδίας τής εαυτού, όν ο Πατήρ ηρεύξατο, πάντων πρό αιώνων ως αγαθός, όν νύν καί τών σωμάτων, επέκεινα νοούμεν, εί καί τό σώμα περιβέβληται.

Ο Ειρμός

«Εξέστη επί τούτω ο ουρανός, καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι μεγαλύνουσιν».

Εξαποστειλάριον

Τών Μαθητών ορώντων σε

Τόν εν ποικίλοις θαύμασιν, Ιεράρχην, αναφανέντα δόκιμον εν τώ κόσμω, θείαις ευφημήσωμεν μελωδίαις, Γρηγόριον φιλέορτοι, όπως ταίς τούτου πρεσβείαις, λάβωμεν λύσιν πταισμάτων.

Θεοτοκίον

Ο τής ζωής τής θείας καί μακαρίας, φθονήσας μοι τής πάλαι εν Παραδείσω, εχθρός ο δολιώτατος καί πανούργος, καί τής Εδέμ εξόριστον, ποιήσας με θανατούται, τή σή γεννήσει Παρθένε.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ’ καί ψάλλομεν Στιχηρά Προσόμοια τρία, δευτερούντες τό πρώτον.

Ήχος πλ. α’  Χαίροις ασκητικών

Χαίροις θεολογίαις σαφώς, ιερωτάταις ιερώς σεμνυνόμενος, ο στύλος τής Εκκλησίας, η τών δογμάτων κρηπίς, τό τού Παρακλήτου θείον όργανον, ο νούς ο ουράνιος, η κιθάρα τού Πνεύματος, ποιμήν ο μέγας, καί Χριστού Αρχιποίμενος, θρέμμα γνήσιον, καί αρνίον πραότατον, κρήνη αναβλυστάνουσα, δογμάτων τά νάματα, καί ιαμάτων τά ρείθρα, ιερομύστα Γρηγόριε, Χριστόν εκδυσώπει, ταίς ψυχαίς ημών δοθήναι, τό μέγα έλεος. (Δίς)

Χαίροις, Ιεραρχών καλλονή, τών αρετών τό διαυγές καταγώγιον, η στάθμη τής Εκκλησίας, ιερωσύνης κανών, ποταμός ναμάτων θείων έμπλεως, εξ ών καταρδεύεται, η υφήλιος άπασα, πρός ευκαρπίαν, ψυχικήν καί σωτήριον, καί

αιρέσεων, αποπλύνεται βόρβορος, Άνθρωπε επουράνιε, επίγειε Άγγελε, στόμα τόν νόμον τόν θείον, εμμελετήσαν Γρηγόριε, Θεού κληρονόμε, τού παρέχοντος τώ κόσμω, τό μέγα έλεος.

Όμβροις σών ιερών προσευχών, λίμνην εξήρανας ποτέ μάχης πρόξενον, καί ρείθρον τή δενδρωθείση, ράβδω ατάκτως σοφέ, επικλύζον είργεις θεία χάριτι, βωμούς κατηδάφισας, τών δαιμονων Γρηγόριε, τής απιστίας, τόν χειμώνα διέλυσας, θερμοτάταις σου, πρός Θεόν παρακλήσεσι, θαύμασιν εβεβαίωσας, ψυχάς καί προσήγαγες, τώ ευεργέτη τών όλων, παρ' ού τόν άξιον είληφας, μισθόν, δν δυσώπει, ταίς ψυχαίς ημών δοθήναι, τό μέγα έλεος.

Δόξα... Ήχος πλ. δ'

Τόν περιβόητον εν θαύμασιν Ιεράρχην, καί τά άψυχα αιδούμενα παραδόξως μετεβάλλετο, λίμνη γάρ εχερσούτο, αδελφούς νουθετούσα, ράβδος δέ εδενδρούτο, ποταμόν χαλινούσα, λίθος λόγω μετετέθη, μεταφέρων τούς απίστους πρός τήν τού Θεού επίγνωσιν, δι' ής τό μέγα έλεος, παράσχου ο Θεός ταίς ψυχαίς ημών.

Καί νύν... Θεοτοκίον

Η σκέπη σου Θεοτοκε Παρθένε, ιατρείον υπάρχει πνευματικόν, εν αυτή γάρ καταφεύγοντες, ψυχικών νοσημάτων λυτρούμεθα.

Η Σταυροθεοτοκίον

Τόν Εμμανουήλ αμνόν Θεού καί Λόγον, βλέπουσα σαρκί κρεμάμενον εν ξύλω, Αμνάς η μόνη αμίαντος καί Παρθένος, λύπη συνείχετο δακρύουσα.

Εις τόν Στίχ. τών Αίνων, τά Στιχ. τής Οκτωήχου.

Δόξα... Ήχος δ'

Ιερωσύνης τήν φήφον, θεόθεν δεξάμενος, καί τό θείον δέρας εξ ύψους περιβαλόμενος, τούς πρίν τής απιστίας υιούς, τέκνα φωτός, καί κληρονόμους ανέδειξας Θεού, σοφίας χάριτος, εκχυθείσης εν χείλεσί σου, παραδόξων πραγμάτων αυτουργέ, παμμάκαρ Γρηγόριε, διό καί νύν εν τή μνήμη σου, αίτησαι Χριστόν τόν Θεόν, υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

Εκ παντοίων κινδύνων τούς δούλους σου φύλαττε, εύλογημένη Θεοτόκε, ίνα σε δοξάζωμεν, τήν ελπίδα τών ψυχών ημών.

Η Σταυροθεοτοκίον

Εδωκας σημείωσιν

Σταυρούμενον βλέπουσα, η παναμώμητος Δέοποινα, τόν Δεσπότην τής κτίσεως, θρηνούσα εκραύγαζεν, Οίμοι θείον Τέκνον! πώς φέρεις οδυνας, Θεός υπάρχων απαθής; Αγγέλων τάξεις τρόμω εξέστησαν, ορώσαι τό μυστήριον, τής σής αφάτου σταυρώσεως, Ιησού παντοδύναμε, ο Σωτήρ τών ψυχών ημών.

Καί η λοιπή Ακολουθία τού Όρθρου, καί Απολυσις.

---

Αρχή

## ΤΗ ΙΗ’ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Μαρτύρων Πλάτωνος καί Ρωμανού.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους στ’ καί ψάλλομεν Στιχηρά Προσόμοια τρία.

Τού Αγίου Πλάτωνος

Ήχος πλ. δ’
Ω τού παραδόξου θαύματος

Πλήρης γενναίου φρονήματος, τήν τών μελών εκκοπήν, καί τομήν τήν τού σώματος, καί τό πύρ τό άστεκτον, τόν λιμόν καί τόν θάνατον, ανδρειοτάτη γνώμη υπέφερες, τήν δι’ αιώνος αποκειμένην σοι, δόξαν θηρώμενος, τήν μή διαπίπτουσαν, καί προορών, τήν διαιωνίζουσαν, μακαριότητα.

Πάσαν υπερβάς τήν αίσθησιν, καί πρός τήν άνω ζωήν, μεταθείς τήν διάνοιαν, λογισμώ θεόφρονι, καί ψυχή μεγαλόφρονι, τής ευτελείας καί ταπεινότητος, τών ορωμένων καταπεφρόνηκας, όθεν ξεόμενος, καί πυρί φλεγόμενος, υπέρ Χριστού, Μάρτυς ανδρικώτατα, διεκαρτέρησας.

Πάσαν τού εχθρού τήν έφοδον, καί διωκτών τάς ορμάς, καταλύσας τή χάριτι, τόν τής νίκης στέφανον, ανεδήσω Πανόλβιε, τής ακηράτου αγαλλιάσεως, καί τής αφράστου καταξιούμενος, θείας ελλάμψεως, ένθα νύν γενόμενος, αμαρτιών, αίτησαι τήν άφεσιν, τοίς ευφημούσί σε.

Καί τρία τού Αγίου Ρωμανού

Ήχος δ’
Ώς γενναίον εν Μάρτυσιν

Τή ασκήσει πυρούμενος, τή αθλήσει στομούμενος, ταίς πολλαίς κολάσεσι λιπαινόμενος, ξίφος γεγένησαι δίστομον, συγκόπτον τάς φάλαγγας, τών δαιμόνων Ρωμανέ, Αθλητών εγκαλλώπισμα, θείον καύχημα, τής σεπτής Εκκλησίας ωραιότης, τών εν αίματι ιδίω, τελειωθέντων πανεύφημε.

Αναρτήσει ξεόμενος, καί ειρκτή συγκλειόμενος, καί τήν γλώσσαν ένδοξε αφαιρούμενος, καί παρειάς συντριβόμενος, καί τέλος μακάριον, τή βιαία πνιγμονή, Αθλοφόρε δεχόμενος, απερίτρεπτος, αταπείνωτος ώφθης συνεργεία, Ρωμανέ Πνεύματος θείου, όθεν πιστώς ευφημούμέν σε.

Ρητορεύει τό νήπιον, καί εκπλήττει τούς άφρονας, καί σεπταίς ενστάσεσιν ωραΐζεται, καί τελειώσει λαμπρύνεται, πλουτήσαν τήν εύκλειαν, τών Αγίων Αθλητών, ών τόν ζήλον εκτήσατο, αξιάγαστε, Ρωμανέ γενναιόφρον, μεθ’ ού

λύσιν, οφλημάτων ημίν πάσι, καταπεμφθήναι ικέτευε.

Δόξα... Ήχος πλ. β’

Φοβερά καί παράδοξα, τά τρόπαια Κύριε τού Μάρτυρός σου, τών γάρ αλιέων ζηλώσας τήν παρρησίαν, καί τήν Σκηνορράφου θεολογίαν, τήν Πλάτωνος μυθολογίαν, καί τήν Στωϊκήν φλυαρίαν, λόγοις καί έργοις κατέρραξετήν δοράν αποδαρείς, καί τήν κάραν εκτμηθείς, τή χύσει τών αιμάτων αυτού, τόν εχθρόν απέπνιξεν, Αλλ’ ώ Μαρτύρων τό κλέος, ο παρρησία κηρύξας τό όνομα Χριστού τό μέγα, αίτησαι θαυματουργέ, Πλάτων παμμακάριστε, ταίς ψυχαίς ημών δοθήναι τό μέγα έλεος.

Καί νύν… Θεοτοκίον

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής. Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Η Σταυροθεοτοκίον

Τριήμερος ανέστης

Λαόν τόν ανομώτατον, αδίκως καθηλούντά σε, επί ξύλου, η Παρθένος καί Αγνή, καί Μήτηρ σου ορώσα, ως Συμεών προέφη, τά σπλάγχνα Σώτερ διετέτρωτο.

Εις τόν Στίχον, τά Στιχηρά τής Οκτωήχου.

Καί τά λοιπά τού Εσπερινού, καί Απόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν αναγινώσκονται οι Κανόνες τής Οκτωήχου, καί τού Αγίου Πλάτωνος ο παρών, ού η ακροστιχίς.

Τών σών επαίνων, ώ Πλάτων, μέλπω πλάτος. Θεοφάνους.

Ωδή α’ Ήχος πλ. δ’

«Αρματηλάτην Φαραώ εβύθισε, τερατουργούσα ποτέ, Μωσαϊκή ράβδος, σταυροτύπως πλήξασα, καί διελούσα θάλασσαν, Ισραήλ δέ φυγάδα, πεζόν οδίτην διέσωσεν άσμα τώ Θεώ αναμέλποντα».

Τής αιωνίου βασιλείας Ένδοξε, τό καθαρώτατον, χοροβατών πλάτος, από πάσης θλίψεως, καί πειρασμών στενώσεως, τούς υμνούντάς σε σώσον, ανεπιστρόφως οδεύοντας, τήν πρός ουρανόν τρίβον φέρουσαν.

Ωχυρωμένος ευσεβείας πρόβολος, καί πύργος άσειστος, αναδειχθείς Πλάτων, πάσαν αγριότητα, τών πειρασμών υπέμεινας, καί τάς τών αλγηδόνων, στενοχωρίας υπήνεγκας, θεία πλατυνόμενος χάριτι.

Νεανικήν επιδεικνύς τήν ένστασιν, τό τής νεχρώσεως, καί τής φθοράς πάχος, διά τής αθλήσεως, απετινάξω Πάνσοφε, καί τόν τής αφθαρσίας, χιτώνα

περιβαλλόμενος, χαίρων τώ Δεσπότη παρίστασαι.

Θεοτοκίον

Σεσαρκωμένον τώ Πατρί συνάναρχον, καί συναϊδιον, μονογενή Λόγον, υπέρ νούν γεγέννηκας, ευλογημένη Πάναγνε, Θεοτόκον διό σε, ορθά φρονούντες κηρύττομεν, καί πανευσεβώς σε δοξάζομεν.

Ωδή γ’

«Ο στερεώσας κατ’ αρχάς, τούς ουρανούς εν συνέσει, καί τήν γήν επί υδάτων εδράσας, εν τή πέτρα με Χριστέ, τών εντολών σου στήριξον, ότι ουκ έστι πλήν σου, Άγιος μόνε Φιλάνθρωπε».

Ώσπερ ανάλγητος πυρός, τήν φλόγα τήν δριμυτάτην, καρτερώτατα Παμμάκαρ υπέστης, ευσεβείας προφανώς, τώ ζήλω πυρπολούμενος, καί τώ πυρί τώ θείω, πεπυρσευμένος τής πίστεως.

Νεανικώς υπέρ Χριστού, παμμάκαρ ηγωνισμένος, ουρανίους δωρεάς εκομίσω, καί στεφάνους παρ’ αυτού, τούς αεί διαμένοντας, καί στεφηφόρος ώφθης, Πλάτων θεόφρον μακάριε.

Επί τού ξύλου σού ταθέν, τό καρτερώτατον σώμα, Κατεξαίνετο δεινώς ταίς αικίαις, αλλ’ αντείχε τής ψυχής, ο τόνος δυναμούμενος, τώ τού Δεσπότου φίλτρω, καί βασιλείας τώ έρωτι.

Θεοτοκίον

Πύλη φωτός φωτιστικαίς, τού Πνεύματος δαδουχίαις, λαμπρυνθείσα Θεοτόκε υπάρχεις, διά σού γάρ πρός ημάς, ο Λόγος κατελήλυθε, καταφωτίζων πάντας, θείω φωτί τούς υμνούντάς σε.

Ο Ειρμός

«Ο στερεώσας κατ’ αρχάς, τούς ουρανούς εν συνέσει, καί τήν γήν επί υδάτων εδράσας, εν τή πέτρα ιμε Χριστέ, τών εντολών σου στήριξον, ότι ούκ έστι πλήν σου, Άγιος μόνε Φιλάνθρωπε».

Κάθισμα Ήχος πλ. δ’

Τήν Σόφίαν

Τών αγώνων τώ πλάτει Μάρτυς σοφέ, πλατυνόμενον πίστει πανευκλεώς, εχθρού απεστένωσας, μηχανάς καί ηφάνισας, καί καλώς τελέσας, τόν δρόμον τόν ένθεον, Παραδείσου πλάτος, γηθόμενος έφθασας, όθεν Εκκλησία, πλατυσμώ ευσεβείας, αστράπτουσα σήμερον, εορτάζει τήν μνήμην σου, καί βοά σοι Μακάριε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Ήχος α’

Τόν τάφον σου Σωτήρ

Ωραίος πεφυκώς, νεανίας Παμμάκαρ, εχθρόν τόν παλαιόν, πτερνιστήν ετροπώσω, τοίς πόνοις τού σώματος, καί τώ σθένει τής χάριτος, όθεν άπασα, η Εκκλησία συμφώνως, Πλάτων ένδοξε, επιτελεί σου τήν μνήμην, Χριστόν μεγαλύνουσα.

Καί νύν… Θεοτοκίον

Κυβέρνησον Αγνή, τήν αθλίαν ψυχήν μου, καί οίκτειρον αυτήν, υπό πλήθους πταισμάτων, εις βυθόν ολισθαίνουσαν, απωλείας Πανάμωμε, καί εν ώρα με, τή φοβερά τού θανάτου, ελευθέρωσον, κατηγορούντων δαιμόνων, φρικτής αποφάσεως.

Η Σταυροθεοτοκίον

Ω θαύματος φρικτού! ώ καινού μυστηρίου! εβόα η Αγνή, καί πανάμωμος Κόρη, εν ξύλω ως έβλεψεν, απλωθέντα τόν Κύριον, ο τά σύμπαντα, εν τή δρακί περιφέρων, ως κατάκριτος, υπό κριτών παρανόμων, σταυρώ κατακρίνεται.

Ωδή δ’

«Σύ μου ισχύς, Κύριε, σύ μου καί δύναμις, σύ Θεός μου, σύ μου αγαλλίαμα, ο Πατρικούς κόλπους μή λιπών, καί τήν ημετέραν, πτωχείαν επισκεψάμενος, διό σύν τώ προφήτη, Αββακούμ σοι κραυγάζω, Τή δυνάμει σου δόξα Φιλάνθρωπε».

Ανακραθείς, όλος αγάπη τού κτίσαντος, ούκ ησθάνου, πόνων τών τού σώματος, τήν εμπαθή, σάρκα καί θνητήν, καί τούς δερματίνους, χιτώνας αποδυσάμενος, τό δε τής σωφροσύνης, καί τό τού σωτηρίου, ενδυσάμενος Πλάτων ιμάτιον.

Ιερουργός, θείος εδείχθης ως άμωμον, ιερείον, άρσεν τε καί τέλειον, ολοκαυτών, Μάρτυς σεαυτόν, τώ υπέρ τών πάντων, τυθέντι απολυτρώσεως, ψυχήν γάρ πυρακτώσας, τού Δεσπότου τώ φίλτρω, φλεγομένης σαρκός κατεφρόνησας.

Νέους τούς τρείς, εν Βαβυλώνι μιμούμενος, τό παμφάγον, πύρ ούκ εδειλίασας, αλλά στερρώς καί νεανικώς τούτου εκαρτέρεις, τήν φλόγα τήν ακατάσχετον, διό σε δροσοβόλος, σύν εκείνοις άξίως, υπεδέξατο θάλαμος Ένδοξε.

Θεοτοκίον

Ως εκ φυλής, τής βασιλίδος υπάρχουσα, τόν τών όλων, κατεξουσιάζοντα, Λογον Θεού, τέτοκας ημίν, σάρκα γεγονότα, καί μείναντα αναλλοίωτον, διό σε Θεοτόκον, αληθώς καί κυρίως, Παναγία Παρθένε δοξάζομεν.

Ωδή ε’

«Ίνα τί με απώσω, απο τού προσώπου σου, τό φώς τό άδυτον, καί εκάλυψέ με, τό αλλότριον σκότος τόν δείλαιον; αλλ’ επίστρεψόν με, καί πρός το φώς τών εντολών σου, τάς οδούς μου κατεύθυνον δέομαι».

Νυσταγμόν σοίςβλεφάροις, ύπνον δέ σοίς όμμασι, Μάρτυς ουκ έδωκας, έως ού τόν ύπνον, τον μακάριον καί οφειλόμενον, τοίς Θεόν ποθούσιν, αγαπητοίς ύπνωσας Πλάτων, διά ξίφους τήν κάραν τεμνόμενος.

Ώσπερ εν αλλοτρίω, σώματι Πανεύφημε, πάσχων ηγώνισαι, ως αθλούντων άλλων, θεατής σύ γενόμενος ήθλησας, τώ γάρ θείω πόθω, πυρποληθείς τών προκειμένων, αικισμών ούκ εφρόντισας ένδοξε.

Πλούτον εύρες καί δόξαν, πλούτον αναφαίρετον, δόξαν αμάραντον, εν επουρανίοις, σύν Αγγέλοις χορεύων σκηνώμασι, καί τής ακηράτου, καί διαρκούς αθανασίας, γεγονώς εν μεθέξει Πανάριστε.

Θεοτοκίον

Λύσιν αμαρτημάτων, ταίς σαίς ικεσίαις, παράσχου τοίς δούλοις σου, ρυομένη τούτους, πειρασμών καί κινδύνων καί θλίψεων, καί τής τών βλασφήμων, αιρετικών επικρατείας, Θεοτόκε Παρθένε πανύμνητε.

Ωδή ς'

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

Ανώτερος τών παθών, καί τών βασάνων γενόμενος, τάς τής σαρκός εκτομάς, υπέφερες ένδοξε, Χριστόν γάρ συλλήπτορα, συνεργόν τε είχες, εν αγώσι ρωννύντα σε.

Τώ τής ψυχής νοερώ, τή ευπρεπεία τού κτίσαντος, ενατενίζων αεί, καί κατοπτριζόμενος, τό κάλλος τό άρρητον, τής τών ορωμένων, ευτελείας κατεφρόνησας.

Θεοτοκίον

Ως έμψυχος κιβωτός, τόν Νομοδότην εχώρησας, ως άγιος δέ ναός, εδέξω τόν Άγιον, γενόμενον άνθρωπον, επ' ευεργεσία, τών ανθρώπων Αειπάρθενε.

Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

Κοντάκιον
τού Αγίου Ρωμανού
Ήχος δ' Επεφάνης σήμερον

Ως αστερα μέγιστον, η Εκκλησία, Ρωμανέ πανεύφημε, σέ κεκτημένη αληθώς, φωταγωγείται τοίς άθλοις σου, τήν φωτοφόρον δοξάζουσα μνήμην σου.

Έτερον τού Αγίου Πλάτωνος
Ήχος γ'
Η Παρθένος σήμερον

Η αγία μνήμη σου, τήν οικουμένην ευφραίνει, συγκαλούσα άπαντας, εν τώ πανσέπτω ναώ σου, ένθα νύν, μετ' ευφροσύνης συναθροισθέντες, άσμασι, σάς άριστείας Πλάτων υμνούμεν, καί εν πίστει εκβοώμεν, Βαρβάρων ρύσαι τήν πόλιν σου Άγιε.

## Ο Οίκος

Τών Ελλήνων λιπών άπασαν τήν ματαιότητα, τών Χριστού Μαβητών τά ψυχωφελή διδάγματα ηγάπησε λίαν Πλάτων ο θεόφρων, Διό καί ώφθη πάσιν αιδέσιμος, καί άγκυρα πίστεως εν τή ποτρίδι, ής καί η κλήσις σαφώς Άγκυρα υπάρχει, Καλώς γάρ τούτον εκθρεψαμένη, βεβαίαν σκέπην κατ' εχθρών, καί αντιλήπτορα θερμόν εν πολέμοις ευρίσκει, καθ' εκάστην εκβοώσα πρός αυτόν, Βαρβάρων ρύσαι τήν πόλιν σου Άγιε.

## Συναξάριον

Τή ΙΗ' τού αυτού μηνός, Μνήμη τού Αγίου Μεγαλομάρτυρος Πλάτωνος.

### Στίχοι

Μικρού λαθών παρήλθεν ημάς ο πλάτων,
Πλάτων εκείνος, όν πλατύ κτείνει ξίφος.
Ογδοάτη δεκάτη τε Πλάτωνα άορ κατέπεφνεν.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Ρωμανού.

### Στίχοι

Το καρτερόφρον Ρωμανού πάς θαυμάσει.
Σύν χαρμονή γάρ πνιγμονήν εκαρτέρει.

Τή αυτή ημέρα, τό Άγιον νήπιον, ερωτηθέν παρά τού Επάρχου, ποίον δεί σέβειν Θεόν, καί ειπόν, Τόν Χριστόν, ξίφει τελειούται.

### Στίχοι

Κόλπους Αβραάμ νήπιον λαχόν ξίφει,
Τοίς Βηθλεέμ σύνεδρον ώφθη νηπίοις.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου άρτυρος Ρωμανού Διακόνου, τού Παλαιστινού.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Ζακχαίου, Διακόνου τής εν Γαδείροις Εκκλησίας, καί Αλφαίου.

### Στίχοι

Ζακχαίος εκχεί πλούτον ο πρίν ημίση.
Ο νύν δέ, Σωτήρ, αίμα χεί πάν εκ ξίφους.
Αλφαίε καρτέρησον, ειτέμνη κάραν,
Καί κλήρον έξεις τήν άτμητον Τριάδα.

Ταίς αυτών αγίαις πρεσβείαις ο Θεός, ελέησον ημάς. Αμήν.

## Ωδή ζ'

«Θεού συγκατάβασιν τό πύρ ηδέσθη εν Βαβυλώνι ποτε, διά τούτο οι Παίδες, εν τή καμίνω αγαλλομένω ποδί, ως εν λειμώνι χορεύοντες έψαλλον, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών».

Νομίμως αθλήσαντα, καί τούς εχθρούς σου καταπατήσαντα, τώ τής νίκης

στεφάνω, ο αθλοθέτης σέ εστεφάνωσε, μεγαλοφώνως βοώντα καί λέγοντα, Ευλογητός ό Θεός, ο τών Πατέρων ημών.

Μετέστης γηθόμενος, πρός τόν αεί σοι πάλαι ποθούμενον, ού τό άχραντον πάθος τό σωτηρίας ανθρώποις αίτιον, γεγενημένον μιμούμενος έψαλλες, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Εξέστησαν άπασαι, τήν καρτερίαν τής σής αθλήσεως, ουρανών αι Δυνάμεις, καί τών ανθρώπων οι τότε βλέποντες, υπερφυώς γάρ εβόας τεμνόμενος, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Λυθέντες Πανάμωμε, τώ θείω τόκω τής παρθενίας σου, τών δεσμών τού θανάτου, καί τής κατάρας τού πρωτοπλάστου Αδάμ, σέ Θεοτόκον φρονούντες κραυγάζομεν, Ευλογητός ό Θεός, ο τών Πατέρων ημών.

Ωδή η’

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τού τους ιδών, τόν Δημιουργόν καί Λυτρωτήν ανεβόα, οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Περιφανείς αγώνας μέν, ηγωνίσω Πανεύφημε, περιφανεστέραν δέ πολλώ τήν εύκλειαν, Χριστός, σοι δεδώρηται, καί δι’ αιώνος μένουσαν, εν επουρανίοις, σέ σκηναίς κατοικίσας, προθύμως μελωδούντα, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ως πρεσβευτήν πιστότατον, ώς προστάτην θερμότατον, τώ Παμβασιλεί καί Ποιητή τής κτίσεως, σέ νύν προβαλλόμεθα, υπέρ υμών δυσώπησον, τή μαρτυρική σου, παρρησία πρεσβεύων, τών σέ υμνολογούντων, καί πιστώς μελωδούντων, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Παραλαβείν ηξίωσαι, βασιλείαν ασάλευτον, διά τής οικείας ενεργούς σου πίστεως, ως σοί επηγγείλατο, ο αψευδής διδόναι Θεός, υπέρ ού τό σώμα, καί πυρί καί βασάνοις, παρέδωκας κραυγάζων, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Λόγον Θεού τόν άναρχον, καί Πατρί συννοούμενον, τόν εκ τού μή όντος πατρικώ βουλήματι, το πάν συστησάμενον, θεοπρεπώς γεγέννηκας, σάρκα γεγονότα, δι’ ημάς τούς ανθρώπους, διο σε Θεοτόκον, ορθοδόξως φρονούντες, Χριστόν υπερυψούμεν, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τού τους ιδών, τόν Δημιουργόν καί Λυτρωτήν ανεβόα, οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ’

«Ἐφριξε πάσα ακοή, τήν απόρρητον Θεού συγκατάβασιν, όπως ο ύψιστος εκών κατήλθε μέχρι καί σώματος, Παρθενικής από γαστρός, γενόμενος άνθρωπος, διό τήν άχραντον, Θεοτόκον οι πιστοί μεγαλύνομεν».

Άγε δή τόν θεοστεφή, φιλομάρτυρες υμνήσωμεν Μάρτυρα, τόν εξαπλώσαντα τής ευσεβείας αυτού τά κλήματα, τής γάρ αμπέλου τής ζωής, φυτεία γενόμενος, καρπόν προβάλλεται, κατανύξεως ημίν οίνον βρύοντα.

Τίμιος έναντι Θεού, τών Μαρτύρων καθοράται ο θάνατος, τής αϊδίου γάρ καί ανωλέθρου γίνεται πρόξενος, παναληθέστατα ζωής, καί κλήρον αθάνατον, καί δόξαν άφθαρτον, καί πλουσίαν χορηγεί τήν αντίδοσιν.

Όλην σου Μάρτυς τήν ζωήν, τώ Δεσπότη καί Θεώ αφιέρωσας, καί ως ευάρεστον ζώσαν θυσίαν σαυτόν προσήγαγες, διό Τρυφής τής υπέρ νούν, Πλάτων κατηξίωσαι, αλλά δυσώπησον, λυτρωθήναι πειρασμών τούς υμνούντάς σε.

Θεοτοκίον

Σώσόν με Μήτερ τού Θεού, η γεννήσασα Χριστόν τόν Σωτηρά μου, Θεόν καί άνθρωπον διπλούν τήν φύσιν ου τήν υπόστασιν, μονογενή μέν εκ Πατρός, εκ σού δέ απάτορα, καί αναλλοίωτον, διο πάντες σε αεί μεγαλυνομεν.

Ο Ειρμός

«Ἐφριξε πάσα ακοή, τήν απόρρητον Θεού συγκατάβασιν, όπως ο ύψιστος εκών κατήλθε μέχρι καί σώματος, Παρθενικής από γαστρός, γενόμενος άνθρωπος, διό τήν άχραντον, Θεοτόκον οι πιστοί μεγαλύνομεν».

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Ορών σου τό αήττητον, Μεγαλομάρτυς ένδοξε, ο τύραννος πρός πλειόνων, βασάνων πείραν εχώρει, όν καταπτύσας χάριτι, Χριστού υπερενήθλησας, μέχρι θανάτου πάνσοφε, διό καί νύν στεφηφόρος, συμβασιλεύεις τώ Κτίστη.

Θεοτοκίον

Μαρία καθαρώτατον, χρυσούν θυμιατήριον, τής αχωρήτου Τριάδος, δοχείον γέγονας όντως, εν ώ Πατήρ ηυδόκησεν, ο δέ Υιός εσκήνωσε, καί Πνεύμα τό Πανάγιον, επισκιάσαν σοι Κόρη, ανέδειξε Θεοτόκον.

Καί η λοιπή τού Όρθρου Ακολουθία καί απόλυσις.

---

Αρχή

## ΤΗ ΙΘ’ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Προφήτου Αβδιού, καί τού Αγίου Μάρτυρος Βαρλαάμ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό Κύριε εκέκραξα, ιστώμε Στίχους ς’ καί ψάλλομεν Στιχηρά προσόμοια τρία.

Τού Προφήτου

Ήχος α’ Πανεύφημοι Μάρτυρες

Δοχείον τού Πνεύματος λαμπρόν, Αβδιού γενόμενος, καί παρ’ αυτού φωτιζόμενος, θεοειδέστατον, Προφητείας τρόπον, καί μελλόντων πρόγνωσιν, καί γνώσιν αληθείας επλούτησας καί νύν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Εις χαρακτηρίζεται Θεός, πρώτοις ιδιώμασι, καί κατ’ ουσίαν γνωρίσμασι, τούτων οι ένδοξοι, καί σεπτοί προφήται, μετοχή καί χάριτι, δευτέρως κατά θέσιν μετέχουσι, καταλαμπρύνοντος, τού Κυρίου τούς θεράποντας, τούς οικείους, ιδία λαμπρότητι.

Αδύτου πληρούμενος φωτός, καί δόξαν Θεώμενος, τήν υπέρ νούν καί διάνοιαν, καί παριστάμενος, τώ Δεσπότη πάντων, Αβδιού μακάριε, καί θείος υποφήτης γενόμενος, αυτόν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μεγα έλεος.

Καί τρία τού Μάρτυρος

Ήχος δ’ Ως γενναίον

Ανδριάντος στερρότερος, καί χαλκού δυνατώτερος, καί σιδήρου γέγονας ισχυρότερος, παραχωρεί γάρ τηκόμενον, καί θάττον λυόμενον, τούτων έκαστον πυρί, βία τούτου νικώμενον, σού δέ άκαμπτος, δεξιά τεταμένη τών ανθράκων, φλεγομένη παραδόξως, περιεγένετο Πάνσοφε.

Ιερεύς ώσπερ πέφηνας, καί Θεώ παριστάμενος, καί αυτώ Μακάριε προσερχόμενος, ούκ αλλοτρίω εν αίματι, οικείω δέ μάλιστα, καί χειρί μαρτυρική, ευωδίας θυμίαμα, προσενήνοχας, ου δαιμόνων απάταις, τώ Χριστώ δέ, τώ Σωτήρι καί Δεσπότη, καί εσαεί βασιλεύοντι.

Ιερέα προσάγοντα, καί αμνόν προσαγόμενον, τόν αυτόν αμφότερα σέ Πανεύφημε, περιχαρώς Ονομάζομεν, ως όντα εκάτερα, σεαυτόν δε τώ Θεώ, ώς πανάμωμον σφάγιον, ωλοκαύτωσας, τώ πυρί τών βασάνων, όν δυσώπει, τού σωθήναι τούς τιμώντας, τήν παναοίδιμον μνήμην σου.

Δόξα… Καί νύν… Θεοτοκίον

Φωτοφόρον παλάτιον, τού Δεσπότου υπάρχουσα, καί φωτός νεφέλη θεοχαρίτωτε, τού εκ τής σής ανατείλαντος, νηδύος πανάμωμε, φωταγώγησον ημών, καί ψυχήν καί διάνοιαν, καί τά σκάνδαλα, αφανίσασα πάντα τού δολίου, τή πρεσβεία σου Παρθένε, τόν λογισμόν ημών στήριξον.

Η Σταυροθεοτοκίον

Ως εώρακε Κύριε, η Παρθένος καί Μήτηρ σου, εν Σταυρώ κρεμάμενον

εξεπλήττετο, καί ανακράζουσα έλεγε, Τί σοι ανταπέδωκαν, οι πολλών σου δωρεών, απολαύσαντες Δέσποτα; Αλλά δέομαι, μή με μόνην εάσης εν τώ κόσμω, αλλά σπεύσον αναστήναι, συνανιστών τούς Προπάτορας.

Εις τόν Στίχον, τά Στιχηρά τή ς' Οκτωήχου.

Καί τά λοιπά τού Εσπερινού καί Απόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, λέγομεν ένα Κανόνα τής Οκτωήχου, καί τών Αγίων τούς εφεξής δύο.

Ο Κανών τού Προφήτου, ού η Ακροστιχίς.

Τό τού βλέποντος Αβδιού μέλπω κλέος. Θεοφάνους.

Ωδή α'  Ήχος πλ. α'

«Τώ σωτήρι Θεώ, τώ εν θαλάσση λαον, ποσίν αβρόχοις οδηγήσαντι, καί Φαραώ πανστρατιά καταποντίσαντι, αυτώ μόνω άσωμεν, ότι δεδόξασται».

Τώ σωτήρι Θεώ, προφητική παρεστώς, νύν παρρησία καθικέτευε, φωτιστικαίς μαρμαρυγαίς καταλαμπρύνεσθαι, Αβδιού τούς πίστει σε, καταγεραίροντας.

Ο τά πάντα σαφώς, προγνωστικώς θεωρών, τής σής καρδίας τό αθόλωτον, καί καθαρόν καί φωταυγές, μάκαρ Θεώμενος, Προφήτην θεόληπτον, σέ προχειρίζεται.

Τάς οράσεις ιδών, τάς αληθώς εκ Θεού, σοί δεικνυμένας προηγόρευσας, τών δυσσεβούντων αδελφών, πανωλεθρίαν δεινήν, καί τούτων τήν ένδικον, Μάκαρ απώλειαν.

Θεοτοκίον

Οι σωθέντες τώ σώ, Θεογεννήτορ αγνή, ασπορω,  τόκω δυσωπούμέν σε, Τής κοσμικής περιφοράς, ημάς διάσωσον, συμφώνως κραυγάζοντας, ύμνον επινίκιον.

Ο Κανών τού Μάρτυρος, ού η Ακροστιχίς.

Τούς καρτερούς σου, Βαρλαάμ, μέλπω τόνους. Θεοφάνους.

Ωδή α'  Ήχος δ'

«Άσομαί σοι Κύριε ο Θεός μου, ότι εξήγαγες λαόν, εκ δουλείας Αιγύπτου, εκάλυψας δέ άρματα, Φαραώ καί την δύναμιν».

Ταις τής σής αθλήσεως λαμπηδόσι, περιλαμπόμενος ημάς, τούς πίστει τιμώντας, τήν μνήμην σου περίσωζε, Βαρλαάμ ταίς πρεσβείαις σου.

Ο τό πύρ μαράνας τής ασεβείας, θεοσεβείας ακριβούς, πυρί θεοπνεύστω, τιμάσθω μελωδήμασι, Βαρλαάμ ο θαυμάσιος.

Υπέρ τής ευσεβείας ηγωνισμένος, στεφανηφόρε Βαρλαάμ, στεφάνω τής δόξης νύν, αξίως τετίμησαι, δεξιά, παντοκράτορι.

Σθένος σοι δεδώρηται ο Δεσπότης, κατά ποικίλων αικισμών, Πανόλβιε Μάρτυς, εντεύθεν καί νενίκηκας, τών αθέων τό φρύαγμα.

Θεοτοκίον

Κλίμαξ εδείχθης ουρανομήκης, δι' ής ωμίλησεν ημίν, ο Λόγος Παρθένε, ήν πάλαι προεώρακεν, Ιακώβ ο προπάτωρ σου.

Τού Προφήτου

Ωδή γ'

«Δυνάμει τού Σταυρού σου Χριστέ, στερέωσόν μου τήν διάνοιαν, εις τό υμνείν καί δοξάζειν σου, τήν σωτήριον Ανάληψιν».

Υδάτων μυστικών ποταμός, εκ τής αβύσσου προερχόμενος, τών χαρισμάτων τού Πνεύματος, Αβδιού μάκαρ γεγένηοαι.

Βουλήσει καί προνοία Θεού, προαγορεύειν τά εσόμενα, καί προαγγέλλειν τά μέλλοντα, προεβλήθης Αξιάγαστε.

Λαμπόμενος τώ θείω φωτί, καί ουρανίω προηγόρευσας, τήν εσομένην τοίς έθνεσι, σωτηρίαν Παναοίδιμε.

Θεοτοκίον

Εσκήνωσεν ο Λόγος εν σοί, Παρθενομήτορ, διασώζει δέ, τούς Θεοτόκον φρονούντάς σε, μεσιτεία σου πανάμωμε.

Τού Μάρτυρος

Τόξον δυνατών ησθένησε

Άπας τής σαρκός ο συνδεσμος, καί η αρμονία σού τών μελών διελύετο, αλλ' ο τόνος διετηρείτο, τής ψυχής σου αδιάρρηκτος.

Ρύμην ευσθενώς υπήνεγκας, τών διορυττόντων σού τάς πλευράς Παναοίδιμε, καρτερίαν ακμαιοτάτην, σταθερώς επιδειξάμενος.

Τίς σου τό στερρόν καί εύτονον, καί τής διανοίας τό ακατάπληκτον φρόνημα, τοίς επαίνοις εγκωμιάσει, κατ' αξίαν Παμμακάριστε;

Θεοτοκίον

Έστη τής φθοράς ο θάνατος, τής ενυποσάτου διά σαρκός ζωής Πάναγνε, τοίς

ανθρώποις φανερωθείσης, εκ γαστρός σου θεονύμφευτε.

Ο Ειρμός

«Τόξον δυνατών ησθένησε, καί οι ασθενούντες περιεζώσαντο δύναμιν, διά τούτο εστερεώθη, εν Κυρίω η καρδία μου».

Καθισμα τού Προφήτου

Ήχος α' Τόν τάφον σου, Σωτήρ

Ο μέγας Αβδιού, επιλάμψεσι θείαις, τόν νούν φωτοειδή, κεκτημένος θεσπίζει, τά μέλλοντα Πνεύματι, τώ Αγίω φθεγγόμενος, τούτον σήμερον, ευσεβοφρόνως τιμώντες, εκτελέσωμεν, τήν ιεράν αυτού μνήμην, καρδίας φωτίζουσαν.

Δόξα... Τού Μάρτυρος

Ήχος δ' Ο υψωθείς

Ως στρατιώτης τού Χριστού ακατάπληκτος, καί τροπαιούχος αληθής καί αήττητος, τών αθλητών τό καύχημα Πανένδοξε, στέφος τό αμάραντον, ουρανόθεν εκτήσω, χαίρων σύν Αγγέλοις δέ, καί χορεύων απαύστως, ταίς σαίς πρεσβείαις σώζε τούς πιστώς, ανευφημούντας τήν θείαν σου άθλησιν.

Καί νύν... Θεοτοκίον

Ού σιωπήσομεν ποτέ Θεοτόκε, τάς δυναστείας σου λαλείν οι ανάξιοι, ειμή γάρ σύ προϊστασο πρεσβεύουσα, τίς ημάς ερρύσατο, εκ τοσούτων κινδύνων, τίς δέ διεφύλαξεν, έως νύν ελευθέρους; Ουκ αποστώμεν Δέσποινα εκ σού, σούς γάρ δούλους σώζεις αεί, εκ παντοίων δεινών.

Η Σταυροθεοτοκίον

Τόν εξ ανάρχου τού Πατρός γεννηθέντα, η επ' εσχάτων σε σαρκί τετοκυία, επί Σταυρού κρεμάμενον ορώσά σε Χριστέ, Οίμοι! ποθεινότατε Ιησού, ανεβόα, πώς ο δοξαζόμενος, ως Θεός υπ' Αγγέλων, υπό ανόμων νύν βροτών Υιέ, θέλων σταυρούσαι; Υμνώ σε Μακρόθυμε.

Τού Προφήτου

Ωδή δ'

«Εισακήκοα τήν ακοήν, τής δυναστείας τού Σταυρού, ώς Παράδεισος ηνοίγη δι' αυτού, καί εβόησα, Δόξα τή δυνάμει σου Κύριε».

Προφητείας τήν χάριν, παθών ως προκαθάρας τήν ψυχήν, διά Πνεύματος Αγίου ειληφώς, ανεβόησας, Δόξα τή δυνάμει σου Κύριε.

Ο Προφήτης ο μέγας, Πνεύματος Αγίου αστραπή, δαδουχούμενος, εφώτισεν ημάς, τού κραυγάζειν σοι, Δόξα τή δυνάμει σου Κύριε.

Νυμφοστόλος εδείχθης, τής Εκκλησίας Μάκαρ εκ Σιών, προθεσπίσας τόν Σωτήρα προελθείν, ώ κραυγάζομεν, Δόξα τή δυνάμει σου Κύριε.

Θεοτοκίον

Τόν Πατρί συνάναρχον, καί συναΐδιον Λόγον καί τώ Πνεύματι, απεγέννησας Αγνή θεοπρεπώς, ώ κραυγάζομεν, Δόξα τή δυνάμει σου Κύριε.

Τού Μάρτυρος

Τούς ουρανούς η αρετή σου
Ρητορικήν αδολεσχίαν απωσάμενος, διδαχάς δέ Αποστόλων προσηκάμενος, τής αληθείας ένδοξε, Μάρτυς αληθής εχρημάτισας.

Ο τού πυρός ευτονωτέραν τήν προαίρεσιν, κεκτημένος τυράννων τήν απόνοιαν, καταβαλών εκραύγαζες, Δόξα τή δυνάμει σου Κύριε.

Υπέρ Χριστού μέχρι θανάτου Καρτερόψυχε, καί πυρί καί βασάνοις ανθιστάμενος, μεγαλοφώνως έψαλλες, Δόξα τή δυνάμει σου Κύριε.

Συντονωτάταις προθυμίαις Παμμακάριστε, κεχρημένος την πλάνην κατεπάτησας, καί θεοφρονως έψαλλες, Δόξα τή δυνάμει σου Κύριε.
Θεοτοκίον
Σωματωθείς εκ τής Παρθένου ο ασώματος, τοίς ανθρώποις επεδήμησε, διό εν πίστει κράζομεν, Δόξα τή δυνάμει σου Κύριε.

Τού Προθήτου

Ωδή ε’
Ορθρίζοντες βοώμέν σοι Κύριε, Σώσον ημάς, σύ γάρ εί Θεός ημών, εκτός σου άλλον ουκ οίδαμεν.

Ορθρίσας πρός τόν Κύριον είληφας, ουρανόθεν, τήν χάριν τού Πνεύματος, τού Παναγίου θεόπνευστε.

Συλλήπτορα τόν βίον τόν ένθεον, κεκτημένος, οράν κατηξίωσαι, τόν αοράτως νοούμενον.

Ανέτειλέ σοι φώς Παμμακάριστε, ώς Προφήτη, καί η τούτου σύζυγος, σοί ευφροσύνη δεδώρηται.
Θεοτοκίον
Βουλήματι τά σύμπαντα Πάναγνε, ο ποιήσας, εκ σού πεπλαστούργηται, το καθ’ ημάς ο υπέρθεος.

Τού Μάρτυρος

Ο ανατείλας το φώς
Ο γεγονώς τού Χριστού, μιμητής παθημάτων, καί Μάρτυς αναμέλπει, Δόξα σοι δόξα σοι, Ιησού Υιέ τού Θεού.

Υπομονής σοιπολύς, ο μισθός καί τής νίκης, ο στέφανος επλάκη, Δόξα σοι μέλποντι, Ιησού Υιέ τού Θεού.

Βέλη ρημάτων τών σών, τών εχθρών εν καρδίαις, κατέπηξας κραυγάζων, Δόξα σοι δόξα σοι, Ιησού Υιέ τού Θεού.

Θεοτοκίον

Άγιον όρος Αγνή, καί ώς σκηνή Υψίστου, φρονούντές σε Παρθένε, Δόξα σοι κραυγάζομεν, Θεοτόκε, ημών η ελπίς.

Τού Προφήτου

Ωδή στ'

Εκύκλωσέ με άβυσσος, ταφή μοι τό κήτος εγένετο, εγώ δέ εβόησα πρός σέ τόν φιλάνθρωπον, καί έσωσέ με η δεξιά σου Κύριε.

Δυνάμει θείου Πνεύματος, εώρας Προφήτα τά μέλλοντα, τούς τύπους δεχόμενος τών θείων εμφάσεων, ως εν κατόπτρω, τή τής ψυχής λαμπρότητι.

Ιλέωσαι τόν Κύριον, Προφήτα παμμάκαρ πρεσβείαις σου, τοίς πίστει τήν μνήμην σου τελούσιν αιτούμενος, τήν τών πταισμάτων, δωρήσασθαι συγχώρησιν.

Ιλάσθητι τοίς δούλοις σου, καί τούτοις πταισμάτων συγχώρησιν, παράσχου Φιλάνθρωπε έχων δυσωπούντά σε, τόν σόν Προφήτην, κόσμω σε προαγγείλαντα.

Θεοτοκίον

Ουσιώσας άπαντα, τώ λόγω τής θείας δυνάμεως, αγκάλαις βαστάζεται ταίς σαίς Απειρόγαμε, όν εκδυσώπει, σωθήναι τάς ψυχάς ημών.

Τού Μάρτυρος

Εβόησε, προτυπών

Ραπιζέσθω, δεξιά πυρουμένη τά πρόσωπα, τών δαιμόνων, τών πιστών δέ καρδίαι σκιρτάτωσαν, καί τών Ασωμάτων, αι χορείαι φαιδρώς ευφραινέσθωσαν.

Λαμπρύνεται, τών καλών σου αγώνων τά τρόπαια, καί τάς νίκας, καί τών άθλων ορώσα τά έπαθλα, η τών πρωτοτόκων, εκλεκτή καί φωσφόρος ομήγυρις.

Ανάστητε, οι καλοί νύν ζωγράφοι τού Μάρτυρος, τήν εικόνα, ταίς υμών ευτεχνίαις λαμπρύνατε, τόν αγωνοθέτην, εν αυτή προφανώς εγχαράττοντες.

Θεοτοκίον

Αγάλλεται, επί σοί Θεομήτορ πανάμωμε η Προμήτωρ, τής αρχαίας κατάρας τώ τόκω σου, ελευθερωθείσα, τού θανάτου πικράς κατακρίσεως.

Ο Ειρμός

«Εβόησε, προτυπών τήν ταφήν τήν τριήμερον, ο Προφήτης Ιωνάς, εν τώ

κήτει δεόμενος, Εκ φθοράς με ρύσαι, Ιησού Βασιλεύ τών Δυνάμεων».

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΘ’ τού αυτού μηνός, Μνήμη τού Αγίου προφήτου Αβδιού.

Στίχοι

Έφησεν άν τι μέλλον Αβδιού πάλιν,
Ει μή τελευτήν είχεν αιδείσθαι τάχα.
Εννεακαιδεκάτη βίον Αβδιού εξεπέρησεν.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Βαρλαάμ.

Στίχοι

Σύν λιβανωτώ, Βαρλαάμ, τό πύρ φέρων,
Εύοσμος ώφθης λιβανωτός Κυρίω.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Άζη τού θαυματουργού.

Στίχοι

Διψητική τις ώς έλαφος εις ύδωρ,
Άζης ο Μάρτυς έτρεχε πρός τό ξίφος.

Τή αυτή ημέρα, οι Άγιοι εκατόν πεντήκοντα στρατιώται ξίφει τελειούνται.

Στίχοι

Τετμημένας τρείς, Χριστέ, πεντηκοντάδας,
Τριττή στεφών γέραιρε πεντηκοντάδι.

Τή αυτή ημέρα, οι Άγιοι δώδεκα στρατιώται ξίφει τελειούνται.

Στίχοι

«Στρατεύομαί σοι σήμερον διά ξίφους»,
Τώ Παμβασιλεί δωδεκάς στρατού λέγει.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Αγαπίου.

Στίχοι

Κάν εσπαράχθην Αγάπιος θηρίοις,
τήν πίστιν ασάλευτός ειμί σοι, Λόγε.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Ηλιοδώρου, τού εν Μαγιδώ τής Παμφυλίας.

Στίχοι

Ηλιόδωρος Χριστόν Ήλιον βλέπων,
Ανώτερος πέφηνε βασάνων σκότους.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Ανθίμου, θαλλελαίου, Χριστοφόρου, Ευφημίας καί τών τέκνων αυτών, καί τού Αγίου Παγχαρίου.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τού Προφήτου

Ωδή ζ’

«Ο εν καμίνω πυρός, τούς υμνολόγους σώσας Παίδας, ευλογητός ο Θεός, ο τών Πατέρων ημών».

Υπερφυής αληθώς, τών Προφητών τών σών η δόξα, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Μετά Θεού κατοικείν, ηξιωμένος αναμέλπεις, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Εν τοίς Προφήταις τοίς σοίς, τήν θείαν χάριν σου δεικνύεις, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Λελυτρωμένοι τώ σώ, Παρθένε τόκω μελωδούμεν, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Τού Μάρτυρος

Ο τών Πατέρων Θεός

Μετά Μαρτύρων χορού, ως αήττητος Μάρτυς, κατηξίωσαι Χριστώ, μεγαλοφώνως κραυγάζειν, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Μετά λαμπάδων φαιδρώς, εις τόν θείον νυμφώνα, εισελήλυθας Χριστώ, Μεγαλομάρτυς κραυγάζων, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Ευτονωτέραν πυρός, δεξιάν κεκτημένος, παραστάτης δεξιός, τώ σώ Δεσπότη κραυγάζεις, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Λελυτρωμένοι τή σή, παναχράντω γεννήσει, υμνούμέν σε Πιστοί, ακαταπαύστως βοώντες, Ευλογημένος Αγνή, ο σής κοιλίας καρπός.

Τού Προφήτου

Ωδή η’

«Τόν εκ Πατρός πρό αιώνων, γεννηθέντα Υιόν καί Θεόν, καί επ’ εσχάτων τών χρόνων, σαρκωθέντα εκ Παρθένου Μητρός, ιερείς υμνείτε, λαός υπερυψούτε, εις πάντας τους αιώνας».

Παρά Θεού φωτισθέντες, οι Προφήται προθεσπίζουσι, τών εσομένων τήν γνώσιν, θεοφρόνως ανακράζοντες, ιερείς υμνείτε, λαός υπερυψούτε, Χριστόν εις τους αιώνας.

Ώσπερ πυρσός εν πελάγει, τοίς εν σκότει μάκαρ έφανας, ταίς θεϊκαίς

φρυκτωρίαις, Αβδιού καταυγαζόμενος, Τόν Χριστόν κραυγάζων, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Κατά τήν θείαν ουσίαν, τώ Πατρί σου ομοούσιος, ημίν ομόφυλος ώφθης, σαρκωθείς εξ απειράνδρου Μητρός, διό σε υμνούμεν, καί υπερυψούμεν, Χριστέ εις τούς αιώνας.

Τού Μάρτυρος

Τόν εν καμίνω τού πυρός

Πάσαν καθείλες τού έχθρού, τήν πανοπλίαν Βαρλαάμ αξιάγαστε, έφλεξας ειδωλικήν φαντασίαν, κραυγάζων, Σέ υπερυψούμεν, Χριστέ εις τούς αιώνας.

Ωραϊσμένος ευπρεπώς, Χριστώ παρέστης Αθλητά παναοίδιμε, αίματι μαρτυρικώ, βεβαμμένην πορφύραν φορών, τόν Δεσπότην, υμνείς εις τούς αιώνας.

Τής ευσεβείας τώ πυρί, πεπυρσευμένος ως ακάνθας κατέφλεξας, πάσας τάς δαιμονικάς, φαντασίας κραυγάζων, Υμνείτε καί υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Οι ευλογούντές σε πιστώς, υπό Κυρίου ευλογούνται Πανάμωμε, τίκτεις γάρ τόν ευλογούντα, τήν κτίσιν Δεσπότην, όν υπερυψούμεν, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Τόν εν καμίνω τού πυρός, εν Βαβυλώνι τούς παίδας τών Εβραίων, διασώσαντα Θεόν, ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Τού Προφήτου

Ωδή θ' Σέ τήν υπέρ νούν

Λόγω θεϊκώ, καί πράξει κοσμούμενος, επτερώθης τώ πνεύματι, Αβδιού θεσπέσιε, καί τά μέλλοντα βλέπειν κατηξίωσαι.

Ένθα Προφητών, χορείαι σκηνούμενος, καί Αγίων λαμπρότητες, δυσώπει τόν Κύριον, τού σωθήναι τούς πίστει ευφημούντάς σε.

Όλος τώ Θεώ, θερμώς ανακείμενος, καθαρώς προσωμίλησας, ταίς θείαις εμφάσεσιν, ών καί νύν απολαύεις Παμμακάριστε.

Θεοτοκίον

Σέ τήν τού φωτός, λυχνίαν υμνούμεν Αγνή, σέ καί πλάκα τής χάριτος, τόν Λόγον σαρκούμενον, δεξαμένην ειδότες μεγαλύνομεν.

Τού Μαρτυρος

Λίθος αχειρότμητος

Νόμος εγκωμίων ηττάται, τώ τών αγώνων σου μεγέθει, μόνος ο Δεσπότης σε Χριστός, δοξάζειν οίδε θεία λαμπρότητι, όν εκτενώς δυσώπησον, υπέρ τών πίστει ανυμνούντων σε.

Όλον σεαυτόν τώ Κυρίω, θυσίαν ζώσαν προσενέγκας, όλος τής αυτού βασιλείας συγκληρονόμος ώφθης καί μέτοχος, καί σύν αυτώ γηθόμενος, νύν βασιλεύεις Παναοίδιμε.

Υπέρ τής σής Σώτερ αγάπης, αίματος μέχρι καί θανάτου, ξίφει καί πυρί καί βασάνοις, ο θείος Μάρτυς αντιταξάμενος, τής παρά σού φιλάνθρωπε, αθανασίας αντελάβετο.

Θεοτοκίον

Σέ τήν προστασίαν τού κόσμου, καί Θεομήτορα Παρθένον, πάσης τής ζωής μου προστάτιν, καί σωτηρίαν χαίρων προβάλλομαι, σύ γάρ Θεόν γεννήσασα, σώζειν ισχύεις τούς υμνούντάς σε.

Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φυσεις, διο επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Εις τόν Στίχον, τά Στιχηρά τής Οκτωήχου.

Η λοιπή ακολουθία τού Όρθρου καί Απολυσις.

---

Αρχή

## ΤΗ Κ’ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Τά Προεόρτια τής εν τώ Ναώ εισόδου τής Υπεραγίας Θεοτόκου, καί μνήμη τού Οσίου Πατρός ημων Γρηγορίου τού Δεκαπολίτου, καί τού εν Αγίοις Πατρός ημών Πρόκλου, Αρχιεπισκόπου Κωνσταντινουπόλεως.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό Κύριε εκέκραξα, ιστώμεν Στίχους στ’ καί ψάλλομεν Στιχηρά Προσόμοια τών Προεορτίων.

Ήχος α’

Τών ουρανίων ταγμάτων

Λαμπαδηφόροι Παρθένοι, τήν Αειπάρθενον, φαιδρώς οδοποιούσαι, προφητεύουσιν όντως, εν πνεύματι τό μέλλον, ναός γάρ Θεού, η Θεοτόκος υπάρχουσα, πρός τόν Ναόν μετά δόξης παρθενικής, νηπιόθεν εμβιβάζεται.

Επαγγελίας αγίας, καί ο καρπός ευκλεής, η Θεοτόκος όντως, ανεδείχθη τώ κόσμω, ως πάντων υπερτέρα, ή ευσεβώς, προσαγομένη εν οίκω Θεού, τήν

προσευχήν τών τεκόντων αποπληροί, συντηρουμένη θείω Πνεύματι.

Επουρανίω τραφείσα, Παρθένε άρτω πιστώς, εν τώ Ναώ Κυρίου, απεκύησας κόσμω, ζωής άρτον τόν Λόγον, ώ ως ναός, εκλεκτός καί πανάμωμος, προεμνηστεύθης τώ Πνεύματι μυστικώς, νυμφευθείσα τώ Θεώ καί Πατρί.

Τού Αγίου Γρηγορίου, όμοια

Τάς ουρανίους σκηνώσεις, εν ευφροσύνη οικών, καί σύν Αγγέλοις Πάτερ, παρεστώς παρρησία, τώ θρόνω τού Κυρίου, τοίς επί γής εκτελούσι τήν μνήμην σου, τών εγκλημάτων τήν λύσιν, καί τών παθών, δωρηθήναι καθικέτευε.

Τών προσευχών τή δρεπάνη, Πάτερ Γρηγόριε, τάς τών παθών ακάνθας, εκτεμών καί νεώσας, αρότρω εγκρατείας, τήν γήν τής ψυχής, κατεβάλου τά σπέρματα, τής ευσεβείας εν ταύτη, δι’ ών ημίν, εκβλαστάνεις ιαμάτων καρπούς.

Τών αρετών σε δοχείον, καλούμεν Όσιε, ως ησυχίας φίλον, αγρυπνίας εργάτην, καί στήλην σωφροσύνης, καί προσευχής, ενδιαίτημα άσυλον, καί τών θαυμάτων ταμείον, καί πρεσβευτήν, τών τιμώντων σε Γρηγόριε.

Δοξα… Καί νύν… Ήχος δ’

Σήμερον ο θεοχώρητος ναός, η Θεοτόκος, εν Ναώ Κυρίου προσάγεται, καί Ζαχαρίας ταύτην υποδέχεται, Σήμερον τά τών Αγίων Αγια αγάλλονται, καί ο χορός τών Αγγέλων μυστικώς πανηγυρίζει, μεθ’ ών καί ημείς εορτάζοντες σήμερον, σύν τώ Γαβριήλ εκβοήσωμεν, Χαίρε Κεχαριτωμένη, ο Κύριος μετά σού, ο έχων τό μέγα έλεος.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια τού Αγίου Πρόκλου.

Ήχος δ’

Εδωκας σημείωσιν

Δογμάτων φαιδρότητι, καί τή τού βίου λαμπρότητι, ευσεβώς κατεκόσμησας, Πρόκλε παναοίδιμε, τήν ιεραρχίαν, καί τής Εκκλησίας, στύλος εδείχθης αληθώς, καταφωτίζων πάντας τοίς λόγοις σου, Διο σε μακαρίζομεν, καί εν ψαλμοίς τε καί άσμασι, τήν αγίαν καί πάνσεπτον, εορτάζομεν μνήμην σου.

Στίχ. Τίμιος εναντίον Κυρίου ο θάνατος τών οσίων αυτού.

Λαμπρώς εδογμάτισας, καί θεοφρόνως εκήρυξας, Θεοτοκον τήν άχραντον, Κόρην ως κυήσασαν, τόν πρό τών αιώνων, Κτίστην καί Δεσπότην, Υιόν καί Λόγον τού Πατρός, καί επ’ εσχάτων δι’ ημάς άνθρωπον, γενόμενον θελήματι, καί μή τραπέντα τής φύσεως, καί Νεστόριον ήσχυνας, ασεβή καί παράφρονα.

Στίχ. Οι Ιερείς σου Κύριε ενδύσονται δικαιοσύνην καί οι όσιοί σου αγαλλιάσονται

Ναμάτων εξήντλησας, τών χρυσαυγών παναοίδιμε, τού σοφού θεοκήρυκος, ούπερ καί διάδοχος, καί τής ευσεβείας, ώφθης καί καθέδρας, επιστηρίζων διδαχαίς, τής αληθείας Χριστού τό ποίμνιον, καί τούτου τό αγνότατον, καί πανσεβάσμιον λείψανον, ώσπερ κόσμον τερπνότατον, τή Εκκλησία απέδωκας.

Δόξα… Καί νύν… Ήχος δ’

Δεύτε πάντες οι πιστοί, τήν μόνην αμώμητον εγκωμιάσωμεν, τήν εκ τών Προφητών προκηρυχθείσαν, καί εν τώ ναώ προσενεχθείσαν, τήν πρό τών αιώνων προορισθείσαν Μητέρα, καί επ’ εσχάτων τών χρόνων, αναδειχθείσαν Θεοτόκον, Κύριε, πρεσβείαις αυτής, τήν ειρήνην σου παράσχου ημίν, καί τό μέγα έλεος.

Απολυτίκιον τών Αγίων

Ήχος δ’

Ο Θεός τών Πατέρων ημών, ο ποιών αεί μεθ’ ημών, κατά τήν σήν επιείκειαν, μή αποστήσης τό έλεός σου αφ’ ημών, αλλά ταίς αυτών ικεσίαις, εν ειρήνη κυβέρνησον τήν ζωήν ημών.

Δόξα… Καί νύν… Προεόρτιον

Ήχος ο αυτός

Ταχύ προκατάλαβε

Χαράν προμνηστεύεται, σήμερον Άννα ημίν, τής λύπης αντίθετον, καρπόν βλαστήσασα, τήν μόνην Αειπάρθενον, ήν περ δή καί προσάγει, τάς ευχάς εκπληρούσα, σήμερον γηθομένη, τώ Ναώ τού Κυρίου, ως όντως ναόν τού Θεού Λόγου, καί Μητέρα αγνήν.

Καί απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α’ Στιχολογίαν, Κάθιαμα

Ήχος α’

Τού λίθου σφραγισθέντος

Αινέσατε παρθένοι, καί Μητέρες υμνήσατε, λαοί δοξολογείτε, ιερείς ευλογήσατε, τήν άχραντον Μητέρα τού Θεού, σαρκί γάρ νηπιάζουσα Ναώ, τώ τού Νόμου προσηνέχθη, ώσπερ ναός Κυρίου αγιώτατος, Διό εορτήν πνευματικήν, τελούντες ανακράξωμεν, Χαίρε Παρθένε δόξα, τού γένους τών ανθρώπων.

Μετά τήν β’ Στιχολογίαν, Κάθισμα

Ήχος δ’

Ταχύ προκατάλαβε

Δαυίδ προοδοποίησον, εν τώ Ναώ τού Θεού, καί χαίρων υπόδεξαι τήν Βασιλίδα ημών, καί ταύτη εκβόησον, Είσελθε η Κυρία, εις ναόν Βασιλέως, είσελθε, ής η δόξα, κεκρυμμένως νοείται, εξ ής μέλι καί γάλα μέλλει πηγάσειν, πάσι τό φώς ο Χριστός.

Είτα λέγονται οι Κανόνες, ο Ποοεόρτιος, καί τών Αγίων οι δύο.

Κανων ο Προέρτιος, ού η Ακροστιχίς κατά αλφάβητον μέχρι τής εβδόμης ωδής.

Ποίημα, Ιωσήφ

Ωδή α’ Ήχος δ’ Ο Ειρμός

«Ανοίξω το στόμα μου, καί πληρωθήσεται Πνεύματος, καί λόγον ερεύξομαι, τή Βασιλίδι Μητρί, καί οφθήσομαι, φαιδρώς πανηγυρίζων, καί άσω γηθόμενος, ταύτης τήν Είσοδον».

Αγίων εις Άγια, η Παναγία καί άμωμος, οικήσαι προέρχεται, Υπεραγίου Θεού, όπως γένηται, ναός ηγιασμένος, καί ταύτης προτρέχουσι, κόραι νεάνιδες.

Βουλή προαιώνιος, τού πρό αιώνων Θεού ημών, εις πέρας προέρχεται, προερχομένης σου, ανατραφήναι, εις Άγια Αγίων, εις Λόγου κατοίκησιν, Κόρη πανάμωμε.

Γεννήτορες ένθεοι, σέ τού Θεού τήν Γεννήτριαν, γεννήσασθαι μέλλουσαν, ανατιθέασιν, εις τά Άγια, τραφήναι τών Αγίων, ευχήν ήνπερ ηύξαντο, πληρούντες Πάναγνε.

Δυνάμωσον Δέσποινα, τό ασθενές τής καρδίας μου, καί στήριξον πάθεσι, περιτρεπόμενον, όπως πίστει σε, καί πόθω μακαρίζω, τήν Αειμακάριστον, καί παναμώμητον.

Ο Κανών τού Αγίου Γρηγορίου
Ιωσήφ

Ωδή α’ Ήχος πλ. δ’

«Αρματηλάτην Φαραώ εβύθισε, τερατουργούσα ποτέ, Μωσαϊκή ράβδος, σταυροτύπως πλήξασα, καί διελούσα θάλασσαν, Ισραήλ δέ φυγάδα, πεζόν οδίτην διέσωσεν, άσμα τώ Θεώ αναμέλποντα».

Νενεκρωμένην ηδοναίς τού σώματος, τήν ταπεινήν μου ψυχήν, σαίς προσευχαίς Πάτερ, ζώωσον Γρηγόριε, ζωήν γάρ νύν απείληφας, τήν αγείρω νεκρώσας, τά επί γής μέλη ένδοξε, τοίς ασκητικοίς αγωνίσμασιν.

Κατακρατήσας ηδονών τού σώματος, νού γενναιότητι, εκ νεαράς Πάτερ, ηλικίας όργανον, τού Πνεύματος γεγένησαι, τάς αυτού ενεργείας, περιφανώς εισδεχόμενος, καί θεοειδής γνωριζόμενος.

Έρωτι θείω τής σαρκός τούς έρωτας, εναπεμάρανας, καί σεαυτώ Μάκαρ, εμνηστεύσω σύζυγον, αγνείαν εξ ής τέκνα σοι, εγεννήθησαν πάσαι, αι αρεταί παναοίδιμε, τέκνον σε Θεού εργασάμεναι.

Θεοτοκίον

Η από γής πρός ουρανόν διήκουσα, κλίμαξ ούράνιος, δι' ής Θεού Λόγος, τοίς βροτοίς ωμίλησεν, ευλογημένη Πάναγνε, ανερμήνευτον θαύμα, ακατανόητον όραμα, σώζε τούς εις σέ καταφεύγοντας.

## Ο Κανών τού Αγίου Πρόκλου
Θεοφάνους

### Ωδή α'  Ήχος α'

«Σού η τροπαιούχος δεξιά, θεοπρεπώς εν ισχύϊ δεδόξασται, αύτη γάρ Αθάνατε, ως πανσθενής, υπεναντίους έθραυσε, τοίς, Ισραηλίταις, οδόν βυθού καινουργήσασα».

Πράξει τε καί λόγω αληθεί, τών νοερών Αρχαγγέλων γενόμενος, σύμμορφος θεόληπτε, καί σύν αυτοίς, τώ θρόνω παριστάμενος, τής σεπτής Τριάδος, Πρόκλε δυσώπει σωθήναι ημάς.

Ίχνεσιν επόμενος σοφέ, τού Χρυσορρήμονος Πάτερ αοίδιμε, τούτου τό σεβάσμιον, ιερωσύνης θείον ένδυμα, κλήρον ως πατρώον, απείληφας αξιάγαστε.

Πάλαι τόν Θεόν επί τής γής, τού Ησαϊου βοώντος εν πνεύματι, ήξειν ο Νεστόριος, φρενοβλαβώς, διαβάλλων τήν σάρκωσιν, υπό σού Τρισμάκαρ, συνοδικώς καταβέβληται.

Λόγοις θεοπνεύστοις τήν φρικτήν, εκ τής Παρθένου ετράνωσας σάρκωσιν, Πρόκλε τού Θεού ημών, καί Θεοτόκον ταύτην εκήρυξας, δόγμασι πανσόφοις, τών Αποστόλων επόμενος.

Προεόρτιος

### Ωδή γ'  Ο Ειρμός

«Τούς σούς υμνολόγους Θεοτόκε, ως ζώσα καί άφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικόν στερέωσον, κάν τή σεπτή Εισόδω σου, στεφάνων δόξης αξίωσον».

Εξάρχουσαι κόραι τής Παρθένου, λαμπάδας κατέχουσαι φαιδρώς, τό μέλλον υπογράφουσιν, εκ ταύτης γάρ τεχθήσεται, ο φωτισμός τής γνώσεως, λύων

τής πλάνης τήν ζόφωσιν.

Ζηλούσα τήν πάλαι θεοφρόνως, η Άννα ευχήν αποπληροί, καί σέ προσαναίθεται, τώ ιερώ Πανάμωμε, Ιερωτάτην σύλληψιν, μέλλουσαν έξειν καί γέννησιν.

Ήλιος εφήπλωσεν ακτίνας, ορών τήν νεφέλην τού φωτός, εφαπλουμένην νεύματι, Θεού ένδον εις Άγια, εξ ής ομβρήσει άφεσις, τοίς χερσωθείσιν εγκλήμασιν.

Θεοί με Θεός εν σοί σκηνώσας, δι' οίκτον πανάχραντε Αγνή, κλαπέντα βρώσει πρότερον, απάτη τη τού όφεως, καί τής φθοράς τήν άφθαρτον, πάλιν τρυφήν αντιδίδωσιν.

Τού Αγ. Γρηγορίου

Ουρανίας αψίδος

Αρετών εν τώ όρει, αναδραμών όσιε, γνόφον θεωρίας υπήλθες, καί κατενόησας, όσον εχώρησας, τόν ακατάληπτον φύσει, φωτισμού ανάπλεως, Πάτερ γενόμενος.

Ο τεχθείς εν σπηλαίω, διά βροτών λύτρωσιν, πάλαι σε σπηλαίω, παμμάκαρ ενδιαιτώμενον, φέγγει κατήστραψεν, επουρανίω ως Παύλον, φωταυγή δεικνύων σε, Πάτερ Γρηγοριε.

Η ουράνιος πύλη, η τού Χριστού άχραντος, Μήτηρ προσβολαίς σε, Δαιμόνων περικυκλούμενον, Πάτερ επτέρωσε, καί δυνατόν εν ισχύϊ, κατ' αυτών ειργάσατο, Πνεύματος χάριτι.

Θεοτοκίον

Χαίρε μόνη τεκούσα, τόν τού παντός Κύριον, Χαίρε τήν ζωήν τοις ανθρώποις, η προξενήσασα, Χαίρε κατάσκιον, καί αλατόμητον όρος, Τών πιστών τό στήριγμα, χαίρε Πανάμωμε.

Τού Αγ. Πρόκλου

Ο μόνος ειδώς

Φώς τό εκ φωτός θεοπτικώς, Παμμάκαρ προσλαβόμενος, τή Εκκλησία φώς εχρημάτισας, διό καί φώς σοι θείον ανέτειλε, νοητώς ως γέγραπται, ώ καταλαμπόμενος, τούς υμνούντας φωτίζεις τήν μνήμην σου.

Σαλπίσας δογμάτων τή βροντή, ως τείχη καταβέβληκας, Ιεριχούντια τών αιρέσεων, τά θράση πάντα καί τά στρατεύματα, καί νικήσας τρόπαια, ανεστήσω σάρκωσιν τού Θεού εκ Παρθένου κηρύξας τρανώς.

Πηγή τής σοφίας προσβαλών, τό στόμα σου θεόληπτε, καί τής τού

Πνεύματος αρυσάμενος, σοφίας Πρόκλε τά θεία νάματα, θολερούς κατέκλυσας, ποταμούς πανόλβιε, Νεστορίου τά άθεσμα δόγματα.

Θεοτοκίον

Ο άνω Πατρί μονογενής, αφράστως συννοούμενος, μονογενής εκ σού κάτω άχραντε, υπέρ αιτίαν καί νούν γεγέννηται, καί θεοί τόν άνθρωπον, εκ σού παναμώμητε, Θεοτόκε Παρθένε ανύμφευτε.

Ο Ειρμός

«Ο μόνος ειδως τής τών βροτών, ουσίας τήν ασθένειαν, καί συμπαθώς αυτήν μορφωσάμενος, περίζωσόν με εξ ύψους δύναμιν, τού βοάν σοι, Άγιος, ο ναός ο έμψυχος, τής αφράστου σου δόξης Φιλάνθρωπε».

Κάθισμα τού Αγίου Γρηγορίου

Ήχος δ’

Ταχύ προκατάλαβε

Τή θεία λαμπρότητι, καταυγαζόμενος, τό σκότος εδίωξας, τών ψυχοφθόρων παθών, Γρηγόριε αοίδιμε, ήρθης πρός απαθείας, καθαρώτατον ύψος, ήστραψας παραδόξως, ιαμάτων ακτίνας, σκηνώσας εις άδυτον φώς, τής βασιλείας Χριστού.

Δόξα…

Τού Αγίου Πρόκλου, ο αυτός

Επεφάνης σήμερον

Εν τώ ύψει Κύριος, τής Εκκλησίας, αληθώς σε έθετο, ώσπερ αστέρα φαεινόν, φωταγωγόυντα τούς ψάλλοντας, Πρόκλε τό κλέος, Πατέρων αοίδιμε.

Καί νύν… Προεόρτιον, ο αυτός

Κατεπλάγη Ιωσήφ

Ο ναός ο τού Θεού, η πολυτίμητος παστάς, εν τώ οίκω τού Θεού, μετά λαμπάδων φαεινών, εν ευφροσύνη προέρχεται τού εισαχθήναι, καί χαίρει επ’ αυτή, ο Ζαχαρίας ορών, τήν δήλωσιν τρανώς, τών ιερών προφητών, απαρχομένην ήδη περαιούσθαι, καί γηθοσύνως βοά πρός αυτήν, Χαράν μηνύει, η πρόοδος σου, Κόρη παρθενομήτορ.

Προεόρτιος

Ωδή δ’  Ο Ειρμός

«Τήν ανεξιχνίαστον θείαν βουλήν, τής εκ τής Παρθένου σαρκώσεως, σού τού, Υψίστου, ο Προφήτης Αββακούμ, κατανοών εκραύγαζε, Δοξα τή δυνάμει σου Κύριε».

Ιεραί προήγγειλαν γλώσσαι Σεμνή, έσεσθαι χωρίον σε φύσεως, τής αχωρήτου, διά τούτο σε χοροί, παρθενικοί προπέμπουσι, λαμπαδηφορούντες εις Άγια.

Κλέος απηνέγκατο Ιωακείμ, Άννη συμβαδίζων καί φέρων σε, μετ’ ευφροσύνης, εις τόν άγιον Ναόν, ναέ Θεού πάναγνε, άχραντε πανάμωμε Δέσποινα.

Λύεται απόφασις προγονική, ήνθησεν ιδού γάρ η άμπελος, ήτις τόν βότρυν, τόν ακήρατον ημίν, καρπογονήσει φέροντα, οίνον ευφροσύνης τοίς πέρασι.

Μόνην σεπανάμωμον ο πλαστουργός, Λόγος ευρηκώς κατεσκήνωσε, σού εν νηδύϊ, εργαζόμενος ημών, τήν σωτηρίαν Άχραντε, χάριτι δι' άφατον έλεος.

## Τού Αγίου Γρηγορίου

### Σύ μου ισχύς, Κύριε

Ο δι' ημάς, ξένη καθοδω Γρηγόριε, χρηματίσας, ξένος αγαθότητι, σέ δι' αυτόν, ξένον καθορών, τής ενεγκαμένης, γενόμενον ηγκαλίσατο, καί θείον κληρονόμον, τής αυτού βασιλείας, αρεταίς λαμπρυνθέντα ειργάσατο.

Διά Χριστόν, τόν δι' ημάς νηπιάσαντα, καί παιδίον, Όσιε γενόμενον, παίδων σχολή, δέδωκας σαυτόν, νήπιος κακία, θεόφρον Πάτερ γενομενος, καί θεία ταπεινώσει, τού εχθρού τήν κακίαν, εταπείνωσας μάκαρ Γρηγόριε.

Ομβροις τών σών, Πάτερ δακρύων Γρηγόριε, ώς περ δρόσω, θεία αρδευόμενος, πάσαν εβλάστησας αρετήν, πάσαν ευκαρπίαν, δικαιοσυνης εξήνθησας, ως ξύλον καρποφόρον, διεξόδοις υδάτων, φυτευθείς τής τελείας ασκήσεως.

### Θεοτοκίον

Μήτηρ Θεού, ευλογημένη Πανάμωμε, τής ψυχής μου, τραύματα θεράπευσον, τάς ηδονάς, σβέσον τής σαρκός, τήν εσκοτισμένην, καρδίαν μου φωταγώγησον, ειρήνευσον τόν νούν μου, καί παντοίας εκ βλάβης, καί εχθρών επηρείας με λύτρωσαι.

## Τού Αγίου Πρόκλου

### Όρος σε τή χάριτι

Χρυσίον καθάπερ, εν πυρί Ιερώτατε, τής εγκρατείας σου σοφέ, σώμα καθάρας τό σεπτόν, ωραίον απέδειξας, τώ Ποιητή, ιερωσύνης εντεύθέν σοι, καταστολή αιωνίως κεχάρισται.

Ρημάτων ο φθόγγος, καί δογμάτων η εύηχος, τών διδαγμάτων σου βροντή, τήν Εκκλησίαν τού Θεού, σοφώς καταθέλγουσα, αιρετικών αποσοβεί τήν θρασύτητα, ιεροφάντορ Πρόκλε παναοίδιμε.

Γνώσεως τής θείας, εν μυήσει γενόμενος, ώς ιεράρχης ιερός, αγαθοδότως εφεξής, τοίς πάσι μετέδωκας, τού φωτισμού, καί τής ενθέου λαμπρότητος, εις σωτηρίαν ψυχών Αξιάγαστε.

### Θεοτοκίον

Άνθρακα τόν θείον, εν νηδύϊ Πανάμωμε, εισδεξαμένη υπέρ νούν, ου κατεφλέχθης αληθώς, η βάτος γάρ πόρρωθεν, συμβολικώς, τήν σήν λοχείαν

εικόνιζεν, εις σωτηρίαν ημών καί ανάπλασιν.

Προεόρτιος

Ωδή ε' Ο Ειρμός

«Εξέστη τά σύμπαντα, εν τή σεπτή Εισόδω σου, σύ γάρ απειρόγαμε Παρθένε, ένδον εισήλθες εν τώ Ναώ τού Θεού, ώσπερ καθαρώτατος ναός, πάσι τοίς υμνούσί σε, τήν ειρήνην βραβεύουσα».

Νεφέλαι ρανάτωσαν, δικαιοσύνην σήμερον, ως εν ουρανώ γάρ εφαπλούται, θεία νεφέλη εν τώ ναώ τού Θεού, ήτις αποστάξει γλυκασμόν, πάσαν τών ψυχών ημών, τήν πικρίαν εξαίροντα.

Ξένη σου η σύλληψις, ξένη σου καί η γέννησις, ξένη σου η Πρόοδος Παρθένε, ξένη η ένδον τού ιερού αγωγή, ξένα καί παράδοξα τά σά, λόγον υπερβαίνοντα, καί διάνοιαν Άχραντε.

Όλην σε ηγίασε, τό πνεύμα τό Πανάγιον, ένδον τού ναού διαιτωμένην, καί τρεφομένην τροφήν ουράνιον, Νύμφη τού Πατρός περικαλής όθεν εχρημάτισας, καί τού Λόγου Γεννήτρια.

Πρός σέ μου τήν άπασαν, ελπίδα Κόρη τίθημι, πρός τούς οικτιρμούς σου καταφεύγω, βλάβης δαιμόνων δείξον αμέτοχον, τήν καταπεσούσάν μου ψυχήν, καί εξασθενήσασαν, ηδονών επικλύσεσι.

Τού Αγίου Γρηγορίου

Ίνα τί με απώσω

Γεωργία τού λόγου, άμπελος κατάκαρπος εδείχθης Όσιε, αρετών πεπείρους, καί μεγίστους προσφέρουσα βότρυας, σωτηρίας οίνον, πνευματικόν βλύζοντας Πάτερ, καί πιστών τάς καρδίας ευφραίνοντα.

Η περίδοξος Ρώμη, Πάτερ εξ Εώας σε λαμπτήρα άδυτον, δεξαμένη πίστει, εφωτίσθη σεπτοίς σου χαρίσμασι, τόν Χριστόν γάρ είχες, εν τή ψυχή καθάπερ φέγγος, τούς ορώντάς σε Πάτερ αυγάζοντα.

Τόν εφέρποντα όφιν, καί παρατηρούντά σου πτέρναν Γρηγόριε, εγρηγόρσει θεία, εν οδοίς τής ζωής πορευόμενος, ως Θεού θεράπων, ως εντολών αυτού εργάτης, εθανάτωσας σθένει τού Πνεύματος.

Θεοτοκίον

Προστασία τού κόσμου, Μήτηρ αειπάρθενε σύ με κυβέρνησον καί οδήγησόν με, εις ευθείαν οδόν καί κατεύθυνον, πρός δικαιοσύνης, τρίβους ορθάς τόν λογισμόν μου, τής ψυχής τας πορείας ευθύνουσα.

Τού Αγίου Πρόκλου

Ο φωτίσας τή ελλάμψει

Φωτοφόρος ως λυχνία, παμμάκαρ γενόμενος, τής αγίας Εκκλησίας, εφάνης υπέρμαχος, καί Θεού ετράνωσας, τήν εκ Παρθένου Παναγίας, γέννησιν άτρεπτον Ένδοξε.

Τήν σάρκωσιν τού Θεού, εκ Παρθένου τήν ένδοξον, τών δογμάτων εν σφενδόνη, ενθείς ως αλλόφυλον, Γολιάθ κατέβαλες, τού Νεστορίου τήν θρασείαν, γνώμην ως πάλαι ο θείος Δαυίδ.

Τών τού Παύλου διδαγμάτων, υπάρχων ανάπλεως, καί τήν τούτου κατιδών, οπτασίαν Πανάριστε, Ελισαίος δεύτερος, εναπεφάνθης χρίσμα θείον, ιερωσύνης χρισθείς μυστικώς.

Θεοτοκίον

Ου σύγχυσιν, ου φυρμόν εν τή μήτρα εδέξατο, τής Παρθένου ο Θεός, εν σαρκί προερχομενος, Αλλ' ό ήν μεμένηκε, Θεός καί άνθρωπος ατρέπτως, ταίς ενεργείαις δεικνύμενος.

Προεόρτιος

Ωδή ς' Ο Ειρμός

«Τήν θείαν ταύτην καί πάντιμον, τελούντες εορτήν οι θεόφρονες, τής θεομήτορος, δεύτε τάς χείρας κροτήσωμεν, τόν εξ αυτής τεχθέντα Θεόν δοξάζοντες».

Ρωσθέντες τή θεία χάριτι, οι θείοι τής Παρθένου γεννήτορες, ταύτην ως άμωμον, περιστεράν εις τά Άγια, ανατραφήναι πόθω ανατιθέασι.

Σού τής μελλούσης εισδέχεσθαι, τό φώς τό εκ φωτός προερχόμενον, φώτα υφάπτουσαι, κόραι σεμναί προπορεύονται, φωτοειδή πρός θείον Ναόν χορεύουσαι.

Τό πλήρες δόξης παλάτιον, τό μέγα Προφητών περιήχημα, θρόνος ο άγιος, ένδον εις Άγια τίθεται, τώ Βασιλεί τών όλων ετοιμαζόμενος.

Υμνώ σου Κόρη τήν σύλληψιν, υμνώ σου τήν απόρρητον γέννησιν, υμνώ τήν σκέπην σου, βλάβης δι' ής πάσης ρύομαι, οπρός τήν σήν γαλήνην κατεπειγόμενος.

Τού Αγίου Γρηγορίου

Ιλάσθητί μοι Σωτήρ

Τή νεύσει τή πρός Θεόν, Θεούμενος ιερώτατε, θεωριών μυστικών, καί θείων ελλάμψεων, Προφήτης ως ένθεος, ως Θεού θεράπων, ηξιώθης θεία χάριτι.

Η σύχως σου τήν ζωήν, διατελέσας Γρηγόριε, θορύβων βιωτικών, εδείχθης ανώτερος, παθών υψηλότερος, καί τής γής απάσης, ξένος τε καί παρεπίδημος.

Ως έσοπτρον καθαρόν, τήν θείαν αίγλην επλούτησας, ως σκεύος δέ ιερόν, ναόν κατεκόσμησας, τών άνω Γρηγόριε, καί τών πρωτοτόκων, Εκκλησίαν κατεφαίδρυνας.

Θεοτοκίον

Μαρία τό καθαρόν, τού Βασιλέως παλάτιον, γενόμενόν με ληστών, ακάθαρτον σπήλαιον, ευχαίς σου καθάρασα, τού εκ σού τεχθέντος, ναόν άγιον ανάδειξον.

Τού Αγίου Πρόκλου

Εκύκλωσεν ημάς

Μεγάλης επιβάς καθέδρας, Όσιε, μεγίστοις κατορθώμασι, κατεκόσμησας αυτήν θεοπρεπώς, όθεν συνελθοντες ευφημούμέν σε, Αρχιερεύ μεγαλοφώνως Πρόκλε αοίδιμε.

Ως άλλην κιβωτόν τή Εκκλησία Χριστού, τό σώμα τού παμμάκαρος, Χρυσοστόμου εναπέδωκας ταίς σαίς, Πρόκλε παραινέσεσι καί εύφρανας, τών ευσεβών, χοροστασίας τή παρουσία αυτού.

Κυκλώσαντας ως θήρας εξεδίωξας, αιρέσεων τής ποίμνης Χριστού, τούς προμάχους εν τή ράβδω νοητώς, τών σών διδαχών Πρόκλε μακάριε, πρός δέ νομήν, ορθοδοξίας τήν ποίμνην ίθυνας.

Θεοτοκίον

Ωράθης Χερουβίμ θεοχαρίτωτε, Παρθένε υπερέχουσα, τόν επ' ώμων γάρ οχούμενον αυτών, Άχραντε αγκάλαις σου εβάστασας, όθεν αεί, σέ Θεοτόκε πάντες δοξάζομεν.

Ο Ειρμός

«Εκύκλωσεν ημάς εσχάτη άβυσσος, ουκ έστιν ο ρυόμενος, ελογίσθημεν ώς πρόβατα σφαγής, σώσον τόν λαόν σου ο Θεός ημών, σύ γάρ ισχύς, τών ασθενούντων καί επανόρθωσις».

Κοντάκιον Προεόρτιον

Ήχος δ' Επεφάνης σήμερον

Ευφροσύνης σήμερον, η οικουμένη, επληρώθη άπασα, εν τή ευσήμω Εορτή, τής Θεοτόκου κραυγάζουσα, Αύτη υπάρχει, σκηνή επουράνιος.

Ο Οίκος

Ο τών απάντων Ποιητής, ο Πλάστης καί Δεσπότης, αρρήτω ευσπλαγχνία καμπτόμενος, καί μόνη φιλανθρωπία τή αυτού, όνπερ ταίς οικείαις κατεσκεύασε χερσίν, ιδων πεσόντα ώκτειρε, καί αναστήναι τούτον ευδόκησε, πλάσει θειοτέρα, καί κενώσει τή ιδία, ως αγαθός φύσει καί ελεήμων, Διό τήν Μαριάμ μεσίτιν λαμβάνει, ως παρθένον καί αγνήν, τού μυστηρίου, εκ ταύτης

τό ημών φορέσαι ώς ηβουλήθη, Αύτη υπάρχει σκηνή επουράνιος.

Συναξάριον

Τή Κ’ τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Γρηγορίου τού Δεκαπολίτου.

Στίχοι

Χάραξ κύκλω σου, καί μετά ζωής τέλος,
Η ζώσα, Γρηγόριε, τού Θεού χάρις.
Εικάδι Γρηγόριος κεκλήσκετο εις πόλον ευρύν.

Τή αυτή ημέρα, Μνήμη τού εν Αγίοις Πατρός ημών Πρόκλου, Αρχιεπισκόπου Κωνσταντινουπόλεως, ός εχρημάτισε μαθητής τού μακαρίου Ιωάννου τού Χρυσοστόμου, καί τού θρόνου διάδοχος.

Στίχοι

Έχει σε, Πρόκλε, η ουράνιος νύσσα,
Χαίροντα ένδον καί σέ σύν Χρυσοστόμω.

Τή αυτή ημέρα, Μνήμη τής αθλήσεως τού Αγίου Μάρτυρος Δασίου, τού εν Δορυστόλω.

Στίχοι

Εμελλε καί Δάσιος αθλήσας ξίφει,
Αθλητικόν στέφανον ευρείν εκ ξίφους.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Νιρσά Επισκόπου, καί Ιωσήφ μαθητού αυτού, καί ετέρων σύν αυτώ τελειωθέντων εν Περσίδι.

Στίχοι

Θνήσκουσιν άμφω Νιρσάς, Ιωσήφ άμα,
Φόνω μαχαίρας, ως Απόστολος λέγει.
Σύν Ιωάννη καί Σαβωρίω, λίθοις
Ισάκιον κτείνουσιν οικέται λίθων.
Τόν Γεϊθαζέτ καί συνάθλους τρείς άμα,
Λόγχαις κατακτείνουσιν εχθροί Τριάδος.
Θέκλαν, Βαουθάν, Δεναχίδα παρθένους.
Άθλος ξίφους έδειξεν αθλοπαρθένους.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Ευσταθίου, Θεσπεσίου καί Ανατολίου.

Στίχοι

Κάρας τριών τέμνουσι νεκρών οι πλάνοι,
Ουδ’ εις νεκρούς δεικνυντες οίκτον, ώ πλάνης.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Θεοκτίστου, ός καί Πατρίκιος καί Ευνούχος ήν επί θεοδώρας τής Αυγούστης.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

## Προεόρτιος

## Ωδή ζ’ Ο Ειρμός

«Ουκ ελάτρευσαν, τή κτίσει οι θεόφρονες, παρά τόν Κτίσαντα, αλλά πυρός απειλήν, ανδρείως πατήσαντες, χαίροντες έψαλλον, Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί».

Φωτοφόρον σε, ως ήλιον εισδέχεται, ναός ο άγιος, ένδον αστράπτουσαν, ακτίνας τοίς πέρασι, σωτηριώδεις αγνή, υπεράγιον, ναόν γενέσθαι μέλλουσαν, τού Υιού Θεού Παρθένε.

Χείρας άπαντες, κροτήσατε λυτρώσεως, σύμβολα φέρουσαν, τήν Απειρόγαμον, ορώντες, Αγγέλου γάρ, χειρί εκτρέφεται, τόν ουράνιον, άρτον ημίν ως μέλλουσα, απορρήτως αποτίκτειν.

Ψυχαί άπασαι, Δικαίων υποχθόνιοι, ευαγγελίζεσθε, περιστερά η χρυσή, κατάπαυσιν φέρουσα, κατακλυσμού νοητού, πεφανέρωται, καί εις Αγίων Άγια, εύσεβώς περιχορεύει.

Ως ωραία, τόν ωραίον απεκύησας, τήν αμορφίαν ημών, προσεπανάγοντα νύν, εις πρώτην εμφέρειαν, Κόρη πανάμωμε, ώ καί ψάλλομεν, Ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός ει.

## Τού Αγίου Γρηγορίου

## Θεού συγΚατάβασιν

Δακρύων προσχύσεσι, τής αμαρτίας τό πύρ κατέσβεσας, απαθείας δέ ύδωρ, καί ιαμάτων καθαρά νάματα, τοίς μελωδούσι πηγάζει Γρηγόριε, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Φλογίνω εν άρματι, σεπτής αγάπης καί τελειότητος, επιβάς πρός τό ύψος, ανεκομίσθης εν ώ εκέκτησο, τό σόν κραυγάζων θεοφρόν πολίτευμα, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Παθών κατεκοίμησας, τάς τρικυμίας αγρύπνοις στάσεσι, κοιμηθείς δέ τόν ύπνον, τόν τοίς αγίοις Πάτερ αρμόζοντα, πρός φώς μετήλθες κραυγάζων Γρηγόριε, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

## Θεοτοκίον

Νεκρόν χρηματίσαντα, τή αμαρτία καί απολλύμενον, τήν ζωήν η τεκούσα, αγνή Παρθένε ζώωσον σώσον με, καί τής γεέννης εξάρπασον ψάλλοντα, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

## Τού Αγίου Πρόκλου

Σέ νοητήν, Θεοτόκε

Σώμα καί νούν, καί ψυχήν εκάθηρας, τή αφαιρέσει τών παθών, Ιεράρχα Πρόκλε σοφέ, όθεν εδογμάτισας, σώμα καί ψυχήν καί νούν, τόν εκ Παρθένου τεχθέντα Θεόν, δίχα τροπής διά τό σώσαι, ημάς αναδεξάμενον.

Πύρ νοητόν, ταίς φρεσίν ανάψας σου, τήν φρυγανώδη καί σαθράν, Νεστορίου τού δυσσεβούς, αίρεσιν κατέφλεξας, όθεν σού δεόμεθα, τάς φρυγανώδεις ημών ηδονάς, ταίς πρός Θεόν ικεσίαις, συμφλέξας αποκάθαρον.

Σύ πρός Χριστόν, κεκτημένος Άγιε, τήν παρρησίαν τούς εν γή, ευφημούντας μελωδικώς, μνήμην σου τήν ένδοξον, πάσης περιστάσεως, εκλυτρωθήναι ικέτευε, τόν αινετόν ανυμνούντας, Θεόν Πρόκλε θεσπέσιε.

Θεοτοκίον

Φέρεις Θεόν, σάρκα περικείμενον, εν ταίς αγκάλαις σου Αγνή, ώσπερ θρόνος Χερουβικός, φέροντα τώ ρήματι, πάντα τής δυνάμεως, ώ μελωδούμεν καί λέγομεν, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Προεόρτιος

Ωδή η’, ής η Ακροστιχίς κατά Αλφάβητον. Έχει δέ έν έκαστον τών τροπαρίων αυτής στοιχεία τέσσαρα.

Ο Ειρμός

«Άκουε Κόρη Παρθένε αγνή, ειπάτω δή ο Γαβριήλ, βουλήν Υψίστου αρχαίαν αληθινήν, γενού πρός υποδοχήν ετοίμη Θεού, διά σού γάρ ό αχώρητος βροτοίς συναναστρέφεται, διό καί χαίρων βοώ, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Άκουε σύνες πρεσβύτα σοφέ, τώ Ζαχαρία Άννα φησί, Βουλήσει θεία ήν έσχον παίδα σεμνήν, γενναία ψυχή υπόδεξαι, Δι’ αυτής γάρ έσται λύτρωσις, καί εις ναόν τόν άγιον, ανάθου ταύτην βοών, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ευλογητός μόνος Κύριος, εβόησεν ο ιερεύς, Ζωής εισόδους νύν υπεμφαίνεις σαφώς, ημίν φανερώσας όπερ μέλλει οικείν, θεοχώρητον παλάτιον, Χριστός ο Βασιλεύς τού παντός, πρός δν βοά πάσα γή, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ιδού πρεσβύτα σοφώτατε, η Άννα έφησεν ευλαβώς, Καλλίστην παίδα, ήν δέδωκέ μοι Θεός, λαμπρώς υποδέχου καί προφήτευε, Μόνην μέλλουσαν εις πράγματα, προφέρειν τά κηρύγματα, μεθ’ ών βοάς Προφητών, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Νύν έγνων γύναι σαφέστατα, προφρόνως έφη ο γηραιός, Ξύλον εν μέσω ως εκβλαστάνει ναού, Όπερ εξανθήσει θείον όντως καρπόν, Παραδείσω

εισοικίζοντα, τούς βρώσει εξωσθέντας φθοράς, αναβοώντας χαρά, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ρητόν αρρήτων μυήσεων, η σή ψυχή Κόρη σεμνή, Σαφώς υπάρξει ο Πρέσβυς έφη τρανώς, Τόν θείον ιδού Παρθένε οίκει ναόν, Υπ' Αγγέλου τρεφομένη γάρ, βουλής μεγάλης Άγγελον κυήσεις, ώ μελωδώ, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Φωνήν σοι άδομεν Κόρη αγνή, περιχαρώς τού Γαβριήλ, Χαίρε τής πάντων αιτία μόνη χαράς, Ψυχών χαίρε καθαρτήριον, Ως κυήσασα τήν κάθαρσιν, ημών καί απολύτρωσιν, τών μελωδούντων αυτώ, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Τού Αγίου Γρηγορίου

Επταπλασίως κάμινον

Ταίς πρός Θεόν δεήσεσιν, επιμόνως χρησάμενος, είληφας Παμμάκαρ, τό πιστώς αιτούμενον, νυκτός γάρ καθεύδοντι, επιφανείς σοι' Άγγελος, μάχαιραν φλογίνην, επιδίδωσι πάθη, εκτέμνουσαν καρδίας, καί πυρί σε αϋλω, καθαίρουσαν καί δόξη, φωτίζουσαν αρρήτως.

Ο λολαμπής, ως ήλιος, νοητώς ανατέταλκας, φέγγει αρετών, περιφανώς Γρηγόριε, θαυμάτων τε λάμψεσι, περιαυγάζων πάσαν τήν γήν, καί φωταγωγών, τούς ευσεβώς μελωδούντας, οι παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Αγγελικής ακήκοας, υμνωδίας Γρηγόριε, έτι ενδημών, εν τώ θνητώ σου σώματι, υφ' ής τάς αισθήσεις σου, τάς τής ψυχής σαφώς ηδυνθείς, καί θεοειδής καί φωταυγής εγνωρίσθης, κραυγάζων, Τόν Δεσπότην, ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Η τόν Κριτήν καί Κύριον, υπέρ λόγον κυήσασα, τούτον ως Υιόν σου, Παναγία αίτησαι, εν ωρατής κρίσεως, τής καταδίκης καί τού πυρός, σκότους αφεγγούς, καί τού βρυγμού τών οδόντων, λυτρώσασθαι τούς πίστει, ευσεβώς μελωδούντας, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Τού Αγίου Πρόκλου

Εν καμίνω παίδες, Ισραήλ

Ως χωνεία τή φωτολαμπεί, Πανένδοξε αγνεία, τά πάθη τά τής σαρκός, αποκαθάρας ώς χρυσός, τοίς πάσιν εξήστραψας αναμέλπων, Πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ως οργάνω Μάκαρ τής σεπτής, σού γλώττης θελγομένη, τώ φθόγγω η Εκκλησία, τού Θεού τήν επί γής, σωτήριον κάθοδον αναμέλπει, πάσι

φωνούσα τρανώς καί εκβοώσα, Σέ υπερυψούμεν, Χριστέ εις τούς αιώνας.

Λύρα θεία ώφθης αληθώς, τόν φθόγγον ενηχούσα, τοίς πίστει προσδεχομένοις, τού Θεού τήν πρός ημάς, σωτήριον σάρκωσιν, θείε Πρόκλε, Πάτερ Παμμάκαρ, καί τήν τού Νεστορίου, δυσσεβή ματαίαν, φωνήν αποσοβούσα.

Θεοτοκίον

Συντηρήσας σήμαντρα τής σής, Παρθένε παρθενίας, αλώβητα ο Δεσπότης, προελήλυθε Χριστός, εκ σού υπέρ έννοιαν εις τό σώσαι, τους βοώντας, Τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Εν καμίνω παίδες Ισραήλ, ώς εν χωνευτηρίω τώ κάλλει τής ευσεβείας, καθαρώτερον χρυσού, απέστιλβον λέγοντες, Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Προεόρτιος Ωδή θ’

Ής η Ακροστιχίς, Ιωσήφ

Ο Ειρμός

«Άπας γηγενής, σκιρτάτω τώ Πνεύματι, λαμπαδουχούμενος, πανηγυριζέτω δέ, αύλων νόων φύσις γεραίρουσα, τήν ιεράν πανήγυριν τής Θεομήτορος, καί βοάτω, Χαίροις παμμακάριστε, Θεοτόκε Αγνή αειπάρθενε».

Ίδε τού Θεού, τό όρος τό άγιον, μετά λαμπάδων φαιδρών, ένδον εις τά Άγια, βαδίζει λίθος εξ ού τμηθήσεται, καί τους βωμούς καί ξόανα, δαιμονικά λεπτυνεί, τούς βροτούς δέ, εαυτού εργάσεται, καί ναούς καί σεπτά καταγώγια.

Ώμοσε Θεός, καί νύν εκπεπλήρωκε, φυλής Ιούδα ημίν, δούς τήν αειπάρθενον, ής η κοιλία ξύλον βλαστήσει ζωής, θανατηφόρου βρώσεως, απολυτρούμενον, τούς τή πτώσει ταύτης υποκύψαντας, καί κλαπέντας απάτη τού όφεως.

Στόματι λαμπρώ, η Άννα εβόησεν, εν τώ ναώ τού Θεού, Σοί προσανατίθημι, ήν μοι παρέσχου παίδα ώ Δέσποτα, εξ ής δι’ οίκτον άφατον, σωματοφόρος Οφθείς, διασώσεις, κόσμον όνπερ έπλασας, μεγαλύνων αυτήν ώς μητέρα σου.

Ηύγασεν ιδού, ημέρα σωτήριος, τοίς εν νυκτί τών δεινών, πύλη επουράνιος, ναού τάς πύλας αναπετάσασα, μετά λαμπάδων πρόεισιν, ένδον εις Άγια, υφ’ αγίας, τρέφεσθαι δυνάμεως, εις αγίαν Θεού κατασκήνωσιν.

Φώτισον Αγνή, ψυχής μου τά όμματα, φώς η κυήσασα, όπως μή επέλθη μοι, τής αμαρτίας σκότος βαθύτατον, μηδέ βυθός καλύψη με τής απογνώσεως, αλλ’ αυτή με, σώσον καί κυβέρνησον, πρός λιμένα τού θείου θελήματος.

Τού Αγίου Γρηγορίου

Εφριξε πάσα ακοή

Ιδρώσι τοίς ασκητικοίς, αμαρτίας εναπέσβεσας άνθρακας, καί ουρανόθεν σαφώς, πυρός εν είδει χάριν εισδέδεξαι, ου καταφλέγουσαν Σοφέ, μάλλον δέ δροσίζουσαν, καί εν ισχΰϊ σε, δυνατόν κατά παθών αποφαίνουσαν.

Ως ρόδον ταίς ασκητικαίς, Πάτερ ήνθησας κοιλάσι Γρηγοριε, ως κρίνον εύοσμον, διό πηγάζει μύρον ηδύπνοον, τά σά οστέα δαψιλώς, οσμής ζωής πλήρεις γάρ, αι σιαγόνες σου, ώς φιάλαι αρωμάτων εδείχθησαν.

Σήμερον δήμος σύν ημίν, Ασκητών τε καί Οσίων ευφραίνεται, Πατριαρχών Προφητών, επί τή μνήμη τή σή Γρηγόριε, συνεορτάζουσιν ημίν, Απόστολοι Μάρτυρες, μεθ’ ών μνημόνευε, τών τιμώντων σε πιστώς αξιάγαστε.

Η θήκη ένθα τό σεπτόν, καί πολύαθλον σου σώμα κατάκειται, θαυμάτων χάριν ημίν, αναπηγάζει Πάτερ Γρηγόριε, καθαγιάζουσα ημών, ψυχάς καί τά σώματα, τών πλουτησάντων σε, καί προστάτην καί θερμόν αντιλήπτορα.

Θεοτοκίον

Φωνήν σοι τήν τού Γαβριήλ, οι πιστοί περιχαρώς προσφθεγγόμεθα, Χαίρε Παράδεισε, ζωής τό ξύλον αναβλαστήσασα, Χαίρε η λύσις τής αράς, Μαρτύρων στεφάνωμα, Οσίων καύχημα, καί ανθρώπων ευσεβών τό κραταίωμα,

Τού Αγίου Πρόκλου

Τύπον τής αγνής

Τύπους καί σκιάς παρέδραμες, καί τήν αλήθειαν Χριστόν Κατενόησας, αναγεννηθείς, διά λουτρού τού Βαπτίσματος, Ιερεύς τε χρισθείς ιερώτατος, όθεν καί Θεοτόκον, τήν τούτον τέξασαν εκήρυξας.

Τρόπους ιερούς καί δόγματα, τού Χρυσοστόμου μάκαρ ενστερνισάμενος, ζήλον τε αυτού, τόν ιερόν τόν τής πίστεως, εξηρεύξω δογμάτων σου πέλαγος, αιρέσεως χειμάρρους, αποξηραίνοντας εν χάριτι.

Στήσον ιεραίς πρεσβείαις σου, τό καθ’ ημών κλυδώνιον εγειρόμενον, καί απέλασον, τόν πειρασμόν καί σκοτόμαιναν, καί ανθρώπων παντοίων τήν κάκωσιν, ως έχων παρρησίαν, πρός τόν Σωτήρα καί Θεόν ήμών.

Θεοτοκίον

Ω τών υπέρ νούν θαυμάτων σου! τόν τού Θεού γάρ Λόγον σάρκα γενόμενον, μόνη τέτοκας, υπερφυώς Μητροπάρθενε, τόν τά σύμπαντα θείω βουλήματι, σοφώς διακρατούντα, καί κυβερνώντα καί συνέχοντα.

Ο Ειρμός

«Τύπον τής αγνής λοχείας σου, πυρπολουμένη βάτος έδειξεν άφλεκτος, καί νύν καθ’ ημών, τών πειρασμών αγριαίνουσαν, κατασβέσαι αιτούμεν τήν

κάμινον, ίνα σε Θεοτόκε, ακαπαύστως μεγαλύνωμεν».

Εξαποστειλάριον
τού Αγίου Γρηγορίου
Τών Μαθητών ορώντων σε

Τήν σάρκα καθυπέταξας τώ νοϊ σου, καί ήσκησας θεόφρον μεγαλοφρόνως, όθεν καί μετάρσιος γενόμενος, αντανακλάσεις έλαβες, εν ουρανοίς μετ' Αγγέλων, αινείν τόν πάντων Σωτήρα.

Τού Αγίου Πρόκλου
Τοίς Μαθηταίς συνέλθωμεν

Ως αρετών ομότροπος, τού σοφού Χρυσοστόμου, καί τού εκείνου γέγονας, θρόνου ένδοξε Πρόκλε, διάδοχος θεοκήρυξ, καθελών Νεστορίου, τού δυσσεβούς τήν αίρεσιν, Θεοτόκον κυρίως καί άληθώς, τήν Αγνήν εκήρυξας καί Παρθένον, μεθ' ής υπέρ τής Ποίμνης σου, τον Χριστόν εκδυσώπει.

Προεόρτιον, όμοιον

Θεού σοφίας τέμενος, καί υπέρτερον θρόνον, τών Χερουβίμ υπάρχουσαν, τήν αγνήν Θεοτόκον, ευτρέπισον Ζαχαρία, τού ναού τάσεισόδους, τά τών Αγίων Άγια, υποδέξασθαι ταύτην, καί σύν ημίν, άδε προεόρτιον τή Παρθένω, εξ ής Χριστός ο Κύριος, σαρκωθείς κόσμον σώζει.

Εις τόν Στίχον, τών Αίνων.
Στιχηρά Προσόμοια

Ήχος α'
Τών ουρανίων ταγμάτων

Δεύτε πιστοί συνελθόντες, ωδαίς τιμήσωμεν, τήν εκ μητρός αγόνου, παραδόξως τεχθείσαν, Θεόνυμφον Μητέρα, τού Ποιητού, καί σύν παρθένοις λαμπάσι τε, προσυπαντήσωμεν ταύτη εν τώ Ναώ, εισιούση εις τά Άγια.

Στίχ: Απενεχθήσονται τώ Βασιλεί.

Καθάπερ άνθη ποικίλα, περιδρεψάμενοι, εκ νοητών λειμώνων, τών τού Πνεύματος λόγων, επαίνων τούς στεφάνους χαρμονικώς, τή Παρθένω συμπλέξωμεν, καί προεόρτιον τούτους δώρον αύτή, επαξίως προσκομίσωμεν.

Στίχ. Απενεχθήσονται εν ευφροσύνη.

Ευτρεπιζέσθωσαν πύλαι, καί ανοιγέσθωσαν, αι τού Ναού Κυρίου, καί τόν οίκον τής δόξης, καί μόνην υπερτέραν τών ουρανών, υπέρ νούν χρηματίσασαν, υποδεχέσθωσαν χαίρουσαι καί Χριστόν, τόν Σωτήρα ανυμνείτωσαν.

Δόξα… Καί νύν... Ήχος α'
Γεωργίου Νικομηδείας

Αγαλλιάσθω σήμερον, ο ουρανός άνωθεν, καί αι νεφέλαι ευφροσύνην

ρανάτωσαν, επί τά λίαν παράδοξα, μεγαλεία τού Θεού ημών, Ιδού γάρ η πύλη, η κατά Ανατολάς βλέπουσα, αποκυηθείσα εκ στείρας ακάρπου, εξ επαγγελίας, καί τώ Θεώ αφιερωθείσα εις Κατοίκησιν, σήμερον εν τώ Ναώ, ως άμωμος προσφορά προσάγεται, Αγαλλιάσθω ο Δαυϊδ κρούων τήν κινύραν, Απενεχθήσονται φησί τώ Βασιλεί παρθένοι οπίσω αυτής, αι πλησίον αυτής απενεχθήσονται, έσω εν τή σκηνή τού Θεού, ένδον τού ιλαστηρίου αυτού, ανατραφήναι εις κατοίκησιν, τού πρό αιώνων εκ Πατρός αρρεύστως γεννηθέντος, εις σωτηρίαν τών ψυχών ημών.

Η λοιπή Ακολουθία τού Όρθρου καί Απόλυσις

---

Αρχή

## ΤΗ ΚΑ’ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Η εν τώ Ναώ Είσοδος τής Υπεραγίας Θεοτόκου.

Εις το Κύριε εκέκραξα, ιστώμεν Στίχους δ’ καί ψάλλομεν Στιχηρά Προσόμοια τρία, δευτερούντες τό πρώτον.

Ήχος α’
Τών ουρανίων ταγμάτων

Εκ τού Κυρίου λαβόντες, επαγγελίας καρπόν, Ιωακείμ καί Άννα, τού Θεού τήν Μητέρα, ευπρόσδεκτον θυσίαν, εν τώ Ναώ, προσενήνοχαν σήμερον, καί Ζαχαρίας, ο μέγας Αρχιερεύς, ευλογήσας υπεδέξατο.

Η τών Αγίων Αγία, εν τοίς Αγίοις οικείν, αξίως προσηνέχθη, ως θεόδεκτον θύμα, καί ταύτης αι παρθένοι ταίς αρεταίς, εγκοσμούμεναι έμπροσθεν, λαμπαδουχούσαι προσέφερον τώ Θεώ, ώσπερ σκεύος Ιερώτατον.

Εξανοιγέσθω η πύλη, τού θεοδόχου Ναού, τόν γάρ ναόν τού πάντων, Βασιλέως καί θρόνον, σήμερον εν δόξη ένδον λαβών, Ιωακείμ ανατίθεται, αφιερώσας Κυρίω τήν εξ αυτού, εκλεχθείσαν εις Μητέρα αυτού.

Δόξα… καί νύν…
Ήχος πλ. δ’

Ο Δαυϊδ προανεφώνει σοι Άχραντε, προορών τήν αφιέρωσιν, τής εισόδου σου εν τώ Ναώ, εν ή τά πέρατα σήμερον εορτάζοντα, δοξολογούσί σε πανύμνητε, Τήν γάρ πρό τόκου Παρθένον, καί μετά τόκον μείνασαν άφθορον, Μήτερ τού Λόγου τής ζωής, σήμερον εν τώ Ναώ εισερχομένην, ο Ζαχαρίας ευφραίνεται, απολαβών σε Δέσποινα, καί τά Άγια τών Αγίων αγάλλονται, υποδεξάμενά σε τήν τροφόν τής ζωής ημών, Διο καί ημείς εν ωδαίς εκβοώμέν σοι, Υπερ ημών δυσώπησον, τόν Υιόν σου καί Θεόν ημών, δωρηθήναι ημίν τό μέγα έλεος.

Εις τόν Στίχον
Στιχηρά Προσόμοια

Ήχος β’  Οίκος τού Εφραθά

Πύλαι τού Ιερού, εισδέξασθε Παρθένον, εις Άγια Αγίων, αμόλυντον σκηνήν τε, Θεού τού Παντοκράτορος.

Στίχ. Απενεχθήσονται τώ Βασιλεί.

Παρθένοι τήν αγνήν, προπέμψατε Παρθένον, φαιδρώς λαμπαδουχούσαι, εις Άγια Αγίων, ώς Νύμφην τού Παντάνακτος.

Στίχ. Απενεχθήσονται εν ευφροσύνη.

Άρτον η λογική, παστάς Θεού τού Λόγου, χειρί θείου Αγγέλου, δέχεται κατοικούσα, Αγίων εις τά Άγια.

Δόξα… Καί νύν… Όμοιον

Φώς σε τό τριλαμπές, ανάψαν Θεοτόκε, εν τώ Ναώ τής δόξης, ουράνιον τροφήν σοι, εκπέμπει μεγαλύνον σε.

Απολυτίκιον  Ήχος δ’

Σήμερον τής ευδοκίας Θεού τό προοίμιον, καί τής τών ανθρώπων σωτηρίας η προκήρυξις, Εν Ναώ τού Θεού τρανώς η Παρθένος δείκνυται, καί τόν Χριστόν τοίς πάσι προκαταγγέλλεται, Αυτή καί ημείς μεγαλοφώνως βοήσωμεν, Χαίρε τής οικονομίας τού Κτίστου η εκπλήρωσις.

Καί Απόλυσις

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετά τόν Προοιμιακόν, στιχολογούμεν τήν α’ Στάσιν τού α’ Καθίσματος τού Ψαλτηρίου. Εις δέ τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς’ καί ψάλλομεν τά παρόντα προσόμοια Στιχηρά.

Ήχος α’
Ώ τού παραδόξου θαύματος

Σήμερον πιστοί χορεύσωμεν, εν ψαλμοίς καί ύμνοις, τώ Κυρίω άδοντες, τιμώντες καί τήν αυτού, ηγιασμένην σκηνήν, τήν έμψυχον κιβωτόν, τήν τόν αχώρητον Λόγον χωρήσασαν, προσφέρεται γάρ Θεώ, υπερφυώς τή σαρκί νηπιάζουσα, καί Αρχιερεύς ο μέγας, Ζαχαρίας δέχεται, ευφραινόμενος ταύτην, ως Θεού κατοικητήριον.

Σήμερον ναός ο έμψυχος, τής αγίας δόξης, Χριστού τού Θεού ημών, η μόνη εν γυναιξίν, ευλογημένη Αγνή, προσφέρεται τώ Ναώ, τώ νομικώ κατοικείν εις τά Άγια, καί χαίρουσι σύν αυτή, Ιωακείμ καί η Άννα τώ πνεύματι, καί παρθενικαί χορείαι, τώ Κυρίω άδουσι ψαλμικώς μελωδούσαι, καί τιμώσαι τήν Μητέρα αυτού.

Σύ τών Προφητών τό κήρυγμα, Αποστόλων δόξα, καί Μαρτύρων καύχημα, καί πάντων τών γηγενών η ανακαίνισις, Παρθένε Μήτηρ Θεού, διά γάρ σού τώ Θεώ κατηλλάγημεν, Διό τιμώμεν τήν σήν, εν τώ ναώ τού Κυρίου προέλευσιν, καί σύν τώ Αγγέλω πάντες, ψαλμικώς τό Χαίρέ σοι, τή πανσέμνω βοώμεν, τή πρεσβεία σου σωζόμενοι.

Έτερα Στιχηρά Προσόμοια

Ήχος δ' Ως γενναίον

Τών Αγίων εις Άγια, η Αγία καί άμωμος, εν Αγίω Πνεύματι εισοικίζεται, καί δι' Αγγέλου εκτρέφεται, τώ όντι υπάρχουσα, αγιώτατος ναός, τού Αγίου Θεού ημών, τού τά σύμπαντα, αγιάσαντος ταύτης εισοικήσει, καί Θεώσαντος τήν φύσιν, τήν τών βροτών ολισθήσασαν.

Αι νεάνιδες χαίρουσαι, καί λαμπάδας κατέχουσαι, τής λαμπάδος σήμερον προπορεύονται, τής νοητής καί εισάγουσιν, αυτήν εις τά Αγια, τών Αγίων Ιερώς, προδηλούσαι τήν μέλλουσαν, αίγλην άρρητον, εξ αυτής αναλάμψειν καί φωτίσειν, τούς εν σκότει καθημένους, τής αγνωσίας εν Πνεύματι.

Γηθομένη υπόδεξαι, Ζαχαρία εβόησεν, Άννα η πανεύφημος, ήν εκήρυξαν, Θεού Προφήται εν Πνεύματι, καί ταύτην εισάγαγε, εις τόν άγιον Ναόν, ιερώς ανατρέφεσθαι, όπως γένηται, τού Δεσπότου τών όλων, θείος θρόνος, καί παλάτιον καί κλίνη, καί φωταυγές ενδιαίτημα.

Δόξα… Καί νύν…

Ήχος πλ. δ'

Μετά τό τεχθήναί σε, Θεόνυμφε Δέσποινα, παρεγένου εν Ναώ Κυρίου, τού ανατραφήναι εις τά Άγια τών Αγίων, ως ηγιασμένη, Τότε καί Γαβριήλ απεστάλη πρός σέ τήν πανάμωμον, τροφήν κομίζων σοι, Τά ουράνια πάντα εξέστησαν, ορώντα τό Πνεύμα τό Άγιον εν σοί σκηνώσαν, Διό άσπιλε αμόλυντε, η εν ουρανώ καί επί γής δοξαζομένη, Μήτηρ Θεού, σώζε τό γένος ημών.

Είσοδος. Φώς ιλαρόν, Προκείμενον τής ημέρας, καί τά Αναγνώσματα.

Τής Εξοδου τό Ανάγνωσμα

(Κεφ. 40, 15, 7, 9, 14, 28-29)

Ελάλησε Κύριος πρός Μωϋσήν, λέγων. Εν ημέρα μιά τού μηνός τού πρώτου στήσεις τήν Σκηνήν τού Μαρτυρίου. Καί θήσεις τήν Κιβωτόν τού Μαρτυρίου, καί σκεπάσεις αυτήν τώ καταπετάσματι. Καί εισοίσεις τήν τράπεζαν καί τήν Λυχνίαν, καί θήσεις τό θυμιατήριον τό χρυσούν, εις τό θυμιάν εναντίον τής Κιβωτού τού Μαρτυρίου. Καί επιθήσεις τό κάλυμμα τού καταπετάσματος επί τήν θύραν τής Σκηνής τού Μαρτυρίου. Καί λήψη τό έλαιον τού χρίσματος, καί χρίσεις τήν Σκηνήν καί πάντα τά εν αυτή, καί αγιάσεις αυτήν καί πάντα τά σκεύη αυτής, καί έσται αγία. Καί αγιάσεις τό θυσιαστήριον, καί έσται τό θυσιαστήριον άγιον τών αγίων. Καί εποίησε Μωϋσής πάντα όσα ενετείλατο

αυτώ Κύριος, ούτως εποίησε. Καί εκάλυψεν η νεφέλη τήν Σκηνήν τού Μαρτυρίου, καί δόξης Κυρίου επλήσθη η Σκηνή. Καί ουκ ηδυνήθη Μωϋσής εισελθείν εις τήν σκηνήν τού Μαρτυρίου, ότι επεσκίαζεν επ' αυτήν η νεφέλη, καί δόξης Κυρίου επλήσθη η Σκηνή.

Βασιλειών Γ' το Ανάγνωσμα
(Κεφ. 8, 1-11)

Εγένετο, ως συνετέλεσε Σολομών τού οικοδομήσαι τόν οίκον Κυρίου καί εξεκκλησίασε πάντας τούς Πρεσβυτέρους Ισραήλ εν Σιών, τού ανενεγκείν τήν Κιβωτόν τής διαθήκης Κυρίου εκ πόλεως Δαυϊδ, αύτη εστί Σιών. Καί ήραν οι Ιερείς τήν Κιβωτόν, καί τό Σκήνωμα τού Μαρτυρίου καί πάντα τά σκεύη τά άγια τά εν τώ Σκηνώματι τού Μαρτυρίου. Καί ο Βασιλεύς, καί πάς Ισραήλ, έμπροσθεν τής Κιβωτού, καί εισφέρουσιν οι Ιερείς τήν Κιβωτόν τής Διαθήκης Κυρίου εις τόν τόπον αυτής, εις τό Δαβίρ τού οίκου, εις τά Άγια τών Αγίων, υπό τάς πτέρυγας τών Χερουβίμ. Ότι τά Χερουβίμ διαπεπετασμένα ταίς πτέρυξιν επί τόν τόπον τής Κιβωτού, καί περιεκάλυπτον τά Χερουβίμ επί τήν Κιβωτόν, καί επί τά άγια αυτής επάνω. Καί ουκ ήν εν τή Κιβωτώ, πλήν αι δύο πλάκες λίθιναι, πλάκες τής διαθήκης, άς έθηκεν εκεί Μωϋσής εν Χωρήβ, άς διέθετο Κύριος. Καί εγένετο, ως εξήλθον οι ιερείς εκ τού Αγίου, καί η νεφέλη έπλησε τόν οίκον Κυρίου. Καί ουκ ηδύναντο οι ιερείς στήναι λειτουργείν από προσώπου τής νεφέλης, ότι έπλησεν η δόξα Κυρίου τόν οίκον Κυρίου.

Προφητείας Ιεζεκιήλ τό Ανάγνωσμα
(Κεφ. 43, 27 & 44, 14)

Τάδε λέγει Κύριος, Έσται από τής ημέρας τής ογδόης καί επέκεινα, ποιήσουσιν οι Ιερείς επί τό θυσιαστήριον τά ολοκαυτώματα υμών, καί τά τού σωτηρίου υμών, καί προσδέξομαι υμάς, λέγει Κύριος Κύριος. Καί επέστρεψέ με κατά τήν οδόν τής πύλης τών Αγίων τής εξωτέρας, τής βλεπούσης κατά Ανατολάς, καί αύτη ήν κεκλεισμένη. Καί είπε Κύριος πρός με. Υιέ ανθρώπου, η πύλη αύτη κεκλεισμένη έσται, ουκ ανοιχθήσεται, καί ουδείς ού μή διέλθη δι' αυτής, ότι Κύριος ο Θεός τού Ισραήλ εισελεύσεται δι' αυτής, καί έσται κεκλεισμένη. Διότι ο Ηγούμενος ούτος κάθηται εν αυτή τού φαγείν άρτον ενώπιον Κυρίου, κατά τήν οδόν τού Αιλάμ τής πύλης εισελεύσεται, καί κατά τήν οδόν αυτού εξελεύσεται. Καί εισήγαγέ με κατά τήν οδόν τής πύλης τής πρός Βορράν κατέναντι τού οίκου, καί είδον, καί ιδού πλήρης δόξης ο οίκος Κυρίου.

Εις τήν Λιτήν
Στιχηρά ιδιόμελα

Ήχος α' Γεωργίου Νικομηδείας

Αγαλλιάσθω σήμερον ο ουρανός άνωθεν, καί αι νεφέλαι ευφροσύνην ρανάτωσαν, επί τά λίαν παράδοξα, μεγαλεία τού Θεού ημών, ιδού γάρ η πύλη, η κατά Ανατολάς βλέπουσα, αποκυηθείσα έκ στείρας ακάρπου, εξ επαγγελίας, καί τώ Θεώ αφιερωθείσα εις κατοίκησιν, σήμερον εν τώ Ναώ, ως άμωμος προσφορά προσάγεται, Αγαλλιάσθω ο Δαυϊδ, κρούων τήν κινύραν, Απενεχθήσονταί φησι, τώ Βασιλεί παρθένοι οπίσω αυτής, αι πλησίον αυτής

απενεχθήσονται, έσω εν τή σκηνή τού Θεού, ένδον τού ιλαστηρίου αυτού, ανατραφήναι εις κατοίκησιν, τού πρό αιώνων εκ Πατρός αρρεύστως γεννηθέντος, εις σωτηρίαν τών ψυχών ημών.

Ήχος δ' Τού αυτού

Σήμερον ο θεοχώρητος ναός, η Θεοτόκος εν Ναώ Κυρίου προσάγεται, καί Ζαχαρίας ταύτην υποδέχεται, Σήμερον τά τών Αγίων Άγια αγάλλονται, καί ο χορός τών Αγγέλων, μυστικώς πανηγυρίζει, μεθ' ών καί ημείς εορτάζοντες σήμερον, σύν τώ Γαβριήλ εκβοήσωμεν, Χαίρε Κεχαριτωμένη, ο Κύριος μετά σού, ο έχων το μέγα έλεος.

Ο αυτός

Δεύτε πάντες οι λαοί, τήν μόνην αμώμητον εγκωμιάσωμεν, τήν εκ τών Προφητών προκηρυχθείσαν, καί εν Ναώ προσενεχθείσαν, τήν πρό αιώνων προορισθείσαν Μητέρα, καί επ' εσχάτων τών χρόνων, αναδειχθείσαν Θεοτόκον, Κύριε πρεσβείαις αυτής, τήν ειρήνην σου παράσχου ημίν, καί τό μέγα έλεος.

Δόξα… Καί νύν... Ήχος πλ. α'
Λέοντος Μαΐστορος

Επέλαμψεν ημέρα χαρμόσυνος, καί εορτή πανσεβάσμιος, Σήμερον γάρ η πρό τόκου Παρθένος, καί μετά τόκον Παρθένος μείνασα, εν τώ Ναώ προσάγεται, καί χαίρει Ζαχαρίας ο πρέσβυς, ο γενέτης τού Προδρόμου, καί βοά γηθοσύνως, Ήγγικεν η προσδοκία τών θλιβομένων, εν Ναώ αγίω ως αγία, αφιερωθήναι εις κατοίκησιν τού Παντάνακτος, Ευφραινέσθω Ιωακείμ ο προπάτωρ, καί η Άννα αγαλλιάσθω, ότι προσήνεγκαν Θεώ, ώς τριετίζουσαν δάμαλιν, τήν αμώμητον Δέσποιναν, Μητέρες συγχάρητε, παρθένοι σκιρτήσατε, καί στείραι συγχορεύσατε, ότι ηνέωξεν ημίν τήν ουρανών βασιλείαν, η προορισθείσα Παντάνασσα, Χαίρετε λαοί καί αγαλλιάσθε.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος πλ. α'
Χαίροις ασκητικών

Χαίρει ο ουρανός καί η γή, τόν ουρανόν τόν νοητόν πορευόμενον, ορώντες εις θείον οίκον, ανατραφήναι σεπτώς, τήν Παρθένον μόνην καί αμώμητον, πρός ήν εκπληττόμενος, Ζαχαρίας εβόησε, Πύλη Κυρίου, τού Ναού υπανοίγω σοι, πύλας χαίρουσα, εν αυτώ περιχόρευε, έγνων γάρ καί πεπίστευκα, ως ήδη η λύτρωσις, επιδημήσει προδήλως, τού Ισραήλ καί τεχθήσεται, εκ σού Θεός Λόγος, ο δωρούμενος τώ κόσμω, τό μέγα έλεος.

Στίχ. Απενεχθήσονται τώ Βασιλεί.

Άννα η θεία χάρις σαφώς, χαριτωθείσαν τήν αγνήν Αειπάρθενον, προσάγει μετ' ευφροσύνης, εις τον Ναόν τού Θεού, προσκαλεσαμένη προπορεύεσθαι, αυτής τάς νεάνιδας λαμπαδηφόρους καί λέγουσα, Άπιθι τέκνον, τώ δοτήρι γενήθητι, καί ανάθημα, καί ευώδες θυμίαμα, Είσελθε εις τά άδυτα, καί γνώθι μυστήρια, καί ετοιμάζου γενέσθαι, τού Ιησού οικητήριον, τερπνόν καί ωραίον,

τού παρέχοντος τώ κόσμω, τό μέγα έλεος.

Στίχ. Απενεχθήσονται εν ευφροσύνη.

Ένδον εν τώ Ναώ τού Θεού, ο θεοχώρητος ναός ανατίθεται, Παρθένος η Παναγία, νεάνιδές τε αυτής, νύν λαμπαδηφόροι προπορεύονται, Σκιρτά γεννητόρων, η συζυγία η άριστος, Ιωακείμ τε, καί η Άννα χορεύοντες, ότι έτεκον, τήν τόν Κτίστην κυήσασαν, Ήτις περιχορεύουσα, εις θεία σκηνώματα, καί τρεφομένη Αγγέλου, διά χειρός η πανάμωμος, Χριστού ώφθη Μήτηρ, τού παρέχοντος τώ κόσμω, τό μέγα έλεος.

Δόξα… Καί νύν… Ήχος πλ. β’

Σεργίου Αγιοπολίτου

Σήμερον τά στίφη τών Πιστών συνελθόντα, πνευματικώς πανηγυρίσωμεν, καί τήν θεόπαιδα Παρθένον καί Θεοτόκον, εν Ναώ Κυρίου προσαγομένην, ευσεβώς ανευφημήσωμεν, τήν προεκλεχθείσαν εκ πασών τών γενεών, εις κατοικητήριον τού Παντάνακτος Χριστού, καί Θεού τών όλων, Παρθένοι, λαμπαδηφορούσαι προπορεύεσθε, τής Αειπαρθένου τιμώσαι, τήν σεβάσμιον πρόοδον, Μητέρες, λύπην πάσαν αποθέμεναι, χαρμονικώς συνακολουθήσατε, υμνούσαι τήν Μητέρα τού Θεού γενομένην, καί τής χαράς τού κόσμου τήν πρόξενον, Άπαντες ούν χαρμονικώς, τό χαίρε σύν τώ Αγγέλω εκβοήσωμεν, τή Κεχαριτωμένη, τή αεί πρεσβευούση, υπέρ τών ψυχών ημών.

Απολυτίκιον  Ήχος δ’

Σήμερον τής ευδοκίας Θεού τό προοίμιον, καί τής τών ανθρώπων σωτηρίας η προκήρυξις, Εν Ναώ τού Θεού τρανώς η Παρθένος δείκνυται, καί τόν Χριστόν τοίς πάσι προκαταγγέλλεται, Αυτή καί ημείς μεγαλοφώνως βοήσωμεν, Χαίρε τής οικονομίας τού Κτίστου η εκπλήρωσις.

Εκ τρίτου

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α’ Στιχολογίαν, Κάθισμα

Ήχος α’

Τόν τάφον σου Σωτήρ

Δικαίων ο καρπός, Ιωακείμ καί τής Άννης, προσφέρεται Θεώ, Ιρώ  εν αγίω, σαρκί νηπιάζουσα, η τροφός τής ζωής ημών, ήν ηυλόγησεν, ο ιερός Ζαχαρίας, Ταύτην άπαντες, ως τού Κυρίου Μητέρα, πιστώς μακαρίσωμεν.

Δόξα… Καί νύν…

Πάλιν τό αυτό

Μετά τήν β’ Στιχολογίαν, Κάθισμα

Ήχος δ’
Κατεπλάγη Ιωσήφ

Πρό συλλήψεως Αγνή, καθηγιάσθης τώ Θεώ, καί τεχθείσα επί γής, δώρον προσήχθης νύν αυτώ, αποπληρούσα πατρώαν επαγγελίαν, Τώ θείω δέ Ναώ, ως θείος όντως ναός, εκ βρέφους καθαρώς, μετά λαμπάδων φαιδρών, αποδοθείσα ώφθης δοχείον, τού απροσίτου καί θείου Φωτος, Μεγάλη όντως, η πρόοδος σου, μόνη Θεόνυμφε καί αειπάρθενε.

Δόξα… Καί νύν…
Πάλιν τό αυτό

Μετά τόν Πολυέλεον, Κάθισμα

Ήχος πλ. δ’
Τό προσταχθέν μυστικώς

Αγαλλιάσθω ο Δαυϊδ ο υμνογράφος, καί χορευέτω Ιωακείμ σύν τή Άννη, ότι γόνος άγιος εξ αυτών προήλθε, Μαρία η φωτοφόρος θεία λαμπάς, καί χαίρει εισερχομένη εν τώ Ναώ, ήν καί βλέπων ηυλόγησεν, ο Βαραχίου υιός, και χαίρων ανεκραύγαζε, Χαίρε θαύμα παγκόσμιον.

Δόξα… Καί νύν…
Πάλιν τό αυτό

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί  Αντίφωνον Α'

Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.

Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον   Ήχος δ’

Άκουσον θύγατερ, καί ίδε, καί κλίνον τό ούς σου, καί επιλάθου τού λαού σου, καί τού οίκου τού πατρός σου, καί επιθυμήσει ο Βασιλεύς τού κάλλους σου.
Στίχ. Εξηρεύξατο η καρδία μου λόγον αγαθόν.

Πάσα πνοή

Ευαγγέλιον κατά Λουκάν

Εν ταίς ημέραις εκείναις, αναστάσα Μαριάμ…

Ο Ν’   Είθ’ ούτω

Δόξα… Ήχος β’

Σήμερον ο ναός ο έμψυχος, τού μεγάλου Βασιλέως, εν Ναώ εισέρχεται, αυτώ ετοιμασθήναι, εις θείαν κατοίκησιν, Λαοί αγαλλιάσθε.

Καί νύν… Τό αυτό

Είτα, Στίχ. Ελέησόν με ο Θεός…

Καί ψάλλομεν ιδιόμελον

Ήχος δ’ Τού αυτού

Σήμερον ο θεοχώρητος ναός, η Θεοτόκος εν Ναώ Κυρίου προσάγεται, καί Ζαχαρίας ταύτην υποδέχεται, Σήμερον τά τών Αγίων Άγια αγάλλονται, καί ο χορός τών Αγγέλων, μυστικώς πανηγυρίζει, μεθ’ ών καί ημείς εορτάζοντες σήμερον, σύν τώ Γαβριήλ εκβοήσωμεν, Χαίρε Κεχαριτωμένη, ο Κύριος μετά σού, ο έχων το μεγα έλεος.

Οι Κανόνες. Κανών πρώτος, ού η Ακροστιχίς μέχρι τής ζ’ Ωδής.

Σύ τήν χάριν, Δέσποινα, τώ λόγω δίδου.

Ποίημα τού κυρίου Γεωργίου

Ωδή α’ Ήχος δ’

Ο Ειρμός

«Ανοίξω τό στόμα μου, καί πληρωθήσεται Πνεύματος, καί λόγον ερεύξομαι, τή Βασιλίδι Μητρί, καί οφθήσομαι, φαιδρώς πανηγυρίζων, καί άσω γηθόμενος, ταύτης τήν Είσοδον».

Σοφίας πανάχραντε, σέ θησαυρόν επιστάμενοι, καί χάριτος βρύουσαν, πηγήν αέναον, τάς τής γνώσεως, αιτούμέν σε ρανίδας, επόμβρησον Δέσποινα, τού ανυμνείν σε αεί.

Υπέρτερος Πάναγνε, τών ουρανών χρηματίσασα, ναός καί παλάτιον, εν τώ Ναώ τού Θεού, ανατίθεσαι, αυτώ ετοιμασθήναι, εις θείαν κατοίκησιν, τής παρουσίας αυτού.

Τό φώς ανατείλασα, η Θεοτόκος τής χάριτος, πάντας κατελάμπρυνε, καί τήν συνηγάγετο τήν υπέρλαμπρον, αυτής κατακοσμήσαι, πανήγυριν άσμασι, δεύτε συνδράμωμεν.

Η πύλη η ένδοξος, η λογισμοίς αδιόδευτος, τάς πύλας διάρασα, τάς τού Ναού τού Θεού, νύν προτρέπεται, ημάς συνεισελθόντας, τά θεία θαυμάσια, κατατρυφήσαι αυτής.

Κανών δεύτερος

Ποίημα τού Κυρίου Βασιλείου

Ωδή α’ Ήχος α’

«Ωδήν επινίκιον, άσωμεν πάντες, Θεώ τώ ποιήσαντι, θαυμαστά τέρατα, βραχίονι υψηλώ, καί σώσαντι τον Ισραήλ, ότι δεδόξασται».

Συνδράμωμεν σήμερον, τή Θεοτοκω, Τιμώντες εν άσμασι, καί πανηγυρίσωμεν, πνευματικήν εορτήν, εν τώ Ναώ γάρ τώ Θεώ, δώρον προσφέρεται.

Ωδαίς ανυμνήσωμεν, τής Θεοτόκου, τήν ένδοξον πρόοδον, τώ Ναώ γάρ σήμερον, ως καί ναός τού Θεού, προσφέρεται προφητικώς, δώρον πολύτιμον.

Η Άννα η άμεμπτος, ηγαλλιάτο, ως δώρον πολύτιμον, τώ Θεώ προσφέρουσα, εν τώ ναώ μητρικώς, Ιωακείμ δέ σύν αυτή, πανηγυρίζει φαιδρώς.

Δαυϊδ ο προπάτωρ σε, ύμνησε πάλαι, Παρθένε Θεόνυμφε, θυγατέρα λέγων σε, τού Βασιλέως Χριστού, όν καί τεκούσα μητρικώς, βρέφος εθήλασας.

Σαρκί τριετίζουσα, η Θεοτόκος, Κυρίω προσάγεται, Ζαχαρίας ταύτην δέ, ο Ιερεύς τού Θεού, δεξάμενος εν τώ Ναώ, χαίρων ανέθετο.

Παρθένοι χορεύσατε, λαμπαδηφόροι, εξάρξατε σήμερον, καί μητέρες άσατε, τή Βασιλίδι Μητρί, προσερχομένη τώ Ναώ, τού Βασιλέως Χριστού.

Δόξα…

Τριάς ομοούσιε, Πάτερ καί Λόγε, καί Πνεύμα τό Άγιον, σέ πιστώς δοξάζομεν, ως Ποιητήν τού παντός, καί σοί βοώμεν ευσεβώς, σώσον ημάς ο Θεός.

Καί νύν…

Βαφής εξ αιμάτων σου, τήν αλουργίδα, φορέσας Πανάχραντε, προελθών ανέπλασεν, ο Βασιλεύς καί Θεός, τό γένος άπαν τών βροτών, τή ευσπλαγχνία αυτού.

Καταβασία

«Χριστός γεννάται, δοξάσατε, Χριστός εξ ουρανών, απαντήσατε, Χριστός επί γής, υψώθητε, Άσατε τώ Κυρίω πάσα η γή, καί εν ευφροσύνη, ανυμνήσατε λαοί, ότι δεδόξασται».

Ωδή γ’

Ο Ειρμός

«Τούς σούς υμνολόγους Θεοτόκε, ως ζώσα καί άφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικόν στερέωσον, κάν τή σεπτή Εισόδω σου, στεφάνων δόξης αξίωσον».

Νυμφοστόλος σήμερον εδείχθη, τερπνός τής Παρθένου ο ναός, καί θάλαμος δεχόμενος, τήν έμψυχον παστάδα Θεού, τήν καθαράν καί άμωμον, καί

λαμπροτέραν πάσης κτίσεως.

Δαυϊδ προεξάρχων τής χορείας, σκιρτά καί χορεύει σύν ημίν, καί Βασιλίδα κράζει σε, πεποικιλμένην Άχραντε, παρισταμένην πάναγνε, εν τώ Ναώ τώ Βασιλεί καί Θεώ.

Εξ ής η παράβασις προήλθεν, η πάλαι τώ γένει τών βροτών, εκ ταύτης η ανόρθωσις, καί αφθαρσία ήνθησεν, η Θεοτόκος σήμερον, προσαγομένη εν τώ οίκω Θεού.

Σκιρτώσιν Αγγέλων στρατηγίαι, καί πάντων ανθρώπων η πληθύς, καί πρό προσώπου Πάναγνε, προστρέχουσί σου σήμερον, λαμπαδηφόροι κράζουσαι, τά μεγαλεία σου εν οίκω Θεού.

Κανών δεύτερος

Στερεωθήτω η καρδία μου

Πανηγυρίσωμεν φιλέορτοι, καί συνευφρανθώμεν τώ πνεύματι, εν τή αγία Εορτή, ευωχούμενοι σήμερον, θυγατρός τού Βασιλέως, καί Μητρός τού Θεού ημων.

Ιωακείμ ευφραίνου σήμερον, καί αγάλλου Άννα τώ πνεύματι, τήν γεννηθείσαν εξ υμών, τώ Κυρίω προσάγοντες, τριετίζουσαν ως δάμαλιν, σεμνήν τήν Πανάμωμον.

Τό τού Θεού κατοικητήριον, εν Ναώ αγίω προσφέρεται, η Θεοτόκος Μαριάμ, τή σαρκί τριετίζουσα, καί αυτής λαμπαδουχούσαι, αι παρθένοι προτρέχουσιν.

Η τού Θεού αμνάς η άσπιλος, η περιστερά η αμόλυντος, η θεοχώρητος σκηνή, το τής δόξης αγίασμα, εν σκηνώματι αγίω, κατοικείν ηρετίσατο.

Η τριετίζουσα τώ σώματι, καί πολυετής εν τώ πνεύματι, η πλατυτέρα ουρανών, καί τών άνω Δυνάμεων, υπερτέρα ευφημείσθω, εν ωδαίς η Θεόνυμφος.

Τής Θεοτόκου εορτάζοντες, τήν εν τοίς αδύτοις προέλευσιν, λαμπαδουχούντες νοητώς, εν φαιδρότητι σήμερον, καί ημείς σύν ταίς παρθένοις, τώ Ναώ πλησιάσωμεν.

Οι Ιερείς Θεού ενδύσασθε, τήν δικαιοσύνην εν χάριτι, καί υπαντήσατε φαιδρώς, ώς εισόδους παρέχοντες, θυγατρί τού Βασιλέως, καί Θεού εις τά Άγια.

Δόξα...

Φώς ο Πατήρ, φώς ο Υιός αυτού, καί τό Πνεύμα φώς τό Παράκλητον, ως γάρ Ηλίου εξ ενός, η Τριάς απαστράπτουσα, θεϊκώς λαμπαδουχεί, καί συντηρεί

τάς ψυχάς ημών.

Καί νύν…

Σέ οι προφήται προεκήρυξαν, κιβωτόν Σεμνή αγιάσματος, θυμιατήριον χρυσούν, καί λυχνίαν καί τράπεζαν, καί ημείς ως θεοχώρητον, σκηνήν ανυμνούμέν σε.

Καταβασία

«Τώ πρό τών αιώνων, εκ Πατρός γεννηθέντι αρρεύστως Υιώ, καί επ' εσχάτων εκ Παρθένου, σαρκωθέντι ασπόρως, Χριστώ τώ Θεώ βοήσωμεν, Ο ανυψώσας τό κέρας ημών, Άγιος εί Κύριε».

Κάθισμα  Ήχος δ'

Κατεπλάγη Ιωσήφ

Αναβόησον Δαυϊδ, τίς η παρούσα Εορτή, ήν ανύμνησας ποτέ, εν τώ βιβλίω τών Ψαλμών, ως θυγατέρα θεόπαιδα καί Παρθένον, Απενεχθήσονται ειπών, τώ Βασιλεί μυστικώς, παρθένοι όπισθεν αυτής, καί αιπλησίον αυτής, καί θαυμαστήν εργάζου καί παγκόσμιον, τήν εορτήν τοίς κραυγάζουσιν, Η Θεοτόκος, ημίν επέστη, τής σωτηρίας η πρόξενος.

Δόξα… Καί νύν…

Τό αύτό

Ωδή δ'

Ο Ειρμός

«Τήν ανεξιχνίαστον θείαν βουλήν, τής εκ τής Παρθένου σαρκώσεως, σού τού Υψίστου, ο Προφήτης Αββακούμ, κατανοών εκραύγαζε, Δόξα τή δυνάμει σου Κύριε».

Πύλην αδιόδευτον ο τού Θεού, οίκος εισδεχόμενος σήμερον, έπαυσε Νόμου, τήν λατρείαν καί σκιάν, Ως αληθώς επέφανε, κράζων τοίς εν γή, η αλήθεια.

Όρος τό κατάσκιον ό προορών, πάλαι Αββακούμ προεκήρυξεν, ένδον χωρήσαν, τών αδύτων τού ναού, τάς αρετάς εξήνθησε, καί κατακαλύπτει τά πέρατα.

Ίδωμεν παράδοξα πάσα η γή, ξένα καί εξαίσια πράγματα, πώς η Παρθένος, δι' Αγγέλου τήν τροφήν, εισδεχομένη σόμβολα, τής οικονομίας κομίζεται.

Ναός καί παλάτιον καί ουρανός, έμψυχος οφθείσα Θεόνυμφε, τού Βασιλέως, εν Ναώ τώ νομικώ, αφιερούσαι σήμερον, τούτω τηρουμένη πανάχραντε.

Κανών δεύτερος

Εν πνεύματι προβλέπων

Προφήτα Ησαϊα, προφήτευσον ημίν, η Παρθένος τίς εστιν, η έχουσα γαστρί; Η εξ Ιούδα τής ρίζης αναφυείσα, καί γεννηθείσα εκ Δαυϊδ τού Βασιλέως, σπέρματος αγίου καρπός ευκλεής.

Εξάρξατε παρθένοι, καί άσατε ωδάς, ταίς χερσί κατέχουσαι, λαμπάδας τής Αγνής, καί Θεοτόκου τήν πρόοδον ευφημούσαι, νύν απιούσης εν Ναώ τώ τού Κυρίου, άμα συν ημίν εορτάζουσαι.

Ιωακείμ καί Άννα, ευφραίνεσθε νυνί, εν Ναώ προσάγοντες, Κυρίω τήν αγνήν, Θεού Μητέρα Χριστού τού παμβασιλέως, γενησομένην, εξ υμών δέ γεννηθείσαν, οίον τριετίζουσαν δάμαλιν.

Αγία τών Αγίων, υπάρχουσα σεμνή, εν Ναώ ηγάπησας, αγίω κατοικείν, καί τοίς Αγγέλοις Παρθένε προσομιλούσα, προσεκαρτέρεις παραδόξως ουρανόθεν, άρτον δεχομένη, τροφέ τής ζωής.

Τεκόντες παρ' ελπίδα, τήν άχραντον Αγνήν, ευσεβώς υπέσχοντο, προσάξειν τώ Θεώ, καί εκπληρούσι παρέχοντες ώς περ θύμα, τήν γεννηθείσαν εξ αυτών Ιωακείμ τε, σήμερον καί Άννα εν οίκω Θεού.

Εβλάστησεν η ράβδος, ποτέ τού Ααρών, προτυπούσα Αχραντετόν θείον τοκετόν, ότι ασπόρως συλλήψη, καί ου φθαρήση, καί μετά τόκον παρθενεύουσα οφθήση, βρέφος γαλουχούσα τόν πάντων Θεόν.

Παρθένοι τή Παρθένω, Μητέρες τή Μητρί, ευσεβώς προσδράμετε, τιμώσαι σύν ημίν, τήν γεννηθείσαν ως άμωμον ιερείον, καί τήν τεκούσαν ώς Θεώ καρποφορούσαν, πάντες ούν φαιδρώς εορτάσωμεν.

Δόξα…

Τριαδα τοίς προσώποις, Μονάδα τή μορφή, ευσεβώς δοξάζομεν, Θεόν αληθινόν, όν ανυμνούσιν Αγγέλων καί Αρχαγγέλων, ταξιαρχίαι ως τής κτίσεως Δεσπότην, άπαντες πιστώς προσκυνούντες αεί.

Καί νύν…

Ικέτευε απαύστως πανάχραντε Αγνή, όν σαρκί εκύησας, Υιόν σου καί Θεόν, εκ πολυτρόπων παγίδων τού διαβόλου, καί εκ παντοίων πειρασμών επερχομένων, πάντας λυτρωθήναι τούς δούλους σου.

Καταβασία

«Ράβδος εκ τής ρίζης Ιεσσαί, καί άνθος εξ αυτής Χριστέ, εκ τής Παρθένου ανεβλάστησας, εξ όρους ο αινετός, κατασκίου δασέος, ήλθες σαρκωθείς εξ απειράνδρου, ο άϋλος καί Θεός, Δόξα τή δυνάμει σου Κύριε».

Ωδή ε'

Ο Ειρμός

«Εξέστη τά σύμπαντα, εν τή σεπτή Εισόδω σου, σύ γάρ απειρόγαμε Παρθένε, ένδον εισήλθες εν τώ Ναώ τού Θεού, ώς περ καθαρώτατος ναός, πάσι τοίς υμνούσί σε, τήν ειρήνην βραβεύουσα».

Αγίασμα ένδοξον, καί Ιερόν ανάθημα, σήμερον η πάναγνος Παρθένος, ανατεθείσα εν τώ Ναώ τού Θεού, τώ παμβασιλεί ημών Θεώ, μόνω εις

ενοίκησιν, συντηρείται ώς οίδεν αυτός.

Τό κάλλος Πανάχραντε, τό τής ψυχής σου βλέπων ποτέ, πίστει Ζαχαρίας ανεβόα, Σύ εί τό λύτρον, σύ εί η πάντων χαρά, σύ εί η ανάκλησις ημών, δι’ ής ο αχώρητος, χωρητός μοι οφθήσεται.

Ω τών υπέρ έννοιαν, θαυμάτων σου Πανάχραντε! ξένη σου η γέννησις υπάρχει, ξένος ο τρόπος ο τής αυξήσεως, ξένα καί παράδοξα τά σά, πάντα Θεονύμφευτε, καί βροτοίς ανερμήνευτα.

Λυχνία πολύφωτος, υπάρχουσα Θεόνυμφε, σήμερον εξέλαμψας εν οίκω, τώ τού Κυρίου, καί καταυγάζεις ημάς, τοίς σεπτοίς χαρίσμασιν αγνή, τοίς τών θαυμασίων σου, Θεοτόκε πανύμνητε.

Κανών δεύτερος

Τό φαεινόν ημίν εξανάτειλον

Λαμπροφορήσωμεν οι Ορθόδοξοι, πάντες συντρέχοντες, καί δοξάζοντες, τήν θεομήτορα, ότι Κυρίω, σήμερον προσφέρεται, ως θύμα ευπρόσδεκτον.

Αγαλλιάσθωσαν οι Προπάτορες, σήμερον Δέσποινα, καί ευφραινέσθω η τεκούσά σε, σύν τώ πατρί σου, ότι ο καρπός αυτών, Κυρίω προσάγεται.

Τήν πολυώνυμον καί περίδοξον, άμωμον δάμαλιν, ως εν σαρκί κυοφορήσασαν, τόν θείον μόσχον, πάντες ανυμνήσωμεν, πιστώς εορτάζοντες.

Τά τής νυμφεύσεως απογράφονται, θεία συμβόλαια, τής υπέρ νούν κυοφορίας σου, αγνή Παρθένε, σήμερον εν Πνεύματι, αγίω εν οίκω Θεού.

Εξανοιγέσθωσαν τά προπύλαια, δόξης Θεού ημών, καί δεχέσθωσαν τήν απειρόγαμον, Θεού Μητέρα, ώς περ τριετίζουσαν, αμίαντον δάμαλιν.

Τό πολυτίμητον καί κατάσκιον, όρος υμνήσωμεν, τήν αειπάρθενον, Θεού Μητέρα γενομένην, αυτή γάρ εξήστραψε, τό φώς εν τοίς πέρασι.

Δόξα...

Τήν υπεράρχιον καί αϊδιον, μίαν θεότητα, δοξολογούντες προσκυνήσωμεν, τρισί προσώποις, φύσει αδιαίρετον, καί δόξη ισότιμον.

Καί νύν…

Λιμένα εύδιον καί απόρθητον, τείχος κεκτήμεθα, τήν πρεσβείαν σου εν περιστάσεσι, Θεοκυήτορ, πάντοτε λυτρούμενοι, κινδύνων καί θλίψεων.

Καταβασία

«Θεός ών ειρήνης, Πατήρ οικτιρμών, τής μεγάλης βουλής σου τόν Αγγελον, ειρήνην παρεχόμενον, απέστειλας ημίν, όθεν θεογνωσίας, πρός φώς οδηγηθέντες, εκ νυκτός ορθρίζοντες, δοξολογούμέν σε Φιλάνθρωπε».

Ωδή ς’
Ο Ειρμός

«Τήν θείαν, ταύτην καί πάντιμον, τελούντες εορτήν οι θεόφρονες, τής Θεομήτορος, δεύτε τάς χείρας κροτήσωμεν, τόν εξ αυτής τεχθέντα Θεόν δοξάζοντες».

Ο πάντα φέρων τώ ρήματι, ευχής τής τών Δικαίων επήκουσε, διό στειρώσεως, λύσας τήν νόσον ώς εύσπλαγχνος, τήν τής χαράς αιτίαν τούτοις δεδώρηται.

Γνωρίσαι θέλων ο Κύριος, τοίς έθνεσιν αυτού τό σωτήριον, τήν Απειρόγαμον, νύν εξ ανθρώπων παρέλαβε, καταλλαγής σημείον καί αναπλάσεως.

Ως οίκος ούσα τής χάριτος, εν ώ οι θησαυροί εναπόκεινται, τής απορρήτου Θεού, οικονομίας Πανάχραντε, εν τώ Ναώ μετέσχες τής ακηράτου τρυφής.

Διάδημά σε βασίλειον, δεξάμενος Ναός Θεονύμφευτε, κατεφαιδρύνετο, καί υπεχώρει τοίς κρείττοσι, τών προρρηθέντων βλέπων εν σοί τήν έκβασιν.

Κανών δεύτερος
Τόν Προφήτην Ιωνάν

Εορτάσωμεν Πιστοί, εορτήν πνευματικήν, τήν Μητέρα τού Θεού, ανυμνούντες ευσεβώς, υπάρχει γάρ, αγιωτέρα τών ουρανίων Νοών.

Εν ωδαίς πνευματικαίς, ευφημήσωμεν πιστοί, τήν Μητέρα τού Φωτός, ότι σήμερον ημίν, επέφανε, προερχομένη εν τώ ναώ τού Θεού.

Η αμίαντος αμνάς, καί αγνή περιστερά, προσηνέχθη κατοικείν, εν τώ οίκω τού Θεού, η άμωμος, προορισθείσα γενέσθαι Μήτηρ Θεού.

Εν Ναώ τώ νομικώ, τάς εισόδους εκτελεί, ο ναός ο τού Θεού, η ουράνιος σκηνή, εξ ής ημίν, τοίς εν τώ σκότει τό φώς εξέλαμψεν.

Νηπιάζουσα σαρκί, καί τελεία τή ψυχή, η αγία κιβωτός, εν τώ οίκω τού Θεού, εισέρχεται, κατατρυφήσαι τής θείας χάριτος.

Εκ παντοίων πειρασμών, καί κινδύνων ψυχικών, ελευθέρωσον ημάς, τούς προστρέχοντας εις σέ, πανύμνητε ταίς σαίς πρεσβείαις, Μήτηρ Χριστού τού Θεού.

Δοξα...

Ο Πατήρ καί ο Υιός, καί τό Πνεύμα τό ευθές, τρισυπόστατε Μονάς, καί αχώριστε Τριάς, ελέησον τούς προσκυνούντας, τό θείον κράτος σου.

Καί νύν…

Εν γαστρί σου χωρητός, ο αχώρητος παντί, Θεομήτορ γεγονώς, προελήλυθεν

εκ σού, πανάχραντε, διπλούς τή φύσει, Θεός καί άνθρωπος.

Καταβασία

«Σπλάγχνων Ιωνάν, έμβρυον απήμεσεν, ενάλιος θήρ, οίον εδέξατο, τή Παρθένω δέ, ενοικήσας ο Λόγος καί σάρκα λαβών, διελήλυθε φυλάξας αδιάφθορον, ής γάρ ουχ υπέστη ρεύσεως, τήν τεκούσαν κατέσχεν απήμαντον».

Κοντάκιον Ήχος δ’

Ο υψωθείς εν τώ Σταυρώ

Ο καθαρώτατος ναός τού Σωτήρος, η πολυτίμητος παστάς καί Παρθένος, τό Ιερόν θησαύρισμα τής δόξης τού Θεού, σήμερον εισάγεται, εν τώ οίκω Κυρίου, τήν χάριν συνεισάγουσα, τήν εν Πνευματι θείω, ήν ανυμνούσιν Άγγελοι Θεού, Αύτη υπάρχει σκηνή επουράνιος.

Ο Οίκος

Τών απορρήτων τού Θεού καί θείων μυστηρίων, ορών εν τή Παρθένω, τήν χάριν δηλουμένην, καί πληρουμένην εμφανώς, χαίρω, καί τόν τρόπον εννοείν αμηχανώ τόν ξένον καί απόρρητον, πώς εκλελεγμένη η άχραντος, μόνη ανεδείχθη υπέρ άπασαν τήν κτίσιν, τήν ορατήν καί τήν νοουμένην, Διό, άνεθφημείν βουλόμενος ταύτην, καταπλήττομαι σφοδρώς νούν τε καί λόγον, όμως δέ τολμών, κηρύττω καί μεγαλύνω, Αύτη υπάρχει σκηνή επουράνιος.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΑ’ τού αυτού μηνός, Μνήμη τής εν τώ Ναώ Εισόδου τής Θεομήτορος.

Στίχοι

Ένδον τρέφει σε Γαβριήλ ναού, Κόρη,  
Ήξει δέ μικρόν καί τό Χαίρέ σοι λέξων.  
Βή ιερόν Μαρίη τέμενος παρά εικάδι πρώτη.

Ταίς τής Θεοτόκου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Οδή ζ’

Ο Ειρμός

«Ουκ ελάτρευσαν τή κτίσει οι θεόφρονες, παρά τόν Κτίσαντα, αλλά πυρός απειλήν, ανδρείως πατήσαντες, χαίροντες έψαλλον, Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί».

Ιδού σήμερον, επέλαμψε τοίς πέρασιν, έαρ, ευφρόσυνον, καταφαιδρύνον ημών, ψυχήν καί διάνοιαν, καί νούν τή χάριτι, η πανήγυρις, τής Θεοτόκου σήμερον, μυστικώς ευωχηθώμεν.

Δορυφορείτωσαν, σήμερον τά σύμπαντα, τή Βασιλίδι Μητρί, ο ουρανός καί η γή, Αγγέλων τά τάγματα, καί τών βροτών η πληθύς, καί βοάτωσαν, εν τώ Ναώ εισάγεται, η χαρά καί η λύτρωσις.

Ο τού γράμματος, παρέδραμεν εξέλιπε, νόμος καθάπερ σκιά, καί αι τής χάριτος, ακτίνες επέλαμψαν, εν τώ Ναώ τού Θεού, εισαχθείσης σου, Παρθενομήτορ Άχραντε, εισαεί ευλογημένη.

Υποτέτακται, τώ τόκω σου Πανάχραντε, ως Ποιητή καί Θεώ, ο ουρανός καί η γή, καί τά καταχθόνια, καί πάσα γλώσσα βροτών, ότι Κύριος, ομολογεί επέφανεν, ο Σωτήρ τών ψυχών ημών.

Κανών δεύτερος

Η κάμινος Σωτήρ εδροσίζετο
Χορεύσωμεν φιλέορτοι σήμερον, υμνήσωμεν τήν άχραντον Δέσποιναν, Ιωακείμ καί Άνναν, επαξίως γεραίροντες.

Προφήτευσον ο λέγων εν Πνεύματι, Αχθήσονται παρθένοι οπίσω σου, απενεχθήσονταί σοι, εις Ναόν τή Βασιλίδι Μητρί.

Η γάλλοντο Αγγέλων τά τάγματα, ηυφραίνοντο Δικαίων τά πνεύματα, ότε Θεού η Μήτηρ εις τά Άγια προσήγετο.

Καί σώματι καί πνεύματι έχαιρε, σχολάζουσα Μαρία η άμωμος, εν τώ Ναώ Κυρίου, ώσπερ σκεύος Ιερώτατον.

Λαμβάνουσα τροφήν τήν ουράνιον, προέκοπτε σοφία καί χάριτι, η γενομένη Μήτηρ, κατά σάρκα τού Σωτήρος Χριστού.

Εισέφερον Ναού εις ενδότατον, οι σώφρονες Πατέρες σου Άχραντε, ανατραφήναι ξένως, εις κατοίκησιν Χριστού τού Θεού.

Δόξα…

Δοξάσωμεν Τριάδα αχώριστον, υμνήσωμεν τήν μίαν θεότητα, σύν τώ Πατρί τόν Λόγον, καί τό Πνεύμα τό Πανάγιον.

Καί νύν…

Ικέτευε όν έτεκες Κύριον, ως εύσπλαγχνον τή φύσει υπάρχοντα, Θεογεννήτορ σώσαι, τάς ψυχάς τών ανυμνούντων σε.

Καταβασία

«Οι Παίδες ευσεβεία συντραφέντες, δυσσεβούς προστάγματος καταφρονήσαντες, πυρός απειλήν ουκ επτοήθησαν, αλλ’ εν μέσω τής φλογός, εστώτες έψαλλον, Ο τών Πατέρων, Θεός ευλογητός εί».

Ωδή η’

Ής η Ακροστιχίς κατά αλφάβητον

Ο Ειρμος

«Άκουε Κόρη Παρθένε αγνή, ειπάτω δή ο Γαβριήλ, βουλήν. Υψίστου, αρχαίαν αληθινήν, γενού πρός υποδοχήν, ετοίμη Θεού, διά σού γάρ ο αχώρητος,

βροτοίς συναναστρέφεται, διό καί χαίρων βοώ, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Άχραντον ναόν εν οίκω Θεού, προσάγουσα Άννα ποτέ, Βοώσα έφη, εν πίστει τώ Ιερεί, Γονήν τήν υπό Θεού, δοθείσαν καμοί, Δεδεγμένος νύν εισάγαγε, εν τώ ναώ τού Κτίστου σου, καί χαίρων ψάλλε αυτώ Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Έφησεν ιδών τή Άννη ποτέ, εν πνεύματι ο Ζαχαρίας, Ζωής Μητέρα, εισάγεις αληθινήν, Ήν περ τηλαυγώς οι Προφήται Θεού, Θεοτόκον προεκήρυξαν, καί πώς Ναός χωρήσει αυτήν; διό θαυμάζων βοώ, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ικέτις Θεού κατέστην εγώ, αντέφησεν Άννα αυτώ, Καλούσα τούτον εν πίστει καί προσευχή, Λαβείν τής εμής ωδίνος καρπόν, Μετά τόκον δέ τό κύημα, προσάγειν τώ παρέχοντι, διό σκιρτώσα βοώ, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Νόμιμον όντως τό έργον εστίν, ο Ιερεύς έφη αυτή, Ξένον δέ πάντη, τό πράγμα κατανοώ, Ορών τήν προσαγομένην εν οίκω Θεού, Παραδόξως υπερβαίνουσαν, τά Άγια τή χάριτι, διό καί χαίρων βοώ, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ρώννυμαι έφη η Άννα αυτώ, μανθάνουσα άπερ λαλείς, Συνείς γάρ ταύτα τώ Πνεύματι τού Θεού, Τρανώς τά τής Παρθένου εκήρυξας, Υποδέχου ούν τήν άχραντον, εν τώ Ναώ τού Κτίστου σου, καί χαίρων ψάλλε αυτώ, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Φωσφόρος ημίν ανήψε λαμπάς, εβόησεν ο Ιερεύς, Χαράν μεγίστην εκλάμπουσαν εν Ναώ, Ψυχαί Προφητών συνευφραινέσθωσαν, Ως παράδοξα Θεώμεναι, τελούμενα εν οίκω Θεού, καί εκβοάτωσαν νύν, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

## Κανών δεύτερος

### Ον φρίττουσιν Άγγελοι

Ευφραίνεται σήμερον, φαιδρώς Ιωακείμ, καί Άννα η άμεμπτος, Κυρίω τώ Θεώ, προσφέρει θυσίαν τήν δοθείσαν αυτή, εξ επαγγελίας, αγίαν θυγατέρα.

Καυχώνται οί Άγιοι, Δαυϊδ καί Ιεσσαί Ιούδας σεμνύνεται, εκ ρίζης γάρ αυτών, εβλάστησε γόνος, η Παρθένος αγνή, εξ ής εγεννήθη, Θεός ο πρό αιώνων.

Μαρία η άχραντος, καί έμψυχος σκηνή, προσφέρεται σήμερον, εν οίκω τού Θεού, καί δέχεται ταύτην, Ζαχαρίας χερσίν, ως ηγιασμένον, κειμήλιον Κυρίου.

Ως πύλην σωτήριον, καί όρος νοητόν, ως κλίμακα έμψυχον, Τιμήσωμεν πιστοί, τήν όντως Παρθένον, καί Μητέρα Θεού, τήν ευλογηθείσαν, χερσί τών Ιερέων.

Προφήται, Απόστολοι, καί Μάρτυρες Χριστού, Αγγέλων τά τάγματα, καί πάντες γηγενείς, τιμήσωμεν ύμνοις, τήν Παρθένον αγνήν, ως ευλογημένην, Μητέρα τού Υψίστου.

Ναώ σε προσέφερον, πανάχραντε Αγνή, οι θείως τεκόντες σε, ως θύμα καθαρόν, καί ξένως αυλίζη, εν αδύτοις Θεού, προετοιμασθήναι, εις κατοικίαν Λόγου.

Ευλογούμεν Πατέρα, Υιόν, καί Άγιον Πνεύμα, τόν Κύριον.

Υμνείσθω τρισάγιος, Πατήρ καί ο Υιός, καί Πνεύμα, τό Άγιον, αμέριστος Μονάς, η μία θεότης, η Κρατούσα δρακί, τήν σύμπασαν κτίσιν, εις πάντας τούς αιώνας.

Καί νύν…

Ο άναρχος άρχεται, ο Λόγος εν σαρκί, τεχθείς ως ηυδόκησε, Θεός τε καί βροτός, εκ Κόρης Παρθένου, αναπλάττων ημάς, τούς πρίν πεπτωκότας, δι' άκραν ευσπλαγχνίαν.

Καταβασία.

«Θαύματος υπερφυούς η δροσοβόλος, εξεικόνισε κάμινος τύπον, ού γάρ ούς εδέξατο φλέγει Νέους, ως ουδέ πύρ τής θεότητος, Παρθένου ήν υπέδυ νηδύν, διό ανυμνούντες αναμέλψωμεν, Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω εις πάντας τούς αιώνας».

Ωδή θ'

Ής η Ακροστιχίς, κατ' αλφάβητον αντιστρόφως.

Μεγαλυνάριον

Άγγελοι τήν Είσοδον τής Πανάγνου, ορώντες εξεπλήττοντο πώς η Παρθένος εισήλθεν, εις τά Άγια τών Αγίων.

Ο Ειρμός

«Ως εμψύχω Θεού κιβωτώ, ψαυέτω μηδαμώς χείρ αμυήτων, χείλη δέ πιστών, τή Θεοτόκω ασιγήτως, φωνήν τού Αγγέλου αναμέλποντα, εν αγαλλιάσει βοάτω, Όντως ανωτέρα πάντων, υπάρχεις Παρθένε αγνή».

Άγγελοι τήν Είσοδον τής Πανάγνου, ορώντες εξεπλήττοντο, πώς μετά δόξης εισήλθεν, εις τά Άγια τών Αγίων.

Ως υπέρλαμπρον Θεοτόκε αγνή, Ψυχής τό καθαρόν έχουσα κάλλος, Χάριτος Θεού δ' εμπιπλαμένη ουρανόθεν, Φωτί αϊδίω καταυγάζεις αεί, τούς εν ευφροσύνη βοώντας, Όντως ανωτύρα πάντων, υπάρχεις Παρθένε αγνή.

Άγγελοι τήν Είσοδον τής Παρθένου, ορώντες εξεπλήττοντο, πώς παραδόξως εισήλθεν, εις τά Άγια τών Αγίων.

Υπερίπταται Θεοτόκε αγνή, Το θαύμά σου τήν δύναμιν τών λόγων, Σώμα γάρ εν σοί κατανοώ υπέρ λόγον, Ροής αμαρτίας ανεπίδεκτον, όθεν ευχαρίστως βοώ σοι, Όντως ανωτέρα πάντων, υπάρχεις Παρθένε αγνή.

Άγγελοι καί άνθρωποι τής Παρθένου, τήν Είσοδον τιμήσωμεν, ότι εν δόξη εισήλθεν, εις τά Άγια τών. Αγίων.

Παραδόξως προδιετύπου Αγνή, ο Νόμος σε σκηνήν καί θείαν στάμνον, Ξένην κιβωτόν, καί καταπέτασμα καί ράβδον, Ναόν ακατάλυτον, καί πύλην Θεού, Όθεν εκδιδάσκει σοι κράζειν, Όντως ανωτέρα πάντων, υπάρχεις Παρθένε αγνή.

Άγγελοι τήν Είσοδον τής Παρθένου, ορώντες κατεπλήττοντο, πώς θεαρέστως εισήλθεν, εις τά Άγια τών Αγίων.

Μελωδών σοι προεκελάδει Δαυϊδ, Λαλών σε θυγατέρα Βασιλέως, Κάλλει αρετών, εκ δεξιών παρισταμένην, ιδών τού Θεού πεποικιλμένην σε, όθεν προφητεύων εβόα, Όντως ανωτέρα πάντων, υπάρχεις Παρθένε αγνή.

Άγγελοι σκιρτήσατε σύν Αγίοις, Παρθένοι συγχορεύσστε, η γάρ Θεόπαις εισήλθεν, εις τά Άγια των Αγίων.

Θεοδοχον προθεωρών Σολομών, Ηνοίξατο σε πύλην Βασιλέως, Ζώσάν τε πηγήν εσφραγισμένην, Εξ ής τό αθόλωτον ημίν προήλθεν, ύδωρ τοίς εν πίστει βοώσιν, Όντως ανωτέρα πάντων, υπάρχεις Παρθένε αγνή.

Άγγελοι καί άνθρωποι τήν Παρθένον, εν ύμνοις μεγαλύνωμεν, θεοπρεπώς γάρ εισήλθεν, εις τά Άγια τών Αγίων.

Διανέμοις τών χαρισμάτων τήν σήν, Γαλήνην Θεοτόκε τή ψυχή μου, βρύουσα ζωήν, τοίς σέ τιμώσι κατά χρέος, Αυτή περιέπουσα καί σκέπουσα, καί διατηρούσα βοάν σοι, Όντως ανωτέρα πάντων, υπάρχεις Παρθένε αγνή.

Κανων δεύτερος
Τήν φωτοφόρον Νεφέλην
Μεγαλυνάριον

Μεγάλυνον ψυχή μου, τήν προσενεχθείσαν, εν τώ ναώ Κυρίου, καί ευλογηθείσαν, χερσί τών Ιερέων.

*Σ η μ ε ί ω σ ι ς*

*Τό Μεγαλυνάριον τούτο επαναλαμβάνεται καί εις τά εφεξής Τροπάρια μέχρι*

*τού Δοξαστικού.*

Εκ τών Δικαίων προήλθεν, Ιωακείμ καί τής Άννης, επαγγελίας ο καρπός, η θεόπαις Μαρία, καί ως θυμίαμα δεκτόν, σαρκί νηπιάζουσα προσφέρεται, Ιερώ εν αγίω, ως Αγία, εις τά Άγια οικείν.

Τήν νηπιάζουσαν φύσει, καί υπέρ φύσιν Μητέρα, αναδειχθείσαν τού Θεού, ευφημήσωμεν ύμνοις, εν τώ Ναώ τώ νομικώ, Κυρίω γάρ σήμερον προσφέρεται, εις οσμήν ευωδίας, τών Δικαίων, ως καρπός πνευματικός.

Σύν τώ Αγγέλω τό χαίρε, τή Θεοτόκω προσφόρως, αναβοήσωμεν πιστοί, Χαίρε πάγκαλε Νύμφη, χαίρε νεφέλη φωτεινή, εξ ής ημίν έλαμψεν ο Κύριος, τοίς εν σκότει αγνοίας, καθημένοις, χαίρε πάντων η ελπίς.

Ύμνον επάξιον πάσα, τή Θεοτόκω η κτίσις, σύν τώ Αγγέλω Γαβριήλ, ανακράζει βοώσα, Χαίρε η Μήτηρ τού Θεού, δι’ ής ελυτρώθημεν πανάμωμε, τής αρχαίας κατάρας, γεγονότες αφθαρσίας κοινωνοί.

Η τών Αγίων Αγία, καί Θεομήτωρ Μαρία, ταίς ικεσίαις σου Αγνή, ελευθέρωσον ημάς, εκ τών παγίδων τού εχθρού, καί πάσης αιρέσεως καί θλίψεως, ρούς πιστώς προσκυνούντας, τήν εικόνα, τής αγίας σου μορφής.

Τών Χερουβίμ υπερτέρα, τών Σεραφίμ ανωτέρα, καί πλατυτέρα ουρανών, ανεδείχθης Παρθένε, ώς τόν αχώρητον παντί, εν μήτρα χωρήσασα Θεόν ημών, καί τεκούσα αφράστως, όν δυσώπει, εκτενώς υπέρ ημών.

Δόξα…

Μεγάλυνον, ψυχή μου, τής Τρισυποστάτου, καί αδιαιρέτου θεότητος τό κράτος.

Την Τρισυμόστατον φύσιν, καί αδιαίρετον δόξαν, τήν εν θεότητι μιά, υμνουμένην απαύστως, εν ουρανώ καί επί γής. Τριάδα αχώριστον δοξάσωμεν, σύν Υιώ τόν Πατέρα, καί τό Πνεύμα προσκυνούντες ευσεβώς.

Καί νύν…

Μεγάλυνον, ψυχή μου, τήν τιμιωτέραν, καί ενδοξοτέραν τών άνω Στρατευμάτων.

Υπό τήν σύν ευσπλαγχνίαν, τούς καταφεύγοντας πίστει, καί προσκυνούντας ευσεβώς, τόν Υιόν σου Παρθένε, Θεογεννήτορ ως Θεόν, τού κόσμου καί Κύριον ικέτευε, εκ φθοράς καί κινδύνων λυτρωθήναι, καί παντοίων πειρασμών.

Καταβασία

«Μυστήριον ξένον, ορώ καί παράδοξον, ουρανόν τό σπήλαιον θρόνον Χερουβικόν τήν Παρθένον τήν φάτνην χωρίον, εν ώ ανεκλίθη ο αχώρητος, Χριστός ο Θεός, όν ανυμνούντες μεγαλύνομεν».

Εξαποστειλάριον
Γυναίκες ακουτίσθητε
Ήν πάλαι προκατήγγειλε, τών Προφητών ο σύλλογος, στάμνον καί ράβδον καί πλάκα, καί αλατόμητον όρος, Μαρίαν τήν Θεόπαιδα, πιστώς ανευφημήσωμεν, σήμερον γάρ εισάγεται, εις τά Αγια τών Αγίων, ανατραφήναι Κυρίω.
Εκ τρίτου

Εις τούς Αίνους, ιστώμεν Στίχους δ’ καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α’
Τών ουρανίων ταγμάτων
Λαμπαδηφόροι παρθένοι, τήν Αειπάρθενον, φαιδρώς οδοποιούσαι, προφητεύουσιν όντως, εν Πνεύματι τό μέλλον, ναός γάρ Θεού, η Θεοτόκος υπάρχουσα, πρός τόν ναόν μετά δόξης Παρθενικής, νηπιόθεν εμβιβαζεται.

Επαγγελίας αγίας, καί ο καρπός ευκλεής, η Θεοτόκος όντως, ανεδείχθη τώ κόσμω, ως πάντων υπερτέρα, ή ευσεβώς, προσαγομένη εν οίκω Θεού, τήν προσευχήν τών τεκόντων αποπληροί, συντηρουμένη θείω Πνεύματι.

Επουπανίω τραφείσα, Παρθένε άρτω πιστώς, εν τώ Ναώ Κυρίου, απεκύησας κόσμω, ζωής άρτον τόν Λόγον, ού ώς ναός, εκλεκτός καί πανάμωμος, προεμνηστεύθης τώ Πνεύματι μυστικώς, νυμφευθείσα τώ Θεώ καί Πατρί.

Εξανοιγέσθω η πύλη, τού θεοδόχου Ναού, τόν γάρ ναόν τού πάντων, Βασιλέως καί θρόνον, σήμερον εν δόξη, ένδον λαβών, Ιωακείμ ανατίθεται, αφιερώσας Κυρίω τήν εξ αυτού, εκλεχθείσαν ως Μητέρα αυτού.
Δόξα… Καί νύν…
Ήχος β’   Λέοντος Μαϊστορος
Σήμερον τώ Ναώ προσάγεται, η Πανάμωμος Παρθένος, εις κατοικητήριον τού παντάνακτος Θεού, καί πάσης τής ζωής ημών τροφού. Σήμερον τό καθαρώτατον αγίασμα, ώς τριετίζουσα δάμαλις, εις τά Άγια τών Αγίων εισάγεται. Ταύτη εκβοήσωμεν, ώς ο Άγγελος. Χαίρε μόνη εν γυναιξίν ευλογημένη.

Δοξολογία Μεγάλη, καί Απόλυσις.

Δίδοται καί άγιον έλαιον τοίς Αδελφοίς.

Εις τήν Λειτουργίαν

Τά Τυπικά καί τών Κανόνων η γ’ καί ς’ Ωδή.

Αντίφωνον α’
Μέγας Κύριος καί αινετός σφόδρα.

Ταίς πρεσβείαις τής Θεοτόκου…

Δεδοξασμένα ελαλήθη περί σου η πόλις τού Θεού.
Ο Θεός εν ταίς βάρεσιν αυτής γινώσκεται.
Καθάπερ ηκούσαμεν, ούτω καί είδομεν.

Αντίφωνον β’

Ηγίασε τό σκήνωμα αυτού ο γψιστος.

Σώσον ημάς Υιέ Θεού ο εν Αγίοις θαυμαστός…

Αγιωσύνη καί μεγαλοπρέπεια εν τώ αγιάσματι αυτού.
Αύτη η πύλη Κυρίου, δίκαιοι εισελεύσονται εν αυτή.
Άγιος ο ναός σου, θαυμαστός εν δικαιοσύνη.

Αντίφωνον γ’

Το πρόσωπόν σου λιτανεύσουσιν οί πλούσιοι τού λαού.

Ήχος δ’

Σήμερον τής ευδοκίας Θεού τό προοίμιον, καί τής τών ανθρώπων σωτηρίας η προκήρυξις. Εν Ναώ τού Θεού τρανώς η Παρθένος δείκνυται, καί τόν Χριστόν τοίς πάσι προκαταγγέλλεται, Αυτή καί ημείς μεγαλοφώνως βοήσωμεν. Χαίρε τής οικονομίας τού Κτίστου η εκπλήρωσις.

Πάσα η δόξα τής θυγατρός τού βασιλέως έσωθεν, εν κροσσωτοίς χρυσοίς περιβεβλημένη, πεποικιλμένη.

Απενεχθήσονται τώ Βασιλεί παρθένοι οπίσω αυτής.

Κοινωνικόν

Ποτήριον σωτηρίου λήψομαι, καί τό όνομα Κυρίου επικαλέσομαι. Αλληλούϊα.

---

Αρχή

## ΤΗ ΚΒ’ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Αποστόλου Φιλήμονος, καί τών σύν αυτώ, Απφίας, Αρχίππου καί Ονησίμου, καί τής Αγίας Μάρτυρος Κικιλίας, καί τών σύν αυτή.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό Κύριε εκέκραξα, ιστώμεν Στίχους ς’ καί ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής.

Ήχος πλ. δ’
Ω τού παραδόξου θαύματος

Ώ τού παραδόξου θαύματος! προϋπογράφεται νύν, τό εσόμενον άρρητον, εν συμβόλοις σήμερον, ορατοίς τά νοούμενα, η φώς γάρ κόσμω, θείον εκλάμψουσα, νυμφαγωγείται, πρός Ναόν ένθεον, ήν ευφημήσωμεν, ως ναόν θεότητος υπερφυή, άγιον αείφωτον, τού φωτοδότου Χριστού.

Όντως απαρχήν ευσπρόδεκτον, Ιωακείμ ο σοφός, σύν τή Άννη προσήνεγκαν, τώ καταξιώσαντι θείον δούναι καρπόν αυτοίς, καί θεόπαιδα, κόρην Μαρίαν σαφώς, δι' ής τής λύπης, ελύθη όφλημα, ήν ανυμνήσωμεν, ευσεβώς γηθόμενοι, τής γάρ χαράς, πρόξενος γεγένηται, παντί τώ κόσμω αυτή.

Δεύτε μυστικώς συνδράμωμεν, καί προεξάρξωμεν νύν, ταίς λαμπάσι τής πίστεως, καταλαμπρυνόμενοι, τής Παρθένου τήν πρόοδον, Ναόν Θεού γάρ, δόξη εισέρχεται, προμνηστευθείσα, σαφώς τώ Πνεύματι, ής εορτάσωμεν, τήν τερπνήν πανήγυριν, θεοπρεπώς, πάντες ευωχούμενοι, εν τή Εισόδω αυτής.

Καί τών Αποστόλων

Ήχος β'
Ότε, εκ τού ξύλου σε

Κλήμα, τής αμπέλου τής ζωής, ένδοξε Φιλήμον υπάρχων, οίνον απέσταξας, θείας επιγνώσεως, ταίς εν οδύνη ψυχαίς, καί καρδίας επεύφρανας, τάς σκυθρωπαζούσας, πλάνης αμαυρότητι, περικειμένας τε, ζόφω τής ειδωλομανίας, όθεν γηθοσύνως τήν μνήμην, σού τήν θεαυγή πανηγυρίζομεν.

Πόλις, τών Γαζαίων σε τιμά, φώς τής επιγνώσεως Μάκαρ, διά σού βλέψασα, η Κολασσαέων δέ, τό θείον σώμά σου, ώσπερ όλβον κατέχουσα, τρυγά τάς ιάσεις, καί τήν αναβλύζουσαν, χάριν εκάστοτε, όθεν, εκτελεί σου τήν μνήμην, περισωζομένη κινδύνων, ένδοξε Φιλήμον τή πρεσβεία σου.

Πίστει, σύν Απφία τή σεμνή, Άρχιππον σοφόν Ιεράρχην, ανευφημήσωμεν, μέλποντες Φιλήμονα, καί τόν Ονήσιμον, ιερούς θεοκήρυκας, σεπτούς διδασκάλους, πλάνην τήν πολύθεον, τούς εκριζώσαντας, λόγω καί φυτεύσαντας πάσι, γνώσιν αληθείας, καί τούτων, ευσεβώς τήν μνήμην εορτάσωμεν.

Δόξα... Τών Αποστόλων
Ήχος πλ. β'

Δεύτε συμφώνως ανυμνήσωμεν, τούς αυτόπτας τού Λόγου, καί μύστας τών θαυμάτων αυτού, Φιλήμονα, καί Ονήσιμον, Απφίαν καί Άρχιππον, τούς Αποστόλους Χριστού, Χαίρετε, εκβοώντες αυτοίς, τής οικουμένης φωστήρες, Κολασσαέων πρόβολοι, Χαίρετε, Αγγέλων ομοδίαιτοι, οι τήν πλάνην τών ειδώλων, ανδρικώς καταστρεψάμενοι, καί Χριστόν Σωτήρα κηρύξαντες, καί τής πλάνης τούς ανθρώπους απαλλάξαντες, Διό ώς παριστάμενοι τώ θρόνω τής Αγίας τριάδος, πρεσβεύσατε σωθήναι τάς ψυχάς ημών.

Καί νύν… Τής Εορτής
Ήχος α' Γεωργίου Νικομηδείας

Αγαλλιάσθω σήμερον ο ουρανός άνωθεν, καί αι νεφέλαι ευφροσύνην ρανάτωσαν, επί τά λίαν παράδοξα, μεγαλεία τού Θεού ημών, ιδού γάρ η πύλη, η κατά Ανατολάς βλέπουσα, αποκυηθείσα έκ στείρας ακάρπου, εξ επαγγελίας, καί τώ Θεώ αφιερωθείσα εις κατοίκησιν, σήμερον εν τώ Ναώ, ως άμωμος προσφορά προσάγεται, Αγαλλιάσθω ο Δαυϊδ, κρούων τήν κινύραν, Απενεχθήσονταί φησι, τώ Βασιλεί παρθένοι οπίσω αυτής, αι πλησίον αυτής απενεχθήσονται, έσω εν τή σκηνή τού Θεού, ένδον τού ιλαστηρίου αυτού, ανατραφήναι εις κατοίκησιν, τού πρό αιώνων εκ Πατρός αρρεύστως γεννηθέντος, εις σωτηρίαν τών ψυχών ημών.

Εις τόν Στίχον, ει βούλει, ειπέ Στιχηρά Προσομοια της Αγίας Κικιλίας.

Ήχος δ' Έδωκας σημείωσιν

Σώμα ακηλίδωτον, καί λογισμόν απαράδεκτον, ηδονών διετήρησας, καί νύμφην ακήρατον, τώ πεποιηκότι, σεαυτήν προσήξας, πεποικιλμένην ιερώς, τώ μαρτυρίω Αειμακάριστε, διό σε προσελάβετο, πρός φωτεινότατον θάλαμον, καί νυμφώνα ακήρατον, Κικιλία πανεύφημε.

Ρόδοις ηδυπνόοις σε, ευωδιάσας ο Κύριος, αισθητώς Σεμνοπάρθενε, ζωγρεί μεσιτεία σου, αδελφών δυάδα, ενοσφρησαμένην, τούτων ευχή σου εκτενεί, όθεν λιπόντες δυσώδες σέβασμα, τής πλάνης ηξιώθησαν, τού εκ Παρθένου νεάνιδος, μύρου θείου δι' άφατον, κενωθέντος χρηστότητα.

Πλούτου κατεφρόνησας, τήν επουράνιον στέργουσα, καί μνηστήρος ηλόγησας, παρθένων εν τάγμασι, σεαυτήν πανσόφως, αριθμησαμένη, καί προσενήνοχας σαυτήν, τω ουρανίω νυμφίω Πάνσεμνε, αθλήσασα στερρότατα, καί τήν οφρύν τού αλάστορος, ανδρικώς σθμπατήσασα, αθλητών τό αγλάϊσμα.

Ειδέ μή, τά παρόντα τής Εορτής

Ήχος β' Οίκος τού Εφραθά

Σήμερον ψαλμικώς, τά στίφη τών παρθένων, ανάψαντα λαμπάδας, φαιδρώς οδοποιούσι, τήν μόνην Παναμώμητον.

Στίχ. Απενεχθήσονται τώ Βασιλεί.

Όρος τό νοητόν, τήν τράπεζαν τήν θείαν, τήν γέφυραν τήν στάμνον, Προφήτα υποδέχου, τήν μόνην παναμώμητον.

Στίχ. Απενεχθήσονται εν ευφροσύνη.

Πύλας τού ιερού, διάρας Ζαχαρία, προφήτα υποδέχου, Θεού τήν θείαν πύλην, τήν μόνην Αειπάρθενον.

Δόξα... καί νύν... Ήχος β'

Σήμερον τώ ναώ προσάγεται, η πανάμωμος Παρθένος, εις κατοικητήριον τού παντάνακτος Θεού, καί πάσης τής ζωής ημών τροφού, Σήμερον τό καθαρώτατον αγίασμα, ώς τριετίζουσα δάμαλις, εις τά Άγια τών Αγίων εισάγεται, Ταύτη εκβοήσωμεν, ώς ο Άγγελος, Χαίρε μόνη, εν γυναιξίν ευλογημένη.

Απολυτίκιον τών Αποστόλων
Ήχος γ'

Απόστολε Άγιε Φιλήμονα, πρέσβευε τώ ελεήμονι Θεώ ίνα πταισμάτων άφεσιν, παράσχη ταίς ψυχάς ημών.

Δόξα... Καί νύν... Τής Εορτής
Ήχος δ'

Σήμερον τής ευδοκίας Θεού τό προοίμιον, καί τής τών ανθρώπων σωτηρίας η προκήρυξις, εν Ναώ τού Θεού τρανώς η Παρθένος δείκνυται, καί τόν Χριστόν τοίς πάσι προκαταγγέλλεται, Αυτή καί ημείς μεγαλοφώνως βοήσωμεν, Χαίρε τής οικονομίας τού Κτίστου η εκπλήρωσις.

Καί απολυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν, Κάθισμα

Ήχος α'
Τού λίθου σφραγισθέντος

Αινέσατε παρθένοι, καί μητέρες υμνήσατε, λαοί δοξολογείτε, ιερείς ευλογήσατε, τήν άχραντον Μητέρα τού Θεού, σαρκί γάρ νηπιάζουσα Ναώ, τώ τού Νόμου προσηνέχθη, ώσπερ ναός Κυρίου αγιώτατος, Διό εορτήν πνευματικήν, τελούντες ανακράξωμεν, Χαίρε Παρθένε δόξα, τού γένους τών ανθρώπων.

Μετά τήν β, Στιχολογίαν, Κάθισμα
Ήχος δ'
Ταχύ προκατάλαβε

Δαυίδ προοδοποίησον, εν τώ ναώ τού Θεού, καί χαίρων υπόδεξαι, τήν Βασιλίδα ημών, καί ταύτη εκβόησον, Είσελθε η Κυρία, εις ναόν Βασιλέως, είσελθε, ής η δόξα κεκρυμμένως νοείται, εξ ής μέλι καί γάλα μέλλει πηγάσειν, πάσι τό φώς ο Χριστός.

Είτα ψάλλεται είς Κανών τής Εορτής, καί τών Αγίων οι εφεξής δύο.

Ο Κανών τών Αποστόλων, ού η Ακροστιχίς.

Χριστόν φιλούντα δοξάσω σε, Φιλήμον. Ιωσήφ.

## Ωδή α’ Ήχος β’

«Δεύτε λαοί, άσωμεν άσμα Χριστώ τώ Θεώ, τώ διελόντι θάλασσαν, καί οδηγήσαντι, τόν λαόν όν ανήκε, δουλείας Αιγυπτίων, ότι δεδόξασται».

Χοροβατών, χαρμονικώς τά ουράνια, Ιερουργέ σκηνώματα, χάριν παράσχου μοι, τήν αγίαν σου μνήμην, ενθέως ανυμνούντι, σύ γάρ δεδόξασαι.

Ρείθροις τών σών, λόγων καρδίας κατήρδευσας, καί γεωργείν ουράνια, μάκαρ νοήματα, παρεσκεύασας πίστει, Απόστολε Φιλήμον, αξιοθαύμαστε.

Ιερουργών, τό ιερόν Ευαγγέλιον, ταίς αστραπαίς τού Πνεύματος, ψυχάς εφώτισας, λυτρωσάμενος σκότους, τής ειδωλομανίας, σοφέ Απόστολε.

### Θεοτοκίον

Σέ προφητών, πάλαι ο θείος κατάλογος, πολυειδέσιν Άχραντε, συμβόλοις πόρρωθεν, προεχάραξεν όντως, τήν μόνην τόν Δεσπότην, αποκυήσασαν.

## Ο Κανών τής Αγίας

## Ωδή α’ Ήχος α’

Χριστός γεννάται, δοξάσατε, Χριστός εξ ουρανών, απαντήσατε, Χριστός επί γής, υψώθητε, Άσατε τώ Κυρίω πάσα η γή, καί εν ευφροσύνη, ανυμνήσατε λαοί, ότι δεδόξασται.

Χριστού πανάγιον τέμενος, Χριστού φωτοειδές ενδιαίτημα, Χριστού ναέ καθαρώτατε, ένδοξε Κικιλία, Μάρτυς σεμνή, ταίς σαίς ικεσίαις, φωταγώγησον ημάς, τούς ανυμνούντάς σε.

Χριστού τό κάλλος ποθήσασα, Χριστού Κραταιωθείσα τώ έρωτι, Χριστού προσταγαίς πειθήσασα, κόσμω καί τοίς εν κόσμω, Μάρτυς σεμνή, πάσιν ενεκρώθης, καί ζωής τής αιωνίου κατηξίωσαι.

Ψυχήν αμόλυντον φέρουσα, καί σώμα καθαρόν καί αγνότατον, Χριστώ τώ Θεώ νενύμφευσαι, αμωμόν σε τηρούντι καί καθαράν, Μάρτυς εις αιώνας, εις νυμφώνα νοητόν θεομακάριστε.

### Θεοτοκίον

Ρυσθήναι Κόρη πανάμωμε, παθών επικρατείας τούς δούλους σου, τόν σόν εκτενώς ικέτευε, Κύριον καί Δεσπότην, όν εκ τών σών, Πάναγνε αιμάτων, εσωμάτωσας ημίν, προσομιλήσαντα.

## Τών Αποστολων

## Ωδή γ’

«Στερέωσον ημάς εν σοί Κύριε, ο ξύλω νεκρώσας τήν αμαρτίαν, καί τόν φόβον σου εμφύτευσον, εις τάς καρδίας ημών τών υμνούντων σε».

Τά πάθη τού Χριστού καί τήν ανάστασιν, κηρύττων ανέστησας ως εκ τάφου, απιστίας καί νεκρώσεως, τούς ανθρώπους Φιλήμονα ξιάγαστε.

Ονήσιμον τόν θείον καί Φιλήμονα, Απφίαν καί Άρχιππον τούς αστέρας, τούς φωτίζοντας τά πέρατα, ιεραίς μελωδίαις εοφημήσωμεν.

Νοός τό όπτικόν ανακαθάραντες, τής θείας ετύχετε θεοπτίας, καί καρδίας επεστρέψατε, πλανωμένας πρός γνώσιν ιερώτατοι.

Θεοτοκίον

Φανείσα καθαρά καί πανακήρατος, εδέξω εν μήτρα τόν Θεόν Λόγον τόν καθάραντα τήν φύσιν ημών, ρυπωθείσαν Παρθένε ατοπήμασι.

Τής Μάρτυρος

Τώ πρό τών αιώνων

Τόν εκ τής Παρθένου, σαρκωθέντα αφράστως Χριστόν τόν Θεόν, καθαρωτάτη διανοία, εκζητούσα εβόας αυτώ, Σού οπίσω Δέσποτα, προσεκολλήθην, καί σού τή στοργή, ψυχήν μουσυνέδησα.

Έχουσα παστάδα, επουράνιον προίκά τε μένουσαν, τής επιγείου ως προσκαίρου, καί φθαρτής Κικιλία, αγνή Μάρτυς κατεφρόνησας, τήν παρθενίαν τηρούσα Χριστώ, άσπιλον αμείωτον.

Έρωτι αϋλω, τούς ενύλους εμάρανας έρωτας, καί τόν μνηστήρα ζωηρυτοις, καί πανσόφοις σου λόγοις, σύν σοί παρθενεύειν έπεισας, μεθ' ού συνήφθης Αγγέλων χοροίς, Μάρτυς αξιάγαστε.

Θεοτοκίον

Η αγεωργήτως, ως κατάκαρπος άμπελος Αχραντε, καί συλλαβούσα καί τεκούσα, τόν ακήρατον βότρυν, Χριστόν οίνον αποστάζοντα, θεογνωσίας αυτόν ως Θεόν, αίτησαι σωθήναι ημάς.

Ο Ειρμός

«Τώ πρό τών αιώνων, εκ Πατρός γεννηθέντι αρρεύστως Υιώ, καί επ' εσχάτων εκ Παρθένου, σαρκωθέντι αστόρως, Χριστώ τώ Θεώ βοήσωμεν, Ο ανυψώσας το κέρας ημών, Άγιος εί Κύριε».

Κάθισμα τού Αγίου Φιλήμονος

Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Τώ αρότρω τού λόγου καλλιεργών, χερσωθείσας καρδίας, Ιερουργέ, τήν θείαν επίγνωσιν, γεωργείν παρεσκεύασας, καί καθελών τεμένη, ειδώλων ανήγειρας, Εκκλησίας μάκαρ, εις δόξαν τού Κτίστου σου, όθεν συνελθόντες τήν αγίαν σου μνήμην, Φιλήμον δοξάζομεν, ιερώς φωτιζόμενοι, καί συμφώνως βοώμέν σοι, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα… Τής Αγίας Κικιλίας

Τόν τάφον σου Σωτήρ

Νυμφίον αληθώς, τόν Χριστόν κεκτημένη, νυμφίου σαρκικού, εβδελύξω τόν πόθον, καί τούτον προσενήνοχας, τώ Θεώ διά πίστεως, εναθλήσαντα, σύν σοί στερρώς Κικιλία, καί τόν στέφανον, απολαβόντα τής νίκης, μεθ' ού ημών μέμνη σου.

Καί νύν… Τής Εορτής

Δικαίων ο καρπός, , Ιωακείμ καί τής Άννης, προσφέρεται Θεώ, ιερώ εν Αγίω, σαρκί νηπιάζουσα η τροφός τής ζωής ημών, ήν ευλόγησεν, ο ιερός Ζαχαρίας, ταύτην άπαντες, οι γηγενείς μετά πόθου, πιστώς μακαρίσωμεν.

Τών Αποστόλων

Ωδή δ'

«Υμνώ σε, ακοή γάρ Κύριε, εισακήκοα καί εξέστην, έως εμού ήκεις γάρ, εμέ ζητών τόν πλανηθέντα, Διό τήν πολλήν σου συγκατάβασιν, τήν εις εμέ δοξάζω Πολυέλεε».

Ιστίω τού Σταυρού πτερούμενος, διεπέρασας αχειμάστως, τό χαλεπόν πέλαγος, τών πειρασμών τού βίου, Μάκαρ πολλούς, κυβερνήσας θαλαττεύοντας, πρός σωτηρίας όρμον θεία χάριτι.

Λαμπτήρας φωταυγείς προβάλλεται, θεία πόλις Κολασσαέων, τόν ιερόν Άρχιππον, Φιλήμονά τε καί Απφίαν σαφώς, καί Ονήσιμον τόν ένδοξον, φωταγωγούντας κόσμου τά πληρώματα.

Ο θείος ποταμός ανέβλυσε, τής καρδίας σου θεορρήμον, καί ποταμούς έστησε, καί ρεύματα τής αθεΐας, ψυχάς εκτακείσας δέ τώ καύσωνι, τής αγνωσίας ήρδευσεν εν χάριτι.

Θεοτοκίον

Υμνώ σε αληθώς Πανύμνητε, υπερύμνητον Θεόν Λόγον, υπερφυώς τέξασαν, καί δέομαι, Τής ταπεινής μου ψυχής, τά νοσήματα θεράπευσον, ως αγαθή υπάρχουσα Θεόνυμφε.

Τής Μάρτυρος

Ράβδος εκ τής ρίζης

Άγγελος φωτός σοι παρεστώς, καί φύλαξ δεδομένος σοι, φωτί σε θείω κατελάμπρυνε, ρυόμενος εκ παντός, εναντίου ένδοξε, άφθορον αγνήν διατηρών τε, ευαρεστούσαν Χριστώ πίστει Κικιλία καί χάριτι.

Θείαις σου πεισθείς ταίς διδαχαίς, ειδώλων τό βαθύτατον, ώ Κικιλία σκότος έλιπε, Βαπτίσματι θεουργώ, προσελθών γηθόμενος, Βαλλεριανός ο γενναιόφρων, καί φωτισθείς τήν ψυχήν, φέγγος μαρτυρίου επήστραψε.

Θάλαμον θαλάμου καθαρόν, ηλλάξω τόν ουράνιον, τού επιγείου αξιάγαστε,

εις όν οικείς εν χαρά, παρθενίας κάλλεσι, καί μαρμαρυγαίς ταίς τής αγνείας, ηγλαϊσμένη φαιδρώς, Μάρτυς Κικιλία Θεόνυμφε.

Θεοτοκίον

Ράβδος σε Παρθένε Ααρών, ανίκμως εκβλαστήσασα, προεξεικόνισεν ανθήσασαν, τόν φυτουργόν τού παντός, όν δυσώπει πάντοτε, πάντων ευσεβών ταίς διανοίαις, τόν φόβον τόν εαυτού, Δέσποινα φυτεύσαι Πανάμωμε.

Τών Αποστόλων

Ωδή ε'

«Ο τού φωτός χορηγός, καί τών αιώνων ποιητής Κύριος, εν τώ φωτί τών προσταγμάτων, οδήγησον ημάς, εκτός σου γάρ άλλον, Θεόν ου γινώσκομεν».

Νενοσηκότας ορών, τή σηπεδόνι τών δεινών ένδοξε, τώ δραστικώ λόγω σου ιάσω, Φιλήμον τής ποτέ, ειδωλομανίας, σφοδρώς κινδυνεύοντας.

Τάς ουρανίους οδούς, τοίς πλανηθείσι χαλαπώς έδειξας, ως απλανής οδηγός Φιλήμον, καί μόνην τήν οδόν, Χριστόν αγαπήσαι, οσίως ωδήγησας.

Άγει φαιδράν εορτήν, Κολασσαέων η σεπτή σήμερον, περιχαρώς Χριστού Εκκλησία, τόν θείον Άρχιππον, καί τόν θεηγόρον, τιμώσα Φιλήμονα.

Θεοτοκίον

Δέσποινα σώσον ημάς, χειμαζομένους χαλεπώ κλύδωνι, τών πειρασμών καί τών ανημέρων, Βαρβάρων εκδρομαίς, καί ταίς τών Δαιμόνων, δειναίς επιθέσεσιν.

Τής Μάρτυρος

Θεός ών ειρήνης

Λουτρόν σου τό θείον, Βαλλεριανέ, εκζητούντος ωράθη σοι Άγγελος, τόν νούν καί τήν καρδίαν σου, φωτίζων ιερών, λογίων αναπτύξει, καί πείθων ουρανίαις, συναφθήναι χορείαις, επί τής γής αγωνισάμενον.

Τηρούσι παρθένον, καί σώμα καί νούν, συνδουμένοις τε θείω εν Πνεύματι, στεφάνους ορατούς υμίν, απέστειλε Χριστός, εκ ρόδων ηδυπνόων, αυτού γάρ ευωδία, καί τής πίστεως όντως, Πανευκλεέστατοι γεγόνατε.

Δυσώδη Τιβούρτιε, πλάνην λιπών, αντελάβου οσμής θείας γνώσεως, καί τρίβον τήν απάγουσαν, ζωήν πρός αληθή, προθύμως επορεύθης, πιστεύσας ολοψύχως, τή Τριάδι καί ταύτης, υπεραθλήσας προθυμότατα.

Θεοτοκίον

Αγίων Αγγέλων, Παρθένε αγνή, υπερέχουσα ώφθης κυήσασα, βουλής μεγάλης Άγγελον, Θεόν Εμμανουήλ, βροτούς επουρανίους, αυτού τή

καταβάσει, εργαζόμενον Κόρη, δι' ευσπλαγχνίαν αδιήγητον.

Τών Αποστόλων

Ωδή ς'

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, εκ φθοράς ο Θεός με ανάγαγε».

Ουρανός ώφθης πάσι φθεγγόμενος, δόξαν τήν σωτήριον, τού σέ δοξάσαντος, καί Μαθηταίς συντάξαντος, Εβδομήκοντα Μάκαρ πανόλβιε.

Ξενωθείς τής πατρίδος τώ ξένω σου, λόγω ξενωθέντας, Θεού εσαγήνευσας, καί τής Σιων οικήτορας, Ιεράρχα Φιλήμον ανέδειξας.

Αρεταίς ιεραίς απαστράπτουσα, καί περιφανώς τόν Θεόν θεραπεύσασα, πρός ουρανούς ανέδραμες, συν Αγγέλοις Απφία χορεύουσα.

Θεοτοκίον

Σωματούται ο Λόγος εν μήτρα σου, καί δι ευσπλαγχνίαν, γνωρίζεται άνθρωπος, ίνα Θεόν τόν άνθρωπον, απεργάσηται Κόρη πανάμωμε.

Τής Μάρτυρος

Σπλάγχνων Ιωνάν

Χείρας πρός Θεόν, προθύμως επάπαντες, τούς ειδωλικούς ναούς κατέρραξαν, καί συνέτριψαν, καί βυθώ απωλείας παρέπεμψαν, τών δαιμόνων τάς επάρσεις οι στερρότατοι νίκης, όθεν εκομίσαντο, ευπρεπή καί φαιδρά διαδήματα.

Άρνες λογικοί, υπάρχοντες άγιοι, θηρίων ορμάς ουκ επτοήθητε, ουκ ενείματε, αλογώτατον σέβας τοίς δαίμοσιν, ού θυσίαν προσηνέγκατε ολέθριον, μάλλον, εαυτούς δέ θύματα, καθαρά τώ Θεώπροσηγάγετε.

Πόθος σε Θεού, καί έρως εγκάρδιος, καί θεία στοργή, όλην ανέφλεξε, καί ειργάσατο, μετά σώματος Ένδοξε Άγγελον, υποκλίνεις γάρ αυχένα προθυμότατα, ξίφει, καί τήν γήν τοίς αίμασι, ψυχή τόν αέρα ηγίασας.

Θεοτοκίον

Εστη μέχρι σού, Παρθένε ο θάνατος, ζωήν γάρ Χριστόν εκυοφόρησας, τόν δωρούμενον, καθαρώς εις αυτόν τοίς πιστεύουσι, τήν αθάνατον καί θείαν αγαλλίασιν τούτον, Παναγία αίτησαι, λυτρωθήναι κινδύνων τούς δούλους σου.

Ο Ειρμός

«Σπλάγχνων Ιωνάν, έμβρυον απήμεσεν, ενάλιος θήρ, οίον εδέξατο, τή Παρθένω δέ, ενοικήσας ο Λόγος καί σάρκα λαβών, διελήλυθε φυλάξας αδιάφθορον, ής γάρ ουχ υπέστη ρεύσεως, τήν τεκούσαν κατέσχεν απήμαντον».

## Κοντάκιον τής Αγίας Κικιλίας
Ήχος δ'
Ο υψωθείς εν τώ Σταυρώ

Τήν νυμφευθείσαν, τώ Χριστώ εκουσίως, καί στολισθείσαν, αρεταίς τήν καρδίαν, θεοπρεπώς υμνήσωμεν Πιστών η πληθύς, αύτη γάρ κατήσχυνεν, Αλμακίου τό θράσος, λάμψασα ως ήλιος, μέσον τών εκζητούντων, καί μετά ταύτα ώφθη τοίς εν γή, στήριγμα θείον, τήν πίστιν κρατύνασα.

Ο Οίκος

Αρχή ελπίδος αγαθής, εδόθη τοίς Αγίοις εξαίρετα τό πράττειν, κατάπληκτα μεγάλα, άπερ καί θαύματα, εστί θαυμάζεσθαι αξίως, μεθ' ών καί τήν τής παρθένου Κικιλίας αρετήν, καί άσπιλον λαμπρότητα, πώς απεκδυσαμένη, τόν άρχοντα έφυγε τού σκότους, καί δραμούσα πρός τήν πάλην τού εχθρού, έστη ερρωμένη απτοήτως, καί ημείς τού θαύματος τούτου γεγονότα αληθή πράγματα, φώμενπώς διά Χριστόν, επτέρνισε τόν Βελίαρ, τήν πίστιν κρατύνασα.

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΒ' τού αυτού μηνός, Μνήμη τών Αγίων Αποστόλων εκ τών Εβδομήκοντα, Φιλήμονος, Αρχίππου, Απφίας καί Ονησίμου, μαθητών γεγονότων Παύλου τού Αποστόλου.

Στίχοι

Χριστού καλούντος, ώφθητε δρόμω ξένω,
Χριστού μαθηταί, δραμόντες πρός τήν κλήσιν.
Εικάδι δευτερίη, Φιλήμονα ένθεν άειραν.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Κικιλίας, Βαλλεριανού, καί Τιβουρτίου.

Στίχοι

Λουτρού φέρεις έκκαυσιν, ώ Κικιλία,
Λούη δέ λουτρόν αίματος διά ξίφους.
Βαλλεριανόν καί συναθλητήν άμα
Κτείνει ξίφος, βάλλοντας ύβρεσι πλάνην.

Τή αυτή ημέρα, μνήμη τών Αγίων Μαρτύρων Μάρκου, Στεφάνου, καί ετέρου Μάρκου.

Στίχοι

Τμηθείς ξίφει Στέφανε σύν Μάρκοις δύω,
Πολλούς σύν αυτοίς τούς στεφάνους λαμβάνεις.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Προκοπίου τού εν Παλαιστίνη.

Στίχοι

Πρός τήν τομήν ώρμησεν οία πρός πάλην,
Καί Προκόπιος θρέμμα τής Παλαιστίνης.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Μενίγνου τού κναφέως.

Στίχοι

Κάραν, κναφεύ Μένιγνε, τμηθείς εκ ξίφους,
Κνάπτεις σεαυτόν, κάν ρύπους είχες, πλύνη.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Αββά.

Στίχοι

Αββάν, τόν εκτύτωμα όντα Αββάδων,
Τιμώ πρεπόντως, ως τεκνίων Πατέρα.

Τή αυτή ημέρα, οι Άγιοι Χριστοφόρος καί Εύφημία ξίφει τελειούνται.

Στίχοι

Τήν Ευφημίαν σοί συνευφημείν έγνων,
Σοί συσφαγείσαν, χριστόφρον Χριστοφόρε.

Τή αυτή ημέρα, οι Άγιοι θαλλέλαιος καί Άνθιμος ξίφει τελειούνται.

Στίχοι

θαλλέλαιος Άνθιμος εκτετμημένοι,
Αειθαλώς ανθούσιν ως θεία ξύλα.

Τή αυτή ημέρα, ο Όσιος Κάλλιστος εν ειρήνη τελειούται.

Στίχοι

Κάλλιστος εχθρόν τόν κάκιστον πτερνίσας,
Φίλος Θεώ πρόσεισιν εκλελεγμένος.

Τή αυτή ημέρα, ο Άγιος θαδδαίος, εν τροχώ δεθείς, καί κατά πρανούς αφεθείς, τελειούται.

Στίχοι

Κατά πρανούς θαδδαίον ο τροχός στρέφει.
Φωνή δέ βροντής εν τροχώ, ψαλμός λέγει.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Αγαπίωνος, Σισινίου Ιερομάρτυρος, καί Αγαπίου.

Στίχοι

Απήλθε, θηρσί μή βλαβείς Αγαπίων.
Τούτον γάρ ηγάπησε καί θηρών φύσις
Είχες θύτην με νύν δέ, καί θύμα ξένον,
Έχεις με Σισίνιον, εκ ξίφους Λόγε.
Υπέρ Θεού, ταθέντος εν τώ Κρανίω,
Ξίφει σόν Αγάπιε τείνεις κρανίον.

Ταίς τών σών αγίων πρεσβείαις, ο Θεός ελέησον ημάς. Αμήν.

Τών Αποστόλων

Ωδή ζ’

«Εικόνος χρυσής, εν πεδίω Δεηρά λατρευσμένης, οι τρείς σου Παίδες κατεφρόνησαν, αθεωτάτου προστάγματος, μέσον δέ πυρός εμβληθέντες, δροσιζόμενοι έψαλλον, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών».

Ωραίοι οι σοί, εχρημάτισαν σεπτοί Φιλήμον πόδες, τρίβους συντόνως βηματίσαντες, Ευαγγελίου καί άπασι, τοίς πολεμηθείσιν ειρήνην, ιεράν καταγγέλλοντες, καί τών δαιμόνων τάς ορμάς υποσκελίσαντες.

Σών λόγων φωτί, τών Γαζαίων τό βαρύ σκότος ηλάθη, ιερουργός γάρ ιερώτατος, εν τούτοις γέγονας άριστα, τούς πάντας ποιμάνας καί μέλπειν, εκδιδάξας Απόστολε, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Εν πρώτοις τών σών, εκοινώνησε καλών Γαζαίων πόλις, αυτής γάρ ώφθης καί πρωτόθρονος, καί ιεράρχης σωτήριος, ως ιεροφάντης Φιλήμον, εκβοάν προτρετόμενος, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Φιλήσας Χριστόν, τόν φιλήσαντα βροτούς δι’ ευσπλαγχνίαν, τούς τή φιλία τού αλάστορος, μεμισημένους τυγχάνοντας, φίλους απειργάσω Φιλήμον, τού Θεού αναμέλποντας, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Ισχύς ταπεινών, καί λυχνία φωτεινή καί θεία τράπεζα, όρος καί πύλη αδιόδευτος, θρόνος Θεού καί παλάτιον, ράβδος Ααρών τε καί στάμνος, χρυσαυγίζουσα πέφυκας, Χριστόν τό μάννα τής ζωής, Παρθένε φέρουσα.

Τής Μάρτυρος

Οι Παίδες ευσεβεία

Τήν κάμινον εις δρόσον Νεανίαι, ευσεβώς μετέβαλον, δροσιζομένη δέ λουτρώ, Κικιλία τού Βαπτίσματος, τό φλογίζον τού λουτρού έφερες ψάλλουσα, ο τών πατέρων, Θεός ευλογητός εί.

Τιβούρτιος τήν πλάνην απλανέσι, διδαχαίς σου Πάνσοφε, καταλιπών, θείαν στολήν, αφθαρσίας επενδύεται, καί Χριστού τοίς Αθληταίς συναριθμείται βοών, ο τών Πατέρων, Θεός ευλογητός εί.

Τριαδικόν

Τρισήλιον ακτίνα υπερθέου, Αθληταί θεότητος ομολογούντες ευσεβώς, τήν πολύθεον σκοτόμαιναν, εσκεδάσατε φωστήρες χρηματίσαντες, φωταγωγούντες, Πιστών τάς διανοίας.

Θεοτοκίον

Τό Χαίρέ σοι βοώμεν κυησάση, τήν χαράν Πανάχραντε, καί τής αράς πάντας ημάς, ρυσαμένη μεσιτεία σου, απειρόγαμε αγνή τούς αναμέλποντας, ο τών Πατέρων, Θεός ευλογητός εί.

Τών Αποστόλων

Ωδή η’

«Τόν εν καμίνω τού πυρός, εν Βαβυλώνι τους Παίδας τών Εβραίων, διασώσαντα Θεόν, ιερείς ευλογείτε, λαός υπερυψούτε, αυτόν εις τούς αιώνας».

Λόγον ως λύχνον φαεινόν, επανάπτοντα, τή σή καρδία φέρων, τούς τό πρίν εσβεσμένους, καί εν σκοτία πολλή, κειμένους αγνωσίας Ένδοξε, πρός θεογνωσίας εξήγειρας ημέραν.

Η ιερά σου πρός Θεόν, εκδημία ιεραίς εμεγαλύνθη, προπομπαίς Αποστόλων, καί ασωμάτων Νόων, ών έσχες εν γή τό πολίτευμα, ως ιερομύστης, Φιλήμον θεηγόρε.

Μύρον ηδύπνοον σαφώς, αποστάξας ιερών θαυμάτων μάκαρ, ευωδίασας φρένας, καί λογισμούς ευσεβείς, καί πάθη δυσώδη απήλασας, τών υπερυψούντων, Χριστόν σοφέ Φιλήμον.

Οία αστέρες φαεινοί, στερεώματι αεί τής Εκκλησίας, διαπρέπουσιν άμα, Άρχιππος ο θαυμαστός, Απφία, Φιλήμων, Ονήσιμος, καί τάς διανοίας, ημών φωταγωγούσι.

Θεοτοκίον

Νέος Παράδεισος ημίν, η γαστήρ σου αληθώς Αγνή ωράθη, ζωής ξύλον βλαστάνων, καί τούς θανέντας καρπώ, τού ξύλου πάλιν πρός Παράδεισον, ζωοποιηθέντας, εισάγων Θεοτόκε.

Τής Μάρτυρος

Θαύματος υπερφυούς

Θείαις επομβρήσεσι τών σών θαυμάτων, τών παθών ημών ρύπον εκπλύνεις, τούς τακέντας καύσωνι, αλγηδόνων Μάρτυς σεμνή, αναψύχεις, Κικιλία παναοίδιμε, βοώντας εν πίστει καί κραυγάζοντας, Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τους αιώνας.

Ζεούση τή προθυμία γενναιόφρον, τήν παφλάζουσαν εισήλθες φλόγα, ουκ εφλέχθης όλως δέ, αλλ’ εξήλθες ως εκ λουτρού, αφθαρσίας Κικιλία αναμέλπουσα, Χριστώ τώ τών όλων βασιλεύοντι, Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Θείου Βαλλεριανού τήν καρτερίαν, Κατεπλάγησαν Αγγέλων δήμοι, ραβδισμοίς γάρ πάντοθεν, καί νιφάσι τών αικισμών, πιεζόμενος υπέφερε στερρότατα, συντρίβων εχθρούς καί μέλπων άριστα, Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Στάμνον σε τό μάννα κεκτημένην, καί τής θεότητος έγνωμεν Κόρη, κιβωτόν

καί τράπεζαν, καί λυχνίαν θρόνον Θεού, καί παλάτιον καί γέφυραν μετάγουσαν, πρός θείαν ζωήν τούς αναμέλποντας, Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

### Ο Ειρμός

«Θαύματος υπερφυούς η δροσοβόλος, εξεικόνισε κάμινος τύπον, ου γάρ ούς εδέξατο φλέγει Νέους, ως ουδέ πύρ τής θεότητος, Παρθένου ήν υπέδυ νηδύν, Διό ανυμνούντες αναμέλψωμεν, Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας».

## Τών Αποστόλων

### Ωδή θ’

«Τόν εκ Θεού Θεόν Λόγον, τόν αρρήτω σοφία, ήκοντα καινουργήσαι τόν Αδάμ, βρώσει φθορά πεπτωκότα δεινώς, εξ αγίας Παρθένου, αφράστως σαρκωθέντα δι’ ημάς, οι Πιστοί ομοφρόνως, εν ύμνοις μεγαλύνομεν»,

Ιερωτάτη χορεία, ιερών Αποστόλων, εμπρέπων κατοικείς τούς ουρανούς, θεία μεθέξει Θεούμενος, καί φωτί απαστράπτων, αρρήτω καί χαράς πνευματικής, Ιεράρχα Φιλήμον, διηνεκώς πληρούμενος.

Ως θαυμαστός σου ο Τρόπος! ώς καλός ώς ωραίος ο βίος! ώς περίδοξος η σή, κοίμησις μάκαρ Απόστολε! ώς φαιδρά η ημέραι εν ή απολιπών τά επί γής, ουρανίων αψίδων, επέβης αγαλλόμενος.

Σήμερον τέρπεται πάσα, η Χριστού Εκκλησία, εόρτιον χαράν πνευματικώς, συστησαμένη τή μνήμη σου, ήν ακλόνητον σώζε, ταίς σαίς πρός τόν Σωτήρα καί Θεόν, ευπροσδέκτοις Πρεσβείαις, Φιλήμον Ιερώτατε.

Η τών λειψάνων σου θήκη, ιαμάτων σταγόνας, εκβλύζει τοίς φοιτώσιν ιερώς, μάκαρ Φιλήμον Απόστολε, καί νοσήματα παύει, καί πάντων αγιάζει τάς ψυχάς, τών τήν θείαν σου μνήμην, εορταζόντων πάντοτε.

### Θεοτοκίον

Φέρεις τόν φέροντα πάντα, καί τόν τρέφοντα τρέφεις, τόν τρόπον τής λοχείας, ουδαμώς επισταμένη Πανάμωμε, υπέρ νούν σου τό θαύμα, Αγγέλους καταπλήττον καί βροτούς, τούς ειδότας σε μόνην, Παρθένον Θεομήτορα.

## Τής Μάρτυρος

### Τύπον τής αγνής

Κήπος κεκλεισμένος πέφυκας, πηγή εσφραγισμένη, κάλλος απόθετον, νύμφη εκλεκτή, φωτοειδές ενδιαίτημα, ευανθής Τε καί θείος Παράδεισος, θεόφρον Κικιλία, τού Βασιλέως τών Δυνάμεων.

Όρμον γαληνόν εφθάσατε, τής ευσεβείας φόρτον ελλιμενίσαντες, καί μαρμαρυγαίς, τής Τρισηλίου θεότητος, καταυγάζεσθε θέσει Θεούμενοι,

γενναίοι Αθλοφόροι, πανευκλεείς θεομακάριστοι.

Τριαδικόν

Νέμοις τοίς Πιστώς αιτούσί σε, Πάτερ Υιέ καί Πνεύμα, Τριάς αμέριστε, θείον φωτισμόν, αμαρτιών τε τήν λύτρωσιν, τών σοφών σου Μαρτύρων εντεύξεσιν, ίνα σε κατά χρέος, ακαταπαύστως μεγαλύνωμεν.

Θεοτοκίον

Φέγγος αστραπής τού τόκου σου, η απωσθείσα φύσις, ημών Πανάμωμε, είδε καί νυκτός, εξ αγνωσίας λελύτρωται, καί παθών τής σκοτώδους συγχύσεως, διό σε ως αιτίαν, τής σωτηρίας ημών σέβομεν.

Ο Ειρμός

«Τύπον τής αγνής λοχείας σου, πυρπολουμένη βάτος έδειξεν άφλεκτος, καί νύν καθ’ ημών, τών πειρασμών αγριαίνουσαν, κατασβέσαι αιτούμεν τήν κάμινον, ίνα σε Θεοτόκε, ακαταπαύστως μεγαλύνωμεν».

Εξαποστειλάριον τών Αγίων

Τοίς Μαθηταίς συνέλθωμεν

Απόστολοι δεικνύμενοι, καί αυτόπται τού Λόγου, Άρχιππε Ιερώτατε, σύν Απφία Φιλήμον, καί Κικιλία Μάρτυσι, ικεσίαν τώ Κτίστη, υπέρ ημών προσάγετε, τών τελούντων εν πίστει τήν ιεράν υμών μνήμην, λύσιν λαβείν πταισμάτων, υμάς γάρ προβαλλόμεθα, πρέσβεις πρός τόν Δεσπότην.

Καί τής Εορτής

Εν πνεύματι τώ Ιερώ

Η δάμαλις η άμωμος, η πανάγαθος Κόρη, εν τώ ναώ εισάγεται, σήμερον παραδόξως, καί ταύτης προπορεύονται, Ασωμάτων τάγματα, καί τών Αγγέλων οι δήμοι, μετά πλήθους παρθένων, ήν ο θείος Ιερεύς, ενηγκαλίσατο χαίρων.

Εις τούς Αίνους, ιστώμεν Στίχους ς’ καί ψάλλομεν Στιχηρά Προσόμοια τών Αποστόλων τρία, δευτερούντες τό πρώτον.

Ως γενναίον εν Μάρτυσιν

Ο τής δόξης σε ήλιος, Ιησούς ο Θεός ημών, εις τού κόσμου άπαντα τά πληρώματα, ώσπερ ακτίνα πολύφωτον, Φιλήμον Απόστολε, επαφήκε τήν αχλύν, τής κακίας ελαύνουσαν, καί φωτίζουσαν, σκοτισθείσας καρδίας αγνωσία, καί παθών επικρατεία, ιεροκήρυξ πανόλβιε.

Καθαρόν ενδιαίτημα, τής Τριάδος γεγένησαι, αρετών λαμπρότητι ωραϊσασα, τήν σήν καρδίαν αοίδιμε, Απφία καί λάμψασα, ευσεβείας φωτισμόν, τού ηλίου φαιδρότερον, μυηθείσά τε, πάσαν μύησιν θείαν, διά τούτο, τώ χορώ τών Ασωμάτων, συνεπαγάλλη θεόληπτε.

Σύν τώ θείω Φιλήμονι, ευφημήσωμεν Άρχιππον, τόν ιεροκήρυκα, καί Ονήσιμον, ως ιεράρχας θεόφρονας, μεγίστους ως Μάρτυρας, Αποστόλων τούς σοφούς, καί τής άνω λαμπρότητος, συμμετέχοντας, καί τώ θρόνω τής δόξης παρεστώτας, καί ημίν εξαιτουμένους, αμαρτημάτων συγχώρησιν.

Δόξα... καί νύν...
Ήχος δ’ Τής Εορτής

Σήμερον ο θεοχώρητος ναός, η Θεοτόκος εν ναώ Κυρίου προσάγεται, καί Ζαχαρίας ταύτην υποδέχεται, Σήμερον τά τών Αγίων, Άγια αγάλλονται, καί ο χορός τών Αγγέλων μυστικώς πανηγυρίζει, μεθ’ ών καί ημείς εορτάζοντες σήμερον, σύν τώ Γαβριήλ εκβοήσωμεν, Χαίρε Κεχαριτωμένη, ο Κύριος μετά σού, ο έχων τό μέγα έλεος.

Εις τόν Στίχον τών Αίνων, Στιχηρά Προσόμοια.

Τής Εορτής
Ήχος β’ Οίκος τού Εφραθά

Ένδον τού ιερού, Αγίαν τών Αγίων, τήν Θεοτόκον ούσαν, ώ Ζαχαρία δέχου, Αγίων εις τά Άγια.

Στίχ. Απενεχθήσονται τώ Βασιλεί.

Ρίζης μέν εκ Δαυϊδ, εβλάστησας Παρθένε, Γαβριήλ δέ τό Χαίρε, κομίζων σοι εβόα, Θεόν δή τέξη Πάναγνε.

Στίχ. Απενεχθήσονται εν ευφροσύνη.

Εύγε τής ιεράς, καί θείας ξυνωρίδος, Ιωακείμ καί Άννης, υφ’ ών Αγνή τεχθείσα, προσήχθης νύν τώ Κτίστη σου.

Δόξα... καί νύν… Όμοιον

Φώς σε τό τριλαμπές, αυγάσαν Θεοτόκε, εν τώ ναώ τής δόξης, ουράνιον τροφήν σοι, εκπέμπει μεγαλύνον σε.

Καί η λοιπή Ακολουθία τού Όρθρου, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΓ’ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών εν Αγίοις Πατέρων ημών Αμφιλοχίου Επισκόπου Ικονίου, καί Γρηγορίου τού Ακραγαντίνων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις το, Κύριε εκέκραξα, ιστώμεν Στίχ. ς’ καί ψάλλομεν Στιχηρά Προσόμοια.

Τού Αγίου Αμφιλοχίου Ήχος δ’
Έδωκας σημείωσιν

Γνώμην αυτεξούσιον, καί λογισμόν αυτοκράτορα, τών παθών κληρωσάμενος, τώ κρείττονι δέδωκας, νουνεχώς παμμάκαρ, τήν ηγεμονίαν, κατά τού χείρονος ζυγώ, δικαιοτάτω Πάτερ χρησάμενος. εντεύθεν επιτήδειος, πρός

θεοπτίαν γεγένησαι, καί Θεού κατανόησιν, ιεράρχα θεόπνευσε.

Βρόχους διεσκέδασας, καί τάς ενέδρας διέλυσας, τών αιρέσεων Όσιε, δογμάτων ορθότητι, καί θεολογία, τή ακριβεστάτη, καί τήν διαίρεσιν φυγών, καί την κακίστην Πάτερ συναίρεσιν, εν όροις δέ διέμεινας, τής ευσεβούς ημών Πίστεως καί Τριάδα εκήρυξας, εν Μονάδι θεότητος.

Τέχνη σοφισάμενος, τόν επί γής βασιλεύοντα, τόν εκείνου παρέδραμες, υιόν απροσκυνήτον, συνετώς διδάσκων, ώς απροσκυνήτου παρορωμένου τού Υιού, αγανακτήσει Πατήρ θερμότατα, ο τούτον προαιώνιον, εκτετοκώς υπέρ έννοιαν, απαθή καί ασώματον, ώς αυτός οίδεν Όσιε.

Καί τού αγίου Γρηγορίου

Ήχος πλ. δ'

Ώ τού παραδόξου θαύματος

Πάτερ Ιερέ Γρηγόριε, από σπαργάνων Θεώ, ανετέθης κολλώμενος, ανενδότοις νεύσεσι, τώ τά πάντα ποιήσαντι, καί δή πρός τούτου, καταλαμπόμενος, παθών διέβης, νύκτα καί ήστραψας, φέγγος ιάσεων, καί θαυμάτων χάριτας, αποσοβών, ποικίλα νοσήματα, καί πλάνης πνεύματα.

Πάτερ θαυμαστέ Γρηγόριε, φωτοφανείαις τόν νούν, καθαρώς αστραπτόμενος, τών παθών εκοίμισας, πολυκύμαντον θάλασσαν, καί απαθείας, περιϊπτάμενος, καθαρωτάταις, πτέρυξιν έφθασας, ένθα τό άφραστον, κάλλος καί αμήχανον, υπέρ ημών, πάντοτε δεόμενος, τών ευφημούντων σε.

Πάτερ Πατέρων Γρηγόριε, ιερωσύνης κανών, σωφροσύνης εικόνισμα, Μοναζόντων στήριγμα, Εκκλησίας εδραίωμα, αγάπης λύχνος, θρόνος αισθήσεως, πηγή θαυμάτων, καί γλώσσα πύρινος, στόμα ηδύλαλον, σκεύος θείου Πνεύματος, καί νοητός, γέγονας Παράδεισος, θεομακάριστε.

Δόξα... Καί νύν...

Τής Εορτής Ήχος δ'

Δεύτε πάντες οι πιστοί, τήν μόνην αμώμητον εγκωμιάσωμεν, τήν εκ τών Προφητών προκηρυχθείσαν, καί εν ναώ προσενεχθείσαν, τήν πρό αιώνων προορισθείσαν Μητέρα, καί επ' εσχάτων τών χρόνων αναδειχθείσαν Θεοτόκον, Κύριε πρεσβείαις αυτής, τήν ειρήνην σου παράσχου ημίν, καί τό μέγα έλεος.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια τής Εορτής.

Ήχος α' Τών ουρανίων ταγμάτων

Απενεχθήσονται φάσκει ο Θεοπάτωρ Δαυϊδ, τώ Βασιλεί παρθένοι, εν Ναώ τού Κυρίου, οπίσω σου Παρθένε μετά φαιδρών, τών λαμπάδων χορεύουσαι, καί εις τά Άγια φέρουσαί σε Αγνή, ως αγίαν κιβωτόν τού Θεού.

Στίχ. Απενεχθήσονται τώ Βασιλεί.

Καθάπερ άνθη ποικίλα περιδρεψάμενοι, εκ νοητών λειμώνων, τών τού Πνεύματος λόγων, επαίνων τούς στεφάνους χαρμονικώς, τή Παρθένω συμπλέξωμεν, καί μεθεόρτιον τούτους δώρον αυτή, επαξίως προσκομίσωμεν.

Στίχ. Απενεχθήσονται εν ευφροσύνη.

Εξανοιγέσθω η πύλη τού θειοτάτου ναού, καί εισδεχέσθω ένδον, τήν ουράνιον πύλην, καί πανηγυριζέτω φύσις βροτών, καί σκιρτάτωσαν Άγγελοι, συνεορτάζοντες άμα φαιδρώς ημίν, τής Θεομήτορος τήν Είσοδον.

Δόξα… Καί νύν… Ήχος πλ. α’

Επέλαμψεν ημέρα χαρμόσυνος, καί εορτή πανσεβάσμιος, Σήμερον γάρ η πρό τόκου Παρθένος, καί μετά τόκον Παρθένος μείνασα, εν ναώ Αγίω προσάγεται, καί χαίρει Ζαχαρίας ο Πρέσβυς, ο γενέτης τού Προδρόμου, καί βοά γηθοσύνως, Ήγγικεν η προστασία τών θλιβομένων, εν Ναώ αγίω ως Αγία, αφιερωθήναι εις κατοίκησιν τού Παντάνακτος, Ευφραινέσθω Ιωακείμ ο Προπάτωρ, καί η Άννα αγαλλιάσθω, ότι προσήνεγκαν Θεώ, ως τριετίζουσαν δάμαλιν, τήν άμωμον Δέσποιναν, Μητέρες συγχάρητε, Παρθένοι σκιρτήσατε, καί στείραι συγχορεύσατε, ότι ηνέωξεν ημίν τήν ουρανών βασιλείαν, η προορισθείσα παντάνασσα, Χαίρετε λαοί καί αγαλλιάσθε.

Απολυτίκιον τών Αγίων Ήχος δ’

Ο Θεός τών Πατέρων ημών, Ο ποιών αεί μεθ’ ημών, κατά τήν σήν επιείκειαν, μή αποστήσης τό έλεός σου αφ’ ημών, αλλά ταίς αυτών ικεσίαις, εν ειρήνη κυβέρνησον τήν ζωήν ημών.

Δόξα… Καί νύν…

Τής Εορτής Ήχος δ’

Σήμερον τής ευδοκίας Θεού τό προοίμιον, καί τής τών ανθρώπων σωτηρίας η προκήρυξις, εν Ναώ τού Θεού τρανώς η Παρθένος δείκνυται, καί τόν Χριστόν τοίς πάσι προκαταγγέλλεται, Αυτή καί ημείς μεγαλοφώνως βοήσωμεν, Χαίρε τής οικονομίας τού Κτίστου η εκπλήρωσις.

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α’ Στιχολογίαν, Κάθισμα

Ήχος α’ Τόν τάφον σου Σωτήρ

Δικαίων ο καρπός, Ιωακείμ καί τής Άννης, προσφέρεται Θεώ, ιερώ εν αγίω, σαρκί νηπιάζουσα, η τροφός τής ζωής ημών, ήν ευλόγησεν, ο ιερός Ζαχαρίας, ταύτην άπαντες, ώς τού Κυρίου Μητέρα, πιστώς μακαρίσωμεν.

Μετά τήν β’ Στιχολογίαν, Κάθισμα

Ήχος δ’ Κατεπλάγη Ιωσήφ

Πρό συλλήψεως Αγνή, καθηγιάσθης τώ Θεώ, καί τεχθείσα επί γής, δώρον

προσήχθης νύν αυτώ, αποπληρούσα πατρώαν επαγγελίαν, τώ θείω δέ Ναώ, ώς θείος όντως ναός, εκ βρέφους καθαρώς, μετά λαμπάδων φαιδρών, αποδοθείσα ώφθης δοχείον, τού απροσίτου καί θείου Φωτός, Μεγάλη όντως, η πρόοδός σου, μόνη Θεόνυμφε καί αειπάρθενε.

Είτα λέγονται οι Κανόνες, είς τής Εορτής, καί τών Αγίων οι παρόντες δύο.

Ο Κανών τού Αγίου Αμφιλοχίου, ου η Ακροστιχίς.

Τόν τήν πλάνην λοχώντα μέλπω ποιμένα. Ποίημα Θεοφάνους.

Ωδή α’ Ήχος δ’

«Θαλάσσης το ερυθραίον πέλαγος αβρόχοις ίχνεσιν, ο παλαιός πεζεύσας Ισραήλ, σταυροτύποις Μωσέως χερσί, τού Αμαλήκ τήν δύναμιν, εν τή ερήμω ετροπώσατο».

Τούς λόγους τών δυσσεβών αιρέσεων, καί τά φρυάγματα, ορθοδοξίας αίγλη λαμπρυνθείς, ευμαρώς διεσκέδασας, εν ή τούς σέ γεραίροντας, Ιεροφάντα περιφρούρησον.

Ο πάντων τήν σωτηρίαν Κύριος, αεί βουλόμενος, τής ιεράς σε ποίμνης οδηγόν, ιεράρχα προβάλλεται, λόγω καί βίω λάμποντα, διαφερόντως θεασάμενος.

Νομίμως υπεραθλείν ελόμενος, τής Εκκλησίας Χριστού, τή παντευχία Πάτερ τού Σταυρού, σεαυτόν περιέφραξας, καί νικητής τή χάριτι, καί στεφανίτης αναδέδειξαι.

Θεοτοκίον

Τόν Λόγον τόν τώ Πατρί συνάναρχον, καί συναΐδιον, καί τής αυτής ουσίας καί μορφής τώ τεκόντι υπάρχοντα, σεσαρκωμένον τέτοκας, ανερμηνεύτως Απειρόγαμε.

Ο Κανών τού Αγίου Γρηγορίου, φέρων Ακροστιχίδα ταύτην,

Τόν θαυματουργόν Γρηγόριον θαυμάσω. Ιωσήφ.

Ωδή α’ Ήχος πλ. δ’

«Τώ συντρίψαντι πολέμους, εν βραχίονι αυτού, καί διαβιβάσαντι, τόν Ισραήλ εν Ερυθρά θαλάσση, άσωμεν αυτώ, ώς Λυτρωτή ημών, ότι δεδόξασται».

Ταίς τού Πνεύματος ακτίσι, πυρσευόμενος τόν νούν, Ιερέ Γρηγόριε, καί φωταυγής αστήρ γεγενημένος, όλον με καταύγασον πρεσβείαις σου, όπως υμνήσω σε.

Ο προγνώστης τών απάντων, χαριτώσας σου τόν νούν, θεοσδότοις λάμψεσιν, από σπαργάνων σε καθαγιάζει, θείαις αρεταίς εμπρέπειν μέλλοντα, Πάτερ καί θαύμασιν.

Νυσταγμόν από βλεφάρων, ραθυμίας εκβαλών, λύχνος εγρηγόρσεως, καθωράθης θεοφόρε δείξας, πράγματι τήν κλήσίν σου Γρηγόριε, επαληθεύουσαν.

Θεοτοκίον

Θεοτόκον σε Κυρίως, αληθώς ομολογώ, τέτοκας γάρ Κύριον, ανερμηνεύτως εν δυσίν ουσίαις, άχραντε Παρθένε καί θελήσεσι, κατανοούμενον.

## Τού Αγ. Αμφιλοχίου

Ωδή γ'

«Ευφραίνεται επί σοί, Εκκλησία σου Χριστέ κράζουσα, Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

Η θεία καί φωταυγής, τών σών δογμάτων λαμπηδών έσβεσε, τήν δυσσεβή φάλαγγα, τών αιρετικών Αμφιλόχιε.

Ναμάτων ζωοποιών, ώς ποταμος ών εκ Θεού έμπλεως, Αρχιερεύς γέγονας, οίς οι ευσεβείς αρδευόμεθα.

Πλουσίαις μαρμαρυγαίς, καταλαμπόμενοι τόν νούν ήστραψας, τήν μυστικήν Όσιε, τών σών διδαγμάτων ευπρέπειαν.

Θεοτοκίον

Λυχνίαν σε φωτεινήν, καί ψυχοτρόφον αληθώς τράπεζαν, καί κιβωτόν Πάναγνε, πάντες οι πιστοί καταγγέλλομεν.

## Τού Αγίου Γρηγορίου

Εστερεώθη η καρδία μου

Τόν δι' αυτόν σου προσδεξάμενος Πάτερ κόπον, ο Κτίστης γέροντι στοιχειοί σε, εν ερήμω σέ μυούντα Γρηγόριε, απάσης Γραφής σαφήνειαν.

Όλην εφέλκων εβδομάδα άσιτος Πάτερ, ετρέφου βρώσει επουρανίω, σών δακρύων νιφετοίς ποτιζόμενος, καί θείως ενηδυνόμενος.

Υπό Θεού σοι Ιεράρχα χύμα καρδίας εδόθη, έβλυσας γάρ πλουσίως, διδαγμάτων καθαρώτατα νάματα, καρδίας πιστών αρδεύοντα.

Θεοτοκίον

Ρήσις Κηρύκων θεηγόρων απεπληρώθη, ιδού γάρ έτεκεν η Παρθένος, νέον βρέφος τού Αδάμ παλαιότερον, καί σύνθρονον τού Γεννήτορος.

Ο Ειρμός

«Εστερεώθη η καρδία μου εν Κυρίω, υψώθη κέρας μου εν Θεώ μου,

επλατύνθη επ' εχθρούς μου τό στόμα μου, ευφράνθην εν σωτηρίω σου».

Κοντάκιον τού Αγίου Αμφιλοχίου
Ήχος β' Τά άνω ζητών

Η θεία βροντή, η σάλπιγξ η τού Πνεύματος, πιστών φυτουργέ, καί πέλεκυς τών αιρέσεων, Ιεράρχα, Αμφιλόχιε, τής Τριάδος θεράπον μέγιστε, σύν Αγγέλοις πέλων αεί, πρεσβεύων μή παύση υπέρ πάντων ημών.

Κάθισμα τού αυτού Ήχος δ'
Ταχύ προκατάλαβε

Λαμπρύνεις τά πέατα, εν τή σή μνήμη σοφέ, τό σώμα εκβλύζει σου, τών ιαμάτων πηγάς, Αμφιλόχιε ένδοξε, όθεν καί ασθενείας, απαλλάττεις παντοίας, πίστει τούς προσιόντας, τώ σεπτώ σου τεμένει, καί νύν πταισμάτων τήν λύσιν, αίτησαι πάσιν ημίν.

Δόξα... Τού Αγίου Γρηγορίου
Ήχος πλ. δ'
Τήν Σοφίαν καί Λόγον

Εκ σπαργάνων Κυρίω ανατεθείς, ως ο πάλαι πανένδοξος Σαμουήλ, ωσαύτως καλούντός σε, τού Σωτήρος ακήκοας, καί ψυχήν καθάρας, καλών επιδόσεσιν, ιερωσύνης χάριν, αξίως απείληφας, όθεν επί χλόην, επιγνώσεως θείας, ποιμάνας τό ποίμνιον, ιαμάτων απήστραψας, ενεργείας Γρηγόριε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν Αγίαν μνήμην σου.

Καί νύν... Τής Εορτής
Ήχος ο αυτός
Τό Προσταχθέν μυστικώς

Αγαλλιάσθω ο Δαυίδ ο Υμνογράφος, καί χορευέτω Ιωακείμ σύν τή Άννη, ότι γόνος άγιος εξ αυτών προήλθε, Μαρία η φωτοφόρος θεία λαμπάς, καί χαίρει εισερχομένη εν τώ Ναώ, ήν καί βλέπων ευλόγησεν, ο Βαραχίου υιός, καί χαίρων ανεκραύγαζε, Χαίρε θαύμα παγκόσμιον.

Τού Αγ. Αμφιλοχίου

Ωδή δ'

«Επαρθέντα σε ιδούσα η Εκκλησία, επί Σταυρού τόν Ήλιον τής δικαιοσύνης, έστη εν τή τάξει αυτής, εικότως κραυγάζουσα, Δόξα τή δυνάμει σου Κύριε».

Αμφιλοχίου τού θείου καί θεηγόρου, τήν ιεράν πανήγυριν θεόφρονες δεύτε, πίστει συγκροτήσωμεν, τοίς τούτου διδάγμασι, καί θεολογίαις νευρούμενοι.

Νυμφαγωγός θεοφόρε τής Εκκλησίας, τής εν Χριστώ γενόμενος, τώ κάλλει τών λόγων, ταύτην κατεκόσμησας, καί τή ωραιότητι, τής ορθοδοξίας εφαίδρυνας.

Η θεολόγος σου γλώσσα καί θεηγόρος, τής αρχικής Τριάδος τό μονόσεπτον

κράτος, πάσι διετράνωσε, καί μίαν θεότητα, σέβειν εν τρισίν Υποστάσεσι.

Θεοτοκίον

Νέαν σκηνήν σε Παρθένε κατανοούμεν, καί καθαρόν αγίασμα τού πάντων Δεσπότου, τούτον γάρ εγέννησας, σαρκί καθ' υπόστασιν, συνδεδραμηκότα Πανάμωμε.

Τού Αγίου Γρηγορίου

Ακήκοα Κύριε

Γή ώς καλή ήνθησας, εκατοστεύοντα Πάτερ στάχυν, καί τή δρεπάνη τών σών διδαχών εξέτεμες, αιρετικών δόγματα δυσσεβή, Συνόδου πρόμαχος οφθείς, Όσιε Γρηγόριε.

Ουράνιος ψήφός σε, Αρχιερέα Θεού θεράπον, αποδεικνύει καλώς, οδηγείν τό ποίμνιον, όπερ εκτήσατο αίματι Χριστός, ο προειδώς σου τής ψυχής, μάκαρ τήν λαμπρότητα.

Ναός Θεού γέγονας, κεκαθαρμένος παθών κηλίδος, καί εν ναώ ιερώ παρεστώς, τού Πνεύματος τήν επιφοίτησιν, δέδεξαι σαφώς, είδει σεμνής περιστεράς, Χριστού δοξάσαντος.

Θεοτοκίον

Γένος βροτών σέσωσται, τή υπέρ νούν σου κυοφορία, καί οι εν σκότει φθοράς, Παναγία Δέσποινα, είδον τό φώς τό εκλάμψαν εκ γαστρός, σού τής αιτίας τής ημών, Κόρη αναπλάσεως.

Τού Αγ. Αμφιλοχίου

Ωδή ε'

«Σύ Κύριέ μου φώς, εις τόν κόσμον ελήλυθας, φώς άγιον επιστρέφον, εκ ζοφώδους αγνείας, τούς πίστει ανυμνούντάς σε».

Λαμπόμενος φωτί, Τρισηλίου θεότητος, εκάθισας επί θρόνου, τής Αρχιεεωσύνης, θεόφρον, Αμφιλόχιε.

Ολόκληρον σαυτόν, τώ Θεώ καθιέρωσας, καί γέγονας θεοκήρυξ, μεγαλόφωνος Πάτερ, παμμάκαρ Αμφιλόχιε.

Χαρμόσυνος ημίν, εορτή καί πανίερος, εφέστηκεν η τού θείου, καί σοφού Διδασκάλου, τόν κόσμον αγιαζουσα.

Θεοτοκίον

Ω πάντων τών Πιστών, ευπρεπές εγκαλλώπισμα, πανάχραντε Θεομήτορ, τής ψυχής μου τόν ρύπον, απόπλυνον πρεσβείαις σου.

Τού Αγ. Γρηγορίου

Τόν ζόφον τής ψυχής μου

Ρήματί σου καθαίρεις, ειδεχθούς ασθενείας λελεπρωμένον ποτέ, τόν προσελθόντα σοι πίστει, θεόθεν γάρ εδέξω, χάριν θαυμάτων σοφέ, ώς Ελισαίος ο θείος, θεόφρον Γρηγόριε.

Η νέωξας ευχή σου, μογιλάλου στόμα καί ώτα Γρηγόριε, τών ιαμάτων παμμάκαρ, ενέργειαν πλουτήσας, καί εξηρεύξω βυθόν θεολογίας, θαλάσσας αθέων ξηραίνοντα.

Γεώδους προσπαθείας, καθαρεύσας Πάτερ ώς Πέτρος ο πρόκριτος, τών Αποστόλων σκιά σου, ιάσεις επετέλεις συνεχομένους δειναις, ασθενειών καταιγίσιν, ενθέως ιώμενος.

Θεοτοκίον

Ο κόλπους τούς πατρώους, μή κενώσας εν τώ σαρκούσθαι Πανάμωμε, σού εν κόλποις οράται, κρατούμενος ως βρέφος, όν εξιλέωσαι, τοίς ευσεβώς σε τιμώσι, Παρθένε Θεόνυμφε.

Τού Αγ. Αμφιλοχίου

Ωδή ς’

«Θύσω σοι μετά φωνής, αινέσεως Κύριε, ή Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι’ οίκτον εκ τής πλευράς  σου ρεύσαντι αίματι».

Νεκρώσας, τό τής σαρκός χαμαίζηλον φρόνημα, τής απαθείας τήν χόριν, εστολίσω Πάτερ Ιερομύστα, καί πανάγνοις, διδαχαίς τήν Τριάδα εκήρυξας.

Τώ φόβω, στοιχειωθείς τώ θείω θεόληπτε, καί τήν ψυχήν μολυσμάτων, καθαράν τηρήσας, θεολογίας ανεδείχθης, ιερώτατον όργανον Όσιε.

Θεοτοκίον

Αγνόν σε, καί καθαρόν γινώσκοντες σκήνωμα, τού Βασιλέως τής δόξης, καί ναόν καί θρόνον τού πανυψίστου, δυσωπούμεν, τάς ψυχάς ημών σώσαι Πανύμνητε.

Τού Αγ. Γρηγορίου

Ως τόν Προφήτην ερρύσω

Ρώννυται κόρη το σώμα, παρειμένη εντεύξει σου Όσιε, εν έτεσι πλείοσι, πιστώς προσελθούσά σοι, καί τόν αίτιον, πάντων μεγαλύνει Χριστόν.

Ιχνηλατών τού Δεσπότου, πολιτείαν τήν άμωμον ένδοξε, αδίκως θλιβόμενος, καί συκοφαντούμενος, αταπείνωτος, έμεινας Γρηγόριε.

Οι τή κακία συζώντες, σέ τόν άκακον άρνα ως άγριοι, θήρες διαρπάζοντες, φρουρά κατεδίκασαν, τόν φρουρούμενον, Πάτερ θεία χαριτι.

Θεοτοκίον

Νούς εννοήσαι τό μέγα, απορεί τού σού τόκου μυστήριον, Θεόν γάρ εκύησας, άνθρωπον γενόμενον, Αειπάρθενε, τόν απερινόητον.

Ο Ειρμός

«Ως τόν Προφήτην ερρύσω, εκ  βυθού κατωτάτου, Χριστέ ο Θεός, καμέ τών πταισμάτων μου, ρύσαι ως φιλάνθρωπος, καί κυβέρνησον τήν ζωήν μου δέομαι».

Κοντάκιον τού Αγίου Γρηγορίου

Ήχος γ'  Η Παρθένος σήμερον

Ώσπερ μέγας ήλιος, ανατολαίς τών θαυμάτων, καταυγάζεις άπασαν, τήν τού Θεού Εκκλησίαν, έσωσας ταίς σαίς πρεσβείαις πολλούς ανθρώπους, ήλασας τούς κακοδόξους εκ τής σής ποίμνης, διά τούτό σε Τιμώμεν, θεόφρον Πάτερ, σοφέ Γρηγόριε.

Συναξάριον

Τή ΚΓ' τού αυτού μηνός, Μνήμη τού εν Αγίοις Πατρός ημών Αμφιλοχίου, Επισκόπου Ικονίου.

Στίχοι

Σταλείς Αμφιλόχιε νεκρών αμφίοις,
Λόχους σκεδάζεις καί νεκρός νοουμένους.
Εικάδι εν τριτάτη θάνατος λάβεν Αμφιλόχιον.

Τή αυτή ημέρα, Μνήμη τού εν Αγίοις Πατρός ημών Γρηγορίου, Επισκόπου τής, Ακραγαντίνων Εκκλησίας.

Στίχοι

Εξ Ακραγάντων πρός Θεόν χωρείς Λόγον,
Τόν άκρα γής κρίνοντα, παμμάκαρ Πάτερ.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου πατρός ημών Σισινίου τού Μάρτυρος.

Στίχοι

Πολλάς υποστάς εν βίω πρώτον βίας,
Μετήλθε Σισίνιος εκ βίας βίου.

Τή αυτή ημέρα, ο Άγιος Επίσκοπος Ισχυρίων εν ειρήνη τελειούται.

Στίχοι

Ζών Ισχυρίων, ισχύς ήν Εκκλησίας,
Ήν περ νοητώς καί θανών ενισχύει.

Τή αυτή ημέρα ο Άγιος Έλενος, Επίσκοπος Ταρσού, εν ειρήνη τελειούται.

Στίχοι

Ταρσού πρόεδρος Έλενος θυηπόλος,
Ταρσοίς άνεισι ψυχικοίς έως πόλου.
Διήγησις οπτασίας Ιωάννου τινός, πάνυ ωφέλιμος.

Ταίς τών αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τού Αγ. Αμφιλοχίου

Ωδή ζ’

«Εν τή καμίνω Αβραμιαίοι παίδες τή Περσική, πόθω ευσεβείας μάλλον ή τή φλογί, πυρπολούμενοι εκραύγαζον, Ευλογημένος εί εν τώ ναώ, τής δόξης σου Κύριε».

Μυστικωτάταις, θεηγορίαις ταίς σαίς προσέχοντες, πόθω τήν Αρείου Πάτερ κατατομήν, τής θεότητος εκφεύγομεν, Τριάδα άκτιστον, ομοούσιον πίστει δοξάζοντες.

Εληλεγμένον, ταίς διδαχαίς σου Μακεδόνιον, Πάτερ καθορώντες Πνεύμα τό αγαθόν, τώ Πατρί τε καί Γεννήματι, συμπροσκυνούμενον, καί συνυπάρχον πίστει δοξάζομεν.

Λόγω τρανώσας, τήν υπέρ λόγον Λόγου σάρκωσιν, σέβειν εν δυσίν ουσίαις Θεόν, θεοφρόνως εξεπαίδευσας, καί τήν διαίρεσιν, καί τήν σύγχυσιν φεύγειν θεόληπτε.

Θεοτοκίον

Πάντες προθύμως, τήν Θεοτόκον ευφημήσωμεν, δεύτε οι σωθέντες πίστει τού εξ αυτής, γεννηθέντος ανακράζοντες, Ευλογημένη συ εν γυναιξίν υπάρχεις Πανάχραντε.

Τού Αγίου Γρηγορίου

Ό δι’ Αγγέλου Παίδας

Θαυματουργεί ο Κτίστης, κρινομένου σου μάκαρ, τό πορνικόν γάρ γύναιον, φορά ληφθέν δαιμόνων, πάσιν εδήλου, καθαρόν σε Γρηγόριε.

Ακτινοβόλοι θείοι, μαθηταί τού Σωτήρος, σοί επιστάντες Όσιε, πεπεδημένον ξύλω, λύουσί σε, περιχαρώς ασπαζόμενοι.

Υπομονή σου Πάτερ, ο Δεσπότης προσέχων, θαυματουργίαις μείζοσι, σέ ιερώς λαμπρύνει, τών νοσημάτων, τήν αχλύν απελαύνοντα.

Θεοτοκίον

Μητροπρεπώς τόν πάντων, απεκύησας Κτίστην, καί εν χερσίν εβάστασας, χερουβικός ως θρόνος, τόν συνοχέα, τού παντός Απειρόγαμε.

Τού Αγίου Αμφιλοχίου

Ωδή η’

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Ωραιώθησαν ασματικώς αι σιαγόνες σου, θεολογούντος τρανώς, Τριάδα άναρχον άκτιστον, ομοούσιον ασύγχυτον, εν υποστάσεσι τρισί, Πάτερ θεόσοφε, ή βοώμεν, Πάντα τά έργα, υμνείτε τόν Κύριον.

Πλούτόν σοι καί δόξαν ακραιφνή, η ενυπόστατος, Σοφία δέδωκε, θεολογήσαντι Πάνσοφε, ευσεβώς καί τών αιρέσεων, καταβαλόντι τήν οφρύν, καί πόθω ψάλλοντι, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ο πάσι παρέχων τήν ζωήν, ως ιεράρχην πιστόν καί θεορρήμονα, εν Εκκλησία σε Όσιε, πρωτοτόκων εισωκίσατο, ιερουργούντα μυστικώς, καί πίστει μέλποντα, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Θεοτοκίον

Ιδού νύν εκλέλοιπε σαφώς, εκ τής Ιούδα φυλής, άρχων ηγούμενος, σύ γάρ Πανάμωμε τέτοκας, ώ τό πρίν ήν αποκείμενον, τήν προσδοκίαν τών εθνών Χριστόν, ώ ψάλλομεν, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Τού Αγίου Γρηγορίου

Ο στεγάζων εν ύδασι

Απολύεται μάστιγος, δαιμονικής φοβεράς, προσευχή σου Μάκαρ, η τή κακία παρανόμων ανδρών, συκοφαντήσασά σε τόν δίκαιον κόρη, καί συνόδου μέσον σε δοξάζει, ο αγωνοθέτης, Χριστός εις τούς αιώνας.

Σκοτεινής αμαυρώσεως, οι πονηρά κατά σού, βουλευθέντες Πάτερ, αποπληρούνται καί εκλάμπει η σή, φωταυγής βίωσις, εναντίον Γρηγόριε Πατέρων, ών τή παρουσία, άνθρακας κατέχων, χερσίν εθαυματούργεις.

Ως αστήρ φαεινότατος, αναφανείς αληθώς, εν τώ ύψει Πάτερ τής Εκκλησίας, καταυγάζεις ημάς, αρεταίς πάντοτε, καί θαυμάτων ακτίσι, τούς υμνούντάς σου τήν φωτοφόρον, μνήμην ιεράρχα, Γρηγόριε θεόφρον.

Θεοτοκίον

Ο παράδοξος τόκος σου, τάς διανοίας ημών, καταπλήττει μόνη ευλογημένη, ο Θεός γάρ εκ σού, σάρκα προσέλαβεν, όπερ ήν, διαμείνας Θεοτόκε, άτρεπτος τή φύσει, όν υπερυψούμεν, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Ο στεγάζων εν ύδασι, τά υπερώ α Χριστέ, ο τιθείς θαλάσση όριον ψάμμον, καί συνέχων τό πάν, σέ υμνεί ήλιος, σέ δοξάζει σελήνη, σοί προσφέρει ύμνον, πάσα η κτίσις τώ Δημιουργώ, καί Κτίστη εις τούς αιώνας».

Τού Αγίου Αμφιλοχίου

Ωδή θ’

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Μίαν τρισυπόστατον φύσιν, πανευσεβώς θεολογήσας, τήν παμβασιλίδα Τριάδα, τήν θεαρχίαν τήν ακατάληπτον, νύν υπ’ αυτής τετίμησαι, ιεροφάντορ Αμφιλόχιε.

Έχων πρός Θεόν παρρησίαν, ως ιεράρχης θεοφόρε, τών τήν ιεράν καί φωσφόρον, τελούντων μνήμην, σού παμμακάριστε, διά παντός μνημονευε, τώ σώ Δεσπότη παριστάμενος.

Νέμοις μοι τήν άφθονον χάριν, τώ τούς επαίνους σοι θεόφρον, πλέξαντι προθύμω καρδία, τήν τών πταισμάτων λύσιν αιτούμενος, ως ιερεύς πιστότατος, Όσιε Πάτερ Αμφιλόχιε.

Θεοτοκίον

Αδάμ μέν απόγονος ώφθης, τού δέ Θεού Μήτηρ εδείχθης, σύ γάρ απ’ αιώνος εφάνης, Αγιωτέρα πάσης τής κτίσεως, ευλογημένη Πάναγνε, διό σε πάντες μεγαλύνομεν.

Τού Αγίου Γρηγορίου

Ευλογητός Κύριος ο Θεός

Ίδε λαμπρά πανήγυρις, ίδε μνήμη Ιερά, ίδε χάρις πάσι, συνελθούσι Πιστοίς, αφθόνως ιάσεις πηγάζουσα, προσέλθωμεν, βρύει γάρ ημίν, η Γρηγορίου θήκη, φωτισμόν αέναον, καί αθανασίαν.

Ως ποταμός πεπλήρωσαι, τών ναμάτων τού Χριστού, ως ελαία έλαιον πηγάζεις ζωής, ως φοίνιξ υψώθης Γρηγόριε, ως άμπελος βότρυας ημίν, τών αρετών σου φέρεις, εξ ών ποτιζόμεθα, οίνον αφθαρσίας.

Συνευφραινέσθω σήμερον, εν τή μνήμη σου ημίν, Ιερέων δήμος, καί Οσίων πληθύς, καί πάντων Αγγέλων τά τάγματα, μεθ’ ών παρεστώς τώ Ποιητή, πεπυρσευμένος Πάτερ, μνήσθητι τών πόθω σε ανυμνολογούντων.

Ηγιασμένον γέγονας, Πάτερ σκήνωμα Χριστού, Εκκλησίας στύλος, καί λιμήν τών πιστών, καί μάχαιρα πλάνην εκτέμνουσα, πηγή ιαμάτων καί βυθός, ενθέων νοημάτων, καί πυρσός ακοίμητος, καί ποιμήν ποιμένων.

Θεοτοκίον

Φώς η τεκούσα άχρονον, τό εκλάμψαν εκ Πατρός, φώτισόν μου Κόρη, τήν ψυχήν καί τόν νούν, μακράν απ’ εμού εκδιώκουσα, τό σκότος Παρθένε τών παθών, ίνα σε μακαρίζω, τήν αειμακάριστον τών πιστών ελπίδα.

Ο Ειρμός

«Ευλογητός Κύριος, ο Θεός τού Ισραήλ, ο εγείρας κέρας σωτηρίας ημίν, εν

οίκω Δαυίδ τού παιδός αυτού, εν οίς επεσκέψατο ημάς, ανατολή εξ ύψους, καί κατεύθυνεν ημάς, εις οδόν ειρήνης».

Εξαποστειλάριον τών Ιεραρχών
Εν πνεύματι τώ Ιερώ

Ως Ιεράρχαι όσιοι, θεοφόροι Ποιμένες, οφθέντες αληθέστατοι, τού αμνού καί Ποιμένος, Αμφιλόχιε όσιε, καί Γρηγόριε μάκαρ, πρεσβεύσατε υπέρ πάντων, τών υμών εκτελούντων, μνήμην ρυσθήναι κινδύνων, ψυχών ομού καί σωμάτων.

Της Εορτής, όμοιον

Τού ιερού σε σήμερον, Θεοτόκε Παρθένε, δέχεται τά ενδότερα, χερσίν Αρχιερέως, εν οίς τριών από χρόνων, έως δύο καί δέκα, διέμεινας τρεφομένη, χειρί θείου Αγγέλου, ως αγία κιβωτός, τού πάντα τεκτηναμένου.

Εις τόν Στίχον τών Αίνων, Στιχηρά Προσόμοια, τής Εορτής.

Ήχος β'
Οίκος τού Εφραθά

Ήρθη τό τού φραγμού, μεσότοιχον τή θεία, τής όντως Θεοτόκου, Εισόδω καί οι κάτω, τοίς άνω νύν συνήφθημεν.

Στίχ. Απενεχθήσονται τώ Βασιλεί.

Ήδον παρθενικαί, χορείαι θείον ύμνον, προπέμπουσαι εν οίκω, Θεού λαμπαδηφόρον τήν μόνην Παναμώμητον.

Στίχ. Απενεχθήσονται εν ευφροσύνη.

Ένδον τού ιερού, Αγίαν τών Αγίων, τήν Θεοτόκον ούσαν, ώ Ζαχαρία δέχου, Αγίων εις τά Άγια.

Δόξα... Καί νύν... Ήχος πλ. β'

Σήμερον τά στίφη τών Πιστών συνελθόντα, πνευματικώς πανηγυρίσωμεν, καί τήν θεόπαιδα Παρθένον καί Θεοτόκον, εν Ναώ Κυρίου προσαγομένην, ευσεβώς ανευφημήσωμεν, τήν προεκλεχθείσαν εκ πασών τών γενεών, εις κατοικητήριον τού παντάνακτος Χριστού, καί Θεού τών όλων, Παρθένοι, λαμπαδηφορούσαι προπορεύεσθε, τής Αειπαρθένου Τιμώσαι, τήν σεβάσμιον πρόοδον, Μητέρες, λύπην πάσαν αποθέμεναι, χαρμονικώς συνακολουθήσατε, υμνούσαι τήν Μητέρα τού Θεού γενομένην, καί τής χαράς τού κόσμου τήν πρόξενον, Άπαντες ούν χαρμονικώς, τό Χαίρε σύν τώ Αγγέλω εκβοήσωμεν τή Κεχαριτωμένη, τή αεί πρεσβευούση, υπέρ τών ψυχών ημών.

Καί η λοιπή τού Όρθρου Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

**ΤΗ ΚΔ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τών Οσίων Πατέρων ημών καί Ιερομαρτύρων, Κλήμεντος Ρώμης, καί Πέτρου Αλεξανδρείας.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις το, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τού Αγίου Κλήμεντος.

Ήχος β' Ότε, εκ τού ξύλου σε

Κλήμα τής αμπέλου τής ζωής, Πάτερ πεφυκώς Ιεράρχα, ωραίους ήνεγκας, βότρυας εν πνεύματι, δογμάτων πάνσοφε, αποστάζοντας πάντοτε, σωτήριον οίνον, θείας επιγνώσεως, καί κατευφραίνοντας, πάντων ευσεβών τάς καρδίας, τών ειλικρινώς σε τιμώντων, Κλήμη θεοφόρε παμμακάριστε.

Πέτρου, Κορυφαίου μαθητής, Πάτερ γεγονώς επί πέτραν, τούτου εδόμησας, λίθον ώσπερ τίμιον, σαυτόν πανεύφημε, καί μοχλεύσει τών λόγων σου, κατέστρεψας πάσαν, δόμησιν πολύθεον, ναούς δέ ήγειρας, θείους εις τιμήν τής Τριάδος, μάκαρ υπέρ ής ηγωνίσω, καί τού μαρτυρίου στέφος είληφας.

Ώσπερ, φωτοβόλος εκ δυσμών, ήλιος ανέτειλας Πάτερ, καταλαμπρύνων τήν γήν, αίγλη τών δογμάτων σου, καί τών στιγμάτων φαιδρώς, επιφθάσας δέ μέρεσιν, Εώας τρισμάκαρ, έδυς θανατούμενος, καί εξανέτειλας, Κλήμη πρός Χριστόν ταίς εκείθεν, λάμψεσι πλουσίαις απαύστως, θείαν κατά μέθεξιν λαμπόμενος.

Τού Αγίου Πέτρου

Ήχος α' Των ουρανίων ταγμάτων

Υπερουσίου Τριάδος τό ομοούσιον, διεκδικών Παμμάκαρ, ως ακτίστου Μονάδος, Άρειον καθείλες, δείξας ημίν, τού Υιού τό αμέριστον, ως τής αυτής ενυπάρχοντος τώ Πατρί, καί τώ Πνεύματι θεότητος.

Τών διωκόντων επαύθη, η μιαιφόνος ορμή, η τών αιμάτων χύσις, νύν εις φρούδον κατέστη, άμφω σφραγισθέντα, Πέτρε σοφέ, τώ ιερώ μαρτυρίω σου, ως τού παιδός Μωϋσέως έστη ρυέν, τή ψηφίδι τής Σεπφώρας ποτέ.

Ποιμαντικώς διαπρέψας, Ιερομάρτυς Χριστού, μαρτυρικούς αγώνας, επεδείξω γενναίως, έν δι' αμφοτέρων στέφος λαβών, εκατέροις κοσμούμενος, ιερωσύνη καί πόνοις αθλητικοίς, διό πρέσβευε σωθήναι ημάς.

Δόξα... Ήχος πλ. β'

Τού Αγίου Κλήμεντος

Τής τών παθών οχλήσεως απασχολήσας τόν νούν, περί τήν γνώσιν τών όντων, ιερώτατε Κλήμη, ασχολείσθαι πεποίηκας, διό σε τό κυρίως καί πρώτως Όν, επί ταύτην είλκυσε, διά Πέτρου τού τών Αποστόλων εξάρχοντος, ός σε τά θεία μεμύηκε, καί αυτού διάδοχον καταλέλοιπεν άξιον, Μεθ' όν τήν

Εκκλησίαν πάνσοφε, καλώς διαγαγών, μαρτυρικώ τέλει πρός αυτόν, εξεδήμησας, οία Θεός, Θεώ τώ όντι ακραιφνώς συγγινόμενος, ού τής Θεώσεως, καί ημάς ακαταπαύστως τυχείν καθικέτευε, Ιερομάρτυς Απόστολε.

Καί νύν… Τής Εορτής

Ήχος πλ. δ'

Μετά τό τεχθήναί σε, Θεόνυμφε Δέσποινα, παρεγένου εν Ναώ Κυρίου, τού ανατραφήναι εις τά Αγια τών Αγίων, ως ηγιασμένη, Τότε καί Γαβριήλ απεστάλη πρός σέ τήν Πανάμωμον, τροφήν κομίζων σοι, Τά ουράνια πάντα εξέστησαν, ορώντα τό Πνεύμα τό Άγιον εν σοί σκηνώσαν, Διό άσπιλε αμόλυντε, η εν ουρανώ καί επί γής δοξαζομένη, Μήτηρ Θεού, σώζε τό γένος ημών.

Εις τόν Στίχον. Στιχηρά τής Εορτής Προσόμοια.

Ήχος α'

Τών ουρανίων ταγμάτων

Δεύτε φιλέορτοι πάντες, ύμνοις τιμήσωμεν, τήν μόνην Θεοτόκον, τήν αγνήν καί Παρθένον, Παρθένοι γηθοσύνως, λαμπάσι φαιδραίς, τήν Παρθένον καί άχραντον, εν τώ Ναώ εισαχθείσαν τού Ποιητού, γηθοσύνως λιτανεύσατε.

Στίχ. Απενεχθήσονται τώ Βασιλεί.

Διανοιγέσθωσαν πύλαι, πιστώς εισδέξασθε, Παρθένοι λαμπαδούχοι, εις ναόν αφιχθείσαν, τήν άχραντον Μητέρα, καί πάντων χαράν, τού Θεού ημών κράζουσαι, Ευλογημένη υπάρχεις εν γυναιξί, Θεοτόκε αειπάρθενε.

Στίχ. Απενεχθήσονται εν ευφροσύνη.

Επαγγελίας αγίας, καί ο καρπός ευκλεής, η Θεοτόκος όντως, ανεδείχθη τώ κόσμω, ως πάντων υπερτέρα, ή ευσεβώς, προσαγομένη εν οίκω Θεού, τήν προσευχήν τών τεκόντων αποπληροί, συντηρουμένη θείω Πνεύματι.

Δόξα… Τού Αγίου Πέτρου

Ήχος δ' Ανατολίου

Χειρί Θεού χρισθείς εις ιερέα, τού Κορυφαίου συνώνυμε, καί έργοις συμμέτοχε, τά λογικά πρόβατα, τοίς ευαγγελικοίς εξέθρεψας λειμώσιν, ως σοφός καί αληθινός Ποιμήν, καί Μάρκου διάδοχος, αξίως αναδειχθείς, τώ αθλητικώ αίματι, τόν τής πίστεως δρόμον ετέλεσας, τού λαού προθυόμενος καί Χριστώ συμμορφούμενος, Πρέσβευε υπέρ τών ψυχών ημών.

Καί νύν…

Τής Εορτής Ήχος πλ. δ'

Ο Δαυϊδ προανεφώνει σοι Άχραντε, προορών τήν αφιέρωσιν τής εισόδου σου εν τώ Ναώ, εν ώ τά πέρατα σήμερον εορτάζοντα, δοξολογούσί σε πανύμνητε, η γάρ πρό τόκου Παρθένος, καί μετά τόκον μείνασα άφθορος, Μήτηρ τού Λόγου τής ζωής, σήμερον εισέρχη εν τώ Ναώ, Ο Ζαχαρίας ευφραίνεται, απολαβών σε Δέσποινα, καί τά Άγια τών Αγίων αγάλλοντι, υποδεξάμενά σε

τήν τροφόν τής ζωής ημών, Διό καί ημείς εν ωδαίς εκβοώμέν σοι, Υπέρ ημών δυσώπησον, τόν Υιόν σου καί Θεόν ημών, δωρηθήναι ημίν τό μέγα έλεος.

Απολυτίκιον τών Αγίων

Ο Θεός τών Πατέρων ημών, ο ποιών αεί μεθ' ημών, κατά τήν σήν επιείκιαν, μή αποστήσης τό έλεός σου αφ' ημών, αλλά ταίς αυτών ικεσίαις, εν ειρήνη κυβέρνησον τήν ζωήν ημών.

Δόξα… Καί νύν…

Τής Εορτής  Ήχος δ'

Σήμερον τής ευδοκίας Θεού τό προοίμιον, καί τής τών ανθρώπων σωτηρίας η προκήρυξις, εν Ναώ τού Θεού τρανώς η Παρθένος δείκνυται, καί τόν Χριστόν τοίς πάσι προκαταγγέλλεται, Αυτή καί ημείς μεγαλοφώνως βοήσωμεν, Χαίρε τής οικονομίας τού Κτίστου η εκπλήρωσις.

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν, Κάθισμα

Ήχος δ'  Επεφάνης σήμερον

Ευφροσύνης σήμερον, ή οικουμένη, επληρώθη άπασα, εν τή ευσήμω Εορτή, τής Θεοτόκου κραυγάζουσα, Αύτη υπάρχει, σκηνή επουράνιος.

Μετά τήν β' Στιχολογίαν. Κάθισμα

Ήχος δ'  Κατεπλάγη Ιωσήφ

Η αμίαντος αμνάς, καί ακηλίδωτος παστάς, εν τώ οίκω τού Θεού, η Θεοτόκος Μαριάμ, μετ' ευφροσύνης εισάγεται παραδόξως, ήν Άγγελοι Θεού, δορυφορούσι λαμπρώς καί πάντες οι Πιστοί, μακαριούσιν αεί, καί ευχαρίστως ψάλλουσι τάυτη, ακαταπαύστως μεγάλη φωνή, Ημών η δόξα, καί σωτηρία, σύ υπάρχεις Πανάχραντε.

Μετά ταύτα ψάλλομεν ένα κανόνα τής Εορτής, καί τών Αγίων τους παρόντας δύο.

Ο Κανών τού Αγίου Κλήμεντος, ού η Ακροστιχίς.

Θείας σε Κλήμα Μάρτυς αμπέλου σέβω. Ιωσήφ.

Ωδή α'  Ήχος δ'

«Ανοίξω τό στόμα μου, καί πληρωθήσεται Πνεύματος, καί Λόγον ερεύξομαι τή Βασιλίδι Μητρί, καί οφθήσομαι, φαιδρώς πανηγυρίζων, καί άσω γηθόμενος, ταύτης τά θαύματα».

Θρόνω παριστάμενος, τής Τρισηλίου θεότητος, καί θείαις λαμπόμενος, Πάτερ

λαμπρότησι, τήν ζοφώδη μου, καταύγασον καρδίαν, όπως τήν φωσφόρον σου, υμνήσω κοίμησιν.

Εις βάθη τού Πνεύματος, μετά τού πνεύματος Όσιε, οσίως ενέκυψας, καί κατενόησας, ώς εχώρησας, τόν ακαταληψία' νοούμενον, Κύριον, Μακαριώτατε.

Ιστίω πτερούμενος, τώ τού Σταυρού διεπέρασας, τού βίου τό πέλαγος, Μάρτυς πανάριστε, καί τόν άεύδιον, κατέλαβες λιμένα, της άνω λαμπρότητος, Κλήμη πανεύφημε.

Θεοτοκίον

Αγίασον Δέσποινα, τήν Ταπεινήν μου διάνοιαν, η τόν υπερούσιον, Λόγον κυήσασα, καί υπάρχουσα, πασών αγιωτέρα, τών άνω Δυνάμεων, Θεοχαρίτωτε.

Ο Κανών τού Αγίου Πέτρου, ού η Ακροστιχίς (άνευ τών Θεοτοκίων).

Εγκωμιάζω τόν τρισόλβιον Πέτρον. Θεοφάνους.

Ωδήα' Ήχος πλ. δ'

«Άσωμεν τώ Κυρίω πάντες λαοί, τώ εν θαλάσση Ερυθρά, τόν Φαραώ βυθίσαντι, ωδήν επινίκιον, ότι δεδόξασται».

Εν τοίς φωτεινοτάτοις, τήν διαγωγήν έχων σκηνώμασι, φωτισμόν μοι παράσχου, ταίς πρεσβείαις σου Πέτρε πανόλβιε.

Γνώσει μεμυημένος, καί ιερωσύνη λαμ πρυνόμενος, παμμακάριστε Πέτρε, τώ Χριστώ προσηνέχθης δι' αίματος.

Κόσμος πεποικιλμένος, καί πολυτελές ώσπερ ανάθημα, τή σεπτή Εκκλησία, πρός Θεού εδωρήθης Μακάριε.

Θεοτοκίον

Άχραντε Θεοτόκε, η σεσαρκωμένον τόν αϊδιον, καί υπέρθεον Λόγον, υπέρ φύσιν τεκούσα υμνούμεν σε.

Τού Αγίου Κλήμεντος

Ωδή γ'

«Ουκ εν σοφία, καί δυνάμει καί πλούτω καυχώμεθα, αλλ' εν σοί τή τού Πατρός ενυποσάτω σοφία Χριστέ, ου γάρ έστιν άγιος, πλήν σου Φιλάνθρωπε».

Σέ πρός τό φέγγος, τής τού Θεού ωδήγησε γνώσεως, ο τού κόσμου διαυγής, καί καθαρώτατος ήλιος, Πέτρος ο θαυμάσιος, Θεομακάριστε.

Σταγόσι θείων, διδαχών αρδευθείς τήν καρδίαν σου, τών τού Πέτρου ποταμός, ναμάτων πλήρης τού Πνεύματος, Μάρτυς εχρημάτισας, Θεομακάριστε.

Εν χείλεσί σου, εξεχύθη η χάρις τού Πνεύματος, όθεν έβλυσας κρουνούς, θεογνωσίας Αοίδιμε, καί πάσαν κατήρδευσας, τήν Εκκλησίαν Χριστού.

Θεοτοκίον

Κυριοτόκε, η Θεόν απορρήτως κυήσασα, τόν Σωτήρα τού παντός, αυτόν δυσώπει σωθήναί με, πάθεσιν εκάστοτε περιαντλοόμενον.

Τού Αγίου Πέτρου

Ουκ έστιν άγιος

Ανήλθες οχούμενος τώ σώ αίματι, ώς εν άρματι Όσιε, πρός τά ουράνια, ένθα πρόδρομος ημών, Χριστός εισελήλυθεν, ο μόνος αναμάρτητος.

Ζωήν τήν επίκηρον καταλέλοιπας, καί ζωήν τήν ακήρατον εύρες Μακάριε, ένθα στεφανηφόρος χορεύων ικέτευε, σωθήναι τάς ψυχάς ημών.

Ως φοίνιξ εξήνθησας ευφορώτατος, ώς ελαία κατάκαρπος, ώφθης θεόπνευστε, εν αυλαίς τού Κυρίου, ώς σμύρνα καί λίβανος, ως μύρον ευωδέστατον.

Θεοτοκίον

Παρθένος έτεκες απειρόγαμε, καί Παρθένος έμεινας, Μήτηρ απείρανδρε Θεοτόκε Μαρία, Χριστόν τόν Θεόν ημών, ικέτευε τού σωθήναι ημάς.

Ο Ειρμός

«Ουκ έστιν άγιος ως ο Κύριος, καί ουκ έστι δίκαιος, ως ο Θεός ημών, όν υμνεί πάσα κτίσις, ουκ έστι σοι όμοιος, δεδοξασμένε Κύριε».

Κοντάκιον τού Αγίου Πέτρου

Ήχος γ' Η Παρθένος σήμερον

Ορθοδόξοις δόγμασι, τήν ΕΚκλησίαν φαιδρύνας, υπέρ ταύτης ήθλησας, Θεομακάριστε Πέτρε, Άρειον τόν αποστάτην καταδιώξας, όθεν σου τήν παναγίαν μνήμην τελούντες, Ορθοδόξως εκβοώμεν, Χαίροις ώ Πέτρε, η πέτρα τής πίστεως.

Ο Οίκος

Επί τήν θαυμαστήν Αλεξάνδρειαν σπεύδοντες πορευθώμεν τώ νοϊ, καί κατίδωμεν πράγματα μεγάλα καί ξένα εκείσε τελεσθέντα, πώς εις θυσίαν εαυτόν τίθησιν ως πρόβατον άκακον, οι εράρχης καί μέγας πρόβολος Πέτρος, ο νυνί συγκαλεσάμενος ημάς ενταύθα, καί τήν αγίαν κάραν προθέμενος αυτού, καθάπερ έδεσμα σεπτόν, ή τρυφήσαντες νύν, ορθοδόξως αυτώ βοώμεν, Χαίροις ώ Πέτρε, η πέτρα τής πίστεως.

Κάθισμα τού αγίου Κλήμεντος

Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Ως πολύφορον κλήμα επί τής γής, απλωθείς τών βασάνων κατατομή, ωραίους εξήνθησας, αξιάγαστε βότρυας, σωτηρίου γλεύκος, αεί αποστάζοντας, καί καρδίας πάντων, πιστών κατευφραίνοντας, όθεν συνελθόντες, τήν αγίαν σου μνήμην, τελούμεν γηθόμενοι, τόν Χριστόν μεγαλύνοντες, Ιεράρχα πολύαθλε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Τού Αγίου Πέτρου, όμοιον

Εκ τής άνωθεν ψήφου τής τού Χριστού, ηγησάμενος ποίμνης επί νομάς, ευζώους εποίμανας, τών πανσόφων δογμάτων σου, απελάσας Άρειον, ως λύκον ανήμερον, επιβάντα ταύτης, αθέοις διδάγμασιν, όθεν τήν ψυχήν σου δεδωκώς υπέρ ταύτης, ποιμήν ανηγόρευσαι, ως ο Κύριος έφησεν, Ιεράρχα μακάριε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Καί νύν… Τής εορτής

Ήχος δ’ Κατεπλάγη Ιωσήφ

Πρό συλλήψεως Αγνή, καθηγιάσθης τώ Θεώ, καί τεχθείσα επί γής, δώρον προσήχθης νύν αυτώ, αποπληρούσα πατρώαν επαγγελίαν, Τώ θείω δέ Ναώ, ώς θείος όντως ναός, εκ βρέφους καθαρώς, μετά λαμπάδων φαιδρών, αποδοθείσα ώφθης δοχείον, τού απροσίτου καί θείου Φωτός, Μεγάλη όντως η πρόοδός σου, μόνη Θεόνυμφε καί αειπάρθενε.

Τού Αγίου Κλήμεντος

Ωδή δ’

«Ο καθήμενος εν δόξη, επί θρόνου θεότητος, εν νεφέλη κούφη, ήλθεν Ιησούς ο υπέρθεος, τή ακηράτω παλάμη καί διεσωσε, τούς κραυγάζοντας, Δόξα Χριστέ τή δυνάμει σου».

Λαμπρυνθείς σου τήν καρδίαν, ταίς ακτίσι τού Πνεύματος, ευσεβέσι λόγοις, πάντων τάς ψυχάς κατελάμπρυνας, τό τής αγνοίας δέ σκότος τό βαθύτατον, απεδίωξας τών ειδωλομανών Ιερώτατε.

Η κατάκαρπος ως κλήμα, εκβλαστάνει σε άμπελος, Ιησούς Παμμάκαρ, φέρων επιγνώσεως βότρυας, εν τοίς ληνοίς μαρτυρίου οίνον βλύζοντας, τάς καρδίας πάντων, πιστών τόν ευφραίνοντα.

Μεμακάρισαι γνησίως, μαθητεύσας τώ κήρυκι, μεμαθητευμένω, Λόγω μακαρίσαντι Πάνσοφε, τούτον αξίως λαβόντα αποκάλυψιν, εκ Πατρός ουρανίου σαφώς, ως θερμότατον.

Θεοτοκίον

Αναπλάττεις συντριβείσαν, καί φθορά υποκύψασαν, τήν βροτείαν φύσιν, Άχραντε Θεόν σωματώσασα, καί υπέρ φύσιν τεκούσα απειρόγαμε, ώ κραυγάζομεν, Δόξα Χριστέ τή δυνάμει σου.

Τού Αγίου Πέτρου

Εξ όρους κατασκίου
Τήν τών αρετών οδεύων τρίβον Πάτερ, έφθασας μονάς τάς άνω θεοφόρε, ιερωσύνης τώ χρίσματι διαπρέπων, καί μαρτυρίου λάμπων αίματι.

Όμβροις καί κρουνοίς τών σών αιμάτων Μάκαρ, έσβεσας ημίν, τήν κάμινον τής πλάνης, καί διωκόντων ηφάνισας τήν ομίχλην, Ιερομάρτυς αξιάγαστε.

Νέος τις Πέτρος εδείχθης ημίν όντως, αποστολικοίς χαρίσμασιν εκλάμπων, ιερουργός τε καί μάρτυς τών παθημάτων, τών τού Δεσπότου σου Πανόλβιε.

Θεοτοκίον
Χαίροις παρ' ημών αγία Θεοτόκε, Χαίρε η χαράν κυήσασα τώ κόσμω, Χαίρε η μόνη αντίληψις τών ανθρώπων, Χαίρε τό πάντων περιτείχισμα.

Τού Αγ. Κλήμεντος

Ωδή ε'
«Ασεβείς ουκ όψονται τήν δόξαν σου Χριστέ, αλλ' ημείς σε Μονογενές, Πατρικής απαύγασμα δόξης θεότητος, εκ νυκτός ορθρίζοντες, ανυμνούμέν σε Φιλάνθρωπε».

Μαρτυρίου αίματι φοινίξας ιερώς, τήν στολήν σου τήν ιεράν, λαμπροτέραν Ένδοξε, εναπετέλεσας, μεθ' ής εις τά Άγια, τών Αγίων προσεχώρησας.

Αναιμάκτους έθυσας θυσίας τώ Χριστώ, τώ τυθέντι υπέρ ημών, καί τυθείς προσήνεξαι, τούτω ως σφάγιον, καθαρόν καί άμωμον, Αθλητά Θεομακάριστε.

Ρώμης προεδρεύσαντα, ως Πέτρου φοιτητήν, καί τήν ποίμνην τήν ιεράν, ιερώς ποιμάναντα ώ Ιερώτατε, η Σιών η άνω σε, νύν πολίτην προσελάβετο.

Θεοτοκίον
Την αγνήν αγνεύοντι, τιμήσωμεν νοϊ, καλλονήν τήν τού Ιακώβ, ταίς ενθέοις πράξεσι καλλυνόμενοι, ευσεβώς υμνήσωμεν, ώς Μητέρα τού Θεού ημών.

Τού Αγίου Πέτρου

Ορθρίζοντες βοώμέν σοι Κύριε
Τή πέτρα ερεισθείς τή τής πίστεως, Αθλοφόρε, ακλινής διέμεινας, εν πειρασμών περιστάσεσι.

Ρομφαία τή φλογίνη τού Πνεύματος, Ιεράρχα, Άρειον τόν βλάσφημον, τή θεία ψήφω κατέσφαξας.

Ισχύϊ κρατυνόμενος Ένδοξε, τού Σωτήρος, τού εχθρού τήν δύναμιν, καί τήν

ισχυν Κατεπάτησας.

Θεοτοκίον

Κατεύνασον τόν άστατον κλύδωνα, τών παθών μου, η Θεόν κυήσασα, τόν κυβερνήτην καί Κύριον.

Τού Αγίου Κλήμεντος

Ωδή ς'

«Εβόησε, προτυπών τήν ταφήν τήν τριήμερον, ο Προφήτης Ιωνάς, εν τώ κήτει δεόμενος, Εκ φθοράς με ρύσαι, Ιησού Βασιλεύ τών Δυνάμεων».

Υποβάθραν, καί θεμέλιον Πέτρου τά λόγια, κεκτημένος, σεαυτόν εδομήσω ως έμψυχον, τής Τριάδος οίκον, καί ναούς τών ειδώλων κατέρραξας.

Συρόμενος, επί γής ώσπερ λίθος κεκύλισαι, καί τής πλάνης, τό οχύρωμα όλον συνέτριψας, Ιεράρχα Κλήμη, Αθλοφόρε Χριστού γενναιότατε.

Απείληφας, τούς τής νίκης στεφάνους γηθόμενος, ως νικήσας, τοίς αγώσιν εχθρού τά παλαίσματα, Ιερομαρτύρων, ιερόν καί σεπτόν ακροθίνιον.

Θεοτοκίον

Μεμύηται, Ησαϊας τό βάθος τού τόκου σου, καί Παρθένον, εν γαστρί σου εκήρυξεν έχουσαν, τόν δι' ευσπλαγχνίαν, σαρκωθέντα εκ σού Απειρόγαμε.

Τού Αγίου Πέτρου

Χιτώνά μοι παράσχου

Σωφρόνως καί δικαίως τώ Θεώ, σύ πολιτευσάμενος, τέλος μακάριον, παρ' αυτού εκομίσω Παμμακάριστε.

Ολόκληρον θυσίαν καί δεκτήν, σαυτόν προσενήνοχας, Πέτρε θεσπέσιε, τώ θυσίαν διά σέ γενομένω Θεώ.

Λογίων τών τού Πνεύματος πλησθείς, Πνεύματι κινούμενον, όργανον γέγονας, μελωδών Θεοφάντορ τά απόρρητα.

Θεοτοκίον

Ναόν σε τού Θεού καί κιβωτόν, καί παστάδα έμψυχον, καί πύλην ουράνιον, Θεοτόκε οι πιστοί καταγγέλλομεν.

Ο Ειρμός

«Χιτώνά μοι παράσχου φωτεινόν, ο αναβαλλόμενος, φώς ως ιμάτιον, πολυέλεε Χριστέ ο Θεός ημών».

Κοντάκιον τών Αγίων

Ήχος δ' Επεφάνης σήμερον

Εκκλησίας άσειστοι, καί θείοι πύργοι, ευσεβείας ένθεοι, στύλοι ως όντες κραταιοί, Κλήμη σύν Πέτρω πανεύφημοι, υμών πρεσβείαις, φρουρείτε τούς

άπαντας.

Ο Οίκος

Απεριτρέπτω καί στερρά σεπτή ομολογία οι λάμψαντες εν κόσμω, καί φαίνοντες αρρήτως, σήμερον χαίρουσι καλώς, Κλήμης, τό ωραίον όντως κλήμα τού Χριστού, τό τρέφον κόσμον βότρυσι τοίς τής θεογνωσίας, Πέτρος τε, η εδραία καί άθραυστος πέτρα τών δογμάτων τού Σωτήρος, Αμφότεροι τής θείας χάριτος οι λατρευταί, καί μύσται τής αρρήτου σοφίας, καί τής σεπτής Εκκλησίας οι προστάται οι θερμοί, οι βοηθούντες τοίς κάμνουσι παντοίοις δεινοίς, καί σώζοντες τούς βοώντας, Υμών πρεσβείαις, φρουρείτε τούς άπαντας.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΔ' τού αυτού μηνός, Μνήμη τού εν Αγίοις Πατρός ημών Κλήμεντος Επισκόπου Ρώμης.

Στίχοι

Βληθείς ο Κλήμης εις βυθόν σύν αγκύρα,
Πρός Χριστόν ήκει, άγκυραν τήν εσχάτην.

Τή αύτή ημέρα, Μνήμη τού Αγίου Ιερομάρτυρος Πέτρου, Επισκόπου Αλεξανδρείας.

Στίχοι

Άρρηκτος ήν τήν πίστιν ο τμηθείς Πέτρος,
Ός ειδε Χριστού τήν στολήν ερρηγμένην.

Τή αυτή ημέρα, ο Άγυος Μάλχος εν ειρήνη τελειούται.

Στίχοι

Οι ψυχοπομποί συγκατέπτησαν νόες,
Ψυχήν απάξαι Μάλχε τήν σήν Κυρίω.

Τή αυτή ημέρα, ο Όσιος Καρίων εν ειρήνη τελειούται.

Στίχοι

θείς πάντα πόρρω Καρίων ψυχής κάραν,
Ήθλησε νώ νήφοντι μέχρι καί τέλους.

Τή αυτή ημέρα, ο Άγιος Ερμογένης, Επίσκοπος Ακραγαντίνων, εν ειρήνη τελειούται.

Στίχοι

Απάρας Ερμόγενες ανθρώπων γένους,
Κατήσχυνας φρύαγμα δαιμόνων γένους.

Τή αυτή ημέρα, οι Άγιοι Φιλούμενος καί Χριστοφόρος ξίφει τελειούνται.

Στίχοι

Φιλούμενον τέμνουσι καί Χριστοφόρον,
Αυτώ φανέντας πράγματι Χριστού φίλους.

Τή αυτή ημέρα, ο Άγιος Ευγένιος, εν οπή τείχους βληθείς τής εισόδου πηλώ αναφραγείσης, τελειούται.

Στίχοι

Μάτην οπή ως κλείθρα τόν πηλόν φέρεις.
Ευγενίω γάρ πρός Θεόν τρίβος γίνη.

Τή αυτή ημέρα, ο Άγιος Προκόπιος καί Χριστοφόρος ξίφει τελειούνται.

Στίχοι

Ο Προκόπιος «Ως εγώ Χριστοφόρε,
Θού καί σύ, φησίν, εις τομήν τόν αυχένα».

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Αλεξάνδρου τού εν Κορίνθω, καί τού Οσίου Πατρός η μών Γρηγορίου τού εν τή Χρυσή Πέτρα ασκήσαντος, ός ώρμητο εκ τών τής Ανατολής μερών, καί ελθων κατώκησεν εν τή ρηθείση Πέτρα.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Θεοδώρου τού εν Αντιοχεία.

Στίχοι

Δώρον Θεού τέμνουσι Μάκαρ σε ξίφει,
Δώρον Θεώ φέροντα αίμα τραχήλου.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τού Αγίου Κλήμεντος

Ωδή ζ'

«Ουκ ελάτρευσαν τή κτίσει οι θεόφρονες, παρά τόν Κτίσαντα, αλλά πυρός απειλήν, ανδρείως πατήσαντες χαίροντες έψαλλον, Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί».

Πυρακτούμενος τώ ζήλω τώ τής πίστεως, πύρ απετέφρωσας, τής αθεϊας Σοφέ, πιστούς δέ εφώτισας, φόβω κραυγάζοντας, Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Εκ τής Ρώμης τάς αλύσεις περικείμενος, ώσπερ ορμίσκους χρυσούς, διά θαλάσσης αθλών, Χερσώνα κατέλαβες, ένθα διήνυσας, τό μαρτυριον, καί τούς στερρούς αγώνάς σου, τού Χριστού Ιερομύστα.

Λύρα ώφθης τό σωτήριον πανόλβιε, μέλος φωνούσα ημίν, καί καταθέλγουσα, καρδίας πρός ένθεον, τών μελωδούντων πιστώς, Μάρτυς έρωτα, Ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Θεοτοκίον

Ο τοίς πάσι παρεχόμενος βουλήματι, τό είναι Πάναγνε, εκ σού αρχήν χρονικήν, λαμβάνει καί τίκτεται, λύων τά χρόνια, παραπτώματα, τής

συμπεσούσης Άχραντε, τών βροτών ρευστής ουσίας.

Τού Αγίου Πέτρου

Παίδες θεοσεβείς

Βίω θεοπρεπεί λελαμπρυσμένος, καί θείω φωτί καταλαμπόμενος, ουρανίων αδύτων, επέβης γηθόμενος, καί βοών Σοφέ τώ ποιήσαντι, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Ίνα περιφανώς ευαρεστήσης, Χριστώ τώ Θεώ Θεομακάριστε, ταίς χερσί τών ανόμων, σαυτόν παραδέδωκας, εκουσίως ψάλλων πανόλβιε, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Όλος πεφωτισμένος ηξιώθης, ιδείν τόν Χριστόν σοι προμηνύοντα, τόν αυτού τόν χιτώνα, δεινώς διαρρήξαντα, υφαντόν τόν άνωθεν Όσιε, Ευλογητός εκβοών, ο τών Πατέρων Θεός.

Θεοτοκίον

Μήτραν τήν σήν υπέδυ Θεοτόκε, ο ουρανούς οικών καί περιέχων καί εκτρέφεται γάλα, μαζών σου ο τρέφων νύν, πνοήν πάσαν νεύματι, ψάλλουσαν, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Τού Αγίου Κλήμεντος

Ωδή η’

«Λυτρωτά τού παντός παντοδύναμε, τούς εν μέσω φλογός ευσεβήσαντας, συγκαταβάς εδρόσισας, καί εδίδαξας μέλπειν, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον».

Υφαντόν εκ τής άνωθεν χάριτος, απεκδύσει πηλίνου τού σώματος, περιεβάλου ένδοξε, αφθαρσίας χιτώνα, καί εις τά άνω κατοικείς, Ιεράρχα βασίλεια.

Συνετάφη σοι Μάρτυς πολύαθλε, τά κλοιά οίς δεσμούμενος έλυσας, τήν πλάνην τού αλάστορος, Ιεράρχα κραυγάζων, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον.

Εμερίσθη υγρά η αμέριστος, καί οδόν εισιούσιν η άβατος, θαυματουργία κρείττονι, δωρουμένη ωράθη, ένθα τό θείον, Ιεράρχα σού σώμα κατάκειται.

Βυθισθείσαν ψυχήν μου τοίς πάθεσιν, ο βυθόν κατοικήσαι ελόμενος, μετά ταφήν καί νέκρωσιν, επανάγαγε Μάρτυς, ταίς ζωηφόροις, καί σεπταίς καί ενθέοις δεήσεσιν.

Θεοτοκίον

Ωφρικτού καί αρρήτου θεάματος εν γαστρί κατοικεί ο αχώρητος, καί σάρξ ατρέπτως φαίνεται, καί θεοί με δι’ οίκτον, καί τήν τεκούσαν, μετά τόκον

φυλάττει αγνεύουσαν.

Τού Αγίου Πέτρου

Τόν εν όρει, αγίω

Νεμομένην, ανέστειλας τήν λύμην, τής Αρείου, κακίστης βλασφημίας, τής τών Πιστών εκκόψας ομηγύρεως, καί αποδιώξας, τών τής Εκκλησίας, θεόφρον περιβόλων.

Πρωτοστάτης χορού τών Αποστόλων, Πέτρος ώφθη, ο θείος Κορυφαίος, στύλος Μαρτύρων, γέγονας δέ πάνσοφε, Πέτρε θεοφόρε, καί ιερουργός τε, τών θείων μυστηρίων.

Εμυήθης, εκ θείας επιπνοίας, τών μελλόντων, τήν γνώσιν θεορρήμον, καί τήν εκ γής προέγνως σου μετάστασιν, διά μαρτυρίου, πρός τόν εν υψίστοις, Θεόν Πέτρε θεόφρον.

Θεοτοκίον

Μετά τόκον, Παρθένος διαμένεις, ως πρό τόκου, Παρθένε Θεοτόκε, τόν Πλαστουργόν τής κτίσεως γεννήσασα, όθεν σέ υμνούμεν, καί δοξολογούμεν, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Τόν εν όρει, αγίω δοξασθέντα, καί εν βάτω, τόκον τον τής Αειπαρθένου, τώ Μωϋσή μυστήριον γνωρίσαντα, Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Τού Αγίου Κλήμεντος

Ωδή θ’

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν, σε πάντες μεγαλύνομεν».

Ιδού σε χοροί Πατριαρχών συνόμιλον, Κλήμη ένδοξε δεξάμενοι, πόθω αγάλλονται απαύστως, μεθ’ ών συνεπευφραίνονται Μάρτυρες, Απόστολοι Προφήται καί Δίκαιοι, οι απ’ αιώνος αξιάγαστε.

Ωριμόν σε βότρυν τής ζωής προσήγαγε, γεωργία τή τού Πνεύματος, Πέτρος ως κλήμα τής αμπέλου, υπάρχων Ιησού τού Θεού ημών, καί οίνον ευσεβείας απέσταξας, τής αθεϊας μέθην παύοντα.

Σοφίας καί χάριτος πλησθείς ανέβλυσας, διδαγμάτων Πάτερ άβυσσον, καί ιαμάτων θεία ρείθρα, δι’ ών τούς ποταμούς τών παθών ημών, ξηραίνεις επομβρίαις τού Πνεύματος, Κλήμη Μαρτύρων εγκαλλώπισμα.

Η θεοφεγγής καί ιερά καί εύσημος, καί αγία καί περίβλεπτος, καί ευκλεής καί

φωτοφόρος εφέστηκεν η μνήμη σου Ένδοξε, καρδίας καί ψυχάς κατευφραίνουσα, τών κατά χρέος ευφημούντων σε.

Θεοτοκίον

Φέρεις εν αγκάλαις τόν Θεόν ως πύρινος, Παναγία θρόνος άχραντος, φύσιν βροτείαν ειληφότα, καί ταύτη συμπλακέντα καθ' ένωσιν, απόρρητον δι' οίκτον αμέτρητον, όθεν σε πάντες μεγαλύνομεν.

Τού Αγίου Πέτρου

Τόν προδηλωθέντα

Τόν προορισθέντα αγίως ιερατεύειν, καί ιερωσύνης τέλος ευκλεώς ειληφότα, καί Χριστού μιμησάμενον πάθος, Πέτρον τόν θεσπέσιον υμνήσωμεν.

Ράβδω στηριχθέντα δυνάμεως τού Κυρίου, καί ιερουργήσαντα, καί ιερουργηθέντα, καί Χριστώ προσαχθέντα θυσίαν, Πέτρον τόν θεσπέσιον υμνήσωμεν.

Όλη συγκραθέντα τή αίγλη τή τής Τριάδος, καί τώ φανοτάτω ταύτης ενηδόμενον φέγγει, καί ήμίν σωτηρίαν αιτούντα, Πέτρον τόν θεόληπτον υμνήσωμεν.

Νέμοις μοι αφθόνως ψυχής μου τήν σωτηρίαν, ως γάρ ιεράρχης έχεις εξουσίαν τού λύειν, καί δεσμείν τών πταισμάτων ευθύνας, ταίς σαίς ικεσίαις Ιερώτατε.

Θεοτοκίον

Σύ εί Θεοτόκε τά όπλα ημών καί τείχος, σύ εί η αντίληψις τών εις σέ προστρεχόντων, σέ καί νύν εις πρεσβείαν κινούμεν, ίνα λυτρωθώμεν τών εχθρών ημών.

Ο Ειρμός

«Τόν προδηλωθέντα εν όρει τώ Νομοθέτή, εν πυρί καί βάτω τόκον τόν τής Αειπαρθένου, εις ημών τών πιστών σωτηρίαν, ύμνοις ασιγήτοις μεγαλύνωμεν».

Εξαποστειλάριον τών Αγίων

Γυναίκες ακουτίσθητε

Νύν εύσημος επέφανεν, ημίν ημέρα φέρουσα, τούς ευκλεείς διαδόχους, τών ιερών Αποστόλων, Πέτρον άμα καί Κλήμεντα, τούς κήρυκας τής πίστεως, καί αηττήτους Μάρτυρας, ών τήν ετήσιον μνήμην, πιστώς τελέσωμεν πάντες.

Τής Εορτής

Ήν πάλαι προκατήγγειλε, τών Προφητών ο σύλλογος, στάμνον καί ράβδον καί πλάκα καί αλατόμητον όρος, Μαρίαν τήν θεόπαιδα, πιστώς ανευφημήσωμεν, σήμερον γάρ εισάγεται, είς τά Άγια τών Αγίων, ανατραφήναι Κυρίω.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια

τών Αγίων.

Ήχος πλ. α' Χαίροις ασκητικών

Χαίροις τό φωταυγές καί τερπνόν, τού θείου Πνεύματος Σοφέ καταγώγιον, τό κλήμα τό ταίς αρδείαις, ταίς μυστικαίς γεγονός, ευθαλές παμμάκαρ καί πολύφορον, εξ ού εναπέσταξε, διδαγμάτων σωτήριον, γλεύκος ποτίζον, καί ευφραίνον εκάστοτε, τών τιμώντων σε, τάς καρδίας πανόλβιε, Μάρτυς ακαταγώνιστε, ουράνιε άνθρωπε, τής Εκκλησίας ο στύλος, τών ευσεβών τό κραταίωμα, Χριστόν καταπέμψαι, ταίς ψυχαίς ημών δυσώπει, τό μέγα έλεος.

Χαίροις η τών δογμάτων πηγή, ο τών αρρήτων ερμηνεύς γραφικώτατος, η γνώσις τών αποκρύφων, τής Εκκλησίας στερρός, στύλος τε καί βίος απερίτρεπτος, κανών ακριβέστατος, μυστογράφς σοφώτατος, εύστομος γλώσσα, πάσαν αίρεσιν τέμνουσα, ώσπερ μάχαιρα, οξυτάτη καί δίστομος, όργανον τό ηδύφθογγον, ο νούς ο ουράνιος, Κλήμη Μαρτύρων τό κλέος, τών ιεράθλων εδραίωμα, Χριστόν καταπέμψαι, ταίς ψυχαίς ημών δυσώπει, τό μέγα έλεος.

Έχων τόν ευσεβή λογισμόν, διαφερόντως, τών παθών αυτοκράτορα, υπέστης απεριτρέπτως, τήν διά ξίφους πικράν, τελευτήν Παμμάκαρ καί τόν θάνατον, δι' ού τής ενθέου, μακαριότητος έτυχες καί τής γλυκείας, τού Σωτήρος μεθέξεως, καί τερπνότητος, απολαύειν ηξίωσαι, Πέτρε μακαριώτατε, η πέτρα τής πίστεως, κλέος τών θείων Μαρτύρων, ιεραρχών εγκαλλώπισμα, Χριστόν καταπέμψαι, ταίς ψυχαίς ημών δυσώπει, τό μέγα έλεος.

Λάμπων ιερωσύνης στολή, καί μαρτυρίου τώ στεφάνω κοσμούμενος, παρέστης Χριστώ τώ πάντων, Αρχιερεί καί Θεώ, καί αναδειχθέντι πρωτομάρτυρι, διπλούν κομισάμενος, παρ' αυτού καί τό έπαθλον, όν ωμολόγεις, τώ Πατρί ομοούσιον, καί συνάναρχον, τώ τεκόντι καί σύνθρονον, Άρειον τόν δυσώνυμον, εκκόψας πανόλβιε, καί απορρήξας εισάπαν, τής τών πιστών ομηγύρεως, καί νύν εκδυσώπει, Πάτερ κόσμω δωρηθήναι, τό μέγα έλεος.

Δόξα... Καί νύν... Ήχος δ'

Σήμερον ο θεοχώρητος ναός, η Θεοτόκος, εν ναώ Κυρίου προσάγεται, καί Ζαχαρίας ταύτην υποδέχεται, Σήμερον τά τών Αγίων Άγια αγάλλονται, καί ο χορός τών Αγγέλων, μυστικώς πανηγυρίζει, μεθ' ών καί ημείς εορτάζοντες σήμερον, σύν τώ Γαβριηλ εκβοήσωμεν, Χαίρε Κεχαριτωμένη, ο Κύριος μετά σού, ο έχων τό μέγα έλεος.

Εις τόν Στίχον τών Αίνων, Στιχηρά Προσόμοια τής Εορτής.

Ήχος β' Οίκος τού Εφραθά

Φώς σε τό τριλαμπές, ανάψαν Θεοτοκε, εν τώ Ναώ τής δόξης, ουράνιον τροφήν σοι, εκπέμπει μεγαλύνον σε.

Στίχ. Απενεχθήσονταιτώ Βασιλεί.

Ρίζης μέν έκ Δαυϊδ, εβλάστησας Παρθένε, Γαβριήλ δέ τό Χαίρε, κομίζων σοι εβόα, Θεόν δή τέξη πάναγνε.

Στίχ. Απενεχθήσονται εν ευφροσυνη.

Εύγε τής ιεράς, καί θείας ξυνωρίδος, Ιωακείμ καί Άννης, αφ' ών Αγνή τεχθείσα, προσήχθης νύν τώ κτίστη σου.

Δόξα… Καί νύν... Όμοιον

Πύλαι τών ουρανών, εισδέξασθε Παρθένον, Μαρίαν απειράνδρως, Αγνήν τήν Θεοτόκον, εξ ής βροτών η λύτρωσις.

Καί η λοιπή Ακολουθία τού Όρθρου, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΕ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμην επιτελούμεν τής Αγίας Μεγαλομάρτυρος τού Χριστού καί Πανσόφου Αικατερίνης, καί τού Αγίου Μεγαλομάρτυρος Μερκουρίου.

Εν ταύτη τή ημέρα αποδίδοται καί η Εορτή τών Εισοδίων.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Μετά τόν Προοιμιακόν, Στιχολογούμεν τήν α' Στάσιν τού, Μακάριος ανήρ.

Εις το, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν τής Εορτής γ' καί τής Αγίας γ'.

Στιχηρά Προσόμοια τής Εορτής.

Ήχος α'

Ω τού παραδόξου θαύματος

Σήμερον πιστοί χορεύσωμεν, εν ψαλμοίς καί ύμνοις, τώ Κυρίω άδοντες, τιμώντες καί τήν αυτού, ηγιασμένην σκηνήν, τήν έμψυχον κιβωτόν, τήν τόν αχώρητον Λόγον χωρήσασαν, προσφέρεται γάρ Θεώ, υπερφυώς τή σαρκί νηπιάζουσα, καί Αρχιερεύς ο μέγας, Ζαχαρίας δέχεται, ευφραινόμενος ταύτην, ώς Θεού κατοικητήριον.

Σήμερον ναός ο έμψυχος, τής αγίας δόξης, Χριστού τού Θεού ημών, η μόνη εν γυναιξίν, ευλογημένη αγνή, προσφέρεται τώ Ναώ τώ νομικώ κατοικείν εις τά Άγια, καί χαίρουσι σύν αυτή, Ιωακείμ καί η Άννα τώ πνεύματι, καί παρθενικαί χορείαι, τώ Κυρίω άδουσι, ψαλμικώς μελωδούσαι, καί τιμώσαι τήν Μητέρα αυτού.

Σύ τών Προφητών τό κήρυγμα, Αποστόλων δόξα, καί Μαρτύρων καύχημα, καί πάντων τών γηγενών η ανακαίνισις, Παρθένε Μήτηρ Θεού, διά γάρ σού τώ Θεώ κατηλλάγημεν, Διό τιμώμεν τήν σήν, εν τώ ναώ τού Κυρίου προέλευσιν, καί σύν τώ Αγγέλω πάντες, ψαλμικώς τό Χαίρέ σοι, τή πανσέμνω βοώμεν, τή πρεσβεία σου σωζόμενοι.

Τής Αγίας  Ήχος ο αυτός
Τών ούρανίων ταγμάτων

Σήμερον τέρπεται πόλις η Αλεξάνδρεια, τά σπάργανά σου Μάρτυς, εν τώ θείω ναώ σου, κατέχουσα προφρόνως, διό καί ημείς, ευσεβώς εορτάζομεν, Αικατερίνα τήν μνήμην σου τήν σεπτήν, υπερεύχου τών τιμώντων σε.

Αικατερίνης τήν μνήμην νύν εορτάσωμεν, αυτή γάρ όντως πάσας, τού εχθρού τάς δυνάμεις, εν λόγω τε καί έργω, καθείλε στερρώς, καί Ρητόρων τήν ένστασιν, Αλλά δεήσεσι ταύτης ρύσαι ημάς, ο Θεός εκ τών αιρέσεων.

Χαίροις πανένδοξε Μάρτυς Αικατερίνα σεμνή, εν τώ Σινά γάρ όρει, εν ώ είδε τήν βάτον, Μωσής μη φλεγομένην, εν τούτω Χριστός, τό θεάρεστον σκήνός σου, νύν μεταθείς σε φυλάττει έως καιρού, τής δευτέρας παρουσίας αυτού.

Δόξα... Τής Αγίας  Ήχος β’

Χαρμονικώς τή πανηγύρει, τής θεοσόφου Μάρτυρος Αικατερίνης, συνδράμωμεν ώ φιλομάρτυρες, καί ταύτην τοίς επαίνοις, ως άνθεσι καταστέψωμεν, Χαίροις βοώντες αυτή, η τών φληνάφων Ρητόρων, τήν θρασυστομίαν ελέγξασα, ως απαιδευσίας ανάπλεων, καί τούτους πρός πίστιν θείαν χειραγωγήσασα, Χαίροις η τό σώμα πολυπλόκοις βασάνοις εκδούσα, δι’ αγάπην τού Ποιητού σου, καί μή καταβληθείσα, ώς άκμων ανάλωτος, Χαίροις η ταίς άνω μοναίς, αντάξια τών πόνων εισοικισθείσα, καί δόξης αιωνίου κατατρυφήσασα, ής εφιέμενοι οι υμνωδοί σου, τής ελπίδος μή εκπέσοιμεν.

Καί νύν... Τής Εορτής
Ήχος πλ. δ’

Μετά τό τεχθήναί σε, Θεόνυμφε Δέσποινα, παρεγένου εν Ναώ Κυρίου, τού ανατραφήναι εις τά Άγια τών Αγίων, ως ηγιασμένη, Τότε καί Γαβριήλ απεστάλη, πρός σέ τήν πανάμωμον, τροφήν κομίζων σοι, Τά ουράνια πάντα εξέστησαν, ορώντα τό Πνεύμα τό Άγιον εν σοί σκηνώσαν, Διό άσπιλε αμόλυντε, η εν ουρανώ καί επί γής δοξαζομένη, Μήτηρ Θεού, σώζε τό γ ένος ημών.

Είσοδος, τό, Φώς ιλαρόν, Τό Προκείμενον τής ημέρας, καί τά Αναγνώσματα.

Προφητείαις Ησαϊου τό Ανάγνωσμα
(Κεφ. 43, 9-14)

Τάδε λέγει Κύριος, Πάντα τά έθνη συνήχθησαν άμα καί συναχθήσονται

άρχοντες εξ αυτών, Τίς αναγγελεί ταύτα εν αυτοίς; ή τά εξ αρχής, τίς ακουστά ποιήσει ημίν, Αγαγέτωσαν τούς μάρτυρας αυτών, καί δικαιωθήτωσαν, Καί ειπάτωσαν αληθή, Γίνεσθέ μοι μάρτυρες, καί εγώ μάρτυς Κύριος ο Θεός, καί ο παίς, όν εξελεξάμην, ίνα γνώτε καί Πιστεύσητε, καί συνήτε, ότι εγώ ειμι, Εμπροσθέν μου ουκ εγένετο άλλος Θεός, καί μετ εμέ ουκ έσται, Εγώ ειμι ο Θεός, καί ουκ έστι πάρεξ εμού ο σώζων. Εγώ ανήγγειλα καί έσωσα, ωνείδισα, καί ουκ ήν εν ημίν αλλότριος. Υμείς εμοί μάρτυρες, καί εγώ Κύριος ο Θεός, ότι απ' αρχής εγώ ειμι, καί ουκ έστιν ο εκ τών χειρών μου εξαιρούμενος. Ποιήσω, καί τίς αποστρέψει αυτό. Ούτω λέγει Κύριος ο Θεός, ο λυτρούμενος ημάς, ο Άγιος Ισραήλ.

## Σοφίας Σολομώντος τό Ανάγνωσμα
## (Κεφ. 3, 1-9)

Δικαίων ψυχαί εν χειρί Θεού, καί ου μή άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι. Καί ελογίσθη κάκωσις η έξοδος αυτών, καί η αφ' ημών πορεία σύντριμμα, οι δέ εισιν εν ειρήνη. Καί γάρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Καί ολίγα παιδευθέντες, μεγάλα ευεργετηθήσονται, ότι ο Θεός επείρασεν αυτούς, καί εύρεν αυτούς αξίους εαυτού. Ως χρυσόν εν χωνευτηρίω εδοκίμασεν αυτούς, καί ως ολοκάρπωμα θυσίας προσεδέξατο αυτούς. Καί εν καιρώ επισκοπής αυτών αναλάμψουσι, καί ως σπινθήρες εν καλάμη διαδραμούνται. Κρινούσιν έθνη, καί κρατήσουσι λαών καί βασιλεύσει αυτών Κύριος εις τούς αιώνας, οι πεποιθότες επ' αυτόν, συνήσουσιν αλήθειαν, καί οι πιστοί έν αγάπη προσμενούσιν αυτώ, ότι χάρις καί έλεος εν τοίς οσίοις αυτού, καί επισκοπή εν τοίς εκλεκτοίς αυτού.

## Σοφίας Σολομώντος τό Ανάγνωσμα
## (Κεφ. 5, 15-23 & 6, 1-3)

Δίκαιοι εις τόν αίωνα ζώσι, καί εν Κυρίω ο μισθός αυτών, καί η φροντίς αυτών παρά Υψίστω. Διά τούτο λήψονται τό βασίλειον τής ευπρεπείας, καί τό διάδημα τού κάλλους εκ χειρός Κυρίου, ότι τή δεξιά αυτού σκεπάσει αυτούς, καί τώ βραχίονι υπερασπιεί αυτών. Λήψεται πανοπλίαν, τόν ζήλον αυτού, καί οπλοποιήσει τήν κτίσιν εις άμυναν εχθρών. Ενδύσεται θώρακα, δικαιοσύνην, καί περιθήσεται κόρυθα, κρίσιν ανυπόκριτον. Λήψεται ασπίδα ακαταμάχητον, οσιότητα, οξυνεί δέ απότομον οργήν εις ρομφαίαν. Συνεκπολεμήσει αυτώ ο κόσμος επί τούς παράφρονας, πορεύσονται εύστοχοι βολίδες αστραπών, καί ως από ευκύκλου τόξου τών νεφών, επί σκοπόν αλούνται, καί εκ πετροβόλου θυμού πλήρεις ριφήσονται χάλαζαι. Αγανακτήσει κατ' αυτών ύδωρ θαλάσσης, ποταμοί δέ συγκλύσουσιν αποτόμως. Αντιστήσεται αυτοίς πνευμαδυνάμεως, καί ως λαίλαψ εκλικμήσει αυτούς, καί ερημώσει πάσαν τήν γήν ανομία, καί η κακοπραγία περιτρέψει θρόνους δυναστών. Ακούσατε ούν, Βασιλείς, καί σύνετε, μάθετε, δικασταί περάτων γής, ενωτίσασθε οι κρατούντες πλήθους, καί γεγαυρωμένοι επί όχλοις εθνών, ότι εδόθη παρά Κυρίου η κράτησις υμίν, καί η δυναστεία παρά Υψίστου.

## Εις τήν Λιτήν

Δόξα… Τής Αγίας  Ήχος β’

Ως αλάβαστρον μύρου, τό αίμά σου προσενήνοχας τώ σώ Νυμφίω Χριστώ Αικατερίνα αθληφόρε αήττητε, αντάμειψιν δέ είληφας στέφος άφθαρτον, παρ’ αυτού αξιάγαστε. Όθεν καί Ρητόρων τήν θρασυστομίαν απήμβλυνας, καί τούτους πρός θεογνωσίαν αφείλκυσας, καί τόν τού μαρτυρίου στέφανον εκομίσαντο, σύν Βασιλίσση τή σοφή, Διό πρέσβευε Χριστώ τώ Θεώ σωθήναι τάς ψυχάς ημών.

Καί νύν… Τής Εορτής  Ήχος δ’

Σήμερον ο θεοχώρητος ναός, η Θεοτόκος, εν Ναώ Κυρίου προσάγεται, καί Ζαχαρίας ταύτην υποδέχεται, Σήμερον τά τών Αγίων Άγια αγάλλονται, καί ο χορός τών Αγγέλων, μυστικώς πανηγυρίζει, μεθ’ ών καί ημείς εορτάζοντες σήμερον, σύν τώ Γαβριήλ εκβοήσωμεν, Χαίρε Κεχαριτωμένη, ο Κύριος μετά σού, ο έχων τό μέγα έλεος.

Εις τόν Στίχον, τά τής Εορτής, ή τά παρόντα τού Αγίου Μερκουρίου Προσόμοια Στιχηρά.

Ήχος δ’

Ως γενναίον εν Μάρτυσιν

Συμμαχία τού Πνεύματος, Αθλοφόρε Μερκούριε, καταγωνισάμενος τόν αντίπαλον, ως στρατιώτης αήττητος, τώ όπλω τής πίστεως, μυριάδας νοητών, Αιθιόπων διέκοψας, καί τελέσας σου, τόν αγώνα νομίμως μετά πάντων, Αθλητών εστεφανώθης, Μεγαλομάρτυς πανόλβιε.

Στίχ. Δίκαιος ως φοίνιξ ανθήσει καί ωσεί κέδρος η εν τώ Λιβάνω πληθυνθήσεται.

Ουρανόθεν σοι Άγγελος, τάς πληγάς σου ιώμενος, απεστάλη νεύματι θείου Πνεύματος, υφ’ ού ρωσθείς αξιάγαστε, ταίς σούβλαις κεντούμενος, πυρωθείσαις δολερώς, εκαρτέρεις κρεμάμενος, καί τεινόμενος, καί δεσμούμενος λίθω βαρυτάτω, καί τοίς αίμασί σου Μάρτυς, περιρρεόμενος πάντοθεν.

Στίχ. Τοίς Αγίοις τοίς εν τή γή αυτού εθαυμάστωμεν πάντα τά θέλημα αυτού εν αυτοίς.

Βασιλεί στρατευόμενος, επιγείω Μερκούριε, υπ’ αυτού τε δαίμοσι κελευόμενος, θύειν θεόφρον μακάριε, βασάνους υπήνεγκας, καί κατάφλεξιν πυρός, καί τόν βίαιον θάνατον, καί ανέδραμες, πρός Χριστόν στεφηφόρος, καί συνήφθης, ταίς αγέλαις τών Μαρτύρων, υπέρ τού κόσμου δεόμενος.

Δόξα… Τής Αγίας  Ήχος β’

Βαβύλα

Βίον άϋλον εξησκημένη, βήμα άθεον καταλαβούσα, έστης τροπαιοφόρος Αικατερίνα σεμνή, ανθηφορούσα τού Θεού τήν λαμπρότητα, καί τό θείον σθένος ενδεδυμένη, δόγμα τυράννου κατεμυκτήρισας, καί ρητόρων έπαυσας,

τάς φληνάφους ρήσεις Πολύαθλε.

Καί νύν… Τής Εορτής  Ήχος πλ. β’

Σήμερον τά στίφη τών πιστών συνελθόντα, πνευματικώς πανηγυρίσωμεν, καί τήν θεόπαιδα Παρθένον καί Θεοτόκον, εν Ναώ Κυρίου προσαγομένην ευσεβώς ανευφημήσωμεν, τήν προεκλεχθείσαν εκ πασών τών γενεών, εις κατοικητήριον τού Παντάνακτος Χριστού, καί Θεού τών όλων, Παρθένοι, λαμπαδηφορούσαι προπορεύεσθε, τής Αειπαρθένου τιμώσαι, τήν σεβάσμιον πρόοδον, Μητέρες, λύπην πάσαν αποθέμεναι, χαρμονικώς συνακολουθήσατε, υμνούσαι τήν Μητέρα τού Θεού γενομένην, καί τής χαράς τού κόσμου τήν πρόξενον, Άπαντες ούν χαρμονικώς, τό Χαίρε σύν τώ Αγγέλω εκβοήσωμεν, τή Κεχαριτωμένη, τή αεί πρεσβευούση, υπέρ τών ψυχών ημών.

Απολυτίκιον τής Εορτής   Ήχος δ’

Σήμερον τής ευδοκίας Θεού τό προοίμιον, καί τής τών ανθρώπων σωτηρίας η προκήρυξις, εν Ναώ τού Θεού τρανώς η Παρθένος δείκνυται, καί τόν Χριστόν τοίς πάσι προκαταγγέλλεται, Αυτή καί ημείς μεγαλοφώνως βοήσωμεν, Χαίρε τής οικονομίας τού Κτίστου η εκπλήρωσις.

Δόξα… Τής Αγίας

Ήχος πλ. α’

Τον συνάναρχον Λόγον

Τήν πανεύφημον νύμφην Χριστού υμνήσωμεν, Αικατερίναν τήν θείαν καί πολιούχον Σινά, τήν βοήθειαν ημών καί αντίληψιν, ότι εφίμωσε λαμπρώς, τούς κομψούς τών ασεβών, τού Πνεύματος τή μαχαίρα, καί νύν ως Μάρτυς στεφθείσα, αιτείται πάσι τό μέγα έλεος.

Καί νύν… Πάλιν τό τής Εορτής

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α’ Στιχολογίαν, Κάθισμα τής Αγίας.

Ήχος α’  Τόν τάφον σου Σωτήρ

Μολούσα ευθαρσώς, πρός αγώνας τρισμάκαρ, ανδρείως τόν Χριστόν, ωμολόγησας Μάρτυς, καί τύραννον ήλεγξας, δυσσεβή καί παράφρονα, καί κατήσχυνας, ρητορευόντων τά στίφη, καί ανέδραμες, εις ουρανίους σκηνώσεις, διό σε δοξάζομεν.

Δόξα… Καί νύν…

Τής Εορτής, όμοιον

Δικαίων ο καρπός, Ιωακείμ καί τής Άννης, προσφέρεται Θεώ, Ιερώ εν αγίω σαρκί νηπιάζουσα, η τροφός τής ζωής ημών, ήν ευλόγησεν, ο ιερός Ζαχαρίας, Ταύτην άπαντες, ώς τού Κυρίου Μητέρα, πιστώς μακαρίσωμεν.

Μετά τήν β’ Στιχολογίαν, Κάθισμα τής Αγίας.

Ήχος δ' Κατεπλάγη Ιωσήφ

Η παρθένος καί σεμνή, Αικατερίνα η σοφή, τή δυνάμει τού Χριστού, επιρρωσθείσα αληθώς, αγαλλομένη εισέρχεται εν σταδίω, καί τύραννον ωμόν, καταβαλούσα στερρώς, καί πάσαν τήν πληθύν, τών δυσσεβούντων εχθρών, μετ' ευφροσύνης έψαλλεν, ακαταπαύστως μεγάλη φωνή, Χριστέ μου δόξα, Σωτήρ καί ρύστα, σύ ούν δέξαι τό πνεύμα μου.

Δόξα… Καί νύν…

Τής Εορτής, όμοιον

Πρό συλλήψεως Αγνή, καθηγιάσθης τώ Θεώ, καί τεχθείσα επί γής, δώρον προσήχθης νύν αυτώ, αποπληρούσα πατρώαν επαγγελίαν, Τώ θείω δέ Ναώ, ως θείος όντως ναός, εκ βρέφους καθαρώς, μετά λαμπάδων φαιδρών, αποδοθείσα ώφθης δοχείον, τού απροσίτου καί θείου Φωτός, Μεγάλη όντως, η πρόοδός σου, μόνη Θεόνυμφε καί Αειπάρθενε.

Μετά τόν Πολυέλεον, Κάθισμα τής Αγίας.

Ήχος πλ. δ'

Τό προσταχθέν μυστικώς

Αλεξανδρέων η λαμπρά καί θεία πόλις, επί τή μνήμη σου σεμνή πανηγυρίζει, καί γεραίρει τούς άθλους σου Αικατερίνα, ούς έτλης γενναιοφρόνως υπέρ Χριστού, καί μέγα βρενθυομένη σοί εκβοά, Ω Παρθένε πολύαθλε, εις ουρανίους σκηνάς, συνούσα νύν τώ Κτίστη σου, χαίρε Μάρτυς πανθαύμαστε.

Δόξα… Καί νύν…

Τής Εορτής, όμοιον

Αγαλλιάσθω ο Δαυϊδ ο Υμνογράφος, καί χορευέτω Ιωακείμ σύν τή Άννη, ότι γόνος άγιος εξ αυτών προήλθε, Μαρία η φωτοφόρος θεία λαμπάς, καί χαίρει εισερχομένη εν τώ Ναώ, ήν καί βλέπων ευλόγησεν, ο Βαραχίου υιός, καί χαίρων ανεκραύγαζε, Χαίρε θαύμα παγκόσμιον.

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί Αντίφωνον Α'

Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.

Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον, Ήχος δ'

Θαυμαστός ο Θεός εν τοίς αγίοις αυτού ο Θεός Ισραήλ αυτός δώσει δύναμιν καί κραραίωσιν τώ λαώ αυτού ευλογητός ο Θεός.

Στίχ. Τοίς Αγίοις τοίς εν τή γή αυτού εθαυμάστωμεν πάντα τά θέλημα αυτού εν αυτοίς.

Ευαγγέλιον κατά Ματθαίον

Είπεν ο Κύριος τήν παραβολήν ταύτην, Ωμοιώθη η Βασιλεία τών ουρανών δέκα παρθένοις...

Ο Ν' Ψαλμός

Δόξα... Ταίς τής Αθληφόρου.
Καί νύν... Ταίς τής Θεοτόκου.

Είτα τό Ιδιόμελον Ήχος β'

Βίον άϋλον εξησκημένη, βήμα άθεον καταλαβούσα, έστης τροπαιοφόρος Αικατερίνα σεμνή, ανθηφορούσα τού Θεού τήν λαμπρότητα, καί τό θείον σθένος ενδεδυμένη, δόγμα τυράννου κατεμυκτήρισας, καί ρητόρων έπαυσας, τάς φληνάφους ρήσεις Πολύαθλε.

Μετά τούτο λέγομεν τούς Κανόνας τής Εορτής, καί τών Αγίων τούς εφεξής δύο.

Κανών τής Αγ. Αικατερίνης, ού η Ακροστιχίς.

Αικατερίναν τήν παναοίδιμον άσμασι μέλπω. Θεοφάνους.

Ωδή α' Ήχος πλ. δ'

«Αρματηλάτην Φαραώ εβύθισε, τερατουργούσα ποτέ, Μωσαϊκή ράβδος, σταυροτύπως πλήξασα, καί διελούσα θάλασσαν, Ισραήλ δέ φυγάδα, πεζόν οδίτην διέσωσεν, άσμα τώ Θεώ αναμέλποντα».

Αικατερίνης τής πανσόφου Μάρτυρος, ταίς ικεσίαις Χριστέ, τό ζοφερόν όμμα, τής ψυχής μου φώτισον, αίγλην διδούς μοι Δέσποτα, τής σής φωτοχυσίας, τών ψυχοφθόρων πταισμάτων μου, πάσαν τήν αχλύν αφανίζουσαν.

Ιθυνομένη τού Δεσπότου πάνσοφε, θείοις προστάγμασι, καί τώ αυτού πόθω, φλεγομένη έδραμες, πρός τούς αγώνας σπεύδουσα, καί τυράννων τάς φρένας, Αικατερίνα κατέπληξας, λόγω καί σοφία καί χάριτι.

Κυβερνωμένη τή παλάμη ένδοξε, τή κραταιά τού Χριστού, ειδωλικήν ζάλην, Μάρτυς υπεξέφυγες, αβρόχως υπερπλέουσα, τού Σταυρού τώ ιστίω, καί θείαις αύραις τού Πνεύματος, άσμα τώ Θεώ αναμέλπουσα.

Αγαλλομένη παρθενίας κάλλεσιν, Αικατερίνα σοφή, καί θεϊκήν γνώσιν, ουρανόθεν έχουσα, τής ψευδωνύμου γνώσεως, ευθαρσώς καί ανδρείως, τούς προεστώτας κατήσχυνας, τούτους κατά κράτος νικήσασα.

Θεοτοκίον

Τό Θεοτόκον σε κηρύττειν Άχραντε, πάσης αιρέσεως, αποτροπήν φέρει, σάρκα γάρ γενόμενον, αναλλοιώτως έτεκες, τόν επέκεινα πάσης, θεοκυήτορ τής κτίσεως, Λόγον τού Θεού τόν αϊδιον.

Ο Κανών τού Αγ. Μερκουρίου, έχων Ακροστιχίδα.

Μερκουρίου με τό σθένος φυλαττέτω. Ιωσήφ.

Ωδή α' Ήχος πλ. δ'

«Η κεκομμένη τήν άτομον έτεμε, καί είδεν ήλιος γήν, ήν ουκ εθεάσατο, αλάστορα εχθρόν τό ύδωρ Κατεπόντισε, Ικαί άβατον διήλθεν Ισραήλ, ωδή δέ ανεμέλπετο, Τώ Κυρίω άσωμεν, ενδόξως γάρ δεδόξασται».

Μετά τής άνω χορείας Μερκούριε, τών αγαθών τή πηγή, χαίρων παριστάμενος, καί θείας ηδονής, αοίδιμε πληρούμενος, τούς πόθω τήν πανήγυριν τήν σήν, τελούντας περιφύλαττε, τώ Κυρίω άδοντας, Ενδόξως γάρ δεδόξασται.

Εθελουσίως υπήλθες το στάδιον, τής μαρτυρίας Σοφέ, σθένει κραταιούμενος, Χριστού τού δι' ημάς, τά πάθη τά σωτήρια, θελήσει υπομείναντος σαρκί, καί χαίρων ανεκραύγαζες, Τώ Κυρίω άσωμεν, ενδόξως γάρ δεδόξασται.

Ρήμα τυράννου σαφώς εξεφαύλισας, ομολογία Χριστού, μάκαρ σεμνυνόμενος καί πάσαν αλγεινών, ιδέαν αγαλλόμενος, υπέμεινας Μερκούριε βοών, τώ σέ ενδυναμώσαντι, Τώ Κυρίω άσωμεν, Ενδόξως γάρ δεδοξασται.

Θεοτοκίον

Κόρης Παρθένου ωράθη σαρκούμενος, ο δι' ημάς, άνθρωπος Υενόμενος, καί Μάρτυρα πιστόν, παθών οικείων δείκνυσι, Μερκούριον γενναίον Αθλητήν, αυτώ συντόνως ψάλλοντα, Τώ Κυρίω άσωμεν, Ενδόξως γάρ δεδόξασται.

Τής Αγίας

Ωδή γ'

«Ο στερεώσας καταρχάς, τούς ουρανούς εν συνέσει, καί τήν γήν επί υδάτων εδράσας, εν τή πέτρα με Χριστέ, τών εντολών σου στήριξον, ότι ουκ έστι πλήν σου, άγιος μόνε Φιλάνθρωπε».

Εθελουσίαις σου ροπαίς, εχώρησας πρός τό πάθος, τό εκούσιον Χριστόν μιμουμένη, καί νικήσασα λαμπρώς, τόν σκότους κοσμοκράτορα, στεφανηφόρος ώφθης, Αικατερίνα θεόληπτε.

Ρωμαλεότητι φρενών, διήλεγξας τούς τυράννους, αθεϊας εν βυθώ κυλισθέντας, ρητορεύουσα σαφώς, θεογνωσίας δόγματα, θεία σοφία Μάρτυς, λαμπρυνομένη πανεύφημε.

Ισοθεϊαν τοίς ωσί, τής Εύας ο ψιθυρίσας, υπο Κόρης απαλής νύν πατείται, τώ γάρ όπλω τού Σταυρού, περιφραχθείσα ήσχυνεν, Αικατερίνα Μάρτυς, άμετρα τούτον καυχώμενον.

Θεοτοκίον

Νενεκρωμένον μου τόν νούν, τή τής ζωής ενεργεία, τής εκ σού φανερωθείσης τώ κόσμω, διανάστησον ουλάς, καί τύπους εξαλείφουσα, τής αμαρτίας μόνη, θεγεννήτορ πανάμωμε

Τού Αγίου

Σύ εί τό στερέωμα

Όλος πυρακτούμεωος, τή θεϊκή στοργή Ένδοξε, πύρ καί δεσμά, ξίφη καί βασάνους, ώσπερ όναρ λελόγισαι.

Ύμνοις τόν ποιήσαντα, προσομιλών δειναίς μάστιξι, Μάρτυς σοφέ, καί τήν θεραπείαν τών μωλώπων δεχόμενος.

Ράβδω δυναμούμενος, τή θεϊκή εχθρού φρύαγμα, ώς αθλητής, Μάρτυς γενναιόφρον, ευσθενώς εταπείνωσας.

Θεοτοκίον

Ίνα προτυπώση σου, τήν υπέρ νούν Αγνή κύησιν, βάτος πυρί, ώφθη καιομένη, ουδαμώς φλεγομένη δέ.

Κάθισμα της Αγίας Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Τήν σοφίαν τήν όντως εξ Ουρανού, διά στόματος Μάρτυς τού Μιχαήλ, λαβούσα πανεύφημε, καί εν άθλοις αήττητε, τή μέν σοφία τή έξω, τούς Ρήτορας έπτηξας, τή δέ σοφία τή θεία, τήν πλάνην εμείωσας, όθεν καθορών σου, τόν αγώνα ο Κτίστης, παρέστη ενισχύων σε, Δεύρο λέγων ανάβηθι, οι θησαυροί γάρ σε μένουσι, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς έορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Τού Αγίου Ήχος δ'

Ταχύ προκατάλαβε

Ο Μάρτυς Μερκούριος, αγωνισάμενος, τόν δόλιον ήσχυνε, καί στεφανίτης στερρός, Χριστού εχρημάτισεν, όθεν ταίς ουρανίαις, νύν συνήφθη χορείαις, δόξης αδιαδόχου, επαξίως μετέχων, διό τήν ιεράν αυτού, μνήμην τελούμεν πιστώς.

Καί νύν… Τής Εορτής

Ήχος ο αυτός

Κατεπλάγη Ιωσήφ

Η αμίαντος αμνάς, καί ακηλίδωτος παστάς, εν τώ οίκω τού Θεού, η Θεοτόκος Μαριάμ, μετ' ευφροσύνης εισάγεται παραδόξως, ήν Άγγελοι Θεού, δορυφορούσι φαιδρώς, καί πάντες οι Πιστοί, μακαριούσιν αεί, καί ευχαρίστως ψάλλουσι ταύτη, ακαταπαύστως μεγάλη φωνή, Ημών η δόξα, καί σωτηρία, σύ

υπάρχεις Πανάχραντε.

Τής Αγίας

Ωδή δ’

«Σύ μου ισχύς, Κύριε, σύ μου καί δύναμις, σύ Θεός μου, σύ μου αγαλλίαμα, ο Πατρικούς κόλπους μή λιπών, καί τήν ημετέραν πτωχείαν επισκεψάμενος, διό σύν τώ προφήτη, Αββακούμ σοι κραυγάζω, Τή δυνάμει σου δόξα Φιλάνθρωπε».

Αθλητικήν, Αικατερίνα τήν ένστασιν, επεδείξω, Μάρτυς παναοίδιμε, τώ δυσμμενεί λίαν καρτερώς, αντικαταστάσα, καί τούτον καταπατήσασα, ποσίν ωραϊσμένοις, τού Σταυρού τή δυνάμει, Αθληφόρε Μαρτύρων τό καύχημα.

Νύμφη Χριστού, Αικατερίνα πανόλβιε, καθωράθης, θείας ωραιότητος, φωτοειδέσι μαρμαρυγαίς, αγλαϊζομένη, καί κάλλει περιαστράπτουσα, διό καί γηθομένη, μελωδείς τώ Δεσπότη, Τή δυνάμει σου δόξα Φιλάνθρωπε.

Τυραννικήν, αλαζονείαν εφαύλισας, καί τώ θείω, λόγω τής σοφίας σου, ώς εκ βυθού, τής απατηλής, δεισιδαιμονίας, τούς πλανωμένους εξήρπασας, διδάσκουσα κραυγάζειν, τώ Χριστώ μελωδούντας, Τή δυνάμει σου δόξα Φιλάνθρωπε.

Η ευκλεής, καί φωτοφόρος πανήγυρις, τής ενδόξου μνήμης σου Πανεύφημε, τής καρτερώς, θράσος τού εχθρού, καταπατησάσης, ως ή λιος ανατέταλκεν, εν ή μεγαλοφώνως, τώ Δεσπότη βοώμεν, Τή δυνάμει σου δόξα φιλανθρωπε.

Θεοτοκίον

Νύν τήν ισχύν, τών αθετούντων κατάβαλε, τής εικόνος, Κόρη τήν προσκύνησιν, σού τής σεπτής, καί τού υπέρ νούν, εκ σού σαρκωθέντος, καί κόσμον όλον φωτίσαντος, καί πάντων τών Αγίων, τούς δέ πίστει τιμώντας, καταφαίδρυνον μόνη Πανύμνητε.

Τού Αγίου

Εισακήκοα Κύριε

Οικειώθης τώ Κτίστη σου, θείου μαρτυρίου θεόφρον πάθεσι, καί λαμπρούς στεφάνους ένδοξε, παρ’ αυτού εδέξω ως αήττητος.

Υφαντόν εκ τής άνωθεν, χάριτος ιμάτιον νύν ενδέδυσαι, τής φθοράς καί τής νεκρώσεως, τούς χιτώνας Μάρτυς εκδυσάμενος.

Μέχρις αίματος Ένδοξε, πρός τήν αμαρτίαν αγωνισάμενος, νικηφόρος αναδέδειξαι, καί τής άνω δόξης κατηξίωσαι.

Θεοτοκίον

Επί σέ ο σωτήριος, Λόγος Καταβέβηκεν Αειπάρθενε, ώσπερ όμβρος καί

εξήρανε, τής πολυθεϊας τά ομβρήματα.

Τής Αγίας

Ωδή ε'

«Ίνα τί με απώσω, από τού προσώπου σου τό φώς τό άδυτον, καί εκάλυψέ με, τό αλλότριον σκότος τόν δείλαιον, αλλ' επίστρεψόν με, καί πρός τό φώς τών εντολών σου, τάς οδούς μου κατεύθυνον δέομαι».

Πόθω πυρπολουμένη, Μάρτυς παναοίδιμε τώ τού Δεσπότου σου, καί ζητούσα τούτου, τό αμήχανον κάλλος θεάσασθαι, αυθαιρέτω γνώμη, τοίς αικισμοίς σαυτήν παρέσχες, παρθενίας εκλάμπουσα χάρισιν.

Άθλοις ιερωτάτοις, Κόρη καλλιπάρθενε καταλαμπρύνασα, σεαυτήν προφρόνως, ανελήλυθας πρός τήν ουράνιον, τού Χριστού παστάδα, καί νύν φαιδρώς τώ σώ Νυμφίω, γηθομένη συνήφθης πανόλβιε.

Νεάνις φαιδροτάτη, ώφθης αγαπήσασα μόνον εράσιμον, καί οπίσω τούτου, συντονώτατον δρόμον διήνυσας, εις οσμήν τού μύρου, σού νοητώς τού κενωθέντος, εκβοώσα δραμούμαι Νυμφίε μου.

Θεοτοκίον

Αληθή Θεοτόκον, πάντες επιγνόντες σε, πάναγνε Δέσποινα, τόν εκ σού τεχθέντα, Θεόν Λόγον ειδότες κηρύττομεν, εν δυσίν ούσίαις, θελητικαίς αυτεξουσίαις, γνωριζόμενον Κόρη Θεόνυμφε.

Τού Αγίου

Ορθρίζοντες βοώμέν σοι

Τεινόμενος καί λόγχη Μερκούριε, ανενδότως, τεμνόμενος έφερες, θείαις ελπίσι νευρούμενος.

Ο πέτρα νοητή στερεώσας σου, τήν καρδίαν, λίθω βαρυνόμενος, ου παρετράπης Μερκούριε.

Συμμέτοχος παθών τού Δεσπότου σου, χρηματίσας, δόξης εκοινώνησας, τούτου καί θείας λαμπρότητος.

Θεοτοκίον

θανάτωσον Παρθένε τήν ζώσάν μου, αμαρτίαν, ζωήν η κυήσασα, τήν θανατώσασαν θάνατον.

Τής Αγίας

Ωδή ς'

«Άβυσσος αμαρτιών, καί πταισμάτων καταιγίς με ταράττει, καί πρός βυθόν βιαίως συνωθεί απογνώσεως, αλλ' αυτός τήν κραταιάν χείρά μοι έκτεινον, ως

τώ Πέτρω, καί εκ βυθού φθοράς ανάγαγε».

Όλην σε περικαλή, παρθενίας απαστράπτουσαν αίγλη, μαρτυρικοίς τε Κόρη, φοινιχθείσαν εν αίμασι, καθορών ο αγαθός, Λόγος καί άχραντος, εν θαλάμοις, επουρανίοις κατεσκήνωσεν.

Ισχυσας διά Σταυρού, τών Τυράννων καταλύσαι τό κράτος, καί κοσμικής σοφίας, διελέγξαι τό μάταιον, θεοπνεύστου διδαχής, βρύουσα δόγματα, μεγαλόφρον Αικατερίνα πανοίδιμε.

Δόλω πρώην τόν Αδάμ, Παραδείσου τής τρυφής εκβαλόντα, τών αικισμών τους πόνους, καρτερώς υπομείνασα, καταβέβηκας εις γήν, Μάρτυς πανένδοξε, καί στεφάνοις, τής Βασιλείας εστεφάνωσαι.

Θεοτοκίον

Ιλεών μοι τόν Κριτήν, τόν Υιόν σου Θεοτόκε Παρθένε, ταίς σαίς λιταίς γενέσθαι, εν ημέρα τής κρίσεως, λυτρωτήν τε τών δεινών, Μήτερ απέργασαι, σοί γάρ μόνη, τά τής ελπίδος ανατίθημι.

Τού Αγίου

Τήν δέησιν, εκχεώ πρός Κύριον

Ενεύρου σε, ο αϊδιος Λόγος, δι’ αυτόν πάσαν ιδέαν βασάνων, Μάρτυς σοφέ, υπομένοντα βλέπων, καί δι’ Αγγέλου θαρρείν σοι προσέττατε, Μερκούριε καί μηδαμώς, τών Τυράννων πτοείσθαι τήν ένστασιν.

Νενέκρωται, ο πολύμορφος όφις, καί ποσί καταπατείται ωραίοις, τού Αθλητού, καί γενναίου οπλίτου, εθελουσίοις ορμαίς γάρ εχώρησε, πρός βάσανα πρός αικισμούς, καί πρός θάνατον δόξης ανάπλεων.

Ολόκληρον, τώ Δεσπότη προσήξας, τής καρδίας τήν προαίρεσιν Μάκαρ, καί δι’ αυτόν, υπομείνας στρεβλώσεις, ως νικητής παρ’ αυτού εστεφάνωσαι, καί τουτω νύν εν ουρανοίς, μετά πάντων Μαρτύρων παρίστασαι.

Θεοτοκίον

Συνέλαβες, τή φωνή τού Αγγέλου, τόν βουλής μεγάλης Άγγελον Κόρη, καί εκ τών σών, παναγίων αιμάτων, σεσαρκωμένον πανάμωμε τέτοκας, τόν δείξαντα πάσι ζωής, τάς εισόδους δι’ άφατον έλεος.

Κοντάκιον τής Αγίας

Ήχος β’ Τά άνω ζητών

Χορείαν σεπτήν, ενθέως φιλομάρτυρες, εγείρατε νύν, γεραίροντες την πάνσοφον, Αικατερίναν, αύτη γάρ, εν σταδίω τον Χριστόν εκήρυξε, καί τόν όφιν επάτησε, Ρητόρων τήν γνώσιν καταπτύσασα.

Ο Οίκος

Τήν εκ Θεού σοφίαν λαβούσα παιδόθεν η Μάρτυς, καί τήν έξω καλώς σοφίαν πάσαν μεμάθηκε, γνούσα δέ εκ ταύτης τήν τών στοιχείων κίνησίν τε καί

ποίησιν κατά λόγον, καί τόν αυτά εξ αρχής διά λόγου ποιήσαντα, αυτώ τήν ευχαριστίαν εν νυκτί καί ημέρα προσέφερε, τά δέ είδωλα καθείλε, καί τούς ταύτα αφρόνως λατρεύοντας, Ρητόρων τήν γνώσιν καταπτύσασα.

Συναξάριον

Τή ΚΕ' τού αυτού μηνός, Μνήμη τής αγίας Μεγαλομάρτυρος Αικατερίνης.

Στίχοι

Αικατερίνα, καί σοφή καί παρθένος.
Εκ δέ ξίφους, καί Μάρτυς, ώ καλά τρία!
Εικάδι πέμπτη άορ κατέπεφνεν ρήτορα Κούρην,

Τή αυτή ημέρα, οι Άγιοι εκατόν πεντήκοντα Ρήτορες, οι διά τής Αγίας Αικατερίνης Πιστεύσαντες τώ Χριστώ, πυρί τελειούνται.

Στίχοι

Αι πρίν πλάνης Ρήτορσιν ανδράσι στάσεις,
Εις πύρ θανούσι, τών στεφάνων ευρέσεις.

Τή αυτή ημέρα, η Αγία Βασίλισσα, η γαμετή Μαξεντίου, ξίφει τελειούται.

Στίχοι

Τμηθείσα θνητού σύζυγος Βασιλέως,
Άφθαρτον εύρε νυμφώνα Βασιλέως.

Τή αυτή ημέρα, ο Άγιος Πορφύριος, ο Στρατηλάτης, σύν τοίς διακοσίοις στρατιώταις, ξίφει τελειούνται.

Στίχοι

Σύν τώ στρατώ σου Πορφύριε πρός ξίφος
Πρόθυμος ήκεις, οίά περ Στρατηλάτης.

Τή αυτή ημέρα, Μνήμη τής αθλήσεως τού Αγίου Μεγαλομάρτυρος Μερκουρίου.

Στίχοι

Ει καί πατάσση Μερκούριε τώ ξίφει,
Καί νεκρόν εχθρόν σό πατάσσεις Κυρίου.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Πέτρου τού Ησυχαστού.

Στίχοι

Ησύχως βίου το πέλαγος ανύσας,
Πρός ησύχιον Πέτρε λιμένα φθάνεις.

Τή αυτή ημέρα, οι Άγιοι εξακόσιοι εβδομήκοντα Μάρτυρες ξίφει τελειούνται.

Στίχοι

Τέμνουσιν ανδρών εικάδας τριπλώς δέκα,

Μεθ’ ών καί άλλους άν δρας επτάκις δέκα.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός ελέησον ημάς. Αμήν.

Της Αγίας

Ωδή ζ’

«Θεού συγκατάβασιν, τό πύρ ηδέσθη εν Βαβυλώνί ποτε, διά τούτο οι Παίδες, εν τή καμίνω αγαλλομένω ποδί, ως εν λειμώνι χορεύοντες έψαλλον, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών».

Μαρτύρων τό καύχημα, τής ευσεβείας μύστης γεγένησαι, τώ λαμπρώ σου Νυμφίω, Μαρτύρων δήμον πρασαγαγούσα Χριστώ, μεθ’ ού κραυγάζεις πανεύφημε ψάλλουσα, Ευλογητός ο Θεός, ο τών Πατέρων ήμών.

Ο λόγος σου Πάνσοφε, πρός σωτηρίαν πολλούς εξήρπασεν, εξ ειδωλομανίας, καί φωτοφόρους έδειξε Μάρτυρας, μεγαλοφώνως σύν σοί ανακράζοντας, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Νεάνις οπίσω σου, ακολουθούσά σοι προσενήνεκται, διά ξίφους τμηθείσα, σόν μιμουμένη πάθος τό άχραντον, καί σοί τώ Κτίστη βοώσα καί λέγουσα, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Αγίων ο Άγιος, εν σοί αγίως κατασκηνώσας αγνή, Θεοτόκε Παρθένε, σεσαρκωμένος εκ σού γεγέννηται, διά τό σώσαι τούς πίστει κραυγάζοντας, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Τού Αγίου

Παίδες Εβραίων εν καμίνω

Φέγγει τής άνω φρυκτωρίας, αύγαζόμενος γενναίε Στρατιώτα, τούς υμνούντάς σε νύν, φωτίζεις μελωδούντας, Ευλογητός εί Κύριε, ό Θεός εις τούς αιώνας.

Ύμνεις τόν πάντων ευεργέτην, πυρακτούμενος τώ ζήλω τούτου Μάκαρ, καί πυρί αισθητώ, φλεγόμενος καί μέλπων, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Λίθοις προσάγοντες τό σέβας, οι τήν αίσθησιν λιθώδη κεκτημένοι, λίθω Μάρτυς τόν σον, βαρύνουσιν αυχένα, κραυγάζοντες Μερκούριε, ο Θεός ευλογητός εί.

Αίματι αίμα συγκεράσας, σού τό τίμιον Δεσπότου φιλανθρώπου, κοινωνός τών αυτού, εδείχθης παθημάτων, αναβοών Μερκούριε, Ο Θεός ευλογητός εί.

Θεοτοκίον

Τάξεις Αγγέλων καταπλήττει, μυστηρίου σου τό βάθος Θεοτόκε, ο Θεός γάρ εκ σού, σαρκούμενος ωράθη, ώ μελωδούμεν Πάναγνε, ο Θεός ευλογητός εί.

Τής Αγίας

Ωδή η'

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν, εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, τόν Δημιουργόν, καί Λυτρωτήν ανεβόα, Οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Σαίς διδαχαίς Βασίλισσα, πειθαρχούσα προσέδραμε, τή θεοσεβεία, καί στερρώς υπέμεινε, τών πόνων τήν αίαθησιν, καί βασιλείας τών ουρανών, τής αδιαδόχου, προφανώς ηξιώθη, βοώσα, Τόν Δεσπότην, Ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Μετά μαρτύρων γένοιτο, τών πιστών τά αιτήματα, η γάρ Αθληφόρος, τώ Χριστώ παρίσταται, αιτούσα τά κρείττονα, καί σωτηρίας πρόξενα, τοίς τήν παναγίαν, καί σεπτήν αυτής μνήμην, προθύμως εκτελούσι, καί Πιστώς μελωδούσι, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Αναπετάσας δέχεται, ο Νυμφίος σε Πάνσοφε, πύλας Παραδείσου, καί παστάδα πάνσεμνον, οικείν παρεσκεύασε, καί βασιλείας μέτοχον, ως συγκοινωνόν, τών παθημάτων δεικνύει, ώ νύν παρισταμένη, Βασιλέων θυγάτηρ, λαμπρώς, πεποικιλμένη, ημών μή επιλάθη.

Σεσοφισμένοις ρήμασιν, επειράτο ο τύραννος, πιθανολογίαις, ο δεινός χρησάμενος, εκλύειν τήν ένστασιν, τήν σήν ελπίσας, Ένδοξε, αλλά νυμφευθήναι, τώ Χριστώ βουλομένη, εβόας, Τόν Δεσπότην, ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Ιερωτέρα πέφηνας, Θεοτόκε πανάμωμε, τής υπερκοσμίου, τών Αγγέλων τάξεως, τόν τούτων γάρ τέτοκας, Δημιουργόν καί Κύριον, εκ παρθενικής, απειρογάμου νηδύος, εν δύο ταίς ουσίαις, ασυγχύτως ατρέπτως, μιά δέ υποστάσει, Θεόν σεσαρκωμένον.

Τού Αγίου

Ο αυτός

Τών Αθλητών προσθήκην σε, ο χορός υπεδέξατο, καθωραϊσμένον, καίφαιδρόν γενόμενον, σεπταίς ωραιότησι, τών υπερτίμων άθλων σου, καί τής ευσεβούς σου, καί σεπτής μαρτυρίας, καί νύν βοάς απαύστως, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ευσεβοφρόνως Ένδοξε, τόν αγώνα διήνυσας, καί γενναιοφρόνως, τόν

εχθρόν κατήσχυνας, καί νίκην ουράνιον, ως νικητής αράμενος, ταίς Αγγελικαίς, νύν συναγάλλη χορείαις, μεθ’ ών βοάς απαύστως, ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Τελειωθείς πανόλβιε, διά ξίφους Μερκούριε, καί επιτυχών, τού προκειμένου τέλους σοι, τήν γήν μέν τοίς αίμασι, τοίς εκχυθείσιν ήρδευσας, τό δέ νικηφόρον, καί μακάριον σώμα, λευκότερον χιόνος, εναπέδειξας ψάλλων, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Ως τής ημών υπάρχουσαν, αναπλάσεως Άχραντε, άπαντες αιτίαν, οι πιστοί υμνούμέν σε, Θεόν γάρ παναίτιον, υπέρ αιτίαν τέτοκας, τόν τήν συντριβείσαν, τή κακία εικόνα, οικεία ευσπλαγχνία, αναπλάσαντα μόνη, υπερευλογημένη, καί κεχαριτωμένη.

Τής Αγίας

Ωδή θ’

«Εξέστη επί τούτω ο ουρανός, καί τής γής Κατεπλάγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι μεγαλύνουσι».

Μετέστης πρός θαλάμους φωτοειδείς, νυμφικοίς κοσμουμένη στολίσμασι, παρθενικήν, έχουσα λαμπάδα τή δεξιά, τή δέ ετέρα φέρουσα, τήν αποτμηθείσάν σου κεφαλήν, καί νύν παρισταμένη, Χριστώ τώ σώ Νυμφίω, τούς σέ υμνούντας περιφρούρησον.

Εδέχθη σου θεόφρον ηπροσευχή, τούς γάρ πίστει τήν σήν ονομάζοντας, κλήσιν σεμνή, σώζει ο Δεσπότης εκ πειρασμών, καί ευρωστίαν δίδωσι, νόσων απαλλάττων παντοδαπών, ψυχών τε καί σωμάτων, διό σε γεγηθότες, Αικατερίνα μακαρίζομεν.

Λιμένι καθωρμίσθης νύν γαληνώ, ευσταλώς τε καί κούφως τήν θάλασσαν, τήν κοσμικήν, Μάρτυς διελθούσα Τρικυμιών, μή πειρασθείσα πάνσοφε, πλούτον πολυποίκιλον τώ Χριστώ, προσφέρουσα Παρθένε, τόν δήμον τών Μαρτύρων, Αικατερίνα παμμακάριστε.

Παστάδων ουρανίων ένδον τανύν, σύν παρθένων χορεία χορεύουσα, μαρτυρικαίς, περιλαμπομένη μαρμαρυγαίς, Αικατερίνα πάνσοφε, λύσον τών πταισμάτων μου τάς σειράς, προθύμως δυσωπούσα, τόν πάντων Ευεργέτην, δι’ όν τό αίμά σου εξέχεας.

Θεοτοκίον

Ωράθης ώ Παρθένε Μήτηρ Θεού, υπέρ φύσιν τεκούσα εν σώματι, τόν αγαθόν, Λόγον εκ καρδίας τής εαυτού, όν ο πατήρ ηρεύξατο, πάντων πρό αιώνων ως αγαθός, όν νύν καί τών σωμάτων, επέκεινα νοούμεν, εί καί τό

σώμα περιβέβληται.

Τού Αγίου

Έφριξε πάσα ακοή
Ιχώρες νύν μαρτυρικοί, ευωδίαν αναπέμπουσι χάριτος, καί τά δυσώδη ημών, αρρήτω λόγω, πάθη διώκουσιν, αναπηγάζει τά οστά, ιάσεων νάματα, καί καταρδεύει ψυχάς, τών υμνούντων τά αυτών προτερήματα.

Ως μέγαν πύργον τής Χριστού, Εκκλησίας ιερώς σε γεραίρομεν, ώς στύλον άσειστον, ως τείχος Μάρτυς, όντως απόρθητον, ως στρατιώτην δυνατόν, Θεού τού Παντανακτος, ώς καθαιρέτην εχθρών, ως φωστήρα νοητόν καί παγκόσμιον.

Σύνδρομον Άγγελον φωτός, πρός τήν άθλησιν θεόφρον κεκλήρωσο, όθεν στρεβλούμενος, καί ταίς λαμπάσιν υποκαιόμενος, καί συγκοπτόμενος δεινώς, καί ξίφει τεμνόμενος, ουκ εδειλίασας, Αθλοφόρε τού Χριστού γενναιότατε.

Ημέρα πλήρης φωτισμού, ευφροσύνης καί χαράς ημίν έλαμψεν, η θεία μνήμη σου, τοίς σέ τιμώσι, Μάρτυς Μερκούριε, εν ή μνημόνευε ημών, τών μνημονευόντων σου, καί χαλεπών πειρασμών, καί κινδύνων καί παθών ημάς λύτρωσαι.

Θεοτοκίον
Φώτισον πύλη τού φωτός, τήν τυφλώττουσαν ψυχήν μου τοίς πάθεσι, καί πονηροίς λογισμοίς, αμαυρωθείσαν καί κινδυνεύουσαν, καί εξελού με πειρασμών, κινδύνων καί θλίψεων, ίνα δοξάζω σε, τήν ελπίδα τών πιστών καί κραταίωμα.

Εξαποστειλάριον τής Αγίας
Εν πνεύματι τώ Ιερώ
Ενεύρωσας τό φρόνημα, γυναικών ώ παρθένε, Αικατερίνα πάντιμε, αθλοφόρων η δόξα, καί Φιλοσόφων άνοιαν, εν Θεώ διήλεγξας, ως λήρον ούσαν καί μύθον, τήν Πανάμωμον όντως, καί Μητέρα τού Θεού, συλλήπτορα κεκτημένη.

Τού Αγίου, όμοιον
Τάς παρατάξεις τών εχθρών, καί δαιμόνων τά θράση, εις τέλος κατηδάφισας, καί στέφος εδέξω, Μερκούριε μακάριε, εκ χειρός τού Κτίστου σου, ως Μάρτυς τής αληθείας, διασώζεις δέ πάντας, εκ Παντοίων θλιβερών, σκανδάλων τού αλλοτρίου.

Τής εορτής, όμοιον
Τού Ιερού σε σήμερον, Θεοτόκε Παρθένε, δέχεται τά ενδότερα, χερσίν Αρχιερέως, εν οίς τριών από χρόνων, έως δύο καί δέκα, διέμεινας τρεφομένη, χερσί θείου Αγγέλου, ώς αγία κιβωτός, τού πάντα τεκτηναμένου.

Εις τούς Αίνους, ψάλλομεν τρία Προσόμοια Στιχηρά τής Αγίας, δευτερούντες τό πρώτον.

Ήχος δ'  Εδωκας σημείωσιν

Μνήμην τήν πανίερον, Αικατερίνα πανεύφημε, τής σεπτής σου αθλήσεως, τελούντες δοξάζομεν, εν φωναίς απαύστοις, τόν δεδωρημένον, υπομονήν σοι καρτεράν, καί νικηφόρον σε αναδείξαντα, καί λόγον χορηγήσαντα, καταπτοούντα τούς ρήτορας, Ιησούν τόν φιλάνθρωπον, καί Σωτήρα καί Κύριον. (Δίς)

Μάρτυς εθελούσιος, Αικατερίνα πανένδοξε, καθωράθης τόν τύραννον, ευτόνως ελέγξασα, καί δεινήν μανίαν, τής πολυθεϊας, θεογνωσίας φωτισμώ, καταβαλούσα, καί θεία χάριτι, εντεύθεν καί ώς Μάρτυρα, καί ως Παρθένον πανάμωμον, ο Χριστός εστεφάνωσεν, ο Σωτήρ τών ψυχών ημών.

Χάριν τήν τού Πνεύματος, Αικατερίνα πανένδοξε, εν ανοίξει τού στόματος, εδέξω καθάρασα, σεαυτήν προθύμως, διά πολιτείας, καί λογισμώ καρτερικώ, τήν τών τυράννων οφρύν, Κατέσπασας, καί καλλει τώ τού σώματος, τήν ψυχικήν ωραιότητα, θεοφρόνως αντέθηκας, Αθλητών εγκαλλώπισμα.

Δόξα... Ήχος β'

Βίον άϋλον εξησκημένη, βήμα άθεον Καταλαβούσα, έστης τροπαιοφόρος Αικατερίνα σεμνή, ανθηφορούσα τού Θεού τήν λαμπρότητα, καί τό θείον σθένος ενδεδυμένη, δόγμα τυράννου κατεμυκτήρισας, καί ρητόρων έπαυσας, τάς φληνάφους ρήσεις πολύαθλε.

Καί νύν… Τής Εορτής

Ήχος ο αυτός

Σήμερον τώ ναώ προσάγεται, η πανάμωμος Παρθένος, εις κατοικητήριον τού παντάνακτος Θεού, καί πάσης τής ζωής ημών τροφού, Σήμερον τό καθαρώτατον αγίασμα, ως τριετίζουσα δάμαλις, εις τα Άγια τών Αγίων εισάγεται, Ταύτη εκβοήσωμεν ως ο Άγγελος, Χαίρε μόνη εν γυναιξίν ευλογημένη.

Δοξολογία Μεγάλη, καί Απολυσις

Εις τήν Λειτουργίαν

Τά Τυπικά καί εκ τού Κανόνος τής Εορτής η γ' Ωδή, καί τής Αγίας η ς'.

---

Αρχή

## ΤΗ ΚΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Οσίων Πατέρων ημών Αλυπίου τού Κιονίτου, καί Νίκωνος τού Μετανοείτε.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τού Οσίου Αλυπίου.

Ήχος α' Πανεύφημοι Μάρτυρες

Παμμάκαρ Αλύπιε τήν σήν, εκ παιδός ανέθηκας, ζωήν Χριστώ τώ Θεώ ημών, υφ' ού σθενούμενος, τής σαρκός τά πάθη, λογισμώ υπέταξας, τό χείρον υποτάττων τώ κρείττονι, διό ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Θεόφρον Αλύπιε φωστήρ, καθωράθης μέγιστος, φωταγωγών τήν υφήλιον, θαυμάτων λάμψεσι, καί ενθέων έργων, όθεν μετά κοίμησιν, τό άδυτόν σε φώς υπεδέξατο, διό ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Στύλος εχρημάτισας σοφέ, Μοναστών Αλύπιε, ύπερθεν στύλου ιστάμενος, καί πιεζόμενος, καύσωνι καί κρύει, καί πολλαίς ασκήσεσι, διό καθυπεδέξω τού Πνεύματος, θεία χαρίσματα, ιατρεύειν αρρωστήματα, καί διώκειν, πάθη χαλεπώτατα.

Τού Οσίου Νίκωνος

Ήχος πλ. β' Όλην αποθέμενοι

Ύψωσαν τό σώμά σου, πόνοι καί πόνων οι τρόποι, καί τών τρόπων έλλαμψις, η τώ θείω Πνεύματι απαστράπτουσα, υπέρ νούν άπαντα, τή ισχύϊ ηύγασε, θαυμαστώς εμεγαλύνθη γάρ, η θήκη νάματα, βλύζουσα πιστοίς, ξένον θέαμα! πώς τάφος ουκ επέδησεν, ή λίθος κατέσχε τήν δύναμιν, αλλ' ως καί πρό τέλους, μετάνοιαν εκραύγαζες ημίν, ωσαύτως νύν πρός επίγνωσιν, έλκεις μετά θάνατον.

Δεύτε προσκυνήσωμεν, λαός εν οίκω Κυρίου, όπου τό πανάγιον, σκήνος τεθησαύρισται τού Παμμάκαρος, ώ τερπνοίς άσμασι, καί φαιδραίς λαμπάσι, λιτανεύοντες βοήσωμεν, Άγιε πρόφθασον, καί τούς εν ανάγκαις ελέησον, καί κλύδωνος εξάρπασον, καί τής καταιγίδος τών θλίψεων, ίνα τήν τερπνήν σου, καί πάντιμον δοξάζωμεν σορόν, καί τήν εικόνα σεβώμεθα, μύρον αναβλύζουσαν.

Πλούτον αναφαίρετον, έχει σε πόλις Λακώνων, Μάκαρ αξιάγαστε, φαειναίς αυγάζοντα ταίς λαμπρότησιν, ή καί νύν βράβευσον, τήν ειρήνην Νίκων, καί τροπαίων αυτήν έμπλησον, εχθρών τήν έπαρσιν, καί παρεμβολάς κάμψας βέλεσι, σών Πρεσβειών Πατήρ ημών, καί τής συμπαθούς μεταδόσεως, πλήσον τάς καρδίας, ημών τών ανυμνούντων σε πιστώς, εν παρρησία δεόμενος, υπέρ τών ψυχών ημών.

Δόξα… Καί νύν... Θεοτοκίον

Νοός καθαρότητι, ο Ησαϊας Παρθένε, πόρρωθεν προέφησε, Ποιητήν τής κτίσεως τεξομένην σε, ώ σεμνή Πάναγνε, σύ γάρ ώφθης μόνη, εξ αιώνος παναμώμητος, Διό σου δέομαι, τήν μεμολυσμένην καρδίαν μου, καθάρισον

καί λάμψεως, θείας κοινωνόν με ανάδειξον, Κόρη τού Υιού σου, καί στάσεως αυτού τής δεξιάς, όταν καθίση ως γέγραπται, κρίναι κόσμον άπαντα.

Η Σταυροθεοτοκίον

Κρίσιν Ισραήλ κριταί, θανατηφόρον κριθήναι, σέ Υιέ κατέκριναν, ως κριτόν σε στήσαντες επί βήματος, τόν νεκρούς κρίνοντα, καί τούς ζώντας Σώτερ, καί Πιλάτω σε παρέδωκαν, καί κατακρίνουσι πρό τής δίκης φεύ! οι παράνομοι, καί, βλέπουσα τιτρωσκομαι, καί συγκατακρίνομαι Κύριε, όθεν καί προκρίνω, θανείν υπέρ το ζήν εν στεναγμοίς, η Θεοτόκος εκραύγαζε, μόνε Πολυέλεε.

Εις τόν Στίχον, τά Στιχηρά τής Οκτωήχου.

Απολυτίκιον τού Οσίου Αλυπίου Ήχος α'

Υπομονής στύλος γέγονας, ζηλώσας τούς Προπάτορας Όσιε, τόν Ιώβ εν τοίς πάθεσι, τόν Ιωσήφ εν τοίς πειρασμοίς, καί τήν τών Ασωμάτων πολιτείαν, υπάρχων εν σώματι, Αλύπιε Πατήρ ημών Όσιε, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Δόξα... Τού Οσίου Νίκωνος

Ήχος γ' Θείας πίστεως

Χαίρει έχουσα η Λακεδαίμων, θείαν λάρνακα, τών σών λειψάνων, αναβρύουσαν πηγάς τών ιάσεων, καί διασώζουσαν πάντας εκ θλίψεων, τούς σοί προστρέχοντας Πάτερ εκ πίστεως, Νίκων Όσιε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν ψάλλεται είς Κανών τής Οκτωήχου, καί των Αγίων οι δύο παρόντες.

Ο Κανών τού Οσίου Αλυπίου, ού η Ακροστιχίς.

Χαίρων επαινώ τούς Αλυπίου πόνους. Ιωσήφ.

Ωδή α' Ήχος πλ. α'

«Ίππον καί αναβάτην, εις θάλασσαν Ερυθράν, ο συντρίβων πολέμους, εν υψηλώ βραχίονι, Χριστός εξετίναξεν, Ισραήλ δέ έσωσεν, επινίκιον ύμνον άδοντα».

Χάριτος πεπλησμένος, χαράς μου πλήρωσον, τήν ψυχήν επαινέσαι, τόν βίον οου Αλύπιε, καί τήν πολιτείαν σου, δι' ής πάντας ηύφρανας, ισαγγέλως αγωνισάμενος.

Άλλον ως Σαμουήλ σε, Θεός ηγίασε, μητρικής εκ κοιλίας, Αλύπιε μακάριε, καί

βλέπων τά έμπροσθεν, ως Προφήτην ένθεον, απειργάσατο αξιάγαστε.

Ίνα Θεός δηλώση, τήν σήν λαμπρότητα, ήνπερ ύστερον έσχες, καλώς αγωνισάμενος, φωτός θείου έπλησε, τού τεχθέντος Όσιε, τό δωμάτιον υπέρ έννοιαν.

Θεοτοκίον

Ρήσις σεπτού Προφήτου, πέρας εδέξατο, ιδού γάρ η Παρθένος, σαρκί Θεόν εκύησε, βροτούς αναπλάττοντα, συντριβέντας πρότερον, αμαρτίας πλημμελήμασι.

Ο Κανών τού Οσίου Νίκωνος

Ωδή α' Ήχος πλ. δ'

«Αρματηλάτην Φαραώ εβύθισε, τερατουργούσα ποτέ, Μωσαϊκή ράβδος, σταυροτύπως πλήξασα, καί διελούσα θάλασσαν, Ισραήλ δέ φυγάδα, πεζόν οδίτην διέσωσεν, άσμα τώ Θεώ αναμέλποντα».

Τής ουρανίου πατριάς τώ έρωτι, Κατασχεθείς τήν ψυχήν, καί τά εκεί κάλλη, καί τήν διαμένουσαν, επιποθήσας εύκλειαν, επιγείου πατρίδος, καί γεννητόρων εμάκρυνας, Νίκων σεαυτόν παναοίδιμε.

Τόπον εκ τόπου διαμείβων πέφευγας, τά παρατρέχοντα, τήν κοσμικήν σχέσιν, ταίς αποχωρήσεσι, σαφώς αποκρουόμενος, καί μηδέν τών προσύλων, τό ευγενές ενυβρίσαι σου, μάκαρ τής ψυχής ανασχόμενος.

Θεοτοκίον

Δεδοξασμένα περί σού λελάληνται, εν γενεαίς γενεών, η τόν Θεόν Λόγον, εν Υαστρί χωρήσασα, αγνή δέ διαμείνασα, Θεοτόκε Μαρία, διό σε πάντες γεραίρομεν, τήν μετά Θεόν Προστασίαν ημών.

Τού Οσίου Αλυπίου

Ωδή γ'

«Ο πήξας επ' ουδενος τήν γήν τή προστάξει σου, καί μετεωρίσας ασχέτως βρίθουαν, επί τήν ασάλευτον Χριστέ, πέτραν τών εντολών σου, τήν Εκκλησίαν σου στερέωσον, μόνε αγαθέ καί φιλάνθρωπε».

Ως λύχνος επί λυχνίαν, στάσεως κρείττονος, επιτεθειμένος ταίς σελασφόροις σου, Πάτερ αρεταίς πάσαν ψυχήν, πιστώς σοι προσιούσαν, ευσεβοφπόνως κατελάμπρυνας, σκότους αμαρτίας λυτρούμενος.

Νοός σου τάς ιεράς, κινήσεις ποιούμενος, πρός τηρήσεις θείων, νόμων τού Πνεύματος, Άγγελος εφάνης επί γής, Αγγέλων πολιτείαν, μετά σαρκός αναλαβόμενος, Πάτερ θεοφόρε Αλύπιε.

Εμφρόνως τών οχληρών, τού βίου αοίδιμε, μετανάστης ώφθης, καί

προσεχώρησας, πρός ασκητικής διαγωγής, τά σκάμματα προθύμως, τήν σήν καρδίαν οικητήριον, Όσιε δεικνύων τού Πνεύματος.

Θεοτοκίον

Παρθένε τό καθαρόν, τού Λόγου παλάτιον, τήν ψυχήν μου δείξον, οίκον τού Πνεύματος, ύδατος πηγή ζωαρχικού, πότισόν με τή καύσει, τής αμαρτίας φλογιζόμενον, όπως κατά χρέος δοξάζω σε.

Τού Οσίου Νίκωνος

Ουρανίας αψίδος

Εξ Εώας εις Δύσιν, διαδραμών άπαντας, τώ τής μετανοίας κηρύγματι κατεπύρσευσα, όθεν κατάλληλον, τή πράξει εύρες τήν κλήσιν, μετανοίας Όσιε, δειχθείς φερώνυμος.

Τού Προδρόμου τόν ζήλον, εν τή ψυχή θέμενος, Πάτερ τήν δευτέραν εν κόσμω, Χριστού εμφάνειαν προανεκήρυττες, καί μετανοίας αξίους, εκ καρδίας έλεγες, καρπούς ποιήσατε.

Θεοτοκίον

Χαίρε μόνη τεκούσα, τόν τού παντός Κύριον, Χαίρε τήν ζωήν τοίς ανθρώποις ή προξενήσασα, Χαίρε κατάσκιον, καί αλατόμητον Όρος, Τών πιστών τό στήριγμα, χαίρε Πανάμωμε.

Ο Ειρμός

«Ουρανίας αψίδος, οροφουργέ Κύριε, καί τής Εκκλησίας δομήτορ, σύ σε στερέωσον, εν τή αγάπη τή σή, τών εφετών ή ακρότης, τών πιστών τό στήριγμα, μόνε Φιλάνθρωπε».

Κάθισμα τού Οσίου Αλυπίου

Ήχος πλ. δ’

Τήν Σοφίαν καί Λόγον

Συμεών ημίν ώφθης άλλος σοφέ, τό γάρ σώμα υψώσας στύλω εκ γής, ώ Πάτερ Αλύπιε, τών δαιμόνων τάς φάλαγγας, ετροπώσω θεόφρον, πικρώς κατοιμώζοντας, καί εις αβάτους τόπους, αυτούς απεδίωξας, όθεν καί εδείχθης, εγκαλλώπισμα θείον, Πατέρων τό καύχημα, Μοναζόντων τό στήριγμα, Διό πίστει βοώμέν σοι, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω τήν αγίαν μνήμην σου.

Δόξα... Τού Οσίου Νίκωνος

Ήχος α’ Τόν τάφον σου Σωτήρ

Τόν ζήλον τόν σεπτόν, Βαπτιστού εμιμήσω, καί κόσμω τήν φρικτήν, καί δευτέραν τού Κτίστου, εμφάνειαν εκήρυττες, καί τοίς πάσιν εκραύγαζες, Νύν ποιήσατε, Καρπούς αξίους Κυρίω, μετανοίας τε, από καρδίας τελείας, Πατήρ ημών Όσιε.

Καί νύν... Θεοτοκίον

Κυβέρνησον Αγνή, τήν αθλίαν ψυχήν μου, καί οίκτειρον αυτήν, υπό πλήθους πταισμάτων, βυθώ ολισθαίνουσαν, απωλείαις πανάμωμε, καί εν ώρα με, τή φοβερά τού θανάτου, ελευθέρωσον, κατηγορούντων δαιμόνων, φρικτής

αποφάσεως.

Η Σταυροθεοτοκίον

Ω θαύματος φρικτού! ώ καινού μυστηρίου! εβόα η αγνή, καί πανάμωμος Κόρη, εν ξύλω ως έβλεψεν, απλωθέντα τόν Κύριον, ό τά σύμπαντα, εν τή δρακί περιφέρων, ως κατάκριτος, υπό κριτών παρανόμων, Σταυρώ κατακρίνεται.

Τού Οσίου Αλυπίου

Ωδή δ'

Τήν θείαν εννοήσας σου κένωσιν, προβλεπτικώς ο Αββακούμ, Χριστέ εν τρόμω εβόα σοι, εις σωτηρίαν λαού σου, τού σώσαι τούς χριστούς σου ελήλυθας.

Αγάπην αληθή καί συμπάθειαν, πίστιν ελπίδα αρραγή, καί πολιτείαν ανόθευτον, αναλαβόμενος Πάτερ, θεράπων τού Χριστού εχρημάτισας.

Ιστάμενος εν στύλω ακλόνητος, ταίς εναντίαις προσβολαίς, δαιμόνων στίφος εκλόνησας, καί κλονουμένοις εγένου, Παμμάκαρ αδιάσειστον έρεισμα.

Ναμάτων θείων έμπλεως γέγονας, καί κατεδρόσισας ψυχάς, κατατακείσας τώ καύσωνι, τής χαλεπής αμαρτίας, Αλύπιε θεόφρον πανόλβιε.

Θεοτοκίον

Τά πάθη τής ψυχής μου θεράπευσον, καί φωταγώγησον τόν νούν, καί τήν καρδίαν μου Δέσποινα, η φωτοδότην τεκούσα, Χριστόν τόν υπεράγαθον Κύριον.

Τού Οσίου Νίκωνος

Εισακήκοα Κύριε

Αληθώς εφιέμενος, γνώσεως Μακάριε, πράξιν τέθεικας, θεωρίας σου επίβασιν, τούς Ελλήνων λήρους παρωσάμενος.

Τής καρδίας τά όμματα, πράξεσιν ενθέοις προκαθηράμενος, προεμήνυες τά μέλλοντα, απτικήν διάνοιαν προσκτησάμενος.

Θεοτοκίον

Ιλασμόν ημίν δώρησαι, τών αγνοημάτων ως αναμάρτητος, καί ειρήνευσον τόν κόσμον σου, ο Θεός πρεσβείαις τής Τεκούσης σε.

Τού Οσίου Αλυπίου

Ωδή ε'

«Ο αναβαλλόμενος, φώς ως ιμάτιον, πρός σέ ορθρίζω, καί σοί κραυγάζω, Τήν ψυχήν μου φώτισον, τήν εσκοτισμένην, Χριστέ ως μόνος εύσπλαγχνος».

Όλος ανακείμενος, τώ Παντοκράτορι, χρονίαν στάσιν, ύπαιθρος Πάτερ, νιφετοίς καί καύσωνι, σφοδρώ προσπαλαίων, προθύμως εκαρτέρησας.

Ύμνοις καί δεήσεσι, σχολάζων Όσιε, τής τρισηλίου αυγής τήν χάριν, νοός καθαρότητι, εδέξω καί φέγγος, ιάσεων απήστραψας.

Σώμά σου τώ κίονι, περιγραψάμενος, τόν νούν βαδίζειν ανεμποδίστως, πρός τόν σοί ποθούμενον, Πάτερ επαφήκας, φωτός αποπληρούμενος.

Θεοτοκίον

Άγιον εκύησας, Θεόν γενόμενον, βροτόν δι' οίκτον, Αγία Κόρη, τόν καθαγιάζοντα, τούς αυτόν εν πίστει, καί φόβω αγιάζοντας.

Τού Οσίου Νίκωνος

Ορθρίζοντες βοώμέν σοι

Πληγέντα τόν εις σέ παροινήσαντα, θεηλάτως, ταίς ευχαίς ανέρρωσας, καί σέ Τιμάν παρεσκεύασας.

Ναόν πανευκλεή ανεστήλωσας, τώ Σωτήρι, ναός ζών καί έμψυχος, προχρηματίσας θεσπέσιε.

Θεοτοκίον

Ζωήν ημίν εβλάστησας άχραντε, Θεοτόκε, τόν Κτίστην καί Κύριον, ζωοποιούντα τά σύμπαντα.

Τού Οσίου Αλυπίου

Ωδή ς'

«Μαινομένην κλύδωνι, ψυχοφθόρω, Δέσποτα Χριστέ, τών παθών τήν θάλασσαν Κατεύνασον, καί εκ φθοράς ανάγαγέ, με ως εύσπλαγχνος».

Λίθοις σε τά πνεύματα, τής κακίας, βάλλοντα σαφώς, ποιούμενον στάσιν εν τώ κίονι, τής αρραγούς, πέτρας ουδόλως εσάλευσαν.

Υπομένων Όσιε, υπέμεινας, τόν υπομονήν, αληθή σοι Κύριον δωρούμενον, καί εκ πάντων, τών δυσχερών σε ρυόμενον.

Παραδόξως, Όσιε, φώς ωράτο, ύπερθεν τού σού, καθ' εκάστην κίονος φωτίζον σου, διά παντός, τά τής ψυχής αισθητήρια.

Θεοτοκίον

Ισχυράν παράκλησιν, οι εν θλίψει, εχομεν αγνή, καί βεβαίαν πάντες σε αντίληψιν, Μήτηρ Θεού, κινδύνων σώζε τούς δούλους σου.

Τού Οσίου Νίκωνος

Ιλάσθητί μοι Σωτήρ

Εδόξασέ σε Θεός, ο δοξασθείς σου τοίς μέλεσιν, εν τέρασι θαυμαστοίς, διό καί τώ κίονι, όπως χρηματίση σοι, εν τώ θείω οίκω, τό ελλείπον ανεπλήρωσας.

Ως άλλον σε Μωϋσήν, η Λακεδαίμων εγνώρισε, τήν Αίγυπτον τών παθών, πιέζοντα μάστιξιν, ενθέοις διδάγμασι, τοίς τής μετανοίας, καί κακίας εξαιρούμενον.

Θεοτοκίον

Ρυσθείημεν τών δεινών, πταισμάτων ταίς ικεσίαις σου, Θεογεννήτορ αγνή, καί τύχοιμεν πάναγνε, τής θείας ελλάμψεως, τού εκ σού αφράστως, σαρκωθέντος Υιού τού Θεού.

Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ό Θεός τής σωτηρίας μου».

Κοντάκιον τού Οσίου Αλυπίου

Ήχος πλ. δ’

Ως απαρχάς τής φύσεως

Ως αρετών υπόθεσιν, καί Ασκητών καλλώπισμα, η Εκκλησία δοξάζει σε σήμερον, καί ανυμνεί σε Αλύπιε, ταίς ευχαίς σου παράσχου, τοίς τιμώσιν εκ πόθου τάς αριστείας σου, καί τά παλαίαματα, τών δεινών εγκλημάτων εκλύτρωσιν, ως επώνυμος.

Τού Οσίου Νίκωνος

Ήχος πλ. β’

Τήν υπέρ ημών πληρώσας

Τήν Αγγελικήν μιμούμενος πολιτείαν, κόσμου τά τερπνά ως σκύβαλα ελογίσω, μεταανοίας τήν τρίβον δεικνύων ημίν, θεοφόρε Νίκων Όσιε διά τούτό σε γεραίρομεν, εκτελούντες νύν τήν μνήμην σου, υπάρχεις γάρ αληθώς, ιαμάτων πηγή.

Συναξάριον

Τή ΚΣΤ’ τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Αλυπίου τού Κιονίτου.

Στίχοι

Ανείχεν Αλύπιον όρθιος κίων,
Πρός ουρανούς ζητούντα βαίνειν, ού μένει.
Εικάδι έκτη άλυπον, Αλύπιε, βής επί οίκον.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Νίκωνος τού Μετανοείτε,

Στίχοι

Οι Λακεδαίμων, ουδαμώς Δαίμων λάκοι.
Σοβεί γάρ αυτόν τοίς τεραστίοις Νίκων.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Στυλιανού τού Παφλαγόνος.

Στίχοι

Ασκήσεως πέπτωκεν ό στερρός στύλος.
Στυλιανός γάρ τόν βίον καταστρέφει.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Ακακίου τού εν τή Κλίμακι.

Στίχοι

Κακόν φυγων πάν Ακάκιος εν βίω.
Καλοίς απείροις εντρυφά λιπών βίον.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Ιακώβου τού Αναχωρητού.

Στίχοι

Ο Ιάκωβος αναχωρήσας κόσμου,
Νύν τήν υπερκόσμιον οικεί πατρίδα.

Ο άγιος Νεομάρτυς Γεώργιος, ο εν Χίω αθλήσας κατά τό 1807, ξίφει τελειούται.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Σίλου, Επισκόπου τής Περσίδος, Καί ανάμνησις τών εγκαινίων τού Ναού τού Αγίου Γεωργίου, εν τώ Κυπαρίσσω.

Ταίς τών σών Αγίων πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τού Οσίου Αλυτίου

Ωδή ζ’

«Ο υπερυψούμενος, τών Πατέρων Κύριος, τήν φλόγα κατέσβεσε, τούς Παίδας εδρόσισε, συμφώνως μελωδούντας, Ο Θεός ευλογητός εί».

Ο καρτερικώτατος, καί στερρός Αλύπιος, χρόνοις επί πλείοσι, κρύει Πιεζόμενος, τού Πνεύματος τή θάλψει, εθάλπετο παραδόξως.

Ύψος πρός ουράνιον, έχων τό πολίτευμα, σώματος ηλόγησας, ώς φθείρεσθαι μέλλοντος, καί τούτου σηπομένου, ουκ εφρόντισας τοίς πόνοις.

Πάσαν ηδυπάθειαν, Πάτερ αρνησάμενος, τώ κρύει καί καύσωνι, παλαίων ενήθλησας, αίθριος αναμέλπων, ο Θεός ευλογητός εί.

Θεοτοκίον

Ο απεριόριστος, σάρκα ανελάβετο, έννουν τε καί έμψυχον, εκ σού Αειπάρθενε, τού σώσαι τούς βοώντας, ο Θεός ευλογητός εί.

Τού Οσίου Νίκωνος

Οι εκ τής Ιουδαίας

Ως εν άρματι Πάτερ, αρετών τετρακτΰϊ σύ εποχούμενος, ανέδραμες εις ύψος, Ηλίας ώς περ άλλος, μελωδών τώ Σωτήρί σου, Ο των Πατέρων ημών, Θεός ευλογητός εί.

Ζηλωτής ώς περ άλλος, τοίς ποθούσί σε Πάτερ τό ράκος έλιπες, εν ώ σου τό σαρκίον, εκτρύχων καί πιέζων, τήν ψυχήν διανέπαυες, Ο τών Πατέρων βοών, Θεός ευλογητός εί.

Θεοτοκίον

Σοφίας έμπλησον πάντας, καί δυνάμεως θείας η ενυπόστατος, Σοφία τού Υψίστου, διά τής Θεοτόκου, τούς εν πίστει σοι ψάλλοντας, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Τού οσίου Αλυπίου

Ωδή η'

«Σοί τώ παντουργώ, εν τή καμίνω Παίδες, παγκόσμιον πλέξαντες, χορείαν έμελπον, Πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τους αιώνας».

Νέος Σαμουήλ, προθεωρών το μέλλον, νοός καθαρότητι, ώφθης Αλύπιε, πάσι προλέγων, ως ένθεος Προφήτης, τά υπό Κυρίου, δηλούμενα σοι Πάτερ.

Ο φωτοειδής, τής εκκλησίας στύλος, ο πύργος ο άσειστος, τείχος τό άρρηκτον, πάντων ανθρώπων, Θεώ πεπιστευκότων, ο Χριστού θεράπων, Αλύπιος τιμάσθω.

Ύπνωσας καλώς, ύπνον δικαίοις Πάτερ, πάσιν οφειλόμενον, κοιμήσας πρότερον, πάθη ποικίλα, εντεύξεσιν αγρύπνοις, όθεν σε προστάτην, άγρυπνον νύν πλουτούμεν.

Θεοτοκίον

Σού ο τοκετός, τήν τικτομένην βλάβην, κακία τού όφεως, νύν απεστείρωσε, μόνη κατάρας, αναίρεσις Παρθένε, όθεν σε τιμώμεν, εις πάντας τούς αιώνας.

Τού Οσίου Νίκωνος

Επταπλασίως κάμινον

Τό καθαρόν καί άσπιλον, τής ψυχής περιβόλαιον, τό καρτερικόν, καί απαθές σαρκίον σου, ως θείον θησαύρισμα, η Λακεδαίμων φέρουσα, καί σωματικών, καί ψυχικών αλγημάτων, τήν ρώσιν εξαιτείται, μελωδούσα συμφώνως, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Τών ιαμάτων χάριτας, η σορός αναβλύζουσα, πάσαν νοσημάτων, καί παθών

επήρειαν, παντοίαν τε κάκωσιν, καί μαλακίαν άπασαν, πάντων θεραπεύει, τών πιστώς μελωδούντων, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Υπέρ ημών ιλέωσαι, τόν Σωτήρα καί Κύριον, τών καταφευγόντων, τή σή σκέπη Όσιε, ως νίκης επώνυμος, καί Θεώ παριστάμενος, πάσης λυτρωθήναι, τών εχθρών κακουργίας, δαιμόνων επηρείας, καί ανάγκης καί νόσου, τούς πίστει σε υμνούντας, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Νούς εξειπείν ου δύναται, τό φρικτόν τής λοχείας σου, πώς καί παρθενεύεις, μετά τόκον άχραντε, ως μόνος επίσταται, ο τών απάντων Κύριος, όν ιλεουμένη, μή ελλίπης Παρθένε, σωθήναι τούς εν πίστει, τώ Υιώ σου βοώντας, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ο Ειρμος

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν, εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, Τόν Δημιουργόν, καί Λυτρωτήν ανεβόα, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

## Τού Οσίου Αλυπίου

### Ωδή θ’

«Ησαία χόρευε, η Παρθένος έσχεν εν γαστρί, καί έτεκεν υιόν τόν Εμμανουήλ, Θεόν τε καί άνθρωπον, Ανατολή, όνομα αυτώ, όν μεγαλύνοντες, τήν Παρθένον μακαρίζομεν».

Ιερός ό βίος σου, εκ σπαργάνων, ώφθη τώ Θεώ, λαμπόμενος αρετών, μάκαρ τώ φωτί, τίμιος ο θάνατος, εναντίον γέγονε Χριστού, Πάτερ Αλύπιε, Μοναζοντων ακροθίνιον.

Ως φωστήρ υπέρλαμπρος, καταυγάζεις, άπασαν τήν γήν, ελαύνων τήν πονηράν, νύκτα τών παθών, καί λύων σκοτόμαιναν, τών Δαιμόνων, καί φωταγωγών, θείαις λαμπρότησιν, ιαμάτων πάντας Όσιε.

Στάσιν επί κίονος, εποιήσω, έτεσι σοφέ, πεντήκοντα πρός τρισίν, οία Αθλητής, αθλών προθυμότατα, καί τώ κρύει καί τώ παγετώ, Πάτερ καί καύσωνι, ανενδότως πιεζόμενος.

Η αγία μνήμη σου, τώ Αγίω Πνεύματι ημάς, καθαγιάζει σοφέ, ταύτην ιερώς, τελούντας καί πίστει σε, ανυμνούντας, Πάτερ εν αυτή, ως αντιλήπτορα, καί προστάτην τών ψυχών ημών.

Θεοτοκίον

Φωτισμόν μοι δώρησαι, τώ εν σκότει όντι τών παθών, καί ρύσαί με πονηρών, έργων καί φλογός, εναποκειμένης μοι, τώ αθλίω καί αμαρτωλώ, Άχραντε Δέσποινα, προστασία τών υμνούντων σε.

Τού Οσίου Νίκωνος

Εξέστη επί τούτω
Αμέσως απολαύων Πάτερ ζωής, υπέρ ής ηγωνίσω πρός δύναμιν, επί τής γής, βίω διαπρέψας αγγελικώ, καί μεταβάς μακάριε, Νίκων πρός αϋλους διαμονάς, σωθήναι θεοφόρε, δυσώπει τούς εν πίστει, εν τώ ναώ σου προσεδρεύοντας.

Αγάλλη σύν Αγγέλοις εν ουρανώ, τώ τών όλων Θεώ παριστάμενος, καί επί γής, βρύει σου η θήκη τάς δωρεάς εν ή σεπτώς κατάκειται, σωμά σου τό άγιον καί σεπτόν, τοίς πόθω προσιούσι, καί φόβω απτομένοις, Νίκων παμμάκαρ τών λειψάνων σου.

Θεοτοκίον
Εν σοί τής παρθενίας τό καθαρόν, ετηρήθη Μαρία πανύμνητε, σύ γάρ Θεόν, μόνη συλλαβούσα άνευ σποράς, σεσαρκωμένον τέτοκας, μείνασα Παρθένος παναληθής, διό σε Θεοτόκον, κυρίως ανυμνούμεν, καί προσκυνούμεν καί δοξάζομεν.

Ο Ειρμός
«Εξέστη επί τούτω ο ουρανός, καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι μεγαλύνουσιν».

Εξαποστειλάριον Αγ. Αλυπίου
Γυναίκες ακουτίσθητε
Αγώνας υπέρ άνθρωπον, μετήλθες Πάτερ Οσιε, τή τού Χριστού δυναστεία, πεντήκοντα πρός τρισί γάρ, έτεσιν επί κίονος, έστης σοφέ Αλύπιε, πάντοθεν πιεζόμενος, καί νύν τό έσχατον μάκαρ, τών αγαθών πάντων εύρες.

Τού Αγίου Νίκωνος
Ο ουρανόν τοίς άστροις
Η θήκη ένθα σου κείται, τό ευκλεέστατον σώμα, χάριτας βλύζει τοίς πάσι, τών ιαμάτων δαψιλώς, τοίς προσιούσιν εν πίστει, Νίκων αεί θεοφόρε.

Θεοτοκίον
Αι τών Αγγέλων πάσαι, καί Αρχαγγέλων χορείαι, ανευφημούσί σε Κόρη, Μήτηρ Θεού τού υψίστου, καί τών βροτών άπαν γένος, δοξολογούμέν σε πόθω.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ’ καί ψάλλομεν Στιχηρά Προσόμοια γ’ τού Αγίου Νίκωνος δευτερούντες τό α’.

Ήχος α’ Τών ουρανίων Ταγμάτων
Τών εφετών απολαύων αμέσως Όσιε, τών επί γής φωτίζεις, πάντων τάς διανοίας, εν πίστει εκτελούντων, μνήμην τήν σήν, θεοφόρε Πατήρ ημών, καί τώ ναώ σου τώ Θείω πανευσεβώς, αθροισθέντων παμμακάριστε. (Δίς)

Σύ τού Προδρόμου τόν ζήλον εκμιμησάμενος, Μετανοείτε πάσιν, ανεβόας παμμάκαρ, εξ όλης τής καρδίας, η γάρ Χριστού, βασιλεία εφέστηκεν, όν εκδυσώπει απαύστως υπέρ ημών, τών εν πίστει δοξαζόντων σε.

Εκ τής Εώας εις Δύσιν, Πάτερ διέδραμες, καί μετανοίας πάντας, κατεπύρσευσας λόγοις, ως άλλον Μωϋσήν δέ, πόλις η σή, Λακεδαίμων εγνώρισε, τήν γάρ παθών αποτέμνεις Αίγυπτον νύν, μετανοίας τοίς διδάγμασιν.

Δόξα… Ήχος πλ. β’

Όσιε Πάτερ, εις πάσαν τήν γήν, εξήλθεν ο φθόγγος τών κατορθωμάτων σου, δι’ ών εν τοίς ουρανοίς, εύρες μισθόν τών καμάτων σου, Τών Δαιμόνων ώλεσας τάς φάλαγγας, τών Αγγέλων έφθασας τά τάγματα, ών τόν βίον αμέμπτως εζήλωσας, Παρρησίαν έχων πρρός Χριστόν τόν Θεόν, ειρήνην αίτησαι ταίς ψυχαίς ημών.

Καί νύν… Θεοτοκίον

Μεταβολή τών θλιβομένων, απαλλαγή τών ασθενούντων, υπάρχουσα Θεοτόκε Παρθένε, σώζε πόλιν καί λαόν, τών πολεμουμένων η ειρήνη, τών χειμαζομένων η γαλήνη, η μόνη προστασία τών πιστών.

Η Σταυροθεοτοκίον

Τριήμερος ανέστης

Η πάναγνος ως ειδέ σε, επί Σταυρού κρεμάμενον, θρηνωδούσα, ανεβόα μητρικώς, Υιέ μου, καί Θεέ μου, γλυκύτατόν μου τέκνον, πώς φέρεις πάθος επονείδιστον;

Εις τόν Στίχον, τά Στιχηρά τής Οκτωήχου.

Καί η λοιπή Ακολουθία τού Όρθρου καί Απόλυσις.

---

Αρχή

**ΤΗ ΚΖ’ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τού Αγίου Μεγαλομάρτυρος Ιακώβου τού Πέρσου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις το, Κύριε εκέκραξα, ψάλλομεν τρία Προσόμοια Στιχηρά τού Αγίου.

Ήχος β’ Ότε, εκ τού ξύλου σε

Κόσμου, τά τερπνά καταλιπών, γένους περιφάνειαν πλούτον, καί ωραιότητα, πάσάν τε τήν αίσθησιν, απαρνησάμενος, καί τό σώμα τεμνόμενος, παθών εκμιμήσει, χαίρων ηκολούθησας, Χριστώ Ιάκωβε, ώς ούν κοινωνός παθημάτων, δόξης εχρημάτισας όντως, καί τής βασιλείας νύν συμμέτοχος.

Μέλη, θεριζόμενος σαρκός, καί τάς αφορήτους οδύνας, τών αικισμών καρτερών, Μάρτυς αξιάγαστε, Χριστού Ιάκωβε, καί τυράννων ωμότητα,

πατήσας ανδρείως, νίκης τόν πολύτιμον, στέφανον είληφας, ώ νύν εγκοσμούμενος Μάκαρ, θείω τού Δεσπότου σου θρόνω, μετά τών συνάθλων σου παρίστασαι.

Έχων, παρρησίαν πρός Χριστόν, πάντων τών εν πίστει τελούντων, τήν σήν σεπτήν εορτήν, Μάρτυς παναοίδιμε, θερμώς προϊστασο, τών κινδύνων ρυόμενος, παθών απαλλάττων, πάσης περιστάσεως, δεινών λυτρούμενος, νέμων καί ψυχών σωτηρίαν, θείαις σου εντεύξεσιν όπως, τούς λαμπρούς αγώνάς σου δοξαζωμεν.

Δόξα... Ήχος β' Τού Στουδίτου

Καρτερών εν αθλήσει, Μάρτυς Ιάκωβε, τό σώμά σου παρέδωκας διά Χριστόν τόν Θεόν, καί μελιζόμενος χείρας καί μηρούς, καί βραχίονας καί κνήμας καί τούς δακτύλους, καί τελευταίον τήν κάραν σου, ανίπτασαι εν ουρανοίς, συμβασιλεύειν τώ βασιλεί τού παντός, Διο Αθλούντων κράτιστε, μή διαλίπης ικετεύων, τού σωθήναι τάς ψυχάς ημών, εκπάσης βλάβης τού αλλοτρίου.

Καί νύν… Θεοτοκίον

Ότε, εκ τού ξύλου σε

Μόνη, τόν αχώρητον Θεόν, αστενοχωρήτως εν μήτρα, εκυοφόρησας, άνθρωπον γενόμενον δι' αγαθότητα, Παναγία Θεόνυμφε, Διό δυσωπώ σε, τών στενοχωρούντων με παθών απάλλαξον, όπως τήν στενήν καί ευθείαν, τρίβον διοδεύσας προφθάσω, τήν επί ζωήν Παρθένε φέρουσαν.

Η Σταυροθεοτοκίον

Ότε, η αμίαντος αμνάς, έβλεψε τόν ίδιον άρνα, επί σφαγήν ως βροτόν, θέλοντα ελκόμενον, θρηνούσα έλεγεν, Ατεκνώσαι νύν σπεύδεις με, Χριστέ τήν τεκούσαν, τί τούτο πεποίηκας, ο λυτρωτής τού παντός; Όμως, ανυμνώ καί δοξάζω, σού τήν υπέρ νούν τε καί λόγον, άκραν άγαθότητα φιλάνθρωπε.

Εις τόν Στίχον, τά Στιχηρά τής Οκτωήχου.

Δόξα… Ήχος πλ. α'

Εθαυμαστώθης Ιάκωβε, εν ταίς βασάνοις πάσαις μακροθυμήσας, τών γάρ δακτύλων καί τών χειρών, καί βραχιόνων εκκοπέντων σου, ομοίως καί ποδών καί κνημίδων σου, μέχρι μηρών εκαρτέρησας, λοιπόν ευχομένου σου, καί τήν σεπτήν σου κάραν απέτεμον, Μάρτυς πολύαθλε, υπέρ ημών μή παύση Χριστού δεόμενος ελεηθήναι τάς ψυχάς ημών.

Καί νύν… Θεοτοκίον

Χαίροις ασκητικών

Χαίροις η καλλονή Ιακώβ, ήν εξελέξατο Θεός, ήν ηγάπησεν, η θύρα τών σωζομένων, η φλογοφόρος λαβίς, τής αράς η λύσις παντευλόγητε, γαστήρ θεοχώρητε, πεπτωκότων ανόρθωσις, αγιωτέρα, Χερουβίμ καί τής κτίσεως, υπερέχουσα, δυσθεώρητον όραμα, άκουσμα τό καινότατον, ανέκφραστον λάλημα, άρμα τού Λόγου νεφέλη, εξ ής ανέτειλεν ήλιος, Χριστός καταυγάζων, τούς εν σκότει καί παρέχων, τό μέγα έλεος.

Η Σταυροθεοτοκίον

Άρνα τόν εαυτής η αμνάς, ποτέ ορώσα, πρός σφαγήν επειγόμενον,

προθύμως κατηκολούθει, ταύτα βοώσα αυτώ, Πού πορεύη Τέκνον μου γλυκύτατον, Χριστέ τίνος χάριν, τόν δρόμον τούτον πεποίησαι; μήτοι γε γάμος, εν Κανά πάλιν έτερος, οίνον όπου πρίν, εξ υδάτων τετέλεκας! Δός μοι λόγον τή δούλη σου, Υιέ μου παμφίλτατε, μή με παρίδης οικτίρμον, σιγών εμέ τήν τεκούσάν σε, Θεέ υπέρ λόγον, ο δωρούμενος τώ κόσμω, τό μέγα έλεος.

Απολυτίκιον

Ήχος δ' Ταχύ προκατάλαβε

Ο Μάρτυς σου, Κύριε, εν τή αθλήσει αυτού, τό στέφος εκομίσατο τής αφθαρσίας, εκ σού τού Θεού ημών, έχων γάρ τήν ισχύν σου, τούς τυράννους καθείλεν, έθραυσε καί δαιμόνων, τά ανίσχυρα θράση. Αυτού ταίς ικεσίαις, Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

Δόξα… Καί νύν… Θεοτοκίον

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, λέγονται οι Κανόνες τής Οκτωήχου, καί τού Αγίου ούτος, ού η Ακροστιχίς.

Τόν Πέρσην Ιάκωβον εν άσμασι Μάρτυρα μέλπω. Θεοφάνους.

Ωδή α' Ήχος β'

«Δεύτε λαοί, άσωμεν άσμα Χριστώ τώ Θεώ, τώ διελόντι θάλασσαν, καί οδηγήσαντι, τόν λαόν όν ανήκε, δουλείας Αιγυπτίων, ότι δεδόξασται».

Τώ τού Χριστού, βήματι νύν παριστάμενος, στεφανηφόρος ένδοξε, Μάρτυς Ιάκωβε, φωτοφόρον μοι αίγλην, καί χάριν ουρανόθεν, δίδου Πρεσβείαις σου.

Όρθρος ημίν, έλαμψας ώσπερ πολύφωτος, Ανατολής ορμώμενος, καί κατελάμπρυνας, τήν Χριστού Εκκλησίαν, λαμπρότητι τών άθλων, μάκαρ Ιάκωβε.

Νεανικήν, ένστασιν επιδειξάμενος, ως νικητής ηξίωσαι, τής αναρρήσεως, καί τελείων επάθλων, καί δόξης αιωνίου, Μάρτυς, Ιάκωβε.

Θεοτοκίον

Προφητικαί, σάλπιγγες σέ προηγόρευσαν, τό επί σοί Μυστήριον, μυσταγωγούμεναι, Θεοτόκε Παρθένε, καί πόρρωθεν ορώσαι, τά σά θαυμασια.

Ωδή γ'

«Στερέωσον ημάς εν σοί Κύριε, ο ξύλω νεκρώσας τήν αμαρτίαν, καί τόν φόβον σου εμφύτευσον, εις τάς καρδίας ημών τών υμνούντων σε».

Εγένου εκλεκτή Χριστού ως άμπελος, δρεπάνη βασάνων καθαιρουμένη, καί πολύν τόν καρπόν φερουσα, τοίς ληνοίς τού Σωτήρος προσαγόμενον.

Ρεόντων τό φθαρτόν καί ευδιάλυτον, παρείδες εμφρόνως Στεφανηφόρε, ώς αγχίνους δέ προέκρινας, τών αεί προσμενόντων τό ασάλευτον.

Στεφάνους σοι λαμπρούς κατατεμνόμενον, τό σώμα ωμότητι τών τυράννων, προεξένησεν Ιάκωβε, καί τρυφής Παραδείσου τήν απόλαυσιν.

Θεοτοκίον

Η λέηται σαφώς διά τού τόκου σου, τού θείου Παρθένε η ανθρωπότης, ενωθείσα καθ’ υπόστασιν, τώ Δεσπότη τών όλων θεονύμφευτε.

Ο Ειρμός

«Στερέωσον ημάς εν σοί Κύριε, ο ξύλω νεκρώσας τήν αμαρτίαν, καί τόν φόβον σου εμφύτευσον, εις τάς καρδίας ημών τών υμνούντων σε».

Κάθισμα  Ήχος πλ. δ’

Τήν Σοφίαν καί Λόγον

Εκ Περσίδος αστέρα νεοφανή, ο Χριστός ανατείλας τοίς επί γής, τόν θείον Ιάκωβον, καί αοίδιμον Μάρτυρα, δι’ αυτού τόν ζόφον, τής πλάνης απήλασε, καί τοίς πιστοίς τήν χάριν, τού Πνεύματος έλαμψεν, όθεν οι τήν μνήμην, τήν αυτού εκτελούντες, πιστώς εορτάσωμεν, καί βοήσωμεν λέγοντες, Αθλοφόρε πολύαθλε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα… Καί νύν… Θεοτοκίον

Τήν ψυχήν μου Παρθένε τήν ταπεινήν, από βρέφους μολύνας ο μιαρός, καί λόγοις καί πράξεσιν, εμαυτόν Κατερρύπωσα, καί ουκ έχω τι πράξαι, ουδέ καταφύγιον, αλλ’ ουδ’ άλλην ελπίδα, πλήν σου Κόρη επίσταμαι, Φεύ μοι τώ αχρείω! Διά τούτο ικέτης, πρός σέ τήν Πανάχραντον, νύν προστρέχω καί δέομαι, ομολογών σοι τό Ήμαρτον, Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δοθήναί μοι, εις σέ γάρ πάσαν ελπίδα, ανέθηκα Δέσποινα.

Η Σταυροθεοτοκίον, όμοιον

Τόν αμνόν καί ποιμένα καί λυτρωτήν, η Αμνάς θεωρούσα εν τώ Σταυρώ, ωλόλυζε δακρύουσα, καί πικρώς ανεκραύγαζεν, Ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήν περ υπομένεις διά σπλάγχνα ελέους, Θεέ υπεράγαθε, ανεξίκακε Κύριε, Ή πιστώς εκβοήσωμεν, Σπλαγχνίσθητι Παρθένε εφ’ ημάς, καί πταισμάτων δώρησαι τήν άφεσιν, τοίς προσκυνούσιν εν πίστει, αυτού τά παθήματα.

Ωδή δ’

«Εισακήκοα Κύριε, τήν ακοήν, τής σής οικονομίας, καί εδόξασά σε, μόνε Φιλάνθρωπε».

Νενευρωμένος Ένδοξε, τή εκ Θεού δοθείση πανοπλία, πυρσολατρών πάσαν,

πλάνην κατέφλεξας.

Ιλασμόν ημίν αίτησαι, τοίς τήν σεπτήν σου; μνήμην εκτελούσι, παρρησίαν έχων, Μάρτυς Ιάκωβε.

Απορρέοντος αίματος, οι οχετοί τών σών μελών Τρισμάκαρ, τήν τής πλάνης φλόγα, πάσαν κατέσβεσαν.

Θεοτοκίον

Κυβέρνησόν μου Πάναγνε, τούς λογισμούς πρός εύδιον λιμένα, τής σής απαθείας, καί καθαρότητος.

Ωδή ε'

«Ο τού φωτός χορηγός, καί τών αιώνων ποιητής Κύριος, εν τώ φωτί τών προσταγμάτων, οδήγησον ημάς, εκτός σου γάρ άλλον, Θεόν ου γινώσκομεν».

Ώσπερ τις γή αγαθή, καί καρποφόρος αληθώς γέγονας, τώ τών πικρών, βασάνων αρότρω, τεμνόμενος Σοφέ, πολύχουν τώ Κτίστη, προσφέρων γεώργιον.

Βέλη πανάριστε, πεπυρωμένα τού εχθρού έσβεσας, λύθρω τών σων κοπέντων Τρισμάκαρ, σώματος μελών, ελπίδι γάρ ώφθης, καί πίστει φραττόμενος.

Ολοκαρπούμενος, ως ιερείον τώ Χριστώ πάνσοφε, τών σών μελών, δεινώς κοπτομένων, κατάλληλον ωδήν, καί πρόσφορον ύμνον, εκάστω προσέφερες.

Νέμοις καθάρσιον, τών τής ψυχής μου μολυσμών ένδοξε, Μάρτυς Χριστού, τάς σάς αλγηδόνας, αντίλυτρον διδούς, καί τούς τών αιμάτων, κρουνούς σου πανεύφημε.

Θεοτοκίον

Επαληθεύουσαν, τώ σεβασμίω καί φρικτώ τόκω σου, καί τήν φωνήν, καρδία καί γλώσση, προσάπτοντες τρανώς, σέ νύν Θεοτόκον αγνήν ονομάζομεν.

Ωδή ς'

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, εκ φθοράς ο Θεός με ανάγαγε».

Νουθεσίαν εμφρόνως δεξάμενος, τών οικειοτάτων σου χαίρων εχώρησας, πρός τούς αγώνας Ένδοξε, καί στεφάνους τής νίκης απείληφας.

Αλλοτρίω καθάπερ εν σώματι, πάσχων εκαρτέρησας, Μάρτυς Ιάκωβε, καί μεληδόν κοπτόμενος, τώ Δεσπότη τόν ύμνον ανέπεμπες.

Σωτηρίου προδήλως ιμάτιον, καί τής ευφροσύνης, χιτώνα δι' αίματος, τού σού

βαφέντα Πάνσοφε, νικηφόρος ως Μάρτυς ενδέδυσαι.

Μαρτυρίου τόν δίαυλον ήνυσας, όθεν ιερόνικον, στέφανον είληφας, καί νύν Μαρτύρων τάγμασι, συγχορεύεις Ιάκωβε ένδοξε.

Θεοτοκίον

Απειράνδρως Παρθένε εκύησας, καί διαιωνίζεις, Παρθένος εμφαίνουσα, τής αληθούς θεότητος, τού Υιού καί Θεού σου τά σύμβολα.

Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής εύσπλαγχνίας σου, επικαλούμαι άβυσσον, εκ φθοράς ο Θεός με ανάγαγε».

Κοντάκιον Ήχος β'

Τά άνω ζητών

Πεισθείς τή καλή, συζύγω καρτερόψυχε, καί τό φοβερόν, κριτήριον φοβούμενος, τών Περσών τό φρόνημα, καί τόν φοβον Ιάκωβε κατέπτυσας, καί ανεδείχθης Μάρτυς θαυμαστός, τό σώμα ως κλήμα τεμνόμενος.

Ο Οίκος

Από ψυχής στενάξωμεν πάντες, δάκρυα εκχέοντες, καθορώντες πικρώς τόν Μάρτυρα μελιζόμενον, δίκην κυνών γάρ ώρυομένων συνελθόντες οι δήμιοι, τά μέλη κατετίτρωσκον τού θαυμαστού καί γενναίου εν Μάρτυσι Μάρτυρος, Τίς ούν υπάρχει; ειδοκεί, μικρόν υπομείνατε, καί λέξω πάντα μετά σπουδής, πώς ώς θύμα Κυρίω προσήνεκται, το σώμα ώς κλήμα τεμνόμενος.

Συναξάριον

Τή ΚΖ' τού αυτού μηνός, Μνήμη τής αθλήσεως τού Αγίου Μεγαλομάρτυρος Ιακώβου τού Πέρσου.

Στίχοι

Τμηθείς μεληδόν, καί σφαγήν Πέρσης φέρων,  
«Ψυχή σεσώσθω, φρούδά μοι μέλη» λέγει.  
Εικάδι Πέρσης εβδομάτη σφάγη εκμελεϊσθείς.

Τή αυτή ημέρα, ο Όσιος Πινούφριος εν ειρήνη τελειούται.

Στίχοι

Ο Πινούφριος αρετών πολλαίς χρόαις  
Εν ουρανοίς έλαμψεν ως ίρις νέα.

Τή αυτή ημέρα, ο Άγιος Ναθαναήλ εν ειρήνη τελειούται.

Στίχοι

«Αφείσα κόσμον, πρός Θεόν ψυχή τρέχε»,  
Ναθαναήλ έκραζε μέλλων εκπνέειν.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον καί σώσον ημάς. Αμήν.

Ωδή ζ'

«Εικόνος χρυσής, εν πεδίω Δεηρά λατρευομένης, οι τρείς σου Παίδες

Κατεφρόνησαν, αθεωτάτου προστάγματος, μέσον δέ πυρός εμβληθέντες, δροσιζόμενοι έψαλλον, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών».

Στερρότητι νού, καρτερία τε ψυχής κατατεμνόμενος, Μάρτυς τό σώμα απερίτρεπτος, καί αρραγής διετέλεσας, πίστει στηριζόμενος θεία, καί κραυγάζων Ιάκωβε, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Ιθύνας τούς σούς λογισμούς πρός τόν σκοπόν τής άνω κλήσεως, καί ταίς βασάνοις καταντλούμενος, ου Κατεκλύσθης, αλλ' έφερες, ράον τάς πληγάς τών ανόμων, καί τεμνόμενος έψαλλες, Ευλογητος εί ο Θεός, ο τών Πατέρων ημών.

Μακάριος εί, καί καλώς σοι έσται νύν μακαριώτατε, νενικηκότι τήν ατίθασον, τού πονηρού αγριότητα, καί τήν τού τυράννου μανίαν, καί προθύμως κραυγάζοντι, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Αδύτου φωτός, καί λαμπάδος θεϊκής καί απαυγάσματος, ώφθης λυχνία χρυσαυγίζουσα, καί κόσμον όλον αυγάζουσα, αίγλη τής σεπτής παρθενίας, καί τούς ψάλλοντας σώζουσα, Ευλογημένη η Θεόν, σαρκί κυήσασα.

## Ωδή η'

«Τόν εν καμίνω τού πυρός, τών Εβραίων τοίς Παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον μεταβαλόντα Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Ρώμη Θεού κραταιωθείς, πονηρών τάς συστροφάς καί παρατάξεις, διεσκέδασας μάκαρ, καί κατά κράτος ελών, τής νίκης τόν στέφανον είληφας, κραυγάζων, Ευλογείτε, Χριστόν εις τούς αιώνας.

Τάς αφαιρέσεις τών μελών, ως προσθή κας αγαθών Μάρτυς εώρας, ού τούς νυν βλέπων πόνους, αλλά τό μέλλον σκοπών, Μαρτύρων ωραίον στεφάνωμα, παρά τού δικαίου Κριτού ηυτρεπισμένον.

Υπομονήν υπερφυή, κεκτημένος ασφαλής καθάπερ πύργος, διετέλεσας Μάκαρ, τών δυσμενών τάς ορμάς, ατρόμως καί βέλη δεχόμενος, κράζων, Ευλογείτε, Χριστόν εις τούς αιώνας.

Ρώμη πολλή σοι προσβαλών, ο αρχέκακος εχθρός καί ψυχοφθόρος, καί τυράννους εγείρας, καταβαλείν τής ψυχής, τόν τόνον ούκ ίσχυσεν Ένδοξε, τήν γάρ παντευχίαν, Χριστού περιεβάλου.

Θεοτοκίον

Αθανασίας διαυγή, επιστάμεθα πηγήν σε Θεοτόκε, ως τεκούσαν τόν Λόγον, τού αθανάτου Πατρός, τόν πάντας θανάτου λυτρούμενον, τούς υπερυψούντας, αυτόν εις τούς αιώνας.

Ο Ειρμός

«Τόν εν καμίνω τού πυρός, τών Εβραίων τοίς Παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον, μεταβαλόντα Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε, εις πάντας τους αιώνας».

## Ωδή θ’

«Τόν εκ Θεού Θεόν Λόγον, τόν αρρήτω σοφία ήκοντα, καινουργήσαι τόν Αδάμ, βρώσει φθορά πεπτωκότα δεινώς, εξ αγίας Παρθένου, αφράστως σαρκωθέντα διημάς, οι πιστοί ομοφρόνως, εν ύμνοις μεγαλύνωμεν».

Μετά Μαρτύρων ως Μάρτυς, συγχορεύων Τρισμάκαρ, καί θρόνω παρ ιστάμενος Χριστού, τούς εκτελούντας τήν μνήμην σου, καί τήν σήν φωτοφόρον τιμώντας ευφροσύνως εορτήν, χαλεπών εκ κινδύνων, ταίς σαίς πρεσβείαις λύτρωσαι.

Ένθα Μαρτύρων οι δήμοι, ένθα πάντων τών Αγίων, αγίως αναπαύεται πληθύς, ένθα Δικαίων τά πνεύματα, ένθα η Εκκλησία, τών πρωτοτόκων νύν εν ουρανοίς, κατεσκήνωσας όντως, ως Μάρτυς ώ Ιάκωβε.

Λαμπαδηφόρος παρέστης τώ Σωτήρι τών όλων, δι’ όν σου τών τού σώματος μελών, τήν εκκοπήν εκαρτέρησας, καί πυρός καί μαστίγων, τής πείρας κατεφρόνησας στερρώς, διό πίστει σε πάντες, καί πόθω μακαρίζομεν.

Πεποικιλμένην πορφύραν, δι’ αιμάτων βαφείσαν, τών σών νύν περικείμενος Χριστώ, συμβασιλεύεις Ιάκωβε, διά γάρ παθημάτων, τής απαθείας εύρες τήν πηγήν, ής τρυφάν αιωνίως, παμμάκαρ κατηξίωσαι.

## Θεοτοκίον

Ως τόν Θεόν συλλαβούσαν, καί Θεού γενομένην, Μητέρα κατ’ αλήθειαν Αγνή, σέ Θεοτόκον δοξάζομεν, τών πραγμάτων τή φύσει, τήν κλήσιν προσαρμόζοντες τρανώς, καί προσφόρως τήν θείαν, φωνήν προσκομίζοντες.

## Ο Ειρμός

«Τόν εκ Θεού Θεόν Λόγον, τόν αρρήτω σοφία, ήκοντα καινουργήσαι τόν Αδάμ, βρώσει φθορά πεπτωκότα δεινώς, εξ αγίας Παρθένου, αφράστως σαρκωθέντα δι’ ημάς, οι πιστοί ομοφρόνως, εν ύμνοις μεγαλύνωμεν».

## Εξαποστειλάριον
## Γυναίκες ακουτίσθητε

Περσών τήν πλάνην έφλεξας, τώ ζήλω πυρπολούμενος, Χριστού Ιάκωβε Μάρτυς, ως κλήμα τής αμπέλου δέ, τό σωμά σου τεμνόμενος, τυράννου γνώμη πάνσοφε, ανέμελπες κατάλληλον, ωδήν καί πρόσφορον ύμνον, τή απροσίτω Τριάδι.

## Θεοτοκίον

Μαρία καθαρώτατον, χρυσούν θυμιατήριον, τής αχωρήτου τριάδος, δοχείον όντως εγένου, εν ώ Πατήρ ηυδόκησεν, ο δέ Υιός εσκήνωσε, καί Πνεύμα τό Πανάγιον, επισκιάσαν σοι Κόρη, ανέδειξε Θεοτόκον.

Εις τόν Στίχον τά Στιχηρά τής Οκτωήχου.

Δοξα… Ήχος πλ. δ’
Γεωργίου Σικελιώτου

Πιστώς αθροισθέντς σήμερον, φιλοθεάμονες, αθρήσατε πάλην, ξένην καί διαλάττουσαν, Ιακώβου τού εκ Περσίδος ημίν αστράψαντος, δίκην αστέρος τού τοίς Μάγοις φανέντος, καί πρός τήν αληθή επίγνωσιν καθοδηγήσαντος, Ούτος γάρ ο γεννάδας, εν τώ πίπτειν τούς πολεμίους ανέτρεπε, καί εν τώ αρμομελοτομείσθαι, τούς τυράννους εξενεύρου, τή άνωθεν προμηθεία νευρούμενος, καί βοών, Ει καί τά μέλη μου αισθητά όντα τέμνετε, αλλ’ έχω Χριστόν, νοητώς μοι τά πάντα γινόμενον, Όθεν προβλέπων τήν μέλλουσαν ζωήν, διά τού τοίς πάσι Προκειμένου θανάτου, πρός εκείνην έσπευσε περάσαι, εις ήν καί αυλιζόμενος, αιτείται ημίν, παρά τού στεφοδότου Θεού, ιλασμόν, φωτισμόν, καί τό μέγα έλεος, τοίς εκτελούσι τήν μνήμην αυτού.

Καί νύν… Θεοτοκίον
Ήχος ο αυτός
Ω τού παραδόξου θαύματος

Σκότει αγνοίας κρατούμενον, καί αθυμίας δεινής, νυσταγμώ βαρυνόμενον, καί στενοχωρίας με, τώ ζόφω καλυπτόμενον, καί τοίς κινδύνοις, συμποδιζόμενον, μή με παρίδης, εις τέλος φθείρεσθαι, Δέσποινα εύσπλαγχνε, τούτων πάντων ρύσαί με, τών πειρασμών, σέ γάρ μόνην κέκτημαι, ελπίδα μετά Θεόν.

Η Σταυροθεοτοκίον

Πώς υπενέγκω τήν άδικον, Λόγε, σφαγήν σου οράν, πώς τά θειά σου όμματα, τά τυφλούς φωτίσαντα, μεμυκότα τεθέαμαι; Πώς δέ καί χείλη, βλέπω σιγώντά σου, τά μογιλάλων, χείλη ανοίξαντα; Σπλάγχνα σπαράχθητε, ράγηθι καρδία μου, ου φέρω ζήν, κέκραγε δακρύουσα, πικρώς η πάνσεμνος.

Καί η λοιπή Ακολουθία τού Όρθρου, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΗ’ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Στεφάνου τού Νέου, καί τού Αγίου Μάρτυρος Ειρηνάρχου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς’, καί ψάλλομεν Προσόμοια Στιχηρά τού Οσίου.

Ήχος πλ. β’
Όλην αποθέμενοι

Όλος εκ νεότητος, ανατεθείς τώ Κυρίω, σαρκός έξω γέγονας, κοσμικής τε σχέσεως ιερώτατε, μοναστής άριστος, πεφυκώς Στέφανε, καί δοχείον θείου Πνεύματος, καί γάρ συγκλείσας σου, οίκω στενοτάτω μακάριε, τό σώμα ανεπτέρωσας, νούν πρός ουρανόν ενοπτρίζεσθαι, τό άρρητον κάλλος,

Χριστού τού Βασιλέως καί Θεού, ού προσκυνών τό ομοίωμα, ήθλησας στερρότατα.

Τεσσαρακονθήμερον, ως ο Δεσπότης νηστεύσας, εν ειρκτή φρουρούμενος, σεαυτόν πρός άθλησιν παρεσκεύασας, Ιερέ Στέφανε, Μοναστών έρεισμα, καί Μαρτύρων εγκαλλώπισμα, όθεν ώς θήρές σοι, οι ανηλεείς επιθέμενοι, αρνίον ώς περ άκακον, σύραντες αδίκως εσπάραξαν, καί μετά ανόμων, κατέθεντο αθλήσαντα στερρώς, καί παρρησία πρεσβεύοντα, υπέρ τών ψυχών ημών.

Λαός ό παράνομος, παρανομίαις υπείκων, παρανόμου Όσιε, βασιλέως λίθοις σε ως τόν Πρώταθλον, αφειδώς έβαλε, καί τήν κάραν Πάτερ, τήν αγίαν σου συνέτριψε, ταίς λεωφόροις τε, σύρων ωμοτάτως εξέχεε, τά σπλάγχνα σου πανόλβιε, μηδέ μετά πότμον οικτείρας σε, Ώ τής σής ανδρείας! ώ γνώμης! ώπολλής υπομονής! δι' ής απείληφας Στέφανε, στέφος αμαράντινον.

Καί τού Μάρτυρος
Ήχος ο αυτός
Τριήμερος ανέστης

Αγώνας τού σεπτού Αθλητού, τούς πόνους τού οπλίτου Χριστού, ευφημούντες κατά χρέος οι πιστοί, βοήσωμεν Κυρίω, Αυτού ταίς ικεσίαις, πάσης ανάγκης εξελού ημάς.

Ειρήνη σοι πολλή εκ Θεού, αθλήσαντι γεγένηται, καί τόν σάλον, διελθόντι τών δεινών, Ειρήναρχε παμμάκαρ, γενναίε στρατιώτα, καί πρεσβευτά τών ευφημούντων σε.

Συνήθλει σοι γυναίων χορός, καί παίδων θείος όμιλος, σύν τώ θείω, Ακακίω καρτερώς, τελούντι, τόν αγώνα, καί πλάνην εκνευρούντι, Μάρτυς Ειρήναρχε μακάριε.

Δόξα… Ήχος πλ. β'
Τού Στουδίτου

Εκ βρέφους τώ Θεώ, ανετεθης Ιερώτατε Στέφανε, ώς περ ο μέγας προφήτης Σαμουήλ, καί εν τώ όρει ανελθών, μοναδικώς ευηρέστησας αυτώ, Αύθις δέ πρός άθλησιν, επεδύσω ανδρικώς, καί υπέρ τής εικόνος αυτού, εξορίας καί θλίψεις υπέστης καρτερώτατα, καί δεσμοίς καί φυλακαίς ενεκαρτέρησας, συρόμενος δέ καί τυπτόμενος, καί λιθαζόμενος, καί τήν κάραν συντριβόμενος, τών στεφάνων ηξιώθης παρά Χριστού τού Θεού, Αυτόν ικέτευε, τούς εκ πόθου τελούντας τήν αεισέβαστον μνήμην σου, λυτρωθήναι εκ παθών καί πειρασμών, καί τής μελλούσης θλίψεως, καί σωθήναι τάς ψυχάς ημών.

Καί νύν… Θεοτοκίον

Ουδείς προστρέχων επί σοί, κατησχυμμένος από σού εκπορεύεται, αγνή Παρθένε Θεοτόκε, αλλ αιτείται τήν χάριν, καί λαμβάνει τό δώρημα, πρός τό συμφέρον τής αιτήσεως.

Η Σταυροθεοτοκίον
Όλην αποθέμενοι

Τόν άρνα τόν ίδιον, αμνάς η άσπιλος πάλαι, καί άμωμος Δέσποινα, εν Σταυρώ υψούμενον ώς εώρακε, μητρικώς ωλόλυζε, καί εκπληττομένη, ανεβόα, Τί τό όραμα, Τέκνον γλυκύτατον, τούτο τό καινόν καί παράδοξον, πώς δήμος ο αχάριστος, βήματι Πιλάτου παρέδωκε, καί Κατακρινούσι, θανάτω τών απάντων τήν ζωήν, Αλλ' ανυμνώ σου τήν άφατον, Λόγε συγκατάβασιν.

Εις τόν Στίχον, τά Στιχηρά τής Όκτωήχου.

Δόξα... Ήχος πλ. δ'

Τό κατ' εικόνα τηρήσας αλώβητον, Όσιε Πάτερ, υπέρ τής Χριστού εικόνος, αντέστης ανδρικώτατα, μή υποπτήξας τού Κοπρωνύμου τάς απειλάς, αλλά τώ τού Πνεύματος ξίφει, τούτον απέκτεινας, Διό παρρησίαν κεκτημένος πρός Θεόν, περίσωζε τήν ποίμνην σου, εξ αιρέσεων πασών, Στέφανε πολύαθλε.

Καί νύν... Θεοτοκίον

Δέσποινα πρόσδεξαι, τάς δεήσεις τών δούλων σου, καί λύτρωσαι ημάς, από πάσης ανάγκης καί θλίψεως.

Η Σταυροθεοτοκίον

Ώ τού παραδόξου

Τί τό ορώμενον θέαμα, ό τοίς εμοίς οφθαλμοίς, καθοράται ώ Δέσποτα; ο συνέχων άπασαν, κτίσιν ξύλω ανήρτησαι, καί ενεκρώθης, ο πάσι νέμων ζωήν, η Θεοτόκος, κλαίουσα έλεγεν, ότε εώρακεν, εν Σταυρώ υψούμενον, τόν εξ αυτής, αρρήτως εκλάμψαντα, Θεόν καί άνθρωπον.

Απολυτίκιον τού Όσίου

Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ

Ασκητικώς προγυμνασθείς εν τώ όρει, τάς νοητάς τών δυσμενών παρατάξεις, τή πανοπλία ώλεσας παμμάκαρ τού Σταυρού, αύθις δέ πρός άθλησιν, ανδρικώς απεδύσω, κτείνας τόν Κοπρώνυμον, τώ τής Πίστεως ξίφει, καί δι' αμφοίν εστέφθης εκ Θεού, Οσιομάρτυς αοίδιμε Στέφανε.

Δόξα... Ήχος δ'

Ταχύ προκατάλαβε

Ο Μάρτυς σου, Κύριε, εν τή αθλήσει αυτού, τό στέφος εκομίσατο τής αφθαρσίας, εκ σού τού Θεού ημών, έχων γάρ τήν ισχύν σου, τούς τυράννους καθείλεν, έθραυσε καί δαιμόνων, τά ανίσχυρα θράση, Αυτού ταίς ικεσίαις, Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον καί Απόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, λέγεται είς Κανών τής Οκτωήχου, καί τών Αγίων οι εφεξής δύο.

Ο Κανών τού Οσίου, ού η Ακροστιχίς.

Χριστός στέφει σε Μαρτύρων στέφει, μάκαρ. Ιωσήφ.

Ωδή α’ Ήχος πλ. β’

«Ως εν ηπείρω πεζεύσας ο Ισραήλ, εν αβύσσω ίχνεσι τόν διώκτην Φαραώ, καθορών ποντούμενον, Θεώ επινίκιον ωδήν εβόα άσωμεν».

Χαρμονικώς διοδεύσας σύ τήν στενήν, τρίβον τής ασκήσεως, μαρτυρίου πλατυσμώ, δυσμενών εστένωσας ορμήν, καί ευρύχωρον ζωήν Μάκαρ κεκλήρωσαι.

Ρίζα σε άκαρπος πρώην καρπογονεί, Άννης ή ομώνυμος, ώς τόν πάλαι Σαμουήλ, καί δοτόν σε δίδωσι Θεώ, τήν τού βίου σου Σοφέ χάριν σημαίνουσα.

Ιερωτάτως τώ θείω τών Μοναστών, προσχωρήσας τάγματι, ως φαιδρότατος αστήρ, αρεταίς εξέλαμψας πιστούς, καταυγάζων μυστικώς, Όσιε Στέφανε.

Στενοχωρήσας τό σώμα τώ συγκλεισμώ, τής στενής οικήσεως, ανεπτέρωσας τόν νούν, πρός τά επουράνια Σοφέ, αναβάσει καλώς προσπλατυνόμενος.

Θεοτοκίον

Τήν αδιόδευτον πύλην τό καθαρόν, τής αγνείας τέμενος, τήν καλήν εν γυναιξί, τήν αγίαν Δέσποιναν φωναίς, ιεραίς ο Ιερός λαός δοξάσωμεν.

Ο Κανών τού Μάρτυρος, ού η Ακροστιχίς.

Ειρηνικήν μοι προσνέμοις Μάρτυς χάριν. Θεοφάνους.

Ήχος καί Ειρμός ο αυτός

Εκ τών σκανδάλων τού βίου καί τών παθών, τών παρενοχλούντων με, ειρηνεύσας μου τόν νούν, Αθλητά Ειρήναρχε τήν σήν, ευφημήσαι γαληνώς μνήμην αξίωσον.

Ιερονίκους στεφάνους ως Αθλητής, ειληφώς Ειρήναρχε, μετετέθης εκ τής γής, πρός ειρήνην άμαχον καί φώς, καί ζωήν αληθινήν μακαριώτατε.

Ρείθροις αιμάτων τήν φλόγα τών διωκτών, κατασβέσας ήρδευσας, διανοίας τών πιστών, αναθάλλειν έρωτα ζωής, αιωνίου ευσεβώς Μάρτυς Ειρήναρχε.

Θεοτοκίον

Η τόν αχώρητον Λόγον τή σή γαστρί, χωρηθέντα τέξασα, θεοχώρητε σκηνή, τής στενοχωρούσης με δεινώς, τρικυμίας τών κακών Αγνή απάλλαξον.

Τού Οσίου

## Ωδή γ’

«Ουκ έστιν άγιος ως σύ, Κύριε ο Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου αγαθέ, καί στερεώσας ημάς, εν τή πέτρα τής ομολογίας σου».

Ο νούς σου νεύσει πρός Θεόν, καλλυνόμενος Πάτερ, ωραιότατος ώφθη, καί χαρίσματος παντός, ανάπλεως αληθώς, καί τής θείας, μέτοχος λαμπρότητος.

Σεπτήν εικόνα τού Χριστού, καί τής τούτον Τεκούσης, ασπαζόμενος Μάκαρ, βασιλέως δυσσεβούς, τό δόγμα τό δυσσεβές, εβδελύξω, σθένει θείου Πνεύματος.

Σιδήρω σέ τόν σιδηράν, κεκτημένον καρδίαν, ο παράφρων δεσμεύσας, παραπέμπει φυλακαίς, ως φύλακα τών Πιστών, διδαγμάτων, Στέφανε πανόλβιε.

Τούς σούς ωραίους προφανώς, έσχες Όσιε πόδας, μαρτυρίου πρός τρίβους, βηματίζοντας λαμπρώς, καί κεφαλάς δυσμενών, γενναιόφρον, Στέφανε συνθλάττοντας.

### Θεοτοκίον

Εκ σού τής μόνης καθαράς, ο υπέρθεος Λόγος, εσαρκώθη ώς οίδε, καί διέσωσεν ημάς, τούς προσκυνούντας αυτού, τήν δι’ οίκτον, θείαν συγκατάβασιν.

### Τού Μάρτυρος

### Ο αυτός

Νευρούσαι σθένει θεϊκώ, καί χωρείς πρός αγώνας, θαρσαλέως παμμάκαρ, υπομένων αικισμούς, καί στρέβλας τών δυσμενών, αθλοφόρε, Μάρτυς γενναιότατε.

Ισχύν σοι δίδωσι Χριστός, Αθλοθέτης ο μέγας, διολέσαι τήν πλάνην, καί αισχύναι τόν εχθρόν, καυχώμενον αναιδώς, καί εικαίως, Μάρτυς φρυαττόμενον.

Καθείλε πόνοις ανδρικοίς, τόν αρχέκακον όφιν, ο χορός τών Αγίων, εναθλήσας κραταιώς, καί μάστιγας καί δεσμά, υπομείνας, σθένει θείου Πνεύματος.

### Θεοτοκίον

Ην είδε πάλαι Ιακώβ, από γής τεταμένην, πρός ουράνιον ύψος, θείαν κλίμακα σαφώς, Μαρίαν τό καθαρόν, τού Δεσπότου, μέλψωμεν παλάτιον.

### Ο Ειρμός

«Ουκ έστιν άγιος ως σύ, Κύριε ο Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου αγαθέ, καί στερεώσας ημάς, εν τή πέτρα τής ομολογίας σου».

### Κάθισμα τού Οσίου

Ήχος δ’  Ο υψωθείς

Τών Μοναστών υπογραμμός ανεδείχθης, τών Αθλητών καλλωπισμός ανεφάνης, δι’ αμφοτέρων Στέφανε κοσμούμενος, όθεν αξιάγαστε, καί διπλούς τούς στεφάνους, έλαβες ασκήσεως, καί αθλήσεως Πάτερ, Αλλ’ εκτενώς Χριστόν υπέρ ημών, τών σέ υμνούντων, ικέτευε Στέφανε.

Δόξα… Τού Μάρτυρος, όμοιον

Γή καί υγρά τούς καρτερούς σου αγώνας, κατεμερίσθη Αθλητά γενναιόφρον, δι’ ών τής πλάνης έλυσας τό φρύαγμα, καί τήν υπερκόσμιον, μετά πάντων Μαρτύρων, δόξαν αιωνίζουσαν, εκληρώσω παμμάκαρ, Αλλ’ υπέρ πάντων πρέσβευε Χριστώ, τών σέ τιμώντων, τρισμάκαρ Ειρήναρχε.

Καί νύν... Θεοτοκίον

Καταφυγή τών εν δεινοίς ύπαρχοντων, Καταλλαγή πρός τόν Θεόν τών πταιόντων, Υπεραγία Δέσποινα περίσωζε ημάς, πάσης περιστάσεως, καί κακίας ανθρώπων, καί φρικτής κολάσεως, καί παθών ατιμίας, τούς αδιστάκτω πίστει σε αεί, προσκαλουμένους, Παρθένε πανύμνητε.

Η Σταυροθεοτοκίον

Εν τώ Σταυρώ παρισταμένη Παρθένε, τώ τού Υιού σου καί Θεού ανεβόας, οδυνηρώς στενάζουσα, δακρύουσα θερμώς, Οίμοι, ώ γλυκύτατε! πώς ανδρών παρανόμων, φέρεις τά λακτίσματα, καί τάς τρώσεις τών ήλων, καί τών κακούργων θάνατον σαφώς, σώσαι τό γένος, βροτών προμ ηθούμενος;

Τού Οσίου

Ωδή δ’

«Χριστός μου δύναμις, Θεός καί Κύριος, η σεπτή Εκκλησία θεοπρεπώς, μέλπει ανακράζουσα, εκ διανοίας καθαράς, εν Κυρίω εορτάζουσα».

Φωτί τού Πνεύματος, καταλαμπόμενος, δι’ εντεύξεως θείας, τυφλοίς τό φώς, Πάτερ εχορήγησας, τόν σόν Δεσπότην καί Θεόν, μιμησάμενος Θεόπνευστε.

Εφαίνου πόρρωθεν, τοίς θαλαττεύουσι, κυβερνών τούτους μάκαρ πρός γαληνόν, όρμον θεία χάριτι, προσκαλουμένους σου πιστώς, Πάτερ Στέφανε τό όνομα.

Ιερουργούμενος, καθάπερ σφάγιον, ιερόν προσηνέχθης τώ διά σέ, τεθυμένω Στέφανε, καί πρωτοτόκων εν σκηναίς, ανεπαύσω ευφραινόμενος.

Σεπτώ σου ρήματι, ο πρίν ημίξηρος, υγιής όλος ώφθη καταπλαγείς, Μάρτυς τήν δοθείσάν σοι, χάριν εξ ύψους δαψιλώς, εις ανθρώπων περιποίησιν.

Θεοτοκίον

Εν σοί Πανάμωμε, τής σωτηρίας μου, τάς ελπίδας εθέμην, επί τήν σήν, σκέπην καταπέφευγα, γενού μοι Κόρη βοηθός, τών δεινών εξαιρουμένη με.

Τού Μάρτυρος

Ο αυτός

Νομίμως έδραμες, νομίμως ήθλησας, καί νομίμως εστέφθης τώ τού Θεού, νόμω κρατυνόμενος, καί απαράτρωτον σαυτόν, συντηρών Μακαριώτατε.

Μή στέργων ένδοξε, τή πλάνη νήχεσθαι, τή θεογνωσία ως νουνεχής, χαίρων προσκεχώρηκας, φώς νοερόν αναλαβών, καί φωστήρ αποδεικνύμενος.

Ουδόλως έκρυψε, βυθός δεξάμενος, σέ πανόλβιε Μάρτυς επεγνωκώς, θείων παθημάτων σε, παναληθέστατον Χριστού, όντα Μάρτυρα Ειρήναρχε.

Ιερουργούμεναι, καί προθυόμεναι, καί ξεόμεναι άμα καί τώ πυρί, πάντοθεν φλεγόμεναι, ουκ εξηρνήσασθε Χριστόν, Αθλοφόροι αξιϋμνητοι.

Θεοτοκίον

Παρθένος έμεινας, μετά τήν κύησιν, ώσπερ ής πρό τού τόκου, ότι Θεόν, Λόγον απεκύησας, τόν λυτρωσάμενον ημάς, μεσιτεία σου Πανάμωμε.

Τού Οσίου

Ωδή ε'

«Τώ θείω φέγγει σου αγαθέ, τάς τών ορθριζόντων σοι ψυχάς, πόθω καταύγασον δέομαι, σέ ειδέναι Λόγε Θεού τόν όντως Θεόν εκ ζόφου τών πταισμάτων ανακαλούμενον».

Μαρτυρικαίς έστεψε τιμαίς, τούς ασκητικούς σου αληθώς καμάτους Όσιε Στέφανε, ο αγωνοθέτης μόνος Θεός ημών, κατά τών παλαμναίων ενδυναμώσας σε.

Αγωνιζόμενος ευκλεώς, δήμον συμμαρτύρων ταίς ειρκταίς, προσομιλών Μάρτυς εύρηκας, σέ γάρ ώς αστέρες άδυτον ήλιον, κυκλούντες επί πλείον κατελαμπρύνοντο.

Ρήμασι θείοις τούς ιερούς, Ομολογητάς καί μιμητάς, θείων παθών μακαρίζομεν, τούς τριακοσίους καί τεσσαράκοντα, καί δύο τούς αθέους καταπαλαίσαντας.

Τριχών αφαίρεσιν παικτικώς, ώτων εκκοπήν τε καί χειρών, μελών τε θείων κατάφλεξιν, υπέρ τής εικόνος Χριστού υπήνεγκεν, ο δήμος τών Οσίων ο ευκλεεστατος.

Θεοτοκίον

Υπεραγία η τόν Θεόν, μόνη επί γής ως αληθώς, τόν υπεράγιον τέξασα τούς σέ Θεοτόκον αεί κηρύττοντας, αγίασον καί σώσον τή μεσιτεία σου.

Τού Μάρτυρος

Ο αυτός

Ρομφαία τέτρωται ο εχθρός, τής υπομονής τής καρτεράς, τού γενναιόφρονος Μάρτυρος, καί ταίς τούτου πτέρναις καθυποτέτακται, καί γέλως καθοράται καί καταισχύνεται.

Ο πούς σου έστη προφητικώς, Μάρτυς εν ευθύτητι σοφέ, απεριτρέπτω φρονήματι, καθυποσκελίζων τόν πολυμήχανον, ταίς τρίβοις μαρτυρίου καλλωπιζόμενος.

Σύ τήν κακίαν τών διωκτών, άκακος ακέραιος οφθείς, Μάρτυς απώσω Ειρήναρχε, καί τή τελειώσει σου τή δι αίματος, στεφάνοις αφθαρσίας κατεστεφάνωσαι.

Θεοτοκίον

Νοήσας πόρρωθεν μυστικώς, ό τών Προφητών θεολαμπής, χορός Παρθένε Θεόνυμφε, θείου τοκετού σου βάθος απόρρητον, συμβόλοις ιεροίς σε προδιεχάραξε.

Τού Οσίου

Ωδή ς'

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι, Ανάγαγε, εκ φθοράς τήν ζωήν μου πολυέλεε».

Ρημάτων σου δυνάμιν, ο κακίας ευρετής, υπενεγκείν ούκ ίσχυσεν, όθεν δεσμοίς σε Στέφανε καί ποιναίς, θανάτω βιαίω τε, ωμοτάτως ο πλάνος παραδέδωκεν.

Ως άρτος οπτώμενος, τώ πυρί καί εκ ποδών ανηλεώς κρεμάμενος, ωλοκαυτώθης Παύλε καί τώ Θεώ, θυσία προσήνεξαι, συναυλίας Μαρτύρων αξιούμενος.

Νομίμως ενήθλησαν, συγκλεισθέντες καί πνιγμώ, τόν βίον καταλύσαντες, εν τή Εφέσω Όσιοι Μονασταί, οκτώ καί τριάκοντα, ούς εν πίστει καί πόθω μακαρίσωμεν.

Στερρώς τώ δικάζοντι, αντετάξω καί πληγαίς, καταξανθείς τό σώμά σου, θανατωθήναι είλου διά Χριστόν, τόν μόνον αθάνατον, αξιάγαστε Πέτρε μεγαλώνυμε.

Θεοτοκίον

Τήν μόνην πανύμνητον, τήν καλήν εν γυναιξί, τήν τού Θεού λοχεύτριαν, Χριστιανών τό τείχος τό αρραγές, τήν άχραντον Δέσποιναν, αδιστάκτω καρδία μακαρίσωμεν.

Τού Μάρτυρος

Ο αυτός

Επέβης τοίς ύδασι, κυβερνώμενος χερσί, ζωαρχική Ειρήναρχε, καί διεσώθης τούτοις τών διωκτών, βυθίσας σεβάσματα, προσευχή επιμόνω Ιερώτατε.

Μικρών αντωνούμεναι, τά μεγάλα εαυτάς, τοίς αικισμοίς εξέδωκαν, αι ιεραί Γυναίκες τόν πτερνιστήν, τής Εύας εν πνεύματι, θανατώσασαι όφιν τόν αρχέκακον.

Οι παίδες οι άγιοι, ιερεία καθαρά, καί προσφοραί ολόκληροι, τώ τυθέντι ως θύμα αληθινώ, αμνώ προσηνέχθησαν, εις οσμήν ευωδίας αγαλλόμενοι.

Θεοτοκίον

Ιδού νύν σεσάρκωται, εξ αιμάτων σου αγνών, Παρθενομήτορ κύριος, καί τοίς βροτοίς ενούται δίχα τροπής, δι’ άφατον έλεος, τήν ημών σωτηρίαν εργαζόμενος.

Ο Ειρμός

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι. Ανάγαγε, εκ φθοράς τήν ζωήν μου Πολυέλεε».

Κοντάκιον Ήχος δ’

Επεφάνης σήμερον

Εορτάζει σήμερον, η Εκκλησία, εορτήν ευφρόσυνον, εν τή σή μνήμη καί πιστώς, ανευφημούσα κραυγάζει σοι, Στέφανε θείε, οσίων τό καυχημα.

Ο Οίκος

Εις πάσαν γήν ως αληθώς, διέδραμενο φθόγγος τών σών κατορθωμάτων, σοφέ Οσιομάρτυς, ών περ ειργάσω θαυμαστώς, όθεν δυσωπώ σε, παρρησίαν πρός Θεόν ως κεκτημένος Όσιε, ικέτευε τού δοθήναί μοι λόγον επάξιον, τού ανευφημήσαι τούς αγώνας, ούς υπέστης εξ ορατών εχθρών καί νοουμένων, δς πρίν ασκητικώς καθείλες, απάσας τάς κινήσεις τής σαρκός απονεκρώσας, αθλήσει δέ νύν τόν τύραννον ετροπώσω, Οσίων τό καύχημα.

Συναξάριον

Τή ΚΗ’ τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών καί Ομολογητού Στεφάνου τού Νέου.

Στίχοι

Πληγείς νέε Στέφανε τήν κάραν ξύλω,
Εύρες πρεπόντως ουχί γηράσκον στέφος.
Εικάδι ογδοάτη Στεφάνου Νέου κράτα θραύσαν.

Τή αυτή ημέρα ο Άγιος Ανδρέας, συρόμενος κατά γής, διά τήν τών αγίων Εικόνων προσκύνησιν, τελειούται.

Στίχοι

Εκ γής επλάσθην, γή με δή καί κτεινάτω.
Πλάστου γάρ αυτής Ανδρέας τιμώ τύπους.

Τή αυτή ημέρα, ο Άγιος Πέτρος, τυπτόμενος υπέρ τών αγίων Εικόνων, τελειούται.

Στίχοι

Αν εικόνων τύπτωσι τόν Πέτρον χάριν,
Εύρωσιν αυτόν πέτρινον τώ σαρκίω.

Τή αυτή ημέρα, η Αγία Άννα, τυπομένη πρός τό κατειπείν τού Αγίου Στεφάνου, τελειούται.

Στίχοι

Μάστιξιν Άνναν ευτόνως τετυμμένην,
Έδειξε Χριστός ευπρεπώς εστεμμένην.

Τή αυτή ημέρα, Μνήμη τών αγίων Μαρτύρων, τών συμμαρτυρησάντων τώ Αγίω Στεφάνω, υπέρ τών αγίων Εικόνων.

Στίχοι

Τιμώντες εικόνισμα σαρκός σου Λόγε,
θνήσκουσιν οι άγιοι βίαιον μόρον.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Ειρηνάρχου, καί τών σύν αυτώ επτά Αγίων γυναικών.

Στίχοι

Τόν Ειρήναχον η φονεύτρια σπάθη
Σώ Σώτερ ειρήναρχε συντάττει μέρει.
Έδειξε νεκράς εν Σεβαστεία πόλει
Γυναίκας επτά πανσεβάστους τό ξίφος.

Οι Άγιοι Μάρτυρες Τιμόθεος καί θεόδωρος οι Επίσκοποι. Πέτρος, Ιωάννης, Σέργιος, Θεόδωρος καί Νικηφόρος οι ιερείς, Βασίλειος καί Θωμάς οι διάκονοι, Ιερόθεος, Δανιήλ, Χαρίτων, Σωκράτης, Κομάσιος, Ευσέβιος οι μοναχοί, καί Ετοιμάσιος, εν Τιβεριουπόλει τελειούνται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τού Οσίου

Ωδή ζ'

«Δροσοβόλον μέν τήν κάμινον ειργάσαντο, Άγγελος τοίς Οσίοις Παισί, τούς Χαλδαίους δέ καταφλέγον πρόσταγμα Θεού, τόν τύραννον έπεισε βοάν, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών».

Εμηνύθη σοι τό τέλος τό μακάριον, παντουργικώ βουλήματι, όθεν πλείονι επιδούς ασκήσει σεαυτόν, εκ δόξης εις δόξαν προχωρείς, αποκτανθείς διά Χριστόν, τόν επί πάντων Θεόν.

Φερωνύμως τώ πρωτάθλω συνδεδόξασαι, καί γάρ λιθολευστούμενος, καί

συρόμενος καί τυπτόμενος ανηλεώς, αιμάτων επλήρωσας τήν γήν, καί τήν ψυχήν σου τώ Θεώ, χαίρων παρέδωκας.

Εν πλατείαις μάρτυς Στέφανε συρόμενος, ανηλεώς τής πόλεως, εξωμάλισας μαρτυρίου τρίβον τοίς πιστοίς, εν ή επιβαίνοντες στερρώς, πρός τήν ουράνιον σαφώς, πόλιν κατήντησαν.

Θεοτοκίον

Ιερώτατοι προφήται προεδήλωσαν, Αγνή εμφαντικώτατα, τό μυστήριον τής σεπτής λοχείας σου, καί νύν ημίν τάς εκβάσεις τηλαυγώς κατανοούντες ευσεβώς, σέ μακαρίζομεν.

Τού Μάρτυρος

Ο αυτός

Συμπαθείας τής πρός σάρκα διαζεύξας σου, τόν νούν Μακαριώτατε, φλογιζόμενος καί πυρί καιόμενος σοφέ, τών Παίδων εβόας τήν ωδήν, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Μεμακάρισται τών παίδων θείος όμιλος, καί γυναικών επτάριθμος, χορός άγιος, τούς ξεσμούς, τό πύρ, τούς αικισμούς, στερρώς υπομείναντες ομού, καί ουρανίων αγαθών καταξιούμενοι.

Απελαύνονται εκ μόνης σου προσκλήσεως, τής πονηρίας πνεύματα, εγνωκότα σε Αθλητήν αήττητον Χριστού, Ειρήναρχε μέλποντα θερμώς, Ευλογητός εί ο Θεός, ό τών Πατέρων ημών.

Θεοτοκίον

Ραθυμία με κρατούμενον διέγειρον, πρός εργασίαν Άχραντε θείων πράξεων, ενισχύουσά με κατ’ εχθρών, αεί πολεμούντων με δεινώς, καί εναντίοις λογισμοίς, δελεαζόντων με.

Τού Οσίου

Ωδή η’

«Εκ φλογός τοίς οσίοις δρόσον επήγασας, καί δικαίου θυσίαν ύδατι έφλεξας, άπαντα γάρ δράς, Χριστέ μόνω τώ βούλεσθαι, Σέ υπερυψούμεν, είς πάντας τούς αιώνας».

Μανικώτατοι ώσπερ θήρες συνέλαβον, τού Χριστού τό αρνίον, παίοντες, Κτείνοντες, καί μετά ανδρών ανομούντων συνθάπτοντες, οι παρανομία, συζώντες εις αιώνας.

Απηνώς, σου τήν κάραν εχθρός συνέτριψεν, ήν Θεός εν υψίστοις στέφει κατέστεψε, τώ νικητικώ, Στεφανίτα πολύαθλε, κλέος τών Μαρτύρων, καί πάντων τών Οσίων.

Καρτερώς, τώ διώκτη αντιταττόμενος, ο θεόφρων Ανδρέας πληγαίς συγκόπτεται, καί ανηλεώς, θανατούται ο δίκαιος, μέλπων τώ Δεσπότη, Χριστώ εις τούς αιώνας.

Αγιώτατος οίκος ήδη γενόμενος, τόν εν πάσιν Αγίοις αναπαυόμενον, έσχες εν τή σή, ενοικούντα πολύαθλε, Στέφανε καρδία εις πάντας τούς αιώνας.

Θεοτοκίον

Ραντισμώ θείου λύθρου θεοχαρίτωτε, εκ πλευράς κενωθέντος, τού σού Υιού καί Θεού, τόν εκ πονηράς, αμαρτίας προσόντα μοι, ρύπον δυσωπώ σε, απόπλυνον Παρθένε.

Τού Μάρτυρος

Ο αυτός

Τών αιμάτων τώ λύθρω επισταζόμενος, καί μαστίγων τώ κάλλει καλλωπιζόμενος, τώ Νικοποιώ, παραστάς ώ Ειρήναρχε, νίκης τά βραβεία, πρός τούτω εκομίσω.

Υψωθείς τή αγάπη τού Παντοκράτορος, διωκτών επηρμένην οφρύν κατέαξας, καί ειδωλικόν, εταπείνωσας φρύαγμα, Μάρτυς αθλοφόρε, Ειρήναρχε παμμάκαρ.

Συμπαθείας με θείας Μάρτυς αξίωσον, πειρασμών καί κινδύνων απολυτρούμενος, πίστει σε θερμή, τόν τιμώντα Ειρήναρχε, καί υπό τήν σκέπην, τήν σήν προσπεφευγότα.

Θεοτοκίον

Χαίρε άγιον όρος καί θεοβάδιστον, απορρήτων πραγμάτων χαίρε φανέρωσις, άκουσμα φρικτόν, δυσθεώρητον όραμα, χαίρε τών πεσόντων, ανάκλησις Παρθένε.

Ο Ειρμός

«Εκ φλογός τοίς Οσίοις δρόσον επήγασας, καί Δικαίου θυσίαν ύδατι έφλεξας, άπαντα γάρ δράς Χριστέ, μόνω τώ βούλεσθαι, Σέ υπερυψούμεν, εις πάντας τούς αιώνας».

Τού Οσίου

Ωδή θ’

«Θεόν ανθρώποις ιδείν αδύνατον, όν ου τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ Πάναγνε, ωράθη βροτοίς, Λόγος σεσαρκωμένος, όν μεγαλύνοντες, σύν ταίς ουρανίαις στρατιαίς, σέ μακαρίζομεν».

Ίδων αγάλλη Αγγέλων τάγματα, Πατριαρχών, Οσίων, Προφητών, Αποστόλων τε, καί Δικαίων απάντων θεόπνευστε, οίς συμπεριπολεύων μνήσθητι, πρόστηθι, τών ειλικρινώς επί τής γής, μακαριζόντων σε.

Ως φώς ως όρθρος ώς μέγας ήλιος, ώς ουρανός κατάστερος θαυμάτων λαμπρότησι, καί στιγμάτων αγίων γεγένησαι, πάντων τάς διανοίας, τών ευφημούντων σε, Στέφανε λαμπρύνων αληθώς, Μάρτυς πολύαθλε.

Στερροίς ασκήσεως αγωνίσματι, καταβάλων τού σκότους τάς αρχάς Πάτερ πρότερον, επ’ εσχάτων αθλήσας στερρότατα, παντελεί απωλεία, ταύτας παρέδωκας, Στέφανε μαρτύρων καλλονή, Οσίων καύχημα.

Η σή περίδοξος μνήμη σήμερον, φωτιστικαίς ακτίσι χαρισμάτων τού Πνεύματος, καταυγάζει τά τής γής πληρώματα, ήν εν αγαλλιάσει, νύν εορτάζοντας, φώτισον, αγίασον ημάς, θεομακάριστε.

Θεοτοκίον

Φωτός δοχείον θεοχαρίτωτε, τών ιερών Μαρτύρων αληθώς τό κραταίωμα, καί Οσίων απάντων τό καύχημα, σώσον ημάς κινδύνων, καί περιστάσεων, καί τής τών εχθρών επιδρομής, τούς ανυμνούντάς σε.

Τού Μάρτυρος

Ο αυτός

Αυτό τό έσχατον καί ακρότατον, τών εφετών Κατείληφας θεόφρον Ειρήναρχε, καί μεθέξει Θεός εχρημάτισας, ψάλλων σύν Ασωμάτοις Άγιος, άγιος, άγιος, Τριάς η παντουργός, καί παντοδύναμος.

Ρυσθείς παγίδων τών θηρευόντων σε, καλιάν ουράνιον κατέπαυσας Ένδοξε, καί Μαρτύρων συνήφθης στρατεύμασι, μετά τών σών συνάθλων, όθεν γεραίρομεν, , μνήμην τήν υμών περιχαρώς, πανηγυρίζοντες.

Ισχύν καί κράτος Χριστόν τιθέμενος, τό χαλεπόν βασάνων διεπέρασας πέλαγος, καί τούς άνω λιμένας κατέλαβες, όλος ωραϊσμένος, όλος τού Πνεύματος, ταίς φωτοχυσίαις δαψιλώς, περιχεόμενος.

Θεοτοκίον

Νοείν τό θαύμα τό ακατάληπτον, τού τοκετού τού σού Παρθενομήτορ μή σθένοντες, σιωπή τούτο μάλλον δοξάζομεν, καί σέ δοξολογούμεν, τήν παμμακάριστον, μόνην καί καλήν εν γυναιξίν, ώ Παναμώμητε.

Ο Ειρμός

«Θεόν ανθρώποις ιδείν αδύνατον, όν ού τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ Πάναγνε ωράθη βροτοίς, Λόγος σεσαρκωμένος, όν μεγαλύνοντες, σύν ταίς ουρανίαις στρατιαίς, σέ μακαρίζομεν».

Εξαποστειλάριον τού Οσίου

Επεσκέψατο ημάς

Εκομίσω πρός Χριστού, διπλούν τό στέφος Στέφανε, ασκήσας υπερβαλλόντως, καί μαρτυρήσας ως αυτού, εικόνα σεβαζόμενος, πάντων τε τών Αγίων, μεθ’ ών ημών μνήσθητι.

Έτερον τού αυτού, όμοιον

Τούς τήν εικόνα τού Χριστού, μή προσκυνούντας Στέφανε, κατήσχυνας ως αθέους, καί μαρτυρίου καλλοναίς, καί στίγμασι κεκόσμησαι, διά τούτο πιστώς σε αεί μακαρίζομεν.

Θεοτοκίον

Άχραντε Δέσποινα αγνή, καί μόνη απειρόγαμε, η Βασιλίς καί Κυρία, σύ δυσώπει τόν εκ σού τεχθέντα Λυτρωτήν ημών, σώσαι κόσμον εκ πάντων, κακών τε καί θλίψεων.

Εις τόν Στίχον, τά Στιχηρά τής Οκτωήχου.

Δόξα… Τού Οσίου  Ήχος γ'

Αφιερωθείς τώ Θεώ εκ κοιλίας μητριΚής, ώς άλλος Σαμουήλ, Όσιε Στέφανε, φερωνύμως στέφανος ανεδείχθης τών πιστών, ευσεβείας βακτηρία καί εδραίωμα, καί τού θείου Πνεύματος καθαρόν οικητήριον, Αίτησαι ημίν τοίς Τιμώσί σε τό μέγα έλεος.

Καί νύν… Θεοτοκίον

Θεοτόκε η προστασία πάντων τών δεομένων, εις σέ θαρρούμεν, εις σέ καυχώμεθα, εν σοί πάσα η ελπίς ημών εστι, πρέσβευε τώ εκ σού τεχθέντι, υπέρ αχρείων δούλων σου.

Η Σταυροθεοτοκίον

Μεγάλη τού Σταυρού σου

Ρομφαία τήν καρδίαν σου διήλθε Πάναγνε, ηνίκα τόν υιόν σου, επί Σταυρού προσέβλεψας, καί εβόας, Μή ατεκνόν με δείξης, Υιέ μου καί Θεέ μου, ο συντηρήσας με μετά τόκον Παρθένον.

Καί η λοιπή Ακολουθία τού Όρθρου, καί Απόλυσις.

************

Απολυτίκιον τών 15 Μαρτύρων εν Τιβεριουπόλει  Ήχος γ'

Θείας πίστεως

Μέγα καύχημα η Τιβερίου, καί οχύρωμα τούς ιεράρχας, ιερείς τε καί Λευϊτας Κατέχουσα, τών γάρ ειδώλων τήν πλάνην ελέγξαντες, τών ασεβούντων νικηταί αναδείχθησαν, Ούτοι δαιμόνων αποσοβούντες τάς φάλαγγας, ρώσιν δωρούνται πιστοίς οι πεντεκαίδεκα.

Κοντάκιον τών 15 Μαρτύρων εν Τιβεριουπόλει  Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ

Οι πεντεκαίδεκα Χριστού Αθλοφόροι, τής Τιβερίου οι στερροί πολιούχοι, ώσπερ αστέρες σήμερον ανίσχουσι φαιδροί, Τιμόθεος, Θεόδωρος, οι κλεινοί ιεράρχαι, Ευσέβιος Κομάσιος, καί ο θείος Σωκράτης, σύν τή δεκάδι τών συναθλητών, πάσι θαυμάτων ακτίνας πυρσεύοντες.

---

Αρχή

## ΤΗ ΚΘ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Μάρτυρος Παραμόνου

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξσα, ψάλλομεν Στιχηρά Προσόμοια τρία τού Μάρτυρος.

Ήχος δ’
Ο εξ υψίστου κληθείς

Φωτοφανείας σαφώς πεπυρσευμένος, παμμάκαρ Παράμονε, τού θείου Πνεύματος, σκότος βαθύτατον τέλεον, απεβδελύξω, πολυθεΐας καί ηυτομόλησας, ευθέτου λαβόμενος, καφού πανόλβιε, πρός τά προκείμενα σκάμματα, γενναιοφρόνως, καί νικηφόρος οφθείς κατέβαλες, τόν αλαζόνα καί πολέμιον, πάντων βροτών μεγαλύνων Χριστόν, όν ικέτευε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

Διά τόν πάντων Θεόν καί Βασιλέα, δήμον πολυάριθμον κατασφαπόμενον, κατανοήσας Παράμονε, τώ θείω ζήλω, όλως έθελχθης καί ανεβόησας, Χριστού δούλος γνήσιος, υπάρχω πάντοτε, γνώτε παράνομοι τύραννοι, καί ως αρνίον, άκακον θύεσθαι νύν αυτόκλητος, παρεγενόμην, μή ούν μέλλετε, θύμα δεκτόν τώ τυθέντι σαρκί, δι’ εμέ εκουσίως, τού γενέσθαι κατεπείγομαι.

Τή επταρίθμω τιμώμενος δεκάδι, τριπλή τε ο τίμιος, εκατοντάδι χορός, τών αθλοφόρων πολύθεον, καθείλε πλάνην, παρανομούντων διά τής πίστεως, μεθ’ ού εστεφάνωσαι, αγωνισάμενος, γενναιοφρονως Παράμονε, καί ταίς χορείαις, τών Ασωμάτων χαίρων ηρίθμησαι, μεθ’ ών δυσώπει πάσης θλίψεως, καί πειρασμών λυτρωθήναι ημάς, τούς σέ ανευφημούντας, καί γνησίως μακαρίζοντας.

Δόξα…Καί νύν… Θεοτοκίον, όμοιον

Ουκ αποκρύπτω ο τάλας τά δεινά μου, ότι πάντα κέκτημαι άπερ μισεί ο Θεός, σάρκα μολύνας καί πνεύμά μου, καί νούν εννοίαις, καί αθεμίτοις έργοις καί λόγοις αισχροίς, γλώσση κατακρίνων τε τούς αμαρτάνοντας, αυτός τά χείρω εργάζομαι Θεογεννήτορ, τούτων μοι δίδου πάντων διόρθωσιν, ίνα εκνήψας τής κακίστης μου, συνηθείας προσπέσω καί κλαύσωμαι, ά δεινά εφγασάμην, τής ζωής μου τό υπόλοιπον.

Η Σταυροθεοτοκίον

Μή εποδύρου μου Μήτερ καθορώσα, εν ξύλω κρεμάμενον, τόν σόν Υιόν καί Θεόν, τόν εφ’ υδάτων κρεμάσαντα, τήν γήν ασχέτως, καί πάσαν κτίσιν δημιουργήσαντα, καί γάρ αναστήσομαι καί δοξασθήσομαι, καί τά τού Άδου βασίλεια, συντρίψω σθένει, καί αφανίσω τούτου τήν δύναμιν, καί τούς δεσμίους εκλυτρώσομαι, τής αυτού κακουργίας ως εύσπλαγχνος, καί χαρίσομαι τούτοις, βασιλείαν τήν αιώνιον.

Εις τόν Στίχον, τά Στιχηρά τής Οκτωήχου.

Απολυτίκιον
Ήχος δ’ Ταχύ προκατάλαβε

Ο Μάρτυς σου, Κύριε, εν τή αθλήσει αυτού, τό στέφος εκομίσατο τής αφθαρσίας, εκ σού τού Θεού ημών, έχων γάρ τήν ισχύν σου, τούς τυράννους καθείλεν, έθραυσε καί δαιμόνων, τά ανίσχυρα θράση, Αυτού ταίς ικεσίαις, Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν λέγομεν τούς Κανόνας τής Οκτωήχου, καί τού Αγίου τούτον, ού η Ακροστιχίς.

Υμνείν σε τήν νύν δίδου Μάρτυς χάριν. Ιωσήφ.

### Ωδή α' Ήχος δ'

«Θαλάσσης τό ερυθραίον πέλαγος, αβρόχοις ίχνεσιν, ο παλαιός πεζεύσας Ισραήλ, σταυροτύποις Μωσέως χερσί, τού Αμαλήκ τήν δύναμιν, εν τή ερήμω ετροπώσατο».

Υμνούντος, τήν φωτοφόρον μνήμην σου, Μάρτυς Παράμονε, φωτιστικαίς τού Πνεύματος αυγαίς, τήν καρδίαν μου φώτισον, καί παραμένειν θείαις με, νομοθεσίαις ενδυνάμωσον.

Μαρτύρων, περιφανώς τήν εύκλειαν, μάκαρ επλούτησας, μαρτυρικαίς εμπρέψας καλλοναίς, καί ωραίοις εν στίγμασιν, ωραιωθείς Παράμονε, όθεν πιστώς σε μακαρίζομεν.

Ναμάτων, ζωοποιών τού Πνεύματος, υπάρχων έμπλεως, τούς αθείας καύσωνι δεινώ, εκτακέντας εδρόσισας, καί πρός τό ύδωρ Ένδοξε, τής αναπαύσεως ωδήγησας.

Θεοτοκίον

Εν χρόνω, τόν έξω χρόνου τέτοκας, βροτόν γενόμενον, όν εκτενώς ικέτευε Αγνή, ως υιόν σου καί Κύριον, τά τής ψυχής μου χρόνια, πάθη ιάσασθαι πανάμωμε.

### Ωδή γ'

«Ευφραίνεται επί σοί, η Εκκλησία σου, Χριστέ κράζουσα, Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

Τήν έπαρσιν τού εχθρού, ταπεινωθείς, διά Χριστόν έθραυσας, καί τάς αυτού φάλαγγας, ξίφει καρτερίας συνέκοψας.

Ηκύρωσας πονηρόν, κατά τής πίστεως ημών βούλημα, καί καρτερώς ήθλησας, Μάρτυς αθλοφόρε Παράμονε.

Νενεύρωσαι θεϊκή, ώς στρατιώτης δυνατός χάριτι, καί χαλεπά βάσανα, Μάρτυς ώσπερ όναρ λελόγισαι.

Θεοτοκίον

Στερέωσόν μου τόν νούν, περιτρεπόμενον πολλοίς πάθεσι, Μήτηρ Θεού πάναγνε, όπως κατά χρέος δοξάζω σε.

Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου, Χριστέ κπάζουσα, Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

Κάθισμα Ήχος δ'

Ταχύ προκατάλαβε

Ο Μάρτυς Παράμονος, καρτερικώς εναθλών, τοίς ρείθροις τού αίματος, πολυθείας πυράν, ενθέως κατέσβεσεν, όθεν τών ιαμάτων, ειληφως θείαν χάριν, δαίμονας απελαύνει, καί νοσήματα παύει αυτού Χριστέ πρεσβείαις, σώσον τάς ψυχάς ημών.

Θεοτοκίον

Τήν χάριν νύν άπαντες, ανευφημήσωμεν, Μητρός τού Θεού ημών, ως δι' αυτής τήν χαράν, τώ κόσμω αυγάσασαν, λύσιν τής αμαρτίας, ευραμένη η φύσις, άπασα τών ανθρώπων, γηθομένη κραυγάζει, Ευχαίς αυτής Κύριε, ρύσαι ημάς τών δεινών.

Η Σταυροθεοτοκίον

Σταυρώ ως εώρακας, τόν σόν Υιόν καί Θεόν, Παρθένε πανύμνητε, καί απειρόγαμε, ανύμνεις δακρύουσα, Δόξα βοώσα Λόγε, τή φρικτή σου βουλήσει θέλων γάρ ενεκρώθης, η ζωή τών απάντων, ρυόμενος τόν κόσμον, φθοράς ώς υπεράγαθος.

Ωδή δ'

Επαρθέντα σε ιδούσα η Εκκλησία, επί Σταυρού τόν Ήλιον τής δικαιοσύνης, έστη εν τή τάξει αυτής, εικότως κραυγάζουσα, Δόξα τή δυνάμει σου Κύριε.

Η καρδία σου ανδρεία ωχυρωμένη, καί παρρησία ένδοξε, πεπυρακτωμένη, βάσανα πολύπλοκα νηπίων τοξεύματα, Μάρτυς τού Χριστού ελογίσατο.

Νεκρωθέντας ταίς προστάξεσι τού τυράννου, τούς Αθλητάς Θεώμενος, ζήλον κατ' εκείνους, ένθεον ανέλαβεν, ο Μάρτυς Παράμονος, καί πρός τό παθείν ηυτομόλησεν.

Νεανικώς σε τεινόμενον καί ταίς λόγχαις, ανηλεώς νυπόμενον, καί τάς μεθοδείας, τού εχθρού τροπούμενον, Χριστός εστεφάνωσεν, ο αγωνοθέτης Μακάριε.

Υπομονήν εκπληπόμενος τών Μαρτύρων, καί τήν αυτών τελείωσιν, Ένδοξε θαυμάζων, τούτοις εκοινώνησας, τού ζήλου τής πίστεως, καί τής υπερτίμου αθλήσεως.

Θεοτοκίον

Νεκρωθέντας τούς ανθρώπους τή παραβάσει, τώ ζωηφόρω τόκω σου, Παρθένε Μαρία, πάντας ανενέωσας, διό σε δοξάζομεν, καί θεοπρεπώς

μακαρίζομεν.

Ωδή ε’

Σύ Κύριέ μου φώς, εις τόν κόσμον ελήλυθας, φώς άγιον επιστρέφον, εκ ζοφώδους αγνοίας τούς πίστει ανυμνούντάς σε.

Δώρον πολυτελές, σεαυτόν προσενήνοχας, τώ Κτίστη σου εναθλήσας, καί τήν πλάνην νικήσας, Μαρτύρων εγκαλλώπισμα.

Ιδρύματα σοφέ, τών Δαιμόνων καί ξόανα, συνέτριψας ηδρασμένον, λογισμόν κεκτημένος, εν πέτρα θείας πίστεως.

Δαιμόνων τήν πληθύν, ανδρικώς ετραυμάτισας, τώ τραύματι τής σαρκός σου, Αθλητά γενναιόφρον, διό σε μακαρίζομεν.

Θεοτοκίον

Ομότιμος Πατρί, ενυπάρχων καί Πνεύματι, ο Κύριος εξ αγνών σου, εσαρκώθη αιμάτων, Αγνή βροτός γενόμενος.

Ωδή ς’

«Θύσω σοι, μετά φωνής αινέσεως, Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι’ οίκτον, εκ τής πλευράς σου, ρεύσαντι αίματι».

Ύπτιος εν καιρώ τών αγώνων ού γέγονας, εγηγερμένος δέ μάλλον, καί πρός θείαν άθλησιν ρωμαλέτών στεφάνων τής ος διά τούτο, δόξης επέτυχες.

Μαρτύρων, ομηγύρει σαυτόν συγκαταλέξας, τελειωθείση προθύμως, πρό τής σής Αοίδιμε μαρτυρίας, καί σύν τούτοις, σωτηρίου παστάδος ηξίωσαι.

Αι λόγχαι, μιμητήν σε Χριστού απειργάσαντο, αίς τιτρωσκόμενος Μάρτυς, πρός αυτόν ανέπτης στεφανηφόρος, θανατώσας, υπομονής τούς άφρονας ξίφεσι.

Θεοτοκίον

Ρυσαί με, τών σκανδάλων τού βίου Πανάχραντε, τόν εν νυκτί σκοτομαίνης, λογισμών ατόπων κεκρατημένον, καί κακία, τού δυσμενούς αεί σκοτιζόμενον.

Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι’ οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Συναξάριον

Τή ΚΘ’ τού αυτού μηνός, Μνήμη τής αθλήσεως τού Αγίου Μάρτυρος Παραμόνου, καί τών Αγίων τριακοσίων εβδομήκοντα συμμαρτύρων αυτού.

Στίχοι

Ο Παράμονος νύπεταί σοι Χριστέ μου.
Γνούς γάρ Θεόν μόνον σε, σοί θνήσκει μόνω.
Ξίφει κεφαλάς άνδρες επτάκις δέκα

Σύν εξαπλή διδούσι πεντηκοντάδι.
Παράμονον δ’ ενάτη κτάνον εικάδι έγχεα μακρά.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Φιλουμένου.

Στίχοι

Φιλουμένου πείρουσιν ήλοις τούς πόδας,
Χριστόν φιλούντος καί Θεώ φιλουμένου.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Νικολάου, Αρχιεπισκόπου Θεσσαλονίκης, καί τού Αγίου Ιερομάρτυρος τού εν Περσίδι, καί τών Αγίων έξ Μαρτύρων, ούς διωκομένους, πέτρα ραγείσα υπεδέξατο αυτούς.

Στίχοι

Ήνοιξε πέτραν εις ταφήν έξ ανδράσιν,
Ο νεκρός ευρών εις ταφήν Χριστός πέτραν.

Τή αυτή ημέρα, ό Άγιος Ουρβανός Επίσκοπος Μακεδονίας, εν ειρήνη τελειούται.

Στίχοι

Ο χερσίν ούτος εκπνέων τών Αγγέλων,
Ουρβανός εστιν, ού βίος κατ’ Αγγέλους.

Τή αυτή ημέρα, ό Άγιος Διονύσιος, Επίσκοπος Κορίνθου, ξίφει πληγείς τελειούται.

Στίχοι

Διονύσιος εις τελών θυηπόλων,
Ξίφος μετελθών, είς εστι καί Μαρτύρων.

Τή αυτή ημέρα, ο Όσιος Παγκόσμιος εν ειρήνη τελειούται.

Στίχοι

Σύμπας ο κόσμος ουδέν ήν Παγκοσμίω.
Εδέμ γάρ ήρα καί μόνης, ήν λαμβάνει.

Τή αυτή ημέρα, ο Όσιος Πιτυρούν εν ειρήνη τελειούται.

Στίχοι

Τή σή θελήσει πρός σέ χωρεί Χριστέ μου,
Ο σών Πιτυρούν εργάτης θελημάτων.

Τή αυτή ημέρα, ο Άγιος Μάρτυς Ούαλλερίνος ξίφειτελειούται.

Στίχοι

Διά στέφος πάντιμον οίσω καί ξίφος.
Ο Μάρτυς εκραύγαζεν Ούαλλερίνος.

Τή αυτή ημέρα, ο Άγιος Φαίδρος, ρητίνης ζεούσης καταχεθείσης αυτώ, τελειούται.

Στίχοι
Πολλούς πρός άλλα, πρός δέ ρητίνης ζέσιν,
Στερρώς αθλούντα, Φαίδρον έγνωμεν μόνον.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'
«Εν τή καμίνω, Αβραμιαίοι Παίδες τή Περσική, πόθω ευσεβείας μάλλον ή τή φλογί, πυρπολούμενοι εκραύγαζον, Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε».

Τών ιαμάτων, καί τών θαυμάτων χάριν σοφέ, Μάρτυς εκ Θεού πλουτήσας περιφανώς, ιατρεύεις τούς κραυγάζοντας, Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε.

Υφαπλουμένων, κολαστηρίων ουκ εφρόντισας, όλην τήν φροντίδα έχων εν ουρανοίς, καί κραυγάζων Αξιάγαστε, Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε.

Σύ τών αιμάτων, Αθλητά τώ πυρί έφλεξας, ύλην αθείας ένδοξε πονηράν, τή δέ δρόσω τών θαυμάτων σου, τούς εν τώ καύσωνι, τών δυσχερών δροσίζεις Παράμονε.

Θεοτοκίον
Χαίρε η μόνη, τήν χαράν τοίς ανθρώποις κυήσασα, χαίρε ουρανέ καί θρόνε Χερουβικέ, καί περίδοξον παλάτιον, τού Βασιλεύοντος, τών αιώνων πανάμωμε Δέσποινα.

Ωδή η'
«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε πάντα τά έργα, Κυρίου τον Κύριον».

Αγρυπνόν σε φύλακα Πιστών, κατεπλουτήσαμεν, κατακοιμίζοντα, δαιμόνων φάσματα πάντοθεν, καί σαρκός άγρια κύματα, καί καταιγίδας λογισμών, Μάρτυς πολύαθλε, τών βοώντων, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Ρείθροις σών αιμάτων ιερών, πορφύραν έβαψας, σαυτώ παλαίωσιν, μηδόλως μέλλουσαν δέχεσθαι, καί λαμπρώς ωραϊζόμενος, τά επουράνια οικείς, βοών μακάριε, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ιερείον ώσπερ καθαρόν, καί θύμα άμωμον, καί καλλιέρημα, όλοκαυτουμενον άνθραξιν, ιεράς Μάρτυς αθλήσεως, τώ αθλοθέτη σου Χριστώ, προσήχθης μέλπων σοφέ, Ευλογείτε πάντα τά έργα Κυρίου τόν Κύριον.

Θεοτοκίον
Νόμου σε σκιαί καί Προφητών προδιεχάραξαν, σεπτά κηρύγματα, αρρήτως

μέλλουσαν έσεσθαι, τού Θεού λοχεύτριαν, θεοχαρίτωτε Αγνή, ώ πάντες μέλπομεν, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Ωδή θ’

«Λίθος αχεφότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας, τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Ίδε φωταυγούς Αθλοφόρου, φωτοψανής έλαμψε μνήμη, πάντων τών Πιστών τάς καρδίας, φωταγωγούσα τώ θείω Πνεύματι, περιχαρώς χορεύσωμεν, τούτον εν πίστει μακαρίζοντες.

Ως τή επτακύκλω δεκάδι, καί τή τριπλή εκατοντάδι, ακαταγωνίστων Μαρτύρων, συναγελάζων, μεθ’ ών τό σώμά σου, Μάρτυς Χριστού κατάκειται, σύν τούτοις πρέσβευε σωθήναι ημάς.

Στάδιον ανύσαντες πόνων, πολυειδών μεμεστωμένον, καί μετά Χριστού τού τόν κόσμον, νενικηκότος λαμπρώς νικήσαντες, στεψανηφόροι Μάρτυρες, τούς ουρανούς περιπολεύετε.

Ήρθης από γής καί τά γέρα, τών σών αγώνων εκομίσω, νύν δέ ποταμούς αναβλύζεις, ημίν θαυμάτων τοίς σέ γεραίρουσι, καί ευσεβώς τήν μνήμην σου, πανηγυρίζουσι Παράμονε.

Θεοτοκίον

Φώτισον ψυχής μου τάς κόρας, αμαυρωθείσας αβλεψία, τής φθοροποιού αμαρτίας, Θεογεννήτορ πάναγνε Δέσποινα, σύ γάρ Πιστών βοήθεια, καί φωτισμός υπάρχεις Άχραντε.

Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξαλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Καί η λοιπή τού Όρθρου Ακολουθία κατά τήν τάξιν, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Λ’ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου καί ενδόξου Αποστόλου Ανδρέου τού Πρωτοκλήτου.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Μετά τόν Προοιμιακόν, στιχολογούμεν τήν α’ στάσιν τού α’ Καθίσματος

τού Ψαλτηρίου.

Εις δέ τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τά παρόντα τρία, δευτερούντες αυτά.

Ήχος δ'  Ο εξ υψίστου κληθείς

Ο τώ Προδρόμου φωτί μεμορφωμένος, ότε τό απαύγασμα τό ενυπόστατον, τής πατρικής δόξης έφανεν, ανθρώπων γένος, δι' ευσπλαγχνίαν σώσαι βουλόμενος, τότε πρώτος Ένδοξε, τούτω προσέδραμες, καταυγασθείς τήν διάνοιαν, τελειοτάτη, μαρμαρυγή αυτού τής θεότητος, όθεν καί κήρυξ καί Απόστολος, χρηματίζεις Χριστού τού Θεού ημών, όν ικέτευε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

Ο τής Προδρόμου φωνής ενηχημένος, ότε ο πανάγιος Λόγος σεσάρκωται, ζωήν ημίν παρεχόμενος, καί σωτηρίαν, τοίς επί γής ευαγγελιζόμενος, τότε τούτω Πάνσοφε, κατηκολούθησας, καί σεαυτόν ακροθίνιον, καί παναγίαν, ώς απαρχήν αυτώ καθιέρωσας, όν καί επέγνως καί εμήνυσας, τώ συγγόνω τώ σώ τόν Θεόν ημών, όν ικέτευε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

Ο τώ εκ στείρας βλαστήσαντι φοιτήσας, ότε ο Παρθένιος τόκος ανέτειλε, τής ευσεβείας Διδάσκαλος, καί σωφροσύνης, υποδεικνύων τήν καθαρότητα, τότε σύ θερμότατος, τής αρετής εραστής, Ανδρέα μάκαρ γεγένησαι, τάς αναβάσεις, εν σή καρδία διατιθέμενος, καί από δόξης πρός τήν άφραστον, ήρθης δόξαν Χριστού τού Θεού ημών, όν ικέτευε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

Δόξα... Ήχος δ'  Ανατολίου

Τήν τών ιχθύων άγραν, καταλιπών Απόστολε, ανθρώπους σαγηνεύεις, καλάμω τού κηρύγματος, χαλών ώσπερ άγκιστρον, τής ευσεβείας τό δέλεαρ, καί ανάγων εκ τού βυθού τής πλάνης, τά έθνη άπαντα, Ανδρέα Απόστολε, τού Κορυφαίου ομαίμων, καί τής οικουμένης υφηγητά διαπρύσιε, πρεσβεύων μή ελλίπης υπέρ ημών, τών εν πίστει καί πόθω εύφη μούντων πανεύφημε, τήν αεισέβαστον μνήμην σου.

Καί νύν... Ήχος ο αυτός

Ησαϊα χόρευε, λόγον Θεού υπόδεξαι, προφήτευσον τή κόρη Μαριάμ, βάτον καταφλέγεσθαι, καί πυρί μή καίεσθαι, τή αίγλη τής θεότητος, Βηθλεέμ ευτρεπίζου, άνοιγε πύλην η Εδέμ καί Μάγοι πορεύεσθε, ιδείν τήν σωτηρίαν, εν φάτνη σπαργανούμενον, όν Αστήρ εμήνυσεν, επάνω τού σπηλαίου, ζωοδότην Κύριον, τόν σώζοντα τό γένος ημών.

Είσοδος. Τό, Φώς ιλαρόν, καί τά αναγνώσματα.

Καθολικής α' Επιστολής Πέτρου τό Ανάγνωσμα.
(Κεφ. 1, 1-2, 10-25 & 2, 1-6)

Πέτρος, απόστολος Ιησού Χριστού, εκλεκτοίς παρεπιδήμοις διασποράς Πόντου, Γαλατίας, Καππαδοκίας, Ασίας, καί Βιθυνίας, κατά πρόγνωσιν Θεού

πατρός, εν αγιασμώ Πνεύματος, εις υπακοήν καί ραντισμόν αίματος Ιησού Χριστού, χάρις υμίν καί ειρήνη πληθυνθείη, περί ης σωτηρίας εξεζήτησαν καί εξηρεύνησαν προφήται οι περί τής εις υμάς χάριτος προφητεύσαντες, ερευνώντες εις τίνα ή ποίον καιρόν εδήλου τό εν αυτοίς Πνεύμα Χριστού, προμαρτυρόμενον τά εις Χριστόν παθήματα, καί τάς μετά ταύτα δόξας, οίς απεκαλύφθη ότι ουχ εαυτοίς, ημίν δέ διηκόνουν αυτά, ά νύν ανηγγέλη υμίν διά τών ευαγγελισαμένων υμάς εν Πνεύματι Αγίω αποσταλέντι απ ουρανού, εις ά επιθυμούσιν άγγελοι παρακύψαι. Διό αναζωσάμενοι τάς οσφύας τής διανοίας υμών, νήφοντες, τελείως ελπίσατε επί τήν φερομένην υμίν χάριν εν αποκαλύψει ιησού Χριστού, ως τέκνα υπακοής, μή συσχηματιζόμενοι ταίς πρότερον εν Τή αγνοία υμών επιθυμίαις, αλλά κατά τόν καλέσαντα υμάς άγιον καί αυτοί άγιοι εν πάση αναστροφή γενήθητε, διότι γέγραπται Άγιοι γένεσθε, ότι εγώ άγιος ειμι, καί εί πατέρα επικαλείσθε τόν απροσωπολήπτως κρίνοντα κατά τό εκάστου έργον, εν φόβω τόν τής παροικίας υμών χρόνον αναστράφητε, ειδότες ότι ου φθαρτοίς αργυρίω ή χρυσίω, ελυτρώθητε εκ τής ματαίας υμών αναστροφής πατροπαραδότου, αλλά τιμίω αίματι ως αμνού αμώμου καί ασπίλου Χριστού, προεγνωσμένου μέν πρό καταβολής κόσμου, φανερωθέντος δέ επ' εσχάτων τών χρόνων δι' υμάς, τούς δι' αυτού πιστεύοντας εις Θεόν , τόν εγείραντα αυτόν εκ νεκρών, καί δόξαν αυτώ δόντα, ώστε τήν πίστιν υμών καί ελπίδα είναι εις Θεόν, τάς ψυχάς υμών ηγνικότες εν τή υπακοή τής αληθείας διά Πνεύματος εις φιλαδελφίαν ανυπόκριτον, εκ καθαράς καρδίας αλλήλους αγαπήσατε εκτενώς, αναγεγεννημένοι ουκ εκ σποράς φθαρτής, αλλά αφθάρτου, διά λόγου ζώντος Θεού καί μένοντος εις τόν αιώνα, διότι πάσα σάρξ ως χόρτος, καί πάσα δόξα ανθπώπου ως άνθος χόρτου, εξηράνθη ο χόρτος, καί τό άνθος αυτού εξέπεσε, τό δέ ρήμα Κυρίου μένει εις τόν αιώνα, τούτο δέ εστι τό ρήμα τό ευαγγελισθέν εις υμάς.

Καθολικής α’ Επιστολής Πέτρου τό Ανάγνωσμα.
(Κεφ. 2, 21-25 & 3, 1-9)

Αποθέμενοι ούν πάσαν κακίαν καί πάντα δόλον καί υποκρίσεις καί φθόνους καί πάσας καταλαλιάς, ως αρτιγέννητα βρέφη, τό λογικόν άδολον γάλα επιποθήσατε, ίνα εν αυτώ αυξηθήτε, είπερ εγεύσασθε ότι χρηστός ο Κύριος, πρός όν προσερχόμενοι, λίθον ζώντα, υπό ανθρώπων μέν αποδεδοκιμασμένον, παρά δέ Θεώ εκλεκτόν, έντιμον, καί αυτοί ως λίθοι ζώντες οικοδομείσθε οίκος πνευματικός, Ιεράτευμα άγιον, ανενέγκαι πνευματικάς θυσίας ευπροσδέκτους τώ Θεώ διά ιησού Χριστού, διό καί περιέχει εν τή γραφή, ιδού τίθημι εν Σιών λίθον ακρογωνιαίον, εκλεκτόν έντιμον, καί ο πιστεύων επαυτώ ου μή καταισχυνθή, εις τούτο γάρ εκλήθητε, ότι καί Χριστός έπαθεν υπέρ υμών, υμίν υπολιμπάνων υπογραμμόν, ίνα επακολουθήσητε τοίς ίχνεσιν αυτού, ός αμαρτίαν ουκ εποίησεν, ουδέ ευρέθη δόλος εν τώ στόματι αυτού, ός λοιδορούμενος ουκ αντελοιδόρει, πάσχων ουκ ηπείλει, παρεδίδου δέ τώ κρίνοντι δικαίως, ός τάς αμαρτίας ημών αυτός ανήνεγκεν εν τώ σώματι αυτού επί τό ξύλον, ίνα, ταίς αμαρτίαις απογενόμενοι, τή δικαιοσύνη ζήσωμεν, ου τώ μώλωπι αυτού ιάθητε, ήτε γάρ ως πρόβατα πλανώμενα, αλλ' επεστράφητε νύν επί τόν ποιμένα καί επίσκοπον τών ψυχών υμών, Ομοίως, αι γυναίκες υποτασσόμεναι τοίς ιδίοις

ανδράσιν, ίνα καί εί τινες απειθούσι τώ λόγω, διά τής τών γυναικών αναστροφής άνευ λόγου κερδηθήσωνται εποπτεύσαντες τήν εν φόβω αγνήν αναστροφήν υμών, ων έστω ουχ ο έξωθεν εμπλοκής τριχών, καί περιθέσεως χρυσίων, ή ενδύσεως ιματίων κόσμος, αλλ' ο κρυπτός τής καρδίας άνθρωπος, εν τώ αφθάρτω τού πραέος καί ησυχίου πνεύματος, ο εστιν ενώπιον τού Θεού πολυτελές, ούτω γάρ ποτε καί αι άγιαι γυναίκες αι ελπίζουσαι επί τόν Θεόν εκόσμουν εαυτάς, υποτασσόμεναι τοίς ιδίοις ανδράσιν, ως Σάρρα υπήκουσε τώ Αβραάμ, κύριον αυτόν καλούσα, ης εγενήθητε τέκνα, αγαθοποιούσαι καί μή φοβούμεναι μηδεμίαν πτόησιν. Οι άνδρες ομοίως, συνοικούντες κατά γνώσιν, ως ασθενεστέρω σκεύει τώ γυναικείω απονέμοντες τιμήν, ως καί συγκληρονόμοι χάριτος ζωής, εις τό μή εκκόπτεσθαι τάς προσευχάς υμών. Τό δέ τέλος, πάντες ομόφρονες, συμπαθείς, φιλάδελφοι, εύσπλαγχνοι, φιλόφρονες, μή αποδιδόντες κακόν αντί κακού, ή λοιδορίαν αντί λοιδορίας, τουναντίον δέ, ευλογούντες, ειδότες ότι εις τούτο εκλήθητε, ίνα ευλογίαν κληρονομήσητε.

Καθολικής α' Επιστολής Πέτρου τό Ανάγνωσμα.
(Κεφ. 4, 1-11)

Χριστού ούν παθόντος υπέρ ημών σαρκί, καί υμείς τήν αυτήν έννοιαν οπλίσασθε, ότι ο παθών σαρκί, πέπαυται αμαρτίας, εις τό μηκέτι ανθρώπων επιθυμίαις, αλλά θελήματι Θεού τόν επίλοι πον εν σαρκί βιώσαι χρόνον, αρκετός γάρ ημίν ο παρεληλυθώς χρόνος τό βίου τό θέλημα τών εθνών κατεργάσασθαι, πεπορευμένους εν ασελγείαις, επιθυμίαις, οινοφλυγίαις, κώμοις, πότοις, καί αθεμί τοις ειδωλολατρείαις, εν ω ξενίζονται, μή συντρεχόντων υμών εις τήν αυτήν τής ασωτίας ανάχυσιν, βλασφημούντες, οί αποδώσουσι λόγον τώ ετοίμως έχοντι κρίναι ζώντας καί νεκρούς, εις τούτο γάρ καί νεκροίς ευηγγελίσθη, ίνα κριθώσι μέν κατά ανθρώπους σαρκί, ζώσι δέ κατά Θεόν πνεύματι, Πάντων δέ τό τέλος ήγγικε, σωφρονήσατε ούν καί νήψατε εις τάς προσευχάς, πρό πάντων δέ τήν εις εαυτούς αγάπην εκτενή έχοντες, ότι αγάπη καλύψει πλήθος αμαρτιών, φιλόξενοι εις αλλήλους, άνευ γογγυσμών, έκαστος καθώς έλαβε χάρισμα, εις εαυτούς αυτό διακονούντες, ως καλοί οικονόμοι ποικίλης χάρι τος Θεού, εί τις λαλεί, ως λόγια Θεού, εί τις διακονεί, ως εξ ισχύος ης χορηγεί ο Θεός, ίνα εν πάσι δοξάζηται ο Θεός διά Ιησού Χριστού, ω εστιν η δόξα καί τό κράτος εις τούς αιώνας τών αιώνων. αμήν.

Εις τήν Λιτήν, Στιχηρά ιδιομελα.
Ήχος α'
Ανδρέου Ιεροσολυμίτου

Ο Πρωτόκλητος Μαθητής, καί μιμητής τού πάθους, συμμορφούμενός σοι Κύριε, Ανδρέας ο Απόστολος, τούς εν βυθώ τής αγνοίας πλανωμένους ποτέ, τώ αγκίστρω τού Σταυρού σου ανελκύσας, προσήγαγέ σοι, Ταίς πρεσβείαις αυτού Υπεράγαθε, τήν ζωήν ημών ειρήνευσον, καί σώσον τάς ψυχάς ημών.

Ο αυτός

Υμνήσωμεν οι Πιστοί, Πέτρου τόν σύγγονον, Ανδρέαν τόν Χριστού μαθητήν, ούτος γάρ τήν θάλασσαν, δικτύοις ερευνήσας ποτέ, ιχθύας εζώγρησε, νύν δέ

τήν οικουμένην, τώ καλάμω σαγηνεύει τού Σταυρού, καί τά έθνη εκ πλάνης επιστρέφει τώ Βαπτίσματι, καί Χριστώ παριστάμενος, αιτείται τήν ειρήνην τώ κόσμω, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Ο αυτός

Τό πύρ τό νοερόν τό φωτίζον διανοίας, καί φλογίζον αμαρτίας, ένδον λαβών εν καρδία, ο Απόστολος Χριστού καί μαθητής, λάμπει μέν ταίς μυστικαίς ακτίσι τών διδαχών, εν ταίς τών εθνών αφωτίστοις καρδίαις, φλέγει δέ πάλιν, τάς φρυγανώδεις τών ασεβών μυθουργίας, τό πύρ γάρ τού Πνεύματος, τοιαύτην έχει τήν ενέργειαν, Ώ θαύμα ξένον καί φοβερόν! η πηλώδης γλώσσα, η πηλίνη φύσις, τό σώμα τό χοϊκόν, τήν νοεράν καί άϋλον υπεδέξατο γνώσιν, Αλλ' ώ μύστα τών αρρήτων, καί θεωρέ τών ουρανίων, ικέτευε καταυγασθήναι τάς ψυχάς ημών.

Ήχος πλ. δ'

Τόν ποθούμενον Θεόν, εν σαρκί κατιδών επί γής βαδίζοντα, θεόπτα Πρωτόκλητε, τώ μέν ομαίμονι εβόας αγαλλόμενος, Ευρήκαμεν ώ Σίμων τόν ποθούμενον, τώ δέ Σωτήρι δαυϊτικώς εκραύγαζες, Όν τρόπον επιποθεί η έλαφος επί τάς πηγάς τών υδάτων, ούτως επιποθεί η ψυχή μου πρός σέ Χριστέ ο Θεός, Όθεν καί πόθω πόθον προσθείς, διά σταυρού διαβαίνεις, πρός όν επόθησας, ως αληθής Μαθητής, καί σοφός μιμητής γενόμενος, τού διά Σταυρού αυτού πάθους, διό καί τής δόξης κοινωνός αυτώ γενόμενος, εκτενώς ικέτευε, υπέρ τών ψυχών ημών.

Δόξα... Ήχος πλ. δ'

Ανδρέου Ιεροσολυμίτου οι δέ, Ανατολίου

Τόν κήρυκα τής πίστεως, καί υπηρέτην τού Λόγου, Ανδρέαν ευφημήσωμεν, ούτος γάρ ανθρώπους, εκ τού βυθού αλιεύει, αντί καλάμου, τόν Σταυρόν εν ταίς χερσί διακρατών, καί ώς σπαρτίον χαλών τήν δύναμιν, επανάγει τάς ψυχάς, από τής πλάνης τού εχθρού, καί προσκομίζει τώ Θεώ δώρον ευπρόσδεκτον, Αεί τούτον πιστοί, σύν τή χορεία τών Μαθητών τού Χριστού ευφημήσωμεν, ίνα πρεσβεύη αυτώ, όπως ίλεως γένηται ημίν, εν τή ημέρα τής κρίσεως.

Καί νύν... Θεοτοκίον

Δέσποινα πρόσδεξαι, τάς δεήσεις τών δούλων σου, καί λύτρωσαι ημάς, από πάσης ανάγκης καί θλίψεως.

Εις τόν Στίχον

Στιχηρά Προσόμοια

Ήχος πλ. α'  Χαίροις ασκητικών

Χαίροις ο λογικός ουρανός, δόξαν Θεού διαπαντός διηγούμενος, ό πρώτος Χριστώ καλούντι, καθυπακούσας θερμώς, καί αμέσως τούτω συγγενόμενος, υφ' ού πυρσευόμενος, καθωράθης φώς δεύτερον, καί τούς εν σκότει, αστραπαίς σου εφώτισας, αγαθότητα, τήν αυτού εκμιμούμενος, Όθεν τήν παναγίαν σου, τελούμεν πανήγυριν, καί τών λειψάνων τήν θήκην, περιχαρώς ασπαζόμεθα, εξ ής αναβλύζεις, σωτηρίαν τοίς αιτούσι, καί μέγα έλεος.

Στίχ. Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών.

Πρώτον τών ορεκτών ευρηκώς, δι' ευσπλαγχνίαν τήν ημών περικείμενον, Ανδρέα θεόφρον φύσιν, συνανεκράθης αυτώ, διαπύρω πόθω τώ συναίμονι, βοών, Όν εκήρυξαν, οι Προφήται, εν Πνεύματι, εύρομεν δεύρο, ταίς αυτού ωραιότησι, καταθέλξωμεν, καί ψυχήν καί διάνοιαν, όπως φωταγωγούμενοι, αυτού ταίς λαμπρότησι, νύκτα τής πλάνης καί σκότος, τής αγνωσίας διώξωμεν, Χριστόν ευλογούντες, τόν παρέχοντα τώ κόσμω, τό μέγα έλεος.

Στίχ. Οι ουρανοί διηγούνται δόξαν Θεού ποίησιν δέ χειρών αυτού αναγγέλλει τό στερέωμα.

Έθνη τά μή ειδότα Θεόν, ως εκ βυθού τής αγνωσίας εζώγρησας, σαγήνη τών σών λογίων, καί συν ταράσσεις σαφώς, αλμυράς θαλάσσας, ίππος άριστος, οφθείς τού Δεσπόζοντος, τής θαλάσσης αοίδιμε, καί σηπεδόνα, αθεϊας εξήρανας, άλας τίμιον, εμβαλών τήν σοφίαν σου, ήν περ καί κατεπλάγησαν, Απόστολε ένδοξε, τής μωρανθείσης σοφίας, οι αναιδώς αντεχόμενοι, Χριστόν μή ειδότες, τόν παρέχοντα τώ κόσμω, τό μέγα έλεος.

Δόξα... Ήχος γ' Γερμανού

Τόν συναίμονα Πέτρου, καί Χριστού μαθητήν, τών ιχθύων αγρευτήν, καί αλιέα τών ανθρώπων, εν ύμνοις Τιμήσωμεν, Ανδρέαν τόν Απόστολον, τού γάρ, Ιησού τα διδάγματα, πάντας εξεπαίδευσε τοίς δόγμασι, καί ως δέλεαρ ιχθύσι, τάς σάρκας τοίς ανόμοις παρέδωκε, καί τούτους εσαγήνευσεν, Αυτού ταίς ικεσίαις Χριστέ, παράσχου τώ λαώ σου ειρήνην, καί τό μέγα έλεος.

Καί νύν… Ήχος ο αυτός

Ιωσήφ, ειπέ ημίν, πώς εκ τών Αγίων, ήν παρέλαβες Κόρην, έγκυον φέρεις εν Βηθλεέμ; Εγώ, φησί, τούς Προφήτας ερευνήσας, καί χρηματισθείς υπό Αγγέλου, πέπεισμαι, ότι Θεόν γεννήσει, η Μαρία ανερμηνεύτως, ού είς προσκύνησιν, Μάγοι εξ Ανατολών ήξουσι, σύν δώροις Τιμίοις λατρεύοντες, Ο σαρκωθείς δι' ημάς, Κύριε δόξα σοι.

Απολυτίκιον Ήχος δ'

Ως τών Αποστόλων Πρωτόκλητος, καί τού Κορυφαίου αυτάδελφος, τόν Δεσπότην τών όλων Ανδρέα ικέτευε, ειρήνην τή οικουμένη δωρήσασθαι, καί ταίς ψυχαίς η μών τό μέγα έλεος.

Δόξα… Καί νύν… Θεοτοκίον

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν, Κάθισμα

Ήχος α' Τόν τάφον σου Σωτήρ

Ως θείον Μαθητήν, καί Πρωτόκλητον πάντων, Χριστού τών Μαθητών, ευφημούμέν σε πόθω, Ανδρέα Απόστολε, καί πιστώς εκβοώμέν σοι, ρύσαι ποίμνην σου, ήν εκ Θεού επιστεύθης, πάσης θλίψεως, καί αναγκών καί σκανδάλων, καί πάσης κακώσεως.

Δόξα… Πάλιν τό αυτό

Καί νύν... Θεοτοκίον

Τάς χείράς σου σεμνή, νύν εκτείνασα οίκτω, βοήθειαν ημίν, εξ Αγίου παράσχου, καί δίδου ακίνδυνον, τήν ζωήν διανύσασθαι, τούς δοξάζοντας, τόν σόνπανάγιον Τόκον, καί σέ Δέσποινα, επιγραφομένους Κόρη, ελπίδα καί καύχημα.

Μετά τήν β' Στιχολογίαν, Κάθισμα

Ήχος γ' Θείας πίστεως

Πρώτον εύρέ σε, Χριστός μολούντα μύστην άριστον, Ανδρέα μάκαρ, καί τά προστάγματα αυτού τομώς διαγγέλλοντα, τή οικουμένη καθάπερ υπόπτερον, καταφωτίζοντα εθνών τά συστήματα, Αυτόν ως Θεόν παμμακάριστε ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Δόξα… Πάλιν τό αυτό

Καί νύν… Θεοτοκίον

Θεία γέγονας, σκηνή τού Λόγου, μόνη πάναγνε, Θεοκυήτορ, τή καθαρότητι Αγγέλους υπεράρασα, τόν υπέρ πάντας εμέ γούν γενόμενον, ρερυπωμένον σαρκός πλημμελήμασιν, αποκάθαρον, πρεσβειών σου ενθέοις νάμασι, παρέχουσα σεμνή τό μέγα έλεος.

Μετά τόν Πολυέλεον, Κάθισμα

Ήχος πλ. α'

Τόν συνάναρχον Λόγον

Τόν Απόστολον πάντες ανευφημήσωμεν, ως αυτόπτην τού Λόγου καί θείον κήρυκα, καί εθνών πνευματικόν, σαγηνευτήν αληθώς, ότι προσήγαγεν ημάς, εις επίγνωσιν Χριστού, Ανδρέας ο θεηγόρος, καί νύν πρεσβεύει αδιαλείπτως, είς τό σωθήναι τάς ψυχάς ημών.

Δοξα… Καί νύν... Θεοτοκίον

Τών εν σοί τάς ελπίδας Παρθένε άχραντε, ανενδοιάστως εχόντων σκέπη υπάρχουσα, εκ ποικίλων πειρασμών καί περιστάσεων, καί κινδύνων χαλεπών, ελευθέρωσον ημάς, πρεσβεύουσα τώ Υιώ σου, σύν τοίς αυτού Αποστόλοις, καί σώσον πάντας τούς ανυμνούντάς σε.

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί Αντίφωνον Α'

Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.

Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον Ήχος πλ. δ'

Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών.

Στίχ. Οι ουρανοί διηγούνται δόξαν Θεού ποίησιν δέ χειρών αυτού αναγγέλλει τό στερέωμα.

Πάσα πνοή, Ευαγγέλιον, κατά Ματθαίον

Τώ καιρώ εκείνω, περιπατών ό Ιησούς παρά τήν θάλασσαν…

Ζήτει Κυριακή β'

Ο Ν'

Δόξα… Ταίς τού Αποστόλου.
Καί νύν… Ταίς τής Θεοτόκου.

Είτα τό Ιδιόμελον Ήχος α'

Ο Πρωτόκλητος Μαθητής, καί μιμητής τού πάθους, συμμορφούμενός σοι Κύριε, Ανδρέας ο Απόστολος, τούς εν βυθώ τής αγνοίας πλανωμένους ποτέ, τώ αγκίστρω τού Σταυρού σου ανελκύσας, προσήγαγέ σοι, Ταίς πρεσβείαις αυτού Υπεράγαθε, τήν ζωήν ημών ειρήνευσον, καί σώσον τάς ψυχάς ημών.

Μετά τούτο λέγονται οι Κανόνες, ο τής Θεοτόκου, καί τού Αποστόλου οι δύο.

Ο Κανών τής Θεοτόκου

Ωδή α' Ήχος α' Ο Ειρμός

«Ωδήν επινίκιον, άσωμεν πάντες, Θεώ τώ ποιήσαντι, θαυμαστά τέρατα, βραχίονι υψηλώ, καί σώσαντι τόν Ισραήλ, ότι δεδόξασται».

Ως μόνη τόν άχρονον, Υιόν εν χρόνω, τεκούσα σαρκί αγνή, Παναγία άχραντε, πάντα τά χρόνια, τής παναθλίας μου ψυχής, πάθη θεράπευσον.

Τά τραύματα Πάναγνε, τά τής ψυχής μου, καρδίας τήν πώρωσιν, λογισμού τήν σκότωσιν, καί τού νοός εκτροπάς, αφάνισον ως συμπαθής, ταίς σαίς

δεήσεσιν.

Τό φώς η κυήσασα, τόν Λυτρωτήν μου, τού σκότους με λύτρωσαι, καί βασάνων, Άχραντε, τών αιωνίων εκεί, όπως σωζόμενος υμνώ, τά μεγαλειά σου.

Νοός μου Πανάμωμε, τάς αμαυρώσεις, φωτί σου απέλασον, η τό φώς κυήσασα, καί δώρησαί μοι αγαθή, τό φώς προσβλέψαι τό εκ σού, εξανατείλαν ημίν.

## Κανών πρώτος τού Αποστόλου
## Ποίημα Ιωάννου Μοναχού

### Ωδή α' Ήχος α'

«Σού η τροπαιούχος δεξιά, θεοπρεπώς εν ισχύϊ δεδόξασται, αύτη γάρ Αθάνατε, ως πανσθενής, υπεναντίους έθραυσε, τοίς, Ισραηλίταις, οδόν βυθού καινουργήσασα».

Τήν τεθολωμένην μου ψυχήν, τών εννοιών τε καί λόγων εκκάθαρον, τή ενσκηνωσάση σοι κήρυξ Χριστού, Ανδρέα θεία χάριτι, όπως καθαρώς σοι, προσάξω ύμνον επάξιον.

Τίμιον ό Πρόδρομος Χριστού, τών εαυτού Μαθητών ακροθίνιον, ο εκ στειρευούσης σε βλαστός, τώ εκ Παρθένου φύντι Χριστώ, τώ δεδοξασμένω, Ανδρέα χαίρων προσήγαγεν.

Έρωτι καί πόθω ακλινεί, τής αρετής τών βαθμίδων αρξάμενος, καί τάς αναβάσεις αεί μελετών, εξ αμυδράς δυνάμεως, πρός τήν ακροτάτην, Ανδρέα δύναμιν έφθασας.

### Θεοτοκίον

Χαίρε η τής χάριτος πηγή, Χαίρε η κλίμαξ καί πύλη ουράνιος, Χαίρε η λυχνία, καί στάμνος χρυσή, καί όρος αλατόμητον, η τόν ζωοδότην, Χριστόν τώ κόσμω κυήσασα.

## Κανών δεύτερος τού Αποστόλου

### Ωδή α' Ήχος α'

«Ο διά στύλου πυρός καί νεφέλης, τόν Ισραήλ οδηγήσας Θεός, τήν θάλασσαν διέρρηξεν, άρματα δέ Φαραώ εκάλυψεν, Άσωμεν ωδήν επινίκιον, ότι δεδόξασται».

Τώ καλάμω τού Ευαγγελίου, εκ τού βυθού τής πλάνης ανελθών, Ανδρέα πολυϋμνητε, σύ εζώγρησας λαούς, ως επηγγείλατο Χριστός, ο σαγηνεύειν διδάξας σε, ανθρώπους ως ιχθύας ζωγρείν.

Ο τής πίστεως στύλος, η έδρα τών αληθινών δογμάτων τού Χριστού, Ανδρέας ο θεόπνευστος, πάντα σήμερον καλεί, τής γής τά πέρατα, εορτήν ετήσιον συστήσασθαι, συνέλθωμεν ούν πάντες πιστοί.

Τό θαλάσσιον κύτος, δικτύοις ερευνών, τή τέχνη αλιεύς, σαγήνη τή τού Πνεύματος, έθνη, φύλα καί λαούς, ζωγρείς εν Πνεύματι, καί τόν άνω βυθόν πολυθαύμαστε, σαφώς ανακαλύπτεις ημίν.

Μυστοπόλε, αυτόπτα καί ρήτορ, τής απορρήτου γνώσεως Χριστού, ο δεξάμενος άνωθεν Πνεύμα Άγιον, λαλούν εν γλώσσαις καθήμενον, τώ πυρί διαιρούν τά χαρίσματα, ικέτευε σωθήναι ημάς.

Δόξα…

Προανάρχου Τριάδος, Μονάδα υπερουσίως πίστει προσκυνώ, ου τέμνων τήν θεότητα, έστι γάρ ενοειδής, απλή αμέριστος, συνάπτω δέ αυτήν, ουσιότητι προσώπων, καί πιστώς διαιρώ.

Καί νύν…

Βρεφουργείται Θεός εκ Παρθένου, καί νεουργεί τούς φθαρέντας εξ Αδάμ, καί λύει τό μεσότοιχον, καί τής έχθρας τόν φραγμόν, εν τή σαρκί αυτού, κατάραν ευλογεί τής Προμήτορος, εξ αχράντου Μητρός προελθών.

Καταβασία

Χριστός γεννάται, δοξάσατε, Χριστός εξ ουρανών, απαντήσατε, Χριστός επί γής, υψώθητε, Άσατε τώ Κυρίω πάσα η γή, καί εν ευφροσύνη, ανυμνήσατε λαοί, ότι δεδόξασται.

## Τής Θεοτόκου

### Ωδή γ’ Ο Ειρμός

«Στερεωθήτω η καρδία μου, εις τό θέλημά σου Χριστέ ο Θεός, ο εφ’ υδάτων ουρανόν, στερεώσας τόν δεύτερον, καί εδράσας εν τοίς ύδασι, τήν γήν παντοδύναμε».

Τής στειρευούσης διανοίας μου, ακαρπίαν πάσαν απέλασον, καί καρποφόρον αρεταίς, τήν ψυχήν μου ανάδειξον, Παναγία Θεοτόκε, τών πιστών η βοήθεια.

Ρύσαί με πάσης κατακρίσεως, καί πολλών σκανδάλων τού όφεως, τού αιωνίζοντος πυρός, καί τού σκότους Πανάμωμε, η τό φώς αποκυήσασα, ημίν τό ανέσπερον.

Τό απαραίτητον κριτήριον, καί τό πύρ εκείνο τό άσβεστον, καί τήν απόφασιν Αγνή, τήν φρικτήν όλως δέδοικα, σπεύσον σώσον πρό τού τέλους, αγαθή τόν οικέτην σου.

Ευλογημένος τής κοιλίας σου, ο καρπός Παρθένε πανύμνητε, τούς γάρ φθαρέντας τώ καρπώ, διά ξύλου Σταυρού αυτού, αφθαρτίσας κατεστήσατο,

κοινωνούς θείας χάριτος.

Τού Αποστόλου

Ο μόνος ειδώς
Προσέδραμες δίψει ου κληθείς, Ανδρέα, αλλ' αυθαίρετος, τή τής ζωής πηγή ώσπερ έλαφος, καί πάσι ταύτην ευρών εκήρυξας, καί πιών επότισας, αφθαρσίας νάματα, κεκμηκότα τή δίψει τά πέρατα.

Επέγνως τής φύσεως θεσμούς, Ανδρέα αξιάγαστε, καί κοινωνόν τόν σύγγονον είληφας, βοών, Ευρήκαμεν τόν ποθούμενον, καί οδοποιήσαντι, τής σαρκός τήν γέννησιν, καθηγήσω τήν γνώσιν τού Πνεύματος.

Σαγήνη τού λόγου εκ βυθού, απάτης εσαγήνευσας, τούς λογικούς ιχθύας Απόστολε, καί τή τραπέζη Χριστού οψώνιον, καθαρόν προσήγαγες, λαμπρυνθέντας χάριτι, τού φανέντος σαρκός ομοιώματι.
Θεοτοκίον
Θεόν συλλαβούσα εν γαστρί, Παρθένε διά Πνεύματος, τού Παναγίου έμεινας άφλεκτος, επεί σε βάτος τώ νομοθέτη Μωσεί, φλεγομένη άκαυστα, σαφώς προεμήνυσε, τήν τό πύρ δεξαμένην τό άστεκτον.

Έτερον

Στερεωθήτω η καρδία μου
Λόγω καλούντι, Δεύρ' οπίσω μου, τώ Χριστώ ευθύς ηκολούθησε, συν τώ Ανδρέα καί Κηφάς, τόν γενέτην εάσαντες, καί τό σκάφος καί τά δίκτυα, ώς πίστεως πρόβολοι.

Τά ειδωλεία μετεποίησας, εις ναούς Θεού Πανσεβάσμιε, καθιερώσας εν αυτοίς, τούς υιούς τού Βαπτίσματος, ούς η χάρις ανεκαίνισε, δι' ύδατος Πνεύματι.

Τόν μαργαρίτην τόν πολύτιμον, μυστικώς τώ κόσμω προεύρηκας, τώ τής καρδίας σου αγρώ, κεκρυμμένον Απόστολε, όν τή πίστει εθησαύρισαν, τά έθνη ευράμενα.

Ως θησαυρόν τό Ευαγγέλιον, εν χερσί λαβών Πολυϋμνητε, πάσαν επλούτισας τήν γήν, τού ενθέου κηρύγματος, διό σου τά μνημόσυνα, τιμά σύν τοίς άθλοις σου.
Δόξα...
Τήν εν Τριάδι μίαν δύναμιν, ορθοδόξως πάντες υμνήσωμεν, άναρχον άκτιστον Θεόν, ομοούσιον σύνθρονον, τρισυπόστατον τρισήλιον, αυτήν αναμέλποντες.
Καί νύν...
Πάσα μέν μήτηρ γόνον τίκτουσα, παρθενεύειν έτι ού δύναται, σύ δέ τεκούσα

τόν Χριστόν, Μητροπάρθενος πέφηνας, γαλουχούσα τήν ζωήν ημών, Αγνή διαμένουσα.

Καταβασία

Τώ πρό τών αιώνων, εκ Πατρός γεννηθέντι αρρεύστως Υιώ, καί επ' εσχάτων εκ Παρθένου, σαρκωθέντι ασπόρως, Χριστώ τώ Θεώ βοήσωμεν, Ο ανυψώσας τό κέρας ημών, Άγιος εί Κύριε.

Κάθισμα Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Ως πρωτόκλητον πάντων τών Μαθητών, καί αυτόπτην τού Λόγου καί υπουργόν, Ανδρέα Απόστολε, κατά χρέος τιμώμέν σε, τώ γάρ Αμνώ τώ αίροντι, τού κόσμου τά πταίσματα, αδιστάκτω πόθω, θερμώς ηκολούθησας, όθεν καί τού πάθους, κοινωνός ανεδείχθης, τού σαρκί υπομείναντος, εκουσίως τόν θάνατον, Διά τούτο βοώμέν σοι, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Έτερον, όμοιον

Τών ειδώλων τά θράση καταβαλών, τού Σωτήρος τά πάθη επιποθών, Ανδρέα μακάριε, ανεδείχθης Απόστολος, ουρανόθεν πάσι, πηγάζων τά θαύματα, καί εθνών εγένου, παμμάκαρ Διδάσκαλος, όθεν σου τήν μνήμην, επαξίως τιμώντες, εν ύμνοις δοξάζομεν, καί πιστώς μεγαλύνομεν, τού Κυρίου Απόστολε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Καί νύν... Θεοτοκίον

Χαίρε θρόνε πυρίμορφε τού Θεού, Χαίρε Κόρη καθέδρα βασιλική, κλίνη πορφυρόστρωτε, χρυσοπόρφυρε θάλαμε, χλαμύς αλουργόχροε, τιμαλφέστατον τέμενος, αστραπηφόρον άρμα, λυχνία πολύφωτε, Χαίρε Θεοτόκε, δωδεκάτειχε πόλις, καί πύλη χρυσήλατε, καί παστάς αγλαόμορφε, αγλαόχρυσε τράπεζα, θεοκόσμητον σκήνωμα, Χαίρε ένδοξε Νύμφη ηλιοστάλακτε, Χαίρε μόνη ψυχής μου ευπρέπεια.

Τής Θεοτόκου

Ωδή δ' Ο Ειρμός

«Πνεύματι προβλέπων, Προφήτα Αββακούμ, τήν τού Λόγου σάρκωσιν, εκήρυττες βοών, Εν τώ εγγίζειν τά έτη επιγνωσθήση, εν τώ παρείναι τόν καιρόν αναδειχθήση, Δόξα τή δυνάμει σου Κύριε».

Παρθένε Παναγία, αμόλυντε σκηνή, μολυνθέντα πταίσματι, καθάρισον με νύν, τών οικτιρμών σου ρανίσι καθαρωτάταις, καί δός μοι χείρα βοηθείας, ίνα κράζω, Δόξα σοι Αγνή θεοδόξαστε.

Ναός ηγιασμένος, εδείχθης τού Θεού, τού εν σοί οικήσαντος, Παρθένε υπέρ νούν, αυτόν δυσώπει, αμαρτιών ημάς ρύπου αποκαθάραι, όπως οίκος γνωρισθώμεν, καί κατοικητήριον Πνεύματος.

Ελέησον με μόνη, ελέους τήν πηγήν, Θεοτόκε τέξασα, καί λύσον τήν δεινήν, τής ψυχής μου νόσον, καί πόρωσιν τής καρδίας, δακρύων ρείθρα καί κατάνυξιν πρό τέλους, θείαν δωρουμένη πρεσβείαις σου.

Νοήσας ο Προφήτης, εν Πνεύματι Θεού, Όρος σε προέγραψε, κατάσκιον Αγνή, τούς γάρ φλογμώ τών εγκλημάτων εκτακέντας, αποκαθαίρεις μεσιτείαις σου Παρθένε, μόνη τών βροτών η ανόρθωσις.

Τού Αποστόλου

Όρος σε χάριτι τή θεία

Η θεία εξαναλωτική τε τού χείρονος, τού παντουργού καί φωταυγούς, Πνεύματος δύναμις εν σοί, Ανδρέα οικήσασα, θεοπρεπώς πυρίνης γλώττης εν σχήματι, τών απορρήτων ανέδειξε Κήρυκα.

Ουχ όπλα πρός άμυναν, ανείλετο σάρκινα, καί πρός καθαίρεσιν δεινών, οχυρωμάτων τού εχθρού, Ανδρέας ο πάντιμος, αλλά Χριστώ φραξάμενος προσενήνοχεν, αιχμαλωτίσας τά έθνη υπήκοα.

Τούς πόθω τελούντάς σου, τήν μνήμην εν άσμασιν, εκ τής αφθόνου δωρεάς τού Διδασκάλου σου Χριστού, Ανδρέα πανόλβιε, πνευματικής αγαλλιάσεως νάματα, αναπιμπλών μή ελλίπης πρεσβείαις σου.

Θεοτοκίον

Υμνούμεν τό μέγα, καί φρικτόν σου μυστήριον, υπερκοσμίους γάρ λαθών, ταξιαρχίας επί σέ, ο Ών καταβέβηκεν, ώς υετός επί πόκον Πανύμνητε, εις σωτηρίαν ημών καί ανάπλασιν.

Έτερος

Εν πνεύματι προβλέπων

Τά δίκτυά σου ρίψας, καί άρας τόν σταυρόν, δρόμω ηκολούθησας, καλούντι τώ Χριστώ, καί τήν σαγήνην τού Πνεύματος υφαπλώσας, αντί ιχθύων τούς ανθρώπους σαγηνεύεις, Δόξα τώ δοθέντι σοι Πνεύματι.

Τού Πνεύματος τήν φλόγα, τή γλώσση προσλαβών, γέγονας Απόστολε, θεόληπτος ανήρ, τών ουρανίων τά κάλλη περιπολεύων, καί τά εν τούτοις νοητά καταμανθάνων, κάλλη καί ημίν εκκαλύπτων αυτά.

Τήν έρημον διψώσαν, επότισας Σοφέ, τοίς ενθέοις λόγοις σου, καί έδειξας αυτήν, πολυγονούσαν τά τέκνα τής Εκκλησίας, καρποφορούντα τού κηρύγματος τόν σπόρον, Δόξα τώ δοθέντι σοι Πνεύματι.

Τό άφραστόν σου κάλλος, Ανδρέας προϊδών, Ιησού, τόν σύγγονον, εφώνησε λαμπρώς, Πέτρε ομαίμον, ευρήκαμεν τόν Μεσσίαν, τόν εν τώ νόμω καί

Προφήταις κηρυχθέντα, δεύρο κολληθώμεν τή όντως ζωή.

Δόξα...

Τριάδα εν Μονάδι, υμνήσωμεν πιστοί, εν μιά θεότητι, Πατέρα καί Υιον, καί Πνεύμα θείον, ουσίαν μίαν καί φύσιν, αδιαιρέτως αχωρίστως, αμερίστως, είς γάρ εν Τριάδι προσώπων Θεός.

Καί νύν…

Τόν ένα τής Τριάδος, αφράστως εν γαστρί, συλλαβούσα τέτοκας, αφθόρως ως Υιόν, καί η Τριάς μέν προσθήκην όλως ουκ έσχε, η δέ αγνεία, ώσπερ ήν καί πρό τού τόκου, σώα Θεομήτορ διέμεινεν.

Καταβασία

Ράβδος εκ τής ρίζης Ιεσσαί, καί άνθος εξ αυτής Χριστέ, εκ τής Παρθένου ανεβλάστησας, εξ όρους ο αινετός, κατασκίου δασέος, ήλθες σαρκωθείς εξ απειράνδρου, ο άυλος καί Θεός, Δόξα τή δυνάμει σου, Κύριε.

## Τής Θεοτόκου

Ωδή ε' ο Ειρμός

«Τήν σήν ειρήνην δός ημίν, Υιέ τού Θεού, άλλον γάρ εκτός σου, Θεόν ου γινώσκομεν, τό όνομά σου ονομάζομεν, ότι Θεός ζώντων, καί τών νεκρών υπάρχεις».

Τάς κόρας τής καρδίας μου, διάνοιξον Αγνή, βλέπειν με τρανώς, τήν θείαν λαμπρότητα, καί τήν σήν δόξαν τήν ανέκφραστον, όπως ελέους τύχω, καί αιωνίου δόξης.

Εν δύο ταίς θελήσεσι, τόν ένα τής σεπτής, τέτοκας Τριάδος Πανάχραντε, φέροντα μίαν τήν υπόστασιν, όν εκτενώς δυσώπει, πάντας ημάς σωθήναι.

Πανάχραντε ως τέξασα, Σωτήρα καί Θεόν, πρέσβευε εκ πάσης με θλίψεως, καί νοσημάτων καί κακώσεως, σώον συντηρηθήναι, τόν σόν αχρείον δούλον.

Δυσώπησον όν έτεκες, Παρθένε υπέρ νούν, σώζεσθαι τούς πίστει σοι κράζοντας, Χαίρε Παρθένε παναμώμητε, ευλογημένη μόνη, τού κόσμου προστασία.

## Τού Αποστόλου

Ο φωτίσας τή ελλάμψει

Απείληφας όν επόθεις, Ανδρέα Απόστολε, εν αφθάρτοις σύν αυτώ καταλύσας σκηνώμασι, καί τών πόνων δράγματα, τών σών δρεψάμενος αξίως, όθεν σε ύμνοις δοξάζομεν.

Επόθησας τόν Δεσπότην, καί τούτον εδίωξας, τοίς ίχνεσι τοίς αυτού πρός ζωήν ποδηγούμενος, καί τά τούτου πάθη, αψευδώς υπέρτιμε Ανδρέα, μέχρι θανάτου μιμούμενος.

Εντείνας σε δυνατόν, ώσπερ βέλος Μακάριε, επαφήκεν εις τόν σύμπαντα κόσμον ο Κύριος, τραυματίζων δαίμονας, καί δυσσεβεία τούς ανθρώπους, τραυματισθέντας ιώμενος.

Θεοτοκίον

Ευφραίνονται ουρανών, αι δυνάμεις ορώσαί σε, αγάλλονται σύν αυταίς τών βροτών τά συστήματα, τώ γάρ τόκω ήνωνται τώ σώ, Παρθένε Θεοτόκε, σέ επαξίως δοξάζοντα.

Έτερος

Καταύγασον ημών

Ποθήσας τόν σταυρόν Χριστού Μαθητά, επορίσω τώ σταυρώ σου, τήν ακήρατον βασιλείαν, ών ο πάντας ελκύσας σταυρώ τούς θεομύστας, κληροδοτήσει υμίν, τοίς θεολόγοις αυτού.

Εζήτησας Χριστόν τήν όντως ζωήν, καί ζητήσας πρώτος εύρες, καί ευρών μυστικώς εδράξω, καί έλαβες αυτήν εν αυτώ τώ δεδωκότι, καί γέγονας θησαυρός, ζωής ακαταλύτου.

Τά ρήματα τών σών ενθέων βροντών, διηχήθη εν τώ κόσμω, καί απ’ άκρων εις άκρα γής ήλθεν, εκύκλωσαν γάρ ώσπερ τροχός, καί εφανάν σου αι αστραπαί, ώς φησι Δαυϊδ τή οικουμένη.

Μνημόνευε ημών Χριστού Μαθητά, τών τελούντων σου τήν μνήιμην καί τιμώντων, τά λείψανά σου, δεήθητι αεί εκτενώς περί τής Ποίμνης, ής γέγονας απ’ αρχής, φύλαξ καί σωτηρία.

Δόξα...

Πατέρα καί Υιόν καί Πνεύμα Θεόν, αδιαίρετον Τριάδα, Τρισυπόστατον Βασιλείαν, δοξάσωμεν συμφώνως πιστοί, ακαταπαύστοις θεολογίαις, αυτήν Πιστώς υμνολογούντες.

Καί νύν…

Εγέννησας τό φώς, μή γνούσα τό πώς, η ολόφωτος λυχνία, τού ηλίου λαμπαδηφόρε, καί γέγονας αϋλου φωτός καινόν δοχείον, πηγάζον πάση τή γή, θεογνωσίας αυγάς.

Καταβασία

Θεός ών ειρήνης, Πατήρ οικτιρμών, τής μεγάλης Βουλής σου τόν Άγγελον, ειρήνην παρεχόμενον, απέστειλας ημίν, όθεν θεογνωσίας, πρός φώς οδηγηθέντες, εκ νυκτός ορθρίζοντες, δοξολογούμέν σε, Φιλάνθρωπε.

Τής Θεοτόκου

Ωδή στ’ Ο Ειρμός

«Τόν Προφήτην Ιωνάν, εκμιμούμενος βοώ, Τήν ζωήν μου Αγαθέ, ελευθέρωσον φθοράς, καί σώσόν με, Σωτήρ τού κόσμου, κράζοντα, Δόξα

σοι».

Μολυνθέντα με πολλαίς, αμαρτίαις δυσωπώ, σέ τήν όντως αγαθήν, καί αμόλυντον Σκηνήν, Απόπλυνον, παντοίου ρύπου, τή μεσιτεία σου.

Κυβερνήτης μοι γενού, θαλαττεύοντι αεί, εν πελάγει τών δεινών, τών τού βίου πειρασμών, καί σώσόν με, πρός σωτηρίας, όρμον ιθύνασα.

Τρικυμίαι λογισμών, καί παθών επαγωγαί, καί βυθός αμαρτιών, τήν αθλίαν μου ψυχήν, χειμάζουσι, βοήθησον μοι, Αγία Δέσποινα.

Μεγαλειά σοι αεί, εποιήσατο Χριστός, όν ικέτευε αεί, μεγαλύναι επ' εμοί, τά πλούσια, αυτού ελέη, Θεοχαρίτωτε.

Τού Αποστόλου

Εκύκλωσεν ημάς

Τήν θάλασσαν τού βίου περαιούμενος, εν σκάφει τώ τού σώματος, τόν τά σύμπαντα διέποντα Χριστόν, εύρες κυβερνήτην παμμακάρ ιστε, καί πρός αυτόν μάκαρ Ανδρέα, χαίρων προσήνεξαι.

Τά πνεύματα τώ λόγω φυγαδεύονται, αι νόσοι δραπετεύουσι, ψυχικών τε παθημάτων ο εσμός, πόρρω τών νοσούντων απελαύνονται, τή εκ Θεού σοι δεδομένη, Ανδρέα χάριτι.

Ως κύμα γαληνόν πραέι πνεύματι, κινούμενον Μακάριε, απεξήρανας θαλάσσας πονηράς, τής πολυθεϊας θείοις ρεύμασι, καί ποταμούς θεογνωσίας, πάσιν εξέβλυσας.

Θεοτοκίον

Ευφραίνονται εν σοί Παρθένε άχραντε, τού γένους οι Προπάτορες, τήν Εδέμ απολαβόντες διά σού, ήν εκ παραβάσεως απώλεσαν, σύ γάρ Αγνή, καί πρό τού τόκου καί μετά γέννησιν.

Έτερος

Τόν Προφήτην Ιωνάν

Ο εκ τής Βηθσαϊδά, καταγόμενος ημάς, εορτάσαι συγκαλεί, τήν πανήγυριν αυτού, προθείς ημίν, τάς αριστείας, τών παλαισμάτων αυτού.

Ο τή τέχνη αλιεύς, καί τή πίστει μαθητής, ως βυθόν διερευνών, τάς καρδίας τών πιστών, τό άγκιστρον, χαλά τού λόγου, καί σαγηνεύει ημάς.

Τής αγάπης τού Χριστού, εν καρδία σου τό πύρ, περιφέρων Μαθητά, κατεβόας τών εθνών, Η φλόξ υμών, εσβέσθη όντως, επιφανέντος Χριστού.

Οι τώ άλατι τόν νούν, αρτυθέντες τού Χριστού, τά οψώνια υμών, κατεγλύκαναν ημίν, τά δόγματα, τής ουρανίου, καί ακηράτου τρυφής.

Δόξα…

Τόν Πατέρα καί Υιόν, καί τό Πνεύμα τό ευθές, προσκυνήσωμεν πιστοί, τρισυπόστατον φύσιν, αμέριστον, βοώντες, Δόξα, τώ εν Τριάδι Θεώ.

Καί νύν…

Ευδοκία τού Πατρός, εσαρκώθη ο Υιός, διά Πνεύματος Θεού, εν τή μήτρα σου Αγνή, καί έσωσε, τήν πρίν εικόνα, Θεοκυήτορ σαφώς.

Καταβασία

Σπλάγχνων Ιωνάν, έμβρυον απήμεσεν, ενάλιος θήρ, οίον εδέξατο, τή Παρθένω δέ, ενοικήσας ο Λόγος καί σάρκα λαβών, διελήλυθε φυλάξας αδιάφθορον, ής γάρ, ουχ υπέστη ρεύσεως, τήν τεκούσαν, κατέσχεν απήμαντον.

Κοντάκιον Ήχος β'

Τήν εν πρεσβείαις

Τόν τής ανδρείας επώνυμον θεηγόρον, καί μαθητών τόν πρωτόκλητον τού Σωτήρος, Πέτρου τόν σύγγονον ευφημήσωμεν, ότι ως πάλαι τούτω καί νύν ημίν εκέκραγεν, Ευρήκαμεν δεύτε τόν ποθούμενον.

Ο Οίκος

Άνωθεν μέν Δαυίδ αναστέλλει αμαρτωλόν, ώς εμέ, διηγείσθαι Θεού ευλόγως τά δικαιώματα, όμως πρός πίστιν διδάσκει πάλιν, καί εν δάκρυσι πλείστοις εξαγορεύει, Σήμερον γάρ τής φωνής αυτού εάν ακούσητε, καρδίας μή σκληρυνθήτε, ώς ποτε Ισραήλ παρεπίκρανεν, Επάγει ούν τώ εξής Ψαλμώ, Τώ Κυρίω η σύμπασα γή άσατε, Ευρήκαμεν δεύτε τόν ποθούμενον.

Συναξάριον

Τή Λ' τού αυτού μηνος, Μνήμη τού Αγίου ενδόξου καί πανευφήμου Αποστόλου, Ανδρέου τού Πρωτοκλήτου.

Στίχοι

Αντίστροφον σταύρωσιν Ανδρέας φέρει,
Φανείς αληθώς ού σκιώδης αντίπους.
Σταυρόν κακκεφαλής τριακοστή Ανδρέας έτλη.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Φρουμεντίου, Επισκόπου Ινδίας.

Στίχοι

Φρουρούμενος χάριτι ΣεΙnflς Τριάδος,
Φρουμέντιος δέδειχε φρούδον τήν πλάνην.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τής Θεοτόκου

Ωδή ζ' Ο Ειρμός

«Τούς εν καμίνω Παίδάς σου Σωτήρ, ουχ ήψατο, ουδέ παρηνώχλησε τό πύρ, τότε οι τρείς ως εξ ενός στόματος, ύμνουν καί ηυλόγουν λέγοντες, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών».

Τήν μιανθείσαν άχραντε ψυχήν, αγίασον, πάντοτε τού δούλου σου Αγνή, καί τού νοός δεινάς αιχμαλωσίας, καί καρδίας πώρωσιν, καί τών δαιμόνων ορμάς, τάχος αφάνισον.

Νενεκρωμένον πάθεσι σαρκός, Πανάμωμε, ζώωσον τόν νούν μου καί Θεώ, τά αρεστά επιτελείν ενίσχυσόν με, ίνα μεγαλύνω σε, ίνα δοξάζω αεί, τήν αγαθότητα σου.

Νεκρωσόν μου Δέσποινα αγνή, Τά τής σαρκός πάθη, καί ψυχής μου Ταπεινής ρύπον, δεινόν εναποσμήχουσα Παρθένε, καί λογοθεσίου με, τών αοράτων εχθρών, ρύσαι καί σώσόν με.

Σοί Παναγία άχραντε αγνή, οι δούλοί σου, πάντοτε ημέρας καί νυκτός, ποσπίπτομεν συντετριμμένη διανοία, δυσωπούντες λύτρωσιν, αμαρτημάτων ευρείν, ταίς ικεσίαις ταίς σαίς.

Τού Αποστόλου

Σέ νοητήν Θεοτόκε

Η αψευδής, εμφανώς πεπλήρωται, επαγγελία σου Χριστέ, τώ γάρ σάλω ο φοιτητής, σού ο ενΘεώτατος, λόγω εμβριμώμενος, πρός ιλαράν γαλήνην μετέβαλεν, Ο αινετός αναμέλπων, Θεός καί υπερένδοξος.

Τώ νοητώ, τής Σιών Απόστολε, προβήναι όρει κελευσθείς, σωτηρίου τε ειληφώς, χαίρων τό ποτήριον, έδης πορθμευόμενος, διά θανάτου πρός θείαν ζωήν, ένθα Χριστός τών απάντων, Θεός καί υπερένδοξος.

Σύ γηγενής, πεφυκώς Απόστολε, υπερφυώς τερατουργείς, δι' αγάπης γάρ συγκραθείς, τούτω ηκολούθησας, Χριστώ τώ σέ αγαπήσαντι, Ο αινετός αναμέλπων, Θεός καί υπερένδοξος.

Θεοτοκίον

Χαίρε σεμνή, τού Αδάμ τό κώδιον, εξ ού προήλθεν ο Ποιμήν, ενδυσάμενος αληθώς, ο υπερυψούμενος, όλον με τόν άνθρωπον, εν τή γαστρί σου ανέπλασεν, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Έτερος

Τούς εν καμίνω Παίδάς σου

Τού Παναγίου Πνεύματος τό πύρ, σπασάμενος, άνωθεν Απόστολε Χριστού, γλώσσαις καιναίς, αίς μηδαμού εφθέγξω, τοίς τού κόσμου πέρασι, διεκελεύσθης λαλείν τά μεγαλεία αυτού.

Υπερεκπλήττει πάντα λογισμόν, τό κήρυγμα, όπερ εσαλπίσατε τή γή, μύσται Χριστού, καί θεωροί τών άνω, ότι μόνοι δώδεκα όντες, τάς μυριάδας τής γής κατεφωτίσατε.

Εθαυμαστώθη Δέσποτα Χριστέ, η χάρις σου, εν τοίς θεοσόφοις Μαθηταίς, ότι μικροί καί ιδιώται όντες, πάσαν γήν διέδραμον, από τών άκρων αυτής έως περάτων αυτής.

Τί τό διδάξαν ούτω σε λαλείν, Απόστολε τί τό καταλάμψαν σου τόν νούν, βλέπειν τρανώς, τής απροσίτου δόξης, τήν αυγήν τήν λάμψασαν, τής αληθείας τό φώς εν ταίς καρδίαις ημών;

Δόξα…

Τριαδικώς υμνήσωμεν πιστοί, δοξάζοντες, άναρχον Πατέρα καί Υιόν, Πνεύμα ευθές, μοναδικήν ουσίαν μίαν, ήν τρισσώς υμνήσωμεν. Άγιος, άγιος, άγιος εί, εις τούς αιώνας. Αμήν.

Καί νύν…

Ως τής Τριάδος ένα σε Χριστέ, δοξάζομεν, ότι εκ Παρθένου σαρκωθείς, δίχα τροπής, ανθρωπικώς πάντα ηνέσχου, μή εκστάς τής φύσεως, τής πατρικής, Ιησού, ει καί ηνώθης ημίν.

Καταβασία

Οι Παίδες ευσεβεία συντραφέντες, δυσσεβούς προστάγματος καταφρονήσαντες, πυρός απειλήν ουκ επτοήθησαν, αλλ’ εν μέσω τής φλογός, εστώτες έψαλλον, Ο τών Πατέρων Θεός ευλογητός εί.

Τής Θεοτόκου

Ωδή η’ Ο Ειρμός

«Ον φρίττουσιν Άγγελοι, καί πάσαι στρατιαί, ώς Κτίστην καί Κύριον, υμνείτε ιερείς, δοξάσατε παίδες, ευλογείτε λαοί, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Σαρκούται ο άσαρκος, εκ σού θεοπρεπώς, όν αίτησαι Πάναγνε, τά πάθη τής εμής, ψυχής θανατώσαι, καί ζωώσαι αυτήν, νεκρωθείσαν πάλαι, κακίστη αμαρτία.

Ιάσω τό σύντριμμα, Αδάμ τού χοϊκού, Σωτήρα κυήσασα, Πανάχραντε Θεόν, αυτόν εκδυσώπει τάς πληγάς τής εμής, ψυχής θεραπεύσαι, ανίατα νοσούσης.

Ανάστησον κείμενον, εις βάθη με κακών, τούς νύν πολεμούντάς με, πολέμησον εχθρούς, τρωθέντα ατόποις, ηδοναίς τήν ψυχήν, Αγνή μή παρίδης, αλλ’ οίκτειρον καί σώσον.

Ιάτρευσον Άχραντε, τά πάθη τής εμής, καρδίας κυήσασα, τόν πάντων Ιατρόν, καί τής τών Δικαίων δείξον μέτοχον, Παρθένε μερίδος, Χριστόν

εκδυσωπούσα.

Τού Αποστόλου

Εν καμίνω Παίδες

Φωτοφόρος καί ευφραντική, ακτίνας ιαμάτων, Ανδρέα Χριστού Απόστολε, νύν εξέλαμψεν ημίν, η ένθεος μνήμη σου, τοίς βοώσι, Πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ανθρωπίνης φύσεως λαχών, τούς ταύτης υπερέβης, θεσμούς καί πρός τήν Αγγέλων, μεταβέβηκας σκηνήν, Ανδρέα Απόστολε, καί κραυγάζεις, πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Η εξ ύψους Πνεύματος Θεού, πνοή σε εκπυρώσασα, Ρήτορα θεηγόρον, αναδείκνυσι θερμόν, βοώντα Απόστολε τώ Χριστώ σου, Πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Φεγγοβόλος ώσπερ αστραπή, εις φώς εθνών εξήλθες, τό σκότος τής αγνωσίας, εκδιώκων καί πιστους, φωτίζων κραυγάζοντας, Ευλογείτε, πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Θεοτοκίον

Τήν ασπόρως καί υπερφυώς, εξ αστραπής τής θείας, τεκούσαν τόν μαργαρίτην, τόν πολύτιμον Χριστόν, υμνήσωμεν άπαντες εκβοώντες, Πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Έτερος

Τόν εν Σινά τήν βάτον

Τή τέχνη τής αλιείας, εκ θαλάσσης ήγρευσας ιχθύας Πάνσοφε, νύν δέ τή πίστει, ανθρώπους σαγηνεύεις Χριστώ, εκ πλάνης τού εχθρού, βυθός γάρ ήν η πλάνη ποτέ, βυθίζων τά έθνη, τή ζάλη τής αγνοίας.

Τόν νοητόν τού βίου, ακυμάντως έπλευσας βυθόν Απόστολε, διαπετάσας, τό ιστίον τού Πνεύματος, τή πίστει τού Χριστού, διό καί εις λιμένα ζωής κατήντησας χαίρων, εις πάντας τούς αιώνας.

Τού νοητού Ηλίου, επί ξύλου δύναντος αυτεξουσίω βουλή, ο τού ηλίου φωστήρ συναναλύσαι ζητών, καί δύναι εις Χριστόν, εν ξύλω εκρεμάσθη σταυρού, Ανδρέας ο μέγας, λαμπτήρ τής Εκκλησίας.

Ωμαθητά καί φίλε, τού Χριστού καί σύμψηφε τών Αποστόλων αυτού, όταν εν θρόνω, κάθηται Κριτής σύν ημίν, τοίς δώδεκα κρίναι, ως η επαγγελία φησί, γένοισθε τότε ημίν, φιλανθρωπίας τείχος.

Δόξα…

Τρισσοφαή Μονάδα, καί Τριάδα σύνθρονον δοξολογήσωμεν, ού διαιρούντες,

ενούντες δέ αυτήν συμφυώς, ως μίαν αληθώς, ουσίαν ηνωμένην, εν προσώποις τρισίν, ού συναλειφομένην.

Καί νύν…

Τόν τής Τριάδος ένα, συλλαβούσα τέτοκας σεσαρκωμένον εκ σού, καινοτομούντα, τούς νόμους τούς τής φύσεως, τώ τόκω σου Αγνή, Αυτόν υπέρ ημών, ως Θεόν αεί δυσωπούσα, μή παύση Θεοτόκε.

Καταβασία

θαύματος υπερφυούς η δροσοβόλος, εξεικόνισε κάμινος τύπον, ου γάρ ούς εδέξατο φλέγει Νέους, ώς ουδέ πύρ τής θεότητος, Παρθένου ήν υπέδυ νηδύν, διό ανυμνούντες αναμέλψωμεν, Ευλογείτω η Κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Τής Θεοτόκου

Ωδή θ’ Ο Ειρμός

«Τήν φωτοφόρον νεφέλην, εν ή ο πάντων Δεσπότης, ώς υετός εξ ουρανού, επί πόκον κατήλθε, καί εσαρκώθη δι’ ημάς, γενόμενος άνθρωπος, ο άναρχος, μεγαλύνωμεν πάντες, ώς Μητέρα τού Θεού ημών αγνήν».

Φιλαμαρτήμων υπάρχων, εν αμελεία διάγω, καί τό κριτήριον Αγνή, τό αδέκαστον τρέμω, εν ώ με τήρησον ταίς σαίς, αγίαις δεήσεσι, Θεόνυμφε, ακατάκριτον όπως, ως προστάτιν μακαρίζω σε αεί.

Φρίττω τό βήμα Παρθένε, καί τό αλάθητον όμμα, τού σού Υιού πράξεις αισχράς, επί γής εκτελέσας, καί διά τούτό σοι βοώ, Πανεύσπλαγχνε Δέσποινα βοήθει μοι, καί τής τότε ανάγκης, εξελού με καί διάσωσον Αγνή.

Ως φοβερά η ημέρα, τής εξετάσεως Κόρη! ώς η απόφασις φρικτή! ώς δεινή η αισχύνη! τίς υποστήσεται λοιπόν, πανάχραντε Δέσποινα ελέησον, τήν αθλίαν ψυχήν μου, καί πρό τέλους δός μοι άφεσιν Αγνή.

Φώς η τεκούσα τό θείον, εσκοτισμένον με πάσαις, ταίς προσβολαίς τού πονηρού, καί κακίαις απάσαις, καί παροργίζοντα Θεόν, Πανάμωμε φώτισον, οδηγούσα προς καλάς εργασίας, ως αιτία ούσα πάντων τών καλών.

Τού Αποστόλου

Τύπον τής αγνής

Οία φοιτητής πανάριστος, τού τώ σταυρώ βουλήσει προσομιλήσαντος, τώ Δεσπότη σου μέχρι θανάτου επόμενος, ανελήλυθας χαίρων εις ύψος σταυρού, στελλόμενος πορείαν, πρός ουρανούς μάκαρ Απόστολε.

Πύλη τής Εδέμ σοι ήνοικται, καί προσετέθη κλίμαξ η επουράνιος, καί εδέξαντο τών ουρανών τά σκηνώματα, καί παρέστηκας χαίρων Απόστολε, Χριστώ τώ ζωοδότη, υπέρ τού κόσμου πρέσβυς άριστος.

Ίσοις εδοξάσθης πάθεσι, τού Διδασκάλου μάκαρ Ανδρέα πάνσοφε, διά γάρ σταυρού τό θείον τέλος απείληφας, καί μεθέξει Θεός εχρημάτισας, διό σε δυσωπούμεν, υπέρ ημών αεί ικέτευε.

Χαίροις ξυνωρίς πανάριστος, εν ουρανοίς λαχούσα νύν τό πολίτευμά, εποπτεύοις τε, τών υμνητών τήν προαίρεσιν, εαυτών εκνικώσαν τήν δυναμιν, καί θείων χαρισμάτων, καταγλαϊζοις τή λαμπρότητι.

Θεοτοκίον

Ρίζης εκ Δαυϊδ εβλάστησας, προφητικής Παρθένε καί θεοπάτορος, αλλά καί Δαυϊδ ως αληθώς σύ εδόξασας, ως τεκούσα τόν προφητευόμενον, τόν Κύριον τής δόξης, όν επαξίως μεγαλύνομεν.

Έτερος

Τήν φωτοφορον νεφέλην

Ο τήν σαγήνην απλώσας, τής μυστικής θεωρίας, καί ώς ιχθυας εν αυτή, σαγηνεύσας τά κάλλη, τών ουρανίων εννοιών, ικέτευε Άγιε, τήν Αγίαν Τριάδα, τού πηγάσαι καί ημίν τόν ιλασμόν.

Ευχαριστούμεν τά έθνη, τά διά σού φωτισθέντα, καί από γής εις ούρανους, διά σού αναχθέντα, τής γάρ λατρείας τού εχθρού, εκστάντες γεγόναμεν συμμέτοχοι, τών Αγίων Αγγέλων, τού Κυρίου τε τής δόξης κοινωνοί.

Τών απορρήτων αυτόπται, καί υπηρέται τού Λόγου, μυσταγωγοί καί θεωροί, τών ανεξιχνιάστων, συγκληρονόμους καί ημάς, γενέσθαι δεήθητε Απόστολοι, τής Χριστού βασιλείας, καί μετόχους τής θεότητος αυτού.

Δεσμείν καί λύειν λαβόντες, παρά Χριστού εξουσίαν, λύσατε πάντας τών δεσμών, τών πολλών εγκλημάτων, ότι ελεύσεται Χριστός, καί πάντες καθήσεσθε οι Δώδεκα, επί θρόνοις τοσούτοις, κρίναι πάσας, τάς φυλάς τού Ισραήλ.

Δόξα…

Τήν τρισυπόστατον Φύσιν, καί αδιαίρετον δόξαν, τήν εν θεότητι μιά, υμνουμένην απαύστως, εν ουρανώ καί επί γής, Τριάδα αχώριστον δοξάσωμεν, σύν Υιώ τόν Πατέρα, καί τό Πνεύμα προσκυνούντες ευσεβώς.

Καί νύν…

Υπό τήν σήν ευσπλαγχνίαν, τούς καταφεύγοντας πίστει, καί προσκυνούντας ευσεβώς, τόν Υιόν σου Παρθένε, Θεογεννήτορ ως Θεόν, τού κόσμου καί Κύριον ικέτευε, εκ φθοράς καί κινδύνων λυτρωθήναι, καί παντοίων πειρασμών.

Καταβασία

Μυστήριον ξένον, ορώ καί παράδοξον! ουρανόν τό Σπήλαιον, θρόνον Χερουβικόν, τήν Παρθένον, τήν φάτνην χωρίον, εν ώ ανεκλήθη ο αχώρητος, Χριστός ο Θεός, όν ανυμνούντες μεγαλύνομεν.

Εξαποστειλάριον
Εν Πνεύματι τώ Ιερώ

Ο Λόγος ο προάναρχος, ευρηκώς σε παμμάκαρ, Πρωτόκλητον ανέδειξε, πάντων τών Αποστόλων, Ανδρέα παναοίδιμε, καί τοίς τούτου ίχνεσιν, επόμενος ανεδείχθης, οδηγός πλανωμένων, πρός ουράνιον αυτούς, ανάγων θείαν πορείαν.

Έτερον   Γυναίκες ακουτίσθητε

Τού Πέτρου, τόν συναίμονα, τών μαθητών τόν πρώτιστον, αυτόπτην καί υπηρέτην, γενόμενον τόν τού Λόγου, Ανδρέαν τόν Απόστολον, ενδόξως ευφημήσωμεν, τά έθνη γάρ εφώτισε, καί σταυρωθείς τελειούται, ώς Μαθητής τού Δεσποτου.

Θεοτοκίον, όμοιον

Θεόν όν περ εγέννησας, Παρθένε παναμώμητε, ικέτευε υπέρ πάντων, τών ευσεβών σε τιμώντων, σύν τώ κλεινώ Αποστόλω, τυχείν θείας ελλάμψεως, τού σού Υιού καί στάσεως, τών εκλεκτών καί Αγίων, όσα γάρ θέλεις ισχύεις.

Εις τους Αίνους, ιστώμεν Στίχους δ’ καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α’  Τών ουρανίων

Βηθσαϊδά νύν αγάλλου, εν σοί γάρ ήνθησαν, εκ μυστικής λιβάδος, ευωδέστατα κρίνα, Πέτρος καί Ανδρέας, κόσμω παντί, τό τής πίστεως κήρυγμα, ευωδιάζοντες χάριτι τού Χριστού, ού καί τά πάθη εμιμήσαντο.

Ανδρέα χαίρε καί σκίρτα, ότι εδέξω σαφώς, εν τή τού Λόγου λάμψει, τόν Ήλιον τής δόξης, Χριστόν τόν ζωοδότην, όν καί κρατών, εν τή πίστει εκήρυξας, τούτον δυσώπει απαύστως υπέρ ημών, τών εν πίστει ανυμνούντων σε.

Ο μυστολέκτης τής θείας, οικονομίας Χριστού, ο εκλεχθείς εν πρώτοις, μαθητεύσαι τώ Λόγω, Ανδρέας ο θεόπτης, εβόα φησί, τόν συναίμονα Πέτρον ιδών, Ευρήκαμεν τόν Μεσσίαν όν η Γραφή, καί Προφήται προεκήρυξαν.

Η τών Πατρέων σε πολις, Ποιμένα κέκτηται, καί πολιούχον θείον, καί κινδύνων παντοίων, ρύστην καί φρουρόν σε, Ανδρέα σοφέ, ευχαρίστως τιμώσά σε, Αλλ’ εκδυσώπει απαύστως υπέρ αυτής, διασώζεσθαι αλώβητον.

Δόξα... Ήχος πλ. δ’

Τόν κήρυκα τής πίστεως, καί υπηρέτην τού Λόγου, Ανδρέαν ευφημήσωμεν, ούτος γάρ τούς ανθρώπους, εκ τού βυθού αλιεύει, αντί καλάμου τόν σταυρόν, εν ταίς χερσί διακρατών, καί ώς σπαρτίον χαλών τήν δύναμιν, επανάγει τάς ψυχάς, από τής πλάνης τού εχθρού, καί προσκομίζει τώ Θεώ δώρον ευπρόσδεκτον, Αεί τούτον πιστοί, σύν τή χορεία τών Μαθητών τού Χριστού ευφημήσωμεν, ίνα πρεσβεύη αυτώ, όπως ίλεως γένηται ημίν, εν τή ημέρα τής κρίσεως.

Καί νύν... Ήχος ο αυτός

Υπόδεξαι Βηθλεέμ, τήν τού Θεού Μητρόπολιν, φώς γάρ τό άδυτον, επί σέ γεννήσαι ήκει, Άγγελοι θαυμάσατε εν ουρανώ, άνθρωποι δοξάσατε επί τής γής, Μάγοι εκ Περσίδος, τό τρισσόκλεον δώρον προσκομίσατε, Ποιμένες αγραυλούντες, τόν Τρισάγιον ύμνον μελωδήσατε, Πάσα πνοή, αινεσάτω τόν παντουργέτην.

Δοξολογία Μεγάλη

Εις τήν Λειτουργίαν, τά Τυπικά, καί εκ τών Κανόνων τού Αποστόλου, η γ' καί ς' Ωδή.

Κοινωνικόν

Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών, καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών. Αλληλούϊα.

---

Αρχή

**Τίτλος**
**Δεκέμβριος_1 Δεκέμβριος_2 Δεκέμβριος_3 Δεκέμβριος_4 Δεκέμβριος_5 Δεκέμβριος_6 Δεκέμβριος_7 Δεκέμβριος_8 Δεκέμβριος_9 Δεκέμβριος_10 Δεκέμβριος_11 Δεκέμβριος_11-17 Δεκέμβριος_12 Δεκέμβριος_13 Δεκέμβριος_14 Δεκέμβριος_15 Δεκέμβριος_16 Δεκέμβριος_17 Δεκέμβριος_18 Δεκέμβριος_18-24 Δεκέμβριος_19 Δεκέμβριος_20 Δεκέμβριος_21 Δεκέμβριος_22 Δεκέμβριος_23 Δεκέμβριος_24 Ώρες Δεκέμβριος_25 Δεκέμβριος_26 Δεκέμβριος_26-31 Δεκέμβριος_27 Δεκέμβριος_28 Δεκέμβριος_29 Δεκέμβριος_30 Δεκέμβριος_31**

Αρχή

**ΤΗ Α' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τού Αγίου Προφήτου Ναούμ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος γ'
Μεγάλη τού Σταυρού σου

Η χάρις τού Αγίου Πνεύματος εσκήνωσεν, εν σοί Θεού Προφήτα, καί τής ιδίας αίγλης απειργάσατο, λαμπάδα περιφανεστάτην, καί διά σού θεσπίζει, τά μέλλοντα, Νινευϊ τή μεγάλη.

Νεφέλη φωτοβόλος ώφθης αποστάζουσα, Ναούμ Θεού Προφήτα,

θεογνωσίας όμβρον, καί επότισας τό πόμα τής θεοκρισιας Νινευϊτών τήν πόλιν, ασέβειαν, ωδινήσασαν αύθις.

Ευκλείας ακηράτου μέτοχος γενόμενος, Ναούμ Θεού Προφήτα, καί απορρήτου δόξης, καί χαράς τής ανεκφράστου, καί τρυφής ενθέου, υπέρ ημών δυσώπει, θεόπνευστε, τόν τών όλων Δεσπότην.

Δόξα… Καί νύν... Θεοτοκίον

Μεγάλης διά σού ευεργεσίας Άχραντε, τυχόντες σύν Προφήταις, γεραίρομεν τόν τόκον σου, τόν καί καταξιώσαντα, εκ μήτρας σου τεχθήναι, δι’ άκραν ευσπλαγχνίαν, καί αναπλάσαντα τών ανθρώπων τό γένος.

Η Σταυροθεοτοκίον

Ορώσα τόν εκ σού τεχθέντα Παναμώμητε, κρεμάμενον εν ξύλω, άπνουν πικρώς εβόας, Ποθεινότατόν μου Τέκνον, πώς έδυ τό τής μορφής σου κάλλος, εκόν κρυβέν, τή σκιά τού θανάτου;

Εις τόν Στίχον

Στιχηρά τής Οκτωήχου

Απολυτίκιον  Ήχος β’

Τού Προφήτου σου Ναούμ τήν μνήμην, Κύριε εορτάζοντες, δι’ αυτού σε δυσωπούμεν, Σώσον τάς ψυχάς ημών.

Καί τά λοιπά τού Εσπερινού καί Απόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, λέγονται οι Κανόνες τής Οκτωήχου, καί τού Προφήτου, ού η Ακροστιχίς.

Ναούμ τό λήμμα συντόνως επαινέσω. Θεοφάνους.

Ωδή α’  Ήχος πλ. α’

«Ίππον καί αναβάτην, εις θάλασσαν Ερυθράν, ο συντρίβων πολέμους, εν υψηλώ βραχίονι, Χριστός εξετίναξεν, Ισραήλ δέ έσωσεν, επινίκιον ύμνον άδοντα».

Ναούμ τό θείον λήμμα, τής δίανοίας σου, τής ενθέως ληφθείσης, υπό Θεού θεόληπτε, καί τούτου τή χάριτι, λαμπομένης βλέποντες, μακαρίζομέν σε Πανάριστε.

Άνωθεν ενηχούσα, Προφήτά σου τή ψυχή, η τού Πνεύματος χάρις, προφητικήν ενέργειαν, αξίως ενέπνευσε, καί θεόπνουν γλώσσάν σοι, κατεσκεύασεν αξιάγαστε.

Όργανον ανεδείχθης, ανακρουόμενον, τώ τού Πνεύματος πλήκτρω, τόν

ζηλωτήν Θεόν ανυμνών, καί πάσι φθεγγόμενον, τής ενθέου κρίσεως, το αδέκαστον Παναοίδιμε.

Θεοτοκίον

Υπερευλογημένη, Παρθένε πάναγνε, τούς σέ πίστει καί πόθω, οία Θεού Μητέρα σεπτήν, υμνούντας διάσωσον, τών κινδύνων λύουσα, τήν ατίθασον αγριότητα.

Ωδή γ’

«Ο πήξας επ’ ουδενός τήν γήν τή προστάξει σου, καί μετεωρήσας ασχέτως βρίθουσαν, επί την ασάλευτον Χριστέ, πέτραν τών εντολών σου, τήν Εκκλησίαν σου στερέωσον, μόνε αγαθέ καί φιλάνθρωπε».

Μεθέξει θεοποιού τε καί θείου Πνεύματος, τήν ψυχήν εγένου φωτοειδέστατος, όθεν καί τά πόρρω φανερώς, πάσι προκαταγγέλλειν, εκ θειοτέρας επιπνεύσεως, σύ προεχειρίσθης θεόπνευστε.

Τό κρίμα τής κατά τών εχθρών εκδικήσεως, προεώρας Μάκαρ θεοπτικώτατα, τών καταφρονούντων δυσσεβώς, θείας μακροθυμίας, καί ανοχής τε καί χρηστότητος, εξ αθεραπεύτου κακότητος.

Θεοτοκίον

Ο πάλαι εξ ουδενός ποιήσας τά σύμπαντα, εκ τής σής αγίας γαστρός προέρχεται, άνθρωπος γενόμενος Αγνή, υπό φιλανθρωπίας, διαφερόντως ο Φιλάνθρωπος, ίνα τούς ανθρώπους λυτρώσηται.

Ο Ειρμός

«Ο πήξας επ’ ουδενός τήν γήν τή προστάξει σου, καί μετεωρήσας ασχέτως βρίθουσαν, επί την ασάλευτον Χριστέ, πέτραν τών εντολών σου, τήν Εκκλησίαν σου στερέωσον, μόνε αγαθέ καί φιλάνθρωπε».

Κάθισμα  Ήχος πλ. α’

Τόν συνάναρχον Λόγον

Αμιγή χαρακτήρων τών κάτω ένδοξε, σύ τόν νούν κεκτημένος, τού θείου Πνεύματος, καθαρώτατον Ναούμ δοχείον γέγονας, τάς ελλάμψεις τάς αυτού, εισδεχόμενος λαμπρώς, καί πάσι διαπορθμεύων, δίό σε εκδυσωπούμεν, υπέρ ειρήνης τού κόσμου πρέσβευε.

Θεοτοκίον

Τό εξαίσιον θαύμα τό τής συλλήψεως, καί ο άφραστος τρόπος ό τής κυήσεως, εν σοί εγνώρισται Αγνή αειπάρθενε, καταπλήττει μου τόν νούν, καί εξιστά τόν λογισμόν, η δόξα σου Θεοτόκε, τοίς πάσιν εφαπλουμένη, πρός σωτηρίαν τών ψυχών ημών.

Η Σταυροθεοτοκίον

Τώ Σταυρώ τού Υιού σου θεοχαρίτωτε, τών ειδώλων η πλάνη πάσα κατήργηται, καί τών δαιμόνων η ισχύς καταπεπάτηται, διά τούτο οι πιστοί, κατά χρέος σε αεί, υμνούμεν καί ευλογούμεν, καί Θεοτόκον κυρίως ομολογούντες, σέ μεγαλύνομεν.

Ωδή δ’

«Τήν θείαν εννοήσας σου κένωσιν, προβλεπτικώς ο Αββακούμ, Χριστέ εν τρόμω εβόα σοι, Εις σωτηρίαν λαού σου, τού σώσαι τούς χριστούς σου ελήλυθας».

Λαμπόμενος τή αίγλη, τού Πνεύματος, Νινευϊτών τήν απειλήν, τής ερημίας προήγγειλας, τής τού Θεού δυναστείας, προφαίνων θεοφάντορ τό άφυκτον.

Η κρίσις η δικαία τού κτίσαντος, καταψηφίζεται δεινήν, πανωλεθρίαν λαού δυσμενούς, ως προφητεύων εφθέγξω, Ναούμ Θεού Προφήτα πανόλβιε.

Μετοίω κοσμουμένη φρονήματι, η τού Προφήτου σου ψυχή, πρός θεοπτίαν τήν σήν Αγαθέ, υπερφυώς ανηνέχθη, καί θείας θεωρίας λαμπρότητα.

Θεοτοκίον

Μαρία η Κυρία τής κτίσεως, ως Βασιλέα τού παντός, τεκούσα μόνη πανύμνητε, τής τών παθών τυραννίδος, ελεύθερόν με δείξον πρεσβείαις σου.

Ωδή ε’

«Ο αναβαλλόμενος φώς ως ιμάτιον, πρός σέ ορθρίζω, καί σοί κραυγάζω, Τήν ψυχήν μου φώτισον, τήν εσκοτισμένην, Χριστέ ως μόνος εύσπλαγχνος».

Άμωμον καί άληπτον, βίον κτησάμενος, τής ενεργείας καί φωταυγίας, τού Αγίου Πνεύματος, Ναούμ ηξιώθης, Προφήτα θαυμαστότατε.

Σάρκα καθυπέταξας, τώ αυτοκράτορι νοϊ προθύμως, τάς αναβάσεις εν καρδία θέμενος, όθεν εμφανείας, θεοπρεπούς επέτυχες.

Υπέρ τά ορώμενα, τά προτερήματα, τών προφητεία τετιμημένων, δι’ αυτών γάρ φθέγγεται, τό Άγιον Πνεύμα, τό αγαθόν καί Κύριον.

Θεοτοκίον

Νούς ουδέ ουράνιος, όντως δυνήσεται, σέ Θεοτόκε υμνείν αξίως, τόν γάρ Κτίστην τέτοκας, τόν ταίς ουρανίαις, υμνούμενον δυνάμεσιν.

Ωδή ς’

«Μαινομένην κλύδωνι, ψυχοφθόρω Δέσποτα Χριστέ, τών παθών τήν θάλασσαν κατεύνασον, καί εκ φθοράς, ανάγαγέ με ως εύσπλαγχνος».

Τόν τής θείας χάριτος, πεφηνότα, τέμενος πιστοί, καί δοχείον άχραντον γενόμενον, τής υπέρ νούν, θεοφανείας υμνήσωμεν.

Ο τού θείου Πνεύματος, δεδεγμένος, άδυτον αυγήν, καί τόν νούν θειότερον κτησάμενος, τούς ευσεβείς, πρός υμνω δίαν προτρέπεται.

Θεοτοκίον

Νοεραί δυνάμεις σε, καί ανθρώπων, πάσαι γενεαί, ως Θεόν γεννήσασαν δοξάζουσι, διαπαντός, ευλογημένη Πανάμωμε.

## Ο Ειρμός

«Μαινομένην κλύδωνι, ψυχοφθόρω Δέσποτα Χριστέ, τών παθών τήν θάλασσαν κατεύνασον, καί εκ φθοράς, ανάγαγέ με ως εύσπλαγχνος».

## Συναξάριον

Τή Α' τού αυτού μηνός, Μνήμη τού Αγίου Προφήτου Ναούμ.

### Στίχοι

- Ναούμ, τόν Ελκεσαίον εκπεπνευκότα,
- Έλκει πόθος με σμυρνίσαι σμυρνή λόγου.
- Πρώτη εκ βιότοιο Δεκεμβρίου ώχετο Ναούμ.

Τή αύτή ημέρα, Μνήμη τού Οσίου Φιλαρέτου τού Ελεήμονος.

### Στίχοι

- θνήσκει ό πάσαν αρετήν φερωνύμως,
- Πάτερ φιλήσας, τον γε μήν οίκτον πλέον.

Τή αυτή ημέρα, Μνήμη τού αγίου μάρτυρος Ανανίου τού Πέρσου.

### Στίχοι

- Ανανίας σάρξ, πρός δέ σαρκός αικίας,
- Αίσθησιν ως σάρξ ουδέ μικράν λαμβάνει.

Τή αυτή ημέρα, Μνήμη τού αγίου Αντωνίου τού νέου.

Ο Άγιος Ονήσιμος, ό αρχιεπίσκοπος Εφέσου, εν ειρήνη τελειούται.

Ταίς αυτών αγίαις πρεσβείαις ό Θεός, ελέησον καί σώσον ημάς. Αμήν.

## Ωδή ζ'

«Ο υπερυψούμενος τών Πατέρων Κύριος, τήν φλόγα κατέσβεσε, τούς Παίδας εδρόσισε, συμφώνως μελωδούντας, ο Θεός ευλογητός εί».

Ως θεοπτικώτατον, τόν Προφήτην έχοντες, χορείας εξάρχοντα, σεπτώς εορτάζομεν, ενθέως μελωδούντες, ο Θεός ευλογητός εί.

Σέ πνευματοκίνητον, επιγνόντες όργανον, καί λύραν θεόπνευστον, καλούμεν συλλήπτορα, τών ϋμνων μελωδούντες, ο Θεός ευλογητός εί.

Εστεψέ σε Κύριος, ως Προφήτην ένθεον, καί χάριν σοι δέδωκε, προλέγειν τά μέλλοντα, ώ πάντες μελω δούμεν, ο Θεός ευλογητός εί.

## Θεοτοκίον

Πύλην αδιόδευτον, ο Προφήτης βλέπει σε, Παρθένε πανάχραντε, ήν μόνος διώδευσεν, ώ πάντες μελωδούμεν, ο Θεός ευλογητός εί.

## Ωδή η'

«Σοί τώ Παντουργώ, εν τή καμίνω Παίδες, παγκόσμιον πλέξαντες, χορείαν έμελπον, Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, είς πάντας τούς αιώνας».

Αϋλον αυγήν, τής αρχικής Τριάδος, Προφήτα Θεώμενος, μέλπεις γηθόμενος, Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ιεροπρεπώς, τήν ιεράν σου μνήμην, Προφήτα θεσπέσιε, τιμώντες ψάλλομεν, Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Νεύρωσον Αγνή, τόν τής ψυχής μου τόνον, λυθέντα τοίς πταίσμασι, καί τοίς παθήμασιν, όπως υμνήσω, Παρθένε τόν σόν τόκον, καί υπερυψώ σε, τήν κεχαριτωμένην.

Ο Ειρμός

«Σοί τώ Παντουργώ, εν τή καμίνω Παίδες, παγκόσμιον πλέξαντες, χορείαν έμελπον, Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, είς πάντας τούς αιώνας».

Ωδή θ’

«Ησαία χόρευε, η Παρθένος έσχεν εν γαστρί, καί έτεκεν υιόν τόν Εμμανουήλ, Θεόν τε καί άνθρωπον, Ανατολή όνομα αυτώ, όν μεγαλύνοντες, τήν Παρθένον μακαρίζομεν».

Επί γής ισάγγελον, πολιτείαν έσχες αληθώς, καί νύν εν τοίς ουρανοίς, σύν Αγγελικαίς, χορείαις εσκήνωσας, περί τό φώς τό τρισσοφεγγές, ού εμφορούμενος, εποπτεύεις τούς υμνούντάς σε.

Σέ Θεώ προσάγομεν, υπέρ κόσμου, Μάκαρ πρεσβευτήν, δυσώπησον εκτενώς τή προφητική, παρρησία χρώμενος, δούναι πιστοίς αγαθοπρεπώς, τήν διαμένουσαν, αιωνίαν απολύτρωσιν.

Θεοτοκίον

Ως Θεόν γεννήσασαν, καταλλήλως τε καί προσφυώς, καλούμέν σε οι πιστοί, θεηγορικώς, Θεοτόκον άχραντον, παναληθεί κλήσει τόν σεπτόν, τόκον σου σέβοντες, Παναγία Μητροπάρθενε.

Ο Ειρμός

«Ησαία χόρευε, η Παρθένος έσχεν εν γαστρί, καί έτεκεν υιόν τόν Εμμανουήλ, Θεόν τε καί άνθρωπον, Ανατολή όνομα αυτώ, όν μεγαλύνοντες, τήν Παρθένον μακαρίζομεν».

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

**ΤΗ Β’ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τού Αγίου Προφήτου Αββακούμ.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς’ καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ’
Ως γενναίον έν Μάρτυσιν

Αββακούμ ο θαυμάσιος, τήν Ακτίνα τού Πνεύματος, δεδεγμένος γέγονεν, όλος ένθεος, καί τών κριτών την ασέβειαν, καί κρίσιν τήν άδικον, θεωρών αγανακτεί, τήν τής γνώμης ευθύτητα, ενδεικνύμενος, τού Θεού καί Δεσπότου φιλοθέως, καί θερμή τή διανοία, ως δυσχεραίνων καθάπτεται.

Επί θείας ιστάμενος, φυλακής ο σεβάσμιος, Αββακούμ ακήκοε τό μυστήριον, τής πρός ημάς παρουσίας σου, Χριστέ τό απόρρητον, καί τό κήρυγμα τό σόν, προφητεύει σαφέστατα, προορώμενος, τούς σοφούς Αποστόλους ώσπερ ίππους, τών Εθνών τών πολυσπόρων, διαταράσσοντας θάλασσαν.

Εν Κυρίω γηθόμενος, εν Θεώ τώ Σωτήρί σου, θεορρήμον ένδοξε αγαλλόμενος, καί τής εκείθεν λαμπρότητος, τήν αίγλην δεχόμενος, καί φωτί θεουργικώ, νοερώς φωτιζόμενος, τούς τήν μνήμην σου, τήν πανίερον πίστει εκτελούντας, πειρασμών τε καί κινδύνων, ταίς σαίς πρεσβείαις εξάρπασον.

Δόξα… Καί νύν… Θεοτοκίον

Η Θεόν τόν αχώρητον εν γαστρί σου χωρήσασα, φιλανθρώπως άνθρωπον χρηματίσαντα, καί τό ημέτερον φύραμα, εκ σού προσλαβόμενον, καί Θεώσαντα σαφώς, μή παρίδης με Πάναγνε, νύν θλιβόμενον, αλλ’ οικτείρησον τάχος, καί παντοίας, δυσμενείας τε καί βλάβης, τού πονηρού ελευθέρωσον.

Η Σταυροθεοτοκίον

Ως εώρακε Κύριε, η Παρθένος καί Μήτηρ σου, εν Σταυρώ κρεμάμενον, εξεπλήττετο, καί μετά θρήνων σοι έλεγε, Βαβαί τής απείρου σου, Πλαστουργέ μου ανοχής! πώς εκων ως κατάκριτος, κρίσιν άδικον, κατακρίνη θανάτου παρά δήμου, κατακρίτου καί φρικώδη, καθυποφέρεις παθήματα;

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Απολυτίκιον Ήχος β’

Τού Προφήτου σου Αββακούμ τήν μνήμην, Κύριε εορτάζοντες, δι’ αυτού σε δυσωπούμεν, Σώσον τάς ψυχάς ημών.

Καί τά λοιπά τού Εσπερινού, καί Απόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, οι Κανόνες τής Οκτωήχου, καί τού Προφήτου, ού η Ακροστιχίς.

Σέ τόν Προφήτην Αββακούμ μέλπω Μάκαρ. Θεοφάνους.

Ωδή α’  Ήχος δ’

«Άσομαί σοι Κύριε ο Θεός μου, ότι εξήγαγες λαόν δουλείας Αιγύπτου, εκάλυψας δέ άρματα Φαραώ καί τήν δύναμιν».

Σόφισόν με Κύριε ό Θεός μου, τόν σόν Προφήτην Αββακούμ, υμνήσαι τόν θείον, καί χάριτί σου λάμπρυνον, αγαθέ τήν καρδίαν μου.

Έως τίνος Κύριε ο Προφήτης, λέγει βοήσομαι πρός σέ, καί ούκ εισακούση; ίνα τί δέ μοι έδειξας, τών κριτών τήν ασέβειαν.

Τό σεπτόν μνημόσυνόν σου Προφήτα, τούς εκτελούντας ευλαβώς, ταίς σαίς ικεσίαις, κινδύνων απολύτρωσαι, καί δεινών περιστάσεων.

Θεοτοκίον

Ο Θεός ο Άγιος επεφάνη, εν τώ εγγίζειν τόν καιρόν, εκ σού Θεοτόκε, γενόμενος άνθρωπος, ίνα σώση τόν άνθρωπον.

Ωδή γ’

«Τόξον δυνατών ησθένησε, καί οι ασθενούντες, περιεζώσαντο δύναμιν, διά τούτο εστερεώθη, εν Κυρίω η καρδία μου».

Νεύσει πρός Θεόν υψούμενος, καί φωτοδοσίαις, ταίς παρ’ αυτού φωτιζόμενος, τών μελλόντων προεΘεώρεις, θεοφάντορ τήν προτύπωσιν.

Πάσαν αρετήν εξήσκησας, πάσαν δέ κακίαν, εκ διανοίας εμίσησας, καί δικαίως τούς αδικούντας, εβδελύξω Παμμακάριστε.

Ρήσεις τού Αγίου Πνεύματος, σύ ως καθαρός, επιστεύθης τρανότατα, προθεσπίζων τών εσομένων, τάς εκβάσεις Αξιάγαστε.

Θεοτοκίον

Όρος αρεταίς κατάσκιον, εξ ού ο Δεσπότης, δουλοπρεπώς επεδήμησε, τής δουλείας ελευθερώσαι, τούς ανθρώπους ώφθης Πάναγνε.

Ο Ειρμός

«Τόξον δυνατών ησθένησε, καί οι ασθενούντες, περιεζώσαντο δύναμιν, διά τούτο εστερεώθη, εν Κυρίω η καρδία μου».

Κάθισμα  Ήχος δ’

Ο υψωθείς εν τώ Σταυρώ

Επί τής θείας φυλακής έστης μάκαρ, καί κατενόησας Θεού παρουσίαν, προφητικοίς εν όμμασι θεόπνευστε, όθεν καί εβόησας, Αββακούμ μετά φόβου, Κύριε ακήκοα, τήν φρικτήν έλευσίν σου, καί ανυμνώ σε σάρκα χοϊκήν, εκ τής Παρθένου, φορέσαι θελήσαντα.

Θεοτοκίον

Καταφυγή τών εν δεινοίς υπαρχόντων, καταλλαγή πρός τόν Θεόν τών

πταιόντων, υπερανία Δέσποινα περίσωζε ημάς, πάσης περιστάσεως, καί κακίας ανθρώπων, καί φρικτής κολάσεως, καί παθών ατιμίας, τούς αδιστάκτω πίστει σε αεί, προσκαλουμένους, Παρθένε πανύμνητε.

Η Σταυροθεοτοκίον

Εν τώ Σταυρώ σε καθορώσα Χριστέ μου, η απειράνδρως σέ τεκούσα εβόα, σπαρασσομένη όψιν τε καί σπλάγχνα μητρικώς, Οίμοι ώ παμφίλτατε! πώς ενέγκω τό πάθος; φλέγονται τά σπλάγχνα μου, καί δεινής μοι ρομφαίας, τραύμα πικρόν διέδραμε σαφώς, αλλ' ανυμνώ σου, Τό εύσπλαγχνον Κύριε.

Ωδή δ'

«Τούς ουρανούς η αρετή σου κατεκάλυψε, καί η γή επληρώθη τής δόξης σου Χριστέ, διό απαύστως κραυγάζομεν, Δόξα τή δυνάμει σου Κύριε».

Φωτοειδής δι' αρετής ώφθης θεόπνευστε, καί τό φώς τό ανέσπερον εμήνυσας, ώ νύν εν πίστει κράζομεν, Δόξα τή δυνάμει σου Κύριε.

Η τού παντός φωτιστική χάρις τού Πνεύματος, δαψιλώς ενοικήσασά σοι Πάνσοφε, Προφήτην απετέλεσε, πάσι τόν Σωτήρα μηνύοντα.

Τήν ακοήν ενηχηθείς τού Παντοκράτορος, ευλαβώς εφοβήθης θαυμάσιε, κατανόησας έργα δέ τούτου, εν εκστάσει γεγένησαι.

Θεοτοκίον

Η Κιβωτός τού μαρτυρίου σε Πανάμωμε, διαγράφει τόν άρτον τής όντως ζωής, τήν δεξαμένην, Άχραντε, Λόγον τώ Πατρί συναίδιον.

Ωδή ε'

«Ο ανατείλας τό φώς, καί φωτίσας τόν όρθρον, καί δείξας τήν ημέραν, δόξα σοι, Ιησού Υιέ τού Θεού».

Νύν επαρθέντα ορά, η σεπτή Εκκλησία, τόν Ήλιον εν ξύλω, ως προεθέσπισας, Αββακούμ Ιερώτατε.

Αναπτερώσας τόν νούν, επί τής φυλακής σου, Πανόλβιε παρέστης, καί απεσκόπευσας, τού Κυρίου τήν έλευσιν.

Μεγαλοφώνως σοφέ, επί Θεώ Σωτήρι, χαρήσομαι εβόας, καί ευφρανθήσομαι, Αββακούμ παμμακάριστε.

Θεοτοκίον

Βεβαρυμμένος σειραίς, τών πολλών μου πταισμάτων, επί σέ καταφεύγω, σώσόν με Δέσποινα, τών πιστών τό κραταίωμα.

Ωδή ς'

«Εβόησε, προτυπών τήν ταφήν τήν τριήμερον, ο Προφήτης Ιωνάς, εν τώ κήτει δεόμενος, Εκ φθοράς με ρύσαι, Ιησού Βασιλεύ τών Δυνάμεων».

Από θαιμάν, ό Θεός σαρκωθείς επεδήμησεν, ώς προέφης, παρ' αυτού τηλαυγώς φωτιζόμενος, Αββακούμ τρισμάκαρ, καί τόν κόσμον φωτί κατελάμπρυνεν.

Καταύγασον, ο Θεός τάς ψυχάς τών υμνούντων σε, ταίς πρεσβείαις, , Αββακούμ τού σεπτού καί θεόφρονος, ο εμπνεύσει θεία, καταλάμψας αυτού τήν διάνοιαν.

Ο φθόγγος σου, καί ρημάτων τών θείων η δύναμις, θεηγόρε, διελήλυθε πάντα τά πέρατα, τήν τού Λόγου θείαν, παρουσίαν ημίν προθεσπίζοντα.

Θεοτοκίον

Υπάρχοντα, τώ Πατρί τόν Υιόν ομοούσιον, καί ανάρχως, τώ Τεκόντι σαφώς συννοούμενον, επ' εσχάτων σάρκα, γεγονότα Παρθένε γεγέννηκας.

Ο Ειρμός

«Εβόησε, προτυπών τήν ταφήν τήν τριήμερον, ο Προφήτης Ιωνάς, εν τώ κήτει δεόμενος, Εκ φθοράς με ρύσαι, Ιησού Βασιλεύ τών Δυνάμεων».

Κοντάκιον Ήχος δ'

Ταχύ προκατάλαβε

Ως ίππους εώρακας τούς ιερούς Μαθητάς, θαλάσσας ταράσσοντας, τής αγνωσίας σαφώς, καί πλάνην βυθίζοντας, δόγμασιν εύσεβείας, Αββακούμ θεηγόρε, όθεν σε ως Προφήτην, αληθή ευφημούμεν, αιτούμενοι τού πρεσβεύειν ελεηθήναι ημάς.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Β' τού αυτού μηνός, Μνήμη τού Αγίου Προφήτου Αββακούμ.

Στίχοι

- Τάττει Θεός σοι τούς πόδας τεθνηκότι,
- Είς συντέλειαν Αββακούμ, καθώς έφης.
- Δευτερίη Αββακούμ ανεβήσατο είς Θεού άστυ.

Τή αυτή ημέρα, Μνήμη τών Οσίων Πατέρων ημών καί ερημιτών, Ιωάννου, Ηρακλαίμονος, Ανδρέου καί Θεοφίλου.

Στίχοι

- Ανδρών τετρακτύς εις άλυπον χωρίον,
- Εκ θλίψεως γέμοντος ήλθε χωρίου.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος Μυρόπης.

Στίχοι

- Όντως μύρον πέφηνε Χριστώ Μυρόπη,
- Σώμα προσδούσα διά τούτον βασάνοις.

Μνήμη τού οσίου πατρός ημών Κυρίλλου Φιλεώτου ασκήσαντος εν έτει 1060.

Η αγία Μυρόπη εν τή φυλακή τελειούται.

Ο άγιος Άβιβος ό νέος εν πυρί τελειούται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

«Αβραμιαίοι ποτέ, εν Βαβυλώνι Παίδες, καμίνου φλόγα κατεπάτησαν, εν ύμνοις κραυγάζοντες, ο τών Πατέρων ημών, Θεός ευλογητός εί».

Μεμυημένος σοφέ, τήν υπέρ λόγον γνώσιν, καί προφητείας τήν πολύφωτον, λαμπάδα κραυγάζεις νύν, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Μαρμαρυγής τριλαμπούς, καί ανεκφράστου δόξης, τήν μετουσίαν σοι δεδώρηται, Θεός όν εδόξασας, ο τών Πατέρων βοών, Θεός ευλογητός εί.

Θεοτοκίον

Εν γενεαίς γενεών, Μήτηρ Παρθένος ώφθης, ευλογημένη υπέρ έννοιαν, τόν Λόγον κυήσασα, σεσαρκωμένον Θεόν, υπερφυώς Παρθένε.

Ωδή η'

«Πάντα τά έργα τού Θεού, καί πάσα κτίσις, ευλογείτε τόν Κύριον, ότι τοίς ανθρώποις εκ τής γής ανέτειλε τό φώς, καί τήν οικουμένην πάσαν εφώτισε, καί ζωήν αιώνιον τώ κόσμω εδωρήσατο, υμνείτε λαοί, καί υπερυψούτε, αυτόν εις τούς αιώνας».

Λελαμπρυσμένος τώ φωτί, τώ τρισηλίω ηξιώθης Πανόλβιε, θείων καί υπερφυών θαυμάτων, κοαυγάζων, Υμνείτε τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Πίνων χειμάρρουν τής τρυφής, καί τής αϋλου θεωρίας πληρούμενος, δόξης τε προφητικής, καί προεδρίας μετέχων, χαίρων ανυμνείς, τόν Θεόν εις τούς αιώνας.

Ω τής ενθέου καί σεπτής, τής τού Προφήτου Αββακούμ ωραιότητος! ούτος γάρ, Αγγελικαίς, συγχορεύων δυνάμεσι, χαίρων ανυμνεί, τόν Θεόν εις τους αιώνας.

Θεοτοκίον

Μήτηρ εδείχθης αληθώς, τού πρό αιώνων εκ Πατρός ανατείλαντος, μόνη γάρ αξιωτέρα, γεγένησαι τών ασωμάτων Νοών, ευλογημένη αγνή Παρθένε.

Ο Ειρμός

«Πάντα τά έργα τού Θεού, καί πάσα κτίσις ευλογείτε τόν Κύριον, ότι τοίς ανθρώποις εκ τής γής ανέτειλε τό φώς, καί τήν οικουμένην πάσαν εφώτισε, καί ζωήν αιώνιον τώ κόσμω εδωρήσατο, υμνείτε λαοί, καί υπερυψούτε, αυτόν εις τούς αιώνας».

Ωδή θ’

«Ο τόκος σου άφθορος εδείχθη, Θεός εκ λαγόνων σου προήλθε, σαρκοφόρος ως ώφθη επί γής, καί τοίς ανθρώποις συνανεστράφη, σέ Θεοτόκε, διό πάντες μεγαλύνομεν».

Αστράπτει η μνήμη σου Προφήτα, λαμπράν αποπέμπουσα τήν αϊγλην, τής σής θεηγορίας, καί τής σής μυσταγωγίας καί προφητείας, τοίς σέ τιμώσιν, Αββακούμ μακαριώτατε.

Κηρύξας τόν Κύριον τής δόξης, καί τούτου προειπών τήν παρουσίαν, εξ αγίας Παρθένου, προφανώς γεγενημένην καί δεδειγμένην, βλέπων ευφραίνου, Αββακούμ μακαριώτατε.

Αγάλλονται πάντες οι Προφήται, επί τή σή χαρμοσύνω ημέρα, γεγηθότες θεόφρον, τής χαράς σοι κοινωνούντες καί θείας δόξης, οις συμπρεσβεύων, τούς υμνούντάς σε περίσωζε.

Θεοτοκίον

Ρανίσιν Αγνή τών οικτιρμών σου, ψυχής μου απόπλυνον τόν ρύπον, καί κρουνούς μοι δακρύων αναβλύζειν, αενάως ποίησον Κόρη, τάς τών παθών μου, αναβλύσεις αναστέλλουσα.

Ο Ειρμός

«Ο τόκος σου άφθορος εδείχθη, Θεός εκ λαγόνων σου προήλθε, σαρκοφόρος ως ώφθη επί γής, καί τοίς ανθρώποις συνανεστράφη, σέ Θεοτόκε, διό πάντες μεγαλύνομεν».

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Γ’ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Προφήτου Σοφονίου.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς’ καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ’ Ο έξ υψίστου

Τόν σόν Προφήτην ως έμψυχον νεφέλην, έδειξας αθάνατε, ύδωρ αλλόμενον, εις ζωήν όντως αιώνιον, εξαποστείλας, τούτον πλουσίως, καί χαρισάμενος, Πνεύμα τό Πανάγιον καί Ομοούσιον, σοί τώ Πατρί παντοκράτορι, καί τώ Υιώ σου, τώ εκ τής σής ουσίας εκλάμψαντι, δι’ ού προείπε τήν σωτήριον, παρουσίαν Χριστού τού Θεού ημών, καί τοίς Έθνεσι πάσι, σωτηρίαν προεθέσπισεν.

Ο τήν ακτίνα τής θεαρχικωτάτης, αϊγλης εισδεξάμενος, νού καθαρότητι, καί θείων λόγων προήγορος, καί προσημάντωρ, καί υποφήτης θείος γενόμενος, στόμα θεοκίνητον, ώφθης τού Πνεύματος, τά παρ' αυτού σοι δεικνύμενα, διαβιβάζων, καί σαφηνίζων τοίς πάσιν Έθνεσι, δοθησομένην σωτηρίαν, καί βασιλείαν Χριστού πανσεβάσμιε, όν ικέτευε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

Ο θεοπτία λαμπόμενος αξίως, καί προφητική θεωρία καί χάριτι, τετιμημένος θεόπνευστε, καί τής ενθέου, ηξιωμένος μακαριότητος, τή πρός τόν Πανάγαθον, νύν παρρησία σου, καί συμπαθεία χρησάμενος, καθικετεύων, μή διαλίπης υπέρ τών πίστει σε, ανευφημουντων καί τιμώντων σε, ως θεηγόρον σεπτόν καί θεόληπτον, εκ κινδύνων ρυσθήναι, καί σωθήναι τάς ψυχάς ημών.

Δόξα… Καί νύν… Θεοτοκίον, όμοιον

Ίνα σου πάσι τό πλήθος τού ελέους, καί τής αγαθότητος, ανακαλύψης Αγνή, τό αδιόριστον πέλαγος, τάς αμαρτίας, τών οικετών σου πάσας εξάλειψον, έχεις γάρ Πανάμωμε, ως Μήτηρ ούσα Θεού, τήν εξουσίαν τής κτίσεως, καί διεξάγεις, πάντα ως θέλεις τή δυναστεία σου, καί γάρ η χάρις η τού Πνεύματος, τού Αγίου σαφώς κατοικούσα εν σοί, συνεργεί σοι εν πάσιν, αενάως Παμμακάριστε.

Η Σταυροθεοτοκίον

Μή εποδύρου Μήτερ καθορώσα, αφθόρως όν έτεκες ξύλω κρεμάμενον, τόν εφ' υδάτων κρεμάσαντα, τήν γήν ασχέτως, καί πόλου πλάτος λόγω τανύσαντα, καί γάρ αναστήσομαι καί δοξασθήσομαι, καί τά τού Άδου βασίλεια, συντρίψω σθένει, καί αφανίσω τούτου τήν δύναμιν, καί τής δουλείας έκλυτρώσομαι, τής αυτού τούς βροτούς ως φιλεύσπλαγχνος, καί Πατρί τώ ιδίω, προσαγάγω ως φιλάνθρωπος.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Απολυτίκιον Ήχος β'

Τού Προφήτου σου Σοφονίου τήν μνήμην, Κύριε εορτάζοντες, δι' αυτού σε δυσωπούμεν, Σώσον τάς ψυχάς ημών.

Καί τά λοιπά τού Εσπερινού, καί Απόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν Στιχολογίαν οι Κανόνες τής Οκτωήχου, καί τού Προφήτου, ού η ακροστιχίς.

Σοφονίου με κύδος αγλαϊζέτω. Θεοφάνους.

Ωδή α' Ήχος πλ. β'

«Ως εν ηπείρω πεζεύσας ο Ισραήλ, εν αβύσσω ίχνεσι, τόν διώκτην Φαραώ, καθορών ποντούμενον, Θεώ επινίκιον ωδήν εβόα άσομεν».

Σέ δυσωπούμεν Προφήτα τώ τού Θεού, παρεστώτα βήματι, ικετεύειν εκτενώς, φωτισμόν δωρήσασθαι ημίν, τοίς εν πίστει τήν σεπτήν, υμνούσι μνήμην σου.

Όργανον θείον εδείχθης χωρητικόν, τών τού θείου Πνεύματος, φωτισμών καί δωρεών, Σοφονία πάνσοφε, διό, γεγηθότες οι πιστοί, σέ μακαρίζομεν.

Θεοτοκίον

Φαεινοτάταις ακτίσι πάσαν τήν γήν, ο εκλάμψας Ήλιος, εξ αγίας σου γαστρός, καταυγάζει Δέσποινα, δι' ών, φωτισθέντες, σέ Θεού Μητέρα σέβομεν.

Ωδή γ'

«Ουκ έστιν άγιος ως σύ, Κύριε ό Θεός μου, ό υψώσας τό κέρας, τών πιστών σου αγαθέ, καί στερεώσας ημάς έν τή πέτρα, τής ομολογίας σου».

Ο πάντα βλέπων ως Θεός, τών μελλόντων τήν γνώσιν, καί τών γενησομένων, τήν είδησίν σοι σαφή, προφαίνει θεοπρεπώς, καί δεικνύει, Μάκαρ αξιάγαστε.

Νευρώσας Μάκαρ σού τόν νούν, ευσεβεί παρρησία, τώ Πνεύματι τώ θείω, υπέκλινας σεαυτόν, καί γέγονας δεκτικός, τών εκείθεν, θείων επιλάμψεων.

Θεοτοκίον

Ιδού σε πάσαι γενεαί, μακαρίζουσι πίστει, τήν τόν άχραντον Λόγον, εν σώματι χρονικώς, τεκούσαν υπερφυώς, καί Παρθένον, πάλιν διαμείνασαν.

Ο Ειρμός

«Ουκ έστιν άγιος ως σύ, Κύριε ό Θεός μου, ό υψώσας τό κέρας, τών πιστών σου αγαθέ, καί στερεώσας ημάς έν τή πέτρα, τής ομολογίας σου».

Κάθισμα  Ήχος δ'  Θείας πίστεως

Θείαν έλλαμψιν εκ τού Κυρίου, εισδεξάμενος, τρανώς κηρύττεις, τόν Βασιλέα τής δόξης ελεύσεσθαι, εκ τής Σιών ανατέλλοντα λύτρωσιν, καί καταυγάζοντα κόσμου τοίς πέρασι, φώς αείζωον, αυτόν εκτενώς ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Θεοτοκίον

Θεία γέγονας σκηνή τού Λόγου, μόνη πάναγνε Θεοκυήτορ, τή καθαρότητι Αγγέλους υπεράρασα, τόν υπέρ πάντας εμέ γούν γενόμενον, ρερυπωμένον σαρκός πλημμελήμασιν, αποκάθαρον, πρεσβειών σου ενθέοις νάμασι, παρέχουσα σεπτή τό μέγα έλεος.

Η Σταυροθεοτοκίον

Η αμίαντος αμνάς τού Λόγου, η ακήρατος Παρθενομήτωρ, εν τώ Σταυρώ θεασαμένη κρεμάμενον, τόν εξ αυτής ανωδίνως βλαστήσαντα, μητροπρεπώς θρηνωδούσα εκραύγαζεν, Οίμοι Τέκνον μου!  πώς πάσχεις θέλων ρύσασθαι, παθών τής ατιμίας τόν άνθρωπον;

Ωδή δ'

«Χριστός μου δύναμις, Θεός καί Κύριος, η σεπτή Εκκλησία θεοπρεπώς,

μέλπει ανακράζουσα, εκ διανοίας καθαράς, εν Κυρίω εορτάζουσα».

Ο πάντων Κύριος, ημίν επέφανε, κατά τήν προφητείαν Μάκαρ τήν σήν, πάντας προσκαλούμενος, πρός τήν επίγνωσιν αυτού, καί δουλείας ηλευθέρωσεν.

Υπό τής χάριτος, καταυγαζόμενος, προηγόρευσας λέγων υπό ζυγόν, ένα προσκυνούντας τελείν, τούς ελομένους τήν πίστιν, καί Κυρίω τούς λατρεύοντας.

Θεοτοκίον

Μαρία Πάναγνε, παθών τήν σύγχυσιν, τής εμής διανοίας καί πειρασμών, ζάλην διασκέδασον, τής απαθείας τήν πηγήν, ως τεκούσα Μητροπάρθενε.

Ωδή ε'

«Τώ θείω φέγγει σου Αγαθέ, τάς τών ορθριζόντων σοι ψυχάς, πόθω καταύγασον δέομαι, σέ ειδέναι Λόγε Θεόν, εκ ζόφου τών πταισμάτων ανακαλούμενον».

Εξ αδικίας πρός αρετήν, εκ τής τών παθών αιχμαλωσίας με, Μάκαρ επίστρεψον, ταίς σαίς ικεσίαις, Προφήτα ένδοξε, καί πρός φώς ευσεβείας, έργα κατεύθυνον.

Καταλαμπρύνας σου τήν ψυχήν, ταίς τών αρετών μαρμαρυγαίς, επιτηδείαν ανέδειξας, πρός τάς λαμπηδόνας, τού θείου Πνεύματος, εξ ών καί προφητείας, χάριν επλούτησας.

Θεοτοκίον

Υποφωνούσι προφητικαί, ρήσεις Παναγία Παρθένε, διά συμβόλων τόν τόκον σου, ών νύν τάς εκβάσεις, ημείς Θεώμενοι, κυρίως Θεοτόκον, σέ καταγγέλλομεν.

Ωδή ς'

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι, Ανάγαγε, εκ φθοράς τήν ζωήν μου πολυέλεε».

Δεχόμενος Ένδοξε, τάς τού Πνεύματος αυγάς, διαφανές ως έσοπτρον, προφητείας ενθέου μαρμαρυγάς, τώ κόσμω εξήστραψας, ως παρόντα θεσπίζων τά εσόμενα.

Ο σός επεδήμησε, Βασιλεύς χαίρε Σιών, καί κατατέρπου βλέπουσα, καί τόν κόσμον εφώτισεν αστραπαίς, ιδίας θεότητος, καί δαιμόνων τήν πλάνην εθριάμβευσε.

Θεοτοκίον

Σαρκός τή παχύτητι, ενωθείς ο εκ Πατρός, μονογενής εν μήτρα σου, εις εκ δύω προήλθε δίχα φθοράς, τηρήσας αλώβητον, τήν σεμνήν παρθενίαν σου Πανύμνητε.

## Ο Ειρμός

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι, Ανάγαγε, εκ φθοράς τήν ζωήν μου πολυέλεε».

## Συναξάριον

Τή Γ' τού αυτού μηνός, Μνήμη τού Αγίου Προφήτου Σοφονίου.

### Στίχοι

- Ο πρίν βοήσας τή Σιών, Χαίρε σφόδρα,
- Χαίρει, παραστάς τώ Θεώ, Σοφονίας.
- Φαίδιμος εν τριτάτη Σοφονίας ήτορ αφήκεν.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Ιερομάρτυρος Θεοδώρου, Αρχιεπισκόπου Αλεξανδρείας.

### Στίχοι

- Εν Πατριάρχαις καί Θεόδωρος μέγας,
- Κάν τοίς αθληταίς τοίς διά ξίφους μέγας.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Θεοδούλου, τού από Επάρχων.

### Στίχοι

- Επαρχίαν γής ουρανών επαρχίας,
- Ο Θεόδουλος αντέδωκεν εμφρόνως.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Ιωάννου, Επισκόπου Κολωνίας, τού Ησυχαστού.

### Στίχοι

- Ούχ ησυχάζω, καί θανόντα γάρ στέφω,
- Τόν ησυχαστήν Ιωάννην τοίς λόγοις.

Τή αυτή ημέρα, οι άγιοι Αγάπιος, Σέλευκος, καί Μάμας, ξίφει τελειούνται

### Στίχοι

- Τρείς άνδρες, Αγάπιος, Σέλευκος, Μάμας,
- Πόθω Πλάσαντος ηγάπησαν καί ξίφος.

Ο Όσιος Πατήρ ημών Θεόδουλος ο Κύπριος εν ειρήνη τελειούται.

Μνήμη τού αγίου Ιερομάρτυρος Γαβριήλ, τού Γάνου μέν όντος πρότερον Επισκόπου, ύστερον δ' εν Προύση μαρτυρήσαντος κατά τό 1659 έτος.

Ο άγιος Νεομάρτυς Αγγελής, ο εν Χίω αθλήσας εν έτει 1813, ξίφει τελειούται.

Ταίς τών αγίων σου πρεσβείαις, ό Θεός, ελέησον καί σώσον ημάς. Αμήν.

## Ωδή ζ’

«Δροσοβόλον μέν τήν κάμινον ειργάσατο, Άγγελος τοίς οσίοις Παισί, τούς Χαλδαίους δέ καταφλέγον πρόσταγμα Θεού, τόν τύραννον έπεισε βοάν, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών».

Ανατέταλκεν η μνήμη σου θεσπέσιε, κόσμω καθάπερ ήλιος, καταυγάζουσα Προφητείας χάριτι τής σής, συμφώνως τούς ψάλλοντας πιστούς, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Γονιμώτερος νεφέλης σύ δεικνύμενος, όμβρον θεογνωσίας ημίν, εξαπέστειλας, σωτηρίου Μάκαρ εκ πηγών, δι’ ών φωτιζόμεθα βοάν, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

### Θεοτοκίον

Λόγος πάλαι ο τό είναι παρασχόμενος, πάσι θείω βουλήματι, ανακαλέσασθαι βουληθείς τόν άνθρωπον Αγνή, τή σή κατεσκήνωσε γαστρί, Ευλογημένη η Θεόν κυήσασα.

## Ωδή η’

«Εκ φλογός τοίς οσίοις δρόσον επήγασας, καί Δικαίου θυσίαν ύδατι έφλεξας, άπαντα γάρ δράς Χριστέ μόνω τώ βούλεσθαι, Σέ υπερυψούμεν, εις πάντας τούς αιώνας».

Ανακείμενος όλος τώ Παντοκράτορι, τής προνοίας τούς τρόπους μεμυσταγώγησαι, οικονομικώς, Έθνη νόμω παιδεύοντας, όθεν σε υμνούμεν, Προφήτα θεηγόρε.

Ικετήριον ύμνον Θεώ προσάγαγε, υπέρ τών σέ υμνούντων θεομακάριστε, καί τών πειρασμών, λύσον άρτι τόν τάραχον, ίνα σε υμνώμεν, Προφήτα θεορρήμον.

### Θεοτοκίον

Ζωοδότην τεκούσα Θεόν καί Κύριον, τού θανάτου τήν ρύμην τήν ακατάσχετον, έστησας Αγνή, ταύτην απονεκρώσασα, όθεν σε υμνούμεν, εις πάντας τούς αιώνας.

### Ο Ειρμός

«Εκ φλογός τοίς οσίοις δρόσον επήγασας, καί Δικαίου θυσίαν ύδατι έφλεξας, άπαντα γάρ δράς Χριστέ μόνω τώ βούλεσθαι, Σέ υπερυψούμεν, εις πάντας τούς αιώνας».

## Ωδή θ’

«Θεόν ανθρώποις ιδείν αδύνατον, όν ού τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ Πάναγνε ωράθη βροτοίς, Λόγος σεσαρκωμένος, μεγαλύνοντες, σύν ταίς ουρανίαις στρατιαίς σε μακαρίζομεν».

Εν γή πραέων σύ κατεσκήνωσας, ένθα τελών, Αγγέλων εποπτεύεις λαμπρότητας, Σοφονία πάνσοφε, Προφήτα Θεού, πράος γεγενημένος, λάμπων τή χάριτι, όθεν γεγηθότες οι πιστοί, σέ μακαρίζομεν.

Τών σών προρρήσεων Παναοίδιμε, περιφανώς ορώντες γενομένην τήν έκβασιν, τήν δοθείσαν χάριν σοι θαυμάζομεν, καί τήν τής διανοίας σου καθαρότητα, καί τό τής ψυχής θεοειδές καταπληττόμεθα.

Θεοτοκίον

Ως σύ ουδείς ποτε κεχαρίτωται, εκ γενεών αρχαίων Θεομήτορ πανάχραντε, σύ γάρ μόνη τήν πασών ασύγκριτον, έσχες αγιωσύνην, καί καθαρότητα, όθεν υπεδέξω τόν Θεόν, εν σοί σαρκούμενον.

Ο Ειρμός

«Θεόν ανθρώποις ιδείν αδύνατον, όν ού τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ Πάναγνε ωράθη βροτοίς, Λόγος σεσαρκωμένος, μεγαλύνοντες, σύν ταίς ουρανίαις στρατιαίς σε μακαρίζομεν».

Εξαποστειλάριον

Τοίς μαθηταίς συνέλθωμεν

Σύν ασωμάτοις τάξεσι, παρεστώς εν υψίστοις, τή απροσίτω Πάνσοφε, έν Τριάδι αμέσως, καί αστραπαίς ταίς εκείθεν, ελλαμπόμενος νέμοις, φώς νοητόν πρεσβείαις σου, τοίς εκ πόθου τελούσι, σού τήν σεπτήν, καί φαιδράν πανήγυριν, καί σέ μάκαρ, τοίς ύμνοις καταστέφουσι, Σοφονία Προφήτα.

Θεοτοκίον, όμοιον

Ο άνω δοξαζόμενος, ως Θεός υπ’ Αγγέλων, κόλπων πατρώων Άχραντε, μή εκστάς απορρήτως, τοίς κάτω συναναστράφη, σύ δέ ταύτης υπήρξας, τής σωτηρίας πρόξενος, εξ αγνών σου αιμάτων, τούτω Αγνή, υπέρ λόγον σάρκα δανεισαμένη, όν αίτησαι τοίς δούλοις σου, λύσιν δούναι πταισμάτων.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου. Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Δ’ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής Αγίας Μεγαλομάρτυρος Βαρβάρας, καί τού Οσίου Πατρός ημών Ιωάννου τού Δαμασκηνού.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς’ καί ψάλλομεν Στιχηρά Προσόμοια τής Αγίας γ’.

Ήχος β’  Ότε εκ τού ξύλου σε

Ότε εν σταδίω τώ φρικτώ, Ιουλιανή διεσκόπει η παμμακάριστος, Μάρτυρα τήν ένδοξον, Βαρβάραν μάστιξιν, εναθλούσαν βασάνοις τε, ποικίλοις τό σώμα,

άπαν συγκοπτόμενον, θερμοίς τοίς δάκρυσι, Λόγε τού Θεού ανεβόα, Ταύτης κοινωνόν με γενέσθαι, άρτι καταξίωσον φιλάνθρωπε.

Μίαν η Βαρβάρα αληθώς, Ιουλιανή τε τήν γνώμην, πρός τήν ευσέβειαν, έχουσαι αι άγιαι κατηγωνίσαντο, τού εχθρού, καί νικήσασαι, αυτόν κατά κράτος, δόξης ηξιώθησαν, παρά Χριστού τού Θεού, όθεν λοιμικών παθημάτων, λώβην αφανίζουσαι πάσι, τοίς πιστοίς παρέχουσιν ιάματα.

Ότε απεφάνθη κατά σού, Μάρτυς σεμνοτάτη Βαρβάρα, ο γλυκύς θάνατος, χαίρουσα καί σπεύδουσα, τόν δρόμον ήνυσας, ασεβούς δέ γεννήτορος, χερσί παρανόμοις, τέθυσαι καί κάρπωμα, Θεώ προσήνεξαι, όθεν, ταίς φρονίμοις Παρθένοις, όντως συγχορεύουσα βλέπεις, Χριστού τού νυμφίου σου τήν έλλαμψιν.

Στιχηρά Προσόμοια τού Οσίου
Ήχος πλ. δ’
Τί υμάς καλέσωμεν άγιοι

Τί σε ονομάσωμεν Άγιε; θεολόγον Ιωάννην, ή Δαυϊδ τόν μελωδόν, πνευματέμφορον Κινύραν, ή Αυλόν ποιμενικόν; γλυκαίνεις ακοήν γάρ καί διάνοιαν, ευφραίνεις Εκκλησίας τά συστήματα, καί μελιρρύτοις σοίς φθέγμασι, καταγλαϊζεις τά πέρατα, ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Τί σε ονομάσω θεσπέσιε; Ιωάννη γλυκορρήμον, φαεινότατε αστήρ, ο τή αίγλη τής Τριάδος, ελλαμφθείς τό Οπτικόν, εισέδυς εις τόν γνόφον τόν τού Πνεύματος, τού θείου εμυήθης τά απόρρητα, ως Μωϋσής διεσάφησας, τήν μουσικήν καλλιέπειαν, ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Τί σε ονομάσω Αοίδιμε; λαμπαδούχον φαεσφόρον, ευκλεή υφηγητήν; λειτουργόν ή θεωρόν, τών Μυστηρίων τού Θεού; αστέρα Εκκλησίας αγλαϊζοντα; Λυχνίαν τούς εν σκότει καταλάμπουσαν, ή όργανον ευηχέστατον, σάλπιγγα καλλικέλαδον, ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Δόξα… Ήχος πλ. β’

Πατρίδα, γένος, ύπαρξιν, καταλιπούσα Βαρβάρα, καί τόν ασεβή πατέρα μισήσασα, Θεόν ηγάπησας, ώ ενυμφεύθης, καί γέγονας μεγαλέμπορος κληθείσα, Αυτόν ικέτευε, σωθήναι τάς ψυχάς ημών.

Καί νύν… Θεοτοκίον
Τριήμερος ανέστης Χριστέ

Τό όμμα τής καρδίας μου, εκτείνω πρός σέ Δέσποινα, μή παρίδης, τόν πικρόν μου στεναγμόν, εν ώρα όταν κρίνη, ο σός Υιός τόν κόσμον, γενού μοι σκέπη καί βοήθεια.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος πλ. δ’
Ώ τού παραδόξου θαύματος

Πάτερ Ιωάννη πάνσοφε, τήν Εκκλησίαν Χριστού, κατεφαίδρυνας άσμασιν, ενθεαστικώτατα, μελωδών παναοίδιμε, τή ενεργεία Πάτερ τού Πνεύματος, τήν σήν Κινύραν, ανακρουόμενος, νύν παναρμόνιον, τού Δαυίδ μιμούμενος, ήν ενηχών, θείοις μελωδήμασι, πάντας κατέθελξας.

Στιχ. Μακάριος ανήρ, ό φοβούμενος τόν Κύριον.

Πάτερ Ιωάννη ένδοξε, τής κοσμικής αποστάς, ταραχώδους συγχύσεως, τού Χριστού προσέδραμες, τή γαλήνη Πανόσιε, καί θεωρίας, θείας καί πράξεως, τάς πανολβίους, σαφώς λαμπρότητας, όντως επλούτησας, καί πιστοίς μετέδωκας, θεοπρεπεί, βίω λαμπρυνόμενος, Μακαριώτατε.

Στίχ. Τίμιος εναντίον Κυρίου ο θάνατος τού Οσίου αυτού.

Δεύτε γηγενείς εν άσμασι, τήν ιεράν καί σεπτήν, τού Οσίου πανήγυριν,, Ιωάννου σήμερον, ευσεβώς ανυμνήσωμεν, ούτος γάρ όντως, θείας ελλάμψεως, κατηξιώθη τό φώς εισδέξασθαι, Ώ τής αφάτου σου, εύσπλαγχνίας Κύριε! δι’ ής ημείς, έγνωμεν δοξάζειν σε, τόν υπεράγαθον.

Δόξα… Ήχος πλ. β’

Όσιε Πάτερ, εις πάσαν τήν γήν εξήλθεν ό φθόγγος τών κατορθωμάτων σου, δι’ ών εν τοίς ουρανοίς, εύρες μισθόν τών καμάτων σου, Τών δαιμόνων ώλεσας τάς φάλαγγας, τών Αγγέλων έφθασας τά τάγματα, ών τόν βίον αμέμπτως εζήλωσας, Παρρησίαν έχων πρός Χριστόν τόν Θεόν, ειρήνην αίτησαι ταίς ψυχαίς ημών.

Καί νύν… Θεοτοκίον

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής. Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Απολυτίκιον τής Αγίας  Ήχος δ’

Βαρβάραν τήν Αγίαν τιμήσωμεν, εχθρού γάρ τάς παγίδας συνέτριψε, καί ως στρουθίον ερρύσθη εξ αυτών, βοηθεία καί όπλω τού Σταυρού η Πάνσεμνος.

Έτερον τής Αγίας

Η αμνάς σου Ιησού, κράζει μεγάλη τή φωνή, Σέ νυμφίε μου ποθώ, καί σέ ζητούσα αθλώ, καί συσταυρούμαι, καί συνθάπτομαι τώ βαπτισμώ σου, καί πάσχω διά σέ, ως βασιλεύσω σύν σοι, καί θνήσκω υπέρ σού, ίνα καί ζήσω εν σοί, αλλ’ ως θυσίαν άμωμον, προσδέχου τήν μετά πόθου τυθείσάν σοι, Αυτής πρεσβείαις ως ελεήμων, σώσον τάς ψυχάς ημών.

Δόξα... Τού Οσίου  Ήχος γ’

Τήν ωραιότητα

Τήν καλλικέλαδον, καί λιγυραίς μολπαίς, κατακηλούσάν τε, καί άγλαϊζουσαν, τήν Εκκλησίαν τού Χριστού, εύλαλον αηδόνα, Δεύτε ευφημήσωμεν, Ιωάννην τόν πάνσοφον, τόν Δαμασκηνόν πιστοί, υμνογράφων τόν πρύτανιν, τόν έμπλεων, απάσης γενόμενον, θείας καί κοσμικής σοφίας.

Έτερον τού Οσίου

Ήχος πλ. δ’

Ορθοδοξίας οδηγέ, ευσεβείας διδάσκαλε καί σεμνότητος, τής οικουμένης ο φωστήρ, τών μοναζόντων θεόπνευστον εγκαλλώπισμα, Ιωάννη σοφέ, ταίς διδαχαίς σου πάντας εφώτισας, λύρα τού Πνεύματος, Πρέσβευε Χριστώ τώ Θεώ σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Ο δι’ ημάς γεννηθείς εκ Παρθένου, καί σταύρωσιν υπομείνας αγαθέ, ο θανάτω τόν θάνατον σκυλεύσας, καί Έγερσιν δείξας ως Θεός, μη παρίδης ούς έπλασας τη χειρί σου, δείξον τήν φιλανθρωπίαν σου ελεήμον, δέξαι τήν τεκούσάν σε Θεοτόκον πρεσβεύουσαν υπέρ ημών καί σώσον Σωτήρ ημών, λαόν απεγνωσμένον.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α’ Στιχολογίαν

Καθίσματα τής Αγίας

Ήχος γ’ Τήν ωραιότητα

Εν τή αθλήσει σου, πάντας εξέπληξας, ότι υπέμεινας, τάς τών τυράννων πληγάς, δεσμά βασάνους φυλακάς, Βαρβάρα παναοίδιμε, Όθεν καί τόν στέφανον, ο Θεός σοι δεδώρηται, όνπερ επεπόθησας, ψυχικώς καί προσέδραμες, αυτός καί τάς ιάσεις παρέχει, πάσι τοίς πίστει προσιούσί σοι.

Δόξα... Ήχος πλ. α’

Τόν συνάναρχον Λόγον

Τών Αγίων τάς μνήμας επιτελούντες πιστώς, τών Αθληφόρων τήν μνήμην πανηγυρίσωμεν, καί ωδαίς πνευματικαίς ανευφημήσωμεν, ότι ενέκρωσαν ευχή, τόν τήν Εύαν δολερώς, στερήσαντα άφθαρσίας, καί τόν Χριστόν δυσωπούσιν, ελεηθήναι τάς ψυχάς ημών.

Καί νύν… Θεοτοκίον

Χαίρε, Άγιον Όρος καί θεοβάδιστον, χαίρε έμψυχε Βάτε καί ακατάφλεκτε, Χαίρε η μόνη πρός Θεόν κόσμου Γέφυρα, η μετάγουσα θνητούς, πρός τήν αιώνιον ζωήν, Χαίρε ακήρατε Κόρη, η απειράνδρως τεκούσα, τήν σωτηρίαν τών ψυχών ημών.

Μετά την β’ Στιχολ.

Καθίσματα τού Οσίου

Ήχος α’ Τόν τάφον σου Σωτήρ

Η δύφωνος Αυλός, μεγαλόφωνος Σάλπιγξ, Κιθάρα μελουργός, λιγυρά θεία Λύρα, Κινύρα παναρμόνιος, μουσικώτατον Όργανον, εμπνεόμενον, τού Παρακλήτου ταίς αύραις, αναδέδειξαι, ώ Ιωάννη καί θέλγεις, ημών τά νοήματα.

Δόξα… Όμοιον

Υμνούμεν τούς σεπτούς, καί αγίους αγώνας, ούς έτλης αληθώς, υπέρ της Εκκλησίας, γεραίροντες εν άσμασι, τά σεπτά μελωδήματα, ά κατέλιπες, εις

υμνωδίαν Κυρίου, αξιάγαστε, καί τών πιστών ευφροσύνην, Ιωάννη πανεύφημε.

Καί νύν... Θεοτοκίον

Μητέρα τού Θεού, επιστάμεθα πάντες, Παρθένον αληθώς, καί μετά τόκον φανείσαν, οι πόθω καταφεύγοντες, πρός τήν σήν αγαθότητα, σέ γάρ έχομεν αμαρτωλοί προστασίαν, σέ κεκτήμεθα, εν πειρασμοίς σωτηρίαν, τήν μόνην Πανάμωμον.

Οι Κανόνες τής Οκτωήχου, ή τής Θεοτόκου εις ς' καί τών Αγίων εις η'.

Ποίημα Στεφάνου Σαββαϊτου.

Ωδή α' Ήχος β'

«Εν βυθώ κατέστρωσε ποτέ, τήν Φαραωνίτιδα, πανστρατιάν η υπέροπλος δύναμις, σαρκωθείς ο Λόγος δέ, τήν παμμόχθηρον αμαρτίαν εξήλειψεν, ο δεδοξασμένος Κύριος, ενδόξως γάρ δεδόξασται».

Ω Τριάς υπέρθεε σεπτή, η τών υπέρ έννοιαν, τήν δωρεάν σοίς οικέταις βραβεύουσα, φωτοφόρον έμπνευσον, τή ζοφώδει μου, διανοία αμάρυγμα, τήν σήν ευφημήσαι Μάρτυρα, Βαρβάραν τήν αοίδιμον.

Εγκωμίων άπαντα θεσμόν, όντως υπερβέβληκε, τών σών Μαρτύρων η δόξα Φιλάνθρωπε, αλλά τό εκ πίστεως κατά δύναμιν, δεδεγμένος εφύμνιον, αντικαταπέμποις, Δέσποτα πλουσίως τήν αντίδοσιν.

Ακανθώδους ρίζης εκφυέν, ρόδον ιερώτατον, τήν Εκκλησίαν Χριστού ευωδίασεν, η τώ ερυθήματι, τής αθλήσεως, φοινιχθείσα δι' αίματος, ένδοξος Βαρβάρα, ήν περ επαξίως μακαρίζομεν.

Τού Οσίου

Ο αυτός

Τώ τοίς σοίς επαίνοις εγχειρείν, μέλλοντι παρείναί σου, έδει φωνήν τήν μελίρρυτον Όσιε, δι' ής τήν ορθόδοξον, κατεφαίδρυνας, Εκκλησίαν τοίς άσμασι, Πάτερ, Ιωάννη, ήτις σου γεραίρει τό μνημόσυνον.

Ως σοφός, αγχίνους τε κριτής, τήν τών όντων άριστα, φύσιν σκοπών, τών αστάτων προέκρινας τά διαιωνίζοντα, τών προσκαίρων γάρ, αντηλλάξω τά κρείττονα, Πάτερ, Ιωάννη, όθεν σε καί νύν Χριστός εδόξασεν.

Θεοτοκίον

Ισωθήναι πόθον μοι ενθείς, όφις ο παμπόνηρος, τώ Πλαστουργώ ώς αιχμάλωτον ήρπασε, διά σού δέ Πάναγνε, ανακέκλημαι, θεωθείς αληθέστατα, σύ γάρ Θεομήτορ, τόν εμέ Θεώσαντα γεγέννηκας.

Τής Αγίας

## Ωδή α’

«Εξήνθησεν η έρημος, ωσεί κρίνον Κύριε, η τών εθνών στειρεύουσα, Εκκλησία τή παρουσία σου, εν ή εστερεώθη η καρδία μου».

Τετρωμένη τού πόθου σου, ως νυμφίου Δέσποτα, τώ γλυκυτάτω βέλει, η αθληφόρος Βαρβάρα, άπασαν πατρικήν αθεϊαν εβδελύξατο.

Ου τρυφής η τερπνότης, ουκ άνθος κάλλους πλούτός τε, ούχ ηδοναί νεότητος, εθελξάν σε Βαρβάρα ένδοξε, τώ χριστώ νυμφευθείσα καλλιπάρθενε.

Πρός τελείους αγώνας, ουδέν εδείχθη κώλυμα, τό ασθενές τού θήλεος ού τό νέον τής ηλικίας Χριστέ, ακηράτω σου σθένει δυναμούμενον.

### Τού Οσίου

### Ο αυτός

Εσκόρπισας τόν πλούτον, Θεώ δανείζων, όθεν σοι, τών ουρανών ηυτρέπισται, βασιλεία, αλλά καί νύν, αμοιβήν Ιωάννη, εδέξω πολυπλάσιον.

Τής σοφίας τό τάλαντον, δεδεγμένος πράξεσι, κατακοσμείς αοίδιμε, Ιωάννη τήν Εκκλησίαν τού Χριστού, ό πολυπλασιάζεις καί τόν βίον λιπών.

### Θεοτοκίον

Τά τάγματα εξέστησαν, τών Αγγέλων Πάναγνε, καί τών ανθρώπων έφριξαν, αι καρδίαι επί τώ τόκω σου, διό σε Θεοτόκον πίστει σέβομεν.

### Ο Ειρμός

«Εξήνθησεν η έρημος, ωσεί κρίνον Κύριε, η τών Εθνών στειρεύουσα, Εκκλησία τή παρουσία σου, εν ή εστερεώθη η καρδία μου».

### Κοντάκιον τού Οσίου

### Ήχος β’  Τά άνω ζητών

Δαμάσας πολλοίς, ιδρώσι τής ασκήσεως, τό σώμα τό σόν, εις ύψος ουράνιον, ευπετώς ανέδραμες, όπου μέλη θειά σοι δίδονται, ά τρανώς εμελώδησας, τοίς φίλοις Κυρίου Πάτερ Όσιε.

### Κάθισμα τής Αγίας

### Ήχος δ’

### Ο υψωθείς εν τώ Σταυρώ

Τόν νυμφίον σου Χριστόν αγαπήσασα, τήν λαμπάδα σου φαιδρώς ευτρεπίσασα, ταίς αρεταίς διέλαμψας Πανεύφημε, όθεν εισελήλυθας, σύν αυτώ εις τούς γάμους, τό στέφος τής αθλήσεως, παρ’ αυτού δεξαμένη, αλλ’ εκ κινδύνων λύτρωσαι ημάς, τούς εκτελούντας Βαρβάρα τήν μνήμην σου.

### Δόξα… Τού Οσίου

### Ήχος πλ. α’

Τόν συνάναρχον Λόγον

Τήν τού βίου απάτην αποκρουσάμενος, τόν Σταυρόν τού Κυρίου αναλαβόμενος, ασκητικώς τόν πονηρόν κατεπάλαισας, τής ερήμου πολιστής, φωστήρ τού κόσμου νοητώς, αναδειχθείς θεοφόρε, διό πρέσβευε τώ Σωτήρι, ελεηθήναι τάς ψυχάς ημών.

**Καί νύν… Θεοτοκίον**

Τό εξαίσιον θαύμα τό τής συλλήψεως, καί ο άφραστος τρόπος ό τής κυήσεως, εν σοί εγνώρισται Αγνή αειπάρθενε, Καταπλήττει μου τόν νούν, καί εξιστά τόν λογισμόν, η δόξα σου Θεοτόκε, τοίς πάσιν εφαπλουμένη, πρός σωτηρίαν τών ψυχών ημών.

Τής Αγίας

Ωδή δ’

«Ελήλυθας, εκ Παρθένου ου πρέσβυς ούκ Άγγελος, αλλ’ αυτός ο Κύριος, καί έσωσας όλον με τόν άνθρωπον, διό κραυγάζω σοι, Δόξα τή δυνάμει σου Κύριε».

Εκ Παρθένου, γεννηθείς εδωρήσω νεάνισι, Παρθένοις τό φρύαγμα, καταβαλείν τού αλάστορος, όθεν η καλλίνικος Βαρβάρα, τούτου τό θράσος κατεπάτησε.

Τώ Σταυρώ σου, τού θανάτου τήν δύναμιν έλυσας, εντεύθεν τού σώματος, Κόρη Χριστέ αφειδήσασα, φέρει γενναιότατα, τούς αικισμούς η Βαρβάρα στερροτάτη φρενί.

Η προμήτωρ, μηχαναίς τού δολίου θελχθείσα τό πρίν, τρυφής εξωστράκισται, τού Παραδείσου, Βαρβάρα δέ, τούτον εκφαυλίσασα, εν ουρανίω νυμφώνι νύν αύλίζεται.

Τού Οσίου

Ο αυτός

Διατάξει, τού Χριστού πειθαρχήσας κατέλιπες, τού κόσμου τερπνότητα, πλούτον τρυφήν περιφάνειαν, ώ τινι αράμενος, τόν σόν σταυρόν Ιωάννη ηκολούθησας.

Συμπτωχεύσας, εις βροτών σωτηρίαν πτωχεύσαντι, Χριστώ συνδεδόξασαι, ώσπερ αυτός επηγγείλατο, καί συμβασιλεύεις δέ, τώ εις αεί Ιωάννη βασιλεύοντι.

Θεοτοκίον

Σέ λιμένα, σωτηρίας καί τείχος ακράδαντον, Θεοτόκε Δέσποινα, πάντες πιστοί επιστάμεθα, σύ γάρ ταίς πρεσβείαις σου, εκ κινδύνων λυτρούσαι τάς ψυχάς ημών.

## Τής Αγίας

## Ωδή ε’

«Μεσίτης Θεού, καί ανθρώπων γέγονας, Χριστέ ο Θεός, διά σού γάρ Δέσποτα, τήν πρός τόν αρχίφωτον Πατέρα σου, εκ νυκτός αγνωσίας, προσαγωγήν εσχήκαμεν».

Θυρίσι τρισί, τό λουτρόν φωτίζεσθαι κελεύσασα, μυστικώς διέγραψας, Βάπτισμα Βαρβάρα τής Τριάδος φωτί, τών ψυχών σελασφόρον, υπάρχον καθαρτήριον.

Μανίαν δεινήν, τού πατρός εκκλίνουσαν, Βαρβάραν σχισθέν, ευθύς υπεδέξατο, όρος, ώσπερ πάλαι τήν αοίδιμον, πρωτομάρτυρα θέκλαν, Χριστού τερατουργήσαντος.

Τού όντως Θεού, πυρωθείσα ζήλω ψευδωνύμων Θεών, εις αισχρά ενέπτυσε, πρόσωπα Βαρβάρα η Πανεύφημος, καταπαίζουσα Κόρη, τού δήθεν κοσμοκράτορος.

## Τού Οσίου

## Ο αυτός

Τώ φόβω Χριστού, Πάτερ στοιχειούμενος, πρός θείαν ζωήν, τής σαρκός τό φρόνημα, όλον καθυποτάξας τώ πνεύματι, τάς σαυτού Ιωάννη, αισθήσεις καθαιρόμενος.

Καθάρας παντός, μολυσμού τό σώμα, καί ψυχήν καί τόν νούν, εμμελώς θεόσοφε, αίγλην υπεδέξω τήν τρισήλιον, Ιωάννη λαμπροίς σε, πλουτίζουσαν χαρίσμασι.

## Θεοτοκίον

Δυσώπει τόν σόν, Υιόν καί Κύριον, Παρθένε αγνή, αιχμαλώτοις λύτρωσιν, τοίς εξ εναντίας περιστάσεως, επί σοί πεποιθόσιν, ειρηνικήν δωρήσασθαι.

## Τής Αγίας

## Ωδή ς’

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, Εκ φθοράς ο Θεός με ανάγαγε».

Ως υπέσχου σοφίαν δεδώρησαι, Σώτερ θεοδίδακτον, τοίς σέ κηρύττουσι, δικαστικού πρό βήματος, ης Βαρβάρα η Μάρτυς εμπέπλησται.

Τών αθέων τήν πλάνην διήλεγξε, λόγω θεοσόφω, Βαρβάρα η ένδοξος, υπομονή τών έργων δέ, τών Τυράννων τάς φρένας εξέστησεν.

Αικισμοίς αφειδώς καταξαίνεσθαι, ράκεσι τριχίνοις ευτόνως τε τρίβεσθαι, διά Χριστόν η άμεμπτος, Αθληφόρος τό σώμα προδίδωσιν.

Τού Οσίου

Ο αυτός

Ελλαμφθείς τή τού Πνεύματος χάριτι, θείων ανθρωπίνων τε, γνώσιν πραγμάτων τρανώς, πεπλουτηκώς τοίς χρήζουσιν, Ιωάννη αφθόνως μετέδωκας.

Εφαμίλλως χοροίς ουρανίοις Σοφέ, τών Εκκλησιών ορθοδόξων ερρύθμισας, χοροστασίας άσματα, προσφωνών τή Τριάδι θεόφθεγκτα.

Θεοτοκίον

Απειράνδρως Παρθένε εκύησας, καί διαιωνίζεις Παρθένος εμφαίνουσα, τής αληθούς θεότητος, τού Υιού καί Θεού σου τά σύμβολα.

Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, Εκ φθοράς ο Θεός με ανάγαγε».

Κοντάκιον Ήχος δ’

Ο υψωθείς εν τώ Σταυρώ

Τώ εν Τριάδι ευσεβώς υμνουμένω, ακολουθήσασα σεμνή Αθληφόρε, τά τών ειδώλωνέλιπες σεβάσματα, μέσον δέ τού σκάμματος, εναθλούσα Βαρβάρα, τυράννων ου κατέπτηξας, απειλάς ανδρειόφρον, μεγαλοφώνως μέλπουσα αεί, Τριάδα σέβω τήν μίαν θεότητα.

Ο Οίκος

Τήν νυμφευθείσαν τώ Χριστώ διά τού μαρτυρίου, Βαρβάραν συνελθόντες τιμήσωμεν αξίως, όπως αυτής ταίς προσευχαίς λύμης ψυχοφθόρου λυτρωθέντες, καί λοιμού, σεισμού τε καί καταπτώσεως, τόν βίον εν ειρήνη διέλθωμεν, καταξιωθέντες μετά πάντων τών Αγίων, τών απ’ αιώνος Θεώ ευαρεστησάντων, διάγειν εν φωτί, καί μέλπειν αξίως, εθαυμάστωσας Σώτερ τά σά ελέη πάσι τοίς πίστει ομολογούσι, Τριάδα σέβω τήν μίαν θεότητα.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Δ’ τού αυτού μηνός, Άθλησις τής Αγίας Μεγαλομάρτυρος Βαρβάρας.

Στίχοι

- Ξίφει πατήρ θύσας σε, Μάρτυς Βαρβάρα,
- Υπήρξεν άλλος Αβραάμ διαβόλου.
- Βαρβάρα αμφί τετάρτη χερσί τοκήος ετμήθη.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών, Ιωάννου Μοναχού καί πρεσβυτέρου τού Δαμασκηνού.

Στίχοι

- Πλήσας μελών γήν ηδέων Ιωάννης,

- Κάν ούρανοίς άνεισι συνθείναι μέλη.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου πατρός ημών, Ιωάννου, Επισκόπου Πολυβότου, τού θαυματουργού.

Στίχοι

- Επισκοπήν γής εκλιπων Ιωάννης,
- Επισκοπούντος πάντα τέρπεται θέα,

Τή αυτή ημέρα, η Αγία Ιουλιανή ξίφει τελειούται.

Στίχοι

- Ιουλιανήν ως περιστεράν δέχου,
- Ειμή τάχει τέμνοιτο, τρίζουσαν Λόγε.

Τή αυτή ημέρα, οι Άγιοι Χριστόδουλος καί Χριστοδούλη ξίφει τελειούνται.

Στίχοι

- Συνωνυμών σοι, παρθένε Χριστοδούλη,
- Ο Χριστόδουλος, καί συναθλεί σοι ξίφει.

Ο άγιος νέος Ιερομάρτυς Σεραφείμ ο Φαναρίου επίσκοπος, ο μαρτυρήσας εν έτει 1601, σούβλη διαπαρείς τελειούται.

Στίχοι

- Ο γής Σεραφείμ θετταλών φύς ως κλάδος,
- Θεώ Λόγω πρόσεισι ρείθροις αιμάτων.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον, καί σώσον ημάς. Αμήν.

## Τής Αγίας

### Ωδή ζ’

«Αντίθεον πρόσταγμα παρανομούντος, τυράννου μετάρσιον, τήν φλόγα ανερρίπισε, Χριστός δέ εφήπλωσε θεοσεβέσι Παισί, δρόσον τήν τού Πνεύματος, ό ών ευλογημένος καί υπερένδοξος».

Ο γήν καταλήψεσθαι καί εξαλείψειν, τήν θάλασσαν Τύραννος, εικαίως φρυαττόμενος, ως παίγνιον πρόκειται, Βαρβάρας κόρης ποσί, τούτον εκνευρίσας γάρ Χριστός, ώσπερ στρουθίον σαθρόν εδέσμευσε.

Πληγαίς αφορήτοις σου καταξανθέντος, τού σώματος όλου τε, βαφέντος εν αιμάτων ροαίς, λαμπάσιν υπέμεινας, φλογιζομένη πλευράς, Μάρτυς παναοίδιμε, Χριστώ ευχαριστούσα, Βαρβάρα ένδοξε.

Ω τής απανθρώπου τε καί αναλγήτου, Τυράννων ωμότητος, καί πλείστης αθεότητος! μαστούς γάρ τής Μάρτυρος, ως εν μακέλλω δεινώς, ξίφεσι

κατέτεμνον, τόν νούν προσερειδούσης τώ ζωοδότη Χριστώ.

Τού Οσίου

Ο αυτός
Τώ ζήλω πυρούμενος τών θεομάχων, αιρέσεων άπασαν, κακόνοιαν ανέτρεψας, συντόνοις συγγράμμασι, λευκάνας πάσι τρανώς, πάλαι τά σποράδην τοίς σοφοίς, ώ Ιωάννη, συγγεγραμμένα ισχνώς.

θερμώς εστηλίτευσας τών δυσωνυμων, τροφίμων τού Μάνεντος, τήν βλάσφημον ασέβειαν, νοθεύσαι πειραθείσαν, τήν Εκκλησίαν Χριστού, λόγοις τε καί δόγμασιν ορθοίς, ώ Ιωάννη, οίς περ συντέθεικας.

Θεοτοκίον
Αγίων Αγίαν σε κατανοούμεν, ως μόνην κυήσασαν, Θεόν τόν αναλλοίωτον Παρθένε αμόλυντε, Μήτηρ ανύμφευτε, πάσι γάρ επήγασας πιστοίς, τήν αφθαρσίαν τώ θείω τόκω σου.

Τής Αγίας

Ωδή η’
«Κάμινος ποτέ, πυρός εν Βαβυλώνι, τάς ενεργείας διεμέριζε, τώ θείω προστάγματι, τούς Χαλδαίους καταφλέγουσα, τούς δέ πιστούς δροσίζουσα ψάλλοντας, Ευλογείτε πάντα τά έργα τόν Κύριον».

Ώφθη σοι Χριστός, φωτί εν απροσίτω, εγκαθειργμένη ώ Βαρβάρα, φρουρά, θαρρείν προτρεπόμενος, καί τούς μώλωπας ιώμενος, καί χαρμονήν δωρούμενος, όθεν ανεπτερώθης, τού σού Νυμφίου τώ ερωτι.

Άγγελος φαιδρός, στολήν φωτοειδή σε, διά Χριστόν γεγυμνωμένην, σεμνή Βαρβάρα ημφίασε, καί ως νύμφην περιήγαγε, τά πάθη τή εσθήτι γάρ, Μάρτυς συνεξεδύσω, θείαν εκστάσα αλλοίωσιν.

Δέδεικται σαφώς, Χριστέ η πρόρρησίς σου, πεπληρωμένη, πατήρ τέκνον γάρ, εις φόνον προδίδωσιν, αυτουργός τε τής σφαγής γεγονώς, ο δείλαιος γεννήτωρ, τής σής Μάρτυρος, ουρανίω, όθεν πυρί κατηνάλωται.

Τού Οσίου

Ο αυτός
Ήλεγξας σαφώς, εγγράφως, Ιωάννη, τού Νεστορίου τήν διαίρεσιν, Σεβήρου τήν σύγχυσιν, μονοθέλητον παράνοιαν, καί πίστιν μονενέργητον, φέγγος ορθοδοξίας, πάσιν αστράψας τοίς πέρασιν.

Έσπειρεν εχθρός, ζιζάνια συνήθως, αιρετικών εν Εκκλησία Χριστού, τήν τούτου προσκύνησιν, αθετείσθαι εν εικόσι σεπταίς, άλλ, εύρεν ου νυστάζοντα,

πάντα δέ Ιωάννη, σπόρον σε νόθον εκτίλλοντα.

Θεοτοκίον

Σύ τόν τού Πατρός, αχώριστον εν μήτρα, θεανδρικώς πολιτευσάμενον, ασπόρως συνέλαβες, καί αφράστως απεκύησας Θεογεννήτορ Πάναγνε, όθεν σε σωτηρίαν, πάντων ημών επιστάμεθα.

Ο Ειρμός

«Κάμινος ποτέ, πυρός εν Βαβυλώνι, τάς ενεργείας διεμέριζε, τώ θείω προστάγματι, τούς Χαλδαίους καταφλέγουσα, τούς δέ Πιστούς δροσίζουσα, ψάλλοντας, Ευλογείτε, πάντα τά έργα τόν Κύριον».

Τής Αγίας

Ωδή θ’

«Ανάρχου Γεννήτορος, Υιός Θεός καί Κύριος, σαρκωθείς εκ Παρθένου, ημίν επέφανε, τά εσκοτισμένα, συναγαγείν τά εσκορπισμένα, διό τήν πανύμνητον, Θεοτόκον μεγαλύνομεν».

Τήν ένδοξον μέλλουσα, κομίζεσθαι τελείωσιν, διά ξίφους Βαρβάρα, τού μαρτυρίου σου, σύν Ιουλιανή τών στεφάνων, μαρτυρικώς καταξιουμένη, φωνής θείας ήκουσας, τελειούσης τάς εντεύξεις σου.

Πληρών σου τήν αίτησιν, Βαρβάρα αθληφόρε Χριστός, τάς ιάσεις βραβεύει, τοίς εκτελούσί σου, πίστει τήν ετήσιον μνήμην, ως αληθώς, θαλάσσης γάρ ψάμμον, τά σά υπερβέβηκεν, ευκλεή τερατουργήματα.

Τώ σώ συναφθείσα νύν, παντάνακτι νυμφίω Χριστώ, καί αστράπτουσα δόξη, Βαρβάρα θείου φωτός, εν επουρανίοις θαλάμοις, τούς υμνητάς τούς σούς επυπτεύοις, παθών απαλλάττουσα, καί προσάγουσα τώ ζώντι Θεώ.

Τού Οσίου

Ο αυτός

Εδίδαξας άπαντας, τούς Εκκλησίας άδειν υιούς, ορθοδόξως Μονάδα τήν εν Τριάδι σεπτήν, σάρκωσιν τού Λόγου τε θείαν, θεολογείν, σαφώς Ιωάννη, τρανών τά δυσέφικτα, τοίς πολλοίς εν ιεραίς συγγραφαίς.

Αγίων τά τάγματα, υμνολογήσας Όσιε, τήν αγνήν Θεοτόκον, Χριστού τόν Πρόδρομον, αύθις Αποστόλους Προφήτας, σύν Ασκηταίς, σοφούς Διδασκάλους, Δικαίους καί Μάρτυρας, εν ταίς τούτων νύν αυλίζη σκηναίς.

Θεοτοκίον

Ως πόκος Πανάμωμε, τόν όμβρον τόν ουράνιον, εν γαστρί δεξαμένη ημίν εκύησας, τόν τήν αμβροσίαν διδούντα, τοίς ευσεβώς, αυτόν ανυμνούσι, καί σέ τήν πανύμνητον, Θεοτόκον καταγγέλλουσιν.

Ο Ειρμός

«Ανάρχου Γεννήτορος, Υιός Θεός καί Κύριος, σαρκωθείς εκ Παρθένου, ημίν

επέφανε, τά εσκοτισμένα, συναγαγείν τά εσκορπισμένα, διό τήν πανύμνητον, Θεοτόκον μεγαλύνομεν».

Εξαποστειλάριον τής Αγίας
Εν Πνεύματι τώ Ιερώ

Τήν χάριν τών ιάσεων, εκ Θεού δεξαμένη, Βαρβάρα παναοίδιμε, τού ιάσθαι τάς νόσους, τών πίστει προστρεχόντων σοι, τόν Θεόν δοξάζουσα, τόν επί πάντων Δεσπότην, ρύσαι πάντας κινδύνων, λοιμικής ασθενείας, καί ψυχικών νοσημάτων.

Τού Οσίου, όμοιον

Ανέτρεψας σοφία σου, τάς αιρέσεις παμμάκαρ, ώ Ιωάννη πάνσοφε, καί ορθόδοξον δόγμα, τή, Εκκλησία δέδωκας, τού ορθώς δογματίζειν, καί δοξάζειν Τριάδα, Μονάδα τρισυπόστατον, εν μιά τή ουσία.

Θεοτοκίον, όμοιον

Εκύησας Πανάχραντε, τόν τού τώ Θεού Θεόν Λόγον, κόσμω τήν σωτήριον, εκτελούντα πανσόφως, οικονομίαν αρίστην, διά τούτό σε πάντες, υμνολογούμεν αξίως, ως πρεσβεύουσαν τούτω, λυτρωθήναι ημάς νόσων, καί παντοίων κινδύνων.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ’ καί ψάλλομεν Στιχηρά ιδιόμελα τής Αγίας.

Ήχος α’ Ανατολίου

Τής γεηράς τρυφής, τήν απόλαυσιν υπεριδούσα, καί πατρός τόν όλβον ομού τε καί δόξαν μισήσασα, τόν ουράνιον Νυμφίον επεπόθησας, Βαρβάρα παναοίδιμε, τώ ξίφει γάρ τήν κάραν τμηθείσα, σύν ταίς φρονίμοις συνεισήλθες Παρθένοις, τώ Νυμφίω Χριστώ, όθεν καί τήν λοιμικήν νόσον εκδιώκουσα, τούς πιστούς θεραπεύεις, ενεργεία τού Πνεύματος, καί πρεσβεύεις απαύστως, υπέρ τών ψυχών ημών.

Ήχος β’ Βυζαντίου

Η σχύνθη ό βάσκανος εχθρός, υπό γυναικός ηττώμενος, ότι τήν Προμήτορα έσχεν όργανον πρός αμαρτίαν, ο γάρ εκ Παρθένου σαρκωθείς Λόγος τού Πατρός, ατρέπτως καί αφύρτως, ως οίδε μόνος αυτός, τήν κατάραν έλυσε τής Εύας καί τού Αδάμ, Χριστός ο στεφανώσας αξίως, Βαρβάραν τήν Μάρτυρα, καί δι’ αύτής δωρούμενος τώ κόσμω, ιλασμόν καί τό μέγα έλεος.

Ο αυτός, τού αυτού

Η θεόκλητος Μάρτυς Βαρβάρα, εν τώ σταδίω πάσχουσα έλεγε, Δεινά μέν τά παρόντα κολαστήρια, ώ δικαστά, ου προκρίνω δέ όλως, τών ουρανίων τά επίγεια, διά τούτο τέμνετε, ξέετε τάς σάρκας, πυρί παραδότε με, χαίρουσα απίω πρός τόν Νυμφίον μου Χριστόν, Ης ταίς ικεσίαις Σωτήρ, τά ελέη σου κατάπεμψον ημίν, καί σώσον τούς τήν άθλησιν αυτής, εκτελούντας πιστώς.

Ο αυτός, τού αυτού

Τήν πανήγυριν σήμερον τής αθληφόρου Βαρβάρας, δεύτε λαοί υμνήσωμεν, ταύτην γάρ ούτε ξίφος, ούτε πύρ, ούτε άλλη βάσανος, ούτε τού πολυπλόκου βελίαρ τά ένεδρα ετροπώσατο, Χριστόν ικέτευε Καλλιμάρτυς πανένδοξε,

δωρηθήναι ημίν τό μέγα έλεος.

Δόξα... Ήχος πλ. β’
Ιωάννου Μοναχού

Αθλητικήν οδεύσασα οδόν, προγονικήν εξέφυγες βουλήν, Βαρβάρα πανσεβάσμιε, καί ως μέν Παρθένος φρονίμη, λαμπαδηφόρος εισήλθες, εις τάς αυλάς τού Κυρίου σου, ως δέ Μάρτυς ανδρεία, χάριν έλαβες ιατρεύειν, τής σαρκός σαθράν λύμην, Αλλά καί ημάς τούς ανυμνούντάς σε, ψυχικών αλγηδόνων εκλύτρωσαι, ταίς πρός Θεόν ικεσίαις σου.

Καί νύν… Θεοτοκίον

Θεόν εκ σού σαρκωθέντα έγνωμεν, Θεοτόκε Παρθένε, αυτόν ικέτευε, σωθήναι τάς ψυχάς ημών.

Εί βούλεται ο Προεστώς, Δοξολογία Μεγάλη. Εί δέ μή, εις τόν Στίχ. Στιχηρά τής Οκτωήχου.

Δόξα... Τού Οσίου  Ήχος πλ. δ’

Τών Μοναστών τά πλήθη, τόν Καθηγητήν σε τιμώμεν, Ιωάννη Πατήρ ημών, διά σού γάρ τήν τρίβον, τήν όντως ευθείαν, πορεύεσθαι έγνωμεν, Μακάριος εί, τώ Χριστώ δουλεύσας, καί εχθρού θριαμβεύσας τήν δύναμιν, Αγγέλων συνόμιλε, Δικαίων ομόσκηνε, καί Οσίων, μεθ' ών πρέσβευε τώ Κυρίω, ελεηθήναι τάς ψυχάς ημών.

Καί νύν… Θεοτοκίον

Εις τήν Λειτουργίαν

Τυπικά, καί από τού Κανόνος, Ωδή γ’ καί ς’.

---

Αρχή

**ΤΗ Ε’ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τού Οσιου καί θεοφόρου Πατρός ημών Σάββα τού Ηγιασμένου.

ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ιστώμεν Στίχους δ’ καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α’
Πανεύφημοι Μάρτυρες ημάς

Θεωρός γεγένησαι νοΐ, νοερών δυνάμεων, ως πρακτικός θεία λόγια, διατιθέμενος, εν τή σή καρδία, εν ή καί ανάβασιν, ως κλίμακα εστήριξας Όσιε, Σάββα Πατήρ ημών, καί πρεσβεύεις δωρηθήναι ημίν, τήν ειρήνην, καί τό μέγα έλεος. (Δίς)

Σάββα Οσιώτατε τήν σήν, έκ παιδός ανέθη κας, ζωήν Χριστώ τώ Θεώ ημών,

υφ’ ού σθενούμενος, τής σακρός τά πάθη, λογισμώ υπέταξας, τό χείρον υποτάττων τώ κρείττονι, διό ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, Τήν ειρήνην, καί τό μέγα έλεος.

Θεόφρον Πατήρ ημών φωστήρ, καθωράθης μέγιστος, φωταγωγών τήν υφήλιον, θαυμάτων λάμψεσι, καί ενθέων έργων, όθεν μετά κοίμησιν, τό άδυτόν σε φώς υπεδέξατο, διό ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Δόξα… Ήχος β’

Όσιε Πάτερ, εκ βρέφους τήν αρετήν επιμελώς ασκήσας, όργανον γέγονας τού αγίου Πνεύματος, καί παρ’ αυτού λαβών τών θαυμάτων τήν ενέργειαν, έπεισας τούς ανθρώπους καταφρονείν τών ηδέων, νύν δέ τώ θείω φωτί, καθαρώτερον ελλαμπόμενος, φώτισον καί ημών τάς διανοίας, Σάββα Πατήρ ημών.

Καί νύν... Θεοτοκίον

Τήν πάσαν ελπίδα μου, εις σέ ανατίθημι, Μήτηρ τού Θεού, φύλαξόν με υπό τήν σκέπην σου.

## Απόστιχα Στιχηρά

Ήχος β’ Οίκος τού Εφραθά

Ώφθης εκ μητρικών, σπαργάνων θεοφόρε, ηγιασμένον σκεύος, Πατήρ ημών καί οίκος, τού παναγίου Πνεύματος.

Στίχ. Μακάριος ανήρ ό φοβούμενος τόν Κύριον.

Φέρων εν ταίς χερσί, σού Σάββα τού Κυρίου, Σταυρόν τά τών δαιμόνων, φαντάσματα τελείως, Πατήρ ημών ηφάνισας.

Στίχ. Τίμιος εναντίον Κυρίου ο θάνατος.

Δόλους τών πονηρών, δαιμόνων θριαμβεύσας, τή τού Σταυρού δυνάμει, ετράνωσας τήν δόξαν, Χριστού Σάββα Πατήρ ημών.

Δόξα… Καί νύν… Θεοτοκίον

Δέσποινα αγαθή, τάς αγίας σου χείρας, πρός τόν Υιόν σου άρον, τόν φιλόψυχον Πλάστην, οικτειρήσαι τούς δούλους σου.

Τροπάριον Ήχος πλ. δ’

Ταίς τών δακρύων σου ροαίς, τής ερήμου τό άγονον εγεώργησας, καί τοίς εκ βάθους στεναγμοίς, εις εκατόν τούς πόνους εκαρποφόρησας, καί γέγονας φωστήρ, τή οικουμένη λάμπων τοίς θαύμασι, Σάββα Πατήρ ημών Όσιε, Πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ηιμών.

Καί Απόλυσις

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Στιχολογούμεν τήν α’ στάσιν τού Μακάριος ανήρ. Εις δέ τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς’ καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. α’ Όσιε Πάτερ

Σάββα θεόφρον, τών Αγγέλων Ισοστάσιε, ομόσκηνε Οσίων, συνόμιλε Προφητών, Μαρτύρων Απόστόλων συγκληρονόμε, φώς τό ανέσπερον, ο νύν κατοικών, ού ταίς φρυκτωρίαις, λαμπόμενος ταίς θείαις, τώ ακροτάτω τών εφετών, ο παρεστώς παρρησία λελαμπρυσμένος, καί ενηδόμενος αυτού ταίς θεωρίαις, καί εντρυφών αυτού, τώ κάλλει ανενδότως, Χριστόν ικέτευε, Χριστόν δυσώπει Όσιε, δωρηθήναι τή Εκκλησία Ομόνοιαν, ειρήνην, καί μέγα έλεος.

Σάββα παμμάκαρ, εγκρατείας λύχνος άσβεστος, φωστήρ τών Μοναζόντων ο διαυγέστατος, αγάπης φρυκτωρίαις λελαμπρυσμένος, πύργος ακλόνητος τής υπομονής, έρεισμα καί σθένος, τών πίστει σε τιμώντων, τών ιαμάτων ο θησαυρός, ο πολιστής τής ερήμου ως αληθώς, ο ως Παράδεισον αυτήν ένθεον δείξας, θείους προσφέρουσαν, καρπούς τών σωζομένων, Χριστόν ικέτευε, Χριστόν δυσώπει Όσιε, δωρηθήναι τή Εκκλησία, ομόνοιαν, ειρήνην, καί μέγα έλεος.

Σάββα θεόφρον, αρετών στύλος ο πύρινος, πυρσός ο εκ θαλάσσης, τής κοσμικής τούς λαούς, λιμένα πρός τόν θείον καθοδηγών, πλάνης τά πνεύματα ο καταβαλών, Πνεύματος Αγίου τό καθαρόν δοχείον, ο ποδηγέτης τών Μοναστών, ηκριβωμένη τε στάθμη τής εγκρατείας, τής ταπεινώσεως, περίβλεπτον τό ύψος, κρήνη η βρύουσα, ιάσεων πελάγη, Χριστόν ικέτευε, Χριστόν δυσώπει Όσιε, δωρηθήναι τή Εκκλησία, ομόνοιαν, ειρήνην, καί μέγα έλεος.

Δόξα... Ήχος πλ. β’

Τό κατ’ εικόνα τηρήσας αλώβητον, νούν ηγεμόνα κατά παθών ολεθρίων, ασκητικώς ενστησάμενος, εις τό καθ’ ομοίωσιν ως δυνατόν ανελήλυθας, ανδρικώς γάρ τήν φύσιν εκβιασάμενος, έσπευσας τό χείρον καθυποτάξαι τώ κρείττονι, καί τήν σάρκα δουλώσαι τώ πνεύματι, Όθεν Μοναζόντων, ανεδείχθης ακρότης, πολιστής τής ερήμου, ευδρομούντων αλείπτης, κανων αρετής ακριβέστατος, καί νύν εν ουρανοίς, τών εσόπτρων λυθέντων Μακάριε, καθαρώς εποπτεύεις, τήν αγίαν Τριάδα, εντυγχάνων αμέσως, υπέρ τών πίστει καί πόθω τιμώντων σε.

Καί νύν... Θεοτοκίον

Τίς μή μακαρίσει σε, Παναγία Παρθένε; τίς μή ανυμνήσει σου τόν αλόχευτον τόκον; ο γάρ αχρόνως εκ Πατρός εκλάμψας Υιός μονογενής, ο αυτός εκ σού τής Αγνής προήλθεν, αφράστως σαρκωθείς, φύσει Θεός υπάρχων, καί φύσει γενόμενος άνθρωπος δι’ ημάς, ούκ εις δυάδα προσώπων τεμνόμενος, αλλ’ εν δυάδι φύσεων ασυγχύτως γνωριζόμενος, Αυτόν ικέτευε, σεμνή Παμμακάριστε, ελεηθήναι τάς ψυχάς ημών.

Είσοδος. Φώς ιλαρόν, τό Προκείμενον τής ημέρας, καί τά Αναγνώσματα.

Σοφίας Σολομώντος τό Ανάγνωσμα
(Κεφ. 3, 1-9)

Δικαίων ψυχαί εν χειρί Θεού, καί ου μή άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι, καί ελογίσθη κάκωσις η έξοδος αυτών, καί η αφ' ημών πορεία σύντριμμα, οι δέ εισιν εν ειρήνη. Καί γάρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Καί ολίγα παιδευθέντες, μεγάλα ευεργετηθήσονται, ότι ο Θεός επείρασεν αυτους, καί εύρεν αυτούς αξίους εαυτού. Ως χρυσόν εν χωνευτηρίω εδοκίμασεν, αυτούς, καί ως ολοκαρπωμα θυσίας προσεδέξατο αυτούς. Καί εν καιρώ επισκοπής αυτών αναλάμψουσι, καί ως σπινθήρες εν καλάμη διαδραμούνται. Κρινούσιν έθνη, καί κρατήσουσι λαών, καί βασιλεύσει αυτών Κύριος εις τούς αιώνας. Οι πεποιθότες επ' αυτόν συνήσουσιν αλήθειαν, καί οι πιστοί εν αγάπη προσμενούσιν αυτώ, ότι χάρις καί έλεος εν τοίς οσίοις αυτού, καί επισκοπή εν τοίς εκλεκτοίς αυτού.

Σοφίας Σολομώντος τό Ανάγνωσμα
(Κεφ. 5, 15-23 & 6, 1-3)

Δίκαιοι εις τόν αιώνα ζώσι, καί εν Κυρίω ο μισθός αυτών, καί η φροντίς αυτών παρά Υψίστω. Διά τούτο λήψονται τό βασίλειον τής ευπρεπείας, καί τό διάδημα τού κάλλους εκ χειρός Κυρίου, ότι τή δεξιά αυτού σκεπάσει αυτούς, καί τώ βραχίονι υπερασπιεί αυτών. Λήψεται πανοπλίαν, τόν ζήλον αυτού, καί οπλοποιήσει τήν κτίσιν εις άμυναν εχθρών. Ενδύσεται θώρακα, δικαιοσύνην, καί περιθήσεται κόρυθα, κρίσιν ανυπόκριτον. Λήψεται ασπίδα ακαταμάχητον, οσιότητα, οξυνεί δέ απότομον οργήν εις ρομφαίαν, συνεκπολεμήσει αυτώ ο κόσμος επί τούς παράφρονας. Πορεύσονται εύστοχοι βολίδες αστραπών, καί ως από ευκύκλου τόξου τών νεφών, επί σκοπόν αλούνται, καί εκ πετροβόλου θυμού πλήρεις ριφήσονται χάλαζαι. Αγανακτήσει κατ' αυτών ύδωρ θαλάσσης, ποταμοί δέ συγκλύσουσιν αποτόμως. Αντιστήσεται αυτοίς πνεύμα δυνάμεως καί λαίλαψ εκλικμήσει αυτούς, καί ερημώσει πάσαν τήν γήν ανομία, καί η κακοπραγία περιτρέψει θρόνους δυναστών. Ακούσατε ούν βασιλείς καί σύνετε, μάθετε δικασταί περάτων γής. Ενωτίσασθε οι κρατούντες πλήθους, καί γεγαυρωμένοι επί όχλοις εθνών. Ότι εδόθη παρά Κυρίου η κράτησις υμίν, καί η δυναστεία παρά Υψίστου.

Σοφίας Σολομώντος τό Ανάγνωσμα
(Κεφ. 4, 7-15)

Δίκαιος, εάν φθάση τελευτήσαι, εν αναπαύσει έσται. Γήρας γάρ τίμιον ού τό πολυχρόνιον, ουδέ αριθμώ ετών μεμέτρηται. Πολιά δέ εστι φρόνησις ανθρώποις, καί ηλικία γήρως βίος ακηλίδωτος. Ευάρεστος Θεώ γενόμενος, ηγαπήθη, καί ζών μεταξύ αμαρτωλών, μετετέθη. Ηρπάγη, μή κακία αλλάξη σύνεσιν αυτού, ή δόλος απατήση ψυχήν αυτού, βασκανία γάρ φαυλότητος αμαυροί τά καλά, καί ρεμβασμός επιθυμίας μεταλλεύει νούν άκακον. Τελειωθείς εν ολίγω, επλήρωσε χρόνους μακρούς, αρεστή γάρ ήν Κυρίω η

ψυχή αυτού, διά τούτο έσπευσεν εκ μέσου πονηρίας. Οι δέ λαοί ιδόντες καί μή νοήσαντες, μηδέ θέντες επί διανοία τό τοιούτον, ότι χάρις καί έλεος εν τοίς οσίοις αυτού, καί επισκοπή εν τοίς εκλεκτοίς αυτού.

Εις τήν Λιτήν

Στιχηρά' ιδιόμελα Ήχος β'

Ασκητικόν γυμνάσιον συγκροτήσας επί γής, Όσιε Σάββα, τών παθών τάς προσβολάς, εν τή ροή τών δακρύων σου, πάσας απήμβλυνας, Κλίμαξ θεία καί σεπτή, εις ουρανούς ανάγουσα, τοίς πάσιν εγνωρίσθη, ο θεόληπτος βίος σου, Ευσεβείας γάρ καρπούς εν αυτώ ενδειξάμενος, θεραπεύεις δι' αυτών τάς ασθενείας τών παθών, τών πιστώς εκβοώντων σοι, Χαίροις τής Εώας αστήρ χρυσαυγέστατος, καί τών Μοναζόντων λαμπαδούχε καί ποιμήν, Χαίροις Αοίδιμε, τό τής ερήμου κάλλιστον θρέμμα, καί τής Εκκλησίας ακράδαντον έρεισμα, Χαίροις τών πλανωμένων ο μέγας οδηγός, Χαίροις τό ημέτερον καύχημα, καί τής οικουμένης φαιδρόν αγαλλίαμα.

Ο αυτός

Τόν επί γής Άγγελον, καί εν ουρανοίς άνθρωπον Θεού, τού κόσμου τήν ευκοσμίαν, τήν τρυφήν τών αγαθών καί τών αρετών, τών Ασκητών τό καύχημα, Σάββαν τιμήσωμεν, πεφυτευμένος γάρ εν τώ οίκω τού Θεού, εξήνθησε δικαίως, καί ωσεί κέδρος εν ερήμω, επλήθυνε τό ποίμνιον τού Χριστού, τών λογικών προβάτων, εν οσιότητι καί δικαιοσύνη.

Ήχος ο αυτός

Όσιε Πάτερ, εκ βρέφους τήν αρετήν επιμελώς ασκήσας, όργανον γέγονας τού Αγίου Πνεύματος καί παρ' αυτού λαβών τών θαυμάτων τήν ενέργειαν, έπεισας τούς ανθρώπους καταφρονείν τών ηδέων, νύν δέ τώ θείω φωτί, καθαρώτερον ελλαμπόμενος, φώτισον καί ημών τάς διανοίας, Σάββα Πατήρ ημών.

Δόξα… Ήχος ο αυτός. Θεοφάνους.

Τών υπέρ νούν αγαθών δεξάμενος έρωτα, πάντα τά εν τώ κόσμω τερπνά υπερείδες θεόληπτε, εντεύθεν γάρ τώ καρπώ ουχ εάλως, καθάπερ Αδάμ τόν όφιν δέ εναποκρουσάμενος δι' εγκρατείας, αγγελικώς τόν βίον διήνυσας, καί νύν εν ουρανοίς αυλίζη, επαπολαύων τού ξύλου τής ζωής, Θεόν ιλεούμενος υπέρ ημών, τών πιστώς εκτελούντων, ηγιασμένε Σάββα τήν μνήμην σου.

Καί νύν... Θεοτοκίον

Τήν πάσαν ελπίδα μου εις σέ ανατίθημι, Μήτηρ τού Θεού, φύλαξόν με υπό τήν σκέπην σου.

Εις τόν Στίχ. Στιχηρά Προσόμοια.

Ήχος πλ. α' Αυτόμελον

Χαίροις ασκητικών αληθώς, αγωνισμάτων τό ευώδες κειμήλιον, σταυρόν γάρ επ' ώμων άρας, καί τώ Δεσπότη Χριστώ, σεαυτόν Παμμάκαρ αναθέμενος, σαρκός κατεπάτησας, τό χαμαίζηλον φρόνημα, ταίς αρεταίς δέ, τήν ψυχήν κατελάμπρυνας, καί πρός ένθεον, ανεπτέρωσας έρωτα, Όθεν τήν παναγίαν

σου, κυκλούντες πανεύφημε, λάρνακα Σάββα τής θείας, φιλανθρωπίας αιτούμεθα, τυχείν σαίς πρεσβείαις, καί τώ κόσμω δωρηθήναι τό μέγα έλεος.

Στίχ. Τίμιος εναντίον Κυρίου ο θάνατος τών οσίων αυτού.

Άνθραξ θεοφεγγής τώ πυρί, προσομιλήσας θεοφόρε τού Πνεύματος, εδείχθης έν κόσμω Σάββα, καταλαμπρύνων ψυχάς, τών πιστώς θεόφρον προσιόντων σοι, πρός φώς οδηγών αυτούς, τό ανέσπερον Όσιε, ερημικούς δέ, δροσιζόμενος άνωθεν, θεία χάριτι κατεμάρανας άνθρακας, Όθεν καί τόν τής νίκης σοι, προδήλως δεδώρηται στέφανον Πάτερ τής θείας, δικαιοσύνης ο πρύτανις, Χριστός, όν δυσώπει, ταίς ψυχαίς ημών δοθήναι, τό μέγα έλεος.

Στίχ. Μακάριος ανήρ ο φοβούμενος τόν Κύριον.

Κλίμαξ ουρανομήκης σαφώς, η πολιτεία σου θεόφρον γεγένηται, δι' ήσπερ πρός ύψος ήρθης, καί τώ Δεσπότη Χριστώ, ομιλείν παμμάκαρ κατηξίωσαι, τόν νούν ελλαμπόμενος, ταίς εκείθεν ελλάμψεσι, μαρμαρυγαίς δέ, ταίς αυτού φωτιζόμενος, τήν ισάγγελον, εκομίσω φαιδρότητα, ώ καί νύν παριστάμενος, ικέτευε Όσιε, τούς εκτελούντας τήν θείαν, καί πανσεβάσμιον μνήμην σου, σύν σοί παραστήναι, καί τώ κόσμω δωρηθήναι, τό μέγα έλεος.

Δόξα,.. Ήχος πλ. δ'

Τών Μοναστών τά πλήθη, τόν Καθηγητήν σε τιμώμεν, Σάββα Πατήρ ημών, διά σού γάρ τήν τρίβον, τήν όντως ευθείαν, πορεύεσθαι έγνωμεν, Μακάριος εί, τώ Χριστώ δουλεύσας, καί εχθρού θριαμβεύσας τήν δύναμιν, Αγγέλων συνόμιλε, Δικαίων ομόσκηνε, καί Οσίων, μεθ' ών πρέσβευε τώ Κυρίω, ελεηθήναι τάς ψυχάς ημών.

Καί νύν… Θεοτοκίον

Ανύμφευτε Παρθένε, η τόν Θεόν αφράστως συλλαβούσα σαρκί, Μήτηρ Θεού τού Υψίστου, σών οικεκετών παρακλήσεις δέχου Πανάμωμε, η πάσι χορηγούσα, καθαρισμόν τών πταισμάτων, νύν τάς ημών ικεσίας προσδεχομένη, δυσώπει σωθήναι πάντας ημάς.

Απολυτίκιον  Ήχος πλ. δ'

Ταίς τών δακρύων σου ροαίς, τής ερήμου τό άγονον εγεώργησας, καί τοίς εκ βάθους στεναγμοίς, εις εκατόν τούς πόνους εκαρποφόρησας, καί γέγονας φωστήρ, τή οικουμένη λάμπων τοίς θαύμασι, Σάββα Πατήρ ημών Όσιε, Πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ηιμών.

Δόξα… Καί νύν… Θεοτοκίον

Ο δι' ημάς γεννηθείς εκ Παρθένου, καί σταύρωσιν υπομείνας αγαθέ, ο θανάτω τόν θάνατον σκυλεύσας, καί Έγερσιν δείξας ως Θεός, μη παρίδης ούς έπλασας τη χειρί σου, δείξον τήν φιλανθρωπίαν σου ελεήμον, δέξαι τήν τεκούσάν σε Θεοτόκον πρεσβεύουσαν υπέρ ημών καί σώσον Σωτήρ ημών, λαόν απεγνωσμένον.

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α’ Στιχολογίαν.

Κάθισμα Ήχος α’
Τόν τάφον σου Σωτήρ

Τόν βίον ευσεβώς, επί τής γής εκτελέσας, δοχείον καθαρόν, σύ τού Πνεύματος ώφθης, φωτίζων τούς εν πίστει σοι, προσιόντας Μακάριε, όθεν αίτησαι, τόν σόν Δεσπότην φωτίσαι, τάς ψυχάς ημών, τών ανυμνούντων σε Σάββα, θεόφρον Πατήρ ημών.

Θεοτοκίον

Μητέρα σε Θεού, επιστάμεθα πάντες, παρθένον αληθώς, καί μετά τόκον φανείσαν, οι πόθω καταφεύγοντες, πρός τήν σήν αγαθότητα, σέ γάρ έχομεν, αμαρτωλοί προστασίαν, σέ κεκτήμεθα, εν πειρασμοίς σωτηρίαν, τήν μόνην Πανάμωμον.

Μετά τήν β’ Στιχολογίαν.

Κάθισμα
Τήν Σοφίαν καί Λόγον

Τόν Σταυρόν τού Κυρίου άρας Σοφέ, καί αυτώ μέχρι τέλους ακολουθών, τόν νούν ουχ υπέστρεψας, εντώ κόσμω θεόσοφε, εγκρατεία καί πόνοις, τά πάθη ενέκρωσας, καί ναόν ητοίμασας, σαυτόν τώ Κυρίω σου, όθεν χαρισμάτων, αμοιβήν εκομίσω, ιάσθαι νοσήματα, καί διώκειν τά πνεύματα, θεοφόρε μακάριε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν άγίαν μνήμην σου.

Θεοτοκίον

Τήν Σοφίαν καί Λόγον εν σή γαστρί, συλλαβούσα αφράστως Μήτηρ Θεού, τώ κόσμω εκύησας, τόν τόν κόσμον κατέχοντα, καί εν αγκάλαις έσχες, τόν πάντας συνέχοντα, τόν τροφοδότην πάντων, καί Πλάστην τής κτίσεως, όθεν δυσωπώ σε, Παναγία Παρθένε, ρυσθήναι πταισμάτων μου, όταν μέλλω παρίστασθαι, πρό προσώπου τού Κτίστου μου, Δέσποινα Παρθένε Αγνή, τήν σήν βοήθειαν τότε μοι δώρησαι, καί γάρ δύνασαι, όσα θέλεις Πανάμωμε.

Μετά δέ τό Πολυέλεον.

Κάθισμα Ήχος δ’
Τήν Σοφίαν καί Λόγον

Τά επίγεια πάντα καταλιπών, καί εν κόσμω υπάρχων σωματικώς, τώ πνεύματι γέγονας, τών Αγγέλων συμμέτοχος, τά γάρ παρόντα πάθη νεκρώσας τού σώματος, τής Τριάδος εδείχθης θεράπων Μακάριε, Όθεν καί νοσούντων, θεραπεύεις τά πάθη, καί λόγω τά πνεύματα, απελαύνεις τή χάριτι, θεοφόρε Πατήρ ημών. Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα… Καί νύν… Θεοτοκίον

Τήν ουράνιον Πύλην καί Κιβωτόν, τό πανάγιον Όρος, τήν φωταυγή, Νεφέλην υμνήσωμεν, τήν ουράνιον Κλίμακα, τόν λογικόν Παράδεισον, τής Εύας τήν λύτρωσιν, τής οικουμένης πάσης, τό μέγα Κειμήλιον, ότι σωτηρία, εν αυτή διεπράχθη, τού κόσμου καί άφεσις, τών πολλών εγκλημάτων, διά τούτο βοώμεν αυτή, Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς προσκυνούσιν εν πίστει, τόν άχραντον τόκον σου.

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί  Αντίφωνον Α'

- Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.
- Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον  Ήχος δ’

Τίμιος εναντίον Κυρίου ο θάνατος.
Στίχ. Τί ανταποδώσωμεν τώ Κυρίω.

Τό, Πάσα πνοή. Εύαγγέλιον Οσιακόν, καί ο Ν’.

Δόξα… Ταίς τού σου Οσίου…

Καί νύν... Ταίς τής Θεοτόκου...

Είτα το, ιδιόμελον  Ήχος πλ. β’

Όσιε Πάτερ, εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος τών κατορθωμάτων σου, δι’ ών εν τοίς ουρανοίς εύρες μισθόν τών καμάτων σου, Τών δαιμόνων ώλεσας τάς φάλαγγας, τών Αγγέλων έφθασας τά τάγματα, ών τόν βίον αμέμπτως εζήλωσας, Παρρησίαν έχων πρός Χριστόν τόν Θεόν, ειρήνην αίτησαι ταίς ψυχαίς ήμών.

Ο Κανών τής Θεοτόκου καί τού Αγίου, ού η Ακροστιχίς.

Τον Πανάριστον εν Ασκηταίς Σάβαν έξοχα μέλπω. Θεοφάνους

Ωδή α’  Ήχος πλ. δ’

«Αρματηλάτην Φαραω εβύθισε, τερατουργούσα ποτέ, Μωσαϊκή ράβδος, σταυροτύπως πλήξασα, καί διελούσα θάλασσαν, Ισραήλ δέ φυγάδα, πεζόν οδιτην διέσωσεν, άσμα τώ Θεώ αναμέλποντα».

Τή φωταυγεία τού Αγίου Πνεύματος, Σάββα καταύγασον, τούς ευσεβείς πόθω, ύμνοις ευφημούντάς σε, τών Ασκητών τό καύχημα, Μοναζόντων τό κλέος, τόν τής ερήμου κοσμήτορα, τόν τής παρθενίας Διδάσκαλον.

Όλον τόν πόθον πρός Θεόν ανέτεινας, από νεότητος, καί πρός αυτόν έχων, πάσάν σου τήν έφεσιν, τά τής σαρκός κινήματα, καί παθών τάς εφόδους, δι' εγκρατείας ενέκρωσας, Σάββα θεοφόρε πανεύφημε.

Νενικηκως τόν τώ καρπώ κρυπτόμενον, όφιν επάτησας, καί τούς αυτού βρόχους, κούφως υπερβέβηκας, θεοσεβείας πτέρυξιν, ανιπτάμενος Πάτερ, ζωήν δέ χαίρων ετρύγησας, από τού φυτού τού τής γνώσεως.

Περιλαμπόμενος φωτί τής χάριτος, τό πύρ εισέδραμες, ώσπερ οι τρείς παίδες, μείνας ακατάφλεκτος, σέ τού Θεού φυλάξαντος, καί μηνύσαντος πάσι, τήν εσομένην σοι ύστερον, Πάτερ προκοπήν καί λαμπρότητα.

Θεοτοκίον

Ακατασχέτοις καθ' ημών ο θάνατος, ορμαίς εκέχρητο, αλλά τώ σώ τόκω προσεγγίσας ώλετο, καί προσβαλων κατήργηται, Θεοτόκε Παρθένε, ζωήν γάρ όντως αϊδιον, σεσωματωμένην γεγέννηκας.

Ωδή γ'

«Ο στερεώσας κατ' αρχάς, τούς ουρανούς εν συνέσει, καί τήν γήν επί υδάτων εδράσας, εν τή πέτρα με Χριστέ, τών εντολών σου στήριξον, ότι ουκ έστι πλήν σου, άγιος μόνε Φιλάνθρωπε».

Νούν ηγεμόνα τών παθών, Πανόλβιε καταστήσας, βραβευτής δικαιοσύνης εδείχθης, τώ γάρ κρείττονι σαφώς, τό χείρον καθυπέταξας, όθεν ως φοίνιξ Πάτερ, εν τοίς ερήμοις εξήνθησας.

Ακολουθήσαι διαγνούς, τοίς ίχνεσι τού Δεσπότου, μετανάστης τής πατρίδος εγένου, καί τήν έρημον οικών, τό τρόπαιον ανέστησας, κατά τών αντιπάλων, θεία δυνάμει ρωννύμενος.

Ρωμαλεότητι φρενών, Παμμάκαρ ωχυρωμένος, τάς ποικίλας τού εχθρού μεθοδείας, εθριάμβευσας σοφέ, καί πάσιν εφανέρωσας, καί τήν οφρύν εκείνου τήν επηρμένην κατέβαλες.

Ιλαρωτάτη σε ψυχή, καί προσηνεί διαθέσει, αρεταίς κατακοσμούμενον βλέπων, ο λαμπρότατος φωστήρ, Ευθύμιος εδέξατο, φωτιστικώς θεσπίζων, τήν σήν Παμμάκαρ φαιδρότητα.

Θεοτοκίον

Σωτηριώδους δι' ημάς, τού Λόγου οικονομίας, φωτεινή σύ Μητροπάρθενε πύλη, εγνωρίσθης αληθώς, σύ γάρ ημίν εισήγαγες, τήν νοητήν ακτίνα, τής υπερθέου θεότητος.

Κάθισμα Ήχος πλ. δ’
Τήν Σοφίαν καί Λόγον

Τούς θορύβους τού βίου καταλιπών, τόν σταυρόν σου επ’ ώμων αναλαβών, όλον ανατέθεικας, σεαυτόν τώ Κυρίω σου, καί σαρκός δέ έξω, καί κόσμου γενόμενος, τού Αγίου εγένου, συνόμιλος Πνεύματος, όθεν καί πρός ζήλον, τούς λαούς διεγείρων, τάς πόλεις εκένωσας, καί ερήμους επόλισας, θεοφόρε Πατήρ ημών, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα… Καί νύν… Θεοτοκίον

Τήν ψυχήν μου Παρθένε τήν ταπεινήν, από βρέφους μολύνας ο μιαρός, καί λόγοις καί πράξεσιν, εμαυτόν κατερρύπωσα, καί ουκ έχω τί πράξω, ή πού καταφεύξομαι, αλλ’ ούδ’ άλλην ελπίδα, πλήν σου Κόρη επίσταμαι, Φεύ μοι ο αχρείος! διά τούτο ικέτης, πρός σέ τήν Πανάχραντον, νύν προστρέχω καί δέομαι, ομολογών σοι τό, Ήμαρτον, Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δοθήναί μοι, εις σέ γάρ πάσας Παρθένε, τάς ελπίδας ανέθηκα.

Ωδή δ’

«Σύ μου ισχύς Κύριε, σύ μου καί δύναμις, σύ Θεός μου, σύ μου αγαλλίαμα, ο Πατρικούς κόλπους μή λιπών, καί τήν ημετέραν, πτωχείαν επισκεψάμενος, διό σύν τώ Προφήτη, Αββακούμ σοι κραυγάζω, Τή δυνάμει σου δόξα Φιλάνθρωπε».

Τήν τής ψυχής, ανακαθαίρων κατάστασιν, καί πλατύνων, θείοις θεωρήμασι, χωρητικήν, ταύτην αληθώς, θείων χαρισμάτων, ειργάσω θεομακάριστε, αφή δέ τών χειρών σου, ασθενούντας ιάσω, μιμητής τού Δεσπότου γενόμενος.

Ο κατά σού, Πάτερ δεινώς θρασυνόμενος, κατεπόθη, ως Δαθάν ό δείλαιος, ως Αβειρών εξαφανισθείς, σέ γάρ αοράτως, η θεία χάρις εφύλαττε, πολλών προνοουμένη διά σού σωζομένων, καί τοίς σοίς επομένων διδάγμασι.

Νόμω Θεού, παιδαγωγήσας θεσπέσιε, τάς αισθήσεις, πρός τήν κατανόησιν, τών ασωμάτων καί νοητών, σού επιτηδείαν, κατέστησας τήν διάνοιαν, προβαίνων ανενδότως, από δόξης εις δόξαν, εκ δυνάμεως Πάτερ εις δύναμιν.

Ευεργετείν, τούς ομοφύλους προθέμενος, εν ερήμω, πόλεις ώκοδόμησας, θεοπρεπείς καί ψυχωφελείς καί εν γή διψώση, πηγάς υδάτων εξήγαγες, καί όμβρους ουρανόθεν, παραδόξως θεόφρον, εν ανύδροις χωρίοις κατήγαγες.

Θεοτοκίον

Νεοθαλής, αθανασίας Παράδεισος, καί ωραίος, όντως αναδέδειξαι, ξύλον ζωής, εν σοί φυτευθέν, θεαρχικωτάτως, κυοφορούσα καί τίκτουσα, τό πάσιν αποστάζον, ζωηφόρους ελπίδας, τοίς πιστώς Θεοτόκον φρονούσί σε.

Ωδή ε’

«Ίνα τί με απώσω, από τού προσώπου σου τό φώς τό άδυτον, καί εκάλυψέ

με, τό αλλότριον σκότος τόν δείλαιον, αλλ’ επίστρεψόν με, καί πρός τό φώς των εντολών σου, τάς όδούς μου κατεύθυνον δέομαι».

Ακλινεί διανοία, πρός τόν σόν ποθούμενον ανατεινόμενος, παρ’ αυτού τήν χάριν, τών μεγίστων θαυμάτων τήν άφθονον, εκομίσω Πάτερ, καί τούς πιστώς προσερχομένους, συμπαθώς εθεράπευσας Όσιε.

Σαρκικών βαρημάτων, όγκον αποθέμενος, σκεύος θεότευκτον, εκλογής εγένου, τού αγίου θεσπέσιε Πνεύματος, αποχή βρωμάτων, καί προσευχή καί καρτερία, καί ταπεινοφροσύνη κοσμούμενος.

Κήρυξ θείων δογμάτων, μεγαλοφωνότατος κεχειροτόνησαι, τών Συνόδων Πάτερ, τών Αγίων συνήγορος γέγονας, Βασιλείς σοφίζων, οίς εμφανώς χάριτι θεία, τειχιζόμενος ώφθης μακάριε.

Η θεόθεν δοθείσα, χάρις σοι θεόπνευστε διαβεβόηται, διεδόθη πάσιν, εις τά τής οικουμένης ακρότατα, εναργείς ποιούσα, θεοπρεπώς τάς αποδείξεις, τών θαυμάτων τήν θείαν ενεργειαν.

Θεοτοκίον

Τών πιστών η προστάτις, τείχος ακατάλυτον, τών ευφημούντων σε, η παντί τώ γένει, τών ανθρώπων φανείσα σωτήριος, ως Θεόν τεκούσα, σωματικώς επιφανέντα, τήν ψυχήν μου διάσωσον Πάναγνε.

Ωδή ς’

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, Ο Θεός τής σωτηρίας μου».

Αγάπην πρός τόν Θεόν, καί τόν πλησίον κτησάμενος, τού Νόμου καί Προφητών, πληροίς τό κεφάλαιον, τήν γάρ υπερέχουσαν, πασών ασυγκρίτως, αρετήν Πάτερ κατώρθωσας.

Ισάγγελον επί γής, σύ πολιτείαν διήνυσας, ισάγγελον δέ τιμήν, Χριστός σοι δεδώρηται, Αγίων τά τάγματα, συνοδοιπορούντα, τή ψυχή σου παρασχόμενος.

Σοφίας γόνος οφθείς, αρχήν σοφίας επόθησας, τόν φόβον τόν τού Θεού, ώ καί στοιχειούμενος, πρός τήν τελειότητα, τήν ενδεχομένην, τοίς ανθρώποις Πάτερ έφθασας.

Θεοτοκίον

Σωτήρα καί Λυτρωτήν, Θεόν τών όλων καί Κύριον, τεκούσα διά σαρκός, ημίν ομιλήσαντα, διάσωσον Πάναγνε, τούς προσκαλουμένους, εκ κινδύνων σε τήν Δέσποιναν.

Κοντάκιον Ήχος πλ. δ’

Τή υπερμάχω

Ως από βρέφους τώ Θεώ θυσία άμωμος, προσενεχθείς δι’ αρετής, Σάββα μακάριε, τώ σέ πρίν γεννηθήναι επισταμένω, εχρημάτισας Οσίων εγκαλλώπισμα, πολιστής τε τής ερήμου αξιέπαινος, διό κράζω σοι, Χαίροις Πάτερ αοίδιμε.

Ο Οίκος

Σοφίας υπάρχων βλάστημα, Σάββα Όσιε, παιδιόθεν επόθησας Σοφίαν τήν ενυπόστατον, ή συνοικήσασά σοι, από γής σε εχώρισε, καί πρός ύψος ανήγαγεν, εξ αϋλων ανθέων πλέξασα στέφανον, καί τή σή επιθείσα ηγιασμένη κάρα θεόφρον, ώπερ κεκοσμημένος, εξιλέωσαι τό θείον, τού δοθήναί μοι σοφίαν λόγου επαξίως, όπως ανυμνήσω τήν αγίαν σου κοίμησιν, ήν εδόξασε Χριστός ο Θεός ημών, διό καί ημείς κράζομέν σοι, Χαίροις Πάτερ αοίδιμε.

Συναξάριον

Τή Ε’ τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Σάββα τού Ηγιασμένου.

Στίχοι

- Ψυχήν όπισθεν τού Θεού κολλών πάλαι,
- Έμπροσθεν αυτού νύν παρίσταται Σάββας.
- Θεσπεσίοιο πόλου πέμπτη Σάββας εντός εσήχθη.

Τή αυτή η μέρα, Μνήμη τού αγίου μάρτυρος Αναστασίου.

Στίχοι

- Αναστάσιον τιμώ ως σεβόμενον,
- Τήν ανάστασιν τού Χριστού καί Θεού μου.

Τή αυτή ημέρα, ο Άγιος Μάρτυς Διογένης, λιθοβοληθείς, τελειούται.

Στίχοι

- Χαίρων υπ’ ανδρών ενδιδύσκεται πλάνων,
- Χιτώνα Μάρτυς λάϊνον Διογένης.

Τή αυτή ημέρα, ο Άγιος Μάρτυς, Αβέρκιος ξίφει τελειούται.

Στίχοι

- Έπαθλον Αβέρκιε σοί τομής μέγα.
- Ου γάρ κότινος, ουρανός δέ τό στέφος.

Τή αυτή ημέρα, ο Όσιος Νόννος εν ειρήνη τελειούται.

Στίχοι

- Φυγόντα Νόννον αντικειμένου πέδην,
- Πεδούσι νεκρόν κείμενον ταίς κειρίαις.

Μνήμη τού Οοίου Πατρός ημών Νεκταρίου τού έν τώ κελλίω τού Ιάγαρι, κειμένω κατά τάς Καρεάς τού Άθω, ασκήσαντος εν έτει 1470.

Ο Όσιος Φιλόθεος ό Καρεώτης, ο χρηματίσας πνευματικός Πατήρ τού ανωτέρω Νεκταρίου, ο καί προορατικού χαρίσματος ηξιωμένος, εν ειρήνη τελειούται.

Οι Άγιοι Όσιοι Μάρτυρες, οι εν τοίς κελλίοις τού Άθω κατοικούντες, οι τούς Λατινόφρονας ελέγξαντες, τόν Βασιλέα, φημί, Μιχαήλ καί τόν Πατριάρχην Βέκκον, ο μέν πρώτος αγχόνη, οι δέ λοιποί ξίφει τελειούνται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον καί σώσον ημάς. Αμήν.

Ωδή ζ’

«Θεού συγκατάβασιν, τό πύρ ηδέσθη εν Βαβυλώνι ποτέ, διά τούτο οι Παίδες, εν τή καμίνω άγαλλομένω ποδί, ως εν λειμώνι χορεύοντες έψαλλον, Ευλογητός ό Θεός, ο τών Πατέρων ημών».

Απέθου τά πρόσκαιρα, τών αιωνίων διαμειβόμενος, σύν Αγγέλοις χορεύεις, ως τών Αγγέλων πολιτευσάμενος, τήν πολιτείαν, μεθ’ ών καί συνέψαλλες, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Βοά χαριστήρια, η σή μεγίστη Λαύρα καί πάντιμος, οικιστήν σε καί κτίστην, καί πολιούχον προβαλλομένη Σοφέ, καί καυχωμένη κραυγάζει πρός Κύριον, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Απαύστως ικέτευε, Σάββα θεόφρον υπέρ τής ποίμνης σου, εκτενώς τε δυσώπει, τούς σούς καμάτους διαιωνίζειν αεί, καρποφορούντας, τούς πόθω κραυγάζοντας, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Νυμφώνα πανάχραντον, τής υπέρ λόγον Λόγου σαρκώσεως, καί Παστάδα καί θρόνον, ορθά φρονούντες σέ ονομάζομεν, καί γεγηθότες, τώ τόκω σου ψάλλομεν, Ευλογητός ό Θεός, ο τών Πατέρων ημών.

Ωδή η’

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν, εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, τόν Δημιουργόν, καί Λυτρωτήν ανεβόα, οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Εν ευφροσύνη Όσιε, τών Αγίων τά τάγματα, τής καθαρωτάτης, σού ψυχής προτρέχουσιν, εις τόπον ανέσεως, εις φωτεινά σκηνώματα, ένθα τών Αγίων, οι χοροί ποδηγούντες, μεθ’ ών νύν αναμέλπεις, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ξένα τά σά θαυμάσια, τούς γάρ θήρας ημέρωσας, προκατηρεμίσας, τών παθών τά κύματα, προλέγεις τά μέλλοντα, προφητικώ χαρίσματι, στίφη τών

δαιμόνων, φυγαδεύων ελαύνεις, ευτόνοις αγρυπνίαις, προσευχαίς καί νηστείαις, Σταυρού τε τή αμάχω, δυνάμει θεοφόρε.

Ο Μωϋσή τό πρότερον, από στύλου φθεγγόμενος, στύλον από γής, εις ουρανούς ολόφωτον, εκτείνας σοι έδειξεν, ένθα καί νύν κατάκειται, τό καρτερικόν σου, καί πολύαθλον σώμα, ώ πίστει παρεστώτες, ευσεβώς μελωδούμεν, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Χαρμονικώς η μνήμη σου, εκτελείται Πανεύφημε, τήν χαροποιόν γέρ αρετήν ενδέδυσαι, τό όντως ιμάτιον, τού σωτηρίου καί καθαρόν, καί φωτοειδή τής ευφροσύνης χιτώνα, ώ νύν ωραϊσμένως, μελωδείς ανενδότως, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Απειρογάμως τέτοκας, καί Παρθένος διέμεινας, καί τώ ξένω τόκω σου, συνήψας άπαντα, τόν χρόνιον πόλεμον, καί τήν μακράν διάστασιν λύσασα, Χριστόν τόν τής ειρήνης δοτήρα, βαστάζοντα εν κόλποις, όν πιστώς ευλογούντες, σέ πόθω ανυμνούμεν, τήν μόνην Θεοτόκον.

Ωδή θ’

«Εξέστη επί τούτω ο ουρανός, καί τής γής κατεπλάγη τα πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι μεγαλύνουσιν».

Μυρίζει σου η θήκη πνευματικήν, ευωδίαν πλουσίως ευφραίνουσα, τούς σούς υιούς, σέ περιεστώτας ειλικρινώς, ενθυμουμένους Όσιε, τήν Αγγελικήν σου διαγωγήν, καί τήν σοί δεδομένην, λαμπρότητα καί δόξαν, καί τήν αϊδιον τερπνότητα.

Ερράγη εν ερήμω ύδωρ καί γή, η διψώσα εις έλη εγένετο, ταίς προσευχαίς, μετασκευασθείσα Πάτερ ταίς σαίς, ασκητικαί γάρ φάλαγγες, ταύτην κατοικούσι ποταμηδόν, η χώρα Ιορδάνου, εξήνθησεν ως κρίνον, αρδευομένη τοίς σοίς δάκρυσι.

Λαμπρότης τών Αγίων εν ουρανοίς, ως δικαίω σοι Πάτερ ανέτειλε, τόν γάρ Χριστόν, τήν δικαιοσύνην τήν αληθή, περιφανώς ηγάπησας, ού τήν πολιτείαν ιχνηλατών, τήν τούτου ζωηφόρον, Παμμάκαρ εμιμήσω, ως δυνατόν σοι αγ ιότητα.

Πλουσίως θεοφόρε λάμπων φωτί, καί χορείας Αγγέλων Θεώμενος, φωτοειδείς, περιπολευούσας τό τρισσόν φώς, καί δεχομένας χάριτι, τάς τής θεοπτίας επιβολάς, μή παύση ικετεύων, αφέσεως πταισμάτων, αξιωθήναι τούς υμνούντάς σε.

Θεοτοκίον

Ωράθης ώ Παρθένε Μήτηρ Θεού, υπέρ φύσιν τεκούσα εν σώματι, τόν

αγαθόν, Λόγον εκ καρδίας τής εαυτού, όν ο Πατήρ ηρεύξατο, πάντων πρό αιώνων ως αγαθός, όν νύν καί τών σωμάτων, επέκεινα νοούμεν, εί καί τό σώμα περιβέβληται.

Εξαποστειλάριον
Εν Πνεύματι τώ Ιερώ

Τήν έρημον επόλισας, τρόποις εν φιλοσόφοις, Πατέρων τό αγλάϊσμα, Σάββα Πάτερ θεόφρον, καί ταύτην απετέλεσας, νοητόν Παράδεισον, κομώσαν άνθεσι θείοις, μονοτρόπων τώ πλήθει, τών αξίως τελούντων, τήν σήν σεβάσμιον μνήμην.

Έτερον, Φώς αναλλοίωτον Λόγε

Η έρημος ευφραινέσθω, καί εξανθείτω ως κρίνον, ότι επλήθυνας ταύτης, τά τέκνα Σάββα θεόφρον, η χώρα τού Ιορδάνου, αγαλλιάσθω νύν χαρμοσύνως, επί τή θεία σου μνήμη.

Θεοτοκίον

Χρυσοπλοκώτατε Πύργε, καί δωδεκάτειχε Πόλις, ηλιοστάλακτε θρόνε, Καθέδρα τού Βασιλέως, ακατανόητον θαύμα ! πώς γαλουχείς τόν Δεσπότην.

Εις τούς Αίνους ιστώμεν Στίχους δ’ καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α’ Τών ουρανίων ταγμάτων

Ο υπερόπτης τών κάτω, καί παρεπίδημος, ο εραστής τών άνω, καί ερημοπολίτης, Σάββας ο θεόφρων, πάντας ημάς, εορτάσαι προτρέπεται, τής πρός Θεόν εκδημίας αύτού πιστώς, τήν ημέραν τήν σεβάσμιον. (Δίς)

Έξω σαρκός καί τού κόσμου, ταίς αρεταίς γεγονώς, καί δι’ αυτών δοξάσας, επί γής διά βίου, τόν Κύριον τής δόξης, Πάτερ σοφέ, κατ’ αξίαν δεδόξασαι, καί ιαμάτων εδείχθης θεία πηγή, παρ’ αυτού Σάββα θεόληπτε.

Μέτριος άκακος πράος, απλούς ησύχιος, ως χρηματίσας Πάτερ, υπέρ άνθρωπον όντως, καί άϋλος εν ύλη, οικος Θεού, καθωράθης πανάξιος, τάς εξ αύτού προϊούσας σοι δωρεάς, συμπαθώς διαπορθμεύων ημίν.

Δόξα... Ήχος πλ. β’

Όσιε Πάτερ, εις πάσαν τήν γήν εξήλθεν, ο φθόγγος τών κατορθωμάτων σου, δι’ ών εν τοίς ουρανοίς, εύρες μισθόν τών καμάτων σου, Τών δαιμόνων ώλεσας τάς φάλαγγας, τών Αγγέλων έφθασας τά τάγματα, ών τόν βίον αμέμπτως εζήλωσας, Παρρησίαν έχων πρός Χριστόν τόν Θεόν, ειρήνην αίτησαι ταίς ψυχαίς υμών.

Καί νύν… Θεοτοκίον

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής. Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Δοξολογία μεγάλη, καί Απόλυσις.

Εις τήν Λειτουργίαν, τά Τυπικά, καί από τού Κανόνος Ωδή γ’ καί ς’.

Αρχή

## ΤΗ ΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού εν Αγίοις Πατρός ημών Νικολάου, Αρχιεπισκόπου Μύρων τής Λυκίας, τού θαυματουργού.

ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Μύρω θείω σε έχρισε, θεία χάρις τού Πνεύματος, Μύρων προεδρεύσαντα καί μυρίσαντα, ταίς αρεταίς Ιερώτατε, τού κόσμου τά πέρατα, ηδυπνόοις τε ευχαίς, τά δυσώδη διώκοντα, πάθη πάντοτε, διά τούτό σε πίστει ευφημούμεν, καί τελούμέν σου τήν μνήμην, τήν παναγίαν Νικόλαε. (Δίς)

Ως λαμπτήρά σε άδυτον, ως φωστήρα παγκόσμιον, εν τώ στερεώματι αναλάμψαντα, τής Εκκλησίας Νικόλαε, καί κόσμον φωτίζοντα, καί κινδύνων χαλεπών, τήν αχλύν απελαύνοντα, καί εξαίροντα, αθεϊας χειμώνα καί γαλήνην, εργαζόμενον βαθείαν, χρεωστικώς μακαρίζομεν.

Καί παρών καί φαινόμενος, εν ονείροις Νικόλαε, τούς αδίκως μέλλοντας θνήσκειν έσωσας, ως συμπαθής ως φιλάγαθος, ως ρύστης θερμότατος, ως προστάτης αληθής, τών πιστώς εξαιτούντων σου, τήν αντίληψιν, Ιερώτατε Πάτερ τών Αγγέλων, συμπολίτα Αποστόλων καί Προφητών ισοστάσιε.

Δόξα… Ήχος πλ. β'

Κληρονόμε Θεού, συγκληρονόμε Χριστού, λειτουργέ Κυρίου, Άγιε Νικόλαε, κατά τό όνομά σου, ούτω καί η πολιτεία σου, συνεξέλαμψε γάρ τή πολιά η σύνεσις, εμαρτύρει τό φαιδρόν τού προσώπου σου, τής ψυχής τό ανεξίκακον, εβεβαίου τήν πραότητα, τού λόγου τό ήσυχον, η ζωή σου ένδοξος, καί η κοίμησις μετά Αγίων, Πρέσβευε υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής. Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Εις τόν Στίχον, Στιχηρά
Ήχος πλ. β'
Τριήμερος ανέστης Χριστέ

Νικόλαε μακάριε, προσπίπτοντά με οίκτειρον, δέομαί σου, καί τά όμματα σοφέ, φώτισον τής ψυχής μου, ίνα καθαρώς βλέψω, τόν φωτοδότην καί οικτίρμονα.

Στίχ. Τίμιος εναντίον Κυρίου ο θάτος τού Οσίου αυτού.

Εχθρών επιζητούντων με, κακοποιήσαι Άγιε, εξελού με, παρρησίαν πρός Θεόν, ως έχων Ιεράρχα, Νικόλαε παμμάκαρ, καί εξ ανδρών αιμάτων σώσόν με.

Στίχ. Οι Ιερείς σου Κύριε ενδύσονται δικαιοσύνην.

Λιμένα σε αχείμαστον, καί τείχος απροσμάχητον, Ιεράρχα, σέ κεκτήμεθα πιστοί, καί πύργον ασφαλείας, καί θύραν μετανοίας, καί οδηγόν ψυχών καί πρόμαχον.

Δόξα… Καί νύν... Θεοτοκίον

Ζηλώσας ο αντίδικος, τήν ποίμνην Πανάχραντε, καθ' εκάστην, εκζητεί ο πονηρός, κατάβρωμα ποιήσαι, αλλά σύ Θεοτόκε, τής τούτου βλάβης εξελού ημάς.

Απολυτίκιον  Ήχος δ'

Κανόνα πίστεως καί εικόνα πραότητος, εγκρατείας Διδάσκαλον, ανέδειξέ σε τή ποίμνη σου, η τών πραγμάτων αλήθεια, διά τούτο εκτήσω τή ταπεινώσει τά υψηλά, τή πτωχεία τά πλούσια, Πάτερ Ιεράρχα Νικόλαε, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Καί Απόλυσις

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Στιχολογούμεν τήν α' στάσιν τού, Μακάριος ανήρ.

Εις δέ τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος β'  Ότε εκ τού ξύλου σε νεκρόν

Μύροις, παροικησας αισθητώς, μύρον αληθώς ανεδείχθης, μύρω χρισθείς νοητώ Άγιε Νικόλαε, Αρχιεράρχα Χριστού, καί μυρίζεις τά πρόσωπα, τών πίστει καί πόθω, σού τήν παναοίδιμον, μνήμην τελούντων αεί, λύων συμφορών καί κινδύνων, τούτους καί τών θλίψεων Πάτερ, εν ταίς πρός τόν Κύριον πρεσβείαις σου.

Νίκη, φερωνύμως αληθώς, τού πιστού λαού ανεδείχθης, εν πειρασμοίς κραταιά, Άγιε Νικόλαε, θεράπων όντως Χριστού, πανταχού γάρ καλούμενος, οξέως προφθάνεις, πόθω τούς προστρέχοντας, υπό τήν σκέπην σου, σύ γάρ εν νυκτί καί η μέρα, πίστει οπτανόμενος σώζεις, εκ τών πειρασμών καί περιστασεων.

Ώφθης, Κωνσταντίνω Βασιλεί, σύν τώ Αβλαβίω κατ' όναρ, καί τούτους φόβω

βαλών, ούτως αυτοίς είρηκας, Λύσατε δή εν σπουδή, τής ειρκτής ούς κατέχετε, δεσμίους αδίκως, αθώους τυγχάνοντας, τής παρανόμου σφαγής, όμως αλλ' εάν παρακούσης, έντευξιν ποιήσομαι Άναξ, κατά σού πρός Κύριον δεόμενος.

Μέγας, αντιλήπτωρ καί θερμός, τοίς εν τοίς κινδύνοις τελούσιν, υπάρχεις ένδοξε, Άγιε Νικόλαε, Ιεροκήρυξ Χριστού, τοίς εν γή καί τοίς πλέουσι, τοίς πόρρω καί πέλας, οία συμπαθέστατος, καί πρεσβευτής κραταιός, όθεν συνελθόντες βοώμεν, Πρέσβευε πρός Κύριον όπως, πάσης λυτρωθώμεν περιστάσεως.

Έτερα Στιχηρά Προσόμοια
Ήχος ο αυτός
Ποίοις ευφημιών

Ποίοις ευφημιών στέμμασιν, αναδήσωμεν τόν Ιεράρχην, τόν σαρκί εν Μύροις υπάρχοντα, καί πνευματικώς πάσι προφθάνοντα, τοίς ειλικρινώς αυτόν ποθούσι, τό πάντων, τών θλιβομένων παραμύθιον, καί πάντων, τών εν κινδύνοις καταφύγιον, τής ευσεβείας τόν πύργον, τών πιστών τόν πρόμαχον, τόν δι' ού οφρύν δυσμενών, Χριστός καταβέβληκεν, ο έχων τό μέγα έλεος.

Ποίοις μελωδικοίς άσμασιν, επαινέσωμεν τόν Ιεράρχην, τόν τής ασεβείας αντίπαλον, καί τής ευσεβείας υπέρμαχον, τόν τής Εκκλησίας πρωτοστάτην, τόν μέγαν, προασπιστήν τε καί διδάσκαλον, τόν πάντας, τούς κακοδόξους καταισχύνοντα, τόν ολετήρα Αρείου, καί θερμόν αντίμαχον, τόν δι' ού τήν τούτου οφρύν, Χριστός καταβέβληκεν, ο έχων τό μέγα έλεος.

Ποίοις προφητικοίς άσμασιν, επαινέσωμεν τόν Ιεράρχην, τόν τά πόρρω όντα προβλέποντα, καί ταύτα σαφώς προαγγέλλοντα, προθεσπίζοντά τε ως παρόντα, τόν πάσαν, τήν οικουμένην περιθέοντα, καί πάντας, αδικουμένους εκλυτρούμενον, τόν εν ονείροις Οφθέντα, Βασιλεί θεόφρονι, καί τούς πρίν δεσμίους σφαγής, αδίκου ρυσάμενον, τόν πλουτούντα τό μέγα έλεος.

Δόξα... Ήχος πλ. β'

Ιεραρχών τήν καλλονήν, καί τών Πατέρων κλέος, τήν βρύσιν τών θαυμάτων, καί τών πιστών αντιλήπτορα μέγιστον, συνελθόντες ώ φιλέορτοι, ασματικοίς εγκωμίοις υμνήσωμεν λέγοντες, Χαίροις ο τών Μυρέων φρουρός, καί πρόεδρος σεπτός, καί στύλος απερίτρεπτος, Χαίροις φωστήρ παμφαέστατε, ο τά τού κόσμου πέρατα, διαλάμπων τοίς θαύμασι, Χαίροις τών θλιβομένων η θεία χαρμοσύνη, καί αδικουμένων θερμότατος προστάτης, καί νύν παμμάκαρ Νικόλαε, μή παύση πρεσβεύων Χριστώ τώ Θεώ, υπέρ τών πίστει καί πόθω τιμώντων αεί, τήν χαρμόσυνονκαί πανέορτον μνήμην σου.

Καί νύν... Προεόρτιον
Ήχος ο αυτός

Σπήλαιον ευτρεπίζου, η Αμνάς γάρ ήκει, έμβρυον φέρουσα Χριστόν, Φάτνη δέ υποδέχου, τόν τώ λόγω λύσαντα τής αλόγου πράξεως, ημάς τούς γηγενείς, Ποιμένες αγραυλούντες, μαρτυρείτε θαύμα τό φρικτόν, καί Μάγοι εκ

Περσίδος, χρυσόν καί λίβανον καί σμύρναν, τώ Βασιλεί προσάξατε, ότι ώφθη Κύριος εκ Παρθένου Μητρός, όν περ καί κύψασα, δουλικώς η Μήτηρ προσεκύνησε, καί προσεφθέγξατο τώ εν αγκάλαις αυτής, Πώς ενεσπάρης μοι, ή πώς μοι ενεφύης, ο λυτρωτής μου καί Θεός;

Είσοδος. Φώς ιλαρόν, τό Προκείμενον τής ημέρας καί τά Αναγνώσματα.

Παροιμιών τό Ανάγνωσμα
(Κεφ. 10, 7 & 3, 13-16 & εκλογή)

Μνήμη δικαίου μετ' εγκωμίων, καί ευλογία Κυρίου επί κεφαλήν αυτού, Μακάριος άνθρωπος, ός εύρε σοφίαν, καί θνητός, ός είδε φρόνησιν, Κρείσσον γάρ αυτήν εμπορεύεσθαι, ή χρυσίου καί αργυρίου θησαυρούς, Τιμιωτέρα δέ εστι λίθων πολυτελών, ουκ αντιτάσσεται αυτή ουδέν πονηρόν, ευγνωστός εστι πάσι τοίς εγγίζουσιν αυτήν, πάν δέ τίμιον ούκ άξιον αυτής εστιν. Εκ γάρ τού στόματος αυτής εκπορεύεται δικαιοσύνη, νόμον δέ καί έλεον επί γλώσσης φορεί. Τοιγαρούν ακούσατέ μου, ώ τέκνα, σεμνά γάρ ερώ, καί μακάριος άνθρωπος, ός τάς εμάς όδούς φυλάξει. Αι γάρ έξοδοί μου, έξοδοι ζωής, καί ετοιμάζεται θέλησις παρά Κυρίου, Διά τούτο παρακαλώ υμάς καί προϊεμαι εμήν φωνήν υιοίς ανθρώπων, Ότι εγώ η Σοφία κατεσκεύασα βουλήν καί γνώσιν καί έννοιαν, εγώ επεκαλεσάμην, Εμή βουλή καί ασφάλεια, εμή φρόνησις, εμή δέ ισχύς, Εγώ τούς εμέ φιλούντας αγαπώ, οι δέ εμέ ζητούντες ευρήσουσι χάριν, Νοήσατε τοίνυν άκακοι πανουργίαν, οι δέ απαίδευτοι ένθεσθε καρδίαν, Εισακούσατέ μου καί πάλιν, σεμνά γάρ ερώ, καί ανοίγω από χειλέων ορθά, Ότι αλήθειαν μελετήσει ο λάρυγξ μου, εβδελυγμένα δέ εναντίον εμού χείλη ψευδή, Μετά δικαιοσύνης πάντα τά ρήματα τού στόματός μου, ουδέν εν αυτοίς σκολιόν, ουδέ στραγγαλιώδες, Πάντα ευθέα εστί τοίς νοούσι, καί ορθά τοίς ευρίσκουσι γνώσιν, Διδάσκω γάρ υμίν αληθή, ίνα γένηται εν Κυρίω η ελπίς υμών, καί πλησθήσεσθε Πνεύματος.

Παροιμιών τό Ανάγνωσμα
(Κεφ. 10, 31-32 & 11, 1-12)

Στόμα δικαίου αποστάζει σοφίαν, γλώσσα δέ αδίκου εξολείται, Χείλη ανδρών δικαίων επίστανται χάριτας, στόμα δέ ασεβών καταστρέφεται, Ζυγοί δόλιοι βδέλυγμα ενώπιον Κυρίου, στάθμιον δέ δίκαιον δεκτόν αυτώ, Ού εάν εισέλθη ύβρις, εκεί καί ατιμία, στόμα δέ ταπεινών μελετά σοφίαν, Τελειότης ευθέων οδηγήσει αυτούς, καί υποσκελισμός αθετούντων προνομεύσει αυτούς, Ούκ ωφελήσει υπάρχοντα εν ημέρα θυμού, δι καιοσύνη δέ ρύσεται από θανάτου, Αποθανών δίκαιος έλιπε μετάμελον, πρόχειρος δέ γίνεται καί επίχαρτος ασεβών απώλεια, Δικαιοσύνη αμώμου ορθοτομεί οδούς, ασέβεια δέ περιπίπτει αδικία, Δικαιοσύνη ανδρών ορθών ρύσεται αυτούς, τή δέ αβουλία αλίσκονται παράνομοι. Τελευτήσαντος ανδρός δικαίου ουκ όλλυται ελπίς, τό δέ καύχημα τών ασεβών όλλυται, Δίκαιος εκ θήρας εκδύνει, αντ' αυτού δέ παραδίδοται ο ασεβής, Εν στόματι ασεβών παγίς πολίταις, αίσθησις δέ δικαίων εύοδος, Εν αγαθοίς δικαίων κατώρθωται πόλις, καί εν απωλεία ασεβών αγαλλίαμα, Εν ευλογία ευθέων υψωθήσεται πόλις, στόματι δέ ασεβών κατασκαφήσεται, Μυκτηρίζει πολίτας ενδεής φρενών, ανήρ δέ

φρόνιμος ησυχίαν άγει.

Σοφίας Σολομώντος τό Ανάγνωσμα
(Κεφ. 4, 7-15)

Δίκαιος εάν φθάση τελευτήσαι, εν αναπαύσει έσται, Γήρας γάρ τίμιον ου τό πολυχρόνιον, ουδέ αριθμώ ετών μεμέτρηται, Πολιά δέ εστι φρόνησις ανθρώποις, καί ηλικία γήρως βίος ακηλίδωτος, Ευάρεστος Θεώ γενόμενος ηγαπήθη, καί ζών μεταξύ αμαρτωλών μετετέθη, Ηρπάγη, μή κακία αλλάξη σύνε σιν αυτού, Βασκανία γάρ φαυλότητος αμαυροί τά καλά, καί ρεμβασμός επιθυμίας μεταλλεύει νούν άκακον, Τελειωθείς έν ολίγω, επλήρωσε χρόνους μακρούς, αρεστή γάρ ήν Κυρίω η ψυχή αυτού, διά τούτο έσπευσεν εκ μέσου πονηρίας, οι δέ λαοί ιδόντες καί μή νοήσαντες, μηδέ θέντες επί διανοία τό τοιούτον, ότι χάρις καί έλεος εν τοίς οσίοις αυτού, καί επισκοπή εν τοίς εκλεκτοίς αυτού.

Εις τήν Λιτήν, ψάλλομεν Στιχηρά, Ιδιόμελα.

Ήχος α'

Ενατενίσας ακλινώς τώ ύψει τής γνώσεως, καί κατοπτεύσας αδήλως σοφίας τόν βυθόν, σαίς διδαχαίς κόσμον κατεπλούτισας, Πάτερ, Υπέρ ημών αεί Χριστόν δυσώπει, Ιεράρχα Νικόλαε.

Ο αυτός

Άνθρωπε τού Θεού καί πιστέ θεράπον, καί οικονόμε τών αυτού μυστηρίων, καί άνερ επιθυμιών τών τού Πνεύματος, στήλη τε έμψυχε, καί έμπνους εικών, ως θείον γάρ θησαυρόν σε, η τών Μυρέων Εκκλησία, αγαμένη προσήκατο, καί πρεσβευτήν τών ψυχών ημών.

Ήχος β'

Κανόνα πίστεως, καί εικόνα πραότητος, ανέδειξέ σε τή ποίμνη σου Χριστός ο Θεός, Ιεράρχα Νικόλαε, εν γάρ τοίς Μύροις μυρίζων, διαλάμπεις φαιδρώς τοίς θείοις σου κατορθώμασιν, ορφανών καί χηρών προστάτα, διό ικετεύων μή παύση, σωθήναι τάς ψυχάς ημών.

Ο αυτός

Πάτερ Νικόλαε, η μυροθήκη τών λειψάνων σου, τά Μύρα πολιουχεί, διό καί δεσμίους, ακρίτως κατακριθέντας, εν ονείρω Βασιλεί τή Οπτασία σου φανείς, ηλευθέρωσας θανάτου, δεσμών καί φυλακής, αλλά καί νύν, ως τότε, καί αεί, δι' οπτασίας σου φάνηθι, πρεσβεύων υπέρ τών ψυχών ημών.

Ο αυτός

Πάτερ Νικόλαε, ει καί τά Μύρα σιωπά, αλλ' ο κόσμος όλος, ο υπό σού φωτισθείς, καί η τού Μύρου ευωδία, καί τών θαυμάτων τά πλήθη, ανακράζει ευφήμοις υμνωδίαις, καί οι σωθέντες διά σού κατάκριτοι, Σύν τοίς εν Μύροις καί ημείς μέλποντες βοώμεν, Πρέσβευε σωθήναι τάς ψυχάς ημών.

Ήχος δ'

Πάτερ Νικόλαε, τού παναγίου Πνεύματος μυροθήκη υπάρχων, ως έαρ μυρίζεις ευφρόσυνον, τών θείων αρωμάτων Χριστού, τών Αποστόλων γάρ μιμητής γενόμενος, τήν οικουμένην περιπολεύεις, διά τών λόγων τών θαυμάτων σου. Όθεν καί τοίς πόρρω ως εγγύς, δι' ονείρων οπτανόμενος, εκ

θανάτου λυτρούσαι, τούς αδίκω ψήφω θνήσκειν μέλλοντας, διασώζων παραδόξως, εκ κινδύνων πολλών, τούς επικαλουμένους σε, Διό καί ημάς τών επεμβαινόντων δυσχερών, ελευθέρωσον σαίς πρεσβείαις, τούς αεί ανευφημούντάς σε.

Ήχος πλ. β'

Εύ δούλε αγαθέ καί πιστέ, εύ εργάτα τού αμπελώνος Χριστού, σύ καί τό βάρος τής ημέρας εβάστασας, σύ καί τό δοθέν σοι τάλαντον επηύξησας, καί τοίς μετά σέ ελθούσιν ουκ εφθόνησας, Διό πύλη σοι ουρανών ηνέω κται, είσελθε εις τήν χαράν τού Κυρίου σου, καί πρέσβευε υπέρ ημών, Άγιε Νικόλαε.

Ήχος πλ. δ'

Εις αίνον έδραμες τού Κυρίου Νικόλαε, εν τή προσκαίρω ζωή, καί αυτός σε εδόξασεν εν επουρανίω, καί όντως ζωή, Διό παρρησίαν κεκτημένος πρός αυτόν, ικέτευε σωθήναι τάς ψυχάς ημών.

Δόξα... Ήχος πλ. δ'

Τών ανδραγαθημάτων σου, Όσιε Πάτερ, ο καρπός εφαίδρυνε τών πιστών τάς καρδίας, τίς γάρ ακούων τήν άμετρόν σου ταπείνωσιν, τήν υπομονήν ουκ εθαύμασε; τήν πρός τούς πένητας ιλαρότητα; θλιβομένων τό συμπαθές; πάντας θεοπρεπώς εδίδαξας, Ιεράρχα Νικόλαε, καί νύν τόν αμαράντινον αναδησάμενος στέφανον, πρέσβευε υπέρ τών ψυχών ημών.

Καί νύν... Προεόρτιον, ό αυτός

Βηθλεέμ ετοιμάζου, ευτρεπιζέσθω η φάτνη, τό σπήλαιον δεχέσθω, η αλήθεια ήλθεν, η σκιά παρέδραμε, καί Θεός ανθρώποις εκ Παρθένου πεφανέρωται, μορφωθείς τό καθ' ημάς, καί Θεώσας τό πρόσλημμα, Διό Αδάμ ανανεούται σύν τή Εύα, κράζοντες, Επί γής ευδοκία επεφάνη, σώσαι τό γένος ημών.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος πλ. α'

Χαίροις ασκητικών

Χαίροις η ιερά κεφαλή, τό καθαρόν τών αρετών καταγώγιον, ο θείος τής θειοτάτης, ιερωσύνης κανών, ο Ποιμήν ο μέγας, ο φανότατος, πυρσός ο τής νίκης, επιφερόμενος όνομα, ο δεομένοις, συμπ αθώς επικλώμενος, ο καμπτόμενος, ασθενών ταίς δεήσεσι, ρύστης ό ετοιμότατος, φρουρός ο σωτήριος, πάσι τοίς πίστει τελούσι, τήν παναοίδιμον μνήμην σου, Χριστόν καταπέμψαι, Παμμακάριστε δυσώπει, τό μέγα έλεος.

Στίχ. Τίμιος εναντίον Κυρίου ό θάνατος τού Οσίου αυτού.

Χαίροις ο ιερώτατος νούς, τό τής Τριάδος καθαρόν ενδιαίτημα, ο στύλος τής Εκκλησίας, ο τών πιστών στηριγμός, καταπονουμένων η βοήθεια, αστήρ, ο ταίς λάμψεσιν, ευπροσδέκτων δεήσεων, διασκεδάζων, πειρασμών τε καί θλίψεων, σκότος πάντοτε, Ιεράρχα Νικόλαε, όρμος ο γαληνότατος, εν ώ καταφεύγοντες, οι τρικυμίαις τού βίου περιστατούμενοι σώζονται, Χριστόν εκδυσώπει, ταίς ψυχαίς ημών δοθήναι, τό μέγα έλεος.

Στίχ. Οι ιερείς σου Κύριε ενδύσονται δικαιοσύνην.

Χαίροις ο ζήλου θείου πλησθείς, απαγωγής τε πονηράς λυτρωσάμενος, αδίκως μέλλοντας θνήσκειν, επιστασία φρικτή, καί ταίς δι' ονείρων προσφοιτήσεσι, Πηγή η πηγάζουσα, εν τοίς Μύροις Νικόλαε, μύρα πλουσίως, καί ψυχάς καταρδεύουσα, τά δυσώδη τε τών παθών απελαύνουσα, Μάχαιρα τά ζιζάνια, τής πλάνης εκτέμνουσα. Πτύον λικμίζον Αρείου, τά αχυρώδη διδάγματα, Χριστόν καταπέμψαι, ταίς ψυχαίς ημών δυσώπει, τό μέγα έλεος.

Δόξα... Ήχος πλ. β'

Άνθρωπε τού Θεού, καί πιστέ θεράπον, λειτουργέ Κυρίου, άνερ επιθυμιών, σκεύος εκλογής, στύλε καί εδραίωμα τής Εκκλησίας, Βασιλείας κληρονόμε, μή παρασιωπήσης, τού βοάν υπέρ ημών τόν Κύριον.

Καί νύν… Προεόρτιον, ο αυτός

Ανύμφευτε Παρθένε, πόθεν ήκεις; τίς ο τεκών σε; τίς καί η Μήτηρ σου; πώς τόν Κτίστην φέρεις εν αγκάλαις; πώς ουκ εφθάρης τήν νηδύν, μεγάλων παραδόξων επί γής τελουμένων, ορώμεν Παναγία, καί προευτρεπίζομεν επάξιόν σοι χρέος, εκ τής γής τό Σπήλαιον, καί ουρανόν αιτούμεν, παρασχείν τόν Αστέρα, καί Μάγοι δέ προέρχονται, από Ανατολών τής γής, εις δυσμάς θεάσασθαι, τήν σωτηρίαν τών βροτών, ως βρέφος γαλουχούμενον.

Απολυτίκιον  Ήχος δ'

Κανόνα πίστεως καί εικόνα πραότητος, εγκρατείας Διδάσκαλον, ανέδειξέ σε τή ποίμνη σου, η τών πραγμάτων αλήθεια, διά τούτο εκτήσω τή ταπεινώσει τά υψηλά, τή πτωχεία τά πλούσια, Πάτερ Ιεράρχα Νικόλαε, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Θεοτοκίον

Τό απ' αιώνος απόκρυφον, καί Αγγέλοις άγνωστον μυστήριον, διά σού Θεοτόκε, τοίς επί γής πεφανέρωται, Θεός εν ασυγχύτω ενώσει σαρκούμενος, καί Σταυρόν εκουσίως, υπέρ ημών καταδεξάμενος, δι' ού αναστήσας τόν Πρωτόπλαστον, έσωσεν εκ θανάτου τάς ψυχάς ημών.

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα

Ήχος α'  Τόν τάφον Σωτήρ

Αστράπτεις εν τή γή, τών θαυμάτων ακτίσι, Νικόλαε σοφέ, καί κινείς πάσαν γλώσσαν, εις δόξαν τε καί αίνεσιν, τού εν γή σε δοξάσαντος, όν ικέτευε, πάσης ανάγκης ρυσθήναι, τούς τήν μνήμην σου, πίστει καί πόθω τιμώντας, Πατέρων εκλόγιον.

Θεοτοκίον, όμοιον

Μαρία τό σεπτον, τού Δεσπότου δοχείον, ανάστησον ημάς, πεπτωκότας εις βάθη, δεινής απογνώσεως, καί πταισμάτων καί θλίψεων, σύ γάρ πέφυκας, αμαρτωλών σωτηρία, καί βοήθεια, καί κραταιά προστασία, καί σώζεις τούς δούλους σου.

Μετά τήν β' Στιχολογίαν

Κάθισμα
Ήχος δ' Επεφάνης σήμερον

Τών πιστών προΐστασαι, σκέπων φρουρών τούτους μάκαρ, καί εκ πάσης θλίψεως, απολυτρούμενος σαφώς, Ιεραρχών ωραιότατον, κλέος καί δόξα, Νικόλαε Όσιε.

Θεοτοκίον, όμοιον

Προστασία άμαχε, τών εν ανάγκαις, καί πρεσβεία έτοιμος, τών ελπιζόντων επί σέ, από κινδύνων με λύτρωσαι, καί μή παρίδης, η πάντων βοήθεια.

Μετά τόν Πολυέλεον

Κάθισμα
Ήχος δ' Ταχύ τροκατάλαβε

Προστάτης θερμότατος, τής Εκκλησίας Χριστού, εδείχθης Νικόλαε, τά τών αιρέσεων, διδάγματα άθεα, λύων σύν παρρησία, καί κανων ανεδείχθης, πάσιν ορθοδοξίας, υπέρ πάντων πρεσβεύων, τών εφεπομένων σου θείαις, διδασκαλίαις καί εισηγήσεσι.

Θεοτοκίον, όμοιον

Ταχύ δέξαι Δέσποινα, τάς ικεσίας ημών, καί ταύτας προσάγαγε, τώ σώ Υιώ καί Θεώ, Κυρία Πανάμωμε, λύσον τάς περιστάσεις, τών εις σέ προστρεχόντων, σύντριψον μηχανίας, καί κατάβαλε θράσος, τών οπλιζομένων αθέων, Πάναγνε κατά τών δούλων σου.

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί Αντίφωνον Α'

- Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.
- Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον

Τίμιος εναντίον Κυρίου ο θανατος τού Οσίου.
Στίχ. Τί ανταποδώσωμεν τώ Κυρίω.

Τό, Πάσα πνοή

Ευαγγέλιον κατά Ματθαίον

Τώ καιρώ εκείνω, ηκολούθησαν τώ Ιησού όχλοι…

Ο Ν'

Δόξα... Ταίς τού Ιεράρχου…
Καί νύν... Ταίς τής Θεοτόκου…

Είτα τό ιδιόμελον, Ήχος πλ. β'

Εύ δούλε αγαθέ, καί πιστέ, εύ εργάτα τού αμπελώνος Χριστού, σύ καί τό βάρος τής ημέρας εβάστασας, σύ καί τό δοθέν σοι τάλαντον επηύξησας, καί τοίς μετά σέ ελθούσιν ουκ εφθόνησας, Διό πύλη σοι ουρανών ηνέωκται, Είσελθε εις τήν χαράν τού Κυρίου σου, καί πρέσβευε υπέρ ημών, Άγιε Νικόλαε.

Ο Κανών τής Θεοτόκου μετά τών Ειρμών, εις ς' καί τού Αγίου εις η'.

Κανών τής Θεοτόκου

Ωδή α' Ήχος α' Ο Ειρμός

«Ωδήν επινίκιον, άσωμεν πάντες, Θεώ τώ ποιήσαντι, θαυμαστά τέρατα, βραχίονι υψηλώ, καί σώσαντι τόν Ισραήλ, ότι δεδόξασται».

Σοφίας τήν άβυσσον, η τετοκυία, σταγόνα σοφίας μοι, Πηγή χαριτόβρυτε, σεμνή κατάπεμψον, υμνολογήσαι τών χαρίτων σου τό πέλαγος.

Υμνώ σε Πανύμνητε, ήν ανυμνούσιν, Αγγέλων τά τάγματα, ως Θεόν κυήσασαν, τόν υπερύμνητον, όν πάσα κτίσις ανυμνεί ότι δεδόξασται.

Κανών τού Αγίου, ού η Ακροστιχίς,

Σοί Νικόλαε θείον εξάδω μέλος. Θεοφάνους.

Ωδή α' Ήχος β'

«Εν βυθώ κατέστρωσε ποτέ, τήν Φαραωνίτιδα, πανστρατιάν η υπέροπλος δύναμις, σαρκωθείς ο Λόγος δέ, τήν παμμόχθηρον αμαρτίαν εξήλειψεν, ο δεδοξασμένος Κύριος, ενδόξως γάρ δεδόξασται».

Στεφηφόρος βήματι Χριστού, πάνσοφε Νικόλαε, παρεστηκώς σύν Αγγέλων στρατεύμασι, φωτισμόν μοι δώρησαι, καταυγάζοντα τής ψυχής μου τήν ζόφωσιν, όπως ευφημήσω χαίρων σου, παμμάκαρ τήν Πανήγυριν.

Ο δοξάζων πάντας τούς αυτόν, Κύριος δοξάζοντας, σέ τοίς πιστοίς

καταφύγιον δέδωκε, πειρασμών ρυόμενον, τούς προστρέχοντας τή σή σκέπη Νικόλαε, καί προσκαλουμένους πίστει σε, καί πόθω παναοίδιμε.

Θεοτοκίον

Ισωθήναι πόθον μοι ενθείς, όφις ο παμπόνηρος, τώ Πλαστουργώ, ως αιχμάλωτον ήρπασε, διά σού δέ Πάναγνε, ανακέκλημαι, θεωθείς αληθέστατα, σύ γάρ Θεομήτορ, τόν εμέ Θεώσαντα γεγέννηκας.

Έτερος Κανών τού Αγίου, ού η, Ακροστιχίς κατά αλφάβητον, χωρίς τών Τριαδικών καί τών Θεοτοκίων.

Ωδή α' Ήχος α'

«Χριστός γεννάται, δοξάσατε, Χριστός εξ ουρανών, απαντήσατε, Χριστός επί γής, υψώθητε, Άσατε τώ Κυρίω πάσα η γή, καί εν ευφροσύνη, ανυμνήσατε λαοί, ότι δεδόξασται».

Απόρω γλώττη καί χείλεσιν, εγκώμιον βραχύ καί παράκλησιν, προσάξαι τή σή Νικόλαε, ήκω θεομιμήτω υπεροχή, αλλ' ως πλουτοδότης, τόν Σωτήρα καί Θεόν ίλεων δίδου μοι.

Βροτός υπάρχων ουράνιος, ισάγγελος εν γή πεφανέρωσαι, χηρών αντιλήπτωρ μέγιστος, καί καταπονουμένων εκδικητής, πάντων θλιβομένων, εν κινδύνοις βοηθός, Πάτερ Νικόλαε.

Γνωρίζει πάσα θφήλιος, Νικόλαε τρισμάκαρ τά θαύματα, τών σών άρετών τό πέλαγος, πένητες τόν Προστάτην, καί ορφανοί, χήραι τόν τροφέα, καί τυφλοί τόν οδηγον, πάντες τόν πρόμαχον.

Τριαδικόν

Τριάδα σέβω τήν άκτιστον, Πατέρα καί Υιόν σύν τώ Πνεύματι, ουσίαν απλήν θεότητα, φύσιν μή τεμνομένην ουσιωδώς, τρείς τάς υποστάσεις, διαιρών προσωπικώς, καί καθ' υπόστασιν.

Θεοτοκίον

Ασπόρως Λόγον συνείληφας, τόν ένα τής Τριάδος Πανάχραντε, καί τούτον σακρί γεγέννηκας, μείνασα μετά τόκον ώσπερ τό πρίν, τούτον ως Υιόν σου, καί Θεόν υπέρ ημών αεί ικέτευε.

Καταβασία

«Χριστός γεννάται, δοξάσατε, Χριστός εξ ουρανών, απαντήσατε, Χριστός επί γής, υψώθητε, Άσατε τώ Κυρίω πάσα η γή, καί εν ευφροσύνη, ανυμνήσατε λαοί, ότι δεδόξασται».

Τής Θεοτόκου

Ωδή γ' Ο Ειρμός

«Στερεωθήτω η καρδία μου, εις τό θέλημά σου Χριστέ ο Θεός, ο εφ' υδάτων ουρανόν, στερεώσας τόν δεύτερον, καί εδράσας εν τοίς ύδασι, τήν γήν Παντοδύναμε».

Ο ουρανός ο καθαρώτατος, τό τού Βασιλέως ανάκτορον, ο χαριτόπνους αληθώς, καί ευώδης Παράδεισος, η ελπίς Χριστιανών, η Θεοτόκος υμνείσθω μοι.

Λόγω τόν Λόγον απεκύησας, τόν τώ λόγω πάσαν πρός ύπαρξιν, παραγαγόντα λογικήν, φύσιν άμα καί άλογον, αλογίας εκλυτρούμενον, βροτούς Παντευλόγητε.

Τού Αγίου

Εξήνθησεν η έρημος

Νικόλαε μακάριε, τού Δεσπότου γνήσιος, σύ μαθητής γενόμενος, διασώζεις τούς σοί προστρέχοντας χαλεπών εκ κινδύνων, καί θανάτου πικρού.

Ιλάσθητι τοίς δούλοις σου, τών πταισμάτων άφεσιν, ως αγαθός δωρούμενος, Νικολάου τού σού θεράποντος, ταίς πρός σέ μεσιτείαις Πολυέλεε.

Θεοτοκίον

Κατεύνασον τόν τάραχον, τών παθών μου Δέσποινα καί τήν ζωήν κυβέρνησον, Παναγία Χριστόν η τέξασα, εν ώ εστερεώθη η καρδία μου.

Έτερος τού Αγίου

Τώ πρό τών αιώνων

Δέλτον εν καρδία, κεκτημένος θεόφρον πολλών αρετών, εγγεγραμμένην αθανάτω, καί αχράντω δακτύλω, Χριστού τού Θεού Νικόλαε, υπέρ κηρίον καί μέλι γλυκύ, στάζεις εν τοίς λόγοις σου.

Έδειξεν η χάρις, επί σέ παραδόξως τά θαύματα, η φαιδρά γάρ σου πολιτεία, ώ Νικόλαε όντως, χρυσού παντός τηλαυγέστερον, υπεραστράπτει καί λάμπει ψυχαίς, αίγλη θείου Πνεύματος.

Ζής καί μετά πότμον, εν ονείροις σαφώς οπτανόμενος, καί νεανίας εκ θανάτου, παραδόξως λυτρούσαι βοών εμφανώς τώ Άνακτι, Μή αδικήσης τούς άνδρας, επεί φθόνω διεβλήθησαν.

Τριαδικόν

Ίλεως γενού μοι, Παναγία τριάς ο Θεός ημών, τώ εν αμέτροις πλημμελείαις, ρυπωθέντι τώ βίω, Πατήρ, ο Υιός, Πνεύμα τό ζών, διατηρούσά με πάντοθεν καί αεί, άτρωτον εκ θλίψεως.

Θεοτοκίον

Νέμοις Θεοτόκε, σωτηρίας ελπίδα τοίς δούλοις σου, καί εν ανάγκαις καί κινδύνοις, ταχυδρόμοις πρεσβείαις, φρουρείν, βοηθείν παράστηθι, σύ γάρ τό κλέος ημών τών πιστών, πέλεις θεονύμφευτε.

Καταβασία

«Τώ πρό τών αιώνων, εκ Πατρός γεννηθέντι αρρεύστως Υιώ, καί επ' εσχάτων

εκ Παρθένου, σαρκωθέντι ασπόρως, Χριστώ τώ Θεώ βοήσωμεν, Ο ανυψώσας τό κέρας ημών, Άγιος εί Κύριε».

### Κάθισμα Ήχος πλ. δ'
### Τήν Σοφίαν καί Λόγον

Ποταμόν ιαμάτων υπερχειλή, καί πηγήν σε θαυμάτων ανελλιπή, έδειξε Νικόλαε, τού ελέους η άβυσσος, οι γάρ βαρείαις νόσοις, πικρώς πιεζόμενοι, καί συμφοραίς τού βίου, δεινώς εταζόμενοι, πάσης αθυμίας, ακεσώδυνον όντως, ευρίσκουσι φάρμακον, τήν θερμήν σου αντίληψιν, διά τούτο βοώμέν σοι, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

### Δόξα... Καί νύν... Θεοτοκίον, όμοιον

Τήν Σοφίαν καί Λόγον εν σή γαστρί, συλλαβούσα αφράστως Μήτηρ Θεού, τώ κόσμω εκύησας, τόν τόν κόσμον κατέχοντα, καί εν αγκάλαις φέρεις, τόν φέροντα άπαντα, τόν τροφοδότην πάντων, καί Κτίστην τής κτίσεως, όθεν δυσωπώ σε παναγία Παρθένε, ρυσθήναι πταισμάτων μου, όταν μέλλω παρίστασθαι, πρό προσώπου τού Κτίστου μου, Δέσποινα Παρθένε Αγνή, τήν σήν βοήθειαν τότε μοι δώρησαι, καί γάρ δύνασαι πάντα, όσα θέλεις Πανύμνητε.

### Τής Θεοτόκου

### Ωδή δ' Ο Ειρμός

«Εν πνεύματι προβλέπων, προφήτα Αββακούμ, τήν τού Λόγου σάρκωσιν, εκήρυττες βοών, Εν τώ εγγίζειν τά έτη επιγνωσθήση, εν τώ παρείναι τόν καιρόν αναδειχθήση, Δόξα τή δυνάμει σου Κύριε».

Θανάτου μέν αιτία, η Εύα τοίς βροτοίς, συμβουλία όφεως, γεγένηται Αγνή, σύ δέ Παρθένε τεκούσα λόγω τόν Λόγον, αθανασίας καί ζωής πρόξενος ώφθης, όθεν επαξίως υμνούμέν σε.

Εν πνεύματι Προφήται, προείδόν σε Αγνή, Όρος Πύλην Τράπεζαν, αγίαν Κιβωτόν, Λυχνίαν θρόνον ζωής, Στάμνον καί Κλίνην, Θεού Μητέρα, εν συμβόλοις σε δηλούντες, ών ημείς ορώμεν τήν έκβασιν.

### Τού Αγίου

### Ελήλυθας εκ Παρθένου

Ομιλήσας, καθαρώς ταίς ακτίσι τού Πνεύματος, φωτοφόρος γέγονας, κόσμου φωτίζων τά πέρατα, πάσι παριστάμενος, καί πάντας σώζων, τούς πίστει σοι προστρέχοντας.

Λυτρούμενος, εκ θανάτου ως ώφθης τό πρότερον, νεανίας Όσιε, ούτω καί νύν με διάσωσον, πάσης περιστάσεως, καί πειρασμών καί κινδύνων παμμακάριστε.

Απήστραψας, αρετών λαμπηδόνας Πανόλβιε, μιμητής πανάριστος τού σού Δεσπότου γενόμενος, σώζεις δέ καλούμενος, τούς ευλαβεία καί πόθω σε δοξάζοντας.

Θεοτοκίον

Ελήλυθεν, επί σοί ο Δεσπότης καί Κύριος, σωματωθησόμενος, καί διασώσων ως εύσπλαγχνος, όλον με τόν άνθρωπον, διό κραυγάζω σοι, Χαίρε Θεοτόκε Πανάμωμε.

Έτερος τού Αγίου

Ράβδος εκ τής ρίζης

Η κλήσίς μου μόνη αληθώς, εν πάσαις τών εχθρών βουλαίς, προσκαλουμένη θάττον ρύεται, τούς κράζοντάς σοι θερμώς, Ιερέ Νικόλαε, Ως πρίν στρατηλάτας ελυτρώσω, διάσωσον καί ημάς, πάσης εκ δεινής περιστάσεως.

Θρόνω παριστάμενος Θεού, πρεσβεύειν εκτενώς σοφέ, μή διαλίπης υπέρ πάντων υμών, τών σών πιστών οικετών, θαυμαστέ Νικόλαε, ίνα τού πυρός τού αιωνίου, ρυσθώμεν καί εξ εχθρών, γνώμης πονηράς καί κακώσεως.

Ιάματα βρύεις πανταχού, τοίς πίστει σοι προστρέχουσι, καί εκ δεσμών λυτρούσαι άπαντας, διό τήν λύπην ημών, εις χαράν μετάβαλε, ταίς ευπροσδέκτοις ικεσίαις, Νικόλαε φαεινέ, θραύων τήν οφρύν τών εχθρών ημών.

Τριαδικόν

Ανάρχου θεότητος αρχήν, Πατέρα καί Υιόν τιμώ, καί Πνεύμα σέβω τό πανάγιον, τήν πάντων παντουργικήν, ενιαίαν άτμητον, τρισί χαρακτήρσι καί προσώποις, διηρημένην αεί, μίαν Βασιλείαν αμέριστον.

Θεοτοκίον

Σύ όντως επέκεινα βροτών, Αγγέλων τε υπέρτιμος, θεογεννήτορ Κόρη πέφηνας, τόν πάντων γάρ Ποιητήν, εν γαστρί συνείληφας, σάρκα υλικήν ημφιεσμένον, τεκούσα δίχα σποράς, Ω Καινοπρεπούς θεωρήματος!

Καταβασία

«Ράβδος εκ τής ρίζης Ιεσσαί, καί άνθος εξ αυτής Χριστέ, εκ τής Παρθένου ανεβλάστησας, εξ όρους ο αινετός, κατασκίου δασέος, ήλθες σαρκωθείς εξ απειράνδρου, ο άυλος καί Θεός, Δόξα τή δυνάμει σου, Κύριε».

Τής Θεοτόκου

Ωδή ε' Ο Ειρμός

«Τό φαεινόν ημίν εξανάτειλον, φώς τό απροσιτον, τοίς ορθρίζουσιν επί τά κρίματα, τών εντολών σου, Δέσποτα φιλάνθρωπε, Χριστέ ο Θεός ημών».

Ως Κιβωτός Σεμνή αγιάσματος, καί ως πυρίμορφος θρόνος άγιος, καί ως Παλάτιον ηγιασμένον, Δέσποινα εχώρησας, Θεόν Παντοκράτορα.

Μήτηρ απειράνδρως εν παρθένοις σύ, αύθις Παρθένος δέ, εν μητράσι μόνη Πάναγνε αρρήτως ώφθης, Θεόν γάρ εγέννησας, τόν φύσεις αμείβοντα.

Τού Αγίου

Ο φωτισμός

Θεοπρεπεί, πολιτεία Τρισμάκαρ λελαμπρυσμένος, τούς κατακριθέντας αδίκω ψήφω θανατωθήναι, παραστάς ελυτρώσω, τώ Δεσπότη Χριστώ κραυγάζοντας, Έτερον εκτός σου, Θεόν ου γινώσκομεν.

Εν ουρανοίς, τήν αϊδιον δόξαν νύν εποπτεύων, καί τής απορρήτου καί θείας αίγλης, ταίς φανοτάταις εντρυφών λαμπηδόσι, σκέπασόν με τή προστασία σου, Όσιε θεράπον, Χριστού πανσεβάσμιε.

Θεοτοκίον

Ίνα τήν σήν, εκζητήσης εικόνα συγκεχωσμένην, τοίς πάθεσι Σώτερ τάς ουρανίους, λαθών δυνάμεις, σαρκωθείς εκ Παρθένου, επεφάνης τοίς σοί κραυγάζουσιν, Έτερον εκτός σου, Θεόν ού γινώσκομεν.

Έτερος τού Αγίου

Θεός ών ειρήνης

Κηρύττει σου Πάτερ, τά θαύματα νύν, η Μυρέων μεγίστη μητρόπολις, Λυκίων επαρχία τε, καί πάσαι πατριαί, τάς σάς τερατουργίας, δι' ών πάντας εκ πόνων, θλιβερών ελυτρώσω, αξιοθαύμαστε Νικόλαε.

Λιμήν τών χηρών, καί Πατήρ τών ορφανών, βοηθός τών εν θλίψει πανάριστος, πενθούντων παραμύθιον, ποιμήν καί οδηγός, πάντων τών πλανωμένων, Νικόλαε υπάρχων, καί ημάς εκ κινδύνων, ταίς σαίς πρεσβείαις απολύτρωσαι.

Μετέστης εκ γής, πρός αϋλους σκηνάς, ένθα βλέπεις τό άφραστον κάλλος Χριστού, Αγγέλων τοίς στρατεύμασιν εφάμιλλος δειχθείς, διό σύν Αποστόλοις, καί Μάρτυσι χορεύων, εκτενώς τόν Σωτήρα, Πάτερ Νικόλαε ικέτευε.

Τριαδικόν

Συνάναρχα τρία, ομόθρονα μέν, αμερίστου μιάς δέ θεότητος, δοξάζω αυτεξούσια, τά πρόσωπα σαφώς, δι' ής εκ τού μή όντος, παρήχθην εις τό είναι, σύν Αγγέλοις κραυγάζων, Άγιος, Άγιος, Άγιος εί Κύριε.

Θεοτοκίον

Βροτών σωτηρία, καί πάντων ελπίς, η προφθάνουσα τάχος καί σώζουσα, οικτείρησον καί νύν ημάς, βοώμέν σοι Αγνή, τούς σέ προσκαλουμένους, αεί εν περιστάσει, προστασίαν γάρ ημείς, μετά Θεόν άλλην ουκ έχομεν.

Καταβασία

«Θεός ών ειρήνης, Πατήρ οικτιρμών, τής μεγάλης Βουλής σου τόν Άγγελον,

ειρήνην παρεχόμενον, απέστειλας ημίν, όθεν θεογνωσίας, πρός φώς οδηγηθέντες, εκ νυκτός ορθρίζοντες, δοξολογούμέν σε, Φιλάνθρωπε».

Τής Θεοτόκου

Ωδή ς' Ο Ειρμός

«Τόν Προφήτην Ιωνάν, εκμιμούμενος βοώ, τήν ζωήν μου αγαθέ, ελευθέρωσον φθοράς, καί σώσόν με, Σωτήρ τού κόσμου, κράζοντα, Δόξα σοι».

Προστασία τών πιστών, αθυμούντων χαρμονή, ευφροσύνης καί χαράς, έμπλησον πνευματικής, τούς δούλους σου, τούς πεποιθότας τή προστασία σου.

Ο υρανός ο λογικός, ό Ναός ο καθαρός, η αγία Κιβωτός, ό τερπνότατος Θεού, Παράδεισος, εν ώ τό ξύλον τής ζωής υμνείσθω μοι.

Τού Αγίου

Εν αβύσσω πταισμάτων

Ο τής νίκης Νικόλαε στέφανος, σού τή κορυφή αξίως επιτέθειται, ως νικητής ούν άριστος, τούς σέ προσκαλουμένους διάσωσον.

Νεκρωθέντα με Μάκαρ τοίς πταίσμασι, καί ταίς τών παθών τρικυμίαις ποντούμενον, επιφανείς διάσωσον, πρός λιμένα τού θείου θελήματος.

Θεοτοκίον

Επί σοί τάς ελπίδας ανέθηκα, Μήτερ αειπάρθενε τής σωτηρίας μου, καί σέ προστάτιν τίθημι, τής ζωής ασφαλή τε καί άσειστον.

Έτερον τού Αγίου

Σπλάγχνων Ιωνάν

Νέος Αβραάμ, εδείχθης Νικόλαε, ως μονογενή υιόν προσάξας τόν νούν, τώ Δεσπότη σου, αναιμάκτους θυσίας προσφέρων αεί, καντεύθεν ευλογήθης ως φιλόξενος, Πάτερ, καί Τριάδος γέγονας, οικητήριον θείον καί άμωμον.

Ξένα καί φρικτά, εργάζη τεράστια, εν πάση τή γή, καί εν θαλάσση μακράν, κινδυνεύουσι, ταχυδρόμοις λιταίς εφιστάμενος, ασθενούντων ιατρός, καί πτωχευόντων τροφεύς, νίκης τε λαού φερώνυμος, τού πιστού κατ' εχθρών αναδέδειξαι.

Όμματι νοός, προβλέπων τά μέλλοντα, δογμάτων ορθών, πάντας ενέπλησας, Ομοούσιον, τώ Πατρί τόν Υιόν καταγγείλας ημίν, καί Αρείου τήν μανίαν εξωλόθρευσας, στήλην ορθοδόξου πίστεως, τά σεπτά σου προσθείς κατορθώματα.

## Τριαδικόν

Σέβω καί τιμώ, Τριάδα αμέριστον, προσώποις τρισί διαιρουμένην αεί, ενουμένην δέ, τή ουσία καί φύσει ως μίαν αρχήν, τόν Πατέρα καί Υιόν καί Πνεύμα Άγιον, πάντων κραταιώς δεσπόζουσαν, καί τό πάν συντηρούσαν ως βούλεται.

## Θεοτοκίον

Κλίνας ουρανούς, εν μήτρα σου Πάναγνε, Χριστός βουληθεις, όλος εσκήνωσεν, ού γάρ έφερε, τών ιδίων χειρών τό πλαστούργημα, καθοράν υπό τού πλάνου τυραννούμενον, ήλθε δέ έν δούλου σχήματι, τό ανθρώπινον γένος λυτρώσασθαι.

## Καταβασία

«Σπλάγχνων Ιωνάν, έμβρυον απήμεσεν, ενάλιος θήρ, οίον εδέξατο, τή Παρθένω δέ, ενοικήσας ο Λόγος καί σάρκα λαβών, διελήλυθε φυλάξας αδιάφθορον, ής γάρ, ουχ υπέστη ρεύσεως, τήν τεκούσαν, κατέσχεν απήμαντον».

## Κοντάκιον Ήχος γ'
## Η Παρθένος σήμερον

Εν τοίς Μύροις Άγιε, ιερουργός ανεδείχθης, τού Χριστού γάρ Όσιε, τό Ευαγγέλιον πληρώσας, έθηκας τήν ψυχήν σου υπέρ λαού σου, έσωσας τούς αθώους εκ τού θανάτου, διά τούτο ηγιάσθης, ως μέγας μύστης Θεού τής χάριτος.

## Ο Οίκος

Ανυμνήσωμεν νύν τόν Ιεράρχην άσμασι, τόν εν Μύροις λαοί ποιμένα καί διδάσκαλον, ίνα ταίς πρεσβείαις αυτού ελλαμφθώμεν, ιδού γάρ ώφθη όλος καθάρσιος, ακήρατος πνεύματι, Χριστώ προσάγων θυσίαν άμωμον, τήν ειλικρινή καί Θεώ ευπρόσδεκτον, ως ιερεύς κεκαθαρμένος τή ψυχή καί τή σαρκί, όθεν υπάρχει αληθώς, τής Εκκλησίας προστάτης, καί υπέρμαχος ταύτης, ως μέγας μύστης Θεού τής χάριτος.

## Συναξάριον

Τή ς' τού αυτού μηνός, Μνήμη τού εν Αγίοις Πατρός ημών Νικολάου, Αρχιεπισκόπου Μύρων τής Λυκίας τού θαυματουργού.

## Στίχοι

- Ο Νικόλαος, πρέσβυς ών εν γή μέγας,
- Καί γής αποστάς είς τό πρεσβεύειν ζέει.
- Έκτη Νικόλεώ γε φάνη βιοτοιο τελευτή.

Μνήμη τού Αγίου Νεομάρτυρος Νικολάου τού Καραμάνου τού εν Σμύρνη μαρτυρήσαντος κατά τό 1657 έτος.

Τή αυτή ημέρα, Μνήμη τής μετά φιλανθρωπίας επενεχθείσης ημίν φοβεράς απειλής τού σεισμού.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον καί σώσον ημάς. Αμήν.

Τής Θεοτόκου

Ωδή ζ' Ο Ειρμός
«Η κάμινος Σωτήρ εδροσίζετο, οι Παίδες δέ χορεύοντες έψαλλον, Ευλογητός εί Κύριε ό Θεός ο τών Πατέρων ημών».

Ο Ύψιστος Παράδεισον έμψυχον, Παστάδα τε Αγνή χαριτόπλοκον, χρυσόμορφον Πορφύραν, καί Ουρανόν σε ανέδειξε.

Στερέωσον τόν νούν μου τρεπόμενον, τόν λογισμόν κλονούμενον έδρασον εν ασαλεύτω με πέτρα, τή σή σκέπη Μητροπάρθενε.

Τού Αγίου

Εικόνος χρυσής
Ξυρώ πειρασμών, περιπέπτωκα δεινώς κατακεντούμενος, καί πύλαις άδου προσεπέλασα, ταίς αθυμίαις βαλλόμενος, σώσόν με πρεσβείαις σου Μάκαρ, καί ανάστησον ψάλλοντα, Ευλογητός εί ό Θεός, ο τών Πατέρων ημών.

Αδύτου φωτός ταίς αϋλοις αστραπαίς περιλαμπόμενος, τούς εν τώ σκότει τών θλίψεων, κεκακωμένους εξάρπασον, καί πρός φωτισμόν ευφροσύνης, καθοδήγησον ψάλλοντας, Ευλογητός εί ο Θεός ό τών Πατέρων ημών.
Θεοτοκίον
Δυσώπει Χριστόν, τόν Υιόν σου καί Θεόν Θεογεννήτρια, τούς πεπραμένους δεινοίς πταίσμασι, καί ταίς απάταις τού όφεως, αίματι αυτού τώ τιμίω, αναρρύσασθαι ψάλλοντας, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Έτερος τού Αγίου

Οί Παίδες ευσεβεία
Παντοίων χαλεπών τε νοσημάτων, ιατρός πανάριστος Πάτερ Νικόλαε, φανείς, τής ψυχής μου τήν ασθένειαν, ιασάμενος παράσχου ευρωστίαν βοάν, Ο τών Πατέρων, Θεός ευλογητός εί.

Ρυσάμενος τούς πάλαι στρατηλάτας, εκ θανάτου Άγιε τούτους διήγειρας, υμνείν, καί δοξάζειν τόν Σωτήρα Χριστόν, μετά πίστεως θερμής καί ανακράζειν σοι, Σέ ανευφημούμεν, σοφέ ώς ευεργέτην.

Σοφίας τώ κρατήρι πλησιάσας, μυστικώς τά χείλη σου Πάτερ Νικόλαε, κρουνούς αμβροσίας ένθεν ήντλησας, υπέρ μέλι καί κηρίον τοίς λαοίς εκβοών, Ο τών Πατέρων, Θεός ευλογητός εί.
Τριαδικόν
Τριάς σέ ανυμνούμεν τρισαγία, καί Μονάς τριλαμπεστάτη ομοούσιε, Πατήρ ο Υιός καί Πνεύμα Άγιον, εν οίς πάντες βαπτισθέντες αναμέλπομεν, Ο τών

Πατέρων, Θεός ευλογητός εί.

Θεοτοκίον

Εκ πάντων δεχομένη τάς δεήσεις, Θεοτόκε πρέσβευε, τώ σώ Υιώ καί Θεώ, λυτρωθήναι τής κολάσεως, τούς τιμώντάς σε κυρίως καί κραυγάζοντας, Ο τών Πατέρων, Θεός ευλογητός εί.

Καταβασία

«Οι Παίδες ευσεβεία συντραφέντες, δυσσεβούς προστάγματος καταφρονήσαντες, πυρός απειλήν ουκ επτοήθησαν, αλλ' εν μέσω τής φλογός, εστώτες έψαλλον, Ο τών Πατέρων Θεός ευλογητός εί».

Τής Θεοτόκου

Ωδή η' Ο Ειρμός

«Ον φρίττουσιν Άγγελοι, καί πάσαι στρατιαί, ως Κτίστην καί Κύριον, υμνείτε Ιερείς, δοξάσατε Παίδες, ευλογείτε Λαοί, καί υπερυψούτε, είς πάντας τούς αιώνας».

Ως έμψυχος θάλαμος, καί έμπνους αλουργίς, χλαμύς αλουργόχροος, τώ πάντων Βασιλεί, εδείχθης Παρθένε, καί πορφύρα έξ ής, η σάρξ συνεξυφάνθη, τού θεανθρώπου Λόγου.

Συνέλαβες Άχραντε, τόν άπασαν δρακί, τήν κτίσιν συνέχοντα, ως Κτίστην καί Θεόν, αρρήτως αφράστως, δι' ημάς καθ' ημάς, βροτόν γεγονότα, καί ό ήν μή εκστάντα.

Τού Αγίου

Τόν εν καμίνω τού πυρός

Ως ευμενής καί συμπαθής, τούς εν βάθει πειρασμών περισχεθέντας, ελευθέρωσον μάκαρ, τών κατεχόντων δεινών, τήν λύσιν βραβεύων πρεσβείαις σου, ταίς πρός τόν Σωτήρα, Χριστόν Ιερομύστα.

Μυσταγωγός τών υπέρ νούν, τών Αγίων λειτουργός καί ουρανίων, χρηματίζων θεόφρον αρχιερεύς τε πιστός, πταισμάτων τήν άφεσιν αίτησαι, παρά τού Σωτήρος, ημών Ιεροφάντα.

Θεοτοκίον

Εξασθενεί μου νύν ό νούς, είς τά βάθη εμπεσων τής ατιμίας, ώς εντεύθεν ποικίλοις, περιπαρήναι κακοίς, αλλά σύ Παρθένε θεράπευσον, τώ τής απαθείας, φωτί περιβαλούσα.

Έτερος τού Αγίου

Θαύματος υπερφυούς

Τάγματα Πατριαρχών καί Αποστόλων, Ιερέων τε Μαρτύρων δήμοι, Προφητών ό σύλλογος, άπας δήμος τών Ασκητών, μακαρίζουσι τήν θείαν

πολιτείαν σου, μεθ' ών καί ημείς παρακαλούμέν σε, Μή ελλίπης δυσωπών αεί τόν Κύριον, διαφυλαχθήναι, ημάς έκ πάσης βλάβης.

Ύψιστε Παμβασιλεύ μεγαλοκράτορ, ταίς ευχαίς τού Οσίου ποιμένος, τήν ζωήν ειρήνευσον, πάντων Λόγε Χριστιανών, χορηγών κατά βαρβάρων ευσεβεί βασιλεί, τήν νίκην καί τήν ισχύν δεόμεθα, ίνα πάντες αεί υμνώμεν τό κράτος σου, καί υπερυψώμεν, είς πάντας τούς αιώνας.

Φωτί ελλαμφθείς τώ απροσίτω Πάτερ, τάς ψυχάς τών εν θλίψει αυγάζεις, διαλύων άπαντα, ζόφον σκότους τών πειρασμών, απαστράπτων τε ακτίνας ευφροσύνης αεί, εν αίς τηλαγώς καταλαμπόμενοι, Ευλογείτω, βοώμεν η κτίσις τόν Κύριον, καί υπερυψούτω, είς πάντας τούς αιώνας.

Τριαδικόν

Ζωήν καί ζωάς καί έν και τρία φώτα, τήν Τριάδα πιστώς ανυμνούμεν, πατρικαίς επόμενοι θείαις όντως ταίς διδαχαίς, τόν Πατέρα καί Υιόν καί Πνεύμα Άγιον, μεθ' ών ευσεβούντες αναμέλψωμεν, Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Πράγματος ξενοπρεπούς η Βάτος τύπον, προεικόνισεν άχραντε Κόρη, καιομένη άφλεκτος, πάλαι ορειεντώ Σινά, τό Μυστήριον τού τόκου σου προγράφουσα, τό πύρ γάρ εν σοί τό τής θεότητος, ενοικήσαν, αλώβητόν σε τετήρηκε, διό σε υμνούμεν, εις πάντας τούς αιώνας.

Καταβασία

«Θαύματος υπερφυούς η δροσοβόλος, εξεικόνισε κάμινος τύπον, ου γάρ ούς εδέξατο φλέγει Νέους, ώς ουδέ πύρ τής θεότητος, Παρθένου ήν υπέδυ νηδύν, διό ανυμνούντες αναμέλψωμεν, Ευλογείτω η Κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας».

Τής Θεοτόκου

Ωδή θ'  Ο Ειρμός

«Τήν ζωοδόχον Πηγήν τήν αέναον, τήν φωτοφόρον Λυχνίαν τήν πάγχρυσον, τόν Ναόν τόν έμψυχον, τήν Σκηνήν τήν άχραντον, τού ουρανού καί τής γής τήν πλατυτέραν, τήν Θεοτόκον οι πιστοί μεγαλύνομεν».

Ρείθρω τής σής με κατάρδευσον χάριτος, τών συμφορών τώ φλογμώ φλογιζόμενον, καί δεινώς τηκόμενον, Πηγή χαριτόβρυτε, τόν Ποταμόν η τεκούσα τών χαρίτων, εξ ού ο πίνων διψήσει ουδέποτε, Ως τού Νυμφίου ωραίόν τε θάλαμον, ως τού Δεσπότου Παλάτιον έμψυχον, ως Πορφύραν πάγχρυσον, καί τερπνόν Ανάκτορον, τού Χριστού Δέσποινα πάντων, καθικετεύοντά σε σώσόν με.

Τού Αγίου

Ανάρχου Γεννήτορος

Λαμπάσι τής χάριτος, θεόφρον φωτιζόμενος, καί φωστήρ ευσεβείας, σαφώς γενόμενος, τούς εν πειρασμοίς διασώζεις, τούς εν βυθώ θαλάσσης λυτρούσαι, καί τρέφεις λιμώττοντας, παραδόξως Παμμακάριστε.

Ο εν Παραδείσω, τής τρυφής νύν αυλιζόμενος, καί τήν άφραστον δόξαν τρανώς Θεώμενος, εκ τών ουρανίων αψίδων, τούς υμνητάς τούς σούς εποπτεύοις, παθών εκλυτρούμενος, θεοφόρε παμμακάριστε.

Θεοτοκίον

Σοφίαν καί δύναμιν, καί Λόγον ενυπόστατον, τού Πατρός Θεομήτορ, Αγνή γεγέννηκας, εκ τών σών αχράντων αιμάτων, τόν έαυτής ναόν προσλαβούσαν, καί τούτω καθ' ένωσιν, ενωθείσαν αδιάρρηκτον.

Έτερος τού Αγίου

Μυστήριον ξένον

Χορεύσατε πνεύματι, πάντες φιλέορτοι, ουρανοί ευφραίνεσθε, Όρη τε καί Βουνοί, Εκκλησίαι, καί Παρθένων, Ασκητών τε χοροί, φαιδρώς εν τή μνήμη τού Παμμάκαρος, εν ή συνελθόντες, τόν Σωτήρα μεγαλύνωμεν.

Ψαλάτωσαν ύμνοις, τά πέρατα άπαντα, εγκωμίων στέμμασι, πάντες τήν κορυφήν Νικολάου, τού θείου κοσμούντες σαφώς, τού θεράποντος Χριστού τού Θεού, δι' ού εκ παθών τε καί κινδύνων λυτρωθείημεν.

Ως άξιον δέχου, τόν ύμνον Νικόλαε, τού μικρού πονήματος, τούτου ώσπερ Χριστός, προσεδέξατο τής χήρας τά δύω λεπτά, μή βδελύξη τήν εγχείρησιν, Ποθών ού κομπάζων γάρ, Τρισμάκαρ κατετόλμησα.

Τριαδικόν

Ενίζεται ομοουσίω θελήματι, η Τριάς μερίζεται, πάλιν προσωπικώς αμερίστως, συντηρούσα τό κράτος αεί, ο Πατήρ, ο Υιός καί Πεύμα τό ζών, ο είς τρισυπόστατος Θεός, όν μεγαλύνομεν.

Θεοτοκίον

Διέσωσται πάσα, η κτίσις τώ τόκω σου, καί αφείλε Κύριος, θρήνον καί οδυρμόν, καί πάν δάκρυον, εκ παντός προσώπου Αγνή, Θεοτόκε παναμώμητε εν σοί, καί ημείς τάς οφειλάς αποδιδόαμεν.

Καταβασία

«Μυστήριον ξένον, ορώ καί παράδοξον! ουρανόν τό Σπήλαιον, θρόνον Χερουβικόν, τήν Παρθένον, τήν φάτνην χωρίον, εν ώ ανεκλήθη ο αχώρητος, Χριστός ο Θεός, όν ανυμνούντες μεγαλύνομεν».

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Τόν μέγαν αρχιποίμενα, καί Ιεράρχην άπαντες, τόν πρόεδρον τών Μυρέων, Νικόλαον ευφημούμεν, πολλούς γάρ άνδρας έσωσεν, αδίκως θνήσκειν μέλλοντας, καί Βασιλεί οπτάνεται, σύν Αβλαβίω κατ' όναρ, λύων τήν άδικον ψήφον.

Όμοιον

Μεγάλως σε εδόξασεν, έν θαύμασιν ο Κύριος, καί ζώντα καί μετά τέλος, Νικόλαε Ιεράρχα, τίς γάρ εξ όλης πίστεως, μόνον επεκαλέσατο, τό αγιόν σου όνομα, καί ούκ ευθύς εισηκούσθη, θερμόν προστάτην ευρών σε;

Θεοτοκίον

Σοφίαν ενυπόστατον, καί Λόγον υπερούσιον, καί ιατρόν τών απάντων, Χριστόν τεκούσα Παρθένε, τά έλκη καί τά τραύματα, τής ψυχής μου θεράπευσον, τά χαλεπά καί χρόνια, καί τής καρδίας μου παύσον, τάς απρεπείς ενθυμήσεις.

Εις τούς Αίνους, ιστώμεν Στίχ, δ' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'

Τών ουρανίων ταγμάτων

Τής Εκκλησίας τά άνθη, περιϊπτάμενος, ως νεοττός τής άνω, καλιάς τών Αγγέλων, Νικόλαε τρισμάκαρ, κράζεις αεί, πρός τόν Θεόν υπέρ πάντων ημών, τών εν ανάγκαις κινδύνων καί πειρασμών, καί λυτρούσαι ταίς πρεσβείαις σου.

Τής ιεράς διπλοϊδος, τήν ωραιότητα, ταίς πρακτικαίς ειργάσω, αρεταίς λαμπροτέραν, Πάτερ θεοφόρε, όθεν ημίν, ιερουργείς τά τεράστια, τών αοιδίμων θαυμάτων ιερουργέ, τών δεινών ημάς λυτρούμενος.

Τών αθεάτων τά κάλλη, περιεχόμενος, τήν φοβεράν εκείνην, κατενόησας δόξαν, Άγιε αγίων, όθεν ημίν, τά ουράνια λόγια, τών αειζώων εκείνων θεωριών, αναγγέλλεις Ιερώτατε.

Ως εν ονείρω επέστης, τώ ευσεβεί Βασιλεί, καί τούς δεσμώτας Πάτερ, εκ θανάτου ερρύσω, πρέσβευε απαύστως, όπως καί νύν, ταίς ευχαίς σου ρυσθείημεν, εκ πειρασμών καί κινδύνων καί οδυνών, οι αξίως ευφημούντές σε.

Δόξα... Ήχος πλ. α'

Σαλπίσωμεν εν σάλπιγγι ασμάτων, σκιρτήσωμεν εόρτια, καί χορεύσωμεν αγαλλόμενοι, τή ετησίω πανηγύρει τού θεοφόρου Πατρός, Βασιλείς καί Άρχοντες συντρεχέτωσαν, καί τόν δι' Ονείρου φρικτής επιστασίας, Βασιλέα πείθοντα, αναιτίους κρατουμένους τρείς, απολύσαι στρατηλάτας, ανυμνείτωσαν, Ποιμένες καί Διδάσκαλοι, τόν τού καλού Ποιμένος, ομόζηλον Ποιμένα, συνελθόντες εύφημήσωμεν, οι εν νόσοις τόν ιατρόν, οι εν κινδύνοις τόν ρύστην, οι αμαρτωλοί τόν προστάτην, οι πένητες τόν θησαυρόν, οι εν θλίψεσι τήν παραμυθίαν, τόν συνοδίτην οι οδοιπόροι, οι εν θαλάσση τόν κυβερνήτην, οι πάντες τόν πανταχού θερμώς προφθάνοντα, μέγιστον Ιεράρχην, εγκωμιάζοντες ούτως είπωμεν, Πανάγιε Νικόλαε, πρόφθασον, εξελού ημάς τής ενεστώσης ανάγκης, καί σώσον τήν ποίμνην σου ταίς ικεσίαις σου.

Καί νύν… Θεοτοκίον ο αυτός

Σαλπίσωμεν εν σάλπιγγι ασμάτων, προκύψασα γάρ άνωθεν, η παντάνασσα Μητροπάρθενος, ταίς ευλογίαις καταστέφει τούς ανυμνούντας αυτήν, Βασιλείς καί Άρχοντες συντρεχέτωσαν, καί τήν Βασιλίδα κροτείτωσαν εν ύμνοις, Βασιλέα τέξασαν, τούς θανάτω κρατουμένους πρίν, απολύσαι φιλανθρώπως ευδοκήσαντα, Ποιμένες καί Διδάσκαλοι, τήν τού καλού Ποιμένος, υπέραγνον Μητέρα, συνελθόντες ευφημήσωμεν, τήν Λυχνίαν τήν χρυσαυγή, τήν φωτοφόρον Νεφέλην, τήν τών ουρανών πλατυτέραν, τήν έμψυχόν τε Κιβωτόν, τόν πυρίμορφον τού Δεσπότου θρόνον, τήν μανναδόχον χρυσέαν Στάμνον, τήν κεκλεισμένην τού Λόγου πύλην, τήν πάντων Χριστιανών τό καταφύγιον, άσμασι θεηγόροις, εγκωμιάζοντες ούτως είπωμεν, Παλάτιον τού Λόγου, αξίωσον τούς ταπεινούς ημάς, τής ούρανών Βασιλείας, ουδέν γάρ αδύνατον τή μεσιτεία σου.

Δοξολογία μεγάλη, καί Απόλυσις.

Δίδοται καί Άγιον Έλαιον τοίς Αδελοίς, εκ τής κανδήλας, τού Αγίου, ψαλλομένων τών Ιδιομέλων.

Ήχος πλ. β' τού Σεργίου

Εύ δούλε αγαθέ, καί πιστέ εύ εργάτα τού αμπελώνος Χριστού, σύ καί τό βάρος τής ημέρας εβάστασας, σύ καί τό δοθέν σοι τάλαντον επηύξησας, καί τοίς μετά σέ ελθούσιν ουκ εφθόνησας, Διό πύλη σοι ουρανών ηνέωκται, είσελθε εις τήν χαράν τού Κυρίου σου, καί πρέσβευε υπέρ ημών, Άγιε Νικόλαε.

Ήχος πλ. δ'

Εις αίνον έδραμες τού Κυρίου Νικόλαε, εν τή προσκαίρω ζωή, καί αυτός σε εδόξασεν, εν τή επουρανίω, καί όντως ζωή, Διό παρρησίαν κεκτημένος πρός αυτόν, ικέτευε σωθήναι τάς ψυχάς ηιών.

Δόξα… Ο αυτός

Των ανδραγαθημάτων σου, Όσιε Πάτερ, ο καρπός εφαίδρυνε τών πιστών τάς καρδίας, τίς γάρ ακούων τήν άμετρόν σου ταπείνωσιν, τήν υπομονήν ουκ εθαύμασε; τήν πρός τούς πένητας ιλαρότητα; θλιβομένων τό συμπαθές; πάντας θεοπρεπώς εδίδαξας, Ιεράρχα Νικόλαε, καί νύν τόν αμαράντινον αναδησάμενος στέφανον, πρέσβευε υπέρ τών ψυχών ημών.

Καί νύν…

Δέσποινα πρόσδεξαι, τάς δεήσεις τών δούλων σου, καί λύτρωσαι ημάς, από πάσης ανάγκης καί θλίψεως.

Εις τήν Λειτουργίαν, τά Τυπικά, καί από τού Κανόνος, Ωδή γ' καί ς'.

---

Αρχή

## ΤΗ Ζ’ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Αμβροσίου, Επισκόπου Μεδιολάνων.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς’ καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α’
Τών ουρανίων ταγμάτων

Ηγεμονίας τόν θρόνον, κατακοσμών αρεταίς, εξ επιπνοίας θείας, τόν τής ιεραρχίας, προσφόρως εκομίσω, όθεν πιστός, οικονόμος τής χάριτος, εν αμφοτέροις, Αμβρόσιε γεγονώς, διπλούν στέφανον κεκλήρωσαι.

Εν εγκρατεία καί πόνοις, καί αγρυπνίαις πολλαίς, καί προσευχαίς συντόνοις, τήν ψυχήν καί τό σώμα, εκάθηρας θεόφρον, σκεύος λοιπόν, εκλογής τώ Θεώ ημών, τοίς Αποστόλοις ωσαύτως αναδειχθείς, υπεδέξω τά χαρίσματα.

Τόν ευσεβή Βασιλέα, ημαρτηκότα ποτέ, ως τόν Δαυϊδ ό Νάθαν, παρρησία ελέγξας, Αμβρόσιε παμμάκαρ, τούτον σαφώς, αφορισμώ καθυπέβαλες, καί μετανοία παιδεύσας θεοπρεπώς, συνηρίθμησας τή Ποίμνη σου.

Έτερα Στιχηρά Προσόμοια
Ήχος πλ. α’ Όσιε Πάτερ

Όσιε Πάτερ, Ιερώτατε Αμβρόσιε, η Λύρα φωνούσα, μέλος σωτήριον, δογμάτων ορθοδόξων πάσιν ημίν, η καταθέλγουσα πιστών τάς ψυχάς, εύηχος Κιθάρα τού θείου Παρακλήτου, τό μέγα Όργανον τού Θεού, η αξιέπαινος Σάλπιγξ τής Εκκλησίας, διειδεστάτη τε Πηγή τών χαρισμάτων, εναποπλύνουσα ρύπον τών παθημάτων, Χριστόν ικέτευε, Χριστόν δυσώπει Όσιε, δωρηθήναι τή Εκκλησία, ομόνοιαν, ειρήνην, καί μέγα έλεος.

Όσιε Πάτερ, παμμακάριστε Αμβρόσιε, Συνόδου θεοφόρων, μέσον Γιατέρων οφθείς, εν δύο ταίς ουσίαις ένα Υιόν, σάρκα γενόμενον κηρύττεις τρανώς, εξ απειρογάμου υμίν επιφανέντα, τόν ομοούσιον τώ Πατρί, καί συναϊδιον τούτου καί συμφυή, όθεν τήν βλάσφημον Αρείου γλωσσαλγίαν, εναπεμώρανας, τού Πνεύματος δυνάμει, Χριστόν ικέτευε, Χριστόν δυσώπει Όσιε, δωρηθήναι τή Εκκλησία, ομόνοιαν, ειρήνην, καί μέγα έλεος.

Όσιε Πάτερ, αξιάγαστε Αμβρόσιε, ευρούσα ώς επόθει, τήν καθαράν σου ψυχήν, τού Πνεύματος η χάρις τού Παναγίου, εν σοί εσκήνωσεν ώς άδυτον φώς, ού τή ενεργεία, τά πνεύματα τής πλάνης, αποδιώκεις διαπαντός, καί θεραπεύεις τάς νόσους καί μαλακίας, τών προσιόντων σοι απλότητι καρδίας, καί εκτελούντων σου, τήν μνήμην τήν φωσφόρον, Χριστόν ικέτευε, Χριστόν δυσώπει Όσιε, δωρηθήναι τή Εκκλησία, ομόνοιαν, ειρήνην, καί μέγα έλεος.

Δόξα… Καί νύν… Θεοτοκίον

Τίνι ψυχή μου, εξωμοίωσαι προκόπτουσα, εις χείρω καθ’ εκάστην, καί προστιθείσα αεί, σοίς μώλωψιν ευήθως τραύματα πλείω, ως ολοσώματος γενέσθαι πληγή, μή ενθυμουμένη, ως ο Κριτής εγγίζει, ώ παραστήση απολαβείν, κατά τάς πράξεις ευθύνας καί τιμωρίας; αλλ’ επιστρέψασα,

πρόσπεσον τή Παρθένω, κράζουσα, Δέσποινα, πάναγνε μή παρίδης, τόν παροργίσαντα Θεόν τόν ευσυμπάθητον, τόν εκ σού διά σωτηρίαν, τών βροτών γεννηθέντα, δι’ ευσπλαγχνίαν πολλήν.

Η Σταυροθεοτοκίον

Ότε τόν βότρυν, αφυτεύτως όν ώς άμπελος, εβλάστησας, κατείδες ξύλω κρεμάμενον, νυττόμενόν τε λόγχη θείαν πλευράν, Τί τούτο, έλεγες, Υιέ καί Θεέ; πώς ο νόσους πάσας, καί πάθη θεραπεύων, πάθος υφίστασαι, απαθής κατά φύσιν υπάρχων τήν θεϊκήν; τί σοι αχάριστος λαός τώ ευεργέτη, ταύτα απέδωκεν αντ’ ευεργετημάτων; Παρθένε άχραντε, αλλά τοίς τούτου πάθεσι, τών παθών με ελευθερώσαι, εκδυσώπει απαύστως, όπως δοξάζω σε.

Απολυτίκιον Ήχος δ’

Κανόνα πίστεως καί εικόνα πραότητος, εγκρατείας Διδάσκαλον, ανέδειξέ σε τή ποίμνη σου, η τών πραγμάτων αλήθεια, διά τούτο εκτήσω τή ταπεινώσει τά υψηλά, τή πτωχεία τά πλούσια, Πάτερ Ιεράρχα Αμβρόσιε, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, οι Κανόνες τής Οκτωήχου, καί τού Αγίου εις ς’, ού η Ακροστιχίς.

Τόν παμμέγιστον Αμβρόσιον αινέσω. Ιωσήφ.

Ωδή α’ Ήχοςδ’

«Θαλάσσης τό ερυθραίον πέλαγος, αβρόχοις ίχνεσιν, ο παλαιός πεζεύσας Ισραήλ, σταυροτύποις Μωσέως χερσί, τού Αμαλήκ τήν δύναμιν, εν τή ερήμω ετροπώσατο».

Ταίς θείαις φωτοχυσίαις Όσιε, καταστραπτόμενος, τήν φωτοφόρον ταύτην καί φαιδράν, καί αγίαν σου κοίμησιν, τούς ευσεβώς γεραίροντας, σαίς ικεσίαις φωταγώγησον.

Ο Λόγος ο τού Θεού σοφίας σοι, λόγον δεδώρηται, κεκοσμημένον γλώσση αληθεί, ιεράρχα Αμβρόσιε, αιρετιζόντων άλλον, απορραπίζοντα κακόνοιαν.

Νοός σου τό οπτικόν Πανόλβιε, προκαθηράμενος, τής τών παθών αχλύος δεκτικόν, καθαρών επιλάμψεων, τού Παναγίου Πνεύματος, προαπειργάσω Παμμακάριστε.

Πανσόφοις καί ιεροίς σου δόγμασι, τήν αρειόφρονα, αποδιώξας λύμην ως ποιμήν, επί χλόην εποίμανας, Ορθοδοξίας Πάνσοφε, τά λογικά σου πίστει θρέμματα.

Θεοτοκίον

Ασπόρως τώ τού Πατρος βουλήματι, εκ θείου Πνεύματος, τόν τού Θεού συνείληφας Υιόν, καί σαρκί απεκύησας, τόν εκ Πατρός αμήτορα, καί δι' ημάς εκ σού απάτορα.

Έτερος Κανών τού αυτού, οδή Ακροστιχίς.

Θείου Αμβροσίου μέγα κλέος άσμασι μέλπω. Θεοφάνους.

Ωδή α' Ήχος πλ. δ'

«Η κεκομμένη, τήν άτομον έτεμε, καί είδεν ήλιος γήν, ήν ουκ εθεάσατο, αλάστορα εχθρόν τό ύδωρ κατεπόντισε, καί άβατον δι, ήλθεν Ισραήλ, ώ δή δέ ανεμέλπετο, Τώ Κυρίω άσωμεν, ενδόξως γάρ δεδόξασται».

Θείω φωτί σου, υπέρλαμπρε Ίλιε, τής αμαρτίας μου, τήν αχλύν απέλασον, οικτείρεις γάρ ψυχάς, τή εμφύτω ευσπλαγχνία σου, καί σκότους απαλάττεις τών παθών, τή μόνη ευμενία σου, Παντοκράτορ Κύριε, ο μόνος ευδιάλλακτος.

Επί τώ κάλλει, τών θείων δογμάτων σου, η Εκκλησία φαιδρώς, ωραϊζεται, καί πίστει ασφαλεί, πεποιλκιμένη δείκνυται, καί όλη ως πλησίον καί καλή, εκ δεξιών παρίσταται, ορθοδόξως λάμπουσα, τής δόξης τού νυμφίου Χριστού.

Ιερωσύνης, τοίς όπλοις στομούμενος, καί θεία δόξη τόν νούν, Πάτερ ελλαμπόμενος, ως μάχαιρα πιστών εστιλβωμένη δείκνυσαι, καί σάλπιγξ τής ευσήμου Εορτής, τά θράση τών αιρέσεων, τμητικώς συγκόπτουσα, καί πάντας διεγείρουσα.

Θεοτοκίον

Ο πρό αιώνων, Πατρί συναϊδιος, εκ σού Θεόνυμφε, σάρκα προσελάβετο καί φύσιν τών βροτών, Θεώσας συνεδόξασε, διό σε σωτηρίας αρχηγόν, καί κόσμου ιλαστήριον, Θεοτόκε Δέσποινα, πρός τόν εκ σού κεκτήμεθα.

Ωδή γ'

«Ουκ εν σοφία, καί δυνάμει καί πλούτω καυχώμεθα, αλλ' εν σοί τή τού Πατρός, ενυποστάτω σοφία Χριστέ, ου γάρ εστιν άγιος, πλήν σου Φιλάνθρωπε».

Μεμυημένος, Ιεράρχης ως ένθεος Όσιε, πάσαν νόησιν Γραφής, τοίς αγνοούσιν Αμβρόσιε, Πάτερ τά δισέφικτα, τρανώς εσάφησας.

Μεγίστην χάριν, πρός Θεού δεδεγμένος καί δύναμιν, σής εσθήτος επαφή, ποικίλα πάθη Αμβρόσιε, Πάτερ εθεράπευσας, τών προσιόντων σοι.

Εν αφροσύνη, τήν πρός σέ τόν φρονήσει εμπρέποντα, πλησιάσαι τολμηρώς, μιαρωτάτην ορμήσασαν, θάττον εθανάτωσας, θείω προστάγματι.

Θεοτοκίον

Γένος ανθρώπων, εκαινούργησας μόνη κυήσασα, τόν τής φύσεως ημών, Δημιουργόν τε καί Κύριον, όθεν σε δοξάζομεν, Θεοχαρίτωτε.

Άλλος

Σύ εί τό στερέωμα

Ρείθρον εν καρδία σου, εκ τών τού Πνεύματος Όσιε, χαρισμάτων, βρύει καταρδεύον, τούς τής Πίστεως αύλακας.

Όλον απεκάθηρας, τό οπτικόν τού νού Όσιε, καί εις ύψος ήρθης, θεωρίας, τή ελλάμψει τού Πνεύματος.

Στέφεται τοίς λόγοις σου, ώσπερ τιμίοις λίθοις Σοφέ, η Εκκλησία, καί διαιωνίζει, τών πιστών βασιλεύουσα.

Θεοτοκίον

Ίλεων γενέσθαι μοι, τών εν πολλαίς παγέντι Αγνή, αμαρτίαις, τόν εκ σού τεχθέντα, ασιγήτως δυσώπησον.

Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Κάθισμα Ήχος δ’

Ο υψωθείς εν τώ Σταυρώ

Λόγους ζωής Πάτερ σοφέ κεκτημένος, τάς διανοίας τών πιστών καταρδεύεις, καί καρποφόρους χάριτι δεικνύεις αεί, τών αιρετιζόντων δέ, κατακλύζεις τάς φρένας, χάριν αναβλύζων τε, ιαμάτων εκπλύνεις, παθών παντοίων ρύπον αληθώς, ιερομύστα θεόφρον Αμβρόσιε.

Δόξα… Ήχος πλ. δ’

Τήν Σοφίαν καί Λόγον

Τόν Προφήτην Ηλίαν ζηλοτυπών, Ιωάννην ωσαύτως τόν Βαπτιστήν, ανδρείως διήλεγξας, Βασιλείς ανομήσαντας, ιεραρχίας θρόνον, ενθέως εκόσμησας, καί θαυμάτων πλήθει, τόν κόσμον επλούτησας, όθεν καί ταίς θείαις, συγγραφαίς κεχρημένος, πιστούς επεστήριξας, καί απίστους επέστρεψας, ιεράρχα Αμβρόσιε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Καί νύν… Θεοτοκίον

Τήν ουράνιον Πύλην καί Κιβωτόν, τό πανάγιον Όρος τήν φωταυγή, Νεφέλην υμνήσωμεν, τήν ουράνιον Κλίμακα, τόν λογικόν Παράδεισον, τής Εύας τήν λύτρωσιν, τής οικουμένης πάσης, τό μέγα Κειμήλιον, ότι σωτηρία, εν αυτή διεπράχθη, τού κόσμου καί άφεσις, τών πολλών εγκλημάτων, διά τούτο βοώμεν αυτή, Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς προσκυνούσιν εν πίστει, τόν άχραντον τόκον σου.

Η Σταυροθεοτοκίον

Εν τώ πάθει εστώσα τού σού Υιού, τώ Σταυρώ πλησιάζουσα μητρικώς, δακρύων προσχύσεσι, λουομένη εκραύγαζες, Οίμοι θείε Λόγε! πώς φέρεις

ραπίσματα, εμπτυσμούς καί μάστιγας, Σταυρόν καί τόν θάνατον, όμως υπέρ γένους, σωτηρίας βροτείου, εκών ταύτα υφίστασαι, Ούτω Σώτερ φιλάνθρωπε, η Θεοτόκος εβόα σοι, ήνπερ προβαλλόμενοι, σοί εις πρεσβείαν, Δέσποτα αιτούμεθα, ίνα πλουσίως παράσχης, ημίν τά ελέη σου.

Ωδή δ'

«Δι' αγάπησιν Οικτίρμον τής σής εικόνος, επί Σταυρού σου έστης, καί ετάκησαν έθνη, σύ γάρ εί φιλάνθρωπε, ισχύς μου καί ύμνησις».

Ιεράρχης ανεδείχθης χρισθείς τώ μύρω, τώ τής ιερωσύνης, τελειών ιερέας, πάσι τήν σωτήριον, δωρούμενος κάθαρσιν.

Συνετήρησας τήν ποίμνην εκ πάσης βλάβης, τών εναντίων Μάκαρ, καί Αρείου τήν πλάνην, πάσαν απημαύρωσας, τώ φέγγει τών λόγων σου.

Τή τού Πνεύματος δυνάμει τετειχισμένος, τά πονηρά διώκεις, τής κακίας Παμμάκαρ, πνεύματα μή φέροντα, τήν σήν επιτίμησιν.

Θεοτοκίον

Ο θελήματι τά πάντα δημιουργήσας, δημιουργείται θέλων, εξ αγνών σου αιμάτων, σώζων τούς ειδότας σε, αγνήν Θεομήτορα.

Άλλος

Εισακήκοα Κύριε

Ο λειμών τών δογμάτων σου, καί θεολαμπής σου βίος Πανεύφημε, ως συνθέσεως θυμίαμα, κατευωδιάζει τάς αισθήσεις ημών.

Ιερείον γενόμενος, καί ιερουργός καί κάρπωμα' Όσιε, πρακτικώς ωλοκαυτώθης Θεώ, καί προσήχθης θύμα τή τραπέζη Χριστού.

Ο ουράνιος Κύριος, εν τώ στερεώματι τώ τής Πίστεως, ως αστέρα σε κατέπηξε, δα δουχούντα κόσμον τοίς σοίς δόγμασι.

Θεοτοκίον

Μή τραπείς τή θεότητι, όλον εαυτόν ο Λόγος εκένωσε, καί ανθρώποις προσωμίλησεν, εκ σού σάρκα Κόρη προσλαβόμενος.

Ωδή ε'

«Σύ Κύριέ μου φώς, εις τόν κόσμον ελήλυθας, φώς άγιον επιστρέφον, εκ ζοφώδους αγνοίας, τούς πίστει ανυμνούντάς σε».

Νούν λάμποντα φωτί, τώ αϋλω κτησάμενος, απήστραψας ιαμάτων, καί θαυμάτων ακτίνας, , Αμβρόσιε μακάριε.

Ανήγειρας σαυτόν, ιερόν καταγώγιον, τού Πνεύματος καταλύσας, τούς ναούς τών ειδώλων, Αμβρόσιε θεόπνευστε.

Μεγίστων αρετών, φωταυγεία λαμπόμενον, ηδέσθησαν βασιλείς σε, καί τόν όρον τής γλώττης, τής σής ου παρεσάλευσαν.

Θεοτοκίον

Βουλήματι τό πάν, ο σοφώς εργαζόμενος, βουλόμενος αναπλάσαι, τούς ανθρώπους Παρθένε, τήν σήν γαστέρα ώκησεν.

Άλλος

Ίνα τί με απώσω

Εν τή θεία σου μνήμη, ιερέων θίασος Πάτερ αγάλλεται, καί πιστών χορείαι, σύν Αγγέλοις αϋλοις ευφραίνονται, καί τρυφά σκιρτώσα, πνευματικώς η Εκκλησία, εν τοίς λόγοις σου Πάτερ Αμβρόσιε.

Γεωργός ανεδείχθης, τέμνων τήν τής πίστεως ευθείαν άρουραν, καί διδασκαλίας, επισπείρων θεόσοφε δόγματα, καί αυξήσας στάχυν, καρποφορείς τή Εκκλησία, τόν ουράνιον άρτον τού Πνεύματος.

Αβραάμ τήν θυσίαν, καί τήν άμεμπτον πίστιν εχαρακτήρισας, Ισαάκ ως άλλον, τήν ψυχήν θυσιάσαι προθέμενος, τώ τού Κτίστου πόθω, καί μή τρωθείς τή απιστία, έχρημάτισας φίλος τού Κτίστου σου.

Θεοτοκίον

Κόσμου ούσα προστάτις Μήτερ άειπάρθενε, σύ με κυβέρνησον, καί οδήγησόν με, εις ευθείαν οδόν καί κατεύθυνον, πρός δικαιοσύνης τρίβους, ορθάς τόν λογισμόν μου, τής ψυχής τάς πορείας ιθύνουσα.

Ωδή ς'

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Ρώμη σου, ευφημεί τά σεπτά προτερήματα, φωτοειδής ως αστήρ γάρ, πανταχού θαυμάτων τάς λαμπηδόνας, Ιεράρχα, επαφήκας πιστώς θαυμαζόμενος.

Ορθρίσας, πρός Χριστόν ταίς εκείθεν λαμπρότησι, περιηυγάσθης πλουσίως, καί φωτός επλήσθης τού θειοτάτου, καί φωτίζεις, τούς πιστώς σε τιμώντας εκάστοτε.

Σώμά σου, καί ψυχήν τώ Θεώ καθιέρωσας, καί δεκτικήν απειργάσω, χαρισμάτων Πάτερ τήν σήν καρδίαν, ανενδότως, τώ γλυκίω προσέχουσαν έρωτι.

Θεοτοκίον

Ίασαι τής ψυχής μου Παρθένε τά τραύματα, επισκιάσει σου θεία, καί τόν νούν μου λάμπρυνον σκοτισθέντα, αμελεία, καί σκιά εχθρού πολεμήτορος.

Άλλος

Ιλάσθητί μοι Σωτήρ

Λαβών τού λόγου σοφέ, τό τάλαντον ως θεράπων πιστός, καί τή τραπέζη προθείς, επολλαπλασίασας, καί τούτο προσήγαγες, καθαρόν σύν τόκω' τώ Δεσπότη σου Αμβρόσιε.

Ελάμπρυνας τήν στολήν, τήν ιεράν εν τοίς πόνοις σου, καί ανεδείχθης ποιμήν, ποίμνης λογικής Σοφέ, ήν τή βακτηρία σου, τής διδασκαλίας εις μονάς ελαύνεις πίστεως.

Ο ζήλός σου Ηλιού, ζήλον μιμείται Μακάριε, βασιλέα γάρ πιστόν, χρανθέντα τοίς αίμασιν, ελέγξας απήλασας, θείων περιβόλων, τό αιδέσιμον φυλάττων Θεού.

Θεοτοκίον

Σκέπην καί καταφυγήν, καί τείχος όντως ακράδαντον, η πόλις σου σέ πιστώς, κεκτημένη Δέσποινα, δυσχερών εκ θλίψεων, καί κινδύνων πάντων, εκλυτρούσαι ταίς πρεσβείαις σου.

Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι πρός σέ γάρ εβόησα, καί επακουσόν μου, ο Θεός τής σωτηρίας μου».

Κοντάκιον Ήχος γ'

Θείας πίστεως

Θείοις δόγμασι περιαστράπτων, απημαύρωσας Αρείου πλάνην, Ιερομύστα καί ποιμήν Αμβρόσιε, θαυματουργών δέ δυνάμει τού Πνεύματος, πάθη ποικίλα σαφώς εθεράπευσας, Πάτερ Όσιε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Ζ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Αμβροσίου, Επισκόπου Μεδιολάνων.

Στίχοι

- Τό φθαρτόν Αμβρόσιος εκδύς σαρκίον,
- Θείας μετέσχεν αμβροσίας αξίως.
- Εβδόμη Αμβρόσιος ποτί άμβροτον ήλυθεν ούδας.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Αθηνοδώρου.

Στίχοι

- Χαίρων Αθηνόδωρος, ει τμηθή ξίφει,
- Αφηρέθη τό πνεύμα καί πρό τού ξίφους.

Τή αυτή ημέρα, ό Άγιος Νεόφυτος, εν τή θαλάσση βληθείς, τελειούται.

Στίχοι

- θανών ο Νεόφυτος υδάτων μέσον,
- Παρ υδάτων ζή μυστικών διεξόδους.

Τή αυτή ημέρα, ό Άγιος Δομέτιος, ξίφει τελειούται.

Στίχοι

- Δός Δομέτιε Χριστομάρτυς καί λάβε.
- Δός τήν κεφαλήν, καί λάβε στέφος μέγα.

Τή αυτή ημέρα, οι Άγιοι Ισίδωρος, Ακεψιμάς, καί Λέων πυρί τελειούνται.

Στίχοι

- Διττοίς συνάθλοις Ισίδωρε συμφλέγου,
- Ίσων γάρ αυτοίς δωρεών Θεού τύχης.

Τή αυτή ημέρα, ο Άγιος Αμμούν, Επίσκοπος Νητρίας, εν ειρήνη τελειούται.

Στίχοι

- Αμμούν πατρός κατείδες Νητρία τρία,
- Κόσμου φυγήν, άσκησιν, έξοδον βίου.

Τή αυτή ημέρα, οι Άγιοι Μάρτυρες, Γαϊανός καί Γάϊος, πυρί τελειούνται.

Στίχοι

- Άν καί καμίνου Γάϊε βληθής μέσον,
- Σού Γαϊανός ουκ αφέξομαι λέγει.

Τή αυτή ημέρα, οι Άγιοι τριακόσιοι Μάρτυρες, οι εν Αφρική, ξίφει τελειούνται.

Στίχοι

- Δόξης υπέρ σής, ώ Τριάς, τετμημένην,
- Διπλοτριπλήν δέχου με εξηκοντάδα.

Τή αυτή ημέρα, ο Όσιος, Ιγνάτιος, ο πλησίον τών Βλαχερνών κείμενος, εν ειρήνη τελειούται.

Στίχοι

- Πλήρης απήλθες πράξεων χρηστών Πάτερ,
- Εκ τού ματαίου καί κακών πλήρους βίου.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου πατρός ημών Παύλου Μοναχού, τού υποτακτικού.

Τή αυτή ημέρα, Μνήμη τών αγίων Μαρτύρων Πρίσκου, Μαρτίνου καί Νικολάου, ών ο μέν λιμώ, ο δέ πέλεξι κατακοπείς, ο δέ τρίτος διά πυρός, ετελειώθησαν, Η δέ σύναξις αυτών τελείται πλησίον τού τείχους τών Βλαχερνών.

Στίχοι

- Λιμώ θανόντα Πρίσκον άρτου γηΐνου,
- Ο Χριστός άρτον ψωμιεί τών Αγγέλων.
- Πέλεξι συγκόπτουσι Μαρτίνου κρέα,
- Κρεών μακέλλαις δυσσεβείς ανθρωπίνων.
- Εξήλθε δόγμα δαίμοσι πλάνης θύειν,
- Οίς, Νικόλαε, μή θύων, εις πύρ θύη.

Τή αυτή ημέρα, τά Εγκαίνια τής Υπεραγίας Θεοτόκου, εν τοίς Κουράτορος.

Ής ταίς αγίαις πρεσβείαις, ο Θεός, ελέησον καί σώσον ημάς Αμήν.

Ωδή ζ'

«Εν τή καμίνω, Αβραμιαίοι Παίδες τή Περσική, πόθω ευσεβείας μάλλον ή τή φλογί, πυρπολούμενοι εκραύγαζον, Ευλογημένος εί, εν τω ναώ τής δόξης σου Κύριε».

Ο θείος φθόγγος, τών σών δογμάτων Πάτερ πάνσοφε, ώσπερ αστραπή διήλθε πάσαν τήν γήν, καί θαυμάτων η επίδειξις, ως φώς εξήστραψε, τάς εν ζόφω καρδίας λαμπρύνουσα.

Νομοθεσίαις, ταίς τού Σωτήρος σύ επόμενος, Πάτερ τό δοθέν σοι τάλαντον εμμελώς, ως οικέτης αγαθότητος, επολυπλασίασας, δεσποτικής χαράς αξιούμενος.

Αναστομώσας, τήν θεολόγον σου διάνοιαν, ρείθρα ιερών δογμάτων ποταμηδόν, επαφήκας καταρδεύοντα, πιστών τό πλήρωμα, ιερομύστα Πάτερ Αμβρόσιε.

Θεοτοκίον

Ιδού Παρθένε, Εν τή γαστρί σου σύ συνέλαβες, Λόγον, τού Πατρός συνάναρχον καί σαρκί, απεκύησας δωρούμενον, πάσιν ανάκλησιν, τοίς εξ Αδάμ πεσούσι Πανάμωμε.

Άλλος

Οι εκ τής, Ιουδαίας.

Ακηλίδωτον ώφθης, αρετών θεομάκαρ, αξίως έσοπτρον, καθαράς τάς εμφάσεις, τής πίστεως δεικνύον, καί φωτίζον τούς ψάλλοντας, Ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Σού ο βίος θεόφρον, υποτύπωσις ώφθη, Αρχιερέων σαφώς, καί όρος ορθοδόξων, τών πίστει μελωδούντων, καί Θεώ εκβοώντων αεί, Ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Μέτριος μέν τόν τρόπον, υψηλός δέ τόν λόγον, Πάτερ Αμβρόσιε, αιδέσιμος τόν βίον, καί πίστει ανεδείχθης, ακλινής εν τώ ψάλλειν σε, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Θεοτοκίον

Θελητήν τού ελέους, όν εγέννησας Μήτερ, νύν εκδυσώπησον, ρυσθήναι τών πταισμάτων, ψυχής τε μολυσμάτων, τούς εν πίστει κραυγάζοντας, Ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Ωδή η'

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Νεκρώσας τά μέλη καί νεκρόν, σαρκός τό φρόνημα, απεργασάμενος, ψυχήν εζώωσας Όσιε, καί πηγήν θαυμάτων έβλυσας, τοίς νεκρωθείσιν εκ παθών, ζωήν παρέχουσαν, τοίς βοώσι, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Έγνως τήν μετάθεσιν Σοφέ, τήν εκ τού σώματος, θείω εν Πνεύματι, προφητικώτατα, ταύτην γάρ, τοίς συνούσι διεσάφησας, καί εν χαρά πρός ουρανόν, βοών ανέδραμες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Σώμα καί καρδίαν καί τόν νούν, προκαθηράμενος, παθών συγχύσεως, πυρφόρον έλλαμψιν άνωθεν, εισεδέξω τήν τού Πνεύματος, ώσπερ οι θείοι μαθηταί, βοών Αμβρόσιε, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Θεοτοκίον

Ώφθης υπερτέρα ουρανών, Θεόν ουράνιον αποκυήσασα, τόν τά επίγεια Πάναγνε, ουρανοίς επισυνάψαντα, καί τήν επίγνωσιν αυτού, πάσι παρέχοντα, τοίς βοώσι, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Άλλος

Μουσικών οργάνων

Απαθείας όργανον εδείχθης, τών παθών κοιμίζων τάς ορέξεις, καί τάς καρδίας τών πιστών, κραυζάζειν διεγείρον, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Σωτηρίας πρόξενον εκτήσω, τήν τού λόγου δύναμιν Παμμάκαρ, δι' ής ετράνωσας ημίν, τόν ένα τής Τριάδος, αρρήτως εκ Παρθένου, σάρκα προσλαβόντα, βροτοίς ομοουσίως.

Ιαμάτων βρύουσι σταγόνας, τών σών διδαγμάτων αι νεφέλαι, εξ ών αρδεύονται πιστών, καρδίαι τών βοώντων, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Μακαρίζει σε Σεμνή τάξις Αγγέλων, μεγαλύνει σε γηγενών φύσις, εν σοί γάρ εύρομεν χαράν, οι πίστει σε υμνούντες, καί υπερυψούντες, είς πάντας τούς αιώνας.

Ο Ειρμός

«Μουσικών οργάνων συμφωνούντων, καί λαών απείρων προσκυνούντων, εικόνι τή εν Δεηρά, τρείς Παίδες μή πεισθέντες, τόν Κύριον ανύμνουν, καί εδοξολόγουν, εις πάντας τούς αιώνας».

Ωδή θ’

«Λίθος αχειρότμητος όρους, εξ άλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας, τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Ίδες γεγονώς έν εκστάσει τά δι αιώνος τοίς Άγίοις, Πάτερ αποκείμενα γέρα, πρός αμετέβης, αποληψόμενος, τών σών καμάτων ένδοξε, τάς αντιδόσεις ευφραινόμενος.

Ώριμος ως βότρυς θεόφρον, ληνοίς τοίς άνω επαξίως, απεθησαυρίσθης πηγάζων, αθανασίας οίνον Αμβρόσιε, καί ιαμάτων χάριτας, τοίς ευσεβώς σοι προσπελάζουσιν.

Σοφία καί χάριτι λάμπων, Ιερομύστα καί ποιμένων, μέσον εξαστράπτεις δογμάτων, ορθοδοξία Πάτερ Αμβρόσιε, διό πίστει και πόθω σε, ύμνοις αξίως μακαρίζομεν.

Ημεροφαή σε αστέρα, η Εκκλησία κεκτημένη, σκότος διαφεύγει παντοίας, Παμμάκαρ πλάνης καί ταίς λαμπρότησι, τών ιερών δογμάτων σου, αυγαζομένη μακαρίζει σε.

Θεοτοκίον

Φωνήν σοι βοώμεν Παρθένε, περιχαρώς τού Αρχαγγέλου, Χαίρε τής κατάρας η λύσις, δεινών παντοίων, χαίρε η λύτρωσις, η τούς βροτούς Θεώσασα, τή υπέρ νούν κυοφορία σου.

Άλλος

Εξέστη επί τούτω ο ουρανός

Εδείχθης ως ελαία Πάτερ σοφέ, εν τώ οίκω Κυρίου, κατάκαρπος, εξ ής σοφώς, έπλησας λαμπάδα τών αρετών, μεθ’ ής καί εισελήλυθας, εν τή ευωχία τών ουρανών, εν οίς συναπολαύεις, μετά τών ασωμάτων, τής ακηράτου καί αΰλου ζωής.

Λιπάνας τήν ψυχήν σου ταίς αρεταίς, εγκρατείας εδείχθης διδάσκαλος, καί τής σεπτής, αρχιερωσύνης μυσταγωγός, τού βίου υποτύπωσις, καί τής Εκκλησίας φωταγωγός, καί στήλη τών δογμάτων αιρέσεων τήν πλάνην, αδιαλείπτως στηλιτεύουσα.

Πεπλήρωκας τόν δρόμον Πάτερ σοφέ, καί τήν πίστιν τετήρηκας άμεμπτον, καί εις μονάς, έφθασας καί λήξεις τών ουρανών, εν οίς σοι καί απόκειται, στέφανος καί δόξα τών αμοιβών, αλλά ταίς σαίς πρεσβείαις, οικτείρησον καί σώσον, εξ επηρείας τάς ψυχάς υμών.

Θεοτοκίον

Ωράθης ώ Παρθένε μήτηρ Θεού, υπέρ φύσιν τεκούσα εν σώματι, τόν αγαθόν, Λόγον εκ καρδίας τής εαυτού, όν ο Πατήρ ηρεύξατο, πάντων πρό αιώνων ως αγαθός, όν νύν καί τών σωμάτων επέκεινα νοούμεν, εί καί τό σώμα περιβέβληται.

Ο Ειρμός

«Εξέστη επί τούτω ο ουρανός, καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι μεγαλύνουσιν».

Εξαποστειλάριον

Τοίς μαθηταίς συνέλθωμεν

Ορθοδοξίας πρόμαχος, βάσις τής Εκκλησίας, Αρχιερέων έρεισμα, καί σοφός Ποιμενάρχης, Αμβρόσιε ανεδείχθης, πρός νομάς ευσεβείας, καθοδηγών τό ποίμνιον, ατιθάσους ως θήρας αποσοβών, κακοδόξων φάλαγγας Θεοφάντορ, τρανών τό ομοούσιον, τής αγίας Τριάδος.

Θεοτοκίον, όμοιον

Θαύμα φρικτόν Πανάμωμε! ότι τόν πρό αιώνων, εκ τού Πατρός εκλάμψαντα, ομοούσιον Λόγον, γεγέννηκας απορρήτως, όθεν σε Θεοτόκον, ομολογούμεν Δέσποινα, αληθώς καί κυρίως, ως αληθή, τού Θεού μητέρα, όν εκδυσώπει, αυτόν Θεομακάριστε, υπέρ γένους ανθρώπων.

Εις τόν Στίχ. τών Αίνων, Στιχ. τής Οκτωήχου. Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Η’ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Προεόρτια τής Συλλήψεως τής Αγίας Άννης, καί μνήμη τού Οσίου Πατρός ημών Παταπίου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς’ καί ψάλλομεν Στιχηρά Προσόμοια Προεόρτια.

Ήχος α’

Τών ουρανίων ταγμάτων

Πνευματικήν νύν χορείαν, δεύτε κροτήσωμεν, καί τόν Χριστόν υμνούντες, Προεόρτια δώρα, προσάξωμεν εκ πόθου, αίνον δεκτόν, τώ τού γένους

καυχήματι, τή Θεοτόκω γεραίροντες τήν αυτής, παρ' ελπίδα θείαν Σύλληψιν.

Εν παραδείσω η Άννα, τά ευαγγέλια, τού παρ' ελπίδα πάσαν, υποδέχεται τόκου, τής μόνης Θεονύμφου, δηλούσα τρανώς, ως τρυφήσεως κρείττονος, καί απολαύσεως τύχοιμεν οι πιστώς, τόν καρπόν αυτής γεραίροντες.

Τού Οσίου, όμοιον

Τών ουρανίων χαρίτων, Πάτερ γευσάμενος, τών επιγείων πάντων, απεστράφης ηδέων, τήν μέθεξιν ενθέως, όθεν αεί, τής γλυκείας Πατάπιε, τών αγαθών τών εκείθεν κατατρυφών, απολαύσεως, ανύμνεις Χριστόν.

Έτερα Στίχ. Προσόμοια τού Οσίου.
Ήχος ο αυτός
Πανεύφημοι Μάρτυρες υμάς

Πάτερ Πατάπιε σαρκός, τάς ορμάς ασκήσεως, καταμαράνας πυρσεύμασιν, έρημον ώκησας, ως Ηλίας πάλαι, τόν νούν καθηράμενος, απαύστοις πρός τό θείον ταίς νεύσεσι, καί νύν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Πάτερ Πατάπιε χοροίς, Ασκητών ηρίθμησαι, τή απαθεία κοσμούμενος, καί κατεσκήνωσας, εν μοναίς οσίαις, ένθα φώς τό άδυτον, τό ξύλον τής ζωής ένθα πέφυκε, καί νύν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Πάτερ Πατάπιε φωστήρ, εξ Αιγύπτου έλαμψας, φωταγωγών τήν υφήλιον, θαυμάτων λάμψεσι, ψυχοφθόρων νόσων, απελαύνων ζόφωσιν, δαιμόνων εκμειών αμαυρότητα, καί νύν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Δόξα… Καί νύν… Θεοτοκίον, όμοιον

Πανύμνητε Δέσποινα ελπίς, τών πιστών καί στήριγμα, καταφυγή καί βοήθεια, σέ ικετεύομεν, Εκ παντός κινδύνου, τούς δούλους σου φύλαττε, τούς πίστει προσκυνούντας τόν τόκον σου, αυτώ πρεσβεύουσα, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Η Σταυροθεοτοκίον

Τόν ίδιον άρνα η Αμνάς, καί άμωμος Δέσποινα, εν τώ Σταυρώ ως εώρακεν, είδος ουκ έχοντα, ουδέ κάλλος, Οίμοι! θρηνωδούσα έλεγε, πού σου τό κάλλος έδυ γλυκύτατε; πού η ευπρέπεια; πού η χάρις η αστράπτουσα, τής μορφής σου, Υιέ μου παμφίλτατε;

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Απολυτίκιον Ήχος πλ. δ'

Εν σοί Πάτερ ακριβώς διεσώθη τό κατ' εικόνα, λαβών γάρ τόν σταυρόν, ηκολούθησας τώ Χριστώ, καί πράττων εδίδασκες, υπερoράν μέν σαρκός, παρέρχεται γάρ επιμελείσθαι δέ ψυχής, πράγματος αθανάτου, διό καί μετά

Αγγέλων συναγάλλεται, Όσιε Πατάπιε τό πνεύμά σου.

Καί τά λοιπά τού Εσπερινού καί Απόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, Κανόνες ο Προεόττιος, καί τού Αγίου, φέροντες ομού τήν δε τήν Ακροστιχίδα, άνευ τών Ειρμών.

Χαράς ανοίγει Χριστός ημίν τάς πύλας.

Εν δέ τοίς Θεοτόκοις
Γεωργίου

Ωδή α' Ήχος β' Ο Ειρμός
«Δεύτε λαοί, άσωμεν άσμα Χριστώ τώ Θεώ, τώ διελόντι θάλασσαν, καί οδηγήσαντι, τόν λαόν όν ανήκε, δουλείας Αιγυπτίων, ότι δεδόξασται».

Χαράς ημίν, σήμερον προκαταγγέλλονται, ταμεία διανοίγεσθαι, καί αποκλείεσθαι, τής κατάρας αι λύπαι, εν τή θεία Συλλήψει, τής Θεομήτορος.

Άνθη τερπνά, σήμερον πιστοί δρεψάμενοι, ενθέων λόγων πλέξωμεν, τόν προεόρτιον, στέφανον εγκωμίων, τήν Παρθένον αινούντες, εν τή Συλλήψει αυτής.

Τού Οσίου

Ήχος καί Ειρμός ο αυτός
Ρώμην σοφέ, καί θείαν δύναμιν άνωθεν, εκ βρέφους ενδυσάμενος, πρός τής ασκήσεως, τούς αγώνας προθύμως, καί πόνους απεδύσω, Πάτερ Πατάπιε.

Αποβαλών, άπασαν τήν τών προσκαίρων ζωήν, καί κόσμον αρνησάμενος, τήν υπερκόσμιον, νύν απείληφας δόξαν, ής έτυχες ασκήσει, σοφέ Πατάπιε.
Θεοτοκίον
Γένος βροτών, σήμερον τής αναπλάσεως, μηνύματα εισδέχεται, καί ευαγγέλια, τά τής υιοθεσίας, εν τή σή παρ' ελπίδα, Συλλήψει άχραντε.

Έτερος Κανών τού Αγίου Ποίημα Θεοφάνους

Ήχος ο αυτός
Εν βυθώ κατέστρωσε
Τού φαιδρού σου βίου τά φαιδρά, μέλλων κατορθώματα, ανευφημείν, εκδυσωπώ σε Όσιε, αίγλην φωτοδότιδα, ουρανόθεν μοι δωρηθήναι ικέτευε, νέφος εκμειούσαν, τό τής αγνωσίας μου Πατάπιε.

Αιγυπτίους πρίν ο τώ βυθώ, κρύψας θείω νεύματι, ώς εκ βυθού, τής κοσμικής συγχύσεως, σέ αναλαβόμενος, κατεφώτισε θεϊκαίς επιγνώσεσι, καί ολοφαή σε έδειξεν, αστέρα Πάτερ Όσιε.

Τής σαρκός τά πάθη χαλινώ, μάκαρ τής ασκήσεως, δουλαγωγών τής απαθείας έρωτι, ώφθης καθαρώτατον, οικητήριον τού Θεού διά πίστεως, καί χειμαζομένων, εύδιος λιμήν Πάτερ Πατάπιε.

Θεοτοκίον

Τής αρχαίας λύτρωσιν αράς, κόσμω παρεχόμενος, ό Λυτρωτής, εκ σού Παρθένε τίκτεται, άνθρωπος γενόμενος, ο τον Όσιον, αναδείξας Πατάπιον, κρήνην ιαμάτων, πάσι τοίς πιστώς αυτώ προστρέχουσι.

Προεόρτιος

Ωδή γ᾽  Ο Ειρμός

«Στερέωσον ημάς εν σοί Κύριε, ό ξύλω νεκρώσας τήν αμαρτίαν, καί τόν φόβον σου εμφύτευσον, εις τάς καρδίας ημών τών υμνούντων σε».

Σαλπίσωμεν φαιδρώς ευσήμως σήμερον, ενθέως καλούντες τήν κτίσιν πάσαν, προεόρτιον είς αίνεσιν, τής πανάγνου Μητρός θείας Συλλήψεως.

Αι θείαι δωρεαί καί τά χαρίσματα, προτείνονται σήμερον τοίς ανθρώποις, δηλουμένης τής Συλλήψεως, τής αιτίας τών ξένων χαρισμάτων Χριστού.

Τού Οσίου

Ο αυτός

Νεάζων τής ψυχής τώ τόνω Όσιε, αρχαίον πολέμιον διά πόνων, τής τά τού ασκήσεως κατέβαλες, και τού διήλεγξας βουλεύματα.

Οι πόνοι σου σοφέ τών αντιδόσεων, τών θείων ενέχυρον ασφαλείας, τών θαυμάτων τήν επίλαμψιν, εν τώ βίω παρέσχον σοι Πατάπιε.

Θεοτοκίον

Ελύθη τών βροτών ή πρώην στείρωσις, τών έργων λαμψάντων νύν τών ενθέων, παρ᾽ ελπίδα προελθούσης σου, εκ τής αγόνου καί στείρας Πανύμνητε.

Άλλος τού Οσίου

Εξήνθησεν ή έρημος

Δακρύων αναβλύσεσι, καταρδεύσας άριστα, τήν ψυχικήν σου αύλακα, σίτον θείων ήνεγκας πράξεων, αποθήκαις ταίς άνω συντηρούμενον.

Αγάπην οπλισάμενος, ώσπερ ξίφος Όσιε, καί θυρεώ σκεπόμενος, τής ενθέου σου ταπεινώσεως, τών δαιμόνων τά στίφη εξηφάνισας.

Λειμώσι τής ασκήσεως, καθάπερ κρίνον ήνθισας, ευωδιάζων Όσιε, τάς καρδίας τών ανυμνούντων σε, καί τελούντων σου, πίστει τό μνημόσυνον.

Θεοτοκίον

Αγκάλαις εποχούμενος, τής Τεκούσης Κύριε, τά τής Αιγύπτου είδωλα, δυναστεία τή σή συνέτριψας, εξ ής πλήθος Οσίων ανεβλάστησεν.

Ο Ειρμός

«Εξήνθησεν η έρημος, ωσεί κρίνον Κύριε, η τών εθνών στειρεύουσα, Εκκλησία τή παρουσία σου, εν η εστερεώθη η καρδία μου».

Κάθισμα τού Όσίου

Ήχος γ' Τήν ωραιότητα

Πάθη τού σώματος, Θεομακάριστε, Πάτερ εξήρανας, δακρύων ρεύμασι, καί ιαμάτων ποταμούς, Πατάπιε ανέβλυσας, όθεν προσερχόμενοι, τώ τιμίω λειψάνω σου, χάριν τε καί έλεος, προφανώς αρυόμεθα, τιμώντές σου τήν μνήμην αξίως, πίστει θερμή θεομακάριστε.

Δόξα... Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Τήν πτωχείαν τού Λόγου τού δι' ημάς, εκ Παρθένου τεχθέντος αναλαβών, ηγήσω τά πρόσκαιρα, ωσεί χόρτον Μακάριε, τού γνωστικού γάρ ξύλου, γευσάμενος Όσιε, τών Μοναστών εδείχθης, διδάσκαλος ένθεος, όθεν καί πρός ζήλον, αγγελικής πολιτείας, διήγειρας άπαντας, τοίς ενθέοις λογίοις σου, θεοφόρε Πατάπιε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν ωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Καί νύν… Προεόρτιον

Ήχος δ' Ταχύ προκατάλαβε

Η πύλη η άβατος, νύν αποτίκτεται, η πόλις η πάμφωτος, λάμψαι προέρχεται, η μόνη Πανάχραντος, σήμερον δι' Αγγέλου, τοίς Δικαίοις δηλούται, όθεν εν ευφροσύνη, ανεβόων τώ Κτίστη, Καρπόν ημίν δώρησαι, τήν αφθαρσίας πηγήν.

Προεόρτιος

Ωδή δ' Ο Ειρμός

«Εισακήκοα Κύριε, τήν ακοήν τής σής οικονομίας, καί εδόξασά σε, μόνε Φιλάνθρωπε».

Ιλαρώτατα σήμερον, περιχαρώς, η κτίσις Θεοτόκε, προεόρτιόν σοι, άδει τήν αίνεσιν.

Γαληνήν αιθριάζεται, ο ουρανός, Παρθένε ευφροσύνην, τήν σήν προκηρύττων, ανθρώποις Σύλληψιν.

Τού Οσίου

O αυτός

Εν τοίς όπλοις Πατάπιε, τοίς τού φωτός, εχθρούς τούς αοράτους, εκπλήξας καθείλες, καί απενέκρωσας.

Ιδρυθείς επί άσειστον, πέτραν Σοφέ, ασκήσεως καί πόνον, εχθρών τρικυμίαις ού καταβέβλησαι.

Θεοτοκίον

Ως αρχήν ευφορίας νύν, τής πρός Θεόν, τήν Σύλληψίν σου Κόρη, η ανθρώπων φύσις σήμερον δέχεται.

Άλλος τού Οσίου

Ελήλυθας, εκ Παρθένου

Η άβυσσος, τών θερμών σου δακρύων κατέκλυσε, δαιμόνων στρατεύματα, καί αμαρτίας οιδήματα, πέλαγος θαυμάτων δέ, τοίς εν βυθώ παθημάτων αναδέδεικται.

Ταπείνωσιν, αγρυπνίαν καί σύντονον δέησιν, αγάπην αθόλωτον, πίστιν ελπίδα κτησάμενος, γέγονας συνόμιλος, επουρανίων Αγγέλων, Πάτερ Όσιε.

Εκοίμισας, ηδονών πολυμόρφων τά κύματα, θείαις αναβάσεσι, καί ανενδότοις καθάρσεσιν, όθεν πρός ανέσπερον, μετά τήν κοίμησιν, φέγγος εξεδήμησας.

Θεοτοκίον

Εξέλαμψας, εκ Παρθένου νεφέλης ο Ήλιος, αστέρας αυγάζοντας, αποδεικνύς τούς Οσίους σου, κόσμω καί τοίς πάθεσιν, εσταυρωμένους, Οικτίρμον τή δυνάμει σου.

Προεόρτιος

Ωδή ε’ Ο Ειρμός

«Ο τού φωτός χορηγός, καί τών αιώνων ποιητής Κύριος, εν τώ φωτί τών σών προσταγμάτων οδήγησον ημάς, εκτός σου γάρ άλλον, Θεόν ού γινώσκομεν».

Χαράς πληρούται η γή, καί ευφροσύνην νοητήν δέχονται, οι γηγενείς, εν τή σή Συλλήψει, Θεόνυμφε Αγνή, ήν προεορτάζοντες, πόθω υμνούμέν σε.

Ρώμην η φύσις ημών, η ασθενήσασα τό πρίν δέχεται, καί αρετών, θείας ευφορίας, λαμβάνει απαρχήν, εν τή παρ’ ελπίδα, Συλλήψει σου Άχραντε.

Τού Οσίου

O αυτός

Ιδείν τήν δόξαν Θεού, τοίς διανοίας οφθαλμοίς’ Όσιε, επιποθών, τά τερπνά τού κόσμου, παρείδες ως φθαρτά, καί τών ποθουμένων, αφθάρτων επέτυχες.

Σταυρόν επ’ ώμων λαβών, καί τώ Χριστώ ακολουθών Όσιε, εις τά τής γής, πέρατα διήλθες, ελαύνων εξ αυτής, τά τών πολεμίων, δαιμόνων συστήματα.

Θεοτοκίον

Ρείθρα πηγάζει ημίν, τά προεόρτια Αγνή σήμερον, τών νοητών, χαρίτων σου άπερ, αντλούντες δαψιλώς, σέ υμνολογούμεν, καί πόθω δοξάζομεν.

Έτερος τού Οσίου

Ο φωτισμός

Ο φωτισμός, τών εν σκότει κειμένων λάμψον μοι αίγλην, θείαις τού Οσίου σου ικεσίαις, λύσον τά νέφη τής αθλίας ψυχής μου, όμβρισόν μοι ρείθρα αφέσεως, άλλον γάρ εκτός σου, Θεόν ούκ επίσταμαι.

Λήμης παθών, εκκαθάρας τό όμμα τής διανοίας, Πάτερ θεοφόρε, δι’ εγκρατείας, θεία εντεύξει σύ διήνοιξας, κόρας πηρωθείσας καί διεσκέδασας, φέγγει ιαμάτων, δεινήν αμαυρότητα.

Ρώσιν ψυχής, ρώσιν σώματος πάσαν, άφθονον χάριν, δεύτε έξαντλήσωμεν ως εκ κρήνης, τής θείας θήκης τού σοφού Παταπίου, θαύματα γάρ βρύει ως νάματα, πίστει τοίς αυτώ, αδιστάκτως προστρέχουσιν.

Θεοτοκίον

Τόν χορηγόν, τής ζωής τών απάντων τόν συνοχέα, τέτοκας αρρήτω κυοφορία, τόν εν Αγίοις δοξαζόμενον Κόρη, καί Οσίοις αναπαυόμενον, όν υπέρ ημών, εκδυσώπει Θεόνυμφε.

Προεόρτιος

Ωδή ς’  Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, Εκ φθοράς ο Θεός με ανάγαγε».

Τής βροτών σωτηρίας προοίμια, σήμερον μηνύονται, καί καταβάλλονται, εν τοίς προεορτάζουσι, τής Αγνής καί Παρθένου τήν Σύλληψιν.

Οτή Άννη κηρύξας τήν Σύλληψιν, τής υπεραμώμου Παρθένου μηνύματα, κοινής χαράς παρέσχετο, καί καλών ευφορίαν τώ γένει ημών.

Τού Οσίου

Ο αυτός

Συνετρίβη τά βέλη Πατάπιε, τά κατά τής σής πεμπόμενα στερρότητος, καί νικητής πανάριστος, τού αεί πολεμήτορος έμεινας.

Θαυμασίοις Θεός σε εδόξασεν, ως υπερδοξάσαντα, του τον τοίς έργοις σου, τοίς θαυμαστοίς Πατάπιε, διά τούτό σε πάντες γεραίρομεν.

Θεοτοκίον

Γηγενείς προεόρτιον αίνεσιν, σήμερον σοί πλέκουσι, θεοχαρίτωτε, καί τήν σεπτήν σου Σύλληψιν, ως χαράς ευαγγέλια δέχονται.

Έτερος τού Οσίου

Ειρμός ο αυτός

«Φανοτάταις τόν νούν ελλαμπόμενος, Πάτερ αναβάσεσι, καθάπερ άσαρκος, μετά σαρκός εβίωσας, μή βραχείς αμαρτίαις Πατάπιε».

Ηλιού τόν θεσβίτην μιμούμενος, καί ιχνηλατών Ιωάννην τόν Πρόδρομον, έρημον πρίν κατώκησας, Τι συχία τόν νούν καθαιρόμενος.

Εξ Αιγύπτου φωστήρ διαυγέστατος, τήν Κωνσταντινούπολιν, φέγγει ιάσεων, καταφωτίζων ήστραψας, φαεινότατε Πάτερ Πατάπιε.

Θεοτοκίον

Επί κούφης νεφέλης καθήμενος, πάλαι Αιγυπτίοις, Χριστός επεδήμησε, καί καθελών τά είδωλα, τών Οσίων χορούς επεσπάσατο.

Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, Εκ φθοράς ό Θεός με ανάγαγε».

Κοντάκιον τού Οσίου

Ήχος γ' Η Παρθένος σήμερον

Τόν ναόν σου Άγιε, πνευματικόν ιατρείον, οι λαοί ευράμενοι, μετά σπουδής προσιόντες, ίασιν τών νοσημάτων λαβείν αιτούνται, λύσιν τε τών εν τώ βίω πλημμελημάτων, σύ γάρ πάντων τών εν ανάγκαις, προστάτης ώφθης, Πατάπιε Όσιε.

Ο Οίκος

Η σορός σου Σοφέ πάσι βρύει ιάματα, εξ ών πάντες πιστοί αρυόμενοι, σώζονται εκ νόσων πολλών, ψυχών καί σωμάτων, ώνπερ ό τάλας εγω πεπείραμαι ρυσθείς τών θλιβόντων με, καί διά τούτο τήν σήν αντίληψιν νύν ανευφημώ, καί διηγούμαι τρανώς, πώς επιφθάνεις τούς εν ανάγκαις, καί εκλυτρούσαι πειρασμών τούς προσιόντας σοι θερμώς, Διό δίδου ισχύν μοι ανυμνείν σε, σύ γάρ πάντων τών εν ανάγκαις, προστάτης ώφθης, Πατάπιε Οσιε.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Η' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Παταπίου.

Στίχοι

- Φθαρτόν λελοιπώς Πατάπιε γής πάτον,
- Πατείς, όπου πατούσι πραέων πόδες.
- Ογδοάτη Πατάπιε χλόης πέδον αμφεπάτησας.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Αποστόλων εκ τών Εβδομήκοντα, Σωσθένους, Απολλώ, Κηφά, Τυχικού, Επαφροδίτου, Καίσαρος, καί

Ονησιφόρου.

Στίχοι

- Αποστόλους σήμερον επτά γεραίρω,
- Ως γενναίους κήρυκας τού Θεού Λόγου.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Σωφρονίου, Επισκόπου Κύπρου.

Στίχοι

- Πάν Σωφρόνιος σαρκικόν σβέσας πάθος,
- Καί σαρκός αυτής εξαπέπτη πηλίνης.

Ταίς αυτών Αγίαις, πρεσβείαις, ο Θεός, ελεησον καί σώσον ημάς. Αμήν.

Προεόρτιος

Ωδή ζ' Ο Ειρμός

«Εικόνος χρυσής, εν πεδίω Δεηρά λατρευομένης, οι τρεις σου Παίδες κατεπάτησαν, αθεωτάτου προστάγματος, μέσον δέ πυρός εμβληθέντες, δροσιζόμενοι έψαλλον, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών».

Η χάρις Θεού, τά προοίμια αυτής εν τή Συλλήψει, τής Παναχράντου καταβάλλεται, τή ανθρωπότητι σήμερον, ήν προεορτάζοντες πόθω, αναβοώμεν καί λέγομεν, Ευλογητος εί ο Θεός, ο τών Πατέρων ημών.

Μυρίπνοον νούν, ευωδίαν νοητήν η τής Πανάγνου, προδιαπνέει θεία Σύλληψις, ευωδιάζουσα χάριτι, τούς προεορτάζοντας ταύτην, καί βοώντας καί λέγοντας, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Τού Οσίου

Ο αυτός

Ιλύος παθών, τής ψυχής τό διαυγές αποκαθάρας, έσοπτρον θείων επιλάμψεων, ταύτην εποίησας Όσιε, όθεν μυστικής θεωρίας, επαπολαύων εκραύγαζες, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Νοσούντων πολλών, συνεργεία θεϊκή Θεομακάριστε, πάθη ποικίλα εθεράπευσας, καί θεϊκαίς επικλήσεσι, στίφη πονηρά τών δαιμόνων, αναμέλπων απήλασας, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Ιδρύεται νύν, επί πέτραν νοητήν βροτών η φύσις, τής τού Δεσπότου επιγνώσεως, καί θείας φύσεως Άχραντε, τή σή παρ' ελπίδα Συλλήψει, καί προκηρύττουσα μέλπει νύν, Ευλογητός εί ό Θεός, ο τών Πατέρων ημών.

Έτερος τού Οσίου

Ειρμός ο αυτός

Πυρί νοητώ, αναφλέξας τής ψυχής τά αισθητήρια, πύρ αμαρτίας απετέφρωσας, τή συνεργεία τού Πνεύματος, καί φωτοειδής καθω ράθης, αναμέλπων Πατάπιε, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Θαυμάτων βυθός, ιαμάτων ποταμός, κρήνη αέναος, ρείθρον μηδόλως δαπανώμενον, σού η σορός αναδέδεικται, Πάτερ τοίς πιστώς προσιούσι, καί θερμώς άνακράζουσιν, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Θεοί με εκ σού, ο υπέρθεος Αγνή δούλου μορφήν υποδύς, καινοτομεί δέ τρίβους γνώσεως, ώσπερ τούς νόμους τής φύσεως, πλήθη Μοναστών καί Οσίων, επαγόμενος ψάλλοντα, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Προεόρτιος

Ωδή η’

«Τόν εν καμίνω τού πυρός, τών Εβραίων τοίς Παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον μεταβαλόντα Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε εις πάντας τούς αιώνας».

Τής ακαρπίας ο βλαστός, ευθηνίαν αγαθών προκαταγγέλλει, τών ανθρώπων τώ γένει, εν τή βλαστήσει αυτού, καί πάντας εις τήν προεόρτιον, αυτού συγκαλείται, ανθρώπους ευφροσύνην.

Αι εκφυείσαι τοίς βροτοίς, τής κατάρας εν Εδέμ τή παραβάσει, ανελκύεσθαι ρίζαι, σαφώς μηνύονται νύν, τής ράβδου δηλουμένης άπασι, θείας ευλογίας, φύεσθαι εν τώ κόσμω.

Τού Οσίου

Ο αυτός

Σύ τών παθών τάς προσβολάς, ως νικήσας τής σαρκός καί τούς πολέμους, εκ Θεού θείαν χάριν, εισδέδεξαι ως εικός, ιάσθαι πάθη τά ανίατα, όθεν σε τιμώμεν, Πατάπιε τρισμάκαρ.

Πάντα ποιών σεμνοπρεπώς, ώ Πατάπιε σοφέ εις Θεού δόξαν, πάντα πόνον κουφίζεις, πάντων πασχόντων σαφώς, διό σε πάντες πιστοί Όσιε, ύμνοις ευφημούμεν, ως τού Δεσπότου φίλον.

Θεοτοκίον

Οι πεποιθότες επί σοί, καί καυχώμενοι αεί Θεοκυήτορ, τήν σήν πόθω τιμώμεν, Σύλληψιν θείαν πιστώς, υμνούντες απαύστως τόν Κύριον, καί υπερυψούντες, αυτόν εις τούς αιώνας.

Έτερος τού Οσίου

Ειρμός ο αυτός

Αποκαθάρας σεαυτόν, τής ιλύος τών παθών δι’ εμμελείας, τηλαυγέστατον, ώφθης, Πάτερ δοχείον Θεού, κραυγάζων, Υμνείτε τόν Κύριον, καί υπερυψούτε, είς πάντας τούς αιώνας.

Ταίς πρός τόν Κύριον ευχαίς, αποκάθαρον ημάς πάσης κηλίδος, τή θερμή σου πρεσβεία, καί τρικυμίας παθών, καί νόσων καί θλίψεων λύτρωσαι, τούς σέ κατ’ αξίαν, Πατάπιε τιμώντας.

Οικονομήσας σεαυτού, τήν ζωήν θεοπρεπώς, Όσιε Πάτερ οικονόμος εδείχθης, διακονήσας καλώς, ταίς χρείαις τών αγίων Όσιε, μεθ’ ών ηξιώθης, τής άνω κληρουχίας.

Θεοτοκίον

Η ουρανώσασα ημών, τήν γεώδη καί φθαρτήν Αγνή ουσίαν, τών Αγγέλων η δόξα, καί τών Οσίων χαρά, η μόνη τών κτισμάτων Δέσποινα, ως Θεόν τεκούσα, υμνείσθω εις αιώνας.

Ο Ειρμός

«Τόν εν καμίνω τού πυρός, τών Εβραίων τοίς Παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον μεταβαλόντα Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Προεόρτιος

Ωδή θ’

«Τον εκ Θεού Θεόν Λόγον, τόν αρρήτω σοφία, ήκοντα καινουργήσαι τόν Αδάμ, βρώσει φθορά πεπτωκότα δεινώς, εξ αγίας Παρθένου, αφράστως σαρκωθέντα δι’ ημάς, οι πιστοί ομοφρόνως, εν ύμνοις μεγαλύνομεν».

Υπερφυείς ως ακτίνας, προανίσχει τώ κόσμω, η Σύλληψίς σου πάνσεμνε Αγνή, τάς νοουμένας τής χάριτος, καί λαμπρύνει τούς πόθω, εν ταύτη προεόρτιον ωδήν, τώ Δεσπότη τών όλων, εν πίστει αναμέλποντας.

Λύσιν στειρώσεως Άννα, δεχομένη μηνύει, βροτοίς τήν ευφορίαν τών καλών, καί ευκαρπίαν τής φύσεως, καί καλεί πάσαν κτίσιν, εν σή Συλλήψει άχραντε Αγνή, προεόρτια δώρα, προσάξαι σοι τήν αίνεσιν.

Τού Οσίου

Ο αυτός

Απαρυσάμενος Πάτερ, εκ πηγής αενάου, τού Πνεύματος τήν χάριν δαψιλώς, τών ιαμάτων Πατάπιε, ταύτην πάσιν αφθόνως, παρέχεις τοίς τήν μνήμην σου πιστώς, εκτελούσι καί πόθω, τόν Κτίστην μεγαλύνουσι.

Σύν Αποστόλοις χορεύων, σύν Μαρτύρων τοίς δήμοις, Οσίων τε τοίς πλήθεσι

σοφέ, εν ουρανίαις Πατάπιε, νύν σκηναίς υπέρ πάντων, ικέτευε τόν Κτίστην καί Θεόν, τών πιστώς εκτελούντων, τήν σεβασμίαν μνήμην σου.

Θεοτοκίον

Υπερχυθείσα η χάρις, τής Χριστού ευσπλαγχνίας, εις πάντας τούς ανθρώπους δαψιλώς, σέ μεσιτείαν παρέσχετο, τών αυτού δωρημάτων, τήν πρόξενον απάντων τών καλών, διά τούτό σε πίστει, καί πόθω μακαρίζομεν.

Άλλος τού Οσίου

Ανάρχου Γεννήτορος

Ημέρα σωτήριος, η μνήμη σου επέλαμψε, τάς εν σκότει καρδίας καταφωτίζουσα, λύουσα παθών τήν ομίχλην, υιούς φωτός, δεικνύουσα Πάτερ, τούς σέ νύν γεραίροντας, τού Κυρίου τόν θεράποντα.

Θηβαίων τό καύχημα, τό τής ερήμου βλάστημα, Μοναζόντων τό κλέος καί τήν ευπρέπειαν, τόν τής Βυζαντίδος φωστήρα, τόν επί γής, Άγγελον φανέντα, Πατάπιον άπαντες, επαξίως μακαρίσωμεν.

Αγγέλων εφάμιλλος, Οσίων ισοστάσιος, Προφητών Αποστόλων, Μαρτύρων Ιεραρχών, Οσίων συμμέτοχος πέλων, καί τή σεπτή, Τριάδι λατρεύων, νοός καθαρότητι, υπέρ πάντων ημών πρέσβευε.

Θεοτοκίον

Το μέγα Μυστήριον, τής υπέρ νούν λοχείας σου, καταπλήττει Αγγέλους θεοχαρίτωτε, θέλγει τών Οσίων τόν δήμον, τούς Ιερούς, ευφραίνει Πατέρας, ενθέως υμνούντάς σε, Θεοτόκε απειρόγαμε.

Ο Ειρμός

«Ανάρχου Γεννήτορος, Υιός Θεός καί Κύριος, σαρκωθείς εκ Παρθένου ημίν επέφανε, τά σκοτισμένα φωτίσαι, συναγαγείν τά εσκορπισμένα, διό τήν πανύμνητον, θεοτόκον μεγαλύνομεν».

Εξαποστειλάριον

Τοίς μαθηταίς συνέλθωμεν

Πατάξας τόν Αιγύπτιον, καί Ασσύριον άρδην, νούν τών παθών Πατάπιε, τώ Χριστώ θεοφόρε, κατηκολούθησας χαίρων, τόν σταυρόν σου βαστάζων, τόν Ηλιού δέ Κάρμηλον, εικονίζων σύ Πάτερ, ασκητικώς, τάς ερήμους ώκησας, καί πρός ύψος, τής απαθείας έφθασας, συγκραθείς τή Τριάδι.

Θεοτοκίον

Λόγου Θεού μητέρα σε, ανυμνούμεν σύν ποθω, εν θεοπνεύστοις άσμασι, Παναγία Παρθένε, οι δια σού σεσωσμένοι, νέμοις ούν Θεοτόκε, τοίς αναξίοις δούλοις σου, ιλασμόν καί ειρήνην, καί φωτισμόν, όσα γάρ θέλεις δύνασαι καί ισχύεις, ως πάντων ούσα Δέσποινα, υπερένδοξε Κόρη.

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Θ’ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Η σύλληψις τής Αγίας Άννης, τής Μητρός τής Θεοτόκου, καί η ανάμνησις τών Εγκαινίων.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς’ καί ψάλλομεν Στιχηρά Προσόμοια τής Αγίας γ’.

Ήχος δ’  Ο εξ υψίστου κληθείς

Καρπογονούσα η στείρα παρ’ ελπίδα, Παρθένον τήν μέλλουσαν, τίκτειν Θεόν εν σαρκί, αγαλλιάσει φαιδρύνεται, χορεύει χαίρει, μεγαλοφώνως Άννα κραυγάζουσα, Φυλαί μοι συγχάρητε, άπασαι τού Ισραήλ, κυοφορώ καί τό όνειδος τής απαιδίας, εναποτίθεμαι, ως ηυδόκησεν, ο ευεργέτης επακούσας μου, τής προσευχής καί κατώδυνον, θεραπεύσας καρδίαν, διωδίνων ως υπέσχετο.

Ο εξ ανίκμου πηγάσας ύδωρ πέτρας, καρπόν τή κοιλία σου, Άννα χαρίζεται, τήν αειπάρθενον Δέσποιναν, εξ ής τό ύδωρ, τής σωτηρίας μέλλει προέρχεσθαι, Ουκέτι ως άκαρπος, γή παροικείς επί γής, ονειδισμού ηλλοτρίωσαι, γήν γάρ βλαστήσεις, καρποφορούσαν ζωής τόν άσταχυν, τόν τά ονείδη αφαιρούμενον, πάντων βροτών ως ηυδόκησε, διά σπλάγχνα ελέους, μορφωθήναι τό αλλότριον.

Τών Προφητών αι προρρήσεις εκπληρούνται, Όρος γάρ τό άγιον, λαγόσιν ίδρυται, Κλίμαξ η θεία φυτεύεται, θρόνος ο μέγας, τού Βασιλέως προετοιμάζεται, Τόπος ευτρεπίζεται ο θεοβάδιστος, Βάτος η άφλεκτος άρχεται, αναβλαστάνειν, η Μυροθήκη τού αγιάσματος, ήδη πηγάζει τής στειρώσεως, τούς ποταμούς αναστέλλουσα, τής θεόφρονος Άννης, ήν εν πίστει μακαρίσωμεν.

Καί τών Εγκαινίων γ’

Ήχος πλ. β’  Αί Αγγελικαί

Δέσποτα Χριστέ, η αθάνατος σοφία, βλέμματι τώ σώ, επιφοίτησον έξ ύψους, εν τούτω τώ Τεμένει, καί ασάλευτον φύλαξον, έως συντελείας τού αιώνος, τούς δέ πιστώς Χριστέ εν τούτω, αεί προστρέχοντας, τού απροσίτου σου φωτός, αξίωσον εύσπλαγχνε.

Πάλαι Σολομών, τόν Ναόν οικοδομήσας, ζώων αίματα, εις θυσίαν σοι προσήγεν, εις τύπον τού Ναού σου, ού εκτήσω Φιλάνθρωπε, τώ ιδίω αίματι βουλήσει, μεθ’ ού καί νύν σε δυσωπούμεν, τόν μόνον εύσπλαγχνον, όπως τό Πνεύμα τό ευθές, πέμπης έν τούτω άεί.

Δεύτε αδελφοί, ευφρανθώμεν φιλεόρτως, καί πνευματικήν, συστησώμεθα χορείαν, ψυχής δέ τήν λαμπάδα, τώ ελαίω φαιδρύνωμεν, ούτω γάρ Εγκαίνια

τιμώνται, ούτω δοξάζεται ο Κτίστης, ώ πάντες άνθρωποι, ανακαινίζονται ψυχήν, πρός ύψος ούράνιον.

Δόξα… Τών Εγκαινίων

Ήχος πλ. β'

Τήν μνήμην τών εγκαινίων επιτελούντες Κύριε, σέ τόν τού αγιασμού δοτήρα, δοξάζοντες δεόμεθα, αγιασθήναι ημών τά αισθητήρια τών ψυχών, τή πρεσβεία τών ενδόξων Αθλοφόρων, Αγαθέ παντοδύναμε.

Καί νύν... Τής Αγίας

Ήχος α'  Γερμανού

Τό απόρρητον τοίς Αγγέλοις, καί ανθρώποις μεγαλείον, καί απ' αιώνος χρησμοδοτούμενον, μυστήριον παράδοξον, σήμερον έν τοίς λαγόσι τής σώφρονος Άννης βρεφουργείται, Μαρία η θεόπαις, έτοιμαζομένη είς κατοικίαν, τού παμβασιλέως τών αιώνων, καί εις ανάπλασιν τού γένους ημών, ήν εν καθαρώ συνειδότι καθικετεύσωμεν, αναβοώντες πρός αυτήν, Πρέσβευε τώ σώ Υιώ καί θεώ ως προστασία υπάρχουσα ημών τών χριστιανών, τού σωθήναι τάς ψυχάς ημών.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια

Ήχος πλ. α'  Χαίροις ασκητικών

Άννα, η θεία χάρις ποτέ, προσευχομένη υπέρ τέκνου εβόησε, τώ πάντων Θεώ καί Κτίστη, Αδωναϊ Σαβαώθ, τό τής απαιδίας οίδας όνειδος, αυτός τήν οδύνην μου, τής καρδίας διάλυσον, καί τούς τής μήτρας, καταρράκτας διάνοιξον, καί τήν άκαρπον, καρποφόρον ανάδειξον, όπως τό γεννησόμενον, δοτόν σοι προσάξωμεν, επευλογούντες υμνούντες, καί ομοφρόνως δοξάζοντες, τήν σήν ευσπλαγχνίαν, δι' ής δίδοται τώ κόσμω, τό μέγα έλεος.

Στίχ. Ώμοσε Κύριος τώ Δαυϊδ αλήθειαν, καί ου μή αθετήσει αυτήν.

Πάλαι προσευχομένη πιστώς, Άννα η σώφρων, καί Θεώ ικετεύουσα, Αγγέλου φωνής ακούει, προσβεβαιούντος αυτή, τήν τών αιτουμένων θείαν έκβασιν, πρός ην σώματος, εμφανώς διελέγετο, Η δέησίς σου, πρός τόν Κύριον ήγγισε, μή σκυθρώπαζε, τών δακρύων απόστηθι, εύκαρπος χρηματίσεις γάρ, ελαία βλαστάνουσα, κλάδον ωραίον Παρθένον, πάγκαλον άνθος ανθήσουσαν, Χριστόν κατά σάρκα, παρεχόμενον τώ κόσμω τό μέγα έλεος.

Στίχ. Εκ καρπού τής κοιλίας σου θήσομαι επί τού θρόνου μου.

Ζεύγος καρπογονεί τό σεπτόν, τήν θείαν Δάμαλιν, εξ ής προελεύσεται, ό Μόσχος αρρήτω λόγω, ό σιτευτός αληθώς, υπέρ όλου κόσμου προθυόμενος, διό γεγηθότες, εξομολόγησιν άπαυστον, εν κατανύξει, τώ Κυρίω προσάγουσι, καί τήν σύμπασαν, εποφείλουσαν έχουσι. Τούτους ούν μακαρίσωμεν, καί πίστει χορεύσωμεν, εν τή Συλλήψει ενθέως, τής εξ αυτών τού Θεού ημών, Μητρός τικτομένης, δι' ής δίδοται πλουσίως, τό μέγα έλεος.

Δόξα... Τών Εγκαινίων  Ήχος β'

Τόν εγκαινισμόν τελούντες, τού πανιέρου Ναού τής Αναστάσεως, σέ δοξάζομεν Κύριε, τόν αγιάσαντα τούτον, καί τελειώσαντα τή αυτοτελεί σου χάριτι, καί τερπόμενον, ταίς εν αυτώ ιερουργουμέναις υπό πιστών, μυστικαίς καί ιεραίς τελεταίς, καί προσδεχόμενον εκ χειρός τών δούλων σου, τάς αναιμάκτους καί αχράντους θυσίας, αντιδιδόντα δέ τοίς ορθώς προσφέρουσι, τήν τών αμαρτημάτων κάθαρσιν, καί τό μέγα έλεος.

Καί νύν... Τής Αγίας, ο αυτός

Σήμερον εκ ρίζης τού Δαυϊδ, βασιλική πορφυρίς εκβλαστήσασα, τού Ιεσσαί βλαστάνειν απάρχεται, τό άνθος τό μυστικόν, έν ώ Χριστός ο Θεός ημών εξήνθησεν, ο σώζων τάς ψυχάς ημών.

Απολυτικίον τής Αγίας  Ήχος δ’

Σήμερον τής ατεκνίας δεσμά διαλύονται, τού Ιωακείμ γάρ καί τής Άννης εισακούων Θεός, παρ’ ελπίδα τεκείν αυτούς σαφώς, υπισχνείται θεόπαιδα, εξ ής αυτός ετέχθη ο απερίγραπτος, βροτός γεγονώς, δι’ Αγγέλου κελεύσας βοήσαι αυτή, Χαίρε Κεχαριτωμένη, ο Κύριος μετά σού.

Δόξα… Καί νύν… Τών Εγκαινίων

Ο αυτός

Ως τού άνω στερεώματος τήν ευπρέπειαν, καί τήν κάτω συναπέδειξας ωραιότητα, τού Αγίου Σκηνώματος τής δόξης σου Κύριε Κραταίωσον αυτό είς αιώνα αιώνος, καί πρόσδεξαι ημών τάς εν αυτώ απαύστως προσαγομένας σοι δεήσεις, διά τής Θεοτόκου, η πάντων ζωή καί ανάστασις.

Καί  Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α’ Στιχολογίαν

Κάθισμα  Ήχος α’

Χορός Αγγελικός

Ο νέος Ουρανός, έν κοιλία τής Άννης, τεκταίνεται Θεού, παντουργού επινεύσει, εξ ού καί επέλαμψεν, ο ανέσπερος Ήλιος, κόσμον άπαντα, φωταγωγών ταίς ακτίσι, τής θεότητος, υπερβολή ευσπλαγχνίας, ο μόνος φιλάνθρωπος.

Δόξα… Καί νύν... Όμοιον

Χορός προφητικός, προεκήρυξε πάλαι, τήν άμωμον αγνήν, καί θεόπαιδα Κόρην, ήν Άννα συνέλαβε, στείρα ούσα καί άγονος, ταύτην σήμερον, αγαλλιάσει καρδίας, μακαρίσωμεν, οι δι’ αυτής σεσωσμένοι, ώς μόνην πανάμωμον.

Μετά τήν β’ Στιχολογίαν

Κάθισμα  Ήχος δ’

Ταχύ προκατάλαβε

Αδάμ ανακαινίσθητι, καί Εύα σκίρτησον, ξηρά γάρ καί άνικμος, γή ανεβλάστησε, καρπόν ευθαλέστατον, τήν ανθήσασαν κόσμω, στάχυν αθανασίας, καί τό όνειδος άπαν, ήρθη τής ατεκνίας, Μεθ' ών συνευφρανθώμεν, χαίροντες σήμερον.

Δόξα… Καί νύν... Πάλιν τό αυτό

Μετά τόν Πολυέλεον

Κάθισμα Ήχος δ'
Κατεπλάγη Ιωσήφ

Αναβόησον Δαυϊδ, τί ώμοσέ σοι ό Θεός; Άμοι ώμοσε φησί, εκπεπλήρωκεν ιδού, εκ τού καρπού τής κοιλίας μου δούς τήν Παρθένον, έξ ής ό πλαστουργός, Χριστός ο νέος Αδάμ, ετέχθη Βασιλεύς, επί τού θρόνου μου, καί βασιλεύει σήμερον, ο έχων τήν βασιλείαν ασάλευτον, Η στείρα τίκτει, τήν Θεοτόκον, καί τροφόν τής ζωής ήμών.

Δόξα… Καί νύν... Πάλιν τό αυτό

Οι Κανόνες τών Εγκαινίων, καί τής Αγίας Άννης δύω.

Ο Κανών τών Εγκαινίων Ιωάννου Μοναχού.

Ωδή α' Ήχος δ'

«Θαλάσσης, τό ερυθραίον πέλαγος, αβρόχοις ίχνεσιν, ο παλαιός πεζεύσας Ισραήλ, σταυροτύποις Μωσέως χερσί, τού Αμαλήκ τήν δύναμιν, εν τή ερήμω ετροπώσατο».

Ο στύλω, καθοδηγών τό πρότερον, τόν σόν λαόν Ισραήλ, διά λουτρού βαπτίσματος Χριστέ, εν Σιών κατεφύτευσας, τήν Εκκλησίαν κράζουσαν, Άσωμεν άσμα τώ Θεώ ημών.

Σήμερον, τής απροσίτου δόξης σου, η επιφοίτησις, τόν επί γής παγέντα σοι Ναόν, ουρανόν κατεσκεύασεν, εν ώ συμφώνως ψάλλομεν, Άσωμεν άσμα τώ Θεώ ημών.

Ου Νόμω η' Εκκλησία Κύριε, εγκαλλωπίζεται, ου δουλικών εκτάσεσι χειρών, τού Σταυρού δέ τή χάριτι, εγκαυχωμένη ψάλλει σοι, Άσωμεν άσμα τώ Θεώ ημών.

Θεοτοκίον

Ασπόρως, τώ τού Πατρός βουλήματι, εκ θείου Πνεύματος, τόν τού Θεού συνείληφας Υιόν, καί σαρκί απεκύησας, τόν εκ Πατρός αμήτορα, καί δι' ημάς εκ σού απάτορα.

Κανών τής Αγίας Άννης

Ανδρέου Κρήτης.

Ωδή α' Ήχος α'

«Ωδήν επινίκιον, άσωμεν πάντες, Θεώ τώ ποιήσαντι, θαυμαστά τέρατα, βραχίονι υψηλώ, καί σώσαντι τόν Ισραήλ, ότι δεδόξασται».

Τήν Σύλληψιν σήμερον, θεόφρον Άννα, τήν σήν εορτάζομεν, ότι τήν χωρήσασαν, τόν μηδαμού χωρητόν, συνέλαβες στειρωτικών, απολυθείσα δεσμών.

Δικαίων επήκουσας, τάς ικεσίας, Αγίων επλήρωσας, τάς εντεύξεις Κύριε, τών προπατόρων σου, καί τούτοις δέδωκας καρπόν, τήν σέ τεκούσαν Αγνήν.

Η' Άννα ή ένδοξος, νύν συλλαμβάνει, Αγνήν τήν τόν άσαρκον, συλλαβούσαν Κύριον, τόν υπεράγαθον, καί τίκτειν μέλλει τήν σαρκί, μέλλουσαν τίκτειν Χριστόν.

Θεοτοκίον

Τό Όρος τό άγιον, όπερ προείδε, Προφήτης εν Πνεύματι, εξ ού λίθος τέτμηται, τούς τών ειδώλων βωμούς, συντρίψας σθένει θεϊκώ, σύ εί Παρθένε Αγνή.

Έτερος Κανών τής Αγίας Άννης, ού η Ακροστιχίς, άνευ τών Θεοτοκίων.

Η τήν χαράν τέξουσα, τίκτεται κόρη.

Εν δέ τοίς Θεοτοκίοις.

Γεωργίου.

Ωδή α' Ήχος β'

«Εν βυθώ κατέστρωσε ποτέ, τήν Φαραωνίτιδα, πανστρατιάν ή υπέροπλος δύναμις, σαρκωθείς ό Λόγος δέ, τήν παμμόχθηρον αμαρτίαν εξήλειψεν, ο δεδοξασμένος Κύριος, ενδόξως γάρ δεδόξασται».

Η τού κόσμου σήμερον χαρά, λόγω προκηρύττεται, καί μητρικάς οδύνας εις ευφρόσυνον, χαρμονήν μεθίστησι, καί πολύτεκνον, τήν τής φύσεως στείρωσιν, έσεσθαι μηνύει, έργοις τοίς τής χάριτος πληθύνουσαν.

Τό τερπνόν παλάτιον Χριστού, ο ευρυχωρότατος, τών ουρανών ουρανός ο υπέρτερος, σήμερον εισδέχεται, δι' εντεύξεως, τήν βάσιν τής υπάρξεως, τής επαγγελίας εχούσης, ασάλευτον τήν έκβασιν.

Η πορφύρα σήμερον Χριστού, λαμπρώς καταγγέλλεται, εκ στειρευούσης υφανθήσεσθαι χάριτι, νηδύος η άσπιλος, εξ ής φορέσας ο Βασιλεύς τής κτίσεως, φύσιν τήν βροτείαν, κόσμω ωραιότατος οφθήσεται.

Θεοτοκίον

Γηγενών ή φύσις επί σοί, μόνη πανυπέρτατε, θεοπρεπώς, εγκαυχωμένη Δέσποινα, χαίρει καί κηρύττει σου, τά παράδοξα τής αγνείας τεράστια, καί εν

ευφροσύνη άδουσα, δοξάζει σε Θεόνυμφε.

## Των Εγκαινίων

### Ωδή γ’

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα, Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

Ηγίασας επί γής, τήν Εκκλησίαν σου Χριστέ Πνεύματι, χρίσας αυτήν σήμερον, τής αγαλλιάσεως έλαιον.

Ανέδειξας Αγαθέ, τήν χειροποίητον σκηνήν σήμερον, τής υπέρ νούν δόξης σου, οικονομικώς οικητήριον.

Θεμέλιόν σε Χριστέ, η Εκκλησία αρραγές έχουσα, τώ σώ Σταυρώ στέφεται, ως βασιλικώ διαδήματι.

### Θεοτοκίον

Σύ μόνη τοίς επί γής, τών υπέρ φύσιν αγαθών πρόξενος, Μήτηρ Θεού γέγονας, όθεν σοι τό χαίρε κραυγάζομεν.

## Τής Αγίας

### Στερεωθήτω η καρδία μου

Καρπόν κοιλίας ει παράσχοις μοι, ανεβόα Άννα πρός Κύριον, μεγαλυνθήσομαι καί σοί, τούτον προσαναθήσομαι, διά τούτο συλλαμβάνει, τήν αγνήν Θεομήτορα.

Εν παραδείσω ευχομένης σου, τής φωνής ακούει ο Υψιστος, Άννα θεόφρον καί καρπόν, τή κοιλία σου δίδωσι, Παραδείσου τήν ανοίξασαν, τήν θύραν τής χάριτος.

Τά κατά νόμον εκτελέσασα, καί Θεώ αμέμπτως δουλεύσασα, κυοφορείς την αληθή, νομοδότην κυήσασαν, Άννα πάνσεμνε, διό σε οι πιστοί μακαρίζομεν.

### Θεοτοκίον

Τής στειρευούσης διανοίας μου, ακαρπίαν πάσαν απέλασον, καί καρποφόρον αρεταίς, τήν ψυχήν μου ανάδειξον, Παναγία Θεοτόκε, τών πιστών η βοήθεια.

## Έτερος τής Αγίας

### Εξήνθησεν η έρημος

Ρανάτωσαν ευφρόσυνον, αι νεφέλαι σήμερον, τόν γλυκασμόν τοίς πέρασιν, η Νεφέλη ιδού γάρ τίκτεται, εξ ής τό τής ζωής μου ύδωρ βλύσει Χριστός.

Ανοίγονται τής χάριτος, τά ταμεία σήμερον, ο προκηρύσσων Άγγελος, ανεβόα

Άννης τήν Σύλληψιν, ιδού γάρ σύ τήν Πόλιν αποτίκτεις Θεού.

Νενέκρωται η φύσις μέν, τών ανθρώπων πρότερον, νύν δέ ζωής τά σύμβολα, τή Συλλήψει τής Άννης δέχεται, ακάρπου γάρ ρίζης άρτι φύεται.

Θεοτοκίον

Ως άνθρακα φλογίζοντα, αμαρτίας Άχραντε, τόν σαρκωθέντα Κύριον, υπέρ φύσιν εκ σού δεχόμενοι, τού πλήθους τών πταισμάτων καθαιρόμεθα.

Κοντάκιον τών Εγκαινίων

Ήχος β' Τούς ασφαλείς

Εγκαινισμόν εν ταίς καρδίαις Πνεύματος, καί φωτισμόν εν τοίς εγκάτοις καίνισον, τοίς εν πίστει εκτελούσι τά Εγκαίνια, τού οϊκου καί Ναού σου ού ηυδόκησας, κτισθήναι εν τώ σώ θείω ονόματι, ο μόνος εν Αγίοις δοξαζόμενος.

Ο Οίκος

Μνήμην τελών τών Εγκαινίων ο σοφώτατος πάλαι Σολομών, τώ Θεώ αλόγων ζώων προσέφερεν ολοκαυτώματα καί θυσίας, ότε δέ νύν η αλήθεια καί η χάρις ήλθεν εν γή, τάς θυσίας ευθύς μετεποίησε, θύσας γάρ θυσίαν, εις σωτηρίαν τήν ημών εαυτόν ως Φιλάνθρωπος, τήν Εκκλησίαν ηγίασε, καί ασάλευτον ταύτην ανέδειξεν, ο μόνος έν Αγίοις δοξαζόμενος.

Κάθισμα τής Αγίας Άννης

Ήχος δ' Κατεπλάγη Ιωσήφ

Ευλογίας απαρχήν, τής ακαρπίας τώ βλαστώ, εδωρήσω Αγαθέ, Άννη βοώση δι' ευχής, Σύ μεταπλάττεις τάς φύσεις τών έν γενέσει, διό μου, ώ Σωτήρ, νενεκρωμένην αυτήν, τήν φύσιν ως Θεός, πάλιν καινούργησον, ίνα καρπόν προσάξω σοι, βοώσα, τώ παντεπόπτη καί Κτίστη μου, Σοί δόξα πρέπει, Θεέ τών όλων, καί μόνε Φιλάνθρωπε.

Δόξα... Τών Εγκαινίων

Ήχος ο αυτός Ταχύ προκατάλαβε

Εν πίστει τά Εγκαίνια, επιτελούσι πιστοίς, τού Οίκου σου Κύριε, πέμψον ημίν φωτισμόν, καί χάριν καί έλεος, φύλαττε δέ καί τούτον, εις αιώνα αιώνος, νίκας επιβραβεύων, τοίς πιστοίς Βασιλεύσι, πρεσβείαις τής Θεοτόκου, μόνε Φίλάνθρωπε.

Καί νυν... Τής Αγίας

Ήχος ο αυτός

Ο υψωθείς εν τώ Σταυρώ

Ιωακείμ ο ιερός καί η Άννα, δώρα προσήγαγον τοίς πρίν ιερεύσι, καί μή δεχθέντες άγονοι τυγχάνοντες, δέησιν προσηύξαντο, τώ Δοτήρι τών όλων, καί τής προσευχής αυτών, επακούσας δωρείται, τούτοις τήν όντως πύλην τής ζωής, ής τήν Αγίαν τιμήσωμεν Σύλληψιν.

Τών Εγκαινίων

Ωδή δ'

«Επαρθέντα σε ιδούσα η Εκκλησία, επί Σταυρού τον Ήλιον τής δικαιοσύνης,

έστη εν τή τάξει αυτής, εικότως κραυγάζουσα, Δόξα τή δυνάμει σου Κύριε».

Ουκ έν θύμασιν αλόγων η Εκκλησία, αλλά τώ σώ τιμίω, εκ πλευράς ζωηφόρου, αίματι ραντίζεται, εικότως κραυγάζουσα, Δόξα τή δυνάμει σου Κύριε.

Τά σκηνώματα Κυρίου ηγαπημένα, τοίς κατιδείν ποθούσιν ανακεκαλυμμένως, τήν δόξαν τού προσώπου αυτού, συμφώνως καί κράζουσι, Δόξα τή δυνάμει σου Κύριε.

Εικονίζουσα τήν χάριν η Εκκλησία, τού εκλεκτού λαού σου τό πολύτιμον μύρον, σήμερον αλείφεται τήν θείαν τού Πνεύματος, χάριν αοράτως λαμβάνουσα.

Θεοτοκίον

Απειρογάμως εκύησας ώ Παρθένε, καί μετά τόκον ώφθης παρθενεύουσα πάλιν, όθεν ασιγήτοις φωναίς, τό χαίρε σοι Δέσποινα, πίστει αδιστάκτω κραυγάζομεν.

Τής Αγίας

Εν Πνεύματι προβλέπων

Ω θείας αγγελίας! ώ ξένης λαλιάς! ει καγώ συλλήψομαι, Αγγέλου πρός αυτήν, αποσταλέντος, η Άννα εκπληττομένη, μεγαλοφώνως ανεβόα, Τώ Θεώ μου, δόξα τώ ποιούντι παράδοξα.

Συγχάρητέ μοι πάσαι, φυλαί τού Ισραήλ, εν γαστρί συνέλαβον, τόν νέον Ουρανόν, έξ ού τό άστρον ανατελεί μετ’ ολίγον, τής σωτηρίας Ιησούς ό φωτοδότης, Άννα γηθομένη εκραύγαζεν.

Υπήκουσε τής’ Άννης, Θεός τούς στεναγμούς, καί προσέσχε Κύριος, δεήσει τή αυτής, καί ατεκνίας τό νέφος διασκεδάσας, φωτί αυγάζει ευτεκνίας παραδόξως, όθεν συλλαμβάνει τήν μόνην Αγνήν.

Θεοτοκίον

Παρθένε Θεοτόκε, αμόλυντε Σκηνή, μολυνθέντα πταίσματι καθάρισόν με νύν, τών οικτιρμών σου καθαρωτάταις ρανίσι, καί δός μοι χείρα βοηθείας, ϊνα κράζω, Δόξα σοι, Αγνή θεοδόξαστε.

Έτερος τής Αγίας

Ελήλυθας εκ Παρθένου

Τό κάλυμμα, τού σκιώδους διαίρεται σήμερον, Νόμου καί τής χάριτος, η ευλογία προκύπτουσα, λάμπει τηλαυγέστατα, τή προκηρύξει τού τόκου τής θεόπαιδος.

Ελήλυθεν, ουρανόθεν μηνύων ο Άγγελος, Άννη τά προοίμια, τής παγκοσμίου

χαράς εμφανώς, λέγων, Τής δεήσεως υπέρ ελπίδα εισδέχου τήν εκπλήρωσιν.

Ξηραίνεσθαι, τής κακίας τά ρεύματα άρχεται, καί βρύειν τής χάριτος, οι ποταμοί διευθύνονται, σήμερον τού τόκου σου, κηρυττομένου Παρθένε πανυπέραγνε.

Θεοτοκίον

Ρητόρων σε, κατ' αξίαν γεραίρειν Πανύμνητε, γλώσσαι αι πολύφθογγοι, αμηχανούσαι συστέλλονται, φόβω δέ τά θαύματα, καί σιωπή ευφημούσαι μεγαλύνουσι.

## Τών Εγκαινίων

### Ωδή ε'

«Σύ Κύριέ μου φώς, είς τόν κόσμον ελήλυθας, φώς άγιον επιστρέφον, εκ ζοφώδους αγνοίας, τούς πίστει ανυμνούντάς σε».

Σύ πάλαι εν Σινά, σκηνήν αχειροποίητον, υπέδειξας τώ θεόπτη, Μωϋσεί διαγράφων, Χριστέ τήν Εκκλησίαν σου.

Σύ Κύριε σκηνήν, επί γής κατεσκεύασας, ή τάξεσιν ουρανίαις, τών βροτών τάς χορείας, συνάπτει τή δυνάμει σου.

Σέ Κύριε πηγήν, τής ζωής επιστάμεθα, σύ Άγιε τήν ειρήνην, ελθών ευηγγελίσω, Χριστέ τή Εκκλησία σου.

Θεοτοκίον

Σέ όπλον αρραγές, κατ' εχθρών προβαλλόμεθα, σέ άγκυραν καί ελπίδα, ημών σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

## Τής Αγίας

### Τήν σήν ειρήνην δός ημίν

Εκ ρίζης η βλαστήσασα, Δαυίδ καί Ιεσσαί, Άννα νύν βλαστάνειν απάρχεται, τήν θείαν ράβδον τήν βλαστήσασαν, τό μυστικόν άνθος, Χριστόν τόν παντων Κτίστην.

Μητέρα γενομένην με, η Άννα εκβοά, όψονται λαοί καί θαυμάσουσιν, ιδού γάρ κύω ως ηυδόκησεν, ο τά δεσμά λύσας, τά τής στειρώσεώς μου.

Νεάνιν ήν συνέλαβον, εγώ Προφητικαί, πόρρωθεν φωναί προκατήγγειλαν, Όρος καί Πύλην αδιόδευτον, περιχαρώς Άννα, εβόα τοίς παρούσιν.

## Έτερος τής Αγίας

### Μεσίτης Θεού

Ο τόμος Θεού, δι' αγγέλου σήμερον κηρύττεται, εν ώ περ ο σύνθρονος,

Λόγος τού Πατρός νύν εγγραφήσεται, καί πιστούς εν τή Βίβλω, εγγράψει τής χρηστότητος.

Υμνούσι νυνί, τού ξένου μηνύματος τήν δόξαν τρανώς, οι δίκαιοι πλέκοντες, τήν ευχαριστήριόν σοι αίνεσιν, τώ τήν χάριν τού τόκου, δι' ευχής εκπληρώσαντι.

Σοφίας Θεού, κεκρυμμένης σήμερον δηλούται ημίν, αληθώς μυστήρια, καταγγελλομένης τής Συλλήψεως, τής αχράντου Παρθένου, καί μόνης Θεομήτορος.

Θεοτοκίον

Γαλήνην πιστοί, καί λιμένα έχοντες Παρθένε αγνή, τήν σκέπην σου πάντοτε, τάς επαναστάσεις τάς τών θλίψεων, αποφεύγομεν πάσας, επί σοί ορμιζόμενοι.

## Τών Εγκαινίων

### Ωδή ς'

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Τού κάλλους, ο Βασιλεύς Χριστός επεθύμησε, τής εκλεκτής Εκκλησίας, καί Εθνών μητέρα απέδειξεν, εκ δουλείας, υιοθετουμένων διά τού Πνεύματος.

Φρίττουσι, τών δυσμενών δαιμόνων αί φάλαγγες, τήν τού Χριστού Εκκλησίαν, τού Σταυρού τώ τύπω σημειουμένην, καί σκιάζει, η άγιαστικη τού Πνεύματος έλλαμψις.

Ου ψάμμον, άλλά Χριστόν θεμέλιον έχουσα, η εξ' Εθνών Εκκλησία, στεφανούται, κάλλει τώ απροσίτω, καί τή αίγλη τής βασιλείας έγ καλλωπίζεται.

Θεοτοκίον

Ω θαύμα, τών απάντων θαυμιάτων καινότερον!  ότι Παρθένος εν μήτρα, τόν τά σύμπαντα περιέχοντα, απειράνδρως, συλλαβούσα ουκ εστενοχώρησε.

## Τής Αγίας

### Τόν Προφήτην Ιωνάν

Πώς χορείται εν γαστρί, η χωρήσασα τόν Θεόν; πώς γεννάται τόν Χριστόν, η γεννήσασα σαρκί; θηλάζει δέ, πώς η τόν Κτίστην γάλα θηλάσασα;

Τής δεήσεως ημών, επακούσας ο Θεός, γονιμώτατον καρπόν, νύν δεδώρηται υμίν, πανεύφημοι, Ιωακείμ τε καί, Άννα σήμερον.

Τήν αγνήν Περιστεράν, συλλαβούσα εν γαστρί, χαρμονής πνευματικής,

επληρώθη αληθώς, προσάγουσα, χαριστηρίους ωδάς η Άννα Θεώ.

Θεοτοκίον

Τρικυμίαι λογισμών, καί παθών επαγωγαί, καί βυθός αμαρτιών, τήν αθλίαν μου ψυχήν, χειμάζουσι, βοήθησόν μοι αγία Δέσποινα.

Έτερος τής Αγίας

Εν αβύσσω πταισμάτων

Αγαλλέσθω φαιδρώς η προμήτωρ ημών, σήμερον γάρ δέχεται, χαράς μηνύματα, τήν λύπην απωθούμενα, τή Συλλήψει τής μόνης θεόπαιδος.

Τό τής δόξης διάδημα πλέκεται, καί η αλουργίς η βασίλειος σήμερον, υπέρ ελπίδα άπασαν, εν νηδύϊ ακάρπω υφαίνεται.

Ιδού πάσα η κτίσις γεραίρει σου, τά υπερφυή καί μεγάλα μυστήρια, σύ γάρ υπάρχεις Δέσποινα, καί βροτών καί Αγγέλων τεράστιον.

Ιδού θείων χαρίτων πηγή νοητή, δι’ επαγγελίας τού Κτίστου καί χάριτος, αναστομούσθαι άρχεται, εν ανίκμω νηδύϊ εκβλύζουσα.

Κοντάκιον τής Αγ. Άννης

Ήχος δ’ Επεφάνης σήμερον

Εορτάζει σήμερον, η οικουμένη, τήν τής Άννης σύλληψιν, γεγενημένην εν Θεώ, καί γάρ αυτή απεκύησε, τήν υπέρ λόγον, τόν Λόγον κυήσασαν.

Ο Οίκος

Σύ ο τή Σάρρα δούς ποτέ, εν γήρα βαθυτάτω, τή σή επιστασία, καί εν επαγγελία υιόν τόν μέγαν, Ισαάκ σύ ο διανοίξας τήν στειρεύουσαν νηδύν τής Άννης, Παντοδύναμε, μητρός Σαμουήλ τού Προφήτου σου, καί νύν επιδών επ’ εμέ, δέξαι μου τάς δεήσεις, καί πλήρωσόν μου τάς αιτήσεις, εβόα εν κλαυθμώ η σώφρων Άννα καί στείρα, καί επήκουσεν αυτής ο ευεργέτης, Όθεν εν χαρά συνέλαβε τήν Παρθένον, τήν υπερλόγον, τόν Λόγον κυήσασαν.

Συναξάριον

Τή Θ’ τού αυτού μηνός, η Σύλληψις τής Αγίας Άννης, μητρός τής υπεραγίας Θεοτόκου.

Στίχοι

- Ουχ ώσπερ Εύα καί σύ τίκτεις εν λύπαις.
- Χαράν γάρ Άννα ένδον κοιλίας φέρεις.
- Τή δ’ ενάτη Μαρίην Θεομήτορα σύλλαβεν’ Άννα.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Προφήτιδος Άννης, τής μητρός Σαμουηλ τού Προφήτου.

Στίχοι

- Τί σοι επαινέσειεν, Άννα, τις πλέον;

- Τό καρτερόφρον ή τό τής ευτεκνίας;

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ήμών Στεφάνου τού νεολαμπούς, τού εν τώ Αγίω Αντίπα κειμένου.

Στίχοι

- Εξήγαγες γής τόν στέφανον καί βίου.
- Στέφει δέ δόξης εστεφάνωσας Λόγε.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Σωσιθέου, Ναρσού καί Ισαάκ, διά ξίφους τελειωθέντων.

Στίχοι

- Σωσίθεον σωθείσιν εγγράφει λόγος,
- Υπέρ Θεού σώζοντος εκτετμημένον.
- Πέρσης κάραν σοι, Χριστέ, Ναρσής προσφέρει,
- Κρείττόν γε δώρον σμυρνοχρυσολιβάνου.
- Πάθους τό λείπον Ισαάκ Σάρρας τέκνου,
- Σφαγείς ανεπλήρωσεν Ισαάκ νέος.

Ταίς αυτών Αγίαις πρεσβείαις, ο Θεός, ελέησον, καί σώσον ημάς. Αμήν.

Τών Εγκαινίων

Ωδή ζ'

«Εν τή καμίνω, Αβραμιαίοι Παίδες τή Περσική, πόθω ευσεβείας μάλλον ή τή φλογί, πυρπολούμενοι εκραύγαζον, Ευλογημένος εί, εν τώ ναω τής δόξης σου Κύριε».

Δροσοβόλος μέν, η καμινιαία φλόξ εδείχθη ποτέ, νύν δέ, εξ ελαίου χρίσμα πνευματικόν, αγιάζει τούς κραυγάζοντας, Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε.

Ως εν καμίνω, τή θεοδόχω ταύτη, νέα σκηνή, πάντες, οι εξ Ισραήλ του πνευματικού, δροσιζόμενοι βοήσωμεν, Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε.

Οι τετρωμένοι, τώ γλυκυτάτω θείω έρωτι, δεύτε, εν παστάδι ταύτη τή μυστική, συναφθώμεν τώ νυμφίω Χριστώ, Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου κράζοντες.

Θεοτοκίον

Τό τού Υψίστου, ηγιασμένον θείον σκήνωμα, χαίρε, διά σού γάρ δέδοται η χαρά, Θεοτόκε τοίς κραυγάζουσιν, Ευλογημένη σύ, εν γυναιξί πανάμωμε Δέσποινα.

Τής Αγίας

Τούς εν καμίνω Παίδας σου

Τής απαιδίας όνειδος φυγείν, ικέτευεν, Άννα τόν Δεσπότην τού παντός, καί τής αυτής ό συμπαθής φωνής ακούσας, τήν αυτόν κυήσασαν, καρπόν παρέσχεν αυτή, καθώς ηυδόκησεν.

Βασιλική πορφύρα εν τή σή, απάρχεται, Άννα εξυφαίνεσθαι γαστρί, ήν ο Θεός καί Βασιλεύς πάντων φορέσας, τοίς βροτοίς οφθήσεται, καί ταπεινώσει εχθρούς, τούς πολεμούντας ημάς.

Τό μύρον τό ευώδες εν γαστρί, συνέλαβες, Άννα τήν τό μύρον τής ζωής, υπερφυώς, εισδεξαμένην τόν Δεσπότην, τόν πνοαίς τής χάριτος, τάς διανοίας ημών ευωδιάσαντα.

Θεοτοκίον

Ως τής Τριάδος ένα σε Χριστέ, δοξάζομεν, ότι εκ Παρθένου σαρκωθείς, δίχα τροπής ανθρωπικώς, πάντας ηνέσχου, μή εκστάς τής φυσεως, τής πατρικής, Ιησού, εί καί ηνώθης ημίν.

Έτερος τής Αγίας

Αντίθεον πρόσταγμα

Κρηπίς υπεστήρικται τής σωτηρίας, καί βάσις τής χάριτος, η τής Παρθένου Σύλληψις, εν ή υπέρ έννοιαν γεννήσεται, τών γηγενών η ελπίς, μελπόντων Χριστώ διηνεκώς, Ευλογητός εί καί υπερένδοξος.

Τό Όρος τό άγιον επαγγελία, τού Κτίστου τήν ύπαρξιν, σήμερον προμηνύεται, λαμβάνον καί άπασαν, κατακαλύπτον τήν γήν, τρόπω τής γεννήσεως, διό τόν ευεργέτην Χριστόν δοξάζομεν.

Ελύθησαν χάριτι τής ατεκνίας, οι Δίκαιοι σήμερον, καί Εύας τών τής λύπης δεσμών, μηνύματα έλαβον, απολυτρώσεως, όθεν καί τήν έκβασιν Χριστόν, επεκαλούντο τόν τής ζωής χορηγόν.

Θεοτοκίον

Ο ών απερίγραπτος εν τοίς αχράντοις, κόλποις τού Γεννήτορος, εν σοί Παρθένε άχραντε, σαρκί περιφέρεται, δι’ οίκτον άφατον, όθεν καί προσίεται, γραφήν, εν τή εικόνι ο Υπεράγαθος.

Τών Εγκαινίων

Ωδή η’

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω εφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Σήμερον χιτώνα νοητόν, υφαντόν άνωθεν, εκ θείας χάριτος, η Εκκλησία σου

Κύριε, νύμφη ώς περ εστολίσατο, καί τούς οικείους συγκαλεί, πρός ευφροσύνην λαούς, Ευλογείτε, πάντα τά έργα βοώσα τόν Κύριον.

Σήμερον ο δεύτερος Αδάμ, Χριστός ανέδειξε, Παράδεισον νοητόν, Σκηνήν αγίαν τήν φέρουσαν, κατά ξύλου τού τής γνώσεως, τό ζωηφόρον τού Σταυρού, όπλον τοίς ψάλλουσιν, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Πατρός εξ ανάρχου τόν Υιόν, καί Πνεύμα Άγιον, μίαν θεότητα, τελείαν άναρχον άκτιστον, ομοούσιον ασύγχυτον, εν υποστάσεσι τρισί, σέβοντες ψάλλομεν, Ευλογείτε πάντα τά έργα Κυρίου τόν Κύριον.

Θεοτοκίον

Σύ μόνη εν πάσαις γενεαίς, Παρθένε άχραντε, Μήτηρ εδείχθης Θεού, σύ τής θεότητος γέγονας, ενδιαίτημα Πανάμωμε, μή φλογισθείσα τώ πυρί τού απροσί του φωτός, όθεν πάντες, σέ ευλογούμεν Μαρία Θεόνυμφε.

Τής Αγίας

Ον φρίττουσιν Αγγελοι

Δαυϊδ ήν προέφησε, Βασίλισσαν ιδού, γαστρί υποδέχομαι, η Άννα εκβοά, καί τέξω τήν πάντων προστασίαν πιστών, τήν τόν Βασιλέα, Χριστόν μέλλουσαν τίκτειν.

Η γή ήν κατώκησεν, ό γής Δημιουργός, τό Σκήπτρον τό άγιον, η νέα Κιβωτός, η Στάμνος τού Μάννα, εν νηδύϊ μητρός, τής αυτήν τεκούσης, απάρχεται βλαστάνειν.

Η Βάτος ή άφλεκτος, Λυχνία η χρυσή, ο έμψυχος θάλαμος, Κυρίου τού Θεού, η έντιμος Ράβδος, εν γαστρί τής μητρός, τής αυτήν τεκούσης, απάρχεται βλαστάνειν.

Θεοτοκίον

Ανάστησον κείμενον, εις βάθη με κακών, τούς νύν πολεμούντάς με, πολέμησον εχθρούς, τρωθέντα ατόποις, ηδοναίς τήν ψυχήν, Αγνή μή παρίδης, αλλ’ οίκτειρον καί σώσον.

Έτερος τής Αγίας

Κάμινος ποτέ

Τύπον τηλαυγή, τής φύσεως τού γένους, η τής στειρώσεως υπέφηνεν, Άννης απολύτρωσις, Θεού γνώσιν γάρ στειρεύουσα, υπέρ ελπίδα λέλυται έγνω γάρ τόν Δεσπότην, καί ευσεβείας πληθύνει καρπούς.

Άρμα τό φρικτόν, τού μόνου Βασιλέως, επί τής γής κατασκευάζεται, εξ Άννης λαμβάνον αρχήν, εν ώ μέλλει εποχούμενος, ο Κτίστης παραγίνεσθαι, όπως με πρός τό ύψος, αναβιβάση τής χάριτος,

Ίδεν επί σοί, παράδοξα η κτίσις, θεογεννήτορ υπερένδοξε, ξένη σου η Σύλληψις, καί η πρόοδος εξαίρετος, τού σώματός τε άπασα, αύξησιν γνωρισμάτων, τής αφθαρσίας εμφαίνουσα.

Ύδωρ τό ζωής, εκ σού Παρθένε βλύσαν, ο Ποιητής καί συνοχεύς τού παντός, τής πλάνης τώ καύσωνι, τό ανθρώπινον φλεγόμενον, εδρόσισεν, ηγίασεν, έδειξε καρποφόρον. υιοθετήσας τή χάριτι.

Τών Εγκαινίων

Ωδή θ'

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Δεύτε καθαρά τή καρδία, καί νηφαλέα διανοία, τής τού Βασιλέως θυγατρός, τής Εκκλησίας τήν ωραιότητα, υπέρ χρυσίον λάμπουσαν, κατανοούντες μεγαλύνωμεν.

Χαίρε καί ευφραίνου η Νύμφη, τού Βασιλέως τού μεγάλου, κατοπτριζομένη τηλαυγώς, τού σού Νυμφίου τήν ωραιότητα, σύν τώ λαώ σου κράζουσα, Σέ Ζωοδότα μεγαλύνομεν.

Τήν εξ ύψους άμυναν Σώτερ, τή Εκκλησία σου παράσχου, άλλον ούκ οίδεν, ειμή σέ Θεόν τόν ρύστην, τόν υπέρ ταύτης πάλαι, τήν σήν ψυχήν προθέμενον, εν επιγνώσει σέ δοξάζουσα.

Θεοτοκίον

Δέχου τάς λιτάς τού λαού σου, καί τώ Υιώ σου Θεοτόκε, πρέσβευε Παρθένε εκτενώς, ημάς κινδύνων καί περιστάσεων, ρυσθήναι τούς υμνούντάς σε, σύ γάρ προστάτις καί ελπίς ημών.

Τής Αγίας

Τήν ζωοδόχον πηγήν συλλαμβάνουσα, Άννα θεόφρον, χαράν νύν ανάλαβε, τόν Ναόν τόν άγιον, ένδον εν κοιλία σου, εισδεχομένη, φωτί δικαιοσύνης, αστραπτομένη τόν Κτίστην μεγάλυνον.

Η ξυνωρίς η σεπτή καί αοίδιμος, τού πρό αιώνος Υιού οι προπάτορες, οι τού Νόμου φύλακες, ακριβείς γενόμενοι, οι απαρχήν τής χαράς γεγεννηκότες, Ιωακείμ τε καί Άννα τιμάσθωσαν.

Ήν Δανιήλ Όρος μέγα τεθέαται, καί Ιωήλ Γήν Αγίαν εώρακε, Πύλην αδιόδευτον, άλλος ήν προέφησεν, εσφραγισμένην Πηγήν καί θείον Πόκον, τήν Θεοτόκον Παρθένον υμνήσωμεν.

Η πορφυρίς η τό έριον βάψασα, τής απορρήτου τού Λόγου σαρκώσεως, τό θυμιατήριον τό χρυσούν, η Τράπεζα, εν ή ο άρτος Χριστός εναπετέθη, η Θεοτόκος Παρθένος δοξάζεται.

Έτερος τής Αγίας

Ανάρχου Γεννήτορος

Κροτείτωσαν σήμερον, τών Προφητών οι πρόκριτοι, ιδού γάρ αί προρρήσεις, αυτών τής χάριτος, άρχονται πληρούσθαι αξίως, εν τή σεπτή, Συλλήψει τής μόνης, αγνής Θεομήτορος, εν ή πάντες αγαλλόμεθα.

Ο θρόνος ό ένδοξος, προτίθεται τού Κτίσαντος, η σωτήριος Πύλη, νύν ευτρεπίζεται, μόνω τώ Δεσπότη καί Κτίστη, διαβατή μόνω τηρουμένη, δι' ής εισαγόμεθα, εις ζωήν τήν ατελεύτητον.

Ρημάτων δεήσεως, Ιωακείμ σύν Άννη βοά, σύ επήκουσας μόνος, ό Ποιητής καί Θεός, καί τής ατεκνίας τήν λύσιν, σύ παρασχών, ρίζαν αφθαρσίας, εδωρήσω Κύριε, καί ημίν τοίς σέ δοξάζουσιν.

Η κλίμαξ στηρίζεται, δι' ής ο Κτίστης Κύριος, καταβάς ανελκύσει, άνω τήν φύσιν ημών, Χαίροις ουρανέ σύν Αγγέλοις, χαίρε Θεού, η σύμπασα κτίσις, χαίροις τό ανθρώπινον γένος, χάριτι Θεούμενον.

Θεοτοκίον

Υμνώ σου τήν άφατον, φιλανθρωπίαν Δέσποινα, σύ γάρ εί φωτισμός μου, σύ μου τό καύχημα, σύ μου χορηγός τής σοφίας, σύ μου χαρά, σύ μου προσδοκία, σύ μου τό οχύρωμα, τό κραταίωμα καί στήριγμα.

Εξαποστειλάριον τών εγκαινίων

Εν πνεύματι τώ Ιερώ

Ήν τώ αχράντω αίματι, εξηγόρασας Λόγε, πανθαύμαστον καί πάντιμον, καί σεπτήν Εκκλησίαν, εγκαίνισον εν Πνεύματι, Αγαθέ καί κάλλυνον, ακτίσι ταίς θειοτάταις, ο τή δόξη δοξάζων, τούς αξίως σού Ναού, Εγκαίνια εκτελούντας.

Τής Αγίας Άννης, όμοιον

Εισήκουσε τού στεναγμού, τού τής σώφρονος Άννης, ο Κύριος ως εύσπλαγχνος, καί παρέσχετο ταύτη, τήν μόνην απειρόγαμον, τήν τό φώς εκλάμψασαν, τοίς πέρασιν απορρήτως, ήν ο θείος καί κλεινός, καθορών Ιωακείμ, ηγάσθη καί εγεγήθει.

Έτερον  Ο ουρανόν τοίς άστροις

Η τού Θεού σοφία, οικοδομεί τόν εαυτής, οίκον εκ στείρας νηδύος, τήν Θεοτόκον Μαριάμ, ήν μακαρίσωμεν πάσαι, αί γενεαί κατά χρέος.

Εις τούς Αίνους, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος β'  Οίκος τού Εφραθά

Απόθεσθε Αδάμ, καί Εύα πάσαν λύπην, η μήτηρ τής χαράς γάρ, έν στείρα παραδόξως, καρπογονείται σήμερον.

Προπάτωρ Αβραάμ, καί πάντες Πατριάρχαι, ευφραίνεσθε ορώντες, τού Θεού τήν Μητέρα, εκ ρίζης υμών φύουσαν.

Χαίρε Ιωακείμ, καί Άννα χαίρε, ότι, χαράς καί σωτηρίας, τήν πρόξενον τώ κόσμω, καρπογονείτε σήμερον.

Χορός τών Προφητών, αγάλλεσθε, ιδού γάρ, Άννα καρπόν εκφύει, δι' ού αί προφητείαι, υμών περαιωθήσονται.

Συγχάρητε φυλαί, πάσαι τή στείρα, Άννη, ότι καρπόν κοιλίας, εκφύει παρ' ελπίδα, ζωής ημίν τήν πρόξενον.

Τά πέρατα τής γής, ευφραίνεσθε, ιδού γαρ, τού Κτίστου τών απάντων, η Μήτηρ εξ ακάρπου, γαστρός φύεται σήμερον.

Δόξα... τών Εγκαινίων

Ήχος πλ. α'

Ο επί τών κόλπων τών πατρικών επαναπαυόμενος Λόγε, τό Πνεύμά σου τό Άγιον, εγκαίνισον εν τώ Ναώ, τώ εις τό όνομά σου ανεγηγερμένω.

Καί νύν... Ήχος β'

Σήμερον εκ ρίζης τού Δαυϊδ, βασιλική Πορφυρίς εκβλαστήσασα, του Ιωακείμ βλαστάνειν απάρχεται, τό άνθος τό μυστικόν, έν ώ Χριστός ο Θεός ημών εξήνθησεν, ο σώζων τάς ψυχάς ημών.

Δοξολογία μεγάλη, καί Απόλυσις.

Εις τήν Λειτουργίαν. Τυπικά, καί εκ τών Κανόνων, Ωδή γ' καί ς'.

---

Αρχή

## ΤΗ Ι' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Μαρτύρων, Μηνά τού Καλλικελάδου, Ερμογένους, καί Ευγράφου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'

Πανεύφημοι Μάρτυρες υμάς

Μάρτυς παναοίδιμε Μηνά, εκπελματιζόμενος, τούς οφθαλμούς εκκεντούμενος, καί αφαιρούμενος, θεολόγον γλώσσαν, έφερες στερρότατα, τάς θείας αντιδόσεις σκοπούμενος, διό ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών,

τήν ειρήνην, καί τό μέγα έλεος.

Χείρας εκκοπτόμενος ποδών, στέργει τήν αφαίρεσιν, ο Ερμογένης ο ένδοξος, καί κατοπτώμενος, τώ πυρί πλειόνως, ζέσιν τήν εγκάρδιον, εδήλου τώ Θεώ προσκολλώμενος, ώ καί πρεσβεύει νύν, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Μέλη συνθλαττόμενοι σοφοί, κόλπον πρός θαλάττιον, εναπερρίφητε Άγιοι, νεύσει δέ κρείττονι, γαληνόν πρός όρμον, τής τρυφής ιθύνθητε, βυθίσαντες κακίαν τού όφεως, διό πρεσβεύσατε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Έτερα Στιχηρά  Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Ως αστέρες πολύφωτοι, νοητώς ανατείλαντες, εν τώ τής Εκκλησίας στερεώματι, πάσαν τήν κτίσιν φωτίζετε, καλλίνικοι Μάρτυρες, τών αγώνων τώ φωτί, καί θαυμάτων ταίς λάμψεσιν, όθεν σήμερον, τήν φωσφόρον τελούμεν γεγηθότες, καί αγίαν υμών μνήμην, στεφανηφόροι πανόλβιοι.

Καλλικέλαδον όρνιν σε, πρός τό άλσος φωνήσαντα, τών αγώνων ένδοξε, καί πρός μίμησιν, τόν Ερμογένην εκλύσαντα, Μηνάν καί τόν Εύγραφον, καί σύν τούτοις τού εχθρού, διαδράντα τά θήρατρα, τά πολύπλοκα, καί πετάσαντα θείας πρός επαύλεις, καλιάς τε ουρανίους, μεγαλοφώνως γεραίρομεν.

Καί χειρών παναοίδιμοι, καί ποδών στερισκόμενοι, κεφαλάς τεμνόμενοι καί στρεβλούμενοι, καί πάσαις άλλαις κολάσεσι, καθυποβαλλόμενοι, ουκ ηρνήσασθε Χριστόν, ου ξοάνοις εθύσατε, αλλά χαίροντες, τής ζωής τής προσκαίρου, πρός εκείνην, τήν αιώνιον καί θείαν, μετεβιβάσθητε Μάρτυρες.

Δόξα… Ήχος πλ. β'

Όντως η γλώσσά σου, κάλαμος γραμματέως οξυγράφου, αθλητά εδείχθη, Καλλικέλαδε Μηνά, ρητορεύουσα σαφώς πίστιν ευσεβή, καί δόγματα σωτήρια, δι' ών Θεός εδοξάσθη, καί ωραίον κάλλει, τόν Ερμογένην απέφηνας, ός τού θείου Βαπτίσματος διά σού τετύχηκε, καί τούτον συναθλητήν, καί τών αγώνων κοινωνόν, σύν Ευγράφω τώ καλώς εφεπομένω σοι, παμμάκαρ απέδειξας, καί νύν εν παρρησία, τώ τού Σωτήρος θρόνω παριστάμενοι, μή ελλίπητε πρεσβεύειν, υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον
Ήχος ο αυτός

Μονογενές, ομοούσιε, τώ Πατρί σου καί τώ Πνεύματι, ο εκ Παρθένου σαρκωθείς, ασυγχύτως ως οίδας αυτός, εν αγνεία φύλαττε τήν ο ποίμνην σου, εν ειρηνη καί όμονοία περιέπων αυτήν.

Η Σταυροθεοτοκίον
Τριήμερος ανέστης Χριστέ

Λαόν τόν ανομώτατον, αδίκως καθηλούντά σε, επί ξύλου, η Παρθένος καί αγνή, καί Μήτηρ σου ορώσα, ως Συμεών προέφη, τά σπλάγχνα Σώτερ

διετέτρωτο.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος πλ. β’

Μαρτυρική χορεία, ευσεβείς πρόμαχοι, σήμερον πιστών αναδείκνυνται, Τυράννων, πάσαν καθελόντες δυσσέβειαν Μηνάς, Εύγραφος καί Ερμογένης οι σοφοί, όθεν τής τριφώτου συνάριθμοι, Τριάδος υπάρχοντες, τώ γνόφω τής θείας ελλάμψεως καταλαμφθέντες, σύν ασωμάτοις χορείαις αγάλλονται, τώ Θεώ καί Σωτήρι ικετεύοντες, υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

Τριήμερος ανέστης

Αγκάλας τάς αχράντους σου, εν αίς Θεόν εβάστασας, Παναγία, υφαπλώσασα νυνί, σκέπασον από πάσης, οργής ήμάς βιαίας, ελπίς τού κόσμου Θεοτόκε Αγνή.

Η Σταυροθεοτοκίον

Σταυρούμενος εσάλευσας, τήν γήν πάσαν Μακρόθυμε, τών πιστών δέ, επεστήριξας ψυχάς, διό καί ανυμνούμεν, καί πόθω προσκυνούμεν, τήν ακατάληπτόν σου δύναμιν.

Απολυτίκιον Ήχος πλ. δ’

Τό προσταχθέν

Δι εγκρατείας, τών παθών τάς πυριφλέκτους, απονεκρώσαντες ορμάς καί τάς κινήσεις, τού Χριστού οι Μάρτυρες, έλαβον τήν χάριν, τάς νόσους αποδιώκειν τών ασθενών, καί ζώντες καί μετά τέλος θαυματουργείν, όντως θαύμα παράδοξον! ότι Οστέα γυμνά, εκβλύζουσιν ιάματα. Δόξα τώ μόνω Θεώ ημών.

Καί τά λοιπά τού Εσπερινού καί Απόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, οι Κανόνες τής Οκτωήχου, καί τών Αγίων, ού η Ακροστιχίς.

Στερρούς ανυμνώ Μάρτυρας στεφηφόρους. Ιωσήφ.

Ωδή α’ Ήχος α’

«Χριστός γεννάται, δοξάσατε, Χριστός εξ ουρανών, απαντήσατε, Χριστός επί γής, υψώθητε, Άσατε τώ Κυρίω πάσα η γή, καί εν ευφροσύνη, ανυμνήσατε λαοί, ότι δεδόξασται».

Στεφάνοις δόξης κοσμούμενοι, καί θρόνω του Θεού παριστάμενοι, καί θείου φωτός πληρούμενοι, πόθω τήν φωτοφόρον, μνήμην υμών, τούς επιτελούντας, αμαυρώσεως παθών, Μάρτυρες ρύσασθε.

Τήν θείαν στέργοντες εύκλειαν, Θεού τής καλλονής εφιέμενοι, τού βίου τερπνά απώσασθε, πάσάν τε δυναστείαν, περιφανή, καί διά θανάτου, ατελεύτητον ζωήν, Μάρτυρες εύρατε.

Ενθέω ζήλω πυρούμενοι, τό πύρ τής αθεΐας κατέσβεσαν, καί λύχνοι τό φώς πυρσεύοντες, πάσι τής ευσεβείας περιφανώς, ώφθησαν εν πίστει, Ερμογένης καί Μηνάς, οι μεγαλόφρονες.

Θεοτοκίον

Ρυσθήναι Κόρη πανάμωμε, παθών έπικρατείας τούς δούλους σου, τόν σόν εκτενώς ικέτευε, Κύριον καί Δεσπότην, όν εκ τών σών, πάναγνε αιμάτων, εσωμάτωσας ημίν, προσομιλήσαντα.

## Ωδή γ'

«Τώ πρό τών αιώνων, εκ Πατρός γεννηθέντι αρρεύστως Υιώ, καί επ' εσχάτων εκ Παρθένου, σαρκωθέντι ασπόρως, Χριστώ τώ Θεώ βοήσωμεν, Ο ανυψώσας τό κέρας ημών, Άγιος εί Κύριε».

Αίγλη ουρανίω, λαμπρυνθέντες οι άγιοι Μάρτυρες, σκότος διέλυσαν ειδώλων, τής απάτης καί φέγγος, ημίν ιάσεων ήστραψαν, τοίς μελωδούσι τώ πάντων Θεώ. Άγιος εί Κύριε.

Νέκρωσιν τού ζώντος, ανιχνεύων Δεσπότου Μηνά θαυμαστέ, εκπελματούσαι καί τήν κάραν, τού τυράννου συντρίβεις, εχθρού έρείδων τούς πόδας σου, εις ασφαλή μαρτυρίου οδόν, μάρτυς ανδρικώτατα.

Ύμνει τόν Σωτήρα, Ερμογένης τάς χείρας τεμνόμενος, ιερωσύνης φαιδροτέραν, τήν στοληn τών αιμάτων βαφαίς, σαφώς εργαζόμενος, καί μιμητής τού παθόντος σαρκί, χάριτι δεικνύμενος.

Θεοτοκίον

Μόνην γυναιξί σε, τήν ωραίαν τώ κάλλει ευράμενος, σωματοφόρος εκ γαστρός σου, προελήλυθε Κόρη, Χριστός, θείαις ωραιότησι, καταφαιδρύνας τό γένος ημών, όθεν σε γεραίρομεν.

Ο Ειρμός

«Τώ πρό τών αιώνων, εκ Πατρός γεννηθέντι αρρεύστως Υιώ, καί επ' εσχάτων εκ Παρθένου, σαρκωθέντι ασπόρως, Χριστώ τώ Θεώ βοήσωμεν, Ο ανυψώσας τό κέρας ημών, Άγιος εί Κύριε».

## Κάθισμα Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Παρωσάμενοι δόξαν τήν κοσμικήν, επτερώθησαν δόξη τή θεϊκή, Μηνάς Ερμογένης τε, καί ο ένδοξος Εύγραφος, καί προθύμω γνώμη, τόν όγκον υπέμειναν, τών δεινών βασάνων, σαρκός μή φεισάμενοι, όθεν μετά τέλος, εις βυθούς θαλαττίους, ριφέντες ιθύνθησαν, πρός λιμένα ουράνιον, οίς εν πίστει βοήσωμεν, Πρεσβεύσατε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην υμών.

Δόξα... Ήχος α’
Τόν τάφον σου Σωτήρ

Μηνάς ο θαυμαστός, ο κλεινός Ερμογένης, η πάνσεπτος δυάς, τής αγίας Τριάδος, πολύθεον φρύαγμα, ανδρικώς κατεπάτησαν, καί τελέσαντες, τόν ιερώτατον δρόμον, νίκης έλαβον, εξ ουρανού τούς στεφάνους, δυνάμει τού Πνεύματος.

Καί νύν... Θεοτοκίον

Τόν πάντων Ποιητήν, καί Θεόν σου καί Κτίστην, πανάμωμε Αγνή, διά Πνεύματος θείου, εν μήτρα σου εχώρησας, καί φθοράς δίχα τέτοκας, όν δοξάζοντες, σέ ανυμνούμεν Παρθένε, ως Παλάτιον, τού Βασιλέως τής δόξης, καί κόσμου αντίλυτρον.

Η Σταυροθεοτοκίον

Καί σού τής καθαράς, καί πανάγνου Παρθένου, διήλθεν αληθώς, τήν καρδίαν ρομφαία, Σταυρώ ώς εώρακας, τόν Υιόν σου υψούμενον, παναμώμητε, ευλογημένη Μαρία, τό προσφύγιον, αμαρτωλών καί τό τείχος, καί κόσμου κραταίωμα.

Ωδή δ’

«Ράβδος εκ τής ρίζης Ιεσσαί, καί άνθος εξ αυτής Χριστέ, εκ τής Παρθένου ανεβλάστησας, εξ όρους ο αινετός, κατασκίου δασέος, ήλθες σαρκωθείς εξ απειράνδρου, ο άυλος καί Θεός, Δόξα τή δυνάμει σου, Κύριε».

Νόμους διαγγέλλων φωταυγείς, ανόμως σου τά όμματα, εκκεντηθείς Μηνά υπήνεγκας, καρδίας τούς οφθαλμούς, πρός τό φώς τό άδυτον, έχων εμμελώς, αποσκοπούντας, καί μέλπων χαρμονικώς. Δόξα τή δυνάμει σου Κύριε.

Ώφθη σου η γλώσσα τώ πυρί, τού Πνεύματος Σοφώτατε, εκτεθηγμένηεν τώ τέμνεσθαι, ελάλεις γάρ κελαδών, τού Θεού τά θαύματα, καί τού δικαστού τήν αφροσύνην, μετάγων εις ευσεβή δόξαν, εμφανώς τού ποιήσαντος.

Μεγάλως τό πάθος καρτερών, τούς πόδας αποτέμνεται, ο Ερμογένης τήν τού όφεως, καταπατών κεφαλήν, καί οδόν στελλόμενος, γνώμη ακλινεί τού Μαρτυρίου, εισάγουσαν πρός ζωήν, τής επουρανίου λαμπρότητος.

Άπληγον τηρούντι τήν ψυχήν, Χριστός σοι επιφαίνεται, σού τάς πληγάς Μηνά ιώμενος, ανδρείως τε καρτερείν, σέ εγκελευόμενος, όπως διά σού τήν σωτηρίαν, ελέους ο θελητής, πάντων τών αγίων εργάσηται.

Θεοτοκίον

Ράβδος εκ τής ρίζης, Ιεσσαί, εβλάστησας ανθήσασα, τόν φυτουργόν πάσης τής κτίσεως, μαράναντα τά φυτά, τής ακάρπου γνώσεως, πίστιν δέ ημίν αληθεστάτην, φυτεύσαντα ευσεβώς, άχραντε Παρθένε πανύμνητε.

Ωδή ε’

«Θεός ών ειρήνης, Πατήρ οικτιρμών, τής μεγάλης Βουλής σου τόν Άγγελον,

ειρήνην παρεχόμενον, απέστειλας ημίν, όθεν θεογνωσίας, πρός φώς οδηγηθέντες, εκ νυκτός ορθρίζοντες, δοξολογούμέν σε, Φιλάνθρωπε».

Τί μάτην ταράττη, εβόων ομού, δικαστή παρανόμω οι Μάρτυρες, δύναμιν παρεχόμενος, παρίσταται ημίν, μόνος ο εν ισχύϊ, αήττητος υπάρχων, υπέρ ού τάς αικίσεις, καθυπομένομεν στερρότατα.

Υπήρξεν αθρόα, η μεταβολή, Ερμογένους σαφώς πρός τόν Κύριον, λουτρώ γάρ εκκαθαίρεται, καί κρίσει θεϊκή, τής αρχιερωσύνης, τό φώς αναλαμβάνει, διδαχαίς καταυγάζων, τούς εν νυκτί δεινών υπάρχοντας.

Ρητόρων λιπόντες, αδόκιμον νούν, αγραμμάτων πλοκαίς ηλιεύθητε, σοφίσαντος τού Πνεύματος, υμάς ώς αληθώς, Μάρτυρες καί πρός πάσαν, βασάνων καταιγίδα, δυνατούς εν ισχύϊ, εργαζομένου διά πίστεως.

Θεοτοκίον

Αγίων Αγγέλων, Παρθένε αγνή, υπερέχουσα ώφθης κυήσασα, βουλής μεγάλης Άγγελον, Θεόν Ειμμανουήλ, βροτούς επουρανίους, αυτού τή καταβάσει, εργασάμενον Κόρη, δι’ ευσπλαγχνίαν αδιήγητον.

Ωδή ς’

«Σπλάγχνων Ιωνάν, έμβρυον απήμεσεν, ενάλιος θήρ, οίον εδέξατο, τή Παρθένω δέ, ενοικήσας ο Λόγος καί σάρκα λαβών, διελήλυθε φυλάξας αδιάφθορον, ής γάρ, ουχ υπέστη ρεύσεως, τήν τεκούσαν, κατέσχεν απήμαντον».

Σώζεις, Ιωνάν, θηρός τήν τριήμερον, τυπούντα ταφήν σού Παντοδύναμε, τά δέ σώματα, τών Μαρτύρων πελάγει ριπτόμενα, ιθύνεις γαληνότατον, πρός όρμον τής ταφής, ένθα σού τό θείον βούλημα, εις ημών τών πιστών περιποίησιν.

Σώματα υμών, αήττητοι Μάρτυρες, βυθός ασινή τή χέρσω δέδωκε, προηγουμένων, ουρανίων Αγγέλων μακάριοι, καί πάσι τήν κατάθεσιν, δηλούντων τήν υμών, ούσαν ιαμάτων έκβλυσιν, καί παθών ψυχικών απολύτρωσιν.

Τάξεις νοεραί, υμών κατεπλάγησαν, τήν υπομονήν, όπως τόν άσαρκον, μετά σώματος, ετροπώσασθε δράκοντα Μάρτυρες, καί νίκης τούς στεφάνους ανεδήσασθε, θρόνω Θεού παριστάμενοι, καί ταίς θείαις αυγαίς πυρσευόμενοι.

Θεοτοκίον

Έστη μέχρι σού, Παρθένε ο θάνατος, ζωήν γάρ Χριστόν εκυοφόοησας, τόν δωρούμενον, καθαρώς εις αυτόν τούς πιστεύοντας, τήν αθάνατον καί θείαν απολύτρωσιν, τούτον, Παναγία αίτησαι, λυτρωθήναι πταισμάτων τούς δούλους σου.

Ο Ειρμός

«Σπλάγχνων Ιωνάν, έμβρυον απήμεσεν, ενάλιος θήρ, οίον εδέξατο, τή

Παρθένω δέ, ενοικήσας ο Λόγος καί σάρκα λαβών, διελήλυθε φυλάξας αδιάφθορον, ής γάρ, ουχ υπέστη ρεύσεως, τήν τεκούσαν, κατέσχεν απήμαντον».

Κοντάκιον Ήχος δ'
Επεφάνης σήμερον

Τής στρατείας ήρπασε, σέ τής προσκαίρου, καί αφθάρτου έδειξε, συγκληρονομον ώ Μηνά, σύν τοίς συνάθλοις σου Κύριος, ο παρασχών σοι τόν άφθαρτον στέφανον.

Ο Οίκος

Ύμνοις τήν σήν πανήγυριν στέφων Αθλοφόρε Κυρίου, τούς σούς αγώνας κροτώ, καί ανυμνώ τά παλαίσματα, υπέρ γάρ μόνου τού πάντων Κτίστου, ώς χρυσός εν καμίνω εδοκιμάσθης, αλλά τόν σόν σταθηρόν λογισμόν ουκ εσάλευσε τό πλήθος τών παρανόμων, άνωθεν γάρ αυτόν εστήριξεν ο Χριστός εν τοίς αγώσιν, ο παρασχών σοι τόν άφθαρτον στέφανον.

Συναξάριον

Τή Ι' τού αυτού μηνός, άθλησις τών Αγίων τού Χριστού Μαρτύρων, Μηνά τού καλλικελάδου, Ερμογένους, καί Ευγράφου.

Στιχοι

- Τμηθείς ο Μηνάς, κάν κελαδείν ουκ έχη,
- Φιμοί κελαδούν δυσσεβείας τό στόμα.
- Τήν δυσσέβειαν εκπτύσας Ερμογένης,
- Υπήρξε Μάρτυς ευσεβείας εκ ξίφους.
- Τάς εκ μαχαίρας, Εύγραφε, τρώσεις φέρων,
- Οξύς Θεού κάλαμος ώφθης, εύ γράφων.
- Ευκέλαδος δεκάτη Μηνάς ξίφει αυχένα δώκεν.

Τή αυτή ημέρα, ο Άγιος Γέμελλος, σταυρωθείς, τελειούται.

Στιχοι

- Υπέρ Θεού Γέμελλος εσταυρωμένου,
- Τήν εν ξύλω σταύρωσιν ισμένως φέρει.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Θωμά τού Δεφουρκινού.

Ο Άγιος Ιερομάρτυς Θεότεκνος, ξίφει τελειούται.

Ο Άγιος μάρτυς Μαριανός, λιθοβοληθείς τελειούται.

Ο Άγιος μάρτυς Ευγένιος, ξύλοις τυπτόμενος, τελειούται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

## Ωδή ζ’

«Οι Παίδες ευσεβεία συντραφέντες, δυσσεβούς προστάγματος καταφρονήσαντες, πυρός απειλήν ουκ επτοήθησαν, αλλ' εν μέσω τής φλογός, εστώτες έψαλλον, Ο τών Πατέρων Θεός ευλογητός εί».

Φωνής εορταζόντων καθαρώς ένθα, ήχος εξακούεται, αγαλλομένη τή ψυχή, Αθληταί κατεσκηνώσατε, θυμηδίας εμπιπλάμενοι καί μέλποντες, ο τών Πατέρων, Θεός ευλογητός εί.

Ηδύς μοι ανεβόα Ερμογένης, όνπερ θνήσκω θάνατον, εμοί τό ζήν εστί Χριστός, τό θανείν δέ κέρδος άπειρον, εκκοπτέσθω μου τά μέλη, πόθω ψάλλοντος, ο τών Πατέρων, Θεός ευλογητός εί.

Φρονήσει στερροτάτη τή τών ζώντων, σεαυτόν ενέγραψας, βίβλω ώ Εύγραφε σοφέ, κεφαλήν γάρ αφαιρούμενος, ως εν άρματι, τώ σώ επέβης αίματι καί πρός ανέσπερον φώς μετεβιβάσθης.

### Θεοτοκίον

Ου φλέξας σου τήν μήτραν ου σαλεύσας, Παρθενίας σήμαντρα, ο σαρκωθείς Λόγος εκ σού, προελήλυθε παρέχων ημίν, αφθαρσίαν καί ζωήν Κόρη τοίς μέλπουσιν, ο τών Πατέρων, Θεός ευλογητός εί.

## Ωδή η’

«Θαύματος υπερφυούς η δροσοβόλος, εξεικόνισε κάμινος τύπον, ου γάρ ούς εδέξατο φλέγει Νέους, ώς ουδέ πύρ τής θεότητος, Παρθένου ήν υπέδυ νηδύν, διό ανυμνούντες αναμέλψωμεν, Ευλογείτω η Κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας».

Ρήγνυται σού πρό ποδών ο ματαιόφρων, συμπατούμενος Μηνά θεόφρον, όφθαλμών στερήσας γάρ σέ καί γλώττης, τόν λογισμόν, ουκ εσάλευσε τής στάσεως τής κρείττονος, διό γηθοσύνως ανεκραύγαζες, Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Ότε σε τή ωμοτάτη προαιρέσει, εκατέρων χειρών καί ποδών σου, δικαστής εστέρησεν ό παράφρων, τότε σοφέ, τών βραβείων εφιέμε νος Ερμόγενες, Χριστώ εμελώδεις αγαλλόμενος, Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Υμνώ σου Μηνά τούς θείους άθλους, τιμώ Ερμογένους τούς αγώνας, προσκυνώ τά λείψανα, αναμέλπω τούς αικισμούς, τά δεσμά τούς διωγμούς τε καί τάς μάστιγας, δι ών πρός ζωήν βοώντες ήρθητε, Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

### Θεοτοκίον

Στάμνον σε τό μάννα κεκτημένην, τής θεότητος έγνωμεν Κόρη, Κιβωτόν καί Τράπεζαν, καί Λυχνίαν, θρόνον Θεού, καί Παλάτιον καί Γέφυραν μετάγουσαν, πρός θείαν ζωήν τούς αναμέλποντας, Ευλογείτω η κτίσις πάσα τόν Κύριον,

καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Θαύματος υπερφυούς η δροσοβόλος, εξεικόνισε κάμινος τύπον, ου γάρ ούς εδέξατο φλέγει Νέους, ώς ουδέ πύρ τής θεότητος, Παρθένου ήν υπέδυ νηδύν, διό ανυμνούντες αναμέλψωμεν, Ευλογείτω η Κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας».

Ωδή θ’

«Τύπον τής αγνής λοχείας σου, πυρπολουμένη Βάτος έδειξεν άφλεκτος, καί νύν καθ’ ημών, τών πειρασμών αγριαίνουσαν κατασβέσαι αιτούμεν τήν κάμινον, ίνα σε Θεοτόκε, ακαταπαύστως μεγαλύνωμεν».

Ίδε φωταυγής πανήγυρις, φωτοειδών Μαρτύρων πάσιν εξέλαμψε, καταυγάζουσα, τής οικουμένης τά πέρατα, καί ψυχών αβλεψίαν εξαίρουσα, προσέλθωμεν προθύμως, αγιασμόν απαρυσόμενοι.

Ώνπερ αγαθών ετύχετε, επουρανίων δόξης, ής ηξιώθητε, πίστει τήν φαιδράν, μνήμην υμών τούς γεραίροντας, ως Θεώ παριστάμενοι πάντοτε, τυχείν εκδυσωπείτε, Μεγαλομάρτυρες δεόμεθα.

Σώμα καί ψυχήν προσήξατε, τώ Ποιητή τών όλων θυσίαν άμωμον, όλοκαυτωθέντες, τώ πυρί τών κολάσεων, καί Μαρτύρων χοροίς ηριθμήθητε, φωτί ακραιφνεστάτω, καταλαμπόμενοι θεόφρονες.

Ήρθη πρός μονάς σκηνούμενος, φωτοειδής Μαρτύρων χορός ο ένθεος, καί παρίσταται, Πατρί Υιώ τε καί Πνεύματι, απολαύων τρανώς τής Θεώσεως, Μηνάς σύν Ερμογένει, καί τώ Ευγράφω οι θεόφρονες.

Θεοτοκίον

Φέγγος αστραπής τού τόκου σου, η απωσθείσα φύσις ημών Πανάμωμε, είδε καί νυκτός εξ αγνωσίας λελύτρωται, καί παθών τής σκοτώδους συγχύσεως, διό σε ως αιτίαν, τής σωτηρίας ημών σέβομεν.

Ο Ειρμός

«Τύπον τής αγνής λοχείας σου, πυρπολουμένη Βάτος έδειξεν άφλεκτος, καί νύν καθ’ ημών, τών πειρασμών αγριαίνουσαν κατασβέσαι αιτούμεν τήν κάμινον, ίνα σε Θεοτόκε, ακαταπαύστως μεγαλύνωμεν».

Εξαποστειλάριον

Ο ουρανόν τοίς άστροις

Ρητορικοίς σου λόγοις, καί θείοις θαύμασι Μηνά, συναθλητήν επεσπάσω, τόν ιερόν Ερμογένην, μεθ’ ού σε σύν τώ Ευγράφω, περιχαρώς ευφημούμεν.

Θεοτοκίον

Θεοκυήτορ Μαρία, τών γηγενών ευκληρία, αμαρτωλών προστασία, Χριστιανών ελπίς μόνη, κόσμου παντός σωτηρία, ρύσαι πυρός απειλής με.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος πλ. β’

Πάλιν ημίν η ετήσιος μνήμη, τών τού κόσμου φωστή ρων εξέλαμψε, Μηνά τε Ερμογένους καί Ευγράφου, τών πιστών τάς καρδίας φωτίζουσα, τοίς υπέρ Χριστού διά Σταυρού αυτών αγωνίσμασι, δι’ ό τώ εν δόξη καί τιμή στεφανώσαντι αυτούς, Χριστώ τώ Θεώ ημών, τόν ύμνον προσάξωμεν.

Καί νύν… Θεοτοκίον

Θεόν εκ σού σαρκωθέντα έγνωμεν, Θεοτόκε Παρθένε, αυτόν ικέτευε, σωθήναι τάς ψυχάς ημών.

Η Σταυροθεοτοκίον

Τριήμερος ανέστης Χριστέ

Εν ξύλω προσπαγέντα σε, Χριστέ η σέ κυήσασα, καθορώσα, τήν καρδίαν γοερώς, ετέτρωτο βοώσα, Ανάστα ώ Υιέ μου, όπως υμνήσω σου τήν έγερσιν.

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

**ΤΗ ΙΑ’ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τού Οσίου Πατρός ημών Δανιήλ τού Στυλίτου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς’ καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. δ’

Τί υμάς καλέσωμεν Άγιοι;

Τί σε Δανιήλ ονομάσωμεν; ασκητήν, ότι τά πάθη καθυπέταξας τώ νώ, Αθλητήν, ότι πρός πάσαν εκαρτέρησας ποινήν, πρός ύψος, από γής στύλον αιρόμενον, εν πέτρα αληθείας ερειδόμενον, αγωνιστήν προθυμότατον, καί ιατρόν εμπειρότατον, ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Τί σε Δανιήλ προσφθεγξώμεθα; τών παθών εκριζωτήν, καί φυτοκόμον αρετών, αληθή θαυματουργόν, καί πρεσβευτήν αμαρτωλών, πνευμάτων ελατήρα γενναιότατον, φωστήρα ευσεβεία διαλάμποντα, του Πνεύματος καταγώγιον, τής Εκκλησίας υπέρμαχον, ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Τί σε Δανιήλ νύν καλέσωμεν; Μοναστών υπογραμμόν, καί εγκρατείας παιδευτήν, εγκαλλώπισμα πιστών, καί ιαμάτων αυτουργόν, λυχνίαν, τοίς εν σκότει φώς αυγάζουσαν, Αγγέλων συμπολίτην καί ισότιμον, τού Παραδείσου οικήτορα, καί επουράνιον άνθρωπον, ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Δόξα... Ήχος πλ. α’

Τού Στουδίτου

Τό εμπιστευθέν σοι τάλαντον παρά Χριστού, καλώς εργασάμενος Όσιε

Πάτερ, ανεδείχθης καί μετά θάνατον, δαιμόνων φυγαδευτής, καί ιατήρ ποικίλων αρρωστημάτων, στύλος καί εδραίωμα, καί όρος Άγιον, τής Εκκλησίας τού Χριστού, διό σε ικετεύομεν, Δανιήλ θαυματουργέ, τήν ειρήνην αίτησαι, καί ταίς ψυχαίς ημών, τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Η Κεχαριτωμένη, μεσίτευσον σαίς δεήσεσι, καί αίτησαι ταίς ψυχαίς ημών, πλήθος οικτιρμών, καί τόν ιλασμόν, τών πολλών παραπτωμάτων δεόμεθα.

Η Σταυροθεοτοκίον

Χαίροις ασκητικών

Πάθος σου τό σεπτόν η σεμνή, καί πανυπέραγνός σου Μήτηρ Μακρόθυμε, παντάναξ εωρακυία, δακρυρροούσα πικρώς, καί τά στήθη τύπτουσα εκραύγαζεν, Ιησού μου γλυκύτατε, πρόσφθεγμά μοι σωτήριον, φώς παντός κόσμου, θείε Ήλιε άδυτε, πώς εν ξύλω σε, σταυρικώ νύν κρεμάμενον, οία κακούργον βλέπουσα, καί λόγχη τήν άχραντον, φεύ μοι! πλευράν τετρωμένον, καθυπομείνω καί ζήσομαι, Υιέ καί Θεέ μου, ειμή λάμψει μοι τό φώς σου τής αναστάσεως;

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Απολυτίκιον Ήχος α’

Υπομονής στύλος γέγονας, ζηλώσας τούς Προπάτορας Όσιε, τόν, Ιώβ εν τοίς πάθεσι, τον Ιωσήφ εν τοίς πειρασμοίς, καί τήν τών ασωμάτων πολιτείαν, υπάρχων εν σώματι, Δανιήλ Πατήρ ημών, Όσιε, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημων.

Καί τά λοιπά τού Εσπερινού καί Απόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, οι Κανόνες τής Οκτωήχου, καί τού Αγίου, ού η Ακροστιχίς.

Ύμνοις γεραίρω Δανιήλ τόν Στυλίτην. Ο Ιωσήφ.

Ωδή α’ Ήχος πλ. δ’

«Άσωμεν τώ Κυρίω πάντες λαοί, τώ εν θαλάσση Ερυθρά, τόν Φαραώ βυθίσαντι, ωδήν επινίκιον, ότι δεδόξασται».

Ύμνοις ανευφημήσαι, μέλλοντι τήν μνήμην σου μακάριε, φωτοφόρον μοι αίγλην, Δανιήλ ουρανόθεν κατάπεμψον.

Μέγας ήλιος όντως, Πάτερ εξανέτειλας τοίς πέρασιν, αρετών δαδουχία, καταυγάζων πιστών τά συστήματα.

Νόμοις τοίς τού Δεσπότου, Πάτερ καθυπείκων απενέκρωσας, εγκρατεία τήν

σάρκα, καί υπέταξας ταύτην τώ Πνεύματι.

Θεοτοκίον

Όλος άνθρωπος ώφθη, μείνας όπερ ήν καί μετά σάρκωσιν, ο εκ σού Θεοτόκε, γεννηθείς αναλλοίωτος Κύριος.

Ωδή γ’

«Ουρανίας αψίδος, οροφουργέ Κύριε, καί τής Εκκλησίας δομήτορ, σύ με στερέωσον, εν τή αγάπη τή σή, τών εφετών η ακρότης, τών πιστών τό στήριγμα, μόνε Φιλάνθρωπε».

Ράβδω τής εγκρατείας, τήν τών παθών θάλασσαν, Πάτερ διαρρήξας, διέβης ακαταπόντιστος, καί όρος έφθασας, τής αληθούς απαθείας, καί Θεώ ωμίλησας νού καθαρότητι.

Ανελθών είς τό ύψος, τών αρετών γνώριμος, γέγονας τώ κόσμω εν στύλω, μένων μετέωρος, καί τή λαμπρότητι, τών παραδόξων θαυμάτων, καταυγάζων πίστει σοι, τούς προσανέχοντας.

Ιδρυμένος εν πέτρα, τής τού Θεού γνώσεως, πάσαις μεθοδείαις δαιμόνων, ώφθης ακλόνητος, στύλω τό σώμα δέ, επί τής γής ανυψώσας, τήν ψυχήν επτέρωσας, πρός τά ουράνια.

Θεοτοκίον

Ρύσαι τής τών παθών με, επαγωγής Δέσποινα, καί τούς πολεμούντας εχθρούς μοι, νύν εκπολέμησον, στήριξον πέτρα με, τών τού Θεού θελημάτων, τήν ψυχήν μου φώτισον, Πύλη τού θείου φωτός.

Ο Ειρμός

«Ουρανίας αψίδος, οροφουργέ Κύριε, καί τής Εκκλησίας δομήτορ, σύ με στερέωσον, εν τή αγάπη τή σή, τών εφετών η ακρότης, τών πιστών τό στήριγμα, μόνε Φιλάνθρωπε».

Κάθισμα  Ήχος πλ. δ’

Τήν Σοφίαν καί Λόγον

Εγκρατεία καί πόνοις καί προσευχαίς, τήν ψυχήν σου κοσμήσας θεοπρεπώς, γέγονας συμμέτοχος, τών Αγγέλων μακάριε, καί τών θαυμάτων όντως, χαρίσματα έλαβες, τού ιάσθαι τάς νόσους, τών πίστει τιμώντων σε, όθεν καί δαιμόνων, απελαύνων τά πλήθη, παρέχεις ιάματα, τοίς ανθρώποις μακάριε, Δανιήλ αξιάγαστε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Θεοτοκίον

Τήν Βασίλισσαν πάντες δεύτε πιστοί, τήν Μητέρα τού πάντων Δημιουργού, φωναίς μεγαλύνωμεν, καί υμνούντες βοήσωμεν, Η τής χαράς αιτία, Παρθένε πανύμνητε, τούς τιμώντάς σε σώζε, καί σκέπε πρεσβείαις σου, έχεις γάρ ως Μήτηρ, τού Θεού παρρησίαν, λυτρούσθαι εκ θλίψεων, καί πληρούν τά αιτήματα, τών πιστώς εκβοώντων σοι, Πρέσβευε τώ σώ Υιώ καί Θεώ τών πταισμάτων δούναι τήν συγχώρησιν, τοίς ευσεβώς προσκυνούσι, τόν

άχραντον τόκον σου.

Η Σταυροθεοτοκίον

Σταυρικόν καθορώσα πάθος σεμνή, τού Υιού καί Θεού σου σπλάγχνα πικρώς, σπαράττουσα έκραζες, ολολύζουσα πάναγνε, Πώς εκών ετάθης, καί θάνατον Δέσποτα, σαρκικόν εδέξω, φρικτόν όντως άκουσμα! όθεν ανυμνώ σου, τό απόρρητον Σώτερ, καί άφραστον βούλημα, ότι σώσαι ελήλυθας, τό πλανώμενον πλάσμα σου, Ανάστηθι αλλ' όμως Υιέ, καί χαράς τήν καρδίαν πλήρωσον, ο ευφροσύνης τά πάντα, πληρώσας τώ πάθει σου.

Ωδή δ'

«Σύ μου ισχύς Κύριε, σύ μου καί δύναμις, σύ Θεός μου, σύ μου αγαλλίαμα, ο Πατρικούς κόλπους μή λιπών, καί τήν ημετέραν, πτωχείαν επισκεψάμενος, διό σύν τώ Προφήτη, Αββακούμ σοι κραυγάζω, Τή δυνάμει σου δόξα φιλάνθρωπε».

Ως φωταυγή ήλιον, Πάτερ αοίδιμε, επί στύλου, λάμποντα τεθέασαι, τόν τού Θεού, δούλον Συμεών, καί ταίς πηγαζούσαις, εκ τούτου θείαις λαμπρότησιν, ενθέως κατηυγάσθης, Δανιήλ καί κατ' ίχνος, τής αυτού πολιτείας εβάδισας.

Δαιμονικάς φάλαγγας, όπλω τής πίστεως, ετροπώσω, ρείθροις τε κατέκλυσας, τών προσευχών, λύμην τήν αυτών, Πάτερ αναστείλας, ήν ενεποίουν τοίς πλέουσι, καί έσωσας τούς πίστει, τώ Χριστώ μελωδούντας, Τή δυνάμει σου δόξα Φιλάνθρωπε.

Αναστηλών, Πάτερ σαυτόν παμμακάριστε, ολονύκτως, ίστασο ως άσαρκος, αμετεώριστον τής ψυχής, όμμα κεκτημένος, καί καθαρόν ώσπερ έσοπτρον, τού Πνεύματος τήν αίγλην, καί τάς θείας εμφάσεις, καθαρά διανοία δεχόμενος.

Θεοτοκίον

Νόμοι εν σοί, φύσεως κεκαινοτόμηνται, νομοδότην, Λόγον γάρ εγέννησας, υπέρ αιτίων ως αληθώς, Πάναγνε καί λόγον, τής αλογίας ρυσάμενον, τό γένος τών ανθρώπων, τών πιστώς μελωδούντων, Τή δυνάμει σου δόξα Φιλάνθρωπε.

Ωδή ε'

«Ίνα τί με απώσω, από τού προσώπου σου τό φώς τό άδυτον, καί εκάλυψέ με, τό αλλότριον σκότος τόν δείλαιον, αλλ' επίστρεψόν με, καί πρός τό φώς τών εντολών σου, τάς όδούς μου κατεύθυνον δέομαι».

Ίνα τής αθανάτου, δόξης επιτύχης, σαρκός εθανάτωσας, τάς ορέξεις Πάτερ, καί παθών τάς ορμάς εχαλίνωσας, εγκρατείας πόνοις, καί ποταμός θαυμάτων ώφθης, καί πηγή ιαμάτων αοίδιμε.

Ήν διώδευσε τρίβον, Πάτερ επί γής Συμεών ο θαυμάσιος, εν εκτάσει μάκαρ, γεγονότι σοι ώφθη δεικνύων σοι, σύν δυσίν Αγγέλοις, δεύρο βοών, καί στήθι

πρός με, πρός Θεόν ανυψούμενος χάριτι.

Λαμπρυνόμενος αίγλη, Πάτερ ανεσπέρου, καί θείας ελλάμψεως, τών δαιμόνων ζόφον, καί παθών τήν ομίχλην εδίωξας, καί ωράθης στύλος, φωτοειδής καί κλίμαξ όντως, πρός Θεόν τους πιστούς επανάγουσα.

Θεοτοκίον

Τόν Δεσπότην τεκούσα, ώφθης υπερτέρα, τών άνω Δυνάμεων, καί βροτών τήν φύσιν, εθεούργησας μόνη Πανύμνητε, Θεοτόκον όθεν, παναληθή ψυχή καί γλώσση, οι πιστοί σε Παρθένε δοξάζομεν.

Ωδή ς'

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επακουσόν μου, ο Θεός τής σωτηρίας μου».

Ο νούς σου τή πρός Θεόν, εγγύτητι λαμπρυνόμενος, ανάλωτος ηδονών, πυρί Πάτερ έμεινε, καί παθών ανώτερος, καί τής πρός τό σώμα, προσπαθείας υψηλότερος.

Ναμάτων ζωοποιών, τών χαρισμάτων τού Πνεύματος, πλησθείσά σου η ψυχή, θεόφρον πανόλβιε, ποταμούς ανέβλυσεν, ιαμάτων όντως, όχετους παθών ξηραίνοντας.

Θεοτοκίον

Σέ προστασίαν πιστοί, καί τείχος κεκτήμεθα, οι εν βυθώ τών κακών, καί σάλω τών θλίψεων, αεί κινδυνεύοντες, Θεοτόκε μόνη, τών βροτών τό καταφύγιον.

Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επακουσόν μου, ο Θεός τής σωτηρίας μου».

Κοντάκιον Ήχος πλ. δ'

Ως απαρχάς τής φύσεως

Ώσπερ αστήρ πολύφωτος, συ αναβάς μακάριε, επί τού στύλου τόν κόσμον εφώτισας, εν τοίς οσίοις έργοις σου, καί τό σκότος τής πλανης, απεδιώξας Πάτερ, διό δεόμεθα, καί νύν επίλαμψον, εν ταίς καρδίαις τών δούλων σου, τό άδυτον φως τής γνώσεως.

Ο Οίκος

Ηώ δή ρυπαρά πρός τήν αίνεσιν, τών αγώνων σου Πάτερ πέφυκεν, ου γάρ έχω αγνήν τήν καρδίαν μου, καί γάρ ταύτην αισχρώς κατεμόλυνα, αλλά μοι δίδου λόγον Άγιε, καθαρώς ανυμνήσαι τήν σήν πολιτείαν, ήν εθαύμασαν όντως καί Άγγελοι, καί γάρ γέγονας ώσπερ ασώματος, ειληφώς τό άδυτον φώς τής γνώσεως.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΑ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Δανιήλ τού

Στυλίτου.

Στίχοι

- Καί γήϊνον πάν, αλλά καί γήν εκκλίνων,
- Οικεί Δανιήλ πρίν στύλον, καί νύν πόλον.
- Ενδεκάτη Δανιήλ στυλοβάμων εύρατο τέρμα.

Τή αυτή ημέρα, τού Οσίου Πατρός ημών Λουκά, τού νέου Στυλίτου.

Στίχοι

- Πρός ύψος ανήνεγκε τόν Λουκάν στύλος,
- Λουκάς δέ τόν νούν πρός Θεόν, πρός όν τρέχει.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Ακεψεή καί Αειθαλά.

Στίχοι

- Ακεψεήν βλέπων με πάσχοντα ξίφει,
- Αειθαλά, ζήλωσον, Εζήλωσά σε.

Τή αυτή ημέρα, Μνήμη Μείρακός τινος, καί διήγησις πάνυ ωφέλιμος.

Τή αυτή ημέρα, Άθλησις τού Αγίου Μάρτυρος Βαρσαβά.

Στίχοι

- Θύσας Βαρσαβά ζήθι, λυτρωθείς ξίφους.
- Άνω ποθώ ζήν, θάττον ηκέτω ξίφος.

Τών Αγίων Μαρτύρων Τερεντίου, Βικεντίου, Αιμιλιανού, καί Βεβαίας.

Στίχοι

- Τμηθέντες εμφαίνουσι τρείς τε καί μία
- Θεού Τρία πρόσωπα καί φύσιν μίαν.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς.

Ωδή ζ'

«Παίδες Εβραίων εν καμίνω, κατεπάτησαν τήν φλόγα θαρσαλέως, καί εις δρόσον τό πύρ, μετέβαλον βοώντες, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας».

Τάξεις Αγγέλων σου τήν στάσιν, κατεπλάγησαν παμμάκαρ θεοφόρε, μετά σώματος γάρ, τήν τούτων πολιτείαν, αναλαβών εκραύγαζεν, ο Θεός ευλογητός εί.

Ύψει αΰλου πολιτείας, προφητείας τε εκλάμπων φωταυγεία, ιαμάτων ημίν, απήστραψας ακτίνας, τοίς ευσεβώς τιμώσί σε, Δανιήλ θαυματοφόρε.

Λύσον παθών μου τήν ομίχλην, τή λαμπρότητι, παμμάκαρ σής πρεσβείας, καί πρός τρίβους ζωής, οδήγησον βοώντα, Ευλογητός εί Κύριε, ο Θεός εις τούς

αιώνας.

Θεοτοκίον

Ίλεως έσο μοι Παρθένε, καί πληγέντα με ρομφαία αμαρτίας, εν μοτώσει τής σής, θεράπευσον πρεσβείας, Ευλογημένος κράζοντα, ο καρπός τής σής κοιλίας.

Ωδή η’

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν, εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, τόν Δημιουργόν, καί Λυτρωτήν ανεβόα, οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Τών ορεκτών τό έσχατον, τών καλών τό ακρότατον, Πάτερ θεοφόρε, ακριβώς κατέλαβες, πτεροίς κουφιζόμενος, τών εναρέτων πράξεων, καί σύν ασωμάτοις, Δανιήλ ανακράζεις, οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Η τού Θεού σε δύναμις, προφανώς ενισχύσασα, φέρειν τού κρυμού, τό δυσχερές εποίησεν, ηλίου τόν καύσωνα, τάς σηπεδόνας τάς τής σαρκός, καί τών εξ αυτής, γεγενημένων σκωλήκων, τήν κάκωσιν βοώντα, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Νέος Ιώβ σύ πέφηνας, Δανιήλ αξιάγαστε, πλήθει πειρασμών, περισχεθείς καί θλίψεων, Δαυίδ τήν πραότητα, καί Ιακώβ τό άπλαστον, καί τήν σωφροσύνην, Ιωσήφ εμιμήσω, κραυγάζων, τόν Δεσπότην, Ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Οι Θεοτόκον Δέσποινα, Παναγία φρονούντές σε, ρήμασιν επόμενοι, τοίς σοίς πανύμνητε, σέ νύν μακαρίζομεν, ότι Θεόν μακάριον, έτεκες ημίν, όν εν δυσί ταίς ουσίαις, μιά δέ υποστάσει, ανυμνούντες βοώμεν, Λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν, εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, τόν Δημιουργόν, καί Λυτρωτήν ανεβόα, οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ’

«Έφριξε πάσα ακοή, τήν απόρρητον Θεού συγκατάβασιν, όπως ο Ύψιστος εκών, κατήλθε μέχρι καί σώματος, παρθενικής από γαστρός, γενομενος άνθρωπος, διό τήν άχραντον, Θεοτόκον οι πιστοί μεγαλύνομεν».

Ιδού σοι πύλαι ουρανών, μεταστάντι καί τόν δρόμον τελέσαντι, Πάτερ ηνοίχθησαν, καί τών Αγγέλων τάξεις εδέξαντο, ο στεφοδότης δέ Χριστός, δόξη εστεφάνωσε, δικαιοσύνης σε, όν υμνούντες οι πιστοί μεγαλύνομεν.

Ως κρίνον Πάτερ τού αγρού, εν λειμώνι τής αθλήσεως ήνθησας, καί ως κυπάρισσος, εις ύψος ήρθης τής τελειότητος, ωσεί ελαία ψαλεφάνης τά πρόσωπα, καί μικώς, τάς καρδίας ημών, ιλαρύνων τώ ελαίω τών πόνων σου.

Στύλόν σε βάσει αρετών, στηριζόμενον η κτίσις εγνώρισε, πύργον ακλόνητον, θαυμάτων βρύσιν, λιμένα εύδιον, τών ιαμάτων θησαυρόν, δοχείον τού Πνεύματος, διό σου σήμερον, Δανιήλ επιτελεί τό μνημόσυνον.

Ηλίου σήμερον ημίν, εξανέτειλε φαιδρότερον Όσιε, η θεία μνήμη σου, πιστών καρδίας καταφωτίζουσα, δικαιοσύνης τώ φωτί ζόφον δέ διώκουσα, τών ψυχοφθόρων παθών, ήν τελούντες ευσεβώς ανυμνούμέν σε.

Θεοτοκίον

Φείσαί μου Σώτερ ο τεχθείς, καί φυλάξας τήν τεκούσάν σε άφθορον, μετά τήν κύησιν, όταν καθίσης κρίναι τά έργα μου, τάς ανομίας παρορών, καί τάς αμαρτίας μου, ως αναμάρτητος, ελεήμων ως Θεός καί φιλάνθρωπος.

Ο Ειρμός

«Έφριξε πάσα ακοή, τήν απόρρητον Θεού συγκατάβασιν, όπως ο Ύψιστος εκών, κατήλθε μέχρι καί σώματος, παρθενικής από γαστρός, γενομενος άνθρωπος, διό τήν άχραντον, Θεοτόκον οι πιστοί μεγαλύνομεν».

Εξαποστειλάριον

Εν Πνεύματι τώ Ιερώ

Τώ κρύει καί τό καύσωνι, πιεζόμενος Πάτερ, τώ σώματι μετέωρος, διετέλεσας ώσπερ, αδάμας μή καμπτόμενος, Δανιήλ πανθαύμαστε, τής φύσεως ταίς ανάγκαις, διά τούτο καί δόξης, αθανάτου σε υιόν, ηξίωσεν απολαύειν.

Θεοτοκίον, όμοιον

Εκύησας πανάχραντε, τόν Θεού Θεόν Λόγον, τώ κόσμω ο τήν σωτήριον, εκτελούντα πανσόφως, οικονομίαν αρίστην, διά τούτό σε πάντες, υμνολογούμεν αξίως, ως πρεσβεύουσαν τούτω, λυτρωθήναι ημάς νόσων, καί παντοίων κινδύνων.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΚΥΡΙΑΚΗ ΤΩΝ ΑΓΙΩΝ ΠΡΟΠΑΤΟΡΩΝ

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Μετά τόν Προοιμιακόν, στιχολογούμεν τού, Μακάριος ανήρ, τό Κάθισμα όλον. Εις δέ τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ι’ καί ψάλλομεν Στιχηρά Αναστάσιμα γ’, Ανατολικά γ’ καί τών Προπατόρων Στιχηρά Προσόμοια δ’.

Ήχος πλ. δ’

Ο εν Εδέμ Παράδεισος

Τών Προπατόρων σήμερον πιστοί, τελούντες μνημόσυνα, ανυμνήσωμεν Χριστόν τόν Λυτρωτήν, τόν μεγαλύναντα αυτούς, εν πάσι τοίς έθνεσι, καί θαυμάτων τά παράδοξα πιστώς, επιτελέσαντα Κύριον, ως κραταιόν καί δυνατόν, καί εξ αυτών αωαδείξαντα, ράβδον δυνάμεως ημίν, τήν μόνην απείρανδρον, καί θεόπαιδα Μαρίαν τήν αγνήν, έξ ής τό άνθος προήλθε Χριστός, βλαστήσας πάσι τήν ζωήν, καί αδάπανον τρυφήν, καί σωτηρίαν τήν αιώνιον.

Ο τούς Αγίους Παίδας εκ πυρός, ρυσάμενος Δέσποτα, καί εκ στόματος λεόντων Δανιήλ, ο ευλογήσας Αβραάμ, Ισαάκ τε τόν δούλόν σου, καί τόν τούτου υιόν τόν Ιακώβ, ο ευδοκήσας εκ σπέρματος, τούτων γενέσθαι καθ’ ημάς, ίνα τούς πρίν ολισθήσαντας, σώσης προπάτορας ημών, σταυρούσαι καί θάπτεσαι, καί συντρίβεις τού θανάτου τά δεσμά, συνεγείρεις τε πάντας, τούς απ’ αιώνος όντας εν νεκροίς, προσκυνούντάς σου Χριστέ, τήν Βασιλείαν τήν αιώνιον.

Ως εν ψεκάδι μέσον τής φλογός, τή δρόσω τού Πνεύματος, αγαλλόμενοι οι Παίδες τού Θεού, περιεπάτουν μυστικώς, εν αυτή προτυπώσαντες, τήν Τριάδα καί τήν σάρκωσιν Χριστού, καί ως σοφοί διά πίστεως, έσβεσαν δύναμιν πυρός, καί Δανιήλ δέ ο δίκαιος, λεόντων ώφθη φιμωτής, ών ταίς δεήσεσι, δυσωπούμενος φιλάνθρωπε Σωτήρ, καί ημάς τού ασβέστου, καί αιωνίου λύτρωσαι πυρός, καί αξίωσον τυχείν, τής ουρανίου Βασιλείας σου.

Ώσπερ εν δρόσω όντες οι πιστοί, καί Άγιοι Παίδες σου, εν καμίνω τής φλογός τής τού πυρός, προεζωγράφουν μυστικώς, τήν εκ Παρθένου σου έλευσιν, τήν αφλέκτως αναλάμψασαν ημίν, καί Δανιήλ δέ ο δίκαιος, καί εν Προφήταις θαυμαστός, τρανώς τήν θείαν δευτέραν σου, επιδημίαν προδηλών, Εώρων εκραύγαζεν, εως ού θρόνοι ετέθησαν φησί, καί κριτής εκαθέσθη, καί τού πυρός επέστη ποταμός, ού ρυσθείημεν Χριστέ, ταίς ικεσίαις αυτών Δέσποτα.

Δόξα... Ήχος πλ. β’ Ανατολίου

Τούς πρό τού νόμου Πατέρας, άπαντας ευφημήσωμεν σήμερον πιστοί, Αβραάμ τόν φιλόθεον, Ισαάκ τόν εξ επαγγελίας τεχθέντα, καί Ιακώβ, καί τούς δώδεκα Πατριάρχας, Δαυίδ τόν πραότατον καί Δανιήλ τόν επιθυμιών Προφήτην, καί τούς τρείς Παίδας σύν αυτοίς γεραίροντες, τούς τήν κάμινον είς δρόσον μεταβαλόντας, αιτούμενοι άφεσιν παρά Χριστού τού Θεού, τού ενδοξαζομένου εν τοίς Αγίοις αυτού.

Καί νύν... Θεοτοκίον

Το αυτού Ήχου

Εις τόν Στίχον, Στιχηρά Αναστάσιμα τού Ήχου.

Δόξα... Ήχος γ’ Γερμανού

Τών Προπατόρων τό σύστημα, οι φιλέορτοι δεύτε, ψαλμικώς ευφημήσωμεν,

Αδάμ τόν Προπάτορα, Ενώχ, Νώε; Μελχισεδέκ, Αβραάμ, Ισαάκ και Ιακώβ, μετά νόμον, Μωϋσήν καί Ααρών, Ιησούν, Σαμουήλ καί Δαυίδ, μεθ’ ών τόν Ησαϊαν, Ιερεμίαν, Ιεζεκιήλ, καί Δανιήλ καί τούς δώδεκα, άμα Ηλιού, Ελισαίον καί τούς άπαντας, Ζαχαρίαν καί τόν Βαπτιστήν, καί τούς κηρύξαντας Χριστόν, τήν ζωήν καί ανάστασιν τού γένους ημών.

Καί νύν... Θεοτοκίον, ο αυτός

Ασπόρως εκ θείου Πνεύματος, βουλήσει δέ Πατρός, συνείληφας Υιόν τόν τού Θεού, εκ Πατρός αμήτορα, πρό τών αιώνων υπάρχοντα, δι’ ημάς δέ εκ σού απάτορα γεγονότα, σαρκί απεκύησας, καί βρέφος εγαλούχησας, διό μή παύση πρεσβεύειν, τού λυτρωθήναι κινδύνων τάς ψυχάς ημών.

Απολυτίκιον, τό Αναστάσιμον

Δόξα… Καί νύν…

Τών Προπατόρων Ήχος β’

Εν πίστει τούς Προπάτορας εδικαίωσας, τήν εξ Εθνών δι’ αυτών προμνηστευσάμενος Εκκλησίαν, Καυχώνται εν δόξη οι Άγιοι, όι εκ σπέρματος αυτών, υπάρχει καρπός ευκλεής, η ασπόρως τεκούσά σε, Ταίς αυτών ικεσίαις, Χριστέ ό Θεός, σώσον τάς ψυχάς ημών.

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Εις τό, Θεός Κύριος, Τροπάριον τό Αναστάσιμον, Δόξα, τό αυτό, Καί νύν, τών Προπατόρων.

Η συνήθης Στιχολογία, οι Αναβαθμοί τού ήχου.

Τό, Πάσα πνοή, Ευαγγέλιον τό Εωθινόν. Ανάστασιν Χριστού θεασάμενοι. ο Ν’

Καί οι Κανόνες, τής Οκτωήχου, ο Αναστάσιμος, τών Αγίων τριών Παίδων, καί τών Προπατόρων.

Κανών τών Αγίων τριών Παίδων, ού η Ακροστιχίς.

Τρείς παίδας υμνώ, Δανιήλ τε τόν μέγαν. Θεοφάνους.

Ωδή α’ Ήχος πλ. δ’

«Υγράν διοδεύσας ωσεί ξηράν, καί τήν Αιγυπτίαν, μοχθηρίαν διαφυγών, ο Ισραηλίτης ανεβόα, Τώ Λυτρωτή καί Θεώ ημών άσωμεν».

Τόν άναρχον Λόγον τόν εκ Πατρός, πρό πάντων αιώνων, γεννηθέντα θεοπρεπώς, τόν εν τή καμίνω νεανίαις, συμβολικώς οραθέν τα δοξάσωμεν.

Ρημάτων τυράννου τού δυσσεβούς, οι ευγενείς Παίδες, καταπτύσαντες καρτερώς, τροφαίς παρανόμοις μιανθήναι, Χαλδαϊκώς ου κατηξίωσαν.

Ετρέφεσθε λόγω μέν ψυχικώς, τροφαίς αυτομάτοις, κεχρημένοι δέ σαρκικώς, τών αβροδιαίτων ταίς ιδέαις, τώ Βασιλεί ωραιότεροι δείκνυσθε.

Θεοτοκίον

Ιόν τόν τού όφεως ακοαίς, Πικρώς εμπαρέντα, ταίς τής Εύας η εκ Δαυϊδ, βλαστήσασα Κόρη θεραπεύει, τόν Λυτρωτήν κυοφορήσασα.

Κανών τών Αγίων Προπατόρων, ού η Ακροστιχίς

Πατράσιν αίνον εικότως νύν εισφέρω. Ιωσήφ.

Ωδή α' Ήχος α'

«Χριστός γεννάται, δοξάσατε, Χριστός εξ ουρανών, απαντήσατε, Χριστός επί γής, υψώθητε, Άσατε τώ Κυρίω πάσα η γή, καί εν ευφροσύνη, ανυμνήσατε λαοί, ότι δεδόξασται».

Πατράσιν αίνον προσάξωμεν, πρό Νόμου καί εν Νόμω εκλάμψασι, καί τόν εκ Παρθένου λάμψαντα, Κύριον καί Δεσπότην, γνώμη ορθή, τεθεραπευκόσι, καί αδύτου φωτισμού νύν απολαύουσιν.

Αδάμ τόν πρώτον τιμήσωμεν, χειρί τετιμημένον τού κτίσαντος, καί πάντων ημών Προπάτορα, ήδη γεγενημένον, καί εν σκηναίς, ταίς επουρανίαις, μετά πάντων εκλεκτών αναπαυόμενον.

Τόν Άβελ δώρα προσάγοντα, ψυχή ευγενεστάτη προσήκατο, ο πάντων Θεός καί Κύριος, τούτον δέ μιαιφόνω, πάλαι χειρί, τεθανατωμένον, ανεκόμισε πρός φώς ως θείον Μάρτυρα.

Θεοτοκίον

Ρητών ενθέων ακούσωμεν, βοώντων τού Χριστού τήν ανάδειξιν, ιδού γάρ Σπηλαίω τίκτεται, Κόρης εξ απειράνδρου, ού τόν φρικτόν, τόκον προμηνύει, Αστρολόγοις ο αστήρ επιφαινόμενος.

Καταβασία

«Χριστός γεννάται, δοξάσατε, Χριστός εξ ουρανών, απαντήσατε, Χριστός επί γής, υψώθητε, Άσατε τώ Κυρίω πάσα η γή, καί εν ευφροσύνη, ανυμνήσατε λαοί, ότι δεδόξασται».

Τών αγίων Παίδων

Ωδή γ'

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Σύνεσιν κτησάμενοι, τήν θεοδίδακτον Δέσποτα, Παίδες Δαυϊδ, Νόμους τούς πατρώους, θεοφρόνως ετήρησαν.

Πύρ ού κατεφλόγισε, τά καθαρώτατα σώματα, τών ευσεβών, διά γάρ νηστείας, ψυχοτρόφου ηρδεύοντο.

Αίνον τόν παγκόσμιον, καί πολυϋμνητον άδουσι, Παίδες οι τρείς, μέσον τής καμίνου, θαυμαστώς δροσιζομενοι.

Θεοτοκίον

Ίνα τόκον Δέσποτα, εκ παρθενεύοντος σώματος, δείξης ημίν, σώζεις εν καμίνω, παρθενεύοντα σώματα.

Τών Προπατόρων

Τώ πρό τών αιώνων

Άδεται εν κόσμω, τό τού Σήθ πρός τόν Κτίστην διάπυρον, εν γάρ αμέμπτω πολιτεία, καί ψυχής διαθέσει, αυτόν όντως εθεράπευσε, καί νύν εν χώρα τών ζώντων βοά, άγιος εί Κύριε.

Στόματι καί γλώσση, καί καρδία Ενώς ο θαυμάσιος, επικαλείσθαι θεοφρόνως, τόν τών όλων Δεσπότην, Θεόν ήλπισεν εν πνεύματι, καί ευαρέστως βιώσας εν γή, κλέος επηνέγκατο.

Ιερολογίαις, ιεραίς τόν Ενώχ μακαρίσωμεν, ευαρεστήσας γάρ Κυρίω, μετετέθη εν δόξη, οφθείς κρείττων καθως γέγραπται, θανάτου οία Θεού πεφηνώς, δούλος γνησιώτατος.

Θεοτοκίον

Νύν η προσδοκία, τών Εθνών εκ Παρθένου προέρχεται, καί Βηθλεέμ τήν κεκλεισμένην, υπανοίγει προσφόρως, Εδέμ Λόγον σωματούμενον, εισδεδεγμένη καί φάτνη σαρκί, επανακλινόμενον.

Καταβασία

«Τώ πρό τών αιώνων, εκ Πατρός γεννηθέντι αρρεύστως Υιώ, καί επ' εσχάτων εκ Παρθένου, σαρκωθέντι ασπόρως, Χριστώ τώ Θεώ βοήσωμεν, Ο ανυψώσας τό κέρας ημών, Άγιος εί Κύριε».

Η Υπακοή  Ήχος β’

Εις δρόσον τοίς Παισί, τό πύρ μετεβάλλετο, ό θρήνος εις χαράν, ταίς Γυναιξίν ενηλλάττετο, Άγγελος γάρ, εν αμφοτέροις διηκόνει τοίς θαύμασι, τοίς μέν, εις ανάπαυσιν μεταποιήσας τήν κάμινον, ταίς δέ, τήν ανάστασιν καταμηνύσας τριήμερον, ο αρχηγός τής ζωής ημών, Κύριε δόξα σοι.

Εάν δέ δόξη τώ Προεστώτι, λέγομεν.

Κάθισμα  Ήχος α’

Τόν τάφον σου Σωτήρ

Υμνήσωμεν πιστοί, τούς Προπάτορας πάντας, Χριστού τού δι’ ημάς, επί γής οραθέντος, δοξάζοντες εν άσμασι, τόν αυτούς θαυμαστώσαντα, ως τήν έλευσιν, προεκτυπώσαντας τούτου, καί τήν γέννησιν, τήν εκ Παρθένου αφράστως, τώ κόσμω κηρύξαντας.

Τών Αγίων παίδων

Ωδή δ’

«Εισακήκοα Κύριε, τήν ακοήν τής σής οικονομίας, καί εδόξασά σε, μόνε φιλάνθρωπε».

Δανιήλ ο σοφώτατος, ενθεαστικώς τόν νούν φωτιζόμενος, τά ένύπνια διέλυσε, τών Αυτοκρατόρων θεία χάριτι.

Απαστράπτει τοίς θαύμασιν, η έν τή καμίνω τών Παίδων άθλησις, τόν γάρ τύραννον εζώγρησε, πρός επίγνωσίν σου Παντοδύναμε.

Συμφωνίας τά όργανα, καί τής μουσικής μέλη παναρμόνια, τούς γενναίους ού κατέθελξαν, καί χρυσή εικόνι ουχ υπέκυψαν.

Θεοτοκίον

Υμνωδίαις Πανύμνητε, οι εν Βαβυλώνι Παίδες γεραίρουσι, τόν Υιόν σου τόν υπέρθεον, όν εν τή καμίνω επεγίνωσκον.

Τών Προπατόρων

Ράβδος εκ τής ρίζης

Αίνον προσαγάγωμεν Θεώ, τιμώντες μελωδήμασι, Νώε τόν όντως όντα δίκαιον, εν πάσαις γάρ εντολαίς, θείαις καλλυνόμενος, ώφθη τώ Χριστώ ευαρεστή σας, ώ μελωδούμεν πιστώς. Δόξα τή δυνάμει σου Κύριε.

Ιδών σου Θεός τό ευγενές, τής γνώμης τό ακέραιον, καί κατά πάντα Νωε τέλειον, δευτέρου κόσμου σαφώς, αρχηγόν σε δείκνυσι, σώσαντα αυτώ παντός εκ γένους, κατακλυσμού αισθητού, σπέρμα, ως αυτός διετάξατο.

Νώε τόν φυλάξαντα Θεού, τόν νόμον απαράτρωτον, καί ευρεθέντα τότε δίκαιον, τή γενεά εαυτού, καί ξυλίνη σώσαντα, πάλαι Κιβωτώ αλόγων γένη, προστάξει παντουργική, ύμνοις ευσεβώς μακαρίσωμεν.

Οίνον κατανύξεως ημίν, πηγάζει τοίς τιμώσί σε, Νώε μακάριε η μνήμη σου, ευφραίνουσα καί ψυχάς, καί καρδίας πάντοτε, τών ειλικρινώς μακαριζόντων, τους τρόπους σου τούς σεμνούς, καί τήν πολιτείαν τήν ένθεον.

Θεοτοκίον

Νύν η άπολύτρωσις ημών, εν φάτνη ανακλίνεται, καί σπαργανούται ώσπερ νήπιον, καί Μάγοι ανατολών, Βασιλείς αφίκοντο, τούτον ως Θεόν καί Βασιλέα, τεχθέντα επί τής γής, βλέψαι καί λατρεύσαι σύν δώροις πιστώς.

Καταβασία

«Ράβδος εκ τής ρίζης Ιεσσαί, καί άνθος εξ αυτής Χριστέ, εκ τής Παρθένου ανεβλάστησας, εξ όρους ο αινετός, κατασκίου δασέος, ήλθες σαρκωθείς εξ απειράνδρου, ο άυλος καί Θεός, Δόξα τή δυνάμει σου, Κύριε».

Τών Αγίων Παίδων

Ωδή ε’

«Ίνα τί με απώσω, από τού προσώπου σου, τό φώς τό άδυτον, καί εκάλυψέ με, τό αλλότριον σκότος τόν δείλαιον; αλλ’ επίστρεψόν με, καί πρός τό φώς τών εντολών σου, τάς όδούς μου κατεύθυνον δέομαι».

Μυηθέντες τόν Νόμον, Σώτερ ουκ ηρνήσαντο οι σοί θεράποντες, Δανιήλ ο μέγας, σύν τρισί Νεανίαις θεόφροσιν, αλλ’ ισχύν λαβόντες, τήν παρά σού τού ευεργέτου, τούς Τυράννους ανδρείως ετρέψαντο.

Νοερώς εμυείτο, Δανιήλ φιλάνθρωπε τά σά μυστήρια, επί γάρ νεφέλης, ως Υιόν σε ανθρώπου ερχόμενον, τών Εθνών απάντων, οία Κριτήν καί Βασιλέα, εθεώρει νοός καθαρότητι.

Ωραιώθη ώ Παίδες, υπέρ λίθον σάπφειρον, υμών τά σώματα, ως αυγή χρυσίου, ευσεβείας τώ ζήλω πυρσεύετε, εμπεριπατούντες χαρμονικώς εν τή καμίνω, καί κροτούντες χορείαν παγκόσμιον.

Θεοτοκίον

Δανιήλ σε Παρθένε, Όρος προδιέγραφε σαφώς ο ένθεος, οι τριττοί δέ Παίδες, καθορώντες τήν φλόγα δροσίζουσαν, τόν σόν θείον τόκον, μελωδικώς ανευφημούσιν, ως Σωτήρα καί Κτίστην καί Κύριον.

Τών Προπατόρων

Θεός ών ειρήνης

Επαίνοις τιμάσθω, ενθέοις ό Σήμ, πατρικήν ευλογίαν καρπούμενος, καί έναντι ευάρεστος, δεικνύμενος Θεού, καί τοίς τών Προπατόρων, χοροίς κατειλεγμένος, καί εν χώρα τών ζώντων, περιχαρώς αναπαυόμενος.

Ιδείν ηξιώθη, ως φίλος Θεού, Αβραάμ τήν ημέραν τού Κτίστου αυτού, καί έμπλεως εγένετο, χαράς Πνευματικής, τούτον ούν διανοίας, ευθύτητι τιμώντες, μακαρίσωμεν πάντες, ως τού Θεού πιστόν θεράποντα.

Κατείδες ως θέμις, ανθρώπω ιδείν, τήν Τριάδα, καί ταύτην εξένισας, ως φίλος γνησιώτατος, παμμάκαρ Αβραάμ, όθεν μισθόν κομίζη, τής ξένης ξεναγίας τό γενέσθαι απείρων, Εθνών Πατήρ διά τής πίστεως.

Θεοτοκίον

Ο Πλήρης κενούται, σαρκί δι’ ημάς, καί αρχήν ο προάναρχος δέχεται, πτωχεύει δέ ο πλούσιος, καί Λόγος ών Θεού, εν φάτνη τών αλόγων,

προσκλίνεται ως βρέφος, τήν ανάπλασιν πάντων, τών απ’ αιώνος εργαζόμενος.

Καταβασία

«Θεός ών ειρήνης, Πατήρ οικτιρμών, τής μεγάλης Βουλής σου τόν Άγγελον, ειρήνην παρεχόμενον, απέστειλας ημίν, όθεν θεογνωσίας, πρός φώς οδηγηθέντες, εκ νυκτός ορθρίζοντες, δοξολογούμέν σε, Φιλάνθρωπε».

Τών Αγίων Παίδων

Ωδή ς’

«Άβυσσος αμαρτιών, καί πταισμάτων καταιγίς με ταράττει, καί πρός βυθόν βιαίως συνωθεί απογνώσεως, αλλ’ αυτός τήν κραταιάν χείρά μοι έκτεινον, ως τώ Πέτρω, καί εκ βυθού φθοράς ανάγαγε».

Άρξαντες τών ψυχικών, παθημάτων τή δυνάμει τού Λόγου, χώρας Εθνών Χαλδαίων, ηγεμόνες γεγόνατε, οίδε γάρ η αρετή, γέρα χαρίζεσθαι, κεκτημένοις, ώ τού Δαυίδ σοφοί απόγονοι.

Νέκρωσιν ο Δανιήλ, ζωηφόρον ενδυσάμενος πάλαι, τόν ως Θεόν Χαλδαίοις, δυσσεβώς νομιζόμενον, αναιρεί διά τροφής, δράκοντα κάκιστον, ιερείς δέ, τούς δυσμενείς σοφώς απέκτεινεν.

Θεοτοκίον

Ιλεών μοι τόν Κριτήν, τόν Υιόν σου Θεοτόκε Παρθένε, ταίς σαίς λιταίς γενέσθαι εν ημέρα τής κρίσεως, λυτρωτήν τε τών δεινών, Μήτηρ δυσώπησον, σοί γάρ μόνη τά τής ελπίδος ανατίθημι.

Τών Προπατόρων

Σπλάγχνων Ιωνάν

Τύπωσις Χριστού, τού πάθους γεγένησαι, σαφώς Ισαάκ μακαριώτατε, αναγόμενος, πατρική ευπειθεία τού θύεσθαι, διά τούτο μεμακάρισαι, καί φίλος Θεού, ώφθης όντως γνησιώτατος, μετά πάντων Δικαίων σκηνούμενος.

Ώφθη Ιακώβ, θεράπων πιστότατος, τού πάντων Θεού, όθεν επάλαισε, μετ’ Αγγέλου νούς, καθορών τόν Θεόν μετωνόμασται, καί καθεύδων θείαν κλίμακα τεθέαται, ήπερ Θεός επεστήρικτο, ο σαρκί προσπλακείς άγαθότητι.

Στέργων Ιωσήφ, πατρός τήν ευπείθειαν, εν λάκκω βληθείς, προσαπεμπόληται, εις προτύπωσιν, τού τυθέντος εν λάκκω βληθέντος Χριστού, σιτοδότης τε Αιγύπτου εχρημάτισε, σώφρων γεγονως καί δίκαιος, Βασιλεύς τε παθών αληθέστατος.

Θεοτοκίον

Νέον επί γής, παιδίον γνωρίζεται, ο ών σύν Πατρί αεί καί Πνεύματι, σπαργανούται δέ, ο τήν γήν σπαργανώσας ομίχλη σαφώς, καί εν φάτνη τών αλόγων ανακέκλιται, τούτου νύν προεορτάσωμεν, γεγηθότες τήν άσπορον

γέννησιν.

Καταβασία

«Σπλάγχνων Ιωνάν, έμβρυον απήμεσεν, ενάλιος θήρ, οίον εδέξατο, τή Παρθένω δέ, ενοικήσας ο Λόγος καί σάρκα λαβών, διελήλυθε φυλάξας αδιάφθορον, ής γάρ, ουχ υπέστη ρεύσεως, τήν τεκούσαν, κατέσχεν απήμαντον».

Κοντάκιον Ήχος β' Αυτόμελον

Χειρόγραφον εικόνα μή σεβασθέντες, αλλ' αγράφω ουσία θωρακισθέντες τρισμακάριοι, εν τώ σκάμματι τού πυρός εδοξάσθητε, εν μέσω δέ φλογός ανυποστάτου ιστάμενοι, Θεόν επεκαλείσθε, Τάχυνον ο Οικτίρμων, καί σπεύσον ως ελεήμων, εις τήν βοήθειαν ημών, ότι δύνασαι βουλόμενος.

Ο Οίκος

Εκτεινόν σου τήν χείρα, ής πάλαι έλαβον πείραν Αιγύπτιοι πολεμούντες, καί Εβραίοι πολεμούμενοι, μή καταλίπης ημάς, καί καταπίη ημάς ο θάνατος, ο διψών ημάς, καί Σατάν ο μισών ημάς, αλλ' έγγισον ημίν, καί φείσαι τών ψυχών ημών, ως εφείσω ποτέ τών Παίδων σου τών εν Βαβυλώνι, απαύστως ανυμνούντων σε καί βληθέντων υπέρ σού εις τήν κάμινον, καί εκ ταύτης κραυγαζόντων σοι, Τάχυνον ο οικτίρμων, καί σπεύσον ως ελεήμων εις τήν βοήθειαν ημών, ότι δύνασαι βουλόμενος.

Αναγινώσκομεν πρώτον τό συναξάριον τής ημέρας τού μηνός, είτα τών Αγίων Προπατόρων.

Τή αυτή ημέρα, Κυριακή τών Αγίων Προπατόρων.

Στιχοι

- Δέξασθαι χαράν οι πάλαι Προπάτορες,
- Βλέποντες εγγίζοντα Χριστόν Μεσσίαν.
- Γήθεο Αβραάμ, ότι Πρόπαππος Χριστού εδείχθης.

Ταίς τών σών αγίων πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τών Αγίων Παίδων

Ωδή ζ'

«Παίδες θεοσεβείς έν Βαβυλώνι, εικόνι χρυσή ού προσεκύνησαν, αλλ' εν μέσω καμίνου πυρός δροσιζόμενοι, τήν ωδήν ανέμελπον λέγοντες, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών».

Ήχος θεοσεβής εμελωδείτο, εκ μέσου πυρός τώ Παντοκράτορι, Αζαρίας γάρ θείον χορόν συστησάμενος, τήν ωδήν ανέμελπον λέγοντες, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Λύρα Νεανιών εθεολόγει τόν πάντων Θεόν καί παντοκράτορα, τόν αυτοίς εν καμίνω, τρανώς Οπτανόμενον, καί ωδήν ανέμελπον λέγοντες, Ευλογητός ο

Θεός, ό τών Πατέρων ημών.

Τρείς τούς εν τή καμίνω βεβλημένους, ειδώς ο κρατών ως εθεάσατο, τού τετάρτου τήν θέαν, Υιόν προσηγόρευσε, τού Θεού καί πάσιν εβόησεν, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Έχων λελαμπρυσμένον θεία αϊγλη, τόν νούν Δανιήλ Θεομακάριστε, τής Παρθένου τόν τόκον, σαφώς προτεθέασαι, μυστικαίς εικόσι τυπούμενον, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

## Τών Προπατόρων

### Οι Παίδες ευσεβεία

Υμνείσθω Ανανίας, Αζαρίας, Μισαήλ σύν τώ Δανιήλ, κάμινον σβέσαντες πυρός, καί λεόντων χαλινώσαντες, τάς ορμάς καί τώ Χριστώ, συμφώνως ψάλλοντες, ο τών Πατέρων, Θεός ευλογητός εί.

Νομίμως εναθλήσας, πειρασμοίς καί ανενδότοις θλίψεσι, θεράπων κέκληται Ιώβ, τού Θεού παναληθέστατος, πράος άκακος ευθύς, τέλειος άμεμπτος, αναβοών, ο Θεός ευλογητός εί.

Εν πίστει Μωϋσέα, Ααρών τε καί τόν Ώρ τιμήσωμεν, ανευφημούντες, Ιησούν, καί Λευϊ τόν ιερώτατον, Γεδεών τε καί Σαμψών, καί ανακράζοντες, ο τών Πατέρων, Θεός ευλογητός εί.

Θεοτοκίον

Ιδού καθώς προείπεν ο Προφήτης, εν γαστρί συνέλαβεν, η απειρόγαμος, Θεόν καί τεκείν σαφώς επείγεται, εν Σπηλαίω Βηθλεέμ, ώ πάντες ψάλλομεν, ο τών Πατέρων, Θεός ευλογητός εί.

Καταβασία

«Οι Παίδες ευσεβεία συντραφέντες, δυσσεβούς προστάγματος καταφρονήσαντες, πυρός απειλήν ουκ επτοήθησαν, αλλ' εν μέσω τής φλογός, εστώτες έψαλλον, Ο τών Πατέρων Θεός ευλογητός εί».

## Τών Αγίων Παίδων

### Ωδή η’

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τυραννος, τοίς θεοσεβέσιν, εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, τόν Δημιουργόν καί Λυτρωτήν ανέβοα, οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Τήν Αβραάμ ευγένειαν, διασώζειν σπουδάζοντες, τήν οικειοτάτην, πρός αυτόν εκτήσασθε, κρηπίδα τής Πίστεως, καί τής Ελπίδος Όσιοι, καί υπομονήν, καί πειρασμών καρτερίαν, βοώντες ανενδότως, ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Οι ως φωστήρες λάμποντες, καί τήν γήν ουρανώσαντες, καί τής ευσεβείας, φωτισμώ πυρσεύοντες, παγκόσμιον στήσαντες, χοροστασίαν άδουσι, τώ εκ πειρασμών εκσεσωκότι Δεσπότη, οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Νεανικώς οι σβέσαντες, επηρμένην τήν κάμινον, καί τάς τών λεόντων, ακωκάς πεδήσαντες, Δαυίδ οι απόγονοι, νύν γεγηθότες ψάλλουσι, Τόν εκ πειρασμών, εκσεσωκότα Δεσπότην, οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαος υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Μυσταγωγείται πάναγνε, Δανιήλ ό σοφώτατος, καί προζωγραφούσι, Παίδες τρείς τήν γέννησιν, τήν σήν οι θεόφρονες, διά συμβόλων βλέποντες, τόν εκ τής γαστρός σου, προελθόντα αφράστως, όν Παίδες ευλογούσιν, ιερείς ανυμνούσι, λαοί υπερυψούσιν, εις πάντας τούς αιώνας.

Τών Προπατόρων

Θαύματος υπερφυούς

Σήμερον τών απ’ αιώνος θείαν μνήμην, εκτελέσωμεν θείων Πατέρων, τού Αδάμ τού Άβελ τε, Σήθ καί Νώε καί τού Ενώς, καί Ενώχ καί Αβραάμ Μελχισεδέκ καί Ιώβ, καί τού Ισαάκ σύν τώ πιστώ Ιακώβ, Ευλογείτω η κτίσις βοώντες τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Φάλαγγα Θεοτερπή θείων Πατέρων, ευφημήσωμεν Βαράκ καί Νάθαν, καί τόν Ελεάζαρον, Ιωσίαν καί τόν Δαυϊδ, Ιεφθάε Σαμουήλ τε τόν τά έμπροσθεν ορώντα, σεπτώς καί ανακράζοντα, Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας

Έπαινον μελωδικώς Θεού Προφήταις, προσαγάγωμεν ανευφημούντες, Ωσηέ, Μιχαίαν τε, Σοφονίαν καί Αββακούμ, Ζαχαρίαν, Ιωνάν, Αγγαίόν τε καί Αμμώς, καί τόν Αβδιού καί Μαλαχίαν Ναούμ, Ησαϊαν καί Ιερεμίαν καί Ιεζεκιήλ, άμα Δανιήλ, Ηλιού καί Ελισαίον.

Τριαδικόν

Ρήμασι τριαδικοίς τήν παναγίαν, ανυμνήσωμεν Πιστοί Τριάδα, τόν Πατέρα άναρχον, τόν Υιόν τε καί τό ευθές, Πνεύμα Άγιον, Τριάδα ομοούσιον, ήν πάσα πνοή δοξάζει κράζουσα, Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Ώφθης εκ Παρθενικών Χριστέ αιμάτων, σωματούμενος αρρήτω λόγω, καί ως βρέφος τέλειον, εν Σπηλαίω υπερβολή, ευσπλαγχνίας Ιησού αποτικτόμενος, αστήρ δέ σε πορρωθεν εμήνυσεν, αστρολόγοις, Υμνείτε πίστει κραυγάζουσι, καί υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Καταβασία

«Θαύματος υπερφυούς η δροσοβόλος, εξεικόνισε κάμινος τύπον, ου γάρ ούς

εδέξατο φλέγει Νέους, ώς ουδέ πύρ τής θεότητος, Παρθένου ήν υπέδυ νηδύν, διό ανυμνούντες αναμέλψωμεν, Ευλογείτω η Κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας».

Τών Αγίων Παίδων

Ωδή θ’

«Κυρίως Θεοτόκον, σέ ομολογούμεν, οι διά σού σεσωσμένοι Παρθένε αγνή, σύν Ασωμάτοις χορείαις, σέ μεγαλύνοντες».

Εφθάσατε τό τέλος, τό πεποθημένον, καί ορεκτών ακροτάτω παρέστητε, εν ουρανίοις θαλάμοις Παίδες πανόλβιοι.

Γηθόμενοι τό δράγμα, τής μετά δακρύων, καλής υμών γεωργίας κομίζεσθε, τής αφθαρσίας τόν στάχυν καρποφορήσαντες.

Ανέτειλε λαμπρότης, νύν υμίν αξίως, καί ευφροσύνη καρδίας εξ ήνθησεν, ένθα απέδρα γάρ λύπη κατεσκηνώσατε.

Θεοτοκίον

Νομήν τήν τού θανάτου, έστησας Παρθένε, τόν ζωοδότην τεκούσα καί Κύριον, ζωοποιούντα τούς πίστει σέ μεγαλύνοντας.

Τών Προπατόρων

Μυστήριον ξένον

Ισχύϊ σου πάλαι, δυνάμεις εποίησαν, θυγατέρες Κύριε, Άννα καί Ιουδίθ καί Δεβόρρα, Ολδά, Ιαήλ τε, Εσθήρ Σάρρα Μαριάμ Μωσέως καί Ραχήλ, καί Ρεβέκκα καί η Ρούθ αι μεγαλόφρονες.

Ως σβέσαντες Παίδες, Αγίους τήν κάμινον, ιερώς τιμήσωμεν, άμα τώ Δανιήλ τώ Προφήτη, πάσι δικαίοις σαφώς, τοίς πρό Νόμου διαλάμψασι καλώς, καί εν Νόμω τόν Δεσπότην θεραπεύσασιν.

Σοφώτατοι θείοι, Προφήται γεγένηνται, Αβραάμ απόγονοι, τόν εκ τού Αβραάμ, καί Ιούδα τικτόμενον Λόγον, θερμώς προαναγγείλαντες εν Πνεύματι, αυτών ικεσίαις, Ιησού πάντας οικτείρησον.

Ηγίασται πάσα η κτίσις, τή μνήμη υμών, καί πανηγυρίζουσα, κράζει ικετικώς εκβοώσα, Δέησιν Κυρίω, αεί προσαγάγετε Μακάριοι, τυχείν αιωνίων αγαθών τούς ευφημούντας υμάς.

Θεοτοκίον

Φορέσας με εκ τής Παρθένου προέρχεται, καί Σπηλαίω τίκτεται, Λόγος ο τού Πατρός ασυγχύτως, χόρευε η κτίσις, φωναίς ευχαρίστοις μεγαλύνουσα, αυτού τήν δι’ οίκτον, παναγίαν συγκατάβασιν.

Καταβασία

«Μυστήριον ξένον, ορώ καί παράδοξον! ουρανόν τό Σπήλαιον, θρόνον Χερουβικόν, τήν Παρθένον, τήν φάτνην χωρίον, εν ώ ανεκλήθη ο αχώρητος, Χριστός ο Θεός, όν ανυμνούντες μεγαλύνομεν».

Εξαποστειλάριον
Γυναίκες ακουτίσθητε

Πατέρων μνήμιμην σήμερον, σκιρτώντες φιλοπάτορες, τού Αβραάμ συνελθόντες, καί Ισαάκ κατά χρέος, καί Ιακώβ υμνήσωμεν, εξ ών Χριστός ο Κύριος, τό κατά σάρκα ωράθη, διά πολλήν ευσπλαγχνίαν.

Αδάμ ανευφημήσωμεν, Άβελ Σήθ καί τόν Ενώς, Ενώχ καί Νώε Αβραάμ, Ισαάκ καί τόν Ιακώβ, Μωσήν Ιώβ καί τόν Ααρών, Ελεάζαρ, Ιησούν, Βαράκ, Σαμψών, Ιεφθάε, Δαυϊδ καί τόν Σολομώντα.

Θεοτοκίον, όμοιον

Αγνή Παρθένε άχραντε, Μαρία Θεονύμφευτε, εν ώρα τή φοβερά μοι, πρόστηθι καί μεσίτις, πρός τόν Υιόν σου φάνηθι, τώ ταπεινώ καί ρύσαί με, τής καταδίκης εκείνης, καί τών κολάσεων πάντων.

Εις τούς Αίνους, ιστώμεν Στίχ. η' καί ψάλλομεν Στιχηρά Αναστάσιμα δ’ καί τών Αγίων Προπατόρων δ’.

Ήχος β’  Οίκος τού Ευφραθά

Πάντες τήν τών σεπτών, νύν Προπατόρων μνήμην, τελέσωμεν ωμνούντες, τήν τούτων πολιτείαν, δι’ ής εμεγαλύνθησαν. (Δίς)

Στίχ. Ευλογητός εί Κύριε ό Θεός τών Πατέρων ημών.

Έσβεσαν τού πυρός, τήν δύναμιν οι Παίδες, χορεύοντες εν μέσω’ καμίνου καί υμνούντες, Θεόν τόν παντοδύναμον.

Στίχ. Καί επί τήν πόλιν τήν αγίαν τήν τών Πατέρων ημών Ιερουσαλήμ.

Λάκκω κατακλεισθείς, θηρσί συνωκισμένος, Δανιήλ ο Προφήτης, αμέτοχος τής τούτων, εδείκνυτο κακώσεως.

Δόξα... Ήχος βαρύς  Γερμανού

Δεύτε άπαντες, πιστώς πανηγυρίσωμεν, τών πρό νόμου Πατέρων, Αβραάμ καί τών σύν αυτώ, τήν ετήσιον μνήμην, τού Ιούδα τήν φυλήν, αξίως τιμήσωμεν, τούς εν Βαβυλώνι Παίδας, τούς σβέσαντας τήν εν καμίνω φλόγα, ως τής Τριάδος τύπον, σύν τώ Δανιήλ ευφημήσωμεν, τών Προφητών τάς προρρήσεις ασφαλώς κατέχοντες, μετά τού Ησαϊου μεγαλοφώνως βοήσωμεν, ιδού η Παρθένος, εν γαστρί λήψεται, καί τέξεται Υιόν τόν Εμμανουήλ, ό εστι μεθ’ ημών ο Θεός.

Καί νύν... Υπερευλογημένη…

Δοξολογία μεγάλη, καί Απόλυσις.

Εις τήν Λειτουργίαν, Τυπικά. Οι Μακαρισμοί τού Ήχου, καί από τού Κανόνος τών Προπατόρων η ς' Ωδή.

Κοινωνικόν

Αινείτε τόν Κύριον…

---

Αρχή

## ΤΗ ΙΒ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών καί θαυματουργού Σπυρίδωνος.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Μετά τόν Προοιμιακόν στιχολογούμεν τήν α' Στάσιν τού, Μακάριος ανήρ. Εις δέ τό Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια γ' δευτερούντες αυτά.

Ήχος πλ. α' Χαίροις ασκητικών

Χαίροις Αρχιερέων Κανών, τής Εκκλησίας αδιάσειστον έρεισμα, τό κλέος τών Ορθοδόξων, η τών θαυμάτων πηγή, τής αγάπης ρείθρον μή κενούμενον, φωστήρ ο πολύφωτος, τό τού Πνεύματος όργανον, ο νούς ο θείος, ο πραϋς καί ακέραιος, ο απλότητι, αληθεί καλλυνόμενος, Άνθρωπε επουράνιε, επίγειε Άγγελε, τού αμπελώνος εργάτα, ο τού Χριστού φίλος γνήσιος, αυτόν εκδυσώπει, ταίς ψυχαίς ημών δοθήναι τό μέγα έλεος.

Πράος καί κληρονόμος τής γής, σύ τών πραέων αληθώς αναδέδειξαι, Σπυρίδων Πατέρων δόξα, ο ταίς νευραίς τών σοφών, καί απλών σου λόγων, θεία χάριτι, εχθρόν τόν παμπόνηρον, καί παράφρονα Άρειον, εναποπνίξας, καί τό δόγμα τό ένθεον, καί σωτήριον, ανυψώσας εν Πνεύματι, πάντας τούς ορθοδόξους τε, φωτίσας τρανότατα, ένα δοξάζειν τόν Λόγον, ως αληθώς ομοούσιον, Πατρί προανάρχω, παρεχόμενον τώ κόσμω τό μέγα έλεος.

Πάθη απονεκρώσας σαρκός, νεκρούς εν χάριτι Θεού εξανέστησας, καί όφιν χρυσούν ειργάσω, καί ποταμού τάς ορμάς, προσευχή σου Πάτερ εχαλίνωσας, νυκτός Βασιλεί δέ, επιφανείς κινδυνεύοντι, τούτον ιάσω, τή καθ' ύπαρ εγγύτητι, τού Κυρίου σε, παραδόξως δοξάζοντος, Όθεν μεγαλοφώνως σου, τήν μνήμην γεραίρομεν, καί τών λειψάνων Σπυρίδων, τήν ιεράν θήκην σέβομεν, εξ ής αναβλύζεις, ιαμάτων θεία ρείθρα, καί μέγα έλεος.

Δόξα… Ήχος α' Ανατολίου

Όσιε Πάτερ μακάριε, Σπυρίδων σοφέ, τήν νεκράν ώσπερ ζώσαν, επηρώτας δι' αγάπην Θεού, όφιν δέ μετέβαλες εις χρυσόν, ο πενίαν ασκών, ρύσιν δέ επέσχες ποταμού, συμπαθήσας λαώ, Βασιλεί δέ παρέστης ιατήρ, τή προνοία Θεού. νεκρούς δέ πάλιν ήγειρας, ως αυτού μαθητής, τήν πίστιν δέ ετράνωσας, αναμέσον Πατέρων πολλών, Πάντα ούν ισχύων εν τώ

ενδυναμούντί σε Χριστώ, αυτόν καί νύν ικέτευε, σωθήναι τάς ψυχάς ημών.

Καί νύν… Προεόρτιον Ήχος πλ. β'

Σπήλαιον ευτρεπίζου, η Αμνάς γάρ ήΚει, έμβρυον φέρουσα Χριστόν, Φάτνη δέ υποδέχου, τόν τώ λόγω λύσαντα τής αλόγου πράξεως, ημάς τούς γηγενείς, Ποιμένες αγραυλούντες, μαρτυρείτε θαύμα τό φρικτόν, καί Μάγοι εκ Περσίδος, χρυσόν καί λίβανον καί τώ Βασιλεί προσάξατε, σμύρναν, ότι ώφθη Κύριος εκ Παρθένου Μητρός, όν περ καί κύψασα, δουλικώς η Μήτηρ προσεκύνησε, καί προσεφθέγξατο τώ εν αγκάλαις αυτής, Πώς ενεσπάρης μοι, ή πώς μοι ενεφύης, ο λυτρωτής μου καί Θεός;

Είσοδος. Φώς ιλαρόν, Ει βούλει ειπείν καί αναγνώσματα, ζήτει αυτά εις τήν ς' τού παρόντος.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος α' Νεφέλην σε φωτός

Πανήγυρις φαιδρά, ιερά πανδαισία, δεύτε πιστοί μεθέξωμεν, Σπυρίδων καί γάρ ημάς συγκαλείται, εστιάτωρ ών πνευματικός, ού η τράπεζα θεία, ηδέα τά θαύματα, αι πράξεις αθάνατοι, αυτού μιμησώμεθα τό πράον, τό άκακον, τό απλούν, τό φιλάνθρωπον, τό περί πάντας σοφόν, εν οίς εν Αρχιερεύσιν, ως φώς εξέλαμψε.

Στίχ. Τίμιος εναντίον Κυρίου ο θάνατος.

Μεγίστων ποιητής, αρετών καί θαυμάτων, ανεδείχθης Σπυρίδων σοφέ, ταίς μέν σου καταφαιδρύνας τόν βίον, υπέρ φέγγος τό ηλιακόν, τοίς δέ καταλαμπρύνας, κόσμον τόν περίγειον, υπέρ αστραπάς ουρανού, αμφοίν ωραιότερος, δεικνύμενος Όσιε, τοίς προσφεύγουσιν εν πίστει, ταίς προστασίαις σου.

Στίχ. Οι ιερείς σου, Κύριε, ενδύσονται δικαιοσύνην, καί οι Όσιοί σου αγαλλιάσονται.

Ω θαύματος φρικτού! η νεκρά πυθομένω, φωνήν ζώσάν σοι δέδωκεν, ο ρούς δέ τού ποταμού ανεστάλη, διά λόγου σου προστακτικού, ή τού Άνακτος νόσος, ευχή σου φυγαδεύεται, ο όφις εις είδος χρυσού αντιμετηλλάττετο, νεκροί εξηγέρθησαν, ενήργει γάρ εν σοί ο Χριστός, Σπυρίδων Ιερουργέ, ο τής Τριάδος το δόγμα, ανακηρύξας τρανώς.

Δόξα... Ήχος β' Γερμανού

Ιεραρχών τό θείον κειμήλιον, Πάτερ Όσιε, Σπυρίδων σοφέ, εν αρεταίς αναδέδειξαι, όθεν τής Εκκλησίας προστάτης γενόμενος, αιρεσιάρχας εξώθησας, καί τού Αρείου τό βλάσφημον, συνοδικώς εις γήν κατηδάφισας, διό θαυματουργών εν έργω καί λόγω τόν Σωτήρα ικέτευε, σωθήναι τάς ψυχάς ημών.

Καί νύν… Προεόρτιον, ο αυτός

Ιδού καιρός ήγγικε τής σωτηρίας ημών, Ευτρεπίζου Σπήλαιον, η Παρθένος εγγίζει τού τεκείν, Βηθλεέμ γή, Ιούδα, τέρπου καί αγάλλου, ότι εκ σού ανατέταλκεν, ο Κύριος ημών, Ακούσατε όρη καί βουνοί, καί τά περίχωρα τής Ιουδαίας, ότι έρχεται Χριστός, ίνα σώση όν έπλασεν άνθρωπον, ώς φιλάνθρωπος.

Απολυτίκιον Ήχος α'
Τού λίθου σφραγισθέντος

Τής Συνόδου τής πρώτης ανεδείχθης υπέρμαχος, καί θαυματουργός θεοφόρε, Σπυρίδων Πατήρ ημών, διό νεκρά σύ εν τάφω προσφωνείς, καί όφιν είς χρυσούν μετέβαλες, καί εν τώ μέλπειν τάς αγίας σου ευχάς, Αγγέλους έσχες συλλειτουργούντάς σοι Ιερώτατε, Δόξα τώ σέ δοξάσαντι, δόξα τώ σέ στεφανώσαντι, δόξα τώ ενεργούντι διά σού πάσιν ιάματα.

Δόξα… Καί νύν... Θεοτοκίον

Τού Γαβριήλ φθεγξαμένου σοι Παρθένε τό Χαίρε, σύν τή φωνή εσαρκούτο ο τών όλων Δεσπότης, εν σοί τή αγία κιβωτώ, ως έφη ο δίκαιος Δαυϊδ, εδείχθης πλατυτέρα τών ουρανών, βαστάσασα τόν Κτίστην σου. Δόξα τώ ενοικήσαντι εν σοί, δόξα τώ προελθόντι εκ σού, δόξα τώ ελευθερώσαντι ημάς διά του τόκου σου.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος γ,
Τήν ωραιότητα

Όφιν μετέβαλες, εις χρυσόν Άγιε, καί ταίς τών λόγων σου, νευραίς απέπνιξας, τόν δυσσεβή καί πονηρόν, Άρειον θεοφόρε, Βασιλεί δέ γέγονας, ιατρός παναοίδιμε, καί νεκρούς εξήγειρας, Δαίμονάς τε απήλασας, διό σου συνελθόντες υμνούμεν, Ιεράρχα τήν μνήμην τήν πάντιμον.

Δόξα… τό αυτό

Καί νύν…
Προεόρτιον

Χαράς πεπλήρωνται, πάντα τά πέρατα, η Θεοτόκος γάρ, γεννάν επείγεται, τόν Βασιλέα τού παντός, ώ θαύματος ανερμηνεύτου! Άρχεται ο άναρχος καί σαρκούται ο άσαρκος, Σπήλαιον εισδέχεται τόν συνέχοντα άπαντα, Η Βηθλεέμ αγάλλου, καί χόρευε η κτίσις, ημέραν Προεόρτιον.

Μετά τήν β Στιχολογίαν

Κάθισμα Ήχος δ'

Ταχύ προκατάλαβε

Τοίς λόγοις εκόσμησας, τήν Εκκλησίαν Χριστού, τοίς έργοις ετίμησας, τά κατ' εικόνα Θεού, Σπυρίδων μακάριε, έλαμψας εν τώ κόσμω, τή εν σοί σωφροσύνη, χάριτας ιαμάτων, απαστράπτων τοίς πάσι, διό καί εορτάζομεν πίστει τήν μνήμην σου.

Δόξα… τό αυτό

Καί νύν…

Προεόρτιον

Παρθένοι προεξάρξατε, τή τής Παρθένου χαρά, μητέρες αινέσατε, τήν προπομπήν τής Μητρός, Χριστού τού Θεού ημών, Μάγοι σύν τοίς Αγγέλοις, σύν ημίν οι Ποιμένες, έρχεται γάρ εν πόλει, Βηθλεέμ τού γεννήσαι, Αυτής ταίς ικεσίαις, σώσον ημάς ο Θεός.

Μετά δέ τόν Πολυέλεον

Κάθισμα

Ήχος πλ. δ' Τήν Σοφίαν

Ανακτόροις καί μύσταις θεοπρεπώς, εν συλλόγω πανσέπτω φιλοσοφών, τρανώς διεσάφησας, τής Τριάδος τήν δύναμιν, καί γάρ κηρύττων ώφθης, μονάδα θεότητος, καί εν μιά ουσία σαφώς εδογμάτισας, όθεν υπέρ λόγον, κατ' επίπνοιαν θείαν, καθείλες τόν φλύαρον, τή δυνάμει τού Πνεύματος, Ιεράρχα θεσπέσιε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα… Καί νύν... Θεοτοκίον

Χαίρε θρόνε πυρίμορφε τού Θεού, Χαίρε Κόρη Καθέδρα βασιλική, Κλίνη πορφυρόστρωτε, χρυσοπόρφυρε θάλαμε, Χλαμύς αλουργόχροε, τιμαλφέστατον Τέμενος, αστραπηφόρον Άρμα, Λυχνία πολύφωτε, Χαίρε Θεοτόκε, δωδεκάτειχε Πόλις, καί Πύλη χρυσήλατε, καί Παστάς αγλαόμορφε, αγλαόχρυσε Τράπεζα, θεοκόσμητον Σκήνωμα, Χαίρε ένδοξε Νύμφη ηλιοστάλακτε, Χαίρε μόνη ψυχής μου ευπρέπεια.

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί Αντίφωνον Α'

- Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.
- Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον Ήχος δ'

Τό στόμα μου λαλήσει σοφίαν, καί η μελέτη τής καρδίας μου σύνεσιν.
Στίχ. Ακούσατε ταύτα πάντα τά έθνη.

Τό, Πάσα πνοή. Ευαγγέλιον. Ο Ν'

Δόξα... Ταίς τού Ιεράρχου…
Καί νύν... Ταίς τής Θεοτόκου...

Είτα τό Ιδιόμελον Ήχος πλ. β'

Πατέρων αγλάϊσμα, Σπυρίδων σοφέ, καί ακροθίνιον, τή τών θαυμάτων σου αίγλη, τής οικουμένης φωτίζων τά πέρατα, καί τής Αρείου λύσσης καθαιρέτης φανείς, τόν Σωτήρα ικέτευε, σωθήναι τάς ψυχάς ημών.

Ο Κανών τής Θεοτόκου, καί τού Αγίου. Ποίημα Θεοφάνους.

Ωδή α' Ήχος β'

«Εν βυθώ κατέστρωσε ποτέ, τήν Φαραωνίτιδα, πανστρατιάν η υπέροπλος δύναμις, σαρκωθείς ο Λόγος δέ, τήν παμμόχθηρον αμαρτίαν εξείληψεν, ο δεδοξασμένος Κύριος, ενδόξως γάρ δεδόξασται».

Τών πραέων γήν καταλαβών, Πάτερ ως πραότατος, καί συμπαθής καί καθαρός γενόμενος, τόν επανιστάμενον, τή καρδία μου, καταπράϋνον κλύδωνα, όπως εν γαλήνη θεία, γεγονώς ανευφημήσω σε.

Γεωργίαις θείαις τήν ψυχήν, Πάτερ καθηράμενος, θεοειδής Σπυρίδων εχρημάτισας, καί τού θείου Πνεύματος, τήν υπέρλαμπρον κατεπλούτησας έλλαμψιν, όθεν καταυγάζεις, τούς ειλικρινώς σε μακαρίζοντας.

Εκ ποιμνίων ώσπερ τόν Δαυϊδ, σέ αναλαβόμενος, ο Πλαστουργός, λογικής ποίμνης έθετο ποιμένα πανάριστον, τή απλότητι καί πραότητι λάμποντα, καί τή ακακία, Όσιε ποιμήν καλλωπιζόμενον.

Θεοτοκίον

Παναγία άχραντε Αγνή, φώτισον, αγίασον, τόν λογισμόν, καί τήν ψυχήν μου δέομαι, τά νέφη σκεδάζουσα, τής αγνοίας μου, καί τού σκότους εξαίρουσα, τού τής αμαρτίας, όπως κατά χρέος μακαρίζω σε.

Ωδή γ'

«Εν πέτρα με τής πίστεως στερεώσας, επλάτυνας τό στόμα μου επ' εχθρούς μου, ηυφράνθη γάρ τό πνεύμά μου εν τώ ψάλλειν, ουκ έστιν άγιος, ως ο Θεός ημών, καί ούκ έστι δίκαιος, πλήν σου Κύριε».

Τόν νούν σου απαθεία καταλαμπρύνας, καί θεία ταπεινώσει καθωραϊσας, χαρίσματα τού Πνεύματος υπεδέξω, διώκειν πνεύματα, λύειν νοσήματα, τών πιστώς τιμώντων σε Ιερώτατε.

Τόν όφιν τόν αρχέκακον αποκτείνας, τόν τρόπον τόν φιλάργυρον συμπατήσας, οικτείρων τόν δεόμενον Ιεράρχα, όφιν μετέβαλες, χρυσούν εις κόσμιον, ιεραίς εντεύξεσι Πάτερ Όσιε.

Ανήλθες πρός τό όρος τής θεωρίας, εισέδυς εις τόν γνόφον τής απαθείας, πλαξί δέ τής καρδίας σου εισεδέξω, Νόμον σωτήριον, ως ιερώτατος, καί θεράπων γνήσιος τού Δεσπότου σου.

Θεοτοκίον

Θεράπευσον τά τραύματα τής ψυχής μου, τόν νούν μου σκοτιζόμενον αμελεία, Θεόνυμφε καταύγασον, ίνα ψάλλω, ουκ έστιν άμεμπτος ως σύ Πανάμωμε, καί ούκ έστιν άχραντος, πλήν σου Δέσποινα.

Κάθισμα

Τήν Σοφίαν καί Λόγον

Εκ ποιμνίων προβάτων τήν τού Χριστού, Εκκλησίαν ποιμαίνειν προχειρισθείς, ποιμήν θεοπρόβλητος, συ Σπυρίδων ανέλαμψας, κακοδοξίας λύκους, ελάσας τοίς λόγοις σου, εν ευσεβείας πόα, αυτήν εκτρεφόμενος, όθεν αναμέσον, θεοφόρων Πατέρων, τήν πίστιν ετράνωσας, τή σοφία τού Πνεύματος, Ιεράρχα μακάριε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα… Καί νύν…

Προεόρτιον  Ήχος ο αυτός

Τό προσταχθέν μυστικώς

Τών γενεθλίων τού Χριστού τά Προεόρτια, επιτελούντες οι πιστοί πανηγυρίσωμεν, καί αξίως άπαντες προϋπαντήσωμεν, ως Μάγοι δωροφορούντες τάς αρετάς, καί άδοντες τών Αγγέλων άσμα καινόν, τώ εκ Κόρης θεόπαιδος, εν Βηθλεέμ άνευ σποράς, γεννωμένω Θεώ ημών, όν δοξάζει τά σύμπαντα.

Ωδή δ’

«Ελήλυθας εκ Παρθένου ου πρέσβυς ουκ Άγγελος, αλλ’ αυτός ο Κύριος, σεσαρκωμένος καί έσωσας, όλον με τόν άνθρωπον, διό κραυγάζω σοι, Δόξα τή δυνάμει σου Κύριε».

Τοίς άνθραξι, τού σεπτού αναπτόμενος Πνεύματος, παθών ευκατάπρηστον, ύλην Παμμάκαρ ενέπρησας, κόσμον δέ πυρσεύμασι, τών αρετών σου Σπυρίδων κατελάμπρυνας.

Πυθομένω, η νεκρά σοι φωνήν Πάτερ δέδωκε, ποτάμια ρεύματα, σαίς επεσχέθη προστάξεσιν, ώφθης γάρ μακάριε, τερατουργός, θείαν χάριν κληρωσάμενος.

Νεκρώσας σου, τής σαρκός τάς κινήσεις θεόπνευστε, νεκρούς εξανέστησας, ζωοποιώ σου προσρήματι, όθεν ικετεύω σε, τήν νεκρωθείσαν ψυχήν μου Πάτερ ζώωσον.

Θεοτοκίον

Προφήταί σου, μυστηρίου τό βάθος προήγγειλαν, τό ακατανόητον, μόνη γάρ έτεκες Άχραντε, τόν απεριόριστον, σεσαρκωμένον δι' οίκτον αδιήγητον.

Ωδή ε'

«Ο φωτισμός, τών εν σκότει κειμένων, η σωτηρία, τών απεγνωσμένων Χριστέ Σωτήρ μου, πρός σέ ορθρίζω, Βασιλεύ τής ειρήνης, φώτισόν με τή επιλάμψει σου, άλλον γάρ εκτός σου, Θεόν ουκ επίσταμαι».

Ο ποταμός τών εν σοί χαρισμάτων, πάσαν αρδεύει Όσιε καρδίαν, πάσι δωρείται, ρώσιν πλουσίαν, πάντας πρός δόξαν διεγείρει τού σέ δοξάσαντος, καί θαυματουργίαις, παντοίαις τιμήσαντος.

Σέ βασιλεύς, ο επίγειος μάκαρ τού Βασιλέως, τού επουρανίου σαφώς επέγνω, γνήσιον δούλον, εκ χαρίσματος θείου πεπληρωμένον, έν τώ παρείναί σε μέγαν ιατρόν, πρός Θεού μηνυόμενον.

Τού Αβραάμ, τόν φιλόξενον τρόπον σύ εμιμήσω, πάσι τής οικίας σου τάς εισόδους αναπετάσας, καί τοίς πάσι τά πάντα χρηματίσας, καί προμηθούμενος, τών εν περιστάσει, Σπυρίδων μακάριε.

Θεοτοκίον

Νέον ημίν, απεγέννησας βρέφος τόν πρό αιώνων, Κόρη γεννηθέντα, Πατρός ανάρχου, όν εκδυσώπει, ως Υιόν καί Θεόν σου οικτειρήσαι, τούς Θεοτόκον σε, Πάναγνε ψυχή, καθαρά καταγγέλλοντας.

Ωδή ς'

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον, τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, Εκ φθοράς, ο Θεός με ανάγαγε».

Ο χρυσός ως πηλός σοι λελόγισται, τή υπέρ χρυσόν απαθεία αστράπτοντι, καί πλουτισθέντι Όσιε, δωρεαίς ταίς παγχρύσοις τού Πνεύματος.

Καθαρώς λειτουργών τώ Δεσπότη σου, πλήθος έσχες Όσιε, καθυπακούόν σοι, Αγγελικών Δυνάμεων, αοράτοις φωναίς Ιερώτατε.

Ο περίδοξος πάνσοφε βίος σου, κόσμω σε περίδοξον, Πάτερ ειργάσατο, διό τήν θείαν μνήμην σου, γεγηθότες τελούμεν υμνούντές σε.

Θεοτοκίον

Ουρανών πλατυτέρα η μήτρα σου, γέγονεν απείρανδρε, Θεόν χωρήσασα, τόν μηδαμού χωρούμενον, Παναγία Παρθένε πανύμνητε.

Κοντάκιον

Ήχος β' Τά άνω ζητών

Τώ πόθω Χριστού τρωθείς Ιερώτατε, τόν νούν πτερωθείς, τή αίγλη τού Πνεύματος, πρακτική θεωρία, τήν πράξιν εύρες θεόληπτε, θυσιαστήριον θείον

γενόμενος, αιτούμενος πάσι θείαν έλλαμψιν.

Ο Οίκος

Τόν εκ κοιλίας ηγιασμένον Ιεράρχην Κυρίου, ανευφημήσωμεν νύν Σπυρίδωνα, τόν τής χάριτος πλάκας δεξάμενον θείας δόξης, καί εν θαύμασι περιβόητον πάσι, καί ως θερμόν καί αυτόπτην τής θείας ελλάμψεως, ως τών πενήτων προστάτην, καί τών αμαρτανόντων ψυχαγωγόν, ούτος γάρ θύων τώ βήματι τού Χριστού, Ιεράρχης πιστός αναδέδεικται, αιτούμενος πάσι θείαν έλλαμψιν.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΒ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών καί θαυματουργού Σπυρίδωνος.

Στίχοι

- Ο θαυματουργός κάν τέθνηκε Σπυρίδων,
- Τού θαυματουργείν ουκ έληξεν εισέτι.
- Αμφί δωδεκάτην Σπυρίδων βίοτον λίπε τόνδε.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Συνετού.

Στίχοι

- Τόν Συνετόν κτείνουσι άφρονες ξίφει,
- Τόν ευσεβή τιμώντα πίστιν εμφρόνως.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Πατρός ημών Αλεξάνδρου Αρχιεπισκόπου Ιεροσολύμων, τού Ιερομάρτυρος.

Στίχοι

- Ο Αλέξανδρος, είς ών τών θυηπόλων,
- Άνευ αίματος, είς ήν καί τών Μαρτύρων.

Τή αυτή ημέρα, Μνήμη τών Οσίων Πατέρων ημών Αμωναθά καί Άνθου.

Στίχοι

- Μισώ τά τής γής Άγγελοι δέξασθέ με,
- Αμωναθάς ο θείος εκλείπων λέγει.
- Τό τού Προφήτου προσφόρως Δαυϊδ λέγων,
- Ως άνθος αγρού θείος Άνθος ερρύη.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον καί σώσον ημάς. Αμήν.

Ωδή ζ'

«Αντίθεον πρόσταγμα παρανομούντος, τυράννου μετάρσιον τήν φλόγα ανερρίπισε, Χριστός δέ εφήπλωσε, θεοσεβέσι Παισί, δρόσον τήν τού Πνεύματος, ο ών ευλογημένος καί υπερένδοξος».

Μωσέως τό άπλαστον, Δαυϊδ τό πράον, Ιώβ τού Αυσίτιδος τό άμεμπτον κτησάμενος, τού Πνεύματος γέγονας κατοικητήριον, μέλπων ιερώτατε, ο ών

ευλογημένος καί υπερένδοξος.

Ψεκάδες τή κάρα σου εν ώρα θέρους, ουράνιαι στάζουσαι, τό μέλλον προεσήμαινον, Θεός γάρ ως έφησας, τήν θείαν μνήμην σου, Όσιε εδόξασε, πιστούς καθαγιάζων τή μεσιτεία σου.

Συνόδω Πατέρων σε Θεός δοξάζει, εν κρίσει τούς λόγους σου, φυλάξαντα μακάριε, ούς πίστει προσήγαγες, τόν αλογώτατον, Άρειον μωραίνοντας σαφώς, καί καταργούντας τήν τούτου ένστασιν.

Θεοτοκίον

Τόν βότρυν εβλάστησας αρρήτω λόγω, Παρθένε ως άμπελος, τόν μόνον αγεώργητον, οίνον αναβλύζοντα πάντας ευφραίνοντα, πάντας αγιάζοντα βροτούς, καί πάσαν μέθην δεινών εξαίροντα.

Ωδή η’

«Κάμινος ποτέ, πυρόσεν Βαβυλώνι, τάς ενεργείας διεμέριζε, τώ θείω προστάγματι, τούς Χαλδαίους καταφλέγουσα, τούς δέ πιστούς δροσίζουσα ψάλλοντας, Ευλογείτε, πάντα τά έργα τόν Κύριον».

Κάμινον παθών, ταίς θείαις επομβρίαις, τού θείου Πνεύματος κατέσβεσας, καί δρόσον επήγασας, νοσημάτων Πάτερ καύσωνα, εξαίρουσαν τών πίστει σοι, πάντοτε προσιόντων, μάκαρ Σπυρίδων πανόλβιε.

Άκακος ευθύς, καί πράος συμπαθής τε, καί ανεξίκακος γεγένησαι, αγάπη φιλόξενος, Ιεράρχης ιερώτατος, φρονήματι κοσμούμενος, Όσιε όρθοδόξω, όθεν σε πίστει γεραίρομεν.

Πάλαι σοι φωνήν, ως ζώσα η θανούσα, διερωτώντι Πάτερ δέδωκεν, ώ θαύμα εξαίσιον! ώ παράδοξον μυστήριον! ώ χάριτος ής έτυχες! βίω κεκοσμημένος, Αγγελικώ αξιάγαστε.

Θεοτοκίον

Πάθη τής εμής, θεράπευσον καρδίας, τή συμπαθεία σου πανύμνητε, τόν νούν μου ειρήνευσον, τήν ψυχήν μου φωταγώγησον, καί βαίνειν με ευόδωσον, τρίβους πρός σωτηρίους, όπως αεί μεγαλύνω σε.

Ωδή θ’

«Ανάρχου Γεννήτορος, Υιός Θεός καί Κύριος, σαρκωθείς εκ Παρθένου ημίν επέφανε, τά εσκοτισμένα φωτίσαι, συναγαγείν τά εσκορπισμένα, Διό τήν πανύμνητον, Θεοτόκον μεγαλύνομεν».

Ανάρχου Γεννήτορος, τρανώς Υιόν εκήρυξας, Ομοούσιον Πάτερ, καί συναϊδιον, μέσον θεοφόρων Πατέρων μεγαλυνθείς, καί τών ανομούντων, εμφράξας τά στόματα, Ιεράρχα παμμακάριστε.

Πολύφωτε ήλιε, Πατέρων εγκαλλώπισμα, Ιερέων τό κλέος, Αγγέλων σύσκηνε,

τούς τήν φωτοφόρον σου μνήμην, χαρμονικώς, νύν επιτελούντας, φωτός καταξίωσον, ανεσπέρου ταίς Πρεσβείαις σου.

Τά θεία σκηνώματα, η πύλη η ουράνιος, η τών εορταζόντων τερπνή ομήγυρις, τήν ηγιασμένην ψυχήν σου, καί αρεταίς καθωραϊσμένην, παμμάκαρ εδέξατο, εν φωνή αγαλλιάσεως.

Θεοτοκίον

Τό μέγα μυστήριον, τής υπέρ νούν λοχείας σου, καταπλήττει Αγγέλους θεοχαρίτωτε, θέλγει τών Οσίων τόν δήμον, τούς ιερούς ευφραίνει Πατέρας, ενθέως υμνουντάς σε, τήν ελπίδα τών ψυχών ημών.

Εξαποστειλάριον

Φώς αναλλοίωτον Λόγε

Σέ εξ αλόγου ποίμνης, μετήγαγεν εις λογικήν, τό Πνεύμα πνευματοφόρε, ως τόν Μωσέα καί Δαυϊδ, ών εμιμήσω τό πράον, Σπυρίδων φώς οικουμένης.

Έτερον, Εν Πνεύματι τώ Ιερώ

Εδόξασεν εν θαύμασι, καί έν τέρασι πλείστοις, ο Κύριος μακάριε, εν γάρ θεία Συνόδω, Τριάδα ανεκήρυξας, καί νεκρούς ανέστησας, τόν όφιν χρυσούν ειργάσω, ποταμού δέ τό ρείθρον, παραδόξοις προσευχαίς, ανέστειλας καί διήλθες.

Θεοτοκίον

Εκύησας Πανάχραντε, τόν Θεού Θεόν Λόγον, τώ κόσμω τήν σωτήριον, εκτελούντα πανσόφως, οικονομίαν αρίστην, διά τούτό σε πάντες, υμνολογούμεν αξίως, ως πρεσβεύουσαν τούτω λυτρωθήναι ημάς νόσων, καί παντοίων κινδύνων.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ’ καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α’

Τών ουρανίων ταγμάτων

Εν τή τού Πνεύματος αίγλη καταλαμπόμενος, τό ζοφερόν καθείλεν, ο σοφός Ιεράρχης, Αρείου τό ληρώδες, όθεν απλώς, δογματίσας Τριάδα πιστώς, υπό σοφών εδοξάσθη καί συνετών, καί τήν σύνοδον εκύρωσεν. (Δίς)

Ταίς ουρανίαις ακτίσι περιλαμπόμενος, καί τή Χριστού δυνάμει, τάς ιάσεις παρέχων, ψυχών τε καί σωμάτων, τών πίστει καί νύν, εκτελούντων τήν μνήμην σου, θεομακάριστε Πάτερ θαυματουργέ, μή ελλίπης υπερεύχεσθαι.

Τού αμπελώνος εργάτης διά τής πίστεως, τών εντολών εδείχθης, τού Χριστού θεοφόρε, διό τής Βασιλείας, τής άνω λαβών, μυστικώς τό δηνάριον, αδιαλείπτως προσεύχου υπέρ ημών, τών τιμώντων σε Σπυρίδων σοφέ.

Δόξα... Ήχος δ’

Όσιε Πάτερ, Ιεράρχα αοίδιμε, αποστολικής διδασκαλίας γενόμενος έμπλεως, καί τού θείου Πνεύματος καταγώγιον, δι’ εναρέτου πολιτείας αναδειχθείς, τής Εκκλησίας τούς λύκους, διά δογμάτων απήλασας, καί ορθόδοξον πίστιν

σαφώς τρανώσας, στύλος αναδείκνυσαι, καί ευσεβείας πρόμαχος, Όθεν καί θαυματουργών εν τοίς πέρασιν, όφιν εις χρυσούν μετέβαλες, καί νεκράν πρός ερώτησιν ήγειρας, Αλλ’ ώ Πατέρων αξιάγαστε, καί Διδασκάλων συνόμιλε, τόν Σωτήρα πρέσβευε, τού σωθήναι τάς ψυχάς ημών.

Καί νύν...

Εκ παντοίων κινδύνων τούς δούλους σου φύλατε, ευλογημένη Θεοτόκε, ίνα σε δοξάζωμεν, τήν ελπίδα τών ψυχών ημών.

Δοξολογία μεγάλη καί Απόλυσις.

Εις τήν Λειτουργίαν

Τυπικά, καί από τού Κανόνος, Ωδή γ’ καί ς’.

Κοινωνικόν

Εις μνημόσυνον αιώνιον έσται Δίκαιος. Αλληλούια.

---

Αρχή

## ΤΗ ΙΓ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Μαρτύρων Ευστρατίου, Αυξεντίου, Ευγενίου, Μαρδαρίου, καί Ορέστου, καί τής Αγίας Μάρτυρος Λουκίας τής Παρθένου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'

Έδωκας σημείωσιν

Λάμπει τό μνημόσυνον, τού Αθλοφόρου σου Κύριε, Ευστρατίου ως ήλιος, λαμπρότητι κρύψαντος, αηττήτων λόγων, τήν πολυθεϊαν, ώσπερ αφώτιστον σκηνήν, καταργουμένην υπό τής πίστεως, καί τέσσαρας συμμαρτυρας, καί συμμετόχους ποιήσαντος, δι' αυτών ημίν δώρησαι, ιλασμόν ως Φιλάνθρωπος.

Λόγοις καί παθήμασι, καί πολυτρόποις στερήσεσι, τής ζωής επεδείξαντο, αγάπην οι Άγιοι, τήν πρός σέ τελείαν, μή σαλευομένην, σύν Ευστρατίω τώ σοφώ, καί Αυξεντίω αγωνισάμενοι, Ορέστης καί Μαρδάριος, μετ' Ευγενίου οι ένδοξοι, ταίς αυτών σώσον Κύριε, προσευχαίς τάς ψυχάς ημών.

Λύσση τού παράφρονος, ο ευκλεής μέν Αυξέντιος, κεφαλήν αποτέμνεται, Μαρδάριος πάλιν δέ, εκ τών αστραγάλων, κρεμασθείς εστέφθη, ο δέ Ευγένιος τομή, χειρών καί γλώττης καθωραϊζεται, Ορέστης εν κραβάτω δέ, τώ πυριστρώτω κομίζεται, εν καμίνω Ευστράτιος, ως αμνός Χριστού τίθεται.

Έτερα Στιχηρά
Ήχος ο αυτός
Ως γενναίον εν Μάρτυσιν

Ως καλώς στρατευσάμενος, Βασιλεί τών δυνάμεων, σεαυτόν Ευστράτιε παραδέδωκας, εθελουσίως εις βάσανα, καί βίαιον θάνατον, επαγόμενος χορόν, συμμαρτύρων μακάριον, μεθ' ών ήθλησας, καί τής νίκης εδέξω τούς στεφάνους, σύν αυτοίς καθικετεύων, υπέρ ημών παναοίδιμε.

Ο θεόφρων Ευστράτιος, ο γενναίος Αυξέντιος, ο κλεινός Ευγένιος καί Μαρδάριος, σύν τώ Ορέστη ηρίστευσαν, εχθρούς τροπωσάμενοι, καί εκλάμψαντες σαφώς, ως αστέρες πολύφωτοι, κατεφαίδρυναν, τών πιστών τάς καρδίας καί τής πλάνης, απεδίωξαν τό σκότος, τή φωταυγεία τού Πνεύματος.

Τής Αγίας Λουκίας

Παρθενίαν ακήρατον, εμμελώς εξασκήσασα, προσηνέχθης χαίρουσα τώ Ποιήσαντι, αρνησαμένη γάρ πρόσκαιρον, νυμφίον πανεύφημε, ενυμφεύθης τώ Χριστώ, καί τόν δρόμον τελέσασα, διά πίστεως, καί φαιδρού μαρτυρίου νύν παρέχεις, τοίς τιμώσί σε Λουκία, τών ιαμάτων χαρίσματα.

Δόξα... Ήχος πλ. β'

Δεύτε φιλομάρτυρες, τούς τού Χριστού Αθλοφόρους, εν ύμνοις τιμήσωμεν Ευστράτιον τόν αήττητον Μάρτυρα, Αυξέντιον καί Ευγένιον, καί Μαρδάριον καί Ορέστην, τήν πενταυγή τών Μαρτύρων χορείαν, οί καλώς αγωνισάμενοι κατά τού αοράτου εχθρού, καί βραβεία τής νίκης αναδησάμενοι, πρεσβεύουσι Χριστώ, υπέρ τών πίστει καί πόθω, τελούντων τήν μνήμην αυτών.

Καί νύν... Θεοτοκίον

Ουδείς προστρέχων επί σοί, κατησχυμμένος από σού εκπορεύεται, Αγνή Παρθένε Θεοτόκε, αλλ' αιτείται τήν χάριν, καί λαμβάνει τό δώρημα, πρός τό συμφέρον τής αιτήσεως.

Η Σταυροθεοτοκίον
Τριήμερος ανέστης Χριστέ

Εν ξύλω τήν ζωήν ημών, ορώσα η Πανάμωμος, Θεοτόκος, κρεμαμένην μητρικώς, ωδύρετο βοώσα, Υιέ μου καί Θεέ μου, σώσον τούς πίστει ανυμνούντάς σε.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος α'
Τών ουρανίων Ταγμάτων

Ο θαυμαστός αθλοφόρος, ημάς Ευστράτιος, σήμερον συγκαλείται, τήν σεπτήν αυτού μνήμην, τελέσαι ετησίως, διό καί ημείς, συνελθόντες τιμήσωμεν, ως εραστήν τού Κυρίου, καί καρτερώς, υπέρ τής πίστεως αθλήσαντα.

Στίχ. Θαυμαστός ο Θεός εν τοίς Αγίοις αυτού.

Δαυϊτικώς τήν ανδρείαν, καθοπλισάμενος, τόν δεύτερον καί πλάνον, Γολιάθ αποκτείνεις, τή πίστει τής Τριάδος, όθεν αεί, συνευφραίνη Ευστράτιε, εν ουρανοίς μετ' Αγγέλων εκδυσωπών, τόν Σωτήρα τού σωθήναι ημάς.

Στίχ. Τοίς Αγίοις τοίς εν τή γή αυτού εθαυμάστωσεν ο Κύριος.

Ως ο θεσβίτης Ηλίας, ζηλών εζήλωσας; προφητικώς Κυρίω, Παντοκράτορι Μάρτυς, Ευστράτιε θεόφρον, καί θράσος κενόν, τών ανόμων διήλεγξας, καταβαλών τών ειδώλων ως δυνατός, τά βδελύγματα μακάριε.

Δόξα... Ήχος πλ. α'

Τών τυραννούντων τά θράση μή δειλιάσαντες, μάλλον δέ τού Χριστού τήν πίστιν, τρανώς κηρύξαντες, ξεσμούς πολλούς καί βασάνους υπεμείνατε, Ευστράτιε καί Αυξέντιε, Ευγένιε καί Ορέστα, καί ένδοξε Μαρδάριε, Διό πρεσβεύσατε τώ Βασιλεί καί Θεώ, υπέρ ημών τών πίστει, τελούντων τήν μνήμην υμών.

Καί νύν... Θεοτοκίον

Χαίρε η Πύλη τού Θεού, χαίρε Πανάχραντε Παρθένε Αγνή, χαίρε Δέσποινα καί προστασία τού κόσμου, χαίρε τείχος καί καταφυγή, καί σκέπη τού γένους ημών.

Η Σταυροθεοτοκίον

Καθορώσα πάλαι τόν Αμνόν εαυτής, η Παρθένος Μήτηρ καί πανάμωμος Κόρη, Σταυρώ ανυψούμενον, εβόα δακρύουσα, Οίμοι Υιέ μου! πώς θνήσκεις, Θεός φύσει ών αθάνατος;

Απολυτίκιον

Ήχος δ' Ταχύ προκατάλαβε

Οι Μάρτυρές σου, Κύριε, εν τή αθλήσει αυτών, στεφάνους εκομίσαντο τής αφθαρσίας, εκ σού τού Θεού ημών, σχόντες γάρ τήν ισχύν σου, τούς τυράννους καθείλον, έθραυσαν καί δαιμόνων, τά ανίσχυρα θράση. Αυτών ταίς ικεσίαις, Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

Καί τής Αγίας

Ήχος δ' Κατεπλάγη Ιωσήφ

Η αμνάς σου Ιησού, κράζει μεγάλη τη φωνή, Σέ Νυμφίε μου ποθώ, καί σέ ζητούσα αθλώ, καί συσταυρούμαι, καί συνθάπτομαι τώ βαπτισμώ σου, καί πάσχω διά σέ, ως βασιλεύσω σύν σοί, καί θνήσκω υπέρ σού, ίνα καί ζήσω εν σοί, αλλ' ως θυσίαν άμωμον, προσδέχου τήν μετά πόθου τυθείσάν σοι. Αυτής πρεσβείαις, ως ελεήμων, σώσον τάς ψυχάς ημών.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν. Οι Κανόνες τής Οκτωήχου, καί τών

Αγίων.

Ιωάννου Μοναχού

Ωδή α'   Ήχος δ'

«Θαλάσσης, τό ερυθραίον πέλαγος, αβρόχοις ίχνεσιν, ο παλαιός πεζεύσας, Ισραήλ, σταυροτύποις Μωσέως χερσί, τού Αμαλήκ τήν δύναμιν, εν τή ερήμω ετροπώσατο».

Βραβεύων, εν ουρανοίς τά έπαθλα, τοίς επί γής αθληταίς, αγωνοθέτης κάθηται Χριστός, δεξιά Παντοκράτορι, τοίς αμφί τόν Ευστράτιον, θείους στεφάνους προτεινόμενος.

Χορείαν μαρτυρικήν πεντάριθμον, δεύτε κατίδωμεν, υπερφυεί αστράπτουσαν φωτί, κεκτημένην ταξίαρχον, τόν ποθητόν Ευστράτιον, χάριτι θεία στεφανούμενον.

Τήν ζωήν, τού επί γής στρατεύματος, απεκδυσάμενος, τώ αληθεί προσάγη Βασιλεί, τής αθλήσεως σύμβολον, παρά Χριστού Ευστράτιε, δι' Αυξεντίου κομισάμενος.

Αστέρες, εν ουρανώ τής πίστεως, αεί κινούμενοι, τάς τών πιστών λαμπρύνουσι ψυχάς, φωτισμόν αποστίλβοντες, οι περί τόν Ευστράτιον, ούς επαξίως ευφημήσωμεν.

Τής Αγίας

Πορφύραν, σών εξ αιμάτων βάψασα, καί στολισθείσα φαιδρώς, περιφανώς τά άνω κατοικείς, ως Παρθένος βασίλεια, καί θεϊκαίς λαμπρότησι, Μάρτυς Λουκία κατηγλάϊσαι.

Θεοτοκίον

Χωρίον, χωρητικόν γεγένησαι, τής θείας φύσεως, θεογεννήτορ Άχραντε, διό, σέ Λουκία ποθήσασα, παρθενικώς Οπίσω σου, τώ σώ Υιώ προσαπενήνεκται.

Ωδή γ'

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα, Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

Ελπίδι τών αικισμών, ώσπερ αϋλου θησαυρού γέγονας, υπερφυώς έμπλεως, πάσης θυμηδίας Ευστράτιε.

Σοφία Πνευματική, υπομονή τε πειρασμών ήλεγξας, Μάρτυς Χριστού Αυξέντιε, τήν τυραννικήν αθεότητα.

Ως κόσμος θεολαμπής, τής Εκκλησίας τών πιστών Μάρτυρες, τά Χριστού στίγματα, περιηνθισμένοι γεγόνατε.

Τά μέλη καρτερικώς, αθλητικής καταφλεχθείς άνθραξιν, ειδωλικής έσβεσας, πλάνης τήν μανίαν Ευστράτιε.

Τής Αγίας

Ως νύμφη περικαλής, τού βασιλέως καί Θεού ένδοξε, Μάρτυς Λουκία είληφας, νύν τών ουρανών τά βασίλεια.

Θεοτοκίον

Κυρίως καί αληθώς, σέ Θεοτόκον οι πιστοί σέβομεν, σύ γάρ Θεόν τέτοκας, σάρκα γεγονότα Πανάμωμε.

Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα, Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

Κάθισμα Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Της Τριάδος τή πίστει οχυρωθείς, αληθείας σφενδόνη καθοπλισθείς, τής πλάνης κατέβαλες, τό αλλόφυλον θράσος, καί τού εχθρού αρπάσας, τών λόγων τήν μάχαιραν, εν αυτή απέτεμες, τού ψεύδους τήν ένστασιν, όθεν τοίς τροπαίοις, θριαμβεύων τής νίκης, τώ σώματι τέθνηκας, τώ δέ πνεύματι έζησας, Αθλοφόρε Ευστράτιε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν άγίαν μνήμην σου.

Δόξα... έτερον Ήχος δ'

Επεφάνης σήμερον

Τών Μαρτύρων αίμασιν, η Εκκλησία, αρδευθείσα ήνθησεν, ορθοδοξίαν τοίς πιστοίς, εγκαυχωμένη καί λέγουσα, Κλέος Μαρτύρων εδείχθητε Άγιοι.

Καί νύν... Θεοτοκίον

Τήν θερμήν αντίληψιν, τών εν ανάγκαις, τήν ημών βοήθειαν, τήν πρός Θεόν καταλλαγήν, δι' ής φθοράς ελυτρώθημεν, τήν Θεοτόκον πιστοί μακαρίσωμεν.

Η Σταυροθεοτοκίον

Η Αγνή καί άσπιλος, Μήτηρ σου Λόγε, μητρικώς ηλάλαζεν, οδυρομένη εν κλαυθμώ, εν τώ Σταυρώ ως εώρακε, προσηλωθέντα σε μόνε μακρόθυμε.

Ωδή δ'

«Δι' αγάπησιν Οικτίρμον τής σής εικόνος, επί Σταυρού σου έστης, καί ετάκησαν έθνη, σύ γάρ εί φιλάνθρωπε, ισχύς μου καί ύμνησις».

Συναπεβάλου τοίς μώλωψι τής σαρκός σου, τάς ψυχικάς κηλίδας, τάς βολίδας συντρίψας, τού δολίου δράκοντος, τή πίστει Ευστοάτιε.

Εδοξάσθη σου τοίς μέλεσιν Αθλοφόρε, ο βασιλεύς τής δόξης, καί αρρήτου σε δόξης, εν δυνάμει έπλησε, τεράτων Ευστράτιε.

Τών αλιέων ζηλώσας τήν παρρησίαν, μαρτυρική σαγήνη, τώ Δεσπότη προσάγεις, τόν σοφόν Ευγένιον, ζωγρήσας Ευστράτιε.

Όντως ωραίοι οι πόδες τών Αθλοφόρων, τόν δυσμενή πατούντες, καί Χριστώ μελωδούντες, οδόν μαρτυρίου σου, δραμούμεθα Δέσποτα.

Τής Αγίας

Παρρησίαν ευραμένη εν τοίς υψίστοις, παρά Θεώ Λουκία, τοίς τιμώσί σε πόθω, τών πταισμάτων αίτησαι, δοθήναι τήν άφεσιν.

Θεοτοκίον

Παρθενία καί αθλήσει λελαμπρυσμένη, τώ εκ Παρθένου Κόρης, ανατείλαντι Λόγω, άφθορος μεμνήστευσαι, Λουκία πανεύφημε.

Ωδή ε'

«Σύ Κύριέ μου φώς, είς τόν κόσμον ελήλυθας, φώς άγιον επιστρέφων, εκ ζοφώδους αγνοίας, τούς πίστει ανυμνούντάς σε».

Σύ οιά περ αστήρ, εωσφόρος ανέτειλας, εν φάλαγγι τών Μαρτύρων, τηλαυγώς διαπρέπων, αοίδιμε Ευστράτιε.

Σέ φέγγει κατιδών, νοητώ διαλάμποντα, Μαρδάριος ο θεόφρων, ως ποιμένι αρνίον, προστρέχει σοι Ευστράτιε.

Σύ πάντα τά τερπνά, ελογίσω ως σκύβαλα, Ευγένιε εκνικήσας, τούς τής φύσεως νόμους, τώ φίλτρω τής αθλήσεως.

Τής Αγίας

Σού μόνου καλλοναίς, ώς παρθένος ενήδομαι, σέ Κύριε αγαπώσα, σφαγιάζομαι ξίφει, Λουκία ανεκραύγαζεν.

Ω κλήρος αγαθός! ώ μερίς η θεόσδοτος! ώ γύναιον τή καλλίστη, συμβουλή εκνικήσαν, τήν πλάνην τής Προμήτορος.

Θεοτοκίον

Νούς βρότειος τήν σήν, υπέρ έννοιαν σύλληψιν, ού δύναται εννοήσαι, Μητροπάρθενε Κόρη, Θεόν γάρ απεκύησας.

Ωδή ς'

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Χριστός μοι, αντί πάντων εστίν ο Μαρδάριος, διαπρυσίως εβόα, καί πατρίς καί σέβας καί όνομα, υπό σού γάρ, τούτο εξεπαιδεύθη Ευστράτιε.

Τούς πόδας, τρυπηθείς ανηρτήθης τής άντυγος, πεπυρωμένος εφλέχθης, οβελίσκοις δέ τά μετάφρενα, τό δέ πνεύμα, τώ Δεσπότη παρέθου Μαρδάριε.

Η γλώσσα, εκκοπείσα τών ύμνων ου παύεται, αι δέ τμηθείσαί σου χείρες, πρός Θεόν Ευγένιε αίρονται, σωτηρίαν, τοίς υμνούσιν αιτούσαι τήν μνήμην σου.

Τής Αγίας

Τίμιος, εναντίον Κυρίου ο θάνατος, ο σός γεγένηται Μάρτυς, τού γάρ ζήν προέκρινας τό τεθνάναι, ίνα ζώντα, τόν Χριστόν εν σοί έξεις Λουκία σεμνή.

Θεοτοκίον

Ισχύν σε, ευραμένη Παρθένε καί στήριγμα, η Αθληφόρος αικίσεις, καρτερώτατα φέρει καί χαίρουσα, σού οπίσω, τώ τών όλων Δεσπότη προσάγεται.

Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Κοντάκιον Ήχος β'

Τήν εν πρεσβείαις

Φωστήρ εφάνης λαμπρότατος τοίς έν σκότει, τής αγνωσίας καθημένοις, Αθλοφόρε, πίστιν ως δόρυ δέ περιθέμενος, τών δυσμενών τά θράση, ουκ επτοήθης Ευστράτιε, Ρητόρων υπάρχων ευγλωττότερος.

Ο Οίκος

Τό ζοφερόν Χριστέ τής ψυχής μου διασκέδασον, όπως ανυμνήσω λαμπρώς χορόν Μαρτύρων πεντάριθμον, Αυξέντιον, τόν εν αυξήσει θεϊκής πολιτείας ανατραφέντα, καί τόν σοφόν καί γενναίον εν τοίς άθλοις Ευγένιον, σύν τούτοις καί τόν Ορέστην, τόν τοίς θείοις διαιτώμενον όρεσι, Μαρδάριον τόν απλούστατον, ού υπήρξεν Ευστράτιος καθηγητής, Ρητόρων υπάρχων ευγλωττότερος.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΓ' τού αυτού μηνός, Άθλησις τών Αγίων ενδόξων τού Χριστού Μαρτύρων, Ευστρατίου, Αυξεντίου, Ευγενίου, Μαρδαρίου καί Ορέστου.

Στίχοι

- Τόν Ευστράτιον καί συνάθλους δίς δύω,
- Άπαξ δύω κτείνουσι πύρ τε καί ξίφος.
- Τούς γε σύν Ευστρατίω δεκάτη τρίτη έκτανεν άορ.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος Λουκίας τής Παρθένου.

Στίχοι

- Ως Παρθένος μέν, εν στέφος η Λουκία.
- Ως δ' εκ ξίφους καί Μάρτυς, άλλο λαμβάνει.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Αρσενίου τού εν τώ Λάτρω.

Ο Όσιος Άρης εν ειρήνη τελειούται, Μνήμη τού Αγίου νέου ιερομάρτυρος Γαβριήλ αρχιεπισκόπου Σερβίας, τού εν Προύση μαρτυρήσαντος κατά τό 1659.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον καί σώσον ημάς. Αμήν.

## Ωδή ζ'

«Εν τή καμίνω, Αβραμιαίοι Παίδες τή Περσική, πόθω ευσεβείας μάλλον ή τή φλογί, πυρπολούμενοι εκραύγαζον, Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε».

Αμετάθετον, τό τής ομολογίας φρόνημα, έχων εν Τριάδι, σέβειν ένα Θεόν, τών βασάνων κατεφρόνησας, Ευλογημένος εί, ο Θεός μου κραυγάζων καί Κύριος.

Ως μακάριος, εν τή αμώμω ώφθης οδώ, γόνυ ευγνωμόνως κλίνας τώ Λυτρωτή, τήν ψυχήν σου παραθέμενος, Δεσποτικαίς χερσίν, ευωδέστατον θύμα Αυξέντιε.

Συστρατιώτης, συνοδοιπόρος καί συνδέσμιος, σύμφρων, Ευστρατίω τε καί συναθλητής, ο Ορέστης αναδέδεικται, συγκληρονόμος τε, τής Χριστού Βασιλείας επάξιος.

Ο δι' ορνέου, τώ Ηλιού τροφήν προσνέμων Θεός, ούτος τήν σεπτήν σου κάραν θαυματουργών, τοίς ποθούσιν απεκάλυψεν, ως πολυπόθητον πανδαισίαν τώ κόσμω Αυξέντιε.

### Τής Αγίας

Πυρί τώ θείω φλεγομένη πυρός ουκ εφρόντισας, όθεν επομβρίζεις πάντοτε τοίς πιστοίς, ιαμάτων θεία νάματα, παθών επήρειαν, Αθληφόρε Λουκία ξηραίνουσα.

### Θεοτοκίον

Παρθενομήτορ, ως καθαράν σε καί αδιάφθορον, Λόγος καθαρός ηγάπησε καί εκ σού, ανεπλάσατο σαρκούμενος, όλον τόν άνθρωπον, ο Λουκίαν δοξάσας τοίς θαύμασιν.

## Ωδή η'

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Χείλη εκπετάσας καθαρά, τό θείον είλκυσας, Πνεύμα Ευστράτιε, καί ψυχοφθόρων μέν ήλεγξας, σεβασμάτων τήν ασθένειαν, τόν εν Τριάδι δέ Θεόν, σέβειν εβόησας, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Τήν σήν καρτερίαν ουκ ειδώς, τή τής φλογώσεως, θέα ο Τύραννος, πτοείν Ευστράτιε ώετο, τό αήττητόν σου φρόνημα, ής καταπτύσας, τοίς λαοίς χαίρων εκραύγαζες, Ευλογείτε, πάντα τά έργα, Κυρίου τόν Κύριον.

Σοφαίς υποθήκαις νευρωθείς, ταίς σαίς τό φρόνημα, Μάρτυς Ευστράτιε, επί τόν κράβατον ήλατο, ο αήττητος Ορέστης βοών, τούς καθαιρέτας τής φλογός

Παίδας μιμούμενος, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Η πλωσας τό σώμα καρτερώς, Ορέστα ένδοξε, σύ επί κλίνης πυρός, συγκατελέχθης δέ Μάρτυσιν, εν Χριστώ αγαλλιώμενος, επανεπαύσω δέ σκηναίς, ταίς ουρανίαις βοών, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Τής Αγίας

Ημαύρωσας κόρας δυσσεβών, καί νούν αλάστορα, καί υπερήφανον, Λουκία πάνσεμνε πόνοις σου, ευκλεέσιν εταπείνωσας, καί ανυψώθης πρός Θεόν, εν πίστει ψάλλουσα, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Θεοτοκίον

Ώφθης υπερτέρα ουρανών, Θεόν ουράνιον, αποκυήσασα, τόν ουρανώσαντα Πάναγνε, γηγενών όλον τό φύραμα, καί τής Λουκίας τήν σεπτήν, μνήμην φαιδρύναντα, ώ βοώμεν, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Ωδή θ'

«Λίθος αχειρότμητος όρους, έξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας, τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτοκε μεγαλύνομεν».

Θείων μετασχείν μυστηρίων, επιποθήσας Αθλοφόρε, καί θεοφανείας τηλαυγούς, κατηξιώθης μάκαρ Ευστράτιε, πρός ουρανούς καλούσης σε, τώ ποθουμένω ομιλήσαι Χριστώ.

Τώ θείω βαλλόμενος πόθω, πρός τήν εντεύθεν εκδημίαν, καί τάς τών τυράννων θωπείας, σφοδρώς ελέγξας, Μάκαρ Ευστράτιε, πρός τό βραβείον έσπευσας, αθλητικώς τής άνω κλήσεως.

Σφόδρα γεγηθως αθλοφόρε, τή χαρμοσύνω αποφάσει, τής τυραννικής παροινίας, τόν αθλοθέτην σου εμεγάλυνες, υμνολογών Ευστράτιε, τόν τού θανάτου, καταλύτην Χριστόν.

Δεύτε φιλομάρτυρες πάντες, τούς τής απάτης καθαιρέτας, ιεροίς Ευγένιον ύμνοις, σοφόν Ορέστην τε καί Μαρδάριον, καί σύν αυτοίς Αυξέντιον, σύν Ευστρατίω μακαρίσωμεν.

Τής Αγίας

Ως περικαλής καί ωραία, καί περιδέξιος παρθένος, τώ περικαλεί καί ωραίω, καί εκ Παρθένου σεσαρκωμένω Χριστώ, στεφανηφόρος ένδοξε, Μάρτυς Λουκία νύν παρίστασαι.

Θεοτοκίον

Φώς ημίν ανέτειλας μήτρας, εξ απειράνδρου σου Παρθένε, ού ταίς φρυκτωρίαις ενθέως, καταυγασθείσα φώς εχρημάτισεν, η τής χαράς

επώνυμος, Θεοκυήτορ Μητροπάρθενε.

Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, έξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας, τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτοκε μεγαλύνομεν».

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Τόν ρήτορα Ευστράτιον, εν ύμνοις ευφημήσωμεν, Αυξέντιόν τε σύν τούτω, Μαρδάριον καί Ορέστην, καί τόν σοφόν Ευγένιον, υπέρ Χριστού αθλήσαντας, καί εκτενώς πρεσβεύοντας, υπέρ ημών τών υμνούντων, τήν ιεράν αυτών Μνήμην.

Θεοτοκίον

Σοφίαν ενυπόστατον, καί Λόγον υπερούσιον, καί ιατρόν τών απάντων, Χριστόν τεκούσα Παρθένε, τα έλκη καί τά τραύματα, τής ψυχής μου θεράπευσον, τά χαλεπα καί χρόνια, καί τής καρδίας μου παύσον, τάς απρεπείς ενθυμήσεις.

Εις τούς Αίνους, ιστώμεν Στίχ. δ' καί ψάλλομεν Στιχηρά ιδιόμελα.

Ήχος α' Βύζαντος

Τήν πεντάριθμον χορείαν, τών Αγίων ευφημήσωμεν λαοί, τόν Σωτήρα ανυμνούντες Χριστόν, Ευστράτιον τόν καρτερόψυχον καί στερρόν Αθλοφόρον, σύν αυτώ Αυξέντιον, Ευγένιον, Μαρδάριον καί Ορέστην, ούτοι γάρ υπέρ τής πίστεως αθλούντες, τάς τρικυμίας κατεπάτησαν εχθρών, καί τώ Σωτήρι πρεσβεύουσιν, ιλασμόν καί άφεσιν αμαρτιών, δωρηθήναι τοίς εν πίστει εκτελούσι, τήν μνήμην αυτών.

Ήχος γ' Γερμανού

Ρητορικοίς έπεσιν ο Χριστού στρατιώτης, τούς ανόμους κατέπληξεν, αθλητικοίς στίγμασι, τού εχθρού τάς δυνάμεις ανδρικώς ετροπώσατο, Ευστράτιος ο ένδοξος, καί στερρός Αθλοφόρος, ο τήν στενήν καί τεθλιμμένην βαδίσας οδόν, καί εις γήν καταντήσας τής αιωνίου ζωής, εις ήν καί δυσωπεί τώ Χριστώ, δωρηθήναι ημίν τό μέγα έλεος.

Ο αυτός, τού αυτού

Τόν έν τή θεία σοφία αναφανέντα φιλόσοφον, καί εν τώ κάλλει τών λόγων αποδειχθέντα ρήτορα, τόν εν Μάρτυσιν μέγαν Ευστράτιον, αθλητικοίς εγκωμίοις ευφημήσωμεν, συνασπισμόν γάρ ούτος ο Χριστού στρατιώτης ευσεβή συστησάμενος, εν καιρώ τών πολέμων, τά τών αγώνων άθλα διατατтόμενος, τού εχθρού αφαρπάσας τήν μάχαιραν, εν αυτή τούτον κατέτρωσε, πρός όν βοήσωμεν, Μαρτύρων άριστε, σύν τοίς συνάθλοις σου, πρέσβευε Χριστώ τώ Θεώ, υπέρ τών πίστει τελούντων, τήν πάνσεπτον μνήμην σου.

Ήχος δ'

Ιωάννου Μοναχού Στεφανούσθωσαν παρ' ημών εγκωμίοις, οι καλλίνικοι τής αληθείας μάρτυρες, Ευστράτιος, ο τής Ελλήνων μυθοπλασίας στηλιτευτής,

καί τής Χριστιανών θεοσοφίας κήρυξ, Αυξέντιος, ο σοφία λόγων, καί υπομονή έργων, τυραννικήν ελέγξας αθεότητα, Πρός τούτοις, Ευγένιος ο Θεώ εύχρηστος, καί τυράννοις άχρηστος, διά τήν σωτήριον ομολογίαν, καί Ορέστης, ο αθλητής καί θαυμαστός, τού Βασιλέως τών όλων στρατιώτης, μεθ' ών καί Μαρδάριος, ο περιστεράς ακεραιότερος, τόν φρόνιμον αισχύνας όφιν, διά τής χάριτος Χριστού τού Θεού, καί Σωτήρος τών ψυχών ημών.

Δόξα... Ήχος δ' Ικασίας

Τήν πεντάχορδον λύραν, καί πεντάφωτον λυχνίαν, τής τού Θεού Εκκλησίας, τούς θεοφόρους Μάρτυρας, φερωνύμως υμνήσωμεν, καί ευσεβώς εγκωμιάσωμεν, Χαίροις, ο καλώς υπό Θεού στρατευθείς, εν τή επουρανίω στρατιά, καί τώ στρατολογήσαντι αρέσας, ο εν ρήτορσι ρήτωρ, Ευστράτιε θεόσοφε, Χαίροις, ο τό τάλαντον, το εκ Θεού σοι πιστευθέν, επαυξήσας εις πλήθος, Αυξέντιε Μακάριε, Χαίροις, ο τερπνότατος όρπηξ, τής θεϊκής ευγενείας, Ευγένιε θεόφρον, Χαίροις, ο ωραίος τή μορφή, τή δέ γνώμη υπέρκαλος, καί αμφοτεροδέξιος, ο εν τοίς όρεσιν ενδιαιτώμενος όλος, πανόλβιε Ορέστα, Χαίροις, ο στίλβων καί διαυγής μαργαρίτης, ο τάς βασάνους τάς πικράς, χαρμονικώς υπομείνας, Μαρδάριε αήττητε, Χαίροις, ο ισάριθμος χορός τών φρονίμων Παρθένων, ούς καθικετεύομεν, πάσης οργής καί θλίψεως λυτρώσασθαι, καί τής αφράστου υμών δόξης, συμμετόχους ποιήσαι, τούς τήν ετήσιον υμών, μνήμην γεραίροντας.

Καί νύν... Θεοτοκίον

Έδωκας σημείωσιν

Κριτήν δικαιότατον, επεγνωκώς σε κυήσασαν, τόν ασώτως βιώσαντα, δυσωπώ Πανάχραντε, κατακεκριμένον, καί ηπορημένον, εν τή μελλούση φοβερά, κρίσει Παρθένε, μή κατακρίναί με, συντάξαι δέ τοίς μέλλουσιν, εκ δεξιών τούτου ίστασθαι, εκλεκτοίς διά έλεος, καί πολλήν αγαθότητα.

Η Σταυροθεοτοκίον

Νεκρούμενον βλέπουσα, Χριστόν η Πάναγνος Δέσποινα, καί νεκρούντα τόν δόλιον, ως Δεσπότην κλαίουσα, ύμνει τόν εκ σπλάγχνων, αυτής προελθόντα, καί τό μακρόθυμον αυτού, αποθαυμάζουσα ανεκραύγαζε, Τέκνον μου ποθεινότατον, μή επιλάθη τής δούλης σου, μή βραδύνης φιλάνθρωπε, το εμόν καταθύμιον.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος δ' Ικασίας

Υπέρ τήν τών Ελλήνων παιδείαν, τήν τών Αποστόλων σοφίαν προέκριναν οι άγιοι Μάρτυρες, τάς βίβλους τών ρητόρων καταλείψαντες, καί ταίς τών αλιέων ενδιαπρέψαντες, εκεί μέν γάρ ευγλωττία ρημάτων, εν δέ ταίς τών αγραμμάτων θεηγορίαις, τήν τής Τριάδος εδιδάσκοντο θεολογίαν, εν ή πρεσβεύουσιν εν ειρήνη, φυλαχθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Ως γενναίον εν Μάρτυσιν

Καί ψυχήν σύν τώ σώματι, καί καρδίαν καί έννοιαν, σοί τή Θεομήτορι προσανέθηκα, τή μέν τα πρόσφορα αίτησαι, τού δέ τά σκιρτήματα,

απονέκρωσον, τήν δέ, φωταγώγησον Δέσποινα, τής εννοίας δέ, τάς ατάκτους κινήσεις αοράτως, καταπράϋνον καί στήσον, τών εγκλημάτων τόν τάραχον.

Η Σταυροθεοτοκίον

Εν Σταυρώ σε ως έβλεψε, τανυσθέντα η Πάνσεμνος, απειράνδρως Κύριε όν γεγέννηκεν, αιματοφύρτοις εκπλύνασα, δακρύοις τό πρόσωπον, κέκραγεν οδυνηρώς, Τί τό ξένον μυστήριον, ο κοσμήσας πρίν, ουρανόν τοίς φωστήρσι, πώς ακόσμως, νύν εμπέπαρσαι τώ ξύλω, άμορφος άπνους μακρόθυμε;

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΔ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Μαρτύρων, Θύρσου, Λευκίου, Καλλινίκου, Φιλήμονος, Απολλωνίου, Αρριανού καί τών σύν αυτώ.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, Στιχηρά Προσόμοια.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Θυρεώ ευσεβείας σε, θωρακίσας ο Κύριος, δυνατόν ειργάσατο πρός παράταξιν, τού δυσμενούς εξερχόμενον, Θύρσε παναοίδιμε, όν τή λόγχη τής εν σοί, καρτερίας κατέαξας, καί ηφάνισας, τάς αυτού μυριάδας, καί τής νίκης, τούς στεφάνους ανεδήσω, Μεγαλομάρτυς πολύαθλε.

Τής ψυχής τήν λευκότητα, τώ ωραίω τού σώματος, τής ομολογίας τε καθαρότητι, Μάρτυς υπέφηνας Λεύκιε, διό φερωνύμως σε, κλήσει ένδοξε Χριστός, επί γής κατελάμπρυνεν, όν ικέτευε, εκ φθοράς καί κινδύνων λυτρωθήναι, τούς εν πίστει εκτελούντας, τήν αεισέβαστον μνήμην σου.

Καλλινίκως διήνυσας, τούς αγώνας Καλλίνικε, προκληθείς ο έμελλες έργοις έσεσθαι, καί εκμιμούμενος Λεύκιον, ψυχήν κατελεύκανας, ταίς τών άθλων καλλοναίς, καί βασάνων λευκότητι, καί τήν άθεον, εστηλίτευσας γνώμην τών ανόμων, καί τόν ζόφον τής απάτης, θεία δυνάμει εμείωσας.

Έτερα Στιχηρά Προσόμοια

Ήχος ο αυτός
Έδωκας σημείωσιν

Θύρσος ο θαυμάσιος, καί ο θεόφρων Καλλίνικος, καί ο ένδοξος Λεύκιος, Τριάδα τήν άκτιστον, καθομολογούντες, πόνους βαρυτάτους, καί ανενδότους αικισμούς, ανδρειοτάτη γνώμη υπέμειναν, καί νίκης τό διάδημα, ως νικηφόροι απέλαβον, συμπολίται γενόμενοι, τών αΰλων δυνάμεων.

Φιλήμων ο μέγιστος, Αρριανός ο πανόλβιος, ο σοφός Απολλώνιος, αιμάτων τοίς ρεύμασι, τής πολυθεϊας, έσβεσαν τήν φλόγα, πάσαν κατήρδευσαν τήν γήν, θεογνωσίας τοίς θείοις ρεύμασι, καί όμβροις τών ιάσεων, τών παθημάτων ξηραίνουσι, ποταμούς θεία χάριτι, οι Καλλίνικοι Μάρτυρες.

Άνθη ωραιότατα, εν τώ λειμώνι εξήνθησαν, τών Μαρτύρων οι ένδοξοι, τού Πνεύματος πέμποντες, θείαν ευωδίαν, καί τάς διανοίας, ευωδιάζοντες πιστώς, τών ετησίαις μνήμαις τιμώντων αυτών, τούς άθλους, τά παλαίσματα, τήν μακαρίαν τελείωσιν, δι' ής φώς τό ανέσπερον, κατοικούσι γηθόμενοι.

Δόξα... Καί νύν... Θεοτοκίον

Σέ τό καθαρώτατον, τού Βασιλέως παλάτιον, δυσωπώ Πολυϋμνητε, τόν νούν μου καθάρισον, τόν εσπιλωμένον, πάσαις αμαρτίαις, καί καταγώγιον τερπνόν, τής υπερθέου Τριάδος ποίησον, όπως τήν δυναστείαν σου, καί τό αμέτρητον έλεος, μεγαλύνω σωζόμενος, ο αχρείος οικέτης σου.

Η Σταυροθεοτοκίον

Σταυρούμενον βλέπουσα, καί τήν πλευράν ορυττόμενον, υπό λόγχης η Πάναγνος, Χριστόν τόν φιλάνθρωπον, έκλαιε βοώσα, τί τούτο Υιέ μου; τί σοι αχάριστος λαός, ανταποδίδωσιν ών πεποίηκας, καλών αυτοίς καί σπεύδεις με, ατεκνωθήναι παμφίλτατε; καταπλήττομαι Εύσπλαγχνε, σήν εκούσιον σταύρωσιν.

Καί τά λοιπά τού Εσπερινού, καί Απόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τής Οκτωήχου καί τών Αγίων.

Θεοφάνους

Ωδή α'  Ήχος πλ. β'

«Ως εν ηπείρω πεζεύσας ο Ισραήλ, εν αβύσσω ίχνεσι, τόν διώκτην Φαραώ, καθορών ποντούμενον, Θεώ επινίκιον ωδήν εβόα άσωμεν».

Μαρτυρικαίς αγλαϊαις τώ θεϊκώ, θρόνω παριστάμενοι, καί ταίς θείαις αστραπαίς, Αθληταί λαμπόμενοι ημάς, τούς υμνούντας τήν υμών μνήμην φωτίσατε.

Κάλλος τό θείον ποθούντες, βίου τερπνά, εις ουδέν ηγήσασθε, Αθλοφόροι τού Χριστού, καί θανόντες σώματι ζωήν, ατελεύτητον ευρείν κατηξιώθητε.

Τής αθεϊας τήν πλάνην θεοπρεπώς, αθλοφόροι Μάρτυρες, στηλιτεύσαντες πολλών, πόνων υπεμείνατε πυράν, καί τήν άπονον ζωήν νύν απειλήφατε.

Ταίς υπερφώτοις ακτίσι τού παντουργού, ελλαμφθείς σύ Πνεύματος, αθεϊας τό βαθύ, σκότος εξηφάνισας Χριστού, αθλοφόρε θαυμαστέ, Θύρσε μακάριε.

Θεοτοκίον
Τόν απερίγραπτον Λόγον περιγραπτόν, γεγονότα σώματι, απεκύησας Αγνή όν δυσώπει ρύσασθαι φθοράς, καί παθών επαγωγής, τούς σέ δοξάζοντας.

Ωδή γ'
«Ουκ έστιν άγιος ως σύ, Κύριε ο Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου Αγαθέ, καί στερεώσας ημάς, εν τή πέτρα τής ομολογίας σου«».

Τό σώμα ξέοντες δεινώς, οι τού σκότους προστάται, λογισμού σου τόν τόκον, ουκ εχαύνωσαν στοργή, τή θεϊκή δυνατώς, εν αγάπη, Θύρσε κρατυνόμενον.

Υπήρξε Μάρτυς θαυμαστή, η αθρόα σου όντως, πρός τόν Κύριον πίστις! δι' ής ήσχυνας εχθρών, κακοπιστίαν βοών, ώ Φιλήμον, Δούλος Χριστού πέφυκα.

Πρός πάλην Μάρτυς τού εχθρού, θαρσαλέως εξήλθες, ουκ ασπίδα, ου δόρυ, αλλά πίστιν αρραγή, ενθέως θωρακισθείς, καί ανδρείως, τούτον κατηδάφισας.

Εφέσει θεία κρατυνθείς, τήν θεογενεσίαν, ουρανόθεν κομίζη, δι' ύδατος μυστικώς, Φιλήμον Μάρτυς Χριστού, πρός αγώνας, θείους δυναμούσάν σε.
Θεοτοκίον
Εν δύο φύσεσιν ο είς, τής Αγίας Τριάδος, εξ αγνών σου αιμάτων, σαρκωθείς θεοπρεπώς, προήλθε τούς εξ Αδάμ, διασώζων, Πάναγνε χρηστότητι.
Ο Ειρμός
«Ουκ έστιν άγιος ως σύ, Κύριε ο Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου Αγαθέ, καί στερεώσας ημάς, εν τή πέτρα τής ομολογίας σου».

Κάθισμα  Ήχος δ'
Κατεπλάγη Ιωσήφ
Ευσεβείας θυρεώ, περισκεπόμενοι καλώς, καί τό όπλον τού Σταυρού, αναλαβόμενοι στερρώς, τάς παρατάξεις κατέβαλον τού Τυράννου, Μάρτυρες Χριστού οι αξιάγαστοι, καί στέφος παρ' αυτού αναδησάμενοι, νικητικώς χορεύουσιν απαύστως, μετά τών άνω Δυνάμεων, καί τόν Σωτήρα, εκδυσωπούσι, σώσαι τάς ψυχάς ημών.
Δόξα... Ήχος πλ. δ'
Τήν Σοφίαν καί Λόγον
Ιερώς εναθλούντες οι ιεροί, Αθλοφόροι Κυρίου τούς αικισμούς, τάς ξέσεις τού σώματος, καί τόν βίαιον θάνατον, αδιστάκτω πίστει, ανδρείως υπέμειναν, καί τού εχθρού τό θράσος, τελείως κατέβαλον, όθεν ιαμάτων, δωρεάν ειληφότες, ιώνται τούς κάμνοντας, καί λυτρούνται κακώσεως, τούς βοώντας εκάστοτε, Πρεσβεύσατε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην υμών.
Καί νύν... Θεοτοκίον
Τήν ψυχήν μου Παρθένε τήν ταπεινήν, από βρέφους μολύνας ο μιαρός, καί λόγοις καί πράξεσιν, εμαυτόν κατερρύπωσα, καί ουκ έχω τί πράξω, ή πού καταφεύξομαι, αλλ' ουδ' άλλην ελπίδα, πλήν σου Κόρη επίσταμαι, Φεύ μοι ο

αχρείος! διά τούτο ικέτης, πρός σέ τήν πανάχραντον, νύν προστρέχω καί δέομαι, ομολογών σοι τό, Ήμαρτον, Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δοθήναί μοι, εις σέ γάρ πάσαν ελπίδα, ανέθηκα Δέσποινα.

Η Σταυροθεοτοκίον

Σέ τόν πάντων Δεσπότην καί Λυτρωτήν, η Αμνάς θεωρούσα εν τώ Σταυρώ, αδίκως κρεμάμενον, θρηνωδούσα εβόα σοι, Οίμοι Υιέ! πώς πάσχεις, καί φέρεις μακρόθυμε, παρά τών αγνωμόνων, Ονείδη καί θάνατον, σώσαι τών ανθώπων, πεπτωκυίαν τήν φύσιν, καί ρύσασθαι κακώσεως, καί πταισμάτων συμπτώσεως, διά τούτο κραυγάζω σοι, Ανάστηθι ταχύ εκ νεκρών, ως υπέσχου Λόγε πρό τού πάθους σου, καί περιστάσεως πάσης, τήν ποίμνην σου λύτρωσαι.

## Ωδή δ'

«Χριστός μου δύναμις, Θεός καί Κύριος, η σεπτή Εκκλησία θεοπρεπώς, μέλπει ανακράζουσα, εκ διανοίας καθαράς, εν Κυρίω εορτάζουσα».

Τόν μόνον εύσπλαγχνον, τόν μόνον Κύριον, καί Θεόν τών απάντων ομολογείν, Μάρτυρες ποθήσαντες, διά βασάνων τήν αυτού, Βασιλείαν απειλήφατε.

Στρεβλώσεις σώματος, πυρός ορμήματα, καί θηρών καί θαλάσσης νεανικώς, ήνεγκας πανόλβιε, καί δυναστείαν τού εχθρού, Μάρτυς Θύρσε καταβέβληκας.

Εχθρόν αλάστορα, τώ εκνευρίζεσθαι, εξενεύρισας μάκαρ καί τήν οδόν, Μάρτυς Απολλώνιε, τού μαρτυρίου ευσταλώς, επορεύθης θείω Πνεύματι.

Αγώνων στίγμασι, καλλωπιζόμενος, τήν ψυχήν φαιδροτέραν ηλιακού, φέγγους απετέλεσας, ως αθλοφόρος τού Χριστού, στρατιώτα Μάρτυς Λεύκιε.

Θεοτοκίον

Μητέρα άνανδρον, Παρθένον άμωμον, αδιάφθορον Κόρην εν γυναιξί, μόνην σε γινώσκομεν, ευλογημένη Μαριάμ, τών ανθρώπων η βοήθεια.

## Ωδή ε'

«Τώ θείω φέγγει σου Αγαθέ, τάς τών ορθριζόντων σοι ψυχάς, πόθω καταύγασον δέομαι, σέ ειδέναι Λόγε Θεού, τόν όντως Θεόν, εκ ζόφου τών πταισμάτων ανακαλούμενον».

Ταίς θειοτάταις θεολαμπώς, Πνεύματος αυγαίς ως αληθώς, πεπυρσευμένοι διήλθετε, τό τής αθεϊας άστατον πέλαγος, καί θείαν πρός γαλήνην διεβιβάσθητε.

Περισυρόμενοι εν τή γή, Μάρτυρες πανεύφημοι δεινώς, καί ταίς αικίαις βαλλόμενοι, τών επουρανίων γερών ετύχετε, Αγγέλων συμπολίται νύν χρηματίζοντες.

Κατατεινόμενος καί πολλαίς, Θύρσε προσβολαίς τών δυσχερών, περικυκλούμενος έφερες, θείαις συμμαχίαις αναδεικνύμενος, ανώτερος παντοίου είδους κολάσεων.

Θεοτοκίον

Τούς Θεοτόκον σε εκ ψυχής, Δέσποινα τού κόσμου αγαθή, ομολογούντας διάσωσον, σέ γάρ προστασίαν ακαταμάχητον, κεκτήμεθα τήν όντως θεογεννήτριαν.

Ωδή ς'

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι, Ανάγαγε, εκ φθοράς τήν ζωήν μου Πολυέλεε».

Ταίς αύραις κινούμενοι, θείου Πνεύματος σοφοί, τά τής ψυχής αγώγιμα, εις νοητούς λιμένας περιχαρώς, εσώσατε Μάρτυρες, απολαύοντες άμα τής Θεώσεως.

Βαφαίς ταίς εξ αίματος, σωτηρίου εαυτοίς, περιποιείσθε ένδυμα, τή δέ εκδύσει Μάρτυρες τής σαρκός, τήν θείαν ευπρέπειαν, εστολίζεσθε δόξη καλλυνόμενοι.

Φιλήμων καί Λεύκιος, Απολλώνιος ομού, καί Θύρσος ο αοίδιμος, η τετρακτύς η θεία καί φωταυγής, Τριάδος τήν έλλαμψιν, εν μεθέξει αΰλω κατεπλούτησαν.

Θεοτοκίον

Ο πάσης επέκεινα, νοουμένης ως Θεός, καί ορωμένης κτίσεως, σωματωθείς προήλθέ σου εκ γαστρός, τηρήσας δέ άφθορον, ώσπερ ής πρό τού τόκου Μητροπάρθενε.

Ο Ειρμός

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι, Ανάγαγε, εκ φθοράς τήν ζωήν μου Πολυέλεε».

Κοντάκιον Ήχος δ'

Επεφάνης σήμερον

Τούς φωστήρας άπαντες, τής Εκκλησίας, συνελθόντες σήμερον, εν εγκωμίοις ιερoίς, ανευφημούντες υμνήσωμεν, ως αθλοφόρους Χριστού τού Θεού ημών.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΔ' τού αυτού μηνός, Άθλησις τών Αγίων Μαρτύρων, Θύρσου, Λευκίου καί Καλλινίκου.

Στίχοι

- Ου δένδρινόν σε, Θύρσε, θύρσον ο πρίων,
- Πρό τής τελευτής εύρεν, ως ράστα πρίσαι.
- Ο πνεύμα λευκός Λεύκιος, τμηθείς ξίφει,

- Τό σώμα βάπτει φοινικούν εξ αιμάτων.
- Ο Καλλίνικος, εκκοπείς τόν αυχένα,
- Υπήρξε Καλλίνικος εκ τών πραγμάτων.
- Πρίσιν αλύξας, Θύρσε, θάνες δεκάτη γε τετάρτη.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων, Φιλήμονος, Απολλωνίου, Αρριανού καί τών σύν αυτοίς.

Στίχοι

- Έτερπεν αυλοίς πρίν Φιλήμων τούς φίλους,
- Τανύν δέ τμηθείς, τέρπεται τέρψιν ξένην.
- Απολλώνιον, υιόν Υψίστου θέσει,
- Κτείνουσι υιοί τής απωλείας ξίφει.
- Τόν Αρριανόν εργάται πονηρίας.
- Έργον θαλάσσης δεικνύουσιν αφρόνως.

Τή αυτή ημέρα, Μνήμη τών τεσσάρων Προτικτόρων, τών συναθλησάντων τώ Αγίω Αρριανώ.

Στίχοι

- Βάπτισμα πόντος τοίς Προτίκτορσι ξένον,
- Φορούσι σάκκους, ως στολάς εμφωτίους.

Τή αυτή ημέρα, Μνήμη τής μετά φιλανθρωπίας επενεχθείσης ημίν φοβεράς απειλής τού σεισμού, ης παρ' ελπίδα πάσαν ελυτρώσατο ημάς ο Φιλάνθρωπος Κύριος.

Στίχοι

- Έσεισας, αλλ' έστησας αύθις γήν Λόγε.
- Τής σής γάρ οργής οίκτός εστι τό πλέον.

Ταίς τών αγίων σου πρεσβείαις, ο Θεός, ελέησον, καί σώσον ημάς. Αμήν.

Ωδή ζ'

«Δροσοβόλον μέν τήν κάμινον ειργάσατο, Άγγελος τοίς οσίοις Παισί, τούς Χαλδαίους δέ καταφλέγον, πρόσταγμα Θεού, τόν τύραννον έπεισε βοάν, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών».

Επομβρήσεσιν ενθέοις κατεσβέσατε, πολυθεΐας κάμινον αναπτόμενοι, θεϊκή στοργή περιχαρώς, καί νύν μελωδείτε εκτενώς, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Τόν διώκοντα τή θεία συλλαβόμενοι, σαγήνη αξιάγαστοι, ανειλκύσατε, εκ βυθού τής πλάνης καί Χριστώ, προσήξατε ψάλλοντα θερμώς, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Συνεσείσατε τής πλάνης τά θεμέλια, ασάλευτον προαίρεσιν, ενδεικνύμενοι καί ανδρείαν, γνώμην Αθληταί, καί νύν μελωδείτε ευσεβώς, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Υπέρ λόγον σου η σύλληψις Θεόνυμφε, Θεόν γάρ Λόγον τέτοκας, τόν ρυόμενον αλογίας πάσης τούς βροτούς, καί λόγον παρέχοντα βοάν, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Ωδή η'

«Εκ φλογός τοίς οσίοις δρόσον επήγασας, καί δικαίου θυσίαν ύδατι έφλεξας, άπαντα γάρ δράς Χριστέ, μόνω τώ βούλεσθαι, Σέ υπερυψούμεν, εις πάντας τούς αιώνας».

Θυρεώ ευσεβείας περισκεπόμενοι, καί Σταυρόν ώσπερ δόρυ αναλαβόμενοι, φάλαγγας εχθρών, αοράτων εκόψατε, Μάρτυρες ενθέως, Χριστόν υπερυψούντες.

Εκκαιόμενος φίλτρω τού Παντοκράτορος, υπεισήλθες ανδρείως, Μαρτύρων στάδιον, καί καρτερικώς, εναθλήσας κατέρραξας, δράκοντα τόν μέγαν, Φιλήμον αθλοφόρε.

Υποβρύχιον δείξας εχθρού τήν δύναμιν, τώ βυθώ τής ανδρείας καί καρτερίας σου, ώ Αρριανέ, Βασιλείας ηξίωσαι, απαρασαλεύτου, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Αληθή Θεοτόκον ομολογούντές σε τού Αγγέλου τό Χαίρε πίστει βοώμέν σοι, μόνη τήν χαράν, επί γής γάρ εκύησας, Κεχαριτωμένη, αεί ευλογημένη.

Ο Ειρμός

«Εκ φλογός τοίς οσίοις δρόσον επήγασας, καί δικαίου θυσίαν ύδατι έφλεξας, άπαντα γάρ δράς Χριστέ, μόνω τώ βούλεσθαι, Σέ υπερυψούμεν, εις πάντας τούς αιώνας».

Ωδή θ'

«Θεόν ανθρώποις ιδείν αδύνατον, όν ού τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ Πάναγνε, ωράθη βροτοίς, Λόγος σεσαρκωμένος, όν μεγαλύνοντες, σύν ταίς ουρανίαις στρατιαίς σε μακαρίζομεν».

Χριστού τό πάθος εξεικονίζοντες, πείραν πολλών υπέστητε βασάνων Μακάριοι, κεφαλάς δέ τμηθέντες συνήφθητε, τάξεσιν ουρανίαις, δόξη λαμπόμενοι, καί ταίς θεϊκαίς μαρμαρυγαίς ωραϊζόμενοι.

Εκ σών αιμάτων πορφύραν έβαψας, Θύρσε σοφέ καί ταύτην ευκλεώς στολισάμενος, καί ως σκήπτρον κατέχων τόν θείον Σταυρόν, πάσι σύν αθλοφόροις επαγαλλόμενος, νύν συμβασιλεύεις τώ Χριστώ θεομακάριστε.

Υμών Μακάριοι κατεπλάγησαν, αγγελικαί Δυνάμεις τούς αγώνας, τά στίγματα,

τάς ενστάσεις, τόν βίαιον θάνατον, οίς συμπεριπολούντες, μνείαν ποιήσασθε, τών επιτελούντων τήν υμών μνήμην Πανεύφημοι.

Θεοτοκίον

Σαρκός ανθρώπων εν ομοιώματι, σού εκ γαστρός ο Λόγος καθωράθη τικτόμενος, καί Μαρτύρων πληθύν επεσπάσατο, πάθη καθυπομείνας, ο υπεράγαθος, άχραντε Παρθένε, Μαριάμ θεοχαρίτωτε.

Ο Ειρμός

«Θεόν ανθρώποις ιδείν αδύνατον, όν ού τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ Πάναγνε, ωράθη βροτοίς, Λόγος σεσαρκωμένος, όν μεγαλύνοντες, σύν ταίς ουρανίαις στρατιαίς σε μακαρίζομεν».

Καί η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΕ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού αγίου Ιερομάρτυρος Ελευθερίου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ' Έδωκας σημείωσιν

Σκεύος Ιερώτατον, Πνεύματος θείου γεγένησαι, τήν ψυχήν καθηράμενος, παθών Ιερώτατε, ένθεν χρίσμα θείον, άγιον εδέξω, Αρχιερεύς σύ γεγονώς, καί ποδηγέτης λαού θεόφρονος, καί μάρτυς απαράτρωτος, τού δι' ημάς πάθη φέροντος, καί απάθειαν βλύσαντος, αθλητά Ελευθέριε.

Σώματος ηλόγησας, αικιζομένου ταίς μάστιξι, καί πυρί προσεγγίζοντος τόν νούν γάρ προσήλωσας, ανεικάστω πόθω, τώ ωραιοτάτω, κάλλει τού θείου εραστού, ού τώ γλυκίω ετρώθης έρωτι, Μαρτύρων εγκαλλώπισμα, Αρχιερέων αγλάϊσμα, αθλητά Ελευθέριε, πρεσβευτά τών ψυχών ημών.

Καλώς τόν αγώνά σε, τεθεαμένη τελέσαντα, η καλώς σε κυήσασα, τόν ίσον ποθήσασα, διανύσαι δρόμον, σοί περιπλακείσα, μέσον τού σκάμματος σοφέ, καθάπερ δάμαλις αποσφάττεται, μεθ' ής σε ικετεύομεν, υπέρ ημών Ελευθέριε, τόν Σωτήρα καί Κύριον, εκδυσώπει πανόλβιε.

Δόξα... Ήχος πλ. β'

Ιερεύς εννομώτατος, μέχρι τέλους εχρημάτισας, μάκαρ Ελευθέριε, ιερουργών γάρ τά θεία καί άρρητα μυστήρια, τό αίμά σου εξέχεας υπέρ Χριστού τού Θεού, καί θύμα ευπρόσδεκτον σεαυτόν προσήγαγες, διό παρρησίαν έχων πρός αυτόν, εκτενώς ικέτευε, υπέρ τών πίστει τελούντων σήν αεισέβαστον μνήμην, καί τούς αυτήν γεραίροντας ρυσθήναι πειρασμών, καί παντοίων κινδύνων καί περιστάσεων.

Καί νύν... Θεοτοκίον

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής. Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Ει δέ βούλει ποιήσαι είσοδον λέγε

Σπήλαιον ευτρεπίζου, η Αμνάς γάρ ήκει, έμβρυον φέρουσα Χριστόν, Φάτνη δέ υποδέχου, τόν τώ λόγω λύσαντα τής αλόγου πράξεως, ημάς τούς γηγενείς, Ποιμένες αγραυλούντες, μαρτυρείτε θαύμα τό φρικτόν, καί Μάγοι εκ Περσίδος, χρυσόν καί λίβανον καί σμύρναν, τώ Βασιλεί προσάξατε, ότι ώφθη Κύριος εκ Παρθένου Μητρός, όνπερ καί κύψασα, δουλικώς η Μήτηρ προσεκύνησε, καί προσεφθέγξατο τώ εν αγκάλαις αυτής, Πώς ενεσπάρης μοι, ή πώς μοι ενεφύης, ο λυτρωτής μου καί Θεός.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος α' Τών ουρανίων

Τής Εκκλησίας προστάτης Πάτερ γενόμενος, ως Ευανθίας γόνος, τής θεόφρονος όντως, καί μύστης Αποστόλων ως αληθώς, πρός τόν Θεόν επιστρέφεις λαούς, τούς πρίν αφρόνως τό σέβας οία θεοίς, απονέμοντας τοίς Δαίμοσιν.

Στίχ. Οι Ιερείς σου Κύριε ενδύσονται δικαιοσύνην.

Τών επιτόκων γυναίων Πάτερ κηδόμενος, ελευθερίαν δίδως, τώ Ναώ σου φοιτώσαις, εύπλοιαν δέ πάλιν άλλοις θερμώς, εξαιτούσιν επέδωκας, καί τοίς νοσούσιν υγείαν σύ χορηγείς, διαλάμπων εν τοίς θαύμασι.

Στίχ. Δίκαιος ως φοίνιξ ανθήσει, καί ωσεί κέρδος η εν τώ Λιβάνω πληθυνθήσεται.

Τού Μαρτυρίου τούς άθλους στερρώς υπήνεγκας, Αδριανού μή πτήξας, τάς δριμείας κολάσεις, έρωτι τού Κτίστου όλους αλούς, Ελευθέριε πάνσοφε, καί τήν τεκούσάν σε σύναθλον προσλαβών, ανελήλυθας γηθόμενος.

Δόξα... Ήχος πλ. δ'

Τής ιεραρχίας σου Όσιε Πάτερ, τήν στολήν εφοίνιξας, ταίς ροαίς τών αιμάτων σου, Εν μέσω δέ τού σταδίου ανδρικώς τελειωθέντα ιδούσά σε, επιπεσούσα ησπάζετο τό γλυκύ τέκνον, η καλώς γεννησαμένη καί θρεψαμένη σε, διό καί τμηθείσα τώ ξίφει, εις ουρανίους θαλάμους μετά σού συνεισήλθεν, Ώ μακαρίας Μητρός! ώ μαστών ιερών! ούς εθήλασας μάκαρ Ελευθέριε, καί τής φύσεως τόν Πλάστην επέγνως, Σύν αυτή ούν πρέσβευε, ελεηθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Δέσποινα πρόσδεξαι, τάς δεήσεις τών δούλων σου, καί λύτρωσαι ημάς, από πάσης ανάγκης καί θλίψεως.

Απολυτίκιον  Ήχος πλ. α'
Τόν συνάναρχον

Ιερέων ποδηρει κατακοσμούμενος, καί αιμάτων τοίς ρείθροις επισταζόμενος, τώ Δεσπότη σου Χριστώ μάκαρ ανέδραμες, Ελευθέριε σοφέ, καθαιρέτα τού Σατάν, διό μή παύση πρεσβεύων, υπέρ τών πίστει τιμώντων, τήν μακαρίαν σου άθλησιν.

Καί νύν... Θεοτοκίον

Χαίρε Πύλη Κυρίου η αδιόδευτος, χαίρε τείχος καί σκέπη τών προστρεχόντων εις σέ, χαίρε αχείμαστε λιμήν, καί απειρόγαμε, η τεκούσα εν σαρκί, τόν Ποιητήν σου καί Θεόν, πρεσβεύουσα μή ελλείπης, υπέρ τών ανυμνούντων, καί προσκυνούντων τόν τόκον σου.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, ο Κανών τής Οκτωήχου εις, καί τού Αγίου δύο. Ο παρών φέρει Ακροστιχίδα.

Παθών ελεύθερόν με δείξον παμμάκαρ. Ιωσήφ.

Ωδή α'  Ήχος α'

«Ωδήν επινίκιον, άσωμεν πάντες, Θεώ τώ ποιήσαντι, θαυμαστά τέρατα, βραχίονι υψηλώ, καί σώσαντι τόν Ισραήλ, ότι δεδόξασται».

Παθών αμαυρότησι, δεδουλωμένον, φαιδραίς ικεσίαις σου, Μάρτυς Ελευθέριε, νύν ελευθέρωσον, όπως ως δούλόν σε Χριστού, θείαις υμνήσω ωδαίς.

Αθλήσεως έλαμψας, καθαρωτάταις, αυγαίς ιερώτατε, επιχρώσας αίματι, τήν ιεράν σου στολήν, καί γέγονας φωτοειδής, διά τού Πνεύματος.

Θεώ προσκολλώμενος, καθαρωτάτω νοϊ, εκ νεότητος, σαρκικού φρονήματος, ψυχήν εμάκρυνας, καί τών θαυμάτων δαψιλή, χάριν επλούτησας.

Θεοτοκίον

Ως θρόνος πυρίμορφος, τόν Κτίστην φέρεις, ως έμψυχος θάλαμος, καί τερπνόν Παλάτιον, τόν Βασιλέα χωρείς, γενόμενον όπερ ημείς, Θεοχαρίτωτε.

Έτερος Κανών, ου η Ακροστιχίς

Θείον Ελευθέριον ιερήα τιμάω, Πάτερ.

Ωδή α'  Ήχος πλ. β'

«Ως εν ηπείρω πεζεύσας ό Ισραήλ, εν αβύσσω ίχνεσι, τόν διώκτην Φαραώ, καθορών ποντούμενον, Θεώ επινίκιον ωδήν, εβόα άσωμεν.

Θρόνω τής δόξης Κυρίου παρεστηκώς, σύν Αγγέλων τάγμασιν, Ελευθέριε σοφέ, τούς υμνούντας πόθω σε αεί, ελευθέρωσον παθών ταίς ικεσίαις σου.

Εκλελεγμένος εκ βρέφους σύ τώ Θεώ, ανετέθης ένδοξε, ώσπερ πάλαι Σαμουήλ, καί θείω Πνεύματι χρισθείς, ως σοφός Αρχιερεύς λαόν εποίμανας.

Ιερουργός μυστηρίων τών τού Χριστού, γεγονώς ελάμπρυνας, τήν στολήν τήν ιεράν, μαρτυρίου αϊματι Σοφέ, εν σταδίω καρτερώς αγωνισάμενος.

Θεοτοκίον

Ο εκ μή όντων τά πάντα παραγαγών, Θεός Λόγος πάναγνε, έξ ασπόρου σου γαστρός, υπέρ νούν σεσάρκωται, διό, Θεοτόκον σε πιστοί αεί δοξάζομεν.

Ωδή γ'

«Στερεωθήτω η καρδία μου, εις τό θέλημά σου Χριστέ ο Θεός, ο εφ' υδάτων ουρανόν, στερεώσας τόν δεύτερον, καί εδράσας εν τοίς ύδασι τήν γήν παντοδύναμε».

Υπέρ Χριστού παθείν ελόμενος, αλγηδόνας φέρεις τού σώματος, ενηδυνομενος Σοφέ, ταίς οδύναις καί θλίψεσι, διά τούτο τήν ανώδυνον, ζωήν νύν απείληφας.

Θερμώ τώ πόθω τού ποιήσαντος, Αθλητά θεόφρον κρατούμενος, τώ πυρωθέντι σεαυτόν, επιρρίπτεις τεχνάσματι, δροσιζόμενος τού Πνεύματος, πυρί Ελευθέριε.

Εν ιερεύσιν ιερώτατος, καί εν Μάρτυσι Μάρτυς στερρότατος, αναδειχθείς στέφος διπλούν, εκομίσω Μακάριε, τώ προσώπω τού Θεού, διά παντός οπτανόμενος.

Θεοτοκίον

Ράβδον δυνάμεως εβλάστησας, τόν Χριστόν εν ώ στηριζόμεθα, σέ γάρ ετύπου Ααρών, Ράβδος ποτέ βλαστήσασα, αγεώργητε Αγνή, περιστερά αειπάρθενε.

Άλλος

Ουκ έστιν άγιος ώς σύ

Νοός στερρότητι Σοφέ, οπλισάμενος χαίρων, τήν οδόν διανύεις, τού μαρτυρίου σαυτόν, εθελουσίως προδούς, τοίς ζητούσι, Μάρτυς Ιερώτατε.

Εκ θείου Πνεύματος λαβών, τής σοφίας τόν πλούτον, μιμητής ανεδείχθης, τών Αποστόλων Σοφέ, σαγήνη μαρτυρική σαγηνεύων, λαούς πρός ευσέβειαν.

Λαμπρύνας θείαις αρεταίς, τήν αρχιερωσύνην, λαμπροτέραν ειργάσω, τή

πορφυρίδι τών σών, αιμάτων καρτερικώς, εναθλήσας, Μάρτυς Ελευθέριε.

Θεοτοκίον

Εκπλήττει νούν καί ακοήν, τό μυστήριον όντως, τής λοχείας σου Κόρη, Θεόν γάρ υπερφυώς, συνέλαβες εν γαστρί, καί τεκούσα, μένεις αειπάρθενος.

Ο Ειρμός

«Ουκ έστιν Άγιος ως σύ, Κύριε ό Θεός μου, ό υψώσας τό κέρας, τών πιστών σου Αγαθέ, καί στερεώσας η μάς, έν τή πέτρα τής όμολογίας του».

Κάθισμα

Τόν τάφον σου Σωτήρ

Ελεύθερον τόν νούν, εκ παθών κεκτημένος, εγένου τού Θεού, γνησιώτατος δούλος, καί πλάνης ηλευθέρωσας, τούς καλώς σοι ποθήσαντας, εναθλήσας δέ, ως ιερεύς τε καί Μάρτυς, Ελευθέριε, διπλούν εδέξω τό στέφος, πρεσβεύων σωθήναι ημάς.

Δόξα... Καί νύν... Θεοτοκίον

Μαρία τό σεπτόν, τού Δεσπότου δοχείον, ανάστησον ημάς, πεπτωκότας εις βάθος, δεινής απογνώσεως, καί πταισμάτων καί θλίψεων, σύ γάρ πέφυκας, αμαρτωλών σωτηρία, καί βοήθεια, καί κραταιά προστασία, καί σώζεις τούς δούλους σου.

Ωδή δ'

«Εν πνεύματι προβλέπων, Προφήτα Αββακούμ, τήν τού Λόγου σάρκωσιν, εκήρυττες βοών, Εν τώ εγγίζειν τά έτη επιγνωσθήση, εν τώ παρείναι τόν καιρόν αναδειχθήση, Δόξα τή δυνάμει σου Κύριε».

Ου χάσματα λεόντων, ου βράσματα πυρός, ου δεινών επίτασις, το εύτονον τής σής, ιερομύστα εχαύνωσε καρτερίας, αλλ' ως αδάμας ταίς βασάνοις ενετρύφας, ζήλω θεϊκώ πυρπολούμενος.

Ναμάτων ζωηρύτων, τό στόμα σου πλησθέν, ποταμούς ηρεύξατο, ενθέων διδαχών, Ιερομάρτυς βυθίζοντας ανομούντων, ερεσχελίας καί αρδεύοντας καρδίας, τών επεγνωκότων Χριστόν τον Θεόν.

Μεγάλως σε δοξάζων, ο σός Δημιουργός, υπέρ ου προήρησο, τό πάσχειν Αθλητά, περιστεράν καταπέμπει κομίζουσάν σοι, τροφήν Αγγέλων ισαγγέλω γεγονότι, άθλων φανοτάταις λαμπρότησιν.

Θεοτοκίον

Εξέστησαν ορώσαι, Αγγέλων στρατιαί! πώς ο αθεώρητος, μορφή τή καθ' ημάς, εκ σού ωράθη Παρθένε Θεοκυήτορ, όν εκδυσώπει σωτηρίας αξιώσαι, πάντας τούς πιστώς σε δοξάζοντας.

Άλλος

Χριστός μου δύναμις

Υπήρξε πρότερον, κατακαυχώμενος, ο πανώλεθρος δράκων, αλλ' αναιδής,

ήλεγκται ο άθλιος, τού ιεράρχου τοίς ποσίν, εν σταδίω συμπατούμενος.

Θωρακισάμενος, Σταυρού τήν δύναμιν, ιερώτατε Μάρτυς ως νικητής, άριστος εισέδραμες εν πυριφλέκτω κραβάτω, ως εν δρόσω αγαλλόμενος.

Επί τού σκάμματος, εστώς διήλεγξας, τού τυράννου τό θράσος ειδωλικόν, τούτον τροπωσάμενος, Ιερομάρτυς αθλητά, ανδρικώς αγωνιζόμενος.

Θεοτοκίον

Ρημάτων άκουσον, εμής δεήσεως, Παναγία Παρθένε, σύ γάρ ελπίς, πάντων καί βοήθεια, τών εν ποικίλοις πειρασμοίς, εκτενώς προσκαλουμένων σε.

Ωδή ε'

«Τήν σήν ειρήνην δός ημίν Υιέ τού Θεού, άλλον γάρ εκτός σου Θεόν ου γινώσκομεν, τό όνομά σου ονομάζομεν, ότι Θεός ζώντων καί τών νεκρών υπάρχεις».

Δολίαις μηχανώμενος, συλάν σε λαλιαίς, Μάρτυς εχθρός ο παμπόνηρος, γέλως οράται τή σοφία σου, ο σοφιστής κακίας κατασεσοφισμένος.

Εν άρματι αιρόμενος, τών θείων αρετών, Ένδοξε τό ύψος επέφθασας, τού μαρτυρίου καί κατέρραξας, τών πονηρών δαιμόνων, τό επηρμένον θράσος.

Ιδείν τήν ωραιότητα, παθών τού Ιησού, Όσιε σαυτόν καθωραΐσας, τού μαρτυρίου ωραιότησι, καί πρός αυτόν μετέβης, στεφθείς λαμπρώ στεφάνω.

Θεοτοκίον

Ξενίζει πάσαν έννοιαν, τό θαύμά σου Αγνή, τίκτεις γάρ τόν Θεόν μετά σώματος, καί τόν τροφέα τρέφεις γάλακτι, πείραν ανδρός μή γνούσα, αυτός ως οίδε μόνος.

Άλλος

Τώ θείω φέγγει σου Αγαθέ

ιδών τό εύτονον ο Χριστός, καί ακαταγώνιστον όντως, τής καρτερίας σου Πάνσοφε, σοί ως τώ Προφήτη τροφήν ουράνιον, εκπέμπει δι' ορνέου, σέ ενισχύουσαν.

Ου δειλιάσασα η σεμνή καί ιερωτάτη σου μήτηρ, τήν τών Τυράννων ωμότητα, σού περιχυθείσα Μάρτυς τοίς μέλεσι, τώ ξίφει τελειούται, ως συναθλούσά σοι.

Νικήσας πάσαν τού δυσμενούς, τήν κεκινημένην κατά σού, Μάρτυς παράταξιν έφραξας, στόματα λεόντων εις ημερότητα, αυτών μεταποιήσας τήν αγριότητα.

Θεοτοκίον

Ιδού Μητέρα σε τού Θεού, πάντες οι πιστοί θεοπρεπώς, ομολογούντες Θεόνυμφε, λύσιν τών πταισμάτων καθικετεύομεν, παράσχου τώ λαώ σου,

μόνη Πανύμνητε.

Ωδή ς'

«Τόν Προφήτην Ιωνάν, εκμιμούμενος βοώ, τήν ζωήν μου αγαθέ, ελευθέρωσον φθοράς, καί σώσόν με, Σωτήρ τού κόσμου, κράζοντα, Δόξα σοι».

Ο επίσημος κριός, τών θρεμμάτων τού Χριστού, ο Ποιμήν ο λογικός, τών αγώνων η τρυφή, δοξάζεται, Θεόν δοξάσας, οικείοις μέλεσι.

Νευρωθείς ταίς πρός Θεόν ανανεύσεσι Σοφέ, εξενεύρισας εχθρόν, πολυμήχανον στερρώς, αοίδιμε, Μαρτύρων κλέος, ιερωσύνης κανών.

Πρός αικίσεις καρτερών, πρός τό πύρ αυτομολών, κατεκοίμισας θηρών τών αγρίων τάς ορμάς, ακοίμητον, τήν πρός τόν Κτίστην, έχων διάθεσιν.

Θεοτοκίον

Αγιάσματος Σκηνή, δεδειγμένη Μαριάμ, μιανθείσαν ηδοναίς, τήν αθλίαν μου ψυχήν, αγίασον, καί θείας δόξης, μέτοχον ποίησον.

Άλλος

Τού βίου τήν θάλασσαν

Εδείχθης πανάριστος, καί στερρός αγωνιστής, Ιερομάρτυς ένδοξε, μή φοβηθείς βασάνων, τάς προσβολάς, τό πύρ δέ υπείξέ σοι, καί σιδήρου οξύτης νώτα δέδωκε.

Ροαίς τών αιμάτων σου, Ελευθέριε Σοφέ, ειδωλικήν κατέκλυσας, δεισιδαίμονα πλάνην τών διωκτών, τήν νίκην αράμενος, κατά τού αρχεκάκου πολεμήτορος.

Η γή μέν τοίς αίμασιν, εφοινίσσετο τοίς σοίς, ο δέ αήρ ηγίασται, τώ καθαρώ σου πνεύματι αληθώς, πρός λήξιν ουράνιον, ανιόντι, παμμάκαρ Ελευθέριε.

Θεοτοκίον

Η πάναγνος Δέσποινα, η τεκούσα τοίς βροτοίς, τόν κυβερνήτην Κύριον τών παθών μου τόν άστατον καί δεινόν, κατεύνασον τάραχον, καί γαλήνην, παράσχου τή καρδία μου.

Ο Ειρμός

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοιανάγαγε, εκ φθοράς τήν ζωήν μου Πολυέλεε».

Κοντάκιον Ήχος πλ. β'

Τούς ασφαλείς

Ως καλλονήν τών ιερέων Όσιε, καί προτροπήν τών Αθλοφόρων άπαντες, ευφημούμεν καί αιτούμέν σε, Ιερομάρτυς Ελευθέριε, Τούς πόθω σου τήν μνήμην εορτάζοντας, κινδύνων πολυτρόπων ελευθέρωσον, πρεσβεύων

απαύστως, υπέρ πάντων ημών.

### Ο Οίκος

Έπιδε εύσπλαγχνε Ζωοδότα, ως φιλάνθρωπος μόνος καί οικτίρμων Θεός, τήν τής ψυχής μου σκοτόμαιναν, καί πανσθενεί δεξιά σου Λόγε, τών παθών ελευθέρωσον τής αισχύνης, όπως τόν σόν Ιεράρχην υμνήσω Ελευθέριον, αυτός γάρ όντως εκ μήτρας εγνωρίσθη σοι, καί καθηγίασται, καί ανετέθη σοι, ως Σαμουήλ, από μητρός ιεράς σοί τώ Κτίσαντι, πρεσβεύων απαύστως υπέρ πάντων ημών.

### Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΕ' τού αυτού μηνός, Άθλησις τού Αγίου Ιερομάρτυρος Ελευθερίου.

### Στίχοι

- Ελευθέριος, ως αδουλόνους φύσει,
- Σπάθας θεωρών, ουκ εδουλούτο πλάνη.
- Δίον Ελευθέριον δεκάτη πέφνε φάσγανα πέμπτη.

Τή αυτή ημέρα, η Αγία Ανθία, η μήτηρ τού Αγίου Ελευθερίου, περιχυθείσα τώ τού υιού νεκρώ,
ξίφει τελειούται.

### Στίχοι

- Δίδωσι μήτηρ νεκρικόν κόσμον τέκνω,
- Αυτή εαυτήν συγκεκομμένην σπάθαις.

Τή αυτή ημέρα, ό Άγιος Κορέμμων ο Επαρχος, πιστεύσας τώ Χριστώ καί βαπτισθείς ξίφει τελειούται.

### Στίχοι

- Αθλήσεως ουκ είχε Κορέμμων κόρον,
- Έως ετμήθη τόν αυχένα τώ ξίφει.

Τή αυτή ημέρα οι δύο Δήμιοι οι πιστεύσαντες τώ Χριστώ ξίφει τελειούνται.

### Στίχοι

- Θεόν σε γνόντας Δημίους δύω Σώτερ,
- Άλλοι κατακτείνουσι δήμιοι ξίφει.

Τή αυτή ημέρα, Άθλησις τής Αγίας Οσιομάρτυρος Σωσσάνης.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Ελευθερίου τού Κουβικουλαρίου (θαλαμηπόλου).

### Στίχοι

- Ελευθέριος ουχ υπέπτηξε ξίφος.
- Ελευθέριον γάρ είχε νούν παντός φόβου.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Βάκχου τού νέου.

Στίχοι

- Μή δεύτερόν τις, μηδέ Βάκχον τόν νέον,
- Εν τοίς αθληταίς ταττέτω διά ξίφους.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Παύλου τού νέου, ασκήσαντος εν τοίς χρόνοις τού Πορφυρογεννήτου, εν τώ όρει Λάτρου.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον καί σώσον ημάς. Αμήν.

Ωδή ζ'

«Τών εν καμίνω Παίδων σου Σωτήρ, ουχ ήψατο, ουδέ παρηνώχλησε τό πύρ' τότε οι τρείς ως εξ ενός στόματος, ύμνουν καί ευλόγουν λέγοντες, Ευλογητός ο Θεός ό τών Πατέρων ημών».

Μεγαλυνέσθω έκραζες Σοφέ, στρεβλούμενος, νύν εν τή σαρκί μου ο Χριστός, ου δειλιώ τάς πυρακτώσεις τών λεβήτων, ου πτοούμαι θάνατον, ου τών θηρών τάς ορμάς, διά τήν πάντων ζωήν.

Μόνου Θεού τό κάλλος εκζητών, μόνης αυτού δόξης καί τυχείν επιποθώ, Στρεβλούσθω μου καί πυρακττούσθω μου πάν μέλος, ανεβόας Ένδοξε, ελευθερίαν ζητώ, καταδουλούσαν Χριστώ.

Αποσκοπών τήν μένουσαν ζωήν, Μακάριε, κόσμω ενεκρώθης αληθώς, καί ως χρυσός τών αικισμών δοκιμασία, πυρωθείς εξέλαμψας, αποτεθείς θησαυροίς επουρανίων μονών.

Θεοτοκίον

Καθαρωτάτην μόνην σε ευρών, πανάμωμε, Λόγος καθαρώτατος Θεού, σού εκ γαστρός αποτεχθείς, πιστούς καθαίρει, μολυσμού Θεόνυμφε, προσγενομένου ημίν, εξ ακρασίας παθών.

Άλλος

Οι Παίδες εν Βαβυλώνι

Τυράννων ήλεγξας θράσος, καί Βασιλέων ωμότητα, καί γάρ μέσον πυρός ηπλωμένος, Παμμάκαρ ανέμελπες, Ευλογητός εί Κύριε, ο Θεός τών Πατέρων ημών.

Εξέστησαν καθορώντες, τά τών, Α γγέλων στρατεύματα, Ιεράρχα τήν σήν καρτερίαν, δι' ής καταβέβληκας, στερρώς αγωνιζόμενος, τόν δεινόν κοσμοκράτορα.

Μαρτύρων χοροστασίαι, Αρχιερέων σύλλογος, καί Αγγέλων πληθύς, ευφροσύνης πλησθέντες αγάλλεσθε, επί τή θεία μνήμη νύν, τού Ιεράρχου καί Μάρτυρος.

Αγίας ρίζης ως άνθους, ελευθερίας φερώνυμε, από θείας Μητρός, εκβλαστήσας, ως καρπός ιερώτατος, μαρτυρικού δι' αίματος, τώ Χριστώ προσήνεξαι.

Θεοτοκίον

Αγίων Αγιωτέρα, επουρανίων δυνάμεων, ασυγκρίτως πασών ανεδείχθης, Μητροπάρθενε Δέσποινα, ως τόν Χριστόν κυήσασα, τόν Δεσπότην τής Κτίσεως.

Ωδή η'

«Όν φρίττουσιν Άγγελοι, καί πάσαι στρατιαί, ως Κτίστην καί Κύριον, υμνείτε Ιερείς, δοξάσατε Παίδες, ευλογείτε λαοί, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Αθλήσει ηνθήσατε, φυτά ως ευθαλή, βασάνοις κοσμούμενοι, Μαρτύρων καλλονή, καί νύν Παραδείσου άνθη ώφθητε, θείαν ευοσμίαν, εκπέμποντες ενθέως.

Ρανίσιν αιμάτων σου, τεχθέντος εξ αυτής, τό αίμα τό ίδιον, η μήτηρ προσκιρνά, τώ σώ γάρ λειψάνω συμπλακείσα σεμνώς, ξίφει τελειούται, καί ζήεις τούς αιώνας.

Ιάσεων νάματα, θαυμάτων ποταμούς, προχέει τοίς χρήζουσιν, η θήκη σου σοφέ, εκπλύνοντας ρύπον, ψυχοφθόρων παθών, Μάρτυς ιεράρχα, διό σε ευφημούμεν.

Θεοτοκίον

Ως όμβρος εν μήτρα σου, κατήλθεν ο Χριστός, καί πάσαν κατήρδευσε, τήν κτίσιν αληθώς, ξηράνας Παρθένε, θολερούς ποταμούς, ειδωλομανίας, ο μόνος ευεργέτης.

Άλλος

Εκ φλογός τοίς Οσίοις

Ως δεκτόν ιερείον ολοκαυτούμενον, τώ πυρί τών βασάνων, Πάτερ αοίδιμε, θείαν ως οσμήν, πρός ύψος τό ουράνιον, τήν ευχαριστίαν, ανέμελπες ενθέως.

Πεποιθώς ώσπερ λέων ανόμους ήλεγξας, καί πολλή παρρησία στόματα έφραξας, τών εις τόν Θεόν, τών απάντων καί Κύριον, πάλαι δυσφημούντων, εχθρών αθεωτάτων.

Ανυψών Ιεράρχα Πιστών τό φρόνημα, εταπείνωσας θράσος καί καταβέβληκας, τών εις τόν Θεόν, ασεβούντων καί έμελπες, Σέ υπερυψούμεν, Χριστέ εις τούς αιώνας.

Θεοτοκίον

Ο καρπός τής κοιλίας τής σής πανύμνητε, τήν τού ξύλου κατάραν υλομανήσασαν, πρόρριζον εξήρανε, καί ανεβλαστησε, τήν τής ευφροσύνης,

Παρθένε ευλογίαν.

Ο Ειρμός

«Εκ φλογός τοίς Οσίοις δρόσον επήγασας, καί Δικαίου θυσίαν ύδατι έφλεξας, άπαντα γάρ δράς Χριστέ, μόνω τώ βούλεσθαι, Σέ υπερυψούμεν, εις πάντας τούς αιώνας».

Ωδή θ'

«Τήν ζωοδόχον πηγήν τήν αέναον, τήν φωτοφόρον λυχνίαν τήν πάγχρυσον, τόν ναόν τόν έμψυχον, τήν σκηνήν τήν άχραντον, τού ουρανού καί τής γής τήν πλατυτέραν, τήν Θεοτόκον εν ύμνοις τιμήσωμεν».

Στόμα Θεού γεγονώς εκ τού στόματος, τού αλλοτρίου λαόν ματαιόφρονα, αφαρπάσας έδειξας κληρονόμον χάριτος, καί εναθλήσας στερρώς σύν ιερεύσι, καί αθληταίς κατοικείς Ελευθέριε.

Η καθαρά μυροθήκη τού Πνεύματος, τών αρετών τό τερπνόν καταγώγιον, ο αμνός ο άκακος, ο λαμπτήρ ο άδυτος, ιεραρχών η κρηπίς καί τών δογμάτων, ανευφημείσθω πιστώς Ελευθέριος.

Φώς κατοικείς αληθώς τό ανέσπερον, φώς χρηματίσας ηλίου φαιδρότερον, διό τούς τήν μνήμην σου, τήν φωσφόρον σήμερον, επιτελούντας παθών αχλύος ρύσαι, ταίς πρός Θεόν σου λιταίς Ελευθέριε.

Θεοτοκίον

Φείσαι ημών τών υμνούντων σου Κύριε, τήν εκ Παρθένου ανέκφραστον Γέννησιν, πειρασμών ρυόμενος, καί παθών καί θλίψεων, ταίς ικεσίαις αυτής τούς σούς οικέτας ως ευεργέτης καί μόνος φιλάνθρωπος.

Άλλος

Θεόν ανθρώποις

Τεμών μαχαίρα τών θείων λόγων σου, τήν κεφαλήν τού ψεύδους Ελευθέριε Όσιε, τού Χριστού παρέσχες τά νικητήρια, πίστει καί αληθεία, όθεν τιμώμέν σε, ως τροπαιοφόρον οι πιστοί, καί θείον κήρυκα.

Εκ γής απάρας σοφέ τό φρόνημα, τό τής ψυχής πρός μόνην τού Δεσπότου τήν έφεσιν, τούτο νοητώς Πάτερ ανύψωσας, όθεν σαρκός ηρνήσω, πάσαν ευπάθειαν, καί εγκαρτερών εν τοίς δεινοίς, στερρώς ενήθλησας.

Ροαίς αιμάτων τής σής αθλήσεως, τήν ιεράν κοσμήσας σου στολήν Ιερώτατε, εις επουράνιον σκηνήν τού Χριστού, μετά τέλος εισέδυς τού μαρτυρίου σου, ένθα μνημονεύοις καί ημών, τών ευφημούντων σε.

Θεοτοκίον

Υμνείν τόν τρόπον τόν υπερθαύμαστον, τής υπέρ νούν καί ξένης σου κυήσεως Πάναγνε, απορεί ανθρώπων τά συστήματα, πάντα γάρ υπερέχει νούν καί διάνοιαν, καί νοήσεις πάντων λογισμών, καί τήν τών λόγων ισχύν.

O Ειρμός

«Θεόν ανθρώποις ιδείν αδύνατον, όν ου τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ Πάναγνε, ωράθη βροτοίς, Λόγος σεσαρκωμένος, όν μεγαλύνοντες, σύν ταίς ουρανίαις στρατιαίς σε μεγαλύνομεν».

Εξαποστειλάριον

O ουρανόν τοίς άστροις

Χριστώ προσήγαγες Πάτερ, πιστών αγέλας ως ποιμήν, σοί δέ προσφύσα τώ μόσχω, ως δάμαλις η τεκούσα, συνανηρέθη, μεθ' ής σε, νύν Ελευθέριε μέλπω.

Θεοτοκίον, όμοιον

Καί σέ μεσίτριαν Κόρη, προβάλλομαι Παναγία, πρός τόν εκ σού γεννηθέντα, όπως κολάσεως πάσης, απαλλαγώ καί βασάνων, τών αιωνίων ο τάλας.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν στιχηρά Προσόμοια.

Ήχος πλ. β'

Τριήμερος ανέστης Χριστέ

Τήν χάριν τών σοφών Μαθητών, λαβών παρά Χριστού τού Θεού, Ιεράρχα, καί τόν δρόμον τόν αυτών, διήνυσας προθύμως, διό σε καταξίαν, ανευφημούμεν Ελευθέριε.

Τό ψεύδος σοίς εν λόγοις σοφέ, ελέγξας Ελευθέριε, τή αθλήσει, τόν τού ψεύδους ευρετήν, απέκτεινας καί τούτον, τέθεικας υπό πόδας, τόν πρίν μεγάλως φρυαττόμενον.

Τοίς όμβροις τών αιμάτων σου, κατάρδευσον η μάς νοητώς, Ιεράρχα, τούς τιμώντάς σε πιστώς, καί μνήμην εκτελούντας, τήν θείαν σου εκ πόθου, καί τόν Σωτήρα μεγαλύνοντας.

Δόξα... Ήχος β'

Ως τής θείας ελευθερίας επώνυμος, τής ιεράς διπλοΐδος, Πάτερ κατηξίωσαι, καί ευθαρσώς τήν ευσέβειαν διδάσκων, τών πρακτέων τούς λόγους ημάς εξεπαίδευσας, Όθεν καί τήν μαρτυρικήν ένστασιν νεανικώς εκτελέσας, εν αμφοτέροις διέπρεψας, καί διπλούν είληφας τό στέφος παρά Χριστού τού Θεού, όν καθικέτευε, Ιερομάρτυς Ελευθέριε, σωθήναι τάς ψυχάς ήμών.

Καί νύν... Θεοτοκίον

Τήν πάσαν ελπίδα μου εις σέ ανατίθημι, Μήτηρ τού Θεού, φύλαξόν με υπό τήν σκέπην σου.

Δοξολογία Μεγάλη

Εις Τήν Λειτουργίαν, Τυπικά καί εκ τών Κανόνων, Ωδή γ' καί ς' κλπ.

---

Αρχή

## ΤΗ ΙΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Προφήτου Αγγαίου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις το, Κύριε εκέκραξα, ιστώμεν στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'
Οί Μάρτυρές σου Κύριε

Σκήνωμα θείον Ένδοξε, καί ναός έμψυχος γεγενη μένος, βίου λαμπρότητι καί πολιτείας, άψυχον ήγειρας Ναόν, τόν πάλαι πεσόντα πανσεβάσμιε, τώ τής οικουμένης βασιλεύοντι, διό ταίς σαίς πρεσβείαις, αίτησαι πάσι δούναι, τό μέγα έλεος.

Σκεύος ώφθης τού Πνεύματος, τάς ουρανόθεν σοι χορηγουμένας, υποδεχόμενον φωτοχυσίας, καί λαμπηδόνων δεκτικόν, όθεν προφητεύεις τήν σωτήριον, πάσι τοίς ανθρώποις απολύτρωσιν, αυτόν ταίς σαίς πρεσβείαις, αίτησαι πάσι δούναι, τό μέγα έλεος.

Άιγλη τής θείας χάριτος, περιεχόμενος καί θεωρίας, καταξιούμενος καθαρωτέρας, καί ανεσπέρου φωτισμού, αναδεδειγμένος Μάκαρ έμπλεως, τούς σέ ανυμνούντας περιφρούρησον, αιτούμενος τόν μόνον, Κύριον πάσι δούναι, τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Οι λογισμοί ακάθαρτοι, τά χείλη δόλια, τά έργα δέ μου, εισί παμμίαρα, καί τί ποιήσω; πώς υπαντήσω τώ Κριτή; Δέσποινα Παρθένε καθικέτευε, τόν Υιόν καί πλάστην σου καί Κύριον, όπως εν μετανοία, δέξηταί μου τό πνεύμα, ως μόνος εύσπλαγχνος.

Η Σταυροθεοτοκίον

Ου φέρω τέκνον βλέπειν σε, τόν τήν εγρήγορσιν πάσι διδόντα, ξύλω υπνώσαντα, όπως τοίς πάλαι, εν παραβάσεως καρπώ, ύπνω ολεθρίω αφυπνώσασι, θείαν καί σωτήριον εγρήγορσιν, παράσχης, η Παρθένος, έλεγε θρηνωδούσα, ήν μεγαλύνομεν.

Καί τά λοιπά τού Εσπερινού, καί Απόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, οι Κανόνες τής Οκτωήχου, καί τού Προφήτου, ου η Ακροστιχίς.

Θεοσδότους υμνούμεν Αγγαίου λόγους. Θεοφάνους.

Ωδή α'  Ήχος βαρύς

«Τώ εκτινάξαντι Θεώ, τόν Φαραώ εν θαλάσση Ερυθρά, επινίκιον ωδήν

άσωμεν, ότι δεδόξασται».

Θεοειδέστατος Θεώ, παρεστηκώς ως Προφήτης αληθής, τών υμνούντων τήν σεπτήν μνήμην σου, Μάκαρ μνημόνευε.

Επί κρηπίδος ασφαλούς, τών αρετών σεαυτόν οικοδομών, ανατέθεικας ναόν έμψυχον, Θεομακάριστε.

Ό καθαρώτατός σου νούς, αεί Θεόν καθορών ως εφικτόν, τάς εκείθεν τηλαυγώς, χάριτας Μάκαρ απέστιλβεν.

Θεοτοκίον

Σέ τόν αμήτορα τό πρίν, Λόγον Θεού η Παρθένος, εν γαστρί συλλαβούσα, σαρκικώς τέτοκεν Υιόν απάτορα.

Ωδή γ'

«Εστερεώθη τή πίστει, Χριστού η Εκκλησία, καί γάρ απαύστως, εν ύμνοις βοά μελωδούσα, άγιος εί Κύριε, ο σώζων τάς ψυχάς ημών».

Δυνάμει θεία δαιμόνων, δεινής αιχμαλωσίας, ημάς λυθέντας, ναούς σου σεπτούς Σώτερ δεικνύεις, Άγιος εί κράζοντας, ο σώζων τάς ψυχάς ημών.

Ο εν υψίστοις οικών, καί πληρών τήν οικουμένην, αγιωσύνης Προφήτα ναόν σε δεικνύει, Άγιος εί κράζοντα, ό σώζων τάς ψυχάς ημών.

Τό θείον Πνεύμα τό πάσι, τήν χάριν διανέμον, τήν σήν καρδίαν, οικήσαν βοάν σε εκδιδάσκει, Αγιος εί Κύριε, ο σώζων τάς ψυχάς ημών.

Θεοτοκίον

Ο λόγω πάσαν τήν κτίσιν, σοφώς δημιουργήσας, δημιουργείται εκ σού καθ' ημάς Θεομήτορ, άνθρωπος γενόμενος, δι' οίκτον ο φιλάνθρωπος.

Ο Ειρμός

«Εστερεώθη τή πίστει, Χριστού η Εκκλησία, καί γάρ απαύστως, εν ύμνοις βοά μελωδούσα, Άγιος εί Κύριε, ο σώζων τάς ψυχάς ημών».

Κάθισμα  Ήχος α'

Τόν τάφον σου Σωτήρ

Ο πάντα ως Θεός, εφορών καί γινώσκων, ψυχής τό καθαρόν, καταυγάσας σου όμμα, Προφήτα πανεύφημε, οδηγόν κόσμω έδειξεν, όθεν μνήμην σου, τήν ιεράν εκτελούντες, πρέσβυν άριστον, καί πρός Θεόν σε μεσίτην, Αγγαίε προσάγομεν.

Δόξα... Ήχος γ'

Θείας πίστεως

Θείω Πνεύματι πεφωτισμένην, τήν διάνοιαν έχων Προφήτα, τά τού Θεού προφητεύεις μυστήρια, ανακαλύπτων μελλόντων τήν δήλωσιν, καί σαφηνίζων πραγμάτων τήν έκβασιν, Αγγαίε πανόλβιε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Θεία γέγονας σκηνή τού Λόγου, μόνη Πάναγνε, Θεοκυήτορ, τή καθαρότητι Αγγέλους υπεράρασα, τόν υπέρ πάντας εμέ γούν γενόμενον, ρερυπωμένον σαρκός πλημμελήμασιν, αποκάθαρον, πρεσβειών σου ενθέοις νάμασι, παρέχουσα σεμνή τό μέγα έλεος.

Η Σταυροθεοτοκίον

Η αμίαντος Αμνάς τού Λόγου, η ακήρατος Παρθενομήτωρ, εν τώ Σταυρώ θεασαμένη κρεμάμενον, τόν εξ αυτής ανωδίνως βλαστήσαντα, μητροπρεπώς θρηνωδούσα εκραύγαζεν, Οίμοι τέκνον μου! πώς πάσχεις θέλων ρύσασθαι, παθών τής ατιμίας τόν άνθρωπον;

Ωδή δ'

«Ακήκοα τήν ακοήν σου Κύριε, ότι ώφθης επί γής, διά τό σώσαι ημάς, Διό βοώ σοι, Δόξα τή δυνάμει σου Κύριε».

Υπέδειξας, τόν εκ Παρθένου έμψυχον, προσληφθέντα σοι ναόν, τώ σώ Προφήτη Χριστέ, μεθ' ου βοώμεν, Δόξα τή δυνάμει σου Κύριε.

Συνήγαγες, τούς απωσμένους Κύριε, τής δουλείας τού εχθρού, ελευθερώσας ημάς, ως ό Προφήτης λέγει ο θεόληπτος.

Υπέφηνας, τήν εσομένην ύστερον, σωτηρίαν τών εθνών, τώ σώ προφήτη Χριστέ, τώ σοί βοώντι, Δόξα τή δυνάμει σου Κύριε.

Θεοτοκίον

Μετήγαγες, πρός ευλογίαν Δέσποινα, τήν κατάραν τού Αδάμ, ημίν τεκούσα Χριστόν, πρός όν βοώμεν, Δόξα τή δυνάμει σου Κύριε.

Ωδή ε'

«Πρός σέ ορθρίζω, τόν τού παντός Δημιουργόν, τήν υπερέχουσαν πάντα νούν ειρήνην, διότι φώς τά προστάγματά σου, εν οίς με καθοδήγησον».

Ναούς γενέσθαι, Θεού τού ζώντος, Μάκαρ αξίωσον, τούς τήν φωτοφόρον σου τελούντας εορτήν, επί πέτραν εδράσας, τών σών δογμάτων ταίς πρεσβείαις σου.

Ως ευεργέτης, τήν σήν ειρήνην δός ημίν Κύριε, τήν εις περιποίησιν ειρήνης τής ψυχής, ήν ο θείος Αγγαίος, Πνεύματι θείω προηγόρευσε.

Μεγάλη έσται, τής Εκκλησίας όντως η εύκλεια, υπέρ τήν προτέραν Ισραήλ συναγωγήν, σαρκωθέντος τού Λόγου, καί τοίς ανθρώποις ομιλήσαντος.

Θεοτοκίον

Ευλογημένη, δεδοξασμένη Μήτερ απείρανδρε, τήν νενεκρωμένην, αμαρτίαις μου ψυχήν, καί παθών κεχωσμένην, ταίς ακρασίαις ζωοποίησον.

Ωδή ς'

«Ο Ιωνάς εκ κοιλίας άδου εβόα, Ανάγαγε εκ φθοράς τήν ζωήν μου, ημείς δέ σοι βοώμεν, Παντοδύναμε Σωτήρ, ελέησον ημάς».

Νεανικώς τήν ευσέβειαν Μάκαρ διδάσκων, ανήγειρας τώ Δεσπότη τών όλων, Ναόν ηγιασμένον, αφθονίαν αγαθών υπισχνούμενος.

Ανήγαγες τής μακράς Σωτήρ αιχμαλωσίας, τόν άνθρωπον εκ βυθού κατωτάτου, καί πρός τήν άνω Πόλιν, επανήγαγες αυτόν ως Φιλανθρωπος.

Γηθόμενος τή τού Πνεύματος αίγλη Προφήτα, εθέσπισας τών πρακτέων τούς λόγους, καί τά τής ευσεβείας, εξεπαίδευσας ημάς δικαιώματα.

Θεοτοκίον

Γνώμη πεσών εξεβλήθη Αδάμ τού Παραδείσου, ο Λόγος δέ, σαρκωθείς εκ Παρθένου, τούτον ανακαλείται, καί πρός τήν άνω τρυφήν μετηγάγετο.

Ο Ειρμός

«Ο Ιωνάς εκ κοιλίας άδου εβόα, Ανάγαγε εκ φθοράς τήν ζωήν μου, ημείς δέ σοι βοώμεν, Παντοδύναμε Σωτήρ, ελέησον ημάς».

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ις' τού αυτού μηνός, Μνήμη τού Αγίου καί Ενδόξου Προφήτου Αγγαίου.

Στίχοι

- Αγγαίος, άγγος πλήρες ώφθη χαρίτων.
- Ως υλικόν δέ, τώ χρόνω συνετρίβη.
- Έκτη καί δεκάτη Αγγαίον γαία συνέσχεν.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Μαρίνου.

Στίχοι

- Κάραν Μαρίνος ευτρεπίζει τώ ξίφει,
- Ής ο στέφανος ευπρεπής εκ Κυρίου.

Τή αυτή ημέρα, Οι Άγιοι Πρόβος (ή Πρόμος) καί Ιλαρίων πυρί τελειούνται.

Στίχοι

- Χλόη τις η φλόξ εστιν, ειπόντος Πρόβου,
- Ιλάριος, Ναί, φησί φίλτατε Πρόβε.

Τή αυτή ημέρα, Μνήμη τού εν Αγίοις Πατρός ημών Μοδέστου, Αρχιεπισκόπου Ιεροσολύμων.

Στίχοι

- Φέρει, Μόδεστε παμμάκαρ, καί σόν τάφον,
- Η τόν τάφον φέρουσα γή τού Κυρίου.

Τά Εγκαίνια τού Ναού τού Αγίου Μάρτυρος Χριστοφόρου, πλησίον τού

Αγίου Πολυεύκτου.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας καί θαυματουργού θεοφανούς τής Βασιλίσσης, συζύγου γενομένης Λέοντος τού σοφωτάτου Βασιλέως.

Στίχοι

- Εγγύς Βασιλίς θεοφανώ Κυρίου,
- Ταίς αρεταίς έστηκεν εστιλβωμένη.

Μνήμη τών εν Αγίοις Πατέρων ημών Νικολάου πατριάρχου Κωνσταντινουπόλεως, καί Μέμνονος αρχιεπισκόπου Εφέσου.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον καί σώσον ημάς. Αμήν.

Ωδή ζ'

«Οι εν καμίνω τού πυρός, εμβληθέντες όσιοι Παίδες, τό πύρ εις δρόσον μετέβαλον, διά τής υμνωδίας ούτω βοώντες, Ευλογητός εί Κύριε, ό Θεός ο τών Πατέρων ημών».

Ανακαθάρας σου τόν νούν, υπεδέξω τάς λαμπηδόνας, σαφώς Προφήτα τού Πνευματος, εμφανώς προφητεύων καί ανακράζων, Ευλογητός εί Κύριε, ο Θεός τών Πατέρων ημών.

Ιερωτάτην σε ζωήν, μετιόντα τεθεαμένος, Θεός Προφήτην προβάλλεται, τής αυτού παρουσίας αναβοώντα, Ευλογητός εί Κύριε, ο Θεός τών Πατέρων ημών.

Θεοτοκίον

Ο εν καμίνω τού πυρός, τούς τρείς Παίδες σώσας Παρθένε, αυτός σκηνώσας εν μήτρα σου, τούς αυτώ πεποιθότας σώζει βοώντας, Ευλογημένος Πάναγνε, ο καρπός τής κοιλίας σου.

Ωδή η'

«Τόν μόνον άναρχον Βασιλέα τής δόξης, όν ευλογούσιν ουρανών αι δυνάμεις, καί φρίττουσι τών Αγγέλων αι τάξεις, υμνείτε Ιερείς, Λαός υπερυψούτε, αυτόν εις τούς αιώνας».

Υμνολογούμέν σε τόν τών όλων Δεσπότην, όν ο Προφήτης ό θεόπτης Αγγαίος, υπέδειξε προσκυνείν σε καί μέλπειν, Υμνείτε ιερείς, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Λόγον τόν άναρχον επ' εσχάτων τών χρόνων, επιφανήσεσθαι θεόπτα Προφήτα, προήγγειλας εμφανώς ανακράζων, Υμνείτε ιερείς, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Ο πρίν αθέατος καί αχώρητος φύσει, έν τή γαστρί σου χωρηθείς, εθεάθη Πανάχραντε, ώ εν πίστει βοώμεν, Υμνείτε ιερείς, λαός υπερυψούτε, Χριστόν

εις τούς αιώνας.

Ο Ειρμός

«Τον μόνον άναρχον Βασιλέα τής δόξης, όν ευλογούσιν ουρανών αι Δυνάμεις, καί φρίττουσι τών Αγγέλων αι τάξεις, Υμνείτε ιερείς, λαός υπερυψούτε, αυτόν εις τούς αιώνας».

Ωδή θ'

Πανύμνητε, τών ουρανών υψηλοτέρα, η τόν άναρχον Λόγον, ασπόρως συλλαβούσα, καί σεσαρκωμένον Θεόν, τεκούσα τοίς ανθρώποις, πιστοί πάντες σε αεί μεγαλύνομεν».

Γευσάμενος, τής υπέρ λόγον θεοπτίας, απεσείσω Προφήτα φροντίδας επιγείους, καί δεδοξασμένω Θεώ παρέστης επαξίως, διό πάντες σε πιστοί μακαρίζομεν.

Ο ένθεος, καί θαυμαστός σου Μάκαρ βίος, παραστάτην Θεού σε ανέδειξε θεόφρον, καί σύν ασωμάτων χοροίς ευφραίνη δι' αιώνος, διό πάντες σε πιστοί μακαρίζομεν.

Υπήρξέ σοι, ως ευσεβείας διδασκάλω, τώ Θεώ συγγενέσθαι, καί τούτου συγκραθήναι, τώ ακραιφνεστάτω φωτί, όν μάκαρ νύν δυσώπει, λυτρωθήναι πειρασμών τάς ψυχάς ημών.

Θεοτοκίον

Συ γέγονας, υπερφυώς Θεογεννήτορ, οικητήριον όντως, τού πάντων Βασιλέως, καί χρυσοειδής Κιβωτός, τόν Νόμου νομοθέτην, έχουσα Χριστόν σωματούμενον.

Ο Ειρμός

«Πανύμνητε, τών ουρανών υψηλοτέρα, η τόν άναρχον Λόγον ασπόρως συλλαβούσα, καί σεσαρκωμένον Θεόν, τεκούσα τοίς ανθρώποις, πιστοί πάντες σε αεί μεγαλύνομεν».

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΖ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Προφήτου Δανιήλ, καί τών Αγίων τριών Παίδων, Ανανίου, Αζαρίου, Μισαήλ, καί τού εν Αγίοις Πατρός ημών Διονυσίου τού νέου, Αρχιεπισκόπου Αιγίνης τού θαυματουργού, τού εκ τής νήσου Ζακύνθου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ι' καί ψάλλομεν Στιχηρά Προσόμοια τού Προφήτου.

Ήχος δ'

Ως γενναίον εν Μάρτυσιν

Ο λαμπρότατος ήλιος, Προφητών ο περίδοξος, ευφημείσθω σήμερον θείοις άσμασι, τών χαρισμάτων τού Πνεύματος, θείον ενδιαίτημα, η αείρυτος πηγή, η διόπτρα τού Πνεύματος, ο υπέρτιμος, καί πανάριστος στύλος τών δογμάτων, η κρηπίς τής οικουμένης, τό ακατάσειστον έρεισμα.

Ως αστέρα φανότατον, εωσφόρον ως μέγιστον, επιθυμιών τε άνδρα τιμώμέν σε, τών αρετών ταίς λαμπρότησι, φαιδρώς αποστίλβοντα, καί φωτίζοντα πιστών, τάς ψυχάς καί τά σώματα, καί βοώμέν σοι, Δανιήλ υποφήτα τόν Σωτήρα, εκδυσώπει τού σωθήναι, τούς ευσεβώς ανυμνούντάς σε.

Σού η γλώσσα ως κάλαμος, γραμματέως Πολύσοφε, οξυγράφου γέγονε ρητορεύουσα, νόμος Θεού γάρ εγκάρδιος, εν σοί πεπολίτευται, καί τό στόμα σου λαλούν, κρίσιν ένδικον δέδεικται, εν οίς ήσχυνας, παρανόμους πρεσβύτας καί Σωσάνναν, εκ θανάτου ελυτρώσω, τών Προφητών τό αγλάϊσμα.

Στιχηρά Προσόμοια τών Αγίων τριών Παίδων.

Ήχος ο αυτός

Έδωκας σημείωσιν

Νόμων αντεχόμενοι, τών θεοσδότων Πανόλβιοι, μιαραίς ουκ εχράνθητε, τροφαίς αλλ' ακήρατον, τής ψυχής τό κάλλος, διασεσωκότες, διετηρήσατε σαφώς, αδιαλώβητον καί αμάραντον, τό άνθος τό θαυμάσιον, καί τήν τερπνήν ωραιότητα, τού Δεσπότου δοξάζοντος, τούς αυτόν θεραπεύοντας.

Θείω πυρακτούμενοι, οι Νεανίαι πυρσεύματι, τού πυρός κατεφρόνησαν, εν ώ δροσιζόμενοι, οι σεπτοί χορείαν, εκλελαμπρυσμένην, διατυπώσαντες ωδήν, τήν πολυϋμνητον ήδον ψάλλοντες, τήν όντως αδιάδοχον, καί αμετάπτωτον πάνσοφοι, Βασιλείαν ποθήσαντες, τήν ουράνιον ένδοξοι.

Λόγον τής σοφίας σου, καταπλαγέντες οι Τύραννοι, Δανιήλ αξιάγαστε, καί Παίδων τήν σύνεσιν, τής Χαλδαίων χώρας, άρχειν καί δεσπόζειν, υμάς κατέστησαν Σεπτοί, τήν αρετήν γάρ οίδε σαφέστατα, θαυμάζειν καί πολέμιος, καί πολιτείας λαμπρότητα, τών παθών γάρ κρατήσαντες, ηγεμόνες γεγόνατε.

Τού Αγίου

Ότε, εκ τού ξύλου σε νεκρόν

Δεύτε, ο χορός Αιγινητών, μετά Ζακυνθίων συμφώνως, ημών τιμήσωμεν, γόνον ημείς έκλαμπρον, υμείς ποιμένα καλόν, καί σκιρτώντες εν πνεύματι, Θεώ δώμεν δόξαν, τώ καταξιώσαντι, άμφω πλουτήσαι λαμπράν, σκέπην τού κλεινού Ιεάρχου, νύν Διονυσίου καί τούτον, θείοις εγκωμίοις καταστέψωμεν.

Έφης, Παγκρατίω ιερεί, πτώσιν εκ χειρών θείου άρτου, ιερουργούντι ποτέ,

σφόδρα νουθετών αυτόν, θείοις προσέχειν καλώς, ο δέ άγαν εθαύμασε, πλουσίαν εξ ύψους, χάριν τήν δοθείσάν σοι, ανακαλύψεως, χάριν αρετών σου ενθέων, όθεν καί τού Πνεύματος όντως, σκεύός σε ηγήσατο θεόπνευστε.

Ότε, σού τό πνεύμα τό σεπτόν, άμεμπτον τώ κτίστη απέδως, πρός ουρανίους σκηνάς, τότε σου τό άγιον, σκήνος κατέλιπες, επί γής θαυματόβρυτον, καί νύν εν Ζακύνθω, θαυμαστώς απόκειται τώ θεοσέπτω Ναώ, αεί πολιτών προστατεύον, τούτων εκπληρούν τάς αιτήσεις, πάντοτε εν πάσιν, ωπανθαύμαστε.

Ώφθης, ηγουμένω Δανιήλ, οφθαλμοφανώς εν τεμένει, εκτός σής λάρνακος, πάντα αφελών αυτού, τόν δισταγμόν τής ψυχής, αυτοψεί γάρ εώρακε, θυτών λευκοφόρων, μέσον σε ιστάμενον καί διακόνων λαμπρών, οία λειτουργούντων σοι Μάκαρ, ως αρχιερεί εν τώ βίω, θεοπρεπεστάτω Διονύσιε.

Δόξα... Ήχος β' Ανατολίου

Πνευματικώς ημάς πιστοί συνήγαγε σήμερον, ο Προφήτης Δανιήλ, καί τράπεζαν προτίθησιν αρετών δαψιλώς, πλουσίοις καί πένησι, καί ξένοις καί αυτόχθοσι, καί κρατήρα νοητόν, προχέοντα νάμα ευσεβείας, καί ευφραίνοντα καρδίας πιστών, καί Πνεύματος Αγίου χάριν παρέχοντα, Ούτος γάρ ο προφήτης, ο φανότατος λύχνος, ο λάμψας εν τώ κόσμω, τά σεβάσματα πάντα τών Ασσυρίων καθείλε, καί θηρών ατιθάσων στόματα έφραξε, σύν τούτω καί οι τρείς Παίδες ευφημείσθωσαν, ού χρυσοί τή φύσει όντες, χρυσίου δέ δοκιμώτεροι δεικνύμενοι, ου γάρ εχώνευσεν αυτούς τό πύρ τής καμίνου, αλλ' εφύλαξεν ακεραίους, ούς νάφθα καί πίσσα καί κληματίδες έστεψαν, ο δέ αγαγων ημάς, εις τήν περίοδον τού χρόνου Κύριος, αξιώσαι ημάς φθάσαι, καί επί τήν κυρίαν, καί σεβασμίαν ημέραν τών γενεθλίων Χριστού, τού παρέχοντος ημίν ταίς αυτών ικεσίαις, ιλασμόν αμαρτιών, καί τό μέγα έλεος.

Ει βούλει, λέγε τό δοξαστικόν τού Αγίου.

Δόξα... Ήχος πλ. β'

Τού διδασκάλου Χριστού, εν Ευαγγελίω ακούσας λέγοντος, εν τούτω γνώσονται πάντες, ότι εμοί μαθηταί εστε, εάν αγάπην έχητε εν αλλήλοις, ευκαίρως τώ έργω μαθητής ανεδείχθης δόκιμος, αγιώτατε Πάτερ, τόν γάρ πικρώ θανάτω τού βίου στερήσαντα, Κωνσταντίνόν σου τόν γνήσιον σύγγονον, γλυκυτάτοις σου τρόποις υπεδέξω γλυκύθυμε, θυμού διωκόντων τόνδε ρυσάμενος, εν αποκρύφω τηρήσας, καί αντί θανάτου, τό ζήν ανταπέδωκας, έργον όντως παράδοξον, καί υπέρ φύσιν ειργάσω μνησίθεε, τοίς πέρασι πολυθρύλητον, καί ψυχής γενναίας καί φιλοθέου αντάξιον, διό παρρησίαν έχων πρός Κύριον, Ιεράρχα πανεύφημε, εκτενώς ικέτευε, ειρήνην πλουσίαν δωρηθήναι τή πόλει σου, τή αγλαοφανώς εκτελούση, τήν λαμπράν καί πανέορτον μνήμην σου.

Καί νύν... Προεόρτιον ο αυτός

Σπήλαιον ευτρεπίζου, η, Αμνάς γάρ ήκει, έμβρυον φέρουσα Χριστόν, Φάτνη δέ υποδέχου, τόν τώ λόγω λύσαντα, τής αλόγου πράξεως, ημάς τούς

γηγενείς, ποιμένες αγραυλούντες μαρτυρείτε θαύμα τό φρικτόν, καί Μάγοι εκ Περσίδος, χρυσόν καί λίβανον καί σμύρναν, τώ βασιλεί προσάξατε, ότι ώφθη Κύριος εκ Παρθένου μητρός, όνπερ καί κύψασα δουλικώς η Μήτηρ προσεκύνησε, καί προσεφθέγξατο τώ εν αγκάλαις αυτής, πώς ενεσπάρης μοι ή πώς μοι ενεφύης ο λυτρωτής μου καί Θεός.

Είσοδος, τό φώς ιλαρόν, τό προκείμενον τής ημέρας, καί τά αναγνώσματα.

Παροιμιών τό ανάγνωσμα
(Κεφ. 10, 7 & 3, 13-16 & εκλογή)

Μνήμη δικαίου μετ' εγκωμίων, καί ευλογία Κυρίου επί κεφαλήν αυτού. Μακάριος άνθρωπος ός εύρε σοφίαν, καί θνητός ός είδε φρόνησιν. Κρείσσον γάρ αυτήν εμπορεύεσθαι, ή χρυσίου καί αργυρίου θησαυρούς, τιμιωτέρα δέ εστι λίθων πολυτελών, ουκ αντιτάσσεται αυτή ουδέν πονηρόν, ευγνωστός εστι πάσι τοίς εγγίζουσιν αυτήν, πάν δέ τίμιον, ουκ άξιον αυτής εστιν, εκ γάρ τού στόματος αυτής εκπορεύεται δικαιοσύνη, νόμον δέ καί έλεον επί γλώσσης φορεί, τοιγαρούν ακούσατέ μου, ώ τέκνα, σεμνά γάρ ερώ, καί μακάριος άνθρωπος, ός τάς εμάς οδούς φυλάξει, αι γάρ έξοδοί μοι έξοδοι ζωής καί ετοιμάζεται θέλησις παρά Κυρίου. Διά τούτο παρακαλώ υμάς καί προϊεμαι εμήν φωνήν υιοίς ανθρώπων, ότι εγώ η σοφία κατεσκεύασα βουλήν καί γνώσιν καί έννοιαν εγώ επεκαλεσάμην, εμή βουλή καί ασφάλεια, εμή φρόνησις, εμή δέ ισχύς. Εγώ τούς εμέ φιλούντας αγαπώ, οι δέ εμέ ζητούντες ευρήσουσι χάριν καί δόξαν, νοήσατε τοίνυν άκακοι πανουργίαν, οι δέ απαίδευτοι ένθεσθε καρδίαν. Εισακούσατέ μου καί πάλιν, σεμνά γάρ ερώ, καί ανοίγω από χειλέων ορθά, ότι αλήθειαν μελετήσει ο λάρυγξ μου, εβδελυγμένα δέ εναντίον εμού χείλη ψευδή, μετά δικαιοσύνης πάντα τά ρήματα τού στόματός μου. Ουδέν εν αυτοίς σκολιόν ουδέ στραγγαλιώδες, πάντα ευθέα εστί τοίς νοούσι, καί ορθά τοίς ευρίσκουσι γνώσιν, διδάσκω γάρ υμίν αληθή, ϊνα γένηται εν Κυρίω η ελπίς υμών καί πλησθήσεσθε πνεύματος.

Παροιμιών τό ανάγνωσμα.
(Κεφ. 10, 31-32 & 11, 1-12)

Στόμα δικαίου αποστάζει σοφίαν, γλώσσα δέ αδίκου εξολείται, χείλη ανδρών δικαίων επίστανται χάριτας, στόμα δέ ασεβών καταστρέφεται, ζυγοί δόλιοι βδέλυγμα ενώπιον Κυρίου, στάθμιον δέ δίκαιον δεκτόν αυτώ. Ού εάν εισέλθη ύβρις, εκεί καί ατιμία, στόμα δέ ταπεινών μελετά σοφίαν, τελειότης ευθέων οδηγήσει αυτούς, καί υποσκελισμός αθετούντων προνομεύσει αυτούς, ουκ ωφελήσει υπάρχοντα εν ημέρα θυμού, δικαιοσύνη δέ ρύσεται από θανάτου. Αποθανών δίκαιος έλιπε μετάμελον, πρόχειρος δέ γίνεται καί επίχαρτος ασεβών απώλεια. Δικαιοσύνη αμώμου ορθοτομεί οδούς, ασέβεια δέ περιπίπτει αδικία. Δικαιοσύνη ανδρών ορθών ρύσεται αυτούς, τή δέ αβουλία αλίσκονται παράνομοι. Τελευτήσαντος ανδρός δικαίου ουκ όλυται ελπίς, τό δέ καύχημα τών ασεβών όλλυται. Δίκαιος έκ θύρας εκδύνει, αντ' αυτού παραδίδοται ο ασεβής, εν στόματι ασεβών παγίς πολίταις, αίσθησις δέ

δικαίων εύοδος. Εν αγαθοίς δικαίων κατώρθωται πόλις, καί έν απωλεία ασεβών αγαλλίαμα. Εν ευλογία ευθέων υψωθήσεται πόλις, στόματι δέ ασεβών κατασκαφήσεται. Μυκτηρίζει πολίτας ενδεής φρενών, ανήρ δέ φρόνιμος ησυχίαν άγει.

Σοφίας Σολομώντος τό ανάγνωσμα.
(Κεφ. 4, 7-15)

Δίκαιος εάν φθάση τελευτήσαι, εν αναπαύσει έσται, γήρας γάρ τίμιον ου τό πολυχρόνιον, ουδέ αριθμώ ετών μεμέτρηται. Πολιά δέ έστι φρόνησις ανθρώποις, καί ηλικία γήρως, βίος ακηλίδωτος, ευάρεστος Θεώ γενόμενος ηγαπήθη, καί ζών μεταξύ αμαρτωλών μετετέθη, ηρπάγη μή κακία αλλάξη σύνεσιν αυτού, ή δόλος απατήση ψυχήν αυτού, βασκανία γάρ φαυλότητος αμαυροί τά καλά, καί ρεμβασμός επιθυμίας, μεταλλεύει νούν άκακον, τελειωθείς εν ολίγω, επλήρωσε χρόνους μακρούς, αρεστή γάρ ήν Κυρίω η ψυχή αυτού, διά τούτο έσπευσεν εκ μέσου πονηρίας, οι δέ λαοί ιδόντες καί μή νοήσαντες, μηδέ θέντες επί διανοία το τοιούτον, ότι χάρις καί έλεος εν τοίς οσίοις αυτού, καί επισκοπή εν τοίς εκλεκτοίς αυτού.

Εις τήν λιτήν ψάλλομεν στιχηρά Ιδιόμελα.

Ήχος α'

Τώ ματαιόφρονι βίω αποταξάμενος, τού πολυπλάνου κόσμου έξω εγένου θεόληπτε, καί απλέτω πό θωτώ Χριστώ ηκολούθησας, όπου γάρ Θεός ο ποθούμενος, Κόσμος όλος καταπεφρόνηται, διό ερημικώς τόν βίον άγειν ηρέτισας, καί εν σώματι ως ασώματος πολιτεύεσθαι, ημίν δέ αστήρ νεοφανής τυγχάνεις, μαργαρυγαίς ευσεβείας διαλάμπων, καί ψυχάς τών πιστώς σε υμνούντων, φωτίζων εν πνεύματι αξιύμνητε.

Ήχος β'

Άρσενος άμοιρος γυνή, τυχείν ποθούσα, ευσεβώς σού εδέετο, ής τής δεήσεως επακούσας, σαφώς εν Οράματι υπέσχου τά καταθύμια, εύελπιν εργασάμενος, διό περιχαρής γενομένη, καί συλλαβούσα ταχύ, άρσεν χαρίεν κατ' έφεσιν, εν χάριτι τέτοκεν, όθεν ευχαρίστως ανύμνησε, καί τήν σήν πρός Θεόν παρρησίαν, παρρησία εκήρυξεν, Ιεράρχα παμμακάριστε.

Ήχος γ'

Πάθει αποπληξίας ποτέ, γυνή τις άλλη εκ τών οικείων σου Όσιε, περιπεσούσα δεινώ, δι' ού άλαλος μείνασα, ημιθανής καί ακίνητος, τή μόνη αφή τού τιμίου δακτύλου εκ τής αγίας σου σορού, επί τού στόματος αυτής, καί τών ναρκωμένων μελών, τήν λαλιάν αυτίκα, ώ τού θαύματος, σύν τή τελεία ρώσει ανέλαβε, καί τό θαύμα κηρύξασα, τόν σέ μεγαλύναντα Κύριον εμεγάλυνεν, όν εκτενώς ικέτευε, θαυματουργέ Διονύσιε, υπέρ τών πίστει θαυμαζόντων, καί ευφημούντων, τά αξιάγαστά σου θαυματουργήματα.

Δόξα... Ήχος πλ. α'

Εις αρετών ακρώρειαν ανενεχθείς, πολλών ηξιώθης παρά Θεού χαρισμάτων, Πάτερ όσιε, ανθ' ών καί εκ πολλού τεθνηκυίαν αφορισμώ δεσμευθείσαν αλύτω, προσευχή εκτενεί σου διέλυσας, καί τό πτώμα κατέλυσας, θράσος

αλιέων δυσπίστων, παραδόξου άγρας κατεύνασας θαύματι, ποταμού ρούν κατέστειλας, καί αβρόχως διώδευσας, υετός καθ' οδόν επανελθών, ουδαμώς τήν εσθήτά σου ίκμασε, τό διά λήθης πρεσβυτέρου παράπτωμα, νουθετικώς απεκάλυψας, Πολλά σου τά εν βίω τεράστια, πυκνά τά μετά θάνατον θαύματα, διό αιτούμέν σε θαυματοφόρε Διονύσιε, μή διαλίπης δυσωπών τόν ευδιάλλακτον Θεόν, εκ δεξιών παραστήσαι, τούς ειλικρινώς ευφημούντάς σε, εν τή ημέρα τής κρίσεως.

Καί νύν... ο αυτός Προεόρτιον

Μή στύγναζε Ιωσήφ, καθορών μου τήν νηδύν, όψει γάρ τό τικτόμενον έξ εμού, καί χαρήση, καί ως Θεόν προσκυνήσεις, η Θεοτόκος έλεγε, τώ εαυτής μνηστήρι, μολούσα τού τεκείν τόν Χριστόν, Ταύτην ανυμνήσωμεν λέγοντες, Χαίρε κεχαριτωμένη, μετά σού ο Κύριος, καί δια σού μεθ' ημών.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος δ'

Ως γενναίον εν Μάρτυσιν

Δανιήλ ο θαυμάσιος, τήν καρδίαν κτησάμενος, καθαρόν τού Πνεύματος καταγώγιον, καί παρ' αυτού φωτιζόμενος, μελλόντων τήν δήλωσιν, προθεσπίζει προφανώς, προφητείας λαμπρότησι, καλλυνόμενος, καί τρανώς σαφηνίζων τών κρατούντων, παρανόμων Βασιλέων, τά κεκρυμμένα ενύπνια.

Στίχ. Θαυμαστός ο Θεός εν τοίς Αγίοις αυτού.

Προστομώσας τό σώμά σου, τή νηστεία αδάμαστον, τών λεόντων στόμασιν απετέλεσας, μέσον γάρ τούτων ιστάμενος, Προφήτα θεσπέσιε, καί Θεώ τώ αγαθώ, ατενίζων διέμεινας, απαράτρωτος, απορρήτω δυνάμει τού τά πάντα, ενεργούντος παραδόξως, τού Λυτρωτού τών ψυχών ημών.

Στίχ. Τοίς Αγίοις τοίς εν τή γή αυτού.

Επί θρόνου καθήμενον, καί Αγγέλοις κυκλούμενον, τόν υπέρ κατάληψιν εθεώρησας, κριτήν υπάρχοντα δίκαιον, Προφήτα θαυμάσιε, εκπλαγείς δέ τό φρικτόν, τής εμφόβου οράσεως διεσήμανας, τοίς μετέπειτα πάσιν υπογράψας, τήν δευτέραν παρουσίαν, τού σαρκωθέντος Θεού ημών.

Καί τού Αγίου δύο.

Ήχος πλ. α'

Χαίροις ασκητικών αληθώς

Άνθος εκ γής Ζακύνθου τερπνόν, αναβλαστήσαν, ευωδίας τής χάριτος, εκχέει τάς μυριπνόους, ταίς διανοίαις πιστών, ο κλεινός πατέρων Διονύσιος, Πηγή, τε αένασος, τών ιάσεων πέφυκε, πέλαγος θείον, τών θαυμάτων ακένωτον, Εκκλησίας δέ, ο φωστήρ ο λαμπρότατος, φέγγος φαίνον τό άδυτον, τοίς πέρασι σήμερον, εν τή λαμπρά αυτού μνήμη, ήν εκτελούντες δοξάζομεν,

Χριστόν τόν Σωτήρα, τόν δοξάζοντα τούς τούτον, θερμώς δοξάζοντας.

Στίχ. Τίμιος εναντίον Κυρίου ο θάνατος.

Έστερξας συμπαθώς σπλαγχνισθείς, τόν μιαιφόνον σού ομαίμονος δέξασθαι, καί τούτον δή εισοικίσας, μετά αδόλου στοργής, μυχοίς ενδοτάτοις εγκατέκρυψας, χειρών εκρυόμενος, τών ζητούντων τόν άνθρωπον, δεινώς σπαράξαι, απηνή αλιτήριον, εν οικήματι, ώ κατώκεις πανόλβιε, τούτο δέ όλον έπραξας, πληρώσαι βουλόμενος, τήν εντολήν τού Δεσπότου, κακοποιούντας κελεύοντος, φιλείν ολοψύχως, καί πολλήν αμνησικάκοις, χάριν παρέχοντος.

Δόξα... Τών Αγίων Παίδων

Ήχος πλ. β'

Εν ψυχή συντετριμμένη, καί πνεύματι ταπεινώσεως, έν μέσω τής καμίνου τού πυρός, τόν παγκόσμιον ύμνον εμελωδήσατε, Παίδες τρισόλβιοι, καί τής φωνής υμών εισήκουσεν, ο ών εγγύς Κύριος, τοίς συντετριμμένοις τήν καρδίαν, καί τούς ταπεινούς τώ πνεύματι σώζων, καί διατηρήσας ασινείς, προσεδέξατο υμάς, ως θυσίαν καθαράν, Διό απόγονοι Αβραάμ τυγχάνοντες, παίδες Θεού γενέσθαι ηξιώθητε, Παρρησίαν ούν έχοντες πρός αυτόν, εκτενώς πρεσβεύσατε, υπέρ τών ψυχών ημών.

Ει βούλει, λέγε τό τού Αγίου.

Δόξα... Ήχος πλ. δ'

Τών κλεινών προπατόρων τάς αρετάς εμιμήσω κατ' ίχνος θεσπέσιε, Αβραάμ τό φιλόξενον, Ιακώβ τε τό άκακον, καί Ιώβ τό άμεμπτον, Μωϋσέως τό άπλαστον, καί Δαυϊδ βασιλέως τό πράον, τό συμπαθές καί φιλόστοργον, διό Χριστός καί ζώντα καί μεταστάντα σε, θεοσημείαις καί τέρασιν, αφθόνως εδόξασε, καί τή σεπτή Εκκλησία, ως αρετών ενθέων κειμήλιον παρέθετο. Εν ή εστώτες ψαλμικώς βοώμέν σοι, τήν πόλιν σου τήν ενεγκούσαν, καί πάσαν αλλοδαπήν ορθοδόξων, ταίς πρός Θεόν σου πρεσβείαις, άγιε διαφύλαττε.

Καί νύν... ο αυτός

Προεόρτιον

Υπόδεξαι Βηθλεέμ, τήν τού Θεού μητρόπολιν, φώς γάρ τό άδυτον επί σέ γεννήσαι ήκει, Άγγελοι θαυμάσατε εν ουρανώ, άνθρωποι δοξάσατε επί τής γής, μάγοι εκ Περσίδος, τό τρισόκλεον δώρον προσκομίσατε, ποιμένες αγραυλούντες, τόν τρισάγιον ύμνον μελωδήσατε, πάσα πνοή αινεσάτω τόν Παντουργέτην.

Απολυτίκιον τών Οσίων Παίδων

καί Προφήτου  Ήχος β'

Μεγάλα τά τής πίστεως κατορθώματα! εν τή πηγή τής φλογός, ως επί ύδατος αναπαύσεως, οι άγιοι τρείς παϊδες ηγάλλοντο, καί ο Προφήτης Δανιήλ, λεόντων ποιμήν, ως προβάτων εδείκνυτο, Ταίς αυτών ικεσίαις, Χριστέ ο Θεός, ελέησον ημάς.

Δόξα... τού Αγίου

Ήχος α'

Τής Ζακύνθου τόν γόνον καί Αιγίνης τόν πρόεδρον, τόν φρουρόν μονής τών Στροφάδων, Διονύσιον άπαντες, τιμήσωμεν συμφώνως οι πιστοί, βοώντες πρός αυτόν ειλικρινώς, σαίς λιταίς τούς τήν σήν μνήμην επιτελούντας σώζε καί βοβώντάς σοι, Δόξα τώ σέ δοξάσαντι Χριστώ, δόξα τώ σέ θαυμαστώσαντι, δόξα τώ δωρησαμένω σε ημίν, πρέσβυν ακοίμητον.

Καί νύν... Θεοτοκίον

(ένα από τά εξής)

Ήχος β'

Πάντα υπέρ έννοιαν, πάντα υπερένδοξα, τά σά Θεοτόκε Μυστήρια, τή αγνεία εσφραγισμένη, καί παρθενία φυλαττομένη, Μήτηρ εγνώσθης αψευδής, Θεόν τεκούσα αληθινόν, Αυτόν ικέτευε σωθήναι τάς ψυχάς ημών.

ή Ήχος α'

Τού Γαβριήλ φθεγξαμένου σοι Παρθένε τό χαίρε, σύν τή φωνή εσαρκούτο ο τών όλων Δεσπότης, εν σοί τή αγία κιβωτώ, ως έφη ο δίκαιος Δαυϊδ, εδείχθης πλατυτέρα τών ουρανών, βαστάσασα τόν Κτίστην σου, Δόξα τώ ενοικήσαντι εν σοί, δόξα τώ προελθόντι εκ σού, δόξα τώ ελευθερώσαντι ημάς, διά τού τόκου σου.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν πρώτην Στιχολογίαν.

Καθίσματα Ήχος α'

Τόν τάφον σου Σωτήρ

Αγάπης τώ δεσμώ, συντεθείς θεοφόρε, διέλυσας τρανώς, τήν κακίαν τής έχθρας, φονέα γάρ συγγόνου σου, πεφευγότα τή σκέπη σου, μή ειδότα σε, τόν αδελφόν αυτού είναι, δίκης έσωσας, επικειμένου θανάτου, καί σώον απέστειλας.

Δόξα... όμοιον

Ουκ έγνω τόν Θεόν, ός αγάπη υπάρχει, ο μή εχθρόν φιλών, ός πλησίον τυγχάνει, διόπερ καί επλήρωσας εντολήν θείαν Όσιε, καί τό έγκλημα, σού αδελφού φονοκτόνω, συνεχώρησας, κατά Θεόν ως οικτίρμων, Θεώ τ' ευηρέστησας.

Καί νύν... Θεοτοκίον

Μεγάλως ο Θεός, αγαπήσας τόν κόσμον, τόν Άγγελον βουλής, εαυτού τής μεγάλης, τώ κόσμω μέν απέστειλεν, εις αγάπης επίδειξιν, τόν Υιόν αυτού, εκ τής αγνής σαρκωθέντα, τεχθησόμενον, εν Βηθλεέμ τώ σπηλαίω, ταχύ όν δοξάσομεν.

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ

Προσενεχθείς από παιδός τώ Κυρίω, δι' αρετών σεβασμιώτατε Πάτερ, θυσία όντως γέγονας ευπρόσδεκτος Θεώ, Κλέος εχρημάτισας, τών οσίων τρισμάκαρ, θείον εγκαλλώπισμα ιερέων εφάνης, καί νύν πρεσβεύεις υπέρ ευσεβών, εορταζόντων εν πίστει τήν μνήμην σου.

Δόξα... Όμοιον

Οι τών Στροφάδων θεοφόροι Πατέρες, εν ταίς ανάγκαις αρωγόν σε καί ρύστην, καί ιατρόν πανάριστον γινώσκουσιν αεί, πάντων τά νοσήματα, θεραπεύοντα τάχει, νέφος τε ελαύνοντα, εξ αγρού τών ακρίδων, καί ουρανόθεν όμβρον αγαθόν, μάκαρ εκπέμποντα γή μεσιτεία σου.

Καί νύν... Θεοτοκίον

Ο δι' αγάπην πατρικής ευσπλαγχνίας, πρός ημάς πέμψας τόν Υιόν επ' εσχάτων, εκ τής πανάγνου άσπορον φορέσαντα εν γή, σάρκα τήν ανθρώπινον, ίνα ρύση τής πλάνης, πλάσμα τό ανθρώπινον, αυτός πάντας εν πίστει, καταξιώσαι γέννησιν υιού, τού προσκυνήσαι αξίως δεόμεθα.

Οι Αναβαθμοί

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί  Αντίφωνον Α'

- Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.
- Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον

Τό στόμα μου λαλήσει σοφίαν, καί η μελέτη τής καρδίας μου σύνεσιν.
Στίχ. Ακούσατε ταύτα πάντα τα έθνη.

Πάσα πνοή

Ευαγγέλιον κατά Ιωάννην

Ο μή εισερχόμενος διά τής θύρας...

Ο Ν'

Δόξα... Ταίς τού Ιεράρχου...
Καί νύν... Ταίς τής Θεοτόκου...

Στίχ. Ελεήμον, ελέησόν με, ο Θεός.

Καί τό Ιδιόμελον
Ήχος πλ. β'

Αγάλλεται σήμερον η Εκκλησία Χριστού, καί πανηγυρίζει φαιδρώς, καινόν Ιεράρχην ορώσα, εν αυτή μεγαλοπρεπώς εισαχθέντα, τόν σεπτόν Διονύσιον, ός αδιαλείπως πρεσβεύει υπέρ τών πίστει τιμώντων, τήν ιεράν αυτού κοίμησιν.

Σώσον ο Θεός τόν λαόν σου, καί τά εξής. Είτα οι Κανόνες.

Κανών τού Προφήτου ού ή Ακροστιχίς.

Σοφόν Δανιήλ άσμασι περιστέφω. Θεοφάνους.

Ωδή α' Ήχος πλ. δ'

«Άσμα αναπέμψωμεν λαοί, τώ θαυμαστώ Θεώ ημών, τώ απαλλάξαντι τόν Ισραήλ εκ δουλείας, ωδήν επινίκιον άδοντες καί βοώντες, Άσωμέν σοι τώ μόνω Δεσπότη».

Σώτερ ευεργέτα τού παντός, τών αγαθών ο αίτιος, τή φωτοφόρω σου, τήν έννοιάν μου αίγλη, φωτίζοις φιλάνθρωπε, όπως τού σού Προφήτου, ευφημήσω τήν ένδοξον μνήμην.

Όρθρος ως ανέτειλας σοφέ, τής σωφροσύνης σώφρονα, προκινδυνεύουσαν, Σωσάνναν διασώσας, Θεός γάρ σε ήγειρε, γνώστης ο τών κρυφίων, πρεσβυτέρους δεινούς κατακρίναι.

Φόβω στοιχειούμενοι Θεού, οι Αβραάμ απόγονοι, τροφήν παράνομον, απώσαντο γενναίως, καί θείω τρεφόμενοι, πόθω τής ευσεβείας, πρός μεγίστην επήρθησαν δόξαν.

Θεοτοκίον

Όρος εθεώρεις νοητόν, Δανιήλ ιερώτατε, τήν μόνην άχραντον αειπάρθενον Κόρην, εξ ής περ εκτέτμηται, λίθος ο ακρογωνιαίος, καί τήν πλάνην συνέτριψε πάσαν.

Έτερος Κανών τών Αγίων τριών Παίδων, ού η Ακροστιχίς.

Τρείς Παίδας υμνώ, Δανιήλ τε τόν μέγαν. Θεοφάνους.

Ωδή α'
Ήχος ο αυτός

«Υγράν διοδεύσας ωσεί ξηράν, καί τήν Αιγυπτίαν μοχθηρίαν διαφυγών, ο Ισραηλίτης ανεβόα, τώ Λυτρωτή καί Θεώ ημών άσωμεν».

Τόν άναρχον Λόγον τόν εκ Πατρός, πρό πάντων αιώνων, γεννηθέντα θεοπρεπώς, τόν εν τή καμίνω Νεανίαις, συμβολικώς οραθέντα δοξάσωμεν.

Ρημάτων τού τυράννου τού δυσσεβούς, οι ευγενείς Παίδες, καταπτύσαντες καρτερώς, τροφαίς παρανόμοις μιανθήναι, Χαλδαϊκώς ου κατηξίωσαν.

Ετρέφεσθε λόγω μέν ψυχικώς, τροφαίς αυτομάτοις, κεχρημένοι δέ σαρκικώς, τών αβροδιαίτων τάς ιδέας, τώ Βασιλεί ωραιότεροι δείκνυσθε.

Θεοτοκίον

Ιόν τόν τού όφεως ακοαίς, πικρώς εμπαρέντα, ταίς τής Εύας η εκ Δαυϊδ, βλαστήσασα Κόρη θεραπεύει, τόν Λυτρωτήν κυοφορήσασα.

## Ο Κανών τού Αγίου

### Ωδή α' Ήχος α' ο Ειρμός

Ωδήν επινίκιον

Νοός μου τήν ζόφωσιν φωτί τώ θείω, λαμπρύνας ικάνωσον, ευφημήσαι μέλλοντος, τήν θείαν μνήμην σου, σαίς Διονύσιε λιταίς, Αιγίνης πρόεδρε.

Ιδού συνευφραίνονται τοίς Ζακυνθίοις, Πατέρες σεβάσμιοι, τών Στροφάδων άπαντες, καί τής Αιγίνης λαός, επί τή μνήμη τού κοινού αυτών, προστάτου θερμού.

Κλεινών γεννητόρων μέν υιός εγένου, λαμπρών καί ενδόξων τε, αλλ' αυτός κατέλιπες ως νουνεχέστατος, πάσαν προσπάθειαν σοφέ, γηϊνης σχέσεως.

Θεοτοκίον

Οι Μάγοι σκοπούμενοι άστρον Περσόθεν, αυτώ εφεπόμενοι, ταχυδρόμως σπεύδουσιν, ευρείν τόν Άνακτα, όν εν Σπηλαίω σαρκικώς, τεκείν Παρθένος μολεί.

## Τού Προφήτου

### Ωδή γ'

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Νόησιν καί σύνεσιν, παρά Θεού λαβών έλυσας, φωτοφανώς, τά εσκιασμένα, τών κρατούντων ενύπνια.

Δράκοντα ενέκρωσας, διά τροφής βαλων Ένδοξε, τόν αισθητόν τούς πρίν αοράτους, ετροπώσω γάρ δαίμονας.

Αίγλη φωτιζόμενος, τό εμφανές, οράς Ένδοξε, Όρος Θεού, τήν Ευλογημένην, τό βροτών εγκαλλώπισμα.

## Τών Αγίων Παίδων

Ο αυτός

Σύνεσιν κτησάμενοι, τήν θεοδίδακτον Δέσποτα, Παίδες Δαυϊδ, Νόμους τούς πατρώους, θεοφρόνως ετήρησαν.

Πύρ ου κατεφλόγισε, τά καθαρώτατα σώματα, τών ευσεβών, διά γάρ νηστείας, ψυχοτρόφου ηρδεύοντο.

Αίνον τόν παγκόσμιον, καί πολυϋμνητον άδουσι, Παίδες οι τρείς, μέσον τής καμίνου, θαυμαστώς δροσιζόμενοι.

Θεοτοκίον

Ίνα τόκον Δέσποτα, εκ παρθενεύοντος σώματος, δείξης ημίν, σώζεις εν καμίνω, παρθενεύοντα σώματα.

Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Τού Αγίου  Ο Ειρμός

Στερεωθήτω η καρδία μου

Λαμπρύνας Πάτερ αισθητήρια, τής ψυχής σου ταύτην ετέλεσας, δοχείον θείων αρετών, καταγώγιον πνεύματος, καί εν σοί επανεπαύσατο, Χριστός ο Θεός ημών.

Ανεπιστρόφως τρίβον Όσιε, τήν στενήν καί λίαν επίπονον, βαδίσας έφθασας αυτό, ορεκτόν τό ακρότατον, καί πρός πλάτος Παραδείσου, κατοικείν εισελήλυθας.

Οτά κρυπτά γινώσκων Κύριος, καί νεφρούς ετάζων ως γέγραπται, προεγνωκώς γνώμης τής σής, τό ευθές καί ακέραιον, σέ Ποιμένα προχειρίζεται, Αιγίνης πανάριστον.

Θεοτοκίον

Υπερνικά ου μόνον βρότειον, αλλά καί νούν πάντα αγγελικόν, συγκαταβάσεως τής σής, Χριστέ βάθος τό άπειρον, Θεός γάρ ών σαρκα δούλου, έρχη νύν τού ενδύσασθαι.

Κοντάκιον τού Προφήτου

Ήχος γ'  Η Παρθένος σήμερον

Καθαρθείσα Πνεύματι, η καθαρά σου καρδία, προφητείας γέγονε, φαεινοτάτης δοχείον, βλέπεις γάρ ως ενεστώτα τά μακράν όντα, λέοντας, αποφιμοίς δέ βληθείς εν λάκκω, διά τούτό σε τιμώμεν, προφήτα Μάκαρ, Δανιήλ Ένδοξε.

Κάθισμα τού αυτού

Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Προφητείας τήν χάριν πεπλουτηκώς, τής Παρθένου τόν Τόκον σκιαγραφείς,

καί λύεις ονείρατα, τών κρατούντων σαφέστατα, εμβληθείς δέ λάκκω, ως Μάρτυς εδίδαξας, παραδόξως Μάκαρ, νηστεύειν τούς λέοντας, όθεν καταστρέψας, τών αθέων τό σέβας, τόν δράκοντα έκτεινας, αριστεύσας λαμπρότατα, Δανιήλ Αξιάγαστε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Κάθισμα τού Αγίου
Ήχος πλ. δ'
Τήν Σοφίαν καί Λόγον

Τήν αγήρω ποθήσας όντως ζωήν, καί γηϊνων τόν βίον μεμισηκώς, αγίων εζήλωσας, πολιτείαν τήν ένθεον, εκ νηπίου δέ ταύτα, συνέσει διέκρινας, καί σαρκός μέν τά πάθη νοϊ καθυπέταξας, όθεν καί τόν όλβον, σκυβαλίσας γονέων, απέβαλες όλβιε, Διονύσιε όσιε, καί Χριστώ ηκολούθησας, σπεύσον ούν πρεσβείαις πρός Θεόν, αιωνίου πάντας πυρός ρύσασθαι, τούς εορτάζοντας πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Τών τριών Παίδων

Τής Τριάδος εικόνα προφητικώς, εξ αϋλων χρωμάτων εν τή φλογί, οι Παίδες διέγραψαν, τώ καλάμω τής πίστεως, καί τήν τού Λόγου άκραν, εις γήν συγκατάβασιν, μυστικώς κατείδον, καί πάσιν εκήρυξαν, όθεν καί τήν δρόσον, ουρανόθεν λαβόντες, τού Πνεύματος βρύουσι, τοίς πιστοίς τά χαρίσματα, διά τούτο βοήσωμεν, Δώρησαι Χριστέ ο Θεός, τών πταισμάτων άφεσιν τοίς δούλοις σου, τοίς εορταζουσι πόθω, τήν αγίαν μνήμην αυτών.

Καί νύν... Θεοτοκίον

Χαίρε θρόνε πυρίμορφε τού Θεού, Χαίρε Κόρη Καθέδρα βασιλική, Κλίνη πορφυρόστρωτε, χρυσοπόρφυρε θάλαμε, Χλαμύς αλουργόχροε, τιμαλφέστατον Τέμενος, αστραπηφόρον Άρμα, Λυχνία πολύφωτε, Χαίρε Θεοτόκε, δωδεκάτειχε Πόλις, καί Πύλη χρυσήλατε, καί Παστάς αγλαόμορφε, αγλαόχρυσε Τράπεζα, θεοκόσμητον Σκήνωμα, Χαίρε Ένδοξε Νύμφη ηλιοστάλακτε, Χαίρε μόνη ψυχής μου ευπρέπεια.

Τού Προφήτου

Ωδή δ'

«Εξ όρους κατασκίου, Λόγε ο προφήτης, τής μόνης Θεοτόκου, μέλλοντος σαρκούσθαι, θεοπτικώς κατενόησε καί εν φόβω, εδοξολόγει σου τήν δύναμιν».

Νόμον ευσεβώς, φυλάξας ώ Προφήτα, τής όντως σοφίας, έγνως τόν δοτήρα, τά μυστικά σε διδάσκοντα καί βαθέα, καί τά εν σκότει σε φωτίζοντα.

Ιεράν ζωήν, βιώσας Θεοφάντορ, επιθυμιών, ανήρ προσηγορεύθης, αρρενωπώς γάρ τά πάθη καταπατήσας, πρός τήν αγήρω μετετέθης ζωήν.

Η ενοικούσα εν σοί, τού Παρακλήτου χάρις, Δανιήλ σε δεικνύει, όλον φωτοφόρον, καί νικητήν τών τυράννων καί Βασιλέων, καί τής σοφίας

καταγώγιον.

Θεοτοκίον

Λίθον σε χειρός, τμηθέντα άνευ Λόγε, Όρους προορά, Παρθένου Θεοτόκου, Δανιήλ ο προφήτης ανακραυγάζων, καί ανυμνών σου τήν θεότητα.

Τών Αγίων Παίδων

Εισακήκοα Κύριε

Δανιήλ ο σοφώτατος, ενθεαστικώς τόν νούν φωτιζόμενος, τά ενύπνια διέλυσε, τών Αυτοκρατόρων θεία χάριτι.

Απαστράπτει τοίς θαύμασιν, η εν τή καμίνω τών Παίδων Άθλησις, τόν γάρ τύραννον εζώγρησαν, πρός επίγνωσίν σου παντοδύναμε.

Συμφωνίας τά όργανα, καί τής μουσικής μέλη παναρμόνια, τούς γενναίους ου κατέθελξαν, καί χρυσή εικόνι ουχ υπέκυψαν.

Θεοτοκίον

Ύμνω δίαις πανύμνητε, οι εν Βαβυλώνι Παίδες γεραίρουσι, τόν Υιόν σου τόν υπέρθεον, όν εν τή καμίνω επεγίνωσκον.

Τού Αγίου  Ο Ειρμός

Εν Πνεύματι προβλέπων

Ιερεύσας Παμμάκαρ αδόλως τώ Θεώ, θύων τήν αναίμακτον θυσίαν ακραιφνώς, ψυχήν καθάρας, μελέτη συνεχεί νόμου, καί τής σαρκός δουλαγωγήσας τάς αισθήσεις, ώφθης οικητήριον πνεύματος.

Επήκουσεν ο Κύριος δεήσεως τής σής, καί γυναίκα θνήξασαν δεσμώ αφορισμού, ευχή σου ταύτην, διέλυσε εις κόνιν, Οστά τε άμα μετεποίησεν αθρόως, ώ ξενοπρεπούς θεωρήματος!

Ρητόρων ατονούσιν ευγλώττων αί φθογγαί, τής αμνησικάκου σου ψυχής τό ευγενές, εγκωμιάσαι, τόν κτείναντα γάρ αδίκως, τόν σύγγονόν σοι ουκ ημύνω, αλλά μάλλον τούτον φιλοφρόνως εισδέδεξαι.

Θεοτοκίον

Εξέστησαν ορώσαι αγγέλων στρατιαί, άνθρωπον γενόμενον τόν πάντων ποιητήν, ός μετ' ολίγον τεχθήσεται εν Σπηλαίω, υπό μητρός αειπαρθένου καί εν φάτνη, νήπιον καθάπερ οφθήσεται.

Τού Προφήτου

Ωδή ε'

«Ο εκ νυκτός αγνοίας, φαιδρύνας τά πέρατα, φώτισόν με τώ όρθρω τής φιλανθρωπίας σου Κύριε».

Αθλητικούς αγώνας, τής προφητείας φαιδρύνας κηρύγματι, λάμπεις δι'

αμφοτέρων, θείας επιπνοίας ανάπλεως.

Σοφός εδείχθης Μάκαρ, ταίς υπέρ νούν τής σοφίας ελλάμψεσι, μέγιστε θεορρήμον, Δανιήλ καί πάντας εφώτισας.

Θεοτοκίον

Μυσταγωγεί τούς τύπους, τής απορρήτου σαρκώσεως Άχραντε, τής εκ σού τού Υψίστου, Δανιήλ ο Προφήτης ο Ένδοξος.

Τών Αγίων Παίδων

Ίνα τί με απώσω

Μυηθέντες τόν Νόμον, Σώτερ ουκ ηρνήσαντο, οι σοί θεράποντες, Δανιήλ ο μέγας, σύν τρισί Νεανίαις θεόφροσιν, αλλ' ισχύν λαβόντες, τήν παρά σού τού ευεργέτου, τούς τυράννους ανδρείως ετρέψαντο.

Νοερώς εμυείτο, Δανιήλ φιλάνθρωπε, τά σά μυστήρια, επί γάρ νεφέλης, ως Υιόν σε ανθρώπου ερχόμενον, τών Εθνών απάντων, οία Κριτήν καί Βασιλέα, εθεώρει νοός καθαρότητι.

Ωραιώθη ώ Παίδες, υπέρ λίθον σάπφειρον, υμών τό σύνταγμα, ώς αυγή χρυσίου, ευσεβείας τώ ζήλω πυρσεύετε, εμπεριπατούντες, χαρμονικώς εν τή καμίνω, καί κροτούντες χορείαν τρισάριθμον.

Θεοτοκίον

Δανιήλ σε Παρθένε, Όρος προδιέγραφε σαφώς ο ένθεος, οι τριττοί δέ Παίδες, καθορώντες τήν φλόγα δροσίζουσαν, τόν σόν θείον τόκον, μελωδικώς ανευφημούσιν, ως Σωτήρα καί Κτίστην καί Κύριον.

Τού Αγίου  Ο Ειρμός

Τό φαεινόν

Ως Ισραήλ ο πάλαι τήν Ερυθράν, ούτω καί σύ διέβης Αοίδιμε, αβρόχοις ίχνεσι ποταμού ρεύμα, οίδε γάρ αιδείσθαί σε, καί φύσις αναίσθητος.

Σού υετός ουδόλως τετόλμηκε, Παμμάκαρ καθάψασθαι, χειμώνος πέλοντος σφοδρού, καί πάντες οι παρόντες έκθαμβοι, ορώντες εγένοντο.

Γεραίρειν σε ου παύσεται Ζάκυνθος, ως άγρυπνον υπάρχοντα φύλακα, τών οικητών αυτής πιστών, τρισμάκαρ, ους φρούρει δεήσεσι, ταίς σαίς Διονύσιε.

Θεοτοκίον

Αστήρ μηνύει μάγοις τόν Κύριον, Σπηλαίω νύν τεχθήναι ερχόμενον, υπό μητρός Παρθένου απειράνδρου, ού προεορτάζομεν, τήν ενσαρκον γέννησιν.

Τού Προφήτου

Ωδή ς'

«Ως τόν Προφήτην ερρύσω, εκ βυθού κατωτάτου Χριστέ ο Θεός, καμέ τών

πταισμάτων μου ρύσαι ως φιλάνθρωπος, καί κυβέρνησον τήν ζωήν μου δέομαι».

Αγγελικάς σύ χορείας, εν φωτί λαμπροτάτω Θεώμενος, μιμητής πανάριστος, τούτων εχρημάτισας, τού παντάνακτος, εντρυφών ελλάμψεσι.

Σωτηριώδη τού Λόγου, παρουσίαν μηνύων προήγγειλας, καί Ναού καθαίρεσιν, Νόμου τε τήν πλήρωσιν, καί τής χάριτος υπέρ νούν δωρήματα.

Θεοτοκίον

Ιδού Παρθένος εν μήτρα, εμφανώς συλλαμβάνει Χριστόν τόν Θεόν, ής περ τήν προτύπωσιν, ελλαμφθείς τώ Πνεύματι, προεώρακε Δανιήλ ο Ένδοξος.

Τών Αγίων Παίδων

Άβυσσος αμαρτιών

Άρξαντες τών ψυχικών, παθημάτων τή δυνάμει τού λόγου, χώρας Εθνών Χαλδαίων ηγεμόνες γεγόνατε, οίδε γάρ η αρετή, γέρα χαρίζεσθαι, κεκτημένοις, ώ τού Δαυίδ σοφοί απόγονοι.

Νέκρωσιν ο Δανιήλ, ζωηφόρον ενδυσάμενος, πάλαι τόν ως Θεόν Χαλδαίοις, δυσσεβώς νομιζόμενον, αναιρεί διά τροφής, δράκοντα κάκιστον, ιερείς τε τούς δυσμενείς, σοφώς απέκτεινε.

Θεοτοκίον

Ιλεών μοι τόν κριτήν, καί Υιόν σου Θεοτόκε Παρθένε, ταίς σαίς λιταίς γενέσθαι, εν ημέρα τής κρίσεως, λυτρωτήν τε τών δεινών, Μήτερ δυσώπησον, σοί γάρ μόνη, τά τής ελπίδος ανατίθημι.

Ο Ειρμός

«Άβυσσος αμαρτιών, καί πταισμάτων καταιγίς με ταράττει, καί πρός βυθόν βιαίως συνωθεί απογνώσεως, αλλά σύ τήν κραταιάν, χείρά μοι έκτεινον, ως τώ Πέτρω, καί εκ φθοράς με ανακάλεσαι».

Τού Αγίου Ο Ειρμός

Τόν Προφήτην Ιωνάν

Βεβαιούται ιερεύς, ο Παγκράτιος Σοφέ, μύστην ειναί σε Θεού, πεπτωκέναι γάρ αυτώ, σύ είρηκας, τόν θείον άρτον, ιερουργούντι ποτέ.

Ρωμαλέως τήν ισχύν, συμπατήσας τού δεινού, κοσμοκράτορος εν γή, νύν τρυφάς εν ουρανοίς, τά έπαθλα, τών σών αγώνων, Μάκαρ δρεπόμενος.

Ικετεύειν υπέρ σών, ευλαβών συμπολιτών, μή ελλίπης εκτενώς, Διονύσιε Χριστόν, τόν Κύριον, σέ γάρ προστάτην, πάντες κεκτήμεθα.

Θεοτοκίον

Η Παρθένος τού τεκείν, παραγίνεται σαρκί, εν Σπηλαίω Βηθλεέμ, τόν αχώρητον παντί, όν άγγελοι, μετά ποιμένων, δοξολογούσι.

Κοντάκιον

Ήχος πλ. β'  Αυτόμελον

Χειρόγραφον εικόνα μή σεβασθέντες, αλλ' αγράφω ουσία θωρακισθέντες, τρισμακάριοι εν τώ σκάμματι, τού πυρός εδοξάσθητε, εν μέσω δέ φλογός, ανυποστάτου ιστάμενοι, Θεόν επεκαλείσθε, Τάχυνον ο οικτίρμων, καί σπεύσον ως ελεήμων, εις τήν βοήθειαν ημών, ότι δύνασαι βουλόμενος.

Ο Οίκος

Εκτεινόν σου τήν χείρα, ής πάλαι έλαβον πείραν Αιγύπτιοι πολεμούντες, καί Εβραίοι πολεμούμενοι, μή καταλίπης ημάς, καί καταπίη ημάς θάνατος, ο διψών ημάς, καί Σατάν ο μισών ημάς, αλλ' έγγισον ημίν, καί φείσαι τών ψυχών ημών, ως εφείσω ποτέ τών Παίδων σου, τών εν Βαβυλώνι απαύστως ανυμνούντων σε, καί βληθέντων υπέρ σού εις τήν κάμινον, καί εκ ταύτης κραυγαζόντων σοι, Τάχυνον ο οικτίρμων, καί σπεύσον ως ελεήμων, εις τήν βοήθειαν ημών, ότι δύνασαι βουλόμενος.

Κοντάκιον

Τού Αγίου  Ήχος γ'

Η Παρθένος σήμερον

Εορτάζει σήμερον, τών Ζακυνθίων η πόλις, εορτήν χαρμόσυνον, σύν τή μονή τών Στροφάδων, Αίγιναν, τήν εν Κυκλάσι προσκαλουμένη, άσμασιν, αξιοχρέως συνευφημήσαι, καί φαιδρώς πανηγυρίσαι, τό κοινόν κλέος, νύν Διονύσιον.

Τού Αγίου  Ο Οίκος

Σιγησάτωσαν, ήδη σιγησάτωσαν οι μέχρι δεύρο σφαλερώς λέγοντες, μή είναι τή θεοσώστω Ζακύνθω τόν οικείον προστάτην, καί πρός Θεόν πρέσβυν θερμότατον, καθά καί εν πολλαίς τών επισήμων πόλεων καί χωρών ορθοδόξων. Ένεστι γάρ καί μάλα καλώς ο σεπτός εν Ιεράρχαις Διονύσιος, ο θαυμαστός Αιγίνης πρόεδρος, ταύτης δέ γόνος ευκλεής καί θρέμμα αξιέπαινον. Ουκέτι λοιπόν ζηλοί Ζάκυνθος η ευδαίμων Κεφαλληνίαν καί Κέρκυραν, τάς φίλας γείτονας, διά τό αυτάς μέγα σεμνήνεσθαι επί τοίς θείοις καί ιεροίς λειψάνοις Γερασίμου τε καί Σπυρίδωνος, αλλοδαποίς τυγχάνουσιν, αλλ' εκείνας μέν προσφιλώς συγκαλείται πρός φαιδράν πανήγυριν τού ιδίου αυτόχθονος, ώσπερ δή καί προσφόρως τήν εν Κυκλάσι προσφωνεί Αίγιναν, σύν τή πανσέπτω τών Στροφάδων Μονή, τή τό θείον καί ιερόν αυτού σκήνος ευτυχώς θησαυρισάση, τού αξίως ευφημήσαι καί φαιδρώς πανηγυρίσαι, τό κοινόν κλέος, νύν Διονύσιον.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΖ' τού αυτού μηνός, Μνήμη τών Αγίων τριών Παίδων, καί Δανιήλ τού Προφήτου.

Στίχοι

- Ύπαρ, Θεέ, βλέπει σε νύν επί θρόνου,
- Τμηθείς Δανιήλ, ουκ όναρ καθώς πάλαι.
- Εί μή θανείν τρείς Παίδες ήρων εκτόπως,
- Ως τού πυρός πρίν, ήρχον άν καί τού ξίφους.
- Εβδομάτη δεκάτη Δανιήλ τάμον, ός βλέπει μέλλον.

Τή αυτή ημέρα, Μνήμη τού εν Αγίοις Πατρός ημών Διονυσίου τού νέου, Αρχιεπισκόπου Αιγίνης, τού εκ τής νήσου Ζακύνθου.

Στίχοι

- Έχει μέν η γή σώμα Διονυσίου
- Νέου, Πόλος δέ τούδε τήν ψυχήν φέρει.
- Εβδομάτη δεκάτη θάνεν, Διονύσιος ο κλεινός.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων, Πατερμουθίου, Κόπρι καί Αλεξάνδρου, μαρτυρησάντων επί Ιουλιανού τού παραβάτου, Καί Μνήμη τού Οσίου καί αειμνήστου ομολογητού Δουναλέ, τού μετονομασθέντος Στεφάνου.

Στίχοι

- Στολαίς Στέφανος αρετών εστεμμένος,
- Λαμπρός τις ήκει πρός στεφάνους τούς άνω.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Ιάχκου.

Στίχοι

- Ίακχε, κρατύνθητι, καί τμηθείς κάραν,
- Τμηθείσαν εγγράφηθι, καί στέφου κάραν.

Ταίς αυτών αγίαις πρεσβείαις ο Θεός, ελέησον καί σώσον ημάς. Αμήν.

Τού Προφήτου

Ωδή ζ'

«Παίδες Εβραίων εν καμίνω, κατεπάτησαν τήν φλόγα θαρσαλέως, καί εις δρόσον τό πύρ μετέβαλον βοώντες, Ευλογητός εί Κύριε, ο Θεός είς τούς αιώνας».

Νόμω Προφήτα πεφραγμένος, ουκ ηνέσχου τού χρανθήναι παρανόμως, αλλ' ενθέως τόν νούν λαμπόμενος εβόας, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Πάντας εκπλήττει σου τό θαύμα, ως Προφήτη γάρ Προφήτης σοι παρέστη, μεταρσίως τροφήν, κομίζων σοι καί μέλπων, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Ένδον τού λάκκου καθειργμένος, καί τοίς λέουσι πρός βρώσιν τεθειμένος, διεσώθης Θεού, σκεπάσαντός σε Μάκαρ, Ευλογητός εί μέλποντα, ο Θεός εις τούς αιώνας.

Θεοτοκίον

Ρείθρα αφθόνως αναβλύζεις, ιαμάτων ώ Παρθένε Θεοτόκε, Δανιήλ γάρ τρανώς, εώρακέ σε Όρος, εξ ού Σωτήρ ανέτειλεν, ο Θεός εις τούς αιώνας.

Άλλος

Παίδες θεοσεβείς εν Βαβυλώνι

Ήχος θεοφιλής εμελωδείτο, εκ μέσου πυρός τώ Παντοκράτορι, Αζαρίας γάρ θείον χορόν συστησάμενος, τήν ωδήν σύν τούτοις ανέμελπεν, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Λύρα Νεανιών εθεολόγει, τόν πάντων Θεόν καί παντοκράτορα, τόν αυτοίς εν καμίνω τρανώς οπτανόμενον, καί ωδήν ανέμελπον λέγοντες, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Τρείς τούς εν τή καμίνω βεβλημένους, ειδώς ο κρατών ως εθεάσατο, τού τετάρτου τήν θέαν, Υιόν προηγόρευσε, τού Θεού καί πάσιν ετράνωσεν, Ευλογητός εκβοών, ο τών Πατέρων Θεός.

Θεοτοκίον

Έχων λελαμπρυσμένον θεία αίγλη, τόν νούν Δανιήλ Θεομακάριστε, τής Παρθένου τόν τόκον, σαφώς προτεθέασαι, μυστικαίς εικόσι μορφούμενον, Ευλογητός εκβοών, ο τών Πατέρων Θεός.

Τού Αγίου  Ο Ειρμός

Η κάμινος Σωτήρ εδροσίζετο

Λύει αυχμόν ταίς σαίς παρακλήσεσι, καί καρποφόρον ο Κύριος, εκπέμπει ουρανόθεν, παραδόξως τή τών Στροφάδων μονή.

Ου μόνον ζώντα μάκαρ σε Κύριος, αλλά καί μετά τέλος επλούτισε, θαύμασι παμποικίλοις, ως πιστόν αυτού θεράποντα.

Πληθύς η τών ακρίδων η φθείρουσα, Στροφάδων τής μονής τά γεννήματα, ευχή σου δραπετεύει, καί βυθώ καταποντίζεται.

Θεοτοκίον

Αι μάγοι τώ αστέρι επόμενοι, σύν δώροις Περσικοίς παραγίνονται, άνακτα προσκυνήσαι, τεχθησόμενον Παρθένω μητρί.

Τού Προφήτου

Ωδή η'

«Οι θεορρήμονες παίδες εν τή καμίνω, σύν τώ πυρί καί τήν πλάνην, καταπατούντες υπέψαλλον, Ευλογείτε τά έργα Κυρίου τόν Κύριον».

Ιεροφάντωρ εδείχθης ώ προφήτα, καί πρακτική θεωρία, τοίς ασωμάτοις συνέψαλλες, Ευλογείτε τά έργα Κυρίου τόν Κύριον.

Σέ παμμακάριστε πάντες ευφημούμεν, καί τή σεπτή πανηγύρει, σού γεγηθότες κραυγάζομεν, Ευλογείτε τά έργα Κυρίου τόν Κύριον.

Θεοτοκίον

Τήν υπερθαύμαστον Κόρην θεηγόρε, τυπικοίς εν συμβόλοις, κατανοήσας εκραύγαζες, Ευλογείτε τά έργα Κυρίου τόν Κύριον.

## Τών Αγίων Παίδων

### Επταπλασίως κάμινον

Τήν Αβραάμ ευγένειαν, διασώζειν σπουδάζοντες, τήν οικειοτάτην, πρός αυτόν εκτήσασθε, κρηπίδα τής πίστεως, καί τής ελπίδος όσιοι, καί υπομονήν, καί πειρασμών καρτερίαν, βοώντες ανενδότως, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Οι ως φωστήρες λάμποντες, καί τήν γήν ουρανώσαντες, καί τής ευσεβείας, φωτισμώ πυρσεύοντες, παγκόσμιον στήσαντες, χοροστασίαν άδουσι, σοί τώ ευεργέτη καί Δεσπότη τών όλων, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Νεανικώς οι σβέσαντες, επηρμένην τήν κάμινον, καί τάς τών λεόντων, ακωκάς πεδήσαντες, Δαυίδ οι απόγονοι, νύν γεγηθότες, ψάλλουσι, Τόν εκ πειρασμών, εκσεσωκότα Δεσπότην, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις παντας τούς αιώνας.

### Θεοτοκίον

Μυσταγωγείται Πάναγνε, Δανιήλ ο σοφώτατος, καί προζωγραφούσι, Παίδες τρείς τήν γέννησιν, τήν σήν οι θεόφρονες, διά συμβόλων βλέποντες, τόν εκ τής γαστρός σου, προελθόντα, αφράστως, όν Παίδες ευλογούσιν, Ιερείς ανυμνούσι, λαοί υπερυψούσιν, εις πάντας τούς αιώνας.

### Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν, εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, τόν Δημιουργόν καί Λυτρωτήν ανεβόα, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

### Τού Αγίου  Ο Ειρμός

### Όν φρίττουσιν Άγγελοι

Υμνούντές σε Άγιε ζεούση τή ψυχή, κινδύνων απάλλαξον παντοίων σαίς λιταίς, βραβεύων τοίς πάσιν εν τώ βίω τώ νύν, τά πρός σωτηρίαν, αιτήματα τρισμάκαρ.

Λευχείμονας θύτας μέν, εδόκει Δανιήλ, οράν παριστάναι σοι καθ' ύπαρ εναργώς, όθεν αδιστάκτω ωμολόγει φθογγή, άγιόν σε είναι, Διονύσιε μάκαρ.

Ορά εν οράματι σέ Πάτερ τις γυνή, αυτή τέξειν φάσκοντα, υιόν ως ευλαβώς ητήσατο, συλλαβούσα ταχύ, άρσεν τέκνον τίκτει, ως η επαγγελία.

### Θεοτοκίον

Υιόν μήτηρ άναδρος εγγίζει τού τεκείν, καί μάγοι πορεύονται, εκ χώρας τών Περσών, αυτόν προσκυνήσαι ως Θεόν τού παντός, εIκαί βροτωθέντα, όρώσιν εν σπηλαίω.

Τού Προφήτου

Ωδή θ'

«Κυρίως Θεοτόκον, σέ ομολογούμεν, οι διά σού σεσωσμένοι Παρθένε Αγνή, σύν Ασωμάτοις χορείαις, σέ μεγαλύνοντες».

Εδρέψω σου τών πόνων, τάς επικαρπίας, εν ουρανοίς σύν Προφήταις χορεύων αεί, περί τόν ύψιστον θρόνον, τού Παντοκράτορος.

Φωτί τώ τρισηλίω, νύν στεφανηφόρος, τών εφετών ακροτάτω παρίσταται, ταίς ασωμάτων χορείαις, συναγαλλομενος.

Θεοτοκίον

Ωραίόν σου τό κάλλος, ού νύν απολαύεις, τήν γάρ πανύμνητον Κόρην, Προφήτα σοφέ, διά συμβόλων μηνύειν, πάσαν ηξίωσαι.

Τών Αγίων Παίδων

Ο αυτός

Εφθάσατε τό τέλος, τό πεποθημένον, καί ορεκτών ακροτάτω παρέστητε, εν ουρανίοις θαλάμοις, Παίδες πανόλβιοι.

Γηθόμενοι τό δράγμα, τής μετά δακρύων, καλής υμών γεωργίας κομίζεσθε, τής αφθαρσίας τόν στάχυν, καρποφορήσαντες.

Ανέτειλε λαμπρότης, νύν υμίν αξίως, καί ευφροσύνη καρδίας εξήνθησεν, ένθεν απέδρα γάρ λύπη, κατεσκηνώσατε.

Θεοτοκίον

Νομήν τήν τού θανάτου, έστησας Παρθένε, τόν ζωοδότην τεκούσα καί Κύριον, ζωοποιούντα τούς πίστει σέ μεγαλύνοντας.

Ο Ειρμός

«Κυρίως Θεοτόκον, σέ ομολογούμεν, οι διά σού σεσωσμένοι Παρθένε Αγνή, σύν Ασωμάτοις χορείαις σέ μεγαλύνοντες».

Τού Αγίου  Ο Ειρμός

Τήν Ζωοδόχον πηγήν

Κλέος Ζακύνθου σοφέ Διονύσιε, φρουρείν ημάς μή ελλίπης απήμονας, ταίς πρός τόν Δεσπότην σου ιεραίς δεήσεσιν, εκ πάσης νόσου, κακώσεως καί βλάβης, σέ γάρ προστάτην θερμόν πεπλουτήκαμεν.

Ρήματι σώ αλιείς υπακούσαντες, πληθύν ιχθύων ευθύς εσαγήνευσαν, καί ορώντες έφριξαν, πώς καί φύσις άλογος, τώ σώ υπείξε κε λεύσματι, διόπερ δούλον Θεού σε επέγνωκαν γνήσιον.

Πάντων βροτών εμαυτόν οίδα χείρονα, καί γάρ αισχρώς τήν ζωήν εδαπάνησα, όθεν μοι, τολμήσαντι ύμνους προσενέγκαι σοι, σύγγνωθι Πάτερ

καί δίδου σαίς πρεσβείαις καλώς βιώσαι, ζωής τό υπόλοιπον.

Θεοτοκίον

Τόν εκ πατρός μέν αμήτορα πέλοντα, δίχα πατρός η Παρθένος επείγεται, τού τεκείν ως νήπιον, ούπερ τήν γενέθλιον ημέραν πάντες εύξωμεθα προθύμως, αξιωθήναι ιδείν, αγνοίς όμμασι.

Εξαποστειλάριον

Τοίς μαθηταίς συνέλθωμεν

Ο εν Προφήταις μέγιστος, Δανιήλ νύν τιμάσθω, Χριστόν γάρ τόν Θεόν ημών, είδε λίθον τμηθέντα, άνευ χειρών από Όρους, τής Αγνής Θεοτόκου, Σύν τούτω ευφημείσθωσαν, καί οι τρείς Παίδες, ούς περ, σώζει πυρός, αβλαβείς καμίνου τύπος Παρθένου, ο θείος καί απόρρητος, δι' ού σέσωσται κόσμος.

Δόξα... Τού Αγίου

Γυναίκες ακουτίσθητε

Η Ζάκυνθος καί Αίγινα, καί η Στροφάδων άπασα, ομήγυρις μοναζόντων, αξίως ανευφημούσι, τόν θείον Διονύσιον, κλεινόν κοινόν υπέρμαχον, φωστήρα τόν εκλάμποντα, θαυματουργίαις τοίς πάσι, θερμώς αυτόν καλουμένοις.

Καί νύν... Προεόρτιον όμοιον

Η Οικουμένη χόρευε, ακουτισθείσα σύμπασα, δόξασον μετ' Αγγέλων, καί αγραυλούντων ποιμένων, Θεόν τόν τεχθησόμενον, εν Βηθλεέμ ως νήπιον, δι' οίκτον πρός τόν άνθρωπον, όν έπλασε κατ εικόνα, καί εγερεί πεπτωκότα.

Εις τόν Στίχον τών Αίνων, Στιχηρά Προσόμοια.

Ήχος β'  Οίκος τού Ευφραθά

Δεύτε τήν Δανιήλ, τριών τε Παίδων μνήμην, τελέσωμεν υμνούντες, τήν τούτων πολιτείαν, δι ής εμεγαλύνθησαν.

Στίχ. Θαυμαστός ο Θεός έν τοίς Αγίοις αυτού.

Λάκκω κατακλεισθείς, θηρσί συνωκισμένος, Δανιήλ ο Προφήτης, αμέτοχος τής τούτων, εδείκνυτο κακώσεως.

Καί δύο τού Αγίου

Ήχος δ'

Ως γενναίον εν Μάρτυσι

Στίχ. Τοίς Αγίοις τοίς εν τή γή αυτού.

Κατά χρέος συνέλθωμεν, τής Ζακύνθου οι έκγονοι, εορτήν πανίερον εορτάζοντες, πνευματικώςαγαλλόμενοι, ως άφθαρτον άσυλον, ευσεβείας θησαυρόν, κεκτημένοι πολύτιμον, εν πατρώα γή, διό ύμνους προπέμψωμεν Κυρίω, τώ ημίν δωρησαμένω, πλούτον πολύολβον άνωθεν.

Στίχ. οι Ιερείς σου Κύριε ενδύσονται.

Θησαυρός όν κεκτήμεθα, Διονύσιος πέφυκε, τής Ζακύνθου βλάστημα Ιερώτατον, διό συμφώνως Ζακύνθιοι, αυτώ εκβοήσωμεν, χαίρε δόξα καί τιμή, τής πατρίδος πολύδοξε, Διονύσιε, χαίρε στήριγμα στέφος ευπατρίδων, χαίρε σκέπη ορθοδόξων, τών εκτελούντων τήν μνήμην σου.

Δόξα... Ήχος β'

Πνευματικώς ημάς πιστοί συνήγαγε σήμερον, ο Προφήτης Δανιήλ, καί τράπεζαν προτίθησιν αρετών δαψιλώς, πλουσίοις καί πένησι, καί ξένοις καί αυτόχθοσι, καί κρατήρα νοητόν, προχέοντα νάμα ευσεβείας, καί ευφραίνοντα καρδίας πιστών, καί Πνεύματος Αγίου χάριν παρέχοντα, Ούτος γάρ ο προφήτης, ο φανότατος λύχνος, ο λάμψας εν τώ κόσμω, τά σεβάσματα πάντα τών Ασσυρίων καθείλε, καί θηρών ατιθάσων στόματα έφραξε, σύν τούτω καί οι τρείς Παίδες ευφημείσθωσαν, ού χρυσοί τή φύσει όντες, χρυσίου δέ δοκιμώτεροι δεικνύμενοι, ου γάρ εχώνευσεν αυτούς τό πύρ τής καμίνου, αλλ' εφύλαξεν ακεραίους, ούς νάφθα καί πίσσα καί κληματίδες έστεψαν, ο δέ αγαγων ημάς, εις τήν περίοδον τού χρόνου Κύριος, αξιώσαι ημάς φθάσαι, καί επί τήν κυρίαν, καί σεβασμίαν ημέραν τών γενεθλίων Χριστού, τού παρέχοντος ημίν ταίς αυτών ικεσίαις, ιλασμόν αμαρτιών, καί τό μέγα έλεος.

Ει δέ βούλει, λέγε Δοξαστικόν τού Αγίου.

Δόξα... Ήχος πλ. δ'

Εορτήν χαρμόσυνον εορτάζει σήμερον Ζάκυνθος, ώ φιλέορτοι, ιεράρχου καινού μνήμην τελούσα, Διονυσίου τού εξ αυτής ανατείλαντος, καί συγκαλείται τάς φίλας πόλεις καί νήσους, τάς γείτονας, Κεφαλληνίαν καί Κέρκυραν, τήν μέν ως εν τοίς άλλοις οίς κέκτηται, Σπυρίδωνα αυχούσαν τόν πολυθαύμαστον, τήν δέ, ως τόν θαυματουργόν πλουτούσα νέον Γεράσιμον, συνευφρανθήναι πνευματικώς, καί πανηγυρίσαι θεοπρεπώς, μεθ' ών καί ημείς ψάλλοντες είπωμεν, ο εν αγίοις θαυμαστός Κύριος, ταίς αυτών ικεσίαις, τά επί γής τών Ορθοδόξων συστήματα, εκ παντοίων κινδύνων λύτρωσαι, καί τής ουρανίου βασιλείας αξίωσον ως φιλάνθρωπος.

Καί νύν... Ο αυτός Προεόρτιον

Βηθλεέμ ετοιμάζου, ευτρεπίζου η φάτνη, τό σπήλαιον δεχέσθω, η αλήθεια ήλθεν, η σκιά παρέδραμε, καί Θεός ανθρώποις εκ Παρθένου πεφανέρωται, μορφωθείς τό καθ' ημάς, καί Θεώσας τό πρόσλημμα, διό Αδάμ ανανεούται, σύν τή Εύα κράζοντες επί γής ευδοκία επεφάνη, σώσαι τό γένος ημών.

Δοξολογία μεγάλη, καί Απόλυσις.

Μεγαλυνάριον τού Αγίου

Χαίροις τής Ζακύνθου γόνος λαμπρός, πρόεδρος Αιγίνης, καί Στροφάδων μέγας φρουρός, χαίροις Εκκλησίας, φωστήρ νέος τρισμάκαρ, αρχιερέων κλέος ώ Διονύσιε.

---

Αρχή

**ΤΗ ΙΗ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τού Αγίου Μάρτυρος Σεβαστιανού, καί τών σύν αυτώ.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'
Πανεύφημοι Μάρτυρες υμάς

Αιμάτων τιμίων σου βαφαίς, Μάρτυς κατεσκεύασας, σαυτώ πορφύραν πολύτιμον, ήν στολισάμενος, κατοικείς τά άνω, αληθώς βασίλεια, Θεώ παμβασιλεί παριστάμενος, διό ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Σεβαστιανός τε καί Ζωή, Μάρκος Μαρκελλίνός τε, σύν Τιβουρτίω συνήθλησαν, καθυπομείναντες, τρικυμίας πόνων, καί νύν κατεσκήνωσαν, πρός άπονον καί θείαν κατάπαυσιν, εν ή πρεσβεύουσι, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Αήττητοι Μάρτυρες τή γή, τά τής γής εάσαντες, πρός ουρανούς ανεδράμετε, υμών τοίς στίγμασι, καθωραϊσμένοι, καί σεπτοίς παθήμασι, λαμπρώς πεποικιλμένοι μακάριοι, διό πρεσβεύσατε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον, όμοιον

Παρθένε πανύμνητε Μωσής, τό εν σοί Μυστήριον, προφητικοίς είδεν όμμασι, Βάτον μή φλέγεσθαι, καί περ καιομένην, πύρ γάρ τής θεότητος, την μήτραν σου Αγνή ού κατέφλεξε, διό αιτούμέν σε, ως Μητέρα τού Θεού ημών, τήν ειρήνην, τώ κόσμω σου δώρησαι.

Η Σταυροθεοτοκίον

Σφαγήν σου τήν άδικον Χριστέ, η Παρθένος βλέπουσα, οδυρομένη εβόα σοι, Τέκνον γλυκύτατον, πώς αδίκως θνήσκεις; πώς τώ ξύλω κρέμασαι, ο πάσαν γήν κρεμάσας τοίς ύδασι; Μή λίπης μόνην με, Ευεργέτα πολυέλεε, τήν Μητέρα, καί δούλην σου δέομαι.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν Συνήθη Στιχολογίαν, οι Κανόνες τής Οκτωήχου, καί τού Μάρτυρος, ού η Ακροστιχίς.

Θείον σέβας σοι Μάρτυς εμφρόνως νέμω. Ιωσήφ.

Ωδή α' Ήχος α'

«Σού η τροπαιούχος δεξιά, θεοπρεπώς εν ισχΰϊ δεδόξασται, αύτη γάρ Αθάνατε, ως πανσθενής υπεναντίους έθραυσε, τοίς Ισραηλίταις, οδόν βυθού καινουργήσασα».

Θείαις φαιδρυνόμενος αυγαίς, τής σεβασμίου Τριάδος Αοίδιμε, πίστει τούς τιμώντάς σου, τήν φωταυγή καί ιεράν πανήγυριν, σού ταίς ικεσίαις, φωτός μετόχους ανάδειξον.

Έχων λογισμόν φωτοειδή, καί δεκτικόν καθαρών επιλάμψεων, μόνον επεπόθησας, τό όντως Όν, ως νουνεχής καί φρόνιμος, Μάρτυς αθλοφόρε, καί τούτου πίστει τετύχηκας.

Ιδρώσιν ενθέοις αληθώς, τά τής σαρκός αμαυρώσας φρονήματα, αίμασιν αθλήσεως, τούς θολερούς χειμάρρους απεξήρανας, τής πολυθείας, θεόφρον Μάρτυς πολύαθλε.

Όμιλον προσήξας Αθλητών, διδασκαλίαις σου θείαις τώ Κτίσαν τι, πάσαν τήν διάνοιαν, τών διωκτών καταβαλών τή χάριτι, Πνεύματος Αγίου, μεθ' ών πρεσβεύεις σωθήναι ημάς.

Θεοτοκίον

Νέον απεκύησας Υιόν, τόν πρό αιώνων Πατρί συννοούμενον, φύσεως καινίσασα, νόμους αγνή, Παρθενομήτορ άχραντε, εν τή υπέρ φύσιν, σεπτή καί θεία γεννήσει σου.

Ωδή γ'

«Ο μόνος είδως τής τών βροτών ουσίας τήν ασθένειαν, καί συμπαθώς αυτήν μορφωσάμενος, περίζωσόν με εξ ύψους δύναμιν, τού βοάν σοι, Άγιος, ο τής δόξης Κύριος, ο ανείκαστος εν αγαθότητι».

Στρατόν επαγόμενος σεπτόν, τής θείας όπλοις πίστεως, ωχυρωμένον Μάρτυς αήττητε, τάς παρατάξεις τού πολεμήτορος, καί τά πανουργεύματα τών Τυράννων άπαντα, καταβάλλεις τώ σθένει τού Πνεύματος.

Ερείσας εν πέτρα νοητή, τάς βάσεις τής καρδίας σου, ευσεβοφρόνως Μάρτυς πολύαθλε, ού παρετράπης τοίς μηχανήμασι, τού δολίου δράκοντος, αλλά πάσιν έρεισμα, ευσεβείας εν Πνεύματι γέγονας.

Βελών εκκεντήσεις χαλεπάς, υπέφερες δεσμούμενος, καί επί ξύλου Μάρτυς τεινόμενος, Θεού δέ θεία δυνάμει ένδοξε, ασινής ολόκληρος, αύθις απεδείκνυσο, καταισχύνων εχθρού μηχανήματα.

Θεοτοκίον

Αγίασμα ώφθης νοητόν, τού πάντας αγιάζοντος, καί καθαρόν Πανάμωμε σκήνωμα, εκ σού γάρ ώφθη Θεός σαρκούμενος, καί διπλούς ταίς φύσεσι, κόσμω γνωριζόμενος, εν μιά υποστάσει Θεόνυμφε.

Ο Ειρμός

«Ο μόνος ειδώς τής τών βροτών, ουσίας τήν ασθένειαν, καί συμπαθώς αυτήν μορφωσάμενος, περίζωσόν με εξ ύψους δύναμιν, τού βοάν σοι Άγιος, ο ναός ο έμψυχος, τής αχράντου σου δόξης φιλάνθρωπε».

Κάθισμα  Ήχος α'
Τόν τάφον σου Σωτήρ

Τώ βίω τώ φαιδρώ, συναστρά τόν λόγον ιερώς, επτοντα έχων, φειλκύσω αγέλας, πιστών πρός ευσέβειαν, μεθ' ών χαίρων ενήθλησας, πάσαν κάκωσιν, υπενεγκών τών Τυράννων, όθεν σήμερον τήν παναγίαν σου μνήμην, τελούντες υμνούμέν σε.

Δόξα... Καί νύν... Θεοτοκίον

Μαρία τό σεπτόν, τού Δεσπότου δοχείον, ανάστησον ημάς, πεπτωκότας εις βάθος, δεινής απογνώσεως, καί πταισμάτων καί θλίψεων, σύ γάρ πέφυκας, αμαρτωλών σωτηρία, καί βοήθεια, καί κραταιά προστασία, καί σώζεις τούς δούλους σου.

Η Σταυροθεοτοκίον

Ω θαύματος φρικτού! ώ καινού μυστηρίου! εβόα η αγνή, καί πανάμωμος Κόρη, εν ξύλω ως έβλεψε, τανυσθέντα σε Κύριε, πώς αδέκαστε, Κριτά απάντων καί Λόγε, ως κατάκριτος, υπό κριτών παρανόμων, Σταυρώ κατακέκρισαι;

Ωδή δ'

«Όρος σε τή χάριτι, τή θεία κα τάσκιον, προβλεπτικοίς ο Αββακούμ, κατανοήσας οφθαλμοίς, εκ σού εξελευσεσθαι, τού Ισραήλ Προανεφώνει τόν Άγιον, εις σωτηρίαν ημών καί ανάπλασιν».

Σθένοις σοι Τιβούρτιε, δωρείται ο Κύριος, δι' ασθενείας τής σαρκός, καταπαλαίσαι τόν εχθρόν, πυρί γάρ φλογίζοντι, νεανικώς, επέβης Μάρτυς στερρότατα, καί τήν ουράνιον δρόσον αντέλαβες.

Συνήφθης τοίς άνω, λειτουργοίς ώ Τιβούρτιε, ως λειτουργήσας τώ Χριστώ, καί ανενέγκας καθαράς, θυσίας εν πνεύματι, Ιερουργέ, Μαρτύρων κλέος καί καύχημα, χαρμονικώς διά τούτο τιμώμέν σε.

Όρθιος κρεμάμενος, καί πλήκτροις ξεόμενος, καί ταίς σφοδραίς τών αικισμών, περικυκλούμενος φοραίς, καί βόθρω χωννύμενος, καί εν αυτώ τό θείον τέλος δεχόμενος, ο γενναιόφρων ηγάλλετο Κάστουλος.

Ιάσεις εν Πνεύματι Αγίω μακάριε, επιτελών πρός φωτισμόν, τών καθορώντων ευσεβώς, λαοίς το σωτήριον, θεοπρεπώς Σεβαστιανέ κατήγγειλας, μαρτυρικώς δέ τόν δρόμον ετέλεσας.

Θεοτοκίον

Μόνην σε πασών, εκ γενεών εξελέξατο, ό υπερούσιος Θεός, καί ουσιώθη καθ' ημάς γενόμενος άνθρωπος, ο πλαστουργός, τής ανθρωπίνης υπάρξεως, Θεογεννήτορ πανάμωμε Δέσποινα.

Ωδή ε'

«Ο φωτίσας, τή ελλάμψει τής σής παρουσίας Χριστέ, καί φαιδρύνας τώ

Σταυρώ σου τού κόσμου τά πέρατα, τάς καρδίας φώτισον φωτί, τής σής θεογνωσίας, τών ορθοδόξως υμνούντων σε».

Αι τρίβοι σου, καί πορείαι πρός μόνον φερόμεναι, τόν Κύριον, ανοδίας εχθρών υπεξέκλιναν, καί πολλοίς γεγόνασιν, οδός ευθεία καί πραεία, Μάρτυς Χριστού πανσεβάσμιε.

Ρητορεύει, Μαρκελλίνος καί Μάρκος σοφώτατα, πρό βημάτων, τού Χριστού τήν σωτήριον έλευσιν, προσδεθέντες άμφω δέ, κέντροις τούς πόδας καθηλούνται, μαρτυρικώς κλεϊζόμενοι.

Τό πάθημα, τού τά πάθη ημών θανατώσαντος, Μαρκελλίνος, καί ο Μάρκος στερρώς εικονίζοντες, λόγχη σφαγιάζονται, καί στεφηφόροι ταίς χορείαις, τών αθλοφόρων συνάπτονται.

Θεοτοκίον

Υπέρφωτε, τού Ηλίου Νεφέλη πανάμωμε, απέλασον, τής ψυχής μου τά νέφη πρεσβείαις σου, καί τόν νούν μου φώτισον, τή αμελεία σκοτισθέντα, όπως υμνώ σε Πανύμνητε.

## Ωδή ς'

«Εκύκλωσεν ημάς εσχάτη άβυσσος, ούκ έστιν ο ρυόμενος, ελογίσθημεν ως πρόβατα σφαγής, σώσον τον λαόν σου ο Θεός ημών, σύ γάρ ισχύς τών ασθενούντων καί επανόρθωσις».

Στερρότητι νοός σεβασμιώτατε, εδείχθης αταπείνωτος, εν τώ τύπτεσθαι ταίς ράβδοις αφειδώς, καί κατακεντάσθαι πολλοίς τοίς βέλεσιν, όθεν πρός φώς, μετέβης χαίρων Μάοτυς ανέσπερον.

Ενεύρου σε Χριστός αγωνιζόμενον, καί δαίμοσι μαχόμενον, καί αικίαις ομιλούντα χαλεπαίς, Σεβαστιανέ Μάρτυς αήττητε, καί πρός αυτόν αποσκοπούντα καρδίας όμμασι.

Μοχλεύσεσι στερραίς πανσόφως λόγων σου, τήν πλάνην ανεμόχλευσας, καί σεβάσματα κατέαξας εχθρών, καί ειδωλικούς ναούς ηδάφισας, καί σεαυτόν ναόν τού θείου ήγειρας Πνεύματος.

Θεοτοκίον

Φθαρείσαν τήν ημών εκ παραβάσεως, ουσίαν ανεκαίνισας, τόν καινίζοντα τά πάντα θεϊκώ, μόνω τώ βουλήματι κυήσασα, εν γυναιξίν ευλογημένη θεοχαρίτωτε.

Ο Ειρμός

«Εκύκλωσεν ημάς εσχάτη άβυσσος, ούκ έστιν ο ρυόμενος, ελογίσθημεν ως πρόβατα σφαγής, σώσον τον λαόν σου ο Θεός ημών, σύ γάρ ισχύς τών ασθενούντων καί επανόρθωσις».

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΗ' τού αυτού μηνός, Μνήμη τού Αγίου Μάρτυρος Σεβαστιανού καί τών σύν αυτώ Ζωή ς' τραγκυλίνου, Νικοστράτου, Κλαυδίου, Κάστορος, Τιβουρτίου, Καστούλου, Μαρκελλίνου καί Μάρκου.

Στίχοι

- Σεβαστιανός τών πλάνης σεβασμάτων
- Καταφρονήσας τύπτεται τό σαρκίον.
- Ογδοάτη δεκάτη Σεβαστιανός ροπαλίσθη.
- Ζωή πρός ύψος εκ κεφαλής ηρμένη,
- Καπνώ δυσώδει λαμβάνει ζωής τέλος.
- Ναί, βάλλετε σφοδρώς με συχνοίς τοίς λίθοις,
- Εκ καρδίας έκραζεν ο Τραγκυλίνος.
- Καί τούς περί Κλαύδιον ώδε τακτέον.
- Ούς, κάν βυθός συνέσχεν, ουρανός φέρει.
- Τιβουρτίου τέμνουσι τήν θείαν κάραν,
- Σύ μου Θεός κράζοντος, ώ Θεού Λόγε.
- Κάστουλον είλκον εις απωλείας βόθρον.
- Ως δ' ουχ υπείξε, γής ενεβλήθη βόθρω.
- Εχθρών παγέντες, οία λόγχαι, καρδίας,
- Νύττεσθε λόγχαις, Μάρκε καί Μαρκελλίνε.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Ευβιότου.

Στίχοι

- Ήθλησεν Ευβίοτος άχρις αιμάτων,
- Βίου δέ τέρμα εύρε χωρίς αιμάτων.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου πατρός ημών Φλώρου, Επισκόπου Αμινσού.

Στίχοι

- Είκων ο Φλώρος τή πάλαι κατακρίσει,
- Εις γήν απήλθε, γή γάρ ήν, καί τί ξένον.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Φωκά καί Ερμύλου, διά ξίφους τελειωθέντων.

Στίχοι

- Εγωγε τμηθώ πρώτον, Έρμυλος λέγει.
- Ού, φησί Φωκάς, αλλ' ό Φωκάς Έρμυλε.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων, Ζακχαίου διακόνου, καί Αλφειού αναγνώστου, αθλησάντων εν Καισαρεία.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας καί θαυματουργού Σοφίας καί τά Εγκαίνια τού σεβασμίου Οίκου τής Υπεραγίας Θεοτόκου, εν τοίς Χαλκοπρατείοις.

Καί Μνήμη τού Οσίου Πατρός ημών Μιχαήλ Συγκέλλου, τού Ομολογητού.

Στίχοι

- Ουκ, εί τελευτάς Μιχαήλ, τούτο ξένον.
- Αλλ' είθανων ζής, ώς περ ούν ζής αξίως.

Ταίς τών αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

«Σέ νοητήν, Θεοτόκε κάμινον, κατανοούμεν οι πιστοί, ως γάρ Παίδας έσωσε τρείς, ο υπερυψούμενος, όλον με τόν άνθρωπον, εν τή, γαστρί σου ανέπλασεν, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος».

Ρώμη τή σή, κραταιά σθενούμενοι, οι Αθλοφόροι σου Χριστέ, ετροπώσαντο τόν εχθρόν, πλάνην κατεπάτησαν, σώματα παρέδωκαν, τοίς αικισμοίς αναμέλποντες, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Οι θεαυγείς, Αθλοφόροι Μάρτυρες, αγωνισάμενοι καλώς, Μαρκελλίνος καί ο κλεινός, Μάρκος καί Τιβούρτιος, Κάστουλος ο πάνσοφος, πρός ουρανόν μετετέθησαν, τόν αινετόν ανυμνούντες, Θεόν τόν υπερένδοξον.

Νεανικώς, αθλητά Τιβούρτιε, ώσπερ οι Παίδες τή πυρά, επιβέβηκας νοητώς, δρόσον τήν τού Πνεύματος, άνωθεν δεχόμενος, καί μελωδών εμμελέστατα, ο αινετός των Πατέρων, Θεός καί υπερένδοξος.

Ώσπερ αμνάς, κρεμαμένη ένδοξε, εναπηγχόνισας εχθρόν, ταίς νευραίς τών μαρτυρικών, πόνων σου πανεύφημε, ζής δέ μετά θάνατον, Μάρτυς Ζωη αναμέλπουσα, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Θεοτοκίον

Στάμνον χρυσήν, παναγίαν τράπεζαν, τού θείου Άρτου τής ζωής, ονομάζομέν σε Αγνή, Τόπον αγιάσματος, θρόνον υψηλότατον, εν ώ Θεός ανεπαύσατο, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Ωδή η'

«Εν καμίνω Παίδες, Ισραήλ, ως εν χωνευτηρίω, τώ κάλλει τής ευσεβείας, καθαρώτερον χρυσού, απέστιλβον λέγοντες Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Νεκρωθήναι κόσμω βουληθείς, καί τοίς εν κόσμω πάσι, τής όντως κατηξιώθης, Αεισέβαστε ζωής, βοών προθυμότατα, Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Εθεντό σε άνομοι δεινώς, εν λάκκω κατωτάτω, χωννύντες καί θανατούντες, αναμέλποντα τρανώς, αοίδιμε Κάστουλε, Ευλογείτε πάντα τά έργα Κυρίου,

τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Μακαρίας έτυχες ζωής, ως επώνυμος ταύτης, πνιγμώ γάρ βιαιοτάτω, τήν επίκηρον ζωήν, κατέλιπες μέλπουσα, Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, και υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Ωραιώθης τέξασα Θεόν, ωραίον καί Δεσπότην, τόν θείαις καταφαιδρύναντα, ακτίσι τούς βροτούς, διό αναμέλπομεν, Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Εν καμίνω Παίδες, Ισραήλ, ώς εν χωνευτηρίω, τώ κάλλει τής ευσεβείας, καθαρώτερον χρυσού, απέστιλβον λέγοντες, Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

## Ωδή θ'

«Τύπον τής αγνής λοχείας σου, πυρπολουμένη βάτος, έδειξεν άφλεκτος, καί νύν καθ' ημών, τών πειρασμών αγριαίνουσαν, κατασβέσαι αιτούμεν τήν κάμινον, ίνα σε Θεοτόκε, ακαταπαύστως μεγαλύνωμεν».

Ίνα θεϊκής λαμπρότητος, καί αιωνίου δόξης καί ωραιότητος, Σεβαστιανέ, αξιωθής αξιάγαστε, τάς βασάνους, τούς πόνους, τόν θάνατον, υπέμεινας ανδρείως, διό σε πάντες μακαρίζομεν.

Ώφθης μέσον άστρων ήλιος, τών συναθλούντων Μάρτυς καί νύν φωτίζεται, άθλων ιερών, ιερωτάταις λαμπρότησιν, Εκκλησίας τό θείον στερέωμα, καί πάσα διαβόλου, διασκεδάζεται απόνοια.

Στέργοντες Χριστόν Τιβούρτιος, καί Μαρκελλίνος, Μάρκος Ζωή καί Κάστουλος, Σεβαστιανώ, καθηγητή καί θεόφρονι, συναθλούσι, καί ίσους κομίζονται, τής νίκης τούς στεφανους, υπέρ ημών αεί πρεσβεύοντες.

Ήρθη πρός μονάς σκηνούμενος, φωτοειδής Μαρτύρων χορός ο ένθεος, καί τούς ουρανούς, περιπολεί αγαλλόμενος, υπέρ πάντων ημών τόν φιλάνθρωπον, αεί παρακαλούντες, μακαριζόντων αυτούς πάντοτε.

Θεοτοκίον

Φρίττει νοερά Στρατεύματα, τό τού Πατρός ορώντα θείον απαύγασμα, σού εν ταίς χερσίν, ανερμηνεύτως κρατούμενον, καί τό σόν κεκτημένον ομοίωμα, ίνα βροτούς Θεώση, Παρθενομήτορ απειρόγαμε.

Ο Ειρμός

«Τύπον τής αγνής λοχείας σου, πυρπολουμένη βάτος, έδειξεν άφλεκτος, καί νύν καθ' ημών, τών πειρασμών αγριαίνουσαν, κατασβέσαι αιτούμεν τήν κάμινον, ίνα σε Θεοτόκε, ακαταπαύστως μεγαλύνωμεν».

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

**ΚΥΡΙΑΚΗ ΠΡΟ ΤΗΣ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΕΩΣ**

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Μετά τόν Προοιμιακόν, καί τήν Στιχολογίαν τού, Μακάριος ανήρ, ιστώμεν Στίχους ι' καί ψάλλομεν τά διατεταγμένα Αναστάσιμα, είτα τά Προεόρτια, καί τών Αγίων Πατέρων.

Στιχηρά Προσόμοια Προεόρτια

Ήχος α'
Πανεύφημοι Μάρτυρες υμάς

Παρθένε Πανάμωμε Θεού, έμψυχον Παλάτιον, τόν ουρανοίς μή χωρούμενον, εν σοί εχώρησας, όν εν τώ Σπηλαίω, τέξη υπέρ έννοιαν, πτωχεύσαντα καί σάρκα γενόμενον, ίνα θεώση με, καί πλουτίση τόν πτωχεύσαντα, ακρασία, πικροτάτης βρώσεως.

Εναπογραφόμενος Χριστέ, δούλοις τώ τού Καίσαρος, δι' ευσπλαγχνίαν προστάγματι, έρχη χαρίσασθαι τήν ελευθερίαν, τήν ζωήν καί λύτρωσιν, αγνώμοσιν οικέταις μακρόθυμε, τοίς προσκυνούσί σου, τά σωτήρια Γενέθλια, τού ελθόντος, σώσαι τάς ψυχάς ημών.

Τόκον ακατάληπτον θεσμούς, φύσεως καινίσαντα, η Παναγία καί άμωμος, κατανοήσασα, τώ Υιώ εβόα. Τέκνον ποθεινότατον, εκπλήττομαι τό μέγα μυστήριον, πώς καί γεννήσασα, παρθενεύω τή δυνάμει σου, τού τά πάντα ποιούντος βουλήματι!

Καί τών Αγίων Πατέρων
Ήχος πλ. δ'
Ο εν Εδέμ Παράδεισος

Τά τών Πατέρων σήμερον πιστοί, τελούντες μνημόσυνα, ανυμνήσωμεν Χριστόν τόν Λυτρωτήν, τόν μεγαλύναντα αυτούς, εν πάσι τοίς Έθνεσι, καί θαυμάτων τά παράδοξα πιστώς, επιτελέσαντα Κύριον, ως κραταιόν καί δυνατόν, καί εξ αυτών αναδείξαντα, ράβδον δυνάμεως ημίν, τήν μόνην απείρανδρον, καί θεόπαιδα Μαρίαν τήν αγνήν, εξ ής τό άνθος προήλθε, Χριστός, βλαστήσας πάσι τήν ζωήν, καί αδάπανον τρυφήν, καί σωτηρίαν τών ψυχών ημών.

Ως εν ψεκάδι μέσον τής φλογός, τή δρόσω τού Πνεύματος, αγαλλόμενοι οι Παίδες τού Θεού, περιεπάτουν μυστικώς, εν αυτή προτυπώσαντες, τήν Τριάδα καί τήν σάρκωσιν Χριστού, καί ως σοφοί διά Πίστεως, έσβεσαν δύναμιν πυρός, καί Δανιήλ δέ ο δίκαιος, λεόντων ώφθη φιμωτής, ών ταίς δεήσεσι, δυσωπούμενος φιλάνθρωπε Σωτήρ, καί ημάς τού ασβέτου, καί αιωνίου λύτρωσαι πυρός, καί αξίωσον τυχείν, τής ουρανίου Βασιλείας σου.

Ώσπερ εν δρόσω όντες οι πιστοί, καί άγιοι Παίδές σου, εν καμίνω ο τής φλογός τής τού πυρός, προεζωγράφουν μυστικώς, τήν εκ Παρθένου σου έλευσιν, τήν αφλέκτως, αναλάμψασαν ημίν. Καί Δανιήλ δέ ο δίκαιος, καί εν Προφήταις θαυμαστός, τρανώς τήν θείαν δευτέραν σου, έλευσιν πάσι προδηλών, Εώρων εκραύγαζεν, έως ού θρόνοι ετέθησαν φησί, καί κριτής έκαθέσθη, καί τού πυρός επέστη ποταμός, ού ρυσθείημεν Χριστέ, ταίς ικεσίαις αυτών Δέσποτα.

Δόξα... Ήχος πλ. β'

Δανιήλ ανήρ επιθυμιών, λίθον άνευ χειρός τμηθέντα, θεωρήσας σε Κύριε, βρέφος άνευ σποράς, τεχθήναι προηγόρευσε, σέ τόν εκ Παρθένου σαρκωθέντα Λόγον, τόν αναλλοίωτον Θεόν, καί Σωτήρα τών ψυχών ημών.

Καί νύν... Προεόρτιον, ο αυτός

Σπήλαιον ευτρεπίζου η, Αμνάς γάρ ήκει, έμβρυον φέρουσα Χριστόν. Φάτνη δέ υποδέχου, τόν τώ λόγω λύσαντα τής αλόγου πράξεως, ημάς τούς γηγενείς. Ποιμένες αγραυλούντες, μαρτυρείτε θαύμα τό φρικτόν, καί Μάγοι εκ Περσίδος, χρυσόν καί λίβανον καί σμύρναν τώ Βασιλεί προσάξατε, ότι ώφθη Κύριος εκ Παρθένου μητρός, όνπερ καί κύψασα δουλικώς, η Μήτηρ προσεκύνησε, καί προσεφθέγξατο, τώ ο εν αγκάλαις αυτής, πώς ενεσπάρης μοι; ή πώς μοι ενεφύης, ο λυτρωτής μου καί Θεός;

Είσοδος, τό Προκείμενον τής ημέρας καί τά Αναγνώσματα.

Γενέσεως τό Ανάγνωσμα
(Κεφ. 14, 14-20)

Ακούσας Άβραμ, ότι ηχμαλώτευται Λώτ ο αδελφιδούς αυτού, ηρίθμησε τούς ιδίους οικογενείς αυτού, τριακοσίους δέκα καί οκτώ, καί κατεδίωξεν οπίσω αυτών έως Δάν, καί επέπεσεν επ' αυτούς τήν νύκτα αυτός, καί οι Παίδες αυτού μετ' αυτού καί επάταξεν αυτούς καί κατεδίωξεν αυτούς έως Χοβάλ, ή εστιν εν αριστερά ο Δαμασκού, καί απέστρεψε πάσαν τήν ίππον Σοδόμων, καί Λωτ τόν αδελφιδούν αυτού απέστρεψε, καί πάντα τά υπάρχοντα αυτού, καί τάς γυναίκας, καί τόν λαόν, Εξήλθε δέ βασιλεύς Σοδόμων εις συνάντησιν αυτώ ο μετά τό υποστρέψαι αυτόν από τής κοπής τού Χοδολλογόμορ καί τών βασιλέων τών μετ' αυτού, εις τήν κοιλάδα τού Σαβύ, τούτο ήν πεδίον Βασιλέως, καί Μελχισεδέκ, βασιλεύς Σαλήμ, εξήνεγκεν άρτους καί οίνον, ήν δέ Ιερεύς τού Θεού τού Υψίστου, καί ευλόγησε τόν Αβραμ, καί είπεν. Ευλογημένος Άβραμ τώ Θεώ τώ Υψίστω, ός έκτισε τόν ο ουρανόν καί τήν γήν. Καί ευλογητός ο Θεός ο Ύψιστος, ός παρέδωκε τούς εχθρούς σου υποχειρίους σοι.

Δευτερονομίου τό Ανάγνωσμα
(Κεφ. 1, 8-11, 15-17)

Έλιπε Μωσής πρός τούς υιούς, Ισραήλ ίδετε, παρέδωκα ενώπιον υμών τήν γήν, εισελθόντες κληρονομήσατε τήν γήν, ήν ώμοσε Κύριος τοίς πατράσιν υμών, τώ Αβραάμ καί τώ Ισαάκ καί τώ Ιακώβ, δούναι αυτοίς καί τώ σπέρματι αυτών μετ' αυτούς. Καί είπον πρός υμάς εν τώ καιρώ εκείνω, λέγων ου

δυνήσομαι μόνος φέρειν υμάς. Κύριος ο Θεός ημών επλήθυνεν υμάς, καί ιδού εστε σήμερον ωσεί τά άστρα τού ουρανού τώ πλήθει. Κύριος ο Θεός τών Πατέρων υμών προσθείη υμίν, ως εστέ χιλιοπλασίως, καί ευλογήσαι υμάς, καθότι ελάλησεν υμίν. Καί έλαβον εξ υμών άνδρας σοφούς, καί επιστήμονας, καί συνετούς, καί κατέστησα αυτούς ηγείσθαι εφ' ημών, χιλιάρχους καί εκατοντάρχους, καί πεντηκοντάρχους, καί δεκάρχους, καί γραμματοεισαγωγείς τοίς κριταίς υμών. Καί ενετειλάμην τοίς κριταίς υμών εν τώ καιρώ εκείνω, λέγων. Διακούετε αναμέσον τών αδελφών υμών, καί Κρίνατε δικαίως αναμέσον ανδρός καί αναμέσον τού αδελφού αυτού. Καί τού προσηλύτου αυτού. Ουκ επιγνώσει πρόσωπον εν κρίσει, κατά τόν μικρόν καί κατά τόν μέγα κρινείς, ου μή υποστείλη πρόσωπον ανθρώπου, ότι η κρίσις τού Θεού εστι.

Δευτερονομίου τό Ανάγνωσμα
(Κεφ. 10, 14-21)

Είπε Μωσής πρός τούς υιούς Ισραήλ, ιδού, Κυρίου τού Θεού σου ο ουρανός, καί ο ουρανός τού ουρανού, η γή καί πάντα όσα εστίν εν αυτή. Πλήν τούς πατέρας υμών προείλετο Κύριος αγαπάν αυτούς, καί εξελέξατο τό σπέρμα αυτών μετ' αυτούς, υμάς παρά πάντα τά έθνη, κατά τήν ημέραν ταύτην. Καί περιτεμείσθε τήν σκληροκαρδίαν υμών, καί τόν τράχηλον υμών ου σκληρυνείτε έτι, ο γάρ Κύριος ο Θεός υμών, ούτος Θεός τών Θεών, καί Κύριος τών Κυρίων, ο Θεός ο μέγας, καί ισχυρός, καί φοβερός, ός τις ου θαυμάζει πρόσωπον, ουδ' ου μή λάβη δώρον, ποιών κρίσιν προσηλύτω καί ορφανώ καί χήρα, καί αγαπά τόν προσήλυτον, δούναι αυτώ άρτον καί ιμάτιον. Κύριον τόν Θεόν σου φοβηθήση, καί αυτώ μόνω λατρεύσεις, καί πρός αυτόν κολληθήση, καί επί τώ ονόματι αυτού ομή, αυτός Καύχημά σου, καί αυτός Θεός σου, ός τις εποίησέ σοι τά μεγάλα καί τά ένδοξα ταύτα, ά είδον οι οφθαλμοί σου.

Εις τήν Λιτήν, τό Ιδιόμελον τού Αγίου τής Μονής, ως σύνηθες.

Δόξα... Ήχος α'

Βολίδες αστράπτοντες θεηγορίαις, οι μεγαλώνυμοι Προφήται, εις αεί μακαρίζονται, καί τά έπη τού Πνεύματος καρπούμενοι, τήν ανερμήνευτον λοχείαν Χριστού τού Θεού πάσιν εκήρυξαν, νομίμως δέ τό τέλος διήνυσαν, ζήσαντες ζωήν υπερθαύμαστον.

Καί νύν... Προεόρτιον, ο αυτός

Άκουε ουρανέ, καί ενωτίζου η γή, ιδού γάρ ο Υιός καί Λόγος τού Θεού καί Πατρός, πρόεισι τεχθήναι, εκ Κόρης απειράνδρου, ευδοκία τού φύσαντος αυτόν απαθώς, καί συνεργεία τού Αγίου Πνεύματος, Βηθλεέμ ευτρεπίζου, άνοιγε πύλην η Εδέμ, ότι ο Ών γίνεται ο ουκ ήν, καί ο πλαστουργός πάσης κτίσεως διαπλάττεται, ο παρέχων τό μέγα έλεος.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος β'  Κυπριανού

Χαίρετε Προφήται τίμιοι, οι τόν νόμον Κυρίου, καλώς διαταξάμενοι, καί τή πίστει φανέντες, απόρθητοι στύλοι ακλινείς, υμείς γάρ καί μεσίται ώφθητε τής νέας διαθήκης Χριστού, καί μεταστάντες πρός ουρανόν, αυτόν ικετεύσατε, ειρηνεύσαι τόν κόσμον, καί σώσαι τάς ψυχάς ημών.

Καί νύν... Προεόρτιον, ο αυτός

Ιδού καιρός ήγγικε τής σωτηρίας ημών, ευτρεπίζου Σπήλαιον, η Παρθένος εγγίζει τού τεκείν, Βηθλεέμ γή, Ιούδα, τέρπου καί αγάλλου, ότι εκ σού ανατέταλκεν ο Κύριος ημών. Ακούσατε όρη καί βουνοί, καί τά περίχωρα τής Ιουδαίας, ότι έρχεται Χριστός, ίνα σώση όν έπλασεν άνθρωπον, ως φιλάνθρωπος.

Απολυτίκιον  Ήχος δ'

Μεγάλα τά τής Πίστεως κατορθώματα! εν τή πηγή τής φλογός, ως επί ύδατος αναπαύσεως, οι Άγιοι τρείς Παίδες ηγάλλοντο, καί ο Προφήτης Δανιήλ, λεόντων ποιμήν, ως προβάτων εδείκνυτο. Ταίς αυτών ικεσίαις Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Αναστάσιμος Ακολουθία, ως διατέτακται όπισθεν. Οι Αναβαθμοί τού τυχόντος ήχου, καί Προκείμενον τού αυτού, ευαγγέλιον Εωθινόν. Ανάστασιν Χριστού θεασάμενοι κτλ.

Ο Κανών τών Πατέρων

Ωδή α'  Ήχος πλ. β'
Ο Ειρμός

«Κύματι θαλάσσης, τόν κρύψαντα πάλαι διώκτην Τύραννον, υπό γήν έκρυψαν, τών σεσωσμένων οι Παίδες, αλλ' ημείς ώς αι νεανιδες, τώ Κυρίω άσωμεν, ενδόξως γάρ δεδόξασται». (Δίς)

Φόβω σοι θανάτου, ανοίγονται πύλαι καί διαρρήσσονται, μοχλοί αιώνιοι, τή γάρ σεπτή σου καθόδω, εξανέστησαν οι πάλαι νεκροί, εν ευφροσύνη ψάλλοντες, Χριστέ τήν σήν Ανάστασιν.

Σήμερον τό κλίτος, τών θείων Πατέρων, Χριστού τήν Γέννησιν, προεορτάζει φαιδρώς, καί υπογράφεται ταύτης, τό παράδοξον τής χάριτος, Αβραάμ γάρ σύμβολον, τού νόμου καί οι Παίδές εισιν.

Πάλαι δεξιούται, θεότητα μίαν, τήν τρισυπόστατον, ο Ιερός Αβραάμ, νύν δέ ο σύνθρονος Λόγος, τώ Πατρί καί θείω Πνεύματι, τοίς παισί προέρχεται, ενδόξως ευφημούμενος.

Αβραάμ ερρύσθη, χειρός εξ αδίκου, φλογός καμίνου δέ, οι θείοι Παίδες ποτέ,

καί Δανιήλ ο Προφήτης, εκ θηρών καί λάκκου σέσωσται, διό νύν τήν Γέννησιν Χριστού προεορτάζουσιν.

Αριθμώ καί πίστει, τής θείας Τριάδος, τήν αθεότητα καταστρεψάμενοι, εν τή καμίνω οι Παίδες, εν συμβόλοις τά εσόμενα, τού Θεού μυστήρια, τώ κόσμω προϋπέφηναν.

Θεοτοκίον

Κεχαριτωμένη, ανύμφευτε Μήτηρ Παρθένε άφθορε, σέ μακαρίζομεν, τού Αβραάμ γάρ εκ γένους, καί φυλής Δαυϊδ εξήνθησας, τόν Χριστόν δέ τέτοκας, Προφήταις κηρυχθέντα τό πρίν.

## Κανών Προεόρτιος

### Ήχος α'  Χριστός γεννάται

Χριστόν σαρκί νηπιάσαντα, Χριστόν εθελουσίως πτωχεύσαντα, Χριστόν ορατόν γενόμενον, έρχεται η Παρθένος εν Βηθλεέμ, νύν αποκυήσαι, ουρανός τε καί η γή αγαλλιάσθωσαν.

Βουνοί καί όρη σκιρτήσατε, Προφήται θεηγόροι χορεύσατε, Λαοί καί Έθνη κροτήσατε, πάντων η σωτηρία, ο φωτισμός, ήγγικεν επέστη, εν τή πόλει Βηθλεέμ αποτικτόμενος.

Πτωχός ο πλούσιος γίνεται, πτωχίζων τούς κακία πλουτίζοντας, βροτός ο Θεός γνωρίζεται, Κόρης απειρογάμου, δίχα τροπής, πάντες έν αινέσει, ανυμνήσωμεν αυτόν, ότι δεδόξασται.

Καταβασία

«Χριστός γεννάται, δοξάσατε, Χριστός εξ ουρανών, απαντήσατε, Χριστός επί γής, υψώθητε, Άσατε τώ Κυρίω πάσα η γή, καί εν ευφροσύνη, ανυμνήσατε λαοί, ότι δεδόξασται».

## Τών Πατέρων

### Ωδή γ'  ο Ειρμός

«Σέ τόν επί υδάτων, κρεμάσαντα πάσαν τήν γήν ασχέτως, η κτίσις κατιδούσα, εν τώ κρανίω κρεμάμενον, θαμβητικώς συνείχετο, Ουκ έστιν Άγιος, πλήν σου Κύριε κραυγάζουσα».

Τάφω τριημερεύσας, ανέστησας ζωαρχική εγέρσει, θανόντας τούς απ' αιώνος, καί καταδίκης λυόμενοι, χαρμονικώς ηγάλλοντο, ιδού η λύτρωσις, ήλθες Κύριε κραυγάζοντες.

Τήν κατ' εικόνα δόξαν, καί καθ' ομοίωσιν Θεού φρονούντες Παίδες, χρυσής εικόνος φλόγα, εν τώ πυρί τώ τού Πνεύματος, αθλητικώς κατέσβεσαν, εν πίστει ψάλλοντες. Πλήν σου Κύριον ουκ οίδαμεν.

Σοφίας τώ περιόντι, καί Πνεύματος τή δυνάμει οι Παίδες, τούς σοφούς Βαβυλώνος, αιχμαλωτεύσαντες ήσχυναν, καί θαρσαλέως έκραζον. Ουκ έστιν Άγιος, πλήν σου Κύριε φιλάνθρωπε.

Χαίρει καί συγχορεύει, τοίς Παισί καί Προφήταις ο νόμος, καί προσκιρτά τού Κυρίου, τήν θείαν έλλαμψιν σήμερον, καί Αβραάμ αγάλλεται, ότι εκ σπέρματος αυτού, είδε Κύριον σαρκούμενον.

Θεοτοκίον

Η σύλληψις άνευ πάθους, η πρόσληψις υπέρ λόγον καί φύσιν, τού τόκου σου προήλθε, τό γάρ Προφήταις θρυλλούμενον, υπερφυώς Μυστήριον, ημίν επέφανε, Λόγος τού Θεού υπάρχων Κύριος.

Προεόρτιος

Τώ πρό τών αιώνων

Ο πρό τών αιώνων, εκ Πατρός γεννηθείς υπέρ έννοιαν, εκ τής Παρθένου επ' εσχάτων, εσαρκώθη ως οίδεν, αυτός θέλων τό ανθρώπινον, ανακαινίσαι φθαρέν πονηρού, συμβουλία όφεως.

Ο εν τοίς υψίστοις, συνεδρεύων Πατρί καί τώ Πνεύματι, ταπεινωθείσαν τών ανθρώπων, θεωρήσας τήν φύσιν, Υιός τού Θεού ο άναρχος, αρχήν λαμβάνει καί μέλλει σαρκί. τίκτεσθαι ως άνθρωπος.

Θεοτοκίον

Η Αγιωτέρα, τών Αγγέλων καί πάσης τής κτίσεως, βουλής μεγάλης τής πατρώας, νύν τόν Άγγελον τίκτει, σαρκί πάντων εις ανάκλησιν, μελωδούντων απαύστως αυτώ, Άγιος εί Κύριε.

Καταβασία

«Τώ πρό τών αιώνων, εκ Πατρός γεννηθέντι αρρεύστως Υιώ, καί επ' εσχάτων εκ Παρθένου, σαρκωθέντι ασπόρως, Χριστώ τώ Θεώ βοήσωμεν, Ο ανυψώσας τό κέρας ημών, Άγιος εί Κύριε».

Η Υπακοή Ήχος πλ. δ'

Άγγελος Παίδων εδρόσιζε κάμινον, νύν δέ γυναικών κλαυθμόν διεκώλυε, λέγων, Τί επιφέρεσθε μύρα; τίνα ζητείτε εν τάφω; ανέστη ο Χριστός καί Θεός, υπάρχει γάρ ζωή καί σωτηρία, τού γένους τών ανθρώπων.

Τών Πατέρων

Ωδή δ'  ο Ειρμός

Τήν εν Σταυρώ σου θείαν κένωσιν, προορών Αββακούμ, εξεστηκώς εβόα. Σύ δυναστων διέκοψας, κράτος Αγαθέ, ομιλών τοίς εν άδου ώς παντοδύναμος. (Δίς)

Η εν τώ άδη θεία κάθοδος, σού Χριστέ ο Θεός, νεκροίς ζωή εδείχθη, σύ γάρ εχθρούς εδέσμευσας, κάτω αγαθέ, καί ουράνιον τρίβον, ανθρώποις ήνοιξας. (Δίς)

Τά τών Πατέρων ακροθίνια, Αβραάμ Ισαάκ, καί Ιακωβ τιμώμεν, ότι αυτών εκ σπέρματος, έλαμψε Χριστός, σαρκωθείς εκ Παρθένου, ως Παντοδύναμος.

Προϋπογράφων τά εσόμενα, τή καθόδω Χριστού, ο Δανιήλ τούς θήρας ως πρόβατα απέδειξε, πάσιν εναργώς, ως προέγνω τό μέλλον, οία Προφήτης Θεού.

Τής αμαρτίας μή σπασάμενοι, τόν Ιόν εκ φλογός, ερρύσθησαν οι Παίδες, χρυσίου γάρ υπέρτιμοι, όντες αληθώς, εν καμίνω τής πλάνης, ουκ εχωνεύθησαν.

Θεοτοκίον

Μεγαλοφώνως προκηρύττεται, προσδοκία Εθνών, καί σωτηρία κόσμου, ο υπέρ φύσιν τόκος σου, άχραντε σεμνή, όν υμνεί τών Πατέρων, όμιλος σήμερον.

Προεόρτιος

Ράβδος εκ τής ρίζης, Ιεσσαί

Ράβδος εκ τής ρίζης, Ιεσσαί, Παρθένος ανεβλάστησας, άνθος ανθήσασα αμάραντον, τόν πάντων Δημιουργόν, τόν τήν γήν τοίς άνθεσι, πάσαν ως Θεός κατακοσμούντα, αναβοώσαν αυτώ. Δόξα τή δυνάμει σου Κύριε.

Βρώσει με κλαπέντα πονηρά, καί γνώμη ολισθαίνοντα, όμοιωθέντα τοίς αλόγοις τε, ο Λόγος ο τού Θεού, ήλθες ανακτώμενος, βρέφος γεγονώς, καί επί φάτνης, αλόγων ανακλιθείς, Δόξα τή δυνάμει σου Κύριε.

Θεοτοκίον

Όρους κατασκίου Ιησού, Παρθένου σε σαρκούμενον, ο Αββακούμ προεθεάσατο, τά όρη τά πονηρά, καί βουνούς συντρίβοντα, καί αφανισμώ παραδιδόντα, επάρσεις τού πονηρού, καί τά τών δαιμόνων υψώματα.

Καταβασία

«Ράβδος εκ τής ρίζης Ιεσσαί, καί άνθος εξ αυτής Χριστέ, εκ τής Παρθένου ανεβλάστησας, εξ όρους ο αινετός, κατασκίου δασέος, ήλθες σαρκωθείς εξ απειράνδρου, ο άυλος καί Θεός, Δόξα τή δυνάμει σου, Κύριε».

Τών Πατέρων

Ωδή ε' ο Ειρμός

«Θεοφανείας σου Χριστέ, τής πρός ημάς συμπαθώς γενομένης, Ησαίας φώς ιδών ανέσπερον, εκ νυκτός ορθρίσας εκραύγαζεν. Αναστήσονται οι νεκροί, καί εγερθήσονται οι εν τοίς μνημείοις, καί πάντες οι γηγενείς αγαλλιάσονται». (Δίς)

Τό εξαστράπτον τής χαράς, υποτυπών εμφανώς ο Άγγελος, εν τώ τάφω λαμπροφόρος δείκνυται, Γυναιξί κηρύττων ανάστασιν, καί αφέμεναι τού κλαυθμού, ηγαλλιάσαντο, Χριστού αναστάντος, τό χαίρετε Αποστόλοις διαγγέλλουσαι. (Δίς)

Τήν τών Πατέρων απαρχήν, ως αρχηγόν νόμου καί τής Χάριτος, Αβραάμ τόν Πατριάρχην σήμερον, συνελθόντες πίστει τιμήσωμεν, ως Προφήτης γάρ τού Θεού, προκατηγγείλατο Χριστόν εκ Παρθένου, καί τούτου προϋπαντά τήν θείαν Γέννησιν.

Προϋπογράφοντες τρανώς, τήν πρός ημάς τού Κυρίου έλευσιν, οι Αγγέλου παρουσίας έσβεσαν, Αβραάμ οι Παίδες τήν κάμινον, καί ατμίδα δρόσου τό πύρ, απεργασάμενοι εν τούτω τή πίστει, εικόνος χρυσής δόξαν εχώνευσαν.

Έφραξε στόματα θηρών, ο Δανιήλ εν τώ λάκκω Πνεύματι, τού πυρός δέ τήν ισχύν κατέσβεσαν, Αβραάμ οι Παίδες τή χάριτι, καί σωθέντες ούτοι φθοράς, προκαταγγέλλουσι Χριστόν εκ Παρθένου, αιτούντες ως λυτρωτήν τήν σωτηρίαν ημών.

Θεοτοκίον

Εν θείω Πνεύματι δηλών, τήν εξ ημών απαθώς σου πρόσληψιν, Ησαϊας ανεβόα Κύριε, γρηγορών τώ νόμω τής χάριτος, Τόν έκ γένους μέν Αβραάμ, εκ τής Ιούδα δέ φυλής κατά σάρκα, Παρθένος άνευ σποράς, έρχεται τίκτουσα.

Προεόρτιος

Θεός ών ειρήνης

Ο φύσει Δεσπότης, εν δούλοις τελείς, ο Υιός τού Θεού ο παντέλειος, ευδόκησας δι' έλεος, καλείσθαι καί Υιός, ανθρώπου Πανοικτίρμον, διό εν τώ Σπηλαίω , εκουσίως πτωχεύσας, έρχη τεχθήναι Υπεράγαθε.

Αχώρητε φύσει, Χριστέ Βασιλεύ, πώς μικρόν σε εισδέξεται Σπήλαιον; πώς φάτνη σε δυνήσεται, χωρήσαι Ιησού; Μητρός εξ απειράνδρου, σαρκί επιδημούντα, εις τά ίδια όπως, τούς ξενωθέντας σώσης Κύριε.

Αμνάς τόν ποιμένα, προήλθε τεκείν, ευτρεπίζου τό άγιον Σπήλαιον. Ποιμένες επισπεύσατε, Ποιμένα καί Αμνόν τεχθέντα θεωρήσαι, οι Μάγοι μετά δώρων, ευτρεπίσθητε τούτον, ως Βασιλέα προσκυνήσαι σαρκί.

Καταβασία

«Θεός ών ειρήνης, Πατήρ οικτιρμών, τής μεγάλης Βουλής σου τόν Άγγελον, ειρήνην παρεχόμενον, απέστειλας ημίν, όθεν θεογνωσίας, πρός φώς οδηγηθέντες, εκ νυκτός ορθρίζοντες, δοξολογούμέν σε, Φιλάνθρωπε». (Δίς)

Τών Πατέρων

Ωδή ς' ο Ειρμός

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι. Ανάγαγε, εκ φθοράς τήν ζωήν μου Πολυέλεε». (Δίς)

Θανάτου τήν νέκρωσιν, καί τού άδου αγαθέ, ειργάσω τήν καθαί ρεσιν, τριημέρω ταφή σου θεοπρεπώς, ζωήν δέ επήγασας, αναστάς τοίς εν κόσμω Ιησού Βασιλεύ. (Δίς)

Ο τρόπος φιλόξενος, η δέ πίστις υψηλή, Αβραάμ τού προπάτορος, όθεν θείον μυστήριον τυπικώς, δεξάμενος έχαιρε, τού Χριστού δέ προτρέχων νύν αγάλλεται.

Τήν κτίσιν υπέταξε, νύν η πίστις τοίς Παισί, τή δωρεά τού Πνεύματος, τό γάρ πύρ το παμφάγον καί αναιδές, ηδέσθη τούς σέβοντας, τού πυρός τόν εργάτην, Ιησούν τόν Χριστόν.

Τού κόσμου τό άγριον, τή ελεύσει τού Χριστού, ρυθμίζεσθαι υπέφηνεν, ειρήνην πρός τήν θείαν θεοπρεπώς, φιμώσας τούς λέοντας, Δανιήλ ο Προφήτης εν τώ λάκκω ποτέ.

Θεοτοκίον

Νηδύος εκύησας, εκ Παρθένου τόν Χριστόν, Μαρία Μήτηρ άνανδρε, όν είδον οι Προφήται θεοπτικώς, αυτού προχορεύουσιν, οι Πατέρες νυνί δέ τά Γενέθλια.

Προεόρτιος

Σπλάγχνων Ιωνάν

Νέος ουρανός, υπάρχουσα Δέσποινα, εκ μήτρας τής σής, ως εκ νεφέλης Χριστόν, δόξης Ήλιον, ανατείλαι επείγη Σπηλαίω σαρκί, ως μέλλοντα ταίς λάμψεσι, ταίς εαυτού σαφώς, πάντα τά τής γής πληρώματα, κραυγάζειν δι' οίκτον αμέτρητον.

Είδες τήν ημών, οδύνην καί κάκωσιν οικτίρμον Χριστέ, καί ου παρείδες ημάς, αλλ' εκένωσας, σεαυτόν μή εκστάς τού Γεννήτορος, καί εσκήνωσας εις μήτραν απειρόγαμον, ήτις ανωδίνως τέξεσθαι; σέ σαρκί εν Σπηλαίω προέρχεται.

Όρη καί βουνοί, πεδία καί φάραγγες, λαοί καί φυλαί, έθνη καί πάσα πνοή, αλαλάξατε, ευφροσύνης ενθέου πληρούμενα, ήλθε πάντων επεδήμησεν η λύτρωσις, Λόγος τού Θεού ο άχρονος, υπό χρόνον δι' οίκτον γενόμενος.

Καταβασία

«Σπλάγχνων Ιωνάν, έμβρυον απήμεσεν, ενάλιος θήρ, οίον εδέξατο, τή Παρθένω δέ, ενοικήσας ο Λόγος καί σάρκα λαβών, διελήλυθε φυλάξας αδιάφθορον, ής γάρ, ουχ υπέστη ρεύσεως, τήν τεκούσαν, κατέσχεν απήμαντον».

Κοντάκιον

Τών Πατέρων Ήχος πλ. β'

Χειρόγραφον εικόνα μή σεβασθέντες, αλλ' αγράφω ουσία θωρακισθέντες, Τρισμακάριοι εν τώ σκάμματι, τού πυρός εδοξάσθητε, εν μέσω δέ φλογός ανυποστα, του ιστάμενοι, Θεόν επεκαλείσθε. Τάχυνον ο οικτίρμων, καί σπεύσον ως ελεήμων, εις τήν βοήθειαν ημών, ότι δύνασαι βουλόμενος.

Ο Οίκος

Εκτεινόν σου τήν χείρα, ής πάλαι έλαβον πείραν Αιγύπτιοι πολεμούντες, καί Εβραίοι πολεμούμενοι, μή καταλίπης ημάς, καί καταπίη ημάς θάνατος, ο διψών ημάς, καί Σατάν ο μισών ημάς, αλλ' έγγισον ημίν, καί φείσαι τών ψυχών ημών, ως εφείσω ποτέ τών Παίδων σου, τών εν Βαβυλώνι απαύστως ανυμνούντων σε, καί βληθέντων υπέρ σού εις τήν κάμινον, καί εκ ταύτης κραυγαζόντων σοι. Τάχυνον ο οικτίρμων, καί σπεύσον ως ελεήμων, εις τήν βοήθειαν ημών, ότι δύνασαι βουλόμενος.

Έτερον Κοντάκιον, Προεόρτιον
Ήχος α'  Χορός Αγγελικός

Ευφραίνου Βηθλεέμ, Ευφραθά ετοιμάζου, ιδού γάρ η Αμνάς, τόν Ποιμένα τόν μέγαν, εν μήτρα βαστάζουσα, τού τεκείν κατεπείγεται, όνπερ βλέποντες, οι θεοφόροι Πατέρες, επαγάλλονται, μετά Ποιμένων υμνούντες, Παρθένον θηλάζουσαν.

Ο Οίκος

Τής σής Παρθένε κυήσεως τήν λαμπρότητα, καθορώντες εκλάμπουσαν, Αβραάμ ο φιλόθεος, καί Ισαάκ ο αοίδιμος, καί Ιακώβ, καί πάς ο θεοσύλλεκτος χορός τών αγίων αγάλλεται, καί τήν κτίσιν προσήγαγον, πρός σήν υπάντησιν, εν χαρμοσύναις λέξεσι. Χαράς γάρ πρόξενος πάσιν ώφθης, εν μήτρα συλλαβούσα, τόν ποτέ εν Βαβυλώνι οραθέντα, καί τούς Παίδας, τούς εν τή καμίνω αδίκως βληθέντας, αφλέκτους συντηρήσαντα υπέρ πάσαν έννοιαν. Διό καί αναμέλπουσι τόν ορώμενον εν χερσί νεάνιδος, υμνούντες Παρθένον θηλάζουσαν.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή αυτή ημέρα, Κυριακή πρό τής Χριστού γεννήσεως, μνήμην άγειν ετάχθημεν παρά τών Αγίων καί θεοφόρων Πατέρων ημών, πάντων τών απ' αιώνος Θεώ ευαρεστησάντων, από Αδάμ άχρι καί Ιωσήφ τού μνήστορος τής Υπεραγίας Θεοτόκου, κατά γενεαλογίαν, καθώς ο Ευαγγελιστής Λουκάς ιστορικώς ηριθμήσατο, ομοίως καί τών Προφητών καί τών Προφητίδων.

Μνήμη τών πρωτοπλάστων Αδάμ καί Εύας.

Στίχοι

- Υμνώ θανόντας ζών γένους αρχηγέτας,
- Τού ζήν με καί θνήσκειν με τούς παραιτίους.

Μνήμη τού δικαίου Άβελ, υιού τού Αδάμ.

Στίχοι

- Βοά Θεώ σόν αΙμα καί ψυχής δίχα,
- Ώ πρώτε νεκρών, πρώτε καί σεσωσμένων.

Μνήμη τού δικαίου Σήθ, υιού Αδάμ.

Στίχοι

- Σήθ σπέρμα καινόν τοίς γονεύσιν αντ' Άβελ,

- Άνθρωπος ων δίκαιος, οίος ήν Άβελ.

Μνήμη τού δικαίου Ενώς, υιού Σήθ.

Στίχοι

- Οφθείς Ενώς μέγιστος εκ τής ελπίδος,
- Πολλοίς ενήκε ζήλον εις τήν ελπίδα.

Μνήμη τού δικαίου Καϊνάν υιού, Ενώς.

Στίχοι

- Βίβλω Καϊνάν Μωσέως γεγραμμένος,
- Καν τώ παρόντι χρή γραφήναι βιβλίω.

Μνήμη τού δικαίου Μαλελεήλ, υιού Καϊνάν.

Στίχοι

- Εξής προκείσθω Μαλελεήμ τώ λόγω.
- Υιός Καϊνάν, ού προεμνήσθη λόγος.

Μνήμη τού δικαίου Ιάρεδ, υιού Μελελεήλ.

Στίχοι

- Δίκαιον όντως εν δικαίων πληθύϊ,
- Καί τού δικαίου μνημονεύειν Ιάρεδ.

Μνήμη τού δικαίου Ενώχ, υιού, Ιάρεδ.

Στίχοι

- Θεώ προδήλως ευαρεστήσας λόγω,
- Ενώχ αδήλοις εγκατω κίσθη τόποις.

Μνήμη τού δικαίου Μαθουσάλα, υιού Ενώχ.

Στίχοι

- Ενώχ σε τέκνον εκμαθών Μαθουσάλα,
- Έγραψα πρός μάθησιν άλλων ενθάδε.

Μνήμη τού δικαίου Λάμεχ, υιού Μαθουσάλα.

Στίχοι

- Λάμεχ, δύο γνούς, δείν έγνων, τιμάν ένα,
- Ου τόν φονευτήν, αλλ' ομωνύμως Λάμεχ.

Μνήμη τού δικαίου Νώε, υιού Λάμεχ.

Στίχοι

- Αδάμ βροτοίς όλεθρον εκ ξύλου φέρει.
- Διά ξύλου δέ Νώε πάν σώζει γένος.

Μνήμη τού δικαίου Σήμ, υιού Νώε.

Στίχοι

- Σήμ πατρικήν γύμνωσιν εμφρόνως σκέπων,
- Τάς πατρικάς εφεύρεν ευχάς εις σκέπην.

Μνήμη τού δικαίου Ιάφεθ, υιού Νώε.

Στίχοι

- Μή θείς, Ιάφεθ Πατρός αισχύνη πλάτος,
- Βίου πλατυσμόν ευχαίς Πατρός λαμβάνει.

Μνήμη τού δικαίου Αρφαξάδ, υιού Σήμ.

- Ζή Κύριος ζών, ου τόν Αρφαξάδ λίπω,
- Καί γάρ χρεών καί τούτον ενταύθα γράφειν.

Μνήμη τού δικαίου Καϊνάν, υιού Αρφαξάδ.

Στίχοι

- Καϊνάν ημίν εξεγήγερται νέος,
- Τώ πρίν Καϊνάν, εμφερής εκ τού τρόπου.

Μνήμη τού δικαίου Σάλα, υιού Καϊνάν.

Στίχοι

- Συμπατριωτών ορμαθώ καί συμφύλων,
- Η συγγένεια συνδέει καί τόν Σάλα.

Μνήμη τού δικαίου Έβερ, αφ' ού καί οι Ιουδαίοι Εβραίοι εκλήθησαν.

Στίχοι

- Μέγας τις όντως τοίς Ιουδαίοις Έβερ,
- Δούς εξ εαυτού κλήσιν Εβραίων γένει.

Μνήμη τού δικαίου Φάλεκ, υιού Έβερ.

Στίχοι

- Πανηγυρίζω καί τόν εξ Έβερ τόκον.
- Ως Μωϋσής γάρ φησι, τίκτει τόν Φάλεκ.

Μνήμη Ραγάβ, υιού Φάλεκ.

Στίχοι

- Πάλιν κύησις, καί πάλιν νέος τόκος,
- Υιόν Ραγάβ τεκόντος ημίν τού Φάλεκ.

Μνήμη τού δικαίου Σερούχ, υιού Ραγάβ.

Στίχοι

- Γράφων παλαιών τούς επ' αλλήλων τόκους,
- Άν εκλάθωμαι τόν Σερούχ, αμαρτάνω.

Μνήμη τού δικαίου Ναχώρ, υιού Σερούχ.

Στίχοι

- Γένους υπάρχειν τών άνω λελεγμένων,
- Καί τόν Ναχώρ γνούς ου διϊστώ τού γένους.

Μνήμη τού δικαίου θάρρα, υιού Ναχώρ.

Στίχοι

- Υιός προσελθών εκ Ναχώρ κλήσιν θάρρας,
- Πατήρ υπήρξε πατρός Εθνών μυρίων.

Μνήμη τού δικαίου Πατριάρχου,, Αβραάμ, υιού θάρρα.

Στίχοι

- Τόν Αβραάμ πώς δεξιώσομαι λόγοις,
- Ός ηξιώθη δεξιούσθαι καί Νόας;

Μνήμη τού Πατριάρχου Ισαάκ, υιού Αβραάμ.

Στίχοι

- Δεθείς, Ισαάκ, εις σφαγήν, τύπος γίνη,
- Επί σφαγήν ήξοντος υψίστου Λόγου.

Μνήμη τού Πατριάρχου Ιακώβ υιού Ισαάκ.

Στίχοι

- Διά κλίμακος Ιακώβ, τής Παρθένου,
- Πρός γήν Θεόν χωρούντα πρίν τόκου βλέπει.

Μνήμη τού Πατριάρχου Ρουβίμ, υιού Ισαάκ.

Στίχοι

- Τής υιότητος, Ιακώβ τού τιμίου,
- Ρουβίμ έγνων τόν θείον, αρχήν τιμίαν.

Μνήμη τού Πατριάρχου Συμεών, υιού Ιακώβ.

Στίχοι

- κάν δευτερεύη Συμεων εκ τού τόκου,
- Κλέος παρ' ημίν ου τό δεύτερον φέρει.

Μνήμη τού Πατριάρχου Λευϊ, υιού Ιακώβ.

Στίχοι

- Θεού μεγίστου θείος ών υπηρέτης,
- Τί, Λευϊ, μείζον τής δε τής δόξης θέλεις;

Μνήμη τού Πατριάρχου Ιούδα, υιού Ιακώβ, ού εκ τής φυλής ο Χριστός.

Στίχοι

- Ιούδαν αινέσουσιν οι σεσωσμένοι.
- Εξ Ιούδα γάρ Χριστός η σωτηρία.

Μνήμη τού Πατριάρχου Ζαβουλών, υιού Ιακώβ, ού η φυλή παράλιος.

Στίχοι

- Ακτάς κατοικείν ο Ζαβουλών εκρίθη,
- Γής καί θαλάττης εις έν άκρα συνδέων.

Μνήμη τού Πατριάρχου Ισάχαρ, υιού Ιακώβ, ού η φυλή γηπόνος.

Στίχοι

- Στήσας εαυτόν εις τό πονείν Ισάχαρ,
- Ζωήν συνιστά, γήθεν άρτον εκφέρων.

Μνήμη τού Πατριάρχου Δάν, υιού Ιακώβ, ού η φυλή κριτής.

Στίχοι

- Λαού κριτής Δάν, γλώττα τής εξουσίας
- Ζυγοίς δικαίοις πάσιν εξάγων κρίσιν.

Μνήμη τού Πατριάρχου Γάδ, υιού Ιακώβ, ού η φυλή ληστευομένη ή ληστεύουσα.

Στίχοι

- Γάδ πειρατευθείς, πειρατεύων εκτρέχει,
- Νίκαις δέ πάντων πειρατών κατισχύει.

Μνήμη τού Πατριάρχου Ασήρ, υιού Ιακώβ, ού η φυλή πλουσία επί χώραις σιτοφόροις.

Στίχοι

- Ασήρ δέ, φησί, πίονα πλουτεί στάχυν,
- Τρέφει τε τούς άρχοντας άρτω πλουσίω.

Μνήμη τού Πατριάρχου Νεφθαλείμ, υιού Ιακώβ, ού η φυλή πολύ πλήθος.

Στίχοι

- Ως έρνος όντως Νεφθαλείμ ανειμένον
- Εις πλήθος αυτώ τής φυλής ηπλωμένης.

Μνήμη τού Πατριάρχου Ιωσήφ, υιού Ιακώβ, ού η φυλή περίδοξος καί περιφανής.

Στίχοι

- Ηυξημένον σε, σός Πατήρ είναι λέγων,
- Δόξαν φυλής σής, Ιωσήφ, διαγράφει.

Μνήμη τού Πατριάρχου Βενιαμίν, υιού Ιακώβ, ού η φυλή από αγρίας πραεία.

Στίχοι

- Φαγών τό πρωϊ Βενιαμίν, ως λύκος,
- Πράος φανείς, δίδωσι βρώσιν εσπέρας.

Μνήμη Φαρές καί Ζαρά τών διδύμων, υιών Ιούδα τού Πατριάρχου.

Στίχοι

- Κοινώς επαινώ σπέρμα κοινόν Ιούδα
- Φαρές Ζαρά τε, τούς διδύμους συγγόνους.

Μνήμη Εσρώμ, υιού Φαρές.

Στίχοι

- Εκ Φαρές Εσρώμ, ώσπερ εκ ρίζης κλάδος,
- Άμφω δέ ρίζης Αβραάμ θείοι κλάδοι.

Μνήμη Αράμ, υιού Εσρώμ.

Στίχοι

- Γέγηθεν Εσρώμ, ου νοσών ατεκνίαν.
- Αράμ γάρ αυτώ τέκνον ηγαπημένον.

Μνήμη Αμιναδάβ, υιού Αράμ.

Στίχοι

- Τόν Αμιναδάβ εξ Αράμ φύναι λόγος.
- Τούτου γάρ υιόν η Γραφή τούτον λέγει.

Μνήμη Ναασών, υιού Αμιναδάβ.

Στίχοι

- Εις καί Ναασών τής, Ιούδα φατρίας,
- Εξ Αμιναδάβ τής φυλής εξ, Ιούδα.

Μνήμη Σαλμών, υιού Ναασών.

Στίχοι

- Ηύξησε σειράν Αβραμιαίου γένους
- Σαλμών προελθών τής Ναασών Οσφύος.

Μνήμη Βοόζ, υιού Σαλμών.

Στίχοι

- Ευαγγελιστά, τούδε Σαλμών υιέα,
- Τίνα γράφεις σύ; Τόν Βοόζ, φησί, γράφω.

Μνήμη Ωβήδ, υιού Βοόζ, τού εκ τής Ρούθ γεννηθέντος.

Στίχοι

- Εκ Ρούθ μέν Ωβήδ, τήν φυλήν Μωαβίτης,
- Εκ τού Βοόζ δέ δήλος, Ισραηλίτης.

Μνήμη Ιεσσαί, υιού Ωβήδ.

Στίχοι

- Ιεσσαί τίκτε, τικτέτω καί σόν γένος,

- Έως απ' αυτού Παίς Θεός τεχθή μέγας.

Μνήμη Δαυϊδ Βασιλέως, υιού Ιεσσαί.

Στίχοι

- Εγώ τί φήσω, μαρτυρούντος Κυρίου,
- Τόν Δαυϊδ εύρον, ως εμαυτού καρδίαν;

Μνήμη Σολομώντος Βασιλέως, υιού Δαυίδ.

Στίχοι

- Σοφός Σολομών πρώτος εν σοφοίς βίου,
- Έχων τό πρώτον τών καλών τών τού βίου.

Μνήμη Ροβοάμ Βασιλέως, υιού Σολομώντος.

Στίχοι

- Εγκώμιόν σοι Ροβοάμ, πλέκω μέγα,
- Σόν πάππον είναι τόν μέγαν Δαυϊδ λέγων.

Μνήμη Αβιά Βασιλέως, υιού Ροβοάμ.

Στίχοι

- Βοά Ροβοάμ πρός τόν Αβιά λέγων.
- Εγώ Πατήρ σός, καί σύ μου τό τεκνίον.

Μνήμη Ασά Βασιλέως, υιού Αβιά.

Στίχοι

- Ευθή τόν Ασά μηνύει Βασιλέα,
- Η τετράτιτλος τών Βασιλειών βίβλος.

Μνήμη Ιωσαφάτ Βασιλέως, υιού Ασά.

Στίχοι

- Ιωσαφάτ τά πάντα χρηστός εν βίω
- Ευρών αφορμάς πατρόθεν χρηστού βίου.

Μνήμη Ιωράμ Βασιλέως, υιού Ιωσαφάτ.

Στίχοι

- Ιωράμ ημίν εξ Ιωσαφάτ έφυ.
- Υός Βασιλεύς, εκ πατρός Βασιλέως.

Μνήμη Οζίου Βασιλέως, υιού Ιωράμ.

Στίχοι

- Ανήκε καρπόν ευγενή τόν Οζίαν,
- Άναξ Ιωράμ, Ιωσαφάτ ο κλάδος.

Μνήμη Ιωάθαμ Βασιλέως, υιού Οζίου.

Στίχοι

- Τόν Ιωάθαμ, ως νεοττόν Οζίου,
- Τής βασιλείας η καλιά λαμβάνει.

Μνήμη Άχαζ Βασιλέως, υιού Ιωάθαμ.

Στίχοι

- Τό τής κεφαλής στ' έμμα Ιωάθαμ,
- Στέφει κεφαλήν ευπρεπώς καί τήν Άχαζ.

Μνήμη Εζεκίου Βασιλέως, υιού Άχαζ.

Στίχοι

- Σοβεί τελευτήν δακρύσας Εζεκίας.
- Τοσούτον ισχύουσι ρείθρα δακρύων!

Μνήμη Μανασσή Βασιλέως, υιού Εζεκίου.

Στίχοι

- Σωτηριώδες πρός μετάγνωσιν βάθρον,
- Μανασσής ημίν τήν προσευχήν πηγνύει.

Μνήμη Αμμών Βασιλέως, υιού Μανασσή.

Στίχοι

- Αμμών κυηθείς τής αλουργίδος μέσον,
- Ήν καί Βασιλεύς, καί Βασιλείας τέκνον.

Μνήμη Ιωσίου Βασιλέως, υιού Αμμών.

Στίχοι

- Ιωσίας έναντι τού Θεού μέγας,
- Όν γνούς επαινείν, δειλιών μή σμικρύνω.

Μνήμη Ιεχονίου Βασιλέως, υιού, Ιωσίου.

Στίχοι

- Εν Βαβυλώνος τή μετοικία λόγος,
- Ιεχονίαν εμπαροικήσαι βίω.

Μνήμη Σαλαθιήλ, υιού Ιεχονίου.

Στίχοι

- Πρώτον μετ' αυτήν τήν μετοικίαν τέκνον
- Τόν Σαλαθιήλ Ιούδα φυλή φύει.

Μνήμη Ζοροβάβελ, τού τόν Ναόν τών Ιεροσολύμων καυθέντα ανεγείραντος.

Στίχοι

- Ναβουζαρδάν έκαυσε Ναόν Κυρίου,
- Ού καύσιν ήρε κτίσματι Ζοροβάβελ.

Μνήμη Αβιούδ, υιού Ζοροβάβελ.

Στίχοι

- Αβιούδ όρπηξ, ού φυή Ζοροβάβελ.
- Ως τήν φυήν ούν, καί τόν όρπηκα γράφω.

Μνήμη Ελιακείμ, υιού Αβιούδ.

Στίχοι

- Τόν Ελιακείμ Αβιούδ γράφει γόνον,
- Ματθαίος ημίν, ακριβής γονογράφος.

Μνήμη Αζώρ, υιού Ελιακείμ.

Στίχοι

- Ο θείος Αζώρ εξ Ελιακείμ έφυ,
- θεία Γραφή λέγουσα τούτο πεισάτω.

Μνήμη Σαδώκ, υιού Αζώρ.

Στίχοι

- Αζώρ κυϊσκων τόν Σαδώκ ού λανθάνει,
- Όν συγγραφεύς γνούς εκκαλύπτει τόν τόκον.

Μνήμη Αχείμ, υιού Σαδώκ.

Στίχοι

- Τοίς τού Σαδώκ ζητούσιν υιόν, Ματθαίος,
- Δείξει τόν Αχείμ, εκβαλών τό βιβλίον.

Μνήμη Ελιούδ, υιού Αχείμ.

Στίχοι

- Τεχθείς απ' Αχείμ, Ελιούδ ώφθη τέκνον,
- Οφθήσεται δέ καί πατήρ τεκνοτρόφος.

Μνήμη Ελεάζαρ, υιού Ελιούδ.

- Ιδού τεκόντα καί τόν Ελιούδ έγνων,
- Ελεάζαρον τέκνον, εί βούλει, μάθε.

Μνήμη Ματθάν, υιού Ελεάζαρ.

Στίχοι

- Ελεάζαρ δέ τόν Ματθάν γεννάν λέγει,
- Μαιευτρίας άκουε, Ματθαίου Βίβλου.

Μνήμη Ιακώβ, υιού Ματθάν.

Στίχοι

- Καί Ματθάν εισήνεγκεν υιόν εις βίον
- Τόν Ιακωβ γάρ εισενεγκών ευρέθη.

Μνήμη Ιωσήφ τού Μνήστορος, υιού Ιακώβ.

Στίχοι

- Μνηστήρ Ιωσήφ, ώ τό Πνεύμα πρό γάμου,
- Μνηστήν εκείνου, συλλαβούσαν δεικνύει.

Μνήμη τού δικαίου Μελχισεδέκ.

Στίχοι

- Έχει Γραφή πατρός σε καί μητρός δίχα,
- Χριστού τυπούντα Μελχισεδέκ τούς τόκους.

Μνήμη τού δικαίου Ιώβ.

Στίχοι

- Ύψιστον ευρών αξίως επαινέτην,
- Ιώβ επαίνων ου δέη τών γηϊνων.

Μνήμη τού Προφήτου Μωσέως, καί Ώρ καί Ααρών τών Ιερέων.

Στίχοι

- Σύν Ώρ Ααρών προγράφει Χριστού πάθος,
- Υψούντες άμφω σταυρικώς τόν Μωσέα.

Μνήμη Ιησού τού Ναυή.

Στίχοι

- Υμνείν Ιησούν ποίος αρκέσει λόγος,
- Ω συλλαλών υπήρχε καί Θεός Λόγος;

Μνήμη τού Αγίου Προφήτου Σαμουήλ.

Στίχοι

- Οφθαλμόν ημίν ευμενή Θεού τίθει,
- Οφθαλμέ θείε, καί τά μέλλοντα βλέπων.

Μνήμη τού Προφήτου Νάθαν.

Στίχοι

- Αμαρτιών έλεγχος οξύς ών Νάθαν,
- Ημάρτομεν λέγουσι, συγγνώμην νέμοις.

Μνήμη τού Αγίου Προφήτου Δανιήλ.

Στίχοι

- Καί θηρία φρίττουσιν αρετής φίλον.
- Έργοις Δανιήλ τούτο πιστούται μέγας.

Μνήμη τών Αγίων, τριών Παίδων.

Στίχοι

- Καί πύρ, τό πύρ ήν τής καμίνου, καί δρόσος.

- Πρός δυσσεβείς πύρ, πρός δέ τούς Παίδας δρόσος.

Μνήμη τής δικαίας Σάρρας, γυναικός Αβραάμ.

Στίχοι

- Νεύσει Θεού καί στείρα νικάται φύσις.
- Καί μάρτυς ωδίνουσα Σάρρα παιδίον.

Μνήμη τής δικαίας Ρεβέκκας, γυναικός Ισαάκ.

Στίχοι

- Καί τήν αρίστην τών γυναικών Ρεβέκκαν,
- Άριστος εύρεν ανδρών κοινόν λέχους.

Μνήμη τής δικαίας Λείας, πρώτης γυναικός, Ιακώβ.

Στίχοι

- Λείας προσώπω Κύριος μή δούς χάριν,
- Κυήσεως δίδωσι τή μήτρα χάριν.

Μνήμη τής δικαίας Ραχήλ, δευτέρας γυναικός, Ιακώβ.

Στίχοι

- Θεούς πατρώους η Ραχήλ κλέπτει πόθω,
- Εν εσχάτω δέ τόν Θεόν ποθεί Λόγον.

Μνήμη τής δικαίας Ασινέθ, γυναικός, Ιωσήφ τού παγκάλου.

Στίχοι

- Κάλλει παρήλθεν ήλιος μέν αστέρας,
- Η δ' Ασινέθ μοι τάς υφ' ήλιον κόρας.

Μνήμη τής δικαίας Μαρίας, αδελφής Μωϋσέως.

Στίχοι

- Άσωμεν, ειπέ, καί πάλιν τώ Κυρίω,
- Ψυχής κροτούσα τύμπανον νύν Μαρία.

Μνήμη τής δικαίας Δεβόρρας τής κρινάσης τόν Ισραήλ.

Στίχοι

- Υπέρ γυναίκας η Δεβόρρα τήν φρένα,
- Βάθει φρενός κρίνουσα λαόν Κυρίου.

Μνήμη τής δικαίας Ρούθ.

Στίχοι

- Έθνος λιπούσα Ρούθ εαυτής καί σέβας,
- Έθνει προσήλθε καί Θεώ τού Μωσέως.

Μνήμη τής δικαίας Σαραφθίας, πρός ήν Ηλίας απεστάλη.

Στίχοι

- Άσπαρτον είχε τήν τροφήν Σαραφθία,
- Καινόν λαχούσα λήϊνον τόν Ηλίαν.

Μνήμη τής δικαίας Σωμανίτιδος τής ξενοδοχησάσης τόν Ελισαίον.

Στίχοι

- Ελισαίος σοι κλείθρα νηδύος λύει,
- Ω κλείθρα Σωμανίτις ήνοιξας δρόμου.

Μνήμη τής δικαίας Ιουδίθ, τής ανελούσης τόν Ολοφέρνην.

Στίχοι

- Όν πάς ανήρ έφριττε, δεινόν οπλίτην,
- Γυνή καθείλεν, Ιουδίθ, Ολοφέρνην.

Μνήμη τής δικαίας Εσθήρ, τής λυτρωσαμένης τόν Ισραήλ εκ θανάτου.

Στίχοι

- Έσωσεν Εσθήρ άνδρας Ισραηλίτας,
- Άδου κυνήν μέλλοντας ενδύναι πάλαι.

Μνήμη τής δικαίας Άννης, τής μητρός Σαμουήλ τού Προφήτου.

Στίχοι

- Ευχής τέκνον τεκούσα Σαμουήλ μέγαν,
- Νικά Φενάνναν, Άννα πολλήν εν τέκνοις.

Μνήμη τής δικαίας Σωσάννης.

Στίχοι

- Κανών πρόκειται σωφρονούσαις εν βίω,
- Ο τής Σωσάννης σωφρονέστατος βίος.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον καί σώσον ημάς. Αμήν.

Τών Πατέρων

Ωδή ζ' ο Ειρμός

«Άφραστον θαύμα! ο εν καμίνω ρυσάμενος, τούς Οσίους Παίδας εκ φλογός, εν τάφω νεκρός, άπνους κατατίθεται, εις σωτηρίαν ημών τών μελωδούντων. Λυτρωτά ο Θεός ευλογητός εί». (Δίς)

Ω ξένον θαύμα! ο εν υψίστοις καθήμενος, επί θρόνου, Κύριος αυτός, προσλήψει σαρκός, θάνατον υπέμεινεν, αλλ' εξανέστη θεότητος Ισχύϊ, συνεγείρας νεκρούς τούς απ' αιώνος. (Δίς)

Χριστόν γεννήσας τό κατά σάρκα τής πίστεως, αρχηγέτα Πάτερ, Αβραάμ, εδείχθης Εθνών, Πνεύματι Πατήρ εναργώς, εις σωτηρίαν ημών τών μελωδούντων. Λυτρωτά ο Θεός ευλογητός εί.

Αψύχων ήχους, διακενής αλαλάζοντας, τών εμψύχων, ήμβλυνεν ωδή, καμίνου γάρ πύρ, φλεγομένοις σώμασι, καταπατούντες οι Παίδες αλωβήτως, ανεβόων. ο Θεός ευλογητός εί.

Τή θεωρία ενατενίσας τού Πνεύματος, ο Προφήτης, πάλαι Δανιήλ, Χριστού προτυποί, τήν δευτέραν έλευσιν, καί τά εν ταύτη φρικτά προκαταγγέλλει, εκβοών, ο Θεός ευλογητός εί.

Θεοτοκίον

Τό ξένον θαύμα, τό εν Προφήταις θρυλούμενον, καί πατράσι, πάλαι εμφανώς, Παρθένος Αγνή, τεξομένη πάρεστιν, εις σωτηρίαν ημών τών μελωδούντων. Λυτρωτά ο Θεός ευλογητός εί.

Προεόρτιος  Οι Παίδες ευσεβεία

Η άμπελος η θεία, τόν ακήρατον βότρυν περκάζουσα, εγγίζει ήκει τού τεκείν, ευφροσύνης οίνον βλύζοντα, καί ποτίζοντα ημάς, αυτώ κραυγάζοντας, ο τών Πατέρων, Θεός ευλογητός εί.

Η θεία μυροθήκη, τό ευώδες μύρον ένδον φέρουσα, εν τώ Σπηλαίω Βηθλεέμ, εκκενώσαι τούτο έρχεται, ευωδίας μυστικής πληρούν τούς μέλποντας, ο τών Πατέρων Θεός ευλογητός εί.

Λαβίς ήν Ησαϊας, ο Προφήτης πάλαι εθεάσατο, τόν θείον άνθρακα Χριστόν, εν κοιλία ήκει φέρουσα, πάσαν ύλην αμαρτίας καταφλέγοντα, τών δέ πιστών τάς ψυχάς φωταγωγούντα.

Καταβασία

«Οι Παίδες ευσεβεία συντραφέντες, δυσσεβούς προστάγματος καταφρονήσαντες, πυρός απειλήν ουκ επτοήθησαν, αλλ' εν μέσω τής φλογός, εστώτες έψαλλον, Ο τών Πατέρων Θεός ευλογητός εί».

Τών Πατέρων

Ωδή η'  ο Ειρμός

«Έκστηθι φρίττων ουρανέ, καί σαλευθήτωσαν, τά θεμέλια τής γής, Ιδού γάρ εν νεκροίς λογίζεται, ο εν υψίστοις Θεός, καί τάφω σμικρώ ξενοδοχείται, όν Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, Λαός υπερυψούτε, εις πάντας τούς αιώνας». (Δίς)

Ω τής αφάτου σου Χριστέ, συγκαταβάσεως, δι' ημάς τούς ταπεινούς! ιδού γάρ θανάτου γευσάμενος, Θεός αθάνατος ών, εν τάφω ως βροτός κατετέθης, αλλ' εξανέστης Λόγε, συνεγείρας τούς κάτω, σέ υπερυψούντας, εις πάντας τούς αιώνας. (Δίς)

Σού τήν σφαγήν προεκτυπών, ο Αβραάμ Χριστέ, όν εγέννησεν υιόν, εν όρει πειθαρχών σοι Δέσποτα, καθάπερ πρόβατον ανήλθε θυσιάσων εν πίστει, αλλ' επανήκε χαίρων, Ισαάκ καί πρεσβύτης, σέ υπερυψούντες, εις πάντας τούς αιώνας.

Φλόξ η ακάματος Χριστέ, ενδυσαμένων σε, ως ιμάτιον τό πύρ, τό θείον, τών Αγίων Παίδων σου, απημαυρώθη σφοδρώς, καί δρόσος τή σή συγκαταβάσει, τοίς ψάλλουσιν ηχείτο, Ιερείς ευλογείτε, Λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Δίδοται λέουσι βορά, αρρήτοις κρίμασιν, ο Προφήτης Δανιήλ, αλλ' έσχεν εγκρατείας δόγμασι, συννηστευτάς ευσεβώς, τούς θήρας εν τώ βόθρω τού λάκκου, αυτού ταίς ικεσίαις, Αβραάμ καί τών Παίδων, σώσον εν ειρήνη, Χριστέ τούς σέ υμνούντας.

Θεοτοκίον

Ον προκατήγγειλαν πιστώς, προφητικαί φωναί, Ιησούν Εμμανουήλ, ανθρώπου εν μορφή ερχόμενον, τόν τού Θεού καί Πατρός, Υιόν τε καί συνάναρχον Λόγον, εκ Πνεύματος Αγίου, η Παρθένος Μαρία, τίκτει απειράνδρως, εν Βηθλεέμ τή πόλει.

Προεόρτιος

Θαύματος υπερφυούς

Δόξα εν υψίστοις Θεώ μετ' Αγγέλων, εκβοήσωμεν εν ευφροσύνη, ο Σωτήρ τεχθήσεται, ο Δεσπότης επιδημεί, όν αστήρ υποδεικνύει Μάγοις σπεύδουσιν, αυτόν επί φάτνης τού θεάσασθαι. Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Δούλοις επεγράφης εκών ο Δεσπότης, τώ τού Καίσαρος υπείκων νόμω, όπως τό ανθρώπινον, τής δουλείας τού πονηρού, ως Θεός ελευθερώσης Πολυέλεε, διό γεγηθότες αναμέλπομεν. Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Βρέφος νέον φέρων σε άναρχε Λόγε, πείραν δέ όλως ανδρός ουκ έγνων, η Παρθένος έλεγεν, απορούσα τίνα εν γή, ονομάσω σου Πατέρα, ουκ επίσταμαι, διό μετά πάντων αναμέλπω σοι, ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Καταβασία

«Θαύματος υπερφυούς η δροσοβόλος, εξεικόνισε κάμινος τύπον, ου γάρ ούς εδέξατο φλέγει Νέους, ώς ουδέ πύρ τής θεότητος, Παρθένου ήν υπέδυ νηδύν, διό ανυμνούντες αναμέλψωμεν, Ευλογείτω η Κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας».

Τών Πατέρων

Ωδή η' ο Ειρμός

«Μή εποδύρου μου Μήτερ, καθορώσα εν τάφω, όν εν γαστρί άνευ σποράς, συνέλαβες Υιόν, αναστήσομαι γάρ καί δοξασθήσομαι, καί υψώσω εν δόξη, απαύστως ως Θεός, τούς εν πίστει καί πόθω, σέ μεγαλύνοντας». (Δίς)

Τί εποδύρη η κτίσις, έν Σταυρώ καθορώσα, καί εν σορώ τόν τής ζωής,

Δεσπότην καί Θεόν, αναστήσεται γάρ καινοποιών σε φαιδρώς, τριημέρω εγέρσει, τον άδην καθελών, καί νεκρούς συνεγείρας, ανευφημούντας αυτόν. (Δίς)

Τών πρό τού νόμου Πατέρων, Εορτήν εκτελούντες, τόν εξ αυτών θεοπρεπώς, τιμώμεν Ιησούν, Αβραάμ γάρ ομού, καί Ισαάκ καί, Ιακώβ, Προφητών καί τού νόμου, εδείχθησαν κρηπίς, καί τής Χάριτος πίστει, πνευματικαί απαρχαί.

Ο εν πυρί υποδείξας, τώ Μωσή εν τή βάτω, τό υπέρ νούν θεοπτικώς, μυστήριον ο Θεός, εν πυρί τοίς Παισί συγκαταβάς ο αυτός, τώ πυρί τής εμφύτου, θεότητος αυτού, τής καμίνου φλόγα, δρόσον απέδειξε.

Τώ Αβραάμ συνελθόντες, οι πανάγιοι Παίδες, καί Δανιήλ ο θαυμαστός, Προφήτης τού Θεού,, Ισαάκ Ιακώβ, μετά Μωσή, Ααρών, τού Χριστού πρό τού τόκου, χορεύουσι πιστώς, δυσωπούντες απαύστως, εις τό σωθήναι ημάς.

Θεοτοκίον

Συγχαίρει πάσα η κτίσις, τώ σώ τόκω Παρθένε, τήν γάρ Εδέμ η Βηθλεέμ, διήνοιξεν ημίν, καί ιδού τής ζωής τού ξύλου άπαντες, απολαύοντες πίστει, βοώμεν εκτενώς. Τάς ημών ικεσίας, Δέσποτα πλήρωσον.

Προεόρτιος

Μυστήριον ξένον

Μυστήρια ξένα, φρικτά καί παράδοξα! ο τής δόξης Κύριος, ήλθεν επί τής γής, καί Σπηλαίω πτωχεύσας υπέδυ σαρκί, τόν Αδάμ ανακαλέσασθαι ζητών, καί τήν Εύαν τών ώδίνων εκλυτρώσασθαι.

Σπαργάνοις σου λύεις, σειράς παραπτώσεων, τή πολλή πτωχεία δέ, πάντας καταπλουτίζεις οικτίρμον, αλόγου κακίας τεθείς, εν φάτνη, τών αλόγων δέ, βροτούς απαλλάττεις, τού Θεού Λόγε προάναρχε.

Θεοτοκίον

Κηρύγματα, τών Προφητών πέρας είληφεν, όν γάρ προεφήτευσαν, ήξειν εν συντελεία τών χρόνων, επέστη εφάνη, Αγνής εκ Παρθένου σωματούμενος, αυτόν διανοία, καθαρά υποδεξώμεθα.

Καταβασία

«Μυστήριον ξένον, ορώ καί παράδοξον! ουρανόν τό Σπήλαιον, θρόνον Χερουβικόν, τήν Παρθένον, τήν φάτνην χωρίον, εν ώ ανεκλήθη ο αχώρητος, Χριστός ο Θεός, όν ανυμνούντες μεγαλύνομεν».

Εξαποστειλάριον

Τοίς Μαθηταίς

Πατριαρχών οι πρόκριτοι, καί πρό νόμου Πατέρες, εν πίστει προεξέλαμψαν, Αβραάμ, Ισαάκ τε, καί Ιακωβ ως φωστήρες, άπαντες γάρ Προφήται, καί Δίκαιοι ανήφθησαν, εξ αυτών ως λαμπάδες, φωτοειδείς, καί τήν Κτίσιν, πάσαν εσκοτισμένην, ακτίσι κατεφώτισαν, τής σεπτής Προφητείας.

Προεόρτιον, όμοιον

Ευφραίνου Βηθλεέμ, καί σύ Ευφραθά ετοιμάζου, η Θεοτόκος ήκει γάρ, εν σπηλαίω καί φάτνη, τεκείν Θεόν απορρήτως. Ώ φρικτού μυστηρίου! ού νύν τήν θείαν Γέννησιν, Αβραάμ Ισαάκ τε, καί Ιακώβ, Πατριάρχαι άπαντες καί Προφήται, φαιδρώς προεορτάζουσι, καί βροτοί σύν Αγγέλοις.

Εις τούς Αίνους Στιχηρά Αναστάσιμα δ' καί τών Αγίων Πατέρων Προσόμοια δ'.

Ήχος πλ. α'
Χαίροις ασκητικών

Αρόν σου τήν φωνήν αληθώς, Σιών Θεού η θεία Πόλις καί κήρυξον, Πατέρων τήν θείαν μνήμην, σύν Αβραάμ, Ισαάκ, Ιακώβ τιμώσα τόν αοίδιμον, ιδού σύν Ιούδα τε, καί Λευϊ μεγαλύνομεν, Μωσήν τόν μέγαν, Ααρών τόν θεσπέσιον, καί γεραίρομεν, σύν Δαυίδ Ιησούν, Σαμουήλ. Πάντες τήν προεόρτιον, Χριστού θείαν αίνεσιν, ύμνοις ενθέοις κροτούντες, τής παρ' αυτού αγαθότητος, τυχείν εξαιτούμεν, τού παρέχοντος τώ κόσμω , τό μέγα έλεος.

Στίχ. Ευλογητός εί Κύριε, ο Θεός τών Πατέρων ημών.

Δεύρο ο εν πυρίνω ποτέ, επιδιφρεύσας Ηλιού θείω άρματι, θεόφρον Ελισαιέ τε, σύν Εζεκία ομού, Ιωσία άμα συναγάλλεσθε, σεπτή δωδεκάς τε, τών Προφητών η θεόπνευστος, τοίς Γενεθλίοις τού Σωτήρος συγχόρευε, καί εν άσμασι, πάντες Δίκαιοι άσατε. Παίδες οι παμμακάριστοι, οι δρόσω τού Πνεύματος, σβέσαντες φλόγα καμίνου, υπέρ ημών ικετεύσατε, ριστόν δυσωπούντες, ταίς ψυχαίς ημών δοθήναι, τό μέγα έλεος.

Στίχ. Ότι δίκαιος εί επί πάσιν, οίς εποίησας ημίν.

Ώφθη η απ' αιώνος εν γή, κηρυττομένη Προφητών εν τοίς φλέγμασι, Παρθένος η Θεοτόκος, ήν Πατριάρχαι σοφοί, καί Δικαίων δήμοι καταγγέλλουσι, μεθ' ών συγχορεύει, καί γυναικών η ευπρέπεια, Σάρρα, Ρεβέκκα, καί Ραχήλ σύν τή Άννη τε, καί η ένδοξος, Μαριάμ η Μωσέως ομού, ταύταις συνεπαγάλλονται, καί κόσμου τά πέρατα, σύμπασα κτίσις γεραίρει, ότι Θεός παραγίνεται, σαρκί τού τεχθήναι, καί δωρήσασθαι τώ κόσμω τό μέγα έλεος.

Δόξα... Τών Πατέρων
Ήχος πλ. δ'

Τών νομικών διδαγμάτων ο σύλλογος, τήν εν σαρκί εμφανίζει τού Χριστού θείαν Γέννησιν, τοίς πρό τού νόμου τήν Χάριν ευαγγελιζομένοις, ως υπέρ νόμον τή πίστει υπάρξασιν, όθεν τής φθοράς απαλλαγής ούσαν πρόξενον, ταίς εν άδη κατεχομέναις ψυχαίς προεκήρυττον, διά τής αναστάσεως. Κύριε δόξα σοι.

Καί νύν...

Υπερευλογημένη υπάρχεις, Θεοτόκε Παρθένε, διά γάρ τού εκ σού σαρκωθέντος, ο Άδης ηχμαλώτισται, ο Αδάμ ανακέκληται, η κατάρα

εζωοποιήθημεν, διό ανυμνούντες βοώμεν. Ευλογητός Χριστός ο Θεός ημών, ο ούτως ευδοκήσας, δόξα σοι.

Δοξολογία Μεγάλη, καί Απόλυσις.

Εις τήν Λειτουργίαν.

Οι Μακαρισμοί, καί εκ τού Κανόνος τών Πατέρων, Ωδή ς'.

---

Αρχή

## ΤΗ ΙΘ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Μάρτυρος Βονιφατίου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'
Έδωκας σημείωσιν

Εύκλειαν επόθησας, αποκειμένην τοίς Μάρτυσιν, Αθλοφόρε πολύαθλε, καί πόνους υπήνεγκας, θαρσαλέα γνώμη, άπονον πρός λήξιν μετατεθήναι προσδοκών, καί τά βραβεία ζητών κομίσασθαι, παμμάκαρ τά ουράνια, καί Παραδείσου τήν οίκησιν, καί τό φώς τό ανέσπερον, καί ζωήν τήν αιώνιον.

Ονύχων σπαράγματα, καί χαλεπά εκκεντήματα, καί μολύβδου πυράκτωσιν, τής κάρας αφαίρεσιν, καί τούς δριμυτάτους, υπήνεγκας πόνους, καί προσετέθης τώ χορώ, τών Αθλοφόρων χαίρων Πολύαθλε, διό σου τήν ετήσιον, επιτελούμεν πανήγυριν, αθλητά Βονιφάτιε, τών Αγγέλων συμμέτοχε.

Δούλόν σε προπέμψασα, θείον δεσπότην απέλαβεν, Αγλαϊς Βονιφάτιε, παθών κυριεύσαντα, βεβασιλευκότα, αθέων τυράννων, καταβαλόντα τούς εχθρούς, καί νίκης στέφος αναδησάμενον, διό ναόν σοι άγιον, περικαλή τε δομήσασα, εν αυτώ εναπέθετο, ιερώς ευφημούσά σε.

Δόξα... Καί νύν... Θεοτοκίον

Κριρήν δικαιότατον, αποκυήσασα Δέσποινα, τόν ασώτως βιώσαντα, δυσωπώ ικέτευε, κατακεκριμένον, καί ηπορημένον, εν τή μελλούση φοβερά, κρίσει Παρθένε μή κατακρίναί με, συντάξαι δέ τοίς μέλλουσιν, εκ δεξιών τούτου ίστασθαι, εκλεκτοίς διά έλεος, καί πολλήν αγαθότητα.

Η Σταυροθεοτοκίον

Νεκρούμενον βλέπουσα, Χριστόν η πάναγνος Δέσποινα, καί νεκρούντα τόν δόλιον, ως Δεσπότην κλαίουσα, ύμνει τόν εκ σπλάγχνων, αυτής προελθόντα, καί τό μακρόθυμον αυτού, αποθαυμάζουσα ανεκραύγαζε, Τέκνον μου ποθεινότατον, μή επιλάθη τής δούλης σου, μή βραδύνης Φιλάνθρωπε, τό εμόν καταθύμιον.

Καί τά λοιπά τού Εσπερινού καί Απόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τής Οκτωήχου, καί τού Αγίου, ού η Ακροστιχίς.

Πιστώς σε μέλπω Μάρτυς ηγλαϊσμένε. Ιωσήφ.

Ωδή α' Ήχος δ'

«Τριστάτας κραταιούς, ο τεχθείς εκ Παρθένου, απαθείας εν βυθώ ψυχής τό τριμερές, καταπόντισον δέομαι, όπως σοι ως εν τυμπάνω, τή νεκρώσει τού σώματος, επινίκιον άσω μελώδημα».

Προθύμω λογισμώ, τούς αγώνας ζηλώσας, τών γενναίων Αθλητών, ενήθλησας στερρώς, καί τόν όφιν ενέκρωσας, άθλοις σου τοίς ζωηφόροις, Ιερέ Βονιφάτιε, τών Αγίων Αγγέλων συνόμιλε.

Ιδών επί τής γής, τού εχθρού τήν απάτην, κεχυμένην αληθώς, γενναίε Αθλητά, τήν ψυχήν πυρπολούμενος, έρωτι τώ θειοτάτω, υπεισήλθες τό στάδιον, απτοήτω τρισμάκαρ φρονήματι.

Σοφία θεϊκή, λαμπρυνόμενος Μάκαρ, τούς ασόφους δυσμενείς, εμώρανας, Χριστόν καταγγέλλων παχύτητι, σώματος ομοιωθέντα, οφθήναι ηθέλησε, Βονιφάτιε οις Μάρτυς πολύαθλε.

Θεοτοκίον

Τό Όρος τού Θεού, Δανιήλ ό προείδε, τήν Σκηνήν τήν νοητήν, τήν Πλάκα τήν σεπτήν, τό τής δόξης αγίασμα, Τράπεζαν τόν θείον Άρτον, τήν χωρήσασαν άσμασι, τήν Αγίαν Παρθένον υμνήσωμεν.

Ωδή γ'

«Ότι στείρα έτεκεν, ή εξ Εθνών Εκκλησία, καί η πολλή εν τέκνοις, ησθένησε Συναγωγή, τώ θαυμαστώ Θεώ ημών βοήσωμεν, Άγιος εί Κύριε».

Ως ποθήσας Ένδοξε, ελευθερίαν τήν άνω, από ζυγού δουλείας, λυτρούσαι πάθη τά σεπτά, εζηλωκώς αοίδιμε τού δι' οίκτον, δούλου χρηματίσαντος.

Σαρκικών ανώτερος, αποδειχθείς φρονημάτων, εν αλλοιώσει θεία, αθρόον πάσαν προσβολήν, τών δυσχερών υπήνεγκας γηθόμενος, Μάρτυς Βονιφάτιε.

Σεαυτόν απηρνήσω, καί πρός αγώνας καί πάλας, τού δυσμενούς εξήλθες, Σταυρού τώ όπλω κρατυνθείς, καί νικητής γενόμενος, δεδόξασαι Μάρτυς Βονιφάτιε.

Θεοτοκίον

Εαυτόν εκένωσε, τούς πατρικούς μή κενώσας, εν τή γαστρί σου κόλπους,

υπερούσιος Θεός, καί σός Υιός εγένετο Πανάμωμε, σώσαι τό ανθρώπινον.

Ο Ειρμός

«Ότι στείρα έτεκεν, ή εξ Εθνών Εκκλησία, καί η πολλή εν τέκνοις, ησθένησε Συναγωγή, τώ θαυμαστώ Θεώ ημών βοήσωμεν, Άγιος εί Κύριε».

Κάθισμα Ήχος α'

Τόν τάφον σου Σωτήρ

Τιμήσας τόν Θεόν, παρ' αυτού ετιμήθης, Μαρτύρων καλλονή, Βονιφάτιε μάκαρ, διό καί στεφάνω σε, θείας δόξης εκόσμησεν όθεν σήμερον, τήν παναγίαν σου μνήμην, εορτάζοντες, υπέρ ημών σέ αιτούμεν, πρεσβεύειν πρός Κύριον.

Δόξα... Καί νύν... Θεοτοκίον

Τόν πάντων Ποιητήν, καί Θεόν σου καί Κτίστην, πανάμωμε αγνή, διά Πνεύματος θείου, εν μήτρα σου εχώρησας, καί φθοράς δίχα τέτοκας, όν δοξάζοντες, σέ ανυμνούμεν Παρθένε, ως Παλάτιον, τού Βασιλέως τής δόξης, καί κόσμου αντίλυτρον.

Η Σταυροθεοτοκίον

Καί σού τής καθαράς, καί πανάγνου Παρθένου, διήλθεν αληθώς, τήν καρδίαν ρομφαία, Σταυρώ ως εώρακας, τόν Υιόν σου υψούμενον, παναμώμητε, ευλογημένη Μαρία, τό προσφύγιον, αμαρτωλών καί τό τείχος, καί κόσμου κραταίωμα.

Ωδή δ'

«Δι' αγάπησιν Οικτίρμον τής σής εικόνος, επί Σταυρού σου έστης, καί ετάκησαν έθνη, σύ γάρ εί φιλάνθρωπε, ισχύς μου καί ύμνησις».

Μακαρίζων τών αθλούντων τήν καρτερίαν, τή εκμιμήσει Μάρτυς, τών σεπτών παθημάτων, τούτοις εξωμοίωσαι, θεόφρον πανόλβιε.

Επειγόμενος εν πίστει Μαρτύρων θείων, πρός συλλογήν παμμάκαρ σεαυτόν τή ποθούση, φόρτον αξιάγαστον, θεόφρον απέδωκας.

Λιπαινόμενος καθάπερ χρυσίον Μάρτυς, τών αικισμών χωνεία οβρυζότερος ώφθης, φέρων τού ποιήσαντος, παθών τό εκσφράγισμα.

Θεοτοκίον

Παρθενίαν μετά τόκον εσφραγισμένην, κατανοούσα Κόρη, τόν αφράστως τεχθέντα, Λόγον εκ λαγόνων σου, πιστώς εμεγάλυνες.

Ωδή ε'

«Τόν φωτισμόν σου Κύριε, κατάπεμψον ημίν, καί τής αχλύος ημάς, τών πταισμάτων λύσον αγαθέ, τήν σήν ειρήνην ουρανόθεν δωρούμενος».

Ως φωταυγής ανέτειλας, αστήρ από δυσμών, καί δύνας Μάρτυς, αθλήσει καρτερώς, αύθις πρός δυσμάς εξανατέλλεις, καταυγάζων τά πέρατα.

Μαρτυρικώς ηγώνισαι, ονύχων σπαραγμούς οξέσι, Μάρτυς, καλάμοις υποφέρων, και τού πονηρού τά κέντρα πάντα, απαμβλύνων εν χάριτι.

Αι τού εχθρού ησθένησαν, θεόφρον επί σοί μηχανουργίαι, καί γάρ τή πρός Θεόν, νεύσει ακλινεί σαρκός αικίσει, ώσπερ άσαρκος έφερες.

Θεοτοκίον

Ρύπου παντός απόπλυνον, Παρθένε τήν εμήν, ψυχήν βοώ σοι, καί σώσόν με, η τόν αληθή Θεόν Σωτήρα, επί γής σωματώσασα.

## Ωδή ς'

«Εβόησε, προτυπών τήν ταφήν τήν τριήμερον, ο Προφήτης, Ιωνάς εν τώ κήτει δεόμενος, Εκ φθοράς με ρύσαι, Ιησού Βασιλεύ τών δυνάμεων».

Τυπτόμενος, ταίς πληγαίς τής σαρκός κατεπλήγωσας, τούς αθέους, ανιάτως νοσούντας, τήν άγνοιαν, καί νοσούντων ώφθης, ιατρός αθλητά Βονιφάτιε.

Υψούμενος, πρός Θεόν επιδόσει Μακάριε, τών αγώνων, δυσμενείς αοράτους κατέρραξας, καί κατερραγμένοις, βοηθός Αθλοφόρε γεγένησαι.

Συρόμενος, επί γής ώσπερ λίθος πολύτιμος, θεοφόρε, τό τής πλάνης καθείλες, οχύρωμα, καί πιστών καρδίας, επί πλείον τή πίστει εστήριξας.

Θεοτοκίον

Η βάτος σε, προετύπου Πανύμνητε πρότερον, καιομένη, μηδαμώς φλεγομένη δέ Πάναγνε, καί γάρ ως εκείνη, ουκ εφλέχθης Θεόν σωματώσασα.

Ο Ειρμός

«Εβόησε, προτυπών τήν ταφήν τήν τριήμερον, ο Προφήτης, Ιωνάς εν τώ κήτει δεόμενος, Εκ φθοράς με ρύσαι, Ιησού Βασιλεύ τών δυνάμεων».

## Κοντάκιον Ήχος δ'

Επεφάνης σήμερον

Ιερείον άμωμον, εθελουσίως, σεαυτόν προσήγαγες, τώ εκ Παρθένου διά σέ, τεχθήναι μέλλοντι Άγιε, στεφανηφόρε σοφέ Βονιφάτιε.

Ο Οίκος

Ανατολής ώσπερ αστήρ, τούς μάγους εκ Περσίδος, ούτω σε θεία νεύσις εκ δυσμών ωδήγησε θεόφρον, Τεχθήναιεν Σπηλαίω, τώ ευδοκήσαντι Χριστώ προσκυνήσαι ως Βασιλεί απάσης τής κτίσεως, καί τούτω δώρα προσαγαγείν, ως λίβανον καί σμύρναν καί χρυσόν, Πίστιν Αγάπην καί Ελπίδα, Όθεν σαυτόν ολόκληρον προσήγαγες αυτώ άμωμον δώρον, τώ Τυράννω δικαστή, εν παρρησία κράζων καί βοών, Χριστού μου δούλος υπάρχω, στεφανηφόρε σοφέ Βονιφάτιε.

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΘ' τού αυτού μηνός, Μνήμη τού Αγίου μάρτυρος Βονιφατίου.

Στίχοι

- Ζητών Βονιφάτιος Οστά Μαρτύρων.

- Εαυτόν εύρε μάρτυρα, τμηθείς ξίφει.
- Εννεακαιδεκάτη Βονιφάτιος αυχένα τμήθη.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων, Ηλία, Πρόβου, καί Άρεως.

Στίχοι

- Αθλήσεως τμηθέντα τώ ξίφει κάραν,
- Ζηλοί ταχύ Πρόβος σε, Μάρτυς Ηλία.
- Άρης υπήρξας πρός τό πύρ όντως Άρες,
- Άρης νοητός, όπλα πίστεως φέρων.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων, Τιμοθέου καί Πολυεύκτου.

Στίχοι

- Τιμόθεον δέ, τόν πεπυρπολημένον,
- Πού θήσομεν, λαχόντα παντίμου τέλους;
- Σού Πολύευκτε Καισαρεύ ποίον τέλος;
- Τό πύρ υπελθών, εύρον ευκταίον τέλος.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων, Ευτυχίου, καί Θεσσαλονίκης, καί τών σύν αυτοίς Ανδρών διακοσίων, καί Γυναικών εβδομήκοντα, διά ξίφους τελειωθέντων.

Στίχοι

- Σύν Ευτυχίω καί σύ Θεσσαλονίκη,
- Νίκην εφεύρες ευτυχώς διά ξίφους.
- Ανείλεν ανδρών εικάδας δέκα ξίφος,
- Ανείλε καί Γυναίκας επτάκις δέκα.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Γρηγεντίου, Επισκόπου Αιθιοπίας.

Στίχοι

- Σαρκός λιπών σύνδεσμον ο Γρηγέντιος,
- Εκείσε μετήλθεν, ένθα σαρξίν ου τόπος.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Τρύφωνος.

Στίχοι

- Τρύφων ανήλθε σώματι πρός ιτέαν,
- Καί πνεύματι πρός ύψος ουρανού μέγα.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον καί σώσον ημάς. Αμήν.

Ωδή ζ,

«Αβραμιαίοι ποτέ, εν Βαβυλώνι παίδες, καμίνου φλόγα κατεπάτησαν, εν ύμνοις κραυγάζοντες, ο τών Πατέρων, Θεός ευλογητός εί».

Γόνυ μή κλίνας γλυπτοίς, εις πειρασμόν εβλήθης, μεγίστην όντως Μάρτυς κάμινον, εν ή δροσιζόμενος, Ο τών Πατέρων βοάς Θεός ευλογητός εί.

Λύειν τόν τόνον τής σής, ομολογίας σπεύδων, ο δολιόφρων τοίς εγκάτοις σου, κοχλάζοντα μόλυβδον, ανηλεώς εκχέει, αλλ' εμφανώς ησχύνθη.

Αποτμηθείς προθύμως, τήν ιεράν σου κάραν, εχθρού δολίου πολυμήχανον, κεφαλήν διέκοψας, τής σής ανδρείας ξίφει, Μάρτυς Χριστού θεόφρον.

Θεοτοκίον

Ίνα φωναίς αισίαις, υμνολογώ σε Κόρη, παθών με ρύσαι ταίς πρεσβείαις σου, κινδύνων καί θλίψεων, καί πονηρών λογισμών, κακώσαί με ζητούντων.

Ωδή η'

«Λυτρωτά τού παντός Παντοδύναμε, τούς έν μέσω φλογός ευσεβήσαντας, συγκαταβάς εδρόσισας, καί εδίδαξας μέλπειν, Πάντα τά έργα, ευλογείτε, υμνείτε τόν Κύριον».

Συμφερόντως τήν σήν εργαζόμενος, σωτηρίαν Χριστός Βονιφάτιε, αναζητούντα λείψανα, καλλινίκων Μαρτύρων, σέ ενισχύει, ό πιστώς επεζήτεις γενήσεσθαι.

Μακαρία δεσποίνη μακάριος, θησαυρός απεδόθης Μακάριε, ώ πλουτισθείσα έψαλλε, γηθομένη καρδία, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον.

Εν σπουδή τό αοίδιμον γύναιον, ανεγείρον ναόν ιερώτατον, σέ εν αυτώ κατέθετο, πεφυκότα τής θείας, ναόν Τριάδος, αθλοφόρε Χριστού Βονιφάτιε.

Νεκρωθείς δι' αγάπην τού Κτίσαντος, τούς νεκρώσει παθών υποπίπτοντας, ζωοποιώ πρεσβεία σου, ιατρεύεις βοώντας, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον.

Θεοτοκίον

Επί σέ τήν Αγνήν ο Υπέρθεος, κατελθών ώσπερ οίδε σεσάρκωται, καί τούς βροτούς εθέωσε, μελωδούντας Παρθένε, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον.

Ο Ειρμός

«Λυτρωτά τού παντός Παντοδύναμε, τούς έν μέσω φλογός ευσεβήσαντας, συγκαταβάς εδρόσισας, καί εδίδαξας μέλπειν, Πάντα τά έργα, ευλογείτε, υμνείτε τόν Κύριον».

Ωδή θ'

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν είσω κίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν».

Ιδούσά σε φόρτον ιερόν ηγάλλετο, εκβοώσα η αείμνηστος, Δούλον εκπέμψασά σε Μάκαρ, δεσπότην αληθή υποδέδεγμαι, δουλείας με κακών εκλυτρούμενον, σαίς ευπροσδέκτοις παρακλήσεσιν.

Ως Κρίνον κοιλάσι νοηταίς εξήνθησας, τών μαρτύρων Βονιφάτιε, Φοίνιξ καθάπερ ανυψώθης, ως κέδρος εγνωρίσθης μυρίπνοος, ωράθης εκλεκτή ως Κυπάρισσος, ευωδιάζουσα ψυχάς ημών.

Σήμερον η μνήμη σου ημίν ανέτειλεν, Αθλοφόρε ώσπερ ήλιος, φέγγος ενθέων χαρισμάτων, φωτίζουσα ψυχάς τών υμνούντων σε, παθών τε τήν αχλύν απελαύνουσα, Μάρτυς θεόφρον αξιάγαστε.

Ήλιος καθάπερ εκ δυσμών ανέτειλας, καί Εώας πόλιν έφθασας, ένθα καί δύς τώ μαρτυρίω, πρός κρείττονα ζωήν ανατέταλκας, καί Ρώμην τήν περίβλεπτον έφθασας, ταύτην τειχίζων σαίς δεήσεσι.

Θεοτοκίον

Φωτί με καταύγασον τώ σώ Πανάμωμε, τόν εν σκότει συνεχόμενον, τής αμαρτίας Θεοτόκε, καί δίδου εν ημέρα πορεύεσθαι, ενθέων προσταγμάτων Θεόνυμφε, όπως υμνώ σε τήν Πανύμνητον.

Ο Ειρμός

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν είσω κίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν».

Η λοιπή, Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Κ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Ιερομάρρος, Ιγνατίου τού Θεοφόρου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Προεορτια Στιχηρά Ιδιόμελα τρία.

Ήχος α'  Ανατολίου

Προεορτάσωμεν λαοί, Χριστού τά Γενέθλια, καί επάραντες τόν νούν, επί τήν Βηθλεέμ αναχθώμεν τή διανοία, καί κατίδωμεν τήν Παρθένον, τοίς ψυχικοίς λογισμοίς, επειγομένην τίκτειν εν Σπηλαίω, τόν τών όλων Κύριον καί Θεόν ημών, ού Ιωσήφ κατιδών τών θαυμάτων τό μέγεθος, εδόκει άνθρωπον θεωρείν, ως βρέφος σπαργανούμενον, υπενόει δέ εκ τών πραγμάτων, Θεόν είναι αληθινόν, τόν παρέχοντα ταίς ψυχαίς ημών, τό μέγα έλεος.

Ο αυτός, τού αυτού

Προεορτάσωμεν λαοί, Χριστού τά Γενέθλια, καί επάραντες τόν νούν, επί τήν Βηθλεέμ αναχθώμεν τή διανοία, καί κατίδωμεν τό εν Σπηλαίω μέγα

μυστήριον, ήνοικται γάρ η Εδέμ, εκ Παρθένου αγνής Θεού προερχομένου, υπάρχοντος τελείου τού αυτού, εν θεότητι καί ανθρωπότητι, διό κράξωμεν, Άγιος ο Θεός, ο Πατήρ ο Άναρχος, Άγιος Ισχυρός, ο Υιός ο σαρκωθείς, Άγιος Αθάνατος, τό παράκλητον Πνεύμα, Τριάς Αγία δόξα σοι.

Ο αυτός, τού αυτού

Άκουε ουρανέ, καί ενωτίζου η γή, ιδού γάρ ο Υιός καί Λόγος τού Θεού καί Πατρός, πρόεισι τεχθήναι, εκ κόρης απειράνδρου, ευδοκία τού φύσαντος αυτόν απαθώς, καί συνεργεία τού Αγίου Πνεύματος, Βηθλεέμ ευτρεπίζου, άνοιγε πύλην η Εδέμ, ότι ο ών, γίνεται ο ουκ ήν, καί ο πλαστουργός πάσης κτίσεως διαπλάττεται, ο παρέχων τώ κόσμω, τό μέγα έλεος.

Στιχηρά προσόμοια τού Αγίου

Ήχος δ'  Ο εξ υψίστου

Ο Θεοφόρος καλούμενος αξίως, ότε ο Δεσπότης σε, μάκαρ, Ιγνάτιε, ως συμπαθής ηγκαλίσατο, φιλοσοφίας, τής ανωτάτω φαίνων τά δόγματα, τότε τήν πολύφωτον αίγλην εισδέδεξαι, καθάπερ σπόγγος τά νάματα εκ τής αβύσσου, τών φωτισμάτων ανιμησάμενος, όθεν κατ' ίχνος ηκολούθησας, τώ καλούντι Χριστώ τώ Θεώ ημών, όν ικέτευε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

Ο τετρωμένος αγάπη τή τελεία, ότε ο πρηστήριος, έρως ανέφλεγε, σού τήν ψυχήν Ιερώτατε, πρός τόν Δεσπότην, σέ κατεπείγων Πάτερ πορεύεσθαι, τότε τόν αοίδιμον λόγον εβόησας, Σίτος υπάρχω τού Κτίσαντος, καί δι' οδόντων, δεί με θηρίων πάντως αλήθεσθαι, ίνα τώ Λόγω καθαρώτατος, άρτος φανώ τώ Θεώ ημών, όν ικέτευε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

Συνεσταυρώθης Χριστώ Ιεροφάντορ, ότε τόν θεόπνευστον λόγον ανέκραξας, Ο εμός έρως εσταύρωται, καί κοινωνήσαι, τούτω τού πάθους λίαν επείγομαι, εωτεύθεν Ιγνάτιε, καθάπερ ήλιος, ανατολής εξορμώμενος, επί τήν δύσιν, καταφωτίζων μάκαρ διέδραμες, καί βασιλείας διαδήματι, εκοσμήθης Χριστώ προσαγόμενος, όν ικέτευε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

Δόξα... Ήχος πλ. δ'  Ανατολίου

Θεοφόρε Ιγνάτιε, τόν σόν έρωτα Χριστόν ενστερνισάμενος, μισθόν εκομίσω, τής Ιερουργίας τού Ευαγγελίου τού Χριστού, τό τελειωθήναι δι' αίματος, διό σίτος γενόμενος τού αθανάτου γεωργού, δι οδόντων θηρίων ηλέσθης, καί άρτος ηδύζ αυτώ ανεδείχθης, πρέσβευε υπέρ ημών, Αθλητά μακάριε.

Καί νύν... Προεόρτιον ο αυτός

Υπόδεξαι Βηθλεέμ, τήν τού Θεού Μητρόπολιν, Φώς γάρ τό άδυτον επί σέ γεννήσαι ήκει, Άγγελοι θαυμάσατε εν ουρανώ άνθρωποι δοξάσατε επί τής γής, Μάγοι εκ Περσίδος, τό τρισόκλεον δώρον προσκομίσατε, Ποιμένες αγραυλούντες, τόν τρισάγιον ύμνον μελωδήσατε, Πάσα πνοή αινεσάτω τόν Παντουργέτην.

Εις τόν Στίχον, Στιχηρά Ιδιόμελα Προεόρτια.

Ήχος β'  Κυπριανού

Βηθλεέμ γή, Ιούδα, τό κατά σάρκα πολίτευμα, φαιδρώς ευτρέπισον τό θείον Σπήλαιον, εν ώ Θεός σαρκί τίκτεται, εξ απειράνδρου Αγίας Παρθένου, εις τό σώσαι τό γένος ημών.

Στίχ. Ο Θεός από θαιμάν ήξει.

Ανδρέου Πυρού, ο αυτός

Δεύτε άπαντες, Χριστού τά Γενέθλια, πιστώς προεορτάσωμεν, καί νοητώς τόν ύμνον, ως αστέρα προβαλλόμενοι, μαγικάς δοξολογίας, μετά Ποιμένων βοήσωμεν, Ήλθεν η σωτηρία τών βροτών, εκ παρθενικής νηδύος, πιστούς ανακαλέσασθαι.

Στίχ. Κύριε εισακήκοα τήν ακοήν σου.

Κυπριανού  Αυτόμελον

Οίκος τού Εφραθά, η Πόλις η αγία, τών Προφητών η δόξα, ευτρέπισον τόν οίκον, εν ώ τό θείον τίκτεται.

Δόξα... τού Αγίου  Ήχος α'

Τού Στουδίτου

Ω τής στερράς καί αδαμαντίνου σου ψυχής, αξιομακάριστε Ιγνάτιε! σύ γάρ πρός τόν όντως σόν εραστήν, ανένδοτον έχων τήν έφεσιν, έλεγες, Ουκ έστιν εν εμοί πύρ φιλόϋλον, ύδωρ δέ μάλλον ζών, καί λαλούν εν εμοί, ένδοθέν μοι λέγον, Δεύρο πρός τόν Πατέρα, όθεν θείω Πνεύματι πυρπολούμενος, θήρας ηρέθισας κόσμου σε θάττον χωρίσαι, καί πρός τόν ποθούμενον παραπέμψαι Χριστόν, όν ικέτευε, σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Ήχος β'  Κυπριανού

Ιδού καιρός ήγγικε τής σωτηρίας ημών, ευτρεπίζου Σπήλαιον, η Παρθένος εγγίζει τού τεκείν, Βηθλεέμ γή Ιούδα, τέρπου καί αγάλλου, ότι εκ σού ανατέταλκεν ο Κύριος ημών, Ακούσατε όρη καί βουνοί, καί τά περίχωρα τής Ιουδαίας, ότι έρχεται Χριστός, ίνα σώση όν έπλασεν άνθρωπον, ως φιλάνθρωπος.

Απολυτίκιον, Προεόρτιον

Ήχος δ'  Κατεπλάγη Ιωσήφ

Ετοιμάζου Βηθλεέμ, ήνοικται πάσιν η Εδέμ, Ευτρεπίζου Εφραθά, ότι τό ξύλον τής ζωής, εν τώ Σπηλαίω εξήνθησεν εκ τής Παρθένου, Παράδεισος καί γάρ, η εκείνης γαστήρ, εδείχθη νοητός, εν ώ τό θείον φυτόν, εξ ού φαγόντες ζήσομεν, ουχί δέ ως ο Αδάμ τεθνηξόμεθα, Χριστός γεννάται, τήν πρίν πεσούσαν, αναστήσων εικόνα.

Δόξα... Τού Αγίου, ο αυτός

Καί τρόπων μέτοχος, καί θρόνων διάδοχος, τών Αποστόλων γενόμενος, τήν πράξιν εύρες θεόπνευστε, εις θεωρίας επίβασιν, διά τούτο τόν λόγον τής αληθείας ορθοτομών, καί τή πίστει ενήθλησας μέχρις αίματος, Ιερομάρτυς

Ιγνάτιε, Πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Καί νύν... πάλιν τό Προεόρτιον,

Ήχος δ'  Κατεπλάγη Ιωσήφ

Ετοιμάζου Βηθλεέμ, ήνοικται πάσιν η Εδέμ, Ευτρεπίζου Εφραθά, ότι τό ξύλον τής ζωής, εν τώ Σπηλαίω εξήνθησεν εκ τής Παρθένου, Παράδεισος καί γάρ, η εκείνης γαστήρ, εδείχθη νοητός, εν ώ τό θείον φυτόν, εξ ού φαγόντες ζήσομεν, ουχί δέ ως ο Αδάμ τεθνηξόμεθα, Χριστός γεννάται, τήν πρίν πεσούσαν, αναστήσων εικόνα.

Τριώδιον ψαλλόμενον εν τοίς Αποδείπνοις, ού η Ακροστιχίς.

Τή δευτέρα

Ωδή α'  Ήχος β'  Ο Ειρμός

«Τώ τήν άβατον, κυμαινομένην θάλασσαν, θείω αυτού προστάγματι, αναξηράναντι, καί πεζεύσαι δι' αυτής, τόν Ισραηλίτην λαόν καθοδηγήσαντι, Κυρίω άσωμεν, ενδόξως γάρ δεδόξασται».

Η απόρρητος, Λόγου Θεού κατάβασις, όπερ αυτός θεάνθρωπος, Χριστός γινώσκεται, τό Θεός ουχ αρπαγμόν, είναι ηγησάμενος, έρχεται δούλου μορφήν, αναδεξόμενος, Κόρης εξ αγνής θεόπαιδος.

Διακονήσαι, Χριστός εκών προέρχεται, ού τήν μορφήν ο πλαστουργός νύν υποδύεται, τώ πτωχεύσαντι Αδάμ, ο πλουτών θεότητι, ξένην ανάπλασιν, καί αναγέννησιν, ως εύσπλαγχνος δωρούμενος.

Ωδή η'  Ο Ειρμός

«Έφριξε Παίδων ευαγών, τό ομόστολον ψυχής άσπιλον σώμα, καί είξε τό τραφέν, εν απείρω ύλη ακάματον πύρ, αειζώου δέ εκμαρανθείσης φλογός, διαιωνίζων ύμνος ανεμέλπετο, Τόν Κύριον, πάντα τά έργα υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Υμάς μου πάντας συγγενείς, άρτι θήσομαι, ει τάς εμάς εντολάς τηρήσετε, φησίν ο Χριστος ανθρώποις, εκ μήτρας Αγνής, προερχόμενος, οίς τήν ειρήνην διδούς, τά ταπεινά φρονείν νύν υποτίθεται, καί Κύριον γινώσκειν τούτον καί ψάλλειν, Σέ υπερυψούμεν, εις πάντας τούς αιώνας.

Τάξεως έμπαλιν εν σοί, σαρκικής εστιν ο τόκος Λόγε Θεού, ουχ αίμα γάρ καί σάρξ, σήν Αγίαν σάρκα συνίστησιν, αλλά Πνεύματος Αγίου παρουσία, καί τού Υψίστου θεία επισκίασις, καί Κύριον γινώσκοντές σε υμνούμεν, καί υπερυψούμεν, εις πάντας τούς αιώνας.

Ωδή θ'  ΟΕιρμός

«Εμεγάλυνας Χριστέ, τήν τεκούσάν σε Θεοτόκον, αφ' ής ο Πλάστης ημών, ομοιοπαθές ημίν περιέθου σώμα, τό τών ημετέρων λυτήριον αμπλακημάτωνταύτην μακαρίζοντες, πάσαι γενεαί σέ μεγαλύνομεν».

Ρύπον πάντα εμ παθή, απωσάμενοι επαξίως, τής παρουσίας Χριστού, γνώμην αναλάβωμεν έμφρονα, καί γάρ αρρυπάρως προέρχεται σάρκα φορέσαι, καί πάσι δωρήσασθαι, θείαν διά Πνεύματος ανάπλασιν.

Αφορώντες εις Χριστόν, ταπεινούμενον υψωθώμεν, εκ χαμαιζήλων παθών, ζήλω δέ καλώ μή φρονείν υψηλά, πίστει παιδευθέντες, εν πνεύματι ταπεινωθώμεν, όπως τόν τικτόμενον, εν υψοποιοίς έργοις υψώσωμεν.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά Τήν α' Στιχολογίαν

Κάθισμα  Ήχος α'
Τόν τάφον σου Σωτήρ

Ο κλίνας ουρανούς, καί Παρθένω οικήσας, προέρχεται σαρκί, Βηθλεέμ εν Σπηλαίω, τεχθήναι καθώς γέγραπται, οραθήναί τε νήπιος, ο τά νήπια, ζωογονών εν τή μήτρα τούτω χαίροντες, νύν υπαντήσωμεν πάντες, καρδίας ευθύτητι.

Δόξα... Καί νύν... τό αυτό

Μετά τήν β Στιχολογίαν

Κάθισμα  όμοιον

Αγάλλου η Σιών Βηθλεέμ ευτρεπίζου, ο πάντων συνοχεύς, τόν Αστέρα προπέμψας, μηνύει τήν άμετρον, εαυτού συγκατάβασιν, όν γάρ τρέμουσι, τών ουρανών αι Δυνάμεις, όντως τίκτεται, εκ τής Παρθένου ατρέπτως, ο μόνος Φιλάνθρωπος.

Δόξα... Καί νύν... τό αυτό

Ο Ν, καί οι Κανόνες

Κανών ο Προεόρτιος ού η Ακροστιχίς.

Άδει ταύτα προεόρτια. ο Ιωσήφ.

Ωδή α'  Ήχος α'  ο Ειρμός

«Ωδήν επινίκιον, άσωμεν πάντες, Θεώ τώ ποιήσαντι, θαυμαστά τέρατα, βραχίονι υψηλώ, καί σώσαντι τόν Ισραήλ, ότι δεδόξασται».

Αρξώμεθα σήμερον, προεορτάζειν, Χριστού τά Γενέθλια, τού τεχθέντος σώματι, εκ τής Παρθένου Μητρός, εν τώ Σπηλαίω Βηθλεέμ, δι' ευσπλαγχνίαν πολλήν.

Δεσμών απολύων με, τής αμαρτίας, σπαργάνοις ειλίσσεται, καί εν φάτνη τίθεται, βρέφος ορώμενος, ο προαιώνιος Θεός, Δόξα τώ κράτει αυτού.

Εδέμ διανοίγεται, σού τικτομένου, εκ Κόρης θεόπαιδος, εν τή πόλει Δέσποτα, τή Βηθλεέμ εν σαρκί, Υμνολογούμεν τήν φρικτήν οικονομίαν σου.

Ιδού νύν πεπλήρωται, τού Ησαϊου, η πρόρρησις Πάναγνε, τού τεκείν τόν άχρονον, εν Σπηλαίω γάρ Υιόν, ελήλυθας, πάσα η γή διό ευφραίνεται.

Κανών τού Αγίου, ποίημα Ανδρέου Κρήτης.

Ήχος καί Ειρμός ο αυτός

Φαιδρώς εορτάζοντες, ευωχηθώμεν, ο Μάρτυς Ιγνάτιος, Ιερώς προτρέπεται, τήν Εκκλησίαν Χριστού, επί τήν άθλησιν αυτού, τήν πολυϋμνητον.

Τήν ένδοξον μνήμην σου, πάντες τιμώμεν, παμμάκαρ Ιγνάτιε, καί ψαλμοίς γεραίρομεν, τόν στεφανώσαντα, τήν πάνσεπτόν σου κορυφήν, θεομακάριστε.

Φωστήρ διαυγέστατος, τής Εκκλησίας, υπάρχων Ιγνάτιε, καταλάμπεις άπαντα, τής γής τά πέρατα, καί τήν Εσπέραν δαδουχείς, εκ τής Εώας ελθών.

Τού Παύλου μιμούμενος, τούς κατά τόπον, κινδύνους Ιγνάτιε, καί υπάρχων δέσμιος, ου κατενάρκησας, στηρίζων γράμμασι πυκνοίς, τάς Εκκλησίας Χριστού.

Δόξα...

Τριάς Υπερούσιε, μία θεότης, Μονάς Τρισυπόστατε, τούς πιστώς βοώντάς σοι Άγιος, Άγιος, Άγιος, εί Δημιουργέ, σώσον ελέησον.

Καί νύν... Θεοτοκίον

Εδέμ ευτρεπίσθητι, η Εφραθά γάρ, τώ Κτίστη ητοίμασται, γεννηθήναι μέλλοντι, εκ τής Παρθένου Μητρός, εν τώ Σπηλαίω Βηθλεέμ, δι' ευσπλαγχνίαν πολλήν.

Προεόρτιος

Ωδή γ' Ο Ειρμός

«Λίθον όν απεδοκίμασαν, οι οικοδομούντες, ούτος εγενηθη, εις κεφαλήν γωνίας, αυτός εστιν η πέτρα, εν ή εστερέωσε Χριστός, τήν Εκκλησίαν αυτού, ήν εξ Εθνών εξηγοράσατο».

Ταύτην τού Χριστού τήν σάρκωσιν, γνούς ο Ησαϊας, Πνεύματι Αγίω, εμφανώς προλέγει, Παιδίον εκ Παρθένου, γεννάται ο Κύριος, εις αναγέννησιν ημών, ού η αρχή επί τού ώμου αυτού.

Άστρον ήδη ανατέταλκεν, εκ φυλής, Ιούδα, όπερ επιγνόντες, Βασιλείς

κινήσεις, ανατολών ποιούνται, καί φθάσαι επείγονται, όπως θεάσωνται Χριστόν, εν Βηθλεέμ σαρκί τικτόμενον.

Ύμνον πάσα προεόρτιον, προσαδέτω κτίσις, τώ πρό εωσφόρου, εκ Πατρός γεννηθέντι, καί νύν εκ τής Παρθένου, αρρήτως εκλάμποντι, καί τικτομένω σαρκικώς, εν Βηθλεέμ δι' ευσπλαγχνίαν πολλήν.

Τού Αγίου

Ο αυτός

Τύπος Ιεράς αθλήσεως, ανεδείχθης Μάκαρ, στήλη καρτερίας, καί κανων ανδρείας, καί στύλος Εκκλησίας, καί Πίστεως έρεισμα, καί αρετής υπογραμμός, άθλοις σεπτοίς, στεφανωθείς εν Χριστώ.

Όντως φερωνύμως κέκλησαι, Θεοφόρος Πάτερ, νήπιος γάρ έτι, κομιδή υπάρχων, εις χείρας τού Κυρίου, φερόμενος ίστασο, αναφωνούντος πρός ημάς, Γίνεσθέ μοι ως τό παιδίον τούτο.

Ποίος τόπος ουχ ηγίασται, τοίς παθή μασί σου; ποία παροικία, ουκ εγνώσθης Μάρτυς; ή ποία φυλακή σε, σχεδόν ουκ εδέξατο, δέσμιον Μάρτυρα Χριστού, ζήλος γάρ σε θείος ηρέθιζε.

Σίτος καθαρός Θεώ ημών, ανεβόας πέλων, σπεύδω αλεσθήναι, υπό θηρών αγρίων, θλασθήτω τά οστά μου, βρωθήτω τά μέλη μου, καί βρώμα γένωμαι θηρών, ίνα Χριστώ, καθαρός άρτος οφθώ.

Ξένον Μαρτυρίου στάδιον, ιερώς ανύσας, ξένην παρά πάντας, τούς προηθληκότας, ανδρείαν επεδείξω, τώ πόθω πυρούμενος, τού ανενδότου εραστού, ός τις ως πύρ, τήν σήν ανήπτε ψυχήν.

Ζέων εις αεί τώ πνεύματι, ο Ιερομάρτυς, έκραζε σύν πόθω, εν μέσω τών κινδύνων, Χριστόν διώκω χαίρων, Χριστώ συνεσταύρωμαι, ζώ δέ ουκ έτι μέν εγώ, ζή δέ φησίν, εν εμοί μόνος Χριστός.

Δόξα...

Μίαν προσκυνώ θεότητα, ως αρχήν καί τέλος, πάντων τε τών όντων, καί τών γενησομένων, Πατέρα αγέννητον, Υιόν αχρόνως γεννητόν, Πνεύμα ευθές, εκπορευτόν έκ Πατρός.

Καί νύν... Θεοτοκίον

Δεύρο Ησαϊα βόησον, Ιδού η Παρθένος, έχει εν κοιλία, τόν Λυτρωτήν τού Κόσμου, καί τίκτει
εν Σπηλαίω, καί έσται τό όνομα, τού τικτομένου Ιησού, Θεός μεθ ημών, Εμμανουήλ Σαβαώθ.

Κοντάκιον  Προεόρτιον  Ήχος γ'

Η Παρθένος σήμερον, τόν προαιώνιον Λόγον, εν Σπηλαίω έρχεται, αποτεκείν

απορρήτως, Χόρευε η οικουμένη ακουτισθείσα, δόξασον μετά Αγγέλων καί τών Ποιμένων, βουληθέντα εποφθήναι, Παιδίον νέον, τόν πρό αιώνων Θεόν.

Ο Οίκος

Ιεραί Προφητών ρήσεις, τό πέρας δέχονται Παρθένος ιδού, τικτει Θεόν εν σαρκί, Βηθλεέμ εν πόλει ένδον τού Σπηλαίου, η κτίσις πάσα καταπλουτίσθητι, αγάλλου καί χόρευε, μετά δούλων συναναστρέφεσθαι, πάντων ο Δεσπότης παραγέγονε, τής δεσποτείας τού αλλοτρίου απολυτρούμενος ημάς, καθυπαχθέντας τή φθορά, καί οράται ως βρέφος σπαργανούμενον εν φάτνη, Παιδίον νέον, ο πρό αιώνων Θεός.

Κάθισμα τού Αγίου Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Εξ Εώας εκλάμψας ώσπερ αστήρ, καί ακτίσι τών λόγων λαμπαδουχών, τόν κόσμον εφώτισας, καί τό σκότος εμείωσας, καί ως ο Παύλος τόν δρόμοω, γενναίως διήνυσας, υπομείνας κινδύνους, εν Εθνεσί τε καί πόλεσιν, όθεν καί ως σίτος, τών θηρών τοίς οδούσιν, ηλέσθης γενόμενος, προσφορά τώ Κυρίω σου, Θεοφόρε Ιγνάτιε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... τού αυτού

Ήχος γ' Τήν ωραιότητα

Χειροθετούμενος, υπό Χριστού τού Θεού, εγκατελάμπρυνας, τήν ιεράν σου στολήν, καί μαρτυρίου αληθώς, επέτυχες Θεοφόρε, θήρας γάρ ηρέθισας, εκ τού κόσμου χωρίσαι σε, Παύλον εκμιμούμενος, τόν θεσπέσιον ένδοξε, διό καί εν τή Ρώμη επλήρωσας, Πάτερ αξίως τό Μαρτύριον.

Και νύν... Προεόρτιον, όμοιον

Χαράς πεπλήρωνται, πάντα τά πέρατα, η Θεοτόκος γάρ, γεννάν επείγεται, τόν Βασιλέα τού παντός, ώ θαύματος ανερμηνεύτου! άρχεται ο άναρχος, καί σαρκούται ο Άσαρκος, Σπήλαιον εισδέχεται, τόν συνέχοντα άπαντα, Η Βηθλεέμ αγάλλου καί χόρευε, η κτίσις ημέραν προεόρτιον.

Προεόρτιος

Ωδή δ' Ο Ειρμός

«Εν Πνεύματι προβλέπων, Προφήτα Αββακούμ, τήν τού Λόγου σάρκωσιν, εκήρυττες βοών, Εν τώ εγγίζειν τά έτη επιγνωσθήση, εν τώ παρείναι τόν καιρόν αναδειχθήση, Δόξα τή δυνάμει σου Κύριε».

Τά όρη οι βουνοί τε, καί ξύλα τού δρυμού, ποταμοί καί θάλασσαι, καί άπασα πνοή, εν ευφροσύνη σκιρτήσατε, νύν εγγίζει, η σωτηρία Ιησούς εκ τής Παρθένου, πόλει Βηθλεέμ αποτίκτεσθαι.

Ανάλαβε Προφήτα, ψαλτήριον Δαυϊδ, καί μελώδει Πνεύματι, Αγίω εμφανώς, εκ τής Παρθένου γεγέννηται ασυγχύτως, ο πρό εωσφόρου, εκ γαστρός Πατρός εκλάμψας, Κύριος τής δόξης Χριστός ο Θεός.

Πώς δέξεταί σε Λόγε, τικτόμενον σαρκί, Σπήλαιον σμικρότατον, καί λίαν ευτελές; πώς ειληθήση σπαργάνοις ο περιβάλλων, πόλον νεφέλαις; πώς εν φάτνη τών αλόγων, επανακλιθήση ως νήπιον.

Τού Αγίου

Ο αυτός

Εφαίδρυνας τή αίγλη, τών άθλων σου τήν γήν, Ιερέ Ιγνάτιε, δεσμώτης απαχθείς, διαδραμών γάρ ως ήλιος ταίς ακτίσι, τού μαρτυρίου τήν Εσπέραν εξ Εώας, πάσαν δαδουχών κατεφώτισας.

Ως Παύλος δεδεμένος, θηρίοις λογικοίς, επί Ρώμην έτρεχες, Ιγνάτιε σοφέ, αλλ' ουκ επαύσω καί δέσμιος ών στηρίζων, τάς Εκκλησίας επιστέλλων κατά πόλιν, πάσι τοίς Χριστού Ιεράρχαις θαρρείν.

Θηρίων μοι γενέσθω, τά στόματα σφαγή, καί γαστέρες μνήματα, εβόας Αθλητά, μηδείς οχλείτω, μηδείς μου θρύψει τόν τόνον, έγω γάρ σπεύδω αλεσθήναι ώσπερ σίτος, καί άρτος ευρεθήναι Θεού καθαρός.

Χριστού σπεύδω γενέσθαι, Χριστού μόνου ερώ, όλος γάρ Χριστού ειμι, εβόας Αθλητά, αυτόν διώκω, αυτόν επείγομαι φθάσαι, καί διά τούτο πύρ καί ξίφος καί θηρία, πάντα καρτερώ, ίνα τύχω αυτού.

Διήνυσας τό σκάμμα, ζεούση τή ψυχή Μάρτυς καρτερόψυχε, τώ έρωτι τρωθείς, τού εραστού σου, Χριστός γαρ ήν σοι ο έρως, όν αναπνέων καί διώκων εκαρτέρεις, πάντων τών δεινών τά επίπονα.

Δόξα...

Τριάδα εν Μονάδι, δοξάσωμεν πιστοί, ασιγήτοις στόμασι, βοώντες πρός αυτήν, Η εν Μονάδι Τριάς Αγία προσκυνουμένη, καί εν Τριάδι υμνουμένη ασυγχύτως, δόξα σοι Τριάς ομοούσιος.

Καί νύν... Θεοτοκίον

Σπηλαίω υπογαίω, τεχθήναι δι' ημάς, Θεός ών ηξίωσας, πτωχεύσας Αγαθέ, τήν ημετέραν πτωχείαν δι' ευσπλαγχνίαν, καί εκ Παρθένου προελθών σεσαρκωμένος, μείνας εις Υιός εκ Πατρός καί Μητρός.

Προεόρτιος

Ωδή ε'  Ο Ειρμός

«Τήν σήν ειρήνην δός ημίν, Υιέ τού Θεού, άλλον γάρ εκτός σου, Θεόν ου γινώσκομεν, τό όνομά σου ονομάζομεν, ότι Θεός ζώντων, καί τών νεκρών υπάρχεις».

Ρανάτωσαν γηθόμενοι, νεφέλαι γλυκασμόν, ήδη γάρ εγγίζει ο Κύριος, αποτεχθήναι ώσπερ νήπιον, εκ τής Αγνής Παρθένου, εν ευτελεί Σπηλαίω.

Οι θείοι νύν σκιρτήσατε, Προφήται τού Θεού, ήκει γάρ Χριστός η αλήθεια, αποκληρώσαι τά κηρύγματα, υμών τής θείας γλώσσης, τικτόμενος ως βρέφος.

Εδέμ πάλαι κλεισθείσά μοι, ανοίχθητι λοιπόν, βλέπουσα Χριστόν, σαρκί νηπιάσαντα, καί εν τή πόλει ως ευδόκησε, τής Βηθλεέμ εκ Κόρης, τικτόμενον Παρθένου.

Τού Αγίου

Ο αυτός

Τοιούτος ημίν έπρεπε, σοφός Αρχιερεύς, όσιος, πιστός, αμίαντος, άκακος, βοών ο Παύλος προϋπέγραψε, την Ιεράν εικόνα, τών Ιερών σου τρόπων.

Κανόνα απαράτρωτον, καί τύπον ευσεβή, έχοντες τήν σήν τού βίου ακρόπολιν, πρός ταύτην Πάτερ αναγόμεθα, οι τής αρχαίας δόξης, τυχείν επιποθούντες.

Τά Παύλου κατορθώματα, ζηλώσας ευσεβώς, όλους τούς αυτού, κινδύνους υπέμεινας, Ιερομάρτυς αξιάγαστε, τό τής Εώας φέγγος καί τής Εσπέρας άστρον.

Δεσμώτης απαγόμενος, παθείν Αρχιερεύ, δέσμιος Χριστού, Ιγνάτιε έγραφες, ταίς Εκκλησίαις καί ταίς πόλεσιν, επιστηρίζων πάντας, εν τή ομολογία.

Ως στύλος καί εδραίωμα, καί πρόβολος ημών, Μάρτυς καί Ποιμήν, ασάλευτον φύλαττε, τής Εκκλησίας τήν ομόνοιαν, εν τή ομολογία , τής Χριστού αληθείας.

Δόξα...

Τριάδος τό ομότιμον, υμνώ καί προσκυνώ, μίαν προσφυώς, δοξάζων θεότητα, τρισί Προσώποις αδιαίρετον, καί εν μιά ουσία, αεί γνωριζομένην.

Καί νύν... Θεοτοκίον

Θεός ανθρώποις όμοιος, γενόμενος εκ σού, βρέφος δι' ημάς, γεννάται Θεόνυμφε, καί μένει όλως αναλλοίωτος, καί εν σαρκί οράται, Θεός ενανθρωπήσας.

Ωδή ς'  Ο Ειρμός

«Τόν Προφήτην Ιωνάν, εκμιμούμενος βοώ, Τήν ζωήν μου αγαθέ, ελευθέρωσον φθοράς, καί σώσόν με, Σωτήρ τού Κόσμου, κράζοντα, Δόξα σοι».

Ουρανός επί τής γής, τόν ουράνιον δηλοί, Βασιλέα δι' ημάς, δι' αστέρος φαεινού, τικτόμενον, τοίς Αστρολόγοις, νύν εν τή πόλει Δαυίδ.

Ρητορεύει καί βοά, ο Προφήτης εμφανώς, Οίκος σύ τού Εφραθά, Βηθλεέμ εν ή Θεός, οφθήσεται, εκ τής Παρθένου, σκίρτα καί χόρευε.

Εν Σπηλαίω Βηθλεέμ, Κόρη τίκτει εμφανώς, τόν Θεόν τόν τού παντός, Ποιητήν καί ως βροτόν, ειλήσασα, σπαργάνοις φάτνη, επανακλίνει αυτόν.

Τού Αγίου

Ο αυτός

Ως τόν όντως εραστήν, αγαπήσας ακλινώς, καί τό πύρ τό πρός αυτόν, αναφλέξας νοερώς, Ιγνάτιε, τό ύδωρ έσχες, εν σοί τό ζών καί λαλούν.

Ει καί έπιες Χριστού, τό ποτήριον καινόν, αλλ' ενέμεινας διψών, τό θανείν υπέρ τό ζήν, καί έκραζες, Ουδέν μοι ταύτα, πρός τό τυχείν με τού ζήν.

Τό μαρτύριον τής σής, συνειδήσεως πληρών, ουκ ενάρκησας ορών, τών θηρίων τάς ορμάς, ουκ έπτηξας, ως σίτος μέλλων, μύλαις αλήθεσθαι.

Υπερζέων Αθλητά, τή αγάπη τού Χριστού, πρός τό πύρ τών πειρασμών, ως εις δρόσον πρωϊνήν, ανέτρεχες, εκείνο φθάσαι, τό όντως, Όν εραστόν.

Τούς μακρούς σου πειρασμούς, καί τά άλυτα δεσμά, τούς εν Ρώμη σπαραγμούς, καί τό πύρ τών διωκτών, ουδέν ηγού, Ιερομάρτυς, διά τόν σόν εραστήν.

Δόξα...

Υπερούσιε Τριάς, υπεράγαθε Μονάς, ο Πατήρ καί ο Υιός, καί τό Πνεύμα τό ευθές, ελέησον, τούς προσκυνούντας, τό θείον κράτος σου.

Καί νύν... Θεοτοκίον

Ευτρεπίζου Βηθλεέμ, ετοιμάζου Εφραθά, ο Αμήτωρ εκ Πατρός, καί Απάτωρ εκ Μητρός, βαστάζεται, κυοφορείται, τίκτεται σώζων ημάς.

Κοντάκιον τού Αγίου

Ήχος γ'  Η Παρθένος σήμερον

Τών λαμπρών αγώνων σου, η φωτοφόρος ημέρα, προκηρύττει άπασι, τόν εκ Παρθένου τεχθέντα, τούτου γάρ διψών εκ πόθου κατατρυφήσαι, έσπευσας υπό θηρίων αναλωθήναι, διά τούτο Θεοφόρος, προσηγορεύθης Ιγνάτιε ένδοξε.

Ο Οίκος

Αβραάμ μέν ποτε τόν υιόν εθυσίαζε, τήν σφαγήν προτυπών τού τά πάντα κατέχοντος, καί νύν εν Σπηλαίω σπεύδοντος τεχθήναι, σύ δέ θεόφρον, όλον προσήγαγες σαυτόν ώσπερ σφάγιον, καί τών θηρίων βρώμα γενόμενος, σίτος καθαρός ώφθης τώ Κτίστη σου, εν αποθήκαις επουρανίαις διαιωνίζων αληθώς, καί τού σού έρωτος τρυφών, δι' όν πάντα τόν κόσμον καταλείψας παμμάκαρ, Θεοφόρος προσηγορεύθης, Ιγνάτιε ένδοξε.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Κ' τού αυτού μηνός, Μνήμη τού Αγίου Ιερομάρτυρος Ιγνατίου τού

Θεοφόρου.

Στίχοι

- Λέουσιν, Ιγνάτιε, δείπνον προυτέθης,
- Κοινωνέ δείπνου μυστικού, θάρσους λέον.
- Εικάδι Ιγνάτιος θάνε γαμφηλήσι λεόντων.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Φιλογονίου, γενομένου από Δικολόγου Επισκόπου Αντιοχείας.

Στίχοι

- Φιλογόνιος εντολεύς λείπει βίον,
- Δραμών αρίστην εντολών Θεού τρίβον.

Ο άγιος νεομάρτυς Ιωάννης ο καταγόμενος εκ τής νήσου θάσου καί εν Κωνσταντινοπόλει μαρτυρήσας κατά τό 1652, ξίφει τελειούται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Προεόρτιος

Ωδή ζ'  Ο Ειρμός

«Τών εν καμίνω Παίδων σου Σωτήρ, ουχ ήψατο, ουδέ παρηνώχλησε τό πύρ, τότε οιτρείς, ως εξ ενός στόματος, ύμνουν καί ευλόγουν λέγοντες, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών».

Τήν τού Χριστού εν σώματι δηλών, ανάδειξιν, ο Ιερεμίας εκβοά, Επί τής γής σωματωθείς ο Θεός ώφθη, επιστήμης ευρέ τε πάσαν οδόν, γεννηθείς εν Βηθλεέμ εκ Μητρός.

Ιδού εκ ρίζης ράβδος, εβλάστησεν, άνθος αναθάλλουσα Χριστόν, καί επ' αυτώ νύν τικτομένω εν Σπηλαίω , Πνεύμα αναπαύσεται, συνέσεως καί βουλής, καί θείας γνώσεως.

Ακουτισθώμεν λόγων ιερών, ο Κύριος τίκτεται Παιδίον δι' ημάς, ού η αρχή επί τού ώμου εγενήθη, καί καλείται Άγγελος, βουλής μεγάλης Πατρός, άρχων ειρήνης Χριστός.

Τού Αγίου

Ο αυτός

Ουκ έσχες πύρ φιλόϋλον εν σοί, Ιγνάτιε, ύδωρ δέ ζών μάλλον καί λαλούν, ύδωρ καλούν, Δεύρο ταχύ πρός τόν Πατέρα, ύδωρ τό αλλόμενον, τό εκ ζωής εις ζωήν μετοχετεύον ημάς.

Οι τών θηρών οδόντες μοι φησί, γενέσθωσαν, ξίφη καί ρομφαίαι καί σφαγαί,

τάφος δέ μοι τά τών λεόντων σπλάγχνα έστω, καί τό πύρ νεμέσθω μου, πρό τής φθοράς, τής δοράς τό εγκατάλειμμα.

Τό ζήν εμοί ουκ έστιν εραστόν, εν σώματι, πνεύματι γάρ ζήν επιποθώ, εμοί τό ζήν Χριστός ο θείος έρως, πρός αυτόν επείγομαι, αυτόν φησίν αγαπώ, αυτού τυχείν προσδοκώ.

Εμοί γλυκύς ο θάνατος φησίν, ηδέα μοι, πάντα τά τών πόνων αλγεινά, θήρες τερπνοί, δρόσος τό πύρ εστί μοι τούτο, ου τού ζήν ανθέξομαι, διό καί σπεύδω θανείν, ίνα συζήσω Χριστώ.

Δόξα...

Τριαδικήν προσάξωμεν ωδήν δοξάζοντες, άναρχον Πατέρα καί Υιόν, Πνεύμα ευθές, μοναδικήν μίαν ουσίαν, ήν τρισσώς υμνήσωμεν, Άγιος, Άγιος, Άγιος, κοάζοντες, ο τών Πατέρων Θεός.

Καί νύν... Θεοτοκίον

Ο τοίς Προφήταις πάλαι προρρηθείς, εγγίζει μοι, βρέφος εκ Παρθένου κυηθείς, Χαίρει Αδάμ, καί η Προμήτωρ Εύα, τών ωδίνων λέλυται, καί συγχορεύει Δαυϊδ, ο τής Παρθένου πατήρ.

## Προεόρτιον

### Ωδή η' Ο Ειρμός

«Ον φρίττουσιν Άγγελοι, καί πάσαι Στρατιαί, ως Κτίστην καί Κύριον, υμνείτε Ιερείς, δοξάσατε Παίδες, ευλογείτε Λαοί, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Ο Κύριος έρχεται, εν ξένω τοκετώ, σαφώς εις τά ίδια, δεξώμεθα αυτόν, όπως ξενωθέντας Παραδείσου τρυφής, πάλιν οικειώση, τικτόμενος Σπηλαίω.

Ιδού η ανάκλησις, ημών επιδημεί, ηχήσωμεν άσματα, χαρμόσυνα σπουδή, καί άσωμεν μέλη προεόρτια, τώ εν σμικροτάτω, χωρουμένω Σπηλαίω.

Ως ώμοσε Κύριος, πεπλήρωκεν ιδού, εκ σπέρματος δούς ημίν, Δαυϊδ τήν εαυτού, Μητέρα Παρθένον, εξ ής βρέφος σαρκί, ετέχθη εν πόλει, Βηθλεέμ υπέρ λόγον.

## Τού Αγίου

### Ο αυτός

Υμνείσθω Ιγνάτιος, ο μέγας Ιερεύς, διττώς στεφανούμενος, ως Μάρτυς καί Ποιμήν, αθλήσας γάρ ούτος, δι αγάπην Θεού, ερών τού εράσθαι, παθείν ού παρητείτο.

Διψών τό ποτήριον τού πάθους τού Χριστού, δεσμώτης ανέτρεχες, Ιγνάτιε σοφέ, καί φθάσας τό σκάμμα, ουκ επαύσω βοών, Διψώ τού διψάσθαι,

Χριστώ εις τούς αιώνας.

Τοίς δρόμοις τής Πίστεως, ως ήλιος τήν γήν, γενναίως διέδραμες, απ' άκρων ουρανού, καί δύνας αδύτως, από γής εις Χριστόν, τό φώς συναστράπτεις, αυτώ τής αφθαρσίας.

Δεσμοίς κατεχόμενος, διώδευσας τήν γήν, μυρίσας τοίς άθλοις σου, ημάς τούς εν αυτή, καί νύν μετά τέλος, ώσπερ κρίνον αγρού, καί κρίνον πεδίου, ημάς ευωδιάζεις.

Δόξα...

Μονάς ουσιότητι, υμνείσθω η Τριάς, τριάς υποστάσεσι, τιμάσθω η Μονάς, ως μία τή φύσει, τοίς προσώποις δέ τρείς, ου διαιρουμένη, ου συναλειφομένη.

Καί νύν... Θεοτοκίον

Τό άστρον ανέτειλε, Χριστός εν, Ιακώβ, καί Μάγοι συντρέχουσιν, εν πόλει Βηθλεέμ, υμνήσαι, τιμήσαι, προσκυνήσαι αυτώ, τεχθέντι εκ μήτρας, Αγνής τής Θεοτόκου.

Προεόρτιος

Ωδή θ'  Ο Ειρμός

«Τήν ζωοδόχον Πηγήν τήν αέναον, τήν φωτοφόρον Λυχνίαν τής χαριτος, τόν Ναόν τόν άγιον, τήν Σκηνήν τήν πάγχρυσον, τού ουρανού καί τής γής τήν πλατυτέραν, τήν Θεοτόκον οι πιστοί μεγαλύνομεν».

Σύν Πατριάρχαις, Δικαίοις τε άπασι, καί τοίς Αγίοις Προφήταις σκιρτήσωμεν, εκ Παρθένου Κύριος, Ιησούς η λύτρωσις, ο φωτισμός η ζωή η σωτηρία, νύν εν τή Πόλει, Δαυίδ αποτίκτεται.

Ήδη τής θείας τού Λόγου σαρκώσεως, πάσιν ηνοίχθη σαφώς τά προπύλαια, ουρανοί αγάλλεσθε, Άγγελοι σκιρτήσατε, καί ευφραινέσθω η γή σύν τοίς ανθρώποις, μετά Ποιμένων καί Μάγων εν πνεύματι.

Φέρει Χριστόν ώσπερ μύρον ακένωτον, τό νοητόν η Παρθένος αλάβαστρον, καί τούτο προέρχεται, εν Σπηλαίω πνεύματι, αποκενώσαι σαφώς, όπως πληρώση, τής ευωδίας αυτού τάς ψυχάς ημών.

Τού Αγίου

Ο αυτός

Ο Θεοφόρος ημάς ειστιάσατο, τούς Ιερούς αυτού άθλους προθείς ημίν, Δεύτε φιλομάρτυρες, Ιερώς δρεψάμενοι, τά μυστικά τών τερπνών ασμάτων άνθη, τάς κορυφάς εαυτών στεφανώσωμεν.

Τήν Ιεράν σου στολήν ιερώτατε, ιερωτέραν ειργάσω τοίς άθλοις σου, διό καί τόν στέφανον, διττώς κομισάμενος, μετά Μαρτύρων υμνείς καί τών Ποιμένων,

Ιερομάρτυς Χριστόν τόν Θεόν ημών.

Σίτος Θεού καθαρός ειμι έλεγες, καί δι' οδόντων θηρίων αλήθομαι, ίνα άρτος γένωμαι, Ιεροτελούμενος τώ εραστή καί Θεώ κεκαθαρμένος, όν καί ποθών, ου πτοούμαι τόν θάνατον.

Ως υπερόπτης τών κάτω Ιγνάτιε, καί υπηρέτης τών άνω μυήσεων, ως λατρείαν άμωμον, τελών καί τελούμενος, Ιερουργείς σεαυτόν τώ μαρτυρίω, πρός τε θηρία καί πύρ ετοιμαζόμενος.

Σπλάγχνα θηρίων σοι τάφος γεγόνασιν, έχεις δέ νύν τήν Σιων εν, διαίτημα, καί ζής εν καινότητι, ζωηφόρου Πνεύματος, εν ουρανοίς τώ Χριστώ συμβασιλεύων, καί εν τρυφών τή αυτού ωραιότητι.

Τώ απροσίτω φωτί ελλαμπόμενος, καί εν ταίς ανω μοναίς αυλιζόμενος, Ιερέ Ιγνάτιε, τώ Θεώ καί Κτίστη σου, υπέρ τής ποίμνης σου ταύτης εντυγχάνων, αδιαλείπτως μή παύση δεόμενος.

Δόξα...

Τό υπεράρχιον φώς η ζωή ημών, Πατήρ Υιός καί τό Πνεύμα τό Άγιον, τρισίν υποστάσεσι, καί μιά, θεότητι, υπερουσίως αεί θεολογείσθω, Τριάς απλή συμφυής καί Ομότιμος.

Καί νύν... Θεοτοκίον

Χαίρε Αγνή τού Θεού Πόλις έμψυχε, εν ή Θεού χωρηθήναι ευδόκησε, μή λιπών τά άνω γάρ, πρός σέ καταβέβηκεν, ως υετός επί γής Θεογεννήτορ, καί εν τή πόλει Βηθλεέμ βρέφος τίκτεται.

Εξαποστειλάριον προεόρτιον

Επεσκέψατο ημάς

Ετοιμάζου Βηθλεέμ, Σπήλαιον ευτρεπίσθητι, υπόδεξαι καί η Φάτνη, τόν απερίγραπτον Θεόν, σαρκί περιγραφόμενον, έρχεται γάρ τεχθήναι, καθώσπερ ευδόκησε.

Τού Αγίου

Τοίς μαθηταίς συνέλθωμεν

Σίτος υπάρχω έλεγες, τού Θεού καί Σωτήρος, καί δεί με νύν αλήθεσθαι, δι' οδόντων θηρίων, Ιγνάτιε Θεοφόρε, όπως άρτος ηδύς τε, καί καθαρός οφθήσομαι, τή Αγία Τριάδι, ή παρεστώς, μνημονεύοις πάνσοφε τών τελούντων, τήν φωτοφόρον μνήμην σου, Ιεράρχα καί Μάρτυς.

Έτερον Γυναίκες ακουτίσθητε

Ως τετρωμένος έρωτι, αγάπης τού Κυρίου σου, Ο εμός έρως εβόας, Χριστός εσταύρωται θέλων, διό διψώ τού διψάσθαι, καί ζών ερώ τού εράσθαι, ού κοινωνός γενηθήναι, επιποθώ καί τού πάθους, καί τής αυτού βασιλείας.

Προεόρτιον, όμοιον

Πιστοί τά προεόρτια, τών Γενεθλίων άσματα, νύν προηχήσωμεν πίστει, έρχεται ήκει γάρ Χριστός, εν Βηθλεέμ τού τεχθήναι, ως βροτός εκ Παρθένου, καί ορασθήναι νήπιος, σπαργάνοις ενειλημένος, ο πρό αιώνων υπάρχων.

Εις τούς Αίνους, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια, κατά αλφάβητον.

Ποίημα Ρωμανού τού Μελωδού.

Ήχος πλ. β'  Αυτόμελον

Αι Αγγελικαί, προπορεύεσθε Δυνάμεις, οιεν Βηθλεέμ, ετοιμάσατε την Φάτνην, ο λόγος γάρ γεννάται, η σοφία προέρχεται, δέχου ασπασμόν η Εκκλησία, εις τήν χαράν τής Θεοτόκου, λαοί είπωμεν, Ευλογημένος ο ελθών, Θεός ημών δόξα σοι. (Δίς)

Ανίσχει ο Αστήρ, Ιακώβ εν τώ Σπηλαίω Δεύτε καί ημείς, προεόρτια τελούντες, συνδράμωμεν τοίς Μάγοις, τοίς Ποιμέσι συνέλθωμεν, ίδωμεν Θεόν εν τοίς σπαργάνοις, ίδωμεν Παρθένον γαλουχούσαν, φρικτόν θέαμα! Ο Βασιλεύς τού, Ισραήλ, Χριστός παραγίνεται.

Βουνοί γλυκασμόν, σταλαξάτωσαν Ιδού γάρ, ήκει ο Θεός, εκ θαιμάν Έθνη ηττάσθε, Προφήται Πατριάρχαι σκιρτήσατε, άνθρωποι χορεύσατε ενθέως, ο ισχυρός καί μέγας Άρχων, Χριστός τίκτεται, ο Βασιλεύς τών ουρανών, εν γή παραγίνεται.

Γήθεν ανυψών, τούς βροτούς ο Πλάστης ήκει, τήν βασιλικήν, καινουργών αύθις εικόνα, συγχάρητε τών άνω, αι Δυνάμεις υμνήσατε, έχθρας τό μεσότοιχον ελύθη, ήλθεν ώ απέκειτο, Θεός γάρ, βροτός γίνεται, ο Βασιλεύς τού Ισραήλ, Χριστός παραγίνεται.

Δεύτε οι πιστοί, υπαντήσωμεν τώ εκ Κτίστη, ήκοντι εις γήν, Παρθένου ανατείλαι, αγνεία λαμπρυνθώμεν, αρεταίς απαστράψωμεν, τρόμω καί χαρά ετοιμασθώμεν, Χριστόν ιδέσθαι βρεφωθέντα, νοός όμμασιν, ημάς Θεούντα τούς βροτούς, άκρα αγαθότητι.

Δόξα... όμοιον

Εγγίζει ο Χριστός, Βηθλεέμ προετοιμάζου, ήδη τών Εθνών, τό σωτήριον αυγάζει, Ευτρέπισον τήν φάτνην, τούς Ποιμένας συνάγαγε, κάλεσον τους Μάγους εκ Περσίδος, αι Στρατιαί τών Ασωμάτων, Νοών κράζουσιν, ο Βασιλεύς τών ουρανών, Χριστός παραγίνεται.

Καί νύν... Όμοιον

Ζήλός τε καί πύρ, καταφάγεταί σε άφρον, πλάνε αληθώς, καί τού νόμου συκοφάντα, ιδού γάρ η Παρθένος, Ησαϊας ως έφησεν, έσχεν εν γαστρί καί επί φάτνης, ανακλινεί τόν Βασιλέα, διό άπαντες, οι εξ Ιούδα τής φυλής, δυνάσται εκλείψουσιν.

Εις τόν Στίχον

Στιχηρά Ιδιόμελα  Ήχος δ'

Βηθλεέμ ευτρεπίζου, ύμνησον Πόλις Σιών, αγάλλου η έρημος, προμνηστευθείσα τήν χαράν, αστήρ γάρ προέρχεται, εν Βηθλεέμ μηνύων, μέλλοντα τίκτεσθαι Χριστόν, καί Σπήλαιον δέχεται, τόν αχώρητον παντί, καί Φάτνη ετοιμάζεται, υποδέξασθαι ζωήν τήν αιώνιον, αυτώ πάντες άσωμεν καί βοήσωμεν, Σώσον τάς ψυχάς ημών, Ιησού ο Θεός, ο σαρκωθείς δι' ημάς.

Στίχ. Ο Θεός από θαιμάν ήξει.

Ανατολίου

Χριστός ο ερχόμενος, εμφανώς Θεός ημών, ήξει καί ου χρονιεί, εξ απειρογάμου Νύμφης οφθήσεται, εν Σπηλαίω δέ λοιπόν προσαναπαύσεται, καί Φάτνη τών αλόγων, όν ουκ εχώρει ουρανός, υποδέχου, μέλλοντα σπαργανούσθαι εν σοί, τόν τώ λόγω λύσαντα, τής αλογίας ημάς, Αστήρ μηνύει, Μάγοι προσκυνούσι, Ποιμένες αγραυλούσι, θαύμα ορώντες τό φρικτόν, καί Άγγελοι μέλπουσιν, επί γής Θεώμενοι, τήν απολύτρωσιν τού γένους ημών.

Στίχ. Κύριε εισακήκοα τήν ακοήν σου.

Ησαία χόρευε, Λόγον Θεού υπόδεξαι, προφήτευσον τή Κόρη Μαριάμ, Βάτον πυρί καίεσθαι, καί μή καταφλέγεσθαι, τή αίγλη τής θεότητος, Βηθλεέμ ευτρεπίζου, άνοιγε πύλην η Εδέμ, καί Μάγοι πορεύεσθε, ιδείν τήν σωτηρίαν, εν φάτνη σπαργανούμενον, όν Αστήρ εμήνυσεν, επάνω τού Σπηλαίου, ζωοδότην Κύριον, τόν σώζοντα τό γένος ημών.

Δόξα... Τού Αγίου  Ήχος α'

Τού Στουδίτου

Στήλη έμψυχος, καί έμπνους εικών, ή ετήσιός σου επέστη εορτή, Θεοφόρε Ιγνάτιε, τάς μυσταγωγίας σου, καί τάς αριστείας σου κηρύττουσα, τήν υπέρ τής Πίστεως μέχρις αίματος αντικατάστασιν, τήν μακαρίαν εκείνην, καί αοίδιμον φωνήν, τήν, Ότι σίτός ειμι Θεού λέγουσαν, καί δι' οδόντων θηρίων αλήθομαι, διό μιμητής τού Χριστού σύ γεγονώς, πρέσβευε σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Προεόρτιον

Ήχος πλ. β'  Βύζαντος

Σπήλαιον ευτρεπίζου, η Αμνάς γάρ ήκει, έμβρυον φέρουσα Χριστόν, Φάτνη δέ υπεδέχου, τόν τώ λόγω λύσαντα, τής αλόγου πράξεως, ημάς τούς γηγενείς, Ποιμένες αγραυλούντες, μαρτυρείτε θαύμα τό φρικτόν, καί Μάγοι εκ Περσίδος, χρυσόν καί λίβανον καί σμύρναν, τώ Βασιλεί προσάξατε, ότι ώφθη Κύριος εκ Παρθένου Μητρός, όνπερ καί κύψασα, δουλικώς η Μήτηρ προσεκύνησε, καί προσεφθέγξατο τώ εν αγκάλαις αυτής, Πώς ενεσπάρης μοι, ή πώς μοι ενεφύης, ο Λυτρωτής μου καί Θεός;

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΑ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής Αγίας Μάρτυρος Ιουλιανής, τής εν Νικομηδεία.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια Προεόρτια.

Ήχος δ'  Έδωκας σημείωσιν

Ούτος ο Θεός ημών, ού λογισθήσεται έτερος, πρός αυτόν ανακέκραγε, Προφήτης εν πνεύματι, οδόν γάρ εξεύρε, πάσαν επιστήμης, μετά δέ ταύτα τοίς βροτοίς, σάρκα φορέσας ομοιωθήσεται, Παρθένου γάρ θεόπαιδος, αποτεχθήναι επείγεται, προσιτός μοι γενόμενος, ο τή φύσει απρόσιτος.

Θημωνία άλωνος, η σή κοιλία Πανάμωμε, Θεοτόκε γνωρίζεται, στάχυν εγεώργητον, υπέρ νούν καί λόγον, φέρουσα αφράστως, όν εν Σπηλαίω Βηθλεέμ, αποκυήσεις τήν κτίσιν άπασαν, ταίς θείαις επιγνώσεσι, μέλλοντα θρέψειν εν χάριτι, καί λιμού τό ανθρώπινον, ψυχοφθόρου λυτρώσεσθαι.

Δάμαλις η άμωμος, τόν σιτευτόν Μόσχον φέρουσα, εν κοιλία προέρχεται, εις άγιον Σπήλαιον, παραδόξω λόγω, τούτον αποτέξαι, καί σπαργανώσαι ως βροτόν, καί ανακλίναι φάτνη ως νήπιον. Η κτίσις προεόρταζε, χαρμονικώς μεγαλύνουσα, τόν τοιαύτα παράδοξα, επί γής εργαζόμενον.

### Στιχηρά τής Αγίας

Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Ταίς βαφαίς ταίς εξ αίματος, σωτηρίου ιμάτιον, σεαυτή πανεύφημε επιχρώσασα, καί λαμπρυνθείσα τώ πνεύματι, Κυρίω μεμνήστευσαι, αθανάτω Βασιλεί, συντηρούντί σε άμωμον, αδιάφθορον, εις αιώνα αιώνος εν θαλάμοις, ουρανίοις ως Παρθένον, περικαλή καί ακήρατον.

Αικισμοίς ομιλήσασα, καί πυρί προσπελάσασα, καί σαρκός σπαράγματα καρτερήσασα, καί τών λεβήτων τά βράσματα, γενναίως ενέγκασα, ουχ ηττήθης λογισμώ, ου ξοάνοις επέθυσας, αλλά κλίνασα, τώ Θεώ τόν αυχένα τή τού ξίφους, τιμωρία στεφηφόρος, πρός ουρανούς ανελήλυθας.

Ώσπερ προίκα πολύτιμον, τώ Νυμφίω προσήγαγες, Αθληφόρε ένδοξε δήμον άγιον, τοίς θαυμασίοις πιστεύσαντα, οίς πίστει ετέλεσας, ανωτέρα καί ποινών, καί τροχού καταφλέγοντος, καί στρεβλώσεων, εν Χριστώ δεικνυμένη τώ τήν νίκην, ουρανόθεν σοι Παρθένε, θεουργικώς χορηγήσαντι.

Δόξα... Καί νύν... Ήχος πλ. β'

Σιών πανηγύριζε, Ιερουσαλήμ ευφραίνου, Πόλις Χριστού τού Θεού, υπόδεξαι τόν Κτίστην, εν Σπηλαίω καί Φάτνη χωρούμενον, ανοίξατέ μοι πύλας,

εισελθών εν αυταίς, όψομαι τόν ως βρέφος σπαργανούμενον, καί τή δρακί συνέχοντα τήν κτίσιν, όν υμνούσιν Άγγελοι, ακαταπαύστω φωνή, Ζωοδότην Κύριον, τόν σώζοντα τό γένος ημών.

## Απόστιχα Στιχηρά Προσόμοια

### Ήχος β'  Οίκος τού Εφραθά

Πάντων τών Προφητών, αι προρρήσεις πληρούνται, ο Χριστός γάρ γεννάται, εν Βηθλεέμ τή πόλει, εκ τής αγνής θεόπαιδος.

Στίχ. Ο Θεός από θαιμάν ήξει.

Δόξα τών γηγενών, καί καύχημα καί κλέος, Βηθλεέμ η τιμία, μητρόπολις η θεία, υπόδεξαι τόν Κτίστην σου.

Στίχ. Κύριε εισακήκοα τήν ακοήν σου.

Λόγος ο τού Πατρός, δι' ού τό πάν υπέστη, απαθώς καί αρρεύστως, υπόστασις οράται, μία εκ δύο φύσεων.

Δόξα... Καί νύν... όμοιον

Η πόλις Βηθλεέμ, ευτρέπισον τώ Κτίστη, τό Σπήλαιον, τήν Φάτνην, τά σπάργανα, εν σοί γάρ, τεχθήναι παραγίνεται.

## Απολυτίκιον, Προεόρτιον

### Ήχος δ'  Κατεπλάγη Ιωσήφ

Ετοιμάζου Βηθλεέμ, ήνοικται πάσιν η Εδέμ, Ευτρεπίζου Εφραθά, ότι τό ξύλον τής ζωής, εν τώ Σπηλαίω εξήνθησεν εκ τής Παρθένου, Παράδεισος καί γάρ, η εκείνης γαστήρ, εδείχθη νοητός, εν ώ τό θείον φυτόν, εξ ού φαγόντες ζήσομεν, ουχί δέ ως ο Αδάμ τεθνηξόμεθα, Χριστός γεννάται, τήν πρίν πεσούσαν, αναστήσων εικόνα.

Δόξα... Τής Αγίας

Ήχος δ'  Κατεπλάγη Ιωσήφ

Η αμνάς σου Ιησού, κράζει μεγάλη τη φωνή, Σέ Νυμφίε μου ποθώ, καί σέ ζητούσα αθλώ, καί συσταυρούμαι, καί συνθάπτομαι τώ βαπτισμώ σου, καί πάσχω διά σέ, ως βασιλεύσω σύν σοί, καί θνήσκω υπέρ σού, ίνα καί ζήσω εν σοί, αλλ' ως θυσίαν άμωμον, προσδέχου τήν μετά πόθου τυθείσάν σοι, Αυτής πρεσβείαις, ως ελεήμων, σώσον τάς ψυχάς ημών.

Καί νύν...

Ετοιμάζου Βηθλεέμ, ήνοικται πάσιν η Εδέμ, Ευτρεπίζου Εφραθά, ότι τό ξύλον τής ζωής, εν τώ Σπηλαίω εξήνθησεν εκ τής Παρθένου, Παράδεισος καί γάρ, η εκείνης γαστήρ, εδείχθη νοητός, εν ώ τό θείον φυτόν, εξ ού φαγόντες ζήσομεν, ουχί δέ ως ο Αδάμ τεθνηξόμεθα, Χριστός γεννάται, τήν πρίν πεσούσαν, αναστήσων εικόνα.

Εις τά Απόδειπνα ψάλλομεν τό Διώδιον, ού η Ακροστιχίς.

Τρίτη τε

Ωδή η'  Ήχος β'  Ο Ειρμός

«Τώ δόγματι τώ τυραννικώ, οι όσιοι τρείς Παίδες μή πεισθέντες, εν τή καμίνω βληθέντες, Θεόν ωμολόγουν ψάλλοντες, Ευλογείτε τά έργα, Κυρίου τόν Κύριον».

Ραθυμίας ύπνον αφ' ημών, βαλώμεθα, καί ψυχών εγρηγόρσει, τώ τικτομένω εκ Κόρης αγνής, Χριστώ αναμέλψωμεν, Ευλογείτε τά έργα, Κυρίου τόν Κύριον.

Ικανούσθω πράξις αγαθή, ημών τώ τής ψυχής ταμείω, όπως φαιδρώ τώ προσώπω, Χριστώ τικτομένω ψάλλωμεν, Ευλογείτε τά έργα, Κυρίου τόν Κύριον.

Τό τάλαντον έργοις αγαθοίς, αυξήσαντες, ώσπερ δώρα τώ δόντι, αντί χρυσού καί λιβάνου Χριστώ, καί σμύρνης προσάξωμεν, ερχομένω τεχθήναι, εκ Κόρης θεόπαιδος.

Ωδή θ'  Ο Ειρμός

«Η τόν αχώρητον Θεόν, εν γαστρί χωρήσασα, καί χαράν τώ κόσμω κυήσασα, σέ υμνούμεν, Παναγία Παρθένε».

Τοίς επιγνώμοσι Χριστός, γρηγορείν εντέταλται, τήν αυτού ελπίζουσιν έλευσιν, εκ Παρθένου, καί γάρ ήκει τεχθήναι.

Εν τή δευτέρα σου Χριστέ, ενδημία σύσκηνον, δεξιοίς με δείξον προβάτοις σου, σήν τιμώντα, εν σαρκί παρουσίαν.

Εν τή προτέρα σου Χριστέ, παρουσία έσωσας, τόν Αδάμ, αλλ' εν τή δευτέρα σου, τούς τιμώντας, τήν σήν Γέννησιν σώζε.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία. Μετά δέ τήν α' Στιχολογίαν, Κάθισμα.

Ήχος β'  Ο ευσχήμων Ιωσήφ

Ο απρόσιτος Θεός, δι' ευσπλαγχνίαν προσιτός, γενόμενός μοι θέλων, προέρχεται σαρκί, γεννηθήναι ως άνθρωπος, εν πόλει Βηθλεέμ, εκ Παρθένου νεάνιδος, όν υποδέξασθαι προθύμως σπουδάσωμεν, ανακράζοντες φόβω, Κύριε δόξα σοι.

Δόξα... Καί νύν... τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα
Ήχος γ' Τήν ωραιότητα

Θαύμα παράδοξον, οράται σήμερον! ο γάρ Σωτήρ ημών, εν τώ σπηλαίω σαρκί, εκ τής Παρθένου δι' ημάς, τεχθήναι νύν επείγεται, Μάγοι μετά δώρων δέ, ως βασιλεί προσκυνήσουσι, Ποιμένες τε καί Άγγελοι, αυτόν δοξολογήσουσι, μεθ' ών καί ημείς βοώμεν, Δόξα τώ δι' ημάς ενανθρωπήσαντι.

Δόξα... Καί νύν... τό αυτό

Ο Ν'

Ο Κανών ο προεόρτιος, ού η Ακροστιχίς, κατά αλφάβητον. Ιωσήφ.

Ωδή α' Ήχος δ' Ο Ειρμός

«Τριστάτας κραταιούς, ο τεχθείς εκ Παρθένου, απαθείας εν βυθώ, ψυχής τό τριμερές, καταπόντισον δέομαι, όπως σοι ως εν τυμπάνω, τή νεκρώσει τού σώματος, επινίκιον, άσω μελώδημα».

Αγάλλου ουρανέ, καί η γή ευφραινέσθω, ο Θεός γάρ μεθ' ημών, γενόμενος σαρκί, εκ Παρθένου νεάνιδος, τίκτεται καί σπαργανούται, τάς σειράς διαλύει δέ, τών εμών εγκλημάτων ως εύσπλαγχνος.

Βασίλισσα αγνή, Βασιλέα τών όλων, αποτίκτει υπέρ νούν, τόν άνω τοίς πιστοίς, βασιλείαν ανοίγοντα, καί τήν εν ημίν αθλίως, βασιλεύουσαν πάντοτε, αμαρτίαν τελείως εξαίροντα.

Γραφαί προφητικαί, περαιούνται, Ιδού γάρ, όν προήγγειλαν Χριστόν, εν πόλει Βηθλεέμ, φανερούται σαρκούμενος, τούτου νύν προεορτάσαι, τα Γενέθλια σπεύσωμεν, διανοίας ευθύτητι σήμερον.

Κανών τής Αγίας, ού η Ακροστιχίς.

Μέλπειν σε Μάρτυς προσθέτω Θεός χάριν. Ιωσήφ.

Ωδή α' Ήχος δ'

«Θαλάσσης, Τό ερυθραίον πέλαγος, αβρόχοις ίχνεσιν, ο παλαιός πεζεύσας, Ισραήλ, σταυροτύποις Μωσέως χερσί, τού Αμαλήκ τήν δύναμιν, εν τή ερήμω ετροπώσατο».

Μαρτύρων, περιφανώς λαμπρότησι, περιαστράπτουσα, περί Θεόν χορεύεις Ιερώς, θεουμένη Πανεύφημε, καί φωτισμόν πρεσβείαις σου, παρεχομένη τοίς υμνούσί σε.

Ετρώθης, τώ γλυκυτάτω έρωτι, Χριστού πανεύφημε, καί σαρκικάς λιπούσα ηδονάς, καί μνηστήρα επίκηρον, κατεγγυήθης άμωμος, Αγνή Παρθένος τώ Νυμφίω σου.

Λαμπρύνας, φωτοφανέσι κάλλεσι, τήν σήν διάνοιαν, ο Πλαστουργός τών όλων καί Θεός, ουρανίων θαλάμων σε, παρθενικώς χορεύουσαν, Μάρτυς θεόφρον κατηξίωσε.

Θεοτοκίον

Παρθένος, τόν Πλαστουργόν τής φύσεως, τεκείν επείγεται, εν τώ Σπηλαίω σάρκα εξ αυτής, καθ' υπόστασιν άρρητον, υπερφυώς φορέσαντα, όπως Θεώση τό ανθρώπινον.

Προεόρτιος

Ωδή γ' Ο Ειρμός

«Ότι στείρα έτεκεν, η εξ Εθνών Εκκλησία, καί η πολλή εν τέκνοις, ησθένησε συναγωγή, τώ θαυμαστώ Θεώ ημών βοήσωμεν, Άγιος εί Κύριε».

Δανιήλ εξ όρους σε, παρθενικού λίθον Λόγε, αποτμηθέντα βλέπει, εκλεπτύνοντα βωμούς, είδωλικους τώ κράτει σου, διά τούτο φόβω σε δοξάζομεν.

Εξ Εώας Μάγοι σε, τώ Βασιλεί τών απάντων, όδηγηθέντες άστρω, δώρα προσάγουσι Χριστέ, σμύρναν χρυσόν καί λίβανον, εκπλαγέντες τήν σήν συγκατάβασιν.

Ζωηφόρον άσταχυν, χώρα ανήροτος φέρει, αποτεκείν εν πόλει, τής Βηθλεέμ η Μαριαμ, πάντων ψυχάς εκτρέφοντα, τών βοώντων, Άγιος εί Κύριε.

Τής Αγίας

Ευφραίνεται επί σοί

Ετέλεσας τήν ψυχήν, ναόν πανάγιον Θεού Ένδοξε, θείοις ναοίς πάντοτε, ύμνοις καί ευχαίς παρεδρεύουσα.

Μεγίστων επιτυχείν, εφιεμένη δωρεών Πάνσεμνε, πόνους σαρκός έφερες, ως εν αλλοτρίω τώ σώματι.

Αιμάτων σου σταλαγμοίς, τής αθεϊας τήν πυράν έσβεσας, καί τών πιστών ήρδευσας, Ιουλιανή τά φρονήματα.

Θεοτοκίον

Ρυόμενος τούς βροτούς, ο συμπαθής εκ τής αγνής τίκτεται, εν Βηθλεέμ σπάργανα, νήπιον καθάπερ δεχόμενος.

Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα, Σύ  μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

Κάθισμα Προεόρτιον  Ήχος γ'

Τήν ωραιότητα

Χαράς εμπλήσθητε, πάντα τά πέρατα, η Θεοτόκος γάρ, τεκείν επείγεται, τόν Βασιλέα τού παντός, ώ θαύματος ανεκφράστου! άρχεται ο Άναρχος, καί σαρκούται ο Άσαρκος Σπήλαιον εισδέχεται, τόν συνέχοντα άπαντα, Η Βηθλεέμ αγάλλου, καί χόρευε η κτίσις, ημέραν προεόρτιον.

Δόξα... Τής Αγίας

Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ

Πεποικιλμένη αρεταίς θεοσδότοις, διηνθισμένη τώ σεπτώ μαρτυρίω, όλη καλή καί άμωμος ωράθης σεμνή, όθεν σου ο Κύριος, νύν ηράσθη τού κάλλους, καί προς φωτεινότατον, σέ νυμφώνα εισήξεν, εν ώ χορεύεις, Ιουλιανή, με τά Μαρτύρων Χριστόν μεγαλύνουσα.

Καί νύν... Προεόρτιον

Ταχύ προκατάλαβε

Παρθένοι προεξάρξατε, τή τής Παρθένου χαρά, Μητέρες αινέσατε, τήν προπομπήν τής Μητρός, Χριστού τού Θεού ημών, Μάγοι σύν τοίς Αγγέλοις, σύν ημίν οι Ποιμένες, έρχεται γάρ εν πόλει, Βηθλεέμ τού γεννήσαι, υιόν τόν πρό αιώνων Θεόν, σώζοντα κόσμον φθοράς.

Προεόρτιος

Ωδή δ'  Ο Ειρμός

«Ο καθήμενος εν δόξη, επί θρόνου θεότητος, εν νεφέλη κούφη, ήλθεν Ιησούς ο υπέρθεος, τή ακηράτω παλάμη καί διέσωσε, τούς κραυγάζοντας, Δόξα Χριστέ τή δυνάμει σου».

Η αγία μυροθήκη, τού σεπτού αγιάσματος, Βηθλεέμ εν πόλει, τούτο εκκενώσαι προέρχεται, αγιασμόν ημίν πάσι παρεχόμενον, τοίς κραυγάζουσι, Δόξα Χριστέ τή δυνάμει σου.

Θεηγόρε Ησαϊα, τά σεπτά σου κηρύγματα, γεγονότα βλέπων, πράγματα αγάλλου καί χόρευε, η γάρ Παρθένος ασπόρως απεκύησεν, εν Σπηλαίω σαρκί, Βηθλεέμ τόν αχώρητον.

Ιησούς σαρκί γεννάται, καί εν χρόνω ο Άχρονος, καθοράται βρέφος, λύων μου τά χρόνια πταίσματα, καί τή αφάτω πτωχεία πλουτίζει με, τόν πτωχεύσαντα, φθοροποιαίς παραβάσεσι.

Τής Αγίας

Επαρθέντα σε ιδούσα

Τεταμένην τήν διάνοιαν κεκτημένη, πρός τόν τών όλων Κύριον, σαρκός τεταμένης, καί μαστιζομένης δεινώς, ουδόλως εφρόντισας, Ιουλιανή καλλιπάρθενε.

Υπερίσχυσαν οι έρωτες τού Δεσπότου, τούς τής σαρκός πανεύφημε, Μάρτυς αμαυρώσαι, όθεν κατεφρόνησας, καί πλούτου καί μνήστορος, καί πολυτρόπων κολάσεων.

Σέ τήν άσπιλον αμνάδα καθάπερ λύκοι, οι δυσμενείς σπαράττοντες, Μάρτυς ταίς αικίαις, άμωμον ολόκληρον, Θεού απετέλεσαν, θείον ιερείον καί σφάγιον.

Θεοτοκίον

Παρθενίαν μετά τόκον εσφραγισμένην, η Θεοτόκος βλέπουσα, θάμβει συσχεθείσα, Τέκνον ανεκραύγαζε, πώς νύν σπαργανώσω σε, ψάμμω σπαργανούντα τήν θάλασσαν.

Προεόρτιος

Ωδή ε' Ο Ειρμός

«Ασεβείς ουκ όψονται, τήν δόξαν σου Χριστέ, αλλ' ημείς σε μονογενές, Πατρικής απαύγασμα, δόξης θεότητος, εκ νυκτός ορθρίζοντες, ανυμνούμέν σε φιλάνθρωπε».

Κόρης αποτίκτεται, Θεός Εμμανουήλ, καί εν φάτνη ανακλιθείς, τήν ημών ανάκλησιν, θέλων εργάζεται τούτου τά Γενέθλια, ευσεβώς προεορτάσωμεν.

Λόγος ων προάναρχος, Πατρός καί συμφυής, επί φάτνης αωακλιθείς, τών αλόγων έλυσας, τής αλογίας ημάς, τούς προεορτάζοντας, ευσεβώς τά σά Γενέθλια.

Μακαρία πέφυκεν, η ρίζα Ιεσσαί, εκβλαστήσασα τήν αγνήν, άνθος θείον φέρουσαν, Χριστόν τόν Κύριον, ού προερτάσωμεν, τά Γενέθλια γηθόμενοι.

Τής Αγίας

Σύ Κύριέ μου φώς

Ρούν μάρτυς δυσσεβούς, αθεϊας εξήρανας, τοίς ρεύμασι τών αιμάτων, τών αδίκως χυθέντων, καί πύρ απάσης έσβεσας.

Ολόκληρον σαυτήν, τώ Θεώ προσενήνοχας, ερύθημα παρθενίας, ταίς βαφαίς τών αιμάτων, λαμπρότερον τελέσασα.

Σώ κάλλει τήν ψυχήν, τετρωμένη παρέδραμεν, ώ Δέσποτα η Παρθένος, τά ορώμενα κάλλη, αθλήσει διαλάμπουσα.

Θεοτοκίον

Θαύμα καινοπρεπές! η Παρθένος επείγεται, η Άχραντος εν Σπηλαίω,

Βηθλεέμ τού κυήσαι, Θεόν ενανθρωπήσαντα.

Προεόρτιος

Ωδή ς' Ο Ειρμός

«Ήλθον εις τά βάθη τής θαλάσσης, καί κατεπόντισέ με, καταιγίς πολλών αμαρτημάτων, αλλ' ως Θεός, εκ βυθού ανάγαγε, τήν ζωήν μου Πολυέλεε».

Νέον επί γής ημίν Παιδίον, τεχθείς ο πρό αιώνων, εκ Πατρός αρρήτως αναλάμψας, τής παλαιάς, πάντας ηλευθέρωσε, παραβάοεως ως εύσπλαγχνος.

Ξένα καί παράδοξα ηκούσθη, εν Βηθλεέμ τή πόλει, γεννηθέντος σου άναρχε Λόγε Ποιμένες γάρ, μετ' Αγγέλων ύμνον σοι, ως Δεσπότη προσεκόμιζον.

Ο αστήρ τόν τής δικαιοσύνης, καταμηνύει Μάγοις, απορρήτως Ήλιον τεχθέντα, ού τά σεπτά, νύν προεορτάσωμεν, αγαλλόμενοι Γενέθλια.

Τής Αγίας

Θύσω σοι, μετά φωνής

Έρωτι, τετρωμένη τώ θείω εκραύγαζες, Χριστόν επείγομαι φθάσαι, τόν ωραίον κάλλει, όθεν βασάνους, υπομένω, ακλινεί γηθομένη φρονήματι.

Τείνεσθαι, ανηλεώς καί ράβδοις συντρίβεσθαι, τήν τού Κυρίου αμνάδα, πονηρός διώκτης προσέταττε, τεταμένην, πρός Χριστόν τήν διάνοιαν έχουσαν.

Ώρθρισας, πρός Χριστόν τόν ανέσπερον Ήλιον, καί ταίς αυτού φρυκτωρίαις, καί ψυχήν θεόφρον, καί τήν καρδίαν, κατηυγάσθης, καί πρός φώς μετετέθης αϊδιον.

Θεοτοκίον

Θάλασσαν, σπαργανώσας ομίχλη βουλήματι, κυοφορείται ο Κτίστης, εκ Παρθένου Κόρης καί σπάργανα, ώσπερ βρέφος, καταδέχεται κόσμον λυτρούμενος.

Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Κοντάκιον Προεόρτιον

Ήχος β' Τά άνω ζητών

Εν τή Βηθλεέμ, ορώντες σπαργανούμενον, τόν πάσαν τήν γήν, κρατούντα τή χειρί αυτού, προεόρτια άσματα, τή Τεκούση τούτον προσενέγκωμεν, μητρικώς γαρ ευφραίνεται, κρατούσα εν κόλποις τόν Υιόν τού Θεού.

Ο Οίκος

Τόν τού Θεού Υιόν η Παρθένος εν αγκάλαις κρατούσα, καί μητρικοίς ασπασμοίς καταφιλούσα εφθέγγετο, Σποράν ουκ έγνων εν τή συλλήψει, καί φθοράν ουχ υπέστην εν τή γεννήσει, αλλ' αγνή ώσπερ πρώην ειμί καί μετά γέννησιν, διό σου προσκυνώ Τέκνον τήν πολλήν ευσπλαγχνίαν, καί άφατον μεγαλουργίαν, ήν έδειξας εις εμέ, όθεν καί αγάλλομαι, κρατούσα εν κόλποις τόν Υιόν τού Θεού.

### Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΑ' τού αυτού μηνός, μνήμη τής Αγίας μάρτυρος Ιουλιανής.

Στίχοι

- Ιουλιανής αγλάϊσμα τό ξίφος,
- Ως προξενήσαν αγλαόν ταύτη στέφος.
- Έκτανον εικάδι πρώτη Ιουλιανήν ερατεινήν.

Τή αυτή ημέρα, οι άγιοι πεντακόσιοι Μάρτυρες, οι εν Νικομηδεία διά τής Αγίας Ιουλιανής πιστεύσαντες, ξίφει τελειούνται.

Στίχοι

- Πεντακοσίους είδεν εκτετμημένους,
- Η Νικομήδους Μάρτυρας νικηφόρους.

Τή αυτή ημέρα, Αι Άγιαι εκατόν τριάκοντα γυναίκες αι εν Νικομηδεία, ξίφει τελειούνται.

Στίχοι

- Σύν πενταπλή προύτεινεν εικάδι ξίφει,
- Τριπλή γυναικών μαρτύρων δεκάς κάρας.

Τή αυτή ημέρα, Μνήμη τού αγίου Μάρτυρος θεμιστοκλέους.

Στίχοι

- Τάς εκ σιδηρών οξέων ήλων ξέσεις,
- Ώς τις σιδηρούς καρτερείς θεμιστόκλεις.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον καί σώσον ημάς. Αμήν.

### Προεόρτιος

### Ωδή ζ' Ο Ειρμός

«Νέοι τρείς έν Βαβυλώνι, πρόσταγμα τυραννικόν, εις φλήναφον θέμενοι, εν μέσω πυρός ανεβόων, Ευλογητός εί Κύριε, ο Θεός τών Πατέρων ημών».

Πώς σε Σπήλαιον χωρήσει, ερχόμενον δι' ημάς, τεχθήναι Αχώρητε; πώς σε γαλουχήσει Παρθένος, τροφέα πάντων εύσπλαγχνε, Ιησού χρηματίζοντα;

Ρήμασιν ακολουθούντες, τού Μάντεως Βαλαάμ, Μάγοι επισπεύδουσι, Χριστόν προσκυνήσαι σύν δώροις, επεγνωκότες τούτον, πάσης πνοής

βασιλεύοντα.

Στειρεύουσα τών ανθρώπων, φύσις πάσης αρετής, αγάλλου καί χόρευε, ήκει γάρ Χριστός εκ Παρθένου, σαρκί τεχθήναι, όπως δείξη καλοίς ευτεκνούσάν σε.

### Τής Αγίας

### Εν τή καμίνω Αβραμιαίοι

Εν αφροσύνη, πυρακτωθέντι σε τώ λέβητι, Μάρτυς, δικαστής προσρίπτει ανηλεώς, δι' Αγγέλου δέ ο Κύριος, αδιαλώβητόν σε διέσωσε, τούτον γεραίρουσαν.

Ου δειλιώσα, ανδρειοφρόνως μάλλον δέ πάνσεμνε, Μάρτυς, τή πυρά προσέρχη αναψυχής, αισθομένη καί κραυγάζουσα, Ευλογημένος εί, εντώ ναώ τής δόξης σου Κύριε.

Σού τώ Νυμφίω, καθάπερ προίκα προσήγαγες, δήμον καί λαόν πιστεύσαντα εις αυτόν καί τής πλάνης αμαυρότητα, ταίς φωτοβόλοις σου, θαυματουργίαις αποκρουσάμενον.

### Θεοτοκίον

Χαίρε χωρίον, τού Αχωρήτου Μητροπάρθενε, τούτον, σαρκοφόρον μέλλεις γάρ δι ημάς, εν Σπηλαίω τίκτειν Άχραντε, επανορθούμενον, τών οικείων χειρών τό πλαστούργημα.

### Προεόρτιος

### Ωδή η' Ο Ειρμός

«Λυτρωτά τού παντός παντοδύναμε, τούς εν μέσω φλογός ευσεβήσαντας, συγκαταβάς εδρόσισας, καί εδίδαξας μέλπειν, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον».

Τόν πολλαίς με Χριστέ παραβάσεσι, τών ληστών χρηματίσαντα σπήλαιον, δι' ευσπλαγχνίαν άφατον, διασώζων τεχθήναι, εν τώ Σπηλαίω, εκ Παρθένου Αγνής κατηξίωσας.

Υπογράφων τελείαν μοι άφεσιν, απεγράφης τώ Καίσαρος δόγματι, ο Ποιητής τής κτίσεως, σύν τοίς δούλοις, υμνώ σου τής ευσπλαγχνίας, τό αμέτρητον έλεος Δέσποτα.

Φωτεινόν τού Δεσπότου Παλάτιον, πώς υπήλθες σμικρότατον Σπήλαιον, τόν Βασιλέα Κύριον, δι ημάς σαρκωθέντα, αποκυήσαι, Παναγία Παρθένε Θεόνυμφε;

### Τής Αγίας

Χείρας εκπετάσας

Άνω σου τό όμμα καί τόν νούν, πρός τόν δυνάμενον, έχουσα σώζειν Θεόν, λεβήτων βράσματα χάριτι, θείου Πνεύματος κατέσβεσας, αναβοώσα τήν ωδήν, τών Παίδων Μάρτυς πιστώς, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ρήμασι τυράννου δυσμενούς, υπηρετούμενοι, πυρός επάξιοι, οι ματαιόφρονες ζώσάν σε, τή πυρά Μάρτυς ενέβαλον, αλλ' ουκ εφλέχθης τώ πυρί, τή τού Νυμφίου στοργή θεοφόρε, δροσιζομένη καί τούτον γεραίρουσα.

Ίστασο πρό βήματος Χριστόν, ανακηρύττουσα, Θεόν αθάνατον, καθυπομείναντα σταύρωσιν, καί τήν πλάνην θανατώσαντα, καί τήν αθάνατον ζωήν, πιστοίς παρέχοντα, τοίς βοώσι, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Θεοτοκίον

Νέφει τήν επίβασιν αυτού, τιθείς ο Κύριος διά νεφέλης ημίν, Παρθένου τίκτεσθαι έρχεται, όπως λύση τών ψυχών ημών, τής αμαρτίας ζοφερά, νέφη βοώντων αυτώ, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Προεόρτιος

Ωδη θ' Ο Ειρμός

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, σύ δέ παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν».

Χορεύσωμεν άπαντες πιστοί, σκιρτήσωμεν, καί συμφώνως αλαλάξωμεν, ήκει η πάντων σωτηρία, εγγίζει τού τεχθήναι ο Κύριος, καί σώσαι τούς αυτού τά Γενέθλια, ευσεβοφρόνως εορτάζοντας.

Ψαλτήριον άγιε Δαυίδ ανάλαβε, καί κιθάραν καί μελώδησον, Τού Εφραθά οίκος ευφραίνου, Πατήρ γάρ εκ γαστρός όν εγέννησεν, εν σοί περιφανώς αποτίκτεται, εκ τής Παρθένου σωματούμενος.

Θεοτοκίον

Ως όμβρος, ως μέγας υετός εν τή μήτρα σου, ο Δεσπότης καταβέβηκε, και αυχμηρία αθεΐας, τήν γήν κεχερσωμένην κατήρδευσε, καί πλάνης τάς θαλάσσας εξήρανε, Θεογεννήτορ Μητροπάρθενε.

Τής Αγίας

Λίθος αχειρότμητος

Ιουλιανής αθληφόρου, τούς υπέρ πίστεως αγώνας, Άγγελοι εθαύμασαν όπως, εν γυναικεία φύσει κατήσχυνε, τόν τήν αυτής προμήτορα, εν Παραδείσω θανατώσαντα.

Ως περικαλής αθληφόρος, καί περιδέξιος Παρθένος, στέφος ανεπλέξω νομίμως, δικαιοσύνης καταπατήσασα, μετά σαρκός τόν άσαρκον, καί νικηφόρος χρηματίσασα.

Σέ τήν νοητήν Χελιδόνα, καί αδιάφθορον Τρυγόνα, καί Περιστεράν μαρτυρίω, κεχρυσωμένας έχουσαν πτέρυγας, καί πρός τόν Θεόν Πετάσασαν, καταπαυσασαν γεραίρομεν.

Ήνθησας κοιλάσιν ως κρίνον, ταίς τών Μαρτύρων αθλοφόρε, Ιουλιανή, καί ως ρόδον, τήν παρθενίαν εύοσμον φέρουσα, τώ νοητώ Νυμφίω σου, θείον οσφράδιον γεγένησαι.

Θεοτοκίον

Φέρουσα τόν φέροντα πάντα, πρός Βηθλεέμ έρχη Παρθένε, τούτον καί κυήσαι εν φάτνη, προσανακλίναι καθάπερ νήπιον, τήν τών βροτών ανάκλησιν, διαφερόντως εργαζόμενον.

Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας, τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Εξαποστειλάριον τής Αγίας

Τόν νυμφώνά σου βλέπω

Τόν νυμφώνά σου Λόγε, η Μάρτυς επιποθούσα, βασάνων άπασαν πείραν, στερρώς υπέστη ροπή σου, Ής πρεσβείαις ως Θεός, δέομαί σου, τήν ψυχήν μου οικτείρησον.

Προεόρτιον όμοιον

Βηθλεέμ γή Ιούδα, ευτρέπισον τάς εισόδους, εν σοί γάρ η Παρθένος, καί Θεοτόκος ήκει νύν, εν Σπηλαίω τού τεκείν, ως βροτόν, τόν Θεόν μου καί Κύριον.

Εις τους Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. β' Αι Αγγελικαί

Ηδημιουργός, νύν προέρχεται Σοφία, αι προφητικαί, διανίσχουσι νεφέλαι, η χάρις αιθριάζει, η αλήθεια έλαμψε, παύεται αινίγματα σκιώδη, η τής Εδέμ ηνοίγη πύλη, Αδάμ χόρευε, ο πλαστουργός Θεός ημών, εκών πεπλαστούργηται.

Θεσπίσματα πληρών, Προφητών καί τάς οράσεις, τίκτεται σαρκί, καί παχύνεται ο Λόγος, καί φάτνη τών αλόγων, γεννηθείς ανακλίνεται, Τούτο συγκατάβασις η άκρα! τούτο η φρικτή οικονομία! δι' ήν ψάλλομεν, Ο Βασιλεύς

τού Ισραήλ, Χριστός παραγίνεται.

Ίνα τής φθοράς, τόν ιόν αποκαθάρης, καί τήν αρχικήν, αναπλάσης μοι εικόνα, σαρκούσαι καί θηλάζεις, καί σπαργάνοις ο νεύματι, πάντα περιάγων ενειλίσση, τερατουργέ υμνώ σε Λόγε, βουλής Άγγελε, τής πατρικής, δι' ής εγώ, απαθανατίζομαι.

Κόλπων Πατρικών, ουκ εκστάς βροτός ωράθης, καί Παρθενικαίς, εποχούμενος ωλέναις, τούς Μάγους εκ Περσίδος, δι' αστέρος εκάλεσας, άνακτα Θεόν σε προσκυνούντας, πνεύματι χειλέων ασεβούντας, εθνών άρχοντας, ός ανελείς, καί ποιμανείς, λαόν περιούσιον.

Δόξα... όμοιον

Λόγος ο Πατρί, ομοούσιος υπάρχων, εκ παρθενικών, φυραθείς αγνών αιμάτων, καί πλάττεται καί αύξει, χρονικώ διαστήματι, αυθίς τε γεννάται εν Σπηλαίω, έκπληξις! αλλ' Άγγελοι κροτούσι, βροτοί μέλπουσιν, Ο Βασιλεύς τού Ισραήλ, Χριστός παραγίνεται.

Καί νύν... όμοιον

Μάντεως χρησμοί, Βαλαάμ αποπληρούνται, οι γάρ Περσικαίς, τερατείαις κεχηνότες, αστέρος ασυνήθους, τή ελλάμψει τόν άδυτον, Ήλιον Χριστόν καταυγασθέντες, εν Βηθλεέμ σωματωθέντα, Θεόν άνακτα, καί εθελούσιον νεκρόν, τοίς δώροις τεκμαίρονται.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος β' Οίκος τού Εφραθά

Προλάμπει ο αστήρ, ήδη εν τώ Σπηλαίω, Ποιμένες μετ' Αγγέλων, οι Μάγοι μετά δώρων, προφθάσαι ευτρεπίσθητε.

Στίχ. Ο Θεός από θαιμάν ήξει.

Ίνα τών Προφητών, πληρώση τάς προρρήσεις, εν Βηθλεέμ γεννάται, καί τήν Εδέμ ανοίγει, τοίς εξ Αδάμ ο Κύριος.

Στίχ. Κύριε εισακήκοα τήν ακοήν σου.

Μύρισον Βηθλεέμ, τήν Φάτνην τήν αγίαν, εν σοί γάρ ο Δεσπότης, προσεφαπλοί ακτίνας, τής εαυτού θεότητος.

Δόξα... Καί νύν... όμοιον

Δεύτε οι γηγενείς, συμφώνως τήν Παρθένον, Θεοτόκον Μαρίαν, υμνήσωμεν απαύστως, εξ ής ο Χριστός τίκτεται.

Η λοιπή Ακολουθία τού Όρθρου ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

**ΤΗ ΚΒ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τής Αγίας Μεγαλομάρτυρος Αναστασίας τής Φαρμακολυτρίας.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια Προεόρτια.

Ήχος πλ. β'
Όλην αποθέμενοι

Ο άδυτος Ήλιος, Παρθενικών εκ λαγόνων, ανίσχειν επείγεται, τού φωτίσαι άπασαν τήν υφήλιον, καθαροίς όμμασι, καί αγναίς πράξεσιν, υπαντήσαι τούτω σπεύσωμεν, καί υποδέξασθαι, νύν ετοιμασθώμεν εν πνεύματι, ερχόμενον εις ίδια, ξένω το κετώ ως ηυδόκησεν, όπως ξενωθέντας, ημάς τής εν Εδέμ διαγωγής, επαναγάγη ως εύσπλαγχνος, Βηθλεέμ τικτόμενος.

Ο νώτοις οχούμενος, χερουβικοίς Θεός Λόγος, σαρκί καθ' υπόστασιν, ενωθείς πανάμωμον μήτραν ώκησε, καί βροτός γέγονε, καί εις γήν έρχεται, τού Ιούδα αποτίκτεσθαι, Σπήλαιον άγιον, τώ Παμβασιλεί ευτρεπίσθητι, ως μέγιστον παλάτιον, Φάτνη δέ ως θρόνος πυρίμορφος, εν ή ώσπερ βρέφος, Παρθένος Μαριάμ ανακλινεί, επ' ανακλήσει τού πλάσματος, αυτόν ως ηυδόκησεν.

Αλόγων εν φάτνη σε, ανακλινεί η Παρθένος, Θεού Λόγε άναρχε, αρχήν εισδεξάμενον υπέρ έννοιαν, τήν εμήν λύσαι γάρ, αλογίαν έρχη, ήν υπέστην φθόνω όφεως, σπαργανωθήση δέ, όπως διαρρήξης τά σπάργανα, σειράς τε τών πταισμάτων μου, μόνε Αγαθέ καί φιλάνθρωπε, όθεν σε δοξάζω, υμνώ καί προσκυνώ περιχαρώς, τήν εν σαρκί παρουσίαν σου, δι' ής ηλευθέρωμαι.

Στιχηρά Προσόμοια τής Αγίας.

Ήχος α'
Πανεύφημοι Μάρτυρες υμάς

Ως περικαλέστατα τά σά, Μάρτυς προτερήματα! ως ευκλεείς οι αγώνές σου! ως περιβόητος, η Ομολογία! ως πολλά τά θαύματα, καί άπειρα τά θεία τεράστια! δι' ών δοξάζει σε, εις αιώνας όν εδόξασας, εναθλούσα, τοίς σεπτοίς σου μέλεσι.

Στέργουσα τήν εύκλειαν σεμνή, τών αθλούντων έσπευσας, τούτων τόν ζήλον μιμήσασθαι, όθεν υπήνεγκας, πόνους σφοδροτάτους, καί νύν θεία χάριτι, κουφίζεις πάντα πόνον Πανεύφημε, εκ τών ψυχών ημών, καί σωμάτων τών τιμώντων σου, τούς αγώνας, καί τά προτερήματα.

Ήστραψας φαιδρότερον σαφώς, τού ηλίου ένδοξε, τόν σόν αγώνα τελέσασα, καί ταίς ακτίσί σου, τών πολλών θαυμάτων, πάντων τά νοήματα, φωτίζεις τών πιστών προσιόντων σου, τή θεία λάρνακι, πηγαζούση θεία νάματα,

Αναστασία, Μάρτυς μεγαλώνυμε.

Δόξα... Τής Αγίας Ήχος β'

Τής αναστάσεως είληφας τό δώρημα, Αναστασία πανεύφημε, αθληφορούσα εν τώ σταδίω, δαιμόνων γάρ εξηφάνισας πληθύν, καί πόντω παρέδωκας αθληφόρε, Μάρτυς αξιοθαύμαστε.

Καί νύν... Προεόρτιον

Ήχος πλ. β' Βύζαντος

Ανύμφευτε Παρθένε, πόθεν ήκεις; τίς ο τεκών σε, τίς καί η Μήτηρ σου; πώς τόν Κτίστην φέρεις εν αγκάλαις; πώς ουκ εφθάρης τήν νηδύν; μεγάλων χαρισμάτων επί σοί, φρικτών μυστηρίων επί γής τελουμένων, ορώμεν Παναγία, καί προευτρεπίζομεν επάξιόν σοι χρέος, επί γής τό Σπήλαιον, καί ουρανόν αιτούμεν, παρασχείν τόν αστέρα, καί Μάγοι δέ προέρχονται, από Ανατολών τής γής, εις Δυσμάς θεάσασθαι, τήν σωτηρίαν τών βροτών, ως βρέφος γαλουχούμενον.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια, Προεόρτια.

Ήχος β'

Οίκος τού Εφραθά

Έρχεται ο Χριστός, τόν πονηρόν συντρίψαι, τούς εν σκότει φωτίσαι, καί λύσαι τούς δεσμίους, αυτώ προϋπαντήσωμεν.

Στίχ. Ο Θεός από θαιμάν ήξει.

Άσατε Πατριαί, Εθνών αίνον καί δόξαν, οι Μάγοι μετά δώρων, Ποιμένες αγραυλούντες, προθύμως επισπεύσατε.

Στίχ. Κύριε εισακήκοα τήν ακοήν σου.

Όρη τε καί βουνοί, κοιλάδες καί πεδία, οι ποταμοί καί πάσα, η κτίσις νύν τόν Κτίστην, τικτόμενον μεγάλυνε.

Δόξα... Τής Αγίας Ήχος δ'

Τού Στουδίτου

Της ζωηφόρου αναστάσεως Χριστού, επώνυμος γενομένη σεμνή, πολιτεία τή κλήσει προσφόρως εξηκολούθησας, καί τήν φύσιν νευρώσασα, αρρενωθείσά, τε τώ φρονήματι, αλουργίδα εξύφανας, τή πορφυρίδι τών αιμάτων σου, καί βασιλικόν ώσπερ σκήπτρον, τόν Σταυρόν κατέχουσα, τώ Θεώ καί Σωτήρι συμβασιλεύεις, Αναστασία παμμακάριστε, Αυτόν ικέτευε, καί ημάς ελλαμφθήναι, τής θείας δόξης αυτού.

Καί νύν... Προεόρτιον, ο αυτός

Ησαϊα χόρευε, Λόγον Θεού υπόδεξαι, προφήτευσον τή Κόρη Μαριάμ, Βάτον πυρί καίεσθαι, καί μή καταφλέγεσθαι, τή αίγλη τής θεότητος, Βηθλεέμ ευτρεπίζου, άνοιγε πύλην η Εδέμ, καί Μάγοι πορεύεσθε, ιδείν τήν Σωτηρίαν, εν φάτνη σπαργανούμενον, όν αστήρ εμήνυσεν, επάνω τού Σπηλαίου, ζωοδότην Κύριον, τόν σώζοντα τό γένος ημών.

Απολυτίκιον, Προεόρτιον
Ήχος δ'  Κατεπλάγη Ιωσήφ

Ετοιμάζου Βηθλεέμ, ήνοικται πάσιν η Εδέμ, Ευτρεπίζου Εφραθά, ότι τό ξύλον τής ζωής, εν τώ Σπηλαίω εξήνθησεν εκ τής Παρθένου, Παράδεισος καί γάρ, η εκείνης γαστήρ, εδείχθη νοητός, εν ώ τό θείον φυτόν, εξ ού φαγόντες ζήσομεν, ουχί δέ ως ο Αδάμ τεθνηξόμεθα, Χριστός γεννάται, τήν πρίν πεσούσαν, αναστήσων εικόνα.

Δόξα... Τής Αγίας
Ήχος δ'  Κατεπλάγη Ιωσήφ

Η αμνάς σου Ιησού, κράζει μεγάλη τη φωνή, Σέ Νυμφίε μου ποθώ, καί σέ ζητούσα αθλώ, καί συσταυρούμαι, καί συνθάπτομαι τώ βαπτισμώ σου, καί πάσχω διά σέ, ως βασιλεύσω σύν σοί, καί θνήσκω υπέρ σού, ίνα καί ζήσω εν σοί, αλλ' ως θυσίαν άμωμον, προσδέχου τήν μετά πόθου τυθείσάν σοι. Αυτής πρεσβείαις, ως ελεήμων, σώσον τάς ψυχάς ημών.

Καί νύν...

Ετοιμάζου Βηθλεέμ, ήνοικται πάσιν η Εδέμ, Ευτρεπίζου Εφραθά, ότι τό ξύλον τής ζωής, εν τώ Σπηλαίω εξήνθησεν εκ τής Παρθένου, Παράδεισος καί γάρ, η εκείνης γαστήρ, εδείχθη νοητός, εν ώ τό θείον φυτόν, εξ ού φαγόντες ζήσομεν, ουχί δέ ως ο Αδάμ τεθνηξόμεθα, Χριστός γεννάται, τήν πρίν πεσούσαν, αναστήσων εικόνα.

Εν τοίς αποδείπνοις ψάλλομεν τό Τριώδιον, ού η Ακροστιχίς.
Τετράδι ψαλώ

Ωδή γ'  Ήχος β'  Ο Ειρμός

«Τής πίστεως, εν πέτρα με στερεώσας, επλάτυνας τό στόμα μου επ' εχθρούς μου, ηυφράνθη γάρ τό πνεύμά μου εν τώ ψάλλειν, Ουκ έστιν άγιος, ως ο Θεός ημών, καί ουκ έστι δίκαιος, πλήν σου Κύριε».

Εν κενοίς τό συνέδριον τού Ηρώδου, καί γνώμη συναθροίζεται μιαιφόνω, τικτόμενον τόν Κύριον αποκτείναι, ώ πάντες ψάλλομεν, Συ εί Θεός ημών, καί ουκ έστι δίκαιος, πλήν σου Κύριε,

Τό δεινόν βουλευτήριον τού Ηρώδου, σκέπτεται θεομάχου ψυχής υπάρχον, νηπίοις τόν Δεσπότην συναποκτείναι, Χριστόν ώ ψάλλομεν, Σύ εί Θεός ημών, καί ουκ έστι δίκαιος πλήν σου Κύριε.

Ωδή η'  Ο Ειρμός

«Ρήμα τυράννου, επεί υπερίσχυσεν, επταπλασίως κάμινος, εξεκαύθη ποτέ, εν ή Παίδες ουκ εφλέχθησαν, Βασιλέως πατήσαντες δόγμα, αλλ' εβόων, Πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Αποκενούντες, ως μύρα τά δάκρυα, τώ δι' ημάς Χριστώ τικτομένω σαρκί,

σαρκός τάς κηλίδας Καθαρίσωμεν, τώ αχράντω καθαρώς προσιόντες, καί βοώντες, Πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Δάκρυσιν οίκτου, τά δάκρυα φύγωμεν, αμαρτωλοί κολάσεως, τής μελλούσης φρικτής, Χριστού τών ιχνών επιλαβόμενοι, τεθειμένου εν σπαργάνοις ώς βρέφος, καί βοώντες, Πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ιερουργείσθαι τό λύτρον γινώσκοντες, εκ τών ιδίων σπλάγχνων τε, καί δακρύων πηγής Χριστώ, διά τής εξαγορεύσεως, εκπλυθέντες πιστοί προσέλθωμεν, σαρκί τικτομένω, βοώντες, Πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ωδή θ' ο Ειρμός

«Ψυχαίς καθαραίς, καί αρρυπώτοις χείλεσι, δεύτε μεγαλύνωμεν τήν ακηλίδωτον, καί υπέραγνον Μητέρα τού Εμμανουήλ, δι' αυτής τώ εξ αυτής, προσφέροντες πρεσβείαν τεχθέντι, φείσαι τών ψυχών ημών, Χριστέ ο Θεός, καί σώσον ημάς».

Αγνώμων μηδείς, μή πονηρός ζηλότυπος, έστω τών φερόντων νύν, δώρα Θεώ δεκτά, αντί σμύρνης καί χρυσού καί λιβάνου, αρετών τόν σμυρνισμόν, ψαλλόντων σε Χριστώ τικτομένω, φείσαι τών ψυχών ημών, Χριστέ ο Θεός καί σώσον ημάς.

Λέγει πωρωθείς, Ηρώδης Μάγοις έμφροσιν, Άπιτε ζητήσατε, τόν γεννηθέντα νύν Βασιλέα, καί ευροντες μηνύσατέ μοι, μελετήσας ο δεινός, τόν φόνον μιαιφόνω καρδία, Φείσαι τών ψυχών ημών, Χριστέ ο Θεός, καί σώσον ημάς.

Ω πηρωτικής, μιαιφονίας τολμημα! λήθης όθεν έτυχες, ότι Θεόν ουδείς, υποχείριον αναιρεί λαμβάνων, υπερζέσας γάρ θυμώ, ωμώς τά βρέφη σφάττεις Ηρώδη, Φείσαι τών ψυχών ημών, Χριστέ ο Θεός, καί σώσον ημάς.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος δ'
Ταχύ προκατάλαβε

Ενθέως ευφραίνεται, η κτίσις σήμερον, Χριστός γάρ ο Κύριος, ο τού Θεού μου Υιός, εκ Κόρης γεννάται αγνής, άπαν τό τών ανθρώπων, γένος αθανατίζων, λύων καί τήν κατάραν, τής προμήτορος Εύας, διό ώς ευεργέτη ημών, άσμα προσάξωμεν.

Δόξα... Καί νύν... τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα  Ήχος γ'
Η Παρθένος σήμερον

Τήν Παρθένον κύουσαν, τόν προαιώνιον Λόγον, Ιωσηφ ο δίκαιος, υμνολογών ανεβόα, Βλέπω σε γεγενημένην Ναόν Κυρίου, φέρουσαν τόν πάντας σώσαι βροτούς ελθόντα, καί τούς τούτον ανυμνούντας, δι' οίκτον θείου ναούς δεικνύοντα.

Δόξα... Καί νύν... τό αυτό

Είτα ο Ν' καί οι Κανόνες.

Κανών ο Προεόρτιος, ού η Ακροστιχίς.

Τή μακρά πέμπτη μακρόν ύμνον εξάδω.

Ωδή α'  Ήχος πλ. β'  Ο Ειρμός

«Τμηθείση τμάται, πόντος Ερυθρός, κυματοτρόφος δέ ξηραίνεται βυθός, ο αυτός ομού, αόπλοις γεγονώς βατός, καί πανοπλίταις τάφος, ωδή δέ Θεοτερπής ανεμέλπετο, ενδόξως δεδόξασται, Χριστός ο Θεός ημών».

Η πανταιτία, καί παρεκτική ζωής, η άπειρος Σοφία τού Θεού, ωκοδόμησε τόν οίκον εαυτής, αγνής εξ απειράνδρου Μητρός' ναόν γάρ σωματικόν περιθέμενος, ενδόξως δεδόξασται, Χριστός ο Θεός ημών.

Μυσταγωγούσα, Μάγους συγκαλεί, τήν απαρχήν Θεού Σοφία τών Εθνών, τούς αλόγους πρίν τραφήναι λογικώς, αλόγων επί φάτνης τραπέζης, κειμένης τής μυστικής, πρός ήν σπεύδουσι, σύν δώροις οδεύοντες, αστέρος προλάμποντος.

Ακουτισθώμεν, νύν Προφητικών, εκπληρουμένων διά Πνεύματος φωνών η Παρθένος γάρ λαβούσα εν γαστρί, επείγεται τεκείν τόν προόντα, όν Μάγοις μέν ουρανός καθυπέδειξε, Ποιμέσι δέ Άγγελοι, ως βρέφος φαινόμενον.

Κανών τής Αγίας, ού η Ακροστιχίς, ελλιπής όμως τινών Τροπαρίων.

Τούς ευκλεείς σου, Μάρτυς, αινέσω πόνους εγω ο Ιωσήφ.

Ωδή α'  Ήχος α'

«Ωδήν επινίκιον, άσωμεν πάντες, Θεώ τώ ποιήσαντι, θαυμαστά τέρατα, βραχίονι υψηλώ, καί σώσαντι τόν Ισραήλ, ότι δεδόξασται».

Τήν μνήμην σου σήμερον, Αναστασία, πιστώς εορτάζομεν, ήν Χριστός

εδόξασεν, απείροις θαύμασιν, ο εν τή πόλει Βηθλεέμ, σαρκί τικτόμενος.

Ο κόσμος αγάλλεται, τάς αριστείας, τάς σάς καί τά θαύματα, καί τά κατορθώματα, ανακηρύττων αεί, Αναστασία, αθλητών τό εγκαλλώπισμα.

Υμνούμεν τούς πόνους σου, Αναστασία, τά άθλα τά στίγματα τά φρικτά τεράστια, τήν πρός τόν Κύριον, θείαν αγάπην, καί πολλήν όντως οικείωσιν.

Θεοτοκίον

Σαρκούται ο άσαρκος, δι' ευσπλαγχνίαν, εκ Κόρης τικτόμενος, Μάγοι ευτρεπίζονται, ανατολών Βασιλείς, τούτον θεάσασθαι πιστώς, καί προσκυνήσαι σαρκί.

Έτερος Κανών τής Αγίας, ού η Ακροστιχίς.

Υμνώ σε Μάρτυς Αναστασία πόθω. Ο Ιωσήφ.

Ωδή α' Ήχος πλ. δ'

«Άσμα αναπέμψωμεν λαοί, τώ θαυμαστώ Θεώ ημών, τώ απαλλάξαντι τόν Ισραήλ εκ δουλείας, ωδήν επινίκιον, άδοντες καί βοώντες, άσωμέν σοι τώ μόνω Δεσπότη».

Ύμνον αναπέμψωμεν Θεώ τώ μέλλοντι τεχθήσεσθαι, σαρκί εκ τής Παρθένου, εν Βηθλεέμ τή πόλει, καί φάτνη τεθήσεσθαι, νήπιον ώσπερ βρέφος, ίνα σώση, ανθρώπων τό γένος.

Μόνον τό εράσμιον Χριστού, Αναστασία ένδοξε, κάλλος ζητήσασα, παρέδραμες τά κάλλη, τού κόσμου στερρότητι, γνώμης καί αθανάτου, κληρουχίας, Μάρτυς ηξιώθης.

Νύκτα τού τής πλάνης σκοτασμού, τώ φωτισμώ τού Πνεύματος, αυγαζομένη Σεμνή, παρέδραμες εμφρόνως, καί νύν κατεσκήνωσας, ένθα τό θείον φέγγος, τής ακτίστου Τριάδος υπάρχει.

Θεοτοκίον

Ώφθη ο αόρατος Θεός, υπερφυώς τικτόμενος, δι' ευσπλαγχνίαν πολλήν, εκ σού Παρθενομήτορ, πτωχεύσας ο πλούσιος, όπως αθανασίαν, τών ανθρώπων τό γένος πλουτίση.

Προεόρτιος

Ωδή γ' Ο Ειρμός

«Κύριος ών πάντων, καί Κτίστης Θεός, τό κτιστόν ο απαθής, πτωχεύσας εαυτώ ήνωσε, καί ως βρέφος φερόμενος σαρκί, εν φάτνη πενιχρά προσκυνείται, Φάγετε βοών τό σώμά μου, καί πίστει στερεωθήσεσθε».

Ρύσιον κενώσαι, ερχόμενον νύν, υπέρ κόσμου τό οικείον αίμα, Χριστόν

θρασύνεται, ο Ηρώδης τού κτείναι πρό καιρού, μανείς πρό τής μανίας Πιλάτου, όθεν φονική ωμότητι, τών Βρεφών στίφη κατέσφαξεν.

Άφρων ανήρ, έφη, ουκ έστι Θεός, ός ιμανίας πληρωθείς εσχάτης, Χριστοκτονίαν νοσεί, τού σκοπού δέ τής τόλμης εκπεσών, πρός φόνον βρεφών απειροκάκων, όλον εαυτόν εξώπλισε, καί γήν εμίανεν αίμασιν.

Τής Αγίας

Λίθον όν απεδοκίμασαν

Ένδον τού Σπηλαίου τίκτεται, ο πρό εωσφόρου, εκ γαστρός εκλάμψας, υπέρ νούν καί λόγον, καί τούτον ουρανόθεν, αστήρ υποδείκνυσι, αστρολόγοις εμφανώς, τούτον πιστοί υμνολογήσωμεν.

Ίδε ιερά πανήγυρις, ημίν ετησίως έλαμψεν η μνήμη, η τής Αθληφόρου, εν ταύτη φωτισθέντες, Θεόν ανυμνήσωμεν, τόν μεγαλύναντα αυτήν θεοπρεπώς, θαυματουργίαις πολλαίς.

Στόμα θεολόγων ήνοιξας, μέσον τού σταδίου, καθομολογούσα, τού Χριστού τό πάθος, καί πάσχουσα προθύμως, εντεύθεν γεγένησαι, πάσι τοίς κάμνουσιν αεί, Μάρτυς σεμνή, καταφυγή καί λιμήν.

Θεοτοκίον

Ούτος μόνος ο Θεός ημών, εκ σού Παρθένε, σάρκα υπέρ λόγον, αληθώς φορέσας, τεχθήναι εν Σπηλαίω, επείγεται όπως με, οίκον γενόμενον ληστών, δείξη ναόν τού θείου Πνεύματος.

Άλλος

Ουρανίας αψίδος

Σπαργανούμενον βρέφος, ο αναφής Κύριος, μέλλει καθοράσθαι, εν φάτνη ανακλινόμενος, όρη σκιρτήσατε, καί αγαλλίασιν θείαν, οι βουνοί ενδύσασθε, φωτός πληρούμενοι.

Ευσεβεί παρρησία, τών διωκτών ήμβλυνας, τά πεπυρωμένα, ρημάτων βέλη σωτήριον, λόγον πλουτήσασα, Αναστασία καί θείω, πόθω τά κινήματα, ψυχής ιθύνασα.

Μόνον Μάρτυς εβόας, επιζητώ Κύριον, μόνη τή αυτού αγαπήσει, ψυχήν προσέδησα, τούτου ελλάμπεσθαι, καθαρωτάταις πλουσίως, αστραπαίς επείγομαι, ήθους απλότητι.

Θεοτοκίον

Απειρόγαμε Κόρη, τόν τή χειρί φέροντα, άπασαν τήν κτίσιν, εν μήτρα φέρεις σαρκούμενον, όν καί τικτόμενον, ανακλινείς εν τή φάτνη, βρέφος καθορώμενον, τόν προαιώνιον.

Ο Ειρμός

«Ουρανίας αψίδος, οροφουργέ Κύριε, καί τής Εκκλησίας δομήτορ, σύ με στερέωσον, εν τή αγάπη τή σή, τών εφετών η ακρότης, τών πιστών τό στήριγμα, μόνε φιλάνθρωπε».

Κάθισμα τής Αγίας
Ήχος πλ. δ'  Τήν Σοφίαν

Τών Μαρτύρων ζηλούσα τήν αρετήν, συμπαθεία καρδίας τούτων θερμώς, ταίς χρείαις εκάστοτε, διηκόνεις θεόπνευστε, καί τούς ιχώρας πίστει, εξέματτες χαίρουσα, εν μηδενί θεμένη, τά πρόσκαιρα βάσανα, όθεν επί τέλει, συσχεθείσα καί πόνους, πολλούς υπομείνασα, στερροτάτως ενήθλησας, Αναστασία πανεύφημε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Καί νύν... Προεόρτιον
Ήχος δ'  Τό προσταχθέν μυστικώς

Τών Γενεθλίων τού Χριστού τά προεόρτια, επιτελούντες οι πιστοί πανηγυρίζομεν, καί αξίως άπαντες προϋπαντήσωμεν, ως οι Μάγοι δωροφορούντες τάς αρετάς, καί άδοντες τών Αγγέλων άσμα καινόν, τώ εκ Κόρης θεόπαιδος, εν Βηθλεέμ άνευ σποράς, τικτομένω Θεώ ημών, όν δοξάζει τά σύμπαντα.

Προεορτιος

Ωδή δ'  Ο Ειρμός

«Προκατιδών ο Προφήτης, τού μυστηρίου σου τό απόρρητον, Χριστέ προανεφώνει σοι, Έθου κραταιάν, αγάπησιν ισχύος, Πάτερ οικτίρμον, τόν Μονογενή Υιόν γαρ αγαθέ, ιλασμόν εις τόν κόσμον απέστειλας».

Επί τόν τόκον ως όμβρος, συγκαταβάς καί ως σταγών, επί τήν γήν τήν σέ τεκούσαν Κύριε, έρχη συμπαθώς τεχθήναι, καί βροτοίς συναναστραφήναι, τόν Μονογενή καί γάρ σε ιλασμόν, ο Πατήρ εις τόν κόσμον απέστειλε.

Μεταλαμβάνων βροτείας, Χριστέ σαρκός, Αβραάμ εκ σπέρματος, καί χάριν αντί χάριτος, έρχη παρασχείν, καί σώσαι τήν εικόνα καί αφθαρτίσαι, τόν Μονογενή καί γάρ σε ιλασμόν, ο Πατήρ εις τόν κόσμον απέστειλε.

Πόμα καινόν όπερ πάλαι, πιείν Δαυϊδ διψών επεθύμησεν, εν τώ Σπηλαίω πρόεισι, βλύσαι Βηθλεέμ, καί παύσαι προσγενόμενον άπαν δίψος, τό κατά ψυχήν Αδάμ τε καί Δαυϊδ, εξ ών τό κατά σάρκα γεννάται Χριστός.

Τής Αγίας

Εν Πνεύματι προβλέπων

Υμνήσατε τά Έθνη, κροτήσατε Λαοί, εν Σπηλαίω τίκτεται, ο πάντων φωτισμός, ού ταίς ακτίσιν, Αναστασία η Μάρτυς, καταυγασθείσα, σκότος έφυγεν απάτης, λάμψασα ηλίου φαιδρότερον.

Μαρτύρων τής ευκλείας, επέτυχες σεμνή, τού Χριστού Πανεύφημε, προθύμω λογισμώ, καί τούτων Μάρτυς, ιχώρας χερσίν οικείαις, πόθω καί πίστει, απομάττουσαν σπουδαίως, πάντες σύν αυτοίς ευφημούμέν σε.

Αγώνας πολυτρόπους, διήνυσας στερρώς, καί θαυμάτων είληφας, τήν χάριν δαψιλώς, Αναστασία εντεύθεν άπας ο κόσμος, καταφυγήν σε καί αντίληψιν βεβαίαν, κέκτηται προστρέχων τή σκέπη σου.

Ρομφαίας αοράτων, συνέτριψας εχθρών, Μάρτυς μεγαλώνυμε, δυνάμει τού Σταυρού, όθεν εδείχθης, πηγή απείρων θαυμάτων, Αναστασία αποπλύνουσα παντοίων, Μάρτυς νοσημάτων τόν βόρβορον.

Άλλος

Εισακήκοα Κύριε

Ρήσεις ήδη πεπλήρωνται, τών προφητευόντων εν θείω Πνεύματι, η Παρθένος γάρ επείγεται, εν Σπηλαίω τίκτειν τόν Παντέλειον.

Τών Μαρτύρων τήν εύκλειαν, πόθω εκζητήσασα ταύτης έτυχες, στερροτάτως εναθλήσασα, αδιστάκτω γνώμη καρτερόψυχε.

Υφαντόν εκ τής άνωθεν, χάριτος χιτώνα όντως ενδέδυσαι, απεκδύσει τή τού σώματος, αθληφόρε Μάρτυς παναοίδιμε.

Θεοτοκίον

Σαρκοφόρος προέρχεται, εκ σής φωσφόρου νηδύος Άχραντε, Βασιλεύς ο επουράνιος, ως εν θρόνω φάτνη προσκλινόμενος.

Προεόρτιος

Ωδή ε' Ο Ειρμός

«Τώ συνδέσμω τής αγάπης, συν δεόμενοι ως φιλάδελφοι, τώ δεσπόζοντι τών όλων, τώ κόσμω άγαν αγαπήσαντι, καί δόντι λύτρον Υιόν τόν αγαπητόν, δώμεν δόξαν νέμοντι πάσιν ειρήνην».

Η τό άσχετον κρατούσα, καί υπερώον εν αιθέρι ύδωρ, η αβύσσους χαλινούσα, καί θαλάσσας αναχαιτίζουσα, Θεού Σοφία, ως υετός εν πόκω καταβάσα, μήτραν Παρθένου ώκησε.

Μαθητάς Μάντεως Μάγους, Βαλαάμ καλεί πρός γνώσιν αστέρι Χριστός, ο νεφέλαις δέ τόν πόλον, περιβάλλων σπαργάνοις πλέκεται, καί φάτνη κείται, όν τρέμει τά Χερουβίμ, Σπηλαίω χωρείται δέ, ο πληρών τά πάντα.

Τής Αγίας

Τήν σήν ειρήνην

Υμνούμέν σου τήν σάρκωσιν, φιλάνθρωπε Χριστέ, πίστει προσκυνούμεν τά σπάργανα, δι' ών ελύθη κατακρίσεως, τό τών βροτών γένος, δοξάζον σε Σωτήρ μου.

Στομώσασα τό φρόνημα, αγάπη θεϊκή, Μάρτυς αληθώς μεγαλώνυμε, ξίφος ωράθης, πάσας φάλαγγας, συγκόπτον τών δαιμόνων, ενθέω πεποιθήσει.

Αγώσι λαμπρυνθείσά σου, απείροις η ψυχή, έλαμψεν ηλίου φαιδρότερον, τή οικουμένη καί κατηύγασε, πηγάς τών ιαμάτων, σεμνή Αναστασία.

Θεοτοκίον

Νύν ήλθεν εις τά ίδια, εν ξένω τοκετώ, Λόγος τού Πατρός σωματούμενος, εκ τής Παρθένου καί ως νήπιον, οράται εν Σπηλαίω, δι' άκραν ευσπλαγχνίαν.

Άλλος

Ορθρίζοντες βοώμέν σοι

Ανέτειλε τό άστρον Ιούδα, εκ γής Χαλδαίων, κινούν εις προσκύνησιν, τούς αστρολόγους ως γέγραπται.

Νομίμως ηγωνίσω, ανόμους τροπωσαμένη, Μάρτυς παναοίδιμε, τή δυναστεία τού Πνεύματος.

Ανάστασιν Χριστού εικονίζεις, επωνυμία, εχθρούς καταράσσουσα, τούς αοράτους Πανεύφημε.

Θεοτοκίον

Σπηλαίω υπογαίω τεχθήναι, εκ τής Παρθένου, Χριστός κατεπείγεται, αγαλλιάσθω η σύμπασα.

Προεόρτιος

Ωδή ς' ο Ειρμός

«Άβυσσος εσχάτη, αμαρτημάτων εκύκλωσέ με, καί τόν κλύδωνα μηκέτι φέρων, ως Ιωνάς, τώ Δεσπότη βοώ σοι, Εκ φθοράς με ανάγαγε».

Κύριόν σε γνόντες, οι ουρανοί διηγούνται τήν σήν, Σώτερ δόξαν δι' αστέρος Μάγους, νύν μετά δώρων καλούντες πρός γνώσίν σου, καί θείαν προσκύνησιν.

Ρύπον τις προστρίψας απορρυφθήτω, καί ούτω Χριστώ, καθαρός τώ καθαρώ ψαυέτω, βρέφος εν Φάτνη κειμένω, τά πάθη καρδιών εκκαθαίροντι.

Τής Αγίας

Τόν Προφήτην Ιωνάν

Επιλάμψας ο Χριστός, εκ λαγόνων μητρικών, εν τή πόλει Βηθλεέμ, διά

σπλάγχνα οικτιρμών, εδόξασε, τής Αθληφόρου τήν μνήμην σήμερον.

Συντριβείσα ταίς πολλαίς, τών δεινών επιφοραίς, καθυπέταξας εχθρόν, τοίς ωραίοις σου ποσίν, αοίδιμε, Αναστασία θεομακάριστε.

Υποστάσα καρτερώς, τών βασάνων τάς δεινάς, προσβολάς καί τού πυρός, τήν κατάφλεξιν σεμνή, δεδόξασαι, Αναστασία Μαρτύρων έρεισμα.

Θεοτοκίον

Πόλις έμψυχε Θεού, εν τή πόλει Βηθλεέμ, αποτίκτεις τόν Χριστόν, Θεοτόκε υπέρ νούν, γενόμενον, δι' ευσπλαγχνίαν τέλειον άνθρωπον.

Άλλος

Τήν δέησιν εκχεώ

Τήν φύσιν τήν εξ ημών ο Εύσπλαγχνος, προσλαβόμενος οράται ως βρέφος, ο βρεφουργών, εν κοιλία τά βρέφη, καί σπαργανού ται καί φάτνη ανάκειται, καί λύει μου τάς τών παθών, πολυπλόκους σειράς αγαθότητι.

Αγίων ιχνηλατούσα Μαρτύρων, καρτερώς διά Χριστόν τούς αγώνας, καί ταίς αυτών, χρείαις διακονούσα, καί τούς ιχώρας Οσία εκμάττουσα, επλούτησας περιφανώς, τήν αυτοίς επιλάμπουσαν εύκλειαν.

Σταγόνας τών ιαμάτων προχέεις, επομβρίαις θεϊκών χαρισμάτων, καί τών παθών, ποταμούς αναστέλλεις, καί βοηθείς τοίς δεινώς κινδυνεύουσιν, αοίδιμε Μάρτυς Χριστού, Αναστάσεως θείας επώνυμε.

Θεοτοκίον

Ιώμενος τών ανθρώπων τήν φύσιν, τή αρχαία παραβάσει φθαρείσαν, δίχα φθοράς, νέον τίκτεται βρέφος, καί σού εν κόλποις ως θρόνω καθέζεται, Ανύμφευτε τής Πατρικής, μή εκστάς συνεδρίας θεότητι.

Ο Ειρμός

«Τήν δέησιν εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών, η ψυχή μου επλήσθη, καί η ζωή μου τώ άδη προσήγγισε, καί δέομαι ως Ιωνάς, Εκ φθοράς ο Θεός με ανάγαγε».

Κοντάκιον τής Αγίας

Ήχος β' Τά άνω ζητών

Οι εν πειρασμοίς, καί θλίψεσιν υπάρχοντες, πρός τόν σόν ναόν, προστρέχοντες λαμβάνουσι, τά σεπτά ιάματα, τής εν σοί οικούσης θείας χάριτος, Αναστασία σύ γάρ αεί, τώ κόσμω πηγάζεις τά ιάματα.

Ο Οίκος

Τής Αναστάσεως τού Κυρίου συνεπώνυμος ούσα, πεπτωκότα με νύν ανάστησον ταίς πρεσβείαις σου, εκ τών θαυμάτων τών σών, σταγόνα επιστάξασα, Μάρτυς τή ψυχή μου, καί τόν φλογμόν τής δεινής αμαρτίας κατασβέσασα, τόν κόσμον γάρ διασώζεις εκ παθών πολυτρόπων εκάστοτε, ών περ καγώ πεπείραμαι, σύ γάρ πάντα τοίς πάσι παρέχουσα, τώ κόσμω

πηγάζεις τά ιάματα.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΒ' τού αυτού μηνός, Μνήμη τής Αγίας μεγαλομάρτυρος Αναστασίας, τής Φαρμακολυτρίας.

Στίχοι

- Αναστασία φάρμακον πιστοίς μέγα,
- Πάν φάρμακον λύουσα, καί κεκαυμένη.
- Καύθη Αναστασία πυρί δευτέρα εικάδι λαύρω.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Χρυσογόνου.

Στίχοι

- Δίδωσι Χρυσόγονος αυχένα ξίφει,
- Ο πνεύμα χρυσούς, χάλκεος δέ τό σθένος.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος Θεοδότης καί τών τέκνων αυτής.

Στίχοι

Η Θεοδότη πύρ φέρει σύν φιλτάτοις, Φίλτρω Θεού ζέουσα, καί πυρός πλέον.

Τή αυτή ημέρα, Μνήμη τού αγίου Μάρτυρος Ζωϊλου.

Στίχοι

- Ζωήν ρέουσαν εκλιπών ο Ζωϊλος
- Ζωήν μένουσαν εύρεν εν ζώντων τόπω.

Τή αυτή ημέρα, Τά θυρανοίξια τής τού Θεού μεγάλης Εκκλησίας.

Στίχοι

- Αίρουσιν άνδρες ιεροί Χριστού πύλας
- Τούς Δαυϊδ ημίν εκτυπούμενοι νόας.

Τή αυτή ημέρα, Τό φωτοδρόμιον τής τού Θεού Εκκλησίας.

Στίχοι

- Τρέχοντα φώτα σήμερον Ναού κύκλω,
- Δηλούσι φωτός εις τό πάν θείου δρόμον.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον καί σώσον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Οι Παίδες εν Βαβυλώνι, καμίνου φλόγα ουκ έπτηξαν, αλλ' εν μέσω φλογός εμβληθέντες δροσιζόμενοι έψαλλον, Ευλογητός εί Κύριε, ο Θεός τών Πατέρων ημών».

Νευστάζων κάραν Ηρώδης κακά προβλέπων εκίνησεν ευκαιρίαν ζητών

θανατώσαι, τόν ζωής καί θανάτου Χριστόν τήν εξουσίαν έχοντα, τόν Θεόν τών Πατέρων ημών.

Υμών Χριστού όσοι φίλοι, συμφυγαδεύθητε φεύγοντι εις Αίγυπτον τούτω καί καλώς εκεί προσκυνήσατε θεοπρεπώς καλέσαντες καί συμφώνως δοξάσατε.

Μεθ' όστις εμού ουκ έστι, κατ' εμού πράττει Χριστός φησιν, ο δέ μή συνάγων μετ' εμού σκορπίζοντι έοικε, διό τήν τούτου φρίξωμεν, εν σαρκί συγκατάβασιν.

Τής Αγίας

Τούς εν καμίνω Παίδάς σου

Ο Βασιλεύς τών όλων καί Θεός, προέρχεται πόλει γεννηθήναι Βηθλεέμ, ο τήν σεμνήν, Αναστασίαν μεγαλύνας, εν απείροις θαύμασιν ως δι' αυτόν, αικισμούς καθυπομείνασαν.

Νεκροίς ξοανοις σέβας πονηρόν ουκ ένειμας μόνον σεβομένη τόν Χριστόν οία Θεόν ζώντα αεί, Αναστασία, καί τοίς ζωηροίς αυτού πάθεσι πάθος τό σόν καταλαμπρύνουσα.

Οι τώ ναώ σου πίστει δαψιλεί, προσφεύγοντες, νόσων εκλυτρούνται χαλεπών καί αρρωστίας καί παθών καί αλγηδόνων, ευρωστίαν πάντοτε παρά Χριστού τού Θεού πλουσίως λαμβάνοντες.

Θεοτοκίον

Σεσαρκωμένος Λόγος εκ τής σής, προέρχεται Άχραντε νηδύος υπέρ νούν καί άρχεται ο προαιώνιος καί φάτνη κείται σπαργανούμενος καί διαλύει σειράς τών εγκλημάτων.

Άλλος

Παίδες Εβραίων εν καμίνω

Άνω χοροί δοξολογούσιν, Ασωμάτων, επί γής δέ προσκυνούμεν, καθορώντες βροτοί, ημίν ομοιωθέντα, καί επί φάτνης κείμενον, σέ Χριστέ Θεέ τών όλων.

Πύρ απετέφρωσας απάτης, ως οι Παίδες δέ, φλογί προσομιλούσα, παρεδήλους θερμόν, τόν έρωτα θεόφρον, όν πρός τόν σόν εκέκτησο, καί Δεσπότην καί Νυμφίον.

Όμβρους προχέεις ιαμάτων, καταπαύουσα φλογμόν αρρωστημάτων, καί λαούς μελωδείν αεί παρασκευάζεις, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Θεοτοκίον

Θαύμα διάνοιαν εκπλήττον, τό τελούμενον εκ σού Παρθενομήτορ, τίκτειν μέλλεις Θεόν, καί φάτνη ανακλίνειν, τόν Χερουβίμ απρόσιτον, καί αχώρητον τή φύσει.

## Προεόρτιος

## Ωδή η'  Ο Ειρμός

«Νόμων πατρώων οι μακαριστοί, εν Βαβυλώνι Νέοι προκινδυνεύοντες, βασιλεύοντος κατέπτυσαν, προσταγής αλογίστου, καί συνημμένοι, ώ ουκ εχωνεύθησαν πυρί, τού κρατούντος επάξιον, ανέμελπον τόν ύμνον. Τόν Κύριον υμνείτε τά έργα, Καί υπερυψούτε, εις πάντας τους αιώνας».

Οι δαιτυμόνες οι θεόφρονες, εν Βηθλεέμ τώ νοϊ προπορευόμενοι, συν Αγγέλοις κατοπτεύσωμεν, καί Ποιμέσι τό θαύμα, τώ εν υψίστοις, δόξαν αναμέλποντες Θεώ, ευδοκίαν βραβεύοντι, βροτοίς καί τήν ειρήνην. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, βοώντες εις αιώνας.

Νόμου φιλίας αντεχόμενοι, φιλαδελφίας γνώμην αναλαβώμεθα, εν αλλήλοις ειρηνεύοντες, καί τό έν συμφρονούντες, ο γάρ ειρήνης πρύτανις, προέρχεται Χριστός, ειρηνεύσαι τά σύμπαντα, καί σώσαι τους βοώντας. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Εδεξιούτο τόν τικτόμενον, Χριστόν δολίοις λόγοις Ηρώδης άνομος, καί τοίς Μάγοις, προσεπέσκηπτεν, ως αυτόν προσκυνήσων, αλλ' ουκ ηδείτο διώκειν, λανθάνοντα Θεόν, ου τά βρέφη κατώκτειρε, καί βοάν ού συνήκε. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

## Τής Αγίας

## Ον φρίττουσιν Άγγελοι

Εν χρόνω ο άχρονος, γεννάται υπέρ νούν, καί Μάγοι προσφέρουσιν αυτώ ως Βασιλεί, φανέντι τά δώρα, καί τήν δόξαν αυτού, ουρανός κηρύττει, προβολή τού αστέρος.

Γενναίως ανύειν σε, τούς δρόμους τούς μακρούς, ο θείος Χρυσόγονος, υπήλειψε Σεμνή, μεθ' ού σε τιμώμεν, μελωδίαις σεπταίς, υπέρ αληθείας, σεπτώς ηγωνισμένην.

Ως όμβρος σωτήριος, υπάρχει ο ναός, ο έχων τό λείψανον, Πανεύφημε τό σόν, εν ώ καταφεύγει, πάς πιστός καί δεινής, ζάλης εκλυτρούται, καί παντοίων κινδύνων.

## Θεοτοκίον

Νύν ήλθεν ο Κύριος, ο πανταχού παρών, Παρθένου τικτόμενος, εν πόλει Βηθλεέμ, αγάλλου η κτίσις, υπαντώσα αυτώ, καί δοξολογούσα, εις πάντας τούς αιώνας.

## Άλλος

Οι θεορρήμονες Παίδες

Ω παρειστήκεισαν άνω χιλιάδες, καί μυριάδες Αγγέλων, Σπήλαιον φέρει τικτόμενον, όν υμνούμεν τά έργα, απαύστως ως Κύριον.

Οίκος Τριάδος εδείχθης θείοις τόποις, εν προσευχαίς καί νηστείαις, Αναστασία σχολάζουσα, Ευλογείτε βοώσα, τά έργα τόν Κύριον.

Ισχυροτάτοις λογίοις Χρυσογόνου, τού Αθλοφόρου ρωσθείσα, τό τών ειδώλων ανίσχυρον, κατεπάτησας θράσος, γενναίως αθλήσασα.

Θεοτοκίον

Ω θεοχώρητε Κόρη, τέξη βρέφος τόν Ποιητήν τών αιώνων, καί αναλλοίωτον Κύριον, Βηθλεέμ εν τή πόλει, δι' άφατον έλεος.

Ο Ειρμός

«Οι θεορρήμονες Παίδες εν τή καμίνω, σύν τώ πυρί, καί τήν φλόγα καταπατούντες υπέψαλλον. Ευλογείτε τά έργα Κυρίου τόν Κύριον».

Προεόρτιος

Ωδή θ'  Ο Ειρμός

«Ξενίας Δεσποτικής, καί αθανάτου τραπέζης, εν πενιχρώ Σπηλαίω, ταίς υψηλαίς φρεσί, πιστοί δεύτε απολαύσωμεν, σεσαρκωμένον Λόγον, απορρήτως μαθόντες, όν μεγαλύνομεν».

Άπιτε τοίς αρχηγοίς, Ηρώδης έφη τών Μάγων, ζητήσατε τόν παίδα, επάν δέ εύρητε, τούτον τάχος μηνύσατέ μοι, τόν δόλον εν καρδία τεκταίνων, αλλ' η λέγχθη ο πλάνος, διακενής ανομών.

Δημιουργός γεννηθείς, εκ τού Πατρός πρό αιώνων, γεννάται εκ Παρθένου, Σοφία πεφυκώς, Λόγος τού Θεού καί δύναμις, διπλούν ταίς φύσεσιν ειδότες, τόν Θεάνθρωπον Κύριον μεγαλύνομεν.

Ως άνθρωπος εφάνης, ουσία ου φαντασία, ούτω Θεός τώ τρόπω, τής αντιδόσεως, η φύσις Σώτερ ήνπερ προσείληφας, διό τήν εκ Παρθένου, σού θείαν ενδημίαν, τιμώντες σέ μεγαλύνομεν.

Τής Αγίας

Τήν φωτοφόρον νεφέλην

Ιδού εγγίζει Παρθένος, αποτεκείν εν Σπηλαίω, τόν Βασιλέα τού παντός, σάρκα ανειληφότα, όν ωμολόγησε στερρώς, αθλούσα η ένδοξος, λαμπρότατα, Μάρτυς Αναστασία, καί νικώσα τόν αόρατον εχθρόν.

Ωραιωθείσα τοίς πόνοις, υπέρ ηλίου ακτίνας, έλαμψας Μάρτυς τού Χριστού, καί φωτίζεις τόν κόσμον, άθλων μεγάλων τώ φωτί, θαυμάτων τε χάρισιν, εντεύθέν σε, πίστει Αναστασία, ευφημούμεν μελωδίαις ιεραίς.

Σέ τήν ωραίαν τρυγόνα, καί αηδόνα τιμίαν, καί παγκαλή περιστεράν, χρυσαυγιζούσας Μάρτυς, πτέρυγας έχουσαν πιστώς, αεί μακαρίζομεν, τελούντές σου, τήν πανέορτον μνήμην, εν ή λύσιν πάσιν αίτησαι δεινών.

Ής νύν επέτυχες δόξης, επιτυχείν ημάς πάντας, αεί δυσώπει τόν Χριστόν, Μάρτυς Αναστασία, τούς τήν σεπτήν σου εορτήν, σεπτώς εορτάζοντας, καί πίστει σου, προσκυνούντας τήν θήκην, τών λειψάνων ως πηγήν αγιασμού.

Θεοτοκίον

Φέροντα φύσιν βροτείαν, Παρθενομήτορ αγία, τίκτεις εν πόλει Βηθλεέμ, τόν υπέρθεον Λόγον, καί γαλουχείς μητροπρεπώς, τόν τρέφοντα άπαντας, ως δέ πύρινος θρόνος τούτον φέρεις, Παναγία ανωτέρα Χερουβίμ.

Άλλος

Κυρίως Θεοτόκον

Σκιρτήσατε τά όρη, εν αγαλλιάσει, καί ευφροσύνην βουνοί περιζώσασθε, νύν η Παρθένος εγγίζει τεκείν τόν Κύριον.

Ημέραν ευφροσύνης, άγει σου η κτίσις, Αναστασία τήν μνήμην δοξάζουσα, όνπερ εδόξασας Λόγον, οικείοις μέλεσιν.

Φωτί καθαρωτάτω, νύν ελλαμπομένη, τούς υμνητάς σου φωτίζοις τήν άνωθεν, πάσιν ημίν προξενούσα, Μάρτυς ευμένειαν.

Θεοτοκίον

Φαιδρώς πάσα η κτίσις, νύν αγαλλιάσθω, η Θεοτόκος τεκείν νύν επείγεται, τόν εκ Θεού Θεόν Λόγον, βροτόν γενόμενον.

Ο Ειρμός

«Κυρίως Θεοτόκον, σέ ομολογούμεν, οι διά σού σεσωσμένοι Παρθένε αγνή, σύν Ασωμάτοις χορείαις, σέ μεγαλύνοντες».

Εξαποστειλάριον τής Αγίας

Τοίς μαθηταίς συνέλθωμεν

Παρθενομάρτυς ένδοξε, αθλοφόρων τό κλέος, Αναστασία πάνσοφε, δυσωπούσα μή παύση, τόν εκ Παρθένου νύν Κόρης, τής αγνής Θεοτόκου, τεχθήναι προερχόμενον, εν Σπηλαίω καί φάτνη, αμαρτιών, δούναι λύσιν πάσι τοίς εκτελούσι, τήν παναγίαν μνήμην σου, καί τιμώσί σε πόθω.

Προεόρτιον, όμοιον

Τήν εκ Παρθένου Γέννησιν, τού Χριστού προκηρύττει, ή φωτοφόρος μνήμη σου, Μάρτυς Αναστασία, εν Βηθλεέμ συγκαλούσα, Μάγους μέν εκ Περσίδος, σύν δώροις, τούς Ποιμένας δέ, μετ' Αγγέλων πρός ύμνον, σύ γάρ σαυτήν, ως χρυσόν καί λίβανον καί ως σμύρναν, προσήξας τώ Δεσπότη σου, εναθλούσα Θεόφρον.

Εις τούς Αίνους, ιστώμεν Στίχ. δ' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. β'  Αι Αγγελικαί

Νύν αι παλαιαί διαλύονται εμφάσεις, έσχεν εν γαστρί, η Παρθένος γάρ καί λίθος, εξ όρους απετμήθη, καί η ράβδος εβλάστησεν, η τού Ιεσσαί, καί δρόσος άρτι, η τού Γεδεων εν γή ερρύη, λαοί κράξωμεν, Ο βασιλεύς τού Ισραήλ, Χριστός παραγίνεται.

Ξένου τοκετού, ξένα πράγματα οράται! πώς ο τώ Πατρί, εν υψίστοις συνεδρεύων, εν φάτνη τών αλόγων, γεννηθείς ανακλίνεται; πώς ο αναφής εν τοίς σπαργάνοις; πώς ο πανταχού εν τώ Σπηλαίω; λαοί κράξωμεν, ο Βασιλεύς τού Ισραήλ, Χριστός παραγίνεται.

Ο τερατουργών, καί τήν Αίγυπτον μαστίζων, ύων τε λαώ, τώ α γνώμονι τό Μάννα, σαρκούται καί θηλάζει, καί παιδίον ορώμενος, φεύγει τόν Ηρώδην, ως επί νεφέλης τή Παρθένω, Μητρί οχούμενος, ως Ησαϊας προορά, ο θεοπτικώτατος.

Παιδίον ο προών, Βασιλεύς ο τών αιώνων, τίκτεται εκών, καί υιός ημίν εδόθη, Ακούσατε τά Έθνη, Ισραήλ ενωτίσθητι, γνώτε καί ηττάσθε, μεθ' ημών γάρ, ός λεπτυνεί καί εκλικμήσει, εκ γής άπασαν, καί βασιλείαν καί αρχήν, αυτώ μή υπείκουσαν.

Δόξα... Όμοιον

Ράβδω σιδηρά, ποιμανθήση Ιουδαίε, οία απειθής, καί Προφήταις αντιπίπτων, Υιώ γάρ γεννηθέντι, ο Πατήρ κλήρον δίδωσιν, Έθνη καί κατάσχεσιν γής πάσης, σέ δέ απωθείται μιαιφόνε, βοάν ού πείθη γάρ, Ο Βασιλεύς τού Ισραήλ, Χριστός παραγίνεται.

Καί νύν... Όμοιον

Σκίρτησον Δαυϊδ, εξ οσφύος σου Χριστός γάρ, χαίροις Ιεσσαί, εξανθεί γάρ σου η ρίζα, εκ μηρού σου Ιούδα, προελεύσεται Κύριος, κατά Βαλαάμ έδεται Έθνη, κατά τόν μέγαν Ησαϊαν, ιδού τέξεται, παιδίον τόν Εμμανουήλ, Παρθένος η πάνσεπτος.

Απόστιχα Στιχηρά Προσόμοια

Ήχος β'  Οίκος τού Εφραθά

Προλάμπει ο αστήρ, ήδη εν τώ Σπηλαίω, Ποιμένες μετ' Αγγέλων, οι Μάγοι μετά δώρων, προφθάσαι ευτρεπίσθητε.

Στίχ. Κύριε εισακήικοα τήν ακοήν σου.

Εγγίζει ο Χριστός, ο αστήρ προαυγάζει, τό ουράνιον πλήθος, τής στρατιάς προκύπτει, τών νοερών δυνάμεων.

Στίχ. Ο Θεός από θαιμάν ήξει.

Χαίρε η Βηθλεέμ, ο ποιμαίνων επέστη, τόν Ισραήλ ο σώζων, ουκέτι ελαχίστη, Ιουδαία τοίς άρχουσιν.

Δόξα... Τής Αγίας

Ήχος πλ. α' Βύζαντος

Προεόρτιος ημέρα σήμερον, τής ενανθρωπήσεως Χριστού τού Θεού, τή τής πανευφήμου καί Μάρτυρος εορτή, συνεξέλαμψεν Αναστασίας, ιδού η Παρθένος, εν Βηθλεέμ επείγεται, Βρέφος σπαργανούμενον, ανακλίναι εν φάτνη τών αλόγων, τόν ελευθερώσαντα ημάς, εκ τής αρχαίας κατάρας, καί σώζοντα τάς ψυχάς ημών.

Καί νύν... Ήχος ο αυτός

Μή στύγναζε Ιωσήφ, καθορών μου τήν νηδύν, όψει γάρ τό τικτόμενον εξ εμού καί χαρήση, καί ως Θεόν προσκυνήσεις, η Θεοτόκος έλεγε τώ εαυτής μνηστήρι, μολούσα τού τεκείν τόν Χριστόν. Ταύτην ανυμνήσωμεν λέγοντες, Χαίρε κεχαριτωμένη, μετά σού ο Κύριος, καί διά σού μεθ' ημών.

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΓ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων δέκα Μαρτύρων τών εν Κρήτη.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'

Ο εξ υψίστου κληθείς

Τού Ησαΐου φωνή αποπληρούται, ιδού η Παρθένος γάρ, τόν απερίληπτον, περιγραφόμενον σώματι, εν μήτρα φέρει, καί παραδόξως τεκείν επείγεται, θεόδεκτον Σπήλαιον προευτρεπίσθητι, η Βηθλεέμ ετοιμάσθητι, ο Βασιλεύς γάρ, σέ ηρετίσατο εις κατοίκησιν. Δέχου η φάτνη σπαργανούμενον, βρέφος Χριστόν λύειν μέλλοντα, τάς σειράς τών πταισμάτων, τών ανθρώπων αγαθότητι.

Η φωτεινή τε καί έμψυχος νεφέλη, τόν όμβρον βαστάζουσα τόν επουράνιον, τούτον εν γή νύν προέρχεται, εναποστάξαι, όπως αρδεύση ταύτης τό πρόσωπον. Τό έαρ τής χάριτος, η νοητή χελιδών, ένδον εν σπλάγχνοις κατέχουσα, αρρήτω λόγω, εναποτίκτει χειμώνα άθεον, διασκεδάζον, τό Παλάτιον, τό καθαρόν καί αμίαντον, Βασιλέα Σπηλαίω, επεισάγει σωματούμενον.

Συναπεγράφης τοίς δούλοις ο Δεσπότης, πταισμάτων χειρόγραφον, σχίσαι βουλόμενος, καί απογράψασθαι άπαντας, εν βίβλω ζώντων, θανατωθέντας κλοπή τού δφεως, Παρθένος δέ φέρει σε, τόν πάντα φέροντα, σάρκα θνητήν

περικείμενον, καί καταλύειν, σμικρώ Σπηλαίω επευδοκήσαντα, όν γεννηθέντα, τάξεις άνωθεν, Αγγελικαί ανυμνήσουσι, μετά θείων Ποιμένων, εκπληττόμεναι τό κράτος σου.

Στιχηρά Προσόμοια τών Αγίων.

Ήχος ο αυτός
Ως γενναίον εν Μάρτυσιν

Η δεκάς η θεόλεκτος, καί λαμπάς η δεκάπυρσος, η ταίς θείαις λάμψεσι καταυγάζουσα, τής Εκκλησίας τό πλήρωμα, οι στύλοι οι άσειστοι, οι αστέρες οι φαιδροί, οι τήν γήν ουρανώσαντες, ταίς λαμπρότησι, τών μεγίστων αγώνων εγκωμίοις, ιεροίς μεγαλοφώνως, ανευφημείσθωσαν σήμερον.

Ευφημείσθω θεόδουλος, Ζωτικός τε καί Πόμπιος, Βασιλείδης Εύπορος, Αγαθόπους τε, καί Σατορνίνος Γελάσιος, και θείος Ευάρεστος, μεθ' ών Ευνικιανός, νύν τιμάσθωσαν άσμασιν, οι πανεύδιοι, τών εν ζάλη λιμένες, οι τήν πλάνην, στηλιτεύσαντες καί στέφος, νικητικόν κομισάμενοι.

Τά τής Κρήτης βλαστήματα, Εκκλησίας ερείσματα, καί πιστών αμάραντα ωραϊσματα, τού Παραδείσου ηδύπνοα, τά άνθη τά τίμια, τά ευπρόσδεκτα Χριστού, καί τερπνότατα σφάγια, αναθήματα, ουρανίου ναού τε τήν δεκάδα, τής Τριάδος τήν Αγίαν, τούς Αθλοφόρους υμνήσωμεν.

Δόξα... Τών Αγίων
Ήχος β' Κυπριανού

Κρήτη προεορτάζει σήμερον, τά Γενέθλια Χριστού, εν τή μνήμη τών Αθλοφόρων, διό ευχαίς αυτών Κύριε, σώσον τάς ψυχάς ημών.

Καί νύν... Προεόρτιον
Ο αυτός, τού αυτού

Βηθλεέμ γή Ιούδα, τό κατά σάρκα πολίτευμα, φαιδρώς ευτρέπισον τό θείον Σπήλαιον, εν ώ Χριστός σαρκί τίκτεται, εξ απειράνδρου αγίας Παρθένου, εις τό σώσαι τό γένος ημών.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια Προεόρτια.

Ήχος πλ. β'
Τριήμερος ανέστης Χριστέ

Η άπειρος σοφία Θεού, τόν οίκον εαυτής υπέρ νούν, εκ Παρθένου, ώ κοδόμησε Χριστός, καί έρχεται εν φάτνη αλόγων καί Σπηλαίω, σαρκί τεχθήναι υπέρ έννοιαν.

Στίχ. Ο Θεός από θαιμάν ήξει.

Ωράθης τοίς Προφήταις Χριστέ, ώς θέμις ήν θεάσασθαι, σέ τόν Κτίστην, εν εσχάτοις δέ καιροίς, τοίς πάσιν επεφάνης, ανθρώποις εν τή πόλει, τή Βηθλεέμ βροτός γενόμενος.

Στίχ. Κύριε εισακήκοα τήν ακοήν σου.

Διέδραμε μηνύων αστήρ, τόν Ήλιον τής δόξης Χριστόν, Αστρολόγους εν τή πόλει Βηθλεέμ, καί Άγγελοι Ποιμένας, νύν ευαγγελιούνται, μεθ' ών συνδράμωμεν θεόφρονες.

Δόξα... Τών Αγίων  Ήχος γ'

Προεόρτιος σήμερον, η τών Μαρτύρων επέστη εορτή, τήν Γενέθλιον ημίν, προϋπογράφουσα ημέραν, τόν εξ Ηλίου Ήλιον, τόν εκ τής Παρθένου, Θεόν επιφανέντα, σαρκί ανακηρύττουσα, Δεκάς Μαρτύρων εν Κρήτη, στερρώς αθλήσασα, τούς στεφάνους τής νίκης εξ ουρανού εδέξαντο, πρός ούς βοήσωμεν, Χορός αγιόλεκτος ικετεύσατε Χριστόν, Άγιοι Μάρτυρες, υπέρ τών πίστει τελούντων, τήν πάνσεπτον μνήμην υμών.

Καί νύν... Προεόρτιον ο αυτός

Ανατολίου

Ευτρεπίζου Βηθλεέμ, ήνοικται γάρ η Εδέμ, ετοιμάζου Εφραθά, ανανεούται γάρ ο Αδάμ, καί η Εύα σύν αυτώ, η κατάρα γάρ λέλυται, η σωτηρία εν κόσμω εξήνθησε, καί ψυχαί τών Δικαίων ευτρεπίζονται, ως προίκα δωροφορίας, αντί μύρου τόν ύμνον προσάγουσαι, σωτηρίαν ψυχής, καί αφθαρσίαν κομιζόμεναι. Ιδού γάρ εν φάτνη ανακείμενος, προτρέπει υμνωδίαν πνευματικήν επιτελέσαι, τους βοώντας απαύστως, Κύριε δόξα σοι.

Απολυτίκιον, Προεόρτιον

Ήχος δ'  Κατεπλάγη Ιωσήφ

Ετοιμάζου Βηθλεέμ, ήνοικται πάσιν η Εδέμ, Ευτρεπίζου Εφραθά, ότι τό ξύλον τής ζωής, εν τώ Σπηλαίω εξήνθησεν εκ τής Παρθένου, Παράδεισος καί γάρ, η εκείνης γαστήρ, εδείχθη νοητός, εν ώ τό θείον φυτόν, εξ ού φαγόντες ζήσομεν, ουχί δέ ως ο Αδάμ τεθνηξόμεθα, Χριστός γεννάται, τήν πρίν πεσούσαν, αναστήσων εικόνα.

Δόξα... Τών Αγίων  Ήχος γ'

Τήν ωραιότητα

Τήν πολυθαύμαστον Κρήτην τιμήσωμεν, τήν εξανθήσασαν άνθη τά τίμια, τούς μαργαρίτας τού Χριστού, Μαρτύρων τούς ακρέμονας. Δέκα γάρ υπάρχοντες, αριθμώ οι μακάριοι, δύναμιν μυρίοπλον τών δαιμόνων κατήσχυναν, διό καί τούς στεφάνους εδέξαντο, Μάρτυρες Χριστού οι καρτερόψυχοι.

Καί νύν... Τό Προεόρτιον πάλιν

Ήχος δ'  Κατεπλάγη Ιωσήφ

Ετοιμάζου Βηθλεέμ, ήνοικται πάσιν η Εδέμ, Ευτρεπίζου Εφραθά, ότι τό ξύλον τής ζωής, εν τώ Σπηλαίω εξήνθησεν εκ τής Παρθένου, Παράδεισος καί γάρ, η εκείνης γαστήρ, εδείχθη νοητός, εν ώ τό θείον φυτόν, εξ ού φαγόντες ζήσομεν, ουχί δέ ως ο Αδάμ τεθνηξόμεθα, Χριστός γεννάται, τήν πρίν πεσούσαν, αναστήσων εικόνα.

Καί Απόλυσις

Εν δέ τοίς αποδείπνοις ψάλλομεν τό Τριώδιον, ού η Ακροστιχίς.
Προσάββατόν τε

Ωδή ε'  Ήχος πλ. β'
Ο Ειρμός

«Πρός σέ ορθρίζω, τόν δι' ευσπλαγχνίαν, σεαυτόν τώ πεσόντι, κενώσαντα ατρέπτως, καί δούλου μορφήν, εκ Παρθένου φορέσαντα, Λόγε Θεού, τήν ειρήνην παράσχου μοι φιλάνθρωπε».

Ρυφθέντες φρένας, καί προκαθαρθέντες, μυστηρίου μεθέξει, φρικτής οικονομίας, σώμα καί ψυχήν, Βηθλεέμ πρός τήν πόλιν ανέλθωμεν, τόν Δεσπότην τικτόμενον οψόμενοι.

Οράτε φίλοι, μάτην μή θροείσθε, ο γάρ άφρων Ηρώδης, θρασύνεται τόν Κτίστην, κτείναι τεχθέντα, αλλ' αυτός ως ζωής καί θανάτου κρατών, ζή καί σώζει, τόν κόσμον ως φιλάνθρωπος.

Ωδή η'  Ο Ειρμός

«Στήλην κακίας αντιθέου, Παίδες θείοι παρεδειγμάτισαν, κατά Χριστού δέ φρυαττόμενος, Ηρώδης θρασύνεται, βουλεύεται κενά, κτείναι μελετά, τόν ζωής κρατούντα παλάμη, όν πάσα Κτίσις ευλογεί, δοξάζουσα εις τούς αιώνας».

Από βλεφάρων ραθυμίας, ύπνον πάντα πιστοί τινάξωμεν, εν προσευχή δέ γρηγορώμεν, πειρασμούς αποτρέποντες τούς εκ τού πονηρού, καί σύν Ποιμέσι, θεαταί τής δόξης δειχθώμεν, Χριστού τεχθέντος, όν υμνεί δοξάζουσα πάσα η κτίσις.

Βέβηλον έπος εκ χειλέων, προϊέναι πιστοί κωλύσωμεν, λόγους ευφήμους μελετήσαντες, Χριστώ δέ προσάξωμεν, τώ λύσαντι ημάς τής αλογίας, εν αλόγοις κειμένω φάτνη όν πάσα κτίσις ευλογεί, δοξάζουσα εις τούς αιώνας.

Βάθος σοφίας, καί τής γνώσεως τού Κτίστου, τίς ερευνήσει βροτών, Θεού κριμάτων τίς τήν άβυσσον, σοφός καταλήψεται; δι' ών τούς ουρανούς κλίνας, τοίς βροτοίς σαρκοφόρος συνανεστράφη, όν πάσα κτίσις ευλογεί, δοξάζουσα εις τούς αιώνας.

Απαγορεύειν σαρκικών παθών, καί κόσμου τερπνών σπουδάσωμεν, πνευματικών δέ αντισχώμεθα, φροντίδων θεόφρονες, αξίους εαυτούς τώ τικτομένω, παριστώντες εξ έργων Δεσπότη, όν πάσα κτίσις ευλογεί, δοξάζουσα εις τούς αιώνας.

Ωδή θ'

«Τήν τιμιωτέραν τών Χερουβίμ, καί ενδοξοτέραν ασυγκρίτως τών Σεραφίμ, τήν αδιαφθόρως Θεόν Λόγον τεκούσαν, τήν όντως Θεοτόκον σέ

μεγαλύνομεν».

Ο λέθριον δόγμα τού δυσμενούς, συνταραττομένου, τή Γεννήσει τού Ιησού, Νηπίων ακάκων, απειργάσατο φόνον, ημείς δέ τόν τεχθέντα, πιστοί τιμήσωμεν.

Νόμους τούς τής φύσεως αδικών, καί θεσμούς τούς θείους, αθετών Ηρώδης δεινός, μητέρας ανόμως, ητέκνωσε καί βρέφη, ανείλεν αναιτίως, διά τήν πάντων Ζωήν.

Τοίς έθνεσιν ήνοικται τής Εδέμ, πύλη τικτομένου, εν Σπηλαίω τού Λυτρωτού, πηγή τε διψώσιν, αθανασίας βλύζει, ο Κύριος τής δόξης, όν μεγαλύνομεν.

Εκύκλουν ως θρόνον χερουβικόν, Άγγελοι τήν φάτνην, τό γάρ Σπήλαιον ουρανόν, εώρων κειμένου, εν αυτώ τού Δεσπότου, καί, Δόξα εν υψίστοις, Θεώ εκραύγαζον.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν.

Κάθισμα Ήχος πλ. α'
Τόν συνάναρχον Λογον

Βηθλεέμ ετοιμάζου τά πρός υπάντησιν, τής Παρθένου Μαρίας καί Θεομήτορος, ιδού γάρ έρχεται πρός σέ, έμβρυον φέρουσα, τόν συνάναρχον Πατρί, καί τώ Πνεύματι αεί, Χριστόν όν έν τώ Σπηλαίω, γεννήσει καί μετά τόκον, αεί Παρθένος οφθήσεται.

Δόξα... Καί νύν... τό αυτό

Μετά τήν β' Στιχολογίαν.

Κάθισμα Ήχος πλ. β'
Ελπίς τού κόσμου αγαθή

Εκ τής Περσίδος Βασιλείς, χρυσόν σμύρναν καί λίβανον, τώ κυηθέντι Βασιλεί, καί Θεώ προσήξαν πάλαι, ημείς δέ νύν προεορτάζοντες αυτού τήν Γέννησιν, ευσεβοφρόνως εκ ψυχής, πίστιν ελπίδα αγάπην, προσφέρωμεν αυτώ, τήν Παρθένον υμνούντες.

Δόξα... Καί νύν... τό αυτό

Είτα ο Ν' καί οι Κανόνες

Κανών Προεόρτιος, ού η ακροστιχίς, κατά Αλφάβητον.

Ποίημα Ιωσήφ

## Ωδή α'  Ήχος β'  Ο Ειρμός

«Άριπτον ασυνήθη, αβρόχως θαλαττίαν ανύσας τρίβον, ο εκλεκτός εβόα Ισραήλ, Τώ Κυρίω άσωμεν, ότι δεδόξασται».

Άναρχος ών τή φύσει, αρχήν ο πρό αιώνων λαμβάνει Λόγος, εν Βηθλεέμ τικτόμενος σαρκί, τούτου τά Γενέθλια προεορτάσωμεν.

Βλέψωμεν διανοίας, τοίς όμμασι πρός πόλιν τής Ιουδαίας, πορευομένην τέξαι τήν Αγνήν, ής τόν τόκον πόρρωθεν αστήρ εμήνυσε.

Γνόντες σε Βασιλέα, εν γή αποτικτόμενον εκ Παρθένου, οι Βασιλείς Περσών Λόγε Θεού, μετά δώρων σπεύδουσι τού προσκυνήσαί σε.

## Έτερος Κανών Προεόρτιος

## Ωδή α'  Ήχος πλ. β'

«Ως εν ηπείρω πεζεύσας ο Ισραήλ, εν αβύσσω ίχνεσι τόν διώκτην Φαραώ, καθορών ποντούμενον, Θεώ επινίκιον ωδήν εβόα άσωμεν».

Παρθενικής εκ Νεφέλης μέγας ημίν, ανατέλλει Ήλιος, Ιησούς ο φωτισμός, οι εν σκότει άσωμεν αυτώ, αυγαζόμενοι φαιδρώς, ταίς τούτου λάμψεσιν.

Η τών εθνών προσδοκία, ο Βασιλεύς, τής ειρήνης έρχεται, τόν πολέμιον ελείν, Υπαντήσαι σπεύσωμεν αυτώ, τικτομένω Βηθλεέμ, εις σωτηρίαν ημών.

Προφητικαί περαιούνται θείαι φωναί, τήν φρικτήν ανάδειξιν, προσημαίνουσαι Χριστού, η Αμνάς εγγίζει γάρ τεκείν, τόν Αμνόν καί Λυτρωτήν, καί πάντων Κύριον.

## Θεοτοκίον

Σέ τήν Αγνήν τού Δεσπότου Περιστεράν, τήν σεμνήν καί άμωμον, καί καλήν εν γυναιξίν, ως τών όλων τέξασαν Θεόν, μακαρίζομεν πιστώς, Θεομακάριστε.

## Κανών τών Αγίων

## Ωδή α'  Ήχος γ'

«Άσωμεν τώ Κυρίω, τώ ποιήσαν τι θαυμαστά τέρατα, εν ερυθρά θαλάσση, πόντω γάρ εκάλυψε τούς υπεναντίους, καί έσωσε τόν Ισραήλ, αυτώ μόνω άσωμεν, ότι δεδόξασται».

Άσωμεν τώ Κυρίω, τώ συνάψαντι τούς αγίους Μάρτυρας, τή αμωμήτω πίστει, καί τούτους οπλίσαντι, εν μιά τή ελπίδι, κατά τού αρχεκάκου εχθρού, καί τώ συνδέσμω πάντας αυτούς, τής αγάπης ενώσαντι.

Οι απλανείς αστέρες, τού νοητού Ηλίου, ως εξ Εώας λάμψαντες, τόν τού αστέρος δρόμον, πιστώς προηγήσαντο, τού Χριστού γεννηθέντος, εορτήν προεισόδιον, τήν μνήμην τής αυτών τελευτής, φαιδρώς προσενέγκαντες.

Οι εκ Περσίδος Μάγοι, εν Βηθλεέμ τεχθέντι, δώρα Χριστώ προσήγαγον, νύν δέ οι Αθλοφόροι, ως σμύρναν τά αίματα, ως χρυσόν δέ τήν πίστιν, ως λίβανον τά πνεύματα, θυσίαν προεόρτιον, τώ τεχθέντι προσήνεγκαν.

Τή Θεοδούλου πίστει, καί Ζωτικού αγάπη, συνεκράθη Πόμπιος, καί Σατορνίνος άμα, καί συνεστεφάνωται Εύπορος, Αγαθόπους, Γελάσιος, Ευάρεστος καί Ευνικιανός, σύν αυτοίς καί Βασιλείδης ο σύναθλος.

Τριαδικόν

Η υπέρ νούν ουσία, καί αμέριστος τρισίν Υποστάσεσι, διαιρετώς υμνείται, μιά δέ θεότητι, απλώς αδιαιρέτως, Τριάς γάρ η αυτή καί Μονάς, απλή καί αδιαίρετος, εστί καί ονομάζεται.

Θεοτοκίον

Εν Βηθλεέμ γεννάται, καί τήν Εδέμ ανοίγει, ο εκ Παρθένου Κύριος, τεχθείς ανερμηνεύτως. Φάτνη ετοιμάζεται, καί Σπήλαιον τώ Κτίστη, Μάγοι ευτρεπίζουσι τά δώρα, τώ Δεσπότη Θεώ, καί Αστήρ προκηρύττει τό φώς.

Προεόρτιος

Ωδή γ' Ο Ειρμός

«Τόξον συνετρίβη δυναστών, τώ κράτει σου Χριστέ, καί δύναμιν ασθενείς, σέ περιεζώσαντο».

Δεύτε διανοία καθαρά, ηχήσωμεν φαιδρώς, τών Γενεθλίων Χριστού, νύν τά Προεόρτια.

Έρχη καταλύσαι εν σμικρώ, Σπηλαίω Βασιλεύ, πλουτίζων με Ιησού, τή πολλή πτωχεία σου.

Ζόφου εξαιρούμενος ημάς, κακίας ο Χριστός, προέρχεται σαρκί, τεχθήναι ως άνθρωπος.

Έτερος

Ουκ έστιν Άγιος ως σύ

Ο λόγω τείνας ουρανόν, υπεισέρχη Σπηλαίω, καί αλόγων εν φάτνη, ανακέκλισαι Χριστέ, τής αλογίας ημάς, διά σπλάγχνα, θέλων εκλυτρώσασθαι.

Βοά Προφήτης εμφανώς, ο Θεός ημων ούτος, λογισθήσεται ουδείς, έτερός τις πρός αυτόν, εξεύρε πάσαν οδόν, επιστήμης, τοίς βροτοίς ενούμενος.

Ου φέρει βλέπειν Χερουβίμ, καί πώς φέρει σε φάτνη, τόν αχώρητον φύσει,

διά έλεος πολύ, τικτόμενον δι' ημάς, εκ Παρθένου, Κύριε φιλάνθρωπε;

Θεοτοκίον

Προείδεν Όρος σε ποτέ, Δανιήλ ο Προφήτης, εξ ού λίθος ετμήθη, Θεοτόκε τούς βωμούς, λεπτύνας καί καθελών, τών ειδώλων, πάναγνε Θεόνυμφε.

Τών Αγίων

Εστερεώθη η καρδία μου

Αθλητικόν παγκράτιον οι γενναίοι, τού Χριστού διήνυσαν Αθλοφόροι, τών διωκτών τήν απόνοιαν καταπαλαίσαντες.

Οι νοεροί φωστήρες τής Εκκλησίας, λογικάς αστράπτοντες λαμπηδόνας, τήν αβλεψίαν φωτίζουσι τών καρδιών ημών.

Ο στερεώσας Κύριε τούς Αγίους, ενεγκείν αφόβως τάς αλγηδόνας, ρύσαι κινδύνων καί θλίψεων τούς υμνούντάς σε.

Τριαδικόν

Σεραφικώς υμνήσωμεν τήν Τριάδα, σύν Αγγέλοις κράζοντες ασιγήτως, Άγιος, Άγιος, Άγιος, η Τριάς καί Μονάς ο Θεός.

Θεοτοκίον

Τόν τής Τριάδος ένα τή γαστρί σου, δεξαμένη Άχραντε Θεοτόκε, ανερμηνεύτως εκύησας, ως οίδε μόνος αυτός.

Ο Ειρμός

«Εστερεώθη η καρδία μου εν Κυρίω, υψώθη κέρας μου εν Θεώ μου, επλατύνθη επ' εχθρούς μου τό στόμα μου».

Κάθισμα  Ήχος α'

Τόν τάφον σου Σωτήρ

Τής Κρήτης οι λαμπροί, καί σεπτοί πολιούχοι, αθλήσαντες στερρώς, ετροπώσαντο πίστει, τόν όφιν τόν αρχέκακον, καί νομίμως εστέφθησαν, τούτων σήμερον, τήν αξιέπαινον μνήμην, εορτάζοντες, μεγαλοφώνως τόν πάντων, δοξάζομεν Κύριον.

Δόξα... Καί νύν...

Προεόρτιον, όμοιον

Αγάλλου η Σιών, Βηθλεέμ ευτρεπίζου, ο πάντων συνοχεύς, τόν αστέρα προπέμψας, εμήνυσε τήν άμετρον, εαυτού συγκατάβασιν, όν γάρ τρέμουσι, τών ουρανών αι Δυναμεις, όντως τίκτεται, εκ τής Παρθένου ατρέπτως, ο μόνος Θεός ημών.

Προεόρτιος

Ωδή δ'  Ο Ειρμός

«Υμνώ σε, ακοή γάρ Κύριε εισακήκοα καί εξέστην, έως εμού ήκεις γάρ, εμέ ζητών τόν πλανηθέντα, διο τήν πολλήν σου συγκατάβασιν, τήν εις εμέ δοξάζω Πολυέλεε».

Η Κτίσις ευφραινέσθω άπασα, ο γάρ Κτίστης ιδού γεννάται, εν Βηθλεέμ νήπιος, ορώμενος ο πρό αιώνων σαρκί, καί σπαργάνοις ενειλίσσεται, σειράς πταισμάτων λύων ως φιλάνθρωπος.

Θαμβείται εννοών πάς άνθρωπος, πώς ο πλούσιος εν ελέει, πτωχεύσαι νύν έρχεται, καί καταλύσαι εν Σπηλαίω, ημάς τούς κλοπή δεινώς πτωχεύσαντας, καταπλουτίσαι θέλων αγαθότητι.

Ιλύϊ εμπαγέντας Κύριε, αμαρτίας κακοφροσύνη, ηλέησας, ώκτειρας, καί επεσκέψω, καί εισέδυς Αγνής, Παναγίας μήτραν Άγιε, ήτις σε εν Σπηλαίω τίκτειν έρχεται.

Θεοτοκίον

Κατάρας παλαιάς λυτρούμενος, τό ανθρώπινον ο Δεσπότης, εκ σού σαρκί τίκτεται, Πανάχραντε ευλογημένη, διό εν αινέσει σε δοξάζομεν, δόξαν ημών, καί καύχημα τυγχάνουσαν.

Τών Αγίων

Χριστός μου δύναμις

Ιδού ανέτειλε, τό άστρον πόρρωθεν, ο προήγγελται πάλαι εξ Ιακώβ, άνθρωπος γενόμενος, ο απερίληπτος Θεός, καί οράται σπαργανούμενος.

Ο πάντων Κύριος, η απολύτρωσις, οραθήσεται βρέφος, Παρθενικοίς, κόλποις καθεζόμενος, ο εν τοίς κόλποις τού Πατρός, ως Υιός αναπαυόμενος.

Εδέμ κλεισθείσά μοι, κλαπέντι βρώσει ποτέ, διανοίχθητι, νύν γάρ έν Βηθλεέμ, τίκτεται φορέσας με, ο αφορίσας με τής σής, ανωδύνου απολαύσεως.

Θεοτοκίον

Προφήτης Πνεύματι, προεθεάσατο, Αββακούμ σε Παρθένε, Όρος Θεού, αρεταίς κατάσκιον, εξ ού επέφανεν ημίν, ο φωτίζων τάς ψυχάς ημών.

Άλλος

Εισακήκοα τήν ακοήν

Προεόρτιος, τών Μαρτύρων επέστη μνήμη, τήν Γενέθλιον προγράφουσα, εορτήν τού Σωτήρος.

Τά προαύλια, τής τού Σωτήρος επιφανείας, τών Μαρτύρων η ετήσιος, προανέω ξε μνήμη.

Η δεκάπυρσος, τών Αθλοφόρων λαμπάς ανήφθη, τόν αστέρα προμηνύουσα, τού Χριστού γεννηθέντος.

Υπερόβρυζοι, εν τή χωνεία τών αλγηδόνων, ανεδείχθησαν οι Άγιοι, ως

χρυσός εν καμίνω.

Θεοτοκίον

Μήτηρ Άχραντε, ευλογημένη Αγνή Παρθένε, τούς υμνούντάς σε περίσωζε, από πάσης ανάγκης.

Προεόρτιος

Ωδή ε'  Ο Ειρμός

«Ο άνθραξ τώ Ησαϊα προοφθείς, Ήλιος παρθενικής από γαστρός ανέτειλε, τοίς εν σκότει πεπλανημένοις, θεογνωσίας φωτισμόν δωρούμενος».

Λυτρούσαι τών αμετρήτων με κακών Κύριε, υπερβολή ως αγαθός χρηστότητος, εν Σπηλαίω εκ τής Παρθένου εν Βηθλεέμ, αποτεχθείς ως άνθρωπος.

Μετά σαρκός νύν προελθών ο Κύριος, δι' ευσπλαγχνίαν τούς βροτούς ρυσάμενος, δυναστείας τού αρχεκάκου, εις ουρανούς αναγαγών εθέωσε.

Νύν ήκει εν αλλοτρίω, ο Χριστός σώματι, εν τοίς ιδίοις, ξενωθώμεν άπαντες, τών ατίμων παθών, καί τούτον δεξώμεθα, σαρκί τικτόμενον.

Έτερος

Τώ θείω φέγγει σου Αγαθέ

Τού Εφραθά οίκος Βηθλεέμ, Άρχων εξελεύσεται εκ σού, εν Ισραήλ προσκαλούμενος, Έθνη απωσμένα, ως προηγόρευσεν, εν Πνεύματι Μιχαίας, καταυγαζόμενος.

Ποιμάναι ποίμνιον εαυτού, μόνος εν ισχύϊ Ιησούς, εκ τής Παρθένου τεχθήσεται, άκρων έως γής δέ μεγαλυνθήσεται, Προφήτης θεηγόρος, πάλαι προήγγειλε.

Θεός ανθρώποις ομοιωθείς, πτωχεύει σαρκί, ίνα ημάς, καταπλουτίση τή δόξη αυτού, καί Σπηλαίω τίκτεται ο αχώρητος, τούτον ευθεία γνώμη υποδεξώμεθα.

Θεοτοκίον

Ρομφαίαι πάσαι τού δυσμενούς, άχραντε πανάμωμε Αγνή, όντως εις τέλος εξέλιπον, Σύ γάρ τόν απάντων Θεόν εκύησας, τόν λόγχη καθελόντα τούτου τό φρύαγμα.

Τών Αγίων

Τήν σήν ειρήνην

Τόν εξ Ηλίου Ήλιον, Χριστόν οι Μάρτυρες, εκ τής Παρθένου ημίν επιφανέντα σαρκί, κηρύττουσι τώ κόσμω, τή αθλήσει τής σεπτής ομολογίας αυτών.

Τίτου καί Κάρπου κλήματα, ώφθητε Μάρτυρες, ως εκ τής Παύλου φυτείας αναθάλλοντες, καρπούς ομολογίας, εκ χειλέων τώ Χριστώ προσενέγκαντες.

Οι τής ειρήνης τρόφιμοι, καί πολεμίων εχθροί, ταίς ικεσίαις υμών, άγιοι Μάρτυρες, πρεσβεύσατε ειρήνην, καί κακών απαλλαγήν δοθήναι πάσιν ημίν.

Νυκτομαχούσης άγιοι, τής Εκκλησίας Χριστού, ως φαεινοί τοίς εν γή, φωστήρες ώφθητε, τήν νύκτα τής αγνοίας, απελαύνοντες τή αίγλη τών θαυμάτων υμών.

Θεοτοκίον

Εν Βηθλεέμ ανέτειλε, Χριστός η πάντων αυγή, εκ τής Παρθένου Μητρός, λάμψας τώ κόσμω τό φώς, καί ώσπερ εν ημέρα, καταλάμπει τοίς πιστοίς, ως τοίς Μάγοις αστήρ.

Προεόρτιος

Ωδή ς' Ο Ειρμός

«Πρός Κύριον, εκ κήτους ο Ιωνάς εβόησε, Σύ με ανάγαγε, εκ πυθμένος άδου δέομαι, ίνα ως Λυτρωτή, έν φωνή αινέσεως, αληθείας τε πνεύματι θύσω σοι».

Ξενίζεται ακοή τού πράγματος τό μέγεθος, πώς ο αχώρητος, χωρηθείς εν μήτρα έρχεται, τεχθήναι δι' ημάς, εκ Μητρός νεάνιδος, ού τόν τόκον ανύμνησαν Άγγελοι.

Ο Ήλιος, φωτεινή εν Νεφέλη κρυπτόμενος, τεχθήναι έρχεται, εν Σπηλαίω φανερούμενος, αστήρ γάρ φαεινός, εις αυτού προσκύνησιν, Βασιλείς εκ Περσίδος συνήγαγε.

Πώς δέξεται, Βασιλεύ σε σμικρότατον Σπήλαιον, γνώμη πτωχεύσαντα, τόν πλουτίζοντα τά σύμπαντα; πώς βλέψει σε βροτών, φύσις σωματούμενον; Προσκυνούμεν τήν σήν συγκατάβασιν.

Έτερος

Τού βίου τήν θάλασσαν

Ιδού εις τά ίδια, παραγίνεται Χριστός, Οικειωθώμεν χάριτι, δι' αρετών ενθέων αυτώ πιστοί, καί τού τόν δεξώμεθα, καί ψυχή καί καρδία φωτιζόμενοι.

Η ρίζα εβλάστησεν, Ιεσσαί καί εξ αυτής, ο προελθων Θεός ημών, ελπίς εθνών ανάπαυσις καί τιμή, ως πάλαι προέφησεν, Ησαϊας ενθέως φωτιζόμενος.

Σειράς διαλύων μου, τών πολλών αμαρτιών, εγκατειλίσση σπάργανα, καταπλουτίζων δέ με τόν χαλεπώς, κακία πτωχεύσαντα, Ιησού μου πτωχεύεις σωματούμενος.

Θεοτοκίον

Χειμάζει κλυδώνιον, εναντίων λογισμών, τήν ταπεινήν καρδίαν μου, τών πονηρών πνευμάτων επιβουλαίς, φιλάγαθε Δέσποινα, καταπράϋνον τούτο μεσιτείαις σου.

Τών Αγίων

Τούς εις τά τέλη τών αιώνων

Μάγοι τά δώρά σοι προσήγον, οι δέ Μάρτυρες τά αίματα, τώ γεννηθέντι επί γής εκ Παρθένου, εν τή πόλει Δαυϊδ, καί πάσχοντες εβόων. Σώσον Σωτήρ, ως έσωσας, τού θηρός τόν Προφήτην.

Κυμαινομένης ως θαλάσσης, κατά τής ομολογίας Χριστού, τής τυραννίδος τού εχθρού, ως φιλεύδιοι λιμένες αυτή, επέστησαν αθρόως οι Αθληταί, ως ναύν τήν πίστιν αυτών συναιρούντες.

Η Θεοδούλου παρρησία, τήν Ομόζηλον ανδρείαν, τών συνομίλων Αθλητών, στερροτέραν απειργάσατο, διό καί ανεβόων, Σώσον Σωτήρ, ως έσωσας, τού θηρός τόν Προφήτην.

Θεοτοκίον

Εν Βηθλεέμ αστήρ εφάνη, οδηγών τούς εκ Περσίδος, δώρα κομίζοντας Χριστώ, τώ τεχθέντι εκ Παρθένου Μητρός, αυτώ πάσα η κτίσις, καί προσκυνεί καί ως Θεόν, ανυμνεί καί δοξάζει.

Ο Ειρμός

«Τούς εις τά τέλη τών αιώνων, καταντήσαντας Φιλάνθρωπε, καί τρικυμίαις πειρασμών, απολέσθαι κινδυνεύοντας, βοώντας μή παρίδης, Σώσον Σωτήρ, ως έσωσας, τού θηρός τόν Προφήτην».

Κοντάκιον τών Αγίων

Ήχος δ' Επεφάνης σήμερον

Εωσφόρος έλαμψεν, η τών Μαρτύρων, σεβασμία άθλησις, προκαταυγάζουσα ημίν, τόν εν Σπηλαίω τικτόμενον, όν η Παρθένος, ασπόρως εκύησεν.

Ο Οίκος

Τόν εν Σπηλαίω δι' ημάς τεχθέντα εκ Παρθένου, Χριστόν τόν ζωοδότην, ποθούντες οι οπλίται, χορείαν ήγειραν φαιδράν κατά τού Βελίαρ, καί νικήσαντες σαφώς, εις γήν αυτόν κατέρραξαν, άμετρα πάλαι τούτον καυχώμενον, όθεν δαδουχούσι τοίς εν σκότει, ως φωστήρες υπάρχοντες τού νοητού Ηλίου, αστήρ μέν γάρ τό πρίν τοίς Μάγοις επέστη, οδηγών εν Βηθλεέμ, πόλει Ιούδα, ούτοι δέ ημίν κηρύττουσιν εν βασάνοις, όν η Παρθένος ασπόρως εκύησεν.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΓ' τού αυτού μηνός, Μνήμη τών Αγίων δέκα Μαρτύρων, τών εν Κρήτη μαρτυρησάντων.

Στίχοι

- Τού ποιμενάρχου θρέμματα Χριστού δέκα,

- Εισηλάθη τμηθέντα μάνδρα Μαρτύρων.
- Εικάδι τή τριτάτη δέκα εν Κρήτη τάμον άνδρας.

Τή αυτή ημέρα, Μνήμη του Οσίου Πατρός ημών Παύλου, Αρχιεπισκόπου Νεοκαισαρείας, ενός τών τριακοσίων δέκα καί οκτώ Αγίων Πατέρων τών εν Νικαία.

Τή αυτή ημέρα, Τά εγκαίνια τής Αγίας τού Θεού μεγάλης Εκκλησίας.

Στίχοι

- Εγκαινίοις καλοίς σε τοίς εγκωμίοις,
- Τιμώ καλών κάλλιστε γής Ναών όλων.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου καί Θεοφόρου πατρός ημών Ναούμ τού θαυματουργού, τού φωτιστού καί ιεροκήρυκος Βουλγαρίας.

Ο Άγιος Μάρτυς Σχίνων ξίφει τελειούται.

Ταίς τών σών Αγίων πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Προεόρτιος

Ωδή ζ' Ο Ειρμός

«Ρήτορες ανεδείχθησαν Παίδες, φιλοσοφώτατοι ποτέ, εκ θεολήπτου ψυχής γάρ, θεολογούντες χείλεσιν έμελπον, Ο υπέρθεος τών Πατέρων καί ημών, Θεός ευλογητός εί».

Ρήματα εκπληρών Θεού Λόγε, ιερωτάτων Προφητών, έρχη τεχθήναι Σπηλαίω σπαργανωθήναί τε ώσπερ νήπιον, όπως λύση μου, τάς σειράς ως αγαθός, τών πολλών εγκλημάτων.

Στόματι ουρανός κεχρημένος, άστρω μεγίστω εκβοά, τήν επί γής παρουσίαν, τού δι' ημάς αρρήτως πτωχεύσαντος, ώ χρησάμενοι οδηγώ οι εκ Περσών, αφίκοντο σπουδαίως.

Τάγματα τών Αγγέλων υμνήσαι, μέλλοντα τίκτεσθαι Χριστόν, νύν ευτρεπίζονται φόβω, από μακράν δέ Μάγρι, αφικέσθαι τού θεάσασθαι, ξένον θέαμα εν γή, Θεόν σωματωθέντα.

Θεοτοκίον

Υμνούμέν σε τήν πάντων αιτίαν, τών αγαθών μόνη Αγνή, σωματοφόρον γάρ Λόγον υπερβολή χρηστότητος τέτοκας, ού τήν γέννησιν προεμήνυσεν αστήρ, εν Βηθλεέμ τή πόλει.

Έτερος

Δροσοβόλον μέν τήν κάμινον

Ο παντέλειος τεχθήσεται ως νήπιον, σπαργάνοις ενειλούμενος, καί ο άναρχος, εκ Παρθένου λήψεται αρχήν, Θεώσαι τό πρόσλημμα ζητών, αγαλλιάσθω ουρανός, καί ευφραινέσθω η γή.

Μεθ' ημών Θεός οφθήσεται σαρκούμενος, γνώτε έθνη τά πολέμια, καί ηττηθέντα, τής ημών μακρύνθητε ζωής, ιδού η ανάκλησις ημών, βρέφος εν φάτνη Βηθλεέμ προσανακλίνεται.

Ως βασίλειον πορφύραν περικείμενος, τήν σάρκα νύν προέρχεται, εκ λαγόνων σου, τής ειρήνης Κόρη Βασιλεύς, συντρίψαι εχθρούς ως δυνατός, καί ειρηνεύσαι τήν ημών, πολεμηθείσαν ζωήν.

Θεοτοκίον

Γενεών από πασών σε εξελέξατο, παλάτιον αμόλυντον, ο οικήσας σου, τήν γαστέρα Κόρη Βασιλεύς, ώ νύν μελωδούμεν ευσεβώς, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Τών Αγίων

Τρείς Παίδες εν καμίνω

Εφέστηκεν η μνήμη, τών Μαρτύρων κηρύττουσα, τήν Γενέθλιον ημέραν τού Σωτήρος, καί τή τούτων αθλήσει, προοιμιάζεται ημίν, Δεσποτική εορτή.

Μή κάμψαντες τό γόνυ, τοίς ξοάνοις οι Μάρτυρες, τών βασάνων τώ πυρί επειράθησαν, ευσεβώς εκβοώντες, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Εν μέσω τού σταδίου, εναθλούντες οι Μάρτυρες, στεφηφοροι Ομαδόν συγχορεύοντες, ως οι Παίδες εβόων, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Ποιμένες μετά Μάγων, τόν αστέρα Θεώμενοι, μετ' Αγγέλων επί γής ανεκήρυττον, τόν εκ σού γεννηθέντα, Θεογεννήτορ Μαριάμ, διά τό σώσαι ημάς.

Προεόρτιος

Ωδή η'  Ο Ειρμός

«Ινδάλματος χρυσού, καταπτύσαντες τρισόλβιοι Νεανίαι, τήν απαράλλακτον καί ζώσαν Θεού εικόνα τεθεαμένοι, μέσον τού πυρός ανέμελπον, Η ουσιωθείσα υμνείτω τόν Κύριον πάσα κτίσις, καί υπερυψούτω, εις πάντας τούς αιώνας».

Φορέσας με Χριστέ, όν εγύμνωσεν απάτη η αμαρτία, φανερωθήναι σύ καί νήπιος, επί φάτνης έρχη τεχθήναι, άστρου σε φαιδρώς κηρύττοντος, τοίς

αναβοώσιν, Υμνείτω τόν Κύριον πάσα κτίσις, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Χορεύσωμεν πιστοί, καί σκιρτήσωμεν τώ πνεύματι, ο Δεσπότης, καταπλουτών ημάς, έν πάση δικαιοσύνη, ήδη πτωχεύει καθάπερ νήπιον, τεχθείς καί ανακλιθείς εν τή φάτνη, όν ανυμνούμεν, καί υπερυψούμεν, εις πάντας τούς αιώνας.

Ψαλτήριον τερπνόν, ανάλαβε Προφήτα Δαυϊδ καί λέγε, ιδού ηκούσαμεν, Παρθένον Σιων εν πόλει, μέλλουσαν τίκτειν, Θεόν Βασιλέα Κύριον, ώ καί μελωδούμεν, Υμνείτω τόν Κύριον πάσα κτίσις, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Ωραίος έκ γαστρός, σού προέρχεται τεχθήναι, αρρήτω λόγω καθωραϊσαι, τό ανθρώπινον αφθαρσία, Παρθένε θέλων, ο αγαθοδότης Κύριος, ώ νύν μελωδούμεν. Υμνείτω τόν Κύριον πάσα κτίσις, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

## Έτερος

### Εκ φλογός τοίς Οσίοις

Προφητών θεηγόρων, ρήσεις πεπλήρωνται, η Παρθένος εγγίζει, τεκείν τόν Κύριον, άπασα η γή, ευφραινέσθω χορεύουσα, καί αγαλλιάσθω, εις πάντας τούς αιώνας.

Τάς αυγάς υποφαίνων, τής θείας Χάριτος, τό τού Νόμου σκιώδες, καταπαυόμενος ο φωταγωγός, Ιησούς ανατέταλκεν, οι εσκοτισμένοι, θεάσασθε φώς μέγα.

Γεγονότα ληστών με, σπήλαιον Κύριε, ο τεχθείς εν Σπηλαίω, ναόν ανάδειξον, σού καί τού Πατρός, καί θείου σου Πνεύματος, ίνα σε δοξάζω, εις πάντας τούς αιώνας.

### Θεοτοκίον

Ουρανού εκ γαστρός σου, Άστρον ανέτειλεν, Αστρολόγους κινήσαν, τούτο θεάσασθαι, γνώσει τή αυτού, φωτισθέντας εν Πνεύματι, Άχραντε Παρθένε, αεί ευλογημένη.

## Τών Αγίων

### Τόν εν φλογί τοίς Παισί

Κατά ξιφών καί πυρός καί θανάτου, αντικατέστη η δεκάς τών Μαρτύρων, καί τήν νίκην ήρατο κατά τής ασεβείας, καί συμβασιλεύει, τή Χριστού βασιλεία.

Νεανικώς τήν Χριστού πανοπλίαν, αναλαβόντες κατά τών αοράτων, καί τού κοσμοκράτορος, οι γενναίοι οπλίται, τούς επινικίους, επεδείξαντο άθλους.

Οι αρραγείς πύργοι τής ευσεβείας, καί τών εν ζάλη φερομένων λιμένες, υπέρ πάσης κτίσεως εκτενώς δυσωπείτε, υπέρ τών Βασιλέων, καί ειρήνης τού κόσμου.

Τριαδικόν

Σύν τώ Πατρί τόν Υιόν προσκυνού μεν, καί Πνεύμα Άγιον εν Τριάδι Μονάδα, σύν Αγγέλοις κράζοντες, στόμασι τοίς πηλίνοις. Δόξα εν υψίστοις, Θεώ τώ εν Τριάδι.

Θεοτοκίον

Όλον εκ σού τής Τριάδος τόν ένα, Θεογεννήτορ θεϊκώς συλλαβούσα, εξ Αγίου Πνεύματος, σαρκωθέντα τέτοκας, μείνασα Παρθένος, ώσπερ ής πρό τού τόκου.

Ο Ειρμός

«Τόν εν φλογί τοίς Παισί τών Εβραίων, συγκαταβάντα θεϊκή δυναστεία, καί οφθέντα Κύριον, Ιερείς ευλογείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Προεόρτιος

Ωδή θ'  Ο Ειρμός

«Απορεί πάσα γλώσσα, ευφημείν πρός αξίαν, ιλιγγιά δέ νούς, καί υπερκόσμιος, υμνείν σε Θεοτόκε. Όμως αγαθή υπάρχουσα, τήν πίστιν δέχου, καί γάρ τόν πόθον οίδας, τόν ένθεον ημών, σύ γάρ Χριστιανών εί προστάτις, σέ μεγαλύνομεν».

Ιδού τοίς δούλοις μόνε, Βασιλεύ απεγράφης, Καίσαρος γνώμη, θέλων με δουλείας, απαλλάξαι ψυχοφθόρου πόλει Βηθλεέμ προφθάσας δέ, σαρκί τεχθήναι, βροτούς εις ουρανούς, φέρεις τούς ανυμνούντας εν πίστει, τά σά Γενέθλια.

Ωραίος κάλλει, παρά τούς υιούς τών ανθρώπων, ο σός Παρθένε πέφυκεν, Υιός τε καί Δεσπότης τών απάντων, όν ώσπερ ωραία δάμαλις εν τώ Σπηλαίω, τής Βηθλεέμ προέρχη, τεκείν υπερφυώς, όπως ευεργετήση καί σώση, τούς προσκυνούντας αυτόν.

Σέ φωτοδότα, Ήλιε τής δικαιοσύνης, καθυποδύντα μήτραν, καί τεχθήναι υπέρ λόγον βουληθέντα, πόρρωθεν Αστήρ εμήνυσε, τοίς Αστρολόγοις νυκτί κεκρατημένοις, καί πλάνης σκοτασμώ ούσι, καί Προσκυνήσαντες πίστει, δώρα κομίζουσιν.

Η γή χορεύει, ώσπερ αισθομένη τήν θείαν επιδημίαν, τού δι' ευσπλαγχνίαν απορρήτως εκ Παρθένου, ήδη ανατέλλειν μέλλοντος, ο ουρανός δέ ανακηρύττει τούτον, ως φθόγγω μυστικώ, Άστρου ανατολή φαινομένου, τοίς Μάγοις πόρρωθεν.

Φέρεις Υιέ μου, όλην τού Πνεύματος τήν ιδέαν, καί πώς σε φέρω, όμοιον εμοί

κατά πάντα γεγονότα; έλεγεν η Απειρόγαμος εκπληττομένη, ήν ώς Θεού Μητέρα, τιμήσωμεν πιστοί, πάντες καί εν αινέσει, συμφώνως δοξολογήσωμεν.

Έτερος

Θεόν ανθρώποις

Ιδού ή πάντων ήλθεν ανάκλησις, ο ιλασμός τό φώς, η παντελής απολύτρωσις, θησαυρός ο πολύτιμος κρύπτεται, ένδον εν τώ Σπηλαίω, ώ πλουτιζόμενοι, Μάγοι τόν χρυσόν, ως Βασιλεί επικομίζουσιν.

Χριστού ποιμένες επαγρυπνήσατε, καί νοητώς εν πόλει, Βηθλεέμ επισπεύσατε, καί Θεώ εν υψίστοις βοήσατε, Δόξα μεγαλωσύνη, τώ ευδοκήσαντι, βρέφος οραθήναι καθ' ημάς, δι' αγαθότητα.

Σαρκί σπαργάνοις ενειλισσόμενος, ο σπαργανών ομίχλη, Ιησού μου τήν θάλασσαν, τόν δεσμόν τής κακίας διαρρήξας, καί εν δικαιοσύνη, πάντας συνέδησας, τούς διαλυθέντας προσβολαίς, τού πολεμήτορος.

Θεοτοκίον

Παστάς καί θρόνε τού Βασιλεύοντος, Όρος Θεού, καί Πόλις εκλεκτή, καί Παράδεισε, τού Ηλίου Νεφέλη ολόφωτε, φώτισον τήν ψυχήν μου, νέφη διώκουσα, τών ανομιών μου τών πολλών, Θεοχαρίτωτε.

Τών Αγίων

Σέ τήν αθάνατον Κύριε πηγήν

Οι νοητοί τού Κυρίου θησαυροί, ανευφημείσθωσαν σήμερον, οι πολλούς ολβιούντες, καί βλύζοντες πιστοίς τά ιάματα, καί τά πλήθη τών θαυμάτων αυτών.

Οι ασφαλείς τών Πιστών προασπισταί, καί τής Τριάδος υπέρμαχοι, καί απόρθητοι πύργοι τής Πίτεως, Χριστόν ικετεύσατε, Αθλοφόροι τού σωθήναι ημάς.

Ο ιερός τών Μαρτύρων σου χορός, υπέρ ημών ικετεύει σε, τήν Αγίαν Τριάδα δωρήσασθαι, ημίν τήν ειρήνην σου, εις τούς αιώνας τών αιώνων. Αμήν.

Θεοτοκίον

Η Βηθλεέμ προανοίγει τήν Εδέμ, καί ο εκ σού προερχόμενος, τόν Αδάμ αναπλάττει σαρκούμενος, υπερφυώς, όν ικέτευε, Θεοτόκε τού σωθήναι ημάς.

Ο Ειρμός

«Σέ τήν αθάνατον Κύριε πηγήν, τήν δι' Αγίων ιάματα, τών ανθρώπων τώ γένει παρέχουσαν, αεί μεγαλύνομεν, ότι σώζεις τάς ψυχάς ημών».

Εξαποστειλάριον τών Αγίων

Τοίς Μαθηταίς

Σύν Θεοδούλω στέψωμεν, Ζωτικόν Αγαθόπουν, καί Σατορνίνον Πόμπιον, άμα Ευνικιανώ, τόν ένδοξον Βασιλείδην, Ευπορόν τε τόν θείον, καί τόν κλεινόν Γελάσιον, καί Ευάρεστον ύμνοις, χαρμονικώς, ταίς πρεσβείαις τούτων, όπως ρυσθώμεν, πταισμάτων καί στεφθείημεν, πρός Χριστού τού Σωτήρος.

Προεόρτιον, όμοιον

Οι αρετήν ασκήσαντες, καί νεκρώσαι τά πάθη, εν εγκρατεία σπεύσαντες, ώσπερ τρίϋλον δώρον, μετά ποιμένων καί Μάγων, πράξιν επαινουμένην, καί θεωρίαν εύστοχον, νύν προσάξωμεν πίστει, τώ εν σαρκί, γεννηθήναι ήκοντι εκ Παρθένου, Θεώ τώ ευδοκήσαντι, τήν ημών σωτηρίαν.

Εις τούς Αίνους, Στιχηρά Προσόμοια.

Ήχος πλ. β' Αι Αγγελικαί

Τό προορισθέν, τώ Πατρί πρό τών αιώνων, καί προκηρυχθέν, τοίς Προφήταις επ' εσχάτων, Μυστήριον εφάνη, καί Θεός ενηνθρώπησε, σάρ κα προσλαβών εκ τής Παρθένου, κτίζεται ο Άκτιστος βουλήσει, ο Ών γίνεται, ο Βασιλεύς τού Ισραήλ, Χριστός παραγίνεται.

Υμνώ σε Βασιλεύ, τόν σπαργάνοις ειληθέντα, λύεις γάρ σειράς, τών εμών παραπτωμάτων, καί δόξη ακηράτω, καί αφθάρτω τιμήσας με, όλον τώ Πατρί προσωκειώσω, δημιουργών καί αναπλάττων, διό κράζομεν, Ο Βασιλεύς τού Ισραήλ, Χριστός παραγίνεται.

Φώς τό εκ φωτός, προϊόν καί εκ Παρθένου, λάμψαν τοίς εν γή, δι' Αστέρος κατιδόντες, οι Αστρολόγοι Μάγοι, Περσικόν απετίθεντο, σκότος καί αστρώαν πάσαν πλάνην, καί εν χαρά τώ γεννηθέντι, Θεώ έψαλλον, Ευλογημένος ο τεχθείς, Θεός ημών δόξα σοι.

Χλόην εμμανώς, τών Νηπίων εκθερίζει, υπό τών σοφών, εμπαιχθείς Ηρώδης Μάγων, καί χείρα μιαιφόνον, κατά σού αίρειν ώετο, αλλ' επιδημείς τοίς Αιγυπτίοις, σκότος τό βαθύτατον διώκων, μεθ' ών ψάλλομεν, Ευλογημένος ο τεχθείς, Θεός ημών δόξα σοι.

Δόξα... όμοιον

Ψάλλων ο καινός, Ισραήλ τό καινόν άσμα, άδων, τήν ωδήν, τήν ουράνιον εκείνην, ευφράνθητι καί τέρπου, καί αγάλλου καί χόρευε, άγε δή φαιδρώς τάς Εορτάς σου, ο εκ θαιμάν Θεός σαρκί εφάνη, αυτός μέλλει δέ, εν Ιορδάνου ταίς ροαίς, ως άνθρωπος λούσεσθαι.

Καί νύν... όμοιον

Ώφθης επί γής, καί βροτοίς συνανεστράφης, Καίσαρος θεσμοίς, σύν τοίς δούλοις επεγράφης, επλάσθης, ουκ ετράπης, αναλλοίωτος έμεινας, όλος ών Θεός, κάν εσαρκώθης. Δόξα τή σοί οικονομία, τιμή αίνεσις, μεγαλοπρέπεια καί νύν, καί εις τούς αιώνας. Αμήν.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια Προεόρτια.

Ήχος α'  Πανεύφημοι Μάρτυρες υμάς

Ηγή πάσα βλέπουσα Θεού, κάθοδον ευφραίνεται, Μάγοι τά δώρά μοι φέρουσιν, Ουρανός φθέγγεται, διά τού Αστέρος, Άγγελοι δοξάζουσι, Ποιμένες αγραυλούντες θαυμάζουσι, Φάτνη εισδέχεται, ώσπερ θρόνος με πυρίμορφος. Επαγάλλου, ταύτα Μήτερ βλέπουσα.

Στίχ. Ο Θεός από θαιμάν ήξει.

Φώς εις αποκάλυψιν Εθνών, ήλθες περικείμενος, εμής μορφής τό ομοίωμα, Υιέ μου άναρχε, Πατρός προανάρχου, απόρρητον Γέννημα, πλουτίσαι γάρ προείλου πτωχεύσασαν, τήν ανθρωπότητα, τή πτωχεία ήν περίκεισαι. Ανυμνώ σου, Κύριε τό εύσπλαγχνον.

Στίχ. Κύριε εισακήκοα τήν ακοήν σου.

Ως βρέφος με βλέπουσα ταίς σαίς, επαναπαυόμενον, Μήτερ αγκάλαις ευφράνθητι, ήλθον τόν πόνον γάρ, όλον αφελέσθαι, τού, Αδάμ όν έπαθε, κακίστη συμβουλία τού όφεως, ξύλου γευσάμενος, καί τρυφής έξω γενόμενος, Παραδείσου, καί καταφθειρόμενος.

Δόξα... Τών Αγίων

Ήχος γ'  Τού Στουδίτου

Γενναίοι Μάρτυρες αληθείας, υμάς ού βία τυραννική, ού θωπεία απατηλή, ού μελών εκκοπαί, ουδέ θανάτου απειλαί, τής πρός τό θείον αγάπης, χωρίσαι δεδύνηνται, διό παρρησίαν έχοντες, πρός Χριστόν τόν επί πάντων Θεόν, ταύτην αμοιβήν τών αλγεινών βασάνων αιτήσασθε, παρά Χριστού, λαβείν ευχαίς υμών, τό μέγα έλεος.

Καί νύν... Προεόρτιον

Ήχος πλ. δ'  Ανατολίου

Εν Βηθλεέμ γεννάται, ο τού παντός Ποιητής, καί τήν Εδέμ ανοίγει, ο πρό αιώνων Βασιλεύς, η φλογίνη ρομφαία, τά νώτα δίδωσιν, τό μεσότοιχον τού φραγμού διαλέλυται, αι ουράνιαι δυνάμεις, σύν τοίς επί γής αναμίγνυνται, Άγγελοι σύν τοίς ανθρώποις, κραταιάν πανήγυριν συγκροτούσιν. Οι καθαροί τώ καθαρώ προσενεχθέντες, ίδωμεν τήν Παρθένον, ως θρόνον δόξης Χερουβικόν, χωρήσασαν τόν μηδαμού χωρούμενον Θεόν, καί βαστάζουσαν, όν τά Χερουβίμ μετά φόβου βαστάζουσιν, όπως παράσχη τώ κόσμω τό μέγα έλεος.

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΔ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής Αγίας Οσιομάρτυρος Ευγενίας.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια Προεόρτια.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Εν κυμβάλοις ηχήσωμεν, εν ώδαίς αλαλάξωμεν, η Χριστού ανάδειξις πεφανέρωται, τών Προφητών τά κηρύγματα, τό πέρας εδέξαντο, όν γάρ έφησαν σαρκί, τοίς βροτοίς εμφανίζεσθαι, αποτίκτεται, εν αγίω Σπηλαίω, καί εν φάτνη, ανακλίνεται ως βρέφος, καί σπαργανούται ως νήπιον.

Προεόρτια άσματα, διανοίας ευθύτητι, τής Χριστού Γεννήσεως προηχήσωμεν, ο γάρ Πατρί καί τώ Πνεύματι, υπάρχων ομότιμος, διά σπλάγχνα τό ημών, ενδυσάμενος φύραμα, μέλλει τίκτεσθαι, Βηθλεέμ εν τή πόλει, ού τόν τόκον, τόν απόρρητον Ποιμένες, μετά Αγγέλων ανύμνησαν.

Ανερμήνευτον Σύλληψιν, καί ανέκφραστον Γέννησιν, ή Παρθένος βλέπουσα, κατεπλήττετο, καί προσεφθέγγετο χαίρουσα, ομού καί δακρύουσα, Επιδώσω σοι μαζόν, τώ τά σύμπαντα τρέφοντι, ή υμνήσω σε, ως Υιόν καί Θεόν μου; ποίαν εύρω, επί σοί προσηγορίαν, ακατονόμαστε Κύριε;

Στιχηρά Προσόμοια τής Αγίας

Ήχος β'
Ότε, εκ τού ξύλου σε νεκρόν

Ότε, προμηθεία θεϊκή, προγινωσκομένη προήλθες, έξω τής πόλεως, κόσμου τήν τερπνότητα, σαφώς κατέλιπες, καί ψαλμών επακούσασα τερπνής μελωδίας, θείας επιγνώσεως, φωτί κατηύγασαι, φόβον εν γαστρί δέ λαβούσα, θείον καί σωτήριον Πνεύμα, τοίς συνοδοιπόροις σου απέτεκες.

Ότε, ενυμφεύθης τώ Χριστώ, τούς σούς υπηρέτας προθύμως, αυτώ προσήγαγες, προίκα τούτους έμψυχον, ώσπερ ενέγκασα, μιμουμένους στερρότητα, τήν σήν Ευγενία, πίστει τε καί χάριτι, σαφώς εκλάμποντας, πάσαν αρετήν ασκουμένους, Μάρτυρας θεόφρονας όντως, πάσι τήν ευσέβειαν κηρύττοντας.

Αίγλη, τή τού Πνεύματος σαφώς, Καταλαμπομένη παρθένων, Χριστώ προσάγεις χορόν, λόγω τής σοφίας σου, ταύτας ζωγρήσασα, καί τόν δρόμον δεικνύουσα, τής άνω πορείας, αίμασι λαμπρύνεσθαι, Μαρτύρων έπεισας, Ταύταις, συγχορεύουσα Μάρτυς, πόθον νύν κατάλληλον εύρες, όντως τήν απόλαυσιν Πανεύφημε.

Δόξα... Καί νύν... Ήχος β'

Ιδού καιρός ήγγικε τής σωτηρίας ημών, ευτρεπίζου Σπήλαιον, η Παρθένος εγγίζει τού τεκείν, Βηθλεέμ γή, Ιούδα, τέρπου καί αγάλλου, ότι εκ σού ανατέταλκεν ο Κύριος ημών, Ακούσατε όρη καί βουνοί, καί τά περίχωρα τής,

Ιουδαίας, ότι έρχεται Χριστός, ίνα σώση, όν έπλασεν άνθρωπον, ως φιλάνθρωπος.

Εις τόν Στίχον, Στιχηρά Ιδιόμελα.

Ήχος α'

Προεορτάσωμεν λαοί, Χριστού τά Γενέθλια, καί επάραντες τόν νούν, επί τήν Βηθλεέμ αναχθώμεν τή διανοία, καί κατίδωμεν τήν Παρθένον, τοίς ψυχικοίς οφθαλμοίς, επειγομένην τίκτειν εν Σπηλαίω, τόν τών όλων Κύριον καί Θεόν ημών, ού Ιωσήφ κατιδών, τών θαυμάτων τό μέγεθος, εδόκει άνθρωπον θεωρείν, ως βρέφος σπαργανούμενον, υπενόει δέ εκ τών πραγμάτων, Θεόν είναι αληθινόν, τόν παρέχοντα ταίς ψυχαίς ημών τό μέγα έλεος.

Στίχ. Ο Θεός από θαιμάν ήξει καί ο άγιος εξ όρους κατασκίου δασέος.

Ο αυτός

Προεορτάσωμεν λαοί, Χριστού τά Γενέθλια καί επάραντες τόν νούν επί τήν Βηθλεέμ αναχθώμεν τή διανοία, καί κατίδωμεν τό εν Σπηλαίω μέγα μυστήριον, ήνοικται γάρ η Εδέμ, εκ Παρθένου Αγνής Θεού προερχομένου, υπάρχοντος τελείου τού αυτού, εν θεότητι καί ανθρωπότητι, διό κράξωμεν, Άγιος ο Θεός, ο Πατήρ ο άναρχος, Άγιος Ισχυρός, ο Υιός ο σαρκωθείς, Άγιος Αθάνατος, τό Πανάγιον Πνεύμα, τριάς Αγία, δόξα σοι.

Στίχ. Κύριε εισακήκοα τήν ακοήν σου καί εφοβήθνη κατενόησα τά έργα σου.

Ο αυτός

Άκουε ουρανέ, και ενωτίζου η γή, ιδού γάρ ο Υιός καί Λόγος τού Θεού καί Πατρός, πρόεισι τεχθήναι εκ Κόρης απειράνδρου, ευδοκία τού φύσαντος αυτόν απαθώς, καί συνεργεία τού Αγίου Πνεύματος, Βηθλεέμ ευτρεπίζου, άνοιγε πύλην η Εδέμ, ότι ο Ών γίνεται ο ουκ ήν, καί ο Πλαστουργός πάσης κτίσεως διαπλάττεται, ο παρέχων τώ κόσμω τό μέγα έλεος.

Δόξα... Καί νύν... Ήχος πλ. β'

Σπήλαιον ευτρεπίζου, η Αμνάς γάρ ήκει, έμβρυον φέρουσα Χριστόν, Φάτνη δέ υποδέχου, τόν τώ λόγω λύσαντα, τής αλόγου πράξεως ημάς τούς γηγενείς, Ποιμένες αγραυλούντες, μαρτυρείτε θαύμα τό φρικτόν, καί Μάγοι εκ Περσίδος, χρυσόν καί λίβανον καί σμύρναν, τώ Βασιλεί προσάξατε, ότι ώφθη Κύριος εκ Παρθένου Μητρός, όν περ καί κύψασα δουλικώς, η Μήτηρ προσεκύνησε, καί προσεφθέγξατο τώ εν αγκάλαις αυτής, Πώς ενεσπάρης μοι; ή πώς μοι ενεφύης, ο λυτρωτής μου καί Θεός;

Απολυτίκιον  Ήχος δ'

Κατεπλάγη Ιωσήφ

Απεγράφετο ποτέ, σύν τώ πρεσβύτη Ιωσήφ, ως εκ σπέρματος Δαυϊδ, εν Βηθλεέμ η Μαριάμ, κυοφορούσα τήν άσπορον κυοφορίαν, Επέστη δέ καιρός ο τής Γεννήσεως, καί τόπος ήν ουδείς τώ καταλύματι, αλλ' ως τερπνόν παλάτιον τό Σπήλαιον, τή Βασιλίδι εδείκνυτο, Χριστός γεννάται τήν πρίν πεσούσαν, αναστήσων εικόνα.

Εκ τρίτου, καί Απόλυσις.

Εν τοίς αποδείπνοις ψάλλομεν τόν παρόντα.

Προεόρτιον Κανόνα, ού η Ακροστιχίς.

Κατά Αλφάβητον, άνευ τών Ειρμών.

Ωδή α' Ήχος πλ. β' Ο Ειρμός

«Κύματι θαλάσσης, τόν κρύψαντα πάλαι διώκτην τύραννον, φάτνη κρυπτόμενον, κτείναι ζητεί ο Ηρώδης, αλλ' ημείς σύν Μάγοις μέλψωμεν, τώ Κυρίω άσωμεν, ενδόξως γάρ δεδόξασται».

Άρχων εξ Ιούδα, εξέλιπεν ήδη, ώ γάρ απέκειτο, καθώς προγέγραπται, η τών εθνών προσδοκία, Ιησούς Χριστός ελήλυθε, καί Σπηλαίω τίκτεται, δι' άκραν αγαθότητα.

Βηθλεέμ ευφραίνου, ή πόλις Ιούδα, εν σοί γάρ τίκτεται, Χριστός ο Κύριος, η οικουμένη σκιρτάτω, δεχομένη απολύτρωσιν, χορευέτω άπασα, η κτίσις εορτάζουσα.

Γένος τών ανθρώπων, βουλόμενος σώσαι ο Υπεράγαθος, μήτρα εσκήνωσεν, απειρογάμου Παρθένου, καί ιδού τεχθήναι έρχεται. Τούτον προσκυνήσωμεν, ενδόξως γάρ δεδόξασται.

Ωδή γ' Ο Ειρμός

«Σέ τόν επί υδάτων, κρεμάσαντα πάσαν τήν γήν ασχέτως, η κτίσις κατιδούσα, εν τώ Σπηλαίω τικτόμενον, θαμβητικώς συνείχετο, Ουκ έστιν Άγιος, πλήν σου Κύριε κραυγάζουσα».

Δούλου φορέσαι σχήμα, ηθέλησας, όπως με τής δουλείας, τού πονηρού λυτρώση, υμνολογώ σου τό εύσπλαγχνον, Λόγε Πατρός συνάναρχε, καί συναϊδιε. Δόξα τή οικονομία σου.

Έρχεται η Παρθένος, τόν Κύριον αποτεκείν Σπηλαίω, προφθάσατε οι Μάγοι. Ποιμένες νύν παραγίνεσθε, ύμνον εξ ύψους Άγγελοι, επανακράξατε, ώφθη τών βροτών η λύτρωσις.

Ζητών με τόν πλανηθέντα, φιλάνθρωπε, καί σπήλαιον δειχθέντα, ληστών έργοις ακάρποις, Σπηλαίω νύν παραγέγονας, εκ τής Παρθένου σήμερον, τεχθήναι Δέσποτα. Δόξα Λόγε τή ελεύσει σου.

Ωδη δ' Ο Ειρμός

«Τήν εκ Παρθένου παρουσίαν σου, προορών Αββακούμ, εξεστηκώς εβόα. Σύ

εκ θαιμάν σαρκούμενος, ήκεις Λυτρωτά, τόν Αδάμ απωσμένον, ανακαλέσασθαι».

Η φωταυγής Νεφέλη έρχεται, ανατείλαι Χριστέ, εκ μητρικών λαγόνων, δικαιοσύνης Ήλιον, άπασαν τήν γήν, φρυκτωρίαις ενθέοις, καταλαμπρύνοντα.

Θεός ανθρώποις ώφθη όμοιος, καί πτωχεύει σαρκί, ίνα ημάς πλουτίση, καί εν Σπηλαίω τίκτεται, τούτον οι πιστοί, καθαρά διανοία, υποδεξώμεθα.

Ιδού Χριστός εν πόλει τίκτεται, Βηθλεέμ τήν Εδέμ, όπως ημίν ανοίξη, παρακοή τό πρότερον, όφεως κλοπή, κεκλεισμένην, ενθέως πανηγυρίσωμεν.

### Ωδή ε' Ο Ειρμός

«Πρός σέ ορθρίζω, τόν δι' ευσπλαγχνίαν, σεαυτόν τώ πεσόν τι, κενώσαντα ατρέπτως, καί δούλου μορφήν, εκ Παρθένου φορέσαντα, Λόγε Θεού, τήν ειρήνην παράσχου μοι φιλάνθρωπε».

Καρδία πάσα, γηγενών σκιρτάτω, ευφραινέσθω η κτίσις, ο Κύριος γεννάται, εκ Κόρης Αγνής, Βηθλεέμ εν Σπηλαίω, καί Μάγοι αυτώ, προσκομίζουσι δώρα, νύν επάξια.

Λαός ο πάλαι, εν σκιά θανάτου, καθεζόμενος βλέψον, τό φώς σοι ανατείλαν, εκ τής Παρθένου, καί πολλής θυμηδίας εμπλήσθητι, τόν πτωχεύσαντα Λόγον, μεγαλύνων αεί.

Μικρώ Σπηλαίω, έρχη χωρηθήναι, οαχώρητος φύσει, όπως με σμικρυνθέντα τή παραβάσει, μεγαλύνης δι' οίκτον αμέτρητον, προσκυνώ σου, τό εύσπλαγχνον Μακρόθυμε.

### Ωδή ς' Ο Ειρμός

«Άβυσσος εσχάτη, αμαρτημάτων εκύκλωσέ με, καί τόν κλύδωνα μηκέτι φέρων, ως, Ιωνάς, τώ Δεσπότη βοώ σοι. Εκ φθοράς με ανάγαγε».

Νόμων σε η Παρθένος, τών τής σαρκός δίχα Κύριε, παραγίνεται αποκυήσαι, εν τώ Σπηλαίω καί φάτνη σαρκί, προσανακλινεί σε ως νήπιον.

Ξένον γεγενημένον, παραβάσει με ο Υπέρθεος, τεχθείς εκ Κόρης απειρογάμου, δι' οίκτον πολίτην, ουρανού αποδείκνυσιν.

Όρη τε καί νάπαι, καί κοιλάδες ευφράνθητε, ο γάρ Χριστός σαρκί γεννάται, ανακαινίζων τήν κτίσιν, φθαρείσαν πονηραίς παραβάσεσιν.

### Ωδή ζ' Ο Ειρμός

«Οι Παίδες εν Βαβυλώνι, καμίνου φλόγα ουκ έπτηξαν, αλλ' εν μέσω φλογός εμβληθέντες, δροσιζόμενοι έψαλλον. Ευλογητός εί Κύριε, ο Θεός τών

Πατέρων ημών».

Πώς σε σμικρότατον Λόγε, καθυποδέξεται Σπήλαιον, τόν πτωχεία πολλή, τήν πτωχείαν τού Αδάμ αφελόμενον, καί πλούτω θείας χάριτος, τούς ανθρώπους πλουτίσαντα.

Ρήματα ξένα Ποιμένες, ακηκοότες κατέσπευσαν, Βηθλεέμ κατιδείν, καί εν φάτνη τών αλόγων τόν λύσαντα, τής αλογίας άπαντας, ευσεβώς προσεκύνησαν.

Στόματι καί καρδία, τόν εν σαρκί αφικόμενον, γεννηθήναι Χριστόν εν Σπηλαίω, εκ Παρθένου νεάνιδος, υμνολογήσαι σπεύσωμεν, καί πιστώς προσκυνήσωμεν.

Ωδή η' Ο Ειρμός

«Νόμων Πατρώων οι μακαριστοί, εν Βαβυλώνι νέοι προκινδυνεύοντες, βασιλεύοντος κατέπτυσαν, προσταγής αλογίστου, καί συνημμένοι, ώ ουκ εχωνεύθησαν πυρί, τού κρατούντος επάξιον, ανέμελπον τόν ύμνον. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Τόν υπέρ λόγον μόνον Κύριον, σεσαρκωμένον Κόρη καί περικείμενον, τών ανθρώπων τό ομοίωμα, Κατέχουσα αγκάλαις, καί προσκυνούσα, καί ασπαζομένη μητρικώς. Τέκνον έφης γλυκύτατον, πώς σε ούτω κατέχω, κατέχοντα χειρί σου τήν κτίσιν, καί χειρός δουλείας, αυτήν ελευθερούντα;

Υμνολογήσαι θείοι Άγγελοι, τόν επί γής τεχθέντα, διευτρεπίσθητε. Μάγοι δώρα οδηγούμενοι, προσάξατε αστέρι. Ποιμένες τούτον σπεύσατε, ιδείν ταίς μητρικαίς, ώσπερ νήπιον κράζοντες, καθήμενον αγκάλαις. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Φωτός Νεφέλη Παναμώμητε, πώς σπαργανώσεις νέφει τόν επενδύοντα, ουρανούς αρρήτω νεύματι; πώς αλόγων εν φάτνη επανακλινείς, τόν τής αλογίας τούς βροτούς, διά έλεος άμετρον, ρυσάμενον Δεσπότην; όν πάσα προσκυνεί φόβω κτίσις, ανυμνολογούσα, αυτόν εις τούς αιώνας.

Ωδή θ' Ο Ειρμός

«Απορεί πάσα γλώσσα, ευφημείν πρός αξίαν, ιλιγγιά δέ νούς, καί υπερκόσμιος, υμνείν σε Θεοτόκε, όμως αγαθή υπάρχουσα, τήν πίστιν δέχου, καί γάρ τόν πόθον οίδας, τόν ένθεον ημών, σύ γάρ Χριστιανών εί προστάτις, Σέ μεγαλύνομεν».

Καίρε δοχείον άχραντε, χαράς ανεκφράστου, ιδού γάρ έρχη τέξεσθαι εν Σπηλαίω, απορρήτως τόν Δεσπότην, θέλοντα τήν κτίσιν άπασαν, καταφθαρείσαν τή παραβάσει πρώην, καινίσαι αληθώς, τούτον υμνολογούντες εν πίστει, Σέ μεγαλύνομεν.

Ψυχαί δικαίων πάσαι, υποχθόνιοι άμα αγαλλιάσθε, η πάντων απολύτρωσις, ιδού γάρ επεφάνη, πόλει Βηθλεέμ τικτόμενος, αστήρ δέ τούτον καταμηνύει, Μάγοις ζητούσιν ευσεβώς, όν περ καί κατιδόντες Σπηλαίω, θάμβους επλήσθησαν.

Ως ουρανόν σε άλλον, ανυμνούμεν Παρθένε δικαιοσύνης Ήλιον ημίν, εκ λαγόνων παναγίων, μέλλουσαν ανίσχειν αύριον, φωταγωγούντα τούς εν σκότει όντας, θανάτου καί φθοράς, όθεν χρεωστικώς εν αινέσει, σέ μεγαλύνομεν.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος πλ. β'
Αγγελικαί δυνάμεις

Τών Προφητών αι ρήσεις, νυνί πεπλήρωνται, ο γάρ Θεός ημών, αύριον τίκτεται, εκ Παρθένου Μαρίας υπέρ λόγον, καί μένει ώσπερ ήν πρό τού τόκου, αθροίζονται οι Μάγοι, δώρα κομίζοντες, αγραυλούσι Ποιμένες, επάδομεν καί ημείς, ο εκ Παρθένου τεχθείς, Κύριε δόξα σοι.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος πλ. δ'
Αυτόμελον

Αυλών Ποιμενικών, καταπαυων άσμα, στρατός Αγγελικός, επεφώνει λέγων. Παύσασθε αγραυλούντες, οι τών θρεμμάτων ηγεμονεύοντες, κράξατε ανυμνούντες. Ότι ετέχθη Χριστός ο Κύριος, ο ευδοκήσας σώσαι ως Θεός, τό γένος τών ανθρώπων.

Είτα ο Ν' καί οι Κανόνες, οι δύο Προεόρτιοι μετά τών Ειρμών, εις ι' καί τής Αγίας, εις δ'. Κανών Προεόρτιος, ού η Ακροστιχίς.

Καί σήμερον δέ Σάββατον μέλπω μέγα.

Άνευ τών Ειρμών τών τεσσάρων πρώτων ωδών.

Ωδή α' Ήχος πλ. β' Ο Ειρμός

«Κύματι θαλάσσης, τόν κρύψαντα πάλαι διώκτην τύραννον, Φάτνη κρυπτόμενον, κτείναι ζητεί ο Ηρώδης, αλλ' ημείς σύν Μάγοις μέλψωμεν. Τώ Κυρίω άσωμεν, ενδόξως γάρ δεδόξασται».

Κύριε Θεέ μου, Γενέθλιον ύμνον καί προεόρτιον, ωδήν σοι άσομαι, τώ τή Γεννήσει σου θείαν, αναγέννησιν διδόντι μοι, καί εις τήν προτέραν με, ευγένειαν ανάγοντι.

Άνω σε εν θρόνω, καί κάτω εν φάτνη, τά υπερκόσμια, καί τά περίγεια, Κατανοούντα Σωτήρ μου, κατεπλήττοντο τό κράτος σου, υπέρ νούν ωράθης γάρ, διπλούς φύσει θεάνθρωπος.

Ίνα σου τής δόξης, τά πάντα πληρώσης, κλίνας ελήλυθας, τούς ουρανούς έως γής, ως γάρ εν πόκω κατέβης, υετός εν μήτρα Παρθενική, εξ ής νύν τεχθήσεσθαι, διπλούς έρχη θεάνθρωπε.

Έτερος Κανών Προεόρτιος, ου η Ακροστιχίς κατά Αλφάβητον.

Ιωσήφ.

Ωδή α' Ήχος β'

«Εν βυθώ κατέστρωσε ποτέ, τήν Φαραωνίτιδα, πανστρατιάν η υπέροπλος δύναμις σαρκωθείς ο Λόγος δέ, τήν παμμόχθηρον αμαρτίαν εξήλειψεν, ο δεδοξασμένος Κύριος, ενδόξως γάρ δεδόξασται».

Απεγράφης Καίσαρος θεσμώ, θέλων απογράψασθαι, βίβλω ζωής παμβασιλεύ τόν άνθρωπον, ξένος εις τά ίδια παραγέγονας, τόν δεινώς ξενιτεύσαντα, εκ τού Παραδείσου, εις τόν ουρανόν ανακαλούμενος.

Βηθλεέμ υπόδεξαι Χριστόν, σοί γάρ σωματούμενος, επιδημεί τήν Εδέμ εξανοίγων μοι, ευτρεπίζου Σπήλαιον, τόν αχώρητον θεωρήσαι χωρούμενον, εν σοί παραδόξως, πλούτω ευσπλαγχνίας νύν πτωχεύσαντα.

Γεννηθήναι έρχεται Χριστός, ξένην αναγέννησιν, τοίς εξ Αδάμ, ώς αγαθός δωρούμενος, ευφράνθητι έρημος, η ού τίκτουσα, τών βροτών φύσις άπασα, ήλθεν ο Δεσπότης, σέ πολυτεκνούσαν απεργάσασθαι.

Κανών τής Αγίας, ού η Ακροστιχίς.

Ευγενίης μέγα κύδος εν άσμασιν έξοχα μέλπω. Θεοφάνους

Ωδή α'

Ήχος καί Ειρμός ο αυτός

Ευγενία Μάρτυς τού Χριστού, νύν περιχορεύουσα, χαρμονικώς σύν Αγγέλων στρατεύμασιν, ως Παρθένος άμωμος, καί ως Μάρτυς στεφανηφόρος πανόλβιε, χάριν δωρηθήναι, πρέσβευε τοίς πόθω ανυμνούσί σε.

Υμνωδίας Νύμφη τού Χριστού, θείας επακούσασα, πρός υψηλήν επτερώθης ευγένειαν, ως γάρ φώς ενήστραψε, τή καρδία σου τών α σμάτων τού

Πνεύματος, η θεολογία, πάσαν αθεότητα διώκουσα.

Γυναικείας φύσεως ο σός, νούς επιλαθόμενος, πρός ανδρικάς ενεργείας ανέδραμεν, ανδρωθείς τή χάριτι, καί Θεώ προνοητικώς ευθυνόμενος, Μάρτυς Ευγενία, θείας ευγενείας η επώνυμος.

Ελλαμφθείσα φέγγει νοητώ, πλείστους τής ελλάμψεως, συμμετασχείν απειργάσω θεόσοφε, ής νύν τούς υμνούντάς σε, λυτρουμένη τής αμαρτίας αξίωσον, ταίς σαίς ικεσίαις, Μάρτυς Ευγενία παμμακάριστε.

Θεοτοκίον

Νεκρωθέντες γνώσεως φυτώ, ξύλω τής ζωής Αγνή, πρός τήν ζωήν οι πιστοί ανεκλήθημεν, τώ εκ σού βλαστήσαντι, υπέρ έννοιαν, Θεοτόκε, Χριστώ τώ Θεώ, ώ σύν παρρησία, πρέσβευε σωθήναι τάς ψυχάς ημών.

Προεόρτιος

Ωδή γ' Ο Ειρμός

«Σέ τόν επί υδάτων, κρεμάσαντα πάσαν τήν γήν ασχέτως, η κτίσις κατιδούσα, εν τώ Σπηλαίω τικτόμενον, θαμβητικώς συνείχετο, Ουκ έστιν Άγιος πλήν σου Κύριε κραυγάζουσα».

Σύμβολα τής αρρήτου, σαρκώσεως, παραδεικνύς Οικτίρμον, επλήθυνας οράσεις, καί προφητείας ενέπνευσας, άς νύν ελθων επλήρωσας, σαρκί τικτόμενος, Κόρης εξ αγνής εν πόλει Δαυϊδ.

Ήπλωσε γή τά νώτα, καί δέχεται δεχόμενον τόν Κτίστην, τήν δόξαν εξ Αγγέλων, εξ ουρανού τόν αστέρα δέ, εκ τών Ποιμένων αίνεσιν, εκ Μάγων δώρά τε, κόσμου τε παντός επίγνωσιν.

Μάντεως χρησμολόγου, προβλήματα Βαλαάμ νύν πληρούνται, ανέτειλε γάρ άστρον, εξ, Ιακώβ καί ωδήγησε, πρός τόν τής δόξης Ήλιον, δώρα κομίζοντας, Μάγους εκ Περσίδος άνακτας.

Έτερος

Εξήνθησεν η έρημος

Δεσμών απολυτρούμενος, τών κακών με Κύριε, ενειληθήναι σπάργανα, ώσπερ βρέφος, έρχη φιλάνθρωπε, προσκυνώ σου τήν θείαν συγκατάβασιν.

Εν χρόνω γεγονότα σε, τόν αχρόνως λάμψαντα, εκ τού Πατρός προέρχεται, η Παρθένος τεκείν τά χρόνια, διαλύοντα πάθη τών ψυχών ημών.

Ζητών με τόν πλανώμενον, παραβάσει Σπήλαιον, ώς ουρανόν κατώκησας, τάς μονάς μοι ευτρεπιζόμενος, τάς εκείθεν οικτίρμον Πολυέλεε.

Τής Αγίας

Εν πέτρα με τής πίστεως

Ιερείον ώσπερ άμωμον τώ Δεσπότη, προσήχθης διανοία τελειοτάτη, τόν πλούτον τόν φθειρόμενον απεσείσω, βοώσα Πάνσοφε. Σύ εί Θεός ημών, καί ουκ έστιν Άγιος πλήν σου Κύριε.

Η Πάναγνος εγνώσθη σου καθαρότης, διέλαμψε τών άθλων σου η στερρότης, τήν πράξιν γάρ επίβασιν θεωρίας, ειργάσω κράζουσα. Σύ εί ο Θεός ημών, καί ουκ έστιν Άγιος πλήν σου Κύριε.

Σωφροσύνης τώ έρωτι κατεθέλχθης, ετήρησας τό καύχημα τής αγνείας, εγένου περιδέξιος τή σοφία, Χριστώ κραυγάζουσα, Σύ εί Θεός ημών, καί ουκ έστιν Άγιος πλήν σου Κύριε.

Θεοτοκίον

Μαρίαν τήν πανάχραντον Θεοτόκον, υμνήσωμεν ως πρόξενον σωτηρίας, φανείσαν οι θεόφρονες, εκβοώντες. Ουκ έστιν άμωμος, ως σύ Πανάχραντε, καί ουκ έστιν άμεμπτος, πλήν σου Δέσποινα.

Ο Ειρμός

«Εν πέτρα με τής πίστεως στερεώσας, επλάτυνας τό στόμα μου επ' εχθρούς μου, ηυφράνθη γάρ τό πνεύμά μου εν τώ ψάλλειν. Ουκ έστιν Άγιος ως ο Θεός ημών, καί ούκ έστι δίκαιος, πλήν σου Κύριε».

Κάθισμα Προεόρτιον

Ήχος α' Τόν τάφον σου Σωτήρ

Αγάλλου η Σιών, Βηθλεέμ ευτρεπίζου, ο πάντων συνοχεύς, τόν αστέρα προπέμψας, εμήνυσε τήν άμετρον, εαυτού συγκατάβασιν, όν γάρ τρέμουσι, τών ουρανών αι Δυνάμεις, όντως τίκτεται, εκ τής Παρθένου ατρέπτως, ο μόνος Θεός ημών.

Δόξα... Τής Αγίας

Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Ενασκήσασα πόνοις αθλητικοίς, εδοξάσθης αγώσι μαρτυρικοίς, πολλούς προσενέγκασα, σωζομένους τώ Κτίστη σου, τώ γάρ θείω πόθω, λιπούσα τά πρόσκαιρα, ανδρικούς αγώνας, ετέλεσας ένδοξε, όθεν μετά τέλος, ατελεύτητον εύρες, ζωήν συνυπάρχουσα, τώ Νυμφίω σου πάντοτε, Ευγενία ισάγγελε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν Μνήμην σου.

Καί νύν... Προεόρτιον

Ήχος ο αυτός

Τό προσταχθέν μυστικώς,

Τών Γενεθλίων τού Χριστού τά προεόρτια, επιτελούντες οι πιστοί πανηγυρίσωμεν, καί αξίως άπαντες προϋπαντήσωμεν, ως Μάγοι δωροφορούντες τάς αρετάς, καί άδοντες τών Αγγέλων άσμα καινόν, τώ εκ Κόρης θεόπαιδος, εν Βηθλεέμ άνευ σποράς, τικτομένω Θεώ ημών, όν

δοξάζει τά σύμπαντα.

Προεόρτιος

Ωδή δ' Ο Ειρμός

«Τήν εκ Παρθένου παρουσίαν σου, προορών Αββακούμ, εξεστηκώς εβόα. Σύ εκ θαιμάν σαρκούμενος, ήκεις Λυτρωτά, τόν Αδάμ απωσμένον, ανακαλέσασθαι».

Εγγίζει ήκει νύν ο Κύριος, προσδοκία Εθνών, καί σωτηρία κόσμου, ευτρέπιζε τό Σπήλαιον, πόλις Βηθλεέμ, καί σύν Μάγοις Ποιμένες, δρόμω προφθάσατε.

Ρωμαλεότητι θεότητος, συγκραθείς τοίς βροτοίς, ενώσει ασυγχύτω, σαρκός εν ομοιώματι, Σώτερ τόν Αδάμ, αφθαρτίζεις καί σώζεις, εν τώ προσλήμματι.

Ο Λόγος σάρξ οφθείς παχύνεται, καί σκηνοί εν ημίν, αρρήτω προμηθεία, δεύτε πιστοί κατίδωμεν, δόξαν τήν αυτού, δόξαν ως Μονογενούς, παρά Θεού καί Πατρός.

Έτερος

Ελήλυθας εκ Παρθένου

Η κτίσις νύν, την παλαίωσιν πάσαν απόρριψον, τόν Κτίστην κτιζόμενον, καί καινουργούντά σε βλέπουσα, νήπιον γενόμενον, καί πρός τό πρώην σε, κάλλος επανάγοντα.

Θαυμάζοντες, τόν παράδοξον τόκον εφίστανται, Μάγοι οδηγούμενοι, θείω αστέρι, καί βλέπουσιν, Ηλιον ανίσχοντα, Παρθενικής εκ Νεφέλης, δώρα φέροντες.

Ιδού ήκει, η Παρθένος ως δάμαλις φέρουσα, τόν μόσχον εγγάστριον, τόν σιτευτόν αφαιρούμενον, κόσμου αμαρτήματα, αγαλλιάσθω, ή κτίσις εορτάζουσα.

Κηρύγματα, Προφητών τού Χριστού τήν ανάδειξιν, μηνύοντα είληφε, σήμερον πέρας σωτήριον, ήλθε γάρ επέφανε, διά σαρκός, τοίς εν σκότει κινδυνεύουσιν.

Τής Αγίας

Ο αυτός

Ελήλυθας, σαρκωθείς εκ Παρθένου ο Ύψιστος, σαυτώ μνηστευσάμενος, τά τών Παρθένων συστήματα, σέ μόνον ποθήσαντα, τόν τών Παρθένων, Νυμφίον γνωριζόμενον.

Γενέσεως, σαρκικής εξεδύσω τό κάλυμμα, παλιγγενεσίας δέ, τό φθειρόμενον ένδυμα, Μάρτυς παναοίδιμε, φωτοειδώς, ημφιάσω τώ βαπτίσματι.

Ανέτειλεν, η φωσφόρος αυγή τή καρδία σου, τής πλάνης διώκουσα, τήν κεχυμένην σκοτόμαιναν, φέγγει τώ τής χάριτος, Μάρτυς Χριστού, Ευγενία καλλιπάρθενε.

Κοσμίως σου, καί ωραίως τόν βίον εφαίδρυνας, ασκήσει τό πρότερον, σαρκός τά πάθη μαράνασα, ύστερον αθλήσει δέ, περιφανώς, Ευγενία διαλάμψασα.

Θεοτοκίον

Υπερτέρα, τών Αγγέλων εγένου Πανύμνητε, τού Πατρός γεννήσασα, βουλής μεγάλης τόν Άγγελον, άνθρωπον γενόμενον, διά πολήν, ευσπλαγχνίαν τόν φιλάνθρωπον.

Προεόρτιος

Ωδή ε' Ο Ειρμός

«Θεοφανείας σου Χριστέ, τής πρός ημάς συμπαθώς γενομένης, Ησαϊας φώς ιδών ανέσπερον, εκ νυκτός ορθρίσας εκραύγαζεν. Η Παρθένος ιδού γαστρί ήξει, καί τέξεται σαρκούμενον Λόγον, καί πάντες οι γηγενείς αγαλλιάσονται».

Νεοποιείς τούς γηγενείς, ο Πλαστουργός χοϊκός χρηματίσας, Φάτνη γάρ καί σπάργανα καί σπήλαιον, τής σής ταπεινώσεως σύμβολα, ο δέ Μνήστωρ τής σής Μητρός, σός δέ νομιζόμενος Πατήρ κατά σάρκα, τού φύσαντός σε Πατρός, νύν σχηματίζει βουλήν.

Διά τής σμύρνης τό θνητόν, διά χρυσού τό βασίλειον κράτος, διά λιβάνου τής θεότητος, τήν υπεροχήν υπεμφαίνουσι, Βασιλείς Εθνών, απαρχάς δωροφορούντές σε, τόν εν τώ Σπηλαίω τικτόμενον, Βηθλεέμ εξ αλοχεύτου Μητρός.

Εξ αλοχεύτου προελθών, ο τού Πατρός συναϊδιος Λόγος, σαρκωθείς κατώκησας τό Σπήλαιον, ως θρόνω τή φάτνη χρησάμενος. Καταπλήττεις δέ, τή φρικτή οικονομία σου, Μάγους καί Ποιμένας, Αγγέλους τε εξιστάς, Δόξα κραυγάζοντας.

Έτερος

Μεσίτης Θεού

Λαός ο ποτέ, σκότει καθεζόμενος, ιδέτω τό φώς, λάμψαν τό ανέσπερον, όπερ ο αστήρ πάλαι εμήνυσε, τοίς τό πύρ σεβομένοις, εκ τής Περσίδος άναξιν.

Μικρόν υπελθείν, Βασιλεύς ο Μέγας σπεύδει Σπήλαιον, κατασμικρυνθένταμε, όπως μεγαλύνη καί πτωχεύσαντα, τη αμέτρω πτωχεία, πλουτίση ο υπέρθεος.

Νύν εξ, Ιακώβ, Βαλαάμ ως έφησε γεννάται Χριστός, Εθνών κυριεύσει τε, καί ανυψωθήσεται εν χάριτι, η αυτού βασιλεία, μένουσα αδιάδοχος.

Τής Αγίας

Ο φωτισμός

Δρόμον τόν σόν, ευθυνούμενον βλέπων πρός σωτηρίαν, όφις ο ψυχόλεθρος Αθληφόρε, αναρριπίζει πειρασμούς σοι ποικίλους, τόν σόν τόνον λύειν πειρώμενος, τούτον δέ θεόφρον, αγνή κατεπάτησας.

Όλη καλή, τών καλών τώ δοτήρι καί ευεργέτη, καί ψυχών Νυμφίω Χριστώ εφάνης, ηγλαϊσμένη Ασκητών εν ασκήσει, καί Μαρτύρων αθλήσει λάμπουσα, Μάρτυς Ευγενία, Χριστού καλλιπάρθενε.

Στεφος τή σή, κορυφή επετέθη τό τών χαρίτων, τήν θείαν ετίμησας γάρ σοφίαν, πλούτον καί δόξαν, πατρικήν παριδούσα, καί συντόνως ακολουθήσασα, τώ πεποθημένω, Νυμφίω σου Πάνσοφε.

Θεοτοκίον

Εκ σού ζωή, ανατείλασα κόσμω Θεογεννήτορ, τούς πρίν τώ θανάτω κεκρατημένους, ανακαλείται, πρός ζωής αϊδίου μετουσίαν, τούς πίστει κράζοντας. Έτερον εκτός σου, Θεόν ου γινώσκομεν.

Προεόρτιος

Ωδή ς' Ο Ειρμός

«Συνεσχέθη, αλλ' ου κατεσχέθη, στέρνοις κητώοις Ιωνάς, σού γάρ τόν τύπον φέρων, τού τεχθέντος καί σαρκί φανέντος, ως εκ θαλάμου τού θηρός ανέθορε, γεννηθείς γάρ νύν τό κατά σάρκα, καί ταφήν καί θάνατον σαρκί υπελθών, μέλλεις αναστήσεσθαι τριήμερος».

Ανηρέθη, νύν καί διηρέθη, έχθρας τής αρχαίας τή σή, ενσάρκω παρουσία, τό μεσότοιχον Χριστέ καί νώτα, ρομφαία πάσιν, η φλογίνη δίδωσι, ζωηφόρου τής Εδέμ δέ ξύλου, μεταλαμβάνω πιστώς, αθανάτων φυτών, αύθις γεωργός αναδεικνύμενος.

Βασιλεύει, σύν τή άμαρτία Άδης εν Αδάμ μέχρι σού, αλλ' αναιρείται τούτου, η αναίδεια τής τυραννίδος, τό κατά σάρκα τικτομένου σου Λυτρωτά, εκ φυλής Δαυϊδ, καί επί θρόνου βασιλείας αυτού, τεθειμένου σου φώς, καί εις τούς αιώνας βασιλεύοντος.

Βρεφοκτόνος αλλ' ου χριστοκτόνος, έφυ Ηρώδης ο δεινός, εί γάρ καί τών νηπίων, εξεθέρισε πικρώς τήν χλόην, αλλά τόν στάχυν, τής ζωής ουκ ίσχυσε, καταλήψεσθαι καί θανατώσαι, ζωής γάρ ων χορηγός, έλαβεν ως Θεός, θεία δυναστεία τόν διώκοντα.

Έτερος

Εν αβύσσω πταισμάτων
Ξενοτρόπος Χριστός εις τά ίδια, έρχεται, ξενώσωμεν, αμαρτιών εαυτούς, καί τούτον εισδεξώμεθα, ταίς πραέων ψυχαίς οικιζόμενον.

Ουδαμώς ελαχίστη εν πόλεσι, Βηθλεέμ γεγένησαι, εν σοί γεννάται γάρ, ο Βασιλεύς καί Κύριος, τού ποιμάναι λαόν περιούσιον.

Πώς σμικρόν σε εισδέξεται Σπήλαιον, κόσμω μή χωρούμενον, Απερινόητε; πώς οραθήση νήπιος, ο Πατρί συννοούμενος άναρχος;

Τής Αγίας

Ο αυτός
Νυσταγμόν τοίς βλεφάροις ουκ έδωκας, εως ηδυπάθειαν, πάσαν ενέκρωσας, καί καθαρόν τώ Κτίστη σου, σεαυτήν απετέλεσας σκήνωμα.

Αιγυπτίας τούς τρόπους ζηλώσασα, η μεμελασμένη, καί πράγμα καί όνομα, συκοφαντείν θρασύνεται, τήν σεπτήν πολιτείαν σου Πάνσοφε.

Σταθηράν επεδείξω τήν ένστασιν, καί τών ιαμάτων τήν χάριν πλουτήσασα, περιουσία πίστεως, Μοναστών καθηγήσω συστήματος.

Θεοτοκίον
Μυστικώς εμυούντο τήν άφραστον, πάντες οι Προφήταί σου, Πάναγνε γέννησιν, πνευματικώς τυπούμενοι, καί προλέγοντες πάσι τά μέλλοντα.

Ο Ειρμός
«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον. Εκ φθοράς, ο Θεός με ανάγαγε».

Κοντάκιον Προεόρτιον  Ήχος γ'
Η Παρθένος σήμερον, τόν προαιώνιον Λόγον, εν Σπηλαίω έρχεται, αποτεκείν απορρήτως, Χόρευε η οικουμένη ακουτισθείσα, δόξασον μετά Αγγέλων καί τών Ποιμένων, βουληθέντα εποφθήναι, παιδίον νέον, τόν πρό αιώνων Θεόν.

Έτερον τής Αγίας
Ήχος δ'  Επεφάνης σήμερον
Τήν τού κόσμου πρόσκαιρον, φυγούσα δόξαν, τόν Χριστόν επόθησας, τό ευγενές σου τής ψυχής, αδιαλώβητον σώζουσα, Μάρτυς θεόφρον, Ευγενία πανευφημε.

Ο Οίκος
Βίω καί λόγω καθαρώ, καί χάρι τι Παρθένε, αεί κεκοσμημένη, σαυτήν θύμα προσήγαγες, τώ εκ Παρθένου δι' ημάς σάρκα ανειληφότι, καί τεχθέντι επί γής, δι' ευσπλαγχνίαν άφατον, καί διπλοίς εκόσμησε δόξης εν στεφάνοις, ευπρεπώς σε ο Δεσπότης, αγνείαν γάρ ως άσαρκος τηρήσασα σεμνή, ως

άμωμος Νύμφη, συνεισήλθες αυτώ εις τόν ουράνιον νυμφώνα, όλη φαεινή, τοίς άθλοις πεποικιλμένη, Μάρτυς θεόφρον, Ευγενία πανεύφημε.

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΔ' τού αυτού μηνός, Μνήμη τής Αγίας Οσιοπαρθενομάρτυρος Ευγενίας καί τών σύν αυτή.

Στίχοι

- Στεφθείσα πρώτον τοίς πόνοις Ευγενία,
- Βαφήν εβάψω δευσοποιόν εκ ξίφους.
- Τέτλαθι Ευγενίη ξίφος εικάδι αμφί τετάρτη.

Τή αυτή ημέρα, Η Αγία Μάρτυς Βασίλλα, η συμμαρτυρήσασα τή Αγία Ευγενία, ξίφει τελειούται.

Στίχοι

- Τίς άν παραδράμη σε τμηθείσαν ξίφει,
- Μάρτυς Βασίλλα, πίστεως θείας βάσις;

Τή αυτή ημέρα, ο Άγιος Μάρτυς Φίλιππος, ο πατήρ τής Αγίας Ευγενίας, ξίφει τελειούται.

Στίχοι

- Μάχαιραν όντως δίστομον κατά πλάνης,
- Κτείνει Φίλιππον τής μαχαίρας τό στόμα.

Τή αυτή ημέρα, οι Άγιοι, Πρωτάς καί Υάκινθος, οι ευνούχοι καί συνασκηταί τής Αγίας Ευγενίας, ξίφει τελειούνται.

Στίχοι

- Τμηθέντες, Υάκινθε καί Πρωτά ξίφει,
- Κληρούσθε πρώτα Μαρτύρων Θεού γέρα.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Νικολάου μοναχού, τού από στρατιωτών, καί διήγησις ωφέλιμος.

Τή αυτή ημέρα, ο Άγιος Μάρτυς Αχαϊκός ξίφει τελειούται.

Στίχοι

- Πάν Αχαϊκός εκβαλών ψυχής άχος,
- Όλη χαρά δέδωκε τήν κάραν ξίφει.

Τή αυτή ημέρα, ο Όσιος Αντίοχος εν ειρήνη τελειούται.

Στίχοι

- Αντιόχω βδέλυγμα τύρβαι τού βίου,
- Καί βίος άπας, όν παρήλθεν ηδέως.

Οι Όσιοι Βιτιμίων καί Αφροδίσιος, εν ειρήνη τελειούνται.

Ο άγιος νεομάρτυς Αχμέτ ο μαρτυρήσασας εν Κωνσταντινουπόλει κατά τό 1682, ξίφει τελειούται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον καί σώσον ημάς

## Προεόρτιος

### Ωδή ζ'  Ο Ειρμός

«Άφραστον θαύμα! ο εν καμίνω ρυσάμενος, τούς Οσίους Παίδας εκ φλογος, φάτνη πενιχρά, βρέφος ανακέκλιται, εις σωτηρίαν ημών τών μελωδούντων. Λυτρωτά ο Θεός, ευλογητός εί».

Τέτρωται πλάνος, εχθρός Θεόν βρέφος κείμενον, επί φάτνης, βλέπων πενιχράς, καί στένει χειρί, θεία καθαιρούμενος, εις σωτηρίαν ημών τών μελωδούντων. Λυτρωτά ο Θεός, ευλογητός εί.

Όλβιος φάτνη! εν εαυτή δεξαμένη γάρ, ώσπερ βρέφος, τόν Δημιουργόν, ως χερουβικός θρόνος αναδείκνυται, εις σωτηρίαν ημών τών μελωδούντων. Λυτρωτά ο Θεός, ευλογητός εί.

Νόμω βροτείω, τήν εν σπαργάνοις κατάθεσιν, καταδέχη, βρέφος πεφηνώς, δι' ών τούς δεσμούς, λύεις τών πταισμάτων μου, ελευθερίαν βραβεύων τοίς βοώσι. Λυτρωτά ο Θεός, ευλογητός εί.

Μία υπήρχεν, η εν ανάρχω γεννήσει σου, καί εν τόκω, τώ μετά σαρκός, θεότης Χριστέ, σύν Πατρί καί Πνεύματι, εις σωτηρίαν ημών τών μελωδούντων. Λυτρωτά ο Θεός, ευλογητός εί.

## Έτερος

### Αντίθεον πρόσταγμα

Ρανάτωσαν άνωθεν ύδωρ νεφέλαι, ο νέφη τιθέμενος, αυτού σεπτώς επίβασιν, Νεφέλη οχούμενος, Παρθένω έρχεται, λάμψαι φώς ανέσπερον, τοίς πρίν εσκοτισμένοις, καί κινδυνεύουσι.

Στρατός ευτρεπίσθητι θείων Αγγέλων, υμνήσαι τήν άφατον, Κυρίου συγκατάβασιν, Μάγοι επιφθάσατε. Ποιμένες σπεύσατε, ήλθεν ώ απέκειτο, Χριστός η προσδοκία, Εθνών καί λύτρωσις.

Τί τούτο τό μέγιστον καί ξένον θαύμα; πώς φέρω σε φέροντα, τώ ρήματι τά σύμπαντα, απόρρητον γέννημα, Υιέ μου Άναρχε; έλεγεν η Πάναγνος, Χριστόν εν ταίς αγκάλαις, φρικτώς κατέχουσα.

## Τής Αγίας

O αυτός

Ανέπτυξας άπασι, τών θεοπνεύστων, Γραφών τήν αλήθειαν, τό θήλυ αρρενώσασα, καί πάντας κατέπληξας, τώ παραδόξω σεμνή, ούσπερ καί προσήγαγες, λαμπρώς, πεπιστευκότας Χριστώ Πανόλβιε.

Σοφώς εστηλίτευσας, τήν τών Ειδώλων, μανίαν Πανεύφημε, τοίς θείοις σου διδάγμασι, Παρθένων αμέτρητον, μνηστευσαμένη πληθύν, πάντων βασιλεύοντι Χριστώ, λαμπρυνομένην Μαρτύρων αίμασιν.

Ιδούσα τόν βίον σου, τόν θεοφόρον, Βασίλλα η ένδοξος, σέ πόθω εμιμήσατο, Χριστώ γάρ μνηστεύεται, καταλιπούσα σαρκός, πάσαν τήν ευπάθειαν, καί νύν τής τών Μαρτύρων χαράς ηξίωται.

Θεοτοκίον

Νομήν εθεράπευσας, τήν τού θανάτου, ασπόρως κυήσασα, Ζωήν τήν ενυπόστατον, Παρθένε πανάμωμε, Θεογεννήτορ Αγνή, όθεν σε γηθόμενοι, πηγήν αθανασίας κατονομάζομεν.

Προεόρτιος

Ωδή η'  Ο Ειρμός

«Έκστηθι φρίττων ουρανέ, καί σαλευθήτωσαν, τά θεμέλια τής γής, ιδού γάρ σπαργάνοις συμπλέκεται, ο πάντα φέρων δρακί, καί φάτνη σμικρά ξενοδοχείται, όν Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, Λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Λέλυται δέσμιος Αδάμ, ελευθερία τε, πάσι δέδοται πιστοίς, σπαργάνοις Σωτήρ εμπλακέντος σου, καί εν Σπηλαίω σμικρώ, καί φάτνη τών αλόγων τεθέντος, διό σοι γεγηθότες, προεόρτιον ύμνον, εν τή σή γεννήσει, προσφέρομεν εν πίστει.

Πέπαυται πλάνη Περσική, Αστεροσκόποι γάρ, Βασιλείς ανατολών, τεχθέντι δώρα προσκομίζουσι, Χριστώ τώ παμβασιλεί, χρυσόν τε καί σμύρναν σύν λιβάνω όν Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, Λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Ω τών θαυμάτων τών καινών! ώ αγαθότητος, καί απείρου ανοχής! ιδού γάρ ως βρέφος λογίζεται, ο εν υψίστοις οικών, καί φεύγει Θεός, θέλων Ηρώδην, όν Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, Λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Έτερος

Κάμινος ποτέ

Ύψος αληθώς, αρρήτου μυστηρίου, τους ουρανούς γνώσει καλύψαντος, η άμεμπτος Δέσποινα, κατεπλήττετο, καί έλεγεν. Ο θρόνος ο ουράνιος,

φλέγεται σέ κατέχων, καί πώς Υιέ μου βαστάζω σε;

Φέρεις Πατρικήν, ομοίωσιν Υιέ μου, καί πώς τού δούλου τό ομοίωμα, πτωχεύσας ανέλαβες; πώς εν φάτνη ανακλίνω σε, αλόγως τόν ρυόμενον, άπαντας αλογίας, υμνολογώ σου τό εύσπλαγχνον.

Χαίρε πάσα γή, ιδού Χριστός εγγίζει, εν Βηθλεέμ αποτικτόμενος, θάλασσα εφράνθητι, Προφητών όμιλε σκίρτησον, τήν έκβασιν Θεώμενος, σήμερον τών σών λόγων, πάντες αγάλλεσθε Δίκαιοι.

Τής Αγίας

Τόν εν καμίνω τού πυρός

Εν ποταμώ νεανικώς, εν πυρί καρ τερικώς εδοκιμάσθης, εναντίας γάρ φύσεις, στερρώς διήλθες, Χριστόν υμνούσα καί πίστει κραυγάζουσα. Υπερευλογώ σε, Χριστέ είς τούς αιώνας.

Ξενοπρεπώς επιφανείς, ο Χριστός σοι εν φρουρά κατεχομένη, διατρέφει πλουσίως, καί τή Γεννήσει αυτού, συνάπτει τοίς άνω στρατεύμασιν, αυτόν εις αιώνας, δοξάζουσαν Οσία.

Οσός Νυμφίος ευπρεπώς, εν στεφάνοις σε διπλοίς καθωραϊζει, Ευγενία θεόφρον, καί σοί νυμφώνα λαμπρόν, ενδίκως ο δίκαιος δίδωσιν, όν υπερυψούμεν, εις πάντας τούς αιώνας.

Χάρις Θεού φωτοειδής, επιλάμπουσα σέ νύν καταγλαϊζει, εν μοναίς ουρανίαις, ής εμπλησθήναι ταίς σαίς, πρεσβείαις απαύστως δυσώπησον, τούς επιτελούντας, τήν σην μνήμην θεόφρον.

Θεοτοκίον

Αθανασίας διαυγή, επιστάμεθα πηγήν σε Θεοτόκε, ως τεκούσαν τόν Λόγον, τού αθανάτου Πατρός, τόν πάντας θανάτου λυτρούμενον, τούς υπερυψούντας αυτόν εις τούς αιώνας.

Ο Ειρμός

«Τόν εν καμίνω τού πυρός, τών Εβραίων τοίς Παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον μεταβαλόντα Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Προεόρτιος

Ωδή θ' Ο Ειρμός

«Μή εκθαμβή νύν ώ Μήτερ, καθορώσα ως βρέφος, όν εκ γαστρός πρό Εωσφόρου, τέτοκε Πατήρ, αναστήσαι γάρ καί συνδοξάσαι βροτών, πεπτωκυίαν τήν φύσιν, ελήλυθα σαφώς, τήν εν πίστει καί πόθω, σέ μεγαλύνουσαν».

Επί τώ ξένω σου τόκω, τάς ωδίνας φυγούσα, υπερφυώς εμακαρίσθην, Άναρχε Υιέ, σέ δέ νύν ορώσα, Ηρώδην φεύγοντα, τή ρομφαία τής λύπης, σπαράττομαι ψυχήν, αλλά ζήθι καί σώζε τούς σέ γεραίροντας.

Γής μέν επέβην Αιγύπτου, αλλ' Αιγύπτου ώ Μήτερ, τά χειροποίητα κατέβαλον σεισμώ, τήν ψυχήν δέ μου μάτην, επιζητούντων εχθρών, πεμπομένων εις Άδην, ως μόνος κραταιός, επανήξω, καί σώσω, τούς σέ γεραίροντας.

Αγαλλιάσθω η κτίσις, κτίζεται γάρ ο Κτίστης, καί ο προών νύν πρόσφατος, γνωρίζεται Θεός, μετά δώρων Μάγοι προσυπαντάτωσαν, οι Ποιμένες τό θαύμα, κροτείτωσαν πιστώς, καί βροτοί τοίς, Αγγέλοις, συνευφραινέσθωσαν.

Έτερος

Ανάρχου Γεννήτορος

Ψαλάτωσαν χαίρουσαι, αι βασιλείαι πάσης γής, πατριαί τών Εθνών τε αγαλλιάσθωσαν, όρη καί βουνοί καί κοιλάδες οι ποταμοί, θάλασσα καί όλη, η κτίσις τόν Κύριον, νύν τικτόμενον μεγάλυνε.

Ωράθης ώς θέμις ήν, Προφήταις σε θεάσασθαι, εν εσχάτοις καιροίς δέ, βροτός γενόμενος, πάσιν επεφάνης ανθρώποις, εν Βηθλεέμ πόλει Ιουδαίας, αστέρος δεικνύντός σε, αστρολόγοις Ανερμήνευτε.

Ιδού εις τά ίδια, εν αλλοτρίω έρχεται, ο Πανάγιος Λόγος, Αγίω Σώματι, ξένω τοκετώ, ξενωθέντα προσοικειών, εαυτώ τόν κόσμον, αυτόν ανυμνήσωμεν, δι' ημάς πτωχόν γενόμενον.

Ω τέκνον γλυκύτατον, πώς τρέφω σε τόν τρέφοντα; πώς κρατώ σε κρατούντα τά πάντα νεύματι; πώς δέ σπαργανώ σπαργανούντα, πάσαν τήν γήν ομίχλη; εβόα, η Πάναγνος Δέσποινα, ήν εν πίστει μεγαλύνομεν.

Τής Αγίας

Ο αυτός

Μονάς κατοικήσασα, τάς ουρανίους ένδοξε, νύν τρυφής Παραδείσου, κατηξιώθης σαφώς, μετά τών Παρθένων ως Μάρτυς, παναληθής, καί μετά Μαρτύρων, Παρθένος πανάμωμος, Ευγενία παμμακάριστε.

Εφέσεως έτυχες, τής υπέρ νούν καί έννοιαν, ορεκτών ακροτάτω, παρισταμένη φαιδρώς, καί ταίς φωτοβόλοις ακτίσι, τής αρχικής, Τριάδος θεόφρον, σαφώς διαλάμπουσα, Ευγενία παμμακάριστε.

Λαμπάδα κατέχουσα, τής παρθενίας ένδοξε, τών Μαρτύρων στεφάνω, κατακεκόσμησαι, καί νύν δυσωπούσα μή παύση, τούς ευσεβώς, πόθω σε τιμώντας, σωθήναι πρεσβείαις σου, Ευγενία παναοίδιμε.

Πρός θείαν εξήλθες νύν, αναψυχήν πανάριστε, αικισμών διελθούσα, τό πύρ τό άστεκτον, καί τό ανυπόστατον ύδωρ, τών πειρασμών, Μάρτυς Ευγενία, Χριστόν ούν δυσώπησον, τού σωθήναι τάς ψυχάς ημών.

Θεοτοκίον

Ως πόκος Πανάμωμε, τόν όμβρον τόν ουράνιον, εν γαστρί συλλαβούσα, ημίν εκτέτοκας, τόν τήν αμβροσίαν διδόντα, τοίς ευσεβώς, αυτόν ανυμνούσι, καί σέ τήν Πανάμωμον, Θεοτόκον καταγγέλλουσιν.

Ο Ειρμός

«Ανάρχου Γεννήτορος, Υιός Θεός καί Κύριος, σαρκωθείς εκ Παρθένου, ημίν επέφανε, τά εσκοτισμένα φωτίσαι, συναγαγείν τά εσκορπισμένα, διό τήν πανύμνητον, Θεοτόκον μεγαλύνομεν».

Εξαποστειλάριον Προεόρτιον

Τοίς Μαθηταίς συνέλθωμεν

Ο φώς οικών απρόσιτον, καί συνέχων τά πάντα, δι' ευσπλαγχνίαν άφατον, εκ Παρθένου γεννάται, καί σπαργανούται ως βρέφος, εν Σπηλαίω καί φάτνη, αλόγων ανακλίνεται, σπεύσωμεν επιστήναι, εν Βηθλεέμ, εις αυτού προσκύνησιν μετά Μάγων, καρπούς αρίστων πράξεων, κομιούντες ως δώρα.

Τής Αγίας, όμοιον

Ουδέν εδείχθη κώλυμα, πρός τελείους αγώνας, τό ασθενές τού θήλεος αοράτω σου σθένει, Χριστέ ρωννύμενον, όθεν, Ευγενία η Μάρτυς, γενναίως υπερήθλησεν, ής τήν ένδοξον μνήμην, συνήψας νύν, τή σεπτή Γεννήσει σου καί φωσφόρω, ήν κατεδέξω Δέσποτα, εκ Παρθένου Αγίας.

Έτερον Προεόρτιον, όμοιον

Ύμνον πιστοί προσάξωμεν, τή Παρθένω Μαρία, ιδού γάρ νύν προέρχεται, Βηθλεέμ εν τή πολει, τεκείν Χριστόν τόν Σωτήρα, όθεν Μάγοι σύν δώροις, μετά αστέρος δράμετε, σύν ημίν προσκυνήσαι, Ποιμένες δέ, εκβοήσαι σπεύσατε σύν Αγγέλοις, τώ τικτομένω. Δόξα σοι, εν σπηλαίω καί φάτνη.

Εις τούς Αίνους, Στιχηρά Προσόμοια.

Προεόρτια

Ήχος πλ. β' Αι Αγγελικαί

Ω τών υπέρ νούν, καί αρρήτων μυστηρίων! τίκτεται Θεός, επί γής δι' ευσπλαγχνίαν, τήν δουλικήν εικόνα, εαυτώ περιθέμενος, όπως τής δουλείας αφαρπάση, τής τού αλλοτρίου τούς βοώντας, πόθω ζέοντι. Ευλογημένος εί Σωτήρ, ο μόνος Φιλάνθρωπος.

Δεύρο Ισραήλ, βαρυκάρδιε απόθου, τό εν τή ψυχή, επικείμενόν σοι νέφος, επίγνωθι τόν Πλάστην, εν Σπηλαίω τικτόμενον, ούτος τών Έθνών η προσδοκία, ούτος καθελεί τάς εορτάς σου, βοάν ου πείθη γάρ, ο Βασιλεύς τού Ισραήλ, Χριστός παραγίνεται.

Ήλιε Υιέ, πώς σε κρύψω τοίς σπαργάνοις; πώς σε γαλουχώ, πάσης φύσεως

τροφέα; πώς σε χερσί κατέχω, τόν κρατούντα τά σύμπαντα; πώς σοι αδεώς ενατενίζω, ώ ού τολμά ενατενίζειν, τά πολυόμματα; η Απειρόγαμος Χριστόν, κρατούσα εφθέγγετο.

Άσμασι καινοίς, αλαλάξατε Ποιμένες, λόγους μαγικούς, απορρίψατε οι Μάγοι, σταλάξατε τά όρη, καί βουνοί αγαλλίασιν, δεύτε θυγατέρες Βασιλέων, εις τήν χαράν τής Θεοτόκου, λαοί είπωμεν. Ευλογημένος ο τεχθείς, Θεός ημών δόξα σοι.

Δόξα... όμοιον

Δεύρο Βηθλεέμ, ετοιμάζου τά τού τόκου, ίθι Ιωσήφ, απογράφου σύν Μαρία, σεπτοτάτη η φάτνη! θεοφόρα τά σπάργανα! ένθα η ζωή ενειληθείσα, σειράς θανάτου διαρρήξει, επισφίγγουσα, πρός αφθαρσίαν τούς βροτούς, Χριστέ ο Θεός ημών.

Καί νύν... όμοιον

Ω μακαριστή, τής θεόπαιδος κοιλία, ήτις νοητώς, ουρανού μείζων εδείχθη! όν ού χωρεί γάρ ούτος, σύ κατέχεις βαστάζουσα. Ώ μακαριστοί μαστοί Παρθένου, ούσπερ θηλάσειεν ο τρέφων, πνοήν άπασαν, Χριστός ο μήτρα σάρξ παγείς, ανάνδρου Νεάνιδος.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος β' Οίκος τού Εφραθά

Οίκος τού Παντουργού, εδείχθης ώ Παρθένε, εν σοί γάρ ενοικήσας, ο Κύριος τής δόξης, τεχθήναι νύν προέρχεται.

Στίχ. Ο Θεός από θαιμάν ήξει καί ο άγιος εξ όρους κατασκίου δασέος.

Νέον εν Βηθλεέμ, παιδίον εκ Παρθένου, Θεός ο πρό αιώνων, εν φάτνη τών αλόγων, γεννάται, ώ τού θαύματος!

Στίχ. Κύριε εισακήκοα τήν ακοήν σου καί εφοβήθνη κατενόησα τά έργα σου.

Τάξεις αι νοεραί, Αγγέλων εν υψίστοις, Θεώ μετά Ποιμένων, βοήσατε καί Μάγων, τώ τι κτομένω δόξα σοι.

Δόξα... Καί νύν... Ήχος πλ, δ'

Υπόδεξαι Βηθλεέμ, τήν τού Θεού Μητρόπολιν, φώς γάρ τό άδυτον, επί σέ γεννήσαι ήκει, Άγγελοι θαυμάσατε εν ουρανώ, άνθρωποι δοξάσατε επί τής γής, Μάγοι εκ Περσίδος, τό τρισόκλεον δώρον προσκομίσατε, Ποιμένες αγραυλούντες, τόν τρισάγιον ύμνον μελωδήσατε. Πάσα πνοή αινεσάτω τόν Παντουργέρτην.

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΑΚΟΛΟΥΘΙΑ ΤΩΝ ΜΕΓΑΛΩΝ ΩΡΩΝ

## ΩΡΑ ΠΡΩΤΗ

Ευλογήσαντος τού Ιερέως, αρχόμεθα τού Τρισαγίου. Είτα τό, Δεύτε προσκυνήσωμεν, γ' καί Στιχολογούμεν τούς εφεξής τρείς Ψαλμούς.

### Ψαλμός Ε' (5)

- Τά ρήματά μου ενώτισαι κύριε σύνες τής κραυγής μου
- πρόσχες τή φωνή τής δεήσεώς μου ο βασιλεύς μου καί ο Θεός μου ότι πρός σέ προσεύξομαι κύριε
- τό πρωί εισακουση τής φωνής μου τό πρωί παραστήσομαί σοι καί επόψομαι
- ότι ουχί Θεός θέλων ανομίαν σύ εί ουδέ παροικήσει σοι πονηρευόμενος
- ου διαμενούσιν παράνομοι κατέναντι τών οφθαλμών σου εμίσησας πάντας τούς εργαζομένους τήν ανομίαν
- απολείς πάντας τούς λαλούντας τό ψεύδος άνδρα αιμάτων καί δόλιον βδελύσσεται κύριος
- εγώ δέ εν τώ πλήθει τού ελέους σου εισελεύσομαι εις τόν οίκόν σου προσκυνήσω πρός ναόν άγιόν σου εν φόβω σου
- κύριε οδήγησόν με εν τή δικαιοσύνη σου ένεκα τών εχθρών μου κατεύθυνον ενώπιόν μου τήν οδόν σου
- ότι ουκ έστιν εν τώ στόματι αυτών αλήθεια η καρδία αυτών ματαία τάφος ανεωγμένος ο λάρυγξ αυτών ταίς γλώσσαις αυτών εδολιούσαν
- κρίνον αυτούς ο Θεός αποπεσάτωσαν από τών διαβουλίων αυτών κατά τό πλήθος τών ασεβειών αυτών έξωσον αυτούς ότι παρεπίκρανάν σε κύριε
- καί ευφρανθήτωσαν πάντες οι ελπίζοντες επί σέ εις αιώνα αγαλλιάσονται καί
- κατασκηνώσεις εν αυτοίς καί καυχήσονται εν σοί παντες οι αγαπώντες τό όνομά σου
- ότι σύ ευλογήσεις δίκαιον κύριε ως όπλω ευδοκίας εστεφάνωσας ημάς

### Ψαλμός ΜΔ' (44)

- Εξηρεύξατο η καρδία μου λόγον αγαθόν λέγω εγώ τά έργα μου τώ βασιλεί η γλώσσά μου κάλαμος γραμματέως οξυγράφου
- ωραίος κάλλει παρά τούς υιούς τών ανθρώπων εξεχύθη χάρις εν χείλεσίν σου διά τούτο ευλόγησέν σε ο Θεός εις τόν αιώνα
- περίζωσαι τήν ρομφαίαν σου επί τόν μηρόν σου δυνατέ τή ωραιότητί σου καί τώ κάλλει σου
- καί έντεινον καί κατευοδού καί βασίλευε ένεκεν αληθείας καί πραΰτητος καί δικαιοσύνης καί οδηγήσει σε θαυμαστώς η δεξιά σου
- τά βέλη σου ηκονημένα δυνατέ λαοί υποκάτω σου πεσούνται εν καρδία τών εχθρών τού βασιλέως
- ο θρόνος σου ο Θεός εις τόν αιώνα τού αιώνος ράβδος ευθύτητος η ράβδος τής βασιλείας σου
- ηγάπησας δικαιοσύνην καί εμίσησας ανομίαν διά τούτο έχρισέν σε ο Θεός

ο Θεός σου έλαιον αγαλλιάσεως παρά τούς μετόχους σου

- σμύρνα καί στακτή καί κασία από τών ιματίων σου από βάρεων ελεφαντίνων εξ ων ηύφρανάν σε
- θυγατέρες βασιλέων εν τή τιμή σου παρέστη η βασίλισσα εκ δεξιών σου εν ιματισμώ διαχρύσω περιβεβλημένη πεποικιλμένη
- άκουσον θύγατερ καί ιδέ καί κλίνον τό ούς σου καί επιλάθου τού λαού σου καί τού οίκου τού πατρός σου
- ότι επεθύμησεν ο βασιλεύς τού κάλλους σου ότι αυτός εστιν ο κύριός σου
- καί προσκυνήσουσιν αυτώ θυγατέρες Τύρου εν δώροις τό πρόσωπόν σου λιτανεύσουσιν οι πλούσιοι τού λαού
- πάσα η δόξα αυτής θυγατρός βασιλέως έσωθεν εν κροσσωτοίς χρυσοίς περιβεβλημένη πεποικιλμένη
- απενεχθήσονται τώ βασιλεί παρθένοι οπίσω αυτής αι πλησίον αυτής
- απενεχθήσονταί σοι απενεχθήσονται εν ευφροσύνη καί αγαλλιάσει αχθήσονται εις ναόν βασιλέως
- αντί τών πατέρων σου εγενήθησάν σοι υιοί καταστήσεις αυτούς άρχοντας επί πάσαν τήν γήν
- μνησθήσονται τού ονόματός σου εν πάση γενεά καί γενεά διά τούτο λαοί εξομολογήσονταί σοι εις τόν αιώνα καί εις τόν αιώνα τού αιώνος

## Ψαλμός ΜΕ' (45)

- Θεός ημών καταφυγή καί δύναμις βοηθός εν θλίψεσιν ταίς ευρούσαις ημάς σφόδρα
- διά τούτο ου Φοβηθησόμεθα εν τώ ταράσσεσθαι τήν γήν καί μετατίθεσθαι όρη εν καρδίαις θαλασσών
- ήχησαν καί εταράχθησαν τά ύδατα αυτών εταράχθησαν τά όρη εν τή κραταιότητι αυτού διάψαλμα
- τού ποταμού τά ορμήματα ευφραίνουσιν τήν πόλιν τού Θεού ηγίασεν τό σκήνωμα αυτού ο ύψιστος
- ο Θεός εν μέσω αυτής ου σαλευθήσεται βοηθήσει αυτή ο Θεός τό πρός πρωί
- εταράχθησαν έθνη έκλιναν βασιλείαι έδωκεν φωνήν αυτού εσαλεύθη η γή
- κύριος τών δυναμεων μεθ' ημών αντιλήμπτωρ ημών ο Θεός Ιακώβ διάψαλμα
- δεύτε ίδετε τά έργα κυρίου ά έθετο τέρατα επί τής γής
- ανταναιρών πολέμους μέχρι τών περάτων τής γής τόξον συντρίψει καί συγκλάσει όπλον καί θυρεούς κατακαύσει εν πυρί
- σχολάσατε καί γνώτε ότι εγώ ειμι ο Θεός υψωθήσομαι εν τοίς έθνεσιν υψωθήσομαι εν τή γή
- κύριος τών δυνάμεων μεθ' ημών αντιλήμπτωρ ημών ο Θεός Ιακώβ

Δόξα... Καί νύν... Αλληλούϊα, γ'
Κύριε ελέησον, γ'

Είτα, Δόξα... καί τό Τροπάριον

Απεγράφετο ποτέ, σύν τώ πρεσβύτη Ιωσήφ, ως εκ σπέρματος Δαυϊδ, εν Βηθλεέμ η Μαριάμ, κυοφορούσα τήν άσπορον κυοφορίαν. Επέστη δέ καιρός ο τής γεννήσεως, καί τόπος ήν ουδείς τώ καταλύματι. αλλ' ως τερπνόν παλάτιον, τό Σπήλαιον τή Βασιλίδι εδείκνυτο. Χριστός γεννάται, τήν πρίν πεσούσαν,αναστήσων εικόνα.

Καί νύν... Θεοτοκίον

Τί σε καλέσωμεν, ώ Κεχαριτωμένη; Ουρανόν, ότι ανέτειλας τόν Ήλιον τής δικαιοσύνης. Παράδεισον, ότι εβλάστησας τό άνθος τής αφθαρσίας. Παρθένον, ότι έμεινας άφθορος. αγνήν Μητέρα, ότι έσχες σαίς αγίαις αγκάλαις υιόν, τόν πάντων Θεόν. Αυτόν ικέτευε, σωθήναι τάς ψυχάς ημών.

Είτα ψάλλομεν τά παρόντα Ιδιόμελα

Ήχος πλ. δ' Ποίημα Σωφρονίου
Πατριάρχου Ιεροσολύμων

Βηθλεέμ ετοιμάζου, ευτρεπιζέσθω η φάτνη, τό Σπήλαιον δεχέσθω, η αλήθεια ήλθεν. η σκιά παρέδραμε. καί Θεός ανθρώποις, εκ Παρθένου πεφανέρωται, μορφωθείς τό καθ' ημάς, καί θεώσας τό πρόσλημμα. Διό Αδάμ ανανεούται σύν τή Εύα, κράζοντες. Επί γής ευδοκία επεφάνη, σώσαι τό γένος ημών.

Δις, άνευ στίχου. Είτα

Στίχ. Ο Θεός από θαιμάν ήξει καί ο άγιος εξ όρους κατασκίου δασέος.

Ήχος γ'

Νύν προφητική πρόρρησις, πληρωθήναι επείγεται, μυστικώς η φάσκουσα. Καί σύ Βηθλεέμ γή Ιούδα, ουδαμώς υπάρχεις ελαχίστη εν τοίς Ηγεμόσι, προευτρεπίζουσα τό σπήλαιον, εκ σού γάρ μοι εξελεύσεται, ηγούμενος τών Εθνών διά σαρκός, εκ Παρθένου Κόρης Χριστός ο Θεός, ός ποιμανεί τόν λαόν αυτού, τόν νέον Ισραήλ. Δώμεν αυτώ άπαντες μεγαλωσύνην.

Στίχ. Κύριε εισακήκοα τήν ακοήν σου καί εφοβήθνη κατενόησα τά έργα σου.

Πάλιν τό αυτο.

Είτα Δόξα... Ήχος πλ. δ'

Τάδε λέγει Ιωσήφ πρός τήν Παρθένον, Μαρία, τί τό δράμα τούτο, ό εν σοί τεθέαμαι; απορώ καί εξίσταμαι, καί τόν νούν καταπλήττομαι! Λάθρα τοίνυν απ' εμού, γενού εν τάχει. Μαρία, τί τό δράμα τούτο, ό εν σοί τεθέαμαι; αντί τιμής αισχύνην, αντ' ευφροσύνης, τήν λύπην, αντί τού επαινείσθαι, τόν ψόγον μοι προσήγαγες. Ουκ έτι φέρω λοιπόν, τό όνειδος ανθρώπων. υπό γάρ Ιερέων εκ τού ναού, ως άμεμπτον Κυρίου σέ παρέλαβον, καί τί τό ορώμενον;

Καί νύν... τό αυτό

Καί ευθύς τό Προκείμενον τής Προφητείας. Ήχος δ'

Κύριος είπε πρός με. Υιός μου εί σύ, εγώ σήμερον γεγέννηκά σε.
Στίχ. Αίτησαι παρ' εμού καί δώσω σοι Έθνη τήν κληρονομίαν σου.

## Προφητείας Μιχαίου τό Ανάγνωσμα
(Κεφ. 5,1-3)

- Τάδε λέγει Κύριος, καί συ Βηθλεέμ οίκος τού Εφραθά ολιγοστός εί τού είναι εν Ισραήλ καί χιλιάσιν Ιούδα εκ σού μοι εξελεύσεται τού είναι εις άρχοντα εν τώ αί έξοδοι αυτού απ' αρχής εξ ημερών αιώνος
- διά τούτο δώσει αυτούς έως καιρού τικτούσης τέξεται καί οι επίλοι ποι τών αδελφών αυτών επιστρέψουσιν επί τούς υιούς Ισραήλ
- καί στήσεται καί όψεται καί ποιμανεί τό ποίμνιον αυτού εν ισχύι κυρίου καί εν τή δόξη τού ονόματος κυρίου τού Θεού αυτών υπάρξουσιν διότι νύν μεγαλυνθήσεται έως άκρων τής γής

## Ο Απόστολος

## Πρός Εβραίους Επιστολής Παύλου τό Ανάγνωσμα (Κεφ. 1,1-12)

- Πολυμερώς καί πολυτρόπως πάλαι ο Θεός λαλήσας τοίς πατράσιν εν τοίς προφήταις,
- επ' εσχάτων τών ημερών τούτων ελάλησεν ημίν εν υιώ, όν έθηκε κληρονόμον πάντων, δι' ου καί τούς αιώνας εποίησεν,
- ός ων απαύγασμα τής δόξης, καί χαρακτήρ τής υποστάσεως αυτού, φέρων τε τά πάντα τώ ρήματι τής δυνάμεως αυτού, δι' εαυτού καθαρισμόν ποιησάμενος τών αμαρτιών ημών, εκάθισεν εν δεξιά τής μεγαλωσύνης εν υψηλοίς,
- τοσούτω κρείττων γενόμενος τών αγγέλων, όσω διαφορώτερον παρ' αυτούς κεκληρονόμηκεν όνομα.
- τίνι γάρ ειπέ ποτε τών αγγέλων, Υιός μου εί σύ, εγώ σήμερον γεγέννηκά σε; Καί πάλιν Εγώ έσομαι αυτώ εις πατέρα, καί αυτός έσται μοι εις υιόν.
- όταν δέ πάλιν εισαγάγη τόν πρωτότοκον εις τήν οικουμένην, λέγει, καί προσκυνησάτωσαν αυτώ πάντες άγγελοι Θεού.
- καί πρός μέν τούς αγγέλους λέγει, Ο ποιών τούς αγγέλους αυτού πνεύματα, καί τούς λειτουργούς αυτού πυρός φλόγα,
- πρός δέ τόν υιόν, Ο θρόνος σου, ο Θεός, εις τόν αιώνα τού αιώνος, ράβδος ευθύτητος η ράβδος τής βασιλείας σου.
- ηγάπησας δικαιοσύνην, καί εμίσησας ανομίαν, διά τούτο έχρισέ σε ο Θεός ο Θεός σου, έλαιον αγαλλιάσεως παρά τούς μετόχους σου.
- καί, Σύ κατ' αρχάς, Κύριε, τήν γήν εθεμελίωσας, καί έργα τών χειρών σού εισιν οι ουρανοί,
- αυτοί απολούνται, σύ δέ διαμένεις, καί πάντες ως ιμάτιον παλαιωθήσονται,
- καί ωσεί περιβόλαιον ελίξεις αυτούς, καί αλλαγήσονται, σύ δέ ο αυτός εί,

καί τά έτη σου ουκ εκλείψουσι.

## Ευαγγέλιον κατά Ματθαίον
(Κεφ. 1,18-25)

- Τού Ιησού Χριστού η γέννησις ούτως ήν, μνηστευθείσης γάρ τής μητρός αυτού Μαρίας τώ Ιωσήφ, πρίν ή συνελθείν αυτούς, ευρέθη εν γαστρί έχουσα εκ Πνεύματος Αγίου.
- Ιωσήφ δέ ο ανήρ αυτής δίκαιος ών, καί μή θέλων αυτήν παραδειγματίσαι, εβουλήθη λάθρα απολύσαι αυτήν.
- ταύτα δέ αυτού ενθυμηθέντος, Ιδού, άγγελος Κυρίου κατ' όναρ εφάνη αυτώ,
- λέγων, Ιωσήφ, υιός Δαβίδ, μή φοβηθής παραλαβείν Μαριάμ τήν γυναίκά σου, τό γάρ εν αυτή γεννηθέν εκ Πνεύματός εστιν Αγίου,
- τέξεται δέ υιόν καί καλέσεις τό όνομα αυτού Ιησούν, αυτός γάρ σώσει τόν λαόν αυτού από τών αμαρτιών αυτών.
- τούτο δέ όλον γέγονεν, ίνα πληρωθή τό ρηθέν υπό τού Κυρίου διά τού προφήτου λέγοντος,
- Ιδού, η παρθένος εν γαστρί έξει καί τέξεται υιόν, καί καλέσουσι τό όνομα αυτού Εμμανουήλ, ό εστι μεθερμηνευόμενον, Μεθ' ημών ο Θεός.
- διεγερθείς δέ ο Ιωσήφ από τού ύπνου εποίησεν ως προσέταξεν αυτώ ο άγγελος Κυρίου, καί παρέλαβε τήν γυναίκα αυτού,
- καί ουκ εγίνωσκεν αυτήν έως ου έτεκε τόν υιόν αυτής τόν πρωτότοκον. καί εκάλεσε τό όνομα αυτού ΙΗΣΟΥΝ.

## Μετά ταύτα λέγει ο Αναγνώστης

- Τά διαβήματά μου κατεύθυνον κατά τό λόγιόν σου, καί μή κατακυριευσάτω μου πάσα ανομία.
- Λύτρωσαί με από συκοφαντίας ανθρώπων, καί φυλάξω τάς εντολάς σου.
- Τό πρόσωπόν σου επίφανον επί τόν δούλόν σου, καί δίδαξόν με τά δικαιώματά σου.
- Πληρωθήτω τό στόμα μου αινέσεώς σου, Κύριε, όπως υμνήσω τήν δόξαν σου, όλην τήν ημέραν τήν μεγαλοποέπειάν σου.

## Τό Τρισάγιον

Παναγία Τριάς. Πάτερ ημών

## Είτα τό Κοντάκιον

Η παρθένος σήμερον, τόν προαιώνιον Λόγον, εν σπηλαίω έρχεται, αποτεκείν απορρήτως. Χόρευε η οικουμένη ακουτισθείσα. δόξασον μετά Αγγέλων καί τών Ποιμένων, βουληθέντα εποφθήναι, παιδίον νέον, τόν πρό αιώνων Θεόν.

Τό, Κύριε ελέησον μ'. Ο εν παντί καιρώ...

Δόξα... Καί νύν... Τήν Τιμιωτέραν... Εν ονόματι Κυρίου... Ο Θεός

οικτειρήσαι ημάς...

Καί η Ευχή

Χριστέ, τό φώς τό αληθινόν, τό φωτίζον καί αγιάζον πάντα άνθρωπον ερχόμενον εις τόν κόσμον, σημειωθήτω εφ' ημάς τό φώς τού προσώπου σου, ίνα εν αυτώ οψώμεθα φώς τό απρόσιτον, καί κατεύθυνον τά διαβήματα ημών πρός εργασίαν τών εντολών σου, πρεσβείαις τής παναχράντου σου Μητρός, καί πάντων σου τών αγίων. Αμήν.

## ΩΡΑ ΤΡΙΤΗ

Τό, Τρισάγιον. Παναγία Τριάς. Πάτερ ημών.

Τό, Κύριε ελέησον, ιβ'. Τό, Δεύτε προσκυνήσωμεν, γ'. Είτα τούς εφεξής τρείς ψαλμούς.

### Ψαλμός ΞΣΤ' (66)

- Ο Θεός οικτιρήσαι ημάς καί ευλογήσαι ημάς επιφάναι τό πρόσωπον αυτού εφ' ημάς διάψαλμα τού γνώναι εν τή γή τήν οδόν σου εν πάσιν έθνεσιν τό σωτήριόν σου
- εξομολογησάσθωσάν σοι λαοί ο Θεός εξομολογησάσθωσάν σοι λαοί πάντες
- ευφρανθήτωσαν καί αγαλλιάσθωσαν έθνη ότι κρινείς λαούς εν ευθύτητι καί έθνη εν τή γή οδηγήσεις διάψαλμα
- εξομολογησάσθωσάν σοι λαοί ο Θεός εξομολογησάσθωσάν σοι λαοί πάντες
- γή έδωκεν τόν καρπόν αυτής ευλογήσαι ημάς ο Θεός ο Θεός ημών
- ευλογήσαι ημάς ο Θεός καί φοβηθήτωσαν αυτόν πάντα τά πέρατα τής γής

### Ψαλμός ΠΣΤ' (86)

- Οι θεμέλιοι αυτού εν τοίς όρεσιν τοίς αγίοις
- αγαπά κύριος τάς πύλας Σιων υπέρ πάντα τά σκηνώματα Ιακώβ
- δεδοξασμένα ελαλήθη περί σού η πόλις τού Θεού διάψαλμα
- μνησθήσομαι Ρααβ καί Βαβυλώνος τοίς γινώσκουσίν με καί ιδού αλλόφυλοι καί Τύρος καί λαός Αιθιόπων ουτοι εγενήθησαν εκεί
- μήτηρ Σιων ερεί άνθρωπος καί άνθρωπος εγενήθη εν αυτή καί αυτός εθεμελίωσεν αυτήν ο ύψιστος
- κύριος διηγήσεται εν γραφή λαών καί αρχόντων τούτων τών γεγενημένων εν αυτή διάψαλμα
- ως ευφραινομένων πάντων η κατοικία εν σοί

### Ψαλμός Ν' (50)

- Ελέησόν με ο Θεός κατά τό μέγα ελεός σου καί κατά τό πλήθος των οικτιρμών σου εξάλειψον τό ανόμημά μου

- επί πλείον πλύνόν με από τής ανομίας μου καί από τής αμαρτίας μου καθάρισόν με
- ότι τήν ανομίαν μου εγώ γινώσκω καί η αμαρτία μου ενώπιόν μού εστιν διά παντός
- σοί μόνω ήμαρτον καί τό πονηρόν ενώπιόν σου εποίησα όπως άν δικαιωθής εν τοίς λόγοις σου καί νικήσης εν τώ κρίνεσθαί σε
- ιδού γάρ εν ανομίαις συνελήμφθην καί εν αμαρτίαις εκίσσησέν με η μήτηρ μου
- ιδού γάρ αλήθειαν ηγάπησας τά άδηλα καί τά κρύφια τής σοφίας σου εδήλωσάς μοι
- ραντιείς με υσσώπω καί καθαρισθήσομαι πλυνείς με καί υπέρ χιόνα λευκανθήσομαι
- ακουτιείς με αγαλλίασιν καί ευφροσύνην αγαλλιάσονται οστά τεταπεινωμένα
- απόστρεψον τό πρόσωπόν σου από τών αμαρτιών μου καί πάσας τάς ανομίας μου εξάλειψον
- καρδίαν καθαράν κτίσον εν εμοί ο Θεός καί πνεύμα ευθές εγκαίνισον εν τοίς εγκάτοις μου
- μή απορρίψης με από τού προσώπου σου καί τό πνεύμα τό άγιόν σου μή αντανέλης απ' εμού
- απόδος μοι τήν αγαλλίασιν τού σωτηρίου σου καί πνεύματι ηγεμονικώ στήρισόν με
- διδάξω ανόμους τάς οδούς σου καί ασεβείς επί σέ επιστρέψουσιν
- ρύσαί με εξ αιμάτων ο Θεός ο Θεός τής σωτηρίας μου αγαλλιάσεται η γλώσσά μου τήν δικαιοσύνην σου
- κύριε τά χείλη μου ανοίξεις καί τό στόμα μου αναγγελεί τήν αίνεσίν σου
- ότι ει ηθέλησας θυσίαν έδωκα άν ολοκαυτώματα ουκ ευδοκήσεις
- θυσία τώ Θεώ πνεύμα συντετριμμένον καρδίαν συντετριμμένην καί τεταπεινωμένην ο Θεός ουκ εξουθενώσει
- αγάθυνον κύριε εν τή ευδοκία σου τήν Σιων καί οικοδομηθήτω τά τείχη Ιερουσαλημ
- τότε ευδοκήσεις θυσίαν δικαιοσύνης αναφοράν καί ολοκαυτώματα τότε ανοίσουσιν επί τό θυσιαστήριόν σου μόσχους

Δόξα... Καί νύν... Αλληλούϊα, γ'
Κύριε ελέησον, γ'
Είτα, Δόξα... καί τό Τροπάριον

Απεγράφετο ποτέ, σύν τώ πρεσβύτη Ιωσήφ, ως εκ σπέρματος Δαυϊδ, εν Βηθλεέμ η Μαριάμ, κυοφορούσα τήν άσπορον κυοφορίαν. Επέστη δέ καιρός ο τής γεννήσεως, καί τόπος ήν ουδείς τώ καταλύματι. αλλ' ως τερπνόν παλάτιον, τό Σπήλαιον τή Βασιλίδι εδείκνυτο. Χριστός γεννάται, τήν πρίν πεσούσαν,αναστήσων εικόνα.

Καί νύν... Θεοτοκίον

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής. Σέ

ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Είτα ψάλλομεν τά παρόντα Ιδιόμελα. Ήχος πλ. β'

Ούτος ο Θεός ημών, ού λογισθήσεται έτερος πρός αύτόν, ο τεχθείς εκ Παρθένου, καί τοίς ανθρώποις συναναστραφείς. Φάτνη πενιχρά Υιός μονογενής, κείμενος οράται βροτός, καί σπαργάνοις πλέκεται, ό τής δόξης Κύριος, καί Μάγους αστήρ μηνύει, είς αυτού προσκύνησιν, καί ημείς μελωδούμεν. Τριάς Αγία, σώσον τάς ψυχάς ημών.

Δίς, άνευ Στίχου.

Στίχ. Ο Θεός από θαιμάν ήξει καί ο άγιος εξ όρους κατασκίου δασέος.

Ήχος πλ. δ'

Πρό τής Γεννήσεως τής σής, τρόμω ορώσαι τό μυστήριον Κύριε, αι νοεραί στρατιαί κατεπλήττοντο, ως γάρ βρέφος νηπιάσαι ηὐδόκησας, ο τόν πόλον κοσμήσας τοίς άστροις, καί φάτνη τών αλόγων ανακέκλισαι, ο δρακί συνέχων πάντα γής τά πέρατα, τοιαύτη γάρ οικονομία, εγνώσθη σου η ευσπλαγχνία. Χριστέ, τό μέγα έλεος, δόξα σοι.

Στίχ. Κύριε εισακήκοα τήν ακοήν σου καί εφοβήθνη κατενόησα τά έργα σου.

Πάλιν τό αυτό

Είτα Δόξα... Ήχος γ'

Ιωσήφ, ειπέ ημίν, πώς εκ τών αγίων ήν παρέλαβες Κόρην, έγκυον φέρεις εν Βηθλεέμ; Εγώ φησι, τούς Προφήτας ερευνήσας, καί χρηματισθείς υπό Αγγέλου, πέπεισμαι, ότι Θεόν γεννήσει η Μαρία ανερμηνεύτως, ού εις προσκύνησιν, Μάγοι εξ Ανατολών ήξουσι, σύν δώροις τιμίοις λατρεύοντες. Ο σαρκωθείς δι' ημάς, Κύριε, δόξα σοι.

Καί νύν... Πάλιν τό αυτό

Καί ευθύς τό προκείμενον τής Προφητείας  Ήχος δ'

Ότι παιδίον εγεννήθη ημίν, Υιός καί εδόθη ημίν.
Στίχ. Ού η αρχή εγενήθη επί τού ώμου αυτού.

Προφητείας Ιερεμίου τό Ανάγνωσμα
(Βαρούχ 3,36-38 & 4,1-4)

- Ούτος ο Θεός ημών ου λογισθήσεται έτερος πρός αυτόν
- εξεύρεν πάσαν οδόν επιστήμης καί έδωκεν αυτήν Ιακώβ τώ παιδί αυτού καί Ισραήλ τώ ηγαπημένω υπ' αυτού
- μετά τούτο επί τής γής ώφθη καί εν τοίς ανθρώποις συνανεστράφη

- αύτη η βίβλος τών προσταγμάτων τού Θεού καί ο νόμος ο υπάρχων εις τόν αιώνα πάντες οι κρατούντες αυτής εις ζωήν οι δέ καταλείποντες αυτήν αποθανούνται
- επιστρέφου Ιακώβ καί επιλαβού αυτής διόδευσον πρός τήν λάμψιν κατέναντι τού Φωτός αυτής
- μή δώς ετέρω τήν δόξαν σου καί τά συμφέροντά σοι έθνει αλλοτρίω
- μακάριοί εσμεν Ισραήλ ότι τά αρεστά τώ Θεώ ημίν γνωστά εστιν

## Ο Απόστολος

### Πρός Γαλάτας επιστολής Παύλου<br>τό Αναγνωσμα (Κεφ. 3,23-29)

- Αδελφοί, πρό τού ελθείν τήν πίστιν, υπό νόμον εφρουρούμεθα συγκλειόμενοι εις τήν μέλλουσαν πίστιν αποκαλυφθήναι.
- ώστε ο νόμος παιδαγωγός ημών γέγονεν εις Χριστόν, ίνα εκ πίστεως δικαιωθώμεν,
- ελθούσης δέ τής πίστεως, ουκέτι υπό παιδαγωγόν εσμεν.
- πάντες γάρ υιοί Θεού εστε διά τής πίστεως εν Χριστώ Ιησού.
- όσοι γάρ εις Χριστόν εβαπτίσθητε, Χριστόν ενεδύσασθε,
- ουκ ένι Ιουδαίος ουδέ Έλλην, ουκ ένι δούλος ουδέ ελεύθερος, ουκ ένι άρσεν καί θήλυ. πάντες γάρ υμείς εις εστε εν Χριστώ Ιησού.
- εί δέ υμείς Χριστού, άρα τού Αβραάμ σπέρμα εστέ, καί κατ' επαγγελίαν κληρονόμοι.

### Ευαγγέλιον κατά Λουκάν.<br>(Κεφ. 2,1-20)

- Εν ταίς ημέραις εκείναις, εξήλθε δόγμα παρά Καίσαρος Αυγούστου, απογράφεσθαι πάσαν τήν οικουμένην.
- αύτη η απογραφή πρώτη εγένετο ηγεμονεύοντος τής Συρίας Κυρηνίου.
- καί επορεύοντο πάντες απογράφεσθαι, έκαστος εις τήν ιδίαν πόλιν.
- ανέβη δέ καί Ιωσήφ από τής Γαλιλαίας, εκ πόλεως Ναζαρέθ, εις τήν Ιουδαίαν, εις πόλιν Δαβίδ, ήτις καλείται Βηθλεέμ, διά τό είναι αυτόν εξ οίκου καί πατριάς Δαβίδ,
- απογράψασθαι σύν Μαριάμ τή μεμνηστευμένη αυτώ γυναικί, ούση εγκύω.
- εγένετο δέ εν τώ είναι αυτούς εκεί, επλήσθησαν αι ημέραι τού τεκείν αυτήν,
- καί έτεκε τόν υιόν αυτής τόν πρωτότοκον, καί εσπαργάνωσεν αυτόν, καί ανέκλινεν αυτόν εν τή φάτνη, διότι ουκ ήν αυτοίς τόπος εν τώ καταλύματι.
- Καί ποιμένες ήσαν εν τή χώρα τή αυτή αγραυλούντες καί Φυλάσσοντες φυλακάς τής νυκτός επί τήν ποίμνην αυτών.
- καί ιδού άγγελος Κυρίου επέστη αυτοίς, καί δόξα Κυρίου περιέλαμψεν αυτούς.
- καί εφοβήθησαν φόβον μέγαν.
- καί είπεν αυτοίς ο άγγελος, Μή φοβείσθε, ιδού γάρ, ευαγγελίζομαι υμίν

χαράν μεγάλην, ήτις έσται παντί τώ λαώ.

- ότι ετέχθη υμίν σήμερον Σωτήρ, ός εστι Χριστός Κύριος, εν πόλει Δαβίδ.
- καί τούτο υμίν τό σημείον, ευρήσετε βρέφος εσπαργανωμένον, κείμενον εν τή φάτνη .
- καί εξαίφνης εγένετο σύν τώ αγγέλω πλήθος στρατιάς ουρανίου, αινούντων τόν Θεόν, καί λεγόντων,
- Δόξα εν υψίστοις Θεώ, καί επί γής ειρήνη, εν ανθρώποις ευδοκία.
- Καί εγένετο ως απήλθον απ' αυτών εις τόν ουρανόν οι άγγελοι, καί οι άνθρωποι οι ποιμένες εί πον πρός αλλήλους, Διέλθωμεν δή έως Βηθλεέμ, καί ίδωμεν τό ρήμα τούτο τό γεγονός ό ο Κύριος εγνώρισεν ημίν.
- καί ήλθον σπεύσαντες, καί ανεύρον, τήν τε Μαριάμ καί τόν Ιωσήφ, καί τό βρέφος κείμενον εν τή φατνη.
- ιδόντες δέ διεγνώρισαν περί τού ρήματος τού λαληθέντος αυτοίς περί τού παιδίου τούτου.
- καί πάντες οι ακούσαντες εθαύμασαν περί τών λαληθέντων υπό τών Ποιμένων πρός αυτούς,
- η δέ Μαριάμ πάντα συνετήρει τά ρήματα ταύτα, συμβάλλουσα εν τή καρδία αυτής.
- καί επέστρεψαν οι ποιμένες, δοξάζοντες καί αινούντες τόν Θεόν επί πάσιν οις ήκουσαν καί είδον, καθώς ελαλήθη πρός αυτούς.

Μετά ταύτα λέγει ο Αναγνώστης

Κύριος ο Θεός ευλογητός, ευλογητός Κύριος ημέραν καθ' ημέραν. κατευοδώσαι ημίν ό Θεός τών σωτηρίων ημών, ο Θεός ημών, ο Θεός τού σώζειν.

Τό Τρισάγιον

Παναγία Τριάς. Πάτερ ημών

Είτα τό Κοντάκιον

Η Παρθένος σήμερον, τόν προαιώνιον Λόγον, εν Σπηλαίω έρχεται, αποτεκείν απορρήτως . Χόρευε η οικουμένη ακουτισθείσα. δόξασον μετά Αγγέλων καί τών Ποιμένων, βουληθέντα εποφθήναι, παιδίον νέον, τόν πρό αιώνων Θεόν.

Τό, Κύριε ελέησον μ'. Ο εν παντί καιρώ...

Δόξα... Καί νύν... Τήν Τιμιωτέραν... Εν ονόματι Κυρίου... Ο Θεός οικτειρήσαι ημάς...

Καί η Ευχή

Δέσποτα Θεέ, Πάτερ Παντοκράτορ, Κύριε, Υιέ μονογενές, Ιησού Χριστέ, καί Άγιον Πνεύμα, μία Θεότης, μία Δύναμις, ελέησόν με τόν αμαρτωλον. καί οίς επίστασαι κρίμασι, σώσόν με τόν ανάξιον δούλόν σου, ότι ευλογητός εί εις

τούς αιώνας τών αιώνων. Αμήν.

## ΩΡΑ ΕΚΤΗ

Επισυνάπτομεν καί τήν Έκτην Ώραν, λέγοντες ευθύς . Δεύτε προσκυνήσωμεν, τρίς. Είτα τούς Ψαλμούς.

### Ψαλμός ΟΑ' (71)

- ο Θεός τό κρίμα σου τώ βασιλεί δός καί τήν δικαιοσύνην σου τώ υιώ τού βασιλέως
- κρίνειν τόν λαόν σου εν δικαιοσύνη καί τούς πτωχούς σου εν κρίσει
- αναλαβέτω τά όρη ειρήνην τώ λαώ σου καί οι βουνοί εν δικαιοσύνη
- κρινεί τούς πτωχούς τού λαού καί σώσει τούς υιούς τών πενήτων καί ταπεινώσει συκοφάντην
- καί συμπαραμενεί τώ ηλίω καί πρό τής σελήνης γενεάς γενεών
- καί καταβήσεται ως υετός επί πόκον καί ωσεί σταγόνες στάζουσαι επί τήν γήν
- ανατελεί εν ταίς ημέραις αυτού δικαιοσύνη καί πλήθος ειρήνης έως ου ανταναιρεθή η σελήνη
- καί κατακυριεύσει από θαλάσσης έως θαλάσσης καί από ποταμού έως περάτων τής οικουμένης
- ενώπιον αυτού προπεσούνται Αιθίοπες καί οι εχθροί αυτού χούν λείξουσιν
- βασιλείς θαρσις καί αί νήσοι δώρα προσοίσουσιν βασιλείς Αράβων καί Σαβα δώρα προσάξουσιν
- καί προσκυνήσουσιν αυτώ πάντες οι βασιλείς πάντα τά έθνη δουλεύσουσιν αυτώ
- ότι ερρύσατο πτωχόν εκ χειρός δυνάστου καί πένητα ώ ουχ υπήρχεν βοηθός
- φείσεται πτωχού καί πένητος καί ψυχάς πενήτων σώσει
- εκ τόκου καί εξ αδικίας λυτρώσεται τάς ψυχάς αυτών καί έντιμον τό όνομα αυτών ενώπιον αυτού
- καί ζήσεται καί δοθήσεται αυτώ εκ τού χρυσίου τής Αραβίας καί προσεύξονται περί αυτού διά παντός όλην τήν ημέραν ευλογήσουσιν αυτόν
- έσται στήριγμα εν τή γή επ' άκρων τών ορέων υπεραρθήσεται υπέρ τόν Λίβανον ο καρπός αυτού καί εξανθήσουσιν εκ πόλεως ωσεί χόρτος τής γής
- έστω τό όνομα αυτού ευλογημένον εις τούς αιώνας πρό τού ηλίου διαμενεί τό όνομα αυτού καί ευλογηθήσονται εν αυτώ πάσαι αι φυλαί τής γής πάντα τά έθνη μακαριούσιν αυτόν
- ευλογητός κύριος ο Θεός ο Θεός Ισραήλ ο ποιών θαυμάσια μόνος
- καί ευλογητόν τό όνομα τής δόξης αυτού εις τόν αιώνα καί εις τόν αιώνα τού αιώνος καί πληρωθήσεται τής δόξης αυτού πάσα η γή γένοι το γένοι το
- εξέλι πον οι ύμνοι Δαυϊδ τού υιού Ιεσσαι

## Ψαλμός ΡΛΑ' (131)

- Μνήσθητι κύριε τού Δαυϊδ καί πάσης τής πραΰτητος αυτού
- ως ώμοσεν τώ κυρίω ηύξατο τώ Θεώ Ιακώβ
- ει εισελεύσομαι εις σκήνωμα οίκου μου ει αναβήσομαι επί κλίνης στρωμνής μου
- ει δώσω ύπνον τοίς οφθαλμοίς μου καί τοίς βλεφάροις μου νυσταγμόν καί ανάπαυσιν τοίς κροτάφοις μου
- έως ου εύρω τόπον τώ κυρίω σκήνωμα τώ Θεώ Ιακώβ
- Ιδού ηκούσαμεν αυτήν εν Εφραθα εύρομεν αυτήν εν τοίς πεδίοις τού δρυμού
- εισελευσόμεθα είς τά σκηνώματα αυτού προσκυνήσομεν εις τόν τόπον ου έστησαν οι πόδες αυτού
- ανάστηθι κύριε είς τήν ανάπαυσίν σου σύ καί η κιβωτός τού αγιασματός σου
- οι Ιερείς σου ενδύσονται δικαιοσύνην καί οι όσιοί σου αγαλλιάσονται
- ένεκεν Δαυϊδ τού δούλου σου μή αποστρέψης τό πρόσωπον τού χριστού σου
- ώμοσεν κύριος τώ Δαυϊδ αλήθειαν καί ου μή αθετήσει αυτήν εκ καρπού τής κοιλίας σου θήσομαι επί τόν θρόνον σου
- εάν φυλάξωνται οι υιοί σου τήν διαθήκην μου καί τά μαρτύριά μου ταύτα ά διδάξω αυτούς καί οι υιοί αυτών έως τού αιώνος καθιούνται επί τού θρόνου σου
- ότι εξελέξατο κύριος τήν Σιων ηρετίσατο αυτήν εις κατοικίαν εαυτώ
- αύτη η κατάπαυσίς μου εις αιώνα αιώνος ώδε κατοικήσω ότι ηρετισάμην αυτήν
- τήν θήραν αυτής ευλογών ευλογήσω τούς πτωχούς αυτής χορτάσω άρτων
- τούς ιερείς αυτής ενδύσω σωτηρίαν καί οι όσιοι αυτής αγαλλιάσει αγαλλιάσονται
- εκεί εξανατελώ κέρας τώ Δαυϊδ ητοίμασα λύχνον τώ χριστώ μου
- τούς εχθρούς αυτού ενδύσω αισχύνην επί δέ αυτόν εξανθήσει τό αγίασμά μου

## Ψαλμός (90)

- ο κατοικών εν βοηθεία τού υψίστου εν σκέπη τού Θεού τού ουρανού αυλισθήσεται
- ερεί τώ κυρίω αντιλήμπτωρ μου εί καί καταφυγή μου ο Θεός μου ελπιώ επ' αυτόν
- ότι αυτός ρύσεταί με εκ παγίδος θηρευτών καί από λόγου ταραχώδους
- εν τοίς μεταφρένοις αυτού επισκιάσει σοι καί υπό τάς πτέρυγας αυτού ελπιείς όπλω κυκλώσει σε η αλήθεια αυτού
- ου φοβηθήση από φόβου νυκτερινού από βέλους πετομένου ημέρας
- από πράγματος διαπορευομένου εν σκότει από συμπτώματος καί

δαιμονίου μεσημβρινού
- πεσείται εκ τού κλίτους σου χιλιάς καί μυριάς εκ δεξιών σου πρός σέ δέ ουκ εγγιεί
- πλήν τοίς οφθαλμοίς σου κατανοήσεις καί ανταπόδοσιν αμαρτωλών όψη
- ότι σύ κύριε η ελπίς μου τόν ύψιστον έθου καταφυγήν σου
- ου προσελεύσεται πρός σέ κακά καί μάστιξ ουκ εγγιεί τώ σκηνώματί σου
- ότι τοίς αγγέλοις αυτού εντελείται περί σού τού διαφυλάξαι σε εν πάσαις ταίς οδοίς σου
- επί χειρών αρούσίν σε μήποτε προσκόψης πρός λίθον τόν πόδα σου
- επ' ασπίδα καί βασιλίσκον επιβήση καί καταπατήσεις λέοντα καί δράκοντα
- ότι επ' εμέ ήλπισεν καί ρύσομαι αυτόν σκεπάσω αυτόν ότι έγνω τό όνομά μου επικαλέσεταί με καί εισακούσομαι αυτού μετ' αυτού ειμι εν θλίψει καί εξελούμαι καί δοξάσω αυτόν
- μακρότητα ημερών εμπλήσω αυτόν καί δείξω αυτώ τό σωτήριόν μου

Δόξα... Καί νύν... Αλληλούϊα, γ'
Κύριε ελέησον, γ'
Είτα, Δόξα... καί τό Τροπάριον

Απεγράφετο ποτέ, σύν τώ πρεσβύτη Ιωσήφ, ως εκ σπέρματος Δαυϊδ, εν Βηθλεέμ η Μαριάμ, κυοφορούσα τήν άσπορον κυοφορίαν. Επέστη δέ καιρός ο τής γεννήσεως, καί τόπος ήν ουδείς τώ καταλύματι. αλλ' ως τερπνόν παλάτιον, τό Σπήλαιον τή Βασιλίδι εδείκνυτο. Χριστός γεννάται, τήν πρίν πεσούσαν,αναστήσων εικόνα.

Καί νύν... Θεοτοκίον

Ότι ούκ έχομεν παρρησίαν διά τά πολλά ημών αμαρτήματα, σύ τόν εκ σού γεννηθέντα δυσώπησον, Θεοτόκε Παρθένε. πολλά γάρ ισχύει δέησις Μητρός πρός ευμένειαν Δεσπότου. Μή παρίδης αμαρτωλών ικεσίας η πάνσεμνος, ότι ελεήμων εστί, καί σώζειν δυνάμενος, ο καί παθείν υπέρ ημών καταδεξάμενος.

Είτα ψάλλομεν τά πορoντα Ιδιόμελα
Ήχος α'

Δεύτε πιστοί επαρθώμεν ενθέως, καί κατίδωμεν συγκατάβασιν θεϊκήν άνωθεν, εν Βηθλεέμ πρός ημάς εμφανώς, καί νούν καθαρθέντες, τώ βίω προσενέγκωμεν, αρετάς αντί μύρου, προευτρεπίζοντες πιστώς, τών Γενεθλίων τάς εισόδους, επί τών ψυχικών θησαυρισμάτων, κράζοντες. Εν υψίστοις δόξα, Θεώ τώ εν Τριάδι, δι' ού εν ανθρώποις ευδοκία επεφάνη, τόν Αδάμ εκλυτρώσασθαι, τής αρχεγόνου αράς ως Φιλάνθρωπος.

Δίς, άνευ Στίχου.

Στίχ. Ο Θεός από θαιμάν ήξει καί ο άγιος εξ όρους κατασκίου δασέος.

Ήχος δ'

Άκουε ουρανέ, καί ενωτίζου η γή, σαλευθήτω τά θεμέλια, επιλαβέτω τρόμος

τά καταχθονια, ότι ο Θεός τε καί Κτίστης, σαρκός εισέδυ πλάσιν. καί ο κραταιά κτίσας χειρί τήν κτίσιν, σπλάγχνον οράται πλάσματος. Ώ βάθος πλούτου, καί σοφίας καί γνώσεως Θεού! ως ανεξερεύνητα τά κρίματα αυτού, καί ανεξιχνίαστοι αι οδοί αυτού.

Στίχ. Κύριε εισακήκοα τήν ακοήν σου καί εφοβήθνη κατενόησα τά έργα σου.

Πάλιν τό αυτό

Είτα. Δοξα... Ήχος πλ. α'

Δεύτε χριστοφόροι λαοί κατίδωμεν, θαύμα πάσαν έννοιαν, εκπλήττον καί συνέχον καί ευσεβώς προσκυνούντες, πίστει ανυμνήσωμεν. Σήμερον πρός Βηθλεέμ, εγκυμονούσα Κόρη παραγίνεται, τού γεννήσαι τόν Κύριον, χοροί δέ, Αγγέλων προτρέχουσι. Καί ταύτα βλέπων εβόα, Ιωσήφ ο Μνήστωρ, Τί το εν σοί ξένον μυστήριον Παρθένε; καί πώς μέλλεις λοχεύσαι, η απειρόζυγος Δάμαλις;

Καί νύν... πάλιν τό αυτό.

Καί ευθύς, Προκείμενον τής Προφητείας Ήχος πλ. δ'

Εκ γαστρός πρό Εωσφόρου εγέννησά σε.
Στίχ. Είπεν ο Κύριος τώ Κυρίω μου. Κάθου εκ δεξιών μου.

Προφητείας Ησαίου τό Ανάγνωσμα
(Κεφ. 7,10-16, & 8,1-4, 8-10)

- Προσέθετο κύριος λαλήσαι τώ Αχαζ λέγων
- αιτησαι σεαυτώ σημείον παρά κυρίου Θεού σου εις βάθος ή εις ύψος
- καί είπεν Αχαζ ου μή αιτήσω ουδ' ου μή πείρασω κύριον
- καί εί πεν ακούσατε δή οίκος Δαυϊδ μή μικρόν υμίν αγώνα παρέχειν ανθρώποις καί πώς κυρίω παρέχετε αγώνα
- διά τούτο δώσει κύριος αυτός υμίν σημείον ιδού η παρθένος εν γαστρί έξει καί τέξεται υιόν καί καλέσεις τό όνομα αυτού Εμμανουήλ
- βούτυρον καί μέλι φάγεται πρίν ή γνώναι αυτόν ή προελέσθαι πονηρά εκλέξεται τό αγαθόν
- διότι πρίν ή γνώναι τό παιδίον αγαθόν ή κακόν απειθεί πονηρία τού εκλέξασθαι τό αγαθόν καί καταλειφθήσεται η γή ην σύ φοβή από προσώπου τών δύο βασιλέων
- καί είπεν κύριος πρός με λαβέ σεαυτώ τόμον καινού μεγάλου καί γράψον εις αυτόν γραφίδι ανθρώπου τού οξέως προνομήν ποιήσαι σκύλων πάρεστιν γαρ
- καί μαρτυράς μοι ποίησον πιστούς ανθρώπους τόν Ουριαν καί τόν Ζαχαριαν υιόν Βαραχιου
- καί προσήλθον πρός τήν προφήτιν καί εν γαστρί έλαβεν καί έτεκεν υιόν καί είπεν κύριός μοι κάλεσον τό όνομα αυτού ταχέως σκύλευσον οξέως

προνόμευσον

- διότι πρίν ή γνώναι τό παιδίον καλείν πατέρα ή μητέρα λήμψεται δύναμιν Δαμασκού καί τά σκύλα Σαμαρείας έναντι βασιλέως Ασσυρίων
- καί αφελεί από τής Ιουδαίας άνθρωπον ός δυνήσεται κεφαλήν άραι ή δυνατόν συντελέσασθαί τι καί έσται η παρεμβολή αυτού ώστε πληρώσαι τό πλάτος τής χώρας σου μεθ' ημών ο Θεός
- γνώτε έθνη καί ηττάσθε επακούσατε έως εσχάτου τής γής ισχυκότες ηττάσθε εάν γάρ πάλιν ισχύσητε πάλιν ηττηθήσεσθε
- καί ήν άν βουλεύσησθε βουλήν διασκεδάσει κύριος καί λόγον όν εάν λαλήσητε ου μή εμμείνη υμίν ότι μεθ' ημών κύριος ο Θεός

## Ο Απόστολος

## Πρός Εβραίους Επιστολής Παύλου
## τό Ανάγνωσμα (Κεφ.1,10-14 & 2,1-3)

- Κατ' αρχάς σύ, Κύριε, τήν γήν εθεμελίωσας, καί έργα τών χειρών σού εισιν οι ουρανοί,
- αυτοί απολούνται, σύ δέ διαμένεις, καί πάντες ως ιμάτιον παλαιωθήσονται,
- καί ωσεί περιβόλαιον ελίξεις αυτούς, καί αλλαγήσονται, σύ δέ ο αυτός εί, καί τά έτη σου ουκ εκλείψουσι.
- πρός τίνα δέ τών αγγέλων είρηκέ ποτε, Κάθου εκ δεξιών μου, έως άν θώ τούς εχθρούς σου υποπόδιον τών ποδών σου;
- ουχί πάντες εισί λειτουργικά πνεύματα εις διακονίαν αποστελλόμενα διά τούς μέλλοντας κληρονομείν σωτηρίαν.
- Διά τούτο δεί περισσοτέρως ημάς προσέχειν τοίς ακουσθείσι, μή ποτε παραρρυώμεν.
- ει γάρ ο δι, αγγέλων λαληθείς λόγος εγένετο βέβαιος, καί πάσα παράβασις καί παρακοή έλαβεν ένδικον μισθαποδοσίαν,
- πώς ημείς εκφευξόμεθα τηλικαύτης αμελήσαντες σωτηρίας; ήτις, αρχήν λαβούσα λαλείσθαι διά τού Κυρίου, υπό τών ακουσάντων εις ημάς εβεβαιώθη,

## Ευαγγέλιον κατά Ματθαίον
## (Κεφ. 2,1-12)

- Τού Ιησού γεννηθέντος εν Βηθλεέμ τής Ιουδαίας, εν ημέραις Ηρώδου τού βασιλέως, Ιδού, μάγοι από ανατολών παρεγένοντο εις Ιεροσόλυμα,
- λέγοντες, Πού εστιν ο τεχθείς βασιλεύς τών Ιουδαίων, είδομεν γάρ αυτού τόν, αστέρα εν τή ανατολή, καί ήλθομεν προσκυνήσαι αυτώ.
- ακούσας δέ Ηρώδης ο βασιλεύς εταράχθη, καί πάσα Ιεροσόλυμα μετ' αυτού.
- καί συναγαγών πάντας τούς αρχιερείς καί γραμματείς τού λαού, επυνθάνετο παρ' αυτών πού ο Χριστός γεννάται.
- οι δέ είπον αυτώ, Εν Βηθλεέμ τής Ιουδαίας, ούτω γάρ γέγραπται διά τού προφήτου,

- Καί σύ, Βηθλεέμ γή Ιούδα, ουδαμώς ελαχίστη εί εν τοίς ηγεμόσιν Ιούδα, εκ σού γάρ εξελεύσεται ηγούμενος, όστις ποιμανεί τόν λαόν μου τόν Ισραήλ.
- τότε Ηρώδης, λάθρα καλέσας τούς μάγους, ηκρίβωσε παρ' αυτών τόν χρόνον τού φαινομένου αστέρος.
- καί πέμψας αυτούς εις Βηθλεέμ είπε, Πορευθέντες ακριβώς εξετάσατε περί τού παιδίου, επάν δέ εύρητε, απαγγείλατέ μοι, όπως καγώ ελθών προσκυνήσω αυτώ.
- οι δέ ακούσαντες τού βασιλέως επορεύθησαν, καί ιδού, ο αστήρ, όν είδον εν τή ανατολή, προήγεν αυτούς, έως ελθών έστη επάνω ου ήν τό παιδίον.
- ιδόντες δέ τόν αστέρα εχάρησαν χαράν μεγάλην σφόδρα.
- καί ελθόντες εις τήν οικίαν, είδον τό παιδίον μετά Μαρίας τής μητρός αυτού, καί πεσόντες προσεκύνησαν αυτώ, καί ανοίξαντες τούς θησαυρούς αυτών προσήνεγκαν αυτώ δώρα, χρυσόν καί λίβανον καί σμύρναν.
- καί χρηματισθέντες κατ' όναρ μή ανακάμψαι πρός Ηρώδην, δι' άλλης οδού ανεχώρησαν εις τήν χώραν αυτών.

Είτα λέγει ό Αναγνώστης

Ταχύ προκαταλαβέτωσαν ημάς οι οικτιρμοί σου, Κύριε, ότι επτωχεύσαμεν σφόδρα. βοήθησον ημίν, ο Θεός,ο Σωτήρ ημών, ένεκεν τής δόξης τού ονόματός σου. Κύριε, ρύσαι ημάς, καί ιλάσθητι ταίς αμαρτίαις ημών, ένεκεν τού ονοματός σου.

Τό Τρισάγιον

Παναγία Τριάς. Πάτερ ημών

Είτα τό Κοντάκιον

Η Παρθένος σήμερον, τόν Προαιώνιον Λόγον, εν Σπηλαίω έρχεται, αποτεκείν απορρήτως. Χόρευε η οικουμένη ακουτισθείσα, δόξασον μετά Αγγέλων καί τών Ποιμένων, βουληθέντα εποφθήναι, παιδίον νέον, τόν πρό αιώνων Θεόν.

Τό, Κύριε ελέησον μ'. Ο εν παντί καιρώ...

Δόξα... Καί νύν... Τήν Τιμιωτέραν... Εν ονόματι Κυρίου... Ο Θεός οικτειρήσαι ημάς...

Καί η Ευχή

Θεέ, καί Κύριε τών δυνάμεων καί πάσης κτίσεως Δημιουργέ, ο διά σπλάγχνα ανεικάστου ελέους σου τόν μονογενή σου Υιόν, τόν Κύριον ημών Ιησούν Χριστόν, καταπέμψας επί σωτηρία τού γένους ημών, καί διά τού τιμίου αυτού Σταυρού τό χειρόγραφον τών αμαρτιών ημών διαρρήξας, καί θριαμβεύσας εν αυτώ τάς αρχάς καί εξουσίας τού σκότους. Αυτός Δέσποτα φιλάνθρωπε, πρόσδεξαι καί ημών τών αμαρτωλών τάς ευχαριστηρίους ταύτας, καί ικετηρίους εντεύξεις, καί ρύσαι ημάς από παντός ολεθρίου καί σκοτεινού παραπτώματος, καί πάντων τών κακώσαι ημάς ζητούντων ορατών καί

αοράτων εχθρών. Καθήλωσον εκ τού φόβου σου τάς σάρκας ημών, καί μή εκκλίνης τάς καρδίας ημών εις λόγους, ή εις λογισμούς πονηρίας. αλλά τώ πόθω σου τρώσον ημών τάς ψυχάς. Ίνα διά παντός πρός σέ ατενίζοντες, καί τώ παρά σού φωτί οδηγούμενοι, σέ τό απρόσιτον και αϊδιον κατοπτεύοντες φώς, ακατάπαυστόν σοι τήν εξομολόγησιν, καί ευχαριστίαν αναπέμπωμεν, τώ ανάρχω Πατρί, σύν τώ μονογενεί σου Υιώ, καί τώ παναγίω καί αγαθώ καί ζωοποιώ σου Πνεύματι, νύν καί αεί, καί εις τούς αιώνας τών αιώνων. Αμήν.

## ΩΡΑ ΕΝΑΤΗ

Τό, Τρισάγιον. Παναγία Τριάς. Πάτερ ημών.

Τό, Κύριε ελέησον, ιβ'. Τό, Δεύτε προσκυνήσωμεν, γ'. Είτα τούς εφεξής τρείς ψαλμούς.

### Ψαλμός ΡΘ' (109)

- Είπεν ο κύριος τώ κυρίω μου κάθου εκ δεξιών μου έως άν θώ τούς εχθρούς σου υποπόδιον τών ποδών σου
- ράβδον δυνάμεώς σου εξαποστελεί κύριος εκ Σιων καί κατακυρίευε εν μέσω τών εχθρών σου
- μετά σού η αρχή εν ημέρα τής δυνάμεώς σου εν ταίς λαμπρότησιν τών αγίων εκ γαστρός πρό εωσφόρου εξεγέννησά σε
- ώμοσεν κύριος καί ου μεταμεληθήσεται σύ ει ιερεύς εις τόν αιώνα κατά τήν τάξιν Μελχισεδεκ
- κύριος εκ δεξιών σου συνέθλασεν εν ημέρα οργής αυτού βασιλείς
- κρινεί εν τοίς έθνεσιν πληρώσει πτώματα συνθλάσει κεφαλάς επί γής πολλών
- εκ χειμάρρου εν οδώ πίεται διά τούτο υψώσει κεφαλήν

### Ψαλμός ΡΙ' (110)

- Εξομολογήσομαί σοι κύριε εν όλη καρδία μου εν βουλή ευθείων καί συναγωγή
- μεγάλα τά έργα κυρίου εξεζητημένα εις πάντα τά θελήματα αυτού
- εξομολόγησις καί μεγαλοπρέπεια τό έργον αυτού καί η δικαιοσύνη αυτού μένει εις τόν αιώνα τού αιώνος
- μνείαν εποιήσατο τών θαυμασίων αυτού ελεήμων καί οικτίρμων ο κύριος
- τροφήν έδωκεν τοίς φοβουμένοις αυτόν μνησθήσεται εις τόν αιώνα διαθήκης αυτού
- ισχύν έργων αυτού ανήγγειλεν τώ λαω αυτού τού δούναι αυτοίς κληρονομίαν εθνών
- έργα χειρών αυτού αλήθεια καί κρίσις πισταί πάσαι αι εντολαί αυτού
- εστηριγμέναι εις τόν αιώνα τού αιώνος πεποιημέναι εν αληθεία καί ευθύτητι
- λύτρωσιν απέστειλεν τώ λαώ αυτού ενετείλατο εις τόν αιώνα διαθήκην αυτού άγιον καί φοβερόν τό όνομα αυτού

- αρχή σοφίας φόβος κυρίου σύνεσις αγαθή πάσι τοίς ποιούσιν αυτήν η αίνεσις αυτού μένει εις τόν αιώνα τού αιώνος

Ψαλμός ΠΕ' (85)

- Κλίνον κύριε τό ούς σου καί επάκουσόν μου ότι πτωχός καί πένης ειμί εγώ
- φύλαξον τήν ψυχήν μου ότι όσιός ειμι σώσον τόν δούλόν σου ο Θεός μου τόν ελπίζοντα επί σέ
- ελέησόν με κύριε ότι πρός σέ κεκράξομαι όλην τήν ημέραν
- εύφρανον τήν ψυχήν τού δούλου σου ότι πρός σέ κύριε ήρα τήν ψυχήν μου
- ότι σύ κύριε χρηστός καί επιεικής καί πολυέλεος πάσι τοίς επικαλουμένοις σε
- ενώτισαι κύριε τήν προσευχήν μου καί πρόσχες τή φωνή τής δεήσεώς μου
- εν ημέρα θλίψεώς μου εκέκραξα πρός σέ ότι εισήκουσάς μου
- ουκ έστιν όμοιός σοι εν θεοίς κύριε καί ουκ έστιν κατά τά έργα σου πάντα τά έθνη όσα εποίησας ήξουσιν καί προσκυνήσουσιν ενώπιόν σου κύριε καί δοξάσουσιν τό όνομά σου
- ότι μέγας εί σύ καί ποιών θαυμάσια σύ εί ο Θεός μόνος ο μέγας
- οδήγησόν με κύριε τή οδώ σου καί πορεύσομαι εν τή αληθεία σου ευφρανθήτω η καρδία μου τού φοβείσθαι τό όνομά σου
- εξομολογήσομαί σοι κύριε ο Θεός μου εν όλη καρδία μου καί δοξάσω τό όνομά σου εις τόν αιώνα
- ότι τό έλεός σου μέγα επ' εμέ καί ερρύσω τήν ψυχήν μου εξ άδου κατωτάτου
- ο Θεός παράνομοι επανέστησαν επ' εμέ καί συναγωγή κραταιών εζήτησαν τήν ψυχήν μου καί ου προέθεντό σε ενώπιον αυτών
- καί σύ κύριε ο Θεός οικτιρμών καί ελεήμων μακρόθυμος καί πολυέλεος καί αληθινός
- επίβλεψον επ' εμέ καί ελέησόν με δός τό κράτος σου τώ παιδί σου καί σώσον τόν υιόν τής παιδίσκης σου
- ποίησον μετ' εμού σημείον εις αγαθόν καί ιδέτωσαν οι μισούντές με καί αισχυνθήτωσαν ότι σύ κύριε εβοήθησάς μοι καί παρεκάλεσάς με

Δόξα... Καί νύν... Αλληλούϊα, γ'

Κύριε ελέησον, γ'

Είτα, Δόξα... καί τό Τροπάριον

Απεγράφετο ποτέ, σύν τώ πρεσβύτη Ιωσήφ, ως εκ σπέρματος Δαυϊδ, εν Βηθλεέμ η Μαριάμ, κυοφορούσα τήν άσπορον κυοφορίαν. Επέστη δέ καιρός ο τής γεννήσεως, καί τόπος ήν ουδείς τώ καταλύματι. αλλ' ως τερπνόν παλάτιον, τό Σπήλαιον τή Βασιλίδι εδείκνυτο. Χριστός γεννάται, τήν πρίν πεσούσαν,αναστήσων εικόνα.

Καί νύν...

Ο δι' ημάς γεννηθείς εκ Παρθένου, καί σταύρωσιν υπομείνας Αγαθέ, ο θανάτω τόν θάνατον σκυλεύσας, καί έγερσιν δείξας ως Θεός, μή παρίδης ούς

έπλασας τή χειρί σου, δείξον τήν φιλανθρωπίαν σου ελεήμον, δέξαι τήν τεκούσάν σε Θεοτόκον, πρεσβεύουσαν υπέρ ημών, καί σώσον, Σωτήρ ημών, λαόν απεγνωσμένον.

Είτα ψάλλομεν τά παρόντα Ιδιόμελα
Ήχος βαρύς

Εξεπλήττετο ο Ηρώδης, ορών τών Μάγων τήν ευσέβειαν, καί τώ θυμώ νικώμενος, τού έτους ηκριβολόγει τό διάστημα. Μητέρες ητεκνούντο, καί η άωρος ηλικία τών βρεφών, πικρώς κατεθερίζετο, μαζοί εξηραίνοντο, καί πόροι γάλακτος συνεστέλλοντο. Μέγα ήν τό δεινόν! διό ευσεβώς πιστοί συνελθοντες, προσκυνήσωμεν τού Χριστού τήν γέννησιν.

Δίς τό αυτό, άνευ Στίχου

Στίχ. Ο Θεός από θαιμάν ήξει καί ο άγιος εξ όρους κατασκίου δασέος.

Ήχος β'

Ότε Ιωσήφ, Παρθένε, λύπη ετιτρώσκετο, πρός Βηθλεέμ απαίρων, εβόας πρός αυτόν. Τ' ορών με έγκυον, στυγνάζεις καί ταράσσεσαι, αγνοών όλως, τό εν εμοί φρικτόν μυστήριον, Λοιπόν απόθου φόβον άπαντα, τό παράδοξον εννοών, Θεός κάτεισι γάρ επί γής δι' έλεον, εν τή εμή μήτρα νύν, καί σάρκα προσελάβετο, όνπερ τικτόμενον, όψει ως ηυδόκησε, καί τής χαράς πλησθείς, προσκυνήσεις ως Κτίστην σου, όν Άγγελοι υμνούσιν απαύστως, καί δοξάζουσι, σύν Πατρί καί Αγίω Πνεύματι.

Στίχ. Κύριε εισακήκοα τήν ακοήν σου καί εφοβήθνη κατενόησα τά έργα σου.

Πάλιν τό αυτό. Είτα, Δόξα... Καί νύν... Ήχος πλ. β'

Ιστέον ότι τό εξής Ιδιόμελον «Σήμερον γεννάται εκ Παρθένου» αναγινώσκεται πρότερον ευλαβώς καί μετά μέλους υπό τού Κανονάρχου εν τώ μέσω τού Ναού. Είτα ψάλλεται μελωδικώτερον υπό τών δύο χορών.

Σήμερον γεννάται εκ Παρθένου, ο δρακί τήν πάσαν έχων κτίσιν (εκ τρίτου).

- Ράκει καθάπερ βροτός σπαργανούται, ο τή ουσία αναφής.
- Θεός εν φάτνη ανακλίνεται, ο στερεώσας τούς ούρανούς πάλαι κατ' αρχάς.
- Εκ μαζών γάλα τρέφεται, ό εν τή ερήμω Μάννα ομβρίσας τώ Λαώ.
- Μάγους προσκαλείται, ο Νυμφίος τής Εκκλησίας
- Δώρα τούτων αίρει, ο Υιός τής Παρθένου.
- Προσκυνούμέν σου τήν Γένναν Χριστέ (εκ γ').
- Δείξον ημίν καί τά θείά σου Θεοφάνεια.

Καί ευθύς τό προκείμενον τής Προφητείας  Ήχος δ'

Μήτηρ Σιων ερεί άνθρωπος, καί άνθρωπος, εγεννήθη εν αυτή.
Στίχ. Οι θεμέλιοι αύτού εν τοίς όρεσι τοίς αγίοις.

## Προφητείας Ησαϊου τό Ανάγνωσμα
## (Κεφ. 9,6-7)

- Παιδίον εγεννήθη ημίν υιός καί εδόθη ημίν ου η αρχή εγενήθη επί τού ώμου αυτού καί καλείται τό όνομα αυτού μεγάλης βουλής άγγελος εγώ γάρ άξω ειρήνην επί τούς άρχοντας ειρήνην καί υγίειαν αυτώ
- μεγάλη η αρχή αυτού καί τής ειρήνης αυτού ουκ έστιν όριον επί τόν θρόνον Δαυϊδ καί τήν βασιλείαν αυτού κατορθώσαι αυτήν καί αντιλαβέσθαι αυτής εν δικαιοσύνη καί εν κρίματι από τού νύν καί εις τόν αιώνα χρόνον ο ζήλος κυρίου σαβαώθ ποιήσει ταύτα

## Ο Απόστολος

## Πρός Εβραίους Επιστολής Παύλου
## τό Ανάγνωσμα (Κεφ. 2,11-18)

- Αδελφοί, αγιάζων καί οι αγιαζόμενοι, εξ ενός παντες, δι' ην αιτίαν ουκ επαισχύνεται αδελφούς αυτούς καλείν,
- λέγων, Απαγγελώ τό όνομά σου τοίς αδελφοίς μου, εν μέσω εκκλησίας υμνήσω σε.
- καί πάλιν, Εγώ έσομαι πεποιθώς επ' αυτώ. καί πάλιν, Ιδού εγώ καί τά παιδία ά μοι έδωκεν ο Θεός.
- επεί ούν τά παιδία κεκοινώνηκε σαρκός καί αίματος, καί αυτός παραπλησίως μετέσχε τών αυτών, ίνα διά τού θανάτου καταργήση τόν τό κράτος έχοντα τού θανάτου, τούτ' έστι τόν διάβολον,
- καί απαλλάξη τούτους, όσοι φόβω θανάτου διά παντός τού ζήν ένοχοι ήσαν δουλείας.
- ου γάρ δήπου αγγέλων επιλαμβανεται, αλλά σπέρματος Αβραάμ επιλαμβάνεται,
- όθεν ώφειλε κατά πάντα τοίς αδελφοίς ομοιωθήναι, ίνα ελεήμων, γένηται καί πιστός αρχιερεύς τά πρός τόν Θεόν, εις τό ιλάσκεσθαι τάς αμαρτίας τού λαού.
- εν ω γάρ πέπονθεν αυτός πειρασθείς, δύναται τοίς πειραζομένοις βοηθήσαι.

## Ευαγγέλιον κατά Ματθαίον
## (Κεφ. 2,13-23)

- Αναχωρησάντων τών Μάγων, ιδού, άγγελος Κυρίου φαίνεται κατ' όναρ τώ Ιωσήφ, λέγων, Εγερθείς παράλαβε τό παιδίον καί τήν μητέρα αυτού, καί φεύγε εις Αίγυπτον, καί ίσθι εκεί έως άν είπω σοι, μέλλει γάρ Ηρώδης ζητείν τό παιδίον, τού απολέσαι αυτό.
- ο δέ εγερθείς παρέλαβε τό παιδίον καί τήν μητέρα αυτού νυκτός καί ανεχώρησεν εις Αίγυπτον,

- καί ήν εκεί έως τής τελευτής Ηρώδου, ίνα πληρωθή τό ρηθέν υπό τού Κυρίου διά τού προφήτου, λέγοντος, εξ Αιγύπτου εκάλεσα τόν υιόν μου.
- τότε Ηρώδης, ιδών ότι ενεπαίχθη υπό τών μαγων, εθυμώθη λίαν, καί αποστείλας ανείλε πάντας τούς παίδας τούς εν Βηθλεέμ καί εν πάσι τοίς ορίοις αυτής, από διετούς καί κατωτέρω, κατά τόν χρόνον όν ηκρίβωσε παρά τών μάγων .
- τότε επληρώθη τό ρηθέν διά Ιερεμίου τού προφήτου, λέγοντος,
- Φωνή εν Ραμά ηκούσθη, θρήνος καί κλαυθμός καί οδυρμός πολύς, Ραχήλ κλαίουσα τά τέκνα αυτής, καί ουκ ήθελε παρακληθήναι, ότι ουκ εισί.
- τελευτήσαντος δέ τού Ηρώδου, ιδού άγγελος Κυρίου κατ' όναρ φαίνεται τώ Ιωσήφ εν Αιγύπτω,
- λέγων, Εγερθείς παράλαβε τό παιδίον καί τήν μητέρα αυτού, καί πορεύου εις γήν Ισραήλ, τεθνήκασι γάρ οι ζητούντες τήν ψυχήν τού παιδίου.
- ο δέ εγερθείς παρέλαβε τό παιδίον καί τήν μητέρα αυτού καί ήλθεν εις γήν Ισραήλ.
- ακούσας δέ ότι Αρχέλαος βασιλεύει επί τής Ιουδαίας αντί Ηρώδου τού πατρός αυτού, εφοβήθη εκεί απελθείν, χρηματισθείς δέ κατ' όναρ, ανεχώρησεν εις τά μέρη τής Γαλιλαίας,
- καί ελθών κατώκησεν εις πόλιν λεγομένην Ναζαρέθ, όπως πληρωθή τό ρηθέν διά τών προφητών ότι Ναζωραίος κληθήσεται.

Μετά ταύτα λέγει ο Αναγνώστης

Μή δή παραδώης ημάς εις τέλος, διά τό όνομά σου τό Άγιον, καί μή διασκεδάσης τήν διαθήκην σου, καί μή αποστήσης τό έλεός σου αφ' ημών, διά Αβραάμ τόν ηγαπημένον υπό σού, καί διά Ισαάκ τόν δούλόν σου καί Ισραήλ τόν Άγιόν σου.

Τό Τρισάγιον

Παναγία Τριάς. Πάτερ ημών

Είτα τό Κοντάκιον

Η Παρθένος σήμερον, τόν Προαιώνιον Λόγον, εν Σπηλαίω έρχεται, αποτεκείν απορρήτως. Χόρευε η οικουμένη ακουτισθείσα, δόξασον μετά Αγγέλων καί τών Ποιμένων, βουληθέντα εποφθήναι, παιδίον νέον, τόν πρό αιώνων Θεόν.

Τό, Κύριε ελέησον μ'. Ο εν παντί καιρώ...

Δόξα... Καί νύν... Τήν Τιμιωτέραν... Εν ονόματι Κυρίου... Ο Θεός οικτειρήσαι ημάς...

Καί η Ευχή

Δέσποτα Κύριε Ιησού Χριστέ, ο Θεός ημών, ο μακροθυμήσας επί τοίς ημών πλημμελήμασι, καί άχρι τής παρούσης ώρας αγαγών ημάς, εν ή επί τού

ζωοποιού ξύλου κοεμάμενος, τώ εθγνώμονι ληστή τήν εις τόν Παράδεισον ωδοποίησας είσοδον, καί θανάτω τόν θάνατον ώλεσας, ιλάσθητι ημίν τοίς ταπεινοίς, καί αμαρτωλοίς καί αναξίοις δούλοις σου. Ημάρτομεν γάρ καί ηνομήσαμεν, καί ουκ εσμέν άξιοι άραι τά όμματα ημών, καί βλέψαι εις τό ύψος τού ουρανού, διότι κατελίπομεν τήν οδόν τής δικαιοσύνης σου καί επορεύθημεν εν τοίς θελήμασι τών καρδιών ημών. Αλλ' ικετεύομεν τήν σήν ανείκαστον αγαθότητα. Φείσαι ημών, Κύριε κατά το πλήθος τού ελέους σου, καί σώσον ημάς διά τό όνομά σου τό Άγιον, ότι εξέλιπον εν ματαιότητι αι ημέραι ημών. Εξελού ημάς τής τού αντικειμένου χειρός,καί άφες ημίν τά αμαρτήματα, καί νέκρωσον τό σαρκικόν ημών φρόνημα, ίνα τόν παλαιόν αποθέμενοι άνθρωπον, τόν νέον ενδυσώμεθα, καί σοί ζήσωμεν τώ ημετέρω Δεσπότη καί κηδεμόνι. Καί ούτω τοίς σοίς ακολουθούντες προστάγμασιν, εις τήν αιώνιον ανάπαυσιν καταντήσωμεν, ένθα πάντων εστί τών ευφραινομένων η κατοικία. Σύ γάρ εί η όντως αληθινή ευφροσύνη καί αγαλλίασις τών αγαπώντων σε, Χριστέ ό Θεός ημών, καί σοί τήν δόξαν αναμπέπομεν, σύν τώ ανάρχω σου Πατρί, καί τώ Παναγίω, καί αγαθώ, καί ζωοποιώ σου Πνεύματι, νύν καί αεί, καί εις τούς αιώνας τών αιώνων. Αμήν.

Είτα τά Τυπικά, χύμα

Ευλόγει η ψυχή μου τόν Κύριον, κ.τ.λ.
Δόξα... Αίνει η ψυχή μου τόν Κύριον, κ.τ.λ.

Καί νύν...

Ο μονογενής Υιός καί Λόγος τού Θεού κ.τ.λ.
Εν τή Βασιλεία σου μνήσθητι ημών Κύριε...

- Μακάριοι οι πτωχοί τώ πνεύματι...
- Μακάριοι οι πενθούντες...
- Μακάριοι οι πραείς...
- Μακάριοι οι πεινώντες...
- Μακάριοι οι ελεήμονες...
- Μακάριοι οι καθαροί τή καρδία...
- Μακάριοι οι ειρηνοποιοί...
- Μακάριοι οι δεδιωγμένοι...
- Μακάριοι εστέ, όταν...
- Χαίρετε καί αγαλλιάσθε...

Δόξα... Καί νύν...

- Μνήσθητι ημών, Κύριε...
- Μνήσθητι ημών, Δέσποτα...
- Μνήσθητι ημών, Άγιε...

Χορός ο επουράνιος υμνεί σε καί λέγει. Άγιος, Άγιος, Άγιος, Κύριος Σαβαώθ, πλήρης ο ουρανός καί η γή τής δόξης σου.
Στίχ. Προσέλθετε πρός αύτόν, καί φωτίσθητε.

Χορός ο επουράνιος υμνεί σε καί λέγει. Άγιος, Άγιος, Άγιος, Κύριος Σαβαώθ, πλήρης ο ουρανός καί η γή τής δόξης σου.

Δόξα...

Χορός Αγίων Αγγέλων καί Αρχαγγέλων, μετά πασών τών επουρανίων Δυνάμεων υμνεί σε καί λέγει. Άγιος, Άγιος, Άγιος, Κύριος Σαβαώθ, πλήρης ο ουρανός καί η γή τής δόξης σου.

Καί νύν...

Πιστεύω εις ένα Θεόν, Πατέρα Παντοκράτορα...

Άνες, άφες, συγχώρησον, ο Θεός, τά παραπτώματα ημών, τα εκούσια καί τά ακούσια, τα εν έργω καί λόγω, τά εν γνώσει καί αγνοία, τα εν νυκτί καί εν ημέρα, τά κατά νούν καί διάνοιαν, τά πάντα ημίν συγχώρησον, ως αγαθός καί φιλανθρωπος.

Πάτερ ημών... Ότι σού εστιν...

Τό Κοντάκιον

Η Παρθένος σήμερον, τόν προαιώνιον Λόγον, εν σπηλαίω έρχεται, αποτεκείν απορρήτως. Χόρευε η οικουμένη ακουτισθείσα, δόξασον μετά Αγγέλων καί τών Ποιμένων, βουληθέντα εποφθήναι, παιδίον νέον, τόν πρό αιώνων Θεον.

Τό, Κύριε ελέησον, ιβ'. Είη τό όνομα Κυρίου ευλογημένον, εκ γ'. Δόξα... Καί νύν... Τό, Ευλογήσω τόν Κύριον...

Καί Απόλυσις

---

Αρχή

**ΤΗ ΚΕ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Η κατά Σάρκα Γέννησις τού Κυρίου καί Θεού καί Σωτήρος ημών Ιησού Χριστού.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Ιδιόμελα.

Ήχος β' Γερμανού

Δεύτε αγαλλιασώμεθα τώ Κυρίω, τό παρόν μυστήριον εκδιηγούμενοι, τό μεσότοιχον τού φραγμού διαλέλυται, η φλογίνη ρομφαία τά νώτα δίδωσι, καί τά Χερουβίμ παραχωρεί τού ξύλου τής ζωής, καγώ τού παραδείσου τής τρυφής μεταλαμβάνω, ού προεξεβλήθην διά τής παρακοής, Η γάρ απαράλλακτος είκων τού Πατρός, ο χαρακτήρ τής αϊδιότητος αυτού, μορφήν δούλου λαμβάνει, εξ απειρογάμου Μητρός προελθών, ου τροπήν υπομείνας, ο γάρ ήν διέμεινε, Θεός ών αληθινός, καί ο ουκ ήν προσέλαβεν, άνθρωπος γενόμενος διά φιλανθρωπίαν, αυτώ βοήσωμεν, ο τεχθείς εκ Παρθένου Θεός,

ελέησον ημάς. (Δίς)

Ανατολίου, ο αυτός

Τού Κυρίου Ιησού γεννηθέντος εκ τής αγίας Παρθένου, πεφώτισται τά σύμπαντα, Ποιμένων γάρ αγραυλούντων, καί Μάγων προσκυνούντων, Αγγέλων ανυμνούντων, Ηρώδης εταράττετο, ότι Θεός έν σαρκί εφάνη, Σωτήρ τών ψυχών ημών. (Δίς)

Ο αυτός

Η Βασιλεία σου, Χριστέ ο Θεός, βασιλεία πάντων τών αιώνων, καί η Δεσποτεία σου, εν πάση γενεά καί γενεά, ο σαρκωθείς εκ Πνεύματος Αγίου, καί εκ τής αειπαρθένου Μαρίας ενανθρωπήσας, φώς ημίν έλαμψας, Χριστέ ο Θεός, τή σή παρουσία, φώς εκ φωτός, τού Πατρός τό απαύγασμα, πάσαν κτίσιν εφαίδρυνας, Πάσα πνοή αινεί σε, τόν χαρακτήρα τής δόξης τού Πατρός, Ο ών καί προών, καί εκλάμψας εκ Παρθένου Θεός, ελέησον ημάς.

Ο αυτός

Τί σοι προσενέγκωμεν Χριστέ, ότι ώφθης επί γής ως άνθρωπος δι' ημάς; έκαστον γάρ τών υπό σού γενομένων κτισμάτων, τήν ευχαριστίαν σοι προσάγει, οι Άγγελοι τόν ύμνον, οι ουρανοί τόν Αστέρα, οι Μάγοι τά δώρα, οι Ποιμένες τό θαύμα, η γή τό σπήλαιον, η έρημος τήν φάτνην, ημείς δέ Μητέρα Παρθένον, ο πρό αιώνων Θεός ελέησον ημάς.

Δόξα... Καί νύν...

Ήχος ο αυτός Κασίας

Αυγούστου μοναρχήσαντος επί τής γής, η πολυαρχία τών ανθρώπων επαύσατο, καί σού ενανθρωπήσαντος εκ τής Αγνής, η πολυθεϊα τών ειδώλων κατήργηται, Υπό μίαν βασιλείαν εγκόσμιον, αι πόλεις γεγένηνται, καί εις μίαν Δεσποτείαν θεότητος, τά Έθνη επίστευσαν, Απεγράφησαν οι λαοί, τώ δόγματι τού Καίσαρος, επεγράφημεν οι πιστοί, ονόματι θεότητος, σού τού ενανθρωπήσαντος Θεού ημών, Μέγα σου τό έλεος, δόξα σοι.

Καί γίνεται Είσοδος μετά τού Ευαγγελίου. Φώς ιλαρόν, καί τά Αναγνώσματα, κατά τήν τάξιν αυτών, μετά τών τροπαρίων καί τών στίχων αυτών.

Α' Γενέσεως τό Ανάγνωσμα
(Κεφ. 1, 1-13)

- Εν αρχή εποίησεν ο Θεός τόν ουρανόν καί τήν γήν
- η δέ γή ήν αόρατος καί ακατασκεύαστος καί σκότος επάνω τής αβύσσου καί πνεύμα Θεού επεφέρετο επάνω τού ύδατος
- καί είπεν ο Θεός γενηθήτω φώς καί εγένετο φώς
- καί είδεν ο Θεός τό φώς ότι καλόν καί διεχώρισεν ο Θεός ανά μέσον τού φωτός καί ανά μέσον τού σκότους
- καί εκάλεσεν ο Θεός τό φώς ημέραν καί τό σκότος εκάλεσεν νύκτα καί εγένετο εσπέρα καί εγένετο πρωί ημέρα μία
- καί είπεν ο Θεός γενηθήτω στερέωμα εν μέσω τού ύδατος καί έστω διαχωρίζον ανά μέσον ύδατος καί ύδατος καί εγένετο ούτως

- καί εποίησεν ο Θεός τό στερέωμα καί διεχώρισεν ο Θεός ανά μέσον τού ύδατος ο ήν υποκάτω τού στερεώματος καί ανά μέσον τού ύδατος τού επάνω τού στερεώματος
- καί εκάλεσεν ο Θεός τό στερέωμα ουρανόν καί είδεν ο Θεός ότι καλόν καί εγένετο εσπέρα καί εγένετο πρωί ημέρα δευτέρα
- καί είπεν ο Θεός συναχθήτω τό ύδωρ τό υποκάτω τού ουρανού εις συναγωγήν μίαν καί οφθήτω η ξηρά καί εγένετο ούτως καί συνήχθη τό ύδωρ τό υποκάτω τού ουρανού εις τάς συναγωγάς αυτών καί ώφθη η ξηρά
- καί εκάλεσεν ο Θεός τήν ξηράν γήν καί τά συστήματα τών υδάτων εκάλεσεν θαλάσσας καί είδεν ο Θεός ότι καλόν
- καί είπεν ο Θεός βλαστησάτω η γή βοτάνην χόρτου σπείρον σπέρμα κατά γένος καί καθ' ομοιότητα καί ξύλον κάρπιμον ποιούν καρπόν ου τό σπέρμα αυτού εν αυτώ κατά γένος επί τής γής καί εγένετο ούτως
- καί εξήνεγκεν η γή βοτάνην χόρτου σπείρον σπέρμα κατά γένος καί καθ' ομοιότητα καί ξύλον κάρπιμον ποιούν καρπόν ου τό σπέρμα αυτού εν αυτώ κατά γένος επί τής γής καί είδεν ο Θεός ότι καλόν
- καί εγένετο εσπέρα καί εγένετο πρωί ημέρα τρίτη

## Β' Αριθμών τό Ανάγνωσμα
## (Κεφ. 24, 2-3, 5-9, 17-18)

- Εγένετο πνεύμα Θεού επί Βαλαάμ,
- καί αναλαβών τήν παραβολήν αυτού είπεν
- ως καλοί σου οι οίκοι Ιακώβ αι σκηναί σου Ισραήλ ωσεί νάπαι σκιάζουσαι καί
- ωσεί παράδεισοι επί ποταμών καί ωσεί σκηναί άς έπηξεν κύριος ωσεί κέδροι παρ' ύδατα
- εξελεύσεται άνθρωπος εκ τού σπέρματος αυτού καί κυριεύσει εθνών πολλών καί υψωθήσεται ή Γωγ βασιλεία αυτού καί αυξηθήσεται η βασιλεία αυτού
- Θεός ωδήγησεν αυτόν εξ Αιγύπτου ως δόξα μονοκέρωτος αυτώ έδεται έθνη εχθρών
- αυτού καί τά πάχη αυτών εκμυελιεί καί ταίς βολίσιν αυτού κατατοξεύσει εχθρόν
- κατακλιθείς ανεπαύσατο ως λέων καί ως σκύμνος τίς αναστήσει αυτόν οι ευλογούντές σε ευλόγηνται καί οι καταρώμενοί σε κεκατήρανται
- ανατελεί άστρον εξ Ιακώβ καί αναστήσεται άνθρωπος εξ Ισραήλ καί θραύσει τούς αρχηγούς Μωαβ καί προνομεύσει πάντας υιούς Σηθ
- καί έσται Εδωμ κληρονομία καί έσται κληρονομία Ησαυ ο εχθρός αυτού καί Ισραήλ εποίησεν εν Ισχύϊ

## Γ' Προφητείας Μιχαίου τό Ανάγνωσμα
## (Κεφ. 4, 6-7 & 5, 1-3)

- Εν ταίς ημέραις εκείναις λέγει κύριος συνάξω τήν συντετριμμένην καί τήν εξωσμένην εισδέξομαι καί ούς απωσάμην

- καί θήσομαι τήν συντετριμμένην εις υπόλειμμα καί τήν απωσμένην εις έθνος ισχυρόν καί βασιλεύσει κύριος επ' αυτούς εν όρει Σιων από τού νύν καί έως εις τόν αιώνα
- Τάδε λέγει Κύριος, καί συ Βηθλεέμ οίκος τού Εφραθά ολιγοστός εί τού είναι εν Ισραήλ καί χιλιάσιν Ιούδα εκ σού μοι εξελεύσεται τού είναι εις άρχοντα εν τώ αί έξοδοι αυτού απ' αρχής εξ ημερών αιώνος
- διά τούτο δώσει αυτούς έως καιρού τικτούσης τέξεται καί οι επίλοι ποι τών αδελφών αυτών επιστρέψουσιν επί τούς υιούς Ισραήλ
- καί στήσεται καί όψεται καί ποιμανεί τό ποίμνιον αυτού εν ισχύι κυρίου καί εν τή δόξη τού ονόματος κυρίου τού Θεού αυτών υπάρξουσιν διότι νύν μεγαλυνθήσεται έως άκρων τής γής

Είτα ανιστάμενοι λέγομεν

Τροπάριον  Ήχος πλ. β'

Λαθών ετέχθης υπό τό Σπήλαιον, αλλ' ουρανός σε πάσιν εκήρυξεν, ώσπερ στόμα, τόν Αστέρα προβαλλόμενος Σωτήρ, Καί Μάγους σοι προσήνεγκεν, εν πίστει προσκυνούντάς σε, μεθ' ών ελέησον ημάς.
Στίχος α' Οι θεμέλιοι αυτού έν τοίς όρεσι τοίς αγίοις, αγαπά Κύριος τάς πύλας Σιών, υπέρ πάντα τά σκηνώματα Ιακώβ.

- Καί Μάγους σοι προσήνεγκεν, έν πίστει προσκυνούντάς σε, μεθ' ών ελέησον ημάς.

Στίχος β' Δεδοξασμένα ελαλήθη περί σού, η Πόλις τού Θεού, μνησθήσομαι Ραάβ καί Βαβυλώνος, τοίς γινώσκουσί με.

- Καί Μάγους σοι προσήνεγκεν, έν πίστει προσκυνούντάς σε, μεθ' ών ελέησον ημάς.

Στίχος γ' Καί ιδού αλλόφυλοι, καί Τύρος, καί λαός τών Αιθιόπων.

- Καί Μάγους σοι προσήνεγκεν, έν πίστει προσκυνούντάς σε, μεθ' ών ελέησον ημάς.

Στίχος δ' Ούτοι εγεννήθησαν εκεί, Μήτηρ Σιών, ερεί άνθρωπος εγεννήθη εν αυτή, καί αυτός εθεμελίωσεν αυτήν ο' Υψιστος.

- Καί Μάγους σοι προσήνεγκεν, έν πίστει προσκυνούντάς σε, μεθ' ών ελέησον ημάς.

Στίχος ε' Κύριος διηγήσεται εν γραφή λαών, καί Αρχόντων τούτων τών γεγεννημένων εν αυτή, Ως ευφραινομένων πάντων η κατοικία εν σοί.

- Καί Μάγους σοι προσήνεγκεν, έν πίστει προσκυνούντάς σε, μεθ' ών ελέησον ημάς.

Δόξα... Καί νύν...

Λαθών ετέχθης υπό τό Σπήλαιον, αλλ' ουρανός σε πάσιν εκήρυξεν, ώσπερ στόμα, τόν Αστέρα προβαλλόμενος Σωτήρ, Καί Μάγους σοι προσήνεγκεν, εν πίστει προσκυνούντάς σε, μεθ' ών ελέησον ημάς.

Είτα, τά εφεξής Αναγνώσματα

## Δ' Προφητείας Ησαΐου τό Ανάγνωσμα (Κεφ. 11, 1-10)

- Τάδε λέγει Κύριος, εξελεύσεται ράβδος εκ τής ρίζης Ιεσσαι καί άνθος εκ τής ρίζης αναβήσεται
- καί αναπαύσεται επ' αυτόν πνεύμα τού Θεού πνεύμα σοφίας καί συνέσεως πνεύμα βουλής καί Ισχύος πνεύμα γνώσεως καί ευσεβείας
- εμπλήσει αυτόν πνεύμα φόβου Θεού ου κατά τήν δόξαν κρινεί ουδέ κατά τήν λαλιάν ελέγξει
- αλλά κρινεί ταπεινώ κρίσιν καί ελέγξει τούς ταπεινούς τής γής καί πατάξει γήν τώ λόγω τού στόματος αυτού καί εν πνεύματι διά χειλέων ανελεί ασεβή
- καί έσται δικαιοσύνη εζωσμένος τήν οσφύν αυτού καί αληθεία ειλημένος τάς πλευράς
- καί συμβοσκηθήσεται λύκος μετά αρνός καί πάρδαλις συναναπαύσεται ερίφω καί μοσχάριον καί ταύρος καί λέων άμα βοσκηθήσονται καί παιδίον μικρόν άξει αυτούς
- καί βούς καί άρκος άμα βοσκηθήσονται καί άμα τά παιδία αυτών έσονται καί λέων καί βούς άμα φάγονται άχυρα
- καί παιδίον νήπιον επί τρώγλην ασπίδων καί επί κοί την εκγόνων ασπίδων τήν χείρα επιβαλεί
- καί ου μή κακοποιήσωσιν ουδέ μή δύνωνται απολέσαι ουδένα επί τό όρος τό άγιόν μου ότι ενεπλήσθη η σύμπασα τού γνώναι τόν κύριον ως ύδωρ πολύ κατακαλύψαι θαλάσσας
- καί έσται εν τή ημέρα εκείνη η ρίζα τού Ιεσσαι καί ο ανιστάμενος άρχειν εθνών επ' αυτώ έθνη ελπιούσιν καί έσται η ανάπαυσις αυτού τιμή

## Ε' Προφητείας Ιερεμίου τό Ανάγνωσμα (Βαρούχ 3, 36-38 & 4, 1-4)

- Ούτος ο Θεός ημών ου λογισθήσεται έτερος πρός αυτόν
- εξεύρεν πάσαν οδόν επιστήμης καί έδωκεν αυτήν Ιακώβ τώ παιδί αυτού καί Ισραήλ τώ ηγαπημένω υπ' αυτού
- μετά τούτο επί τής γής ώφθη καί εν τοίς ανθρώποις συνανεστράφη
- αύτη η βίβλος τών προσταγμάτων τού Θεού καί ο νόμος ο υπάρχων εις τόν αιώνα πάντες οι κρατούντες αυτής εις ζωήν οι δέ καταλείποντες αυτήν αποθανούνται
- επιστρέφου Ιακώβ καί επιλαβού αυτής διόδευσον πρός τήν λάμψιν κατέναντι τού Φωτός αυτής
- μή δώς ετέρω τήν δόξαν σου καί τά συμφέροντά σοι έθνει αλλοτρίω
- μακάριοί εσμεν Ισραήλ ότι τά αρεστά τώ Θεώ ημίν γνωστά εστιν

## ΣΤ' Προφητείας Δανιήλ τό Ανάγνωσμα (Κεφ. 2, 31-36, 44-45)

Είπε Δανιήλ, τώ Ναβουχοδονόσορ, Σύ Βασιλεύ εθεώρεις, καί ιδού είκων μία, μεγάλη η εικών εκείνη, καί η πρόσοψις αυτής υπερφερής, εστώσα πρό προσώπου σου η όρασις αυτής, φοβερά. Εικών, ής η κεφαλή χρυσίου καθαρού, αι χείρες καί τό στήθος καί οι βραχίονες αυτής, αργυροί, η κοιλία καί

οι μηροί, χαλκοί, αι κνήμαι, σιδηραί, οι πόδες μέρος μέν τι σιδηρούν, μέρος δέ τι οστράκινον. Εθεώρεις, έως ότου απετμήθη λίθος από όρους άνευ χειρός, καί επάταξε τήν εικόνα επί τούς πόδας τούς σιδηρούς καί οστρακίνους, καί ελέπτυνεν αυτούς εις τέλος. Τότε ελεπτύνθησαν εις άπαξ, τό όστρακον ο σίδηρος, ο χαλκός, ο άργυρος, ο χρυσός, καί εγένοντο ωσεί κονιορτός από άλωνος θερινής, καί εξήρεν αυτά τό πλήθος τού πνεύματος, καί τόπος ουχ ευρέθη εν αυτοίς, καί ο λίθος, ο πατάξας τήν εικόνα, εγένετο εις όρος μέγα καί επλήρωσε πάσαν τήν γήν, τούτό εστι τό ενύπνιον, καί τήν σύγκρισιν αυτού, ερούμεν ενώπιον τού Βασιλέως. Αναστήσει ο Θεός τού ουρανού βασιλείαν, ήτις εις τόν αιώνα ου διαφθαρήσεται, καί η βασιλεία αυτού λαώ ετέρω ουχ υπολειφθήσεται, καί λεπτυνεί καί εκλικμήσει πάσας τάς βασιλείας, καί αυτή αναστήσεται εις τούς αιώνας, όν τρόπον είδες, ότι από όρους ετμήθη λίθος άνευ χειρών, καί ελέπτυνε τό όστρακον, τόν σίδηρον, τόν χαλκόν, τόν άργυρον, τόν χρυσόν, ο Θεός ο μέγας εγνώρισε τώ βασιλεί, ά δεί γενέσθαι μετά ταύτα, καί αληθινόν τό ενύπνιον, καί πιστή η σύγκρισις αυτού.

Τροπάριον Ήχος πλ. β'

Ανέτειλας Χριστέ εκ Παρθένου, νοητέ Ήλιε τής Δικαιοσύνης, καί Αστήρ σε υπέδειξεν, εν Σπηλαίω χωρούμενον τόν αχώρητον. Μάγους οδηγήσας εις προσκύνησίν σου, μεθ' ών σε μεγαλύνομεν, Ζωοδότα δόξα σοι.
Στίχος α' Ο Κύριος εβασίλευσεν, ευπρέπειαν ενεδύσατο, ενεδύσατο Κύριος δύναμιν καί περιεζώσατο.

- Μάγους όδηγήσας εις προσκύνησίν σου, μεθ' ών σε μεγαλύνομεν, Ζωοδότα δόξα σοι.

Στίχος β' Καί γάρ εστερέωσε τήν οικουμένην, ήτις ού σαλευθήσεται, έτοιμος ο θρόνος από τότε.

- Μάγους οδηγήσας εις προσκύνησίν σου, μεθ' ών σε μεγαλύνομεν, Ζωοδότα δόξα σοι.

Στίχος γ'. Επήραν οι ποταμοί Κύριε, επήραν οί ποταμοί φωνάς αυτών, αρούσιν οι ποταμοί επιτρίψεις αυτών, από φωνών υδάτων πολλών.

- Μάγους οδηγήσας εις προσκύνησίν σου, μεθ' ών σε μεγαλύνομεν, Ζωοδότα δόξα σοι.

Στίχος δ'. Θαυμαστοί οί μετεωρισμοί τής θαλάσσης, θαυμαστός εν υψηλοίς ο Κύριος, τά μαρτύριά σου επιστώθησαν σφόδρα.

- Μάγους οδηγήσας εις προσκύνησίν σου, μεθ' ών σε μεγαλύνομεν, Ζωοδότα δόξα σοι.

Στίχος ε' Τώ οίκω σου πρέπει αγίασμα, Κύριε, εις μακρότητα ημερών.

- Μάγους οδηγήσας εις προσκύνησίν σου, μεθ' ών σε μεγαλύνομεν, Ζωοδότα δόξα σοι.

Δόξα... Καί νύν...

Ανέτειλας Χριστέ εκ Παρθένου, νοητέ Ήλιε τής Δικαιοσύνης, καί Αστήρ σε υπέδειξεν, εν Σπηλαίω χωρούμενον τόν αχώρητον. Μάγους οδηγήσας εις προσκύνησίν σου, μεθ' ών σε μεγαλύνομεν, Ζωοδότα δόξα σοι.

Είτα, τά εφεξής Αναγνώσματα

Ζ' Προφητείας Ησαϊου τό Ανάγνωσμα
(Κεφ, 9, 6-7)

- Παιδίον εγεννήθη ημίν υιός καί εδόθη ημίν ου η αρχή εγενήθη επί τού ώμου αυτού καί καλείται τό όνομα αυτού μεγάλης βουλής άγγελος εγώ γάρ άξω ειρήνην επί τούς άρχοντας ειρήνην καί υγίειαν αυτώ
- μεγάλη η αρχή αυτού καί τής ειρήνης αυτού ουκ έστιν όριον επί τόν θρόνον Δαυϊδ καί τήν βασιλείαν αυτού κατορθώσαι αυτήν καί αντιλαβέσθαι αυτής εν δικαιοσύνη καί εν κρίματι από τού νύν καί εις τόν αιώνα χρόνον ο ζήλος κυρίου σαβαώθ ποιήσει ταύτα

Η' Προφητείας Ησαϊου τό Ανάγνωσμα
(Κεφ. 7, 10-16 & 8, 1-4, 8-10)

- Προσέθετο κύριος λαλήσαι τώ Αχαζ λέγων
- αιτησαι σεαυτώ σημείον παρά κυρίου Θεού σου εις βάθος ή εις ύψος
- καί είπεν Αχαζ ου μή αιτήσω ουδ' ου μή πείρασω κύριον
- καί εί πεν ακούσατε δή οίκος Δαυϊδ μή μικρόν υμίν αγώνα παρέχειν ανθρώποις καί πώς κυρίω παρέχετε αγώνα
- διά τούτο δώσει κύριος αυτός υμίν σημείον ιδού η παρθένος εν γαστρί έξει καί τέξεται υιόν καί καλέσεις τό όνομα αυτού Εμμανουήλ
- βούτυρον καί μέλι φάγεται πρίν ή γνώναι αυτόν ή προελέσθαι πονηρά εκλέξεται τό αγαθόν
- διότι πρίν ή γνώναι τό παιδίον αγαθόν ή κακόν απειθεί πονηρία τού εκλέξασθαι τό αγαθόν καί καταλειφθήσεται η γή ην σύ φοβή από προσώπου τών δύο βασιλέων
- καί είπεν κύριος πρός με λαβέ σεαυτώ τόμον καινού μεγάλου καί γράψον εις αυτόν γραφίδι ανθρώπου τού οξέως προνομήν ποιήσαι σκύλων πάρεστιν γαρ
- καί μαρτυράς μοι ποίησον πιστούς ανθρώπους τόν Ουριαν καί τόν Ζαχαριαν υιόν Βαραχιου
- καί προσήλθον πρός τήν προφήτιν καί εν γαστρί έλαβεν καί έτεκεν υιόν καί είπεν κύριός μοι κάλεσον τό όνομα αυτού ταχέως σκύλευσον οξέως προνόμευσον
- διότι πρίν ή γνώναι τό παιδίον καλείν πατέρα ή μητέρα λήμψεται δύναμιν Δαμασκού καί τά σκύλα Σαμαρείας έναντι βασιλέως Ασσυρίων
- καί αφελεί από τής Ιουδαίας άνθρωπον ός δυνήσεται κεφαλήν άραι ή δυνατόν συντελέσασθαί τι καί έσται η παρεμβολή αυτού ώστε πληρώσαι τό πλάτος τής χώρας σου μεθ' ημών ο Θεός
- γνώτε έθνη καί ηττάσθε επακούσατε έως εσχάτου τής γής ισχυκότες ηττάσθε εάν γάρ πάλιν ισχύσητε πάλιν ηττηθήσεσθε
- καί ήν άν βουλεύσησθε βουλήν διασκεδάσει κύριος καί λόγον όν εάν λαλήσητε ου μή εμμείνη υμίν ότι μεθ' ημών κύριος ο Θεός

Μετά δέ τήν τών Αναγνωσμάτων συμπλήρωσιν, γίνεται Συναπτή, καί μετά τήν Εκφώνησιν, ψάλλεται τό Τρισάγιον.

Είτα Προκείμενον τού Αποστόλου.
Ήχος α'.

Κύριος είπε πρός με, Υιός μου εί σύ, εγω σήμερον γεγέννηκά σε.
Στίχ. Αίτησαι παρ' εμού, καί δώσω σοι έθνη τήν κληρονομίαν σου.

Πρός Εβραίους Επιστολής Παύλου
τό Ανάγνωσμα (Κεφ. 1, 1-14 & 2, 1-3)

- Πολυμερώς καί πολυτρόπως πάλαι ο Θεός λαλήσας τοίς πατράσιν εν τοίς προφήταις,
- επ' εσχάτων τών ημερών τούτων ελάλησεν ημίν εν υιώ, όν έθηκε κληρονόμον πάντων, δι' ου καί τούς αιώνας εποίησεν,
- ός ων απαύγασμα τής δόξης, καί χαρακτήρ τής υποστάσεως αυτού, φέρων τε τά πάντα τώ ρήματι τής δυνάμεως αυτού, δι' εαυτού καθαρισμόν ποιησάμενος τών αμαρτιών ημών, εκάθισεν εν δεξιά τής μεγαλωσύνης εν υψηλοίς,
- τοσούτω κρείττων γενόμενος τών αγγέλων, όσω διαφορώτερον παρ' αυτούς κεκληρονόμηκεν όνομα.
- τίνι γάρ ειπέ ποτε τών αγγέλων, Υιός μου εί σύ, εγώ σήμερον γεγέννηκά σε; Καί πάλιν Εγώ έσομαι αυτώ εις πατέρα, καί αυτός έσται μοι εις υιόν.
- όταν δέ πάλιν εισαγάγη τόν πρωτότοκον εις τήν οικουμένην, λέγει, καί προσκυνησάτωσαν αυτώ πάντες άγγελοι Θεού.
- καί πρός μέν τούς αγγέλους λέγει, Ο ποιών τούς αγγέλους αυτού πνεύματα, καί τούς λειτουργούς αυτού πυρός φλόγα,
- πρός δέ τόν υιόν, Ο θρόνος σου, ο Θεός, εις τόν αιώνα τού αιώνος, ράβδος ευθύτητος η ράβδος τής βασιλείας σου.
- ηγάπησας δικαιοσύνην, καί εμίσησας ανομίαν, διά τούτο έχρισέ σε ο Θεός ο Θεός σου, έλαιον αγαλλιάσεως παρά τούς μετόχους σου.
- καί, Σύ κατ' αρχάς, Κύριε, τήν γήν εθεμελίωσας, καί έργα τών χειρών σού εισιν οι ουρανοί,
- αυτοί απολούνται, σύ δέ διαμένεις, καί πάντες ως ιμάτιον παλαιωθήσονται,
- καί ωσεί περιβόλαιον ελίξεις αυτούς, καί αλλαγήσονται, σύ δέ ο αυτός εί, καί τά έτη σου ουκ εκλείψουσι.
- πρός τίνα δέ τών αγγέλων είρηκέ ποτε, Κάθου εκ δεξιών μου, έως άν θώ τούς εχθρούς σου υποπόδιον τών ποδών σου;
- ουχί πάντες εισί λειτουργικά πνεύμα εις διακονίαν αποστελλόμενα διά τούς μέλλοντας κληρονομείν σωτηρίαν;
- Διά τούτο δεί περισσοτέρως ημάς προσέχειν τοίς ακουσθείσι, μή ποτε παραρρυώμεν.
- ει γάρ ο δι, αγγέλων λαληθείς λόγος εγένετο βέβαιος, καί πάσα παράβασις καί παρακοή έλαβεν ένδικον μισθαποδοσίαν,
- πώς ημείς εκφευξόμεθα τηλικαύτης αμελήσαντες σωτηρίας; ήτις, αρχήν

λαβούσα λαλείσθαι διά τού Κυρίου, υπό τών ακουσάντων εις ημάς εβεβαιώθη,

## Αλληλούϊα Ήχος πλ. δ'

Είπεν ο Κύριος τώ Κυρίω μου, Κάθου εκ δεξιών μου, έως άν θώ τούς εχθρούς σου, υποπόδιον τών ποδών σου.
Στίχ. Ράβδον δυνάμεως εξαποστελεί σοι Κύριος, εκ γαστρός πρό Εωσφόρου εγέννησά σε.

## Ευαγγέλιον εκ τού κατά Λουκάν
(Κεφ. 2, 1-20)

- Εν ταίς ημέραις εκείναις, εξήλθε δόγμα παρά Καίσαρος Αυγούστου, απογράφεσθαι πάσαν τήν οικουμένην.
- αύτη η απογραφή πρώτη εγένετο ηγεμονεύοντος τής Συρίας Κυρηνίου.
- καί επορεύοντο πάντες απογράφεσθαι, έκαστος εις τήν ιδίαν πόλιν.
- ανέβη δέ καί Ιωσήφ από τής Γαλιλαίας, εκ πόλεως Ναζαρέθ, εις τήν Ιουδαίαν, εις πόλιν Δαβίδ, ήτις καλείται Βηθλεέμ, διά τό είναι αυτόν εξ οίκου καί πατριάς Δαβίδ,
- απογράψασθαι σύν Μαριάμ τή μεμνηστευμένη αυτώ γυναικί, ούση εγκύω.
- εγένετο δέ εν τώ είναι αυτούς εκεί, επλήσθησαν αι ημέραι τού τεκείν αυτήν,
- καί έτεκε τόν υιόν αυτής τόν πρωτότοκον, καί εσπαργάνωσεν αυτόν, καί ανέκλινεν αυτόν εν τή φάτνη, διότι ουκ ήν αυτοίς τόπος εν τώ καταλύματι.
- Καί ποιμένες ήσαν εν τή χώρα τή αυτή αγραυλούντες καί Φυλάσσοντες φυλακάς τής νυκτός επί τήν ποίμνην αυτών.
- καί ιδού άγγελος Κυρίου επέστη αυτοίς, καί δόξα Κυρίου περιέλαμψεν αυτούς.
- καί εφοβήθησαν φόβον μέγαν.
- καί είπεν αυτοίς ο άγγελος, Μή φοβείσθε, ιδού γάρ, ευαγγελίζομαι υμίν χαράν μεγάλην, ήτις έσται παντί τώ λαώ.
- ότι ετέχθη υμίν σήμερον Σωτήρ, ός εστι Χριστός Κύριος, εν πόλει Δαβίδ.
- καί τούτο υμίν τό σημείον, ευρήσετε βρέφος εσπαργανωμένον, κείμενον εν τή φάτνη.
- καί εξαίφνης εγένετο σύν τώ αγγέλω πλήθος στρατιάς ουρανίου, αινούντων τόν Θεόν, καί λεγόντων,
- Δόξα εν υψίστοις Θεώ, καί επί γής ειρήνη, εν ανθρώποις ευδοκία.
- Καί εγένετο ως απήλθον απ' αυτών εις τόν ουρανόν οι άγγελοι, καί οι άνθρωποι οι ποιμένες εί πον πρός αλλήλους, Διέλθωμεν δή έως Βηθλεέμ, καί ίδωμεν τό ρήμα τούτο τό γεγονός ο Κύριος εγνώρισεν ημίν.
- καί ήλθον σπεύσαντες, καί ανεύρον, τήν τε Μαριάμ καί τόν Ιωσήφ, καί τό βρέφος κείμενον εν τή φατνη.
- ιδόντες δέ διεγνώρισαν περί τού ρήματος τού λαληθέντος αυτοίς περί τού παιδίου τούτου.
- καί πάντες οι ακούσαντες εθαύμασαν περί τών λαληθέντων υπό τών

Ποιμένων πρός αυτούς,
- η δέ Μαριάμ πάντα συνετήρει τά ρήματα ταύτα, συμβάλλουσα εν τή καρδία αυτής.
- καί επέστρεψαν οι ποιμένες, δοξάζοντες καί αινούντες τόν Θεόν επί πάσιν οις ήκουσαν καί είδον, καθώς ελαλήθη πρός αυτούς.

Καί καθ' εξής, η Θεία Λειτουργία τού Μεγάλου Βασιλείου.

Κοινωνικόν
Αινείτε τόν Κύριον εκ τών ουρανών, Αινείτε αυτόν εν τοίς υψίστοις. Αλληλούϊα.

Εις τήν Λιτήν, Στιχηρά, Ιδιόμελα,
Ήχος α'
Ιάννου Μοναχού
Ο ουρανός καί η γή, σήμερον προφητικώς εφραινέσθωσαν. Άγγελοι καί άνθρωποι, πνευματικώς πανηγυρίσωμεν, ότι Θεός εν σαρκί επέφανε, τοίς εν σκότει καί σκιά καθημένοις, γεννηθείς εκ γυναικός, Σπήλαιον καί φάτνη υπεδέξαντο αυτόν, Ποιμένες τό θαύμα ανακηρύττουσι, Μάγοι εξ Ανατολών, εν Βηθλεέμ δώρα προσάγουσιν, ημείς δέ τόν αίνον αναξίοις χείλεσιν, αγγελικώς αυτώ προσάξωμεν, Δόξα εν υψίστοις Θεώ, καί επί γής ειρήνη, ήλθε γάρ η προσδοκία τών εθνών, ήλθεν, έσωσεν ημάς, εκ τής δουλείας τού εχθρού.
Ο αυτός, τού αυτού
Ο ουρανός καί η γή, σήμερον ηνώθησαν, τεχθέντος τού Χριστού, Σήμερον Θεός επί γής παραγέγονε, καί άνθρωπος εις ουρανούς αναβέβηκε, Σήμερον οράται σαρκί, ο φύσει αόρατος, διά τόν άνθρωπον, διά τούτο καί ημείς δοξολογούντες, βοήσωμεν αυτώ, Δόξα εν υψίστοις Θεώ, καί επί γής ειρήνη, ήν ημίν εβράβευσεν, η παρουσία σου, Σωτήρ ημών δόξα σοι.
Ο αυτός, τού αυτού
Δόξα εν υψίστοις Θεώ, έν Βηθλεέμ ακούω, υπό Ασωμάτων σήμερον, τώ επί γής ειρήνην, ευδοκήσαντι γενέσθαι. Νύν η Παρθένος ουρανών πλατυτέρα, εξανέτειλε γάρ φώς τοίς εσκοτισμένοις, καί ταπεινούς ύψωσε, τούς αγγελικώς μελωδούντας, Δόξα εν υψίστοις Θεώ.
Ο αυτός
Τόν κατ' εικόνα καί ομοίωσιν, ρύσαντα εκ παραβάσεως, ιδών ο Ιησούς, κλίνας ουρανούς κατέβη, καί ώκησεν εν μήτρα παρθενική αναλλοιώτως, ίνα εν αυτή, τόν φθαρέντα Αδάμ, αναπλάση κράζοντα, Δόξα τή επιφανεία σου, ο λυτρωτής μου καί Θεός.
Δόξα... Ήχος πλ. α'
Ιωάννου Μοναχού
Μάγοι Περσών Βασιλείς, επιγνόντες σαφώς, τόν επί γής τεχθέντα, Βασιλέα ουράνιον, υπό λαμπρού αστέρος ελκόμενοι, έφθασαν εν Βηθλεέμ, δώρα προσφέροντες έγκριτα, χρυσόν καί λίβανον καί σμύρναν, καί πεσόντες προσεκύνησαν, είδον γάρ εν τώ Σπηλαίω, βρέφος κείμενον τόν Άχρονον.
Καί νύν... Ήχος πλ. β'
Γερμανού

Χορεύουσιν Άγγελοι πάντες εν ουρανώ, καί αγάλλονται σήμερον, σκιρτά δέ πάσα η κτίσις, διά τόν γεννηθέντα εν Βηθλεέμ, Σωτήρα Κύριον, ότι πάσα πλάνη τών ειδώλων πέπαυται, καί βασιλεύει Χριστός εις τούς αιώνας.

Εις τόν Στίχον, Στιχηρά Ιδιόμελα

Ήχος β' Γερμανού

Μέγα καί παράδοξον θαύμα, τετέλεσται σή μερον! Παρθένος τίκτει καί μήτρα ου φθείρεται, ο Λόγος σαρκούται, καί τού Πατρός ου κεχώρισται, Άγγελοι μετά Ποιμένων δοξάζουσι, καί ημείς σύν αυτοίς εκβοώμεν, Δόξα εν υψίστοις Θεώ, καί επί γής ειρήνη,

Στίχ. Είπεν ο Κύριος τώ Κυρίω μου, Κάθου εκ δεξιών μου, έως άν θώ τούς εχθρούς σου υποπόδιον τών ποδών σου.

Ήχος γ' τού αυτού

Σήμερον τίκτει η Παρθένος, τόν Ποιητήν τού παντός, Εδέμ προσφέρει σπήλαιον, καί αστήρ μηνύει Χριστόν, τόν Ήλιον τοίς εν σκότει, Μετά δώρων Μάγοι προσεκύνησαν, πίστει φωτιζόμενοι, καί Ποιμένες είδον τό θαύμα, Αγγέλων ανυμνούντων, καί λεγόντων, Δόξα εν υψίστοις Θεώ.

Στίχ. Εκ γαστρός πρό Εωσφόρου εγέννησά σε, ώμοσε Κύριος, καί ου μεταμεληθήσεται. Σύ Ιερεύς εις τόν αιώνα, κατά τήν τάξιν Μελχισεδέκ.

Ο αυτός, Ανατολίου

Τού Κυρίου Ιησού γεννηθέντος, εν Βηθλεέμ τής Ιουδαίας, έξ Ανατολών ελθόντες Μάγοι, προσεκύνησαν Θεόν ενανθρωπήσαντα, καί τούς θησαυρούς αυτών προθύμως ανοίξαντες, δώρα τίμια προσέφερον, δόκιμον χρυσόν, ώς Βασιλεί τών αιώνων, καί λίβανον, ώς Θεώ τών όλων, ως τριημέρω δέ νεκρώ, σμύρναν τώ Αθανάτω, Πάντα τά έθνη, δεύτε προσκυνήσωμεν, τώ τεχθέντι σώσαι τάς ψυχάς ήμών.

Δόξα... Ήχος δ'
Ιωάννου Μοναχού

Ευφράνθητι Ιερουσαλήμ, καί πανηγυρίσατε πάντες, οι αγαπώντες Σιών, Σήμερον ο χρόνιος ελύθη δεσμός, τής καταδίκης τού, Αδάμ, ο Παράδεισος ημίν ηνεώχθη, ο όφις κατηργήθη, ήν γάρ ηπάτησε πρώην, νύν εθεάσατο, τού Δημιουργού γενομένην Μητέρα, Ώ βάθος πλούτου, καί σοφίας, καί γνώσεως Θεού, η προξενήσασα τόν θάνατον πάση σαρκί, τής αμαρτίας τό όργανον, σωτηρίας απαρχή εγένετο τώ κόσμω παντί, διά τής Θεοτόκου, βρέφος γάρ τίκτεται εξ αυτής, ο παντέλειος Θεός, καί διά τού τόκου, Παρθενίαν σφραγίζει, σειράς αμαρτημάτων, λύων διά σπαργάνων, καί διά νηπιότητος, τής Εύας θεραπεύει, τάς εν λύπαις ωδίνας, Χορευέτω τοίνυν πάσα η κτίσις καί σκιρτάτω, ανακαλέσαι γάρ αυτήν, παραγέγονε Χριστός, καί σώσαι τάς ψυχάς ημών.

Καί νύν... Ήχος ο αυτός

Ανατολίου

Σπηλαίω παρώκησας, Χριστέ ο Θεός, φάτνη υπεδέξατο, Ποιμένες δέ καί Μάγοι προσεκύνησαν. Τότε δή τών Προφητών επληρούτο τό κήρυγμα, καί Αγγέλων αι Δυνάμεις εθαύμαζον, βοώσαι καί λέγουσαι, Δόξα τή συγκαταβάσει σου, μόνε φιλάνθρωπε.

Απολυτίκιον Ήχος δ' εκ γ'

Η γέννησίς σου Χριστέ ο Θεός ημών, ανέτειλε τώ κόσμω, τό φώς τό τής γνώσεως, εν αυτή γάρ οι τοίς άστροις λατρεύοντες, υπό αστέρος εδιδάσκοντο, σέ προσκυνείν, τόν Ήλιον τής δικαιοσύνης, καί σέ γινώσκειν εξ ύψους ανατολήν, Κύριε δόξα σοι.

Τό αυτό καί εις τό, Θεός Κύριος

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος δ'
Κατεπλάγη Ιωσήφ

Δεύτε ίδωμεν πιστοί, πού εγεννήθη ο Χριστός, ακολουθήσωμεν λοιπόν ένθα οδεύει ο αστήρ, μετά τών Μάγων Ανατολής τών Βασιλέων. Άγγελοι υμνούσιν, ακαταπαύστως εκεί. Ποιμένες αγραυλούσιν, ωδήν επάξιον, Δόξα εν υψίστοις λέγοντες, τώ σήμερον εν Σπηλαίω τεχθέντι, εκ τής Παρθένου, καί Θεοτόκου, εν Βηθλεέμ τής Ιουδαίας. (Δίς)

Μετά τήν β' Στιχολογίαν

Κάθισμα όμοιον

Τί θαυμάζεις Μαριάμ; τί εκθαμβείσαι τώ εν σοί; Ότι άχρονον Υιόν, χρόνω εγέννησα φησί, τού τικτομένου τήν σύλληψιν μή διδαχθείσα. Άνανδρος ειμί, καί πώς τέξω Υιόν, άσπορον γονήν τίς εώρακεν, όπου Θεός δε βούλεται, νικάται φύσεως τάξις, ώς γέγραπται. Χριστός ετέχθη, εκ τής Παρθένου, εν Βηθλεέμ τής Ιουδαίας. (Δίς)

Μετά δέ τόν Πολυέλεον, Κάθισμα, όμοιον, ο αχώρητος παντί, πώς εχωρήθη εν γαστρί; ο εν κόλποις τού Πατρός, πώς εν αγκάλαις τής Μητρός, πάντως ως οίδεν ως ηθέλησε καί ως, ηυδόκησεν, άσαρκος γάρ ών, εσαρκώθη εκών, καί γέγονεν ο Ών ο ουκ ήν δι' ημάς, καί μή εκστάς τής φύσεως, μετέσχε τού ημετέρου φυράματος. Διπλούς ετέχθη, Χριστός τόν άνω, κόσμον θέλων αναπληρώσαι. (Δίς)

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

## Οι Αναβαθμοί Αντίφωνον Α'

- Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.
- Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

## Προκείμενον Ήχος δ'

Εκ γαστρός πρό Εωσφόρου εγέννησά σε, ώμοσε Κύριος, καί ού μεταμεληθήσεται.
Στίχ. Είπεν ο Κύριος τώ Κυρίω μου.

## Τό Ευαγγέλιον κατά τού Ματτθαίου
(Κεφ. 2, 1-20)

- Τού Ιησού γεννηθέντος εν Βηθλεέμ τής Ιουδαίας, εν ημέραις Ηρώδου τού βασιλέως, Ιδού, μάγοι από ανατολών παρεγένοντο εις Ιεροσόλυμα,
- λέγοντες, Πού εστιν ο τεχθείς βασιλεύς τών Ιουδαίων, είδομεν γάρ αυτού τόν, αστέρα εν τή ανατολή, καί ήλθομεν προσκυνήσαι αυτώ.
- ακούσας δέ Ηρώδης ο βασιλεύς εταράχθη, καί πάσα Ιεροσόλυμα μετ' αυτού.
- καί συναγαγών πάντας τούς αρχιερείς καί γραμματείς τού λαού, επυνθάνετο παρ' αυτών πού ο Χριστός γεννάται.
- οι δέ είπον αυτώ, Εν Βηθλεέμ τής Ιουδαίας, ούτω γάρ γέγραπται διά τού προφήτου,
- Καί σύ, Βηθλεέμ γή Ιούδα, ουδαμώς ελαχίστη εί εν τοίς ηγεμόσιν Ιούδα, εκ σού γάρ εξελεύσεται ηγούμενος, όστις ποιμανεί τόν λαόν μου τόν Ισραήλ.
- τότε Ηρώδης, λάθρα καλέσας τούς μάγους, ηκρίβωσε παρ' αυτών τόν χρόνον τού φαινομένου αστέρος.
- καί πέμψας αυτούς εις Βηθλεέμ είπε, Πορευθέντες ακριβώς εξετάσατε περί τού παιδίου, επάν δέ εύρητε, απαγγείλατέ μοι, όπως καγώ ελθών προσκυνήσω αυτώ.
- οι δέ ακούσαντες τού βασιλέως επορεύθησαν, καί ιδού, ο αστήρ, όν είδον εν τή ανατολή, προήγεν αυτούς, έως ελθών έστη επάνω ου ήν τό παιδίον.
- ιδόντες δέ τόν αστέρα εχάρησαν χαράν μεγάλην σφόδρα.
- καί ελθόντες εις τήν οικίαν, είδον τό παιδίον μετά Μαρίας τής μητρός αυτού, καί πεσόντες προσεκύνησαν αυτώ, καί ανοίξαντες τούς θησαυρούς αυτών προσήνεγκαν αυτώ δώρα, χρυσόν καί λίβανον καί σμύρναν.
- καί χρηματισθέντες κατ' όναρ μή ανακάμψαι πρός Ηρώδην, δι' άλλης οδού ανεχώρησαν εις τήν χώραν αυτών.
- Αναχωρησάντων τών Μάγων, ιδού, άγγελος Κυρίου φαίνεται κατ' όναρ τώ Ιωσήφ, λέγων, Εγερθείς παράλαβε τό παιδίον καί τήν μητέρα αυτού, καί

φεύγε εις Αίγυπτον, καί ίσθι εκεί έως άν είπω σοι, μέλλει γάρ Ηρώδης ζητείν τό παιδίον, τού απολέσαι αυτό.

- ο δέ εγερθείς παρέλαβε τό παιδίον καί τήν μητέρα αυτού νυκτός καί ανεχώρησεν εις Αίγυπτον,
- καί ήν εκεί έως τής τελευτής Ηρώδου, ίνα πληρωθή τό ρηθέν υπό τού Κυρίου διά τού προφήτου, λέγοντος, εξ Αιγύπτου εκάλεσα τόν υιόν μου.
- τότε Ηρώδης, ιδών ότι ενεπαίχθη υπό τών μαγων, εθυμώθη λίαν, καί αποστείλας ανείλε πάντας τούς παίδας τούς εν Βηθλεέμ καί εν πάσι τοίς ορίοις αυτής, από διετούς καί κατωτέρω, κατά τόν χρόνον όν ηκρίβωσε παρά τών μάγων.
- τότε επληρώθη τό ρηθέν διά Ιερεμίου τού προφήτου, λέγοντος,
- Φωνή εν Ραμά ηκούσθη, θρήνος καί κλαυθμός καί οδυρμός πολύς, Ραχήλ κλαίουσα τά τέκνα αυτής, καί ουκ ήθελε παρακληθήναι, ότι ουκ εισί.
- τελευτήσαντος δέ τού Ηρώδου, ιδού άγγελος Κυρίου κατ' όναρ φαίνεται τώ Ιωσήφ εν Αιγύπτω,
- λέγων, Εγερθείς παράλαβε τό παιδίον καί τήν μητέρα αυτού, καί πορεύου εις γήν Ισραήλ, τεθνήκασι γάρ οι ζητούντες τήν ψυχήν τού παιδίου.
- ο δέ εγερθείς παρέλαβε τό παιδίον καί τήν μητέρα αυτού καί ήλθεν εις γήν Ισραήλ.
- ακούσας δέ ότι Αρχέλαος βασιλεύει επί τής Ιουδαίας αντί Ηρώδου τού πατρός αυτού, εφοβήθη εκεί απελθείν, χρηματισθείς δέ κατ' όναρ, ανεχώρησεν εις τά μέρη τής Γαλιλαίας,
- καί ελθών κατώκησεν εις πόλιν λεγομένην Ναζαρέθ, όπως πληρωθή τό ρηθέν διά τών προφητών ότι Ναζωραίος κληθήσεται.

Ο Ν' Δόξα... Ήχος β'

Τά σύμπαντα σήμερον, χαράς πληρούνται. Χριστός ετέχθη εκ τής Παρθένου.

Καί νύν... Τό αυτό. Είτα

Στίχ. Ελέησόν με ο Θεός...

Καί ψάλλομεν τό παρον Ιδιόμελον
Ήχος πλ. β'

Δόξα εν υψίστοις Θεώ καί επί γής ειρήνη. Σήμερον δέχεται η Βηθλεέμ, τόν καθήμερον διά παντός σύν Πατρί. Σήμερον Άγγελοι τό βρέφος τό τεχθέν, θεοπρεπώς δοξολογούσι. Δόξα εν υψίστοις Θεώ, καί επί γής ειρήνη, εν ανθρώποις ευδοκία.

Καί οι Κανόνες. Ο Παρών τού κυρίου Κοσμά, φέρων ακροστιχίδα τήνδε.

Χριστός βροτωθείς ήν όπερ Θεός μένη.

Ωδή α' Ήχος α'

O Ειρμός

«Χριστός γεννάται, δοξάσατε. Χριστός εξ ουρανών απαντήσατε. Χριστός επί γής, υψώθητε, Άσατε τώ Κυρίω πάσα η γή, καί εν ευφροσύνη, ανυμνήσατε λαοί, ότι δεδόξασται».

Ρεύσαντα εκ παραβάσεως, Θεού τόν κατ' εικόνα γενόμενον, όλον τής φθοράς υπάρξαντα, κρείττονος επταικότα θείας ζωής, αύθις αναπλάττει, ο σοφός Δημιουργός, ότι δεδόξασται.

Ιδών ο Κτίστης ολλύμενον, τόν άνθρωπον χερσίν, όν εποίησε, κλίνας ουρανούς κατέρχεται, τούτον δέ εκ Παρθένου θείας Αγνής, όλον ουσιούται, αληθεία σαρκωθείς, ότι δεδόξασται.

Σοφία λόγος καί δύναμις, Υιός ών τού Πατρός, καί απαύγασμα, Χριστός ο Θεός, δυνάμεις λαθών, όσας υπερκοσμίους, όσας εν γή, καί ενανθρωπήσας, ανεκτήσατο ημάς, ότι δεδόξασται.

Έτερος Κανών Ιαμβικός, Ιωάννου Μοναχού, φέρων ακροστιχίδα τήνδε διά στίχων Ηρωελεγείων

- Ευεπίης μελέεσσιν εφύμνια ταύτα λιγαίνει
- Υία Θεού μερόπων ένεκα τικτόμενον
- Εν χθονί, καί λύοντα πολύστονα πή ματά κόσμου.
- Αλλ' Άνα. ρητήρας ρύεο τών δε πόνων.

Ωδή α'  Ήχος ο αυτός

O Ειρμός

- «Έσωσε λαόν, θαυματουργών Δεσπότης, »
- Υγρόν θαλάσσης κύμα χερσώσας πάλαι. »
- Εκών δέ τεχθείς εκ Κόρης, τρίβον βατήν, »
- Πόλου τίθησιν ημίν, όν κατ ουσίαν, »
- Ισόν τε Πατρί, καί βροτοίς δοξάζομεν».

- Ήνεγκε γαστήρ ηγιασμένη Λόγον,
- Σαφώς αφλέκτω ζωγραφουμένη βάτω,
- Μιγέντα μορφή, τή βροτησία Θεόν,
- Εύας τάλαιναν, νηδύν αράς τής πάλαι,
- Λύοντα πικράς, όν βροτοί δοξάζομεν.

- Έδειξεν αστήρ τόν πρό ηλίου Λόγον,
- Ελθόντα παύσαι τήν αμαρτίαν Μάγοις,
- Σαφώς πενιχρόν εις σπέος τόν συμπαθή,
- Σέ σπαργάνοις ελικτόν, όν γεγηθότες,
- Ιδον τόν αυτόν, καί βροτόν καί Κύριον.

## Ωδή γ'  Ο Ειρμός

«Τώ πρό τών αιώνων, εκ π ατρός γεννηθέντι αρρεύστως Υιώ, καί επ' εσχάτων εκ Παρθένου, σαρκωθέντι ασπόρως, Χριστώ τώ Θεώ βοήσωμεν, ο ανυψώσας τό κέρας ημών, άγιος εί Κύριε».

Ο τής επιπνοίας, μετασχών τής αμείνω Αδάμ χοϊκός, καί πρός φθοράν κατολισθήοας, γυναικεία απάτη, Χριστόν γυναικός βοά εξορών, ο δι' εμέ κατ εμέ γεγονώς, άγιος εί Κύριε.

Σύμμορφος πηλίνης, ευτελούς διαρτίας Χριστέ γεγονώς, καί μετοχή σαρκός τής χείρω, μεταδούς θείας φύτλης, βροτός πεφυκώς, καί μείνας Θεός, καί ανυψώσας τό κέρας ημών, Άγιος εί Κύριε.

Βηθλεέμ ευφραίνου, Ηγεμόνων Ιούδα βασίλεια. τόν Ισραήλ γάρ ο ποιμαίνων, Χερουβίμ ο επ' ώμων, εκ σού προελθών Χριστός εμφανώς, καί ανυψώσας τό κέρας ημών, πάντων εβασίλευσεν.

## Ιαμβικός  Ο Ειρμός

- «Νεύσον πρός ύμνους οικετών Εύεργετα, »
- Εχθρού ταπεινών τήν επηρμένην οφρύν, »
- Φέρων τε Παντεπόπτα τής αμαρτίας, »
- Υπερθεν ακλόνητον, εστηριγμένους, »
- Μάκαρ, μελωδούς τή βάσει τής πίστεως. »

- Νύμφης πανάγνου τόν πανόλβιον τόκον
- Ιδείν υπέρ νούν ηξιωμένος χορός,
- Άγραυλος εκλονείτο, τώ ξένω τρόπω.
- Τάξιν μελωδούσάν τε τών Ασωμάτων,
- Άνακτα Χριστόν, ασπόρως σαρκούμενον.

- Ύψους ανάσσων ουρανών ευσπλαγχνία,
- Τελεί καθ' ημάς εξ ανυμφεύτου Κόρης,
- Άϋλος ών τό πρόσθεν, αλλ' επ' εσχάτων
- Λόγος παχυνθείς σαρκί, τόν πεπτωκότα,
- Ίνα πρός αυτόν ελκύση πρωτόκτιστον.

## Η Υπακοή  Ήχος πλ. δ'

Τήν απαρχήν τών Εθνών, ο ουρανός σοι προσεκόμισε, τώ κειμένω νηπίω εν φάτνη, δι αστέρος τούς Μάγους καλέσας, ούς καί κατέπληττεν, ου σκήπτρα καί θρόνοι, αλλ' εσχάτη πτωχεία, τί γάρ, τί δέ ταπεινότερον σπαργάνων, εν ευτελέστερον σπηλαίου, οίς διέλαμψεν ο τής θεότητός σου πλούτος. Κύριε δόξα σοι.

Ιστέον ότι ότε λέγομεν υπακοήν, Κάθισμα ου λέγομεν ως έντισι Τυπικοίς εύρομεν.

Κάθισμα Ήχος πλ. δ'
Τό προσταχθέν μυστικώς

Αγαλλιάσθω ουρανός, γή ευφραινέσθω. ότι ετέχθη επί γής, ο Αμνός τού Θεού, παρέχων τώ κόσμω τήν απολύτρωσιν. Ο Λόγος ο εν τοίς κόλποις ών τού Πατρός, προήλθεν εκ τής Παρθένου άνευ σποράς, όν οι Μάγοι εξίσταντο, ορώντες εν Βηθλεέμ, τικτόμενον ώς νήπιον όν δοξάζει τά σύμπαντα.

Δόξα... Καί νύν... τό αυτό

Ωδή δ' Ο Ειρμός

«Ράβδος εκ τής ρίζης Ιεσσαί, καί άνθος εξ αυτής Χριστέ, εκ τής Παρθένου ανεβλάστησας. εξ όρους ο αινετός κατασκίου δασέος ήλθες σαρκωθείς εξ απειράνδρου, ο άϋλος καί Θεός. Δόξα τή δυνάμει σου Κύριε».

Ον πάλαι προείπεν Ιακώβ, εθνών απεκδοχήν Χριστέ, φυλής Ιούδα εξανέτειλας, καί δύναμιν Δαμασκού, Σαμαρείας σκύλά τε, ήλθες προνομεύσων πλάνην τρέπων, εις πίστιν Θεοτερπή. Δόξα τή δυνάμει σου Κύριε.

Τού Μάντεως πάλαι Βαλαάμ, τών λόγων μυητάς σοφούς, αστεροσκόπους χαράς έπλησας, αστήρ εκ τού Ιακώβ, ανατείλας Δέσποτα, Εθνών απαρχήν εισαγομένους, εδέξω δέ προφανώς, δώρά σοι δεκτά προσκομίζοντας.

Ως πόκω γαστρί Παρθενική, κατέβης υετός Χριστέ, καί ως σταγόνες εν γή στάζουσαι. Αιθίοπες καί θαρσείς, καί Αράβων νήσοί τε, Σαβά Μήδων, πάσης γής κρατούντες, προσέπεσόν σοι Σωτήρ. Δόξα τή δυνάμει σου Κύριε.

Ιαμβικός Ο Ειρμός

- «Γένους βροτείου τήν ανάπλασιν πάλαι, »
- Αδων Προφήτης Αββακούμ, προμηνύει, »
- Ιδείν αφράστως αξιωθείς τόν τύπον. »
- Νέον βρέφος γάρ, εξ όρους τής Παρθένου, »
- Εξήλθε λαών, εις ανάπλασιν Λόγος. »

- Ίσος προήλθες τοίς βροτοίς εκουσίως,
- Ύψιστε, σάρκα προσλαβών εκ Παρθένου,
- Ιόν καθάραι τής δρακοντείας κάρας,
- Άγων άπαντας πρός σέλας ζωηφόρον,
- Θεός πεφυκώς, εκ πυλών ανηλίων.

- Έθνη τά πρόσθεν τή φθορά βεβυσμένα.

- Όλεθρον άρδην δυσμενούς πεφευγότα,
- Υψούτε χείρας, σύν κρότοις εφυμνίοις,
- Μόνον σέβοντα Χριστόν, ως ευεργέτην,
- Εν τοίς καθ ημάς συμπαθώς αφιγμένον.

- Ρίζης φυείσα τού Ιεσσαί Παρθένε,
- Όρους παρήλθες, τών βροτών τής ουσίας,
- Πατρός τεκούσα τόν πρό αιώνων Λόγον.
- Ως ηυδόκησεν αυτός, εσφραγισμένην,
- Νηδύν διελθείν τή κενώσει τή ξένη.

Ωδή ε'  Ο Ειρμός

«Θεός ών ειρήνης, Πατήρ οικτιρμών, τής μεγάλης Βουλής σου τόν Άγγελον, ειρήνην παρεχόμενον απέστειλας ημίν, όθεν θεογνωσίας, πρός φώς οδηγηθέντες, εκ νυκτός ορθρίζοντες, δοξολογούμέν σε Φιλάνθρωπε».

Εν δούλοις τώ Καίσαρος δόγματι, απεγράφης πειθήσας, καί δούλους ημάς, εχθρού καί αμαρτίας, ηλευθέρωσας Χριστέ, όλον τό καθ ημάς δέ πτωχεύσας, καί χοϊκόν εξ αυτής ενώσεως, καί κοινωνίας εθεούργησας.

Ιδού η Παρθένος, ως πάλαι φησίν, εν γαστρί συλλαβούσα εκύησε, Θεόν ενανθρωπήσαντα, καί μένει Παρθένος. δι ής καταλλαγέντες Θεώ οι αμαρτωλοί, Θεοτόκον κυρίωςούσαν, εν πίστει ανυμνήσωμεν.

Ιαμβικός  Ο Ειρμός

- «Εκ νυκτός έργων, εσκοτισμένης πλάνης »
- Ιλασμόν ημίν Χριστέ τοίς εγρηγόρως, »
- Νύν σοι τελούσιν ύμνον, ως ευεργέτη, »
- Έλθοις πορίζων ευχερή τε τήν τρίβον, »
- Καθ' ήν ανατρέχοντες, εύροιμεν κλέος. »

- Απηνές έχθος, τό πρός αυτόν Δεσπότης,
- Τεμών διαμπάξ, σαρκός εν παρουσία,
- Ίνα κρατούντος ώλεσε ψυχοφθόρου,
- Κόσμον συνάπτων, ταίς αϋλοις ουσίαις,
- Τιθείς προσηνή, τόν Τεκόντα τή κτίσει.

- Ο λαός είδεν, ο πρίν ημαυρωμένος,
- Μεθ' ημέραν φώς, τής άνω φρυκτωρίας.
- Έθνη Θεώ δέ, κλήρον Υιός προσφέρει,
- Νέμων εκείσε τήν απόρρητον χάριν,
- Ου πλείον εξήνθησεν η αμαρτία.

## Ωδή ς'  Ο Ειρμός

«Σπλάγχνων Ιωνάν, έμβρυον απήμεσεν ενάλιος θήροιον εδέξατο, τή Παρθένω δέ, ενοικήσας ο Λόγος, καί σάρκα λαβών διελήλυθε φυλάξας αδιάφθορον, ής γάρ ουχ υπέστη ρεύσεως, τήν τεκούσαν κατέσχεν απήμαντον».

Ήλθε σαρκωθείς, Χριστός ο Θεός ημών, γαστρός όν Πατήρ, πρό Εωσφόρου γεννά, τάς ηνίας δέ, ο κρατών τών αχράντων Δυνάμεων, εν φάτνη τών αλόγων ανακλίνεται, ράκει σπαργανούται, λύει δέ, πολυπλόκους σειράς παραπτώσεων.

Νέον εξ Αδάμ, παιδίον φυράματος ετέχθη Υιός, καί πιστοίς δέδοται, τού δέ μέλλοντος, ούτός εστιν αιώνος, Πατήρ καί Άρχων, καί καλείται τής μεγάλης Βουλής Άγγελος, ούτος ισχυρός Θεός εστι, καί κρατών εξουσία τής κτίσεως.

## Ιαμβικός  Ο Ειρμός

- «Ναίων Ιωνάς, εν μυχοίς θαλαττίοις, »
- Ελθείν εδείτο, καί ζάλην απαρκέσαι. »
- Νυγείς εγώ δέ, τώ τυραννούντος βέλει, »
- Χριστέ προσαυδώ, τόν κακών αναιρέτην, »
- θάττον μολείν σε τής εμής ραθυμίας. »

- Ος ήν εν αρχή, πρός Θεόν Θεός Λόγος,
- Νυνί κρατύνει, μή σθένουσαν τήν πάλαι,
- Ιδών φυλάξαι, τήν καθ ημάς ουσίαν,
- Καθείς εαυτόν δευτέρα κοινωνία
- Αύθις προφαίνων, τών παθών ελευθέραν.

- Ίκται δι' ημάς, Αβραάμ εξ οσφύος,
- Λυγρώς πεσόντας, εν σκότει τών πταισμάτων,
- Υιούς εγείραι, τών κάτω νενευκότων,
- Ο φώς κατοικών, καί φάτνην παρ' αξίαν.
- Νύν ευδοκήσας, εις βροτών σωτηρίαν.

## Κοντάκιον
## Ήχος γ' Αυτόμελον
## Ποίημα Ρωμανού τού Μελωδού

Η Παρθένος σήμερον, τόν υπερούσιον τίκτει, καί η γή τό Σπήλαιον, τώ απροσίτω προσάγει. Άγγελοι μετά Ποιμένων δοξολογούσι. Μάγοι δέ μετά αστέρος οδοιπορούσι. δι' ημάς γάρ εγεννήθη, Παιδίον νέον, ο πρό αιώνων Θεός.

## Ο Οίκος

Τήν Εδέμ Βηθλεέμ ήνοιξε, δεύτε ίδωμεν, τήν τρυφήν εν κρυφή εύρομεν, δεύτε λάβωμεν, τά τού Παραδείσου ένδον τού Σπηλαίου. Εκεί εφάνη ρίζα

απότιστος, βλαστάνουσα άφεσιν, εκεί ευρέθη φρέαρ ανώρυκτον, ού πιείν Δαυϊδ πρίν επεθύμησεν, εκεί Παρθένος τεκούσα βρέφος, τήν δίψαν έπαυσεν ευθύς, τήν τού Αδάμ καί τού Δαυϊδ, διά τούτο πρός τούτο επειχθώμεν, ού ετέχθη, Παιδίον νέον, ο πρό αιώνων Θεός.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΕ' τού αυτού μηνός, Η κατά σάρκα Γέννησις τού Κυρίου καί Θεού καί Σωτήρος ημών Ιησού Χριστού.

Στίχοι

- Θεός τό τεχθέν, η δέ Μήτηρ Παρθένος.
- Τί μείζον άλλο καινόν είδεν η κτίσις;
- Παρθενική Μαρίη Θεόν εικάδι γείνατο πέμπτη.

Τή αυτή ημέρα, Η προσκύνησις τών Μάγων.

Στίχοι

- Σέ προσκυνούσα τάξις εθνική, Λόγε,
- Τό πρός σέ δηλοί τών Εθνών μέλλον σέβας.

Τή αυτή ημέρα, Μνήμη τών θεασαμένων Ποιμένων τόν Κύριον.

Στίχοι

- Ποίμνην αφέντες τήν εαυτών Ποιμένες,
- Ιδείν καλόν σπεύδουσι Χριστόν Ποιμένα.

Αυτώ η δόξα εις τούς αιώνας τών αιώνων. Αμήν.

Ωδη ζ' Ο Ειρμός

«Οι Παίδες ευσεβεία συντραφέντες, δυσσεβούς προστάγματος καταφρονήσαντες, πυρός απειλήν ουκ εκπτοήθησαν, αλλ' εν μέσω τής φλογός εστώτες έψαλλον, ο τών Πατέρων Θεός, ευλογητός εί».

Ποιμένες αγραυλούντες, εκπλαγούς φωτοφανείας έτυχον, δόξα Κυρίου γάρ αυτούς, περιέλαμψε καί Άγγελος, Ανυμνήσατε βοών, ότι ετέχθη Χριστός, ο τών Πατέρων Θεός, ευλογητός εί.

Εξαίφνης σύν τώ λόγω τού Αγγέλου, ουρανών στρατεύματα, Δόξα εκραύγαζον Θεώ, εν υψίστοις, επί γής ειρήνη, εν ανθρώποις ευδοκία, Χριστός έλαμψεν, ο τών Πατέρων Θεός, ευλογητός εί.

Ρήμα τί τούτο, είπον οι Ποιμένες, διελθόντες ίδωμεν τό γεγονός, θείον Χριστόν, Βηθλεέμ καταλαβόντες δέ, σύν τή τεκούση προσεκύνουν αναμέλποντες, ο τών Πατέρων Θεός, ευλογητός εί.

Ιαμβικός Ο Ειρμός

- «Τώ παντάνακτος εξεφαύλισαν πόθω, »

- Άπλητα θυμαίνοντος ηγκιστρωμένοι, »
- Παίδες τυράννου δύσθεον γλωσσαλγίαν, »
- Οίς είκαθε πύρ άσπετον, τώ Δεσπότη, »
- Λέγουσιν, Εις αιώνας ευλογητός εί. »

- Υπηρέτας μέν εμμανώς καταφλέγει,
- Σώζει δέ παφλάζουσα ροιζηδόν νέους,
- Ταίς επταμέτροις καύσεσι πυργουμένη,
- Ούς έστεφε φλόξ, άφθονον τού Κυρίου,
- Νέμοντος, ευσεβείας ένεκα, δρόσον.

- Αρωγέ Χριστέ, τόν βροτοίς εναντίον,
- Πρόβλημα τήν σάρκωσιν αρρήτως έχων,
- Ήσχυνας, όλβον τής Θεώσεως φέρων,
- Μορφούμενος νύν, ής τινος δι' ελπίδα,
- Άνωθεν εις κευθμώνας ήλθομεν ζόφου.

- Τήν αγριωπόν, ακρατώς γαυρουμένην,
- Άσεμνα βακχεύουσαν εξοιστρουμένου,
- Κόσμου καθείλες πανσθενώς αμαρτίαν.
- Ούς είλκυσε πρίν, σήμερον τών αρκύων,
- Σώζεις δέ, σαρκωθείς εκών Ευεργέτα.

Ωδή η' Ο Ειρμός

«Θαύματος υπερφυούς η δροσοβόλος, εξεικόνισε κάμινος τύπον, ού γάρ ούς εδέξατο φλέγει νέους, ως ουδέ πύρ τής θεότητος, Παρθένου ήν υπέδυ νηδύν, διό ανυμνούντες αναμέλψωμεν. Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας».

Έλκει Βαβυλώνος η θυγάτηρ παίδας, δορυκτήτους Δαυϊδ, εκ Σιων εν αυτή, δωροφόρους πέμπει δέ, Μάγους παίδας, τήν τού Δαυϊδ θεοδόχον θυγατέρα λιτανεύσοντα, διό ανυμνούντες αναμέλψωμεν. Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Όργανα παρέκλινε τό πένθος ωδής, ου γάρ ήδον εν νόθοις οι παίδες Σιών, Βαβυλώνος λύει δέ, πλάνην πάσαν καί μουσικών, αρμονίαν Βηθλεέμ εξανατείλας Χριστός, διό ανυμνούντες ναμέλψωμεν. Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Σκύλα Βαβυλών τής Βασιλίδος Σιών, καί δορύκτητον όλβον εδέξατο, θησαυρούς Χριστός, εν Σιών δέ ταύτης, καί Βασιλείς σύν αστέρι οδηγώ, αστροπολούντας έλκει, διό ανυμνούντες αναμέλψωμεν. Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

## Ιαμβικός  Ο Ειρμός

- «Μήτραν αφλέκτως εικονίζουσι Κόρης, »
- Οι τής παλαιάς πυρπολούμενοι νέοι, »
- Υπερφυώς κύουσαν, εσφραγισμένην. »
- Άμφω δέ δρώσα, θαυματουργία μιά, »
- Λαούς πρός ύμνον εξανίστησι χάρις. »

- Λύμην φυγούσα τού Θεούσθαι τή πλάνη,
- Άληκτον υμνεί τόν κενούμενον Λόγον,
- Νεανικώς άπασα σύν τρόμω κτίσις,
- Άδοξον εύχος δειματουμένη φέρειν,
- Ρευστή γεγώσα, κάν σοφώς εκαρτέρει.

- Ήκεις πλανήτιν πρός νομήν επιστρέφων,
- Τήν ανθοποιόν εξ ερημαίων λόφων,
- Η τών εθνών έγερσις, ανθρώπων φύσιν.
- Ρώμην βιαίαν τού βροτοκτόνου σβέσαι,
- Ανήρ φανείς τε, καί Θεός προμηθεία.

## Ωδή θ'
## ΜΕΓΑΛΥΝΑΡΙΑ
## Ψαλλόμενα εντή Ωδή ταύτη  Ήχος α'

- Μεγάλυνον ψυχή μου, τήν τιμιωτέραν, καί ενδοξοτέραν τών άνω στρατευμάτων. (Δίς)
- Μεγάλυνον ψυχή μου, τόν εκ τής Παρθένου, Θεόν σαρκί τεχθέντα.
- Μεγάλυνον ψυχή μου, τόν εν τώ Σπηλαίω, τεχθέντα Βασιλέα.
- Μεγάλυνον ψυχή μου, τών υπό τών Μάγων, Θεόν προσκυνηθέντα.
- Μεγάλυνον ψυχή μου, τόν υπό Αστέρος, τοίς Μάγοις μηνυθέντα.
- Μεγάλυνον ψυχή μου, τήν αγνήν Παρθένον, τήν γεννησαμένην, Χριστόν τόν Βασιλέα.
- Μάγοι καί Ποιμένες, ήλθον προσκυνήσαι, Χριστόν τόν γεννηθέντα, εν Βηθλεέμ τή πόλει.

## Έτερα εις τόν Ιαμβικόν Κανόνα

- Σήμερον η Παρθένος, τίκτει τόν Δεσπότην, ένδον εν τώ Σπηλαίω.
- Σήμερον ο Δεσπότης, τίκτεται ως βρέφος, υπό Μητρός Παρθένου.
- Σήμερον οι Ποιμένες, βλέπουσι τόν Σωτήρα, σπαργάνοις ειλημένον, καί κείμενον εν Φάτνη.
- Σήμερον ο Δεσπότης, ράκει σπαργανούται, ο αναφής ως βρέφος.
- Σήμερον πάσα κτίσις, αγάλλεται καί χαίρει, ότι Χριστός ετέχθη, εκ τής Παρθένου Κόρης.
- Ουράνιαι Δυνάμεις τεχθέντα τόν Σωτήρα, Κύριον καί Δεσπότην, μηνύουσι τώ κόσμω.

Δόξα...

Μεγάλυνον ψυχή μου, τής τρισυποστάτου, καί αδιαιρέτου, θεότητος τό κράτος.

Καί νύν...

Μεγάλυνον ψυχή μου, τήν λυτρωσαμένην, ημάς εκ τής κατάρας.

Ο Ειρμός

«Μυστήριον ξένον, ορώ καί παράδοξον! ουρανόν τό Σπήλαιον, θρόνον Χερουβικόν, τήν Παρθένον. τήν φάτνην χωρίον, εν ώ ανεκλίθη ο αχώρητος, Χριστός ο Θεός, όν ανυμνούντες μεγαλύνομεν».

Εξαίσιον δρόμον, ορώντες οι Μάγοι, ασυνήθους νέου αστέρος αρτιφαούς, ουρανίου υπερλάμποντος, Χριστόν Βασιλέα ετεκμήραντο, εν γή γεννηθέντα Βηθλεέμ, εις σωτηρίαν ημών.

Νεηγενές Μάγων λεγόντων, παιδίον Άναξ, ού αστήρ εφάνη, πού εστίν, εις γάρ εκείνου προσκύνησιν ήκομεν, μανείς ο Ηρώδης εταράττετο, Χριστόν ανελείν, ο θεομάχος φρυαττόμενος.

Ηκρίβωσε χρόνον Ηρώδης αστέρος, ού ταίς ηγεσίαις οι Μάγοι εν Βηθλεέμ, προσκυνούσι Χριστώ σύν δώροις, υφ' ού πρός Πατρίδα οδηγούμενοι, δεινόν παιδοκτόνον, εγκατέλιπον παιζόμενον.

Ιαμβικός  Ο Ειρμός

- «Στέργειν μέν ημάς, ως ακίνδυνον φόβω, »
- Ράον σιωπήν, τώ πόθω δέ Παρθένε, »
- Ύμνους υφαίνειν, συντόνως τεθηγμένους, »
- Εργώδές εστιν, αλλά καί Μήτηρ σθένος, »
- Όση πέφυκεν η προαίρεσις δίδου. »

- Τύπους αφεγγείς καί σκιάς παρηγμένας,
- Ω Μήτερ αγνή, τού Λόγου δεδορκότες,
- Νέου φανέντος, εκ πύλης κεκλεισμένης,
- Δοξούμενοί τε, τής αληθείας φάος,
- Επαξίως σήν ευλογούμεν γαστέρα.

- Πόθου τετευχώς, καί Θεού παρουσίας,
- Ο χριστοτερπής λαός ηξιωμένος,
- Νύν ποτνιάται τής παλιγγενεσίας.
- Ως ζωοποιού, τήν χάριν δέ Παρθένε,
- Νέμοις άχραντε, προσκυνήσαι τό κλέος.

Εξαποστειλάριον Αυτόμελον

Επεσκέψατο ημάς, εξ ύψους ο Σωτήρ ημών, ανατολή ανατολών, καί οι εν σκότει καί σκιά, εύρομεν τήν αλήθειαν, καί γάρ εκ τής Παρθένου ετέχθη ο

Κύριος. Εκ γ'.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά. Ιδιόμελα.

Ήχος δ'
Ανδρέου Ιεροσολυμίτου

Ευφραίνεσθε Δίκαιοι, ουρανοί αγαλλιάσθε, σκιρτήσατε τά όρη, Χριστού γεννηθέντος, Παρθένος καθέζεται, τά Χερουβίμ μιμουμένη, βαστάζουσα εν κόλποις, Θεόν Λόγον σαρκωθέντα. Ποιμένες τόν τεχθέντα δοξάζουσι. Μάγοι τώ Δεσπότη δώρα προσφέρουσιν. Άγγελοι ανυμνούντες λέγουσιν, Ακατάληπτε Κύριε, δόξα σοι.

Ο αυτός

Ο Πατήρ ευδόκησεν, ο Λόγος σάρξ εγένετο, καί η Παρθένος έτεκε, Θεόν ενανθρωπήσαντα, Αστήρ μηνύει. Μάγοι προσκυνούσι. Ποιμένες θαυμάζουσι, καί η κτίσις αγάλλεται.

Ο αυτός

Θεοτόκε Παρθένε, η τεκούσα τόν Σωτήρα, ανέτρεψας τήν πρώτην κατάραν τής Εύας, ότι Μήτηρ γέγονας, τής ευδοκίας τού Πατρός, βαστάζουσα εν κόλποις, Θεόν Λόγον σαρκωθέντα, ου φέρει το μυστήριον έρευναν, πίστει μόνη τούτο πάντες δοξάζομεν, κράζοντες μετά σού καί λέγοντες. Ανερμήνευτε Κύριε, Δόξα σοι.

Ο αυτός

Δεύτε ανυμνήσωμεν, τήν Μητέρα τού Σωτήρος, τήν μετά τόκον πάλιν οφθείσαν Παρθένον. Χαίροις Πόλις έμψυχε, τού Βασιλέως καί Θεού, εν ή Χριστός οικήσας, σωτηρίαν ειργάσατο. Μετά τού Γαβριήλ ανυμνούμέν σε, μετά τών Ποιμένων δοξάζομεν κράζοντες, Θεοτόκε πρέσβευε, τώ εκ σού σαρκωθέντι, σωθήναι ημάς.

Δόξα... Ήχος πλ. β' Γερμανού

Ο τε καιρός, τής επί γής παρουσίας σου, πρώτη απογραφή τή οικουμένη εγένετο, τότε έμελλες τών ανθρώπων απογράφεσθαι τά ονόματα, τών πιστευόντων τώ τόκω σου, διά τούτο τό τοιούτον δόγμα, υπό Καίσαρος εξεφωνήθη, τής γάρ αιωνίου σου βασιλείας, τό άναρχον εκαινουργήθη. Διό σοι προσφέρομεν καί ημείς, υπέρ τήν χρηματικήν φορολογίαν, ορθοδόξου πλουτισμόν θεολογίας, τώ Θεώ καί Σωτήρι τών ψυχών ημων.

Καί νύν... Ήχος β' Ιωάννου Μοναχού

Σήμερον ο Χριστός, εν Βηθλεέμ γεννάται εκ Παρθένου. Σήμερον ο άναρχος άρχεται, καί ο Λόγος σαρκούται. Αι δυνάμεις τών ουρανών αγάλλονται, καί η γή σύν τοίς ανθρώποις ευφραίνεται, οι Μάγοι τά δώρα προσφέρουσιν, οι Ποιμένες τό θαύμα κηρύττουσιν, ημείς δέ ακαταπαύστως βοώμεν. Δόξα εν υψίστοις Θεώ, καί επί γής ειρήνη, εν ανθρώποις ευδοκία.

Δοξολογία μεγάλη, καί Απόλυσις

Εις τήν Λειτουργίαν, Αντίφωνα

Αντίφωνον Α'  Ήχος β'

Στίχ. α'

Εξομολογήσομαί σοι Κύριε εν όλη καρδία μου, διηγήσομαι πάντα τά θαυμάσιά σου.

- Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχ. β'

Εν βουλή ευθέων καί συναγωγή, μεγάλα τά έργα Κυρίου.

- Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχ. γ'

Εξεζητημένα εις πάντα τά θελήματα αυτού.

- Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχ. δ'

Εξομολόγησις καί μεγαλοπρέπεια τό έργον αυτού, καί η δικαιοσύνη αυτού μένει εις τόν αιώνα τού αιώνος.

- Ταίς πρεσβείαις τής Θεοτόκου...

Δόξα... Καί νύν...

- Ταίς πρεσβείαις τής Θεοτόκου...

Αντίφωνον Β'  Ήχος β'

Στίχ. α'

Μακάριος ανήρ, ο φοβούμενος τόν Κύριον, εν ταίς εντολαίς αυτού θελήσει σφόδρα.

- Σώσον ημάς Υιέ Θεού, ο εκ Παρθένου τεχθείς, ψάλλοντάς σοι. Αλληλούϊα.

Στίχ. β'

Δυνατόν εν τή γή έσται τό σπέρμα αυτού.

- Σώσον ημάς Υιέ Θεού, ο εκ Παρθένου τεχθείς...

Στίχ. γ'

Δόξα καί πλούτος εν τώ οίκω αυτού, καί η δικαιοσύνη αυτού μένει εις τόν αιώνα τού αιώνος.

- Σώσον ημάς Υιέ Θεού, ο εκ Παρθένου τεχθείς...

Στίχ. δ'

Εξανέτειλεν εν σκότει φώς τοίς ευθέσιν.

- Σώσον ημάς Υιέ Θεού, ο εκ Παρθένου τεχθείς...

Δόξα... Καί νύν...

Ο Μονογενής Υιός καί Λόγος τού Θεού...

Αντίφωνον Γ'  Ήχος δ'

Στίχ. α'

Είπεν ο Κύριος τώ Κυρίω μου, Κάθου εκ δεξιών μου, έως άν θώ τούς εχθρούς σου υποπόδιον τών ποδών σου.

Απολυτίκιον  Ήχος δ'

- Η γέννησίς σου Χριστέ ο Θεός ημών, ανέτειλε τώ κόσμω, τό φώς τό τής γνώσεως, εν αυτή γάρ οι τοίς άστροις λατρεύοντες, υπό αστέρος εδιδάσκοντο, σέ προσκυνείν, τόν Ήλιον τής δικαιοσύνης, καί σέ γινώσκειν

εξ ύψους ανατολήν, Κύριε δόξα σοι.

Στίχ. β'

Ράβδον δυνάμεως εξαποστελεί σοι Κύριος εκ Σιών.

- Η Γέννησίς σου Χριστέ ο Θεός ημών...

Στίχ. γ'

Μετά σού η αρχή εν ημέρα τής δυνάμεώς σου, εν ταίς λαμπρότησι τών Αγίων σου.

- Η Γέννησίς σου Χριστέ ο Θεός ημών...

Εισοδικόν

Εκ γαστρός πρό Εωσφόρου εγέννησά σε, ώμοσε Κύριος, καί ου μεταμεληθήσεται. Σύ Ιερεύς εις τόν αιώνα, κατά τήν τάξιν Μελχισεδέκ.

Σώσον ημάς Υιέ Θεού, ο εκ Παρθένου τεχθείς, ψάλλοντάς σοι, Αλληλούϊα.

Είτα γεγονωτέρα τή φωνή

Η γέννησίς σου Χριστέ ο Θεός ημών, ανέτειλε τώ κόσμω, τό φώς τό τής γνώσεως, εν αυτή γάρ οι τοίς άστροις λατρεύοντες, υπό αστέρος εδιδάσκοντο, σέ προσκυνείν, τόν Ήλιον τής δικαιοσύνης, καί σέ γινώσκειν εξ ύψους ανατολήν, Κύριε δόξα σοι.

Καί τό Κοντάκιον Ήχος γ'

Η Παρθένος σήμερον, τόν υπερούσιον τίκτει, καί η γή τό Σπήλαιον, τώ απροσίτω προσάγει. Άγγελοι μετά Ποιμένων δοξολογούσι. Μάγοι δέ μετά αστέρος οδοιπορούσι. δι' ημάς γάρ εγεννήθη, Παιδίον νέον, ο πρό αιώνων Θεός.

Αντί δέ τού Τρισαγίου

Όσοι εις Χριστόν εβαπτίσθητε...

Κοινωνικόν

Λύτρωσιν απέστειλε Κύριος τώ λαώ αυτού. Αλληλούϊα.

---

Αρχή

## ΤΗ ΚΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Η σύναξις τής Υπεραγίας Θεοτόκου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Στιχολογία ού γίνεται. Εις δέ τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' Καί ψάλλομεν τής Εορτής Στιχηρά Ιδιόμελα δευτερούντες τά δύο.

Ήχος β' Γερμανού

Δεύτε αγαλλιασώμεθα τώ Κυρίω, τό παρόν μυστήριον εκδιηγούμενοι. Τό μεσότοιχον τού φραγμού διαλέλυται, η φλογίνη ρομφαία τά νώτα δίδωσι, καί τά Χερουβίμ παραχωρεί τού ξύλου τής ζωής, καγώ τού Παραδείσου τής τρυφής μεταλαμβάνω, ού προεξεβλήθην διά τής παρακοής. Η γάρ

απαράλλακτος είκων τού Πατρός, ο χαρακτήρ τής αϊδιότητος αυτού, μορφήν δούλου λαμβάνει, εξ απειρογάμου Μητρός προελθών, ου τροπήν υπομείνας, ο γάρ ήν διέμεινε, Θεός ών αληθινός, καί ό ουκ ήν προσέλαβεν, άνθρωπος γενόμενος διά φιλανθρωπίαν, αυτώ βοήσωμεν. Ο τεχθείς εκ Παρθένου Θεός, ελέησον ημάς.

Ανατολίου ο αυτός

Τού Κυρίου Ιησού γεννηθέντος, εκ τής Αγίας Παρθένου, πεφώτισται τά σύμπαντα, Ποιμένων γάρ αγραυλούντων, καί Μάγων προσκυνούντων, Αγγέλων ανυμνούντων, Ηρώδης εταράσσετο, ότι Θεός εν σαρκί εφάνη, Σωτήρ τών Ψυχών ημών.

Ο αυτός

Η Βασιλεία σου, Χριστέ ο Θεός, βασιλεία πάντων τών αιώνων, καί η Δεσποτεία σου, εν πάση γενεά. Ο σαρκωθείς εκ Πνεύματος Αγίου, καί εκ τής αειπαρθένου Μαρίας ενανθρωπήσας, φώς ημίν έλαμψας, Χριστέ ο Θεός, τή σή παρουσία, φώς εκ φωτός, τού Πατρός τό απαύγασμα, πάσαν κτίσιν εφαίδρυνας. Πάσα πνοή αινεί σε, τόν χαρακτήρα τής δόξης τού Πατρός. Ο Ων καί προών, καί εκλάμψας εκ Παρθένου Θεός, ελέησον ημάς.

Ο αυτός

Τί σοι προσενέγκωμεν Χριστέ, ότι ώφθης επί γής ως άνθρωπος δι' ημάς, έκαστον γάρ τών υπό σού γενομένων κτισμάτων, τήν ευχαριστίαν σοι προσάγει, οι Αγγελοι τόν ύμνον, οι ουρανοί τόν Αστέρα, οι Μάγοι τά δώρα, οι Ποιμένες τό θαύμα, η Γή τό Σπήλαιον, η έρημος τήν φάτνην, ημείς δέ Μητέρα Παρθένον. Ο πρό αιώνων Θεός, ελέησον ημάς.

Δόξα... Καί νύν... Ήχος πλ. β'

Δόξα εν υψίστοις Θεώ καί επί γής ειρήνη. Σήμερον δέχεται η Βηθλεέμ, τόν καθήμενον διά παντός σύν Πατρί. Σήμερον Άγγελοι τό βρέφος τό τεχθέν, θεοπρεπώς δοξολογούσι. Δόξα εν υψίστοις Θεώ, καί επί γής ειρήνη, εν ανθρώποις ευδοκία.

Είσοδος Προκείμενον

Ήχος βαρύς

Τίς Θεός μέγας, ως ο Θεός ημών; σύ εί ο Θεός, ο ποιών θαυμάσια μόνος.
Στίχος. Εγνώρισας εν τοίς λαοίς τήν δύναμίν σου.

Τίς Θεός μέγας, ως ο Θεός ημών;
Στίχος. Καί είπα Νύν ηρξάμην, αύτη η αλλοίωσις τής δεξιάς τού Υψίστου.

Τίς Θεός μέγας, ως ο Θεός ημών;

Εις τόν Στίχον, Στιχηρά Ιδιόμελα.

Ήχος πλ. δ' Ιωάννου Μοναχού

Παράδοξον Μυστήριον, οικονομείται σήμερον! καινοτομούνται φύσεις, καί Θεός άνθρωπος γίνεται, όπερ ήν μεμένηκε, καί ό ουκ ήν προσέλαβεν, ου φυρμόν υπομείνας, ουδέ διαίρεσιν.

Στίχ. Είπεν ο Κύριος τώ Κυρίω  μου κάθου εκ δεξιών μου έως άν θώ τολυς εχθρούς σου υποπόδιον τών ποδών σου

Κύριε, εν Βηθλεέμ παραγέγονας, εν τώ Σπηλαίω παρώκησας, ο ουρανόν τόν θρόνον έχων, εν φάτνη ανεκλίθης, όν στρατιαί κυκλούσιν Αγγέλων, Ποιμέσι συγκατέβης, ίνα σώσης ως εύσπλαγχνος τό γένος ημών, δόξα σοι.

Στίχ. Εκ γαστρός πρό Εωσφόρου εγέννησά σε, ώμοσε Κύριος, καί ου μεταμεληθήσεται. Σύ Ιερεύς εις τόν αιώνα, κατά τήν τάξιν Μελχισεδέκ.

Πώς εξείπω τό μέγα Μυστήριον; ο άσαρκος σαρκούται, ο Λόγος παχύνεται, ο αόρατος οράται καί ο αναφής ψηλαφάται, καί ο άναρχος άρχεται. Ο Υιός τού Θεού, ανθρώπου Υιός γίνεται, Ιησούς Χριστός, χθές καί σήμερον ο αυτός, καί εις τούς αιώνας.

Δόξα... Καί νύν... ο αυτός

Εν Βηθλεέμ συνέδραμον Ποιμένες, τόν αληθή μηνύοντες Ποιμένα, τόν καθήμενον επί τών Χερουβίμ, καί ανακείμενον εν φάτνη, Νηπίου μορφήν δι' ημάς ανειληφότα, Κύριε δόξα σοι.

Απολυτίκιον  Ήχος δ'

Η γέννησίς σου Χριστέ ο Θεός ημών, ανέτειλε τώ κόσμω, τό φώς τό τής γνώσεως, εν αυτή γάρ οι τοίς άστροις λατρεύοντες, υπό αστέρος εδιδάσκοντο, σέ προσκυνείν, τόν Ήλιον τής δικαιοσύνης, καί σέ γινώσκειν εξ ύψους ανατολήν, Κύριε δόξα σοι.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τής Εορτής απαραλλάκτως, καθώς καί έν τή Εορτή. Από τρίτης ωδής, Κοντάκιον τής Εορτής. Αφ' έκτης τό Κοντάκιον τούτο.

Κοντάκιον  Ήχος πλ. β'

Ο πρό Εωσφόρου εκ Πατρός αμήτωρ γεννηθείς, επί τής γής απάτωρ εσαρκώθη σήμερον εκ σού, όθεν Αστήρ ευαγγελίζεται Μάγοις, Άγγελοι δέ μετά Ποιμένων υμνούσι, τόν άχραντον Τόκον σου, η Κεχαριτωμένη.

Ο Οίκος

Τόν αγεώργητον βότρυν βλαστήσασα, η μυστική άμπελος ως επί κλάδων, αγκάλαις εβάσταζε, καί έλεγε. Σύ εί καρπός μου, σύ εί η ζωή μου. Αφ' ού έγνων, ότι καί ο ήμην ειμί, σύ μου Θεός, τήν γάρ σφραγίδα τής Παρθενίας μου ορώσα ακατάλυτον, κηρύττω σε άτρεπτον Λόγον, σάρκα γενόμενον, ουκ οίδα σποράν, οίδά σε λύτην τής φθοράς, Αγνή γάρ ειμι, σού προελθόντος εξ εμού, ως γάρ εύρες, έλιπες μήτραν εμήν. Διά τούτο συγχορεύει πάσα κτίσις βοώσά μοι, Χαίρε η Κεχαριτωμένη.

Συναξάριον

Τή ΚΣΤ' τού αυτού μηνός, Η Σύναξις τής Υπεραγίας Δεσποίνης ημών

Θεοτόκου.

Στίχοι

- Λεχώ άμωμον ανδρός μή γνούσαν λέχος,
- Δώροις αμώμοις δεξιούμαι τοίς λόγοις.
- Μολπήν αγνοτάτη λεχοί εικάδι έκτη αείδω.

Περί τής εις Αίγυπτον φυγής τής Υπεραγίας Θεοτόκου.

Στίχοι

- Ήκοντα πρός σέ, τόν πάλαι πλήξαντά σε,
- Αίγυπτε φρίττε, καί Θεόν τούτον φρόνει.

Τή αυτή ημέρα, Μνήμη τού εν αγίοις Πατρός ημών Ευθυμίου, Επισκόπου Σάρδεων τού Ομολογητού.

Στίχοι

- Χριστώ παραστάς, Ευθύμιε τρισμάκαρ,
- Πλήρης αλήκτου τυγχάνεις ευθυμίας.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Κωνσταντίνου τού εξ' Ιουδαίων.

Στίχοι

- Ως εξ ακανθών τών Ιουδαίων ρόδον,
- Ο θείος ανθεί καί θανών, Κωνσταντίνος.

Καί Μνήμη τού Οσίου πατρός ημών Ευαρέστου.

Στίχοι

- Έσπευδεν Ευάρεστος έργω καί λόγω,
- Εως τελευτής ευαρεστείν σοι Λόγε.

Μνήμη τού αγίου νέου ιερομάρτυρος Κωνσταντίνου τού Ρώσου, αθλήσαντος εν Κωνσταντινοπόλει κατά τό 1743 έτος.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον, καί σώσον ημάς. Αμήν.

Καταβασίαι, αι Ιαμβικαί μόνον, Έσωσε λαόν, κ.τ.λ. Η τιμιωτέρα ού στιχολογείται, αλλ' αντ' αυτής ψάλλεται η θ' Ωδή, μετά τών μεγαλυναρίων αυτής.

Εξαποστειλάριον

Επεσκέψατο ημάς, εξ ύψους ο Σωτήρ ημών, ανατολή ανατολών, καί οι εν σκότει καί σκιά, εύρομεν τήν αλήθειαν, καί γάρ εκ τής Παρθένου ετέχθη ο Κύριος. (Εκ γ')

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν στιχηρά Ιδιόμελα.

Ήχος δ'
Ανδρέου Ιεροσολυμίτου

Ευφραίνεσθε Δίκαιοι, ουρανοί άγαλλιάσθε, σκιρτήσατε τά όρη, Χριστού γεννηθέντος. Παρθένος καθέζεται, τά Χερουβίμ μιμουμένη, βαστάζουσα εν κόλποις, Θεόν Λόγον σαρκωθέντα. Ποιμένες τόν τεχθέντα δοξάζουσι. Μάγοι τώ Δεσπότη, δώρα προσφέρουσιν. Άγγελοι ανυμνούντες λέγουσιν Ακατάληπτε Κύριε, δόξα σοι.

Ο αυτός

Ο Πατήρ ηυδόκησεν, ο Λόγος σάρξ εγένετο, καί η Παρθένος έτεκε, Θεόν ενανθρωπήσαντα. Αστήρ μηνύει, Μάγοι προσκυνούσι, Ποιμένες θαυμάζουσι, καί η κτίσις αγάλλεται.

Ο αυτός

Θεοτόκε Παρθένε, η τεκούσα τόν Σωτήρα, ανέτρεψας τήν πρώτην κατάραν τής Εύας, ότι Μήτηρ γέγονας, τής ευδοκίας τού Πατρός, βαστάζουσα εν κόλποις, Θεόν Λόγον σαρκωθέντα. Ού φέρει τό μυστήριον έρευναν, πίστει μόνη τούτο πάντες δοξάζομεν, κράζοντες μετά σού καί λέγοντες. Ανερμήνευτε κύριε, δόξα σοι.

Ο αυτός

Δεύτε ανυμνήσωμεν, τήν Μητέρα τού Σωτήρος, τήν μετά τόκον πάλιν οφθείσαν Παρθένον. Χαίροις Πόλις έμψυχε, τού Βασιλέως καί Θεού, εν ή Χριστός οικήσας, σωτηρίαν ειργάσατο. Μετά τού Γαβριήλ ανυμνούμέν σε, μετά τών Ποιμένων δοξάζομεν κράζοντες. Θεοτόκε, πρέσβευε, τώ εκ σού σαρκωθέντι, σωθήναι ημάς.

Δόξα... Ήχος πλ. β'

Σήμερον η αόρατος φύσις, τοίς βροτοίς εκ Παρθένου συνάπτεται. Σήμερον η άπειρος ουσία, εν Βηθλεέμ σπαργάνοις ενειλίσσεται. Σήμερον ο Θεός δι' αστέρος Μάγους εις προσκύνησιν άγει, προμηνύοντας αυτού τήν τριήμερον ταφήν, ως εν χρυσώ καί σμύρνη καί λιβάνω, διό ψάλλομεν. Ο σαρκωθείς εκ Παρθένου, Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

Καί νύν... Ήχος β'

Σήμερον ο Χριστός, εν Βηθλεέμ γεννάται εκ Παρθένου. Σήμερον ο άναρχος άρχεται, καί ο Λόγος σαρκούται. Αι Δυνάμεις τών ουρανών αγάλλονται, καί η γή σύν τοίς ανθρώποις ευφραίνεται, οι Μάγοι τά δώρα προσφέρουσιν, οι Ποιμένες τό θαύμα θαυμάζουσιν, ημείς δέ ακαταπαύστως βοώμεν. Δόξα εν υψίστοις Θεώ, καί επί γής ειρήνη, εν ανθρώποις ευδοκία.

Δοξολογία Μεγάλη

Εις τήν Λειτουργίαν, τά Αντίφωνα τής Εορτής. Αντί τού Τρισαγίου, Όσοι εις Χριστόν εβαπτίσθητε. Εις τό Εξαιρέτως, Στέργειν μέν ημάς. Κοινωνικόν, τής Εορτής. Καί μετ' αυτό, Η γέννησίς σου Χριστέ.

ΤΗ ΑΥΤΗ ΗΜΕΡΑ

Ψάλλομεν εν τοίς, Αποδείπνοις τήν Ακολουθίαν τού αγίου.

Ιερομάρτυρος Ευθυμίου.
Ο Κανών, ού η Ακροστιχίς.

Τεχθείς σε Χριστός σπαργάνοις στέφει, Πάτερ. Θεοφάνους.

Ωδή α' Ήχος δ'

«Θαλάσσης τό ερυθραίον πέλαγος, αβρόχοις ίχνεσιν, ο παλαιός πεζεύσας Ισραήλ, σταυροτύποις Μωσέως χερσί, τού Αμαλήκ τήν δύναμιν, εν τή ερήμω ετροπώσατο».

Τεχθέντα τόν αεί όντα Κύριον, καί σπαργανούμενον, σπαργανωθείς μαστίγων αικισμοίς, ευσεβώς προσεκύνησας, καί πρός αυτόν Ευθύμιε, μετ' ευθυμίας προσεχώρησας.

Εν φάτνη ανακλιθείς ο Κύριος, δώρον γενέθλιον, τών σών αιμάτων Μάκαρ τούς κρουνούς, καί πληγών σου τούς μώλωπας, υπέρ χρυσόν καί λίβανον, καί υπέρ σμύρναν προσεδέξατο.

Χρυσόν μέν παρά τών Μάγων δέχεται, τεχθείς ο Κύριος, τής πρός αυτόν αγάπης δέ τής σής, Ιεράρχα τό γνήσιον, καί τό στερρόν καί εύτονον, τής ανενδότου καρτερίας σου.

Θανάτω τόν τού Δεσπότου θάνατον, εκμιμησάμενος, δεσποτικάς εβόησας φωνάς, υπέρ τών αναιρούντων σε, ειλικρινώς ευχόμενος, Ιεροφάντα πανσεβάσμιε.

Θεοτοκίον

Εκ σού τής Υπεραγίας σήμερον, ο τού παντός Ποιητής, σωματικώς γεννάται καθ' ημάς, καί σπαργάνοις ειλίσσεται, ο σπαργανώσας θάλασσαν, ομίχλη Μήτηρ αειπάρθενε.

Ωδή γ'

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα. Σύ μου Ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

Ιχώρας μαρτυρικούς, αντί λιβάνου καί χρυσού σμύρνης τε, ώς Ιερεύς προσήνεγκας, τώ εν Βηθλεέμ γεννηθέντι Χριστώ.

Στερρότητι λογισμού, καί γενναιότητι ψυχής ήλεγξας, τόν δυσσεβή Λέοντα, κατά τού Σωτήρος λυττήσαντα.

Στεφάνου εκμιμητής, τού πρωτομάρτυρος Χριστού γέγονας, τών φονευτών Ευθύμιε, υπέρ σωτηρίας ευχόμενος.

Ετήρησας εμμελώς, τήν τού Σωτήρος εντολήν Όσιε, καί τήν ψυχήν τέθεικας, υπέρ τών σών φίλων Πατήρ ημών.

Θεοτοκίον

Χωρίον χωρητικόν, τού αχωρήτου πλαστουργού γέγονας, τούτον σαρκί χωρήσασα, Κεχαριτωμένη πανάχραντε.

Ωδή δ'

«Επαρθέντα σε ιδούσα η Εκκλησία, επί σταυρού τόν Ήλιον τής δικαιοσύνης, έστη εν τή τάξει αυτής, εικότως κραυγάζουσα. Δόξα τή δυνάμει σου Κύριε».

Ραπιζόμενος τό πρόσωπον τό τή θεία, Χαριτωθέν λαμπρότητι, τής άνω σοφίας, γέγονας συμμέτοχος, Χριστού παμμακάριστε, τού υπέρ η μών ραπισθέντος σαρκί.

Ιερωσύνης τό σέβας ουκ αιδεσθέντες, οι ασεβείς καί πρόμαχοι, κακίας εργάται, γήρας ου τιμήσαντες, τό σόν οι παράνομοι, ανελεημόνως εμάστιζον.

Σπαργανουμένω καί φάτνη ανακειμένω, τώ Λυτρωτή Ευθύμιε, πολύτιμον δώρον, Πάτερ προσενήνοχας, τό τίμιον αίμά σου, πόθω δι' αυτόν εκχυνόμενον.

Τοίς τού Σωτήρος σπαργάνοις ενειλημένος, καί τήν αυτού αγάπησιν, περιεζωσμένος, τούτω πρεσεπέλασας, τώ λύθρω σπαζόμενος, τώ εκ μιαιφόνου χυθέντι χειρός.

Θεοτοκίον

Ο τάς αύλους ουσίας δημιουργήσας, σωματικώς ως άνθρωπος, εκ σού Θεομήτορ, σήμερον γεγέννηται, αυτώ μελωδήσωμεν. Δόξα εν υψίστοις Χριστώ τώ Θεώ.

Ωδή ε'

«Σύ Κύριέ μου φώς, εις τόν κόσμον ελήλυθας, φώς άγιον επιστρέφον εκ ζοφώδους αγνοίας, τούς πίστει ανυμνούντάς σε».

Σοί έμψυχος εικών, τώ Σωτήρι προσάγεται, τιμήσασα τήν εικόνα, τής αχράντου σαρκός σου, καί τύπον τόν τού σώματος.

Σοί Δέσποτα Ποιμήν, ευθυμίας φερώνυμος, τά στίγματα τής σαρκός σου, περιφέρων οικείω, εν σώματι προσφέρεται.

Πύρ έσβεσας θυμού, τών ανόμων Ευθύμιε, τοίς χεύμασι τών αδίκως, χυθέντων σου αιμάτων, Παμμάκαρ Ιερώτατε.

Ανέστειλας ορμήν, τών αθέων Μακάριε, τή ρώμη τών διδαχών σου, καί τού Κτίστου εικόνα, σχετικώς σύ τετίμηκας.

Θεοτοκίον

Ρούς έστη τής φθοράς η Παρθένος αφθόρως γάρ, γεγέννηκε τόν τήν φύσιν, τών ανθρώπων φθαρείσαν, φθοράς ελευθερώσαντα.

Ωδή ς'

«Θύσω σοι, μετά φωνής αινέσεως κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Γυμνώσει, τού τών πάντων Σωτήρος τήν γύμνωσιν, εκμιμησάμενος Πάτερ, καί μαστίγων πόνους εγκαρτερήσας, τό σόν αίμα, τώ εκείνου επέχεας αίματι.

Αγάπην, καί ελπίδα καί πίστιν θεόφρονα, τάς δι' αιώνος μενούσας, αρετάς πλουτήσας τώ γεννηθέντι, εκ Παρθένου, δωροφορείς παμμάκαρ Ευθύμιε.

Νομίμως, τώ Χριστώ λειτουργήσας τήν ένθεον, ιερουργίαν τού λόγου, μισθόν τούτου Πάτερ αντεκομίσω, θεορρήμον, τό σέ τελειωθήναι δι' αίματος.

Θεοτοκίον

Ο πλάσας, κατ' εικόνα ιδίαν τόν άνθρωπον, διά πολλήν ευσπλαγχνίαν, αναπλάττει τούτον εκ σού Παρθένε, Θεομήτορ, ολοκλήρως αυτόν ενδυσάμενος.

Κάθισμα Ήχος α'

Τόν τάφον σου Σωτήρ

Προσήνεγκας Χριστώ, εκ Παρθένου τεχθέντι, Ευθύμιε σοφέ, ώς οι Μάγοι τά δώρα, αθλήσας καρτερώτατα, Ιεράρχα τό αίμά σου, όθεν είληφας, διπλούν τό στέφος τής νίκης, καί παρίστασαι, τή Παναγία Τριάδι, πρεσβεύων σωθήναι ημάς.

Ωδή ζ'

«Εν τή καμίνω, Αβραμιαίοι Παίδες τή Περσική, πόθω ευσεβείας μάλλον ή τή φλογί, πυρπολούμενοι εκραύγαζον. Ευλογημένος εί εν τώ ναώ τής δόξης σου Κύριε».

Ιερωσύνης, Ιερωτάτης τό θεόσδοτον, χρίσμα, συγκεράσας αίματι τώ εκ σού, Ιερώτατον απέδειξας, Ευλογημένος εί, ο Θεός μου κραυγάζων καί Κύριος.

Συ εφειλκύσω, χάριν τού θείου Πρωτομάρτυρος, ούπερ ανεδείχθης άριστος μιμητής, ευλογίαις αμειβόμενος, τούς αναιρούντάς σε, ανηλεώς παμμάκαρ Ευθύμιε.

Στήσας τούς πόδας, επί πέτραν τής πίστεως ασφαλώς, πάσαις προσβολαίς Παμμάκαρ τών πειρασμών, απερίτρεπτος διέμεινας, Ευλογημένος εί, ο Θεός μου κραυγάζων καί Κύριος.

Θεοτοκίον

Τό τού Υψίστου, ηγιασμένον θείον σκήνωμα, χαίρε, διά σού γάρ δέδοται η χαρά, Θεοτόκε τοίς κραυγάζουσιν. Ευλογημένη σύ, εν γυναιξίν υπάρχεις, Πανάμωμε.

## Ωδή η'

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Έστης επί βήματος στερρώς, αγωνιζόμενος, Πάτερ Ευθύμιε, τόν τελειότατον όρον γάρ, τής αγάπης εμελέτησας θεόληπτε, ώσπερ ελόμενος θανείν, υπέρ τών φίλων σου, τών βοώντων. Πάντα τά έργα, υμνείτε τόν Κύριον.

Φαιδρός καί τόν λόγον καί τόν νούν, φαιδράν εκέκτησο, ψυχήν καί πρόσωπον, νύν δέ φαιδρότερος γέγονας, μέχρις αίματος Ευθύμιε, πρός Βασιλείς θεοστυγείς αντιταξάμενος, καί κραυγάζων, Πάντα τά έργα, υμνείτε τόν Κύριον.

Επέθεντο Μάκαρ επί σέ, οι επί γής κραταιοί τού θανατώσαί σε, παρανομώτατα πράττοντες, αλλ' αυτός ανατεινομενος, πρός τόν τεχθέντα Λυτρωτήν, εξ απειράνδρου Μητρος, ανεβόας. Πάντα τά έργα, υμνείτε τόν Κύριον.

### Θεοτοκίον

Ιδού νύν εξέλιπε σαφώς, εκ τής Ιούδα φυλής, άρχων ηγούμενος, σύ γάρ Πανάμωμε τέτοκας, ώ τό πρίν ήν αποκείμενον, τήν προσδοκίαν τών εθνών, Χριστόν ώ ψάλλομεν Ευλογείτε, πάντα τά έργα, Κυρίου τόν Κύριον.

## Ωδή θ'

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη Χριστός, συνάψας, τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλυνομεν».

Πρός τόν γαληνότατον όρμον, μετέστης Πάτερ τών εντεύθεν ώσπερ γάρ στρουθίον ερρύσθης, εκ τής παγίδος τών θηρευόντων σε, ευλογών τόν ρυσάμενον, Ιερομάρτυς ευθυμότατα.

Αίγλη τής εξ ύφους φανείσης, ανατολής πεφωτισμένος, καί φωτοφανείαις αστέρος, τού εξ Ιούδα νύν ανατείλαντος, υπερφυώς λαμπόμενος, πρός τόν Δεσπότην εξεδήμησας.

Τά τού Παραδείσου νύν πλάτη, χωροβατείν κατηξιώθης ού τών Μακαρίων λαμπρότης, καί τών αγίων η αγαλλίασις, ως Αθλητήν Ευθύμιε, σέ νικηφόρον υπεδέξαντο.

Έχων πρός Θεόν παρρησίαν, ως Ιεράρχης τε καί Μάρτυς, τού νύν ενεστώτος χειμώνος, τής Εκκλησίας γαλήνην αίτησαι, καί τών πταισμάτων άφεσιν, τοίς σέ υμνούσι Παμμακάριστε.

### Θεοτοκίον

Ράβδος ανεβλάστησας ρίζης, τού Ιεσσαί ημίν τεκούσα, άνθος τής θεότητος

Χριστόν, Θεογεννήτορ Πάναγνε σήμερον, τόν ως Θεόν αχώρητον, καί νύν ως βρέφος σπαργανούμενον.

Στιχηρά Ήχος πλ. δ'
Ώ τού παραδόξου θαύματος!

Έτι τώ λύθρω σταζόμενον, καί πεφυρμένος θερμώ, καί ατμίζοντι αίματι, τώ Χριστώ παρέστηκας, θεορρήμον Ευθύμιε, τών σών πληγών ούν, Πάτερ τούς μώλωπας, ανθ' ικεσίας νύν ροτεινόμενος, τούτον δυσώπησον, υπέρ τών υμνούντων σε, καί εκτενώς, μάκαρ εξιλέωσαι, υπέρ τής ποίμνης σου.

Δώρα προσήνεγκας Όσιε, τώ γεννηθέντι Χριστώ, καί σαρκί νηπιάσαντι, πολιάν αιδέσιμον, κοσμουμένην χαρίσμασιν, Ιεραρχίας, Πάτερ καί αίματι, πεφοινιγμένην τής σής αθλήσεως, πίστιν ορθόδοξον, καί ελπίδα πρόθυμον, καί αρραγή, όντως καί ασάλευτον, αγάπην πάνσοφε.

Γλώσσα κινουμένη Πνεύματι, καί φθεγγομένη σαφώς, αληθείας διδάγματα, θεοσδότου χάριτος, τηλαυγώς αποστάζουσα, τής ευσεβείας λύρα θεόφθογγος, όρθοδοξίας κρηπίς ακράδαντος, στόμα μελίρρυτον, θησαυρός φρονήσεως, Εκκλησιών, σάλπιγξ μεγαλόφωνος, εδείχθης Οσιε.

Δόξα... Καί νύν... Ήχος δ'

Σπηλαίω παρώκησας, Χριστέ ο Θεός, φάτνη υπεδέξατο, Ποιμένες καί Μάγοι προσεκύνησαν. Τότε δή τών Προφητών επληρούτο τό κήρυγμα, καί Αγγέλων αι δυνάμεις, εθαύμαζον βοώσαι, καί λέγουσαι. Δόξα, τή συγκαταβάσει σου, μόνε φιλάνθρωπε.

---

Αρχή

## ΚΥΡΙΑΚΗ ΜΕΤΑ ΤΟΥ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΙΝ

Μνήμην επιτελούμεν τών Αγίων καί δικαίων, Ιωσήφ τού Μνήστορος, Δαυϊδ τού Βασιλέως, καί Ιακώβου τού Αδελφοθέου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Μετά τόν Προιμιακόν, καί τήν συνήθη Στιχολογίαν, Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ι' καί ψάλλομεν Στιχηρά Αναστάσιμα δ' τής Εορτής γ' καί των Αγίων γ'.

Στιχηρά Προσόμοια τών Αγίων.

Ήχος α'
Τών ουρανίων ταγμάτων

Τόν Θεοπάτορα πάντες ανευφημήσωμεν, Δαυϊδ τόν Βασιλέα, εκ γάρ τούτου προήλθε, ράβδος ηπαρθένος, καί εξ αυτής, ανατέταλκεν άνθος Χριστός, καί τόν Αδάμ σύν τή Εύα εκ τής φθοράς, ανεπλάσατο ως εύσπλαγχνος.

Τών Προφητών τάς προρρήσεις είδεν εν γήρα σαφώς, ο Ιωσήφ ο Μνήστωρ,

εμφανώς πληρουμένας, μνηστείας λαχών ξένης, χρηματισμούς, τών Αγγέλων δεξάμενος, Δόξα Θεώ εκβοώντων, ότι εν γή, τήν ειρήνην εδωρήσατο.

Τόν Αδελφόθεον πάντες ανευφημήσωμεν, ως ιεράρχην όντα, μαρτυρίω δέ πάλιν, εμπρέψαντα γενναίως, ού ταίς ευχαίς, Ιησού ο Θεός ημών, ο εν σπηλαίω καί φάτνη, σπαργανωθείς, σώσον πάντας τούς υμνούντάς σε.

Δόξα... Ήχος πλ. β'

Μνήμην επιτελούμεν, Δαυϊδ καί Ιακώβου, ευσεβούς Βασιλέως Προφήτου, καί Αποστόλου πρώτου Επισκόπου, αυτών γάρ τοίς διδάγμασι, πλάνης απαλλαγέντες, Χριστόν δοξολογούμεν, τόν εκ Παρθένου ανατείλαντα, τόν καί σαρκωθέντα, σώσαι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον, τό τού Ήχου.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος πλ. β'

Ιερέων μνήμη καί Βασιλέων κράτος τε, καί ευφροσύνη, γέγονεν ο τόκος σου, καί εν αυτώ καυχώμενοι, λέγομεν, Πάτερ ημών ο εν τοίς ουρανοίς, αγιασθήτω τό όνομά σου φιλάνθρωπε.

Καί νύν... ο αυτός

Χορεύουσιν Άγγελοι πάντες έν ουρανώ, καί αγάλλονται σήμερον, σκιρτά δέ πάσα η κτίσις, διά τόν γεννηθέντα εν Βηθλεέμ Σωτήρα Κύριον, ότι πάσα πλάνη τών ειδώλων πέπαυται, καί βασιλεύει Χριστός εις τούς αιώνας.

Απολυτίκιον Αναστάσιμον

Δόξα... τών Αγίων Ήχος β'

Ευαγγελίζου Ιωσήφ, τώ Δαυϊδ τά θαύματα τώ Θεοπάτορι, Παρθένον είδες κυοφορήσασαν, μετά Μάγων προσεκύνησας, μετά Ποιμένων εδοξολόγησας, δι' Αγγέλου χρηματισθείς, Ικέτευε Χριστόν τόν Θεόν, σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Ήχος δ'

Η γέννησίς σου Χριστέ ο Θεός ημών, ανέτειλε τώ κόσμω, τό φώς τό τής γνώσεως, εν αυτή γάρ οι τοίς άστροις λατρεύοντες, υπό αστέρος εδιδάσκοντο, σέ προσκυνείν, τόν Ήλιον τής δικαιοσύνης, καί σέ γινώσκειν εξ ύψους ανατολήν, Κύριε δόξα σοι.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Κανών τού Μνήστορος, ού η Ακροστιχίς.

Χριστού σε μέλπω δεξιόν παραστάτην. Ιωσήφ.

Ωδή α'  Ήχος α'

«Χριστός γεννάται, δοξάσατε, Χριστός εξ ουρανών απαντήσατε, Χριστός επί γής, υψώθητε, Άσατε τώ Κυρίω πάσα η γή, καί εν ευφροσύνη, ανυμνήσατε λαοί, ότι δεδόξασται».

Χριστού θεράπον μακάριε, Χριστού τού σαρκωθέντος διάκονε, Χριστού πατήρ νομιζόμενος, τούτω σύν παρρησία, παρεστηκώς, αίτησαι ειρήνην, καί δεινών απαλλαγήν, τοίς ευφημούσί σε.

Ρημάτων θείων υπήκοος, πραγμάτων παραδόξων διάκονος, Παρθένου Μνήστωρ θεόπαιδος, δίκαιος κατά πάντα καί αληθής, Ιωσήφ εδείχθης, καί δικαίων, εν σκηναίς επαναπέπαυσαι.

Ιδείν Χριστόν κατηξίωσαι, μορφή τή καθ' ημάς νηπιάσαντα, καί τούτου Πατήρ ωνόμασαι, μεγίστη σου η δόξα, ως αληθώς! μέγα υπέρ πάντας, τό αξίωμα! διό ανευφημούμέν σε.

Θεοτοκίον

Σαρκί Χριστόν απεκύησας, αγνή εν Βηθλεέμ Απειρόγαμε, σπαργάνοις αυτόν ειλήσασα, ού τήν επιδημίαν καταπλαγείς, Ιωσήφ σύν φόβω, μεγαλύνει προσκυνεί τήν τούτου δύναμιν.

Κανών τών Αγίων Δαυϊδ καί Ιακώβου.

Ποίημα Κοσμά Μοναχού

Ωδή α'  Ήχος δ'

«Άσομαί σοι Κύριε ο Θεός μου, ότι εξήγαγες λαόν, δουλείας Αιγύπτου, εκάλυψας δέ άρματα, Φαραώ καί τήν δύναμιν».

Άσομαί σοι Κύριε ο Θεός μου, ότι εκ μήτρας Αγίας Παρθένου, τόν άνθρωπον αφράστως ενδυσάμενος, ανέπλασας ως εύσπλαγχνος.

Σήμερον Ποιμένες θεολογούσι, σύν Ασωμάτοις τόν ύμνον, λαμπρώς αναμέλποντες, καί Μάγοι δώρα φέρουσι, τώ σαρκί νηπιάσαντι.

Δόξα εν υψίστοις χοροί Αγγέλων, εν Βηθλεέμ τοίς Ποιμέσιν, επέστησαν λέγοντες, μεθ' ών τόν ευδοκήσαντα, σαρκωθήναι υμνήσωμεν.

Όσοι τό Γενέθλιον εκτελούμεν, τού σαρκωθέντος δι' ημάς, χαρά ανυμνήσωμεν, Ιάκωβον θεάδελφον, καί Δαυϊδ Θεοπάτορα.

Δαυϊδ Θεοπάτορ σύν τή κινύρα, τόν εκ τής ρίζης Ιεσσαί, σαρκούμενον Λόγον, Ιάκωβον τόν δίκαιον, εφελκόμενος ύμνησον.

Τού Μνήστορος

Ωδή γ'

«Τώ πρό τών αιώνων, εκ Πατρός γεννηθέντι αρρεύστως Υιώ, καί επ' εσχάτων εκ Παρθένου, σαρκωθέντι ασπόρως, Χριστώ τώ Θεώ βοήσωμεν, ο ανυψώσας τό κέρας ημών, άγιος εί Κύριε».

Τού πρό τών αιώνων, εκ Πατρός απορρήτως εκλάμψαντος, καί εκ Παρθένου επ' εσχάτων, σαρκωθέντος αφράστως, Πατήρ ωνομάσθης ένδοξε, καί μυστηρίου φρικτού θεωρός, Μάκαρ εχρημάτισας.

Ον αι άνω τάξεις, ως Θεόν απερίγραπτον τρέμουσι, τούτον τεχθέντα εκ Παρθένου, Ιωσήφ ταίς χερσί σου, κρατείς καθαγιαζόμενος, τή επαφή τή φρικώδει σοφέ, όθεν σε γεραίρομεν.

Ύψος μυστηρίου, γενεαίς μή γνωσθέντος ταίς πρώην Σοφέ, κατεπιστεύθης τή καρδία, καθαρός δεδειγμένος, δι' ού άπαντες εσώθημεν, οι την φωσφόρον καί θείαν πιστώς, μνήμην σου δοξάζοντες.

Θεοτοκίον

Σάρκα ειληφότα, εξ αγνών σου αιμάτων Παρθένε Αγνή, καί εν σπηλαίω γεννηθέντα, καί εν φάτνη τεθέντα, ιδών Ιωσήφ ο δίκαιος, τόν καθ' ημάς οραθέντα Θεόν, ύμνοις εμεγάλυνε.

Τών Αγίων

Τό στερέωμα τών επί σοί

Τόν τεχθέντα σαρκί, εκ τής Παρθένου Μαρίας, ασπόρως Χριστόν, σύν Αγγέλοις πάντες υμνήσωμεν, Δόξα εν υψίστοις κραυγάζοντες.

Αγραυλούντες πιστοί, τόν αληθή οι Ποιμένες, Ποιμένα Χριστόν, υπ' Αγγέλων ευηγγελίσθησαν, Δόξα εν υψίστοις κραυγάζοντες.

Ευφραινέσθωσαν οι ουρανοί, χορευέτω δέ πάσα η γή, τώ τεχθέντι σήμερον άδοντες, Δόξα εν υψίστοις Χριστώ τώ Θεώ.

Τήν πανέορτον τού δι' ημάς, κενωθέντος πιστοί εορτήν, σύν Δαυϊδ τε καί Ιακώβω, ύμνοις επαξίως τιμήσωμεν.

Ως Νυμφίον Δαυϊδ εκ παστού, τής μητρώας νηδύος φησί, νύν τόν Κύριον πορεύσεσθαι, όν σύν Ιακώβω υμνήσωμεν.

Κάθισμα Ήχος α'

Χορός Αγγελικός

Πατρός ως αληθώς, ουρανίου θεράπων, εγένου Ιωσήφ, καί Πατήρ τού ανάρχου, Υιού σύ νενόμισαι, τού σαρκί νηπιάσαντος, όθεν σήμερον, τήν

παναγίαν σου μνήμην, εορτάζομεν, εν ευφροσύνη καρδίας, πιστώς ανυμνούντές σε.

Δόξα... Καί νύν... όμοιον

Χορός τών Προφητών, εορτάζει ενθέως, το θαύμα τό εν σοί, γεγονός ώ Παρθένε, Θεόν σεσαρκωμένον γάρ, επί γής απεκύησας, Μάγοι πίστει δέ, σύν Ιωσήφ εκβοώσι, τώ Δαυϊδ τά θαύματα τώ Θεοπάτορι.

Τού Μνήστορος

Ωδή δ'

«Ράβδος εκ τής ρίζης Ιεσσαί, καί άνθος εξ αυτής Χριστέ, εκ τής Παρθένου ανεβλάστησας, εξ όρους ο αινετός, κατασκίου δασέος, ήλθες σαρκωθείς εξ απειράνδρου, ο άϋλος καί Θεός, Δόξα τή δυνάμει σου Κύριε».

Έχων λογισμόν ταίς θεϊκαίς, υπείκοντα προστάξεσι, καί καθαρός όλος γενόμενος, τήν μόνην εν γυναιξί, καθαράν καί άμωμον, μάκαρ Ιωσήφ σύ εμνηστεύσω, τηρών Παρθένον αγνήν, πρός υποδοχήν τού Ποιήσαντος.

Μόνω Γαβριήλ εν ουρανώ, καί μόνω σοι αοίδιμε, μετά τήν μόνην Απειρόγαμον, τό μόνον υπερβολή, φοβερόν μυστήριον, μάκαρ Ιωσήφ ενεπιστεύθη, τόν μόνον φθοροποιόν, άρχοντα τού σκότος τροπούμενον.

Έμψυχος ναός φωτοειδής, υπάρχων τού Ποιήσαντος, επιμελεία θείων πράξεων, εκ τού αγίου Ναού, τόν Ναόν τόν άγιον, σύ παραλαβείν κατηξιώθης, τήν μόνην εν γυναιξί, μάκαρ Ιωσήφ Αειπάρθενον.

Θεοτοκίον

Λύων τού νοός σου προφανώς, επέστη ο αόρατος, αμφιβολίαν πάσαν, λέγων σοι, Μή φοβηθής Ιωσήφ, Μαριάμ τήν Άχραντον, νύν παραλαβείν, γαστρί γάρ φέρει, τόν φέροντα τή αυτού, θεϊκή δυνάμει τά σύμπαντα.

Τών Αγίων

Τούς ουρανους η αρετή σου

Τήν άφραστον, τού Θεού Λόγου συγκατάβασιν, νοητοίς προθεωρήσας Αββακούμ οφθαλμοίς, Από θαιμάν εκραύγαζεν, ήξει ο Θεός ο Σωτήρ ημών.

Τή φάτνη σου, τή θεοδοχω περιέστησαν, στρατιαί τών Ασωμάτων, Υιέ τού Θεού, τόν υπέρ λόγον τόκον σου, τρόμω καί εκπλήξει δοξάζουσαι.

Μετά τών Μάγων, τόν Δεσπότην προσκυνήσωμεν, καί μετ' Αγγέλων καί Ποιμένων χορεύσωμεν, θεοπρεπώς κραυγάζοντες, Δόξα εν υψίστοις Χριστώ τώ Θεώ.

Ο βασιλεύων, τών απάντων Βασιλέων Χριστός, κατά σάρκα εκ σπέρματος Δαυϊδ γεννηθείς, τόν εκλεκτόν Ιάκωβον προσήκατο, αδελφόν ως ηυδοκησεν.

### Θεοτοκίον

Ο εκ Παρθένου, Θεός Κύριος φανείς εν σαρκί, συνεδόξασε τήν μνήμην υμών Άγιοι, τών Αποστολων πρόκριτε Ιάκωβε, καί Δαυϊδ παμμακάριστε.

### Τού Μνήστορος

### Ωδή ε'

«Θεός ών ειρήνης, πατήρ οικτιρμών, τής μεγάλης βουλής σου τόν Άγγελον, ειρήνην παρεχόμενον, απέστειλας ημίν, όθεν θεογνωσίας, πρός φώς οδηγηθέντες, εκ νυκτός ορθρίζοντες, δοξολογούμέν σε φιλάνθρωπε».

Πραότητι λάμπων, σοφέ Ιωσήφ, εν τή γή τών πραέων εσκήνωσας, Χριστού τού πράου ρήματι, Πατήρ ονομασθείς, όν εν ταίς σαίς αγκάλαις, κρατήσας ηγιάσθης, καί ιδών εδοξάσθης, σάρκα βροτείαν περικείμενον.

Ως θείαν Νεφέλην, τήν μόνην Αγνήν, εν τοίς κόλποις τόν Ήλιον κρύπτουσαν, εις Αίγυπτον μετήγαγες, εκ πόλεως Δαυϊδ, τό ταύτης λύσαι σκότος, τής ειδωλομανίας, Ιωσήφ μυστηρίου, υπέρ κατάληψιν διάκονε.

Δίκαιος υπάρχων, δικαίαις οδοίς, τού δικαίου Δεσπότου πεπόρευσαι, τού κρίναντος δικαίως σε, τοιούτω φοβερώ, Παμμάκαρ μυστηρίω, πιστώς καθυπουργήσαι, τής αρρήτου λοχείας, δι' ής βροτοί εδικαιώθημεν.

### Θεοτοκίον

Ευρέθη ως έφη, Προφήτης Δαυϊδ, εν γαστρί η Παρθένος χωρήσασα, τόν φύσει απερίγραπτον, Θεόν Εμμανουήλ, όπερ μή εννοήσας, ο θείος εδιδάχθη, Ιωσήφ υπ' Αγγέλου, νυκτί καθεύδων ο αοίδιμος.

### Τών Αγίων

### Ο ανατείλας ημίν

Ο ανατείλας ημίν, τοίς εν σκότει τό φέγγος, τής σης θεοφανείας, δόξα σοι δόξα σοι, Ιησού Υιέ τού Θεού.

Ο εκ Παρθένου Αγνής, ευδοκήσας τεχθήναι, Θεός σεσαρκωμένος, δόξα σοι δόξα σοι, Ιησού Υιέ τού Θεού.

Ο εκ Παρθένου τεχθείς, καί τήν μνήμην φαιδρύνας, Δαυϊδ καί Ιακώβου, δόξα σοι, δόξα σοι Ιησού Υιέ τού Θεού.

Ον ο Προφήτης Δαυϊδ, υετόν επί πόκον, εκάλει θεοπνεύστως, Ιάκωβος εκήρυξεν, Ιησούν τόν Υιόν τού Θεού.

Ο τήν τού δούλου μορφήν, ενδυσάμενος Λόγε, εκ μήτρας παναγίας, δόξα σοι, δόξα σοι, Υιέ τού Θεού.

### Θεοτοκίον

Τήν τού Αγγέλου φωνήν, ασιγήτως η Κτίσις, προσφέρει σοι Παρθένε, Χαίρε Μήτηρ Άχραντε, Ιησού Υιού τού Θεού.

## Τού Μνήστορος

### Ωδή ς'

«Σπλάγχνων Ιωνάν, έμβρυον απήμεσεν, ενάλιος θήροιον εδέξατο, τή Παρθένω δέ, ενοικήσας ο Λόγος καί σάρκα λαβών, διελήλυθε φυλάξας αδιάφθορον, ής γάρ ουχ υπέστη ρεύσεως, τήν τεκούσαν κατέσχεν απήμαντον».

Ξένω τοκετώ, εκ Κόρης θεόπαιδος, τοίς ξένοις ημίν επιδημήσαντα, τόν αϊδιον τού Πατρός Θεόν λόγον, λαβων Ιωσήφ, τήν πρός Αίγυπτον παμμάκαρ ξένην κάθοδον, χαίρων, σύν αυτώ πεποίησαι, καθυπείκων τοίς θείοις προστάγμασιν.

Ίστασο Θεώ, σαρκί νηπιάσαντι, σοφέ Ιωσήφ διακονούμενος, ώσπερ Άγγελος, καί αμέσως πρός; τούτου ηύγασθης σαφώς, τάς ακτίνας τάς αϋλους εισδεχόμενος, μάκαρ, καί φωτοειδέστατος, καί ψυχή καί καρδία δεικνύμενος.

Όλος επαφή, τή θεία πανεύφημε, καθαγιασθείς ψυχή καί σώματι, μεταβέβηκας, πρός αϋλους μονάς αγιάζων νυνί, τούς τελούντάς σου τήν μνήμην Δίκαιε, όντως, Ιωσήφ πανάγιε, παναγίας μνηστήρ Θεομήτορος.

### Θεοτοκίον

Νέον επί γής, παιδίον εώρακας, Παρθένου Αγνής αποτικτόμενον, τόν προτέλειον, καί πρό πάντων αιώνων εκφύντα Πατρός, καί Αγγέλων ανυμνούντων τούτον ήκουσας, ένδον τού σπηλαίου κείμενον, Ιωσήφ επί φάτνης πανεύφημε.

## Τών Αγίων

### Εβόησε, προτυπών

Εβόησαν, παραδόξως τού τόκου σου Κύριε, τό φρικώδες μυστήριον, οι χοροί τών Αγγέλων Θεώμενοι, Εν υψίστοις δόξα τώ Θεώ, επί γής νύν γάρ τίκτεται.

Ευδόκησας, εκ Παρθένου τεχθήναι ως άνθρωπος, επ' εσχάτων, εκ Πατρός πρό αιώνων τεχθείς ως Θεός, ίνα τόν φθαρέντα, αναπλάσης Αδάμ ως φιλάνθρωπος.

Εκάθισας, επί θρόνου ως ώμοσας Κύριε, τού Προφήτου σου Δαυϊδ, εκ καρπού τής κοιλίας αυτού προελθών, Ιακώβω δέ, τής Εκκλησίας τόν θρόνον παρέθου Χριστέ.

Επέστησαν, εκπληττόμεναι τάξεις ουράνιαι, εν σπηλαίω, καί τόν τόκον τόν άχραντον ύμνησαν, ασιγήτως, Δόξα, εν υψίστοις Θεώ αναμέλπουσαι.

Βασιλεύς μέν, ο Δαυϊδ καί Προφήτης θεσπέσιος, καί Προπάτωρ, ανεδείχθη τής θείας σαρκώσεως, Πρωτεπίσκοπος δέ, μαθητής ο Ιάκωβος δείκνυται.

Θεοτοκίον

Δεόμεθα, υπέρ τών οικετών σου αλόχευτε, Θεοτόκε, τόν εκ σού σαρκωθέντα δυσώπησον, ότι σέ καί μόνην, προστασίαν ημών επιστάμεθα.

Κοντάκιον Ήχος γ'

Η Παρθένος σήμερον

Ευφροσύνης σήμερον, Δαυϊδ πληρούται ο θείος, Ιωσήφ τε αίνεσιν, σύν Ιακώβω προσφέρει στέφος γάρ τή συγγενεία Χριστού λαβόντες, χαίρουσι, καί τόν αφράστως εν γή τεχθέντα, ανυμνούσι καί βοώσιν, Οικτίρμον σώζε τούς σέ γεραίροντας.

Ο Οίκος

Απορρήτω βουλή, τίκτεται σαρκί ο άσαρκος, περιγράφεται νύν σώματι, ο απερίγραπτος, καί σώζει ατρέπτως τάς άμφω ουσίας, αρχήν λαμβάνει ο φύσει άναρχος, καί μόνος υπέρχρονος, οράται βρέφος, ο υπερτέλειος, φέρεται χερσίν, ο φέρων τά σύμπαντα, Διό τούς τούτου συγγενεία σεμνυνομένους, ως Θεός στέφει τώ εαυτού τοκετώ, ούς δοξάζοντες πίστει, ασιγήτως εκβοώμεν, Οικτίρμον σώζε τούς σέ γεραίροντας.

Κυριακή Μετά τήν Χριστού Γέννησιν

Μνήμη τών Αγίων καί δικαίων Θεοπατόρων, Ιωσήφ τού Μνήστορος τής Αγίας Παρθένου Δεσποίνης ημών Θεοτόκου, Ιακώβου τού Αδελφού τού Κυρίου, καί Δαυϊδ τού Προφήτου καί Βασιλέως.

Στίχοι

- Τιμώ Ιωσήφ Μνήστορα τής Παρθένου,
- Ως εκλεγέντα φύλακα ταύτης μόνον.
- Σύ τέκτονος παίς, αλλ' αδελφός Κυρίου,
- Τού πάντα τεκτήναντος έν λόγω Μάκαρ.
- Εγώ τί φήσω, μαρτυρούντος Κυρίου,
- Τόν Δαυϊδ εύρον, ως εμαυτού καρδίαν.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον καί σώσον ημάς. Αμήν.

Τού Μνήστορος

Ωδή ζ'

«Οι Παίδες ευσεβεία συντραφέντες, δυσσεβούς, προστάγματος καταφρονήσαντες, πυρός απειλήν ουκ επτοήθησαν, αλλ' εν μέσω τής φλογός, εστώτες έψαλλον, Ο τών Πατέρων Θεός ευλογητός εί».

Προρρήσεων τό πέρας τών ενθέων Προφητών, εώρακας, όν γάρ εκήρυξαν

Χριστόν, ελευσόμενον εκ Κόρης αγνής, εψηλάφησας, καί βρέφος κατενόησας, ως καθαρός τήν ψυχήν, Χριστού θεράπων.

Αμέμπτω πολιτεία, Ιωσήφ κεκοσμημένος ένδοξε, φύλαξ αμέμπτου αληθώς, παρθενίας εχρημάτισας, καί Πατήρ τού τικτομένου Παιδός κέκλησαι, μεγαλυνθείς τή σεπτή προσηγορία.

Ρήματι ο τεκταίνων ουρανόν καί τήν γήν καί τήν θάλασσαν, κέκληται τέκτονος Υιός, σού Παμμάκαρ αξιάγαστε, τού ανάρχου σε, πατρός όντως δοξάσαντος, ως ιερόν υπουργόν τών υπέρ λόγον.

Αγίως σου τόν βίον, διανύσας Ιωσήφ πανάριστε, εν ταίς λαμπρότησι νυνί τών Αγίων κατεσκήνωσας, αγιάζων τούς πιστώς τήν παναγίαν σου, εκτελούντας αεί καί θείαν μνήμην.

Θεοτοκίον

Συμβόλοις ιεροίς σε, τυπουμένην Ιωσήφ ο δίκαιος, θεοχαρίτωτε αγνή, εγνωκώς ράβδω κληρούται σου, τήν μνηστείαν τήν σεπτήν, επιμνησθείς Ααρών, τής βλαστησάσης ποτέ αγίας Ράβδου.

### Τών Αγίων

Αβραμιαίοι ποτέ

Εν Βηθλεέμ Ποιμένες, τόν τής Παρθένου τόκον, δοξολογούντες κατεμήνυον, Σωτήρα καί Κύριον, τόν επί γής οφθέντα, ανθρώπων σώσαι γένος.

Τόν υπέρ λόγον τόκον, τής Θεοτόκου Μαρίας, χοροί Αγγέλων εκπληττόμενοι, Εν τοίς υψίστοις εκραύγαζον, τώ Θεώ ημών δόξα, καί επί γής ειρήνη.

Τών Χερουβίμ εδείχθης, υψηλοτέρα Παρθένε, εν ταίς αγκάλαις σου βαστάσασα, τόν τούτοις οχούμενον, όν δυσωπούσα σώσαι, ημάς αεί μή παύση.

Νυμφαγωγός μέν Δαυϊδ, θαλαμηπόλος δέ θείος, τής Εκκλησίας ο Ιάκωβος, γενόμενοι έλεγον, ο σαρκωθείς δι' ημάς, Χριστέ ευλογητός εί.

Ο εν Προφήταις Άναξ, καί εν Βασιλεύσι Προφήτης, σύν Ιακώβω τώ θεόφρονι, ημίν εμελώδησαν, Ο σαρκωθείς δι' ημάς, Χριστέ ευλογητός εί.

Θεοτοκίον

Εν τή αφλέκτω βάτω, καί δροσοβόλω καμίνω σύ προγραφείσα Μήτηρ Άχραντε, ασπόρως εκύησας, σεσαρκωμένον Θεόν, Αγνή ευλογημένη.

### Τού Μνήστορος

### Ωδή η'

«Θαύματος υπερφυούς η δροσοβόλος, εξεικόνισε κάμινος τύπον, ου γάρ ούς

εδέξατο φλέγει Νέους, ως ουδέ πύρ τής θεότητος Παρθένου ήν υπέδυ νηδύν, Διό ανυμνούντες αναμέλψωμεν, Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας».

Τίμιος ως αληθώς ο θάνατός σου, κατενώπιον ώφθη Κυρίου, Ιωσήφ πανόλβιε, σύ γάρ όλως οσιωθείς, από βρέφους ιερός φύλαξ γεγένησαι, τής ευλογημένης, μεθ' ής έμελπες, Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Άπαντες χοροί τών Ασωμάτων όνπερ τρέμουσι Θεόν καί Κτίστην Ιωσήφ ο δίκαιος, παρρησία πανευλαβώς, περιπτύσσεται ως βρέφος καί ασπάζεται, καί φώς νοητόν βοών κομίζεται, Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Τέτρωσαι τώ γλυκυτάτω Μάκαρ πόθω, καί ως Άγγελος τώ σαρκωθέντι, παρεστώς προστάξεσι, καθυπείκεις ταίς θεϊκαίς, δι' Αγγέλου εξ Αιγύπτου μηνυόμενος, πρός γήν Ισραήλ επανελεύσεσθαι, μετ' αυτού τού Παιδίου καί τής Μητρός αυτού, οίς συνεπανήλθες, τόν Κύριον δοξάζων.

Θεοτοκίον

Νόμου τάς σκιάς είδες λυθείσας, τή τής χάριτος φωτοχυσία, φωτεινήν νεφέλην τε τήν Παρθένον τον νοητόν, ανατέλλουσαν σαρκί, Ήλιον έβλεψας, καί ώσπερ αστήρ πάντας εφώτισας, τούς βοώντας σοφέ Ιωσήφ εκάστοτε, Σέ υπερυψούμεν, Χριστέ εις τούς αιώνας.

## Τών Αγίων

Τόν βασιλέα Χριστόν

Τόν Βασιλέα Χριστόν, όν κατεμήνυσαν εν Βηθλεέμ οι Ποιμένες, καί αστήρ εφανέρωσεν, εν δούλου μορφή, πάντα τά έργα υμνείτε καί υπερυψούτε, είς πάντας τούς αιώνας.

Τόν γεννηθέντα Χριστόν, όν προσεκύτησαν μετά δώρων οι Μάγοι, καί εθεολόγησαν τών Αγγέλων αι στρατιαί, πάντα τά έργα υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Τόν σαρκωθέντα Χριστόν, όν εδοξολόγησαν ουρανών αι Δυνάμεις, καί τά Πολυόμματα απαύστως ανυμνεί, πάντα τά έργα υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Τόν σαρκωθέντα Χριστόν, όν προεφήτευσε Δαυϊδ ο Θεοπάτωρ, καί τοίς λαοίς εκήρυξεν Ιάκωβος, πάντα τά έργα υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Τόν Βασιλέα Χριστόν, όν ημίν έτεκεν, η Παρθένος Μαρία, καί μετά τόκον έμεινε Παρθένος Αγνή, πάντα τά έργα υμνείτε, καί υπερυψούτε, εις πάντας

τούς αιώνας.

Τού Μνήστορος

Ωδή θ'

«Μυστήριον ξένον, ορώ καί παράδοξον, ουρανόν τό σπήλαιον, θρόνον χερουβικόν, τήν Παρθένον, τήν φάτνην χωρίον, εν ώ ανεκλίθη ο αχώρητος, Χριστός ο Θεός, όν ανυμνούντες μεγαλύνομεν».

Ισότιμος πάντων, Αγγέλων γεγένησαι, Προφητών Μαρτύρων τε, Μάκαρ καί τών σοφών, Αποστόλων συνόμιλος όντως, διό σύν αυτοίς σε μακαρίζοντες, σοφέ Ιωσήφ, τήν ιεράν σου μνήμην σέβομεν.

Ως εκ γένους, βασιλικού καταγόμενος, τήν Αγνήν Βασίλισσαν, μέλλουσαν Ιησούν Βασιλέα, τίκτειν απορρήτως, σοφέ εμνηστεύσω, υπέρ άπαντας εν γή προκριθείς, τούς γηγενείς μακαριώτατε.

Σθενούμενος, τή δυναστεία τού Πνεύματος, αρεταίς κεκόσμησαι μάκαρ, εν βαθυτάτω τε γήρα, πρός τούς σούς μετέβης λαμπρώς Ιωσήφ πατέρας, μέγιστος πατήρ νομισθείς, τού εκ Θεού Πατρός εκλάμψαντος.

Η μνήμη σου, πρός ευφροσύνην τά πέρατα, συγκαλεί καί αίνεσιν, Λόγου τού σέ δοξάσαντος Μάκαρ, ώ σύν παρρησία αεί παρεστώς, απαύστως πρέσβευε, ημάς λυτρωθήναι, πειρασμών τούς ευφημούντάς σε.

Θεοτοκίον

Φυλάττουσαν, τήν παρθενίαν ακήρατον, τήν Αγνήν εφύλαξας, Λόγος εξ ής Θεός εσαρκώθη, φυλάξας Παρθένον αυτήν, μετά γέννησιν απόρρητον, μεθ' ής θεοφορε, Ιωσηφ ημών μνημόνευε.

Τών Αγίων

Μωϋσής εν τώ όρει

Τόν αρρήτως πρό αιώνων, φύντα Λόγον, καί Υιόν εκ Πατρός, τόν αυτόν επ' εσχάτων σαρκί, σήμερον Παρθένος εκύησεν, όν υμνούσι Ποιμένες, Αγγέλων βοώντων, Δόξα εν υψίστοις Χριστώ τώ Θεώ.

Τόν Αστέρα οι Μάγοι ιδόντες, τρόπω ξένω, τούτω παρείποντο, τόν τεχθέντα επιζητούντες, όν ευρόντες δώροις ετίμησαν, χρυσώ καί λιβάνω, καί σμύρνη βοώντες, Δόξα εν υψίστοις τώ τεχθέντι Θεώ.

Βηθλεέμ νύν ευφραίνου, Πόλις γενομένη τού Νέου Δαυϊδ, καί Σιων επαγάλλου, τών Εκκλησιών η ακρόπολις, κοινήν ευωχίαν τού Παμβασιλέως, καί τών αυτού θεραπόντων νύν δεξάμεναι.

Τώ τεχθέντι εκ Παρθένου Θεώ, πάσα η Κτίσις τρόμω υπούργησεν, ουρανοί

μέν τόν Αστέρα, η γή τήν φάτνην, όρος τό σπήλαιον, οι Μάγοι τά δώρα, Ποιμένες τό θαύμα, Άγγελοι τόν ύμνον αυτώ προσφέροντες.

Βασιλεύς εκ ποιμένων, πάλαι μέν Δαυῒδ εχρημάτισεν, εκ φυλής δέ Ιούδα, σύ τής Βασιλίδος Ιάκωβε, Ποιμήν ανεδείχθης, τής τού σαρκωθέντος ποίμνης, Αμνού τού υψίστου καί Υιού τού Θεού.

Θεοτοκίον

Τών Αγγέλων οι δήμοι, σέ Θεοκυήτορ δοξάζουσι, καί ανθρώπων τό γένος, σέ ακαταπαύστως εν ύμνοις τιμά, σύ γάρ τώ θείω τόκω, βροτούς ουρανίοις ήνωσας, όθεν σε γεραίρομεν.

Εξαποστειλάριον Αναστάσιμον

καί τών Αγίων

Τοίς Μαθηταίς συνέλθωμεν

Σύν Ιακώβω μέλψωμεν, τώ κλεινώ θεαδέλφω, Δαυῒδ τόν Θεοπάτορα, Ιωσήφ τε τόν θείον, τής Θεοτόκου Μνήστορα, τού Χριστού γάρ τή θεία γεννήσει καθυπούργησαν, Βηθλεέμ εν τή πολει, θεοπρεπώς, μετ' Αγγέλων Μάγων τε καί ποιμένων, αυτώ τόν ύμνον άδοντες, ως Θεώ καί Δεσπότη.

Καί τής Εορτής Αυτόμελον

Επεσκέψατο ημάς, εξ ύψους ο Σωτήρ ημών, ανατολή ανατολών, καί οι εν σκότει καί σκιά, εύρομεν τήν αλήθειαν, καί γάρ εκ τής Παρθένου ετέχθη ο Κύριος.

Εις τούς Αίνους, Στιχηρά Αναστάσιμα δ'.

Είτα τής Εορτής  Ήχος δ'

Ευφραίνεσθε δίκαιοι, ουρανοί άγαλλιάσθε, σκιρτήσατε τά όρη, Χριστού γεννηθέντος, Παρθένος καθέζεται, τά Χερουβίμ μιμουμένη, βαστάζουσα εν κόλποις, Θεόν Λόγον σαρκωθέντα, ποιμένες τόν τεχθέντα δοξάζουσι, Μάγοι τώ Δεσπότη δώρα προσφέρουσιν, Άγγελοι ανυμνούντες λέγουσιν, Ακατάληπτε Κύριε δόξα σοι.

Θεοτόκε Παρθένε, η τεκούσα τόν Σωτήρα, ανέτρεψας τήν πρώτην κατάραν τής Εύας, ότι Μήτηρ γέγονας, τής ευδοκίας τού Πατρός, βαστάζουσα εν κόλποις, Θεόν Λόγον σαρκωθέντα. Ού φέρει τό μυστήριον έρευναν, πίστει μόνη τούτο πάντες δοξάζομεν, κράζοντες μετά σού καί λέγοντες, Ανερμήνευτε Κύριε δόξα σοι.

Στίχ. Είπεν ο Κύριος τώ Κυρίω μου κάθου εκ δεξιών μου έως άν θώ τούς εχθρούς σου υποπόδιον τών ποδών σου

Δεύτε ανυμνήσωμεν, τήν Μητέρα τού Σωτήρος, τήν μετά τόκον πάλιν οφθείσαν Παρθένον, Χαίροις Πόλις έμψυχε, τού Βασιλέως καί Θεού, εν ή Χριστός οικήσας, σωτηρίαν ειργάσατο, Μετά τού Γαβριήλ ανυμνούμέν σε,

μετά τών ποιμένων δοξάζομεν κράζοντες, Θεοτόκε πρέσβευε, τώ εκ σού σαρκωθέντι, σωθήναι ημάς.

Στίχ. Εκ γαστρός πρό Εωσφόρου εγέννησά σε, ώμοσε Κύριος, καί ου μεταμεληθήσεται, Σύ ιερεύς εις τόν αιώνα, κατά τήν τάξιν Μελχισεδέκ.

Ο πατήρ ευδόκησεν, ο Λόγος σάρξ εγένετο, καί η Παρθένος έτεκε, Θεόν ενανθρωπήσαντα, Αστήρ μηνύει, Μάγοι προσκυνούσι, Ποιμένες θαυμάζουσι, καί η κτίσις αγάλλεται.

Δόξα... Ήχος πλ. δ' Ανατολίου

Αίμα καί πύρ, καί ατμίδα Καπνού, τέρατα γής, ά προείδεν Ιωήλ, αίμα τήν Σάρκωσιν, πύρ τήν θεότητα, ατμίδα δέ καπνού, τό Πνεύμα τό Άγιον, τό επελθόν τή Παρθένω, καί κόσμον ευωδιάσαν, Μέγα τό μυστήριον, τής σής ενανθρωπήσεως, Κύριε δόξα σοι.

Καί νύν... Υπερευλογημένη...

Δοξολογία μεγάλη, καί Απόλυσις

Εις τήν Λειτουργίαν, ως διατέτακται

---

Αρχή

## ΤΗ ΚΖ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Πρωτομάρτυρος, καί Αρχιδιακόνου Στεφάνου, καί τού Οσίου Πατρός ημών καί Ομολογητού Θεοδώρου τού Γραπτού, αυταδέλφου Θεοφάνους τού Ποιητού.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τού Πρωτομάρτυρος.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Τή τού Πνεύματος χάριτι, λαμπρυνθείς τήν διάνοιαν, τή μορφή ως Αγγελος, ώφθης Στέφανε, διαδοθείσης τώ σώματι, τής ένδον λαμπρότητος, καί την αίγλην τής ψυχής, φανερούσης τοίς βλέπουσι, δι' ής έτυχες, καί φωτός θεωρίας, ουρανών σοι, παραδόξως ανοιγέντων, αρχή Μαρτύρων καί καύχημα.

Ως βαθμίδες καί κλίμακες, πρός ουράνιον άνοδον, αι τών λίθων νιφάδες, σοί γεγόνασιν, ών επιβαίνων τεθέασαι, εστώτα τόν Κύριον, τού Πατρός εκ δεξιών, σοί ομώνυμον Στέφανον, προτεινόμενον, δεξιά ζωηφόρω, ού πλησίον, ως καλλίνικος παρέστης, καί Αθλητών ακροθίνιον.

Εν σημείοις καί τέρασιν, απαστράπτων καί δόγμασι, παρανόμων έσβεσας τό συνέδριον, καί υπ' αυτών αναιρούμενος, καί λίθοις βαλλόμενος, υπέρ τής τών φονευτών, σύ προσηύχου αφέσεως, εκμιμούμενος, τήν φωνήν τού Σωτήρος, ού εις χείρας εναπέθου σου τό πνεύμα, τό ιερώτατον Στέφανε.

Στιχηρά τού Οσίου, όμοια

Ξενιτείας τοίς τραύμασι, προσετέθη σοι τραύματα, εξορίας Όσιε, χαλεπότητι, τού παρανόμως διέποντος, τόν θρόνον τόν έννομον, καί συγχέοντος δεινώς, τούς θεσμούς τούς τής πίστεως, καί τήν, Άχραντον, τού Σωτήρος Εικόνα καθελόντος, όν τή χάριτι τή θεία Χριστού θεράπον κατήσχυνας.

Ου φρουρά σε ου στένωσις, ουδέ σκότος ανήμερον, ου πληγαί καί μάστιγες, περιίσχυσαν, τής πρός Χριστόν αγαπήσεως, χωρίσαι Θεόδωρε, ουδέ νόσος χαλεπή, καί μακρά καί δυσφόρητος, ουδέ ένδεια, τής τροφής θεορρήμον, αλλ' ατρέπτως, εκαρτέρησας προβλέπων, τήν τών σών πόνων αντίδοσιν.

Αντί θλίψεως αίνεσιν, αντί πόνων απόλαυσιν, αντί σκότους έλλαμψιν, σοί δεδώρηται, ο Αθλοθέτης ο δίκαιος, αντί δέ θεσπέσιε, τής εν όψει σου γραφής, ζωής βίβλω εγγέγραψαι, Εκκλησία δέ, πρωτοτόκων ετάγης, εν υψίστοις, καί Αγγέλων πανηγύρει, περιχαρώς προσελήλυθας.

Δόξα... τού Πρωτομάρτυρος

Ήχος β' Ανατολίου

Τώ Βασιλεί καί Δεσπότη τού παντός, τεχθέντι επί γής, Στέφανος υπέρλαμπρος προσφέρεται, ουκ εκ λίθων τιμίων κατεσκευασμένος, αλλ' εξ οικείων αιμάτων διηνθισμένος, Αλλ' ώ φιλομάρτυρες δεύτε, τά τών ασμάτων άνθη δρεψάμενοι, τάς κεφαλάς αναδησώμεθα, καί τοίς ύμνοις αναμέλποντες, είπωμεν, Ο σοφία καταγλαϊσθείς, καί χάριτι τήν ψυχήν, Πρωτομάρτυς Χριστού τού Θεού, αίτησαι ημίν ειρήνην, καί τό μέγα έλεος.

Καί νύν... τής Εορτής, ο αυτός

Μέγα καί παράδοξον θαύμα, τετέλεσται σήμερον! Παρθένος τίκτει, καί μήτρα ου φθείρεται, ο Λόγος σαρκούται, καί τού Πατρός ου κεχώρισται, Άγγελοι μετά Ποιμένων δοξάζουσι, καί ημείς σύν αυτοίς εκβοώμεν. Δόξα εν υψίστοις Θεώ, καί επί γής ειρήνη.

Εις τόν Στίχον Στιχηρά Προσόμοια τής Εορτής.

Ήχος α'

Τών ουρανίων ταγμάτων

Τόν εκ Πατρός πρό αιώνων εξανατείλαντα, καί ώς Υιόν εν κόλπω Πατρικώ αεί όντα, αύθις δέ επ' εσχάτων, αγκάλαις Μητρός, ώς εν θρόνω καθήμενον, καί υπ Αγγέλων Ποιμένων, Μάγων τε νύν, προσκυνούμενον υμνήσωμεν,

Στίχ. Είπεν ο Κύριος τώ Κυρίω μου, Κάθου εκ δεξιών μου, έως άν θώ τούς εχθρούς σου υποπόδιον τών ποδών σου.

Εν Βηθλεέμ συνελθόντες, πιστοί κατίδωμεν, τόν τών απάντων Κτίστην, κείμενον εν τή φάτνη, καί τούς εκ Χαλδαίων δώρον καλόν, προσκομίζοντας τρίϋλον, ως Βασιλεί, ως Θεώ τε καί δι' ημάς, τριημέρω εσομένω νεκρώ.

Στίχ. Εκ γαστρός πρό Εωσφόρου εγέννησά σε, ώμοσε Κύριος, καί ου μεταμεληθήσεται. Σύ ιερεύς εις τόν αιώνα, κατά τήν τάξιν Μελχισεδέκ.

Εκ τής Παρθένου ετέχθης, υπό τό Σπήλαιον, καί στρατταί Αγγέλων, επιστάσαι εβόων. Δόξα εν υψίστοις σοί τώ Θεώ, τώ τεχθέντι εν δούλου μορφή, καί αναπλάσαντι κόσμον εν τή γαστρί, τής Παρθένου καί ανάνδρου Μητρός.

Δόξα... τού Αγίου Ήχος πλ. β'

Ανατολίου

Πρώτος εν Μάρτυσιν εδείχθης, καί εν Διακόνοις Στέφανε μακάριε, τών αθλητών τό εγκαλλώπισμα, τών πιστών τό καύχημα, η δόξα τών δικαίων. Τούς τήν σεπτήν σου εορτάζοντας μνήμην αίτησαι, ως παριστάμενος τώ θρόνω, Χριστού τού παντάνακτος, τών πταισμάτων ιλασμόν λαβείν, καί βασιλείας ουρανών αξιωθήναι.

Καί νύν... τής Εορτής, ο αυτός

Χορεύουσιν Άγγελοι πάντες εν ουρανώ , καί αγάλλονται σήμερον, σκιρτά δέ πάσα η Κτίσις, διά τόν γεννηθέντα εν Βηθλεέμ Σωτήρα καί Κύριον, ότι πάσα πλάνη, τών ειδώλων πέπαυται, βασιλεύει Χριστός εις τούς αιώνας.

Απολυτίκιον τού Αγίου

Ήχος δ' Ταχύ προκατάλαβε

Βασίλειον διάδημα, εστέφθη σή κορυφή, εξ άθλων ών υπέμεινας, υπέρ Χριστού τού Θεού, Μαρτύρων πρωτόαθλε, σύ γάρ τήν Ιουδαίων, απελέγξας μανίαν, είδές σου τόν Σωτήρα, τού Πατρός δεξιόθεν, Αυτόν ούν εκδυσώπει αεί, υπέρ τών ψυχών ημών.

Δόξα... τού Οσίου Ήχος πλ. δ'

Ορθοδοξίας οδηγέ, ευσεβείας διδάσκαλε καί σεμνότητος, τής οικουμένης ο φωστήρ, αρχιερέων θεόπνευστον εγκαλλώπισμα, Θεόφανες σόφε, ταίς διδαχαίς σου πάντας εφώτισας, λύρα τού Πνεύματος, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Καί νύν...

Απολυτίκιον Ήχος δ'

Η γέννησίς σου Χριστέ ο Θεός ημών, ανέτειλε τώ κόσμω, τό φώς τό τής γνώσεως, εν αυτή γάρ οι τοίς άστροις λατρεύοντες, υπό αστέρος εδιδάσκοντο, σέ προσκυνείν, τόν Ήλιον τής δικαιοσύνης, καί σέ γινώσκειν εξ ύψους ανατολήν, Κύριε δόξα σοι.

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία

Μετά τήν α' Στιχολογίαν

Κάθισμα τής Εορτής Ήχος α'
Τού λίθου σφραγισθέντος

Ο θρόνω πυριμόρφω, εν υψίστοις καθή μενος, σύν Πατρί τώ Ανάρχω, καί τώ θείω σου Πνεύματι, ευδόκησας τεχθήναι εν σαρκί, εκ Κόρης απειράνδρου Ιησού, διά τούτο καί αστήρ σε, τοίς εκ Περσίδος Μάγοις καθυπέδειξε. Δόξα τή παναγάθω σου βουλή, δόξα τή επιφανεία σου, δόξα τή πρός ημάς άκρα συγκαταβάσει σου.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα τού Αγίου Ήχος δ'
Κατεπλάγη Ιωσήφ

Τήν τού Πνεύματος πηγήν, εν τή καρδία μυστικώς, κεκτημένος τού Χριστού, ο Πρωτομάρτυς αληθώς, τών Ιουδαίων απήλεγξε τήν αυθάδειαν, καί έδειξεν αυτοίς, τόν Υιόν τού Θεού, εκ σπέρματος Δαυϊδ, αναβλαστήσαντα, τώ τής σοφίας καί χάριτος πληρώματι, πεπληρωμένος ο ένδοξος. Αλλ' ώ Τρισμάκαρ, τούς σέ τιμώντας, σώζε θείαις πρεσβείαις σου.

Δόξα... Καί νύν...
Τής Εορτής Όμοιον

Ο αχώρητος παντί, πώς εχωρήθη εν γαστρί; ο εν κόλποις τού Πατρός, πώς εν αγκάλαις τής Μητρός; πάντως ώς οίδεν, ώς ηθέλησε καί ώς ηυδόκησεν, άσαρκος γάρ ών, εσαρκώθη εκών, καί γέγονεν ο Ών, ο ουκ ήν δι' ημάς, καί μή εκστάς τής φύσεως, μετέσχε τού ημετέρου φυράματος. Διπλούς ετέχθη, Χριστός τόν άνω, κόσμον θέλων αναπληρώσαι.

Ο Ν' καί οι Κανόνες, τής Εορτής καί τών Αγίων. Ο Κανών τού Πρωτομάρτυρος.

Ιωάννου Μοναχού

Ωδή α' Ήχος πλ. α'

«Ίππον καί αναβάτην, εις θάλασσαν Ερυθράν, ο συντρίβων πολέμους, εν υψηλώ βραχίονι, Χριστός εξετίναξεν, Ισραήλ δέ έσωσεν, επινίκιον ύμνον άδοντα».

Δεύτε Στέφανον ύμνοις, τόν πρωτομάρτυρα, τής Χριστού Εκκλησίας, ενδόξως στεφανώσωμεν, καί θεία στεφόμενοι, τού Στεφάνου χάριτι, επινίκιον ύμνον άσωμεν.

Φέρων τού Διδασκάλου, τό πράον φρόνημα, καί τήν εκ τής αγάπης,

υψοποιόν ταπείνωσιν, αξίως ο Στέφανος, Διακόνων πρόκριτος, καί προστάτης χηρών γεγένηται.

Σύ πρός επικουρίαν, τών Αποστόλων Χριστού, επαξίως εκλήθης, καί ως πιστός Διάκονος, φερώνυμε Στέφανε, χρηματίσας ένθα Χριστός, δι' αίματος μεταβέβηκας.

Θεοτοκίον

Σύ μέν υπέρ ανθρώπων, Χριστέ τόν άνθρωπον, εκ Παρθένου φορέσας, ως βρέφος εσπαργάνωσαι, ο σός δέ χωννύμενος, Πρωτομάρτυς λίθων βολαίς, τόν άνθρωπον αποδύεται.

Κανών τού Οσίου, ού η Ακροστιχίς.

Τούς σούς, αδελφέ, γνησίους πλέκω κρότους. Θεοφάνους.

Ωδή α' Ήχος δ'

«Θαλάσσης τό ερυθραίον πέλαγος, αβροχοις ίχνεσιν, ο παλαιός πεζεύσας Ισραήλ, σταυροτύποις Μωσέως χερσί, τού Αμαλήκ τήν δύναμιν, εν τή ερήμω ετροπώσατο».

Τόν τίτλον τής σής τιμίας όψεως, ιδόντα παραχωρεί, τά Χερουβίμ τού ξύλου τής ζωής, η φλογίνη ρομφαία δέ, πανευλαβώς τά νώτά σοι, δίδωσι πάνσοφε Θεόδωρε.

Ο τίτλος τή κορυφή επέκειτο, τού Βασιλέως Χριστού, εγεγγραμμένος ξύλω τού Σταυρού, ο σός τίτλος δέ Πάνσοφε, όψει τή σή κεκόλαπται, κεχαραγμένος ευπρεπέστατα.

Υψώθη επί Σταυρού μέν Κύριος, καί διενύγη πλευράν, σύ δέ ταθείς εν καμίνω καρτερώς, τάς κεντήσεις υπέμεινας, ώσπερ κριός επίσημος, Ιερομύστα σφραγιζόμενος.

Σοφία παντοδαπή κοσμούμενος, Πάτερ Θεόδωρε, τόν πρωτοστάτην ήλεγξας σαφώς, τής κακίστης αιρέσεως, υπομονή τών έργων δέ, τούτου τάς φρένας κατεπάτησας.

Θεοτοκίον

Σοφίας τής υπερσόφου γέγονας, δοχείον Πάναγνε, Θεογεννήτορ μόνη τών πιστών, σωτηρία καί ύμνησις, σύ γάρ ημίν γεγέννηκας, τήν πάντων θείαν απολύτρωσιν.

Τού Αγίου

Ωδή γ'

«Ο πλήξας επ ουδενός, τήν γήν τή προστάξει σου, καί μετεωρίσας ασχέτως βρίθουσαν, επί τήν ασάλευτον Χριστέ, πέτραν τών εντολών σου, τήν

Εκκλησίαν σου στερέωσον, μόνε αγαθέ καί φιλάνθρωπε».

Νομίμως ως Χριστού, στρατιώτης ο Στέφανος, πρός τούς θεοκτόνους παραταξάμενος, τό ακαταγώνιστον αυτού, σθένος ενδεδυμένος, τών παρανόμων εθριάμβευσεν, άπασαν τήν βλάσφημον αίρεσιν.

Τώ ζήλω τής Χριστού, πυρωθείς αγαπήσεως, καί πρός τούς αγώνας αποδυσάμενος, πίστεως καί Πνεύματος πλησθείς, θείου ο Πρωτομάρτυς, τών Αλιέων εβεβαίωσε, πάσι τό θεόκριτον κήρυγμα.

Ως κήρυξ τής κεκρυμμένης, όντως καί θείας ζωής, τής παρούσης ώς περ επιλαθόμενος, έργω διαδείκνυσι σαφώς, πάσιν ο Πρωτομάρτυς, τροπαιοφόρον τήν αλήθειαν, άριστα προκρίνας τόν θάνατον.

Θεοτοκίον

Τού βίου δι' ημάς, ο Δεσπότης τό σπήλαιον, υπεισήλθε τρόπω συγκαταβάσεως, ο δέ τών Μαρτύρων αρχηγός, Στέφανος τήν σπιλάδα, τήν ανθρωπίνην υπεξέρχεται, πόθω τού Δεσπότου βαλλόμενος.

Τού Οσίου

Ευφραίνεται επί σοί

Ουκ έχων ό,τι ταίς σαίς, διδασκαλίαις αντειπείν Όσιε, επ αικισμούς στρέφεται, ο βαρβαρικής βίας έμπλεως.

Υπέστης καρτερικώς, τάς επί νώτον καί στηθών μάστιγας, διά Χριστόν θεόπνευστε, καί τά επί κόρρης ραπίσματα.

Σοφία πνευματική, καί προθυμία λογισμού ήσχυνας, τόν δυσσεβή Λέοντα, τοίς ιερωτάτοις σου δόγμασιν.

Αθραύστοις υπομοναίς, καί καρτερία τών δεινών έθραυσας, τήν μανικήν Όσιε, βδέλλαν τή μαχαίρα τού Πνεύματος.

Θεοτοκίον

Δαυίδ καθά κιβωτόν, εν Βηθλεέμ προφητικοίς όμμασι, Μήτηρ Θεού βλέπει σε, βρέφος τόν υπέρθεον φέρουσαν.

Κάθισμα  Ήχος α'

Τόν τάφον σου Σωτήρ

Απόστολε Χριστού, Διακόνων ο πρώτος, Πρωτόαθλε σοφέ, τών Μαρτύρων ακρότης, ο κόσμου τά πέρατα, αγιάσας τοίς άθλοις σου, καί τοίς θαύμασι, ψυχάς ανθρώπων λαμπρύνας, τους τιμώντάς σε, ρύσαι παντοίων κινδύνων, πανεύφημε Στέφανε.

Δόξα... Τού Οσίου  Ήχος γ'

Θείας πίστεως

Στόμα πέφηνας τής παρρησίας, θράσος τύραννον, μεγαλοφρόνως,

καταισχύνας καρτερία τών άθλων σου, εκκεντηθείς γάρ τάς όψεις Θεόδωρε, διά Χριστού τήν εικόνα τήν πάνσεπτον, εβεβαίωσας, τιμάν καί δοξάζειν άπαντας, αιτούμενος ημίν τό μέγα έλεος.

Καί νύν... Τής Ρορτής

Ήχος ο αυτός

Τήν ωραιότητα

Θαύμα παράδοξον, γέγονε σήμερον, ο γάρ Σωτήρ ημών, εν τώ Σπηλαίω σαρκί, ώφθη εκ Παρθένου δι' ημάς, καθώς αυτός επίσταται. Μάγοι μετά δώρων δέ, ως Βασιλεί προσεκύνησαν. Ποιμένες μετ' Αγγέλων τε, εδοξολόγουν αυτόν, μεθ' ών καί ημείς βοώμεν αυτώ. Δόξα τώ δι' ημάς ενανθρωπήσαντι.

Τού Αγίου

Ωδή δ'

«Τήν θείαν εννοήσας σου κένωσιν, προβλεπτικώς ο Αββακούμ, Χριστέ εν τρόμω εβόα σοι, Εις σωτηρίαν λαού σου, τού σώσαι τούς χριστούς σου ελήλυθας».

Κατήγορος κριτής τε καί άδικος, ο βροτοκτόνος καί πατήρ, τού ψεύδους Στέφανε δείκνυται, αλλ' εαυτόν ανατρέπει, τούς βρόχους καθ' εαυτού τεκτηνάμενος.

Ο μέγας τής αθλήσεως πρόβολος, αντ ουδενός τού δυσμενούς, τυράννου κρίνας τήν έφοδον, καταπαλαίει ανδρείως, εντέχνως υποβάς τόν αντίπαλον.

Ως πρώτος τών Μαρτύρων ο Στέφανος, οδοποιήσας εν ημίν, τού Μαρτυρίου τήν είσοδον, στεφανηφόρος χορεύει, τώ στέφει τών Μαρτύρων στεφόμενος.

Θεοτοκίον

Εκλάμψας εκ Παρθένου ώς Ήλιος, συνανατέλλουσαν Χριστέ, ώς Εωσφόρον τήν ένδοξον, τού Πρωτομάρτυρος μνήμην, τή σή καταγλαϊζεις φαιδρότητι.

Τού Οσίου

Επαρθέντα σε ιδούσα

Εφηπλωμένος σανίδι κατεκεντήθης, ώς προσκυνών Θεόδωρε, Χριστού τήν εικόνα, καί τής Θεομήτορος, θρακός αγριότητι, καί βαρβαρική ιταμότητι.

Λειτουργήσας εκ νεότητος τώ Δεσπότη, καί πρός αυτόν ανένδοτον τήν άφεσιν έχων, Μάκαρ δι' ασκήσεως, Μαρτύρων εν αίματι, αύθις εκοσμήθης φαιδρότατα.

Φαεινότατος ως ήλιος Θεοφόρε, ανατολής εξώρμησας, ακτίνας εκπέμπων, τής ομολογίας σου, καί τής μεγαλόφρονος, καί γενναιοτάτης ενστάσεως.

Θεοτοκίον

Ευλογημένος ο ερχόμενος Θεός Λόγος, εν Βηθλεέμ ως εύσπλαγχνος, εξ απειρογάμου, Πάναγνε κοιλίας σου, όν νύν εκδυσώπησον, σώσαι τους πρός σέ καταφεύγοντας.

Τού Αγίου

Ωδή ε'

«Ο αναβαλλόμενος φώς ώς ιμάτιον, πρός σέ ορθρίζω, καί σοί κραυγάζω. Τήν ψυχήν μου φώτισον, τήν εσκοτισμένην Χριστέ, ώς μόνος εύσπλαγχνος».

Έλαμψεν ώς Άγγελος, ο Πρωτομάρτυς σου, τών ουρανίων Χριστέ αψίδων, γεγονώς υπέρτερος, καί δόξης αρρήτου, εμφορηθείς Φιλάνθρωπε.

Ως ακαταγώνιστος, τού Πρωτομάρτυρος, τού θείου ζήλου η παρρησία, καί γάρ μέχρις αίματος, πρός τούς θεοκτόνους, ανδρείως παρετάξατο,

Θεηγόρου στόματος, νιφάσιν έβαλε, τούς μιαιφόνους ο Πρωτομάρτυς, υπ' αυτών απείροις δέ, τών λίθων νιφάσιν, ώς νικητής εστέφετο.

Θεοτοκίον

Τόν επιδημήσαντα, εξ άπειράνδρου Μητρός, ο Πρωτομάρτυς εν ακινήτω, τού Πατρός θεότητι, εστώτα καί δόξη, εν ουρανοίς τεθέαται.

Τού Οσίου

Σύ Κύριέ μου φώς

Γήν ξένην κατοικών, ξενιτείας επ' άλγεσιν, αλγήματα εξορίας, καί φρουράς ωμοτάτας, υπέστης καρτερόψυχε.

Νύν χαίρεις άληθώς, νικηφόρον στεφάνωμα, δεξάμενος εν ημέρα τή φαιδρά καί φωσφόρω τού θείου Πρωτομάρτυρος.

Ήν έσχες εκ παιδός, ευσεβώς υπόθεσιν, ετήρησας μέχρι τέλους, απερίτρεπτος μείνας, αήττητε Θεόδωρε.

Θεοτοκίον

Σέ όπλον αρραγές, κατ' εχθρών προβαλλόμεθα, σέ άγκυραν καί ελπίδα, τής ημών σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

Τού Αγίου

Ωδή ς'

«Μαινομένην κλύδωνι ψυχοφθόρω, Δέσποτα Χριστέ, τών παθών τήν θάλασσαν κατεύνασον, καί εκ φθοράς, ανάγαγέ με ως εύσπλαγχνος».

Ο κλεινός ταξίαρχος τών Μαρτύρων, Στέφανος πιστοί, τούς θεσμούς τής φύσεως τή χάριτι, εκβεβηκώς, τή θεία δόξη αυγάζεται.

Μιμητής πανάριστος χρηματίσας, Δέσποτα Χριστέ, τού τιμίου πάθους σου ο Στέφανος, τούς φονευτάς, δι' ευλογίας αμύνεται.

Μιαιφόνου πράξεως, αμετόχους, φύλαττε Χριστέ, καί τού Πρωτομάρτυρος αξίωσον, τούς υμνητάς, τής κληρουχίας ώς εύσπλαγχνος.

Θεοτοκίον

Παγκοσμίου γέγονε σωτηρίας, Δέσποτα Χριστέ, απαρχή ο τόκος σου, καί Μάρτυσι, θεοπρεπούς, Ομολογίας υπόθεσις.

Τού Οσίου

Θύσω σοι, μετά φωνής

Ιδρώτι, τών αγώνων εισέτι σταζόμενος, Αγωνοθέτη παρέστης, τώ δικαία κρίσει, πάσαν τήν Κτίσιν, κυβερνώντι, θεοφόρε παμμάκαρ Θεόδωρε.

Ουδέν σε, τής εις Χριστόν αγάπης εχώρισεν, ουκ αικιζόμενον σώμα, ου θανάτου ψήφος απειλουμένη, ου ζημία, τών προσόντων θεόφρον Θεόδωρε.

Υιός ών, καί φωτός τής ημέρας Θεόδωρε, πλήρης φωτός μετετέθης, πρός τό φώς τό θείον αυξανομένης, τής ημέρας, καί νυκτός μειουμένης θεόληπτε,

Θεοτοκίον

Σέ μόνην, τών ακανθών εν μέσω ευράμενος ώς καθαρώτατον κρίνον, καί κοιλάδων άνθος ώ Θεομήτορ, ο νυμφίος, εκ τής γαστρός σου Λόγος προέρχεται.

Κοντάκιον τού Πρωτομάρτυρος

Ήχος γ'

Η Παρθένος σήμερον

Ο Δεσπότης χθές ημίν, διά σαρκός επεδήμει, καί ο δούλος σήμερον, από σαρκός εξεδήμει, χθές μέν γάρ, ο Βασιλεύων σαρκί ετέχθη, σήμερον δέ, ο οικέτης λιθοβολείται, δι' αυτόν καί τελειούται, ο Πρωτομάρτυς καί θείος Στέφανος.

Ο Οίκος

Ως αστήρ φαεινός σήμερον συνεξέλαμψε, τή Γεννήσει Χριστού, ο Πρωτομάρτυς Στέφανος, αστράπτων καί φωτίζων τά πέρατα άπαντα, τών Ιουδαίων μόνον η μαύρωσε τήν πάσαν δυσσέβειαν, σοφίας λόγοις τούτους διελέγξας, από τών Γραφών διαλεγόμενος, καί πείθων τούτους, τόν γεννηθέντα εκ τής Παρθένου Ιησούν, Υιόν αυτόν είναι Θεού, κατήσχυνε τούτων τήν ασεβή κακουργίαν, ο Πρωτομάρτυς καί θείος Στέφανος.

Συναξάριον

Τή ΚΖ' τού αυτού μηνός, Μνήμη τού Αγίου Αποστόλου Πρωτομάρτυρος καί Αρχιδιακόνου Στεφάνου, ενός τών επτά Διακόνων.

Στίχοι

- Λόγων στεφάνοις, οία τιμίοις λίθοις,
- Στέφω Στέφανον, όν προέστεψαν λίθοι.
- Εικάδι λαϊνεος Στέφανον μόρος εβδόμη είλεν.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Θεοδώρου τού Γραπτού, αδελφού Θεοφάνους τού Ποιητού.

Στίχοι

- Αυχείν έχει τι καί Θεόδωρος μέγα,
- Εκ γής απαίρων, ώς μέγα, στίξις θέας.

Στίχοι Ιαμβικοί, γραφέντες τώ προσώπω τού Αγίου θεοδώρου, καί Αδελφού αυτού Θεοφάνους, παρά Θεοφίλου Βασιλέως, εν σιδήρω πυρωθέντι.

- Πάντων ποθούντων προστρέχειν πρός τήν πόλιν,
- Όπου πάναγνοι τού Θεού Λόγου πόδες
- Έστησαν, εις σύστασιν τής οικουμένης,
- Ώφθησαν ούτοι τώ σεβασμίω τόπω,
- Σκεύη πονηρά δεισιδαίμονος πλάνης.
- Εκείσε πολλά λοιπόν εξ απιστίας,
- Πράξαντες δεινά αισχρά δυσσεβοφρόνως,
- Εκείθεν ηλάθησαν ώς αποστάται.
- Πρός τήν πόλιν δέ τού κράτους πεφευγότες,
- Ουκ εξαφήκαν τάς αθέσμους μωρίας.
- Όθεν γραφέντες ώς κακούργοι, τήν θέαν,
- Κατακρίνονται καί διώκονται πάλιν.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Θεοδώρου Αρχιεπισκόπου Κωνσταντινοπόλεως.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Ιερομάρτυρος Μαυρικίου, καί τών σύν αυτώ εβδομήκοντα Μαρτύρων.

Ο Όσιος πατήρ ημών Λουκάς ο Τριγλινός, ήτοι ο εκ Μουδανίων, εν ειρήνη τελειούται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον, καί σώσον ημάς. Αμήν.

Τού Αγίου

Ωδή ζ'

«Ο υπερυψούμενος, τών Πατέρων Κύριος, τήν φλόγα κατέσβεσε, τούς Παίδας εδρόσισε, συμφώνως μελωδούντας, Ο Θεός ευλογητός εί».

Ως ποικίλοις άνθεσι, καί ωραίοις Στέφανε, τοίς λίθοις κοσμούμενος, σαυτόν προσενήνοχας, Χριστώ τώ Ζωοδότη, μελωδών, Ευλογητός εί.

Ως ακαταγώνιστος, η τού Σαύλου ένστασις, πορθούντος τό πρότερον, Χριστού τούς θεράποντας, προσάγοντος δέ έθνη, νύν Χριστώ εις τούς αιώνας.

Τούς οδόντας βρύχοντες, φονικώς οι άνομοι, ώς θήρες αρπάσαντες, ανήρουν τόν Στέφανον, ενθέως μελωδούντα, Ο Θεός ευλογητός εί.

Επαρθείς τώ Πνεύματι, τώ αγίω Στέφανε, αρρήτως τεθέασαι, Υιόν συν Γεννήτορι, κραυγάζων τή Τριάδι, Ο Θεός ευλογητός εί.

Θεοτοκίον

Σοί τώ ανατείλαντι, εκ Παρθένου θείας αγνής, προσήνεκται έμψυχος, ως Βασιλεί Στέφανος, ενθέως μελωδών σοι, ο Θεός ευλογητός εί.

Τού Οσίου

Εν τή καμίνω

Πεπυρσευμένος, τώ ορθοδόξω ζήλω Πάνσοφε, πλάνην μιαράς αιρέσεως καί δεινής, θαρσαλέως εξηκόντισας, Ευλογημένος εί, ο Θεός μου κραυγάζων καί Κύριος.

Λόγον σοφίας, λόγον δογμάτων, λόγον γνώσεως, λόγον διδαγμάτων, Πάτερ πανευσεβών, Θεός Λόγος σοι δεδώρηται, Ευλογημένος εί, ο Θεός μου βοώντι καί Κύριος.

Εξανατείλας, εκ τής Εώας ώσπερ ήλιος, αίγλην ευσεβείας έσπειρας επί γής, τής εικόνος τήν προσκύνησιν, Χριστού φωτίζουσαν, καί διδάσκουσαν Πάτερ Θεόδωρε.

Θεοτοκίον

Κεκοσμημένη, δεδοξασμένη υπερλάμπουσα, φέγγει Παρθενίας Μήτηρ Θεού, μετά σώματος εγέννησας, καί εσπαργάνωσας, τόν ομίχλη τήν γήν σπαργανώσαντα.

Τού Αγίου

Ωδή η'

«Σοί τώ παντουργώ, εν τή καμίνω Παίδες, παγκόσμιον πλέξαντες χορείαν έμελπον. Πάντα τά έργα τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Δεύτε νοητώς, τή τού Στεφάνου δόξη, λαμπόμενοι μέλψωμεν, τώ σαρκωθέντι Θεώ. Πάντα τα έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ώφθη σοι Χριστός, εν τή Πατρώα δόξη, τών άθλων μηνύων σοι, σαφώς τά έπαθλα, όθεν εβόας. Τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Σοί ως νικητή, τής παρανόμου πλάνης, αθλήσεως στέφανος, επλάκη Στέφανε, όθεν εβόας. Τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Έπλεξεν ημίν, ο τού Δεσπότου τόκος, χορείαν η μνήμη τε, τού Πρωτομάρτυρος, όθεν απαύστως, τόν Κύριον υμνούμεν, καί υπερυψούμεν, εις πάντας τους αιώνας.

Θεοτοκίον

Σέ τήν υπέρ νούν, θεανδρικώς τώ λόγω, τεκούσαν τόν Κύριον, καί παρθενεύουσαν, πάντα τά έργα, Παρθένε ευλογούμεν, καί υπερυψούμεν εις πάντας τούς αιώνας.

Τού Οσίου

Χείρας εκπετάσας Δανιήλ

Ως λέων Παμμάκαρ πεποιθώς, ψυχής στερρότητι, ουκ εδειλίασας, τόν τής αιρέσεως πρόβολον, τής μανίας τόν επώνυμον, όν καταπτήξας τοίς λαοίς, χαίρων εκραύγαζες. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Κοσμήσας ανδρεία τόν θυμόν, τή σωφροσύνη δέ, Μάκαρ τήν έφεσιν, τόν νούν φρονήσεως έμπλεων, κεκτημένος διετέλεσας, δικαιοσύνη δέ τάς σάς φρένας ερρύθμισας, ανακράζων. Πάντα τά έργα υμνείτε τόν Κύριον.

Ραγδαίως φερόμενον τόν ρούν, τόν τής αιρέσεως Πάτερ εξήρανας, τοίς σοίς συντάγμασιν Όσιε, καί πανσόφοις αποδείξεσι, τάς μηχανάς τών ασεβών, καταστρεψάμενος, καί κραυγάζων. Πάντα τά έργα υμνείτε τόν Κύριον.

Θεοτοκίον

Ο πλάσας τήν φύσιν κατ' αρχάς, τήν τών ανθρώπων Θεός, ταύτην ενδύεται, εκ τής αχράντου σου Πάναγνε, καί αγίας γαστρός σήμερον, εν Βηθλεέμ προφητικώς, αποτικτόμενος, όθεν πάντες, σέ ευλογούμεν Μαρία Θεόνυμφε.

Τού Αγίου

Ωδή θ'

«Ησαϊα χόρευε, η Παρθένος έσχεν εν γαστρί, καί έτεκεν υιόν τόν Εμμανουήλ, Θεόν τε καί άνθρωπον. Ανατολή, όνομα αυτώ, όν μεγαλύνοντες, τήν Παρθένον μακαρίζομεν».

Τών επαίνων Στέφανε, υπερέβης άπαντα θεσμόν, καί φέρεις κατά παντός, λόγου αψευδώς, σύ τά νικητήρια, αδυνατεί, βρότειος γάρ νούς, πλέξασθαι

στέφανον, εγκωμίων σοι επάξιον.

Ω τής μακαρίας σου, ής εφθέγξω, Στέφανε φωνής! Μή στήσης τοίς φονευταίς, Δέσποτα βοών, Χριστέ τό αγνόημα, αλλ' ως Θεός καί Δημιουργός, δέξαι τό πνεύμά μου, ώσπερ θύμα ευωδέστατον.

Σύ των πόνων έπαθλον, ανεδήσω τό νικητικόν, εκ Παντοκρατορικής, στέφος δεξιάς, καί νύν Παμμακάριστε, παρεστηκώς τώ Παμβασιλεί, δόξη καί χάριτι, τούς ανυμνούντάς σε περίσωζε.

Θεοτοκίον

Χρονικής υπάρξεως, εκ Παρθένου, είληφεν αρχήν, σαρκί ο εκ τού Πατρός άχρονος Υιός, διό αναιρούμενος, ο μιμητής, Στέφανος Χριστού, νύν εκληρώσατο, απαρχήν τής αϊδίου ζωής.

Τού Οσίου

Λίθος αχειρότμητος

Τώ θείω βαλλόμενος πόθω, τών διωγμών τάς παραστάσεις, ράον υποφέρεις θεόφρον, καί τού διώκτου τήν αγριότητα, καταβαλών απείληφας, τόν τών αγώνων Πάτερ στέφανον.

Όλβον επουράνιον εύρες, καί διαμένουσαν οικίαν, αντί τής μακράς εξορίας, καί ξενιτείας καί μεταβάσεως, καί νύν τρυφάς λαβόμενος, τής αιωνίου απολαύσεως.

Ύμνον τώ Δεσπότη προσφέρων, Μάκαρ δυσώπησον απαύστως, υπέρ τής εμής ασθενείας, καί συσκηνίας καί αδελφότητος, όπως ομού βιώσαντες, τύχωμεν άμα τής Θεώσεως.

Θεοτοκίον

Σέ τήν υπέρ νούν τε καί λόγον, εν Βηθλεέμ τόν Θεόν Λόγον, σήμερον τεκούσαν Παρθένε, καί εν σπαργάνοις τούτον ειλήσασαν, ως αληθώς Θεόπαιδα, καί Θεοτόκον μεγαλύνομεν.

Εξαποστειλάριον

τού Πρωτομάρτυρος

Επεσκέψατο ημάς

Στέφανος σοί ώς Βασιλεί, έμψυχος προσενήνεκται, νύν τής σαρκός εκδημήσας, τώ ενδημήσαντι σαρκί, Θεώ τώ παντοκράτορι, δι' όν καί τόν αγώνα, ενδόξως ετέλεσεν:

Έτερον

Τοίς μαθηταίς συνέλθωμεν

Ο πλήρης θείας χάριτος, καί δυνάμεως όντως, τερατουργών διήλεγχε, θεοκτόνων τά στίφη, διακενής μελετώντα, υψηγόρω δέ γλώττη, θεολογών ο Στέφανος, τού Πατρός δεξιόθεν, τόν Ιησούν, καθορώ νύν έφησεν εστηκότα, πρός όν λιθολευστούμενος στεφηφόρος ανήλθεν.

τής Εορτής, μετά τού Στεφάνου πάλιν

Ο τώ Πατρί καί Πνεύματι, συναϊδος Λόγος, καί συμφυής καί σύνθρονος, εκ Παρθένου γεννάται, εν Βηθλεέμ νύν ως βρέφος, όν Θεόν καί Σωτήρα, ο Πρωτομάρτυς Στέφανος, αριδήλως κηρύξας, υπό χειρών, μιαιφόνων χαίρων λιθολευστείται, καί στεφηφόρος άνεισι, πρός αυτόν μετά δόξης.

Εις τούς Αίνους, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά ιδιόμελα τού Αγίου Στεφάνου.

Ήχος β' Κυπριανού

Αθλοφορικόν στέφανον, τώ Πρωτάθλω οι πιστοί πλέξωμεν, εκ λογικών ανθέων, αυτός γάρ τήν τών Μαρτύρων προητοίμασεν οδόν, καί εν χαρά ανεβόα, Ιδού τούς ουρανούς ανεωγμένους θεωρώ, καί τόν Υιόν τού Θεού, εκ δεξιών εστώτα τού αοράτου Πατρός.

Ήχος β' Ανατολίου

Αγιωσύνην ενεδύσω, Στέφανε μακάριε, Πρωτομάρτυς καί Πρωτοδιάκονε, τών Αγγέλων συμμέτοχε, δυσωπήθητι, καί πρέσβευε υπέρ ημών, πρός τόν Σωτήρα Κύριον τόν αναμάρτητον.

Ο αυτός, τού αυτού

Πρώτος εν Διακόνοις, πρώτος καί εν Μάρτυσιν εδείχθης, πανάγιε Στέφανε, όδός γάρ εγένου τοίς αγίοις, καί πολλούς τώ Κυρίω προσήγαγες Μάρτυρας, διό ουρανός σοι ηνοίγη, καί Θεός σοι εφάνη. Αυτόν ικέτευε, σωθήναι τάς ψυχάς ημών.

ο αυτός, τού αυτού

Τόν Πρωτομάρτυρα, καί γενναίον τού Χριστού θεράποντα, Στέφανον τόν Πρωτοδιάκονον, επαξίως τιμήσωμεν ούτος γαρ έστως εν μέσω παρανόμων εν δεξιά Πατρός Υιόν εθεάσατο.

Ήχος δ' Ιωάννου Μοναχού

Στέφανε ένδοξε, ουρανοπολίτα, Χριστού θεράπον μακάριε, πρεσβείαν ποίησον, υπέρ τών ψυχών ημών.

ο αυτός, τού αυτού

Στέφανος, η καλή απαρχή τών Μαρτύρων, ο πλήρης χάριτος καί δυνάμεως, ο ποιών σημεία καί τέρατα, μεγάλα εν τώ λαώ υπό ανόμων ελιθάζετο, αλλ' εξέλαμψεν ως Άγγελος, καί θεωρεί τήν δόξαν, σού τού σαρκωθέντος υπέρ ημών, εκ δεξιών τής δυνάμεως, καί τώ Πνεύματι τής χάριτος, εις ουρανούς ανελαμβάνετο, καί διά τούτο, ταίς χοροστασίαις τών Αγγέλων συναυλιζόμενος, πρεσβεύει σωθήναι τάς ψυχάς ημών.

Δόξα... Ήχος πλ. α' Κυπριανού

Πρωτομάρτυς Απόστολε καί Πρωτοδιάκονε, η πύλη τών Μαρτύρων, η δόξα τών Δικαίων, τών Αποστόλων τό καύχημα, σύ ουρανούς εθεάσω ανεωγμένους, εν τώ σταδίω εστώς, καί τόν Υιόν τού Θεού, εκ δεξιών εστώτα τού αοράτου Πατρός, διό, ως Άγγελος εκλάμψας τώ προσώπω , εν χαρά ανεκραύγαζες υπέρ τών λιθαζόντων. Μή στήσης αυτοίς τήν αμαρτίαν ταύτην. Καί νύν αίτησαι, τοίς εκ πόθου ευφημούσί σε, ιλασμόν αμαρτιών, καί τό μέγα έλεος.

Καί νύν... ο αυτός
Ιωάννου Μοναχού

Ακατάληπτον τό τελούμενον, εν Βηθλεέμ σήμερον μυστήριον! ο αόρατος οράται, ο άσαρκος σαρκούται, ο Λόγος παχύνεται, καί ο Ών γίνεται ο ουκ ήν, Παρθένος τίκτει εν σπηλαίω βρέφος νέον, τόν Πλάστην τής φύσεως, φάτνη εκτυπούται, εις θρόνον επουράνιον, κτήνη απεικάζει, χερουβικήν παράστασιν. Ποιμένες θαυμάζουσι, Μάγοι δώρα προσφέρουσιν. Άγγελοι ανυμνούντες λέγουσι. Δόξα εν υψίστοις Θεώ , καί επί γής ειρήνη, εν ανθρώποις γάρ ευδόκησεν, αναλλοιώτως ο Εμμανουήλ.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια τής Εορτής.

Ήχος α' Πανεύφημοι Μάρτυρες

Ιδούσα κρατούμενον χερσίν, εαυτής η Πάναγνος, τόν Ποιητήν απεφθέγγετο. Τέκνον γλυκύτατον, πώς σέ βρέφος βλέπω, καί νοείν ου δύναμαι, τήν απειρόν σου νύν συγκατάβασιν, υμνώ τό κράτος σου, προσκυνώ τήν ευσπλαγχνίαν σου, δι' ής σώσαι, κόσμον παραγέγονας.

Στίχ. Είπεν ο Κύριος τώ Κυρίω μου, Κάθου εκ δεξιών μου, έως άν θώ τούς εχθρούς σου υποπόδιον τών ποδών σου.

Ως βρέφος με βλέπουσα ταίς σαίς, επαναπαυόμενον, Μήτερ αγκάλαις ευφράνθητι, ήλθον τόν κόσμον γάρ, όλον διασώσαι, καί Αδάμ όν έπλασα, κακίστη συμβουλία τού όφεως, ξύλου γευσάμενον, καί τρυφής έξω γενόμεωον, Παραδείσου, καί καταφθειρόμενον.

Στίχ. Εκ γαστρός πρό Εωσφόρου εγέννησά σε, ώμοσε Κύριος, καί ου μεταμεληθήσεται. Σύ Ιερεύς εις τόν αιώνα, κατά τήν τάξιν Μελχισεδέκ.

Σέ βρέφος Προτέλειε ορώ, φάτνη προσκλινόμενον, ου συνορώ μυστηρίου δέ, βάθος το άφραστον, πώς καί μετά τόκον, άφθορος διέμεινα, τούς νόμους υπερβάσα τής φύσεως. Τίνα ούν αίνόν σοι, προσαγάγω; πώς δοξάσω σε; η Παρθένος, Κόρη απεφθέγγετο.

Δόξα... τού Αγίου
Ήχος πλ. δ' Κυπριανού

Χαίροις εν Κυρίω στεφανηφόρε Στέφανε, ο μιμητής τού Δεσπότου, διότι καί Πρωτομάρτυς γέγονας, Χριστού τού Βασιλέως ημών, καί τήν πλάνην τών ανόμων, Ιουδαίων κατήργησας, πρέσβευε υπέρ ημών πρός Κύριον.

Καί νύν... τής Εορτής, ο αυτός

Παράδοξον μυστήριον, οικονομείται σήμερον! καινοτομούνται φύσεις, καί Θεός άνθρωπος γίνεται, όπερ ήν μεμένηκε, καί ο ουκ ήν προσέλαβεν, ου φυρμόν υπομείνας, ουδέ διαίρεσιν.

Η λοιπή, Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

**ΤΗ ΚΗ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τών Αγίων Δισμυρίων, τών εν Νικομηδεία καέντων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής.

Ήχος πλ. α'
Χαίροις ασκητικών

Φέρεις Αδαμιαίαν μορφήν, ο ενμορφή Θεού υπάρχων παντέλειος, καί θέλεις χερσί κρατείσθαι, ο τή χειρί τού παντός, περιδεδραγμένος δυναστεία σου, Αγνή η πανάμωμος, προσεφθέγγετο λέγουσα. Πώς σε σπαργάνοις, ενειλήσω ως νήπιον, πώς θηλάσω σε, τόν τά σύμπαντα τρέφοντα; πώς μή τήν υπέρ έννοιαν, πτωχείαν θαυμάσω σου; πώς σε Υιόν μου καλέσω, δούλη σου νύν χρηματίζουσα; Υμνώ ευλογώ σε, τόν παρέχοντα τώ κόσμω, τό μέγα έλεος.

Βρέφος σωματωθέν εξ αυτής, τόν προαιώνιον Θεόν η Πανάμωμος, Ορώσα, χερσί κρατούσα, καταφιλούσα πυκνώς, καί χαράς πλησθείσα, προσεφθέγγετο, αυτώ, Θεέ ύψιστε, Βασιλεύ αθεώρητε, πώς καθορώ σε, καί νοείν τό μυστήριον, ου δεδύνημαι, τής άμέτρου πτωχείας σου; Σπήλαιον γάρ σμικρότατον, καί τούτο αλλότριον, ένδον χωρεί σε τεχθέντα, καί Παρθενίαν μή λύσαντα, νηδύν συντηρούντα, ως πρό τόκου καί διδόντα, τό μέγα έλεος.

Ταύτα ικετικώς η Σεμνή, θαμβητικώς τε φθεγγομένη ακήκοε, τών Μάγων πρό τού Σπηλαίου, παρισταμένη ομού, καί πρός τούτους έφη. Τίνα θέλετε; υμείς, ως ορώ γάρ, αλλοδαπής χώρας ήλθετε, Περσών τό σχήμα, ου τό φρόνη μα έχοντες, ξένην άφιξιν, καί πορείαν πεποίησθε, καί πρός τόν ξενιτεύσαντα, εξ ύψους καί ξένως μοι, ενοικισθέντα ως οίδε, μετά σπουδής παρεγένεσθε, αυτόν προσκυνήσαι, τόν δωρούμενον τώ Κόσμω, τό μέγα έλεος.

Στιχηρά Προσομοια τών Αγίων.

Ήχος α'  Πανεύφημοι Μάρτυρες

Δισμύριοι Μάρτυρες Χριστού, τού Θεού τή χάριτι, συναθροισθέντες εν Πνεύματι, δήμος μακάριος, φωταυγείς αστέρες, πλάνης νύκτα λύσαντες, πρός άδυτον αυγήν μετετέθητε, καί νύν πρεσβεύσατε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Πληθύς πολυάριθμος πυρί, ήδη ωλοκαύτωται, καί ευωδίας επλήρωσε, τά επουράνια, καί τών πρωτοτόκων, εκλεκτήν ομήγυριν, εφαίδρυνε, χαράς τε επλήρωσε, νύν τά επίγεια, καί πρεσβεύει τού σωθήναι ημάς, τούς τελούντας, τήν ένδοξον μνήμην αυτών.

Παρθένοι νεάνιδες τών σών, μύρων οσφραινόμεναι, σοίς ηκολούθησαν ίχνεσι, τό σόν μιμούμεναι, ζωηφόρον πάθος, τό ψυχοσωτήριον, καί πρός τήν εκ νεκρών εξανάστασιν, εν σοί γηθόμεναι, Ευεργέτα κατωκίσθησαν, τού σού κάλλους, σαφώς απολαύουσαι.

Δόξα... Καί νύν... Ήχος δ'

Ευφράνθητι Ιερουσαλήμ, καί πανηγυρίσατε πάντες, οι αγαπώντες Σιών. Σήμερον ο χρόνιος ελύθη δεσμός, τής καταδίκης τού Αδάμ, ο Παράδεισος ημίν ηνεώχθη ο όφις κατηργήθη, ήν γάρ ηπάτησε πρώην, νύν εθεάσατο, τού Δημιουργού γενομένην Μητέρα. Ώ βάθος πλούτου, καί σοφίας, καί γνώσεως Θεού! η προξενήσασα τόν θάνατον πάση σαρκί, τής αμαρτίας τό όργανον, σωτηρίας απαρχή εγένετο τώ κόσμω παντί, διά τής Θεοτόκου, βρέφος γάρ τίκτεται εξ αυτής, ο παντέλειος Θεός, καί διά τού τόκου, Παρθενίαν σφραγίζει, σειράς αμαρτημάτων, λύων διά σπαργάνων, καί διά νηπιότητος, τής Εύας θεραπεύει, τάς εν λύπαις ωδίνας. Χορευέτω τοίνυν, πάσα η κτίσις καί σκιρτάτω, ανακαλέσαι γάρ αυτήν, παραγέγονε Χριστός, καί σώσαι τάς ψυχάς ημών.

Απόστιχα Στιχηρά Προσόμοια τής Εορτής.

Ήχος β'  Οίκος τού Εφραθά

Όλον θεουργικώς, φορέσας εκ Παρθένου, Αδάμ Χριστέ τόν πρώτον, ετέχθης εν σπηλαίω, καί φάτνη εσπαργάνωσαι.

Στίχ. Είπεν ο Κύριος τώ Κυρίω μου, Κάθου εκ δεξιών μου, έως άν θώ τούς εχθρούς σου υποπόδιον τών ποδών σου.

Ψάλλε προφητικώς, Δαυϊδ κινών τήν λύραν, τής σής γάρ εξ οσφύος, εξ ής η Θεοτόκος, Χριστός γεννάται σή μερον.

Στίχ. Εκ γαστρός πρό Εωσφόρου εγέννησά σε, ώμοσε Κύριος, καί ου μεταμεληθήσεται. Σύ Ιερεύς εις τόν αιώνα, κατά τήν τάξιν Μελχισεδέκ.

Αίνον Θεοτερπή, μετά Ποιμένων Μάγοι, καί σύν Αγγέλοις δόξαν, τώ εκ Παρθένου φύντι, Θεώ πιστοί προσάξωμεν.

Δόξα... Καί νύν... Ήχος α'

Δόξα εν υψίστοις Θεώ, εν Βηθλεέμ ακούω, υπό Ασωμάτων σήμερον, τώ επί γής ειρήνην, ευδοκήσαντι γενέσθαι. Νύν η Παρθένος ουρανών πλατυτέρα, εξανέτειλε γάρ φώς τοίς εσκοτισμένοις, καί ταπεινούς ύψωσε, τούς αγγελικώς μελωδούντας. Δόξα εν υψίστοις Θεώ.

Απολυτίκιον τών Αγίων  Ήχος δ'

Αθλοφόροι Κυρίου, μακαρία η γή, η πιανθείσα τοίς αίμασιν υμών, καί άγιαι αι σκηναί, αι δεξάμεναι τά πνεύματα υμών, εν σταδίω γάρ τόν εχθρόν εθριαμβεύσατε, καί Χριστόν μετά παρρησίας εκηρύξατε, αυτόν ως αγαθόν υπέρ ημών ικετεύσατε, σωθήναι δεόμεθα τάς ψυχάς ημών.

Καί τής Εορτής
Απολυτίκιον Ήχος δ'

Η γέννησίς σου Χριστέ ο Θεός ημών, ανέτειλε τώ κόσμω, τό φώς τό τής γνώσεως, εν αυτή γάρ οι τοίς άστροις λατρεύοντες, υπό αστέρος εδιδάσκοντο, σέ προσκυνείν, τόν Ήλιον τής δικαιοσύνης, καί σέ γινώσκειν εξ ύψους ανατολήν, Κύριε δόξα σοι.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος πλ. δ'
Ανέστης εκ νεκρών

Παράδοξον πιστοί, τό μυστήριον τούτο! Θεός εκ γυναικός, εγεννήθη ως οίδε, τάγματα τών Αγγέλων, καταπλαγέντα τή καταβάσει αυτού, κράζουσιν ανυμνούντα. Ότι ετέχθη Χριστός ο Κύριος, ο ευδοκήσας σώσαι ως Θεός, τό γένος τών ανθρώπων.

Δόξα... Καί νύν... τό αυτό

Μετά τήν β' Στιχολογίαν.

Κάθισμα Ήχος πλ. δ'
Αυτόμελον

Αυλών ποιμενικών, καταπαύων άσμα, στρατός Αγγελικός, επεφώνει λέγων. Αίνον άσατε θείον, οι τών θρεμμάτων ηγεμονεύοντες, κράξατε ανυμνούντες. Ότι ετέχθη Χριστός ο Κύριος, ο ευδοκήσας σώσαι ως Θεός, τό γένος τών ανθρώπων.

Δόξα... Καί νύν... τό αυτό

Ο Κανών τής Εορτής. Είτα τών Αγίων, ού η Ακροστιχίς.

Πληθύς με σώζοις Καλλινίκων Μαρτύρων. Ιωσήφ.

Ωδή α' Ήχος α'

«Ωδήν επινίκιον, άσωμεν πάντες, Θεώ τώ ποιήσαντι, θαυμαστά τέρατα, βραχίονι υψηλώ, καί σώσαντι τόν Ισραήλ, ότι δεδόξασται».

Πληθύς πολυάριθμε, σεπτών Μαρτύρων, τά πλήθη εξάλειψον, τών πολλών πταισμάτων μου, τή μεσιτεία σου, καί δίδου λόγον ανυμνείν, τήν σήν πανήγυριν.

Λαμπτήρες υπέρφωτοι, τής Εκκλησίας, καλλίνικοι Μάρτυρες, τοίς οικείοις μέλεσι, Θεόν δοξάσαντες, τή φωτοφόρω νύν ημίν, μνήμη δοξάζεσθε.

Η πίστις η ένθεος, τών Αθλοφόρων, απίστων τήν άθεον, τυραννίδα ώλεσε, καί εξηφάνισε, τήν τών δαιμόνων πονηράν, ένστασιν χάριτι.

Θεόν παντοδύναμον, σάρκα λαβόντα, καί θάνατον λύσαντα, τώ θανάτω Μάρτυρες, ομολογήσαντες, εθανατώθητε ζωήν, λαβόντες άληκτον.

Θεοτοκίον

Υμνώ σε Πανύμνητε, ευλογημένη, Θεόν υπερύμνητον, εν σαρκί κυήσασαν, τόν μεγαλύναντα, τούς Αθλοφόρους, καί τόν εχθρόν κατα παλαίσαντας.

Ωδή γ'

«Στερεωθήτω η καρδία μου, εις τό θέλημά σου Χριστέ ο Θεός, ο εφ' υδάτων ουρανόν, στερεώσας τόν δεύτερον, καί εδράσας εν τοίς ύδασι, τήν γήν παντοδύναμε».

Ωραιοτάτως εκπυρούμενοι, τή Χριστού αγάπη Πανεύφημοι, υφαπτομένης τής πυράς, ουδαμώς επτοήθητε, αλλ' εν ταύτη τελειούμενοι, υφ' έν εδοξάσθητε.

Ζώση φωνή Θεόν κηρύττοντες, απειλάς αθέων ουκ έπτηξαν, αλλά τών Παίδων τήν φωνήν, ομοφρόνως εκραύγαζον, οι πανεύφημοι Οπλίται, τού Χριστού τελειούμενοι.

Ού δειλιώμεν πύρ ομόδουλον, οι γενναίοι άμα εκραύγαζον, αγαλλομένη δέ ψυχή, διά σέ θανατούμεθα, τόν θανόντα καί τόν θάνατον, Σωτήρ καταργήσαντα.

Θεοτοκίον

Ίνα Θεώση τό ανθρώπινον, ο Θεός εγένετο άνθρωπος, εκ σού Παρθένε τής Αγνής, υπέρ λόγον καί έννοιαν, διά τούτό σε συμφώνως, οι πιστοί μακαρίζομεν.

Ο Ειρμός

«Στερεωθήτω η καρδία μου, εις τό θέλημά σου Χριστέ ο Θεός, ο εφ' υδάτων ουρανόν, στερεώσας τόν δεύτερον, καί εδράσας εν τοίς ύδασι, τήν γήν παντοδύναμε».

Κάθισμα τών Αποστόλων

Ήχος α' Τόν τάφον σου Σωτήρ

Στρατός εν αριθμώ, Δισμυρίων Μαρτύρων, τιμώμενος ημίν ανατέλλει φωτίζων, καρδίας καί νοήματα, ευσεβών διά πίστεως, εξαφθέντες γάρ, θεία στοργή τού Δεσπότου, τέλος άγιον, διά πυρός οι γενναίοι, προθύμως εδέξαντο.

Δόξα... Καί νύν...

Τής Εορτής, όμοιον

Εν φάτνη δι' ημάς, τών αλόγων ετέθης, μακρόθυμε Σωτήρ, νηπιάσας

βουλήσει. Ποιμένες δέ σε ύμνησαν, μετ' αγγέλων κραυγάζοντες. Δόξα αίνεσις, τώ επί γής γεννηθέντι, καί υψώσαντι, τών γηγενών τήν ουσίαν, Χριστώ τώ Θεώ ημών.

### Ωδή δ'

«Εισακήκοα Κύριε, τήν ακοήν σου καί εφοβήθην, κατενόησα τά έργα σου, καί εξέστην Κύριε, ότι τής αινέσεως πλήρης η γή».

Σού τώ πόθω προσέδησαν, καρδίας Λόγε οι Αθλοφόροι, διά σέ δέ θανατούμενοι, ως αρνία άμωμα, μιμηταί τού πάθους σου ώφθησαν.

Κυβερνήσαντες Άγιοι, πρός τόν λιμένα τής σωτηρίας, τάς ψυχάς υμών εν Πνεύματι, ζάλην διεφύγετε, ειδωλομανίας Μακάριοι.

Απερίτρεπτοι ώφθητε, εν τώ αγώνι τού μαρτυρίου, ακατάσειστοι, απτόητοι, διωκτών τήν ένστασιν, τή ενθέω πίστει νικήσαντες.

#### Θεοτοκίον

Λυτρωθέντες τώ τόκω σου, Ευλογημένη, τής πρίν κατάρας, ευλογίαν απειλήφαμεν, καί ζωήν καί λύτρωσιν, οι σέ Θεοτόκον δοξάζοντες.

### Ωδή ε

«Τό φαεινόν ημίν εξανάτειλον, φώς τό απρόσιτον, τοίς ορθρίζουσιν επί τά κρίματα τών εντολών σου, Δέσποτα φιλάνθρωπε, Χριστέ ο Θεός ημών».

Λαμπροφανώς η μνήμη επέλαμψε τών Αθλοφόρων σου, καί εφώτισε τής γής τά πέρατα, ταίς τών θαυμάτων, θείαις διαδόσεσι, Χριστέ ο Θεός ημών.

Ιερουργοί θυσίαν προσάγοντες, θύματα τέλεια, προσηνέχθησαν Ολοκαυτούμενοι, σύν πάσιν άλλοις, πλείοσι συμμάρτυσι, Χριστόν μεγαλύνοντες.

Ναοί Θεού υπάρχοντες Άγιοι, διά βαπτίσματος, τέλος άγιον, Ομού εδέξασθε, εν οίκω θείω καί πρός επουράνιον, Ναόν ανηνέχθητε.

#### Θεοτοκίον

Ίνα Θεός τοίς άνω συνάψειε, τούς ολισθήσαντας, παραβάσεως εις μέγα βάραθρον, τήν σήν γαστέρα ώκησε Πανάχραντε, καί σάρξ εχρημάτισε.

### Ωδή ς'

«Τόν προφήτην Ιωνάν, εκμιμούμενος βοώ. Τήν ζωήν μου αγαθέ, ελευθέρωσον φθοράς, καί σώσόν με, Σωτήρ τού κόσμου, κράζοντα. Δόξα σοι».

Κορυφαίος ιερού, εχρημάτισας λαού, καί προέπεμψας αυτόν, εν χαρά πρός ουρανόν, αθλήσαντα, Ιερομάρτυς Άνθιμε Όσιε.

Ως χρυσίον καθαρόν, αναμέσον τού πυρός, η ευσέβεια υμών, Αθληταί τού Ιησού, εγνώρισται, ηλίου πλέον εναπαστράπτουσα.

Νεκρωθέντες τή σαρκί, τήν ζωήν τήν αληθή, εκληρώσασθε σοφοί, συνυπάρχοντες Χριστώ, τώ δείξαντι, δυνατωτέρους υμάς κολάσεων.

Θεοτοκίον

Μετά τόκον αληθώς, ως πρό τόκου Μαριάμ, τή δυνάμει τού εκ σού, σαρκωθέντος, Ιησού, διέμεινας, Παρθένος, όντως, θαύμα παράδοξον!

Ο Ειρμός

«Τόν προφήτην Ιωνάν, εκμιμούμενος βοώ. Τήν ζωήν μου αγαθέ, ελευθέρωσον φθοράς, καί σώσόν με, Σωτήρ τού κόσμου, κράζοντα. Δόξα σοι».

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΗ' τού αυτού μηνός, Μνήμη τών Αγίων Δισμυρίων, τών εν Νικομηδεία καέντων.

Στίχοι

- Ως προσφοραί σοι Σώτερ εξωπτημέναι,
- Οι Δισμύριοι τού νεω κείνται μέσον.
- Ανέρας ογδοάτη κτάνεν εικάδι Δισμυρίους πύρ.

Τή αυτή ημέρα, Μνήμη τών αγίων Μαρτύρων, τών από τής Συγκλήτου, έξω τής πυράς απολειφθέντων, καί τελειωθέντων.

Ο Άγιος Ίνδης, εν τή θαλάσση βληθείς, τελειούται.

Στίχοι

- Ίνδην ακούω τού βίου λαβείν πέρας,
- Άκρον καταντήσαντα πρός βυθού πέρας.

Οι άγιοι Γοργόνιος καί Πέτρος εν τή θαλάσση τελειούνται.

Στίχοι

- Πόντος καλύπτει Γοργόνιον καί Πέτρον,
- Μνήμη δέ τούτων ού καλύπτεται χρόνω.

Ο Άγιος Μάρτυς Ζήνων ξίφει τελειούται.

Στίχοι

- Ζήνων κεφαλήν τέμνεται διά ξίφους,
- Μή προσκυνείν άγαλμα τού Ζηνός θέλων.

Ο Άγιος Μάρτυς Μαρδόνιος πυρί τελειούται.

Στίχοι

- Καί Μαρδόνιον Μαρτύρων έγνων ένα,
- Στέργοντα Χριστόν, καί στέργοντα πύρ φλέγον.

Ο Άγιος Δωρόθεος, ο Πρεπόσιτος, ξίφει τελειούται.

Στίχοι

- ο Δωρόθεος, τήν κεφαλήν μου, λέγει,
- Δώρον κομίζω τώ Θεώ τετμημένην.

Ο άγιος θεόφιλος ο Διάκονος λιθοβοληθείς τελειούται.

Στίχοι

- Απόγραφε βληθέντα συχνοίς τοίς λίθοις,
- Καί θεόφιλον συλλόγω Θεού φίλων.

Ο Άγιος Μυγδόνιος. βόθρω εγχωσθείς, τελειούται.

Στίχοι

- Κάν χωννύηται Μυγδόνιος εν βόθρω
- Εγνωσμένος τοίς πάσι Μάρτυς τυγχάνει.

Ο Άγιος Γλυκέριος, ο Πρεσβύτερος, πυρί τελειούται.

Στίχοι

- Ο Γλυκέριος, εις τό πύρ βεβλημένος,
- Έφη, Γλυκύς μοι τής τελευτής ο τρόπος.

Τή αυτή ημέρα, η Αγία Δόμνα, ξίφει τμηθείσα, τώ πυρί τελειούται.

Στίχοι

- Έκτην συνάπτω ταίς φρονίμοις Παρθένοις,
- Τήν ψευδόμωρον Δόμναν εκτετμημένην.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον, καί σώσον ημάς. Αμήν.

Ωδή ζ'

«Τούς εν καμίνω Παίδάς σου Σωτήρ, ουχ ήψατο, ουδέ παρηνώχλησε τό πύρ, τότε οι τρείς ως εξ ενός στόματος, ύμνουν καί ευλόγουν λέγοντες, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών».

Αποσκοπούντες μόνα τά εκεί, Μακάριοι μένοντα, δυνάμει θεϊκή, ώσπερ οι τρείς εν Βαβυλώνι θείοι Παίδες, τού πυρός ανώτεροι, ώφθητε θείω φωτί καταλαμπόμενοι.

Ρήμα Τυράννου άλογον Σοφοί, φαυλίσαντες, σύν ιερωτάταις γυναιξί, καί κομιδή ως αληθώς, θείοις νηπίοις, προσφοραί ολόκληροι, τώ Βασιλεί τού παντός προσανηνέχθητε.

Τόν φωτισμόν τής γνώσεως Χριστού, προσφέροντες ένδον εν ψυχή πανευλαβώς, τό σκοτεινόν τής αθεϊας νέφος όντως, Αθληταί διήλθετε, καί εις αιώνιον φώς μετεβιβάσθητε.

Θεοτοκίον

Υψηλοτέρα ώφθης ουρανών κυήσασα, πάντων τόν Δεσπότην καί Θεόν, όν εκτενώς, καθικετεύουσα μή παύση, Παναγία άχραντε σώσαι, τούς πίστει θερμή δοξολογούντάς σε.

Ωδή η'

«Τόν τούς υμνολόγους εν καμίνω διασώσαντα Παίδας, καί τήν βροντόφλογον κάμινον, μεταβαλόντα εις δρόσον, Χριστόν τόν Θεόν υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Ρέουσιν ενθέου ευωδίας, ιαμάτων τά μύρα, Μαρτύρων τά λείψανα, καί παθών δυσωδίαν ξηραίνουσι, τών πίστει ανυμνολογούντων, Χριστόν εις τούς αιώνας.

Ώφθητε ως ρόδα Αθλοφόροι, ωραιότατα μέσον, περιχεόμενοι τού πυρός, καί Προθύμως εκράζετε. Υμνείτε καί υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Νεανίσκοι άμα καί Παρθένοι, καί πρεσβύται καί νέοι, Άγια Νήπια, γυναικών τε πληθύς αναρίθμητος, τής άνω έτυχον χορείας, ομού ενηθληκότες.

Θεοτοκίον

Ιεζεκιήλ σε πύλην βλέπει, κεκλεισμένην Παρθένε, δι' ής διώδευσεν, Ιησούς, ο σκηνώσας εν μήτρα σου, καί σάρκα εκ τών σών αιμάτων, φορέσας ασυγχύτως.

Ο Ειρμός

«Τόν τούς υμνολόγους εν καμίνω διασώσαντα Παίδας, καί τήν βροντόφλογον κάμινον, μεταβαλόντα εις δρόσον, Χριστόν τόν Θεόν υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ'

«Τήν φωτοφόρον νεφέλην, εν ή ο πάντων Δεσπότης, ως υετός εξ ουρανού, επί πόκον κατήλθε, καί εσαρκώθη δι' ημάς, γενόμενος άνθρωπος ο άναρχος, μεγαλύνομεν πάντες, ως Μητέρα, τού Θεού ημών αγνήν».

Ως εθελόθυτοι άρνες, ωλοκαυτώθητε άμα, καί ως θυσία καθαρά, τώ τυθέντι Δεσπότη, υπέρ ημών τών γηγενών, καλλίνικοι Μάρτυρες, προσήχθητε, καί στεφάνους τής νίκης, επαξίως, εκομίσασθε ομού.

Σύν τοίς Αγίοις Προφήταις, σύν τοίς σεπτοίς Αποστόλοις, σύν τοίς χοροίς τών εκλεκτών, καί αγίοις Αγγέλοις, πληθύς Μαρτύρων ευκλεών, Κυρίου δεήθητε, τού σώζεσθαι, πειρασμών καί κινδύνων, τούς εν πίστει, μακαρίζοντας υμάς.

Ηλιακών λαμπηδόνων, η ιερά υμών μνήμη, πλέον εκλάμπει Αθληταί, τών δαιμόνων τό σκότος, αποδιώκουσα αεί, καί πάντας φωτίζουσα, Πανεύφημοι, τούς εν πίστει καί πόθω, κατά χρέος, μακαρίζοντας υμάς.

Θεοτοκίον

Φώς η τεκούσα τό θείον, τό εκ Πατρός αναλάμψαν, τήν σκοτισθείσάν μου ψυχήν, ταίς απάταις τού βίου, καί γεγονυίαν τών εχθρών, Πανάμωμε

παίγνιον, οικτείρησον, καί φωτί μετανοίας, σωτηρίου, καταξίωσον Αγνή.

Ο Ειρμός

«Τήν φωτοφόρον νεφέλην, εν ή ο πάντων Δεσπότης, ως υετός εξ ουρανού, επί πόκον κατήλθε, καί εσαρκώθη δι' ημάς, γενόμενος άνθρωπος ο άναρχος, μεγαλύνομεν πάντες, ως Μητέρα, τού Θεού ημών αγνήν».

Εξαποστειλάριον τών Αγίων

Γυναίκες ακουτίσθητε

Πληθύς Μαρτύρων πάντιμε, καί φάλαγξ θεοσύλλεκτε, τών Δυσμυρίων αγίων, τόν εκ Παρθένου τεχθέντα, Θεόν εκδυσωπήσατε, ρυσθήναι πάσης θλίψεως, τούς νύν υμάς γεραίροντας, καί τήν λαμπράν εκτελούντας, καί πάμφωτον υμών μνήμην.

Τής Εορτής

Εικόνος ής μετέλαβον, θεουργικώς τής κρείττονος, εξώσθην οίμοι ο τλήμων! δι' ακρασίας τής πάλαι, σύ δέ Χριστέ ως εύσπλαγχνος, αρρήτως κοινωνήσας μοι, τού χείρονος μετείληφας, καινοποιήσας Σωτήρ με, Παρθενικών εξ αιμάτων.

Εις τούς Αίνους, Στιχηρά Προσόμοια.

Ήχος δ'

Ως γενναίον εν Μάρτυσιν

Τής οικείας χρηστότητος, ο Δεσπότης βουλόμενος, τοίς ανθρώποις τόν πλούτόν σου ο φιλάνθρωπος, καθυποδείξαι τό φύραμα, τό τούτων ανέλαβες, καί ετέχθης εν σαρκί, καί τό Σπήλαιον ώκησας, ίνα άπαντας, ουρανίους ποιήσης ανυψώσας, τούς αινούντας καί υμνούντας, τήν σήν ανέκφραστον Γέννησιν. (Δίς)

Τή δυνάμει νευρούμενοι, καί στερρώς κρατυνόμενοι, καί ενισχυόμενοι τού Παντάνακτος, εν ασθενεία τής φύσεως, αήττητοι Μάρτυρες, τόν αρχέκακον εχθρόν, κραταιώς ενικήσατε, καί πρεσβεύετε, δωρηθήναι τώ κόσμω τήν ειρήνην, καί πιστοίς τήν σωτηρίαν, ως αντιλήπτορες μέγιστοι.

Εν τοίς λόγοις Φιλόθεος, καί εν έργοις Δωρόθεος, καί θείος Μαρδόνιος, καί Γοργόνιος, σύν τώ Σεκούνδω καί Πέτρω τε, καί Ίνδη ηρίστευσαν, καί εχθρού παρεμβολάς, ετροπώσαντο χαίροντες, καί πρεσβεύουσιν, εκ παντοίων κινδύνων λυτρωθήναι, τούς εν πίστει εκτελούντας, τήν σεπτήν αυτών πανήγυριν.

Δόξα... Καί νύν... Ήχος πλ. α'

Ακατάληπτον τό τελούμενον, εν Βηθλεέμ σήμερον μυστήριον! ο αόρατος οράται, ο άσαρκος σαρκούται, ο Λόγος παχύνεται, καί ο Ών γίνεται ο ουκ fiv, Παρθένος τίκτει εν Σπηλαίω βρέφος νέον, τόν Πλάστην τής φύσεως, φάτνη εκτυπούται, εις θρόνον επουράνιον, κτήνη απεικάζει, χερουβικήν παράστασιν, Ποιμένες θαυμάζουσι, Μάγοι δώρα προσφέρουσιν. Άγγελοι ανυμνούντες λέγουσι, Δόξα εν υψίστοις Θεώ, καί επί γής ειρήνη, εν

ανθρώποις γάρ ευδόκησεν αναλλοιώτως ο Εμμανουήλ.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια τής Εορτής.

Ήχος πλ. β'  Αι Αγγελικαί

Άγει εορτήν, εν χαρά πάσα η Κτίσις, καί οι ουρανοί, σύν ημίν αγαλλιώνται, εν φάτνη γάρ ο Κτίστης, εκ Παρθένου τικτομενος, καί εν Βηθλεέμ τής Ιουδαίας, βρέφος νύν ωράθη παραδόξως, πρός όν είπωμεν. Ευλογημένος ο τεχθείς, Θεός ημών δόξα σοι.

Στίχ. Είπεν ο Κύριος τώ Κυρίω μου, Κάθου εκ δεξιών μου, έως άν θώ τούς εχθρούς σου υποπόδιον τών ποδών σου.

Νέον δι' ημάς, Ιησού ώφθης παιδίον, ο εκ τού Πατρός πρό αιώνων ανατείλας, παλαιωθέντας πάλαι, παραβάσει βουλόμενος, πάντας καινουργήσαι τούς ανθρώπους, διό σοι πάντες ευχαρίστως, αεί κράζομεν. Ευλογημένος ο τεχθείς, Θεός ημών δόξα σοι.

Στίχ. Εκ γαστρός πρό Εωσφόρου εγέννησά σε, ώμοσε Κύριος, καί ου μεταμεληθήσεται. Σύ Ιερεύς εις τόν αιώνα, κατά τήν τάξιν Μελχισεδέκ.

Ύμνησαν Χριστόν, εκ Παρθένου προελθόντα, όρη καί βουνοί, καί κοιλάδες καί πεδία, αστήρ δέ τούτον Μάγοις, ουρανόθεν υπέδειξε, κείμενον ως βρέφος εν σπηλαίω, σάρκα δουλικήν ημφιεσμένον, πρός όν κράζομεν. Ευλογημένος ο τεχθείς, Θεός ημών δόξα σοι.

Δόξα... Όμοιον

Τίς σου η πολλή, καί ανείκαστος πτωχεία, δι' ής ο Αδάμ, κατεπλούτησε τά θεία; εβόα η Παρθένος, εν αγκάλαις κατέχουσα, τόν Εμμανουήλ Θεόν καί Κτίστην, σάρκα εξ αυτής ανειληφότα, πρός όν κράζομεν. Ευλογημένος ο τεχθείς, Θεός ημών δόξα σοι.

Καί νύν... όμοιον

Παιδίον ο προών, Βασιλεύς ο τών αιώνων, ετέχθη εκών, καί Υιός ημών εδόθη. Ακούσατε τά Έθνη, Ισραήλ ενωτίσθητι, γνώτε καί ηττάσθε, μεθ' ημών γάρ, ός λεπτυνεί καί εκλικμήσει, εκ γής άπασαν, καί βασιλείαν καί αρχήν, αυτώ μή υπείκουσαν.

Η λοιπή, Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΘ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Νηπίων, τών υπό Ηρώδου αναιρεθέντων, ών ο αριθμός χιλιάδες ιδ' καί τού Οσίου Πατρός ημών Μαρκέλλου, Ηγουμένου τής Μονής τών Ακοιμήτων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τών Αγίων Νηπίων.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Θησαυρόν τόν κρυπτόμενον, εκζητών ο παράνομος, τούς ακάκους σήμερον, Παίδας έθυσε, καί η Ραχήλ απαράκλητος, υπήρχε τήν άδικον, κατοπτεύουσα σφαγήν, καί τόν άωρον θάνατον, ούς εθρήνησε, δονουμένη τά σπλάγχνα, αλλά τούτους, επευφραίνεται εν κόλποις, τού Αβραάμ άρτι βλέπουσα.

Βασιλέα τόν άχρονον, υπό χρόνον γενόμενον, βασιλεύς παράνομος επεζήτησε, καί μή ευρών ανελείν αυτόν, τών Παίδων εθέρισεν, απειρόκακον πληθύν, ούς ειργάσατο Μάρτυρας, ως ουκ ώετο, καί πολίτας τής άνω βασιλείας, τήν αυτού εις τούς αιώνας, παραφροσύνην ελέγχοντας.

Εκ Παρθένου τεχθέντι σοι, προαιώνιε Κύριε, καί δι' αγαθότητα νηπιάσαντι, χορός Νηπίων προσήνεκται. Μαρτύρων εν αίματι, τήν αθόλωτον ψυχήνλαμπρυνθείς δικαιότατα, ά κατώκισας, εις Μονάς αειζώους, τήν Ηρώδου, στηλιτεύοντα κακίαν, καί ωμοτάτην παράνοιαν.

Στιχηρά τού Οσίου, όμοια

Εγκρατείας υπόδειγμα, ανεδείχθης Μονάζουσι, θεοφόρε Μάρκελλε καί ασκήσεως, υπογραμμός ταπεινώσεως, στύλος επαιρόμενος, από γής πρός ουρανόν, καί αγνείας συνόμιλος, ησυχίας τε, αληθούς όντως φύλαξ, καί ανδρείας, στήλη έμψυχος κανών τε, πρός αρετήν ακριβέστατος.

Θεωρίας τής κρείττονος, επιβάς Πάτερ Μάρκελλε, τά γεώδη άπαντα καί επίκηρα, καί περιών εν τώ σώματι, παρείδες καί άϋλον, πολιτείαν επί γής, επεσπάσω δοξάζων Χριστόν, όν ικέτευε, εκ φθοράς καί κινδύνων λυτρωθήναι, τούς εν πίστει εκτελούντας, τήν αεισέβαστον μνήμην σου.

Τήν ψυχήν καί τό σώμά σου, ταίς ενθέοις επτέρωσας, αρεταίς ώ Μάρκελλε, καί συνόμιλος, τών Ασωμάτων γεγένησαι, γηίνων αμέτοχος, ενδεικνυμενος τερπνών, διά πόθον τού Κτίστου σου, όν ικέτευε, εκ φθοράς καί κινδύνων λυτρωθήναι, τούς εν πίστει εκτελούντας, τήν αεισέβαστον μνήμην σου.

Δοξα... τών Αγίων  Ήχος πλ. δ'
Ανδρέου Κρήτης

Ηρώδης ο παράνομος, θεωρών τόν αστέρα, υπέρ πάσαν κτίσιν λαμπρότερον, εταράττετο, καί γαλακτοτροφούμενα Βρέφη, εξ αγκαλών μητρικών αφήρπαζεν. Η δέ Ελισάβετ, λαβούσα τόν Ιωάννην, πέτραν παρεκάλει. Δέξαι Μητέρα μετά τέκνου. Όρος εδέξατο τόν Πρόδρομον, φάτνη εφύλαττε τόν θησαυρόν, όν αστήρ εμήνυσε, Μάγοι προσεκύνουν, Κύριε δόξα σοι.

Καί νύν... τής Εορτής, ο αυτός

Παράδοξον μυστήριον, οικονομείται σήμερον! καινοτομούνται φύσεις, καί Θεός άνθρωπος γίνεται, όπερ ήν μεμένηκε, καί ο ουκ ήν προσέλαβεν, ου φυρμόν υπομείνας, ουδέ διαίρεσιν.

Απόστιχα Στιχηρά Προσόμοια τής Εορτής.

Ήχος πλ. β'
Τριήμερος ανέστης Χριστέ

Μυστήριον φρικώδες ορώ, Θεός γάρ ο κατέχων δρακί, πάσαν κτίσιν, περιέχεται σαρκί, εν φάτνη τών αλόγων, καί ράκει σπαργανούται, ο σπαργανών ομίχλη θάλασσαν.

Στίχ. Είπεν ο Κύριος τώ Κυρίω μου, Κάθου εκ δεξιών μου, έως άν θώ τούς εχθρούς σου υποπόδιον τών ποδών σου.

Ο άσαρκος σαρκούται Θεός, καί άρχετσι ο άναρχος, καί ο πλήρης, νύν κενούται εν σμικρώ, Σπηλαίω εκ Παρθένου, καί βρέφος γαλουχείται, ο διατρέφων πνοήν άπασαν.

Στίχ. Εκ γαστρός πρό Εωσφόρου εγέννησά σε, ώμοσε Κύριος, καί ου μεταμεληθήσεται. Σύ Ιερεύς εις τόν αιώνα, κατά τήν τάξιν Μελχισεδέκ.

Σκιρτώσι τή γεννήσει Χριστού, Ποιμένες καί δοξάζουσι, σύν Αγγέλοις, καί αστήρ δορυφορεί, καί Μάγοι προσκυνούσι, καί άνθρωποι σωθέντες, τήν Θεοτόκον μεγαλύνουσι.

Δόξα... τών Αγίων  Ήχος πλ. δ'
Ανδρέου Κρήτης

Τού Ιησού γεννηθέντος εν Βηθλεέμ τής Ιουδαίας, τών Ιουδαίων τό κράτος κατήργηται. Σκιρτάτω τά Νήπια, υπέρ Χριστού σφαττόμενα, Ιουδαία οδυρέσθω, φωνή γάρ ηκούσθη εν Ραμά, Ραχήλ κλαίουσα, τά τέκνα αυτής. Βρέφη γάρ Ηρώδης ανελών ο παράνομος, απεπλήρου τήν Γραφήν, τήν Ιουδαίαν εμπιπλών αθώου αϊματος, καί η γή μέν ηρυθραίνετο τοίς τών Νηπίων αίμασιν, η εξ Εθνών δέ εκκλησία, μυστικώς αγνίζεται, καί στολήν ενδύεται. Ήλθεν η αλήθεια, ο Θεός επέφανε, τοίς εν σκιά καθημένοις, εκ Παρθένου γεννηθείς, εις τό σώσαι ημάς.

Καί νύν... τής Εορτής, ο αυτός

Κύριε, εν Βηθλεέμ παραγέγονας, εν τώ Σπηλαίω παρώκησας, ο ουρανόν τόν θρόνον έχων, εν φάτνη ανεκλίθης, όν στρατιαί κυκλούσιν Αγγέλων, Ποιμέσι συγκατέβης, ίνα σώσης ως εύσπλαγχνος τό γένος ημών δόξα σοι.

Απολυτίκιον τών Αγίων  Ήχος α'

Τάς αλγηδόνας τών Αγίων, άς υπέρ σού έπαθον, δυσωπήθητι Κύριε, καί πάσας ημών τάς οδύνας, ίασαι φιλάνθρωπε δεόμεθα.

Τού Οσίου  Ήχος πλ. δ'

Εν σοί Πάτερ ακριβώς διεσώθη τό κατ' εικόνα, λαβών γάρ τόν σταυρόν,

ηκολούθησας τώ Χριστώ καί πράττων εδίδασκες, υπερoράν μέν σαρκός, παρέρχεται γάρ, επιμελείσθαι δέ ψυχής πράγματος αθανάτου. Διό καί μετά Αγγέλων συναγάλλεται, Όσιε Μάρκελλε τό πνεύμά σου.

Καί τής Εορτής

Απολυτίκιον Ήχος δ'

Η γέννησίς σου Χριστέ ο Θεός ημών, ανέτειλε τώ κόσμω, τό φώς τό τής γνώσεως, εν αυτή γάρ οι τοίς άστροις λατρεύοντες, υπό αστέρος εδιδάσκοντο, σέ προσκυνείν, τόν Ήλιον τής δικαιοσύνης, καί σέ γινώσκειν εξ ύψους ανατολήν, Κύριε δόξα σοι.

Καί τά λοιπά τού Εσπερινού καί Απόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν.

Κάθισμα τής Εορτής

Ήχος πλ. δ'

Τό προσταχθέν μυστικώς

Αγαλλιάσθω ουρανός, γή ευφραινέσθω, ότι ετέχθη επί γής, ο Αμνός τού Θεού, παρέχων τώ κόσμω τήν απολύτρωσιν. Ο Λόγος, ο εν τοίς κόλποις ών τού Πατρός, προήλθεν εκ τής Παρθένου, άνευ σποράς, όν οι Μάγοι εξίσταντο, Ορώντες εν Βηθλεέμ, τικτόμενον ώς νήπιον, όν δοξάζει τά σύμπαντα.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογίαν.

Κάθισμα Ήχος ο αυτος

Τήν Σοφίαν καί Λόγον

Ουρανός μοι εφάνης σήμερον γή, επί σοί γάρ γεννάται ο Ποιητής, καί φάτνη ανακλίνεται, εν Βηθλεέμ τής Ιουδαίας, σύν Αγγέλοις υμνούσι, καί Ποιμένες απαύστως, Εν υψίστοις δόξα, ειρήνη τώ Κόσμω τε, είδον γάρ αστέρα, οδοιπορούντα οι Μάγοι, οξέως τε προέτρεχον, τού προσάξαι τά δώρα αυτών, χρυσόν σμύρναν καί λίβανον, ώς πάντων υπάρχοντι Θεώ, καί Βασιλεί αιωνίω, καί Κτίστη τού παντός, εν σπηλαίω δι' οίκτον, επιφανέντι βροτοίς.

Ο Κανών τής Εορτής, καί τών Αγίων Νηπίων, συνηνωμένος μετά τού Οσίου, ού η Ακροστιχίς.

Νεογνά Χριστού θύματα στέφω λόγοις.

Εν δέ τοίς Θεοτοκίοις, Γεωργίου.

Ωδή α'  Ήχος πλ. β'

«Ως εν ηπείρω πεζεύσας ο Ισραήλ, εν αβύσσω, ίχνεσι, τόν διώκτην Φαραώ, καθορών ποντούμενον, Θεώ επινίκιον ωδήν, εβόα άσωμεν».

Νεοποιείται η κτίσις καί η βροτών, φύσις αναπλάττεται, εν σαρκί τού Ποιητού, πάντων υπέρ έννοιαν Χριστού, τικτομένου εξ αγνής, καί παναχράντου Μητρός.

Εκ στελεχών νεοφύτων η τού Χριστού, Εκκλησία σήμερον, ώσπερ άνθη ευθαλή, δρεψαμένη αίματα τερπνώς, εφηδύνεται αυτοίς καί ωραϊζεται.

Οι ποταμοί τών αιμάτων τών ευσεβών, Παίδων τήν απόνοιαν, καί μανίαν νοητώς, τού Ηρώδου έκλυσαν, διό, υποβρύχιον αυτού ώφθη τό θέσπισμα.

Τού Οσίου

Γνώσιν δεξάμενος Πάτερ παρά Θεού, αληθή καί άπταιστον, επεζήτησας αυτόν, διά βίου Μάρκελλε σεμνού, καί ενθέοις αρεταίς, επεθεράπευσας.

Θεοτοκίον

Γή τής προτέρας κατάρας τής εν Εδέμ, λύτρωσιν εδέξατο, εν αυτή τού Λυτρωτού, γεννηθέντος Άχραντε εκ σού, καί καινίσαντος αυτήν, καί αγιάσαντος.

Ωδή γ'

«Ουκ έστιν άγιος ως σύ, Κύριε ο Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου Αγαθέ, καί στερεώσας ημάς, εν τή πέτρα, τής όμολογίας σου».

Νεφέλαι στάξατε εν γή, γλυκασμόν ευφροσύνης, εκ νεφέλης φωτός γάρ, ανέτειλεν ο Χριστός, εν Σπηλαίω σαρκικώς, υπέρ πάσαν, έννοιαν τικτόμενος.

Απημφιάσατο τήν πρίν, τών ανθρώπων η φύσις, ακοσμίαν καί κόσμον, περιέθετο τερπνόν, τού κοσμήτορος αυτής, εκ Παρθένου, σαρκί ανατείλαντος.

Χορός θεόλεκτος βρεφών, εν σαρκί γεννηθέντι, προσηνέχθη τώ Κτίστη, ως θυσία μυστική, τυθείσα διά σφαγής, μαρτυρίου, καί θείας αθλήσεως.

Τού Οσίου

Ρωμαλεότητι ψυχής, κατ' εχθρών νοουμένων, οπλισθείς θεοφόρε, διέκοψας τάς αυτών, παρατάξεις κραταιώς, καί νίκην, ανεδήσω Μάρκελλε.

Θεοτοκίον

Εκ τών αχράντων σου Αγνή, καί τιμίων αιμάτων, σαρκωθείς απορρήτως, ο Λόγος ο τού Θεού, ανέδειξεν ως Θεός, τών κτισμάτων, σέ απάντων Δέσποιναν.

Ο Ειρμός

«Ουκ έστιν άγιος ως σύ, Κύριε ο Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου Αγαθέ, καί στερεώσας ημάς, εν τή πέτρα, τής όμολογίας σου».

Κάθισμα τών Αγίων Νηπίων

Ήχος δ'  Επεφάνης σήμερον

Τώ τεχθέντι σήμερον, εκ τής Παρθένου, τών Νηπίων στράτευμα, ως Ποιητή καί Βασιλεί, δεκτά προσάγονται σφάγια, προτεθυμένα, Χριστώ διά πίστεως.

Δόξα... Τού Οσίου, ο αυτός

Ταχύ προκατάλαβε

Αγνείας τοίς άνθραξι, προκαθαρθείς τήν ψυχήν, τό σώμα εστόμωσας, πρός απαθείας ισχύν, Πατήρ ημών Μάρκελλε, όθεν καί ανεδείχθης, ενδιαίτημα θείον, νόσους αποδιώκων, καί φωτίζων τούς πίστει, αεί προσερχομένους σοι, καί ευφημούντάς σε.

Καί νύν... Τής Εορτής  Όμοιον

Ενθέως ευφραίνεται η κτίσις σήμερον. Χριστός γάρ ο Κύριος, Πατρός ανάρχου Υιός, εκ Κόρης γεννάται αγνής, άπαν τό τών ανθρώπων, γένος αθανατίζων, λύων τε τήν κατάραν, τής προμήτορος Εύας. Διό ευχαριστούντες αυτώ, εν ύμνοις δοξάσωμεν.

Ωδή δ'

«Χριστός μου δύναμις, Θεός καί Κύριος, η σεπτή Εκκλησία θεοπρεπώς, μέλπει ανακράζουσα, εκ διανοίας καθαράς, εν Κυρίω εορτάζουσα».

Ιδούσαι Κύριε, τήν εν Σπηλαίω σου, συγκατάβασιν τάξεις Αγγελικαί, φόβω εξεπλάγησαν, καί διανύμνησαν Χριστέ, τό ανείκαστόν σου έλεος.

Συνέσει Κύριε, ο τεκτηνάμενος, πάσαν κτίσιν βουλήσει σωματικώς, σεαυτόν ηρίθμησας, εν τοίς ποιήμασι τοίς σοίς, καί εν τούτοις αναπέπαυσαι.

Τό ξίφος ώθησε, μανείς ο άνομος, καί παράφρων Ηρώδης καθ' εαυτού, ανελείν πειρώμενος, τόν Ευεργέτην τού παντός, καί ανώλεθρον θεότητι.

Τού Οσίου

Οι πόνοι Όσιε, καί οι ιδρώτές σου, τών αιμάτων τοίς ρείθροις τοίς τών Βρεφών, κεκραμένοι Μάρκελλε, τώ γεννηθέντι εν σαρκί, δώρα τίμια προσήχθησαν.

Θεοτοκίον

Ωραίαν κάλλει σε, υπεραστράπτουσαν, τού Υιού σου ακτίσιν οι τών εθνών, δωροφόροι Άχραντε, ιδόντες θέαμα καινόν, καί παράδοξον ανύμνησαν.

Ωδή ε'

«Τώ θείω φέγγει σου Αγαθέ, τάς τών ορθριζόντων σοι ψυχάς, πόθω καταύγασον δέομαι, σέ ειδέναι Λόγε Θεού, τόν όντως Θεόν, εκ ζόφου τών πταισμάτων ανακαλούμενον».

Υπερεκκέχυται ο κρατήρ, ο τής ευσπλαγχνίας σου Χριστέ, εις τά ποιήματα άπαντα, καί αφθόνου ταύτα, ελέους έπλησε, σαρκί επιφανέντος, καί γεννηθέντος σου.

Θύματα άμωμα τώ Χριστώ, σήμερον προσήχθησαν ομού, καί μυστικώς

ανηνέχθησαν, ως πυρί τώ ξίφει ολοκαυτούμενα, τά Βρέφη, καί τών θείων βραβείων έτυχον.

Τού Οσίου

Υλώδους Όσιε τήν ψυχήν, σχέσεως καί πάσης γεηράς, καί επικήρου τερπνότητος, πόνοις εκκαθάρας τής σής ασκήσεως, ισάγγελος εδείχθης, εν κόσμω Μάρκελλε.

Θεοτοκίον

Ρείθρα επήγασε νοητά, τής αθανασίας ο εκ σού, σαρκί τεχθείς, εν Σπηλαίω Αγνή, καί τήν τών ανθρώπων φύσιν κατήρδευσεν, αφθαρσία πλουτίσας, αυτήν ως εύσπλαγχνος.

Ωδή ς'

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι, Ανάγαγε, εκ φθοράς τήν ζωήν μου Πολυέλεε».

Μύρα ευωδέστατα, αναδέδωκεν η γή, εν ταύτη υπέρ έννοιαν, τού ακενώτου μύρου εκ τής Αγνής, σαρκί αναβλύσαντος, καί βροτούς, ευωδίας θείας πλήσαντος.

Αίμασιν εφοίνιξεν, ο Ηρώδης τών Βρεφών, τήν Βηθλεέμ ο δείλαιος, αλλά ταύτα βοήσαντα πρός Θεόν, ένδικον ειργάσαντο, τήν αυτού καταδίκην, καί τόν όλεθρον.

Τού Οσίου

Τού βίου τό πρόσκαιρον, καί τό άστατον σαφώς, κατανοήσας Μάρκελλε, πρός τά αεί εστώτα τήν τής ψυχής, ανύψωσας έφεσιν, ών επέτυχες, πόνοις τής ασκήσεως.

Θεοτοκίον

Γεννάται ο άχραντος, Θεός Λόγος εν γαστρί, εκ σού εν χρόνω Άχραντε, ίνα ζωήν τήν άχρονον τοίς εν γή, καί λήξιν αιώνιον, χορηγήση, καί δόξαν τήν ακήρατον.

Ο Ειρμός

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι, Ανάγαγε, εκ φθοράς τήν ζωήν μου Πολυέλεε».

Κοντάκιον Ήχος δ'
Επεφάνης σήμερον

Αστήρ Μάγους έπεμψε, πρός τόν τεχθέντα, καί Ηρώδης άδικον, στρατόν απέστειλε κενώς, φονοκτονήσαι οιόμενος, τόν εν τή φάτνη ως Νήπιον κείμενον.

Ο Οίκος

Τών άνω καί τών κάτω νύν ομού ευφραινομένων, εν τή επιφανεία τού πάντων Βασιλέως, Ηρώδης μόνος συναλγεί, σύν τοίς προφητοκτόνοις Ιουδαίοις, εικός γάρ μόνους αυτούς οδύρεσθαι, ου γάρ από τού νύν βασιλεύσουσιν, αλλ' η

βασιλεία τού Κυρίου, καί έτι κρατήσει, τά θράση τών εχθρών αποκρουομένη, καί τά πλήθη τών πιστών συγκαλουμένη, μετά τών σεπτών Νηπίων τού κατοπτεύειν, τόν εν τή φάτνη ως Νήπιον κείμενον.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Κθ' τού αυτού μηνός, Μνήμη τών αγίων Νηπίων, τών υπό Ηρώδου αναιρεθέντων, χιλιάδων δεκατεσσάρων.

Στίχοι

- Διά ξίφους άωρα μητέρων Βρέφη,
- Ανείλεν εχθρός τού βρεφοπλάστου Βρέφους.
- Νήπια αμφ' ενάτην τάμον εικάδι παππάζοντα.

Τή αυτή ημέρα, Μνήμη πάντων τών Χριστιανών καί αδελφών ημών τών έν λιμώ καί δίψει καί μαχαίρα καί κρύει τελειωθέντων.

Τελείται δέ η αυτών Σύναξις εν τοίς Χαλκοπρατείοις εις τόν ναόν τής Υπεραγίας Θεοτόκου, ένθα η αγία σορός.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Μαρκέλλου, Ηγουμένου τής Μονής τών Ακοιμήτων.

Στίχοι

- Αϋπνία δούς πάντα τόν ζωής χρόνον
- Μάρκελλε, κοιμήθητι μικρόν εν τάφω.

Τή αυτή ημέρα, Μνήμη τού οσίου Πατρός ημών Θαδδαίου τού Ομολογητού.

Στίχοι

- Καί Θαδδαίος ίσχυσε κατά τής πλάνης,
- Ομολογητής αναφανείς ως μέγας.

Τή αυτή ημέρα, τά εγκαίνια τού ναού τών αγίων 40 Μαρτύρων πλησίον τού Χαλκού τετραπύλου.

Ο εν αγίοις Πατήρ ημών Γεώργιος ο επίσκοπος Νικομηδείας, ο ποιητής ασματικών τινων κανόνων καί ετέρων γλαφυρών ύμνων, εν ειρήνη τελειούται.

Οι Όσιοι πατέρες Βενιαμίν καί Αθηνόδωρος εν ειρήνη τελειούνται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

«Δροσοβόλον μέν τήν κάμινον ειργάσατο, Άγγελος τοίς οσίοις Παισί, τούς Χαλδαίους δέ καταφλέγον πρόσταγμα Θεού, τόν τύραννον έπεισε βοάν. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών».

Απεμείωσε τήν νύκτα ο τεχθείς σαρκί, Ήλιος εκ Παρθένου Μητρός, καί επηύξησε τήν διττήν ημέραν τοίς πιστοίς, βοώσιν αυτώ ειλικρινώς. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Σαλευθείσαν αθεότητι τήν άπασαν, κτίσιν ο εν Σπηλαίω τεχθείς, επεστήριξεν επιγνώσει πάλιν τή αυτού, απαύστως κραυγάζουσαν αυτώ. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Τά ανεύθυνα μέν βρέφη απεθέρισεν, Ηρώδης μιαιφόνω χειρί, τών ελπίδων δέ, τών ματαίων όλως εκπεσών, τήν ένδικον δίκην εαυτώ, θεοκτονίαν μελετών εναπεγράψατο.

Τού Οσίου

Εν πυρί μέν τής ασκήσεως κατέφλεξας, Μάρκελλε τάς τής σαρκός ηδονάς, απαθείας δέ τή δρόσω ήρδευσας ψυχάς, βοών τώ Χριστώ ειλικρινώς. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Ίδεν άπασα η κτίσις Θεονύμφευτε, τά θεία μεγαλειά σου, εν σαρκί εκ σού, τού Δεσπότου πάντων καί Θεού, τεχθέντος εν πόλει Βηθλεέμ, καί σύν τοίς Μάγοις καί Ποιμέσι σέ άνύμνησεν.

Ωδή η'

«Εκ φλογός τοίς Οσίοις, δρόσον επήγασας, καί δικαίου θυσίαν ύδατι έφλεξας, άπαντα γάρ δράς Χριστέ, μόνω τώ βούλεσθαι. Σέ υπερυψούμεν, εις πάντας τούς αιώνας».

Φωτοφόρον η κτίσις, στολήν ενδέδυται, καί κατήφειαν πάσαν, όλως απέθετο, τού καινοποιού καί Δεσπότου τεχθέντος εν γή, όν υπερυψούμεν, εις πάντας τούς αιώνας.

Ως χρυσίον καί σμύρναν, Χριστέ καί λίβανον, τάς ημών ικεσίας, δέξαι φιλάνθρωπε, καί ως τών Βρεφών τών αγίων τά αίματα, πρόσδεξαι οικτίρμον, διδούς ημίν ελέη.

Λελυμένα τού βίου, καί τής παρούσης ζωής, δι' ενθέου θανάτου, βρέφη ανεύθυνα, πρός τόν αθλοθέτην Θεόν εχωρήσατε, τόν τήν αιώνιον, ζωήν ημίν διδούντα.

Τού Οσίου

Οσιότητος όπλοις, Όσιε Μάρκελλε, παρατάξεις Δαιμόνων κατεπολέμησας, καί ως νικητής, κατ' αυτών ήρας τρόπαια, καί θαυμάτων χάριν, εκ τού Θεού εδέξω.

Θεοτοκίον

Ο εκ σού εν Σπηλαίω, τεχθείς Πανάχραντε, αιωνίους άνθρώποις, σκηνάς ηυτρέπισε, τοίς ειλικρινώς, Θεοτόκον υμνούσί σε, καί υπερυψούσιν, εις πάντας τούς αιώνας.

### Ο Ειρμός

«Εκ φλογός τοίς Οσίοις, δρόσον επήγασας, καί δικαίου θυσίαν ύδατι έφλεξας, άπαντα γάρ δράς Χριστέ, μόνω τώ βούλεσθαι. Σέ υπερυψούμεν, εις πάντας τούς αιώνας».

### Ωδή θ'

«Θεόν ανθρώποις ιδείν αδύνατον, όν ού τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ Πάναγνε ωράθη βροτοίς, Λόγος σεσαρκωμένος, όν μεγαλύνοντες, σύν ταίς ουρανίαις στρατιαίς, σέ μακαρίζομεν».

Γνωστόν εδείχθη Χριστέ τό έλεος, τό υπέρ νούν τής σής φιλανθρωπίας τοίς Έθνεσιν, εν σαρκί γάρ Δέσποτα επτώχευσας, ίνα πλούτου μετόχους, κρείττονος Κύριε, ποιήσης ημάς ως αγαθός, καί πολυέλεος.

Οσός Παρθένε τόκος ο άρρητος, ξένην βροτοίς καί θείαν παρασχών αναγέννησιν, καί τήν κτίσιν πάσαν εκαινούργησε, καί τούς εν γή, Αγγέλοις ήνωσεν άδοντας, καί δοξολογούντάς σε αεί καί μεγαλύνοντας.

Ισχύς Ηρώδου τού πολεμήτορος, τή τών βρεφών μανέντος αναιρέσει ησθένησε, τήν αήττητον γάρ ταύτα δύναμιν, εκ Θεού εζωσμένα, χάριτι πίστεως, πρός τόν αθλοθέτην καί Θεόν, φαιδρώς ανέδραμε.

### Τού Οσίου

Σταυρόν επ' ώμων άρας Μακάριε, τόν τού Χριστού, καί πάθη τά αυτού εκμιμούμενος, εσταυρώθης τώ κόσμω καί μέτοχος, δόξης τής ανεκφράστου, γέγονας Όσιε, εν ή καί ημών σών υμνωδών, μέμνησο πάντοτε.

### Θεοτοκίον

Υιούς Θεού ημάς απειργάσατο, ο γεννηθείς σαρκί Θεός εκ σού Παναμώμητε, καί τό πρώτον δέδωκεν αξίωμα, τοίς αυτόν δεξαμένοις, καί Θεομήτορα, σέ δοξολογούσιν εκτενώς, καί μεγαλύνουσιν.

### Ο Ειρμός

«Θεόν ανθρώποις ιδείν αδύνατον, όν ού τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ Πάναγνε ωράθη βροτοίς, Λόγος σεσαρκωμένος, όν μεγαλύνοντες, σύν ταίς ουρανίαις στρατιαίς, σέ μακαρίζομεν».

### Εξαποστειλάριον τών Νηπίων
### Τών μαθητών όρώντων σε

Η Βηθλεέμ μή στύγναζε, αλλ' ευθύμει, τών ιερών Νηπίων τή αναιρέσει, θύματα γάρ τέλεια τώ Δεσπότη, Χριστώ προσανηνέχθησαν, υπέρ αυτού γάρ σφαγέντα, συμβασιλεύουσι τούτω.

### Τού οσίου Όμοιον

Τά τής σαρκός σκιρτήματα θεοφόρε, δι' εγκρατείας πάσης κατακοιμίσας, άγρυπον εθέσπισας καί πάννυχον, εν τή Μονή σου Μάρκελλε, δοξολογίαν τελείσθαι, Χριστού εις αίνεσιν Πάτερ.

### Τής Εορτής  Όμοιον

Επί τής γής ειρήνη καί εν ανθρώποις, Θεοκυήτορ γέγονεν ευδοκία. Άγγελοι

χορεύοντες εκραύγαζον. Εν τοίς υψίστοις δόξα σοι, τώ γεννηθέντι αφράστως, εν Βηθλεέμ εκ Παρθένου.

Εις τούς Αίνους, Στιχ. Προσόμια τών Νηπίων.

Ήχος πλ. δ'
Ώ τού παραδόξου θαύματος

Ω τής Ηρώδου πορώσεως! κατά Θεού εμμανείς, τού σαρκί νηπιάσαντος, Βηθλεέμ τοίς βρέφεσι, τόν θυμόν επαφίησι, καί ξίφει πάντα, δημίων δίδωσι, ζωής στερήσαι, τόν ζωής αίτιον, τούτων οιόμενος, τής σφαγής τώ αίματι, ο λυμεών, τού καρπού τής φύσεως, ο απηνέστατος. (Δίς)

Μάγοι εκ Περσίδος φθάσαντες, εις τήν Ιερουσαλήμ, τόν Ηρώδην ετάραξαν, καί μανείς ο δείλαιος, τά Νήπια κατέσφαττεν, ως βότρυες δέ, Χριστώ προσήχθησαν, ει καί μητρώων μαζών εσπάσθησαν, οι Νεομάρτυρες, τόν Ηρώδην πλήξαντες, διό Χριστόν, πίστει ικετεύουσιν, εις τό σωθήναι ημάς.

Κλαίει η Ραχήλ τά Νήπια, εν τή Ραμά δέ φωνή, νύν μεγάλη ακούεται, ο Ηρώδης μαίνεται, καί αθέως φρυάττεται, ο Ιωάννης φεύγει εν όρεσι, λίθος Μητέρα σύν τέκνω δέχεται, ο Ζαχαρίας δέ, εν Ναώ φονεύεται, ο δέ Χριστός, φεύγει αφείς έρημον, Εβραίων οίκημα.

Δόξα... Ήχος πλ. β'

Ηρώδης ο παράνομος, θεωρών τόν αστέρα, υπέρ πάσαν κτίσιν λαμπρότερον, εταράττετο, καί γαλακτοτροφούμενα Βρέφη, εξ αγκαλών μητρικών αφήρπασεν. Η δέ Ελισάβετ, λαβούσα τόν Ιωάννην, πέτραν παρεκάλει. Δέξαι Μητέρα μετά τέκνου. Όρος εδέξατο τόν Πρόδρομον, φάτνη εφύλαττε τόν θησαυρόν, όν αστήρ εμήνυσε. Μάγοι προσεκύνουν, Κύριε δόξα σοι.

Καί νύν... ο αυτός

Εν Βηθλεέμ συνέδραμον Ποιμένες, τόν αληθή μηνύοντες Ποιμένα, τόν καθήμενον επί τών Χερουβίμ, καί ανακείμενον εν φάτνη, Νηπίου μορφήν δι' ημάς ανειληφότα, Κύριε δόξα σοι.

Απόστιχα Στιχηρά Ιδιόμελα τών Νηπίων.

Ήχος α'  Κυπριανού

Τώ αχράντω σου τόκω, Χριστέ ο Θεός, πρώτη θυσία γέγονε τά Νήπια, Ηρώδης, γάρ χειρώσασθαι, σέ τόν αχείρωτον βουληθείς, ηγνόησε μαρτύρων προσάγων σοι χορόν. Διό σε ικετεύομεν τόν ενανθρωπήσαντα, σώσαι τάς ψυχάς ημών.

Στίχ. Θαυμαστός ο Θεός εν τοίς αγίοις αυτού, ο Θεός Ισραήλ.

Ήχος β'  Τού αυτού

Εις τά ώτα τού Κυρίου Σαβαώθ, εισεληλύθει η σφαγή υμών, Βρέφη τίμια, δι'

αυτόν γαρ τό αίμα εξεχέατε, καί εν κόλποις Αβραάμ επαναπαύεσθε, καί τήν Ηρώδου εις αιώνας, μισητήν κακίαν καταγγέλλετε, δυνάμει τού τεχθέντος Χριστού.

Στιχ. Τοίς αγίοις τοίς εν τή γή αυτού εθαυμάστωσεν ο Κύριος.

Ήχος γ'

Μισητή τού Ηρώδου η παιδοκτονία, διά τήν αυτού μιαιφονίαν, καί σεπτή η τών Παίδων θυσία, ως ηλικιώτις Χριστού, τής ημών σωτηρίας, τού καινού σφαγίου προθυομένη καί προπεπονθυία. Μή κλαίε Ραχιήλ τά τέκνα, μιμνησκομένη τών κόλπων Αβραάμ, ένθα πάντων εστίν ευφραινομένων ή κατοικία.

Δόξα... Τού Οσίου

Ήχος πλ. β'

Όσιε Πάτερ, εις πάσαν τήν γήν εξήλθεν, ο φθογγος τών κατορθωμάτων σου, δι ών εν τοίς ουρανοίς, εύρες μισθόν τών καμάτων σου. Τών Δαιμόνων ώλεσας τάς φάλαγγας, τών Αγγέλων έφθασας τά τάγματα, ών τόν βίον αμέμπτως εζήλωσας. Παρρησίαν έχων πρός Χριστον τόν Θεόν, ειρήνην αίτησαι ταίς ψυχαίς ημών.

Καί νύν... τής Εορτής, ο αυτός

Χορεύουσιν Άγγελοι πάντες εν ουρανώ, καί αγάλλονται σήμερον, σκιρτά δέ πάσα η κτίσις, διά τόν γεννηθέντα εν Βηθλεέμ Σωτήρα Κύριον, ότι πάσα πλάνη τών Ειδώλων πέπαυται, καί βασιλεύει Χριστός εις τούς αιώνας.

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Λ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής Αγίας Μάρτυρος Ανυσίας.

Εν ταύτη τή ημέρα ψάλλομεν καί τήν Ακολουθίαν τής Αγίας Μελάνης, διά τό αποδίδοσθαι τήν τών Χριστουγέννων Εορτήν κατά τήν λα'.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τής Αγίας Ανυσίας.

Ήχος δ'

Ως γενναίον εν μάρτυσιν

Παρθενίας λαμπρότησι, φαιδρυνθείσα Πανεύφημε, Μαρτυρίου ήστραψας αγωνίσμασι, μή προσκυνήσαι ηλίω γάρ, πεισθείσα τήν άδικον, καθυπέμεινας σφαγήν, φοινιχθείσα τοίς αίμασι, καί παρέστη κας, τώ Ηλίω τής δόξης στεφηφόρος, ταίς εκείθεν λαμπομέναις, αυγαζομένη φαιδρότησιν.

Τόν εγκάρδιον έρωτα, υποφαίνουσα δάκρυσι, κατανύξει Ένδοξε, γήν κατέβρεχες, καί ταίς θριξίν εναπέσμηχες, Χριστού υποπόδιον, εννοούσα καί αυτόν, ως παρόντα προβλέπουσα, όν επόθησας, καί ιχνών απτομένη διανοία, θεωρίαις θειοτάταις, τήν σήν ψυχήν κατελάμπρυνας.

Καί τόν πλούτον σκορπίσασα, καί πτωχοίς επαρκέσασα, ενυμφεύθης άφθορος τώ Ποιήσαντι, καί ώσπερ προίκα προσήγαγες, αυτώ παναοίδιμε, τών αιμάτων τούς κρουνούς, καί τού πάθους τήν μίμησιν, ού υπέμεινεν, Ανυσία ο μόνος εις νυμφώνα, κατοικίσας σε τόν θείον, ως Αθληφόρον καί Μάρτυρα.

Στιχηρά τής Αγίας Μελάνης.

Ήχος ο αυτός
Ο εξ υψίστου κληθείς

Η ταίς Αγγέλων χορείαις συναφθείσα, ότε σε ο ένθεος έρως ανέφλεξε, καί υπερίπτασθαι έπεισε τών ορωμένων, δι' απαθείας καί καθαρότητος, τότε σου τόν σύνευνον, λόγοις εζώγρησας, θεοπειθέσι τήν άστατον, αποβαλέσθαι, τύρβην τού βίου τήν διαρρέουσαν, όθεν σύν τούτω τήν αιώνιον, εύρες ζωήν καί απόλαυσιν, δυσωπούσα Μελάνη, τού σωθήναι τάς ψυχάς ημών.

Η τών Αγγέλων ποθήσασα τόν βίον, ότε τήν ενήδονον τρυφήν διέπτυσας, τή εγκρατε ία σχολάζουσα, καί αγρυπνία, καί χαμευνία, καί ταπεινότητι, τότε καθαρώτατον, σκεύος γεγένησαι, Πνεύματος θείου χαρίσμασι, περιφανέσι, κεκοσμημένη πρό τούτου πάνσοφε, όθεν πρός ζήλον, σού τόν ένθεον, εφειλκύσω λαούς καί προσήγαγες, τώ Δεσπότη Μελάνη, καί Σωτήριτών ψυχών ημών.

Η καλλοναίς αρετών ωραϊσμένη, ότε τόν σωτήριον λόγον επλήρωσας, καί διανείμασα δέδωκας, τάς μυριάδας, τού σού χρυσίου πτωχοίς καί πένησι, τότε τόν ουράνιον όλβον απείληφας, δικαιοσύνην πλουτήσασα, καί αφθαρσίαν, καί απολύτρωσιν Πανσεβάσμιε, όθεν τιμώμεν σού τήν κοίμησιν, καί εκτενώς δυσωπούμέν σε, ικετεύσαι τόν Κτίστην, τού σωθήναι τάς ψυχάς ήμών.

Δόξα... Καί νύν... Ήχος πλ. α'
Ιωάννου Μοναχού

Ευφραινέσθωσαν οι ουρανοί, καί αγαλλιάσθω η γή, σήμερον γάρ αληθώς, μία ποίμνη γέγονεν Αγγέλων καί ανθρώπων. Ώ τού θαύματος! ο αόρατος οράται, ο αχώρητος χωρείται, ο άναρχος άρχεται, ο Υιός τού Θεού Υιός ανθρώπου γίνεται, καί Παρθένος απείρανδρος, Μήτηρ οράται Θεού, καί η Μήτηρ μετά κύησιν, Παρθένος ευρίσκεται, ο σαρκωθείς Λόγος τού Πατρός, εν φάτνη ανακέκλιται, καί Ποιμένες κήρυκες, κοινωνοί τού μυστηρίου γίνονται, Μάγοι εξ ανατολών τά δώρα προσεκόμιζον, υπό αστέρος οδηγούμενοι, καί τόν τεχθέντα Σωτήρα προσεκύνησαν. Μεθ' ών καί ημείς φιλέορτοι, τούς τής καρδίας θησαυρούς προθύμως ανοίξαντες, προσάξωμεν αυτώ πράξεις

αγαθάς, πίστιν, ελπίδα καί αγάπην, ως χρυσόν καί λίβανον καί σμύρναν, τών Ασωμάτων τήν φωνήν βοώντες αυτώ. Δόξα εν υψίστοις Θεώ, καί επί γής ειρήνη, εν ανθρώποις ευδοκία, τώ ελθόντι σώσαι εκ φθοράς, τό γένος ημών.

Απόστιχα στιχηρά Προσόμοια τής Εορτής.

Ήχος πλ. α'
Χαίροις ασκητικών

Μάγοι ανατολών Βασιλείς τώ εκ Παρθένου Βασιλίδος εκλάμψαντι, απάντων Θεώ καί Κτίστη, καί Βασιλεί αληθεί, δώρα προσκυνούντες προσεκόμισαν, πρός ούς η Πανάμωμος, εκπλαγείσα εφθέγγετο. Είπατε δή μοι, οι τό πύρ καί τόν ήλιον, σεβαζόμενοι, καί εν σκότει βαδίζοντες, πώς τόν υπέρ κατάληψιν, φωτίζοντα σύμπαντα, έγνωτε σάρκα λαβόντα, καί εν σπηλαίω, τικτόμενον, εν γή καί δι' οίκτον, παρεχόμενον τώ κόσμω, τό μέγα έλεος;

Στίχ. Είπεν ο Κύριος τώ Κυρίω μου, Κάθου εκ δεξιών μου, έως άν θώ τούς εχθρούς σου υποπόδιον τών ποδών σου.

Λόγοις ακολουθούντες ημείς, τού Βαλαάμ πρός τήν αγνήν απεκρίθησαν, οι Μάγοι, παρετηρούμεν, ανατολήν καθαρού, καί λαμπρού Αστέρος, προσγενήσεσθαι, καί δή θεασάμενοι, ασυνήθη φαινόμενον, τούτον αρτίως, υπ' αυτού οδηγούμενοι, ουκ ωκνήσαμεν, τήν πορείαν ποιήσασθαι. Τίς ούν ο ταίς αγκάλαις σου, ως βρέφος κρατούμενος; πώς μυστηρίω τοιούτω, καθυπουργήσαι ηξίωσαι, σεμνή Παναγία; δι' ού εύρατο ο κόσμος, τό μέγα έλεος.

Στίχ. Εκ γαστρός πρό Εωσφόρου εγέννησά σε, ώμοσε Κύριος, καί ου μεταμεληθήσεται. Σύ Ιερεύς εις τόν αιώνα, κατά τήν τάξιν Μελχισεδέκ.

Λέξω πυνθανομένοις υμίν, τά υπέρ λόγον καί διάνοιαν άπασαν, η Κόρη φησί τοίς Μάγοις, βλέπω γάρ νεύσει υμάς, αφικέσθαι ώδε τού παιδίου μου. Καινά καί παράδοξα, ως οράτε τά πράγματα, ο γάρ αχρόνως, τώ Πατρί συννοούμενος, τήν πτωχείαν μου, εκουσίως εφόρεσεν, όπως καταπλουτήσειε, τούς γνώμη πτωχεύσαντας, καί Παραδείσου τήν θείαν, διαγωγήν απολέσαντας. Αυτός εστιν ούτος, ο δωρούμενος τώ κόσμω τό μέγα έλεος.

Δόξα... όμοιον

Βρέφος σωματωθεν εξ αυτής, τόν προαιώνιον Θεόν η Πανάμωμος, Ορώσα χερσί κρατούσα, καταφιλούσα πυκνώς, καί χαράς πλησθείσα, προσεφθέγγετο, αυτώ, Θεέ ύψιστε, Βασιλεύ αθεώρητε, πώς καθορώ σε, καί νοείν τό μυστήριον, ου δεδύνημαι, τής αμέτρου πτωχείας σου; Σπήλαιον γάρ σμικρότατον, καί τούτο αλλότριον, ένδον χωρεί σε τεχθέντα, καί Παρθενίαν μή λύσαντα, νηδύν συντηρούντα, ως πρό τόκου καί διδόντα, τό μέγα έλεος.

Καί νύν... όμοιον

Φέρεις Αδαμιαίαν μορφήν, ο εν μορφή Θεού υπάρχων προτέλειος, καί θέλεις

χερσί κρατείσθαι, ο τή χειρί τού παντός, περιδεδραγμένος δυναστεία σου, Αγνή η Πανάμωμος, Προσεφθέγγετο χαίρουσα, πώς σε σπαργάνοις, ενειλήσω ως νήπιον, πώς θηλάσω σε, τόν τά σύμπαντα τρέφοντα; πώς μή τήν υπέρ έννοιαν, πτωχείαν θαυμάσω σου; πώς σε Υιόν μου καλέσω, δούλη σου νύν χρηματίζουσα; υμνώ ευλογώ σε, τόν δωρούμενον τώ κόσμω, τό μέγα έλεος.

Καί τά λοιπά τού Εσπερινού καί Απόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα τής Εορτής
Ήχος δ'  Κατεπλάγη Ιωσήφ

Ο αχώρητος παντί, πώς εχωρήθη εν γαστρί; ο εν κόλποις τού Πατρός, πώς εν αγκάλαις τής Μητρός; πάντως ως οίδεν, ως ηθέλησε καί ως ηυδόκησεν, άσαρκος γάρ ών, εσαρκώθη εκών, καί γέγονεν ο Ών, ο ουκ ήν δι' ημάς, καί μή εκστάς τής φύσεως, μετέσχε τού ημετέρου φυράματος. Διπλούς ετέχθη, Χριστός τόν άνω, κόσμον θέλων αναπληρώσαι.

Δόξα... Καί νύν... τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα, όμοιον

Τί θαυμάζεις Μαριάμ; τί εκθαμβείσαι τώ εν σοί; Ότι άχρονον Υιόν, χρόνω εγέννησα φησί, τού τικτομένου τήν σύλληψιν μή διδαχθείσα. Άνανδρός ειμι, καί πώς τίκτω Υιόν, άσπορον γονήν, τίς εώρακεν, όπου Θεός δέ βούλεται, νικάται φύσεως τάξις, ως γέγραπται, Χριστός ετέχθη, τήν πρίν κατάραν, τού Αδάμ θέλων λύσαι.

Δόξα... Καί νύν... τό αυτό

Οι Κανόνες τής Εορτής, καί τών Αγίων.

Ο Κανών τής Αγίας Ανυσίας. Θεοφάνους.

Ωδή α'  Ήχος δ'

«Θαλάσσης τό ερυθραίον πέλαγος, αβρόχοις ίχνεσιν, ο παλαιός πεζεύσας, Ισραήλ, σταυροτύποις Μωσέως χερσί, τού Αμαλήκ τήν δύναμιν, εν τή ερήμω ετροπώσατο».

Υμνούντι τήν φωτοφόρον μνήμην σου, φώς μοι κατάπεμψον, ως τώ Πατρί τών φώτων εν χαρά, παρεστώσα Πανεύφημε, τήν τών παθών μου θύελλαν,

σαίς προσευχαίς αποδιώκουσα.

Ασκήσει τήν ψυχήν νεώσασα, θεόφρον άρουραν, τού μαρτυρίου στάχυν γεωργείς, Γεωργώ συντηρούμενον, τώ τήν ισχύν σοι πνεύσαντι, Παρθενομάρτυς αξιάγαστε.

Χειρί σου πλουσιωτάτη νείμασα, πλούτον επίκηρον, πλουτοποιόν εκέρδησας ζωήν, μηδαμώς διαρρέουσαν, καί θησαυρόν ακήρατον, Μάρτυς καί δόξαν επουράνιον.

Θεοτοκίον

Εκ σού τής Υπεραγίας σήμερον, ο τού παντός Ποιητής, σωματικώς γεννάται καθ' ημάς, καί σπαργάνοις ειλίσσεται, ο σπαργανώσας θάλασσαν, ομίχλη Μήτερ αειπάρθενε.

Κανών τής Αγίας Μελάνης. Θεοφάνους.

Ήχος ο αυτός

Ανοίξω τό στόμα μου

Παθών αμαυρότητι, μελανωθέντα με πάντοθεν, λαμπρύνας καθάρισον, ταίς φωτοβόλοις ευχαίς, τής Οσίας σου, φιλάνθρωπε Μελάνης, καί ταύτην γεραίροντι, λόγον μοι έμπνευσον.

Θερμώς ηκολούθησας, τώ διά σέ τόν εκούσιον, Σταυρόν υπομείναντι, επ' ώμων φέρουσα, Παμμακάριστε, προθύμως τόν σταυρόν σου, καί τούτου εφύλαξας, τά δικαιώματα.

Γονέων προσπάθειαν, καί τής σαρκός ηδυπάθειαν, τελείως εξέκλινας, μόνον ποθήσασα, τό εράσμιον, Χριστού θεόφρον κάλλος, ού πάντα εφίεται, λόγου μετέχοντα.

Κλοιόν απορρίψασα, τής σαρκικής συμβιώσεως, τόν σύζυγον έπεισας, σύν σοί τόν θείον ζυγόν, επαυχένιον, καί φέρειν καί βαδίζειν, οδόν τήν εισάγουσαν, εις τας αϋλους μονάς.

Θεοτοκίον

Πτωχεύει ο πλούσιος, εμέ πλουτίζων θεότητι, κακώς τόν πτωχεύσαντα, τή ακρασία μου, καί ο άναρχος, αρχήν ιδού λαμβάνει, εκ Κόρης τικτόμενος, νύν τής θεόπαιδος.

Τής Μάρτυρος

Ωδή γ'

«Ευφραίνεται επί σοί, ή Εκκλησία σου Χριστέ κράζουσα. Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

Τού κάλλους σου τής ψυχής, ο Ποιητής σου ερασθείς νύμφην τε, όντως

καλήν καί άμωμον, Μάρτυς εαυτώ συνηγάγετο.

Τού πάθους τού απαθούς, τού νεκρωθέντος δι' ημάς νέκρωσιν, Μάρτυς σεμνή στέργουσα, τόν μαρτυρικόν θνήσκεις θάνατον.

Ως θύμα πνευματικόν, ως ιερείον καθαρόν τέλειον, σοί τώ Θεώ προσήνεκται, η τόν σόν Σταυρόν αγαπήσασα.

Θεοτοκίον

Χωρίον χωρητικόν, τού αχωρήτου Πλαστουργού πέφηνας, τούτον σαρκί χωρήσασα, Κεχαριτωμένη Πανάμωμε.

Τής Οσίας

Ουκ εν σοφία

Τής πρός τά κάτω, αποστάσα ροπής όλην δέδωκας, τήν ροπήν πανευσεβώς, τής προαιρέσεως Ένδοξε, μόνα πρός τά μένοντα καί αιωνίζοντα.

Καί φθεγγομένη, καί σιγώσα εδείχθης παραίνεσις, αστηρίκτων στηριγμός, μοναζουσών υποτύπωσις, Μελάνη πανένδοξε, όθεν υμνούμέν σε.

Τή συντονία, τών ευχών τάς αισθήσεις ερρύθμισας, ταίς τού Πνεύματος αυγαίς, φωτοειδής όθεν γέγονας, εν σώματι άϋλον, βίον ζηλώσασα.

Θεοτοκίον

Ο περιβάλλων, ουρανούς εν νεφέλαις βουλήματι, σπαργανούται βουληθείς, χειρί Παρθένου ως νήπιον, χειρός αφαρπάζων με, τού πολεμήτορος.

Ο Ειρμός

«Ουκ εν σοφία, καί δυνάμει καί πλούτω καυχώμεθα, αλλ' εν σοί τή τού Πατρός, ενυποστάτω Σοφία Χριστέ, ου γάρ εστιν άγιος, πλήν σου φιλάνθρωπε».

Κάθισμα τής Μάρτυρος

Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ

Κατά παθών τών τής σαρκός βασιλεύσασα, διά παθών ζωοποιών εβασίλευσας, εκ τού οικείου αίματος φοινίξασα σεμνή, χλαίναν αδιάφθορον, ευσεβώς Ανυσία, όθεν τού Παντάνακτος, Νύμφη άμωμος ώφθης, αλλ' εκ κινδύνων λύτρωσαι ημάς, τούς εκτελούντας εν πίστει τήν μνήμην σου.

Δόξα... τής Οσίας, ο αυτός

Ταχύ προκατάλαβε

Τά θεία προστάγματα, επιτελούσα σεμνή, εσκόρπισας έδωκας, τάς μυριάδας τού σού, χρυσίου τοίς πένησιν, άρασα δέ επ' ώμων, τόν σταυρόν σου Μελάνη, άμα τώ σώ συζύγω, ηκολούθησας πίστει, Χριστώ τώ σταυρωθέντι σαρκί, καί μόνω Θεώ ημών.

Καί νύν... τής Εορτής, ο αυτός
Κατεπλάγη Ιωσήφ

Δεύτε ίδωμεν πιστοί, πού εγεννήθη ο Χριστός, ακολουθήσωμεν λοιπόν, ένθα οδεύει ο αστήρ, μετά τών Μάγων ανατολής τών Βασιλέων, Άγγελοι υμνούσιν, ακαταπαύστως εκεί, Ποιμένες αγραυλούσιν, ωδήν επάξιον, Δόξα εν υψίστοις λέγοντες, τώ σήμερον εν Σπηλαίω τεχθέντι, εκ τής Παρθένου καί Θεοτόκου, εν Βηθλεέμ τής Ιουδαίας.

Τής Μάρτυρος

Ωδή δ'

«Επαρθέντα σε ιδούσα η Εκκλησία, επί Σταυρού τόν Ήλιον τής δικαιοσύνης, έστη εν τή τάξει αυτής, εικότως κραυγάζουσα. Δόξα τή δυνάμει σου Κύριε».

Ζωηφόροις σου τοίς ίχνεσιν επομένη, λόγχη πλευράν τιτρώσκεται, καί τήν στρεφομένην, αβλαβώς παρέρχεται, ρομφαίαν η δούλη σου, Δέσποτα Χριστέ ανυμνούσά σε.

Μαρτυρίου διαλάμπουσα λαμπηδόσι, καί αφθαρσίας στέφανον αναδησαμένη, χαίρουσα παρίστασαι, Χριστώ τώ Νυμφίω σου, Μάρτυς Ανυσία πανεύφημε.

Τόν πτερνίσαντα απάτη τήν πρώτην Εύαν, μαρτυρικαίς ενστάσεσι, τρέψασα καθείλες, δείξασα ανίσχυρον, καί χαίρουσα έκραζες. Δόξα τή δυνάμει σου Κύριε.

Θεοτοκίον

Ο τάς αϋλους ουσίας δημιουργήσας, σωματικώς ως άνθρωπος, εκ σού Θεομήτορ, σήμερον γεγέννηται. αυτώ μελωδήσωμεν. Δόξα τή δυνάμει σου Κύριε.

Τής Μάρτυρος

Ο καθή μενος εν δόξη

Εγκρατεία τάς ορέξεις, τής σαρκός θανατώσασα, τήν ζωήν τών όλων, έσχες ενοικούσαν σοι Πάνσεμνε, πρός ήν εκ γής μεταστάσα, κατεσκήνωσας, βασιλείας τοίς εν ουρανώ απολαύουσα.

Τάς πολλάς σου μυριάδας, τού χρυσίου διένειμας, πενομένοις όντως, ταύτας θησαυροίς δέ απέθηκας, παλαιουμένοις μηδέπω, εις αιώνα δέ, συντηρουσί σοι τήν διαρκή μονιμότητα.

Συμπαθείας σου ο πλούτος, ποταμός ώσπερ γέγονε, καταρδεύων πάσαν, πένητος Αοίδιμε ένδειαν, ρύπον εκπλύνων πτωχείας, όλβον άσυλον, προξενών σοι, τόν έν ουρανοίς μή κενούμενον.

Θεοτοκίον

Ταίς ορμαίς καθυποκυψας, τών παθών ώσπερ άλογος, λογικός υπάρχων,

παρασυνεβλήθην τοίς κτήνεσιν, αλλ' η τόν Λόγον τεκούσα τον αϊδιον, μή παρίδης με, διαπαντός απολλύμενον.

Τής Μάρτυρος

Ωδή ε'

«Σύ Κύριέ μου φώς, εις τόν κόσμον ελήλυθας, φώς άγιον επιστρέφον, εκ ζοφώδους αγνοίας, τούς πίστει ανυμνούντάς σε».

Σέ Κύριε πηγήν, σωτηρίου γινώσκουσα, ποτήριον μαρτυρίου, αδιστάκτω καρδία, η Μάρτυς σου εξέπιεν.

Ωδάμαλις Χριστού, ώ θεόδεκτον σφάγιον, ώ άμωμον ιερείον, Αθληφόρε Κυρίου, ικέτευε σωθήναι ημάς.

Φώς γέγονας φωτί, τώ μεγάλω τρανότερον, εγγίζουσα καί φωτίζεις, φωτοφόρον τήν μνήμην, τήν σήν τούς εορτάζοντας.

Θεοτοκίον

Ρούς έστη τής φθοράς, η Παρθένος ασπόρως γάρ, γεγέννηκε τόν τήν φύσιν, τών ανθρώπων φθαρείσαν, φθοράς ελευθερώσαντα.

Τής Οσίας

Ασεβείς ουκ όψονται

Τάς αμόρφους τέλεον, ιδέας τών παθών, εκ ψυχής ξέσασα σεμνή, εγκρατείας χρώμασι, διεζωγράφησας, εν αυτή απάθειαν, καί αγάπην ανυπόκριτον.

Τηλαυγές ως έσοπτρον, υπάρξασα σεμνή, διαυγείς πνεύματος Θεού, διαδόσεις Ένδοξε, υποδέδεξαι, καί πιστούς εφώτισας, τή λαμπρότητι τού βίου σου.

Εγκρατεία σβέσασα, παθών πυρκαϊάν, τόν πυρσόν ήψας τής ψυχής, εν παντί τώ βίω σου, καταλαμπρύνοντα, καί τάς αμαυρότητας, τών δαιμόνων εκκρουόμενον.

Θεοτοκίον

Η Παρθένος έτεκε, Θεόν Εμμανουήλ, εν Σπηλαίω τής Βηθλεέμ, τήν Εδέμ ανοίγοντα, πάλαι κλεισθείσάν μοι, ακρασία βρώσεως, καί απάτη τή τού όφεως.

Τής Μάρτυρος

Ωδή ς'

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου Κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Ανδρείον, γυναικείω εν σώματι φρόνημα, αναλαβούσα πρός πάλην, δυσμενών ασάρκων Μάρτυς εξήλθες, καί ρομφαία, υπομονής αυτούς εθανάτωσας.

Αιμάτων, τή πλημμύρα θαλάσσας εξήρανας, κακοπιστίας, Χριστού δέ τήν σεπτήν κατήρδευσας Εκκλησίαν, Ανυσία, αθληφόρε Παρθένων τό καύχημα.

Αβρόχως, τών αγώνων διήλθες κλυδώνιον, κυβερνωμένη παλάμη, τού τά πάντα λόγω πεποιηκότος, καί πρός όρμον, σωτηρίας Παρθένε κατήντησας.

Θεοτοκίον

Ο πλάσας, κατ' εικόνα ιδίαν τόν άνθρωπον, διά πολλήν ευσπλαγχνίαν, αναπλάττει τούτον εκ σού Παρθένε, Θεομήτορ, ολοκλήρως αυτόν ενδυσάμενος.

Τής Οσίας

Ο αυτός

Αβρόχως, τό τού βίου διήλθες κλυδώνιον, ακαταπόντιστος όθεν, εις λιμένα άκλυστον καθωρμίσθης, καί τής όντως, απολάβεις γαλήνης Αοίδιμε.

Σπινθήρσι, τού θερμού σου πρός Κύριον έρωτος, πεπυρωμένα τά βέλη, κατεφλέχθη πάντα τής αμαρτίας, καί δαιμόνων, κακουργία εις τέλος ηφάνισται.

Ο νούς σου, πρός τό κρείττον ενώσει Θεούμενος, τής πρός τήν σάρκα φιλίας, διεζεύχθη νεύσει παντοδυνάμω, διά τούτο, τής ασκήσεως πόνους υπέφερες.

Θεοτοκίον

Θεοί με, γεννηθείς εκ Παρθένου ο Κύριος, καί σπαργανούται τήν λύσιν, τών εμών ποιούμενος εγκλημάτων, καί χωρείται, εν Σπηλαίω ο πάσιν αχώρητος.

Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Κοντάκιον τής Οσίας

Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ

Καταυγασθείσα τήν ψυχήν φρυκτωρίαις, τού αναλάμψαντος ημίν εκ Παρθένου, εν αρεταίς διέλαμψας Πανεύφημε, πλούτον γάρ σκορπίσασα, επί γήν εφθαρμένον, εναπεθησαύρισας, τόν ουράνιον πλούτον, καί εν ασκήσει έλαμψας φαιδρώς, Όθεν Μελάνη, σέ πόθω γεραίρομεν.

Ο Οίκος

Φυγούσα κόσμου τά τερπνά, χρυσού τάς μυριάδας εσκόρπισας πλουσίως, εις χείρας τών πενήτων αποθεμένη ευσεβώς, τόπους δέ τούς θείους διαδραμούσα, τοίς πάσι τά πάντα γέγονας, βίον διελθούσα ισάγγελον, καί

πάσιν επαρκούσα, τώ ελαίω δέ τής ευποιΐας, αιδρύνασα τήν ψυχικήν λαμπάδα, εισήλθες σύν Χριστώ πρός θείον νυμφώνα, βασιλείας τής αυτού κατατρυφώσα. Όθεν Μελάνη, σέ πόθω γεραίρομεν.

Συναξάριον

Τή Λ' τού αυτού μηνός, Μνήμη τής Αγίας Μάρτυρος Ανυσίας, τής εν Θεσσαλονίκη.

Στίχοι

- Εις δεξιάν νύττουσι πλευράν κυρίως,
- Πλευράς Αδάμ κύημα τήν Ανυσίαν.
- Πλευράν Ανυσίης τριακοστή έγχος ένυξεν.

Τή αυτή ημέρα, Μνήμη τής Οσίας Θεοδώρας, τής από Καισαρείας.

Στίχοι

- Απήρε δεσμού σαρκός η Θεοδώρα,
- Ούπερ λυθήναι ζώσα καί πρίν ηγάπα.

Τή αυτή ημέρα, Μνήμη τού αγίου Μάρτυρος Φιλεταίρου.

Στίχοι

- Φιλέταιρος πέπονθεν αθλητών νόμω,
- Κάν ουκ απήλθεν ως αθλητής εκ βίου.

Τή αυτή ημέρα, Ο Όσιος Λέων ο Αρχιμανδρίτης, εν ειρήνη τελειούται.

Στίχοι

- Ρευστού μεταστάς, Χριστέ, Λέων εκ βίου
- Σκύμνον λέοντος εξ Ιούδα σε βλέπει.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελεησον ημάς. Αμήν.

Τού Μάρτυρος

Ωδή ζ'

«Ο διασώσας εν πυρί, τούς Αβραμιαίους σου Παίδας, καί τούς Χαλδαίους ανελών, οίς αδίκως δικαίους ενήδρευσαν, υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων, ευλογητός εί».

Σού τήν οικίαν τής ψυχής, Μάρτυς νοητώς ιδρυμένην, ομολογία τού Χριστού, τών βασάνων συρρεύσαντες χείμαρροι, ουδαμώς παρεσάλευσαν, ο Θεός αναβοώσης, ευλογητός εί.

Δικαιοσύνης τόν Χριστόν, Ήλιον γινώσκουσα Μάρτυς, ου κατεδέξω δυσσεβώς, επιθύσαι Ηλίω κελεύοντος, τού τυράννου αλλ' έμελπες. ο Θεός ο τών Πατέρων, ευλογητός εί.

Σού εξ αιμάτων ιερών, βάψασα σαυτού αλουργίδα, νικητικώ τήν κεφαλήν διαδήματι, Μάρτυς κατέστεψαι, καί Θεώ νύν παρίστασαι, Βασιλεί τώ αθανάτω, ευφραινομένη.

Θεοτοκίον

Ο σπαργανώσας ουρανόν, νέφεσι τήν γήν δέ ομίχλη, σού εκ γαστρός αποτεχθείς, σπαργανούται καί φάτνη προσκλίνεται, Θεομήτορ Πανάμωμε, τάς σειράς μου διαλύων, τών εγκλημάτων.

## Τής Οσίας

Ο αυτός

Σύν τώ συζύγω τόν ζυγόν, φέρουσα Χριστού θεοφόρε, κατενεώσατε ευχών, τώ αρότρω τάς ψυχάς, καί τήν άρουραν, τών καλών γεωργήσαντες, εντρυφάτε εις αιώνας, τής άνω δόξης.

Ωσεί ελαία ψαλμικώς, οίκω τού Θεού φυτευθείσα, καθιλαρύνεις μυστικώς τάς καρδίας, Οσία καί πρόσωπα, τώ ελαίω τών πόνων σου, τών Πιστώς ανευφημούντων σου τους αγώνας.

Τής εγκρατείας δροσισμώ, σβέσασα παθών τάς καμίνους, τή επομβρία τών ευχών, ιαμάτων πελάγη ανέβλυσας, παθημάτων επήρειαν, κατακλύζοντα Μελάνη τών σέ τιμώντων.

Θεοτοκίον

Πόκον έφη ο Δαυϊδ, ως τόν υετόν δεξαμένην, τόν επουράνιον Αγνή, ανομίας χειμαρρους ξηραίνοντα, καί πιστών καταρδεύοντα, διανοίας χερσωθείσας τή αμαρτία.

## Τής Μάρτυρος

Ωδή η'

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύωαμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Χήραις ορφανοίς τε καί πτωχοίς, καί πάσι χρήζουσι, πλούτον διένειμας, τού Παντοκράτορος στέργουσα, αδιάπτωτα προστάγματα, καί Μαρτυρίου τό σεπτόν, όντως ποτήριον, εκπιούσα, έστης Παρθένε σεμνή τής εφέσεως.

Ως προίκα προσήξας τώ Χριστώ νηστείαν δάκρυα, παθών τήν νέκρωσιν, καί τήν τού αίματος προσχυσιν, τής πλευράς τε τήν εκκέντησιν, μή παλαιούμενον αυτός, όθεν σοι στέφανον, καί παστάδα, άφθορον νέμει, καί δόξαν αθάνατον.

Οικείς μετ' Αγγέλων εν φωτί, Παρθένων τάγμασι, δήμοις Μαρτύρων τε, συναγελάζουσι πρόσωπον, τού νυμφίου σου πρός πρόσωπον, καί θεωρούσα καί λαμπράς, δόξης μετέχουσα, καί βοώσα, Πάντα τά έργα υμνείτε τόν

Κύριον.

Θεοτοκίον

Ιδού νύν εξέλιπε σαφώς, εκ τής, Ιούδα φυλής, άρχων ηγούμενος, σύ γάρ Πανάμωμε τέτοκας, ώ τό πρίν ήν αποκείμενον, τήν προσδοκίαν τών εθνών, Χριστόν ώ ψάλλομεν. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Τής Οσίας

Παίδας ευαγείς εν τή καμίνω

Ναόν τήν καρδίαν καί τό σώμα, τριάδος τής υπερθέου εκτελέσας, θείους ανεδόμησας οίκους Αξιάγαστε, εν οίς Παρθένων τάγματα, καί Μοναζόντων χορούς, συνήθροισας υμνούντας συμφώνως, καί δοξολογούντας, Χριστόν εις τούς αιώνας.

Φρονήσει, ανδρεία, σωφροσύνη, καί θεία δικαιοσύνη διαλάμπουσα έσχες ανυψούσάν σε, ύψος πρός ουράνιον, υψοποιόν ταπείνωσιν, δι' ής κατέβαλες, Οσία τόν μεγάλαυχον όφιν, όθεν σε τιμώμεν, ως όντως νικηφόρον.

Ελέω τόν έλεον εκτήσω, εσκόρπισας έδωκας τοίς πένησιν, η δικαιοσύνη σου, μένει αιωνίζουσα, καί τό εκ ταύτης κέρδος σοι, μή παλαιουμενον, Μελάνη θεοφόρε Οσία, κλέος τών εν πίστει, αεί σε ευφημούντων.

Θεοτοκίον

Παθών με ταράττει τρικυμία, βυθός με χειμάζει απογνώσεως, σώσόν με Πανάμωμε, Μήτηρ καί σωθήσομαι, τόν γάρ Σωτήρα Κύριον εκυοφόρησας, εν φάτνη, τόν ως βρέφος τεχθέντα, όν υπερυψούμεν, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Τής Μάρτυρος

Ωδή θ'

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φυσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Λίθοις οι προσάπτοντες σέβας, παρά τόν Κτίσαντα οράν σε, Ένδοξε μή φέροντες Θεώ, ανακειμένην ξίφει συγκόπτουσι, διά θανάτου θείαν σοι, αθανασίαν μνηστευόμενοι.

Θεσσαλονικέων η πόλις, σού τοίς σπαργάνοις καί τοίς άθλοις, Μάρτυς εγκαυχάται Παρθένε, η Εκκλησία τών πρωτοτόκων δέ, μετά δικαίων έχει σου, πνεύμα τό θείον ευφραινόμενον.

Λίβανον χρυσόν τε καί σμύρναν, εν Βηθλεέμ τώ γεννηθέντι, Μάγοι προσενήνοχαν πίστει, η Αθλοφόρος δέ τήν δι' αίματος τού μαρτυρίου άθλησιν, υπέρ ημών αυτώ πρεσβεύουσα.

Θεοτοκίον

Ράβδος ανεβλάστησας ρίζης, τού Ιεσσαί Θεογεννήτορ, άνθος τής θεότητος Χριστόν, ημίν τεκούσα, Πάναγνε σήμερον, τόν ως Θεόν αχώρητον, καί νύν ως βρέφος σπαργανούμενον.

Τής Οσίας

Εύα μέν τώ τής παρακοής

Εις ύψος σαφώς τής ακραιφνούς, ανέδραμες, Μακαρία τελειότητος, έφθασας τάξεις Ασωμάτων, τώ όντως εφετώ προσεπέλασας, πηγήν τών αγαθών νύν κατείληφας, όθεν σε πάντες μακαρίζομεν.

Χοροίς συνευφραίνη Ασκητών, ασκήσασα, καί τά πάθη θανατώσασα, βλέπεις ανακεκαλυμμένω, προσώπω τού Θεού τήν λαμπρότητα, ής πρώην τάς εμφάσεις εκέκτησο, σώφρον Μελάνη παναοίδιμε.

Βαδίσασα τρίβον τήν στενήν, ευρύχωρον, Παραδείσου πλάτος έφθασας, όπου χαρά εορταζόντων, τό ξύλον τής ζωής ένθα πέφυκεν, ημών διά παντός μνημονεύουσα,
τών εκτελούντων σου τήν κοίμησιν.

Θεοτοκίον

Ο νώτοις φρικτώς Χερουβικοίς Οχούμενος, εν αγκαλαις νύν καθέζεται, Κόρης αγνής, καί σπαργανούται, καί λύει τάς σειράς τών κακών ημών, καί γάλακτι ως νήπιος τρέφεται, ο διατρέφων πνοήν άπασαν.

Ο Ειρμός

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν είσω κίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν».

Εξαποστειλάριον τής Μάρτυρος

Γυναίκες ακουτίσθητε

Η θήκη τών λειψάνων σου, μύρον ευώδες βρύουσα, ιάται πάθη ποικίλα, τά τών βροτών Ανυσία, Παρθενομαρτυς ένδοξε, διό πανηγυρίζομεν, τήν φωτοφόρον μνήμην σου, εν ή Χριστόν εκδυσώπει, υπέρ τών σέ ανυμνούντων.

Τής Οσίας, όμοιον

Μελάνη παναοίδιμε, Μοναζουσών τό καύχημα, παθών με τή αμαυρώσει, μελανωθέντα κατ' άμφω, λαμπρύνασα καθάρισον, ταίς πρός Θεόν πρεσβείαις σου, όπως φαιδρώς γεραίρω σε, καί τήν φωσφόρον σου μνήμην, λαμπροφανώς εορτάζω.

Τής Εορτής, όμοιον

Ο ών σύν τώ Γεννήτορι, Θεός αεί προάναρχος, εκ Πνεύματος νύν αγίου, εν Βηθλεέμ απορρήτως, εκ σού Παρθένε τίκτεται, υπό τό θείον σπήλαιον, εν φάτνη τών αλόγων δέ, σπαργανωθείς ανεκλίθη, λύων σειράς μου πταισμάτων.

Εις τούς Αίνους, Στιχηρά Προσομοια τής Εορτής.

Ήχος πλ. β' Αι Αγγελικαί

Ω τών υπέρ νούν, καί μεγάλων μυστηρίων! πώς ο αναφής, ενειλούμενος σπαργάνοις, εν φάτνη τών αλόγων, ανεκλίθη ως νήπιον, πάντας αλογίας απαλλάττων, καί πρός ουρανούς ημάς ανάγων, αυτώ Κράζοντας. Ευλογημένος ο τεχθείς, Θεός ημών δόξα σοι.

Τόν Εμμανουήλ, εν Σπηλαίω γεννηθέντα, άνωθεν αστήρ, κατεμήνυσε τοίς Μάγοις, δικαιοσύνης όντα, απερίγραπτον Ήλιον, καί περιγραφόμενον εν φάτνη, σάρκα υλικήν ημφιεσμένον, πρός όν κράζομεν. Ευλογημένος ο τεχθείς, Θεός ημών δόξα σοι.

Νύν επί τής γής, πεφανέρωται παιδίον, ο εκ τού Πατρός, γεννηθείς πρό τών αιώνων. Αγάλλου πάσα κτίσις, ουρανοί ευφραινέσθωσαν, βλέποντες τούς πρίν απατηθέντας, πάλιν τώ Θεώ οικειουμενους, αυτώ κράζοντας. Ευλογημένος ο τεχθείς, Θεός ημών δόξα σοι.

Θέλων ουρανούς, κλίνας Κύριε κατέβης, καί Παρθενικήν, μήτραν ώκησας αφράστως, καί βρέφος εγνωρίσθης, εν Σπηλαίω τικτόμενος, καί συνανεστράφης τοίς ανθρώποις, αρίστην οδόν υποδεικνύων, τοίς σοί κράζουσιν. Ευλογημένος ο τεχθείς, Θεός ημών δόξα σοι.

Δόξα... Καί νύν... Θεοτοκίον

Άφθορον Αγνήν, εαυτήν κατανοούσα, μετά τήν φρικτήν, καί ανέκφραστον λοχείαν, εβόα η Παρθένος, Ανερμήνευτε Κύριε, βρέφος σπαργανούμενον κρατώ σε, καί δοξολογώ μετά Ποιμένων, πιστώς κράζουσα. Ευλογημένος ο τεχθείς, Θεός ημών δόξα σοι.

Απόστιχα Στιχηρά Προσόμοια

Ήχος πλ. β' Αι Αγγελικαί

Ράβδω σιδηρά, ποιμανθήση Ιουδαίε, οία απειθής, καί Προφήταις αντιπίπτων, Υιώ γάρ γεννηθέντι, ο Πατήρ κλήρον δίδωσιν, έθνη καί κατάσχεσιν γήν πάσαν, σέ δέ απωθείται μιαιφόνε, βοάν ού πείθη γάρ, ο Βασιλεύς τού Ισραήλ, Χριστός παραγέγονεν.

Στίχ. Είπεν ο Κύριος τώ Κυρίω μου, Κάθου εκ δεξιών μου, έως άν θώ τούς εχθρούς σου υποπόδιον τών ποδών σου.

Κράζε ώ Δαυϊδ, Θεοπάτορ καί Προφήτα. Άστρον φαεινόν, προεκλάμψαν

Εωσφόρου, καί ποίον ανακράζεις; Τόν ασπόρως τικτόμενον, Κόρης εκ Παρθένου, ώ βοώμεν, εις τήν χαράν τής Θεοτόκου, λαοί λέγοντες. Ευλογημένος ο τεχθείς, Θεός ημών δόξα σοι.

Στίχ. Εκ γαστρός πρό Εωσφόρου εγέννησά σε, ώμοσε Κύριος, καί ου μεταμεληθήσεται. Σύ Ιερεύς εις τόν αιώνα, κατά τήν τάξιν Μελχισεδέκ.

Λέγε εμφανώς, Ησαϊα ώ Προφήτα. Ιδού εν γαστρί, έξει άνανδρος Παρθένος, καί τέξεται ασπόρως, Πλαστουργόν καί δεσπόζοντα, πάντων τών αιώνων, ώ βοώμεν, εις τήν χαράν τής Θεοτόκου, φαιδρώς ψάλλοντες. Ευλογημένος ο τεχθείς, Θεός ημών δοξα σοι.

Δόξα... Καί νύν... Ήχος πλ. α'

Ορώσά σε η κτίσις άπασα, εν Βηθλεέμ σαρκί τικτόμενον, τόν Δημιουργόν καί Κτίστην τών απάντων, καινουργείται πάλιν καί αναπλάττεται, ο ήλιος δέ τό φώς εφήπλωσε, καί η γή επαγάλλεται. Μάγοι εκ Περσίδος Βασιλεί δώρα προσφέρουσι, Ποιμένες θαυμάζουσιν εκπλαγέντες, καί Θεόν σύν τή τεκούση προσκυνούσι σαρκί. Ώ τού θαύματος! ο τροφεύς τρέφεται Μητρί πανάγνω, διά τήν τού κόσμου σωτηρίαν καί ανάπλασιν.

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΛΑ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής Οσίας Μητρός ημών Μελάνης τής Ρωμαίας.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Ιδιόμελα.

Ήχος β' Γερμανού

Δεύτε αγαλλιασώμεθα τώ Κυρίω, τό παρόν μυστήριον εκδιηγούμενοι, τό μεσότοιχον τού φραγμού διαλέλυται, η φλογίνη ρομφαία τά νώτα δίδωσι, καί τά Χερουβίμ παραχωρεί τού ξύλου τής ζωής, καγώ τού παραδείσου τής τρυφής μεταλαμβάνω, ού προεξεβλήθην διά τής παρακοής, Η γάρ απαράλλακτος είκων τού Πατρός, ο χαρακτήρ τής αϊδιότητος αυτού, μορφήν δούλου λαμβάνει, εξ απειρογάμου Μητρός προελθών, ου τροπήν υπομείνας, ο γάρ ήν διέμεινε, Θεός ών αληθινός, καί ο ουκ ήν προσέλαβεν, άνθρωπος γενόμενος διά φιλανθρωπίαν, αυτώ βοήσωμεν, ο τεχθείς εκ Παρθένου Θεός, ελέησον ημάς. (Δίς)

Ανατολίου, ο αυτός

Τού Κυρίου Ιησού γεννηθέντος εκ τής αγίας Παρθένου, πεφώτισται τά σύμπαντα, Ποιμένων γάρ αγραυλούντων, καί Μάγων προσκυνούντων, Αγγέλων ανυμνούντων, Ηρώδης εταράττετο, ότι Θεός έν σαρκί εφάνη, Σωτήρ τών ψυχών ημών. (Δίς)

Ο αυτός

Η Βασιλεία σου, Χριστέ ο Θεός, βασιλεία πάντων τών αιώνων, καί η Δεσποτεία σου, εν πάση γενεά καί γενεά, ο σαρκωθείς εκ Πνεύματος Αγίου, καί εκ τής αειπαρθένου Μαρίας ενανθρωπήσας, φώς ημίν έλαμψας, Χριστέ ο Θεός, τή σή παρουσία, φώς εκ φωτός, τού Πατρός τό απαύγασμα, πάσαν κτίσιν εφαίδρυνας, Πάσα πνοή αινεί σε, τόν χαρακτήρα τής δόξης τού Πατρός, Ο ών καί προών, καί εκλάμψας εκ Παρθένου Θεός, ελέησον ημάς.

Ο αυτός

Τί σοι προσενέγκωμεν Χριστέ, ότι ώφθης επί γής ως άνθρωπος δι' ημάς; έκαστον γάρ τών υπό σού γενομένων κτισμάτων, τήν ευχαριστίαν σοι προσάγει, οι Άγγελοι τόν ύμνον, οι ουρανοί τόν Αστέρα, οι Μάγοι τά δώρα, οι Ποιμένες τό θαύμα, η γή τό σπήλαιον, η έρημος τήν φάτνην, ημείς δέ Μητέρα Παρθένον, ο πρό αιώνων Θεός ελέησον ημάς.

Δόξα... Καί νύν...

Ήχος ο αυτός Κασίας

Αυγούστου μοναρχήσαντος επί τής γής, η πολυαρχία τών ανθρώπων επαύσατο, καί σού ενανθρωπήσαντος εκ τής Αγνής, η πολυθεϊα τών ειδώλων κατήργηται, Υπό μίαν βασιλείαν εγκόσμιον, αι πόλεις γεγένηνται, καί εις μίαν Δεσποτείαν θεότητος, τά Έθνη επίστευσαν, Απεγράφησαν οι λαοί, τώ δόγματι τού Καίσαρος, επεγράφημεν οι πιστοί, ονόματι θεότητος, σού τού ενανθρωπήσαντος Θεού ημών, Μέγα σου τό έλεος, δόξα σοι.

## Εις τόν Στίχον, Στιχηρά Ιδιόμελα

Ήχος β'  Γερμανού

Μέγα καί παράδοξον θαύμα, τετέλεσται σή μερον! Παρθένος τίκτει καί μήτρα ου φθείρεται, ο Λόγος σαρκούται, καί τού Πατρός ου κεχώρισται, Άγγελοι μετά Ποιμένων δοξάζουσι, καί ημείς σύν αυτοίς εκβοώμεν, Δόξα εν υψίστοις Θεώ, καί επί γής ειρήνη,

Στίχ. Είπεν ο Κύριος τώ Κυρίω μου, Κάθου εκ δεξιών μου, έως άν θώ τούς εχθρούς σου υποπόδιον τών ποδών σου.

Ήχος γ'  τού αυτού

Σήμερον τίκτει η Παρθένος, τόν Ποιητήν τού παντός, Εδέμ προσφέρει σπήλαιον, καί αστήρ μηνύει Χριστόν, τόν Ήλιον τοίς εν σκότει, Μετά δώρων Μάγοι προσεκύνησαν, πίστει φωτιζόμενοι, καί Ποιμένες είδον τό θαύμα, Αγγέλων ανυμνούντων, καί λεγόντων, Δόξα εν υψίστοις Θεώ.

Στίχ. Εκ γαστρός πρό Εωσφόρου εγέννησά σε, ώμοσε Κύριος, καί ου μεταμεληθήσεται. Σύ Ιερεύς εις τόν αιώνα, κατά τήν τάξιν Μελχισεδέκ.

Ο αυτός, Ανατολίου

Τού Κυρίου Ιησού γεννηθέντος, εν Βηθλεέμ τής Ιουδαίας, έξ Ανατολών ελθόντες Μάγοι, προσεκύνησαν Θεόν ενανθρωπήσαντα, καί τούς θησαυρούς

αυτών προθύμως ανοίξαντες, δώρα τίμια προσέφερον, δόκιμον χρυσόν, ώς Βασιλεί τών αιώνων, καί λίβανον, ώς Θεώ τών όλων, ως τριημέρω δέ νεκρώ, σμύρναν τώ Αθανάτω, Πάντα τά έθνη, δεύτε προσκυνήσωμεν, τώ τεχθέντι σώσαι τάς ψυχάς ήμών.

Δόξα... Ήχος δ'
Ιωάννου Μοναχού

Ευφράνθητι Ιερουσαλήμ, καί πανηγυρίσατε πάντες, οι αγαπώντες Σιών, Σήμερον ο χρόνιος ελύθη δεσμός, τής καταδίκης τού, Αδάμ, ο Παράδεισος ημίν ηνεώχθη, ο όφις κατηργήθη, ήν γάρ ηπάτησε πρώην, νύν εθεάσατο, τού Δημιουργού γενομένην Μητέρα, Ώ βάθος πλούτου, καί σοφίας, καί γνώσεως Θεού, η προξενήσασα τόν θάνατον πάση σαρκί, τής αμαρτίας τό όργανον, σωτηρίας απαρχή εγένετο τώ κόσμω παντί, διά τής Θεοτόκου, βρέφος γάρ τίκτεται εξ αυτής, ο παντέλειος Θεός, καί διά τού τόκου, Παρθενίαν σφραγίζει, σειράς αμαρτημάτων, λύων διά σπαργάνων, καί διά νηπιότητος, τής Εύας θεραπεύει, τάς εν λύπαις ωδίνας, Χορευέτω τοίνυν πάσα η κτίσις καί σκιρτάτω, ανακαλέσαι γάρ αυτήν, παραγέγονε Χριστός, καί σώσαι τάς ψυχάς ημών.

Καί νύν... Ήχος ο αυτός
Ανατολίου

Σπηλαίω παρώκησας, Χριστέ ο Θεός, φάτνη υπεδέξατο, Ποιμένες δέ καί Μάγοι προσεκύνησαν. Τότε δή τών Προφητών επληρούτο τό κήρυγμα, καί Αγγέλων αι Δυνάμεις εθαύμαζον, βοώσαι καί λέγουσαι, Δόξα τή συγκαταβάσει σου, μόνε φιλάνθρωπε.

Απολυτίκιον Ήχος δ' εκ γ'

Η γέννησίς σου Χριστέ ο Θεός ημών, ανέτειλε τώ κόσμω, τό φώς τό τής γνώσεως, εν αυτή γάρ οι τοίς άστροις λατρεύοντες, υπό αστέρος εδιδάσκοντο, σέ προσκυνείν, τόν Ήλιον τής δικαιοσύνης, καί σέ γινώσκειν εξ ύψους ανατολήν, Κύριε δόξα σοι.

Τό αυτό καί εις τό, Θεός Κύριος

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος δ'
Κατεπλάγη Ιωσήφ

Δεύτε ίδωμεν πιστοί, πού εγεννήθη ο Χριστός, ακολουθήσωμεν λοιπόν ένθα οδεύει ο αστήρ, μετά τών Μάγων Ανατολής τών Βασιλέων. Άγγελοι υμνούσιν, ακαταπαύστως εκεί. Ποιμένες αγραυλούσιν, ωδήν επάξιον, Δόξα εν υψίστοις λέγοντες, τώ σήμερον εν Σπηλαίω τεχθέντι, εκ τής Παρθένου, καί Θεοτόκου, εν Βηθλεέμ τής Ιουδαίας. (Δίς)

Μετά τήν β' Στιχολογίαν

Κάθισμα όμοιον

Τί θαυμάζεις Μαριάμ; τί εκθαμβείσαι τώ εν σοί; Ότι άχρονον Υιόν, χρόνω εγέννησα φησί, τού τικτομένου τήν σύλληψιν μή διδαχθείσα. Άνανδρος ειμί, καί πώς τέξω Υιόν, άσπορον γονήν τίς εώρακεν, όπου Θεός δε βούλεται, νικάται φύσεως τάξις, ώς γέγραπται. Χριστός ετέχθη, εκ τής Παρθένου, εν Βηθλεέμ τής Ιουδαίας. (Δίς)

Μετά δέ τόν Πολυέλεον, Κάθισμα, όμοιον, ο αχώρητος παντί, πώς εχωρήθη εν γαστρί; ο εν κόλποις τού Πατρός, πώς εν αγκάλαις τής Μητρός, πάντως ως οίδεν ως ηθέλησε καί ως, ηυδόκησεν, άσαρκος γάρ ών, εσαρκώθη εκών, καί γέγονεν ο Ών ο ουκ ήν δι' ημάς, καί μή εκστάς τής φύσεως, μετέσχε τού ημετέρου φυράματος. Διπλούς ετέχθη, Χριστός τόν άνω, κόσμον θέλων αναπληρώσαι. (Δίς)

Ο Ν'

Καί οι Κανόνες. Ο Παρών τού κυρίου Κοσμά, φέρων ακροστιχίδα τήνδε.

Χριστός βροτωθείς ήν όπερ Θεός μένη.

Ωδή α'  Ήχος α'
Ο Ειρμός

«Χριστός γεννάται, δοξάσατε. Χριστός εξ ουρανών απαντήσατε. Χριστός επί γής, υψώθητε, Άσατε τώ Κυρίω πάσα η γή, καί εν ευφροσύνη, ανυμνήσατε λαοί, ότι δεδόξασται».

Ρεύσαντα εκ παραβάσεως, Θεού τόν κατ' εικόνα γενόμενον, όλον τής φθοράς υπάρξαντα, κρείττονος επταικότα θείας ζωής, αύθις αναπλάττει, ο σοφός Δημιουργός, ότι δεδόξασται.

Ιδών ο Κτίστης ολλύμενον, τόν άνθρωπον χερσίν, όν εποίησε, κλίνας ουρανούς κατέρχεται, τούτον δέ εκ Παρθένου θείας Αγνής, όλον ουσιούται, αληθεία σαρκωθείς, ότι δεδόξασται.

Σοφία λόγος καί δύναμις, Υιός ών τού Πατρός, καί απαύγασμα, Χριστός ο Θεός, δυνάμεις λαθών, όσας υπερκοσμίους, όσας εν γή, καί ενανθρωπήσας, ανεκτήσατο ημάς, ότι δεδόξασται.

Έτερος Κανών Ιαμβικός, Ιωάννου Μοναχού, φέρων ακροστιχίδα τήνδε διά στίχων Ηρωελεγείων

- Ευεπίης μελέεσσιν εφύμνια ταύτα λιγαίνει

- Υία Θεού μερόπων ένεκα τικτόμενον
- Εν χθονί, καί λύοντα πολύστονα πή ματά κόσμου.
- ΑΛλ' Άνα. ρητήρας ρύεο τών δε πόνων.

Ωδή α' Ήχος ο αυτός
O Ειρμός

- «Έσωσε λαόν, θαυματουργών Δεσπότης, »
- Υγρόν θαλάσσης κύμα χερσώσας πάλαι. »
- Εκών δέ τεχθείς εκ Κόρης, τρίβον βατήν, »
- Πόλου τίθησιν ημίν, όν κατ ουσίαν, »
- Ισόν τε Πατρί, καί βροτοίς δοξάζομεν».

- Ήνεγκε γαστήρ ηγιασμένη Λόγον,
- Σαφώς αφλέκτω ζωγραφουμένη βάτω,
- Μιγέντα μορφή, τή βροτησία Θεόν,
- Εύας τάλαιναν, νηδύν αράς τής πάλαι,
- Λύοντα πικράς, όν βροτοί δοξάζομεν.

- Έδειξεν αστήρ τόν πρό ηλίου Λόγον,
- Ελθόντα παύσαι τήν αμαρτίαν Μάγοις,
- Σαφώς πενιχρόν εις σπέος τόν συμπαθή,
- Σέ σπαργάνοις ελικτόν, όν γεγηθότες,
- Ιδον τόν αυτόν, καί βροτόν καί Κύριον.

Ωδή γ' O Ειρμός

«Τώ πρό τών αιώνων, εκ π ατρός γεννηθέντι αρρεύστως Υιώ, καί επ' εσχάτων εκ Παρθένου, σαρκωθέντι ασπόρως, Χριστώ τώ Θεώ βοήσωμεν, ο ανυψώσας τό κέρας ημών, άγιος εί Κύριε».

Ο τής επιπνοίας, μετασχών τής αμείνω Αδάμ χοϊκός, καί πρός φθοράν κατολισθήοας, γυναικεία απάτη, Χριστόν γυναικός βοά εξορών, ο δι' εμέ κατ εμέ γεγονώς, άγιος εί Κύριε.

Σύμμορφος πηλίνης, ευτελούς διαρτίας Χριστέ γεγονώς, καί μετοχή σαρκός τής χείρω, μεταδούς θείας φύτλης, βροτός πεφυκώς, καί μείνας Θεός, καί ανυψώσας τό κέρας ημών, Άγιος εί Κύριε.

Βηθλεέμ ευφραίνου, Ηγεμόνων Ιούδα βασίλεια. τόν Ισραήλ γάρ ο ποιμαίνων, Χερουβίμ ο επ' ώμων, εκ σού προελθών Χριστός εμφανώς, καί ανυψώσας τό κέρας ημών, πάντων εβασίλευσεν.

Ιαμβικός O Ειρμός

- «Νεύσον πρός ύμνους οικετών Εύεργετα, »

- Εχθρού ταπεινών τήν επηρμένην οφρύν, »
- Φέρων τε Παντεπόπτα τής αμαρτίας, »
- Υπερθεν ακλόνητον, εστηριγμένους, »
- Μάκαρ, μελωδούς τή βάσει τής πίστεως. »

- Νύμφης πανάγνου τόν πανόλβιον τόκον
- Ιδείν υπέρ νούν ηξιωμένος χορός,
- Άγραυλος εκλονείτο, τώ ξένω τρόπω.
- Τάξιν μελωδούσάν τε τών Ασωμάτων,
- Άνακτα Χριστόν, ασπόρως σαρκούμενον.

- Ύψους ανάσσων ουρανών ευσπλαγχνία,
- Τελεί καθ' ημάς εξ ανυμφεύτου Κόρης,
- Άϋλος ών τό πρόσθεν, αλλ' επ' εσχάτων
- Λόγος παχυνθείς σαρκί, τόν πεπτωκότα,
- Ίνα πρός αυτόν ελκύση πρωτόκτιστον.

Η Υπακοή  Ήχος πλ. δ'

Τήν απαρχήν τών Εθνών, ο ουρανός σοι προσεκόμισε, τώ κειμένω νηπίω εν φάτνη, δι αστέρος τούς Μάγους καλέσας, ούς καί κατέπληττεν, ου σκήπτρα καί θρόνοι, αλλ' εσχάτη πτωχεία, τί γάρ, τί δέ ταπεινότερον σπαργάνων, εν ευτελέστερον σπηλαίου, οίς διέλαμψεν ο τής θεότητός σου πλούτος. Κύριε δόξα σοι.

Ιστέον ότι ότε λέγομεν υπακοήν, Κάθισμα ου λέγομεν ως έντισι Τυπικοίς εύρομεν.

Κάθισμα  Ήχος πλ. δ'
Τό προσταχθέν μυστικώς

Αγαλλιάσθω ουρανός, γή ευφραινέσθω. ότι ετέχθη επί γής, ο Αμνός τού Θεού, παρέχων τώ κόσμω τήν απολύτρωσιν. Ο Λόγος ο εν τοίς κόλποις ών τού Πατρός, προήλθεν εκ τής Παρθένου άνευ σποράς, όν οι Μάγοι εξίσταντο, ορώντες εν Βηθλεέμ, τικτόμενον ώς νήπιον όν δοξάζει τά σύμπαντα.

Δόξα... Καί νύν... τό αυτό

Ωδή δ'  Ο Ειρμός

«Ράβδος εκ τής ρίζης Ιεσσαί, καί άνθος εξ αυτής Χριστέ, εκ τής Παρθένου ανεβλάστησας. εξ όρους ο αινετός κατασκίου δασέος ήλθες σαρκωθείς εξ απειράνδρου, ο άϋλος καί Θεός. Δόξα τή δυνάμει σου Κύριε».

Ον πάλαι προείπεν Ιακώβ, εθνών απεκδοχήν Χριστέ, φυλής Ιούδα εξανέτειλας, καί δύναμιν Δαμασκού, Σαμαρείας σκύλά τε, ήλθες προνομεύσων πλάνην τρέπων, εις πίστιν Θεοτερπή. Δόξα τή δυνάμει σου

Κύριε.

Τού Μάντεως πάλαι Βαλαάμ, τών λόγων μυητάς σοφούς, αστεροσκόπους χαράς έπλησας, αστήρ εκ τού Ιακώβ, ανατείλας Δέσποτα, Εθνών απαρχήν εισαγομένους, εδέξω δέ προφανώς, δώρά σοι δεκτά προσκομίζοντας.

Ως πόκω γαστρί Παρθενική, κατέβης υετός Χριστέ, καί ως σταγόνες εν γή στάζουσαι. Αιθίοπες καί θαρσείς, καί Αράβων νήσοί τε, Σαβά Μήδων, πάσης γής κρατούντες, προσέπεσόν σοι Σωτήρ. Δόξα τή δυνάμει σου Κύριε.

### Ιαμβικός  Ο Ειρμός

- «Γένους βροτείου τήν ανάπλασιν πάλαι, »
- Αδων Προφήτης Αββακούμ, προμηνύει, »
- Ιδείν αφράστως αξιωθείς τόν τύπον. »
- Νέον βρέφος γάρ, εξ όρους τής Παρθένου, »
- Εξήλθε λαών, εις ανάπλασιν Λόγος. »

- Ίσος προήλθες τοίς βροτοίς εκουσίως,
- Ύψιστε, σάρκα προσλαβών εκ Παρθένου,
- Ιόν καθάραι τής δρακοντείας κάρας,
- Άγων άπαντας πρός σέλας ζωηφόρον,
- Θεός πεφυκώς, εκ πυλών ανηλίων.

- Έθνη τά πρόσθεν τή φθορά βεβυσμένα.
- Όλεθρον άρδην δυσμενούς πεφευγότα,
- Υψούτε χείρας, σύν κρότοις εφυμνίοις,
- Μόνον σέβοντα Χριστόν, ως ευεργέτην,
- Εν τοίς καθ ημάς συμπαθώς αφιγμένον.

- Ρίζης φυείσα τού Ιεσσαί Παρθένε,
- Όρους παρήλθες, τών βροτών τής ουσίας,
- Πατρός τεκούσα τόν πρό αιώνων Λόγον.
- Ως ηυδόκησεν αυτός, εσφραγισμένην,
- Νηδύν διελθείν τή κενώσει τή ξένη.

### Ωδή ε'  Ο Ειρμός

«Θεός ών ειρήνης, Πατήρ οικτιρμών, τής μεγάλης Βουλής σου τόν Άγγελον, ειρήνην παρεχόμενον απέστειλας ημίν, όθεν θεογνωσίας, πρός φώς οδηγηθέντες, εκ νυκτός ορθρίζοντες, δοξολογούμέν σε Φιλάνθρωπε».

Εν δούλοις τώ Καίσαρος δόγματι, απεγράφης πειθήσας, καί δούλους ημάς, εχθρού καί αμαρτίας, ηλευθέρωσας Χριστέ, όλον τό καθ ημάς δέ πτωχεύσας, καί χοϊκόν εξ αυτής ενώσεως, καί κοινωνίας εθεούργησας.

Ιδού η Παρθένος, ως πάλαι φησίν, εν γαστρί συλλαβούσα εκύησε, Θεόν ενανθρωπήσαντα, καί μένει Παρθένος. δι ής καταλλαγέντες Θεώ οι αμαρτωλοί, Θεοτόκον κυρίωςούσαν, εν πίστει ανυμνήσωμεν.

Ιαμβικός  Ο Ειρμός

- «Εκ νυκτός έργων, εσκοτισμένης πλάνης »
- Ιλασμόν ημίν Χριστέ τοίς εγρηγόρως, »
- Νύν σοι τελούσιν ύμνον, ως ευεργέτη, »
- Έλθοις πορίζων ευχερή τε τήν τρίβον, »
- Καθ' ήν ανατρέχοντες, εύροιμεν κλέος. »

- Απηνές έχθος, τό πρός αυτόν Δεσπότης,
- Τεμών διαμπάξ, σαρκός εν παρουσία,
- Ίνα κρατούντος ώλεσε ψυχοφθόρου,
- Κόσμον συνάπτων, ταίς αϋλοις ουσίαις,
- Τιθείς προσηνή, τόν Τεκόντα τή κτίσει.

- Ο λαός είδεν, ο πρίν ημαυρωμένος,
- Μεθ' ημέραν φώς, τής άνω φρυκτωρίας.
- Έθνη Θεώ δέ, κλήρον Υιός προσφέρει,
- Νέμων εκείσε τήν απόρρητον χάριν,
- Ου πλείον εξήνθησεν η αμαρτία.

Ωδή ς'  Ο Ειρμός

«Σπλάγχνων Ιωνάν, έμβρυον απήμεσεν ενάλιος θήροιον εδέξατο, τή Παρθένω δέ, ενοικήσας ο Λόγος, καί σάρκα λαβών διελήλυθε φυλάξας αδιάφθορον, ής γάρ ουχ υπέστη ρεύσεως, τήν τεκούσαν κατέσχεν απήμαντον».

Ήλθε σαρκωθείς, Χριστός ο Θεός ημών, γαστρός όν Πατήρ, πρό Εωσφόρου γεννά, τάς ηνίας δέ, ο κρατών τών αχράντων Δυνάμεων, εν φάτνη τών αλόγων ανακλίνεται, ράκει σπαργανούται, λύει δέ, πολυπλόκους σειράς παραπτώσεων.

Νέον εξ Αδάμ, παιδίον φυράματος ετέχθη Υιός, καί πιστοίς δέδοται, τού δέ μέλλοντος, ούτός εστιν αιώνος, Πατήρ καί Άρχων, καί καλείται τής μεγάλης Βουλής Άγγελος, ούτος ισχυρός Θεός εστι, καί κρατών εξουσία τής κτίσεως.

Ιαμβικός  Ο Ειρμός

- «Ναίων Ιωνάς, εν μυχοίς θαλαττίοις, »
- Ελθείν εδείτο, καί ζάλην απαρκέσαι. »
- Νυγείς εγώ δέ, τώ τυραννούντος βέλει, »
- Χριστέ προσαυδώ, τόν κακών αναιρέτην, »

- θάττον μολείν σε τής εμής ραθυμίας. »

- Ος ήν εν αρχή, πρός Θεόν Θεός Λόγος,
- Νυνί κρατύνει, μή σθένουσαν τήν πάλαι,
- Ιδών φυλάξαι, τήν καθ ημάς ουσίαν,
- Καθείς εαυτόν δευτέρα κοινωνία
- Αύθις προφαίνων, τών παθών ελευθέραν.

- Ίκται δι' ημάς, Αβραάμ εξ οσφύος,
- Λυγρώς πεσόντας, εν σκότει τών πταισμάτων,
- Υιούς εγείραι, τών κάτω νενευκότων,
- Ο φώς κατοικών, καί φάτνην παρ' αξίαν.
- Νύν ευδοκήσας, εις βροτών σωτηρίαν.

Κοντάκιον
Ήχος γ' Αυτόμελον
Ποίημα Ρωμανού τού Μελωδού

Η Παρθένος σήμερον, τόν υπερούσιον τίκτει, καί η γή τό Σπήλαιον, τώ απροσίτω προσάγει. Άγγελοι μετά Ποιμένων δοξολογούσι. Μάγοι δέ μετά αστέρος οδοιπορούσι. δι' ημάς γάρ εγεννήθη, Παιδίον νέον, ο πρό αιώνων Θεός.

Ο Οίκος

Τήν Εδέμ Βηθλεέμ ήνοιξε, δεύτε ίδωμεν, τήν τρυφήν εν κρυφή εύρομεν, δεύτε λάβωμεν, τά τού Παραδείσου ένδον τού Σπηλαίου. Εκεί εφάνη ρίζα απότιστος, βλαστάνουσα άφεσιν, εκεί ευρέθη φρέαρ ανώρυκτον, ού πιείν Δαυϊδ πρίν επεθύμησεν, εκεί Παρθένος τεκούσα βρέφος, τήν δίψαν έπαυσεν ευθύς, τήν τού Αδάμ καί τού Δαυϊδ, διά τούτο πρός τούτο επειχθώμεν, ού ετέχθη, Παιδίον νέον, ο πρό αιώνων Θεός.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΛΑ' τού αυτού μηνός, Μνήμη τής Οσίας Μητρός ημών Μελάνης της Ρωμαίας.

Στίχοι

- Ουχ υλική σε χείρ Μελάνη καί μέλαν,
- Θεός δέ, κάν τέθνηκας, εν ζώσι γράφει.
- Πρώτη εν τριακοστή απήρε βίοιο Μελάνη.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος καί Πρεσβυτέρου Ζωτικού τού Ορφανοτρόφου.

Στίχοι

- Πώλων συρόντων, Ζωτικός σκιρτών τρέχει,
- Ώ βαλβίς η γή, τέρμα δέ δρόμου πόλος.

Τή αυτή ημέρα, ο Άγιος Γελάσιος εν ειρήνη τελειούται.

Στίχοι

- Ο Γελάσιος, άχρι καί τέλους βίου,
- Τόν άξιον γέλωτος ήν γελών βίον.

Τή αυτή ημέρα, αι Άγιαι δέκα Παρθένοι, αι εν Νικομηδεία τούς οφθαλμούς διατρηθείσαι καί τάς πλευράς ξεσθείσαι, τελειούνται.

Στίχοι

- Διπλούν τόν άθλον, τρήσιν είτα καί ξέσιν,
- Χορού γινώσκω διπλοπενταπαρθένου.

Τή αυτή ημέρα, Η αγία Μάρτυς Ολυμπιοδώρα πυρί τελειούται.

Στίχοι

- Αγώνι πρός πύρ τής Ολυμπιοδώρας,
- Ύμνος τό δώρον, ουκ Ολυμπίων πίτυς.

Τή αυτή ημέρα, Ο Άγιος Γάϊος εν ειρήνη τελειούται.

Στίχοι

- Πολλούς ανέτλη Γάϊος Θείος πόνους,
- Καί νύν τά λαμπρά τών πόνων έχει γέρα.

Οι Άγιοι Μάρτυρες Βούσιρις, Γαυδέντιος καί Νέμη ξίφει τελειούνται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός ελέησον, καί σώσον ημάς. Αμήν.

Ωδη ζ' Ο Ειρμός

«Οι Παίδες ευσεβεία συντραφέντες, δυσσεβούς προστάγματος καταφρονήσαντες, πυρός απειλήν ουκ εκπτοήθησαν, αλλ' εν μέσω τής φλογός εστώτες έψαλλον, ο τών Πατέρων Θεός, ευλογητός εί».

Ποιμένες αγραυλούντες, εκπλαγούς φωτοφανείας έτυχον, δόξα Κυρίου γάρ αυτούς, περιέλαμψε καί Άγγελος, Ανυμνήσατε βοών, ότι ετέχθη Χριστός, ο τών Πατέρων Θεός, ευλογητός εί.

Εξαίφνης σύν τώ λόγω τού Αγγέλου, ουρανών στρατεύματα, Δόξα εκραύγαζον Θεώ, εν υψίστοις, επί γής ειρήνη, εν ανθρώποις ευδοκία, Χριστός έλαμψεν, ο τών Πατέρων Θεός, ευλογητός εί.

Ρήμα τί τούτο, είπον οι Ποιμένες, διελθόντες ίδωμεν τό γεγονός, θείον Χριστόν, Βηθλεέμ καταλαβόντες δέ, σύν τή τεκούση προσεκύνουν αναμέλποντες, ο τών Πατέρων Θεός, ευλογητός εί.

Ιαμβικός Ο Ειρμός

- «Τώ παντάνακτος εξεφαύλισαν πόθω, »
- Άπλητα θυμαίνοντος ηγκιστρωμένοι, »

- Παίδες τυράννου δύσθεον γλωσσαλγίαν, »
- Οίς είκαθε πύρ άσπετον, τώ Δεσπότη, »
- Λέγουσιν, Εις αιώνας ευλογητός εί. »

- Υπηρέτας μέν εμμανώς καταφλέγει,
- Σώζει δέ παφλάζουσα ροιζηδόν νέους,
- Ταίς επταμέτροις καύσεσι πυργουμένη,
- Ούς έστεφε φλόξ, άφθονον τού Κυρίου,
- Νέμοντος, ευσεβείας ένεκα, δρόσον.

- Αρωγέ Χριστέ, τόν βροτοίς εναντίον,
- Πρόβλημα τήν σάρκωσιν αρρήτως έχων,
- Ήσχυνας, όλβον τής Θεώσεως φέρων,
- Μορφούμενος νύν, ής τινος δι' ελπίδα,
- Άνωθεν εις κευθμώνας ήλθομεν ζόφου.

- Τήν αγριωπόν, ακρατώς γαυρουμένην,
- Άσεμνα βακχεύουσαν εξοιστρουμένου,
- Κόσμου καθείλες πανσθενώς αμαρτίαν.
- Ούς είλκυσε πρίν, σήμερον τών αρκύων,
- Σώζεις δέ, σαρκωθείς εκών Ευεργέτα.

## Ωδή η' Ο Ειρμός

«Θαύματος υπερφυούς η δροσοβόλος, εξεικόνισε κάμινος τύπον, ού γάρ ούς εδέξατο φλέγει νέους, ως ουδέ πύρ τής θεότητος, Παρθένου ήν υπέδυ νηδύν, διό ανυμνούντες αναμέλψωμεν. Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας».

Έλκει Βαβυλώνος η θυγάτηρ παίδας, δορυκτήτους Δαυϊδ, εκ Σιων εν αυτή, δωροφόρους πέμπει δέ, Μάγους παίδας, τήν τού Δαυϊδ θεοδόχον θυγατέρα λιτανεύσοντα, διό ανυμνούντες αναμέλψωμεν. Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Όργανα παρέκλινε τό πένθος ωδής, ου γάρ ήδον εν νόθοις οι παίδες Σιών, Βαβυλώνος λύει δέ, πλάνην πάσαν καί μουσικών, αρμονίαν Βηθλεέμ εξανατείλας Χριστός, διό ανυμνούντες ναμέλψωμεν. Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Σκύλα Βαβυλών τής Βασιλίδος Σιών, καί δορύκτητον όλβον εδέξατο, θησαυρούς Χριστός, εν Σιών δέ ταύτης, καί Βασιλείς σύν αστέρι οδηγώ, αστροπολούντας έλκει, διό ανυμνούντες αναμέλψωμεν. Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

## Ιαμβικός Ο Ειρμός

- «Μήτραν αφλέκτως εικονίζουσι Κόρης, »
- Οι τής παλαιάς πυρπολούμενοι νέοι, »
- Υπερφυώς κύουσαν, εσφραγισμένην. »
- Άμφω δέ δρώσα, θαυματουργία μιά, »
- Λαούς πρός ύμνον εξανίστησι χάρις. »

- Λύμην φυγούσα τού Θεούσθαι τή πλάνη,
- Άληκτον υμνεί τόν κενούμενον Λόγον,
- Νεανικώς άπασα σύν τρόμω κτίσις,
- Άδοξον εύχος δειματουμένη φέρειν,
- Ρευστή γεγώσα, κάν σοφώς εκαρτέρει.

- Ήκεις πλανήτιν πρός νομήν επιστρέφων,
- Τήν ανθοποιόν εξ ερημαίων λόφων,
- Η τών εθνών έγερσις, ανθρώπων φύσιν.
- Ρώμην βιαίαν τού βροτοκτόνου σβέσαι,
- Ανήρ φανείς τε, καί Θεός προμηθεία.

## Ωδή θ'
## ΜΕΓΑΛΥΝΑΡΙΑ
### Ψαλλόμενα εντή Ωδή ταύτη Ήχος α'

- Μεγάλυνον ψυχή μου, τήν τιμιωτέραν, καί ενδοξοτέραν τών άνω στρατευμάτων. (Δίς)
- Μεγάλυνον ψυχή μου, τόν εκ τής Παρθένου, Θεόν σαρκί τεχθέντα.
- Μεγάλυνον ψυχή μου, τόν εν τώ Σπηλαίω, τεχθέντα Βασιλέα.
- Μεγάλυνον ψυχή μου, τών υπό τών Μάγων, Θεόν προσκυνηθέντα.
- Μεγάλυνον ψυχή μου, τόν υπό Αστέρος, τοίς Μάγοις μηνυθέντα.
- Μεγάλυνον ψυχή μου, τήν αγνήν Παρθένον, τήν γεννησαμένην, Χριστόν τόν Βασιλέα.
- Μάγοι καί Ποιμένες, ήλθον προσκυνήσαι, Χριστόν τόν γεννηθέντα, εν Βηθλεέμ τή πόλει.

### Έτερα εις τόν Ιαμβικόν Κανόνα

- Σήμερον η Παρθένος, τίκτει τόν Δεσπότην, ένδον εν τώ Σπηλαίω.
- Σήμερον ο Δεσπότης, τίκτεται ως βρέφος, υπό Μητρός Παρθένου.
- Σήμερον οι Ποιμένες, βλέπουσι τόν Σωτήρα, σπαργάνοις ειλημένον, καί κείμενον εν Φάτνη.
- Σήμερον ο Δεσπότης, ράκει σπαργανούται, ο αναφής ως βρέφος.
- Σήμερον πάσα κτίσις, αγάλλεται καί χαίρει, ότι Χριστός ετέχθη, εκ τής Παρθένου Κόρης.
- Ουράνιαι Δυνάμεις τεχθέντα τόν Σωτήρα, Κύριον καί Δεσπότην, μηνύουσι τώ κόσμω.

Δόξα...

Μεγάλυνον ψυχή μου, τής τρισυποστάτου, καί αδιαιρέτου, θεότητος τό κράτος.

Καί νύν...

Μεγάλυνον ψυχή μου, τήν λυτρωσαμένην, ημάς εκ τής κατάρας.

Ο Ειρμός

«Μυστήριον ξένον, ορώ καί παράδοξον! ουρανόν τό Σπήλαιον, θρόνον Χερουβικόν, τήν Παρθένον. τήν φάτνην χωρίον, εν ώ ανεκλίθη ο αχώρητος, Χριστός ο Θεός, όν ανυμνούντες μεγαλύνομεν».

Εξαίσιον δρόμον, ορώντες οι Μάγοι, ασυνήθους νέου αστέρος αρτιφαούς, ουρανίου υπερλάμποντος, Χριστόν Βασιλέα ετεκμήραντο, εν γή γεννηθέντα Βηθλεέμ, εις σωτηρίαν ημών.

Νεηγενές Μάγων λεγόντων, παιδίον Άναξ, ού αστήρ εφάνη, πού εστίν, εις γάρ εκείνου προσκύνησιν ήκομεν, μανείς ο Ηρώδης εταράττετο, Χριστόν ανελείν, ο θεομάχος φρυαττόμενος.

Ηκρίβωσε χρόνον Ηρώδης αστέρος, ού ταίς ηγεσίαις οι Μάγοι εν Βηθλεέμ, προσκυνούσι Χριστώ σύν δώροις, υφ' ού πρός Πατρίδα οδηγούμενοι, δεινόν παιδοκτόνον, εγκατέλιπον παιζόμενον.

Ιαμβικός  Ο Ειρμός

- «Στέργειν μέν ημάς, ως ακίνδυνον φόβω, »
- Ράον σιωπήν, τώ πόθω δέ Παρθένε, »
- Ύμνους υφαίνειν, συντόνως τεθηγμένους, »
- Εργώδές εστιν, αλλά καί Μήτηρ σθένος, »
- Όση πέφυκεν η προαίρεσις δίδου. »

- Τύπους αφεγγείς καί σκιάς παρηγμένας,
- Ω Μήτερ αγνή, τού Λόγου δεδορκότες,
- Νέου φανέντος, εκ πύλης κεκλεισμένης,
- Δοξούμενοί τε, τής αληθείας φάος,
- Επαξίως σήν ευλογούμεν γαστέρα.

- Πόθου τετευχώς, καί Θεού παρουσίας,
- Ο χριστοτερπής λαός ηξιωμένος,
- Νύν ποτνιάται τής παλιγγενεσίας.
- Ως ζωοποιού, τήν χάριν δέ Παρθένε,
- Νέμοις άχραντε, προσκυνήσαι τό κλέος.

Εξαποστειλάριον Αυτόμελον

Επεσκέψατο ημάς, εξ ύψους ο Σωτήρ ημών, ανατολή ανατολών, καί οι εν σκότει καί σκιά, εύρομεν τήν αλήθειαν, καί γάρ εκ τής Παρθένου ετέχθη ο Κύριος. Εκ γ'.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά. Ιδιόμελα.

Ήχος δ'
Ανδρέου Ιεροσολυμίτου

Ευφραίνεσθε Δίκαιοι, ουρανοί αγαλλιάσθε, σκιρτήσατε τά όρη, Χριστού γεννηθέντος, Παρθένος καθέζεται, τά Χερουβίμ μιμουμένη, βαστάζουσα εν κόλποις, Θεόν Λόγον σαρκωθέντα. Ποιμένες τόν τεχθέντα δοξάζουσι. Μάγοι τώ Δεσπότη δώρα προσφέρουσιν. Άγγελοι ανυμνούντες λέγουσιν, Ακατάληπτε Κύριε, δόξα σοι.

Ο αυτός

Ο Πατήρ ευδόκησεν, ο Λόγος σάρξ εγένετο, καί η Παρθένος έτεκε, Θεόν ενανθρωπήσαντα, Αστήρ μηνύει. Μάγοι προσκυνούσι. Ποιμένες θαυμάζουσι, καί η κτίσις αγάλλεται.

Ο αυτός

Θεοτόκε Παρθένε, η τεκούσα τόν Σωτήρα, ανέτρεψας τήν πρώτην κατάραν τής Εύας, ότι Μήτηρ γέγονας, τής ευδοκίας τού Πατρός, βαστάζουσα εν κόλποις, Θεόν Λόγον σαρκωθέντα, ου φέρει το μυστήριον έρευναν, πίστει μόνη τούτο πάντες δοξάζομεν, κράζοντες μετά σού καί λέγοντες. Ανερμήνευτε Κύριε, Δόξα σοι.

Ο αυτός

Δεύτε ανυμνήσωμεν, τήν Μητέρα τού Σωτήρος, τήν μετά τόκον πάλιν οφθείσαν Παρθένον. Χαίροις Πόλις έμψυχε, τού Βασιλέως καί Θεού, εν ή Χριστός οικήσας, σωτηρίαν ειργάσατο. Μετά τού Γαβριήλ ανυμνούμέν σε, μετά τών Ποιμένων δοξάζομεν κράζοντες, Θεοτόκε πρέσβευε, τώ εκ σού σαρκωθέντι, σωθήναι ημάς.

Δόξα... Ήχος πλ. β' Γερμανού

Ο τε καιρός, τής επί γής παρουσίας σου, πρώτη απογραφή τή οικουμένη εγένετο, τότε έμελλες τών ανθρώπων απογράφεσθαι τά ονόματα, τών πιστευόντων τώ τόκω σου, διά τούτο τό τοιούτον δόγμα, υπό Καίσαρος εξεφωνήθη, τής γάρ αιωνίου σου βασιλείας, τό άναρχον εκαινουργήθη. Διό σοι προσφέρομεν καί ημείς, υπέρ τήν χρηματικήν φορολογίαν, ορθοδόξου πλουτισμόν θεολογίας, τώ Θεώ καί Σωτήρι τών ψυχών ημων.

Καί νύν... Ήχος β' Ιωάννου Μοναχού

Σήμερον ο Χριστός, εν Βηθλεέμ γεννάται εκ Παρθένου. Σήμερον ο άναρχος άρχεται, καί ο Λόγος σαρκούται. Αι δυνάμεις τών ουρανών αγάλλονται, καί η γή σύν τοίς ανθρώποις ευφραίνεται, οι Μάγοι τά δώρα προσφέρουσιν, οι Ποιμένες τό θαύμα κηρύττουσιν, ημείς δέ ακαταπαύστως βοώμεν. Δόξα εν υψίστοις Θεώ, καί επί γής ειρήνη, εν ανθρώποις ευδοκία.

Δοξολογία μεγάλη, καί Απόλυσις

Εις τήν Λειτουργίαν, Αντίφωνα

Αντίφωνον Α' Ήχος β'

Στίχ. α'

Εξομολογήσομαί σοι Κύριε εν όλη καρδία μου, διηγήσομαι πάντα τά θαυμάσιά σου.

- Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχ. β'

Εν βουλή ευθέων καί συναγωγή, μεγάλα τά έργα Κυρίου.

- Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχ. γ'

Εξεζητημένα εις πάντα τά θελήματα αυτού.

- Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχ. δ'

Εξομολόγησις καί μεγαλοπρέπεια τό έργον αυτού, καί η δικαιοσύνη αυτού μένει εις τόν αιώνα τού αιώνος.

- Ταίς πρεσβείαις τής Θεοτόκου...

Δόξα... Καί νύν...

- Ταίς πρεσβείαις τής Θεοτόκου...

Αντίφωνον Β'  Ήχος β'

Στίχ. α'

Μακάριος ανήρ, ο φοβούμενος τόν Κύριον, εν ταίς εντολαίς αυτού θελήσει σφόδρα.

- Σώσον ημάς Υιέ Θεού, ο εκ Παρθένου τεχθείς, ψάλλοντάς σοι. Αλληλούϊα.

Στίχ. β'

Δυνατόν εν τή γή έσται τό σπέρμα αυτού.

- Σώσον ημάς Υιέ Θεού, ο εκ Παρθένου τεχθείς...

Στίχ. γ'

Δόξα καί πλούτος εν τώ οίκω αυτού, καί η δικαιοσύνη αυτού μένει εις τόν αιώνα τού αιώνος.

- Σώσον ημάς Υιέ Θεού, ο εκ Παρθένου τεχθείς...

Στίχ. δ'

Εξανέτειλεν εν σκότει φώς τοίς ευθέσιν.

- Σώσον ημάς Υιέ Θεού, ο εκ Παρθένου τεχθείς...

Δόξα... Καί νύν...

Ο Μονογενής Υιός καί Λόγος τού Θεού...

Αντίφωνον Γ'  Ήχος δ'

Στίχ. α'

Είπεν ο Κύριος τώ Κυρίω μου, Κάθου εκ δεξιών μου, έως άν θώ τούς εχθρούς σου υποπόδιον τών ποδών σου.

Απολυτίκιον  Ήχος δ'

- Η γέννησίς σου Χριστέ ο Θεός ημών, ανέτειλε τώ κόσμω, τό φώς τό τής γνώσεως, εν αυτή γάρ οι τοίς άστροις λατρεύοντες, υπό αστέρος εδιδάσκοντο, σέ προσκυνείν, τόν Ήλιον τής δικαιοσύνης, καί σέ γινώσκειν εξ ύψους ανατολήν, Κύριε δόξα σοι.

Στίχ. β'

Ράβδον δυνάμεως εξαποστελεί σοι Κύριος εκ Σιών.

- Η Γέννησίς σου Χριστέ ο Θεός ημών...

Στίχ. γ'

Μετά σού η αρχή εν ημέρα τής δυνάμεώς σου, εν ταίς λαμπρότησι τών Αγίων σου.

- Η Γέννησίς σου Χριστέ ο Θεός ημών...

Εισοδικόν

Εκ γαστρός πρό Εωσφόρου εγέννησά σε, ώμοσε Κύριος, καί ου μεταμεληθήσεται. Σύ Ιερεύς εις τόν αιώνα, κατά τήν τάξιν Μελχισεδέκ.

Σώσον ημάς Υιέ Θεού, ο εκ Παρθένου τεχθείς, ψάλλοντάς σοι, Αλληλούϊα.

Είτα γεγονωτέρα τή φωνή

Η γέννησίς σου Χριστέ ο Θεός ημών, ανέτειλε τώ κόσμω, τό φώς τό τής γνώσεως, εν αυτή γάρ οι τοίς άστροις λατρεύοντες, υπό αστέρος εδιδάσκοντο, σέ προσκυνείν, τόν Ήλιον τής δικαιοσύνης, καί σέ γινώσκειν εξ ύψους ανατολήν, Κύριε δόξα σοι.

Καί τό Κοντάκιον  Ήχος γ'

Η Παρθένος σήμερον, τόν υπερούσιον τίκτει, καί η γή τό Σπήλαιον, τώ απροσίτω προσάγει. Άγγελοι μετά Ποιμένων δοξολογούσι. Μάγοι δέ μετά αστέρος οδοιπορούσι. δι' ημάς γάρ εγεννήθη, Παιδίον νέον, ο πρό αιώνων Θεός.

Αντί δέ τού Τρισαγίου

Όσοι εις Χριστόν εβαπτίσθητε...

Κοινωνικόν

Λύτρωσιν απέστειλε Κύριος τώ λαώ αυτού. Αλληλούϊα.

---

Αρχή
**Τίτλος**
**Ιουανάριος_1 Ιουανάριος_2 Ιουανάριος_3 Ιουανάριος_4 Ιουανάριος_5 Ιουανάριος_6 Ιουανάριος_7 Ιουανάριος_8 Ιουανάριος_9 Ιουανάριος_10 Ιουανάριος_11 Ιουανάριος_12 Ιουανάριος_13 Ιουανάριος_14 Ιουανάριος_15 Ιουανάριος_16 Ιουανάριος_17 Ιουανάριος_18 Ιουανάριος_19 Ιουανάριος_20 Ιουανάριος_21 Ιουανάριος_22 Ιουανάριος_23 Ιουανάριος_24 Ιουανάριος_25 Ιουανάριος_26 Ιουανάριος_27 Ιουανάριος_28 Ιουανάριος_29 Ιουανάριος_30 Ιουανάριος_31**

Αρχή

**ΤΗ Α' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Η κατά σάρκα Περιτομή τού Κυρίου καί Θεού καί Σωτήρος ημών Ιησού Χριστού, καί Μνήμη τού εν Αγίοις Πατρός ημών Βασιλείου τού Μεγάλου.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Μετά τόν Προοιμιακόν, στιχολογούμεν τήν α' στάσιν τού, Μακάριος ανήρ. Εις δέ τό «Κύριε εκέκραξα» ιστώμεν Στίχους ς' καί ψάλλομεν τής Εορτής γ' καί τού Αγίου γ'.

Στιχηρά Ιδιόμελα τής Εορτής.

Ήχος πλ. δ'

Συγκαταβαίνων ο Σωτήρ, τώ γένει τών ανθρώπων, κατεδέξατο σπαργάνων περιβολήν, ουκ εβδελύξατο σαρκός τήν περιτομήν, ο οκταήμερος κατά τήν Μητέρα, ο άναρχος κατά τον Πατέρα. Αυτώ πιστοί βοήσωμεν. Σύ εί ο Θεός ημών, ελέησον ημάς. (Δίς)

Ο αυτός

Ουκ επησχύνθη ο πανάγαθος Θεός, τής σαρκός τήν περιτομήν αποτμηθήναι, αλλ' έδωκεν εαυτόν, τύπον καί υπογραμμόν, πάσι πρός σωτηρίαν, ο γάρ τού Νόμου Ποιητής, τά τού Νόμου εκπληροί, καί τών προφητών τά κηρυχθέντα περί αυτού, ο πάντα περιέχων δρακί, καί εν σπαργάνοις ειληθείς, Κύριε δόξα σοι.

Στιχηρά Προσόμοια τού Αγίου.

Ήχος δ'

Ο εξ υψίστου κληθείς

Ο επωνύμως κληθείς τής βασιλείας, ότε τό βασίλειον σύ Ιεράτευμα, τό τού Χριστού έθνος άγιον, φιλοσοφία, καί επιστήμη Πάτερ εποίμανας, τότε διαδήματι, σέ κατεκόσμησε, τής βασιλείας Βασίλειε, βασιλευόνων, ο βασιλεύων καί πάντων Κύριος, ο τώ τεκόντι συννοούμενος αϊδίως Υιός καί συνάναρχος, όν ικέτευε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

Ιεραρχίας στολαίς ηγλαϊσμένος, χαίρων ανεκήρυξας τό Ευαγγέλιον, τής βασιλείας Βασίλειε, ορθοδοξίας, τή Εκκλησία βλύσας διδάγματα, οίς νύν φωτιζόμενοι, μίαν θεότητα, τήν εν Πατρί παντοκράτορι, μονογενεί τε, τού Θεού Λόγω καί θείω Πνεύματι, θεολογούμεν καί δοξάζομεν, εν Προσώποις Τρισίν αδιαίρετον, ήν ικέτευε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

Ο ουρανίαις συνών χοροστασίαις, καί συναυλιζόμενος Πάτερ Βασίλειε, ών καί τόν βίον εζήλωσας, τή λαμπροτάτη, ειλικρινεία τής πολιτείας σου, έτι μετά σώματος αναστρεφόμενος, τοίς επί γής ώς τις άσαρκος, τούς εντρυφώντας, τής θεοπνεύστου διδασκαλίας σου, εκ τών κινδύνων, καί τού σκότους τής αγνωσίας, Χριστόν τόν Θεόν ημών, καθικέτευε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

Δόξα... Ήχος πλ. δ' Ανατολίου

Σοφίας εραστής γενόμενος Όσιε, καί πάντων τών όντων, τήν πρός Θεόν

προκρίνας συμβίωσιν, μελέτην θανάτου, εικότως τώ βίω κατέλιπες, τά γάρ σαρκός πάθη, εγκρατείας πόνοις, σεαυτώ περιελόμενος, καί θείου μελέτη Νόμου, αδούλωτον τής ψυχής τηρήσας τό αξίωμα, αρετής περιουσία, όλον τής σαρκός τό φρόνημα, καθυπέταξας τώ πνεύματι, διό σάρκα μισήσας, καί κόσμον καί κοσμοκράτορα, παριστάμενος τώ Χριστώ, αίτησαι ταίς ψυχαίς ημών τό μέγα έλεος.

Καί νύν... ο αυτός

Συγκαταβαίνων ο Σωτήρ, τώ γένει τών ανθρώπων, κατεδέξατο σπαργάνων περιβολήν, ουκ εβδελύξατο σαρκός τήν περιτομήν, ο οκταήμερος κατά τήν Μητέρα, ο άναρχος κατά τόν Πατέρα. Αυτώ πιστοί βοήσωμεν. Σύ εί ο Θεός ημών, ελέησον ημάς.

Είσοδος, τό Προκείμενον τής ημέρας, καί τά Αναγνώσματα.

Γενέσεως τό Ανάγνωσμα
(Κεφ. 17, 1-14)

Ώφθη Κύριος τώ Άβραμ, καί είπεν αυτώ. Εγώ ειμι ο Θεός σου, ευαρέστει εναντίον εμού καί γίνου άμεμπτος. Καί θήσομαι τήν διαθήκην μου ανά μέσον εμού, καί ανά μέσον σού, καί πληθυνώ σε σφόδρα, καί έση πατήρ πλήθους Εθνών. Καί ου κληθήσεται τό όνομά σου Άβραμ, αλλ' έσται τό όνομά σου Αβραάμ, ότι πατέρα πολλών Εθνών τέθεικά σε. Καί αυξανώ σε σφόδρα σφόδρα, καί θήσωσε εις Έθνη, καί Βασιλείς εκ σού εξελεύσονται. Καί στήσω τήν διαθήκην μου ανά μέσον εμού, καί ανά μέσον σού, καί ανά μέσον τού σπέρματός σου μετά σέ εις τάς γενεάς αυτών, εις διαθήκην αιώνιον, καί έσομαι αυτοίς Θεός. Καί έπεσεν Αβραάμ επί πρόσωπον αυτού, καί προσεκύνησε τώ Κυρίω. Καί είπεν ο Θεός πρός Αβραάμ. Σύ δέ τήν διαθήκην μου διατηρήσεις, σύ, καί τό σπέρμα σου μετά σέ εις τάς γενεάς αυτών. Καί αύτη η διαθήκη, ήν διατηρήσεις ανά μέσον εμού, καί αναμέσον τού σπέρματός σου μετά σέ εις τάς γενεάς αυτών. Περιτμηθήσεται υμίν πάν αρσενικόν, καί περιτμηθήσεσθε τήν σάρκα τής ακροβυστίας υμών, καί έσται σημείον διαθήκης αναμέσον εμού καί υμών. Καί παιδίον οκτώ ημερών, περιτμηθήσεται υμίν πάν αρσενικόν εις τάς γενεάς υμών. Καί απερίτμητον άρσεν, ό ου περιτμηθήσεται τήν σάρκα τής ακροβυστίας αυτού τή η μέρα τή ογδόη, εξολοθρευθήσεται η ψυχή εκείνη εκ τού γένους αυτής, ότι τήν διαθήκην μου διεσκέδασε.

Παροιμιών τό Ανάγνωσμα
(Κεφ. 8, 22-30)

Κύριος έκτισέ με αρχήν οδών αυτού εις έργα αυτού. Πρό τού αιώνος εθεμελίωσέ με, εν αρχή πρό τού τήν γήν ποιήσαι. Καί πρό τού τάς αβύσσους ποιήσαι, πρό τού προελθείν τάς πηγάς τών υδάτων. Πρό τού όρη εδρασθήναι, πρό δέ πάντων τών βουνών γεννά με. Κύριος εποίησε χώρας καί αοικήτους, καί άκρα οικούμενα τής υπ' ουρανόν. Ηνίκα ητοίμαζε τόν ουρανόν, συμπαρήμην αυτώ, καί ότε αφώριζε τόν εαυτού θρόνον επ' ανέμων. Ηνίκα ισχυρά εποίει τά άνω νέφη, καί ως ασφαλείς ετίθει πηγάς τής υπ'

ουρανόν, εν τώ τιθέναι τή θαλάσση ακριβασμόν αυτού, καί ύδατα ού παρελεύσεται στόμα αυτού, καί ισχυρά εποίει τά θεμέλια τής γής, ήμην παρ' αυτώ αρμόζουσα. Εγώ ήμην, ή προσέχαιρε, καθ' ημέραν δέ ευφραινόμην εν προσώπω αυτού εν παντί καιρώ.

## Σοφίας Σολομώντος τό Ανάγνωσμα
## (Εκλογή)

Στόμα δικαίου αποστάζει σοφίαν, χείλη δέ ανδρών επίστανται χάριτας. Στόμα σοφών μελετά σοφίαν, δικαιοσύνη δέ ρύεται αυτούς εκ θανάτου. Τελευτήσαντος ανδρός δικαίου, ουκ όλλυται ελπίς, υιός γάρ δίκαιος γεννάται εις ζωήν, καί εν αγαθοίς αυτού καρπόν δικαιοσύνης τρυγήσει. Φώς δικαίοις διά παντός, καί παρά Κυρίου ευρήσουσι χάριν καί δόξαν. Γλώσσα σοφών καλά επίσταται, καί εν καρδία αυτών αναπαύσεται σοφία. Αγαπά Κύριος οσίας καρδίας, δεκτοί δέ αυτώ πάντες άμωμοι εν οδώ. Σοφία Κυρίου φωτιεί πρόσωπον συνετού, φθάνει γάρ τούς επιθυμούντας αυτήν, πρό τού γνωσθήναι, καί ευχερώς θεωρείται υπό τών αγαπώντων αυτήν, Ο ορθρίσας πρός αυτήν, ού κοπιάσει, καί ο αγρυπνήσας δι' αυτήν, ταχέως αμέριμνος έσται.  Ότι τούς αξίους αυτής αυτή περιέρχεται ζητούσα, καί εν ταίς τρίβοις φαντάζεται αυτοίς ευμενώς. Σοφίας ού κατισχύσει ποτέ κακία. Διά ταύτα καί εραστής εγενόμην τού κάλλους αυτής, καί εφίλησα ταύτην, καί εξεζήτησα εκ νεότητός μου, καί εζήτησα νύμφην αγαγέσθαι εμαυτώ. Ότι ό πάντων Δεσπότης ηγάπησεν αυτήν, μύστις γάρ εστι τής τού Θεού επιστήμης, καί αιρετίς τών έργων αυτού, οι πόνοι αυτής εισίν αρεταί, σωφροσύνην δέ καί φρόνησιν αύτη διδάσκει, δικαιοσύνην καί ανδρείαν, ών χρησιμώτερον ουδέν εστιν εν βίω ανθρώποις. Εί δέ καί πολυπειρίαν ποθεί τις, οίδε τά αρχαία καί τά μέλλοντα εικάζειν, επίσταται στροφάς λόγων καί λύσεις αινιγμάτων, σημεία καί τέρατα προγινώσκει, καί εκβάσεις καιρών καί χρόνων, καί πάσι σύμβουλός εστιν αγαθή. Ότι αθανασία εστίν εν αυτή, καί εύκλεια εν κοινωνία λόγων αυτής. Διά τούτο ενέτυχον τώ Κυρίω, καί εδεήθην αυτού, καί είπον εξ όλης μου τής καρδίας. Θεέ Πατέρων, καί Κύριε τού ελέους, ο ποιήσας τά πάντα εν λόγω σου, καί τή σοφία σου κατασκευάσας τόν άνθρωπον, ίνα δεσπόζη τών υπό σού γενομένων κτισμάτων, καί διέπη τόν κόσμον εν οσιότητι καί δικαιοσύνη, δός μοι τήν τών σών θρόνων πάρεδρον σοφίαν, καί μή με αποδοκιμάσης εκ παίδων σου, ότι εγω δούλος σός, καί υιός τής παιδίσκης σου. Εξαπόστειλον αυτήν εξ αγίου κατοικητηρίου σου, καί από θρόνου δόξης σου, ίνα συμπαρούσά μοι διδάξη με, τί ευάρεστόν εστι παρά σοί, καί οδηγήσει με εν γνώσει, καί φυλάξει με εν τή δόξη αυτής. Λογισμοί γάρ θνητών πάντες δειλοί, καί επισφαλείς αι επίνοιαι αυτών.

## Εις τήν Λιτήν, Στιχηρά Ιδιόμελα.

### Ήχος γ'  Γερμανού

Χριστόν εισοικισάμενος εν τή ψυχή σου, διά τής καθαράς σου πολιτείας, τήν πηγήν τής ζωής, Ιεροφάντα Βασίλειε, ποταμούς ανέβλυσας δογμάτων ευσεβών τή οικουμένη, εξ ών ποτιζόμενος ο πιστός τής Εκκλησίας λαός,

καρπόν χειλέων ομολογούντων, τήν χάριν προσφέρει τώ δοξάσαντι τήν μνήμην σου, εις αιώνα αιώνος.

Ο αυτός

Μύρον εκκενωθέν επί σοί τής χάριτος, έχρισέ σε Ιερουργήσαι τό Ευαγγέλιον τής βασιλείας τών ουρανών, Βασίλειε Θεοφάντορ, τού Χριστού γάρ ευωδία γενόμενος, τής οσμής τής γνώσεως αυτού, τήν οικουμένην επλήρωσας, διό τάς φωνάς τών οικετών σου ευμενώς δεχόμενος, αίτησαι ημίν τοίς τιμώσί σε, τό μέγα έλεος,

Βύζαντος, ο αυτός

Τήν Ιερατικήν στολήν αμπεχόμενος, Τριάδος υπέρμαχε Βασίλειε, θρόνω παρέστης δικαστικώ, προκινδυνεύων τής πίστεως, καί αθλητικήν ένστασιν επιδειξάμενος, θυμόν Επάρχου κατήσχυνας, θρασυνομένου τώ κράτει τής ασεβείας, καί σπλάγχνων εκτομήν απειλούντος, προθύμως ταύτα προέκρινας, καί Μάρτυς γενόμενος τή προαιρέσει, τόν στέφανον ανεδήσω τής νίκης παρά Χριστού, τού έχοντος το μέγα έλεος.

Δόξα... Ήχος πλ. β'

Εξεχύθη η χάρις εν χείλεσί σου, Όσιε Πάτερ, καί γέγονας ποιμήν τής τού Χριστού Εκκλησίας, διδάσκων τά λογικά πρόβατα, πιστεύειν εις Τριάδα ομοούσιον, εν μιά Θεότητι.

Καί νύν...

τής Εορτής, Ήχος πλ. δ'

Συγκαταβαίνων ο Σωτήρ, τώ γένει τών ανθρώπων, κατεδέξατο σπαργάνων περιβολήν, ουκ εβδελύξατο σαρκός τήν περιτομήν, ο οκταήμερος κατά τήν Μητέρα, ο άναρχος κατά τόν Πατέρα. Αυτώ πιστοί βοήσωμεν. Σύ εί ο Θεός ημών, ελέησον ημάς.

## Απόστιχα Στιχηρά Ιδιόμελα

Ήχος α' Βύζαντος

Ω θεία καί Ιερά τής Χριστού Εκκλησίας μέλισσα, Βασίλειε παμμακάριστε, σύ γάρ τού θείου πόθου τώ κέντρω, σεαυτόν καθοπλίσας, τών θεοστυγών αιρέσεων τάς βλασφημίας κατέτρωσας, καί ταίς ψυχαίς τών πιστών ευσεβείας τόν γλυκασμόν εθησαύρισας, καί νύν τούς θείους λειμώνας, τής ακηράτου διερχόμενος νομής, μνημόνευε καί ημών, παρεστώς τήν Τριάδα τήν ομοούσιον.

Ο αυτός

Στίχ. Τό ατόμα μου λαλήσει σοφίαν, καί η μελέτη τής καρδίας μου σύνεσιν.

Βασιλείου Μοναχού

Πάντων τών αγίων ανεμάξω τάς αρετάς, Πατήρ ημών Βασίλειε, Μωϋσέως τό πράον, Ηλιού τόν ζήλον, Πέτρου τήν ομολογίαν, Ιωάννου τήν Θεολογίαν, ως ο Παύλος εκβοών ουκ επαύσω. Τίς ασθενεί, καί ουκ ασθενώ; τίς σκανδαλίζεται, καί ουκ εγώ πυρούμαι; Όθεν σύν αυτοίς αυλιζόμενος, ικέτευε σωθήναι τάς ψυχάς ημών.

Ήχος β'

Στίχ. Στόμα δικαίου μελετήσει σοφίαν, καί η γλώσσα αυτού λαλήσει κρίσιν.

Ιωάννου Μοναχού

Τών όντων εκμελετήσας τήν φύσιν, καί πάντων περισκοπήσας τό άστατον, μόνον εύρες ακίνητον, τόν υπερουσίως όντα Δημιουργον τού παντός, ώ καί μάλλον προσθέμενος, τών ουκ όντων τόν πόθον απέρριψας. Πρέσβευε καί ημάς τού θείου πόθου τυχείν, Ιεροφάντα Βασίλειε.

Δόξα... Ήχος πλ. β'

Ο τήν χάριν τών θαυμάτων ουρανόθεν κομισάμενος, καί τήν πλάνην τών ειδώλων στηλιτεύσας εν τοίς δόγμασιν, Αρχιερέων υπάρχεις δόξα καί εδραίωμα, παμμακάριστε Βασίλειε, καί πάντων τών Πατέρων διδασκαλίας υπόδειγμα. Παρρησίαν έχων πρός Χριστόν, αυτόν ικέτευε, σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Ήχος πλ. δ'

Ουκ επησχύνθη ο πανάγαθος Θεός, τής σαρκός τήν Περιτομήν αποτμηθήναι, αλλ' έδωκεν εαυτόν, τύπον καί υπογραμμόν, πάσι πρός σωτηρίαν, ο γάρ τού Νόμου ποιητής, τά τού Νόμου εκπληροί, καί τών Προφητών τά κηρυχθέντα περί αυτού, ο πάντα περιέχων δρακί, καί εν σπαργάνοις ειληθείς, Κύριε δόξα σοι.

Απολυτίκιον τού Αγίου  Ήχος α'

Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος σου, ως δεξαμένην τόν λόγον σου, δι' ού θεοπρεπώς εδογμάτισας, τήν φύσιν τών όντων ετράνωσας, τά τών ανθρώπων ήθη κατεκόσμησας, Βασίλειον Ιεράτευμα, Πάτερ Όσιε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Έτερον τής Εορτής, ο αυτός

Μορφήν αναλλοιώτως ανθρωπίνην προσέλαβες, Θεός ών κατ' ουσίαν, πολυεύσπλαγχνε Κύριε, καί Νόμον εκπληρών, περιτομήν, θελήσει καταδέχη σαρκικήν, όπως παύσης τά σκιώδη, καί περιέλης τό κάλυμμα τών παθών ημών, Δόξα τή αγαθότητι τή σή, δόξα τή ευσπλαγχνία σου, δόξα τή ανεκφράστω Λόγε συγκαταβάσει σου.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα  Ήχος πλ. α'

Τόν συνάναρχον Λόγον

Ως βασίλειον κόσμον τής Εκκλησίας Χριστού, τόν Βασίλειον πάντες ανευφημήσωμεν, τών δογμάτων θησαυρόν τόν ανέκλειπτον, διά τούτων γάρ αυτός, εξεπαίδευσεν ημάς, Τριάδα σέβειν αγίαν, ηνωμένην μέν τήν ουσία, διαιρετήν δέ ταίς υποστάσεσι.

Δόξα... Ήχος α'

Τόν τάφον σου Σωτήρ

Βασίλειε σοφέ, παρεστώς τή Τριάδι, Ικέτευε λαβείν, εν ημέρα τής δίκης, ημάς

τούς υμνούντάς σε, καί τιμώντας τήν μνήμην σου, χάριν έλεος, καί ιλασμόν τών πταισμάτων, όπως στόματι, δοξάζωμεν καί καρδία, τόν μόνον φιλάνθρωπον.

Καί νύν... τής Εορτής, όμοιον

Ο πάντων Ποιητής, καί Δεσπότης τού κόσμου, ό ών σύν τώ Πατρί, καί τώ Πνεύματι άνω, ως βρέφος περιτέμνεται, επί γής οκταήμερος. Όντως θειά τε, καί θαυμαστά σου τά έργα! σύ γάρ Δέσποτα, υπέρ ημών περιτέμνη, ως ών Νόμου πλήρωμα.

Μετά τήν β' Στιχολογίαν

Κάθισμα  Ήχος πλ. δ'
Τήν Σοφίαν καί Λόγον

Τής αρρήτου σοφίας θεοπρεπώς, εξαντλήσας τόν πλούτον τόν μυστικόν, πάσιν εθησαύρισας, ορθοδοξίας τά νάματα, τών μέν πιστών τάς καρδίας, ενθέως ευφραίνοντα, τών δέ απίστων τά δόγματα, αξίως βυθίζοντα. Όθεν δι' αμφοτέρων, ευσεβείας ιδρώσιν, εδείχθης αήττητος, τής Τριάδος υπέρμαχος, Ιεράρχα Βασίλειε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... τό αυτό

Καί νύν... τής Εορτής  Ήχος δ'

Ως υπάρχων άβυσσος, φιλανθρωπίας, ενεδύσω Δέσποτα, μορφήν τού δούλου, καί σαρκί, περιετμήθης δωρούμενος, ανθρώποις πάσι, τό μέγα σου έλεος.

Μετά τόν Πολυέλεον, τού Αγίου.

Ήχος πλ. δ'
Τήν Σοφίαν καί Λογον

Τή δυνάμει τών λόγων τών θεϊκών, καθελών τάς αιρέσεις τάς ζοφεράς, πάντα τά φρυάγματα, τού Αρείου εβύθισας, τοίς γάρ βροτοίς τό Πνεύμα, Θεόν ανεκήρυξας, καί τών χειρών εκτάσει, εχθρούς εθανάτωσας, πάσαν εκδιώξας, Σαβελλίου λατρείαν, καί πάντα φρονήματα, Νεστορίου κατήργησας, Ιεράρχα Βασίλειε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... όμοιον

Η τών λόγων σου χάρις τών θεϊκών, καί δογμάτων τό ύψος τό μυστικόν, θείας ημίν γέγονεν, αναβάσεως κλίμαξ, πνευματικήν γάρ Πάτερ, κτησάμενος σάλπιγγα, εν αυτή εκήρυξας, τά θεία διδάγματα. Όθεν καί εις τόπον, κατεσκήνωσας χλόης, μισθούς τών αγώνων σου, κομισάμενος' Οσιε Ιεράρχα Βασίλειε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Καί νύν... Θεοτοκίον, όμοιον

Ο τών όλων Δεσπότης καί Ποιητής, εξ αχράντου σου μήτρας σάρκα λαβών, προστάτιν σε έδειξε, τών ανθρώπων Πανάμωμε, διά τούτο πάντες, πρός σέ καταφεύγομεν, ιλασμόν πταισμάτων, αιτούμενοι Δέσποινα, καί αιωνιζούσης, λυτρωθήναι βασάνου, καί πάσης κακώσεως, τού δεινού κοσμοκράτορος, διά τούτο βοώμέν σοι. Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς προσκυνούσιν εν πίστει, τόν πανάγιον τόκον σου.

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' ήχου.

Προκείμενον Ήχος δ'

Τό στόμα μου λαλήσει σοφίαν, καί η μελέτη τής καρδίας μου σύνεσιν.
Στίχος. Ακούσατε ταύτα, πάντα τά Έθνη, ενωτίσασθε πάντες οι κατοικούντες τήν οικουμένη.

Πάσα πνοή

Τό Ευαγγέλιον κατά Ιωάννην

Είπεν ο Κύριος, ο μή εισερχόμενος...

Ο Ν'

Δόξα... Ταίς τού Ιεράρχου...
Καί νύν... Ταίς τής Θεοτόκου...

Είτα τό Ιδιόμελον, Ήχος πλ. β'

Εξεχύθη η χάρις εν χείλεσί σου, Όσιε Πάτερ, καί γέγονας ποιμήν τής τού Χριστού Εκκλησίας, διδάσκων τά λογικά πρόβατα, πιστεύειν εις Τριάδα ομοούσιον, εν μιά Θεότητι.

Ο Κανών τής Εορτής καί τού Αγίου.

Ο Κανών τής Εορτής
Ποίημα Στεφάνου

Ωδή α' Ήχος β'
Ο Ειρμός

«Δεύτε λαοί, άσωμεν άσμα Χριστώ τώ Θεώ, τώ διελόντι θάλασσαν, καί οδηγήσαντι, τόν λαόν όν ανήκε, δουλείας Αιγυπτίων, ότι δεδόξασται».

Η Ογδοάς, φέρουσα τύπον τού μέλλοντος, τή σή Χριστέ λαμπρύνεται, καί αγιάζεται, εκουσίω πτωχεία, εν ταύτη γάρ νομίμως, περιετμήθης σαρκί.

Περιτομήν, δέχεται τή ογδοάδι Χριστός, τής εαυτού γεννήσεως, καί ταύτης σήμερον, τήν σκιάν καταστέλλει, τό φώς εξανατέλλων, τής νέας χάριτος.

Τού αγίου, ο αυτός

## Ποίημα Ιωάννου τού Δαμασκηνού

Σού τήν φωνήν, έδει παρείναι Βασίλειε, τοίς εγχειρείν εθέλουσι, τοίς εγκωμίοις σου, αλλά Πάτερ συγγνώμων, γενόμενος τήν χάριν, νέμοις αφθόνως ημίν.

Τό εμπαθές, σκίρτημα τής τυραννούσης σαρκός, φιλοσοφίας έρωτι, επαιδαγώγησας, διό εν ακηράτοις, αυλίζη βασιλείοις, Πάτερ Βασίλειε.

Τών αρετών, σύ τήν τραχείαν βαδίσας οδόν, επί τήν λείαν έφθασας, καί αστασίαστον, τήν ουράνιον βάσιν, καί πάσιν ανεδείχθης, τύπος Βασίλειε.

Τά τής ψυχής, πάθη χρησίμως Βασίλειε, άμα δέ καί τού σώματος, εν τώ τού Πνεύματος, περιέτεμες ξίφει, σαυτόν δέ, τώ Δεσπότη, θύμα προσήνεγκας.

Σύ γεγονώς, μύστης αρρήτων Βασίλειε, τό τού Χριστού βασίλειον, εμυσταγώγησας, Ιεράτευμα Πάτερ, σαφώς τό τής Τριάδος, φώς απαστράψας ημίν.

## Θεοτοκίον

Τίς εξειπείν, σού κατ' αξίαν δυνήσεται, τήν υπέρ λόγον σύλληψιν; Θεόν γάρ τέτοκας, εν σαρκί Παναγία, ημίν επιφανέντα Σωτήρα πάντων ημών.

## Καταβασία

«Βυθού ανεκάλυψε πυθμένα καί διά ξηράς οικείους έλκει, εν αυτώ κατακαλύψας αντιπάλους, ο κραταιός, εν πολέμοις Κύριος, ότι δεδόξασται».

## Ετέρα

«Στίβει θαλάσσης, κυματούμενον σάλον,
»Ήπειρον αύθις, Ισραήλ δεδειγμένον,
»Μέλας δέ πόντος, τριστάτας Αιγυπτίων,
»Έκρυψεν άρδην, υδατόστρωτος τάφος,
»Ρώμη κραταιά, δεξιάς τού Δεσπότου».

## Ωδή γ'  Ο Ειρμός

«Στερέωσον ημάς εν σοί Κύριε, ο ξύλω νεκρώσας τήν αμαρτίαν, καί τόν φόβον σου εμφύτευσον, εις τάς καρδίας ημών τών υμνούντων σε».

Ο λόγος σαρκωθείς ο υπερούσιος, εις λήξιν τού Νόμου περιετμήθη, απαρχάς δέ θείας χάριτος, καί ζωής ακηράτου ημίν δέδωκε.

Τού Νόμου πληρωτής ως ουκ αντίθεος, υπάρχων Χριστός σεσαρκωμένος, ανεδείχθη καί ηξίωσεν, εκών περιτμηθήναι οκταήμερος.

## Τού Αγίου, ο αυτός

Παιδείας γεγονώς απάσης έμπλεως, ού μόνον τής κάτω καί πατουμένης πολλώ μάλλον δέ τής κρείττονος ανεδείχθης τώ κόσμω φώς Βασίλειε.

Τώ φόβω τού Κυρίου στοιχειούμενος, αρχή γάρ σοφίας, ούτος υπάρχει, τή φιλία τής αμείνονος, επτερώθης σοφίας ώ Βασίλειε.

Βασίλειε σοφώς επέβης πράξεως, καί πράξιν επίβασιν θεωρίας, θειοτέρας επιδέδειξαι, καί τών όντων τήν γνώσιν εμυήθης σαφώς.

Συνέδραμε Χριστού καί συνεξέλαμψεν, η μνήμη σου Πάτερ τοίς γενεθλίοις, ών τό άφραστον μυστήριον, ταίς σαίς διδασκαλίαις εφανέρωσας.

Θεοτοκίον

Ασπόρως εν γαστρί Θεόν συνέλαβες, καί τίκτεις αφράστως σεσαρκωμένον, εις όν βλέπειν ου τολμώσιν Αγνή, ουρανών αι Δυνάμεις Αειπάρθενε.

Καταβασία

«Ισχύν ο διδούς τοίς Βασιλεύσιν ημών Κύριος, καί κέρας χριστών αυτού υψών, Παρθένου αποτίκτεται, μολεί δέ πρός τό Βάπτισμα, διό πιστοί βοήσωμεν, ουκ έστιν Άγιος, ως ο Θεός ημών, καί ουκ έστι δίκαιος πλήν σου Κύριε».

Ετέρα

«Όσοι παλαιών εκλελύμεθα βρόχων,
»Βορών λεόντων συντεθλασμένων μύλας,
»Αγαλλιώμεν, καί πλατύνωμεν στόμα,
»Λόγω πλέκοντες εκ λόγων μελωδίαν,
»Ω τών πρός ημάς ήδεται δωρημάτων».

Κάθισμα Ήχος πλ. δ'

Τήν Σοφίαν καί λόγον

Εξανοίξας τό στόμα λόγω Θεού, εξηρεύξω σοφίαν κήρυξ φωτός, καί φρόνημα ένθεον, τή οικουμένη κατέσπειρας, τών γάρ Πατέρων όντως, κυρώσας τά δόγματα, κατά Παύλον ώφθης, τής πίστεως πρόμαχος, όθεν καί Αγγέλων, συμπολίτης υπάρχεις, καί τούτων συνόμιλος, ανεδείχθης μακάριε, Θεοφάντορ Βασίλειε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Ήχος γ' Θείας πίστεως

Πάσαν ήρδευσας τήν οικουμένην, ώσπερ ύδασι ταίς διδαχαίς σου, τής ευσεβείας ενσπείρας τά δόγματα, η τής ζωής γάρ πηγή ο Χοιστός εν σοί, επανεπαύσατο όντως Βασίλειε, όν ικέτευε, ως παρρησίαν κεκτημένος θεόπνευστε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Καί νύν... Η Παρθένος σήμερον

Ο τών όλων Κύριος, περιτομήν υπομένει, καί βροτών τά πταίσματα, ως αγαθός περιτέμνει, δίδωσι τήν σωτηρίαν σήμερον κόσμω χαίρει δέ εν τοίς υψίστοις καί ο τού Κτίστου, Ιεράρχης καί φωσφόρος, ο θείος μύστης Χριστού Βασίλειος.

Ωδή δ' Ο Ειρμός

«Εισακήκοα Κύριε, τήν ακοήν τής σής οικονομίας, καί εδόξασά σε μόνε φιλάνθρωπε».

Περιτέμνεσθαι πέπαυται αφ' ού Χριστός εκων περιετμήθη, τών Εθνών τά πλήθη, σώζων τή χάριτι.

Τήν τού μέλλοντος άληκτον, η ογδοάς ζωήν εξεικονίζει, εν ή ο Δεσπότης, περιετμήθη Χριστός.

Τού Αγίου, ο αυτός

Καλλωπίζεται ώσπερ, τώ τόκω Χριστού, η Νύμφη Εκκλησία, ούτω καί τή μνήμη σου Παμμακάριστε.

Σεμνυνόμενος τέκνον, υπάρχειν Θεού, θεότητα εις κτίσιν, ευσεβώς Βασίλειε ού κατήγαγες.

Αταπείνωτος ώφθης, Θεώ συμμαχών, Βασίλειε ο πάσι, τώ αυτού προστάγματι ταπεινούμενος.

Τή Εκκλησία δέδοσαι, παρά Θεού χαράκωμα, καί τείχος οχυρόν, Βασίλειε παμμακάριστε.

Τοίς αντιθέοις πέλεκυς, εκκοπτικός, καί πύρ καταναλίσκον, τήν απάτην ώφθης Πάτερ Βασίλειε.

Θεοτοκίον

Δυσωπούμέν σε Άχραντε, η τόν Θεόν ασπόρως συλλαβούσα, τού αεί πρεσβεύειν υπέρ τών δούλων σου.

Καταβασία

«Ακήκοε Κύριε φωνής σου, όν είπας, Φωνή βοώντος εν ερήμω, ότε εβρόντησας πολλών επί υδάτων, τώ σώ μαρτυρούμενος Υιώ, όλος γεγονώς τού παρόντος, Πνεύματος δέ εβόησε. Σύ εί Χριστός, Θεού Σοφία καί Δύναμις».

Ετέρα

«Πυρσώ καθαρθείς μυστικής θεωρίας,
»Υμνών Προφήτης τήν βροτών καινουργίαν,
»Ρήγνυσι γήρυν, Πνεύματι κροτουμένην,
»Σάρκωσιν εμφαίνουσαν αρρήτου Λόγου,
»Ω τών δυναστών τά κράτη συνετρίβη».

Ωδή ε'  Ο Ειρμός

«Ο τού φωτός χορηγος, καί τών αιώνων ποιητής Κύριος, εν τώ φωτί τών σών προσταγμάτων, Οδήγησον ημάς, εκτός σου γάρ άλλον, Θεόν ου γινώσκομεν».

Σύ εκ Παρθένου Μητρός, ανερμηνεύτως προελθων Κύριος, καί τήν βροτών μή απαξιώσας, ενδύσασθαι μορφήν, ως βρέφος νομίμως, τόν Νόμον επλήρωσας.

Νυκτί εξωμοίωται, ως τήν σκιάν τήν νομιΚήν στέργουσα, τόν Ισραήλ η γεννησαμένη, εξ ής απαστράψαν, τό φώς τό τού κόσμου, Χριστός πεφανέρωται.

Τού Αγίου, ο αυτός

Άγει διπλήν αληθώς, η Εκκλησία εορτήν σήμερον. Περιτομής, ως βρέφος Δεσπότου, οφθέντος επί γής, καί μνήμης οικέτου, σοφού καί τρισμάκαρος.

Τό ακατάληπτον φώς, αναπαυσάμενον εν σοί Όσιε, φωτιστικήν λαμπάδα τώ κόσμω, σέ έδειξε Χριστός, διό σου τήν μνήμην, υμνούμεν Βασίλειε.

Ού νομοθέτης Μωσής, ού πρό τού Νόμου, Ιωσήφ γέγονε, τής κατά σέ τροφής σιτομέτρης, τής θείας γάρ σαρκός, αυτός εστιάτωρ, εδείχθης Βασίλειε.

Τήν τού παντός αμυδρώς, Ιστορηθείσαν εν Σινά Γένεσιν, τώ Μωϋσεί, αυτός ερμηνεύων, εκ θείων θησαυρών, ανέπτυξας πάσι, παμμάκαρ Βασίλειε.

Θεοτοκίον

Σοί τή τεκούση Χριστόν, τόν τού παντός δημιουργόν κράζομεν. Χαίρε αγνή. Χαίρε η τό φώς, ανατείλασα ημίν. Χαίρε η χωρήσασα, Θεόν τόν αχώρητον.

Καταβασία

«Ιησούς ο ζωής αρχηγός, λύσαι τό κατάκριμα ήκει, Αδάμ τού πρωτοπλάστου, καθαρσίων δέ, ως Θεός μή δεόμενος, τώ πεσόντι καθαίρεται εν τώ Ιορδάνη, εν ώ τήν έχθραν κτείνας, υπερέχουσαν, πάντα νούν ειρήνην χαρίζεται».

Ετέρα

«Εχθρού ζοφώδους καί βεβορβορωμένου,
»Ιόν καθάρσει Πνεύματος λελουμένοι,
»Νέαν προσωρμίσθημεν απλανή τρίβον,
»Άγουσαν απρόσιτον εις θυμηδίαν,
»Μόνοις προσιτήν, οίς Θεός κατηλλάγη».

Ωδή ς'  Ο Ειρμός

«Άβυσσος αμαρτημάτων, εκύκλωσέ με εσχάτη, αλλ' ως τόν Προφήτην Ιωνάν, ανάγαγε Κύριε, Κύριε, εκ φθοράς τήν ζωήν μου».

Είληφε τέλος ο Νόμος, αφ' ού Χριστός νηπιάσας, καί πληρωτής τού Νόμου δειχθείς, Περιτομήν κατεδέξατο, καί έλυσε τήν τού Νόμου κατάραν.

Σάββατα Περιτομή τε, τό φρύαγμα τών Εβραίων, τού επιφανέντος Χριστού, τώ νεύματι πέπαυται, καί έλαμψε τό τής χάριτος έαρ.

Τού Αγίου, ο αυτός

Έθρεψας, λιμώ τακείσας, ψυχάς πενήτων αφθόνως, καί τάς τών πεινώντων καρδίας, πάσης ενέπλησας, Βασίλειε θεϊκής ευφροσύνης.

Έθρεψας ψυχάς πεινώσας, τροφή τή επουρανίω, άρτος γάρ Αγγέλων υπάρχει, ο λόγος Βασίλειε, ού άριστος σιτοδότης εγένου.

Ήθροισας τώ τής μελίσσης, Βασίλειε φιλοπόνω, αρετής απάσης τό άνθος, καί περιδέξιος γενόμενος, εν αυταίς μακαρίζη.

Έσπευσας κόσμου ραγήναι, καί Θεώ συμβιοτεύσαι, διό τοίς αστάτοις, καί ρευστοίς, Πάτερ Βασίλειε, τά μένοντα ως σοφός κατεκτήσω.

Θεοτοκίον

Βάτος σε εν τώ Σιναίω, αφλέκτως προσομιλούσα, τώ πυρί προγράφει Μητέρα, τήν αειπάρθενον, Ανύμφευτε Θεοτόκε Μαρία.

Καταβασία

«Η φωνή τού λόγου, ο λύχνος τού φωτός, ο εωσφόρος, ο τού Ηλίου Πρόδρομος, εν τή ερήμω, Μετανοείτε, πάσι βοά τοίς λαοίς, καί προκαθαίρεσθε, ιδού γάρ πάρεστι Χριστός, εκ φθοράς τόν κόσμον λυτρούμενος».

Ετέρα

«Ιμερτόν εξέφηνε σύν πανολβίω,
»Ήχω Πατήρ, όν γαστρός εξηρεύξατο,
»Ναί φησιν ούτος, συμφυής γόνος πέλων,
»Φώταυγος εξώρουσεν ανθρώπων γένους,
»Λόγος τέ μου ζών, καί βροτός προμηθεία.

Κοντάκιον Ήχος δ'
Επεφάνης σήμερον

Ώφθης βάσις άσειστος τή Εκκλησία, νέμων πάσιν άσυλον, τήν κυριότητα βροτοίς, επισφραγίζων σοίς δόγμασιν, Ουρανοφάντορ Βασίλειε Όσιε.

Ο Οίκος

Τής σωφροσύνης ο κρατήρ, τό στόμα τής σοφίας, καί βάσις τών δογμάτων, Βασίλειος ο μέγας, πάσιν αστράπτει νοερώς. Δεύτε ούν, καί στώμεν εν τώ οίκω τού Θεού, θερμώς ενατενίζοντες, τοίς θαύμασι τοίς τούτου τερπόμενοι, καί ώσπερ λαμπηδόνι αστραφθέντες τώ φωτί αυτών, θαλφθώμεν τώ τού βίου καθαρτικώ πνεύματι, μιμούμενοι αυτού τήν πίστιν, τήν ζέσιν, τήν ταπείνωσιν, δι' ών οίκος εδείχθη τού όντως Θεού, πρός όν βοώντες υμνούμεν, ουρανοφάντορ Βασίλειε Όσιε.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Α' τού αυτού μηνός εορτάζομεν τήν κατά σάρκα Περιτομήν τού Κυρίου καί Θεού καί Σωτήρος ημών Ιησού Χριστού.

Στίχοι

Χριστού περιτμηθέντος, ετμήθη Νόμος.
Καί τού Νόμου τμηθέντος, εισήχθη Χάρις.

Τή αυτή ημέρα, Μνήμη τού εν αγίοις Πατρός ημών Βασιλείου, Αρχιεπισκόπου Καισαρείας Καππαδοκίας τού Μεγάλου.

Στίχοι

Ζή Βασίλειος, καί θανών εν Κυρίω.
Ζή καί παρ ημίν, ως λαλών εκ τών βίβλων,
Ιανουαρίοιο θάνες, Βασίλειε, πρώτη.

Τή αυτή ημέρα, ό Άγιος Μάρτυς Θεόδοτος ξίφει τελειούται.

Στίχοι

Ο Θεόδοτος, Ουκ ανέξομαι, λέγει,
Ει μή κεφαλήν τού Θεού τμηθώ χάριν.

Τή αυτή ημέρα, ο Άγιος Γρηγόριος, ο Πατήρ τού Αγίου Γρηγορίου τού Θεολόγου, εν ειρήνη τελειούται.

Στίχοι

Εγκωμιαστήν οίκοθεν πλουτείς, Πάτερ,
Τής σής τελευτής, σού εκ μηρού γόνον.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός ελέησον ημάς.

Ωδή ζ' Ο Ειρμός

«Εικόνος χρυσής, εν πεδίω Δεηρά λατρευομένης, οι τρείς σου Παίδες κατεπάτησαν, αθεωτάτου προστάγματος, μέσον δέ τού πυρός εμβληθέντες, δροσιζόμενοι έψαλλον. Ευλογητός εί ό Θεός, ο τών Πατέρων ημών».

Λαμπρά παμφαή, τά Γενέθλια Χριστού, καί τής τού μέλλοντος, ανακαινίσεως υπογράφοντα, τό μυστήριον σήμερον, ότι νομική διατάξει, ο Σωτήρ περιτέμνεται, ουχ ως Θεός, αλλ' ως βροτός, καί Νόμου πλήρωμα.

Τόν Νόμον πληρών, ο τού Νόμου Ποιητής, τήν σάρκα σήμερον, εθελουσίως περιτέμνεται, περιτομήν εργαζόμενος, τού τής αμαρτίας χειμώνος, καί κραυγάζειν δωρούμενος. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Τού Αγίου, ο αυτός

Εικών τού Πατρός ο Υιός, καί τού Υιού τό Πνεύμα πέφηνε, σύ δέ τού Πνεύματος, ώ Βασίλειε, ακηλίδωτον έσοπτρον, οικός τε τής όλης Τριάδος, μακαρία η μνήμη σου, καί οι δοξάζοντες αυτήν, αντιδοξάζονται.

Βυθίσας τόν νούν, εις τά βάθη τού Θεού τά ακατάληπτα, καί συλλεξάμενος τόν πολύτιμον, σύ μαργαρίτην τής γνώσεως, επλούτισας τόν κόσμον σοφία, καί κραυγάζειν εδίδαξας. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Ω σύμπνοια νού, Ιερά τε ξυνωρίς, η ώσπερ μία ψυχή, εν δυσί σώμασιν αδιαίρετος, εν Γρηγορίω Βασίλειος, πόθω θεϊκώ συνημμένοι, εν Βασιλείω Γρηγόριος, νύν ικετεύσατε Χριστόν, υπέρ τής ποίμνης υμών.

Πατήρ ορφανών, καί χηρών προασπιστής, καί πλούτος πένησι, τών ασθενούντων η παράκλησις, καί τών εν πλούτω κυβέρνησις, γήρως βακτηρία εδείχθης, παιδαγωγία νεότητος, καί Μοναζόντων αρετής, κανών Βασίλειε.

Καθάρας τόν νούν, ιλυώδους μολυσμού, παντός Βασίλειε, συνδιεσκέψω τά τού Πνεύματος, τώ ποθουμένω σοι Πνεύματι, όθεν ανυμνών τήν Τριάδα, εν παρρησία εκραύγαζες. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Σέ βάτον Μωσής, εν τώ όρει τώ Σινά, πυρπολουμένην Αγνή, προεθεώρει τήν ενέγκασαν, ακαταφλέκτως τήν άστεκτον, αίγλην τής αρρήτου ουσίας, ενωθείσης παχύτητι, σαρκός μιάς τών εν αυτή, αγίων υποστάσεων.

Καταβασία

«Νέους ευσεβείς, καμίνω πυρός  προσομιλήσαντας, διασυρίζον πνεύμα δρόσου, αβλαβείς διεφύλαξε, καί θείου Αγγέλου συγκατάβασις, όθεν εν φλογί δροσιζόμενοι, ευχαρίστως ανέμελπον. Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί».

Ετέρα

«Έφλεξε ρείθρω τών δρακόντων τάς κάρας,
»Ο τής καμίνου τήν μετάρσιον φλόγα,
»Νέους φέρουσαν ευσεβείς Κατευνάσας,
»Τήν δυσκάθεκτον αχλύν εξ αμαρτίας,
»Όλην πλύνει δέ, τή δρόσω τού Πνεύματος».

Ωδή η'  Ειρμός

«Τόν αρρήτω σοφία, συστησάμενον τά πάντα Θεόν Λόγον, καί εκ μή όντων, εις τό είναι παραγαγόντα, ευλογείτε τά έργα, Κυρίου τόν Κύριον».

Τή ογδόη ημέρα, περιτέμνεται ως βρέφος ό Δεσπότης, τήν Ιησού τε, δέχεται προσηγορίαν, ότι τού κόσμου Σωτήρ, υπάρχει καί Κύριος.

Τών Χριστού Γενεθλίων, επαξιως τή ογδόη συνεζεύχθη, τού Ιεράρχου, η πανένδοξος μνήμη, ήν γεραίροντες πίστει, υμνούμεν τόν κυριον.

Τού Αγίου, ο αυτός

Τόν αφράστω προνοία, δωρησάμενον Βασιλειον τώ κόσμω, φώς ευσεβείας, σάλπιγγά τε θεολογίας, ευλογείτε τά έργα, Κυρίου τόν Κύριον.

Τόν δαψιλεί ενεργεία, ενοικήσαντα τώ σοφώ Βασιλείω, καί δι' αυτού, ευσεβώς θεολογηθέντα, ευλογείτε τά έργα, Κυρίου τόν Κύριον.

Οι τών θείων σου λόγων, απολαβόντες Βασίλειε απαύστως, εν τή σή μνήμη, πανηγυρίζοντες βοώμεν. Ευλογείτε τά έργα, Κυρίου τόν Κύριον.

Τάς ακτίνας τών λόγων, εξαπέστειλας Βασίλειε τω κόσμω, φωταγωγούσας, μίαν σέβειν Τριάδος φύσιν, Ευλογείτε τά έργα, κραυγάζων, τόν Κύριον.

Θεοτοκίον

Τόν εκ Πατρός προελθόντα, προαιώνιον καί άχρονον Θεόν Λόγον, καί επ' εσχάτων, ανατείλαντα εκ Παρθένου, ευλογείτε τά έργα, Κυρίου τόν Κύριον.

Καταβασία

«Μυστήριον παράδοξον, η Βαβυλώνος έδειξε κάμινος, πηγάσασα, δρόσον, ότι ρείθροις έμελλεν, άϋλον πύρ εισδέχεσθαι ο Ιορδάνης, καί στέγειν σαρκί, βαπτιζόμενον τόν Κτίστην, όν ευλογούσι Λαοί, καί υπερυψούσιν, εις πάντας τούς αιώνας».

Ετέρα

«Ελευθέρα μέν η κτίσις γνωρίζεται,
»Υιοί δέ φωτός, οι πρίν εσκοτισμένοι.
»Μόνος στενάζει, τού σκότους ό προστάτης.
»Νύν ευλογείτω συντόνως τόν αίτιον,
»Η πρίν τάλαινα τών Εθνών παγκληρία».

Ωδή θ'

ΜΕΓΑΛΥΝΑΡΙΑ

Ψαλλόμενα εν τή Ωδή ταύτη

Ήχος β'

Μεγάλυνον ψυχή μου, τήν τιμιωτέραν, τών άνω στρατευμάτων. Δίς
Μεγάλυνον ψυχή μου, τόν κατά τόν Νόμον, σαρκί περιτμηθέντα.
Μεγάλυνον ψυχή μου, τόν εν τή ογδόη, περιτομήν λαβόντα.
Σήμερον ο Δεσπότης, τέμνεται τήν σάρκα, ως βρέφος πληρών τόν Νόμον.
Σήμερον ό Δεσπότης, σαρκί περιετμήθη, καί Ιησούς εκλήθη.

Έτερα εις τόν Κανόνα τού Αγίου.

Μεγάλυνον ψυχή μου, τόν εν Ιεράρχαις, Βασίλειον τόν Μέγαν.
Μεγάλυνον ψυχή μου, τόν εκ Καισαρείας, Βασίλειον τόν Μέγαν.
Μεγάλυνον ψυχή μου, τόν τής οικουμένης, υπέρλαμπρον φωστήρα.
Μεγάλυνον ψυχή μου, τόν κεκοσμηκότα, Χριστού τήν Εκκλησίαν.

Δόξα...

Μεγάλυνον ψυχή μου, τής τρισυποστάτου, καί αδιαιρέτου, θεότητος τό κράτος.

Καί νύν...

Μεγάλυνον ψυχή μου, τήν λυτρωσαμένην, ημάς εκ τής κατάρας.

Ο Ειρμός

«Η τόν πρό ηλίου φωστήρα, τόν Θεόν εξανατείλαντα, σωματικώς ημίν επιδημήσαντα, εκ λαγόνων παρθενικών, αφράστως σωματώσασα, ευλογημένη Πάναγνε, σέ Θεοτόκε μεγαλύνομεν».

Υπερβάς τούς όρους Χριστός, τής ανθρωπίνης όλης, φύσεως, υπερφυώς εκ Παρθένου αποτίκτεται, καί τό γράμμα τό νομικόν, καθώς διακελεύεται, τήν σάρκα περιτέμνεται, καί πληρωτής τού Νόμου δείκνυται.

Δεύτε τού Δεσπότου τά ένδοξα, Χριστού ονομαστήρια, εν αγιότητι πανηγυρίσωμεν Ιησούς γάρ θεοπρεπώς, ανηγόρευται σήμερον, σύν τούτοις καί τήν μνήμην δέ, τού Ιεράρχου μεγαλύνωμεν

Τού Αγίου, ο αυτός

Τού Αρχιποίμενος ως πρόβατον, πιστόν Χριστού Βασίλειε, τοίς ζωηφόροις ίχνεσιν επηκολούθησας, τώ τυράννω γάρ τήν σαυτού, ψυχήν Πάτερ προδέδωκας, προκινδυνεύων άριστα, τής Εκκλησίας παμμακάριστε.

Τό τής Εκκλησίας πανίερον, Χριστού κατιδών σύστημα, υπό τής σής κοσμούμενον Ιεραρχίας σοφέ, ό πανώλης εμβροντηθείς, καταπέπτωκε τύραννος, τήν γάρ εν σοί τού Πνεύματος, αίγλην ουκ ήνεγκε Βασίλειε.

Τής τών Αποστόλων καθέδρας, τής χορείας τε τών Αθλοφόρων, Χριστού Πατριαρχών σκηνής, καί τών Δικαίων τρυφής, τής χορείας τε τών Προφητών, ηξιώθης Βασίλειε, τής Θεοτόκου μύστης γάρ, καί τής Τριάδος λάτρις γέγονας.

Θεοτοκίον

Ο τά υπερώα εν ύδασι, στεγάζων μόνος Κύριος, αναχαιτίζων θάλασσαν, αβύσσους τε ό ξηραίνων, εκ σού Αγνή τήν σάρκα προσλαβόμενος, εκ Βηθλεέμ επείγεται, πρός Ιορδάνην βαπτισθήναι σαρκί.

Καταβασία

«Απορεί πάσα γλώσσα, ευφημείν πρός αξίαν ιλιγγιά δέ νούς καί υπερκόσμιος, υμνείν σε Θεοτόκε, όμως αγαθή υπάρχουσα, τήν πίστιν δέχου, καί γάρ τόν πόθον οίδας, τόν ένθεον ημών, σύ γάρ Χριστιανών εί προστάτις, σέ μεγαλύνομεν».

Ετέρα

«Ω τών υπέρ νούν, τού τόκου σου θαυμάτων!
»Νύμφη πάναγνε, Μήτερ ευλογημένη,
»Δι' ής τυχόντες παντελούς σωτηρίας,
»Επάξιον κροτούμεν ως ευεργέτη,
»Δώρον φέροντες ύμνον ευχαριστίας».

Εξαποστειλάριον

Εν Πνεύματι τώ Ιερώ

Φιλοσοφίας έρωτι, περιέτεμες Πάτερ, τό τής ψυχής σου κάλυμμα, καί τώ κόσμω εδείχθης, ως ήλιος τοίς θαύμασι, καί πιστών κατηύγασας, τας διανοίας θεόφρον, τής Τριάδος ο λάτρις, ώ Βασίλειε σοφέ, καί μύστης τής Θεοτόκου.

Τής Εορτής, όμοιον

Τήν σάρκα περιτέμνεται, ο τόν Νόμον πληρώσας, ως βρέφος οκταήμερον, τών αιώνων ο Κτίστης, καί σπάργανα ειλίσσεται, ως βροτός καί γάλακτι, εκτρέφεται ο τά πάντα, τή απείρω ισχύϊ, ως Θεός διακρατών, καί τή ροπή διεξάγων.

Εις τούς Αίνους ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. α'

Χαίροις ασκητικών

Φέρει Περιτομήν εν σαρκί, ο εκ Πατρός άνευ τομής τε καί ρεύσεως, αφράστως τεχθείς ως Λόγος, καί ως Θεός εκ Θεού, εν ατρέπτω μένων τή Θεότητι, διό κατά Νόμον, ο υπέρ Νόμον γενόμενος, κατάρας Νόμου, εκλυτρούται τούς άπαντας, καί τήν άνωθεν, ευλογίαν δεδώρηται. Όθεν τήν υπεράγαθον, αυτού συγκατάβασιν, ανευφημούντες υμνούμεν, καί ευχαρίστως δοξάζομεν, αυτόν δυσωπούντες, ταίς ψυχαίς ημών δοθήναι, τό μέγα έλεος.

Θέσει υιός Θεού γεγονώς, αναγεννήσει τή τού θείου Βαπτίσματος, τόν φύσει καί αληθεία, καί πρό αιώνων Υιόν, τού Θεού καί Λόγον ομοούσιον, Πατρί καί συνάναρχον, ωμολόγησας Όσιε, αιρετικών δέ, τά απύλωτα στόματα, τή

λαμπρότητι, τών σών λόγων ενέφραξας. Όθεν καί τά Βασίλεια, τά άνω κατώκησας, συμβασιλεύων τώ μόνω, καί φυσικώς βασιλεύοντι, Χριστώ τώ πλουσίως, διανέμοντι τώ κόσμω, τό μέγα έλεος.

Ένδον επουρανίου Ναού, ως Ιεράρχης Ιερός προσεχώρησας, τήν πράξιν καί θεωρίαν, τάς τής σοφίας αρχάς, ως στολήν αγίαν περικείμενος, καί νύν εις τό άνω, θυσιαστήριον Όσιε, ιερατεύων, καί Θεώ παριστάμενος, καί τήν άϋλον, λειτουργίαν τελούμενος, μέμνησο συμπαθέστατε, παμμάκαρ Βασίλειε, τών εκτελούντων τήν μνήμην, τήν Ιεράν σου καί πάντιμον, Χριστόν ικετεύων, τόν παρέχοντα τώ κόσμω, τό μέγα έλεος.

Όλος Ιερωμένος Θεώ, καί ολοτρόπως εκ παιδός ανακείμενος, σοφίας τής υπερσόφου, καταυγασθείς ταίς αυγαίς, τήν τών όντων γνώσιν διετράνωσας, λαμπρώς εξηγούμενος, καί σοφώς διηγούμενος, τήν εν τοίς ούσιν, ευταξίαν ποιούμενος, επιγνώσεως, θειοτέρας υπόθεσιν. Όθεν σε θεορρήμονα, καί θείον Διδάσκαλον, καί φωτοφόρον Φωστήρα, τής Εκκλησίας κηρύττομεν, Χριστόν ανυμνούντες, τόν παρέχοντα τώ κόσμω, τό μέγα έλεος.

Δόξα... Ήχος πλ. β'

Εξεχύθη η χάρις εν χείλεσί σου, Όσιε Πάτερ, καί γέγονας ποιμήν, τής τού Χριστού Εκκλησίας, διδάσκων τά λογικά πρόβατα, πιστεύειν εις Τριάδα ομοούσιον, εν μιά Θεότητι.

Καί νύν... τής Εορτής

Ήχος πλ. δ'

Συγκαταβαίνων ο Σωτήρ, τώ γένει τών ανθρώπων, κατεδέξατο σπαργάνων περιβολήν, ουκ εβδελύξατο σαρκός τήν περιτομήν, ο οκταήμερος κατά τήν Μητέρα, ο άναρχος κατά τόν Πατέρα. Αυτώ πιστοί βοήσωμεν. Σύ εί ο Θεός ημών, ελέησον ημάς.

Δοξολογία μεγάλη καί Απόλυσις

Εις τήν Λειτουργίαν

Τυπικά καί εκ τού Κανόνος Ωδή γ' καί ς'.

Ει δέ βούλει, ειπέ τά εξής Αντίφωνα τής Εορτής.

Αντίφωνον Α'

Στίχ. α'. Αλαλάξατε τώ Κυρίω πάσα η γή.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχ. β'. Ψάλατε δή τώ ονόματι αυτού.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχ. γ'. Διηγήσασθε πάντα τά θαυμάσια αυτού.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχ. δ'. Είπατε τώ Θεώ, Ως φοβερά τά έργα σου.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Δόξα... Καί νύν...

Ταίς πρεσβείαις τής Θεοτόκου...

## Αντίφωνον Β'

Στίχ. α'. Ευφραινέσθωσαν οι ουρανοί, καί αγαλλιάσθω ή γή.

Σώσον ημάς Υίέ Θεού, ο σαρκί περιτμηθείς, ψάλλοντάς σοι. Αλληλούϊα.

Στίχ. β'. Άσατε τώ Κυρίω ψάλατε τώ ονόματι αυτού.

Σώσον ημάς Υιέ Θεού, ο σαρκί περιτμηθείς...

Στίχ. γ'. Εκ Σιών ή ευπρέπεια τής ωραιότητος αυτού.

Σώσον ημάς Υιέ Θεού, ο σαρκί περιτμηθείς...

Στίχ. δ'. Ο Θεός ημών εν τώ ουρανώ, καί εν τή γή, πάντα όσα ηθέλησεν εποίησεν.

Σώσον ημάς Υιέ Θεού, ο σαρκί περιτμηθείς...

Δόξα... Καί νύν...

Ο μονογενής Υιός καί Λόγος τού Θεού...

## Αντίφωνον Γ'

Στίχ. α'. Τά ελέη σου, Κύριε, εις τόν αιώνα άσομαι.

Μορφήν αναλλοιώτως ανθρωπίνην προσέλαβες, Θεός ών κατ' ουσίαν, πολυεύσπλαγχνε Κύριε, καί Νόμον εκπληρών, περιτομήν, θελήσει καταδέχη σαρκικήν, όπως παύσης τά σκιώδη, καί περιέλης τό κάλυμμα τών παθών ημών, Δόξα τή αγαθότητι τή σή, δόξα τή ευσπλαγχνία σου, δόξα τή ανεκφράστω Λόγε συγκαταβάσει σου.

Στίχ. β'. Απαγγελώ τήν αλήθειάν σου εν τώ στόματί μου.

Μορφήν αναλλοιώτως ανθρωπίνην...

Στίχ. γ'. Ηγάπησας δικαιοσύνην, καί εμίσησας ανομίαν.

Μορφήν αναλλοιώτως ανθρωπίνην...

Εισοδικόν

Δεύτε προσκυνήσωμεν... Σώσον ημάς Υιέ Θεού, ο σαρκί περιτμηθείς, ψάλλοντάς σοι...

Απολυτίκιον τής Εορτής, τού Αγίου καί τού Αγίου τής Μονής. Κοντάκιον «Ο τών όλων Κύριος». Κοινωνικον «Αινείτε». Αντί τού, «Είδομεν τό φώς», λέγομεν «Μορφήν αναλλοιώτως».

Ιστέον δέ, ότι κατά τήν σήμερον τελείται η Λειτουργία τού Μεγάλου Βασιλείου διά τήν Ιεράν αυτού καί σεβάσμιον μνήμην.

---

Αρχή

## ΤΗ Β' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Προεόρτια τών Φώτων, καί μνήμη τού εν Αγίοις Πατρός ημών Σιλβέστρου, Πάπα Ρώμης.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια Προεόρτια.

Ήχος δ'

Ως γενναίον εν Μάρτυσιν

Προεόρτια άσματα, ευσεβώς προηχήσωμεν, τού σεπτού Βαπτίσματος, τού Θεού ημών. Ιδού γάρ μέλλει ως άνθρωπος, σαρκί παραγίνεσθαι, πρός τόν Πρόδρομον αυτού, καί αιτείσθαι τό Βάπτισμα, τό σωτήριον, εις ανάπλασιν πάντων τών εν πίστει, ιερώς φωτιζομένων, καί μετεχόντων τού Πνεύματος.

Ο Χριστός αναδείκνυται, ο Θεός επιφαίνεται, ο Δαυϊδ προέγραψεν εμφανέστατα, καί πρός τόν δούλον τό Βάπτισμα, αιτούμενος έρχεται, Ιορδάνη ποταμέ, ευφροσύνης πληρώθητι. Γή καί θάλασσα, οι βουνοί καί τά όρη, καί ανθρώπων, νύν σκιρτήσατε καρδίαι, φώς νοητόν εισδεχόμεναι.

Ποταμόν τής ειρήνης σε, καί χειμάρρουν ως γέγραπται, τής τρυφής υπάρχοντα παντοδύναμε, πώς σε ποτάμια ρεύματα, εισδέξονται Κύριε, επιβαίνοντα γυμνόν, ουρανούς τόν τοίς νέφεσι, περιβάλλοντα, καί γυμνώσαντα πάσαν τήν κακίαν, τού εχθρού καί αφθαρσίαν, τούς γηγενείς επενδύσαντα;

Έτερα Στιχηρά Προσόμοια τού Αγίου.

Ήχος πλ. δ'
Ώ τού παραδόξου θαύματος

Πάτερ Ιεράρχα Σίλβεστρε, Ιερωσύνης φωτί, Ιερώς φωτιζόμενος, τούς πιστούς εφώτισας, φωτοβόλοις διδάγμασι, Μονάδα φύσει τήν τρισυπόστατον, ουσίαν σέβειν, καί απεδίωξας, σκότος αιρέσεων, τήν φωσφόρον σήμερον, όθεν φαιδρώς, μνήμην σου γηθόμενοι, πανηγυρίζομεν.

Πάτερ θεοφόρε Σίλβεστρε, στύλος ωράθης πυρός, ιερώς προηγούμενος, Ιερού συστήματος, καί νεφέλη σκιάζουσα, Αιγύπτου πλάνης πιστούς εξαίρουσα, καί πρός τήν θείαν γήν μεταφέρουσα, ταίς απλανέσι σου, διδαχαίς εκάστοτε, τήν ευκλεή, όθεν καί πανίερον, μνήμην σου σέβομεν.

Πάτερ θεηγόρε Σίλβεστρε, ρείθροις τών σών προσευχών, τόν πολύμορφον δράκοντα, ασφαλώς απέπνιξας, ιερώς θαυμαζόμενος. Ελλήνων πλήθη, Θεώ προσήγαγες, Εβραίων θράσος δέ εταπείνωσας, θαύματα μέγιστα, εκτελών ενώπιον, τούτων σαφώς, όθεν σε γεραίρομεν, καί μακαρίζομεν.

Δόξα... Καί νύν... Ήχος πλ. β'

Έρχεται πρός Ιορδάνην, Χριστός η αλήθεια, τού βαπτισθήναι υπό Ιωάννου, καί φησί πρός αυτόν. Εγώ χρείαν έχω υπό σού βαπτισθήναι, καί σύ έρχη πρός με; ού τολμώ ο χόρτος προσψαύσαι τώ πυρί, σύ με αγίασον Δέσποτα, τή θεία επιφανεία σου.

Εις τόν Στίχον Στιχηρά Ιδιόμελα.

Ιωάννου Μοναχού
Ήχος α'

Λαμπρά μέν ή παρελθούσα Εορτή, λαμπροτέρα δέ Σωτήρ η επερχομένη. Εκείνη Άγγελον έσχεν ευαγγελιστήν, καί αύτη Πρόδρομον εύρε προετοιμαστήν. Εν εκείνη, αιμάτων εκχεομένων, ως άτεκνος ώδύρετο η Βηθλεέμ, εν ταύτη, υδάτων ευλογουμένων, πολύτεκνος γνωρίζεται η Κολυμβήθρα. Τότε Αστήρ τούς Μάγους εμήνυσε, νύν δέ Πατήρ κόσμω σε υπέδειξεν, ο σαρκωθείς, καί πάλιν ερχόμενος εμφανώς, Κύριε δόξα σοι.

Στίχ. Διά τούτο μνησθήσομαί σου εκ γής Ιορδάνου καί Ερμωνιιμ.

Ανδρέου Ιεροσολυμίτου
Ήχος β'

Πάλιν Ιησούς ο εμός καθαίρεται εν τώ Ιορδάνη, μάλλον δέ καθαίρει τάς αμαρτίας ημών, έρχεται γάρ αληθώς επί τό Βάπτισμα, εκπλύναι θέλων τού Αδάμ τό χειρόγραφον, καί φησί πρός τόν Ιωάννην. Δεύρο υπηρέτησον ώ Βαπτιστά, μυστηρίου ξένου τό κεφάλαιον, δεύρο, έκτεινον τήν σήν χείρα ταχύ, καί άψαι τής κορυφής, τού συντρίψαντος τήν κάραν τού δράκοντος, καί ανοίξαντος τόν Παράδεισον, όν έκλεισεν η παράβασις, απάτη τού όφεως, τή γεύσει τού ξύλου ποτέ.

Στίχ. Είδοσάν σε ύδατα ο Θεός, είδοσάν σε ύδατα καί εφοβήθησαν.

Ήχος γ'

Φαιδρά μέν η παρελθούσα Εορτή, ένδοξος η παρούσα ημέρα. Εν εκείνη, τώ Σωτήρι Μάγοι προσεκύνησαν, εν ταύτη δέ τόν Δεσπότην δούλος κλητός εβάπτισεν. Εκεί Ποιμένες αγραυλούντες, είδον καί εθαύμαζον, ώδε φωνή τού Πατρός, τόν μονογενή Υιόν εκήρυττε.

Δόξα... Καί νύν... ο αυτός

Δεύτε άπαντες πιστοί, τήν Ιουδαίαν αφέντες, διέλθωμεν τήν έρημον τού Ιορδάνου, καί θεασώμεθα σήμερον εκεί, τόν δι' ημάς επιφανέντα σαρκί, τό Βάπτισμα αιτούντα, εν τοίς ρείθροις τού Ιορδάνου, τόν Βαπτιστήν παραιτούμενον, καί βοώντα τώ φόβω. Ου τολμώ χειροθετήσαι τή πηλίνη παλάμη τό πύρ. Ο Ιορδάνης καί η θάλασσα έφυγον, Σωτήρ, καί απεστράφησαν, κάγω πώς επιθήσω επί τήν κορυφήν σου χείρα, ήν τρέμει τά Σεραφίμ; Ανεχώρησεν ο Ιορδάνης, ώς εδέξατο τήν Ηλιού, δι' Ελισσαίου μηλωτήν πώς μή δύη εις χάος καί βάθος, βλέπων γυμνόν σε εν τοίς ρείθροις; πώς δέ μή φλέξη με, όλος εκ σού πυρούμενος; Τί βραδύνεις Βαπτιστά, τού βαπτίσαι τόν Κύριόν μου; ο Ιορδάνης βοά πρός, Ιωάννην. Τί τών πολλών κωλύεις τήν κάθαρσιν, πάσαν την κτίσιν ηγίασεν, άφες αγιάσαι καμέ καί τών υδάτων τήν φύσιν, ότι εις τούτο επεφάνη.

Απολυτίκιον Ήχος δ'

Ετοιμάζου Ζαβουλών, καί ευτρεπίζου Νεφθαλείμ. Ιορδάνη ποταμέ, στήθι υπόδεξαι σκιρτών, τού βαπτισθήναι ερχόμενον τόν Δεσπότην. Αγάλλου ο Αδάμ σύν τή Προμήτορι, μή κρύπτετε εαυτούς, ως εν Παραδείσω τό πρίν, καί γάρ γυμνούς ιδών υμάς επέφανεν, ίνα ενδύση τήν πρώτην στολήν, Χριστός εφάνη, τήν πάσαν κτίσιν, θέλων ανακαινίσαι.

Εκ τρίτου

Εν τοίς Αποδείπνοις ψάλλομεν τό παρόν Τριώδιον, ού η Ακροστιχίς τή δευτέρα

Ωδή α' Ήχος β'

Ο Ειρμός

«Τώ τήν άβατον, κυμαινομένην θάλασσαν, θείω αυτού προστάγματι, αναξηράναντι, καί πεζεύσαι δι' αυτής, τόν Ισραηλίτην λαόν καθοδηγήσαντι, Κυρίω άσωμεν, ενδόξως γάρ δεδόξασται».

Η απόρρητος, τού Κτίστου συγκατάβασις, πρίν εκ Παρθένου λάμψασα, κόσμον κατηύγασεν, αυτός πάλιν ο Χριστός, άλλο νύν μυστήριον, τελέσων έρχεται, εν Ιορδάνη βροτών, εις ξένην αναγέννησιν.

Διακονήσων, έργω φρικτώ προέρχεται, πρός Ιορδάνην Πρόδρομος, νύν η τού Λόγου φωνή, τόν πτωχεύσαντα Αδάμ, ο πλουτών θεότητι, διά τού Πνεύματος γάρ, πλουτήσων ήκει Χριστός, τώ δώρω τού Βαπτίσματος.

Ωδή η'  Ο Ειρμός

«Έφριξε παίδων ευαγών, τό ομόστολον ψυχής άσπιλον σώμα, καί είξε τό τραφέν, εν απείρω ύλη ακάματον πύρ, αειζώου δέ εκμαρανθείσης φλογός, διαιωνίζων ύμνος ανεμέλπετο. Τόν Κύριον, πάντα τά έργα υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Υμάς μου σκεύη εκλεκτά, επιγνώσομαι, εί τής εμής δωρεάς, σφραγίς ενσημανθή, εν υμίν τρισσόν φώς απαστράπτουσα, πρός τό Βάπτισμα Χριστός, ο Λόγος φησί, τοίς ραθυμίας όκνω διαμένουσιν, εν τούτω γάρ νέαν οδόν σωτηρίας, καί ελευθερίας, ζωήν ήκω δωρούμενος.

Τάξεως έμπαλιν εν σοί, φυσικής εστι πράγμα τελούμενον νύν, τό έλαττον καί γάρ, γνώμη ευλογείται τού, κρείττονος, όθεν δέδοικα σήν χειραπτήσαι κάραν, τώ Λυτρωτή εβόησεν ο Πρόδρομος, ου θέμις γάρ χόρτον πυρί προσεγγίζειν, σύ με μάλλον, αγίασον σόν δούλον.

Έτερον Διώδιον, Ήχος ο αυτός

Ού η Ακροστιχίς

Τρίτη τε

Τώ δόγματι τώ τυραννικώ

Ραθυμίας ύπνον ψυχικόν, τινάξαντες καρδίας εγρηγόρσει, τώ ερχομένω καθάραι ψυχάς εν ρείθροις βοήσωμεν. Ευλογείτε τά έργα, Κυρίου τόν Κύριον.

Ικανούσθω πράξις εν ημίν, ψυχής εν υψηλή θεωρία όπως κατ' άμφω φανέντες φαιδροί, τώ πάντας καθαίροντι, Ευλογείτε τά έργα, βοώμεν τόν Κύριον.

Τό τάλαντον λόγω πρακτικώ, κοσμήσαντες εν διπλή εργασία, πίστει τώ δόντι Δεσπότη πιστοί, ως δούλοι προσάξωμεν, βαπτισθήναι μολούντι, ψυχών εις ανάπλασιν.

Ο Ειρμός

«Τώ δόγματι τώ τυραννικώ, οι Όσιοι τρείς Παίδες μή πεισθέντες, εν τή καμίνω βληθέντες Θεόν, ωμολόγουν ψάλλοντες. Ευλογείτε τά έργα, Κυρίου τόν Κύριον».

Ωδή θ'  Ο Ειρμός

«Εμεγάλυνας Χριστέ, τήν τεκούσάν σε Θεοτόκον, αφ ής ο Πλάστης ημών, όμοιοπαθές περιέθου σώμα, τό τών ημετέρων λυτήριον αμπλακημάτων, ταύτην μακαρίζοντες, πάσαι γενεαί σέ μεγαλύνομεν».

Ρύπον πάντα εμπαθή, απωσάμενοι επαξίως, Βαπτίσματος τού θείου, γνώμην αναλάβωμεν έμφρονα, ήκει γάρ ο Κτίστης, κάθαρσιν δωρήσασθαι ξένην, ρείθροις βαπτιζόμενος, πάσί τε καινήν δείξαι αλλοίωσιν.

Αφορώντες είς Χριστόν, ταπεινούμενον εκουσίως, μέχρι καί δούλου μορφής, υπό τήν αυτού χείρα τήν κραταιάν, νύν ταπεινωθώμεν, πνεύματι συνεπαρθέντες, όπως βαπτιζόμενον, τούτον καθαροίς έργοις τιμήσωμεν.

Έτερος

Η τόν αχώρητον Θεόν

Τής αμαρτίας τόν βαρύν, ρύπον απορρίψαντες, καθαροί τώ πάντας Καθαίροντι, ρείθροις θείοις, εποφθώμεν Δεσπότη.

Εν Ιορδάνη ποταμώ, βαπτισθήναι ήκοντι, τώ Χριστώ δεύτε προσεγγίσωμεν, τών δακρύων, καθαρθέντες τοίς ρείθροις.

Εν τή Γεννήσει σου Σωτήρ, ημάς εορτάσαντας, μετά Μάγων καί Ποιμένων, νύν πρόσδεξαι, σέ τιμώντας, βαπτισθήναι μολούντα.

Ο Ειρμός

«Η τόν αχώρητον Θεόν, εν γαστρί χωρήσασα, καί χαράν τώ κόσμω κυήσασα, σέ υμνούμεν, Παναγία Παρθένε»

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος α'

Τόν τάφον σου Σωτήρ

Φορέσας την εμήν, Ιησού μου πτωχείαν, προέρχη σεαυτόν, τοίς οικέταις μιγνύων, καί Βάπτισμα αιτούμενος, υπό δούλου φιλάνθρωπε, όθεν βλέπων σε, ο Ιωάννης εβόα. Πώς βαπτίσω σε, ρύπον μή έχοντα όλως, Θεέ υπεράγαθε;

Δόξα... Καί νύν... όμοιον

Προέρχεσθαι Χριστός, αγαθότητι μέλλει, πρός ρείθρα ποταμού, Ιορδάνου εν τούτοις, ημών τήν ανάπλασιν, απεργάσασθαι χάριτι, θείε Πρόδρομε, τούτον υπόδεξαι χαίρων, καί τοίς ύδασι, τούτον θελήσαντα λούσον, τόν μόνον φιλάνθρωπον.

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος δ'

Ταχύ προκατάλαβε

Πτωχεύσας ο πλούσιος, δι' ευσπλαγχνίαν πολλήν, ημάς τούς πτωχεύσαντας, δι' ακρασίαν ποτέ, πλουτίσαι βουλόμενος, έρχεται επιβήναι, Ιορδάνου τοίς ρείθροις, καί υπό Ιωάννου, προφανώς βαπτισθήναι. Υμνήσωμεν πιστοί, τήν αυτού άκραν ταπείνωσιν.

Δόξα... Καί νύν... όμοιον

Πεπλήρωται σήμερον, τού Ησαϊου φωνή, βοώντος. Ετοιμάσατε, τήν τού

Κυρίου οδόν, καί τρίβους ποιήσατε, ήχησε γάρ ως έφη, η φιλέρημος σάλπιγξ, άπαντας συγκαλούσα, Ιωάννης ο πάνυ, διό συνδράμωμεν άμα, καί παράδοξα ίδωμεν.

Ο Προεόρτιος Κανών, ού η Ακροστιχίς.

Κατά Αλφάβητον, άνευ τών Ειρμών.

Ποίημα Ιωσήφ

Ωδή α' Ήχος β'
Ο Ειρμός
«Τώ τήν άβατον, κυμαινομένην θάλασσαν, θείω αυτού προστάγματι αναξηράναντι, καί πεζεύσαι δι' αυτής, τόν Ισραηλίτην λαόν καθοδηγήσαντι, Κυρίω άσωμεν, ενδόξως γάρ δεδόξασται».

Αισθανόμενος, τήν τού Κυρίου έλευσιν, εκ τής ερήμου πρόεισιν, ο θείος Πρόδρομος, εκβοών περιφανώς, Ήγγικεν επέφανεν, η απολύτρωσις, μετανοήσατε, καί ύδατι καθάρθητε.

Βαπτιζόμενον, αμαρτιών με κλύδωνι, Λόγε Πατρί συνάναρχε, όλον καθάρισον, μετανοίας ραντισμώ, ο τώ βαπτισμώ σου πιστοίς, τήν απολύτρωσιν αεί δωρούμενος, δι' ευσπλαγχνίαν άμετρον.

Γή ως γέγραπται, τού Ζαβουλών τό άδυτον, βλέπουσα φώς αυγάσθητι. Ιδού γάρ πάρεστιν, Ιορδάνου ταίς ροαίς, καί τόν επί πάντων Θεόν, ύμνει κραυγάζουσα, Κυρίω άσωμεν, ενδόξως γάρ δεδόξασται.

Δήμον άπαντα, ο θεηγόρος Πρόδρομος, βλέπων παραγενόμενον, τούτοις εφθέγγετο, Τίς υπέδειξεν υμίν, από τής μελλούσης οργής φυγείν, ποιήσατε τής μετανοίας καρπούς, εν χάριτι σωζόμενοι.

Έτερος κανών τού Αγίου, ού η Ακροστιχίς.

Υμνείν σε πίστει τήν χάριν δίδου μάκαρ. Ιωσήφ.

Ωδή α' Ήχος πλ. δ'
«Η κεκομμένη τήν άτομον έτεμε, καί είδεν ήλιος γήν, ήν ουκ εθεάσατο, αλάστορα εχθρόν τό ύδωρ κατεπόντισε, καί άβατον διήλθεν Ισραήλ, ωδή δέ ανεμέλπετο. Τώ Κυρίω άσωμεν, ενδόξως γάρ δεδόξασται».

Υιοθετήθης εν χάριτι Σίλβεστρε, Θεώ Πατρί καθαρόν, βίον ασπασάμενος, καί θείαις αστραπαίς, ψυχήν φωτοειδέστατος, γενόμενος μετήλθες πρός τό φώς, κραυγάζων τό ανέσπερον. Τώ Κυρίω άσωμεν, ενδόξως γάρ δεδόξασται.

Μεγαλοφρόνως παθών κατεκράτησας, καί σάρκα ασκητικαίς, αγωγαίς υπέταξας, τώ Πνεύματι σοφέ, θείον καταγώγιον, Τριάδος γεγονώς περιφανώς, τής πονηρίας τά πνεύματα, ψάλλων εταπείνωσας. Ενδόξως γάρ δεδόξασται.

Νόμω τώ θείω ενθέως πειθόμενος, καί θεοπνεύστου Γραφής, γνώσει καλλυνόμενος, Ελλήνων τούς σοφούς, αλήθειαν επαίδευσας, Χριστόν ομολογείν σύν τώ Πατρί, βοώντας καί τώ τώ Πνεύματι, Κυρίω άσωμεν, ενδόξως γάρ δεδόξασται.

Εν υποστάσει μιά γνωριζόμενον, τόν σαρκωθέντα Χριστόν, μάκαρ ανεκήρυξας, θελήσεσι διτταίς, καί ενεργείαις Σίλβεστρε, νοούμενον, καί πίστει τούς αυτώ, Θεώσαντα κραυγάζοντας. Τώ Κυρίω άσωμεν, ενδόξως γάρ δεδόξασται.

Θεοτοκίον

Ίνα τούς κάτω τοίς άνω συνάψειεν, ο μόνος πάντων Θεός, μήτραν απειρόγαμον, υπέδυ καί σαρκός, φανείς εν ομοιώματι, τής έχθρας τό μεσότοιχον ελών, ειρήνην εμεσίτευσε, καί ζωήν εβράβευσε, καί θείαν απολύτρωσιν.

Ωδή γ'  Ο Ειρμός

«Στερέωσον ημάς εν σοί Κύριε, ο ξύλω νεκρώσας τήν αμαρτίαν, καί τόν φόβον σου εμφύτευσον, εις τάς καρδίας ημών τών υμνούντων σε».

Επέφανε Χριστός βοά ο Πρόδρομος, καί ρείθροις επιβαίνει τού, Ιορδάνου, υπαντή σαι τούτω σπεύσωμεν, καθαραίς διανοίαις φωτιζόμενοι.

Ζητών ανοδίαις τόν πλανώμενον, Θεέ μου πτωχείαν πλουσιωτάτην, ενδυσάμενος εφίστασαι, βαπτισθήναι η απάντων απολύτρωσις.

Η γή καί ουρανός νύν χορευέτωσαν, ο πάντων βαπτίζεται ευεργέτης, εν τοίς ύδασι βυθίζων ημών, τήν πληθύν τών αμέτρων παραπτώσεων.

Τού Αγίου

Τόν φοβον σου Κύριε

Νοός καθαρότητα, κτησάμενος Ιεράρχης γεγένησαι, χρίσμα άγιον δεξάμενος, διό σε θεοφόρε Πάτερ ευφημούμεν.

Σταυρώ τόν τανύσαντα, παλάμας σαρκί Θεόν ετράνωσας, λογικαίς σου αποδείξεσι, καί Ιουδαίων θράσος, ώλεσας παμμάκαρ.

Εν θαύμασι μέγιστος, γενόμενος φυγαδεύεις τά πταίσματα, καί καθαίρεις τά νοσήματα, τών πίστει αιτουμένων, Σίλβεστρε θεόφρον.

Θεοτοκίον

Παρθένος Αγνή, μετά τήν κύησιν Παναγία διέμεινας, Θεόν Λόγον γάρ εγέννησας, ημίν ομοιωθέντα, χωρίς αμαρτίας.

Ο Ειρμός

«Τόν φόβον σου Κύριε, εμφύτευσον ταίς καρδίαις τών δούλων σου, καί γενού ημίν στερέωμα, τοίς σέ εν αληθεία επικαλουμένοις».

Κάθισμα τού Αγίου

Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Ποταμός ευσεβείας αναδειχθείς, τών δογμάτων σου ρείθροις πάσαν τήν γήν, κατήρδευσας Σίλβεστρε, Ιεράρχης ως ένθεος, καί θαυμάτων όμβροις, παθών ρύπον έπλυνας, καί τρυφής χειμάρρουν, αξίως κεκλήρωσαι, όθεν συνελθόντες, ευσεβώς σε τιμώμεν, εν άσμασι σήμερον, καί πιστώς εκβοώμέν σοι, Ιεράρχα Θεσπέσιε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν Αγίαν μνήμην σου.

Δόξα... Καί νύν... τής Εορτής

Ήχος πλ. δ'

Ανέστης εκ νεκρών

Αόρατε Θεέ, ακατάληπτε Λόγε, ετέχθης εκ Πατρός, υπέρ φύσιν καί λόγον, πάλιν δέ επ' εσχάτων, εκ τής Παρθένου ουκ αλλοιώσας ο ής, έρχη καί εν τοίς ρείθροις, τού Ιορδάνου νύν βαπτισθήναι σαρκί, ο ευδοκήσας σώσαι ως Θεός, τό γένος τών ανθρώπων.

Ωδή δ'  Ο Ειρμός

«Ελήλυθας, εκ Παρθένου ου πρέσβυς ουκ Άγγελος, αλλ' αυτός ο Κύριος σεσαρκωμένος, καί έσωσας, όλον, με τόν άνθρωπον, διό κραυγάζω σοι, Δόξα τή δυνάμει σου Κύριε».

Θαυμάζει σου, Ιησού ευεργέτα τήν άφιξιν, ο μέγιστος Πρόδρομος, καί συστελλόμενος κράζει σοι, Πύρ υπάρχων Δέσποτα, μή καταφλέξης με, χόρτον χρηματίζοντα Κύριε

ιστάμενον, εν τοίς ύδασι τούτοις θελήματι, ορών με νύν πρόσελθε, ώ Ιωάννη καί βάπτισον, όπως τήν δι' ύδατος, χάριν ανθρώπων, τώ γένει απεργάσωμαι.

Κρυπτόμενον, ως νεφέλη σε έγνωκα Ήλιον, Θεέ μου τώ σώματι, πώς ούν γυμνούσαι τά ύδατα, νύν περιβαλλόμενος; ο Ιωάννης εβόα εκπληττόμενος.

Λαμπρύνεται, τών ανθρώπων η φύσις καί λύτρωσιν, τού σκότους εισδέχεται, τής αμαρτίας καί άνωθεν, θείον περιβάλλεται, τής αφθαρσίας χιτώνα γυμνουμένου μου.

Τού Αγίου

Εισακήκοα Κύριε

Ιεράρχης θεόληπτος, χρίων Ιερέας θείω εν Πνεύματι, ανεδείχθης Πάτερ Σίλβεστρε, καί λαούς φωτίζων Ιερώτατε.

Συνεργεία τού Πνεύματος, νόσους απελαύνων πάθη ανίατα, εθεράπευσας πανόλβιε, επιστρέφων πλάνης τούς παράφρονας.

Τών αιρέσεων Σίλβεστρε, πλάνην εκδιώξας, ποίμνην εποίμανας, ευσεβείας βρύων ύδατα, επί χλόην θείας επιγνώσεως.

Εξεχύθη σου χείλεσι, χάρις θείου Πνεύματος, διά τούτό σε, Ιερέα τού λαού αυτού, ο Θεός παμμάκαρ Πάτερ έχρισεν.

Θεοτοκίον

Ιασαί μου τά τραύματα, Κόρη τής καρδίας, καί κατευόδωσον, τής ψυχής μου τά κινήματα, εις Θεού Παρθένε τά θελήματα.

Ωδή ε'  Ο Ειρμός

«Ο τού φωτός χορηγός, καί τών αιώνων ποιητής Κύριος, εν τώ φωτί τών σών προσταγμάτων, οδήγησον ημάς, εκτός σου γάρ άλλον, Θεόν ου γινώσκομεν».

Μετανοείτε βοών, η Βασιλεία τού Θεού ήγγικεν, ο Ιερός Πρόδρομος εφάνη, εκ τής ερημίας, τούς ερημωθέντας ημάς ανακτώμενος.

Νόμος ο πάλαι φησί, καί προφητών ο ιερός σύλλογος. Ήλθε Χριστός ημάς αναπλάττων, τώ θείω βαπτισμώ, τούς παλαιωθέντας, πολλοίς παραπτώμασι.

Ξένα φησί καί φρικτά, ο Ιωάννης καθορώ σήμερον! Νύν η πηγή, τής αθανασίας, προήλθεν εκ μικράς, ρανίδος τό θείον, αιτήσασθαι βάπτισμα.

Τού Αγίου

Ίνα τί με απώσω

Ταίς πλοκαίς τών σών λόγων, άπαντα διέλυσας μάταιον σύνδεσμον, καί πρός θείαν Πίστιν, τούς τή πλάνη δεθέντας συνέδησας, διανοίγων Πάτερ, τούτων τόν νούν τή αναπτύξει, τών Γραφών Ιεράρχα μακάριε.

Η καρδία σου Πάτερ, άμωμος γεγένηται τοίς δικαιώμασι, τού κοινού Δεσπότου, όν ποθήσας σαρκός κατεκράτησας, καί θαυμάτων χάριν, πεπλουτηκώς νόσους ιάσαι, καί ψυχών χαλεπώτατα τραύματα.

Νεμομένης καρδίας, νόσον ψυχολέτειραν δεινής αιρέσεως, τού πικρώς μανέντος, δραστηρίοις φαρμάκοις τών λόγων σου, θεοφόρε στήσας, ως ιατρός χάριτι θεία τού σεπτού εφυγάδευσας Πνεύματος.

Θεοτοκίον

Χαίρε μόνη τεκούσα, τόν Απειροδύναμον σάρκα πτωχεύσαντα. Χαίρε τού

πεσόντος, επανόρθωσις κόσμου Πανάμωμε. Χαίρε λύπης λύσις, χαίρε πιστών η σωτηρία, χαίρε θρόνε Θεού υψηλότατε.

Ωδή ς' Ο Ειρμός

«Άβυσσος αμαρτημάτων, εκύκλωσέ με εσχάτη, αλλ' ως τόν Προφήτην Ιωνάν, ανάγαγε Κύριε, Κύριε, εκ φθοράς τήν ζωήν μου».

Όμβρησον αμαρτημάτων, ημίν φιλάνθρωπε λύσιν, ο τού Ιορδάνου ταίς ροαίς, βυθίσας τά πταίσματα, τών γηγενών, διά έλεος μέγα.

Πέλαγος Χριστέ υπάρχων, δικαιοσύνης προέρχη, νύν εν Ιορδάνη ποταμώ, βυθίσαι τόν δράκοντα, καί τού Αδάμ, τήν παράβασιν πλύναι.

Ρείθρόν σε τής αφθαρσίας, Χριστέ υπάρχοντα όντως, ρείθρα πώς χωρήσει ποταμού; εβόα ο Πρόδρομος, δοξάζων σου, τήν πολλήν ευσπλαγχνίαν.

Τού Αγίου

Τήν δέησιν εκχεώ

Απρόϊτον καί φρουρά αιωνία, συγκλειόμενον ειργάσω ευχαίς σου, τόν πονηρόν, λυμαινόμενον φθόνω, τούς προσιόντας μακάριε δράκοντα, ως θύρας τε, καί ως μοχλούς, τού Σταυρού τήν σφραγίδα ενθέμενος.

Ρημάτων σου μελιρρύτων ο φθόγγος, εις τήν σύμπασαν εξήλθε Παμμάκαρ, καί διδαχών, εις τά πέρατα πάντα, τής οικουμένης τό φέγγος εξέλαμψε, θαυμάτων τε τό διαυγές, καί τών έργων η θεία επίδειξις.

Ιάματα καί χαρίσματα θεία, επομβρίαις αναβλύζων πλουσίως, τού παντουργού, Ιεράρχα παμμάκαρ, καί Παναγίου εκάστοτε Πνεύματος, τούς πίστει σοι ειλικρινεί, προσιόντας ιάσαι εν χάριτι.

Θεοτοκίον

Νοήσαντες θεηγόροι Προφήται, Μυστηρίου σου Παρθένε τό βάθος, προφητικώς, προκατήγγειλαν τούτο, φωταγωγούμενοι θείω εν Πνεύματι, καί νύν ημείς περιχαρώς, τάς εμφάσεις ορώντες πιστεύομεν.

Ο Ειρμός

«Τήν δέησιν εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών, η ψυχή μου επλήσθη, καί η ζωή μου τώ άδη προσήγγισε, καί δέομαι ως Ιωνάς. Εκ φθοράς ο Θεός με ανάγαγε».

Κοντάκιον Προεόρτιον

Ήχος δ' Επεφάνης σήμερον

Εν τοίς ρείθροις σήμερον τού Ιορδάνου, γεγονώς ο Κύριος, τώ Ιωάννη εκβοά. Μή δειλιάσης βαπτίσαι με, σώσαι γάρ ήκω, Αδάμ τόν πρωτόπλαστον.

Ο Οίκος

Ουκ απαιτώ σε, Βαπτιστά, τούς όρους υπερβήναι, ού λέγω σοι. Ειπέ μοι ά

λέγεις τοίς ανόμοις, καί παραινείς αμαρτωλοίς, μόνον βάπτισόν με σιωπών, καί προσδοκών τά υπό τού Βαπτίσματος, έξεις γάρ διά τούτο αξίωμα, όπερ ουχ υπήρξε τοίς Αγγέλοις, καί γάρ πάντων τών Προφητών μείζονά σε ποιήσω, εκείνων μέν ουδείς σαφώς με κατείδεν, αλλ' εν τύποις καί σκιαίς καί ενυπνίοις, σύ δέ, επί σού ιστάμενον κατά γνώμην, σώσαι γάρ ήκω, Αδάμ τόν πρωτόπλαστον.

Έτερον τού Αγίου

Ήχος δ' Τά άνω ζητών

Σοφίας Θεού, εμπλήσας τό στόμα σου, Τριάδος ημίν, τήν γνώσιν ετράνωσας, καί τήν αθεότητα τών τυράννων, κατέβαλες Σίλβεστρε, τή σφεδόνι τών λόγων σου, διό υπέρ ημών δυσώπει τόν Κύριον.

Ο Οίκος

Τού Κορυφαίου τών Αποστόλων τήν καθέδραν πλουτήσας, τού Θεού Λειτουργός εδείχθης θαυμασιώτατος, ωραΐζων, στηρίζων, καί μεγαλύνων δόγμασι θείοις τήν Εκκλησίαν, ως αστήρ δέ φωτοβόλος, φωτίζων φωτί αρετών, Τριάδα σέβειν διδάσκεις, ως αμέριστον μίαν θεότητα, καί τάς αιρέσεις τών δυσμενών απεδίωξας, Σίλβεστρε πάνσοφε, διό υπέρ ημών δυσώπει τόν Κύριον.

Συναξάριον

Τή Β' τού αυτού μηνός, Μνήμη τού εν Αγίοις Πατρός ημών Σιλβέστρου Πάπα Ρώμης.

Στίχοι

Ζωοί νεκρόν βούν, αισχύνων Ζαμβρήν Μάγον,
Ο καί νεκρός ζών, Σίλβεστρος Ρώμης Πάπας.
Θυμόν αποπνείει Σίλβεστρος δευτέρη ηοί.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Ιερομάρτυρος Θεαγένους.

Στίχοι

Θεάγενες, βλήθητι τού πόντου μέσον,
Ώ κάν βυθισθής, ένδον εκνήξη πόλου.

Τή αυτή ημέρα, οι Άγιοι Θεόπεμπτος καί Θεοδότη, η μήτηρ τών Αγίων Αναργύρων, εν ειρήνη τελειούνται.

Στίχοι

Τόν Θεόπεμπτον σαρκικής λύσαι πέδης,
Ήλθον, Θεού πέμψαντος, έμπυροι Νόες.
Νόσω παρήλθε τόν βίον Θεοδότη,
Νόσων λυτήρας η τεκούσα τώ βίω.

Τή αυτή ημέρα ο Όσιος Μάρκος ο κωφός, εν ειρήνη τελειούται.

Στίχοι

Ο Μάρκος ουκ ήκουσε γηΐνων λόγων,
Καί πρίν λιπείν γήν, ώτα γήθεν εξάγων.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Βασιλείου τού εξ Αγκύρας.

Στίχοι

Βρύχημα, χάσμα, δήγμα θηρών αγρίων.
Βασιλείου τό πράον ού κατεπτόει.

Τή αυτή ημέρα, ο Άγιος Σέργιος ξίφει τελειούται.

Στίχοι

Ούχ οίον ειπείν, ουδέ γνώσιν φέρειν,
Οση χαρά Σέργιος ετμήθη κάραν.

Τή αυτή ημέρα, ο Άγιος Θεόπιστος, λιθοβοληθείς τελειούται.

Στίχοι

Κτείνει σε Θεόπιστε πιστέ τοίς λίθοις,
Η τών απίστων πληθύς εκ δυσβουλίας.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Κοσμά, Αρχιεπισκόπου Κωνσταντινουπόλεως τού θαυματουργού, τού εν τή σεβασμία Μονή τής Χώρας.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς.

Ωδή ζ' Ο Ειρμός

«Εικόνος χρυσής εν πεδίω Δεηρά λατρευομένης, οι τρείς σου Παίδες κατεπάτησαν, αθεωτάτου προστάγματος, μέσον δέ πυρός εμβληθέντες, δροσιζόμενοι έψαλλον, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών».

Στολήν ιεράν, επενδύων με Χριστέ τόν γυμνωθέντα, τή συμβουλία τού αλάστορος, γυμνός προβήναι τοίς ύδασιν, είλου αγαθότητος πλούτω, ανυμνώ σου τό εύσπλαγχνον, καί προσκυνώ τήν θαυμαστήν οικονομίαν σου.

Τίς αύτη Χριστέ, η πολλή σου πρός ημάς οικονομία; τίς η πτωχεία; τίς η άφατος καί υπέρ νούν συγκατάβασις; έφη οπηνίκα σε είδεν, ο Ιωάννης γυμνούμενον, καί βαπτισθήναι υπ' αυτού εγκελευόμενον.

Υφήψας Χριστέ, ώς περ λύχνον τήν σεπτήν σάρκα σου μέσον, τού Ιορδάνου καί εζήτησας, τήν συγχωσθείσαν τοίς πάθεσι, καί τή άμαρτία εικόνα, καί ευρών κατεκάλλυνας, τώ Βαπτισμώ σου αγαθέ, όθεν υμνούμέν σε.

Τού Αγίου

Οι εκ τής Ιουδαίας

Δίκαιος ώσπερ φοίνιξ, εν τώ οίκω Κυρίου Πάτερ εξήνθησας, καρπούς δικαιοσύνης, εξ ών οι σέ τιμώντες, διατρέφονται ψάλλοντες, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Ισχυραίς τών σών λόγων, αποδείξεσιν είλες τούς ματαιόφρονας, νοσούντας απιστίαν, καί χαίρων εμελώδεις, παναοίδιμε Σίλβεστρε, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Διαμένει η δόξα, εις αιώνάς σου Πάτερ καί τό μνημόσυνον, σύν πάσι τοίς Δικαίοις, μεθ' ών ημών τών πίστει, μελωδούντων μνημόνευε. Ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Ο κλεινός Ιεράρχης, τή τού Πνεύματος αίγλη καταλαμπόμενος, τό σκότος τής κακίας, διέλυσε καί πάντας, τούς βοώντας εφώτισεν. Ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Θεοτοκίον

Υπερθαύμαστε Κόρη, τόν πρό πάντων αιώνων εκυοφόρησας, ημίν Ομοιωθέντα, δι' άκραν ευσπλαγχνίαν, ίνα σώση τούς ψάλλοντας. ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Ωδή η' Ο Ειρμός

«Τόν εν καμίνω τού πυρός, τών Εβραίων τοίς Παισί συγκαταβάντα καί τήν φλόγα εις δρόσον μεταβαλόντα Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Φωνή βοώντος εμφανώς, εν ερήμω επιστάς ο Ιωάννης, επιστρέφων καρδίας, μετανοούσας θερμώς δοξάζειν τόν επιφαι νόμενον, εν τώ Ιορδάνη, Σωτήρα καί Δεσπότην.

Χειμάρρους πέφυκας τρυφής, ο θαλάσσας καί πηγάς δημιουργήσας, καί πώς ύδασι βαίνεις; τί αποπλύναι ζητών, η πάντων έκπλυσις καί κάθαρσις, τών υμνολογούντων, Χριστέ σε εις αιώνας.

Ψύξαι τά ρεύματα ζητών, τής κακίας τού εχθρού καί τάς θαλάσκιιιιας σας, τών παθών αναστείλαι, καί τοίς πιστοίς ιλασμόν, πηγάσαι καί άφεσιν Δέσποτα, έρχη βαπτισθήναι, εν ρείθροις, Ιορδάνου.

Ωρών καί χρόνων Ποιητά, υπό χρόνον γεγονως δι' ευσπλαγχνίαν, ο αχρόνως εκλάμψας, εκ προανάρχου Πατρός, επέστης τά χρόνια πταίσματα πάντων αποπλύναι, εν ρείθροις Ιορδάνου.

Τού Αγίου

Νικηταί Τυράννου

Μίαν φύσιν Πάτερ, τής μιάς θεότητος θεολογήσας, εν τρισί προσώποις, νοουμένης έμελπες ακαταπαύστως. Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Αληθείας Πάτερ, αληθής διδάσκαλος ανηγορεύθης, ψευδωνύμου πλάνης

όθεν εστηλίτευσας απάτην μέλπων. Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Κορυφαίος ώφθης, ιερού συστήματος Ιερομύστα, καί τού Κορυφαίου, Μαθητών εκόσμησας βοών τόν θρόνον. Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Αρεταίς ενθέοις, Πάτερ τήν καρδίαν σου κατακαλλύνας, όλος ωραιώθης, καί ταίς άνω τάξεσι βοών συνήφθης. Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Ρήμασί σου θείοις, γενεαί επόμεναι αι τών ανθρώπων, μακαρίζομέν σε τήν άειιιμακάριστον καί μελωδούμεν. Ευλογειτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Νικηταί τυράννου, καί φλογός τή χάριτί σου γεγονότες, οι τών εντολών σου, σφόδρα αντεχόμενοι Παίδες εβόων. Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε εις πάντας τούς αιώνας».

Ωδή θ'  Ο Ειρμός

«Τόν εκ Θεού Θεόν Λόγον, τόν αρρήτω σοφία, ήκοντα καινουργήσαι τόν Αδάμ, βρώσει φθορά πεπτωκότα δεινώς, εξ αγίας Παρθένου, αφράστως σαρκωθέντα δι' ημάς, οι πιστοί ομοφώνως, εν ύμνοις μεγαλύνομεν».

Ιδών σε ο Ιωάννης, πρός αυτόν Ευεργέτα, ελθοντα καί αιτούντα παρ' αυτού, εν ταπεινώσει τό Βάπτισμα, εκπλαγείς συνεστάλη, μηδόλως χειραπτήσαί σε τολμών, τόν απτόμενον πάντα, ορέων καί καπνίζονται.

Ως χελιδών σεμνοτάπη, προμηνύουσα έαρ, επέστη νοητόν ο Βαπτιστής, τοίς εν χειμώνι υπάρχουσι, τών αμέτρων πταισμάτων, καί ζάλην υπομένουσιν αεί, εναντίων πνευμάτων, πονηροτάτοις πάθεσι.

Σέ τό απαύγασμα δόξης, τού Πατρός επιλάμψαν, τοίς σκότει καθημένοις τών δεινών, άδυτε Ήλιε Κύριε, καί ερχόμενον πάντας, φωτίσαι ιερώ σου Βαπτισμώ ως Θεόν καί Σωτήρα, εν ύμνοις μεγαλύνομεν.

Η τού θανάτου αξίνη, εν τή ρίζη κειμένη, ως δένδρω απειλεί τήν εκτομήν, τήν ακαρπίαν σου βλέπουσα, μή ούν άκαρπος μείνης, ψυχή μου, αλλά βόησον Θεώ, εν θερμή μετανοία. Ημάρτηκά σοι, σώσόν με.

Φωνή βοώντος ηκούσθη, εν ερήμοις καρδίαις. Ευφράνθητε, επέστη ο Χριστός, άφεσιν πάσι δωρούμενος, αγιάσθητε πάσα, η θάλασσα πηγαί καί ποταμοί, καί κοιλάδες καί νάπαι, καί πάσα η υφήλιος.

Τού Αγίου

Κυρίως Θεοτόκον
Ιέρευσας προθύμως, σεαυτόν Παμμάκαρ, τών ηδονών τή νεκρώσει καί γέγονας, τού δι' ημάς νεκρωθέντος, θύμα ευπρόσδεκτον.

Ως θείος Κορυφαίος, ιερών Πατέρων, ιερώτατον δόγμα εκράτυνας, αιρετικών αποφράξας, άθεα στόματα.

Συνήφθης ταίς χορείαις, ταίς τών Ασωμάτων, τούς ασωμάτους εχθρούς τροπωσάμενος, περιφανώς Ιεράρχα, θεόφρον Σίλβεστρε.

Η μνήμη σου τώ κόσμω, Πάτερ Ιεράρχα, ως φωταυγής εξανέτειλεν ήλιος, φωταγωγούσα τούς πίστει, ανευφημούντάς σε.

Θεοτοκίον
Φιλάγαθε Παρθένε, τήν κεκακωμένην, τή αμαρτία ψυχήν μου αγάθυνον, τόν αγαθόν η τεκούσα, Θεόν καί Κύριον.

Ο Ειρμός
«Κυρίως Θεοτόκον, σέ ομολογούμεν, οι διά σού σεσωσμένοι Παρθένε Αγνή, σύν Ασωμάτοις χορείαις, σέ μεγαλύνοντες.

Εξαποστειλάριον
Γυναίκες ακουτίσθητε
Φωνή βοώντος ήχησε καί οι βουνοί σκιρτήσατε, χόρευσον γένος ανθρώπων, ο γάρ προάναρχος Λόγος, σάρκα λαβών ως άνθρωπος, ήκει βαπτισθησόμενος, υπό χειρών ών έπλασεν, εν Ιορδάνη και λύσων, τού κόσμου τήν άμαρτίαν.

Όμοιον
Πώς ρείθρά σε ποτάμια, εισδέξονται Φιλάνθρωπε, τόν ποταμούς καί θαλάσσας, ποιήσαντα εκ μή όντων; πώς κορυφήν τήν άχραντον, τήν σήν τολμήσει Πρόδρομος, χειροθετήσαι Δέσποτα; υμνούμεν φρίττοντες Λόγε, τής σής πτωχείας τό ύψος.

Εις τούς Αίνους ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια, ών η ακροστιχίς μέχρι τών τής Ε' τού παρόντος μηνός. Άσμα Θεοφάνους εις τά Φώτα.

Ήχος πλ. β'  Αι Αγγελικαί
Αι Αγγελικαί, προπορεύεσθε Δυνάμεις, εκ τής Βηθλεέμ, πρός τά ρείθρα Ιορδάνου. Προέρχου Ιωάννη, καταλείψας τήν έρημον. Χαίρε ποταμέ καί ευτρεπίζου. Πάσα δέ γή αγαλλιάσθω. Χριστός έρχεται, τήν αμαρτίαν τού Αδάμ, καθάραι ως εύσπλαγχνος.

Στόμασιν αγνοίς, καί ψυχαίς κεκαθαρμέναις, δεύτε μυστικώς, Βηθλεέμ μεταχωρούντες, καί πρός τόν Ιορδάνην, σύν Χριστώ επειγόμενοι, άσωμεν αυτώ μετ' ευφροσύνης, αι πατριαί τής γής νύν πάσαι, πιστώς λέγουσαι.

Ευλογημένος ο ελθών, Θεός ημών δόξα σοι.

Μέγα καί φρικτόν, τό μυστήριον υπάρχει! ότι ο Θεός, τοίς ανθρώποις ωμοιώθη, καί αμαρτίαν όλως, μή ειδως ο ανεύθυνος, υπό Ιωάννου βαπτισθήναι, εν ποταμώ τώ Ιορδάνη, αιτεί σήμερον. Ευλογημένος ο φανείς, Θεός ημών δόξα σοι.

Άνθος εκ Δαυϊδ, ανατείλας τής Παρθένου, ήλθεν ο Χριστός, πρός τά ρείθρα Ιορδάνου, τάς αμαρτίας πλύναι, τού Προπάτορος ύδασι. Χόρευσον Αδάμ, ευφραίνου Εύα, ο ουρανός αγαλλιάσθω, λαοί είπωμεν. Ευλογημένος ο ελθών, Θεός ημών δόξα σοι.

Δόξα... όμοιον

Τρέμει τή χειρί, δειλιών χειροθετήσαι, χαίρει τή ψυχή, εννοών ο Ιωάννης, ότι τήν κορυφήν σου, υποκλίναι ηυδόκησας, δούλου τήν μορφήν ενδεδυμένος, ίνα βροτούς δουλείας ρύση, εχθρού κράζοντας. Ευλογημένος ο ελθών, Θεός ημών δόξα σοι.

Καί νύν... όμοιον

Άπασα η γή, μυστικώς αγαλλιάσθω, νύν προφητικώς, καί τά όρη σκιρτησάτω, ανάστρεψον τό ρείθρον, Ιορδάνη ως γέγραπται, φρίξον εκ προσώπου τού Δεσπότου, ότι Θεός ενανθρωπήσας, βροτούς άπαντας, τής αμαρτίας τού Αδάμ, καθάραι ελήλυθεν.

## Απόστιχα Στιχηρά Ιδιομελα.

Ήχος πλ. β'

Φαιδροτέρα ηλίου γέγονεν, η παρελθούσα εορτή τών Γενεθλίων Χριστού, λαμπρά καί επίφωτος δείκνυται η επερχομένη, τής θείας Επιφανείας αυτού. Εν εκείνη Ποιμένες, μετ' Αγγέλων δοξολογούντες, προσεκύνησαν Θεόν ενανθρωπήσαντα, εν ταύτη δέ τού Δεσπότου ο Ιωάννης αψάμενος τή δεξιά χειρί, σύν τρόμω έλεγεν. Αγίασον εμέ καί τά ύδατα, ο μόνος έχων τό μέγα έλεος.

Στίχ. Διά τούτο μνησθήσομαί σου εκ γής Ιορδάνου καί Ερμωνιιμ.

Ετοιμάζου Ιορδάνη ποταμέ. Ιδού γάρ παραγίνεται Χριστός ο Θεός, βαπτισθήναι υπό Ιωάννου, ίνα τών δρακόντων αοράτους κεφαλάς συνθλάση τή θεότητι, εν τοίς ύδασι τοίς σοίς. Αγάλλου η έρημος, Ιορδάνου, τά όρη σκιρτήσατε μετ' ευφροσύνης, ήκει γάρ η αιώνιος ζωή, ανακαλέσαι τόν Αδάμ. Φωνή βοώντος βόησον, ώ Ιωάννη Πρόδρομε. Ετοιμάσατε οδούς τού Κυρίου, καί τάς τρίβους αυτού ευθείας απεργάσασθε.

Στίχ. Είδοσάν σε ύδατα ο Θεός, είδοσάν σε ύδατα καί εφοβήθησαν.

Αγαλλιάσθω η έρημος τού Ιορδάνου, καί ανθείτω ως κρίνον, φωνή γάρ βοώντος ηκούσθη εν αυτή. Ετοιμάσατε την οδόν τού Κυρίου, ο γάρ τά όρη

στήσας σταθμώ, καί τάς νάπας ζυγώ, ο τά πάντα πληρώνω Θεός, βαπτίζεται υπό δούλου, πτωχεύειν ήρξατο, ο τά πλούσια δώρα χαριζόμενος. Ήκουσεν Εύα, εν λύπαις τέξη τέκνα, νύν δέ ήκουσεν η Παρθένος, Χαίρε κεχαριτωμένη, ο Κύριος μετά σού, ο έχων τό μέγα έλεος.

Δόξα... Καί νύν...

Ήχος πλ. δ' Ανατολίου

Ιωάννη Βαπτιστά, ο εν μήτρα γνωρίσας με τόν αμνόν, εν ποταμώ μοι διακόνησον, μετ' Αγγέλων μοι λειτούργησον, εκτείνας άψαι τή παλάμη, τής κορυφής μου τής αχράντου, καί όταν. ίδης τά όρη τρέμοντα, καί τόν Ιορδάνην επαναστραφέντα, σύν τούτοις βόησον, ο σαρκωθείς εκ Παρθένου, εις ημών σωτηρίαν, Κύριε δόξα σοι.

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Γ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Προεόρτια τών Φώτων, καί μνήμη τού Αγίου Προφήτου Μαλαχίου, καί τού Αγίου Μάρτυρος Γορδίου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχ. ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τού Προφήτου.

Ήχος πλ. δ'

Κύριε, εί καί κριτηρίω

Κύριε, σοί τόν σόν Προφήτην ικέτην, καί πρεσβευτήν προχειρίζομαι, ού ταίς ικεσίαις οικτίρμον, καί ταίς πρεσβείαις ως εύσπλαγχνος, απεγνωσμένης ψυχής, τά πταίσματα διάλυσον, ουσιώδη κεκτημένος, καί φυσικήν αγαθότητα.

Ρήματα, τής θεοκινήτου σου γλώττης, εκβεβηκότα Θεώμενος, σέ νύν μακαρίζω Προφήτα, τής αληθείας αγάμενος, σύ γάρ φωνή λιγυρά, τόν κόσμον περιήχησας, τήν τού Κυρίου προαγορεύων, παρουσίαν τήν σωτήριον.

Άγγελος, αγγελομιμήτω σου βίω, επί τής γής εχρημάτισας, καί προσηγορίαν Αγγέλου, παναρμονίως επλούτησας, τήν καλλονήν τής ψυχής, τώ κάλλει τώ τού σώματος, καταλλήλως συναρμόσας, Μαλαχία παμμακάριστε.

Έτερα Στιχηρά Προσόμοια τού Μάρτυρος.

Ήχος ο αυτός

Ώ τού παραδόξου θαυματος

Κορυφουμένην Θεώμενος, τήν τής απάτης αχλύν, φυγαδεύων εμάκρυνας, αθλοφόρε Γόρδιε, τόν Θεόν προσδεχόμενος, πολλοίς δέ πόνοις,

εγγυμνασάμενος, καί ταίς νηστείαις παιδοτριβούμενος, ώσπερ αισθόμενος, τής σαυτού δυνάμεως, αγωνιστής, ώρμησας αυτόκλητος, πρός τόν αντίπαλον.

Σφόδρα πεποιθώς κατείληφας, τών δυσμενών τήν πληθύν, παναοίδιμε Γόρδιε, παρ' ουδέν ηγούμενος, τών ανόμων τό θέατρον, καί στάς εν μέσω, κήρυξ αυτόμολος, μεγαλοφώνως Χριστόν εκήρυξας, Κτίστην καί Κύριον, τώ Πατρί συνάναρχον, καί τώ σεπτώ, Πνεύματι ομότιμον, καί συναϊδιον.

Ξίφει κεφαλήν τεμνόμενος, από ζωής εις ζωήν, εκ θνητής εις αθάνατον, καί φθαρτής πρός άφθαρτον, προφανώς μεταβέβηκας, μή αναμείνας φύσεως νέκρωσιν, αλλ' αυθαιρέτως θανείν ελόμενος. Ώ τών αγώνων σου, Αθλοφόρε Γόρδιε! δι' ών Χριστόν, Μάρτυς εμεγάλυνας, τόν μόνον εύσπλαγχνον.

Δόξα... Καί νύν...

Ήχος δ' Ιωάννου Μοναχού

Ω τού παραδόξου θαύματος! ο εν Πνεύματι Αγίω βαπτίζων καί πυρί, εν Ιορδάνη έρχεται βαπτισθήναι υπό Ιωάννου, Θεός ού γυμνός, ουδέ άνθρωπος ψιλός, αλλ' εν δυσί ταίς φύσεσιν, εις ο αυτός Υιός μονογενής, ζητών μέν τό βάπτισμα, ως άνθρωπος εκ θνητού, αίρων δέ ως Θεός, τήν αμαρτίαν τού κόσμου, καί παρέχων πάσι τό μέγα έλεος.

Απόστιχα. Στιχηρά Προσόμοια.

Ήχος πλ. β'

Τριήμερος ανέστης Χριστέ

Ιδού ο φωτισμός τών πιστών, ιδού ο ιλασμός ημών, επιβαίνειν, μέλλει ρείθροις ποταμού, τόν ρύπον όπως πλύνη, κακίας τών ανθρώπων, καί αναπλάση συντριβέντας ημάς.

Στίχ. Διά τούτο μνησθήσομαί σου εκ γής Ιορδάνου καί Ερμωνιιμ.

Ως είδέ σε ερχόμενον, ο Πρόδρομός σου Κύριε, καί αιτούντα, βαπτισθήναι υπ' αυτού, εν φόβω ανεβόα, Θεέ μου πλαστουργέ μου, πώς σε βαπτίσω τόν αμόλυντον,

Στίχ. Είδοσάν σε ύδατα ο Θεός, είδοσάν σε ύδατα καί εφοβήθησαν.

Συνέλθωμεν πιστοί νοητώς, πρός τάς τού Ιορδάνου ροάς, θαύμα μέγα, όπως ίδωμεν σαφώς, ο Κτίστης γάρ τών όλων, επιφανείς ωράθη, καί βαπτισθήναι παραγέγονε.

Δόξα... Καί νύν... Ήχος πλ. α'

Εν Ιορδάνη ποταμώ Χριστός ο Θεός ημών, μολεί πρός τό Βάπτισμα, καθάραι θέλων ημάς, εκ τών ανομιών ημών, τή αυτού επιφανεία, ως μόνος αγαθός καί φιλάνθρωπος.

Απολυτίκιον Προεόρτιον
Ήχος δ'

Ετοιμάζου Ζαβουλών, καί ευτρεπίζου Νεφθαλείμ. Ιορδάνη ποταμέ, στήθι υπόδεξαι σκιρτών, τού βαπτισθήναι ερχόμενον τόν Δεσπότην. Αγάλλου ο Αδάμ σύν τή Προμήτορι, μή κρύπτετε εαυτούς, ως εν Παραδείσω τό πρίν, καί γάρ γυμνούς ιδών υμάς επέφανεν, ίνα ενδύση τήν πρώτην στολήν, Χριστός εφάνη, τήν πάσαν κτίσιν, θέλων ανακαινίσαι.

Εν τοίς Αποδείπνοις ψάλλομεν τό παρόν Τριώδιον, ού η Ακροστιχίς.

Τετράδι ψαλώ

Ωδή γ'  Ήχος β'  Ο Ειρμός

«Της πίστεως εν πέτρα με στερεώσας, επλάτυνας τό στόμα μου επ' εχθρούς μου, ηυφράνθη γάρ τό πνεύμά μου εν τώ ψάλλειν, ουκ έστιν άγιος, ως ο Θεός ημών, καί ουκ έστι δίκαιος, πλήν σου Κύριε».

Εν κενοίς η επίνοια τού Ηρώδου, τού μέλλοντας τυχείν τής ελευθερίας, ανόμως ανελόντος παίδας, Χριστός γάρ, ο λυτρωτής ημών, ζωήν χαρίζεται, πάσι τήν ανώλεθρον βαπτιζόμενος.

Τό δεινόν βουλευτήριον τού Ηρώδου, νηπίων πρίν απέκτεινε νεολαίαν, τήν Βηθλεέμ αιμάτων πληρώσαν, νύν δέ, τή Εκκλησία Χριστός έρχεται, τέκνα πολλά, διά τού Βαπτίσματος εισποιήσασθαι.

Έτερον Τριώδιον, ού η Ακροστιχίς.

Προσάββατόν τε

Ωδή ε'  Ήχος πλ. β'  Ο Ειρμός

«Πρός σέ ορθρίζω, τόν δι' ευσπλαγχνίαν, σεαυτόν τώ πεσοντι, κενώσαντα ατρέπτως, καί δούλου χειρί, βαπτισθήναι θελήσαντα, Λόγε Θεού, τήν ειρήνην πα ράσχου μοι φιλάνθρωπε».

Ρυφθέντες φρένας, καί προκαθαρθέντες, μυστηρίου μεθέξει, φρικτής οικονομίας, άπαντες πιστοί, ερχομένω Χριστώ, υπαντήσωμεν, Ιορδάνου τοίς ρείθροις εκκαθάραι ημάς.

Οράτε φίλοι, τήν φωνήν τού Λόγου, τού Ηλίου τόν λύχνον, τόν φίλον τού Νυμφίου, Μετανοείτε τοίς λαοίς εκβοώντα, καί σπεύσατε καθαρθήναι, τού Κτίστου εις υπάντησιν.

Ωδή η'  Ο Ειρμός

«Ρήμα Τυράννου, επεί υπερίσχυσεν, επταπλασίως κάμινος, εξεκαύθη ποτέ, εν ή Παίδες ουκ εφλέχθησαν, βασιλέως πατήσαντες δόγμα, αλλ' εβόων.

Πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Αποκενούντες, δακρύων πηγάς οι πιστοί, έξ οφθαλμών καθάρωμεν, πάντα ρύπον ψυχών, καί φώς εν φωτί τρισσόν οψόμεθα, βαπτισθήναι Χριστού ερχομένου, ώ προσμαρτυρήσει Πατήρ ουρανόθεν, καί Πνεύματος Αγίου, λάμψει παρουσία, περιστεράς εν είδει.

Δάκρυον άπαν, Χριστός αφαιρούμενος, από παντός προσώπου, προέρχεται ψυχών, πολυώδυνα νοσήματα, ανωδύνως εν ύδατι παύων, καί παλαιωθέντας ανθρώπους, καινίζων τή παλιγγενεσία, τούς υμνολογούντας αύτον εις τούς αιώνας.

Ιερουργούνται, ψυχαί τού Βαπτίσματος, τώ θεοσδότω λουτρώ, καί Πνεύματος πυρί, του τά πάθη εκκαθαίροντος, καί τήν ύλην συμφλέγοντος πάσαν, μοχθηράς κακίας, καί χάριν διδόντος, βοάν εν κατανύξει. Σέ υπερυψούμεν, Χριστέ εις τούς αιώνας.

Έτερος

Στήλην κακίας

Από βλεφάρων, ψυχών κακίας ύπνον εκτιναξάμενοι, τάς πονηρίας αφελώμεθα, πιστοί καρδιών ημών, καί δάκρυσι θερμοίς, λούσωμεν φρένας, θεαταί τού επιφανέντος, όπως οφθώμεν, τόν Χριστόν δοξάζοντες εις τούς αιώνας.

Βέβηλον έπος, πονηρών εννοημάτων μή προσενέγκωμεν, λόγον δέ θείον μελετήσαντες, τοίς ύμνοις προσάξωμεν τώ Λόγω, δι' ημάς σαρκί φανέντι, καί φωτίζοντι τούς εν σκότει, όν πάσα κτίσις ευλογεί, δοξάζουσα εις τούς αιώνας.

Βάθους σοφίας, κεκρυμμένον μυστήριον, νύν φανερούται βροτοίς, Θεού κριμάτων νύν η άβυσσος, πιστοίς εκκαλύπτεται, Θεού μετά σαρκός εν γή φανέντος, εις ανάπλασιν βροτείου γένους, όν πάσα κτίσις ευλογεί, δοξάζουσα εις τούς αιώνας.

Απαγορεύεις, Ιωάννη όπερ δράσεις τάχος υπείκων μου, Άφες ούν άρτι, ούτω πρέπον γάρ ημίν εστιν άπασαν, πληρώσαι αληθώς δικαιοσύνην, ο Δεσπότης τώ δούλω έφη, όν πάσα κτίσις ευλογεί, δοξάζουσα εις τούς αιώνας.

Ο Ειρμός

«Στήλην κακίας, τού δεινού Ηρώδου πάντες εκμυκτηρίσαντες, πρός Ιορδάνην δεύτε. ίωμεν, πιστοί ίν, οψώμεθα, Χριστόν τόν λυτρωτήν, υπό Προδρόμου, βαπτιζόμενον σαρκί εν ρείθροις, όν πάσα κτίσις ευλογεί, δοξάζουσα εις τούς αιώνας».

Ωδή θ'  Ο Ειρμός

«Ψυχαίς καθαραίς, καί αρρυπώτοις χείλεσι, δεύτε μεγαλύνωμεν, τήν ακηλίδωτον, καί υπέραγνον Μητέρα τού Εμμανουήλ, δι' αυτής τώ εξ αυτής, προσφέροντες πρεσβείαν τεχθέντι. Φείσαι τών ψυχών ημών, Χριστέ ο Θεός, καί σώσον ημάς».

Αγνώμων μηδείς, καί πρός Χριστόν αχάριστος, έστω τό μακρόθυμον τής ανοχής αυτού, καί χρηστότητος υβρίζων καταφρονήσει, αλλ' εν φόβω καί χαρά δουλεύσωμεν, αυτώ μελωδούντες. Φείσαι τών ψυχών ημών, Χριστέ ο Θεός, καί σώσον ημάς,

Λέγει τοίς λαοίς, τών απειθών ο Πρόδρομος. Τίς υμίν υπέδειξεν, εκ τής οργής φυγείν, εχιδνών γεννήματα τής μελλούσης; μετανοίας ούν καρπούς, ενδείξασθε αξίους βοώντες. Φείσαι τών ψυχών ημών, Χριστέ ο Θεός, καί σώσον ημάς.

Ωπηρωτικής, αγνωμοσύνης τόλμημα! όν γάρ οι αλλόφυλοι, ως λυτρωτήν Χριστόν, προσεκύνησαν εν δώροις τετιμηκότες, οι οικείοι μανικώς, εζήτουν αποκτείναι φανέντα. Φείσαι τών ψυχών ημών, Χριστέ ο Θεός, καί σώσον ημάς.

Έτερος

Τήν τιμιωτέραν

Ο λέθριον πτώμα τό τού Αδάμ, νύν επανορθώσων, επεφάνη νέος, Αδάμ, τήν ελευθερίαν, τής παλιγγενεσίας, παρέχων παραδόξως, διά Βαπτίσματος.

Νόμον καί Προφήτας αποπληρών, καί δικαιοσύνην, εκτελών ο πάντων Σωτήρ, νύν υπό παλάμης, χειροθετείται δούλου, δουλείας αφαρπάζων, εχθρού τόν άνθρωπον.

Τοίς Έθνεσιν έλαμψε μέγα φώς, τοίς εσκοτισμένοις, θεϊκή ανέσχεν αυγή, τοίς εν σκιά πάλαι θανάτου καθημένοις, ο Ήλιος τής δόξης, Χριστός ανέτειλεν.

Εκύκλουν Αγγέλων αι στρατιαί, τόν εν Ιορδάνη, βαπτιζόμενον Λυτρωτήν, καί τρόμω τό μέγα, Μυστήριον ανύμνουν, τής τούτου απορρήτου, συγκαταβάσεως.

Είτα τόν Ειρμόν

«Τήν τιμιωτέραν τών Χερουβίμ, καί ενδοξοτέραν, ασυγκρίτως τών Σεραφίμ, τήν αδιαφθόρως, Θεόν Λόγον τεκούσαν, τήν όντως Θεοτόκον, σέ μεγαλύνομεν».

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα  Ήχος γ
Τήν ωραιότητα

Ο απερίγραπτος ών τή θεότητι, περιγραφόμενος ύλη τού σώματος, μέλλει προέρχεσθαι ροαίς, Ιορδάνου τού βαπτισθήναι. Τούτον καθαρότητι, διανοίας δεξώμεθα, πάντων γάρ εργάσασθαι, τήν ανάπλασιν βούλεται, πρός όν νύν εκβοήσωμεν φόβω. Δόξα Χριστέ τή επιφανεία σου.

Δόξα... Καί νύν... όμοιον

Επιφανέντος σου εν Ιορδάνη Σωτήρ, επί τά ύδατα τού βαπτισθήναι σαρκί, αι τών Αγγέλων στρατιαί, εξίσταντο καθορώσαι, δούλω παριστάμενον, τόν Δεσπότην τής κτίσεως, άνωθεν εκήρυττε, σέ Πατήρ ο προάναρχος, διό μετ' ευφροούνης βοώμέν σοι. Δόξα Χριστέ τή επιφανεία σου.

Μετά τήν β' Στιχολογίαν

Κάθισμα  Ήχος πλ. α'
Τόν συνάναρχον Λόγον

Τόν ομότιμον Λόγον Πατρί καί Πνεύματι, σαρκωθέντα δι' οίκτον καί βαπτιζόμενον, τών Αγγέλων οι χοροί, βλέποντες έτρεμον, καί Ιορδάνης ποταμός, ευλαβηθείς καί φοβηθείς, εστράφη εις τά οπίσω, ημάς ανάγων πρός ύψος, τής σωτηρίας, πάθεσι ρεύσαντας.

Δόξα... Καί νύν... όμοιον

Ο συνάναρχος Λόγος Πατρί καί Πνεύματι, μορφωθείς διά σπλάγχνα νύν τό αλλότριον, βαπτισθήναι δι' ημάς, ήδη επείγεται, υπαντήσωμεν αυτώ, διανοία καθαρά, Ευλογητός εί βοώντες, Χριστέ Σωτήρ ευεργέτα, ο αγιάσαι ημάς ερχόμενος.

Κανόνες τρείς, ο Προεόρτιος εις ς' τού Προφήτου εις δ' καί τού Μάρτυρος εις δ'.

Ο Προεόρτιος, ού η ακροστιχίς, κατά Αλφάβητον.
Ιωσήφ.

Ωδή α'  Ήχος δ'  Ο Ειρμός

«Ανοίξω τό στομα μου, καί πληρωθήσεται Πνεύματος, καί λόγον ερεύξομαι, τή Βασιλίδι Μητρί, καί οφθήσομαι, φαιδρώς πανηγυρίζων, καί άσω γηθόμενος, ταύτης τά θαύματα».

Αβύσσους προστάγματι, δημιουργήσας φιλάνθρωπε, τήν γήν ο τοίς ύδασι, κρεμάσας Κύριε, ταπεινούμενος, προέρχη βαπτισθήναι, ποταμίοις ρεύμασι, πλύνων με ρύπου παθών.

Βουλήσει επτώχευσας, τόν εκουσίως πτωχεύσαντα, κακών επιδόσεσιν, εμέ πλουτίζων Χριστέ, καί εν ύδασι, προέρχη Ιορδάνου, Βάπτισμα αιτούμενος, ο αναμάρτητος.

Γηράσαντα πταίσμασι, κόσμον καινίζων Φιλάνθρωπε, ξένην αναγέννησιν, έρχη ποιήσασθαι, διά ύδατος καί πνεύματος ανθρώποις, όθεν, σου δοξάζομεν, τήν επιφάνειαν.

Δαυίδ θείω Πνεύματι, προκελαδών απεφθέγγετο. Τί σοι έστι θάλασσα, ότι νύν έφυγες; καί τί ότι σύ, εστράφης Ιορδάνη, Χριστόν θεασάμενος, γυμνόν εστώτα εν σοί;

Έτερος Κανών τού Προφήτου, ού η Ακροστιχίς.

Μαλαχίου με τό κλέος δοξαζέτω.
Θεοφάνους.

Ωδή α' Ήχος πλ. δ'
«Η κεκομμένη τήν άτομον έτεμε, καί είδεν ήλιος γήν, ήν ουκ εθεάσατο, αλάστορα εχθρόν τό ύδωρ κατεπόντισε, καί άβατον διήλθεν Ισραήλ, ωδή δέ ανεμέλπετο. Τώ Κυρίω άσωμεν, ενδόξως γάρ δεδόξασται».

Μετά τής άνω χορείας γηθόμενος, καί ταύτη συγχορεύων καί συναγαλλόμενος, καί θείου φωτισμού, αξίως εμφορούμενος, θεόπνευστε, τούς πίστει τήν σεπτήν, σού, μνήμην εορτάζοντας, τώ Κυρίω ψάλλοντας, πρεσβεύων διαφύλαττε.

Αγγελομόρφω ψυχής ωραιότητι, καί κάλλει διαπρέπων, πάλιν τώ τού σώματος, τήν άνωθεν αυγήν, τής θείας επιλάμψεως, εδέξω θεηγόρε τηλαυγώς, καί χαίρων ανεκραύγαζες, τώ Κυρίω άσωμεν, ενδόξως γάρ δεδόξασται.

Λελογισμένως ανύων τόν βίον σου, καί τρόπων ευκοσμία, καθωραϊζόμενος, καί ήθεσι χρηστοίς, Παμμάκαρ σεμνυνόμενος, Προφήτης αληθείας ευσεβής, κραυγάζων εναπέφηνας. Τώ Κυρίω άσωμεν, ενδόξως γάρ δεδόξασται.

Θεοτοκίον
Άχραντε Μήτηρ Θεού Παντοκράτορος, η Βασιλίδος φυλής, Δέσποινα βλαστήσασα, καί μόνη τόν Θεόν, τόν πάντων βασιλεύοντα, γεννήσασα σαρκί υπερφυώς, κινδύνων με διάσωσον, τώ Υιώ σου ψάλλοντα. Ενδόξως γάρ δεδόξασται.

Έτερος Κανών τού Μάρτυρος, ού η ακροστιχίς.

Μάρτυρα Γόρδιον ύμνοισιν μελιηδέσιν άδω.
Θεοφάνους.

Ωδή α' Ήχος ο αυτός
«Άσωμεν τώ Κυρίω πάντες λαοί, τώ εν θαλάσση Ερυθρά τόν Φαραώ βυθίσαντι, ωδήν επινίκιον, ότι δεδόξασται».

Μάρτυς τής αληθείας, Γόρδιε παμμάκαρ γνωριζόμενος, φωτοφόρον μοι χάριν, ουρανόθεν παράσχου ταίς πρεσβείαις σου.

Άσωμεν τώ Κυρίω, τώ τόν Αθλοφόρον ενισχύσαντι, κατά τών αντιπάλων, καί στεφάνω τής νίκης κοσμήσαντι.

Ρώμη καί πανοπλία, τού Παμβασιλέως κρατυνόμενος, τών τυράννων καθείλες, τήν μανίαν πανένδοξε Γόρδιε.

Τόνοις τής ευσεβείας, εγγεγυμνασμένος δι' ασκήσεως, τούς αγώνας υπέδυς, εκουσίως πανεύφημε Γόρδιε.

Θεοτοκίον

Ύδατος αλλομένου, εις αθανασίαν ώφθης σκήνωμα, τού πηγάζοντος πάσι, τήν ζωήν τοίς ανθρώποις Θεόνυμφε.

Ωδή γ'  Ο Ειρμός

«Τούς σούς υμνολόγους Θεοτόκε, ως ζώσα καί άφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικόν στερέωσον, καί εν τή θεία δόξη σου, στεφάνων δόξης αξίωσον».

Ευφράνθητι έρημος διψώσα, βροτών φύσις άπασα ιδού, τό ύδωρ επιφαίνεται, τό τής ζωής αρδεύόν σε, γονιμωτάτως χάριτι, Χριστός η πάντων ανάπλασις.

Ζητήσαί με γνώμη πλανηθέντα, προέρχη εν ύδασι Χριστέ, εν οίς Καταδυόμενος, βυθίζεις μου τά πταίσματα, καί εκ βυθού ανάγεις με, πάσης κακίας ως εύσπλαγχνος.

Ήλιον οράν σε μέλλων Λόγε, γυμνούμενον κρύπτει τάς αυγάς, έρχη γάρ γυμνωθέντα με, απάτη τή τού όφεως, διά τού σού Βαπτίσματος, στολήν ενδύσαι σωτήριον.

Τού Προφήτου

Συ εί τό στερέωμα

Χαίρεις νύν Θεώμενος, τήν τών προρρήσεων έκβασιν, μάκαρ τών σών, τετελειωμένην, Μαλαχία θεόληπτε.

Ίασιν εν πτέρυξιν, έχων ανέτειλεν Ήλιος, ο νοητός, τής δικαιοσύνης, ως προέφης θεόπνευστε.

Θεοτοκίον

Όλην τήν ελπίδα μου, εν σοί Πανάμωμε τίθημι, όλην πρός σέ, χαίρων ανατείνω, τήν ψυχήν καί διάνοιαν.

Τού Μάρτυρος

Ουκ έστιν Άγιος

Ρεόντων τό άστατον λογιζόμενος, καί μενόντων τήν σύστασιν, Μάρτυς, αοίδιμε, ενθυμούμενος μάκαρ, ατρόμως τό στάδιον, υπήλθες τής αθλήσεως.

Απέθου τήν πρόσκαιρον ματαιότητα, καί συνέθου Πανόλβιε, τοίς αεί διαμένουσι, καί φυγών τούς ανθρώπους, Αγγέλων ομόσκηνος, θεόφρον εχρημάτισας.

Γεώδη φρονήματα καταλέλοιπας, πολιτείαν ουράνιον, Μάρτυς ευράμενος, καθοράν γάρ μή φέρων, τής πλάνης τό φρύαγμα, εις έρημον εμάκρυνας.

Θεοτοκίον

Ουκ έστιν άμεμπτος ως σύ Δέσποινα, καί ουκ έστιν άχραντος, πλήν σου πανάμωμε, εν γαστρί γάρ τόν Κτίστην, τών πάντων εχώρησας, τόν μόνον πολυέλεον.

Ο Ειρμός

«Ουκ έστιν Άγιος ως ο Κύριος, καί ουκ έστι δίκαιος, ως ο Θεός ημών, όν υμνεί πάσα κτίσις, ουκ έστιν Άγιος, πλήν σου Κύριε φιλάνθρωπε».

Κάθισμα τού Προφήτου

Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Προφητείας τήν χάριν πεπλουτηκώς, εσομένων τήν γνώσιν θεοπρεπώς, μεμύησαι εν Πνεύματι, Μαλαχία θεόπνευστε, καί προλέγεις άπασι, Χριστού τήν επέλευσιν, καί Εθνών πανόλβιε, τήν θείαν ανάκλησιν, όθεν τήν σεπτήν σου, εορτάζομεν μνήμην, καί πόθω υμνούμέν σε, καί πιστώς μακαρίζομεν, εκβοώντές σοι ένδοξε. Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω τήν αγίαν μνήμην σου.

Δόξα... τού Μάρτυρος, όμοιον

Πυρωθείς τή αγάπη τού Ιησού, αυθαιρέτω βουλήσει Μάρτυς σοφέ, προθύμως εις θάνατον, σεαυτόν παραδέδωκας, καί σταδίου εν μέσω, αυτόκλητος ίστασο, εκβοών τοίς τυράννοις, ιδού εγώ πάρειμι. Όθεν καί τήν πλάνην παρρησία ελέγξας, ετμήθης τήν κάραν σου, καί ζωήν πρός τήν άληκτον, μεταβέβηκας ένδοξε. Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Καί νύν... Προεόρτιον

Ήχος ο αυτός

Αυλών Ποιμενικών

Χορός προφητικός, προκηρύττων χαίρει, τό Βάπτισμα Χριστού τήν ζωήν αναβλύζον. Κράζει ο Ησαίας, αντλήσαι ύδωρ τό καθαρτήριον. Γράφει ο Θεοπάτωρ, πώς εκ προσώπου φεύγει η θάλασσα, τού ευδοκία σώζοντος Θεού, τό γένος τών ανθρώπων.

Ωδή δ'  Ο Ειρμός

«Τήν ανεξιχνίαστον θείαν βουλήν, τής εκ τής Παρθένου σαρκώσεως, σού τού

Υψίστου, ο Προφήτης, Αββακούμ, κατανοών εκραύγαζε. Δόξα τή δυνάμει σου Κύριε».

Θάμβει συσχεθήσεται ο ουρανός, καί τά τών Αγγέλων στρατεύματα, δουλοπρεπώς σε, αφικνούμενον Χριστέ, πρός τόν σόν δούλον βλέποντες, καί επιζητούντα τό Βάπτισμα.

Ιωάνη σκίρτησον, έρχεται γάρ, πάντας ο λυτρούμενος Κύριος, υποκλιθήναι, ο τή χειρί σου ταπεινώς, όπως ταπεινωθέντα με, θείω ανυψώση Βαπτίσματι.

Κλίνας καταβέβηκας τούς ουρανούς, επί τήν Παρθένον Φιλάνθρωπε, καί Ιωάννη, υποκλίνεις κορυφήν, επιζητών τό Βάπτισμα, δόξα τή πολλή ευσπλαγχνία σου.

Λύων τάς αμέτρους μου Λόγε σειράς, τών αμαρτημάτων εν ύδασι, τού Ιορδάνου, επισπεύδεις προσελθείν, καί βαπτισθήναι Δέσποτα, δόξα τή πολλή ευσπλαγχνία σου.

Τού Προφήτου

Εισακήκοα Κύριε

Υποφήτης γενόμενος, τής θεαρχικής Μάκαρ αγαθότητος, πάσιν Έθνεσιν εκήρυξας, τήν γεγενημένην απολύτρωσιν.

Μυηθείς διά Πνεύματος, τής υπερφυούς τού Λόγου σαρκώσεως, τό απόρρητον μυστήριον, Μαλαχία μάκαρ προηγόρευσας.

Θεοτοκίον

Επί σοί ανατίθημι, πάσαν προσδοκίαν τής σωτηρίας μου, καί τού βίου τήν κυβέρνησιν, Κεχαριτωμένη Μητροπάρθενε.

Τού Μάρτυρος

Εξ όρους κατασκίου

Ρήσεων Χριστού, παμμάκαρ υπακούσας, χαίρων τήν φθαρτήν, κατέλιπες στρατείαν, καί Βασιλεί εστρατεύθης τώ ουρανίω, στεφανηφόρε Μάρτυς Γόρδιε.

Διεθρύβησαν μάρτυς, όρη τών τυράννων, ετάκησαν δέ, βουνοί οι τών ειδώλων, τή καρτερά σου αθλήσει καί παρρησία, στεφανηφόρε προσεγγίσαντα.

Ίσχυσας Σταυρού, τή θεία δυναστεία, δήμω δυσσεβεί, βοάν μεγαλοφώνως. Τοίς μή ζητούσιν ευρέθην μηδ' ερωτώσι, νύν πεποιθότως εμφανίζομαι.

Όλην κατά σού, θεόφρον τού τυράννου, ήγειρας σοφέ, τήν άσχετον μανίαν, καταπλαγέντος παμμάκαρ τής διανοίας, καί τής ψυχής σου τό ανάστημα.

Θεοτοκίον

Νύμφη τού Θεού, Μαρία Θεοτόκε, ρύσαί με δεινών, πταισμάτων καί κινδύνων, καί πρός γαλήνης λιμένα καί σωτηρίας, ταίς σαίς πρεσβείαις καθοδήγησον.

Ωδή ε' Ο Ειρμός

«Εξέστη τά σύμπαντα, επί τή θεία δόξη σου, σύ γάρ απειρόγαμε Παρθένε, έσχες εν μήτρα, τόν επί πάντων Θεόν, καί τέτοκας άχρονον Υιόν, πάσι τοίς υμνούσί σε, σωτηρίαν βραβεύοντα».

Μακράν τό ανθρώπινον, από Θεού γενόμενον, ο Λόγος Θεού κατοικτειρήσας, άνθρωπος ώφθη, καί Βαπτισμώ θεουργώ, τούτο οικειοί θεοπρεπώς, καί πρός τό αρχέτυπον, επανάγει αξίωμα.

Νεκρούς χρηματίσαντας, ημάς ταίς παραβάσεσιν, έρχη Ζωοδότα πανοικτίρμον, αναζωώσαι ταίς, Ιορδάνου ροαίς, όθεν σου δοξάζομεν πιστώς, νύν τήν επιφάνειαν, καί άφατον έλεος.

Ξενίζεται άπασα, ψυχή εννοουμένη σου, Λόγε τήν φρικτήν οικονομίαν! πώς αναπλάσαι πάντα βουλόμενος, έρχη επιβήναι ποταμού, ρεύμασι γυμνούμενος, ο φώς αναβαλλόμενος.

Τού Προφήτου

Ο εκ νυκτός αγνοίας

Τήν φοβεράν ημέραν, τής τού Χριστού παρουσίας παρήγγειλας, Μαλαχία θεόφρον, θείω φωτιζόμενος Πνεύματι.

Ο τών ψυχών τόν ρύπον, αναχωνεύων καί πλύνων τή χάριτι, ως εν πόα πλυνόντων, ούτως σε θεόφρον εδόξασε.

Θεοτοκίον

Κράτος θανάτου Κόρη, τώ ζωηφόρω σου τόκω διέλυσας, Παναγία Παρθένε, καί ζωήν επήγασας άλυπον.

Τού Μάρτυρος

Ο αυτός

Υπεισελθών ατρόμως, καί ρωμαλέως ως λέων τό θέατρον, πέτρας ώσπερ αψύχους, Μάκαρ ελογίσω τούς άφρονας.

Μεμυημένος Μάρτυς, τής θεοπνεύστου Γραφής τά διδάγματα, πάντα πρός σωτηρίαν, εύρες επαλείφοντα Γόρδιε.

Νενοηκώς θεόφρον, τήν σταθεράν σου ο Τύραννος ένστασιν, πέτρα καθάπερ κύμα, τή σή διερράγη στερρότητι.

Θεοτοκίον

Ο εκ τής σής νηδύος, υπερουσίως Παρθένε σαρκούμενος, θεογνωσίας αίγλη, κόσμον κατελάμπρυνε Πάναγνε.

Ωδή ς'  Ο Ειρμός

«Τήν θείαν ταύτην καί πάντιμον, τελούντες εορτήν οι θεόφρονες, τής Θεομήτορος, δεύτε τάς χείρας κροτήσωμεν, τόν εξ αυτής τεχθέντα Θεόν δοξάζοντες».

Οι σκότει πάλαι καθήμενοι, τό φώς επιδημήσαν Θεώμενοι, χαράς εμπλήσθητε, ιδού επέφανε Κύριος, τά Ιορδάνου ρείθρα περιβαλλόμενος.

Πώς βλέψει σε αφικόμενον, ο Πρόδρομος Σωτήρ καί αιτούμενον, τό θείον Βάπτισμα, πώς σε ροαί υποδέξονται, τού Ιορδάνου, ρείθρον όντα αφέσεως;

Ρανάτωσαν ευφραινόμεναι, νεφέλαι νοητήν αγαλλίασιν, ιδού αφίκετο, τού βαπτισθήναι ο Κύριος, διασκεδάζων νέφη τών καρδιών ημών.

Τού Προφήτου

Τήν δέησιν εκχεώ

Λαμφθείσά σου η σοφή διάνοια, υπ' αυτής τής θεϊκής φωταυγίας, καί τών χαμαί, χωρισθείσα πραγμάτων, τής τών μελλόντων ηξίωται γνώσεως, τήν κλήσιν γάρ τήν τών Έθνών, καί τού νόμου τήν παύσιν προείρηκας.

Ελήλυθεν αληθώς ο Κύριος, όν ημείς περιχαρώς εζητούμεν, εις τόν ναόν, όν αυτός εκ Παρθένου, ευλογημένης σοφώς ώ κοδόμησεν, ως έφησεν υπό Θεού, ελλαμφθείς Μαλαχίας ο ένδοξος.

Θεοτοκίον

Ο άναρχος τού Πατρός Μονογενής, ο αυτός μονογενής εκ Παρθένου, σωματωθείς, απορρήτως ετέχθη, καί τήν τεκούσαν Παρθένον εφύλαξε, Θεός γάρ ήν αληθινός, ει καί φύσιν ανθρώπου ανέλαβε.

Τού Μάρτυρος

Ως τόν Προφήτην

Ιερουργείται θυσία, καί δεκτή προσφορά σοι προσάγεται, σταζόμενος αίματι, ο Γόρδιος Δέσποτα, τό εκούσιον Πάθος σου μιμούμενος.

Σεσοβημένος τάς φρένας, σοί φθαρτόν υπισχνείτο δοξάριον, τώ δόξαν ακήρατον, Γόρδιε πλουτήσαντι, καί αθάνατον ζωήν θησαυρίσαντι.

Ιθυτενείς τάς ελπίδας, πρός Θεόν κεκτημένος παρέδραμες, τού βίου τό άστατον, καί ξίφει τεμνόμενος, πρός ευρύχωρον πλάτος μεταβέβηκας.

Θεοτοκίον

Νενεκρωμένον τόν νούν μου, τών παθών τρικυμίαις ανάστησον, ζωήν τήν αιώνιον, Χριστόν η κυήσασα, τόν παρέχοντα πάσι τά ιάματα.

Ο Ειρμός

«Ως τόν Προφήτην ερρύσω, εκ βυθού κατωτάτου Χριστέ ο Θεός, καμέ τών πταισμάτων μου, ρύσαι ως φιλάνθρωπος, καί κυβέρνησον τήν ζωήν μου δέομαι».

Κοντάκιον τού Προφήτου

Ήχος γ'

Η Παρθένος σήμερον

Τής σοφίας έμπλεως, τής υπερσόφου καί θείας, Μαλαχία μέγιστε, σύ πεφυκώς ως Προφήτης, άνωθεν αυτόν τόν όντα Θεού σοφίαν, έδειξας τοίς πάσι κάτω αναστραφέντα, διά τούτό σε τιμώμεν, τελούντες πίστει τήν θείαν μνήμην σου.

Έτερον τού Μάρτυρος

Ήχος β'

Τήν εν πρεσβείαις

Τόν εν αθλήσει αήττητον στρατιώτην, καί εν βασάνοις ανίκητον στεφανίτην, Γόρδιον πάντες ανευφημήσωμεν, τόν εξ Εώας μέγαν, όντως αστέρα λάμψαντα, τό θείον αγλάϊσμα τών Μαρτύρων Χριστού.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Γ' τού αυτού μηνός, Μνήμη τού Αγίου Προφήτου Μαλαχίου.

Στίχοι

Ο κλήσιν αυχών Αγγέλου Μαλαχίας,
Αυχεί μάλιστα τήν μετ' Αγγέλων στάσιν.
Εκ ρεθέων Μαλαχίου απέπτατο εν τρίτη ήτορ.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Γορδίου.

Στίχοι

Καί τίς παρέλθη Γόρδιον τόν οπλίτην,
Πρός φρικτόν όπλον στερρόν άνδρα τό ξίφος;
Τμηθείς αμφί τρίτη πέσε Γόρδιος εν κονίησιν.

Τή αυτή ημέρα, Μνήμη τού οσίου Πατρός ημών Πέτρου τού Σημειοφόρου, τού εν τώ Αγίω Ζαχαρία τής Ατρώας κειμένου.

Τή αυτή ημέρα, οι Άγιοι Μάρτυρες, Μήτηρ καί δύο τέκνα, πυρί τελειούνται.

Στίχοι

Μητρός φλεγείσης, καί τά τέκνα πρός φλόγα,
Τετριγότα τρέχουσιν ως στρουθού τέκνα.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός ελέησον ημάς.

## Ωδή ζ'  Ο Ειρμός

«Ουκ ελάτρευσαν τή κτίσει οι θεόφρονες, παρά τόν Κτίσαντα, αλλά πυρός απειλήν; ανδρείως πατήσαντες, χαίροντες έψαλλον. Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί».

Συντριβέντα με τοίς πταίσμασι, καί κείμενον, εν σκότει Κύριε, τής παραβάσεως, οικτείρας ηλέησας, δι' αγαθότητα, καί εν ύδασι, τού Ιορδάνου Κύριε, παραγίνη βαπτισθήναι.

Τί τό ξένον τούτο θέαμα; εβόησαν Αγγέλων τάγματα, ο λίμνας καί ποταμούς, ποιήσας προστάγματι, τά Ιορδάνια, ρείθρα έρχεται, περιβαλέσθαι, τούτοις γάρ, τόν Αδάμ ανακαινίζει.

Ύψος άφατον, καί βάθος μή μετρούμενον, υπάρχει Δέσποτα, οικονομία η σή, πάσαν υπερβαίνουσα, νοός κατάληψιν, πώς δι' ύδατος, καί Παναγίου Πνεύματος, τούς βροτούς αναχωνεύεις.

### Τού Προφήτου

### Παίδες Εβραίων

Σύ τού δεσπόζοντος τών όλων, τήν σεβάσμιον προείπες παρουσίαν, Μαλαχία Προφήτα, μακάριε κραυγάζων. Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Δέχου πρεσβεύοντα Οικτίρμον, τόν αοίδιμον Προφήτην Μαλαχίαν, υπέρ τών ευσεβώς, υμνούντων καί βοώντων. Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

### Θεοτοκίον

Όλω μοι όλος ασυγχύτως, καθ' υπόστασιν ηνώθης Θεού Λόγε, εκ Παρθένου σεπτής, φορέσας με οικτίρμον. Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

### Τού Μάρτυρος

### Ο τούς Παίδας δροσίσας

Μαρτυρίου τό κλέος κεκτη μένος, μετ' Αγγέλων χορεύεις, στεφηφόρος Χριστώ κραυγάζων. Ευλογητός εί Κύριε, ο Θεός ο τών Πατέρων ημών.

Ευσεβή παρρησίαν κεκτημένος, δυσσεβείς καταισχύνεις, αναμέλπων μεγαλοφώνως. Ευλογητός εί Κύριε, ο Θεός ο τών Πατέρων ημών.

Λυτρωθήναι πταισμάτων νύν δυσώπει, τούς εν πίστει υμνούντας τήν σήν μνήμην, Χριστώ βοώντας. Ευλογητός εί Κύριε, ο Θεός ο τών Πατέρων ημών.

### Θεοτοκίον

Ιοβόλους ακάνθας αμαρτίας, ιαμάτων πλημμύρα τών σών, αμβλύνεις Θεοκυήτορ, ευλογημένη Πάναγνε, η Θεόν ασπόρως τέξασα.

Ωδή η'  Ο Ειρμός

«Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Φωνή τού Γεννήτορος εξ ύψους, Υιόν μαρτυρήσει ομοούσιον, βαίνοντα εν ύδασι, καί τήν ευλογίαν σου, τούτοις προσεπιπέμποντα, ευλογημένε Χριστέ, καί Πνεύμά σε τό Άγιον πάσιν, επανακηρύξει, Θεόν σεσαρκωμένον.

Χόρευε η κτίσις αισθομένη, Θεού τήν αγίαν επιφάνειαν. Άγγελοι υμνήσατε, θάλασσα ευφράνθητι, Λίμναι Πηγαί σκιρτήσατε, καί Ποταμοί μυστικώς, κροτήσατε εν ύμνοις, επέστη, ο ταίς ευλογίαις, υμάς Χριστός λαμπρύνων.

Ψάλωμεν Κυρίω εν αινέσει, τώ επιφανέντι εν τοίς ύδασι, καί τήν συντριβήν ημών, τούτοις αναπλάσαντι, καί κεφαλάς συντρίψαντι, τών αοράτων εχθρών, καί κράξωμεν. Υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Ω θαύμα θαυμάτων! πώς ο πάσης, επέκεινα κτίσεως Θεός ημών, κτίζεται καί πλάττεται, εκ τής Θεομήτορος, καί καινουργεί θελήματι, καί αναπλάττει ημάς, δι' ύδατος καί Πνεύματος πλάσιν, θαυμασιωτάτην, ο μόνος ευεργέτης.

Τού Προφήτου

Νικηταί Τυράννου

Ξενωθείς απάσης, υλικής εμφάσεως Ιεροφάντα, θεϊκής ακτίνος, ώφθης ακηλίδωτον έσοπτρον ιμέλπων. Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Απορρήτου δόξης, θεατής σύ γέγονας, καί μυστηρίων, ουρανίων μάκαρ, κήρυξ εχρημάτισας, μέλπων απαύστως. Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάνΤας τούς αιώνας.

Θεοτοκίον

Ζωής σε Μητέρα, καί Θεού γεννήτριαν επεγνωκότες, ορθοδόξω πίστει, πάντες μακαρίζομεν Παρθενομήτορ, ευλογούντες άμα τόν τόκον σου Άχραντε, καί υπερυψούντες, εις πάντας τούς αιώνας.

Τού Μάρτυρος

Οι θεορρήμονες παίδες

Η επομένη σοι χάρις αοράτως, καταλαμπρύνουσα Μάρτυς, ανδραγαθίας ενέπλησεν, Ευλογείτε βοώντα τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Δρόμω συντόνω χρησάμενος Αθλοφόρε, πρός τό ποθούμενον τέλος, τής Βασιλείας κατήντησας, Ευλογείτε κραυγάζων τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Εις απεράντους αιώνας διαμένει, η τών Μαρτυρων σου δόξα, καί η αθάνατος εύκλεια. Ευλογούμεν διό σε απαύστως τόν Κύριον, καί υπερυψούμεν, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Σεσαρκωμένον τόν Λόγον συλλαβούσα, τόν πρίν ασώματον Εύας, αράν τής πάλαι ανέτρεψας, ευλογίαν Παρθένε, τώ κόσμω κυήσασα, όθεν σε υμνούμεν, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Οι θεορρήμονες Παίδες εν τή καμίνω, σύν τώ πυρί καί τήν πλάνην, καταπατύντες υπέψαλλον. Εύλογείτε τά έργα Κυρίου τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ' Ο Ειρμός

«Άπας γηγενής, σκιρτάτω τώ πνεύματι λαμπαδουχούμενος, πανηγυριζέτω δέ, αϋλων Νόων φύσις γεραίρουσα, τήν ιεράν πανήγυριν, τής Θεομήτορος, καί βοάτω. Χαίροις παμμακάριστε, Θεοτόκε Αγνή αειπάρθενε».

Ίδε ο Αμνός, ο αίρων τά πταίσματα τής ανθρωπότητος, ήλθεν επεδήμησε, καί πρός τόν δούλον αι τών τό Βάπτισμα, δουλοπρεπώς εφίσταται, ελευθερώσαι ζητών, δουλωθέντας, ημάς τώ αλάστορι, καί τό κάλλος πρίν απολέσαντας.

Ώφθη εμφανώς, Θεός σωματούμενος, δι' αγαθότητα, καί τά Ιορδάνια, περιβαλέσθαι έρχεται νάματα, ο περιβάλλων νέφεσι, τόν ουρανόν αληθώς, τούτου πάντες, νύν προεορτάσωμεν, τήν σεπτήν εν χαρά Επιφάνειαν.

Σκίρτησον χαρά, καί προετοιμάσθητι, καθυποδέξασθαι, ύδωρ τό αλλόμενον, ώ Ιορδάνη εις αιωνίαν ζωήν, οι ποταμοί χορεύσατε, βλέποντες νύν τής τρυφής, τόν χειμάρρουν, ρείθροις επιβαίνοντα, καί κακίας τήν χύσιν ξηραίνοντα.

Ηύγασεν ημίν, ημέρα σωτήριος, τοίς εν νυκτί τών παθών, πάντοτε καθεύδουσι, καί γάρ επέστη Χριστός ο Κύριος, δικαιοσύνης Ήλιος, ών καί νοούμενος, υποκλίναι, δούλω κεφαλήν αυτού, καί σαρκί βαπτισθήναι θελήματι.

Θεοτοκίον

Φρίττει Χερουβίμ καί πάσα ουράνιος φύσις Πανάμωμε, τόν υπέρ κατάληψιν, σεπτόν σου τόκον όμοιωθέντα ημίν, δι' ευσπλαγχνίαν άφατον, καί βαπτισθέντα σαρκί, ού τήν θείαν, πάντες Επιφάνειαν, εορτάζομεν νύν αγαλλόμενοι.

Τού Προφήτου

### Έφριξε πάσα ακοή

Επέστη η θεοφεγγής, τού Προφήτου εορτή καί σεβάσμιος, περιαυγάζουσα, τούς συνελθόντας πίστει καί ψάλλοντας, προφητικαίς μαρμαρυγαίς, καί πάσι πηγάζουσα, ψυχών ιάματα, καί φωτίζουσα φαιδρώς τούς θεόφρονας.

Τήρησον τή ζωαρχική, κραταιά τε δεξιά σου Φιλάνθρωπε, τήν Εκκλησίαν σου, ταίς ικεσίαις τού σού θεράποντος, τού προθεσπίσαντος ημίν τήν σήν ενανθρώπησιν, δι' ής ανέτειλε, σωτηρία καί πιστών απολύτρωσις.

### Θεοτοκίον

Ώριμον δρέπομαι ζωήν, μή βλαπτόμενος τώ ξύλω τής γνώσεως, σύ γάρ Πανάμωμε, ζωής τό ξύλον Χριστόν εξήνθησας, τόν τάς εισόδους τής ζωής, τοίς πάσι γνωρίσαντα, διό σε πάναγνε, Θεοτόκον οι πιστοί καταγγέλλομεν.

### Τού Μάρτυρος

### Τόν προδηλωθέντα

Ίλεων γενέσθαι, δυσώπησον τόν Δεσπότην, τοίς έν πίστει σε τιμώσι, καί τήν σήν φωτοφόρον, καί σεπτήν Εορτήν εκτελούσι, Γόρδιε Μαρτύρων εγκαλλώπισμα.

Νύν τής ακηράτου, τρυφής καί τής θεοπτίας, εμφορούμενος Γόρδιε, καί φωτός ανεσπέρου, εν σκηναίς αιωνίοις κομίζη, τάς επικαρπίας τών αγώνων σου.

Αύτη η ημέρα, τήν σήν άθλησιν επείδεν, ήν ουκ ημαύρωσεν ο χρόνος, ουκ εκάλυψε λήθη, αλλ' αεί τοίς υμνούσί σε πίστει, Μάρτυς ανατέλλει ώσπερ ήλιος.

Δόξαν τήν ρευστήν, καί φθαρτήν καί πεπατημένην, παριδων θεόφρον Μάρτυς, αϊδίου νύν δόξης, καί χαράς αληθούς απολαύεις, θρόνω τού Δεσπότου παριστάμενος.

### Θεοτοκίον

Ως διασωθέντες, Παρθένε πρίν τής κατάρας, διά τού σού θείου τόκου, επαξίως υμνούμεν, ευχαρίστως πάντες μελωδούντες. Χαίρε Θεοτόκε η ελπίς ημών.

### Ο Ειρμός

«Τόν προδηλωθέντα, εν όρει τώ Νομοθέτη εν πυρί καί βάτω, τόκον τόν τής Αειπαρθένου, εις ημών τών πιστών σωτηρίαν, ύμνοις ασιγήτοις μεγαλύνομεν».

### Εξαποστειλάριον τού Μάρτυρος
### Γυναίκες ακουτίσθητε

Γορδίου τού θεόφρονος, καί πανενδόξου Μάρτυρος, αύτη επείδεν ημέρα, τήν άθλησιν, ης τήν μνήμην, λαμπρώς νύν εκτελέσωμεν, Χριστού γάρ

υπερήθλησε. Διαναστώμεν προθύμως, ώ φιλομάρτυρες πάντες, πρός αρετών ευκαρπίαν.

Προεόρτιον

Εν Πνεύματι τώ Ιερώ

Τήν Βηθλεέμ αφέμενοι, τό καινότατον θαύμα, πρός, Ιορδάνην δράμωμεν, εκ ψυχής θερμοτάτης, κακείσε κατοπτεύσωμεν τό φρικτόν Μυστήριον, θεοπρεπώς γάρ επέστη, γυμνωθείς ο Χριστός μου, επενδύων με στολήν, τής ουρανών Βασιλείας.

Εις τούς Αίνους ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. β'

Αι Αγγελικαί

Θρόνον ουρανόν, κεκτημένος ο Δεσπότης, ήλθεν επί γής, σαρκωθείς εκ τής Παρθένου, καί πρός τόν Ιορδάνην, επιστάς τό καθάρσιον, πάντων εξαιρεί τόν Ιωάννην. Αι πατριαί τής γής απάσης, αυτώ ψάλλωμεν Ευλογημένος ο φανείς, Θεός ημών δόξα σοι.

Έφθασε Χριστός, πρός τά ρείθρα Ιορδάνου, Βάπτισμα αιτών, ο καθαίρων άμαρτίας. Πάσα η γή σκιρτάτω. Ουρανοί ευφραινέσθωσαν. Χαίρε τών Εθνών η Εκκλησία, τώ Βασιλεί νυμφευομένη, πιστώς βόησον. Ευλογημένος ο φανείς, Θεός ημών δόξα σοι.

Όρη γλυκασμόν, ευφροσύνης σταλαξάτω, χείρας μυστικώς, νύν κροτήσατε τά Έθνη, η έρημος ανθείτω Ιορδάνη υπόδεξαι, δεύρο Βαπτιστά τώ μυστηρίω, τού Λυτρωτού υπούργει χαίρων, λαοί μέλψωμεν. Ευλογημένος ο φανείς, Θεός ημών δόξα σοι.

Φώς τό εκ φωτός, υπέρ χρόνον προεκλάμψαν, τοίς εν τή νυκτί, καθημένοις επεφάνη, καί σκότος αμαρτίας, εκκαθάραν εφώτισε. Χόρευσον Αδάμ, ευφραίνου Εύα, η λύτρωσις Χριστός επέστη, Δαυϊδ βόησον. Ευλογημένος ο φανείς, Θεός ημών δόξα σοι.

Δόξα... όμοιον

Άστρον Ιακώβ, εξανέτειλε τώ κόσμω, καί τήν φλογεράν, τών ανθρώπων αμαρτίαν, αναλαβών ενθάπτει, Ιορδάνου τοίς νάμασι, λάμπων τής θεότητος τώ φέγγει, καί φωτισμόν θεογνωσίας, διδούς Έθνεσιν. Ευλογημένος ο φανείς, Θεός ημών δόξα σοι.

Καί νύν... όμοιον

Νόμου πληρωτής, κατά σάρκα χρηματίσας, ήλθεν ο Χριστός, απαρχήν τής σωτηρίας, επί τόν Ιορδάνην, εκτελέσαι ως εύσπλαγχνος, καί τώ Βαπτιστή καθυποκλίνει, τήν κορυφήν πιστώς βοώντι, λαοί κράξωμεν. Ευλογημένος ο φανείς, Θεός ημών δόξα σοι.

Απόστιχα Στιχηρά

Ήχος β'

Οίκος τού Εφραθά

Από τής Βηθλεέμ, επί τόν Ιορδάνην, μεταβώμεν, εκεί γάρ, τό φώς τοίς εν τώ σκότει, αυγάζειν ήδη άρχεται.

Στίχ. Διά τούτο μνησθήσομαί σου εκ γής Ιορδάνου καί Ερμωνιιμ.

Γή η τού Ζαβουλών, οι πέραν Ιορδάνου, ακούσατε, Εγγίζει, Χριστός η σωτηρία, τό φώς η απολύτρωσις.

Στίχ. Είδοσάν σε ύδατα ο Θεός, είδοσάν σε ύδατα καί εφοβήθησαν.

Ευτρέπιζε καί σύ, Ιορδάνη τό ρείθρον, ο πυρί γάρ βαπτίζων, εγγίζει τού καινίσαι, τό συντριβέν πλαστούργημα.

Δόξα... Καί νύν... όμοιον

Ώφθη τό πατρικόν, απαύγασμα τής δόξης, εν ρείθροις Ιορδάνου, Βαπτίσματι καθαίρον, τόν ρύπον τών ψυχών ημών.

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Δ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Προεόρτια τών Φώτων, καί η Σύναξις τών Αγίων Εβδομήκοντα Αποστόλων, καί μνήμη τού Οσίου Πατρός ημών Θεοκτίστου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τών Αποστόλων.

Ήχος δ'

Εδωκας σημείωσιν

Κλεόπαν Ανδρόνικον, Σιλουανόν τε καί Άγαβον, Ανανίαν καί Φίλιππον, Πρόχορον Νικάνορα, Ρούφον καί Σωσθένην, Λίνόν τε καί Στάχυν, Στέφανον Τίμωνα Ερμάν, Φλέγοντα Μάρκον, Λουκάν Σωσίπατρον, Ιάσονα καί Γάϊον καί Τυχικόν, καί Φιλήμονα, ιεροίς μελωδήμασιν, οι πιστοί μακαρίσωμεν.

Νάρκισσος καί Τρόφιμος, Καίσαρ Ζηνάς καί Αρίσταρχος, Μάρκος Σίλας καί Γάϊος, Ερμής καί Ασύγκριτος, Απολλως Κηφάς τε, Κλήμης καί Ιούστος, Κούαρτος Έραστος Λουκάς, Ονησιφόρος Κάρπος καί Εύοδος, Ματθίας καί Ιάκωβος καί Ουρβανός Αριστόβουλος, Τυχικός καί Αρίσταρχος, επαξίως τιμάσθωσαν.

Πούδην Ηρωδίωνα, καί Αρτεμάν καί Φιλόλογον, Ολυμπάν τε καί Ρόδιον, Απελλήν Αμπλίαν, Πατροβάν καί Τίτον, Τέρπνον καί Θαδδαίον, Επαινετόν τόν θαυμαστόν, Αχαϊκόν τε, Ακύλαν Λούκιον, Βαρνάβαν Φουρτουνάτόν τε, καί

Απολλώ τόν αοίδιμον, καί τόν Κρήσκην Τιμήσωμεν, τούς σεπτούς θεοκήρυκας.

Έτερα Στιχηρά Προσόμοια τού Οσίου.

Ήχος β'
Ότε εκ τού ξύλου σε νεκρόν

Ότε κατετρώθης τήν ψυχήν, έρωτι τώ θείω Παμμάκαρ, τόν σόν επάρας σταυρόν, χαίρων ηκολούθησας τώ σταυρωθέντι Χριστώ καί νεκρώσας τό φρόνημα, σαρκός εγκρατεία, Πνεύματος ενέργειαν ζώσαν εισδέδεξαι, λύειν νοσημάτων χειμώνα, θέρμη πρεσβειών ευπροσδέκτων, όθεν σε συμφώνως μακαρίζομεν.

Ότε επιμόνοις προσευχαίς, καί συντονωτάτη νηστεία, τό Οπτικόν τής ψυχής, Πάτερ απεκάθηρας, ναός γεγένησαι, Τρισηλίου θεότητος, καί Ιερωσύνης, χρίσμα θείον άγιον υποδεξάμενος, ένδον τών αδύτων εισήλθες, θύων διά σέ τόν τυθέντα, διά συγκατάβασιν απόρρητον.

Πράος, ανεξίκακος οφθείς, εν ακεραιότητι γνώμης, Πάτερ θεόκτιστε, κατεκληρονόμησας, πραέων όντως τήν γήν, καί μεθέξει Θεούμενος, τρυφής απολαύεις, καί αγαλλιάσεως, καί χαρμονής αληθούς, ένθα μνημονεύων μή παύση, τών εορταζόντων εκ πόθου, καί τήν σήν Τιμώντων θείαν κοίμησιν.

Δόξα... Καί νύν... Ήχος γ'

Φαιδρά μέν η παρελθούσα Εορτή, ένδοξος η παρούσα ημέρα. Εν εκείνη τόν Σωτήρα Μάγοι προσεκύνησαν, εν ταύτη δέ τόν Δεσπότην, δούλος κλητός εβάπτισεν. Εκεί Ποιμένες αγραυλούντες, είδον καί εθαύμασαν, ώδε φωνή τού Πατρός, τόν μονογενή Υιόν εκήρυξε.

Εις τόν Στίχον Στιχηρά Προσόμοια.

Ήχος β' Οίκος τού Εφραθά

Ολύχνος τώ Φωτί, η αυγή τώ Ηλίω, ο φίλος τώ Νυμφίω, ο Πρόδρομος τώ Λόγω, Προφήτα καθυπούργησον.

Στίχ. Διά τούτο μνησθήσομαί σου εκ γής Ιορδάνου καί Ερμωνιιμ.

Ήλθεν ο φωτισμός, η λύτρωσις εφάνη, εν Ιορδάνη, δεύτε, συνέλθωμεν ρυφθήναι, καί άσαι προεόρτια.

Στίχ. Είδοσάν σε ύδατα ο Θεός, είδοσάν σε ύδατα καί εφοβήθησαν.

Πάντα μοι διά σού, τά καλά Θεοτόκε, ο Θεός εν ανθρώποις, τό φώς εν Ιορδάνη, καγώ εν τώ φωτί αυτού.

Δόξα... Καί νύν... Ήχος πλ. β'

Έρχεται πρός Ιορδάνην, Χριστός η αλήθεια, τού βαπτισθήναι υπό Ιωάννου,

καί φησί πρός αυτόν. Εγώ χρείαν έχω υπό σού βαπτισθήναι, καί σύ έρχη πρός με; ου τολμώ ο χόρτος προσψαύσαι τώ πυρί, σύ με αγίασον Δέσποτα, τή θεία επιφανεία σου.

Απολυτίκιον Ήχος γ'

Απόστολοι Άγιοι, πρεσβεύσετε τώ ελεήμονι Θεώ ίνα πταισμάτων άφεσιν, παράσχη ταίς ψυχάς ημών.

Καί Προεόρτιον Ήχος δ'

Ετοιμάζου Ζαβουλών, καί ευτρεπίζου Νεφθαλείμ. Ιορδάνη ποταμέ, στήθι υπόδεξαι σκιρτών, τού βαπτισθήναι ερχόμενον τόν Δεσπότην. Αγάλλου ο Αδάμ σύν τή Προμήτορι, μή κρύπτετε εαυτούς, ως εν Παραδείσω τό πρίν, καί γάρ γυμνούς ιδών υμάς επέφανεν, ίνα ενδύση τήν πρώτην στολήν, Χριστός εφάνη, τήν πάσαν κτίσιν, θέλων ανακαινίσαι.

Εν τοίς Αποδείπνοις ο Κανών ού η ακροστιχίς.

Τή μακρά πέμπτη μακρόν ύμνον εξάδω.

Ωδή α' Ήχος πλ. β'
Ο Ειρμός

«Τμηθείση τμάται, πόντος ερυθρός, κυματοτρόφος δέ ξηραίνεται βυθός, ο αυτός ομού αόπλοις γεγονώς βατός, καί πανοπλίταις τάφος, ωδή δέ Θεοτερπής αναμέλπετο. Ενδόξως δεδόξασται, Χριστός ο Θεός ημών».

Η πανταιτία, καί παρεκτική ζωής, η άπειρος Σοφία τού Θεού, ωκοδόμησε τόν οίκον εαυτής, Αγνής εξ απειράνδρου Μητρός, πρός, Ιορδάνου δέ νύν ροάς έρχεται, αιτούσα τό Βάπτισμα, βροτών εις ανάπλασιν.

Μυσταγωγούσα, πάντας συγκαλεί, τούς εξ Εθνών η τού Θεού Σοφία, πρός τό φώς, τούς εν σκότει πρίν αγνοίας αφεγγούς, κειμένους εις επίγνωσιν αληθείας, ανάγουσα μυστικώς τώ Βαπτίσματι, καρδίας καθαίροντι, καί κτίζοντι Πνεύματι.

Ακουτισθώμεν, νύν προφητικών, εκπληρουμένων διά Πνεύματος φωνών, ο βαπτίζων γάρ εν Πνεύματι καί πυρί, επείγεται Χριστός πρός Ιορδάνην. Προσέλθετε πρός αυτόν καί φωτίσθητε, υμών γάρ τά πρόσωπα, ου καταισχυνθήσονται.

Ωδή γ' Ο Ειρμος

«Κύριος ών πάντων, καί κτίστης Θεός, τό κτιστόν ο απαθής, πτω χεύσας σεαυτώ ήνωσας, καί τοίς ρείθροις οίς έμελλες ελθείν, αυτός ών τοίς λαοίς προσεφώνεις. Ύδωρ τής ζωής αντλήσατε, καί πίστει στερεωθήσεσθε».

Ρύσιον ψυχών, καί σωμάτων άμα, τού Βαπτίσματος τήν χάριν, Σώτερ έρχη χαρίσασθαι, διά τούτο βραβεύεις νύν ημίν, καί χάριν αντί χάριτος κράζων.

Ύδωρ τής ζωής αντλήσατε, καί πίστει στερεωθήσεσθε.

Άφρων ανήρ, ο μή γινώσκων Θεόν, διαφθείρεται καί γάρ, ατόποις επιτηδευμασιν, ελαττούται παντός εξ αγαθού, καί πάσης εκπίπτει σωτηρίας, ούπερ τής μερίδος άπαντες, οι Χριστόν γνόντες ρυσθείημεν.

### Ωδή δ'  Ο Ειρμός

«Προκατιδών ο Προφήτης, τού μυστηρίου σου τό απόρρητον, Χριστέ προανεφώνησεν. Έθου κραταιάν, Βαπτίσματος τήν χάριν τοίς πίστει, τούτο δεχομένοις άπασιν, εις λύτρωσιν τών αμπλακημάτων ημών».

Επί τό Βάπτισμα σπεύδεις, τό τοίς θνητοίς πηγάζον τήν άφεσιν, πεφορτισμένοις άπασι, πταίσμασι κακοίς, κακώς εν μοχθηρία βιούσι, τήν κατά ψυχήν ανάπαυσιν αυτοίς, ως οικτίρμων παρέξειν επαγγειλάμενος.

Μεταλαβων τής σαρκός μου, τής σής θεότητος μεταδίδως μοι, είκων γάρ απαράλλακτος, ών τού σού Πατρός, χωρείς επί χειρών σου Σώτερ τό πλάσμα, πλήν τής αμαρτίας, άνθρωπος φανείς, τώ ομοίω καθαίρων, Λόγε τό όμοιον.

Πόμα καί χρίσμα καί Πνεύμα, τής σής σφραγίδος Σώτερ γνωρίσματα, καί μυστικά χαρίσματα, καί τών δωρεών τών θείων, αξιέραστα γέρα, τόν Μονογενή καί γάρ σε ιλασμόν, ο Πατήρ εις τόν κόσμον απέστειλεν.

### Ωδή ε'  Ο Ειρμός

«Τώ συνδέσμω τής δειλίας, συνεχόμενος νύν ο Πρόδρομος, παραιτείται τό βαπτίζειν, ευλαβώς Χριστόν θεασάμενος, γυμνόν εστώτα επί τού ύδατος, ύδατι στεγάζοντα τά υπερώα».

Η τό άσχετον κρατούσα, καί υπερώον εν αιθέρι ύδωρ, η αβύσσους χαλινούσα, καί θαλάσσας αναχαιτίζουσα, Θεού Σοφία, μολεί πρός Ιορδάνην. Βάπτισμα δέ δέχεται, χειρός εκ δούλου.

Μορφωθείς Αδάμ τόν πρώτον, Βαπτισμώ ήκει καθάραι Χριστός, ο νεφέλαις δέ τόν πόλον, περιβάλλων καί αναβαλλόμενος φώς, γυμνός οράται, εν Ιορδάνου ρείθροις, καί χειρί κατέχεται, ο πάντα φέρων.

### Ωδή ς'  Ο Ειρμός

«Άβυσσος εσχάτη, αμαρτημάτων εκύκλωσέ με, καί τόν κλύδωνα μηκέτι φέρων, ως Ιωνάς τώ Δεσπότη βοώ σοι. Εκ φθοράς με άνάγαγε».

Κύριόν σε γνόντες, ουρανοί διηγούνται τήν σήν, Σώτερ δόξαν εν τή σή γεννήσει, νύν δέ Πατήρ σε κηρύττει, Υιόν αγαπητόν βαπτιζόμενον.

Ρύπον πάς ο φέρων, απορρυφθήτω δακρύων κρουνοίς, καί Χριστώ εν τρόμω

προσερχέσθω, πυρί καί Πνεύματι θείω, καθάραι προϊόντι τήν φύσιν ημών.

### Ωδή ζ' Ο Ειρμός

«Οι Παίδες εν Βαβυλώνι, καμίνου φλόγα ουκ έπτηξαν, αλλ' εν μέσω φλογός εμβληθέντες, δροσιζόμενοι έψαλλον. Ευλογητός εί Κύριε, ο Θεός τών Πατέρων ημών».

Νευστάζων κάραν πρός έχθραν, μηδείς δολίως κινήσειε, τώ πλησίον κακώς αποδούναι, κακόν αντί κακού μελετών, αλλ' εν αγάπη Κύριον, τόν φανέντα τιμήσωμεν.

Υμών Χριστού όσοι φίλοι, μικρόν προσκακοπαθή σατε, τούτω μορφωθέντι καί φανέντι, καθ' ημάς καί τό Βάπτισμα, επειγομένω δέξασθαι, τής εικόνος εις κάθαρσιν.

Μεθ' όστις εμού κατέλθη, καί συνταφή τώ Βαπτίσματι, μετ' εμού τής δόξης απολαύσει, καί τής αναστάσεως, Χριστός νύν επαγγέλλεται, ώ πιστώς υπαντήσωμεν.

### Ωδή η' Ο Ειρμός

«Νόμων πατρώων οι μακαριστοί, εν Βαβυλώνι Νέοι προκινδυνεύοντες, βασιλεύοντος κατέπτυσαν, προσταγής αλογίστου, καί συνημμένοι, ώ ουκ εχωνεύθησαν πυρί, τού κρατούντος επάξιον, ανέμελπον τόν ύμνον. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Οι δαιτυμόνες τής Θεού τροφής, τής Βηθλεέμ τώ λόγω κατατρυφήσαντες, σύν Αγγέλοις τε δοξάσαντες, καί Ποιμέσι καί Μάγοις, τόν σαρκωθέντα, νύν πρός Ιορδάνην μυστικώς, πορευθώμεν οψόμενοι, μυστήριον τό μέγα, όπερ ήκει Χριστός εκτελέσων, όν υπερυψούμεν, εις πάντας τούς αιώνας.

Νόμου τηρούντες τό κεφάλαιον, καί προφητών αγαπην ενστερνισάμενοι, μιμηταί Χριστού γενώμεθα, δι' αγάπησιν άκραν σάρκα λαβόντος, καί διά Βαπτίσματος ημάς τώ Πατρί καταλλάξαντος, καί διδάξαντος μέλπειν. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Εδεξιούτο τόν ερχόμενον, τάς αμαρτίας πάντων καθάραι νάμασιν, αλλά τούτον διεκώλυε, συστελλόμενος φόβω. Εγω γάρ χρείαν έχω βαπτισθήναι υπό σού, τώ Νυμφίω αντέφησεν, ο φίλος η φωνή τε τώ Λόγω, καί Ηλίω ο λύχνος, όν υπερυψούμεν, εις πάντας τούς αιώνας.

### Ωδή θ' Ο Ειρμός

«Ξενίας Δεσποτικής, καί αθανάτου τραπέζης, εν πενιχρώ σπηλαίω πρίν, απολαύσαντες, νύν πρός Ιορδάνην δράμωμεν, μυστήριον οψόμενοι ξένον, τό τής άνω λαμπρότητος πρόξενον».

Άπιτε τής Βηθλεέμ, οι τρυφηταί τών θαυμάτων, πρός χώραν Ιορδάνου, κακεί οψόμενοι, έργα μυστικώς τελούμενα, Βαπτίσματί τε τόν Χριστόν προσελθόντα, τόν Αδάμ αναπλάσαι, καί γάρ σεσάρκωται.

Δημιουργός γεννηθείς, εκ τού Πατρός πρό αιώνων, ετέχθη επ' εσχάτων, ατρέπτως σαρκωθείς, Κόρης εξ αγνής θεόπαιδος, διπλούς Θεός καί άνθρωπος θέλων, τόν Αδαμ αναπλάσαι διά Βαπτίσματος.

Ως άνθρωπος επέστης, ουσία ού φαντασία, ώς εις εν μέσω πάντων, ζητών τό Βάπτισμα, ο μόνος φύσει ανεύθυνος, ενθάψαι γάρ ευθύνας ήλθες, τών ανθρώπων, εν ύδασι βαπτιζόμενος.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος δ'
Ταχυ προκατάλαβε

Ιδού παραγίνεται, πρός Ιορδάνην Χριστος, φωνεί τώ Προδρόμω τε. Δεύρο με βάπτισον, τόν πάσαν καθαίροντα, κόσμου τήν αμαρτίαν, ποταμίοις εν ρείθροις, εκτεινόν σου τήν χείρα, κορυφήν μου πρός θείαν, χειρός γάρ τό παράπτωμα, ήλθον ιάσασθαι.

Δόξα... Καί νύν... ο αυτός
Ο υψωθείς εν τώ Σταυρώ

Τόν Βασιλέα τού παντός καί Δεσπότην επί τό Βάπτισμα πιστοί καθορώντες, θεοπρεπώς ερχόμενον υμνήσωμεν αυτόν, τρίβους καρδιών ημών, ευτρεπίσωμεν πόθω, σπίλους αποπλύνοντες, τών δεινών εγκλημάτων. Ιδού γάρ σώσαι γένος τών βροτών, εν Ιορδάνου ροαίς παραγίνεται.

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος πλ. δ'
Ανέστης εκ νεκρών

Ο μέγας Βαπτιστής, τού Κυρίου αγάλλου, επέστη γάρ Χριστός, υπό σού βαπτισθήναι, τρέμεις ως υπηρέτης, ο γάρ Δεσπότης κεφαλήν κλίνει σοι, άψαι τής θείας κάρας, τού απτομένου χειρί τά σύμπαντα, καί ευδοκία σώζοντος Θεού, τό γένος τών ανθρώπων.

Δόξα... Καί νύν... τό αυτό

Οι Κανόνες. ο Προεόρτιος εις ς' τών Αγίων Αποστόλων εις δ' καί τού Οσίου εις δ'. Προεόρτιος, ού η Ακροστιχίς.

Κατά Αλφάβητον. Ιωσήφ.

Ωδή α'  Ήχος πλ. β'  Ο Ειρμός

«Ως εν ηπείρω πεζεύσας ο Ισραήλ, εν αβύσσω ίχνεσι, τόν διώκτην Φαραώ, καθορών ποντούμενον, Θεώ επινίκιον ωδήν, εβόα άσωμεν».

Αγαλλιάσθω η κτίσις, αι πατριαί, τών Έθνών αδέτωσαν. Ιησούς ο Βασιλεύς, πάσης γής προέρχεται ροαίς, Ιορδάνου τήν ημών, ποιήσαι κάθαρσιν.

Βασιλικήν αλουργίδα παρθενικών, εξ αιμάτων Κύριε, ενδυσάμενος σαρκί, ποταμού πρός ρεύματα γυμνός, επιβαίνεις τήν ημών, ενδύων γύμνωσιν.

Γόνος Πατρός προανάρχου σύ πεφυκώς, πρός τόν Γόνον εύσπλαγχνε, Ζαχαρίου ευτελώς, παραγίνη βάπτισμα αιτών, όπως χάριτι υιούς Θεού ποιήσης ημάς.

Κανών τών Αποστόλων, ού η Ακροστιχίς.

Χριστού Μαθητάς δευτέρους επαινέσω. Ιωσήφ.

Ωδήα'  Ήχος δ'

«Ανοίξω τό στόμα μου, καί πληρωθήσεται Πνεύματος, καί λόγον ερεύξομαι, τή Βασιλίδι Μητρί, καί οφθήσομαι, φαιδρώς πανηγυρίζων, καί άσω γηθόμενος, ταύτης τά θαύματα».

Χριστώ μαθητεύσαντες, τώ δι' ημάς ύλη σώματος, φανέντι Πανεύφημοι, κατεφωτίσατε, κόσμον άπαντα, ακτίσιν ευσεβείας, τό σκότος μειώσαντες τής αθεότητος.

Ρεόντων αφέμενοι, τό πεφυρμένον καί άστατον, Χριστώ η κολούθησαν, Κρήσκης καί Πρόχορος, καί, Ανδρόνικος, Θαδδαίος καί Νικάνωρ, φωστήρες γενόμενοι, θεοειδέστατοι.

Ισχύν τού αλάστορος, κατεπαλαίσατε ένδοξοι, ισχύϊ τού Πνεύματος, τούς τή μανία τε, αθεότητος, τελείως παρεθέντας, ισχύος επλήσατε, καί θείας γνώσεως.

Σαρκός ομοιώματι, επιφανέντα τόν Κύριον, Αμπλίας εκήρυξε, Στάχυς καί Φίλιππος, ως Απόστολοι, ως θείοι Ιεράρχαι, ως όντες διάκονοι, τών υπέρ έννοιαν.

Θεοτοκίον

Τό θείον παλάτιον, τού Βασιλέως τιμήσωμεν, εν ω κατεσκήνωσε, καθώς ηθέλησε, τήν απείρανδρον, καί μόνην Θεοτόκον, δι' ής εΘεώθημεν, υμνολογήσωμεν.

Κανών τού Οσίου. Ποίημα Θεοφάνους

## Ωδή α'  Ήχος β'

«Εν βυθώ κατέστρωσε ποτέ, τήν Φαραωνίτιδα πανστρατιάν, η υπέροπλος δύναμις, σαρκωθείς ο Λόγος δέ, τήν παμμόχθηρον αμαρτίαν εξήλειψεν, ο δεδοξασμένος Κύριος, ενδόξως γάρ δειδόξασται».

Τής τρυφής χειμάρρους ο Χριστός, νάμασι προέρχεται, δουλοπρεπώς τού Ιορδάνου λούσασθαι, τά όρη σκιρτήσατε, αγαλλίασιν, οι βουνοί περιζώσασθε, οι ρερυπωμένοι, κάθαρσιν πρός θείαν ευτρεπίσθητε.

Η φωσφόρος μνήμη σου ημίν, σήμερον εξέλαμψεν, ηλιακάς μαρμαρυγάς θεόκτιστε, τών κατορθωμά, των σου, τών παθών ημών, ελαυνούσας κατήφειαν, ήν επιτελούντες, πίστει σε καί πόθω μακαρίζομεν.

Πτερωθείς τώ πόθω Χριστού, γέγονας μετάρσιος, τής κοσμικής απαναστάς συγχύσεως, όθεν προσεχώρησας, πρός ασκήσεως τά επίπονα σκάμματα, καί δι' εγκρατείας, Άγγελος καθάπερ επεβίωσας.

### Θεοτοκίον

Τήν Αγνήν αγνεύοντι νοϊ, δεύτε μακαρίσωμεν, τήν καλλονήν Ιακώβ ήν ηγάπησε, Θεός εκλεξάμενος, ήν κατώκησεν, ως σκηνήν αγιάσματος, ως τιμιωτέραν, πάντων τών κτισμάτων ανυμνήσωμεν.

## Ωδή γ'  Ο Ειρμός

«Ουκ έστιν Άγιος ως σύ, Κύριε ο Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου Αγαθέ, καί στερεώσας ημάς, εν τή πέτρα τής ομολογίας σου».

Δεσπόζων πάντων ως Θεός, δούλου φέρεις εικόνα, καί πρός δούλον οικτίρμον, παραγίνη σαρκικώς, Βαπτίσματι θεουργώ, τής δουλείας, τού εχθρού εξαίρων ημάς.

Επέστης ρείθρω διατί; ποίαν κάθαρσιν θέλων, ποίον ρύπον εκπλύνειν, υπεράγαθε ζητών; υμνώ σου τήν υπέρ νούν, διά σπλάγχνα Λόγε συγκατάβασιν.

Ζητών τό πρόβατον Χριστέ, όπερ άγριος λύκος, κατεσπάραξε δόλω, Ιορδάνου ταίς ροαίς, εφίστασαι εκβοών, τώ Προδρόμω. Δεύρο σύ με βάπτισον.

### Τών Αποστόλων

### Τούς σούς υμνολόγους

Οία ποταμούς υμάς ο Λόγος, εις πάσαν εξέπεμψε τήν γήν, πληρούντες ταύτην Πάνσοφοι, αρδείαις θείου Πνεύματος, καί τόν φλογμόν εξαίροντες, τής αθεΐας εν χάριτι.

Υμνήσωμεν Τίμωνα τόν θείον, τόν Σίλαν τε καί Σιλουανόν, καί πίστει

επαινέσωμεν, Επαινετόν τόν ένδοξον, καί Ουρβανόν καί Άγαβον, τούς αληθώς χριστοκήρυκας.

Μακάριοι ήδη γεγονότες, ως όντως μακάριον Θεόν, διδάσκαλον πλουτήσαντες, τούς πρίν αθλίους Πάνσοφοι, μετόχους απεδείξατε, ενθέου μακαριότητος.

Θεοτοκίον

Αγνή πρό τού τόκου καί εν τόκω, καί μετά τόν τόκον αληθώς, Παρθενομήτορ πέφηνας, Θεόν γάρ απεκύησας, όν Αποστόλων σύλλογος, περιφανώς ανεκήρυξεν.

Τού Οσίου

Εν πέτρα με τής πίστεως

Αβύσσους τώ προστάγματι ο ποιήσας, ο ύδατι στεγάζων τά υπερώα, εν ύδασι προέρχεται βαπτισθήναι, ψυχή γρηγόρησον, παθών καθάρθητι, αρετών προσφέρουσα τά βλαστήματα.

Η δύπνοον ως ρόδον τή γεωργία, τού Πνεύματος ασκήσεως εν λειμώνι, εξήνθησας θεόκτιστε ευωδίας, πληρών τούς ψάλλοντας, Θεώ εκάστοτε, Ως ουκ έστιν άγιος, πλήν σου Κύριε.

Ελαία ως κατάκαρπος εν τώ οίκω, Κυρίου ανεβλάστησας τώ ελαίω, τών πόνων σου θεόκτιστε ιλαρύνων, ημών τά πρόσωπα, ψαλλόντων, Όσιε. Ως ουκ έστιν άνιος, πλήν σου Κύριε.

Θεοτοκίον

Πολλοί οι πολεμούντές με από ύψους, εν οδύνη εξέλι πεν η ζωή μου, κατέδυσα εις χάος πλημμελημάτων, σώσόν με Δέσποινα, μή υπερίδης με, προστασίαν άμαχον, σέ γάρ κέκτημαι.

Ο Ειρμός

«Εν πέτρα με τής πίστεως στερεώσας, επλάτυνας τό στόμα μου επ' εχθρούς μου, ευφράνθη γάρ τό πνεύμά μου εν τώ ψάλλειν. Ουκ έστιν άγιος, ως ο Θεός ημών, καί ουκ έστι δίκαιος πλήν σου Κύριε»

Κάθισμα τών Αποστόλων

Ήχος γ'  Θείας πίστεως

Στύλοι άσειστοι τής Εκκλησίας, εδραιώματα τής ευσεβείας, γεγενημένοι Μαθηταί τού Θεού ημών, διατηρήσατε ταύτην αλώβητον, αποσοβούντες τού πλάνου τά σκάνδαλα, καί αιτούμενοι, Χριστόν τόν Θεόν εκάστοτε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Δόξα... τού Οσίου  Ήχος α'

Τού λίθου σφραγισθέντος

Ποιμάνας θεαρέστως τού Κυρίου τό ποίμνιον, τή σύριγγι τού λόγου, θεοφόρε Θεόκτιστε, εις χλόην απαθείας καί ζωής, προσήγαγες σωζόμενον Θεώ, καί πρός τούτον εκδημήσας, μισθόν τών πόνων είληφας επάξιον. Δόξα τώ

δεδωκότι σοι ισχύν, δόξα τώ σέ στεφανώσαντι, δόξα τώ ενεργούντι διά σού, πάσιν ιάματα.

Καί νύν... Προεόρτιον, όμοιον

Τού Ιησού γεννηθέντος, εκ Παρθένου Μαρίας, καί εν Ιορδάνη βαπτισθέντος υπό τού Ιωάννου, τό Πνεύμα κατήλθεν επ' αυτόν, ορώμενον εν είδει Περιστεράς, διά τούτο ο Προφήτης, σύν τοίς Αγγέλοις έλεγε κραυγάζων. Δόξα τή παρουσία σου Χριστέ, δόξα τή Βασιλεία σου, δόξα τή οικονομία σου, μόνε φιλάνθρωπε.

Ωδή δ'  Ο Ειρμός

«Χριστός μου δύναμις, Θεός καί Κύριος, η σεπτή Εκκλησία θεοπρεπώς, μέλπει ανακράζουσα, εκ διανοίας καθαράς, εν Κυρίω εορτάζουσα».

Η νίκα είδέ σε, τό ρείθρον Κύριε, Ιορδάνου εστράφη, η δέ πολλοίς, πάθεσι κατάρρυπος, φύσις ημών πρός ουρανούς, ανεστράφη προσκυνούσά σε.

Θαμβείται ήλιος, ορών σε Ήλιε, σαρκικώς γυμνωθέντα καί μυστικώς, πάσαν καταυγάζοντα, τήν γυμνωθείσαν σκοτεινή, παραβάσει φύσιν Δέσποτα.

Ιδού η κάθαρσις, ιδού η λύτρωσις, η ανάπλασις πάντων, ο φωτισμός, ήλθεν εις τά ίδια, οικειωθώμεν ούν αυτώ, διά βίου καθαρότητος.

Τών Αποστολων

Τήν ανεξιχνίαστον

Θάλασσαν ετάραξαν την τών Εθνών, ταύτην επιβάντες οι πάνσοφοι, καθάπερ ίπποι, τού Σωτήρος Μαθηταί, καί τούς πιστούς διέσωσαν, ύδατι Αγίω καί Πνεύματι.

Ήστραψαν ως ήλιος επί τής γής, Πούδης Απελλής καί Φιλόλογος, καί Ηρωδίων, Ρούφός τε καί Πατροβάς, καί τούς πιστούς εφώτισαν, σκότους αγνωσίας ρυσάμενοι.

Τείνας εξαπέστειλε βέλη υμάς, ως ηκονημένα ο εύσπλαγχνος, βέλη συνθλώντα, τού εχθρού καί τούς δεινώς, τραυματισθέντας Ένδοξοι, χάριτι Θεού θεραπεύοντας.

Αίνεσιν προσάξωμεν τώ Λυτρωτή, ανυμνολογούντες Ροδίωνα, τόν θεηγόρον, καί Ερμήν τόν ευκλεή, καί τόν σοφόν Ασύγκριτον, Λίνόν τε τόν θείον καί Γάϊον.

Θεοτοκίον

Σέ μακαριώτατος πάλαι χορός, τών προφητευόντων εν Πνεύματι, θεηγορίαις, ιεραίς θεοπρεπώς, κατονομάζει Πάναγνε, Πύλην τε καί Όρος κατάσκιον.

Τού Οσίου

Ελήλυθας, εκ Παρθένου

Εστάλαξαν, γλυκασμόν οι τών πόνων ιδρώτές σου, πικρίαν εξαίροντες, τήν τών Δαιμόνων Αοίδιμε, νόσων φυγαδεύοντες, τάς αλμυράς διεκχύσεις αξιάγαστε.

Θεούμενος, ανενδότοις καθάρσεσιν Όσιε, φωστήρ εχρημάτισας, τών Μοναστών φαεινότατος, τύπος ακριβέστατος, καί ποδηγέτης, καί πύργος αδιάσειστος.

Διέρρηξας, τών παθών τάς θαλάσσας Θεόκτιστε, τή ράβδω τής Πίστεως, καί Φαραώ τόν αόρατον, Πάτερ κατεπόντισας, επαγγελίας πρός χθόνα φθάσας Όσιε.

Θεοτοκίον

Κεκράξομαι, εν νυκτί καί ημέρα Πανάμωμε, πρός σέ καί σωθήσομαι, καί ηδονών υπερβήσομαι, τείχος καί ρυσθήσομαι, πειρατηρίων, Δαιμόνων, μεσιτεία σου.

Ωδή ε'  Ο Ειρμός

«Τώ θείω φέγγει σου αγαθέ, τάς τών ορθριζόντων σοι ψυχάς, πόθω καταύγασον δέομαι, σέ ειδέναι Λόγε Θεού, τόν όντως Θεόν, εκ ζόφου τών πταισμάτων ανακαλούμενον».

Καρποφορήσωμεν τώ Χριστώ, βίον καθαρόν, έρχεται γάρ, αποκαθαίρων τσίς ύδασι, τών αμαρτημάτων τόν ρύπον χάριτι, ο μόνος ευεργέτης καί αναμάρτητος.

Λαός εν σκότει τών δυσχερών, πάλαι ο καθήμενος τό φώς, επιφανέν σοι τό άδυτον, βλέψον, καί ταίς θείαις αυγαίς φωτίσθητι, καί τού επιφανέντος τήν χάριν ύμνησον.

Μέγα μυστήριον εκτελών, μέγιστον πρός Πρόδρομον τόν σόν, ώ μεγαλόδωρε Κύριε, έρχη σμικρυνθείσαν τήν ανθρωπότητα, αρρήτως μεγαλύνων διά Βαπτίσματος.

Τών Αποστόλων

Εξέστη τά σύμπαντα

Δεσμείν τε πανεύφημοι, καί λύειν ως Απόστολοι, λαβόντες υμείς τήν εξουσίαν, τούς δεδεμένους κακοπιστίας δεσμώ, ελύσατε, όθεν τήν υμών, μνήμην εορτάζομεν, πιστώς περιχορεύοντες.

Ενθέοις, Αρίσταρχος, τιμάσθω μελωδήμασι, Τέρτιος, ιάσων καί Σωσθένης, Καίσαρ καί Μάρκος, Λουκάς Σωσίπατρος, Κούαρτος καί θείος Απελλής, Κλήμης Επαφρόδιτος, καί ο πάνσοφος Έραστος.

Υμάς ως τούς Δώδεκα, απέστειλεν ο Κύριος, πάσαν εκριζούντας αθεΐαν, πάσιν ανθρώποις καταφυτεύοντας, γνώσιν θεϊκήν περιφανώς, ένδοξοι Απόστολοι, πρεσβευταί τών ψυχών ημών.

Θεοτοκίον

Τά όμματα φώτισον, Παρθένε τής καρδίας μου, λάμψον μοι ακτίνα μετανοίας, σκότους με ρύσαι διαιωνίζοντος, Πύλη τού φωτός Χριστιανών, πάντων τό προσφύγιον, τών πιστώς ανυμνούντων σε.

Τού Οσίου

Ο φωτισμός τών εν σκότει

Τών προσευχών, τώ αρότρω ανανεώσας, γήν τής καρδίας, ταύτη κατεβάλου τού λόγου σπόρον, Πάτερ θεόφρον, καί πολύχουν εδρέψω, ευκαρπίαν τών ευφημούντων σε, πάντων ευσεβών, τάς ψυχάς διατρέφουσαν.

Άγρυπνον νούν, αενάως προσφέρων, Πάτερ θεόφρον, πάθη κατεκοίμισας ψυχοφθόρα, όρθρον πρός θείον, επειγόμενος φθάσαι, πρός αδύτου φωτός λαμπρότητα, τών ευφραινομένων, εν ώ η κατοίκησις.

Ως θεαυγής, καί φωσφόρος καί πλήρης τών χαρισμάτων, Πνεύματος τού θείου υπάρχων Πάτερ, τής ακακίας τό ανόθευτον ήθος, υποφαίνων πάσιν, εδείκνυες, Άγγελος καθάπερ, βιών μετά σώματος.

Θεοτοκίον

Ανατολής, τής εξ ύψους φανείσης, εδείχθης Πύλη, θρόνος επηρμένος τού Βασιλέως, ουρανομήκης, καί μετάρσιος Κλίμαξ, ή επέβη Χριστός Πανάχραντε, καί τοίς απωσμένοις, βροτοίς προσωμίλησεν.

Ωδή ς' Ο Ειρμος

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι. Ανάγαγε, εκ φθοράς τήν ζωήν μου Πολυέλεε».

Ναμάτων ως έμπλεως, μυστικών ως ποταμός, ειρήνης μόνε Κύριε, πρός ποταμόν εφίστασαι εκ μικράς, σταγόνος αιτούμενος, βαπτισθήναι ο μόνος αναμάρτητος.

Ξενίζεται άνωθεν, τών Αγγέλων ο χορός, κατανοών γυμνούμενον, τόν ταίς νεφέλαις σκέποντα ουρανόν, καί κράζει. Τίς αύτη σου, ή πολλή πρός ανθρώπους συγκατάβασις;

Ο πλήρης κεκένωται, ο αόρατος ιδού, σωματωθείς επέφανεν, Ιορδάνη ευφράνθητι ποταμέ, τά ρείθρά σου πλήρωσον, όπως λούσης τήν πάντων αναγέννησιν.

Εις πάντα κόσμον ερράνατε, τό ύδωρ τής ζωής τό σωτήριον, νεφέλαι έμψυχοι, αναδειχθέντες Απόστολοι, καί τών πιστών καρδίας κατεδροσίσατε.

Ρημάτων θείων η δύναμις, υμών τήν τών ρητόρων ενίκησε, πολλήν δεινότητα, καί τούς ασόφους εσόφισε, μωραινομένους γνώσει τής πλάνης Πάνσοφοι.

Ο θείος Πούδης καί Τρόφιμος, Φιλήμων ο κλεινός καί Αρίσταρχος, Ονησιφόρος τε, καί Τυχικός ο πανάριστος, ως Μαθηταί τού Λόγου μεγαλυνέσθωσαν.

Θεοτοκίον

Υμνώ σε μόνη Πανύμνητε, δοξάζω σε αεί θεοδόξαστε, καί μακαρίζω σε, ήν γενεαί μακαρίζουσι, τών γενεών Παρθένε θεομακάριστε.

Τού Οσίου

Εν αβύσσω πταισμάτων

Πονηρίας υπέταξας πνεύματα, Πνεύματος Αγίου δειχθείς ενδιαίτημα, τού τήν ισχύν σοι πνεύσαντος, θεοφόρε παμμάκαρ Θεόκτιστε.

Λογική βακτηρία σου Όσιε, πόα τής ασκήσεως Πάτερ εξέθρεψας, τό λογικόν σου ποίμνιον, καί πρός μάνδραν ουράνιον ίθυνας.

Θεοτοκίον

Ουρανόν ο τανύσας βουλήματι, άλλον επί γής ουρανόν σε ανέδειξε, Θεογεννήτορ Άχραντε, καί εκ σού τοίς εν σκότει επέφανεν.

Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον. Εκ φθοράς ο Θεός με ανάγαγε».

Κοντάκιον τών Αποστόλων

Ήχος β' Τά άνω ζητών

Χριστού Μαθητών, χορόν τών Εβδομήκοντα, ενθέως πιστοί, υμνήσωμεν σήμερον, καί πανηγυρίσωμεν, δι' αυτών γάρ πάντες εμάθομεν, Τριάδα σέβειν αμέριστον, υπάρχουσι γάρ λύχνοι θείας Πίστεως.

Ο Οίκος

Τών Εβδομήκοντα Άποστόλων τήν χορείαν, συμφώνως οι πιστοί, ιεραίς ευφημήσωμεν μελωδίαις, Στέφανον, Πρόχορόν τε καί Σίλαν καί Νικάνορα. Τίμωνα καί Αμπλίαν καί Παρμενάν, Απελλήν τε Ιάκωβον, Φίλιππον, Αρίσταρχον, καί Ματθίαν, Ηρωδίωνα, Κρήσκην καί Φλέγοντα Βαρνάβαν, Λίνον καί Ολυμπάν, Λουκάν καί Ασύγκριτον, καί τούς λοιπούς, υπάρχουσι γάρ λύχνοι θείας Πίστεως.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Δ' τού αυτού μηνός, Η Σύναξις τών αγίων καί ενδόξων Εβδομήκοντα Αποστόλων.

Στίχοι

Τούς Εβδομήκοντ' ευκλεείς Αποστόλους,
Καί ώδ' ομού σύμπαντας ευφημείν θέμις.
Αμφί τετάρτην άνδρας αγακλεέας κυδαίνω.

Τή αυτή ημέρα, Ο Όσιος Θεόκτιστος, ο Ηγούμενος τού εν τώ Κουκούμω τής Σικελίας, εν ειρήνη τελειούται.

Στίχοι

Εν γή χλοαυγεί τής Εδέμ Θεοκτίστω,
Μοίραν δίδως, άκτιστε τού Θεού Λόγε.

Τή αυτή ημέρα, Οι άγιοι έξ Μάρτυρες εν ειρήνη Τελειούνται.

Στίχοι

Ψυχαί διαυγείς έξ αποπτάσαι βίου,
Εξαπτέρυξι συμπαρίστανται Νόοις.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Ζωσίμου Μοναχού καί Αθανασίου Κομενταρησίου.

Στίχοι

Αθανάσιος συνθανών τώ Ζωσίμω,
Ένδον πέτρας ήδιστα καί συζήν έχει.

Τή αυτή ημέρα, Μνήμη τής οσίας Απολλιναρίας τής Συγκλητικής.

Στίχοι

Αίρουσιν εκ γής τήν Απολλιναρίαν.
Καί γάρ κατοικείν ουρανούς ήν αξία.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον καί σώσον ημάς.

Ωδή ζ'  Ο Ειρμός

«Δροσοβόλον μέν τήν κάμινον ειργάσατο, Άγγελος τοίς οσίοις Παισί, τούς Χαλδαίους δέ καταφλέγον πρόσταγμα Θεού, τόν τύραννον έπεισε βοάν. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών».

Πώς σε ρείθρα υποδέξονται ποτάμια, τρυφής όντα χειμάρρουν Χριστέ; πώς ο Πρόδρομος, εκτενεί τήν χείρα επί σέ, χειρί πλαστουργήσαντα αυτόν, καί εκ χειρός τού πονηρού, εξαγαγόντα ημάς;

Ρείθρον Κύριε υπάρχων αγαθότητος, πρός ρείθρα Ιορδάνια, πώς εφίστασαι, αφθαρσίας νάματα ζητών; ποτίσαι τούς γεύσει πονηρά, καθυπαχθέντας τή φθορά, φθόνω τού όφεως.

Σταλαξάτωσαν τά όρη αγαλλίασιν, καί οι βουνοί σκιρτάτωσαν, ευφραινόμενοι, ποταμοί κροτείτωσαν χειρί, επέφανεν ήκει ο Χριστός, εν ποταμώ τά τών βροτών, ενθάψαι πταίσματα.

Τών Αποστόλων

Ουκ ελάτρευσαν τή κτίσει
Σαγηνεύσαντες τώ λόγω ανειλκύσατε, τής αθεΐας βυθού, Έθνη πολύσπορα, σημείοις καί τέρασιν επιστηρίξαντες, τά φρονήματα, τούτων σοφοί Απόστολοι, οδηγοί πεπλανημένων.

Εμβιβάσαντες πρός όρμον γαληνότατον, τούς θαλαττεύοντας, τή άλμη τών δυσχερών, σωτήρες εδείχθητε. Ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Πάντες Εύοδον καί Κάρπον μακαρίσωμεν, καί Τυχικόν καί Κηφάν, Ιούστον καί Αρτεμάν, Ζηνάν τε τόν ένδοξον, ως τού Χριστού Μαθητάς, αναμέλποντες, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Αστραπόμορφοι τώ Πνεύματι γενόμενοι, Χριστού Απόστολοι, τούς κρατουμένους νυκτί, αγνοίας ερρύσασθε, καί πρός τό φώς τής ζωής, ωδηγήσατε, αναβοώντας πάντοτε. Ο Θεός ευλογητός εί.

Θεοτοκίον
Ιλαστήριον Πανάμωμε γεγένησαι, αμαρτανόντων αεί, τεκούσα υπερφυώς, του κόσμου τόν αίροντα, την αμαρτίαν Χριστόν, ώ κραυγάζομεν. Ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Τού Οσίου

Αντίθεον πρόσταγμα
Δακρύων προσχύσεσιν εναποσβέσας, παθών υπεκκαύματα, Θεόκτιστε μακάριε, θαυμάτων ανέβλυσας, ρείθρα αείζωα, οίς περ αποπλύνονται, ψυχών τε καί σωμάτων, νόσοι αοίδιμε.

Δαυΐδ τήν πραότητα Πάτερ ζηλώσας, εκτήσω τό άμεμπτον, Ιώβ καί τήν απάθειαν, Ιακώβ τό άπλαστον, καί πίστιν τού Αβραάμ, Πέτρου τήν θερμότητα, μεθ' ών κατασκηνώσας, ημών μνημόνευε.

Θεοτοκίον
Ζωήν ενυπόστατον ημίν τεκούσα, θανάτω τόν θάνατον, Παρθένε καταργήσασαν, δεινών επικλύσεσι, θανατωθέντα με, ζώωσον πρεσβείαις σου Αγνή, ευλογημένη καί υπερένδοξε.

Ωδή η' Ο Ειρμός
«Εκ φλογός τοίς Οσίοις, δρόσον επήγασας, καί δικαίου θυσίαν ύδατι έφλεξας, άπαντα γάρ δράς Χριστέ, μόνω τώ βούλεσθαι. Σέ υπερυψούμεν, εις πάντας τούς αιώνας».

Τά ποτάμια ρείθρα μηλωτή έτεμεν, Ελισαίος τήν χάριν, τήν τού Βαπτίσματος,

προσκιαγραφών, ήν Χριστός απειργάσατο, τούτοις επιβαίνων, ο μόνος ευεργέτης.

Υπεσήμανε πάλαι Προφήτης ένδοξος, τού Βαπτίσματος χάριν, αλσί τά ύδατα, άγονα τά πρίν, εκτελέσας πολύγονα, τού επιφανέντος, Θεού ημών δυνάμει.

Φάραγξ πάσα τών θείων δώρων πλησθήσεται, καί βουνός εναντίος ταπεινωθήσεται, καί τά σκολιά εις ευθέα τραπήσεται, τή τού σαρκωθέντος, Θεού επιφανεία.

Τών Αποστόλων

Παίδας ευαγείς
Νεώσαντες φρένας χερσωθείσας, αρότρω τού λόγου παναοίδιμοι, ταύταις τά σωτήρια, σπέρματα εσπείρατε, καί ευσεβείας άσταχυν εκατοστεύοντα, εδρέψασθε τών ανασωθέντων, τήν πληθύν Κυρίου, Απόστολοι πανσόφως.

Επαίνοις Ιάκωβον ενθέοις, Κλεόπαν Βαρνάβαν τε καί Στέφανον, Νάρκισσον τόν πάνσοφον, Μάρκον Αριστόβουλον, καί Απελλήν τιμήσωμεν, ως Αποστόλους Χριστού. Τόν Κύριον υμνείτε βοώντες, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Σταυρόν αντί θώρακος φορούντες, πρός πάσας ανδρείως εχωρήσατε, φάλαγγας τού δράκοντος, πάνσοφοι Απόστολοι, καί ταύτας διολέσαντες, ούς ηχμαλώτευσεν, ανθρώπους συνελάβεσθε πίστει, καί τώ ζωοδότη, προσήξατε Δεσπότη.

Θεοτοκίον
Ω θαύμα επέκεινα θαυμάτων! πώς τίκτεις καί μένεις παρθενεύουσα; πάναγνε Θεόνυμφε. Λόγον γάρ εγέννησας, τόν τώ Πατρί συνάναρχον, ώ πάντες ψάλλομεν. Τόν Κύριον υμνείτε τά έργα καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Τού Οσίου

Τόν εν καμίνω τού πυρός
Εν ακακία τήν ζωήν, διανύσας αληθώς θεόφρον Πάτερ, τού εχθρού τήν κακίαν, τελειοτάτω νοί, καθείλες, Υμνείτε τόν Κύριον, καί υπερυψούτε, Θεόκτιστε κραυγάζων.

Νύν η αξίνη τών ψυχών, απειλεί τήν εκτομήν, ψυχή μου σπεύσον, καί παθών τάς ακάνθας, αποτεμούσα καρπούς, ωρίμους Κυρίω προσάγαγε, ταίς τού θεοφόρου, ευχαίς διασωθείσα.

Θεοτοκίον
Από πασών σε γενεών, εξελέξατο Χριστός εις κατοικίαν, εαυτώ Θεοτόκε, ανακαινίζων ημάς, φθαρέντας ενώσει τή κρείττονι, όθεν σε υμνούμεν, εις

πάντας τούς αιώνας.

Ο Ειρμος

«Τόν εν καμίνω τού πυρός, τών Εβραίων τοίς Παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον, μεταβαλόντα Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ' Ο Ειρμός

«Θεόν ανθρώποις ιδείν αδύνατον, όν ού τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ Πάναγνε ωράθη βροτοίς, Λόγος σεσαρκωμένος, όν μεγαλύνοντες, σύν ταίς ουρανίαις στρατιαίς σέ μεγαλύνομεν».

Χερσίν ο πλάσας Χριστέ τόν άνθρωπον, εν τή χειρί Προδρόμου υποκύπτεις ως άνθρωπος, ταπεινούμενος όπως υψώσης με, πάλαι ταπεινωθέντα, καί απολλύμενον, δόξα τή ενδόξω, καί φρικτή οικονομία σου.

Ψυχών η κάθαρσις ευτρεπίζεται, ο φωτισμός, η λύσις τών δεινών επεδήμησεν, Ιορδάνη ποταμέ ευφράνθητι, χόρευσον πάσα η κτίσις, γή τε καί θάλασσα, κρότησον δοξάζουσα Χριστόν, τόν υπεράγαθον.

Ως ων απάντων καλών τό πλήρωμα, έρχη βοών τώ πλήρει, αγιότητος δούλω σου, εκπλαγέντι τήν σήν συγκατάβασιν. Έγγισον βάπτισόν με, θέλω πληρώσαι γάρ, φύσιν τών βροτών αγιασμού, καί καθαρότητος.

Τών Αποστόλων

Άπας γηγενής

Ίασαι ημών, Χριστέ τά παθήματα, τών Αποστόλων ευχαίς, τών αγαπησάντων σε, καί κηρυξάντων εν πάσιν έθνεσι, Θεόν ομού καί Κύριον, Δημιουργόν τού παντός, καί ειδώλων, πάσαν αμαυρότητα, διωξάντων φωτί τού κηρύγματος.

Ώσπερ αστραπαί, τώ κόσμω εξέλαμψαν, Λουκάς ομού καί Ερμής, Μάρκος Ανανίας τε, καί σύν Ματθία ο Ιερός Ολυμπάς, καί τών πιστών τό πλήρωμα, σαφώς εφώτισαν, ούς εν πίστει, σήμερον τιμήσωμεν, Ιεροίς καί σεπτοίς μελωδήμασι.

Στώμεν ευσεβώς, εν οίκω Θεού ημών, καί μακαρίσωμεν, τούς Ιεροκήρυκας, καί Διδασκάλους καί αγγελόφρονας, καί πλουτιστάς σωτήράς τε, καί αντιλήπτορας, καί προστάτας, πάντων χρηματίζοντας, τών τιμώντων αυτών τά μνημόσυνα.

Ήστραψαν φωτί, αϋλω τού Πνεύματος, Ακύλας Αχαϊκός, Κάρπος τε ο ένδοξος, καί Φουρτουνάτος σύν τοίς εξήκοντα, καί έξ Χριστού θεράπουσι, καί ιεροίς Μαθηταίς, καί καρδίας, πάντων καταυγάζουσι, τή φωσφόρω αυτών μνήμη σήμερον.

Θεοτοκίον

Φέγγος αστραπής, τού τόκου σου έλαμψε, καί κατεφαίδρυνε, πάσαν τήν υφήλιον, καί τόν προστάτην τού σκότους ώλεσε, Θεογεννήτορ πάναγνε, Αγγέλων καύχημα, καί ανθρώπων, πάντων τό διάσωσμα, τών απαύστοις φωναίς ευφημούντων σε.

Τού Οσίου

Ανάρχου Γεννήτορος

Θεού κτίσις πέφυκας, Θεόκτιστε ανόθευτος, μή νοθεύσας ψυχής σου τό κάλλος Όσιε, τών αμαρτημάτων κηλίσιν, αλλά σαυτόν, όλον ωραϊσας, καλών επιδόσεσι, διά τούτό σε γεραίρομεν.

Αρεταίς κοσμούμενος, αγάπη λαμπρυνόμενος, τών καλών ταίς ιδέαις καταστραπτόμενος, πρός τούς σούς μετέβης Πατέρας, Πάτερ σοφέ, εν πίονι γήρα, σίτος ώριμος, θησαυροίς θείοις τηρούμενος.

Η ποίμνη σου σήμερον, χορεύει εορτάζουσα, φωτοφόρον τήν μνήμην τής σής κοιμήσεως, ήν επευλογείν ουρανόθεν, καί μεταστάς, μή λίπης τρισμάκαρ, Θεώ παριστάμενος, σύν Αγγέλοις Παμμακάριστε.

Θεοτοκίον

Ζωήν η κυήσασα, βροτών εις απολύτρωσιν, νεκρωθείσαν Παρθένε τοίς παραπτώμασι, ζώωσον Αγνή τήν ψυχήν μου, ως συμπαθής, ως μόνη προστάτις, τών καταφευγόντων σου, εν τή σκέπη Παναμώμητε.

Ο Ειρμος

«Ανάρχου Γεννήτορος, Υιός Θεός καί Κύριος, σαρκωθείς εκ Παρθένου, ημίν επέφανε, τά εσκοτισμένα φωτίσαι, συναγαγείν τά εσκορπισμένα. Διό τήν πανύμνητον, Θεοτόκον μεγαλύνομεν».

Εξαποστειλάριον

Ο ουρανόν τοίς άστροις

Καταλιπόντες κόσμον, οι Εβδομήκοντα Λόγε, σοί μαθητεύονται πόθω, τώ Λόγω καί Διδασκάλω, τής αγνωσίας τόν κόσμον, αποκαθαίροντες πίστει.

Προεόρτιον, όμοιον

Ο εκ Πατρός αχρόνως, πρό τών αιώνων γεννηθείς, Υιός καί σάρκα φορέσας, υπερφυώς εκ Γυναικός, προέρχεται βαπτισθήναι, εις αναγέννησιν κόσμου.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. β' Αι Αγγελικαί

Όν περ η φωνή, τού βοώντος προετύπου, ήλθεν ο Χριστός, έν τοίς ρείθροις Ιορδάνου, καί τώ Προδρόμω έφη. Δεύρο πλύνόν με ύδασι, βάπτισόν με νύν συγκαταβάντα, τόν γάρ Αδάμ εκπλύναι ήλθον, τού πρίν πτώματος. Ευλογημένος ο φανείς, Θεός ημών δόξα σοι.

Ύψος ουρανού, ουδαμώς εξιχνιάσω, άστρων αριθμόν, ουδέ γήν

αναμετρήσω, καί πώς τής κορυφής σου, τώ Δεσπότη ο Πρόδρομος, άψομαι χειρί; πώς δέ βαπτίσω, τόν φέροντα δρακί τήν κτίσιν, διό κράζω σοι. Ευλογημένος ο φανείς, Θεός ημών δόξα σοι.

Σύνθρονος Πατρί, καί τώ Πνεύματι υπάρχων, ταίς αγγελικαίς, στρατιαίς δορυφορούμαι, άλλά σμικρώ σπηλαίω εξενίσθην τικτόμενος, εν τή Βηθλεέμ δι' ευσπλαγχνίαν, διό καί νύν τήν δεξιάν σου, εμοί δάνεισον, ίνα καί πλύνω εν εμοί, τού κόσμου τά πταίσματα.

Έκλυσας ποτέ, αμαρτίας επί Νώε, λόγω διασχών, καταρράκτας ουρανίους, καί πώς σε Ιορδάνης, κατιδών υποστήσεται; ήδη γάρ τό ρείθρον αναστρέφει, επέγνω σε η κτίσις πάσα, καγώ κράζω σοι. Ευλογημένος ο φανείς, Θεός ημών δόξα σοι

Δόξα... όμοιον

Ίνα πληρωθή, τού Πατρός η ευδοκία, ήλθον επί γής, ενδυσάμενος πτωχείαν. Ο ουρανός μοι θρόνος η δέ γή υποπόδιον, σοί δέ τόν αυχένα υποκλίνω, εν τούτω γάρ παρεγενόμην, εμέ βάπτισον, καί εν εμοί τά τών βροτών, καθαίροντα πταίσματα.

Καί νύν... όμοιον

Σύ τόν Ισραήλ, διά στύλου καί νεφέλης, πρίν φωταγωγών, καί δροσίζων εν ερήμω, σύ ο δεσπόζων πάντων, ο τή φύσει ανέκφραστος, δούλου τήν μορφήν πώς ενεδύσω; ου ψαύσω σου πυρός ο χόρτος, αυτός με βάπτισον, εγώ γάρ χρήζω υπό σού, Καθάρσιον δέξασθαι.

Απόστιχα, Ήχος β'

Οίκος τού Εφραθά

Ώφθη τό πατρικόν, απαύγασμα τής δόξης, εν Ιορδάνου ρείθροις, Βαπτίσματι καθαίρον, τόν ρύπον τών ψυχών ημών.

Στίχ. Διά τούτο μνησθήσομαί σου εκ γής Ιορδάνου καί Ερμωνιιμ.

Δέχου δουλοπρεπώς, Προφήτα Ιωάννη, τόν Λυτρωτήν τού κόσμου, καί βάπτισον τόν Κτίστην, βροτών εις αναγέννησιν.

Στίχ. Είδοσάν σε ύδατα ο Θεός, είδοσάν σε ύδατα καί εφοβήθησαν.

Ήλθεν ο φωτισμός, η λύτρωσις εφάνη, εν Ιορδάνη, δεύτε, συνέλθωμεν ρυφθήναι, καί άσαι προεόρτια.

Δόξα... Καί νύν... όμοιον

Σήμερον ο Χριστός, σωτήριον ανθρώποις, λυτήριον δωρείται, ψυχών καθαίρων ρύπον, πυρί τώ τού Βαπτίσματος.

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

**ΤΗ Ε' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Προεόρτια τών Φώτων, καί μνήμη τών Αγίων Μαρτύρων Θεοπέμπτου καί Θεωνά, καί τής Οσίας Συγκλητικής.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, Ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά προσόμοια τών Μαρτύρων.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Θεωνάν καί Θεόπεμπτον, τούς σοφούς ανυμνήσωμεν, τοίς Χριστού γάρ δόγμασι πειθαρχούμενοι, λατρείαν πάσαν αθέμιτον, λαμπρώς καταργήσαντες, τή αγία καί σεπτή, ευσεβώς λελατρεύκασιν, ένα Κύριον, καί Θεόν πρό προσώπου τών τυράννων, ευθαρσώς ομολογούντες, καί στεφανούμενοι άνωθεν.

Τό τού βίου χαμαίζηλον, καί τρυφής τήν ευπάθειαν, καί τήν απανθούσαν δόξαν Πανεύφημοι, καταλιπόντες ως πρόσκαιρον, Χριστώ εκολλήθητε, τώ αυτού κάλλει τερπνώς, ως ωραίω φλεγόμενοι, καί προσήχθητε, ως ηδύπνοα ρόδα, καί τώ στέφει, τής αφθάρτου Βασιλείας, θεοσθενώς συνεστέφθητε.

Οι τόν κόσμον μισήσαντες, υπερκόσμιοι ώφθητε, πρωτοτόκων Εκκλησία συνήφθητε, καί τοίς αγγέλοις συνάδετε, ωδήν τήν ακήρατον, ενωπίω τώ Θεώ, παρεστώτες ενώπιοι, καί τήν άθεσμον, τών ειδώλων απάτην καθελόντες, τών Τυράννων τήν μανίαν, μαρτυρικώς κατεβάλετε.

Έτερα Στιχηρά Προσόμοια τής Οσίας
Ήχος α'
Τών ουρανίων ταγμάτων

Τό ευκλεές τών Πατέρων, όντως ποθήσασα, ευκλείας τής αφθάρτου, επεθύμησας, όθεν, εκστάσα τών ηδέων, σώμα τό σόν, πόνοις πάσιν εξέδωκας, καί νύν τών πόνων λαμβάνεις τάς αμοιβάς, τώ Χριστώ συμβασιλεύουσα.

Ο τόν Ιώβ συγχωρήσας, τώ εξαιτήσαντι, καί σέ πυρώσαι θέλων, ως χρυσίον αφήκε, τό σώμα πάσχειν βία τού πονηρού, όθεν σύ καταισχύνασα, τή καρτερία τών νόσων τόν πειραστήν, τώ τής νίκης στέφει έστεψαι.

Τό τού νυμφίου ωραίον, κάλλος ποθήσασα, Χριστού καί νυμφευθήναι, τούτω σύ βουληθείσα, πάσαις ταίς ιδέαις τών αγαθών, διά πόνων ασκήσεως, σαυτήν εκόσμησας, όθεν, νύν σύν αυτώ, βασιλεύεις εις νυμφώνα αυτού.

Δόξα... Καί νύν... Ήχος πλ. β'

Ετοιμάζου Ιορδάνη ποταμέ, ιδού γάρ παραγίνεται Χριστός ο Θεός, βαπτισθήναι υπό Ιωάννου, ίνα τών δρακόντων αοράτους κεφαλάς, συνθλάση τή θεότητι, εν τοίς ύδασι τοίς σοίς, αγάλλου η έρημος, Ιορδάνου, τά όρη

σκιρτήσατε ευφροσύνη, ήκει γάρ η αιώνιος ζωή, ανακαλέσαι τόν Αδάμ, Φωνή βοώντος βόησον, ώ Ιωάννη Πρόδρομε, Ετοιμάσστε οδούς τού Κυρίου, Καί τάς τρίβους αυτού, ευθείας απεργάσασθε.

Απόστιχα Στιχηρά Προσόμοια
Ήχος πλ. β'
Τριήμερος ανέστης Χριστέ

Η γή καί τά επίγεια, σκιρτήσατε αγάλλεσθε, ο χειμάρρους, τής τρυφής εν ποταμώ, βαπτίζεται τήν χύσιν, ξηραίνων τής κακίας, καί αναβλύζει θείαν άφεσιν.

Στίχ. Είδοσάν σε ύδατα ο Θεός, είδοσάν σε ύδατα καί εφοβήθησαν.

Φωτός ών χορηγός Ιησούς, μή χρήζων βαπτισθήναι σαρκί, επιβαίνει, Ιορδάνου ταίς ροαίς, φωτίσαι τούς εν σκότει, βουλόμενος εν πίστει, τούτω προθύμως υπαντήσωμεν.

Στίχ. Διά τούτο μνησθήσομαί σου εκ γής Ιορδάνου καί Ερμωνιείμ.

Φορέσας τήν τού δούλου μορφήν, προέρχη βαπτισθήναι Χριστέ, υπό δούλου,, Ιορδάνου ταίς ροαίς, λυτρούμενος δουλείας, τής πάλαι αμαρτίας, καί αγιάζων καί φωτίζων ημάς.

Δόξα... Καί νύν... Ήχος πλ. β'

Αγαλλιάσθω η έρημος τού Ιορδάνου, καί ανθείτω ως κρίνον, φωνή γάρ βοώντος ηκούσθη εν αυτή. Ετοιμάσατε τήν οδόν τού Κυρίου, ο γάρ τά όρη στήσας σταθμώ, καί τάς νάπας ζυγώ, ο τά πάντα πληρών ως Θεός, βαπτίζεται υπό δούλου, πτωχεύειν ήρξατο, ο τά πλούσια δώρα χαριζόμενος. Ήκουσεν Εύα. Εν λύπαις τέξη τέκνα, νύν δέ ήκουσεν η Παρθένος, Χαίρε Κεχαριτωμένη, ο Κύριος μετά σού, ο έχων τό μέγα έλεος.

Απολυτίκιον  Ήχος δ'

Απεστρέφετο ποτέ, ο Ιορδάνης ποταμός, τή μηλωτή Ελισαιέ, αναληφθέντος Ηλιού, καί διηρείτο τά ύδατα ένθεν καί ένθεν, καί γέγονεν αυτώ, ξηρά οδός η υγρά, εις τύπον αληθώς τού Βαπτίσματος, δι' ού ημείς τήν ρέουσαν, τού βίου διαπερώμεν διάβασιν, Χριστός εφάνη, εν Ιορδάνη, αγιάσαι τά ύδατα.

Εν τοίς Αποδείπνοις, Κανών, ού η ακροστιχίς, άνευ τών Ειρμών τών τεσσάρων πρώτων Ωδών.

Καί σήμερον δέ Σάββατον μέλπω μέγα.

Ωδή α'  Ήχος πλ. β'
Ο Ειρμός

«Κύματι θαλάσσης, τόν κρύψαντα πάλαι, διώκτην τύραννον, τά Ιορδάνια, ρείθρα συστέλλει καί κρύπτει, τήν εμήν νύν καθαιρόμενον, ανθρωπίνως

κάθαρσιν, ενδόξως γάρ δεδόξασται».

Κύριε Θεέ μου, φωτώνυμον ύμνον, καί προεόρτιον, ῳδήν σοι άσομαι, τώ θείοις θεοφανείοις, μυστικώς αναγεννώντί με, καί πρός τήν λαμπρότητα, την θείαν επανάγοντι.

Άνω πρό αιώνων, καί κάτω προσφάτως, επιφανέντα σε, τά υπερκόσμια, καί τά περίγεια Σώτερ, κατεπλήττοντο Θεώμενα, καί τήν υπέρ λόγον σου, ανύμνουν συγκατάβασιν.

Ίνα σου τής δόξης, τά πάντα πληρώσης, σαυτόν εκένωσας, μέχρι καί δούλου μορφής, νύν δέ παλάμη τού δούλου, υποκλίνεις κεφαλήν δουλικώς, τήν εμήν άνάπλασιν, καί κάθαρσιν δωρούμενος.

### Ωδή γ'  Ο Ειρμός

«Σέ τόν επί υδάτων, εδράσαντα πάσαν τήν γήν ασχέτως, η κτίσις κατιδούσα, σαρκί κρυπτόμενον νάμασι, θάμβει πολλώ συνείχετο, Ουκ έστιν Άγιος, πλήν σου Κύριε κραυγάζουσα».

Σύμβολα πρίν Προφήταις, παρέδειξας τής σής θεοφανείας, νύν δέ τά κεκρυμμένα, ταίς ενεργείαις εγνώρισας, επιφανείς μυστήρια, ανθρώποις σήμερον, νέμων νέαν αναγέννησιν.

Ήπλωσεν Ιορδάνης, τά ύδατα ως νώτα μετά τρόμου, τού δέξασθαι τόν Κτίστην, σωματικώς βαπτιζόμενον, τόν πάντας άγιάζοντα. Ουκ έστιν Άγιος, πλήν σου Κύριε κραυγάζοντας.

Μέγα πρός σωτηρίαν, εφόδιον τό Βάπτισμα παρέχει, Χριστός τοίς αισθομένοις, αυτού τής θείας ελλάμψεως, εν ευφροσύνη ψάλλουσιν. Ουκ έστιν Άγιος, πλήν σου Κύριε φιλάνθρωπε.

### Ωδή δ'  Ο Ειρμός

«Τήν πρός τό Βάπτισμά σου έλευσιν, προορών Αββακούμ, εξεστηκώς εβόα. Εις θάλασσαν τούς ίππους σου, ύδατα πολλά, επεβίβασας Σώτερ διαταράσσοντας».

Επιφανέντος σου εν σώματι, ηγιάσθη η γή, ύδατα ηυλογήθη, ο ουρανός πεφώτισται, γένος δέ βροτών, τής πικράς τυραννίδος εχθρού λελύτρωται.

Ρήματι θείω νύν ο Πρόδρομος, εξ ερή μου μολεί, πρός, Ιορδάνην λέγων. Μετανοείτε ήγγικεν, η τών Ουρανών Βασιλεία καλούσα, πάντας πρός δόξαν Θεού.

Ο μεταστρέψας πρίν τήν θάλασσαν, εις ξηράν καί πηγάς, εξ ακροτόμου βλύσας, πταισμάτων χωνευτήριον, νύν αποτελεί, Ιορδάνου τό ρείθρον, πυρί

τού Πνεύματος.

Ωδή ε'  Ο Ειρμός

«Θεοφανείας σου Χριστέ, τής πρός ημάς συμπαθώς γενομένης, Ησαϊας φώς ιδών ανέσπερον, εκ νυκτός ορθρίσας εκραύγαζεν. Οι πεφωτισμένοι ήκατε, λούσασθε, καί δι' ύδατος θείου καί Πνεύματος σαφώς, καί ψυχήν καί τό σώμα αποκαθάρατε».

Νεοποιείς τούς γηγενείς, νέος Αδάμ χρηματίσας ο Πλάστης, εν πυρί καί Πνεύματι καί ύδατι, ξένην εκτελών αναγέννησιν, καί ανάπλασιν θαυμαστήν, δίχα συντρίψεως, καί χωνευτηρίων, Βαπτίσματι θεουργώ καινοποιούμενος.

Διά τού Πνεύματος ψυχάς, καινοποιείς, διά δέ τού ύδατος, αγιάζεις τό σώμα τό σύνθετον, ζώον αναπλάττων τόν άνθρωπον, τώ διπλώ γάρ τά συγγενή, χρησίμως φάρμακα σοφή προμηθεία, προσάγεις ως ιατρός, σωμάτων καί τών ψυχών.

Εξ αλοχεύτου προελθών, ο γεννηθείς εκ Πατρός πρό αιώνων, πρός τόν εκ Στείρας παραγέγονας, εξαιτών ως άνθρωπος Βάπτισμα, αλλ' εξ ύδατος μυστικώς, διά τού Πνεύματος απειργάσω Σώτερ, πολύτεκνον Εκκλησίαν, τήν πρίν άγονον.

Ωδή ς'  Ο Ειρμός

«Συνεσχέθη, αλλ' ου κατεσχέθη, φόβω ο θείος Βαπτιστής, εί γάρ καί συνεστάλη, προσεγγίσαι τώ πυρί ο χόρτος, αλλά ακούσας, Άφες άρτι, έδραμε, τό επίταγμα πληρών ως δούλος, θείας τε άνωθεν, μαρτυρούσης φωνής, ή κουσεν Υιόν τόν προαιώνιον».

Απεγράφης, αλλ' ουκ εδουλώθης, Καίσαρος θεσμοίς πειθαρχών, εί γάρ καί τής δουλείας, παραμύθιον ημίν παρέχων, εκών υπείκεις, καί τελείς τό δίδραχμον, αλλά νόμω τώ τής αμαρτίας, πρίν πεπραμένους ημάς ηλευθέρωσας νύν, καί υιοθεσίας κατηξίωσας.

Βασιλεύεις, αλλ' ου κατά κόσμον, φύσει πεφυκώς Βασιλεύς, εί γάρ καί κατα σάρκα, εκ φυλής Δαυϊδ τεχθείς τόν θρόνον, τής βασιλείας Σώτερ τούτου έλαβες, αλλ' αϊδιον έχεις τό κράτος, συμβασιλεύων Πατρί, πρό αιώνων αεί, καί εις τούς αιώνας σύν τώ Πνεύματι.

Βασιλεύς μέν, ο τού κόσμου Άρχων, καί τών εν τοίς ύδασι, πάλαι προσηγορεύθη, αλλ' εμπνίγεται τή σή καθάρσει, καί καθαιρείται, ως τή λίμνη Λεγεών, τών χειρών δέ σου Σώτερ τό πλάσμα, τό δουλωθέν υπ' αυτού, κραταιά σου χειρί, τής ελευθερίας κατηξίωσας.

Ωδή ζ'  Ο Ειρμός

«Άφραστον θαύμα! ο εν καμίνω ρυσάμενος, τούς Οσίους Παίδας εκ φλογός,

κλίνει κορυφήν, καί αιτεί τό Βάπτισμα, υπό τού δούλου, καθαίρων τούς βοώντας, Λυτρωτά ο Θεός, ευλογητός εί».

Τέμνεται ρείθρον, πρίν μηλωτή Ιορδάνιον, προτυπούση Βάπτισμα τό σόν, δι' ού τών παθών, ρήγνυται χιτώνιον, καί αφθαρσίας ένδυμα αυτουργείται, τοίς βοώσι, Χριστέ ο Θεός, ευλογητός εί.

Όλβιον ρείθρον, έν εαυτώ γάρ δεξάμενον, βαπτισθέντα τόν Δημιουργόν, δέδεικται πηγή, ζωηφόρου νάματος, εις σωτηρίαν ημών τών μελωδούντων. Λυτρωτά ο Θεός, ευλογητός εί.

Νέκρωσιν θείαν, συμβολικώς εικονίζοντες, καταδύσει ύδατος τριττή, εν τώ Βαπτισμώ Χριστώ συνθαπτόμεθα, τή τριημέρω εγέρσει κοινωνούντες, καί βοώντες Χριστώ. Ευλογητός εί.

Μία η χάρις, Πατρός Υιού τε καί Πνεύματος, τελειούσα τούς τήν δωρεάν, στέργοντας πιστώς, τού θείου Βαπτίσματος, υιοθεσίας λαβόντας εξουσίαν, τού βοάν. Ο Θεός ευλογητός εί.

### Ωδή η'  Ο Ειρμός

«Έκστηθι φρίττων ουρανέ, καί σαλευθήτωσαν, τά θεμέλια τής γής, ιδού γάρ ύδωρ περιβάλλεται, ο φλέξας ύδασι πρίν, Δικαίου θυσίαν παραδόξως, όν Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, Λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Λύτρωσιν έρχεται Χριστός, διά Βαπτίσματος, παρασχείν πάσι πιστοίς, εν τούτω τόν Αδάμ καθαίρει γάρ, τόν πεπτωκότα υψοί, τόν ρίψαντα Τύραννον αισχύνει, τούς ουρανούς ανοίγει, Πνεύμα θείον καθέλκει, καί τής αφθαρσίας, τήν μέθεξιν δωρείται.

Πέπαυται πλάνη τού εχθρού, φωνή βοώντος γάρ, εν ερή μω τήν Οδόν, Κυρίου κράζει ευτρεπίσατε, καί πάσας τρίβους αυτού, ευθείας ποιήσατε προστάττει, φάραγξ η ταπεινή γάρ, φύσις βροτών υψούται, όρος καί βουνός δέ, δυσμενών ταπεινούνται.

Ώ παραδόξων δωρεών! ώ θείας χάριτος, καί αφράστου ανοχής! Ιδού γάρ ύδατι καθαίρει με, πυρί φωτίζει με, καί Πνεύματι θείω τελειοί με, ο Πλάστης καί Δεσπότης, νύν εν τώ Ιορδάνη, τήν εμήν φορέσας φύσιν αναμαρτήτως.

### Ωδή θ'  Ο Ειρμός

«Μή εποδύρεσθε μάτην, απογνώσεως βρόχοις, αποπνιγόμενοι βροτοί, υπεύθυνοι κακών, αλλ' έν κατανύξει ψυχής προσέλθωμεν, τώ καθαίροντι πάντας, ως μόνω καθαρώ, καί διδόντι συγγνώμην διά Βαπτίσματος».

Επί τώ ξένω σου τόκω, τό πρίν εκ τής Παρθένου, υπερφυώς εθαυμαστώθης,

Λόγε τού Θεού, νύν δέ μεγαλύνη, μέγα Μυστήριον, εκτελών παραδόξως, μεθέξει τή σεπτή, Κολυμβήθραν πολύτεκνον θείω Πνεύματι.

Γή ηγιάσθη Γεννήσει, τή αγία σου Λόγε, διηγουμένων ουρανών, σύν άστροις δόξαν σήν, νύν δέ τών υδάτων φύσις ευλόγηται, σού σαρκί βαπτισθέντος, καί γένος γηγενών, πρός τήν πρίν επανήλθεν αύθις ευγένειαν.

Αγαλλιάσθω Γή πάσα. Ουρανός ευφραινέσθω. Κόσμος σκιρτάτω. Ποταμοί, κροτείτωσαν χειρί, αι Πηγαί καί Λίμναι, Άβυσσοι θάλασσαι, συγχαιρέτωσαν, ήκει Χριστός γάρ τόν Αδάμ, εκκαθάραι καί σώσαι θείω Βαπτίσματι.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος α'
Χορός Αγγελικός

Ευφραίνου ποταμέ, Ιορδάνη, εν σοί γάρ, ο πάντων Ποιητής, παραγίνεται θέλων, τό Βάπτισμα εισδέξασθαι, υπό δούλου ως εύσπλαγχνος, τέρπου χόρευε, Αδάμ καί Εύα προμήτορ, επεδήμησεν, η απολύτρωσις πάντων, Θεός ο υπεράγαθος.

Δόξα... Καί νύν... όμοιον

Χειμάρρους τής τρυφής, ο Δεσπότης υπάρχων, προέρχεται ροαίς, ποταμού βαπτισθήναι, ποτίσαι βουλόμενος, αφθαρσίας με νάματα, όν Θεώμενος, ο Ιωάννης εβόα. Πώς τήν χείρά μου, τή κορυφή σου εκτείνω, ήν τρέμει τά σύμπαντα;

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος γ'
Τήν ωραιότητα

Τόν ακατάληπτον, σάρκα πτωχεύσαντα, καί πρός τό Βάπτισμα, παραγενόμενον, καί τήν ανάπλασιν ημών, εν αυτώ εργαζόμενον, άπαντες υμνήσωμεν, ως Θεόν πολυέλεον, καί τήν συγκατάβασιν, τήν αυτού μεγαλύνωμεν, βοώντες ευχαρίστω καρδία. Δόξα Χριστέ τή επιφανεία σου.

Δόξα... Καί νύν... όμοιον

Αδάμ τήν γύμνωσιν, ενδύων εύσπλαγχνε, καταστολήν δόξης, μέλλεις γυμνούσθαι σαρκί, εν Ιορδάνη ποταμώ, ώ θαύματος παραδόξου! πώς, σε υποδέξεται, ύδωρ Δέσποτα Κύριε, ύδασι στεγάζοντα, υπερώα ως γέγραπται, υμνούμεν Ιησού ευεργέτα, πάντες τήν σήν επιφάνειαν.

Κανόνες τρείς. ο Προεόρτιος εις ς' τής Οσίας καί τών Μαρτύρων εις η'.

Κανών ο Προεόρτιος Ποίημα Ιωσήφ

### Ωδή α'  Ήχος α'  Ο Ειρμός
### Χριστός γεννάται

«Πικράς δουλείας ρυσθείς, Ισραήλ, την άβατον διήλθεν ως ήπειρον, εχθρόν δέ ορών ποντούμενον, ύμνον εν ευφροσύνη, άδει Θεώ, τώ τερατουργούντι βραχίονι υψηλώ. Ότι δεδόξασται».

Χριστός μολεί πρός τό βάπτισμα. Χριστός πρός, Ιορδανην εφίσταται. Χριστός τάς ημών εν ύδασι, θάπτει νύν αμαρτίας, ως αγαθός, εν αγαλλιάσει, ανυμνήσωμεν αυτόν. Ότι δεδόξασται.

Ρανάτωσαν ευφραινόμεναι, νεφέλαι ευφροσύνην αιώνιον, Χριστός Ιησούς προέρχεται, νάμασιν Ιορδάνου, τούς ποταμούς, τών αμαρτημάτων, κατακλύσαι φωτισμόν πάσι δωρούμενος.

Ιδού τό φώς επιφαίνεται, ιδού ο ιλασμός αναδείκνυται, ιδού ο Σωτήρ εφίσταται, λάμψαι τοίς εν τώ σκότει, θείας αυγάς, τούτον διανοίαις, καθαραίς χαρμονικώς υποδεξώμεθα.

### Κανών τής Οσίας

### Ήχος β'  Δεύτε λαοί

Στέψαι τήν σήν, άσμασι μνήμην προήρημαι, σοί πεποιθώς ο άμουσος, καί όλος άναγνος, αλλά δίδου μοι λόγον, σοφίας καί αγνείας, σαίς παρακλήσεσιν.

Όλον τόν νούν, πρός θείον ύψος επάρασα, καί τών χρηστών τήν άβυσσον, καί απολαύσεων, επιγνούσα τό χρήμα, απάντων απανέστης, τών προσηκόντων σοι.

Νούν πρός Θεόν, αναπτερούσα τόν ύψιστον, σώμα τό σόν ηλούμενον, εις τά χαμαίζηλα, εγκρατεία καί πόνοις, εκούφιζες ποθούσα, βαρείαν εύκλειαν.

### Θεοτοκίον

Μείνας ο ήν, καί σαρκωθείς εκ νηδύος σου, ο ήμεν εδωρήσατο, ημίν τό πρότερον, εκ χοός γεγονόσι, ρυσάμενος πταισμάτων, Θεογεννήτρια.

### Κανών τών Μαρτύρων

### Ήχος βαρύς  Άσωμεν τώ Κυρίω

Δεύτε πιστοί συμφώνως, εορτάσωμεν τήν υπερένδοξον, μνήμην τών Αθλοφόρων, εν ωδαίς πνευματικαίς, δοξολογούντες Χριστόν.

Οι Αθλοφόροι Χριστού, καί τής Πίστεως στερροί υπέρμαχοι, κατά τής ασεβείας, οπλισάμενοι στερρώς εχθρούς ενίκησαν.

Ο ασεβής διώκτης, καί τής πίστεως Χριστού αλλότριος, κατά τών αθλοφόρων, εμμανείς ο δυσσεβής, πίστει Κατήργηται.

Θεοτοκίον

Τήν ποίμνην ήν εκτήσω, Θεογεννήτρια ταύτην περίσωζε, από πάσης ανάγκης, δυσωπούσα τόν Σωτήρα, καί Θεόν ημών.

Ωδή γ'  Ο Ειρμός

Τώ πρό τών αιώνων

«Μή εν τή σοφία, καί τώ πλούτω καυχάσθω θνητός τώ αυτού, αλλά εν τή πίστει τού Κυρίου, ορθοδόξως Κραυγάζων, Χριστώ τώ Θεώ καί μέλπων αεί. Επί τήν πέτραν τών σών εντολών, στήριξόν με Δέσποτα».

Ο πρό τών αιώνων, συνεδρεύων Πατρί καί τώ Πνεύματι, νύν επ' εσχάτων εκ Παρθένου, σαρκωθείς καθώς οίδε, Χριστός μολεί πρός τό Βάπτισμα, αθανασιαν τώ θείω λουτρώ, πάσι παρεχόμενος.

Ύδατι ενθάψαι, τάς ημών αμαρτίας βουλόμενος, τού Ιορδάνου εν τοίς ρείθροις, διά σπλάγχνα ελέους, Χριστός ο Θεός προέρχεται, καί αναπλάττει φθαρέντας ημάς, διά τού Βαπτίσματος.

Γύμνωσιν αισχίστην, περιστέλλων Αδάμ τού προπάτορος, απογυμνούσαι εκουσίως, καί ροαίς Ιορδάνου, σαυτόν περιστέλλεις ύδασι, τά υπερώα στεγάζων Χριστέ, μόνε πολυέλεε.

Τής Οσίας

Στερέωσον ημάς εν σοί

Εφείσω τής σαρκός πολλοίς εν τραύμασιν, ουδόλως ασχέτως πιεζομένης, πρός τούς πόνους τής ασκήσεως, ο πειράζων εν οίς εναπεκρούετο.

Πορείαν τήν στενήν ζωής τήν πρόξενον, αφθάρτου καί θείας σύ ηρετίσω, τήν πλατείαν καταπτύσασα, ής ουδέν χείρον όντως τώ νούν έχοντι.

Ζεούσης παρειάς τό άνθος έφυγες, τή τήξει καί πόνοις τής εγκρατείας, καί τό φλέγον τών ομμάτων σου, τών δακρύων κρουνοίς εναπεσβέννυτο.

Θεοτοκίον

Ο Λόγος σαρκωθείς εκ σού Πανάμωμε, τήν σάρκα τού ρύπου θέλων εκπλύναι, υποδείγματι καθάρσεως, αρρυπώτου τοίς ύδασι βαπτίζεται.

Τών Μαρτύρων

Εστερεώθη η καρδία μου

Τής ευσεβείας καί τής πίστεως τούς προστάτας, τούς θείους αθλοφόρους ευφημήσωμεν, Θεόπεμπτον καί θεωνάν τόν αοίδιμον.

Κανών καί τύπος καί υπόδειγμα φανέντες, οι Χριστού Μεγαλομάρτυρες, τών Αγίων γεγόνασιν, οδηγοί πρός τήν άθλησιν.

Ζηλούντες τούτων τήν ενάρετον πολιτείαν, οι Μάρτυρες ομαδόν επί τού βήματος, παρεστώτες εκραύγαζον, Χριστιανοί εσμεν άπαντες.

Θεοτοκίον

Ετέχθης εκ Παρθένου ανερμηνεύτως, εφάνης ως ηυδόκησας φιλάνθρωπε, καί τόν κόσμον ανεκαίνισας Κύριε.

Ο Ειρμός

«Εστερεώθη η καρδία μου έν Κυρίω, υψώθη κέρας μου εν Θεώ μου, καί επλατύνθη επ' εχθρούς μου τό στόμα μου».

Κάθισμα τής Οσίας

Ήχος πλ. α'  Τόν συνάναρχον

Ασκητών υπερβάσα σύ τό φερέπονον, εν ουρανοίς απολαύεις διαφερούσης μονής, καί τής κρείττονος αίγλης αναπεπλήρωσαι, ότι κατ' άνδρας τήν σκληράν, διοδεύσασα οδόν, νενίκηκας τά παρόντα, καί Αγγέλοις καθωμοιώθης, καί νύν τής δόξης συμμετέχεις αυτών.

Δόξα... Τών Μαρτύρων

Ήχος α'  Τόν τάφον σου Σωτήρ

Θεόπεμπτος οφθείς, Ιεράρχης τών κάτω, εφάνη ταίς ποιναίς Ιεράρχης τών άνω. Τυράννων προστάγματος, παρακούσας αικίζεται, αγαλλόμενος, αναβοών. Σέβω μόνον, τόν ενθάψαντα, τού Ιορδάνου τοίς ρείθροις, βροτών παραπτώματα.

Καί νύν... Προεόρτιον, όμοιον

Ο μέγας υετός, πρός ποτάμια ρείθρα, προέρχεται σαρκί, βαπτισθήναι θελήσας, πρός όν ο θείος Πρόδρομος, εκθαμβούμενος έλεγε. Πώς βαπτίσω σε, ρύπον μή έχοντα όλως; πώς εκτείνω μου, τήν δεξιάν επί κάραν, ήν τρέμει τά σύμπαντα;

Ωδή δ'  Ο Ειρμός

Ράβδος εκ τής ρίζης

«Ακήκοε πάλαι Αββακούμ, Χριστέ σου ο θαυμάσιος, τήν ακοήν καί φόβω έκραζεν. Από θαιμάν ο Θεός, ήξει καί ο Άγιος, όρους εκ δασέος κατασκίου, τού σώσαι σού τούς Χριστούς. Δόξα τή δυνάμει σου Κύριε».

Ύδωρ απαντλήσατε ζωής, ιδού νύν παραγέγονεν, ο τής ειρήνης Ποταμός αληθώς, ξηράναι τά θολερά, απιστίας ύδατα, καί τόν φωτισμόν αναπηγάσαι, τοίς μελωδούσιν αυτώ. Δόξα τή δυνάμει σου Κύριε.

Ευφράνθητι έρημος τό πρίν, διψώσα φύσις άπασα, η τών ανθρώπων, νύν επέφανε, χειμάρρους ο τής τρυφής, Ιορδάνου νάμασι, λύων τόν αυχμόν τής αμαρτίας, ώ μελωδούμεν πιστώς. Δόξα τή δυνάμει σου Κύριε.

Βοώντος φωνή προφητικώς, ερήμοις περιήχησε, ταίς διανοίαις, Ετοιμάσατε, οδούς ευθείας Χριστώ, ερχομένω λέγουσα, όπως βαπτισμώ αναχωνεύση, παλαιωθέντας ημάς, λύων τήν αρχαίαν απόφασιν.

Τής Οσίας

Ελήλυθας, εκ Παρθένου
Σύ σώματος, διαφέρουσα κάλλεσι γέγονας, τοίς πολλοίς παραίτιος, ουκ ευτυχούσης οράσεως, όθεν αφανίσασα σαυτήν, μετέσχες θείας ωραιότητος.

Υπέμεινας, ως Ιώβ τήν τού σώματος κάκωσιν, ού προή κας λόγιον, τήν τελευτήν επισπώμενον, χρόνω καί τή φύσει δέ, είξασα, θείαν απήρας πρός κατοίκησιν.

Μεμόνωσαι, συγγενών καί γονέων καί κτήσεως, τόν Χριστόν μονώτατον, επαγομένη τόν άσυλον, πλούτον καί αδάπανον, μεθ' ού τής άνωθεν δόξης ώφθης μέτοχος.

Θεοτοκίον
Ο τόκος σου, τόν Αδάμ τής φθοράς ελυτρώσατο, φθοράς βροτεργάτιδος, άνευ καί γάρ υπέρ άνθρωπον, γέγονεν η σύλληψις, διό φθοράς τών κακών με, Κόρη λύτρωσαι.

Τών Μαρτύρων

Εισακήκοα τήν ακοήν
Πάσαν ήρδευσαν τήν οικουμένην, λόγοις ενθέοις, οι Χριστού Μεγαλομάρτυρες, καί πλάνην κατήργησαν.

Πλούτον άσυλον εφεύρον, όντως οι Αθλοφόροι, πλούτον καί δόξαν λαμπρότητα, τών επί γής δέ κατέπτυσαν.

Θωρακισάμενοι οι Αθλοφόροι, Χριστού τώ όπλω, τού τυράννου τήν ωμότητα, εν τούτω πάσαν κατέβαλον.

Θεοτοκίον
Μήτηρ άχραντε ευλογημένη, Αγνή Παρθένε, τούς υμνούντάς σε περίσωζε, από πάσης περιστάσεως.

Ωδή ε' Ο Ειρμός
Θεός ών ειρήνης
«Τό φώς τό άδυτον, λάμψον Χριστέ, ταίς καρδίαις τών πίστει υμνούντων σε, ειρήνην σου δωρούμενος, ημίν τήν υπέρ νούν, όπως εξ αγνωσίας, νυκτός πρός τήν ημέραν, τών εντολών σου τρέχοντες, δοξολογώμέν σε φιλάνθρωπε».

Ειρήνης υπάρχων, Χριστέ Βασιλεύς, τό τής έχθρας μεσότοιχον έλυσας, σαρκός εν ομοιώματι, φανείς επί τής γής, όθεν τήν έλευσίν σου, ιδών ο Ιωάννης, κατεπλήττετο φόβω, χειροθετείν σε κελευόμενος.

Δρακόντων τάς κάρας, συντρίψαι Χριστός, επειγόμενος νύν παραγίνεται, τοίς ύδασι καί τρέμοντι, βοά τώ Βαπτιστή. Έκτεινόν σου τήν χείρα, καί άψαι κορυφής μου, καί δειλίαν απόθου, επιτελών τό προσταττόμενον.

Εδήλου Προφήτης, τήν χάριν ποτέ, τού Βαπτίσματος θείω εν Πνεύματι πατάξας Ιορδάνια, τά ρείθρα μηλωτή, άτινα διηρέθη, ημίν οδοποιούντας, αναγέννησιν θείαν, τού εν αυτοίς επιφανέντος Χριστού.

Τής Οσίας

Ο τού φωτός χορηγός

Ναός γεγένησαι, τού ενοικούντος εν αγνοίς πνεύμασι, Λόγου σοφή, εφαίδρυνας σύ γάρ, ασκήσεως πολλοίς, έν πόνοις ψυχής σου, τό κάλλος πανένδοξε.

Σάρκα ενέκρωσας, φοινισσομένην φυσική χάριτι, πόνοις πολλοίς φαιδρύνουσα μάλλον φωτί τών αρετών, ψυχής τήν εικόνα, φαιδρώς καταλάμπουσαν.

Ύλην τού σώματος, τώ τής ψυχής σου πρός Χριστόν έρωτι, φλέξασα σύ, τανύν τοίς αϋλοις, αϋλως αληθώς, Αγγέλοις συγχαίρεις, Θεόν κατοπτεύουσα.

Θεοτοκίον

Κάρας συνέθλασεν, ή κεφαλή τών ευσεβών Πάναγνε, ρείθροις τανύν, τών εμφωλευόντων, δρακόντων ο τεχθείς, εκ τής σής νηδύος, σποράς όντως άνευθεν.

Τών Μαρτύρων

Οι ορθρίζοντες Λόγε

Οι σοφοί Αθλοφόροι, τής πίστεως οπλίται, τάς βασάνους γενναίως, εχθρών τών παρανόμων, νικήσαντες ομού, στεφάνους εδέξαντο.

Ού θωπεία, ου πλάνη, ού δόξα τών γηϊνων, ηδυνήθη εκκόψαι, τής πίστεως τόν δρόμον, υμών τών Αθλητών, διό αγάλλεσθε.

Παρεστώτες τώ θρόνω, τής δόξης τού Κυρίου, μετ' Αγγέλων απαύστως, πρεσβεύσατε δοθήναι, πταισμάτων ιλασμόν, τοίς πίστει υμνούσιν υμάς.

Θεοτοκίον

Παναγία Παρθένε, η Κεχαριτωμένη, η τεκούσα εν χρόνω, τόν Λόγον υπέρ λόγον, δυσώπησον αυτόν, σώσαι τάς ψυχάς ημών.

Ωδή ς'  Ο Ειρμός

Σπλάγχνων Ιωνάν

«Όλος εκ παθών, αμέτρων συνέχομαι, καί κήτει κακών συγκαταπέπομαι, αλλ' ανάγαγε εκ φθοράς ο Θεός με ως πρίν Ιωνάν, καί πίστει τήν απάθειάν μοι

δώρησαι, όπως εν φωνή αινέσεως, αληθείας τε πνεύματι θύσω σοι».

Σπλάγχνα οικτιρμών, Χριστός ενδεικνύμενος, εν δούλου μορφή ο αναλλοίωτος, παραγίνεται, πρός τόν δούλον αιτούμενος Βάπτισμα, τής δουλείας αφαρπάζων τό ανθρώπινον, ούπερ εκπλαγείς τήν έλευσιν, δειλιά καί τώ φόβω συστέλλεται.

Πώς σε ποταμού, ροαί υποδέξωνται, τό άστεκτον πύρ νύν αφικόμενον; πώς τήν γύμνωσιν, επουράνιοι βλέψωσιν Άγγελοι; πώς τήν χείρα Ιωάννης επεκτείνη σοι, Λόγε τού Θεού προάναρχε, τώ αυτόν από γής διαπλάσαντι;

Θάλασσα διχή, φυγούσα εδήλωσε, τού νέου λαού θείαν διάβασιν, ήν ειργάσατο, ποταμώ τή σαρκί αφικόμενος, ο εκ πέτρας παραδόξως βλύσας νάματα, τούτον, ως Θεόν δοξάσωμεν, τήν ημών συντριβήν αναπλάσαντα.

Τής Οσίας

Εν αβύσσω πταισμάτων

Λαμπρυνθείσα τή αίγλη τού Πνεύματος, πάσαν τήν απόλαυσιν απεσκοράκισας, τών σαρκικών Ορέξεων, τών καλών γάρ ετρώθης τώ έρωτι.

Ήστραψέ σου φωσφόρου τήν σήμερον, μνήμη τηλαυγέστερον καταφωτίζουσα, τήν τών ψυχών σκοτόμαιναν, Μοναχών Ασκουσών εγκαλλώπισμα.

Τό σεμνόν τής αγνείας ετήρησας, στέργουσα, τόν θάλαμον τόν αδιάφθορον, τού γάρ Χριστού τώ έρωτι, επυρώθης τού ξένου νυμφίου σου.

Θεοτοκίον

Ίνα δόξης πλησθώμεν ελήλυθεν, άδοξον εις άνθρωπον δόξης ο Κύριος, ως γάρ βροτός ρυπτόμενος, σός Υιός τούς ανθρώπους εδόξασεν.

Τών Μαρτύρων

Οι ωνάς εκ κοιλίας

Κατήργησαν τών ειδώλων τήν πλάνην, οι Μάρτυρες έν σταδίω αθλούντες, καί ασέβειαν πάσαν, εξηφάνισαν εκ γής, τή αθλήσει αυτών.

Παρέστησεν ο εχθρός καί διώκτης, τής Πίστεως τούς αυτού υπηρέτας, ξιφήρεις ώσπερ αρνας, ανελείν ημάς πικρώς, Μάρτυρες ένδοξοι.

Ως είδετε ο χορός τών Αγίων, τούς τυράννους ενωπλισμένους τώ ξίφει, αδειλάνδρως εβοάτε. Στρατιώται τού Χριστού, πέλομεν ώ δικασταί.

Θεοτοκίον

Όν έτεκες Θεοτόκε ανερμηνεύτως, Θεόν ημών δυσωπούσα μή παύση, ρυσθήναι εκ κινδύνων, τούς υμνούντάς σε Αγνή αειπάρθενε.

Ο Ειρμός

«Ο Ιωνάς εκ κοιλίας άδου εβόα. Ανάγαγε εκ φθοράς τήν ζωήν μου, ημείς δέ σοι βοώμεν, Παντοδύναμε Σωτήρ, ελέησον ημάς».

Κοντάκιον Ήχος δ'
Επεφάνης σήμερον

Εν τοίς ρείθροις σήμερον τού Ιορδάνου, γεγονως ο Κύριος, τώ Ιωάννη εκβοά. Μή δειλιάσης βαπτίσαι με, σώσαι γάρ ήκω, Αδάμ τόν πρωτόπλαστον.

Ο Οίκος

Ουκ απαιτώ σε, Βαπτιστά, τούς όρους υπερβήναι, ού λέγω σοι, Ειπέ μοι, ά λέγεις τοίς ανόμοις, καί παραινείς αμαρτωλοίς, μόνον βάπτισόν με σιωπών, καί προσδοκών τά από τού Βαπτίσματος, έξεις γάρ διά τούτων αξίωμα, όπερ ουχ υπήρξε τοίς Αγγέλοις, καί γάρ πάντων τών Προφητών μείζονά σε ποιήσω, εκείνων μέν ουδείς σαφώς με κατείδεν, αλλ' εν τύποις καί έν σκιαίς καί ενυπνίοις, σύ δέ, επί σού ιστάμενον Κατά γνώμην, σώσαι γάρ ήκω, Αδάμ τόν πρωτόπλαστον.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Ε' τού αυτού μηνός, Μνήμη τών Αγίων Μαρτύρων Θεοπέμπτου καί Θεωνά.

Στίχοι

- Όπως τελευτά Θεόπεμπτος, είπάτω.
- Αθλών τελευτώ, τήν κάραν τμηθείς ξίφει.
- Εθεντό μ' εκραύγαζε τού Ψάλτηρίου,
- Λάκκω, Θεωνάς Μάρτυς, εν κατωτάτω.
- Πέμπτη εκ ξίφεος λίπε τόν δε βίον Θεόπεμπτος.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Συγκλητικής.

Στίχοι

- Συγκλητική λιπούσα δουλείαν βίου,
- Κλητοίς Θεού σύνεστι δούλοις εν πόλω.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Γρηγορίου, τού εν Ακρίτα.

Στίχοι

- Ο Γρηγόριος αρεταίς λάμψας μέγα,
- Λαμπρώς μεταστάς, καί μέγα πλουτεί κλέος.

Τή αυτή ημέρα, Μνήμη τού οσίου Πατρός ημών Φωστηρίου.

Τή αυτή ημέρα, ο Άγιος Μάρτυς Σάϊς, εν θαλάσση βληθείς, τελειούται.

Στίχοι

- Ηλθον θαλάσση εις βάθη, λέγει Σάϊς,
- Φυγών τά ποτίζοντα τής πλάνης βάθη.

Τή αυτή ημέρα, ο Άγιος Μάρτυς Θεόειδος υπό δημίων πατούμενος τελειούται.

Στίχοι

- Πόδες πατούντες σαρκίον Θεοείδου,
- Ψυχήν αποθλίβουσι ληνώ τού πόλου.

Τή αυτή ημέρα, η Οσία Δομνίνα εν ειρήνη τελειούται.

Στίχοι

- Χαρίζεταί σοι τήν άνω κληρουχίαν,
- Δομνίνα, σαρκός η κάτω κακουχία.

Τή αυτή ημέρα, η Οσία Τατιανή εν ειρήνη τελειούται.

Στίχοι

- Τατιανή τακείσα νηστείαις πάλαι,
- Νύν Αγγέλοις σύνεστι νηστείας φίλοις.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός ελέησον ημάς.

Ωδή ζ'  Ο Ειρμός

Οι Παίδες ευσεβεία

«Υπήλθον ως νυμφώνα τής καμίνου, τήν φλόγα τήν άσβεστον, οι δι' ευσέβειαν ποτέ, Παίδες Άγιοι δειχθέντες Θεώ, καί συμφώ νως μελωδούντες, ύμνον έψαλλον. Ο τών Πατέρων Θεός ευλογητός εί».

Χριστός η σωτηρία, επεφάνη φωτισμόν δωρούμενος, αγαλλιάσθω ουρανός, αι νεφέλαι δέ ρανάτωσαν, αληθώς δικαιοσύνην τοίς κραυγάζουσιν. Ο τών Πατέρων Θεός ευλογητός εί.

Ο πόκος όν προείδε, Γεδεων πλήρη λεκάνην ύδατος, εναποστάξαντα σαφώς, τό σόν Βάπτισμα εδήλου Χριστέ, ο παρέξεις βαπτισθείς τοίς αναμέλπουσιν. Ο τών Πατέρων Θεός ευλογητός εί.

Αλσί τά ατεκνούντα, Ελισαίος θεραπεύσας ύδατα, τήν ευτεκνίαν τής σεπτής, Κολυμβήθρας προεικόνισεν, εσομένην μυστικώς τοίς αναμέλπουσιν, ο τών Πατέρων Θεός ευλογητός εί.

Τής Οσίας

Αντίθεον πρόσταγμα

Κακώς προμηθούμενος ο εναντίος, ψυχής σου, τό εύτονον, μαλάξαι νόσοις ώετο Ιώβ δέ ενέτυχε μαρτυρικώ καί σοφώ, πόνον απεκρούσθη ούν τών σών, υπομονή σοφή τιτρωσκόμενος.

Η σή νύν προσώκειλεν εκ τρικυμίας, τού βίου πρός εύδιον, ψυχή λιμένα βρίθουσα, καλλίστων ενθέων τε, τών αγωγίμων σοφή, ένθα προητοίμασται τών σών, τληπαθειών πολλών η ανάπαυλα.

Σοφώς καθωδήγησας εν κοινοβίω, τόν τόπον τυγχάνουσα, μή μεταλλάττειν πώποτε, μεγάλης γάρ πρόξενος η αμοιβή πημονής, λόγοις τε καί πράξεσιν ονείν, τάς μοναζούσας όντως ουκ ώκνησας.

Θεοτοκίον

Υδάτων η φύσις με τής αμαρτίας, εκπλυνει τού τόκου σου τώ υπέρ λόγον νεύματι, Θεού γάρ η κάθαρσις, τού Ποιητού τού φωτός, ρύπτει Θεονύμφευτε πολλοίς, τούς ρυπωθέντας Κόρη εν πταίσμασι.

Τών Μαρτύρων

Κάμινον καιομένην

Τέλος τού Μαρτυρίου, εδέξασθε ομού, τώ ξίφει θανατούμενοι, σύν γυναιξί, καί παισί, Χριστώ βοώντες. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Ηγάλλοντο οι Άγιοι, ορώντες εαυτούς, τώ ξίφει τελειουμένους, καί πίστει ανεκραύγαζον, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Τών ασεβών τό φρύαγμα, ηφάνισται εκ γής, καί οι θεοί πεπτώκασιν, εις γήν καί συνετρίβησαν, τή τών Μαρτύρων ομολογία, καί θεία στερρότητι.

Θεοτοκίον

Περίσωζε τήν ποίμνην σου, πανάχραντε Αγνή, εκ πάσης περιστάσεως, ως μόνη προστασία, τού γένους ημών ευλογημένη, Θεοτόκε Πανύμνητε.

Ωδή η' Ο Ειρμός

Θαύματος υπερφυούς

«Τέρατος υπερφυούς έδειξε τύπον, η πυρένδροσος κάμινος πάλαι, τό γάρ πύρ ουκ έφλεξε νέους Παίδας, Χριστού προδηλούν, τήν ασπόρως εκ Παρθένου θείαν Γέννησιν, διό ανυμνούντες αναμέλψωμεν. Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Αίνεσιν μεγαλοφώνως τώ Δεσπότη, αναπέμψωμεν, ήλθεν εφάνη, επιβαίνει ύδασι, καί γυμνούται ο Ουρανόν, ταίς νεφέλαις περιβάλλων καί βαπτίζεται, καθαίρων ημάς τούς αναμέλποντας. Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Δεύτε νοερώς πρός, Ιορδάνην, αφικώμεθα θέαμα μέγα, εν αυτώ οψόμενοι, Ιησούς γάρ ο φωτισμός, παραγίνεται, καί δούλου υποκλίνεται, παλάμη σύν τρόμω αναμέλποντος. Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Άνθραξ όν προείδεν Ησαϊας, εν τοίς ύδασι τού Ιορδάνου, αναφθείς

συμφλέξεται ύλην πάσαν αμαρτιών, καί παρέξει συντριβείσι τήν ανάπλασιν, διό ανυμνούντες αναμέλψωμεν. Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

## Τής Οσίας

### Τόν εν καμίνω τού πυρός

Σύ Μακαρία πρός τήν γήν, τών πραέων αληθώς φθάσαι επόθεις, ένθα τάξεις Αγγέλων, Οσίων καί Ασκητών, Παρθένων οικούσιν αιώνια, ανυμνολογούσαι, Χριστόν εις τούς αιώνας.

Κάλλει τής φύσεως πασών, διαφέρουσα ψυχής επεμελήθης, ίνα πάντα τά πάθη τά ψυχικά νουνεχώς, νικήσης, διό κάλλος σώματος, σβέσασα ανήψας, ασκήσει τήν ψυχήν σου.

Άγρυπον νούν πρός τόν Θεόν, προθυμία τής ψυχής σύ κεκτημένη, μεθοδείας τού πλάνου, τού σοφιστού τών κακών, εις τέλος εκοίμισας Ένδοξε, καί νύν κοιμηθείσα, βιοίς εις τούς αιώνας.

### Θεοτοκίον

Αναγεννήσαι τούς βροτούς, ο Υιός σου βουληθείς πρός, Ιορδάνην, ως περ άνθρωπος σπεύδει, Αγνή, δι' άκραν στοργήν, αρρύπως βαπτισθήναι άπαντα, ρύπον τής κακίας, βυθίζων τών ανθρώπων.

## Τών Μαρτύρων

### Τόν μόνον άναρχον

Τόν μόνον εύσπλαγχνον, Βασιλέα τής δόξης, ομολογούντες, οι σοφοί Αθλοφόροι, εδέξαντο τά βραβεία τής νίκης, βοώντες ευθαρσώς. Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Στερρώς αντέστησαν, οι Χριστού Αθλοφόροι πρός τούς τυράννους, εναθλούντες γενναίως, νικήσαντες τών ειδώλων τήν πλάνην, βοώντες ευθαρσώς. Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ώσπερ αδάμαντες, οι γενναίοι όπλίται, τάς τών τυράννων, απειλάς καί βασάνους, νικήσαντες, εν χαρά άνεβόων. Υμνείτε Ιερείς, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

### Θεοτοκίον

Τόν μόνον εύσπλαγχνον, προαιώνιον Λόγον, τόν εκ Παρθένου, επ' εσχάτων τεχθέντα, καί σώσαντα τών ανθρώπων τό γένος, υμνείτε Ιερείς, Λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

### Ο Ειρμός

«Τόν μόνον άναρχον, Βασιλέα τής δόξης, όν ευλογούσιν, ουρανών αι Δυνάμεις, καί φρίττουσι τών Αγγέλων αι τάξεις, υμνείτε Ιερείς, Λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

## Ωδή Θ'  Ο Ειρμος

### Μυστήριον ξένον

«Απόρρητον τό τής Παρθένου μυστήριον, ουρανός γάρ αύτη, καί θρόνος Χερουβικός, καί φωσφόρος ανεδείχθη Παστάς, τού Θεού καί Παντοκράτορος, αυτήν ευσεβώς, ως Θεοτόκον μεγαλύνομεν».

Μυστήριον ξένον, ορώ καί παράδοξον! Ιησούς εφίσταται, θέλων πρός ποταμόν Ιορδάνην, βοών Ιωάννη. Τήν σήν δεξιάν μοι φίλε δάνεισον, φρικτά εκτελούντι, εις λαού μου περιποίησιν.

Τά έρημα τού Ιορδάνου ανθείτωσαν, οι εν σκότει κείμενοι, μέγα επιφανέν υμίν, φέγγος ιδόντες σκιρτήσατε, Χριστός, Γαλιλαία άφικόμενος, σαρκί βαπτισθήναι, υπό δούλου καταδέχεται.

Ευφράνθητι νύν Ιορδάνη καί χόρευε, ώ Ιωάννη σκίρτησον, πάσα η οικουμένη αγάλλου, ιδού επεφάνη Χριστός, καί γυμνούται καί βαπτίζεται, στολήν περιβάλλων, αφθαρσίας τό ανθρώπινον.

### Θεοτοκίον

Συνέλαβες δίχα φθοράς Παναμώμητε, τόν απερινόητον, τίκτεις δέ υπέρ φύσιν καί λόγον, τόν λόγω τά πάντα σαφώς, υποστήσαντα βουλήματι, αυτόν ως Θεόν αεί δυσώπει, τού σωθήναι ημάς.

## Τής Οσίας

### Ανάρχου Γεννήτορος

Λαμπρύνασα κάλλεσι, τής Παρθενίας Ένδοξε, σεαυτήν ωραΐζεις τοίς διαδήμασι, τής ασκητικής πολιτείας, όθεν διπλώ, στέφει καταστέφει, ο ξένος Νυμφίος σου, ού ετρώθης σύ τώ έρωτι.

Ελπίς ου κατήσχυνε, Συγκλητική σε πάνσεμνε, τών μελλόντων ήν έσχες εν τή καρδία σου, νύν γάρ απολαύεις τών πόνων, τάς αμοιβάς, παρά τού Σωτήρος, ανθ' ών τής ασκήσεως, άπαν είδος επετήδευσας.

Ισχύν καί κραταίωμα, σεμνή Χριστόν ενδέδυσαι, καί εις γήν αδικίαν κατεταπείνωσας, τού λελαληκότος εις ύψος, σύ τήν οφρύν, όθεν σε στεφάνω, τής νίκης εκόσμησεν, ο τής νίκης βραβευτής, Ιησούς.

### Θεοτοκίον

Εν σοί τού Προπάτορος, η πτώσις στάσιν έλαβε, προχωρείν περαιτέρω σθένος μή έχουσα, τώ γάρ Βαπτισμώ τού Υιού σου, άπαν κακόν, νύν κατεβαπτίσθη, ουκούν τήν αιτίαν σε, τής καθάρσεως γεραίρομεν.

## Τών Μαρτύρων

Τήν υπέρ φύσιν Μητέρα

Καταπατήσαντες πάντας, ειδωλολάτρας τή πίστει, οι Αθλοφόροι Χριστού τόν θείον δρόμον, ετέλεσαν ευσεβώς, καί τήν πίστιν εκραταίωσαν.

Τών επιγείων απάντων, καταφρονήσαντες πίστει, οι Αθλοφόροι Χριστού ομού προθύμως, αθλήσαντες εκ Θεού, εκομίσαντο ιάματα.

Οι Αθλοφόροι ανδρείως, θωρακισάμενοι πίστει, τόν τού Κυρίου Σταυρόν τάς παρατάξεις, καθείλον τάς τού εχθρού, καί στεφάνους εκομίσαντο.

Θεοτοκίον

Η έν γαστρί συλλαβούσα, τόν απερίληπτον Λόγον, καί τούτον άνευ σποράς ημίν τεκούσα, ικέτευε εκτενώς, τού σωθήναι τάς ψυχάς ημών.

Ο Ειρμός

«Τήν υπέρ φύσιν Μητέρα, καί κατά φύσιν Παρθένον, τήν μόνην εν γυναιξίν ευλογημένην, άσμασιν οι πιστοί, κατά χρέος μεγαλύνομεν».

Εξαποστειλάριον τών Μαρτύρων

Ο Ουρανόν τοίς άστροις

Ισχύς εν ταίς βασάνοις, επέμφθη σοι παρά Θεού, Θεόπεμπτε ιεράρχα, εν ή πρός πίστιν Θεωνάν, συναθλητήν επεσπάσω, μεθ' ού σε νύν ευφημούμεν.

Προεόρτιον, όμοιον

Ο εκ Παρθένου λάμψας, εν Βηθλεέμ σωματικώς, πρός Ιορδάνην νύν σπεύδεις, ρύπον εκπλύναι γηγενών, φωταγωγών τούς εν σκότει, διά Βαπτίσματος θείου.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. β' Αι Αγγελικαί

Τί αμφιγνοείς, Βαπτιστά οικονομίαν, ήν περ εκτελώ, εις απάντων σωτηρίαν, τά πάλαι άφες άρτι, καί λογίζου τά πρόσφατα, πίστευε Θεώ συγκαταβάντι, καί προσελθων εμοί υπούργει, Θεός ήλθον γάρ, δι' ευσπλαγχνίαν τόν Αδάμ, καθάραι τού πτώματος.

Αίρων τάς ημών, αμαρτίας επί ώμων, ήλθες Ιησού, πρός τά ρείθρα Ιορδάνου, εγω δέ δέδοικά σου, τό φρικτόν τής ελεύσεως, πώς ούν μοι κελεύεις σε βαπτίσαι; αυτός εμέ καθάραι ήκεις, καί πώς Βάπτισμα, τό παρ εμού επιζητείς, τό πάντων καθάρσιον.

Φύσεως εμής, ακατάληπτος ο λόγος, δούλου δέ μορφήν, ενδυσάμενος προήλθον, επί τόν Ιορδάνην, μηδαμώς μοι αμφίβαλλε. Δεύρο, μή φοβού, προσέγγισόν μοι, τήν δεξιάν τή κορυφή μου, τιθείς βόησον. Ευλογημένος ο φανείς, Θεός ημών δόξα σοι.

Ώτής υπέρ νούν, καί αμέτρου σου πτωχείας, Λόγε τού Θεού! δι' εμέ τόν πεπτωκότα, επέγνων σε δι' οίκτον, τόν Αδάμ ενδυσάμενον, καί τούς εξ Αδάμ

Καινοποιούντα, καί πειθαρχών τή σή κελεύσει, πιστώς κράζω σοι. Ευλογημένος ο φανείς, Θεός ημών δόξα σοι.

Δόξα... όμοιον

Τρόμω λειτουργών, Ιωάννης τώ Δεσπότη, χαίρει τή ψυχή, καί βοά μετ' ευφροσύνης. Συγχάρητέ μοι πάσαι, γενεαί τού Προπάτορος, ήλθε γάρ ημών η προσδοκία, ελήλυθεν εν Ιορδάνη, Χριστός άπαντας, τής αμαρτίας τού Αδάμ, καθάραι ως εύσπλαγχνος.

Καί νύν... όμοιον

Άσωμεν Λαοί, τώ τεχθέντι εκ Παρθένου, καί εν ποταμώ, βαπτισθέντι Ιορδάνου, καί πρός αυτόν βοώμεν, Βασιλεύ πάσης κτίσεως, δώρησαι ημίν ακατακρίτως, εν καθαρά τή συνειδήσει, πιστώς φθάσαι σου, καί τήν αγίαν εκ νεκρών, τριήμερον Έγερσιν.

Εις τόν Στίχον, Στιχηρά
Ήχος β'  Οίκος τού Εφραθά

Ίδε ο Βασιλεύς, ιδού η προσδοκία, τού Ισραήλ επέστη. Λαοί αγαλλιάσθε, τό φώς γάρ επιφαίνεται.

Στίχ. Διά τούτο μνησθήσομαί σου εκ γής Ιορδάνου καί Ερμωνιείμ.

Ώπται τοίς επί γής, μετά σαρκός τό θείον, νύν φώς τοίς εν τώ σκότει, επέφανε καί πάσιν, η χάρις εξανέτειλεν.

Στίχ. Είδοσάν σε ύδατα ο Θεός, είδοσάν σε ύδατα καί εφοβήθησαν.

Ο λύχνος τώ Φωτί, η αυγή τώ Ηλίω, Πρόδρομος τώ Λόγω, ο φίλος τώ Νυμφίω, Προφήτα καθυπούργησον.

Δόξα... Καί νύν... Ήχος πλ. δ'

Ιωάννη Βαπτιστά, ο εν μήτρα γνωρίσας με τόν Αμνόν, εν ποταμώ μοι διακόνησον, μετά Αγγέλων μοι λειτούργησον, εκτείνας άψαι τή χειρί σου, τής κορυφής μου τής αχράντου, καί όταν ίδης τά όρη τρέμοντα, καί τόν Ιορδάνην επαναστραφέντα, σύν τούτοις βόησον, ο σαρκωθείς εκ Παρθένου, εις ημών σωτηρίαν, Κύριε δόξα σοι.

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Τά Άγια Θεοφάνεια τού Κυρίου ημών Ιησού Χριστού.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Ιδιόμελα.

Ήχος β'
Ιωάννου Μοναχού

Τόν φωτισμόν ημών, τόν φωτίσαντα πάντα άνθρωπον, ιδών ο Πρόδρομος, βαπτισθήναι παραγενόμενον, χαίρει τή ψυχή, καί τρέμει τή χειρί, δείκνυσιν αυτόν, καί λέγει τοίς λαοίς, Ίδε ο λυτρούμενος τόν Ισραήλ, ο ελευθερών ημάς εκ τής φθοράς. Ω αναμάρτητε, Χριστέ ο Θεός ημών, δόξα σοι. (Δίς)

Τού Λυτρωτού ημών, υπό δούλου βαπτιζομένου, καί τή τού Πνεύματος παρουσία μαρτυρουμένου, έφριξαν ορώσαι Αγγέλων στρατιαί, φωνή δέ ουρανόθενηνέχθη εκ Πατρός. Ούτος όν ο Πρόδρομος χειροθετεί, Υιός μου υπάρχει ο αγαπητός, εν ώ ηυδόκησα, Χριστέ ο Θεός ημών, δόξα σοι. (Δίς)

Τά Ιορδάνια ρείθρα, σέ τήν πηγήν εδέξατο, καί ο Παράκλητος, εν είδει περιστεράς κατήρχετο, κλίνει κορυφήν, ο κλίνας ουρανούς, κράζει καί βοά, πηλός τώ πλαστούργώ. Τί μοι επιτάττεις τά υπέρ εμέ; εγώ χρείαν έχω τού σού Βαπτισμού. Ω αναμάρτητε, Χριστέ ο Θεός ημών, δόξα σοι.

Σώσαι βουλόμενος, τόν πλανηθέντα άνθρωπον, ουκ απηξίωσας δούλου μορφήν ενδύσασθαι, έπρεπε γάρ σοί τώ Δεσπότη, καί Θεώ, αναδέξασθαι τά ημών υπέρ ημών, σύ γάρ βαπτισθείς σαρκί Λυτρωτά, τής αφέσεως ηξίωσας ημάς, διό βοώμέν σοι. Ευεργέτα Χριστέ ό Θεός ημών, δόξα σοι.

Δόξα... Καί νύν...
Ο αυτός
Βύζαντος

Υπέκλινας κάραν τώ Προδρόμω, συνέθλασας κάρας τών δρακόντων, επέστης εν τοίς ρείθροις, εφώτισας τά σύμπαντα, τού δοξάζειν σε Σωτήρ, τόν φωτισμόν τών ψυχών ημών.

Είσοδος μετά τού Ευαγγελίου, τό Φώς ιλαρόν. Είτα τά Αναγνώσματα.

Α'. Γενέσεως τό Ανάγνωσμα
(Κεφ. 1, 1-13)

Εν αρχή εποίησεν ο Θεός τόν ουρανόν καί τήν γήν, η δέ γή ήν αόρατος καί ακατασκεύαστος, καί σκότος επέκειτο επάνω τής, Αβύσσου, καί Πνεύμα Θεού επεφέρετο επάνω τού ύδατος. Καί είπεν ο Θεός. Γενηθήτω φώς, καί εγένετο φώς. Καί είδεν ο Θεός τό φώς, ότι καалόν, καί διεχώρισενο Θεός αναμέσον τού φωτός, καί αναμέσον τού σκότους. Καί εκάλεσεν ο Θεός τός φώς, Ημέραν, καί τό σκότος εκάλεσε, Νύκτα, καί εγένετο εσπέρα, καί εγένετο πρωϊ, ημέρα μία. Καί είπεν ο Θεός. Γενηθήτω στερέωμα εν μέσω τού ύδατος, καί έστω διαχωρίζον αναμέσον ύδατος καί ύδατος, καί εγένετο ούτω. Καί εποίησεν ο Θεός τό στερέωμα, καί διεχώρισεν ο Θεός αναμέσον τού ύδατος, ο ήν υποκάτω τού στερεώματος, καί αναμέσον τού ύδατος τού επάνω τού στερεώματος. Καί εκάλεσεν ο Θεός τό στερέωμα, Ουρανόν, καί είδεν ο Θεός, ότι καλόν, καί εγένετο εσπέρα, καί εγένετο πρωϊ, ημέρα δευτέρα. Καί είπεν ο Θεός. Συναχθήτω τό ύδωρ τό υποκάτω τού ουρανού εις συναγωγήν μίαν, καί

οφθήτω η ξηρά, καί εγένετο ούτω, καί συνήχθη τό ύδωρ τό υποκάτω τού ουρανού εις τάς συναγωγάς αυτών, καί ώφθη η ξηρά. Καί εκάλεσεν ο Θεός τήν ξηράν, Γήν, καί τά συστήματα τών υδάτων εκάλεσε, Θαλάσσας, καί είδεν ο Θεός ότι καλόν. Καί είπεν ο Θεός. Βλαστησάτω η γή βοτάνην χόρτου, σπείρον σπέρμα κατά γένος καί καθ' ομοιότητα, καί ξύλον κάρπιμον ποιούν καρπόν, ού τό σπέρμα αυτού εν αυτώ, κατά γένος επί τής γής, καί εγένετο ούτω. Καί εξήνεγκεν η γή βοτάνην χόρτου, σπείρον σπέρμα κατά γένος καί καθ' Ομοιότητα επί τής γής, καί ξύλον κάρπιμον ποιούν καρπόν, ού τό σπέρμα αυτού εν αυτώ, κατά γένος επί τής γής, καί είδεν ο Θεός, ότι καλόν, καί εγένετο εσπέρα, καί εγένετο πρωϊ, ημέρα τρίτη.

## Β'. Τής Έξοδου τό Ανάγνωσμα
## (Κεφ. 14, 15-29)

Είπε Κύριος πρός Μωσήν. Τί βοάς πρός με; λάλησον τοίς υιοίς Ισραήλ καί αναζευξάτωσαν. Καί σύ έπαρον τήν ράβδον σου, καί έκτεινον τήν χείρά σου επί τήν θάλασσαν, καί ρήξον αυτήν, καί εισελθέτωσαν οι υιοί Ισραήλ εις μέσον τής θαλάσσης κατά τό ξηρόν. Καί ιδού εγω σκληρυνώ τήν καρδίαν Φαραώ, καί τών θεραπόντων αυτού, καί τών Αιγυπτίων πάντων, καί εισελεύσονται Οπίσω αυτών, καί ενδοξασθήσομαι εν Φαραώ, καί εν πάση τή στρατιά αυτού, καί εν τοίς άρμασι, καί εν τοίς ίπποις αυτού. Καί γνώσονται πάντες οι Αιγύπτιοι, ότι εγώ ειμι Κύριος, ενδοξαζομένου μου εν Φαραώ, καί εν τοίς άρμασι, καί εν τοίς ίπποις αυτού. Εξέτεινε δέ Μωϋσής τήν χείρα επί τήν θάλασσαν, καί επήγαγε Κύριος τήν θάλασσαν εν ανέμω νότω βιαίω όλην τήν νύκτα, καί εποίησε τήν θάλασσαν ξηράν, καί διεσχίσθη τό ύδωρ. Καί εισήλθον οι υιοί Ισραήλ εις μέσον θαλάσσης κατά τό ξηρόν, καί ύδωρ αυτοίς τείχος εκ δεξιών, καί τείχος εξ ευωνύμων. Κατεδίωξαν δέ οι Αιγύπτιοι, καί εισήλθον Οπίσω αυτών πάσα η ίππος Φαραώ, καί τά άρματα καί οι αναβάται εις τό μέσον τής θαλάσσης. Εξέτεινε δέ Μωϋσής τήν χείρα επί τήν θάλασσαν, καί αποκατεστάθη τό ύδωρ πρός ημέραν επί χώρας. Οι δέ Αιγύπτιοι έφυγον επί τό ύδωρ, καί εξετίναξε Κύριος τούς Αιγυπτίους εις μέσον τής θαλάσσης. Καί επαναστραφέν τό ύδωρ εκάλυψε τά άρματα, καί τούς αναβάτας, καί πάσαν τήν δύναμιν Φαραώ, τούς εισπορευομένους Οπίσω αυτών είς τήν θάλασσαν, ου κατελείφθη εξ αυτών ουδέ είς. Οι δέ υιοί Ισραήλ επορεύθησαν διά ξηράς εν μέσω τής θαλάσσης.

## Γ'. Τής Εξόδου τό Ανάγνωσμα
## (Κεφ. 15, 22-27 & 16, 1 )

Εξήρε Μωϋσής τούς υιούς Ισραήλ από θαλάσσης Ερυθράς, καί ήγαγεν αυτούς εις τήν έρημον Σούρ, καί επορεύοντο τρείς ημέρας εν τή ερήμω, καί ουχ εύρισκον ύδωρ ως τε πιείν. Ήλθον δέ εις Μερράν, καί ουκ ηδύναντο πιείν ύδωρ εκ Μερράς, πικρόν γάρ ήν, διά τούτο επωνομάσθη τό όνομα τού τόπου εκείνου Πικρία. Καί διεγόγγυζεν ο λαός κατά Μωϋσή, λέγοντες. Τί πιώμεθα; Εβόησε δέ Μωϋσής πρός Κύριον, καί έδειξεν αυτώ Κύριος ξύλον, καί ενέβαλεν αυτό εις τό ύδωρ, καί εγλυκάνθη, εκεί έθετο αυτώ ο Θεός δικαιώματα καί κρίσεις, καί εκεί αυτόν επείρασε, καί είπεν. Εάν ακοή ακούση τής φωνής Κυρίου τού Θεού σου, καί τά αρεστά ενώπιον αυτού ποιήσης, καί ενωτίση τάς εντολάς αυτού, καί φυλάξης πάντα τά δικαιώματα αυτού, πάσαν

νόσον, ήν επήγαγον τοίς Αιγυπτίοις, ουκ επάξω επί σέ, εγω γάρ ειμι Κύριος ο ιώμενός σε. Καί ήλθον εις Αιλείμ, καί ήσαν εκεί δώδεκα πηγαί υδάτων, καί εβδομήκοντα στελέχη φοινίκων, παρενέβαλον δέ εκεί παρά τά ύδατα. Απήραν δέ εξ Αιλείμ, καί ήλθε πάσα η Συναγωγή υιών Ισραήλ εις τήν έρημον Σίν, ο εστιν αναμέσον Αιλείμ, καί αναμέσον Σινά.

Τροπάριον Ήχος πλ. α'

Επεφάνης εν τώ κόσμω, ο τόν κόσμον ποιήσας, ίνα φωτίσης τούς εν σκότει καθημένους. Φιλάνθρωπε δόξα σοι.

Στίχ α'

Ο Θεός οικτειρήσαι ημάς, καί ευλογήσαι ημάς, επιφάναι τό προσωπον αυτού εφ' ημάς, καί ελεήσαι ημάς.

Ίνα φωτίσης τούς εν σκότει καθημένους. Φιλάνθρωπε δόξα σοι.

Στίχ. β'

Τού γνώναι εν τή γή τήν οδόν σου, εν πάσιν Ένθεσιν τό σωτήριόν σου.

Ίνα φωτίσης τούς εν σκότει καθημένους. Φιλάνθρωπε δόξα σοι.

Στίχ. γ'

Εξομολογησάσθωσάν σοι λαοί, ο Θεός, εξομολογησάσθωσάν σοι λαοί πάντες, γή έδωκε τόν καρπόν αυτής.

Ίνα φωτίσης τούς εν σκότει καθημένους. Φιλάνθρωπε δόξα σοι.

Στίχ. δ'

Ευλογήσαι ημάς, ο Θεός, ο Θεός ημών, ευλογήσαι ημάς, ο Θεός. Καί φοβηθήτωσαν αυτόν πάντα τά πέρατα τής γής.

Ίνα φωτίσης τούς εν σκότει καθημένους. Φιλάνθρωπε δόξα σοι.

Δόξα... Καί νύν...

Τροπάριον Ήχος πλ. α'

Επεφάνης εν τώ κόσμω, ο τόν κόσμον ποιήσας, ίνα φωτίσης τούς εν σκότει καθημένους. Φιλάνθρωπε δόξα σοι.

Δ'. Ιησού τού Ναυή τό Ανάγνωσμα

(Κεφ. 3, 7-8, 15-17)

Είπε Κύριος πρός Ιησούν. Εν τή η μέρα ταύτή άρχομαι τού υψώσαί σε κατενώπιον πάντων τών υιών Ισραήλ, ίνα γνώσιν, ότι καθώς ήμην μετά Μωϋσή, ούτως έσομαι καί μετά σού. Καί νύν έντειλαι τοίς Ιερεύσι, τοίς αίρουσι τήν Κιβωτόν τής Διαθήκης, λέγων. Ως άν εισέλθητε επί μέρους τού ύδατος τού. Ιορδάνου, καί εν τώ Ιορδάνη στήσεσθε. Ως δέ επορεύοντο οι Ιερείς οι αίροντες τήν Κιβωτόν τής Διαθήκης Κυρίου, επί τόν Ιορδάνην, καί οι πόδες

τών Ιερέων, τών αιρόντων τήν Κιβωτόν, εβάφησαν εις μέρος τού ύδατος τού Ιορδάνου, (ο δέ Ιορδάνης επληρούτο καθ' όλην τήν κρηπίδα αυτού, ως εν ημέραις θερισμού πυρών), καί έστη τά ύδατα τά καταβαίνοντα άνωθεν εις πήγμα εν, αφεστηκός μακράν σφόδρα, από Αδαμί τής πόλεως, έως μέρους Καριαθιαρίμ, τό δέ καταβαίνον κατέβη εις τήν θάλασσαν Άραβα, μέχρι θαλάσσης τών αλών, έως τέλους εξέλιπε. Καί ο λαός ειστήκει απέναντι Ιεριχώ, καί έστησαν οι Ιερείς, οι αίροντες τήν Κιβωτόν τής Διαθήκης Κυρίου, επί ξηράς εν μέσω τού Ιορδάνου έτοιμοι, καί πάντες οι υιοί, Ισραήλ διέβησαν διά ξηράς, έως συνετέλεσε πάς ο λαός διαβαίνων τόν Ιορδάνην.

## Ε'. Βασιλειών τετάρτης τό Ανάγνωσμα
## (Κεφ. 2, 6-14)

Είπεν Ηλίας τώ Σλισαιέ. Κάθου δή ενταύθα, ότι Κύριος απέσταλκέ με έως τού Ιορδάνου. Καί είπεν Ελισαιέ. Ζή Κύριος, καί ζή η ψυχή σου, εί εγκαταλείψω σε, καί επορεύθησαν αμφότεροι. Καί πεντήκοντα άνδρες από τών υιών τών Προφητών ήλθον, καί έστησαν εξ εναντίας μακρόθεν, αμφότεροι δέ έστησαν επί τού Ιορδάνου. Καί έλαβεν Ηλίας τήν μηλωτήν αυτού, καί είλησεν αυτήν, καί επάταξεν εν αυτή τά ύδατα, καί διηρέθη τό ύδωρ ένθεν καί ένθεν, καί διέβησαν αμφότεροι διά ξηράς. Καί εγένετο ως διήλθον, είπεν Ηλίας τώ Ελισαιέ. Αίτησαι, τί ποιήσω σοι, πρίν ή αναληφθήναί με από σού. Καί είπεν Ελισαιέ. Γενηθήτω δή τό Πνεύμα τό επί σοί δισσώς επ' εμοί. Καί είπεν Ηλίας. Εσκλήρυνας τού αιτήσασθαι. πλήν, εάν, ίδης με αναλαμβανόμενον από σού, έσται σοι ούτως, εάν δέ μή ίδης, ου μή γένηται. Καί εγένετο αυτών πορευομένων καί λαλούντων, καί ιδού άρμα πυρός, καί ίπποι πυρός, καί διεχώρισεν αναμέσον αμφοτέρων, καί ανελήφθη Ηλίας εν συσσεισμώ, ως εις τόν ουρανόν. Καί Ελισαιέ εώρα, καί αυτός εβόα. Πάτερ, Πάτερ, άρμα Ισραήλ καί ιππεύς αυτού, καί ουκ είδεν αυτόν ουκ έτι, καί εκράτησεν Ελισαιέ τού ιματίου αυτού, καί διέρρηξεν αυτό εις δύο. Καί ανείλετο τήν μηλωτήν Ηλιού Ελισαιέ, τήν πεσούσαν επάνωθεν αυτού. Καί επέστρεψεν Ελισαιέ, καί έστη επί τού χείλους τού Ιορδάνου, καί έλαβεν Ελισαιέ τήν μηλωτήν Ηλιού, τήν πεσούσαν επάνωθεν αυτού καί επάταξε τά ύδατα, καί ου διηρέθη, καί είπεν Ελισαιέ. Πού εστιν ο Θεός Ηλιού Απφώ; καί επάταξεν Ελισαιέ τά ύδατα εκ δευτέρου, καί διηρέθη τά ύδατα, καί διήλθε διά ξηράς.

## ΣΤ'. Βασιλειών τετάρτης τό Ανάγνωσμα
## (Κεφ, 5, 9-14)

Παρεγένετο Νεεμάν, Άρχων Βασιλέως Ασσυρίων, σύν τοίς άρμασιν αυτού καί ίπποις αυτού, καί έστη επί τής θύρας τού οίκου Ελισαιέ. Καί απέστειλεν Ελισαιέ άγγελον πρός αυτόν, λέγωrv. Πορευθείς, λούσαι εν τώ Ιορδάνη επτάκις, καί επιστρέψει η σάρξ σου επί σοί, καί καθαρισθήση. Καί εθυμώθη Νεεμάν, καί απήλθε, καί είπεν, Ιδού δή έλεγον, ότι εξελεύσεται πρός με, καί επικαλέσεται εν ονόματι Κυρίου τού Θεού αυτού, καί επιθήσει τήν χείρα αυτού επί τό λεπρόν, καί αποσυνάξει αυτό από τής σαρκός μου, ουκ αγαθός Αβανά καί Φαρφά, ποταμοί Δαμασκού, υπέρ τόν Ιορδάνην, καί υπέρ πάντα τά ύδατα Ισραήλ; ουχί πορευθείς λούσομαι εν αυτοίς, καί καθαρισθήσομαι; Καί απέστρεψε καί απήλθεν εν θυμώ. Καί προσήλθον οι παίδες αυτού, καί είπον πρός αυτόν. Πάτερ, εί μέγαν λόγον ελάλησε πρός σέ ο Προφήτης, ουκ άν

εποίησας; καί ότι είπε πρός σέ, λούσαι καί καθαρίσθητι; Καί κατέβη Νεεμάν καί εβαπτίσατο εν τώ Ιορδάνη επτάκις Κατά τό ρήμα τού ανθρώπου τού Θεού, καί επέστρεψεν η σάρξ αυτού επ' αυτόν ως παιδαρίου μικρού, καί εκαθαρίσθη.

Τροπάριον Ήχος πλ. β'

Αμαρτωλοίς καί τελώναις, διά πλήθους ελέους σου επεφάνης Σωτήρ ημών, πού γάρ είχε τό φώς σου λάμψαι, ειμή τοίς εν σκότει καθημένοις; δόξα σοι.

Στίχ. α'

Ο Κύριος εβασίλευσεν, ευπρέπειαν ενεδύσατο.

Πού γάρ είχε τό φώς σου λάμψαι, ειμή τοίς εν σκότει καθημένοις; δόξα σοι.

Στίχ. β'

Επήραν οι ποταμοί, Κύριε, επήραν οι ποταμοί φωνάς αυτών.

Πού γάρ είχε τό φώς σου λάμψαι, ειμή τοίς εν σκότει καθημένοις; δόξα σοι.

Στίχ. γ'

Θαυμαστοί οι μετεωρισμοί τής θαλάσσης, θαυμαστός εν υψηλοίς ο Κύριος.

Πού γάρ είχε τό φώς σου λάμψαι, ειμή τοίς εν σκότει καθημένοις; δόξα σοι.

Στίχ. δ'

Τώ οίκω σου πρέπει αγίασμα, Κύριε, εις μακρότητα ημερών.

Πού γάρ είχε τό φώς σου λάμψαι, ειμή τοίς εν σκότει καθημένοις; δόξα σοι.

Δόξα... Καί νύν...

Αμαρτωλοίς καί τελώναις, διά πλήθους.

Ζ'. Προφητείας Ησαϊου τό Ανάγνωσμα
(Κεφ. 1, 16-20)

Τάδε λέγει Κύριος. Λούσασθε, καί καθαροί γίνεσθε, αφέλετε τάς πονηρίας υμών από τών ψυχών υμών, απέναντι τών οφθαλμών μου, παύσασθε από τών πονηριών υμών. Μάθετε καλόν ποιείν, εκζητήσατε κρίσιν, ρύσασθε αδικούμενον, κρίνατε Ορφανώ καί δικαιώσατε χήραν. Καί δεύτε καί διαλεχθώμεν, λέγει Κύριος, καί εάν ώσιν αι αμαρτίαι υμών ως φοινικούν, ως χιόνα λευκανώ. Εάν δέ ώσιν ως κόκκινον, ως έριον λευκανώ. Καί εάν θέλητε, καί εισακούσητέ μου, τά αγαθά τής γής φάγεσθε, εάν δέ μή θέλητε, μη, δε εισακούσητέ μου, μάχαιρα υμάς κατέδεται, τό γάρ στόμα Κυρίου ελάλησε ταύτα.

Η. Γενέσεως τό Ανάγνωσμα
(Κεφ. 32, 1-10)

Αναβλέψας, Ιακώβ, είδε παρεμβολήν Θεού παρεμβεβληκυίαν, καί συνήντησαν αυτώ οι Άγγελοι τού Θεού. Είπε δέ Ιακώβ, ηνίκα είδεν αυτούς. Παρεμβολή Θεού αύτη, καί εκάλεσε τό όνομα τού τόπου εκείνου, Παρεμβολή. Απέστειλε δέ Ιακωβ αγγέλους έμπροσθεν αυτού πρός Ησαύ τόν αδελφόν αυτού εις γήν Σηείρ, εις χώραν Εδώμ. Καί ενετείλατο αυτοίς, λέγων. Ούτως ερείτε τώ Κυρίω μου Ησαύ. Ούτω λέγει ο παίς σου Ιακώβ. Μετά Λάβαν παρώκησα, καί εχρόνισα έως τού νύν. Καί εγένοντό μοι πρόβατα, καί βόες, καί όνοι, καί παίδες, καί παιδίσκαι, καί απέστειλα αναγγείλαι τώ Κυρίω μου Ησαύ, ίνα εύρη χάριν ο παίς σου εναντίον σου. Καί απέστρεψαν οι άγγελοι πρός, Ιακώβ, λέγοντες. Ήλθομεν πρός Ησαύ τόν αδελφόν σου, καί ιδού αυτός έρχεται εις συνάντησίν σου, καί τετρακόσιοι άνδρες μετ' αυτού. Εφοβήθη δέ Ιακώβ σφόδρα, καί ηπορείτο, καί διείλε τόν λαόν τόν μετ' αυτού, καί τούς βόας, καί τά πρόβατα, εις δύω παρεμβολάς. Καί είπεν Ιακώβ. Εάν έλθη Ησαύ εις παρεμβολήν μίαν, καί κόψη αυτήν, έσται η παρεμβολή η δευτέρα εις τό σώζεσθαι. Καί είπεν Ιακώβ. Ο Θεός τού Πατρός μου Αβραάμ, καί ο Θεός τού πατρός μου Ισαάκ, Κύριε, ο είπών μοι. Απότρεχε εις τήν γήν τής γεννήσεώς σου, καί εύ σοι ποιήσω, ικανούσθω μοι από πάσης δικαιοσύνης, καί από πάσης αληθείας, ής εποίησας τώ παιδί σου, εν γάρ τή ράβδω μου ταύτη διέβην τόν Ιορδάνην.

### Θ'. Τής Εξόδου τό Ανάγνωσμα
### (Κεφ. 2, 5-10)

Κατέβη η θυγάτηρ Φαραώ λούσασθαι επί τόν ποταμόν, καί αι άβραι παρεπορεύοντο αυτή παρά τόν ποταμόν, καί ιδούσα θίβιν εν τώ έλει, αποστείλασα τήν άβραν, ανείλετο αυτήν. Ανοίξασα δέ Ορά παιδίον κλαίον εν τή θίβει καί εφείσατο αυτού η θυγάτηρ Φαραώ, καί είπεν. Από τών παιδίων τών Εβραίων τούτο. Καί είπεν η αδελφή αυτού τή θυγατρί Φαραώ, θέλεις καλέσω σοι γυναίκα τροφεύουσαν εκ τών Εβραίων, καί θηλάσει σοι τό παιδίον, καί είπεν αυτή η θυγάτηρ Φαραώ. Πορεύου. Ελθούσα δέ η νεάνις, εκάλεσε τήν μητέρα τού παιδίου. Είπε δέ πρός αυτήν η θυγάτηρ Φαραώ. Διατήρησόν μοι τό παιδίον τούτο, καί θήλασόν μοι αυτό, εγώ δέ δώσω σοι τόν μισθόν. Έλαβε δέ η γυνή τό παιδίον, καί εθήλαζεν αυτό. Ανδρυνθέντος δέ τού παιδίου, εισήγαγεν αυτό πρός τήν θυγατέρα Φαραώ, καί εγενήθη αυτή εις υιόν, επωνόμασε δέ τό όνομα αυτού Μωϋσήν, λέγουσα. Εκ τού ύδατος αυτόν ανειλόμην.

### Ι'. Κριτών τό Ανάγνωσμα
### (Κεφ. 6, 36-39)

Είπε Γεδεών πρός τόν Θεόν. Εί σώζεις εν τή χειρί μου τόν Ισραήλ, όν τρόπον ελάλησας, ιδού εγώ απερείδομαι τόν πόκον τών ερίων εν τή άλωνι, καί εάν γένηται δρόσος επί τόν πόκον μόνον, επί δέ πάσαν τήν γήν ξηρασία, γνώσομαι ότι σώζεις εν τή χειρί μου τόν, Ισραήλ, όν τρόπον ελάλησας. Καί εγένετο ούτω, καί ορθρίσας Γεδεών τή επαύριον, απεπίεσε τόν πόκον, καί απερρύη δρόσος εκ τού πόκου, πλήρης λεκάνη ύδατος. Καί είπε Γεδεών πρός τόν Θεόν. Μή οργισθήτω ο θυμός σου εν εμοί, καί λαλήσω έτι άπαξ, καί πειράσω έτι άπαξ εν τώ πόκω, γενηθήτω δή ξηρασία επί τόν πόκον μόνον, επί δέ πάσαν τήν γήν δρόσος. Καί εποίησεν ο Θεός ούτως εν τή νυκτί εκείνη,

καί εγένετο ξηρασία επί τόν πόκον μόνον, επί δέ πάσαν τήν γήν εγένετο δρόσος.

## ΙΑ'. Βασιλειών τρίτης τό, Ανάγνωσμα
## (Κεφ. 18, 30-39)

Είπεν Ηλίας πρός τόν λαόν, Προσαγάγετε πρός με, καί προσήγαγε πάς ο λαός πρός αυτόν. Καί έλαβεν Ηλίας δώδεκα λίθους, κατά αριθμόν τών δώδεκα φυλών τού, Ισραήλ, ως ελάλησε Κύριος πρός αυτόν, λέγων, Ισραήλ έσται τό όνομά σου. Καί ωκοδόμησε τούς λίθους εν ονόματι Κυρίου, καί ιάσατο τό θυσιαστήριον τό κατεσκαμμένον, καί εποίησε θαλαά, χωρούσαν δύω μετρητάς σπέρματος, κυκλόθεν τού θυσιαστηρίου. Καί επέθηκε τάς σχίδακας επί τό θυσιαστήριον, ο εποίησε, καί εμέλισε τό ολοκαύτωμα, καί επέθηκεν επί τάς σχίδακας, καί εστοίβασεν επί τό θυσιαστήριον. Καί είπεν Ηλίας. Λάβετέ μοι τέσσαρας υδρίας ύδατος, καί επιχέατε εις τό ολοκαύτωμα καί επί τάς σχίδακας. Καί είπε, Δευτερώσατε, καί εδευτέρωσαν, καί είπε. Τρισσεύσατε. καί ετρίσσευσαν. Καί διεπορεύετο τό ύδωρ κύκλω τού θυσιαστηρίου, καί τήν θαλαά έπλησεν ύδατος. Καί ανεβόησεν Ηλίας εις τόν ουρανόν, καί είπε. Κύριε, ο Θεός Αβραάμ καί Ισαάκ καί Ιακώβ, επάκουσόν μου σήμερον εν πυρί, καί γνώτωσαν πάς ο λαός ούτος, ότι σύ εί μόνος Κύριος, ο Θεός Ισραήλ, καί εγώ δούλος σός, καί διά σέ πεποίηκα ταύτα πάντα, καί σύ επέστρεψας τήν καρδίαν τού λαού τούτου οπίσω σου. Καί έπεσε πύρ παρά Κυρίου εκ τού ουρανού, καί κατέφαγε τά ολοκαυτώματα, καί τάς σχίδακας, καί τό ύδωρ τό εν θαλαά, καί τούς λίθους καί τόν χούν εξέλειξε τό πύρ. Καί έπεσε πάς ο λαός επί πρόσωπον αυτών, καί είπον. Αληθώς Κύριος ο Θεός, αυτός εστιν ο Θεός.

## ΙΒ'. Βασιλειών τετάρτης τό Ανάγνωσμα
## (Κεφ. 2, 19-22)

Είπον οι άνδρες τής πόλεως Ιεριχώ πρός Ελισαιέ, ιδού η κατοίκησις τής πόλεως ταύτης αγαθή, καθως σύ, Κύριε, βλέπεις, καί τά ύδατα πονηρά, καί η γή ατεκνουμένη. Καί είπεν Ελισαιέ. Λάβετέ μοι υδρίσκην καινήν, καί θέσθε εκεί άλας. Καί έλαβεν αυτό, καί εξήλθεν επί τήν διέξοδον τών υδάτων, καί έρριψεν εκεί τό άλας, καί είπε. Τάδε λέγει Κύριος, ίαμαι τά ύδατα ταύτα, ουκ έτι έσται εκείθεν αποθνήσκων, ουδέ ατεκνουμένη δι' αυτά. Καί ιάθη τά ύδατα έως τής ημέρας ταύτης, κατά τό ρήμα, ο ελάλησεν Ελισαιέ.

## ΙΓ'. Προφητείας Ησαϊου τό Ανάγνωσμα
## (Κεφ. 49, 8-15)

Τάδε λέγει Κύριος, Καιρώ δεκτώ επή κουσά σου, καί εν ημέρα σωτηρίας εβοήθησά σοι, καί έπλασά σε, καί έδωκά σε, καί έθηκά σε εις Διαθήκην Εθνών, τού κατακτήσαι τήν γήν, καί κατακληρονομήσαι κληρονομίας ερήμους, λέγοντα τοίς εν δεσμοίς, Εξέλθετε, καί τοίς εν τώ σκότει, Ανακαλύπτεσθε, εν πάσαις ταίς οδοίς βοσκηθήσονται, καί εν πάσαις ταίς τρίβοις η νομή αυτών, ου πεινάσουσιν, ουδέ διψήσουσιν, ουδέ πατάξει αυτούς ο καύσων, ουδέ ο ήλιος, αλλ' ο ελεών αυτούς, παρακαλέσει αυτούς, καί διά πηγών υδάτων άξει αυτούς. Καί θήσω πάν όρος εις οδόν, καί πάσαν τρίβον εις βόσκημα αυτοίς. Ιδού ούτοι πόρρωθεν ήξουσιν, ούτοι από Βορρά καί θαλάσσης, άλλοι δέ εκ γής Περσών. Ευφραινέσθωσαν οι ουρανοί, καί

αγαλλιάσθω η γή, ρηξάτω τά όρη ευφροσύνην, καί οι βουνοί δικαιοσύνην, ότι ηλέησεν ο Θεός τόν λαόν αυτού, καί τούς ταπεινούς τού λαού αυτού παρεκάλεσεν. Είπε δέ Σιών. Εγκατέλιπέ με Κύριος, καί ο Κύριος επελάθετό μου. Μή επιλήσεται γυνή τού παιδίου αυτής, ή τού μή ελεήσαι τά έγγονα τής κοιλίας αυτής; εί δέ καί ταύτα επιλάθοιτο γυνή, αλλ' εγω ουκ επιλήσομαί σου, λέγει Κύριος Παντοκράτωρ.

Είτα Συναπτή μικρά παρά τού Ιερέως, καί ψάλλομεν τόν Τρισάγιον ύμνον, καί ο Απόστολος.

Προκείμενον Ήχος γ'

Κύριος φωτισμός μου καί Σωτήρ μου.
Στίχ. Κύριος υπερασπιστής τής ζωής μου.

Πρός Κορινθίους Α' Επιστολής Παύλου
(Κεφ. 9, 19-27)

Αδελφοί, ελεύθερος ών εκ πάντων, πάσιν εμαυτόν εδούλωσα, ίνα τούς πλείονας κερδήσω. Καί εγενόμην τοίς Ιουδαίοις ως Ιουδαίος, ίνα Ιουδαίους κερδήσω, τοίς υπό νόμον, ως υπό νόμον, ίνα τούς υπό νόμον κερδήσω, τοίς ανόμοις ως άνομος (μή ών άνομος Θεώ, αλλ' έννομος Χριστώ), ίνα κερδήσω ανόμους. Εγενόμην τοίς ασθενέσιν ως ασθενής, ίνα τούς ασθενείς κερδήσω, τοίς πάσι γέγονα τά πάντα, ίνα πάντως τινάς σώσω. Τούτο δέ ποιώ διά τό Ευαγγέλιον, ίνα συγκοινωνός αυτού γένωμαι, ουκ ο ίδατε ότι οι εν τώ σταδίω τρέχοντες πάντες μέν τρέχουσιν, εις δέ λαμβάνει τό βραβείον. Ούτω τρέχετε, ίνα καταλάβητε. Πάς δέ ο αγωνιζόμενος, πάντα εγκρατεύεται, εκείνοι μέν ούν, ίνα φθαρτόν στέφανον λάβωσιν, υμείς δέ άφθαρτον. Εγώ τοίνυν ούτω τρέχω, ως ουκ αδήλως, ούτω πυκτεύω, ως ουκ αέρα δέρων. Αλλ' υποπιάζω μου τό σώμα, καί δουλαγωγώ, μήπως άλλοις κηρύξας, αυτός αδόκιμος γένωμαι.

Αλληλούϊα Ήχος γ'

Εξηρεύσατο η καρδία μου λόγον αγαθόν.
Στίχ. Ωραίος κάλλει παρά τούς υιούς τών ανθρώπων

Ευαγγέλιον κατά Λουκάν

Εν έτει πεντεκαιδεκάτω...

Καί καθεξής η θεία Λειτουργία τού Μεγάλου Βασιλείου.

Κοινωνικόν

Αινείτε τόν Κύριον εκ τών ουρανών, Αινείτε αυτόν εν τοίς υψίστοις. Αλληλούϊα.

---

Μετά δέ τήν οπισθάμβωνον Ευχήν, εξερχόμεθα εν τή Κολυμβήθρα, προπορευομένου τού Ιερέως μετά λαμπάδων καί τού θυμιατού, καί ημείς ψάλλομεν τά παροντα Ιδιόμελα Ήχος πλ. δ'.

## Σωφρονίου Πατριάρχου Ιεροσολύμων

Φωνή Κυρίου επί τών υδάτων βοά λέγουσα. Δεύτε λάβετε πάντες, Πνεύμα σοφίας, Πνεύμα συνέσεως, Πνεύμα φόβου Θεού, τού επιφανέντος Χριστού.

Σήμερον τών υδάτων, αγιάζεται η φύσις, καί ρήγνυται ο Ιορδάνης, καί τών ιδίων ναμάτων επέχει τό ρεύμα, Δεσπότην ορών ρυπτόμενον.

Ως άνθρωπος εν ποταμώ, ήλθες Χριστέ Βασιλεύ, καί δουλικόν Βάπτισμα λαβείν, σπεύδεις αγαθέ, υπό τών τού Προδρόμου χειρών, διά τάς αμαρτίας ημών φιλάνθρωπε.

Δόξα... Καί νύν... ο αυτός

Πρός τήν φωνήν τού βοώντος εν τή ερήμω, Ετοιμάσατε τήν οδόν τού Κυρίου, ήλθες Κύριε, μορφήν δούλου λαβών, Βάπτισμα αιτών, ο μή γνούς αμαρτίαν. Είδοσάν σε ύδατα, καί εφοβήθησαν, σύντρομος γέγονεν ο Πρόδρομος, καί εβόησε λέγων, πώς φωτίσει ο λύχνος τό Φως; πώς χειροθετήσει δούλος τόν Δεσπότην; αγίασον εμέ καί τά ύδατα Σωτήρ, ο αίρων τού κόσμου τήν αμαρτίαν.

## Προφητείας Ησαϊου τό Ανάγνωσμα
## (Κεφ. 35, 1-10)

Τάδε λέγει Κύριος, Ευφράνθητι έρημος διψώσα, αγαλλιάσθω έρημος, καί ανθείτω ως κρίνον. Καί εξανθήσει, καί υλοχαρήσει, καί άγαλλιάσεται τά έρημα τού Ιορδάνου, καί η δόξα τού Λιβάνου εδόθη αυτή, καί η τιμή τού Καρμήλου, καί ο λαός μου όψεται τήν δόξαν Κυρίου, καί τό ύψος τού Θεού, ισχύσατε χείρες ανειμέναι, καί γόνατα παραλελυμένα. Παρακαλέσατε, καί είπατε τοίς ολιγοψύχοις τή διανοία, ισχύσατε καί μή φοβείσθε, ιδού ο Θεός ημών Κρίσιν ανταποδίδωσι, καί ανταποδώσει, αυτός ήξει καί σώσει ημάς. Τότε ανοιχθήσονται οφθαλμοί τυφλών, καί ώτα κωφών άκούσονται. Τότε αλείται χωλός ως έλαφος, καί τρανή έσται γλώσσα μογγιλάλων, ότι ερράγη εν τή ερήμω ύδωρ, καί φάραγξ εν γή διψώση. Καί έσται η άνυδρος εις έλη, καί εις τήν διψώσαν γήν πηγή ύδατος έσται, εκεί έσται ευφροσύνη ορνέων, επαύλεις ποιμνίων καί καλάμη καί έλη. Καί έσται εκεί οδός καθαρά, καί οδός αγία κληθήσεται, ου μή παρέλθη εκεί ακάθαρτος, ουδέ έσται εκεί οδός ακάθαρτος, οι δέ διεσπαρμένοι πορεύσονται επ' αυτής, καί ου μή πλανηθώσι. Καί ουκ έσται εκεί λέων, ουδέ τών πονηρών θηρίων, ού μή αναβή εις αυτήν, ουδέ μή ευρεθή εκεί, αλλά πορεύσονται εν αυτή λελυτρωμένοι καί συνηγμένοι υπό Κυρίου. Καί αποστραφήσονται, καί ήξουσιν εις Σιών μετ' ευφροσύνης καί αγαλλιάσεως, καί ευφροσύνη αιώνιος υπέρ κεφαλής αυτών, επί γάρ τής κεφαλής αυτών αίνεσις καί αγαλλίαμα, καί ευφροσύνη καταλήψεται αυτούς, απέδρα οδύνη, λύπη καί στεναγιμός.

## Προφητείας Ησαϊου τό Ανάγνωσμα
## (Κεφ. 55, 1-13)

Τάδε λέγει Κύριος, οι διψώντες πορεύεσθε εφ' ύδωρ, καί όσοι μή έχετε αργύριον, βαδίσαντες αγοράσατε, καί φάγεσθε, καί πίεσθε άνευ αργυρίου καί τιμής οίνον καί στέαρ, ίνα τίτιμάσθε αργυρίου εν ουκ άρτοις, καί ο μόχθος

υμών ουκ εις πλησμονήν. Ακούσατέ μου, καί φάγεσθε αγαθά, καί εντρυφήσει εν αγαθοίς η ψυχή υμών. Προσέχετε τοίς ωσίν υμών, καί επακολουθείτε ταίς οδοίς μου, εισακούσατέ μου, καί ζήσεται εν αγαθοίς η ψυχή υμών, καί διαθήσομαι υμίν Διαθήκην αιώνιον, τά όσια Δαυίδ τά Πιστά, ιδού μαρτύριον εν Έθνεσιν έδωκα αυτόν, άρχοντα καί προστάσσοντα εν Έθνεσιν, ιδού Έθνη, ά ουκ οίδασί σε, επικαλέσονταί σε, καί λαοί, οί ουκ επίστανταί σε, επί σέ καταφεύξονται, ένεκεν Κυρίου τού Θεού σου, καί τού Αγίου Ισραήλ, ότι εδόξασέ σε. Ζητήσατε τόν Κύριον, καί εν τώ ευρίσκειν αυτόν, επικαλέσασθε, ηνίκα δ' άν εγγίζη υμίν, απολιπέτω ο ασεβής τάς οδούς αυτού, καί ανήρ άνομος τάς βουλάς αυτού, καί επιστράφητε πρός Κύριον, καί ελεηθήσεσθε, καί κράξεσθε, ότι επί πολύ αφήσει τάς αμαρτίας υμών. Ου γάρ εισιν αι βουλαί μου, ώσπερ αι βουλαί υμών, ουδ' ώσπερ αι οδοί υμών, αι οδοί μου, λέγει Κύριος. Αλλ' ως απέχει ο ουρανός από τής γής, ούτως απέχει η οδός μου από τών οδών υμών, καί τά διανοήματα υμών από τής διανοίας μου. Ως γάρ άν καταβή υετός, ή χιων εκ τού ουρανού, καί ου μή αποστραφή έως άν μεθύση τήν γήν, καί εκτέκη, καί εκβλαστήση, καί δώ σπέρμα τώ σπείροντι, καί άρτον εις βρώσιν, ουτως έσται τό ρήμά μου, ο εάν εξέλθη εκ τού στόματός μου, ου μή αποστραφή πρός με κενόν, έως άν τελεσθή όσα άν ηθέλησα, καί ευοδώσω τάς οδούς μου, καί τά εντάλματά μου. Εν γάρ ευφροσύνη εξελεύσεσθε, καί εν χαρά διδαχθήσεσθε, τά γάρ όρη καί οι βουνοί εξαλούνται, προσδεχόμενοι υμάς εν χαρά, καί πάντα τά ξύλα τού αγρού επικροτήσει τοίς κλάδοις. Καί αντί τής στοιβής αναβήσεται κυπάρισσος, αντί, δέ τής κονύζης αναβήσεται μυρσίνη, καί έσται Κυρίω εις όνομα, καί εις σημείον αιώνιον, καί ουκ εκλείψει.

## Προφητείας Ησαϊου τό Ανάγνωσμα
## (Κεφ. 12, 3-6)

Τάδε λέγει Κύριος, Αντλήσατε ύδωρ μετ' ευφροσύνης εκ τών πηγών τού σωτηρίου. Καί ερείς εν τή ημέρα εκείνη. Υμνείτε τόν Κύριον βοάτε τό όνομα αυτού αναγγείλατε εν τοίς Έθνεσι τά ένδοξα αυτού, μιμνήσκεσθε, ότι υψώθη τό όνομα αυτού. Υμνήσατε τό όνομα Κυρίου, ότι υψηλά εποίησεν, αναγγείλατε ταύτα εν πάση τή γή. Αγαλλιάσθε, καί ευφραίνεσθε οι κατοικούντες Σιών, ότι υψώθη ο Άγιος τού Ισραήλ εν μέσω αυτής.

## Προκείμενον Ήχος γ'

Κύριος φωτισμός μου καί Σωτήρ μου.
Στίχ. Κύριος υπερασπιτής τής ζωής μου.

## Πρός Κορινθίους Α' Επιστολής Παύλου
## (Κεφ. 10, 1-4)

Αδελφοί, ου θέλω υμάς αγνοείν, ότι οι Πατέρες ημών πάντες υπό τήν νεφέλην ήσαν, καί πάντες διά τής θαλάσσης διήλθον. Καί πάντες εις τόν Μωϋσήν εβαπτίσαντο, εν τή νεφέλη καί εν τή θαλάσση. Καί πάντες τό αυτό βρώμα πνευματικόν έφαγον. Καί πάντες τό αυτό πόμα πνευματικόν έπιον, έπινον γάρ εκ πνευματικής ακολουθούσης πέτρας, η δέ πέτρα ήν ο Χριστός.

Αλληλούϊα Ήχος δ'

Φωνη Κυρίου επί τών υδάτων.
Στίχ. Ο Θεός τής δόξης εβρόντησεν επί τών υδάτων.

Ευαγγέλιον κατά Μάρκον

Τώ καιρώ εκείνω, ήλθεν ο Ιησούς από Ναζαρέτ...

Καί ευθύς ο Διάκονος Τά Ειρηνικά. Εν όσω δέ λέγονται ταύτα υπό τού Διακόνου, ο Ιερεύς λέγει μυστικώς τήν εξής Ευχήν. Κύριε Ιησού Χριστέ, κλπ.

- Εν ειρήνη, τού Κυρίου δεηθώμεν.
- Υπέρ τής άνωθεν ειρήνης καί τής σωτηρίας τών ψυχών ημών, τού Κυρίου δεηθώμεν.
- Υπέρ τής ειρήνης τού σύμπαντος κόσμου, ευσταθείας τών Αγίων τού Θεού Εκκλησιών, καί τής τών πάντων ενώσεως, τού Κυρίου δεηθώμεν.
- Υπέρ τού Αγίου Οίκου τούτου, Καί τών μετά πίστεως, ευλαβείας, καί φόβου Θεού εισιόντων εν αυτώ, τού Κυρίου δεηθώμεν.
- Υπέρ τού Αρχιεπισκόπου ημών (δείνος), τού τιμίου Πρεσβυτερίου τής εν Χριστώ Διακονίας, παντός τού Κλήρου καί τού Λαού, τού Κυρίου δεηθώμεν.
- Υπέρ τής αγίας Μονής ταύτης, πάσης Πόλεως Χώρας, καί τών πίστει οικούντων εν αυταίς, τού Κυρίου δεηθώμεν.
- Υπέρ ευκρασίας αέρων, ευφορίας τών καρπών τής γής, καί καιρών ειρηνικών, τού Κυρίου δεηθώμεν.
- Υπέρ πλεόντων, οδοιπορούντων, νοσούντων, καμνόντων, αιχμαλώτων καί τής σωτηρίας αυτών, τού Κυρίου δεηθώμεν.
- Υπέρ τού αγιασθήναι τό ύδωρ τούτο, τή δυνάμει καί ενεργεία, καί επιφοιτήσει τού Αγίου Πνεύματος, τού Κυρίου δεηθώμεν.
- Υπέρ τού καταφοιτήσαι τοίς ύδασι τούτοις τήν καθαρτικήν τής υπερουσίου Τριάδος ενέργειαν, τού Κυρίου δεηθώμεν.
- Υπέρ τού δωρηθήναι αυτοίς τήν χάριν τής απολυτρώσεως, τήν ευλογίαν τού Ιορδάνου, τού Κυρίου δεηθώμεν.
- Υπέρ τού φωτισθήναι ημάς φωτισμόν γνώσεως καί ευσεβείας, διά τής επιφοιτήσεως τού Αγίου Πνεύματος, τού Κυρίου δεηθώμεν.
- Υπέρ τού γενέσθαι τό ύδωρ τούτο αγιασμού δώρον, αμαρτημάτων λυτήριον, εις ίασιν ψυχής καί σώματος, καί πάσαν ωφέλειαν επιτήδειον, τού Κυρίου δεηθώμεν.
- Υπέρ τού γενέσθαι αυτό ύδωρ αλλόμενον εις ζωήν αιώνιον, τού Κυρίου δεηθώμεν.
- Υπέρ τού αναδειχθήναι αυτό αποτρόπαιον πάσης επιβουλής ορατών καί αοράτων εχθρών, τού Κυρίου δεηθώμεν.
- Υπέρ τών αντλούντων καί αρυοομένων εις αγιασμόν οίκων, τού Κυρίου δεηθώμεν.
- Υπέρ τού γενέσθαι αυτό πρός καθαρισμόν ψυχών καί σωμάτων, πάσι τοίς

αρυομένοις πίστει, καί μεταλαμβάνουσιν εξ αυτού, τού Κυρίου δεηθώμεν.

- Υπέρ τού καταξιωθήναι ημάς εμπλησθήναι αγιασμού, διά τής τών υδάτων τούτων μεταλήψεως, τή αοράτω επιφανεία τού Αγίου Πνεύματος, τού Κυρίου δεηθώμεν.
- Υπέρ τού εισακούσαι Κύριον τόν Θεόν φωνής τής δεήσεως ημών τών αμαρτωλών, καί ελεήσαι ημάς, τού Κυρίου δεηθώμεν.
- Υπέρ τού ρυσθήναι ημάς από πάσης θλίψεως, οργής, κινδύνου καί ανάγκης, τού Κυρίου δεηθώμεν
- Αντιλαβού, σώσον ελέησον, καί διαφύλαξον ημάς ο Θεός τή σή χάριτι.
- Τής Παναγίας, αχράντου, υπερευλογημένης, ενδόξου Δεσποίνης ημών Θεοτόκου καί αειπαρθένου Μαρίας, μετά πάντων τών αγίων μνημονεύσαντες, εαυτούς καί αλλήλους καί πάσαν τήν ζωήν ημών, Χριστώ τώ Θεώ παραθώμεθα.

ο ιερεύς τήν Ευχήν μυστικώς

Κύριε Ιησού Χριστέ, ο μονογενής Υιός, ο ών εις τόν κόλπον τού Πατρός, ο αληθινός Θεός, η πηγή τής ζωής καί τής αθανασίας, τό φώς τό εκ φωτός, ο ελθών εις τόν κόσμον τού φωτίσαι αυτόν, καταύγασον ημών τήν διάνοιαν τώ Αγίω σου Πνεύματι, καί πρόσδεξαι ημάς μεγαλωσύνην καί ευχαριστίαν σοι προσάγοντας, επί τοίς απ' αιώνος θαυμαστοίς σου μεγαλουργήμασι, καί τή επ' εσχάτων τών αιώνων σωτηρίω σου οικονομία. Εν ή τό ασθενές ημών καί πτωχόν περιβαλόμενος φύραμα, καί τοίς τής δουλείας μέτροις συγκατιών, ο τών απάντων Βασιλεύς, έτι καί δουλική χειρί εν τώ Ιορδάνη βαπτισθήναι κατεδέξω, ίνα τήν τών υδάτων φύσιν αγιάσας ο αναμάρτητος, οδοποιήσης ημίν τήν δι' ύδατος καί Πνεύματος αναγέννησιν, καί πρός τήν πρώτην ημάς αποκαταστήσης ελευθερίαν. Ού τινος θείου Μυστηρίου την ανάμνησιν εορτάζοντες, δεόμεθά σου φιλάνθρωπε Δέσποτα. Ράνον εφ' ημάς τούς αναξίους δούλους σου, κατά τήν θείαν σου επαγγελίαν, ύδωρ καθάρσιον, τής σής ευσπλαγχνίας τήν δωρεάν, εις τό επί τώ ύδατι τούτω τήν αίτησιν ημών τών αμαρτωλών ευπρόσδεκτον γενέσθαι τή σή αγαθότητι, καί τήν ευλογίαν σου δι' αυτού ημίν τε καί παντί τώ πιστώ σου χαρισθήναι λαώ, εις δόξαν τού αγίου προσκυνητού σου Ονόματος. Σοί γάρ πρέπει πάσα δόξα, τιμή, καί προσκύνησις, σύν τώ ανάρχω σου Πατρί, καί τώ παναγίω, καί αγαθώ, καί ζωοποιώ σου Πνεύματι, νύν καί αεί, καί εις τούς αιώνας τών αιώνων. Αμήν.

Καί είπων καθ' εαυτόν τό, Αμήν, τού Διακόνου ήδη πεπληρωκότος τήν Συναπτήν, άρχεται ο ιερεύς μεγαλοφώνως τής Ευχής ταύτης.

Ποίημα Σωφρονίου Πατριάρχου Ιεροσολύμων

Τριάς υπερούσιε, υπεράγαθε, υπέρθεε, παντοδύναμε, παντεπίσκοπε, αόρατε, ακατάληπτε. Δημιουργέ τών νοερών ουσιών καί τών λογικών φύσεων, η έμφυτος αγαθότης, τό Φώς τό απρόσιτον, τό φωτίζον πάντα άνθρωπον ερχόμενον εις τόν κόσμον, λάμψον καμοί τώ αναξίω δούλω σου, φώτισόν μου τής διανοίας τά όμματα, όπως ανυμνήσαι τολμήσω τήν άμετρον ευεργεσίαν καί δύναμιν. Ευπρόσδεκτος γενέσθω η παρ' εμού δέησις διά τόν

παρεστώτα λαόν, όπως τά πλημμελήματά μου μή κωλύσωσιν ενθάδε παραγενέσθαι τό άγιόν σου Πνεύμα, αλλά συγχώρησόν μοι ακατακρίτως βοάν σοι καί λέγειν καί νύν, Υπεράγαθε Δοξάζομέν σε Δέσποτα φιλάνθρωπε, Παντοκράτορ, προαιώνιε Βασιλεύ. Δοξάζομέν σε τόν Κτίστην, καί Δημιουργόν τού παντός. Δοξάζομέν σε, Υίέ τού Θεού μονογενές, τόν απάτορα εκ Μητρός, καί αμήτορα εκ Πατρός, εν γάρ τή προλαβούση Εορτή νήπιόν σε είδομεν, εν δέ τή παρούση τέλειόν σε ορώμεν, τόν εκ τελείου τέλειον επιφανέντα Θεόν ημών. Σήμερον γάρ ο τής Εορτής ημίν επέστη καιρός, καί χορός αγίων εκκλησιάζει ημίν, καί Άγγελοι μετά ανθρώπων συνεορτάζουσι, Σήμερον η χάρις τού Αγίου Πνεύματος, εν είδει περιστεράς, τοίς ύδασιν επεφοίτησε. Σήμερον ο άδυτος Ήλιος ανέτειλε, καί ο κόσμος τώ φωτί Κυρίου καταυγάζεται. Σήμερον η Σελήνη λαμπραίς ταίς ακτίσι τώ κόσμω συνεκλαμπρύνεται. Σήμερον οι φωτοειδείς αστέρες τή φαιδρότητι τής λάμψεως τήν οικουμένην καλλωπίζουσι. Σήμερον αί νεφέλαι υετόν δικαιοσύνης τή ανθρωπότητι ουρανόθεν δροσίζουσι. Σήμερον ο Άκτιστος υπό τού ιδίου πλάσματος βουλή χειροθετείται. Σήμερον ο Προφήτης καί Πρόδρομος τώ Δεσπότη προσέρχεται, αλλά τρόμω παρίσταται, ορών Θεού πρός ημάς συγκατάβασιν. Σήμερον τά τού, Ιορδάνου νάματα εις ιάματα μεταποιείται τή τού Κυρίου παρουσία. Σήμερον ρείθροις μυστικοίς πάσα η κτίσις αρδεύεται. Σήμερον τά τών ανθρώπων πταίσματα τοίς ύδασι τού Ιορδάνου απαλείφονται. Σήμερον ο Παράδεισος ηνέωκται τοίς ανθρώποις, καί ο τής Δικαιοσύνης Ήλιος καταυγάζει ημίν. Σήμερον τό πικρόν ύδωρ, τό επί Μωϋσέως τώ λαώ, εις γλυκύτητα μεταποιείται τή τού Κυρίου παρουσία. Σήμερον τού παλαιού θρήνου απηλλάγημεν καί ως νέος Ισραήλ διεσώθημεν. Σήμερον τού σκότους ελυτρώθημεν, καί τώ φωτί τής θεογνωσίας καπαυγαζόμεθα. Σήμερον η αχλύς τού κόσμου καθαίρεται τή επιφανεία τού Θεού ημών. Σήμερον λαμπαδοφεγγεί πάσα η κτίσις άνωθεν. Σήμερον η πλάνη κατήργηται, καί οδόν ημίν σωτηρίας εργάζεται η τού Δεσπότου επέλευσις. Σήμερον τά άνω τοίς κάτω συνεορτάζει, καί τά κάτω τοίς άνω συνομιλεί. Σήμερον η Ιερά καί μεγαλόφωνος τών Ορθοδόξων πανήγυρις αγάλλεται. Σήμερον ο Δεσπότης πρός τό βάπτισμα επείγεται, ίνα αναβιβάση πρός ύψος τό ανθρώπινον. Σήμερον ο ακλινής τώ ιδίω οικέτη υποκλίνεται, ίνα ημάς εκ τής δουλείας ελευθερώση. Σήμερον Βασιλείαν ουρανών ωνησάμεθα, τής γάρ Βασιλείας τού Κυρίου ουκ έσται τέλος. Σήμερον γή καί θάλασσα τήν τού κόσμου χαράν εμερίσαντο, καί ο κόσμος ευφροσύνης πεπλήρωται. Είδοσάν σε ύδατα, ο Θεός, είδοσάν σε ύδατα καί εφοβήθησαν. Ο Ιορδάνης εστράφη εις τά οπίσω, θεασάμενος τό πύρ τής θεότητος, σωματικώς κατερχόμενον, καί εισερχόμενον επ' αυτόν, ο Ιορδάνης εστράφη εις τά οπίσω, θεωρών τό Πνεύμα τό Άγιον, εν ε ίδει περιστεράς κατερχόμενον, καί περιϊπτάμενόν σοι, ο Ιορδάνης εστράφη εις τά όπίσω, ορών τόν Αόρατον οραθέντα, τόν Κτίστην σαρκωθέντα, τόν Δεσπότην εν δούλου μορφή, ο Ιορδάνης εστράφη εις τά οπίσω, καί τά όρη εσκίρτησαν, Θεόν εν σαρκί καθορώντα, καί νεφέλαι φωνήν έδωκαν, θαυμάζουσαι τόν παραγενόμενον, φώς εκ φωτός, Θεόν αληθινόν εκ Θεού αληθινού, δεσποτικήν πανήγυριν σήμερον εν τώ Ιορδάνη ορώντες, αυτόν δέ τόν τής παρακοής θάνατον, καί τό

τής πλάνης κέντρον, καί τόν τού, Άδου σύνδεσμον εν τώ Ιορδάνη βυθίσαντα, καί Βάπτισμα σωτηρίας τώ κόσμω δωρησάμενον. Όθεν καγώ ο αμαρτωλός καί ανάξιος δούλός σου, τά μεγαλεία τών θαυμάτων σου διηγούμενος, συνεχόμενος φόβω, εν κατανύξει βοώ σοι

Μετά δέ τήν συμπλήρωσιν, λέγει γεγονωτέρα φωνή

Μέγας εί, Κύριε, καί θαυμαστά τά έργασου, καί ουδείς λόγος εξαρκέσει πρός ύμνον τών θαυμασίων σου (εκ γ'). Σύ γάρ βουλήσει εξ ουκ όντων εις τό είναι παραγαγών τά σύμπαντα τώ σώ κράτει συνέχεις τήν κτίσιν, καί τή σή προνοία διοικείς τόν κόσμον. Σύ εκ τεσσάρων στοιχείων τήν κτίσιν συναρμόσας, τέτταρσι καιροίς τόν κύκλον τού ενιαυτού εστεφάνωσας. Σέ τρέμουσιν αι νοεραί πάσαι Δυνάμεις. Σέ υμνεί ήλιος, σέ δοξάζει σελήνη, σοί εντυγχάνει τά άστρα, σοί υπακούει τό φώς, σέ φρίττουσιν άβυσσοι, σοί δουλεύουσιν αι πηγαί. Σύ εξέτεινας τόν ουρανόν ωσεί δέρριν, σύ εστερέωσας τήν γήν επί τών υδάτων, σύ περιετείχισας τήν θάλασσαν ψάμμω, σύ πρός αναπνοάς τόν αέρα εξέχεας, Αγγελικαί Δυνάμεις σοί λειτουργούσιν, οι τών, Αρχαγγέλων χοροί σέ προσκυνούσι, τά πολυόμματα Χερουβίμ, καί τά εξαπτέρυγα Σεραφίμ κύκλω ιστάμενα καί περιϊπτάμενα, φόβω τής απροσίτου σου δόξης κατακαλύπτονται. Σύ γάρ Θεός ών απερίγραπτος, άναρχός τε καί ανέκφραστος, ήλθες επί τής γής, μορφήν δούλου λαβών, εν ομοιώματι ανθρώπων γενόμενος, ού γάρ έφερες, Δέσποτα, διά σπλάγχνα ελέους σου, θεάσασθαι υπό τού διαβόλου τυραννούμενον τό γένος τών ανθρώπων, αλλ' ήλθες καί έσωσας ημάς. Ομολογούμεν τήν χάριν, κηρύττομεν τόν έλεον, ού κρύπτομεν τήν ευεργεσίαν, τάς τής φύσεως ημών γονάς ηλευθέρωσας, παρθενικήν ηγίασας μήτραν τώ τόκω σου, πάσα η κτίσις ύμνησέ σε επιφανέντα. Σύ γάρ ο Θεός ημών επί τής γής ώφθης, καί τοίς ανθρώποις συνανεστράφης. Σύ καί τά Ιορδάνια ρείθρα ηγίασας, ουρανόθεν καταπέμψας τό Πανάγιόν σου Πνεύμα, καί τάς κεφαλάς τών εκείσε εμφωλευόντων συνέτριψας δρακόντων. Αυτός ούν, φιλάνθρωπε Βασιλεύ, πάρεσο καί νύν διά τής επιφοιτήσεως τού Αγίου σου Πνεύματος, καί αγίασον τό ύδωρ τούτο (εκ γ, ). Καί δός αυτώ τήν χάριν τής απολυτρώσεως, τήν ευλογίαν τού Ιορδάνου. Ποίησον αυτό αφθαρσίας πηγήν, αγιασμού δώρον, αμαρτημάτων λυτήριον, νοσημάτων αλεξιτήριον, δαίμοσιν ολέθριον, ταίς εναντίαις δυνάμεσιν απρόσιτον, Αγγελικής ισχύος πεπληρωμένον, ίνα πάντες οι αρυόμενοι καί μεταλαμβάνοντες έχοιεν αυτό πρός καθαρισμόν ψυχών καί σωμάτων, πρός ιατρείαν παθών, πρός αγιασμόν οίκων, πρός πάσαν ωφέλειαν επιτήδειον. Σύ γάρ εί ο Θεός ημών, ο δι' ύδατος καί Πνεύματος ανακαινίσας τήν παλαιωθείσαν φύσιν υπό τής αμαρτίας. Σύ εί ο Θεός ημών, ο δι' ύδατος κατακλύσας επί τού Νώε τήν αμαρτίαν. Σύ εί ο Θεός ημών, ο διά θαλάσσης ελευθερώσας εκ τής δουλείας Φαραώ, διά Μωϋσέως, τό γένος τών Εβραίων, Σύ εί ο Θεός ημών ο διαρρήξας πέτραν εν ερήμω, καί ερρύησαν ύδατα, καί χείμαρροι κατεκλύσθησαν, καί διψώντα τόν λαόν σου κορέσας. Σύ εί ο Θεός ημών, ο δι' ύδατος καί πυρός, διά τού Ηλιού, απαλλάξας τόν Ισραήλ εκ τής πλάνης τού Βάαλ. Αυτός καί νύν, Δέσποτα, αγίασον τό ύδωρ τούτο, τώ Πνεύματί σου τώ Αγίω. (εκ γ') Δός πάσι, τοίς τε μεταλαμβάνουσι, τόν αγιασμόν, τήν ευλογίαν, τήν κάθαρσιν, τήν υγείαν. Καί σώσον, Κύριε, τούς

δούλους σου, τούς πιστούς Βασιλείς ημών. (εκ γ') Καί φύλαξον αυτούς υπό τήν σκέπην σου εν ειρήνη, υπόταξον υπό τούς πόδας αυτών πάντα εχθρόν καί πολέμιον, χάρισαι αυτοίς τά πρός σωτηρίαν αιτήματα καί ζωήν την αιώνιον. Μνήσθητι, Κύριε, τού Αρχιεπισκόπου ημών (δείνος), καί παντός τού Πρεσβυτερίου, τής εν Χριστώ Διακονίας, καί παντός Ιερατικού τάγματος, καί τού περιεστώτος λαού, καί τών δι' ευλόγους αιτίας απολειφθέντων αδελφών ημών, καί ελέησον αυτούς καί ημάς, κατά τό μέγα σου έλεος. Ίνα καί διά στοιχείων, καί διά Αγγέλων, καί διά ανθρώπων, καί διά ορωμένων, καί διά αοράτων, δοξάζηταί σου τό πανάγιον όνομα, σύν τώ Πατρί, καί τώ αγίω Πνεύματι, νύν, καί αεί, καί εις τούς αιώνας τών αιώνων. Αμήν.

Ειρήνη πάσι
Τάς κεφαλάς ημών

Καί η Ευχή μυστικώς

Κλίνον, Κύριε, τό ούς σου, καί επάκουσον ημών, ο εν Ιορδάνη βαπτισθήναι καταδεξάμενος, καί αγιάσας τά ύδατα, καί ευλόγησον πάντας ημάς, τούς διά τής κλίσεως τών εαυτών αυχένων σημαίνοντας τό τής δουλείας πρόσχημα. Καί καταξίωσον ημάς εμπλησθήναι τού αγιασμού σου διά τής τού ύδατος τούτου μεταλήψεώς τε καί ραντισμού, καί γενέσθω ημίν, Κύριε, εις υγείαν ψυχής καί σώματος.

Εκφώνησις

Σύ γάρ εί ο αγιασμός τών ψυχών καί τών σωμάτων ημών, καί σοί τήν δόξαν, καί ευχαριστίαν, καί προσκύνησιν αναπέμπομεν, σύν τώ ανάρχω σου Πατρί, καί τώ Παναγίω καί αγαθώ καί ζωοποιώ σου Πνεύματι, νύν, καί αεί, καί εις τούς αιώνας τών αιώνων. Αμήν.

Καί ευθύς, ευλογών τά ύδατα σταυροειδώς, βαπτίζει τόν τίμιον Σταυρόν, όρθιον αυτόν κατάγων εν τώ ύδατι καί ανάγων, ψάλλων καί τό παρόν:

Τροπάριον  Ήχος α'  τρίς

Εν Ιορδάνη βαπτιζομένου σου Κύριε, η τής Τριάδος εφανερώθη προσκύνησις, τού γάρ Γεννήτορος η φωνή προσεμαρτύρει σοι, αγαπητόν σε Υιόν ονομάζουσα, καί τό Πνεύμα εν είδει περιστεράς, εβεβαίου τού λόγου τό ασφαλές. Ο επιφανείς Χριστέ ο Θεός, καί τόν κόσμον φωτίσας δόξα σοι.

Καί ραντίζει πάντα τόν Λαόν εκ τού ύδατος. Εισερχόμενοι δέ εν τώ Ναώ, ψάλλομεν τό παρόν Ιδιόμελον εις Ήχον πλ. β'

Ανυμνήσωμεν οι πιστοί, τής περί ημάς τού Θεού οικονομίας τό μέγεθος, εν γάρ τώ ημών παραπτώματι, γενόμενος άνθρωπος, τήν ημών κάθαρσιν Καθαίρεται εν τώ Ιορδάνη, ο μόνος καθαρός καί ακήρατος, αγιάζων εμέ καί τά ύδατα καί τάς κεφαλάς τών δρακόντων, συντρίβων επί τού ύδατος. Αντλήσωμεν ούν ύδωρ, μετ' ευφροσύνης αδελφοί, η γάρ χάρις τού Πνεύματος, τοίς πιστώς αντλούσιν, αοράτως επιδίδοται, παρά Χριστού τού

Θεού, καί Σωτήρος τών ψυχών ημών.

Είτα ο ψαλμός, Ευλογήσω τόν Κύριον, καί δίδοται τό κατακλαστόν, καί γίνεται τελεία Απόλυσις.

Τού Μακαριωτάτου Μητροπολίτου κυρού Μάρκου Εφέσου, περί τής Εορτής τών Φώτων, ήτοι τών δώδεκα ημερών.

---

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ιδιόμελα  Ήχος δ'
Κοσμά Μοναχού

Ο αναβαλλόμενος φώς ως ιμάτιον, δι' ημάς καθ' ημάς γενέσθαι κατηξίωσε, ρείθρα περιβάλλεται σήμερον τά Ιορδάνια, ουκ αυτός τούτων πρός κάθαρσιν δεόμενος, αλλ' ημίν εν εαυτώ οικονομών τήν αναγέννησιν. Ώ τού θαύματος! δίχα πυρός αναχωνεύει, καί αναπλάττει άνευ συντρίψεως, καί σώζει τούς εις αυτόν φωτιζομένους, Χριστός ο Θεός, καί Σωτήρ τών ψυχών ημών.

Ο αυτός

Σέ τόν εν Πνεύματι καί πυρί, καθαίροντα τήν αμαρτίαν τού κόσμου, καθορών ο Βαπτιστής, ερχόμενον πρός αυτόν, δειλιών καί τρέμων εβόα λέγων. Ου τολμώ κρατήσαι τήν κορυφήν σου τήν άχραντον, σύ με αγίασον Δέσποτα τή επιφανεία σου, μόνε φιλάνθρωπε.

ο αυτός

Δεύτε μιμησώμεθα τάς φρονίμους Παρθένους, δεύτε υπαντήσωμεν τώ φανέντι Δεσπότη, ότι προήλθεν ως νυμφίος πρός τόν Ιωάννην. Ο Ιορδάνης ιδών σε έπτηξε καί έμεινεν. Ο Ιωάννης εβόα. Ου τολμώ κρατήσαι κορυφής αθανάτου. Τό Πνεύμα κατήρχετο εν είδει περιστεράς, αγιάσαι τά ύδατα, καί φωνή ουρανόθεν. Ούτός εστιν ο υιός μου, ο ελθών εις τόν κόσμον, σώσαι γένος ανθρώπων. Κύριε δόξα σοι.

ο αυτός

Βαπτίζεται Χριστός, καί άνεισιν εκ τού ύδατος, συναναφέρει γάρ εαυτώ τόν κόσμον, καί ορά σχιζομένους τούς ουρανούς, ούς ο Αδάμ έκλεισεν εαυτώ καί τοίς μετ' αυτόν. Καί τό Πνεύμα μαρτυρεί τή θεότητι, τώ ομοίω γάρ προστρέχει, καί φωνή εξ ουρανού, εκείθεν γάρ ο μαρτυρούμενος, Σωτήρ τών ψυχών ημών.

Ο αυτός

Έτρεμεν η χείρ τού Βαπτιστού, ότε τής αχράντου κορυφής ήψατο, εστράφη Ιορδάνης ποταμός εις τά οπίσω, μή τολμών λειτουργήσαί σοι, ο γάρ αιδεσθείς, Ιησούν τόν τού Ναυή, πώς τόν Ποιητήν αυτού δειλιάσαι ουκ είχεν. Αλλά πάσαν επλήρωσας οικονομίαν, Σωτήρ ημών, ίνα σώσης τόν κόσμον τή Επιφανεία σου, μόνε φιλάνθρωπε.

Δόξα... Ήχος πλ. δ'
Ιωάννου Μοναχού

Κύριε, πληρώσαι βουλόμενος, ά ώρισας απ' αιώνος, από πάσης τής κτίσεως, λειτουργούς τού μυστηρίου σου έλαβες, εκ τών Αγγέλων τόν Γαβριήλ, εκ τών

ανθρώπων τήν Παρθένον, εκ τών ουρανών τόν Αστέρα, καί εκ τών υδάτων τόν Ιορδάνην, εν ώ τό ανόμημα τού κόσμου εξείληψας, Σωτήρ ημών δόξα σοι.

Καί νύν... ο αυτός Ανατολίου

Σήμερον η κτίσις φωτίζεται, σήμερον τά πάντα ευφραίνονται, τά ουράνια άμα καί τά επίγεια. Άγγελοι καί άνθρωποι συμμίγνυνται, όπου γάρ Βασιλέως παρουσία, καί η τάξις παραγίνεται. Δράμωμεν τοίνυν επί τόν Ιορδάνην, ίδωμεν πάντες τόν, Ιωάννην, πώς βαπτίζει Κορυφήν, αχειροποίητον καί αναμάρτητον. Διό Αποστολικήν φωνήν προσάδοντες, συμφώνως βοήσωμεν. Επεφάνη η χάρις τού Θεού, η σωτήριος πάσιν ανθρώποις, καταυγάζουσα καί παρέχουσα πιστοίς τό μέγα έλεος.

Απόστιχα Στιχηρά Ιδιόμελα.

Ήχος πλ. β' Ανατολίου

Εν Ιορδάνη ποταμώ, ιδών σε ο Ιωάννης πρός αυτόν ερχόμενον έλεγε, Χριστέ ό Θεός. Τί πρός τόν δούλον παραγέγονας, ρύπον μή έχων Κύριε; εις όνομα δέ τίνος σε βαπτίσω; Πατρός; αλλά τούτον φέρεις εν εαυτώ. Υιού; αλλ' αυτός υπάρχεις ο σαρκωθείς. Πνεύματος Αγίου; καί τούτο οίδας διδόναι τοίς πιστοίς διά στόματος. Ο επιφανείς Θεός, ελέησον ημάς.

Ο αυτος

Στίχ. Η θάλασσα είδε καί έφυγεν, ο Ιορδάνης εστάφη εις οπίσω,

Είδοσάν σε ύδατα ο Θεός, είδοσάν σε ύδατα καί εφοβήθησαν, πρός τήν σήν γάρ δόξαν αντοφθαλμήσαι τά Χερουβίμ ου δύνανται, ουδέ ατενίσαι τά Σεραφίμ, αλλά φόβω παριστάμενα, τά μέν βαστάζουσι, τά δέ δοξάζουσι τήν δύναμίν σου. Μεθ' ών οικτίρμον, αναγγέλλομεν τήν αίνεσίν σου λέγοντες. ο επιφανείς Θεός, ελέησον ημάς.

Ο αυτος

Στίχ. Τί σοί εστι θάλασσα, ότι έφυγες; καί σοί Ιοράνη ότι ανεχώρησας εις τά οπίσω;

Σήμερον ό ουρανού καί γής Ποιητής, παραγίνεται σαρκί εν Ιορδάνη, Βάπτισμα αιτών ο αναμάρτητος, ίνα καθάρη τόν κόσμον από τής πλάνης τού εχθρού, καί βαπτίζεται υπό δούλου, ο Δεσπότης τών απάντων, καί καθαρισμόν δι' ύδατος τώ γένει τών ανθρώπων δωρείται. Αυτώ βοήσωμεν, ο επιφανείς Θεός ημών, δόξα σοι.

Δόξα... Καί νύν...

Ήχος πλ. δ'

Θεοφάνους τόν εκ Παρθένου Ήλιον, βλέπων ό εκ στείρας Λύχνος φαεινός, εν Ιορδάνη αιτούμενον Βάπτισμα, εν δειλία καί χαρά, εβόα πρός αυτόν. Σύ με αγίασον Δέσποτα τή θεία Επιφανεία σου.

Απολυτίκιον Ήχος α'

Εν Ιορδάνη βαπτιζομένου σου Κύριε, η τής Τριάδος εφανερώθη

προσκύνησις, τού γάρ Γεννήτορος η φωνή προσεμαρτύρει σοι, αγαπητόν σε Υιόν ονομάζουσα, καί τό Πνεύμα εν είδει περιστεράς, εβεβαίου τού λόγου τό ασφαλές. Ο επιφανείς Χριστέ ο Θεός, καί τόν κόσμον φωτίσας δόξα σοι.

Εκ τρίτου, καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογία

Κάθισμα Ήχος γ'
Τήν ωραιότητα

Επιφανέντος σου εν Ιορδάνη Σωτήρ, καί βαπτισθέντος σου υπό Προδρόμου Χριστέ, ηγαπημένος Υιός εμαρτυρήθης, όθεν καί συνάναρχος, τώ Πατρί πεφανέρωσαι. Πνεύμα δέ τό Άγιον, επί σέ κατεγίνετο, εν ώ καί φωτισθέντες βοώμεν. Δόξα Θεώ τώ εν Τριάδι.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογία

Κάθισμα Ήχος δ '
Κατεπλάγη Ιωσήφ

Ιορδάνη ποταμέ, τί εθαμβήθης θεωρών. Τόν αθεώρητον γυμνόν, είδον καί έφριξα φησί, καί πώς γάρ τούτον ουκ έμελλον φρίξαι καί δύναι; οι Άγγελοι αυτόν, Ορώντες έφριξαν, εξέστη ουρανός, καί γή ετρόμαξε, καί συνεστάλη θάλασσα καί πάντα, τά ορατά καί αόρατα, Χριστός εφάνη, εν Ιορδάνη, αγιάσαι τά ύδατα.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τον Πολυέλεον

Κάθισμα Ήχος δ'
Ταχύ προκατάλαβε

Τά ρείθρα ηγίασας τά Ιορδάνια, τό κράτος συνέτριψας, τής αμαρτίας, Χριστέ ο Θεός ημών. υπέκλινας τή παλάμη, σεαυτόν τού Προδρόμου, καί έσωσας εκ πλάνης, τών ανθρώπων τό γένος. διό σε ικετεύομεν. Σώσον τόν κόσμον σου.

Δόξα... Καί νύν... τό αυτό

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί Αντίφωνον Α'

- Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.

- Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα...

Αγίω Πνεύματι, πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Καί νύν...

Αγίω Πνεύματι, αναβλύζει τά τής χάριτος ρείθρα, αρδεύοντα, άπασαν τήν κτίσιν πρός ζωογονίαν.

Προκείμενον Ήχος δ'

Η θάλασσα είδε καί έφυγεν, ο Ιορδάνης εστράφη εις τά οπίσω.
Στίχ. Τί σοί εστι θάλασσα ότι έφυγες;

Τό, Πάσα πνοή, Ευαγγέλιον, καί ο Ν'

Δόξα... Ήχος β'

Τά σύμπαντα σήμερον αγαλλιάσθω, Χριστός εφάνη εν Ιορδάνη.

Και νύν... τό αυτό

Στίχ. Ελέησόν με ο Θεός...

Ιδιόμελον

Ήχος πλ. β'

Θεός Λόγος επεφάνη εν σαρκί, τώ γένει τών ανθρώπων, ίστατο βαπτισθήναι εν Ιορδάνη, καί έλεγεν πρός αυτόν ο Πρόδρομος. Πώς εκτείνω χείρα, καί άψωμαι κορυφής κρατούσης τά σύμπαντα; Ει καί εκ Μαρίας υπάρχεις βρέφος, αλλ' οίδά σε Θεόν προαιώνιον, επί γής βαδίζεις, ο υμνούμενος υπό τών Σεραφίμ, καί δούλος Δεσπότην, βαπτίζειν ου μεμάθηκα, Ακατάληπτε Κύριε, δόξα σοι.

Είθ' ούτως, οι Κανόνες

Κανών τού Κυρίου Κοσμά ού η Ακροστιχίς.

Βάπτισμα ρύψις γηγενών αμαρτάδος.

Ωδή α' Ήχος β' Ο Ειρμός

«Βυθού ανεκάλυψε πυθμένα, καί διά ξηράς οικείους έλκει, εν αυτώ κατακαλύψας αντιπάλους, ο κραταιός, εν πολέμοις Κύριος, ότι δεδόξασται.».

Αδάμ τόν φθαρέντα αγαπλάττει, ρείθροις Ιορδάνου καί δρακόντων, κεφαλάς εμφωλευόντων διαθλάττει, ο Βασιλεύς τών αιώνων Κύριος, ότι δεδόξασται.

Πυρί τής θεότητος αϋλω, σάρκα υλικήν ημφιεσμένος, Ιορδάνου περιβάλλεται

τό νάμα, ο σαρκωθείς εκ Παρθένου Κύριος, ότι δεδόξασται.

Τόν ρύπον ο σμήχων τών ανθρώπων, τούτοις καθαρθείς εν Ιορδάνη, οίς θελήσας ωμοιώθη ό ήν μείνας, τούς εν σκότει φωτίζει Κύριος, ότι δεδόξασται.

Έτερος Κανών Ιαμβικός, τού Αγίου Ιωάννου τού Δαμασκηνού, ού η Ακροστιχίς διά Στίχων Ηρωελεγείων.

- Σήμερον αχράντοιο βαλών, θεοφεγγέϊ πυρσώ,
- Πνεύματος, ενθάπτει νάμασιν, αμπλακίην,
- Φλέξας παμμεδέοντος εϋς Πάϊς. Ηπιόων δέ, Υμνηταίς μελέων τών δε δίδωσι χάριν.

Ωδή α'  Ήχος β'  Ο Ειρμός
«Στείβει θαλάσσης, κυματούμενον σάλον,
Ήπειρον αύθις, Ισραίλ δεδειγμένον.
Μέλας δέ πόντος, τριστάτας Αιγυπτίων,
Έκρυψεν άρδην, υδατόστρωτος τάφος,
Ρώμη κραταιά, δεξιάς τού Δεσπότου.»

Όρθρου φανέντος τοίς βροτοίς σελασφόρου,
Νύν εξ ερήμου, πρός ροάς Ιορδάνου
Άναξ υπέσχες, ηλίου σόν αυχένα,
Χώρου ζοφώδους, τόν Γενάρχην αρπάσαι,
Ρύπου τε παντός, εκκαθάραι τήν κτίσιν.

Άναρχε ρείθροις, συνταφέντα σοι Λόγε,
Νέον περαίνεις, τόν φθαρέντα τή πλάνη ,
Ταύτην αφράστως, πατρόθεν δεδεγμένος,
Όπα κρατίστην. Ούτος ηγαπημένος,
Ίσος τέ μοι Παίς, χρηματίζει τήν φύσιν.

Ωδή γ'  Ο Ειρμός
«Ισχύν ο διδούς, τοίς Βασιλεύσιν ημών Κύριος, καί κέρας χριστών αυτού υψών, Παρθένου αποτίκτεται, μολεί δέ πρός τό Βάπτισμα, διό πιστοί βοήσωμεν. Ουκ έστιν άγιος, ως ο Θεός ημών, καί ουκ έστι δίκαιος, πλήν σου Κύριε.»

Στειρεύουσα πρίν, ητεκνωμένη δεινώς σήμερον, ευφραίνου Χριστού η Εκκλησία, δι' ύδατος καί Πνεύματος, υιοί γάρ σοι γεγέννηνται, εν πίστει ανακράζοντες. Ούκ έστιν άγιος, ως ο Θεός ημών, καί ουκ έστι δίκαιος, πλήν σου Κύριε.

Μεγάλη φωνή, εν τή ερήμω βοά Πρόδρομος. Χριστού ετοιμάσατε οδούς, καί τρίβους τού Θεού ημών, ευθείας απεργάσασθε, εν πίστει ανακράζοντες. Ουκ

έστιν άγιος, ως ο Θεός ημών, καί ουκ έστι δίκαιος, πλήν σου Κύριε.

Ιαμβικός  Ο Ειρμός
«Όσοι παλαιών, εκλελύμεθα βρόχων,
Βορών λεόντων, συντεθλασμένων μύλας,
Αγαλλιώμεν, καί πλατύνωμεν στόμα,
Λόγω πλέκοντες, εκ λόγων μελωδίαν,
Ώ τών πρός ημάς, ήδεται δωρημάτων.»

Νέκρωσιν ο πρίν, εμφυτεύσας τή κτίσει,
Θηρός κακούργου, σχηματισθείς εις φύσιν,
Επισκοπείται , σαρκική παρουσία.
Όρθρω φάναντι, προσβαλων τώ Δεσπότη,
Φλάν τήν εαυτού, δυσμενεστάτην κάραν.

Έλκει πρός αυτόν τήν θεόδμητον φύσιν,
Γαστρός τυράννου, συγκεχωσμένην όροις.
Γεννά τε αύθις, γηγενών αναπλάσει,
Έργον φέριστον, εκτελών ο Δεσπότης.
Ίκται γάρ αυτήν, εξαλεξήσαι θέλων.

Η Υπακοή  Ήχος πλ. α'

Ότε τή Επιφανεία σου εφώτισας τά σύμπαντα, τότε η αλμυρά τής απιστίας θάλασσα έφυγε, καί ο Ιορδάνης κάτω ρέων εστράφη, πρός ουρανόν ανυψών ημάς, αλλά τώ ύψει τών θείων εντολών σου, συντήρησον Χριστέ ο Θεός, πρεσβείαις τής Θεοτόκου, καί ελέησον ημάς.

Ωδή δ'  Ο Ειρμός

«Ακήκοε Κύριε φωνής σου, όν είπας, Φωνή βοώντος εν ερήμω ότε εβρόντησας πολλών επί υδάτων, τώ σώ μαρτυρούμενος Υιώ, όλος γεγονώς τού παρόντος, Πνεύματος δέ εβόησε. Σύ εί Χριστός, Θεού σοφία καί δύναμις».

Ρυπτόμενον ήλιον τίς είδεν, ο Κήρυξ βοά, τόν έκλαμπρον τή φύσει, ίνα σε ύδασιν Απαύγασμα τής δόξης, Πατρός χαρακτήρ αϊδίου εκπλύνω, καί χόρτος ών, πυρί ψαύσω τής σής θεότητος; σύ γάρ Χριστός, Θεού σοφία καί δύναμις.

Υπέφηνεν ένθεον ήν είχεν, ευλάβειαν Μωσής περιτυχών σοι, ως γάρ τής βάτου σε φωνήσαντα ησθήθη, ευθύς απεστράφη τάς όψεις, εγω δέ πώς βλέψω σε τρανώς, ή πώς χειροθετήσω σε; σύ γάρ Χριστός, Θεού σοφία καί δύναμις.

Ψυχής τελών έμφρονος, καί λόγω τιμώμενος, αψύχων ευλαβούμαι, εί γάρ βαπτίσω σε, κατήγορόν μοι έσται, πυρί καπνιζόμενον όρος, φυγούσα δέ θάλασσα διχή, καί Ιορδάνης ούτος στραφείς, σύ γάρ Χριστός, Θεού σοφία καί

δύναμις.

Ιαμβικός Ο Ειρμός
«Πυρσώ καθαρθείς μυστικής θεωρίας,
Υμνών Προφήτης τήν βροτών καινουργίαν,
Ρήγνυσι γήρυν, Πνεύματι κροτουμένην,
Σάρκωσιν εμφαίνουσαν αρρήτου Λόγου,
Ώ τών δυναστών τά κράτη συνετρίβη».

Πεμφθείς ο Πατρός παμφαέστατος Λόγος,
Νυκτός διώσαι τήν καχέσπερον σχέσιν,
Έκριζον ήκεις, καί βροτών αμαρτίας,
Υίας συνελκύσαι τε τή σή Βαπτίσει,
Μάκαρ φαεινούς, εκ ροών Ιορδάνου.

Αυτόν προσιδών τόν περίκλυτον Λόγον,
Τρανώς ο κήρυξ εκβοάται τή κτίσει,
Ούτος προών μου, δεύτερος τώ
σαρκίω, Σύμμορφος εξέλαμψεν ενθέω σθένει,
Έχθιστον ημών εξελείν αμαρτίαν.

Νομήν πρός αυτήν τήν φερέσβιον φέρων,
Θηρά δρακόντων φωλεοίς επιτρέχων.
Άπλητα κύκλα καββαλών Θεός Λόγος,
Πτέρνη τε τόν πλήττοντα παμπήδην γένος,
Τούτον καθειργνύς, εκσαώζει τήν κτίσιν.

Ωδή ε'  Ο Ειρμός
«Ιησούς ο ζωής αρχηγός, λύσαι τό κατάκριμα ήκει, Αδάμ τού πρωτοπλάστου, καθαρσίων δέ, ως Θεός μή δεόμενος, τώ πεσόντι καθαίρεται εν τώ Ιορδάνη, εν ώ τήν έχθραν κτείνας, υπερέχουσαν πάντα νούν, ειρήνην χαρίζεται».

Συνελθόντων απείρων λαών, υπό Ιωάννου βαπτισθήναι, αυτός εν μέσω έστη, προσεφώνει δέ τοίς παρούσι. Τίς έδειξεν απειθείς, τήν οργήν υμίν εκκλίναι τήν μέλλουσαν; καρπούς αξίους Χριστώ εκτελείτε, παρών γάρ νύν, ειρήνην χαρίζεται.

Γεωργός ο καί Δημιουργός, μέσος εστηκως ως εις απάντων, καρδίας εμβατεύει, καθαρτήριον δέ πτύον χειρισάμενος, τήν παγκόσμιον άλωνα πανσόφως διΐστησι, τήν ακαρπίαν φλέγων, ευκαρπούσιν αιώνιον, ζωήν χαριζόμενος.

Ιαμβικός Ο Ειρμός
«Εχθρού ζοφώδους καί βεβορβορωμένου,
Ιόν καθάρσει Πνεύματος λελουμένοι,

Νέαν προσωρμίσθημεν απλανή τρίβον,
Άγουσαν απρόσιτον εις θυμηδίαν,
Μόνοις προσιτήν, οις Θεός Κατηλλάγη».

Αθρών ο Πλάστης εν ζόφω τών πταισμάτων,
Σειραίς αφύκτοις, όν διαρθροί δακτύλοις,
Ίστησιν αμφ' ώμοισιν εξάρας άνω,
Νύν εν πολυρρύτοισι δίναις εκπλύνων,
Αίσχους παλαιού τής Αδάμ καχεξίας.

Μετ' ευσεβείας προσδάμωμεν ευτόνως,
Πηγαίς αχράντοις ρεύσεως σωτηρίου,
Λόγον κατοπτεύσοντες έξ ακηράτου,
Άντλημα προσφέροντα δίψης ενθέου,
Κόσμου προσηνώς εξακεύμενον νόσον.

Ωδή ς' Ο Ειρμός

«Η φωνή τού Λόγου, ο λύχνος τού Φωτός, ο Εωσφόρος, ο τού Ηλίου Πρόδρομος, εν τή ερήμω, Μετανοείτε, πάσι βοά τοίς λαοίς, καί προκαθαίρεσθε, ιδού γάρ πάρεστι Χριστός, εκ φθοράς τόν κόσμον λυτρούμενος».

Γεννηθείς αρρεύστως, εκ Θεού καί Πατρός, εκ τής Παρθένου, δίχα σαρκούται ρύπου Χριστός, ού τόν ιμάντα, τήν εξ ημών τού Λόγου συνάφειαν, λύειν αμήχανον (διδάσκει ο Πρόδρομος), γηγενείς εκ πλάνης λυτρούμενος.

Εν πυρί βαπτίζει, τελευταίω Χριστός, τούς απειθούντας, καί μή Θεόν φρονούντας αυτόν, εν Πνεύματι δέ καινοποιεί, δι' ύδατος χάριτι, τούς επιγνώμονας αυτού τής θεότητος, τών πλημμελημάτων λυτρούμενος.

Ιαμβικός Ο Ειρμός

«Ιμερτόν εξέφηνε σύν πανολβίω,
Ήχω Πατήρ, όν γαστρός εξηρεύξατο.
Ναί φησιν, Ούτος, συμφυής γόνος πέλων,
Φώταυγος εξώρουσεν ανθρώπων γένους,
Λόγος τέ μου ζών, καί βροτός προμηθεία.

Εκ ποντίου λέοντος ο τριέσπερος,
Ξένως Προφήτης εγκάτοις φλοιδούμενος,
Αύθις προήλθε, τής παλιγγενεσίας,
Σωτηρίαν δράκοντος εκ βροτοκτόνου,
Πάσι προφαίνων, τών χρόνων επ' εσχάτων.

Ανειμένων Πόλοιο παμφαών πτυχών,
Μύστης ορά πρός Πατρός εξικνούμενον,

Μένον τε Πνεύμα τώ παναχράντω
Λόγω, Επελθόν ως πέλειαν αφράστω τρόπω,
Δήμοις τε φαίνει, προσδραμείν τώ Δεσπότη.

Κοντάκιον Ήχος δ'

Επεφάνης σήμερον τή οικουμένη, καί τό φώς σου Κύριε, εσημειώθη εφ' ημάς, έν επιγνώσει υμνούντάς σε. Ήλθες εφάνης τό Φώς τό απρόσιτον.

Ο Οίκος

Τή Γαλιλαία τών Εθνών, τή τού Ζαβουλών χώρα, καί τού Νεφθαλείμ γαία, ως είπεν ο Προφήτης, φώς μέγα έλαμψε Χριστός, τοίς εσκοτισμένοις φαεινή ώφθη αυγή, εκ Βηθλεέμ αστράπτουσα, μάλλον δέ εκ Μαρίας ο Κύριος πάση τή οικουμένη ανατέλλει τάς ακτίνας, ο Ήλιος τής Δικαιοσύνης. Διό οι εξ Αδάμ γυμνοί, δεύτε πάντες υποδύωμεν αυτόν, ίνα θαλφθώμεν, σκέπη γάρ γυμνών, καί αίγλη εσκοτισμένων, ήλθες εφάνης τό Φώς τό απρόσιτον.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΣΤ' τού αυτού μηνός, τά Άγια Θεοφάνεια τού Κυρίου καί Θεού καί Σωτήρος ημών Ιησού Χριστού.

Στίχοι

- Τούς ουρανούς Βάπτισμα τού Χριστού σχίσαν,
- Τούς αυτό μή χραίνοντας ένδον εισάγει.
- Βάπτισεν εν ποταμώ Χριστόν Πρόδρομος κατά έκτην.

Αυτώ η δόξα καί τό κράτος, εις τούς αιώνας τών αιώνων. Αμήν.

Ωδή ζ' Ο Ειρμός

«Νέους ευσεβείς, καμίνω πυρός προσομιλήσαντας, διασυρίζον πνεύμα δρόσου, αβλαβείς διεφύλαξε, καί θείου Αγγέλου συγκατάβασις, όθεν εν φλογί δροσιζόμενοι, ευχαρίστως ανέμελπον. Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί».

Ώσπερ ουρανώ, σύν τρόμω καί θαύματι παρίσταντο, εν Ιορδάνη αί Δυνάμεις τών Αγγέλων σκοπούμεναι, τοσαύτην Θεού τήν συγκατάβασιν, όπως ο κρατών τήν υπέρω ον τών υδάτων υπόστασιν, εν τοίς ύδασι, σωματοφόρος έστηκεν, ο Θεός ο τών Πατέρων ημών.

Νεφέλη ποτέ, καί θάλασσα θείου προεικόνιζε, Βαπτίσματος τό θαύμα, εν οίς ο πρίν βαπτίζεται, διεξοδικώς τώ Νομοθέτη λαός, θάλασσα δέ ήν τύπος ύδατος, καί νεφέλη τού Πνεύματος, οις τελούμενοι, Ευλογητός εί κράζομεν, ο Θεός ο τών Πατέρων ημών.

Άπαντες πιστοί, εν ώ τήν τελείωσιν ελάβομεν, θεολογούντες ασιγήτως, σύν Αγγέλοις δοξάσωμεν, Πατέρα Υιόν καί Πνεύμα Άγιον, τούτο γάρ Τριάς υποστάσεσιν ομοούσιος, εις δέ Θεός, ώ καί ψάλλομεν. Ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Ιαμβικός  Ο Ειρμός

«Έφλεξε ρείθρω τών δρακόντων τάς κάρας,
Ο τής καμίνου τήν μετάρσιον φλόγα,
Νέους φέρουσαν ευσεβείς κατευνάσας,
Τήν δυσκάθεκτον αχλύν εξ αμαρτίας,
Όλην πλύνει δέ, τή δρόσω τού Πνεύματος».

Σέ ζωγραφούσαν τήν Ασσύριον φλόγα,
Εκστώσαν ίστης, εις δρόσον μετηγμένην.
Ύδωρ όθεν νύν αμφιέσσαο φλέγον,
Σίντην κάκιστον Χριστέ προσκεκευθμένον,
Πρός τήν όλισθον εκκαλούμενον τρίβον.

Απορραγέντος τού Ιορδάνου πάλαι,
Ισθμώ περάται λαός, Ισραηλίτης,
Σέ τόν κράτιστον εμφορούντα τήν κτίσιν,
Ηπειγμένως νύν εν ροαίς διαγράφων,
Πρός τήν άρρευστον καί αμείνονα τρίβον.

Ίδμεν τό πρώτον τήν πανώλεθρον κλύσιν,
Οικτρώς σε πάντων εις φθοράν παρεισάγειν,
Ώ τρισμέγιστα χρηματίζων καί ξένα.
Νύν δέ κλύσαντα Χριστέ τήν αμαρτίαν,
Δι' ευπάθειαν, καί βροτών σωτηρίαν.

Ωδή η'  Ο Ειρμός

«Μυστήριον παράδοξον, η Βαβυλώνος έδειξε κάμινος, πηγάσασα δρόσον, ότι ρείθροις έμελλεν, άϋλον πύρ εισδέχεσθαι ο Ιορδάνης, καί στέγειν σαρκί, βαπτιζόμενον τόν Κτίστην, όν ευλογούσι Λαοί, καί υπερυψούσιν, εις πάντας τούς αιώνας».

Απόθου φόβον άπαντα, ο Λυτρωτής τώ Προδρόμω έφησεν, εμοί δέ πειθάρχει, ως Χριστώ μοι πρόσελθε, τούτο γάρ φύσει πέφυκα, εμώ προστάγματι είξον, καί βάπτισόν με συγκαταβάντα, όν ευλογούσι Λαοί, καί υπερυψούσιν, εις πάντας τούς αιώνας.

Ρημάτων ως ακήκοεν, ο Βαπτιστής τού Δεσπότου, σύντρομος παλάμην εκτείνει, χειραπτήσας όμως δέ, τήν κορυφήν τού Πλάστου αυτού, τώ βαπτισθέντι εβόα. Αγίασόν με, σύ γάρ Θεός μου, όν ευλογούσι Λαοί, καί υπερυψούσιν, εις πάντας τούς αιώνας.

Τριάδος η φανέρωσις, εν Ιορδάνη γέγονεν, αύτη γάρ υπέρθεος φύσις, ο Πατήρ εφώνησεν. Ούτος ο βαπτιζόμενος, Υιός ο αγαπητός μου, τό Πνεύμα συμπαρήν τώ ομοίω, όν ευλογούσι Λαοί, καί υπερυψούσιν, εις πάντας τούς

αιώνας.

Ιαμβικός  Ο Ειρμος
«Ελευθέρα μέν η κτίσις γνωρίζεται.
Υιοί δέ φωτός, οι πρίν εσκοτισμένοι.
Μόνος στενάζει, τού σκότους ο προστάτης.
Νύν ευλογείτω συντόνως τόν αίτιον,
Η πρίν τάλαινα τών Εθνών παγκληρία.

Τριττοί θεουδείς εμπύρως δροσούμενοι,
Αιγλήντα τριτταίς παμφαώς αγιστείαις,
Σαφώς εδήλουν τήν υπέρτατον φύσιν,
Μίξει βροτεία πυρπολούσαν εν δρόσω,
Ευκτώς άπασαν τήν ολέθριον πλάνην.

Λευχειμονείτω πάσα γήϊνος φύσις,
Εκπτώσεως νύν ουρανών επηρμένη.
Ώ γάρ τά πάντα συντετήρηται Λόγω
Νάουσι ρείθροις εκπλυθείσα πταισμάτων,
Τών πρίν πέφευγε παμφαώς λελουμένη.

Ωδή θ'
ΜΕΓΑΛΥΝΑΡΙΑ
Ψαλλόμενα εν τή Ωδή ταύτη
Ήχος β'

Μεγάλυνον ψυχή μου, τήν τιμιωτέραν καί ενδοξοτέραν, τών άνω στρατευμάτων. (Δίς)
Μεγάλυνον ψυχή μου, τόν εν Ιορδάνη, ελθόντα βαπτισθήναι.
Μεγάλυνον ψυχή μου, τόν υπό Προδρόμου, τό βάπτισμα λαβόντα.
Μεγάλυνον ψυχή μου, τόν εκ τής πατρώας, φωνής μαρτυρηθέντα.
Μεγάλυνον ψυχή μου, τόν ένα τής Τριάδος, κλίναντα τόν αυχένα, καί βάπτισμα λαβόντα.
Προφήτα, δεύρο πρός με, έκτεινον τήν χείρα, καί βάπτισόν με τάχος.
Προφήτα, άφες άρτι, καί βάπτισόν με θέλων, πληρώσαι καί γάρ ήλθον, πάσαν δικαιοσύνην.

Έτερα εις τόν Ιαμβικόν Κανόνα

Σήμερον ο Δεσπότης, κλίνει τόν αυχένα, χειρί τή τού Προδρόμου.
Σήμερον Ιωάννης, βαπτίζει τόν Δεσπότην, εν ρείθροις, Ιορδάνου.
Σήμερον ό Δεσπότης, νάμασιν ενθάπτει, βροτών τήν αμαρτίαν.
Σήμερον ο Δεσπότης, άνωθεν μαρτυρείται, Υιός ηγαπημένος.
Σήμερον ο Δεσπότης, ήλθεν αγιάσαι, τήν φύσιν τών υδάτων.
Σήμερον ο Δεσπότης, τό βάπτισμα λαμβάνει, υπό χειρός Προδρόμου.

Δόξα...

Μεγάλυνον ψυχή μου, τής τρισυποστάτου, καί αδιαιρέτου, θεότητος τό κράτος.

Καί νύν...

Μεγάλυνον ψυχή μου, τήν λυτρωσαμένην, ημάς εκ τής κατάρας.

Ο Ειρμός

«Απορεί πάσα γλώσσα, ευφημείν πρός αξίαν, ιλιγγιά δέ νούς καί υπερκόσμιος, υμνείν σε Θεοτόκε, όμως αγαθή υπάρχουσα, τήν πίστιν δέχου, καί γάρ τόν πόθον οίδας, τόν ένθεον ημών, σύ γάρ Χριστιανών εί προστάτις, σέ μεγαλύνομεν.»

Δαυΐδ πάρεσο, Πνεύματι τοίς φωτιζομένοις. Νύν προσέλθετε, άδε πρός Θεόν, εν πίστει λέγων φωτίσθητε, ούτος ο πτωχός εκέκραξεν Αδάμ εν πτώσει, καί γάρ αυτού εισήκουσε Κύριος ελθών, ρείθροις τού Ιορδάνου, φθαρέντα δέ ανεκαίνισεν.

Ο Ησαίας λούσασθε, καί καθάρθητε φάσκει, τάς πονηρίας έναντι, αφέλεσθε Κυρίου, οι διψώντες, ύδωρ επί ζών πορεύεσθε, ρανεί γάρ ύδωρ καινοποιόν Χριστός, τοίς προστρέχουσιν αυτώ εν πίστει, καί πρός ζωήν τήν αγήρω, βαπτίζει Πνεύματι.

Συντηρώμεθα χάριτι, Πιστοί καί σφραγίδι, ως γάρ όλεθρον έφυγον, φλιάς Εβραίοι πάλαι αιμαχθείσης, ούτω καί ημίν, εξόδιον τό θείον τούτο, τής παλιγγενεσίας λουτήριον έσται, ένθεν καί τής Τριάδος, οψόμεθα φώς τό άδυτον.

Ιαμβικός  Ο Ειρμός

«Ώ τών υπέρ νούν, τού τόκου σου θαυμάτων!
Νύμφη πάναγνε, Μήτερ ευλογημένη,
Δι' ής τυχόντες παντελούς σωτηρίας,
Επάξιον κροτούμεν ώς ευεργέτη,
Δώρον φέροντες ύμνον ευχαριστίας.»

Ίδμεν τά Μωσεί τή βάτω δεδειγμένα,
Δεύρο ξένοις, θεσμοίσιν εξειργασμένα.
Ως γάρ σέσωσται, πυρφορούσα Παρθένος,
Σελασφόρον τεκούσα τόν ευεργέτην,
Ιορδάνου τε, ρείθρα προσδεδεγιμένα.

Χρίεις τελειών, τήν βρότειον ουσίαν,
Άναξ άναρχε, Πνεύματος κοινωνία,
Ροαίς αχράντοις, εκκαθάρας καί σκότους,
Ισχύν θριαμβεύσας τε, τήν επηρμένην,
Νύν εις άληκτον, εξαμείβεαι βίον.

Εξαποστειλάριον

Επεσκέψατο ημάς

Επεφάνη ο Σωτήρ, ή χάρις η αλήθεια, εν ρείθροις τού Ιορδάνου, καί τούς εν σκότει καί σκιά, καθεύδοντας εφώτισε, καί γάρ ήλθεν εφάνη, τό φώς τό απρόσιτον.

Εκ τρίτου

Εις τούς Αίνους, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Ιδιόμελα.

Ήχος α'  Γερμανού Πατριάρχου

Φώς εκ φωτός, έλαμψε τώ κόσμω, Χριστός ό Θεός ημών, ο επιφανείς Θεός, τούτον λαοί προσκυνήσωμεν. (Δίς)

Ο αυτός

Πώς σε Χριστέ, δούλοι τόν Δεσπότην αξίως τιμήσωμεν; ότι εν τοίς ύδασι, πάντας ημάς ανεκαίνισας.

Ο αυτός

Σύ εν Ιορδάνη βαπτισθείς ο Σωτήρ ημών, τά ρείθρα ηγίασας, τή παλάμη τού δούλου χειροθετούμενος, καί τά πάθη τού Κόσμου ιώμενος. Μέγα τό μυστήριον τής οικονομίας σου! φιλάνθρωπε Κύριε, δόξα σοι.

Ο αυτός

Τό αληθινόν φώς επεφάνη, καί πάσι τόν φωτισμόν δωρείται. Βαπτίζεται Χριστός μεθ' ημών, ο πάσης επέκεινα καθαρότητος, ενίησι τόν αγιασμόν τώ ύδατι, καί ψυχών τούτο καθάρσιον γίνεται, επίγειον τό φαινόμενον, καί υπέρ τούς ουρανούς τό νοούμενον, διά λουτρού σωτηρία, δι' ύδατος τό Πνεύμα, διά καταδύσεως, η πρός Θεόν ημών άνοδος γίνεται, θαυμάσια τά έργα σου Κύριε! δόξα σοι.

Ο αυτός

Ο περιβάλλων τόν ουρανόν εν νεφέλαις, ρείθρα περιβάλλεται σήμερον τά Ιορδάνια, καί τήν εμήν καθαίρεται κάθαρσιν, ο τού κόσμου αίρων τήν αμαρτίαν, καί υπό τού συγγενούς άνωθεν μαρτυρείται Πνευματος, Υιός μονογενής υπάρχων τού υψίστου Πατρός, πρός όν βοήσωμεν, Ο επιφανείς καί σώσας ημάς, Χριστέ ο Θεός ημών, δόξα σοι.

Δοξα... Ήχος πλ. β'  Ανατολίου

Νάματα Ιορδάνια περιεβάλου Σωτήρ, ο αναβαλλόμενος φώς ως ιμάτιον, καί έκλινας κορυφήν τώ Προδρόμω ο τόν ουρανόν μετρήσας σπιθαμή, ίνα επιστρέψης κόσμον εκ πλάνης, καί σώσης τάς ψυχάς ημών.

Καί νύν... Ήχος β' Ανατολίου

Σήμερον ο Χριστός, εν Ιορδάνη ήλθε βαπτισθήναι. Σήμερον Ιωάννης άπτεται, κορυφής τού Δεσπότου. Αι δυνάμεις τών ουρανών εξέστησαν, τό παράδοξον ορώσαι μυστήριον. Η θάλασσα είδε καί έφυγεν, ο Ιορδάνης ιδών ανεστρέφετο. Ημείς δέ οι φωτισθέντες βοώμεν. Δόξα τώ φανέντι Θεώ, καί επί γής οφθέντι, καί φωτίσαντι τόν κόσμον.

Δοξολογία μεγάλη, καί Απόλυσις

Εις τήν Λειτουργίαν ψάλλομεν, αντί τών Τυπικών, τά Αντίφωνα.

Αντίφωνον Α'
Ήχος β'

Στίχ. α'. Εν εξόδω Ισραήλ εξ Αιγύπτου, οίκου Ιακώβ.

Ταίς πρεσβείαις τής Θεοτόκου, Σώτερ, σώσον ημάς.

Στίχ. β'. Εγενήθη Ιουδαία αγίασμα αυτού, εκ λαού βαρβάρου.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχ. γ'. Η θάλασσα είδε, καί έφυγεν, ο Ιορδάνης εστράφη εις τά οπίσω.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχ. δ'. Τί σοί εστι θάλασσα ότι έφυγες; καί σοί Ιορδάνη, ότι εστράφης εις τά οπίσω;

Ταίς πρεσβείαις τής Θεοτόκου...
Δόξα... Καί νύν...
Ταίς πρεσβείαις τής Θεοτόκου...

Αντίφωνον Β'
Ήχος β'

Στίχ. α'. Ηγάπησα, ότι εισακούσεται Κύριος τής φωνής τής δεήσεώς μου.

Σώσον ημάς Υιέ Θεού, ο εν Ιορδάνη υπό Ιωάννου βαπτισθείς, ψάλλοντάς σοι, Αλληλούϊα.

Στιχ. β'. Ότι έκλινε τό ούς αυτού εμοί, καί εν ταίς η μέραις μου επικαλέσομαι.

Σώσον ημάς Υιέ Θεού...

Στίχ. γ'. Περιέσχον μοι ωδίνες θανάτου, κίνδυνοι άδου ευροσάν με.

Σώσον ημάς Υιέ Θεού...

Στίχ. δ'. Ελεήμων ο Κύριος καί δίκαιος, καί ο Θεός ημών ελεεί.

Σώσον ημάς Υιέ Θεού...
Δόξα... Καί νύν...
Ο μονογενής Υιός καί Λόγος τού Θεού...

Αντίφωνον Γ'
Ήχος α'

Στίχ. α'. Εξομολογείσθε τώ Κυρίω, ότι αγαθός, ότι εις τόν αιώνα τό έλεος αυτού.

Ήχος α'

Εν Ιορδάνη βαπτιζομένου σου Κύριε, η τής Τριάδος εφανερώθη προσκύνησις, τού γάρ Γεννήτορος η φωνή προσεμαρτύρει σοι, αγαπητόν σε Υιόν ονομάζουσα, καί τό Πνεύμα εν είδει περιστεράς, εβεβαίου τού λόγου τό ασφαλές. Ο επιφανείς Χριστέ ο Θεός, καί τόν κόσμον φωτίσας δόξα σοι.

Στίχ. β'. Ειπάτω δή οίκος Ισραήλ, ότι αγαθός, ότι εις τόν αιώνα τό έλεος αυτού.

Εν Ιορδάνη βαπτιζομένου σου Κύριε...

Στίχ. γ'. Ειπάτω δή οίκος Ααρών, ότι αγαθός, ότι εις τόν αιώνα τό έλεος αυτού.

Εν Ιορδάνη βαπτιζομένου σου Κύριε...

Στίχ. δ'. Ειπάτωσαν δή πάντες οι φοβούμενοι τό Κύριον, ότι αγαθός, ότι εις τόν αιώνα τό έλεος αυτού.

Εν Ιορδάνη βαπτιζομένου σου Κύριε...

Ε ι σ ο δ ι κ ό ν

Ευλογημένος ο ερχόμενος εν Ονόματι Κυρίου, Θεός Κύριος καί επέφανεν ημίν. Σώσον ημάς Υιέ Θεού, ο εν Ιορδάνη υπό Ιωάννου βαπτισθείς, ψάλλοντάς σοι, Αλληλούϊα.

Ήχος α'

Εν Ιορδάνη βαπτιζομένου σου Κύριε, η τής Τριάδος εφανερώθη προσκύνησις, τού γάρ Γεννήτορος η φωνή προσεμαρτύρει σοι, αγαπητόν σε Υιόν ονομάζουσα, καί τό Πνεύμα εν είδει περιστεράς, εβεβαίου τού λόγου τό ασφαλές. Ο επιφανείς Χριστέ ο Θεός, καί τόν κόσμον φωτίσας δόξα σοι.

Δόξα... Καί νύν...

Κοντάκιον Ήχος δ'

Επεφάνης σήμερον τή οικουμένη, καί τό φώς σου Κύριε, εσημειώθη εφ' ημάς, έν επιγνώσει υμνούντάς σε. Ήλθες εφάνης τό Φώς τό απρόσιτον.

Αντί δέ τού Τρισαγίου

Όσοι εις Χριστόν εβαπτίσθητε, Χριστόν ενεδύσασθε. Αλληλούϊα.

Κοινωνικόν

Επεφάνη η χάρις τού Θεού, η σωτήριος πάσιν ανθρώποις. Αλληλούϊα.

---

Αρχή

## ΤΗ Ζ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Η Σύναξις τού τιμίου ενδόξου Προφήτου, Προδρόμου καί Βαπτιστού Ιωάννου.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε, εκέκραξα, ιστώμεν στίχους ς' καί ψάλλομεν Στιχηρά ιδιόμελα τής Εορτής τρία.

### Ήχος β'

Τόν φωτισμόν ημών, τόν φωτίσαντα πάντα άνθρωπον, ιδων ο Πρόδρομος, βαπτισθήναι παραγενόμενον, χαίρει τή ψυχή, καί τρέμει τή χειρί, δείκνυσιν αυτόν, καί λέγει τοίς λαοίς, ίδε ο λυτρούμενος τόν Ισραήλ, ο ελευθερών ημάς εκ τής φθοράς. Ώ αναμάρτητε, Χριστέ ο Θεός ημών, δόξα σοι.

Τού Λυτρωτού ημών, υπό δούλου βαπτιζομένου, καί τή τού Πνεύματος παρουσία μαρτυρουμένου, έφριξαν ορώσαι Αγγέλων στρατιαί, φωνή δέ ουρανόθεν ηνέχθη εκ Πατρός. Ούτος όν ο Πρόδρομος χειροθετεί, Υιός μου υπάρχει ο αγαπητός, εν ώ ηυδόκησα, Χριστέ ο Θεός ημών, δόξα σοι.

Τά Ιορδάνια ρείθρα, σέ τήν πηγήν εδέξαντο, καί ο Παράκλητος, εν είδει περιστεράς κατήρχετο, κλίνει κορυφήν, ο κλίνας ουρανούς, κράζει Καί βοά, πηλός τώ Πλαστουργώ. Τί μοι επιτάττεις τά υπέρ εμέ; εγώ χρείαν έχω τού σού βαπτισμού. Ώ αναμάρτητε, Χριστέ ο Θεός ημών, δόξα σοι.

### Έτερα Στιχηρά Προσόμοια τού Προδρόμου

### Ήχος α'

### Πανεύφημοι Μάρτυρες υμάς

Πανεύφημε Πρόδρομε Χριστού, Βαπτιστά θεόληπτε σέ ευσεβώς μακαρίζοντες, Χριστόν δοξάζομεν, τόν εν Ιορδάνη, κλίναντα τήν κάραν σοι, καί φύσιν τών βροτών αγιάσαντα. Αυτόν ούν πρέσβευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Υψόθεν προσέβλεψας σοφέ, Ιωάννη Πρόδρομε, Πατρός τήν δόξαν τήν άρρητον, Υιόν εν ύδατι, καί τό Πνεύμα είδες, απελθόν ως πέλειαν, καθαίρον καί φωτίζον τά πέρατα, διό Τριάδος σε, μυστιπόλον αναμέλποντες, σού τιμώμεν, τήν θείαν πανήγυριν.

Ρωσθείς θεία χάριτι Χριστού, Βαπτιστά καί Πρόδρομε, σύ τόν, Αμνόν ημίν έδειξας, τόν κόσμου αίροντα, αμαρτίας πάσας, καί αυτώ προσήρμοσας, ιδυάδα Μαθητών χαίρων σήμερον, όν καθικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

### Δόξα... Ήχος πλ. β'

Ένσαρκε Λύχνε, Πρόδρομε τού Σωτήρος, βλάστημα Στείρας, φίλε τού εκ Παρθένου, όν σκιρτήμασι νηδύος προσεκύνησας, καί εβάπτισας νάμασι τού Ιορδάνου, τούτω πρέσβευε δεόμεθα Προφήτα, τάς τών μελλόντων ημάς εκφυγείν τρικυμίας.

Καί νύν... ο αυτός

Θεός Λόγος επεφάνη εν σαρκί, τώ γένει τών ανθρώπων, ίστατο βαπτισθήναι εν Ιορδάνη, καί έλεγε πρός αυτόν ο Πρόδρομος. Πώς εκτείνω χείρα, καί άψωμαι κορυφής κρατούσης τά σύμπαντα; Εί καί εκ Μαρίας υπάρχεις βρέφος, αλλ' οίδά σε Θεόν προαιώνιον, επί τής γής βαδίζεις, ο υμνούμενος υπό τών Σεραφίμ καί δούλος Δεσπότην, βαπτίζειν ου μεμάθηκα. Ακατάληπτε Κύριε, δόξα σοι.

Προκείμενον  Ήχος βαρύς

Ο Θεός ημών εν τώ ουρανώ καί εν τή γή, πάντα όσα ηθέλησεν ο Κύριος εποίησεν.

Στίχ. Εν εξόδω Ισραήλ εξ Αιγύπτου, οίκου Ιακώβ.

Ο Θεός ημών εν τώ ουρανώ καί εν τή γή, πάντα όσα ηθέλησεν ο Κύριος εποίησεν.

Στίχ. Η θάλασσα είδε καί έφυγεν, ο Ιορδάνης εστράφη εις τά οπίσω.

Ο Θεός ημών εν τώ ουρανώ καί εν τή γή, πάντα όσα ηθέλησεν ο Κύριος εποίησεν.

Στίχ. Τί σοί εστι θάλασσα, ότι έφυγες; καί σοί Ιορδάνη, ότι εστράφης εις τά οπίσω;

Ο Θεός ημών εν τώ ουρανώ καί εν τή γή, πάντα όσα ηθέλησεν ο Κύριος εποίησεν.

Εις τόν Στίχον Στιχηρά Προσόμοια.

Ήχος δ'
Έδωκας σημείωσιν

Ως είδέ σε Δέσποτα, ο Ιωάννης ο Πρόδρομος, πρός αυτόν αφικόμενον, έκθαμβος γενόμενος, ως ευγνώμων δούλος, σύν φόβω εβόα. Τίς η ταπείνωσις Σωτήρ; τίς ή πτωχεία, ήν περιβέβλησαι; ο πλούτω αγαθότητος, ταπειθωνέντα τόν άνθρωπον, ανυψώσας ως εύσπλαγχνος, ως αυτόν ενδυσάμενος.

Στίχ. Η θάλασσα είδε καί έφυγεν, ο Ιορδάνης εστάφη εις οπίσω.

Δεύρο δή μοι σήμερον, επιτελούντι μυστήριον, τώ Προδρόμω αντέφησε, φρικτώς διακόνησον, ο Σωτήρ τών όλων, καί μή δειλιάσης, τόν συντριβέντα γάρ Αδάμ, τή αμαρτία καινοποιούμενος, βαπτίζομαι ως άνθρωπος, ο κατά φύσιν αμόλυντος, Ιορδάνου τοίς ύδασιν, εν οίς βλέπεις παρόντα με.

Στίχ. Τί σοί εστι θάλασσα, ότι έφυγες; καί σοί Ιοράνη ότι ανεχώρησας εις τά οπίσω;

Ήλιον ρυπτόμενον, τίς γηγενών εθεάσατο; Ιωάννης αντέφησε, καί τόν επενδύοντα, ουρανόν νεφέλαις, γυμνούμενον όλον; καί τόν πηγάς καί ποταμούς, δημιουργούντα ύδασι βαίνοντα; εκπλήττομαι την άφατον, οικονομίαν σου Δέσποτα! μή βαρύνης τόν δούλόν σου, φοβεροίς επιτάγμασιν.

Δόξα... Ήχος δ' Βύζαντος

Ως τού Πνεύματος εραστής, καί τής χάριτος θεόφθογγος χελιδών, τρανώς τήν οικονομίαν τού Βασιλέως, βροτών τώ γένει εξ Αγνής φαεινώς ανατείλαντος, εις μερόπων ανάκλησιν, κατεμήνυσας Πρόδρομε, τών σκυθρωπών ηθών, απελαύνων τό τέρμα, καί ζωής αϊδίου επιβαλέσθαι ιθύνων, τάς καρδίας τών εν μετανοία βαπτιζομένων, μάκαρ θεόληπτε.

Καί νύν... ο αυτός

Δεύτε μιμησώμεθα τάς φρονίμους Παρθένους, δεύτε υπαντήσωμεν τώ φανέντι Δεσπότη, ότι προήλθεν ως νυμφίος πρός τόν Ιωάννην, ο Ιορδάνης ιδών σε έπτηξε καί έμεινεν, ο Ιωάννης εβόα. Ου τολμώ κρατήσαι κορυφής αθανάτου, τό Πνεύμα κατήρχετο, εν είδει περιστεράς, αγιάσαι τά ύδατα, καί φωνή ουρανόθεν. Ούτός εστιν ο Υιός μου, ο ελθών εις τόν κόσμον, σώσαι γένος ανθρώπων, Κύριε δόξα σοι.

Απολυτίκιον τού Αγίου
Ήχος δ'

Μνήμη δικαίου μετ' εγκωμίων, σοί δέ αρκέσει η μαρτυρία τού Κυρίου Πρόδρομε, ανεδείχθης γάρ όντως καί Προφητών σεβασμιώτερος, ότι καί εν ρείθροις βαπτίσαι κατηξιώθης τόν κηρυττόμενον. Όθεν τής αληθείας υπεραθλήσας, χαίρων ευηγγελίσω καί τοίς εν άδη, Θεόν φανερωθέντα εν σαρκί, τόν αίροντα τήν αμαρτίαν τού κόσμου, καί παρέχοντα ημίν τό μέγα έλεος.

Απολυτίκιον τής εορτής Ήχος α'

Εν Ιορδάνη βαπτιζομένου σου Κύριε, η τής Τριάδος εφανερώθη προσκύνησις, τού γάρ Γεννήτορος η φωνή προσεμαρτύρει σοι, αγαπητόν σε Υιόν ονομάζουσα, καί τό Πνεύμα εν είδει περιστεράς, εβεβαίου τού λόγου τό ασφαλές. Ο επιφανείς Χριστέ ο Θεός, καί τόν κόσμον φωτίσας δόξα σοι.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος α'
Τού λίθου σφραγισθέντος

Τού Ιησού γεννηθέντος εκ Παρθένου Μαρίας, καί εν Ιορδάνη βαπτισθέντος

υπό Ιωάννου, τό πνεύμα κατήλθεν επ' αυτόν, ορώμενον εν είδει περιστεράς, διά τούτο ο Προφήτης, σύν τοίς Αγγέλοις έλεγε κραυγάζων. Δόξα τή παρουσία σου Χριστέ, δόξα τή βασιλεία σου, δόξα τή οικονομία σου, μόνε φιλάνθρωπε.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος δ'
Επεφάνης σήμερον

Εν τοίς ρείθροις βλέψας σε τού Ιορδάνου, βαπτισθήναι θέλοντα, ο μέγας Πρόδρομος Χριστέ, εν ευφροσύνη εκραύγαζεν. Ήλθες εφάνης τό φώς τό απρόσιτον.

Δόξα... Καί νύν... Τό αυτό

Ο Πεντηκοστός. Ο Κανών τής Εορτής.

Βυθού ανεκάλυψε πυθμένα, εις η' καί τού Αγίου εις ς' ού η ακροστιχίς.

Βαπτιστά Χριστού, τούς επαίνους μου δέχου
Θεοφάνους

Ωδή α' Ήχος β'

«Τώ τήν άβατον, κυμαινομένην θάλασσαν, θείω αυτού προστάγματι, αναξηράναντι, καί πεζεύσαι δι' αυτής, τόν Ισραηλίτην λαόν καθοδηγήσαντι, Κυρίω άσωμεν, ενδόξως γάρ δεδόξασται».

Βαπτιζόμενον, τώ τών παθών μου κλύδωνι, Πρόδρομε ταίς πρεσβείαις σου, φθάσας διάσωσον, απαθείας γάρ αυτός, γέγονας δοχείον σεπτόν, καί καθαρώτατον, Κυρίω άνωθεν, εκ βρέφους ανακείμενος.

Αγαλλόμενος, ο Θεώ παριστάμενος, Άγγελος τόν ισάγγελον, ευηγγελίσατο, Ζαχαρία τώ σεπτώ, σού ιεραρχούντι Πατρί, σέ παμμακάριστε, Κυρίου Πρόδρομον, καί φίλον γενησόμενον.

Πλήρης γέγονας, τού Παναγίου Πνεύματος, έτι κοιλία σής Μητρός, ένδον φερόμενος, καί σκιρτήματι τερπνώ, τόν τής Παρθενίας καρπόν, χαίρων εμήνυσας, καί προσεκύνησας, Προφήτα πανσεβάσμιε.

Τόν τήν άβατον, πάσιν ανθρώποις πρότερον, ξένην οδόν βιώσεως, αποτεμόμενον, καί βαπτίσαντα Χριστόν, εν ταίς Ιορδάνου ροαίς, ανευφημήσωμεν, Κυρίου Πρόδρομον, τόν θείον καί θεόφρονα.

Θεοτοκίον

Ιερώτατον, τής Παρθενίας τέμενος, η εν γαστρί Θεόν Λόγον, κυοφορήσασα, τούς προστρέχοντας εις σέ, καί προσκαλουμένους Αγνή, σώζε πρεσβείαις σου, κινδύνων λύουσα, τήν έφοδον πανάμωμε.

Καταβασία

«Στείβει θαλάσσης, κυματούμενον σάλον, Ήπειρον αύθις, Ισραήλ δεδειγμένον, Μέλας δέ πόντος, τριστάτας Αιγυπτίων, Έκρυψεν άρδην, υδατόστρωτος τάφος, Ρώμη κραταιά δεξιάς τού Δεσπότου».

Ωδή γ'

«Εν πέτρα με τής Πίστεως στερεώσας, επλάτυνας τό στόμα μου επ' εχθρούς μου, ηυφράνθη γάρ τό πνεύμά μου εν τώ ψάλλειν. Ουκ έστιν άγιος, ως ο Θεός ημών, καί ουκ έστι δίκαιος πλήν σου Κύριε».

Στειρώσεως τό όνειδος διαλύσας, επέγνως τής Παρθένου τόν θείον Τόκον, σκιρτήσας αγαλλόμενος εν κοιλία, Μητρός πανεύφημε, Αγγέλων σύσκηνε, τού Κυρίου Πρόδρομε, μύστα τής χάριτος.

Τάς τρίβους προητοίμασας τού Κυρίου, βαδίσας πρό προσώπου αυτού Προφήτα, ως λύχνος πάσι φαίνων γάρ τό τής δοξης, Πατρός απαύγασμα, φανέν σώματι, δι' ύδατος υπέδειξας, πάντων πρόκριτε.

Ανέτειλας ως όρθρος δικαιοσύνης, τόν Ήλιον μηνύων τοίς εν τώ σκότει, τής πάντων σωτηρίας σύ γάρ εγένου, κήρυξ καί Προδρομος, καί πάσιν έλεγες. Τώ Χριστώ προσέλθετε, πίστει καί σώζεσθε.

Θεοτοκίον

Χαράν τήν ανεκλάλητον δεξαμένη, συνέλαβες ασπόρως τόν σόν Δεσπότην, τόν πάσαν τήν υφήλιον Θεομήτορ, ανακαλούμενον, ώ καί κραυγάζομεν. Ως ουκ έστιν Άγιος, πλήν σου Κύριε.

Καταβασία

«Ο σοι παλαιών εκλελύμεθα βρόχων, Βορών λεόντων, συντεθλασμένων μύλας, Αγαλλιώμεν καί πλατύνωμεν στόμα, Λόγω πλέκοντες εκ λόγων μελωδίας, Ώ τών πρός ημάς ήδεται δωρημάτων».

Κάθισμα  Ήχος α'

Τόν τάφον σου Σωτήρ

Ο μέγας υετός, πρός ποτάμια ρείθρα, προέρχεται σαρκί, βαπτισθήναι θελήσας, πρός όν ο θείος Πρόδρομος, εκθαμβούμενος έλεγε. Πώς βαπτίσω σε, ρύπον μή έχοντα όλως; πώς εκτείνω μου, τήν δεξιάν επί κάραν, ήν τρέμει τά σύμπαντα;

Δόξα... Καί νύν... Ήχος δ'

Κατεπλάγη Ιωσήφ

Έκων κατήλθε επί γής, καί εσαρκώθη δι' ημάς, ως ηυδόκησεν αυτός, ο ακατάληπτος Θεός, καί βαπτισθήναι ηνέσχετο ο φωτισμός ημών, όθεν πρός αυτόν απεφθέγγετο, ο Πρόδρομος βοών. Ου τολμώ σου Σωτήρ, τής κορυφής εφάψασθαι, ορών σου, τό ακατάληπτον Κύριε, ο πάντα Λόγε, πρός τό

συμφέρον, οικονομήσας δόξα σοι.

### Ωδή δ'

«Υμνώ σε ακοή γάρ Κύριε, εισακήκοα καί εξέστην, έως εμού ήκεις γάρ, εμέ ζητών τόν πλανηθέντα. Διό τήν πολλήν σου συγκατάβασιν, τήν εις εμέ δοξάζω Πολυέλεε».

Ρυπώντας αποπλυνειν ύδατι, απεστάλης πρός τού Δεσπότου, ευτρεπίζων δέχεσθαι, τόν αίροντα τήν αμαρτίαν Χριστόν, καί τήν πλάνην απελαύνοντα, θεογνωσίας αίγλη πανσεβάσμιε.

Ιού με δρακοντίου δήγματος, ιαθήναι μάκαρ δυσώπει, ο τόν Χριστόν νάμασι, βαπτίσας τοίς τού, Ιορδάνου, εν ώ τών δρακόντων εμφωλεύουσαν, τήν πονηρίαν ο Σωτήρ συνέθλασε.

Σοφία τού Θεού κοσμούμενος, προελήλυθας Χριστοκήρυξ, βοώντος γάρ γέγονας, κραυγάζουσα Μετανοείτε φωνή, ως Προφήτης προηγόρευσας, τόν υπέρ πάντας ανθρώπους σε δεικνύοντα.

Τήν ξένην καί ανθρώποις άτριπτον, επαγόμενος πολιτείαν, επέστης τοίς ύδασι, πανάριστε τού Ιορδάνου, φωνής τού Πατρός ακροασόμενος, καί παρουσίαν Πνεύματος οψόμενος.

### Θεοτοκίον

Ο πάντα πλαστουργήσας Κύριος, καθ' ημάς αυτός πλαστουργείται, υποδύς γάρ Πάναγνε τήν μήτραν σου τήν Παναγίαν, μορφήν τών ανθρώπων ημφιάσατο, καί τήν αυτού εικόνα διεσώσατο.

### Καταβασία

«Πυρσώ καθαρθείς, μυστικής θερίας, Υμνών Προφήτης τήν βροτών καινουργίαν, Ρήγνυσι γήρυν, Πνεύματι κροτουμένην, Σάρκωσιν εμφαίνουσαν αρρήτου Λόγου, Ώ τών δυναστών, τά κράτη συνετρίβη».

### Ωδή ε'

«Ο φωτισμός, τών εν σκότει κειμένων η σωτηρία, τών απεγνωσμένων Χριστέ Σωτήρ μου, πρός σέ ορθρίζω Βασιλεύ τής ειρήνης, φώτισόν με τή επιλάμψει σου, άλλον γάρ εκτός σου, Θεόν ουκ επίσταμαι».

Υπερφυούς, αρετής λαμπηδόσιν ηγλαϊσμένος, ως εξ ουρανίου μυσταγωγίας, ρείθροις επέστης,, Ιορδάνου βαπτίζων, καί καθαίρων διά τού ύδατος, Πρόδρομε τούς πίστει, ψυχής προσιόντας σοι.

Τό καθαρόν, καί ακήρατον φέγγος μέλλων βαπτίζειν, σκεύος καθαρότητος ανεδείχθης, μείζων γάρ πάντων, υπ' αυτού προεκρίθης. Προφητών τε σεβασμιώτερος, τόν προφητευθέντα, ιδείν γάρ ηξίωσαι.

Ο προσταλείς, πρό προσώπου Κυρίου καί τάς ευθείας, τρίβους τοίς

ανθρώποις υποδεικνύων, άπτεται τρέμων κορυφής τού Δεσπότου, καί βαπτίζει λέγων ο Πρόδρομος. Έτερον εκτός σου, Θεόν ουκ επίσταμαι.

Θεοτοκίον

Υιός Θεού, ο Υιός σου Παρθένε σαφώς εδείχθη, έργα ως Θεός τελών βουλήσει μόνη, όθεν σε πάντες αληθώς Θεοτόκον, καί κυρίως επονομάζομεν, άλλην γάρ Μητέρα, Θεού ού γινώσκομεν.

Καταβασία

«Εχθρού ζοφώδους καί βεβορβορωμένου, Ιόν καθάρσει, Πνεύματος λελουμένοι, Νέαν προσωρμίσθημεν, απλανή τρίβον, Άγουσαν απρόσιτον εις θυμηδίαν, Μόνοις προσιτήν, οίς Θεός κατηλλάγη».

Ωδή ς'

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου επικαλούμαι άβυσσον. Εκ φθοράς ο Θεός με ανάγαγε»

Σύ τού Λόγου φωνή προελήλυθας, καί ως Εωσφόρος αστήρ ανατέταλκας, προκαταγγέλλων Πρόδρομε, σαφώς Δικαιοσυνης τόν Ήλιον.

Επιγείους φροντίδας ηγνόησας, καί τάς ουρανίους ελπίδας επλούτησας, επί τής γής ως Άγγελος, τήν ζωήν διανύσας πανόλβιε.

Προφητών σε σφραγίδα γινώσκομεν, ως τή Παλαιά καί Καινή μεσιτεύσαντα, καί Βαπτιστήν καί Πρόδρομον, τού Σωτήρος Χριστού καταγγέλλομεν.

Θεοτοκίον

Ανερμήνευτος όντως η σύλληψις, άφραστος ο τόκος σου καί ακατάληπτος, πάσι πιστοίς γνωρίζεται, καί πιστεύεται μόνη Θεόνυμφε.

Καταβασία

«Ιμερτόν εξέφηνε σύν πανοβλίω, Ήχω Πατήρ, όν γαστρός εξηρεύξατο. Ναί φησιν, Ούτος συμφυής γόνος πέλων, Φώταυγος εξώρουσεν ανθρώπων γένους, Λόγος τέ μου ζών, καί βροτός προμηθεία».

Κοντάκιον αυτόμελον

Ήχος πλ. β'

Τήν σωματικήν σου παρουσίαν δεδοικώς ο Ιορδάνης, τρόμω υπεστρέφετο, τήν πνευματικήν δέ λειτουργίαν εκπληρών ο Ιωάννης, φόβω υπεστέλλετο, τών Αγγέλων αι τάξεις εξεπλήττοντο, ορώσαί σε εν ρείθροις σαρκί βαπτιζόμενον, καί πάντες οι εν τώ σκότει κατηυγάζοντο, ανυμνούντές σε τόν φανέντα, καί φωτίσαντα τά πάντα.

Ο Οίκος

Τώ τυφλωθέντι Αδάμ εν Εδέμ, εφάνη Ήλιος εν Βηθλεέμ, καί ήνοιξεν αυτού τάς κόρας, αποπλύνας αυτάς Ιορδάνου τοίς ύδασι τώ μεμελανωμένω καί συνεσκοτισμένω φώς ανέτειλεν άσβεστον, ουκ έτι αυτώ νυξ, αλλά πάντα ημέρα, τό πρός πρωϊ πρωϊ, δι' αυτόν εγεννήθη, δειλινόν γάρ εκρύβη ως γέγραπται, εύρεν αυγήν, εγείρουσαν αυτόν, ο πρός εσπέραν πεσών, απηλλάγη τού γνόφου, καί έφθασε πρός Όρθρον τόν φανέντα, καί φωτίσαντα

τά πάντα.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Ζ' τού αυτού μηνός, Η Σύναξις τού Αγίου ενδόξου Προφήτου, Προδρόμου καί Βαπτιστού Ιωάννου. Συνέδραμε δέ καί η τής παντίμου καί αγίας αυτού Χειρός πρός τήν Βασιλεύουσαν μετένεξις.

Στίχοι

- Εμή σε γλώσσα Κήρυξ πώς άν αινέση,
- Όν γλώσσα Χριστού γηγενών μείζω λέγει;
- Μνήμη εβδομάτη Προδρόμου λάχεν αιδοίοιο.

Ταίς τού σού Προδρόμου πρεσβείαις, Χριστέ ο Θεός ημών, ελέησον καί σώσον ημάς. Αμήν.

Ωδή ζ'

«Βάτος εν όρει πυράφλεκτος, καί δροσοβόλος κάμινος Χαλδαϊκή, σαφώς προγράφει σε Θεόνυμφε, τό γάρ θείον άϋλον, εν υλική γαστρί, πύρ αφλέκτως εδέξω, διό τώ εκ σού τεχθέντι ψάλλομεν. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών».

Ιερουργήσας τό Βάπτισμα, καί τελειώσας Πρόδρομε τά πρός Θεόν, σαφώς δοθέντα σοι Μυστήρια, ως αρνίον άκακον Ιερουργούμενος, προσηνέχθης θυσία, διό μετά σού συμφώνως ψάλλομεν. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Νέος Ηλίας γενόμενος, σύν παρρησία Πρόδρομε καί βασιλείς σαφώς ελέγχεις ανομήσαντας, σού τόν βίον άϋλον επιδεικνύμενος, ως εκείνος τρισμάκαρ, διό μετά σού Προφήτα ψάλλομεν. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Ο προφητών περισσότερος, καί Αποστόλων Πρόδρομε τών τού Χριστού, τό θείον γέρας κληρωσάμενος, σύ τού Νόμου πλήρωμα, καί απαρχή σαφώς, νέας χάριτος ώφθης, διό μετά σού τρισμάκαρ ψάλλομεν. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Υμνολογίαις τήν πανάγιον, καί θεοδόχον Δέσποιναν πανευσεβώς, αξίως πάντες ανυμνήσωμεν, ως Θεόν κυήσασαν, μονογενή ημίν, τοίς ανθρώποις οφθέντα, πρός όν οι πιστοί συμφώνως ψάλλομεν. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Καταβασία

«Έφλεξε ρείθρω τών δρακόντων τάς κάρας, ο τής καμίνου, τήν μετάρσιον φλόγα, Νέους φέρουσαν ευσεβείς κατευνάσας, Τήν δυσκάθεκτον, αχλύν εξ αμαρτίας, Όλνη πλύνει δέ, τή δρόσω τού Πνεύματος»

Ωδή η'

«Κάμινος ποτέ, πυρός έν Βαβυλώνι, τάς ενεργείας διεμέριζε, τώ θείω

προστάγματι, τούς Χαλδαίους καταφλέγουσα, τούς δέ πιστούς δροσίζουσα ψάλλοντας, ευλογείτε, πάντα τά έργα τόν Κύριον».

Σέ τόν επί γής, ισάγγελον φανέντα, παρηλλαγμένω πολιτευματι, καί πάντων ανώτερον, Ιωάννη παμμακάριστε, χαρμονικώς γεραίρομεν, κράζοντες. Ευλογείτε, πάντα τά έργα τόν Κύριον.

Μίαν εν τρισί, θεότητος ουσίαν, ομοουσίοις υποστάσεσι, Προφήτα μεμύησαι, τή φωνή γάρ τού Γεννήτορος, καί παρουσία Πνεύματος, έγνως τόν βαπτισθέντα, Λόγον Θεού τόν αϊδιον.

Όρθρος νοητός, τόν Ήλιον μηνύων, τόν εκ Παρθένου ανατείλαντα, εκ στείρας προέδραμες, Ιωάννη πανσεβάσμιε, καί τόν Αμνόν εκήρυξας, κόσμου τήν αμαρτίαν, φιλανθρωπία τόν αίροντα,

Ύπερθεν ημάς, νύν μάκαρ εποπτεύων, ταίς σαίς πρεσβείαις διαφύλαξον, τώ θείω κηρύγματι, επομένους σου πανόβλιε, καί διδαχαίς εμμένοντας, Πρόδρομε τοίς ενθέοις, καί σωτηρίοις σου δόγμασι.

Θεοτοκίον

Δόξης τού Πατρός, συνέλαβες αφράστως, τό προαιώνιον απαύγασμα, καί Λόγον τόν άναρχον, εν αρχή όντα νοούμενον, καί νύν εκ σού πρωτότοκον, Πάναγνε γεγονότα, αναλλοιώτως τής κτίσεως.

Καταβασία

«Ελευθέρα μέν η κτίσις γνωρίζεται. Υιοί δέ φωτός, οι πρίν εσκοτισμένοι. Μόνος στενάζει τού σκότους ο προστάτης. Νύν ευλογείτω συντόνως τόν Αίτιον, Η πρίν τάλαινα τών Εθνών παγκληρία»

## Ωδή θ'

Η τιμιωτέρα ου στιχολογείται, αλλά ψάλλεται η θ' Ωδή τής Εορτής μετά τών Μεγαλυναρίων, καί η τού Αγίου, εν ή λέγομεν Στίχον, «Άγιε τού Θεού», ή, «Βαπτιστά τού Χριστού πρέσβευε υπέρ ημών».

Η τόν πρό Ηλίου φωστήρα

Εκ τής ερημίας, η Πρόδρομος φωνή, τόν Λόγον δείκνυσι, σωματικώς ημίν επιδημήσαντα, καί παρόντα περιχαρώς, βαπτίζειν ευτρεπίζεται, τόν τάς ψυχάς καθαίροντα, τής αμαρτίας διά πίστεως.

Χάρις τε καί Νόμος, μεσίτην σε σεπτόν, σαφώς προβάλλεται, τόν μέν σφραγίζοντα, τής δέ αρχόμενον, τόν απάντων τών Προφητών, τώ Λόγω προτιμώμενον, τόν υπέρ τά ορώμενα, νύν βεβηκότα Πανσεβάσμιε.

Ο τοίς ασωμάτοις, εφάμιλλον ζωήν επιδειξάμενος, Αγγελικαίς χορείαις συνευφραίνεται, καί τώ θρόνω παρεστηκώς, τού Δεσπότου αγάλλεται, τοίς ευφημούσιν άφεσιν, καί σωτηρίαν εξαιτούμενος

Θεοτοκίον

Υπέρ ευσπλαγχνίαν, ο πάντων Λυτρωτής, άνθρωπος γίνεται, καί σαρκικήν καταδέχεται γέννησιν, φιλάνθρωπος υπέρ ανθρώπων, ο φύσει ών φιλάνθρωπος, παρθενικής εκ μήτρας σου, Θεογεννήτορ παμμακάριστε.

Καταβασία

«Ώ τών υπέρ νούν τού τόκου σου θαυμάτων! Νύμφη Πάναγνε, Μήτερ ευλογημένη. Δι' ής τυχόντες, παντελούς σωτηρίας, Επάξιον κροτούμεν, ως ευεργέτη, Δώρον φέροντες, ύμνον ευχαριστίας».

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Προφήτην σε προέφησε, τών Προφητών υπέρτερον, εν γεννητοίς ο Δεσπότης, γυναικών μείζονα πάντων, όν γάρ Προφήται άπαντες, καί Νόμος προκατήγγειλαν, Χριστόν σαρκί εώρακας, όν καί βαπτίσας εδείχθης, σεβασμιώτερος πάντων.

Καί τής Εορτής

Επεσκέψατο ημάς

Επεφάνη ο Σωτήρ, η χάρις η αλήθεια, εν ρείθροις τού Ιορδάνου, καί τούς εν σκότει καί σκιά, καθεύδοντας εφώτισε, καί γάρ ήλθεν εφάνη, τό φώς τό απρόσιτον.

Εις τούς Αίνους, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Ιδιόμελα.

Ήχος α'

Φώς εκ φωτός, έλαμψε τώ κόσμω, Χριστός ο Θεός ημών, ο επιφανείς Θεός, τούτον λαοί προσκυνήσωμεν. (Δίς)

Πώς σε Χριστέ, δούλοι τόν Δεσπότην, αξίως τιμήσωμεν; ότι εν τοίς ύδασι, πάντας ημάς ανεκαίνισας.

Σύ εν Ιορδάνη, βαπτισθείς ο Σωτήρ ημών, τά ρείθρα ηγίασας, τή παλάμη τού δούλου χειροθετούμενος, καί τά πάθη τού κόσμου ιώμενος. Μέγα τό μυστήριον τής οικονομίας σου! φιλάνθρωπε Κύριε, δόξα σοι.

Τό αληθινόν φώς επεφάνη, καί πάσι τόν φωτισμόν δωρείται, βαπτίζεται Χριστός μεθ' ημών, ο πάσης επέκεινα καθαρότητος, ενίησι τόν αγιασμόν τώ ύδατι, καί Ψυχών τούτο καθάρσιον γίνεται, επίγειον τό φαινόμενον, καί υπέρ τούς ουρανούς τό νοούμενον, διά λουτρού σωτηρία, δι' ύδατος τό Πνεύμα, διά καταδύσεως, η πρός Θεόν ημών άνοδος γίνεται, θαυμάσια τά έργα σου Κύριε! δόξα σοι.

Ο περιβάλλων τόν ουρανόν εν νεφέλαις, ρείθρα περιβάλλεται σήμερον τά Ιορδάνια, καί τήν εμήν καθαίρεται κάθαρσιν, ο τού κόσμου αίρων τήν αμαρτίαν, καί υπό τού συγγενούς άνωθεν μαρτυρείται Πνεύματος, Υιός μονογενής υπάρχων τού υψίστου Πατρός, πρός όν βοήσωμεν. Ο επιφανείς καί σώσας ημάς, Χριστέ, ο Θεός ημών, δόξα σοι.

Δόξα... Ήχος πλ. β'

Άγγελος εκ στειρωτικών ωδίνων, προήλθες Βαπτιστά, εξ αυτών τών σπαργάνων τήν έρημον οικήσας, σφραγίς τε πάντων τών Προφητών εδείχθης, όν γάρ εκείνοι πολυτρόπως εθεάσαντο, καί αινιγματωδώς προεκήρυξαν, τούτον βαπτίσαι εν Ιορδάνη κατηξιώθης, φωνής τε ακήκοας, Πατρικής ουρανόθεν, μαρτυρούσης αυτού τήν Υιότητα, καί τό Πνεύμα είδες περιστεράς εν είδει, τήν φωνήν έλκον επί τόν βαπτιζόμενον. Αλλ' ώ πάντων τών Προφητών υπέρτερε, μή διαλίπης πρεσβεύειν υπέρ ημών, τών πιστώς σου τελουντων τά μνημόσυνα.

Καί νύν... Ήχος β'

Σήμερον ο Χριστός, εν Ιορδάνη ήλθε βαπτισθήναι. Σήμερον Ιωάννης άπτεται κορυφής τού Δεσπότου. Αι Δυνάμεις τών ουρανών εξέστησαν, τό παράδοξον ορώσαι μυστήριον. Η θάλασσα είδε καί έφυγεν, ο Ιορδάνης ίδων ανεστρέφετο. Ημείς δέ οι φωτισθέντες βοώμεν. Δόξα τώ φανέντι Θεώ, καί επί γής ογθέντι, καί φωτίσαντι τόν Κοσμον.

Δοξολογία μεγάλη, καί Απόλυσις

Εις τήν Λειτουργίαν ψάλλομεν, αντί τών Τυπικών, τά Αντίφωνα.

Αντίφωνον Α'
Ήχος β'

Στίχ. α'. Εν εξόδω Ισραήλ εξ Αιγύπτου, οίκου Ιακώβ.

Ταίς πρεσβείαις τής Θεοτόκου, Σώτερ, σώσον ημάς.

Στίχ. β'. Εγενήθη Ιουδαία αγίασμα αυτού, εκ λαού βαρβάρου.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχ. γ'. Η θάλασσα είδε, καί έφυγεν, ο Ιορδάνης εστράφη εις τά οπίσω.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχ. δ'. Τί σοί εστι θάλασσα ότι έφυγες; καί σοί Ιορδάνη, ότι εστράφης εις τά οπίσω;

Ταίς πρεσβείαις τής Θεοτόκου...
Δόξα... Καί νύν...
Ταίς πρεσβείαις τής Θεοτόκου...

Αντίφωνον Β'
Ήχος β'

Στίχ. α'. Ηγάπησα, ότι εισακούσεται Κύριος τής φωνής τής δεήσεώς μου.

Σώσον ημάς Υιέ Θεού, ο εν Ιορδάνη υπό Ιωάννου βαπτισθείς, ψάλλοντάς σοι, Αλληλούϊα.

Στιχ. β'. Ότι έκλινε τό ούς αυτού εμοί, καί εν ταίς η μέραις μου επικαλέσομαι.

Σώσον ημάς Υιέ Θεού...

Στίχ. γ'. Περιέσχον μοι ωδίνες θανάτου, κίνδυνοι άδου ευροσάν με.

Σώσον ημάς Υιέ Θεού...

Στίχ. δ'. Ελεήμων ο Κύριος καί δίκαιος, καί ο Θεός ημών ελεεί.

Σώσον ημάς Υιέ Θεού...
Δόξα... Καί νύν...
Ο μονογενής Υιός καί Λόγος τού Θεού...

## Αντίφωνον Γ'

Ήχος α'

Στίχ. α'. Εξομολογείσθε τώ Κυρίω, ότι αγαθός, ότι εις τόν αιώνα τό έλεος αυτού.

Ήχος α'

Εν Ιορδάνη βαπτιζομένου σου Κύριε, η τής Τριάδος εφανερώθη προσκύνησις, τού γάρ Γεννήτορος η φωνή προσεμαρτύρει σοι, αγαπητόν σε Υιόν ονομάζουσα, καί τό Πνεύμα εν είδει περιστεράς, εβεβαίου τού λόγου τό ασφαλές. Ο επιφανείς Χριστέ ο Θεός, καί τόν κόσμον φωτίσας δόξα σοι.

Στίχ. β'. Ειπάτω δή οίκος Ισραήλ, ότι αγαθός, ότι εις τόν αιώνα τό έλεος αυτού.

Εν Ιορδάνη βαπτιζομένου σου Κύριε...

Στίχ. γ'. Ειπάτω δή οίκος Ααρών, ότι αγαθός, ότι εις τόν αιώνα τό έλεος αυτού.

Εν Ιορδάνη βαπτιζομένου σου Κύριε...

Στίχ. δ'. Ειπάτωσαν δή πάντες οι φοβούμενοι τό Κύριον, ότι αγαθός, ότι εις τόν αιώνα τό έλεος αυτού.

Εν Ιορδάνη βαπτιζομένου σου Κύριε...

## Ε ι σ ο δ ι κ ό ν

Ευλογημένος ο ερχόμενος εν Ονόματι Κυρίου, Θεός Κύριος καί επέφανεν ημίν. Σώσον ημάς Υιέ Θεού, ο εν Ιορδάνη υπό Ιωάννου βαπτισθείς,

ψάλλοντάς σοι, Αλληλούϊα.

Ήχος α'

Εν Ιορδάνη βαπτιζομένου σου Κύριε, η τής Τριάδος εφανερώθη προσκύνησις, τού γάρ Γεννήτορος η φωνή προσεμαρτύρει σοι, αγαπητόν σε Υιόν ονομάζουσα, καί τό Πνεύμα εν είδει περιστεράς, εβεβαίου τού λόγου τό ασφαλές. Ο επιφανείς Χριστέ ο Θεός, καί τόν κόσμον φωτίσας δόξα σοι.

Δόξα...

Απολυτίκιον τού Αγίου

Ήχος δ'

Μνήμη δικαίου μετ' εγκωμίων, σοί δέ αρκέσει η μαρτυρία τού Κυρίου Πρόδρομε, ανεδείχθης γάρ όντως καί Προφητών σεβασμιώτερος, ότι καί εν ρείθροις βαπτίσαι κατηξιώθης τόν κηρυττόμενον. Όθεν τής αληθείας υπεραθλήσας, χαίρων ευηγγελίσω καί τοίς εν άδη, Θεόν φανερωθέντα εν σαρκί, τόν αίροντα τήν αμαρτίαν τού κόσμου, καί παρέχοντα ημίν τό μέγα έλεος.

Καί νύν...

Κοντάκιον Ήχος δ'

Επεφάνης σήμερον τή οικουμένη, καί τό φώς σου Κύριε, εσημειώθη εφ' ημάς, έν επιγνώσει υμνούντάς σε. Ήλθες εφάνης τό Φώς τό απρόσιτον.

Αντί δέ τού Τρισαγίου

Όσοι εις Χριστόν εβαπτίσθητε, Χριστόν ενεδύσασθε. Αλληλούϊα.

Εις τό, Εξαιρέτως

Ήχος β'

«Ώ τών υπέρ νούν τού τόκου σου θαυμάτων! Νύμφη Πάναγνε, Μήτερ ευλογημένη. Δι' ής τυχόντες, παντελούς σωτηρίας, Επάξιον κροτούμεν, ως ευεργέτη, Δώρον φέροντες, ύμνον ευχαριστίας».

Κοινωνικόν

Εις μνημόσυνον αιώνιον έσται Δίκαιος. Αλληλούια.

καί μετ' αυτό

Απολυτίκιον τής εορτής Ήχος α'

Εν Ιορδάνη βαπτιζομένου σου Κύριε, η τής Τριάδος εφανερώθη προσκύνησις, τού γάρ Γεννήτορος η φωνή προσεμαρτύρει σοι, αγαπητόν σε Υιόν ονομάζουσα, καί τό Πνεύμα εν είδει περιστεράς, εβεβαίου τού λόγου τό ασφαλές. Ο επιφανείς Χριστέ ο Θεός, καί τόν κόσμον φωτίσας δόξα σοι.

---

Αρχή

## ΤΗ Η' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Γεωργίου τού Χοζεβίτου, καί τής Οσίας Μητρός ημών Δομνίκης.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τού Οσίου.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Τής ψυχής τήν ακρόπολιν, λογισμών ού κατέσεισαν, προσβολαί Μακάριε, σύ γάρ έπαλξιν, ώσπερ τήν σήν προβαλλόμενος, στερέμνιον άσκησιν, διετήρησας σαυτόν, τού δεινού πολεμήτορος, απαράτρωτον, απήμαντον όλως, καί παρέστης, τώ Δεσπότη τών απάντων, νικητικώς στεφανούμενος.

Ουχ οδού μήκος ίσχυσεν, ουδέ τόπων δυσχέρεια, παραλύσαι Όσιε τό διάπυρον, τής πρός Θεόν εκδημίας σου, κακεί γάρ γενόμενος, καί τοίς τόποις ευφρανθείς, ού οι πόδες επάτησαν, τού Θεού ημών, ουκ ημέλησας όλως, ειμή φθάσης, δι' ασκήσεως καί πονων, καί πρός Σιών τήν ουράνιον.

Τόν εγκάρδιον έρωτα, υποφαίνων τοίς δάκρυσι, κατανύξει Ένδοξε, γήν κατέβρεχες, καί ταίς θριξίν εναπέματτες, Χριστού υποπόδιον, εννοών τε καί αυτόν, ως παρόντα καί βλέποντα, όν επόθησας, καί ιχνών επελάβου διανοίας, θεωρίαις θειοτάταις, τήν σήν ψυχήν αυγαζόμενος.

Ετερα τής Αγίας
Έδωκας Σημείωσιν

Εκ Δυσμών ανέτειλας, πρός τήν Εώαν πανόλβιε, ως αστήρ φαεινότατος, ακτίσιν αστράπτουσα, τών σών εναρέτων, πράξεων Οσία, καί κατεφώτισας πιστών, τάς διανοίας φέγγει θαυμάτων σου, διό σε μακαρίζομεν, καί τήν σήν μνήμην γεραίρομεν, τόν Χριστόν μεγαλύνοντες, τόν σεπτώς σε δοξάσαντα.

Τρωθείσα τώ έρωτι, τής τού Χριστού αγαπήσεως, ώ Δομνίκα πανεύφημε, αυτώ ηκολούθησας απαρνησαμένη, επίκηρον δόξαν, καί τής σαρκός τάς ηδονάς, καί πάσαν βίου άλλην απόλαυσιν, διό σε εισωκίσατο, εις φωτεινότατον θάλαμον, Ιησούς ο φιλάνθρωπος, καί Σωτήρ τών ψυχών ημών.

Πάθη τού Κυρίου σου, καί Ποιητού αναπλάττουσα, εν αυτή αναδέδειξαι, τού Λόγου ως ποίημα, λογικόν Παρθένε, καί διά τού Λόγου, επαιδαγώγησας παθών, τής αλογίας τά παρεκκλίματα, διό καί καθ' ομοίωσιν, ευθυπορούσα αοίδιμε, αληθές καί ακίβδηλον, τού Θεού ώφθης άγαλμα.

Δόξα... Καί νύν... Ήχος α'

Ο περιβάλλων τόν ουρανόν εν νεφέλαις, ρείθρα περιβάλλεται σήμερον τά Ιορδάνια, καί τήν εμήν καθαίρεται κάθαρσιν, ο τού κόσμου αίρων τήν αμαρτίαν, καί υπό τού συγγενούς άνωθεν μαρτυρείται Πνεύματος, Υιός μονογενής υπάρχων τού υψίστου Πατρός. Πρός όν βοήσωμεν, ο επιφανείς καί σώσας ημάς, Χριστέ ο Θεός ημών δόξα σοι.

Απόστιχα Στιχηρά Προσόμοια
Ήχος πλ. β' Αι Αγγελικαί

Τό φωτιστικόν, καί φωτίζον τούς ανθρώπους, φώς αυτολαμπές, σύ υπάρχων

Ιησού μου, εν ρείθροις, Ιορδάνου, βαπτισθείς όλως έλαμψας, φώς τό ομοούσιον Πατρί σου, έν ώ πάσα η κτίσις φωτισθείσα, Χριστέ κράζει σοι, Ευλογημένος ο φανείς, Θεός ημών δόξα σοι.

Στίχ. Η θάλασσα είδε καί έφυγεν, ο Ιορδάνης εστάφη εις οπίσω.

Ως διά σαρκός, κορεσθήναι θείας δόξης, δεύτε νοητώς, καθαρθώμεν τάς αισθήσεις, καί τόν Χριστόν ιδόντες, εν σαρκί βαπτιζόμενον, τήν τε τού δολίου διαθλώντα, κάραν ευφυώς υμνολογούντες, αυτώ κράξωμεν. Ευλογημένος ο φανείς, Θεός ημών δόξα σοι.

Στίχ. Τί σοί εστι θάλασσα, ότι έφυγες; καί σοί Ιοράνη ότι ανεχώρησας εις τά οπίσω;

Νάμα ζωτικόν, σύ ποτίζεις Ιησού μου, εν τώ ποταμώ, Ιορδάνη ευσπλαγχνία, ημάς τούς εκκαέντας, σού τή δίψει φιλάνθρωπε, όθεν ποτισθέντες εκ πηγής σου, τής αθανάτου καί φωσφόρου, Χριστέ ψάλλομεν. Ευλογημένος ο φανείς, Θεός ημών δόξα σοι.

Δόξα... Καί νύν... Ήχος β'

Εν Ιορδάνη ποταμώ ιδών σε ο Ιωάννης πρός αυτόν ερχόμενον, έλεγε Χριστέ ο Θεός. Τί πρός τόν δούλον παραγέγονας, ρύπον μή έχων Κύριε; εις όνομα δέ τίνος σε βαπτίσω; Πατρός; αλλά τούτον φέρεις εν σεαυτώ. Υιού; αλλ' αυτός υπάρχεις ο σαρκωθείς. Πνεύματος Αγίου; καί τούτο οίδας διδόναι τοίς πιστοίς διά στόματος. Ο επιφανείς Θεός, ελέησον ημάς.

Απολυτίκιον τής εορτής Ήχος α'

Εν Ιορδάνη βαπτιζομένου σου Κύριε, η τής Τριάδος εφανερώθη προσκύνησις, τού γάρ Γεννήτορος η φωνή προσεμαρτύρει σοι, αγαπητόν σε Υιόν ονομάζουσα, καί τό Πνεύμα εν είδει περιστεράς, εβεβαίου τού λόγου τό ασφαλές. Ο επιφανείς Χριστέ ο Θεός, καί τόν κόσμον φωτίσας δόξα σοι.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος δ'
Κατεπλάγη Ιωσήφ

Ιησούς ο τού Ναυή, εν Ιορδάνη ποταμώ, διαβιβάζων τόν λαόν, καί τού Θεού τήν κιβωτόν, εσκιαγράφει την μέλλουσαν ευεργεσίαν, εικόνα γάρ ημίν αναμορφώσεως, καί τύπον αψευδή αναγεννήσεως, η μυστική διάβασις τών δύω, σκιαγραφεί εν τώ Πνεύματι. Χριστός εφάνη, εν Ιορδάνη, αγιάσαι τά ύδατα.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος πλ. δ'
Αυλών ποιμενικών

Βαπτίζεται Χριστός, ο τόν κόσμον φωτίζων, εξ ύψους ο Πατήρ, εμαρτύρησε λέγων. Ούτός εστιν ο Υιός μου, εν ώ ηυδόκησα, αυτού ακούετε. Ούτός εστιν ο φωτίζων τήν οικουμένην, τή ευσπλαγχνία αυτού, ο βαπτισθείς καί ισώσας ως Θεός, τό γένος τών ανθρώπων.

Δόξα... Καί νύν... Τό αυτό

Ο Κανών τής Εορτής, καί τού Οσίου

Ωδή α' Ήχος δ'

«Ανοίξω τό στόμα μου, καί πληρωθήσεται Πνεύματος, καί λόγον ερεύξομαι, τή Βασιλίδι Μητρί, καί οφθήσομαι, φαιδρώς πανηγυρίζων, καί άσω γηθόμενος, ταύτης τά θαύματα».

Ανοίξει τού στόματος, δούναί μοι χάριν ικέτευσον, σοφίας Γεώργιε, τήν απαρχήν Ιησού, όπως άσω σου, τήν μνήμην κατ' αξίαν, ο άμουσος άσμασι, θείοις γηθόμενος.

Εν γή πεπολίτευσαι, ως περ ασώματος Μέγιστε, συνήφθης εντεύθεν δέ, τών Ασωμάτων χοροίς, τώ ποιήσαντι, ωδαίς εν τρισαγίοις, μέλπων καί δεχόμενος, τούτου τήν ελλάμψιν.

Τού κόσμου ηλόγησας, υπερκοσμίοις εννοίαις σου, ασκήσας εν κόσμω δέ, όπου εστράφη Χριστός, εξεδήμησας, ακήρατον πρός κόσμον, χοροίς συναπτόμενος, τών πρωτοτόκων Σοφέ.

Θεοτοκίον

Ανοίξας τό στόμα μου, Αγνή προήρημαι μέλψαι σε, Σοφίαν τήν τέξασαν, τήν ενυπόστατον, αλλ' ως άναγνος, τήν Πάναγνον ως θέμις, υμνήσαι μή σθένων σε, αιτώ βοήθειαν.

Κανών τής Οσίας, ού η ακροστιχίς.

Τήν καλλίπαιδα νύν γεραίρω Δομνίκαν. Ιωσήφ

Ωδή α' Ήχος β'

«Εν βυθώ κατέστρωσε ποτέ, τήν Φαραωνίτιδα, πανστρατιάν η υπέροπλος δύναμις, σαρκωθείς ο Λόγος δέ, τήν παμμόχθηρον αμαρτίαν εξήλειψεν, ο δεδοξασμένος Κύριος, ενδόξως γάρ δεδόξασται».

Τώ ενθέω πόθω τήν ψυχήν, Ένδοξε πτερώσασα, τών σαρκικών θηράτρων υπερίπτασο, διό ικετεύω σε, θηρευθέντα με, ταίς παγίσι τού όφεως, σού ταίς

ικεσίαις, πάνσεμνε Δομνίκα απολύτρωσαι.

Ηκολούθεις χαίρουσα Χριστώ, τούτου ανιχνεύουσα, τήν Ιεράν νομοθεσίαν Πάνσεμνε, καί Παρθένων τάγμασι, συνηρίθμησαι, ως παρθένος καί άμωμος, όθεν σε τιμώμεν, πίστει συνελθόντες Αξιάγαστε.

Νυσταγμόν κακίας ουδαμώς, Ένδοξε νυστάζουσα, επαγρυπνείς ταίς φωταυγέσι πράξεσι, καί πρός φώς ανέσπερον, εξεδήμησας, ταίς εκείθεν λαμπρότησι, περιχεομένη, καί φωταγωγούσα τούς υμνούντάς σε.

Θεοτοκίον

Καί πρό τόκου άφθορος αγνή, καί μετά τήν κύησιν Μήτηρ Θεού, υπερφυώς διέμεινας, όθεν σε ποθήσασα, θείω Πνεύματι, η Δομνίκα οπίσω σου, άφθορος προσήχθη, τώ Παμβασιλεί Υιώ σου, Άχραντε.

Τού Οσίου

Ωδή γ'

«Τούς σούς υμνολόγους Θεοτόκε, ως ζώσα καί άφθονος πηγή, Θίασον συγκροτήσαντας πνεύμα τικόν στερέωσον, καί εν τή θεία δόξη σου, στεφάνων δόξης αξίωσον».

Λουόμενος δάκρυσιν οικείοις, ιλύος τήν σάρκα κοσμικής, εκάθηρας καί ρεύμασιν, ως ποταμίοις τούτοις δέ, τήν τών δαιμόνων σύρροιαν, ασκητικώς κατεπόντισας.

Οσίως αμέμπτως καί δικαίως, τόν βίον διέπρεψας σοφέ, πρός δέ καί πόνοις χρώμενος, ασκητικοίς τήν άπονον, διαγωγήν κεκλήρωσαι, θεομακάριστε Γεώργιε.

Αλούς θείω έρωτι Παμμάκαρ, τών τόπων αγίων τής Σιών, πρός τούτους επεδήμησας, κακεί διαμεμένη κας, έως θανάτου πάνσοφε πιέζων πόνοις τήν σάρκα σου.

Θεοτοκίον

Τόν σόν υμνολόγον επταικότα, ασύγγνωστα Κόρη πρός οδόν, τής μετανοίας ίθυνον, τόν Λόγον η κυήσασα, τού κόσμου τόν καθαίροντα, τάς αμαρτίας Θεόνυμφε.

Τής Οσίας

Εξήνθησεν η έρημος

Πλωτήρας θαλαττεύοντας, διεσώσω έλαιον, μετ' ευλογίας πέμπουσα, τή θαλάσση καί μεταβάλλουσα, εις γαλήνην Δομνίκα τό κλυδώνιον.

Αΰλοις λαμπομένην σε, φρυκτωρίαις, Άγγελος, φωτοειδής εμήνυσεν, Ιεράρχη επιδημήσασαν, Βασιλίδα πρός πόλιν θείω νεύματι.

Ιστίω πτερουμένη, τής εγκρατείας έφθασας, τής απαθείας Ένδοξε, τούς λιμένας, λιμήν τε γέγονας, τοίς εις βάθη κακίας ολισθήσασι.

Θεοτοκίον

Δυνάμωσον Πανάχραντε, τό ασθενές μου δύναμιν, η τού Υψίστου τέξασα, τήν τό είναι πάσι παρέχουσαν, καί Δομνίκης τήν μνήμην μεγαλύνασαν.

Ο Ειρμός

«Εξήνθησεν η έρημος, ωσεί κρίνον Κύριε, η τών Εθνών στειρεύουσα, Εκκλησία τή παρουσία σου, εν ή εστερεώθη η καρδία μου».

Κάθισμα τής Οσίας

Ήχος δ'

Ταχύ προκατάλαβε

Τήν σάρκα εσταύρωσας, σύν τοίς παθήμασι, καί πάσαν τήν έφεσιν, πρός Χριστόν έσχηκας, Δομνίκα Νυμφίον τόν σόν, άφθαρτον διά τούτο, εκομίσω τό στέφος, καί Αγγέλων χορείαις, ηριθμήθης Οσία, πρεσβεύουσα αυτώ εκτενώς, υπέρ τών τιμώντων σε.

Δόξα... Καί νύν...

Τής Εορτής, όμοιον

Τά ρείθρα ηγίασας τά Ιορδάνια, τό κράτος συνέτριψας τής αμαρτίας, Χριστέ ο Θεός ημών, υπέκλινας τή παλάμη, σεαυτόν τού Προδρόμου, καί έσωσας εκ τής πλάνης, τών ανθρώπων τό γένος, διό σε ικετεύομεν. Σώσον τόν κόσμον σου.

Τού Οσίου

Ωδή δ'

«Ο καθήμενος εν δόξη, επί θρόνου θεότητος, εν νεφέλη κούφη, ήλθεν Ιησούς ο υπέρθεος, τή ακηράτω παλάμη καί διέσωσε, τούς κραυγάζοντας. Δόξα Χριστέ τή δυνάμει σου».

Ταίς νηστείαις ως σιτίοις, φιλοτίμως τρεφόμενος, τήν ψυχήν σου Μάκαρ, νύν ευφραινομένην παρέστησας, τώ Ποιητή τών απάντων συγκαλέσαντι, πρός τήν άνω σε, θείαν τρυφήν αγαλλόμενον.

Ουρανός τις ανεφάνης, τοίς πρακτέοις ως άστρασι, κατηγλαϊσμένος, φέρων ως φωσφόρον τόν Κύριον, τήν σήν ψυχήν ως σελήνην καταυγάζοντα, καί δεικνύοντα, τής παρ' αυτώ δόξης μέτοχον.

Ο Δεσπότης ουρανόθεν, δι' ημάς κατερχόμενος, τήν Σιών ευρίσκει, θείον αληθώς ευναστήριον, ή ενσκηνώσας σύ πόθω, ώσπερ κλίμακι, πρός τήν άνω ανήλθες, Σιών ταύτη χρώμενος.

Θεοτοκίον

Ο καθήμενος εν κόλποις, αϊδίως τού Φύσαντος, σαίς ωλέναις ώφθη, νύν απεριγράπτως καθήμενος, τήν Τετοκυίάν σε δείξας μετά γέννησιν,

αειπάρθενον, καί αληθώς αδιάφθορον.

Τής Οσίας

Ελήλυθας, εκ Παρθένου
Απήστραψας, φωτισμόν ιαμάτων διώκουσα, παθών τήν σκοτόμαιναν, καί τών δαιμόνων τάς φάλαγγας, πάντας δέ εφώτισας, τούς ευσεβώς σοι Δομνίκα προσπελάζοντας.

Νυμφίος σε, Βασιλεύς επουράνιος Ένδοξε, δοξάζει ενώπιον, τού επί γής βασιλεύοντος, καταπληττομένου σου, τόν ακηλίδωτον βίον καί τά θαύματα.

Υπήκοος, τών ευχών σου υπάρχων ο Κύριος, σαφώς προσημαίνει σοι, τόπον εν ώ φροντιστήριον, ήγειρας, τά πνεύματα, τής πονηρίας Δομνίκα απελάσασα.

Θεοτοκίον
Νεκρώσεως, τούς χιτώνας Αδάμ εξεδύσατο, τή θεία γεννήσει σου, καί τήν στολήν ημφιάσατο, μόνος ήν εξύφανεν, εν τή γαστρί σου ο Λόγος σωματούμενος

Τού Οσίου

Ωδή ε'
«Εξέστη τά σύμπαντα, επί τή θεία δόξη σου, σύ γάρ απειρόγα με Παρθένε, έσχες εν μήτρα τόν επί πάντων Θεόν, καί τέτοκας άχρονον, Υιόν, πάσι τοίς υμνούσί σε, τήν Ειρήνην βραβεύουσα».

Εξέστησαν Άγγελοι, καί πάς Οσίων σύλλογος, όντως τό ανένδοτον τών πόνων, τών σών ορώντες, καί τό τού βίου σκληρόν, σύ γάρ ώσπερ άψυχος πονών, λίθος διετέλεσας, αρετών, πρός κατόρθωσιν.

Εις πάσαν εξέλαμψεν, ιδού ψυχήν ο Μέγιστος, πάντας εμπιπλών φωτοχυσίας, καί σκοτομήνης ελευθερών τών παθών, ώσπερ καθαρώτατος καί νύν, ήλιος κινούμενος, τήν σωτήριον κίνησιν.

Πατρίδος εξένωσαι, τής σής σοφέ Γεώργιε, υπέρ τούς προσήκοντας τώ βίω, Χριστόν φιλήσας, τόν ξενωθέντα βροτοίς, όθεν εχρημάτισας αυτού, άξιος τής άνωθεν, αξιούμενος χάριτος.

Θεοτοκίον
Ωραίωσας άχραντε, σύ τών βροτών τό πλήρωμα, σύ γάρ ανεδείχθης πλατυτέρα, τού ουρανίου, κύτους τεκούσα Θεόν, Λόγον ωσεί δέρριν ουρανούς, Κόρη τόν εκτείναντα, καί βροτούς διαπλάσαντα.

Τής Οσίας

Ο τού φωτός Χορηγός

Γεωπονήσασα, καί τώ αρότρω τών ευχών τέμνουσα, τήν ψυχικήν, αύλακα πολύχουν, εδρέψω τόν καρπόν, θείαις αποθήκαις, Αγνή συντηρούμενον.

Επιφωτίζουσα, τόν καθαρόν σου λογισμόν έβλεπες, τού παντουργού, Πνεύματος δυνάμει, τά πόρρω ως εγγύς, καί τών εσομένων, προλέγεις τήν έκβασιν.

Ρώμη τού Πνεύματος, Ιερουργός σε τελειοί χρίσματι, θεουργικώ, τής διακονίας, ποιμαίνειν Ιεράς, ψυχάς εγκελεύων, Δομνίκα θεόσοφε.

Θεοτοκίον

Άγιον Κύριον, Κυριοτόκε τού παντός τέτοκας, όν εκ ψυχής, Δομνίκα ποθούσα, παθών φθοροποιών, κατακυριεύει, Παρθένε υμνούσά σε.

Τού Οσίου

Ωδή ς'

«Εβόησε, προτυπών τήν ταφήν τήν τριήμερον, ο Προφήτης Ιωνάς, εν τώ κήτει δεόμενος. Εκ φθοράς με ρύσαι,, Ιησού Βασιλεύ τών Δυνάμεων».

Εβόησας, πρός Θεόν αενάοις σύν δάκρυσι, καί τού βίου, ως εκ κήτους δεινού σε διέσωσε, πρός τάς ακυμάντους, καί αείρους πηγάς τής Θεώσεως.

Τετράγωνον, αρετών ο χορός σε, κατέστησε, τείχος Μάκαρ, νοουμένων εχθρών μή πτοούμενον, τάς ακροβολίσεις, ως στερρός γάρ νικάς τόν πειράζοντα.

Ως πρόβατον, Χοζεβά τώ σεμνείω προσέδραμες, τή δέ πράξει, βακτηρία καθάπερ χρησάμενος, πρός, Εδέμ ιθύνεις, τά αυτώ ενοικούμενα πρόβατα.

Θεοτοκίον

Εσκήνωσεν, ως βροτός εν νυδύϊ σου Κύριος, τόν βροτόν με, τών αδθίτων σκηνών αξιούμενος, παρορών μου πράξεις, τάς αθέσμους Αγνή καί τά πταίσματα.

Τής Οσίας

Εν αβύσσω πταισμάτων

Ιερόν προφητείον ανήγειρας, θείου Ζαχαρίου Προφήτου θεόφρονος, μεθ' ού ναόν εις άγιον, συγχορεύεις Δομνίκα θεόσοφε.

Ρείθρον ώφθης ιάσεων άφθονον, πλύνουσα φλογμόν παθημάτων καί βρύουσα, αγιασμόν σωτήριον, κυριώνυμε Κόρη Θεόνυμφε.

Ως καλήν ως ωραίαν ως έντιμον, ως τής παρθενίας αυγαίς διαλάμπουσαν, σέ ο νυμφίος Κύριος, εαυτώ συνεισάγει Αοίδιμε.

Θεοτοκίον

Δι' εμέ κατ' εμέ εχρημάτισε, βρέφος ο Παντέλειος ανακαινίζων με, καί παλαιωθέντα πάθεσι, διά σού Παναγία Θεόνυμφε.

Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον. Εκ φθοράς ο Θεός με ανάγαγε».

Κοντάκιον τής Εορτής Ήχος δ'

Επεφάνης σήμερον τή οικουμένη, καί τό φώς σου Κύριε, εσημειώθη εφ' ημάς, έν επιγνώσει υμνούντάς σε. Ήλθες εφάνης τό Φώς τό απρόσιτον.

Σ υ ν α ξ α ρ ι ο ν

Τή Η' τού αυτού μηνός, Μνήμη τής Οσίας Μητρός ημών Δομνίκης.

Στίχοι

- Λιπούσα τήν γήν ουρανόφρων Δομνίκα,
- Εις ουρανούς ανήλθεν, ώσπερ ηγάπα.
- Δομνίκαν ογδοάτη πότμου λάβε νύξ ερεβεννή.

Τή αυτή ημέρα, Μνήμη τού οσίου Πατρός ημών Γεωργίου τού Χοζεβίτου.

Στίχοι

- Σύν δάκρυσι σπείραντι τώ Γεωργίω,
- Καιρός θερίζειν εστί σύν ευθυμία.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Ιουλιανού καί Βασιλίσσης καί τών σύν αυτοίς Κελσίου καί Αντωνίου.

Στίχοι

- Ιουλιανώ πολλά καί Βασιλίσση,
- Επαθλακείνται, κειμένοις εκ τού ξίφους.
- Τέμνει κεφαλήν τό ξίφος τήν Κελσίου,
- Καί σύν κεφαλή τή δε τήν Αντωνίου.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Ιερομάρτυρος Καρτερίου.

Στίχοι

- Πάλαιε Καρτέριε πρός πύρ καί δόρυ,
- Τό καρτερόν σου πρός πάλας δεικνύς δύω.

Τή αυτή ημέρα, Μνήμη τού εν αγίοις Πατρός ημών Κύρου, Αρχιεπισκόπου Κωνσταντινουπόλεως. Τελείται δέ η αυτού Σύναξις εν τή σεβασμία Μονή τής Χώρας, καί εν τή Μεγάλη Εκκλησία εν ημέρα Κυριακή.

Στίχοι

- Ο σήν μελίζων σάρκα Κύρος Χριστέ μου,
- Σαρκός διαστάς, σώ παρίσταται θρόνω.

Τή αυτή ημέρα, ο άγιος Αττικός, Πατριάρχης Κωνσταντινουπόλεως, εν ειρήνη τελειούται.

Στίχοι

- Όλην υπερβάς τήν ύλην τού σαρκίου,
- Ήκεις όλος νούς Αττικέ πρός τούς Νόας.

Τή αυτή ημέρα ο άγιος Προφήτης Σαμέας ο Ελαμίτης, εν ειρήνη τελειούται.

Στίχοι

- Εν γή τό μέλλον ουκ έτι χρά Σαμέας,
- Άνω γάρ ούτος ο προφητικός τρίπους.

Τή αυτή ημέρα, ο άγιος Αγάθων εν ειρήνη τελειούται.

Στίχοι

- Ως ηγαθύνθην Αγάθων τήν Καρδίαν,
- Ειρηνικού σού καί μόνου μνησθείς τέλους.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων τού Χριστού Μαρτύρων Θεοφίλου Διακόνου καί Ελαδίου λαϊκού.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον καί σώσον ημάς. Αμήν.

Τού Οσίου

Ωδή ζ'

«Ουκ ελάτρευσαν τή κτίσει οι θεόφρονες, παρά τόν Κτίσαντα, αλλά πυρός απειλήν, ανδρείως πατήσαντες, χαίροντες έψαλλον. Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί».

Ουκ ενέδωκας τοίς πόνοις πιεζόμενος, τοίς τής ασκήσεως, σατανικοίς λογισμοίς, τόν νούν γάρ αρρέμβαστον, πρός τόν δυνάμενον, σώζειν Κύριον, σύ κεκτημένος άπασαν, προσβολήν απετινάξω.

Χαμευνίαις αγρυπνίαις καί νηστείαις σου, πάντα ενέκρωσας, μέλη σου τά επί γής, καί νύν τήν ακήρατον, καί άπονον βιοτήν, ζής Μακάριε, υπέρ ημών δεόμενος, τών υμνούντων σε σύν πόθω.

Τού αεί Όντος τόν τάφον επεθύμησας, άκρως θεάσασθαι, καί προσκυνήσαι Σοφέ, κάν τούτω γενόμενος, έκρινας όσιον, δι' ασκήσεως, συννεκρωθήναι Όσιε, τώ δι' οίκτον νεκρωθέντι.

Θεοτοκίον

Ουκ ελάτρευσαν τή κτίσει οι τόν Κτίστην σε, γνόντες κυήσασαν, αλλά Θεόν αληθή, εκ σού τόν εκλάμψαντα, Λόγον γινώσκοντες, Κόρη κράζουσιν. Ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Τής Οσίας

Αντίθεον πρόσταγμα

Ο νούς σου ταίς νεύσεσι ταίς πρός τό θείον, Θεούμενος πάντοτε, φωτοειδής γεγένηται, εντεύθεν εξέκλινας, τό δυσμενές τής σαρκός, μέλπουσα θεόσοφε. Ο ών ευλογημένος, καί υπερένδοξος.

Μυστήρια θειά σοι αποκαλύπτει, Θεός υπερούσιος, εν σοί αναπαυσάμενος, οράς γάρ φοιτήσαντα άγιον Άγγελον, καί καθαγιάσαντα Σεμνή, τήν τών υδάτων φύσιν εν Πνεύματι.

Ναός θείου Πνεύματος γεγενημένη, ναόν πρός τόν Άγιον, υπάρχουσα ακήκοας, φωνής διδασκούσης σε θεία Μυστήρια, καί τήν εκ τού σώματος, Σεμνή αποδημίαν τού Βασιλεύοντος.

Θεοτοκίον

Ισχύς μου καί ύμνησις καί σωτηρία, υπάρχει ο Κύριος, ο σέ Μητέρα πάναγνον, καί Νύμφην ανύμφευτον προεκλεξάμενος, όν υπέρ τών δούλνω σου αεί, μή διαλίπης πρεσβεύειν Άχραντε.

Τού Οσίου

Ωδή η'

«Παίδας ευαγείς έν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Όλως νυσταγμόν τοίς σοίς βλεφάροις, ουδ' ύπνον τοίς οφθαλμοίς σου Πάτερ έδωκας, έως επιτήδειον καί ωραίον Όσιε, σαυτόν ειργάσω σκήνωμα, τού Παντοκράτορος, όν άπαντα υμνούσι τά έργα, καί υπερυψούσιν, εις πάντας τούς αιώνας.

Εύρηκας ανάπαυσιν τών πόνων, Παμμάκαρ τών αμετρήτων τόν Παράδεισον, όν περ προητοίμασε, τοίς αυτόν ποθήσασιν, από ψυχής ο Κύριος, κοινόν βασίλειον, κραυγάζουσιν απαύστως. Υμνείτε, καί υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Εύρεν η μονή τού Χοζεβά σε, κανόνα καί ακριβέστατον παράδειγμα, άπαν μετερχόμενον, εναρέτων πράξεων, είδος Οσίων καύχημα, σοφέ Γεώργιε, διό βεβιωκότες ενθέως, μετά σού σκιρτώσιν, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Ώφθη ο απλούς τή θεία φύσει, εκ σού Θεομήτορ όντως σύνθετος, έλεος δι' άφατον, τή αυτού θεότητι, σάρκα τήν εξ αιμάτων σου υποστησάμενος, διό σε Θεοτόκον ειδότες ανυμνολογούμεν, εις πάντας τούς αιώνας.

## Τής Οσίας

## Τόν εν καμίνω

Κεκοσμημένη αρεταίς, καί θαυμάτων κροσσωτοίς πεποικιλμένη, πρός ωραίον νυμφώνα, τού Βασιλέως Χριστού, Δομνίκα ανέδραμες ψάλλουσα, καί υπερυψούσα, αυτόν εις τούς αιώνας.

Ακολουθήσασα Χριστώ, ως ποιμένι καθαρώ αμνάς Τιμία, πρός Ουράνιον μάνδραν, τών επισήμων εν ώ, προβάτων συναυλία πέφυκεν, εν αγαλλιάσει, εσκήνωσας Αγία.

Νεύσει Θεού παντουργική, τήν απόθεσιν τού σού μαθούσα σκήνους, χαριστήριον αίνον, καθαρωτάτη ψυχή, τώ πάντων Αιτίω προσέφερες, ού τό σόν εις χείρας, Σεμνή παρέθου πνεύμα.

## Θεοτοκίον

Ουπερούσιος Θεός, ουσιούται δι' ημάς τών σών εκ σπλάγχνων, τήν φθαρείσαν ουσίαν, ανακαινίσαι ζητών, δι' οίκτον Παρθένε καί έλεον, ο δεδοξασμένος, εις πάντας τούς αιώνας.

## Ο Ειρμός

«Τόν εν καμίνω τού πυρός, τών Εβραίων τοίς Παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον, μεταβαλόντα Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

## Τού Οσίου

## Ωδή θ'

«Άπας γηγενής, σκιρτάτω τώ πνεύματι, λαμπαδουχούμενος, πανηγυριζέτω δέ, αϋλων Νόων φύσις γεραίρουσα, τήν Ιεράν πανήγυριν τής Θεομήτορος, καί βοάτω. Χαίροις παμμακάριστε, θεοτόκε Αγνή αειπάρθενε».

Άπασαν τρυφήν, τού βίου κατέπτυσας, Πάτερ θεσπέσιε, διά τήν ουράνιον, τρυφήν καί δόξαν, σκληραγωγία γάρ, σύ τών παθών εσπούδασας, σβέσαι τήν κάμινον, καί πολλοίς σου, δάκρυσι Γεώργιε, Μοναζόντων σεμνόν εγκαλλώπισμα.

Νύν ως αληθώς, Θεού κατενώπιον, ίστασαι Πάνσοφε, ώ περ δι' ασκήσεως, οικειωθήναι πρότερον έσπευσας, καί τών αυτού εμφάσεων, κατατρυφάς εμφανώς, όθεν πάσι, δίδου τοίς τιμώσί σε, φωτισμόν καί τών θείων τήν μέθεξιν.

Ήρθης πρός τό φώς, τό άδυτον Ένδοξε, σκότους τού βίου ρυσθείς, καί τώ παντοκράτορι, καί τρισηλίω Φωτί παρίστασαι, μετά τών άνω τάξεων, καί τής εκείθεν τρυφάς, πεμπομένης, λάμψεως Μακάριε, καί ημάς φρυκτωρείς τούς υμνούντάς σε.

### Θεοτοκίον

Όλον με Θεός, Θεώσαι βουλόμενος, όλος ενούταί σοι, καί τό ακατάληπτον, καινοτομείται πάσι Μυστήριον, τίκτεις Παρθένος άφθορος, καί σάρξ οράται Θεός, όν τιμώντες, σέ νύν μακαρίζομεν, Μαριάμ ως αυτή προεφήτευσας.

### Τής Οσίας

### Τόν εκ Θεού Θεόν Λόγον

Ιερώταται χορείαι, τή σεπτή σου κοιμήσει, εξάρχουσαι τής θείας σου ψυχής, τοίς καθορώσιν εφάνησαν, Ιεραίς μελωδίαις, εις τόπον οδηγούσαί σε σκηνής θαυμαστής, ένθα ήχος, εορταζόντων Ένδοξε.

Ως τής αμπέλου συ θείον, ευφορώτατον κλήμα, φανείσα κατανύξεως ημίν, θείους εξήνθησας βότρυας, αναβλύζοντας οίνον, ιάσεων Δομνίκα τών ψυχών, καί καρδίας τών πίστει, Τιμώντων σε ευφραίνοντας.

Σωματικών παθημάτων, ψυχικών τε κηλίδων, καί πάσης τού εχθρού επιβουλής, ρύσαι ημάς ταίς πρεσβείαις σου, τούς τή σκέπη σου πόθω προσφεύγοντας Δομνίκα καί τήν σήν, Εορτήν εκτελούντας, τήν θείαν καί σεβάσμιον.

Ηλιακήν ως ακτίνα καταυγάζουσαν πάντας, ως νύμφην τού Χριστού περικαλή, καί ως Τρυγόνα φιλόσεμνον, ως Ελαίαν ως Κέδρον, ως ούσαν εκλεκτήν Περιστεράν, ευφημούμέν σε πάντες, Δομνίκα κυριώνυμε.

### Θεοτοκίον

Φείσαί μου Κύριε φείσαι, όταν μέλλης με κρίναι, καί μή καταδικάσης με εις πύρ, μή τώ θυμώσου ελέγξης με, δυσωπεί σε Παρθένος, η σέ κυοφορήσασα Χριστέ, τών Αγγέλων τά πλήθη, καί τών Οσίων τάγματα.

### Ο Ειρμός

«Τόν εκ Θεού Θεόν Λόγον, τόν αρρήτω σοφία, ήκοντα καινουργήσαι τόν Αδάμ, βρώσει φθορά πεπτωκότα δεινώς, εξ αγίας Παρθένου, αφράστως σαρκωθέντα δι' ημάς, οι πιστοί ομοφρόνως, εν ύμνοις μεγαλύνομεν».

### Εξαποστειλάριον τής Οσίας

### Επεσκέψατο ημάς

Τών γηΐνων καί φθαρτών, καταφρονήσασα Σεμνή, τώ διαπύρω πρός Χριστόν, ζήλω σου τών εν ουρανοίς, αφθάρτων επεθύμησας, Χριστός όθεν σε στέφει, αφθάρτοις εν στέμμασι.

### Καί τής Εορτής

### Επεσκέψατο ημάς

Επεφάνη ο Σωτήρ, ή χάρις η αλήθεια, εν ρείθροις τού Ιορδάνου, καί τούς εν σκότει καί σκιά, καθεύδοντας εφώτισε, καί γάρ ήλθεν εφάνη, τό φώς τό απρόσιτον.

### Απόστιχα Στιχηρά Προσόμοια

### Ήχος β'

Οίκος τού Εφραθά

Μέγα καί φοβερόν, μυστήριον τελείται! Δεσπότης γάρ τών όλων, βροτών εις ρύψιν πάντων, χειρί δούλου βαπτίζεται.

Στίχ. Η θάλασσα είδε καί έφυγεν, ο Ιορδάνης εστάφη εις οπίσω.

Άνωθεν ο Πατήρ, εβόα. Ούτος έστιν, Υιός αγαπητός μου, ο εν ρείθροις Ιορδάνου, σαρκί νύν βαπτιζόμενος.

Στίχ. Τί σοί εστι θάλασσα, ότι έφυγες; καί σοί Ιοράνη ότι ανεχώρησας εις τά οπίσω;

Τάξεις Αγγελικαί, ιδούσαι τόν Δεσπότην, ομοιωθέντα δούλοις, καί ρείθροις βαπτισθέντα, υμνούσαι εξεπλήττοντο.

Δόξα... Καί νύν... όμοιον

Ήλθεν ο φωτισμός, η λύτρωσις εφάνη, εν Ιορδάνη, δεύτε, συνέλθωμεν ρυφθήναι, φαιδρώς συνεορτάζοντες.

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Θ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Μάρτυρος Πολυεύκτου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής.

Ήχος πλ. δ'
Κύριε εί καί κριτηρίω

Κύριε, εί καί Ιωάννη παρέστης, εν Ιορδάνη ως άνθρωπος, αλλ' ουκ απελείφθης τού θρόνου, τώ Πατρί συγκαθεζόμενος, καί βαπτισθείς δι' ημάς, τόν κόσμον ηλευθέρωσας, εκ τής δουλείας τού αλλοτρίου, ως οικτίρμων καί φιλάνθρωπος.

Κύριε, εί καί Ιορδάνου τά ρείθρα, περιεβάλου ως άνθρωπος, αλλ' εμαρτυρήθης εξ ύψους, τή καταβάσει τού Πνεύματος, καί η φωνή τού Πατρός, Υιόν σε εμαρτύρησεν, αλλ' εμφάνηθι καί παράσχου, αφθαρσίαν ταίς ψυχαίς ημών.

Κύριε, σύ εκ τού Πατρός πρό αιώνων, γεννηθείς ο αναλλοίωτος, ήλθες επ' εσχάτων τών χρόνων, καί μορφήν δούλου ανέλαβες, καί τήν εικόνα τήν σήν, ως Κτίστης ανεκαίνισας, βαπτισθείς γάρ εδωρήσω, αφθαρσίαν ταίς ψυχαίς ημών.

Στιχηρά Προσόμοια τού Αγίου
Ήχος α'
Τών ουρανίων ταγμάτων

Δαυϊτικώς ως εκ λάκκου, ταλαιπωρίας Χριστός, καί εκ πηλού ιλύος, τών ειδώλων τής πλάνης, ανήγαγέ σε Μάρτυς, έστησε γάρ, επί πέτραν τούς πόδας σου, τής εαυτού επιγνώσεως μυστικώς, όν ικέτευε σωθήναι ημάς.

Ούτε συζύγου ο πόθος, ούτε τών τέκνων στοργή, ού κηδεστού αξία, ούτε περιουσία, κτημάτων ή χρημάτων, σού τό στερρόν, τής ψυχής παρεσάλευσαν, από τής Πίστεως όντως τής εις Χριστόν, παμμακάριστε Πολύευκτε.

Καί πρό τής χάριτος Μάκαρ, τής σής αθλήσεως, δικαιοσύνης έργοις, αληθώς εκοσμήθης, όθεν μετά ταύτα, Μάρτυς πιστός, ηξιώθης γενέσθαι Χριστού, εν τώ ιδίω σου αίματι βαπτισθείς, εις τόν θάνατον αυτού ευσεβώς.

Δόξα... Τού Αγίου
Ήχος α' Βύζαντος

Τά τών Αγγέλων στρατεύματα, σήμερον χορεύουσιν, επί τή μνήμη τού Μάρτυρος Πολυεύκτου, καί τών ανθρώπων τό γένος, πιστώς πανηγυρίζει, καί χαρμονικώς εκβοά. Χαίροις Πανεύφημε, ο τού πολυπλόκου Βελίαρ, τά ένεδρα τροπωσάμενος, καί τής νίκης τόν στέφανον, παρά Χριστού αναδησάμενος. Χαίροις Στρατιώτα τού μεγάλου Βασιλέως, καί Σωτήρος ημών, ο τούς βωμούς τών ειδώλων καταστρεψάμενος. Χαίροις Μαρτύρων εγκαλλώπισμα. Πρέσβευε λυτρωθήναι από πάσης ανάγκης, τούς εν πίστει εκτελούντας, τήν αεισέβαστον μνήμην σου.

Καί νύν... Τής Εορτής
Ήχος β'

Σήμερον ο ουρανού καί γής Ποιητής, παραγίνεται σαρκί εν Ιορδάνη, βάπτισμα αιτών ο αναμάρτητος, ίνα καθάρη τόν κόσμον από τής πλάνης τού εχθρού, καί βαπτίζεται υπό δούλου ο Δεσπότης τών απάντων, καί καθαρισμόν δι' ύδατος, τώ γένει τών ανθρώπων δωρείται. Αυτώ βοήσωμεν, ο επιφανείς Θεός ημών, δόξα σοι.

Απόστιχα Στιχηρά Προσόμοια
Ήχος πλ. β'
Τριήμερος ανέστης Χριστέ

Επέστης εν τοίς ύδασιν, ο πάσιν ακατάληπτος, τώ Προδρόμω, υποκλίνας κεφαλήν, καί κόσμον αγιάσας, δουλείας ελυτρώσω, τώ βαπτισμώ σου Αναμάρτητε.

Στίχ. Η θάλασσα είδε καί έφυγεν, ο Ιορδάνης εστάφη εις οπίσω.

Υιόν αγαπητόν ο Πατήρ, εκ τών υψίστων άνωθεν, καί τό Πνεύμα εμαρτύρει σε Χριστέ, δι' ού τό τής Τριάδος, μυστήριον εγνώσθη, εν, Ιορδάνη βαπτισθέντος σου.

Στίχ. Τί σοί εστι θάλασσα, ότι έφυγες; καί σοί Ιοράνη ότι ανεχώρησας εις τά οπίσω;

Η γίασας τά ρείθρα Σωτήρ, τού Ιορδάνου άπαντα, καί τήν φύσιν, τών υδάτων ως Θεός, διό σε καί δοξάζει, τό γένος τών ανθρώπων, καί ανυμνεί σήν Επιφάνειαν.

Δοξα... Καί νύν... Ήχος δ'

Ο αναβαλλόμενος φώς ως ιμάτιον, δι' ημάς καθ' ημάς γενέσθαι κατηξίωσε, ρείθρα περιβάλλεται σήμερον τά Ιορδάνια, ουκ αυτός τούτων, πρός κάθαρσιν δεόμενος, αλλ' ημίν εν εαυτώ, οικονομών τήν αναγέννησιν. Ώ τού θαύματος! δίχα πυρός αναχωνεύει, καί αναπλάττει άνευ συντρίψεως, καί σώζει τούς εις αυτόν φωτιζομένους, Χριστός ο Θεός, καί Σωτήρ τών ψυχών ημών.

Απολυτίκιον

Ήχος δ' Ταχύ προκατάλαβε

Ο Μάρτυς σου, Κύριε, εν τή αθλήσει αυτού, τό στέφος εκομίσατο τής αφθαρσίας, εκ σού τού Θεού ημών, έχων γάρ τήν ισχύν σου, τούς τυράννους καθείλεν, έθραυσε καί δαιμόνων, τά ανίσχυρα θράση. Αυτού ταίς ικεσίαις, Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

Απολυτίκιον τής εορτής Ήχος α'

Εν Ιορδάνη βαπτιζομένου σου Κύριε, η τής Τριάδος εφανερώθη προσκύνησις, τού γάρ Γεννήτορος η φωνή προσεμαρτύρει σοι, αγαπητόν σε Υιόν ονομάζουσα, καί τό Πνεύμα εν είδει περιστεράς, εβεβαίου τού λόγου τό ασφαλές. Ο επιφανείς Χριστέ ο Θεός, καί τόν κόσμον φωτίσας δόξα σοι.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ

Τοίς οικτιρμοίς σου ο Θεός δυσωπούμενος, τό πλανηθέν απολωλός εξεζήτησας, διά σπλάγχνα ελέους σου φιλάνθρωπε, όθεν παραγέγονας, επί τόν Ιορδάνην, γνωρίσαι τό μυστήριον, τής Αγίας Τριάδος, καί ανυμνούντες κραυγάζομεν πιστώς. Ήλθες εφάνης τό Φώς τό απρόσιτον.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος πλ. δ'

Ανέστης εκ νεκρών

Επέφανεν ημίν, ο τών όλων Δεσπότης, εν ρείθροις μυστικώς, Ιορδάνου χωνεύσαι, πάσαν τήν αμαρτίαν, ως ελεήμων καί υπεράγαθος, πάσα κτίσις

σκιρτάτω, ότι βαπτίζεται Χριστός ο Κύριος, ο ευδοκήσας σώσαι ως Θεός, τό γένος τών ανθρώπων.

Δόξα... Καί νύν... Τό αυτό

Ο Κανών τής Εορτής καί τού Αγίου, ού η ακροστιχίς.

Τήν σήν δίδου μοι Μάρτυς ευκταίαν χάριν
Θεοφάνους

Ωδή α' Ήχος πλ. δ'

«Η κεκομμένη, τήν άτομον έτεμε, καί είδεν ήλιος γήν, ήν ουκ εθεάσατο, αλάστορα εχθρόν τό ύδωρ κατεπόντισε, καί άβατον διήλθεν Ισραήλ, ωδή ανεμέλπετο. Τώ Κυρίω άσωμεν, ενδόξως γάρ δεδόξασται

Τής πολυεύκτου, τρυφής εμφορούμενος, καί μακαρίας αίγλης, ένδοξε πληρούμενος, καί τής Αγγελικής χορείας αξιούμενος, τούς τήν σήν ευφημούντας Εορτήν, Πολύευκτε περίσωζε, τώ Κυρίω ψάλλοντας. Ενδόξως γάρ δεδόξασται.

Η φωτοφόρος, καί εύσημος μνήμη σου, φωτος τού θειοτάτου, πλήρης ανατέταλκε, φωτίζουσα λαμπρώς, τούς πίστει ανυμνούντάς σε, γενναίε στρατιώτα τού Χριστού, Πολύευκτε πανόλβιε, τώ Κυρίω ψάλλοντας. Ενδόξως γάρ δεδόξασται.

Νενευρωμένος, ισχύϊ τού Πνεύματος, καί θείαν δυναστείαν, Μάκαρ ενδυσάμενος, εχώρησας στερρώς, πρός τήν πάλην τού αλάστορος, καί τούτον κατά κράτος καθελών, προθύμως ανεκραύγαζες. Τώ Κυρίω άσωμεν, ενδόξως γάρ δεδόξασται.

Θεοτοκίον

Σεσαρκωμένον, τόν πρότερον άσαρκον, Παρθένε Θεοτόκε, τέτοκας πανάχραντε, πανάμωμος σαφώς, Παρθένος διαμείνασα, τόν πλούτω ευσπλαγχνίας δι' ημάς, πτωχεύσαντα καί σώσαντα τούς αυτώ κραυγάζοντας, ενδόξως γάρ δεδόξασται.

Ωδή γ'

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Ήμειψας τό φρόνημα, πρός τήν ευσέβειαν άνωθεν, αξιωθείς, θείας οπτασίας, τού Σωτήρος Πολύευκτε.

Νίκης εφιέμενος, πάντων κατέπτυσας Ένδοξε, τών επί γής, καί τής ουρανίου, κληρουχίας ηξίωσαι.

Δόξης ορεγόμενος, τής υπέρ έννοιαν ώρμησας, καρτερικώς, καί τήν τών ειδώλων, αδοξίαν κατέβαλες.

Θεοτοκίον

Ιθυνόν μοι Δέσποινα, τά διαβήματα, ίνα σου, πρός τόν Υιόν, δι' επαινουμένης, πολιτείας πορεύσωμαι.

Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Κάθισμα τού Αγίου

Ήχος πλ. α'

Τόν συνάναρχον Λόγον

Ως καλός στρατιώτης Χριστού τού πάντων Θεού, έν τή χάριτι τούτου ενδυναμούμενος, όλον μετέθηκας σαυτόν, εν τή αγάπη αυτού, διά Νεάρχου τού πιστού, συστρατιώτου σου σοφέ, διό νομιμως αθλήσας, αξίως εστεφανώθης, παρά Κυρίου Μάρτυς Πολύευκτε.

Δόξα... Καί νύν...

Τής Εορτής όμοιον

Ιορδάνου τό ρείθρον περιβαλλόμενος, ο τό φώς παραδόξως αναβαλλόμενος, εν αυτώ τήν τού Αδάμ, φύσιν ανέπλασας, συντριβείσαν πονηρά, παρακοή Λόγε Θεού, διό σε ανευφημούμεν, καί τήν αγίαν σου πάντες, δοξολογούμεν Επιφάνειαν.

Ωδή γ'

«Σύ μου ισχύς, Κύριε, σύ μου καί δύναμις, σύ Θεός μου, σύ μου αγαλλίαμα, ο Πατρικούς κόλπους μή λιπών, καί τήν ημετέραν, πτωχείαν επισκεψάμενος, διό σύν τώ Προφήτη, Αββακούμ σοι κραυγάζω, τή δυνάμει σοι δόξα φιλάνθρωπε».

Δι' ευσεβούς, ομολογίας Πανάριστε, τώ Δεσπότη, σαυτόν προσενήνοχας, τήν δι' αυτόν, Ένδοξε σφαγήν, πόθω δεδεγμένος, καί μώμου παντός ελεύθερος, γενόμενος εντεύθεν, τώ Σωτήρι κραυγάζεις. Τή δυνάμει σου δόξα Φιλάνθρωπε.

Ο γλυκασμός, τής ευσεβείας ηδύνθη σοι, επτερώθης, θείας αγαπήσεως, τώ καθαρώ καί ειλικρινεί, πόθω τετρωμένος, καί έρωτι πυρπολούμενος, τής άνω Βασιλείας, μελωδείς τώ Δεσπότη. Τή δυνάμει σου δόξα Φιλάνθρωπε.

Υπερφυεί, ομοφροσύνη συνδούμενος, τώ Νεάρχω, τούτου τε τοίς ρήμασι, κατηχηθείς, πρός τήν ευσεβή, πίστιν τής Τριάδος, θεόφρον Μάρτυς Πολύευκτε, τής όντως πολυεύκτου, καί τής πεποθημένης, ηξιώθης Μαρτύρων φαιδρότητος.

Μαρτυρικοίς συνηριθμήθης στρατεύμασι, βασιλείαν, έλαβες ασάλευτον, νεοσφαγής, ταύτης επιβάς, έτι τών αιμάτων, σταζόντων, ήχθης δέ Πάνσοφε,

χαράς αδιαδόχου, καί φωτός ανεσπέρου, καί μεγάλης ευκλείας τευξόμενος.

Θεοτοκίον

Ο μοιωθείς, τοίς επί γής ο ουράνιος, ουρανίους, τούτους απειργάσατο, καί πεπονθώς, φύσει παθητή, θείας απαθείας, τήν μέθεξιν εδωρήσατο, τήν τούτον ούν τεκούσαν, απειρόγαμον Κόρην, Θεοτόκον ειδότες δοξάζομεν.

Ωδή ε'

«Ίνα τί με απώσω, από τού προσώπου σου το φώς τό άδυτον, καί εκάλυψέ με, τό αλλότριον σκότος τόν δείλαιον, αλλ' επίστρεψόν με, καί πρός τό φώς τών εντολών σου, τάς οδούς μου κατεύθυνον δέομαι».

Ίνα τής αϊδίου, τύχης απολαύσεως Μακαριώτατε, τά τερπνά τού βίου, καί τής φύσεως τήν οικειότητα, καί τρυφήν καί δόξαν, καί τήν ζωήν αυτήν παρείδες, καί ελπίδος τής σής ου διήμαρτες.

Μεμυσταγωγημένος, τά τής θείας όψεως θεία μυστήρια, σταθερά τή γνώμη, πρός τελείους αγώνες εχώρησας, καί τροπαιοφόρος, αναδειχθείς τών ακηράτων, ηηξιώθης στεφάνων Πολύευκτε.

Αθεώτατον σέβας, φύσει μισοπόνηρον έχων τό φρόνημα, ευσεβώς απώσω, καί Θεούς τούς ματαίους κατέστρεψας, ευσεβείας ζήλω πυρποληθείς καί προθυμίας, θεοπνεύστου πλησθείς Παναοίδιμε.

Θεοτοκίον

Ρήσεσι τών χειλέων, Πάναγνε επόμενοι σέ μακαρίζομεν, μετά σού γάρ όντως, μεγαλεία ποιήσας ο Κύριος, εμεγάλυνέ σε, καί αληθή Θεού Μητέρα, γεννηθείς εκ γαστρός σου ανέδειξεν.

Ωδή ς'

«Άβυσσος αμαρτιών, καί πταισμάτων καταιγίς με ταράττει, καί πρός βυθόν βιαίας συνωθεί απογνώσεως, αλλ' αυτός τήν κραταιάν, χείρά μοι έκτεινον, ως τώ Πέτρω, καί εκ βυθού ανάγαγε».

Τάξεως Αγγελικής, ηξιώθης αξιάγαστε Μάρτυς, αγγελικόν τόν ζήλον, προφανώς ενδειξάμενος, σύν αυτοίς ούν εκτενώς, Μάκαρ ικέτευε λυτρωθήναι, εκ πειρασμών τούς ανυμνούντάς σε.

Ύπνωσας αγαπητοίς,, Αθλητά τόν οφειλόμενον ύπνον, αποτμηθείς τήν κάραν, διά ξίφους πολύαθλε, καί τανύν εν ουρανοίς, κλήρον ακήρατον εκληρώσω, μετά Μαρτύρων αυλιζόμενος.

Σύμμορφος καί κοινωνός, παθημάτων τού Σωτήρος εγένου, τού δι' ημάς τώ πάθει, τού Σταυρού ομιλήσαντος, καί νύν Μάκαρ σύν αυτώ, ως επηγγείλατο βασιλεύεις, εις τόν αιώνα τόν απέραντον.

Θεοτοκίον

Έχουσα τό συμπαθές, ως τεκούσα τόν φιλάνθρωπον Λόγον, σώσον ημάς

βιαίας, καί δεινής περιστάσεως, σέ γάρ μόνον οι πιστοί, πάναγνε Δέσποινα προστασίαν, ακαταμάχητον κεκτήμεθα.

Ο Ειρμός

«Άβυσσος αμαρτιών, καί πταισμάτων καταιγίς με ταράττει, καί πρός βυθόν βιαίας συνωθεί απογνώσεως, αλλ' Αυτός τήν κραταιάν, χείρά μοι έκτεινον, ως τώ Πέτρω, καί εκ βυθού φθοράς ανάγαγε».

Κοντάκιον τού Αγίου

Ήχος δ'

Επεφάνης σήμερον

Ο Δεσπότης κλίνας μέν εν Ιορδάνη, κεφαλήν συνέτριψε, τάς τών δρακόντων κεφαλάς, τού Αθλοφόρου η κάρα δέ, αποτμηθείσα τόν δόλιον ήσχυνεν.

Ο Οίκος

Εν Ιορδάνη ποταμώ, ο Κτίστης τών απάντων, τήν κάραν υποκλίνας, τό Βάπτισμα λαμβάνει, καί τών δρακόντων κεφαλάς αοράτως συνθλάσας, ρώμην παρέσχε τοίς βροτοίς κατά τού μεγαλόφρονος, τού πρίν εν Παραδείσω πτερνίσαντος τόν Αδάμ, εν βρώσει τή τού ξύλου, καί θανάτω υποβαλόντος αυτόν παρ' ελπίδα. Διό ο αθλητής νύν Πολύευκτος, κολακείαις γυναικός μή υποκύψας, ήθλησε στερρώς, προτείνας τήν κάραν, ήνπερ αποτμηθείσα, τόν δόλιον ήσχυνε.

Συναξάριον

Τή Θ' τού αυτού μηνός, Μνήμη τού Αγίου Μάρτυρος Πολυεύκτου.

Στίχοι

- Ο Πολύευκτος, ού πάθος τομή Λόγε,
- Πολλής δι' ευχής, είχε σού παθείν χάριν.
- Αμφ' ενάτην Πολύευκτε τομή μέγα δώκέ σου εύχος.

Τή αυτή ημέρα, Μνήμη τού οσίου Πατρός ημών Ευστρατίου τού θαυματουργού.

Στίχοι

- Κάν Ευστρατίου πνεύμα λαμβάνη πόλος,
- Τό σωμα τή γή θαυμάτων βλύζει χάριν.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον καί σώσον ημάς. Αμήν.

Ωδή ζ'

«Θεού συγκατάβασιν, τό πύρ ηδέσθη εν Βαβυλώνι ποτέ, διά τούτο οι Παίδες εν τή καμίνω αγαλλομένω ποδί, ως εν λειμώνι χορεύοντες έψαλλον. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών».

Υπέδειξας Δέσποτα, τώ σώ οικέτη τήν δυναστείαν σου, διά τούτο Προθύμως, πρός τούς αγώνας, ήλθεν αυτόκλητος, καί νικηφόρος γενόμενος έψαλλεν. Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Κλητή καί πανεύσημος, η εορτή σου Μάρτυς ανέτειλε, τής γάρ επιφανείας τού σού Δεσπότου, φώς επιφέρεται, καί καταυγάζει τούς πίστει κραυγάζοντας. Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Τόν πλούτον τόν άσυλον, τό διαμένον εύρες αξίωμα, καί τό μη διαπίπτον, αλλ' εις αιώνας αϊδιούμενον, είληφας κλέος, κραυγάζων θεσπέσιε. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Ανάρχω Γεννήτορι, τόν συννημένως αεί νοούμενον, συλλαβούσα Παρθένε, σεσαρκωμένον Υιόν γεγέννηκας, διά τό σώσαι τούς πίστει κραυγάζοντας. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

## Ωδή η'

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν, εμμανώς εξέκαυσε. δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, τόν Δημιουργόν, καί Λυτρωτήν ανεβόα, οι παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Ιερουργείται σήμερον, η πολύευκτος, μνήμη σου, Μάρτυς τού Χριστού, αθλοφόρε Πολύευκτε. Χριστώ γάρ ευάρεστος, δεκτή θυσία γέγονας, τώ σφαγιασθέντι, διά σέ καί τυθέντι, όν παίδες ευλογούσιν, ιερείς ανυμνούσι, λαοί υπερυψούσιν, εις πάντας τούς αιώνας.

Αθλητικην τήν ένστασιν, Αθλητά μέχρις αίματος, επιδεδειγμένος, επί γής Πολύευκτε, παστάδα πολύφωτον, εν ουρανοίς εσκήνωσας, τή τών σών αιμάτων, βαπτισθείς κολυμβήθρα, καί μέλπων. Τόν Δεσπότην, Ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Νενεκρωμένην πταίσμασι, τήν ψυχήν μου ανάστησον, τή μαρτυρική σου, παρρησία χρώμενος, τοίς θείοις προστάγμασι, διαρρυθμίζων Ένδοξε, αξιοπρεπώς, πρός αρετήν επιστρέφων, βοώσαν. Τόν Δεσπότην, Ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Χαίρε δι' ής εσχήκαμεν, τήν χαράν τήν αιώνιον. Χαίρε τό τής Εύας, σκυθρωπόν η λύσασα, Αδάμ τήν κατήφειαν, πρός τό φαιδρόν η τρέψασα. Χαίρε η Θεόν, σωματωθέντα τεκούσα, Παρθένε Θεοτόκε, τών πιστών η προστάτις, τών σέ υπερυψούντων, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν, εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, τόν Δημιουργόν, καί Λυτρωτήν ανεβόα, οι παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

## Ωδή θ'

«Έφριξε πάσα ακοή, τήν απόρρητον Θεού συγκατάβασιν! όπως ο Ύψιστος, εκών κατήλθε μέχρι καί σώματος, παρθενικής από γαστρός, γενόμενος άνθρωπος. Διό τήν άχραντον, Θεοτόκον οι πιστοί μεγαλύνομεν».

Άγε δή τόν θεοστεφή, φιλομάρτυρες υμνήσωμεν Μάρτυρα, όν συνεδόξασε, τή φωτωνύμω αυτού ο Ύψιστος, Επιφανεία καί σεπτή, ημέρα τετίμηκε, καί εστεφάνωσε, καί ενθέοις αρεταίς κατεκόσμησε.

Ρεύμασι τών μαρτυρικών, εκχυθέντων σου αιμάτων απέπνιξας, τόν δυσμενέστατον, τόν τήν κακίαν δημιουργήσαντα, τήν Εκκλησίαν δέ Χριστού, αρδεύων εφαίδρυνας, θεομακάριστε, τήν εν πίστει σε αεί μακαρίζουσαν.

Ίθι μοι Μάρτυς αρρωγός, πειρασμών με εκ ποικίλων ρυόμενος, καί περιστάσεων, δεσμών τε λύων τής αιρέσεως, καί χαλεπής ελευθερών, φρουράς ταίς πρεσβείαις σου, τόν ανυμνούντά σε, διανοία καθαρά παναοίδιμε.

### Θεοτοκίον

Νόμου τε σύ καί Προφητών, τό κεφάλαιον Χριστόν καί τό πλήρωμα, Πάναγνε τέτοκας, δι' ευσπλαγχνίας, απειροντπέλαγος, ενανθρωπήσαι δι' ημάς, εκ σού ευδοκήσαντα, καί διασώσαντα, τούς εν πίστει σε αεί μεγαλύνοντας.

### Ο Ειρμος

«Έφριξε πάσα ακοή, τήν απόρρητον Θεού συγκατάβασιν! όπως ο Ύψιστος, εκών κατήλθε μέχρι καί σώματος, παρθενικής από γαστρός, γενόμενος άνθρωπος. Διό τήν άχραντον, Θεοτόκον οι πιστοί μεγαλύνομεν».

### Εξαποστειλάριον τού Αγίου
### Εν πνεύματι τώ ιερώ

Πολύευκτον κτησάμενος, εκ ψυχής Πολυεύκτου, τόν πλούτον τόν ουράνιον, ώ Πολύευκτε μάκαρ, καί δόξαν καί λαμπροτητα, εν Θεώ γενόμενος, καί στέφος θείον εδέξω, εκ χειρός τού Υψίστου, σύν Μαρτύρων τοίς χοροίς, ως Μάρτυς τής αληθείας.

### Έτερον τής Εορτής  όμοιον

Εν δουλικώ τώ σχήματι, παραγέγονας Λόγε, καί Βάπτισμα ο άχρονος, ως βροτός επεζήτεις, εξέστη γή καί ουρανός, καί Αγγέλων τάγματα, καί τών υδάτων η φύσις, ο δέ Πρόδρομος πτήξας, εν δειλία καί χαρά, τήν λειτουργίαν ετέλει.

### Απόστιχα Στιχηρά Προσόμοια
### Ήχος πλ. β'
### Αι Αγγελικαί

Φράσον καί ειπέ, ώ Προφήτα Ησαία. Τίς ο κεκραγώς, εν ερήμω τή βοήσει; Αντλήσατε δή ύδωρ, ευφροσύνης καθάρσιον. Ούτος Ιωάννης ο βαπτίζων, εν τή ερήμω καί βοήσας, Χριστός έρχεται. Ευλογημένος ο φανείς, Θεός ημών δόξα σοι.

Στίχ. Η θάλασσα είδε καί έφυγεν, ο Ιορδάνης εστάφη εις οπίσω.

Ώ τής υπέρ νούν, καί αφάτου ευσπλαγχνίας! πώς ο Ποιητής, τώ ποιήματι προσκλίνει, τήν άχραντον καί θείαν, κορυφήν τώ βαπτίσματι! Δόξα τώ φανέντι εν τώ κόσμω, καί ζωήν ημίν παρεσχηκότι, εν ώ ψάλλομεν. Ευλογημένος ο φανείς, Θεός ημών δόξα σοι.

Στίχ. Τί σοί εστι θάλασσα, ότι έφυγες; καί σοί Ιοράνη ότι ανεχώρησας εις τά οπίσω;

Ως επιβλαβών, τών γηϊνων απαχθέντες, δεύτε νοητώς, καθαρθώμεν τάς αισθήσεις, καί τόν Χριστόν ιδόντες εν σαρκί βαπτιζόμενον, υπό Ιωάννου τού Προδρόμου, πάντες σύν αυτώ υμνολογούντες, πιστώς κράξωμεν. Ευλογημένος ο φανείς, Θεός ημών δόξα σοι.

Δόξα... Καί νύν... όμοιον

Τρυφή ζωτική, εκ χειμάρρου Ιορδάνου, ανέβλυσεν ημίν, τού Βαπτίσματος η χάρις, εν ώ οι φωτισθέντες, τώ Βαπτίσματι λέγομεν, Δόξα τώ φανέντι εν τώ κόσμω, καί ζωήν ημίν παρεσχηκότι, ώ καί ψάλλομεν. Ευλογημένος ο φανείς, Θεός ημών δόξα σοι.

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Ι' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών εν Αγίοις Πατέρων ημών Γρηγορίου Επισκόπου Νύσσης, καί Δομετιανού Επισκόπου Μελιτηνής.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις το, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τού Γρηγορίου.

Ήχος πλ. α'
Όσιε Πάτερ

Όσιε Πάτερ, Ιερώτατε Γρηγόριε, ο κάλαμος ο πλήρης τής Παρακλήτου πνοής, καί γλώσσα τρανοτάτη τής ευσεβείας, λύχνος πολύφωτος, τής θείας αυγής, κήρυξ αληθείας, κρηπίς θεολογίας, πηγή δογμάτων τών υψηλών, τών διδαγμάτων χειμάρρους τών μελιρρύτων, λύρα θεόφθογγος ασμάτων θεογράφων, η καθηδύνουσα πιστών τάς διανοίας, Χριστόν ικέτευε, Χριστόν δυσώπει Πάνσοφε, τόν εν ρείθροις τού Ιορδάνου, αναπλάσαντα κόσμον, σώσαι τάς ψυχάς ημών.

Όσιε Πάτερ, πανσεβάσμιε Γρηγόριε, ο πέλεκυς ο κόπτων αιρετικών τάς ορμάς, η δίστομος ρομφαία τού Παρακλήτου, μάχαιρα τέμνουσα τάς νόθους σποράς, πύρ τάς φρυγανώδεις αιρέσεις καταφλέγον, καί πτύον όντως

γεωργικόν, ώ τό βαρύ τε καί κούφον τών δογμάτων, ευ διακρίνεται, καί στάθμη ακριβείας, πάντας ιθύνουσα, πρός τρίβους σωτηρίας, Χριστόν ικέτευε, Χριστόν δυσώπει πάντοτε, τόν εν ρείθροις τού Ιορδάνου, αναπλάσαντα κόσμον, σώσαι τό γένος ημών.

Όσιε Πάτερ, παμμακάριστε Γρηγόριε, τό στόμα τό πηγάζον τάς μακαρίας φωνάς, εκ τών αδαπανήτων τού σωτηρίου, απαρυόμενον καί θείων πηγών, λόγους προσευχής τε τοίς πάσιν ερμηνεύον, κανών ιθύνων πρός αρετήν, ο θεωρίαις ενθέοις λελαμπρυσμένος, αίγλη λαμπόμενος, Τριάδος τής ακτίστου, ής καί υπέρμαχος, αήττητος εγένου, Χριστόν ικέτευε, Χριστόν δυσώπει, Όσιε, τόν εν ρείθροις τού Ιορδάνου, αναπλάσαντα κόσμον, σώσαι τό γένος ημών.

Στιχηρά Προσόμοια
τού Δομετιανού

Ήχος α'
Πανεύφημοι Μάρτυρες

Ο γήν καταλήψεσθαι τό πρίν, απειλήσας άπασαν, καί εξαλείφειν τήν θάλασσαν, κατακαυχώμενος, τοίς πιστοίς εδείχθη, ως στρουθίον σήμερον, καί καταγελαστότερος κώνωπος, ού υπεκρίνετο, τήν ιδέαν, ώσπερ φόβητρον, υπεισδύνας, τώ Χριστού θεράποντι.

Δομετιανός ημάς πιστοί, συγκαλείται σήμερον, πρός ευωχίαν θεάρεστον, τούτω συνέλθωμεν, ευθυμίας γνώμη, καί πανηγυρίσωμεν, σύν τούτω τά αυτού κατορθώματα, καθικετεύοντες, τόν Σωτήρα τών ψυχών ημών, τήν ειρήνην, τώ κόσμω δωρήσασθαι.

Ηύξησας τό τάλαντον Χριστού, τό δοθέν σοι Πάντιμε, τή διπλασίονι χάριτι, ως δούλος γνήσιος, όθεν επακούεις. Εύ σοι δούλε γένοιτο, ως όντι αγαθώ σοι θεράποντι, καί ήδη είσελθε, εις χαράν τήν τού Κυρίου σου, τών καμάτων, τά γέρα ληψόμενος.

Δόξα... Τού Αγίου Γρηγορίου
Ήχος δ'

Τόν τής σοφίας λόγον σου, καταγλαϊσας εν αρετή απροσίτω, περικαλής αμφοτέρωθεν γέγονας, Νυσσαέων Γρηγόριε, εν τή θεοφθόγγω σου φωνή, ωραϊζων καί τέρπων τόν λαόν γνωστικώς, Τριάδος τό ομόθεον πανσόφως εκτιθέμενος, όθεν καί εν ορθοδόξοις δόγμασι, τάς αλλοφύλους αιρέσεις εκπολεμήσας, τό κράτος τό τής Πίστεως, εν τοίς πέρασιν ήγειρας, Χριστώ παρ ιστάμενος σύν τοίς αϋλοις Λειτουργοίς, ταίς ψυχαίς ημών αίτησαι, ειρήνην καί τό μέγα έλεος.

Καί νύν... Τής Εορτής, ο αυτός

Έτρεμεν η χείρ τού βαπτιστού, ότε τής αχράντου σου κορυφής ήψατο, εστράφη Ιορδάνης ποταμός εις τά οπίσω, μή τολμών λειτουργήσαί σοι, ο γάρ αιδεσθείς Ιησούν τόν τού Ναυή, πώς τόν Ποιητήν αυτού, δειλιάσαι ουκ είχεν; Αλλά πάσαν επλήρωσας οικονομίαν Σωτήρ ημών, ϊνα σώσης τόν κόσμον, τή

Επιφανεία σου, μόνε φιλάνθρωπε.

Απόστιχα Στιχηρά Προσομοια
Ήχος β'
Οίκος τού Εφραθά

Άσμα καινοπρεπές, αδέτω πάσα κτίσις, τώ εκ Παρθένου φύντι, Χριστώ καί βαπτισθέντι, εν Ιορδάνη σήμερον.

Στίχ. Η θάλασσα είδε καί έφυγεν, ο Ιορδάνης εστάφη εις οπίσω,

Σάλπιγξ προφητική, ο Πρόδρομος βοάτω. Ποιήσατε Κυρίω, τώ βαπτισθέντι ρείθροις, καρπούς αρίστων πράξεων.

Στίχ. Τί σοί εστι θάλασσα, ότι έφυγες; καί σοί Ιοράνη ότι ανεχώρησας εις τά οπίσω;

Λάμψαν τό συγγενές, εξ ύψους θείον Πνεύμα, περιστεράς εν είδει, ορώμενον αφράστως, νύν τώ Χριστώ προσέδραμε.

Δόξα... Τού Αγίου Γρηγορίου
Ήχος δ'

Βίον ένθεον κατορθώσας, θεωρία τήν πράξιν κατελάμπρυνας, θεοφάντορ Γρηγόριε, τήν γάρ σοφίαν φιλήσας έρωτι θείω, εκ στόματος τού Πνεύματος, τήν χάριν κατεπλούτησας, καί ως κηρίον ιμέλιτος, τόν γλυκασμόν σου τών λόγων αποστάξας, αεί ευφραίνεις νοήμασι θείοις, τήν Εκκλησίαν τού Θεού. Διό εν Ουρανοίς, ιεραρχικώς αυλιζόμενος, υπέρ ημών απαύστως πρέσβευε, τών εκτελούντων τήν μνήμην σου.

Καί νύν... Τής Εορτής, ο αυτός

Σέ τόν εν πνεύματι καί πυρί, καθαίροντα τήν αμαρτίαν τού κόσμου, καθορών ο Βαπτιστής ερχόμενον πρός αυτόν, δειλιών καί τρέμων, εβόα λέγων. Ού τολμώ κρατήσαι τήν κορυφήν σου τήν άχραντον, σύ με αγίασον Δέσποτα τή Επιφανεία σου, μόνε φιλάνθρωπε.

Απολυτίκιον Ήχος δ'

Ο Θεός τών Πατέρων ημών ο ποιών αεί μεθ' ημών κατά τήν σήν επιείκειαν, μή αποστήσης τό έλεος σου αφ' ημών, αλλά ταίς αυτών ικεσίας, εν ειρήνη κυβέρνησον τήν ζωήν ημών.

Καί τής Εορτής  Ήχος α'

Εν Ιορδάνη βαπτιζομένου σου Κύριε, η τής Τριάδος εφανερώθη προσκύνησις, τού γάρ Γεννήτορος η φωνή προσεμαρτύρει σοι, αγαπητόν σε Υιόν ονομάζουσα, καί τό Πνεύμα εν είδει περιστεράς, εβεβαίου τού λόγου τό ασφαλές. Ο επιφανείς Χριστέ ο Θεός, καί τόν κόσμον φωτίσας δόξα σοι.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα  Ήχος γ'
Η Παρθένος σήμερον

Ο Δεσπότης σήμερον, εν Ιορδάνη επέστη, βαπτισθείς εν ύδασιν, υπό τού θείου Προδρόμου, άνωθεν ο Πατήρ δέ προσεμαρτύρει. Ούτός εστιν ο Υιός ο αγαπητός μου, καί τό Πνεύμα επεφάνη, εν ξένη θέα, περιστεράς επ' αυτόν.

Δοξα... Καί νύν... τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα  Ήχος δ'
Κατεπλάγη Ιωσήφ

Θεοφανείας ο καιρός, Χριστός επέφανεν ημίν, εν Ιορδάνη ποταμώ, δεύτε αντλήσωμεν πιστοί, ύδωρ αφέσεως τών αμαρτιών ημών, Χριστός γάρ εν σαρκί επεδήμησε, τό πρόβατον ζητών τό θηριάλωτον, καί ανευρών εισήγαγεν ώς εύσπλαγχνος, εις τόν Παράδεισον αύθις, Χριστός εφάνη, εν Ιορδάνη, καί τόν κόσμον εφώτισε.

Δόξα... Καί νύν... Τό αυτό

Ο Κανών τής Εορτής, καί τών Αγίων δύο.

Κανών τού Αγίου Γρηγορίου.
Ποίημα Ιωάννου Μοναχού.

Ωδή α'  Ήχος πλ. α'

«Ίππον καί αναβάτην, εις θάλασσαν Ερυθράν, ο συντρίβων Πολέμους εν υψηλώ βραχίονι, Χριστός εξετίναξεν, Ισραήλ δέ έσωσεν, επινίκιον ύμνον άδοντα».

Άβυσσος ών σοφίας, καί γνώσεως θησαυρός, καί αυτοαγαθότης, φωτοχυσίαν νέμοις μοι, Χριστέ τής ενδόξου σου, Εκκλησίας άσμασι, τόν φωστήρα υμνείν Γρηγόριον.

Δέχοιο διδασκάλων, Γρηγόριε τό λαμπρόν, εγκαλλώπισμα Πάτερ, τό πενιχρόν εφύμνιον, τή σή προσφερόμενον, εξ αγάπης μνήμη, εν ή Χριστόν ημίν εξιλέωσαι.

Λόγω ιερομύστα, πλουσίω τε καί σοφώ, τήν σεπτήν Εκκλησίαν, θεολογείν εδίδαξας, Μονάδα Τρισάριθμον, καί Τριάδα σύνθρονον, καί ομότιμον ώ Γρηγόριε.

Θεοτοκίον

Πίστις ηγείσθω μόνη, καί μή απόδειξις, τών υπέρ νούν θαυμάτων, Θεογεννήτορ Κόρη τών σών, τόν γάρ ακατάληπτον, Θεόν Λόγον τέτοκας,

ενδυσάμενος τήν ανθρωπότητα.

## Κανών τού Αγίου Δομετιανού

### Ωδή α'  Ήχος α'

«Σού η τροπαιούχος δεξιά, θεοπρεπώς εν ισχΰϊ δεδόξασται, αύτη γάρ, Αθάνατε, ως πανσθενής υπεναντίους έθραυσε, τοίς, Ισραηλίταις, οδόν βυθού καινουργήσασα».

Τάς επαναστάσεις τής σαρκός, καί τών παθών τάς εφόδους θεόληπτε, καί τόν εγειρόμενον, εν τή ψυχή μου κατευνάσας πόλεμον, ειρηναία Πάτερ, εν καταστάσει συντήρησον.

Έρωτι καί πόθω ακλινεί, τής ανωτάτης σοφίας αψάμενος, σάρκα καθυπέταξας, καί τής γής απετινάχθης Όσιε, καί Θεός τώ όντι, ως εν μεθέξει γεγένησαι.

Δομετιανός ο θαυμαστός, κατά μικρόν από γής ανυψούμενος, ήκεν εκ δυνάμεως, αμυδροτέρας πρός τελείαν δύναμιν, καί τάς αναβάσεις, εν τή καρδία διέθετο.

Θεοτοκίον

Ύδασιν εμβάψας τής σαρκός, ο προσελάβετο Κύριος φύοαμα, εκ τών σών ειργάσατο, παρθενικών αιμάτων τό σωτήριον, πρός τάς παρατάξεις, τάς εναντίας αχείρωτον.

## Τού Ιεράρχου

### Ωδή γ'

«Ο πήξας επ' ουδενός, τήν γήν τή προστάξει σου, καί μετεωρίσας ασχέτως βρίθουσαν, επί τήν ασάλευτον Χριστέ, πέτραν τών εντολών σου, τήν Εκκλησίαν σου στερέωσον, μόνε αγαθέ καί φιλάνθρωπε».

Σαρκός μέν τώ ηγεμόνι, νώ τά σκιρτήματα, τώ Παμβασιλεί δέ τόν νούν υπέταξας, όθεν απροσκόπτως τήν οδόν, τών εντολών ανύσας, σύ τής Τριάδος ενδιαίτημα, γέγονας εικότως Γρηγόριε.

Τή πράξει τήν θεωρίαν, Πάτερ προσέθηκας, διό τάς ηνίας τής Εκκλησίας σοι, φέρων εγχειρίζει ο Χριστός, ήν περ ανεπιλήπτως, ως μυστιπόλος εκυβέρνησας, άριστος παμμάκαρ Γρηγόριε.

Προβαίνων τών αρετών, τώ όρει Γρηγόριε, καί τάς αναβάσεις εν τή καρδία σου, σύ διατιθέμενος εκ γής, ήρθης αλήκτω δρόμω, πρό τής εκ σαρκός εκδημίας σου.

Θεοτοκίον

Σύ μήτηρ Θεού, ασυνδυάστως γεγένησαι, τού εξ ακηράτου Πατρός

εκλάμψαντος, άνευθεν ωδίνων μητρικών, όθεν σε Θεοτόκον, σεσαρκωμένον γάρ εκύησας Λόγον, ορθοδόξως κηρύττομεν.

Τού Οσίου

Ο μόνος ειδώς

Εν τή κραταιότητι αυτού, εχθρός ο παλαιότατος, τής σής ψυχής ου σθένων τό εύστολον, παρασαλεύσαι καθυποκρίνεται, εν καιρώ πρός έκλυσιν, τής σής καρτερότητος, ζωϋφίων πτηνών τό φαυλότατον.

Τή μεγαλαυχία τής αυτού, δικαίως εξουθένωται, παραπληξίας δράκων ο δείλαιος, καί κυνομυίας εις είδος τέτραπται, ασθενεία πλείονι, καί ποσίν υποτέτακται, τών δικαίων ωραίοις πατούμενος.

Θεοτοκίον

Εκ σού γεννηθείς άνευ σποράς, Υιός ο προαιώνιος, Παρθενομήτορ κόσμον ανέπλασε, τόν κεκρυμμένον όφιν τοίς ύδασιν, εν τώ βαπτισμώ αυτού, θανατώσας Κύριος, καί φθοράς τούς ανθρώπους ρυσάμενος.

Ο Ειρμός

«Ο μόνος ειδώς τής τών βροτών, ουσίας τήν ασθένειαν, καί συμπαθώς αυτήν μορφωσάμενος, περίζωσόν με εξ ύψους δύναμιν, τού βοάν σοι, Άγιος, ο τής δόξης Κύριος, ο ανείκαστος εν αγαθότητι».

Κάθισμα τού Ιεράρχου

Ήχος γ'

Θείας πίστεως

Θείαν έλλαμψιν κεκληρωμένος, βίον άϋλον εξησκημένος, ομωνύμω ιερατεία διέπρεψας, υπερφυώς γάρ τρανώσας τά δόγματα, ορθοδοξία τόν κόσμον εστήριξας, Πάτερ Όσιε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Δόξα... τού Οσίου

Ήχος α'

Τού λίθου σφραγισθέντος

Τώ τής ιερωσύνης σεμνυνόμενος Πάτερ, χρίσματι θεοδότω κατελάμπρυνας τούτο, ενθέοις καλλοναίς τών αρετών, καί θεία πρός Χριστόν υποταγή, καί τελέσας σου τόν δρόμον, εν Ουρανοίς βοάς μετά Αγγέλων. Δόξα τή ευσπλαγχνία σου Σωτήρ, δόξα τή βασιλεία σου, δόξα τή οικονομία σου, μόνε φιλάνθρωπε.

Καί νύν... Τής Εορτής, όμοιον

Τού Ιησού γεννηθέντος εκ Παρθένου Μαρ ίας, καί εν Ιορδάνη βαπτισθέντος υπό Ιωάννου, τό Πνεύμα κατήλθεν επ' αυτόν, ορώμενον εν είδει Περιστεράς, διά τούτο ο Προφήτης, σύν τοίς Αγγέλοις έλεγε κραυγάζων. Δόξα τή παρουσία σου Χριστέ, δόξα τή βασιλεία σου, δόξα τή οικονομία σου μόνε φιλάνθρωπε.

Τού Ιεράρχου

Ωδή δ'

«Τήν θείαν εννοήσας σου κένωσιν, προβλεπτικώς ο Αββακούμ, Χριστέ, εν τρόμω εβόα σοι. Είς σωτηρίαν λαού σου, τού σώσαι τούς χρηστούς σου ελήλυθας».

Ως στύλος καθωράθης Ολόφωτος, βίω τε λόγω τε θερμώ, ορθοδοξίας Γρηγόριε, πεπυρσευμένος τώ ζήλω, τού νέου Ισραήλ προηγούμενος.

Τήν χάριν δεδεγμένος τού Πνεύματος, τό ευτελές τού νομικού, διείλες ένδυμα γράμματος, καί τό κρυπτόμενον κάλλος, ημίν τών εννοιών απεκάλυψας.

Τού θείου προελθούσαν εκ στόματος, θεοπαράδοτον ευχήν, συντετμημένως Γρηγόριε, ώς μυστιπόλος τών θείων, σαφώς τή Εκκλησία επλάτυνας.

Θεοτοκίον

Εκτός μέν συναφείας συνέλαβες, αδιαφθόρως εν γαστρί, καί πρίν ωδινήσαι τέτοκας, καί μετά τόκον Παρθένος, Θεόν σαρκί τεκούσα πεφύλαξαι.

Τού Οσίου

Όρος σε τή χάριτι

Τόν Νόμον υπέδειξας, τής χάριτος είναι σκιάν, τοίς εν τώ Νόμω τόν Θεόν, Εβραίοις σέβουσι Σοφέ, καί τό Ευαγγέλιον, τής άληθούς θεοφανείας Μυστήριον, Χριστώ κραυγάζων. Δόξα τή δυνάμει σου Κύριε.

Αστράψας αστήρ, ως εξ Εώας πολύφωτος, τήν Εκκλησίαν δαδουχείς, ανακηρύττων τόν Χριστόν, σοφαίς αποδείξεσι, πανευσεβώς, δικαιοσύνης τόν Ήλιον, αυτόν κραυγάζων. Δόξα τή δυνάμει σου Κύριε.

Κακίας απάσης, απερράγης καί σχέσεως, προσύλου Πάτερ εν σπουδή, καί κατελάμπρυνας φωτί, Πατρίδος πληρώματα, τής σής σοφέ, καί τούτοις πλούτον επώμβρησας, αφθονωτέρα χρυσίου ποσότητι.

Θεοτοκίον

Λόγος καθό Θεός, υπάρχων αόρατος, προσειληφώς εκ γυναικός, ανθρώπου φύσιν ορατός, τελείται καί καθαίρεται, εν ποταμώ, ο αμαρτίας αλλότριος, τόν πεπτωκότα καθαίρων τού πταίσματος.

Τού Ιεράρχου

Ωδή ε'

«Ο αναβαλλόμενος, φώς ώς ιμάτιον, πρός σέ ορθρίζω, καί σοί κραυγάζω, τήν ψυχήν μου φώτισον, τήν εσκοτισμένην, Χριστέ ως μόνος εύσπλαγχνος».

Σύ ως πύρ κατέφλεξας, τάς τών αιρέσεων, ακανθηφόρους πλοκάς τών λόγων, τών πιστών τάς φρένας δέ, εφώτισας μάκαρ, μυσταγωγέ Γρηγόριε.

Ευνομίου ήλεγξας, σύ τό ανόμοιον, καί τούτου λόγους δυσδιαφεύκτους, τών αρκύων βρόχους τε σφοδρούς, ως αράχνης υφάσματα διέλυσας.

Ήλεγξας πανάριστε, τόν αθεώτατον Μακεδόνιον, τό θείον Πνεύμα, αδεώς υβρίσαντα, ως άμοιρον τούτου, υπάρχοντα Γρηγόριε.

Θεοτοκίον

Σύ δικαιοσύνην τε καί απολύτρωσιν, ημίν τεκούσα, Χριστόν ασπόρως, ελευθέραν έδρασας αράς, Θεοτόκε, τήν φύσιν τού Προπάτορος.

Τού Οσίου

Ο φωτίσας τή ελλάμψει

Επέβλεψεν, επί γής ο Δεσπότης τής κτίσεως, καί τά ταύτης εσαλεύθη θεόφρον θεμέλια, καί δεινώς ετρόμαξε, σέ δέ ψυχής ανδρεία Πάτερ, τής προσευχής ου παρέκλινεν.

Ουκ ηνέσχου, βλασφημούντων ακούειν Αοίδιμε, καί λαλούντων εις τό ύψος αδικίαν δι' άνοιαν, αλλ' αυτούς επέστρεψας, Ποιμαντική σου βακτηρία, καί τό νοσούν εθεράπευσας.

Μίαν φύσιν, εν Χριστώ εσφαλμένως κηρύττεσθαι, θεορρήμον, ουδαμώς συνεχώρησας σύνθετον, αλλ' αυτούς εζωγράφησας, τή τών δογμάτων σου σαγήνη, καί πρός τό φώς επανήγαγες.

Θεοτοκίον

Εγλύκανε, τών υδάτων πικρίαν εν άλατι, Ελισαίος, ο δέ σός Θεομήτορ Υιός καί Θεός, βαπτισθείς εν ύδατι, τής αμαρτίας τήν Πικρίαν, καί τήν οδύνην εξείλετο.

Τού Ιεράρχου

Ωδή ς'

«Μαινομένην κλύδωνι, ψυχοφθόρω Δέσποτα Χριστέ, τών παθών τήν θάλασσαν κατεύνασον, καί εκ φθοράς, ανάγαγέ με ως εύσπλαγχνος».

Ταπεινόν τό φρόνημα, κεκτημένος πάσί τε πραϋς, μαχητής εδείκνυσο Γρηγόριε, πρός τούς Χριστού, μειούν τήν δόξαν σπουδάζοντας.

Τήν Αρείου έκφυλον, τής Τριάδος, λόγω δαψιλεί, τολμηράν διαίρεσιν Γρηγόριε, σύ παντελώς, καθήρηκας τή σοφία σου.

Αμαθώς τήν ένωσιν, τής Τριάδος, σύγχυσιν φρονών, υπό σού Σαβέλλιος ελήλεγκται, θεομαχών, Γρηγόριε παμμακάριστε.

Θεοτοκίον

Η Παρθένος έτεκες, καί τεκούσα, έμεινας αγνή, εν χερσί τόν φέροντα τά

σύμπαντα, ως αληθώς, Παρθένος Μήτηρ βαστάσασα.

Τού Οσίου

Εκύκλωσεν ημάς

Ερρύσθησαν ως εκ παγίδος Όσιε, θανάτου κινδυνεύοντες, οι λαοί, καί παθημάτων ο εσμός, πόρρω ταίς ευχαίς σου απελήλατο, καί γάρ αυτοί, πρώτοί σε έσχον συλλήπτορα.

Ανέστειλας εν ικεσία πάνσοφε, τήν ρύμην τού νοσήματος, τή Παρθένω καί Μητρί τού Λυτρωτού, θάττον προσδραμών, ου γάρ υπήνεγκας, ποιμήν ως ών, κινδυνευούσης ποίμνης ανέχεσθαι.

Θεοτοκίον

Εξέστησαν τά τών Αγγέλων τάγματα, ορώντα τόν αόρατον, εκ Παρθένου γεννηθέντα εν σαρκί, καί τόν αϋλία δοξαζόμενον, εν ποταμώ, τού βαπτισθήναι καταδυόμενον.

Ο Ειρμός

«Εκύκλωσεν ημάς εσχάτη άβυσσος, ουκ έστιν ο ρυόμενος, ελογίσθημεν ως πρόβατα σφαγής. Σώσον τόν λαόν σου ο Θεός ημών, σύ γάρ ισχύς, τών ασθενούντων καί επανόρθωσις».

Κοντάκιον  Ήχος α'

Χορός Αγγελικός

Τό όμμα τής ψυχής, γρηγορών Ιεράρχα, ως γρήγορος Ποιμήν, ανεδείχθης τώ κόσμω, καί ράβδω τής σοφίας σου, παμμακάριστε Όσιε, πάντας ήλασας, τούς κακοδόξους ως λύκους, αδιάφθορον, διατηρήσας τήν ποίμνην, Γρηγόριε πάνσοφε.

Ο Οίκος

Εξ αμελείας ο δείλαιος αναπέπτωκα, καί πρός θάνατον ύπνωσα, αλλ' ως ποιμήν γρηγορώτατος, έγειρόν με Πάτερ, καί τά πάθη μου κοίμισον, τά κακώς τυραννούντά με, όπως εξανιστάμενος, καθαρώς άδω σου τήν φωσφόρον μετάστασιν, ήν ο Δεσπότης τής οικουμένης εδόξασεν αξίως, ως οικέτου Πιστοτάτου, ως δογματιστού πανσόφου, ώς φίλου καί μύστου, καί ως οικονόμου τών αυτού παραδόσεων, ών καλώς εφύλαξας τήν χρήσιν αμίαντον, Γρηγόριε πάνσοφε.

Έτερον  Ήχος β'

Τήν εν πρεσβείαις

Της Εκκλησίας ο ένθεος Ιεράρχης, καί τής σοφίας σεβάσμιος υμνογράφος, Νύσσης ο γρήγορος νούς Γρηγόριος, σύν Αγγέλοις χορεύων, καί εντρυφών τώ θείω φωτί, πρεσβεύει απαύστως υπέρ πάντων ημών.

Ο Οίκος

Αίγλη φρικτή ο λάμψας εν κόσμω υπέρ Ήλιον Λόγε, καί ακτίσι φωτός φαιδρύνας Σώτερ τά σύμπαντα, σύ ο εν τοίς ύδασι τού Ιορδάνου ως βροτός βαπτισθήναι καταξιώσας, πλύνόν μου τούς ρύπους άμα καί σπίλους τών πολλών εγκλημάτων, παρέχων μοι χάριν τού μέλψαι τόν σοφόν Ιεράρχην καί

μύστην σου, μεσίτην γάρ αυτόν άγω σοι, καί αυτόν δυσωπών ανακράζω αεί, πρεσβεύειν απαύστως υπέρ πάντων ημών.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Ι' τού αυτού μηνός, Μνήμη τού εν Αγίοις Πατρός ημών Γρηγορίου Επισκόπου Νύσσης.

Στίχοι

Η Μούσα Γρηγόριος, ού Νύσσα θρόνος,
Ού Πιερίαν, αλλ' Εδέμ σκηνήν έχει.
Γρηγόριον δεκάτη θανάτου κνέφας αμφεκάλυψεν.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Δομετιανού Επισκόπτου Μελιτηνής.

Στίχοι

Δομετιανός τής φθοράς απηλλάγη,
Είπερ φθοράν χρή τόν βίον τούτον λέγειν.

Τή αυτή ημέρα, Μνήμη τού εν Αγίοις Πατρός ημών Μαρκιανού, Πρεσβυτέρου καί Οικονόμου τής μεγάλης Εκκλησίας.

Στίχοι

Απήρεν ένθεν πρός πόλου μέγα κλέος,
Ο Μαρκιανός, ού κλέος κάν γή μέγα.

Τή αυτή ημέρα, ο Άγιος Αμμώνιος εν ειρήνη τελειούται.

Στίχοι

Τής αρετής ο θείος εσβέσθη λύχνος,
Λύχνων μυσάντων σαρκικών Αμμωνίου.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον καί σώσον ημάς. Αμήν.

Τού Ιεράρχου

Ωδή ζ'

«Ο υπερυψούμενος, τών πατέρων Κύριος, τήν φλόγα κατέσβεσε, τούς Παίδας εδρόσισε, συμφώνως μελωδούντας. Ο Θεός ευλογητός εί».

Έρωτι ενούμενος, τρισαυγούς θεότητος, τώ φέγγει Γρηγόριε, τοίς πάσιν ως έσοπτρον, εκστίλβων απαστράπτεις, τού φωτός αντανακλάσεις.

Θησαυρόν τούς λόγους σου, πατρικώς κατέλιπες, ηθών ψυχής κάθαρσι, καί γνώσεως πλήρωσιν, τοίς πίστει μελωδούσιν, ο Θεός ευλογητός εί.

Πρώτον νούν καί αίτιον, Πατέρα κατήγγειλας, Λόγου μέν Γεννήτορα, ομού Προβολέα τε, τού Πνεύματος Τριάδα, μελωδών. Ευλογητός εί.

Θεοτοκίον

Μίαν μέν υπόστασιν, εν δυσί ταίς φύσεσι, Πανάμωμε τέτοκας, Θεόν σωματούμενον, ώ πάντες μελωδούμεν. Ο Θεός ευλογητός εί.

Τού Οσίου

Σέ νοητήν, Θεοτόκε κάμινον

Η αψευδής, τοίς πιστοίς πεπλήρωται, επαγγελία προφανώς, ο γάρ θείος Δομετιανός, χάριτος ηξίωται, λύειν τά νοσήματα, καί απελαύνειν δαιμόνια, τόν αινετόν καταγγέλλων Θεόν καί υπερένδοξον.

Επί τής γής, μεθ' ημών γενόμενος, καί σαρκικώς αναστραφείς, ιμεταδέδωκε τοίς αυτώ, κατακολουθήσασι, καί τοίς αγαπήσασι, θαυματουργίας χαρίσματα, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Τής δυσσεβούς, καθείλεν αιρέσεως, ο θείος Δομετιανός, τού Σεβήρου τάς διδαχάς, καί τήν απαράτρωτον, Πίστιν τήν Ορθόδοξον, θεοπρεπώς υπεσήμανε, τον αινετόν καταγγέλλων, Θεόν καί υπερένδοξον.

Θεοτοκίον

Τής πατρικής, ουκ απέστη φύσεως, ο θείος Λόγος σαρκωθείς, εκ Παρθένου, καί γάρ αυτήν, ακριβώς τετήρηκε, μένουσαν αμείωτον, εν τώ σαρκούσθαι, καί δέχεται, τήν εκ Πατρός μαρτυρίαν, Χριστός ο υπερένδοξος.

Τού Ιεράρχου

Ωδή η'

«Σοί τώ παντουργώ, εν τή καμίνω Παίδες, παγκόσμιον πλέξαντες, χορείαν έμελπον. Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Όλην τήν αυγήν, τού Παρακλήτου μάκαρ, εδέξω φοιτήσασαν, κραυγάζων Όσιε. Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Βρύουσιν ημίν, κατά τον θείον λόγον, Χριστού εκ κοιλίας σου, ποταμοί γνώσεως, όντως πηγήν γάρ, αέναον η χάρις, έδειξε τώ κόσμω, σέ Πάτερ εις αιώνας.

Ω τής θαυμαστής, αδελφικής δυάδος, σαρκί τε ομαίμονος, τά θεία σύμφρονος! ταύτην τιμώντες, Βασίλειον ενδίκως, άμα Γρηγορίω, τιμώμεν εις αιώνας.

Θεοτοκίον

Σέ τήν υπέρ νούν, θεανδρικώς τόν Λόγον, Παρθένε κυήσασαν, καί παρθενεύουσαν, πάντα τά έργα, αξίως ευλογούμεν, καί υπερυψούμεν, εις πάντας τούς αιώνας.

Τού Οσίου

Εν καμίνω Παίδες Ισραήλ
Υπερέβης άπαντα θεσμόν, τής φύσεως ανθρώπων, Θεώ δέ προσεπελάσθης, θεορρήμον εφετών, ακροτάτω μέλπων αυτώ. Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Επακούσας θείων εντολών, εσκόρπισας αφθόνως, τόν πλούτον τοίς δεομένοις, ευπειθείας λογισμώ, βοών Αξιάγαστε. Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, είς πάντας τούς αιώνας.

Ιαμάτων Δομετιανέ, ανελλιπής εγένου, βλυστάνουσα πόμα κρήνη, καί χειμάρρους τής τρυφής, ποταμός ειρήνης τε τοίς βοώσι, Πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Εν καμίνω σε συμβολικώς, προέγραψαν οι Παίδες, Παρθένε, καί εν τή βάτω προετύπωσε Μωσής, Ησαίας ειδέ τε τεξομένην, βρέφος ανάνδρως, τόν Κύριον τής δόξης, όν υπερυψούμεν, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Εν καμίνω Παίδες, Ισραήλ, ως εν χωνευτηρίω, τώ κάλλει τής ευσεβείας, καθαρώτερον χρυσού, απέστιλβον λέγοντες. Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Τού Ιεράρχου

Ωδή θ'

«Ησαία χόρευε, η Παρθένος έσχεν εν γαστρί, καί έτεκεν υιόν τόν Εμμανουήλ, Θεόν τε καί άνθρωπον, Ανατολή όνομα αυτώ, όν μεγαλύνοντες, τήν Παρθένον μακαρίζομεν».

Τών κατορθωμάτων τε, καί τών λόγων, σού τάς αστραπάς, Γρηγόριε ευφημείν, νούς αδυνατών, σαφώς ο ημέτερος ομολογεί, ήτταν ευκλεή, σού καταγγέλλει δέ, υπέρ δύναμιν τόν έπαινον.

Μυστιπόλων άριστε, τή Τριάδι, νύν παρεστηκώς, σύν Αποστόλων χορώ, καί τών Προφητών, Μαρτύρων Δικαίων τε, Πατριαρχών, μέμνησο ημών, τών ανυμνούντων σου, τό μνημόσυνον Γρηγόριε.

Εποπτεύεις άνωθεν, προασπίζων, νύν Αρχιερεύ, τής Εκκλησίας Χριστού, νίκας τώ πιστώ, δωρούμενος Άνακτι, καί δουλικόν, σύντριψον ζυγόν, σους σώζων πρόσφυγας, ταίς πρεσβείαις σου Γρηγόριε.

Θεοτοκίον

Ως τεκούσα Πάναγνε, τών κτισμάτων, τόν Δημιουργόν, κατά παντός γεννητού, φέρεις τήν αρχήν, ασύγκριτον έχουσα, υπεροχήν, καί υπερφυή, όθεν τόν Τόκον σου, προσκυνούντές σε δοξάζομεν.

Τού Οσίου

Τύπον τής Αγνής

Έστης Πάτερ τής εφέσεως, τών ορεκτών κρατήσας τό τελειότατον, καί εδέξαντο, Πατριαρχών σε σκηνώματα, καί Δικαίων Οσίων τά τάγματα, μεθ' ών καθικετεύοις, υπέρ ημών τόν Παντοκράτορα,

Έσχεν ώσπερ χρήμα τίμιον, η σή Πατρίς τό σώμά σου τό πολύαθλον, κατακρύψασα, τοίς εαυτής κόλποις Ένδοξε, μητρικοίς ορμωμένη κινήμασι, σού γάρ επαπολαύειν, τούς αλλοτρίους ουκ ηνέσχετο.

Ίθι βοηθός γενέσθαι μοι, εν πειρασμοίς τού βίου καί περιστάσεσι, καί κατεύνασον, τόν εγειρόμενον κλύδωνα, κατ' εμού τών παθών καί γαλήνιον, όρμισον πρός λιμένα, τή αύρα Πάτερ τής πρεσβείας σου.

Θεοτοκίον

Έστη μέχρι σού ο θάνατος, τού καθ' ημάς γενέσθαι, διά τό σώσαι ημάς υπερούσιε, Υιέ Θεού ευδοκήσαντος, εξ ανάνδρου Μητρός καί τοίς ύδασιν, ημάς αναχωνεύσαι, πυρί τώ θείω τού Βαπτίσματος.

Ο Ειρμός

«Τύπον τής αγνής λοχείας σου, πυρπολουμένη βάτος, έδειξεν άφλεκτος, καί νύν καθ' ημών, τών πειρασμών αγριαίνουσαν, κατασβέσαι αιτούμεν τήν κάμινον, ίνα σε Θεοτόκε, ακαταπαύστως μεγαλύνωμεν».

Εξαποστειλάριον

Επεσκέψατο ημάς

Τόν ποιμένα τόν καλόν, Γρηγόριον τόν πάνσοφον, τών Νυσσαέων Πρόεδρον, τού Βασιλείου τού σοφού, ομότροπον ομαίμονα, εν ῳδαίς τε καί ύμνοις, τιμήσωμεν άπαντες.

Καί τής Εορτής

Επεφάνη ο Σωτήρ, η χάρις η αλήθεια, εν ρείθροις τού Ιορδάνου, καί τούς εν σκότει καί σκιά, καθεύδοντας εφώτισε, καί γάρ ήλθεν εφάνη, τό φώς τό απρόσιτον.

Εις τόν Στίχον Στιχηρά Προσόμοια.

Ήχος β'  Οίκος τού Εφραθά

Νύν ξένην ο Σωτήρ βροτοίς δωρείται ρύψιν, χωρίς αναχωνεύων, πυρός καί αναπλάττων, ψυχάς δίχα συντρίψεως.

Στίχ. Η θάλασσα είδε καί έφυγεν, ο Ιορδάνης εστάφη εις οπίσω,

Ύδωρ θείας ζωής, πηγών εκ σωτηρίων, λαοί μετ' ευφροσύνης, αντλήσατε προθύμως ψυχών εις απολύτρωσιν.

Στίχ. Τί σοί εστι θάλασσα, ότι έφυγες; καί σοί Ιοράνη ότι ανεχώρησας εις τά

οπίσω;

Ήλθεν ο φωτισμός, η χάρις επεφάνη, η λύτρωσις επέστη, ο κόσμος εφωτίσθη, λαοί χαράς εμπλήσθητε.

Δόξα...

Ήχος α' Ανατολίου

Ο τής ορθής πίστεως γενναίος αγωνιστής, ο συγκακοπαθήσας ως καλός στρατιώτης Χριστού τού Θεού, καί τώ στρατολογήσαντι αρέσας, αγωνίζου καί νύν υπέρ τής Εκκλησίας, τόν καλόν αγώνα, διατηρών αυτής, τών σών δογμάτων ασάλευτον, τήν κρηπίδα Γρηγόριε.

Καί νύν... ο αυτός

Σύ εν Ιορδάνη βαπτισθείς, ο Σωτήρ ημών, τά ρείθρα ηγίασας, τή παλάμη τού δούλου χειροθετούμενος, καί τά πάθη τού κόσμου ιώμενος. Μέγα τό μυστήριον τής επιφανείας σου! φιλάνθρωπε Κύριε, δόξα σοι.

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΑ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Θεοδοσίου τού Κοινοβιάρχου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Στιχολογούμεν τήν α' στάσιν τού, Μακάριος ανήρ. Εις δέ τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. α'  Όσιε Πάτερ

Όσιε Πάτερ, θεοφόρε Θεοδόσιε, μεγάλως ηγωνίσω εν τή προσκαίρω ζωή, εν ύμνοις καί νηστείαις καί αγρυπνίαις, τύπος γενόμενος τών σών φοιτητών, νύν δέ συγχορεύεις μετά τών Ασωμάτων, Χριστόν απαύστως δοξολογών, τόν εκ Θεού Θεόν Λόγον καί Λυτρωτήν, τόν υποκλίναντα τήν κάραν τώ Προδρόμω, καί αγιάσαντα τήν φύσιν τών υδάτων. Αυτόν ικέτευε, αυτόν δυσώπει Όσιε, δωρηθήναι τή Εκκλησία, ομόνοιαν, ειρήνην, καί μέν α έλεος. (Δίς)

Όσιε Πάτερ, θεοφόρε Θεοδόσιε, ευρούσα ως επόθει, τήν καθαράν σου ψυχήν, τού Πνεύματος η χάρις τού Παναγίου, σοί ενεσκήνωσεν ως άχραντον φώς, ού τή ενεργεία φαιδρώς ηγλαϊσμένος, Χριστόν απαύστως δοξολογείς, τόν εν δυσί ταίς ουσίαις ένα Υιόν, τόν βαπτιζόμενον χειρί τή τού Προδρόμου, καί μαρτυρούμενον τή φωνή τή πατρώα. Αυτόν ικέτευε, αυτόν δυσώπει Όσιε, δωρηθήναι τή οικουμένη, ομόνοιαν, ειρήνην, καί μέγα έλεος. (Δίς)

Όσιε Πάτερ, θεοφόρε Θεοδόσιε, εικότως ηξιώθης τής μακαρίας ζωής, αγνεία καί ασκήσει ταύτην ευρών, ζών γάρ μετέστης πρός τήν άνω ζωήν, πάσι χαίρειν ειπών, καί σύν τοίς Ασωμάτοις, Χριστόν απαύστως δοξολογών, τόν εκ Παρθένου αφράστως σάρκα λαβόντα, καί καταδύσαντα τάς ημών αμαρτίας,

εν τώ Βαπτίσματι, εν ρείθροις Ιορδάνου. Αυτόν ικέτευε, αυτόν δυσώπει Όσιε, δωρηθήναι τή οικουμένη, ομόνοιαν, ειρήνην, καί μέγα έλεος. (Δίς)

Δόξα... Ήχος β'

Όσιε Πάτερ, ως πόλιν ζώντος Θεού, εύφραναν τήν ιεράν σου ψυχήν, τού ποταμού τά ορμήματα, τού ύδατος τής αφέσεως, τού διελθόντος τόν Ιορδάνην, καί πάσι τοίς πέρασι, τής ευσεβείας τόν λόγον πηγάσαντος, Χριστού τού Θεού ημών, όν ικέτευε παμμάκαρ Θεοδόσιε, τού σωθήναι τάς ψυχάς ημών.

Καί νύν... ο αυτός

Υπέκλινας κάραν τώ Προδρόμω, συνέθλασας κάρας τών δρακόντων, επέστης εν τοίς ρείθροις, εφώτισας τά σύμπαντα, τού δοξάζειν σε Σωτήρ, τόν φωτισμόν τών ψυχών ημών.

Είσοδος, Φώς Ιλαρόν. Τό Προκείμενον τής ημέρας καί τά Αναγνώσματα.

Σοφίας Σολομώντος τό Ανάγνωσμα
(Κεφ. 3, 1-9)

Δικαίων ψυχαί εν χειρί Θεού, καί ου μή άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι, καί ελογίσθη κάκωσις η έξοδος αυτών, καί η αφ' ημών πορεία σύντριμμα, οι δέ εισιν εν ειρήνη. Καί γάρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Καί ολίγα παιδευθέντες, μεγάλα ευεργετηθήσονται. Ότι ο Θεός επείρασεν αυτούς, καί εύρεν αυτούς αξίους εαυτού. Ως χρυσόν εν χωνευτηρίω εδοκίμασεν αυτούς, καί ώς ολοκάρπωμα θυσίας προσεδέξατο αυτούς. Καί εν καιρώ επισκοπής αυτών αναλάμψουσι, καί ως σπινθήρες εν καλάμη διαδραμούνται. Κρινούσιν έθνη, καί κρατήσουσι λαών, καί βασιλεύσει αυτών Κύριος εις τούς αιώνας, οι πεποιθότες επ' αυτώ, συνήσουσιν αλήθειαν, καί οι πιστοί εν αγάπη προσμενούσιν αυτώ, ότι χάρις καί έλεος εν τοίς οσίοις αυτού, καί επισκοπή εν τοίς εκλεκτοίς αυτού.

Σοφίας Σολομώντος τό Ανάγνωσμα
(Κεφ. 5, 15-23 & 6, 1-3)

Δίκαιοι εις τόν αιώνα ζώσι, καί εν Κυρίω ο μισθός αυτών, καί η φροντίς αυτών παρά Υψίστω. Διά τούτο λήψονται τό βασίλειον τής ευπρεπείας, καί τό διάδημα τού κάλλους εκ χειρός Κυρίου, ότι τή δεξιά αυτού σκεπάσει αυτούς, καί τώ βραχίονι υπερασπιεί αυτών. Λήψεται πανοπλίαν, τόν ζήλον αυτού, καί οπλοποιήσει τήν κτίσιν εις άμυναν εχθρών. Ενδύσεται θώρακα δικαιοσύνην, καί περιθήσεται κόρυθα, κρίσιν ανυπόκριτον. Λήψεται ασπίδα ακαταμάχητον, οσιότητα, οξυνεί δέ απότομον οργήν εις ρομφαίαν, συνεκπολεμήσει αυτώ ο κόσμος επί τούς παράφρονας. Πορεύσονται εύστοχοι βολίδες αστραπών, καί ως από ευκύκλου τόξου, τών νεφών, επί σκοπόν αλούνται, καί εκ πετροβόλου θυμού πλήρεις ριφήσονται χάλαζαι. Αγανακτήσει κατ' αυτών ύδωρ θαλάσσης, ποταμοί δέ συγκλύσουσιν αποτόμως, αντιστήσεται αυτοίς πνεύμα δυνάμεως, καί ώς λαίλαψ εκλικμήσει αυτούς. Καί ερημώσει πάσαν

τήν γήν ανομία, καί η κακοπραγία περιτρέψει θρόνους δυναστών. Ακούσατε ούν, Βασιλείς, καί σύνετε, μάθετε, δικασταί, περάτων γής, ενωτίσασθε, οι κρατούντες πλήθους, καί γεγαυρωμένοι επί όχλοις Εθνών. Ότι εδόθη παρά Κυρίου η κράτησις υμίν, καί η δυναστεία παρά Υψίστου.

## Σοφίας Σολομώντος τό Ανάγνωσμα
## (Κεφ. 4, 7-15)

Δίκαιος εάν φθάση τελευτήσαι, εν αναπαύσει έσται. Γήρας γάρ τίμιον, ού τό πολυχρόνιον, ουδέ αριθμώ ετών μεμέτρηται. Πολιά δέ εστι φρόνησις ανθρώποις, καί ηλικία γήρως, βίος ακηλίδωτος. Ευάρεστος Θεώ γενόμενος ηγαπήθη, καί μεταξύ αμαρτωλών μετετέθη. Ηρπάγη, μή κακία αλλάξη σύνεσιν αυτού, ή δόλος απατήση ψυχήν αυτού, βασκανία γάρ φαυλότητος αμαυροί τά καλά, καί ρεμβασμός επιθυμίας μεταλλεύει νούν άκακον. Τελειωθείς εν ολίγω, επλήρωσε χρόνους μακρούς, αρεστή γάρ ήν Κυρίω η ψυχή αυτού, διά τούτο έσπευσεν εκ μέσου πονηρίας. Οι δέ λαοί ιδόντες, καί μή νοήσαντες, μηδέ θέντες επί διανοία τό τοιούτον ότι χάρις καί έλεος εν τοίς οσίοις αυτού, καί επισκοπή εν τοίς εκλεκτοίς αυτού.

## Απόστιχα Στιχηρά Προσόμια τής Εορτής.

### Ήχος δ'  Εδωκας σημείωσιν

Ίδε πώς περίκειμαι, τήν σήν εικόνα ήν έπλασα, υπέρ νούν ταπεινούμενος, ο κυριος έφησε. Τί ούν ξένον φίλε, ει καθυποκύπτω, τή δεξιά σου ώς περ εις, τών σών συνδούλων καί περιβάλλομαι, γυμνούμενος τά ύδατα; τούς γυμνωθέντας γάρ βούλομαι, επενδύσαι ως εύσπλαγχνος, αφθαρσίαν αιώνιον,

Στίχ. Η θάλασσα είδε καί έφυγεν, ο Ιορδάνης εστάφη εις οπίσω,

Ώφθης σωματούμενος, αλλά νηδύς σε εδέξατο, ακατάφλεκτος μείνασα, κάμινος γάρ πόρρωθεν, ταύτην εικονίζει, μή φλέξασα Παίδας, εγώ δέ χόρτος ων πυρί, πώς επιθήσω χείράς σοι Δέσποτα; όν φρίττει τά ουράνια, καί τά επίγεια άπαντα; Ιησού παντοδύναμε, ο Σωτήρ τών ψυχών ημών.

Στίχ. Τί σοί εστι θάλασσα, ότι έφυγες; καί σοί Ιοράνη ότι ανεχώρησας εις τά οπίσω;

Σύ με εν τοίς ύδασι, τού Ιορδάνου απόπλυνον, ρύπον όλως μή έχοντα, ο Κύριος έφησε, καί η ρυπωθείσα, φύσις τών ανθρώπων, τή παραβάσει τού Αδάμ, αποπλυθείσα καινή γενήσεται, εμού βαπτιζομένου γάρ, η αναγέννησις άπασι, τοίς ανθρώποις δι' ύδατος, καί τού Πνεύματος γίνεται.

### Δόξα... Ήχος πλ. δ'
### Τού Στουδίτου

Τών Μοναστών τά πλήθη, τόν καθηγητήν σε τιμώμεν, Πατήρ ημών Θεοδόσιε, διά σού γάρ τήν τρίβον, τήν όντως ευθείαν, πορεύεσθαι έγνωμεν. Μακάριος εί, τώ Χριστώ δουλεύσας, καί εχθρού θριαμβεύσας τήν δύναμιν, Αγγέλων

συνόμιλε, Οσίων ομόσκηνε καί Δικαίων. Μεθ' ών πρέσβευε τώ Κυρίω, ελεηθήναι τάς ψυχάς ημών.

Καί νύν... ο αυτός

Τά τών Αγγέλων στρατεύματα εξίσταντο, ορώντά σε σήμερον εν Ιορδάνη, γυμνόν εστώτα Σωτήρ εν τοίς ύδασι, καί τήν άχραντον κορυφήν σου υποκλίναντα, βαπτισθήναι υπό Ιωάννου, σού γάρ πτωχεύσαντος εκουσίως, ο κόσμος επλουτίσθη, Κύριε δόξα σοι.

Απολυτίκιον  Ήχος πλ. δ'

Ταίς τών δακρύων σου ροαίς, τής ερήμου τό άγονον εγεώργησας, καί τοίς εκ βάθους στεναγμοίς, εις εκατόν τούς πόνους εκαρποφόρησας, καί γέγονας φωστήρ τή οικουμένη, λάμπων τοίς θαύμασιν, Όσιε Πατήρ ημών Θεοδόσιε, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Καί νύν...

Τής Εορτής  Ήχος α'

Εν Ιορδάνη βαπτιζομένου σου Κύριε, η τής Τριάδος εφανερώθη προσκύνησις, τού γάρ Γεννήτορος η φωνή προσεμαρτύρει σοι, αγαπητόν σε Υιόν ονομάζουσα, καί τό Πνεύμα εν είδει περιστεράς, εβεβαίου τού λόγου τό ασφαλές. Ο επιφανείς Χριστέ ο Θεός, καί τόν κόσμον φωτίσας δόξα σοι.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα  Ήχος δ'

Κατεπλάγη Ιωσήφ

Ιησούς ο τού Ναυή, εν Ιορδανη ποταμώ, διαβιβάζων τόν λαόν, καί τού Θεού τήν κιβωτόν, εσκιαγράφει τήν μέλλουσαν ευεργεσίαν, εικόνα γάρ ημίν αναμορφώσεως, καί τύπον αψευδή αναγεννήσεως, η μυστική διάβασις τών δύω, σκιαγραφεί εν τώ Πνεύματι, Χριστός εφάνη, εν Ιορδάνη, αγιάσαι τά ύδατα.

Δοξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα  όμοιον

Θεοφανείας ο καιρός, Χριστός επέφανεν ημίν, εν Ιορδάνη ποταμώ, δεύτε αντλήσωμεν πιστοί, ύδωρ αφέσεως τών αμαρτιών ημών, Χριστός, γάρ εν σαρκί επεδήμησε, τό πρόβατον ζητών τό θηριάλωτον, καί ανευρών εισήγαγεν ως εύσπλαγχνος, εις τόν Παράδεισον αύθις, Χριστός εφάνη, εν, Ιορδάνη, καί τόν κόσμον εφώτισε.

Δόξα... Καί νύν... Τό αυτο

Μετά τόν Πολυέλεον

Κάθισμα τού Οσίου
Ήχος γ'  Θείας Πίστεως

Θείας αίρων σου χείρας πρός ύψος, στύλος Όσιε φωσφόρος ώφθης, τών προσευχών ενταίς ακτίσι λαμπόμενος, πρός ουρανόν γάρ πτερώσας διάνοιαν, καί τών αρρήτων γενόμενος μέτοχος, όλος ήστραψας, Χριστόν τόν Θεόν αιτούμενος, δωρήσασθαι ημίν τό μέγα έλεος.

Δόξα... Καί νύν... τής Εορτής
Η Παρθένος σήμερον

Ο Δεσπότης σήμερον, εν Ιορδάνη επέστη, βαπτισθείς εν ύδασιν, υπό τού θείου Προδρόμου, άνωθεν ο Πατήρ δέ προσεμαρτύρει. Ούτός εστιν ο Υιός ο αγαπητός μου, καί τό Πνεύμα επεφάνη, εν ξένη θέα, περιστεράς επ' αυτόν.

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Προκείμενον  Ήχος δ'

Τίμιος εναντίον Κυρίου ο θάνατος τού Οσίου αυτού.
Στίχ. Τί ανταποδώσωμεν τώ Κυρίω.

Πάσα πνοή. Ευαγγέλιον, ο Πεντηκοστός.

Δόξα... Ταίς τού σού Οσίου...
Καί νύν... Ταίς τής Θεοτόκου...

Είτα τό Ιδιόμελον
Ήχος πλ. β'

Όσιε Πάτερ, εις πάσαν τήν γήν εξύλθεν ο φθόγγος τών κατορθωμάτων σου, δι' ών εν τοίς ουρανοίς, εύρες μισθόν τών καμάτων σου. Τών Δαιμόνων ώλεσας τάς φάλαγγας, τών Αγγέλων έφθασας τά τάγματα, ών τόν βίον αμέμπτως εζήλωσας. Παρρησίαν έχων πρός Χριστόν τόν Θεόν, ειρήνην αίτησαι ταίς ψυχαίς ήιμών.

Ο Κανών τής Εορτής μετά τών Ειρμών εις η' καί τού Αγίου εις ς'.

Ωδή α'  Ήχος β'

«Εν βυθώ κατέστρωσε ποτέ, τήν Φαραωνίτιδα, πανστρατιάν η υπέροπλος δύναμις, σαρκωθείς ο Λόγος δέ, τήν παμμόχθηρον αμαρτίαν εξήλειψεν, ο δεδοξασμένος κυριος, ενδόξως γάρ δεδόξασται».

Ως σοφός ταξίαρχος ημών, Πάτερ Θεοδόσιε, θεοπρεπώς τήν ωδήν προανάκρουσον, τώ επιδη μήσαντι, εις παγκόσμιον σωτηρίαν Χριστώ τώ Θεώ, καί τήν παναγίαν μνήμην σου, σύν εαυτώ δοξάσαντι.

Εξ ερήμου Πρόδρομος Χριστού, τής Ααρωνίτιδος, ο Ελισάβετ βλαστός προελήλυθεν, εν τή Κολυμβήθρα δέ, Θεοδόσιος γεννηθείς διά Πνεύματος,

ερημοπολίτης γέγονε, τώ Ιησού επόμενος.

Βαπτισθέντος ρείθροις τού Χριστού, τής Ισραηλίτιδος, συναγωγής καθαιρείται τό φρύαγμα, εν τή Εκκλησία δέ, η ισάγγελος πολιτεία πεφύτευται, ήν ανεπιστρόφως ήνυσας, παμμάκαρ Θεοδόσιε.

Κοινωνός τού πάθους γεγονώς, Πάτερ δι' ασκήσεως, τού δι' ημάς τώ Σταυρώ ομιλήσαντος, επαξίως σύμμορφος, εχρημάτισας τής αυτού αναστάσεως, καί συγκληρονόμος γέγονας, τής δόξης Θεοδόσιε.

Θεοτοκίον

Νεανίδων θείων ο χορός, ενθεαστικώτατα, εν γυναιξί σε καλήν ασματίζουσι, Θεοτόκε Δέσποινα, καλλοναίς ωραϊζομένην θεότητος, τόν καλλοποιόν γάρ Λόγον, υπέρ λόγον απεκύησας.

Καταβασία

Βυθού ανεκάλυψε

Ωδή γ'

«Εξήνθησεν η έρημος, ωσεί κρίνον Κύριε, η τών εθνών στειρεύουσα, Εκκλησία τή παρουσία σου, εν ή εστερεώθη ή καρδία μου».

Ούδασι στεγάζων, τά υπερώα Κύριος σωματικώς τά ρείθρα, τού Ιορδάνου περιεβάλετο, εν ώ εστερεώθη η καρδία μου.

Οφώς εν Ιορδάνη, τό θείον λάιμψας βλάστημα, τοίς επί γής θεόσδοτον, ευλογίας καί προαιρέσεως, αγαθής σε προφαίνει Θεοδόσιε.

Κατέλιπες τόν κόσμον, καί τά εν τώ κόσμω Όσιε, τήν τελεσθείσαν γύμνωσιν, τού Δεσπότου εκμιμησάμενος, επί τού Ιορδάνου Θεοδόσιε.

Τόν Σταυρόν τού Σωτήρος, επ' ώμων άρας έδραμες, επί τόν τούτου τάφον, ελάφου δίκην επί υδάτων πηγάς, σωτηρίους παμμάκαρ Θεοδόσιε.

Θεοτοκίον

Τά τάγματα εξέστησαν, τών Αγγέλων Πάναγνε, καί τών ανθρώπων έφριξαν, αι καρδίαι επί τώ τόκω σου, διό σε Θεοτόκον πίστει σέβομεν.

Καταβασία

Ισχύν ο διδούς

Κάθισμα Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Εγκρατεία καί πόνοις καί προσευχαίς, τήν ψυχήν σου κοσμήσας θεοπρεπώς, γέγονας συμμέτοχος, τών Οσίων Αοίδιμε, καί τών θαυμάτων όντως, χαρίσματα έλαβες, τού ιάσθαι τάς νόσους, τών πίστει τιμώντων σε, όθεν καί Δαιμόνων, απελαύνων τά πλήθη, παρέχεις ιάματα, τοίς ανθρώποις τή χάριτι, θεοφόρε Θεοδόσιε. Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν άγίαν μνήμην σου.

Δόξα... τό αυτό

Καί νύν... τής Εορτής

Ιορδάνης τώ ρείθρω καθυπουργεί, Ιωάννης εκτείνει χείρα φθαρτήν, φανέντος σου Αόρατε, εν σαρκί πρός τό βάπτισμα, αλλ' ο μέν εστρέφετο, εις τά οπίσω φόβω, ο δέ αύθις εκράτει, εν τρόμω τόν άφθαρτον, όντως ο Αμνός τού Θεού, η πηγή η αείζωος, πηγάς τε καί θαλάσσας, καί ανθρώπους ηγίασας. Η Τριάς γάρ επέλαμψεν, άνωθεν Υιόν σε ονομάζει ο Γεννήτωρ, καί τό Άγιον Πνεύμα συγκατέρχεται.

Ωδή δ'

«Ελήλυθας, εκ Παρθένου ου πρέσβυς ουκ Άγγελος, αλλ' αυτός ο Κύριος, σεσαρκωμένος καί έσωσας, όλον με τόν άνθρωπον, διό κραυγάζω σοι. Δόξα τή δυνάμει σου Κύριε».

Εν ύδασι, κεφαλάς τών δρακόντων συνέτριψας, καί διά τού Πνεύματος, Λόγε Θεού ανεκαίνισας, όλον με τόν άνθρωπον, διό κραυγάζω σοι. Δόξα τή δυνάμει σου Κύριε.

Τού κλίναντος, κορυφήν τώ Προδρόμω μιμούμενος, Χριστού τό υπήκοον, καί τήν αρίστην ταπείνωσιν, Πάτερ Θεοδόσιε, πρός αρετών ανηνέχθης πύργον άσειστον.

Τή Παρθένω, καί Μητρί λειτουργήσας Χριστού τού Θεού, τήν ακαταμάχητον, χάριν εδέξω τού Πνεύματος, Πάτερ Θεοδόσιε, καί δυσμενείς αοράτους καταβέβληκας.

Τών Μάγων σε, τό αοίδιμον άντρον δεξάμενον, δωροφόρον έδειξε, τώ δι' ημάς βαπτισθέντι Χριστώ, πίστιν Θεοδόσιε, καί σύν ελπίδι αγάπην προσκομίζοντα.

Τοίς πάθεσι, τού Δεσπότου Χριστού δυναμούμενος, τό τής συνειδήσεως, πόθω ανέτλης μαρτύριον, Πάτερ Θεοδόσιε, τώ ζοφερώ προσπαλαίων κοσμοκράτορι.

Θεοτοκίον

Συνέλαβες, εν γαστρί σου ασπόρως, τόν Κύριον, καί τούτον εκύησας, σεσαρκωμένον τόν σώζοντα, κόσμον ταίς πρεσβείαις σου, διό σοι κράζομεν. Χαίρε αειπάρθενε Δέσποινα.

Καταβασία

Ακήκοε Κύριε φωνής σου

Ωδή ε'

«Μεσίτης Θεού καί ανθρώπων γέγονας, Χριστέ ο Θεός, διά σού γάρ Δέσποτα, τήν πρός τόν αρχίφωτον Πατέρα σου, εκ νυκτός αγνωσίας,

προσαγωγήν εσχήκαμεν».

Εξάψας τόν νούν, τού ημάς εν ρείθροις καινουργήσαντος, σοφώς υπεστήριζες, καταβεβλημένον δι' ασκήσεως, κρεμαστήρσι τό σώμα, παμμάκαρ Θεοδόσιε.

Τόν βίον αεί, τού θανάτου θέμενος μελέτημα, εκδημήσαι σπεύδων τε, πρός τόν δι' ημάς επιφανέντα σαρκί, σεαυτώ εδομήσω, τόν τάφον Θεοδόσιε.

Τόν θάνατον Χριστού, τόν εκούσιον ο σός φοιτητής, ο κλεινός Βασίλειος, Πάτερ Θεοδόσιε μιμούμενος, τόν καινόν εγκαινίζει, τάφον αγαλλόμενος.

Θεοτοκίον

Ιδού εν γαστρί, Θεοτόκε πάναγνε, Χριστόν τόν Θεόν, υπέρ λόγον έσχηκας, ώσπερ Ησαΐας προσηγόρευσεν, υπέρ φύσιν τε τούτον, Θεογεννήτορ τέτοκας.

Καταβασία

Ιησούς ο ζωής αρχηγός

Ωδή ς'

«Εν αβύσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον. Εκ φθοράς, ο Θεός με ανάγαγε».

Αφθαρσίαν ημίν εδωρήσω Χριστέ, εν τή αναστάσει σου, όθεν Βασίλειος, ο ευκλεής θεράπων σου, καί θανών ώσπερ ζών, επιφαίνεται.

Ο καθαίρων τόν κόσμον βαπτίζεται, δι' εμέ βροτός, ο Θεός κατ' εμέ γεγονώς, όν εν δυσί ταίς φύσεσι, Θεοδόσιε μάκαρ εκήρυξας.

Γλυκασμόν ευφροσύνης Χριστώ τώ Θεώ, τώ τών Μυροφόρων τά δάκρυα τρέψαντι, εις χαράν Θεοδόσιε, οι κρουνοί τών δακρύων σου έσταξαν.

Θεοτοκίον

Συμπαθείας τής σής με αξίωσον, η τόν συμπαθέστατον Λόγον κυήσασα, τών τώ ιδίω αίματι, εκ φθοράς τούς ανθρώπους ρυσάμενον.

Καταβασία

Η φωνή τού Λόγου

Κοντάκιον  Ήχος πλ. δ'

Τή υπερμάχω

Πεφυτευμένος εν αυλαίς ταίς τού Κυρίου σου, τάς φανοτάτας αρετάς τερπνώς εξήνθησας, καί επλήθυνας τά τέκνα σου εν ερήμω, τών δακρύων σου τοίς όμβροις αρδευόμενα, αγελάρχα τών Θεού θείων επαύλεων, όθεν κράζομεν. Χαίροις Πάτερ Θεοδόσιε.

Ο Οίκος

Άνθρωπος μέν τή φύσει εχρημάτισας Πάτερ, αλλ' ώφθης συμπολίτης Αγγέλων, ως γάρ άσαρκον επί τής γής βιοτεύσας σοφέ, τής σαρκός άπασαν τήν πρόνοιαν απέρριψας, διό καί παρ' ημών ακούεις. Χαίροις, πατρός

ευλαβούς ο γόνος, χαίροις, Μητρός ευσεβούς ο κλάδος. Χαίροις, τής ερήμου πολιστής παγκόσμιος, χαίροις οικουμένης φωστήρ ο πολύφωτος. Χαίροις, ότι εκ νεότητος ηκολούθησας Χριστώ, χαίροις ότι κατεμάρανας τής σαρκός τάς ηδονάς. Χαίροις, τών Μοναζόντων πρόξενος σωτηρίας, χαίροις, τών ραθυμούντων τρόπος παρηγορίας. Χαίροις, πολλούς εκ πλάνης ρυσάμενος, χαίροις, κρουνούς θαυμάτων δωρούμενος. Χαίροις, πτωχών τήν φροντίδα ποιήσας, χαίροις, ημών ο προστάτης καί ρύστης. Χαίροις, Πάτερ Θεοδόσιε.

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΑ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Θεοδοσίου τού Κοινοβιάρχου καί Καθηγητού τής ερήμου.

Στίχοι

Κοινού Θεοδόσιος Ηγεμων βίου,
Κοινή Μοναστaίς εκβιώσας ζημία.
Ενδεκάτη ολοόν βίοτον λίπε Κοινοβιάρχης.

Τή αυτή ημέρα, η Σύναξις τών μυρίων Αγίων Αγγέλων. Τελείται δέ ένδον τού Μαρτυρίου τής Αγίας Αναστασίας εν τοίς Δομνίνου εμβόλοις, καί Μνήμη τού Αγίου Στεφάνου, τού εν Πλακιδιναίς, καί τού Αγίου Θεοδώρου καί Αγαπίου τού Αρχιμανδρίτου.

Τή αυτή ημέρα, ο Άγιος Μάϊρος αικιζόμενος τελειούται.

Στίχοι

Μάϊρος εκραύγαζεν, ών εν αικίαις.
Μή δειλιάς Μάϊρε, πλήττου καί στέφου.

Τή αυτή ημέρα, ο Όσιος Βιτάλιος εν ειρήνη τελειούται.

Στίχοι

Καί πνεύμα δόντα Βιτάλιε Κυρίω,
Τά πνεύματα φρίττει σε τής πονηρίας.

Ταίς αυτών Αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

## Ωδή ζ'

«Αντίθεον πρόσταγμα παρανομούντος, τυράννου μετάρσιον, τήν φλόγα ανερρίπισε, Χριστός δέ εφήπλωσε, θεοσεβέσι Παισί, δρόσον τήν τού Πνεύματος, ο ών ευλογημένος καί υπερένδοξος».

Ορείθρα φλογίζοντα τήν αμαρτίαν, καί φλόγα δροσίζουσαν, ανθρώπων γένος Κύριε, εν τώ σώ Βαπτίσματι, συνάψας Λόγε Θεού, ο υπερυψούμενος Θεός, ευλογημένος καί υπερένδοξος.

Τώ κάμινον τεύξαντι τόν Ιορδάνην, σαυτόν ως θυμίαμα, ολοκαυτώσας Όσιε, καί φλόγα ουράνιον, αψευδές σύμβολον, θείας επινεύσεως λαβών, σηκόν ιδρύσω ψυχών σωτήριον.

Τοίς σοίς στρατηγήμασι τά τού Μωσέως, υπείκει τής χάριτος, επιφανείσης Όσιε, εχθρούς αοράτους γάρ, καταστρεψάμενος, πόλιν επουράνιον ο σός, κληροδοτείται λαός Πανεύφημε.

Τώ ρείθροις ενθάψαντι τήν αμαρτίαν, σαυτόν ενδιαίτημα, εδράσας Θεοδόσιε, θεάρεστον τέμενος επωκοδόμησας, φέρειν ακατάπαυστον ωδήν, νομοθετήσας εν πολυγλώσσοις φωναίς.

Τών Παίδων μιμούμενος τήν παρρησίαν, τυράννου πυρίπνοον, απειλήν εξεφαύλισας, σοφώς προϊστάμενος τής Εκκλησίας Χριστού, Πάτερ Θεοδόσιε, δι' ήν εκών ωράθη, σαρκί σταυρούμενος.

Θεοτοκίον

Πανάχραντον σύλληψιν, άχραντον τόκον, σύ μόνη υπέδειξας, Παρθένος διαμείνασα, Θεόν γάρ συνέλαβες, τόν υπέρ πάντων Αγνή, άνθρωπον γενόμενον, πιστών εις σωτηρίαν καί απολύτρωσιν.

Καταβασία

Νέους ευσεβείς

Ωδή η'

«Κάμινος ποτέ, πυρός εν Βαβυλώνι, τάς ενεργείας διεμέριζε, τώ θείω προστάγματι, τούς Χαλδαίους καταφλέγουσα, τούς δέ πιστούς δροσίζουσα, ψάλλοντας. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Κάμινος ποτέ, εν Βαβιλώνι ρείθρα, τού Ιορδάνου εξεικόνισε, τώ θείω Βαπτίσματι, εναντίους καταφλέγουσα, τούς δέ πιστούς δροσίζουσα κράζοντας. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Τών σωματικών, παθών προεκδημήσας, τής εκδημίας Θεοδόσιε, εν τοίς κενεώσι τής γής, τών υδάτων εξαιρούμενος, τώ νεανία δείκνυσαι, κράζοντι. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Γέγονε τών σών, χειρών η ευλογία, τό τού εν ρείθροις βαπτισθέντος Χριστού, θειότατον πρόσταγμα, τή ανίκμω γονιμώτατον, ύδωρ καί θάλπων ήλιος, κόκκος γάρ εις πολύχουν, σίτον ασπόρως ετρέφετο.

Γνόφον νοητόν, φωτός τού θειοτάτου, σύ υπεισδύνας Θεοδόσιε, καί πλάκας δακτύλω Θεού, εγγραφείσας τή καρδία σου, τά ευσεβείας δόγματα, έφερες τοίς φοιτώσι, βίβλον ζωής παμμακάριστε.

Πίστιν αρραγή, τήν τής Αιμόρρου Πάτερ, εκμιμησάμενον τό γύναιον, τού ράκους αψάμενον, ώσπερ σκότος τώ εν σοί φωτισμώ τό πάθος εφυγάδευσε, γέγονας εκλογής γάρ, σκεύος τώ επιφανέντι Χριστώ.

Σέ τόν εκ Θεού, Θεόν εωρακότες, σωματικώς επιφανέντα Χριστέ, αρρήτως

επέγνωμεν, τόν αόρατον Πατέρα σου, καί Πνεύμά σου τό Άγιον, κράζοντες. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Θεοτοκίον

Σύ τόν τού Πατρός, αχώριστον εν μήτρα, θεανδρικώς πολιτευσάμενον, ασπόρως συνέλαβες, καί αφράστως απεκύησας, Θεόν ομού καί άνθρωπον, όθεν σε σωτηρίαν, πάντων ημών επιστάμεθα.

Καταβασία

Μυστήριον παράδοξον

Ωδή θ'

«Ανάρχου Γεννήτορος, Υιός Θεός καί Κύριος, σαρκωθείς εκ Παρθένου, ημίν επέφανε, τά εσκοτισμένα φωτίσαι, συναγαγείν τά εσκορπισμένα. Διό τήν Πανύμνητον, Θεοτόκον μεγαλύνομεν».

Συνόδους εκήρυξας, θεόφρον Θεοδόσιε, τών σεπτών ισαρίθμους, Ευαγγελίων Χριστού, τό τής προαιρέσεως αίμα, μαρτυρικώ, προέμενος ζήλω, καί μάρτυς αναίμακτος, ευσεβιείας αναδέδειξαι.

Η δίκη τόν άδικον, ενδίκως κατεδίκασε, τής σής υπερορίας προεξορίσασα, καί διά βλασφήμων χειλέων, τήν δυσσεβή, ψυχήν εξελούσα, ζωής τε στερήσασα, τής ζωής τόν εχθρόν Όσιε.

Τών σών μεμνημένοι, διδαγμάτων Θεοδόσιε, εν δυσί ταίς ουσίαις, Χριστόν κηρύττομεν, δύω τάς θελήσεις ειδότες, τάς φυσικάς, καί τάς ενεργείας, καί τά αυτεξούσια, εν Θεώ τώ βαπτισθέντι σαρκί.

Φερώνυμος δόσις αγαθή, εκ τού τών φώτων Πατρός, τών ψυχών καί τών σωμάτων ιατρός πέφηνας, βρώσις ευθηνούσα καί πόσις, τών έν λιμώ τακέντων καί δίψει, γυμνών περιβόλαιον, καί πιπτόντων επανόρθωσις,

Μή παύση τήν ποίμνην σου, εφορών Πάτερ Όσιε, καί τής σής μεμνημένος καθυποσχέσεως, ής τάς τής ελπίδος αγκύρας, ως αρραγούς εξήψαμεν πέτρας, πρός Χριστόν μεσίτην σε, κεκτημένοι Θεοδόσιε.

Θεοτοκίον

Ως όρθρος ευρέθης πρωϊνός, εν τή τού βίου νυκτί, παρθενίας ακτίσι περιαστράπτουσα, τήν ανατολήν τού Ηλίου, τού νοητού τής δικαιοσύνης, ημίν φανερώσασα, Θεομήτορ πανσεβάσμιε.

Καταβασία

Απορεί πάσα γλώσσα

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Τόν νούν καθάρας Όσιε, τής τών παθών συγχύσεως, τρανώς εδέξω τάς θείας, εμφάσεις τής υπερφώτου, καί τριλαμπούς θεότητος, παμμάκαρ Θεοδόσιε, τών ασκητών αγλάϊσμα, καί νύν πρεσβεύων μή παύση, υπέρ ημών

θεοφόρε.

Τής Εορτής όμοιον

Βαβαί τών θείων έργων σου, Σωτήρ μου παντοδύναμε! Θεός γάρ ών πρό αιώνων, Παρθένου μήτραν υπέδυς, καί σάρξ ατρέπτως γέγονας, καί ύδασιν απέπλυνας, τού Ιορδάνου Δέσποτα, βροτών τήν φύσιν τού ρύπου, τών ψυχικών αμαρτάδων.

Εις τούς Αίνους, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. α' Χαίροις ασκητικών

Οίκον τών ιερών αρετών, προκαταστήσας σεαυτόν Θεοδόσιε, τόν θείον τής Θεοτόκου, κατηξιώθης ναόν, κατοικείν καί τούτον επισκέπτεσθαι, Θεού τήν λαμπρότητα, θεωρείν γάρ ηγάπησας, τής αληθούς δέ, νύν σκηνής τήν ευπρέπειαν, καί τήν άφραστον, καθοράς ωραιότητα, ήν περ εθεμελίωσεν, ο Ύψιστος Όσιε, καί κατοικίζει προθύμως, τούς πρός αυτόν ανανεύοντας. Αυτόν δωρηθήναι, ταίς ψυχαίς ημών δυσώπει, τό μέγα έλεος.

Πόνοις ασκητικοίς σεαυτόν, ανακαθάρας μιμητής εχρημάτισας, παμμάκαρ, τού σού Δεσπότου, τής γάρ κρασπέδων τών σών, αψαμένης πάθος εθεράπευσας, λιμώ τηκομένους, εν τή ερήμω δέ έθρεψας, εξ ακενώτου, χορηγών θησαυρίσματος, ως φερώνυμος, Θεού δόσις γενόμενος, Πίστιν δέ τήν ορθόδοξον, εκήρυξας Όσιε, τήν τού τυράννου μανίαν, αντ' ουδενός λογισάμενος, Χριστόν ικετεύων, ταίς ψυχαίς ημών δοθήναι, τό μέγα έλεος.

Φλόγα τής πρός Θεόν ακλινούς, καί διαπύρου καί θερμής αγαπήσεως, εξάψας τόν ουρανόθεν, άντεκομίσω πυρσόν, ευδοκίαν θείαν σοι μηνύοντα, ναόν αγιώτατον, αρετής παιδευτήριον, οικοδομήσαι, καί ψυχών φροντιστήριον, όν αρξάμενος, ευσεβώς ετελείωσας, ένθα καί τό πολύαθλον, κατάκειται σώμά σου, θήκαις οσίαις Παμμάκαρ, διαφερόντως τιμώμενον. Χριστόν δωρηθήναι, ταίς ψυχαίς ημών δυσώπει, τό μέγα έλεος.

Όντως έως σκηνής θαυμαστής, έως τού οίκου τού Θεού Θεοδόσιε, διήλθες αγαλλιάσει, καί ευφροσύνη ψυχής, ένθα ήχος Πάτερ εορτάζοντος, τερπνής ακουσάμενος, καί γλυκείας υμνήσεως, καί τής αφράστου, θυμηδίας καί τέρψεως, γενησόμενος, εν μεθέξει μακάριε, ής μόνης εφιέμενος, τήν σάρκα ενέκρωσας, ής καί επέτυχες θεία, δικαιοσύνη κοσμούμενος, Χριστόν ικετεύων, ταίς ψυχαίς ημών δοθήναι, τό μέγα έλεος.

Δόξα... Ήχος β'

Τών αρετών η κλίμαξ, υπογραμμός ανεδείχθη τοίς επί γής, τούτον ευφημήσωμεν, ως ασκητών εγκαλλώπισμα, εξασκήσας γάρ αληθώς, ώσπερ ο μέγας Αντώνιος, άμετρον ταπείνωσιν ενδειξάμενος, καί ποιμάνας τόν λαόν αυτού ευσεβώς εις μάνδραν αγίαν ενήλασεν, ού ο χορός τών Αγίων καθέστηκεν. Εκτενώς ούν βοώμεν. Μή επιλάθη, καί νύν τής ποίμνης σου, παμμάκαρ Θεοδόσιε, αλλά πρεσβείαις σου πρός Κύριον, σώσον ημάς δεόμεθα.

Καί νύν... ο αυτός

Σήμερον ο Χριστός, εν Ιορδάνη ήλθε βαπτισθήναι. Σήμερον Ιωάννης άπτεται κορυφής τού Δεσπότου. Αι Δυνάμεις τών ουρανών εξέστησαν, τό παράδοξον ορώσαι μυστήριον. Η θάλασσα είδε καί έφυγεν, ο Ιορδάνης ίδων ανεστρέφετο. Ημείς δέ οι φωτισθέντες βοώμεν. Δόξα τώ φανέντι Θεώ καί επί γής οφθέντι, καί φωτίσαντι τόν Κόσμον.

Δοξολογία μεγάλη καί Απόλυσις

Εις τήν Λειτουργίαν

Τυπικά, καί εκ τού Κανόνος, Ωδή γ' καί ς'.

Προκείμενον Ήχος βαρύς

Τίμιος εναντίον Κυρίου ο θάνατος.

Στίχ. Τί ανταποδώσωμεν τώ Κυρίω.

Ο Απόστολος. πρός κορινθίους Β' Επιστολής.

Αδελφοί, ο Θεός ο ειπών εκ σκότους φώς λάμψαι...

Ζήτει Κυριακή ιε'.

Ευαγγέλιον κατά Ματθαίον

Είπεν ο κυριος, Πάντα μοι παρεδόθη...

Ζήτει τή ε' τής δ' Εβδομάδος τού Ματθαίου.

Κοινωνικον

Εις μνημόσυνον αιώνιον έσται Δίκαιος. Αλληλούια.

---

Αρχή

## ΤΗ ΙΒ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής Αγίας Μάρτυρος Τατιανής.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής.

Ήχος β'

Ότε εκ τού ξύλου σε νεκρόν

Ύμνον, νύν μεθέορτον πιστοί, άσωμεν Χριστού τή Βαπτίσει, καθαρωτάτω νοΐ, ήδη γάρ εφέστηκε, πρός Ιορδάνην σαρκί, ο Πατρί καί τώ Πνεύματι, αεί συνυπάρχων, φύσει τής θεότητος, τώ Ιωάννη βοών. Δεύρο, Βαπτιστά βάπτισόν με, θέλω γάρ εκπλύναι τού ρύπου, φύσιν τών ανθρώπων ως φιλάνθρωπος.

Τρόμω, λειτουργούσί σοι Χριστέ, πάσαι τών Αγγέλων αι τάξεις, ως Βασιλεί καί Θεώ, όλως ατενίσαι σοι, τά Χερουβίμ ού τολμά, κορυφής δέ τής θείας σου, κελεύεις μοι ψαύσαι, χόρτω όντι Δέσποτα, ο Ιωάννης φησί, φόβω δέ συνέχομαι όλος, μή με πύρ τό άστεκτον φλέξη, τής φρικτής σου Κύριε θεότητος.

Ήλθον, εκ Παρθένου σαρκωθείς, ρείθροις τόν Αδάμ αναπλάσαι τού Ιορδάνου φησίν, αύθις πρός τόν Πρόδρομον, ο Λυτρωτής καί Θεός, ως Χριστώ ούν μοι πρόσελθε, καί γάρ Ιωάννη, τούτο φύσει πέφυκα, καί βάπτισόν με σαρκί, όπως τών δρακόντων συντρίψω, κάρας τών εκεί, ο τού κόσμου, πάσαν αμαρτίαν αίρων Κύριος.

Στιχηρά τής Αγίας, όμοια

Ότε, τώ τού Πνεύματος φωτί, καταλαμπομένη πλουσίως, πλούτον εμίσησας, μόνον αγαπήσασα τόν επουράνιον, τήν Μαρτύρων στερρότητα, σαφώς ενεδύσω, καί πρός υπερβάλλοντας, πόνους εχώρησας, όθεν τόν εχθρόν καθελούσα, νίκης ανεπλέξω στεφάνους, ώ Τατιανή θεομακάριστε.

Ότε, τό δυσώδες τής σαρκός, καί τής αμαρτίας τήν φλόγα, Αγνή κατέσβεσας, δρόσω θείου Πνεύματος, τού συνεργούντός σοι, τότε θήρας εφίμωσας, σταδίου εν μέσω, σώμα παραδούσά σου, πρός αικισμούς ανδρικώς, όθεν τόν εχθρόν καθελούσα, νίκης ανεπλέξω στεφάνους, ώ Τατιανή θεομακάριστε.

Ξίφος, ουδέ πύρ ουκ αικισμοί, θλίψεις ου λιμός ου παντοίας, είδος κολάσεως, σού τόν πρός τόν Κύριον, ήμβλυνεν έρωτα, διαπύρω καρδία γάρ, αυτόν εκζητούσα, πάντα τά ορώμενα, υφ' έν διέπτυσας, Μάρτυς, καί παστάδος τής θείας, ένδον κατεσκήνωσας νύμφη, τού Παμβασιλέως χρηματίσασα.

Δόξα... Καί νύν... Ήχος πλ. β'

Ορώσά σε η φύσις άπασα τών γηγενών, γυμνόν εν ύδασι τόν Δημιουργόν, τό Βάπτισμα αιτούντα, ηλλοιούτο φόβω καί εξεπλήττετο, ο Πρόδρομος δέ, τρόμω συνείχετο, μή τολμών προσεγγίσαι σοι, ηθάλασσα έφυγεν, Ιορδάνης τό ρείθρον ανεχαίτισε, τά όρη εσκίρτησαν θεωρούντά σε, καί Αγγέλων αι Δυνάμεις εξίσταντο λέγουσαι. Ώ τού θαύματος! ο Σωτήρ γυμνούται, ενδύσαι θέλων σωτηρίαν, τούς ανθρώπους καί ανάπλασιν.

Εις τόν Στίχον Στιχηρά Προσόμοια.

Ήχος πλ. β' Αι Αγγελικαί

Νύν προφητικώς, εκβοήσωμεν Κυρίω. Επέφανες ημίν, ο Σωτήρ ημών καί κτίστης, συνέτριψας δέ Λόγε, τών δρακόντων τά στόματα, εν τώ Ιορδάνη ως οικτίρμων, καί τούς τυφλωθέντας τώ φωτί σου, Χριστέ εφώτισας. Ευλογημένος ο φανείς, Θεός ημών δόξα σοι.

Στίχ. Η θάλασσα είδε καί έφυγεν, ο Ιορδάνης εστάφη εις οπίσω,

Κράτος κατ' εχθρών, τώ Βαπτίσματί σου Λόγε, έδωκας ημίν, τοίς εκ πόθου σεβομένοις, τήν σήν οικονομίαν, ήν εκών εξεπλήρωσας, λύσας τούς βροτούς εκ τής κατάρας, τής εκ τής Εδέμ διαδραμούσης, εφ' ώ ψάλλομεν. Ευλογημένος ο φανείς, Θεός ημών δόξα σοι.

Στίχ. Τί σοί εστι θάλασσα, ότι έφυγες; καί σοί Ιοράνη ότι ανεχώρησας εις τά οπίσω;

Οι εν τώ Αδάμ, τούς χιτώνας δερματίνους, εκόντες ποτέ, ενδυσάμενοι τή πτώσει, έν ρείθροις, Ιορδάνου, εκδυσάμενοι σήμερον, εν τώ Βαπτισμώ τώ τού Κυρίου, θεολογούντες σύν Αγγέλοις, αυτώ κράξωμεν. Ευλογημένος ο φανείς, Θεός ημών δόξα σοι.

Δόξα... Καί νύν... Ήχος πλ. β'

Ανυμνήσωμεν οι πιστοί, τής περί ημάς τού Θεού ευεργεσίας τό μέγεθος, εν γάρ τώ ημών παραπτώματι, γενόμενος άνθρωπος, τήν ημών κάθαρσιν καθαίρεται εν τώ Ιορδάνη, ο μόνος καθαρός καί ακήρατος, αγιάζων εμέ καί τά ύδατα, καί τάς κεφαλάς τών δρακόντων συντρίβων επί τού ύδατος. Αντλήσωμεν ούν ύδωρ μετ' ευφροσύνης, αδελφοί, η γάρ χάρις τού Πνεύματος, τοίς πιστώς αντλούσιν, αοράτως επιδίδοται παρά Χριστού τού Θεού, καί Σωτήρος τών ψυχών ημών.

Απολυτίκιον τής Εορτής.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος δ'
Κατεπλάγη Ιωσήφ

Ιορδάνη ποταμέ, τί εθαμβήθης θεωρών; Τόν αθεώρητον γυμνόν, είδον καί έφριξα φησί, καί πώς γάρ τούτον ουκ έμελλον φρίξαι καί δύναι; οι Άγγελοι αυτόν, ορώντες έφριξαν, εξέστη ουρανός, καί γή ετρόμαξε, καί συνεστάλη θάλασσα, καί πάντα, τά ορατά καί αόρατα, Χριστός εφάνη, εν Ιορδάνη, αγιάσαι τά ύδατα.

Δόξα... Καί νύν... το αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος πλ. δ'
Ανέστης εκ νεκρών

Βαπτίζεται Χριστός, ο φωτίζων τόν Κόσμον, εξ ύψους ο Πατήρ, εμαρτύρησε λέγων. Ούτός εστιν ο Υιός μου, εν ώ ηυδόκησα, αυτού ακούετε, ούτός εστιν ο φωτίζων, τήν οικουμένην, τή ευσπλαγχνία αυτού, ο βαπτισθείς καί σώσας ως Θεός, τό γένος τών ανθοώπων.

Δόξα... Καί νύν... τό αυτο

Ο Κανών τής Εορτής καί της Αγίας.

Ωδή α'  Ήχος β'

«Δεύτε λαοί, άσωμεν άσμα Χριστώ τώ Θεώ, τώ διελόντι θάλασσαν, καί οδηγήσαντι τόν λαόν όν ανήκε, δουλείας Αιγυπτίων, ότι δεδόξασται».

Μαρτυρικαίς ηγλαϊσμένη φαιδρότησι, τώ καθαρώ παρ ίστασαι, Μάρτυς νυμφίω σου, ψυχοφθόρων πταισμάτων, αιτούσα λυτρωθήναι, τούς ανυμνούντάς σε.

Πλούτου φθαρτού, Μάρτυς τελείως ηλόγησας, εν ουρανοίς τόν άφθαρτον, καί διαμένοντα, εκζητούσα προθύμως, καί χαίρουσα υπήλθες, Μαρτύρων στάδιον.

Πρός αικισμούς, πρός αλγηδόνας καί μάστιγας, πολυειδείς απτόητος, Μάρτυς εχώρησας, συνεργούσαν γάρ είχες, τήν χάριν τού Σωτήρος, ενδυναμούσάν σε.

Θεοτοκίον

Η τήν πηγήν τής απαθείας κυήσασα, τραυματισθέντα πάθεσι, Κόρη θεράπευσον, καί πυρός αίωνίου, εξάρπασόν με μόνη θεοχαρίτωτε.

Ωδή γ'

«Εν πέτρα με τής πίστεως στερεώσας, επλάτυνας τό στόμα μου επ' εχθρούς μου, ευφράνθη γάρ τό πνεύμά μου εν τώ ψάλλειν, Ουκ έστιν Άγιος, ως ο Θεός ημών, καί ουκ έστι δίκαιος, πλήν σου Κύριε».

Ουκ έσεισε τόν πύργον τής σής καρδίας, συρρεύσασα βασάνων η τρικυμία, εστήρικτο τή πέτρα γάρ τής αγάπης, Χριστού πανεύφημε, πρός όν εκραύγαζες. Ως ουκ έστιν Άγιος, πλήν σου Κύριε.

Ανθρώπων τήν ασθένειαν ο φορέσας, επτέρωσε δυνάμει τό ασθενές σου, ανίσχυρον τόν δράκοντα όθεν Μάρτυς, εις γήν κατέρραξας, πιστώς κραυγάζουσα. Ως ουκ έστιν Άγιος, πλήν σου Κύριε.

Χειμάρρους απεξήρανας ανομίας, τοίς ρείθροις τών αιμάτων σου Μακαρία, τρυφής δέ τού χειμάρρου νύν απολαύεις, καί φώς ανέσπερον, οικείς κραυγάζουσα. Ως ουκ έστιν, Άγιος, πλήν σου Κύριε.

Θεοτοκίον

Η σύλληψις, ο τόκος σου υπέρ λόγον, αιώνας γάρ τόν Κτίσαντα διά λόγου, εγέννησας ρυσάμενον αλογίας, κόσμου τά πέρατα, Κόρη απείρανδρε, όν δυσώπει πάντοτε, τού σωθήναι ημάς.

Ο Ειρμός

«Εν πέτρα με τής πίστεως στερεώσας, επλάτυνας τό στόμα μου επ' εχθρούς μου, ευφράνθη γάρ τό πνεύμά μου εν τώ ψάλλειν, ουκ έστιν Άγιος, ως ο Θεός ημών, καί ουκ έστι δίκαιος, πλήν σου Κύριε».

Κάθισμα Ήχος α'

Τόν τάφον σου Σωτήρ

Κατ' ίχνεσι τού σού, εραστού επομένη, σεμνή Τατιανή, τόν εκείνου προθύμως, εζήλωσας θάνατον, καί τό πάθος τό άχραντον, όθεν έτυχες τής ουρανίου παστάδος, στέφος άφθαρτον, περικειμένη αξίως, καί δόξαν αθάνατον.

Δόξα... Καί νύν... όμοιον

Ο μέγας υετός, πρός ποτάμια ρείθρα, επέφανε σαρκί, βαπτισθήναι θελήσας, πρός όν ο θείος Πρόδρομος, εκπληττόμενος έλεγε. Πώς βαπτίσω σε, ρύπον μή έχοντα όλως; πώς εκτείνω μου, τήν δεξιάν επί κάραν, ήν τρέμει τά σύμπαντα.

Ωδή δ'

«Υμνώ σε, ακοή γάρ Κύριε, εισακήκοα καί εξέστην, εως εμού ήκεις γάρ, εμέ ζητών τόν πλανηθέντα. Διό τήν πολλήν σου συγκατάβασιν, τήν εις εμέ, δοξάζω πολυέλεε».

Ωραίον, τής ψυχής κατάστημα, ευμορφία τής ευσεβείας, Τατιανή φέρουσα, προσέτι δέ τής μαρτυρίας φωτί, παραδόξως διαλάμπουσα, τώ καθαρώ Νυιμφίω εισοικίζεται.

Σιδήρω, σού τάς όψεις ξέοντας, παρανόμους αορασία, ουράνιοι, Άγγελοι, ηκίζοντο αποσταλέντες πρός σήν, εκ Θεού Μάρτυς βοήθειαν, οι σου τήν καρτερίαν κατεπλάγησαν.

Νομίμως, τόν Χριστόν κηρύττουσα, ετροπώσω παρανομούντας, θυσία δέ άμωμος, ευπρόσδεκτος τελειοτάτη αυτώ, προσηνέχθης ανακράζουσα. Σέ αγαπώσα Σώτερ σφαγιάζομαι.

Θεοτοκίον

Πρός όρμον γαληνόν με ίθυνον, θεονύμφευτε Παναγία, χειμάζει γάρ κλύδων με, καί τάραχος τής αμαρτίας δεινώς, τοίς ανέμοις ριπιζόμενος, τών πονηρών πνευμάτων, τών θλιβόντων με.

Ωδή ε'

«Ο φωτισμός, τών εν σκότει κειμένων, η σωτηρία τών απεγνωσμένων, Χριστέ Σωτήρ μου, πρός σέ ορθρίζω, Βασιλεύ τής ειρήνης, φώτισόν με τή επιλάμψει σου, άλλον γάρ εκτός σου, Θεόν ουκ επίσταμαι».

Φόβον Θεού, εν γαστρί διανοίας εισδεξαμένη, πνεύμα σωτηρίου ομολογίας, καί μαρτυρίου έτεκες, Γενναιόφρων παραδόξως, στερρώς αθλήσασα, καί τάς εναντίας, αρχάς θριαμβεύσασα.

Σού τό σεπτόν, καί μακάριον πάθος εκμιμουμένη, ή δι' απαθείας σοι συναφθείσα, πάσχει προθύμως, μεληδόν τεμνομένη, ζωοδότα Χριστέ κραυγάζουσα. Έτερον έκτός σου, Θεόν ουκ επίσταμαι.

Φωτιστικαίς, διαλάμπεις ακτίσι φαιδρυνομένη, Πνεύματος Αγίου, λαμπαδουχία, καί καταυγάζεις, τών πιστών τάς καρδίας, αμαρτίας ζόφον σκεδάζουσα, Μάρτυς αθλοφόρε, Χριστού πανσεβάσμιε.

Θεοτοκίον

Η φωτεινή, τού Ηλίου Νεφέλη, λάμψον μοι αίγλην, λύουσα τόν ζόφον μου τών πταισμάτων, δίδου μοι χείρα, εμπαρέντι εις ύλην αμαρτίας, έγειρον κείμενον, μόνη τού πεσόντος, Αδάμ επανόρθωσις.

## Ωδή ς'

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον. Εκ φθοράς, ο Θεός με ανάγαγε».

Επί ξύλου ως έγνω ταθέντα σε, Μάρτυς η σεμνή καρτερεί τήν ανάρτησιν, καί τούς ξεσμούς τού σώματος, διά πόθον τόν σόν Παντοδύναμε.

Αγριώτατοι θήρες ηδέσθησαν, μέσον ανδρικώς τού σταδίου αθλούσάν σε, θέκλαν ως πρίν τήν πρώταθλον, ής τόν ζήλον εκτήσω Αοίδιμε.

Επιστάντες ουράνιοι Άγγελοι, μέσον τής φρουράς, σέ φωτί κατελάμπρυναν, τών αλγεινών εξαίροντες, καί Θεού ως αμνάδα δοξάζοντες.

Θεοτοκίον

Εκ πασών γενεών εξελέξατο, σέ τήν καλλονήν Ιακώβ ήν ηγάπησεν, ο Ποιητής Πανάμωμε, καί εκ σού ανατείλας επέφανεν.

Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον. Εκ φθοράς, ο Θεός με ανάγαγε».

## Κοντάκιον τής Εορτής

Ήχος δ'

Επεφάνης σήμερον τή οικουμένη, καί τό φώς σου Κύριε, εσημειώθη εφ' ημάς, έν επιγνώσει υμνούντάς σε. Ήλθες εφάνης τό Φώς τό απρόσιτον.

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΒ' τού αυτού μηνός, Μνήμη τής Αγίας Μάρτυρος Τατιανής.

Στίχοι

Τής πάντα λαμπράς Τατιανής τή κάρα,
Λαμπρόν προεξένησε τό ξίφος στέφος.
Τή δυοκαιδεκάτη Τατιανής αυχένα κέρσαν.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Πέτρου τού Αβεσαλαμίτου.

Στίχοι

Επανθρακωθείς καρδίαν θείω πόθω,
Επ' ανθράκων ήδιστα Πέτρος εκπνέει.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Μερτίου.

Στίχοι

Θεόν ποθών ύψιστον, ισχυρόν μόνον,
Μαστίζεται Μέρτιος ισχυρώς άγαν.

Τή αυτή ημέρα, οι Άγιοι οκτώ Μάρτυρες, οι από Νικαίας, ξίφει τελειούνται.

Στίχοι

Θνήσκει χορός τις οκτάριθμος εκ ξίφους,
Αιώνος ευρείν ογδόου ζωήν θέλων.

Τή αυτή ημέρα, η Αγία Μάρτυς Ευθασία ξίφει τελειούται.

Στίχοι

Αυτώ Θεώ Σωτήρι κόσμου προσφέρει,
Αυτής κεφαλήν εκ ξίφους Ευθασία.

Τή αυτή ημέρα, Μνήμη τού οσίου Πατρός ημών καί θαυματουργού Ηλιού.

Στίχοι

Άλλος δέδεικται θαυματουργός Ηλίας,
Ο θαυματουργός ούτος όντως Ηλίας.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

«Αντίθεον πρόσταγμα παρανομούντος, τυράννου μετάρσιον τήν φλόγα ανερρίπισε, Χριστός δέ εφήπλωσε θεοσεβέσι Παισί, δρόσον τήν τού Πνεύματος, ο ών ευλογημένος καί υπερένδοξος».

Ευτόνως Αήττητε σπαθιζομένη, μαστών τήν αφαίρεσιν, υπέστης καρτερώτατα, πυρί ουρανίω δέ, Μάρτυς κατέφλεξας, σέβειν τούς μή θέλοντας Θεόν, όν πάσα κτίσις υμνεί δοξάζουσα.

Εγκάρδιον φέρουσα τό πύρ τό θείον, σού τής αγαπήσεως, Χριστέ η Παναοίδιμος, τό πύρ τό ομόδουλον ουκ εδειλίασε, Παίδων εικονίζουσα τών πρίν, καί τήν ανδρείαν, καί τήν στερρότητα.

Θηρών αγριότης σοι καθυπετάγη, λεόντων τά χάσματα, απήμαντος παρέδραμες, Θεού σε δοξάσαντος, τούτον δοξάσασαν, τούτου τά παθήματα τή σή, αναπληρούσα σαρκί Πανεύφη με.

Θεοτοκίον

Ζωήν ενυπόστατον ημίν τεκούσα, θανάτω τόν θάνατον, σαφώς εξαφανίσασαν, τά πάθη θανάτωσον, τά τής σαρκός ημών, πίστει τών τιμώντων σε Αγνή, ως Θεοτόκον καί υπερένδοξον.

### Ωδή η'

«Τόν εν καμίνω τού πυρός, τών Εβραίων τοίς Παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον, μεταβαλόντα Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Καλλωπισθείσα αρεταίς, ωραιώθης καλλοναίς τού μαρτυρίου, καί Νυμφίω ηρμόσθης τώ υπέρ πάντας βροτούς, ωραίω κάλλει διαλάμπουσα, τής αθανασίας, Τατιανή θεόφρον.

Σύν ασωμάτοις Λειτουργοίς, εν ειρκτή τόν Ποιητήν εδοξολόγεις, διαλάμπουσα δόξη, τής θεϊκής αστραπής, καί πάσιν απρόσιτος μένουσα, τοίς κεκρατημένοις, τώ ζόφω τής απάτης.

Η συντριβή σου τών μελών, εξελέπτυνεν εχθρού μηχανουργίας, τών αιμάτων η ρύσις, τής αθεϊας δεινούς, χειμάρρους Σεμνή απεξήρανε, πέλαγος θαυμάτων, ημίν αναδειχθείσα.

### Θεοτοκίον

Σώσον οικτείρησον ημάς, τόν οικτίρμονα Θεόν ημίν Σωτήρα, υπέρ λόγον τεκούσα, πυρκαϊάς λογισμών, παθών τε εξαίρουσα καύσωνα, σού ταίς ικεσίαις, αγνή Παρθενομήτορ.

### Ο Ειρμός

«Τόν εν καμίνω τού πυρος, τών Εβραίων τοίς Παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον, μεταβαλόντα Θεόν, υμνείτε τά έργα ώς Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

### Ωδή θ'

«Τόν εκ Θεού Θεόν Λόγον, τόν αρρήτω σοφία ήκοντα, καινουργήσαι τόν Αδάμ, βρώσει φθορά πεπτωκότα δεινώς, εξ αγίας Παρθένου, αφράστως σαρκωθέντα δι' ημάς, οι πιστοί ομοφρόνως, εν ύμνοις μεγαλύνομεν».

Μετά πολλάς τάς βασάνους, τή τού ξίφους σε δίκη, δεινός καθυποβάλλει δικαστής, ής τή ανόδω
εκρότησαν, αι ουράνιαι τάξεις, Χριστός δέ παναλκεί σε δεξιά, εστεφάνωσε Μάρτυς, νομίμως εναθλήσασαν.

Συναγελάζη Μαρτύρων, φανοτάταις αγέλαις, τρανότερον εγγίζουσα Θεώ, βλέπεις ά βλέπουσιν Άγγελοι, ως παρθένος νυμφώνι, αύλίζ! τού Νυμφίου σου Σεμνή, δυσωπούσα σωθήναι, τούς πόθω σε γεραίροντας.

Εσφραγισμένην πηγήν σε, κεκλεισμένον τε κήπον, ανάθημα σεπτόν καί ιεράν, νύμφην Χριστού αδιάφθορον, ιερείον καί θύμα, αμνάδα καί καλήν περιστεράν,

τού Δεσπότου τών όλων, Τατιανή κηρύττομεν.

Θεοτοκίον

Η ταίς φωναίς καμπτομένη, τών θερμώς σε αιτούντων, η μόνη τών πιστών καταφυγή, σώσον οικτείρησον Δέσποινα, διατήρησον βλάβης, καί πάσης τών Εθνών επιδρομής τούς εν πίστει καί πόθω, αεί σε μεγαλύνοντας.

Ο Ειρμός

«Τόν εκ Θεού Θεόν Λόγον, τόν αρρήτω σοφία, ήκοντα καινουργήσαι τόν Αδάμ, βρωσει φθορά, πεπτωκότα δεινώς, έξ αγίας Παρθένου, αφράστως σαρκωθέντα δι' ημάς, οι πιστοί ομοφρόνως, εν ύμνοις μεγαλύνομεν».

Εξαποστειλάριον

Επεφάνη ο Σωτήρ

Διά τόν πόθον τού Χριστού, βασάνους εκαρτέρησας, Τατιανή γενναιόφρον, καί τών Δαιμόνων τήν ισχύν, γενναίως εξηφάνισας, διά τούτό σε πάντες, πιστώς μακαρίζομεν.

Καί τής Εορτής

Επεφάνη ο Σωτήρ, η χάρις η αλήθεια, εν ρείθροις τού Ιορδάνου, καί τούς εν σκότει καί σκιά, καθεύδοντας εφώτισε, καί γάρ ήλθεν εφάνη, τό φώς τό απρόσιτον.

Απόστιχα Στιχηρά Προσόμοια

Ήχος πλ. β' Αι Αγγελικαί

Σέλας εκ φωτός, φώς υπάρχων Ιησού μου, εφώτισας ημάς, εν αρρήτω σου ελλάμψει, τούς πρίν εκτυφλωθέντας, εν Εδέμ εκ τού όφεως, εν τώ Ιορδάνη άρτι φάος, πάντες τώ φωτί σου καθορώντες, πιστώς ψάλλομεν. Ευλογημένος ο φανείς, Θεός ημών δόξα σοι.

Στίχ. Η θάλασσα είδε καί έφυγεν, ο Ιορδάνης εστάφη εις οπίσω,

Μύστα καί φρικτών, οικονόμε μυστηρίων, Πρόδρομε χαράς, καί τού Πνεύματος αυτόπτα, τόν Βαπτισθέντα Λόγον, υπό σού ώς ηυδόκησεν, αίτησαι ημίν αμαρτημάτων, λύτρωσιν αεί παρασχεθήναι, αυτώ ψάλλουσιν. Ευλογημένος ο φανείς, Θεός ημών δόξα σοι.

Στίχ. Τί σοί εστι θάλασσα, ότι έφυγες; καί σοί Ιοράνη ότι ανεχώρησας εις τά οπίσω;

Άρωμεν πιστοί, εν συνέσει τάς καρδίας, δράμωμεν σπουδή, εν τοίς ρείθροις Ιορδάνου, καί ίδωμεν τόν Κτίστην, σαρκικώς βαπτιζόμενον, υπό Ιωάννου τού Προδρόμου, καί σύν αυτώ θεολογούντες, αναμέλψωμεν. Ευλογημένος ο φανείς, Θεός ημών δόξα σοι.

Δόξα... Καί νύν... όμοιον

Ω τής υπέρ νούν, θεϊκής οικονομίας! πώς ο Ποιητής, τώ ποιήματι παρέστη, καί κλίνει τούτω κάραν, υποδείγματι γάρ ημίν, τύπον ταπεινώσεως εισάγει,

τοίς κατά ψυχήν φωτιζομένοις. Διό ψάλλομεν. Ευλογημένος ο φανείς, Θεός ημών δόξα σοι.

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΓ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Μαρτύρων Ερμύλου καί Στρατονίκου.

Τή αυτή ημέρα συμψάλλομεν καί τήν Ακολουθίαν τών Αγίων Αββάδων, διά τό αποδίδοσθαι τήν Εορτήν εις τάς ιδ'.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τών Μαρτύρων.

Ήχος δ'
Έδωκας σημείωσιν

Ερμύλος ο ένδοξος, καί ο θεόφρων Στρατόνικος, η δυάς η θαυμάσιος, Τριάδα τήν άκτιστον, καθομολογούντες, πολύθεον πλάνην, μετά πολλούς τούς αικισμούς, καί τάς βασάνους κατετροπώσαντο, καί νίκης διαδήματι, στεφανωθέντες πρεσβεύουσι, δωρηθήναι τοίς πέρασι, τήν ειρήνην καί έλεος.

Τού Λόγου γενόμενος, Μάρτυς διάκονος, Έρμυλε, εκλογή θείου Πνεύματος, τώ λύθρω τού αίματος, τής ιερωσύνης, στολήν επιχρώσας, ιερωτέραν αληθώς, καί λαμπροτέραν ταύτην ετέλεσας, καί νύν είς τά βασίλεια, τά νοητά μεταβέβηκας, πρεσβευτής τών τιμώντων σε, χρηματίζων θερμότατος.

Ξεσμούς καρτερήσαντες, ταίς προσταγαίς τού δικάζοντος, έν σαργάνη εβλήθητε, καί τέλος μακάριον, καί πνιγμόν υδάτων, άμφω δεδεγμένοι, τόν πολυμήχανον εχθρόν, τούτοις εμφρόνως εναπεπνίξατε, καί νύν περιπολεύετε, περιχαρώς τά ουράνια, υπέρ πάντων δεόμενοι, Αθληταί γενναιότατοι.

Στιχηρά Προσόμοια τών Οσίων
Ήχος πλ. δ'
Τί υμάς καλέσωμεν Άγιοι;

Μεγάλως ηγωνίσασθε Άγιοι, τών βαρβάρων υπομείναντες, τήν έφοδον γενναίως, τάς ψυχάς εναποθέμενοι, τοίς ξίφεσι προθύμως, Μαρτύρων ανεδήσασθε στεφάνους. Αγγέλοις συναυλίζεσθε αξίως. Πολλή υμών η καρτερία, καί μείζονα τά χαρίσματα. Πρεσβεύσατε, τού σωθήναι τάς ψυχάς ημών.

Όσιοι Χριστού ηγωνίσασθε, τών προσκαίρων αλογήσαντες, τού βίου εκουσίως, τής σαρκός καθυπετάξατε, τό φρόνημα γενναίως, καί ξίφει εν

Χριστώ τελειωθέντες, Αγγέλοις συναυλίζεσθε αξίως, διό υμών τά μνημόσυνα, σεμνύνοντες ικετεύομεν. Πρεσβεύσατε, τού σωθήναι τάς ψυχάς ημών.

Καλώς πολιτευσάμενοι Άγιοι, τών Μαρτύρων τούς αγώνας, μιμησάμενοι γενναίως, τά βραβεία ουρανόθεν, εκομίσασθε νομίμως. Υμείς γάρ, μαχαιρών κατεφρονήσατε, βασάνους, ως εκείνοι υπεμείνατε, ίνα ομού αναδήσησθε, τόν στέφανον τής αθλήσεως. Πρεσβεύσατε, τού σωθήναι τάς ψυχάς ήμών.

Δόξα...

Ήχος πλ. δ'  Τού Στουδίτου

Όσιοι Πατέρες, μελετήσαντες ημέρας καί νυκτός εν νόμω Κυρίου, ηξιώθητε τού ξύλου τής ζωής σύμφυτοι γενέσθαι, καί ο καρπός υμών, αθλήσεως στεφάνους εξήνθησε. Παρρησίαν έχοντες πρός τόν αγωνοθέτην Θεόν, καί ημίν αιτήσασθε, ιλασμόν καί τό μέγα έλεος.

Καί νύν... ο αυτός

Σήμερον η κτίσις φωτίζεται, σήμερον τά πάντα ευφραίνονται, τά ουράνια άμα καί τά επίγεια. Άγγελοι καί άνθρωποι συμμίγνυνται, όπου γάρ Βασιλέως παρουσία, καί η τάξις παραγίνεται. Δράμωμ εν τοίνυν επί τόν Ιορδάνην, ίδωμεν πάντες τόν Ιωάννην, πώς βαπτίζει κορυφήν, αχειροποίητον, καί αναμάρτητον. Διό αποστολικήν φωνήν προσάδοντες, συμφώνως βοήσωμεν, Επεφάνη η χάρις τού Θεού, η σωτήριος πάσιν ανθρώποις, καταυγάζουσα καί παρέχουσα πιστοίς τό μέγα έλεος.

Εις τόν Στίχον Στιχηρά Προσόμοια.

Ήχος β' Οίκος τού Εφραθά

Ώφθη τό Πατρικόν, απαύγασμα τής δόξης, εν Ιορδάνου ρείθροις, βαπτίσματι καθαίρον, τόν ρύπον τών ψυχών ημών.

Στίχ. Η θάλασσα είδε καί έφυγεν, ο Ιορδάνης εστάφη εις οπίσω.

Δέχου δουλοπρεπώς, Προφήτα Ιωάννη, τόν Λυτρωτήν τού κόσμου, καί βάπτισον τόν Κτίστην, βροτών εις αναγέννησιν.

Στίχ. Τί σοί εστι θάλασσα, ότι έφυγες; καί σοί Ιοράνη ότι ανεχώρησας εις τά οπίσω;

Ήλθεν ο φωτισμός, η λύτρωσις εφάνη, εν Ιορδάνου ρείθροις, συνέλθωμεν ρυφθήναι, καί άσαι τόν Φιλάνθρωπον.

Δόξα... Ήχος πλ. δ'

Τόν ισάγγελον βίον πολιτευσάμενοι, πόνοις ασκητικοίς Πατέρες Όσιοι, εγκρατεία τό σώμα δουλαγωγήσαντες, καθυπετάξατε τώ πνεύματι, εργάται γενόμενοι τών εντολών τού Κυρίου, τό αρχέτυπον κάλλος, τής εικόνος εφυλάξατε, καί αθλητικούς αγώνας, εκ τών ασκητικών ιδρώτων διηνύσατε, καί διπλοίς στεφάνοις κατακοσμηθέντες, εκτενώς τόν Σωτήρα ικετεύσατε, σωθήναι ημάς.

Καί νύν... Ο αυτός

Τά τών Αγγέλων στρατεύματα εξίσταντο, ορώντά σε σήμερον εν τώ Ιορδάνη, γυμνόν εστώτα Σωτήρ έν τοίς ύδασι, καί τήν άχραντον κορυφήν σου υποκλίναντα, βαπτισθήναι υπό Ιωάννου, σού γάρ πτωχεύσαντος εκουσίως, ο κόσμος επλουτίσθη, Κύριε δόξα σοι.

Απολυτίκιον   Ήχος δ΄

Ο Θεός τών Πατέρων ημών ο ποιών αεί μεθ' ημών κατά τήν σήν επιείκειαν, μή αποστήσης τό έλεος σου αφ' ημών, αλλά ταίς αυτών ικεσίας , εν ειρήνη κυβέρνησον τήν ζωήν ημών.

Απολυτίκιον τής εορτής  Ήχος α'

Εν Ιορδάνη βαπτιζομένου σου Κύριε, η τής Τριάδος εφανερώθη προσκύνησις, τού γάρ Γεννήτορος η φωνή προσεμαρτύρει σοι, αγαπητόν σε Υιόν ονομάζουσα, καί τό Πνεύμα εν είδει περιστεράς, εβεβαίου τού λόγου τό ασφαλές. Ο επιφανείς Χριστέ ο Θεός, καί τόν κόσμον φωτίσας δόξα σοι.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα  Ήχος γ'

Η Παρθένος σήμερον

Ο Δεσπότης σήμερον, εν Ιορδάνη επέστη, βαπτισθείς εν ύδασιν, υπό τού θείου Προδρόμου, άνωθεν ο Πατήρ δέ προσεμαρτύρει. Ούτός εστιν ο Υιός ο αγαπητός μου, καί το Πνεύμα επεφάνη, εν ξένη θέα, περιστεράς επ' αυτόν.

Δόξα... Καί νύν... Τό αυτο

Μετά τήν β' Στιχολογίαν

Κάθισμα  Ήχος δ'

Ταχύ προκατάλαβε

Τήν έρημον πολίσαντες, εν ευσεβεία Θεού, τά πάθη ερημώσαντες, εν εγκρατεία σαφώς, ως φοίνιξ ηνθήσατε, βότρυας ψυχοτρόφους, αρετών θεοφόροι, φέροντας τοίς ανθρώποις, γλυκασμόν υπέρ μέλι, διό καί μεγαλύνομεν πίστει τήν μνήμην υμών.

Δόξα... καί νύν

Τής Εορτής, όμοιον

Τά ρείθρα ηγίασας τά Ιορδάνια, τό κράτος συνέτριψας τής αμαρτίας, Χριστέ ο Θεός ημών, υπέκλινας τή παλάμη, σεαυτόν τού Προδρόμου, καί έσωσας εκ τής πλάνης, τών ανθρώπων τό γένος, διό σε ικετεύομεν. Σώσον τόν κόσμον σου.

Ο Κανών τής Εορτής καί τών Αγίων δύω. Κανών τών Μαρτύρων, ού η Ακροστιχίς.

Τών σών γεραίρω Μαρτύρων Σώτερ κλέος.
Ιωσήφ.

Ωδή α'  Ήχος πλ. δ'

«Άσωμεν τώ Κυρίω πάντες λαοί, τώ εν θαλάσση Ερυθρά, τόν Φαραώ βυθίσαντι, ωδήν επινίκιον, ότι δεδόξασται».

Τίμιοι ως αστέρες θεολαμπείς, τώ στερεώματι σοφοί, τής Εκκλησίας ώφθητε, καταυγάζοντες ημάς, θείαις λαμπρότησι Μάρτυρες.

Ώφθητε ώσπερ άνθρακες νοητοί, προσαναπτόμενοι πυρί, τού Πνεύματος Αοίδιμοι, καί ειδώλων τήν πυράν, ρείθροις αιμάτων εσβέσατε.

Νάμασι προσκλυζόμενοι τού Χριστού, τού εν τοίς ρείθροις τήν ημών, ασέβειαν βυθίσαντος, αθεϊας ποταμούς, Μάρτυρες απεξηράνατε.

Θεοτοκίον

Στήσόν μου αμαρτίας τούς οχετούς, η τού θανάτου τήν φθοράν, τώ τόκω σου μαράνασα, καί κατάνυξίν μοι δός, Θεοκυήτορ Πανάμωμε.

Κανών τών Οσίων, ού η Ακροστιχίς,

Άθλους ανυμνείν Πατέρων κλέος μέγα.
Ιωσήφ.

Ωδή α'  Ήχος δ'

Θαλάσσης τό ερυθραίον

Ασκήσει φωτοειδείς γενόμενοι, Μακαριώτατοι, θεοειδείς εδείχθητε σαφώς, τή κενώσει τού αίματος, διό συνεπαγάλλεσθε, τοίς Ασκηταίς Χριστού καί Μάρτυσι.

Θαλάσση τή τών δακρύων πρότερον, εναπεπνίξατε, τόν Φαραώ Σοφοί τόν νοητόν, τών αιμάτων δέ ύστερον, τοίς οχετοίς ωλέσατε, καί αφανία παρεπέμψατε.

Λαμπρύνων ο φωτοδότης Κύριος, υμών τήν άθλησιν, υπομονή θεράποντες Χριστού, φωταυγή απειργάσατο, καί εμφανή τήν άσκησιν, υπέρ αυγάς ηλίου λάμπουσαν.

Ου θλίψις ουκ αλγεινών επίτασις, ού μακρυσμός παντελής τών κοσμικών φροντίδων, Αθληταί, ου βαρβάρων ανήμερος, επιδρομή τής κρείττονος, ημάς ελπίδος απηγάγετο.

Θεοτοκίον

Υπάρχων ο κατά φύσιν Κύριος, πάσιν αχώρητος, εν σοί χωρείται Δέσποινα βροτός, ευσπλαγχνία γενόμενος, ίνα βροτούς δι' άφατον φιλανθρωπίαν

διασώσηται.

Τών Μαρτύρων

Ωδή γ'

«Τόν φόβον σου Κύριε, εμφύτευσον ταίς καρδίαις τών δούλων σου καί γενού ημίν στερέωμα, τοίς σέ εν αληθεία, επικαλουμένοις».

Ρεόντων τό άστατον μισήσαντες τών μελλόντων εποθήσατε, αδιάρρευστον απόλαυσιν, γενναίοι Στρατιώται, Χριστού τού Παμβασιλέως.

Ανδρείως αντέστητε θεόφρονες, παρανόμως τώ προστάσσοντι, ασεβεία υποκλίνεσθαι, καί νίκης ουρανόθεν, εύρατε στεφάνους.

Ινδάλματα πλάνης ηδαφίσατε, απλανείς Χριστομάρτυρες, εαυτούς δέ ανεστήσατε, ναούς σεπτούς καί στήλας, τής θεογνωσίας.

Θεοτοκίον

Ρομφαία τό πρίν η στρεφομένη, τάς εισόδους μοι δίδωσιν, αιδουμένη τήν κεντήσασαν, Παρθενομήτορ λόγχην, τόν εκ σού τεχθέντα.

Τών Οσίων

Ουκ εν σοφία

Συντετριμμένη, διανοία Θεόν θεραπεύσαντες, συνετρίψατε εχθρού, μεγαλαυχίαν Μακάριοι, ξίφει συντριβόμενοι, καί θανατούμενοι.

Αποσκοπούντες, τών μενόντων Σοφοί τό αϊδιον, τών αστάτων καί ρευστών, τό χαμερπές απεκρούσασθε, όθεν μακαρίζεσθε, Οσιομάρτυρες.

Νόμω τώ θείω, ευσεβεί διανοία πειθήσαντες, τής σαρκός τάς ηδονάς, δι' εγκρατείας ωλέσατε, καί νύν εναθλήσαντες, δόξης ετύχετε.

Θεοτοκίον

Υπεραγία, υπεράγιον Λόγον κυήσασα, καθαγίασον ημών, καί τάς ψυχάς καί τά σώματα, τών μακαριζόντων σε, τήν Παναμώμητον.

Ο Ειρμός

«Ουκ εν σοφία, καί δυνάμει καί πλούτω Καυχώμεθα, αλλ' εν σοί τή τού Πατρός, ενυποστάτω σοφία Θεού, ου γάρ εστιν Άγιος, πλήν σου Φιλάνθρωπε».

Κάθισμα τών Μαρτύρων

Ήχος α'  Τόν τάφον σου Σωτήρ

Εν ύδασιν ομού, τό μακάριον τέλος, εδέξασθε σοφοί, εν αυτοίς τόν βεελίαρ, βυθίσαντες χάριτι, τού Θεού ημών Μάρτυρες, όθεν στέφανον, ως νικηφόροι λαβόντες, συναγάλλεσθε, ταίς τών Αγγέλων χορείαις, μεθ' ών ημών μέμνησθε.

Δόξα... τών Οσίων Ήχος δ'
Ταχύ προκατάλαβε

Ως πάροικοι δεικνυμενοι, καί παρεπίδημοι, καλύβας πηξάμενοι, εν ταίς ερήμοις σαφώς, ησκήσατε Όσιοι, γύμνωσιν κοσμηθέντες, αρετών τή ενδύσει, σύμμορφοι γεγονότες, τών Χριστού παθημάτων, διό καί υπεμείνατε, τήν τών βαρβάρων σφαγήν.

Καί νύν... τής Εορτής όμοιον

Οφώς ως ιμάτιον περιβαλλόμενος, τά ρείθρα περιβάλλεται τά Ιορδάνια, Χριστός ο Θεός ημών, άνωθεν μαρτυρούντος, τού Πατρός τώ συνθρόνω, κάτωθεν προσφοιτώσης, τής τού Πνεύματος δόξης, αυτός εστιν ο φωτίζων καί αγιάζων ημάς.

Τών Μαρτύρων

Ωδή δ'

«Εισακήκοα Κύριε, τής οικονομίας σου τό μυστήριον, κατενόησα τά έργα σου, καί εδόξασά σου τήν θεότητα».

Ως τού Λόγου διάκονος, λόγοις σου τήν άλογον εστηλίτευσας, Μάρτυς Έρμυλε απόνοιαν, τών παρανομούντων προθυμότατα.

Μίαν φύσιν θεότητος, μίαν εξουσίαν, καί κυριότητα, οι θεόφρονες κηρύξαντες, πολυθέου πλάνης κατεφρόνησαν.

Αναρτήσει ξεόμενος, καί ταίς αλγηδόσι περιδονούμενος, απερίτρεπτος διέμεινας, αθλητά θεόφρον Μάρτυς Έρμυλε.

Θεοτοκίον

Ραθυμία καθεύδοντα, καί τή αμαρτία συγκαλυπτόμενον, πρός με, τάνοιαν με Πάναγνε, ως τού Λόγου Μήτηρ ανακάλεσαι.

Τών Οσίων

Επαρθέντα σε ιδούσα

Μή τοίς πάθεσι τού σώματος ηττηθέντες, τόν δυσμενή ηττήσατε, καί θανατωθέντες, ξίφει Παμμακάριστοι, ζωήν πρός ουράνιον, χαίροντες ομού μετετέθητε.

Νεκρωθέντες πρός θανάτου δι' εγκρατείας, εθελουσίως Όσιοι, τών παρανομούντων ακουσίως ξίφεσι, δεινώς τεθανάτωσθε, ζήν μετά θανείν πιστευόμενοι.

Επιάνθητε ως άρνες τή εγκρατεία, καί ως κριοί επίσημοι, χερσίν αιμοβόρων, λύκων αναιρεθέντες, ζωήν πρός αιώνιον, Όσιοι Χριστού προσηνέχθητε.

Ιερείς τε καί πρεσβύται καί νεανίσκοι, οι Ραϊθω καί Σίναιον, όρος

κατοικούντες, Μάρτυρες γεγόνασιν, οσίως βιώσαντες, καί βιαιοτάτως τεθνήξαντες.

Θεοτοκίον

Νεουργεί τήν ανθρωπότητα νέον βρέφος, ο πρό αιώνων Κύριος, οφθείς εκ Παρθένου, καί βροτός γενόμενος, αυτώ μελωδήσωμεν. Δόξα τή δυνάμει σου Κύριε.

Τών Μαρτύρων

Ωδή ε'

«Ίνα τί με απώσω, από τού προσώπου σου τό φώς τό άδυτον, καί εκάλυψέ με, τό αλλότριον σκότος τόν δείλαιον, αλλ' επίστρεψόν με, καί πρός τό φώς τών εντολών σου, τάς οδούς μου κατεύθυνον δέομαι».

Τών βασάνων τά νέφη, Μάρτυρες πανεύφημοι ου κατεκάλυψαν, τήν υμών ανδρείαν, υπέρ ήλιον γάρ πεφανέρωται, ευσεβείας φέγγει, τούς ευσεβείς φωταγωγούσα, καί Δαιμόνων τόν ζόφον εξαίρουσα.

Υπερβάντες τούς όρους, τούς τής ανθρωπότητος θεομακάριστοι, καί τώ υπέρ φύσιν, ενωθέντες τελείαις καθάρσεσι, τάς πικράς βασάνους, καί τούς ξεσμούς, καί τάς αικίσεις, υπηνέγκατε γνώμης στερρότητι.

Ρωμαλέως αντέστης, Μάρτυς τώ δικάζοντι ένδοξε Έρμυλε, καί φωνής ακούσαι, ουρανόθεν Παμμάκαρ ηξίωσαι, τώ καλούντι πόθω, προσομιλών ως αθλοθέτη, καί τούς τούτου ρωννύοντι Μάρτυρας.

Θεοτοκίον

Ως καλή ως ωραία, ως τή καθαρότητι περιαστράπτουσα, τόν ωραίον κάλλει, εσωμάτωσας Λόγον καί τέτοκας, τόν τό είναι πάσι, θεουργικώς Παρθενομήτορ, παρεχόμενον πλούτω χρη στότητος.

Τών Οσίων

Συ Κύριέ μου φώς

Παράδεισος τρυφής, ζωής ξύλον τόν Κύριον, εδείχθητε μέσον έχων, τόν υμών ως θυσίαν, τό αίμα προσδεξάμενον.

Αιμάτων τούς κρουνούς, τών δακρύων συνάψαντες, τοίς ρεύμασι θεοφόροι, τόν πολύμορφον όφιν, εν τούτοις εβυθίσατε.

Τερπνότητα Θεού, καθοράν ηξιώθητε, αιώνιον ευφροσύνην, αντί κόπων καί πόνων, μακάριοι ειλήφατε.

Θεοτοκίον

Εκύησας Θεόν, υπέρ λόγον καί έννοιαν, καί έμεινας μετά τόκον, ως πρό τόκου Παρθένος, Αγνή θεοχαρίτωτε.

Τών Μαρτύρων

Ωδή ς'

«Τήν δέησιν εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών, η ψυχή μου επλήσθη, καί η ζωή μου τώ άδη προσήγγισε, καί δέομαι ως, Ιωνάς. Εκ φθοράς ο Θεός με ανάγαγε».

Ναμάτων ζωοποιών πληρωθέντες, ποταμίοις απερρίφητε ρείθροις, καί εν αυτοίς, δεδεγμένοι τό τέλος, τόν τής κακίας προστάτην επνίξατε, Πανεύφημοι, καί νύν ημίν, ιαμάτων κρουνούς αναβλύζετε.

Σαργάνη υποβληθέντες προθύμως, παρεδόθητε βυθώ Αθλοφόροι, καί πρός ζωήν, ανηνέχθητε θείαν, τά δι' αιώνος υμίν ελπιζόμενα, ευράμενοι χαρμονικώς, μεγαλόφρονες Άγιοι Μάρτυρες.

Ωράθης εν τώ πικρώς τιμωρείσθαι, καί ραβδίζεσθαι Στρατόνικε Μάρτυς, υπομονής απερίτρεπτος στύλος, επερειδόμενος βάσει τής Πίστεως, τήν ένστασιν τών διωκτών, αφανίζων καί λόγοις καί πράξεσι.

Θεοτοκίον

Τά πάθη τής ασθενούσης ψυχής μου, καί τό άλγος τής καρδίας Παρθένε, καί τού νοός, εκτροπάς πολυτρόπους, ως συμπαθής Θεοτόκε θεράπευσον, καί κόπασον τό χαλεπόν, τών παθών μου κλυδώνιον δέομαι.

Τών Οσίων

Θύσω σοι μετά φωνής

Ρήξαντες, προσπαθείας δεσμά δι' ασκήσεως, βιαιοτάτω θανάτω, τών δεσμών τού σώματος λύεσθε, καί αλύτω, αγαπήσει δεσμείσθε τού Κτίσαντος.

Ως όρη, υψηλή πολιτεία δεικνύμενοι, τόν καταλήψεσθαι όρη, καί τήν κτίσιν πάσαν επαπειλούντα, δυναστεία, τού Χριστού τοίς ποσίν υπετάξατε.

Νάμασιν, αρδευθέντες δακρύων Μακάριοι, γή ως καλή τε καί πίων, μαρτυρίου στάχυν καρποφορείτε, αποθήκαις, αιωνίοις Χριστώ συντηρούμενον.

Θεοτοκίον

Κοίμησον, τών παθών τής σαρκός μου τά κύματα, τή ακοιμήτω σου Κόρη, ικεσία δέομαι καί μή δώης, αμαρτίας, αφυπνώσαί με ύπνον βαρύτατον.

Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Κοντάκιον τών Οσίων

Ήχος α'  Τά άνω ζητών

Εκ τής κοσμικής, συγχύσεως εφύγετε, καί πρός γαληνήν, κατάστασιν μετέστητε, μαρτυρίου αίμασι, καί ασκήσεως πόνοις στεφόμενοι, όθεν καί

ανεδείχθητε, μαρτύρων καί. Οσίων ομόσκηνοι.

Ο Οίκος

Τά επί γής νεκρώσαντες μέλη, ζωηφόρω νεκρώσει, τού Χριστού καί Θεού τό πάθος εξεικονίσατε, πρότερον εν τή καλή ασκήσει, καί τό δεύτερον πάλιν εν τή αθλήσει. Όθεν αυτός, καί διπλούς τούς στεφάνους κατέπεμψε, ταίς κάραις υμών Πατέρες, ετοιμάσας σκηνήν επουράνιον, καί τόπον τόν αιώνιον, ένθα νύν αγαλλόμενοι ώφθητε, Μαρτύρων καί Οσίων ομόσκηνοι.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΓ' τού αυτού μηνός, Μνήμη τών Αγίων Μαρτύρων Ερμύλου καί Στρατονίκου.

Στίχοι

- Η σαργάνη ναύς, Ερμύλω Στρατονίκω,
- Κοινόν κατάπλουν εις βυθόν ποιουμένοις
- Έρμυλον ηδ' ετάρον δεκάτη πνίξε τρίτη Ίστρος.

Τή αυτή ημέρα, Μνήιμη τού Οσίου Πατρός ημών Ιακώβου, τού από τής Νισίβεως.

Στίχοι

- Τόν Ιάκωβον θνητόν όντα τή φύσει,
- Θνητοίς ομοίως μή θανείν ουκ ήν πρέπον.

Τή αυτή ημέρα, Ο Άγιος Μάρτυς Αθανάσιος ραβδιζόμενος τελειούται.

Στίχοι

- Ράβδοις Αθανάσιε σαυτόν εκδίδως,
- Σπεύδων θανείν μέν, ζήν δέ πολλώ κρειττόνως.

Τή αυτή ημέρα, ο Άγιος Παχώμιος καί Παπυρίνος εν ποταμώ τελειούνται.

Στίχοι

- Τοιούτον εύρε καί Παπυρίνος τέλος,
- Οίον σύ Παχώμιε, βληθείς εις ύδωρ.

Τή αυτή ημέρα, Τά εγκαίνια τής Μονής τού Προφήτου Ηλιού, τής καλουμένης τού Βαθέος Ρύακος.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τών Μαρτύρων

Ωδή ζ'

«Παίδες Εβραίων εν καμίνω, κατεπάτησαν τήν φλόγα θαρσαλέως, καί εις δρόσον τό πύρ μετέβαλον βοώντες. Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας».

Έρρει μελίρρυτός σου γλώσσα, εκ τού στόματος πικρίαν τής καρδίας, Στρατονίκου τού σού, συνάθλου κατευνάζων, αναβοώντος Έρμυλε, ο Θεός ευλογητός εί.

Ράβδον δυνάμεως κατέχων, τόν σωτήριον Σταυρόν γενναίε Μάρτυς, ραβδισμούς καρτερών, προθύμως αναμέλπεις. Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Κήτους γαστρός ο διασώσας, συνεχόμενον Προφήτην παραδόξως, ποταμίων υμών, υδάτων διασώζει τά νικηφόρα λείψανα, μετά τέλος Αθλοφόροι.

Θεοτοκίον

Λύων τής Εύας τήν κατάραν, τήν πανάμωμον κατώκησας γαστέρα, ευλογίας πηγήν, βλυστάνων τοίς βοώσιν. Ευλογημένος Πάναγνε, ο καρπός τής σής κοιλίας.

Τών Οσίων

Εν τή καμίνω Αβραμιαίοι

Λελαμπρυσμένοι, τής εγκρατείας τοίς πυρσεύμασιν, άθλοις Ιεροίς τε Μάρτυρες προφανώς, φωτιζόμενοι μετέβητε, πρός φέγγος άδυτον, καί ημέρας υιοί χρηματίζετε.

Εθελουσίως, τών εν κόσμω ηδέων ξενούμενοι, ξένως τώ βροτοίς οφθέντι διά σαρκός, ωκειώθητε τά μένοντα, καί μή φθειρόμενα, αγαθά κληρωσάμενοι Όσιοι.

Ο θείος Παύλος, καί Ιωάννης καί Θεόδουλος, Νείλος, εφεξής τε πάντες πανευκλεώς, καί θανόντες καί βιώσαντες, μακαριζέσθωσαν, Ασκηταί καί αοίδιμοι Μάρτυρες.

Θεοτοκίον

Σέ τήν τό μάννα, τής ζωής εν κοιλία βαστάσασαν, πάλαι μανναδόχος στάμνος ως αληθώς, προετύπου εμφανέστατα. Ευλογημένη σύ, εν γυναιξί πανάμωμε Δέσποινα.

Τών Μαρτύρων

Ωδή η'

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τού, τούς ιδών, τόν δημιουργόν, καί, Λυτρωτήν ανεβόα, οι παίδες ευλογείτε, ιερείς άνυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Εγκαρτερείς τυπτόμενος, καί δεινώς σπαθιζόμενος, καί τοις νιφετοίς, τών αλγεινών κυκλούμενος, αοίδιμε Έρμυλε, τού Στρατονίκου δέ ποδηγός, πρός

τής ευσεβείας, τούς αγώνας εγένου, μεθ' ού καί ανεβόας, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Οι ακλινείς τό φρόνημα, καί γενναίοι τήν άθλησιν, καί τών ουρανίων, δωρεών επάξιοι, οι λίθοι οι έντιμοι, τά τών πιστών προπύργια, λίθοις κελευσθέντες, ού προσένειμαν σέβας. Θεώ δέ τώ τών όλων, ανεβόων Δεσπότη. Λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Σού τάς πλευράς τοίς όνυξιν, ανορύττων ο τύραννος, καί τοίς σπαθισμοίς, ανηλεώς συγκόπτων σε, τόν νούν ουκ εσάλευσεν, ερηρεισμένον θεία στοργή, καί τού Λυτρωτού, κατανοούντα τό κάλλος, ώ νύν εν παρρησία, γεγηθώς ανακράζεις, Λαός υπερυψούτε, αυτόν εις τούς αιώνας.

Θεοτοκίον

Ο κατά πάντα τέλειος, καί τή φύσει απρόσιτος, ώφθη προσιτός μοι, σάρκα περικείμενος, εκ σού Απειρόγαμε, όν εκτενώς ικέτευε, τών ανομιών μου τό φορτίον σκορπίσαι, καί σώσαι μελωδούντα. Ιερείς ευλογείτε, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Τών Οσίων

Χείρας εκπετάσας Δανιήλ

Μέγιστος χορός ασκητικοίς, ανδραγαθήμασιν, ωραϊζόμενος, Οσίους σήμερον άπαντας, χορευτάς ενθέους δείκνυσιν, ανευφημούντας μέν αυτόν, Χριστώ δέ ψάλλοντας. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ετύθητε οίά περ αμνοί, βαρβάρων ξίφεσι, κατακοπτόμενοι, καί προσηνέχθητε τέλεια, τώ τυθέντι Λόγω σφάγια, καί πρωτοτόκων εν σκηναίς κατεσκηνώσατε, μελωδούντες. Πάντα τά έργα υμνείτε τόν κυριον.

Γυμνοί πάσης όντες ηδονής, τόν τούς προπάτορας, απογυμνώσαντα, Πατέρες Όσιοι κάκιστον, δυσμενή απεγυμνώσατε, καταστολήν δέ Ιεράν, ως εναθλήσαντες ειληφότες, τούτον αισχύνην Σοφοί ενεδύσατε.

Θεοτοκίον

Ανοίγεται πάλιν διά σού, ο πρίν Παράδεισος, καί επεισάγεται, ο πρίν κατάκριτος άνθρωπος, καί Θεούται αληθέστατα, Θεοχαρίτωτε Αγνή, βροτών τό φύραμα τών βοώντων. Πάντα τά έργα υμνείτε τόν Κύριον.

Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Τών Μαρτύρων

Ωδή θ'

«Έφριξε πάσα ακοή, τήν απόρρητον Θεού συγκατάβασιν, όπως ο Ύψιστος

εκών, κατήλθε μέχρι καί σώματος, παρθενικής από γαστρός, γενόμενος άνθρωπος. Διό τήν άχραντον, Θεοτόκον οι πιστοί μεγαλύνομεν».

Ιστίω Μάρτυρες Χριστού, τών βασάνων διελθόντες τό πέλαγος, εγκαθωρμίσθητε, πρός τούς λιμένας τής αναπαύσεως, όπου Μάρτύρων οι χοροί, Δικαίων ομήγυρις, ένθα τό άδυτον φώς, καί χαρά εορταζόντων τώ πνεύματι.

Ώθρισαν οι θεοφεγγείς, αληθείας μεγαλόφρονες Μάρτυρες, πρός τόν εκλάμψαντα, πρό Εωσφόρου άδυτον Ήλιον, παραδραμόντες τό βαθύ, σκότος τών κολάσεων, καί νύν αυγάζουσι, σωτηρίας φωτισμόν ταίς ψυχαίς ημών.

Σήμερον μνήμην Ιεράν, τής αθλήσεως υμών Παμμακάριστοι, η Εκκλησία Χριστού, επιτελούσα άγει χαρμόσυνον, καί φωτοφόρον εορτήν, Θεόν μεγαλύνουσα, τόν στεφοδότην υμών, μεγαλύνοντα υμάς ως θεράποντας.

Ήρθητε πρός περιφανές, μαρτυρίου αληθώς ύψος άγιον, καί κατειλήφατε, τού πόθου πέρας όντως μακάριοι, τήν βασιλείαν τού Θεού, λαβόντες ασάλευτον, Μάρτυς Στρατόνικε, σύν Ερμύλω τώ σοφώ καί θεόφρονι.

Θεοτοκίον

Φείσαί μου Σώτερ ο τεχθείς, καί φυλάξας τήν τεκούσάν σε άφθορον, μετά τήν κύησιν, όταν καθίσης κρίναι τά έργα μου, τάς ανομίας παρορών, καί τάς αμαρτίας μου, ως αναμάρτητος, ελεήμων ως Θεός καί φιλάνθρωπος.

Τών Οσίων

Λίθος αχειρότμητος

Ιερολογίαις Ιεραίς, τούς Οσίους δεύτε Πατέρας, τούς εν Ραϊθώ καί Σιναίω, βεβιωκότας εν Οσιότητι, καί ευσεβώς αθλήσαντας, μεγαλοφώνως μεγαλύνωμεν.

Ως πανευκλεείς Αθλοφόροι, οι εν ασκήσει υμών πόνοι! ως υπερφερείς οι αγώνες, εν οίς τόν πλάνον κατεπαλαίσατε! ως θαυμαστή η άθλησις, δι' ής νομίμως κατεστέφθητε!

Σώμα καί ψυχήν τώ Κυρίω, καθιερώσατε οσίως, τοίς τής εγκρατείας ιδρώσιν, αγιασθέντες καί ταίς τού αίματος, επιρροαίς ξηράναντες, βαρβαρικής κακίας θάλασσαν.

Η θεοφεγγής υμών μνήμη, άνατολαίς λαμπρυνομένη, τών διά Χριστόν υμών πόνων, τάς διανοίας πάντων Μακάριοι, περιαυγάζει χάριτι, τού παντουργού καί θείου Πνεύματος.

Θεοτοκίον

Φρίττει Χερουβίμ καθορώντα, τόν εν αυτοίς, αρρήτω λόγω, επικαθεζόμενον Λόγον, Μητρός αγκάλαις βρέφος κρατούμενον, σού Παναγία Δέσποινα,

υψηλοτέρα πάσης κτίσεως.

Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας, τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Εξαποστειλάριον τών Οσίων

Εν πνεύματι τώ ιερώ

Τοίς πόνοις τής ασκήσεως, τόν αρχέκακον όφιν, εις τέλος απεκτείνατε, επί τέλους δέ στέφη, τού μαρτυρίου ήρασθε, τών Πατέρων καύχημα, καί τών Μαρτύρων η δόξα, Ραϊθώ καί Σιναίου, η πανέορτος πληθύς, τών θαυμασίων Πατέρων.

Τής Εορτής όμοιον

Φωτός αδύτου γέγονεν, η παρούσα ημέρα. Χριστός γάρ η αλήθεια, ήλθεν νύν επεφάνη, ψαλμοίς αυτόν επαξίως, καί ωδαίς υμνήσωμεν, ως Πλάστην τε καί Δεσπότην. Ώ καινού μυστηρίου! τού Αδάμ ο Ποιητής, βουλήσει άνθρωπος ώφθη.

Εις τόν Στίχον τών Αίνων Στιχηρά Προσόμοια.

Ήχος πλ. β'

Αι Αγγελικαί

Δεύτε καί ημείς, εν αισθήσει της καρδίας, δράμωμεν πιστοί, εν τοίς ρείθροις Ιορδάνου, καί τόν Χριστόν ιδόντες, σαρκικώς βαπτιζόμενον, υπό Ιωάννου τού Προδρόμου, νύν σύν αυτώ δοξολογούντες, αυτώ κράξωμεν. Ευλογημένος ο φανείς, Θεός ημών δόξα σοι.

Στίχ. Η θάλασσα είδε καί έφυγεν, ο Ιορδάνης εστάφη εις οπίσω.

Νύν τού Ιεσσαί, ανεβλάστησεν η ράβδος, θείαν κιβωτόν, καί τού μάννα θεοδόχον, εξ ής προήλθεν άνθος, τής ζωής τό ακήρατον, όν ο Ιορδάνης καταπτήξας, καί ο Ιωάννης χειραπτήσας, πιστώς έκραζεν. Ευλογημένος ο φανείς, Θεός ημών δόξα σοι.

Στίχ. Τί σοί εστι θάλασσα, ότι έφυγες; καί σοί Ιοράνη ότι ανεχώρησας εις τά οπίσω;

Άσατε ωδαίς, αι ουράνιαι Δυνάμεις, ψάλατε βροτοί, καί αγάλλεσθε συμφώνως, ιδού γάρ ο Δεσπότης, τού Πατρός τό απαύγασμα, έρχεται εν ρείθροις, Ιορδάνου, ίνα βαπτισθή υπό τού δούλου, λαοί κράξωμεν. Ευλογημένος ο φανείς, Θεός ημών δόξα σοι.

Δόξα... Ήχος πλ. δ'

Μακάριοί εστε Όσιοι, καί Μάρτυρες Χριστού τού Θεού. Όσιοι μέν, ότι δικαιοσύνης χάριν εδιώχθητε. Μάρτυρες δέ, ότι μάχαιρα υμάς ουκ εχώρισε τής αγάπης τού Χριστού, καί διά τούτο χαίρετε, ότι πολύς ο μισθός υμών εν

τοίς ουρανοίς.

Καί νύν... ο αυτός

Σήμερον η κτίσις φωτίζεται, σήμερον τά πάντα ευφραίνονται, τά ουράνια άμα καί τά επίγεια Άγγελοι καί άνθρωποι συμμίγνυνται, όπου γάρ Βασιλέως παρουσία, καί η τάξις παραγίνεται. Δράμωμεν τοίνυν επί τόν Ιορδάνην, ίδωμεν πάντες τόν Ιωάννην, πώς βαπτίζει κορυφήν αχειροποίητον καί αναμάρτητον. Διό Αποστολικήν φωνήν προσάδοντες, συμφώνως βοήσωμεν. Επεφάνη η χάρις τού Θεού, η σωτήριος πάσιν ανθρώποις, καταυγάζουσα, καί παρέχουσα πιστοίς τό μέγα έλεος.

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΔ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Αββάδων. Απόδοσις τών Αγίων Θεοφανείων τού Κυρίου ημών Ιησού Χριστού.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Ιδιόμελα.

Ήχος β'

Ιωάννου Μοναχού

Τόν φωτισμόν ημών, τόν φωτίσαντα πάντα άνθρωπον, ιδών ο Πρόδρομος, βαπτισθήναι παραγενόμενον, χαίρει τή ψυχή, καί τρέμει τή χειρί, δείκνυσιν αυτόν, καί λέγει τοίς λαοίς, Ίδε ο λυτρούμενος τόν Ισραήλ, ο ελευθερών ημάς εκ τής φθοράς. Ω αναμάρτητε, Χριστέ ο Θεός ημών, δόξα σοι. (Δίς)

Τού Λυτρωτού ημών, υπό δούλου βαπτιζομένου, καί τή τού Πνεύματος παρουσία μαρτυρουμένου, έφριξαν ορώσαι Αγγέλων στρατιαί, φωνή δέ ουρανόθενηνέχθη εκ Πατρός. Ούτος όν ο Πρόδρομος χειροθετεί, Υιός μου υπάρχει ο αγαπητός, εν ώ ηυδόκησα, Χριστέ ο Θεός ημών, δόξα σοι. (Δίς)

Τά Ιορδάνια ρείθρα, σέ τήν πηγήν εδέξατο, καί ο Παράκλητος, εν είδει περιστεράς κατήρχετο, κλίνει κορυφήν, ο κλίνας ουρανούς, κράζει καί βοά, πηλός τώ πλαστούργώ. Τί μοι επιτάττεις τά υπέρ εμέ; εγώ χρείαν έχω τού σού Βαπτισμού. Ω αναμάρτητε, Χριστέ ο Θεός ημών, δόξα σοι.

Σώσαι βουλόμενος, τόν πλανηθέντα άνθρωπον, ουκ απηξίωσας δούλου μορφήν ενδύσασθαι, έπρεπε γάρ σοί τώ Δεσπότη, καί Θεώ, αναδέξασθαι τά ημών υπέρ ημών, σύ γάρ βαπτισθείς σαρκί Λυτρωτά, τής αφέσεως ηξίωσας ημάς, διό βοώμέν σοι. Ευεργέτα Χριστέ ό Θεός ημών, δόξα σοι.

Δόξα... Καί νύν...

Ο αυτός Βύζαντος

Υπέκλινας κάραν τώ Προδρόμω, συνέθλασας κάρας τών δρακόντων,

επέστης εν τοίς ρείθροις, εφώτισας τά σύμπαντα, τού δοξάζειν σε Σωτήρ, τόν φωτισμόν τών ψυχών ημών.

Απόστιχα Στιχηρά Ιδιόμελα.

Ήχος πλ. β' Ανατολίου

Εν Ιορδάνη ποταμώ, ιδών σε ο Ιωάννης πρός αυτόν ερχόμενον έλεγε, Χριστέ ό Θεός. Τί πρός τόν δούλον παραγέγονας, ρύπον μή έχων Κύριε; εις όνομα δέ τίνος σε βαπτίσω; Πατρός; αλλά τούτον φέρεις εν εαυτώ. Υιού; αλλ' αυτός υπάρχεις ο σαρκωθείς. Πνεύματος Αγίου; καί τούτο οίδας διδόναι τοίς πιστοίς διά στόματος. Ο επιφανείς Θεός, ελέησον ημάς.

Ο αυτος

Στίχ. Η θάλασσα είδε καί έφυγεν, ο Ιορδάνης εστάφη εις οπίσω,

Είδοσάν σε ύδατα ο Θεός, είδοσάν σε ύδατα καί εφοβήθησαν, πρός τήν σήν γάρ δόξαν αντοφθαλμήσαι τά Χερουβίμ ου δύνανται, ουδέ ατενίσαι τά Σεραφίμ, αλλά φόβω παριστάμενα, τά μέν βαστάζουσι, τά δέ δοξάζουσι τήν δύναμίν σου. Μεθ' ών οικτίρμον, αναγγέλλομεν τήν αίνεσίν σου λέγοντες. ο επιφανείς Θεός, ελέησον ημάς.

Ο αυτος

Στίχ. Τί σοί εστι θάλασσα, ότι έφυγες; καί σοί Ιοράνη ότι ανεχώρησας εις τά οπίσω;

Σήμερον ό ουρανού καί γής Ποιητής, παραγίνεται σαρκί εν Ιορδάνη, Βάπτισμα αιτών ο αναμάρτητος, ίνα καθάρη τόν κόσμον από τής πλάνης τού εχθρού, καί βαπτίζεται υπό δούλου, ο Δεσπότης τών απάντων, καί καθαρισμόν δι' ύδατος τώ γένει τών ανθρώπων δωρείται. Αυτώ βοήσωμεν, ο επιφανείς Θεός ημών, δόξα σοι.

Δόξα... Καί νύν...

Ήχος πλ. δ'

Θεοφάνους τόν εκ Παρθένου Ήλιον, βλέπων ό εκ στείρας Λύχνος φαεινός, εν Ιορδάνη αιτούμενον Βάπτισμα, εν δειλία καί χαρά, εβόα πρός αυτόν. Σύ με αγίασον Δέσποτα τή θεία Επιφανεία σου.

Απολυτίκιον Ήχος α'

Εν Ιορδάνη βαπτιζομένου σου Κύριε, η τής Τριάδος εφανερώθη προσκύνησις, τού γάρ Γεννήτορος η φωνή προσεμαρτύρει σοι, αγαπητόν σε Υιόν ονομάζουσα, καί τό Πνεύμα εν είδει περιστεράς, εβεβαίου τού λόγου τό ασφαλές. Ο επιφανείς Χριστέ ο Θεός, καί τόν κόσμον φωτίσας δόξα σοι.

Εκ τρίτου, καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογία

Κάθισμα  Ήχος γ'
Τήν ωραιότητα

Επιφανέντος σου εν Ιορδάνη Σωτήρ, καί βαπτισθέντος σου υπό Προδρόμου Χριστέ, ηγαπημένος Υιός εμαρτυρήθης, όθεν καί συνάναρχος, τώ Πατρί πεφανέρωσαι. Πνεύμα δέ τό Άγιον, επί σέ κατεγίνετο, εν ώ καί φωτισθέντες βοώμεν. Δόξα Θεώ τώ εν Τριάδι.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογία

Κάθισμα  Ήχος δ '
Κατεπλάγη Ιωσήφ

Ιορδάνη ποταμέ, τί εθαμβήθης θεωρών. Τόν αθεώρητον γυμνόν, είδον καί έφριξα φησί, καί πώς γάρ τούτον ουκ έμελλον φρίξαι καί δύναι; οι Άγγελοι αυτόν, Ορώντες έφριξαν, εξέστη ουρανός, καί γή ετρόμαξε, καί συνεστάλη θάλασσα καί πάντα, τά ορατά καί αόρατα, Χριστός εφάνη, εν Ιορδάνη, αγιάσαι τά ύδατα.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τον Πολυέλεον

Κάθισμα  Ήχος δ'
Ταχύ προκατάλαβε

Τά ρείθρα ηγίασας τά Ιορδάνια, τό κράτος συνέτριψας, τής αμαρτίας, Χριστέ ο Θεός ημών. υπέκλινας τή παλάμη, σεαυτόν τού Προδρόμου, καί έσωσας εκ πλάνης, τών ανθρώπων τό γένος. διό σε ικετεύομεν. Σώσον τόν κόσμον σου.

Δόξα... Καί νύν... τό αυτό

Είθ' ούτως, οι Κανόνες

Κανών τού Κυρίου Κοσμά ού η Ακροστιχίς.

Βάπτισμα ρύψις γηγενών αμαρτάδος.

Ωδή α'  Ήχος β'  Ο Ειρμός

«Βυθού ανεκάλυψε πυθμένα, καί διά ξηράς οικείους έλκει, εν αυτώ κατακαλύψας αντιπάλους, ο κραταιός, εν πολέμοις Κύριος, ότι δεδόξασται.».

Αδάμ τόν φθαρέντα αγαπλάττει, ρείθροις Ιορδάνου καί δρακόντων, κεφαλάς εμφωλευόντων διαθλάττει, ο Βασιλεύς τών αιώνων Κύριος, ότι δεδόξασται.

Πυρί τής θεότητος αϋλω, σάρκα υλικήν ημφιεσμένος, Ιορδάνου περιβάλλεται τό νάμα, ο σαρκωθείς εκ Παρθένου Κύριος, ότι δεδόξασται.

Τόν ρύπον ο σμήχων τών ανθρώπων, τούτοις καθαρθείς εν Ιορδάνη, οίς θελήσας ωμοιώθη ό ήν μείνας, τούς εν σκότει φωτίζει Κύριος, ότι δεδόξασται.

Έτερος Κανών Ιαμβικός, τού Αγίου Ιωάννου τού Δαμασκηνού, ού η Ακροστιχίς διά Στίχων Ηρωελεγείων.

Σήμερον αχράντοιο βαλών, θεοφεγγέϊ πυρσώ,
Πνεύματος, ενθάπτει νάμασιν, αμπλακίην,
Φλέξας παμμεδέοντος εϋς Πάϊς. Ηπιόων δέ,
Υμνηταίς μελέων τών δε δίδωσι χάριν.

Ωδή α'  Ήχος β'  Ο Ειρμός
«Στείβει θαλάσσης, κυματούμενον σάλον,
Ήπειρον αύθις, Ισραίλ δεδειγμένον.
Μέλας δέ πόντος, τριστάτας Αιγυπτίων,
Έκρυψεν άρδην, υδατόστρωτος τάφος,
Ρώμη κραταιά, δεξιάς τού Δεσπότου.»

Όρθρου φανέντος τοίς βροτοίς σελασφόρου,
Νύν εξ ερήμου, πρός ροάς Ιορδάνου
Άναξ υπέσχες, ηλίου σόν αυχένα,
Χώρου ζοφώδους, τόν Γενάρχην αρπάσαι,
Ρύπου τε παντός, εκκαθάραι τήν κτίσιν.

Άναρχε ρείθροις, συνταφέντα σοι Λόγε,
Νέον περαίνεις, τόν φθαρέντα τή πλάνη ,
Ταύτην αφράστως, πατρόθεν δεδεγμένος,
Όπα κρατίστην. Ούτος ηγαπημένος,
Ίσος τέ μοι Παίς, χρηματίζει τήν φύσιν.

Ωδή γ'  Ο Ειρμός
«Ισχύν ο διδούς, τοίς Βασιλεύσιν ημών Κύριος, καί κέρας χριστών αυτού υψών, Παρθένου αποτίκτεται, μολεί δέ πρός τό Βάπτισμα, διό πιστοί βοήσωμεν. Ουκ έστιν άγιος, ως ο Θεός ημών, καί ουκ έστι δίκαιος, πλήν σου Κύριε.»

Στειρεύουσα πρίν, ητεκνωμένη δεινώς σήμερον, ευφραίνου Χριστού η Εκκλησία, δι' ύδατος καί Πνεύματος, υιοί γάρ σοι γεγέννηνται, εν πίστει ανακράζοντες. Ούκ έστιν άγιος, ως ο Θεός ημών, καί ουκ έστι δίκαιος, πλήν σου Κύριε.

Μεγάλη φωνή, εν τή ερήμω βοά Πρόδρομος. Χριστού ετοιμάσατε οδούς, καί

τρίβους τού Θεού ημών, ευθείας απεργάσασθε, εν πίστει ανακράζοντες. Ουκ έστιν άγιος, ως ο Θεός ημών, καί ουκ έστι δίκαιος, πλήν σου Κύριε.

Ιαμβικός  Ο Ειρμός
«Όσοι παλαιών, εκλελύμεθα βρόχων,
Βορών λεόντων, συντεθλασμένων μύλας,
Αγαλλιώμεν, καί πλατύνωμεν στόμα,
Λόγω πλέκοντες, εκ λόγων μελωδίαν,
Ώ τών πρός ημάς, ήδεται δωρημάτων.»

Νέκρωσιν ο πρίν, εμφυτεύσας τή κτίσει,
Θηρός κακούργου, σχηματισθείς εις φύσιν,
Επισκοπείται , σαρκική παρουσία.
Όρθρω φάναντι, προσβαλων τώ Δεσπότη,
Φλάν τήν εαυτού, δυσμενεστάτην κάραν.

Έλκει πρός αυτόν τήν θεόδμητον φύσιν,
Γαστρός τυράννου, συγκεχωσμένην όροις.
Γεννά τε αύθις, γηγενών αναπλάσει,
Έργον φέριστον, εκτελών ο Δεσπότης.
Ίκται γάρ αυτήν, εξαλεξήσαι θέλων.

Η Υπακοή  Ήχος πλ. α'

Ότε τή Επιφανεία σου εφώτισας τά σύμπαντα, τότε η αλμυρά τής απιστίας θάλασσα έφυγε, καί ο Ιορδάνης κάτω ρέων εστράφη, πρός ουρανόν ανυψών ημάς, αλλά τώ ύψει τών θείων εντολών σου, συντήρησον Χριστέ ο Θεός, πρεσβείαις τής Θεοτόκου, καί ελέησον ημάς.

Ωδή δ'  Ο Ειρμός

«Ακήκοε Κύριε φωνής σου, όν είπας, Φωνή βοώντος εν ερήμω ότε εβρόντησας πολλών επί υδάτων, τώ σώ μαρτυρούμενος Υιώ, όλος γεγονώς τού παρόντος, Πνεύματος δέ εβόησε. Σύ εί Χριστός, Θεού σοφία καί δύναμις».

Ρυπτόμενον ήλιον τίς είδεν, ο Κήρυξ βοά, τόν έκλαμπρον τή φύσει, ίνα σε ϋδασιν Απαύγασμα τής δόξης, Πατρός χαρακτήρ αϊδίου εκπλύνω, καί χόρτος ών, πυρί ψαύσω τής σής θεότητος; σύ γάρ Χριστός, Θεού σοφία καί δύναμις.

Υπέφηνεν ένθεον ήν είχεν, ευλάβειαν Μωσής περιτυχών σοι, ως γάρ τής βάτου σε φωνήσαντα ησθήθη, ευθύς απεστράφη τάς όψεις, εγω δέ πώς βλέψω σε τρανώς, ή πώς χειροθετήσω σε; σύ γάρ Χριστός, Θεού σοφία καί δύναμις.

Ψυχής τελών έμφρονος, καί λόγω τιμώμενος, αψύχων ευλαβούμαι, εί γάρ βαπτίσω σε, κατήγορόν μοι έσται, πυρί καπνιζόμενον όρος, φυγούσα δέ

θάλασσα διχή, καί Ιορδάνης ούτος στραφείς, σύ γάρ Χριστός, Θεού σοφία καί δύναμις.

Ιαμβικός Ο Ειρμός
«Πυρσώ καθαρθείς μυστικής θεωρίας,
Υμνών Προφήτης τήν βροτών καινουργίαν,
Ρήγνυσι γήρυν, Πνεύματι κροτουμένην,
Σάρκωσιν εμφαίνουσαν αρρήτου Λόγου,
Ώ τών δυναστών τά κράτη συνετρίβη».

Πεμφθείς ο Πατρός παμφαέστατος Λόγος,
Νυκτός διώσαι τήν καχέσπερον σχέσιν,
Έκριζον ήκεις, καί βροτών αμαρτίας,
Υίας συνελκύσαι τε τή σή Βαπτίσει,
Μάκαρ φαεινούς, εκ ροών Ιορδάνου.

Αυτόν προσιδών τόν περίκλυτον Λόγον,
Τρανώς ο κήρυξ εκβοάται τή κτίσει,
Ούτος προών μου, δεύτερος τώ
σαρκίω, Σύμμορφος εξέλαμψεν ενθέω σθένει,
Έχθιστον ημών εξελείν αμαρτίαν.

Νομήν πρός αυτήν τήν φερέσβιον φέρων,
Θηρά δρακόντων φωλεοίς επιτρέχων.
Άπλητα κύκλα καββαλών Θεός Λόγος,
Πτέρνη τε τόν πλήττοντα παμπήδην γένος,
Τούτον καθειργνύς, εκσαώζει τήν κτίσιν.

Ωδή ε'  Ο Ειρμός
«Ιησούς ο ζωής αρχηγός, λύσαι τό κατάκριμα ήκει, Αδάμ τού πρωτοπλάστου, καθαρσίων δέ, ως Θεός μή δεόμενος, τώ πεσόντι καθαίρεται εν τώ Ιορδάνη, εν ώ τήν έχθραν κτείνας, υπερέχουσαν πάντα νούν, ειρήνην χαρίζεται».

Συνελθόντων απείρων λαών, υπό Ιωάννου βαπτισθήναι, αυτός εν μέσω έστη, προσεφώνει δέ τοίς παρούσι. Τίς έδειξεν απειθείς, τήν οργήν υμίν εκκλίναι τήν μέλλουσαν; καρπούς αξίους Χριστώ εκτελείτε, παρών γάρ νύν, ειρήνην χαρίζεται.

Γεωργός ο καί Δημιουργός, μέσος εστηκως ως εις απάντων, καρδίας εμβατεύει, καθαρτήριον δέ πτύον χειρισάμενος, τήν παγκόσμιον άλωνα πανσόφως διΐστησι, τήν ακαρπίαν φλέγων, ευκαρπούσιν αιώνιον, ζωήν χαριζόμενος.

Ιαμβικός Ο Ειρμός
«Εχθρού ζοφώδους καί βεβορβορωμένου,

Ιόν καθάρσει Πνεύματος λελουμένοι,
Νέαν προσωρμίσθημεν απλανή τρίβον,
Άγουσαν απρόσιτον εις θυμηδίαν,
Μόνοις προσιτήν, οις Θεός Κατηλλάγη».

Αθρών ο Πλάστης εν ζόφω τών πταισμάτων,
Σειραίς αφύκτοις, όν διαρθροί δακτύλοις,
Ίστησιν αμφ' ώμοισιν εξάρας άνω,
Νύν εν πολυρρύτοισι δίναις εκπλύνων,
Αίσχους παλαιού τής Αδάμ καχεξίας.

Μετ' ευσεβείας προσδάμωμεν ευτόνως,
Πηγαίς αχράντοις ρεύσεως σωτηρίου,
Λόγον κατοπτεύσοντες έξ ακηράτου,
Άντλημα προσφέροντα δίψης ενθέου,
Κόσμου προσηνώς εξακεύμενον νόσον.

Ωδή ς'  Ο Ειρμός

«Η φωνή τού Λόγου, ο λύχνος τού Φωτός, ο Εωσφόρος, ο τού Ηλίου Πρόδρομος, εν τή ερήμω, Μετανοείτε, πάσι βοά τοίς λαοίς, καί προκαθαίρεσθε, ιδού γάρ πάρεστι Χριστός, εκ φθοράς τόν κόσμον λυτρούμενος».

Γεννηθείς αρρεύστως, εκ Θεού καί Πατρός, εκ τής Παρθένου, δίχα σαρκούται ρύπου Χριστός, ού τόν ιμάντα, τήν εξ ημών τού Λόγου συνάφειαν, λύειν αμήχανον (διδάσκει ο Πρόδρομος), γηγενείς εκ πλάνης λυτρούμενος.

Εν πυρί βαπτίζει, τελευταίω Χριστός, τούς απειθούντας, καί μή Θεόν φρονούντας αυτόν, εν Πνεύματι δέ καινοποιεί, δι' ύδατος χάριτι, τούς επιγνώμονας αυτού τής θεότητος, τών πλημμελημάτων λυτρούμενος.

Ιαμβικός  Ο Ειρμός

«Ιμερτόν εξέφηνε σύν πανολβίω,
Ήχω Πατήρ, όν γαστρός εξηρεύξατο.
Ναί φησιν, Ούτος, συμφυής γόνος πέλων,
Φώταυγος εξώρουσεν ανθρώπων γένους,
Λόγος τέ μου ζών, καί βροτός προμηθεία.

Εκ ποντίου λέοντος ο τριέσπερος,
Ξένως Προφήτης εγκάτοις φλοιδούμενος,
Αύθις προήλθε, τής παλιγγενεσίας,
Σωτηρίαν δράκοντος εκ βροτοκτόνου,
Πάσι προφαίνων, τών χρόνων επ' εσχάτων.

Ανειμένων Πόλοιο παμφαών πτυχών,

Μύστης ορά πρός Πατρός εξικνούμενον,
Μένον τε Πνεύμα τώ παναχράντω
Λόγω, Επελθόν ως πέλειαν αφράστω τρόπω,
Δήμοις τε φαίνει, προσδραμείν τώ Δεσπότη.

Κοντάκιον Ήχος δ'

Επεφάνης σήμερον τή οικουμένη, καί τό φώς σου Κύριε, εσημειώθη εφ' ημάς, έν επιγνώσει υμνούντάς σε. Ήλθες εφάνης τό Φώς τό απρόσιτον.

Ο Οίκος

Τή Γαλιλαία τών Εθνών, τή τού Ζαβουλών χώρα, καί τού Νεφθαλείμ γαία, ως είπεν ο Προφήτης, φώς μέγα έλαμψε Χριστός, τοίς εσκοτισμένοις φαεινή ώφθη αυγή, εκ Βηθλεέμ αστράπτουσα, μάλλον δέ εκ Μαρίας ο Κύριος πάση τή οικουμένη ανατέλλει τάς ακτίνας, ο Ήλιος τής Δικαιοσύνης. Διό οι εξ Αδάμ γυμνοί, δεύτε πάντες υποδύωμεν αυτόν, ίνα θαλφθώμεν, σκέπη γάρ γυμνών, καί αίγλη εσκοτισμένων, ήλθες εφάνης τό Φώς τό απρόσιτον.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΔ' τού αυτού μηνός, Μνήμη τών Αγίων Αββάδων, τών εν Σινά όρει αναιρεθέντων.

Στίχοι

- Σπάθαι τό πράξαν ώδε τούς πολλούς φόνους,
- Τό δ' αύ πεπονθός, άνδρες αρετής φίλοι.
- Αββάδας αμφί τετάρτη καί δεκάτη κτάνε χαλκός.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων τριάκοντα τριών Πατέρων, τών εν τή Ραϊθω αναιρεθέντων.

Στίχοι

- Ως πρίν Ραχήλ τά τέκνα, νύν τούς Αββάδας,
- Κλαίει Ραϊθώ, συγκεκομμένους σπάθαις.

Τή αυτή ημέρα, Μνήμη τού οσίου Πατρός ημων Θεοδούλου, υιού Νείλου τού σοφού.

Στίχοι

- Ο Θεόδουλος αρεταίς ώφθη μέγας,
- Μιμούμενος μάλιστα πατρός τόν βίον.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου πατρός ημών Στεφάνου, τού κτίσαντος τήν Μονήν τού Χηνολάκκου.

Στίχοι

- Τώ Χηνολάκκου τήν Μονήν δειμαμένω.
- Θείω Στεφάνω, λάκκος ωρύχθη τάφου.

Τή αυτή ημέρα, η αγία Μάρτυς Αγνή, εν σκοτεινή φρουρά βληθείσα, τελειούται.

Στίχοι

- Αγνήν άναγνοι θέντες εις οίκον σκότους,
- Πάμφωτον αυτή προύξένησαν οικίαν.

Ταίς τών αγίων σου πρεσβείαις, ο Θεός,ελέησον ημάς. Αμήν.

Ωδή ζ' Ο Ειρμός

«Νέους ευσεβείς, καμίνω πυρός προσομιλήσαντας, διασυρίζον πνεύμα δρόσου, αβλαβείς διεφύλαξε, καί θείου Αγγέλου συγκατάβασις, όθεν εν φλογί δροσιζόμενοι, ευχαρίστως ανέμελπον. Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί».

Ώσπερ ουρανώ, σύν τρόμω καί θαύματι παρίσταντο, εν Ιορδάνη αί Δυνάμεις τών Αγγέλων σκοπούμεναι, τοσαύτην Θεού τήν συγκατάβασιν, όπως ο κρατών τήν υπέρω ον τών υδάτων υπόστασιν, εν τοίς ύδασι, σωματοφόρος έστηκεν, ο Θεός ο τών Πατέρων ημών.

Νεφέλη ποτέ, καί θάλασσα θείου προεικόνιζε, Βαπτίσματος τό θαύμα, εν οίς ο πρίν βαπτίζεται, διεξοδικώς τώ Νομοθέτη λαός, θάλασσα δέ ήν τύπος ύδατος, καί νεφέλη τού Πνεύματος, οις τελούμενοι, Ευλογητός εί κράζομεν, ο Θεός ο τών Πατέρων ημών.

Άπαντες πιστοί, εν ώ τήν τελείωσιν ελάβομεν, θεολογούντες ασιγήτως, σύν Αγγέλοις δοξάσωμεν, Πατέρα Υιόν καί Πνεύμα Άγιον, τούτο γάρ Τριάς υποστάσεσιν ομοούσιος, εις δέ Θεός, ώ καί ψάλλομεν. Ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Ιαμβικός Ο Ειρμός

«Έφλεξε ρείθρω τών δρακόντων τάς κάρας,
Ο τής καμίνου τήν μετάρσιον φλόγα,
Νέους φέρουσαν ευσεβείς κατευνάσας,
Τήν δυσκάθεκτον αχλύν εξ αμαρτίας,
Όλην πλύνει δέ, τή δρόσω τού Πνεύματος».

Σέ ζωγραφούσαν τήν Ασσύριον φλόγα,
Εκστώσαν ίστης, εις δρόσον μετηγμένην.
Ύδωρ όθεν νύν αμφιέσσαο φλέγον,
Σίντην κάκιστον Χριστέ προσκεκευθμένον,
Πρός τήν όλισθον εκκαλούμενον τρίβον.

Απορραγέντος τού Ιορδάνου πάλαι,
Ισθμώ περάται λαός, Ισραηλίτης,
Σέ τόν κράτιστον εμφορούντα τήν κτίσιν,
Ηπειγμένως νύν εν ροαίς διαγράφων,
Πρός τήν άρρευστον καί αμείνονα τρίβον.

Ίδμεν τό πρώτον τήν πανώλεθρον κλύσιν,
Οικτρώς σε πάντων εις φθοράν παρεισάγειν,
Ώ τρισμέγιστα χρηματίζων καί ξένα.
Νύν δέ κλύσαντα Χριστέ τήν αμαρτίαν,
Δι' ευπάθειαν, καί βροτών σωτηρίαν.

## Ωδή η' Ο Ειρμός

«Μυστήριον παράδοξον, η Βαβυλώνος έδειξε κάμινος, πηγάσασα δρόσον, ότι ρείθροις έμελλεν, άϋλον πύρ εισδέχεσθαι ο Ιορδάνης, καί στέγειν σαρκί, βαπτιζόμενον τόν Κτίστην, όν ευλογούσι Λαοί, καί υπερυψούσιν, εις πάντας τούς αιώνας».

Απόθου φόβον άπαντα, ο Λυτρωτής τώ Προδρόμω έφησεν, εμοί δέ πειθάρχει, ως Χριστώ μοι πρόσελθε, τούτο γάρ φύσει πέφυκα, εμώ προστάγματι είξον, καί βάπτισόν με συγκαταβάντα, όν ευλογούσι Λαοί, καί υπερυψούσιν, εις πάντας τούς αιώνας.

Ρημάτων ως ακήκοεν, ο Βαπτιστής τού Δεσπότου, σύντρομος παλάμην εκτείνει, χειραπτήσας όμως δέ, τήν κορυφήν τού Πλάστου αυτού, τώ βαπτισθέντι εβόα. Αγίασόν με, σύ γάρ Θεός μου, όν ευλογούσι Λαοί, καί υπερυψούσιν, εις πάντας τούς αιώνας.

Τριάδος η φανέρωσις, εν Ιορδάνη γέγονεν, αύτη γάρ υπέρθεος φύσις, ο Πατήρ εφώνησεν. Ούτος ο βαπτιζόμενος, Υιός ο αγαπητός μου, τό Πνεύμα συμπαρήν τώ ομοίω, όν ευλογούσι Λαοί, καί υπερυψούσιν, εις πάντας τούς αιώνας.

## Ιαμβικός Ο Ειρμος

«Ελευθέρα μέν η κτίσις γνωρίζεται.
Υιοί δέ φωτός, οι πρίν εσκοτισμένοι.
Μόνος στενάζει, τού σκότους ο προστάτης.
Νύν ευλογείτω συντόνως τόν αίτιον,
Η πρίν τάλαινα τών Εθνών παγκληρία.

Τριττοί θεουδείς εμπύρως δροσούμενοι,
Αιγλήντα τριτταίς παμφαώς αγιστείαις,
Σαφώς εδήλουν τήν υπέρτατον φύσιν,
Μίξει βροτεία πυρπολούσαν εν δρόσω,
Ευκτώς άπασαν τήν ολέθριον πλάνην.

Λευχειμονείτω πάσα γηΐνος φύσις,
Εκπτώσεως νύν ουρανών επηρμένη.
Ώ γάρ τά πάντα συντετήρηται Λόγω
Νάουσι ρείθροις εκπλυθείσα πταισμάτων,

Τών πρίν πέφευγε παμφαώς λελουμένη.

Ωδή θ'
ΜΕΓΑΛΥΝΑΡΙΑ
Ψαλλόμενα εν τή Ωδή ταύτη
Ήχος β'

Μεγάλυνον ψυχή μου, τήν τιμιωτέραν καί ενδοξοτέραν, τών άνω στρατευμάτων. (Δίς)
Μεγάλυνον ψυχή μου, τόν εν Ιορδάνη, ελθόντα βαπτισθήναι.
Μεγάλυνον ψυχή μου, τόν υπό Προδρόμου, τό βάπτισμα λαβόντα.
Μεγάλυνον ψυχή μου, τόν εκ τής πατρώας, φωνής μαρτυρηθέντα.
Μεγάλυνον ψυχή μου, τόν ένα τής Τριάδος, κλίναντα τόν αυχένα, καί βάπτισμα λαβόντα.
Προφήτα, δεύρο πρός με, έκτεινον τήν χείρα, καί βάπτισόν με τάχος.
Προφήτα, άφες άρτι, καί βάπτισόν με θέλων, πληρώσαι καί γάρ ήλθον, πάσαν δικαιοσύνην.

Έτερα εις τόν Ιαμβικόν Κανόνα

Σήμερον ο Δεσπότης, κλίνει τόν αυχένα, χειρί τή τού Προδρόμου.
Σήμερον Ιωάννης, βαπτίζει τόν Δεσπότην, εν ρείθροις, Ιορδάνου.
Σήμερον ό Δεσπότης, νάμασιν ενθάπτει, βροτών τήν αμαρτίαν.
Σήμερον ο Δεσπότης, άνωθεν μαρτυρείται, Υιός ηγαπημένος.
Σήμερον ο Δεσπότης, ήλθεν αγιάσαι, τήν φύσιν τών υδάτων.
Σήμερον ο Δεσπότης, τό βάπτισμα λαμβάνει, υπό χειρός Προδρόμου.

Δόξα...

Μεγάλυνον ψυχή μου, τής τρισυποστάτου, καί αδιαιρέτου, θεότητος τό κράτος.

Καί νύν...

Μεγάλυνον ψυχή μου, τήν λυτρωσαμένην, ημάς εκ τής κατάρας.

Ο Ειρμός

«Απορεί πάσα γλώσσα, ευφημείν πρός αξίαν, ιλιγγιά δέ νούς καί υπερκόσμιος, υμνείν σε Θεοτόκε, όμως αγαθή υπάρχουσα, τήν πίστιν δέχου, καί γάρ τόν πόθον οίδας, τόν ένθεον ημών, σύ γάρ Χριστιανών εί προστάτις, σέ μεγαλύνομεν.»

Δαυϊδ πάρεσο, Πνεύματι τοίς φωτιζομένοις. Νύν προσέλθετε, άδε πρός Θεόν, εν πίστει λέγων φωτίσθητε, ούτος ο πτωχός εκέκραξεν Αδάμ εν πτώσει, καί γάρ αυτού εισήκουσε Κύριος ελθών, ρείθροις τού Ιορδάνου, φθαρέντα δέ ανεκαίνισεν.

Ο Ησαίας λούσασθε, καί καθάρθητε φάσκει, τάς πονηρίας έναντι, αφέλεσθε Κυρίου, οι διψώντες, ύδωρ επί ζών πορεύεσθε, ρανεί γάρ ύδωρ καινοποιόν Χριστός, τοίς προστρέχουσιν αυτώ εν πίστει, καί πρός ζωήν τήν αγήρω, βαπτίζει Πνεύματι.

Συντηρώμεθα χάριτι, Πιστοί καί σφραγίδι, ως γάρ όλεθρον έφυγον, φλιάς Εβραίοι πάλαι αιμαχθείσης, ούτω καί ημίν, εξόδιον τό θείον τούτο, τής παλιγγενεσίας λουτήριον έσται, ένθεν καί τής Τριάδος, οψόμεθα φώς τό άδυτον.

Ιαμβικός  Ο Ειρμός

«Ώ τών υπέρ νούν, τού τόκου σου θαυμάτων!
Νύμφη πάναγνε, Μήτερ ευλογημένη,
Δι' ής τυχόντες παντελούς σωτηρίας,
Επάξιον κροτούμεν ώς ευεργέτη,
Δώρον φέροντες ύμνον ευχαριστίας.»

Ίδμεν τά Μωσεί τή βάτω δεδειγμένα,
Δεύρο ξένοις, θεσμοίσιν εξειργασμένα.
Ως γάρ σέσωσται, πυρφορούσα Παρθένος,
Σελασφόρον τεκούσα τόν ευεργέτην,
Ιορδάνου τε, ρείθρα προσδεδεγιμένα.

Χρίεις τελειών, τήν βρότειον ουσίαν,
Άναξ άναρχε, Πνεύματος κοινωνία,
Ροαίς αχράντοις, εκκαθάρας καί σκότους,
Ισχύν θριαμβεύσας τε, τήν επηρμένην,
Νύν εις άληκτον, εξαμείβεαι βίον.

Εξαποστειλάριον
Επεσκέψατο ημάς

Επεφάνη ο Σωτήρ, ή χάρις η αλήθεια, εν ρείθροις τού Ιορδάνου, καί τούς εν σκότει καί σκιά, καθεύδοντας εφώτισε, καί γάρ ήλθεν εφάνη, τό φώς τό απρόσιτον.

Εκ τρίτου

Εις τούς Αίνους, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Ιδιόμελα.

Ήχος α'  Γερμανού Πατριάρχου

Φώς εκ φωτός, έλαμψε τώ κόσμω, Χριστός ό Θεός ημών, ο επιφανείς Θεός, τούτον λαοί προσκυνήσωμεν. (Δίς)

Ο αυτός

Πώς σε Χριστέ, δούλοι τόν Δεσπότην αξίως τιμήσωμεν; ότι εν τοίς ύδασι, πάντας ημάς ανεκαίνισας.

Ο αυτός

Σύ εν Ιορδάνη βαπτισθείς ο Σωτήρ ημών, τά ρείθρα ηγίασας, τή παλάμη τού δούλου χειροθετούμενος, καί τά πάθη τού Κόσμου ιώμενος. Μέγα τό μυστήριον τής οικονομίας σου! φιλάνθρωπε Κύριε, δόξα σοι.

Ο αυτός

Τό αληθινόν φώς επεφάνη, καί πάσι τόν φωτισμόν δωρείται. Βαπτίζεται

Χριστός μεθ' ημών, ο πάσης επέκεινα καθαρότητος, ενίησι τόν αγιασμόν τώ ύδατι, καί ψυχών τούτο καθάρσιον γίνεται, επίγειον τό φαινόμενον, καί υπέρ τούς ουρανούς τό νοούμενον, διά λουτρού σωτηρία, δι' ύδατος τό Πνεύμα, διά καταδύσεως, η πρός Θεόν ημών άνοδος γίνεται, θαυμάσια τά έργα σου Κύριε! δόξα σοι.

Ο αυτός

Ο περιβάλλων τόν ουρανόν εν νεφέλαις, ρείθρα περιβάλλεται σήμερον τά Ιορδάνια, καί τήν εμήν καθαίρεται κάθαρσιν, ο τού κόσμου αίρων τήν αμαρτίαν, καί υπό τού συγγενούς άνωθεν μαρτυρείται Πνευματος, Υιός μονογενής υπάρχων τού υψίστου Πατρός, πρός όν βοήσωμεν, Ο επιφανείς καί σώσας ημάς, Χριστέ ο Θεός ημών, δόξα σοι.

Δοξα... Ήχος πλ. β' Ανατολίου

Νάματα Ιορδάνια περιεβάλου Σωτήρ, ο αναβαλλόμενος φώς ως ιμάτιον, καί έκλινας κορυφήν τώ Προδρόμω ο τόν ουρανόν μετρήσας σπιθαμή, ίνα επιστρέψης κόσμον εκ πλάνης, καί σώσης τάς ψυχάς ημών.

Καί νύν... Ήχος β' Ανατολίου

Σήμερον ο Χριστός, εν Ιορδάνη ήλθε βαπτισθήναι. Σήμερον Ιωάννης άπτεται, κορυφής τού Δεσπότου. Αι δυνάμεις τών ουρανών εξέστησαν, τό παράδοξον ορώσαι μυστήριον. Η θάλασσα είδε καί έφυγεν, ο Ιορδάνης ιδών ανεστρέφετο. Ημείς δέ οι φωτισθέντες βοώμεν. Δόξα τώ φανέντι Θεώ, καί επί γής οφθέντι, καί φωτίσαντι τόν κόσμον.

Δοξολογία μεγάλη, καί Απόλυσις

Εις τήν Λειτουργίαν ψάλλομεν, αντί τών Τυπικών, τά Αντίφωνα.

Αντίφωνον Α'

Ήχος β'

Στίχ. α'. Εν εξόδω Ισραήλ εξ Αιγύπτου, οίκου Ιακώβ.

Ταίς πρεσβείαις τής Θεοτόκου, Σώτερ, σώσον ημάς.

Στίχ. β'. Εγενήθη Ιουδαία αγίασμα αυτού, εκ λαού βαρβάρου.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχ. γ'. Η θάλασσα είδε, καί έφυγεν, ο Ιορδάνης εστράφη εις τά οπίσω.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχ. δ'. Τί σοί εστι θάλασσα ότι έφυγες; καί σοί Ιορδάνη, ότι εστράφης εις τά οπίσω;

Ταίς πρεσβείαις τής Θεοτόκου...

Δόξα... Καί νύν...

Ταίς πρεσβείαις τής Θεοτόκου...

Αντίφωνον Β'
Ήχος β'

Στίχ. α'. Ηγάπησα, ότι εισακούσεται Κύριος τής φωνής τής δεήσεώς μου.

Σώσον ημάς Υιέ Θεού, ο εν Ιορδάνη υπό Ιωάννου βαπτισθείς, ψάλλοντάς σοι, Αλληλούϊα.

Στιχ. β'. Ότι έκλινε τό ούς αυτού εμοί, καί εν ταίς η μέραις μου επικαλέσομαι.

Σώσον ημάς Υιέ Θεού...

Στίχ. γ'. Περιέσχον μοι ωδίνες θανάτου, κίνδυνοι άδου ευροσάν με.

Σώσον ημάς Υιέ Θεού...

Στίχ. δ'. Ελεήμων ο Κύριος καί δίκαιος, καί ο Θεός ημών ελεεί.

Σώσον ημάς Υιέ Θεού...
Δόξα... Καί νύν...
Ο μονογενής Υιός καί Λόγος τού Θεού...

Αντίφωνον Γ'
Ήχος α'

Στίχ. α'. Εξομολογείσθε τώ Κυρίω, ότι αγαθός, ότι εις τόν αιώνα τό έλεος αυτού.

Ήχος α'

Εν Ιορδάνη βαπτιζομένου σου Κύριε, η τής Τριάδος εφανερώθη προσκύνησις, τού γάρ Γεννήτορος η φωνή προσεμαρτύρει σοι, αγαπητόν σε Υιόν ονομάζουσα, καί τό Πνεύμα εν είδει περιστεράς, εβεβαίου τού λόγου τό ασφαλές. Ο επιφανείς Χριστέ ο Θεός, καί τόν κόσμον φωτίσας δόξα σοι.

Στίχ. β'. Ειπάτω δή οίκος Ισραήλ, ότι αγαθός, ότι εις τόν αιώνα τό έλεος αυτού.

Εν Ιορδάνη βαπτιζομένου σου Κύριε...

Στίχ. γ'. Ειπάτω δή οίκος Ααρών, ότι αγαθός, ότι εις τόν αιώνα τό έλεος αυτού.

Εν Ιορδάνη βαπτιζομένου σου Κύριε...

Στίχ. δ'. Ειπάτωσαν δή πάντες οι φοβούμενοι τό Κύριον, ότι αγαθός, ότι εις τόν αιώνα τό έλεος αυτού.

Εν Ιορδάνη βαπτιζομένου σου Κύριε...

Ε ι σ ο δ ι κ ό ν

Ευλογημένος ο ερχόμενος εν Ονόματι Κυρίου, Θεός Κύριος καί επέφανεν ημίν. Σώσον ημάς Υιέ Θεού, ο εν Ιορδάνη υπό Ιωάννου βαπτισθείς, ψάλλοντάς σοι, Αλληλούϊα.

Ήχος α'

Εν Ιορδάνη βαπτιζομένου σου Κύριε, η τής Τριάδος εφανερώθη προσκύνησις, τού γάρ Γεννήτορος η φωνή προσεμαρτύρει σοι, αγαπητόν σε Υιόν ονομάζουσα, καί τό Πνεύμα εν είδει περιστεράς, εβεβαίου τού λόγου τό ασφαλές. Ο επιφανείς Χριστέ ο Θεός, καί τόν κόσμον φωτίσας δόξα σοι.

Δόξα... Καί νύν...

Κοντάκιον Ήχος δ'

Επεφάνης σήμερον τή οικουμένη, καί τό φώς σου Κύριε, εσημειώθη εφ' ημάς, έν επιγνώσει υμνούντάς σε. Ήλθες εφάνης τό Φώς τό απρόσιτον.

Αντί δέ τού Τρισαγίου.

Όσοι εις Χριστόν εβαπτίσθητε, Χριστόν ενεδύσασθε. Αλληλούϊα.

Κοινωνικόν

Επεφάνη η χάρις τού Θεού, η σωτήριος πάσιν ανθρώποις. Αλληλούϊα.

---

Αρχή

**ΤΗ ΙΕ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Οσίου Πατρός ημών Μνήμη του Παύλου τού Θηβαίου καί τού Αγίου Ιωάννου τού Καλυβίτου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τού Θηβαίου.

Ήχος β'

Ότε, εκ τού ξύλου σε νεκρόν

Ότε, επινεύσει θεϊκή, Πάτερ τάς τού βίου φροντίδας, εμφρόνως έλιπες, καί πρός τούς ασκήσεως, πόνους εχώρησας, τότε χαίρων κατέλαβες, αβάτους ερήμους, έρωτι πυρούμενος, τής τού Κυρίου στοργής, όθεν ερημώσας τά πάθη, τή επιμονή τών κρειττόνων, Άγγελος καθάπερ επεβίωσας.

Πάσης, ανθρωπίνης σεαυτόν, Πάτερ συνουσίας χωρίσας, από νεότητος, πρώτος τήν πανέρημον, Παύλε κατέλαβες, υπέρ πάντα μονάζοντα, καί βίου δι' όλου, ώφθης αγνοούμενος, όθεν Αντώνιος, εύρεν επινεύσει σε θεία, ώσπερ θησαυρόν κεκρυμμένον, καί τή οικουμένη εφανέρωσε.

Ξένην, επί γής διαγωγήν, επιτηδευσάμενος Παύλε, θηρσί συνώκησας, δι' ορνέου Όσιε, διακονούμενος, θεϊκαίς επινεύσεσι, καί τούτο ως είδεν, ότε σε ο μέγιστος εύρεν Αντώνιος, θάμβους πεπλησμένος τόν πάντων, καί Προνοητήν καί Δεσπότην, ως Θεόν απαύστως εμεγάλυνεν.

Στιχηρά τού Καλυβίτου όμοια

Ότε, επινεύσει θεϊκή, κόσμου τήν τερπνότητα Πάτερ, χαίρων εξέφυγες, τότε προετίμησας, τής ευρυχώρου οδού, τήν στενήν καί επώδυνον, καί λίαν τραχείαν, όθεν φροντιστήριον, ψυχών κατέλαβες, θείον ενδυσάμενος σχήμα, τή αποφυγή καί γυμνώσει, πάντων τών παθών θεομακάριστε.

Ξένην, επενόησας ζωήν, ξένον επιτήδευμα φίλτρω, Χριστού νυττόμενος, ού τινος τήν άφατον πτωχείαν έστερξας, καί πυλώσιν ανέστιος, τών σών γεννητόρων, Πάτερ εκαρτέρησας, στένων θλιβόμενος, όθεν χαρισμάτων επλήσθης, καί τόν αναφαίρετον πλούτον, τόν εν ουρανοίς εκληρονόμησας.

Φέρων, εν χερσί τό Ιερόν, Πάτερ Ευαγγέλιον τούτου, πληρωτής γέγονας, ύπαρξιν γεννήτορος απαρνησάμενος, Ιωάννη καί δάκρυσι, καί στενοχωρία, όλον διανύσας σου, τόν βίον Όσιε, όθεν παρακλήσεως θείας, καί διηνεκούς ευφροσύνης, νύν επαπολαύεις θεοδόξαστε.

Δόξα... Ήχος β'

Τού Καλυβίτου

Αρνησάμενος κόσμον, καί τά εν κόσμω Όσιε, Ευαγγέλιον λαβών, ευαγγελικώς αυτώ ηκολούθησας, καί τή καλύβη διαιτώμενος, ως εν Παραδείσω μυστικώς, τή άκρα σκληραγωγία τής σαρκός, τόν βροτοκτόνον δράκοντα απέκτεινας, διό εν ουρανοίς αυλιζόμενος, Ιωάννη μακάριε, αίτησαι ημίν τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Ότε, εκ τού ξύλου σε

Χαίρε, ηλιόμορφος Αστήρ. Χαίρε η αιτία απάντων, καλών Πανάμωμε. Χαίρε η χωρήσασα, Θεόν αχώρητον, η τόν στάχυν βλαστήσασα, τής αθανασίας. Χαίρε θείον όχημα, πύλη η πάμφωτος. Χαίρε, η αράς αναιρέτις, τής προγονικής ημών Κόρη, αγαθών η πρόξενος υπάρχουσα.

Η Σταυροθεοτοκίον

Ότε, η αμίαντος Αμνάς, έβλεψε τόν ίδιον Άρνα, επί σφαγήν ως βροτόν, θέλοντα ελκόμενον, θρηνούσα έλεγεν. Ατεκνώσαι νύν σπεύδεις με, Χριστέ τήν τεκούσαν. Τί τούτο πεποίηκας, ο Λυτρωτής τού παντός; όμως ανυμνώ καί δοξάζω, σού τήν υπέρ νούν τε καί λόγον, άκραν αγαθότητα Φιλάνθρωπε.

Εις τόν Στίχον Στιχηρά τής Οκτωήχου

Δόξα... Ήχος πλ. β'

Όσιε Πάτερ, εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος τών κατορθωμάτων σου, δι' ών εν τοίς ουρανοίς, εύρες μισθόν τών καμάτων σου. Τών δαιμόνων ώλεσας τάς φάλαγγας, τών Αγγέλων έφθασας τά τάγματα, ών τόν βίον αμέμπτως εζήλωσας. Παρρησίαν έχων πρός Χριστόν τόν Θεόν, ειρήνην αίτησαι ταίς ψυχαίς ημών.

Καί νύν... Θεοτοκίον
Όλοι αποθέμενοι

Χαίρε λύχνε πάμφωτε, ηλιακών λαμπηδόνων, λαμπροτέρα Δέσποινα. Χαίρε λύσις άχραντε, τής αρχαίας αράς, η ελπίς Δέσποινα, τών απηλπισμένων, η ανάκλησις τού γένους ημών. Χαίρε παλάτιον, τού Παμβασιλέως λαμπρότατον, τό Όρος τό πιστότατον, εξ ού ο Λυτρωτής προελήλυθε. Χαίρε Θεού Λόγου, λαμπάδιον τό θείον καί τερπνόν. Χαίρε λυχνία ολόφωτε. Χαίρε θρόνε πύρινε.

Η Σταυροθεοτοκίον

Ρομφαία ως έφησεν, ο Συμεών τήν καρδίαν, τήν σήν διελήλυθε, Παναγία Δέσποινα, ότε έβλεψας, τόν εκ σού λάμψαντα, απορρήτω λόγω, υπ' ανόμων ως κατάκριτον, Σταυρώ υψούμενον, όξος καί χολήν τε γευόμενον, πλευράν δέ Ορυττόμενον, χείράς τε καί πόδας ηλούμενον, καί οδυρομένη, ωλόλυζες, βοώσα μητρικώς. Τί τούτο τέκνον γλυκύτατον, τό καινόν μυστήριον;

Απολυτίκιον τού Καλυβίτου
Ήχος δ' Ταχύ προκατάλαβε

Εκ βρέφους τόν Κύριον, επιποθήσας θερμώς, τόν κόσμον κατέλιπες, καί τά εν κόσμω τερπνά, καί ήσκησας άριστα, έπηξας τήν καλύβην, πρό πυλών σών γονέων, έθραυσας τών δαιμόνων, τάς ενέδρας Παμμάκαρ, διό σε Ιωάννη Χριστός, αξίως εδόξασεν.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν Κανών τής Οκτωήχου είς καί τών Αγίων δύω.

Κανών τού Αγίου Παύλου

Ποίημα Ιωάννου τού Δαμασκηνού.

Ωδή α' Ήχος πλ. δ'

«Άσωμεν τώ Κυρίω, τώ βυθίσαντι πάσαν τήν δύναμιν, Φαραώ εν θαλάσση, επινίκιον ωδήν, ότι δεδόξασται».

Παύλον τόν θεοφόρον, ως τών Μοναζόντων εγκαλλώπισμα, οι πιστοί συνελθόντες, εν ωδαίς κατά χρέος τιμήσωμεν.

Γέγονας τής ερήμου, πρώτος πολιστής Παύλε αοίδιμε, ουρανών βασιλείας, κληρονόμος δειχθείς δι' ασκήσεως.

Όλον εγκρατείας, σεαυτόν καθάρας Παμμακάριστε, οικητήριον ώφθης, τού Θεού καί Αγγέλων ομόσκηνος.

Θεοτοκίον

Άχραντε Θεοτόκε, η σεσαρκωμένον τόν αϊδιον, καί υπέρθεον Λόγον, υπέρ

φύσιν τεκούσα υμνούμέν σε.

Κανών τού Αγίου Ιωάννου, ού η, Ακροστιχίς.

Πτωχόν παθών με δείξον ευχαίς σου Μάκαρ. Ιωσήφ

Ώδή α'  Ήχος β'

«Εν βυθώ κατέστρωσε ποτέ, τήν Φαραωνίτιδα, πανστρατιάν η υπέροπλος δύναμις, σαρκωθείς ο Λόγος δέ, τήν παμμόχθηρον άμαρτίαν εξήλειψεν, ο δεδοξασμένος Κύριος, ενδόξως γάρ δεδόξασται».

Πλουτισθείς ταίς θείαις αρεταίς, πλούτου κατεφρόνησας, τού επί γής, καί ουρανίου έτυχες, διό με πτωχεύσαντα, θείας γνώσεως, καταπλούτισον χάριτι, όπως σου υμνήσω, Πάτερ πολιτείαν τήν ισάγγελον.

Τόν ζυγόν Κυρίου τόν χρηστόν, Μάκαρ εκ νεότητος, σύ υπελθών ασκητικοίς παλαίσμασι, σαυτόν εταπείνωσας, τήν ταπείνωσιν τού Χριστού οπλισάμενος, δι' ής ανυψώθης, ύψος, Ιωάννη πρός ουράνιον.

Ως οδεύσας τρίβον τήν στενήν, θλίψεσι καί δάκρυσι, καί στεναγμοίς καί κακουχίαις Όσιε, πρός ευρυχωρότατον, πλάτος έφθασας, ευρηκώς τό κατάλυμα, άξιον τών πόνων, Πάτερ, Ιωάννη αξιάγαστε.

Θεοτοκίον

Χαλεπαίς παθών επιβουλαίς, Κόρη χειμαζόμενος, καί προσβολαίς αμαρτιών κλονούμενος, σού πρός τήν ακλόνητον καί αήττητον, προστασίαν Πανύμνητε, πόθω καταφεύγω, οίκτειρόν με σώσον Αειπάρθενε.

Τού Θηβαίου

Ωδή γ'

«Ο στερεώσας λόγω τούς ουρανούς, καί τήν, γήν εδράσας Θεός, καμέ στερέωσον, βοώντά σοι τόν ύμνον, άγιος εί Κύριε».

Πρός τόν Θεόν τό όμμα τής ψυχής, ατενίζων Πάτερ αυτόν ηγάπησας, μισήσας τά επίγεια, καί Αγγελικήν διανύσας ζωήν.

Εν ταίς ακτίσι Πάτερ τών αρετών, παθών εδίωξας τήν αχλύν εμφανώς, τόν φωτισμμμμιόν τού Πνεύματος, έν τή σή καρδία δεξάμενος.

Τώ ουρανίω άρτω διατραφείς, ως Ηλίας πάλαι διά κόρακος, τήν νοητήν εξέφυγες, Πάτερ, Ιεζάβελ τή σκέπη Χριστού.

Θεοτοκίον

Ο Βασιλεύς τής δόξης καί Ποιητής, εκ βαφής αιμάτων τής Θεομήτορος, τήν εαυτού αλουργίδα βάψας, μυστικώς επορφύρωσεν.

Τού Καλυβίτου

Εξήνθησεν η έρημος

Θυμίαμα ευώδες, τώ Παντεπόπτη Όσιε, τάς σάς ευχάς προσήγαγες, άς ωσφράνθη καί παρεδέξατο, ασκητών ομηγύρει κατατάττων σε.

Ωράθη θαύμα μέγιστον, τάς καρδίας Όσιε, τών ευσεβών εκπλήττον, πώς πυλώσι προσεκαρτέρησας, γεννητόρων, πτωχεύων καί θλιβόμενος.

Νομίμως ταίς δεήσεσι, καί νηστείαις Όσιε, προσκαρτερών απάθειαν, εστολίσω σαρκός φρονήματα, ταπεινώσας ισχυϊ θείου Πνεύματος.

Θεοτοκίον

Μυρίπνοον ως ρόδον, από κοιλάδων Άχραντε, ο Καθαρός σε εύρατο, καί εν μέσω σου κατεσκήνωσεν, ευωδίας πληρώσας τό ανθρώπινον.

Ο Ειρμός

«Εξήνθησεν η έρημος, ωσεί κρίνον Κύριε, η τών Εθνών στειρεύουσα, Εκκλησία τή παρουσία σου, εν ή εστερεώθη η καρδία μου».

Κάθισμα Ήχος α'

Τόν τάφον σου Σωτήρ

Τού κόσμου τά τερπνά, εκ καρδίας μισήσας, καί μόνον τόν Θεόν, εκ ψυχής αγαπήσας, τήν έρημον ως ένοικον, πόλιν Παύλε κατέλαβες, επιμόνοις δέ, ταίς θεωρίαις σχολάσας, ώφθης Άγγελος, μετά σαρκός βιοτεύων, διό σε γεραίρομεν.

Δόξα... Ήχος γ'

Τήν ωραιότητα

Πλούτον επίκηρον, καί δόξαν ρέουσαν, λιπων ουράνιον, όλβον απείληφας, καί κλέος Πάτερ αληθώς, αιωνίζον μακάριε, όθεν μακαρίζομεν, τήν αγίαν σου κοίμησιν, καί πανηγυρίζοντες, εν αυτή εκβοώμέν σοι. Πρός Κύριον μνημόνευε ημών, ως έχων Ιωάννη παρρησίαν.

Καί νύν... Θεοτοκίον όμοιον

Ως αγεώργητος, Παρθένε άμπελος, τόν ωραιότατον βότρυν εβλάστησας, αναπηγάζοντα ημίν, τόν οίνον τόν σωτήριον, πάντων τόν ευφραίνοντα, τάς ψυχάς καί τά σώματα, όθεν ως αιτίαν σε, τών καλών μακαρίζοντες, αεί σύν τώ Αγγέλω βοώμέν σοι. Χαίρε η Κεχαριτωμένη.

Ή Σταυροθεοτοκίον

Η απειρόγαμος, Αγνή καί Μήτηρ σου, Χριστέ ορώσά σε, νεκρόν κρεμάμενον, επί τού ξύλου μητρικώς, θρηνολογούσα έλεγε. Τί σοι ανταπέδωκε, τών Εβραίων ο άνομος, δήμος καί αχάριστος, ο πολλών καί μεγάλων σου, Υιέ μου δωρεών απολαύσας; υμνώ σου τήν θείαν συγκατάβασιν.

Τού Θηβαίου

Ωδή δ'

«Μυστικώς ο Προφήτης προορών, εκ Παρθένου σε Λόγε σαρκούμενον,

μελωδικώς ανεβόα. Δόξα τή δυνάμει σου Κύριε».

Πεφυτευμένος εν τώ οίκω τού Θεού, αρετών ευκαρπίαν εβλάστησας, καί τής σαρκός εμάρανας, τάς επαναστάσεις ασκήσει τή σή.

Τώ πυρί τής αγάπης τού Χριστού, τών παθών τάς ακάνθας κατέφλεξας, καί σεαυτόν τού Πνεύματος, Πάτερ καταγώγιον έδειξας.

Βακτηρία τής εναρέτου σου ζωής, ώσπερ θήρας τά πάθη απήλασας, διό σου καί ο θάνατος, θήρας πρός ταφήν σοι συνήθροισεν.

Θεοτοκίον

Αλουργίς εξυφάνθη μυστική, εξ αγνών σου αιμάτων τώ πάντων Θεώ, ήν στολισθείς Θεοτόκε, ήνωσεν ημάς τώ Θεώ καί Πατρί.

Τού Καλυβίτου

Ελήλυθας, εκ Παρθένου

Εν ράκεσι, πενιχροίς θησαυρός εγκρυπτόμενος, ωράθης θεόπνευστε, θείαν στολήν γάρ ηγάπησας, καί αμφιασάμενος, εις τόν νυμφώνα τόν άνω εισελήλυθας.

Δεξάμενος, τόν ουράνιον σπόρον θεόπνευστε, καρδίας ταίς αυλαξι, στάχυν τερπνόν εγεώργησας, τόν νούν διατρέφοντα, τών υμνητών σου οσίως μιμουμένων σε.

Επέμενες, στενοτάτη καλύβη θεσπέσιε, πτωχός άλλος Λάζαρος, εθελουσίως γενομενος, όθεν αναπέπαυσαι, τού Αβραάμ νύν εν κόλποις Πάτερ Όσιε.

Θεοτοκίον

Ιθυνόν μου, τής ψυχής τάς κινήσεις Πανάμωμε, πρός θεία προστάγματα, τού εκ γαστρός σου εκλάμψαντος, ζάλης λυτρουμένη με, τών εν τώ βίω σκανδάλων μεσιτείαις σου.

Τού Θηβαίου

Ωδή ε'

«Ορθρίζοντες βοώμέν σοι Κύριε. Σώσον ημάς, σύ γάρ εί Θεός ημών, εκτός σου άλλον ουκ οίδαμεν».

Εν ύμνοις καί νηστείαις μακάριε, προσευχαίς καί αγρυπνίαις, διαπρέψας Όσιε, πρός τόν Θεόν κατεσκήνωσας.

Ο βίος σου πανέντιμος γέγονεν, έν Κυρίω Παύλε παμμακάριστε, καί η ταφή σου παράδοξος.

Τόν δρόμον τής ασκήσεως Όσιε, εκτελέσας, ταίς άνω Δυνάμεσι, Πάτερ

εφάμιλλος γέγονας.

Θεοτοκίον

Παρθένον μετά τοκον υμνούμέν σε, Θεοτόκε, σύ γάρ τόν Θεόν Λόγον, σαρκί τώ κόσμω εκύησας.

Τού Καλυβίτου

Ο φωτισμός

Ξένος τής γής, τών ηδέων εγένου, ξένος οικείων, ξένος γεννητόρων οικεία γνώμη, καί εγκρατεία σεαυτόν εκκαθάρας, ωκειώθης τώ Παντοκράτορι, Πάτερ, Ιωάννη, πτωχεύσας τώ πνεύματι.

Οίκον σαυτόν, τής Αγίας Τριάδος αποτελέσας, έστερξας στενούμενος, τή καλύβη, θείαις μελέταις τήν ψυχήν εκκαθαίρων, καί τό κάλλος Θεού τό άρρητον, Πάτερ, Ιωάννη, αεί φανταζόμενος.

Νόμου Θεού πληρωτής ανεδείχθης, μηδέν προκρίνας, τούτου τής αγάπης, θεόφρον Πάτερ, ουκ αδελφών γάρ, ού γονέων σε φίλτρον, ουδέ πλούτος ουδέ αξίωμα, ουδέ τής σαρκός ηδονή κατεχαύνωσεν.

Θεοτοκίον

Εμμανουήλ, τών απάντων Δεσπότην, τίκτεις αφθόρως, μείνασα παρθένος καί μετά τόκον, Παρθενομήτορ, όν απαύστως δυσώπει, επηρείας εχθρών λυτρώσασθαι, τούς υπό τήν σκέπην, τήν σήν καταφεύγοντας.

Τού Θηβαίου

Ωδή ς'

«Χιτώνά μοι παράσχου φωτεινόν, ο αναβαλλόμενος φώς ως ιμάτιον, πολυέλεε Χριστέ ο Θεός ημών».

Τάς χείρας εκπετάσας πρός Θεόν, τήν ψυχήν σου Όσιε, αυτώ παρατέθεικας, εν ημέρα καί νυκτί, ευαρεστήσας αυτώ.

Εδόξασαν τήν κοίμησιν τήν σήν, Αγγέλων στρατεύματα, Προφητών τε τάγματα, καί Αγίων Αποστόλων, Πάτερ Όσιε.

Τήν ζάλην τών παθών διαφυγών, τώ ιστίω Όσιε, τής άκρας ασκήσεως, εις αχείμαστον λιμένα, προσωρμίσθης Χριστού.

Θεοτοκίον

Η μόνη διά λόγου εν σαρκί, τόν Λόγον κυήσασα, ρύσαι δεόμεθα, τών παγίδων τού εχθρού, τάς ψυχάς ημών.

Τού Καλυβίτου

Εν αβύσσω πταισμάτων

Υπερήφανον όφιν κατέβαλες, ταπεινοφροσύνης τοίς όπλοις Μακάριε, καί υψωθείς εν πνεύματι, εις σκηνάς αειζώους εσκήνωσας.

Χαρισμάτων επλήσθης τού Πνεύματος, καί τής πονηρίας, υπέταξας πνεύματα, ως νουνεχής καί φρόνιμος, καί Θεώ ολικώς ανακείμενος.

Απαθείας εμπρέπων υψώμασι, Πάτερ, Ιωάννη, καλύβη στενούμενος, καί πειρασμοίς βαλλόμενος, εκαρτέρεις ενθέως νευρούμενος.

Θεοτοκίον

Ισουργόν τω Τεκόντι καί σύνθρονον, Λόγον εκ γαστρός σου Αγνή εσωμάτωσας, δι' ευσπλαγχνίαν άφατον, τό ημέτερον όλον φορέσαντα.

Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον. Εκ φθοράς ο Θεός με ανάγαγε».

Κοντάκιον τού Καλυβίτου

Ήχος β'  Τά άνω ζητών

Ποθήσας σοφέ, πτωχείαν χριστομίμητον, γονέων τών σών, τόν πλούτον εγκατέλιπες, καί τό Ευαγγέλιον εν χερσί σου κρατών ηκολούθησας, Ιωάννη Χριστώ τώ Θεώ, πρεσβεύων απαύστως υπέρ πάντων ημών.

Ο Οίκος

Τίς ικανός αξίως υμνήσαι τών σών κόπων, καί πόνων, καί Καμάτων πολλών τό κλέος καί τό μέγεθος; αλλά λιταίς σου, ταίς πρός Θεόν ευπροσδέκτοις, τού Πνεύματος χάριν μοι νύν χορήγησον, όπως τούς σούς υπέρ φύσιν αγώνας εκφράσω Πιστώς, καί μέλψω τό υπέρ λόγον καρτερόν σου, καί τής συνειδήσεως τήν υπομονήν Παμμακάριστε, δι' ής πλάνον εχθρόν κατήσχυνας, πρεσβεύων απαύστως υπέρ πάντων ημών.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΕ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Παύλου τού Θηβαίου.

Στίχοι

- Ει θαύμα Θήβαις ταίς παρ' Αίγυπτον πύλαι,
- Πόσον γε Παύλος, κάν βίου λίπη πύλας;
- Βλαστός Θηβαΐδος πέμπτη δεκάτη θάνε Παύλος

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Ιωάννου, τού διά Χριστόν πτωχού, ός καί Καλύβίτης ωνομάσθη.

Στίχοι

- Αρνησίκοσμος παίς λιπών γής καλύβην,
- Εν ουρανοίς έπηξε καινήν καλύβην.
- Πέμπτη Ιωάννης δεκάτη καλύβην μετέπηξεν.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Πανσοφίου.

Στίχοι

- Καί Πανσόφιον πλήξατε πλάνοι πλέον.
- Ούτω γάρ αυτώ πλέξε τε πλείω στέφη.

Τή αυτή ημέρα, οι Άγιοι έξ Πατέρες εν ειρήνη τελειούνται.

Στίχοι

- Ψυχαί διαυγείς έξ αποπτάσαι βίου,
- Εξαπτέρυξι συμπαρίστανται Νόοις.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον καί σώσον ημάς. Αμήν.

Ωδή ζ'

«Ο εν αρχή τήν γήν θεμελιώσας, καί ουρανούς τώ λόγω στερεώσας, ευλογητός εί εις τούς αιώνας Κύριε, ο Θεός ο τών Πατέρων ημών».

Τό φρόνημα τής σαρκός υποτάξας, τώ πνεύματι ο Όσιος εβόα. Ευλογητός εί εις τούς αιώνας Κύριε, ο Θεός τών Πατέρων ημών.

Διασωθείς τού εχθρού τών παγίδων, ο, Όσιος εν χαρά ανεβόα. Ευλογητός εί εις τούς αιώνας Κύριε, ο Θεός τών Πατέρων ημών.

Τήν τών παθών φλόγα πατήσας πάσαν, ασκητικώς ο Όσιος εβόα. Ευλογητός εί εις τούς αιώνας Κύριε, ο Θεός τών Πατέρων ημών.

Θεοτοκίον

Ο ουρανόν ποιήσας τήν Παρθένον, καί εξ αυτής ως ήλιος εκλάμψας, ευλογητός εί εις τούς αιώνας Κύριε, ο Θεός τών Πατέρων ημών.

Τού Καλυβίτου

Αντίθεον πρόσταγμα

Στενήν προετίμησας τής ευρυχώρου, οδού αξιάγαστε, καί χαίρων εκαρτέρησας, πυλώσι γονέων σου ονειδιζόμενος, καί κατατρυχόμενος πολλαίς, εν ασθενείαις θεομακάριστε.

Σαυτόν κατεκάλλυνας ωραιοτάταις, Σοφέ, αναβάσεσι, σαρκός νεκρώσας φρόνημα, διό προσεχώρησας πρός τά ουράνια, δήμοις αριθμούμενος αεί, σεπτών Πατέρων αξιοθαύμαστε.

Οδούς πορευόμενος τάς εισαγούσας, πρός θείαν κατάπαυσιν, εξέκλινάς τά βάραθρα, δαιμόνων Μακάριε, θεία σκεπόμενος, χάριτι κραυγάζων τε, ο ών, ευλογημένος καί υπερένδοξος.

Θεοτοκίον

Υμνούμεν τόν τόκον σου Ευλογημένη, δι' ού ελυτρώθημεν, τής πάλαι κατακρίσεως, καί σέ μακαρίζομεν, Θεομακάριστε, μόνην ήν ηγάπησεν, ο ών

ευλογημένος καί υπερένδοξος.

Τού Θηβαίου

Ωδή η'

«Τόν άναρχον Βασιλέα τής δόξης, όν φρίττουσι στρατιαί τών Αγγέλων, υμνείτε Ιερείς, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Εζήλωσας, Ιωάννην θεόφρον, τόν Πρόδρομον, εν ερήμω ασκήσας, μεθ' ού καί τής ζωής, τυχείν κατηξιώθης, τής όντως αϊδίου.

Κατέσβεσας τών παθών τάς καμίνους, Πατήρ ημών, εγκρατείας τή δρόσω βοών πανευσεβώς. Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Παράδεισον αληθώς απειργάσω, τήν έρημον, εν αυτή διαπρέψας, εν πάση αρετή, διό καί Παραδείσου, τρυφής κατηξιώθης.

Θεοτοκίον

Ως έχουσα πρός Θεόν παρρησίαν, πανύμνητε Θεομήτορ Μαρία, ικέτευε αυτόν, κινδύνων λυτρωθήναι, τούς πίστει σε υμνούντας.

Τού Καλυβίτου

Τόν εν καμίνω τού πυρός

Μή παλαιούμενον σαυτώ, Ιωάννη αρεταίς πεποικιλμένον, εξυφαίνων χιτώνα, περιβολήν πενιχράν, εν είδει πτωχού σύ ενδέδυσαι, τοίς τών γεννητόρων, προσκαρτερών πυλώσιν.

Άμεμπτος άλλος ως, Ιώβ, πρό θυρών κακοπαθείς ως εν κοπρία, υποφέρων ονείδη τών οικετών σου Σοφέ, λιμώ τε καί δίψει πιεζόμενος, όθεν εκληρώσω, τήν άνω βασιλείαν.

Κατηκολούθησας σαφώς, ώπερ είληφας χερσίν Ευαγγελίω, καί επτώχευσας Μάκαρ, πενθών εν όλη ζωή, καί πράος γέγονας καί άκακος, καί τής βασιλείας, τής άνω κληρονόμος.

Άλλος εδείχθης Αβραάμ, τήν Τριάδα ξεναγών τή σή καλύβη, αναβάσεσι θείαις, καί λογισμοίς καθαροίς, καί άκρα πτωχεία Μακάριε, ταύτην θεραπεύσας, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Ρείθρον αέναον ημίν, τοίς προστρέχουσιν εις σέ Αγνή πηγάζεις, ού τήν άφθονον, χάριν, απαρυόμενοι σού, υμνούμεν τόν Τόκον πανάχραντε, καί υπερυψούμεν, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Τόν εν καμίνω τού πυρός, τών Εβραίων τοίς Παισί συγκαταβάντα, καί τήν φλόγαν εις δρόσον, μεταβαλόντα Θεόν, υμνείτε τά έργα ως Κύριον, καί

υπερυψούτε, εις πάντας τούς αιώνας».

Τού Θηβαίου

Ωδή Θ'

«Τόν αόρατον μορφή, θεϊκή δεξαμένη, απειρόγαμε Παρθένε καί Μήτηρ, ύμνοις τόν τόκον σου μεγαλύνομεν».

Ως θησαυρόν σε νοητόν, κεκρυμμένον Όσιε, απεκάλυψεν ο Θεός Αντωνίω, ημίν δέ εις δόξαν καί αγαλλίασιν.

Εις τόν φόβον τού Θεού, σεαυτόν καθηλώσας Πάτερ Οσιε, τή τού θανάτου μελέτη, τόν βίον τελέσας ζωής ηξίωσαι.

Ως παρρησίαν πρός Θεόν, κεκτημένος πρέσβευε, υπέρ τών πίστει επί γής εκτελούντων, τήν μνήμην σου ταύτην, Παύλε μακάριε.

Θεοτοκίον

Η τόν συνάναρχον Πατρί, καί Αγίω Πνεύματι, συλλαβούσα Χριστόν, καί τεκούσα αφράστως, Παρθένε ικέτευε, τού σωθήναι ημάς.

Τού Καλυβίτου

Ανάρχου Γεννήτορος

Ισχύς μου καί ύμνησις, ο Κύριος εκραύγαζες, τόν προστάτην τού σκότους, εν τούτω τρέπομαι, τάς φαντασιώδεις απάτας, τάς παρ' αυτού, ουδόλως πτοούμαι, μόνον φανταζόμενος, κάλλος θείον καί απρόσιτον.

Ως γή πίων Όσιε, η σή καρδία δέδεκται, τόν ουράνιον σπόρον, νοός ταίς αύλαξι, καί εκατοστεύοντα στάχυν, καρποφορείς, εκτρέφοντα πάντων, πιστώς τών τιμώντων σε, τάς ψυχάς θεομακάριστε.

Συνών τώ Δεσπότη σου, καί ταίς εκείθεν Όσιε, φανοτάταις λαμπάσι καταυγαζόμενος, θείον φωτισμόν τοίς εν πίστει, τήν φωταυγή, τελούσί σου μνήμην, δοθήναι ικέτευε, Ιωάννη αξιάγαστε.

Ηγίασε Κύριος, εκ μήτρας σε Μακάριε, πρός αυτόν τε πορείας τάς σάς κατεύθυνεν, όθεν ηριθμήθης Οσίοις, τοίς ευσεβώς πεπολιτευμένοις, μεθ' ών τής Θεώσεως, απολαύεις Παναοίδιμε.

Θεοτοκίον

Φωτός οικητήριον, η μήτρα σου γεγένηται, δι' ού φώς οι εν σκότει, είδον καθήμενοι, όθεν σε φωναίς ασιγήτοις, Μήτηρ Θεού, αεί ανυμνούμεν, καί πόθω γεραίρομεν,
τήν ελπίδα τών ψυχών ημών.

Ο Ειρμός

«Ανάρχου Γεννήτορος, Υιός Θεός καί Κύριος, σαρκωθείς εκ Παρθένου, ημίν

επέφανε, τά εσκοτισμένα φωτίσαι, συναγαγείν τά εσκορπισμένα. Διό τήν πανύμνητον, Θεοτόκον μεγαλύνομεν».

Εξαποστειλάριον τού Θηβαίου
Γυναίκες ακουτίσθητε

Μεθέξεσι Θεούμενος, ταίς πρός τό θείον Όσιε, Θεός θετός χρηματίζεις, σύν Αντωνίω παμμάκαρ, μεθ' ού ημών μνημόνευε, τών εκτελούντων Άγιε, τήν φωτοφόρον μνήμην σου, καί σέ τιμώνων εκ πόθου, Παύλε φωστήρ Μοναζόντων.

Τού Καλυβίτου όμοιον

Πτωχός ως άλλος ο Λάζαρος, προσεκαρτέρεις Όσιε, τών γεννητόρων πυλώσι, στενοχωρούμενος Πάτερ, μικρά καλύβη πάνσοφε, αλλ' ευρες νύν ευρύχωρον, τήν μετ' Αγγέλων σκήνωσιν, καί τών Αγίων απάντων, εν ουρανοίς Ιωάννη.

Ετερον τού αυτού όμοιον

Γονέων τήν προσπάθειαν, λιπών καί πλούτον ρέοντα, τόν σόν σταυρόν ή ρας Πάτερ, καί τώ Χριστώ Ιωάννη, προθύμως ηκολούθησας, ασκητικώς νεκρώσας δέ, τά πάθη πρός απάθειαν, ανέδραμες, καί πρεσβεύεις, υπέρ ημών θεοφόρε.

Θεοτοκίον όμοιον

Βουλής μεγάλης Άγγελον, τόν τού πατρός γεγέννηκας, Χριστόν πανύμνητε Κόρη, τόν βασιλέα τής δόξης, ού τόν Σταυρόν οι Όσιοι καί ασκηταί αράμενοι, οπίσω τούτου έδραμον, μεθ' ών απαύστως δυσώπει, υπέρ ημών Θεοτόκε.

Εις τόν Στίχον Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος πλ. δ'

Τών Μοναστών τά πλήθη, τόν καθηγητήν σε τιμώμεν Παύλε Πατήρ ημών, διά σού γάρ τήν τρίβον τήν όντως ευθείαν, πορεύεσθαι έγνωμεν. Μακάριος εί, τώ Χριστώ δουλεύσας, καί εχθρού θριαμβεύσας τήν δύναμιν, Αγγέλων συνόμιλε, Οσίων ομόσκηνε καί Δικαίων, μεθ' ών πρέσβευε τώ Κυρίω, ελεηθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Αγνή Παρθένε, τού Λόγου πύλη, τού Θεού ημών Μήτηρ, ικέτευε σωθήναι ημάς.

Η Σταυροθεοτοκίον
Ώ τού παραδόξου θαύματος

Τί τό ορώμενον θέαμα, ο τοίς εμοίς οφθαλμοίς, καθοράται ώ Δέσποτα; ο συνέχων άπασαν, κτίσιν ξύλω ανήρτησαι, καί θανατούσαι, ο πάσι νέμων ζωήν, ή Θεοτόκος κλαίουσα έλεγεν, ότε εώρακεν, εν Σταυρώ υψούμενον, τόν εξ αυτής, αρρήτως εκλάμψαντα, Θεόν καί άνθρωπον.

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

**ΤΗ ΙΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Η προσκύνησις τής τιμίας Αλύσεως τού Αγίου καί Πανευφήμου Αποστόλου Πέτρου.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Τήν απάτην εδέσμευσας, εν Κυρίω δεσμούμενος, καί ειρκτή Απόστολε συγκλειόμενος, διό σε πόθω γεραίρομεν, καί πίστει τήν Άλυσιν, ασπαζόμεθα τήν σήν, εξ αυτής δ' αρυόμενοι, ρώσιν σώματος, καί ψυχής σωτηρίαν κατά χρέος, ευφημούμέν σε θεόπτα, τών Ασωμάτων εφάμιλλε.

Διά σού γνώσιν δέχεται, αγνωσία κρατούμενα, τών Εθνών πολύσπορα γένη πρότερον, ών τήν εικόνα εδήλωσεν, εξ ύψους φερόμενον, σκεύος ένδοξε χωρούν, άπαν ζώον Απόστολε, όθεν πάσά σε, ηλικία δοξάζει προσκυνούσα, άς εφόρεσας Αλύσεις, υπέρ Χριστού προθυμότατα.

Ον ηρνήσω κρινόμενον, εγειρόμενον ύμνησας, εκ νεκρών Απόστολε καί εκήρυξας, εις τά τού κόσμου πληρώματα, Θεόν τε καί άνθρωπον, αγαθότητι πολλή, τοίς βροτοίς ομιλήσαντα, όθεν πόθω σε, μακαρίζομεν Πάτερ προσκυνούντες, άς εφόρεσας Αλύσεις, υπέρ Χριστού παναοίδιμε.

Δόξα... Ήχος πλ. β' Βύζαντος

Σήμερον ημίν η κρηπίς τής Εκκλησίας, Πέτρος, η πέτρα τής πίστεως, προτίθεται τήν τιμίαν αυτού Άλυσιν, εις ψυχικήν ευεξίαν. Δεύτε πάντες ταύτην προσπτυσσόμενοι, εν ευφήμοις ωδαίς, αυτόν καταστέψωμεν. Χαίροις ο θερμός τής πίστεως πρόμαχος, ο θερμή τή διανοία τόν Χριστόν ομολογήσας, Υιόν Θεού εν παρρησία πολλή. Χαίροις τής οικουμένης τό αγαλλίαμα, καί τής ουρανών Βασιλείας κλειδούχε. Χάριν πορίζου τοίς πόθω σε τιμώσι, καί τήν σήν σεβάσμιον Άλυσιν, προσπτυσσομένοις εκ πόθου, ως παριστάμενος τώ θρόνω τού Παντάνακτος Θεού, πρεσβείαν ποιούμενος, υπέρ ημών τών επταικότων.

Καί νύν... Θεοτοκίον

Θεοτόκε σύ εί η Άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής, σέ ικετεύομεν, πρέσβευε Δέσποινα, μετά τού Αποστόλου, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Η Σταυροθεοτοκίον
Τριήμερος ανέστης

Εν ξύλω τήν ζωήν ημών, ορώσα η πανάμωμος, Θεοτόκος, κρεμαμένην μητρικώς, ωδύρετο βοώσα. Υιέ μου καί Θεέ μου, σώσον τους πόθω ανυμνούντάς σε.

Εις τόν Στίχον, Στιχηρά
Ήχος δ'  Έδωκας σημείωσιν

Άλυσιν τήν πάντιμον, εν ή παθών διαλέλυται, τά δεσμά, προσκυνήσωμεν, σεπτώς γάρ ηγίασται, δωρεαίς αρρήτοις, Πέτρου τού πανσόφου, καί παρ' αυτού ως αληθώς, εισδεδεγμένη χάριν αέναον, σειράς καί αύτη θλίψεων, καθώς αυτός παραπτώσεων, θεοσδότως συντέμνουσα, τών δεινών λύσιν δίδωσιν.

Στίχ. Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών.

Λάμπει σου η Άλυσις, ώ Κορυφαίε αοίδιμε, ως σειρά επουράνιος, δι' ής αναγόμεθα από γής πρός ύψος, πυλών ουρανίων, καί ως κλειδούχω σοι σοφέ, καί υπερλάμπρω πιστώς πελάζομεν. Τάς κλείς τής βασιλείας ούν, εγχειρισθείς αξιάγαστε, συμπαθώς ημίν άνοιξον, τήν σωτήριον είσοδον.

Στίχ. Οι ουρανοί διηγούνται δόξαν Θεού ποίησιν δέ χειρών αυτού αναγγέλλει τό στερέωμα.

Συμφωνον τόν αίνον σου, αγγελικαί τάξεις σήμερον, τοίς βροτοίς Πέτρε μέλπουσιν. Αγγέλου εισόδω γάρ, τήν πλευράν νυγείς σου, καί φρουράς προτρέχων, τήν εν Αλύσει συνοχήν, τοίς σέ δεσμούσι, δεσμόν απέλιπες, ημίν δέ ταύτην πάνσοφε, τήν χαρμονήν παρεχόμενος, τών πταισμάτων τά άλυτα, διαλύεις εγκλήματα.

Δόξα... Ήχος πλ. β'

Πάλιν ημίν ο θερμός προστάτης, συναγείρεται πρός πνευματικήν πανδαισίαν, Πέτρος, η πέτρα τής Πίστεως, τήν τιμίαν αυτού Άλυσιν προτιθείς ημίν, καθάπερ οψώνιον πολυτελές, εις νοσημάτων ιατρείον, εις θλιβομένων παραμυθίαν, εις λιμένα χειμαζομένων. Δεύτε πάντες ταύτην περιπτυξώμεθα, καί τόν αυτόν δοξάσαντα δυσωπήσωμεν. Ταίς αυτού ικεσίαις Χριστέ, σώσον τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον
Όλην αποθέμενοι

Γνώμη ολισθήσας τε, καί δουλωθείς τή τού πλάνου, απάτη Θεόνυμφε, πρός τήν υπερθαύμαστον ευσπλαγχνίαν σου, καί θερμήν δέησιν, Παναγία Κόρη, καταφεύγω ο Πανάθλιος, δεσμού με λύτρωσαι, τών πειρατηρίων καί θλίψεων, καί σώσόν με Πανάμωμε, τών δαιμονικών επιθέσεων, ίνα σε δοξάζω, καί πόθω ανυμνώ καί προσκυνώ, καί μεγαλύνω σε Δέσποινα, τήν αειμακάριστον.

Η Σταυροθεοτοκίον
Τριήμερος ανέστης

Ορώσά σε σταυρούμενον, Χριστέ η σέ Κυήσασα, ανεβόα. Τί τό ξένον, ο ορώ, μυστήριον Υιέ μου; πώς επί ξύλου θνήσκεις, σαρκί κρεμάμενος ζωής χορηγέ;

Απολυτίκιον  Ήχος δ'

Τήν Ρώμην μή λιπών, πρός ημάς επεδήμησας, δι' ών εφόρεσας τιμίων

Αλύσεων, τών Αποστόλων Πρωτόθρονε, άς εν πίστει προσκυνούντες δεόμεθα, ταίς πρός Θεόν πρεσβείαις σου, δώρησαι ημίν τό μέγα έλεος.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, Κανών τής Οκτωήχου εις καί τού Αποστόλου δύω. Ο παρών φέρει ακροστιχίδα, άνευ τών Θεοτοκίων.

Πέτρου τά δεσμά προσκυνούμεν εκ πόθου.

Ωδή α' Ήχος δ'

«Ανοίξω τό στομα μου, καί πληρωθήσεται Πνεύματος, καί λόγον ερεύξομαι, τή Βασιλίδι Μητρί, καί οφθήσομαι, φαιδρώς πανηγυρίζων, καί άσω γηθόμενος, ταύτης τά θαύματα».

Πέτρα στηριζόμενοι, ομολογίας ενθέου σου, Πρωτόθρονε καύχημα, τών Αποστόλων Χριστού, προσκυνούμέν σου, εν πίστει τάς Αλύσεις, εν αίς σου αι άχραντοι, χείρες εδέθησαν.

Έθετό σε Κύριος, τής εαυτού σωματώσεως, Απόστολε μάρτυρα, παναληθέστατον, διηγούμενον, αυτού τήν παρρησίαν, σταυρόν καί τόν θάνατον, καί τήν ανάστασιν.

Τρίτον αρνησάμενος, τοίς θεοκτόνοις τόν Κύριον, βροτόν ως ψιλότατον, ουδέν διήμαρτες, τής προτέρας σου, θεολογίας Πέτρε, εκήρυξας τούτον γάρ, Υιόν Θεού καί Θεόν.

Ρήξον τούς κλοιούς ημών, τής αμαρτίας Απόστολε, πιστώς προσκυνούντων σου, τήν θείαν Άλυσιν, καί τάς κλείς ημίν, τής άνω βασιλείας, σπλαγχνισθείς διάνοιξον, ως συμπαθέστατος.

Θεοτοκίον

Αγνείας τό πάναγνον, ο ρυπαρός τε καί άναγνος, εγώ ενδιαίτημα, μέλπειν ου σθένω σε, Απειρόγαμε, διό με τή χωνεία, τού Πνεύματος κάθαρον, ίνα δοξάσω σε.

Έτερος Κανών, Ήχος ο αυτός, ού η Ακροστιχίς.

Πέτρον γεραίρω τήν βάσιν τών δογμάτων. Ιωσήφ.

Ωδή α'

«Χοροί Ισραήλ, ανίκμοις ποσί, πόντον ερυθρόν, καί υγρόν βυθόν διελάσαντας, αναβάτας τριστάτας, δυσμενείς ορώντες εν αυτώ υποβρυχίους, εν αγαλλιάσει έμελπον. Άσωμεν τώ Θεώ ημών, ότι δεδόξασται».

Πανηγυρίζει χορεύουσα, πάσα η Χριστού, Εκκλησία εν πνεύματι, ευφημούσά

σε πίστει, καί τήν σήν Απόστολε, πρωτόθρονε ασπαζομένη, Άλυσιν Τιμίαν εκ πόθου, δέσμιος ήν εφόρεσας, δεσμών μάκαρ τόν τύραννον.

Εκ τού βυθού τής απάτης ζωγρών, Πέτρε τούς βροτούς, ως ιχθύας προσήγαγες, τώ σέ εκλεξαμένω, από αλιέων αληθώς, εις Κορυφαίον πάντων Μαθητών, διά τούτο Άλυσιν ήν εφόρεσας, ευλαβώς κατασπαζόμεθα.

Τώ θεμελίω τής πίστεως, πάντων τάς ψυχάς, τών πιστών ωκοδόμησας, καί τεμένη τής πλάνης, Πέτρε καταστρέψας, εδομήσω Εκκλησίας, σέ μεγαλοφώνως τιμώσας, μάκαρ καί τήν Άλυσιν, ήν περ πάνσοφε εφόρεσας.

Θεοτοκίον

Ρομφαίαι πάσαι δολίου εχθρού άχραντε Παρθένε, τελείως εξέλιπον, αφ ού λόγχη ετρώθη, ο τήν σήν γαστέρα, τήν αμόλυντον οικήσας Λόγος, ού γλυκυτάτω νύν τρώσαι έρωτι, τήν καρδίαν μου καθικετεύω σε.

Ωδή γ'

«Ουκ εν σοφία, καί δυνάμει καί πλούτω καυχώμεθα, αλλ' εν σοί τή τού Πατρός, ενυποστάτω σοφία Χριστέ, ού γάρ έστιν άγιος, πλήν σου φιλάνθρωπε».

Οίς σε Ηρώδης, ως κακούργον κλοιοίς κατεδίκασεν, εν αυτοίς σε νύν τιμά, η Εκκλησία πανεύφημε, Πέτρε τά παθήματα, σού προσκυνούσα πιστώς.

Υπέρ χρυσίον, καί πολύτιμον κόσμον κεκόσμηται, ταίς Αλύσεσι ταίς σαίς, η Εκκλησία Απόστολε, άς καί κατασπάζεται, σεμνυνομένη εν σοί.

Τετραδίοις, παραδούς ο Τετράρχης εν τέσσαρσι, καί Αλύσει περιθείς, εφρούρει Πέτρε τού κτείναί σε, εξ ών σε ερρύσατο, Χριστός Αγγέλου χειρί.

Από τού θείου, καί πανσέπτου χρωτός σου Απόστολε, μετασχόντα τά κλοιά, τά σοί προσψαύσαντα χάριτος, πάντας αγιάζουσι, τούς προσκυνούντας αυτά.

Θεοτοκίον

Ιδού κατάρας, τής αρχαίας ελύθη τό βρότειον, καί κατήργηται Σατάν, Αγνή τού πτώματος αίτιος, ημίν γάρ εγέννησας, τήν ευλογίαν αυτή.

Έτερος

Τόξον δυνατών ησθένησε

Όλος τώ φωτί, ενούμενος τώ καθαρωτάτω, αυτού ταίς θείαις μεθέξεσι, φώς ωράθης δεύτερον, Πέτρε καταυγάζον τάς ψυχάς ημών.

Νόμους τού Χριστού εκράτυνας, καί παρανομούντας, τήν ευνομίαν εδίδαξας, Αποστόλων ως Κορυφαίος, ως δογμάτων βάσις άσειστος.

Γλώσση ιερά εκήρυξας, Θεόν τόν παθόντα, καί Σταυρώ σαρκί ομιλήσαντα,

διά τούτο Πέτρε τιμώμεν, τήν δεσμεύσασάν σε Άλυσιν.

Θεοτοκίον

Έστη μέχρι σού ο θάνατος, τής ακατασχέτου ορμής, σύ γάρ μόνη έτεκες, τήν πηγήν τής αθανασίας, Θεοτόκε Μητροπάρθενε.

Ο Ειρμός

«Τόξον δυνατών ησθένησε, καί οι ασθενούντες, περιεζώσαντο δύναμιν, διά τούτο εστερεώθη, εν Κυρίω η καρδία μου».

Κάθισμα Ήχος δ'

Ταχύ προκατάλαβε

Τριάδος γενόμενος, τής υπερθέου ναός, εν οίκω αγίω σου, τούς σέ τιμώντας πιστώς, αγίασον φώτισον, πλήρωσον τάς αιτήσεις, καί παράσχου τάς λύσεις, πάντων τών επιόντων, τού Βελίαρ σκανδάλων, Χριστόν εκδυσωπών εκτενώς, Πέτρε Απόστολε.

Δόξα...

Ο υψωθείς εν τώ Σταυρώ

Ως Κορυφαίον τών σοφών Αποστόλων, καί ως κλειδούχον ουρανών βασιλείας, ανευφημούμεν πίστει σε Απόστολε, καί κατασπαζόμεθα, καθαρά συνειδήσει, Πέτρε άς εφόρεσας, ως κακούργος Αλύσεις, τής κακουργίας λύων τού εχθρού, εξ ών ρυσθήναι ημάς καθικέτευε.

Καί νύν... Θεοτοκίον

Τών Χερουβίμ καί Σεραφίμ υπερτέρα, τού ουρανού τε καί τής γής πλατυτέρα, καί αοράτου κτίσεως καί τής ορατής, ώφθης υπερέχουσα, ασυγκρίτω συγκρίσει, όν ευρυχωρίαι γάρ, ουρανών ού χωρούσιν, εν σή γαστρί εχώρησας Αγνή, όν εκδυσώπει σωθήναι τούς δούλους σου.

Η Σταυροθεοτοκίον

Τόν εξ ανάρχου τού Πατρός γεννηθέντα, η επ' εσχάτων σε σαρκί τετοκυία, επί Σταυρού κρεμάμενον ορώσά σε Χριστέ, Οίμοι ποθεινότατε, Ιησού ανεβόα! πώς ο δοξαζόμενος, ως Θεός υπ' Αγγέλων, υπό ανόμων νύν βροτών Υιέ, θέλων σταυρούσαι; υμνώ σε Μακρόθυμε.

Ωδή δ'

«Ο καθήμενος εν δόξη, επί θρόνου θεότητος, εν νεφέλη κούφη, ήλθεν Ιησούς ο υπέρθεος, τή ακηράτω παλάμη καί διέσωσε, τούς κραυγάζοντας. Δοξα Χριστέ τή δυνάμει σου».

Διαζώννυταί σου πίστει, νοητώς η βασίλειος, αλουργίς καί πόλις, Πέτρε τήν σειράν τήν υπέρτιμον, ήν αισθητώς προσκυνούσα κατασπάζεται, καί γεραίρει σου, καί τήν ισχύν καί τά θαύματα.

Εν φρουρά σε κλοιοφόρον, ο Ηρώδης απέθετο, τού αναγαγείν σε, δήμω θεοκτόνω Απόστολε, διασωθείς δέ θεόθεν καταλέλοιπας, εις προσκύνησιν, τά σά δεσμά τοίς οικέταις σου.

Στομωθείσα τή προσψαύσει, τού αχράντου σου σώματος, καί χαριτωθείσα, η

περιτεθείσα σοι Άλυσις, αγιασμόν ημίν πάσι μεταδίδωσι, προσκυνούσιν αυτήν, διά σέ Πέτρε πάνσεπτε.

Μετά δέους τε καί πόθου, προσελθόντες προσπέσωμεν, τοίς δεσμοίς τού Πέτρου, διά τών συμβόλων προσάγοντες τώ Άποστόλω τήν πίστιν βεβαιούμενοι, τήν προσκύνησιν, ως πρός αυτόν διαβαίνουσαν.

Θεοτοκίον

Θεοτόκον ως τεκούσαν, σέ Θεόν μετά σώματος, ανυμνολογούμεν, πάσαν αποτρέποντες αίρεσιν, εν εαυτώ γάρ ο Λόγος, εξ αιμάτων σου, σάρκα έμψυχον, ζωοπλαστήσας επέφανεν.

Έτερος

Δι' αγάπησιν Οικτίρμον

Ρητορεύων τού Δεσπότου τά μεγαλεία, τών απειθών Εβραίων, τάς καρδίας πρός πίστιν, επέστρεψας ένθεον, ως έδρα τής Πίστεως.

Αι πορείαί σου εγνώσθησαν εφ' υδάτων, υπερβολή φιλίας, τού πεζεύσαντος ταύτα, Πέτρε καί τάς τρίβους σοι, τάς θείας γνωρίσαντος.

Ιατρείον κεκτημένοι αρρωστημάτων, παντοδαπών τήν θείαν, Αλυσίν σου Παμμάκαρ, ταύτην ασπαζόμεθα, πιστώς σε γεραίροντες.

Ρώμην, σώματος τού θείου τή καταθέσει, καθαγιάζεις Πέτρε, καί τήν Νέαν φωτίζεις, πίστει τήν τιμίαν σου κατέχουσαν Άλυσιν.

Θεοτοκίον

Ως παλάτιον ευρύχωρον κατοικήσας, ο Βασιλεύς τών όλων, τήν αγίαν σου, μήτραν, ώφθης σωματούμενον, πανάμωμε Δέσποινα.

Ωδή ε'

«Νύν αναστήσομαι, προφητικώς έφη ο Θεός, νύν υψωθήσομαι, νύν δοξασθήσομαι, τόν πεσόντα προσλαβών, εκ τής Παρθένου καί πρός φώς, τό θαυμαστόν ανυψών, τής εμής θεότητος».

Άρον Απόστολε, τής αμαρτίας μου τά κλοιά, τά επικείμενά μοι επαυχένια, καί ωθούντα πρός φθοράν, ως εξουσίαν τού Σωτήρος ειληφώς, τού δεσμείν καί λύειν τά πταίσματα.

Παύσον Πανεύφημε, τήν επανάστασιν τών εθνών, λύσον τά σκάνδαλα τής Εκκλησίας δέ, τήν ομόνοιαν διδούς, ο υπέρ ταύτης εν Αλύσει δεσμευθείς, ήν πιστώς καί περιπτυσσόμεθα.

Ρύσαι Απόστολε, αιχμαλωσίας τής νοητής, τούς προσκυνούντάς σου πιστώς τήν Άλυσιν, καί διάσωσον ημάς πρός ουρανίους, άς πεπίστευσαι σκηνάς, ως Ποιμήν ημών καί Διδάσκαλος.

Ούς εδικαίωσε τή μεσιτεία σου τή φρικτή, Πέτρε Απόστολε, ο σός Διδάσκαλος, βασιλεύειν εφ' ημάς, ορθοδοξούντας διαφύλαττε τή σή, κραταιά δεξιά πανεύφη με.

Θεοτοκίον

Είδεν ο ήλιος, απαυγασμάτων τών εαυτού, σέ διαφέρουσαν πολλώ Πανύμνητε, εξ ής ώφθη ο Θεός εναθρωπήσας, τούς τιμώντάς σε πρός φώς, ανυψών τής αυτού θεότητος.

Έτερος

Τόν φωτισμόν σου Κύριε

Τόν τού Πατρός συνάναρχον, εκήρυξας Υιόν, αποκαλύψει Πανεύφημε θεία, καί μακαρισμού κατηξιώθης, μακαρίου εκ στόματος.

Η νίκα φώς εώρακας, εκλάμψαν εν Θαβώρ, τάς τού ηλίου καλύπτον ακτίνας, φώς το εκ φωτός, ηυγάσθης Πέτρε, καί Χριστόν Θεόν έγνωκας.

Νεκρόν τριημερεύσαντα, εκήρυξας Χριστόν, δι' όν Αλύσεις εφόρεσας Πέτρε, άς περ προσκυνείν αξιωθέντες, ευσεβώς σε γεραίρομεν.

Θεοτοκίον

Βεβαρημένον Άχραντε, τώ φόρτω τών πολλών, αμαρτημάτων ελάφρυνόν με νύν, φέρειν τόν ζυγόν ενδυναμούσα, Χριστού τόν ελαφρότατον.

Ωδή ς'

«Ήλθον εις τά βάθη τής θαλάσσης, καί κατεπόντισέ με, καταιγίς πολλών αμαρτημάτων, αλλ' ως Θεός εκ φθοράς ανήγαγες, τήν ζωήν μου πολυέλεε».

Σήμερον ουράνιαι Δυνάμεις, καί Αποστόλων δήμοι, συνευφραίνονται τοίς επιγείοις, Πέτρε τών σών, παθημάτων βλέποντες, προσκυνούμενα τά σύμβολα.

Κροτούσιν Αγίων αι χορείαι, καί ολολύζει φάλαγξ, η δαιμόνιος δειματουμένη, Πέτρε τών σών παθημάτων βλέποντες, προσκυνούμενα τά σύμβολα.

Ύπνωσαν Αγγέλου παρουσία, οι στρατιώται Πέτρε, οι φρουρούντές σε, εκ τών χειρών δέ, άφνω τών σών, αι Αλύσεις έπεσον, άς αισίως ασπαζόμεθα.

Νεκράν Ταβιθάν εξαναστήσας, τούς δέ φρουρούς νεκρώσας, τών Αλύσεων εξετινάχθης, πάντα τά σά, υπέρ νούν Απόστολε, όθεν πίστει σε γεραίρομεν.

Θεοτοκίον

Ήλθον εις χειμώνα απωλείας, καί συνετάραξάν με, ποταμοί σφαλμάτων αμετρήτων, αλλ' επ' εμοί, σπλαγχνισθείσα Δέσποινα, πρός λιμένα θείον ίθυνον.

Έτερος

Εβόησε προτυπών

Αντίστροφον, παραδόξως υπέμεινας σταύρωσιν, ετοιμάσας, πρός ουράνιον τρίβον τούς πόδας σου, ήν ημάς βαδίζειν, Μαθητά τού Χριστού ενδυνάμωσον.

Συνώκησας, τή τών ζώντων ζωή καί δεσμούμενος, υπέρ ταύτης, τά δεσμά τού Βελίαρ συνέτριψας, τήν δεσμεύουσάν σε, διά τούτο σεβόμεθα Άλυσιν.

Ικέτευε, τόν Δεσπότην Παμμάκαρ τής κτίσεως, καταπέμψαι, ιλασμόν καί ειρήνην καί έλεον, τοίς δοξάζουσί σε, ως αυτού Μαθητήν γνησιώτατον.

Θεοτοκίον

Νεκρώσεως, δερματίνους χιτώνας ενδέδυται, ο Προπάτωρ, ο δέ Κτίστης αυτόν επενδυεται, εκ τών σών αιμάτων, σαρκωθείς υπέρ λόγον Πανάμωμε.

Ο Ειρμός

«Εβόησε, προτυπών τήν ταφήν τήν τριήμερον, ο Προφήτης, Ιωνάς εν τώ κήτει δεόμενος. Εκ φθοράς με ρύσαι, Ιησού βασιλεύ τών δυνάμεων».

Κοντάκιον Ήχος β'

Τήν εν πρεσβείαις

Τόν Κορυφαίον καί πρώτον τών Αποστόλων, τής αληθείας τόν ένθεον υποφήτην, Πέτρον τόν μέγιστον ευφημήσωμεν, καί τήν αυτού εν πίστει, ασπασώμεθα, Άλυσιν, πταισμάτων τήν λύσιν κομιζόμενοι

Ο Οίκος

Τόν ευκλεή καί μέγαν Κυρίου Μαθητήν, επαξίως ποία γλώσσα βροτών, εγκωμιάσαι δυνήσεται; όν γάρ ευλόγως ο Θεός Λόγος εμακάρισε, ποίος νούς επαινέσει; όμως, επεί όπερ τις κατά δύναμιν κέκτηται, οφείλει Χριστώ προσφέρειν, τούτο δή καί ποιήσαι πειράσομαι. Αλλ' ώ φιλέορτοι, ευσεβώς τόν Πρωτόθρονον άσμασι στέψωμεν, πταισμάτων τήν λύσιν κομιζόμενοι.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΣΤ' τού αυτού μηνός, η προσκύνησις τής τιμίας Αλύσεως τού Αγίου καί ενδόξου Αποστόλου Πέτρου.

Στίχοι

- Σήν προσκυνούντα Πέτρε σειράν τιμίαν,
- Σειράς μακράς λύσόν με τών εγκλημάτων.
- Σειρήν προσκυνέω Πέτρου δεκάτη ενί έκτη.

Τή αυτή ημέρα, Μνήμη τώς Αγίων μαρτύρων καί αυταδέλφων, Πευσίππου, Ελασίππου, καί Μεσίππου, καί Νεονίλλης τής μάμμης αυτών.

Στίχοι

- Κάν ώσιν ιππείς, κλήσεων σημασία,
- Πεζοί τρέχουσι τρίδυμοι τρείς πρός φλόγα.

- Νεονίλλα γραύς, αλλά πύρ ανημμένον,
- Ώς πέρ τις ακμάζουσα καρτερεί νέα.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου μάρτυρος Δάνακτος.

Στίχοι

- Αφηρέθης τό Δέλτα σύν κάρα Δάναξ.
- Τμηθείς γάρ ώφθης ουρανοκράτωρ άναξ.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

«Ο διασώσας εν πυρί, τούς Αβραμιαίους σου Παίδας, Καί τους Χαλδαίους ανελών, οίς αδίκως δικαίους ενήδρευσαν, υπερύμνητε ο Θεός ο τών Πατέρων, ευλογητός εί».

Ο βασιλεύειν μέν δοκών, βεβασιλευμένος δέ μάλλον, υφ' ηδονής τό αρεστόν, Ιουδαίοις ποιών χειροπέδαις σε, σιδηραίς κατεδίκασεν, άς Απόστολε τιμώμεν σέ ανυμνούντες.

Υποχωρεί σοι Μαθητά, τού Χριστού η σύμπασα κτίσις, τά γάρ πελάγη πορευτά, τά κλοιά ως στυππεία, πυλώνες δέ, σιδηροί σοι ως άμφοδα, ελογίσθησαν δυνάμει τού Παρακλήτου.

Μάγους ψευδείς συναναιρών, νέκυας εγείρων χωλούς τε, καί παρειμένους υγιών, καί νοσούντας σκιά σου ιώμενος, κεκλεισμένων διήλθες πυλών, καί κλοιών προσκυνουμένων εξέδυς Πέτρε.

Εκ Παλαιστίνης ο Χριστού, ίππος καί Απόστολος Πέτρος, ως εκ βαλβίδος προελθών, καί τώ κόσμω κηρύξας εν Ρώμη μέν, τή προτέρα κατέπαυσε, τή δέ Νέα δούς τήν Άλυσιν προσκυνείσθαι.

Θεοτοκίον

Τής σής λοχείας τό καινόν, η Χαλδαϊκή φλόξ εδήλου, τούς Παίδας βλάπτουσα μηδέν, τοίς πολλοίς τοιγαρούν παραπτώμασι, φλογιζόμενον Δέσποινα, τής πρεσδείας σου τή δρόσω διάσωσόν με.

Έτερος

Αβραμιαίοι ποτέ

Τρίτον ηρνήσω Χριστόν, επερωτήσει όθεν, τριττή ιάταί σου τό έγκλημα, Πέτρε παναοίδιμε, καί στηριγμόν δεικνύει, πολλών σαλευομένων.

Ως δεσμευθείς τού Χριστού, τώ γλυκυτάτω πόθω, δεσμοίς ποικίλοις προσωμίλησας, διό σου τήν Άλυσιν, λύουσαν πάθη Πέτρε, εν πίστει προσκυνούμεν.

Νύκτα βαθείαν δεινής, πολυθεΐας λύεις, τήν οικουμένην διερχόμενος, ως μέγιστος ήλιος, Πέτρε Χριστού αυτόπτα τών Αποστόλων κλέος.

Δόξα εγένου Χριστού, τούτον τοίς μέλεσί σου, δοξάσας Πέτρε παναοίδιμε, διό σε δοξάζομεν, καί τήν δεσμεύουσάν σε, Άλυσιν προσκυνούμεν.

Θεοτοκίον

Ο καταβάς επί τής γής, ως υετός Παρθένε, θεογνωσία πάσαν ήρδευσε, τήν γήν καί ανέδειξε, σέ τών Αγγέλων πάντων, Αγνή τιμιωτέραν.

Ωδή η'

«Λυτρωτά τού παντός παντοδύναμε, τούς εν μέσω φλογός ευσεβήσαντας, συγκαταβάς εδρόσισας, καί εδίδαξας μέλπειν. Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον».

Νομοθέτα Ποιμήν καί Διδάσκαλε, τών θρεμμάτων Χριστού Πέτρε ένδοξε, τούς ευσεβώς υμνούντάς σε, καί πιστώς προσκυνούντάς σου τάς Αλύσεις, αμαρτίας δεσμών απολύτρωσαι.

Ενοχλήσεις Δαιμόνων απέλασον, αμαρτίας χειμώνα κατεύνασον, νόσους κινδυνους θλίψεις τε, καί βαρβάρων εφόδους, διώκων Πέτρε, από τών τάς Αλύσεις τιμώντων σου.

Κεχαρίτωται πάς προσαπτόμενος, τής τιμίας σειράς σου Απόστολε, αγιασμού πληρούμενος, καί χαρά αναμέλπει. Πάντα τά έργα ευλογείτε, υμνείτε τόν Κύριον.

Πανδαισίας απάσης υπέρκειται, ηδονής τών σεπτών σου Αλύσεων, η ευλαβής προσκύνησις, σύ γαρ καί εστιάτωρ, τής ευφροσύνης, τής τοιαύτης ενθέου Απόστολε.

Θεοτοκίον

Εφερπύσας τρυφής εξορίζει με, δυσβουλίαις ο όφις ο δόλιος, βουλής δ' ο μέγας Άγγελος, βροτωθείς εκ σής μήτρας, τού Παραδείσου, οικητήρα καί πάλιν ειργάσατο.

Έτερος

Ειρμός ο αυτός

Γεωργών καρδιών Πέτρε λήϊα, ευφορώτατα ταύτα ετέλεσας, τώ Γεωργώ τής κτίσεως, τώ τάς κλείς σοι τας θείας παρεχομένω, τού δεσμείν τε καί λύειν εγκλήματα.

Μακαρίζομεν Πέτρε σε πάντοτε, καί τήν σήν ασπαζόμεθα Άλυσιν, ήν ως κακούργος έφερες, αναιρών τής κακίας τόν αρχηγέτην, καί δεσμών τοίς δεσμοίς σου Απόστολε.

Ακλονήτω σου πέτρα τής πίστεως, συντηρών Εκκλησίας τό πλήρωμα, τά διά μέσου σκάνδαλα αποδίωξον Πέτρε, καί ειρηναίαν, εξαιτού ταύτη μάκαρ κατάστασιν.

Τά δεσμά καί τό πάθος τό άχραντον, τού δεσμεύσαντος άδην καί θάνατον, περιφανώς εκήρυξας, διά τούτο Παμμάκαρ τήν λύσιν σου, ασπαζόμενοι αγιαζόμεθα.

Τριαδικόν

Ως τά άνω βοήσωμεν τάγματα, τρισαγίοις φωναίς τόν παναίτιον, Πατέρα νύν δοξάζοντες, καί Υιόν καί τό Πνεύμα, μίαν ουσίαν, μίαν δύναμιν, μίαν ενέργειαν.

Θεοτοκίον

Νοητήν σε λυχνίαν προέγραψεν, ο Προφήτης τό θείον λαμπάδιον, Θεογεννήτορ φέρουσαν, τό φωτίσαν τούς πρώην, εσκοτισμένους, τών κακών ταίς πολλαίς αμαυρώσεσι.

Ο Ειρμός

«Λυτρωτά τού παντός Παντοδύναμε, τούς εν μέσω φλογός ευσεβήσαντας, συγκαταβάς εδρόσισας, καί εδίδαξας μέλπειν. Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον».

Ωδή θ'

«Απας γηγενής, σκιρτάτω τώ πνεύματι λαμπαδουχούμενος, πανηγυριζέτω δέ, αϋλων Νόων φύσις γεραίρουσα, τήν Ιεράν πανήγυριν τής Θεομήτορος, καί βοάτω. Χαίροις παμμακάριστε, Θεοτόκε αγνή αειπάρθενε».

Όλος γλυκασμός, υπάρχεις Απόστολε ανευφημούμενος, πάσης θυμηδίας τε, πεπληρωμέναι αι πανηγύρεις σου, διό καί νύν τούς δούλους σου, εύφρανον αγίασον, καί φαιδρώς εορτάσαι αξίωσον.

Θραύσον τήν ισχύν, τών εθνών Απόστολε, τών πολεμούντων ημάς, καί τώ Βασιλεί ημών, αμάχω σθένει σου καθυπόταξον, έν χειροπέδαις άρχοντας, αυτών τή πόλει σου, θριαμβεύων, ένθα σου η Άλυσις, τών αχράντων χειρών νύν τετίμηται.

Όντως αληθείς, οι λόγοι σου Δέσποτα, ούς απεφήνω ειπών, ο πιστεύων εις εμέ, καί μείζονά μου έργα εργάσεται, ιδού γάρ ο Απόστολος, καί ζών τά πάθη σκιά, εξιάτο, καί νύν τοίς κλοιοίς αυτού, τά ποικίλα εργάζεται θαύματα.

Τριαδικόν

Ύψιστε Πατήρ, Υιέ καί Παράκλητε, Τριάς ομότιμε, ταίς τού Κορυφαίου σου, τών Αποστόλων Πέτρου δεήσεσι, τώ Βασιλεί συμμάχησον, εν τοίς πολέμοις αεί, τή δέ Πόλει, άσειστον ακλόνητον, ειρηναίαν παράσχου κατάστασιν.

Θεοτοκίον

Άπαντες βροτοί, υμνείν απορούντές σου, τό ξένον λόχευμα, τόν τού καταπτάντος σοι, Αγγέλου λόγον χαίροντες άδομεν. Χαίροις βροτών η

λύτρωσις, τών πενομένων τροφή, τών δαιμονων, χαίροις αμυντήριον, χαίροις σπίλων εμών καθαρτήριον.

Έτερος

Ο τόκος σου άφθορος εδείχθη
Ιδείν ηξιώθης τά μακρόθεν, πιστώς ελπιζόμενά σοι Πέτρε, καί καμάτων τά γέρα εκ Θεού, τού φιλανθρώπου χαίρων κομίζη, ού τή σαρκί σου, πάθος θείον εξεικόνισας.

Ως θείος κλειδούχος βασιλείας, τάς ταύτης υπάνοιξον εισόδους, τοίς πιστώς σε Τιμώσιν επί γής, καί τήν σεπτήν σου ασπαζομένοις, Άλυσιν Πέτρε, ήν δεσμούμενος εφόρεσας.

Συνών τώ Υιώ εν θαβωρίω, φωνής Πατρικής αυτόν δηλούσης, ηξιώθης ακούσαι τού σεπτού, Πνεύματος Πέτρε, σού τήν καρδίαν, κεκαρμένην παραδόξως καταυγάσαντος.

Ημίν τοίς εκ πόθου σε τιμώσι, καί τήν Άλυσιν ασπαζομένοις, μεθ' ής Πέτρε εδέθης ιλασμόν, καί οφλημάτων αίτησαι λύσιν, καί βασιλείας, ουρανίου τήν απόλαυσιν.

Θεοτοκίον
Φωτός οικητήριον εγένου, διό φωταγώγησόν με Κόρη, αμαυρούμενον πάσαις τού εχθρού, ταίς επηρείαις, όπως εν πίστει σε Παναγία, μεγαλύνω Μητροπάρθενε.

Ο Ειρμός
«Ο Τόκος σου άφθορος εδείχθη, Θεός εκ λαγόνων σου προήλθε, σαρκοφόρος ός ώφθη επί γής, καί τοίς ανθρώποις συνανεστράφη, σέ Θεοτόκε, διό πάντες μεγαλύνομεν».

Εξαποστειλάριον
Γυναίκες ακουτίσθητε
Ου σάρξ καί αίμα Πέτρε σοι, αλλ' ο Πατήρ ενέπνευσε, θεολογήσαι τόν Χριστόν, Υιόν Θεού Πατρός ζώντος, διό σε καί μακάριον, αυτός προεμαρτύρατο, καί φερωνύμως κέκληκε, Πέτρον ως πέτραν αρραγή, καί βάσιν τής Εκκλησίας.

Θεοτοκίον όμοιον
Παρθένος παναμώμητος, σύ εγνώσθης καί Μήτηρ, ως Θεόν τε καί άνθρωπον, υπέρ φύσιν τεκούσα, καί σωτηρία γέγονεν, η κυοφορία σου, τοίς μελωδούσιν εκ πόθου, Δόξα πρέπει Τιμή τε, καί προσκύνησις Τριάδι, τή αστέκτω καί θεία.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχ. Προσόμοια.

Ήχος πλ. β'

Τριήμερος ανέστης Χριστέ

Τούς πονους τού κηρύγματος, τιμώντές σου πανεύφημε, Κορυφαίε, καί τήν Άλυσιν πιστώς, προσκυνούντες υμνούμεν, Χριστόν τόν ζωοδότην, τόν ευεργέτην τών ψυχών ημών. (Δίς)

Ως εκ τής αθεΐας βυθού, ανήγαγες πανεύφη με τώ αγκίστρω, τού κηρύγματος βροτούς, καί ημάς αθυμίας, ανάγαγε πρεσβείαις, Πέτρε ταίς σαίς, πόθω υμνούντάς σε.

Πρεσβείαις σου ως θείαις κλεισί, Πανεύφημε ευτρέπισον ουρανίους, τάς εισοδους καί ημίν, τάς πύλας διανοίξας, ως έχων παρρησίαν, τοίς Κορυφαίόν σε δοξάζουσι.

Δόξα... Ήχος δ'

Τώ τριττώ τής ερωτήσεως, τώ Πέτρε φιλείς με, τό τριττόν τής αρνήσεως, ο Χριστός διωρθώσατο, διό καί πρός τόν κρυφιογνώστην ο Σίμων, Κύριε πάντα γινώσκεις, τά πάντα επίστασαι, σύ οίδας ότι φιλώ σε. Όθεν πρός αυτόν ο Σωτήρ. Ποίμαινε τά πρόβατά μου, ποίμαινε τήν εκλογάδα μου, ποίμαινε τά αρνία μου, ά εν τώ ίδίω αίματι περιεποιησάμην εις σωτηρίαν. Αυτόν ικέτευε θεομακάριστε Απόστολε, δωρηθήναι ημίν τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Ως γενναίον εν Μάρτυσιν

Ως πρεσβείαν ακοίμητον, καί παράκλησιν έμμονον, κεκτημένη Πάναγνε πρός τόν Κύριον, τούς πειρασμούς κατακοίμησον, τά κύματα πράυνον, τής αθλίας μου ψυχής, καί εν θλίψει υπάρχουσαν, τήν καρδίαν μου, παρακάλεσον Κόρη δυσωπώ σε, καί χαρίτωσον τόν νούν μου, όπως αξίως δοξάζω σε.

Η Σταυροθεοτοκίον

Τόν Αμνόν καί Ποιμένα σε, επί ξύλου ως έβλεψεν, η Αμνάς η τέξασα επωδύρετο, καί μητρικώς σοι εφθέγγετο. Υιέ ποθεινότατε, πώς εν ξύλω τού Σταυρού, ανηρτήθης μακρόθυμε; πώς τάς χείράς σου, καί τούς πόδας σου Λόγε προσηλώθης, υπ' ανόμων καί τό αίμα, τό σόν εξέχεας Δέσποτα;

Ει βούλει, ποίησον Δοξολογίαν μεγάλην, ειδέ μή,

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος δ' Ανατολίου

Αξίως είληφας εκ Θεού τά χαρίσματα, σοφέ Απόστολε, πέτρα τής πίστεως, ανθ' ών τό αίμά σου τώ Κτίστη, ως γλύκιον έδεσμα προσήγαγες πανεύφημε, καί κλειδούχος χάριτι τών ουρανίων πυλών, πάσιν αναδέδειξαι, τοίς πίστει ευφημούσί σε.

Καί νύν... Θεοτοκίον

Έδωκας σημείωσιν

Ζόφος φοβερώτατος, ο τού θανάτου Θεόνυμφε, τήν ψυχήν κατατρύχει μου, τό δέ λογοθέσιον, εξιστάν καί τρέμειν, αεί τών δαιμόνων παρασκευάζει αγαθή, εξ ών με ρύσαι τή δυναστεία σου, Παρθένε απειρόγαμε, καί πρός λιμένα

σωτήριον, καί πρός φώς τό ανέσπερον, τών Αγίων κατάταξον.

Η Σταυροθεοτοκίον

Νεκρούμενον βλέπουσα, Χριστόν η πάναγνος Δέσποινα, καί νεκρούντα τόν δόλιον, ωλόλυζε κράζουσα, πικρώς τώ εκ σπλάγχνων, αυτής προελθόντι, καί τό μακρόθυμον αυτού αποθαυμάζουσα κατεπλήττετο. Τέκνον μου ποθεινότατον, μή επιλάθη τής δούλης σου, μή βραδύνης Φιλάνθρωπε, τό εμόν καταθύμιον.

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

Εις τήν Λειτουργίαν

Τυπικά καί από τού Κανόνος τού Αποστόλου Ωδή γ' καί ς'.

Προκείμενον  Ήχος πλ. δ'

Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών.

Στίχ. Οι ουρανοί διηγούνται δόξαν Θεού ποίησιν δέ χειρών αυτού αναγγέλλει τό στερέωμα.

Ο Απόστολος

Πράξεων τών Αποστόλων τό Ανάγνωσμα

Κατ' εκείνον τόν καιρόν...

Ζήτει Σάββατον δ' τού Πάσχα

Ευαγγέλιον  Εωθινόν ια'

Τώ καιρώ εκείνω, εφανέρωσεν εαυτόν ο Ιησούς τοίς μαθηταίς αυτού...

Κοινωνικόν

Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών, καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών. Αλληλούϊα.

---

Αρχή

## ΤΗ ΙΖ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου καί Θεοφόρου Πατρός ημών Αντωνίου τού Μεγάλου.

### ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια

Ήχος β'

Ότε, εκ τού ξύλου σε νεκρόν

Ότε, εν τώ μνήματι σαυτόν, χαίρων περιέκλεισας Πάτερ, υπέρ αγάπης Χριστού, φέρων σταθερώτατα, τάς τών δαιμόνων ποινάς, προσευχή δέ καί

χάριτι, απέδειξας τούτων, πάχνης αδρανέστερα, τά βουλευτήρια, τότε επεκρότησαν τάξεις, τών Αγγέλων κράζουσαι. Δόξα, τώ ενδυναμούντί σε Αντώνιε. (Δίς)

Άλλος, ανεδείχθης Ηλιού, έχων τούς κλεινούς φοιτητάς σου, ως Ελισαίον σοφέ, οίς περ καί τήν χάριν σου, διπλήν κατέλιπες, αρπαγείς ως εν άρματι, αιθέριος Πάτερ, όθεν ζών τώ πνεύματι, νύν συναγάλλη αυτοίς, πάντων μνημονεύων παμμάκαρ, τών επιτελουντων σου πόθω, τήν σεπτήν πανήγυριν Αντώνιε.

Ώσπερ, ο θεόπτης Μωϋσής, γνόφω νοητώ υπεισήλθες, θεωριών αληθώς, αύθις δέ κατώπτευσας, όν περ επόθεις τρανώς, δοξασθείς δέ τό πρόσωπον, τή αίγλη εκείνου, Πάτερ καθωδήγησαι, εις σωτηρίου μονάς, όθεν συνελθόντες θεόφρον, χαίροντες κραυγάζομεν. Δόξα, τώ σέ ενισχύσαντι Θεώ ημών.

Δόξα... Ήχος β'

Τόν επί γής Άγγελον, καί εν ουρανοίς άνθρωπον Θεού, τού κόσμου τήν ευκοσμίαν, τήν τρυφήν τών αγαθών καί τών αρετών, τών Ασκητών τό καύχημα, Αντώνιον τιμήσωμεν, πεφυτευμένος γάρ εν τώ οίκω τού Θεού, εξήνθησε δικαίως, καί ωσεί κέδρος εν ερήμω, επλήθυνε τά ποίμνια Χριστού, τών λογικών προβάτων, εν οσιότητι καί δικαιοσύνη.

Καί νύν... Θεοτοκίον

Αδιόδευτε πύλη, μυστικώς εσφραγισμένη, ευλογημένη Θεοτόκε, δέξαι τάς δεήσεις ημών, καί προσάγαγε τώ σώ Υιώ καί Θεώ, ίνα σώση διά σού τάς ψυχάς ημών.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος β'

Οίκος τού Εφραθά

Ώφθης εκ μητρικών, σπαργάνων θεοφόρε, ηγιασμένον σκεύος, Αντώνιε καί οίκος, τού Παναγίου Πνεύματος.

Στίχ. Τίμιος εναντίον Κυρίου ο θάνατος τών οσίων αυτού.

Δόλους τών πονηρών, δαιμόνων θριαμβεύσας, τή τού Σταυρού δυνάμει, ετράνωσας τήν δόξαν, Χριστού Πάτερ Αντώνιε.

Στίχ. Μακάριος ανήρ, ο φοβούμενος τόν Κύριον.

Ήρθης ως Ηλιού, εν άρματι πυρίνω, καί συνεκράθης μάκαρ, αμέσως τή Τριάδι, Αντώνιε παγκόσμιε.

Δόξα... Καί νύν...

Θεοτοκίον όμοιον

Άνω σε οι χοροί, Θεοτόκε Παρθένε, υμνούσι σύν τοίς κάτω, δοξάζοντες απαύστως, τόν Τόκον σου τόν άχραντον.

Απολυτίκιον Ήχος δ'

Τόν ζηλωτήν Ηλίαν τοίς τρόποις μιμούμενος, τώ Βαπτιστή ευθείαις ταίς τρίβοις επόμενος, Πάτερ Αντώνιε, τής ερήμου γέγονας οικιστής, καί τήν οικουμένην εστήριξας ευχαίς σου, διό πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Καί Απόλυσις

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Στιχολογούμεν τήν α' Στάσιν τού Μακάριος ανήρ, Εις δέ τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'
Ο εξ υψίστου κληθείς

Ο φωτισθείς ταίς τού Πνεύματος ακτίσιν, ότε σε ο ένθεος έρως ανέφλεξε, καί τήν ψυχήν ανεπτέρωσεν, αυτό ποθήσαι, τό τής αγάπης όντως ακρότατον, τότε κατεφρόνησας, σαρκός καί αίματος, καί έξω κόσμου γεγένησαι, πολλή ασκήσει, καί ησυχία τούτω ενούμενος, όθεν επλήσθης, ως εζήτησας, τών εκείθεν καλών καί ανέλαμψας, ως Αστήρ καταυγάζων, τάς ψυχάς ημών Αντώνιε. (Δίς)

Ο τών δαιμόνων τά τόξα καί τά βέλη, συντρίψας τή χάριτι, τού θείου Πνεύματος, καί τήν κακίαν καί ένεδραν, αυτών τοίς πάσι, δηλοποιήσας θείοις διδάγμασι, ταίς θείαις λαμπρότησι καταστραπτόμενος, τών Μοναστών διαυγέστατος, φωστήρ εγένου, καί τής ερήμου πρώτος διάκοσμος, καί τών νοσούντων εμπειρότατος, καί σεπτός ιατρός καί αρχέτυπος, χαρακτήρ εναρέτου, αγωγής Πάτερ Αντώνιε. (Δίς)

Ο χαρισμάτων ενθέων πεπλησμένος, σέ ως ακηλίδωτον, έσοπτρον Πάτερ ευρών, Χριστός τών θείων εμφάσεων, λαμπράς οικείου, μαρμαρυγάς φωτός σοι εξήστραψεν, εντεύθεν ιάσεων, άφθονος ώφθης πηγή, διατροφή τε λιμώττουσι, καί τών διψώντων, δι' επομβρίας άρδων τήν έφεσιν, τάς ψυχικάς δέ διαθέσεις ορών, σού τώ λόγω σοφώς εβελτίους Θεώ, όν ικέτευε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

Ο καθαρός τήν ψυχήν καί τήν καρδίαν, Άγγελος επίγειος, βροτός ουράνιος, τής παρθενίας διδάσκαλος, τής εγκρατείας, ηκριβωμένη στάθμη Αντώνιε, συνών τώ Δεσπότη σου, καί τήν ασίγητον δοξολογίαν μακάριε, σύν τοίς Αγγέλοις, καί τοίς Οσίοις πάσι καί Μάρτυσι, τούτω προσάγων, τούς τελουντάς σου, τήν Ιεράν μνήμην πάντοτε, χαλεπών εκ κινδύνων, καί πταισμάτων ελευθέρωσον.

Δόξα... Ήχος πλ. β'
Συκεώτου

Τό κατ' εικόνα τηρήσας αλώβητον, νούν ηγεμόνα κατά παθών ολεθρίων, ασκητικώς ενστησάμενος, εις τό καθ' ομοίωσιν ως δυνατόν ανελήλυθας, ανδρικώς γάρ τήν φύσιν εκβιασάμενος, έσπευσας τό χείρον, καθυποτάξαι τώ κρείττονι, καί τήν σάρκα δουλώσαι τώ πνεύματι, όθεν μοναζόντων, ανεδείχθης ακρότης, πολιστής τής ερήμου, ευδρομούντων αλείπτης, κανών αρετής ακριβέστατος, καί νύν εν ουρανοίς, τών εσόπτρων λυθέντων Αντώνιε, καθαρώς εποπτεύεις τήν αγίαν Τριάδα, εντυγχανων αμέσως, υπέρ τών πίστει καί πόθω τιμώντων σε.

Καί νύν... Θεοτοκίον

Τίς μή μακαρίσει σε, Παναγία Παρθένε; τίς μή ανυμνήσει σου τόν αλόχευτον τόκον, ο γάρ αχρόνως εκ Πατρός, εκλάμψας Υιός μονογενής, ο αυτός εκ σού τής αγνής προήλθεν, αφράστως σαρκωθείς, φύσει Θεός υπάρχων καί φύσει γενόμενος άνθρωπος δι' ημάς, ουκ εις δυάδα προσώπων τεμνόμενος, αλλ' εν δυάδι φύσεων, ασυγχύτως γνωριζόμενος. Αυτόν ικέτευε, σεμνή Παμμακάριστε, ελεηθήναι τάς ψυχάς ημών.

Είσοδος, τό Προκείμενον τής ημέρας καί τά Αναγνώσματα.

Σοφίας Σολομώντος τό Ανάγνωσμα
(Κεφ. 3, 1-9)

Δικαίων ψυχαί εν χειρί Θεού, καί ου μή άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι, καί ελογίσθη κάκωσις η έξοδος αυτών, καί η αφ' ημών πορεία σύντριμμα, οι δέ εισιν εν ειρήνη. Καί γάρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Καί ολίγα παιδευθέντες, μεγάλα ευεργετηθήσονται. Ότι ο Θεός επείρασεν αυτούς, καί εύρεν αυτούς αξίους εαυτού. Ως χρυσόν εν χωνευτηρίω εδοκίμασεν αυτούς, καί ώς ολοκάρπωμα θυσίας προσεδέξατο αυτούς. Καί εν καιρώ επισκοπής αυτών αναλάμψουσι, καί ως σπινθήρες εν καλάμη διαδραμούνται. Κρινούσιν έθνη, καί κρατήσουσι λαών, καί βασιλεύσει αυτών Κύριος εις τούς αιώνας, οι πεποιθότες επ' αυτώ, συνήσουσιν αλήθειαν, καί οι πιστοί εν αγάπη προσμενούσιν αυτώ, ότι χάρις καί έλεος εν τοίς οσίοις αυτού, καί επισκοπή εν τοίς εκλεκτοίς αυτού.

Σοφίας Σολομώντος τό Ανάγνωσμα
(Κεφ. 5, 15-23 & 6, 1-3)

Δίκαιοι εις τόν αιώνα ζώσι, καί εν Κυρίω ο μισθός αυτών, καί η φροντίς αυτών παρά Υψίστω. Διά τούτο λήψονται τό βασίλειον τής ευπρεπείας, καί τό διάδημα τού κάλλους εκ χειρός Κυρίου, ότι τή δεξιά αυτού σκεπάσει αυτούς, καί τώ βραχίονι υπερασπιεί αυτών. Λήψεται πανοπλίαν, τόν ζήλον αυτού, καί οπλοποιήσει τήν κτίσιν εις άμυναν εχθρών. Ενδύσεται θώρακα δικαιοσύνην, καί περιθήσεται κόρυθα, κρίσιν ανυπόκριτον. Λήψεται ασπίδα ακαταμάχητον, οσιότητα, οξυνεί δέ απότομον οργήν εις ρομφαίαν, συνεκπολεμήσει αυτώ ο κόσμος επί τούς παράφρονας. Πορεύσονται εύστοχοι βολίδες αστραπών, καί ως από ευκύκλου τόξου, τών νεφών, επί σκοπόν αλούνται, καί εκ πετροβόλου θυμού πλήρεις ριφήσονται χάλαζαι. Αγανακτήσει κατ' αυτών ύδωρ θαλάσσης, ποταμοί δέ συγκλύσουσιν αποτόμως, αντιστήσεται αυτοίς

πνεύμα δυνάμεως, καί ώς λαίλαψ εκλικμήσει αυτούς. Καί ερημώσει πάσαν τήν γήν ανομία, καί η κακοπραγία περιτρέψει θρόνους δυναστών. Ακούσατε ούν, Βασιλείς, καί σύνετε, μάθετε, δικασταί, περάτων γής, ενωτίσασθε, οι κρατούντες πλήθους, καί γεγαυρωμένοι επί όχλοις Εθνών. Ότι εδόθη παρά Κυρίου η κράτησις υμίν, καί η δυναστεία παρά Υψίστου.

Σοφίας Σολομώντος τό Ανάγνωσμα
(Κεφ. 4, 7-15)

Δίκαιος εάν φθάση τελευτήσαι, εν αναπαύσει έσται. Γήρας γάρ τίμιον, ού τό πολυχρόνιον, ουδέ αριθμώ ετών μεμέτρηται. Πολιά δέ εστι φρόνησις ανθρώποις, καί ηλικία γήρως, βίος ακηλίδωτος. Ευάρεστος Θεώ γενόμενος ηγαπήθη, καί μεταξύ αμαρτωλών μετετέθη. Ηρπάγη, μή κακία αλλάξη σύνεσιν αυτού, ή δόλος απατήση ψυχήν αυτού, βασκανία γάρ φαυλότητος αμαυροί τά καλά, καί ρεμβασμός επιθυμίας μεταλλεύει νούν άκακον. Τελειωθείς εν ολίγω, επλήρωσε χρόνους μακρούς, αρεστή γάρ ήν Κυρίω η ψυχή αυτού, διά τούτο έσπευσεν εκ μέσου πονηρίας. Οι δέ λαοί ιδόντες, καί μή νοήσαντες, μηδέ θέντες επί διανοία τό τοιούτον ότι χάρις καί έλεος εν τοίς οσίοις αυτού, καί επισκοπή εν τοίς εκλεκτοίς αυτού.

Εις τήν Λιτήν, Στιχηρά Ιδιόμελα.

Ήχος β'
Τού Στουδίτου

Ασκητικόν γυμνάσιον, συγκροτήσας επί γής, Όσιε Αντώνιε, τάς τών παθών προσβολάς εν τή ροή τών δακρύων σου, πάσας απήμβλυνας, καί κλίμαξ θεία καί σεπτή, εις ουρανούς ανάγουσα, τοίς πάσιν εγνωρίσθη, ο θεόληπτος βίος σου, ευσεβείας γάρ καρπούς, εν αυτώ ενδειξάμενος, Ιατρεύεις δι' αυτών, τάς ασθενείας τών παθών, τών πιστώς εκβοώντων σοι. Χαίροις τής Εώας αστήρ χρυσαυγέστατε, καί τών Μοναζόντων λαμπαδούχε καί ποιμήν. Χαίροις αοίδιμε, τό τής ερήμου κάλλιστον θρέμμα, καί τής Εκκλησίας ακράδαντον έρεισμα. Χαίροις τών πλανωμένων, ο μέγας οδηγός. Χαίροις τό ημέτερον καύχημα, καί τής οικουμένης φαιδρόν αγαλλίαμα.

Ο αυτός

Τόν επί γής Άγγελον, καί εν ουρανοίς άνθρωπον Θεού, τού κόσμου τήν ευκοσμίαν, καί τήν τρυφήν τών αγαθών καί τών αρετών, τών Ασκητών τό καύχημα, Αντώνιον τιμήσωμεν, πεφυτευμένος γάρ εν τώ οίκω τού Θεού, εξήνθησε δικαίως, καί ωσεί κέδρος εν ερήμω, επλήθυνε τά ποίμνια Χριστού, τών λογικών προβάτων, εν οσιότητι καί δικαιοσύνη.

Ο αυτός

Όσιε Πάτερ, εκ βρέφους τήν αρετήν επιμελώς ασκήσας, όργανον γέγονας τού Αγίου Πνεύματος, καί παρ' αυτού λαβών, τών θαυμάτων τήν ενέργειαν, έπεισας τούς ανθρώπους, καταφρονείν τών ηδέων, νύν δέ τώ θείω φωτί, καθαρώτερον ελλαμπόμενος, φώτισον καί ημών τάς διανοίας, Πάτερ Αντώνιε.

Ήχος γ'  Ανατολίου

Όσιε Αντώνιε, τής στερροτάτης ασκήσεως, τήν καυστικήν καί εύψυχον διατριβήν, ως εν αΰλοις αναπαυόμενος ετέλεσας, τοίς ερημοτέροις γάρ,

σεαυτόν συνάψας πνευματικώς, τάς πυριφλέκτους φαρέτρας τών δαιμόνων κατεπάτησας, καί υπεράνω πάσης αρετής γεγονώς, συναυλίζη Αγγέλοις, εν τή Βασιλεία τών ουρανών. Διό πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Δόξα... Ήχος πλ. α'

Όσιε Πάτερ, τής φωνής τού Ευαγγελίου τού Κυρίου ακούσας, τόν κόσμον κατέλιπες, τόν πλούτον καί τήν δόξαν, εις ουδέν λογισάμενος, όθεν πάσιν εβόας. Αγαπήσατε τόν Θεόν, καί ευρήσετε χάριν αιώνιον, μηδέν προτιμήσητε τής αγάπης αυτού, ίνα όταν έλθη εν τή δόξη αυτού, εύρητε ανάπαυσιν μετά πάντων τών Αγίων, ού ταίς ικεσίαις Χριστέ, φύλαξον, καί σώσον τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καί δοξάζομέν σε, οι πιστοί κατά χρέος, τήν πόλιν τήν άσειστον τό τείχος τό άρρηκτον, τήν αρραγή προστασίαν, καί καταφυγήν τών ψυχών ημών.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος πλ. α'
Χαίροις ασκητικών

Χαίροις τών ασκητών αρχηγός, γεγενημένος καί αήττητος πρόμαχος, παθών γάρ εκτέμνων ρίζας, καί τών δαιμόνων ορμάς, υποστάς ανδρείως εθριάμβευσας, αυτών τήν ασθένειαν, καί ψυχόλεθρον πλάνησιν, τήν τού Σταυρού δέ, τού Σωτήρος ενέργειαν, καί ανίκητον, εφανέρωσας δύναμιν, ήν καί περιζωσάμενος, ενίκησας άπαντας, θείαν, διά τούς αθετούντας την σαρκός επιφάνειαν, Χριστού, όν δυσώπει, ταίς ψυχαίς ημών δοθήναι, τό μέγα έλεος.

Στίχ. Τίμιος εναντίον Κυρίου ο θάνατος τών οσίων αυτού.

Στύλος φωτοειδής αρεταίς, εστηριγμένος, καί νεφέλη σκιάζουσα, εγένου τοίς εν ερήμω, πρός ουρανόν από γής, τόν Θεόν ορώντων προηγούμενος. Σταυρού βακτηρία, τήν τών παθών ρήξας θάλασσαν, τόν νοητόν δέ, Αμαλήκ τροπωσάμενος, ανεμπόδιστον, τήν ουράνιον άνοδον, εύρες θεομακάριστε, καί κλήρον ακήρατον, σύν Ασωμάτοις τώ θρόνω, περιχαρώς παριστάμενος, Χριστού, όν δυσώπει, ταίς ψυχαίς ημών δοθήναι, τό μέγα έλεος.

Στίχ. Μακάριος ανήρ, ο φοβούμενος τόν Κύριον.

Χαίροις αγγελικαίς ομιλών, χοροστασίαις εν υψίστοις Αντώνιε, τόν βίον γάρ τούτων Πάτερ, επί τής γής αληθώς, αρετήν ασκήσας πεπολίτευσαι, φανείς καθαρώτατον, ακηλίδωτον έσοπτρον, ακτινοβόλους, αστραπάς εισδεχόμενον, τάς τού Πνεύματος, τού Αγίου πανόλβιε, όθεν καταυγαζόμενος, εώρας τά μέλλοντα, πάντα προλέγων εκ θείας, φωτοφανείας μυούμενος, Χριστού, όν δυσώπει, ταίς ψυχαίς ημών δοθήναι, τό μέγα έλεος.

Δόξα... Ήχος πλ. δ'
Συκεώτου

Τών Μοναστών τά πλήθη, τόν καθηγητήν σε τιμώμεν Αντώνιε, διά σού γάρ τήν τρίβον, τήν όντως ευθείαν, πορεύεσθαι έγνωμεν. Μακάριος εί, τώ Χριστώ δουλεύσας, καί εχθρού θριαμβεύσας τήν δύναμιν. Αγγέλων συνόμιλε, τού Παύλου συμμέτοχε τού Θηβαίου, μεθ' ών πρέσβευε τώ Κυρίω, ελεηθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Ανύμφευτε Παρθένε, η τόν Θεόν αφράστως συλλαβούσα σαρκί, Μήτηρ Θεού Υψίστου, σών οικετών παρακλήσεις δέχου Πανάμωμε, η πάσι χορηγούσα, καθαρισμόν τών πταισμάτων. Νύν τάς ημών ικεσίας προσδεχομένη, δυσώπει σωθήναι πάντας ημάς.

Απολυτίκιον  Ήχος δ'

Τόν ζηλωτήν Ηλίαν τοίς τρόποις μιμούμενος, τώ Βαπτιστή ευθείαις ταίς τρίβοις επόμενος, Πάτερ Αντώνιε, τής ερήμου γέγονας οικιστής, καί τήν οικουμένην εστήριξας ευχαίς σου, διό πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν.

Κάθισμα  Ήχος πλ. δ'
Τήν Σοφίαν καί Λόγον

Τήν ψυχήν σου δεσμεύσας πόθω Χριστού, τά γεώδη μμισήσας πάντα σαφώς, ηυλίσθης Πάτερ Όσιε, εν ερήμοις καί όρεσι, τού γνωστικού γάρ ξύλου, γευσάμενος ένδοξε, ως εξ αδύτων μύστης, αγγελικώς διέλαμψας, όθεν καί τόν γνόφον, διαβάς τής σαρκός σου, τό σκότος εδίωξας, τών δαιμόνων μακάριε, Μοναζόντων ο πρόκριτος. Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς έορτάζουσι πόθω, την Αγίαν μνήμην σου.

Δόξα... τό αυτό

Καί νύν... Θεοτοκίον

Τήν Σοφίαν καί Λόγον εν σή γαστρί, συλλαβούσα αφλέκτως Μήτηρ Θεού, αφράστως απεκύησας, τόν τά πάντα ποιήσαντα, καί εν αγκάλαις έσχες, τόν πάντα κατέχοντα, καί έκ μαζών εθήλασας, τόν κόσμον εκτρέφοντα, όθεν δυσωπώ σε, Παναγία Παρθένε, ρυσθήναι πταισμάτων μου, όταν μέλλω παρίστασθαι, πρό προσώπου τού Κτίστου μου. Δέσποινα Παρθένε αγνή, τήν σήν βοήθειαν τότε παράσχου μοι, καί γάρ δύνασαι, όσα θέλεις Πανάχραντε.

Μετά τήν β' Στιχολογίαν

Κάθισμα  Ήχος πλ. α'
Τόν συνάναρχον Λόγον

Τόν Ασκητήν τού Κυρίου ύμνοις τιμήσωμεν, ως νεκρώσαντα πάσας τάς προσβολάς τών παθών, δι' έγκρατείας καί στερράς υπομονής αληθώς, καί καταισχύναντα σφοδρώς, τόν αντίπαλον εχθρόν, καί πάσας τούτου επάρσεις, καί νύν πρεσβεύοντα τώ Κυρίω, ελεηθή ναι τάς ψυχάς ημών.

Δοξα, τό αυτό

Καί νύν... Θεοτοκίον

Χαίρε πύλη Κυρίου η αδιόδευτος, ήν προεκήρυξαν πάντες οι δικαιότατοι, καί ο Προφήτης Δανιήλ, Όρος αλάξευτον, καί Δαυϊδ ο μελωδός, σύν Μωϋσεί καί τοίς λοιποίς, Βάτον καί Στάμνον καί Ράβδον, Νεφέλην Πύλην καί θρόνον, μέγα Όρος αναδειχθείσαν ημίν.

Μετά τόν Πολυέλεον

Κάθισμα  Ήχος πλ. δ'
Τήν Σοφίαν καί Λόγον

Τούς θορύβους τού βίου καταλιπών, τόν σταυρόν σου επ' ώμων αναλαβών, όλον ανατέθεικας, σεαυτόν τώ Κυρίω σου, καί σαρκός έξω Πάτερ, καί κόσμου γενόμενος, τού Αγίου γέγονας, συνόμιλος Πνεύματος, όθεν καί πρός ζήλον, τούς λαούς διεγείρων, τάς πόλεις εκένωσας, τάς ερήμους επόλισας, θεοφόρε Αντώνιε. Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Ήχος δ'
Επεφάνης σήμερον

Τώ φωτί λαμπομενος, τώ απροσίτω, ως αστήρ εξέλαμψας, εν ταίς ερήμοις, διδαχαίς, καταφωτίζων Αντώνιε, τούς αδιστάκτω ψυχή προσιόντας σοι.

Καί νύν... Θεοτοκίον

Επελεύσει Πνεύματος, τού Παναγίου, τού Πατρός τόν σύνθρονον, καί ομοούσιον φωνή, Αγνή Αγγέλου συνέλαβες, Θεοκυήτορ, Αδάμ η ανάκλησις.

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί  Αντίφωνον Α'

- Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.
- Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα...

Αγίω Πνεύματι, πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Καί νύν...

Αγίω Πνεύματι, αναβλύζει τά τής χάριτος ρείθρα, αρδεύοντα, άπασαν τήν

κτίσιν πρός ζωογονίαν.

Προκείμενον  Ήχος δ'

Τίμιος εναντίον Κυρίου ο θάνατος τού Οσίου αυτού.
Στίχ. Τί ανταποδώσωμεν τώ Κυρίω περί πάντων, ών ανταπέδωκεν ημίν.

Πάσα πνοή. Ευαγγέλ. Οσιακόν
Μετά τόν Ν'

Δόξα... Ταίς τού σού Οσίου...
Καί νύν... Ταίς τής Θεοτόκου...

Ιδιόμελον  Ήχος πλ. β'

Όσιε Πάτερ, εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος τών κατορθωμάτων σου, δι' ών εν τοίς ουρανοίς, εύρες μισθόν τών καμάτων σου. Τών δαιμόνων ώλεσας τάς φάλαγγας, τών Αγγέλων έφθασας τά τάγματα, ών τόν βίον αμέμπτως εζήλωσας. Παρρησίαν έχων πρός Κύριον, ειρήνην αίτησαι ταίς ψυχαίς ημών.

Ο Κανών τής Θεοτόκου εις ς' καί τού Οσίου εις η', ού η Ακροστιχίς.

Αντώνιον τόν θείον ευφη μείν θέμις.
Θεοφάνους.

Ωδή α'  Ήχος πλ. δ'

«Αρματηλάτην Φαραώ εβύθισε, τερατουργούσα ποτέ, Μωσαϊκή ράβδος, σταυροτύπως πλήξασα, καί διελούσα θάλασσαν. Ισραήλ δέ φυγάδα, πεζόν οδίτην διέσωσεν, άσμα τώ Θεώ αναμέλποντα».

Αθανασίας καί ζωής λαβόμενος, τής αιωνίου σαφώς, καί τριλαμπούς αίγλης, Πάτερ εμφορούμενος, τώ φωτισμώ τής χάριτος, τήν ζοφώδη ψυχήν μου, καταυγασθήναι δυσώπησον, όπως επαξίως υμνήσω σε.

Νέος υπάρχων ηλικία σώματος, καινήν οδόν αρετής, αναλαβων ταύτην, ακινδύνως ώδευσας, νόμω καινώ πειθόμενος, τού Σωτήρος Τρισμάκαρ, καί ζωηφόροις προστάγμασι, τού Ευαγγελίου επόμενος.

Τή τρισηλίω λαμπηδόνι Πάνσοφε, καταλαμπόμενος, τό δυσμενές μάκαρ, τών δαιμόνων φρύαγμα, καί τών θηρών τά χάσματα, αικισμών τε τούς πόνους, αράχνης δίκην διέλυσας, θείω πυρακτούμενος έρωτι.

Θεοτοκίον

Ως Θεού Μήτηρ παρρησίαν έχουσα, πρός τόν τεχθέντα εκ σού, μονογενή Λόγον, τόν Πατρί συνάναρχον, καί συμφυή τώ Πνεύματι, δυσωπούσα μή παύση, Κινδύνων σώσαι Πανάμωμε, τούς σέ Θεοτόκον δοξάζοντας.

Καταβασία

Χέρσον αβυσσοτόκον πέδον ήλιος, επεπόλευσέ ποτε, ωσεί τείχος γάρ επάγη, εκατέρωθεν ύδωρ, λαώ πεζοποντοπορούντι, καί θεαρέστως μέλποντι. Άσωμεν τώ Κυρίω, ενδόξως γάρ δεδόξασται.

Ωδή γ'

«Ο στερεώσας κατ' αρχάς τούς ουρανούς εν συνέσει, καί τήν γήν επί υδάτων εδράσας, εν τή πέτρα με Χριστέ, τών εντολών σου στήριξον, ότι ουκ έστι πλήν σου, άγιος μόνε φιλάνθρωπε».

Νενευρωμένω λογισμώ, καί σταθηρά διανοία, τών παθών καταμαράνας τήν φλόγα, απαθείας τήν φαιδράν, καταστολήν Αντώνιε, περιεβάλου Πάτερ, καί σωτηρίου ιμάτιον.

Ισχυροτάταις προσβολαίς, δαιμόνων θρασυνομένων, καί θηρίων τάς μορφάς μιμουμένων, κατεφρόνησας αυτών, τής ασθενούς δυνάμεως, τόν κραταιόν γάρ είχες, εν τοίς πολέμοις συλλήπτορα.

Ο θεοφόρος τάς αρχάς, τού σκότους καί εξουσίας, θριαμβεύσας εγκρατεία συντόνω, τροπαιούχος νικητής, Αντώνιος εγένετο, τών ασκητών η δόξα, καί μοναζόντων τό καύχημα.

Θεοτοκίον

Νενεκρωμένον μου τόν νούν, τή τής ζωής ενεργεία, τής εκ σού φανερωθείσης τώ κόσμω, εξανάστησον Αγνή, καί πρός ζωήν οδήγησον, η τού θανάτου πύλας, λύσασα μόνη τώ κόσμω σου.

Καταβασία

Τό στερέωμα, τών επί σοί πεποιθότων, στερέωσον Κύριε τήν Εκκλησίαν, ήν εκτήσω, τώ τιμίω σου αίματι.

Κάθισμα Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Τόν Σταυρόντού Κυρίου άρας σοφέ, καί αυτώ μέχρι τέλους ακολουθών, τόν νούν ουχ υπέστρεψας, εντώ κόσμω θεόσοφε, αλλ' εγκρατείας πόνοις, τά πάθη ενέκρωσας, καί ναόν ητοίμασας, σαυτόν τώ Κυρίω σου, όθεν χαρισμάτων αμοιβήν εκομίσω, ιάσθαι νοσήματα, καί διώκειν τά πνεύματα, θεοφόρε Αντώνιε. Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... τό αυτό

Καί νύν... Θεοτοκίον

Ως πανάμωμος Νύμφη τού Ποιητού, ως απείρανδρος Μήτηρ τού Λυτρωτού, δοχείον ως υπάρχουσα, τού Παρακλήτου Πανύμνητε, ανομίας με όντα, αισχρόν καταγώγιον, καί δαιμόνων παίγνιον εν γνώσει γενόμενον, σπεύσον καί τής τούτων, κακουργίας με ρύσαι, λαμπρόν οικητήριον, δι' αρετής απαρτίσασα, Φωτοδόχε ακήρατε, δίωξον τό νέφος τών παθών, καί τής άνω

μεθέξεως αξίωσον, καί φωτός ανεσπέρου πρεσβείαις σου.

Ωδή δ'

«Σύ μου ισχύς Κύριε, σύ μου καί δύναμις, σύ Θεός μου, σύ μου αγαλλίαμα, ο Πατρικούς κόλπους μή λιπών, καί τήν ημετέραν πτωχείαν επισκεψάμενος, διό σύν τώ προφήτη, Αββακούμ σοι κραυγάζω. Τή δυνάμει σου δόξα φιλάνθρωπε».

Τών αρετών, κλίμακι θεία χρησάμενος, πρός τό ύψος, Πάτερ αναβέβηκας, καί τόν Θεόν είδες επ' αυτήν, επεστηριγμένον, καί δωρεάς διανέμοντα, χειρί πλουσιωτάτη, τοίς Πιστώς μελω δούσι. Τή δυνάμει σου δόξα Φιλάνθρωπε.

Όλος Θεώ, καθιερώθης Αντώνιε, μόνος μόνω, πάνσοφε ενούμενος, δι' αρετής, καί καθομιλών, καί θεοφανείας, ως καθαρός αξιούμενος, τής γής καί τών γηϊνων, αποστάς γάρ αξίως, τήν ουράνιον εύρες απόλαυσιν.

Νούν καί ψυχήν, κεκαθαρμένος Αντώνιε, τήν απάτην, Πάτερ τήν ψυχόλεθρον, καί μηχανάς, δόλους τε πικρούς, καί τάς φαντασίας, τών δυσμενών εφανέρωσας, παθών γάρ εδιδάχθης, καί μαθών εκδιδάσκεις, Μοναζόντων τά πλήθη Πανόλβιε.

Θεοτοκίον

Θεόν εκ σού, τόν σαρκωθέντα δυσώπησον, τόν ατρέπτως, ο ήν διαμείναντα, καί φυσικώς, ίσον τώ Πατρί, καί σοί τή Τεκούση, γενόμενον ομοούσιον, συγχώρησιν πταισμάτων, καί ψυχών σωτηρίαν, τοίς υμνούσί σε πίστει δωρήσασθαι.

Καταβασία

Εκάλυψεν ουρανούς, η αρετή σου Χριστέ, τής κιβωτού γάρ προελθών,τού αγιάσματός σου, τής αφθόρου Μητρός, εν τώ ναώ τής δόξης σου, ώφθης ώς βρέφος, αγκαλοφορούμενος, καί επληρώθη τά πάντα τής σής αι νέσεως.

Ωδή ε'

«Ίνα τί με απώσω, από τού προσώπου σου τό φώς τό άδυτον, καί εκάλυψέ με τό αλλότριον σκότος τόν δείλαιον, αλλ' επίστρεψόν με, καί πρός τό φώς τών εντολών σου, τάς οδούς μου κατεύθυνον δέομαι».

Ενοικούντά σοι έχων, τόν τά πάντα βλέποντα Θεόν μακάριον, εκδιδάσκοντά σε, καί φωτίζοντα καί συνετίζοντα, τών ψυχών Τρισμάκαρ, τών καθαρών καί μακαρίων, τάς ανόδους οράν κατηξίωσαι.

Ιαμάτων σοι χάριν, κατά νοσημάτων ποικίλων δεδώρηται, καί κατά πνευμάτων, ακαθάρτων Χριστός εξουσίαν Σοφέ, τήν γάρ φύσιν Πάτερ, νενικηκώς τών υπέρ φύσιν, χαρισμάτων μετέσχες τού Πνεύματος.

Θεοτοκίον

Οι σέ τείχος πλουτούντες, καί τή προστασία σου περιφρουρούμενοι, δόξη, εγκαυχώμενοι τή σή θεία σέ μακαρίζομεν, σύ γάρ Παναγία, τήν τών ψυχών

ημών πηγάζεις, ευφροσύνην τε καί αγαλλίασιν.

Καταβασία

Ως είδεν Ησαίας συμβολικώς, εν θρόνω επηρμένω Θεόν, υπ' Αγγέλων δόξης δορυφορούμενον, ώ τάλας! εβόα, εγώ, πρό γάρ είδον σωματούμενον Θεόν, φωτός ανεσπέρου, καί ειρήνης δεσπόζοντα.

Ωδή ς'

«Άβυσσος αμαρτιών, καί πταισμάτων καταιγίς με ταράττει, καί πρός βυθόν βιαίως συνωθεί απογνώσεως, αλλ' αυτός τήν κραταιάν, χείρά μοι έκτεινον, ως τώ Πέτρω, καί εκ βυθού φθοράς ανάγαγε».

Νόμιμον αθλητικώς, πολιτείαν απαλών εξ ονύχων αναλαβών θεόφρον, μέχρι τέλους διέσωσας, καί ως θείος αριστεύς, στέφανον είληφας, τόν τής νίκης, παρά τού πάντων Βασιλεύοντος.

Έχοντες πρός τόν Θεόν, πρεσβευτήν σε δυνατώτατον Μάκαρ, καί κοινωνόν φροντίδων, καί προστάτην καί πρόμαχον, καί μεσίτην ευμενή, πάντων σωζόμεθα τών κινδύνων, καί πειρασμών καί περιστάσεων.

Θεοτοκίον

Ύψωσας παναληθώς, τήν πεσούσαν τών ανθρώπων ουσίαν, τόν εν μορφή τή θεία, καί Πατρός έν ισότητι, καθορώμενον Υιόν, τόν αναλλοίωτον Θεοτόκε, άνευ σποράς κυοφορήσασα.

Καταβασία

Εβόησέ σοι, ιδών ο Πρέσβυς, τοίς οφθαλμοίς τό σωτήριον, ό λαοίς επέστη. Εκ Θεού Χριστέ σύ Θεός μου.

Κοντάκιον  Ήχος β'

Τά άνω ζητών

Τούς βιωτικούς θορύβους απωσάμενος, ησυχαστικώς τόν βίον εξετέλεσας, τόν Βαπτιστήν μιμούμενος, κατά πάντα τρόπον Οσιώτατε, σύν αυτώ ούν σε γεραίρομεν, Πατέρων Πάτερ Αντώνιε.

Ο Οίκος

Τής τού Χριστού φωνής επακούσας, επορεύθης Οπίσω τών αυτού εντολών, γυμνός τού βίου γενόμενος, καί απορρίψας φροντίδας πάσας τών χρημάτων, κτημάτων, καί οικετών σου, καί αδελφής τήν στοργήν, θεοφόρε Αντώνιε, καί μόνος εν τοίς ερήμοις, τώ Θεώ Ομιλών καθαρώτατα, γνώσεως χάριν είληφας, ήν μοι πέμψον υμνείν σε μέλλοντι, Πατέρων Πάτερ Αντώνιε.

Συναξάριον

Τή ΙΖ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Αντωνίου τού Μεγάλου.

Στίχοι

- Έχει τι μείζον ουρανός καί τών Νόων,
- Έξαρχον Αντώνιον Ασκητών έχων.
- Εβδομάτη δεκάτη Αντώνιον ένθεν άειραν.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου καί θεοφόρου Πατρός ημών καί θαυματουργού Αντωνίου τού Νέου, τού εν τή Σκήτει τής Βερροίας ασκήσαντος.

Στίχοι

- Αντώνιον δέ τόν Νέον πού τακτέον,
- Ει μή παρ' αυτώ τώ πάλαι Αντωνίω;

Τή αυτή ημέρα, ο Όσιος Αχιλλάς εν ειρήνη τελειούται.

Στίχοι

- Όπλοις Αχιλλεύς τάς κάτω πορθεί πόλεις,
- Πόνοις Αχιλλάς τήν άνω πλουτεί πόλιν.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

«Θεού συγκατάβασιν, τό πύρ ηδέσθη εν Βαβυλώνι ποτέ, διά τούτο οι Παίδες, εν τή καμίνω αγαλλομένω ποδί, ως εν λειμώνι χορεύοντες έψαλλον. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών».

Φιάλαι πεφύκασι, τών αρωμάτων αι σιαγόνες σου, αρετών ευωδίας, καί σωτηρίας αρωματίζουσαι, ως εκ λειμώνος, τοίς πόθω κραυγάζουσιν. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Η χάρις τού Πνεύματος, τού Παναγίου σοί ενοικήσασα, τών πνευμάτων διώκτην, τής πονηρίας Πάτερ ειργάσατο, καί Μοναζόντων αλείπτην κραυγάζοντα. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Μαρίαν τήν άχραντον, καί παναγίαν. ανευφημήσωμεν, δι' αυτής γάρ η χάρις, ημίν πηγάζει τών υπέρ νούν δωρεών, ως εκ χειμάρρου τής θείας χρηστότητος, ήν ευσεβεί λογισμώ, νύν μακαρίζομεν.

Καταβασία

Σέ τόν εν πυρί δροσίσαντα, Παίδας θεολογήσαντας, καί Παρθένω, ακηράτω, ενοικήσαντα, Θεόν Λόγον υμνούμεν, ευσεβώς μελωδούντες. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Ωδή η'

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν, εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, Τόν Δημιουργόν, καί Λυτρωτήν ανεβόα, οι παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Εν προσευχαίς τό άγρυπνον, εν νηστείαις τό εύτονον, τό καρτερικόν, εν πειρασμοίς κτησάμενος, νοός καθαρότητι, επί γής ως Άγγελος, πεπολιτευμένος, τώ Θεώ ανεβόας. Οι Παίδες ευλογείτε, λαός υπερυψούτε, εις

πάντας τούς αιώνας.

Ικετηρίαις Όσιε, δεήσεσι χρώμενος, σύ διηνεκώς, πρός τόν Θεόν ανέδραμες, πρός ύψος μετάρσιον, τούς τών δαιμόνων βρόχους φυγών, ελευθερωθείς δέ, τής αυτών τυραννίδος, θεόφρον dναμέλπεις, ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Νέος Μωσής γενόμενος, εν ερήμω τό τρόπαιον, κατά τών εχθρών καί πολεμίων έστησας, λαού προηγούμενος, τών Ασκητών συστήματος, τού εν ευφροσύνη, καί σεμνή πολιτεία, βοώντος. Τόν Δεσπότην, Ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Θεογεννήτορ Πάναγνε, τής ψυχής μου τά τραύματα, καί τής αμαρτίας, τάς ουλάς εξάλειψον, πηγαίς αποσμήχουσα, ταίς εκ πλευράς τού Τόκου σου, καί τοίς εξ αυτής, αποκαθαίρουσα ρείθροις, πρός σέ γάρ ανακράζω, καί πρός σέ καταφεύγω, καί σέ επικαλούμαι, τήν Κεχαριτωμένην.

Καταβασία

Αστέκτω πυρί ενωθέντες, οι θεοσεβείας προεστώτες Νεανίαι, τή φλογί δέ μή λωβηθέντες, θείον ύμνον έμελπον. Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ωδή Θ'

«Εξέστη επί τούτω ο ουρανός, καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός ώφθη τοίς ανθρώ, ποις σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι μεγαλύνουσιν».

Επέστη η φωσφόρος σου Εορτή παμμακάριστε Πάτερ Αντώνιε πλήρης χαράς, πλήρης ευφροσύνης πνευματικής, πλήρης Αγίου Πνεύματος, πλήρης ευωδίας καί φωτισμού, καί νύν σε κεκτημένοι, ασκήσεως κανόνα, καί νομοθέτην αγαλλόμεθα.

Μή παύση ικετεύων τόν Λυτρωτήν, πανσεβάσμιε Πάτερ δωρήσασθαι, τοίς ευλαβώς, μνήμην σου τελούσι τήν Ιεράν, τήν τών πταισμάτων άφεσιν, τήν τών χαρισμάτων διανομήν, τήν θείαν προστασίαν, ψυχών τήν σωτηρίαν, καί αιωνίαν απολύτρωσιν.

Ισάγγελος βιώσας επί τής γής, τήν ισάγγελον εύρες φαιδρότητα, τής γάρ αυτών, θεοειδεστάτης μαρμαρυγής, εν μετουσία γέγονας, οίς καί συναγάλλη διηνεκώς, ως ένθεος Προφήτης, ως Μάρτυς στεφηφόρος, ως Μοναζόντων ακροθίνιον.

Θεοτοκίον

Συνέλαβες Παρθένε δίχα σποράς, τόν τά σύμπαντα δημιουργήσαντα, Λόγον Θεού, άνευ θελημάτων τών τής σαρκός, άνευ φθοράς δέ τέτοκας, άνευθεν ωδίνων τών μητρικών, διό σε Θεοτόκον, καί γλώσση καί καρδία,

ομολογούντες μεγαλύνομεν.

### Καταβασία

Θεοτόκε η ελπίς, πάντων τών Χριστιανών, σκέπε φρούρει φύλαττε, τούς ελπίζοντας εις σέ.

Εν νόμω, σκιά καί γράμματι, τύπον κατίδωμεν οι πιστοί, πάν άρσεν τό τήν μήτραν διανοίγον, άγιον Θεώ, διό πρωτότοκον Λόγον, Πατρός ανάρχου Υιόν, πρωτοτοκούμενον Μητρί, απειράνδρω, μεγαλύνομεν.

### Εξαποστειλάριον
### Γυναίκες ακουτίσθητε

Καινήν οδόν καί άτριπτον, ανθρώποις εκ νεότητος, αναλαβών θεοφόρε, ταύτην θερμώς έως τέλους, ανεπιστρόφως ώδευσας, νόμω καινώ πειθόμενος, Χριστού, καί πρώτος πέφηνας, καθηγητής τής ερήμου, καί Μοναζόντων ακρότης.

### Έτερον  Εν Πνεύματι τώ Ιερώ

Φωστήρ φωστήρων γέγονας, Μοναστών δέ αλείπτης, καί αρχηγός Αντώνιε, οικουμένης τό κλέος, διδάσκων οία γενναίος, στρατηγέτης άριστα, τάς τών δαιμόνων εφόδους, μή πτοείσθαι αρρωγόν, κεκτημένους τόν Χριστόν, τής πλάνης τόν καθαιρέτην.

### Έτερον  όμοιον

Εν σώματι διατελών, τών Αγγέλων τόν βίον, υπήλθες ώσπερ άσαρκος, καί τώ κόσμω εδείχθης, φωστήρ αειλαμπέστατος, καί τοίς πάσιν έδειξας, Αντώνιε θεοφόρε, Μοναζόντων τό κλέος, Ασκητών η καλλονή, καί τών Πατέρων η δόξα.

### Θεοτοκίον

Ελπίς τού κόσμου αγαθή, Θεοτόκε Παρθένε, τήν σήν άμαχον Δέσποινα, προστασίαν αιτούμεν, οι θλίψεσι συσχεθέντες, καί κλυδωνιζόμενοι, τού βίου ταίς τρικυμίαις, στήσον αύρας τών παθών, καί λιμένα εις Θεού, εμβίβασον θελημάτων.

### Εις τούς Αίνους, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

### Ήχος πλ. δ'
### Ώ τού παραδόξου θαύματος

Όσιε Πάτερ Αντώνιε, σύ τόν ζυγόν τού Χριστού, επί ώμων αράμενος, τώ Σταυρώ τήν έπαρσιν, τού Σατάν καταβέβληκας, καί τάς ερήμους, πόλεις ανέδειξας, διά τού τρόπου τής πολιτείας σου. Ώ παμμακάριστε, Ασκητών τό καύχημα, διό Χριστόν, απαυστως ικέτευε, ελεηθήναι ημάς.

Όσιε Πάτερ Αντώνιε, διά τήν όντως ζωήν, εν τώ μνήματι κέκλεισαι, μηδόλως πτοούμενος, προσβολάς τού αλάστορος, τάς μετά κτύπων καί κρότων Όσιε, ταίς δέ ευχαίς σου, ταύτας ηδάφισας. Ώ καρτερόψυχε, τής ερήμου πρώταρχε, διό καί νύν, πάντες σε γεραίρομεν, καί μακαρίζομεν.

Πίστει συνελθόντες πάντες σε, ως Ασκητήν τού Χριστού, σέ τιμώμεν Αντώνιε, γεγηθώς γάρ ώδευσας, εν ερήμοις σαφέστατα, καθηγητής τε ταύτης εγένου πιστός, όθεν σοι πάντες, ημείς κραυγάζομεν. Ώ παμμακάριστε, Μοναστών τό καύχημα, τώ Λυτρωτή, απαύστως ικέτευε, εις τό σωθήναι ημάς.

Πάτερ Πατέρων Αντώνιε, τή ακορέστω στοργή, τού Χριστού καί τώ έρωτι, τήν ψυχήν κινούμενος, εν ερήμοις εζήτησας, αυτόν θορύβους, εκκλίνας άπαντας, καί μόνος τούτω, μόνω ωμίλησας, νοϊ ενούμενος, καί φωτός πληρούμενος, ώ καί ημών, τάς ψυχάς καταύγασον, τών ανυμνούντων σε.

Δόξα... Ήχος πλ. δ'

Ανατολίου

Ουρανοδρόμω επιβάς οχήματι θεσπέσιε, τών αρετών κατέλαβες, τήν ακρόπολιν δι' ασκήσεως, εκ τής ερήμου πολεύων, τής άνω Ιερουσαλήμ, τά υπερκόσμια, καί τών εκ πόνων αγώνων, αξίως τά γέρα κομισάμενος, ταίς ουρανίαις συναγάλλη, ταξιαρχίαις Παμμακάριστε, τών αιωνίων αγαθών κληρονόμος, καί τής Βασιλείας οικήτωρ γενόμενος. Αλλά πρέσβευε θεοφόρε Αντώνιε, τώ Σωτήρι τών όλων, ειρηνεύσαι τόν κόσμον, καί σώσαι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Δέσποινα πρόσδεξαι, τάς δεήσεις τών δούλων σου, καί λύτρωσαι ημάς, από πάσης ανάγκης καί θλίψεως.

Δοξολογία μεγάλη καί Απόλυσις

Εις τήν Λειτουργίαν

Τυπικά, καί εκ τού Κανόνος, Ωδή γ' καί ς'.

---

Αρχή

## ΤΗ ΙΗ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών εν Αγίοις Πατέρων ημών, καί μεγάλων Αρχιεπισκόπων Αλεξανδρείας, Αθανασίου καί Κυρίλλου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Μετά τόν Προοιμιακόν, στιχολογούμεν τήν α' στάσιν τού Μακάριος ανήρ. Εις δέ τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους στ' καί ψάλλομεν Στιχηρά Προσόμοια τού Αγίου Αθανασίου.

Ήχος δ'

Ως γενναίον εν Μάρτυσιν

Διωγμούς εκαρτέρησας, καί κινδύνους υπέμεινας, θεορρήμον Όσιε Αθανάσιε, έως τήν πλάνην εξώρισας, Αρείου τήν άθεον, καί τήν Ποίμνην τής αυτού, ασεβείας διέσωσας, ομοούσιον, τώ Πατρί δογματίζων τόν Υιόν τε, καί τό Πνεύμα ορθοδόξως, Ιερουργέ παμμακάριστε.

Αστραπαίς τού κηρύγματος, τούς εν σκότει εφώτισας, καί τήν πλάνην άπασαν απεδίωξας, προκινδυνεύων τής Πίστεως, στερρέ Αθανάσιε, ως ποιμήν αληθινός, ως εδραίωμα άσειστον, παναοίδιμε, τής Χριστού Εκκλησίας, διά τούτο, συνελθόντες σε τιμώμεν, μελωδικώς αγαλλόμενοι.

Αρετήν πάσαν ήσκησας, επιμόνως θεόπνευστε, καί χρισθείς τώ Πνεύματι χρίσμα άγιον, Ιερουργός Ιερώτατος, σαφώς εχρημάτισας, καί Ποιμήν αληθινός, καί τής Πίστεως πρόμαχος, όθεν άπασα, Εκκλησία δοξάζει σου τήν μνήμην, Ιερώς επιτελούσα, καί τόν Σωτήρα δοξάζουσα.

Τού Αγίου Κυρίλλου  όμοια

Τοίς πυρίνοις σου δόγμασι, τών αιρέσεων άπασα, φρυγανώδης φλέγεταιύλη Πάνσοφε, τών νοημάτων τοίς βάθεσι, βυθίζεται στράτευμα, απειθούντων δυσσεβών, τοίς δέ δόγμασι Κύριλλε, τής σοφίας σου, καλλωπίζεται Μάκαρ καθ' εκάστην, τών πιστών η Εκκλησία, μεγαλοφώνως τιμώσά σε.

Ευφραδία τών λόγων σου, Ιερώτατε Κύριλλε, Εκκλησία άπασα ωραϊζεται, καί ευσεβώς καλλωπίζεται, ωραίοις εν κάλλεσι, καί τιμά σου Ιερώς, τήν αγίαν καί εύσημον, μνήμην ένδοξε, Ορθοδόξων τό κλέος, τών Πατέρων, κορυφαίε τής Συνόδου, τής Παναγίας υπέρμαχε.

Τής Χριστού απεδίωξας, νοητούς λύκους Κύριλλε, Εκκλησίας σκίμπωνι τών δογμάτων σου, καί ταύτην κύκλω ετείχισας, λόγων οχυρώμασι, παραστήσας τώ Χριστώ, ασινή καί αλώβητον, όν ικέτευε, εκ φθοράς καί κινδύνων λυτρωθήναι, τούς εν πίστει εκτελούντας, τήν αεισέβαστον μνήμην σου.

Δόξα... Ήχος πλ. β'

Κυρίλλου Πατριάρχου Κωνσταντινουπόλεως

Ιεραρχών τούς αρχηγούς, Πατριαρχών τούς ακραίμονας, καί παμφαείς φωστήρας τής οικουμένης, τών εννοιών τού Χριστού τούς εκφάντορας, συνελθόντες ώ φιλέορτοι, πνευματικοίς εγκωμίοις αινέσωμεν λέγοντες. Χαίροις σοφέ Αθανάσιε, επώνυμε τής αθανασίας, ο τόν ληρώδη Άρειον, καθάπερ λύκον εκσφενδονήσας τοίς ποίμνης τού Χριστού, τή ελαστική σφενδόνη τών θεοσόφων δογμάτων σου. Χαίροις αστήρ παμφαέστατε, υπέρμαχε τής Αειπαρθένου, ο στεντορείως αυτήν Θεοτόκον, εν μέσω τού εν Εφέσω Ιερού συλλόγου, ανακηρύξας λαμπρώς, καί τών Νεστορίου ληρημάτων καθαιρέτα, παμμακάριστε Κύριλλε. Χαίρετε θεολογίας πηγαί, θεοσοφίας ποταμοί αέναοι, καί βρύσεις θείας γνώσεως. Αλλ' ώ Πατέρες τρισόλβιοι, μή παύσησθε πρεσβεύοντες Χριστώ, υπέρ τών πίστει καί πόθω τελούντων υμών, τήν πανίερον καί θείαν πανήγυριν.

Καί νύν... Θεοτοκίον

Τίς μή μακαρίσει σε, Παναγία Παρθένε; τίς μή ανυμνήσει σου τόν αλόχευτον τόκον; ο γάρ αχρόνως εκ Πατρός εκλάμψας Υιός μονογενής, ο αυτός εκ σού τής αγνής προήλθεν, αφράστως σαρκωθείς, φύσει Θεός υπάρχων καί φύσει γενόμενος άνθρωπος δι' ημάς, ουκ εις δυάδα προσώπων τεμνόμενος, αλλ' εν

δυάδι φύσεων ασυγχύτως γνωριζόμενος. Αυτόν ικέτευε, Σεμνή παμμακάριστε, ελεηθήναι τάς ψυχάς ημών.

Είσοδος, τό Προκείμενον τής ημέρας καί τά Αναγνώσματα.

Δευτερονομίου τό Ανάγνωσμα
(Κεφ.1,8-11,15-17)

Είπε Μωσής πρός τούς υιούς Ισραήλ. Ίδετε παραδέδωκα ενώπιον υμών τήν γήν, εισελθόντες κληρονομήσατε τήν γήν, ήν ώμοσε Κύριος τοίς πατράσιν ημών, τώ Αβραάμ καί τώ Ισαάκ καί τώ Ιακώβ, δούναι αυτοίς αυτήν, καί τώ σπέρματι αυτών μετ' αυτούς. Καί είπον πρός υμάς εν τώ καιρώ εκείνω λέγων. Ου δυνήσομαι μόνος φέρειν υμάς. Κύριος ό Θεός ημών επλήθυνεν υμάς, καί ιδού εστε σήμερον ως τά άστρα τού ούρ ανού τώ πλήθει. Κύριος ο Θεός τών Πατέρων ημών προσθείη ύμιν, ως εστέ, χιλιοπλασίως καί ευλογήσαι ημάς, καθότι ελάλησεν υμίν. Καί έλαβον εξ υμών άνδρας σοφούς, καί επιστήμονας, καί συνετούς, καί κατέστησα αυτούς ηγείσθαι εφ' υμών, χιλιάρχους, καί εκατοντάρχους, καί πεντηκοντάρχους, καί δεκάρχους, καί γραμματοεισαγωγείς τοίς Κριταίς ημών. Καί ενετειλάμην τοίς κριταίς υμών εν τώ καιρώ εκείνω, λέγων. Διακούετε ανά μέσον τών αδελφών υμών, καί κρίνετε δικαίως ανά μέσον ανδρός, καί ανά μέσον τού αδελφού αυτού, καί ανά μέσον τού προσηλύτου αυτού. Ούκ επιγνώσεσθε πρόσωπον εν κρίσει, κατά τόν μικρόν καί κατά τόν μέγαν κρινείς, ού μή υποστείλη πρόσωπον ανθρώπου, ότι η κρίσις τού Θεού εστιν.

Δευτερονομίου τό Ανάγνωσμα
(Κεφ. 10, 14-18, 20-21)

Είπε Μωσής πρός τούς υΙούς Ισραήλ. ιδού Κυρίου τού Θεού σου ο ουρανός, καί ο ουρανός τού ουρανού, η γή, καί πάντα όσα εστίν εν αυτοίς. Πλήν τούς Πατέρας ημών προείλετο Κύριος αγαπάν αυτούς, καί εξελέξατο τό σπέρμα αυτών μετ' αυτούς, υμάς παρά πάντα τά έθνη, Κατά τήν ημέραν ταύτην. Καί περιτεμείσθε τήν σκληροκαρδίαν υμών, καί τόν τράχηλον υμών ού σκληρυνείτε έτι. ο γάρ Κύριος ο Θεός ημών, ούτος Θεός τών θεών, καί Κύριος τών κυρίων, ο Θεός ο μέγας καί ισχυρός καί φοβερός, όστις ου θαυμάζει πρόσωπον, ού δ' ού μή λάβη δώρον, ποιών κρίσιν προσηλύτω, καί ορφανώ, καί χήρα, καί αγαπά τόν προσήλυτον, δούναι αυτώ άρτον καί ιμάτιον. Κύριον τόν Θεόν σου φοβηθήση, καί αυτώ μόνω λατρεύσεις, καί πρός αυτόν κοληθήση, καί επί τώ ονόματι αυτού ομή. Αυτός καύχημά σου, καί αυτός Θεός σου όστις εποίησέ σοι τά μεγάλα καί ένδοξα ταύτα, ά είδον οι οφθαλμοί σου.

Σοφίας Σολομώντος τό Ανάγνωσμα
(Κεφ. 3, 1- 9)

Δικαίων ψυχαί εν χειρί Θεού, καί ού μή άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι, καί ελογίσθη κάκωσις η έξοδος αυτών, καί η αφ' ημών πορεία σύντριμμα, οι δέ εισιν εν ειρήνη. Καί γάρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Καί ολίγα παιδευθέντες, μεγάλα ευεργετηθήσονται, ότι ο Θεός επείρασεν αυτούς, καί εύρεν αυτούς

αξίους εαυτού. Ως χρυσόν εν χωνευτηρίω  εδοκίμασεν αυτούς, καί ως ολοκάρπωμα θυσίας προσεδέξατο αυτούς. Καί εν καιρώ  επισκοπής αυτών αναλάμψουσι, καί ως σπινθήρες εν καλάμη διαδραμούνται. Κρινούσιν Έθνη, καί κρατήσουσι λαών, καί βασιλεύσει αυτών Κύριος εις τούς αιώνας. Οι πεποιθότες επ' αυτώ, συνήσουσιν αλήθειαν, καί οι πιστοί εν αγάπη, προσμενούσιν αυτώ, ότι χάρις καί έλεος εν τοίς Οσίοις αυτού, καί επισκοπή εν τοίς εκλεκτοίς αυτού.

Εις τήν Λιτήν, Στιχηρά Ιδιόμελα.

Ήχος α'  Γερασίμου Αλεξανδρείας

Η σοφία τού Θεού, τάς εν κόσμω θλίψεις, καί τά τών εχθρών παλαίσματα, ως χωνευτήριον τίμιον ητοιμάσατο, εν ώ τό καθαρώτατον χρυσίον, Αθανάσιον τόν πάνσοφον Ιεράρχην, τόν Αλεξανδρείας λαμπρότατον φωστήρα, αξιοπρεπώς εδοκίμασε, καί άξιον ευραμένη, ως δακτύλιον δεξιά τή αγία κατεσκεύασε. Διό καί τήν μακαρίαν αυτού ψυχήν, ως νύμφην ιδίαν ενυμφεύθη, ταύτη ευφραινομένη εις τούς αιώνας.

Ο αυτός

Η σοφία τού Θεού, τούς εαυτής θησαυρούς, εν τώ Κυρίλλω κατέκρυψε, διό μηκέτι γήν διορύξαντες, φθοράς θησαυρών φροντίσωμεν, καί τούτοις πλουτισθήναι σπεύσωμεν, πρόσκαιρον γάρ τήν απόλαυσιν έξομεν, τών δέ τής θεοσοφίας θησαυρών Κυρίλλου τού Τρισμάκαρος αιωνίως απολαύοντες, εν ταίς ψυχαίς ημών φυλάξωμεν.

Ο αυτός

Η σοφία τού Θεού, άνθρωπον εν αρχή έπλασεν, εκ ψυχής καί σώματος αυτόν συστησαμένη, εν ώ τά πάντα τεθαύμασται, αλλ' εν τή καινή αναπλάσει, άνθρωπον Θεώ ηρμόσατο, ού τήν άρρητον καί δυσερμήνευτον ένωσιν, περέδωκαν ημίν, οι Χριστού τού Θεού ημών Ιερώτατοι Διδάσκαλοι, τήν εν τώ Υιώ μίαν τού συνθέτου ομολογούντες υπόστασιν, καί δύο τάς θελήσεις, εν αυτή τή μιά υποστάσει. Ξένον άκουσμα! ξένον θέαμα! ξένον ψυχών αγαλλίαμα.

Ήχος γ'  Γερμανού Πατριάρχου

Η μεγάλη τής Εκκλησίας σάλπιγξ, ο πολύαθλος Αθανάσιος, πρός ευωχίαν σήμερον συγκαλείται τήν Εκκλησίαν, Φαιδρώς πάντες πιστοί, πρός τήν πανήγυριν υπαντήσωμεν τού καλού Ποιμένος, ύμνοις γεραίροντες τούς ιερούς αυτού πόνους, όπως ταίς πρεσβείαις αυτού, λάβωμεν παρά Χριστού τού Θεού τό μέγα έλεος.

Ο αυτός  τού αυτού

Τό μέγα κλέος τών Ιερέων, Αθανάσιον τόν αήττητον αριστέα, Ιεροπρεπώς ευφημήσωμεν, τάς φάλαγγας, τή δυνάμει τού Πνεύματος, τά τής Ορθοδοξίας τρόπαια, ανεστήσατο καθ' όλης τής οικουμένης, αριθμών ευσεβώς, τό τής Τριάδος μυστήριον, διά τήν τών προσώπων ιδιότητα, καί πάλιν συνάπτων ασυγχύτως εις εν, διά τήν τής ουσίας ταυτότητα, καί χερουβικώς θεολογών, πρεσβεύει υπέρ τών ψυχών ημών.

Δόξα... Ήχος πλ. β'

Γερασίμου Αλεξανδρείας

Δεύτε συνευφρανθώμεν, πάντες οι γηγενείς, επί τή μνήμη τών σοφωτάτων Διδασκάλων ημών, Αθανασίου τε καί Κυρίλλου, ούτοι γάρ, ως αξιόθεοι παλαισταί, καί πρόμαχοι τής αληθείας πιστότατοι, εχθροίς τοίς αοράτοις καί Ορατοίς, ευσεβοφρόνως αντέστησαν, διό εν ουρανοίς, στεφάνοις τής αθανασίας αυτού κατέστεψεν, ο τών απάντων Βασιλεύς, καί νύν μετ' Αγγέλων χορεύοντες, υμνούσιν ακαταπαύστως αυτόν, τρισαγίοις άσμασι, τόν εν Τριάδι ομοούσιον.

Καί νύν... Θεοτοκίον

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής. Σέ ικετεύομεν, Πρέσβευε Δέσποινα, μετά τών Διδασκάλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Εις τόν Στίχον Στιχηρά Προσόμοια.

Ήχος πλ, α'  Χαίροις ασκητικών

Χαίροις Ιεραρχών η Δυάς, τής Εκκλησίας τά μεγάλα προπύργια, οι στύλοι τής ευσεβείας, ο τών πιστών εδρασμός, τών αιρετιζόντων η κατάπτωσις, Χριστού οι ποιμάναντες, τόν λαόν θείοις δόγμασι, καί ταίς ποικίλαις, αρεταίς οι εκθρέψαντες, οι τής χάριτος, διαπρύσιοι κήρυκες, νόμους οι προεκθέμενοι, Χριστού τώ πληρώματι, οι οδηγοί πρός τά άνω, τού Παραδείσου αι είσοδοι, Χριστόν καταπέμψαι, ταίς ψυχαίς ημών αιτείσθε τό μέγα έλεος.

Στίχ. Τό στόμα μου λαλήσει σοφίαν καί η μελέτη τής καρδίας μου σύνεσιν

Χαίροις Ιεραρχών η Δυάς, ουρανοβάμονες επίγειοι Άγγελοι, τού κόσμου η σωτηρία, η τών ανθρώπων χαρά, καί τής οικουμένης οι Διδάσκαλοι, τού Λόγου οι πρόμαχοι, ιατροί επιστήμονες, τών νοσημάτων, τής ψυχής καί τού σώματος, οι αείροοι, ποταμοί οι τού Πνεύματος, λόγοις οι καταρδεύσαντες, τής γής άπαν πρόσωπον, οι θεολόγοι, αι βάσεις, οι υψηγόροι οι ένθεοι, Χριστόν καταπέμψαι, ταίς ψυχαίς ημών αιτείσθε τό μέγα έλεος.

Στίχ. Οι Ιερείς σου Κύριε ενδύσονται δικαιοσύνην καί οι όσιοί σου αγαλλιάσονται

Χαίροις η Ιερά Ξυνωρίς, τού επιγείου στερεώματος Ήλιος, ακτίνες καί δαδουχίαι, εκ Τρισηλίου αυγής, τών εσκοτισμένων η ανάβλεψις, τά άνθη τά ευοσμα, τού Παραδείσου τά κάλλιστα, όντως ο Μέγας, καί σοφός Αθανάσιος, θείος Κύριλλος, τά πυξία τού Πνεύματος, πλάκες αι θεοχάρακτοι, μαζοί οι εκβλύζοντες, τής σωτηρίας τό γάλα, τό τής σοφίας αγλάϊσμα, Χριστόν δυσωπείτε, ταίς ψυχαίς ημών δοθήναι τό μέγα έλεος.

Δόξα... Ήχος πλ. δ'

Ιεραρχών τούς ακραίμονας, καί παμφαείς φωστήρας τής οικουμένης, εν ύμνοις τιμήσωμεν πιστοί, Αθανάσιον σύν τώ Κυρίλλω, καί Χριστώ εκβοήσωμεν χαρμονικώς, Εύσπλαγχνε Κύριε, παράσχου τώ λαώ σου,

ικεσίαις τών Διδασκάλων, άφεσιν αμαρτιών καί τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Ανύμφευτε Παρθένε, η τόν Θεόν αφράστως συλλαβούσα σαρκί, Μήτηρ Θεού τού υψίστου, σών οικετών παρακλήσεις, δέχου Πανάμωμε, η πάσι χορηγούσα, καθαρισμόν τών πταισμάτων. Νύν τάς ημών ικεσίας προσδεχομένη, δυσώπει σωθήναι πάντας ημάς.

Απολυτίκιον  Ήχος γ'

Θείας πίστεως

Έργοις λάμψαντες Ορθοδοξίας, πάσαν σβέσαντες κακοδοξίαν, νικηταί τροπαιοφόροι γεγόνατε, τή ευσεβεία τά πάντα πλουτίσαντες, τήν Εκκλησί, αν μεγάλως κοσμήσαντες, αξίως εύρατε Χριστόν τόν Θεόν ευχαίς υμών, δωρούμενον πάσι τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Σέ τήν μεσιτεύσασαν τήν σωτηρίαν τού γένους ημών, ανυμνούμεν Θεοτόκε Παρθένε, εν τή σαρκί γάρ τή εκ σού προσληφθείση, ο Υιός σου καί Θεός ημών, τό διά Σταυρού καταδεξάμενος πάθος, ελυτρώσατο ημάς, εκ φθοράς ως φιλάνθρωπος.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα τού Αγίου Αθανασίου

Ήχος πλ. α'  Τόν συνάναρχον Λογον

Τόν λειμώνα τών λόγων τών θεοπνεύστων Γραφών, τόν ημάς οδηγούντα πρός τήν ευσέβειαν, τόν τούς ποικίλους πειρασμούς υπομείναντα, Αθανάσιον πιστοί, ως διδαχθέντες υπ' αυτού, τιμήσωμεν κατά χρέος, πρεσβεύει γάρ τώ Κυρίω, ελεηθήναι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Χαίρε πύλη Κυρίου η αδιόδευτος, χαίρε τείχος καί σκέπη τών προστρεχόντων εις σέ, χαίρε αχείμαστε λιμήν, καί Απειρόγαμε, η τεκούσα εν σαρκί, τόν Ποιητήν σου καί Θεόν, πρεσβεύουσα μή ελλίπης, υπέρ τών ανυμνούντων, καί προσκυνούντων τόν Τόκον σου.

Μετά τήν β' Στιχολογίαν

Κάθισμα τού Αγίου Κυρίλλου

Ήχος γ'  Θείας πίστεως

Θείον έδρασμα τής Εκκλησίας, Πάτερ Κύριλλε, σύ ανεδείχθης, τήν δωδεκάδα εκθείς γάρ τών λόγων σου, τήν Νεστορίου κακόνοιαν ήλεγξας, καί Θεοτόκον κυρίως ετράνωσας. Ρητόρων έξαρχε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Θρόνος πάγχρυσος τού Βασιλέως, καί Παράδεισος διηνθισμένος, ανεδείχθης Θεοτόκε πανάχραντε, τόν γάρ Θεόν εν γαστρί σου βαστάσασα, ευωδιάζεις

ημάς θείαις χάρισιν, όθεν άπαντες, Θεού αληθώς Μητέρα σε, κηρύττομεν αεί καί μεγαλύνομεν.

Μετά τόν Πολυέλεον

Κάθισμα αμφοτέρων
Ήχος α'  Τόν τάφον σου Σωτήρ

Τριάδος τής σεπτής, Αθανάσιον ύμνοις, καί Κύριλλον ομού επαινέσωμεν πάντες, τούς θείους θεράποντας, καί προμάχους τής πίστεως, τούς τοίς βάθεσι, τών ευσεβών νοημάτων, στρατόν έκφρονα, Αιρετικών απειθούντων, αξίως βυθίσαντας.

Δόξα... Καί νύν... Θεοτοκίον

Μαρία τό σεπτόν, τού Δεσπότου δοχείον, ανάστησον ημάς, πεπτωκότας εις χάος, δεινής απογνώσεως, καί πταισμάτων καί θλίψεων, σύ γάρ πέφυκας, αμαρτωλών σωτηρία, καί βοήθεια, καί κραταιά προστασία, καί σώζεις τούς δούλους σου.

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί  Αντίφωνον Α'

Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.

Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον  Ήχος δ'

Οι Ιερείς σου Κύριε ενδύσονται δικαιοσύνην καί οι Όσιοί σου αγαλλιάσονται.
Στίχ. Τό Στόμα μου λαλήσει σοφίαν.

Πάσα πνοή

Ευαγγέλιον κατά Ιωάννην
Είπεν ο Κύριος, ο μή εισερχόμενος...

Ο Ν'

Δόξα... Ταίς τών Διδασκάλων...
Καί νύν... Ταίς τής Θεοτόκου...

Ιδιόμελον, Ήχος πλ. β'

Εξεχύθη ή χάρις εν χείλεσιν υμών, Όσιοι Πατέρες, καί γεγόνατε Ποιμένες τής τού Χριστού Εκκλησίας, διδάσκοντες τά λογικά πρόβατα, πιστεύειν εις Τριάδα

Ομοούσιον, εν μιά θεότητι.

Ο Κανών τής Θεοτόκου μετά τών Ειρμών εις ς' καί τών Αγίων εις η'.

Κανών τού Αγίου Αθανασίου, ού η Ακροστιχίς άνευ τών Θεοτοκίων.

Αθανάσιος εύχος ορθοδοξίας έφυ. Θεοφάνους.

Ωδή α' Ήχος πλ. δ'

«Αρματηλάτην Φαραώ εβύθισε, τερατουργούσα ποτέ, Μωσαϊκή ράβδος, σταυροτύπως πλήξασα, καί διελούσα θάλασσαν, Ισραήλ δέ φυγάδα, πεζόν οδίτην διέσωσεν, άσμα τώ Θεώ αναμέλποντα».

Αθανασίω προσκομίζων έπαινον, ως αρετήν ευφημών, πρός τόν Θεόν φέρω, μάλλον τό εγκώμιον, παρ' ού τοίς βροτοίς δέδοται, αξιέπαινον χρήμα, τής αρετής, ής περ γέγονεν, έμψυχος εικών καί εκσφράγισμα.

Θεοσοφίας χρηματίσας έμπλεως, καί υπέρ ήλιον, βίω απαστράπτων, καί πολιτευσάμενος, Όσιε υπερβέβηκας, εγκωμίων τούς νόμους, τούς παρ' ημών, αλλ' ανάσχοιο, Πάτερ παρ' αξίαν υμνουμενος.

Αξιοχρέως μέν ωδήν υφαίνομεν, σού μνήμη τή ευκλεεί, αλλά απορούντες πλείστον Αθανάσιε, τών κατ' αξίαν ύμνων σου, εξαιτούμεν συγγνώμην, ημίν δοθήναι καί άφθονον, χάριν διά σού τήν τού Πνεύματος.

Νεανικώς τών σαρκικών κατήργησας, παθών σκιρτήματα εν νεότητί σου, γηραλέον φρόνημα, καί ευσταθές κτησάμενος, Αθανάσιε Μάκαρ, τής γάρ σοφίας τώ έρωτι, πάσας τάς αισθήσεις ερρύθμισας.

Θεοτοκίον

Δεδοξασμένα περί σού λελάληνται, εν γενεαίς γενεών, η τόν Θεόν Λόγον, εν γαστρί χωρήσασα, Αγνή δέ διαμείνασα, Θεοτόκε Μαρία, διό σε πάντες γεραίρομεν, την μετά Θεόν προστασίαν ημών.

Κανων τού Αγίου Κυρίλλου, ού η ακροστιχίς άνευ τών Θεοτοκίων.

θεωριών Κύριλλος ενθέων λύρα.

Ποίημα Ιωάννου τού Δαμασκηνού

Ωδή α' Ήχος δ'

«Θαλάσσης τό ερυθραίον πέλαγος, αβρόχοις ίχνεσιν, ο παλαιός πεζεύσας, Ισραήλ, σταυροτύποις Μωσέως χερσί, τού Αμαλήκ τήν δύναμιν, εν τή ερήμω ετροπώσατο».

Θεόθεν τήν φωτοδότιν Κύριλλε, χάριν δεξάμενος, καί τηλαυγής φωστήρ αναδειχθείς, λογικάς εναστράψας ημίν, μαρμαρυγάς τήν μνήμην σου, όπως αξίως ανυμνήσωμεν.

Επλήσθης τής δα δουχίας Κύριλλε, σοφέ τού Πνεύματος, τών εντολών ως φύλαξ τού Χριστού, καί παθών καθηράμενος, τής υπερθέου γέγονας, όντως Τριάδος ενδιαίτημα.

Ως ζήλου καί παρρησίας έμπλεως, Κύριλλε ένδοξε, τάς θεομάχους πάσας αψευδώς, γλωσσαλγίας διήλεγξας, τών δυσσεβών αιρέσεων, ορθοδοξίας προϊστάμενος.

Θεοτοκίον

Πατήσας τήν εντολήν τού Κτίσαντος, τρυφής εκβέβληται, δελεασθείς ο πρώτος εν βροτοίς, αλλά τούτον πεσόντα δεινώς, τόν Λυτρωτήν κυήσασα, ανεκαλέσω Μητροπάρθενε.

Καταβασία

Χέρσον αβυσσοτόκον πέδον ήλιος, επεπόλευσέ ποτε, ωσεί τείχος γάρ επάγη, εκατέρωθεν ύδωρ, λαώ πεζοποντοπορούντι, καί θεαρέστως μέλποντι. Άσωμεν τώ Κυρίω, ενδόξως γάρ δεδόξασται.

Τού Αθανασίου

Ωδή γ'

«Ο στερεώσας κατ' αρχάς, τούς ουρανούς εν συνέσει, καί τήν γήν επί υδάτων εδράσας, εν τή πέτρα με Χριστέ τών εντολών σου στήριξον, ότι ουκ έστι πλήν σου, Άγιος μόνε φιλάνθρωπε».

Ανακαθάρας μολυσμού, παντός ψυχήν τε καί σώμα, Αθανάσιε, ναός ανεδείχθης αξιόθεος, διό τό τής Τριάδος πλήρωμα, επαναπαύσατό σοι, Ιερομύστα πανόβλιε.

Σού ως επόθει τήν ψυχήν, τού Παρακλήτου ή χάρις, εκ παθών κεκαθαρμένην ευρούσα, διαδήλους εν αυτή, τάς ενεργείας δείκνυσι, καί τηλαυγή φωστήρα, Πάτερ τώ κόσμω σε τίθησιν.

Ιεραρχίας μέν κανών, ως Ιεράρχης εδείχθης, πρακτικής υπογραμμός δέ ο βίος, ο δέ λόγος σου Σοφέ, τής θεωρίας τύπος τρανώς, θεολογία δέ σου, όντως η δίδαξις πέφηνε.

Θεοτοκίον

Τών Χερουβίμ καί Σεραφίμ, εδείχθης υψηλοτέρα, Θεοτόκε, σύ γάρ μόνη εδέξω τόν άχραντον Θεόν, εν σή γαστρί αμόλυντε, διό πιστοί σε πάντες, ύμνοις Αγνή μακαρίζομεν.

Τού Κυρίλλου

Ευφραίνεται επί σοί

Ρωννύμενος εν Χριστώ, τάς μηχανάς τού σκολιού δράκοντος, γνώμη στερρά Κύριλλε, ως ιστόν αράχνης διέλυσας.

Ιλύν παθών εκ ψυχής, εξετινάξω καθελων Κύριλλε, πάν λογισμών ύψωμα, κατά τού Χριστού επαιρ όμενον.

Ως εύστοχος αθλητής, Πάτερ εξέκλινας στερρώς άπασαν τήν τής σαρκός ευπάθειαν, ώς επιβλαβή καί επίβουλον.

Θεοτοκίον

Ο Άγγελος Γαβριήλ, τήν υπέρ λόγον σοι χαράν έφησε. Χαίρε Θεού σκήνωμα, ο κατασκηνώσαι ηύδόκησε.

Καταβασία

Τό στερέωμα, τών επί σοί πεποιθότων, στερέωσον Κύριε τήν Εκκλησίαν, ήν εκτήσω, τώ τιμίω σου αίματι.

Κοντάκιον τού Αγίου Αθανασίου

Ήχος β'  Τοίς τών αιμάτων σου

Ορθοδοξίας φυτεύσας τά δόγματα, κακοδοξίας ακάνθας εξέτεμες, πληθύνας τόν σπόρον τής Πίστεως, τή επομβρία τού Πνεύματος Όσιε, διό σε υμνούμεν Αθανάσιε.

Είτα, Κάθισμα

Ήχος δ'  Ταχύ προκατάλαβε

Φωστήρες υπέλαμπροι, τής Εκκλησίας Χριστού, τόν κόσμον εφωτίσατε, ταίς διδαχαίς υμών, Πατέρες θεόσοφοι, τήξαντες τάς αιρέσεις, πάντων τών κακοδόξων, σβέσαντες τάς φλογώδεις, τών βλασφήμων συγχύσεις, διό ως Ιεράρχαι Χριστού, πρεσβεύσατε σωθήναι ημάς.

Δόξα... Καί νύν... Θεοτοκίον

Παρθένε πανύμνητε, Μήτηρ Χριστού τού Θεού, Μαρία Θεόνυμφε, καί απειρόγαμε, Πιστών η αντίληψις, ρύσαι παντός κινδύνου, καί παντοίας ανάγκης, Δέσποινα Θεοτόκε τούς εν πίστει καί πόθω, τή σκέπη σου προσφεύγοντας μόνη Θεόνυμφε.

Τού Αθανασίου

Ωδή δ'

«Σύ μου ισχύς, Κύριε, σύ μου καί δύναμις, σύ Θεός μου, σύ μου αγαλλίαμα, ο Πατρικούς κόλπους μή λιπών, καί τήν ημετέραν, πτωχείαν επισκεψάμενος, διό σύν τώ προφήτη, Αββακούμ σοι κραυγάζω, τή δυνάμει σου δόξα φιλάνθρωπε».

Όλη εν σοί, πνεύσασα η ζωηφόρος πνοή, η εξ ύψους, πρίν επιφοιτήσασα, θεοπρεπώς, Πνεύματος Χριστού, εν τώ υπερώω, καί Μαθητάς εμφορήσασα, Απόστολον δεικνύει, τρισκαιδέκατον Πάτερ, τήν ορθόδοξον Πίστιν κηρυττοντα.

Σύ θεϊκώ, ζήλω σφοδρώς πυρπολούμενος, τή Συνόδω συναγωνιζόνος, καί πρό τού σέ, Πρόεδρον τελείν, εν τή Νικαέων, κυρύττεις τό Ομοούσιον, διό τής Εκκλησίας, ο Χριστός Ποιμενάρχην, καί Διδάσκαλον σέ προχειρίζεται.

Εγχειρισθείς, τής Εκκλησίας τούς οίακας, εκ προνοίας, θείας Αθανάσιε, αιρετικών τάς ψυχοβλαβείς, πάσας γλωσσαλγίας, οιά τις πέλυξ εξέτεμες, προρρίζους, ως ακάνθας, καί τόν σπόρον τού λόγου, επαρδεύων σοφώς εγεώργησας.

Υπό τής σής, γλώσσης πυρίνης εκκέκαυται, η Αρείου, έκφυλος διαίρεσις, σύγχυσίς τε Σαβελλιανή, τά εκ διαμέτρου, κακά καί πρός τήν ασέβειαν, ομότιμα καί πάσα, σύν αυτοίς βλασφημία, αιρετίζουσα ώ Αθανάσιε.

Θεοτοκίον

Σύ τών πιστών, καύχημα πέλεις Ανύμφευτε, σύ προστάτις, σύ καί καταφύγιον, Χριστιανών, τείχος καί λιμήν, πρός γάρ τόν Υιόν σου, εντεύξεις φέρεις Πανάμωμε, καί σώζεις εκ κινδύνων, τούς εν πίστει καί πόθω, Θεοτόκον Αγνή σε γινώσκοντας.

## Τού Κυρίλλου

Επαρθέντα σε ιδούσα

Νενικηκότα τά πάθη τά ψυχοφθόρα, καί λογισμώ κρατήσαντα σαρκός θεοφόρε, Κύριλλε ιδών ο Χριστός, τής θείας σε Πρόεδρον, Πάτερ Εκκλησίας καθίστησι.

Κληρονομήσας ώς γόνος ηγαπημένος τήν πατρικήν τού Μάρκου, αρετήν καί τού θρόνου, γέγονας διάδοχος, τού θείου τοίς ίχνεσιν, Ευαγγελιστού παρεπόμενος.

Υπό Χριστού μέν ως πρόβατον εποιμάνθης, ως δέ ποιμήν εποίμανας, τό ποίμνιον Πάτερ, λόγοις ψυχοτρόφοις σου, ως πόαις καί άνθεσι, δαψιλώς εκτρέφων τής χάριτος.

Θεοτοκίον

Νεμομένην τού θανάτου τήν τυραννίδα, Μήτηρ Θεού κατέπαυσας, Ζωήν τήν αγήρω, Πάναγνε κυήσασα, διό σοι κραυγάζομεν, Χαίρε Θεοτόκε πανύμνητε.

Καταβασία

Εκάλυψεν ουρανούς, η αρετή σου Χριστέ, τής κιβωτού γάρ προελθών,τού αγιάσματός σου, τής αφθόρου Μητρός, εν τώ ναώ τής δόξης σου, ώφθης ώς βρέφος, αγκαλοφορούμενος, καί επληρώθη τά πάντα τής σής αι νέσεως.

## Τού Αθανασίου

Ωδή ε'

«Ίνα τί με απώσω, από τού προσώπου σου τό φώς τό άδυτον, καί εκάλυψέ

με, τό αλλότριον σκότος τόν δείλαιον, αλλ' επίβλεψόν με, καί πρός τό φώς τών εντολών σου, τάς οδούς μου κατεύθυνον δέομαι».

Χριστόν έχων λαλούντα, Πάτερ εν οργάνω ευήχω τή γλώττη σου, στηλιτεύεις Μάκαρ, τών ειδώλων εγγράφως τήν αίρεσιν, τούς πεπλανημένους, ποδηγετών καί επιστρέφων, πρός τόν όντως Θεόν Αθανάσιε.

Ολεθρίους αιρέσεις, Πάτερ εθριάμβευσας λόγοις καί γράμμασι, την ποικίλην πλάνην, εξορίζων σοφαίς αποδείξεσιν, εκ τής οικουμένης, διατρανών αναντιρρήτως, τήν Ορθόδοξον πίστιν μακάριε.

Σέ διδάσκαλον όντως, μέγαν Διδασκάλων σοφέ Αθανάσιε, ακομψεύτω φράσει, μετά τούς Αποστόλους ευμοίρησεν, Εκκλησία Πάτερ, η τού Χριστού διασαφούντα, τόν αμώμητον λόγον τής Πίστεως.

Θεοτοκίον

Μητρικήν παρρησίαν, τήν πρός τόν Υιόν σου κεκτημένη Πάναγνε, συγγενούς προνοίας, τής ημών μή παρίδης δεόμεθα, ότι σέ καί μόνην, Χριστιανοί πρός τόν Δεσπότην, ιλασμόν ευμενή προβαλλόμεθα.

Τού Κυρίλλου

Σύ Κύριέ μου φώς

Ρεύμα όντως σφοδρόν, πλημμυρούντος χειμάρρου ο σός, ώ Κύριλλε εκμιμείται λόγος, τών κακοδόξων, εκτρέπων μηχανήματα.

Ίσως τήν βδελυράν, τού Αρείου διαίρεσιν, ώ Κύριλλε μιαράν τε, Σαβελλίου εκ βάθρων, συναλοιφήν καθήρηΚας.

Λόγους πλουτοποιούς, ου χρυσόν καταλέλοιπας, ώ Κύριλλε θησαυρούς τε, ώσπερ λίθους τιμίους, τους σούς τή Εκκλησία Χριστού.

Θεοτοκίον

Όντως χαρακτήρ, τής αγίας μορφής σου Σεμνή, τούς δαίμονας φυγαδεύει, τούς πιστούς δ' αγιάζει, καί σώζει τάς ψυχάς ημών.

Καταβασία

Ως είδεν Ησαίας συμβολικώς, εν θρόνω επηρμένω Θεόν, υπ' Αγγέλων δόξης δορυφορούμενον, ώ τάλας! εβόα, εγώ, πρό γάρ είδον σωματούμενον Θεόν, φωτός ανεσπέρου, καί ειρήνης δεσπόζοντα.

Τού Αθανασίου

Ωδή ς'

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

Ο θνείου σπόρου σπορεύς, φανείς ο Απολλινάριος, βροτείου λόγου καί νού, Χριστού τό ανθρώπινον, στερρώς εξελήλεγκται, υπό σού Παμμάκαρ, ώσπερ άνους καί φρενόληπτος.

Ρευμάτων τών λογικών, χυθέντων διά χειλέων σου, εξ αενάου πηγής, τής χάριτος Όσιε, γλυκύτερα μέλιτος, ως εκ κρήνης ρείθρα, οι πιστοί απαρυόμεθα.

Θαυμάσειέ τις τοίς σοίς, εικότως Πάτερ συγγράμμασι, σοφώς εμφιλοχωρών, μελλούσας φυήσεσθαι, αιρέσεις Θεώμενος, προανατραπείσας, υπό σού προφητικώτατα.

Θεοτοκίον

Ρυσθείημεν τών δεινών, πταισμάτων ταίς ικεσίαις σου, Θεογεννήτορ αγνή, καί τύχοιμεν πάναγνε, τής θείας ελλάμψεως, τού εκ σού αφράστως, σαρκωθέντος Υιού τού Θεού.

Τού Κυρίλλου

Θύσω σοι, μετά φωνής

Λαβίδι, Σεραφίμ τώ Προφήτη τόν άνθρακα, τή Εκκλησία Χριστού δέ, ταίς χερσί σου προσνέμεις ιερομύστα, τό εκ θείου, πυρός ηνθρακωμένον καθάρσιον.

Ομόρους, ως ο Σαμψών αλλοφυλους ουκ έθραυσας, τά δέ αλλόκοτα πάντα, τών ετεροδόξων διδάγματα, καί τό κράτος, τοίς ορθοδόξοις δέδωκας Κύριλλε.

Συνόδου, θεολέκτου σαφώς προηγούμενος, τό δυσμενές Νεστορίου, χριστομάχον θράσος Πάτερ καθείλες, ζήλου πνέων, υπέρ τής αληθούς Θεομήτορος.

Θεοτοκίον

Φωτίζεις, τώ τοκετώ σου πάντα τά πέρατα, Θεογεννήτορ Παρθένε, σύ γάρ μόνη ώφθης κεκαθαρμένη, απ' αιώνος, δικαιοσύνης Ήλιον έχουσα.

Καταβασία

Εβόησέ σοι, ιδών ο Πρέσβυς, τοίς οφθαλμοίς τό σωτήριον, ό λαοίς επέστη. Εκ Θεού Χριστέ σύ Θεός μου.

Κοντάκιον Ήχος δ'

Επεφάνης σήμερον

Ιεράρχαι μέγιστοι τής ευσεβείας, καί γενναίοι πρόμαχοι, τής Εκκλησίας τού Χριστού, πάντας φρουρείτε τούς μέλποντας. Σώσον Οικτίρμον, τούς πίστει τιμώντάς σε.

Ο Οίκος

Ακαταλήπτω σου χειρί, καί σθένει απορρήτω, τήν σήν νύν Εκκλησίαν ουρανώσας Οικτίρμον, έδειξας όντως φαεινούς τούς δύω φωστήρας, μεγίστους τε καί τερπνούς, τόν κόσμον καταυγάζοντας, σύν Αθανασίω τώ

πανσόφω, Κύριλλον τόν θείον. Ταίς αυτών ούν ικεσίαις, εξάρας τήν νύκτα, εχθρών πάσαν αχλύν διάλυσον Σώτερ, καί φωτί τώ φρικτώ τών πιστών τά πλήθη καταύγασον, πρός τό κράζειν καί βοάν σοι. Σώσον Οικτίρμον, τούς πίστει τιμώντάς σε.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΗ' τού αυτού μηνός, Μνήμη τών εν αγίοις Πατέρων ημών Αθανασίου καί Κυρίλλου, Πατριαρχών Αλεξανδρείας.

Στίχοι

Αθανάσιον καί θανόντα ζήν λέγω.
Οι γάρ δίκαιοι ζώσι καί τεθνηκότες.
Φυγής Κυρίλλου σήμερον μνήμην άγει,
Αλλ' ου τελευτής τής αειμνήστου κτίσις.
Τάρχυσαν ογδοάτη δεκάτη νέκυν Αθανασίου.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος Θεοδούλης.

Στίχοι

Τήν θεοδούλην εκ ξίφους τεθνηκέναι,
Δούλοι Θεών κρίνουσι τών ψευδωνύμων.

Τή αυτή ημέρα, η Αγία Ξένη πυρί τελειούται.

Στίχοι

Ο Χριστός ήλθεν πύρ βαλείν εις τήν γήν πάλαι,
Ξένη τρέφουσα καρτερεί τό πύρ ξένως.

Ταίς τών αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τού Αθανασίου

Ωδή ζ'

«Θεού συγκατάβασιν, τό πύρ ηδέσθη εν Βαβυλώνι ποτέ, διά τούτο οι παίδες εν τή καμίνω, αγαλλομένω ποδί, ως εν λειμώνι χορεύοντες έψαλλον. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών».

Ομότιμον σύνθρονον, Πατρί τόν Λόγον, μονογενή τε Υιόν, ορθοδόξως κηρύξας, αθανασίας Πάτερ επώνυμε, αύθις διδάσκεις, τό Πνεύμα Γεννήτορι, καί τώ Υιώ συμφυές καί Ομοούσιον.

Διδάσκαλον κήρυκα, ιεροφάντην τού τρισηλίου φωτός, διαγγέλλοντα πάσιν, ορθοδοξίαν μέχρι τερμάτων τής γής, ευσεβείας ορών ο γεννήτωρ σε, τούς πειρασμους κατά σού επανετείνετο.

Οι κίνδυνοι άπειροι, ούς έτλης Μάκαρ αγωνιζόμενος, υπέρ τής ευσεβείας, οι στέφανοι δέ ωσαύτως άπειροι, καί γάρ αδάμας υπήρχες τοίς παίουσι, πρός δέ σαυτόν, ως μαγνήτις είλκες άπαντας.

Ξενίζοντα δόγματα, αλλότριά τε τή Εκκλησία Χριστού, εξορίσας Τριάδα εθεολόγησας υποστάσεων, θεότητος δέ μονάδα, ή έψαλλες. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Μαρίαν τήν άχραντον, καί παναγίαν ανευφημήσωμεν, διά ταύτης γάρ χάρις, ημίν πηγάζει τών υπέρ νούν δωρεών, ως εκ χειμάρρου τής θείας νύν χρηστότητος, ήν ευσεβεί λογισμώ, νύν μακαρίζομεν

Τού Κυρίλλου

Εν τή καμίνω, Αβραμιαίοι

Εν τώ Σιναίω, ακρωτηρίω πάλαι γνόφον εισδύς, Νόμον είλε μάκαρ Κύριλλε, ο Μωσής αναιρούντα τόν τού γράμματος, σύ δέ ανέπτυξας, τό κεκρυμμένον κάλλος τού Πνεύματος.

Νομοθεσίας, δι' αινιγμάτων ως νηπίοις τό πρίν, Πάτερ δεδομένης κάλυξι καλυπτά, ώσπερ ρόδα τά νοήματα, σύ απεκάλυψας, ερμηνεύσας τούς τύπους σαφέστατα.

Θεοκηρύκων, καί θεολήπτων τά δυσέφικτα, τεύχη Προφητών τή χάριτι εμπνευσθείς, τού εκείνους εμφορήσαντος, Πνεύματος Κύριλλε, ειλικρινώς ημίν διεσάφησας.

Εν ασυγχύτω, ενώσει θεία καί ατμήτω σαφώς, Πάτερ διαιρέσει τρείς μέν θεολογών, υποστάσεις έφης Κύριλλε, απαραλλάκτους δέ, έν ουσία μιά καί θεότητι.

Θεοτοκίον

Τό τού Υψίστου, ηγιασμένον θείον σκήνωμα, χαίρε, διά σού γάρ δέδοται η χαρά, Θεοτόκε τοίς κραυγάζουσιν. Ευλογημένη σύ εν γυναιξί, πανάμωμε Δέσποινα.

Καταβασία

Σέ τόν εν πυρί δροσίσαντα, Παίδας θεολογήσαντας, καί Παρθένω, ακηράτω, ενοικήσαντα, Θεόν Λόγον υμνούμεν, ευσεβώς μελωδούντες. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Τού Αθανασίου

Ωδή η'

«Επταπλασίως κάμινον τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν, εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, Τόν Δημιουργόν, καί Λυτρωτήν ανεβόα, οι παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Ιεραρχών αγλάϊσμα, ευκλεές Αθανάσιε, στύλε τού φωτός, τής Εκκλησίας

έρεισμα, Τριάδος υπέρμαχε, θεολογίας σάλπιγξ χρυσή, βίου τε μονήρους, ακριβής νομογράφε, ημίν συνεορτάζοις, Ιερείς καταρτίζων, λαούς πιστούς προσάγων, Χριστώ εις τους αιώνας.

Αθανασίας γέγονας, σύ τώ όντι φερώνυμος, τούς γάρ πρακτικούς, τώ λόγω υπερήλασας, δοκίμους εν λόγω δέ, δι' ακριβείας βίου νικών, τούς εν αμφοτέροις, υπερβέβηκας άκρους, διό ανυπερβλήτω, αρετή διαλάμψας, αθάνατον εκτήσω, τήν μνήμην εις αιώνας.

Σύ λαμπροτέραν έδειξας, Μυστιπόλε θεόληπτε, τήν ιεραρχίαν, τοίς γενναίοις άθλοις σου, τήν πλάνην εξώρισας, ταίς σαίς υπερορίαις πυκνώς, υπέρ τής Τριάδος, ήν κηρύττων εβόας, Πατέρα προσκυνείτε, Υιόν θεολογείτε, τό Πνεύμα ανυμνείτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Φωτός αδύτου γέγονας, ενδιαίτημα Πάναγνε. Φώς γάρ τοίς εν σκότει, καί σκιά γεγέννηκας, φωτίζον τά σύμπαντα, θεογνωσίας χάριτι, ώ ακαταπαύστως, οι πιστοί μελωδούμεν. Οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

## Τού Κυρίλλου

Χείρας εκπετάσας Δανιήλ

Ως κύμα θαλάσσης αληθώς, εν σοί εξέβλυσεν, η τής σοφίας πηγή, καί γάρ αέναοι έρρευσαν, ποταμοί εκ τής κοιλίας σου, Πάτερ δογμάτων ευσεβών, καθως προέφη Χριστός, υπερβαίνει ψάμμον γάρ, τεύχη τά σά τά θεόλεκτα.

Νομεύς καί διδάσκαλος σοφός, τής Εκκλησίας δειχθείς, τάς δύω Κύριλλε, σαφώς ανέπτυξας Όσιε, Διαθήκας, ως γάρ άγκυραν, καί πατρικόν κλήρον τούς σούς, έχουσα λόγους βοά. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Λόγου σαρκωθέντος δι' ημάς, τού παντεχνήμονος, σύ τήν απόρρητον, διδάσκεις ένωσιν Κύριλλε, αδιαίρετον ασύγχυτον, τάς εφ' εκάτερα ροπάς, ίσως εκκλίνας βοών. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Θεοτοκίον

Μαρία Κυρίου τού παντός, κυριευθείσάν μου, τήν παναθλίαν ψυχήν, τοίς τής σαρκός δεινοίς πάθεσι, καί αισχίστοις πλημμελήμασι, σύ ελευθέρωσον τή σή, δυνάμει τή κραταιά, καί παράσχου, λύσιν πταισμάτων, καί δόξαν ακήρατον,

Καταβασία

Αστέκτω πυρί ενωθέντες, οι θεοσεβείας προεστώτες Νεανίαι, τή φλογί δέ μή λωβηθέντες, θείον ύμνον έμελπον. Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

## Τού Αθανασίου

Ωδή θ'

«Εξέστη επί τούτου ο ουρανός, καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι μεγαλύνουσιν».

Εξέλαμψεν ο βίος ως αστραπήεξεχύθη δέ πάτερ ο φθόγγος σου, ώς περ βροντή, πάσιν, ούς ο ήλιος εφορά, εξ ουρανού γάρ έσχη κας, άνωθεν τήν έμπνευσιν αληθώς, διό ουκ έσβεσέ σου, ο πρόξενος τής λήθης, τήν μνήμην τάφος Αθανάσιε.

Φωτί τώ τρισηλίω καί τριφεγγεί, τηλαυγέστερον νύν ελλαμπόμενος, τοίς υμνηταίς, σού αντανακλάσεις αυγοειδείς, διαφανές ως έσοπτρον, άνωθεν εκπέμπεις ηλιακάς, καί σοί συστήσαις Μάκαρ, κάν μέγα καί εξόχως, υπέρ αξίαν τό αιτούμενον.

Υμνούντες δυσωπούμέν σε εκτενώς, Υπέρ τής Εκκλησίας ικέτευε, διά Σταυρού νίκας δωρηθήναι τώ βασιλεί, τή ορθοδόξω Πίστει τε, κράτος καθ' αιρέσεων δυσμενών ημίν δέ σωτηρίαν, ειρήνην τε τώ κόσμω, εν τή σή μνήμη Αθανάσιε.

Θεοτοκίον

Σωτήρα ως τεκούσα καί Λυτρωτήν, σωτηρίας με Κόρη αξίωσον, επιτυχείν, Πάναγνε πταισμάτων μου τάς σειράς, ταίς σαίς πρεσβείαις λύσασα, πάντα γάρ ως θέλεις νύν κατορθοίς, ως φέρουσα εν κόλποις, τόν πάντων Βασιλέα, τόν αγαθότητι ασύγκριτον.

## Τού Κυρίλλου

Εύα μέν τώ τής παρακοής

Υψωμα Χριστού κατεπαρθέν τής γνώσεως, καί τής τούτου Θεομήτορος, Κύριλλε άπαν κατά κράτος, καθείλες Νεστορίου τήν άθεον, υιών δυάδα ωσαύτως καί σύγχυσιν, τών Ακεφάλων τήν τών φύσεων.

Ρώσει τών φρενών καί φωτισμώ τής χάριτος, τήν Τριάδα ομοούσιον, τόν τε Υιόν σεσαρκωμένον, Θεόν θεολογήσας Μακάριε, οφθείς τε τής Θεοτόκου υπέρμαχος, εν τοίς υψίστοις νύν δεδόξασαι.

Άνωθεν ημάς σούς υμνητάς αοίδιμε, εποπτεύοις Πάτερ ίλεως, Άνακτι νίκας σταυροφόρω, βραβεύων καί υψών ταίς πρεσβείαις σου, τών Ορθοδόξων τό κέρας φαιδρύνων τε, τούς τήν σήν μνήμην μεγαλύνοντας.

Θεοτοκίον

Στειρεύουσαν θείων αρετών πανάχραντε, Θεοτόκε τήν καρδίαν μου, δείξον Παρθένε καρποφόρον, εκ στείρας η τεχθείσα βουλήματι, τού πάντα μεταποιούντος τώ πνευματι, ίνα υμνώ σε τήν Πανύμνητον.

Καταβασία

Εν νόμω, σκιά καί γράμματι, τύπον κατίδωμεν οι πιστοί, πάν άρσεν τό τήν

μήτραν διανοίγον, άγιον Θεώ, διό πρωτότοκον Λόγον, Πατρός ανάρχου Υιόν, πρωτοτοκούμενον Μητρί, απειράνδρω, μεγαλύνομεν.

Εξαποστειλάριον

Τοίς Μαθηταίς συνέλθωμεν

Τής υπερθέου πάνσοφοι, ανεδείχθητε μύσται, Τριάδος καί υπέρμαχοι, Αθανάσιε μάκαρ, καί Κύριλλε θεοφάντορ, Άρειον καθελόντες, καί σύν αυτώ Σαβέλλιον, καί Νεστόριον αύθις, τόν δυσσεβή, καί σύν τούτοις άπασαν άλλην πλάνην, τών δυσσεβών αιρέσεων, Ιεράρχαι Κυρίου.

Θεοτοκίον όμοιον

Όρος Θεού πανάγιον, καί λυχνίαν καί στάμνον, καί κιβωτόν καί τράπεζαν, ράβδον τε καί πυρειον, καί θείον θρόνον καί πύλην, καί ναόν καί παστάδα, υμνήσωμεν θεόφρονες, τήν αγνήν καί Παρθένον, εξ ής Θεός, σαρκωθείς ατρέπτως, καί υπέρ φύσιν, εθέωσε τό προσλημμα, απορρήτω ενώσει.

Εις τούς Αίνους ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'

Τών ουρανίων ταγμάτων

Δεύτε φιλέορτοι πάντες πανηγυρίσωμεν, τήν μνήμην τών ενδόξων, Διδασκάλων τιμώντες, εν Πνεύματι γάρ θείω καθείλον οφρύν, ακαθέκτων αιρέσεων, καί θεοφθόγγοις διδάγμασι τήν Χριστού, Εκκλησίαν υπεστήριξαν.

Ορθοδοξίας ακτίσι περιλαμπόμενοι, οι νοητοί αστέρες, υπερηύγασαν λόγοις, ο μέν γάρ τήν Αρείου θεοστυγή, γλωσσαλγίαν εφίμωσεν, ο δέ Νεστόριον αύθις καί εμμανή, καταβέβληκε Σαβέλλιον.

Τήν Ιεράν Ξυνωρίδα τών Διδασκάλων ημών, τούς ζηλωτάς Κυρίου, ευφημήσωμεν ύμνοις, Κύριλλον τόν θείον, φλόγα πυρός, καί στερρόν Αθανάσιον, εν ουρανοίς γάρ συνόντες υπέρ ημών, τώ Θεώ αεί πρεσβεύουσι.

Ταίς ικεσίαις τών θείων Ιεραρχών σου Χριστέ, επίσκεψαι εξ ύψους, εκλογάδα σου ποίμνην, εν μέσω νεμομένην λύκων δεινών, ών τά θράση κατάβαλε, ού γάρ επαύσατο έτι καί νύν ιδού, τών αιρέσεων τά σκάνδαλα.

Δόξα... Ήχος πλ. α'

Δεύτε φιλεόρτων τό σύστημα, δεύτε τών Πιστών η ομήγυρις, δεύτε ορθοδόξων χορείαι, άσμασιν εγκωμίων στέψωμεν, τήν αεισέβαστον δυάδα τών Διδασκάλων ημών, ούτοι γάρ πάντα ζόφον κακίστης αιρέσεως, πάσαν απάτην τών δυσμενών, νεανικώς καθελόντες, τή αηττήτω τού Πνεύματος ισχύϊ, τόν κόσμον κατηύγασαν, θεογνωσίας ελλάμψεσι, καί νύν πρεσβεύουσιν υπέρ ημών, τών εν πίστει τελούντων τήν μνήμην αυτών.

Καί νύν... Θεοτοκίον

Μακαρίζομέν σε, Θεοτόκε παρθένε, καί δοξάζομέν σε οι πιστοί κατά χρέος, τήν πόλιν τήν άσειστον, τό τείχος τό άρρηκτον, τήν αρραγή προστασίαν, καί καταφυγή τών ψυχών ημών.

Δοξολογία μεγάλη

Εις τήν Λειτουργίαν

Τυπικά καί εκ τών Κανόνων Ωδή γ' καί ς'.

---

Αρχή

**ΤΗ ΙΘ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τού Οσίου Πατρός ημών Μακαρίου τού Αιγυπτίου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'
Έδωκας σημείωσιν

Τής μακαριότητος, τής υπέρ νούν ορεγόμενος, ελογίσω θεσπέσιε, τρυφήν τήν εγκράτειαν, τήν πτωχείαν πλούτον, τήν ακτημοσύνην, περιουσίαν αληθή, καί ευδοξίαν τήν μετριότητα, διό καί τής εφέσεως, τής κατά γνώμην επέτυχες, εν σκηναίς αυλιζόμενος, τών Αγίων Μακάριε.

Δρόμον τής ασκήσεως, απεριτρέπτως τετέλεκας, καί τήν πίστιν τετήρηκας, εντεύθεν καί στέφανον, εκομίσω Πάτερ, τής δικαιοσύνης, όν σοι ητοίμασε Χριστός, ο κατ' αξίαν νέμων τά έπαθλα, καί γέρα χαριζόμενος, καί τήν τών πόνων αντίδοσιν, ών καί νύν ημάς δρέψασθαι, θεοφόρε δυσώπησον.

Πάσαν ηδυπάθειαν, υποπιάζων τό σώμά σου, απηρνήσω θεόσοφε, πικραίνων τήν αίσθησιν, εγκρατείας πόνοις, καί σκληραγωγίαις, υπομονή τε πειρασμών, καί καρτερία τών περιστάσεων, ανθ' ών τήν ατελεύτητον, αντιλαμβάνεις απόλαυσιν, καί τρυφήν αδιάδοχον, καί χαράν ανεκλάλητον.

Δόξα... Ήχος πλ. α' Ανατολίου

Ευφραίνου Αίγυπτος, ανθήσασα τοιούτον πολιούχον, τόν εν μακαρίοις Μακάριον. Ούτος γάρ τή σοφία τού Αγίου Πνεύματος καταγλαϊσθείς, πάσαν άσκησιν, τή εναρέτω πολιτεία αυτού, υπερηκόντισεν. Αυτόν καί ημείς, μεσίτην προσάγοντες, αιτούμεν δυσωπείν τόν Χριστόν, σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον
Κύριε, εί καί κριτηρίω παρέστης

Ίδε μου, τής συντετριμμένης καρδίας, τούς στεναγμούς Θεονύμφευτε, πρόσδεξαι Παρθένε Μαρία, καί μή απώση πανάμωμε, τάς τών χειρών μου Αγνή, επάρσεις ως φιλάγαθος, ίνα υμνώ καί μεγαλύνω, τήν μεγαλύνασαν τό γένος ημών.

Η Σταυροθεοτοκίον

Άρνα σε, ότε η αμνάς καί Παρθένος, πρός σφαγήν κατεπειγόμενον, έβλεψε,

σύν δάκρυσι Λόγε, ηκολούθει καί εκραύγαζε. Πού σπεύδεις τέκνον εμόν, συνέλθω σοι γλυκύτατε, ου γάρ φέρω μή οράν σε, Ιησού μου πολυέλεε.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος πλ. β'

Όσιε Πάτερ, εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος τών κατορθωμάτων σου, δι' ών εν τοίς ουρανοίς εύρες μισθόν τών καμάτων σου, τών Δαιμόνων ώλεσας τάς φάλαγγας, τών Αγγέλων έφθασας τά τάγματα, ών τόν βίον αμέμπτως εζήλωσας; Παρρησίαν έχων πρός Κύριον, ειρήνην αίτησαι ταίς ψυχαίς ημών.

Καί νύν... Θεοτοκίον

Όλην αποθέμενοι Χαίρε λύχνε πάμφωτε, ηλιακών λαμπηδόνων, λαμπροτέρα Δέσποινα. Χαίρε λύσις άχραντε, τής αρχαίας αράς, η ελπίς Δέσποινα, τών απηλπισμένων, η ανάκλησις τού γένους ημών. Χαίρε παλάτιον, τού Παμβασιλέως λαμπρότατον, τό όρος τό πιότατον, εξ ού ο Λυτρωτής προσελήλυθε. Χαίρε Θεού Λόγου, λαμπάδιον τό θείον καί τερπνόν. Χαίρε λυχνία ολόφωτε. Χαίρε θρόνε πύρινε.

Η Σταυροθεοτοκίον

Ρομφαία ως έφησεν, ο Συμεών τήν καρδίαν, τήν σήν διελήλυθε, Παναγία Δέσποινα, ότε έβλεψας, τόν εκ σού λάμψαντα, απορρήτω λόγω, υπ' ανόμων ως κατάκριτον, Σταυρώ υψούμενον, όξος καί χολήν τε γευόμενον, πλευράν δέ ορυττόμενον, χείράς τε καί πόδας ηλούμενον, καί οδυρομένη, ωλόλυζες βοώσα μητρικώς. Τί τούτο τέκνον γλυκύτατον, τό καινόν μυστήριον.

Απολυτίκιον  Ήχος α'

Τής ερήμου πολίτης καί εν σώματι  Άγγελος, καί θαυματουργός ανεδείχθης, θεοφόρε Πατήρ ημών Μακάριε, νηστεία αγρυπνία προσευχή, ουράνια χαρίσματα λαβών, θεραπεύεις τούς νοσούντας, καί τάς ψυχάς τών πίστει προστρεχόντων σοι. Δόξα τώ δεδωκότι σοι ισχύν, δόξα τώ σέ στεφανώσαντι, δόξα τώ ενεργούντι διά σού πάσιν ιάματα.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν. Οι δύο Κανόνες τής Οκτωήχου καί τού Αγίου, ού η ακροστιχίς.

Τόν πανάριστον εν ασκηταίς Μακάριον κυδαίνω.

Θεοφάνους.

Ωδή α'  Ήχος δ'

«Χοροί Ισραήλ, ανίκμοις ποσί, πόντον ερυθρόν, καί βυθόν διελάσαντες, αναβάτας τριστάτας, δυσ μενείς ορώντες, εν αυτώ υποβρυχίους, εν αγαλλιάσει έμελπον. Άσωμεν τώ Θεώ ημών, ότι δεδόξασται».

Τώ θείω φωτί λαμπόμενος, καί σύν τοίς Αγγέλοις, Πάτερ νύν συναυλιζόμενος, ταίς πρεσβείαις σου σώζε, τούς επιτελούντας τήν πανίερόν σου μνήμην, εν αγαλλιάσει βοώντας. Άσωμεν τώ Θεώ ημών, ότι δεδόξασται.

Οδόν πρός ζωήν στελλόμενος, αμεταστρεπτί, ταύτην Παμμάκαρ διήνυσας, εκφυγων τούς θορύβους, καί τάς τών δαιμόνων ταραχάς διεσκέδασας, εν αγαλλιάσει κραυγάζων. Άσωμεν τώ Θεώ ημών, ότι δεδόξασται.

Νεκρώσας σαρκός τό φρόνημα, ταίς ασκητικαίς, σού παλαίστραις τώ θείω Πνεύματι, καί τή τούτου δυνάμει, εν κυβερνώμενος θεία αγαλλιάσει εβόας. Άσωμεν τώ Θεώ ημών, ότι δεδόξασται.

Πάντα τά τερπνά κατέλιπες, τήν διηνεκή, αγαπήσας Πάπερ τερπνότητα, εν τώ οίκω Κυρίου, ένθα ήχος τών ειλικρινώς εορταζόντων, καί αγαλλιάσει βοώντων. Άσωμεν τώ Θεώ ημών, ότι δεδόξασται.

Θεοτοκίον

Άχρονον υιόν ανάρχου Πατρός, σάρκα δι' ημάς, τούς ανθρώπους Αγνή γενόμενον, εν γαστρί συλλαβούσα, υπό χρόνον τούτον, τέτοκας ενερμηνεύτως, ώ καί γεγηθότες βοώμεν. Άσωμεν τώ Θεώ ημών, ότι δεδόξασται.

Ωδή γ'

«Τόξον δυνατών ησθένησε, καί οι ασθενούντες, περιεζώσαντο δύναμιν, διά τούτο εστερεώθη, εν Κυρίω η καρδία μου».

Νόμω υποκύψας Πνεύματος, ού τή πανοπλία, περιφραξάμενος Όσιε, ου τώ νόμω τής αμαρτίας, τήν προαίρεσιν υπέκλινας.

Άνω πρός Θεόν τό φρόνημα, έχων θεοφόρε, τά επί γής καταλέλοιπας, διά πόνων τής εγκρατείας, ανενδότως κουφιζόμενος.

Ρήξας τά δεσμά τής φύσεως, τή υπερφυεί, καί καθαρά πολιτεία σου, θεοφόρε τών υπέρ, φύσιν, εκομίσω τήν ενέργειαν.

Ίνα τώ Θεώ Μακάριε, εν αταραξία, προσομιλήσης επ' έρημον, κατοικήσαι Πάτερ προείλω, τών θορύβων μακρυνόμενος.

Θεοτοκίον

Σώσαι βουληθείς τόν άνθρωπον, ο διαφερόντως, ως ευεργέτης φιλάνθρωπος, τήν σήν μήτραν απεριγράπτως, Θεομήτορ κατεσκήνωσεν.

Ο Ειρμός

«Τόξον δυνατών ησθένησε, καί οι ασθενούντες περιεζώσαντο δύναμιν, διά τούτο εστερεώθη, εν Κυρίω η καρδία μου».

Κάθισμα  Ήχος α'

Τόν τάφον σου Σωτήρ

Ασκήσεως πυρί, ως χρυσός εν καμίνω, Σοφέ δοκιμασθείς, οβρυζότερος

ώφθης, διό πρός ουράνια, μετηνέχθης βασίλεια, όθεν πίστει σε, ανευφημούντες βοώμεν. Χάριν έλεος, καί ιλασμόν τών πταισμάτων, ημίν Πάτερ αίτησαι.

Δόξα... Καί νύν...Θεοτοκίον

Ο δήγησον ημάς, εν οδώ μετανοίας, εκκλίνοντας αεί, πρός κακών ανοδίας, καί τόν υπεράγαθον, παροργίζοντας Κύριον, απειρόγαμε, ευλογημένη Μαρία, καταφύγιον, απεγνωσμένων ανθρώπων, Θεού ενδιαίτημα.

Η Σταυροθεοτοκίον  όμοιον

Η άσπιλος Αμνάς, τόν Αμνόν καί Ποιμένα, κρεμάμενον νεκρόν, επί ξύλου ορώσα, θρηνούσα εφθέγγετο, μητρικώς ολολύζουσα. Πώς ενέγκω σου, τήν υπέρ λόγον Υιέ μου, συγκατάβασιν, καί τά εκούσια πάθη; Θεέ υπεράγαθε.

## Ωδή δ'

«Ο καθήμενος εν δόξη, επί θρόνου θεότητος, εν νεφέλη κούφη, ήλθεν Ιησούς ο υπέρθεος, τή ακηράτω παλάμη καί διέσωσε, τούς κραυγάζοντας. Δόξα Χριστέ τή δυνάμει σου».

Τόν φθειρόμενον αυτίκα, παλαιότατον άνθρωπον, εξεδύσω Πάτερ, σύν τής αμαρτίας τοίς πάθεσι, δι' εγκρατείας ευτόνως ενεδύσω δέ, τόν καινούμενον, κατά Χριστόν πανσεβάσμιε.

Ολαμπρότατός σου βίος, ως κανών ακριβέστατος, διά πάσης Πάτερ, θείας αρετής αναδέδεικται, εν προσευχαίς καί νηστείαις, αγρυπνίαις τε, καί δεήσεσι, ταίς πρός Χριστόν τόν φιλάνθρωπον.

Νυσταγμόν τοίς σοίς βλεφάροις, θεοφόρε ουκ έδωκας, έως ότου Πάτερ, οίκον σεαυτόν απετέλεσας, τώ παντεπόπτη Δεσπότη ωραιότατον, πρός όν έκραζες, δόξα Χριστέ τή δυνάμει σου.

Εν νεότητι τό σώφρον, εν τώ γήρει τήν σύνεσιν, εν παντί δέ βίω, τό καρτερικόν καί μακρόθυμον, καί τήν πρός πάντας αγάπην επιδέδειξαι, τούς κραυγαζοντας. Δόξα Χριστέ τή δυνάμει σου.

Θεοτοκίον

Νεκρωθέντας Παναγία, τούς ανθρώπους εζώωσας, πεπτωκότας τούτους, πρός διαφθοράν εξανέστησας, τόν Ζωοδότην τεκούσα τόν λυτρούμενον, τούς κραυγάζοντας. Δόξα Χριστέ τή δυνάμει σου.

## Ωδή ε'

«Τόν φωτισμόν σου Κύριε, κατάπεμψον ημίν, καί τής αχλύος ημάς τών πταισμάτων, λύσον αγαθέ, τήν σήν ειρήνην ουρανόθεν δωρούμενος».

Αναπετάσας Όσιε, ψυχής τό νοερόν, καί τάς αισθήσεις σοφώς κυβερνήσας, γέγονας ναός ηγιασμένος, τώ Θεώ καί πανίερος.

Σκολιωτάτου δράκοντος, μαράνας μηχανάς, καί τάς εκείνου πικράς

μεθοδείας, ήμβλυνας αεί τώ θείω Νόμω, τήν ψυχήν ρυθμιζόμενος.

Κατακοσμήσας Όσιε, ψυχής τό νοερόν, καί ηγεμόνα τόν νούν καταστήσας, έσχες τόν Χριστόν ηνιοχούντα, πρός πορείαν ουράνιον.

Θεοτοκίον

Η Παρθένος έτεκε, τόν άχρονον Υιόν, νομοθετούντα τοίς πάσιν αγνείαν, καί τό καθαρόν τής ευσεβείας, τοίς εν γή καταγγέλλοντα.

Ωδή ς'

«Εβόησε, προτυπών τήν ταφήν τήν τριήμερον, ο Προφήτης, Ιωνάς εν τώ κήτει δεόμενος. Εκ φθοράς με ρύσαι, Ιησού Βασιλεύ τών Δυνάμεων».

Τήν έρημον, κατοικήσαι προθύμως ηγάπησας, θεοφόρε, εν αυτή τόν Θεόν προσδεχόμενος, τόν ρυόμενόν σε, καί τηρούντα τά σά διαβήματα.

Ακλόνητος, εν ασκήσει θεόφρον διέμεινας, μέχρι τέλους, διασώζων τήν ταύτης ακρίβειαν, δι' ής τής αφράστου, ηξιώθης καί θείας ελλάμψεως

Ισάγγελον, επί γής πολιτείαν εβίωσας, ισαγγέλου, καί τιμής επαξίως τετύχηκας, μετά τών Αγγέλων, τώ τών πάντων Θεώ παριστάμενος.

Θεοτοκίον

Συνέλαβες, εν γαστρί Θεομήτορ τόν άναρχον, Θεόν Λόγον, δι' ημάς τούς ανθρώπους γενόμενον, καθ' ημάς ατρέπτως, εν δυσί γνωριζόμενον φύσεσιν.

Ο Ειρμός

«Εβόησε, προτυπών τήν ταφήν τήν τριήμερον, ο Προφήτης, Ιωνάς εν τώ κήτει δεόμενος. Εκ φθοράς με ρύσαι, Ιησού Βασιλεύ τών Δυνάμεων».

Κοντάκιον Ήχος δ'

Επεφάνης σήμερον

Εν τώ οίκω Κύριος, τής εγκρατείας, αληθώς σε έθετο, ως περ αστέρα απλανή, φωταγωγούντα τά πέρατα, Πάτερ Πατέρων, Μακάριε Όσιε.

Ο Οίκος

Τόν τού Κυρίου εραστήν, τών Μοναστών τό κλέος, θαυμάτων τόν ταμίαν, Μακάριον τόν μέγαν, ανευφημήσωμεν πιστώς, ούτος γάρ τώ φέγγει τών αγώνων αυτού, ως ήλιος εξέλαμψε, φωτίζων τούς εν σκότει υπάρχοντας παθών καί αμαρτίας, καί εκδιώκων τών δαιμόνων τήν ζοφεράν πλάνην ανενδότως. Διό καί ποταμούς πλουσίων θαυμάτων, ως εκ κρήνης λογικής εκβλύζων, πάντων τας ψυχάς ρωννύει τών εκβοώντων. Πατέρων Πάτερ, Μακάριε' Όσιε.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΘ' τού αυτού μηνός, Μνήμη τού Όσίου Πατρός ημών Μακαρίου τού Αιγυπτίου καί αναχωρητού, καί τού Οσίου Μακαρίου τού Αλεξανδρέως.

Στίχοι

- Θανούσα θείων η δυάς Μακαρίων,

- Ζωής μετέσχε τής μακαριωτάτης.
- Γήν μακάρων λάχον εννεακαιδεκάτη Μακάριοι.

Τή αυτή ημέρα, Μνήμη τής αγίας Μάρτυρος Ευφρασίας.

Στίχοι

- Ψεύδει σοφώ φυγούσα σαρκός τήν ύβριν,
- Αθλείς αληθώς εκ ξίφους Ευφρασία.

Τή αυτή ημέρα, η εις τόν Ναόν τών αγίων Αποστόλων Ανακομιδή τού Λειψάνου τού εν αγίοις Πατρός ημών Γρηγορίου τού θεολόγου.

Στίχοι

- Έχει νεκρόν σόν η καλή μετοικία,
- Καλώ γάρ, ως σύ, τούς Αποστόλους Πάτερ.

Τή αυτή ημέρα, τελείται η ανάμνησις τού εν Νικαία μεγίστου θαύματος, ότε ο Μέγας Βασίλειος διά προσευχής ανέωξε τάς πύλας τής Καθολικής Εκκλησίας καί παρέθετο αυτήν τοίς Ορθοδόξοις.

Ταίς τών Αγίων σου πρεσβείαις, Χριστέ ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

«Οδιασώσας εν πυρί, τούς Αβραμιαίους σου Παίδας, καί τούς Χαλδαίους ανελών, οίς αδίκως δικαίους ενήδρευσαν, υπερόμνητε Κύριε, ο Θεός, ο τών Πατέρων ευλογητός εί».

Μετά τής άνωθεν ροπής, καί τής τού Θεού βοηθείας, τούς δυσμενείς καταβαλών, νικηφόρος κραυγάζων γεγένησαι. Υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Ανακαθάρας τήν αχλύν, τήν εκ τών παθών γενομένην, τής απαθείας τώ φωτί, κατηυγάσθης κραυγάζων Μακάριε. Υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Καταφαιδρύνας τήν ψυχήν, ταίς τών αρετών ευπρεπείαις, ωραίος κάλλει τώ Θεώ, γεγονώς εμελώδεις γηθόμενος. Υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Θεοτοκίον

Ανακαλούμενος ημάς, αιχμαλωτισθέντας Παρθένε, πρός ο περ ήμεν εν αρχαίς, εν γαστρί σου σκηνώσας σεσάρκωται, ο φιλάνθρωπος Κύριος, ο Θεός ο τών Πατέρων ευλογημένος.

Ωδή η'

«Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει

ψάλλουσαν. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Ρήματα ζωής τής αιωνίου, Παμμάκαρ εν τή καρδία σου δεξάμενος, σάρκα κατεμάρανας, κόσμω τεθανάτωσαι, καί ζωηφόρον νέκρωσιν, αμφιασάμενος, Τόν Κύριον υμνείτε Κραυγάζεις, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ίλεων γενέσθαι θεοφόρε, τόν μόνον αγαθοδότην καθικέτευε, τοίς τήν σήν πανίερον, μνήμην ρορτάζουσιν, αμαρτημάτων άφεσιν, τούτοις αιτούμενος. Τόν Κύριον υμνείτε βοώσι, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Νεύσει πρός Θεόν αδιαλείπτω, προσέχων καί τής εκείθεν επιλάμψεως, αίγλην εισδεχόμενος, φώς αντανακλώμενον, διαφανές ως έσοπτρον, πέμπεις τοίς ψάλλουσιν. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Κλίμακα πρός ύψος τεταμένην, εφ' ής περ εστηριγμένος ώφθη Κύριος, Πάτερ αναβέβηκας, θείαις αναβάσεσιν, αεί προκόπτων Όσιε, έως κατέλαβες, Τόν Κύριον υμνείτε κραυγάζων, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Υμνούμέν σε Κεχαριτωμένη, Θεόν γάρ ημίν σεσαρκωμένον τέτοκας, όθεν Θεοτόκον σε, πάντες ονομάζομεν, τήν θεοδόχον τράπεζαν, τήν καλλονήν Ιακώβ, Τόν Κύριον υμνείτε βοώντες, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν ψάλλειν εδίδαξε. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ'

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν».

Δάκρυσι μέν, τοίς ασκητικοίς τήν άρουραν, τής καρδίας σου κατήρδευσας, χαίρων δέ πάτερ θεοφόρε, νύν εν αγαλλιάσει τά δράγματα, συλλέγεις τών αγώνων τά έπαθλα, όθεν σε πάντες μακαρίζομεν.

Άδυτον, ανέτειλέ σοι φώς, αϊδιος ευφροσύνη υπεδέξατο, ένθα χορεύων, σύν Αγγέλοις περί τόν Βασιλέα καί Κύριον, τών πίστει επιτελούντων τήν μνήμην σου, μέμνησο Πάτερ παμμακάριστε.

Νόμον Πάτερ, τόν αθλητικόν ηγώνισαι, προσηκόντως καί νενίκηκας, όθεν σε δόξης τώ στεφάνω, ο μόνος ευεργέτης τετίμηκε, καί θείας φωτοφανείας ηξίωσε, καί μακαρίων απολαύσεων.

Θεοτοκίον

Ως πάντων, κτισμάτων Ποιητήν γεννήσασα, Θεομήτορ υπερβέβηκας, πάσαν τήν κτίσιν θεία δόξη, καί τή αγιωσύνη καί χάριτι, καί πάσι τής αρετής προτερήμασιν, όθεν σε πάντες μεγαλύνομεν.

Ο Ειρμός

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν».

Εξαποστειλάριον

Ο ουρανόν τοίς άστροις

Αγγελικόν τόν βίον, ποθών εμάκρυνας σαυτόν, εν ταίς ερήμοις καί πάθη, καθυποτάξας τής σαρκός, ισάγγελος ανεδείχθης, Πατήρ ημών θεοφόρε.

Θεοτοκίον

Τή κραταιά σου σκέπη, από εχθρών επιβουλής, ημάς Αγνή τούς σούς δούλους, φύλαττε πάντας αβλαβείς, σέ γάρ κεκτήμεθα μόνην, καταφυγήν εν ανάγκαις.

Εις τόν Στίχον Στιχηρά τής οκτωήχου.

Δόξα... Ήχος δ'

Έλαμψαν τά καλά έργα σου, ως ήλιος, επί τής γής καί εν ουρανώ, Χριστού θεράπων Μακάριε, ορθοδόξως γάρ εκήρυξας ημίν, τήν αληθή καί αμώμητον Πίστιν Χριστού, διό ικέτευε Όσιε Πάτερ, εν τή μνήμη σου θεοφόρε, δωρηθήναι ημίν τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Ως γενναίον εν Μάρτυσιν

Ως πρεσβείαν ακοίμητον, καί παράκλησιν έμμονον, κεκτημένη Πάναγνε πρός τόν Κύριον, τούς Πειρασμούς καταπράϋνον, τά κύματα κοίμισον, τής αθλίας μου ψυχής, καί εν θλίψει υπάρχουσαν, τήν καρδίαν μου, παρακάλεσον Κόρη, δυσωπώ σε, καί χαρίτωσον τόν νούν μου, όπως αξίως δοξάζω σε.

Η Σταυροθεοτοκίον

Τόν Αιμνόν καί Ποιμένα σε, επί ξύλου ως λεβλεψεν, Αμνάς η κυήσασα επωδύρετο, καί μητρικώς σοι εφθέγγετο. Υιέ ποθεινότατε, πώς εν ξύλω τού Σταυρού, ανηρτήθης μακρόθυμε; πώς τάς χείράς σου, καί τούς ποδας σου Λόγε προσηλώθης, υπ' ανόμων καί τό αίμα, τό σόν εξέχεας Δέσποτα;

Η λοιπή Ακολουθία τού Όρθρου ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Κ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Ευθυμίου τού Μεγάλου.

ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'
Τών ουρανίων ταγμάτων

Τών ουρανίων αψίδων, περιϊπτάμενος, δι' αρετής ενθέου, παμμακάριστε Πάτερ, υπέδυς εν τώ γνόφω, δι' ής αληθώς, ουκ εν αινίγμασιν Όσιε, αλλ' εν τή χάριτι ώφθης τή τού Θεού, τάς ελλάμψεις εισδεχόμενος. (Δίς)

Ταίς αρεταίς εκλαμπρύνας, ψυχήν καί έννοιαν, πρός ουρανόν μετήχθης, εις Χριστού βασιλείαν. Ευθύμιε τρισμάκαρ, προσφέρων αυτώ, τά τών πόνων σου δράγματα, εν ασκηταίς, σύ φωστήρ γάρ αναδειχθείς, τής αγήρω απολαύεις τρυφής.

Τό ομοούσιον όντως, Τριάς η άναρχος, Πνεύματος κατοικίαν, εν σοί αναθεμένη, λαμπρότατον φωστήρα, ανέδειξε σέ, θεοφόρε, Ευθύμιε, τών χαμαιζήλων γάρ πάντων υπεραρθείς, ουρανών οίκησιν εύρηκας.

Δόξα... Ήχος β'

Όσιε Πάτερ, εκ βρέφους τήν αρετήν επιμελώς ασκήσας, όργανον γέγονας τού αγίου Πνεύματος, καί παρ' αυτού λαβών τών θαυμάτων τήν ενέργειαν, έπεισας τούς ανθρώπους, καταφρονείν τών ηδέων, νύν δέ τώ θείω φωτί, καθαρώτερον ελλαμπόμενος, φώτισον καί ημών τάς διανοίας, Πάτερ Ευθύμιε.

Καί νύν... Θεοτοκίον

Σε μεγαλύνομεν Θεοτόκε βοώντες. Χαίρε η πύλη η κεκλεισμένη, δι' ής ηνοίγη ανθρώποις, ο πάλαι Παράδεισος.

Απόστιχα Στιχηρά

Ήχος β'
Οίκος τού Εφραθά

Δόλους τών πονηρών, δαιμόνων θριαμβεύσας, τή τού Σταυρού δυνάμει, ετράνωσας τήν δόξαν, Χριστού Πάτερ Ευθύμιε.

Στίχ. Τίμιος εναντίον Κυρίου ο θάνατος τών οσίων αυτού.

Ήρθης ως Ηλιού, εν άρματι πυρίνω, καί συνεκράθης μάκαρ, αμέσως τή Τριάδι, Ευθύμιε παγκόσμιε.

Στίχ. Μακάριος ανήρ ο φοβούμενος τόν Κύριον.

Φέρων εν ταίς χερσί, σού Πάτερ τού Κυρίου, Σταυρόν τά τών δαιμόνων, φαντάσματα τελείως, Ευθύμιε ηφάνισας.

Δόξα... Καί νύν... Θεοτοκίον όμοιον

Χαίρε η τήν χαράν, τού κόσμου δεξαμένη, Χριστόν τόν ζωοδότην, καί παύσαντα τήν λύπην, Παρθένε τής Προμήτορος.

Απολυτίκιον
Ήχος δ'

Ευφραίνου έρημος η ου τίκτουσα, ευθύμησον η ουκ ωδίνουσα, ότι επλήθυνέ σοι τέκνα, ανήρ επιθυμιών τών τού Πνεύματος, ευσεβεία φυτεύσας, εγκρατεία εκθρέψας, εις αρετών τελειότητα. Ταίς αυτού ικεσίαις, Χριστέ ο Θεός, ειρήνευσον τήν ζωήν ημών.

Καί Απόλυσις

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Στιχολογούμεν τήν α' στάσιν τού Μακάριος ανήρ.

Εις δέ το, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'
Πανεύφημοι Μάρτυρες

Πάτερ Ευθύμιε τόν σόν, τόκον προκατήγγειλε, σταλείς ουράνιος Άγγελος, ως τού βλαστήσαντος, εκ νηδύος στείρας, Ιωάννου, τοότου γάρ, εδείχθης ζηλωτής εκμαγείόν τε, ακτήμων άοικος, βαπτιστής καί ορεσίτροφος, υπερλάμψας, τοίς απείροις θαύμασι.

Πάτερ Ευθύμιε καρπός, έφυς μέν στειρώσεως, αλλ' ώφθης όντως πολύγονος, εκ γάρ τού σπέρματος, τού πνευματικού σου, Μοναστών πεπλήρωται, η έρημος η πρίν αδιόδευτος, καί νύν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Πάτερ Ευθύμιε ο σός, βίος ανυπέρβλητος, η Πίστις όντως ορθόδοξος, καί γάρ εκ πράξεων, πρός υψηλοτάτην, θεωρίαν ήλασας, σοφίας ενδιαίτημα, εν δύω φύσεσιν, ένα σέβων τής Τριάδος Χριστόν, ώ πρεσβεύεις, υπέρ τών ψυχών ημων.

Έτερα Στιχηρά Προσόμοια
Ήχος δ'
Ο εξ υψίστου κληθείς

Ο εκ νηδύος μητρός ηγιασμένος, ότε τό παντέφορον όμμα τήν πρόθεσιν, καί τήν ροπήν πρός τά κρείττονα, επειγομένην, ανεπιστρόφως σού προεώρακε, τότε Παμμακάριστε, δώρον θεόσδοτον, τής ευθυμίας φερώνυμον, μεμηνυκός σε, τήν τών φυσάντων λύει κατήφειαν, όθεν εκ βρέφους προηγμένος, τώ ευεργέτη Θεώ ευηρέστησας, όν ικέτευε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

Ο χαρισμάτων ενθέων πεπλησμένος, σέ ως ακηλίδωτον, έσοπτρον Πάτερ ευρών, Χριστός τών θείων εμφάσεων, λαμπράς οικείου, μαρμαρυγάς φωτός σοι εξήστραψεν, εντεύθεν ιάσεων, άφθονος ώφθης πηγή, διατροφή τε λιμώττουσι, καί τών διψώντων, δι' επομβρίας άρδων τήν έφεσιν, τάς ψυχικάς

δέ διαθέσεις ορών, σού τώ λόγω σοφώς εβελτίους Θεώ, όν ικέτευε σώσαι, καί φωτίσαιτάς ψυχάς ημών.

Ο θεωρία καί πράξει διαλάμψας, σού ο μέν ισάγγελος βίος κανών αρετής, καί χαρακτήρ ακριβέστατος, τών αιρουμένων, Θεώ λατρεύειν εν τελειότητι, ο σός δέ θεόσοφος λόγος Ευθύμιε, Τριάδα σέβειν εδίδαξε, Χριστόν δέ ένα, εν δύω φύσεσι γνωριζόμενον, καί τάς Συνόδους ισαρίθμους, τή τετρακτΰϊ τών Ευαγγελίων Χριστού, όν ικέτευε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

Δόξα... Ήχος γ'

Αφιερωθείς τώ Θεώ εκ κοιλίας μητρικής, ως άλλος Σαμουήλ, Πάτερ Ευθύμιε, φερωνύμως γέγονας, ευθυμία τών πιστών, Μοναζόντων βακτηρία, καί εδραίωμα, τού Αγίου Πνεύματος καθαρόν οικητήριον. Αίτησαι ημίν τοίς τιμώσί σε τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Πώς μή θαυμάσωμεν, τόν θεανδρικόν σου τόκον Πανσεβάσμιε;πείραν γάρ ανδρός μή δεξαμένη Πανάμωμε, έτεκες απάτορα Υιόν εν σαρκί, τόν πρό αιώνων εκ Πατρός γεννηθέντα αμήτορα, μηδαμώς υπομείναντα τροπήν, ή φυρμόν, ή διαίρεσιν, αλλ' εκατέρας ουσίας τήν ιδιότητα, σώαν φυλάξαντα. Διό Μητροπάρθενε Δέσποινα, αυτόν ικέτευε, σωθήναι τάς ψυχάς τών ορθοδόξως, Θεοτόκον ομολογούντων σε.

Είσοδος, τό Προκείμενον τής ημέρας καί τά Αναγνώσματα.

Σοφίας Σολομώντος τό Ανάγνωσμα
(Κεφ. 3, 1-9)

Δικαίων ψυχαί εν χειρί Θεού, καί ου μή άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι, καί ελογίσθη κάκωσις η έξοδος αυτών, καί η αφ' ημών πορεία σύντριμμα, οι δέ εισιν εν ειρήνη. Καί γάρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Καί ολίγα παιδευθέντες, μεγάλα ευεργετηθήσονται. Ότι ο Θεός επείρασεν αυτούς, καί εύρεν αυτούς αξίους εαυτού. Ως χρυσόν εν χωνευτηρίω εδοκίμασεν αυτούς, καί ώς ολοκάρπωμα θυσίας προσεδέξατο αυτούς. Καί εν καιρώ επισκοπής αυτών αναλάμψουσι, καί ως σπινθήρες εν καλάμη διαδραμούνται. Κρινούσιν έθνη, καί κρατήσουσι λαών, καί βασιλεύσει αυτών Κύριος εις τούς αιώνας, οι πεποιθότες επ' αυτώ, συνήσουσιν αλήθειαν, καί οι πιστοί εν αγάπη προσμενούσιν αυτώ, ότι χάρις καί έλεος εν τοίς οσίοις αυτού, καί επισκοπή εν τοίς εκλεκτοίς αυτού.

Σοφίας Σολομώντος τό Ανάγνωσμα
(Κεφ. 5, 15-23 & 6, 1-3)

Δίκαιοι εις τόν αιώνα ζώσι, καί εν Κυρίω ο μισθός αυτών, καί η φροντίς αυτών παρά Υψίστω. Διά τούτο λήψονται τό βασίλειον τής ευπρεπείας, καί τό διάδημα τού κάλλους εκ χειρός Κυρίου, ότι τή δεξιά αυτού σκεπάσει αυτούς, καί τώ βραχίονι υπερασπιεί αυτών. Λήψεται πανοπλίαν, τόν ζήλον αυτού, καί οπλοποιήσει τήν κτίσιν εις άμυναν εχθρών. Ενδύσεται θώρακα δικαιοσύνην, καί περιθήσεται κόρυθα, κρίσιν ανυπόκριτον. Λήψεται ασπίδα ακαταμάχητον,

οσιότητα, οξυνεί δέ απότομον οργήν εις ρομφαίαν, συνεκπολεμήσει αυτώ ο κόσμος επί τούς παράφρονας. Πορεύσονται εύστοχοι βολίδες αστραπών, καί ως από ευκύκλου τόξου, τών νεφών, επί σκοπόν αλούνται, καί εκ πετροβόλου θυμού πλήρεις ριφήσονται χάλαζαι. Αγανακτήσει κατ' αυτών ύδωρ θαλάσσης, ποταμοί δέ συγκλύσουσιν αποτόμως, αντιστήσεται αυτοίς πνεύμα δυνάμεως, καί ώς λαίλαψ εκλικμήσει αυτούς. Καί ερημώσει πάσαν τήν γήν ανομία, καί η κακοπραγία περιτρέψει θρόνους δυναστών. Ακούσατε ούν, Βασιλείς, καί σύνετε, μάθετε, δικασταί, περάτων γής, ενωτίσασθε, οι κρατούντες πλήθους, καί γεγαυρωμένοι επί όχλοις Εθνών. Ότι εδόθη παρά Κυρίου η κράτησις υμίν, καί η δυναστεία παρά Υψίστου.

Σοφίας Σολομώντος τό Ανάγνωσμα

(Κεφ. 4, 7-15)

Δίκαιος εάν φθάση τελευτήσαι, εν αναπαύσει έσται. Γήρας γάρ τίμιον, ού τό πολυχρόνιον, ουδέ αριθμώ ετών μεμέτρηται. Πολιά δέ εστι φρόνησις ανθρώποις, καί ηλικία γήρως, βίος ακηλίδωτος. Ευάρεστος Θεώ γενόμενος ηγαπήθη, καί μεταξύ αμαρτωλών μετετέθη. Ηρπάγη, μή κακία αλλάξη σύνεσιν αυτού, ή δόλος απατήση ψυχήν αυτού, βασκανία γάρ φαυλότητος αμαυροί τά καλά, καί ρεμβασμός επιθυμίας μεταλλεύει νούν άκακον. Τελειωθείς εν ολίγω, επλήρωσε χρόνους μακρούς, αρεστή γάρ ήν Κυρίω η ψυχή αυτού, διά τούτο έσπευσεν εκ μέσου πονηρίας. Οι δέ λαοί ιδόντες, καί μή νοήσαντες, μηδέ θέντες επί διανοία τό τοιούτον ότι χάρις καί έλεος εν τοίς οσίοις αυτού, καί επισκοπή εν τοίς εκλεκτοίς αυτού.

Εις τήν Λιτήν, Στιχηρά.

Ιδιόμελα Ήχος γ' Γερμανού

Ευθυμείτε έλεγε, τοίς γεννήτορσιν Άγγελος Κυρίου, ότι παιδίον εκ σπλάγχνων γεννήσεται ημίν, ευθυμίας φερώνυμον, ενεφύης δέ γαστρί, φέρων αυτοίς τό επάγγελμα, καί εκ σπαργάνων τή ευχή συνανεστράφης, Πάτερ Ευθύμιε.

Ο αυτός Τού Στουδίτου

Ώ χυρωμένος τόν νούν γνώσει θεία, Πάτερ Ευθύμιε, τά παρερχόμενα παρέδραμες, μηδέν θαυμάσας τών επιγείων, εν μέν θλίψεσι μεγαλόφρων φανείς καί γενναιότατος, εν δέ ασκήσει καί ευθυμία, ταπεινός καί μέτριος, καί τού παρόντος βίου τό άστατον πέλαγος, σοφώς διαπεράσας, εις εύδιον λιμένα κατήντησας, Χριστόν ικέτευε, ελεηθήναι τάς ψυχάς ημών.

Ήχος β' Τού αυτού

Τών εν τώ βίω πραγμάτων κατεφρόνησας, Πάτερ Ευθύμιε ότι τήν άνω πολιτείαν επεπόθησας, πλούτον εβδελύξω, ενδυσάμενος ταπείνωσιν, τρυφήν εμίσησας, καί επεσπάσω τήν εγκράτειαν, αδικίαν απεβάλου, καί εδίωξας δικαιοσύνην, διό Πάτερ Όσιε, μνημόνευε καί ημών, εν ταίς οσίαις ευχαίς σου πρός Κύριον.

Δόξα... Ήχος δ'

Έλαμψαν τά καλά έργα σου, ως ήλιος, επί τής γής καί εν ουρανώ, Χριστού θεράπον Ευθύμιε, ορθοδόξως γάρ εκήρυξας ημίν, τήν αληθή καί αμώμητον Πίστιν Χριστού, διό ικέτευε Όσιε Πάτερ, εν τή μνήμη σου θεοφόρε, δωρηθήναι

ημίν τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Νεύσον παρακλήσεσι, σών οικετών Πανάμωμε, παύουσα δεινών ημών επαναστάσεις, πάσης θλίψεως ημάς απαλλάττουσα, σέ γάρ μόνην ασφαλή, καί βεβαίαν άγκυραν έχομεν, καί τήν σήν προστασίαν κεκτήμεθα, μή αισχυνθώμεν Δέσποινα, σέ προσκαλούμενοι, σπεύσον εις ικεσίαν, τών σοί πιστώς βοώντων, Χαίρε Δέσποινα, η πάντων βοήθεια, χαρά καί σκέπη, καί σωτηρία τών ψυχών ημών.

Εις τόν Στίχον Στιχ. Προσόμοια.

Ήχος πλ. α'

Χαίροις ασκητικών

Χαίροις ως ευθυμίας αρχή, τής Εκκλησίας γεγονώς Πάτερ Όσιε, τή σή γάρ γεννή σει πάσας, αιρετικών τάς ορμάς, εκ Θεού προνοίας απεκρούσατο, διό σε φερώνυμον, ονομάζει Ευθύμιον. Τών ουρανίων, Ουσιών δέ τά τάγματα, χαράς έπλησας, τή τού βίου λαμπρότητι, οίς καί συναυλιζόμενος, φωτός τε πληρούμενος, καί πανολβίου καί θείας, εναπολαύων ελλάμψεως, Χριστόν νύν δυσώπει, ταίς ψυχαίς ημών δοθήναι, τό μέγα έλεος.

Στίχ. Τίμιος εναντίον Κυρίου ο θάνατος τών οσίων αυτού.

Ράβδω τή τού Σταυρού στηριχθείς, τής ανομίας τούς χειμάρρους εξήρανας, χειμάρρουν τρυφής δέ θείας, καί Παραδείσου πηγήν, νοερώς Παμμάκαρ ποτιζόμενος, πηγάς σωτηρίους, εν τή ερήμω ανέδειξας, επιρροαίς δέ, θείου Πνεύματος Όσιε, πιαινόμενος, ώσπερ φοίνιξ ανέδραμες, ύψος πρός επουράνιον, καί στύλος πυρίμορφος, ώφθης θεόφρον καί πλήρης, φωτοειδούς επιλάμψεως, Χριστού, όν δυσώπει, ταίς ψυχαίς ημών δοθήναι, τό μέγα έλεος.

Στίχ. Μακάριος ανήρ ο φοβούμενος τόν Κύριον.

Όντως έως σκηνής θαυματής, έως τού οίκου τού Θεού Παμμακάριστε, διήλθες αγαλλιάσει, καί ευφροσύνη ψυχής, ένθα ήχος Πάτερ εορτάζοντος, τερπνής ακουσόμενος, καί γλυκείας υμνήσεως, καί τής αφράστου, θυμηδίας καί τέρψεως, γενησόμενος, εν μεθέξει Ευθύμιε, ής μόνης εφιέμενος, τήν σάρκα ενέκρωσας, ής καί επέτυχες θεία, δικαιοσύνη κοσμούμενος, Χριστόν ικετεύων, τόν παρέχοντα τώ κόσμω, τό μέγα έλεος.

Δόξα... Ήχος πλ. α'

Όσιε Πάτερ, ουκ έδωκας ύπνον σοίς οφθαλμοίς, ουδέ τοίς βλεφάροις σου νυσταγμόν, εως ού τήν ψυχήν καί τό σώμα, τών παθών ηλευθέρωσας, καί σεαυτόν ητοίμασας, τού Πνεύματος καταγώγιον, ελθών γάρ ο Χριστός σύν τώ Πατρί, μονήν παρά σοί εποιήσατο, καί τής ομοουσίου Τριάδος, θεράπων γενόμενος, μεγαλοκήρυξ Ευθύμιε, πρέσβευε υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καί δοξάζομέν σε, οι πιστοί κατά χρέος, τήν πόλιν τήν άσειστον, τό τείχος τό άρρητον, τήν αρραγή προστασίαν, καί καταφυγήν τών ψυχών ημών.

Απολυτίκιον
Ήχος δ'

Ευφραίνου έρημος η ου τίκτουσα, ευθύμησον η ουκ ωδίνουσα, ότι επλήθυνέ σοι τέκνα, ανήρ επιθυμιών τών τού Πνεύματος, ευσεβεία φυτεύσας, εγκρατεία εκθρέψας, εις αρετών τελειότητα. Ταίς αυτού ικεσίαις, Χριστέ ο Θεός, ειρήνευσον τήν ζωήν ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος δ'
Επεφάνης σήμερον

Τώ φωτί λαμπόμενος τώ απροσίτω, ως αστήρ εξέλαμψας, εν ταίς ερήμοις, διδαχαίς, καταφωτίζων Ευθύμιε, τούς αδιστάκτω
ψυχή προσιόντας σοι.

Δόξα... Όμοιον

Εξ Αιγύπτου ήστραψας ως εωσφόρος, καί τόν κόσμον έλαμψας, ταίς φαειναίς σου αρεταίς, ηγλαϊσμένε Ευθύμιε, πάσιν εκλάμψας, τό φώς τής ασκήσεως.

Καί νύν... Θεοτοκίον

Εν τή σκέπη πάναγνε, τή ση Παρθένε, προσφυγόντων δέησιν, προσδεξαμένη παρ' ημών, μή διαλίπης πρεσβεύουσα, τώ Φιλανθρώπω, σωθήανι τούς δούλους σου.

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος πλ. α'
Τόν συνάναρχον Λόγον

Τάς φροντίδας τού βίου απαρνησάμενος, καί Αγγέλων τόν βίον αναλαβόμενος, εγκρατεία τήν ψυχήν κατελάμπρυνας, καί θαυμάτων εκ Θεού, χάριν εδέζω δαψιλώς, Ευθύμιε θεοφόρε, υπέρ ημών ικετεύων, τών ευσεβώς ευφημούντων σε.

Δόξα... τό αυτό

Καί νύν... Θεοτοκίον

Παναγία Παρθένε ημάς ελέησον, τούς προσφεύγοντας πίστει πρός σέ τήν εύσπλαγχνον, καί αιτουμένους τήν θερμήν σου νύν αντίληψιν, δύνασαι γάρ ως αληθώς, τούς πάντας σώζειν ως ούσα, Μήτηρ Θεού τού υψίστου, ταίς μητρικαίς σου πρεσβείαις, αεί χρωμένη θεοχαρίτωτε.

Μετά τόν Πολυέλεον.

Κάθισμα Ήχος πλ. δ'
Τήν Σοφίαν καί Λόγον

Τήν πτωχείαν τήν όντως τού δι' η μάς, εκ Παρθένου τεχθέντος αναλαβών, ηγήσω τά πρόσκαιρα, ωσεί χόρτον Μακάριε, τού γνωστικού γάρ ξύλου γευσάμενος Όσιε, Μοναζόντων εδείχθης, Διδάσκαλος ένθεος, όθεν καί πρός ζήλον, Αγγελικής πολιτείας, διήγειρας άπαντας, καί πρός γνώσιν τής Πίστεως. Σημαιοφόρε Ευθύμιε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... τό αυτο

Καί νύν... Θεοτοκίον

Ως Παρθένον καί μόνην εν γυναιξί, σέ ασπόρως τεκούσαν Θεόν σαρκί, πάσαι μακαρίζομεν, γενεαί τών ανθρώπων, τό γάρ πύρ εσκήνωσεν, εν σοί τής θεότητος, καί ως βρέφος θηλάζεις, τόν Κτίστην καί Κύριον, όθεν τών Αγγέλων καί ανθρώπων τό γένος, αξίως δοξάζομεν, τόν πανάγιον τόκον σου, καί συμφώνως βοώμέν σοι. Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς προσκυνούσιν εν πίστει, τόν άχραντον Τόκον σου.

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί  Αντίφωνον Α'

- Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.
- Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα...

Αγίω Πνεύματι, πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Καί νύν...

Αγίω Πνεύματι, αναβλύζει τά τής χάριτος ρείθρα, αρδεύοντα, άπασαν τήν κτίσιν πρός ζωογονίαν.

Προκείμενον  Ήχος δ'

Τίμιος εναντίον Κυρίου ο θάνατος τού Οσίου αυτού.
Στίχ. Τί ανταποδώσωμεν τώ Κυρίω περί πάντων, ών ανταπέδωκεν ημίν.

Τό, πάσα πνοή. τό Ευαγγέλιον, ο Ν'

Δόξα... Ταίς τού σού Οσίου
Καί νύν... Ταίς τής Θεοτόκου

Ιδιόμελον  Ήχος πλ. β'

Όσιε Πάτερ, εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος τών κατορθωμάτων σου, δι' ών εν τοίς ουρανοίς, εύρες μισθόν τών καμάτων σου. Τών δαιμόνων ώλεσας τάς φάλαγγας, τών Αγγέλων έφθασας τά τάγματα, ών τόν βίον αμέμπτως εζήλωσας. Παρρησίαν έχων πρός Χριστόν τόν Θεόν, ειρήνην αίτησαι ταίς ψυχαίς ημών.

Ο Κανών τής Θεοτόκου εις ς' καί τού Οσίου οι δύω εις η'.

Ο πρώτος ποίημα Ιωάννου τού Δαμασκηνού. ού η ακροστιχίς μετά τών Ειρμών.

Όλβος πέφηνας γηγενών Ευθύμιε.

Ωδή α'  Ήχος δ'  Ο Ειρμός

«Ουκ έστι σοι όμοιος, δεδοξασμένε Κύριε, εν χειρί γάρ κραταιά, ελυτρώσω τόν λαόν, όν εκτήσω Φιλάνθρωπε».

Λύεις τήν κατήφειαν, τοίς παραδόξως φύσασιν, εκ Θεού επαγγελθείς, καί πρό τού τόκου σου δωρεά, ευθυμίας φερώνυμος.

Βοά χαριστήριον, η Εκκλησία Όσιε, δεξαμένη σε βλαστόν, εκ Θεού ειρηνικής, ευθυμίας προάγγελον.

Ο δεύτερος ποίημα Θεοφάνους. ού η ακροστιχίς.

Ταίς σαίς προσευχαίς Παμμάκαρ, φώς μοι νέμοις.

Ωδή α'  Ήχος πλ. δ'

«Αρματηλάτην Φαραώ εβύθισε, τερατουργούσα ποτέ, Μωσαϊκή ράβδος, σταυροτύπως πλήξασα, καί διελούσα θάλασσαν, Ισραήλ δέ φυγάδα, πεζόν οδίτην διέσωσεν, άσμα τώ Θεώ αναμέλποντα».

Ταίς προσευχαίς σου καί ταίς σαίς δεήσεσιν, εκδυσωπών τόν Θεόν, τό σκοτεινόν νέφος, τό τής αθυμίας μου, Παμμάκαρ διασκέδασον, ευθυμίας υπάρχων, καί θυμηδίας ανάπλεως, τώ Παμβασιλεί παριστάμενος.

Άλλος καθάπερ Σαμουήλ θεόσδοτος, καί πρό συλλήψεως, επαγγελθείς Πάτερ, πάσαις εναπέφηνας, ταίς Εκκλησίαις Όσιε, φερωνύμως τήν κλήσιν, κατάλληλον επαγομενος, τή τής ευθυμίας φαιδρότητι.

Ικετηρία καί δεήσει χρώμενοι, οι σοί γεννήτορες, πρός τόν Θεόν δώρον, θείόν σε κομίζονται, καί φωτοφόρον βλάστημα, τή γεννήσει μηνύον τής ευσεβείας τήν έλλαμψιν, καί τόν τής αιρέσεως έλεγχον.

Σύ εκ Παιδός καθιερώθης Όσιε, τώ δεδωκότι Θεώ, καί πρός αυτόν βλέπων,

καί καθοδηγούμενος, ζωοποιοίς προστάγμασι, τοίς αυτού θεοφόρε, πρός ύψος ήρθης μετάρσιον, τό τών αρετών διά Πίστεως.

Θεοτοκίον

Σέ Θεομήτορ προστασίαν έχοντες, ου δειλιάσομεν, τό τών εχθρών στίφος, τό αντιμαχόμενον, τοίς ευσεβώς δοξάζουσι, τόν εκ σού γεννηθέντα, Θεόν τών όλων καί Κύριον, όν υπέρ ημών εκδυσώπησον.

Καταβασία

«Χέρσον αβυσσοτόκον, πέδον ήλιος, επεπόλευσε ποτέ, ωσεί τείχος γάρ επάγη, εκατέρωθεν ύδωρ, λαώ πεζοποντοπορούντι, καί θεαρέστως μέλποντι. Άσωμεν τώ Κυρίω, ενδόξως γάρ δεδόξασται».

Ωδή γ'  Ο Ειρμός

Ουκ εν σοφία καί δυνάμει καί πλούτω καυχώμεθα, αλλ' εν σοί τή τού Πατρός, ενυποστάτω Σοφία Χριστέ, ου γάρ εστιν Άγιος, πλήν σου Φιλάνθρωπε».

Σέ η τεκούσα, τό τής Άννης ζηλώσασα Όσιον, ως τόν πάλαι Σαμουήλ, θυσίαν ζώσαν προσήγαγε, Θεώ τώ δοξάσαντι, καί πρό συλλήψεως.

Περιουσία τής πρό Θεόν αγάπης πυρούμενος, λογισμώ πανευσεβεί, παθών εκράτησας Όσιε, διό θεία χάρις σοι, επανεπαύσατο.

Έτερος

Ο στερεώσας κατ' αρχάς

Από στειρώσεως τεχθείς, πνευματικής, γεωργός πολυγονώτατος ώφθης, τάς ακάνθας εκτεμών, τής ασεβείας, Όσιε, καί ευσεβείας σπόρον, ένθεον καταβαλόμενος.

Ιερουργός υπερφυών, καί μυστικών θεαμάτων, θεοφόρε γεγονώς, τούς απίστους, προσενήνοχας Χριστώ, θεοπρεπώς πιστεύοντας, ταίς διδαχαίς σου Πάτερ, διδασκομένους τά κρείττονα.

Σωφρονεστάτω λογισμώ, καί ευσεβεί κεχρημένος, τών ρευστών καί φθειρομένων αυτίκα, τήν αιώνιον ζωήν, καί τήν τρυφήν προέκρινας, δι' εγκρατείας άκρας, σάρκα νεκρώσας Ευθύμιε.

Πυρπολουμένη τή ψυχή, καί τετρωμένη τώ πόθω, τού Χριστού, τάς πυριφλέκτους ενέδρας, τών δαιμόνων εκφυγών, τή δροσοβόλω χάριτι, κατελαμπρύνθης Πάτερ, σημειοφόρος γενόμενος.

Θεοτοκίον

Ρήσεις τών θείων Προφητών, καί τάς αυτών προφητείας, επεσφράγισας τεκούσα τόν Λόγον, τόν λαλούντα δι' αυτών, καί τάς αυτών πληρώσαντα, θεηγορίας μόνη, ευλογημένη Πανύμνητε.

Καταβασία

«Τό στερέωμα, τών επί σοί πεποιθότων, στερέωσον Κύριε τήν Εκκλησίαν, ήν

εκτήσω, τώ τιμίω σου αίματι».

Κάθισμα Ήχος πλ. δ'
Τήν Σοφίαν καί Λόγον

Εγκρατείας ελαίω τήν τής ψυχής, εκπληρώσας λαμπάδα πνευματικώς, ποθών τήν αείφωτον, τού Νυμφίου σου έλευσιν, προσευχαίς αγρύπνοις, ετήρησας, Όσιε, καί νυμφώνι τούτου, ευφραίνει μακάφιε, όθεν επαξίως τήν τρυφήν εκομίσω, τήν όντως αείζωον, καί θαυμάτων ενέργειαν, θεοφόρε Ευθύμιε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... τό αυτό

Καί νύν... Θεοτοκίον

Τήν ψυχήν μου Παρθένε τήν ταπεινήν, τήν εν ζάλη τού βίου τών δυσχερών, νύν ως ακυβέρνητον ποντουμένην τώ κλύδωνι, αμαρτιών τε φόρτω, οφθείσαν υπέραντλον, καί εις πυθμένα Άδου ελθείν κινδυνεύουσαν, φθάσον Θεοτόκε, τή θερμή σου πρεσβεία, καί σώσον παρέχουσα, σόν λιμένα τόν εύδιον, ίνα πίστει κραυγάζω σοι. Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δοθήναί μοι, σέ γάρ έχω ελπίδα, ο ανάξιος δούλός σου.

Ωδή δ' Ο Ειρμός

«Έκλινας Χριστέ τή καταβάσει σου, ουρανούς εν συνέσει, καί ώφθης σεσαρκωμένος επί γής. Διό πάντες βοώμεν. Τή δυνάμει σου δόξα φιλάνθρωπε».

Φυλάξας τόν νούν αμετεώριστον, εκ σπαργάνων τόν βίον, ανάβασιν επεδείξω πρός Θεόν, ώ προβαίνων εκράθης, εκ δυνάμεως Πάτερ εις δύναμιν.

Ηράσθης Χριστού τής ταπεινώσεως, μετανάστης εντεύθεν, πρός άστυ τό θεοδόχον γεγονώς, συσταυρούσαι τή γνώμη, τώ Σταυρόν διά σέ υπομείναντι.

Νομίμως αθλήσαι προελόμενος, εξεδύσω τόν βίον, γυμνόν δέ τώ αντιπαλω προσπλακείς, τή Χριστού εκμιμήσει, εν ερήμω τό τρόπαιον έστησας.

Έτερος

Σύ μου ισχύς, Κύριε

Όλον σαυτόν, Πάτερ Θεώ καθιέρωσας, αθανάτου, δόξης εφιέμενος, καί πρός αυτόν, έδραμες θερμώς, διά πολιτείας, αμέμπτου καί δι' ασκήσεως, καί βίου λαμπροτάτου, ανενδότως κραυγάζων. Τή δυνάμει σου δόξα Φιλάνθρωπε.

Σύ τήν πηγήν, Όσιε τής αγαθότητος, αγαπήσας, όλης εκ δυνάμεως, τοίς Ασκηταίς, γέγονας πηγή, θείων χαρισμάτων, διψώντας, τούτους ιώμενος, πηγάς γάρ ώσπερ πάλαι, Μωϋσής εν ερήμω, παραδόξως Παμμάκαρ

ανέβλυσας.

Επιφανείς, εκ τών αδύτων τού Πνεύματος, τής παιδίσκης, γόνους ηλευθέρωσας, υιούς Θεού αξιοπρεπώς, τούτους αναπλάσας, υιοθεσίας Βαπτίσματι, τού θείου γάρ Προδρόμου, μιμησάμενος βίον, Βαπτιστής ανεδείχθης Ευθύμιε.

Υπό Θεού, τοίς αγνοούσιν Ευθύμιε, επεγνώσθης, χάριτι λαμπόμενος, ου γάρ τήν σήν, έδει αρετήν, όντως εν ερήμω, λαθείν καί κατακαλύπτεσθαι, διό σε φωτοφόρον, ως φωστήρα τοίς πάσιν, ο Δεσπότης τών όλων ανέδειξε.

Θεοτοκίον

Χαίρε σεμνή, χαίρε Παρθένε πανάχραντε, χαίρε Όρος, χάριτι κατάσκιον, χαίρε Σκηνή, χαίρε Κιβωτέ, χαίρε Λυχνία, τό Φώς τό θείον βαστάζουσα, χαράς γάρ ανεκφράστου, καί ψυχών ευφροσύνης, τοίς πιστεύουσι πρόξενος γέγονας.

Καταβασία

«Εκάλυψεν ουρανούς, η αρετή σου Χριστέ, τής κιβωτού γάρ προελθών, τού αγιάσματός σου, τής αφθόρου Μητρός, εν τώ ναώ τής δόξης σου, ώφθης ως βρέφος αγκαλοφορούμενος, καί επληρώθη τά πάντα, τής σής αινέσεως».

Ωδή ε' Ο Ειρμός

«Ασεβείς ουκ όψονται, τήν δόξαν σου Χριστέ, αλλ' ημείς σέ Μονογενές, Πατρικής απαύγασμα δόξης θεότητος, εκ νυκτός ορθρίζοντες, ανυμνούμέν σε φιλάνθρωπε».

Σεαυτόν υπέταξας, τώ νόμω τού Θεού, τό γάρ σώμά σου ως ψυχής θεοφόρε όργανον, εδουλαγώγησας, τής σαρκός τό φρόνημα, καθυποτάξας τώ πνεύματι.

Γεγηθώς διήνυσας, τήν τρίβον τής ζωής, καί Θεού φόβον συλλαβών, σωτηρίαν έτεκες τοίς πλανωμένοις, αναλάμψας ήλιος, τή ερήμω καλυπτόμενος.

Έτερος

Ίνα τί με απώσω

Ασκητών ευσεβείας, επί τήν ουράνιον τρίβον Ευθύμιε, προηγήσω Πάτερ, καί πρός κληροδοσίαν ανώλεθρον, εν υψίστοις άγων, στύλος πυρός τε καί νεφέλης, δεδειγμένος τή αίγλη τού Πνεύματος.

Ιατρόν ασθενούντων, άγαν συμπαθέστατον κόσμω δεδώρηται, ο Χριστός σε Πάτερ, καί πεινώντων τροφέα παράδοξον, παιδευτήν αφρόνων, σωφρονιστήν αγνωμονούντων, όρφανών καί πτωχών αντιλήπτορα.

Συμπαθής ελεήμων, γνώμην ταπεινόφρονα φέρων γεγένησαι, τών παθών εκτέμνων, τάς αιτίας ενθέοις διδάγμασι, καί σοφίζων Πάτερ, καί νουθετών

τούς φοιτητάς σου, καί ψυχών θεραπεύων νοσήματα.

Πανταχού τάς ακτίνας, πέμπων τών θαυμάτων σου πάντας εφώτισας, καί μαγνήτις ώσπερ, εφειλκύσω πρός τά σά παιδεύματα, διαπλάττων ήθη, καί τών ψυχών τάς διαθέσεις, εμβατεύων ψυχής καθαρότητι.

Θεοτοκίον

Αληθή Θεοτόκον, πάντες σε κηρύττομεν Θεοχαρίτωτε, οι τή σή γεννήσει, τής φθαρτής λυτρωθέντες γεννήσεως, καίπρος τήν αμείνω, πάλιν ζωήν ανακληθέντες, διά σπλάγχνα ελέους Θεού ημών.

Καταβασία

«Ως είδεν Ησαίας συμβολικώς, εν θρόνω επηρμένω Θεόν, υπ' Αγγέλων δόξης δορυφορούμενον, ώ τάλας! εβόα, εγώ, πρό γάρ είδον σωματούμενον Θεόν, φωτός ανεσπέρου, καί ειρήνης δεσπόζοντα».

Ωδή ς'  Ο Ειρμός

«Ήλθον εις τά βάθη τής θαλάσσης, καί κατεπόντισέ με, καταιγίς πολλών αμαρτημάτων, αλλ' ως Θεός εκ βυθού ανάγαγε, τήν ζωήν μου Πολυέλεε».

Γόνους ώσπερ πάλαι τής παιδίσκης, τής παλιγγενεσίας, τώ λουτρώ καί νύν υιοθετήσας, ταίς σαίς λιταίς, θεοφόρε σύντριψον, τόν ζυγόν τόν τής δουλείας ημών.

Έθετο σοφόν σε οικονόμον, καί παιδευτήν αφρόνων, πονηρίας πνευμάτων διώκτην, η τού Θεού, θεοφόρε χάρις σοι, εναργώς εν σοί σκηνώσασα.

Έτερος

Ιλάσθητί μοι Σωτήρ

Μεγίστην παρά Θεού τήν εξουσίαν δεξάμενος, τά πλήθη τών δυσμενών, δαιμόνων εδίωξας, τής τούτων στρεβλώσεως, ιώμενος πάντας, τούς εν πίστει σοι προστρέχοντας.

Μακάριος αληθώς, εγένου Πάτερ Ευθύμιε, πτωχείαν πλουτοποιόν, καί πένθος χαρμόσυνον, κτησάμενος Όσιε, δι' ών βασιλείαν, ουρανών εκληρονόμησας.

Απώσω τήν επί γής, τιμήν καί δόξαν ευμάραντον, αϊδιον δέ ζωήν, καί κλήρον ακήρατον, Παμμάκαρ απείληφας, σκηνάς ουρανίους, κατοικήσας ασφαλέστατα.

Θεοτοκίον

Κυρίαν σε τού παντός, καί Δέσποιναν ονομάζομεν, τόν όντως όντα Θεόν, αρρήτως γάρ τέτοκας, τόν πάντα ποιήσαντα, καί διακρατούντα, καί συνέχοντα Πανάμωμε.

Καταβασία

«Εβόησέ σοι, ιδών ο Πρέσβυς, τοίς οφθαλμοίς τό σωτήριον, ο λαοίς επέστη.

Εκ Θεού Χριστέ, σύ Θεός μου».

Κοντάκιον Ήχος πλ. δ'
Ως απαρχάς τής φύσεως

Εν τή σεπτή γεννήσει σου, χαράν η κτίσις εύρατο, καί εν τή θεία μνήμη σου Όσιε, τήν ευθυμίαν έλαβε τών πολλών σου θαυμάτων, εξ ών παράσχου πλουσίως ταίς ψυχαίς ημών, καί αποκάθαρον αμαρτημάτων κηλίδας, όπως ψάλλωμεν, Αλληλούϊα.

Ο Οίκος

Εκ ραθύμου καρδίας τήν αίνεσιν, πώς προσοίσω ο άθλιος δέδοικα, καί υμνήσω τόν μέγαν Ευθύμιον, αλλά τούτων θαρρών ταίς δεήσεσιν, εν ευθυμία καί σπουδή πολλή, τή ωδή εγχειρήσω, καί πάσιν εξείπω αυτού τήν πολιτείαν, καί τήν γέννησιν, καί πώς οι τούτου γονείς έψαλλον τό, Αλληλούϊα.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Κ' τού αυτού μηνός, Μνήμη τού Όσίου Πατρός ημών Ευθυμίου τού Μεγάλου.

Στίχοι

- Τί κοινόν Ευθύμιε σοί καί τώ βίω;
- Πρός Αγγέλους άπαιρε τούς ξένους βίου
- Λήξε βίου Ευθύμιος εικάδι ηϋγένειος.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Βάσσου, Ευσεβίου, Ευτυχίου καί Βασιλίδου.

Στίχοι

- Χείρας Βάσσου τέμνουσι χείρες δημίων,
- Χείρες βέβηλοι, χείρας ηγιασμένας.
- Τμηθείς πέλυξιν Ευσέβιος πάν μέλος,
- Τήν Ορθόδοξον Πίστιν άτρωτος μένει.
- Ευτύχιον διείλον εις μέρη τρία,
- θείως Θεού Πρόσωπα τιμώντα τρία.
- Απορραγήναι μή θέλων Βασιλίδης,
- Μοίρας Αθλητών, ερράγη τήν γαστέρα.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Ιννά, Πιννά, καί Ριμμά.

Στίχοι

- Θάλψις δεχέσθω τούς Αθλητάς τού κρύους,
- Ιννάν, Πιννάν, Ριμμάν τε τούς κρυσταλλίνους.

Τή αυτή ημέρα, Μνήμη τού μακαρίου Πέτρου τού Τελώνου.

Στίχοι

- Καλεί σε Πέτρε Χριστός εκ τελωνίου
- Πρός αρετήν πρίν, νύν δέ πρός τρυφήν πόλου.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

## Ωδή ζ' Ο Ειρμός

«Νέοι τρείς εν Βαβυλώνι, πρόσταγμα τυραννικόν, εις φλήναφον θέμενοι, εν μέσω φλογός ανεβόων. Ευλογητός εί Κύριε, ο Θεός τών Πατέρων ημών».

Ώφθης είσω τής νεφέλης, Πάτερ τώ υπερφυεί, πυρί καλυπτόμενος, ως θείος βοών μυστιπόλος. Ευλογητός εί Κύριε, ο Θεός τών Πατέρων ημών.

Νέμει σοι τά υπέρ φύσιν, Πάτερ ο Δημιουργός, αφθόνως τής φύσεως, ψυχών διαθέσεις προφαίνων, τών μετασχόντων Όσιε, τής σαρκός τού Κυρίου σου.

Ένα καί μετά τήν θείαν, σάρκωσιν μονογενή, εν δύω ταίς φύσεσιν, Ευθύμιε σέβων εβόας. Ευλογητός εί Κύριε, ο Θεός τών Πατέρων ημών.

## Έτερος

### Θεού συγκατάβασιν

Ασκήσεως στάδιον, αγιωσύνης Πάτερ γυμνάσιον, τόν σόν έδειξας βίον, δι' εγκρατείας άκρας ενούμενος, τοίς Ασωμάτοις κραυγάζων Ευθύμιε. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Ρομφαίαν σε δίστομον, ηκονημένην Χριστός ανέδειξε, τών εχθρών τάς καρδίας, καί τών δαιμόνων σφάττουσαν φάλαγγας, καί τών ψαλλόντων ψυχάς κατεθφραίνουσαν. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Φωτός εμφορούμενος, τού Τρισηλίου Πάτερ φώς δεύτερον, τή μεθέξει τού πρώτου, μεμορφωμένος ώφθης Ευθύμιε, τάς λαμπηδόνας εκπέμπων τοίς ψάλλουσιν. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

### Θεοτοκίον

Ώς όρθρος ανέτειλας, δικαιοσύνης Ήλιον έχουσα, τόν εκ σκότους τόν κόσμον, τής αγνωσίας ανακαθαίροντα, θεογνωσίας ακτίσιν, ώ ψάλλομεν. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

### Καταβασία

«Σέ τόν εν πυρί δροσίσαντα, Παίδας θεολογήσαντας, καί Παρθένω ακηράτω ενοικήσαντα Θεόν Λόγον υμνούμεν, ευσεβώς μελωδούντες. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών».

## Ωδή η' Ο Ειρμός

«Ευαγείς Παίδας εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τους αιώνας».

Θεώ σεαυτόν καθιερώσας, καί άψας τής συνειδήσεως τήν κάμινον, όλον σου

Ευθύμιε, χαίρων ωλοκαύτωσας, ως ιερείον άμωμον, τόν βίον μέλπων Χριστώ. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Υιοθετηθείς χάριτι θεία, ως κλήρον τήν τών μελλόντων γνώσιν είληφας, φύσεως κρατήσας γάρ, φύσιν υπερβέβηκας, προγνωστικώς πρός έκβασιν, σπεύδων Ευθύμιε. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, βοών εις τούς αιώνας.

Έτερος

Επταπλασίως κάμινον

Συντονωτάτη χρώμενος, εγκρατεία Πανόβλιε, πρός υψηλοτάτην, πολιτείαν έφθασας, δοχείον γενόμενος, χωρητικόν τού Πνεύματος, τού ζωοποιού, καί τών εκείθεν πλουσίως, βρυόντων χαρισμάτων, μελωδών ανενδότως. Λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Μεταναστεύων έφθασας, τής Σιών τήν ακρόπολιν, εις τάς αιωνίους, δέ μονάς κατήντησας, καί κλήρον ουράνιον, εκ τών οικείων πόνων ευρών, ταίς Αγγελικαίς, χοροστασίαις συμψάλλεις. Οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ολολαμπής ως ήλιος, τάς ερήμους εφώτισας, τούς σκοτεινομόρφους, απελάσας δαίμονας, καί στύλος ολόφωτος, ουρανομήκης γέγονας, θαυματοποιούς, μαρμαρυγάς αποστίλβων, απαύστως ανακράζων. Ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ιερωτάταις πράξεσι, διά βίου κοσμούμενος, τήν αρχικωτάτην, αρετήν κατώρθωσας, δογμάτων ορθότητι, διαπρεπής γενόμενος, καί θεολογίας ακριβούς υποφήτης, βοών αδιαλείπτως, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Νύμφη Θεού πανάμωμε, τούς πρός σέ καταφεύγοντας, τής αιχμαλωσίας, τών παθών εξάρπασον, καί τήν αυτοδέσποτον, ελευθερίαν Δέσποινα, ταίς των ορθοδόξων, Εκκλησίαις παράσχου, ταίς πίστει μελωδούσαις, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Καταβασία

«Αστέκτω πυρί ενωθέντες, οι θεοσεβεία, προεστώτες Νεανίαι, τή φλογί δέ μή λωβηθέντες, θείον ύμνον έμελπον. Ευλογείτε, πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ'  Ο Ειρμός

«Μετά τόκον σε Αγνή, καί πρό τού τόκου, καί εν τόκω άχραντε, σέ πάσα η κτίσις καταγγέλλουσα, ως Θεοτόκον αληθή μεγαλύνομεν».

Ιαμάτων σε πηγήν, καί πρό θανάτου καί εν θήκαις Όσιε, κεκοιμημένον ευμοιρήσαντες, ως νικηφόρον αθλητήν μακαρίζομεν.

Επιγείω Βασιλεί, τόν εν υψίστοις αρωγόν απέργασαι, κατά Βαρβάρων, καί τή ποίμνη σου, κατά ποικίλων πειρασμών Πάτερ Όσιε.

Έτερος

Εξέστη επί τούτω

Εγνώρισε Χριστός σοι τήν πρός αυτόν, πολυέραστον Πάτερ ανάλυσιν, ώσπερ Μωσεί, πάλαι τώ θεόπτη, ού μιμητής, δι' αρετής γενόμενος, ρήξας σύ τήν θάλασσαν τών παθών, διέβης ακωλύτως, πρός γήν επαγγελίας, τούς εναντίους τροπωσάμενος.

Μετέστης ως, Ηλίας ο ζηλωτής, αρετών εποχούμενος άρματι, πρός ουρανόν, όπου τό πολίτευμα εμφανώς, τό σόν εγράφη Όσιε, καί νύν τώ Δεσπότη παρεστηκώς, μνημόνευε τών πίστει, τήν μνήμην σου τελούντων, τήν φωτοφόρον καί πανίερον.

Ο βίος σου Παμμάκαρ Αγγελικός, η ζωή δέ θεόφρον υπέρλαμπρος, η δέ ψυχή, φωτοειδεστάτη θεοειδής, καί ευσεβής η πίστις σου, θείων γάρ δογμάτων υφηγητής, εγένου θεοφόρε, καί κήρυξ Ορθοδόξου, διδασκαλίας εχρημάτισας.

Ικέτην σε καί πρέσβυν πρός τόν Θεόν, πρεσβευόμενον Πάτερ συγχώρησιν, αμαρτιών, καί τών οφλημάτων καί τών χρεών, αποκοπάς αιτουμενον, θείους μιμησάμενον οικτιρμούς, προβάλλομαι προθύμως, ελπίδι τής πρεσβείας, τής σής θεόφρον στηριζόμενος.

Θεοτοκίον

Σωτήριος γενού μοι πύργος Αγνή, τών δαιμόνων απείργων τάς φάλαγγας, καί πειρασμών, όχλον καί κινδύνων αποσοβών καί τών παθών τήν έφοδον, πόρρω απελαύνων, καί καθαράν, διδούς ελευθερίαν, καί θείων χαρισμάτων, τήν αφθονίαν παρεχόμενος.

Καταβασία

«Εν νόμω σκιά καί γράμματι τύπον κατίδωμεν οι πιστοί, πάν άρσεν, τό τήν μήτραν διανοίγον, άγιον Θεώ, διό πρωτότοκον Λόγον, Πατρός ανάρχου Υιόν, πρωτοτοκούμενον Μητρί απειράνδρω, μεγαλύνομεν».

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Εκ μήτρας καθηγίασε, Θεός σε Πάτερ Όσιε, Ιερεμίαν ως πάλαι, καί Σαμουήλ θεοφόρε, προφήτην θείον δείξας σε, τερατουργέ Ευθύμιε, τών Αγγέλων ομόσκηνε, μεθ' ών μνημόνευε πάντων, τών σέ πιστώς ανυμνούντων.

Έτερον όμοιον

Ως πάλαι τού βλαστήσαντος Προδρόμου θείος Άγγελος εκ στειρευούσης

νηδύος, τόν σόν κατήγγειλε τόκον, διό καί τούτου γέγονας εκμαγείον Ευθύμιε, Βαπτιστής ορεσίτροφος, ακτήμων άοικος πάσι, χαρίσμασι διαλάμπων.

Θεοτοκίον όμοιον

Εν δύω ταίς θελήσεσι, καί φύσεσι Πανάμωμε, μιά δέ τή υποστάσει, τίκτεις Θεόν απορρήτως, τόν δι' ημάς πτωχεύσαντα, μέχρι Σταυρού θελήματι, καί ημίν χαρισάμενον, τόν τής θεότητος πλούτον, Θεοκυήτορ Παρθένε.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'

Ώ τού παραδοξου θαύματος

Όσιε Πάτερ Ευθύμιε, καταλιπών τά εν γή, τώ Χριστώ ηκολούθησας, μή προκρίνας ένδοξε, τά φθαρτά πρός τά μένοντα, καί εν ερήμω, ώσπερ εν πόλει οικών, τάς τών δαιμόνων, φάλαγγας ώλεσας. Ώ τίς ισχύσειεν, εωειπείν Αοίδιμε, τής σής ψυχής, όντως τήν θερμότητα, τήν πρός τόν Κύριον! (Δίς)

Όσιε Πάτερ Ευθύμιε, σύ ανεδείχθης κανών, Μοναζόντων καί καύχημα, ορθοδόξων ήδυσμα, καί λαμπρός οικουμένης φωστήρ, τού γάρ δολίου εχθρού ουκ έπτηξας, τάς εκφοβήσεις, εν τώ σπηλαίω οικών. Ώ τού χαρίσματος, τού εν σοί Μακάριε! δι' ού σαφώς, πάσαν κατεπάτησας, τήν τών δαιμόνων οφρύν.

Όσιε Πάτερ Ευθύμιε, σύ αληθώς πρός Θεόν, τήν ψυχήν ανεπτέρωσας, καί ασκήσει Άγιε, τάς αισθήσεις εκάθηρας, καί ταίς απαύστοις, ευχαίς πανόλβιε, τής αθανάτου ζωής ηξίωσαι. Ώ εγκαλλώπισμα, Ασκητών αοίδιμε, σέ ο Χριστός χαίρων υπεδέξατο, εις τάς αϋλους μονάς.

Δόξα... Ήχος πλ. δ'

Τών Μοναστών τά πλήθη, τόν καθηγητήν σε τιμώμεν Ευθύμιε, διά σού γάρ τήν τρίβον, τήν όντως ευθείαν πορεύεσθαι έγνωμεν. Μακάριος εί, τώ Χριστώ δουλεύσας, καί εχθρού θριαμβεύσας τήν δύναμιν, Αγγέλων συνόμιλε, Οσίων ομόσκηνε καί Δικαίων, μεθών πρέσβευε τώ Κυρίω, ελεηθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Ήχος πλ. δ’

Δέσποινα πρόσδεξαι, τάς δεήσεις τών δούλων σου, καί λύτρωσαι ημάς, από πάσης ανάγκης καί θλίψεως.

Δοξολογία μεγάλη, καί Απόλυσις.

Εις τήν Λειτουργίαν

Τυπικά, καί εκ τού Κανόνος Ωδή γ' καί ς'. Απόστολον, Ευαγγέλιον καί Κοινωνικόν, Ζήτει εις Οσίους.

---

Αρχή

**ΤΗ ΚΑ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τού Οσίου Πατρός ημών Μαξίμου τού Ομολογητού, καί τού Αγίου Μάρτυρος Νεοφύτου.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τού Ομολογητού.

Ήχος δ' Ως γενναίον εν Μάρτυσιν

Τόν δι' οίκτον γενόμενον, ως ευδόκησεν άνθρωπον, εν δυσί θελήσεσιν ενεργείαις τε, κατανοούμενον Όσιε, εκήρυξας Μάξιμε, αποφράττων μιαρών, τά απύλωτα στόματα, μονοθέλητον, μονενέργητον τούτον δοξαζόντων, επηρεία διαβόλου, τού τήν κακίαν τεκτήναντος.

Ταίς νευραίς τών δογμάτων σου, Πύρρον Πάτερ απέπνιξας, ληρωδούντα Μάξιμε τόν κακόφρονα, καί διωγμούς εκαρτέρησας, καί θλίψεις αοίδιμε, μαστιζόμενος δεινώς, καί τήν γλώτταν τεμνόμενος, καί τήν πάντοτε, πρός Θεόν αιρομένην θείαν χείρα, δι' ής γράφων διετέλεις, τά υψηλότατα δόγματα.

Οξυγράφου ως κάλαμος, τεθηγμένη τώ Πνεύματι, η αγία γέγονε Πάτερ γλώσσά σου, καλλιγραφούσα εν χάριτι, πλαξί καρδιών ημών, τόμον θείων αρετών, καί δογμάτων ακρίβειαν, καί τήν σάρκωσιν, τού εν δύω ουσίαις τοίς ανθρώποις, καί μιά τή υποστάσει, εμφανισθήναι θελήσαντος.

Στιχηρά Προσόμοια τού Μάρτυρος

Ήχος πλ. δ'
Ώ τού παραδόξου θαύματος

Ώ τού παραδόξου θαύματος! Περιστερά ομιλεί, Νεοφύτω τώ Μάρτυρι, ανθρωπίνω φθέγματι, εκ τών άνω φοιτήσασα, δι' ής αστράπτει, βίον ισάγγελον, υφ' ής νεάζων, αθλουργεί κράτιστα. Ώ θείων πράξεων, τού πεντάθλου Μάρτυρος! ού ταίς ευχαίς, σώσον τάς ψυχάς ημών, Χριστέ ως εύσπλαγχνος.

Ώ τού παραδόξου θαύματος! από σπαργάνων αυτού, ο αρτίφρων Νεόφυτος, εκτελεί θαυμάσια, ενεργεία τού Πνεύματος, εκ πέτρας ύδωρ, ευχαίς αρύεται, νεκράν εγείρει, ής ώφθη γέννημα. Ώ θείων πράξεων, τού πεντάθλου Μάρτυρος! ού ταίς ευχαίς, σώσον τάς ψυχάς ημών, Χριστέ ως εύσπλαγχνος.

Ώ τού παραδόξου θαύματος! υπέρ Χριστού εναθλών, ο γενναίος Νεόφυτος, τούς εχθρούς εξίστησιν, εξαισίοις εν θαύμασι, τό πύρ κοιμίζει, τούτω βαλλόμενος, αγρίους θήρας, πτήσσοντας δείκνυσιν. Ώ κράτος άμαχον, εν ώ τεθαυμάστωται, ο Αθλητής! αλλά ταίς ευχαίς αυτού, σώσον ημάς ο Θεός.

Δόξα... Ήχος πλ. β'

Όσιε Πάτερ, εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος τών κατορθωμάτων σου, δι' ών εν τοίς ουρανοίς, εύρες μισθόν τών καμάτων σου. Τών δαιμόνων ώλεσας τάς φάλαγγας, τών Αγγέλων έφθασας τά τάγματα, ών τόν βίον αμέμπτως εζήλωσας. Παρρησίαν έχων πρός Κύριον, ειρήνην αίτησαι ταίς ψυχαίς ημών.

Καί νύν... Θεοτοκίον

Όλην αποθέμενοι

Κητώας κοιλίας με, τής πονηράς αμαρτίας, εξάγαγε Δέσποινα, εν γαστρί χωρήσασα τόν Αχώρητον, χαλεπού κλύδωνος, πειρασμών λύτρωσαι, καταιγίδος παραπτώσεων, Κόρη εξάρπασον, τών ανομιών μου ξηραίνουσα, τό πέλαγος καί παύουσα, τής δαιμονικής παρατάξεως, τάς επαναστάσεις, τή θεία συμμαχία σου Αγνή, όπως απαύστως δοξάζω σε, τήν Αειμακάριστον.

Η Σταυροθεοτοκίον

Τριήμερος ανέστης Χριστέ

Λαόν τόν ανομώτατον, αδίκως καθηλούντά σε, επί ξύλου, η Παρθένος καί Αγνή, καί Μήτηρ σου Ορώσα, ως Συμεών προέφη, τά σπλάγχνα Σώτερ διετέτρωτο.

Αποστίχου, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος πλ. δ'

Τών Μοναστών τά πλήθη, τόν καθηγητήν σε τιμώμεν Μάξιμε, διά σού γάρ τήν τρίβον, τήν όντως ευθείαν πορεύεσθαι έγνωμεν. Μακάριος εί, τώ Χριστώ δουλεύσας, καί εχθρού θριαμβεύσας τήν δύναμιν Αγγέλων συνόμιλε, Οσίων ομόσκηνε καί δικαίων, μεθ' ών πρέσβευε τώ Κυρίω, ελεηθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Οι Μάρτυρές σου Κύριε

Εξάρπασόν με Δέσποινα, χειρός τού δράκοντος τού βροτοκτόνου, τού πολεμούντός με εν υποκρίσει, καταπιείν ολοτελώς, σύντριψον τάς μύλας τούτου δέομαι, καί τά μηχανήματα διάλυσον, όπως ρυσθείς τών τούτου ονύχων, μεγαλύνω τήν δυναστείαν σου.

Η Σταυροθεοτοκίον  όμοιον

Ηδάμαλις η άσπιλος, τόν μόσχον βλέπουσα επί τού ξύλου, προσαρτώμενον εθελουσίως, οδυρομένη γοερώς, Οίμοι! ανεβόα ποθεινότατον, τέκνον, τί σοι δήμος ανταπέδωκεν, αχάριστος Εβραίων, θέλων με ατεκνώσαι, εκ σού Παμφίλτατε.

Απολυτίκιον τού Οσίου

Ήχος πλ. δ'

Ορθοδοξίας οδηγέ, ευσεβείας Διδάσκαλε καί σεμνότητος, τής Εκκλησίας ο φωστήρ, τών Μοναζόντων θεόπνευστον εγκαλλώπισμα, Μάξιμε σοφέ, ταίς διδαχαίς σου πάντας εφώτισας, λύρα τού Πνεύματος. Πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Τού Μάρτυρος  Απολυτίκιον

Ήχος δ' Ταχύ προκατάλαβε
Ο Μάρτυς σου, Κύριε, εν τή αθλήσει αυτού, τό στέφος εκομίσατο τής αφθαρσίας, εκ σού τού Θεού ημών, έχων γάρ τήν ισχύν σου, τούς τυράννους καθείλεν, έθραυσε καί δαιμόνων, τά ανίσχυρα θράση. Αυτού ταίς ικεσίαις, Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, κανών τής Οκτωήχου εις καί τών Αγίων δύω.

Ο Κανών τού Οσίου, ού η ακροστιχίς, άνευ τών Θεοτοκίων.

Ο Παμμέγιστος Μάξιμος δοξάζεται.

Ποίημα τού ιωάννου τού Δαμασκηνού.

Ωδή α' Ήχος πλ. δ'
«Άσωμεν τώ Κυρίω τώ βυθίσαντι πάσαν τήν δύναμιν, Φαραώ εν θαλάσση, επινίκιον ωδήν, ότι δεδόξασται».

Όλην μοι τήν θεόπνουν, εκ τής μελιρρύτου καί ηδείας σου, εναπόσταξον γλώττης θείε Μάξιμε, χάριν τού Πνεύματος.

Πύρ καιόμενον ώφθης, κατά τών αιρέσεων Μακάριε, ως καλάμην γάρ ταύτας, κατηνάλωσας ζήλω τού Πνεύματος.

Άλογον προετέθη, εκ δυσσεβεστάτης, Προαιρέσεως μονοθέλητον δόγμα, τοίς δέ λόγοις σου Πάτερ διήλεγκται.

Θεοτοκίον
Όλος επιθυμία, ο εκ τής γαστρός σου Θεονύμφευτε, ευδοκήσας τεχθήναι, γλυκασμός τέ εστι καί φώς άδυτον.

Κανών τού Μάρτυρος, ού η ακροστιχίς.

Χριστού φυτόν σε Μάρτυς ευφημώ νέον. Ιωσήφ.

Ωδή α' Ήχος ο αυτός
«Υγράν διοδεύσας ωσεί ξηράν, καί τήν Αιγυπτίαν, μοχθηρίαν διαφυγών, ο Ισραηλίτης ανεβόα. Τώ Λυτρωτή καί Θεώ ημών άσωμεν».

Χριστού σε παμμάκαρ νέον φυτόν λειμώνι βλαστήσαν, τών Μαρτύρων καί ιερούς, καρπούς ευσεβείας εξανθήσαν, επεγνωκότες υμνούμεν Νεόφυτε.

Ρημάτων τών θείων εκπληρωτής, δεικνύμενος Μάκαρ, από βρέφους τήν

αγαθήν μερίδα εμφρόνως εξελέξω, καί οδηγός πλανωμένων γεγένησαι.

Σταλάζων θεόφρον τόν γλυκασμόν, τής θεογνωσίας, εκ χειλέων τών Ιερών, ψυχάς φαρμαχθείσας τή κακία, τού αλλοτρίου σεπτώς Κατεγλύκανας.

Θεοτοκίον

Τεκούσα τόν φύσει Δημιουργόν, εθέωσας όλην, τήν ουσίαν τών γηγιενών, διό σε κυρίως Θεοτόκον, Ομολογούμεν Παρθένε Θεόνυμφε.

Τού Οσίου

Ωδή γ'

«Σύ εί τό Στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Μέγιστος ο Μάξιμος, τής ευσεβούς Χριστού Πίστεως, παναληθώς, κήρυξ τε καί μάρτυς, ανεδείχθη δι' αίματος.

Μάξιμε μακάριε, σύ δι' ασκήσεως γέγονας, θεοπρεπές, τής φιλοσοφίας, καί αγνόν ενδιαίτημα.

Έβλυσεν η γλώσσά σου, ποταμηδόν Χριστού δόγματα, πανευσεβή, Μάξιμε παμμάκαρ, τής σοφίας ο τρόφιμος.

Θεοτοκίον

Ίνα τρίβον Δέσποτα, πρός αγιότητα φέρουσσα, δείξης ημίν, μήτραν παναγίαν, παναγίως κατώκησας.

Τού Μάρτυρος

Ειρμός  ο αυτός

Όλον ανακείμενον, τώ πανοικτίρμονι Λόγω σε, τό καθαρόν, Πνεύμα διετήρει, απαράτρωτον Ένδοξε.

Ύμνησαν τόν Κύριον, πλήθη λαών πιστών βλέψαντα, τήν διά σού, Μάρτυς τής τεκούσης, εκ νεκρών αναβίωσιν.

Φώς εναπαστράπτουσα, περιστερά φωνή ζώση σε, πρός τάς Οδούς, τάς σωτηριώδεις, προσκαλείται Νεόφυτε.

Θεοτοκίον

Ύμνον χαριστήριον, γένος βροτών αεί νέμει σοι, Μήτηρ Θεού, τήν αθανασίαν, διά σού κληρωσάμενον.

Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Κάθισμα τού Ομολογητού

Ήχος πλ. α'  Τόν συνάναρχον Λόγον

Διωγμούς υπομείνας υπέρ τής Πίστεως, απεδίωξας Πάτερ άπασαν αίρεσιν, εκτμηθείς δέ σύν χειρί τήν γλώτταν Μάξιμε, ομολογίας ευπρεπή, εκ τής χειρός τού Ποιητού, εδέξω στέφανον μάκαρ, όν νύν απαύστως δυσώπει, ελεηθήναι τάς ψυχάς ημών.

Δόξα... τού Μάρτυρος

Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ

Νεοθαλές ώς περ φυτόν εκβλαστήσας, εν τώ λειμώνι τών Χριστού Αθλοφόρων, καρπούς ενθέου γνώσεως προσήγαγες Χριστώ, οίς περ διατρέφονται, οι πιστώς σε τιμώντες, ένδοξε Νεόφυτε. Αθλητά γενναιόφρον, Αλλά ταίς σαίς δεήσεσιν ημάς, πάντοτε σώζε, Θεώ παριστάμενος.

Καί νύν... Θεοτοκίον

Μετά Θεόν επί τήν σήν Θεοτόκε, προσπεφευγως ο ταπεινός θείαν σκέπην, παρακαλώ δεόμενος, Ελέησον Αγνή, ότι υπερήράν μου, κεφαλήν αμαρτίαι, καί πτοούμαι Δέσποινα, τάς κολάσεις καί φρίττω, ικετηρίαν ποίησον σεμνή, πρός τόν Υιόν σου, εκ τούτων ρυσθήναί με.

Η Σταυροθεοτοκίον

Τόν εξ ανάρχου τού Πατρός γεννηθέντα, η επ' εσχάτων σε σαρκί τετοκυία, επί Σταυρού κρεμάμενον ορώσά σε Χριστέ, Οίμοι! ποθεινότατε, Ιησού αν, εβόα, πώς ο δοξαζόμενος, ώς Θεός υπ' Αγγέλων, υπό ανόμων νύν βροτών Υιέ, θέλων σταυρούσαι; Υμνώ σε Μακρόθυμε.

Τού Οσίου

Ωδή δ'

«Εισακήκοα Κύριε, τήν ακοήν σου καί εφοβήθην, κατενόησα τά έργα σου, καί εδόξασα τό κράτος σου Κύριε».

Γηγενείς σε γεραίρουσι, καί τών ουρανίων τάξεις θαυμάζουσι, τη φιλία τής σοφίας γάρ, ανεδείχθης Πάτερ, ώς περ άσαρκος.

Ιταμός μέν ο τύραννος, αλλ' η καρτερ ία σου ακατάλυτος! όθεν σύ μέν μεμακάρισαι ο παμπόνηρος δέ εξωστράκισται.

Συναθλούσί σοι Μάξιμε, η τών μαθητών δυάς η πανόλβιος, σοί τών άθλων Κοινωνήσαντες, διό καί επάθλων ίσων έτυχον.

Τή ροή σου τού αίματος, καταρδευομένη η Εκκλησία Χριστού, εξανθεί πατροπαράδοτον, σού τού θείου σπόρου δόγμα Όσιε.

Θεοτοκίον

Λυτρωθέντες τώ τόκω σου, τού τής αμαρτίας χρέους Πανάμωμε, χαριστήριον εφύμνιον, αναπέμπομέν σοι θεονύμφευτε.

Τού Μάρτυρος

Ειρμός ο αυτός

Τό τού βίου σου άμεμπτον, καί τής διανοίας τό ακατάπληκτον, πλήθη πάμπολλα Θεώμενα, τώ Θεώ προσήλθον, Μάρτυς ένδοξε.

Όρος φθάσας κατώκησας, θείω οδηγούμενος μάκαρ Πνεύματι, υπ' Αγγέλου δέ τρεφόμενος, τών Αγγέλων ώφθης ισοστάσιος.

Νόμους θείους δεξάμενος, σύ τούς γεγραμμένους Αξιοθαύμαστε, τούτους σπεύσας εκπεπλήρωκας, υπελθων τούς πόνους τής αθλήσεως.

Συμπαθώς διεσκόρπισας, έδωκας τοίς πένησιν, ως προστέταξαι, αντικτώμενος Μακάριε, τά εις τούς αιώνας διαμένοντα.

Θεοτοκίον

Εκουσίως πτωχεύσαντα, πλούτω αγαθότητος τόν υπέρθεον, Θεοτόκε απεκύησας, τήν ημών πτωχείαν κατοικτείραντα.

Τού Οσίου

Ωδή ε'

«Ορθρίζοντες βοώμέν σοι Κύριε, Σώσον ημάς, σύ γάρ εί Θεός ημών, εκτός σου άλλον ουκ οίδαμεν».

Ογνώσιν τών γηϊνων αθροίσας, καί ουρανίων, ενδίκως φιλόσοφος, Κατονομάζεται Μάξιμος.

Σοφίας τής αμείνω τώ έρωτι, τού Χριστού σου, μιμητής πανάριστος, ώφθης αοίδιμε Μάξιμε.

Μανία υπερόριος γέγονας, τού Τυράννου, εύρες δέ Μακάριε, τόν Ιησούν παραμύθιον.

Θεοτοκίον

Οι μή σέ Θεοτόκον γινώσκοντες, Θεομήτορ, φώς ου μή θεάσωνται, τό γεννηθέν εκ σού παναγνε.

Τού Μάρτυρος

Ίνα τί με απώσω

Μυστηρίων αρρήτων, έμπλεως γενόμενος αξιοθαύμαστε, πρός τούς προκειμένους, τής αθλήσεως χαίρων εχώρησας, ανδρικούς αγώνας, μή καταπτήξας τάς βασάνους, μηδέ θάνατον Μάρτυς Νεόφυτε.

Απορρήτω προνοία, τού τάς σάς ευθύνοντος πορείας Ένδοξε, επιστάντες θείοι, πρός τό στάδιον είλκόν σε Άγγελοι, από όρους άλλον, ώσπερ Μωσήν δεδοξασμένον, τώ προσώπω ταίς θείαις λαμπρότησι.

Ρήματα ζών εν καρδία, έχων παναοίδιμε Μάρτυς Νεόφυτε, θαρσαλέα γνώμη, τοίς διώκταις εβόας, Αυτόκλητος, τοίς εμέ ζητούσι, πάρειμι νύν τού διελέγξαι, τών υμών σεβασμάτων ασθένειαν.

Θεοτοκίον

Τό πρό τών αιώνων, Κόρη παναμώμητε, θείον μυστλήριον, αποκεκρυμμένον, διά σού εγνωρίσθη τοίς πέρασιν, ο Υιός καί Λόγος, ο τού Θεού, σάρξ χρηματίσας, καί Θεώσας Παρθένε τόν άνθρωπον.

Τού Οσίου

Ωδή ς'

«Χιτώνά μοι παράσχου φωτεινόν, ο αναβαλλόμενος, φώς ως ιμάτιον, πολυέλεε Χριστέ ο Θεός ημών».

Ανένδοτον προσφέροις τώ Θεώ, θεοφόρε δέησιν, ψυχής τε καί σώματος, τών παθών καί τής φθοράς με λυτρώσασθαι.

Ξηραίνεται αιρέσεων πηγή, βορβορώδης άπασα, αοίδιμε Μάξιμε, φραττομένη τή ισχΰϊ τής γλώττης σου.

Ιλάσθητί μοι μόνε Αγαθέ, καί πηγήν τής χάριτος, Χριστέ τή καρδία μου, ταίς ευχαίς τού σού Οσίου ανάβλυσον.

Θεοτοκίον

Η μόνη διά λόγου εν γαστρί, τόν Λόγον κυήσασα, ρύσαι δεόμεθα, τών παγίδων τού εχθρού τάς ψυχάς ημών.

Τού Μάρτυρος

Τήν δέησιν, εκχεώ

Υψούμενος, επί ξύλου Παμμάκαρ, τώ σιδή ρωτάς πλευράς κατεξάνθης, ανηλεώς, καί πλάνου ελέγχεις, τήν πωρωθείσαν καρδίαν εσπάραξας, προστάσσοντος θύειν θεοίς, καί Θεόν εξαρνείσθαι αθάνατον.

Στρεβλούμενος, καί πεδούμενος Μάρτυς, συνεπόδισας εις τέλος τήν πλάνην, καί τού εχθρού, τάς ατάκτους πορείας, απράκτους έδειξας σθένει τού Πνεύματος, καί έδραμες πρός ουρανόν, καί Χριστώ στεφηφόρος παρίστασαι.

Εθέλχθης, ταίς καλλοναίς τού Δεσπότου, καί αυτώ προσεκολλήθης κραυγάζων, Λόγε Θεού διά σέ τόν τυθέντα, εθελουσίως εγώ σφαγιάζομαι, μιμούμενος περιφανώς, τά σεπτά σου καί θεία παθήματα.

Θεοτοκίον

Υπέρλαμπρος, ανεδείχθης καθέδρα, Βασιλέως ουρανίου Παρθένε, εν ή σαρκί, ανεπαύσατο θέλων, καί τόν πολύν ημών κόπον αφείλετο, καί ϊδρυσε τώ Πατρικώ, ως ηυδόκησε θρόνω τόν άνθρωπον.

## Ο Ειρμός

«Τήν δέησιν εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών, η ψυχή μου επλήσθη, καί η ζωή μου τώ Άδη προσήγγισε, καί δέομαι ώς, Ιωνάς. Εκ φθοράς ο Θεός με ανάγαγε».

## Κοντάκιον Ήχος πλ. δ'
## Τή υπερμάχω

Τόν τής Τριάδος εραστήν καί Μέγαν Μάξιμον, τόν εκδιδάξαντα τρανώς πίστιν την ένθεον, τού δοξάζειν τόν Χριστόν, φύσεσιν εν δύω, ενεργείαις τε διτταίς ώς καί θελήσεσιν, επαξίως οι πιστοί ανευφημήσωμεν, ανακράζοντες. Χαίρε κήρυξ τής Πίστεως.

## Ο Οίκος

Ανοιξόν μου τά χείλη, ο Θεός ο Σωτήρ μου, καί δός μοι θείαν χάριν ελκύσαι, τού αξίως υμνήσαι Χριστέ, τόν κηρύξαντά σε εν δυσί φύσεσιν, εξόχως υπέρ άπαντας, πρός όν καί εκφωνώ τοιαύτα,

Χαίρε, φωστήρ καταυγάζων κόσμον, χαίρε, λιμήν τών εν ζάλη βίου.

Χαίρε, Μοναζόντων λαμπτήρ διαυγέστατος, χαίρε, τών Μαρτύρων τό κλέος καί στήριγμα.

Χαίρε, όντως εγκαλλώπισμα Εκκλησίας καί στολή, χαίρε, έρεισμα τής Πίστεως, καί ασάλευτος κρηπίς.

Χαίρε, ότι καθείλες τών αιρέσεων θράσος, χαίρε, ότι προθύμως πρός Χριστόν μέλη τέμνη.

Χαίρε, χαρά τών πίστει τιμώντων σε, χαίρε, χαράς πληρών τούς ποθούντάς σε.

Χαίρε, πολλούς τού Βελίαρ λυτρώσας, χαίρε, Πιστούς τώ Θεώ προσενέγκας.

Χαίρε, Κήρυξ τής Πίστεως.

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΑ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Μαξίμου τού Ομολογητού.

### Στίχοι

Άχειρ, άγλωττος, χείρα καί γλώτταν φύεις
Καί χερσί Θεού, Μάξιμε, ψυχήν δίδως.
Εικάδι πρώτη πότμος Μαξίμου όσσ' εκάλυψεν.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Νεοφύτου.

### Στίχοι

Τόν Νεόφυτον εκριζοί γήθεν δόρυ,
Νέου φυτού κάλλιστον οιά περ θάλος.

Τή αυτή η μέρα, Μνή μη τού Οσίου Πατρός ημών Ζωσίμου, Επισκόπου Συρακούσης, Σικελών νήσου.

### Στίχοι

Μετάστασιν Ζώσιμος εύρεν εκ βίου,
Ώ καί πρό ταύτης πάς μετάστασις βίος.

Τή αυτή ημέρα, άθλησις τών Αγίων Μαρτύρων Ευγενίου, Ουαλλεριανού, Κανδίδου, καί Ακύλα.

Στίχοι

Τόν Ευγένιον, καί συνάθλους τρείς άμα,
Δι' ευγένειαν ψυχικήν κτείνει ξίφος.

Τή αυτή ημέρα, η Σύναξις τής Αγίας Ειρήνης, εν τή αγιωτάτη Εκκλησία τή ούση πρός θάλασσαν καί Μνήμη τής Αγίας Μάρτυρος Αγνής.

Στίχοι

Υπέρ νέον σοι μόσχον, ως Δαυίδ λέγει
Ήρεσκεν Αγνή πυρπολουμένη, Λόγε.

Τή αυτή ημέρα, οι άγιοι τέσσαρες Μάρτυρες, οι εν Τύρω, ξίφει τελειούνται.

Στίχοι

Στερρών αθλητών τεσσάρων φωνή μία.
Ημίν τό θνήσκειν εκ ξίφους ευθυμία.

Ταίς τών αγίων σου πρεσβείαις, Χριστέ ο Θεός, ελέησον ημάς. Αμήν.

Τού Οσίου

Ωδή ζ'

«Οι εκ τής Ιουδαίας, καταντήσαντες Παίδες εν Βαβυλώνι ποτέ, τή πίστει τής Τριάδος, τήν φλόγα τής καμίνου, κατεπάτησαν ψάλλοντες, ο τών Πατέρων ημών, Θεός ευλογητός εί».

Μίαν φύσιν Τριάδος, μίαν θέλησιν έφης, μίαν ενέργειαν, Θεού δέ σαρκωθέντος, δύο φύσεις θελήσεις, ενεργείας, εκήρυξας, ο τών Πατέρων Θεός, βοών ευλογητός εί.

Ου θελήματα δύω, διαιρούμενα γνώμης εναντιότητι, ποιότητι δέ μάλλον, ανεκήρυξας Πάτερ, φυσική διαφέρόντα. Ο τών Πατέρων Θεός, βοών ευλογητός εί.

Στήλην ορθοδοξίας, τούς ενθέους σου λόγους, Πάτερ κατέχοντες, τόν ένα τής Τριάδος, εν δυσί ταίς ουσίαις, καί θελήσεσι σέβομεν. Ευλογητός εί Χριστέ, αυτώ αναβοώντες.

Δύο Πάτερ ειδότες, ενεργείας τού οίκτω, σεσαρκωμένου Θεού, διττάς αυτεξουσίους, θελήσεις διδαχθέντες, υπό σού αναμέλπομεν, Ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Θεοτοκίον

Παρθενικής εκ νηδύος, σαρκωθείς επεφάνης, εις σωτηρίαν ημών, διό σου τήν

Μητέρα, ειδότες Θεοτόκον, ευχαρίστως κραυγάζομεν, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

## Τού Μάρτυρος

### Παίδες Εβραίων

Φούρνον ζωόκαυστον ποιήσας, ο παράνομος εν τούτω κατακλείει, εν ημέραις τρισίν, εφλέχθης δέ ουδόλως, αναβοών Νεόφυτε. Ο Θεός ευλογητός εί.

Ήδετο ύμνος παραδόξως, ισταμένου σου φλογός εν μέσω μάκαρ η γάρ δρόσος Θεού, ανέψυχέ σε Μάρτυς, αναβοώντα, Κύριε, ο Θεός ευλογητός εί.

Μέγιστον θαύμα καταπλήττον, πάσαν έννοιαν εν σοί τό πεπραγμένον, τό γάρ πύρ ουδαμώς, συμφλέξαν σε θεόφρον, διεκχυθέν κατέκαυσε, τού πυρός τούς κληρονόμους.

### Θεοτοκίον

Ώφθης Αγγέλων υπερτέρα, βουλής Άγγελον μεγάλης τετοκυία, Θεοτόκε αγνή, ώ πάντες μελωδούμεν. Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

## Τού Οσίου

### Ωδή η'

«Νικηταί τυράννου, καί φλογός τή χάριτί σου γεγονότες, οι τών εντολώνσου, σφόδρα αντεχόμενοι Παίδες εβόων. Ευλογείτε πάντα, τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ολικώς ποθήσας, τόν υπερποθήσαντα γένος ανθρώπων, τόν σταυρόν σουήρας, καί σύν αυτώ Μακάριε συνεσταυρώθης, Ευλογείτε μέλπων, τά έργα τόν Κύριον, καί υπερυψούτε, αυτόν εις τούς αιώνας.

Ξενωθείς απάσης, ηδονής μακάριε θανατηφόρου, σεαυτόν ειργάσω, όλον ακηλίδωτον έσοπτρον θείον, Ευλογείτε μέλπων, τά έργα τόν Κύριον, καί υπερυψούτε, αυτόν εις τούς αιώνας.

Απηνούς τυράννου, δυσσεβή ωμότητα ού κατεπλάγης, άλλ' ως πύργος έστης, ακλινής ακράδαντος ορθοδοξίας, Ευλογείτε κράζων, τά έργα τόν Κύριον, καί υπερυψούτε, αυτόν εις τούς αιώνας.

Ζωηφόρον αίγλην, εκ μιάς θεότητος Τρισυποστάτου, δεδεγμένος ώφθης, τοίς εν σκότει ήλιος πεπλανημένοις, Ευλογείτε μέλπων, τά έργα τόν Κύριον, καί υπερυψούτε, αυτόν εις τούς αιώνας.

### Θεοτοκίον

Τού Αδάμ Παρθένε, τού παραπεσόντος μέν ώφθης θυγάτηρ, τού Θεού δέ μήτηρ, τού ανακαινίσαντός μου τήν ουσίαν, όν υμνούμεν πάντα τά έργα ως Κύριον, καί υπερυψούμεν, αυτόν εις τούς αιώνας.

## Τού Μάρτυρος

### Επταπλασίως καμινον

Νέω Παμμάκαρ σώματι, καί τελείω φρονήματι, τήν τού αρχεκάκου, πονηρίαν ώλεσας, φυτόν ωραιότατον, αναβλαστήσαν εν ταίς αυλαίς, τού εξ Ιεσσαί, αναβλαστήσαντος ρίζης, πρός όν βοάς απαύστως, ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Εν τώ σταδίω θήρές σε, Αθλοφόρε ηδέσθησαν, ώσπερ Δανιήλ, τόν ιερόν τό πρότερον, Χριστού γάρ σε έγνωσαν, τών παθημάτων Μάρτυρα, όν ομολογών, τάς ανηκέστους βασάνους, υπέμεινας κραυγάζων, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ο εγνωκώς σε πρότερον, εν τώ όρει Νεόφυτε, λέων παμμεγέθης, εν σταδίω όντι σοι, αχθείς επαφίεται, εις τήν τιμωρίαν Αθλητά, καί αναγνωρίσας, προσεκύνει σοι φόβω, αιδοί συγκεκραμένος, καί πη γάς κατανύξει, δακρύων ευαισθήτως, προχέων θεομάκαρ.

### Θεοτοκίον

Νέον Παιδίον τέτοκας, τόν πρό πάσης τής κτίσεως, φύντα εκ Πατρός, ανερμηνεύτως Πάναγνε, αυτόν ούν ικέτευε, παλαιωθέντα πταίσμασι, νύν ανακαινίσαι, καί βοώντά με σώσαι. Οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

### Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν, εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, τόν Δημιουργόν, καί Λυτρωτήν ανεβόα, οι παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

## Τού Οσίου

### Ωδή θ'

«Τόν προδηλωθέντα εν όρει τώ Νομοθέτη, εν πυρί καί βάτω, τόκον τόν τής Αειπαρθένου, εις ημών τών πιστών σωτηρίαν, ύμνοις ασιγήτοις μεγαλύνωμεν».

Έτι σου ως Άβελ, τό αίμα καί εις αιώνας, τά θεόπνευστα δόγματα, φωνή διαπρυσίω, τή Χριστού Εκκλησία κηρύττει, Μάξιμε παμμάκαρ καί παμμέγιστε.

Τέτμηται η χείρ μέν, γράφει δέ θείω δακτύλω, ως καλάμω καί μέλανι, τή τετμημένη γλώττη, καί τώ σώ αίματι τώ τιμίω, Πίστιν εν καρδίαις τήν Ορθόδοξον.

Άδεται εν κόσμω, η ένθεος παρρησία, καί τό πύρ τό εγκάρδιον, τής ενθέου αγάπης, δι' ήν Όσιε τήν τού αίματος χύσιν, Μάξιμε υπέστης προθυμότατα.

Ίστασαι πρό θείου βήματος μετά Μαρτύρων, οίς τού ζήλου τής πίστεως, εκοινώνησας Πάτερ, καί ημάς οικειών τώ Δεσπότη, καί σού μιμητάς απεργαζόμενος.

Θεοτοκίον

Σύ εί Θεοτόκε, τά όπλα ημών καί τείχος, σύ εί η αντίληψις, τών εις σέ προστρεχόντων, σε καί νύν εις πρεσβείαν κινούμεν, ίνα λυτρωθώμεν τών εχθρών ημών.

Τού Μάρτυρος

Έφριξε πάσα ακοή

Ίστασο οιά περ αμνός, πρός σφαγήν εθελουσίως προκείμενος, τοίς αναιρούσί σε, πικροίς διώκταις μάρτυς Νεόφυτε, καί κεντηθείς σου τήν πλευράν λόγχη τό μακάριον, τέλος απήλειφας. Αθλοφόρε τού Χριστού γενναιότατε.

Ως θύμα ως περικαλές, ιερείον ως σεπτόν καλ λιέρημα, ώσπερ ανάθημα, ναού αγίου ως καθαρά προσφορά, ώσπερ στρουθίον εκλεκτόν, ως μόσχος πολύτιμος, ως, νέον μάκαρ φυτόν, Παραδείσου, τώ Θεώ προσενήνεξαι.

Σύμμορφος γέγονας παθών, τού παθόντος δι' ημάς αγαθότητι, καί τή ισότητι, τής λόγχης Μάρτυς όντως δεδόξασαι, καί νύν οικείς τούς ουρανούς, νίκης διαδήματι, καλλωπιζόμενος, καί χαράς αδιαδόχου πληρούμενος.

Η μνήμη η πλησιφαής, καί πανένδοξος τής σής εναθλήσεως, Μάρτυς ανέτειλεν, ηλίου πλέον περιαυγάζουσα, τάς διανοίας τών πιστών, εν ή δυσωπούμέν σε, σκότους παντοίων παθών, καί κινδύνων χαλεπών ημάς λύτρωσαι.

Θεοτοκίον

Φέρουσα οίά περ λαβίς, τόν ουράνιον Θεόνυμφε άνθρακα, τά φρυγανώδη μου, καρδίας πάθη καί νύν κατάφλεξον, καί τής γεέννης τού πυρός, λύτρωσαί με, δέομαι, ίνα δοξάζω σε, τήν ελπίδα τών πιστών Παναμώμητε.

Ο Ειρμός

«Έφριξε πάσα ακοή, τήν απόρρητον Θεού συγκατάβασιν! όπως ο Ύψιστος, εκών κατήλθε μέχρι καί σώματος, παρθενικής από γαστρός, γενόμενος άνθρωπος, διό τήν άχραντον, Θεοτόκον οι πιστοί μεγαλύνομεν».

Εξαποστειλάριον τού Οσίου

Τοίς Μαθηταίς

Θεολογών εκήρυξας μίαν φύσιν Τριάδος, καί μίαν Πάτερ θέλησιν, καί ενέργειαν μίαν, Θεού δέ τού σαρκωθέντος, δύω φύσεις θελήσεις, καί ενεργείας Μάξιμε, πάνσοφε θεοφάντορ, ομολογών, θεομάχον αίρεσιν καταστρέφεις, υφ' ών τήν χείρα γλώσσάν τε, εκτμηθείς Μάρτυς ώφθης.

Τού Μάρτυρος, όμοιον

Επιφανείς Νεόφυτε, ήγειρας παραδόξως, νεκράν τήν σέ κυήσασαν, θαύμα

μέγιστον δείξας, Χριστού θεράπων ως μέγας, ώ καί νύν στεφηφόρος, θεόφρον παριστάμενος, μή ελλίπης πρεσβεύων, υπέρ τών σέ ανυμνούντων, άγιε καί τελούντων, τήν φωτοφόρον μνήμην σου, Αθλοφόρε καί Μάρτυς.

Θεοτοκίον όμοιον

Τό ξένον καί απόρρητον, τού αχράντου σου τόκου, θεοπρεπές μυστήριον, καταπλήττει Αγγέλους, καί τών βροτών τάς χορείας, Μητροπάρθενε Κόρη, καί γάρ Θεός εν μήτρα σου, σαρκωθείς ασυγχύτως, άνευ σποράς, ώφθης ο απρόσιτος προσιτός μοι, ενώσας με θεότητι, τή αυτού παραδόξως.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος πλ. β'

Φιλοσοφία κοσμήσας τόν βίον σου, θεοσοφία σαυτόν κατελάμπρυνας, όθεν εν αμφοτέροις ευδοκιμών, τή καλή ομολογία επεσφράγισας αμφότερα, τρισόβλιε Μάξιμε. Παρρησίαν ούν έχων πρός Χριστόν τόν Θεόν, εκτενώς ικέτευε υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

Ουδείς προστρέχων επί σοί, κατησχυμμένος από σού εκπορεύεται, Αγνή Παρθένε Θεοτόκε, αλλ' αιτείται τήν χάριν, καί λαμβάνει τό δώρημα, πρός τό συμφέρον τής αιτήσεως.

Η Σταυροθεοτοκίον

Τριήμερος ανέστης

Η Πάναγνος ώς είδέ σε επί Σταυρού κρεμάμενον, θρηνωδούσα, ανεβόα μητρικώς, Υιέ μου καί Θεέ μου, γλυκύτατόν μου Τέκνον, πώς φέρεις πάθος επονείδιστον.

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΒ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Αποστόλου Τιμοθέου, καί τού Αγίου Οσιομάρτυρος Αναστασίου τού Πέρσου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά προσόμοια τού Αποστόλου.

Ήχος α' Πανεύφημοι Μάρτυρες

Ακτίσι τού Πνεύματος σαφώς, σύ καταλαμπόμενος, ιεροφάντα Τιμόθεε, αριδηλότατος, ώς φωστήρ εδείχθης διατρέχων άπασαν, τήν γήν καί καταυγάζων τή χάριτι, καί νύν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην καί τό μέγα έλεος.

Θεόφρον Τιμόθεε τρυφής, τόν χειμάρρουν έπιες, καί θεοφρόνως επότισας

Θεού επίγνωσιν, τούς θερμώς ποθούντας, τόν Χριστόν μιμούμενος, ώ νύν χαρμονικώς προσεχώρησας, δόξαν θεώμενος, τής Τριάδος τήν υπέρφωτον, καί ειρήνην, τήν απειροδύναμον.

Θεόφρον Τιμόθεε πυκναίς, αρρωστίαις σώματος, καί ασθενείαις ρωννύμενος, τόν νούν μακάριε, τό τής πλάνης κράτος, ευχερώς διέλυσας, Χριστού τή δυναστεία φραξάμενος, καί διεκήρυξας, υψηγόρως τό θειότατον, τής ειρήνης, ημίν Ευαγγέλιον.

Στιχηρά τού Μάρτυρος, όμοια

Τού κόσμου τά πέρατα τά σά, νύν εξάδει θαύματα, θαυματουργέ Αναστάσιε, θαυματουργίαις γάρ, αμειβόμενός σε, ο Χριστός εκόσμησε, βασάνους δι' αυτόν υπομείναντα, καί μετά θάνατον, αθανάτου κατηξίωσεν, ευδοξίας καί μακαριότητος.

Μαρτύρων τό καύχημα λαμπρά, αναστήσας τρόπαια, κατά τής πλάνης ομώνυμον, παμμάκαρ εύκλειαν, τή σή κλήσει φέρεις, Πανταχού φερόμενος στερρός ως νικητής Αναστάσιε, καί νύν ανάστησον, εκ πταασμάτων καταπτώσεως, τούς εν πίστει τιμώντας τήν μνήμην σου.

Μάρτυς Αναστάσιε στερρά, αναστήσας τρόπαια, κατά τής πλάνης απείληφας, διπλούν τόν στέφανον, τής ασκήσεώς σου, καί στερράς αθλήσεως, καί τής μέχρι θανάτου ενστάσεως, καί τών θαυμάτων σοι, επαξίως τήν ενέργειαν, ο Δεσπότης Χριστός εδωρήσατο.

Δόξα... Ήχος πλ. δ'

Τώ Θεώ προωρασμένος, καί τώ σοφώ Παύλω μεμαθητευμένος, εμυήθης τά θεία, καλώς πολιτευσάμενος, καί τήν πίστιν μέχρις αίματος, ανενδοιάστως σαφώς ενστερνισάμενος, πιστός τά πρός τόν Θεόν Αρχιερεύς ανεδείχθης, Τιμόθεε Απόστολε, όθεν τούς ειδωλομανούντας ελέγξας, ροπάλοις καί λίθοις καταικιζόμενος, έτυχες τού μαρτυρίου τών στεφάνων. Διό Παμμάκαρ πρέσβευε, υπέρ ημών τών εν πίστει τελούντων, τήν πάνσεπτον μνήμην σου.

Καί νύν... Θεοτοκίον

Ώ τού παραδόξπυ θαύματος

Χαίρε Παρθένε Θεόνυμφε, χαίρε πιστών η ελπίς, χαίρε κόσμου καθάρσιον, χαίρε πάσης θλίψεως, η τούς δούλους σου σώζουσα, η τού θανάτου χαίρε κατάλυσις, ο ζωηφόρος χαίρε, Παράδεισος, χαίρε αντίληψις, τών προσκαλουμένων σε, χαίρε Θεού, θείον ενδιαίτημα, καί όρος άγιον.

Η Σταυροθεοτοκίον

Ω τού παραδόξου θαύματος! ώ μυστηρίου φρικτού! ώ φρικτής εγχειρήσεως! η Παρθένος, έλεγεν, εν Σταυρώ σε ως έβλεψεν, εν μέσω δύω ληστών κρεμάμενον, όν ανωδίνως, φρικτώς εκύησεν, έκλαιε κράζουσα, Οίμοι τέκνον φίλτατον! πώς σε δεινώς, δήμος ο αχάριστος, Σταυρώ προσήλωσεν.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Είτα λέγομεν Στιχηρόν  Ήχος α'

Στίχ. Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτού, καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών εν τώ ηλίω έθετο τό σκήνωμα αυτού.

Τόν φωστήρα τόν πιστών καί Απόστολον, τόν εν Ευαγγελίω εμπρέψαντα Ταμόθεον, δεύτε λαοί υμνήσωμεν λέγοντες. Χαίροις ο τερπνός τής πίστεως ράδαμνος, τής τού θείου Παύλου υιοποιϊας Χαίροις ο σεπτός γνώμων τών αρετών, τό πολύσοφον στόμα τού Λόγου. Χαίροις τό τής πίστεως άγαλμα, καί τής Εκκλησίας τό στερέωμα.

Δόξα... Ήχος β'

Εμεγάλυνας Χριστέ, ως εν τή, Ιουδαία καί εν Βαβυλώνι, τού τιμίου Σταυρού τήν δύναμιν, έμαθον γάρ δι' αυτού, τήν ζωοποιόν τής Αναστάσεως Εορτήν, καί γέγονεν εν αυτοίς ο αιχμάλωτος, ελευθερωτής ειδωλομανίας, καί Μάρτυς απαράγραπτος τών θαυμάτων, ο νύν ευφημούμενος αθλητής, Αναστάσιος ο ένδοξος, σύν Αγγέλοις χορεύων, καί πρεσβεύων υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

Ότε εκ τού ξύλου σε νεκρόν

Μόνη, τόν αχώρητον Θεόν, αστενοχωρήτως εν μήτρα, εκυοφορησας, άνθρωπον γενόμενον δι' αγαθότητα, Παναγία Θεόνυμφε, διό δυσωπώ σε, τών στενοχωρούντων με, κακών απάλλαξον, όπως τήν στενήν ευθυπόρως, τρίβον διοδεύσας πρός πλάτος, φθάσω τής εκεί μακαριότητος.

Η Σταυροθεοτοκίον

Ύβρεις, υπομείναντα πολλάς, καί επί Σταυρού υψωθέντα τόν τού παντός Ποιητήν, βλέψασα Πανάχραντε, έστενες λέγουσα. Υπερύμνητε Κύριε, Υιέ καί Θεέ μου, πώς τιμήσαι θέλων σου, τό πλάσμα Δέσποτα, φέρεις εν σαρκί ατιμίαν; Δόξα τή πολλή ευσπλαγχνία, καί συγκαταβάσει σου φιλάνθρωπε.

Απολυτίκιον τού Αποστολου

Ήχος δ'

Χρηστότητα εκδιδαχθείς, καί νήφων εν πάσιν, αγαθήν συνείδησιν ιεροπρεπώς ενδυσάμενος, ήντλησας εκ τού Σκεύους τής εκλογής τά απόρρητα, καί τήν πίστιν τηρήσας, τόν ίσον δρόμον τετέλεκας, Απόστολε Τιμόθεε. Πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς Ψυχάς ημών.

Δόξα... τού Οσιομάρτυρος

Ήχος α'

Τών Μαρτύρων το κλέος, καί οσίων τό καύχημα, καί τόν θησαυρόν τής Περσίας, τόν σοφόν Αναστάσιον, τόν μέγαν αντιλήπτορα πιστών, τόν κήρυκα τής πίστεως ημών, ταίς αγγελικαίς υμνωδίαις, εύφη μούμέν σε λέγοντες. Δόξα τώ δεδωκότι σοι ισχύν, δόξα τώ σέ στεφανώσαντι δόξα τώ ενεργούντι διά σού πάσιν ιάματα.

Καί νύν... Θεοτοκίον

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, ο Κανών τής Οκτωήχου εις η' καί τών Αγίων εις ς', ού η ακροστιχίς άνευ τών Θεοτοκίων

Τιμόθεον τόν Απόστολον άσμασι τοίς δε γεραίρω. Θεοφάνους.

Κανών τού Αποστόλου

Ωδή α'  Ήχος α'

«Σού η τροπαιούχος δεξιά, θεοπρεπώς εν ισχύϊ δεδόξασται, αύτη γάρ Αθάνατε, ως πανσθενής υπεναντίους έθραυσε, τοίς Ισραηλίταις, οδόν βυθού καινουργήσασα».

Τάς επαναστάσεις τών παθών, καί τής αγνοίας τόν ζόφον πρεσβείαις σου, Μάκαρ διασκέδασον, φωτιστική τής απαθείας χάριτι, όπως θεοφάντορ, νύν επ' αξίως υμνήσω σε.

Ίδων ο προγνώστης καί Θεός, σής διανοίας τό κάλλος Τιμόθεε, θείοις Αποστόλοις σε, συλλειτουργείν κατηξίωσεν ένδοξε, ο σοφή προνοία τών καθ' ημάς προμηθούμενος.

Μίαν υπερούσιον αρχήν, προνοουμένην τών όλων γινώσκομεν. Έλλην γάρ απόστολος, τή τού Χριστού λελαμπρυσμένος χάριτι, σύν τώ θείω Παύλω, συναριθμείται Τιμόθεος.

Κανών τού Μάρτυρος

Ήχος καί Ειρμός ο αυτός

Όρθρω λαμπροτάτω σου Χριστέ, τής αναστάσεως περιλαμπόμενος, ταύτης ο επώνυμος, Ανατολής εξορμηθείς ως ήλιος, νύν τήν Εκκλησίαν, περιαυγάζει τοίς θαύμασι.

Θείας αγαπήσεως πλησθείς, καρτερικώς τάς βασάνους υπέμεινας, μάρτυς Αναστάσιε, καί τώ
Χριστώ ασκητικοίς ηγλαϊσμένος κάλλεσι, χαίρων προσηνέχθης, ευώδες θύμα πανάριστε.

Θεοτοκίον

Ίλεων γενέσθαι τοίς πιστοίς, καί ευμενή Θεομήτορ δυσώπησον, Λόγον όν εγέννησας, σωματικώς ημίν επιδημήσαντα, σέ γάρ προστασίαν, καί σωτηρίαν κεκτήμεθα.

Τού Αποστόλου

Ωδή γ'

«Ο μόνος ειδώς τής τών βροτών, ουσίας τήν ασθένειαν, καί συμπαθώς αυτήν μορφωσάμενος, περίζωσόν με εξ ύψους δύναμιν, τού βοάν σοι, άγιος ο τής

δόξης Κύριος, ο ανείκαστος εν αγαθότητι».

Εχύθη παμμάκαρ δαψιλώς, η χάρις σού τοίς χείλεσι, καί ποταμούς δογμάτων ανέβλυσε, τήν Εκκλησίαν Χριστού αρδεύοντας, καί πολύχουν φέροντας, τόν καρπόν Τιμόθεε, χριστοκήρυξ θεόφρον Απόστολε.

Οι πόδες οι σοί προφητικώς, Παμμάκαρ ωραιώθησαν, πάντα γάρ νούν σαφώς υπερέχουσαν, ευηγγελίσω ειρήνην πάνσοφε, τήν τόν πάλαι λύσασαν, τών ανθρώπων πόλεμον, τόν Σωτήρα τών όλων καί Κύριον.

Νεκρών σού τά μέλη τής σαρκός, τώ λόγω καθυπέταξας, τήν τών χειρόνων Μάκαρ Τιμόθεε, ηγεμονίαν διδούς τώ κρείτονι, καί παθών εκράτησας, καί ψυχήν εφαίδρυνας, ρυθμιζόμενος Παύλου διδάγμασι.

Τού Μάρτυρος

Ο αυτός

Τήν τρίβον οδεύσας τήν στενήν εν πρώτοις δι' ασκήσεως, πρός μαρτυρίου κλέος προέκυψας διά βασάνων τρυφήν ευράμενος, διά πόνων ένδοξε Μάρτυς Αναστάσιε, τήν ουράνιον τέρψιν δρεπόμενος.

Ο τόνος τής αθλήσεως τής σής, εις πάσαν εξελήλυθε, τήν οικουμένην Μάρτυς αήττητε, πρός αμαρτίαν γάρ μέχρις αίματος, αντικαθιστάμενος, νικηφόρος γέγονας, καί στεφάνω τής νίκης κεκόσμησαι.

Θεοτοκίον

Εκ σού ανεβλάστησεν ημίν, τό άνθος τό αμάραντον, ευωδιάζον πάσαν τήν ανθρωπότητα, τώ θείωμύρω τής αυτού φύσεως, ο Πατρί συνάναρχος, καί εκ σού γενόμενος, υπό χρόνον Παρθένε παναμωμε.

Ο Ειρμός

«Ο μόνος ειδώς τής τών βροτών, ουσίας τήν ασθένειαν, καί συμπαθώς αυτήν μορφωσάμενος, περίζωσόν με εξ ύψους δύναμιν, τού βοάν σοι, Άγιος, ο τής δόξης Κύριος, ο ανείκαστος έν αγαθότητι».

Κάθισμα τού Αποστόλου

Ήχος δ'  Ταχύ προκατάλαβε

Τοίς θείοις χαρίσμασιν αγλαϊζόμενος, εκόσμησας ένδοξε, τήν Εφεισίων λαμπράν, μητρόπολιν Απόστολε, κήρυξ γάρ ανεδείχθης, μετά Παύλου τού θείου, πάσι προκαταγγείλας, τόν σωτήριον λόγον, διό πανηγυρίζομεν πίστει τήν μνήμην σου.

Δόξα... τού Μάρτυρος

Εν δόξη τελειότητος, ώφθης υπέρτιμος, ως θείαις λαμπόμενος, φωταγωγίαις τόν νούν, καί γνούς τού Σταυρού τήν ισχύν, όσιος εν ασκήσει, καί εν αίματι Μάρτυς, γέγονας θεοφρόνως Αναστάσιε Μάρτυς, διό καί τών θαυμάτων εν σοί, βλύζει τήν χάριν Χριστος.

Καί νύν... Θεοτοκίον

Εκαίνισας άχραντε, τώ θείω τόκω σου, φθαρείσαν εν πάθεσι, τών γηγενών τήν θνητήν, ουσίαν καί ήγειρας, πάντας εκ τού θανάτου, πρός ζωήν αφθαρσίας, όθενσε κατά χρέος μακαρίζομεν πάντες, Παρθένε δεδοξασμένη, ως προεφήτευσας.

Η Σταυροθεοτοκίον

Παρθένε πανάμωμε, Μήτηρ Χριστού τού Θεού, ρομφαία διήλθέ σου τήν παναγίαν ψυχήν, ηνίκα σταυρούμενον, έβλεψας εκουσίως, τόν Υιόν καί Θεόν σου, όν περ ευλογημένη, δυσωπούσα μή παύση, συγχώρησιν πταισμάτων, ημίν δωρήσασθαι.

Τού Αποστόλου

Ωδή δ'

«Όρος σε τή χάριτι τή θεία κατάσκιον, προβλεπτικοίς ο Αββακούμ, κατανοήσας οφθαλμοίς, έκ σού εξελεύσεσθαι, τού Ισραήλ προανεφώνει τόν Άγιον, εις σωτηρίαν ημών καί ανάπλασιν».

Νομίμως παμμάκαρ εναθλήσαι ελόμενος, δι' εγκρατείας παντελούς, τάς τρικυμίας τών παθών, τώ νώ καθυπέταξας, τών αρετών καταλαβών τήν ακρότητα, μεγαλοκήρυξ θεόφρον Τιμόθεε.

Αστράψας ως ήλιος ο Παύλος εξέπεμψεν, ώσπερ ακτίνα φαεινήν, τήν οικουμένην δαψιλεί, φωτί καταλάμπουσαν, πυρσοφανώς σε θεοφάντορ Τιμόθεε, πρός οδηγίαν ημών καί βεβαίωσιν.

Ποθήσας θερμώς τών εφετών τό ακρότατον, καί δι' αγάπης συγκραθείς, πόθω κατάλληλον ζωήν, μετήλθες θεόληπτε, διά παντός, σού κατοπτεύων τόν έρωτα, καί τής αυτού θεωρίας πιμπλάμενος.

Τού Μάρτυρος

Ο αυτός

Ουδέν σε τής πρός Χριστόν αγάπης εχώρησεν, ου τών μελών η εκκοπή, ού τών βασάνων απειλή, ου ξίφος ού θάνατος, αλλ' ουδέ πύρ, ουδέ λιμός Αναστάσιε, τής ουρανίου χορείας ομόσκηνε.

Συντόνως επ' ώμων τόν σταυρόν σου αράμενος, κατηκολούθησας Χριστού, ταίς σωτηρίοις εωτολαίς, καί τούτου γενόμενος, εκμιμητής, μέχρι θανάτου Πανάριστε, νύν απολαύεις αυτού τής λαμπρότητος.

Θεοτοκίον

Χαράν σοι σαφώς ουρανόθεν αφικόμενος, ο Αρχιστράτηγος Αγνή, ευηγγελίσατο ειπών, Θεός εξελεύσεται, μετά σαρκός, εκ σού Παρθένε πανάχραντε, εις σωτηρίαν τών πόθω υμνούωτων σε.

Τού Αποστόλου

Ωδή ε'

«Θεός ών ειρήνης, πατήρ οικτιρμών, τής μεγάλης βουλής σου τόν Άγγελον, ειρήνην παρεχόμενον, απέστειλας ημίν, όθεν θεογνωσίας, πρός φώς οδηγηθέντες, εκ νυκτός ορθρίζοντες, δοξολογούμέν σε φιλάνθρωπε».

Τού πρώτου καί πάντων, αιτίου Φωτός, ταίς αϋλοις λαμπάσι πυρσούμενος, τόν κόσμον κατεφαίδρυνας, κηρύγματι σεπτώ, φωστήρ τής ευσεβείας, ζωής λόγον επέχων, προφανώς δεδειγμένος, ιερομύστα παμμακάριστε.

Ο Παύλου τού θείου, στερρός μαθητής, διδασκάλου τοίς ίχνεσιν έπεται τά τούτου σπείρων άπασι, διδάγματα πιστοίς, δι' ών τής ευσεβείας, πρός φώς οδηγηθέντες, εκ νυκτός ορθρίζοντες, δοξολογούμέν σε Φιλάνθρωπε.

Λαμπρότης ο Παύλος, δευτέρα φανείς, λειτουργούσα τή πρώτη λαμπρότητι, τή ταύτης επιγνώσει, κατεφώτισεν ημάς, τούτου συστρατιώτης, Τιμόθεος εδείχθη, τή αυτού παντευχία , νικητικώς περιφραξάμενος.

Τού Μάρτυρος

Ο αυτός

Ο μέγα καυχώμενος, άμετρα πρίν, καί τήν γήν απειλών καταλήψεσθαι, καί μάτην φρυαττόμενος, τήν θάλασσαν σοφέ, εισάπαν εξαλείφειν ταίς σαίς ανδραγαθίαις, Αναστάσιε Μάρτυς, καταπατείται ο αντίθεος.

Νομίμως αθλήσας, μάρτυς Χριστού, καί νικήσας τών άθλων τά έπαθλα, θαυμάτων τήν ενέργειαν, κομίζεται σαφώς, νόσους γάρ θεραπεύει, καί δαίμονας ελαύνει, τού Χριστού τή δυνάμει, τερατουργών ο Αναστάσιος.

Θεοτοκίον

Κατάραν τής Εύας τής πάντων μητρός, τώ σώ τόκω Παρθένε κατήργησας, τώ κόσμω ευλογίαν, ανατείλασα Χριστόν, διό σε γεγηθότες, καί στόματι καί γλώττη, Θεοτόκον κυρίως, ομολογούωτες μακαρίζομεν.

Τού Αποστόλου

Ωδή ς'

«Σπλάγχνων Ιωνάν, έμβρυον απήμεσεν, ενάλιος θήρ, οίον εδέξατο, τή Παρθένω δέ, ενοικήσας ο Λόγος καί σάρκα λαβών, διελήλυθε φυλάξας αδιάφθορον, ής γάρ ουχ υπέστη ρεύσεως, τήν τεκούσαν κατέσχεν απήμαντον».

Άρμα τού Θεού, εφάνης Τιμόθεε, βαστάζων αυτού τό θείον όνομα, κατ' ενώπιον, τών αθέων τυράννων θεόληπτε, μή πτοούμενος τήν τούτων αγριότητα, σύ γάρ τήν ακαταμάχητον, τού Σωτήρος ισχύν ενεδέδυσο.

Στέφος ευπρεπές, εδέξω Τιμόθεε, πανόλβιε θεόφρον απόστολε, καί διάδημα, Βασιλείας αξίως περίκεισαι, καί παρέστηκας τώ θρόνω τού Δεσπότου σου, Παύλω συναγαλλιώμενος, εν σκηναίς ουρανίαις μακάριε.

Μύρου νοητού, Τιμόθεε πάντιμε, σαρκί δι' ημάς τού κενωθέντος, Χριστού οσφραινόμενος, ευωδίας τής τούτου μετείληφας, καί μετέδωκας, τοίς πίστει σοι προστρέχουσι, μύστα τών αρρήτων Άγιε, τής αυτού νοητής διαδόσεως.

Τού Μάρτυρος

Ο αυτός

Αίγλη τού Σταυρού, σοφώς λαμπρυνόμενος, τής πλάνης τό ζοφώδες διέλυσας, καί νενίκηκας, συμπλακείς τώ τυράννω πανένδοξε, καί χαίρων εκομίσω σου τά τρόπαια σοφέ, Μάρτυς Χριστού Αναστάσιε, συγχορεύων Μαρτύρων στρατεύμασιν.

Θεοτοκίον

Άπας ο χορός, θεόθεν μιμούμενος, ο τών Προφητών σου προηγόρευσε, τό μυστήριον, τής αφράστου καί θείας συλλήψεως, τής εκ σού τού Θεού Λόγου Μητροπάρθενε, σύ γάρ τήν αληθεστάτην τε, καί αρχαίαν βουλήν εφανέρωσας.

Ο Ειρμός

«Σπλάγχνων Ιωνάν, έμβρυον απήμεσεν, ενάλιος θήρ, οίον εδέξατο, τή Παρθένω δέ, ενοικήσας ο Λόγος καί σάρκα λαβών, διελήλυθε φυλάξας αδιάφθορον, ής γάρ ουχ υπέστη ρεύσεως, τήν τεκούσαν κατέσχεν απήμαντσν».

Κοντάκιον Ήχος α'

Χορός αγγελικός

Τόν θείον Μαθητήν, καί συνέκδημον Παύλου, Τιμόθεον πιστοί, ανυμνήσωμεν πάντες, σύν τουτω γεραίροντες, τόν σοφόν Αναστάσιον, τόν εκλάμψαντα, εκ τής Περσίδος ως άστρον, καί ελαύνοντα, τά ψυχικά ημών πάθη, καί νόσους τού σώματος.

Ο Οίκος

Ως αλιεύς εμπειρότατος, τά τής χάριτος ήπλωσε δίκτυα Παύλος ο μέγας Απόστολος, καί τόν θεηγόρον, ώσπερ θήραμα άγιον, είλκυσε πρίν Τιμόθεον, καί σύν τούτω τά πέρατα περιερχόμενος, εκ τού φάρυγγος είλκυσε τού διαβόλου τούς δεξαμένους τής Πίστεως τόν λόγον, εν οίς ήν καί ο γενναίος Αναστάσιος, πιστεύσας γάρ, τών Περσών τήν πλάνην κατέλιπε πάσαν, καί τού Χριστού τό όνομα επ' ώμων εβάστασεν, όθεν χάριτι θεία απελαύνει τά ψυχικά ημών πάθη, καί νόσους τού σώματος.

Συναξάριον

Τή ΚΒ' τού αυτού μηνός, Μνήμη τού Αγίου Αποστόλου Τιμοθέου, μαθητού τού Αγίου Αποστόλου Παύλου.

Στίχοι

Έρωτι θείων Τιμόθεος στεμμάτων,
Τυφθείς βάκλοις, έβαψε γήν εξ αιμάτων.
Εικάδι δευτερίη πνεύμ' ήρθη Τιμοθέοιο.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου οσιομάρτυρος Αναστασίου τού Πέρσου.

Στίχοι

Αναστάσιος εν τραχήλω τόν βρόχον,
Ως λαμπρόν όρμον ωραΐζεται φέρων.
Εικάδι δευτερίη. Αναστάσιος βρόχον έτλη.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων μαρτύρων Μανουήλ, Γεωργίου, Πέτρου, Λέοντος, Σιωνίου, Γαβριήλ, Ιωάννου, Λέοντος, Παρόδου καί τών λοιπών τριακοσίων εβδομήκοντα επτά.

Στίχοι

Ξίφος Μανουήλ είς μέρη τέμνει δύω,
Τιμώντ, ατμήτους ουσίας Χριστού δύω.
Γεώργιον καί Πέτρον, οίς κοινόν σέβας,
Τέμνουσι κοινή Δεσπότου κοινού χάριν.
Άρρητον είχε τήν προθυμίαν Λέων,
Ρήσσοντος αυτού τού ξίφους τήν γαστέρα.
Δέος, ξίφους ταθέντος εγγύς αυχένων,
Μακράν Γαβριήλ, καί μακράν Σιωνίου.
Όντως στρατηγοί μή πτοούμενοι ξίφος
Ιωάννης τε καί Λέων οι γεννάδαι.
Βληθείς Πάροδος χειροπληθών εκ λίθων,
Οδόν παρήλθεν ηδέως τήν τού βίου.
Τρείς πενταρίθμους εικάδας κτείναν ξίφος,
Συνήψεν αυτάς ενδεκαπλή επτάδι.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τού Αποστόλου

Ωδή ζ'

«Σέ νοητήν, Θεοτόκε κάμινον, κατανοούμεν οι Πιστοί, ως γάρ Παίδας έσωσε τρείς ο υπερυψούμενος, όλον με τόν άνθρωπον, εν τή γαστρί σου ανέπλασεν, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος».

Συγχορευτής, ουρανίου τάξεως, σύ επαξίως γεγονώς, συνευφραίνη χαρμονικώς, αίγλης φωτοδότιδος Μάκαρ εμφορούμενος, ιερομύστα Τιμόθεε, τόν αινετόν καταγγέλλων, Θεόν καί υπερένδοξον.

Ιερουργών, Χριστού Ευαγγέλιον, εξ αρετών περιωπής, θεογράφους επιστολάς, Παύλος ο θειότατος χαίρων εξαπέστειλεν, ως μαθητή σοι Τιμόθεε,

τόν αινετόν καταγγέλλων, Θεόν, καί υπερένδοξον.

Τό ασθενές τής σαρκός ερρώννυεν, η ευτονία τής ψυχής, ως ασώματος γάρ εν γή, σύ πολιτευσάμενος, Μάρτυς εχρη μάτισας, τήν κεφαλήν συντριβόμενος, Ιερουργέ, Μυστηρίων Θεού θεομακάριστε.

Τού Μάρτυρος

Ο αυτός

Ο Αθλητής, τούς Πιστούς προτρέπεται, σαφές υπόδειγμα δεικνύς, τήν ανδρείαν τήν εαυτού, θείον νύν μιμήσασθαι, πάθος τό εκούσιον, υπέρ ημών ο υπέμενεν, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Ισοσθενής, Τριάς πιστεύεται, τοίς ευσεβείας ερασταίς, οι γενναίοι γάρ Αθληταί, ταύτης υπερήθλησαν, αίματα εκχέοντες, μαρτυρικώς συμπλεκόμενοι, καί τάς ψυχάς προδιδόντες, σαφώς καί αναιρούμενοι.

Θεοτοκίον

Χαίρε σεμνή, τού Αδάμ τό κώδιον, εξ ού προήλθεν ο Ποιμήν, ενδυσάμενος αληθώς, ο υπερυψούμενος, όλον με τόν άνθρωπον, δι' ευσπλαγχνίαν ακατάληπτον, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Τού Αποστόλου

Ωδή η'

«Θαύματος υπερφυούς η δροσοβόλος, εξεικόνισε κάμινος τύπον, ου γάρ ούς εδέξατο φλέγει Νέους, ως ουδέ πύρ τής θεότητος Παρθένου ήν υπέδυ νηδύν, διό ανυμνούντες αναμέλψωμεν. Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας».

Στάσεως Αγγελικής ηξιωμένος, ανεδείχθης Τιμόθεε μάκαρ, ουρανών τά Τάγματα, μυηθείς γάρ υπερφυώς, τήν λαμπρότητα τήν τούτων εμιμήσω σοφέ, μεθ' ών αναμέλπεις ευφραινόμενος. Ευλογείτω η κτίσις πάσα τόν κυριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Δύναμιν ενδεδυμένος ουρανόθεν, ως Απόστολος ώφθης θεόφρον, τήν επιδημήσασαν, ξενοτρόπως τοίς Μαθηταίς, τοίς τού Λόγου αυτόπταις ώ Τιμόθεε, μεθ' ών αναμέλπεις αγαλλόμενος. Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Έστης τής εφέσεως σαφώς παμμάκαρ, τό ακρότατον οίά περ φθάσας, τών καλών Τιμόθεε, θεοκήρυξ διά παντός ελλαμπόμενος φωτί τώ τής Τριάδος τρανώς, καί νύν αναμέλπεις ευφραινόμενος. Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Τού Μάρτυρος

O αυτός

Γήθεν σύ πρός ουρανους στεφανηφόρος, Αναστάσιε Μάρτυς ανέπτης, τήν απάτην άπασαν, τών δαιμόνων διεκφυγών καί πατήσας τών ειδώλων τά σεβάσματα, διό καί κραυγάζεις νύν γηθόμενος. Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Έβαψας μαρτυρικώς σου εξ αιμάτων, τήν σήν χλαίναν πονόβλιε Μάρτυς, τό Σταυρού δέ σύμβολον, σκήπτρον φέρων σύ τώ Χριστώ , βασιλεύεις εις αιώνας Αναστάσιε, καί νύν αναμέλπεις ευφραινόμενος. Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Θεοτοκίον

O ταίς Αρχαγγελικαίς υμνολογίαις, δοξαζόμενος πλούσιος Λόγος, δι' ημάς επτώχευσε σέ Μητέρα τήν καλλονήν Ιακωβ ευλογημένην έκλεξάμενος, διό ανυμνούντές σε κραυγάζομεν. Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

O Ειρμός

«Θαύματος υπερφυούς η δροσοβόλος, εξεικόνισε κάμινος τύπον, ού γάρ ούς εδέξατο φλέγει Νέους, ως ουδέ πύρ τής θεότητος, Παρθένου ήν υπέδυ νηδύν, διό ανυμνούντες αναμέλψωμεν. Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας».

Τού Αποστόλου

Ωδή θ'

«Τύπον τής αγνής λοχείας σου, πυρπολουμένη βάτος, έδειξεν άφλεκτος, καί νύν καθ' ημών, τών πειρασμών αγριαίνουσαν, κατασβέσαι αιτούμεν τήν κάμινον, ίνα σε Θεοτόκε, ακαταπαύστως μεγαλύνωμεν».

Ρήσις τού Δαυϊδ πεπλήρωται, ως αστραπή τή οικουμένη γάρ έφανας, τώ κηρύγματι, περιαυγάζων τά πέρατα, παναοίδιμε μάκαρ Τιμόθεε, διό σε θεοφάντορ, ακαταπαύστως μεγαλύνομεν.

Αίγλης αρχιφώτου Πάνσοφε, θεαρχικής καί τρισηλίου ελλάμψεως, εμπιπλώμενος, καί καθαρώς εμφορούμενος, τούς υμνούντάς σε μάκαρ περίσωζε, εκ ζόφου τών πταισμάτων, Ιερομύστα πανσεβάσμιε.

Ισόν σε Πατρί καί Πνεύματι, Μονογενές ορθά φρονούντες δοξάζομεν, τοίς διδάγμασι, τών Αποστόλων σου Δέσποτα, στηριζόμενοι Παύλου τού κήρυκος, τής σής οικονομίας, καί Τιμοθέου τού Θεόφρονος.

Τού Μάρτυρος

O αυτός

Ρείθροις σών αιμάτων Ένδοξε, τήν τών ειδώλων πλάνην πάσαν κατέσβεσας, τό δέ πλήρωμα, τής Εκκλησίας εφαίδρυνας, υπέρ ής ικετεύων πανάριστε, μή

παύση τόν Δεσπότην, ίνα σε πάντες μακαρίζωμεν.

Ω τής υπέρ λόγον δόξης σου, καί τής αρρήτου θείας όντως ελλάμψεως! ής μετέσχηκας, ως νικητής Αναστάσιε, τώ Δεσπότη, Χριστώ παριστάμενος, όν καί νύν εκδυσώπει, υπέρ ημών τών ανυμνούντων σε.

Θεοτοκίον

Ω τού φοβερού σου θαύματος! σύ γάρ Παρθένε Θεοτόκε, μυστήριον τό πρό γενεών, καί πρό αιώνων απόκρυφον, εν Θεώ τώ τά σύμπαντα κτίσαντι, τεκούσα Θεόν Λόγον, ανερμηνεύτως εφανέρωσας.

Ο Ειρμός

«Τύπον τής αγνής λοχείας σου, πυρπολουμένη βάτος, έδειξεν άφλεκτος, καί νύν καθ' ημών, τών πειρασμών αγριαίνουσαν, κατασβέσαι αιτούμεν τήν κάμινον, ίνα σε Θεοτόκε, ακαταπαύστως μεγαλύνωμεν».

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Δυάς φωτοειδέστατος, σήμερον απαστράπτουσα, φαιδρότερον τού ηλίου, πάσαν τήν κτίσιν φωτίζει, Τιμόθεος Απόστολος, τών Αποστόλων σύνθρονος, καί θείος Αναστάσιος, τών Μοναστών η τερπνότης, καί τών Μαρτύρων η δόξα.

Θεοτοκίον όμοιον

Πανάμωμε Μητρόθεε, τό μέγα περιήχημα, τών Αποστόλων Μαρτύρων, καί Προφητών καί Οσίων, τόν σόν Υίόν καί Κύριον, ιλέωσαι τοίς δούλοις σου, ημίν Θεογεννήτρια, όταν καθίση τού κρίναι, τά κατ' αξίαν εκάστω.

Εις τόν Στίχον τών Αίνων, Στιχηρά τής Οκτωήχου.

Είτα λέγομεν Ήχος α'

Στίχ. Θαυμαστός ο Θεός εν τοίς Αγίοις αυτού, ο Θεός Ισραήλ αυτός δώσει δύναμιν καί κραταίωσιν τώ λαώ αυτού ευλογητός ο Θεός.

Τόν γενναίον Αθλητήν Αναστάσιον, τόν υπέρ τής ευσεβείας, καλώς αγωνισάμενον, δεύτε λαοί υμνήσωμεν λέγοντες. Χαίροις, ο στερρός τής Πίστεως πρόμαχος, κατά τούς Προφήτας καί Αποστόλους. Χαίροις, ο τόν Χριστόν έχων εν σεαυτώ , μιμησάμενος έργω τόν Παύλον. Χαίροις, ο τών καμνόντων αχείμαστος λιμήν. Χαίροις τό ημέτερον καύχημα, καί τής οικουμένης αγαλλίαμα.

Δόξα... Ήχος πλ. α'

Όσιε Πάτερ, νικητής Μήδων καί Χαλδαίων γέγονας τών νοητών, πάσαν Βαβυλώνος πλάνην καθελών, τή δυνάμει τού Σταυρού, ου τώ λείω τών ηδονών εθέλχθης, ου τό πύρ τών Πειρασμών εδειλίασας, διό Χριστός ο Θεός ημών, βραβείοις σε νικητικοίς εστεφάνωσε, καί νύν σύν Αγγέλοις παριστάμενος, πρός Κύριον ικέτευε, αιτούμενος ειρήνην τώ κόσμω , καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Χαίροις ασκητικών

Χαίροις περιστερά εκλεκτή, κεχρυσωμένη παρθενίας ταίς πτέρυξι, τρυγών τε ωραιοτάτη, καί χελιδών εκλεκτή, καί στρουθίον όλον καθαρώτατον, αμνάς η κυήσασα, τόν αμνόν τού Θεού ημών, δάμαλις θεία, τόν ζυγόν η βαστάσασα, τού βαστάζοντος, τά ημών αμαρτήματα, άμπελος η κατάκαρπος, βλαστάνουσα βότρυας, τής ευσεβείας τόν οίνον, τού μαρτυρίου εκβλύζοντας. Αυτόν εκδυσώπει, τοίς ικέταις σου δοθήναι, τό μέγα έλεος.

Η Σταυροθεοτοκίον

Στάσα επί Σταυρού Ιησού, η σέ τεκούσα θρήνω δούσα ωδύρετο, βοώσα. Ου φέρω τέκνον, προσηλωμένον οράν, επί ξύλου, όν περ απεκύησα, εγω γάρ διέφυγον, τάς ωδίνας ως άνανδρος, καί πώς αρτίως, τή οδύνη συνέχομαι, καί σπαράττομαι, τήν καρδίαν η άμεμπτος; άρτι γάρ εκπεπλήρωται, τό ρήμα ο είρηκεν, ο Συμεών, ως ρομφαία, ψυχήν εμήν διελεύσεται. Αλλ' ώ νύν Υιέ μου, εξανάστηθι καί σώσον, τούς ανυμνούντάς σε.

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΓ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Ιερομάρτυρος Κλήμεντος Αγκύρας, καί τού Αγίου Μάρτυρος Αγαθαγγέλου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τού Αγίου Κλήμεντος

Ηχος β'

Ότε, εκ τού ξύλου σε νεκρόν

Κλήμα, τής αμπέλου τής ζωής, ώφθης μυστική γεωργία, περισκαπτόμενον, πόνοις γάρ ασκήσεως, Πάτερ τεμνόμενος, τώ δέ ξίφει τρυγώμενος, τώ τού μαρτυρίου, οίνον κατανύξεως, ημίν εκέρασας, ού νύν εμφορούμενοι πάντες, πίστει τήν πανίερον μνήμην, τήν σήν εορτάζομεν Μακάριε.

Ότε, ιερούργεις τήν φρικτήν, καί τελειοτάτην θυσίαν, καί υπερκόσμιον, τότε προσενήνεξαι ιερουργούμενος, τό σόν αίμα δέ Πάνσοφε, προθύμω καρδία, αίματι προσέμιξας, τώ τού Δεσπότου σου, ώ σύ, ραντιζόμενος μάκαρ, όλος καθαρός ανεδείχθης, όλος ιερώτατος θεσπέσιε.

Θύων, τόν Αμνόν τόν τού Θεού, τόν τής αμαρτίας τόν κόσμον, αποκαθαίροντα, καί φθοράν καί θάνατον εξαφανίσαντα, ιερείον ως άμωμον, ετύθης θεόφρον, σύμφυτος γενόμενος τώ ομοιώματι, Μάκαρ ζωηφόρου θανάτου, νύν δέ τής αυτού βασιλείας, αξιομακάριστε τετύχηκας.

Στιχηρά Προσόμοια τού Αγίου Αγαθαγγέλου.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Αγαθαίς αγγελίαις σε, συνοδίτην καί σύναθλον, Κλήμης ο πανάριστος κατεπλούτησε, μεθ' ού τούς δρόμους διήνυσας, τούς θείους, στρεβλούμενος, καί Παντοίοις αλγεινοίς, ομιλών Αγαθάγγελε, έως τέλειος, γεγονώς στεφανίτης, πρός τά άνω, μεταβέβηκας Αγγέλοις, συνεπαγάλλεσθαι πάντοτε.

Καί ξεσμοίς δαπανώμενος, καί πυρί λιπαινόμενος, καί λαμπάσι πάντοθεν φλογιζόμενος, επί κραβάτου απλούμενος, σοφέ Αγαθάγγελε, καί ως άρτος καθαρός, επ' ανθράκων οπτώμενος, προσενήνεξαι, ουρανίω Τραπέζη, ικετεύων, τούς εν πίστει σε τιμώντας, πάσης ρυσθήναι κολάσεως.

Ραβδισμούς εκαρτέρησας, καί εν ξύλω τεινόμενος, σπαραγμούς υπήνεγκας καρτερώτατα, καί επί τέλει τών άθλων σου, σοφέ Αγαθάγγελε, εκτμηθείς τήν κεφαλήν, ταίς ρανίσι τού αίματος, όλην ήρδευσας, τήν σεπτήν Εκκλησίαν ευφημούσαν, τάς λαμπράς σου αριστείας, κλέος Μαρτύρων πολύαθλε.

Δόξα... Ήχος πλ. δ'

Τήν τών χρόνων τετραχώς περίοδον, θεόληπτε επταπλασίασας, τυπτόμενος, ξεόμενος, αμείβων πόλεις καί χώρας, σταυρούμενος υπέρ τού Χριστού, αλλ' ούτε πύρ, ούτε ξίφος, ούτε μάστιγες, τό τής ψυχής σου έλυσαν στερέμνιον, έθραυσας δέ δαιμόνων ισχύν, ιερομάρτυς Κλήμη, διό πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον
Οι Μάρτυρές σου Κύριε

Εξάρπασόν με Δέσποινα, χειρός τού δράκοντος τού βροτοκτόνου, τού πολεμούντός με εν υποκρίσει, καταπιείν ολοτελώς, σύντριψον τάς μύλας τούτου δέομαι, καί τά μηχανήματα διάλυσον, όπως ρυσθείς τών τούτου ονύχων, μεγαλύνω τήν δυναστείαν σου.

Η Σταυροθεοτοκίον

Ου φέρω Τέκνον βλέπειν σε, τόν τήν εγρήγορσιν πάσι διδόντα, ξύλω υπνώσαντα, όπως τοίς πάλαι, εν παραβάσεως καρπώ ύπνω ολεθρίω αφυπνώσασι, θείαν καί σωτήριον εγρήγορσιν, παράσχη, η Παρθένος, έλεγε θρηνωδούσα, ήν μεγαλύνομεν.

Αποστίχου, Στιχηρά τής Οκτωήχου.

Δοξα... Ήχος α'
Ανατολίου

Τόν θαυμαστόν εν ιερεύσι, Μάρτυρα Κλήμεντα, η εν μακρώ τώ χρόνω δοκιμή τών αικισμών, τής εις αεί τών αγαθών επιτυχείν, ηξίωσε τρυφής, καί πλουτεί τά θεία, ο πολλούς πρός αγώνας αλείψας, τώ καθ' αυτόν υποδείγματι, καί πείσας τήν σάρκα, ανωτέρω φρονείν τού θανάτου. Πρός όν οι πιστοί βοήσωμεν. Μεγαλομάρτυς αοίδιμε, ταίς πρός Χριστόν πρεσβείαις σου, τάς χρονίους ενστάσεις, λύσον τών παθών ημών, καί ρύσαι τών δεινών ταίς

πρεσβείαις σου.

Καί νύν... Θεοτοκίον

Τών ουρανίων ταγμάτων

Ράβδω τής σής προστασίας, Θεοκυήτορ Αγνή, τά θηριώδη πάθη, τής αθλίας ψυχής μου, απέλασον εντεύθεν, ειρηνικώς, πρός ζωήν με ιθύνουσα, καί τή αγία με ποίμνη τών εκλεκτών, σού προβάτων συναρίθμησον.

Η Σταυροθεοτοκίον

Εν τώ Σταυρώ παρεστώσα, τού σού Υιού καί Θεού, καί τήν μακροθυμίαν, τούτου αποσκοπούσα, έλεγες θρηνούσα, Μήτερ Αγνή, Οίμοι Τέκνον γλυκύτατον! τί ταύτα πάσχεις αδίκως Λόγε Θεού; ίνα σώσης τό ανθρώπινον.

Απολυτίκιον  Ήχος δ'

Κλήμα οσιότητος, καί στέλεχος αθλήσεως, άνθος ιερώτατον, καί καρπός ως θεόσδοτος, τοίς πιστοίς πανίερε, ηδύτατος εβλάστησας, Αλλ' ως Μαρτύρων σύναθλος, καί ιεραρχών σύνθρονος, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, Κανών τής Οκτωήχου εις, καί τών Αγίων δύω.

Κανών τού Αγίου Κλήμεντος, ού η Ακροστιχίς.

Μέλπω τό κλήμα τής νοητής αμπέλου.

Θεοφάνους.

Ωδή α'  Ήχος πλ. β'

«Ως εν ηπείρω πεζεύσας ο Ισραήλ, εν αβύσσω ίχνεσι, τόν διώκτην Φαραώ, καθορών ποντούμεμενον, Θεώ επινίκιον ωδήν, εβόα, άσωμεν».

Μετά τής άνω χορείας, ως Ιερεύς, καί ως Μάρτυς ένδοξος, τώ Χριστώ παρεστηκώς, εκτενώς ικέτευε τυχείν, τής ελλάμψεως τής σής, τούς ευφημούντάς σε.

Εκτεταμένους αγώνας επί τής γής, διανύσας Όσιε, βασιλείας ουρανών, ηξιώθης στέφανον λαβείν, καί αιώνιον ζωήν τήν ακατάλυτον.

Λελυτρωμένος τώ πάθει τού απαθούς, διά πάθους έσπευσας, πρός αυτόν αναδραμείν, μιμητής γενόμενος παθών, θεοφόρε τών αυτού Αγγέλων σύσκηνε.

Θεοτοκίον

Πεποικιλμένη τώ κάλλει τών αρετών, Θεομήτορ άχραντε, τόν Θεόν τόν αληθή, υπέρ νούν συνέλαβες ημίν, τήν πηγήν τών αγαθών αναπηγάσασα.

Κανών τού Αγίου Αγαθαγγέλου, ού ηακροστιχίς.

Τήν σήν ανυμνώ Παμμάκαρ χαίρων χάριν. Ιωσήφ.

Ωδή α'  Ήχος δ'

«Ο πατάξας Αίγυπτον, καί Φαραώ τόν τύραννον, βυθίσας εν θαλάσση, λαόν διέσωσας δουλείας, Μωσαϊκώς άδοντα, ωδήν επινίκιον, ότι δεδόξασται».

Τόν κλεινόν εν Μάρτυσι, τών αθλητών τό καύχημα, τόν άγγελον τή κλήσει, ηεγενη μένον καί τή πράξει, χαρμονικώς σήμερον, τιμήσωμεν εν πίστει, καί μακαρίσωμεν.

Ηξιώθης, Ένδοξε, τής τών Μαρτύρων ευκλείας, αθλούντα θεωρή, σας μεγαλοφρόνως εν τή Ρώμη, τόν Ιερόν Κλήμεντα, μεθ' ού σε συνελθόντες, πίστει ηεραίρομεν.

Νεκρωθείς Μακάριε, παντί τώ κόσμω έδραμες, τήν νέκρωσιν κηρύττων, τού Ζωοδότου εν σταδίω, καί υποστάς βάσανα, ζωής αδιαδόχου, νύν κατηξίωσαι.

Θεοτοκίον

Σαρκωθέντα Κύριον, δι' ευσπλαγχνίαν άφατον, εκύησας Παρθένε, όν Αγαθάγγελος ποθήσας, έξω σαρκός γέγονεν, αθλήσας παραδόξως, μεθ' ού υμνούμέν σε.

Τού Ιεράρχου

Ωδή γ'

«Ουκ έστιν άγιος ως σύ, Κύριε ο Θεός μου, ο υψώσας τό κέρας, τών Πιστών σου αγαθέ, καί στερεώσας ημάς, εν τή πέτρα, τής ομολογίας σου».

Ωραίους ήνεγκας καρπούς, κλήμα τής ζωηφόρου, χρηματίσας αμπέλου, καί τούτους μαρτυρικαίς, κοσμήσας μαρμαρυγαίς, τώ Σωτήρι, πάντων καθιέρωσας.

Τού Παύλου ώφθης μιμητής, πάσαν τήν οικουμένην, διατρέχων Παμμάκαρ, βαπτίσματι θεουργώ, καί αίματος ραντισμώ, αγιάζων, τής ομολογίας σου.

Θεοτοκίον

Ουκ έστιν άμεμπτος ως σύ, πάναγνε Θεομήτορ, μόνη γάρ εξ αιώνος, τόν Θεόν τόν αληθή, καί πάντων Δημιουργόν, Θεόν Λόγον, Πάναγνε εκύησας.

Τού Μάρτυρος

Εστερεώθη η καρδία μου

Υμνολογώ σου τούς απείρους παμμάκαρ πόνους, τάς στρεβλώσεις καί τάς πολλάς αικίσεις, τήν ανδρείαν, τούς ξεσμούς, καί τόν θάνατον, δι' ών ηξιώθης, ζωής Αγαθάγγελε.

Μετά μυρίους αικισμούς σε καί αλγηδόνας, ραβδισμούς τε καί ξέσεις Αθλοφόρε, υποβρύχιος θαλάσση, δέδοσαι ένδοξε, εξ ής ο τών όλων, Δημιουργός σε ερρύσατο.

Νεανικώς τε καί ανδρείως γενναίε Μάρτυς, πυρακτώσεις υπήνεγκας τών ήλων, καιομένης τής σαρκός, καί άνωθεν δρόσον δεχομένης, υπομονής Αγαθάγγελε.

Θεοτοκίον

Ώπαραδόξου μυστηρίου! πώς η Παρθένος, πλατυτέρα τών ουρανών εδείχθη, εν νηδύϊ τόν απεριόριστον, αστενοχωρήτως χωρήσασα.

Ο Ειρμός

«Εστερεώθη η καρδία μου εν Κυρίω, υψώθη κέρας μου εν Θεώ μου, επλατύνθη επ' εχθρούς μου τό στόμα μου, ευφράνθην εν σωτηρίω σου».

Κάθισμα τού Κλήμεντος

Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ

Τού μαρτυρίου αληθώς τή δρεπάνη, κατατεμνόμενος σοφέ Ιεράρχα, ως καρποφόρος άμπελος εξήνθησας, βότρυας περκάζοντας, καί σταλάζοντας γλεύκος, θείας επιγνώσεως, καί αθλήσεως Πάτερ, εξ ών μετέχων πάς τις ευσεβώς, καταγλυκαίνει ψυχής αισθητήρια.

Δόξα... τού Αγαθαγγέλου

Επεφάνης σήμερον

Αγαθόν σε Άγγελον γεγενημένον, θεοσδότοις λάμψεσιν, ανευφημούντες ευσεβώς, επιτελούμεν τήν μνήμην σου, κλέος Μαρτύρων, σοφέ Αγαθάγγελε.

Καί νύν... Θεοτοκίον

Προστασία άμαχε τών θλιβομένων, καί πρεσβεία έτοιμε, τών απορούντων εν δεινοίς, από κινδύνων με λύτρωσαι, μή με παρίδης, η πάντων αντίληψις.

Η Σταυροθεοτοκίον

Επί ξύλου βλέπουσα αναρτηθέντα, τόν Υιόν σου Πάναγνε, σπλάγχνα μητρώα μητρικώς, σπαρασσομένη εκραύγαζες. Οίμοιι πώς έδυς, τό φώς μου τό άχρονον.

Τού Ιεραρχου

Ωδή δ'

«Χριστός μου δύναμις, Θεός καί Κύριος, η σεπτή Εκκλησία θεοπρεπώς, μέλπει ανακράζουσα, εκ διανοίας καθαράς, εν Κυρίω εορτάζουσα».

Κυκλώσας άπασαν, τήν γήν εξέτεινας, τών αγώνων τό κλήμα αθλητικήν, στάζον αγαλλίασιν, καί ευωδίας γλυκασμόν, Αθλοφόρε παμμακάριστε.

Λειμώνα θέοντες, τής σής αθλήσεως, ιαμάτων τά άνθη μάκαρ τών σών, Ένδοξε δρεπόμεθα, καί ποικιλία θαυμάτων, τάς αισθήσεις κατευφραίνομεν.

Ημέρας γέγονας, υιός θαυμάσιε, καί φωτός ανεσπέρου διηνεκώς, περιαυγαζομενος, τώ Τρισηλίω φωτισμώ, καί τή αίγλη τού κηρύγματος.

Θεοτοκίον

Μαρία Πάναγνε, η καθαρώτατον, γενομένη χωρίον χωρητικόν, θείας ενοικήσεως, τόν ψυχικόν μου μολυσμόν, καί τόν ρύπον εξαφάνισον.

Τού Μάρτυρος

Εισακήκοα ο Θεός

Πολυώδυνα ενεγκών, βασάνων είδη γενναίε Μάρτυς, σύν τώ θείω χαίρων Κλήμεντι, ταίς ροαίς τού αίματος, πάσαν τήν γήν θεόφρον ηγίασας.

Ανηρτήθης ως ο Χριστός, επί τού ξύλου καί κατεξάνθης, τάς πλευράς σιδήρω ένδοξε, καταπλήξας άπαντας, υπομονή σοφέ Αγαθάγγελε.

Μεγαλύνοντες τόν Χριστόν, φρουράν κατώκουν οι Αθλοφόροι, ως φρουροί θείων προστάξεων, Κλήμης ο πανάριστος, καί Αγαθάγγελος ο αοίδιμος.

Θεοτοκίον

Μακαρίζομέν σε αεί, Θεοκυήτορ ευλογημένη, δι' ής δόξης ηξιώθημεν, καί τόν πρίν Παράδεισον, όν απωλέσαμεν απελάβομεν.

Τού Ιεράρχου

Ωδή ε

«Τώ θείω φέγγει σου αγαθέ, τάς τών ορθριζοντων σοι ψυχάς, πόθω Καταύγασον δέομαι, σέ ειδέναι Λόγε Θεού, τόν άντως Θεόν, εκ ζόφου τών πταισμάτων ανακαλούμενον».

Αικίσεις πάνσοφε καρτερών, τάς πολυχρονίους καί μακροτάτας, πολύαθλος πέφηνας, νύν δέ τής αφθάρτου μακαριότητος, τρυφήν κατεκληρώσω διαιωνίζουσαν.

Τήν πίστιν άγκυραν ασφαλή, ως καί τήν ελπίδα καί τήν αγάπην, θεμέλιον θέμενος, τή σεπτή Τριάδι σαυτόν ανέθηκας, ναόν ηγιασμένον Πάτερ πανόλβιε.

Η θεοκόσμητος ξυρωνίς, η διαφανής ηγωνισμένη, αθλήσεως στάδιον, επιλαβομένη τής αιωνίου ζωής, Αγγέλοις συγχορεύει καί συναγάλλεται.

Θεοτοκίον

Σώσαι βουλόμενος εκ φθοράς, τήν καταφθαρείσαν φύσιν, τών ανθρώπων ο Κτίστης καί Κύριος, μήτραν αγνισθείσαν Αγίω Πνεύματι, οικήσας απορρήτως ανεμορφώσατο.

Τού Μάρτυρος

Όρθρον φαεινόν ημίν

Άνθραξι πυρούμενοι, αγαπήσεως τού Παντουργού, εν ασβέστω πυρωθείση εβλήθητε, καλλίνικοι Μάρτυρες.

Κόσμος ωραιότατος, ανεδείχθητε τών Αθλητών, αφαιρούμενοι δοράν τήν τού σώματος, αήττητοι Μάρτυρες.

Απλωθείς εις κράβατον, καί οπτώμενος εν τή πυρά, Αγαθάγγελε Αγγέλους εξέπληξας, ορώντας τούς άθλους σου.

Θεοτοκίον

Ρυομένη φάνηθι, Απειρόγαμε πάντας ημάς, πειρασμών τε καί κινδύνων καί θλίψεων, τούς πόθω υμνούντάς σε.

Τού Ιεράρχου

Ωδή ς'

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι, Ανάγαγε, εκ φθοράς τήν ζωήν μου Πολυέλεε».

Νομίμως αθλήσαντες, τούς στεφάνους εκ χειρός, ζωαρχικής εδέξασθε, χαρισμάτων ποικίλων διανομήν, καί χάριν ιάσεων, τών πιστών θεραπεύειν τά νοσήματα.

Ο βίος ο ένθεος, τών αγώνων η τριβή, τών αικισμών η ένστασις, ευπρεπείας στεφάνωμα μυστικόν, καί κάλλους διάδημα, καί στολή αφθαρσίας σοι γεγόνασιν.

Θεοτοκίον

Η Πάναγνος Δέσποινα, η τεκούσα τοίς βροτοίς, τόν κυβερνήτην Κύριον, τών παθών μου τόν άστατον καί δεινόν, κατεύνασον τάραχον, καί γαλήνην παράσχου τή καρδία μου.

Τού Μάρτυρος

Εν πελάγει τού βίου

Χαριστήριον αίνον Θεώ προσήξας, θεόφρον Αθλητά, εν τή καμίνω εμβληθείς, ως πάλαι οι αιχμάλωτοι Παίδες, καί δρόσον δεχόμενος, Αγαθάγγελε ουρανόθεν.

Αγαθαίς αγγελίαις ταίς δι' Αγγέλων, νευρούμενος τόν νούν, τούς αικισμούς τε καί αλγηδόνας, ώσπερ πάσχοντος άλλου, ραδίως υπήνεγκας, Αγαθάγγελε γενναιόφρον.

Ιεράν ξυνωρίδα υμάς ο πλάνος, θεασάμενος σοφοί, δεσμοίς συνθλίβει, καί

ποιναίς συγκόπτει, καί φρουραίς κατακλείει καί γέλωτα ώφλησε, τή ατρέπτω υμών ενστάσει.

Θεοτοκίον

Ραθυμίαν ύπνου θανατηφόρου, απάλλαξον Αγνή, καί πρός ενθέους, γρηγορείν με ύμνους, καί καλάς εργασίας, ενίσχυσον Δέσποινα, ίνα πόθω υμνολογώ σε.

Ο Ειρμός

«Εν πελάγει τού βίου ταίς πράξεσί μου, κατήλθον εις βυθόν, αλλ' ως εκ κήτους. Ιωνάς ούτω βοώ σοι. Εκ βυθού τών κακών μου, ανάγαγε δέομαι, Υιέ τού Θεού καί Λόγε».

Κοντάκιον Ήχος δ'

Επεφάνης σήμερον

Τής αμπέλου γέγονας, τίμιον κλήμα, τού Χριστού πανεύφημε, Κλήμη πολύαθλος οφθείς, σύν τοίς συνάθλοις τε έκραζες, Χριστέ, Μαρτύρων φαιδρόν αγαλλίαμα.

Ο Οίκος

Υιός φωτός αναδειχθείς, Θεού συγκληρονόμος, ως Ηλιού ο θείος, τόν Αχαάβ ήλεγξεν, ούτω καί συ, Κλήμη σοφέ, Βασιλείς ανόμους, καί Τυράννους απηνείς, Ελλήνων τούς πρωτεύοντας, εν λόγω καί αληθεία ενίκησας, καί προσάγεις θύμα τώ Κυρίω νύν τά πλήθη τών εις Χριστόν πιστευσάντων. Διό κοινωνόν τής σής μαρτυρίας Αγαθάγγελον ευρών, πόλεις εναθλών συνώδευσας φαιδρώς κραυγάζων, Χριστέ, Μαρτύρων φαιδρόν αγαλλίαμα.

Συναξαριον

Τή ΚΓ' τού αυτού μηνός, Μνήμη τού Αγίου Ιερομάρτυρος Κλήμεντος, Επισκόπου. Αγκύρας, καί τού Αγίου Μάρτυρος Αγαθαγγέλου.

Στίχοι

- Αγαθαγγέλου καί Κλήμεντος αιμάτων,
- Τό τού ξίφους δίψαιμον επλήσθη στόμα.
- Εικάδι δ' ετμήθητε τρίτη, Αγαθάγγελε, Κλήμη.

Τή αυτή ημέρα, Μνήμη τού οσίου Πατρός ημών Ευσεβίου.

Στίχοι

- Δεύρο πρός ημάς εις τά τερπνά τού πόλου,
- Ευσεβίω λέγουσιν οι τερπνοί Νόες.

Τή αυτή ημέρα, Μνήμη τού οσίου Πατρός ημών Μαϋσιμά τού Σύρου.

Στίχοι

- Γλώσσαις λαλών πρίν Μαϋσιμάς τών Σύρων,
- Γλώσσαις, λαλεί νύν, Αγγέλων πρός Αγγέλους.

Τή αυτή ημέρα, Μνήμη τού οσίου Πατρός ημών Σαλαμάνου τού ησυχαστού.

Στίχοι

- Οίχη χαμερπούς καί χαμαιζήλου βίου,
- Υψηλέ πράξει καί λόγω Σαλαμάνη.

Τή αυτή ημέρα, οι Άγιοι δύω Μάρτυρες οι εν τώ Παρίω λάκκω εμβληθέντες τελειούνται.

Στίχοι

- Ένδον βόθρου χωρούσι Μάρτυρες δύω,
- Θείου πόθου βάλλοντος έξω τόν φόβον.

Ταίς τών Αγίων σου πρεσβείαις, Χριστέ ο Θεός, ελέησον ημάς. Αμήν.

## Τού Ιεράρχου

### Ωδή ζ'

«Οι Παίδες εν Βαβυλώνι, καμίνου φλόγα ουκ έπτηξαν, αλλ' εν μέσω φλογός εμβληθέντες, δροσιζόμενοι έψαλλον. Ευλογητός εί Κύριε, ο Θεός τών Πατέρων ημών».

Τή αίγλη τού Μαρτυρίου, τήν οικουμένην εφαίδρυνας, αναμέλπων Χριστώ διανοίας, καί ψυχής καθαρότητι. Ευλογητός εί Κύριε, ο Θεός τών Πατέρων ημών.

Η τών σών κατορθωμάτων, ιερωτάτη πανήγυρις, ουρανίω φωτί λαμπομένη, καταυγάζει τούς κράζοντας. Ευλογητός εί Κύριε, ο Θεός τών Πατέρων ημών.

Θεοτοκίον

Σοφίας τής υπερσόφου, Παρθένε Μήτηρ γεγένησαι, τής τά πάντα σοφώς κυβερνώσης, φυσική αγαθότητι. Ευλογημένος Πάναγνε, ο καρπός τής κοιλίας σου.

## Τού Μάρτυρος

### Μή παραδώης ημάς

Ώσπερ οι δύο αεί φωστήρες, φαιδρώς τήν Εκκλησίαν, φωτίζουσι πλουσίως άθλων λαμπρότητι, σύν Αγαθαγγέλω ο μέγας Κλήμης σκοτασμόν λύοντες πονηρών απιστίας εχθρών, ούς ευφημήσωμεν μεγαλοφώνως.

Νεανικώς τούς ξεσμούς υπέστης, καί πάσας τρικυμίας, τών ανυποίστων πόνων σαρκός σου τραύμασιν, εχθρούς τραυματίζων τούς αοράτους, αθλητά ένδοξε, τών παθών τού Χριστού κοινωνέ, Αγγέλων σύσκηνε, Μαρτύρων κλέος.

Χαίρων υπέστης σοφέ, μολύβδου βαρείας πυρακτώσεις, κατά τής θείας κάρας επενεχθείσας σου, καί Καταφλεγούσας ταύτην διόλου, ώσπερ τις

άσαρκος, Αγαθάγγελε στρατιώτα Χριστού, όθεν πίστει σε δοξολογούμεν.

Θεοτοκίον

Ανερμηνεύτου λόγω, μετέσχες Παρθένε μυστηρίου, Θεόν τόν εν πάσιν όντα αχώρητον, αστενοχωρήτως χωρείς καί τίκτεις, καί μαζοίς έθρεψας, βουληθέντα οικτειρήσαι ημάς, τούς Θεοτόκον σε ομολογούντας.

## Τού Ιεράρχου

### Ωδή η'

«Νόμων Πατρώων οι μακαριστοί, εν Βαβυλώνι Νέοι προκινδυνεύοντες, βασιλεύοντος κατέπτυσαν, προσταγής αλογίστου, καί συνημμένοι, ώ ουκ εχωνεύθησαν πυρί, τού κρατούντος επάξιον, ανέμελπον τόν ύμνον. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Αναφανέντες φαεινότατοι, επί τής γής φωστήρες κατελαμπρύνατε, τό στερέωμα Πανόβλιοι, τής σεπτής Εκκλησίας, εν ουρανοίς δέ, φέγγει τής αθλήσεως υμών, πρωτοτόκων πανήγυριν ευφραίνετε βοώντες. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Μετ' ευφροσύνης τήν χαρμόσυνον, τών σών αγώνων μνήμην νύν εορτάζομεν, ώς γάρ άσαρκος υπέμεινας αικισμών Τρικυμίας, αλλ' αντί τούτων, διαιωνίζουσαν τρυφήν επαξίως απείληφας, αντίδοσιν πλουσίαν. Τόν Κύριον υμνείτε κραυγάζων, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Πεποικιλμένην καί υπέρλαμπρον, καταστολήν σύ δόξης αμφιασάμενος, αντί Πνεύματος Πανόβλιε, χαλεπής ακηδίας, αντί βασάνων, τήν Αγγελικήν διαγωγήν, αντηλλάξω λαβόμενος, ζωής τής αϊδίου. Τόν Κύριον υμνείτε κραυγάζων, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Εξ αϊδίου τώ Γεννήτορι, ο συνυπάρχων Λόγος καί συννοούμενος, επί τέλει τών αιώνων δέ, σαρκωθείς εκ Παρθένου, τήν τών ανθρώπων, πάσαν εθεούργησε μορφήν, εαυτώ καθ' υπόστασιν, ασυγχύτως ενώσας. Τόν Κύριον υμνείτε βοώντων, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

## Τού Μάρτυρος

### Τά σύμπαντα Δέσποτα

Ρανίσιν αιμάτων σου, πύρ αποσβέσας αθεΐας, ήρδευσας Πανεύφημε, Χριστού τήν Εκκλησίαν, πίστει αναθάλλουσαν, καί ευφημούσαν αξίως, τούς μεγίστους σου πόνους, τά παλαίσματα, τάς λαμπράς αριστείας, απαύστως σοφέ Αγαθάγγελε.

Ίσους εκομίσαντο, τής νίκης τούς στεφάνους, Κλήμης ο πανάριστος, καί Αγαθάγγελος, όθεν, εν υψίστοις τώ πάντων βασιλεύοντι παρεστώντες, προστάται καί ρύσται ημών χρηματίζουσιν, ευλογούντες υμνούντες

απαύστως τόν Κύριον.

Νέους εκμιμούμενος, τούς κατασβέσαντας τήν φλόγα, τό πύρ ώσπερ άσαρκος, υπήλθες αθλοφόρε, ζήλω πυρακτούμενος τής τού Κυρίου αγάπης, καί θερμώς ανεβόας Αγαθάγγελε. Ευλογείτε τά έργα Κυρίου, απαύστως τόν Κύριον.

Θεοτοκίον

Ισχυράν παράκλησιν, καί ακαταίσχυντον ελπίδα, τείχος απροσμάχητον, καί θείαν προστασίαν, ο λαός σου έχει σε, ο σέ δοξάζων Παρθένε, καί σωζόμενος, κράζει εμμελέστατα. Ευλογείτε τά έργα Κυρίου, απαύστως τόν Κύριον.

Ο Ειρμός

«Τά σύμπαντα Δέσποτα, τή σή σοφία συνεστήσω, γής δέ πάλιν ήδρασας, ως οίδας τόν πυθμένα, τή βάσει πηξάμενος επί υδάτων απείρων, διό πάντες βοώμεν αναμέλποντες. Ευλογείτε πάντα τά έργα Κυρίου, απαύστως τόν Κύριον».

## Τού Ιεράρχου

### Ωδή θ'

«Θεόν ανθρώποις ιδείν αδύνατον, όν ου τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ Πάναγνε ωράθη βροτοίς, Λόγος σεσαρκωμένος, όν μεγαλύνοντες, σύν ταίς ουρανίαις Στρατιαίς, σέ μακαρίζομεν».

Λουτρώ τού φωτοειδούς βαπτίσματος, τελειωθείς, καί τής ιερωσύνης τώ χαρίσματι, καί Μαρτύρων αίματι λουσάμενος, όλος πεφωτισμένος, χαίρων ανέδραμες, πρός τάς ουρανίους στρατιάς θεομακάριστε.

Ο τών αγίων Μαρτύρων στέφανος, Λόγος Θεού στεφάνω τών χαρίτων εκόσμησε, σήν αγίαν κορυφήν θεσπέσιε, ο τής δικαιοσύνης, άδυτος Ήλιος, δι' όν τούς αγώνας τούς μακρούς, χαίρων υπέμεινας.

Θεοτοκίον

Υιός καί Λόγος Θεού ο άναρχος, σωματωθείς, υιός καί τής Παρθένου γεγένηται, ευδοκία τού Πατρός καί Πνεύματος, θείου τή συνεργεία, όθεν ανέπλασε, τήν καταφθαρείσάν μου μορφήν, ως παντοδύναμος.

## Τού Μάρτυρος

### Εποίησε κράτος

Ως ζεύγος ωραίον, Αγαθάγγελος ομού, ο ένδοξος καί Κλήμης ο γενναίος, φανέντες μαρτυρικαίς, ελαμπρύνθησαν στολαίς, καί νύν στεφανηφόροι τώ Θεώ, καί Βασιλεί τών όλων, ευκλεώς παρίστανται, σύν τοίς Ασωμάτοις.

Σαρκός ουκ εφείσω, ομιλούσης χαλεποίς, εν πλείοσι καιροίς κολαστηρίοις, εφέσει τών αγαθών, ών ητοίμασε Θεός, τοίς θείοις θεράπουσιν αυτού, μεθ'

ών περιπολεύεις, Μάρτυς Αγαθάγγελε, χαίρων εις αιώνας.

Η γή εορτάζει, καί χορεύει ουρανός, αγάλλονται χοροί τών Ασωμάτων, καί καρδίαι τών πιστών, ευσεβώς δοξάζουσι, τήν μνήμην σου σήμερον σοφέ, εν ή τούς σέ τιμώντας, σώζε ταίς πρεσβείαις σου, πάσης επηρείας.

Θεοτοκίον

Φωτίζεις τόν κόσμον, ανατείλασα τό φώς Πανάμωμε, τό λάμψαν πρό αιώνων, εκ τού Πατρός υπέρ νούν, διά τούτό σοι βοώ. Τό σκότος απέλασον Αγνή, εκ τής εμής καρδίας, τών ατάκτων λογισμών, όπως ανυμνώ σε.

Ο Ειρμός

«Εποίησε κράτος, εν βραχίονι αυτού, καθείλε γάρ δυνάστας από θρόνων, καί ύψωσε ταπεινούς, ο Θεός τού Ισραήλ, εν οίς επεσκέψατο ημάς, Ανατολή εξ ύψους, καί Κατεύθυνεν ημάς, εις οδόν ειρήνης».

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Ως Παύλος ο Απόστολος, τήν γήν κυκλώσας άπασαν, καί τών μακρών σου αγώνων, εκτείνας Κλήμη τό κλήμα, τή έλικι τής Πίστεως, ζωγρείς τόν Αγαθάγγελον, συγκοινωνόν σοι Μάρτυρα, τής αγαθής αγγελίας, επώνυμον αθλοφόρον.

Θεοτοκίον όμοιον

Ως ούσα καθαρώτατον, δοχείον Θεονύμφευτε, τής τών παθών με αχλύος, δείξον ελεύθερον Κόρη, βρυγμού οδοντων σκώληκος, καί τού πυρός εξάρπασον, τού αιωνίου Δέσποινα, όπως εν Πίστει υμνώ σε, ευλογημένη Μαρία.

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΔ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής Οσίας Μητρός ημών Ξένης.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'

Τών ουρανίων ταγμάτων

Μεταναστεύουσα πρώην, τή διαθέσει Σεμνή, καί βεβαιούσα έργω, τό κριθέν σοι εννοία, εξήλθες τής ματαίας τών ηδονών, μακαρία λειότητος, καί αρετών τή τραχεία ευθυδρομείς, αναβάσει ξενιτεύουσα.

Εν τώ λιμένι τού θείου, προσορμισθείσα ισθμού, διαπεράς κυμάτων, τών τού κόσμου τόν σάλον, ψυχής δέ σου τό πλοίον, όλον σεμνή, αδιάκλυστον

φέρουσα, εξ ηδονών τάς πικρίας τών μυστικών, αγωγίμων μένεις έμπλεως.

Θεοπρεπεί τή μιμήσει, σύ ξενιτεύσασα, τού δι' ημάς εξ άνω, πρός ημάς κατελθόντος, υψώσαι τούς πεσόντας, μένεις σοφή, συγγενέσι μέν άγνωστος, αλλ' ευσεβέσι γνωστή, ως πρός τόν Θεόν, Ξένη Πάντοτε πρεσβεύουσα.

Δόξα... Καί νύν... Θεοτοκίον

Δεδοξασμένη υπάρχεις, εν γενεαίς γενεών, Παρθενομήτορ Κόρη, Θεοτόκε Μαρία, τού κόσμου προστασία, τεκούσα σαρκί, τόν Υιόν τού ανάρχου Πατρός, καί συναΐδιον Πνευματι αληθώς, όν ικέτευε σωθήναι ημάς.

Η Σταυροθεοτοκίον

Αναρτηθέντα ώς είδεν, επί Σταυρού τόν Υιόν, η άμωμος Παρθένος, θρηνωδούσα εβόα. Γλυκύτατόν μου τέκνον, τί τό καινόν, καί παράδοξον θέαμα; πώς ο κατέχων τά πάντα εν τή δρακί, επί ξύλου προσηλώθης σαρκί;

Απολυτίκιον  Ήχος πλ. δ'

Εν σοί Μήτερ ακριβώς διεσώθη τό κατ' εικόνα, λαβούσα γάρ τόν σταυρόν, ηκολούθησας τώ Χριστώ, καί πράττουσα εδίδασκες, υπεροράν μεν σαρκός, παρέρχεται γάρ, επιμελείσθαι δέ ψυχής, πράγματος αθανάτου, διό καί μετά Αγγέλων συναγάλλεται, Οσία Ξένη τό Πνεύμά σου.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, οι δύω Κανόνες τής Οκτωήχου καί τής Αγλίας είς.

Ωδή α'  Ήχος πλ. δ'

«Άσμα αναπέμψωμεν λαοί, τώ θαυμαστώ Θεώ ημών, τώ απαλλάξαντι τόν Ισραήλ εκ δουλείας, ωδήν επινίκιον, άδοντες καί βοώντες. Άσωμέν σοι τώ μόνω Δεσπότη».

Ξένον όντα πάσης αρετής, καί μακρυνθέντα πράξεσιν, από Θεού ατόποις, οικείωσόν με τούτω, ευχαίς ευπροσδέκτοις σου, Ξένη σεμνή Οσία, σού τόν ξένον βίον ευφημούντα.

Πύρ σε αναφλέξαν νοητόν, ως ύλην ευκατάπρηστον, τήν κοσμικήν απάτην, καί σαρκικόν μνηστήρα, αρνήσασθαι έπεισε, γνώμη ανδρειοτάτη, καί Κυρίω αγνώς μνηστευθήναι.

Ξένην εννοήσασα ζωήν, εν ουρανοίς τήν μένουσαν, καί μή παρεχοκλήσιν ως τήν πράξιν, μένην, την ημείψω καί έδραμες, έλαφος ως διψώσα, αθανάτου κατ' ίχνος μνηστήρος.

Θεοτοκίον

Ύμνοις τήν πανάχραντον πιστοί, Μαρίαν ευφημήσωμεν, τήν Θεομήτορα, τήν κεχαριτωμένην, τήν σκέπην τήν ένθεον, τόν εύδιον λιμένα, τήν τών πάντων πιστών σωτηρίαν.

## Ωδή γ'

«Ο στερεώσας λόγω τούς ουρανούς, καί τήν γήν εδράσας επί υδάτων πολλών, στερέωσόν με πρός ύμνον, καί δοξολογίαν σου Κύριε».

Κατακρατήσας έρως ο θεϊκός, τής αγνής ψυχής σου, λήθην λαμβάνειν σε, τών τής ασκήσεως πόνων έπεισε, Σεμνή καί τής φύσεως.

Τού αθανάτου μνηστήρος καλλοναίς, ηδομένη κάλλη σαρκός εμάρανας, καί ώφθης, ωραιοτάτη, θείον πρός νυμφώνα σκηνώσασα.

Κεχρυσωμένας πτέρυγας αρετών κτησαμένη ύψος πρός ουράνιον, επέτασας Μακαρία, ως περιστερά αδιάφθορος.

### Θεοτοκίον

Η φωτεινή νεφέλη τού νοητού, καί φαιδρού Ηλίου τού ανατείλαντος, εκ τής γαστρός σου Παρθένε, φώτισον τάς ψυχάς τών υμνούντων σε.

### Ο Ειρμός

«Ο στερεώσας λόγω τούς ουρανούς, καί τήν γήν εδράσας επί υδάτων πολλών, στερέωσόν με πρός ύμνον, καί δοξολογίαν σου Κύριε».

### Κάθισμα Ήχος πλ. δ'

### Τήν Σοφίαν καί Λόγον

Τόν δι' οίκτον οφθέντα επί τής γής, αγαπήσασα Λόγον Θεού Πατρός, αυτώ ηκολούθησας, ως νυμίω Πανόλβιε, καί φθαρτόν νυμφίον, προθύμως κατέλιπες, καί ενεγκαμένην, καί πλούτον επίκηρον, όθεν επί ξένης, φερωνύμως βιούσα, τά πάθη ενέκρωσας, καί τών ζώντων απείληφας, κληρουχίαν θεόπνευστε. Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν Αγίαν μνήμην σου.

### Θεοτοκίον, όμοιον

Πειρασμοίς πολυτρόποις περιπεσών, εξ εχθρών σσοράτων καί ορατών, τώ σάλω σθνέχομαι, τών αμέτρων πταισμάτων μου, καί ως θερμή αντιλήψει, καί σκέπη μου άχραντε, τώ λιμένι προστρέχω, τής σής αγαθότητος, όθεν Παναγία, τόν εκ σού σαρκωθέντα, ασπόρως ικέτευε, υπέρ πάντων τών δούλων σου, τών απαύστως υμνούντων σε, Θεοτόκε πανάχραντε, πρεσβεύουσα αυτώ εκτενώς, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς προσκυνούσιν αξίως, τόν Πανάγιον τόκον σου.

### Η Σταυροθεοτοκίον

Τόν Αμνόν καί Ποιμένα καί Λυτρωτήν, η Αμνάς θωρούσα, εν τώ Σταυρώ, ωλόλυζε δακρύουσα, καί πικρώς εκβοώσα, ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήν περ υπομένεις, διά σπλάγχνα ελέους, Μακρόθυμε Κύριε, τού ελέους η άβυσσος, καί πηγή αγαθότητος, σπλαγχνίσθητι καί δώρησαι ούν, τών πταισμάτων άφεσιν τοίς δούλοις σου, τοίς ανυμνούσί σου πίστει, τά θεία παθήματα.

Ωδή δ'

«Εξ όρους κατασκίου, Λόγε ο Προφήτης, τής μόνης Θεοτόκου, μέλλοντος σαρκούσθαι, θεοπτικώς κατενόησε καί εν φόβω, εδοξολόγει σου τήν δύναμιν».

Προίκα τώ Χριστώ προσήξας τήν αγνείαν, νέκρωσιν μελών, καί πόνους εγκρατείας, καί αντεδέξω ουράνιον βασιλείαν, καί αιωνίζουσαν απόλαυσιν.

Βρέχουσα στρωμνήν, τοίς δάκρυσιν Οσία, καί μετά σποδού, εσθίουσα τόν άρτον, τής παρακλήσεως έτυχες τής αγήρω, καί Παραδείσου απολαύσεως.

Τύπον σεαυτήν, καλών παρεχομένη, είλκυσας πολλάς, ψυχάς εις σωτηρίαν, απορραγείσας τού κόσμου τής προσπαθείας, Ξένη θεόφρον αξιάγαστε.

Θεοτοκίον

Χαίροις παρ' ημών, Αγία Θεοτόκε, χαίρε η χαράν, κυήσασα τώ κόσμω, χαίρε η μόνη αντίληψις τών ανθρώπων, ευλογημένη Θεοτόκε αγνή.

Ωδή ε'

«Τόν ζόφον τής ψυχής μου διασκέδασον, φωτοδότα Χριστέ ο Θεός, τό αρχέγονον σκότος διώξας τής αβύσσου, καί δώρησαί μοι τό φώς τών προσταγμάτων σου Λόγε, ίνα ορθρίζων δοξάζω σε».

Ως δάμαλις ποθούσα, τού ποιμένος τό θείον κάλλος εκραύγαζες. Πού νύν ποιμαίνεις Νυμφίε; πού κοιτάζη ειπέ μοι; επιποθώ σου ιδείν, τήν υπερβάλλουσαν θέαν, καί φλέγομαι πάντοθεν.

Εράσμιον τό κάλλος, τό εμόν βοά ο Νυμφίος, ζητούσα Σεμνή, ταίς αρεταίς λαμπρυνθείσα, εις ουρανούς με σκόπει, εκεί ποιμαίνω εγώ, καί τά εμά προσκαλούμαι, εκάστοτε θρέμματα.

Τρυγών ωραιοτάτη, χελιδών λαμπροτάτη, καί νοητή αηδών, τών ιξευτών διαδράσα, τών νοητών παγίδας, εδείχθης Ξένη σεμνή, καί εναπόθετον κάλλος, Χριστού αξιάγαστε.

Θεοτοκίον

Αμήτορα τών άνω, επ' εσχάτων τοίς κάτω τίκτεις απάτορα, ουσιωθέντα Παρθένε, τό η μέτερον όλον, δι' ευσπλαγχνίαν πολλήν, όν εκδυσώπει σωθήναι, φθοράς τούς υμνούντάς σε.

Ωδή ς'

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομί μου, καί εκ βυθού τών Κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

Τήν ξένην σου βιοτήν, καί υπέρ άνθρωπον άσκησιν, δοξάζων ο διά σέ, ξενιτεύσας ένδοξε, σημείοις καί τέρασι, παραδόξοις, όντως σέ Οσία

κατεκόσμησε.

Τόν ξενωθέντα μακράν, τών εντολών τού Θεού ημών, οικείωσόν με ταίς σαίς, Οσία δεήσεσι, καί ξένον με ποίησον, τής δεινής γεέννης, καί παθών συνεχόντων με.

Τώ κύκλω τών αρετών, καταστεφθείσα ανέδραμες, πρός όν επόθεις Χριστόν, κύκλου δι' αστέρων σε, υπέρ νούν μηνύοντος, τοίς εγγύς καί πόρρω, ξενοτρόπως Ξένη ένδοξε.

Θεοτοκίον

Ο νώτοις χερουβικοίς απεριγράπτως καθήμενος, περιγραπτός εν τή σή, κοιλία ενωκησε, σαρκί ου θεότητι, καί εκ σού προήλθε, διασώζων τό ανθρώπινον.

Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

Κοντάκιον  Ήχος β'

Τοίς τών αιμάτων σου

Τό σόν ξενότροπον Ξένη μνημόσυνον, επιτελούντες οι πόθω τιμώντές σε, υμνούμεν Χριστόν τόν εν άπασι, σοί παρέχοντα ισχύν τών ιάσεων, όν πάντοτε δυσώπει, υπέρ πάντων ημών.

Ο Οίκος

Ίλεων Ξένη, τόν ξενοτρόπως εκ Παρθένου τεχθέντα, εκδυσώπει Χριστόν ημίν γενέσθαι Αοίδιμε, τοίς κατά χρέος σοι προσφοιτώσιν εκ ψυχής καί καρδίας καθαρωτάτης, καί ευσεβώς τήν σήν μνήμην υμνήσαι σπουδάζουσιν, ήν πάσαι τών ουρανών αι Δυνάμεις αξίως ετίμησαν, ώς φωτοφόρον καί άμωμον καί αγίαν πανήγυριν, Ένδοξε, πρεσβεύουσα απαύστως υπέρ πάντων ημών.

Συναξάριον

Τή ΚΔ' τού αυτού μηνός, Μνήμη τής Αγίας Μητρός ημών Ξένης καί τών δύω αυτής θεραπαινίδων.

Στίχοι

Αποξενούται τούδε τού βίου Ξένη,
Ού ζώσα καί πρίν, ώς αληθώς ήν ξένη.
Θνήσκουσιν άμφω τής Ξένης αι δουλίδες,
Ου τών εκείνης αρετών ούσαι ξέναι.
Εικάδι ουρανού εις ξενίην Ξένη ήλθε Τετάρτη.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Παύλου Παυσιρίου καί Θεοδοτίωνος, τών αυταδέλφων.

Στίχοι

Παυσίριον καί Παύλον άμφω συγγόνους,
Ποτάμιος ρούς καί συνάθλους δεικνύει.

Ιδού τράχηλος ελθέτω δή τό ξίφος,
Θεόν ποθών έκραζε Θεοδοτίων.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Ιερομάρτυρος Βαβύλα, τού εν Σικελία, καί Τιμοθέου καί Αγαπίου τών μαθητών αυτού.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Μακεδονίου.

Στίχοι

Μονών απείρων πατρικής σής οικίας,
Μακεδόνιος Χριστέ λαμβάνει μίαν.

Τή αυτή ημέρα, η ανακομιδή τών λειψάνων τού αγίου Οσιομάρτυρος Αναστασίου τού Πέρσου.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Ερμογένους καί Μηνά, καί τού Οσίου Πατρός ημών Φίλωνος, Επισκόπου γενομένου τού Καλπασίου, καί Μνήμη τού Οσίου Πατρός ημών Φιλίππου Πρεσβυτέρου, καί τού Αγίου Μάρτυρος Βαρσίμου, καί τών δύω αυτού αδελφών.

Στίχοι

Τούς τρείς Αδελφούς θείος είς συσχών πόθος,
Θείον ποθείν έπειθεν εκ ξίφους τέλος.

Τή αυτή ημέρα, ο Άγιος Ελλάδιος ο Κομενταρήσιος ξίφει τελειούται.

Στίχοι

Υπό ξίφος θείς Ελλάδιος αυχένα,
Ελληνικής έπαρσιν ήσχυνε πλάνης.

Τή αυτή ημέρα, ο Όσιος Ζωσιμάς εν ειρήνη τελειούται.

Στίχοι

Τίς τούς μακρούς σου Ζωσιμά φράσει πόνους;
Καί τίς θανόντος τών πόνων σου τά στέφη;

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Προφήτου, Προδρόμου καί Βαπτιστού Ιωάννου, πλησίον τού τάφου.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

«Ο τούς Παίδας δροσίσας εν καμίνω, καί παρθένον φυλάξας μετά τόκον, τήν σέ τεκούσαν, ευλογητός εί Κύριε, ο Θεός ο τών Πατέρων ημών».

Τοίς σπαργάνοις η Ρώμη εκκαυχάται, η δέ Μύλασσα πλέον τοίς λειψάνοις, εξ ών πηγάζεις θαύματα, τοίς πιστοίς Θεονύμφευτε.

Ποταμός ανεδείχθης ιαμάτων, παθη μάτων θαλάσσας κατακλύζων, τών

μελωδούντων άσμασι, τόν Θεόν τών Πατέρων ημών.

Κατεκοίμισας πάθη ψυχοφθόρα, εν πολλαίς αγρυπνίαις Μακαρία, καί τόν δικαίοις ύπνον ύπνωσας, υπέρ τού κόσμου πρεσβεύουσα.

Θεοτοκίον

Τόν εκ σού σαρκωθέντα υπέρ λόγον, δυσωπούσα μή παύση Θεοτόκε, εκ τών παγίδων ρύσασθαι, τού εχθρού τάς ψυχάς ημών.

Ωδή η'

«Ο στεγάζων εν ύδασι, τά υπερώα αυτού, ο τιθείς θαλάσση όριον ψάμμον, καί συνέχων τό πάν, σέ υμνεί ήλιος, σέ δοξάζει σελήνη, σοί προσφέρει ύμνον πάσα κτίσις, τώ Δημιουργώ, καί Κτίστη εις τούς αιώνας».

Αρμοσθείσα γέγραπται, ενί ανδρί τώ Χριστώ, τώ ωραίω κάλλει πάσαν ιδέαν, αρετών ευσεβώς, ήσκησας Ένδοξε, καί πρός θάλαμον θείον, εισωκίσθης προίκα δεξαμένη, χάριν ιαμάτων, εις πάντας τούς αιώνας.

Η ψυχή μου οπίσω σου, προσεκολλήθη Χριστέ, ανεβόας πόθω, ως γή διψώσα, ισέ τό ύδωρ τό ζών, εκζητώ Κύριε, σοί τούς όμβρους προσφέρω τών δακρύων, σής αγάπης ρείθρα, πότισόν με Σώτερ, εις πάντας τούς αιώνας.

Ωραιώθης ποθήσασα, τό όντως όν εφετόν, εδοξάσθης Κόρη δεδοξασμένω κολληθείσα Χριστώ, σύ χορόν άγιον, προσηγάγω Παρθένων, τώ Σωτήρι σέ μιμησαμένων, μεθ' ών εις τάς άνω, χορεύεις κατοικίας.

Θεοτοκίον

Μονήν σε εξελέξατο, καί καλλονήν Ιακώβ, τού Πατρός ο Λόγος, καί σού εν μέσω κατεσκήνωσε, καί ως ηυδόκησεν, υπέρ πάντας ωραίος, τούς ανθρώπους Πάναγνε προήλθε, τήν αμαυρωβείσαν, ημών καθάραι φύσιν.

Ο Ειρμός

«Ο στεγάζων εν ύδασι, τά υπερώα αυτού, ο τιθείς θαλάσση όριον ψάμμον, καί συνέχων τό πάν, σέ υμνεί ήλιος, σέ δοξάζει σελήνη, σοί προσφέρει ύμνον πάσα κτίσις, τώ Δημιουργώ, καί Κτίστη εις τούς αιώνας».

Ωδή θ'

«Ευλογητός Κύριος, ο Θεός τού Ισραήλ, ο εγείρας κέρας σωτηρίας ημίν, εν οίκω Δαυίδ τού παιδός αυτού, εν οίς επεσκέψατο ημάς, Ανατολή εξ ύψους, καί κατεύθυνεν ημάς, εις οδόν ειρήνης».

Δι' ασθενείας Ένδοξε, τόν ανίσχυρον εχθρόν, ετροπώσω ξένην μετελθούσα ζωήν, καί πάθη σαρκός θανατώσασα, καί νύν ουρανούς περιπολείς, ένθα τό σόν υπήρχεν, αληθώς πολίτευμα, ως Αγνή Παρθένος.

Ευλογητός Κύριος, ο λιμένα γαληνόν, ιαμάτων δείξας τήν σεπτήν σου σορόν, τοίς αεί κινδυνεύουσι πελάγει, καί ζάλη τών παθών, Μοναζουσών τό κλέος, καί Παρθένων καύχημα, θεοφόρε Ξένη.

Τών εφετών τό ακρότατον, καθαρώτερον οράς, θεουμένη λάμψεσι ταίς θείαις Αγνή. Οράς δέ ά βλέπουσιν Άγγελοι, χορεύεις σύν πάσιν εκλεκτοίς αμαρτημάτων λύσιν, αιτουμένη πάντοτε, τοίς σέ ευφημούσιν.

Ως παρθενίας τέμενος, ως αγνήν περιστεράν, ως τρυγόνα άμωμον, ως νύμφην Χριστού, ωραίαν καλήν σε καί άμεμπτον, ως άγαλμα θείων αρετών, ώς κήπον κεκλεισμένον, οι πιστοί γεραίρομεν, θεοφόρε Ξένη.

Θεοτοκίον

Ρήμασι σοίς επόμενοι, γενεαί τών γενεών, Μαρία σε μακαρίζομεν αεί, Θεόν γάρ τόν όντως μακάριον, εκύησας άχραντε Αγνή, τόν πάντας μακαρίους, τούς αυτώ δουλεύοντας αψευδώς ποιούντα.

Ο Ειρμός

«Ευλογητός Κύριος, ο Θεός τού Ισραήλ, ο εγείρας κέρας σωτηρίας ημίν, εν οίκω Δαυίδ τού παιδός αυτού, εν οίς επεσκέψατο ημάς, Ανατολή εξ ύψους, καί κατεύθυνεν ημάς, εις οδόν ειρήνης».

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Ξενίαν τήν ουράνιον, ποθούσα Ξένη πάνσεμνε, ξένην σαυτήν θεοφόρε, πατρίδος πλούτου καί γένους, φιλευσεβώς πεποίηκας, τόν σταυρόν σου δέ άρασα, Χριστώ προθύμως έδραμες, τώ ξενοτρόπως ελθόντι, σώσαι βροτούς εκ Παρθένου.

Θεοτοκίον, όμοιον

Ωράθης υπερέχουσα, τών Ποιημάτων Δέσποινα, σαρκί τεκούσα Παρθένε, Θεόν τών όλων καί Κτίστην, ού τώ Σταυρώ ρωννύμεναι, γυναίκες αι θεόφρονες, νεανικώς ηρίστευσαν, μεθ' ών σε πάντες υμνούμεν, ευλογημένη Μαρία.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΕ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού εν Αγίοις Πατρός ημών Γρηγορίου, Αρχιεπισκόπου Κωνσταντινουπόλεως, τού Θεολόγου.

### ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Εις τό Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'

Ως γενναίον εν Μάρτυσιν

Θεολόγω σου στόματι, Θεολόγε Γρηγόριε, Θεολόγω γλώττη τε εφανέρωσας, τόν εν Τριάδι υμνούμενον, Θεόν ομοούσιον, τόν Πατέρα καί Υιόν, καί τό Πνεύμα τό Άγιον, καί εξήρανας, τήν μωρίαν τών Ελλήνων καί τό ψεύδος, τήν αλήθειαν κηρύττων, τοίς θεοφθόγγοις σου ρήμασι.

Καί τό ειδός σου τίμιον, η μορφή τε αιδέσιμος, Ιερέ Γρηγόριε, διά τούτό σε, χαρμονικοίς μελωδήμασι, τιμώμεν καί λέγομεν. Χαίροις άστρον νοητόν, καταυγάζον τά πέρατα, τή λαμπρότητι, τών σοφών σου ρημάτων, χαίροις σάλπιγξ, η κηρύττουσα τώ κόσμω, τού Ιησού τά εντάλματα.

Τό πολύφωνον όργανον, τήν κιθάραν τήν έμμουσον, λιγυράν κινύραν τε τήν ηδύπνοον, Ιεραρχών τόν υπέρτατον, τόν μέγαν Διδάσκαλον, Εκκλησίας τού Χριστού, επαινέσωμεν μέλποντες. Χαίροις χάριτος, τής ενθέου τό βάθος, χαίροις ύψος, ουρανίων νοημάτων, Πατήρ Πατέρων Γρηγόριε.

Τή σφενδόνη τών λόγων σου τών ενθέων θεόπνευστε, κραταιώς πανένδοξε εσφενδόνησας, καθάπερ λύκον τόν Άρειον, καί πόρρω εδίωξας, εκ τής ποίμνης τού Χριστού, ο Ποιμήν ο πανάριστος, τά σά πρόβατα, περιθάλπων τή χλόη τής Τριάδος, διά τούτό σε τιμώμεν Ποιμήν Ποιμένων Γρηγόριε.

Ποίοις λόγοις Ισάγγελε, εγκωμίων σε στέψωμεν, τόν εν γή βιώσαντα, υπέρ άνθρωπον, τού Θεού Λόγου τόν κήρυκα, τόν φίλον τόν γνήσιον, τής Παρθένου καί Αγνής, Αποστόλων τόν σύνθρονον, τών Μαρτύρων τε, καλλονήν καί Οσίων, θείον λάτριν τής ανάρχου θεαρχίας, Αρχιερεύ αγιώτατε;

Εις τά άνω βασίλεια, ανελθών ώς επόθησας, αμοιβάς τών πόνων σου νύν απέλαβες, παρά Χριστού τού Παντάνακτος, παμμάκαρ Γρηγόριε, ού ενώπιον εστώς, ημών Πάτερ μνημόνευε, τών τελούντων σου, τήν υπέρλαμπρον, μνήμην, όπως τούτων, καί ημείς αξιωθώμεν, οι τόν Χριστόν Θεόν σέβοντες.

Δόξα... Ήχος πλ. β'

Ιεραρχών τόν αρχηγόν, Πατριαρχών τό γέρας, τόν μύστην τών δογμάτων, καί εννοιών Χριστού, νούν τόν ακρότατον, συνελθόντες ώ θεόφρονες, πνευματικοίς εγκωμίοις, αινέσωμεν λέγοντες. Χαίροις θεολογίας πηγή, σοφίας ποταμέ, καί βρύσις θείας γνώσεως, Χαίροις αστήρ φαεινότατε, ότι τόν κόσμον άπαντα, καταυγάζεις σοίς δόγμασι, Χαίροις τής ευσεβείας, υπέρμαχος ο μέγας, καί τής ασεβείας, διώκτης ο γενναίος. Αλλ' ώ πάνσοφε Θεολόγε Γρηγόριε, μή παύση πρεσβεύων Χριστώ τώ Θεώ, υπέρ τών πίστει καί πόθω τελούντων αεί, τήν θεάρεστον καί σεβάσμιον μνήμην σου.

Καί νύν... Θεοτοκίον

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής. Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος β'
Οίκος τού Εφραθά
Δεύτε οι ερασταί, σοφίας τής ενθέου, τόν θείον Θεολόγον, υμνήσωμεν βοώντες. Χαίροις σοφέ Γρηγοριε.

Στίχ. Τό στόμα μου λαλήσει σοφίαν καί η μελέτη τής καρδίας μου σύνεσιν

Στόμα τό ιερόν, τήν θεολόγον γλώσσαν, τόν νούν τόν θείον πάντες, τού σοφού Γρηγορίου, αινέσωμεν θεόφρονες.

Στίχος. Ακούσατε ταύτα, πάντα τά Έθνη, ενωτίσασθε πάντες οι κατοικούντες τήν οικουμένη.

Τράπεζαν μυστικήν, ηυτρέπισε τοίς πάσι, τών θείων αυτού λόγων, Γρηγόριος ο μέγας, δεύτε πιστοί τρυφήσωμεν.

Δόξα...

Τριάδα τήν σεπτήν, Πατέρα Λόγον Πνεύμα, ο θείος Θεολόγος, εδίδαξε πιστεύειν, ένα Θεόν αχώριστον.

Καί νύν... Θεοτοκίον

Μητέρα σε Θεού, Θεόν δέ τόν Υιόν σου, ο μέγας Θεολόγος, εδίδαξε Πστεύειν, Μαρία Μητροπάρθενε.

Νύν απολύεις. τό Τρισάγιον. τό, Παναγία Τριάς τό, Πάτερ ημών.

Απολυτίκιον Ήχος α'

Ο ποιμενικός αυλός τής θεολογίας σου, τάς τών ρητόρων ενίκησε σάλπιγγας, ως γάρ τά βάθη τού Πνεύματος εκζητήσαντι, καί τά κάλλη τού φθέγματος προσετέθη σοι. Αλλά πρέσβευε Χριστώ τώ Θεώ, Πάτερ Γρηγόριε, σωθήναι τάς ψυχάς ημών.

Καί Απόλυσις

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Στιχολογούμεν τήν α' στάσιν τού, Μακάριος ανήρ.

Εις δέ τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'
Πανεύφημοι Μάρτυρες
Πάτερ Γρηγόριε τά σά, χείλη ουχ ο πρόξενος, τής λήθης τάφος εκάλυψε, θεολογίας γάρ, ανεδείχθης στόμα, ιεόσεβείας δόγματα, καί νύν τή οικουμένη φθεγγόμενος, διό ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Πάτερ Γρηγόριε σοφώς, τής σαρκός εξέκλινας, τό δυσμενές καί επίβουλον, ουρανοδρόμω τε, επιβάς τεθρίππω, αρετών οχήματι, ανέπτης πρός τό κάλλος τό άρρητον, ού εμφορούμενος, νύν βραβεύεις ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Πάτερ Γρηγόριε Θεού, καί ανθρώπων γέγονας, πιστός μεσίτης τή χάριτι, καί νύν ευϊλατον, ευπαρρησιάστοις, προσευχαίς τιθείς ημίν, Χριστόν μή διαλίπης πρός Κύριον, πρεσβεύων Όσιε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Έτερα Στιχηρά Προσόμοια
Ήχος β'
Ποίοις ευφημιών

Δεύτε, εν ιεροίς μέλεσιν, ευφημήσωμεν τόν θεηγόρον, τό γρήγορον όμμα τής χάριτος, καί πάνσοφον στόμα τού Πνεύματος, τόν λαμπρόν φωστήρα οικουμένης, τό μέγα τής Εκκλησίας περιήχημα, τό κλέος ορθοδοξίας τό πανθαύμαστον, θεολογίας τήν βρύσιν, τών θείων δογμάτων, τόν αέναον ποταμόν, τήν πηγήν τήν βρύουσαν, αμβροσίας θεία νάματα.

Πόθω, πνευματικώ σήμερον, ανυμνήσωμεν τόν Ιεράρχην, τόν τών Αποστόλων ομότροπον, καί τής ευσεβείας υπέρμαχον, τής θεηγορίας τήν πλημμύραν, τό ρεύμα τής διδασκαλίας τό ηδύτατον, τών λόγων τών υψηγόρων τήν ασφάλειαν, τά ουρανόβροντα χείλη, τήν πυρίπνουν γλώσσαν, τής σοφίας τόν θησαυρόν, τού Λόγου τόν κήρυκα, τών Πιστών τό εγκαλλώπισμα.

Ύμνοις χρεωστικοίς άπαντες, επαινέσωμεν τόν θεολόγον, τού Χριστού τής ποίμνης τόν φύλακα, αγρευτήν τών λύκων δέ πάνσοφον, ζιζανίων νόθων ελατήρα, σπορέα ορθών δογμάτων τόν πανθαύμαστον, διώκτην αιρετιζόντων ισχυρότατον, τόν επαυξήσαντα όντως, εγρηγόρσει θεία, τού Χριστού τά τάλαντα ώς εικός, καί κόσμον φωτίσαντα, διδαχών θείαις λαμπρότησι.

Δόξα... Ήχος πλ. δ'

Η γρήγορος γλώσσά σου πρός διδασκαλίαν, εν τοίς ωσί τών καρδιών ενηχούσα, τάς τών ραθύμων ψυχάς διανίστησι, καί θεοφθόγγοις ρήμασι, κλίμαξ ευρίσκεται τούς εκ γής πρός ουρανόν αναφέρουσα. Διό Γρηγόριε Θεολόγε, μή παύση πρεσβεύων Χριστώ τώ Θεώ, εκ κινδύνων σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Ο Βασιλεύς τών ουρανών, διά φιλανθρωπίαν, επί τής γής ώφθη καί τοίς ανθρώποις συνανεστράφη, εκ Παρθένου γάρ αγνής, σάρκα προσλαβόμενος, καί εκ ταύτης προελθών, μετά τής προσλήψεως, είς εστιν Υιός, διπλούς τήν φύσιν, αλλ' ού τήν υπόστασιν. Διό τέλειον αυτόν Θεόν, καί τέλειον άνθρωπον, αληθώς κηρύττοντες, ομολογούμεν Χριστόν τόν Θεόν ημών όν ικέτευε Μήτηρ ανύμφευτε, ελεηθήναι τάς ψυχάς ημών.

Είσοδος, τό Προκείμενον τής ημέρας, καί τά Αναγνώσματα.

Παροιμιών τό Ανάγνωσμα
(Κεφ. 10, 6-7 & 3, 13-16 & 8,... )

Μνήμη δικαίου μετ' εγκωμίων, καί ευλογία Κυρίου επί κεφαλήν αυτού. Μακάριος άνθρωπος, ός εύρε σοφίαν, καί θνητός ός είδε φρόνησιν. Κρείσσον γάρ αυτήν εμπορεύεσθαι, ή χρυσίου καί αργυρίου θησαυρούς. Τιμιωτέρα δέ εστι λίθων πολυτελών, πάν δέ τίμιον, ουκ άξιον αυτής εστιν. Εκ γάρ τού στόματος αυτής εκπορεύεται δικαιοσύνη, νόμον δέ καί έλεον επί γλώσσης φορεί. Τοιγαρούν ακούσατέ μου, ώ τέκνα, σεμνά γάρ ερώ. Καί μακάριος άνθρωπος, ός τάς εμάς οδούς φυλάξει. Αι γάρ έξοδοί μου, έξοδοι ζωής, καί ετοιμάζεται θέλησις παρά Κυρίου. Διό τούτο παρακαλώ υμάς, καί προϊεμαι εμήν φωνήν υιοίς ανθρώπων. Ότι έγω η σοφία κατεσκεύασα βουλήν, καί γνώσιν καί έννοιαν, εγώ επεκαλεσάμην. Εμή βουλή καί ασφάλεια, εμή φρόνησις, εμή δέ ισχύς. Εγώ τούς εμέ φιλούντας αγαπώ, οι δέ εμέ ζητούντες ευρήσουσι χάριν. Νοήσατε τοίνυν άκακοι πανουργίαν, οι δέ απαίδευτοι ένθεσθε καρδίαν. Εισακούσατέ μου καί πάλιν, σεμνά γάρ ερώ, καί ανοίγω από χειλέων ορθά. Ότι αλήθειαν μελετήσει ο λάρυγξ μου, εβδελυγμένα δέ εναντίον εμού χείλη ψευδή. Μετά δικαιοσύνης πάντα τά ρήματα τού στόματός μου, ουδέν εν αυτοίς σκολιόν, ουδέ στραγγαλιώδες. Πάντα ευθέα εστί τοίς νοούσι καί ορθά τοίς ευρίσκουσι γνώσιν. Διδάσκω γάρ υμίν αληθή, ίνα γένηται εν Κυρίω η ελπίς υμών, πλησθήσεσθε πνεύματος.

Σοφίας Σολομώντος τό Ανάγνωσμα
(Κεφ. 4, 7-15)

Δίκαιος, εάν φθάση τελευτήσαι, εν αναπαύσει έσται. Γήρας γάρ τίμιον ού τό πολυχρόνιον, ουδέ αριθμώ ετών μεμέτρηται. Πολιά δέ εστι φρόνησις ανθρώποις, καί ηλικία γήρως βίος ακηλίδωτος. Ευάρεστος Θεώ γενόμενος, ηγαπήθη, καί ζών μεταξύ αμαρτωλών, μετετέθη. Ηρπάγη, μή κακία αλλάξη σύνεσιν αυτού, ή δόλος απατήση ψυχήν αυτού, βασκανία γάρ φαυλότητος αμαυροί τά καλά, καί ρεμβασμός επιθυμίας μεταλλεύει νούν άκακον. Τελειωθείς εν ολίγω, επλήρωσε χρόνους μακρούς, αρεστή γάρ ήν Κυρίω η ψυχή αυτού, διά τούτο έσπευσεν εκ μέσου πονηρίας. Οι δέ λαοί ιδόντες καί μή νοήσαντες, μηδέ θέντες επί διανοία τό τοιούτον, ότι χάρις καί έλεος εν τοίς οσίοις αυτού, καί επισκοπή εν τοίς εκλεκτοίς αυτού.

Σοφίας Σολομώντος τό Ανάγνωσμα
(Εκλογή)

Στόμα δικαίου αποστάζει σοφίαν, χείλη δέ ανδρών επίστανται χάριτας, στόμα σοφών μελετά σοφίαν. Δικαιοσύνη δέ ρύεται αυτούς εκ θανάτου. Τελευτήσαντος ανδρός δικαίου, ουκ όλλυται ελπίς, υιός γάρ δίκαιος γεννάται εις ζωήν, καί εν αγαθοίς αυτού καρπόν δικαιοσύνης τρυγήσει. Φώς δικαίοις διά Παντός, καί παρά Κυρίου ευρήσουσι χάριν καί δόξαν. Γλώσσα σοφών καλά επίσταται, καί εν καρδία αυτών αναπαύσεται σοφία. Αγαπά Κύριος οσίας καρδίας, δεκτοί δέ αυτώ πάντες άμωμοι εν οδώ. Σοφία Κυρίου φωτιεί πρόσωπον συνετού, φθάνει γάρ τούς επιθυμούντας αυτήν, πρό τού γνωσθήναι, καί ευχερώς θεωρείται υπό τών αγαπώντων αυτήν, ο ορθρίσας

πρός αυτήν, ου κοπιάσει, καί ο αγρυπνήσας δι' αυτήν, ταχέως αμέριμνος έσται. Ότι τούς αξίους αυτής αυτή περιέρχεται ζητούσα, καί εν ταίς τρίβοις φαντάζεται αυτοίς ευμενώς. Σοφίας ου κατισχύσει ποτέ κακία. Διά ταύτα καί εραστής εγενόμην τού κάλλους αυτής, καί εφίλησα ταύτην, καί εξεζήτησα εκ νεότητός μου, καί εζήτησα νύμφην αγαγέσθαι εμαυτώ, ότι ο πάντων Δεσπότης ηγάπησεν αυτήν, μύστις γάρ εστι τής τού Θεού επιστήμης, καί αιρέτις τών έργων αυτού. Οι πόνοι αυτής εισιν αρεταί, σωφροσύνην δέ καί φρόνησιν αύτη διδάσκει, δικαιοσύνην καί ανδρείαν, ών χρησιμώτερον ουδέν εστιν εν βίω ανθρώποις. Ει δέ καί πολυπειρίαν ποθεί τις, οίδε τά αρχαία καί τά μέλλοντα εικάζειν, επίσταται στροφάς λόγων, καί λύσεις αινιγμάτων, σημεία καί τέρατα προγινώσκει, καί εκβάσεις καιρών καί χρόνων. Καί πάσι σύμβουλός εστιν αγαθή, ότι αθανασία εστίν εν αυτή, καί εύκλεια έν κοινωνία λόγων αυτής. Διά τούτο ενέτυχον τώ Κυρίω, καί εδεήθην αυτού, καί είπον εξ όλης μου τής καρδίας. Θεέ πατέρων, καί Κύριε τού ελέους, ο ποιήσας τά πάντα εν λόγω σου, καί τή σοφία σου κατασκευάσας τόν άνθρωπον, ίνα δεσπόζη τών υπό σού γενομένων κτισμάτων, καί διέπη τόν Κόσμον εν οσιότητι καί δικαιοσύνη, δός μοι τήν τών σών θρόνων πάρεδρον σοφίαν, καί μή με αποδοκιμάσης εκ παίδων σου, ότι εγώ δούλος σός, καί υιός τής παιδίσκης σου. Εξαπόστειλον αυτήν εξ αγίου κατοικητηρίου σου, καί από θρόνου δόξης σου, ίνα συμπαρούσά μοι διδάξη με, τί ευάρεστόν εστι παρά σοί, καί οδηγήση με εν γνώσει, καί φυλάξη με εν τή δόξη αυτής. Λογισμοί γάρ θνητών πάντες δειλοί, καί επισφαλείς αι επίνοιαι αυτών.

Εις τήν Λιτήν, Στιχηρά, ιδιομελα.

Ήχος α' Ανατολίου

Ενθέοις πράξεσι, τό σώμα σύν τή ψυχή, νομίμως προκαθηράμενος, τώ τής θεολογίας όρει προσέβης, τά θεία μυσταγωγούμενος, Θεοφάντορ Γρηγόριε, καί τόν άδυτον υπελθών γνόφον, τήν θεοτύπωτον εδέξω νομοθεσίαν, ομοούσιον, εγγεγραμμένην Τριάδα, ήν προσκυνούντες διά σού, ανυμνούντες λέγομεν, Η εν Τριάδι γιινωσκομένη Μονάς ελέησον ημάς.

Ο αυτός

Λόγω Θεού ανοίξας τό στόμα σου, τό τής σοφίας είλκυσας Πνεύμα, καί πλήρης χάριτος γενόμενος, τά θεία εβρόντηισας δόγματα, τρισμάκαρ Γρηγόριε, καί ταίς Αγγελικαίς συμμυηθείς δυνάμεσι, τό τρισσόν εκήρυξας φάος καί αμέριστον, διό ταίς σαίς ελλαμφθέντες θεηγορίαις, Τριάδα προσκυνούμεν, εν μιά θεότητι γνωριζομένην, εις σωτηρίαν τών ψυχών ημών.

Ο αυτός

Τή πυρίνη γλώσση σου θεορρήμον Γρηγόριε, τάς θεομάχους ενέπρησας, τών αιρετιζόντων γλωσσαλγίας, θείον ως αληθώς ανεδείχθης στόμα, εν Πνεύματι λαλήσαν, τά μεγαλεία τού Θεού, καί γράμμασι διατυπώσαν, τήν τής κρυφιομύστου Τριάδος, ομοδύναμον ουσίαν, καί τό τρισήλιον φώς, κατέλαμψας τόν Περίγειον κόσμον, καί πρεσβεύεις απαύστως, υπέρ τών ψυχών ημών.

Δόξα... Ήχος α'

Ενθέοις πράξεσι, τό σώμα σύν τή ψυχή, νομίμως προκαθηράμενος, τώ τής θεολογίας όρει προσέβης, τά θεία μυσταγωγούμενος, Θεοφάντορ Γρηγόριε, καί τόν άδυτον υπελθών γνόφον, τήν θεοτύπωτον εδέξω νομοθεσίαν, ομοούσιον, εγγεγραμμένην Τριάδα, ήν προσκυνούντες διά σού, ανυμνούντες λέγομεν, Η εν Τριάδι γιινωσκομένη Μονάς ελέησον ημάς.

Καί νύν... Θεοτοκίον

Αμαρτωλών τάς δεήσεις προσδεχομένη, καί θλιβομένων στεναγμόν μή παρορώσα, πρέσβευε τώ εξ αγνών λαγόνων σου, σωθήναι ημάς, Παναγία Παρθένε.

Εις τόν Στίχον, Στιχ. Προσόμοια.

Ήχος πλ. α'

Χαίροις ασκητικών αληθώς

Χαίροις θεολογίας πηγή, καί θεωρίας υψηλής ενδιαίτημα, τόν άνω βυθόν γάρ Πάτερ, μετ' ευσεβούς λογισμού, ερευνήσας πάσι διετράνωσας, τρισίν εν Ηλίοις, μίαν φωτός είναι σύγκρασιν, ενιζομένην, τώ ταυτώ τής θεότητος, τρισσουμένην δέ, ταίς σεπταίς υποστάσεσι, βίου μέν καθαρότητι, λαμπρότητι λόγων δέ, σέβειν διδάσκων Τριάδα, τήν παναγίαν θεόπνευστε, παρ' ής εκπεμφθήναι ταίς ψυχαίς ημών δυσώπει, τό μέγα έλεος.

Στίχ. Τό στόμα μου λαλήσει σοφίαν καί η μελέτη τής καρδίας μου σύνεσιν

Αίγλη θεολογίας τής σής, τήν τών αιρέσεων σκοτόμαιναν έλυσας, πηγήν γάρ απαυγασμάτων, θεοσεβεί λογισμώ, Θεολόγε φθάσας καί θεόφρονι, αυγαίς ταίς εκείθεν, εκδιδομέναις ωμίλησας, διαφανές γάρ, τόν σόν νούν ώσπερ έσοπτρον, εργασάμενος, τό τρισσόν τής θεότητος, Πάτερ φώς καί αμέριστον, εδέξω λαμπρότατα, καί τήν ακτίνα πλουσίως, τήν ενιαίαν εχώρησας, ήν νύν εκδυσώπει, ταίς ψυχαίς ημών δοθήναι, τό μέγα έλεος.

Στίχ. Στόμα δικαίου μελετήσει σοφίαν, καί η γλώσσα αυτού λαλήσει κρίσιν.

Χαίροις ο ποταμός τού Θεού, ο αεί πλήρης τών υδάτων τής χάριτος, ο πάσαν ευφραίνων πόλιν, τού Βασιλέως Χριστού, τοίς ενθέοις λόγοις καί διδάγμασι, τρυφής ο χειμάρρους, τό ανεξάντλητον πέλαγος, ο τών δογμάτων, ακριβής φύλαξ έννομος, ο θερμότατος, τής Τριάδος υπέρμαχος, όργανον τό τού Πνεύματος, ο νούς ο εγρήγορος, εύηχος γλώσσα τό βάθος, τό τών Γραφών ερμηνεύουσα, Χριστόν νύν δυσώπει, ταίς ψυχαίς ημών δοθήναι, τό μέγα έλεος.

Δόξα... Ήχος πλ. δ'

Τάς καρδίας τών πιστών, γεηπονών τή γλώσση σου Γρηγόριε, ευσεβείας εν αυταίς, αειθαλείς εβλάστησας καρπούς τώ Θεώ, τάς ακανθώδεις αιρέσεις πρόρριζον εκτεμών, καί κοσμών τούς λογισμούς καθαρότητι. Διό δεχόμενος ημών τά εγκώμια, η θεία λύρα, ο γρήγορος οφθαλμός, τών ποιμένων ο Ποιμήν, ο τών λύκων αγρευτής, πρέσβευε εκτενώς, Θεολόγε τώ Λόγω, υπέρ

τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον
Τί υμάς καλέσωμεν

Πάντων η αντίληψις Δέσποινα, κλονουμένω μοι Παρθένε, εκ τού σκότους τών δεινών, ταίς τού βίου τρικυμίαις, ποντουμένω τε αεί, ρανίδα, τού ελέους σου κατάπεμψον, καί χείρα, βοηθείας σου παράσχου μοι, καί τής μερίδος αξίωσον, τών εκλεκτών, καί δικαίων με, ως άβυσσον, τετοκυία τού ελέους Αγνή.

Απολυτίκιον Ήχος α'

Ο ποιμενικός αυλός τής θεολογίας σου, τάς τών ρητόρων ενίκησε σάλπιγγας, ως γάρ τά βάθη τού Πνεύματος εκζητήσαντι, καί τά κάλλη τού φθέγματος προσετέθη σοι. Αλλά πρέσβευε Χριστώ τώ Θεώ, Πάτερ Γρηγόριε, σωθήναι τάς ψυχάς ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος α'
Θείας Πίστεως

Θείαν έλλαμψιν κεκληρωμένος, βίον άϋλον εξησκημένος, ομωνύμω ιερατεία διέπρεψας, υπερφυώς γάρ τρανώσας τά δόγματα, ορθοδοξία τήν πίστιν εστήριξας, Πάτερ Όσιε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Δόξα... τό αυτό

Καί νύν... Θεοτοκίον

Θείας φύσεως ουκ εχωρίσθη, σάρξ γενόμενος εν τή γαστρί σου, αλλά Θεός ενανθρωπήσας μεμένηκεν, ο μετά τόκον Μητέρα Παρθένον σε, ως πρό τού τόκου φυλάξας πανάμωμον, μόνος Κύριος. Αυτόν εκτενώς ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος πλ. α'
Τόν συνάναρχον Λόγον

Γρηγορήσας τώ λόγω τής αληθείας Χριστού, τής Τριάδος τό κράτος εθεολόγησας, τήν Αρείου δυσσεβή καί παράνομον, κακοδοξίαν καθελών, ως ευσεβείας αριστεύς, καί πρόμαχος Ιεράρχα, εφώτισας τούς εν σκότει, τής αγνωσίας καθεύδοντας.

Δόξα... τό αυτό

Καί νύν... Θεοτοκίον

Τής ψυχής μου τά πάθη τά  πολυώδυνα, καί σαρκός μου τάς νόσους εν τάχει ίασαι, τάς τού νοός μου εκτροπάς, στήσον Πανάμωμε, καί εν γαλήνη λογισμών, ευχάς προσφέρειν καθαράς, τώ Βασιλεί τών απάντων, αξίωσον Θεοτόκε, καί εξαιτείσθαι πταισμάτων άφεσιν.

Μετά τόν Πολυέλεον

Κάθισμα  Ήχος πλ. δ'
Τήν Σοφίαν καί Λογον

Στηλιτεύων τήν πλάνην τών δυσσεβών, τάς Γραφάς διανοίγων θεοπρεπώς, εξέπεμψας δογματα, υπέρ μέλι ηδύνοντα, τών πιστών τάς καρδίας, σαφώς αξιάγαστε, τή Τριάδι λατρεύειν, εν Μονάδι θεότητος, όθεν τού Σωτήρος, τήν μορφήν εν εικόνι προέστησας ασπάζεσθαι, σχετικώς τό ανθρώπινον. Θεολόγε Γρηγοριε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... τό αυτό

Καί νύν... Θεοτοκίον

Δεύτε πάντα τά Έθνη θεοπρεπώς, τήν Μητέρα τού πάντων Δημιουργού, υμνήσωμεν λέγοντες. Χαίρε θρόνε πυρίμορφε, τού τών όλων δεσπόζοντος, Ιησού τού Παντάνακτος, χαίρε μόνη Κυρία, τού κόαμου πανάχραντε, χαίρε τό δοχείον, τής αγίας Τριάδος, Πατρός Υιού τε καί Πνεύματος, τό λαμπρόν καί ακήπατον, Μαριάμ Αειπάρθενε, Θεότοκε πανύμνητε, χαίρε πάνσεμνε Νύμφη ηλιοστόλιστε, χαίρε πάντων χαρά τών υμνούντων σε.

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί  Αντίφωνον Α'

Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.
Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον  Ήχος δ'

Τό ατόμα μου λαλήσει σοφίαν, καί η μελέτη τής καρδίας μου σύνεσιν.
Στίχος. Ακούσατε ταύτα, πάντα τά Έθνη, ενωτίσασθε πάντες οι κατοικούντες τήν οικουμένη.

Ευαγγέλιον,  ο Ν'

Δόξα... Ταίς τού Ιεράρχου...
Καί νύν... Ταίς τής Θεοτόκου...

Είτα τό ιδιόμελον
Ήχος πλ. β'

Όσιε τρισμάκαρ, αγιώτατε Πάτερ, ο Ποιμήν ο καλός, καί τού Αρχιποίμενος Χριστού Μαθητής, ο τιθείς τήν ψυχήν υπέρ τών προβάτων, αυτός καί νύν Πανεύφημε, Θεολόγε Γρηγόριε, αίτησαι πρεσβείαις σου, δωρηθήναι ημίν τό μέγα έλεος.

Ο Κανών τής Θεοτόκου καί τού Αγίου, ού η ακροστιχίς.

Τόν θεορήμονα Γρηγόριον τόν αοίδιμον άδω.

Ποίημα Θεοφάνους.

Ωδή α'  Ήχος α'

«Χριστός γεννάται, δοξάσατε, Χριστός εξ ουρανών, απαντήσατε, Χριστός επί γής, υψώθητε, Άσατε τώ Κυρίω πάσα η γή, καί εν ευφροσύνη, ανυμνήσατε λαοί, ότι δεδόξασται».

Τόν θεολόγον τόν δευτερον, τόν στύλον τού φωτός τόν ουράνιον, σοφίας Θεού τήν σάλπιγγα, δεύτε τών τούτου λόγων οι ερασταί, πόθω συνελθόντες, ευφημήσωμεν αυτόν ώς θεοκήρυκα.

Ο Λόγος Πάτερ ο άναρχος, ο πάντων ως Θεός προμηθούμενος, προνοητική δυνάμει σε, μάκαρ τή Εκκλησία, οία Μητρί, λόγω καί σοφία, χαριτώσας σου τόν νούν, δώρον χαρίζεται.

Νούν ηγεμόνα ποιούμενος, παθών τών τής σαρκός κετεκράτησας, καί χωρητικός γενόμενος, θείων απαυγασμάτων, ένα Θεόν, έν τρισί προσώποις, κατεφώτισας ημάς, σέβειν Γρηγόριε.

Θεοτοκίον

Θεού Σοφία πανάμωμε, τόν οίκον εαυτής ωκοδόμησεν, εν τή σή γαστρί σκηνώσασα, τή κεχαριτωμένη, καί υπέρ νούν, τούτω ενωθείσα, καθ' υπόστασιν Αγνή, ώφθη ώς άνθρωπος.

Έτερος Κανών, ποιηθείς παρά τού Αγίου Κοσμά.

Ωδή α'  Ήχος ο αυτός
Ο Ειρμός

«Επαινον ο θεόπτης, Μωϋσής τού Ισραήλ προανακρούεται, άρχει Μαριάμ δέ σοφών γυναικών. Ωδήν επινίκιον, τώ λυτρωτήθεώ πάντες άσωμεν».

Ρύσιον αρχεγόνου, ημετέρων τε παθών αίμα θεόρρυτον, ίστασο

προσπένδων, καί νύν τών Πιστών, Γρηγόριε πάνσοφε, Θεόν διδούς ημίν ευδιάλλακτον.

Πλάκας θεοχαράκτους, υπό γνόφον Μωϋσής είλεν εισδύνας ποτέ, σύ δέ ταίς φρεσίν ενστησάμενος, θεοδόχον τράπεζαν, ολοσχερώς Θεού αντεβόλησας.

Θεοτοκίον

Θέλων δι ευσπλαγχνίαν, εκ θανάτου καί φθοράς, ανακαλέσασθαι, φύσιν τών βροτών ο Υπέρθεος, Παρθένε πανάμωμε, τήν καθαράν νηδύν σου Κατώκησεν.

Καταβασία

«Χέρσον αβυσσοτόκον πέδον ήλιος, επεπόλευσέ ποτε, ωσεί τείχος γάρ επάγη, εκατέρωθεν ύδωρ, λαώ πεζοποντοπορούντι, καί θεαρέστως μέλποντι. Άσωμεν τώ Κυρίω, ενδόξως γάρ δεδόξασται».

Ωδή γ'

«Τώ πρό τών αιώνων, εκ Πατρός γεννηθέντι αρρεύστως Υιώ, καί επ' εσχάτων εκ Παρθένου, σαρκωθέντι ασπόρως, Χριστώ τώ Θεώ βοήσωμεν, Ο ανυψώσας τό κέρας ημών, Άγιος εί Κύριε».

Έχων τής σοφίας, τήν πηγήν αενάως βλυστάνουσαν, τών θεοσόφων διδαγμάτων, τήν Χριστού Εκκλησίαν, Παμμάκαρ επλήρωσας, τώ επί πάντων βοώσαν Θεώ, Άγιος εί Κύριε.

Ο τής ευσεβείας, μεγαλόφωνος κήρυξ καί εύσημος, θεολογίας θεολόγος, θησαυρόν θεωρίας, αφθόνως προβάλλεται, καί διανέμει πλουσίως ημίν, πλούτον αναφαίρετον.

Ρήτωρ ο πυρίπνους, η θεόφθογγος λύρα τής χάριτος, τή θεολόγω επιπνοία, καί φθογγή θεοπνεύστω, ηχήσας λαμπρότατα, τρισυποστάτου ουσίας ημίν, μέλος εμελώδησεν.

Θεοτοκίον

Η Θεογεννήτωρ, η Βασίλισσα πάσης τής κτίσεως, τόν Βασιλέα τών απάντων, δυσωπούσα μή παύση, Χριστόν, όν ημίν εγέννησας, εις σωτηρίαν τών επί γής, σώσαι τούς υμνούντάς σε.

Έτερος Κανών

Ο Ειρμός

«Η τόν πρό συλλήψεως αγνόν Σαμουήλ, αδιστάκτως τώ Θεώ καθυποσχομένη, ιερομήτωρ Άννα νύν γηθομένη, άδει σύν ημίν. Εστερεώθη, εν Κυρίω η καρδία μου».

Ο δι' ολισθήσεως προδήλου γαστρός, τή Τεκούση προφανείς Όσιε Πάτερ, επωνυμίαν φέρων, τήν επαξίαν όρχαμε σοφών, ενδιαθέτως, Χαίροις Πάτερ σοι κραυγάζομεν.

Ο πρό τού ελέσθαι πονηρά συζυγή, καί συνέριθον λαβών φάσμασι θείοις, θεοειδή αγνείαν, καί σωφροσύνην πρόμαχε πιστών, αγαλλιώντες, χαίροις Πάτερ σοι κραυγάζομεν.

Θεοτοκίον

Εύας τής προμήτορος ανώρθωσας, τό ολίσθημα τό πρίν υποδεξαμένη, τόν τούς κατερραγμένους επανορθούντα, Λόγον τού Πατρός, τή αηττήτω, δυναστεία Μητροπάρθενε.

Καταβασία

«Τό στερέωμα, τών επί σοί πεποιθότων, στερέωσον Κύριε τήν Εκκλησίαν, ήν εκτήσω, τώ τιμίω σου αίματι».

Κάθισμα Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Εξανοίξας τό στόμα λόγω Θεού, εξηρεύξω σοφίαν Κήρυξ φωτός, καί φρόνημα ένθεον, τή οικουμένη κατέσπειρας, τών Πατέρων όντως, κυρώσας τά δόγματα, κατά Παύλον ώφθης, τής Πίστεως πρόμαχος, όθεν καί Αγγέλων, συμπολίτης υπάρχεις, καί τούτων συνόμιλος, ανεδείχθης μακάριε, Θεολόγε Γρηγόριε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Καί νύν... Θεοτοκίον

Όταν έλθη τού κρίναι πάσαν τήν γήν, ο τών όλων Δεσπότης καί Ποιητής, προβάτοις με σύνταξον δεξιοίς τόν κατάκριτον, καί εξωτέρου σκότους, καί πάσης κολάσεως, τόν σόν αχρείον δούλον, εξάρπασον Άχραντε, ίνα ευχαρίστως, μεγαλύνω τόν πλούτον, τής σής αγαθότητος, Θεοτόκε πανύμνητε, καί βοώ σοι γηθόμενος. Πρέσβευε τώ σώ Υιώ καί Θεώ τών πταισμάτων άφεσιν δοθήναί μοι, σέ γάρ έχω ελπίδα, ο ανάξιος δούλός σου.

Ωδή δ'

«Ράβδος εκ τής ρίζης Ιεσσαί, καί άνθος εξ αυτής Χριστέ, εκ τής Παρθένου ανεβλάστησας, εξ όρους ο αινετός, κατασκίου δασέος, ήλθες σαρκωθείς εξ απειράνδρου, ο άυλος καί Θεός, Δόξα τή δυνάμει σου, Κύριε».

Μύστης τής Τριάδος γεγονώς, τή ταύτης κατελάμπρυνας, τήν οικουμένην επιγνώσει σοφέ, δογμάτων μαρμαρυγάς, εξαστράπτων Όσιε, τής σής ακριβούς διδασκαλίας, ήν μελετώντες αεί, πάντες ευσεβώς ανυμνούμέν σε.

Όρθρος ευσεβείας φαεινός, ακτίνα τήν τρισήλιον, εισδεδεγμένος εξανέτειλας, καί νύκτα τήν ζοφεράν, δυσσεβών αιρέσεων, αίγλη τών σοφών σου διδαγμάτων, εδίωξας καί ψυχάς, Πάτερ τών πιστών κατεφαίδρυνας.

Νούν τόν υπερούσιον πηγήν, τού Λόγου καί τού Πνεύματος, εξ αϊδίου θεολόγω βροντή, Παμμάκαρ θεολογών, ευσεβώς εδίδαξας, τούτο παρ' αυτής μεμυημένος, τής όντως θεαρχικής, καί τής αρχιφώτου θεότητος.

Ανήλθες εις όρος αρετών, τών κάτω μεθιστάμενος, καί νεκρών έργων αφιστάμενος, καί πλάκας χειρί Θεού, γεγραμμένας δόγματα, τής σής ακραιφνούς θεολογίας, εδέξω μυσταγωγέ, τών υπερκοσμίων Γρηγόριε.

Θεοτοκίον

Γνώμη πρίν πεσόντα τόν Αδάμ, ανέστησας Πανάμωμε, τήν ενυπόστατον τεκούσα ζωήν, εκ μήτρας παρθενικής, αγνισθείσης Πνεύματι, καί πρός απαθή καί θειοτέραν ακήρατόν τε φυγήν, τούτον επανήγαγες Δέσποινα.

Έτερος Κανών

Ο Ειρμός

«Σύν τώ θαυμασίω στάς, Αββακούμ, επί τής θείας φυλακής σου Γρηγόριε, καί τόν επ ώμων Χερουβίμ κατανοήσας, τής παγκοσμίου γέγονας μυητής σωτηρίας, αεί κραυγάζων, Κύριε, δόξα τή δυνάμει σου».

Τάς πλησιφαείς καί πέλας Θεού ταξιαρχίας εκμιμούμενος Πάνσοφε, τά υπέρ ταύτας ταίς φρεσί περιπολεύων, πρός τόν βυθόν κατείληφας, τήν υπέρτατον στάσιν, εντεύθεν πλούτον φέρων, ανθρώποις αναφαίρετον.

Ο τόν ου ληπτόν εισδύνας γνόφον, καί ως εκ πέτρας επαθρήσας Οπίσθια, συγκεκραμένην υλική άϋλον φύσιν, καί ασυγχύτου μίξεως, χρηματίσας σημάντωρ, Χριστού θεράπον, τούτον τοίς δούλοις φέροις ίλεων.

Θεοτοκίον

Όρος ανεδείχθης σύ νοητόν, όθεν ετμήθη απορρήτως ο έντιμος Λίθος, λεπτύνων ζοφεράς πλάνης εικόνα, καί φωτισμώ τής χάριτος, καταυγάζων τούς πίστει, αναβοώντας, Κύριε, δόξα τή δυνάμει σου.

Καταβασία

«Εκάλυψεν ουρανούς, η αρετή σου Χριστέ, τής κιβωτού γάρ προελθών,τού αγιάσματός σου, τής αφθόρου Μητρός, εν τώ ναώ τής δόξης σου, ώφθης ώς βρέφος, αγκαλοφορούμενος, καί επληρώθη τά πάντα τής σής αι νέσεως».

Ωδή ε'

«Θεός ών ειρήνης, Πατήρ οικτιρμών, τής μεγάλης Βουλής σου τόν Άγγελον, ειρήνην παρεχόμενον, απέστειλας ημίν, όθεν θεογνωσίας, πρός φώς οδηγηθέντες, εκ νυκτός ορθρίζοντες, δοξολογούμέν σε, Φιλάνθρωπε».

Ρημάτων ο φθόγγος, ο θείος τών σών, καί δογμάπων, η χάρις η ένθεος, ως τάχος αστραπής, πάσαν επέδραμε τήν γήν, Τριάδα εν Μονάδι, Μονάδα εν Τριάδι, προσκυνείν Θεολόγε, θεολογών καί εκδιδάσκων ημάς.

Η ράσθης τής όντως, σοφίας Θεού, καί τών λόγων τό κάλλος ηγάπησας, καί πάντων προτετίμηκας, τερπνών τών επί γής, διό σε τώ στεφάνω, Παμμάκαρ τών χαρίτων, ευπρεπώς εκόσμησε, καί θεολόγον απειργάσατο.

Γνωστώς σύ τόν Όντα, ως πάλαι Μωσής, Καθοράν θεορρήμον επόθησας, καί

τούτου τά οπίσθια, τή πέτρα σκεπασθείς, ιδείν κατηξιώθης, καί πέλαγος τής θείας, εμυήθης ουσίας, ακαταλήπτως φανερούμενον.

Θεοτοκίον

Ο πάλαι τήν Εύαν, μητέρα τήν σήν, διαπλάσας εκ σού σεισωμάτωται, εκείνης τό κατάκριμα, καί την Παρακοήν, προδήλως θεραπεύων, καί λύων ως οικτίρμον, καί Δεσπότης τών όλων, Θεογεννήτορ Μητροπάρθενε.

Έτερος Κανών

Ο Ειρμός

«Ανθρακα πυρός τών Ησαϊου, Σεραφίμ θίγει χειλέων ποτέ, τή λαβίδι αφελόμενον καί περιθέν, ο δέ, καθηράμενος, Δικαιοσύνην μάθετε, πάσαν εκήρυττε».

Ολωτώ πυρί τής θεοπτίας, Παμμακάριστε Γρηγόριε, προσερπύσας καθαρότητι νού καί ψυχής, απλήστως αυτοχερσί, τό τριλαμπές εξήντλησας φώς ισοθέατον.

Ταίς μαρμαρυγαίς περιπαρείς, τού Τρισηλίου αμαρύγματος, εκ τής αίγλης πυρωθείς δέ, καί θείαις βολαίς τόν νούν ελλαμπόμενος, αντανακλώσας ακτίνας, πάσιν εξέλαμψας.

Θεοτοκίον

Φώς τό εκ φωτός τόν τού Πατρός, μονογενή Λόγον τόν άναρχον, δεξαμένη Μητροπάρθενε, πύλη φωτός, σαφώς εχρημάτισας, δικαιοσύνης Ήλιον, πάσιν αστράψασα.

Καταβασία

«Ως είδεν Ησαίας συμβολικώς, εν θρόνω επηρμένω Θεόν, υπ' Αγγέλων δόξης δορυφορούμενον, ώ τάλας! εβόα, εγώ, πρό γάρ είδον σωματούμενον Θεόν, φωτός ανεσπέρου, καί ειρήνης δεσπόζοντα».

Ωδή ς'

«Σπλάγχνων Ιωνάν, έμβρυον απήμεσεν, ενάλιος θήρ, οίον εδέξατο, τή Παρθένω δέ, ενοικήσας ο Λόγος καί σάρκα λαβών, διελήλυθε φυλάξας αδιάφθορον, ής γάρ, ουχ υπέστη ρεύσεως, τήν τεκούσαν, κατέσχεν απήμαντον».

Ρείθροις τών σοφών, δογμάτων σου Πάνσοφε, Αρείου τόν νούν τόν θολερώτατον κατεξήρανας, εν γαλήνη φυλάττων τήν ποίμνην σου, απερίκλυστον, καθάπερ λογικήν κιβωτόν, ήπερ ευσεβείας σπέρματα, εναπέθου τό κάλλος τών λόγων σου.

Ίνα τής σεπτής, Τριάδος τήν έλλαμψιν, πλουτήσης τόν νούν, Πάτερ εστίλβωσας ακηλίδωτον, ως καινόν καί νεόσμηκτον έσοπτρον, δι' ασκήσεως αρίστης εργασάμενος, ένθεν καί θεοειδέστατος, ανεδείχθης ταίς θείαις εμφάσεσιν.

Όλος συγκραθείς, τή αίγλη τού Πνεύματος, εγένου φωστήρ, Πάτερ ολόφωτος, τή λαμπρότητι, τών σών λόγων φωτίζων τά πέρατα, καί τή τής θεολογίας καθαρότητι, τέρπων τήν τερπνήν ομήγυριν, τών πιστών Θεολόγε Γρηγόριε.

Νέος Σαμουήλ, θεόσδοτος πέφηνας, δοθείς τώ Θεώ καί πρό συλλήψεως, Παμμακάριστε, σωφροσύνη αγνεία κοσμούμενος, καί τή τής ιερωσύνης παναγία στολή, Πάτερ, καθωραϊζόμενος, μεσιτεύων τώ Πλάστη καί πλάσματι.

Θεοτοκίον

Τόμος καθαρός τόν Λόγον δεχόμενος, γραφόμενον νύν, τόν απερίγραπτον, τή θεότητι, εγνωρίσθης Προφήταις καί πρότερον, Μητροπάρθενε Μαρία Θεονύμφευτε, σύ γάρ, τόν απεριόριστον, εν γαστρί σου αφράστως εχώρησας.

## Έτερος Κανών

Ο Ειρμός

«Ο διαπόντιον, υπομείνας συμφοράν, φυγή κλύδωνος, κλήρου φορά, καί λαγόσι συσχεθείς, αλίου θηρός, ου διεφθάρη, αλλ' εβόα Ιωνάς, Πρός σέ η ζωή μου αναβήτω Χριστέ».

Ο υποβρύχιος, ταίς φρεσίν ου γεγονώς, κευθμώνας, θείου ερευνήσας βυθού, εκ δέ τούτων, μαργαρίτην αρυσάμενος, σύ τώ Δεσπότη, καί σιγήν ώς περ λόγον, Γρηγόριε τέθεικας πανάριστε.

Ο δι' εντεύξεως, καθαράς αγριουμένην κατευνάσας, άλα καί τών ξένων αποπτύσας λόγων άλμην, σύ τώ Δεσπότη ως ουράνιος σταγών, λαόν πιστόν ήρμοσας Γρηγόριε.

Θεοτοκίον

Απερινόητον, ανθρωπίνοις λογισμοίς, τό μυστήριον Μήτηρ Θεού, τής αρρήτου καί φρικτής λοχείας τής σής, σύ γάρ Παρθένε τόν τών όλων Ποιητήν, τεκούσα Παρθένος διετέλεσας.

Καταβασία

«Εβόησέ σοι, ιδών ο Πρέσβυς, τοίς οφθαλμοίς τό σωτήριον, ό λαοίς επέστη. Εκ Θεού Χριστέ σύ Θεός μου».

Κοντάκιον Ήχος γ'

Η Παρθένος σήμερον

Θεολόγω γλώττη σου, τάς συμπλοκάς τών ρητόρων, διαλύσας ένδοξε, ορθοδοξίας χιτώνα, άνωθεν εξυφανθέντα τήν Εκκλησίαν, εστόλισας, όν καί φορούσα, ισύν ημίν κράζει, τοίς σοίς τέκνοις. Χαίροις Πάτερ, θεολογίας ο νούς ο ακρότατος.

Ο Οίκος

Εκ τής θεολογικής, καί υψηλής σοφίας σου έμπλησόν μου τόν νούν, τόν πτωχόν καί ταλαίπωρον, όπως ανυμνήσω τόν βίον σου Πάτερ, ου γάρ

ισχύσω λόγον προσάξαι σοι, ειμή σύ παράσχης μοι λόγον καί γνώσιν, ισχύν καί σύνεσιν, όπως εκ τών σών τά σά προσφέρω σοι, καί εκ τού πλούτου τών αρετών σου, εκείθεν έχω αφορμάς, καί στεφανώσω τήν σεπτήν καί αγίαν κορυφήν σου, σύν τοίς πιστοίς ανακράζων. Χαίροις Πάτερ, θεολογίας ο νούς ο ακρότατος.

Συναξάριον

Τή ΚΕ' τού αυτού μηνός, Μνήμη τού εν αγίοις Πατρός ημών Γρηγορίου Αρχιεπισκόπου Κωνσταντινουπόλεως τού Θεολόγου.

Στίχοι

Θεού γινώσκειν ορθοδόξως ουσίαν,
Χριστιανοίς λεγάτον εκ Γρηγορίου.
Εικάδι Γρηγόριος θεορήμων εκθανεπέμπτη.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Πουπλίου.

Στίχοι

Ζωήν ένυλον Πούπλιος καπαστρέφει
Καί τήν άϋλον καί νοητήν λαμβάνει.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Μάρη.

Στίχοι

Πάσης αποστάς αγάπης κόσμου Μάρης
Ει θείον ύψος ήκε θείας αγάπης.

Τή αυτή ημέρα η αγία Μεδούλη, σύν τή συνοδία αυτής, πυρί τελειούται.

Στίχοι

Σεπτή Μεδούλη, τού Θεού Λόγου δούλη,
Δούλοις Θεού σύναθλος εις πύρ ωράθη.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Δημητρίου τού σκευοφύλακος.

Τή αυτή ημέρα, ο Όσιος Απολλώς εν ειρήνη τελειούται.

Στίχοι

Χριστόν βιώσας μέχρι καί τέλους βίον,
Θραύει πονηρού πάν Απολλώς τό θράσος.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

«Οι Παίδες ευσεβεία συντραφέντες, δυσσεβούς προστάγματος καταφρονήσαντες, πυρός απειλήν ουκ επτοήθησαν, αλλ' εν μέσω τής φλογός, εστώτες έψαλλον, Ο τών Πατέρων Θεός ευλογητός εί».

Όλος επιθυμία γλυκασμός τε, προφανώς ο λόγος σου, όλος Γρηγόριε μεστός,

ευφροσύνης καί φαιδρότητος, θυμηδίας εμπιπλών, τούς πίστει ψάλλοντας, ο τών Πατέρων Θεός ευλογητός εί.

Νοϊ πεφωτισμένω τήν πηγήν, τών φωτισμάτων έφθασας, καί ταίς εκείθεν αστραπαίς, Πυρπολούμενος κατέφλεξας, Ευνομίου γλωσσαλγίας τή Τριάδι βοών, ο τών Πατέρων Θεός ευλογητός εί.

Ανοίξας καταρράκτας τής αβύσσου, τών σοφών δογμάτων σου, αναστομώσας τε πηγάς τής σοφίας σου, κατέκλυσας τούς τής πλάνης αρχηγούς, καταστραπτόμενος τώ ενιαίω φωτί καί τρισηλίω.

Θεοτοκίον

Όμβρος ώς επί πόκον Καταβάς, εν σή γαστρί σεσάρκωται, ο τής ειρήνης ποταμός, η πηγή τής αγαθότητος, ο σταγόνας υετού εξαριθμούμενος, ο τών Πατέρων Θεός Ευλογημένος.

Έτερος Κανών

Ο Ειρμός

«Υπήλθον ως νυμφώνα, τής καμίνου τήν φλόγα τήν άστεκτον, οι δι' ευσέβειαν ποτέ, Παίδες Άγιοι δειχθέντες σαφώς, καί συμφώνως ανυμνούντες, ύμνον έμελπον. Ο τών Πατέρων Θεός ευλογητός εί».

Αδίκων Ηγεμόνων, πρό βημάτων εστηκως Γρηγόριε, τούς αιρετίζοντας πυρός, χαλεπώτερον φυσώντας φορά, ευσεβεία κατεπίμπρας τή Τριάδι βοών. Ο τών Πατέρων Θεός ευλογητός εί.

Τριάδος επιπνοία, τήν δογμάτων ευσεβών Γρηγόριε, ανεπιθόλωτον πηγήν, εκ χειλέων αναβλύσας τή γή, ανθοφόρον τήν τραχείαν άρδων έδειξας. Ο τών Πατέρων Θεός ευλογητός εί.

Θεοτοκίον

Νεκρούται ο Προπάτωρ, ως ακαίρως τού φυτού γευσάμενος, σύ δέ τήν άληκτον ζωήν, ώ Παρθένε εκβλαστήσασα, τόν Παράδεισον οικείν τούτον ανέστησας, Θεογεννήτορ Αγνή ευλογημένη.

Καταβασία

«Σέ τόν εν πυρί δροσίσαντα, Παίδας θεολογήσαντας, καί Παρθένω, ακηράτω, ενοικήσαντα, Θεόν Λόγον υμνούμεν, ευσεβώς μελωδούντες. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών».

Ωδή η'

«Θαύματος υπερφυούς η δροσοβόλος, εξεικόνισε κάμινος τύπον, ου γάρ ούς εδέξατο φλέγει Νέους, ώς ουδέ πύρ τής θεότητος, Παρθένου ήν υπέδυ νηδύν, διό ανυμνούντες αναμέλψωμεν, Ευλογείτω η Κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας».

Ίσον τώ Πατρί τόν Λόγον καί τό Πνεύμα, αγαθότητι καί βασιλεία, ευσεβώς

εδίδαξας, ουσιώδη καί φυσικήν, τήν ταυτότητα γινώσκων καί τήν ένωσιν, διό ανεβόας αγαλλόμενος, Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Δόξης τής αγγελικής κατηξιώθης, ως γάρ Άγγελος έλαμψας κόσμω, τή Τριάδι Πάνσοφε, καθαγνίσας επιμελώς, τήν ψυχήν τε καί τό σώμα καί διάνοιαν, ή νύν αναμέλπεις ευφραινόμενος. Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Ίλεων ταίς προσευχαίς σου τόν Δεσπότην, εργασάμενος αίτησαι Πάτερ, τών πταισμάτων άφεσιν, τοίς εν πίστει τήν ιεράν, καί πανέορτόν σου μνήμην εορτάζουσιν, εν ή γεγηθότες αναμέλπομεν. Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Μύστης τής τρισυποστάτου Μοναρχίας, καί θεότητος τής εν Τριάδι, αρετών ασκήσεσι, χρηματίσας Τριαδικός, Θεολόγος ανεδείχθης Παμμακάριστε, καί νύν αναμέλπεις αγαλλόμενος. Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Ο ταίς αρχαγγελικαίς υμνολογίαις, δοξαζόμενος πλούσιος Λόγος, δι' η, μάς επτώχευσε, σέ Μητέρα τήν καλλονήν, Ιακώβ, ευλογημένην εκλεξάμενος, διό ανυμνούντες αναμέλπομεν. Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω, εις πάντας τούς αιώνας.

Έτερος Κανών

Ο Ειρμός

«Οι μή τή τροφή χρανθέντες Παίδες, βασιλικής τραπέζης, εις πύρ χαίροντες έβησαν ποτέ, καί εν φλογί δροσίζομενοι, προθύμως έψαλλον. Ευλογείτε τά έργα Κυρίου τόν Κύριον».

Τής Βαβυλωνίας Πάτερ φλογός, υπεραρθείς καί μάλλον, αυτή τή ευσεβεία, πυρσωθείς Τριαδικός, μυστιπόλος εκφανθείς, καί κήρυξ βοάς. Ευλογείτε τά έργα Κυρίου τόν Κύριον.

Τής πειραστικής ποικίλως Πάτερ, καί σιδηράς καμίνου, τό πύρ κατασβεννύων ευμαρώς, τών πειρασμων υπεκδύς, πρός ουρανόν ανέπτης βοών. Ευλογείτε τά έργα Κυρίου τόν Κύριον.

Θεοτοκίον

Η χρυσοφαής λυχνία τήν σήν, συμβολικώς εδήλου, θείαν γέννησιν, Άχραντε σεμνή, σύ γάρ τό Φώς τό απρόσιτον, τώ κόσμω έλαμψας, ώ βοώμεν. Ευλογείτε τά έργα Κυρίου τόν Κύριον.

Καταβασία

«Αστέκτω πυρί ενωθέντες, οι θεοσεβείας προεστώτες Νεανίαι, τή φλογί δέ μή λωβηθέντες, θείον ύμνον έμελπον. Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί

υπερυψούτε, εις πάντας τούς αιώνας».

## Ωδή θ'

«Τύπον τής αγνής λοχείας σου, πυρπολουμένη βάτος, έδειξεν άφλεκτος, καί νύν καθ' ημών, τών πειρασμών αγριαίνουσαν, κατασβέσαι αιτούμεν τήν κάμινον, ίνα σε Θεοτόκε, ακαταπαύστως μεγαλύνωμεν».

Νέμει σοι ζωήν ακήρατον, ή αρχική Τριάς, ήν εθεολόγησας, δεξαμένη σου, τά δι' αυτήν αγωνίσματα, καί τά δόγματα, καί τά παλαίσματα, ή νύν Πάτερ παρέστης, υπέρ τού κόσμου πρέσβυς άριστος.

Αίγλη τριφεγγούς λαμπρότητος, τής εκ μιάς προερχομένης θεότητος, ελλαμπόμενος, ιερομύστα Γρηγόριε, τούς υμνούντάς σε πίστει περίσωζε, καί τή τών σών δογμάτων, θεολογία φωταγώγησον.

Δρόμον τόν καλόν τετέλεκας, τής αρχικής Τριάδος υπεραγωνισάμενος, καί θεώσεως, ως θεολόγος τετύχηκας, καί τού θείου σου πόθου πληρώσεως, μετείληφας αξίως, Εκκλησιών η σεμνοπρέπεια.

### Θεοτοκίον

Ω τού φοβερού σου θαύματος! σύ γάρ Παρθένε Θεοτόκε μυστήριον, τό πρό γενεών, καί πρό αιώνων απόκ ρυφον, εν Θεώ τώ τά σύμπαντα κτίσαντι, τεκούσα Θεόν Λόγον, ανερμηνεύτως εφανέρωσας.

## Έτερος Κανών

### Ο Ειρμός

«Ο τόν άνω βυθόν τής θείας ακαταληψίας, ευσεβώς ανανηξάμενος, καί τόν νούν ώς εκ πέτρας απεριλήπτου, τής θεαρχικής απαιωρήσας Τριάδος, παμμακάριστε Πάτερ, σέ μεγαλύνομεν».

Ο τό ευτελές ένδυμα, τού νομικού περιρρήξας γράμματος, καί τό έν αυτώ θείον κάλλος, καί μυστικόν τών θείων τού Πνεύματος, ημίν αναπτύξας Γραφών, παμμακάριστε Πάτερ, σέ μεγαλύνομεν.

Ο ταίς άνω χορείαις, συναρίθμιος υπάρχων, Όσιε Πάτερ (καί γάρ σύν αυταίς, εις αιώνα συναγελάζη ), υπέρ τής σής Ποίμνης, τάς εντεύξεις ποιού πρός Θεόν. Παμμακάριστε Πάτερ, σέ μεγαλύνομεν.

Ο τά θεία μαθών, εκ θείας καί υπέρ νούν επιπνοίας, Όσιε Πάτερ, καί πρός τήν αυτών, μυστικώς αποτελεσθείς αδίδακτον ένωσιν, ασχέτω σου έρωτι, παμμακάριστε Πάτερ, σέ μεγαλύνομεν.

### Θεοτοκίον

Σύ χωρίον Αγνή, τής θείας απεριληψίας, υπέρ φύσιν εχρημάτισας, ως Θεώ τήν σάρκα δανεισαμένη, τώ σού τήν παρθενικήν, μή διαρρήξαντι μήτραν, εν τώ τίκτειν ασπόρως, σέ μεγαλύνομεν.

Καταβασία

«Εν νόμω, σκιά καί γράμματι, τύπον κατίδωμεν οι πιστοί, πάν άρσεν τό τήν μήτραν διανοίγον, άγιον Θεώ, διό πρωτότοκον Λόγον, Πατρός ανάρχου Υιόν, πρωτοτοκούμενον Μητρί, απειράνδρω, μεγαλύνομεν».

Εξαποστειλάριον

Τοίς Μαθηταίς

Μονάδα τρισυπόστατον, καί Τριάδα τελείαν, εν μιά τή θεότητι, πάνσοφε Θεολόγε, εδίδαξας προσκυνείσθαι, φώς είπων τόν Πατέρα, καί τόν Υιόν φώς αύθις τε, φώς τό Άγιον Πνεύμα, αλλά έν φώς, αμερές ασύγχυτον, είς Θεός γάρ, τρανών τό ομοούσιον, ώ Γρηγόριε μάκαρ.

Έτερον όμοιον

Υψηγορία χρώμενος, σών δογμάτων πανσόφως, τρανώς εθεολόγησας, τό απόρρητον βάθος, τών τού Χριστού μυστηρίων, άθλους τε τών Αγίων, καί βίους ερρητόρευσας, ώ Γρηγόριε μάκαρ, καί νύν Θεός, εν μεθέξει πέλων τή πρός τό θείον, σώζεις κάμέ καί δέχοιο, σαίς σκηναίς Θεολόγε.

Θεοτοκίον όμοιον

Μετά τής Θεομήτορος, καί Παρθένου Μαρίας, καί Βασιλείου πάνσοφε, παρεστως τού Μεγάλου, τή απροσίτω Τριάδι, τήν ειρήνην τώ κόσμω, τώ Βασιλεί τά τρόπαια, καί ημίν σωτηρίαν, πρέσβευε, νύν τοίς ανευφημούσί σε Θεολόγε, Αρχιερεύ Γρηγόριε, Ρήτορ τής Εκκλησίας.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'

Ο εξ υψίστου κληθείς

Διατεμών τόν τού γράμματος σύ γνόφον, εισέδυς τώ πνεύματι πρός φώς υπέρτερον, καί τήν εκείθεν δεξάμενος, φωτοχυσίαν, θεολογίας πάντας επλούτισας, Γρηγόριε πάνσοφε, τής Εκκλησίας φωστήρ, ταίς αστραπαίς δέ τών λόγων σου, σκοτώδη νέφη, τά τών αιρέσεων απεμείωσας, όθεν αυλίζη ένθα ήχος, εορταζόντων Αγγέλοις συνόμιλος, ικετεύων απαύστως τού σωθήναι τάς ψυχάς ημών.

Ο Θεολόγος ο δεύτερος καί μύστης, τής θείας ελλάμψεως, ο τής Τριάδος φαιδρός, υπογραφεύς ο τήν άρρητον, καί θείαν φύσιν, υπερφυώς διδάσκων Γρηγόριε, καί νύν τηλαυγέστερον, επαπολαύων Θεού, τών σέ τιμώντων μνημόνευε, καί υπερμάχει, τής Εκκλησίας, ήν συνεκρότησας, σού γάρ ο φθόγγος επί πάντα, τής οικουμένης διήλθε τά πέρατα, εκδιδάσκων δοξάζειν, τήν Τριάδα ομοούσιον.

Γεωπονήσας τή γλώσση Θεηγόρε, καρδίας ταίς αύλαξι σπόρον τόν ένθεον, θεολογίας επλούτισας, τής ανωτάτω, τής Εκκλησίας άπαν τό πλήρωμα, εντεύθεν ζιζάνια πυρί τού Πνεύματος, τά τών αιρέσεων έφλεξας, φιλοσοφίας, τής θεϊκής τρεφόμενος έρωτι, Πάτερ Πατέρων, καί Ποιμήν Ποιμένων καί δόξα Πιστών, Ιερέων φωστήρ, οικουμένης τό κλέος, παμμακάριστε Γρηγόριε.

Τώ τής σοφίας κρατήρι προσπελάσας, τό τίμιον στόμα σου, Πάτερ Γρηγόριε, θεολογίας εξήντλησας, τό θείον νάμα, καί τοίς πιστοίς αφθόνως μετέδωκας, αιρέσεων έφραξας, ρούν τόν ψυχόλεθρον, τόν βλασφημίας ανάμεστον, ως κυβερνήτην, εύρε καί γάρ σε Πνεύμα τό Άγιον, αποσοβούντα καί ελαύνοντα, ως ανέμων πνοάς, δυσσεβών τάς ορμάς, εν Μονάδι ουσίας, τήν Τριάδα καταγγέλλοντα.

Δόξα... Ήχος α' Ανατολίου

Τήν λύραν τού Πνεύματος, τό τών αιρέσεων θέριστρον, καί ορθοδόξων ήδυσμα, τόν δεύτερον Επιστήθιον, τόν τού Λόγου αυτόπτην, τοίς δόγμασι γενόμενον, τόν σοφόν Αρχιποίμενα, τής Εκκλησίας τά θρέμματα, θολογικοίς ύμνοις Προσείπωμεν. Σύ εί ο Ποιμήν ο καλός, ο δούς σεαυτόν Γρηγόριε, ως ο Διδάσκαλος Χριστός, υπέρ ημών, καί σύν Παύλω χορεύεις, καί πρεσβεύεις υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

Αμαρτωλών τάς δεήσεις προσδεχομένη, καί θλιβομένων στεναγμόν μή παρορώσα, πρέσβευε τώ εξ αγνών λαγόνων σου, σωθήναι ημάς Παναγία Παρθένε.

Δοξολογία μεγάλη, καί Απόλυσις.

Εις τήν Λειτουργίαν, Τυπικά, καί εκ τών Κανόνων Ωδή γ' καί ς'.

Απόστολον καί Ευαγγέλιον Ζήτει εις τό Μηνολόγιον αυτών.

Κοινωνικόν

Εις μνημόσυνον αιώνιον έσται Δίκαιος. Αλληλούια.

---

Αρχή

## ΤΗ ΚΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήιμη τού Οσίου Πατρός ημών Ξενοφώντος καί τής συνοδίας αυτού.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος β'
Ότε, εκ τού ξύλου σε νεκρόν

Λάμπων, αξιώμασι ψυχής, ελεημοσύνη καί πίστει σαυτόν ελάμπρυνας, χαίρων γάρ εσκόρπισας, τόν πλούτον πένησιν, εις αιώνας δέ μένει σου, η δικαιοσύνη, φώς σοι ανατέλλουσα Πάτερ ανέσπερον, ένθα, τούς οσίους σου Παίδας, όψει καί τήν τούτους τεκούσαν, Πόλιν τήν ουράνιον οικήσαντας.

Δόξαν, παριδόντες τήν φθαρτήν, δόξης τής αφθάρτου καί θείας κατηξιώθητε,

πάσαν γάρ πατήσαντες, βίου τερπνότητα, τόν τώ όντι τερπνότατον, Χριστόν θεοφόροι, άγαν εποθήσατε, τόν υμάς σώσαντα, κόσμου τρικυμίας καί ζάλης, καί τώ γαληνώ καί φωσφόρω, βίω καθορμίσαντα Πανόλβιοι.

Πάθη, θανατώσαντες σαρκός, τούς τής απαθείας χιτώνας περιεβάλεσθε, βίου καθαρότητι, τούτους υφάναντες, πολιτείαν δ' ισάγγελον, εν σώματι όντες, έτι καρτερόφρονες επιδεικνύμενοι, δόξης ηξιώθητε πάντες, τής Αγγελικής εν υψίστοις, θείας απολαύοντες λαμπρότητος.

Δόξα... Καί νύν... Θεοτοκίον

Μόνη, τόν αχώρητον Θεόν, αστενοχωρήτως εν μήτρα εκυοφόρησας, άνθρωπον γενόμενον, δι' αγαθότητα, Παναγία Θεόνυμφε, διό δυσωπώ σε, τών στενοχωρούντων με παθών απάλλαξον, όπως, τήν στενήν καί ευθείαν, τρίβον διοδεύσας προφθάσω, τήν επί ζωήν Παρθένε φέρουσαν.

Η Σταυροθεοτοκίον

Βότρυν, τόν παμπέπειρον Αγνή, όν αγεωργήτως εν μήτρα εκυοφόρησας, ξύλω ως εώρακας τούτον κρεμάμενον, θρηνωδούσα ωλόλυζες, καί έκραζες. Τέκνον, γλεύκος εναπόσταξον, δι' ού η μέθη αρθή, πάσαν τών παθών Ευεργέτα, δι' εμού τής σέ τετοκυίας, σού τήν ευσπλαγχνίαν ενδεικνύμενος.

Απολυτίκιον Ήχος δ'

Ο Θεός τών Πατέρων ημών ο ποιών αεί μεθ' ημών κατά τήν σήν επιείκειαν, μή αποστήσης τό έλεος σου αφ' ημών, αλλά ταίς αυτών ικεσίας, εν ειρήνη κυβέρνησον τήν ζωήν ημών.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, οι Κανόνες τής Οκτωήχου καί τών Αγίων, ού η ακροστιχίς.

Ξενοφώντα μέλπω, σύμβιόν τε καί τέκνα. Θεοφάνους.

Ωδή α' Ήχος β'

«Δεύτε λαοί, άσωμεν άσμα Χριστώ τώ Θεώ, τώ διελόντι θάλασσαν, καί οδηγήσαντι, τόν λαόν όν ανήκε, δουλείας Αιγυπτίων, ότι δεδόξασται».

Ξύλου ζωής, καί Παραδείσου τής όντως τρυφής, πανοικεσία Πάνσοφοι, νύν απολαύοντες, τούς υμάς ευφημούντας, πρεσβεύσατε σωθήναι, πρός τόν Φιλάνθρωπον.

Εν τή οδώ τών εντολών σου βαδίζων θερμώς, ο σός ικέτης Δέσποτα, μονάς κατέλαβε, καταλλήλους τώ πόθω, ζωής τής αιωνίου επιλαβόμενος.

Νέαν σκηνήν, Αβραμιαίαν σύ έδειξας, τήν σήν οικίαν άπασι, διό θεσπέσιε, Αβραάμ εν τοίς κόλποις, αξίως καί δικαίως επαναπέπαυσαι.

Θεοτοκίον

Όλος εν σοί, κατασκηνώσας Πανάμωμε, όλον εμέ τόν άνθρωπον, ανεμορφώσατο, εκ Πατρός εκλάμψας, πρό πάντων τών αιώνων, Λόγος ο άναρχος.

Ωδή γ'

«Εν πέτρα με τής πίστεως στερεώσας, επλάτυνας τό στόμα μου επ εχθρούς μου, ευφράνθη γάρ τό πνεύμά μου εν τώ ψάλλειν. Ουκ έστιν άγιος, ως ο Θεός ημών, καί ουκ έστι δίκαιος, πλήν σου Κύριε».

Φανοτάταις αξίαις τετιμημένος, φωτοφόρω διέπρεψας πολιτεία, τήν πράξιν γάρ επίβασιν θεωρίας, βοών ανέδειξας. Σύ εί Θεός ημών, καί ουκ έστι δίκαιος, πλήν σου Κύριε.

Ως πάντων οικονόμος προβεβλημένος, τήν πάντων επιμέλειαν ανεδείξω, τοίς χρήζουσι τόν πλούτόν σου διανέμων, υποδεχόμενος, φιλοφρονούμενος, Μοναζόντων τάγματα, Πάτερ Όσιε.

Νομίμοις εκτρεφόμενος τού Δεσπότου, εν νόμω καί παιδεία καί νουθεσία, Κυρίου εξεπαίδευσας σού τούς παίδας, κράζων θεσπέσιε, Σύ εί Θεός ημών, καί ουκ έστιν άγιος πλήν σου Κύριε.

Θεοτοκίον

Τήν μόνην παρθενεύουσαν μετά τόκον, Μαρίαν τών Αγίων αγιωτέραν, τήν όντως απειρόγαμον Θεοτόκον, δεύτε υμνήσωμεν πιστοί, κραυγάζοντες. Χαίρε Μήτηρ άχραντε, χαίρε Δέσποινα.

Ο Ειρμός

«Εν πέτρα με τής πίστεως στερεώσας, επλάτυνας τό στόμα μου επ εχθρούς μου, ευφράνθη γάρ τό πνεύμά μου εν τώ ψάλλειν. Ουκ έστιν άγιος, ως ο Θεός ημών, καί ουκ έστι δίκαιος, πλήν σου Κύριε».

Κάθισμα  Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Εντολαίς τού Δεσπότου επαγρυπνών, εφ' ομοίοις τε τρόποις παίδας τούς σούς, ρυθμίζων Μακάριε, Ξενοφών καί τήν σύζυγον, σύν αυτοίς τά άνω, κληρούσαι βασίλεια, πειρασμών παντοίων, λιπων τό κλυδώνιον, όθεν ευφημούμεν, ευσεβώς υμάς πάντας, καί πόθω γεραίρομεν καί πιστώς ανακράζομεν, θεοφόροι πανόλβιοι, πρεσβεύσατε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην υμών.

Θεοτοκίον

Ως Παρθένον καί μόνην εν γυναιξί, σέ ασπόρως τεκούσαν Θεόν σαρκί, πάσαι μακαρίζομεν, γενεαί τών ανθρώπων, τό γάρ πύρ εσκήνωσεν, εν σοί τής θεότητος, καί ως βρέφος θηλάζεις, τόν Κτίστην καί Κύριον, όθεν τών Αγγέλων, καί ανθρώπων τό γένος, αξίως δοξάζομεν, τόν πανάγιον Τόκον σου, καί συμφώνως βοώμέν σοι, Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς ανυμνούσιν αξίως, τήν δόξαν σου

Άχραντε.

Η Σταυροθεοτοκίον

Τόν Αμνόν καί ποιμένα καί Λυτρωτήν, η, Αμνάς θεωρούσα εν τώ Σταυρώ ωλόλυζε δακρυουσα, καί πικρώς εκβοώσα, ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήν περ υπομένεις διά σπλάγχνα ελέους. Μακρόθυμε Κύριε, τού ελέους η άβυσσος, καί πηγή αγαθότητος, σπλαγχνίσθητι καί δώρησαι ούν, τών πταισμάτων άφεσιν τοίς δούλοις σου, τοίς ανυμνούσί σου πίστει, τά θεία παθήματα.

Ωδή δ'

«Εισακήκοα Κύριε, τήν ακοήν τής σής οικονομίας, καί εδόξασά σε μόνε φιλάνθρωπε».

Ανασωθέντες κλύδωνος, βιωτικού, λιμένι ευσεβείας, ωρμίσθητε Παίδες μακαριώτατοι.

Μεμυημένοι γνώσιν, τών θείων, καί τήν τών ανθρωπίνων, τώ Θεώ λατρεύειν προτετιμήκατε.

Εκ τής αβύσσου Όσιοι, τής κοσμικής, ρυσθέντες πανενδόξως, αγαθών αβύσσω προσελη λύθατε.

Θεοτοκίον

Λελυτρωμένοι αίματι, τώ εκ πλευράς, χυθέντι, τού Υιού σου, Θεομήτορ πάντες σέ μακαρίζομεν.

Ωδή ε'

«Ο τού φωτός χορηγός, καί τών αιώνων ποιητής Κύριος, εν τώ φωτί τών προσταγμάτων, οδήγησον ημάς, εκτός σου γάρ άλλον, Θεόν ου γινώσκομεν».

Πρός τήν ανώλεθρον, κατεπειγόμενος ζωήν, έσπευσας, καταλαβείν τήν ηγιασμένην, Αρκάδιε πόλιν, καί τάφω τής όντως ζωής προσεπέλασας.

Ως ευπρεπής αληθώς, η γενομένη περί σέ πρόνοια, καί θαυμαστή καί δεδοξασμένη, κυβέρνησις θεία, τού πάντων Δεσπότου, παμμάκαρ Αρκάδιε.

Σού προμηθούμενος, ο εν αγκάλαις Συμεών πρότερον, ανακλιθείς, τού θείου Πρεσβύτου, πρεσβύτη σε θείω, Αρκάδιε φέρων, Χριστός καθωδήγησεν.

Θεοτοκίον

Υιόν τόν άναρχον, καί συναΐδιον Πατρί τέτοκας, υπερφυώς εκ σού σαρκωθέντα, πανάμωμε Κόρη, διό Θεοτόκον, Αγνή σε κηρύττομεν.

Ωδή ς'

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας

σου, επικαλούμαι άβυσσον. Εκ φθοράς, ο Θεός με ανάγαγε».

Μακαρίας ζωής εφιέμενος, τώ τών Μοναζόντων προστρέχεις συστήματι, τήν ζωτικήν επίπνοιαν, συνεργόν Ιωάννη ποιούμενος.

Βροτοκτόνου κακίας νεκρότητα, καί θανατηφόρον ιόν απωσάμενος, τώ ζωηφορω μνήματι, τού Χριστού Ιωάννη προσέδραμες.

Ιωάννου τόν βίον εζήλωσας, καί γάρ ώς εκείνος τήν έρημον ώκησας, καί καθαρώς εβίωσας, Ιωάννη Χριστώ καθαιρόμενος.

Θεοτοκίον

Ουρανόν ο τανύσας μονώτατος, άλλον ουρανόν έμψυχον επειργάσατο, σέ Θεομήτορ άχραντε, καί εκ σού τοίς εν σκότει ανέτειλεν.

Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον. Εκ φθοράς, ο Θεός με ανάγαγε».

Κοντάκιον Ήχος δ'

Επεφάνης σήμερον

Τήν τού βίου θάλασσαν διεκφυγόντες, Ξενοφών ο δίκαιος, σύν τή συζύγω τή σεπτή, εν ουρανοίς συνευφραίνονται, μετά τών τέκνων, Χριστόν μεγαλύνοντες.

Ο Οίκος

Ξένην οδόν θεοπρεπώς, Ξενοφών διοδεύσας, μετά καί τής συζύγου ελάθετε τήν φύσιν, ώσπερ ασώματοι σαφώς εν τή γή οφθέντες, διό καί πύλαι ημίν ουράνιαι ηνοίγησαν, καί μετά τών Αγγέλων χορεύετε, ως τού αμπελώνος γεγονότες τού Κυρίου εργάται, μετά καί τών τέκνων. Αινείτε ούν Χριστόν, δωρήσασθαι αίγλην φωτισμού ταίς ζοφεραίς ημών καρδίαις, μνήμην υμών τελούντων τήν φωτοφόρον, τόν στεφοδότην Χριστόν μεγαλύνοντες.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΣΤ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Ξενοφώντος καί τής συμβίου αυτού Μαρίας καί τών τέκνων αυτού Αρκαδίου καί Ιωάννου.

Στίχοι

Καί γήν λιπόντας, τούς περί Ξενοφώντα,
Αβρά ξενίζω τού λόγου πανδαισία.
Παισίν άμ' ηδ' αλόχω Ξενοφώντα θάνεν εικάδι έκτη.

Τή αυτή ημέρα, Μνήμη τού μεγάλου σεισμού.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Συμεών, τού επιλεγομένου Παλαιού.

Στίχοι

Τόν χούν παλαιέ Συμεών απεξύσω,
Εχθρού παλαιού λεπτύνας εις χούν κάραν.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Ανανίου πρεσβυτέρου καί Πέτρου δεσμοφύλακος καί τών σύν αυτοίς επτά στρατιωτών.

Στίχοι

Πέτρος σύν επτά τήν θάλασσαν εισέδυ,
Οίς Ανανίας ηδέως συνεισέδυ.

Τή αυτή ημέρα, ο Όσιος Αμωνάς εν ειρήνη τελειούται.

Στίχοι

Ζωής Αμωνάς νήμα πληρώσας άπαν,
Ζωήν εφεύρεν, ούποτε πληρουμένην.

Τή αυτή ημέρα, ο Όσιος Γαβριήλ εν ειρήνη τελειούται.

Στίχοι

Σύν τώ Γαβριήλ τώ Νόων πρωτοστάτη,
Καί Γαβριήλ ίστησι Χριστός τόν νέον.

Τή αυτή ημέρα, οι Άγιοι δύω Μάρτυρες, οι εν Φρυγία, τυπτόμενοι τελειούνται.

Στίχοι

Βάκλοις αθληταί τραυματισθέντες δύω,
Στεφθέντες εύρον τήν συνούλωσιν τάχει.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

«Αντίθεον πρόσταγμα παρανομούντος, τυράννου μετάρσιον, τήν φλόγα ανερρίπισε, Χριστός δέ εφήπλωσε θεοσεβέσι Παισί, δρόσον τήν τού Πνεύματος, ο ων ευλογημένος καί υπερένδοξος».

Νοός καθαρότητι ο θεοφόρος, υμών τήν συνέλευσιν, καθορών προεμήνυσε, Θεός γάρ δίκαιος, τής ευσεβείας υμάς, θείως αμειβόμενος εις έν, ως ελεήμων επισυνήγαγε.

Τόν ζήλον θεώμενος τής ευσεβείας, τήν πίστιν δεχόμενος, τόν πόθον προσιέμενος, υμών ο φιλάνθρωπος, πάντας συνήθροισε, μίαν εις εστίασιν υμάς, ο ευεργέτης καί υπερένδοξος.

Θεοτοκίον

Ελπίς ακαταίσχυντε, ελπίς βεβαία, καί τείχος ακράδαντον, καί σκέπη καί βοήθεια, γενού μοι Πανάμωμε, τώ πεποιθότι εις σέ, σοί γάρ ανατίθημι Αγνή, πάσαν ελπίδα τής σωτηρίας μου.

Ωδή η'

«Κάμινος ποτέ, πυρός εν Βαβυλώνι τας ενεργείας διεμέριζε, τώ θείω προστάγματι, τούς Χαλδαίους καταφλέγουσα, τούς δέ πίστους δροσίζουσα

ψάλλοντας, Ευλογείτε, πάντα τά έργα τόν Κύριον».

Κάμινον σφοδρώ πυρί τήν καιομένην, τής απ' αλλήλων διαστάσεως, στερρώς υπεμείνατε, τά γάρ σπλάγχνα σπαραττόμενοι, καί τάς ψυχάς πυρούμενοι, κέντρω τής συμφυΐας, άθλους Μαρτύρων ηνύσατε.

Άνωθεν υμάς, νεφέλη δροσοβόλος φιλανθρωπίας επεσκίασε, Σιών εν τοίς όρεσιν, ένθα δρόσος η τού Πνεύματος, τούς Μαθητάς επύρσευσε, κράζοντας. Ευλογείτε, πάντα τά έργα τόν Κύριον.

Ίλεων ημίν, καί ευμενή γενέσθαι, τόν Ευεργέτην ικετεύσατε Πατέρες πανόλβιοι, τοίς ημών νύν μακαρίζουσι, τό ιερόν μνημόσυνον, φυτών ηνωμένων καί συνημμένων τή χάριτι.

Θεοτοκίον

Τόν μονογενή, Υιόν Θεόν καί Λόγον, τόν πρό αιώνων εξ ανάρχου Πατρός, αρρήτως εκλάμψαντα, τόν τής κτίσεως πρωτότοκον, γεγενημένον τέτοκας, όθεν σε Θεομήτορ, πάντα τά Έθνη δοξάζομεν.

Ο Ειρμός

«Κάμινος ποτέ, πυρός εν Βαβυλώνι τας ενεργείας διεμέριζε, τώ θείω προστάγματι, τούς Χαλδαίους καταφλέγουσα, τούς δέ πιστους δροσίζουσα ψάλλοντας, Ευλογείτε, πάντα τά έργα τόν Κύριον».

Ωδή θ'

«Ανάρχου Γεννήτορος, Υιός Θεός καί Κύριος, σαρκωθείς εκ Παρθένου, ημίν επέφανε, τά εσκοτισμένα φωτίσαι, συναγαγείν τά εσκορπισμένα, διό τήν πανύμνητον, Θεοτόκον μεγαλύνομεν».

Επ' ώμων αράμενοι, τόν τού Χριστού Σταυρόν αληθώς, διηνύσατε τρίβον τήν τής ασκήσεως, πάσαν αρετήν εκτελούντες, έως αυτήν, τήν όντως αγήρω, ζωήν κατειλήφατε, πανοικία στεφανούμενοι.

Κατακυριεύσαντες, τού τής σαρκός φρονήματος, τόν τού Πνεύματος πλούτον εθησαυρίσατε, χάριν ιαμάτων, λαβόντες εκ τής Πηγής, τής τών χαρισμάτων, ή νύν προσχωρήσαντες, αιωνίως αναπαύεσθε.

Νικήσαντες Όσιοι, τάς μηχανάς τού δράκοντος, επί τέλει τών άθλων ανηγορεύθητε, τής δικαιοσύνης στεφάνους, παρά Χριστού, λαβόντες αξίως, όν νύν δυσωπήσατε, τού σωθήναι τάς ψυχάς ημών.

Θεοτοκίον

Αμήτορα πρότερον, κατά τήν πρώτην γέννησιν, δι' ημάς σαρκωθέντα, Τίκτεις απάτορα, δύω γνωριζόμενον φύσεις, τήν θεϊκήν, καί τήν Ανθρωπίνην, καί ταύτας πιστούμενον, ενεργείαις Θεονύμφευτε.

Ο Ειρμός

«Ανάρχου Γεννήτορος, Υιός Θεός καί Κύριος, σαρκωθείς εκ Παρθένου, ημίν επέφανε, τά εσκοτισμένα φωτίσαι, συναγαγείν τά εσκορπισμένα, διό τήν

πανύμνητον, Θεοτόκον μεγαλύνομεν».

Εξαποστειλάριον
Ο ουρανόν τοίς άστροις

Εσκόρπισας τόν πλούτον, τοίς πένησι θεαρέστως, καί παροικών ωκειώθης, ώ Ξενοφών τώ Κυρίω όν δυσώπει παμμάκαρ, παθών ημάς εξελέσθαι.

Θεοτοκίον

Τάς στρατιάς τών Αγγέλων, καί τών αγίων τους χορούς, υπερανέστηκεν όντως, τά μεγαλεία σου Αγνή, διό Χριστόν εκδυσώπει, υπέρ λαού επταικότος.

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΖ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Η ανακομιδή τού Λειψάνου τού έν Αγίοις Πατρός ημών Ιωάννου τού Χρυσοστόμου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Μετά τόν Προοιμιακόν Ψαλμόν Στιχολογούμεν τήν α' στάσιν τού, Μακάριος ανήρ. Εις δέ τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'  Ως γενναίον εν Μάρτυσι

Τήν χρυσήλατον σάλπιγγα, τό θεόπνευστον όργανον, τών δογμάτων πέλαγος ανεξάντλητον, τής Εκκλησίας τό στήριγμα, τόν νούν τόν ουράνιον, τής σοφίας τόν βυθόν, τόν κρατήρα τόν πάγχρυσον, τόν προχέοντα, ποταμούς διδαγμάτων μελιρρύτων, καί αρδεύοντα τήν κτίσιν, μελωδικώς εύφη μήσωμεν.

Τόν αστέρα τόν άδυτον, τόν ακτίσι φωτίζοντα, διδαγμάτων άπασαν τήν υφήλιον, τής μετανοίας τόν κήρυκα, τόν σπόγγον τόν πάγχρυσον τόν υγρότητα δεινής, απογνώσεως αίροντα, καί δροσίζοντα, εκτακείσας καρδίας άμαρτίαις, Ιωάννην επαξίως, τόν Χρυσολόγον τιμήσωμεν.

Ο επίγειος Άγγελος, καί ουράνιος άνθρωπος, χελιδων η εύλαλος καί πολύφωνος, τών αρετών τό θησαύρισμα, η πέτρα η άρρηκτος τών πιστών υπογραμμός, τών Μαρτύρων εφάμιλλος, ισοστάσιος, τών αγίων Αγγέλων Αποστόλων, ο Ομότροπος εν ύμνοις, μεγαλυνέσθω Χρυσόστομος.

Έτερα Στιχηρά Προσόμοια

Ήχος ο αυτός
Ο εξ υψίστου κληθείς

Ιερωτάτην στησώμεθα χορείαν, στέφος γάρ χρυσόμορφον, τής Εκκλησίας

Χριστού, βασιλική δόξη σήμερον, από Κομάνων, πρός πόλιν ήκει τήν Βασιλεύουσαν, λάμπει στίλβον άνωθεν, τή επανόδω αυτού, πρός βασιλείαν τήν άϋλον, πιστούς εισάγει, καί τώ τών όλων προσοικειοί Βασιλεί, διό βοώμεν, Χρυσεπώνυμε, Πάτερ θείε Χρυσόστομε πάγχρυσε, καθικέτευε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

Ως ουρανός φαεινός τής Εκκλησίας, δύσιν ώ Χρυσόστομε τήν υπερόριον, καθυποστάς απηνέστατα, επανατέλλεις, σήμερον χαίρων τή κτίσει άδυτος, θάλπεις εγκοσμούμενος, θαυμάτων άστροις σοφέ, φέρεις Χριστόν υπερλάμποντα, ηλίου δίκην, σού δαδουχούντα νύν τήν επάνοδον, διό βοώμεν. Φωταυγέστατε, φωτολόγε Χρυσόστομε πάνσοφε, καθικέτευε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

Νύν ουρανός τοίς Αγγέλοις συγχορεύει, κτίσει συνευφραίνονται, βροτών συστήματα, ο γάρ εν γή ουρανόφρονας, δεικνύς τούς πάντας, κλίμακιθεία, σεπτών ρημάτων αυτού, ούτος τήν επάνοδον, τών θεοδρόμων βαθμών, ως, Ιακώβ νέος δείκνυσιν, Αγγέλων θείων, αγαλλομένων τή μεταθέσει αότού, διό βοώμεν, Παμμακάριστε, τών αϋλων Αγγέλων συνόμιλε, Χρυσολόγε δυσώπει, τού σωθήναι τάς ψυχάς ημών.

Δόξα... Ήχος δ' Κοσμά

Ουκ έδει σε Χρυσόστομε, τήν Βαοιλίδα κοταλείψαντα, παροικείν εν Κομάνοις, όθεν θεόθεν ηγμένη, η Ανακτορική πανδαισία, πάλιν σε επανήγαγεν εν τοίς βασιλείοις, ευφράνθη δέ η Εκκλησία ιδούσά σε, ανθομολογουμένη καί λέγουσα. Μεγαλύνει η δόξα μου τόν Κύριον, αποδόντα μοι τόν νυμφαγωγόν, καί τό στήριγμα τής πίστεως, τήν υπόληψιν τών αξιωμάτων μου, καί ανάπαυσιν τών εμών κροτάφων, τό ύψος τής ταπεινοφροσύνης, καί βάθος τής ελεημοσύνης, καί πλούτον τής εμής πτωχείας, καί μήκος τής μετανοίας. Διό αιτούμέν σε Όσιε Πάτερ, τήν ειρήνην αίτησαι, καί ταίς ψυχαίς ημών, τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον, ο αυτός

Ο διά σέ θεοπάτωρ Προφήτης Δαυϊδ, μελωδικώς περί σού προανεφώνη σε, τώ μεγαλεία σοι ποιήσαντι. Παρέστη η Βασίλισσα εκ δεξιών σου, σέ γάρ Μητέρα πρόξενον ζωής ανέδειξεν, ο απάτωρ εκ σού ενανθρωπήσαι ευδοκήσας Θεός, ίνα τήν εαυτού αναπλάση εικόνα, φθαρείσαν τοίς πάθεσι, καί τό πλανηθέν ορειάλωτον ευρών πρόβατον, τοίς ώμοις αναλαβών, τώ Πατρί προσαγάγη, καί τώ ιδίω θελήματι, ταίς ουρανίαις συνάψει Δυνάμεσι, καί σώση Θεοτόκε τόν κόσμον, Χριστός ο έχων τό μέγα, καί πλούσιον έλεος.

Είσοδος, τό Προκείμενον τής ημέρας, καί τά Αναγνώσματα.

Παροιμιών τό Ανάγνωσμα
(Κεφ. 10, 6-7 & 3, 13-16 & 8,... )

Μνήμη δικαίου μετ' εγκωμίων, καί ευλογία Κυρίου επί κεφαλήν αυτού. Μακάριος άνθρωπος, ός εύρε σοφίαν καί θνητός ός είδε φρόνησιν. Κρείττον γάρ αυτήν εμπορεύεσθαι, ή χρυσίου καί αργυρίου θησαυρούς. Τιμιωτέρα δέ

εστι λίθων πολυτελών (ουκ αντιτάσσεται αυτή ουδέν πονηρόν, ευγνωστός εστι πάσι τοίς εγγίζουσιν αυτήν), πάν δέ τίμιον, ουκ άξιον αυτής εστιν. Εκ γάρ τού στόματος αυτής εκπορεύεται δικαιοσύνη, νόμον δέ καί έλεον επί γλώσσης φορεί. Τοιγαρούν ακούσατέ μου ώ τέκνα, σεμνά γάρ ερώ, καί μακάριος άνθρωπος, ός τάς εμάς οδούς φυλάξει. Αι γάρ έξοδοί μου, έξοδοι ζωής, καί ετοιμάζεται θέλησις παρά Κυρίου. Διά τούτο παρακαλώ υμάς, καί προϊεμαι εμήν φωνήν υιοίς ανθρώπων. Ότι εγω η σογία κατεσκεύασα βουλήν καί γνώσιν καί έννοιαν, εγώ επεκαλεσάμην. Εμή βουλή καί ασφάλεια, εμή γρόνησις, εμή δέ ισχύς. Εγώ τούς εμέ γιλούντας αγαπώ, οιδέ εμέ ζητούντες ευρήσουσι χάριν. Νοήσατε τοίνυν, άκακοι, πανουργίαν, οιδέ απαίδευτοι, ένθεσθε καρδίαν. Εισακούσατέ μου καί πάλιν, σεμνά γάρ ερώ, καί ανοίγω από χειλέων ορθά. Ότι αλήθειαν μελετήσει ο λάρυγξ μου, εβδελυγμένα δέ εναντίον εμού χείλη ψευδή. Μετά δικαιοσύνης πάντα τά ρήματα τού στόματός μου, ουδέν εν αυτοίς σκολιόν, ουδέ στραγγαλιώδες. Πάντα ευθέα εστί τοίς νοούσι, καί ορθά τοίς ευρίσκουσι γνώσιν. Διδάσκω γάρ υμίν αληθή, ίνα γένηται εν Κυρίω η ελπίς υμών, καί πλησθήσεσθε πνεύματος.

Σοφίας Σολομώντος τό Ανάγνωσμα
(Εκλογή)

Εγκωμιαζομένου Δικαίου, ευφρανθήσονται λαοί, αθανασία γάρ εστιν η μνήμη αυτού, ότι καί παρά Θεώ γινώσκεται καί παρά ανθρώποις, καί αρεστή Κυρίω η ψυχή αυτού. Επιθυμήσατε τοιγαγαρούν, ώ άνδρες, σοφίαν καί ποθήσατε καί παιδευθήσεσθε. Αρχή γάρ αυτής αγάπη καί τήρησις νόμων. Τιμήσατε σοφίαν, ίνα εις τόν αιώνα βασιλεύσητε. Απαγγελώ υμίν, καί ού κρύψω αφ' υμών μυστήρια Θεού. Ότι αυτός, καί τής σοφίας οδηγός εστι, καί τών σοφών διορθωτής. Καί εν τή χειρί αυτού πάσα φρόνησις καί εργασιών επιστήμη. Η πάντων τεχνίτις εδίδαξέ με σοφία, έστι γάρ εν αυτή πνεύμα νοερόν, άγιον, απαύγασμα φωτός αϊδίου, καί εικών τής αγαθότητος τού Θεού. Αύτη φίλους Θεού καί προφήτας κατασκευάζει. Ευπρεπεστέρα δέ εστιν ηλίου, καί υπέρ πάσαν αστέρων θέσιν, φωτί συγκρινομένη, ευρίσκεται προτιμοτέρα. Αύτη τούς θεραπεύσαντας αυτήν εκ πόνων ερρύσατο, καί ωδήγησεν εν τρίβοις ευθείαις. Έδωκεν αυτοίς γνώσιν αγίαν, καί διεφύλαξεν αυτούς από ενεδρευόντων, καί αγώνα ισχυρόν εβράβευσεν αυτοίς, ίνα γνώσι πάντες, ότι δυνατωτέρα παντός εστιν η ευσέβεια. Καί ου μή Κατισχύση ποτέ κακία σοφίας, ουδ' ου μή παρελεύσεται πονηρούς ελέγχουσα η δίκη. Είπον γάρ εν εαυτοίς, λογισάμενοι ουκ ορθώς. Καταδυναστεύσωμεν τόν δίκαιον, μή φεισώμεθα τής οσιότητος αυτού, μηδέ εντραπώμεν πολιάς πρεσβευτού πολυχρονίους. Έστω δέ ημών ισχύς νόμος. Καί ενεδρεύσωμεν τόν δίκαιον, ότι δύσχρηστος ημίν εστι, καί εναντιούται τοίς έργοις ημών, καί έπιφημίζει ημίν αμαρτήματα παιδείας ημών. Επαγγέλλεται γνώσιν έχειν Θεού, καί παίδα Κυρίου εαυτόν ονομάζει. Εγένετο ημίν εις έλεγχον εννοιών ημών. Βαρύς εστιν ημίν καί βλεπόμενος, ότι ανόμοιος τοίς άλλοις ο βίος αυτού, καί εξηλλαγμέναι αί τρίβοι αυτού. Εις κίβδηλον ελογίσθημεν αυτώ, καί απέχεται τών οδών ημών, ως από ακαθαρσιών, καί μακαρίζει έσχατα δικαίων, ίδωμεν ούν, ει οι λόγοι αύτού αληθείς, καί πειράσωμεν τά εν εκβάσει αυτού. Ύβρει καί βασάνω ετάσωμεν αυτόν, ίνα γνώμεν τήν επιείκειαν αυτού, καί δοκιμάσωμεν τήν

ανεξικακίαν αυτού, θανάτω ασχήμονι καταδικάσωμεν αυτόν, έσται γάρ αυτού επισκοπή εκ λόγων αυτού. Ταύτα ελογίσαντο, καί επλανήθησαν, απετύφλωσε γάρ αυτούς η κακία αυτών. Καί ουκ έγνωσαν μυστήρια Θεού, ουδέ έκριναν ότι σύ Θεός, μόνος, ο ζωής έχων καί θανάτου τήν εξουσίαν, καί σώζων εν καιρώ θλίψεως, καί ρυόμενος παντός κακού, ο οικτίρμων καί ελεήμων, καί διδούς τοίς οσίοις σου χάριν, καί τώ σώ βραχίονι τοίς υπερηφάνοις αντιτασσόμενος.

Σοφίας Σολομώντος τό Ανάγνωσμα
(Εκλογή)

Στόμα δικαίου αποστάζει σοφίαν, χείλη δέ ανδρών επίστανται χάριτας, στόμα σοφών μελετά σοφίαν, δικαιοσύνη δέ ρύσεται αυτούς εκ θανάτου. Τελευτήσαντος ανδρός δικαίου, ουκ όλλυται ελπίς, υιός γάρ δίκαιος γεννάται εις ζωήν, καί εν αγαθοίς αυτού καρπόν δικαιοσύνης τρυγήσει. Φώς δικαίοις διά παντός, καί παρά Κυρίου ευρήσουσι χάριν καί δόξαν. Γλώσσα σοφών καλά επίσταται, καί εν καρδία αυτών αναπαύσεται σοφία. Αγαπά Κύριος οσίας καρδίας, δεκτοί δέ αυτώ πάντες άμωμοι εν οδώ. Σοφία Κυρίου φωτιεί πρόσωπον συνετού, φθάνει γάρ τούς επιθυμούντας αυτήν, πρό τού γνωσθήναι, καί ευχερώς θεωρείται υπό τών αγαπώντων αυτήν, ο ορθρίσας πρός αυτήν, ού κοπιάσει, καί ο αγρυπνήσας δι' αυτήν, ταχέως αμέριμνος έσται. Ότι τούς αξίους αυτής αυτή περιέρχεται ζητούσα, καί εν ταίς τρίβοις φαντάζεται αυτοίς ευμενώς. Σοφίας ου κατισχύσει ποτέ κακία. Διά ταύτα καί εραστής εγενόμηντού κάλλους αυτής, καί εφίλησα ταύτην, καί εξεζήτησα εκ νεότητός μου, καί εζήτησα νύμφην αγαγέσθαι εμαυτώ. Ότι ο πάντων Δεσπότης ηγάπησεν αυτήν, μύστις γάρ εστι τής τού Θεού επιστήμης, καί αιρέτις τών έργων αυτού. Οι πόνοι αυτής εισιν αρεταί, σωφροσύνην δέ καί φρόνησιν αύτη διδάσκει, δικαιοσύνην καί ανδρείαν, ών χρησιμώτερον ουδέν εστιν εν βίω ανθρώποις. Εί δέ καί πολυπειρίαν ποθεί τις, οίδε τά αρχαία, καί τά μέλλοντα εικάζειν, επίσταται οτροφάς λόγων, καί λυσεις αινιγμάτων, σημεία καί τέρατα προγινώσκει, καί εκβάσεις καιρών καί χρόνων, καί πάσι σύμβουλός εστιν αγαθή, καί αθανασία εστίν εν αυτή, καί εύκλεια εν κοινωνία λόγων αυτής. Διά τούτο ενέτυχον τώ Κυρίω, καί εδεήθην αυτού, καί είπον εξ όλης μου τής καρδίας. Θεέ πατέρων, καί Κύριε τού ελέους, ο ποιήσας τά πάντα εν λόγω σου, καί τή σοφία σου κατασκευάσας τόν άνθρωπον, ίνα δεσπόζη τών υπό σού γενομένων κτισμάτων, καί διέπη τόν κόσμον εν οσιότητι καί δικαιοσύνη, δός μοι τήν τών σών θρόνων πάρεδρον σοφίαν, καί μή με αποδοκιμάσης εκ παίδων σου, ότι εγώ δούλος σός, καί υιός τής παιδίσκης σου. Εξαπόστειλον αυτήν εξ αγίου κατοικητηρίου σου, καί από θρόνου δόξης σου, ίνα συμπαρούσά μοι διδάξη με, τί ευάρεστόν εστι παρά σοί, καί οδηγήση με εν γνώσει, καί φυλάξη με εν τή δόξη αυτής. Λογισμοί γάρ θνητών πάντες δειλοί, καί επισφαλείς αιεπίνοιαι αυτών.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος πλ. α'
Χαίροις ασκητικών

Χαίρει η Εκκλησία Χριστού, επί λυχνίας Ιεράς κατοπτεύουσα, τόν λύχνον τόν

φωτοφόρον, όν καθελόντες εχθροί, τής σιγής μοδίω συγκατέκρυψαν. Τιμά επί όρους σε, τών αρετών Πάτερ Όσιε, πυρσόν ως θείον, οικουμένης τά πέρατα, υπέρ ήλιον, απαστράπτοντα θαύμασι. Σήμερον η αδέκαστος, Θεού κρίσις δείκνυσι, δικαιοσύνην εξ ύψους, ως μεσημβρίαν υπέρφωτον, τήν σήν καί παρέχει, τοίς εν κόσμω τήν ειρήνην, καί μέγα έλεος.

Στίχ. Τό ατόμα μου λαλήσει σοφίαν, καί η μελέτη τής καρδίας μου σύνεσιν.

Βρύει ως μυροθήκη τερπνή, τά τών θαυμάτων θεία ρείθρα Χρυσόστομε, η λάρναξ η σή εν κόσμω, καί ιαμάτων ροαίς, τάς ψυχάς μυρίζει τών τιμώντων σε, Χριστού τών χαρίτων γάρ, τοίς αϋλοις αρώμασι, καταπλουτήσας, ευωδίαν δεδώρησαι, τήν αείζωον, τοίς εν πίστει προστρέχουσιν, όθεν καταπολαύοντες, χαρίτων σών Πάνσοφε, καί τών αχράντων καί θείων, κατατρυφώντες λειψάνων σου, πιστώς εξαιτούμεν, ταίς ψυχαίς ημών δοθήναι, τό μέγα έλεος.

Στίχ. Στόμα δικαίου μελετήσει σοφίαν, καί η γλώσσα αυτού λαλήσει κρίσιν.

Κόσμου ο σιτομέτρης πιστοί, ο εν τρυφή τή ουρανία τού Πνεύματος, καρδίας εκτρέφων πάντων, ουκ εξ Αιγύπτου χωρεί, Ιωσήφ δέ νέος προδεικνύμενος, σεπτοίς εν λειψάνοις, από Κομάνων μετάγεται, δεινών τήν ζάλην, καί τό πέλαγος σήμερον, τό τών θλίψεων, διατέμνων εντεύξεσι. Τούτον ούν μακαρίσωμεν, καί πίστει βοήσωμεν. Πάρεσο Μάκαρ εν μέσω, τών εκτελούντων τήν μνήμην σου, αυτοίς σωτηρίαν, παρεχόμενος πλουσίως, καί τό μέγα έλεος.

Δόξα... Ήχος πλ. β'

Όσιε τρισμάκαρ, Αγιώτατε Πάτερ, ο Ποιμήν ο καλός, καί τού Αρχιποίμενος Χριστού Μαθητής, ο τιθείς τήν ψυχήν υπέρ τών προβάτων, αυτός καί νύν πανεύφημε, Ιωάννη Χρυσόστομε, αίτησαι πρεσβείαις σου, δωρηθήναι ημίν τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής, σέ ικετεύομεν, Πρέσβευε Δέσποινα, μετά τού Ιεράρχου, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Απολυτίκιον  Ήχος πλ. δ'

Η τού στόματός σου καθάπερ πυρσός εκλάμψασα χάρις, τήν οικουμένην εφώτισεν, αφιλαργυρίας τώ κόσμω θησαυρούς εναπέθετο, τό ύψος ημίν τής ταπεινοφροσύνης υπέδειξεν. Αλλά σοίς λόγοις παιδεύων, Πάτερ, Ιωάννη Χρυσόστομε, πρέσβευε τώ Λόγω Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα  Ήχος α'
Τόν τάφον σου Σωτήρ

Δογμάτων αστραπαίς, ώσπερ ήλιος μέγας, εφώτισας τήν γήν, καί αγνοίας τό σκότος, μακράν απεδίωξας, Ιωάννη Χρυσόστομε, όθεν δέομαι, τού αιωνίου με σκότους, ελευθέρωσον, καί φωτισμού σωτηρίας, ευχαίς σου αξίωσον.

Δόξα... τό αυτό

Καί νύν... Θεοτοκίον

Ασπόρως τόν Χριστόν, απεκύησας μόνη, τό θαύμα υπέρ νούν, πώς Παρθένος καί Μήτηρ, διό Θεοτόκον σε, προσκυνούντες δοξάζομεν, σύ γάρ έτεκες, τόν Βασιλέα τής δόξης, όν δυσώπησον, τού ειρηνεύσαι τόν κόσμον, καί σώσαι τάς ψυχάς ημών.

Μετά τήν β' Στιχολογίαν

Κάθισμα  Ήχος δ'
Ο υψωθείς εν τώ Σταυρώ

Ως χρυσαυγές τε καί τερπνόν θεορρήμον, όργανον θείον κελαδούν Εκκλησία, υπό Χριστού Χρυσόστομε δεδώρησαι, χελιδών η εύλαλος, χρυσαυγίζουσα Μάκαρ, νούς ο χρυσοστόλιστος, λύρα τής μετανοίας, τούς σέ τιμώντας ρύσαι πειρασμών, σαίς ικεσίαις Ποιμήν αξιάγαστε.

Δόξα... τό αυτό

Καί νύν... Θεοτοκίον

Μετά Θεόν επί τήν σήν Θεοτόκε, προσπεφευγώς ο ταπεινός σκέπην θείαν, παρακαλώ δεόμενος. Ελέησον Αγνή, ότι υπερήράν μου, κεφαλήν άμαρτίαι, καί πτοούμαι Δέσποινα, τάς κολάσεις καί φρίττω, ικετηρίαν ποίησον σεμνή, πρός τόν Υιόν σου, εκ τούτων ρυσθήναί με.

Μετά τόν Πολυέλεον

Κάθισμα  Ήχος δ'
Κατεπλάγη Ιωσήφ

Θεία ψήφω τής Χριστού, ποίμνης αξίως γεγονώς, Αξιάγαστε ποιμήν, οίά περ λύκους εξ αυτής, εν τή σφενδόνη τών λόγων σου απεδίωξας, ελέγχων αφειδώς, παρανομούντας σοφέ, υφ' ών καί έλαθείς, φθόνω Χρυσόστομε, μακράν οδόν διήνυσας στερρόφρον, υπέρ αυτής εν ή τέθνηκας, αλλ' επανήλθες πρός Βασιλίδα, νέμων θεία χαρίσματα.

Δόξα... τό αυτό

Καί νύν... Θεοτοκίον

Κατεπλάγη Ιωσήφ, τό υπέρ φύσιν θεωρών, καί ελάμβανεν εις νούν, τόν επί πόκον υετόν, εν τή ασπόρω συλλήψει σου Θεοτόκε, βάτον εν πυρί ακατάφλεκτον, ράβδον Ααρών τήν βλαστήσασαν, καί μαρτυρών ο Μνήστωρ σου καί φύλαξ, τοίς ιερεύσιν εκραύγαζε. Παρθένος τίκτει, καί μετά τόκον, πάλιν μένει Παρθένος.

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί Αντίφωνον Α'

Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.

Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον Ήχος δ'

Τό ατόμα μου λαλήσει σοφίαν, καί η μελέτη τής καρδίας μου σύνεσιν.

Στίχος. Ακούσατε ταύτα, πάντα τά Έθνη, ενωτίσασθε πάντες οι κατοικούντες τήν οικουμένη.

Τό, πάσα πνοή. Ευαγγέλιον. Ο Ν'

Δόξα... Ήχος β'

Σήμερον σκιρτώσιν εν Πνεύματι, Αρχιερέων δήμοι, σύν ημίν τελούντές σου τήν μνήμην Ιεράρχα, Χρυσόστομε Όσιε, φωστήρ τής Εκκλησίας.

Καί νύν... Ταίς τής Θεοτόκου...

Είτα Στίχος, Ελέησόν με ο Θεός...

Καί ψάλλομεν τό Ιδιόμελον

Ήχος πλ. β'

Σάλπιγξ χρυσόφωνος ανεδείχθης, χρυσορρήμον Χρυσόστομε, χρυσουργών τάς καρδίας τών πιστών, τοίς χρυσεπόνοις σου διδάγμασι, προφητικώς γάρ εξήλθεν ο φθόγγος τών δογμάτων σου, Όσιε Πάτερ, καί κόσμου παντός τά πέρατα εφώτισεν.

Οι Κανονες, τής Θεοτόκου μετά τών Ειρμών εις ς' καί τού Αγίου οι δύω εις η'.

Κανών τής Θεοτόκου, ού η ακροστιχίς.

Χαίροις χαράς σκήνωμα, τής λύπης λύσις. Ωδή Ιωάννου.

Ωδή α'  Ήχος πλ. δ'  Ο Ειρμός

«Αρματηλάτην Φαραω εβύθισε, τερατουργούσα ποτέ, Μωσαϊκή ράβδος, σταυροτύπως πλήξασα, καί διελούσα θάλασσαν, Ισραήλ δέ φυγάδα, πεζόν οδίτην διέσωσεν, άσμα τώ Θεώ αναμέλποντα».

Χαίρε κατάρας παλαιάς η λύτρωσις, καί ευλογίας πηγή, χαίρε ζωής Μήτηρ, Άδου η καθαίρεσις, θανάτου η αναίρεσις, χαίρε λύσις τής λύπης, χαράς χωρίον ευρύχωρον, χαίρε Θεοτόκε πανύμνητε.

Άρμα τού Λόγου λογικόν καί έμψυχον, χαίρε πανάμωμε, Δαυϊτικόν χαίρε, άρμα πολυώνυμον, άρ' μα μυριοπλάσιον, χαίρε η ασυγκρίτως, τών Χερουβίμ υπερέχουσα, καί τών Σεραφίμ υπερφέρουσα.

Ιερωτέρα νοερών Δυνάμεων, χαίρε Θεόνυμφε, χαίρε κτιστής πάσης, ανωτέρα φύσεως, χαίρε Θεού παλάτιον, χαίρε πύρινε θρόνε, χαίρε λυχνία πολύφωτε, χαίρε μυριώνυμε Δέσποινα.

Ράβδος εκ ρίζης Ιεσσαί βλαστήσασα, χαίρε αμόλυντε, χαίρε βλαστώ ράβδου, τής Ααρωνίτιδος, διαγραφείσα πρότερον, μυστικώς καί βαθέως, ως γάρ εκείνη τά κάρυα, ούτω τόν Χριστόν σύ εξήνθησας.

Κανών τού Αγίου

Ποίημα Θεοφάνους

Ωδή α'  Ήχος πλ. δ'

«Άσμα αναπέμψωμεν λαοί, τώ θαυμαστώ Θεώ ημών, τώ απαλλάξαντι τόν Ισραήλ εκ δουλείας, ωδήν επινίκιον άδοντες καί βοώντες. Άσωμέν σοι τώ μόνω Δεσπότη».

Πλούτον εναπέθου σή ψυχή, τόν θησαυρόν τού Πνεύματος, Πάτερ Χρυσόστομε, εξ ού τήν Εκκλησίαν πλουτίζεις τοίς λόγοις σου, ήτις σου επαξίως, εορτάζει επάνοδον θείαν.

Λόγοις κατεποίκιλας χρυσοίς, τήν ιεράν Χρυσόστομε, τής Εκκλησίας στολήν, ήν πρώην εξ αιμάτων, Χριστός προεξύφανεν, όθεν σου επαξίως, εορτάζει επάνοδον θείαν.

Πέτρα ανεδείχθης ακλινής, καί στύλος καί εδραίωμα, τής Εκκλησίας Χριστού, τού ακρογωνιαίου, εν ώ ωκοδόμησας, λόγους θεοσεβείας, ώσπερ λίθους σοφέ Ιεράρχα.

Θεοτοκίον

Μόνη απειρόγαμε σεμνή, Μαρία αειπάρθενε, Θεοτόκε Κυρία, αγνή εκλελεγμένη, εξαίρετε Δέσποινα, πάντων τών ποιημάτων, σέ ελπίδα κεκτήμεθα πάντες.

Έτερος Κανών τού Αγίου, ού η ακροστιχίς.

Τώ χρυσογλώττω, τρίτον εξάδω μέλος. Ιωσήφ.

Ωδή α'  Ήχος γ'

«Οτά ύδατα πάλαι, νεύματι θείω εις μίαν συναγωγήν συναθροί σας, καί τεμων θάλασσαν, Ισραηλίτη λαώ, ούτος ο Θεός ημών, δεδοξασμένος υπάρχει, αυτώ μόνω άσωμεν, ότι δεδόξασται».

Τό θεόφθογγον στόμα, τό χρυσόφωνον, η τών λόγων λαμπρότης, τόν εμόν λάμπρυνον, ταίς ικεσίαις σου νούν, όπως ανυμνήσω σου, τής επανόδου τήν μνήμην, Ιωάννη χάριτος, θείας φερώνυμε.

Ως αστήρ εωσφόρος, ως φαεσίμβροτος ήλιος, ως φωστήρ ευσεβείας, υπό γήν Όσιε, δύνας δεσμοίς φυσικοίς, αύθις εξανέτειλας, ημίν τοίς τέκνοις σου πέμπων, τών θαυμάτων άφθονα τά σελαγήματα.

Χρυσορρήμονι γλώττη, τών διδαγμάτων ενέπλησας, τήν υφήλιον πάσαν, καί χρυσοίς μέλεσι, τών ιαμάτων αυγάς, πάσιν εναπήστραψας, τών παθημάτων τό σκότος, αφανίζων Όσιε, τή επανόδω σου.

Θεοτοκίον

Ρητορεύων τά θεία, μοναδικόν τήν υπόστασιν, υφηγήσω τόν Λόγον, κάν διπλούς πέφηνεν, εκ τής Αγνής προελθών, σάρκα προσλαβόμενος, ήν ευλογούμεν απαύστως, καί πιστώς δοξάζομεν θείε Χρυσόστομε.

Καταβασία

«Χέρσον αβυσσοτόκον πέδον ήλιος, επεπόλευσέ ποτε, ωσεί τείχος γάρ επάγη, εκατέρωθεν ύδωρ, λαώ πεζοποντοπορούντι, καί θεαρέστως μέλποντι. Άσωμεν τώ Κυρίω, ενδόξως γάρ δεδόξασται».

Τής Θεοτόκου

Ωδή γ'  Ο Ειρμός

«Ουρανίας αψίδος, οροφουργέ Κύριε, καί τής Εκκλησίας δομήτορ, σύ με στερέωσον, εν τή αγάπη τή σή, τών εφετών η ακρότης, τών Πιστών τό στήριγμα, μόνε φιλάνθρωπε».

Ισχυρότατον όπλον, χαίρε πιστών Δέσποινα, χαίρε κραταιά προστασία, χαίρε αντίληψις, χαίρε βοήθεια, αμαρτωλών, χαίρε τείχος τών προσκαλουμένων σε, χαίρε τού κόσμου χαρά.

Σωτηρίας ανθρώπων, χαίρε στερρόν έρεισμα, χαίρε τού Αδάμ καί τής Εύας η επανάκλησις, δι' ής απέλαβον, τήν παλαιάν ευκληρίαν, χαίρε η ανοίξασα, πάλιν Παράδεισον.

Χαίρε άφλεκτε βάτε, χαίρε φωτός όχημα, χαίρε τού Ηλίου νεφέλη, χαίρε περίδοξε, καί περιλάλητε, τού Βασιλέως καθέδρα, χαίρε πόλις έμψυχε, Χριστού τού ζωντος Θεού.

Απειρόγαμε Μήτερ, χαίρε αγνή Δέσποινα, χαίρε η ανήροτος χώρα καί αγεώργητος, η γεωργήσασα, τόν Γεωργόν τών απάντων, χαίρε γή, αλήθειαν η ανατείλασα.

Τού Αγίου

Ουκ έστιν άγιος

Χρυσέοις διδάγμασι, κατεχρύσωσας σοφέ, τής Εκκλησίας τόν στέφανον, καί ταύτης εποίκιλας, τήν ευπρέπειαν Πάτερ, τώ κάλλει τών λόγων σου, διό σε κατ' αξίαν τιμά.

Μυρίζουσιν Όσιε, ώς περ κρίνα τού αγρού, οι ατμοί τών καμάτων σου, δι' ών ευηρέστησας, τώ Θεώ Ιεράρχα, κινδύνοις καί θλίψεσι, καί γή προσομιλήσας μακρά.

Ως άνθη μυρίζουσιν, οι τών λόγων σου καρποί, νοητώς αποστάζοντες, τόν θείον Χρυσόστομε, γλυκασμόν τής σοφίας, καί νύν ευωδιάζοντες, ημάς ταίς πρακτικαίς αρεταίς.

Θεοτοκίον

Αμέριστος έμεινας, εί καί σάρκα δι' εμέ, εκ Παρθένου εφόρεσας, διό καί εν δύω σε, προσκυνώ ταίς ουσίαις, καί δύω θελήσεσι, καί δύω ενεργείαις Χριστέ.

Έτερος τού Αγίου

Ο εκ μή όντων τα πάντα

Υπερορίας υπέκρυψέ σε μυχοίς, τόν λύχνον τόν πάμφωτον, Βασιλίς η τυφλώττουσα, Χριστός δ' υψηλότερον, εν τή λυχνία, καί πάλιν επανάγει.

Σταλάζων ρείθρα θαυμάτων καί ποταμους, προχέων ιάσεων, επανήλθες Χρυσόστομε, τοίς πιστώς τιμώσί σου, τής επανόδου τήν μνήμην Ιωάννη.

Ο χρυσορρόας Νείλος ο πλημμυρών, εν λόγοις εν θαύμασιν, επανήκε, συνδράμωμεν, πιστώς απαντλήσωμεν, αφθόνως πάντες εν πάσι κορεσθώμεν.

Θεοτοκίον

Γεώδης φύσις ού σθένει σε ανυμνείν, ήν Άγγελοι μέλπουσιν, ως Θεόν σωματώσασαν, πλήν πιστώς οι δούλοί σου, αποτολμώμεν υμνείν σε καί δοξάζειν.

Καταβασία

«Τό στερέωμα, τών επί σοί πεποιθότων, στερέωσον Κύριε τήν Εκκλησίαν, ήν

εκτήσω, τώ τιμίω σου αίματι».

Κάθισμα Ήχος πλ. δ'
Τήν Σοφίαν καί Λόγον

Τήν σοφίαν εξ ύψους καταμαθών, καί τήν χάριν τών λόγων παρά Θεού, τοίς πάσιν εξέλαμψας, ως χρυσός εν καμίνω, καί τήν Αγίαν Τριάδα, Μονάδα εκήρυξας, τήν φιλάργυρον πλάνην, τοξεύσας τοίς λόγοις σου, όθεν καί πρός ζήλον, βασιλίδα ελέγξας, αδίκως τής ποίμνης σου, απελάθης Μακάριε, Ιωάννη Χρυσόστομε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... τό αυτό

Καί νύν... Θεοτοκίον

Τής Τριάδος τόν ένα υπερφυώς, συλλαβούσα Παρθένε καί θαυμαστώς, τούτον απεκύησας, υπέρ λόγον καί έννοιαν, καί κοινωνόν τής θείας, κατέστησας φύσεως, τήν τών αaθρώπων φύσιν, τήν πάλαι εξόριστον, όθεν συνελθόντες, οι τώ τόκω σου πάντες, σωθέντες, Πανάμωμε, τοίς σοίς λόγοις επόμενοι, χρεωστικώς σε μακαρίζομεν, αιτούμενοι Χριστόν τόν Θεόν, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς σέ δοξάζουσι πίστει, ως Μητέρα αυτού.

Τής Θεοτόκου

Ωδή δ' Ο Ειρμός

«Σύ μου ισχύς, Κύριε, σύ μου καί δύναμις, σύ Θεός μου, σύ μου αγαλλίαμα, ο Πατρικούς κόλπους μή λιπών, καί τήν ημετέραν, πτωχείαν επισκεψάμενος, διό σύν τώ Προφήτη, Αββακούμ σοι κραυγάζω, Τή δυνάμει σου δόξα φιλάνθρωπε».

Ανατολή, τού Πατρικού απαυγάσματος, καί Ηλίου, τού εξανατείλαντος, πρό Εωσφόρου εκ τού Πατρός, χαίρε Θεοτόκε, νεφέλη κούφη καί έμψυχε, Παρθένε χαίρε Μήτηρ, χαίρε ευλογημένη, χαίρε δεδοξασμένη Πανάμωμε.

Σύ τό χρυσούν, θυμιατήριον Δέσποινα, τού αστέκτου, καί αϋλου άνθρακος, εν ώ εκαύθη διαρραγέν, τής αδαμιαίας, παρακοής τό χειρόγραφον, διό σοι χαίρε κράζω, δι' ής πάσιν εδόθη, η χαρά καί τρυφή καί απόλαυσις.

Σύ τών βροτών, δόξα καί κλέος καί καύχημα, καί Αγγέλων, στέφος καί διάδημα, διό η γή, καί ο ουρανός, μίαν Εκκλησίαν, στησάμενοι παναρμονιον, τό, Χαίρέ σοι βοώμεν, χαίρε Δέσποινα κόσμου, χαίρε πάντων ανθρώπων βοήθεια.

Κλίνη σεπτή, ήν Σολομών προδιέγραψε, κυκλουμένην, δυνατοίς εξήκοντα, χαίρε Παρθένε η κεχρυσωμένη, τού νοητού αγιάσματος, λαβίς η θεία χαίρε, χαίρε βάτε πυρφόρε, χαίρε πύλη καί κλίμαξ καί γέφυρα.

Τού Αγίου

Εξ όρους κατασκίου

Νέος Αβραάμ, εδείχθης Ιεράρχα, άλλον Ισαάκ, τόν βίον θυσιάσας, καί μυστικήν ολοκάρπωσιν ανενέγκας, εν τώ πυρί τής συνειδήσεως.

Σύ τόν Ιακώβ, ζηλώσας θεοφόρε, κλίμαξ πρακτικής, εδείχθης πολιτείας, τάς αναβάσεις τών θείων σου νοημάτων, εν τή καρδία σου τιθέμενος.

Ράβδω μυστική, τή γλώττη διασχίσας, όλην τής Γραφής, τήν άβυσσον Τρισμάκαρ, ως Μωϋσής διεβίβασας τούς ανθρώπους, πρός τήν επίγνωσιν τής πίστεως.

Θεοτοκίον

Χαίρε θησαυρέ, τής πάντων σωτηρίας, χαίρε νοερά, πηγή τών ιαμάτων, χαίρε τό άγιον όρος, ό ο Προφήτης, Θεογεννήτορ προεώρακεν.

Έτερος τού Αγίου

Εθου πρός ημάς

Λόγων ερασταί, τόν τών λόγων μέγαν Κοσμήτορα, λόγοις ιεροίς χαρμονικώς, επανιόντα δεύτε τιμήσωμεν, λόγους ματαιόφρονας, σοφία λόγων λήρους απελέγξαντα.

Ώλβισας ημάς, διδαγμάτων πλούτω Χρυσόστομε, χείρα δ' αναστέλλεις εμβριθώς, πλεονεξίας πλούτω τήν βρίθουσαν, ελέγχων τρανότατα, καί κατά νόμον, πλούτω θείας χάριτος.

Τόξον δυνατών, ιταμότης τύραννος τέθλασται, σύ δ' εν ασθενεία τής σαρκός, αγγελικώς βιούς υπερίσχυσας, ικέτας Χρυσόστομε, τούς πρίν διώκτας, έχων ιερώτατε.

Θεοτοκίον

Τάξεις νοεραί, υμνωδίαις Κόρη σέ μέλπουσιν, όν γάρ ουκ ισχύουσιν οράν, εκ τής αγνής νηδύος σου τέτοκας, σάρκα προσλαβόμενον, αναλλοιώτως, πάναγνε Θεόνυμφε.

Καταβασία

«Εκάλυψεν ουρανούς, η αρετή σου Χριστέ, τής κιβωτού γάρ προελθών,τού αγιάσματός σου, τής αφθόρου Μητρός, εν τώ ναώ τής δόξης σου, ώφθης ώς βρέφος, αγκαλοφορούμενος, καί επληρώθη τά πάντα τής σής αι νέσεως».

Τής Θεοτόκου

Ωδή ε'  Ο Ειρμός

«Ίνα τί με απώσω, από τού προσώπου σου τό φώς το άδυτον, καί εκάλυψέ με, τό αλλότριον σκότος τόν δείλαιον, αλλ' επίστρεψόν με, καί πρός τό φώς

τών εντολών σου, τάς οδούς μου κατεύθυνον δέομαι».

Νοεράν σατραπείαν, καί τυραννικήν εναέριον φάλαγγα, παρελθείν αλύπως, εν καιρώ τής εξόδου μου πάρεχε, ίνα σοι τό, Χαίρε, χαρμονικώς, Δέσποινα κράζω. Χαίρε πάντων ελπίς ακαταίσχυντε.

Ως χαράν συλλαβούσα, χαίρε υπεράμωμε, χαίρε υπέραγνε, χαίρε τής Αγνείας, πορφυρόχρουν άνθος ηδύπνοον, χαίρε παρθενίας, κακκοβαφές ερυθρόν ρόδον, καί Θεού τό ευώδες οσφράδιον.

Μυστική μυροθήκη, χαίρε τό ηδύπνοον μύρον η βρύουσα, χαίρε θεία κρήνη, η τό ύδωρ τό ζών αναβλύζουσα, χαίρε η τόν βότρυν, τόν τής ζωής καρποφορούσα, αγεώργητος άμπελος Δέσποινα.

Αδιόδευτε πύλη, χαίρε ήν διώδευσε Χριστός ο Κύριος. Παραδείσου πύλας, η ανοίξασα χαίρε τώ τόκω σου, χαίρε δι' ής χαίρει, ο ουρανός καί γή χορεύει, καί τά άνω τοίς κάτω συνάπτονται.

Τού Αγίου

Ο εκ νυκτός αγνοίας

Τήν Ιεράν στολήν σου, κατακοσμήσας τοίς άθλοις τών πόνων σου, έδειξας λαμπροτέραν, τήν Ιεραρχίαν Χρυσόστομε.

Αθλητικόν αγώνα, ιερομύστα γενναίως διήνυσας, πόλεσιν αοικήτοις, καί υπερορίαις στελλόμενος.

Τή αστραπή τών λόγων, τήν υπερκόσμιον γνώσιν εβρόντησας, Μύστα τών απορρήτων, υετούς δογμάτων ομβρήσας ημίν.

Θεοτοκίον

Άνευ φθοράς τεκούσα, Θεογεννήτορ τόν άσπορον τόκον σου, μόνη ώφθης Παρθένος, βρέφος υπομάζιον φέρουσα.

Έτερος τού Αγίου

Πρός σέ ορθρίζω

Ως έαρ ώφθης, ευωδιάζον μυστικώς, χαρίτων άνθεσι τών πιστών τά πλήθη, λύων κακών τόν χειμώνα Πάτερ, εν τή επανελεύσει σου.

Τό θείον ρείθρον, τών χαρισμάτων η πηγή, επανελήλυθεν, οιδιψώντες δεύτε ύδωρ ζωής, απαντλείτε πίστει, ενθέως ευφραινόμενοι.

Ρυέν εκρύβης, οίμοι! τό κάλλος τό εμόν, αλλ' επανήλθές μοι ποθητός εν χρόνω, η τού Χριστού Εκκλησία Πάτερ, βοά σοι επανήκοντι.

Θεοτοκίον

Ιλέωσαί μοι, τόν προελθόντα εκ τής σής, γαστρός Πανάμωμε, σαρκοφόρον Λόγον, όν εν ναώ Συμεών βαστάζων, ως Κτίστην εμεγάλυνεν.

Καταβασία

«Ως είδεν Ησαίας συμβολικώς, εν θρόνω επηρμένω Θεόν, υπ' Αγγέλων δόξης δορυφορούμενον, ώ τάλας! εβόα, εγώ, πρό γάρ είδον σωματούμενον Θεόν, φωτός ανεσπέρου, καί ειρήνης δεσπόζοντα».

Τής Θεοτόκου

Ωδή ς' Ο Ειρμός

«Τήν δέησιν, εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών, η ψυχή μου επλήσθη, καί η ζωή μου τώ Άδη προσήγγισε, καί δέομαι ως Ιωνάς. Εκ φθοράς ο Θεός με ανάγαγε».

Η έμψυχος χαίρε Δέσποινα κόχλος, η κογχύλη, σών αχράντων αιμάτων πορφυραυγή, ερυθράν αλουργίδα, τώ τού παντός Βασιλεί, πορφυρώσασα, τήν γύμνωσιν την τού Αδάμ, η σκεπάσασα χαίρε Πανύμνητε.

Στηρίζει μέν, τάς καρδίας ανθρώπων, φυσικώς ο αισθητός άρτος Κόρη. Χριστιανών, τάς ψυχάς δέ κρατύνει, τό σόν αδόμενον άγιον όνομα, εντεύθεν καί χαρμονικώς, πάσα γλώσσα τό χαίρε κραυγάζει σοι.

Λυχνία, η χρυσαυγίζουσα χαίρε, κιβωτός η θεοχώρητος, χαίρε σκηνή, χαίρε άγιον όρος, χαίρε τού ζώντος Θεού πόλις έμψυχε, παλάτιον χαίρε Χριστού, χαίρε τέμενος θείον πολύφωτον.

Υπέραγνε, υπεράμωμε χαίρε, τό τής φύσεως εξαίρετον άνθος, χαίρε Κοινή, τών ανθρώπων τού γένους, φιλοτιμία καί χάρις θεόσδοτος, τήν άτιμον φύσιν τών βροτών, η τιμήσασα χαίρε τώ τόκω σου.

Τού Αγίου

Ως τόν Προφήτην ερρύσω

Ώσπερ χρυσόν εκ μετάλλων, εκ τού βάθους σοφέ τής καρδίας σου, τά πάγχρυσα δόγματα ημίν εθησαύρισας, καί τά σά λόγια πλούτον κατέλιπες.

Τήν παναγίαν σου μνήμην, ο λαός εορτάζων Χρυσόστομε, δοξάζει τόν Κύριον, τόν σέ εκλεξάμενον, καί καλέσαντα, εις τάς αιωνίους σκηνάς.

Ει καί νεκρός εί εν τάφω, αλλά ζώνεντώ κόσμω Χρυσόστομε, κηρύττεις μετάνοιαν, καί γράφεις συγχώρησιν, εγγυώμενος, τοίς μετανοούσι θερμώς.

Θεοτοκίον

Τόν εν χερσί τής Παρθένου, καί εν κόλποις Πατρός καθεζόμενον, τόν σάρκα φορέσαντα, καί μείναντα άτρεπτον, προσκυνήσωμεν, ως Θεόν καί κυριον.

Έτερος τού Αγίου

Άβυσσος εσχάτη

Τέμνει σε τής Εκκλησίας Χριστού η έκφρων βασίλισσα, αποτόμως ελέγχουσα, αλλ' αυτίκα τέμνεται, σύ δέ ελέγχεις αθάνατα, τήν εξαίσιον προτομήν εργασάμενος.

Όργανον εδείχθης τού παντουργού, Χρυσόστομε Πνεύματος, υπηχούν εμμελέστατα, κωφεύει δ' η τύραννος, ως ασπίς πρός επάσματα, καί οικτρότατον, ανταλλάττεται θάνατον.

Νέκρωσιν κάν τέθνηκε μή παθείν, σαφώς ανεδίδαξε, Βασιλείς ο Χρυσόστομος, αυτών γάρ προστάγμασιν, απειθήσας τό πρότερον, ταίς δεήσεσιν, επανήκε τό δεύτερον.

Θεοτοκίον

Ένα σε τόν εκ Παρθένου νοών, κάν σάρκα προσείληφας, καί διπλούς εχρημάτισας, μακράν απερράπισε, καί τομήν καί τήν σύγχυσιν, ο Χρυσόστομος, Ιωάννης Θεάνθρωπε.

Καταβασία

«Εβόησέ σοι, ιδών ο Πρέσβυς, τοίς οφθαλμοίς τό σωτήριον, ό λαοίς επέστη. Εκ Θεού Χριστέ σύ Θεός μου».

Κοντάκιον

Ήχος α'  Χορός Αγγελικός

Εφράνθη μυστικώς, η σεπτή Εκκλησία, τή ανακομιδή, τού σεπτού σου λειψάνου, καί τούτο κατακρύψασα, ως χρυσίον πολύτιμον, τοίς υμνούσί σε, αδιαλείπτως παρέχει, ταίς πρεσβείαις σου, τών ιαμάτων τήν χάριν, Ιωάννη Χρυσόστομε.

Ο Οίκος

Η λαμπάς, η τών έργων μου στυγνή πέφυκεν, Ιωάννη Χρυσόστομε, καί δειλιώ πρός υπάντησιν τού ίερού σου σκήνους, αλλ' αυτός με οδήγησον, καί τάς τρίβους μου εύθυνον, μετανοίας παρέχων μοι καιρόν πανάγιε, ως αυτής κήρυξ ένθεος, καί τών παθών μου τών πολυτρόπων κατεύνασον ζάλην, καί παγίδων τού Βελίαρ αφαρπάσας με, εις τέλος σώσόν με, όπως υμνώ σου αξίως τήν θείαν επάνοδον, ως πρίν καί τήν κοίμησιν τολμήσας εδόξασα, Ιωάννη Χρυσοστομε.

Συναξάριον

Τή ΚΖ' τού αυτού μηνός, Η Ανακομιδή τού Λειψάνου τού εν Αγίοις Πατρός ημών Ιωάννου, Αρχιεπισκόπου Κωνσταντινουπόλεως τού Χρυσοστόμου.

Στίχοι

Νεκρός καθίζη, ώ Ιωάννη, θρόνω,
Αλλ' εν Θεώ ζών, πάσιν Ειρήνη, λέγεις.
Άπνουν εβδομάτη κόμισαν δέμας εικάδι χρυσούν.

Τή αυτή ημέρα, Η Αγία Μαρκιανή Βασίλισσα, η εν τοίς Αγίοις Αποστόλοις, εν ειρήνη τελειούται.

Στίχοι

Τήν Βασίλισσαν Μαρκιανήν εκ βίου,
Χριστός Βασιλεύς εξάγει Βασιλέων.

Τή αυτή ημέρα, ο Όσιος Κλαυδίνος εν ειρήνη τελειούται.

Στίχοι

Ψυχής ίδων σής κάλλος εξηρημένον,
Ο ψυχεραστής λαμβάνει σε Κλαυδίνε.

Τή αυτή ημέρα, ο Όσιος Πέτρος ο Αιγύπτιος εις βαθύ γήρας ελθών, εν ειρήνη τελειούται.

Στίχοι

Ως ώριμός τις σίτος εκ γήρως Πέτρε,
Οίνον ταμείω συγκομίζει τώ τάφω.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τής Θεοτόκου

Ωδή ζ'  Ο Ειρμός

«Θεού συγκατάβασιν, τό πύρ ηδέσθη εν Βαβυλώνι ποτέ, διά τούτο οιπαίδες εν τή καμίνω, αγαλλομένω ποδί, ως εν λειμώνι χορεύοντες έψαλλον. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών».

Η μόνη απείρανδρος, η μόνη άφθορος, χαίρε Δέσποινα, η Παρθένος καί Μήτηρ, η παιδοτόκος καί απειρόγαμος, τό ξένον χαίρε καί φρικτόν μυστήριον, χαίρε Αγγέλων τρυφή, χαίρε ανθρώπων χαρά.

Σιων πόλις έμψυχε, τού Βασιλέως τών Βασιλέων Χριστού, περί ής ελαλήθη, δεδοξασμένα χαίρε Θεόνυμφε, χαίρε η κλίμαξ, δι' ής μεταβαίνομεν, πρός ουρανόν από γής, καί εκ φθοράς εις ζωήν.

Λειμών θεοφύτευτος, ευώδης κήπος θεοβλαστούργητος, ανεδείχθης Παρθένε, αθανασίας άνθος ανθήσασα, διό συμφώνως τό χαίρέ σοι κράζομεν. Χαίρε χαράς χορηγέ, χαίρε πηγή γλυκασμού.

Υπέρτιμε Δέσποινα, εξ ατιμίας παθών με λύτρωσαι, ίνα σοι χαρμοσύνως, τό χαίρε κράζω, χαίρε αγνείας πηγή, χαίρε ταμείον πάσης καθαρότητος, χαίρε δοχείον Θεού, χαίρε χωρίον Χριστού.

Τού Αγίου

Ο τούς Παίδας δροσίσας-

Ακριβής επεγνώσθης θεηγόρος, καί κοινός αντιλήπτωρ τών εν τώ κόσμω, ημαρτη κότων, Όσιε, παρεγγυών τήν μετάνοιαν.

Ως χρυσός εν καμίνω τών κινδύνων, πυρωθείς Ιεράρχα ουκ εχωνεύθης, ού κατεφλέχθης, δοκιμασθείς γάρ έδειξας, υπεροβρύζους τούς πόνους σου.

Ουκ ενάρκησας νας, ουκ ησχύνθης ου προέκρινας, αδικίαν δικαιοσύνης Όσιε, καί μαρτυρεί ο τής χήρας αγρός.

Θεοτοκίον

Χαίρε κούφη νεφέλη, χαίρε πύλη, δι' ής μόνος διήλθεν, ο Θεός ημών Θεοτόκε, αφθόρω τόκω άσπορος, εκ σού Υιός γεννηθείς ου τραπείς.

Έτερος τού Αγίου

Ως πάλαι τούς ευσεβείς

Ξενούν τήν χήραν Σοφέ, ασύγγνωστον φάσκοντα, τών εξ αυτής ξένον σε ποιεί, εκ τής βασιλίδος η πάντολμος γυνή, ξένη θείας χάριτος, ξενώσει χρηματίσασα, τών σοφών διδαγμάτων σου.

Αλλ' επανήλθες ηδύς, ως ήλιος νέφεσιν, αποκρυβείς μέγιστε φωστήρ, καταφωσφορών φωταυγία μυστική, τών χρυσών δογμάτων σου, τούς φωτισθέντας άπαντας, Ιωάννη Χρυσόστομε.

Διαίρω σοι τάς εμάς, παλάμας Χρυσόστομε, περιβολαίς ένδον σε λαβείν, τόν νυμφαγωγόν, επανήκοντα λαμπρώς, φίλτρον ως χρόνιον, η Εκκλησία κράζει σοι, εορτάζουσα σήμερον.

Θεοτοκίον

Ως μυστική τις λαβίς, τόν άνθρακα φέρουσα, τόν νοητόν έρχη πρός, ναον, όν Συμεών λαμπρυνθήσεται χερσί, Πάναγνε δεξάμενος, καί τά τού πάθους σύμβολα, προφητεύσει σαφέστατα.

Καταβασία

«Σέ τόν εν πυρί δροσίσαντα, Παίδας θεολογήσαντας, καί Παρθένω, ακηράτω, ενοικήσαντα, Θεόν Λόγον υμνούμεν, ευσεβώς μελωδούντες. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών».

Τής Θεοτοκου

Ωδή η'  Ο Ειρμός

«Ευλογείτε παίδες, τής Τριάδος ισάριθμοι, δημιουργόν Πατέρα Θεόν, υμνείτε, τόν συγκαταβάντα Λόγον, καί τό πύρ εις δρόσον μεταποιήσαντα, καί υπερυψούτε, τό πάσι ζωήν παρέχον, Πνεύμα Πανάγιον, εις τούς αιώνας».

Ιεσσαί εκ ρίζης, χαίρε ράβδος βλαστήσασα, χαίρε αποτίστως ανθηφορούσα, άνθος τόν Χριστόν ωραίον, χαίρε πίον όρος, χαίρε κατάσκιον, χαίρε Θεού

όρος, εν ώ κατοικείν ο Λόγος, πάντων ηυδόκησε πρό τών αιώνων.

Σιδηρά σου ράβδω, κραταιάς αντιλήψεως, ως υλακτούντας κυνας, ως ωρυομένους θήρας, τά περικυκλούντα τήν ταπεινήν μου ψυχήν, αποσόβει πάθει, δεινώς με πολιορκούντα, ίνα τό χαίρέ σοι Παρθένε κράζω.

Ωραιώθης όλη, τόν ωραίον εν κάλλεσιν, υπέρ υιούς ανθρώπων, Χριστόν τεκούσα, η εν γυναιξίν ωραία, διό σοιτό χαίρε κράζομεν χαίροντες, χαίρε Θεοτόκε, Αγνη κεχαριτωμένη, χαίρε τής κτίσεως ενδοξοτέρα.

Δανιήλ ό είδεν, όρος πρίν αλατόμημον, Θεογεννήτορ χαίρε, εξ ού ετμήθη, ακρογωνιαίος λίθος. Χαίρε θεοδόχε, ανθρακοφόρε λαβίς, χαίρε τών αϋλων, Αγγέλων αγιωτέρα, χαίρε τής κτίσεως τιμιωτέρα.

Τού Αγίου

Οι θεορρήμονες Παίδες
Η θεορρήμων σου γλώσσα εν τώ κόσμω, ώσπερ χρυσήλατος σάλπιγξ, εξ ουρανού απηχήσασα, Ιεράρχα Κυρίου, την πλάνην απήλασε.

Ιερουργέ τών αρρήτων μυστηρίων, μυστιπόλε τών άνω, καί τής Τριάδος υπέρμαχε, ικετεύων, μή παύση, σωθήναι τήν ποίμνην σου.

Ως τή Τριάδι λατρεύων Ιεράρχα, καί χορώ τών Αγγέλων, συναυλιζόμενος Όσιε, ικετευων μή παύση, σωθήναι τούς δούλους σου.
Θεοτοκίον
Υπερφυώς εν γαστρί σου συλλαβούσα, τόν αγεώργητον βότρυν, Παρθενομήτορ εβλάστησας, επαξίως ούν πάντες, τό χαίρέ σοι κράζομεν.

Έτερος τού Αγίου

Αστέκτω πυρί
Μαστοίς εόσεβ, είας σε Πάτερ Όσιε, τήν θρέψασαν εκτρέφεις Εκκλησίαν, απονέμων επταπλασίω, άρτω θείας χάριτος, ταύτη θρέπτρα, γλεύκος προχέων, ώς πόμα δέ, τό τών ιαμάτων, παμμάκαρ Χρυσόστομε.

Εις πάσαν τήν γήν επεξήλθε, Πάτερ σου ο φθόγγος τών δογμάτων, αλλ' η έκφρων βασιλίς σε περιορίζειν, τοπικώς υπείληφεν, αλλ' εψεύσθη, σύ γάρ ως γίγας υψίδρομος, τό πάν περιλάμπεις, τών λόγων ταίς ακτίσι.

Λαμπρύνθητι σήμερον σύλλογος, Πιστών μετ' ευφροσύνης υπαντώντες, τώ προκρίτω τών διδασκάλων, ήκει γάρ εφέστηκε διανέμων, πάσι τήν χάριν τήν άφθονον, ής εμφορηθώμεν, γηθόμενοι πλουσίως,
Θεοτοκίον
Όρώ σε Μητρός εν αγκάλαις, οιδά σε δ' απρόσιτον θεότητος τή φύσει, πώς

ούν Λόγε χερσί κατέχη, ός χειρί τήν σύμπασαν έχεις κτίσιν, έφη Συμεών Θεάνθρωπε, τήν απόρρητόν σου, δοξάζων δυναστείαν.

Καταβασία

«Αστέκτω πυρί ενωθέντες, οι θεοσεβείας προεστώτες Νεανίαι, τή φλογί δέ μή λωβηθέντες, θείον ύμνον έμελπον. Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Τής Θεοτόκου

Ωδή θ'  Ο Ειρμός

«Έφριξε πάσα ακοή, τήν απόρρητον Θεού συγκατάβασιν! όπως ο Ύψιστος, εκών κατήλθε μέχρι καί σώματος, παρθενικής από γαστρός, γενόμενος άνθρωπος, διό τήν άχραντον, Θεοτόκον οι πιστοί μεγαλύνομεν».

Ιδού σε πάσαι γενεαί, μακαρίζουσι, τήν αειμακάριστον, ως προεφήτευσας, Θεογεννήτορ εκ θείου Πνεύματος, καί ως τεκούση τήν χαράν, τό χαίρε βοώσί σοι. Χαίρε ζωής θησαυρέ, χαίρε κρήνη, ψυχικόν μέλι βρύουσα.

Ώρθωσας Δέσποινα Αγνή, τού προπάτορος Αδάμ τό ολίσθημα, καί τής προμήτορος, Εύας τήν λύπην εις χαράν έτρεψας, ως ούν αιτία τής χαράς, τό χαίρε βοώμέν σοι. Χαίρε χαρά τών Πιστών. Χαίρε τών Χριστιανών αγαλλίαμα.

Άξιον χαίρέ σοι βοάν, εν σοί γάρ ουσιωδώς η αΐδιος, χαρά εσκήνωσε, Παρθένε Κόρη Θεογεννήτρια. Χαίρε Παράδεισε τρυφής, χαίρε η χρυσόρρειθρος, αθανασίας πηγή, χαίρε νέκταρ αληθές η προχέουσα.

Νύσσει μου βέλει γλυκερώ, τήν καρδίαν ο σός πόθος Πανύμνητε, καί εκβιάζει με, Χαίρέ σοι κράζειν διά παντός καί βοάν. Χαίρε γαλήνιε λιμήν, χαίρε η ποντίσασα, τόν νοητόν Φαραώ, γλυκυτάτη ευδιάβατος θάλασσα.

Τού Αγίου

Τόν προδηλωθέντα

Άλλος χρυσορρόας, εφάνης πάγχρυσε Πάτερ, τό χρυσούν γάρ στόμα, καί η γλυκειά σου γλώσσα, πλημμυρούσι τώ τών δογμάτων πελάγει, καί ψυχάς αυχμώσας καταρδεύουσι.

Θάλασσαν υπάρχουσαν, αδιάβατον Πάτερ την Γραφήν βατήν, καί πλευστήν απειργάσω τώ κόσμω, τώ ιστίω αναπετάσας τού λόγου, καί πρός γνώσιν άκλυστον ελάσας τόν νούν.

Σύ τής ακενώτου πηγής, αντλήσας τά ρείθρα, ποταμούς δογμάτων, τή Εκκλησία προχέεις, εξ ών άπαντες οι διψώντες αντλούμεν, νάματα χρυσόρρειθρα Χρυσόστομε.

Θεοτοκίον

Βάτον καιομένην πυρί, καί μή φλεγομένην, προσεώρα πάλαι, Μωσής Θεομήτορ Παρθένε, τήν θεόδεκτον προτυπών σου γαστέρα, υποδεξαμένην τό ακήρατον πύρ.

Έτερος τού Αγίου

Καινόν τό θαύμα

Στρατός Αγγέλων, δήμος Προφητών, Αποστόλων τε καί τών Μαρτύρων θείος χορός, ημίν συναγάλλονται φαιδρώς κοινωνούντες, τής Εορτής Παμμάκαρ, καί τόν ύμνον τών σών, οικείαν ηγούμενοι τήν χάριν, πάντων γάρ έσχες, εν σοί τόν βίον αποματτόμενος.

Ιδού τού κόσμου έλαμψε τό φώς, ο πανύψηλος εναπέφηνε θείος πυρσός, τό γλυκύρρουν πέλαγος, τών θείων χαρίτων, εμφορηθώμεν δεύτε τού φωτός αδελφοί, θαλφθώμεν, αρδεύσωμεν καρδίας, άσμασι πάντες, τόν Χρυσορρήμονα μεγαλύνοντες.

Ως οβολούς σοι δύω τήν ωδήν, απόρου μου καί δειλαίας Παμμάκαρ ψυχής, αγαθών παντοίων μέν, οικτρώς χηρευούσης, πόθου δέ θείου πλούτω προσαγαγούσης αυτήν, χρηστότητος μίμημα τής θείας, δέχοιο χάριν, αντιβραβεύων μοι πλουσιόδωρον.

Θεοτοκίον

Βαδίζων τρέμω, έφη Συμεών, τόν σαλεύοντα τή προσβλέψει δέ πάσαν τήν γήν, κατέχων ρωννύομαι, σόν τόκον Παρθένε, τής τρομεράς σαρκός δ' απολυόμενος, χρησμών μοι τών θείων αποβάντων, χαίρων κομίζω καί τοίς εν άδη, λύτρον τά ευαγγέλια.

Καταβασία

«Εν νόμω, σκιά καί γράμματι, τύπον κατίδωμεν οι πιστοί, πάν άρσεν τό τήν μήτραν διανοίγον, άγιον Θεώ, διό πρωτότοκον Λόγον, Πατρός ανάρχου Υιόν, πρωτοτοκούμενον Μητρί, απειράνδρω, μεγαλύνομεν».

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Αγάλλου πολις πόλεων, πασών η Βασιλεύουσα, ως τού καλού σου Ποιμένος, τού Ποιμενάρχου τό σκήνος, απολαβούσα σήμερον, τού σέ καί κόσμον άπαντα, ρυθμίζοντος καί σώζοντος, μελισταγούς Χρυσοστόμου, καί επικρότει τοίς ύμνοις.

Θεοτοκίον, όμοιον

Φρικτή η προστασία σου, Μαρία Θεοκόσμητε, καί φοβερά σου η δόξα, πάση τή γή Θεοτόκε, εις σέ γάρ νύν καυχώμεθα, σέ καί μεσίτην έχοντες, πρός τόν Υιόν καί Κτίστην σου, τή ακοιμήτω πρεσβεία, τή σή σωθείημεν πάντες.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'  Έδωκας σημείωσιν

Χρυσού τηλαυγέστερον, τά Ιερά σου διδάγματα, προχεόμενα πάνσοφε, πλουτίζει Χρυσόστομε, πενομένας φρένας, καί αποδιώκει, τών παθημάτων τήν αχλύν, φιλαργυρίας πικρόν χειμώνά τε, διό σε μακαρίζομεν, χρεωστικώς καί τήν κόνιν σου, τών λειψάνων σεβόμεθα, ως πηγήν αγιάσματος.

Αδίκως τής ποίμνης σου, απελαθείς Πάτερ Όσιε, προσωμίλησας θλίψεσι, πικραίς εξορίαις τε, εν αίς ηξιώθης, μακαρίου τέλους, οία γενναίος αθλητής, καταπαλαίσας τόν πολυμήχανον, διό τή επανόδω σου, η Εκκλησία αγάλλεται, ήν χρυσώ κατεκόσμησας, τών πανσόφων δογμάτων σου.

Ο στύλος ο πύρινος, ο ποταμός ο τοίς νάμασι, τών δογμάτων κατάρρυτος, ο νούς ο ουράνιος, τής θεολογίας, τό πάγχρυσον στόμα, αμαρτωλών εγγυητής, τής μετανοίας κήρυξ ο ένθεος, φωστήρ ο διαυγέστατος, ο επουράνιος άνθρωπος, ο μακάριος σήμερον, ανυμνείσθω Χρυσόστομος.

Κόσμον ώς βασίλειον, η Βασιλίς τό σόν λείψανον, δεξαμένη Χρυσόστομε, εν τούτω σεμνύνεται, καί εγκαυχωμένη, επί τοίς σοίς λόγοις τήν οικουμένην συγκαλεί, εις ευφροσύνην καί θείαν μέθεξιν, αφθόνων τών χαρίτων σου, μεγαλοφώνως κραυγάζουσα, Ιησού υπεράγαθε, σύ εί δόξα τών δούλων σου.

Δόξα... Ήχος δ'  Γερμανού

Πάτερ Χρυσόστομε, ως ποταμός θεόβρυτος, εκ τής Εδέμ μυστικώς εξερχόμενος, εις αρχάς τέσσαρας διαδραμών, σοίς λόγοις τής γής τά πέρατα, πάντα πιστόν κατήρδευσας, τή παγχρύσω διδασκαλία σου, διό τήν επάνοδον, σού τών θείων λειψάνων, ημίν σαφώς πολιτογραφήσας, πρεσβεύεις σωθήναι, τάς ψυχάς Ιωάννη, τών ανυμνούντων σε.

Καί νύν... Θεοτοκίον

Εκ παντοίων κινδύνων τούς δούλους σου φύλαττε, ευλογημένη Θεοτόκε, ίνα σε δοξάζωμεν, τήν ελπίδα τών ψυχών ημών.

Δοξολογία μεγάλη, καί Απόλυσις.

Εις τήν Λειτουργίαν, Τυπικά εκ τών Κανόνων τού Αγίου Ωδή γ' καί ς'.

Απόστολος.

Αδελφοί, τοιούτος ημίν έπρεπεν Αρχιερεύς...

Ευαγγέλιον κατά Ιωάννην.

Είπεν ο Κύριος, Εγώ ειμι η θύρα...

Κοινωνικόν.

Εις μνημόσυνον αιώνιον έσται Δίκαιος, Αλληλούϊα.

---

Αρχή

**ΤΗ ΚΗ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τού Οσίου Πατρός ημών Εφραίμ τού Σύρου.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχ. ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'
Τών ουρανίων ταγμάτων

Τού Παραδείσου τά κάλλη κατοπτρισάμενος, καί δαψιλώς τρυφήσας, ακηράτους λειμώνας, εξήνθησας τώ κόσμω, γνώσιν Θεού, ής μετέχοντες Όσιε, πνευματική διαθέσει τή τών ψυχών, αναθάλλομεν εν πνεύματι.

Τήν τού Κριτού παρουσίαν Ιστορησάμενος, τοίς τών δακρύων ρείθροις, τών ψυχών τάς λαμπάδας, ανάπτειν εκδιδάσκεις, πάσι βοών, τού Νυμφίου τήν έλευσιν, Περιβαλώμεθα πάντες στολήν λαμπράν, υπαντήσαι τώ Νυμφίω Χριστώ.

Τή εγκρατεία τό σώμα περιφραξάμενος, τάς τών παθών κινήσεις, απενέκρωσας Πάτερ, ευχαίς καί αγρυπνίαις, όθεν έν σοί, η τού Πνεύματος δύναμις, επισκιάσασα έδειξε νοητόν, σέ φωστήρα καί παγκόσμιον.

Δόξα... Ήχος πλ. β'

Εμφρόνως τών οχληρών τού βίου επαναστάς, Εφραίμ αοίδιμε, φιλησυχία την έρημον κατέλαβες, καί δι' αυτής πρός Θεόν πρακτικώς αναγόμενος, τώ κόσμω έλαμψας φωστήρ, καί ρήματα ζωής τοίς ανθρώποις επήγασας, διό μή παύση εν ταίς ευχαίς σου στηρίζων ημάς, εκ βλάβης τού αλλοτρίου, ρυσθήναι τάς ψυχάς ημών, Όσιε Πάτερ.

Καί νύν... Θεοτοκίον

Θεόν εκ σού σαρκωθέντα έγνωμεν, Θεοτόκε Παρθένε, αυτόν ικέτευε, σωθήναι τάς ψυχάς ημών.

Η Σταυροθεοτοκίον
Τριήμερος ανέστης Χριστέ

Ορώσά σε σταυρούμενον, Χριστέ η σέ κυήσασα, ανεβόα. Τί τό ξένον ο ορώ, μυστήριον Υιέ μου; πώς επί ξύλου θνήσκεις, σαρκί κρεμάμενος ζωής χορηγέ;

Αποστίχου, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος δ' Ανατολίου

Προφητικώς καταβρέχων τήν στρωμνήν τοίς δάκρυσι, καί μελέτην βίου ποιούμενος τήν μετάνοιαν, τής κρίσεως τόν φόβον έργοις ημίν, καί διά λόγων υπέδειξας. Διό τήν σήν τιμώμεν άπαντες, συνελθόντες Παμμάκαρμνήμην, παραδόξων πραγμάτων αυτουργέ, Εφραίμ αοίδιμε, καί νύν δυσωπούμέν σε. Πρέσβευε Χριστώ τώ Θεώ, υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον
Ως γενναίον εν Μάρτυσι

Κατακρίσεως ρύσαί με, Παναγία Θεόνυμφε, καί δεινών πταισμάτων, τήν

ταπεινήν μου ψυχήν, καί τού θανάτου απάλλαξον, ευχαίς σου καί δώρησαι, δικαιώσεως τυχείν, εν ημέρα ετάσεως, ής επέτυχον, τών Αγίων οι δήμοι μετανοία, καθαρθέντα με πρό τέλους, καί τών δακρύων ταίς χύσεσιν.

Η Σταυροθεοτοκίον

Τόν Αμνόν καί ποιμένα σε, επί ξύλου ώς έβλεψεν, η Αμνάς η τέξασα, επωδύρετο, καί μητρικώς σοι εφθέγγετο. Υιέ ποθεινότατε, πώς εν, ξύλω τού Σταυρού, ανηρτήθης μακρόθυμε; πώς τάς χείράς σου, καί τούς πόδας σου Λόγε προσηλώθης, υπ' ανόμων, καί τό αίμα, τό σόν εξέχεας Δέσποτα;

Απολυτίκιον Ήχος πλ. δ'

Ταίς τών δακρύων σου ροαίς, τής ερήμου τό άγονον εγεώργησας, καί τοίς εκ βάθους στεναγμοίς, εις εκατόν τούς πόνους εκαρποφόρησας, καί γέγονας φωστήρ, τή οικουμένη, λάμπων τοίς θαύμασιν, Εφραίμ Πατήρ ημών Όσιε. Πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, οι Κανόνες τής Οκτωήχου καί τού Αγίου εις ς', ού η ακροστιχίς.

Εφραίμ γεραίρω τόν νοητόν Ευφράτην. Θεοφάνους.

Ωδή α' Ήχος πλ. β'

«Ως εν ηπείρω πεζεύσας ο Ισραήλ, εν αβύσσω ίχνεσι, τόν διώκτην Φαραώ, καθορών ποντούμενον Θεώ, επινίκιον ωδήν, εβόα άσωμεν».

Ευφραντική επομβρία σών προσευχών, τήν ψυχήν μου άρδευσον ξηρανθείσαν τώ αυχμώ, τών παθών, καί λόγων μοι τήν σήν, ευφημούντι εορτήν, Παμμάκαρ έμπνευσον.

Φώς νοητόν απαστράψας φωτιστικός, ανεδείχθης ήλιος, φεγγοβόλοις αρεταίς, καί δογμάτων κάλλεσιν Εφραίμ, καταυγάζων τών Πιστών, άπαν τό πλήρωμα.

Ρείθροις δακρύων τήν φλόγα τήν τών παθών, κατασβέσας γέγονας, σκεύος τίμιον Εφραίμ, τού Αγίου Πνεύματος πηγάς, αναβλυζων διδαχών, θεομακάριστε.

Θεοτοκίον

Αδιαφθόρως τόν Λόγον εν σή γαστρί, δεξαμένη τέτοκας, τόν λυτρούμενον φθοράς, τούς αυτόν λατρεύοντας αεί, Μητροπάρθενε σεμνή, πυλη τής όντως ζωής.

Ωδή γ'

«Ουκ έστιν Άγιος ως σύ, Κύριε ό Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου Αγαθέ, καί στερεώσας ημάς, εν τή πέτρα, τής ομολογίας σου».

Ιλύος πάσης εμπαθούς, σεαυτόν εκκαθάρας, ανεδείχθης δοχείον αρετών ως αληθώς, καί σκεύος χωρητικόν, χαρισμάτων, τού Αγίου Πνεύματος.

Μηδόλως ύπνον οφθαλμοίς, δεδωκώς οίκος ώφθης, τής Αγίας Τριάδος, καί σοφίας θησαυρός, τόν κόσμον καταπλουτών, χρυσαυγέσι, δόγμασι Μακάριε.

Γνωρίζει άλλον σε Χριστού, η σεπτή Εκκλησία, χρυσορρόαν Ευφράτην, πελαγίζοντα σοφών, δογμάτων επιροαίς, καί τήν κτίσιν, πάσαν καταρδεύοντα.

Θεοτοκίον

Εν δύω φύσεσιν ο είς, τής Αγίας Τριάδος, εξ αγνών σου αιμάτων, σαρκωθείς θεοπρεπώς, προήλθε τούς εξ Αδάμ, διασώζων, Πάναγνε χρηστότητι.

Ο Ειρμός

«Ουκ έστιν Άγιος ως σύ, Κύριε ό Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου Αγαθέ, καί στερεώσας ημάς, εν τή πέτρα, τής ομολογίας σου».

Κάθισμα Ήχος πλ. α'

Τόν συνάναρχον Λόγον

Τόν θησαυρόν τής σοφίας τών μυστηρίων Χριστού, τόν κρατήρα τόν θείον τής κατανύξεως, ανυμνήσωμεν πιστοί, εν τή μνήμη αυτού, φερωνύμως γάρ αεί, τάς καρδίας τών πιστών, ευφραίνει έπεσι θείοις, Εφραίμ, ως πράκτωρ καί μυστής, τών τού Κυρίου αποκαλύψεων.

Δόξα... Καί νύν... Θεοτοκίον

Η θερμή προστασία καί απροσμάχητος, η ελπίς η βεβαία καί ακαταίσχυντος, τείχος καί σκέπη καί λιμήν τών προστρεχόντων σοι, αειπάρθενε Αγνή, τόν Υιόν σου καί Θεόν, ικέτευε σύν Αγγέλοις, ειρήνην δούναι τώ κόσμω, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Η Σταυροθεοτοκίον

Τώ Σταυρώ τού Υιού σου θεοχαρίτωτε, τών ειδώλων η πλάνη πάσα κατήργηται, καί τών δαιμόνων η ισχύς καταπεπάτηται, διά τούτο οι πιστοί, κατά χρέος σε αεί, υμνούμεν καί ευλογούμεν, καί Θεοτόκον κυρίως, ομολογούντες σέ μεγαλυνομεν.

Ωδή δ'

«Χριστός μου δύναμις, Θεός καί Κύριος, η σεπτή Εκκλησία θεοπρεπώς, μέλπει ανακράζουσα, εκ διανοίας καθαράς, εν Κυρίω εορτάζουσα».

Ρημάτων δύναμις, τών σών διέδραμεν, επί πάντα τόν κόσμον υψοποιώ, φέγγει ταπεινώσεως, τήν αβλεψίαν τών ψυχών, εκδιώκουσα Μακάριε.

Αμέμπτως ήνυσας, τόν βίον δάκρυσι, σεαυτόν αποπλύνας, καί τού Κριτού, πάσι τήν επέλευσιν, καθιστορών λόγοις σοφοίς, θεοφάντορ αξιάγαστε.

Ιδών σου Κύριος, τής ταπεινώσεως, τό περίδοξον ύψος υψοποιόν, λόγον σοι

χαρίζεται, δι ού αιρέσεων δεινά, τεταπείνωται υψώματα.

Ρωσθείς τή χάριτι, τού Παντοκράτορος, πρός αρχάς παρετάξω δαιμονικάς, Πάτερ καί νενίκηκας, υπέρ ημών εκδυσωπών, τών θερμώς ανευφημούντων σε.

Θεοτοκίον

Ως θείον τέμενος, ώς όρος άγιον, ως πηγήν αφθαρσίας, ως εκλεκτήν, μόνην χρηματίσασαν, τώ πλαστουργώ ημών Θεώ, τήν Παρθένον μακαρίσωμεν.

## Ωδή ε'

«Τώ θείω φέγγει σου αγαθέ, τάς τών ορθριζόντων σοι ψυχάς, πόθω καταύγασον δέομαι, σέ ειδέναι Λόγε Θεού, τόν όντως Θεόν, εκ ζόφου τών πταισμάτων ανακαλούμενον».

Ταίς τών δακρύων επιρροαίς, τό τών ηδονών ολοσχερώς, Πάτερ εξήρανας πέλαγος, καί τή αναβλύσει τών διδαγμάτων σου, αιρέσεων χειμάρρους Μάκαρ κατέκλυσας.

Ο νούς σου νεύσει τή πρός Θεόν, Πάτερ λαμπρυνόμενος Εφραίμ, θεοειδής όλος γέγονεν, έσοπτρον καθάπερ τού θείου Πνεύματος, αΰλους τάς εμφάσεις υποδεχόμενος.

Ναός εγένου χωρητικός, Πάτερ τής Τριάδος αληθώς, πεποικιλμένος τή χάριτι, καί τή διαυγία τών καθαρών αρετών, καί τή τών διδαγμάτων ακεραιότητι.

Θεοτοκίον

Νεκρόν με έδειξεν εν Εδέμ, γεύσις η τού ξυλου πονηρά, επιβουλή τή τού όφεως, σύ δέ ζωοδότην Χριστόν κυήσασα, εζώωσάς με μόνη θεοχαρίτωτε.

## Ωδή ς'

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι. Ανάγαγε, εκ φθοράς τήν ζωήν μου Πολυέλεε».

Ου ψάμμον θεμέλιον, αλλά πίστιν αρραγή, ο θεοφόρος θέμενος, ταίς τού εχθρού παντοίαις επιβουλαίς, ακλόνητος έμεινεν, αηττήτω δυνάμει κυβερνώμενος.

Η γλώσσά σου κάλαμος, οξυγράφου αληθώς, ως γραμματέως γέγονεν, υφηγουμένη γνώσιν πανευσεβή, πλαξίν εγχαράττουσα, καρδιών Πάτερ νόμον τόν τού Πνεύματος.

Τό σόν οι εκπλέοντες, τών δογμάτων γαληνόν, Εφραίμ θεόφρον πέλαγος, τρικυμιών λυτρούνται ψυχοβλαβών, καί ζάλης αιρέσεων, ανανεύοντες πίστει διασώζονται.

Θεοτοκίον

Ο πάσης επέκεινα, νοουμένης ως Θεός, καί ορωμένης κτίσεως, σωματωθείς προήλθεν εκ σής γαστρός, τηρήσας σε άφθορον, ώσπερ ής πρό τού τόκου σου Θεονύμφευτε.

Ο Ειρμός

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι. Ανάγαγε, εκ φθοράς τήν ζωήν μου Πολυέλεε».

Κοντάκιον Ήχος β'

Τά άνω ζητών

Τήν ώραν αεί, προβλέπων τής ετάσεως, εθρήνεις πικρώς, Εφραίμ ως φιλήσυχος, πρακτικός δέ γέγονας, εν τοίς έργοις διδάσκαλος Όσιε. Όθεν Πάτερ παγκόσμιε, ραθύμους εγείρεις πρός μετανοιαν.

Ο Οίκος

Ιχνηλατείν βουλόμενος, Πάτερ, τού Προδρόμου ταίς τρίβοις, εκ τού κόσμου μόνος αυτός απάρας, εις έρημον κατώκησας. Βλέπων σε ούν ούτω βιούντα ο εχθρός τόν δίκαιον, γύναιον πάνυ αναιδές κατά σού διεγείρει, οιόμενος διά τού αρχαίου όπλου τήν σήν ανδρείαν καταβαλείν, καί τήν αγνείαν μολύνειν σου, ίνα μή εν τοίς λόγοις καί έργοις σου ραθύμους εγείρης πρός μετάνοιαν.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΗ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Εφραίμ τού Σύρου.

Στίχοι

Ήκουσε γλώτταν ψαλμικώς, ήν ουκ έγνω,
Εφραίμ, άνω καλούσαν, ο γλώσσαν Σύρος.
Εικάδι ογδοάτη Νόες Εφραίμ θυμόν απηύρον.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Παλλαδίου.

Στίχοι

Κρείττων υπάρξας σαρκικών σκιρτημάτων,
Σκιρτά παρ αυτώ Παλλάδιος τώ πόλω.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Ιακώβου τού Ασκητού.

Στίχοι

Απήλθε σαρκός, ώσπερ έκ τίνος πάγης,
Ο σαρκός, Ιάκωβος ουχ αλούς πάγαις.

Τή αυτή ημέρα, αι άγιαι δύο Μάρτυρες, μήτηρ καί θυγάτηρ, ξίφει τελειούνται.

Στίχοι

Τή παιδί συγκλίνασα μήτηρ τήν κάραν,
Ξίφει συνεξέπνευσε τώ θυγατρίω.

Τή αυτή ημέρα, η αγία Χάρις τούς πόδας εκκοπείσα τελειούται.

Στίχοι

Πόδας Χάρις τμηθείσα, πρός Θεόν τρέχει.
Τούς ψυχικούς γάρ ου συνετμήθη πόδας.

Ταίς τών αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

«Δροσοβόλον μέν τήν κάμινον ειργάσατο, Άγγελος τοίς Οσίοις Παισί, τούς Χαλδαίους δέ κα ταφλέγον πρόσταγμα Θεού, τόν τύραννον έπεισε βοάν. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών».

Νομοθέτης Μοναζόντων ακριβέστατος, ώφθης σεβασμιώτατε, υπαλείπτης τε, πρός εχθρών παντοίων συμπλοκάς, διό σου τιμώμεν τό σεπτόν, καί ιερόν επί τής γής Πάτερ μνημόσυνον.

Εναρμόνιον τού Πνεύματος αοίδιμε, όργανον εχρημάτισας, υπηχούμενος, ταίς αυτού εκάστοτε πνοαίς, καί μέλος σωτήριον ημίν, τής μετανοίας μελωδούν, τοίς ανυμνούσί σε.

Θεοτοκίον

Υπέρ λόγον σου η σύλληψις Θεόνυμφε, Θεόν γάρ Λόγον τέτοκας, τόν ρυσάμενον, αλογίας πάντας τούς βροτούς, καί λόγον παρέχοντα βοάν. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Ωδή η'

«Εκ φλογός τοίς Οσίοις δρόσον επήγασας, καί Δικαίου θυσίαν ύδατι έφλεξας, άπαντα γάρ δράς Χριστέ, μόνω τώ βούλεσθαι. Σέ υπερυψούμεν, εις πάντας τούς αιώνας».

Φωτοφόρος ως άλλος εδείχθης ήλιος, διδαγμάτων ακτίνας πέμπων τοίς πέρασι, σκότος αφεγγές, εκμειώσας Μακάριε, πάσης αμαρτίας, φωτί τής μετανοίας.

Ρείθροις θείων δογμάτων περικυκλούμενος, ποταμός ως εξ άλλης Εδέμ πεπόρευσαι, πρόσωπον τής γής, καταρδεύων θεσπέσιε, καί τής ασεβείας, ζιζάνια συμπνίγων.

Θεοτοκίον

Αληθή Θεοτόκον ομολογούντές σε, τού Αγγέλου τό Χαίρε πίστει βοώμέν σοι, μόνη τήν χαράν, επί τής γής εκύησας, Κεχαριτωμένη, αεί ευλογημένη.

Ο Ειρμός

«Εκ φλογός τοίς Οσίοις δρόσον επήγασας, καί Δικαίου θυσίαν ύδατι έφλεξας, άπαντα γάρ δράς Χριστέ, μόνω τώ βούλεσθαι. Σέ υπερυψούμεν, εις πάντας τούς αιώνας»

Ωδή θ'

«Θεόν ανθρώποις ιδείν αδύνατον, όν ού τολμά Αγγέλων ατενίσαι τά τάγματα,

διά σού δέ Πάναγνε, ωράθη βροτοίς, Λόγος σεσαρκωμένος, όν μεγαλύνοντες, σύν ταίς ουρανίαις στρατιαίς σέ μακαρίζομεν».

Τρωθείς αγάπη τού Παντοκράτορος, όλον σαυτού τόν βίον, θρηνωδών διετέλεσας, εκβοών μετ' εκπλήξεως Όσιε, Άνες τά κύματά σου, Σώτερ τής χάριτος, ταύτην μοι πλουσίως συντηρών, εν τή μελλούση ζωή.

Ηδύς ο λόγος σου κατανύξεως, παρεκτικός καί πλήρης φωτισμού τοίς προστρέχουσι, θεοφόρε Εφραίμ αξιάγαστε, άμεμπτος δέ ο βίος, πάσαις κοσμούμενος, ταίς θεοφεγγέσιν αρεταίς, καί λαμπρυνόμενος.

Ναός τού Πνεύματος εχρημάτισας, καί ποταμός ναμάτων ζωη ρύτων πληρούμενος, Εκκλησίας θεμέλιος άσειστος, έρεισμα μοναζόντων, ρείθρον αέναον, θείας κατανύξεως, Εφραίμ αξιοθαύμαστε.

Θεοτοκίον

Νοείν ού δύναται νούς ανθρώπινος, τό υπέρ νούν τού τόκου σου Παρθένε μυστήριον, ο Θεός γάρ σκηνώσας εν μέσω σου, κλείθρα τής παρθενίας, ου παρεσάλευσε, μόνος ως επίσταται αυτός, ο ακατάληπτος.

Ο Ειρμός

«Θεόν ανθρώποις ιδείν αδύνατον, όν ού τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ Πάναγνε, ωράθη βροτοίς, Λόγος σεσαρκωμένος, όν μεγαλύνοντες, σύν ταίς ουρανίαις στρατιαίς σέ μακαρίζομεν».

Εξαποστειλάριον

Ο ουρανόν τοίς άστροις

Ως ποταμός υπάρχεις, ρείθρα χρυσόρρυτα βρύων, καί τούς λαούς διεγείρων, τής μετανοίας πρός τρίβον, Χριστόν ικέτευε Πάτερ, Εφραίμ σωθήναι τόν κόσμον.

Θεοτοκίον όμοιον

Ελπίς τών απηλπισμένων, καταφυγή Χριστιανών, πανύμνητε Θεοτόκε, τών θλιβομένων η χαρά, εκ πάσης θλίψεως ρύσαι, τούς αναξίους σου δούλους.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος β' Κυπριανού

Ώσπερ φοίνιξ δαυϊτικώς εξανθήσας Όσιε Πάτερ, τάς γλώσσας τών βλασφήμων εξέκοψας, εν τή μαχαίρα τών λόγων σου Εφραίμ, τάς αβύσσους τών παθών εξήρανας δι' εγκρατείας, όργανον ανεδείχθης τού Αγίου Πνεύματος, τού Σταυρού τό όπλον αναλαβών, Χριστόν απαύστως δυσώπει υπέρ ημών, τών επιτελούντων τήν πανέορτον μνήμην σου.

Καί νύν... Θεοτοκίον

Ότε, εκ τού ξύλου σε νεκρόν

Πάντων, θλιβομένων η χαρά, καί αδικουμένων προστάτις, καί πενομένων τροφή, ξένων τε παράκλησις, χειμαζομένων λιμήν, ασθενούντων επίσκεψις, καταπονουμένων, σκέπη καί αντίληψις, καί βακτηρία τυφλών, Μήτηρ τού

Θεού τού υψίστου, σύ υπάρχεις. Άχραντε σπεύσον, δυσωπούμεν ρύσασθαι τούς δούλους σου.

Η Σταυροθεοτοκίον

Ύβρεις, υπομείναντα πολλάς, καί επί Σταυρού υψωθέντα, τόν τού παντός Ποιητήν, βλέψασα Πανάχραντε, έστενες λέγουσα. Υπερύμνητε Κύριε, Υιέ καί Θεέ μου, πώς τιμήσαι θέλων σου, τό πλάσμα Δέσποτα, φέρεις εν σαρκί ατιμίαν, δόξα τή πολλή ευσπλαγχνία, καί συγκαταβάσει σου φιλάνθρωπε.

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΘ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Η Ανακομιδή τών Λειψάνων τού Αγίου Ιερομάρτυρος Ιγνατίου τού Θεοφόρου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'

Ως γενναίον εν Μάρτυσι

Θεολόγων ακρότητος, χρηματίσας διάδοχος, τοίς εκείνων ίχνεσιν ηκολούθησας, Ανατολής εξορμώμενος, καί Δύσει φαινόμενος, καί φωτίζων αστραπαίς, τού ενθέου κηρύγματος, ένθα Πάνσοφε, εκ τού κόσμου μέν έδυς, εις Θεόν δέ, εξανέτειλας τώ φέγγει, κατεστεμμένος τής χάριτος.

Ιερώς απεδόθη σου, τή σή πόλει τά λείψανα, Θεοφόρε πάνσοφε δι' αθλήσεως, αγιασθέντα λαμπρότερον, καί χάριτι στίλβοντα, τήν επάνοδον ημίν, πανηγύρεως πρόξενον, απειργάσατο, ευφροσύνης πληρούντα θεοπνεύστου, θυμηδίας εμπιπλώντα, τούς ευσεβώς σε γεραίροντας.

Αναλάμψας ως ήλιος, ταίς ακτίσι τού Πνεύματος, τά τού κόσμου πέρατα κατεφαίδρυνας, ταίς λαμπηδόσι τών άθλων σου, θερμώς προϊστάμενος καί συγγράφων αληθώς, ευσεβείας διδάγματα όθεν γέγονας, καί τροφή τώ Δεσπότη τώ τά πάντα, διατρέφοντι Παμμάκαρ, αδιαλείπτω χρηστότητι.

Εξ Εώας μέν πρότερον, Εωσφόρος Ιγνάτιε, εν Δυσμαίς διηύγασας φαεινότατος, νύν δέ τών θείων λειψάνων σου, έν τή επανόδω φαιδράς, τάς ακτίνας επί γής, αφ' εσπέρας εφήπλωσας, διό πρέσβευε, εκ φθοράς καί κινδύνων λυτρωθήναι, τούς εν πίστει εκτελούντας, τήν αεισέβαστον μνήμην σου.

Δόξα... Ήχος πλ. δ'

Θεοφόρε Ιγνάτιε, τόν σόν έρωτα Χριστόν ενστερνισάμενος, μισθόν εκομίσω, τής ιερουργίας τού Ευαγγελίου τού Χριστού, τό τελειωθήναι δι' αίματος, διό

σίτος γενόμενος τού αθανάτου Γεωργού, δι' οδόντων θηρίων ηλέσθης, καί άρτος ήδύς αυτώ ανεδείχθης, πρεσβεύων υπέρ ημών, Αθλητά μακάριε.

Καί νύν... Θεοτοκίον

Ώ τού παραδόξου θαύματος

Σώσόν με πάναγνε Δέσποινα, η τόν Σωτήρα Χριστόν, απορρήτως κυήσασα, σέ γάρ μόνην κέκτημαι, προστασίαν καί άρρηκτον, τείχος καί σκέπην, καί αγαλλίαμα, καί τής ψυχής μου, θείαν παράκλησιν, σύ ούν με λύτρωσαι, ακοιμήτου σκώληκος, καί τού πυρός, τού διαιωνίζοντος, Μήτερ Χριστού τού Θεού.

Η Σταυροθεοτοκίον

Τί τό ορώμενον θέαμα, ό τοίς εμοίς οφθαλμοίς, καθοράται ώ Δέσποτα; ο συνέχων άπασαν κτίσιν ξύλω ανήρτησαι; καί θανατούσαι, ο πάσι νέμων ζωήν, η Θεοτόκος κλαίουσα έλεγεν, ότε εώρακεν, εν Σταυρώ υψούμενον, τόν εξ αυτής, ασπόρως εκλάμψαντα, Θεόν καί άνθρωπον.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος α'

Ω τής στερράς καί αδαμαντίνου σου ψυχής, αξιομακάριστε Ιγνάτιε! σύ γάρ πρός τόν όντως σόν εραστήν, ανένδοτον έχων τήν έφεσιν έλεγες. Ουκ έστιν εν εμοί, πύρ φιλόϋλον, ύδωρ δέ μάλλον ζών, καί λαλούν εν εμοί, ένδοθέν μοι λέγον. Δεύρο πρός τόν Πατέρα. Όθεν θείω Πνεύματι πυρπολούμενος, θήρας ηρέθισας, κόσμου σε θάττον χωρίσαι, καί πρός τόν ποθούμενον παραπέμψαι Χριστόν. Αυτόν ικέτευε, σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Αμαρτωλών τάς δεήσεις προσδεχομένη, καί θλιβομένων στεναγμούς μή παρορώσα, πρέσβευε τώ εξ Αγνών λαγόνων σου, σωθήναι ημάς, Παναγία Παρθένε.

Η Σταυροθεοτοκίον

Τών ουρανίων ταγμάτων

Εν τώ Σταυρώ παρεστώσα τού σού Υιού καί Θεού, καί τήν μακροθυμίαν, τούτου αποσκοπούσα, έλεγες θρηνούσα, Μήτερ Αγνή. Οίμοι τέκνον γλυκύτατον! τί ταύτα πάσχεις αδίκως Λόγε Θεού; ίνα σώσης τό ανθρώπινον.

Απολυτίκιον  Ήχος δ'

Καί τρόπων μέτοχος, καί θρόνων διάδοχος, τών Αποστόλων γενόμενος, τήν πράξιν εύρες θεόπνευστε, εις θεωρίας επίβασιν, διά τούτο τόν λόγον τής αληθείας ορθοτομών, καί τή πίστει ενήθλησας μέχρις αίματος, Ιερομάρτυς Ιγνάτιε, Πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν οι Κανόνες τής Οκτωήχου καί τού Αγίου εις ς', ού η ακροστιχίς.

Ιγνάτιον τόν Εώον εν άσμασιν αστέρα μέλπω. Θεοφάνους.

Ωδή α'  Ήχος δ'

«Θαλάσσης τό ερυθραίον πέλαγος, αβρόχοις ίχνεσιν, ο παλαιός πεζεύσας Ισραήλ, σταυροτύποις Μωσέως χερσί, τού Αμαλήκ τήν δύναμιν, εν τή ερήμω ετροπώσατο».

Ιθύνας πρός αρετήν τόν βίον μου, φωτί καταύγασον, τής ενοικούσης χάριτος εν σοί, Θεοφόρε Ιγνάτιε, καί τών παθών τήν σύγχυσιν, ταίς σαίς πρεσβείαις διασκέδασον.

Γή ώσπερ γονιμωτάτη πέφηνας, εκατοστεύοντα, καρποφορών τόν σπόρον τώ Χριστώ, Θεοφόρε Ιγνάτιε, τώ τάς ψυχάς αρδεύοντι, τή έπομβρία τή τού Πνεύματος.

Νοήσας προγνωστική δυνάμει σου, τό ευγενές τής ψυχής, ο τού παντός Δεσπότης καί Θεός, Θεοφόρε Ιγνάτιε, μαρμαρυγαίς τού Πνεύματος, θεοφεγγέσι κατελάμπρυνεν.

Ακτίσι τού νοητού λαμπόμενος, Ηλίου πάνσοφε, Ανατολής εξώρμησας λαμπρώς, αισθητός ώσπερ ήλιος, τό ζοφερόν τής Δύσεως, περιαυγάζων τώ κηρύγματι.

Θεοτοκίον

Τριάδος τής υπερθέου Πάναγνε, τόν ένα τέτοκας, εκ σού σαρκί φανέντα καθ' ημάς, ευδοκία Γεννήτορος, καί συνεργεία Πνεύματος, τού παναγίου Θεονύμφευτε.

Ωδή γ'

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

Ιάτρευσόν μου τόν νούν, κεκακωμένον τοίς δεινοίς πάθεσι, τοίς τής σαρκός Ιγνάτιε, Μάρτυς τού Χριστού παναοίδιμε.

Ομόφρονά σε Χριστός, τών Αποστόλων εδ ειδώς τέθεικε, θείω φωτί λάμποντα, εν ταίς Εκκλησίαις διδάσκαλον.

Νεκρούμενον διά σέ, τόν Ζωοδότην καθορών έδραμες, τόν δι' αυτόν θάνατον, πόθω υποστήναι Ιγνάτιε.

Τόν Λόγον τόν τού Πατρός, προκαθαρθείσα ώ Σεμνή Πνεύματι, τής λογικής φύσεως, επ' ευεργεσία γεγέννηκας.

Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

Κάθισμα  Ήχος γ'
Θείας πίστεως

Θείω Πνεύματι πεφωτισμένος, θράσος τύραννον εν παρρησία, ποιμαντική μεγαλοφρόνως κατήσχυνας, καί εκπεράσας τής πλάνης τό πέλαγος, πρός τόν λιμένα τόν θείον κατήντησας, Πάτερ Όσιε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Θείας φύσεως ουκ εχωρίσθη, σάρξ γενόμενος εν τή γαστρί σου, αλλά Θεός ενανθρωπήσας μεμένηκεν, ο μετά τόκον Παρθένον Μητέρα σε, ως πρό τού τόκου φυλάξας πανάμωμον, μόνος Κύριος. Αυτόν εκτενώς ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Η Σταυροθεοτοκίον

Η αμίαντος Αμνάς τού Λόγου, η ακήρατος Παρθενομήτωρ, εν τώ Σταυρώ θεασαμένη κρεμάμενον, τόν εξ αυτής ανωδίνως βλαστήσαντα, μητροπρεπώς θρηνωδούσα εκραύγαζεν. Οίμοι τέκνον μου! πώς πάσχεις θέλων ρύσασθαι, παθών τής ατιμίας τόν άνθρωπον!

Ωδή δ'

«Επαρθέντα σε ιδούσα η Εκκλησία, επί Σταυρού τόν Ήλιον τής δικαιοσύνης, έστη εν τή τάξει αυτής, εικότως κραυγάζουσα, Δόξα τή δυνάμει σου Κύριε».

Ο Θεοφόρος καλούμενος φερωνύμως, τόν γάρ Χριστόν ενδέδυται διά πολιτείας, πάντας επαλείφει λαμπρώς, Μαρτύρων στερρότητα, πόθω τών στεφάνων εισδέξασθαι.

Νενευρωμένος Ιγνάτιε τή δυνάμει, τού εν Σταυρώ παγέντος υπέρ σού Θεοφόρε, θήρας καθηρέθισας, τού κόσμου χωρίσαι σε, πρός τόν σόν ποθούμενον έρωτα.

Ερασθείς τής ωραιότητος τού Δεσπότου, καί πρός αυτόν τήν έφεσιν ανένδοτον έχων, τούτου τά παθήματα, προθύμως εζήλωσας, μάρτυς Θεοφόρε Ιγνάτιε.

Ωραϊσμένος πορφύρα τών σών αιμάτων, Αρχιερεύς, καί χρίσματι τής ιερωσύνης, Μάρτυς διαλάμπων Χριστώ, κραυγάζεις γηθόμενος. Δόξα τή δυνάμει σου Κύριε.

Θεοτοκίον

Ο εκ μή όντων τά πάντα θεία δυνάμει, δημιουργών γεγέννηται εκ σού Θεομήτορ, κόσμον καταλάμπων φαιδρώς, ακτίσι θεότητος, καί θεογνωσίας λαμπρότησι.

Ωδή ε'

«Σύ Κύριέ μου φώς, εις τόν κόσμον ελήλυθας, φώς άγιον επιστρέφον, εκ ζοφώδους αγνοίας, τούς πίστει ανυμνούντάς σε».

Νύν πρόσωπον Χριστού, καθορών σύ πρός πρόσωπον, Ιγνάτιε τών εσόπτρων, αληθεία λυθέντων, ηνώθης σου τώ έρωτι.

Είλκυσας φωτισμόν, εκ πηγής φωτοδότιδος Ιγνάτιε, ταίς αχράντοις, σέ Χριστός γάρ παλάμαις, κρατήσας καθηγίασε.

Νούν Πνεύματι Θεού, κεκτημένος λαμπόμενον, Ιγνάτιε θεογράφους, επιστέλλεις ως πλάκας, τούς νόμους τούς τής χάριτος.

Θεοτοκίον

Ανωθέν σοι φωνήν, χαρμοσύνως εβόησεν, ο Άγγελος Θεοτόκε, τού Δεσπότου αφράστως, μηνύων σοι τήν σύλληψιν.

Ωδή ς'

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Σοφίας, ελληνικής διέλυσας δόγματα, τήν ενυπόστατον έχων, τού Θεού σοφίαν ιερομύστα, καί μετ, ήχου, τό τής πλάνης μνημόσυνον ώλεσας.

Μή παύση, υπέρ τών εκτελούντων τήν μνήμην σου, καθικετεύων Παμμάκαρ, πειρασμών ρυσθήναι χαλεπωτάτων, καί κινδύνων, Ιερεύς δεδειγμένος ευπρόσδεκτος.

Ανδρεία, καί φρονήσει διέπρεψας Όσιε, δικαιοσύνης τε κάλλει, Θεοφόρε Μάρτυς καί σωφροσύνης, καί τώ κύκλω τών αρετών, εφάνης κοσμούμενος.

Θεοτοκίον

Σε μόνην, τών ακανθών εν μέσω ευράμενος, ως καθαρώτατον κρίνον, καί κοιλάδων άνθος ώ Θεομήτορ, ο Νυμφίος, εκ τής γαστρός σου Λόγος προέρχεται.

Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Κοντάκιον Ήχος δ'

Επεφάνης σήμερον

Εξ Εώας σήμερον εξανατείλας, καί τήν κτίσιν άπασαν, καταλαμπρύνας διδαχαίς, τώ Μαρτυρίω κεκόσμηται, ο Θεοφόρος καί θείος Ιγνάτιος.

Ο Οίκος

Ιερεμίαν ο Θεός εκ μήτρας αγιάσας, καί πρό τού γεννηθήναι γινώσκων ως προγνώστης, δοχείον έσεσθαι αυτόν Πνεύματος Αγίου, εμπιπλά τούτον ευθύς, εκ νεαράς βιώσεως, καί Προφήτην τούτον, καί κήρυκα πάσιν αποστέλλει, προαγγέλλειν τήν αγίαν επί τής γής αυτού παρουσίαν. Τεχθείς ούν ο αυτός Θεός εκ Παρθένου, πρός τό κήρυγμα ελθών, εύρεν εκ βρέφους, άξιον αυτού τής χάριτος υποφήτην, τόν Θεοφόρον καί θείον Ιγνάτιον.

Συναξάριον

Τή Κθ' τού αυτού μηνός, Η Ανακομιδή τών Λειψάνων τού Αγίου Ιερομάρτυρος Ιγνατίου τού Θεοφόρου.

Στίχοι

Χάρις λέουσιν Ιγνάτιε παμβόροις,
Σού σώματος λιπούσι καί πιστοίς μέρος.
Τή ενάτη επάνοδος Ιγνατίω εικάδι τύχθη.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων επτά Μαρτύρων, τών εν Σαμοσάτοις τελειωθέντων, Φιλοθέου, Υπερεχίου, Αβίββου Ιουλιανού, Ρωμανού, Ιακώβου καί Παρηγορίου.

Στίχοι

Υπέρ προσηλωθέντος εν Σταυρώ Λόγου,
Επτά προσηλώθησαν Αθλητών κάραι.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Σιλουανού Επισκόπου, Λουκά Διακόνου, καί Μωκίου Αναγνώστου.

Στίχοι

Σιλουανός Λουκάς τε σύν Μωκίω,
Ήμβλυναν ορμάς καί λεόντων αγρίων.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Σαρβήλου καί Βεβαίας τής αδελφής αυτού, τών έν Εδέσση παθόντων.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Ιερομάρτυρος Βαρσιμαίου, Επισκόπου Εδέσσης.

Στίχοι

Δούς τήν βαρείαν σάρκα γή Βαρσιμαίος,
Σύνεστι βαστάσασιν ημέρας βάρος.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Αφραάτου.

Στίχοι

Ο σάρκα καί ζών νεκρός ών Αφραάτης,
Αιωνίως ζή, καί νεκρός φανείς άπνους.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

«Εν τή καμίνω Αβραμιαίοι Παίδες τή Περσική, πόθω ευσεβείας μάλλον ή τή φλογί, πυρπολούμενοι εκραύγαζον. Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε».

Ιερωσύνης, ηγλαϊσμένος μύρω Όσιε θείω, καί Μαρτύρων αίματι κοσμηθείς, αμφοτέρωθεν διέπρεψας, Ευλογημένος εί, ο Θεός μου κραυγάζων καί

Κύριος.

Νομοθεσία, καταφαιδρύνας κόσμον άπαντα, άρτω ουρανίω έθρεψας τούς πιστούς, τώ Δεσπότη σου κραυγάζοντας. Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε.

Ακτινοβόλοις, αυγαίς Παμμάκαρ φωτιζόμενος, αίγλης αρχιφώτου χύσει τε λαμπρυνθείς, τήν ουράνιον απείληφας, χαίρων απόλαυσιν, Θεοφόρε Μαρτύρων τό καύχημα.

Σίτος υπάρχων, Θεού ως έφης Παναοίδιμε, μύλαις κατηλέσθης Μάρτυς ταίς τών θηρών, καί τώ τρέφοντι τά σύμπαντα, θεία χρηστότητι, καθαρώτατος άρτος γεγένησαι.

Θεοτοκίον

Τό τού Υψίστου, ηγιασμένον θείον σκήνωμα χαίρε, διά σού γάρ δέδοται η χαρά, Θεοτόκε τοίς κραυγάζουσιν. Ευλογημένη σύ, εν γυναιξίν υπάρχεις Πανάμωμε.

Ωδή η'

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Εστώς επί βήματος σοφέ, Τριάδα άκτιστον, εθεολόγησας, νού καθαρότητι Άγιε, διανοίας τε λαμπρότητι, μή πτοηθείς τυραννικών θρόνων ωμότητα, αλλ' εβόας. Πάντα τά έργα υμνείτε τόν Κύριον.

Ρυθμίσας εμφρόνως σου τόν νούν, τοίς θείοις δόγμασι, μάκαρ Ιγνάτιε, τόν δεισιδαίμονα τύραννον, τής απάτης προϊστάμενον, τοίς σοφίας οχετοίς, άρδην κατέκλυσας, Ευλογείτε, πάντα τά έργα κραυγάζων τόν Κύριον.

Απείρω λαμπόμενος φωτί, τώ τής θεότητος Μάρτυς αήττητε, τής αθεότητος άστατον, εξηφάνισας σκοτόμαιναν, επιστολάς φωτοειδείς, πέμπων τοίς μέλπουσιν. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Θεοτοκίον

Μανίαν καί χάσματα θηρών, ουκ εδειλίασας, θείε Ιγνάτιε, η τού Υψίστου γάρ δύναμις, εκ Παρθένου ανατείλασα, τήν πανοπλίαν τού Σταυρού σέ περιέβαλεν, Ευλογείτε, πάντα τά έργα βοώντα τόν Κύριον.

Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Ωδή θ'

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος

ετμήθη, Χριστός συνάψας, τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Έρως ο θειότατος Μάκαρ, κατακρατήσας τής ψυχής σου, κόσμου τάς υλώδεις φροντίδας, πυρί αϋλω πάσας κατέφλεξε, καί ορεκτών ακρότητι, στεφανηφόρον σε κατέστησε.

Λιμένι λαμπρώς καθωρμίσθης, γαληνοτάτω Θεοφόρε, ζάλην τών κυμάτων εκφυγών, ορμάς αγρίων καί λογικών θηρίων, καί νύν τρυφάς λαβόμενος, τής αιωνίου απολαύσεως.

Ποικίλω κοσμούμενος στέφει, ιερομύστα διαπρέπεις, τής ιερωσύνης γάρ εν σοί, εις εν συνήλθε καί μαρτυρίου κλέος, καί δι' αμφοίν ώς μέτοχος, τού σού Δεσπότου συνδεδόξασαι.

Ως ιεροφάντωρ υπάρχων, τή παρρησία κεχρημένος, πρός τόν σόν Δεσπότην καί Θεόν, τούς εκτελούντας πίστει τήν μνήμην σου, εκ πειρασμών Ιγνάτιε, νύν λυτρωθήναι καθικέτευε.

Θεοτοκίον

Ως τών ουρανών πλατυτέρα, καί Χερουβίμ αγιωτέρα, πάσης τε τής κτίσεως αγνή, τιμιωτέρα Θεόν εκύησας, εν ταίς αγκάλαις φέρουσα, τόν Πατρικοίς κόλποις καθήμενον.

Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας, τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Εξαποστειλαριον

Γυναίκες ακουτίσθητε

Τούς πόθω εορτάζοντας, τήν σήν φαιδράν επάνοδον, Ιγνάτιε Θεοφόρε, Ιερομάρτυς παμμάκαρ λύτρωσαι πάσης θλίψεως, καί βλάβης τού αλάστορος, διδούς πταισμάτων άφεσιν, ως ειληφώς εξουσίαν, παρά Χριστού τού Σωτήρος.

Θεοτοκίον, όμοιον

Εν δύο ταίς θελήσεσι, καί φύσεσι Πανάμωμε, μιά δέ τή υποστάσει, τίκτεις Θεόν απορρήτως, τόν δι' ημάς πτωχεύσαντα, μέχρι Σταυρού θελήματι, καί ημίν χαρισάμενον, τόν τής θεότητος πλούτον, Θεοκυήτορ Παρθένε.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος α'

Στήλη έμψυχος, καί έμπνους εικών η ετήσιός σου επέστη Εορτή, Θεοφόρε Ιγνάτιε, τάς μυσταγωγίας σου καί τάς αριστείας σου κηρύττουσα, τήν υπέρ τής πίστεως μέχρις αίματος αντικατάστασιν, τήν μακαρίαν εκείνην καί αοίδιμον φωνήν, τήν, Ότι σίτός ειμι Θεού, λέγουσαν, καί δι' οδόντων θηρίων

αλήθομαι. Διό μιμητής τού πάθους τού Χριστού σου γεγονώς, πρέσβευε σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Πανεύφημοι Μάρτυρες

Νοσούσαν Πανύμνητε δεινώς, Τήν ψυχήν μου πάθεσιν, πονηροτάτοις θεράπευσον, η τόν ακέστορα, καί Σωτήρα πάντων, τόν Χριστόν κυήσασα, τόν πάσαν μαλακίαν ιώμενον, τόν τραυματίσαντα, διαβόλου τήν κακόνοιαν, καί θανάτου υμάς απαλλάξαντα.

Η Σταυροθεοτοκίον

Σφαγήν σου τήν άδικον Χριστέ, η Παρθένος βλέπουσα, οδυρομένη εβόα σοι, Τέκνον γλυκύτατον, πώς αδίκως θνήσκεις; πώς τώ ξύλω κρέμασαι, ο πάσαν γήν κρεμάσας τοίς ύδασι; Μή λίπης μόνην με, Ευεργέτα πολυέλεε, τήν μητέρα, καί δούλην σου δέομαι.

Η λοιπή ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Λ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Ιερομάρτυ Ιππολύτου, Πάπα Ρώμης.

Η Ακολουθία τούτου ψάλλεται εν τοίς Αποδείπνοις. Εις δέ τόν Εσπερινόν καί τόν Όρθρον ψάλλομεν τήν Ακολουθίαν τών Αγίων τριών Ιεραρχών, Βασιλείου τού Μεγάλου, Γρηγορίου τού Θεολόγου καί Ιωάννου τού Χρυσοστόμου. Εις τό Απόδειπνον η Ακολουθία τού Αγίου Ιππολύτου.

Ο Κανών, Ιωάννου Μοναχού.

Ωδή α'  Ήχος δ'

«Άρματα Φαραώ, καί τήν δύναμιν αυτού, έρριψεν εις θάλασσαν, ο κραταιός εν πολέμοις, άσωμεν αυτώ άσμα καινόν, ότι ενδόξως δεδόξασται».

Δεύτε μαρτυρικαίς, ευφημήσωμεν ωδαίς, τόν ιερομάρτυρα, θεοφεγγεί καθορώντες, χάριτι φαιδρώς εκλάμποντα, Χριστόν δοξάζοντες πάντοτε.

Σύ Ποίμνην λογικήν, πρός Χριστού εγχειρισθείς, τούτον εκμιμούμενος, προκινδυνεύων αρίστως Πάτερ, τήν ψυχήν προτέθεικας, καί διπλώ στεφάνω κεκόσμησαι.

Τώ ιερατικώ, εκ προστάγματος Θεού, τής αγαλλιάσεως, προκεχρισμένος ελαίω, τώ μαρτυρικώ Ιππόλυτε, επεσφραγίσθης δι' αίματος.

Θεοτοκίον

Άφλεκτον Μωϋσής, εν τώ όρει Σινά, βάτον εθεάσατο, σέ ζωγραφούσαν Παρθένε, αίγλη μή φλεχθείσαν θείου πυρός, καί γάρ Θεόν εκύησας.

Ωδή γ'

«Τόξον δυνατών ησθένησε, καί οι ασθενούντες, περιεζώσαντο δύναμιν, διά τούτο εστερεώθη, εν Κυρίω η καρδία μου».

Άρνας λογικούς εποίμανας, καί ώσπερ αρνίον, τών σών προβάτων προτέθυσαι, τόν απάντων Αρχιποίμενα, καί Θεού αμνόν μιμούμενος.

Γάλα λογικόν Ιππόλυτε, τούς ποιμαινομένους, θεοπνεύστως επότισας, τό Χριστού δέ τής μαρτυρίας, χαίρων πέπωκας ποτήριον.

Στίφους αθλητών ηγούμενος υπέρ ευσεβείας, υπέδυς τό μαρτύριον, ένα δοξάζων Θεόν Πατέρα, σύν τώ καί θείω Πνεύματι.

Θεοτοκίον

Χαίροις Μήτηρ απειρόγαμε, η τόν Θεόν Λόγον, εν γαστρί σου χωρήσασα, καί τεκούσα σεσαρκωμένον, ως Θεόν ομού καί άνθρωπον.

Κάθισμα Ήχος α'

Φωστήρ αειλαμπής, ανεδείχθης τώ κόσμω, φωτίζων αστραπαίς, τών ενθέων σου λόγων, ημών τήν διάνοιαν, Ιεράρχα Ιππόλυτε. Όθεν άπαντες, τήν ιεράν σου καί θείαν, μνήμην σήμερον, χαρμονικώς εκτελούμεν, καί πίστει γεραίρομεν.

Ωδή δ'

«Τής σής επί γής παρουσίας Χριστέ ο Θεός, προμηνύων ο προφήτης τήν έλευσιν, μετά χαράς εκραύγαζε. Δόξα τή δυνάμει σου Κύριε».

Τών αρετών σου ως πολύπλοκος η θεία σειρά, ως Ποιμήν γάρ καί Μάρτυς Ιππόλυτε, παρά Θεού τετίμησαι, σφόδρα εν αυτώ ευφραινόμενος.

Τήν προσφοράν τού Άβελ υπερβέβηκας, λογικούς γάρ προσενήνοχας άρνας Θεώ, καί τού οικείου αίματος, χαίρων τώ Δεσπότη απέσπεισας.

Αιρετιζόντων τήν παλίμφημον κακόνοιαν, διά τού Πνεύματος τρεψάμενος Μακάριε, Ιερομάρτυς άριστος, πόθω τού Δεσπότου γεγένησαι.

Θεοτοκίον

Ως είδον οι Άγγελοι Παρθένε Αγνή, εκ τής γαστρός σου προελθόντα τόν Υιόν τού Θεού, εν ευφροσύνη έλεγον. Δόξα τή κυήσει σου Δέσποινα.

Ωδή ε'

«Σύ Κύριέ μου φώς, εις τόν κόσμον ελήλυθας, φώς άγιον επιστρέφον, εκ ζοφώδους αγνοίας, τούς πίστει ανυμνούντάς σε».

Σύ Μάρτυς αληθώς, ιερεύσι γεγένησαι, καί Μάρτυσιν ιεράρχης, καί διτταίς απαστράπτεις, ταίς χάρισιν Ιππόλυτε.

Λίθοι μέν διαυγείς, εν χρυσώ διαπρέπουσιν Ιππόλυτε, τώ δέ φέγγει, τής σής

ιεραρχίας, η αίγλη τής αθλήσεως.

Μύθους ελληνικούς, ευσεβώς σύ διήλεγξας, ώ άριστε τών Μαρτύρων, καί παράνομον πλάνην, Εβραίων θεία χάριτι.

Θεοτοκίον

Σέ όπλον αρραγές, κατ' εχθρών προβαλλόμεθα, σέ άγκυραν καί ελπίδα, τής ημών σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

Ωδή ε'

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Τέθυκας, τώ Σωτήρι θυσίαν αινέσεως, εν Εκκλησία Οσίων, ως Θεού μεσίτης τε καί ανθρώπων, καί προθύμως, τήν ψυχήν σου προσήξας δι' αίματος.

Είληφας, χαρισμάτων πληθύν διά Πνεύματος Ιερομάρτυς θεόθεν, εν ανοίξει θείων χειλέων σου, καί προσάγεις, ευχαρίστως σαυτόν θανατούμενος.

Ως θείον, τών αθλητών σου Χριστέ τό σύστημα, τών εν ελπίδι κειμένων, ως παρόντων ήδη κατατρυφώντων, καί ηδίω, τής ζωής ηγουμένων τόν θάνατον.

Θεοτοκίον

Ω θαύμα, τών απάντων θαυμάτων καινότερον! ότι Παρθένος εν μήτρα, τόν τά σύμπαντα περιέποντα, απειράνδρως, συλλαβούσα ουκ εστενοχώρησε.

Ωδή ζ'

«Ο διασώσας εν πυρί, τούς Αβραμιαίους σου Παίδας, καί τούς Χαλδαίους ανελών, οίς αδίκως δικαίους ενήδρευσαν, υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων, ευλογητός εί»

Μαρτυρικαίς μαρμαρυγαίς, ιερατικαίς τε φωτίζεις Ιερομάρτυς πεφηνώς, τούς βοώντας Χριστώ εν τή μνήμη σου. Υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων, ευλογητός εί.

Τόν προγνωσθέντα τηλαυγώς, άθλον ιερώτατον Πάτερ, τού μαρτυρίου καθορών, εφεστώτά σοι χαίρων εκραύγαζες. Υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων, ευλογητός εί.

Ο τάς αικίας ενεγκών, υπό τής εμπύρου αγάπης, τού μαρτυρίου καρτερώς, παρρησία εβόα Ιππόλυτος. Υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων, ευλογητός εί.

Θεοτοκίον

Τήν αλοχεύτως εν γαστρί, καί υπερφυώς δεξαμένην, τόν αναλλοίωτον Θεόν, ευσπλαγχνία βροτοίς ενδημήσαντα, υπερύμνητον Δέσποιναν, επαξίως ευφημούμεν ως Θεοτόκον.

## Ωδή η'

«Τόν εν μορφή Αγγέλου οραθέντα, εν καμίνω πυρός τοίς υμνολόγοις, Χριστόν τόν Θεόν υμνείτε Παίδες, Ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Ως λιπαρά καί πίων η θυσία! ο καλός γάρ Ποιμήν, προβάτου δίκην προσάγεται, Χριστώ κραυγάζων. Ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Μαρτυρικώ στεφάνω εξαστράπτων, τή Εκκλησία σου Χριστέ, ο Ιεράρχης ανέτειλεν, Υμνείτε παίδες, γεγηθώς ανακράζων, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Τή τού απειλουμένου αποφάσει, ο τού Χριστού αθλητής, θανάτου χαίρων Ιππόλυτος, εβόα. Παίδες, τόν Χριστόν ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

### Θεοτοκίον

Τήν απορρήτως καί ασπορως συλλαβούσαν, καί τεκούσαν τήν χαράν, τή οικουμένη Χριστόν τον Θεόν, υμνείτε παίδες, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

## Ωδή θ'

«Ο τόκος σου άφθορος εδείχθη, Θεός εκ λαγόνων σου προήλθε, σαρκοφόρος, ός ώφθη επί γής, καί τοίς ανθρώποις συνανεστράφη, σέ Θεοτόκε, διό πάντες μεγαλύνομεν».

Ως πανευκλεής ιερομάρτυς, διττώ κατελάμπρυνας τώ φέγγει, τήν Χριστού Εκκλησίαν, καί ευφραίνεις τάς καρδίας τών σέ υμνούντων, όθεν σε πάντες, επαξίως μακαρίζομεν.

Πηγήν αναβλύσας διδαγμάτων, Παμμάκαρ Χριστού τή Εκκλησία, μαρτυρικών εξ αιμάτων, τούς κρουνούς ποταμηδόν τώ Θεώ προσφέρεις, όθεν σε πάντες, επαξίως μακαρίζομεν.

Εδίδαξας ένα θεηγόρε, Θεόν προσκυνείσθαι εν Τριάδι, Δημιουργόν απάντων, ορατών τε ποιημάτων καί αοράτων, μαρτυρικώ τε, εκοσμήθης διαδήματι.

### Θεοτοκίον

Αστράπτων σοι Άγγελος επέστη, καί μαργαρυγαίς τής παρθενίας, σφοδρώς σου αντηστράφθη, εαυτού ως τής οικείας επιλελήσθαι δόξης, τό Χαίρε, διό φόβω σοι εφθέγξατο.

## Στιχηρά Προσόμοια

### Ήχος α'
### Τών ουρανίων ταγμάτων

Ιερωσύνης τήν χάριν, Πάτερ δεξάμενος, θείαις διδασκαλίαις, κατεφώτισας πάντας Ιππόλυτε θεόφρον, καί ιεραίς, συγγραφαίς διεσάφησας, τών Προφητών θείους λόγους τρανών ημίν, τά εκείσε εμφερόμενα.

Ο μολογίας ενθέου, στέφει κοσμούμενος, καί τών αιμάτων λύθρω, τήν τής Ιερωσύνης, στολήν καταποικίλας, όλως λαμπρός, καί ωραίος παρέστηκας, τώ Βασιλεί
καί Δεσπότη καί ποιητή, παμμακάριστε Ιππόλυτε.

Δόξα...

Ως παρρησίαν Παμμάκαρ, πρός τόν Σωτήρα Χριστόν, νύν κεκτημένος πάντας, διάσωζε κινδύνων, τούς πίστει, σε τιμώντας, καί πειρασμών, καί δεινών περιστάσεων, καί εκ παθών καί πταισμάτων καί αναγκών, ευπροσδέκτοις ικεσίαις σου.

Καί νύν... Θεοτοκίον

Ραβδώ τής σής προστασίας, Θεοκυήτορ Αγνή, τά θηριώδη πάθη, τής αθλίας ψυχής μου, απέλασον εντεύθεν, ειρηνικώς, πρός ζωήν με ιθύνουσα, καί τή αγία σε Ποίμνη τών εκλεκτών, σού προβάτων συναρίθμησον.

## ΤΗ Λ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών εν Αγίοις Πατέρων ημών καί Οικουμενικών Διδασκάλων Βασιλείου τού Μεγάλου, Γρηγορίου τού Θεολόγου καί Ιωάννου τού Χρυσοστόμου.

### ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'

Ως γενναίον εν Μάρτυσιν

Εν τώ ύψει Βασίλειε, τής Χριστού αγαπήσεως, αναβάς κατώπτευσας τά απόρρητα, αυτού καί θεία μυστήρια, άπερ ανεκάλυψας, καί ετράνωσας λαοίς, ευσεβείας ως κήρυξ σοφός, διό πρέσβευε, εκ φθοράς καί κινδύνων λυτρωθήναι, τούς πιστώς εφεπομένους, τοίς σοίς διδάγμασιν Όσιε.

Τούς συνδέσμους διέλυσας, τών αιρέσεων Όσιε, τή σοφία λόγων καί τών δογμάτων σου, καί εις Ομόνοιαν ήθροισας, ορθοδόξου Πίστεως, τούς ευγνώμονας Χριστόν, ευφημούντας Γρηγόριε, όν ικέτευε, εκ φθοράς καί κινδύνων λυτρωθήναι, τούς πιστώς προσδεχομένους, τά σά θεόφθογγα δόγματα.

Αρραγή σε θεμέλιον, ο Χριστός υπεστήριξε, τή αυτού Εκκλησία Πάτερ Όσιε, τηρούντα ταύτην ασάλευτον, καί ακαταμάχητον, τών εχθρών ταίς προσβολαίς, θεορρήμον Χρυσόστομε, καί πρεσβεύοντα, εκ παθών ψυχοφθόρων λυτρωθήναι, τούς διψώντας τών σών λόγων, καί νοημάτων τό

πέλαγος.

Τής Τριάδος εκλόγια, ακηράτου λειμώνός τε, άνθη τά μυρίπνοα καί τερπνότατα, τού νοητού, ως υπάρχοντας, ακτίνας Ηλίου τε, καί φωτίσαντας τήν γήν, ταίς αυτών θείαις λάμψεσιν, ευφημήσωμεν, Ιωάννην τόν μέγαν σύν τώ θείω, Θεολόγω Γρηγορίω, καί τόν υψίνουν Βασίλειον.

Δόξα... Ήχος πλ. β'

Άνθρωποι τού Θεού, καί πιστοί ικέται, λειτουργοί Κυρίου, άνδρες επιθυμιών, σκεύη εκλογής, στύλοι καί στηρίγματα τής Εκκλησίας, βασιλείας κληρονόμοι, μή παρασιωπάτε, τού βοάν υπέρ ημών πρός Κύριον.

Καί νύν... Θεοτοκίον Ήχος πλ. β'

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής. Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος πλ. β'

Τριήμερος ανέστης Χριστέ

Η χάρις υπερίσχυσεν, η πίστις επεκράτησεν, επληρώθη, πάντα γνώσεως Θεού, διά τών Αποστόλων, διά τών Διδασκάλων, καί σωτηρίαν επλουτήσαμεν.

Στίχ. Καυχήσονται Όσιοι εν δόξη, καί αγαλλιάσονται επί τών κοιτών αυτών.

Ουράνια μυστήρια, ανθρώπινα μαθήματα, χαρισμάτων συνδρομή παντοδαπών, μετά κατορθωμάτων, νικώντων πάντα λόγον, τούς τρείς Αγίους εθαυμάστωσεν.

Στίχ. Οι Ιερείς σου Κύριε ενδύσονται, δικαιοσύνην καί οι όσιοί σου αγαλλιάσονται.

Βασίλειος ο ένθεος νούς, Γρηγόριος η θεία φωνή, Ιωάννης ο παγκόσμιος λαμπτήρ, οι τρείς τής ανωτάτω, θεράποντες Τριάδος, καί λειτουργοί συνδοξαζέσθωσαν.

Δόξα... Ήχος πλ. β'

Εύ δούλοι αγαθοί καί πιστοί, εύ εργάται τού αμπελώνος Χριστού, οι καί τό βάρος τής ημέρας βαστάσαντες, καί τό δεδομένον τάλαντον αυξήσαντες, καί τοίς μεθ' υμάς ελθούσι μή φθονήσαντες, διό ήνοικται πύλη βασιλείας υμίν. Εισελθόντες ούν εις τήν χαράν τού ποιήσαντος, πρεσβεύσατε υπέρ ημών, Άγιοι Διδάσκαλοι.

Καί νύν... Θεοτοκίον

Ουδείς προστρέχων επί σοί, κατησχυμμένος από σού εκπορεύεται, αγνή Παρθένε Θεοτόκε, άλλ, αιτείται τήν χάριν, καί λαμβάνει τό δώρημα, πρός τό συμφέρον τής αιτήσεως.

### Απολυτίκιον Ήχος δ'

Ως τών Αποστόλων ομότροποι, καί τής οικουμένης Διδάσκαλοι, τώ Δεσπότη τών όλων πρεσβεύσατε, ειρήνην τή οικουμένη δωρήσασθαι, καί ταίς ψυχών τό μέγα έλεος.

### Καί Απόλυσις

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετά τόν Προοιμιακόν Ψαλμόν, ψάλλομεν τήν α' στάσιν τού, Μακάριος ανήρ. Εις δέ τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

### Ήχος δ'
### Ως γενναίον εν Μάρτυσι

Τά τής χάριτος όργανα, τάς κιθάρας τού Πνεύματος, τάς ευσήμους σάλπιγγας τού κηρύγματος, τάς φοβερόν καί εξάκουστον, εξ ύψους ηχούσας βροντάς, καί τήν δόξαν τού Θεού, γνωριζούσας τοίς πέρασι, τούς τρείς Κήρυκας, τής μεγάλης Τριάδος, Ιωάννην καί Βασίλειον αξίως, σύν Γρηγορίω τιμήσωμεν. (Δίς)

Τής Τριάδος οι πρόμαχοι, ευσεβείας οι πρόβολοι, οι μετά τούς δώδεκα τρείς Απόστολοι, οι εξ Εδέμ αναβλύζοντες, τό ζών ύδωρ ποταμοί, καί τό πρόσωπον τής γής, ζωηρύτως ποτίζοντες, θείοις ρεύμασι, τά μεγάλα στοιχεία, τά τήν πίστιν, ώσπερ κτίσιν συνιστώντα, αξιοχρέως τιμάσθωσαν. (Δίς)

Ουκ εισί λαλιαί φησιν, ουδέ λόγοι λεγόμενοι, ών ουχί ακούονται αι ψωναί αυτών, εις πάσαν γήν γάρ καί θάλασσαν, ο φθόγγος εξέδραμε, τών ενθέων καί σοφών, Διδασκάλων τής κτίσεως, όθεν άριστα, τοίς αυτών θείοις νόμοις συγκροτείται, καί συνέχεται πρός μίαν, ορθοδοξίαν τά πέρατα.

Τά τού Πνεύματος όργανα, αληθείας τάς σάλπιγγας, τούς τού Λόγου Ρήτορας ευφημήσωμεν, φωναίς ασμάτων τοίς δόγμασιν, αυτών οι επόμενοι, ικετεύοντες αυτούς, παρρησίαν ως έχοντας, πρός τόν Κύριον, τού αιτήσαι ειρήνην σταθηράν μέν, εις αεί τή οικουμένη, ημίν δέ πάσι συγχώρησιν.

### Δόξα... Ήχος πλ. β'

Τάς μυστικάς σήμερον τού Πνεύματος σάλπιγγας, τούς θεοφόρους Πατέρας ανευφημήσωμεν, τούς μελωδήσαντας έν μέσω τής  Εκκλησίας, μέλος εναρμόνιον θεολογίας, Τριάδα μίαν απαράλλακτον, ουσίαν τε καί θεότητα, τούς καθαιρέτας Αρείου, καί Ορθοδόξων προμάχους, τούς πρεσβεύοντας πάντοτε Κυρίω, ελεηθήναι τάς Ψυχάς ημών.

### Καί νύν... Θεοτοκίον

Τίς μή μακαρίσει σε Παναγία Παρθένε; τίς μή ανυμνήσει σου τόν αλόχευτον

τόκον, ο γάρ αχρόνως εκ Πατρός εκλάμψας Υιός μονογενής, ο αυτός εκ σού τής αγνής προήλθεν, αφράστως σαρκωθείς, φύσει Θεός υπάρχων, καί φύσει γενόμενος άνθρωπος δι' ήμάς, ουκ εις δυάδα προσώπων τεμνόμενος, αλλ' εν δυάδι φύσεων, ασυγχύτως γνωριζόμενος. Αυτόν ικέτευε, σεμνή Παμμακάριστε, ελεηθήναι τάς ψυχάς ημών.

Είσοδος, τό Προκείμενον τής ημέρας καί τά Αναγνώσματα.

Δευτερονομίου τό Ανάγνωσμα
(Κεφ.1, 8-11, 15-17)

Είπε Μωσής πρός τούς υιούς Ισραήλ. Ίδετε παραδέδωκα ενώπιον υμών τήν γήν, εισελθόντες κληρονομήσατε τήν γήν, ήν ώμοσε Κύριος τοίς πατράσιν ημών, τώ Αβραάμ καί τώ Ισαάκ καί τώ Ιακώβ, δούναι αυτοίς αυτήν, καί τώ σπέρματι αυτών μετ' αυτούς. Καί είπον πρός υμάς εν τώ καιρώ  εκείνω λέγων. Ου δυνήσομαι μόνος φέρειν υμάς. Κύριος ό Θεός ημών επλήθυνεν υμάς, καί ιδού εστε σήμερον ως τά άστρα τού ούρ ανού τώ πλήθει. Κύριος ο Θεός τών Πατέρων ημών προσθείη ύμιν, ως εστέ, χιλιοπλασίως καί ευλογήσαι ημάς, καθότι ελάλησεν υμίν. Καί έλαβον εξ υμών άνδρας σοφούς, καί επιστήμονας, καί συνετούς, καί κατέστησα αυτούς ηγείσθαι εφ' υμών, χιλιάρχους, καί εκατοντάρχους, καί πεντηκοντάρχους, καί δεκάρχους, καί γραμματοεισαγωγείς τοίς Κριταίς ημών. Καί ενετειλάμην τοίς κριταίς υμών εν τώ καιρώ  εκείνω, λέγων.  Διακούετε ανά μέσον τών αδελφών υμών, καί κρίνετε δικαίως ανά μέσον ανδρός, καί ανά μέσον τού αδελφού αυτού, καί ανά μέσον τού προσηλύτου αυτού. Ούκ επιγνώσεσθε πρόσωπον εν κρίσει, κατά τόν μικρόν καί κατά τόν μέγαν κρινείς, ού μή υποστείλη πρόσωπον ανθρώπου, ότι η κρίσις τού Θεού εστιν.

Δευτερονομίου τό Ανάγνωσμα
(Κεφ. 10, 14-18, 20-21)

Είπε Μωσής πρός τούς uΙούς Ισραήλ. ιδού Κυρίου τού Θεού σου ο ουρανός, καί ο ουρανός τού ουρανού, η γή, καί πάντα όσα εστίν εν αυτοίς. Πλήν τούς Πατέρας ημών προείλετο Κύριος αγαπάν αυτούς, καί εξελέξατο τό σπέρμα αυτών μετ' αυτούς, υμάς παρά πάντα τά έθνη, Κατά τήν ημέραν ταύτην. Καί περιτεμείσθε τήν σκληροκαρδίαν υμών, καί τόν τράχηλον υμών ού σκληρυνείτε έτι. ο γάρ Κύριος ο Θεός ημών, ούτος Θεός τών θεών, καί Κύριος τών κυρίων, ο Θεός ο μέγας καί ισχυρός καί φοβερός, όστις ου θαυμάζει πρόσωπον, ού δ' ού μή λάβη δώρον, ποιών κρίσιν προσηλύτω, καί ορφανώ, καί χήρα, καί αγαπά  τόν προσήλυτον, δούναι αυτώ άρτον καί ιμάτιον. Κύριον τόν Θεόν σου φοβηθήση, καί αυτώ  μόνω  λατρεύσεις, καί πρός αυτόν κοληθήση, καί επί τώ  ονόματι αυτού ομή. Αυτός καύχημά σου, καί αυτός Θεός σου όστις εποίησέ σοι τά μεγάλα καί ένδοξα ταύτα, ά είδον οι οφθαλμοί σου.

Σοφίας Σολομώντος τό Ανάγνωσμα
(Κεφ. 3, 1- 9)

Δικαίων ψυχαί εν χειρί Θεού, καί ού μή άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι, καί ελογίσθη κάκωσις η έξοδος αυτών, καί η

αφ' ημών πορεία σύντριμμα, οι δέ εισιν εν ειρήνη. Καί γάρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Καί ολίγα παιδευθέντες, μεγάλα ευεργετηθήσονται, ότι ο Θεός επείρασεν αυτούς, καί εύρεν αυτούς αξίους εαυτού. Ως χρυσόν εν χωνευτηρίω  εδοκίμασεν αυτούς, καί ως ολοκάρπωμα θυσίας προσεδέξατο αυτούς. Καί εν καιρώ  επισκοπής αυτών αναλάμψουσι, καί ως σπινθήρες εν καλάμη διαδραμούνται. Κρινούσιν Έθνη, καί κρατήσουσι λαών, καί βασιλεύσει αυτών Κύριος εις τούς αιώνας. Οι πεποιθότες επ' αυτώ, συνήσουσιν αλήθειαν, καί οι πιστοί εν αγάπη, προσμενούσιν αυτώ, ότι χάρις καί έλεος εν τοίς Οσίοις αυτού, καί επισκοπή εν τοίς εκλεκτοίς αυτού.

Εις τήν Λιτήν, Στιχηρά Ιδιόμελα Νείλου τού Ξανθοπούλου.

Ήχος β'

Δεύτε τής ουρανίου Τριάδος οι λατρευταί, τήν επίγειον τριάδα, τών θείων Ιεραρχών ευφημήσωμεν, τόν Γρηγόριον, τής θεολογίας τόν επώνυμον, τόν Βασίλειον, τής βασιλείας τον φερώνυμον, καί Ιωάννην, τόν όντως χαριτώνυμον, τούς σοφίας βυθούς, τού Πνεύματος τά ρείθρα τά ωκεάνεια, τάς πηγάς τάς αεί βλυζούσας, τό ύδωρ τό ζών τό αλλόμενον, τούς διαυγείς μαργαρίτας, τούς επιγείους φωστήρας, τής Εκκλησίας τούς οίακας, τά αγλαόκαρπα δένδρα, τούς οικονόμους τής χάριτος, Χριστού μου τό στόμα, καί τής Τριάδος τούς υπερμάχους, τούς εξ αυτής αμέσως ελλαμπομένους, καί Πρεσβεύοντας απαύστως, υπέρ τών ψυχών ημών.

Ο αυτός

Τούς αναφθέντας άνθρακας, εκ τού αστέκτου πυρός, οι δι' αυτών φωτισθέντες, πιστώς ανευφημήσωμεν. Ούτοι γάρ τή πρός αυτό ενώσει εκπυρωθέντες, φωστήρες τού κόσμου εγένοντο, ζωτική τοίς πτωχοίς χρηματίζοντες δύναμις, Πατέρα καί Υιόν, καί Πνεύμα Άγιον, ευσεβώς ανακηρύττοντες, οίς καί ημείς προσείπωμεν. Χαίροις τριάδος, Τριάς η θεόσοφος.

Ήχος πλ. β'

Τού Δαυϊδ τήν σφενδόνην τήν τρίπλοκον, τού Σολομώντος σπαρτίον τό κόκκινον, τό τού Λόγου φραγγέλιον τρίπλοκον, τούς σοφούς Ιεράρχας, Βασίλειον τόν μέγαν, Γρηγόριον τόν θείον καί Ιωάννην τόν Χρυσόστομον, πιστώς ανευφημήσωμεν, τόν νοητόν γάρ Γολιάθ, τώ ακρογωνιαίω λίθω καταβαλόντες, τήν Πίστιν πρός ομόνοιαν ήγαγον, τώ ερυθραίω τού Χριστού περιτειχίσαντες αίματι, καί τούς θεοκαπήλους αιρεσιάρχας, τών περιβόλων τής θείας τού Χριστού Ποίμνης, μακράν απελάσαντες διά τών λόγων, καί έτι τήν πίστιν στηρίζουσι, καί πρεσβεύουσι Κυρίω, ελεηθήναι τάς ψυχάς ημών.

Ήχος πλ. δ'

Επεφάνη η χάρις τού Θεού πάσιν ανθρώποις, παιδεύουσα ημάς διά τών Διδασκάλων, τά ήθη κοσμηθέντας, τούς τρόπους βελτιωθέντας, θεογνωσίας αίγλη, τόν νούν περιλαμφθήναι, διό κράξωμεν. Τριάς αγία, Κυρία τού παντός, ταίς τών τριών σου Ποιμένων προσευχαίς, τό σόν ποίμνιον τούτο, εν ειρήνη συντήρησον, ασφαλώς καί αλύπως, καί σώσον ως φιλάνθρωπος.

Ήχος πλ. β'

Τριάς Αγία καί προσκυνητή, δόξα τή σοφή προνοία σου, ότι τρισσούς μεγάλους φωστήρας, τοίς ανθρώποις εξ ανθρώπων εχαρίσω, τώ φωτί λαμπαδουχούντας, τής σής επιγνώσεως, καί τή αίγλη φρυκτωρούντας, τών σωτηρίων σου καί σεπτών θελημάτων, δι' ών η οικουμένη, φώς γνώσεως πλουτούσα, τήν σήν δόξαν αυγάζεται, καί πρός τήν βασιλείαν σου τήν μακαρίαν σπεύδει, τούτων ημάς ταίς θείαις υπακούειν πείθουσα διδασκαλίαις, καί αυτή τών ευχών τών υπέρ ημών επάκουσον, ως Θεός πανοικτίρμων, καί τάς ψυχάς ημών σώσον φιλάνθρωπε.

Δόξα... Ήχος πλ. β'

Τούς Ιεράρχας τού Χριστού, καί τών Πατέρων κλέος, τής Πίστεως τούς πύργους, καί τών Πιστών Διδασκάλους καί φύλακας, συνελθόντες ώ φιλέορτοι, ασματικοίς εγκωμίοις, υμνήσωμεν λέγοντες. Χαίροις τής Εκκλησίας φωστήρ, Βασίλειε σοφέ, καί στύλε απερίτρεπτε. Χαίροις, ο νούς ο ουράνιος, Αρχιερεύ μέγιστε, Θεολόγε Γρηγόριε. Χαίροις, ώ Χρυσολόγε πάγχρυσε Ιωάννη, ο τής μετανοίας διαπρύσιος κήρυξ. Αλλ' ώ Πατέρες τρισόλβιοι, μή παυσησθε αεί πρεσβεύειν Χριστώ, υπέρ τών πίστει καί πόθω τελούντων υμών, τήν πανίερον, καί θείαν πανήγυριν.

Καί νύν... Θεοτοκίον

Ο αυτός

Τήν τών παρθένων καλλονήν, καί χαρμονήν τών Νόων, τήν μόνην Θεοτόκον, καί τών Πιστών αρραγές περιτείχισμα, συνελθόντες ώ φιλέορτοι, ασματικοίς εγκωμίοις, υμνήσωμεν λέγοντες. Χαίροις, Παρθενομήτορ Αγνή, Λυχνία χρυσαυγής, καί πύλη επουράνιε. Χαίροις σκηνή αγιάσματος, η τόν Θεόν χωρήσασα εν μήτρα σου Πανάχραντε. Χαίροις τών ουρανίων Ταγμάτων υπερτέρα, απάντων ασυγκρίτως. Διό Μητράναδρε Δέσποινα, μή λίπης φρουρούσα τούς δούλους σου, τούς ανυμνούντάς σε πίστει καί πόθω αεί, καί τόν τόκον σου προσκυνούντας τόν άσπορον.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Νείλου τού Ξανθοπούλου

Ήχος πλ. α' Χαίροις ασκητικών

Χαίροις Ιεραρχών η Τριάς, τής Εκκλησίας τά μεγάλα προπύργια, οι στύλοι τής ευσεβείας, ο τών πιστών εδρασμός, τών αιρετιζόντων η κατάπτωσις, Χριστού οι ποιμάναντες, τόν λαόν θείοις δόγμασι, καί ταίς ποικίλαις, αρεταίς οι εκθρέψαντες, οι τής χάριτος, διαπρύσιοι κήρυκες, νόμους οι προεκθέμενοι, Χριστού τώ πληρώματι, οι οδηγοί πρός τά άνω, τού Παραδείσου αι είσοδοι, Χριστόν καταπέμψαι, ταίς ψυχαίς ημών αιτείτε, τό μέγα έλεος.

Στίχ. Καυχήσονται Όσιοι εν δόξη, καί αγαλλιάσονται επί τών κοιτών αυτών.

Χαίροις Ιεραρχών η Τριάς, ουρανοβάμονες επίγειοι Άγγελοι, τού κόσμου η σωτηρία, η τών ανθρώπων χαρά, καί τής οικουμένης οι διδάσκαλοι, τού

Λόγου οι πρόμαχοι, ιατροί επιστήμονες, τών νοσημάτων, τής ψυχής καί τού σώματος, οι αείροοι, ποταμοί οι τού Πνεύματος, λόγοις οι καταρδεύσαντες, τής γής άπαν πρόσωπον, οι Θεολόγοι, αι Βάσεις, οι χρυσολόγοι οι ένθεοι, Χριστόν καταπέμψαι, ταίς ψυχαίς ημών αιτείτε, τό μέγα έλεος.

Στίχ. Οι Ιερείς σου Κύριε ενδύσονται, δικαιοσύνην καί οι όσιοί σου αγαλλιάσονται.

Χαίροις Ιεραρχών η Τριάς, τού επιγείου στερεώματος Ήλιος, ακτίνες καί δα δουχίαι, εκ τρισηλίου αυγής, τών εσκοτισμένων η ανάβλεψις τά άνθη τά εύοσμα, Παραδείσου τά κάλλιστα, ο Θεολόγος ο σοφός τε Βασίλειος, ο Χρυσόστομος, τά πυξία τού Πνεύματος. Πλάκες αι θεοχάρακτοι, μαζοί οι εκβλύζοντες, τής σωτηρίας τό γάλα, τό τής σοφίας αγλάϊσμα, Χριστόν δυσωπείτε, ταίς ψυχαίς ημών δοθήναι, τό μέγα έλεος.

Δόξα... Ήχος πλ. α'

Σαλπίσωμεν εν σάλπιγγι ασμάτων, χορεύσωμεν εόρτια, καί σκιρτήσωμεν αγαλλόμενοι, εν τή πανδήμω πανηγύρει τών Διδασκάλων ημών, Βασιλείς καί Άρχοντες συντρεχέτωσαν, καί τούς Ιεράρχας κροτείτωσαν εν ύμνοις, ως δογμάτων βλύσαντας, ποταμούς υπερμεγέθεις, τρείς καλλιρρόους αειζώους τού Πνεύματος, ποιμένες καί Διδάσκαλοι, τούς τής σεπτής Τριάδος, τρισσούς Ιερομύστας, συνελθόντες ευφημήσωμεν, οι φιλόσοφοι τούς σοφούς, οι Ιερείς τούς ποιμένας, οι αμαρτωλοί τούς προστάτας, οι πένητες τούς πλουτιστάς, οι εν θλίψεσι τούς παραμυθούντας, τούς συνοδίτας οι οδοιπόροι, οι εν θαλάσση τούς κυβερνήτας, οι πάντες τούς πανταχού θερμώς προφθάνοντας, θείους Αρχιεράρχας, εγκωμιάζοντες ούτως είπωμεν, Πανάγιοι Διδάσκαλοι, σπεύσατε εξελείν τούς πιστούς, εκ τών τού βίου σκανδάλων, καί ρύσαι κολάσεων, τών αιωνίων ημάς.

Καί νύν... Θεοτοκίον, όμοιον
Γερμανού Πατριάρχου

Σαλπίσωμεν εν σάλπιγγι ασμάτων, προκύψασα γάρ άνωθεν, η παντάνασσα Μητροπάρθενος, ταίς ευλογίαις καταστέφει τούς ευφημούντας αυτήν, Βασιλείς καί Άρχοντες συντρεχέτωσαν, καί τήν Βασιλίδα κροτείτωσαν εν ύμνοις, Βασιλέα τέξασαν, τούς θανάτω κρατουμένους πρίν, απολύσαι φιλανθρώπως ευδοκήσαντα, Ποιμένες καί Διδάσκαλοι, τήν τού καλού Ποιμένος υπέραγνον Μητέρα, συνελθόντες ευφημήσωμεν, τήν λυχνίαν τήν χρυσαυγή, τήν φωτοφόρον νεφέλην, τήν τών Χερουβίμ υπερτέραν, τήν έμψυχόν τε κιβωτόν, τόν πυρίμορφον τού Δεσπότου θρόνον, τήν μανναδόχον χρυσέαν στάμνον, τήν ζωηφόρον τού Λόγου πλάκα, απάντων Χριστιανών τό καταφύγιον, άσμασι θεηγόροις, εγκωμιάζοντες, ούτως είπωμεν. Παλάτιον τού Λόγου, αξίωσον τούς ταπεινούς ημάς, τής ουρανών βασιλείας, ουδέν γάρ αδύνατον τή μεσιτεία σου.

Απολυτίκιον  Ήχος α'

Τούς τρείς μεγίστους φωστήρας τής Τρισηλίου θεότητος, τούς τήν οικουμένην ακτίσι δογμάτων θείων πυρσεύσαντας, τούς μελιρρύτους ποταμούς τής

σοφίας, τούς τήν κτίσιν πάσαν θεογνωσίας νάμασι καταρδεύσαντας, Βασίλειον τόν μέγαν, καί τόν Θεολόγον Γρηγόριον, σύν τώ κλεινώ Ιωάννη, τώ τήν γλώτταν χρυσορρήμονι, πάντες οι τών λόγων αυτών ερασταί, συνελθόντες ύμνοις τιμήσωμεν, αυτοί γάρ τή Τριάδι, υπέρ υμών αεί πρεσβεύουσιν.

Έτερον  Ήχος δ'

Ως τών Αποστόλων ομότροποι, καί τής οικουμένης Διδάσκαλοι, τώ Δεσπότη τών όλων πρεσβεύσατε, ειρήνην τή οικουμένη δωρήσασθαι, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα  Ήχος δ'
Ταχύ προκατάλαβε

Φωστήρες υπέρλαμπροι, τής Εκκλησίας Χριστού, τόν κόσμον εφωτίσατε, ταίς διδαχαίς υμών, Πατέρες θεόσοφοι, τήξαντες τάς αιρέσεις, πάντων τών κακοδόξων, σβέσαντες τάς φλογώδεις, τών βλασφήμων συγχύσεις, διό ως Ιεράρχαι Χριστού, πρεσβεύσατε σωθήναι ημάς.

Δόξα... τό αυτό

Καί νύν... Θεοτοκίον

Παρθένε πανύμνητε, Μήτηρ Χριστού τού Θεού, Μαρία Θεόνυμφε, καί απειρόγαμε, Πιστών η αντίληψις, ρύσαι παντός κινδύνου, καί παντοίας ανάγκης, Δέσποινα Θεοτόκε, τούς εν πίστει καί πόθω, τή σκέπη σου προσφεύγοντας, μόνη Θεόνυμφε.

Μετά τήν β' Στιχολογίαν

Κάθισμα  Ήχος δ'
Κατεπλάγη Ιωσήφ

Εν λειμώνι τών Γραφών, καθάπερ μέλισσαι Σοφοί, προσιπτάμενοι υμείς, περιεδρέψασθε καλώς, καί τών ανθέων τά άριστα καί τό μέλι, πάσι τοίς πιστοίς τών διδαγμάτων υμών, προτίθεσθε ομού, εις πανδαισίαν αυτών, καί διά τούτο άπας γλυκαινόμενος, μετ' ευφροσύνης κραυγάζει. Πάρεστε πάλιν, καί μετά πότμον, τοίς υμάς ευφημούσι Μακάριοι.

Δόξα... τό αυτό

Καί νύν... Θεοτοκίον

Τρικυμίας τών παθών, ο ασυνείδητος εγώ, χειμαζόμενος Αγνή, επικαλούμαί σε θερμώς. Μή με παρίδης τόν δείλαιον απολέσθαι, άβυσσον ελέους η τέξασα, πλήν σου γάρ άλλην ελπίδα ού κέκτημαι. Μή ούν εχθροίς επίχαρμα

καί γέλως, ο πεποιθώς σοι οφθήσομαι, καί γάρ ισχύεις, όσα καί βούλει, ως Μήτηρ ούσα τού πάντων Θεού.

Μετά τόν Πολυέλεον

Κάθισμα Ήχος δ'
Επεφάνης σήμερον

Οι σοφοί Διδάσκαλοι, τής οικουμένης, οι Θεόν δοξάσαντες, έργοις καί λόγοις επί τής γής, μεγαλυνέσθωσαν σήμερον, ώς σωτηρίας ημίν όντες πρόξενοι.

Δόξα... όμοιον

Εορτάζει σήμερον η Εκκλησία, τήν σεπτήν πανήγυριν, τών Διδασκάλων τών τριών, καί γάρ αυτοί εστερέωσαν, τήν Εκκλησίαν αυτών θείοις δόγμασιν.

Καί νύν... Θεοτοκίον

Προστασία άμαχε, τών θλιβομένων, καί θερμή αντίληψις, τών πεποιθότων επί σέ, εκ τών κινδύνων με λύτρωσαι, σύ γάρ υπάρχεις, η πάντων βοήθεια.

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί Αντίφωνον Α'

Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.

Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον Ήχος δ'

Οι Ιερείς σου Κύριε ενδύσονται, δικαιοσύνην καί οι όσιοί σου αγαλλιάσονται.
Στίχ. Τό ατόμα μου λαλήσει σοφίαν, καί η μελέτη τής καρδίας μου σύνεσιν.

Τό, Πάσα πνοή. Ευαγγέλιον Ο Ν'

Δόξα... Ταίς τών Διδασκάλων...
Καί νύν... Ταίς τής Θεοτόκου...

Είτα Στίχος, Ελέησόν με ο Θεός...

Καί τό Στιχηρόν Ιδιόμελον
Ήχος πλ. β'

Εξεχύθη η χάρις εν χείλεσιν υμών, Όσιοι Πατέρες, καί γεγόνατε Ποιμένες τής τού Χριστού Εκκλησίας, διδάσκοντες τά λογικά πρόβατα, Πιστεύειν εις Τριάδα ομοούσιον, εν μιά θεότητι.

Οι Κανόνες, ο τής Θεοτόκου μετά τών Ειρμών εις ς' καί οι τών Αγίων εις

η'.

Κανών τής Θεοτόκου, Ποίημα Ιωάννου Ευχαϊτων, ού η ακροστιχίς, άνευ τύν Ειρμών.

Τούς προστρέχοντας εις σέ σώζε, Παρθένε.

Ωδή α' Ήχος β'
Ο Ειρμός
«Δεύτε λαοί, άσωμεν άσμα Χριστώ τώ Θεώ, τώ διελόντι θάλασσαν, καί οδηγήσαντι τόν λαόν όν ανήκε, δουλείας Αιγυπτίων, ότι δεδόξασται».

Τόν ευσεβώς, σέ Θεοτόκον κυρίως αγνήν, ομολογούντα Άχραντε, ψυχής καί σώματος, χαλεπών εκ κινδύνων, καί νόσων καί πταισμάτων, σύ με διάσωσον.

Όλην εν σοί, τών χαρισμάτων τήν άβυσσον, αποκειμένην έγνωμεν, διό προσφεύγοντες, Θεοτόκε προθύμως, τή σκέπη σου τή θεία, διασωζόμεθα.

Υπέρ ημών, τών σέ υμνούντων δυσώπησον, τόν σαρκωθέντα Πάναγνε, εκ τών αχράντων σου, καί τιμίων αιμάτων, ρυσθήναι εκ πταισμάτων, καί νοσημάτων πικρών.

Σέ οι πιστοί, καύχημα πάντες κεκτήμεθα, καταφυγήν καί στήριγμα, καί αγαλλίαμα, καί ψυχών σωτηρίαν, ελπίδα τε καί τείχος, θεοχαρίτωτε.

Κανών τών Αγίων. Ποίημα τού αυτού Ιωάννου ού η ακροστιχίς.

Τρισήλιον Φώς τρείς ανήψεν ηλίους.

Ωδή α'
Ήχος καί Ειρμός ο αυτός
Τίς αμοιβή; τίς ανταπόδοσις πρέπουσα, τοίς ημετέροις άνθρωποι, προσενεχθήσεται, παρ' ημών ευεργέταις; δι' ών πρός τό εύ είναι, χειραγωγούμεθα.

Ρητορικαί, γλώσσαι καί τέχναι καί μέθοδοι, καί πάσα λόγων δύναμις, νύν εις υπόθεσιν, συγκινείσθωσαν μίαν, καί τούς τετιμηκότας, αντιτιμάτωσαν.

Ίδιον μέν, ουδέν ηνέσχοντο κτήσασθαι, εν γή οι Ουρανόφρονες, φύλακες δ' ώφθησαν, τού κοινού καί προστάται, κοινών ούν καί τών ύμνων, καταξιούσθωσαν.

Θεοτοκίον
Σέ τήν κοινήν, φιλοτιμίαν Πανάμωμε, τής ημετέρας φύσεως, πάντες δοξάζομεν, χείλος έν γεγονότες, καί μίαν συμφωνίαν, αποτελέσαντες.

## Έτερος Κανών τών Αγίων

Ποίημα τού αυτού

Ωδή α'  Ήχος πλ. δ'

«Αρματηλάτην Φαραώ εβύθισε, τερατουργούσα ποτέ, Μωσαϊκή ράβδος, σταυροτύπως πλήξασα, καί διελούσα θάλασσαν, Ισραήλ δέ φυγάδα, πεζόν οδίτην διέσωσεν, άσμα τώ Θεώ αναμέλποντα».

Ουκ ανθρωπίνης τό παρόν εγχείρημα, σπουδής κατόρθωμα, αλλ' η τού σού θρόνου, πάρεδρος Φιλάνθρωπε, σοφία συνεργείτω μοι, λόγου χάριν διδούσα, δι' ής δοξάσαι δυνήσομαι, ούς αυτή καλώς προεδόξασεν.

Ώσπερ κρατήρ υπερερρύη Δέσποτα, η αγαθότης σου, καί ο πολύς πλούτος, τής φιλανθρωπίας σου, υπερχυθείς διώδευσεν, ως καί άλλους Αγγέλους, μετά σαρκός υποστήσασθαι, τούς νύν προκειμένους είς έπαινον.

Εξ ουρανού τοίς Ουρανίοις έπρεπε, καί τά εγκώμια. Αγγελικός ύμνος, τοίς θείοις αρμόδιος, θεοί γάρ κατά μέθεξιν, οιτόν φύσει καί μόνον, αληθινόν Θεόν έχοντες, ζώντα εν αυτοίς καί φθεγγόμενον.

Μνήμην Δικαίων ο θεόφρων σύλλογος, μετ' εγκωμίων τελεί, οίς η Θεού Μήτηρ, ως αυτών κεφάλαιον, εικότως συνδοξάζεται, τελευταίαν καί πρώτην, καί μέσην τάξιν επέχουσα, καί τής ευφημίας μετέχουσα.

Καταβασία

«Χέρσον αβυσσοτόκον πέδον ήλιος, επεπόλευσέ ποτε, ωσεί τείχος γάρ επάγη, εκατέρωθεν ύδωρ, λαώ πεζοποντοπορούντι, καί θεαρέστως μέλποντι. Άσωμεν τώ Κυρίω, ενδόξως γάρ δεδόξασται».

Τής Θεοτόκου

Ωδή γ'  Ο Ειρμός

«Στερέωσον ημάς εν σοί Κύριε, ο ξύλω νεκρώσας τήν αμαρτίαν, καί τόν φόβον σου εμφύτευσον, εις τάς καρδίας ημών τών υμνούντων σε».

Πρεσβείαις σου Αγνή Θεόν όν έτεκες, παράσχου ευΐλατον σοίς ικέταις, τοίς προστρέχουσι τή σκέπη σου, καί πιστώς προσκυνούσί σου τήν κύησιν.

Ρημάτων τής εμής ψυχής επάκουσον, Παρθένε, δεινώς εκταραττομένης, ήν ειρήνευσον Πανύμνητε, αεί ταύτην κινδύνων διασώζουσα.

Όλην μου τήν ζωήν διακυβέρνησον, Παρθένε ελπίς μου καί προστασία, πειρασμών καί περιστάσεων, λυτρουμένη δεινών με αειπάρθενε.

Σοφίαν τού Θεού τήν ενυπόστατον, αγκάλαις ως φέρουσα Θεοτόκε, εξ αγνοίας καί πλανήσεως, λυτρωθήναι τούς υμνούντάς σε ικέτευε.

Τών Αγίων

Εν πέτρα με τής πίστεως

Η σάλπιγξ η μεγάλη τής Εκκλησίας, ο λύχνος ο φωτίζων τήν οικουμένην, ο κήρυξ ο τώ φθόγγω περιλαμβάνων, πάντα τά πέρατα, ο μεγαλώνυμος, συγκροτεί τήν σύναξιν ταύτην Βασίλειος.

Λαμπρός από τού βίου καί τών πραγμάτων, λαμπρός από τού λόγου καί τών δογμάτων, εν πάσιν υπερλάμπων πάντας ως άλλοις, αστέρας ήλιος, ο πολυΰμνητος, Θεολόγος σήμερον μακαρίζεται.

Ιδού τό φώς τού κόσμου, τώ κόσμω φαίνει, ιδού τής γής τό άλας, τήν γήν ηδύνει. Ιδού τό ζωής ξύλον αθανασίας, καρπούς προβάλλεται, ο χρυσούς Άγιος, οι θανείν μή θέλοντες, δεύτε τρυφήσατε.

Θεοτοκίον

Ο πάντα εκ μή όντων όντα ποιήσας, καί φύσιν δούς εκάστω τών γενομένων, αυτός καί τάς δοθείσας φύσεις αμείβειν, οίδεν ως βούλεται, όθεν ακούεται, καί Παρθένος τίκτουσα, τίς ου θαυμάσεται;

Έτερος τών Αγίων

Ο στερεώσας

Οι τών ηθών διορθωταί, καί τών ψυχών οικονόμοι, οι σωτήρες οι κοινοί τών απάντων, οι καί πράξεων ημίν, καί λόγων τύπους δείξαντες, οι παιδευταί τού βίου, λαμπροί λαμπρώς ευφημείσθωσαν.

Πνεύμα ενέπλησε Θεού, Βασίλειον επιστήμης, τών πυρίνων δέ γλωσσών έσχε μίαν, ο Γρηγόριος καί πύρ, υψηγορίας έπνευσε, τό τού Χριστού δέ στόμα, εν Ιωάννη ελάλησε.

Τού νύν αιώνος τήν σαφώς, καταργουμένην σοφίαν, η μωρία τού κηρύγματος έχει, υποκύπτουσαν, αυτή καί δουλικώς λατρεύουσαν, κήρυκας γάρ η χάρις, σοφούς προβάλλεται ρήτορας.

Θεοτοκίον

Ο εν τή μήτρα τής αγνής, κατασκηνώσας Παρθένου, τάς ψυχάς τών θεοφόρων Αγίων, οικητήρια ποιεί, καί τοίς εκείνων στόμασι, τά κατά τήν Μητέρα, διερμηνεύει μυστήρια.

Καταβασία

«Τό στερέωμα, τών επί σοί πεποιθότων, στερέωσον Κύριε τήν Εκκλησίαν, ήν εκτήσω, τώ τιμίω σου αίματι».

Κάθισμα  Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Τούς μεγάλους φωστήρας τούς φεραυγείς, Εκκλησίας τούς πύργους τούς αρραγείς, συμφώνως αινέσωμεν, οι τών καλών απολαύοντες, καί τών λόγων τούτων, Ομού καί τής χάριτος, τόν σοφόν Χρυσορρήμονα, καί τόν μέγαν Βασίλειον, σύν τώ Γρηγορίω, τώ λαμπρώ Θεολόγω, πρός ούς καί βοήσωμεν, έκ καρδίας κραυγάζοντες, Ιεράρχαι τρισμέγιστοι, πρεσβεύσατε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν Αγίαν μνήμην υμών.

Δόξα... όμοιον

Τήν σοφίαν λαβόντες παρά Θεού, ως, Απόστολοι άλλοι τρείς τού Χριστού, τώ λόγω τής γνώσεως, συνιστάτε τά δόγματα, ά τό πρίν εν λόγοις, απλοίς κατεβάλλοντο, Αλιείς, εν γνώσει, δυνάμει τού Πνεύματος, έδει γάρ καί ούτω, τό απλούν ημών σέβας, την σύστασιν κτήσασθαι, δι' υμών Πανσεβάσμιοι, όθεν πάντες βοώμεν υμίν. Πρεσβεύσατε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην υμών.

Καί νύν... Θεοτοκίον

Τήν ψυχήν μου Παρθένε τήν ταπεινήν, τήν εν ζάλη τού βίου τών πειρασμών, νύν ως ακυβέρνητον, ποντουμένην τώ κλύδωνι, αμαρτιών τε φόρτω, οφθείσαν υπέραντλον, καί εις πυθμένα άδου, ελθείν κινδυνεύουσαν, φθάσον Θεοτόκε, πρεσβειών σου ελέει, γαλήνην παρέχουσα, καί κινδύνων εξαίρουσα, σύ λιμήν γάρ αχείμαστος, πρεσβεύουσα τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δοθήναί μοι, σέ γάρ έχω ελπίδα, ο ανάξιος δούλός σου.

Τής Θεοτόκου

Ωδή δ' Ο Ειρμός

«Εισακήκοα Κύριε, τήν ακοήν τής σής οικονομίας, καί εδόξασά σε μόνε φιλάνθρωπε».

Τών τραυμάτων μου Δέσποινα, τών τής ψυχής, σαρκός τε νοσημάτων, η Θεόν τεκούσα, λύσιν παράσχου μοι.

Ριπιζόμενον πάθεσι, καί λογισμοίς, καί βίου τρικυμίαις, ελπίδι Παρθένε, καί πίστει βεβαίωσον.

Εκ περιστάσεως ρύσαί με, Μήτερ Θεού, καί ζάλης καί κινδύνων, ταίς σαίς ικεσίαις, μόνη πανύμνητε.

Χειμαζόμενον κλύδωνι, βιωτικών, εξάρπασον Παρθένε, πρός τόν σόν λιμένα, καθοδηγούσά με.

Τών Αγίων

Ελήλυθας εκ Παρθένου

Νοήμονες, εκ τής κάτω σοφίας γενόμενοι, κυβέρνησιν Ένδοξοι, παρά τής

θείας εκτήσασθε, όθεν ως θεράπαιναν, ταύτην εκείνη πανσόφως υπετάξατε.

Φιλόσοφοι, τούς σοφούς ει φιλείτε, σοφίσθητε, καί λέγειν διδάχθητε, πάντες οι λόγους θαυμάζοντες, πράξεως ακρίβειαν, καί θεωρίας εντεύθεν εξασκούμενοι.

Θεοτοκίον

Ως όψιμος, υετός επ' εσχάτων ο πρώϊμος, υδάτων αιώνων τε, Δημιουργός εις τήν μήτραν σου, έσταξε Πανάμωμε, κατά καιρόν αναψύχων τούς εκλείποντας.

Έτερος τών Αγίων

Σύ μου ισχύς Κύριε

Στύλος πυρός, λαού πιστού προηγούμενος, καί φλογίζων, τούς εχθρούς τής Πίστεως, τάς δέ φυλάς, σώζων ασφαλώς, τάς εφεπομένας, ο Μέγας ώφθης Βασίλειος, θαρσείτω καί νικάτω, η Χριστού Εκκλησία, τηλικούτον πλουτήσασα πρόμαχον.

Γλώσσης τρυφή, καί ακοής πάσης ήδυσμα, ό σός λόγος, πέφυκε Γρηγόριε, μάννα ζωής, δρόσος γλυκασμού, μέλι τό εκ πέτρας, Αγγέλων άρτος ουράνιος, απλήστως εμφορείσθαι, τής ηδύτητος πείθων, καί πληρών ηδονής τούς μετέχοντας.

Ο ποταμός, τών χαρισμάτων τού Πνεύματος, επληρώθη, μέχρι καί προχύσεως, καί τό καλόν, πρόσωπον τής γής, ως τρυφής χειμάρρους, από χρυσού άρδει στόματος, ευφραίνων καί πιαίνων, τού Χριστού πάσαν πόλιν τοίς τών θείων κυμάτων ορμή μασι.

Θεοτοκίον

Φύσιν απλήν, ανασχομένην συνθέσεως, καί φανείσαν, κρείττονα συγχύσεως, επί τού σού, Δέσποινα Υιού, οι τρείς θεοφόροι, δογματισταί ωμολόγησαν, εκ δύο θελημάτων, καί διπλής ενεργείας, τόν διπλούν κατά φύσιν γνωρίσαντες.

Καταβασία

«Εκάλυψεν ουρανούς, η αρετή σου Χριστέ, τής κιβωτού γάρ προελθών,τού αγιάσματός σου, τής αφθόρου Μητρός, εν τώ ναώ τής δόξης σου, ώφθης ώς βρέφος, αγκαλοφορούμενος, καί επληρώθη τά πάντα τής σής αι νέσεως».

Τής Θεοτόκου

Ωδη ε'  Ο Ειρμός

«Ο τού φωτός χορηγός, καί τών αιώνων ποιητής Κύριος, εν τώ φωτί, τών σών προσταγμάτων, οδήγησον ημάς, εκτός σου γάρ άλλον, Θεόν ού γινώσκομεν».

Όπλον αήττητον, κατά ποικίλων πειρασμών έχοντες, τών δυσμενών, πάσης επηρείας, λυτρούμεθα αεί, οι σέ Θεοτόκον, Αγνή επιστάμενοι.

Νόμου τό πλήρωμα, η ανωτέρα Χερουβίμ τέτοκας, τόν τού Θεού, εκ σού σαρκωθέντα, Υιόν μονογενή, όν υπέρ τών δούλων, τών σών εξιλέωσαι.

Τόν τού παντός Ποιητήν, εν ταίς αγκάλαις σου Αγνή φέρουσα, τούτον ημίν, ταίς σαίς ικεσίαις, εύϊλατον δίδου, τοίς νύν εκ καρδίας, πρός σέ καταφεύγουσιν.

Από στενώσεως, τής κατωδύνου μου ψυχής δέησιν, τών οικτιρμών μόνη τή τεκούση, τόν αίτιον Λόγον, προσφέρω ο τάλας, οικτείρασα σώσόν με.

Τών Αγίων

Ο φωτισμός

Σύ τήν πηγήν, τών σαυτού χαρισμάτων, εκπιείν όλην, Φιλάνθρωπε δέδωκας τοίς Αγίοις, ελαττωθείσαν, ουδαμώς τή κενώσει, τόν δέ κόσμον πάντα μεθύσασαν, τοίς εκ τής κοιλίας, αυτών θείοις ρεύμασι.

Τί μοι χρυσός, τί μοι πλούτος καί δόξα καί δυναστεία; καπνοί διαρρέοντες εις αέρα, πάντα οιχέσθω, αύρα πάντα φερέτω, εμοί πλούτος είς πολυέραστος, η τών Διδασκάλων, τριάς ρητορεύουσα.

Ρεί ποταμός, αμβροσίαν καί νέκταρ, ρεί τοίς πεινώσιν, αθάνατος βρώσις, καί τοίς διψώσιν, άφθαρτος πόσις, ύδωρ ζών εις αιώνας, καί συνέχον ζώντας τούς πίνοντας, πάντες πλημμυρούσης, ζωής εμφορήθητε.

Θεοτοκίον

Έσχεν ισχύν, καθ' ημών η κακία, αλλ' ουκ εις τέλος, ησθένησε γάρ μετά τήν Παρθένον, τόν εν ισχύϊ Δυνατόν τετοκυίαν, υπελθόντα σαρκός ασθένειαν, καί τόν δυνατόν εν κακία νεκρώσαντα.

Έτερος τών Αγίων

Ίνα τί με απώσω

Τούς τών θείων πραγμάτων, καί τών ανθρωπίνων σοφούς επιστήμονας, τάς τών όντων φύσεις, φιλαλήθως ημίν σαφηνίσαντας, καί τόν τούτων Κτίστην, πάσι γνωρίσαντας ως θέμις, ευχαρίστοις φωναίς αμειψώμεθα.

Τό πικραίνον καί στύφον, τών πρός σωτηρίαν φαρμάκων εγλύκαναν, ταίς σοφαίς τών λόγων, επωδαίς τε καί τέχναις καί χάρισι, τών ψυχών οι θείοι θεραπευταί, θέλγεσθε πάντες, ευσεβείς καί τερπόμενοι σώζεσθε.

Σιωπά λόγος άπας, τών θεοκηρύκων λαλούντων τά ένθεα, καί κρατεί τής πάλαι, Διαθήκης η νέα προβάλλουσα, τά σεπτά πυξία, τών εν αυτή νομοθετούντων, οίς ρυθμίζεται, πάς Πιστών σύλλογος.

Θεοτοκίον

Τήν αθάνατον φύσιν, η θνητή παρέδραμεν εις αγιότητα, καί Παρθένος Κόρη,

τούς ασάρκους Αγγέλους παρήλασεν, ως Θεόν τεκούσα, τόν Βασιλέα τών Αγγέλων, ώ προσβλέπειν εκείνοις αδύνατον.

Καταβασία

«Ως είδεν Ησαίας συμβολικώς, εν θρόνω επηρμένω Θεόν, υπ' Αγγέλων δόξης δορυφορούμενον, ώ τάλας! εβόα, εγώ, πρό γάρ είδον σωματούμενον Θεόν, φωτός ανεσπέρου, καί ειρήνης δεσπόζοντα».

Τής Θεοτόκου

Ωδή ς' Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον. Εκ φθοράς, ο Θεός με ανάγαγε».

Σωτηρίας λιμένα γινώσκων σε, πλέων πολυφρόντιδος βίου τό πέλαγος, επικαλούμαι Δέσποινα, κυβερνήτιν ψυχής μου γενέσθαι σε.

Ενεδύθην στολήν κακουχούμενος, Μήτερ αειπάρθενε, τής αφροσύνης μου, αλλ' η Θεόν κυήσασα, τής χαράς τόν χιτώνα αντίδος μοι.

Ιεράς πολιτείας εκπέπτωκα, ρα θυμών ο δείλαιος, αλλ' επανάγαγε, ευλογημένη Πάναγνε, προσταγαίς τού Υιού σου ρυθμίζουσα.

Συμπαθείας με θείας αξίωσον, η τόν συμπαθέστατον Λόγον κυήσασα, τόν τώ ιδίω αίματι, εκ φθοράς τούς ανθρώπους ρυσάμενον.

Τών Αγίων

Άβυσσος αμαρτημάτων

Ίδια εν τή Τριάδι, τριττά συνθεολογείτε, τήν αγεννησίαν τού Πατρός, τού Λόγου τήν γέννησιν, καί Πνεύματος, τήν εκπόρευσιν μόνου.

Σήμερον τώ οίκωτούτω, περιφανής σωτηρία, δύο γάρ καί τρείς συνηγμένους, Χριστός εις τό όνομα, αυτού τιμών, μέσος πάρεστι τούτων.

Άπειρον τής γής τό βάθος, πρός τό ουράνιον ύψος, αλλ' από τής γής τούς Αγίους, εξήρεν επέκεινα τών ουρανών, ο ουράνιος έρως.

Θεοτοκίον

Νέαν σε πηγήν Παρθένε, καί αφορμήν μυστηρίων, έχοντες οι τρείς θεηγόροι, καιναίς υποθέσεσι καινοπρεπή, προσαρμόζουσι φράσιν.

Έτερος τών Αγίων

Ιλάσθητί μοι Σωτήρ

Τριάδα Μοναδικήν, θεολογείν εδιδάχθημεν, Μονάδα Τριαδικήν, υμνείν παρελάβομεν, προσκυνείν εμάθομεν, παρά τών Πατέρων, μίαν Φύσιν

τρισυπόστατον.

Ο Λόγος ήν εν αρχή, πρός τόν Πατέρα συνάναρχος, τώ Λόγω Πνεύμα συνήν, αλλ' εκ τού Γεννήτορος, απλή Ομοούσιος, συμφυής θεότης, ως οι θείοι φασί Κήρυκες.

Συνάπτω καί διαιρώ, τά συναπτώς διαιρούμενα, έν αμερές εννοώ, καί τρία φαντάζομαι. Διδασκάλους δέχομαι, τρείς θεοφορήτους, ούτω πείθοντας πιστεύειν με.

Θεοτοκίον

Αμήτωρ πρό τής σαρκός, απάτωρ μετά τήν σάρκωσιν, Υιός Πατρός καί Μητρός, ό ταύτα καλούμενος, υπέρ νούν αμφότερα, τώ Θεώ γάρ πρέπει, τών θαυμάτων τά παράδοξα.

Καταβασία

«Εβόησέ σοι, ιδών ο Πρέσβυς, τοίς οφθαλμοίς τό σωτήριον, ό λαοίς επέστη. Εκ Θεού Χριστέ σύ Θεός μου».

Κοντάκιον  Ήχος β'

Τούς ασφαλείς

Τούς Ιερούς καί θεοφθόγγους Κήρυκας, τήν κορυφήν τών Διδασκάλων Κύριε, προσελάβου εις απόλαυσιν τών αγαθών σου καί ανάπαυσιν, τούς πόνους γάρ εκείνων καί τόν κάματον, εδέξω υπέρ πάσαν ολοκάρπωσιν, ο μόνος δοξάζων τούς Αγίους σου.

Ο Οίκος

Τίς ικανός τά χείλη διάραι, καί κινήσαι τήν γλώσσαν πρός τούς πνέοντας πύρ, δυνάμει Λόγου καί Πνεύματος; όμως τοσούτον ειπείν θαρρήσω, ότι πάσαν παρήλθον τήν ανθρωπίνην φύσιν οι τρείς, τοίς πολλοίς καί μεγάλοις χαρίσμασι, καί εν πράξει καί θεωρία, τούς κατ' άμφω λαμπρούς υπεράραντες, διό μεγίστων δωρεών τούτους ηξίωσας, ως πιστούς σου θεράποντας, ο μόνος δοξάζοντούς Αγίους σου.

Συναξάριον

Τή Λ' τού αυτού μηνός, Μνήμη τών εν Αγίοις Πατέρων ημών καί Οικουμενικών Διδασκάλων, Βασιλείου τού Μεγάλου, Γρηγορίου τού Θεολόγου καί Ιωάννου τού Χρυσοστόμου.

Στίχοι

Ομού δίκαιον τρείς σέβειν Εωσφόρους,
Φώς τρισσολαμπές πηγάσαντες εν βίω.
Κοινόν τόν ύμνον προσφέρειν πάντας θέμις,
Τοις εκχέασι πάσι κοινήν τήν χάριν.
Έαρ χελιδών ού καθίστησι μία.
Αι τρείς αηδόνες δέ τών ψυχών έαρ.
Τήν μέν νοητήν η Τριάς λάμπει κτίσιν,
Τριάς γε μήν αύτη δέ τήν ορωμένην.
Απώλεσαν μέν οι πάλαι Θεού σέβας,

Εξ Ηλίου τε καί Σελήνης αφρόνως.
Κάλ λος γάρ αυτών θαυμάσαντες καί τάχος,
Ώσπερ θεοίς προσήγον ουκ ορθώς σέβας.
Εκ τών τριών τούτων δέ φωστήρων πάλιν,
Ημείς ανηνέχθημεν εις Θεού σέβας,
Κάλλει βίου γάρ, τή τε πειθοί τών λόγων,
Πείθουσι πάντας τόν μόνον Κτίστην σέβειν.
Κτίσιν συνιστά τήν δε τήν ορωμένην,
Τό Πύρ, Αήρ, Ύδωρ τε, καί Γής η φύσις.
Οι δ' αύ συνιστώντές Τε κόσμον τόν μέγαν,
Τήν πρός Θεόν τε Πίστιν, ως άλλην κτίσιν
Στοιχειακής φέρουσι Τριάδος τύπον.
Μέλει γάρ αυτοίς ουδενός τών γηϊνων,
Καί γήϊνον νούν έσχον ουδέν εν λόγοις.
Ο Γρηγόριος γάρ πύρ πνέει νούς τόν λόγον,
Πρός ύψος αύ πείθοντα πάντα εκτρέχειν.
Τοίς λιποθυμήσασι δ' εκ παθών πάλιν,
Αναπνοή τις οι Βασιλείου λόγοι.
Μιμούμενος δέ τήν ροήν τών υδάτων,
Ο καρδίαν τε καί στόμα χρυσούς μόνος,
Τούς εκτακέντας εκ παθών αναψύχει.
Ούτω πρός ύψος τήν βροτών πάσαν φύσιν,
Εκ τής χθονός φέρουσι τοίς τούτων λόγοις.
Λάμψεν ενί τριακοστή χρυσοτρισήλιος αίγλη.

Τών τριών τούτων πρεσβείαις, Χριστέ ο Θεός ημών καί πάντων τών αγίων, τάς τών αιρέσεων επαναστάσεις κατάβαλε καί ημάς εν ομονοία καί ειρηνική καταστάσει διαφύλαξον καί τής ουρανίου σου βασιλείας αξίωσον. Ότι ευλογητός εί εις τούς αιώνας τών αιώνων. Αμήν.

Τή αυτή ημέρα, Άθλησις τού Ιερομάρτυρος Ιππολύτου Πάπα Ρώμης καί τών σύν αυτώ Κενσουρίνου, Σαβαϊνου, Χρυσής καί τών λοιπών.

Στίχοι

Τόλμη θάλασσαν Ιππόλυτος εισδύνει,
Οία κροαίνων ίππος εν λείω πέδω.
Τείνων τράχηλον τώ ξίφει Κενσουρίνος,
Ην οία ξυρώ τοίς συνάθλοις ακόνη.
Σπλάγχνα φλέγουσι Σαβαϊνου λαμπάσι,
Τά παμπόνηρα τέκνα τής ασπλαγχνίας.
Χρυσή βυθώ βληθείσα, παστώ τού πόλου,
Νύμφη πρόσεισι προσφάτως λελουμένη.
Ιππόλυτον πόντου τριακοστή έκτανε ρεύμα.

Τή αυτή η μέρα, Άθλησις τού Αγίου Μάρτυρος Θεοφίλου τού Νέου.

Στίχοι

Ο Θεόφιλος τήν φίλην τμάται κάραν,
θεούς φιλήσαι μή θελήσας βαρβάρων.

Ταίς αυτών αγίαις πρεσβείαις ο Θεός, ελέησον ημάς. Αμήν.

Τής Θεοτόκου

Ωδή ζ' Ο Ειρμός

«Εικόνος χρυσής, εν πεδίω Δεηρά λατρευομένης, οι τρείς σου Παίδες κατεφρόνησαν, αθεωτάτου προστάγματος, μέσον δέ πυρός εμβληθέντες, δροσιζόμενοι έψαλλον. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών».

Σταυρώ προσπαγείς, ο εκ σού σωματωθείς Θεογεννήτρια, Αδάμ διέρρηξε τό χειρόγραφον, όν νύν δυσώπει Πανάμωμε, άπαντας κινδύνων ρυσθήναι, τούς εν πίστει κράζοντας. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Ελπίς αγαθή, προσδοκία τε Πιστών υπάρχεις Δέσποινα, καί νύν δεόμεθα δωρήσασθαι, σής συμπαθείας τό πέλαγος, πάσι τοίς εις σέ πεποιθόσι, καί τώ Υιώ σου κραυγάζουσιν. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Σκοτία δεινή, τή τού βίου συσχεθείς τόν συλλυπούμενον, καί συναλγούντα ού κατέλαβον, τή σή Παρθένε λαμπρότητι, λύσον τήν αχλύν τών πταισμάτων, καί καταύγασον ψάλλοντα. Ευλογητός εί ο Θεός, ό τών Πατέρων ημών.

Ωραίαν στολήν, σωτηρίων εντολών διά Βαπτίσματος, αμφιασάμενος απημαύρωσα, δι' αμελείας ο δείλαιος, νύν δέ σοι προστρέχω Παρθένε, τόν χιτώνα αιτούμενος, τής σωφροσύνης διά σού, πάλιν ενδύσασθαι.

Ζωής εκπεσών, ακηράτου μέν τό πρίν ο Αδάμ σέσωσται, διά τού Τόκου σου νύν δέ Πάναγνε, τόν αρρωστία κρατούμενον σώσον, επιρρώσασα Κόρη, καί αξίωσον ψάλλειν σοι. Ευλογημένη η Θεόν σαρκί κυήσασα.

Τών Αγίων

Αντίθεον πρόσταγμα

Ηττάται Μακάριοι καί δραπετεύει, η πρίν ανυπόστατος, θρασύτης τών αιρέσεων, κηρός δέ τηκόμενος, από προσώπου πυρός, νόθον άπαν δόγμα τοίς υμών, πυρπνόοις φθόγγοις, προσβάλλον δείκνυται.

Ψευδείς μέν εξέκλιναν Ελλήνων ύθλους, πειθώ δέ τήν τύραννον, ανθρώποις μόνην είλοντο, υφ' ής τήν αλήθειαν, οι τρείς τονώσαντες, ούτως άπαν σύστημα Πιστών, χειρούνται λόγοις καί καταπείθουσι.

Θεοτοκίον

Εν σοί πάσα πρόρρησις επανεπαύθη, καί πέρας εδέξατο, ξενίζουσα τούς λέγοντας, εκ σού δέ λαμπροτέρα καί τών προρρήσεων, θαύματα πηγάζουσιν,

Αγνή, σοφούς δηλούντα τούς ερμηνεύοντας.

Έτερος τών Αγίων

Θεού συγκατάβασιν

Σιγώσαι καί κράζουσαι, ορώμεναί τε καί ακουόμεναι, αρετής καί σοφίας, οι θεηγόροι στήλαι γεγόνασιν, έργω καί λόγω, βοάν προτρεπόμενοι. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Θεού φωνάς άνωθεν, επιβροντώσας ημίν εξαίσιον, αστραπών τε βολίδας, τούς υμών φθόγγους Σοφοί δεχόμενοι, συμμελωδούμεν υμίν, καί συμψάλλομεν. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Ριφήσονται χάλαζαι, εκ πετροβόλων γλωσσών συντρίβουσαι, τά σαθρά τών δογμάτων, εί τις εις μέσον παρρησιάσηται, τών κενολόγων, ορθά μή φθεγγόμενος. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Παρθένον οικήσας σε, καί μετά τόκον Παρθένον έλιπεν, ο αμείβων στοιχεία, Θεοκυήτορ Μαρία πανάχραντε, πρός όν βοώμεν, σύν σοί Παναμώμητε. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Καταβασία

«Σέ τόν εν πυρί δροσίσαντα, Παίδας θεολογήσαντας, καί Παρθένω, ακηράτω, ενοικήσαντα, Θεόν Λόγον υμνούμεν, ευσεβώς μελωδούντες. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών».

Τής Θεοτόκου

Ωδή η'  Ο Ειρμός

«Τόν εν καμίνω τού πυρός, τών Εβραίων τοίς παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον μεταβαλόντα Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Εξασθενεί μου νύν ο νούς, εις τά βάθη εμπεσών τής ατιμίας, ως εντεύθεν ποικίλοις περιπαρήναι κακοίς, αλλά σύ με Παρθένε θεράπευσον, τώ τής απαθείας φωτί περιβαλούσα.

Πύργον ισχύος ασφαλή, καί κρηπίδα καί φρουράν καί προστασίαν, κεκτημένοι σε πίστει, διασωζόμεθα νύν υμνούντες τόν Τόκον σου Πάναγνε, καί υπερυψούντες εις πάντας τούς αιώνας.

Αθανασίας διαυγή, επιστάμεθα πηγήν σε Θεοτόκε, ως τεκούσαν τόν Λόγον, τού αθανάτου Πατρός, τόν πάντας θανάτου λυτρούμενον, τούς υπερυψούντας αυτόν εις τούς αιώνας.

Ρείθρον ιάσεων ημίν, αενάως τοίς πιστοίς Αγνή πηγάζεις, ού τήν άφθονον

χάριν, απαρυόμενοι νύν, υμνούμεν τόν Τόκον σου Άχραντε, καί υπερυψούμεν εις πάντας τούς αιώνας.

Τών Αγίων

Ινδάλματος χρυσού

Νοούμεν ευσεβώς, καί δοξάζομεν ομότιμον μίαν φύσιν, απειροδύναμον Μονάδα τε καί Τριάδα, τήν πάντα ταύτα, λόγοις κυβερνώσαν κρείττοσιν, ούτω γα ρ δοξάζειν, οι τρείς θεοφόροι παρεγγυώσιν, οίς συμπροσκυνούμεν, αυτήν εις τούς αιώνας.

Ηνώθησαν οι τρείς, θεοκήρυκες ενώσαντες τήν Τριάδα, καί τό αμέριστον πάσι τετηρηκότες τή θεία φύσει, μίαν παρ' αυτής αντέλαβον, αμέριστον δόξαν, εις έπαινον ένα συγκαλουμένην, τούς υπερυψούντας, αυτήν εις τούς αιώνας.

Θεοτοκίον

Λαβών τό καθ' ημάς, αντιδούς τε τό οικείον ο Ευεργέτης, έδρασε μόνον, ουκ έπαθε δέ Παρθένε, θεοποιεί γάρ, αλλ' ουκ εις φθοράν μεθίσταται, μάλλον δέ καί πάσχων, εκών διά πάθους τά πάθη λύει, ώς οι τρείς Πατέρες, ημάς μυσταγούσιν.

Έτερος τών Αγίων

Επταπλασίως κάμινον

Ούς ο Θεός συνήνωσεν εις ομότιμον ένωσιν, εγκωμιαστής, μή χωριζέτω άνθρωπος, αλλ' ίσους ηγούμενος, εν τοίς αυτοίς χαρίσμασιν, ίσων καί τών ύμνων, μελωδών αξιούτω, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Οι δυνατοί καί άμαχοι, τής θεότητος σύμμαχοι, καί τής αληθείας, αψευδείς συνήγοροι, τά βάθη τού Πνεύματος, καλώς ανερευνήσαντες τάς θεοπρεπείς, περί Θεού υπολήψεις, εκείθεν συνιστώσι, καί διδάσκουσι ψάλλειν. Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Εξ ουρανού μέν μέγιστοι, δύω λύχνοι φωτίζουσιν, εκ διαδοχής, αλλήλων τήν υφήλιον, εκ γής δέ φανότερον, τήν σύμπασαν αυγάζουσι, τρείς κατά ταυτό, υπερμεγέθεις φωστήρες, συλλάμποντες αλλήλοις, καί συμψάλλοντες άμα. Λαοί υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Υπέρ ημών η σάρκωσις, καί τά πάθη τά τίμια, δι' ημάς Θεός, μετά νεκρών εγένετο, θανάτου μέν άγευστος, οία παθών ελεύθερος, τή δέ πρός τήν σάρκα, τήν θνητήν κοινωνία, λεγόμενος καί πάθους, μετασχείν καί θανάτου, αυτόν υπερυψούμεν, εις πάντας τούς αιώνας.

Καταβασία

«Αστέκτω πυρί ενωθέντες, οι θεοσεβείας προεστώτες Νεανίαι, τή φλογί δέ μή λωβηθέντες, θείον ύμνον έμελπον. Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί

υπερυψούτε, εις πάντας τούς αιώνας».

### Τής Θεοτόκου

### Ωδή θ'  Ο Ειρμός

«Τόν εκ Θεού Θεόν Λόγον, τόν αρρήτω σοφία, ήκοντα καινουργήσαι τόν Αδάμ, βρώσει φθορά πεπτωκότα δεινώς, εξ Αγίας Παρθένου, αφράστως σαρκωθέντα δι' ημάς, οι πιστοί ομοφρόνως, εν ύμνοις μεγαλύνομεν».

Θεομακάριστε Κόρη, τήν ελπίδα μου πάσαν προθύμως ανατίθημι εν σοί, σώσόν με Μήτηρ τής όντως ζωής, καί τρυφής αενάου, πλησθήναι καθικέτευε Αγνή, τόν εν πίστει καί πόθω, σέ ύμνοις μεγαλύνοντα.

Επιφανείσα Παρθένε, τής ψυχής μου τόν ζόφον, φωτός σου ταίς αΰλοις αστραπαίς, αύγασον πύλη τού θείου φωτός, καί πυρός αιωνίου, ρυσθήναι καταξίωσον Αγνή, τόν εν πίστει καί πόθω, σέ ύμνοις μεγαλύνοντα.

Νενοσηκότας ορώσα, καί ψυχήν καί τό σώμα, καί βεβλημένους πάθεσι δεινοίς, τή ευσπλαγχνία σου Δέσποινα, θεραπεύσασα λύσον τών νύν παρενοχλούντων λυπηρών, ίνα πάντες σέ ύμνοις, απαύστως μεγαλύνωμεν.

Εν τή γαστρί σου σκηνώσας, εκ γαστρός πρό αιώνων, πατήρ όνπερ εγέννησεν Υιόν, τέλειος γέγονεν άνθρωπος, καί πηγήν χαρισμάτων, σέ Θεομήτορ έδειξεν ημίν, τοίς πιστώς προσκυνούσι τήν άφραστόν σου γέννησιν.

### Τών Αγίων

### Ανάρχου Γεννήτορος

Μεγάλυνον ψυχή μου, τούς εν Ιεράρχαις, Φωστήρας τρείς μεγάλους.

Ιδού τό υμέτερον, γεώργιον καί ποίμνιον, υπέρ ού τούς μεγίστους πόνους υπέστητε, εις έν συνελθόντες ομού τε, τούς τρείς υμάς συμπαραλαβόντες, κοινήν έχει αίνεσιν, τήν υμών ηδίστην ένωσιν.

Μεγάλυνον ψυχή μου τούς τρισσολαμπτήρας, Χριστού τής Εκκλησίας.

Ου δίστομον μάχαιραν, η χάρις αλλά τρίστομον, κατά τών πολεμίων αυτής προβάλλεται, έν ουρανοχάλκευτον ξίφος, τρισίν ακμαίς κατεστομωμένον, αεί προμαχόμενον, τριλαμπούς μιάς θεότητος.

Μεγάλυνον ψυχή μου, τούς κεκοσμηκότας, Χριστού τήν Εκκλησίαν.

Υμών τό πολίτευμα, εν ουρανοίς ήν Ένδοξοι, καί τήν σάρκα φορούντων, έτι τήν άσπιλον, ούς ειλικρινώς νύν οικούντες, τούς επί γής ημάς στεφομένους,

τά άνω πρεσβεύετε, καί φρονείν καί πραγματεύεσθαι.

Θεοτοκίον

Μεγάλυνον ψυχή μου, τήν τιμιωτέραν, καί ενδοξοτέραν τών άνω στρατευμάτων.

Στενεί με τό πλάτος σου, τών μεγαλείων Δέσποινα, καταπνίγον τόν λόγον υπό πυκνότητος, καί μοι παραδόξως συμβαίνει, τό απορείν εκ τής ευπορίας, διό τόν τοσούτόν σε, μεγαλύναντα δοξάζομεν.

Έτερος τών Αγίων

Εξέστη επί τούτω

Μεγάλυνον ψυχή μου, τους τής Παναγίας, Τριάδος τρείς Ποιμένας.

Επήρθη τής Τριάδος η αρετή, καί τά πάντα τής δόξης επλήρωσεν, άλλην ημίν, αίγλην αναλάμψασα τριλαμπή, ως εαυτής απαύγασμα, τούς επουρανίους μυσταγωγούς, δι' ών επί τήν θείαν, εκείνης θεωρίαν, οι ευσεβούντες οδηγούμεθα.

Μεγάλυνον ψυχή μου, τούς εκ Τρισηλίου, Φωστήρας τρείς μεγάλους.

Ουκ έστι δευτερείον εν τοίς τρισί, τά πρεσβεία γάρ έκαστος φέρεται, πρώτος δοκών, καί τούς ομοτίμους υπερνικών, εξοικειούται μάλλον δέ, τήν αλλήλων νίκην περιχαρώς, ου χώρα γάρ ενταύθα, τώ φθόνω παρρησίας, λυμαινομένω τήν ομόνοιαν.

Δόξα...

Μεγάλυνον ψυχή μου, τής τρισυποστάτου, καί αδιαιρέτου θεότητος τό κράτος.

Πατέρας η ευσέβεια τούς αυτής, πρωτοτόκους υιούς αναδείξασα, τέκνα γεννά, γνήσια καί άμωμα δι' αυτών, τελειούμενα Πνεύματι, τώ ζωήν λαλήσαντι εν αυτοίς, καί σώζειν εξαιτείται, εις τέλος τήν ειρήνην, ήν απ' αυτών εκληρονόμησε.

Καί νύν... Θεοτοκίον

Μεγάλυνον ψυχή μου, τήν τιμιωτέραν, τών άνω στρατευμάτων.

Υιόν Θεού τού ζώντος η τών σοφών, Διδασκάλων ακρότης εκήρυξε, τόν σόν Υιόν, εξ αποκαλύψεως Πατρικής, ουκ εκ σαρκός καί αίματος, τούτο μυηθείσα Μήτερ Θεού, διό σε καί Παρθένον, διδάξασα Μητέρα, καί Θεοτόκον εμεγάλυνε.

Καταβασία

Θεοτόκε η ελπίς, πάντων τών Χριστιανών, σκέπε φρούρει φύλαττε, τούς ελπίζοντας εις σέ.

«Εν νόμω, σκιά καί γράμματι, τύπον κατίδωμεν οι πιστοί, πάν άρσεν τό τήν

μήτραν διανοίγον, άγιον Θεώ, διό πρωτότοκον Λόγον, Πατρός ανάρχου Υιόν, πρωτοτοκούμενον Μητρί, απειράνδρω, μεγαλύνομεν».

Εξαποστειλάριον
Ο ουρανόν τοίς άστροις

Τά τού φωτός δοχεία, τάς φεγγοβόλους αστραπάς, Βασίλειον νύν τόν Μέγαν, Γρηγόριον Θεολόγον, Χρυσόστομον Ιωάννην, ανευφημήσωμεν πάντες.

Έτερον, όμοιον

Η ενιαία θεότης, Πατήρ Υιός καί τό Πνεύμα, ταίς Βασιλείου πρεσβείαις, Γρηγορίου καί Ιωάννου, καί τής αγνής Θεοτόκου, μή χωρισθείην σής δόξης.

Θεοτοκίον, όμοιον

Χρυσοπλοκώτατε πύργε, καί δωδεκάτειχε πόλις, ηλιοστάλακτε θρόνε, καθέδρα τού Βασιλέως, ακατανόητον θαύμα, πώς γαλουχείς τόν Δεσπότην;

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος β'
Ποίοις ευφημιών στέμμασι

Ποίοις ευφημιών στέμμασι, στεφανώσωμεν τούς Διδασκάλους; τους διηρημένους τοίς σώμασι, καί συνημμένους τώ Πνεύματι, τούς τών θεοφόρων Πρωτοστάτας, Τριάδος, τούς ισαρίθμους καί θεράποντας, φωστήρας, τής οικουμένης διαλάμποντας, τής Εκκλησίας τούς στύλους, ούς στεφάνοις δόξης, ως νικήσαντας στεφανοί, Χριστός ο Θεός ημών, ο έχων τό μέγα έλεος.

Ποίοις υμνωδιών κάλλεσιν, αναδήσωμεν τούς θεοφόρους; τούς ουρανομύστας καί κήρυκας, τής ορθοδοξίας υπάρχοντας, τούς ακραιφνεστάτους θεολόγους, τόν μέγαν ιεροφάντορα Βασίλειον, τόν θείον, καί θεορρήμονα Γρηγόριον, καί Ιωάννην τόν πάνυ, τόν χρυσούν τήν γλώτταν, ούς εδόξασεν η Τριάς, αξίως ο Κύριος, ό έχων τό μέγα έλεος.

Ποίοις εγκωμιών ρήμασιν, επαινέσωμεν τούς Ιεράρχας; τούς ισαποστόλους εν χάριτι, καί ομοτίμους χαρίσμασι, τούς τής ασεβείας καταλύτας, σωτήρας, καί οδηγούς λόγω καί πράγματι. Ποιμένας, χριστομιμήτους διά πίστεως, τούς επιγείους Αγγέλους βροτούς ουρανίους, ούς ετίμησεν ο Χριστός, τής δόξης ο Κύριος, ο έχων τό μέγα έλεος.

Ποίοις ευφημιών στέμμασι, καταστέψωμεν τόν Χρυσολόγον, άμα Βασιλείω Γρηγόριον; τά σεπτά δοχεία τού Πνεύματος, τούς στερρούς τής πίστεως προμάχους, τούς στύλους τής Εκκλησίας, Πιστών στήριγμα, απάντων, αμαρτανόντων παραμύθιον, πηγάς βλυζούσας τό νάμα, εξ ού αρυόμενοι, ηδυνόμεθα ταίς ψυχαίς, αιτούντες συγχώρησιν, σφαλμάτων καί μέγα έλεος.

Δόξα... Ήχος ο αυτός
Πρός τό, Σήμερον ο Χριστός

Σήμερον αι ψυχαί, τών γηγενών υψούνται εκ γηϊνων. Σήμερον ουράνιοι γίνονται, τών Αγίων εν τή μνήμη, αι γάρ πύλαι τών ουρανών επαίρονται, καί

ημίν τά τού Δεσπότου γνωρίζονται. Οι λόγοι τούς λόγους κηρύττουσι, καί αι γλώσσαι τά θαύματα μέλπουσιν, ημείς δέ, πρός τόν Σωτήρα βοώμεν. Δόξα σοι Χριστώ τώ Θεώ, τοίς γάρ Πιστοίς ειρήνη, διά τούτων εγεγόνει.

Καί νύν... Θεοτοκίον, όμοιον

Σήμερον ο Χριστός, εν τώ Ναώ προσφέρεται ως βρέφος. Σήμερον υπό Νόμον γίνεται, ο Μωσεί διδούς τόν Νόμον, τών Αγγέλων αι στρατιαί τεθάμβηνται, εν αγκάλαις γηραιαίς κατεχόμενον, τόν συνέχοντα πάντα θεώμεναι. Συμεών ευλαβείας πλησθείς καί χαράς εβόα. Νύν απολύεις με Σώτερ, εκ τής επικήρου ζωής πρός τήν αγήρω λήξιν, είδον γάρ σε καί ευφράνθην.

Δοξολογία μεγάλη, καί Απόλυσις.

Δίδοται καί άγιον έλαιον τοίς Αδελφοίς.

Εις τήν Λειτουργίαν, Τυπικά, καί εκ τών Κανόνων τών Αγίων, Ωδή γ' καί ς'.

Προκείμενον

Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών.
Στίχ. Οι ουρανοί διηγούνται δόξαν Θεού ποίησιν δέ χειρών αυτού αναγγέλλει τό στερέωμα.

Ο Απόστολος πρός Εβραίους

Αδελφοί, πείθεσθε τοίς ηγουμένοις υμών...

Ζήτει Δεκεμβρίω ς'.

Αλληλούϊα.

Στίχ. Εξομολογήσονται οι ουρανοί τά θαύματά σου Κύριε, καί τήν αλήθειάν σου εν εκκλησία αγίων.

Ευαγγέλιον κατά Ματθαίον

Είπεν ο Κύριος τοίς εαυτού μαθηταίς. Υμείς εστε τό φώς τού κόσμου...

Κοινωνικόν

Εις μνημόσυνον αιώνιον έσται Δίκαιος, Αλληλούϊα.

---

Αρχή

## ΤΗ ΛΑ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων καί Θαυματουργών Αναργύρων Κύρου καί Ιωάννου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά

Προσόμοια.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσι

Αθληταί γενναιότατοι, ιατροί θεοπρόβλητοι, Κύρε Ιωάννη τε μεγαλώνυμοι, ως τών τυράννων ωλέσατε, τό θράσος τό άθεον, τού νοός μου εκτροπάς, τυραννούσας με θραύσατε, καί ιάσασθε, τής ψυχής μου τά πάθη, καί μελλούσης, εκλυτρώσασθέ με δίκης, τόν Λυτρωτήν ικετεύοντες.

Τού συνέχοντος κλύδωνος, καί τής ζάλης τών θλίψεων, τής επερχομένης μοι καί τού σώματος, τών οδυνών με λυτρώσασθε, κουφίζοντες Άγιοι, πάντα πόνον τής ψυχής, ορατώς αοράτως τε, προσγινόμενον, όπως πίστει καί πόθω μακαρίζω, τήν υμών σεπτήν δυάδα, υπέρ Τριάδος αθλήσασαν.

Ως ναοί χρηματίσαντες, τού Θεού ωραιότατοι, Κύρε Ιωάννη τε τόν ναόν υμών, πηγήν ιάσεων δείκνυσθε, εν ώ με προστρέχοντα, αρρωστήματος παντός, απαλλάξατε Άγιοι, ειρηνεύοντες, τήν αθλίαν ψυχήν μου επηρείαις, τού εχθρού ταραττομένην, καί τή κακία δουλεύουσαν.

Δόξα... Ήχος πλ. δ'

Δυάς μαρτύρων σήμερον ανέτειλεν ημίν, τάς ψυχικάς αλγηδόνας ημών θεραπεύουσα, Κύρος καί Ιωάννης οι θαυματουργοί, ό μέν γάρ ισάγγελον ασπασάμενος άμιλλαν, τώ μονήρει βίω, μέχρι τέλους ενδιαπρέψας, αίματι τού Μαρτυρίου οικειούται τώ Χριστώ, ο δέ, στρατιωτικοίς ενδιαπρέψας καταλόγοις, ταίς ουρανίαις στρατολογίαις συγκαταριθμείται. Διό ιάσεις νέμουσι τοίς εν πίστει τελούσι τήν μνήμην αυτών, πρεσβεύοντες υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον
Οι Μάρτυρές σου Κύριε

Εγώ ειμι Πανάμωμε, δένδρον τό άκαρπον τού θείου λόγου, καρπόν σωτήριον μηδόλως φέρον, καί δειλιώ τήν εκκοπήν, μήπως εις τό πύρ βληθώ τό άσβεστον, όθεν δυσωπώ σε. Τούτου ρύσαί με, δείξασα καρποφόρον, Άχραντε, τώ Υιώ σου τή μεσιτεία σου.

Η Σταυροθεοτοκίον

Ου φέρω τέκνον βλέπειν σε, τόν τήν εγρήγορσιν πάσι διδόντα, ξύλω υπνώσαντα, όπως τοίς πάλαι, εν παραβάσεως καρπώ, ύπνω ολεθρίω αφυπνώσασι, θείαν καί σωτήριον εγρήγορσιν παράσχης, η Παρθένος έλεγε θρηνωδούσα, ήν μεγαλύνομεν.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος β' Ανατολίου

Δεύτε τών Πιστών ο σύλλογος σήμερον, ύμνοις στέψωμεν, Κύρον σύν τώ Ιωάννη, τούς αροτήρας τής χάριτος, καί δοτήρας τών αιτούντων αφθονωτάτους, ποικιλοτρόπως γάρ πάσιν, ανεδείχθησαν ιατροί παμφαείς, όθεν καί πρεσβεύουσιν, υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον
Ότε, εκ τού ξύλου σε

Σκέπη, καί αντίληψις ημών, τών Χριστιανών σύ υπάρχεις, καί προσφυγή κραταιά, Μήτηρ τού Θεού ημών, αλλά καί νύν ώς αεί, τή αγρύπνω δεήσει σου, μή παύση πρεσβεύειν, σώζεσθαι τούς δούλους σου εκ περιστάσεως, πάσης, σέ γάρ έχομεν σκέπην, θείαν μετά τόν Θεόν πάντες, οι Χριστιανοί καί καταφύγιον.

Η Σταυροθεοτοκίον

Βότρυν, τόν παμπέπειρον Αγνή, όν αγεωργήτως εν μήτρα εκυοφόρησας, ξύλω ώς εώρακας, τούτον κρεμάμενον, θρηνωδούσα ωλόλυζες, καί έκραζες. Τέκνον, γλεύκος εναπόσταξον, δι' ού η μέθη αρθή, πάσα τών παθών ευεργέτα, δι' εμού τής σέ τετοκυίας, σού τήν ευσπλαγχνίαν ενδεικνύμενος.

Απολυτίκιον
Ήχος πλ. δ'

Τά θαύματα τών Αγίων σου Μαρτύρων, τείχος ακαταμάχητον ημίν δωρησάμενος, Χριστέ ο Θεός, ταίς αυτών ικεσίαις, βουλάς Εθνών διασκέδασον, τής Βασιλείας τά σκήπτρα κραταίωσον, ως μόνος αγαθός καί φιλάνθρωπος.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά την συνήθη Στιχολογίαν, ο Κανών τής Οκτωήχου καί τών Αγίων εις ς'.

Ωδή α'  Ήχος δ'

«Θαλάσσης τό ερυθραίον πέλαγος, αβρόχοις ίχνεσιν, ο παλαιός πεζεύσας Ισραήλ, σταυροτύποις Μωσέως χερσί, τού Αμαλήκ τήν δύναμιν, εν τή ερήμω ετροπώσατο».

Τό κύρος κατά τής πλάνης εϊληφας, Κύρε μακάριε συναθλητήν τών πόνων εσχηκώς, Ιωάννην τόν ένδοξον, διό τρυφής τής κρείττονος, εν ουρανοίς συναπολαύετε.

Στρατείαν πνευματικήν ζωσάμενος, Κύρε πανέντιμε, τήν επί γής στρατείαν τε λιπών, Ιωάννη πανεύφημε, κατά Δαιμόνων ήρασθε, παοά Χριστού τά νικητήρια.

Τής θέκλης τήν αρετήν ζηλώσασαι, γυναίκες ένθεοι, παρθενικήν ισάγγελον στολήν, ευσεβώς ημφιάσαντο, μαρτυρικώ δέ έρωτι, πρός τούς αγώνας απεδύσαντο.

Θεοτοκίον

Εκ σού κεχαριτωμένη Πάναγνε, ημίν ανέτειλε, δικαιοσύνης Ήλιος Χριστός, καί φωτί κατελάμπρυνε, τούς καθημένους πρότερον, εν τοίς τού σκότους οχυρώμασιν.

Ωδή γ'

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα. Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

Σαρκίω τώ ασθενεί, δυναμουμένω τοίς Χριστού πάθεσιν, οι ευκλεείς Μάρτυρες, τόν ανθρωποκτόνον κατέβαλον.

Τών πόνων σωματικώς, τής ακηράτου δέ τρυφής πνεύματι, οι τού Χριστού Μάρτυρες, αντιλαβανόμενοι έχαιρον.

Ερρώσθη τό ασθενές, τής γυναικείας τώ Σταυρώ φύσεως, τόν δυσμενή δράκοντα, όθεν ανδρικώς ετ ροπώσαντο.

Θεοτοκίον

Σύ μόνη τοίς επί γής, τών υπέρ φύσιν αγαθών πρόξενος; Μήτηρ Θεού γέγονας, όθεν σοι τό Χαίρε κραυγάζομεν.

Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα. Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

Κάθιαμα  Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ

Τάς χαμαιζήλους ηδονάς συμπατούντες, πρός μαρτυρίου Αθληταί θείον ύψος, περιφανώς επήρθητε εν χάριτι, κύρε Ιωάννη τε, οικουμένης φωστήρες, όθεν ικετεύομεν, σκοτασμού αμαρτίας, καί νοσημάτων ρύσασθαι ημάς, τόν επί πάντων Θεόν ικετεύοντες

Θεοτοκίον

Μετά Θεόν επί τήν σήν Θεοτόκε, προσπεφευγώς ο ταπεινός σκέπην θείαν, παρακαλώ δεόμενος. Ελέησον Αγνή, ότι υπερήράν μου, κεφαλήν αμαρτίαι, καί πτοούμαι Δέσποινα, τάς κολάσεις καί φρίττω, ικετηρίαν ποίησον σεμνή, πρός τόν Υιόν σου, εκ τούτων ρυσθήναί με.

Η Σταυροθεοτοκίον

Τόν εξ ανάρχου τού Πατρός γεννηθέντα, η επ' εσχάτων σε σαρκί τετοκυία, επί Σταυρού κρεμάμενον ορώσά σε Χριστέ, Οίμοι! ποθεινότατε Ιησού ανεβόα, πώς ο δοξαζόμενος, ως Θεός υπ' Αγγέλων, υπό ανόμων νύν βροτών Υιέ, θέλων σταυρούσαι; Υμνώ σε Μακρόθυμε.

Ωδή δ'

«Επαρθέντα σε ιδούσα η Εκκλησία, επί Σταυρού τόν Ήλιον τής δικαιοσύνης, έστη εν τή τάξει αυτής, εικότως κραυγάζουσα, Δόξα τή δυνάμει σου Κύριε».

Η ανέσπερος τής χάριτος φωταυγία, τού δυσμενούς κατέλυσε, φιλέσπερον πλάνην, ταύτης πολεμήτορας, φωστήρας εκλάμποντας, Κύρον Ιωάννην τε δείξασα.

Κατεθέλχησαν τώ έρωτι τής Τριάδος, καί υπ' αυτής οι Μάρτυρες σφοδρώς ερρωσθέντες, Κύρος Ιωάννης τε, ενώσει τή κρείττονι, όργανα Θεού ανεδείχθησαν.

Ως σεπτόν υμών τό τέμενος θεραπείον, τών πονηρών πνευμάτων απελαύνει τήν λώβην, πάσί τε τοίς κάμνουσιν, αήττητοι Μάρτυρες, χάριν αλεξίκακον δίδωσιν.

Θεοτοκίον

Απειρογάμως εκύησας ώ Παρθένε, καί μετά τόκον ώφθης παρθενεύουσα πάλιν, όθεν ασιγήτοις φωναίς, τό Χαίρέ σοι Δέσποινα, πίστει αδιστάκτω κραυγάζομεν.

## Ωδή ε'

«Σύ Κύριέ μου φώς, εις τόν κόσμον ελήλυθας, φώς άγιον επιστρέφον, εκ ζοφώδους αγνοίας, τούς πίστει ανυμνούντάς σε».

Σέ Σώτερ η δυάς τών Μαρτύρων επόθησε, σύ Άγιε εν Αγίοις, Κύρω καί Ιωάννη, αξίως αναπέπαυσαι.

Σόν έργον Αγαθέ, τού εχθρού η καθαίρεσις, σύ Μάρτυρας ευσεβείας, τώ Σταυρώ απειργάσω, καί δόξη εστεφάνωσας.

Σέ μόνον αγαπάν, απτοήτω φρονήματι, αλείψαντες τάς Παρθένους, Ιωάννης καί Κύρος, ανδρείας απειργάσαντο.

Θεοτοκίον

Σέ όπλον αρραγές, κατ' εχθρών προβαλλόμεθα, σέ άγκυραν καί ελπίδα, τής ημών σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

## Ωδή ς'

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, έκ τής πλευράς σου ρεύσαντι αίματι».

Θύεσθαι, υπέρ Χριστού οι Μάρτυρες είλοντο, ήπερ αλάστορι θύειν, πονηρόν τε τύραννον ανθαιρείσθαι, τού δι οίκτον, υπέρ ημών τυθέντος ως πρόβατον.

Ήλγησαν, οι αφειδώς τούς Μάρτυρας ξέοντες, τοίς ξεομένοις δέ βέλη, αί πληγαί νηπίων απετελούντο, παραδόξως, ενευρούντο τώ θείω γάρ Πνεύματι.

Κύριον, καί Βασιλέα πάσης τής κτίσεως, σέ ωμολόγησε πίστει, δυάς η ομόφρων καί ευαθλήτως τοίς ανόμοις, αντικατέστη μέχρι καί αίματος.

Θανάτω, τήν αθανασίαν εύκλειαν ήραντο, Αθανασία η Μάρτυς, σύν τή Ευδοξία καί Θεοδότη, καί τή θεία, Θεοκτίστη τοίς ταύτης βλαστήμασι.

Θεοτοκίον

Κατάρας, τής προμήτορος Εύας τώ τόκω σου, ελευθερούμεθα, σύ γάρ, τόν

Χριστόν τεκούσα Παρθενομήτορ, αντί ταύτης, τήν ευλογίαν πάσιν επήγασας.

Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, έκ τής πλευράς σου ρεύσαντι αίματι».

Κοντάκιον Ήχος γ'

Η Παρθένος σήμερον

Εκ τής θείας χάριτος, τήν δωρεάν τών θαυμά των, ειληφότες Άγιοι, θαυματουργείτε απαύστως, άπαντα ημών τά πάθη, τή χειρουργία, τέμνοντες τή αοράτω, Κύρε θεόφρον, σύν τώ θείω Ιωάννη, υμείς γάρ θείοι ιατροί υπάρχετε.

Ο Οίκος

Εαυτούς τώ Θεώ αναθέμενοι Άγιοι, πάσαν πείραν δεινών δι' αυτόν υπεμείνατε, θανόντες προθύμως Μάρτυρες γενναίοι, καί μετά τέλος, πάσι πηγάζετε τά θεία χαρίσματα, τοίς εν ποικίλαις νόσοις υπάρχουσι, καί υπό πολλών εταζομένοις κακών, ών είς καί πρώτος ειμί εγώ ο τάλας, τό σώμα γάρ καί τήν ψυχήν υπό τραυμάτων χαλεπών οδυνώμαι, καί πίστει υμίν βοώ, ιάσασθέ με, υμείς γάρ θείοι ιατροί υπάρχετε.

Σ υ ν α ξ ά ρ ι ο ν

Τη ΛΑ' τού αυτού μηνός, Μνήμη τών Αγίων καί Θαυματουργών Αναργύρων Κύρου καί Ιωάννου, καί τής Αγίας Μάρτυρος Αθανασίας καί τών τριών αυτής θυγατέρων καί παρθένων, Θεοδότης, Θεοκτίστης καί Ευδοξίας.

Στίχοι

Κύρω συναθλών Ιωάννης πρός ξίφος,
Συνθαυματουργεί καί μετά ξίφος Κύρω.
Μήτηρ αρίστη, καί τριάς θυγατέρων,
Πόθω Πατρός θνήσκουσι τού πάντων ξίφει.
Κύρον Ιωάννην τε τάμον πρώτη τριακοστή.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Ουϊκτωρίνου, Ουϊκτωρος, Νικηφόρου, Κλαυδίου, Διοδώρου, Σαραπίνου καί Παπία τών εν Κορίνθω.

Στίχοι

Όλμω μέλη τρείς συντριβέντες γεννάδαι,
Ώφθησαν οι τρείς σώματος Χριστού μέλη.
Καλήν απαρχήν Κλαύδιος τώ Κυρίω,
Εκ σώματος δίδωσι χείρας καί πόδας.
Εν τή καμίνω καί τό τού πόνου στέφος.
Είσελθε Διόδωρε Μάρτυς, καί στέφου.
Ει τού ξίφους στέρξω σε τώ φόβω βίε,
Καί πώς Θεός στέρξει με τόν Σαραπίνον.
Λούσαι θαλάσσης πικρά λουτρά Παπία,
Καί τού γλυκασμού τής άνω τρυφής τύχης.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος Τρυφαίνης.

Στίχοι

Ταύρος Τρύφαινα σού τρυφά τό σαρκίον,
Καί πρός τρυφάς πέμπει σε τάς ακηράτους.

Ταίς αυτών Αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

«Εν τή καμίνω Αβραμιαίοι Παίδες τή Περσική, πόθω ευσεβείας μάλλον ή τή φλογί, πυρπολούμενοι εκραύγαζον. Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε».

Ταλαντεύσαντες ως εν ροπή ζυγού τό φρόνημα, βάρει τής αχράντου δόξης οι Αθληταί, ανυψούμενοι εκραύγαζον. Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε.

Ουκ αγνοούντες, τού αντιπάλου τά νοήματα, πάσαν αικισμών ιδέαν καί θωπειών, αποπτύσαντες οι Μάρτυρες. Ευλογημένος εί, ανεβόων τής δόξης ο Κύριος.

Τή καρτερία, τών αλγηδόνων στεφανούμενοι, Κύρος, Ιωάννης όντως οι λατρευταί, τής Τριάδος ανεκραύγαζον. Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε.

Θεοτοκίον

Τό τού Υψίστου, ηγιασμένον θείον σκήνωμα, χαίρε, διά σού γάρ δέδοται η χαρά, Θεοτόκε τοίς κραυγάζουσιν. Ευλογημένη σύ, εν γυναιξίν υπάρχεις Πανάμωμε.

Ωδή η'

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Πρός άρνησιν μέν οι ασεβείς, τού φύσει όντος Θεού, εξεκαλούντο δεινώς, αλλ' οι αήττητοι Μάρτυρες, διά κτίσεως υπέφαινον, τόν τού παντός Δημιουργόν όντα κραυγάζοντες. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Λυσσώντες τή πλάνη εμφανώς, οι τά επίγεια, φρονούντες Τύραννοι, τούς τό πολίτευμα έχοντας, εν υψίστοις ακατάλυτον, διά θανάτου πρός ζωήν ώθουν κραυγάζοντας. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Λείψανα Μαρτύρων αστραπάς, θαυμάτων έφαναν, τή οικουμένη Χριστέ, τού κακοδαίμονος φάσματος, τήν απάτην θριαμβεύοντα, τοίς δέ βοώσιν ευπρεπώς, ιάσεις νέμοντα. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Θεοτοκίον

Αμήτωρ ο Λόγος εκ Πατρός, υπάρχων πρότερον, απάτωρ γέγονεν, εκ σού τό

δεύτερον Πάναγνε, σαρκωθείς ο πρίν ασώματος, δι' ευσπλαγχνίαν βουληθείς, σώσαι τούς ψάλλοντας. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Ωδή θ'

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας, τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Υπήκοος μέχρι θανάτου, η ξυνωρίς τών αηττήτων, ώφθη Ιωάννου καί Κύρου, τοίς τού Δεσπότου θείοις προστάγμασι, διό χερσί τού Κτίσαντος, τάς εαυτών ψυχάς παρέθεντο.

Φωστήρες εκλάμπουσι δύω, τάς τών θαυμάτων λαμπηδόνας, κρήνης εκ μιάς φωτοφόρου, τοίς άσθενούσιν απαρυόμενοι, τής ακηράτου χάριτος, ούς επαξίως μεγαλύνομεν.

Τριαδικόν

Μονάδα μέν θείας ουσίας, αλλ' υποστάσεων Τριάδα, η τών αηττήτων Μαρτύρων, δυάς ανδρείως εθεολόγησε, τόν σαρκωθέντα Λόγον δέ ένα Χριστόν έν δύω φύσεσι.

Θεοτοκίον

Φείσαί μου Χριστέ όταν έλθης, κρίναι τόν κόσμον μετά δόξης, λύσον τήν αχλύν τών παθών μου, ταίς ικεσίαις τής κυησάσης σε, καί τών σεπτών Μαρτύρων σου, ως αγαθός καί πολυέλεος.

Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας, τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Εξαποστειλάριον

Τοίς Μαθηταίς

Τών Αναργύρων έξαρχοι, καί αστέρες οι θείοι, τής οικουμένης ώφθητε, Μάρτυρες θεοφόροι, ως πρόμαχοι αληθείας εκ Θεού γάρ λαβόντες, τό συμπαθές πανεύφημοι, μυστικώς χειρουργείτε, πάθη ψυχών, καί σωμάτων, όθεν τήν φωτοφόρον, μνήμην ημών γεραίρομεν, Κύρε καί Ιωάννη.

Έτερον

Ο ουρανόν τοίς άστροις

Θαυματουργοί φωστήρες, Κύρε σύν τώ Ιωάννη, τάς ψυχικάς ημών νόσους, καί τών σωμάτων ιάσθε, παρά Κυρίου λαβόντες, τήν χάριν τών ιαμάτων.

Θεοτοκίον, όμοιον

Σέ προστασίαν πάντες, έχομεν οι αμαρτωλοί, πανύμνητε Θεοτόκε, σύ ευδιάλλακτον ημίν, απέργασαι τόν Υιόν σου, Θεοχαρίτωτε Κόρη.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσι

Τήν δυάδα τιμήσωμεν, τών Μαρτύρων εν άσμασι, τής Τριάδος έχουσαν τήν λαμπρότητα, τούς θεμελίους τής Πίστεως, τά άνθη τά πνέοντα, τήν οσμήν τήν αληθή, τής Θεού επιγνώσεως, Κύρον άπαντες, καί σύν τούτω τόν μέγαν Ιωάννην, ως πρεσβεύοντας απαύστως, υπέρ ημών τόν Φιλάνθρωπον. (Δίς)

Ιατροί ανεδείχθητε, ασθενούντων Μακάριοι, καί φωστήρες άδυτοι διά Πίστεως, ομολογίας συνήγοροι, Μαρτύρων συμμέτοχοι, τούς στεφάνους αληθώς, τούς τής νίκης δεξάμενοι, Κύρε ένδοξε, καί σοφέ Ιωάννη ασι γήτως, δυσωπείτε τόν Σωτήρα, υπέρ ημών Παμμακάριστοι.

Συγχορεύουσι σήμερον, αι Χριστού καλλιπάρθενοι, τοίς δυσί θεόφροσι θείοις Μάρτυσι, καί τής αυτών ως μετέχουσαι, δόξης καί λαμ πρότητος, τόν κρατύναντα αυτάς, σύν αυτοίς μεγαλύνουσι, καί πρεσβεύουσιν, εκ φθοράς καί κινδύνων λυτρωθήναι, τούς εν πίστει εκτελούντας, τήν αεισέβαστον μνήμην αυτών.

Δόξα... Ήχος δ'

Αξιεπαίνοις άσμασι, πιστοί μεγαλύνωμεν, Κύρον καί Ιωάννην, τούς εν πνεύματι ομαίμονας, καί κατά σάρκα αδελφόφρονας, σύν αυτοίς καί τήν γενναίαν Αθανασίαν εγκωμιάζοντες, καί τά βλαστήματα αυτής, Θεοδότην Ευδοξίαν καί Θεοκτίστην, τάς αθληφόρους καί καλλιπαρθένους, αιτούντας Χριστόν, υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον
Ο εξ υψίστου κληθείς

Ουκ αποκρύπτω ο τάλας τά δεινά μου, ότι πάντα κέκτημαι, άπερ μισεί ο Θεός, σαρκα μολύνας καί πνεύμά μου, καί νούν εννοίαις, τοίς αθεμίτοις έργοις καί λόγοις αισχροίς, γλώσση κατακρίνων τε τούς αμαρτάνοντας, αυτός τά χείρω εργάζομαι, Θεογεννήτορ, τούτων μοι δίδου πάντων διόρθωσιν, ίνα εκνήψας τής κακίστης μου, συνηθείας προσπέσω καί κλαύσωμαι, ά δεινά ειργασάμην, τής ζωής μου τό υπόλοιπον.

Η Σταυροθεοτοκίον

Μή εποδύρου μου Μήτερ καθορώσα, εν ξύλω κρεμάμενον, τόν σον Υιόν καί Θεόν, τόν εφ' υδάτων κρεμάσαντα, τήν γήν ασχέτως, καί πάσαν κτίσιν δημιουργήσαντα, καί γάρ αναστήσομαι, καί δοξασθήσομαι, καί τά τού, Άδου βασίλεια, συντρίψω σθένει, καί αφανίσω τούτου τήν δύναμιν, καί τούς δεσμίους εκλυτρώσομαι, τής αυτού κακουργίας, ως εύσπλαγχνος, καί Πατρί τώ ιδίω, προσαγάγω ως φιλάνθρωπος.

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

Εις τήν Λειτουργίαν, Τυπικά, καί εκ τού Κανόνος, Ωδή γ' καί ς'.

**Φεβρουάριος_1 Φεβρουάριος_2 Φεβρουάριος_3 Φεβρουάριος_4 Φεβρουάριος_5 Φεβρουάριος_6 Φεβρουάριος_7 Φεβρουάριος_8 Φεβρουάριος_9 Φεβρουάριος_10 Φεβρουάριος_11 Φεβρουάριος_12 Φεβρουάριος_13 Φεβρουάριος_14 Φεβρουάριος_15 Φεβρουάριος_16 Φεβρουάριος_17 Φεβρουάριος_18 Φεβρουάριος_19 Φεβρουάριος_20 Φεβρουάριος_21 Φεβρουάριος_22 Φεβρουάριος_23 Φεβρουάριος_24 Φεβρουάριος_25 Φεβρουάριος_26 Φεβρουάριος_27 Φεβρουάριος_28 Φεβρουάριος_29**

Αρχή

## ΤΗ Α' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Τά προεόρτια τής Υπαπαντής τού Κυρίου καί Θεού καί Σωτήρος ημών Ιησού Χριστού, καί μνήμη τού Αγίου Μάρτυρος Τρύφωνος.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν τά εφεξής Προσόμοια, Στιχηρά.

Τών προεορτίων

Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Η σεπτή ευτρεπίζεται, Εκκλησία εισδέξασθαι, εν αυτή τόν Κύριον, ώσπερ νήπιον, επιδημούντα καί χάρισι, νοητώς φαιδρύνοντα, τό πιστότατον αυτής, καί φιλόθεον σύστημα, ώ καί κέκραγε. Σύ εί δόξα καί κλέος καί ο κόσμος, τού πληρώματός μου Λόγε, ο νηπιάσας σαρκί δι' εμέ.

Η παστάς η πολύφωτος, καί σκηνή η υπέρτιμος, καί ναός ο Άγιος καί ευρύχωρος, ένδον θαλάμων εισάγουσα, τού Ναού τόν Κύριον, προμνηστεύεται αυτόν, τή σεπτή Εκκλησία αυτού, ικετεύουσα, εκ φθοράς καί κινδύνων λυτρωθήναι, τούς κυρίως Θεοτόκον, ταύτην απαύστως δοξάζοντας.

Συμεών Ιερώτατε, τήν ελπίδα ήν κέκτησαι, τόν Χριστόν θεάσασθαι, δεύρο πρόσελθε, εν τώ ναώ υπόδεξαι, αγκάλαις καί βόησον. Νύν απόλυσον Σωτήρ, εκ τής γής με τόν δούλόν σου, καί συγκάλεσον, τήν Προφήτιδα Άνναν τού δοξάσαι, μετά σού τόν Ευεργέτην, σαρκί φρικτώς νηπιάζοντα.

Τού Μάρτυρος  Ήχος α'
Πανεύφημοι Μάρτυρες

Τρύφων παναοίδιμε τρυφής, ακηράτου μέτοχος, εν ουρανοίς εχρημάτισας, διαφανέστατα, γενικούς αγώνας, διαθλήσας ένδοξε, καί μάρτυς αληθείας

γενόμενος, Χριστόν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Τρύφων παναοίδιμε φωτός, αοιδίου λάμψεσι, φωτοειδής όλος γέγονας, καταστρεψάμενος, τήν ζοφώδη πλάνην, καί τούς κοσμοκράτορας, τού σκότους καθελων θεία χάριτι, διό ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Τρύφων παμμακάριστε χαράς, καί αγαλλιάσεως, αγγελικής κατηξίωσαι, απαρνησάμενος, τά τερπνά τού βίου, καί ψυχής στερρότητι, τά πάντα παρ' ουδέν ηγησάμενος, καί καρτερώτατα, διανύσας τό Μαρτύριον, νύν πρεσβεύεις, υπέρ τών ψυχών ημών.

Δόξα... Ήχος β' Κυπριανού

Υπερφρονήσας τών τήδε γεηρών, Παμμάκαρ Τρύφων σεβάσμιε, πρός τό σκάμμα ανδρείως έσπευσας, καί τή πάλη δι' αίματος, σύ εντέχνως Μάρτυς τόν υπερήφανον καθελών, εκομίσω τής νίκης στέφος, Χριστόν τόν Θεόν ημών, εκλιπαρών δι' ημάς μή ελλίπης Αθλοφόρε, εις τό σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Προεόρτιον, ο αυτός

Σήμερον Συμεών εν ταίς αγκάλαις, τόν Κύριον τής δόξης υποδέχεται, όν υπό τόν γνόφον πρώην ό Μωϋσής εθεάσατο, εντώ ορειτώ Σινά, πλάκας δόντα αυτώ. Ούτός εστιν, ο εν τοίς Προφήταις λαλών, καί τού νόμου Ποιητής, ουτός εστιν όν ο Δαυΐδ καταγγέλλει, ο τοίς πάσι φοβερός, ο έχων τό μέγα καί πλούσιον έλεος.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια Προεόρτια.

Ήχος πλ. β' Τήν Ανάστασίν σου

Σέλας τό τρισήλιον εμφανώς, λάμψαν εκ Παρθένου καινοπρεπώς, αστραπαίς τής υπερφώτου θεότητος, εφαίδρυνε τήν σύμπασαν αρρήτως.

Στίχ. Νύν απολύεις τόν δούλόν σου Δέσποτα, κατά τό ρήμά σου εν ειρήνη Κύριε, ότι είδον οι οφθαλμοί μου, τό σωτληριόν σου,

Τήν εκ παραβάσεως τού Αδάμ, πτώσιν ενυπάρξασαν τοίς βροτοίς, Χριστός επανορθώσων επέφανεν, ατρέπτως νηπιάσας εκ Παρθένου.

Στίχ. Φώς εις αποκάλυψιν εθνών, καί δόξαν λαού σου Ισραήλ.

Νόμον τόν εν Γράμματι εκπληρών, ό τού νόμου Κύριος καί δοτήρ, εν ναώ τώ νομικώ νύν προσάγεται, υπό Μητρός Παρθένου βρέφος θείον.

Δόξα... Καί νύν... Ήχος β'

Τόν ιερόν η ιερά Παρθένος προσεκόμισεν, εν ιερώ τώ ιερεί, απλώσας δέ αγκάλας ο Συμεών, εδέξατο τούτον αγαλλόμενος, καί εβόησε. Νύν απολύεις τόν δούλόν σου Δέσποτα, κατά τό ρήμά σου εν ειρήνη Κύριε.

Απολυτίκιον τού Μάρτυρος
Ήχος δ'

Ο Μάρτυς σου Κύριε εν τή αθλήσει αυτού, τό στέφος εκομίσατο τής αφθαρσίας, εκ σού τού Θεού ημών, έχων γάρ τήν ισχύν σου, τούς τυράννους καθείλεν, έθραυσε καί δαιμόνων, τά ανίσχυρα θράση. Αυτού ταίς ικεσίαις Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

Καί Προεόρτιον
Ήχος α' Χορός Αγγελικός

Ουράνιος χορός, ουρανίων αψίδων, προκύψας επί γής, καί φερόμενον βλέπων, ως βρέφος υπομάζιον, πρός ναόν τόν πρωτότοκον, πάσης κτίσεως, υπό Μητρός απειράνδρου, προεόρτιον, νύν σύν ημίν μελωδούσι, φρικτώς εξιστάμενοι.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος α'
Χορός, Αγγελικός

Ο ών σύν τώ Πατρί, επί θρόνου αγίου, ελθών επί τής γής, εκ Παρθένου ετέχθη, καί βρέφος εγένετο, χρόνοις ών απερίγραπτος, όν δεξάμενος, ο Συμεών εν αγκάλαις, χαίρων έλεγε. Νύν απολύεις οικτίρμον, ευφράνας τόν δούλόν σου.

Δόξα... Καί νύν... τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος δ'
Ταχύ προκατάλαβε

Σαρκί νηπιάσαντα εξ απειράνδρου Μητρός, χερσί γηραλέαις σου, αγκαλισθείς Συμεών, Χριστόν τόν Θεόν ημών, έλαβες τής εξόδου, τήν απόφασιν δόξη, είληφας τών θαυμάτων, τήν αέναον χαριν, διό σε αξιοχρέως παντες δοξάζομεν.

Δόξα... Καί νύν... τό αυτό

Είτα ψάλλονται οι Κανόνες, ο μέν, Προεόρτιος μετά τών Ειρμών εις η' ο δέ τού Μαρτυρος εις δ'.

Κανών Προεόρτιος

Ωδή α' Ήχος δ' Ο Ειρμός

«Άσομαί σοι Κύριε ο Θεός μου, ότι ωδήγησας λαόν, εν μέσω τής θαλάσσης,

εκάλυψας δέ άρματα Φαραω καί τήν δύναμιν».

Άσομαί σοι Κύριε ο Θεός μου, τώ νηπιάσαντι σαρκί, καί νόμω υπακούσαντι, καί σώσαντι τόν άνθρωπον, δι' όν γέγονας άνθρωπος.

Αγκάλαις δεξάμενος ο Πρεσβύτης, τόν ζωοδότην καί Θεόν, τής ζωής απελύετο βοών. Νύν απολύεις με, κατείδον γάρ σε σήμερον.

Τοίς νόμοις τής φύσεως υπακούεις, καί τού Γράμματος θεσμοίς, κατά νόμον υπείκεις Χριστέ, ο πρίν υπαγορεύσας μοι τόν νόμον, εν τώ όρει Σινά.

Θεοτοκίον

Άσομαί σοι Κύριε ο Θεός μου, ότι ετέχθης εκ Μητρός, Παρθένου αγίας, καί ταύτην ανέδειξας, ελπίδα τών ψυχών ημών.

Ο Κανών τού Μάρτυρος, φέρων Ακροστιχίδα.

Τρυφής μεθέξειν αξιωσόν με Τρύφων. Θεοφάνους.

Ωδή α' Ήχος πλ. β'

«Υγράν διοδεύσας ωσεί ξηράν, καί τήν Αιγυπτίαν μοχθηρίαν διαφυγών, ο Ισραηλίτης ανεβόα. Τώ Λυτρωτή καί Θεώ ημών άσωμεν».

Τής όντως ενθέου εν ουρανοίς, τρυφής απολαύων, ως αήττητος Αθλητής, ταίς σαίς ικεσίαις τήν ψυχήν μου, τής τών παθών ρύσαι συγχύσεως.

Ρημάτων τών θείων ενηχηθείς, ετέλεσας ταύτα, Παναοίδιμε πρακτικώς, τήν αγιωσύνην αγαπήσας, καί σωφροσύνην ασπασαμενος.

Υπήρξας τώ όντι ποιμαντικός, ποιμαίνων ψυχής σου, εν σοφία τούς λογισμούς, ψυχάς επιστρέφων πλανωμένας, καί τώ Θεώ προσάγων Ένδοξε.

Θεοτοκίον

Φωτίζεις με φέγγει τώ νοητώ, απαύγασμα δόξης, η τεκούσα τό πατρικόν, πανάμωμε Κόρη, καί τόν ζόφον, τής αμαρτίας διασκέδασον.

Προεόρτιος

Ωδή γ' Ο Ειρμός

«Εν Κυρίω Θεώ μου, εστερεώθη ή καρδία μου, διό οι ασθενούντες περιεζώσαντο δύναμιν».

Ανοιγέσθω ο ναός, ό τού Θεού γάρ νύν επέστη ναός, ναούς ημάς ποιήσαι, τού αγίου αυτού Πνεύματος.

Νύν παρήλθεν η σκιά, καί αντεισήχθη η αλήθεια, τώς χάριτος ελθούσης, νύν υποδέχου τόν Χριστόν Συμεών.

Χήρα, Άννα σώφρων, η μεμονωμένη καί γνωστή τώ Θεώ, νύν ανθομολογείτω, τώ νηπιάσαντι σαρκί δι' ημάς.

Θεοτοκίον

Τήν Θεομήτορα Παρθένον, ορθοδόξως ανυμνήσωμεν, πρεσβεύει γάρ απαύστως, υπέρ ημών πρός τόν Κύριον.

Τού Μάρτυρος

Σύ εί τό στερέωμα

Ήμβλυνας τήν δύναμιν, τήν υπερήφανον ένδοξε, Μάρτυς Χριστού, τήν εκ τού Υψίστου ενδυσάμενος δύναμιν.

Σάρκα περικείμενος, οφρύν τήν άσαρκον έσβεσας, τού δυσμενούς, καί σεσαρκωμένον, Θεόν Λόγον εκήρυξας.

Μόνη φυγαδεύονται, τή παρουσία σου πνεύματα, τά πονηρά, πνεύματος Αγίου διωκόμενα χάριτι.

Θεοτοκίον

Έχων σε βοήθειαν, ουκ αισχυνθήσομαι Πάναγνε, Μήτηρ Θεού, έχων σε προστάτιν τής ζωής μου, σωθήσομαι.

Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Κάθισμα τού Μάρτυρος

Ήχος δ' Ταχύ προκατάλαβε

Τών πόνων μακάριε, Κατατρυφών τής σαρκός, τήν θείαν καί άπονον, εν Παραδείσω τρυφήν, αξίως απείληφας, στέφος αθανασίας, εκ Θεού δεδεγμένος, όθεν ιαμάτων, ποταμούς αναβλύζεις, τοίς πόθω καταφεύγουσι, Μάρτυς τή σκέπη σου.

Δόξα... Καί νύν... Προεόρτιον

Ήχος α' Τού λίθου σφραγισθέντος

Θησαυρέ τών αιώνων, η ζωή τών απάντων, δι' εμέ νηπιάσας, υπό νόμον εγένου, ο πάλαι χαράξας έν πλαξί, τόν νόμον εν τώ όρει Σινά, ίνα πάντας απαλλάξης, εκ τής τού νόμου πάλαι δουλείας. Δόξα τή ευσπλαγχνία σου Σωτήρ, δόξα τή βασιλεία σου, δόξα τή οικονομία σου μόνε φιλάνθρωπε.

Προεόρτιος

Ωδή δ' Ο Ειρμός

«Τούς ουρανούς η αρετή σου κατεκαλυψε, καί η γή επληρώθη τής σής δόξης Χριστέ, διό απαύστως κράζομεν. Δόξα τή δυνάμει σου Κύριε».

Αι τάξεις τών Αγγέλων εξεπλάγησαν, εν ταίς αγκάλαις τού Πρεσβύτου

θεασάμεναι, τόν σύν Πατρί καί Πνεύματι υμνούμενον, ως Υιόν καί Θεόν ημών.

Τό ημών ατελές οικειούμενος, ο παντέλειος Θεός, τή κατά νόμον προσαγωγή, τό τέλειον τής χάριτος ημίν εδωρήσατο.

Ως βρέφος εν αγκάλαις δεχόμενος, καί Θεόν τώ πνεύματι θεώμενος, ο Συμεών σωτήριον τού κόσμου, τόν Χριστόν ανεκήρυττε.

Μωσέως τιμιώτερος γέγονας, τού δεξαμένου νόμον εν τώ όρει Σινά, ότι Χριστόν τόν Κύριον αγκάλαις σου Πρεσβύτα εβάστασας.

Θεοτοκίον

Η Άννα προφητεύουσα τό μέλλον, τόν εκ τής μήτρας σου Θεόν προανηγόρευσε διό απαύστως πρέσβευε, σωθήναι Θεομήτορ τούς δούλους σου.

Τού Μάρτυρος

Εισακήκοα Κύριε

Θεωμένους κατέπληξας, Μάκαρ τούς τυράννους τή καρτερία σου, τάς βασάνους γάρ υπέμεινας, ως εν αλλοτρίω πάσχων σώματι.

Ενετρύφας Μακάριε, τοίς τών αλγηδόνων πόνοις νυττόμενος, νύν τρυφάς δέ καθαρώτερον, αϊδίου δόξης εμφορούμενος.

Ξεομένου τού σώματος ταίς τών σιδηρών ονύχων οξύτησιν, ενευρούτό σου θεσπέσιε, τής ψυχής ο τόνος θεία χάριτι.

Θεοτοκίον

Επί σέ τήν ελπίδα μου, πάσαν ανατίθημι Μητροπάρθενε, τήν ψυχήν μου διαφύλαξον, η Θεόν τεκούσα τόν Σωτήρά σου.

Προεόρτιος

Ωδη ε'  Ο Ειρμός

«Ο ανατείλας τό φώς, καί φωτίσας τόν όρθρον, καί δείξας τήν ημέραν, δόξα σοι Ιησού, Υιέ τού Θεού, φιλάνθρωπε δόξα σοι».

Εν τή τού νόμου σκιά, τόν τής χάριτος λόγον, τρανώς εχρηματίσθη, Συμεων ο δίκαιος, σωματικώς τόν Χριστόν δεξάμενος.

Ούτος εις πτώσιν φησί, καί ανάστασιν κείται, εις πτώσιν τών απίστων, καί πιστών ανάστασιν, ο Συμεών, άρτι προεφήτευσε.

Θεοτοκίον

Θεοκυήτορ Αγνή, τόν Υιόν σου δυσώπει, λυτρώσασθαι κινδύνων, καί πάσης περιστάσεως, τούς σέ δοξάζοντας, Θεοτόκε άχραντε.

Τού Μάρτυρος

Ορθρίζοντες βοώμέν σοι

Ινδάλματα τής πλάνης κατήργησας, Αθλοφόρε, εικόνι λατρεύειν γάρ, Θεού τού όντως ηγάπησας.

Νενίκηκας γενναίως τό φρόνημα, τού τυράννου τό άθεον πάνσοφε, Χριστού τή πίστει νευρούμενος.

Θεοτοκίον

Ανέκφραστος η σύλληψις γέγονε, σού Παρθένε ο τόκος απόρρητος, διαμεμένηκεν άχραντε.

Προεόρτιος

Ωδή ς' Ο Ε ιρμός

«Ως Ιωνάν τόν προφήτην, ελυτρώσω τού κήτους, Χριστέ ο Θεός, καμέ τού βυθού πταισμάτων, ανάγαγε καί σώσόν με, μόνε φιλάνθρωπε».

Εχρηματίσθη Πρεσβύτης, μή θανείν, πρίν ιδείν τόν Δεσπότην Χριστόν, αγκάλαις δέ σήμερον φέρει, καί τούτον προσδεικνύει, παντί τώ λαώ Ισραήλ.

Τόν ποιητήν τών αιώνων, ο Πρεσβύτης ως βρέφος δεξάμενος, Θεόν προαιώνιον έγνω, καί φώς εθνών, καί δόξαν, τού Ισραήλτόν Χριστόν.

Νυν Συμεων προφητεύει, νύν η Άννα ανθομολογεί τώ Θεώ, ό μέν τή Μητρί καί Παρθένω, η δέ τό εκ Παρθένου αναδειχθέντι σαρκί.

Θεοτοκίον

Ω μακαρία κοιλία, πόθεν ταύτην τήν δόξαν εβλάστησας; Θεός τό τεχθέν ώ Παρθένε, καί φώς εθνών, καί δόξα καί απολύτρωσις,

Τού Μάρτυρος

Ιλάσθητί μοι Σωτήρ

Ξηράνας τάς μυσαράς σπονδάς, καί κνίσσης μιάσματα, μανίας ειδωλικάς, σοίς αίμασιν ένδοξε, κατήρδευσας άπαντα, τά τής Εκκλησίας, ευγενή Τρύφων βλαστήματα.

Ιχώρες μαρτυρικοί, ως μύρον ευωδιάζουσι, τό αίμα τών Αθλητών, πηγάζει ιάματα, η κόνις τού σώματος, ψυχάς αγιάζει, τών πιστώς θεραπευόντων αυτούς.

Θεοτοκίον

Ως έμψυχος κιβωτός, εδέξω Λόγον τόν άναρχον, ως άγιον ιερόν, τόν Κτίστην εχώρησας, ως θρόνος πυρίμορφος, φέρεις τόν Δεσπότην, Θεομήτορ πάσης κτίσεως.

Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών,

ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

Κοντάκιον Ήχος πλ. δ'
Ως απαρχάς

Τριαδική στερρότητι, πολυθεΐαν έλυσας εκ τώ περάτων Αοίδιμε, τίμιος εν Κυρίω γενόμενος, καί νικήσας τυράννους εν Χριστώ, τώ Σωτήρι τό στέφος είληφας τής μαρτυρίας σου, καί χαρίσματα θείων ιάσεων, ως αήττητος.

Ο Οίκος

Ιεράν πανδαισίαν προτίθεται φιλεόρτων τό σύστημα σήμερον, Προεόρτια σύμβολα φέρουσαν, τού Κυρίου τεσσαρακονθήμερον τήν εκ Παρθένου φρικτήν γέννησιν, καί Πρεσβύτου σεπτού εναγκάλισιν, καί σεπτού Αθλοφόρου μνημόσυνα, δι' αυτόν γάρ τόν Χριστόν, τελειούται νικητικώς, ως αήττητος.

Συναξάριον

Τή Α' τού αυτού μηνός, Μνήμη τού Αγίου Τρύφωνος.

Στίχοι

- Σύ δέ Τρύφων τί; τό ξίφος θνήσκω φθάσας.
- Καιρός δέ τίς σου τού τέλους; Νουμηνία.
- Εν Φεβρουαρίοιο Τρύφων πρό τοίμης θάνε πρώτη.

Τή αυτή ημέρα, Μνήμη τού οσίου Πατρός ημών Πέτρου τού εν Γαλατία.

Τή αυτή η μέρα, Μνήμη τού οσίου Πατρός ημών Βενδιμιανού.

Στίχοι

- Βενδιμιανός δένδρον αρετής μέγα,
- Φυτευθέν εις γήν, καί μεταχθέν εις πόλον.

Τή αυτή ημέρα, Μνήμη τού οσίου Πατρός ημων καί ομολογητού Βασιλείου, Αρχιεπισκόπου Θεσσαλονίκης ορμωμένου εξ Αθηνών.

Τή αυτή ημέρα, ο Όσιος Τιμόθεος εν ειρήνη τελειούται.

Στίχοι

- Τιμόθεος μετέσχε τιμής τής άνω,
- Μή τι προκρίνας τής Θεού τιμής κάτω.

Τή αυτή ημέρα, ο Άγιος Μάρτυς θεϊων, μετά δύο παίδων, ξίφει τελειούται.

Στίχοι

- Θνήσκουσι παισίν ευπροθύμως εκ ξίφους.
- Όλη θείων είπετο προθυμία.

Τή αυτή ημέρα, ο Άγιος Μάρτυς Καρίων, τήν γλώτταν εκτμηθείς, τελειούται.

Στίχοι

- Φωνής στερήσει γλωττότμητος Καρίων,
- Γλωσσών πλάνων έπαυσεν υθλοφωνίαν.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος Περπετούας, καί τών σύν αυτή Σαύρου, Ρευκάτου, Σατορλίνου, Σεκούνδου καί Φηλικιτάτης.

Στίχοι

- Τήν τών σφαγέντων Περπετούα πεντάδα,
- Ήμειψε, συσφαγείσα πρός τήν εξάδα.

Ο Άγιος Νεομάρτυς Αναστάσιος ο εκ Ναυπλίου, καί εν Ναυπλίω ματυρήσας κατά τό 1654, εις λεπτά τμηθείς τελειούται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός ελέησον ημάς. Αμήν.

Προεόρτιος

Ωδή ζ'  Ο Ειρμός

«Ο τών Πατέρων Θεός, μή καταισχύνης ημάς, αλλά δώρησαι ημίν, εν παρρησία βοάν σοι. Ευλογντός εί ο Θεός».

Ο ενοικήσας Θεός, εν γαστρί τής Παρθένου, εν αγκάλαις Συμεών, ώσπερ εν θρόνω πυρίνω, σήμερον ενθρονίζεται.

Σύ τό γεώδες ημών, προσλαβόμενος Λόγε, ενηπίασας σαρκί, καί νομικών καθαρσιών, μετέσχες ώσπερ νήπιον.

Η σώφρων Άννα ημίν, προφητεύει τό μέλλον, καί προλέγει μυστικώς, τήν τών εθνών προσδοκίαν, καί Ισραήλ τήν λύτρωσιν.

Θεοτοκίον

Χαίρε η άσπορος γή, η τόν Λόγον εκ μήτρας, δίχα σπέρματος ανδρός, σεσαρκωμένον τεκούσα, η σκέπη τών ψυχών ημών.

Τού Μάρτυρος

Οι εκ τής Ιουδαίας

Στεφηφόρος χορεύεις, τοίς χοροίς τών Μαρτύρων συνευφραινόμενος, τήν πλάνην γάρ νικήσας, εν λόγω αληθείας, αναμέλπεις γηθόμενος, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Ο Δεσπότης τών όλων, τών αυτού παθημάτων, στέφει τόν Μάρτυρα, καί τούτον εναυλίζει, σκηναίς επουρανίοις, κεκραγότα καί λέγοντα. Ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Θεοτοκίον

Νέον φέρουσα βρέφος, τόν πρό πάντων αιώνων Θεόν Πανάμωμε, εκ σού σωματωθέντα, μή παύση δυσωπούσα, τού σωθήναι τούς ψάλλοντας. Ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Προεόρτιος

Ωδή η' Ο Ειρμός

«Τόν Βασιλέα Χριστόν, όν ωμολόγησαν οι αιχμάλωτοι Παίδες, εν τή καμίνω λέγοντες μεγάλη τή φωνή. Πάντα τά έργα υμνείτε ως Κύριον».

Τόν δι' ημάς Καθημάς, βρέφος γενόμενον, υπό νόμον αχθέντα, ίνα τού νόμου πάντας απαλλάξη τού γραπτού, πάντα τά έργα υμνείτε ως Κύριον.

Ιδών σε φώς ως νοερόν, Συμεών ο πρεσβύτης, αγκάλαις υπεδέξατο βοών. Νύν απολύεις με Λόγε, πρός τήν εν τώ πνεύματι, ζωήν εκ τής προσκαίρου.

Τόν πρό αιώνων Θεόν, τόν ευδοκήσαντα δι' ημάς νηπιάσαι, καί εν χερσί δεχθήναι τού πρεσβύτου Συμεών, πάντα τά έργα υμνείτε ως Κύριον.

Θεοτοκίον

Τόν Βασιλέα Χριστόν, όν ημίν έτεκεν η Παρθένος Μαρία, καί μετά τόκον έμεινε Παρθένος αγνή, πάντα τά έργα υμνείτε ως Κύριον.

Τού Μάρτυρος

Επταπλασίως κάμινον

Μέχρι τομής καί καύσεως, μέχρις αίματος χύσεως, μέχρι καί θανάτου, τελευταίον ήθλησας, αντικαθιστάμενος, πρός αμαρτίαν Μάρτυς Χριστού, νύν δέ τής ζωής, τής εν Χριστώ κρυπτομένης, λαβόμενος κραυγάζεις. Ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Επί τής γής ηγώνισαι, δυσσεβέσι μαχόμενος, πρός απατηλήν, καί θεομάχον πλάνησιν, πικρώς αναγκάζουσιν, εν ουρανοίς δέ Τρύφων τρυφάς, στεφανηφορών, καί σύν Αγγέλοις κραυγάζων. Οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε εις πάντας τούς αιώνας.

Τυραννικήν διήλεγξας, αθεότητα Πάνσοφε, καί δαιμονικήν θεομαχίαν έσβεσας, ροαίς τών αιμάτων σου, τόν εν Τριάδι ένα Θεόν, αξιοπρεπώς καί καθαρώς αναγγέλλων, καί σέβων καί κραυγάζων. Ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Ρήμασι σοίς επόμενοι, μακαρίζομεν Πάναγνε, σέ τήν μακαρίαν, τήν σαρκί γεννήσασαν, τόν όντως μακάριον, τόν φώς οικούντα άδυτον, καί φωταγωγόν καί φωτοδότην Δεσπότην, όν Παίδες ευλογούσιν, Ιερείς ανυμνούσι, λαοί υπερυψούσιν, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Επλαπλασίως κάμινον, τών Χαλδαίων ό τύραννος, τοίς θεοσεβέσιν,

εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών. Τόν Δημιουργόν καί Λυτρωτήν, ανεβόα, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Προεόρτιος

Ωδή θ' Ο Ειρμός

«Μεγαλύνομεν πάντες, τήν φιλανθρωπίαν σου, Κύριε Σωτήρ ημών, η δόξα τών δούλων σου, καί στέφανος τών πιστών, ο μεγαλύνας την μνήμην τής τεκούσης σε».

Ο πλαξίν εγχαράξας, τόν τού γράμματος νόμον, χερσίν αγκαλίζεται, Πρεσβύτου ως νήπιον, καί αγιάγραφον ημίν, υπαγορεύει νόμον τό Ευαγγέλιον.

Σήμερον εν τώ ναώ, Συμεων ό πρεσβύτης, αγκάλαις εδέξατο, Χριστόν τόν Θεόν ημών, καί εβόησε λέγων. Νύν απολύεις τόν δούλόν σου Δέσποτα.

Τών Αγγέλων αι τάξεις, εν σαρκί κατιδούσαι, τόν Κτίστην τόν ίδιον, ως βρέφος γενόμενον, αγκάλαις τού Πρεσβύτου, τούτον εν φόβω υμνούσαι εδόξαζον.

Συμεων Θεοδόχε, τού Κυρίου αυτόπτα, καί νόμου καί χάριτος, αρχή καί συμπέρασμα, μνείαν ποιού καί ημών, τών τιμωντων τήν σεπτήν σου μετάστασιν.

Θεοτοκίον

Χαίρε πάνσεμνε Αγνή, παρθενίας καύχημα, καί τού κόσμου η χαρά, Μαρία Μήτηρ καί δούλη, τού Σωτήρος Χριστού, αυτόν δυσώπει υπέρ τών ψυχών ημών.

Τού Μάρτυρος

Σέ τήν απειρόγαμον

Υπέρ τά ορώμενα, αι τών Μαρτύρων προσδοκίαι, πλήρης αθανάτου λήξεως, καθοράται η τούτων ελπίς, πλήρης θυμηδίας καί χαράς, καί φαιδρότητος ανεκφράστου, όθεν αξίως μακαρίζονται.

Φώς εγένου δεύτερον, φωτί τώ πρώτω προσπελάσας, αίγλη τού αυτού πυρσούμενος, καί μορφούμενος Τρύφων σοφέ, καί ταίς αυτού χορηγουμέναις, ελλάμψεσι διαλάμπων, όθεν σε πάντες μακαρίζομεν.

Ώφθης ακατάπληκτος, εν τοίς αγώσιν Αθλοφόρε, ώφθης αληθώς επώνυμος, τής ενθέου καί θείας τρυφής, ής νύν απολαύων, καί τρανώς ενηδόμενος, σωτηρίαν τοίς σέ τιμώσιν ημίν αίτησαι.

Θεοτοκίον

Νέκρωσον τό φρόνημα, Θεογεννήτορ τής σαρκός μου, ζώωσον ψυχής τήν νέκρωσιν, ενεργεία τής όντως ζωής, τής εκ σού τεχθείσης κατά σάρκα, δι'

άφατον ευσπλαγχνίαν, καί σωτηρίαν τών υμνούντων σε.

Ο Ειρμός

«Σέ τήν απειρόγαμον, Θεού Μητέρα τού Υψίστου, σέ τήν υπέρ νούν κυήσασαν, διά λόγου τόν όντως Θεόν, τήν υψηλοτέραν τών αχράντων Δυνάμεων, ασιγήτοις δοξολογίαις μεγαλύνομεν».

Εξαποστειλάριον τού Μάρτυρος
Εν πνεύματι τώ Ιερώ

Τρυφής κατεμφορούμενος, παραδόξου καί θείας, Αγγέλοις ομοδίαιτος, εχρημάτισας Μάκαρ, καί χήνας νέμων εν νάπαις, πρός Θεού απείληφας, τήν χάριν τών ιαμάτων, Τρύφων Μεγαλομάρτυς, θεραπεύειν τών βροτών, τάς ασθενείας καί νόσους.

Προεόρτιον, όμοιον

Τόν παίδα προσκομίσασα, η πανάμωμος Κόρη, εν Ιερώ τετέλεκε, τά τού νόμου, καί τούτον, αγκάλαις ως εδέξατο, Συμεων ο δίκαιος, αντέφησε τή Παρθένω. Ούτος κείται εις πτώσιν, καί ανάστασιν πολλών, καί εις σημείον εν κόσμω.

Εις τόν Στίχον τών Αίνων, Στιχηρά Προσόμοια Προεόρτια.

Ήχος β'  Οίκος τού Εφραθά

Ρύπου δίχα Χριστός, γεννάται εκ Παρθένου, ως εκ Πατρός αρρεύστως, Υιός πρό Εωσφόρου, ό τόν Αδάμ λυτρούμενος.

Στίχ. Νύν απολύεις τόν δούλόν σου Δέσποτα, κατά τό ρήμά σου εν ειρήνη Κύριε, ότι είδον οι οφθαλμοί μου, τό σωτληριόν σου,

Πύλαι τών ουρανών, ανοίχθητε, Χριστός γάρ, εν τώ ναώ ως βρέφος, υπό Μητρός Παρθένου, Θεώ Πατρί προσάγεται.

Στίχ. Φώς εις αποκάλυψιν εθνών, καί δόξαν λαού σου Ισραήλ.

Δέχου ώ Συμεών, τόν Κύριον τής δόξης, καθως εχρηματίσθης, εκ Πνεύματος Αγίου, ιδού γάρ παραγέγονε.

Δόξα... Καί νύν... Ήχος β'

Ο κτίστης ουρανού καί γής, εν αγκάλαις εβαστάζετο, υπό Αγίου Συμεών, τού πρεσβύτου σήμερον, αυτός γάρ εν Πνεύματι Αγίω έλεγε. Νύν ηλευθέρωμαι, είδον γάρ τόν Σωτήρά μου.

Η λοιπή, Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Β' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Η Υπαπαντή τού Κυρίου, καί Θεού καί Σωτήρος ημών Ιησού Χριστού.

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν τά τρία Προσόμοια Στιχηρά, δευτερούντες τό πρώτον.

Ήχος α'
Τών ουρανίων ταγμάτων

Τόν απερίγραπτον Λόγον καί υπερούσιον, τόν ουρανίοις θρόνοις, εποχούμενον δόξη, εισδέχεται αγκάλαις ο Συμεών, εκβοών. Νύν απόλυσον, κατά τό ρήμά σου Σώτερ, η τών πιστών, σωτηρία καί απόλαυσις.

Βρέφος ορών σε εβόα ο θαυμαστός Συμεών, τόν πρό αιώνων Λόγον, εκ Πατρός γεννηθέντα. Φρίττω καί πτοούμαι χερσίν εμαίς, αγκαλίσασθαι Δέσποτα, αλλ' εν ειρήνη τόν δούλόν σου εκζητώ, νύν απόλυσον ως εύσπλαγχνος.

Νύν ανοιγέσθω η πύλη η επουράνιος, ο εκ Πατρός αχρόνως, γεννηθείς Θεός Λόγος, ετέχθη εκ Παρθένου, σάρκα λαβών, τήν βροτείαν βουλόμενος, ανακαλέσασθαι φύσιν ως αγαθός, καί βαλείν εν δεξιά τού Πατρός.

Δόξα... Καί νύν... Ήχος δ'
Ανδρέου Κρήτης

Σήμερον η Ιερά Μήτηρ, καί τού Ιερού υψηλοτέρα, επί τό Ιερόν παραγέγονεν, εμφανίζουσα τώ κόσμω, τόν τού κόσμου Ποιητήν, καί νόμου πάροχον, όν καί εν αγκάλαις υποδεξάμενος, ο πρεσβύτης Συμεών, γεραίρων εκραύγαζε. Νύν απολύεις τόν δούλόν σου, ότι είδόν σε τόν Σωτήρα τών ψυχών ημών.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια,

Ήχος β'
Οίκος τού Εφραθά

Σήμερον ο Σωτήρ, ως βρέφος προσηνέχθη, εν τώ ναώ Κυρίου, καί χερσί γηραλέαις, ο Πρέσβυς τούτον δέχεται.

Στίχ. Νύν απολύεις τόν δούλόν σου Δέσποτα, κατά τό ρήμά σου εν ειρήνη Κύριε, ότι είδον οι οφθαλμοί μου, τό σωτληριόν σου,

Άνθραξ ο προοφθείς, τώ θείω Ησαϊα, Χριστόν ως εν λαβίδι, χερσί τής Θεοτόκου, νύν τώ Πρεσβύτη δίδοται.

Στίχ. Φώς εις αποκάλυψιν εθνών, καί δόξαν λαού σου Ισραήλ.

Φόβω τε καί χαρά, αγκάλαις τόν Δεσπότην, ο Συμεών κατέχων, ζωής ητείτο λύσιν, υμνών τήν Θεομήτορα.

Δόξα... Καί νύν... Θεοτοκίον

Δέχου ώ Συμεών, η Πάναγνος εβόα, εν αγκάλαις ως βρέφος, τόν Κύριον τής

δόξης, καί κόσμου τό σωτήριον.

### Απολυτίκιον  Ήχος α'

Χαίρε κεχαριτωμένη Θεοτόκε Παρθένε, εκ σού γάρ ανέτειλεν ο Ήλιος τής δικαιοσύνης, Χριστός ο Θεός ημών, φωτίζων τούς εν σκότει. Ευφραίνου καί σύ Πρεσβύτα δίκαιε, δεξάμενος εν αγκάλαις τόν ελευθερωτήν τών ψυχών ημών, χαριζόμενος ημίν καί τήν Ανάστασιν.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν τά Ιδιόμελα ταύτα Στιχηρά, δευτερούντες αυτά.

### Ήχος α'
### Γερμανού Πατριάρχου

Λέγε Συμεών, τίνα φέρων εν αγκάλαις, εν τώ ναώ αγάλλη; τίνι κράζεις καί βοάς; Νύν ηλευθέρωμαι, είδον γάρ τόν Σωτήρά μου. Ούτός εστιν, ο εκ Παρθένου τεχθείς, ούτός εστιν ο εκ Θεού Θεός Λόγος, ο σαρκωθείς δι' ημάς, καί σώσας τόν άνθρωπον. Αυτόν προσκυνήσωμεν.

Δέχου Συμεών, όν υπό τόν γνόφον, Μωσής νομοθετούντα, προεώρα εν Σινά, βρέφος γενόμενον, νόμω υποταττόμενον. Ούτός εστιν, ο διά νόμου λαλήσας ούτός εστιν, ο εν Προφήταις ρηθείς, ό σαρκωθείς δι' ημάς, καί σώσας τόν άνθρωπον. Αυτόν προσκυνήσωμεν.

Δεύτε καί ημείς, άσμασιν ενθέοις, Χριστώ συναντηθώμεν, καί δεξώμεθα αυτόν, ού τό σωτήριον ο Συμεών εώρακεν. Ούτός εστιν, όν ο Δαυϊδ καταγγέλλει ούτός εστιν, ό εν Προφήταις λαλήσας, ο σαρκωθείς δι' ημάς, καί νόμω φθεγγόμενος. Αυτόν προσκυνησωμεν.

### Δόξα... Καί νύν... Ήχος πλ. β'
### Ιωάννου Μοναχού

Ανοιγέσθω η πύλη τού ουρανού σήμερον, ο γάρ άναρχος Λόγος τού Πατρός, αρχήν λαβών χρονικήν, μή εκστάς τής αυτού θεότητος, υπό Παρθένου ως βρέφος τεσσαρακονθήμερον, Μητρός εκών προσφέρεται, εν ναώ τώ νομικώ καί τούτον αγκάλαις εισδέχεται ο Πρέσβυς. Απόλυσον κράζων, ο δούλος τώ Δεσπότη, οι γάρ οφθαλμοί μου είδον τό σωτήριόν σου, ο ελθών εις τόν κόσμον, σώσαι γένος ανθρώπων, Κύριε, δόξα σοι.

Είσοδος, Προκείμενον, καί τά Αναγνώσματα.

### Τής Εξόδου τό Ανάγνωσμα
### (Κεφ. 12, 51 & 13, 2 καί εκλογή)

Ελάλησε Κύριος πρός Μωσήν τή ημέρα εκείνη, ή εξήγαγε τούς υιούς Ισραήλ εκ γής Αιγύπτου, λέγων, αγίασόν μοι πάν πρωτότοκον πρωτογενές, διανοίγον πάσαν μήτραν εν τοίς υιοίς, Ισραήλ. Είπε δέ Μωϋσής πρός τόν λαόν.

Μνημονεύετε τήν ημέραν ταύτην, εν ή εξήλθετε εκ γής Αιγύπτου, εξ οίκου δουλείας, εν γάρ χειρί κραταιά εξήγαγεν υμάς Κύριος εντεύθεν. Καί φυλάξασθε τόν νόμον αυτού. Καί έσται, ως άν εισαγάγη σε Κύριος ο Θεός εις τήν γήν τών Χαναναίων, όν τρόπον ώμοσε τοίς πατράσι σου, καί αφοριείς πάν διανοίγον μήτραν τά άρσενικά τώ Κυρίω. Εάν δέ ερωτήση σε μετά ταύτα ο υιός σου λέγων. Τί τούτο; καί ερείς αυτώ. Ότι εν χειρί κραταιά εξήγαγεν ημάς Κύριος εκ γής Αιγύπτου, εξ οίκου δουλείας. Ηνίκα δέ εσκλήρυνε Φαραώ τού εξαποστείλαι ημάς, απέκτεινε Κύριος πάν πρωτότοκον εν γή Αιγύπτου, από πρωτοτόκων ανθρώπων έως πρωτοτόκων κτηνών, διά τούτο εγώ θύω τώ Κυρίω πάν διανοίγον μήτραν τά αρσενικά, καί πάν πρωτότοκον τών υιών μου λυτρώσομαι. Καί έσται εις σημείον επί τής χειρός σου, καί ασάλευτον πρό τών όφθαλμών σου, ότι ούτως έφη Κύριος ο παντοκράτωρ. Ότι τά πρωτότοκα τών υιών σου δώσεις εμοί. Καί έσται πάς ός άν τέξη παιδίον άρσεν, τή ημέρα τή ογδόη περιτεμεί τήν σάρκα τής ακροβυστίας αυτού. Καί τριάκοντα καί τρείς ημέρας ουκ εισελεύσεται εις τό αγιαστήριον τού Θεού πρός τόν Ιερέα, έως πληρωθώσιν αι ημέραι τής καθάρσεως. Καί μετά ταύτα προσοίσει τώ Κυρίω αμνόν ενιαύσιον άμωμον εις ολοκαύτωμα, καί νεοσσόν περιστεράς, ή Τρυγόνος, επί τήν θύραν τής σκηνής τού Μαρτυρίου πός τόν Ιερέα, ή αντί τούτων, προσοίσει έναντι Κυρίου δύο νεοσσούς περιστερών, ή δύο τρυγόνας. Καί εξιλάσεται περί αυτού ο Ιερεύς, ότι απόδομα αποδεδομένοι ουτοί μοί εισιν εκ πάντων τών υιών Ισραήλ, καί είληφα αυτούς, καί ηγίασα αυτούς εμοί, αντί τών πρωτοτόκων τών Αιγυπτίων, ή ημέρα επάταξα πάν πρωτότοκον εν γή Αιγύπτου, από ανθρώπου έως κτήνους, είπεν ο Θεός ο ύψιστος, ο άγιος Ισραήλ.

## Προφητείας Ησαϊου τό Ανάγνωσμα
## ( Κεφ. 6, 1-12)

Εγένετο τού έτους, ού απέθανεν Οζίας ο Βασιλεύς, είδον τόν Κύριον καθήμενον επί θρόνου υψηλού καί επηρμένου, καί πλήρης ο οίκος τής δόξης αυτού. Καί Σεραφίμ ειστήκεισαν κύκλω αυτού, έξ πτέρυγες τώ ενί καί έξ πτέρυγες τώ ενί, καί ταίς μέν δυσί κατεκάλυπτον τά πρόσωπα αυτών, ταίς δέ δυσί κατεκάλυπτον τούς πόδας, καί ταίς δυσίν επέταντο. Καί εκέκραγεν έτερος πρός τόν έτερον καί έλεγον, «Άγιος, Άγιος, Άγιος Κύριος Σαβαώθ, πλήρης πάσα η γή τής δόξης αυτού». Καί επήρθη τό υπέρθυρον από τής φωνής, ής εκέκραγον, καί ο οίκος ενεπλήσθη καπνού. Καί είπον. Ώ τάλας εγώ! (ότι κατανένυγμαι) ότι άνθρωπος ών, καί ακάθαρτα χείλη έχων, εν μέσω λαού ακάθαρτα χείλη έχοντος εγω οικώ, καί τόν Βασιλέα Κύριον Σαβαωθείδον τοίς Οφθαλμοίς μου. Καί απεστάλη πρός με έν τών Σεραφίμ, καί εν τή χειρί αυτού είχεν άνθρακα, όν τή λαβίδι έλαβεν από τού θυσιαστηρίου. Καί ήψατο τού στόματός μου, καί είπεν, Ιδού, ήψατο τούτο τών χειλέων σου καί αφελεί τάς ανομίας σου, καί τάς αμαρτίας σου περικαθαριεί. Καί ήκουσα τής φωνής Κυρίου λέγοντος. Τίνα αποστείλω; καί τίς πορεύσεται πρός τόν λαόν τούτον, καί είπον, Ιδού εγώ ειμι, απόστειλόν με. Καί είπε, Πορεύθητι, καί ειπέ τώ λαώ τούτω, Ακοή ακούσετε, καί ου μή συνήτε, καί βλέποντες βλέψετε, καί ού μή ίδητε. Επαχύνθη γάρ η καρδία τού λαού τούτου, καί τοίς ώσί βαρέως ήκουσαν, καί τούς οφθαλμούς αυτών

εκάμμυσαν, μή ποτε ίδωσι τοίς οφθαλμοίς, καί τοίς ωσίν ακούσωσι, καί τή καρδία συνώσι, καί επιστρέψωσι, καί ιάσομαι αυτούς. Καί είπα, Έως πότε, Κύριε; καί είπεν, Έως άν ερημωθώσι πόλεις παρά τό μή κατοικείσθαι, καί οίκοι παρά τό μή είναι ανθρώπους, καί η γή καταλειφθήσεται έρημος. Καί μετά ταύτα μακρυνεί ο Θεός τούς ανθρώπους, καί πληθυνθήσονται οι εγκαταλειφθέντες επί τής γής.

Προφητείας Ησαϊου τό Ανάγνωσμα
(Κεφ. 19, 1-6, 12, 16, 19-21)

Ιδού Κύριος καθήσεται επί νεφέλης κούφης, καί ήξει εις Αίγυπτον, καί σεισθήσεται τά χειροποίητα Αιγύπτου από προσώπου αυτού, καί η καρδία αυτών ηττηθήσεται εν αυτοίς. Καί ταραχθήσεται τό πνεύμα αυτών εν αυτοίς, καί τήν βουλήν αυτών διασκεδάσω, καί παραδώσω τήν Αίγυπτον εις χείρας κυρίων σκληρών, τάδε λέγει Κύριος Σαβαώθ. Καί πίονται οι Αιγύπτιοι ύδωρ τό παρά θάλασσαν, ο δέ ποταμός εκλείψει καί ξηρανθήσεται. Τάδε λέγει Κύριος, Πού εισι νύν οι σοφοί σου; καί αναγγειλάτωσάν σοι, καί ειπάτωσαν. Τί βεβούλευται Κύριος Σαβαώθ επ' Αίγυπτον. Τή ημέρα εκείνη έσονται οι Αιγύπτιοι ως γυναίκες, εν φόβω καί εν τρόμω από προσώπου τής χειρός Κυρίου Σαβαώθ, ήν αυτός επιβαλεί αυτοίς. Καί έσται θυσιαστήριον τώ Κυρίω εν χώρα Αιγυπτίων, καί στήλη πρός τό όριον αυτής τώ Κυρίω. Καί έσται εις σημείον εις τόν αιώνα Κυρίω εν χώρα Αιγύπτου, ότι κεκράξονται πρός Κύριον, καί αποστελεί αυτοίς άνθρωπον, ός σώσει αυτούς. Καί γνωστός έσται Κύριος τοίς Αιγυπτίοις, καί γνώσονται οι Αιγύπτιοι τόν Κύριον εν τή ημέρα εκείνη, καί ποιήσουσι θυσίαν καί δώρον, καί εύξονται ευχάς τώ Κυρίω, καί αποδώσουσι.

Εις τήν Λιτήν, Στιχηρά Ιδιόμελα.

Ήχος α'  Ανατολίου

Ο παλαιός ημερών, ο καί τόν νόμον πάλαι εν Σινά δούς τώ Μωσεί, σήμερον βρέφος οράται, καί κατά νόμον, ως νόμου Ποιητής, τόν νόμον εκπληρών, ναώ προσάγεται, καί τώ Πρεσβύτη επιδίδοται. Δεξάμενος δέ τούτον Συμεών ο δίκαιος, καί τών δεσμών τήν έκβασιν ιδών τελεσθείσαν, γηθοσύνως εβόα. Είδον οι οφθαλμοί μου, τό απ' αιώνος Μυστήριον αποκεκρυμμένον, επ' εσχάτων τούτων ημερών φανερωθέν, φώς διασκεδάζον, τών απίστων εθνών τήν σκοτόμαιναν, καί δόξαν τού νεολέκτου Ισραήλ, διό απόλυσον τόν δούλόν σου, εκ τών δεσμών τούδε τού σαρκίου, πρός τήν αγήρω καί θαυμασίαν άληκτον ζωήν, ο παρέχων τώ κόσμω τό μέγα έλεος.

Ο αυτός
Ιωάννου Μοναχού

Σήμερον ο πάλαι τώ Μωσεί, εν Σινά νόμον επιδούς, τοίς νομικοίς υποκύπτει θεσμοίς, δι' ημάς εύσπλαγχνος γεγονώς. Νύν ο καθαρός Θεός, ως παιδίον άγιον, μήτραν διανοίξαν αγνήν, εαυτώ ώς Θεός συγκομίζεται, τής τού νόμου κατάρας ελευθερών, καί φωτίζων τάς ψυχάς ημών.

Ήχος β'
Ανδρέου Πυρού

Όνπερ οι άνω Λειτουργοί τρόμω λιτανεύουσι, κάτω νύν ο Συμεών, υλικαίς αγκάλαις δεχόμενος, τό θείον τοίς ανθρώποις ενούσθαι εκήρυττε, καί βροτόν τόν ουράνιον Θεόν οπτανόμενος, αναχωρών τών επί γής, χαρμονικώς ανέκραζεν, ο τοίς εν σκότει τό ανέσπερον φώς αποκαλύπτων, Κύριε δόξα σοι,

Ο αυτός

Γερμααανού

Σήμερον Συμεών εν ταίς αγκάλαις, τόν Κύριον τής δόξης υποδέχεται, όν υπό τόν γνόφον πρώην ο Μωϋσής εθεάσατο, εν τώ όρει τώ Σινά πλάκας δόντα αυτώ. Ούτός εστιν, ο εν τοίς Προφήταις λαλών, καί τού νόμου Ποιητής, ούτός εστιν όν ο Δαυίδ καταγγέλλει, ο τοίς πάσι φοβερός, ο έχων τό μέγα καί πλούσιον έλεος.

Ο αυτός  Γερμανού

Οι δέ, Ιωάννου Μοναχού

Τόν Ιερόν η Ιερά Παρθένος προσεκόμισεν, εν Ιερώ τώ Ιερεί, πλώσας δέ αγκάλας ο Συμεών, εδέξατο τούτον αγαλλόμενος, καί εβόησε. Νύν απολύεις τόν δούλόν σου Δέσποτα, κατά τό ρήμά σου εν ειρήνη Κύριε.

Ο αυτός, Τού αυτού

Ο Κτίστης ουρανού καί γής, εν αγκάλαις εβαστάζετο, υπό αγίου Συμεών τού πρεσβύτου σήμερον, αυτός γάρ εν Πνεύματι Αγίω έλεγε. Νύν ηλευθέρωμαι, είδον γάρ τόν Σωτήρά μου.

Ο αυτός, Ανατολίου

Οι δέ, Ανδρέου Ιεροσολυμίτου

Σήμερον Συμεων ο πρεσβύτης, εν τώ Ναώ εισέρχεται, χαίρων τώ πνεύματι τόν Νομοδότην Μωσέως, καί πληρωτήν τού νόμου, αγκάλαις εισδέξασθαι, εκείνος μέν, διά γνόφου καί φωνής αμυδράς, θεόπτης ηξίωτο, καί κεκαλυμμένω προσώπω τών Εβραίων τάς απίστους καρδίας διήλεγξεν, ούτος δέ, τόν προαιώνιον Λόγον τού Πατρός, σωματωθέντα εβάστασε, καί τών Εθνών απεκάλυψε τό φώς, τόν Σταυρόν καί τήν Ανάστασιν. Καί Άννα Προφήτις αναδείκνυται, τόν Σωτήρα λυτρωτήν τού Ισραήλ κηρύττουσα. Αυτώ βοήσωμεν. Χριστέ ο Θεός ημών, διά τής Θεοτόκου ελέησον ημάς.

Ήχος δ'

Ανδρέου Κρήτης

Σήμερον η Ιερά Μητηρ, καί τού Ιερού υψηλοτέρα, επί τό Ιερόν παραγέγονεν, εμφανίζουσα τώ κόσμω, τόν τού κόσμου Ποιητήν, καί τού νόμου πάροχον, όν καί εν αγκάλαις υποδεξάμενος, ο πρεσβύτης Συμεών, γεραίρων εκραύγαζε. Νύν απολύεις τόν δούλόν σου, ότι ειδόν σε τόν Σωτήρα τών ψυχών ημών.

Δόξα... Ήχος πλ. α'

Τού αυτού

Ερευνάτε τάς Γραφάς, καθως είπεν εν Ευαγγελίοις Χριστός ο Θεός ημών, εν αυταίς γάρ ευρίσκομεν αυτόν, Τικτόμενον καί σπαργανούμενον, τιθηνούμενον καί γαλακτοτροφούμενον, περιτομήν δεχόμενον, καί υπό Συμεών βασταχθέντα, ού δοκήσει ουδέ φαντασία, αλλ' αληθεία τώ κόσμω φανέντα, πρός όν βοήσωμεν, ο πρό αιώνων Θεός, δόξα σοι.

Καί νύν... Ο αυτός

Γερμανού, οι δέ Ανατολίου

Ο παλαιός ημερών, νηπιάσας σαρκί, υπό Μητρός Παρθένου τώ Ιερώ προσάγεται, τού οικείου νόμου πληρών τό επάγγελμα, όν Συμεών δεξάμενος έλεγε. Νύν απολύεις εν ειρήνη κατά τό ρήμά σου τόν δούλόν σου, είδον γάρ οι οφθαλμοί μου τό σωτηριόν σου Κύριε.

Εις τόν Στίχον, Στιχηρά Ιδιόμελα

Ήχος βαρύς
Κοσμά Μοναχού

Κατακόσμησον τόν νυμφώνά σου Σιών, καί υπόδεξαι τόν Βασιλέα Χριστόν, άσπασαι τήν Μαριάμ, τήν επουράνιον πύλην, αύτη γάρ θρόνος Χερουβικός ανεδείχθη, αύτη βαστάζει τόν Βασιλέα τής δόξης, νεφέλη φωτός υπάρχει η Παρθένος, φέρουσα εν σαρκί Υιόν πρό Εωσφόρου, όν λαβών Συμεών εν αγκάλαις αυτού εκήρυξε λαοίς, Δεσπότην αυτόν είναι, ζωής καί τού θανάτου, καί Σωτήρα τού κόσμου.

Στίχ. Νύν απολύεις τόν δούλόν σου Δέσποτα, κατά τό ρήμά σου εν ειρήνη Κύριε, ότι είδον οι οφθαλμοί μου, τό σωτληριόν σου,

Τόν εκλάμψαντα πρό αιώνων εκ Μητρός, επ' εσχάτων δέ εκ μήτρας Παρθενικής, φέρουσα εν τώ ναώ, η απειρόγαμος Μήτηρ, τόν εν Σιναίω νομοθετήσαντα όρει, τή διατάξει τή νομική πειθαρχούντα, προσήγεν Ιερεί, πρεσβύτη καί δικαίω, Χριστόν τόν Κύριον, ιδείν χρηματισθέντι, όν δεξάμενος Συμεών εν ταίς αγκάλαις αυτού, ηγαλλιάσατο βοών, Θεός υπάρχει ούτος, Πατρί συναΐδιος, καί Λυτρωτης τών ψυχών ήμών.

Στίχ. Φώς εις αποκάλυψιν εθνών, καί δόξαν λαού σου Ισραήλ.

Τόν οχούμενον εν άρμασι Χερουβίμ, καί υμνούμενον εν άσματι Σεραφίμ, φέρουσα εν αγκάλαις η Θεοτόκος Μαρία, απειρογάμως εξ αυτής σαρκωθέντα, τόν Νομοδότην νόμου, πληρούντα νόμου τάξιν, εδίδου χερσί πρεσβύτου Ιερέως, ζωήν δέ φέρων, ζωής ητείτο λύσιν, λέγων, Δέσποτα, νύν απόλυσόν με, μηνύσαι τώ Αδάμ, ως είδον άτρεπτον βρέφος, Θεόν προαιώνιον, καί Σωτήρα τού κόσμου.

Δόξα... Καί νύν... Ήχος πλ. δ'
Ανδρέου Κρήτης

Ο τοίς Χερουβίμ εποχούμενος, καί υμνούμενος υπό τών Σεραφίμ, σήμερον τώ θείω Ιερώ κατά νόμον προσφερόμενος, πρεσβυτικαίς ενθρονίζεται αγκάλαις, καί υπό Ιωσήφ εισδέχεται δώρα θεοπρεπώς, ως ζεύγος τρυγόνων τήν αμίαντον Εκκλησίαν, καί τών εθνών τόν νεόλεκτον λαόν, περιστερών δέ δύο νεοσσούς, ως αρχηγός Παλαιάς τε καί Καινής. Τού πρός αυτόν χρησμού δέ Συμεών, τό πέρας δεξάμενος, ευλογών τήν Παρθένον, Θεοτόκον Μαρίαν, τά τού πάθους σύμβολα τού εξ αυτής προηγόρευσε, καί παρ' αυτού εξαιτείται τήν απόλυσιν βοών. Νύν απολύεις με Δέσποτα, καθώς προεπηγγείλω μοι, ότι είδόν σε τό προαιώνιον φώς, καί Σωτήρα Κύριον τού Χριστωνύμου λαού.

Απολυτίκιον  Ήχος α'

Χαίρε κεχαριτωμένη Θεοτόκε Παρθένε, εκ σού γάρ ανέτειλεν ο Ήλιος τής δικαιοσύνης, Χριστός ο Θεός ημών, φωτίζων τούς εν σκότει. Ευφραίνου καί σύ Πρεσβύτα δίκαιε, δεξάμενος εν αγκάλαις τόν ελευθερωτήν τών ψυχών ημών, χαριζόμενος ημίν καί τήν Ανάστασιν.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα  Ήχος α'
Αυτόμελον

Χορός Αγγελικός, εκπληττέσθω τό θαύμα, βροτοί δέ ταίς φωναίς, ανακράξωμεν ύμνον, ορώντες τήν άφατον, τού Θεού συγκατάβασιν, όν γάρ τρέμουσι, τών ουρανών αι Δυνάμεις, γηραλέαι νύν, εναγκαλίζονται χείρες, τόν μόνον φιλάνθρωπον.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα  Ήχος α'
Τόν τάφον σου Σωτήρ

Ο ών σύν τώ Πατρί, επί θρόνου αγίου, ελθών επί τής γής, εκ Παρθένου ετέχθη, καί βρέφος εγένετο, χρόνοις ών απερίγραπτος, όν δεξάμενος, ο Συμεών εν αγκάλαις, χαίρων έλεγε. Νύν απολύεις Οικτίρμον, ευφράνας τόν δούλόν σου.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τόν Πολυέλεον

Κάθισμα  Ήχος δ'
Κατέπλαγη Ιωσήφ

Νηπιάζει δι' εμέ, ο Παλαιός τών ημερών, καθαρσίων κοινωνεί, ό καθαρώτατος Θεός, ίνα τήν σάρκα πιστώση μου, τήν εκ Παρθένου. Καί ταύτα Συμεων μυσταγωγούμενος, επέγνω τόν αυτόν, Θεόν φανέντα σαρκί, καί ως ζωήν ησπάζετο, καί χαίρων, πρεσβυτικώς ανεκραύγαζεν. Απόλυσόν με, σέ γάρ κατείδον, τήν ζωήν τών απάντων.

Δόξα... Καί νύν... Τό αυτό

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί  Αντίφωνον Α'

- Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.
- Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον, Ήχος δ'

Μνησθήσομαι τού ονόματός σου εν πάση γενεά καί γενεά.
Στίχ. Εξηρεύξατο η καρδία μου λόγον αγαθόν λέγω εγώ τά έργα μου τώ βασιλεί η γλώσσά μου κάλαμος γραμματέως οξυγράφου.

Πάσα πνοή

Ευαγγέλιον κατά Λουκάν

Ο Ν'

Δόξα... Ταίς τής Θεοτόκου...

Καί νύν... τό αυτό...

Είτα Ιδιόμελον  Ήχος πλ. β'

Ανοιγέσθω η πύλη τού ουρανού σήμερον, ο γάρ άναρχος Λόγος τού Πατρός, αρχήν λαβών χρονικήν, μή εκστάς τής αυτού θεότητος, υπό Παρθένου ως βρέφος τεσσαρακονθήμερον, Μητρός εκών προσφέρεται εν ναώ τώ νομικώ, καί τούτον αγκάλαις εισδέχεται ο Πρέσβυς. Απόλυσον κράζων, ο δούλος τώ Δεσπότη, οι γάρ οφθαλμοί μου είδον τό σωτήριόν σου, ο ελθών εις τόν κόσμον, σώσαι γένος ανθρώπων, Κύριε, δόξα σοι.

Μετά τούτο ψάλλεται ο Κανών, ού η ακροστιχίς.

Χριστόν γεγηθώς Πρέσβυς αγκαλίζεται.

Ποίημα Κοσμά Μοναχού
Ωδή α'  Ήχος γ'  Ο Ειρμός

«Χέρσον αβυσσοτόκον πέδον ήλιος, επεπόλευσέ ποτε, ωσεί τείχος γάρ επάγη, εκατέρωθεν ύδωρ, λαώ πεζοποντοπορούντι, καί θεαρέστως μέλποντι. Άσωμεν τώ Κυρίω, ενδόξως γάρ δεδόξασται».

Ρανάτωσαν ύδωρ νεφέλαι. Ήλιος εν νεφέλη γάρ κούφη, εποχούμενος επέστη, ακηράτοις ωλέναις, Χριστός εν τώ ναώ ως βρέφος, διό πιστοί βοήσωμεν. Άσωμεν τώ Κυρίω, ενδόξως γάρ δεδόξασται.

Ισχύσατε χείρες Συμεών, τώ γήρα ανειμέναι, καί κνήμαι παρειμέναι δέ Πρεσβύτου, αυθυβόλως κινείσθε Χριστού πρός υπαντήν. Χορείαν σύν Ασωμάτοις στήσαντες, άσωμεν τώ Κυρίω, ενδόξως γάρ δεδόξασται.

Συνέσει ταθέντες ουρανοί ευφράνθητε, αγάλλου δέ η γή, υπερθέων γάρ εκ κόλπων, ο τεχνίτης φοιτήσας, Χριστός υπό Μητρός Παρθένου, Θεώ Πατρί προσάγεται, νήπιος ό πρό πάντων, ενδόξως γάρ δεδόξασται.

## Ωδή γ'  Ο Ειρμός

«Τό στερέωμα, τών επί σοί πεποιθότων, στερέωσον Κύριε τήν Εκκλησίαν, ήν εκτήσω, τώ τιμίω σου αίματι».

Ο πρωτότοκος εκ Πατρός πρό αιώνων, πρωτότοκος νήπιος, Κόρης αφθόρου, τώ Αδάμ χείρας προτείνων επέφανε.

Νηπιόφρονα, τόν γεγονότα απάτη, πρωτόπλαστον έμπαλιν επανορθώσων, Θεός Λόγος, νηπιάσας επέφανε.

Γής απόγονον, παλινδρομήσασαν ταύτη, θεότητος σύμμορφον φύσιν ο Πλάστης, ως ατρέπτως νηπιάσας ανέδειξε.

## Κάθισμα  Ήχος δ'
## Κατεπλάγη Ιωσήφ

Εν τώ όρει τώ Σινά, πάλαι κατείδε Μωϋσής, τά οπίσθια Θεού, καί αμυδρώς θείας φωνής, κατηξιώθη εν γνόφω τε καί θυέλλη, νύν δέ Συμεών, τόν σαρκωθέντα Θεόν, ατρέπτως δι' ημάς ενηγκαλίσατο, καί γεγηθώς ηπείγετο τών τήδε, πρός τήν ζωήν τήν αιώνιον, διό εβόα. Νύν απολύεις, τόν δούλόν σου Δέσποτα.

## Ωδή δ'  Ο Ειρμός

«Εκάλυψεν ουρανούς, η αρετή σου Χριστέ, τής κιβωτού γάρ προελθών,τού αγιάσματός σου, τής αφθόρου Μητρός, εν τώ ναώ τής δόξης σου, ώφθης ώς βρέφος, αγκαλοφορούμενος, καί επληρώθη τά πάντα τής σής αι νέσεως».

Γηθόμενος Συμεών, τών απορρήτων μύστα, η Θεοτόκος εβόα, όν υφ' αγίου πάλαι κεχρημάτισαι Πνεύματος, νηπιάσαντα Λόγον, Χριστόν εναγκαλίζου, κράζων αυτώ. Επλήσθη τά πάντα τής σής αινέσεως.

Ήν ήλπισας Συμεών ηλικιώτην βρεφών, χαίρων υπόδεξαι Χριστόν, τού Ισραήλ τού θείου τήν παράκλησιν, τόν νόμου Ποιητήν καί Δεσπότην, πληρούντα νόμου τάξιν, κράζων αυτώ. Επλήσθη τά πάντα τής σής αινέσεως.

Θεώμενος Συμεών Λόγον τόν άναρχον, μετά σαρκός, ως εν θρόνω Χερουβικώ, Παρθένω εποχούμενον, τόν αίτιον τού είναι τά πάντα, ως

βρέφος, εκπλαγείς εβόα αυτώ. Επλήσθη τά πάντα τής σής αινέσεως.

### Ωδή ε'  Ο Ειρμός

«Ως είδεν Ησαίας συμβολικώς, εν θρόνω επηρμένω Θεόν, υπ' Αγγέλων δόξης δορυφορούμενον, ώ τάλας! εβόα, εγώ, πρό γάρ είδον σωματούμενον Θεόν, φωτός ανεσπέρου, καί ειρήνης δεσπόζοντα».

Συνείς ο θείος Πρέσβυς, τήν προφανείσαν, πάλαι τώ Προφήτη δόξαν, χερσί Λόγον βλέπων Μητρός κρατούμενον, ώ χαίροις, εβόα Σεμνή, ως γάρ θρόνος περιέχεις τόν Θεόν, φωτός ανεσπέρου, καί ειρήνης δεσπόζοντα.

Προκύψας ο Πρεσβύτης, καί τών ιχνών εωθέως εφαψάμενος, τής απειρογάμου καί Θεομήτορος, πύρ, έφη, βαστάζεις Αγνή, βρέφος φρίττω αγκαλίσασθαι Θεόν, φωτός ανεσπέρου, καί ειρήνης δεσπόζοντα.

Ρύπτεται Ησαϊας, τού Σεραφίμ τόν άνθρακα δεξάμενος, ο Πρέσβυς εβόα τή Θεομήτορι, σύ ώσπερ λαβίδι χερσί λαμπρύνεις με, επιδούσα όν φέρεις, φωτός ανεσπέρου, καί ειρήνης δεσπόζοντα.

### Ωδή ς'  ΟΕιρμός

«Εβόησέ σοι, ιδών ο Πρέσβυς, τοίς οφθαλμοίς τό σωτήριον, ό λαοίς επέστη. Εκ Θεού Χριστέ σύ Θεός μου».

Σιών σύ λίθος, εναπετέθης, τοίς απειθούσι προσκόμματος, καί σκανδάλου πέτρα, αρραγής πιστών σωτηρία.

Βεβαίως φέρων, τού τόν χαρακτήρα, πρό αιώνων σε φύσαντος, τήν βροτών δι' οίκτον, νύν ασθένειαν περιέθου.

Υιόν Υψίστου, Υιόν Παρθένου, Θεόν παιδίον γενόμενον, προσκυνήσαντά σε, νύν απόλυσον εν ειρήνη.

### Κοντάκιον  Ήχος α'

Ο μήτραν παρθενικήν αγιάσας τώ τόκω σου, καί χείρας τού Συμεών ευλογήσας ως έπρεπε, προφθάσας καί νύν έσωσας ημάς Χριστέ ο Θεός. Αλλ' ειρήνευσον εν πολέμοις τό πολίτευμα, καί κραταίωσον Βασιλείς ούς ηγάπησας, ο μόνος φιλάνθρωπος.

### Ο Οίκος

Τή Θεοτόκω προσδράμωμεν, οι βουλόμενοι κατιδείν τόν Υιόν αυτής, πρός Συμεών απαγόμενον, όν περ ουρανόθεν οι Ασώματοι βλέποντες, εξεπλήττοντο λέγοντες, θαυμαστά θεωρούμεν νυνί καί παράδοξα, ακατάληπτα, άφραστα, ό τόν Αδάμ δημιουργήσας βαστάζεται ως βρέφος, ο αχώρητος χωρείται εν αγκάλαις τού Πρεσβύτου, ο επί τών κόλπων απεριγράπτως υπάρχων τού Πατρός αυτού, εκών περιγράφεται σαρκί, ού θεότητι, ο μόνος φιλάνθρωπος.

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή Β' τού αυτού μηνός, η Υπαπαντή τού Κυρίου ημών Ιησού Χιστού, εν ή εδέξατο αυτόν εις τάς αγκάλας αυτού ο δίκαιος Συμεών.

Στίχοι

- Κόλπους Πατρός τυπούσι τού σού, Χριστέ μου,
- Τού Συμεών αι χείρες, αι φέρουσί σε.
- Δέξατο δευτερίη Χριστόν Συμεών παρά Νηώ.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Αγαθοδώρου.

Στίχοι

- Αγαθοδώρω δώρον εξ εμών λόγων,
- Δωρώ, δοθέντι τώ Θεώ δι' αιμάτων.

Αυτώ τώ Θεώ η δόξα καί τό κράτος εις τούς αιώνας. Αμήν.

## Ωδή ζ' Ο Ειρμός

«Σέ τόν εν πυρί δροσίσαντα, Παίδας θεολογήσαντας, καί Παρθένω, ακηράτω, ενοικήσαντα, Θεόν Λόγον υμνούμεν, ευσεβώς μελωδούντες. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών».

Αδάμ εμφανίσων άπειμι, εις Άδου διατρίβοντι, καί τή Εύα προσκομίσων ευαγγέλια, Συμεών ανεβόα, σύν Προφήταις χορεύων. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Γένος χοϊκόν ρυσόμενος Θεός, έως τού Άδου ήξει, αιχμαλώτοις δέ παρέξει πάσιν άφεσιν, καί ανάβλεψιν πονηροίς, ως αλάλοις βοήσαι. Ευλογητός, ο Θεός ο τών Πατέρων ημών.

Καί σού τήν καρδίαν άφθορε, ρομφαία διελεύσεται, Συμεών τή Θεοτόκω προηγόρευσεν, εν Σταυρώ καθορώσης, τόν Υιόν ώ βοώμεν. Ευλογητός ο Θεός, ό τών Πατέρων ημών.

## Ωδή η' Ο Ειρμός

«Αστέκτω πυρί ενωθέντες, οι θεοσεβείας προεστώτες Νεανίαι, τή φλογί δέ μή λωβηθέντες, θείον ύμνον έμελπον. Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Λαός Ισραήλ τήν σήν δόξαν, τόν Εμμανουήλ ορών παιδίον εκ Παρθένου, πρό προσώπου τής θείας κιβωτού νύν χόρευε. Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ιδού, Συμεών ανεβόα, τό αντιλεγόμενον σημείον ούτος έσται, Θεός ών καί παιδίον, τούτω πίστει μέλψωμεν. Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί

υπερυψούτε, εις πάντας τούς αιώνας.

Ζωή πεφυκώς ούτος έσται, πτώσις ααπειθούσι, νηπιάσας Θεός Λόγος, ως ανάστασις πάσι, τοίς πίστει μέλπουσιν. Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

## Ωδή θ'
## ΜΕΓΑΛΥΝΑΡΙΑ
## Ψαλλόμενα εν τή Ωδή ταύτη
## Ήχος γ'

- Ακατάληπτόν εστι, τό τελούμενον εν σοί, καί Αγγέλοις καί βροτοίς, Μητροπάρθενε αγνή.

### Ο Ειρμός

«Εν νόμω, σκιά καί γράμματι, τύπον κατίδωμεν οι πιστοί, πάν άρσεν τό τήν μήτραν διανοίγον, άγιον Θεώ, διό πρωτότοκον Λόγον, Πατρός ανάρχου Υιόν, πρωτοτοκούμενον Μητρί, απειράνδρω, μεγαλύνομεν».

- Αγκαλίζεται χερσίν, ο Πρεσβύτης Συμεών, τόν τού νόμου Ποιητήν, καί Δεσπότην τού παντός.

### Ο Ειρμός

«Εν νόμω, σκιά καί γράμματι, τύπον κατίδωμεν οι πιστοί, πάν άρσεν τό τήν μήτραν διανοίγον, άγιον Θεώ, διό πρωτότοκον Λόγον, Πατρός ανάρχου Υιόν, πρωτοτοκούμενον Μητρί, απειράνδρω, μεγαλύνομεν».

- Βουληθείς ο Πλαστουργός, ίνα σώση τόν Αδάμ, μήτραν ώκησε τήν σήν, τής Παρθένου καί αγνής.

Τοίς πρίν νεογνών τρυγόνων ζεύγος, δυάς τε ήν νεοσσών, ανθ' ών ο θείος Πρέσβυς, καί σώφρων Άννα προφήτις, τώ εκ Παρθένου τεχθέντι, καί οίω γόνω Πατρός, εν τώ ναώ προσιόντι, λειτουργούντες εμεγάλυνον.

- Γένος άπαν τών βροτών, μακαρίζει σε Αγνή, καί δοξάζει σε πιστώς, ως Μητέρα τού Θεού.

Τοίς πρίν νεογνών τρυγόνων ζεύγος, δυάς τε ήν νεοσσών, ανθ' ών ο θείος Πρέσβυς, καί σώφρων Άννα προφήτις, τώ εκ Παρθένου τεχθέντι, καί οίω γόνω Πατρός, εν τώ ναώ προσιόντι, λειτουργούντες εμεγάλυνον.

- Δεύτε, ίδετε Χριστόν, τόν Δεσπότην τού παντός, όν βαστάζει Συμεών, σήμερον εν τώ ναώ.

Τοίς πρίν νεογνών τρυγόνων ζεύγος, δυάς τε ήν νεοσσών, ανθ' ών ο θείος Πρέσβυς, καί σώφρων Άννα προφήτις, τώ εκ Παρθένου τεχθέντι, καί οίω γόνω Πατρός, εν τώ ναώ προσιόντι, λειτουργούντες εμεγάλυνον.

- Επιβλέπεις πρός τήν γήν, καί ποιείς τρέμειν αυτήν, καί πώς γέρων κεκμηκώς, σέ κατέχει εν χερσί;

Τοίς πρίν νεογνών τρυγόνων ζεύγος, δυάς τε ήν νεοσσών, ανθ' ών ο θείος Πρέσβυς, καί σώφρων Άννα προφήτις, τώ εκ Παρθένου τεχθέντι, καί οίω γόνω Πατρός, εν τώ ναώ προσιόντι, λειτουργούντες εμεγάλυνον.

- Ζήσας έτη Συμεών, έως είδε τόν Χριστόν, καί εβόα πρός αυτόν. Νύν απόλυσιν ζητώ.

Απέδωκάς μοι εβόα Συμεών, τού Σωτηρίου σου Χριστέ αγαλλίασιν, απόλαβέ σου τόν λάτριν, τόν τή σκιά κεκμηκότα, νέον τής χάριτος, ιεροκήρυκα μύστην, εν αινέσει μεγαλύνοντα.

- Η λαβίς η μυστική, η τόν άνθρακα Χριστόν, συλλαβούσα εν γαστρί, σύ υπάρχεις Μαριάμ.

Απέδωκάς μοι εβόα Συμεών, τού Σωτηρίου σου Χριστέ αγαλλίασιν, απόλαβέ σου τόν λάτριν, τόν τή σκιά κεκμηκότα, νέον τής χάριτος, ιεροκήρυκα μύστην, εν αινέσει μεγαλύνοντα.

- Θέλων ενηνθρώπησας, ο προάναρχος Θεός, καί ναώ προσφέρεσαι, τεσσαρακονθήμερος.

Απέδωκάς μοι εβόα Συμεών, τού Σωτηρίου σου Χριστέ αγαλλίασιν, απόλαβέ σου τόν λάτριν, τόν τή σκιά κεκμηκότα, νέον τής χάριτος, ιεροκήρυκα μύστην, εν αινέσει μεγαλύνοντα.

- Κατελθόντ' εξ ουρανού, τόν Δεσπότην τού παντός, υπεδέξατο αυτόν, Συμεων ο Ιερεύς.

Απέδωκάς μοι εβόα Συμεών, τού Σωτηρίου σου Χριστέ αγαλλίασιν, απόλαβέ σου τόν λάτριν, τόν τή σκιά κεκμηκότα, νέον τής χάριτος, ιεροκήρυκα μύστην, εν αινέσει μεγαλύνοντα.

- Λάμπρυνόν μου τήν ψυχήν, καί τό φώς τό αισθητόν, όπως ίδω καθαρώς, καί κηρύξω σε Θεόν.
- Μητροπάρθενε αγνή, τί προσφέρεις τώ ναώ, νέον βρέφος αποδούς, εν αγκάλαις Συμεών;

Ιεροπρεπώς άνθωμολογείτο, Άννα υποφητεύουσα, η σώφρων καί Οσία, καί Πρεσβυρά τώ Δεσπότη, εν τώ ναώ διαρρήδην, τήν Θεοτόκον δέ ανακηρύττουσα, πάσι τοίς παρούσιν εμεγάλυνεν.

- Νύν απόλυσιν ζητώ, από σού τού Πλαστουργού, ότι ειδόν σε Χριστέ, τό σωτήριόν μου φώς.
- Όν οι άνω λειτουργοί, τρόμω λιτανεύουσι, κάτω νύν ο Συμεών, αγκαλίζεται χερσί.

Ιεροπρεπώς άνθωμολογείτο, Άννα υποφητεύουσα, η σώφρων καί Οσία, καί Πρεσβυρά τώ Δεσπότη, εν τώ ναώ διαρρήδην, τήν Θεοτόκον δέ ανακηρύττουσα, πάσι τοίς παρούσιν εμεγάλυνεν.

Δόξα...

- Η τή φύσει μέν Μονάς, τοίς προσώποις δέ Τριάς, φύλαττε τούς δούλους σου, τούς πιστεύοντας εις σέ.

Ιεροπρεπώς άνθωμολογείτο, Άννα υποφητεύουσα, η σώφρων καί Οσία, καί Πρεσβυρά τώ Δεσπότη, εν τώ ναώ διαρρήδην, τήν Θεοτόκον δέ ανακηρύττουσα, πάσι τοίς παρούσιν εμεγάλυνεν.

Καί νύν...

- Θεοτόκε η ελπίς, πάντων τών Χριστιανών, σκέπε φρούρει φύλαττε, τούς ελπίζοντας εις σέ.

Ιεροπρεπώς άνθωμολογείτο, Άννα υποφητεύουσα, η σώφρων καί Οσία, καί Πρεσβυρά τώ Δεσπότη, εν τώ ναώ διαρρήδην, τήν Θεοτόκον δέ ανακηρύττουσα, πάσι τοίς παρούσιν εμεγάλυνεν.

Ο Ειρμός

«Εν νόμω, σκιά καί γράμματι, τύπον κατίδωμεν οι πιστοί, πάν άρσεν τό τήν μήτραν διανοίγον, άγιον Θεώ, διό πρωτότοκον Λόγον, Πατρός ανάρχου Υιόν, πρωτοτοκούμενον Μητρί, απειράνδρω, μεγαλύνομεν».

Εξαποστειλάριον, αυτόμελον

Εν πνεύματι τώ ιερώ παραστάς ο Πρεσβύτης, αγκάλαις υπεδέξατο, τόν τού νόμου Δεσπότην, κραυγάζων. Νύν τού δεσμού με, τής σαρκός απόλυσον, ως είρηκας εν ειρήνη, είδον γάρ τοίς οφθαλμοίς, αποκάλυψιν εθνών, καί Ισραήλ σωτηρίαν. (Εκ γ')

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια τρία, δευτερούντες τό πρώτον.

Ήχος δ' Έδωκας σημείωσιν

Νόμον τόν εν γράμματι, αποπληρών ο φιλάνθρωπος, τώ ναώ νύν προσάγεται, καί τούτον εισδέχεται, γηραιαίς αγκάλαις, Συμεών ο πρέσβυς, Νύν απολύεις με βοών, πρός τήν εκείθεν μακαριότητα, κατείδον γάρ σε σήμερον, σάρκα θνητήν περικείμενον, τόν ζωής κυριεύοντα, καί θανάτου δεσπόζοντα.

Φώς εις αποκάλυψιν, εθνών επέφανας Κύριε, επί κούφης καθήμενος, νεφέλης ο Ήλιος, τής δικαιοσύνης, νόμου τό σκιώδες, αποπληρών καί τήν αρχήν, καθυποφαίνων τής νέας χάριτος, διό σε θεασάμενος, ο Συμεών ανεκραύγαζεν. Εκ φθοράς με απόλυσον, ότι είδόν σε σήμερον.

Κόλπων τού γεννήτορος, μή χωρισθείς τή θεότητι, σαρκωθείς ως ευδόκησας, αγκάλαις κρατούμενος, τής Αειπαρθένου, χερσίν επεδόθης, τού θεοδόχου Συμεών, ο τή χειρί σου κρατών τά σύμπαντα, διό Νύν απολύεις με, περιχαρώς ανεκραύγαζεν, εν ειρήνη τόν δούλόν σου, ότι ειδόν σε Δέσποτα.

Δόξα... Καί νύν... Ήχος πλ. β'

Γερμανού

Ο εν χερσί πρεσβυτικαίς, τήν σήμερον ημέραν, ως εφ' άρματος Χερουβίμ, ανακλιθήναι ευδοκήσας Χριστέ ο Θεός, καί ημάς τούς υμνούντάς σε, τής τών παθών τυραννίδος, ανακαλούμενος ρύσαι, καί σώσον τάς ψυχάς ημών.

Δοξολογία Μεγ. καί Απόλυσις

Εις τήν Λειτουργίαν

Τά Τυπικά, καί εκ τού Κανόνος, η γ' καί ς' Ωδή. Ει δέ βούλει, ειπέ τά παρόντα Αντίφωνα.

Αντίφωνον Α'

Στίχ. Εξηρεύξατο η καρδία μου λόγον αγαθόν.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχ. Η γλωσσά μου κάλαμος γραμματέως οξυγράφου.

Ταίς Πρεσβείαις τής Θεοτόκου...

Στίχ. Εξεχύθη χάρις εν χείλεσί σου.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχ. Διά τούτο ευλόγησέ σε ο Θεός εις τόν αιώνα.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Δόξα... Καί νύν...

Ταίς πρεσβείαις τής Θεοτόκου...

Αντίφωνον Β'

Στίχ. Περίζωσαι τήν ρομφαίαν σου επί τόν μηρόν σου δυνατέ.

Σώσον ημάς Υιέ Θεού, ο εν αγκάλαις τού Δικαίου Συμεων βασταχθείς, ψάλλοντάς σοι, Αλληλούϊα.

Στίχ. Καί έντειναι καί κατευοδού καί βασίλευε.

Σώσον ημάς Υιέ Θεού...

Στίχ. Τά βέλη σου ηκονημένα δυνατέ, λαοί υποκάτω σου πεσούνται.

Σώσον ημάς Υιέ Θεού.

Στίχ. Ράβδος ευθύτητος η ράβδος τής βασιλείας σου.

Σώσον ημάς Υιέ Θεού...

Δόξα... Καί νύν...

Ο μονογενής Υιός, καί Λόγος τού Θεού...

Αντίφωνον Γ'

Στίχ. Άκουσον θύγατερ καί ίδε, καί κλίνον τό ούς σου.

Ήχος α'

Χαίρε κεχαριτωμένη Θεοτόκε Παρθένε, εκ σού γάρ ανέτειλεν ο Ήλιος τής δικαιοσύνης, Χριστός ο Θεός ημών, φωτίζων τούς εν σκότει. Ευφραίνου καί σύ Πρεσβύτα δίκαιε, δεξάμενος εν αγκάλαις τόν ελευθερωτήν τών ψυχών ημών, χαριζόμενος ημίν καί τήν Ανάστασιν.

Στίχ. Τό πρόσωπόν σου λιτανεύσουσιν οι πλούσιοι τού λαού.

Χαίρε κεχαριτωμένη...

Στίχ. Μνησθήσομαι τού ονόματός σου, εν πάση γενεά καί γενεά.

Χαίρε κεχαριτωμένη...

Ε ι σ ο δ ι κ ό ν

Εγνώρισε Κύριος τό Σωτήριον αυτού εναντίον πάντων τών εθνών.
Σώσον ημάς Υιέ Θεού.

Απολυτίκιον Ήχος α'

Χαίρε κεχαριτωμένη Θεοτόκε Παρθένε, εκ σού γάρ ανέτειλεν ο Ήλιος τής δικαιοσύνης, Χριστός ο Θεός ημών, φωτίζων τούς εν σκότει. Ευφραίνου καί σύ Πρεσβύτα δίκαιε, δεξάμενος εν αγκάλαις τόν ελευθερωτήν τών ψυχών ημών, χαριζόμενος ημίν καί τήν Ανάστασιν.

Κοντάκιον Ήχος α'

Ο μήτραν παρθενικήν αγιάσας τώ τόκω σου, καί χείρας τού Συμεών ευλογήσας ως έπρεπε, προφθάσας καί νύν έσωσας ημάς Χριστέ ο Θεός. Αλλ' ειρήνευσον εν πολέμοις τό πολίτευμα, καί κραταίωσον Βασιλείς ούς ηγάπησας, ο μόνος φιλάνθρωπος.

Εις τό Εξαιρέτως
Ήχος γ'

Θεοτόκε η ελπίς, πάντων τών Χριστιανών, σκέπε φρούρει φύλαττε, τούς ελπίζοντας εις σέ.

Κοινωνικόν

Ποτήριον σωτηρίου λήψομαι, καί τό όνομα Κυρίου επικαλέσομαι. Αλληλούϊα.

---

Αρχή

## ΤΗ Γ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου καί Δικαίου Συμεων τού Θεοδόχου, καί Άννης τής Προφήτιδος.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια, τής Εορτής γ' καί τών Αγίων γ'.

Στιχηρά τής Εορτής

Ήχος α' Τών ουρανίων ταγμάτων

Ο Ποιητής τών απάντων, καί Λυτρωτής ημών, υπό Μητρός Παρθένου, τώ ναώ προσηνεχθη, όθεν ο Πρεσβύτης τούτον λαβών, μετά χαράς ανεκραύγαζε, Νύν απολύεις τόν δούλόν σου Αγαθέ, εν ειρήνη ως ηυδόκησας.

Ο Συμεών εν αγκάλαις, εκ τής Παρθένου λαβών, τόν πρό πάντων αιώνων, γεννηθέντα Σωτήρα, Είδον, ανεβόα, τόν φωτισμόν, τής σής δόξης τά πέρατα, νύν απολύεις τόν δούλόν σου Αγαθέ, εν ειρήνη, ότι είδόν σε.

Τόν επ' εσχάτων τεχθέντα, εις σωτηρίαν βροτών, ο Συμεών βαστάσας, εν αγκάλαις Σωτήρα, χαίρων ανεβόα. Είδον τό φώς τών Εθνών καί τήν δόξαν τού Ισραήλ, νύν απολύεις, ως είρηκας ο Θεός, εκ τών τήδε τή κελεύσει σου.

Στιχηρά τών Αγίων

Ήχος δ' Έδωκας σημείωσιν

Δίκαιος καί τέλειος, καί κατά πάντα αοίδιμος, χρηματίζων θεόπνευστε, Θεόν μόνον τέλειον, εις τό δικαιώσαι, τόν κόσμον ελθόντα, καθυπεδέξω ταίς χερσί, σωματωθέντα καί απολέλυσαι, τού σώματος βοών αυτώ, Νύν απολύεις τόν δούλόν σου, εν ειρήνη φιλάνθρωπε, ότι είδόν σε σήμερον.

Νεάζων τώ πνεύματι, προβεβηκώς δέ τώ σώματι, Συμεών κεχρημάτιοαι, μή όψεσθαι θάνατον, έως ίδης βρέφος, νέον τόν προόντα, πρό τών αιώνων Ποιητήν, Θεόν τόν όλων σάρκα πτωχεύσαντα, ιδών δέ ανεσκίρτησας, καί τής σαρκός λύσιν ήτησας, πρός τά θεία σκηνώματα, μεταβάς αγαλλόμενος.

Άννα η θεόπνευστος, καί Συμεών ο πανόλβιος, προφητεία λαμπόμενοι, εν νόμω τε άμεμπτοι, αποδεδειγμένοι, τον νόμου Δοτήρα, βρέφος οφθέντα καθ' ημάς, ιδόντες τούτον νύν προσεκύνησαν, αυτών τήν Μνήμην σήμερον, περιχαρώς εορτάσωμεν, κατά χρέος δοξάζοντες, Ιησούν τόν φιλάνθρωπον.

Δόξα... Καί νύν... Ήχος πλ. α'

Ο παλαιός ημερών, νηπιάσας σαρκί, υπό Μητρός Παρθένου τώ Ιερώ προσάγεται, τού οικείου νόμου πληρών τό επάγγελμα, όν Συμεών δεξάμενος έλεγε, Νύν απολύεις εν ειρήνη, κατά τό ρήμά σου τόν δούλόν σου, είδον γάρ οι οφθαλμοί μου, τό σωτήριόν σου Άγιε.

Εν τή Τεσσαρακοστή

Δόξα... Καί νύν... Θεοτοκίον

Ήχος δ' Έδωκας σημείωσιν

Τό χαύνον καί εκλυτον, Παρθενομήτορ πανάμωμε, τής ψυχής μου μετάβαλε, εις ρώσιν καί δύναμιν, νύν τού θείου φόβου, ποιείν τε καί πράττειν, τά δικαιώματα Χριστού, όπως εκφύγω τό πύρ τό άσβεστον, καί κλήρον τόν ουράνιον, καί τήν ζωήν τήν απέραντον, διά σού εύρω Δέσποινα, ευφραινόμενος πάντοτε.

Η Σταυροθεοτοκίον

Σταυρούμενον βλέπουσα, καί τήν πλευράν ορυττόμενον, υπό λόγχης η

Πάναγνος, Χριστόν τόν φιλάνθρωπον, έκλαιε βοώσα, Τί τούτο Υιέ μου; τί σοι αχάριστος λαός, αποτιννύει ανθ' ών πεποίηκας, καλών αυτοίς καί σπεύδεις με, ατεκνωθήναι παμφίλτατε; Καταπλήττομαι εύσπλαγχνε, σήν εκούσιον Σταύρωσιν.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια τής Εορτής.

Ήχος β'  Οίκος τού Εφραθά

Σήμερον ο Σωτήρ, ως βρέφος προσηνέχθη, εν τώ ναώ Κυρίου, καί χερσί γηραλέαις, ό Πρέσβυς τούτον δέχεται.

Στίχ. Νύν απολύεις τόν δούλόν σου Δέσποτα, κατά τό ρήμά σου εν ειρήνη Κύριε, ότι είδον οι οφθαλμοί μου, τό σωτληριόν σου,

Νήπιος τή σαρκί, ο παλαιός τώ χρόνω, οράται παραδόξως, τήν σήμερον ημέραν, καί τώ ναώ προσάγεται.

Στίχ. Φώς εις αποκάλυψιν εθνών, καί δόξαν λαού σου Ισραήλ.

Δέχου ώ Συμεών, η Πάναγνος εβόα, έν αγκάλαις ως βρέφος, τόν Κύριον τής δόξης, καί κόσμου τό σωτήριον.

Δόξα... Καί νύν... Ήχος α'

Ο παλαιός ημερών, ο καί τόν νόμον πάλαι εν Σινά δούς τώ Μωσεί, σήμερον βρέφος οράται, καί κατά νόμον, ως νόμου Ποιητής, τόν νόμον εκπληρών, ναώ προσάγεται, καί τώ Πρεσβύτη αποδίδοται. Δεξάμενος δέ τούτον Συμεών ο δίκαιος, καί τών δεσμών τήν έκβασιν ιδών τελεσθείσαν, γηθοσύνως εβόα. Είδον οι οφθαλμοί μου, τό απ' αιώνος μυστήριον αποκεκρυμμένον, επ' εσχάτων τούτων ημερών φανερωθέν, φώς διασκεδάζον, τών απίστων εθνών τήν σκοτόμαιναν καί δόξαν τού νεολέκτου Ισραήλ, διό απόλυσον τόν δούλόν σου, εκ τών δεσμών τούδε τού σαρκίου, πρός τήν αγήρω καί θαυμασίαν άληκτον ζωήν, ό παρέχων τώ κόσμω τό μέγα έλεος.

Απολυτίκιον  Ήχος α'

Χαίρε κεχαριτωμένη Θεοτόκε Παρθένε, εκ σού γάρ ανέτειλεν ο Ήλιος τής δικαιοσύνης, Χριστός ο Θεός ημών, φωτίζων τούς εν σκότει. Ευφραίνου καί σύ Πρεσβύτα δίκαιε, δεξάμενος εν αγκάλαις τόν ελευθερωτήν τών ψυχών ημών, χαριζόμενος ημίν καί τήν Ανάστασιν.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα  Ήχος α'

Τού λίθου σφραγισθέντος

Θησαυρέ τών αιώνων, η ζωή τών απάντων, δι' εμέ νηπιάσας, υπό νόμον εγένου, ό πάλαι χαράξας εν πλαξί, τόν νόμον εν τώ Σινά, ίνα πάντας απαλλάξης, εκ τής τού νόμου πάλαι δουλείας. Δόξα τή ευσπλαγχνία σου Σωτήρ, δόξα τή βασιλεία σου, δόξα τή οικονομία σου, μόνε φιλάνθρωπε.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος πλ. α'

Τόν συνάναρχον Λόγον

Εντώ ναώ προσηνέχθης τά ειθισμέναπληρών, ο Ποιητής καί Δεσπότης καί ο τού νόμου δοτήρ, καί αγκάλαις Συμεων ευδοκία τή σή, βασταχθήναι εν σαρκί, ο τοίς πάσι φοβερός, καί πάσαν κτίσιν συνέχων, ηνέσχου μόνε Οικτίρμον, τός φώς πάσιν αποκαλύψας ημίν.

Δόξα... Καί νύν... τό αυτό

Είτα λέγονται οι Κανόνες, ο τής Εορτής, καί τού Αγίου ο παρών, ού η ακροστιχίς.

Δέχου τόν ύμνον Συμεών Θεοδόχε. Ιωσήφ.

Ωδή α' Ήχος δ' Ο Ειρμός

«Ανοίξω τό στόμα μου, καί πληρωθήσεται Πνεύματος, καί λόγον ερεύξομαι τή Βασιλίδι Μητρί, καί οφθήσομαι, φαιδρώς πανηγυρίζων, καί άσω γηθόμενος, ταύτης τά θαύματα».

Δικαίων σκηνώμασι, περιχαρώς αυλιζόμενος, τόν δίκαιον Κύριον, Συμεων δίκαιε, τούς τήν θείαν σου, τελούντας δικαιώσαι, μετάστασιν αίτησαι, μακαριώτατε.

Εν νόμω γενόμενος, Ιερουργός Ιερώτατε, όν νόμος εκήρυξε, βρέφος τεθέασαι, καί τής φύσεως, τώ νόμω Θεοδόχε, θανών πρός αθάνατον, χαίρων μετέβης ζωήν.

Χειρί τόν κατέχοντα, τής οικουμένης τά πέρατα, Παρθένου φερόμενον, χερσίν εώρακας, καί τιμίαις σου, δεξάμενος αγκάλαις, Μωσέως ανώτερος, ώφθης Πανόλβιε.

Θεοτοκίον

Ο πλήρης Κεκένωται, ο προαιώνιος άρχεται, ό Λόγος παχύνεται, ο Πλάστης πλάττεται, ο αχώρητος, χωρείται εν κοιλία, τή σή σωματούμενος, θεοχαρίτωτε.

Ωδή γ'  Ο Ειρμός

«Ότι στείρα έτεκεν, η εξ εθνών Εκκλησία, καί η πολλή εν τέκνοις ησθένησε συναγωγή, τώ θαυμαστώ Θεώ ημών βοήσωμεν, Άγιος εί Κύριε».

Υψωθείς ταίς πράξεσι, ταίς Ιεραίς θεηγόρε, φωτοειδής ως στύλος επερειδόμενος σαφώς, τώ Παναγίω Πνεύματι γεγένησαι, όθεν ευφημούμέν σε.

Τόν τού νόμου Κύριον, καθυπανοίξαντα μήτραν, παρθενικήν καί βρέφος σωματοφόρον Συμεών, γεγενημένον έβλεψας δωρούμενον, πάσιν απολύτρωσιν.

Ο χειρί τόν άνθρωπον, δημιουργήσας χερσί σου, σωματωθείς κρατείται, καθαγιάζων σε σαφώς, καί πρός τήν ζωήν τήν μέλλουσαν αιτήσαντα, Μάκαρ απολύει σε.

Θεοτοκίον

Νοητήν λαβίδα σε, άνθρακα φέρουσαν θείον, τόν εκ τών σών αιμάτων σωματωθέντα υπέρ νούν, ο Συμεών ως έβλεψε Πανάμωμε, χαίρων εμακάριζε.

Κάθισμα  Ήχος γ'

Τήν ωραιότητα

Εκ τής Παρθένου σε, σωματωθέντα Χριστέ, χαίρων εδέξατο, ο Ιερός Συμεών, Νύν απολύεις εκβοών, τόν δούλόν σου Δέσποτα, Άννα δέ η άμεμπτος, η Προφήτις καί ένδοξος, τήν ανθομολόγησιν, καί τόν ύμνον προσήγέ σοι. Ημείς δέ Ζωοδότα βοώμέν σοι, Δόξα τώ ούτως ευδοκήσαντι.

Δόξα... Καί νύν... Τό αυτό

Εν τή Τεσσαρακοστή

Δόξα... Καί νύν... Θεοτοκίον

Ήχος β'  Τήν ωραιότητα

Ακατανόητον, καί ακατάληπτον, υπάρχει Δέσποινα, θεοχαρίτωτε, τό πεπραγμένον επί σοί, φρικτόν όντως μυστήριον! τόν γάρ απερίληπτον, συλλαβούσα εκύησας, σάρκα περιθέμενον, εξ αχράντων αιμάτων σου, όν πάντοτε Αγνή ως Υιόν σου, δυσώπει τού σώσαι τάς ψυχάς ημών.

Η Σταυροθεοτοκίον

Η απειρόγαμος, Αγνή καί Μήτηρ σου, Χριστέ ορώσά σε, νεκρόν κρεμάμενον, επί τού ξύλου μητρικώς, θρηνούσα απεφθέγγετο, Τί σοι ανταπέδωκε, τών Εβραίων ο άνομος, δήμος καί αχάριστος, ο πολλών καί μεγάλων σου, Υιέ μου δωρεών απολαύσας; Υμνώ σου τήν θείαν συγκατάβασιν.

Ωδή δ'  Ο Ειρμός

«Ο καθήμενος εν δόξη, επί θρόνου θεότητος, εν νεφέλη κούφη, ήλθεν Ιησούς

ο υπέρθεος, τή ακηράτω παλάμη καί διέσωσε, τούς κραυγάζοντας. Δόξα Χριστέ τή δυνάμει σου».

Υπερήκμασας τώ γήρα, τή δέ πίστει ενέαζες, νέον βρέφος θέλων, βλέψαι Συμεών τόν παντέλειον, ανακαινίζοντα κόσμον τόν γηράσαντα, επιθέσει τού παλαιού πολεμήτορος.

Μακαρίσωμεν συμφώνως, Συμεών τόν μακάριον, ως αξιωθέντα, βλέψαι τόν Θεόν τόν μακάριον, σάρκα φορέσαντα, όπως απεργάσηται, μακαρίους, τούς πρίν αθλίους χρηματίζοντας.

Νομοδότην σε γινώσκω, καί νομίμων τής φύσεως, σαρκωθέντα δίχα, νόμον τε καινόν εισοικίσαντα, ο Συμεών ανεβόα, μόνε Κύριε, Νύν απόλυσόν με, πρός ζωήν τήν ακήρατον.

Θεοτοκίον

Ο χειρί τά πάντα φέρων, εν χερσί βασταζόμενος τής αειπαρθενου, ταύτην Χερουβίμ απειργάσατο, καί Σεραφίμ ανωτέραν ως γεννήτριαν, ήν υμνήσωμεν, καί ευσεβώς μακαρίσωμεν.

### Ωδή ε'  Ο Ειρμός

«Εξέστη τά σύμπαντα, επί τή θεία δόξη σου, σύ γάρ απειρόγαμε Παρθένε, έσχες εν μήτρα τόν επί πάντων Θεόν, καί τέτοκας άχρονον Υιόν, πάσι τοίς υμνούσί σε, σωτηρίαν βραβεύοντα».

Νοός καθαρότητι, Θεώ τώ παντοκράτορι, Άγγελος καθάπερ λειτουργήσας, Μάκαρ εναίμοις θυσίαις ήγνισας, πάλαι τόν λαόν τού, Ισραήλ, αίμα τό σωτήριον, προδηλούσαις τρανότατα.

Σαυτόν απετέλεσας, ναόν Θεού πανάγιον, πράξεσιν ενθέοις θεηγόρε, όθεν ως βρέφος εν τώ αγίω ναώ, έβλεψας Θεόν μετά σαρκός, σέ μεταβιβάζοντα, πρός τά θεία σκηνώματα.

Υμνήσωμεν σήμερον, πνευματικώς χορεύοντες, πάντες Συμεών τόν Θεοδόχον, καί σύν εκείνω, Άνναν τήν σώφρονα, προφήτας υπάρχοντας Θεού, τούτον κατιδόντας τε, δι' ημάς νηπιάσαντα.

Θεοτοκίον

Μή φλέξας την μήτραν σου, ο φύσει αναλλοίωτος, μόνη Χερουβίμ αγιωτέρα, άνθρωπος ώφθη εκ σού τικτόμενος, καί τούς απωσθέντας τή φθορά, πάντας ανεσώσατο, Θεομήτορ πανάμωμε.

### Ωδή ς'  Ο Ειρμός

«Εβόησε, προτυπών τήν ταφήν τήν τριήμερον, ο Προφήτης, Ιωνάς εν τώ κήτει δεόμενος. Εκ φθοράς με ρύσαι, Ιησού Βασιλεύ τών δυνάμεων».

Εβόησας, οπηνίκα κατείδες τόν Κύριον. Ως υπέσχου, νύν τόν δούλόν σου

Σώτερ απόλυσον, τοίς εν Άδη πάσι, σού τήν θείαν μηνύσοντα σάρκωσιν.

Ωραιώθης, καί Μωσέως λαμπρότερος γέγονας, εν αγκάλαις, τόν εν κάλλει ωραίον δεξάμενος, Συμεών Πρεσβύτα, δι' ημάς νηπιάσαντα Κύριον.

Ναμάτων σε, πεπλησμένον τών θείων απάραντα, καί πρός Άδου, τούς κευθμώνας χωρήσαντα βλέψαντες, οι εκεί δεσμώται, Συμεών θείας δρόσου επλήσθησαν.

Θεοτοκίον

Θηρεύσαί με, καθ' εκάστην ζητεί ο παμπόνηρος, αλλ' αιτούμαι, τών παγίδων εξάρπασον Δέσποινα, καί τή θεία σκέπη, τών πτερύγων σου σώον συντήρησον.

Κοντάκιον Ήχος α'

Ο μήτραν παρθενικήν αγιάσας τώ τόκω σου, καί χείρας τού Συμεών ευλογήσας ως έπρεπε, προφθάσας καί νύν έσωσας ημάς Χριστέ ο Θεός. Αλλ' ειρήνευσον εν πολέμοις τό πολίτευμα, καί κραταίωσον Βασιλείς ούς ηγάπησας, ο μόνος φιλάνθρωπος.

Συναξάριον

Τή Γ' τού αυτού μηνός, Μνήμη τού Αγίου καί δικαίου Συμεών τού Θεοδόχου καί, Άννης τής Προφήτιδος, ών η Σύναξις τελείται έν τώ σεπτώ Αποστολείω τού Αγίου Ιακώβου τού Αδελφοθέου, τώ όντι εν τώ σεβασμίω ναώ τής Αγίας Θεοτόκου, πλησίον τής αγιωτάτης Μεγάλης Ε κκλησίας.

Στίχοι

- Ήγγειλε νεκροίς Πρέσβυς, ως Θεός Λόγος,
- Ανθρωπος οφθείς, μέχρι καί τούτων φθάσει.
- Ου γάρ απήρεν η Φανουήλ θυγάτηρ,
- Έως επ' αυτής τόν Θεόν είδε βρέφος.
- Τή Τριτάτη δεσμοίο βίαιο λύθη Συμεώνης.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων μαρτύρων Αδριανού καί Ευβούλου.

Στίχοι

- Αδριανόν, χαίροντα τμηθήναι ξίφει,
- Χείρ, η φόνοις χαίρουσα τέμνει δημίου.
- Ξίφει θανων Εύβουλε, Κυρίου χάριν,
- Βουλήν επέγνως ως αρεστήν Κυρίω.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου μάρτυρος Βλασίου τού Βουκόλου.

Στίχοι

- Βοών επαύλεις Βλάσιον είχον πάλαι,
- Αυλαί δέ νύν έχουσιν αυτόν Κυρίου.

Τή αυτή ημέρα, ο προφήτης Αζαρίας, υιός Αδδώ, εν ειρήνη τελειούται.

Στίχοι

- Χρησμούς διδόντος πρίν θανείν Αζαρίου,
- Σιγά προφητεύουσα λοξά Πυθία.

Τή αυτή ημέρα, Παύλος καί Σίμων οι Μάρτυρες ξίφει τελειούνται.

Στίχοι

- Καί Παύλον ώδε, καί Σίμωνα γραπτέον,
- Μή καί λάθωσιν, εκκοπέντες τάς κάρας.

Τή αυτή ημέρα, ο Άγιος Κλαύδιος εν ειρήνη τελειούται.

Στίχοι

- Έχαιρεν ευρών Κλαύδιος βίου τέλος,
- Ως εί τις εύροι ψαλμικώς πολλά σκύλα.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός ελέησον ημάς. Αμήν.

Ωδή ζ' Ο Ειρμός

«Ουκ ελάτρευσαν τή κτίσει οι θεόφρονες, παρά τόν Κτίσαντα, αλλά πυρός απειλήν, ανδρείως πατήσαντες, χαίροντες έψαλλον. Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί».

Εννομώτατα Κυρίω παντοκράτορι, σύ ελειτούργησας, δίκαιος ως αληθώς, εν νόμω τε άμεμπτος Μάκαρ γενόμενος, όθεν έψαλλες, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Η χαρά τών θλιβομένων επεδήμησεν, η απολύτρωσις, τού Ισραήλ αληθώς, ωράθη ως νήπιον εν τώ ναώ αυτού, απολύων με, πρός τήν ζωήν τήν μέλλουσαν, Συμεών εβόα χαίρων.

Διά σπλάγχνα οικτιρμών σου κεκμηκότα με, νόμου τώ γράμματι, κατακαμφθέντα τε, τώ γήρα απόλυσον Σώτερ τόν δούλόν σου, ότι είδόν σε, ο Συμεών εκραύγαζεν, επί γής φορούντα σάρκα.

Θεοτοκίον

Ο κενώσας ο πληρέστατος τόν άχραντον, κόλπον τού φύντος Πατρός, σού εν τοίς κόλποις Αγνή, ως βρέφος καθέζεται ετοιμαζόμενος, οίς ηθέλησεν, ομοιωθήναι Άχραντε, ιεράν σαφώς καθέδραν.

Ωδή η' Ο Ειρμός

«Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Χηρεύσαντα κόσμον θείας δόξης, ελθόντα νυμφοστολήσαι τόν Υπέρθεον,

χήρα χρηματίζουσα, Άννα η πανεύφημος, καί Προφητείας χάριτι περιαστράπτουσα, εδόξασεν αυτόν καί τό μέλλον, πάσι τοίς παρούσιν, εδήλου θείον λύτρον.

Εναίμους θυσίας προσηγάγω, αμνού τού δι' οίκτον αδιήγητον, αίμα τό σωτήριον, χυθέν τό ιερώτατον, προμηνυούσας πόρρωθεν, όν σωματούμενον, κρατήσας Συμεών εδοξάσθης, υπέρ Μωϋσέα, καί πάντας τούς Προφήτας.

Ίδων τόν ποθούμενον τήν λύσιν, υπέστης τού σώματος θεόπνευστε, καί καθάπερ ώριμος, σίτος μεταβέβηκας, πρός τούς πατέρας ένδοξε, τραφείς εν γήρα καλώ, διό σου τήν πανέορτον μνήμην, εν αγαλλιάσει, ψυχής επιτελούμεν.

Θεοτοκίον

Ως κρίνον, ως ευοσμόν σε ρόδον, ως θείον οσφράδιον εδρέψατο, Λόγος ο υπέρθεος, πάναγνε Θεόνυμφε, καί σού τήν μήτραν ώκησεν ευωδιάζων ημών, τήν φύσιν δυσωδίας πλησθείσαν, τήν εξ αμαρτίας, Μαρία Θεοτόκε.

Ωδή θ'  Ο Ειρμός

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, σύ δέ Παρθένε, Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τω κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν».

Σεπταί σου αι χείρες αληθώς προσψαύσασθαι, Θεοδόχε θείοις μέλεσι, τού απτομένου τών ορέων, ως Δαυϊδ μελωδεί καί καπνίζονται, μακάριος τώ όντι σύ γέγονας, όθεν αξίως ευφημούμέν σε.

Η θήκη σου βλύζει τοίς πιστοίς ιάματα, η δέ μνήμη μεμακάρισται, λάμπουσα, πλέον τού ηλίου, καί πάντων τάς ψυχάς σελαγίζουσα, πρός φώς θεογνωσίας ανάγουσα, Ιερομύστα πανσεβάσμιε.

Φωτίζουσι φέγγει νοητώ ως ήλιος, καί σελήνη τήν υφήλιον, Άννα η σώφρων καί προφήτις, ο Πρέσβυς Συμεών τε ό ένδοξος, δι' ών ημάς φιλάνθρωπε Κύριε, αμαρτημάτων σκότους λύτρωσαι.

Θεοτοκίον

Φανείσαν Μητέρα σε Θεού ως έβλεψε, Θεοτόκε ο πρεσβύτατος, έφησεν οίά περ προφήτης. Ιδού ό σός Υιός εις ανάστασιν, καί πτώσιν τών πολλών κείται Δέσποινα, καί εις σημείον δυσερμήνευτον.

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Ατρέπτως καθ' υπόστασιν, εν σοί Θεογεννήτρια, σαρκί ενούται ασπόρως, καί νηπιάζει ο Λόγος, όν εν αγκάλαις φέρουσα, Χερουβικός ως θρόνος νύν, Θεώ Πατρί προσήγαγες, καί Συμεών ο πρεσβύτης, χαίρων εδέξατο τούτον.

Εις τόν Στίχον τών Αίνων, Στιχηρά προσόμοια.

Ήχος πλ. β'
Τριήμερος ανέστης Χριστέ

Υπόδεξαι φησί Συμεών, τόν Κτίστην τών απάντων χερσίν, ώ Πρεσβύτα, αγκαλίζου τόν Χριστόν, όν η Παρθένος κόρη, εγέννησεν ασπόρως, εις αγαλλίασιν τού γένους ημών.

Στίχ. Νύν απολύεις τόν δούλόν σου Δέσποτα, κατά τό ρήμά σου εν ειρήνη Κύριε, ότι είδον οι οφθαλμοί μου, τό σωτληριόν σου,

Τού νόμου Ποιητήν καί Θεόν, όν φρίττουσιν Αγγέλων πληθύς, συνελθόντες, ανυμνήσωμεν λαοί, τόν μόνον ευεργέτην, καί νόμου Νομοδοτην, εις σωτηρίαν τών ψυχών ημών.

Στίχ. Φώς εις αποκάλυψιν εθνών, καί δόξαν λαού σου Ισραήλ.

Νύν απολύεις Δέσποτα, τόν δούλόν σου ως είρηκας, εν ειρήνη, ότι είδόν σε Χριστέ, τό φώς τό πρό αιώνων, δεσμών με τού σαρκίου, εις αποκάλυψιν εθνών Ισραήλ.

Δόξα... Καί νύν... Ήχος β'

Τόν Ιερόν η ιερά Παρθένος προσεκόμισεν εν Ιερώ τώ Ιερεί, απλώσας δέ αγκάλας ο Συμεών, εδέξατο τούτον αγαλλόμενος, καί εβόησε, Νύν απολύεις τόν δούλόν σου Δέσποτα, κατά τό ρήμά σου εν ειρήνη Κύριε.

Καί η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις

Εις τήν Λειτουργίαν

Τά Τυπικά, καί η γ' καί ς' Ωδή τού Κανόνος, καί τά λοιπά.

---

Αρχή

## ΤΗ Δ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Ισιδώρου τού Πηλουσιώτου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Είς τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τρία τής Εορτής, καί τρία τού Αγίου.

Στιχηρά τής Εορτής

Ήχος α'
Τών ουρανίων ταγμάτων

Θεοφανείας αρρήτου νύν εορτάζομεν, σωτηριώδη χάριν, εκ Παρθένου γάρ Κόρης, ατρέπτως νηπιάσας Χριστός ο Θεός, εν ναώ τώ Θεώ καί Πατρί, υπό

Μητρός νύν προσάγεται, όν λαβών, Συμεών ενηγκαλίσατο.

Εν τοίς Προφήταις ωράθης, ως θέμις ήν Ιησού, σέ θεαθήναι πάλαι αλλά νύν Θεού Λόγε, σαρκί παντί τώ κόσμω, ώφθης εκών, εκ Παρθένου Μαρίας Χριστέ, σού τό σωτήριον πάσι τοίς εξ Αδάμ, εμφανίσας ως φιλάνθρωπος.

Ο εν Σιναίω τώ όρει τόν νόμον τάξας ποτέ, νύν εν Σιών τή πόλει, εκπληρών τά τού νόμου, χερσί τής Θεοτόκου, βρέφος Χριστέ, σύν τοίς ολοκαυτώμασι, τού Συμεών εν αγκάλαις εις τόν ναόν, εισαχθήναι κατεδέξω σαρκί.

Στιχηρά τού Αγίου.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Θεωρίαις καί πράξεσι, πρός Θεόν ανυψούμενος, διά βίου Πάνσοφε διετέλεσας, τής θεωρίας επίβασιν, τήν πράξιν πηξάμενος, καί σοφώς τών ορεκτών, αγαπήσας τό έσχατον, ού γενόμενος, εφέσεως έστης μακαρίου, αξιούμενος νύν τέλους, καί τρισηλίου ελλάμψεως.

Τή πλημμύρα τής χάριτος, καί τοίς όμβροις τών λόγων σου, καταρδεύεις άπαντας τούς θεόφρονας, τής ανωτάτω σοφίας γάρ, κρατήρι τό στόμα σου, επιθείς ως εκ πηγής, δαψιλώς σύ εξήντλησας, καί διέδωκας, πανταχού τάς ακτίνας τών δογμάτων, επιστέλλων καί διδάσκων, καί νουθετών αξιάγαστε.

Εγκρατεία τό φρόνημα, τής σαρκός εθανάτωσας, ζωηφόρον νέκρωσιν ενδυσάμενος, καί τής ψυχής τήν κατάστασιν, πλατύνας Πανόσιε, εναργώς χωρητικήν, χαρισμάτων τού Πνεύματος απετέλεσας, καί δοχείον εγένου θεοπνεύστων, διδαγμάτων καί σοφίας, τής υπέρ νούν ενδιαίτημα.

Δόξα... Καί νύν... Ήχος βαρύς

Φώς εις αποκάλυψιν εθνών, ήλθες επί γής εξ ουρανού Σωτήρ ημών, καί προελθών εκ τής Παρθένου, επανεπαύσω εν αγκάλαις τού δικαίου Συμεών! έδει γάρ σε Ζωοδότα τών απάντων, υπό τού Πρεσβύτου γνωρισθήναι, ότι παρεγένου απολύσαι αυτόν, κατά τό ρήμά σου, ό έχων τό μέγα έλεος.

Εν τή Τεσσαρακοστή
Δόξα... Καί νύν... Θεοτοκίον
Ήχος δ' Ως γενναίον εν Μάρτυσιν

Επομβρίας Πανάχραντε, τής τού Πνεύματος χάριτος, τήν εμήν διάνοιαν καταδρόσισον, η τήν σταγόνα κυήσασα, Χριστόν τόν τήν άμετρον, ανομίαν τών βροτών, οικτιρμοίς αποσμήχοντα, καί κατάκλυσον, τήν πηγήν τών παθών μου, καί χειμάρρου, καταξίωσον τρυφής με, τή αειζώω πρεσβεία σου.

Η Σταυροθεοτοκίον

Τόν αμνόν καί ποιμένα σε, επί ξύλου ως έβλεψεν, αμνάς η κυήσασα επωδύρετο, καί μητρικώς σοι εφθέγγετο, Υιέ ποθεινότατε, πώς εν ξύλω τού

Σταυρού, ανηρτήθης μακρόθυμε; πώς τάς χείράς σου, καί τούς πόδας σου Λόγε προσηλώθης, υπ' ανόμων καί τό αίμα, τό σόν εξέχεας Δέσποτα;

Εις τόν Στίχον, Στιχηρά Προσόμοια τής Εορτής.

Ήχος β' Οίκος τού Εφραθά

Δέχου ώ Συμεών, τόν Κύριον τής δόξης, καθώς εχρηματίσθης, εκ Πνευματος αγίου, ιδού γάρ παραγέγονε.

Στίχ. Νύν απολύεις τόν δούλόν σου Δέσποτα, κατά τό ρήμά σου εν ειρήνη Κύριε, ότι είδον οι οφθαλμοί μου, τό σωτληριόν σου,

Φέρουσα η Αγνή, καί άχραντος Παρθένος, τόν Πλάστην καί Δεσπότην, ως βρέφος εν αγκάλαις, εν τώ ναώ εισέρχεται.

Στίχ. Φώς εις αποκάλυψιν εθνών, καί δόξαν λαού σου Ισραήλ.

Μέγα καί φοβερόν, Μυστήριον καί ξένον! ο πάντα περιέπων, καί βρέφη διαπλάττων, ως βρέφος αγκα λίζεται.

Δόξα... Καί νύν... Ήχος β'

Σήμερον Συμεών εν ταίς αγκάλαις τόν Κύριον τής δόξης υποδέχεται, όν υπό τόν γνόφον πρώην ο Μωϋσής εθεάσατο, εν τώ όρει Σινά πλάκας δόντα αυτώ. Ούτός εστιν, ο εν τοίς Προφήταις λαλών, καί τού νόμου Ποιητής, όν ο Δαυϊδ καταγγέλλει, ο τοίς πάσι φοβερός, έχων τό μέγα καί πλούσιον έλεος.

Απολυτίκιον Ήχος α'

Χαίρε κεχαριτωμένη Θεοτόκε Παρθένε, εκ σού γάρ ανέτειλεν ο Ήλιος τής δικαιοσύνης, Χριστός ο Θεός ημών, φωτίζων τούς εν σκότει. Ευφραίνου καί σύ Πρεσβύτα δίκαιε, δεξάμενος εν αγκάλαις τόν ελευθερωτήν τών ψυχών ημών, χαριζόμενος ημίν καί τήν Ανάστασιν.

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος α'
Χορός Αγγελικός

Ο ων σύν τώ Πατρί, επί θρόνου αγίου, ελθών επί τής γής, εκ Παρθενου ετέχθη, καί βρέφος εγένετο, χρόνοις ων απερίγραπτος, όν δεξάμενος, ό Συμεων εν αγκάλαις, χαίρων έλεγε, Νύν απολύεις Οικτίρμον, ευφράνας τόν δούλόν σου.

Δόξα... Καί νύν... τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος δ'
Ταχύ προκατάλαβε

Σαρκί νηπιάσαντα, εξ απειράνδρου Μητρός, χερσί γηραλέαις σου, αγκαλισθείς Συμεών, Χριστόν τόν Θεόν ημών, έλαβες τής εξόδου, τήν απόφασιν δόξη, είληφας τών θαυμάτων, τήν αέναον χάριν, διό σε αξιοχρέως πάντες δοξάζομεν.

Δόξα... Καί νύν... το αυτό

Είτα λέγομεν τόν κανόνα τής Εορτής, καί τού Αγίου τούτον, ο η ακροστιχίς.

Σέ τών Μοναστών τό κλέος μέλπω Πάτερ. Θεοφάνους.

Ωδή α' Ήχος πλ. β' Ο Ειρμός

«Ως εν ηπείρω πεζεύσας ο Ισραήλ, εν αβύσσω ίχνεσι, τόν διώκτην Φαραώ, καθορών ποντούμενον Θεώ, επινίκιον ωδήν, εβόα άσωμεν».

Συντετριμμένης καρδίας τόν στεναγμόν, επακούσας Δέσποτα, τής ψυχής μου τήν δεινήν, συντριβήν θεράπευσον ευχαίς, τού Οσίου σου Χριστέ, ως παντοδύναμος.

Επιβάς θεοσόφως τής πρακτικής, αρετής, Ισίδωρε, θεωρίας ακραιφνούς, τήν τερπνήν εμφάνειαν, Θεώ, ομιλών διαπαντός σαφώς επλούτησας.

Τώ τής σοφίας κρατήρι προσαγαγών, τό σόν στόμα Πάνσοφε, τών εκείθεν δωρεών, τήν ροήν εξήντλησας Θεώ, επινίκιον ωδήν ανακρουόμενος.

Θεοτοκίον

Ως επί κούφης νεφέλης ο Πλαστουργός, επί σοί ελήλυθε, καθελείν ως δυνατός, τά Αιγύπτου Δέσποινα αγνή, χειροποίητα Χριστός ως παντοδύναμος.

Ωδή γ' Ο Ειρμός

«Ουκ έστιν Άγιος ως σύ, Κύριε ο Θεός μου, ό υψώσας τό κέρας, τών πιστών σου Αγαθέ, καί στε ρεώσας ημάς, εν τή πέτρα τής ομολογίας σου».

Νοός οξύτητι σαφώς, τήν τών όντων αθροίσας, Παναοίδιμε φύσιν, δι' αυτής τήν αρχικήν, αιτίαν ως καθαρός, θεολόγος απλανώς κατέλαβες.

Μελέτην θέμενος τρανώς, τού θανάτου τόν βίον, θεοφόρε τρισμάκαρ, τών παθών τάς υλικάς, ενέκρωσας αφορμάς, απαθείας συσχεθείς τώ έρωτι.

Ο πίσω χαίρων τού Χριστού, τόν σταυρόν σου βαστάσας, ηκολούθησας Πάτερ, εν ασκήσει καρτερά, καί τούτω ως δυνατόν, ωμοιώθης βίου καθαρότητι.

Θεοτοκίον

Νομίμων φύσεως εκτός, τόν Δεσπότην τεκούσα, Θεοτόκε Παρθένε, τής πάλαι παρακοής, διέλυσας τήν αράν, ευλογίας τήν πηγήν βλυστάνουσα.

Κάθισμα τού Αγίου

Ήχος γ' Θείας πίστεως

Βίβλος γνώσεως διδασκαλίας, πλούτω πίστεως συντεταγμένη, τώ πανάγνω ανεδείχθης εν Πνεύματι, ανακαλύπτων τά θεία τοίς χρήζουσι, καί τήν ζωήν θησαυρίζων τοίς θέλουσι, Πάτερ Όσιε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Δόξα... Καί νύν... Τής Εορτής

Ήχος πλ. δ' Ανέστης εκ νεκρών

Ετέχθης εκ Μητρός, ο προάναρχος Λόγος, προσήχθης τώ ναώ, ακατάληπτος μένων. Χαίρων δέ ο Πρεσβύτης, εν ταίς αγκάλαις σε υπεδέξατο, κράζων. Νύν απολύεις, όν επεσκέψω κατά τό ρήμά σου, ο ευδοκήσας σώσαι ως Θεός, τό γένος τών ανθρώπων.

Εν τή Τεσσαρακοστή

Δόξα... Καί νύν... Θεοτοκίον

Ήχος γ' Θείας πίστεως

Θεία γέγονας, σκηνή τού Λόγου, μόνη πάναγνε Παρθενομήτορ, τή καθαρότητι Αγγέλους υπερέχουσα, τον υπέρ πάντας εμέ γούν γενόμενον, ρερυπωμένον σαρκός πλημμελήμασιν, αποκάθαρον, πρεσβειών σου ενθέοις νάμασι, παρέχουσα Σεμνή τό μέγα έλεος.

Η Σταυροθεοτοκίον

Η αμίαντος, αμνάς τού Λόγου, η ακήρατος Παρθενομήτωρ, εν τώ Σταυρώ θεασαμένη Κρεμάμενον, τόν εξ αυτής ανωδίνως βλαστήσαντα, μητροπρεπώς θρηνωδούσα εκραύγαζεν, Οίμοι τέκνον μου! πώς πάσχεις; θέλων ρύσασθαι, παθών τής ατιμίας τόν άνθρωπον.

Ωδή δ' Ο Ειρμός

«Χριστός μου δύναμις, Θεός καί Κύριος, η σεπτή Εκκλησία θεοπρεπώς, μέλπει ανακράζουσα, εκ διανοίας καθαράς, εν Κυρίω εορτάζουσα».

Αφθόνως Όσιε, Χριστώ πειθόμενος, τόν δοθέντα σοι πλούτον ως ευπειθής, δούλος διαδέδωκας, καί τής αφράστου σε χαράς, ο Δεσπότης κατηξίωσε.

Σοφίας πέλαγος, διανηξάμενος, τόν καλόν μαργαρίτην ως αγαθός, έμπορος εκέρδησας, καί τούτον μόνον θησαυρόν, αδαπάνητον επλούτησας.

Τώ θείω Πνεύματι, καταλαμπόμενος, τάς ακτίνας τών λόγων ηλιακώς, πάσιν εξαπέστειλας, τής σωτηρίας τών πιστών θεοφάντορ ορεγόμενος.

### Θεοτοκίον

Ως όντως άφθεγκτα, καί ακατάληπτα, τά τής σής Θεοτόκε θεοπρεπούς, πέφυκε κυήσεως, τοίς επί γής καί ουρανού, αειπάρθενε Μυστήρια.

### Ωδή ε'  Ο Ειρμός

«Τώ θείω φέγγει σου αγαθέ, τάς τών ορθριζόντων σοι ψυχάς πόθω καταύγασον δέομαι, σέ ειδέναι Λόγε Θεού, τόν όντως Θεόν, εκ ζόφου τών πταισμάτων ανακαλούμενον».

Νεκρώσει Πάνσοφε τών παθών, έξω γεγονώς καί τής σαρκός, πόθω Θεώ προσωμίλησας, τώ καθαρωτάτω καί λαμπροτάτω φωτί, καί μόνην απαιτούντι τήν καθαρότητα.

Τώ θείω φέγγει σου αγαθέ, νύν ο θεοφόρος αυγασθείς, στύλος Ολόφωτος γέγονε, πάσι πέμπων θείου φωτός, τάς θείας αυγάς, καί ζόφον τής αγνοίας αποσειόμενος.

Ο θέλων πάντας ως αγαθός, πάνσοφε σωθήναι ποδηγόν, τοίς πλανομένοις σε έδειξε, πολλούς επιστρέφειν πρός σωτηρίας οδόν, Ισίδωρε τρισμάκαρ, Πάτερ πανόλβιε.

### Θεοτοκίον

Κυρίως στόματι καί ψυχή, Δέσποινα τού κόσμου αγαθή, ομολογώ σε πανάμωμε, σεσωματωμένον Θεόν τεκούσαν Αγνή, καί βίου σε προστάτιν πίστει προβάλλομαι.

### Ωδή ς'  Ο Ειρμός

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι, Ανάγαγε, εκ φθοράς τήν ζωήν μου Πολυέλεε».

Λογίω τών κρίσεων, κοσμηθείς ως Ιερεύς, λογιστικώς εδίκασας, θεοφόρε καί σώματι καί ψυχή, τό χείρον τώ κρείττονι, υποτάξας εμφρόνως αξιάγαστε.

Ευτόνως τήν Αίγυπτον, τών παθών καί τής τρυφής, σύ Μοναστών τό καύχημα, τής εγκρατείας Ένδοξε ταίς πληγαίς, ετάζων εμάστιξας, τοίς πιστοίς ομαλίζων τήν διάβασιν.

### Θεοτοκίον

Ο φέρων τά σύμπαντα, δυναστεία θεϊκή, καί συγκρατών ως εύσπλαγχνος, σαίς αγκάλαις Πανάμωμε σαρκωθείς, ως βρέφος βαστάζεται, ο Πατρί κατ ουσίαν συναΐδιος.

### Κοντάκιον  Ήχος α'

Ο μήτραν παρθενικήν αγιάσας τώ τόκω σου, καί χείρας τού Συμεών ευλογήσας ως έπρεπε, προφθάσας καί νύν έσωσας ημάς Χριστέ ο Θεός. Αλλ' ειρήνευσον εν πολέμοις τό πολίτευμα, καί κραταίωσον Βασιλείς ούς

ηγάπησας, ο μόνος φιλάνθρωπος.

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή Δ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Ισιδώρου τού Πηλουσιώτου

Στίχοι

- Πηλουσιώτα, χαίρε, πολλά μοι,
- Τόν πηλόν εκδύς, καί χαράς τυχων ξένης.
- Εν δ' Ισίδωρον έθεν το τετάρτη σήματι λυγρώ.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Νικολάου ομολογητού τού Στουδίτου.

Στίχοι

- Έδοξε τώ στήσαντι μέτρα τώ βίω,
- Καί Νικόλαον εκμετρήσαι τόν βίον.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου ιερομάρτυρος Αβραμίου, επισκόπου Αρβήλ τής Περσίδος.

Στίχοι

- Πώς τούτο φρικτόν τοίς αθληταίς Κυρίου,
- Έφασκε δεικνύς Αβράμιος τό ξίφος.

Τή αυτή ημέρα, Μνήιμη τού Οσίου Πατρός ημών Ιωάννου τού εν Ειρηνοπόλει, ενός τών Τριακοσίων δεκαοκτώ Αγίων Πατέρων, τών εν Νικαία, καί μνήμη τού Αγίου Μάρτυρος Θεοκτίστου.

Στίχοι

- Θείοις σκεπασθείς πίστεως θείας όπλοις,
- Γυμνοί τράχηλον Θεόκτιστος τώ ξίφει.

Τή αυτή ημέρα, ο Όσιος καί θαυματουργός, Ιάσιμος εν ειρήνη τελειούται.

Στίχοι

- Αλλ' Ιασίμου καί μόνη κωφή κόνις,
- Νέμει νοσούσι τήν ιάσιμον χάριν.

Ταίς αυτών Αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

## Ωδή ζ' Ο Ειρμός

«Δροσοβόλον μέν τήν κάμινον ειργάσατο, Άγγελος τοίς Οσίοις Παισί, τούς Χαλδαίους δέ καταφλέγον πρόσταγμα Θεού, τόν τύραννον έπεισε βοάν. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών».

Στερεώματι τής πίστεως ενέθετο, καθάπερ Πάτερ ήλιον, ο Δεσπότης σε καταλάμπειν φέγγει νοητώ, ψυχάς τών βοώντων εκτενώς. Ευλογητός εί ο

Θεός, ο τών Πατέρων ήμων.

Μολυσμούς σαρκός καί πνεύματος απέπλυνας, Μάκαρ δακρύων χεύμασι, καί γενόμενος θεοφόρε φώς τοίς επί γής, τούς πάντας εδίδαξας βοάν, Ευλογητός εί ό Θεός, ό τών Πατέρων ημών.

Θεοτοκίον

Επί άσειστον κρηπίδα όντες πίστεως, σέ Θεομήτορ άχραντε, ομολογούμεν Θεοτόκον. Λόγον γάρ Θεού, ασπόρως εγέννησας ημίν. Ευλογημένος ο καρπός, τής σής κοιλίας Αγνή.

## Ωδή η' Ο Ειρμός

«Εκ φλογός τοίς, Οσίοις δρόσον επήγασας, καί Δικαίου θυσίαν ϋδατι έφλεξας' άπαντα γάρ δράς Χριστέ, μόνω τώ βούλεσθαι, σε υπερυψούμεν, εις πάντας τούς αί ώνας».

Λογικήν ως θυσίαν πάντα τόν βίον σου, εις οσμήν ευωδίας Πάτερ προσήγαγες, τώ επί Σταυρού, κρεμασθέντι Χριστώ τώ Θεώ, όν υπερυψούμεν, εις πάντας τούς αιώνας.

Πλεονάζεις τόν πλούτον καί μετά θάνατον, τούς εμψύχους σου λόγους, ώσπερ πολύτιμον, πάσι τοίς πιστοίς, κληροδοσίαν λιπών, τοίς υπερυψούσι, Χριστόν εις τούς αιώνας.

Ωραιώθης Παμμάκαρ κάλλει τών λόγων σου, τού Αγίου γάρ ώφθης Πνεύματος κάλαμος, γράφων ευσεβώς, τούτου γνώσιν τήν ένθεον, τοίς υπερυψούσι, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Πρός τήν σήν καταφεύγω σκέπην Πανάμωμε, καί προστάτιν ζωής μου τανύν προβάλλομαι, σέ τήν υπέρ νούν, Θεόν Λόγον κυήσασαν, όν υπερυψούμεν, εις πάντας τούς αιώνας.

## Ωδή θ' Ο Ειρμός

«Θεόν ανθρώποις ιδείν αδύνατον, όν ου τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ Πάναγνε ωράθη βροτοίς, Λόγος σεσαρκωμένος, όν μεγαλύνοντες, σύν ταίς ουρανίαις στρατιαίς σε μακαρίζομεν».

Ακτίς καθάπερ φωτός ενήστραψε, σού τή ψυχή τής χάριτος ό λόγος πανόλβιε, διά σού δέ πάσα η γή πεπλήρωται, τούτου τής λαμπηδόνος, ής οι μετέχοντες, τόν τής σής σοφίας θησαυρόν, Πάτερ θαυμάζομεν.

Τρισί προσώποις μονάδα φύσεως, τοίς πατρικοίς επόμενος θεόφρον διδάγμασι, θεοφρόνως προσκυνείν εδίδαξας, σέβειν θεολογούντας, άκτιστον άναρχον, πάσι τοίς πιστοίς τόν φωτισμόν αναπηγάζουσαν.

Ευρών τών πόνων τών σών τά έπαθλα, εν ουρανοίς ζωής ατελευτήτου

λαβόμενος, τοίς υμνούσι πάνσοφε τήν μνήμην σου, αίτησαι σωτηρίαν, μάκαρ Ισίδωρε, θρόνω τού Σωτήρος μετ' Αγγέλων παριστάμενος.

Θεοτοκίον

Ρευστήν ό Λόγος Θεού ό άρρευστος, μορφήν λαβων ανθρώπους αφθαρσίαν ενέδυσεν, ευδοκία πατρική σκηνώσας εν σοί, τή κεχαριτωμένη, όθεν Πανάχραντε, σύν ταίς ουρανίαις, Στρατιαίς, σέ μεγαλύνομεν.

Εξαποστειλάριον τού Αγίου

Γυναίκες ακουτίσθητε

Ιδρώσι τής ασκήσεως, παθών τήν φλόγα έσβεσας, καί απαθείας πρός ύψος, αναδραμων θεοφόρε, τώ τού Χριστού νύν βήματι, παρέστης αγαλλόμενος, υπέρ ημών δεόμενος, Ισίδωρε τών τελούντων, τήν παναγίαν σου μνήμην.

Τής Εορτής, όμοιον

Εκ σού Θεογεννήτρια, ο Κτίστης ουρανού καί γής, τεχθείς αφράστως ως οίδεν, εν τώ ναώ νύν ως βρέφος, εισήχθη επωλένιος, όν Συμεών δεξάμενος, Θεός υπάρχεις Δέσποτα, Σωτήρ καί ρύστης εβόα, βροτών τού γένους Χριστέ μου.

Εις τόν Στίχον, τών Αίνων, Στιχηρά Προσόμοια τής Εορτής.

Ήχος β'  Οίκος τού Εφραθά

Ρύπου δίχα Χριστός, γεννάται εκ Παρθένου, ως εκ Πατρός αρρεύστως, Υιός πρό Εωσφόρου, ό τόν, Αδάμ λυτρούμενος.

Στίχ. Νύν απολύεις τόν δούλόν σου Δέσποτα, κατά τό ρήμά σου εν ειρήνη Κύριε, ότι είδον οι οφθαλμοί μου, τό σωτληριόν σου,

Πύλαι τών ουρανών, ανοίχθητε, Χριστός γάρ, εν τώ ναώ ως βρέφος, υπό Μητρός Παρθένου, Θεώ Μητρί προσάγεται.

Στίχ. Φώς εις αποκάλυψιν εθνών, καί δόξαν λαού σου Ισραήλ.

Μέγα καί φοβερόν, Μυστήριον καί ξένον! ο πάντα περιέπων, καί βρέφη διαπλάττων, ως βρέφος αγκαλίζεται.

Δόξα... Καί νύν... Όμοιον

Φέρουσα η Αγνή, καί άχραντος Παρθένος, τόν Πλάστην καί Δεσπότην, ως βρέφος εν αγκάλαις, εν τώ ναώ εισέρχεται.

Η λοιπή, Ακολουθία τού Όρθρου ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Ε' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής Αγίας Μάρτυρος Αγάθης.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ' καί τής Αγίας γ'.

Προσόμοια τής Εορτής

Ήχος δ'  Έδωκας σημείωσιν

Νόμον τόν εν γράμματι, αποπληρών ο φιλάνθρωπος, τώ ναω νύν προσάγεται, καί τούτον εισδέχεται, Συμεών ο Πρέσβυς, γηραιαίς αγκάλαις. Νύν απολύεις με βοών, πρός τήν εκείθεν μακαριότητα, κατείδον γάρ σε σήμερον, σάρκα θνητήν περικείμενον, τής ζωής κυριεύοντα, καί θανάτου δεσπόζοντα.

Φώς εις αποκάλυψιν, εθνών επέφανας Κύριε, επί κούφης καθήμενος, νεφέλης ο ήλιος, τής δικαιοσύνης, νόμου τό σκιώδες, αποπληρών καί τήν αρχήν, καθυποφαίνων τής νέας Χάριτος, διό σε θεασάμενος, ο Συμεών ανεκραύγαζεν. Εκ φθοράς με απόλυσον, ότι είδόν σε Δέσποτα.

Κόλπων τού Γεννήτορος, μή χωρισθείς τή θεότητι, σαρκωθείς ως ευδόκησας αγκάλαις κρατούμενος, τής Αειπαρθένου, χερσίν επεδόθης, τού θεοδόχου Συμεών, ο τή χειρί σου κρατών τά σύμπαντα, διό, Νύν απολύεις με, περιχαρώς ανεκραύγαζεν, αγαθέ καί φιλάνθρωπε, ότι είδόν σε σήμερον.

Προσόμοια τής Αγίας, όμοια

Άφθορον ετήρησας, σώμα Χριστώ τώ Νυμφίω σου, παρθενίας εν κάλλεσιν, Αγάθη Θεόνυμφε, καθωραϊσμένη, καί λελαμπρυσμένη, μαρτυρικαίς μαρμαρυγαίς, καί πρός νυμφώνα θείον εχώρησας, διό σου τήν παγκόσμιον, επιτελούμεν πανήγυριν, τόν Σωτήρα δοξάζοντες, τόν αεί σε δοξάσαντα.

Μαστού τήν αφαίρεσιν, καί τού πυρός τήν κατάφλεξιν, καί ξεσμούς τούς τού σώματος, υπήνεγκας, Ένδοξε, τάς αιωνιζούσας, όμμασι καρδίας, αποσκοπούσα αμοιβάς, καί τήν εκείθεν μακαριότητα, καί στέφος τό αμάραντον, ό σοι Χριστός νύν δεδώρηται, δι' αυτόν παναοίδιμε, αθλησάση λαμπρότατα.

Όρμημα ακάθεκτον, πυρός αιτναίου ανέστειλας, σαίς ευχαίς Αγαθώνυμε, καί πόλιν διέσωσας, τό σεπτόν σου Μάρτυς, λείψανον τιμώσαν, εξ ού τρυφά τούς ποταμούς, τών ιαμάτων εν θείω Πνεύματι, εν ταυτη γάρ αθλήσασα, τόν δυσμενή εταπείνωσας, καί τής νίκης τόν στέφανον, εκομίσω πανεύφημε.

Δόξα... Τής Αγίας

Ήχος πλ. δ'  Συκεώτου

Παράδοξον θαύμα γέγονεν, εν τή αθλήσει τής πανενδόξου Αγάθης, καί Μάρτυρος Χριστού τού Θεού, εφάμιλλον τώ Μωϋσεί, εκείνος γάρ, τόν λαόν νομοθετών εν τώ όρει, τάς εγγραφείσας εν πλαξί θεοχαράκτους Γραφάς

εδέξατο, ενταύθα δέ ό Άγγελος, ουρανόθεν τώ τάφω πλάκα επεκόμισεν εγγεγραμμένην. Νούς όσιος, αυτοπροαίρετος, τιμή εκ Θεού, καί πατρίδος λύτρωσις.

Καί νύν... Τής Εορτής, ό αυτός

Ο τοίς Χερουβίμ εποχούμενος, καί υμνούμενος υπό τών Σεραφίμ, σήμερον τώ θείω Ιερώ, κατά νόμον προσφερόμενος, Πρεσβυτικαίς ενθρονίζεται αγκάλαις, και υπό Ιωσήφ εισδέχεται δώρα θεοπρεπώς, ως ζεύγος τρυγόνων τήν αμίαντον Εκκλησίαν, καί τών Εθνών τόν νεόλεκτον λαόν, περιστερών δέ δύο νεοσσούς, ως αρχηγός Παλαιάς τε καί καινής. Τού πρός αυτόν χρησμού δέ Συμεών, τό πέρας δεξάμενος, ευλογών τήν Παρθένον, Θεοτόκον Μαρίαν, τά τού πάθους σύμβολα, τού εξ αυτής προηγόρευσε, καί παρ' αυτού εξαιτείται τήν απόλυσιν βοών. Νύν απολύεις με Δέσποτα, καθώς προεπηγγείλω μοι, ότι είδόν σε τό προαιώνιον φώς, καί Σωτήρα Κύριον τού Χριστωνύμου λαού.

Εν τή Τεσσαρακοστή

Δόξα... Καί νύν... Θεοτοκίον

Ήχος δ' Έδωκας σημείωσιν

Τό χαύνον καί έκλυτον, Παρθενομήτορ πανάμωμε, τής ψυχής μου μετάβαλε, εις ρώσιν καί δύναμιν, νύν τού θείου φόβου, ποιείν τε καί πράττειν, τά δικαιώματα Χριστού, όπως εκφύγω τό πύρ τό άσβεστον καί κλήρον τόν ουράνιον, καί τήν ζωήν τήν απέραντον, διά σού εύρω Δέσποινα, ευφραινόμενος πάντοτε.

Η Σταυροθεοτοκίον

Σταυρούμενον βλέπουσα, καί τήν πλευράν ορυττόμενον, υπό λόγχης η Πάναγνος, Χριστόν τόν φιλάνθρωπον, έκλαιε βοώσα, Τί τούτο Υιέ μου; τί σοι αχάριστος λαός, αποτιννύει ανθ' ών πεποίηκας, καλών αυτοίς καί σπεύδεις με, ατεκνωθήναι παμφίλτατε; καταπλήττομαι εύσπλαγχνε, σήν εκούσιον Σταύρωσιν.

Εις τόν Στίχον, Στιχηρά τής Εορτής.

Ήχος α' Πανεύφημοι Μάρτυρες

Ως όντως υπέρλαμπρος Θεού, κιβωτός η άχραντος, τό ιλαστήριον σήμερον, Χριστόν προσφέρουσα, εν ναώ εισάγει, καί σεπτώς προστίθησιν, αγκάλαις Συμεών τού θεόφρονος, διό ηγίασται, τών αγίων νύν τά άγια, καί τώ μόνω Αγίω συγχαίρουσι.

Στίχ. Νύν απολύεις τόν δούλόν σου Δέσποτα, κατά τό ρήμά σου εν ειρήνη Κύριε, ότι είδον οι οφθαλμοί μου, τό σωτληριόν σου,

Δεδόξασται σήμερον Χριστόν, Συμεών ως άνθρακα, θεοπρεπώς εισδεξάμενος, καί περιπτύσσεται, καθαρθείς τά χείλη, ανθομολογείται δέ, καί χαίρων εξαιτεί τήν απόλυσιν. Αυτόν ούν άπαντες, ευσεβώς νύν μακαρίζοντες, ασιγήτοις εν ύμνοις τιμήσωμεν.

Στίχ. Φώς εις αποκάλυψιν εθνών, καί δόξαν λαού σου Ισραήλ.

Η πύλη η έμψυχος Αγνή, η Παρθένος σήμερον, τόν βασιλέα καί Κύριον, όν ένδον έσχηκεν, εν ναώ εισάγει, διά πύλης βαίνουσα τής πάλαι κεκλεισμένης, ως γέγραπται, όθεν χορεύοντες, πρό προσώπου ταύτης άπαντες, θείοις ύμνοις αυτήν ευφημήσωμεν.

Δόξα... Καί νύν... Ήχος δ'

Σήμερον η ιερά Μήτηρ, καί τού Ιερού υψηλοτέρα, επί τό Ιερόν παραγέγονεν, εμφανίζουσα τώ κόσμω τόν τού κόσμου Ποιητήν, καί τού νόμου πάροχον, όν καί αγκάλαις υποδεξάμενος ο πρεσβύτης Συμεών, γεραίρων εκραύγαζε. Νύν απολύεις τόν δούλόν σου, ότι είδόν σε τόν Σωτήρα τών ψυχών ημών.

Απολυτίκιον  Ήχος α'

Χαίρε κεχαριτωμένη Θεοτόκε Παρθένε, εκ σού γάρ ανέτειλεν ο Ήλιος τής δικαιοσύνης, Χριστός ο Θεός ημών, φωτίζων τούς εν σκότει. Ευφραίνου καί σύ Πρεσβύτα δίκαιε, δεξάμενος εν αγκάλαις τόν ελευθερωτήν τών ψυχών ημών, χαριζόμενος ημίν καί τήν Ανάστασιν.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα  Ήχος α'
Αυτόμελον

Χορός Αγγελικός, εκπληττέσθω τό θαύμα, βροτοί δέ ταίς φωναίς, ανακράξωμεν ύμνον, ορώντες τήν άφατον, τού Θεού συγκατάβασιν, όν γάρ τρέμουσι, τών ουρανών αι Δυνάμεις, γηραλέαι νύν, εναγκαλίζονται χείρες, τόν μόνον φιλάνθρωπον.

Δόξα... Καί νύν... τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα  Ήχος πλ. δ'
Ανέστης εκ νεκρών

Ετέχθης επί γής, ο προάναρχος Λόγος, προσήχθης τώ ναώ, ακατάληπτος μένων, Χαίρων δέ ο Πρεσβύτης, εν ταίς αγκάλαις σε υπεδέξατο, κράζων. Νύν απολύεις, όν επεσκέψω κατά τό ρήμά σου, ο ευδοκήσας σώσαι ως Θεός, τό γένος τών ανθρώπων.

Δόξα... Καί νύν... τό αυτό

Είτα λέγονται οι Κανόνες, ο τής Εορτής, καί τής Αγίας.

Ο Κανών τής Αγίας, ού η ακροστιχίς.

Τήν θείαν Αγάθην αγαθοίς μέλψωμεν εν ύμνοις. Θεοφάνους.

Ωδή α'  Ήχος β'  Ο Ειρμός

«Δεύτε λαοί, άσωμεν άσμα Χριστώ τώ Θεώ, τώ διελόντι θάλασσαν, καί οδηγήσαντι, τόν λαόν όν ανήκε, δουλείας Αιγυπτίων, ότι δεδόξασται».

Τών αγαθών, πρώτην αιτίαν ποθήσασα, αγαθωνύμου κλήσεως, Μάρτυς ηξίωσαι, τής αφράστου προνοίας, τών τρόπων σου προγνούσης τήν αγαθότητα.

Ήρθης Αγνή, πρός πολιτείαν υπέρλαμπρον, τού τής σαρκός φρονήματος καταφρονήσασα, καί τώ ποθεινοτάτω, Νυμφίω σου συντόνως ενατενίζουσα.

Νύμφη Θεού, θεία Αγάθη κεκόσμησαι, καί παρθενίας κάλλεσι, καί θείοις αίμασι, τού σεπτού μαρτυρίου, διπλοίς στεφανουμένη στέμμασιν ένδοξε.

Θεοτοκίον

Θεοπρεπές, σκήνωμα Αγνή σύ πέφηνας, τών ουρανών πλατύτερον καί καθαρώτερον, Θεοτόκε Παρθένε, καί νύν επί σοί χαίρει ο τών Παρθένων χορός.

Ωδή γ'  Ο Ειρμός

«Στερέωσον ημάς εν σοί Κύριε, ο ξύλω νεκρώσας τήν αμαρτίαν, καί τόν φόβον σου εμφύτευσον, εις τάς καρδίας ημών τών υμνούντων σε».

Εν τή Τεσσαρακοστή

Δόξα... Καί νύν... Θεοτοκίον

Ήχος γ'  Θείας πίστεως

Θεία γέγονας, σκηνή τού Λόγου, μόνη πάναγνε Παρθενομήτορ, τή καθαρότητι Αγγέλους υπερέχουσα, τόν υπέρ πάντας εμέ γούν γενόμενον, ρερυπωμένον σαρκός πλημμελήμασιν, αποκάθαρον, πρεσβειών σου ενθέοις νάμασι, παρέχουσα Σεμνή τό μέγα έλεος.

Η Σταυροθεοτοκίον

Η αμίαντος Αμνάς τού Λόγου, η ακήρατος Παρθενομήτωρ, εν τώ Σταυρώ θεασαμένη κρεμάμενον, τόν εξ αυτής ανωδίνως βλαστήσαντα, μητροπρεπώς θρηνωδούσα εκραύγαζεν, Οίμοι τέκνον μου! πώς πάσχεις; θέλων ρυσασθαι, παθών τής ατιμίας τόν άνθρωπον.

Αγάθη τό φαιδρόν καί τό τερπνότατον, τών θείων Μαρτύρων άνθος, καί κλέος, τής ψυχής μου σύ τήν κάκωσιν, θεραπεύουσα Μάρτυς κατακάλλυνον.

Γονίμοις αρεταίς αυτήν εφαίδρυνας, Αγάθη καί Μάρτυς ανηγορεύθης, τών προσκαίρων αλογήσασα, καί Θεού βασιλείαν αγαπήσασα.

Απάντων τών τερπνών Χριστόν προέκρινας, Αγάθη θελχθείσα τώ θείω

πόθω, καί τυράννων τά φρυαγματα, ευφθαρσώς καί ανδρείως κατεπάτησας.

Θεοτοκίον

Θεόνυμφε σεμνή Θεόν όν έτεκες, δυσώπει ρυσθήναι τούς σέ υμνούντας, πειρασμών καί περιστάσεων, καί παθών καί κινδύνων παμμακάριστε.

Κάθισμα τής Αγίας Ήχος γ'

Θείας πίστεως

Κλέος πίστεως καί ευσεβείας, ο σιότητος καί παρθενίας, προθυμία κοσμουμένη αθλήσεως, ανηγορεύθη, Αγάθη Νούς όσιος, αυτοπροαίρετος, όντως τιμή εις Θεόν, πατρίδος λύτρωσις, Χριστώ νυμφικώς πρεσβεύουσα, δωρήσασθαι ημίν τό μέγα έλεος.

Δόξα... Καί νύν... Τής Εορτής

Τήν ωραιότητα

Εκ τής Παρθένου σε, σωματωθέντα Χριστέ, νύν υπεδέξατο, ο Ιερός Συμεών, Νύν απολύεις εκβοών, τόν δούλόν σου ώ Δέσποτα. Άννα δέ η άμεμπτος, η προθήτις καί ένδοξος, τήν ανθομολόγησιν, καί τόν ύμνον προσήγαγε. Ημείς δέ Ζωοδότα βοώμέν σοι. Δόξα τώ ούτως ευδοκήσαντι.

Ωδή δ'  Ο Ειρμός

«Υμνώ σε, ακοή γάρ Κύριε, εισακήκοα καί εξέστην, έως εμού ήκεις γάρ, εμέ ζητών τόν πλανηθέντα. Διό τήν πολλήν σου συγκατάβασιν, τήν εις εμέ δοξάζω Πολυέλεε».

Η σχύνθη, τού δολίου δράκοντος, η απόνοια καί ηλέγχθη, παρθένοι γάρ τούτου νύν, τό φρύαγμα καταπατούσι, Χριστού εκ Παρθένου ανατείλαντος, επί τής γής καί πάντας καταυγάσαντος.

Νομίμως, σωφροσύνην άσπιλον, εξασκήσασα Αθλοφόρε, τά πνεύματα χαίρουσα, κατέλαβες τής πονηρίας, Χριστού οπλισαμένη τή χάριτι, καί τόν Σταυρόν επ' ώμων τούτου άρασα.

Γενού μοι Προστασία πάνσοφε, τών δεινών με εξαιρουμένη, καί πειρασμών ζάλης τε, καί θλίψεως καί δυναστείας εχθρού, λυτρωθείς όπως υμνήσω σε, αγαθήν προστάτιν Αγαθώνυμε.

Θεοτοκίον

Απείρως τών Αγγέλων Πάναγνε, τάς λαμπρότητας υπερέβης, τόν νοητόν Ήλιον, κυήσασα ανερμηνεύτως, Χριστόν τόν ακτίσι τής θεότητος, τάς τώνπιστών εννοίας καταυγάσαντα.

Ωδή ε'  Ο Ειρμός

«Ο τού φωτός χορηγός, καί τών αιώνων ποιητής Κύριε, εν τώ φωτί, τών σών προσταγμάτων οδήγησον ημάς, εκτός σου γάρ άλλον Θεόν ου γινώσκομεν».

Θείοις προστάγμασι, ρυθμιζομένη τού Χριστού ένδοξε, συμβολικώς, σαρκός προσπαθείας ελύθης τών δεσμών, Αγάθη ελαία φανείσα κατάκαρπος.

Όλω τώ πόθω Χριστού, τάς φανοτάτας αστραπάς βλέπουσα, τάς επί γής, χαμαί συρομένας παρείδες ηδονάς, εκείνου καί μόνου ποθούσα τερπνότητα.

Ίνα τήν άφραστον, αξιωθής διαγωγήν ένδοξε, τών εκλεκτών, ιδείν τάς βασάνους υπέμεινας στερρώς, αγαλλιωμένη Αγάθη πανεύφημε.

Θεοτοκίον

Σοί τή τεκούση Χριστόν, τόν τού παντός Δημιουργόν κράζομεν. Χαίρε Αγνή, χαίρε η τό φώς ανατείλασα ημίν, χαίρε η χωρήσασα Θεόν τόν αχώρητον.

Ωδή ς' Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον. Εκ φθοράς ο Θεός με ανάγαγε».

Ματαιόφρων υπάρχων ο τύραννος, σέ τήν καλλιπάρθενον συλήσαι ήλπισεν, αλλ' αναιδώς ελήλεγκται, προσβαλών τώ στερρώ σου φρονήματι.

Εξεχύθη σου χάρις εν χείλεσι, Μάρτυς αγαθώνυμε, τρανώς γάρ ήλεγξας τόν προφανώς αναίσχυντον, θεοδίδακτον λόγον πλουτήσασα.

Λίθος ώφθης πανέντιμος ένδοξε, νούν αυτοπροαίρετον όσιον έχουσα, καί τής πατρίδος λύτρωσις, ασφαλής γενομένη Αγάθη σεμνή.

Θεοτοκίον

Ψαλμικώς ευφημούντες βοώμέν σοι. Χαίρε τό πιότατον όρος Χριστού τού Θεού, ό κατοικείν ευδόκησε, δι' ημών σωτηρίαν Θεόνυμφε.

Κοντάκιον Ήχος δ'

Επεφάνης σήμερον

Στολιζέσθω σήμερον, η Εκκλησία, πορφυρίδα ένδοξον, καταβαφείσαν εξ αγνών, λύθρων Αγάθης τής Μάρτυρος, Χαίρε, βοώσα, Κατάνης τό καύχημα.

Συναξάριον

Τή Ε τού αυτού μηνός, Μνήμη τής Αγίας Μάρτυρος Αγάθης.

Στίχοι

- Χαίρει, σκότει δοθείσα φρουράς Αγάθη,
- Μισούσα καί φώς, ει πλάνων όψεις βλέπει.
- Πέμπτη εν φυλακή Αγάθη θάνεν είδος αρίστη.

Τή αυτή ημέρα, Μνήμη τού οσίου Πατρός ημών Θεοδοσίου τού εν τώ Σκοπέλω.

Στίχοι

- Στενήν οδεύσας Θεοδόσιος τρίβον,
- Τήν ευρύχωρον τής Εδέμ Πατεί τρίβον.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Πολυεύκτου, Πατριάρχου Κωνσταντινουπόλεως.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός ελέησον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Εικόνος χρυσής, εν πεδίω Δεηρά λατρευομένης, οι τρείς σου Παίδες κατεφρόνησαν, αθεωτάτου προσταγματος, μέσον δέ πυρός εμβληθέντες, δροσιζόμενοι έψαλλον. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών».

Ως λίαν φαιδρώς φθεγγομένη καί σαφώς τυράννους έπληξας, λόγω σοφίας καί τής χάριτος, υπομονή τε κολάσεων, άνθρακας πυρός γάρ απόνως, καρτερούσα εκραύγαζες. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Μανία δεινή, συσχεθείς ό δυσμενής εξηπορείτο δεινώς, τήν σήν θεώμενος ανανέωσιν, καί τού μαστού σου τήν βλάστησιν, χαίρουσα γάρ Μάρτυς εβόας, τώ σώ Νυμφίω κραυγάζουσα. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Επέστη φαιδρώς, τού Χριστού ο μαθητής σοι φρουρουμένη, τάς σάς ιώμενος δεινάς μάστιγας, άς περ υπέστης αήττητε, Μάρτυς τού Σωτήρος παρθένε, αγαλλομένη καί λέγουσα. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Νεκρούται Αδάμ, παραβάς τήν εντολήν τού Παντοκράτορος, σύ δέ τεκούσα τήν αιώνιον, ζωήν Παρθένε Πανάμωμε, τούτον ελυτρώσω θανάτου, ευχαρίστως σοι κράζοντα. Ευλογημένη, η Θεόν σαρκί κυήσασα.

Ωδή η'  Ο Ειρμός

«Τόν εν καμίνω τού πυρός, τών Εβραίων τοίς Παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον μεταβαλόντα Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Εν ευφροσύνη καί χαρά, δι' αιώνος κατοικείν αξιωθείσα, τή αφράστω σου δόξη, καταυγασθήναι τούς σέ, τιμώντας Αγάθη δυσώπησον, καί τής ακηράτου ζωής κατατρυφήσαι.

Νώ καί καρδία καί ψυχή, αγαπήσασα Χριστού τήν υπέρ λόγον, πολυέραστον θέαν, ανεπτερώθης αυτώ, βοώσα. Δραμούμαι οπίσω σου, καί κατασκηνώσω σύν σοί εις τούς αιώνας.

Υπερφυέσι κροσσωτοίς, καί ωραία τή στολή ηγλαϊσμένη, βασιλέως θυγάτηρ, εν τή τιμή τού Χριστού, παρέστης Αγάθη κραυγάζουσα. Σέ υπερυψούμεν Χριστέ εις τούς αιώνας.

Θεοτοκίον

Μύρον γενόμενον ημίν, Θεοτόκε τόν Χριστόν κυοφορούσα, ευωδίασας κόσμον, εν θεοπνεύστοις οσμαίς, διό σοι Παρθένε κραυγάζομεν, Χαίρε

μυροθήκη τού πυριπνόου μύρου.

Ωδή θ'  Ο Ειρμός

«Τόν εκ Θεού Θεόν Λόγον, τόν αρρήτω σοφία, ήκοντα καινουργήσαι τόν Αδάμ, βρώσει φθορά πεπτωκότα δεινώς, εξ Αγίας Παρθένου, αφράστως σαρκωθέντα δι' ημάς, οι πιστοί ομοφρόνως, εν ύμνοις μεγαλύνωμεν».

Νικητικοίς εν στεφάνοις, κοσμηθείσα θεόφρον, Αγάθη δεξιά ζωαρχική, νύν λυτρωθήναι δυσωπησον, τήν πατρίδα σου ζάλης, ως πρίν πυρός ανέστειλας ορμήν, ίνα ύμνοις σε πάντες, απαύστως μεγαλύνωμεν.

Ό θεϊκή προμηθεία, περιέπων τά πάντα, Χριστός νύν αμειβόμενος τήν σήν, Μάρτυς ανδρείαν κατώκισεν, εν σκηναίς ουρανίαις, νύμφην παναμώμητον αυτού, καί συγχαίρειν Αγγέλοις, καί Μάρτυσιν ηξίωσεν.

Ίλεων ώ Αθληφόρε, τόν Κριτήν τών απάντων, Χριστόν μοι παρασκεύασον σεμνή, ταίς ικεσίαις σου πάνσεμνε, καί πταισμάτων τά πλήθη, καθάραί μου, τόν εύσπλαγχνον αεί, δυσωπούσα μή παύση, Μαρτύρων εγκαλλώπισμα.

Θεοτοκίον

Σωματωθείς απορρήτως, εξ Αγνών σου αιμάτων, ως ήλιος επέφανεν ημίν, πάναγνε Μήτηρ ανύμφευτε, πρό αιώνων απάντων, ο τώ Πατρί συνάναρχος Υιός, καί τό σκότος διώξας, εφώτισε τά σύμπαντα.

Εξαποστειλάριον τής Αγίας

Γυναίκες ακουτίσθητε

Αγάθη μεγαλώνυμε, Χριστού νύμφη ακήρατε, κάλλος απόθετον θείον, καί Μάρτυς ηγλαϊσμένη, μνείαν ποιού τών πίστει σε, τιμώντων καλλιπάρθενε, καί τήν αγίαν σου μνήμην, χαρμονικώς εκτελούντων, πταισμάτων λύσιν ευρέσθαι.

Τής Εορτής, όμοιον

Πληρών σου τήν απόρρητον, οικονομίαν Κύριε, εν τώ ναώ προσηνέχθης, υπό Μητρός απειράνδρου, ιδών δέ σε εκραύγαζεν, ο Πρέσβυς. Νύν απόλυσον, τόν δούλόν σου ώ Δέσποτα. Σωτήρ γάρ ήλθες τού κόσμου, τό πατρικόν φώς Χριστέ μου.

Εις τόν Στίχον, τών Αίνων, Στιχηρά Προσόμοια τής Εορτής.

Ήχος β'  Οίκος τού Εφραθά

Φόβω τε καί χαρά, αγκάλαις τόν Δεσπότην, ο Συμεων κατέχων, ζωής ητείτο λύσιν, υμνών τήν Θεομήτορα.

Στίχ. Νύν απολύεις τόν δούλόν σου Δέσποτα, κατά τό ρήμά σου εν ειρήνη Κύριε, ότι είδον οι οφθαλμοί μου, τό σωτληριόν σου,

Νύν με πρός τήν ζωήν, απόλυσον τήν όντως, ο Συμεων εβόα, Σωτήρ μου,

είδον γάρ σε, τό φώς τού κόσμου Δέσποτα.

Στίχ. Φώς εις αποκάλυψιν εθνών, καί δόξαν λαού σου Ισραήλ.

Άννα προφητικώς, η σώφρων καί Οσία, νύν ανθωμολογείτο, τώ εκ Παρθένου φύντι βροτών εις απολύτρωσιν.

Δόξα... Καί νύν... Όμοιον

Χαίρε η τήν χαράν, τού κόσμου δεξαμένη, Χριστόν τόν ζωοδότην, καί παύσασα τήν λύπην, Παρθένε τής Προμήτορος.

Καί η λοιπή Ακολουθία τού Όρθρου, κατά τήν τάξιν, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Βουκόλου, Επισκόπου Σμύρνης.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν τρία Προσόμοια Στιχηρά τής Εορτής, καί τρία τού Οσίου.

Στιχηρά τής Εορτής

Ήχος α'
Τών ουρανίων ταγμάτων

Ο Ποιητής τών απάντων, καί Λυτρωτής ημών, υπό Μητρός Παρθένου, τώ ναώ προσηνέχθη, όθεν ο Πρεσβύτης τούτον λαβών, μετά χαράς ανεκραύγαζε. Νύν απολύεις τόν δούλόν σου Αγαθέ, εν ειρήνη ώς ηυδόκησας.

Ο Συμεών εν αγκαλαις, εκ τής Παρθένου λαβών, τόν πρό πάντων αιώνων, γεννηθέντα Σωτήρα, Είδον, ανεβόα, τόν φωτισμόν, τής σής δόξης τά πέρατα, νύν απολύεις τόν δούλόν σου Αγαθέ, εν ειρήνη, ότι είδόν σε.

Τόν επ' εσχάτων τεχθέντα, εις σωτηρίαν βροτών, ο Συμεών βαστάσας, εν αγκάλαις Σωτήρα, χαίρων ανεβόα. Είδον τό φώς, τών Εθνών καί τήν δόξαν τού Ισραήλ, νύν απολύεις, ως είρηκας ως Θεός, εκ τών τήδε τή κελεύσει σου.

Στιχηρά τού Αγίου

Ήχος πλ. β'  Τριήμερος ανέστης

Φωτί τών θεουργών αρετών, αστράπτων ιερώτατε, φώς ετέθης, εν λυχνία μυστικώς, τής θείας Εκκλησίας, λαμπρύνων ταύτην Πάτερ, ταίς Ιεραίς διδασκαλίαις σου.

Τό Πνεύμά σε τό Άγιον, Βουκόλε αγιώτατε αγιάσαν, διά σού αγιασμόν, τοίς

πίστει προσιούσι, παρέχει θεοφόρε, καί φωτισμόν καί απολύτρωσιν.

Τήν άκραν αγαθότητα, κηρύττων τού Θεού ημών, κακωθέντας, αγαθύνεις τούς λαούς, σοφέ αγαθοδότως, προσάγων τώ Σωτήρι, ιερουργός ως Ιερώτατος.

Δόξα... Καί νύν...

Τής Εορτής Ήχος πλ. α'

Ερευνάτε τάς Γραφάς, καθώς είπεν εν Ευαγγελίοις Χριστός ο Θεός ημών, εν αυταίς γάρ ευρισκόμενον αυτόν, τικτόμενον καί σπαργανούμενον, τιθηνούμενον καί γαλακτοτροφούμενον, περιτομήν δεχόμενον, καί υπό Συμεών βασταχθέντα, ού δοκήσει ουδέ φαντασία, αλλ' αληθεία τώ κόσμω φανέντα, πρός όν βοήσωμεν, ο πρό αιώνων Θεός δόξα σοι.

Εν τή Τεσσαρακοστή

Δόξα... Καί νύν... Θεοτοκίον

Ήχος πλ. β' Τριήμερος ανέστης

Μεγίστων δωρημάτων ημίν, ο τόκος ο αλόχευτος, τής Παρθένου, πάσι γέγονε σαφώς, Θεός γάρ τήν φθαρείσαν, καινίζει πάλιν φύσιν, καί αναπλάττει τό ανθρώπινον.

Η Σταυροθεοτοκίον

Η πάναγνος ώς είδέ σε, επί Σταυρού κρεμάμενον, ανεβόα, θρηνωδούσα μητρικώς, Υιέ μου καί Θεέ μου, γλυκύτατόν μου τέκνον, πώς φέρεις πάθος επονείδιστον.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια τής Εορτής.

Ήχος β' Οίκος τού Εφραθά

Φέρουσα η Αγνή, καί άχραντος Παρθένος, τόν Πλάστην καί Δεσπότην, ως βρέφος εν αγκάλαις, εν τώ ναώ εισέρχεται.

Στίχ. Νύν απολύεις τόν δούλόν σου Δέσποτα, κατά τό ρήμά σου εν ειρήνη Κύριε, ότι είδον οι οφθαλμοί μου, τό σωτληριόν σου,

Δέχου ώ Συμεών, τόν Κύριον τής δόξης, καθως εχρηματίσθης, εκ Πνεύματος Αγίου. Ιδού γάρ παραγέγονε.

Στίχ. Φώς εις αποκάλυψιν εθνών, καί δόξαν λαού σου Ισραήλ.

Νύν είδον αγαθέ, Θεέ οι οφθαλμοί μου, τήν σήν επαγγελίαν, απόλυσόν με τάχος, τόν δούλόν σου φιλάνθρωπε.

Δόξα... Καί νύν... Όμοιον

Νυν με πρός τήν ζωήν, απόλυσον τήν όντως, ο Συμεών εβόα, Σωτήρ μου, είδον γάρ σε, τό φώς τού κόσμου Δέσποτα.

Απολυτίκιον Ήχος α'

Χαίρε κεχαριτωμένη Θεοτόκε Παρθένε, εκ σού γάρ ανέτειλεν ο Ήλιος τής δικαιοσύνης, Χριστός ο Θεός ημών, φωτίζων τούς εν σκότει. Ευφραίνου καί σύ Πρεσβύτα δίκαιε, δεξάμενος εν αγκάλαις τόν ελευθερωτήν τών ψυχών ημών, χαριζόμενος ημίν καί τήν Ανάστασιν.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος α'
Τού λίθου σφραγισθέντος

Εν τώ ναώ προσηνέχθης, η ζωή τών απάντων, δι' εμέ νηπιάσας υπό νόμον εγένου, ο πάλαι χαράξας ενπλαξί, τόννόμονεντώ Σινά, ίνα πάντας απαλλάξης, εκ τής τού νόμου πάλαι δουλείας. Δόξα τή ευσπλαγχνία σου Σωτήρ, δόξα τή βασιλεία σου, δόξα τή οικονομία σου μόνε φιλάνθρωπε.

Δόξα... Καί νύν... τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος πλ. α'
Τόν συνάναρχον Λόγον

Εν τώ ναώ προσηνέχθης τά ειθισμένα πληρών, ο Ποιητής καί Δεσπότης καί ο τού νόμου δοτήρ, καί αγκάλαις Συμεών, ευδοκία τή σή, βασταχθήναι εν σαρκί, ο τοίς πάσι φοβερός, καί πάσαν κτίσιν συνέχων, ηνέσχου μόνε Οικτίρμον, τό φώς σου πάσιν αποκαλύψας ημίν.

Δόξα... Καί νύν... τό αυτό

Είτα λέγεται ο Κανών τής Εορτής, καί τού Αγίου ο παρών, ού η ακροστιχίς.

Τό Βουκόλου μέγιστον υμνήσω κλέος. Ιωσήφ.

Ωδή α' Ήχος πλ. β' Ο Ειρμός

«Ως εν ηπείρω πεζεύσας ο Ισραήλ, εν αβύσσω ίχνεσι, τόν διώκτην Φαραώ, καθορών ποντούμε νον Θεώ, επινίκιον ωδήν, εβόα άσωμεν».

Ταίς θείκαίς αγλαΐαις καί Ιεραίς, καί φωσφόροις λάμψεσι, λαμπρυνόμενος αεί, τήν εμήν καταύγασον ψυχήν, τήν λαμπράν σου εορτήν, Πάτερ γεραίρουσαν.

Ολολαμπή σε αστέρα ο νοητός, αναδείξας Ήλιος, ταίς λαμπρότησι τών σών, αρετών εφαίδρυνε τήν γήν, Ιεράρχα τού Χριστού, Βουκόλε πάνσοφε.

Βίον αεί ηγνισμένον καί καθαρόν, καί κηλίδων άμικτον, ενδεικνύμενος

Χριστού, Ιερόν κειμήλιον σοφέ, εγνωρίσθης επί γής, Βουκόλε ένδοξε.

Θεοτοκίον

Ο τώ Πατρί συνυπάρχων μονογενής, υπέρ νούν εν μήτρα σου, σαρκωθείς θεοπρεπώς, τους βροτούς εθέωσεν Αγνή, διά πλήθος οικτιρμών ο υπεράγαθος.

Ωδή γ'  Ο Ειρμός

«Ουκ έστιν άγιος ως σύ, Κύριε ο Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου αγαθέ, καί στερεώσας ημάς, εν τή πέτρα τής Ομολογίας σου».

Υιός ημέρας καί φωτός, γεγονώς Ιεράρχα, διά πόνων ενθέων, κατεσκήνωσας σαφώς, εν ταίς λαμπρότησι νύν, τών Αγίων, χάριτι λαμπόμενος.

Κηρύττων μίαν ευσεβώς, τής Τριάδος ουσίαν, τήν πολύθεον πλάνην, εξερρίζωσας εκ γής, ως Ιεράρχης σεπτός, ως τού Λόγου, αληθής διάκονος.

Οδόν υπέδειξας ζωής, πάσι τοίς πλανηθείσι, δυσμενούς επηρεία, καί προσήγαγες αυτούς, οία ποιμήν λογικός, σεσωσμένους, Λόγω αρχιποίμενι.

Θεοτοκίον

Λιμήν γενού μοι καί φρουρός, ταίς δειναίς τρικυμίαις, τών παθών ανενδότως, χειμαζομένω αεί, εν τή θαλάσση Αγνή, τή τού βίου, μόνη αειπάρθενε.

Κάθισμα τού Αγίου

Ήχος δ'  Ο υψωθείς

Ιερωσύνης τώ φωτί διαλάμπων, εφωταγώγησας λαούς Ιεράρχα, τό τών ειδώλων σκότος τε ηφάνισας αίγλη ιαμάτων δέ, τών παθών τήν ομίχλην, λύσας μεταβέβηκας, πρός τό άδυτον φέγγος, υπέρ ημών πρεσβεύων εκτενώς, τών σέ τιμώντων, Βουκόλε Μακάριε.

Δόξα... Καί νύν... Τής Εορτής

Κατεπλάγη Ιωσήφ

Νηπιάζει δι' εμέ, ο παλαιός τών ημερών, καθαρσίων κοινωνεί, ο καθαρώτατος Θεός, ίνα τήν σάρκα πιστώση μου τήν εκ Παρθένου, καί ταύτα Συμεών μυσταγωγούμενος, επέγνω τόν αυτόν Θεόν καί άνθρωπον, καί ως ζωήν ησπάζετο, καί χαίρων πρεσβυτικώς ανεκραύγαζεν. Απόλυσόν με, σύ γάρ Θεός μου, η ζωή τών απάντων.

Εν τή Τεσσαρακοστή

Δόξα... Καί νύν... Θεοτοκίον

Ήχος δ'  Ο υψωθείς εν τώ Σταυρώ

Ού σιωπήσομεν ποτέ Θεοτόκε, τού ευχαρίστως ανυμνείν εκ καρδίας, τά σά ελέη Δέσποινα οι δούλοί σου, κράζοντες καί λέγοντες, Παναγία Παρθένε, πρόφθασον καί λύτρωσαι, εξ εχθρών αοράτων, καί αναγκών καί πάσης απειλής, σύ γάρ υπάρχεις, ημών η αντίληψις.

Η Σταυροθεοτοκίον

Τόν εξ ανάρχου τού Πατρός γεννηθέντα, η επ' εσχάτων σε σαρκί τετοκυία,

επί Σταυρού κρεμάμενον ορώσάσεΧριστέ, Οίμοι! ποθεινότατε, Ιησού ανεβόα, πώς ο δοξαζόμενος, ως Θεός υπ' Αγγέλων, υπό ανόμων νύν βροτών Υιέ, θέλων σταυρούσαι; Υμνώ σε μακρόθυμε.

## Ωδή δ'  Ο Ειρμός

«Χριστός μου δύναμις, Θεός καί Κύριος, η σεπτή Εκκλησία θεοπρεπώς, μέλπει ανακράζουσα, εκ διανοίας καθαράς, εν Κυρίω εορτάζουσα».

Ο προγινώσκων σου, θεομακάριστε, τής ψυχής τό ωραίον καί τού νοός, τήν καθαρότητα, Ιεροκήρυκα σοφόν, ιερώς σε προχειρίζεται.

Υπό τού Πνεύματος, λαμπαδουχούμενος, τούς εν σκότει τής πλάνης φωταγωγείς, καί διά Βαπτίσματος, υιούς ημέρας εκτελείς, Ιεράρχα Παναοίδιμε.

Μυρίων έσωσας, θηρών τό ποίμνιον, τών ταράττειν ζητούντων καί αφιστάν, τής αμώμου πίστεως, Αρχιερέων καλλονή, καί Ποιμένων ακροθίνιον.

Ευρών σε χάριτι, περιαστράπτοντα, ο κλεινός θεολόγος χειροθετεί, θείαις εισηγήσεσι, καί Ιερέα εκτελεί, Ιερόν Βουκόλε πάνσοφε.

### Θεοτοκίον

Γνωστώς εν βάτω σε, Μωσής εώρακεν, Ιερώς τυπουμένην τήν τού πυρός, μέλλουσαν λοχεύτριαν, αναφανήναι μυστικώς, Θεοτόκε αειπάρθενε.

## Ωδή ε'  Ο Ειρμός

«Τώ θείω φέγγει σου αγαθέ, τάς τών ορθριζόντων σοι ψυχάς, πόθω καταύγασον δέομαι, σέ ειδέναι Λόγε Θεού, τόν όντως Θεόν, εκ ζόφου τών πταισμάτων ανακαλούμενον».

Ιερωσύνης τό ιερόν, ένδυμα φορέσας Ιερώς, τούς ανιέρους εφώτισας, σέβειν Ιεράρχα Μονάδα άκτιστον, τρισίν εν χαρακτήρσι, Βουκόλε πάνσοφε.

Στόματος λύκου τού νοητού, ήρπασας λαούς ταίς διδαχαίς, τού θεηγόρου σου οτόματος, καί αιρετιζόντων Πάτερ απύλωτα, ταίς σαίς θεολογίαις, έφραξας στόματα.

Ταίς φωτοβόλοις καταυγασθείς Όσιε τού Πνεύματος αυγαίς, φωτοειδής όλος γέγονας, λάμπων ταίς τώ σκότει ενυπαρχούσαις ψυχαίς, Βουκόλε, Ιεράρχα θεομακάριστε.

Ο βδελυρός ήττηται ταίς σαίς, Ιερολογίαις Ιεραίς, Μαρκίων καί εξωστράκισται, πάσης ατοπίας εξερευγόμενος, βόρβορον ο λυσσώδης, Βουκόλε ένδοξε.

### Θεοτοκίον

Νόμω τής φύσεως Ιησούς, ο πανυπερούσιος Θεός, καινοτομεί παναμώμητε, σού εκ τής νηδύος αποτικτόμενος, ο μόνος ουσιώσας τό πάν βουλήματι.

## Ωδή ς'  Ο Ειρμός

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι Ανάγαγε εκ φθοράς, τήν ζωήν μου Πολυέλεε».

Υψούσαν ταπείνωσιν, καθαρότητα νοός, αγάπην ανυπόκριτον, πίστιν ελπίδα έχων ειλικρινή, Βουκόλος ο ένδοξος, τής Τριάδος εδείχθη καταγώγιον.

Μεγάλως κοσμήσαντα, τών Σμυρναίων Ιεράν, καθέδραν σέ πανεύφημε, μυσταγωγεί τό Πνεύμα τόν μετά σέ, ποιμένα Πολύκαρπον, τή χειρί σου Βουκόλε τελειούμενον.

Νοήσας τήν κλήσίν σου, διά Πνεύματος Σοφέ, τόν μετά σέ εν χάριτι, τών λογικών θρεμμάτων καθηγητήν, προσάγεις τώ βήματι, αρετών λαμπηδόσιν εξαστράπτοντα.

### Θεοτοκίον

Η πύλη τής χάριτος, η ανοίξασα βροτοίς, τήν πύλην τήν ουράνιον, τής μετανοίας πύλας μοι τηλαυγώς, διάνοιξον Δέσποινα, καί πυλών τού θανάτου ελευθέρωσον.

## Κοντάκιον  Ήχος α'

Ο μήτραν παρθενικήν αγιάσας τώ τόκω σου, καί χείρας τού Συμεών ευλογήσας ως έπρεπε, προφθάσας καί νύν έσωσας ημάς Χριστέ ο Θεός. Αλλ' ειρήνευσον εν πολέμοις τό πολίτευμα, καί κραταίωσον Βασιλείς ούς ηγάπησας, ο μόνος φιλάνθρωπος.

## Σ υ ν α ξ α ρ ι ο ν

Τή ΣΤ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Βουκόλου, Επισκόπου Σμύρνης.

### Στίχοι

- Σμύρνης ό Ποιμήν Βουκόλος θυηπόλος,
- Άγρυπνός εστι, καί θανών, ποίμνης φύλαξ.
- Αγλαόν ηελίοιο φάος λίπε Βουκόλος έκτη.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Ιουλιανού τού εν Εμέση.

### Στίχοι

- Χριστός τέτρηται χείρας ήλοις καί πόδας,
- Ιουλιανός προστίθησι καί κάραν.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Φαύστης, Ευϊλασίου, καί Μαξίμου.

### Στίχοι

- Τρείς Μάρτυρες πάσχουσιν ιχθύων πάθος,

- Κοινή τυχόντες οργάνου τού τηγάνου.

Ταίς αυτών άγίαις πρεσβείαις, ο Θεός, ελέησον καί σώσον ήμάς. Αμήν.

Ωδή ζ' Ο Ειρμός

«Δροσοβόλον μέν τήν κάμινον ειργάσατο, Άγγελος τοίς οσίοις Παισί, τούς Χαλδαίους δέ καταφλέγον πρόσταγμα Θεού, τόν τύραννον έπεισε βοάν. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών».

Συνετίζων ασυνέτους καταρτίζων δέ, τούς πλάνη εξοκείλαντας, Πάτερ έσωσας, καί Θεώ προσήξας καθαρούς, αυτώ μελωδούντας ευσεβώς, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Ωραιώθησαν Παμμάκαρ σιαγόνες σου, τήν σάρκωσιν κηρύττουσαι, τού δι' άφατον ευσπλαγχνίαν, λάμψαντος ημίν, πρός όν ανεβόας εμμελώς. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Κυριεύσας δι' ασκήσεως τού σώματος, τών παθημάτων Ένδοξε, ακυρίευτος ταίς τού πλάνου ώφθης προσβολαίς, καί νύν αναμέλπεις απλανώς. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Λυτρωθέντες τής αρχαίας αποφάσεως, τώ τόκω σου πανάμωμε, ανυμνούμέν σε οι σωθέντες Κόρη διά σού, βοώντες καί λέγοντες πιστώς. Ευλογητός ο καρπός, τής σής κοιλίας αγνή.

Ωδή η' Ο Ειρμός

«Εκ φλογός τοίς Οσίοις δρόσον επήγασας, καί δικαίου θυσίαν ύδατι έφλεξας, άπαντα γάρ δράς Χριστέ, μόνω τώ βούλεσθαι. Σέ υπερυψούμεν, εις πάντας τούς αιώνας».

Εκβλαστήσας ως φοίνιξ εν ταίς αυλαίς τού Θεού, οφειλόμενον ύπνον δικαίοις ύπνωσας, φέρεις δέ φυτόν, πρός τού θείου σου μνήματος, θαύμα τοίς ορώσι, Βουκόλε θεοκήρυξ.

Ο Θεού Θεός Λόγος ο ενυπόστατος, ιερόν Ιεράρχην σέ προχειρίζεται, χρίοντα λαόν, Ιερώς ιερώτατε, Πρόεδρε Σμυρναίων, φωστήρ τής οικουμένης.

Σαρκωθέντα τόν Λόγον εθεολόγησας, καί πολλούς αλογίας λαούς διέσωσας, θείος γεγονώς, μαθητής τού εκλάμψαντος, εν θεολογίαις, Βουκόλε κήρυξ.

Θεοτοκίον

Ιερώς εμυείτο τά σά μυστήρια, προφητών Θεοτόκε ο θείος σύλλογος, πόρρωθεν μαθών, καί τρανώς εκτιθέμενος, τάς θεοσημείας, τού θείου τοκετού σου.

Ωδή θ' Ο Ειρμός

«Θεόν ανθρώποις ιδείν αδύνατον, όν ου τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ Πάναγνε ωράθη βροτοίς, Λόγος σεσαρκωμένος, όν μεγαλύνοντες, σύν ταίς ουρανίαις, στρατιαίς σέ μακαρίζομεν».

Ως φως ως φέγγος ως μέγας ήλιος, ως αστραπή Χριστού τή Εκκλησία εξέλαμψας, καί πιστών διανοίας εφώτισας, καί πρός τούς ανεσπέρους, τόπους εσκήνωσας, μέλπων τρισαγίαις έν φωναίς, Τριάδα άκτιστον.

Σαρκός καί κόσμου έξω γενόμενος, Ιερουργέ, πρός τάς υπερκοσμίους γηθόμενος, μεταβέβηκας τάξεις θεούμενος, θέσει φαεινοτάτη, όθεν τήν μνήμην σου, πίστει εκτελούμεν, επί γής Βουκόλε πάνσοφε.

Η γή τό σωμά σου τό μακάριον, κρύπτει σαφώς, ιάσεις αναβλύζον καί χάριτας, ουρανός δέ τό πνεύμα σύν τοίς εκλεκτοίς, φέρει τοίς απ' αιώνας θείαις λαμπρότησι, κατηγλαϊσμένον, αληθώς Βουκόλε ένδοξε.

Θεοτοκίον

Φωνή Αγγέλου μεγάλης Άγγελον, βουλής Αγνή Χριστού Εμμανουήλ αποτέτοκας, τοίς Αγγέλοις τούς κάτω συνάπτοντα, μόνη πανύμνητε, μόνη αιτία, τής ημών Κόρη θεώσεως.

Εξαποστειλάριον τού Αγίου

Τοίς Μαθηταίς

Ποιμαντικώς ωδήγησας, πρός νομάς ευσεβείας, τό τού Κυρίου ποίμνιον, πάνσοφε, Ιεράρχα, αποδιώξας ως θήρας, πάσαν αίρεσιν, όθεν, νύν εποπτεύεις, ίλεως, καί ημάς ουρανόθεν, ως παρεστώς, μετά τής Πανάγνου καί Θεοτόκου, τώ θρόνω τής θεότητος, παμμακάριστε Πάτερ.

Τής Εορτής, όμοιον

Τών κόλπων τού Γεννήτορος, ουκ εκστάς απορρήτως, δι' άκραν αγαθότητα, εκ Παρθένου γεννάται καί νηπιάζει ο Λόγος, τούτον δέ εν αγκάλαις, Συμεών υποδέχεται, άμα τε ο Πρεσβύτης, καί Γηραιά, ανθωμολογήσαντο ως Δεσπότη, εν ώ καί προεμήνυον, τήν βροτών σωτηρίαν.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια τής Εορτής.

Ήχος β' Οίκος τού Εφραθά

Σήμερον ο Σωτήρ, ως βρέφος προσηνέχθη, εν τώ ναώ Κυρίου, καί χερσί γηραλέαις, ο Πρέσβυς τούτον δέχεται.

Στίχ. Νύν απολύεις τόν δούλόν σου Δέσποτα, κατά τό ρημά σου εν ειρήνη Κύριε, ότι είδον οι οφθαλμοί μου, τό σωτληριόν σου,

Νήπιος τή σαρκί, ο παλαιός τώ χρόνω, οράται παραδόξως, τή σήμερον ημέρα, καί τώ ναώ προσάγεται.

Στίχ. Φώς εις αποκάλυψιν εθνών, καί δόξαν λαού σου Ισραήλ.

Δέχου ώ Συμεών, η Πάναγνος εβόα, εν αγκάλαις ως βρέφος, τόν Κύριον τής δόξης, τού κόσμου τό σωτήριον.

Δόξα... Καί νύν... όμοιον

Μέγα καί φοβερόν, Μυστήριον καί ξένον! ο πάντα περιέπων, καί βρέφη διαπλάττων, ως βρέφος αγκαλίζεται.

Καί η λοιπή Ακολουθία τού Όρθρου, κατά τό σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Ζ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Παρθενίου, Επισκόπου Λαμψάκων, καί τού Οσίου Πατρός ημών Λουκά, τού εν τώ Στειρίω τής Ελλάδος.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Τού Ιεράρχου

Ήχος α'
Τών ουρανίων ταγμάτων

Τής Ελλησπόντου τό κλέος, ό τής Λαμψάκου φωστήρ, τών θαυματουργημάτων, ο λαμπρός εωσφόρος, Παρθένιος ο μέγας, πάντας ημάς, συγκαλείται τή μνήμη αυτού, εορτασμόν εκτελέσαι πνευματικόν, ανυμνούντας τόν Σωτήρα Χριστόν.

Εκ νεαράς ηλικίας θεοφορούμενος, τά τών δαιμόνων στίφη, πυρί τών προσευχών σου, κατέφλεξας Παμμάκαρ, ιθύνας σοφώς, τής Λαμψάκου τό ποίμνιον, τούς γάρ βωμούς τών ειδώλων καταβαλών, ενεούργησας Θεώ σεαυτόν.

Ανακηρύττει σου θαύμα ο ανανήξας ιχθύς, ο αναζήσας άπνους, ο καρπός τής ακάρπου, αρούρας καί αμπέλου, βροχή ικανή, τών βαφών η επίτευξις. Ως θαυμαστά σου τά έργα Ιερουργέ! αλλά πρέσβευε σωθήναι ημάς.

Τού Οσίου

Ήχος πλ. β'
Όλην αποθέμενοι

Όλως εκ νεότητος, ακολουθήσας Κυρίω, γονικήν κατέλιπες, ένδοξε προσπάθειαν, καί στοργήν κοσμικήν, καί ερήμους ώκησας, ασκητών τόν βίον, εξασκών εν ταπεινότητι, όν καί ετέλεσας, ζέοντι τώ πνεύματι Όσιε, καλώς εμπορευσάμενος, νείμας τε τά όντα τοίς πένησι, καί τόν μαργαρίτην, τόν

τίμιον ωνούμενος Χριστόν, ού καί τυχών τής εφέσεως, έστης αξιάγαστε.

Έφερες τυπτόμενος, ονειδιζόμενος Πάτερ, διαπληκτιζόμενος, παρά τού τεκόντος σε διά Κύριον, όν επόθεις ένδοξε, ού τρωθείς τώ πόθω, τά τερπνά ουδέν λελόγισαι, μητρός δέ στέρησιν, καί τήν ξενιτείαν ηγάπησας, καί σχήμα ενεδέδυσο, τό τών μοναχών Ιερώτατε, αλλά φανεροί σε, Θεός καί μή βουλόμενον ευχαίς, ταίς μητρικαίς Λουκά Όσιε, καμφθείς ο φιλάνθρωπος.

Βίον εκτελέσας σου, τόν Ιερόν πανιέρως, θαύματα ετέλεσας, Ιερά εξαίσια καί παράδοξα, τού Θεού σοι νείμαντος, αρραβώνα ένθεον, καί πρός τής ανταποδόσεως, τών θείων πόνων σου, νέμει δέ καί στέφος σοι άφθαρτον, καί δόξαν αιωνίζουσαν, όταν ως Κριτής παραγένηται. Αυτόν ούν δυσώπει, ρυσθήναι τούς υμνούντάς σε αεί, από παντοίας κακώσεως, Λουκά όσιώτατε.

Δόξα... Καί νύν...

Τής Εορτής Ήχος πλ. β'

Ο εν χερσί πρεσβυτικαίς, τήν σήμερον ημέραν, ως εφ' άρματος Χερουβίμ, ανακλιθήναι ευδοκήσας Χριστέ ο Θεός, καί ημάς τούς υμνούντάς σε, τής τών παθών τυραννίδος, ανακαλούμενος ρύσαι, καί σώσον τάς ψυχάς ημών.

Εν τή Τεσσαρακοστή

Δόξα... Καί νύν... Θεοτοκίον

Ήχος πλ. β' Όλην αποθέμενοι

Τετραυματισμένον με, ταίς ληστρικαίς τών δαιμόνων, εφόδοις καί κείμενον, όλον ανενέργητον Παναμώμητε, εν οδώ πάντοτε, τού αστάτου βίου, καί ελέους προσδεόμενον, τάχος επίσκεψαι, οίνον επιθείσα καί έλαιον, τοίς ανιάτοις μώλωψι, καί πρός ευρωστίαν ανάγαγε, όπως σέ δοξάζω, καί πόθω κατά χρέος ανυμνώ, τά μεγαλειά σου άχραντε, Μήτηρ αειπάρθενε.

Η Σταυροθεοτοκίον

Ρομφαία ως έφησεν, ο Συμεων τήν καρδίαν, τήν σήν διελήλυθε, Παναγία Δέσποινα, ότε έβλεψας, τόν εκ σού λάμψαντα, απορρήτω λόγω, υπ' ανόμων ως κατάκριτον, Σταυρώ υψούμενον, όξος καί χολήν τε γευόμενον, πλευράν τε ορυττόμενον, χείράς τε καί πόδας ηλούμενον, καί οδυρομένη, ωλόλυζες βοώσα μητρικώς, Τί τούτο τέκνον γλυκύτατον, τό καινόν μυστήριον;

Εις τόν Στίχον, Στιχηρά Προσόμοια τής Εορτής.

Ήχος β' Οίκος τού Εφραθά

Πύλαι τών ουρανών, ανοίχθητε, Χριστός γάρ, εν τώ ναώ ως βρέφος, υπό Μητρός Παρθένου, Θεώ Πατρί προσάγεται.

Στίχ. Νύν απολύεις τόν δούλόν σου Δέσποτα, κατά τό ρήμά σου εν ειρήνη Κύριε, ότι είδον οι οφθαλμοί μου, τό σωτληριόν σου,

Άνθραξ ο προοφθείς, τώ θείω Ησαϊα, Χρ ιστο ς ως εν λαβίδι, χερσί τής

Θεοτόκου, νύν τώ πρεσβύτη δίδοται.

Στίχ. Φώς εις αποκάλυψιν εθνών, καί δόξαν λαού σου Ισραήλ.

Φόβω τε καί χαρά, αγκάλαις τόν Δεσπότην, ο Συμεών κατέχων, ζωής ητείτο λύσιν, υμνων τήν Θεομήτορα.

Δόξα... Καί νύν... όμοιον

Φέρουσα η Αγνή, καί άχραντος Παρθένος, τόν Πλάστην καί Δεσπότην, ως βρέφος εν αγκάλαις, έν τώ ναώ εισέρχεται.

Απολυτίκιον Ήχος α'

Χαίρε κεχαριτωμένη Θεοτόκε Παρθένε, εκ σού γάρ ανέτειλεν ο Ήλιος τής δικαιοσύνης, Χριστός ο Θεός ημών, φωτίζων τούς εν σκότει. Ευφραίνου καί σύ Πρεσβύτα δίκαιε, δεξάμενος εν αγκάλαις τόν ελευθερωτήν τών ψυχών ημών, χαριζόμενος ημίν καί τήν Ανάστασιν.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος δ'
Κατεπλάγη Ιωσήφ

Νηπιάζει δι' εμέ, ο παλαιός τών ημερών, καθαρσίων κοινωνεί, ο καθαρώτατος Θεός, ίνα τήν σάρκα πιστώση μου τήν εκ Παρθένου, καί ταύτα Συμεών μυσταγωγούμενος, επέγνω τόν αυτόν, Θεόν καί άνθρωπον, καί ως ζωήν ησπάζετο, καί χαίρων πρεσβυτικώς ανεκραύγαζεν, Απόλυσόν με, σύ γάρ Θεός μου, η ζωή τών απάντων.

Δόξα... Καί νύν... τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος α'
Χορός Αγγελικός

Ο ών σύν τώ Πατρί, επί θρόνου αγίου, ελθών επί τής γής, εκ Παρθένου ετέχθη, καί βρέφος εγένετο, χρόνοις ών απερίγραπτος, όν δεξάμενος, ο Συμεών εν αγκάλαις, χαίρων έλεγε, Νύν απολύεις Οικτίρμον, ευφράνας τόν δούλόν σου.

Δόξα... Καί νύν... τό αυτό

Είτα ο Κανών τής Εορτής, καί τών Αγίων οι επόμενοι δύο.

Ο Κανών τού Ιεράρχου, ού η ακροστιχίς.

Τών θαυμάτων σου τήν χάριν μέλπω, Μάκαρ. Ιωσήφ.

Ωδή α'  Ήχος β'
Ο Ειρμός
«Εν βυθώ κατέστρωσε ποτέ, τήν Φαραωνίτιδα πανστρατιάν, η υπέροπλος δύναμις, σαρκωθείς ο Λόγος δέ, τήν παμμόχθηρον αμαρτίαν εξήλειψεν, ο δεδοξασμένος Κύριος, ενδόξως γαρ δεδόξασται».

Τώ φωτί τώ θείω συγκραθείς, Πάτερ Ιερώτατε, δι' αρετών φώς καθωράθης δεύτερον, διό τήν φωτοφόρον σου, καί πανέορτον τούς τελούντας πανήγυριν, σκότους αμαρτίας, ταίς σαίς ικεσίαις ελευθέρωσον.

Ως φαιδρός ανέτειλας αστήρ, εν τώ στερεώματι, τής τού Θεού Εκκλησίας Παρθένιε, ιαμάτων λάμψεσιν, Ιερώτατε τών παθών τήν σκοτόμαιναν, χάριτι διώκων, καί φωταγωγών τούς προσιόντας σοι.

Νοσημάτων σκότος πονηρόν, έλυσας Παρθένιε, τώ φωτισμώ σου τών σεπτών εντεύξεων, όθεν δυσωπούμέν σε, τών ψυχών ημών τάς οδύνας θεράπευσον, καί τάς τών σωμάτων, πάσας μαλακίας αποδίωξον.

Θεοτοκίον
Αγαθόν κυήσασα Θεόν, άχραντε αγάθυνον, τήν εν πολλοίς κεκακωμένην πάθεσι, ταπεινήν καρδίαν μου, καί τό θέλημα εκτελείν ενδυνάμωσον, τού σωθήναι πάντας, θέλοντος ανθρώπους Λυτρωτού ημών.

Ο Κανών τού Οσίου Λουκά, έχων ακροστιχίδα.

Λουκάν επαινώ τό κλέος τής Ελλάδος. Αμήν.

Ωδήα'  Ήχος πλ. β'
Ο Ειρμός
«Ως εν ηπείρω πεζεύσας ο Ισραήλ, εν αβύσσω, ίχνεσι, τόν διώκτην Φαραώ, καθορών ποντούμενον Θεώ, επινίκιον ωδήν, εβόα, άσωμεν».

Λόγον μοι δίδου θεόπτα παρεστηκώς, θρόνω τού Δεσπότου σου, ανυμνήσαι τήν φαιδράν, καί φωσφόρον μνήμην σου Αουκά, διαλύσας τήν αχλύν τής διανοίας μου.

Ο λοσχερώς σε ποθήσας ο Ιερός, Σώτερ πρός τήν άσκησιν, απεδύσατο στερρώς, θλίψεις μόχθους πόνους καρτερών, ανθ' ών εύρατο τρυφήν τήν ατελεύτητον.

Υπωπιάζων τό σώμα Πάτερ Λουκά, εγκρατεία πάντοτε, αγρυπνία συνεχεί, κακουχία πάση τε σοφώς, τάς ορμάς τών εμπαθών ηδονών έστησας.

Θεοτοκίον
Κυριοτόκε Παρθένε η τόν Θεόν, εν σαρκί γεννήσασα, τόν αχώρητον παντί,

σαρκωθέντα οίκτω τών βροτών, τυραννίδος με παθών δείξον υπέρτερον.

## Τού Ιεράρχου

## Ωδή γ'  Ο Ειρμός

«Εν πέτρα με τής Πίστεως στερεώσας, επλάτυνας τό στόμα μου επ' εχθρούς μου, ευφράνθη γάρ τό πνεύμά μου εν τώ ψάλλειν, ουκ έστιν άγιος, ως ο Θεός ημών, καί ουκ έστι δίκαιος πλήν σου Κύριε».

Υπήρξας καθαιρέτης τής τυραννίδος, παμμάκαρ τών Δαιμόνων τού ολεθρίου, ειδώλων τε κατέστρεψας τά τεμένη, καί θείους ήγειρας, ναούς εις αίνεσιν, τού Χριστού Παρθένιε ιερώτατε.

Μεγίσταις διαπρέπων θαυματουργίαις, καρκίνου χαλεπώτατον παύεις πάθος, καί όμματα διήνοιξας πηρωθέντα, καί εφυγάδευσας Πάτερ Παρθένιε, πονηρίας πνεύματα θεία χάριτι.

Ανέστησας κακίστως θανατωθέντα, τόν πάλαι υπουργούντα τώ θείω έργω, Θεός γάρ ο τόν θάνατον καταργήσας, χάριν σοι δέδωκε μάκαρ Παρθένιε, ανιστάν τεθνήξαντας δι' εντεύξεως.

### Θεοτοκίον

Ωμίλησεν ανθρώποις εκ σού τήν σάρκα, ο Κύριος φορέσας ανερμηνεύτως, αυτόν ούν εκδυσώπησον Παναγία, τού οικτειρήσαί με καταπονούμενον, προσβολαίς τού όφεως καί δονούμενον.

## Τού Οσίου

## Ο Ειρμός

«Ουκ έστιν Άγιος ως σύ, Κύριε ο Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου αγαθέ, καί στερεώσας η μάς, εν τή πέτρα τή ς ομολογίας σου».

Ανεπτερώθης τώ θερμώ, έρωτι τού Σωτήρος, καί γονέων τό φίλτρον, υπερείδες δι' αυτόν, καί γέγονας ώ Λουκά, ξένος πάντων τών τερπνών μακάριε.

Ναόν Κυρίου σεαυτόν, απεργάσασθαι θέλων, ερημίας κατώκεις ως ο πάλαι Ηλιού, πρός δαίμονας πολεμών, όθεν εύρες τέλος τό μακάριον.

Εν πάση θεία εντολή, ευπειθής ως οικέτης, ανεδείχθης παμμάκαρ, καλώς αυτάς εκτελών, καί ταπεινών σεαυτόν, όθεν ύψος έλαβες ουράνιον.

### Θεοτοκίον

Παρθένε Μήτηρ τού Θεού, η τεκούσα τόν Λόγον, υπέρ λόγον οφθέντα, δι' ημάς όπερ ημείς, ικέτευε εκτενώς, αλογίας πάσης με λυτρώσασθαι.

## Κοντάκιον τού Αγίου Παρθενίου

Ήχος γ'
Η Παρθένος σήμερον

Τών θαυμάτων είληφας, τήν θείαν χάριν θεόφρον, Ιερέ Παρθένιε, θαυματουργέ θεοφόρε, άπαντα τά τών πιστών πάθη αποκαθαίρων, πνεύματα τής πονηρίας Πάτερ ελαύνων, διά τούτό σε υμνούμεν, ως μέγαν μύστην Θεού τής χάριτος.

Ο Οίκος

Φώς νοερόν τό εκ φωτός, Πατρός τού προανάρχου, Υιέ Θεού καί Λόγε, ο καταυγάζων πάσαν τήν οικουμένην θεϊκώς, φώτισόν μου τάς φρένας, τόν νούν καί τόν λογισμόν, τού ανυμνήσαι σήμερον τήν φαιδράν ταύτην πανήγυριν καί σεμνοπρεπεστάτην τού Οσίου Παρθενίου, αυτός γάρ αληθώς εν γή θαυμασίαν διετέλεσε ζωήν καί πολιτείαν, διά τούτο συνελθόντες ευφημούμεν αυτόν, ως μέγαν μύστην Θεού τής χάριτος.

Κάθισμα τού αυτού
Ήχος πλ. δ'
Τήν Σοφίαν καί Λόγον

Τής Λαμψάκου ο μέγας θαυματουργός, αναβάς εν τώ ύψει τών αρετών, αστράπτεις τοίς πέρασι, τώ φωτί τών ιάσεων, τούς ζοφώδεις Δαίμονας, σκορπίζων φαιδρότατα, καί ελαύνων νόσους, χρησταίς επικλήσεσιν, όθεν καί τής πλάνης, τών ειδώλων καθάρας, πάσαν τήν Ελλήσποντον, καταλάμπεις τοίς θαύμασι, θεοφόρε Παρθένιε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Τού Οσίου Λουκά, όμοιον

Από βρέφους ποθήσας τήν αρετήν, τών ηδέων απέσχου πάν των Σοφέ, νηστείαν καί άσκησιν, ακριβή ενδεικνύμενος, καί μητρός τόν πόθον, ουδέν ηγησάμενος, εν Σεμνείω φέρων, σαυτόν λάθρα δέδωκας, πάλιν δέ μηνύει, σέ Θεός τή μητρί σου, θρηνούση τήν στέρησιν, σού δικαίως πανάριστε, ή καί νύν συνηδόμενος, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Καί νύν... τής Εορτής
Ήχος πλ. δ'
Ανέστης εκ νεκρών

Ετέχθης εκ Μητρός, ο προάναρχος Λόγος, προσήχθης τώ ναώ, ο ακατάληπτος φύσει, χαίρων δέ ο Πρεσβύτης, εν ταίς αγκάλαις σε υπεδέξατο, κράζων, Νύν απολύεις, όν επεσκέψω κατά τό ρήμά σου, ο ευδοκήσας σώσαι ως Θεός, τό γένος τών ανθρώπων.

Εν τή Τεσσαρακοστή
Δόξα... Καί νύν... Θεοτοκίον
Ήχος πλ. δ'  Τήν Σοφίαν καί Λόγον

Ως Παρθένον καί μόνην εν γυναιξί, σέ ασπόρως τεκούσαν Θεόν σαρκί, πάσαι μακαρίζουσι, γενεαί τών ανθρώπων, τό γάρ πύρ εσκήνωσεν, εν σοί τής θεότητος, καί ως βρέφος θηλάζεις, τόν Κτίστην καί Κύριον, όθεν τών Αγγέλων, καί ανθρώπων τό γένος, αξίως δοξάζομεν, τόν πανάγιον τόκον

σου, καί συμφώνως βοώμέν σοι, Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς ανυμνούσιν αξίως, τήν δόξαν σου Δέσποινα.

Η Σταυροθεοτοκίον

Τόν Αμνόν καί Ποιμένα καί Λυτρωτήν, η Αμνάς θεωρούσα εν τώ Σταυρώ, ωλόλυζε δακρύουσα, καί πικρώς εκβοώσα, Ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήν περ υπομένεις, διά σπλάγχνα ελέους, Μακρόθυμε Κύριε, τού ελέους η άβυσσος, καί πηγή ανεξάντλητος, σπλαγχνίσθητι καί δώρησαι ούν, τών πταισμάτων άφεσιν τοίς δούλοις σου, τοίς ανυμνούσί σου πίστει, τά θεία παθήματα.

Τού Ιεράρχου

Ωδή δ'  Ο Ειρμός

«Ελήλυθας, εκ Παρθένου ού πρέσβυς ουκ Άγγελος, αλλ' αυτός ο Κύριος, σεσαρκωμένος καί έσωσας, όλον με τόν άνθρωπον, διό κραυγάζω σοι. Δόξα τή δυνάμει σου Κύριε».

Νοσήματα, προσευχή εθεράπευσας άμετρα, συσφίγγων Παρθένιε, τούς παρεθέντας εν χάριτι, ώσπερ ο Δεσπότης σου, ού τήν πολλήν εμιμήσω αγαθότητα.

Σύ δέδωκας, ενεργείν τοίς βαφεύσι τά πρόσφορα, τόν είργοντα δαίμονα, αποσοβήσας Παρθένιε, ταίς πρός τόν φιλάνθρωπον, ιερωτάταις σου Πάτερ παρακλήσεσι.

Ο Κύριος, τάς εντεύξεις σου Πάτερ δεξάμενος, τήν άγραν παρέδωκε, πλουσιωτάτως τοίς χρήζουσι, τή τού ανανήξαντος, θαυματουργία ιχθύος μεγαλύνων σε.

Θεοτοκίον

Τά τραύματα, τής ψυχής μου Παρθένε θεράπευσον, τόν νούν μου ειρήνευσον, υπό παθών ταραττόμενον, καί ταίς παραβάσεσι, τών εντολών τού Σωτήρος σκοτιζόμενον,

Τού Οσίου Λουκά

Ο Ειρμός

«Χριστός μου δύναμις, Θεός καί Κύριος, η σεπτή Εκκλησία θεοπρεπώς, μέλπει ανακράζουσα, εκ διανοίας καθαράς, εν Κυρίω εορτάζουσα».

Άκακος Όσιος, ευθύς καί ήμερος, καί ακέραιος ώφθης Πάτερ Λουκά, όθεν μεμακάρισαι, παρά τού πάντων Ποιητού, καί Δεσπότου παμμακάριστε.

Ιδών ο φθόνος σε, καλώς διάγοντα, τήν ζωήν εξεκαύθη καί πειρασμών,

πλήθός σοι εξήγειρεν, αλλ' εξηλέγχετο κενός λύκος, μάτην τό τού λόγου χανών.

Νοός ευθύτητι, τόν βίον ίθυνας, πρός τά κρείττω παμμάκαρ τών εφετών, πάντων τό ακρότατον, επιποθών Πάτερ ιδείν, ού ευστόχως καί τετύχηκας.

Θεοτοκίον

Ωραίαν κάλλει σε, πασών ευράμενος, γυναικών ο ωραίος Κόρη σεμνή, σού τήν Μήτραν ώκησε, καί δυσμορφίας με παθών, καί τού σκότους ελυτρώσατο.

Τού Ιεράρχου

Ωδή ε'  Ο Ειρμός

«Ο φωτισμός, τών εν σκότει κειμένων η σωτηρία, τών απεγνωσμένων Χριστέ Σωτήρ μου, πρός σέ Ορθρίζω Βασιλεύ τής ειρήνης, φώτισόν με τή επιλάμψει σου, άλλον γάρ εκτός σου Θεόν ουκ επίσταμαι».

Η φωταυγής, ενσκηνώσασα χάρις τής απαθείας, εν τή σή καρδία θεόφρον Πάτερ, φιλαργυρίας το βαθύτατον σκότος, τού προέδρου διώκει άνοσον, τούτον συντηρούσα ταίς σαίς παραινέσεσι.

Νόσω πολλή, τόν κρατουμενον Πάτερ καί γεγονότα, Όσιε ημίξηρον προσευχαίς σου, όλον ειργάσω υγιή ευχαρίστως, τόν Δεσπότην Θεόν δοξάζοντα, τόν θαυματουργίαις πολλαίς σε δοξάσαντα.

Χρίσμα σεπτόν, περικείμενος Πάτερ Ιερωσύνης, ταύτην κατελάμπρυνας επιδείξει, πολλών θαυμάτων, ών ετέλεσας ζών τε, θεοφόρε καί μετά θάνατον, Άγγελος καθάπερ βιώσας Παρθένιε.

Θεοτοκίον

Από παθών, αμαυρώσεως Κόρη από σκανδάλων, τών προσγινομένων ταίς επηρείαις, τού αλλοτρίου μελλουσών τε βασάνων, αιωνίων πρός τόν φιλάνθρωπον, ρύσαί με ταίς σαίς δυσωπώ παρακλήσεσι.

Τού Οσίου Λουκά

Ο Ειρμός

«Τώ θείω φέγγει σου αγαθέ, τάς τών ορθριζόντων σοι ψυχάς, πόθω καταύγασον δέομαι, σέ ειδέναι Λόγε Θεού, τόν όντως Θεόν, εκ ζόφου τών πταισμάτων ανακαλούμενον».

Τήν τών καμάτων σου αμοιβήν, παρά τού πλουσίου Δοτήρος, απολαβων Πάτερ Όσιε, πέλαγος θαυμάτων πάσιν εδείκνυσο, τάς νόσους αφανίζων τών προσιόντων σοι.

Ου κατενάρκησας τού εχθρού, Πάτερ ταίς μυρίαις προσβολαίς, ου κατεπλάγης τήν έπαρσιν, έστης δέ ώς πύργος στερρός ακλόνητος,

ταπείνωσιν ως θώρακα ενδυσάμενος.

Καλώς τελέσας τόν ιερόν, βίον σου Παμμάκαρ, καί λαβων από Θεού τήν ανταπόδοσιν, χάριν ιαμάτων, τυφλούς εφώτισας, χωλούς καί παραλύτους αποτελών υγιείς.

Θεοτοκίον

Λαοί υμνείτε τήν αληθώς, τέξασαν τόν Λόγον τού Θεού, ανερμηνεύτως καί μείνασαν, πάλιν μετά τόκον Παρθένον άφθορον, ως πάντων προστασίαν καί σωτηρίαν βροτών.

## Τού Ιεράρχου

### Ωδή ς'  Ο Ειρμός

«Πρός Κύριον, εκ κήτους ο Ιωνάς εβόησε. Σύ με ανάγαγε, εκ πυθμένος Άδου δέομαι, ίνα ως Λυτρωτή ενφωνή αινέσεως, αληθείας τε πνεύματι θύσω σοι».

Ρημάτων σου, ευχών τε δυναστεία Παρθένιε, ναοί ερράγησαν τών ειδώλων θεία χάριτι, καί άπιστος λαός πίστιν προσελάβετο, μεγαλύνων συμφώνως τόν Κύριον.

Ικέτευσας, τόν φιλάνθρωπον Λόγον σύν δάκρυσι, καί τοίς αιτήσασιν όμβρους άνωθεν κατήγαγες, οικτείρων συμπαθώς λαόν κινδυνεύοντα, Ιεράρχα Κυρίου Παρθένιε.

Ναμάτων σου, μυστικών επομβρίαις κατήρδευσας, καρδίαν πάσαν προσφοιτώσάν σοι Παρθένιε, καί ηγήητώ αυχμώ ξηρανθείσα δέχεται, υετούς θαυμαστούς ευφορήσασα.

Θεοτοκίον

Μή στήσης με, εν ημέρα τής δίκης κατάκριτον, μή στηλιτεύσης με επί πάντων τόν αναίσθητον, Θεέ μου Ποιητά μου, έχων ικετεύουσαν, τήν τεκούσαν ασπόρως σε Δέσποιναν.

## Τού Οσίου Λουκά

### Ο Ειρμός

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι, Ανάγαγε, εκ φθοράς τήν ζωήν μου Πολυέλεε».

Ελύθη η πάλαι σοι, δολιόφρον καθ' ημών, ισχύς καί φρούδα γέγονε, τά πολλά σου σοφίσματα πονηρέ, ιδού γάρ απλούστατος, καί απόνηρος νέος σε κατέβαλε.

Ουκ έδωκας Όσιε, σοίς βλεφάροις νυσταγμόν, ουδέ κροτάφοις άνεσιν, έως πάσαν κατέβαλες μηχανήν, τού πλάνου ποικίλους σοι, πειρασμούς καθ'

εκάστην εξεγείροντος.

Σωφρόνως διήνυσας, σού τόν βίον καί καλώς, φιλοξενών εκάστοτε, ελεών τε πλουσίως καί δαψιλώς, διό καί τετύχηκας, αφθαρσίας καί δόξης ακηράτου Λουκά.

Θεοτοκίον

Τριάδος γεγέννηκας, σύ τόν ένα σαρκικώς, Θεοκυήτορ Πάναγνε, υπέρ νούν τε καί λόγον, διό βοώ, Τριάδος τής θείας με, ταίς πρεσβείαις σοι δείξον οικητήριον.

Κοντάκιον τού Οσίου Λουκά

Ήχος πλ. δ' Τή Υπερμάχω

Ο εκλεξάμενος Θεός πρό τού πλασθήναί σε, εις ευαρέστησιν αυτού, οίς οίδε κρίμασι, προσλαβόμενος εκ μήτρας καθαγιάζει, καί οικείον εαυτού δούλον δεικνύει σε, κατευθύνων σου Λουκά τά διαβήματα, ο φιλάνθρωπος, ώ νύν χαίρων παρίστασαι.

Ο Οίκος

Ω Πατέρων αρίστη καλλονή καί σεμνότης, ώ πάντων ασκητών κοσμιότης, Χριστού τάς εντολάς γάρ πληρώσαντος, πώς υμνήσω τήν σήν βιοτήν ένδοξε, μή έχων λόγων δύναμιν, αλλ' όμως σοι θαρρών βοήσω.

- Χαίρε, λαμπρόν Μοναζόντων κλέος, χαίρε, πιστών οδηγέ καί λύχνε.
- Χαίρε, τής ερήμου τερπνότατον βλάστημα, χαίρε, οικουμένης λαμπτήρ φαεινότατε.
- Χαίρε, ότι κατεφρόνησας τών ρεόντων καί φθαρτών, χαίρε, ότι τά ουράνια σύν Αγγέλοις κατοικείς.
- Χαίρε, τών αθυμούντων ταχινέ παρακλήτορ, χαίρε, τών εν κινδύνοις ποθεινέ παραστάτα.
- Χαίρε, σεπτόν δοχείον τού Πνεύματος, χαίρε, κλεινόν Χριστού οικητήριον.
- Χαίρε, δι' ού δόσις πάσα ηυγάσθη, χαίρε, δι' ού ο Θεός εδοξάσθη.
- Ώ νύν χαίρων παρίστασαι.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Ζ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Παρθενίου, Επισκόπου Λαμψάκων.

Στίχοι

- Αφήκε τόν χούν Παρθένιος Λαμψάκω,
- Λαμπτηρα πυρσεύοντα φώς αυτού μέγα.
- Παρθένιος κατέδαρθε, λαχών μακρόν εβδόμη ύπνον.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Λουκά, τού εν Ελλάδι.

Στίχοι

- Έπλησε Λουκάς θαυμάτων τήν Ελλάδα,
- Ος ουδέ νεκρός παύεται τών θαυμάτων.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων χιλίων Μαρτύρων καί τριών, οικετών τών τεσσάρων Προτικτόρων, τών εν Νικομηδεία μαρτυρησάντων.

Τή αυτή ημέρα, οι Άγιοι έξ Μάρτυρες, οι εκ Φρυγίας, πυρί τελειούνται.

Στίχοι

- Μή τήν πυρός φρίξαντες ισχύν έξ Φρύγες,
- Τή τών Φρυγών γή πύργος εισίν ισχύος.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημων Πέτρου τού εν Μονοβάτοις αγωνισαμένου, καί τού Αγίου Μάρτυρος θεοπέμπτου, καί τής συνοδίας αυτού.

Ταίς αυτών αγίαις πρεσβείαις ο Θεός ελέησον ημάς. Αμήν.

Τού Ιεράρχου

Ωδή ζ' Ο Ειρμός

«Αντίθεον πρόσταγμα παρανομούντος, τυράννου μετάρσιον, τήν φλόγα ανερρίπισε, Χριστός δέ εφήπλωσε, θεοσεβέσι Παισί, δρόσον τήν τού Πνεύματος, ο ών ευλογημένος καί υπερένδοξος».

Εν σοί ενσκηνώσασα η θεία χάρις, Προφητην σε δείκνυσι, τά μέλλοντα φθεγγόμενον, εντεύθεν προήγγειλας τώ διαδέχεσθαι, μέλλοντι τόν Πρόεδρον Σοφέ, ωραϊσμένον θείαις λαμπρότησι.

Λαμψάκου τόν Πρόεδρον τής Ελλησπόντου, λαμπτήρα τόν άδυτον, θαυματουργίαις άπασαν, τήν γήν τόν φαιδρύναντα, καί απελάσαντα νύκτα, πολυώδυνον παθών, υμνολογούμεν πάντες Παρθένιον.

Πολύχουν απέδωκε τόν ταύτης σπόρον, η γή τή εντευξει σου, πανθαύμαστε Παρθένιε, καί βότρυας ήνεγκεν άμπελος άνικμος, ούτω σε δοξάσαντος Θεού, τού δοξασθέντος τή πολιτεία σου.

Θεοτοκίον

Ωράθης πανάμωμε αγιωτέρα τών άνω Δυνάμεων, Θεόν γάρ εσωμάτωσας, όν Τάξεις ασώματοι φόβω δοξάζουσι, τούτον ούν ικέτευε αεί, τού οικτειρήσαι τούς σέ δοξάζοντας.

Τού Οσίου Λουκά

Ο Ειρμός

«Οι Παίδες εν Βαβυλώνι, καμίνου φλόγα ουκ έπτηξαν, αλλ' εν μέσω Πυρός εμβληθέντες, δροσιζόμενοι έψαλλον. Ευλογητός εί Κύριε ο Θεός τών Πατέρων ημών».

Η θήκη τών σών λειψάνων, Λουκά πηγή αναδέδεικται, ιαμάτων εν ή πάς

προστρέχων, εκλυτρούται παντοίων παθών, σέ μακαρίζων Όσιε, καί ημών τόν Δεσπότην Χριστόν.

Σημείοις μεγίστοις Πάτερ, εδόξασέ σε ο Κύριος όν εδόξασας σύ, διά πόνων τής ασκήσεως πρότερον. Ευλογητός γάρ έκραζες, ο Θεός τών Πατέρων ημών.

Εν βίω περιφανής τε, καί εν τοίς θαύμασι μέγιστος, καί εν πάσι καλοίς ανεδείχθης, απαράμιλλος Όσιε, διό τών πόνων εύρηκας, αμοιβήν βασιλείαν Θεού.

Θεοτοκίον

Λαόν καί πόλιν σου σώζε, Θεοκυήτορ πανάμωμε, προστασία ημών τών εν πίστει, αδιστάκτω βοώντων σοι. Εύλογημενος Πάναγνε, ο καρπός τής κοιλίας σου.

Τού Ιεράρχου

Ωδή η'  Ο Ειρμός

«Κάμινος ποτέ πυρός εν Βαβυλώνι, τάς ενεργείας διεμέριζε, τώ θείω προστάγματι, τούς Χαλδαίους καταφλέγουσα, τούς δέ Πιστούς δροσίζουσα, ψάλλοντας. Ευλογείτε, πάντα τά έργα τόν Κύριον».

Μέγισται τούς σούς καμάτους αντιδόσεις, εν τοίς υψίστοις διεδέξαντο, μέγιστε Παρθένιε, φώς οικείς γάρ τό ανέσπερον, καί δόξαν αδιάδοχον είληφας, αενάου Πάτερ χαράς αξιούμενος.

Άδυτος αστή ρ γενόμενος εν βίω, ανατολαίς τών θείων έργων σου, έδυς νόμω φύσεως, καί πρός φέγγος μετεχώρησας ανέσπερον, λιπων ημίν Όσιε τάς ακτίνας, τών απορρήτων θαυμάτων σου.

Τριαδικόν

Άναρχος Πατήρ, Υιός καί θείον Πνεύμα, ομοβασίλειος ομόθρονος, γνωρίζεται έλλαμψις, ορθοδόξως τοίς λατρεύουσι, καί μέλπουσι σύν τάξεσι πάντοτε τών Αγγέλων, Άγιος, Άγιος, Άγιος.

Θεοτοκίον

Ρύπου με παθών αγνή προσγινομένου, τή μεσιτεία σου καθάρισον, καί λάμπρυνον δέομαι, σκοτισθείσαν τήν καρδίαν μου, δαιμόνων αμαυρότησιν, όπως σε μακαρίζω, Παρθένε θεομακάριστε.

Τού Οσίου Λουκά

Ο Ειρμός

«Νόμων πατρώων οι μακαριστοί, εν Βαβυλώνι Νέοι προκινδυνεύοντες, βασιλεύοντος κατέπτυσαν, προσταγής αλογίστου, καί συνημμένοι ώ ουκ εχωνεύθησαν πυρί, τού κρατούντος επάξιον, ανέμελπον τόν ύμνον. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Λύμην παντοίου πάθους ένδοξε, αποδιώκεις Πάτερ Λουκά μακάριε, τούς λεπρώντας εξιώμενος, ρωννύων ασθενούντας, καί παρειμένους λύων τού κατέχοντος δεσμού, καί κυλλούς καί χωλούς ομού, καί τυφλούς θεραπεύων. Τόν Κύριον υμνείτε βοώντας, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Άπονον εύρες δόξαν Όσιε, πόνους πολλούς υποίσας καί αγωνίσματα, αγρυπνίαν τήξιν σώματος, νηστείαν κακουχίαν, χαμαικοιτίαν, πάσαν άλλην πίεσιν σαρκός, δι' αγάπην τού κτίσαντος, ώ συνών συνευφραίνη, αυτόν ούν εκδυσώπει σωθήναι, πάντας τούς εν πίστει, καί πόθω σε υμνούντας,

Διά ποικίλων πόνων Όσιε, τών αρετών εισήχθης εις τήν ουράνιον, βασιλείαν ευφραινόμενος, τανύν εις τούς αιώνας, καί τού Δεσπότου πάντοτε τρυφών ταίς καλλοναίς, σύν Αγγέλοις μελώδημα τόν Τρισάγιον άδεις. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Ουκ αποστάντα τόν αχώριστον, εκ τού πατρώου κόλπου Αγνή γεγέννηκας, απειράνδρως ανεκφράστως τε, βροτόν τέλειον όντα, όν εκδυσώπει, δούναί μοι ισχύν, τών πονηρών λογισμών, προσβολήν πάσαν καταβαλείν εις τέλος, καί θέλημα τό θείον εκείνου, πράττειν καθ' εκάστην, ίνα σε δοξάζω, εις πάντας τούς αιώνας.

## Τού Ιεράρχου

### Ωδή θ' Ο Ειρμός

«Ανάρχου Γεννήτορος, Υιός Θεός καί Κύριος, σαρκωθείς εκ Παρθένου ημίν επέφανε, τά εσκοτισμένα φωτίσαι, συναγαγείν τά εσκορπισμένα, διό την πανύμνητον, Θεοτόκον μεγαλύνομεν».

Ιδείν κατηξίωσαι, απολυθείς τού σώματος, τά αθέατα κάλλη Πάτερ Παρθένιε, όλος αρετών ευμορφία, ως αληθώς καθωραϊσμένος, διό σε γεραίρομεν, καί γνησίως μακαρίζομεν.

Ως κρίνον ως ρόδον σε, ευώδες ως οσφράδιον, αρετών ποικιλία ωραϊζόμενον, Πάτερ ο Χριστός εις τάς άνω, περιφανώς εσκήνωσε μάνδρας, οσίως ποιμάναντα, τόν λαόν αυτού Παρθένιε.

Σκιρτήσωμεν άνθρωποι, χορεύσωμεν γηθόμενοι, εορτήν τε αγίαν νύν συστησώμεθα, ψάλλοντες Θεώ εν αινέσει, τόν θαυμαστόν καί μέγαν ποιμένα, Παρθένιον σήμερον, κατά χρέος μακαρίζοντες.

Η μνήμη σου σήμερον, ημών περιαυγάζουσα, τάς καρδίας ως μέγας ήλιος έλαμψεν, ήν επιτελούντες εν πίστει, ρύσαι παθών σκότους Ιεράρχα, καί νόσων καί θλίψεων, καί παντοίων περιστάσεων.

Θεοτοκίον

Φωτί με καταύγασον, τόν εν τώ σκότει κείμενον, τής δεινής ραθυμίας θεοχαρίτωτε, καί μή προαιρούμενον όλως, τούς τού Θεού νόμους συντηρήσαι, όπως ως προστάτην μου, κατά χρέος μακαρίζω σε.

Τού Οσίου Λουκά

Ο Ειρμός

«Θεόν ανθρώποις ιδείν αδύνατον, όν ου τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ Πάναγνε ωράθη βροτοίς, Λόγος σεσαρκωμένος, όν μεγαλύνοντες, σύν ταίς ουρανίαις, στρατιαίς σέ μακαρίζομεν».

Σούς πόνους Πάτερ καί αγωνίσματα, τίς εξειπείν δυνήσεται βροτών ών αντάξιον, τόν μισθόν εκομίσω παρά Θεού; γέγονας γάρ δοχείον, τού θείου Πνεύματος, Όσιος, ευθύς, αληθινός, δίκαιος, άμεμπτος.

Απλούν τό ήθος καί απονήρευτον, καί ταπεινόν, ελέους τε μεστόν πρός τούς πένητας, καί φιλόξενόν τε καί φιλέρημον, ήσυχον πράον όντως, Πάτερ ενέδειξας, όθεν συνετάγης Αβραάμ καί Ιακώβ καί Δαυϊδ.

Μοναίς εκείναις ως αυλιζόμενος, ταίς ορεκταίς καί κάλλους θεϊκού εμπιπλάμενος, Παραδείσου τε θείου τοίς άνθεσι, νύν εντρυφών είς κόρον, καί αγαλλόμενος, μνείαν πρός Θεόν υπέρ ημών ποιού Πανόλβιε.

Τριαδικόν

Η μία φύσις η τρισυπόστατος, η τριλαμπής ουσία καί αχώριστος δύναμις, ο Πατήρ ο Υιός καί τό Άγιον Πνεύμα, μία θεότης, σώζε τούς πίστει σε, ένα μεγαλύνοντας Θεόν, εν χαρακτήρσι τρισί.

Θεοτοκίον

Νοείν ου σθένει σου τό μυστήριον, βρότειος νούς Παρθένε Θεοτόκε πανύμνητε, πρό γάρ τόκου ανάνδρως συνέλαβες, εμεινάς τε Παρθένος, καί μετά κύησιν, τέτοκας δέ Λόγον τώ Πατρί τόν συναΐδιον.

Εξαποστειλάριον του Ιεράρχου

Γυναίκες ακουτίσθητε

Λαμψάκου ο παμμέγιστος, Ποιμήν καί περιβόητος, θαυματουργός Ιεράρχης, τής τού Χριστού Εκκλησίας, τό Ελλησπόντου καύχημα, καί τών πιστών εδραίωμα, τιμάσθω νύν Παρθένιος, υπέρ τού κόσμου γάρ ούτος, εξιλεούται τό θείον.

Τού Οσίου, Όμοιον

Μονάσας εκ νεότητος, καί τόν σταυρόν αράμενος, εμάκρυνας εν ερήμω, Λουκά φωστήρ Μοναζόντων, εγκρατεία δέ πάση, τό χείρον δουλωσάμενος, τώ κρείττονι θεόληπτε, ως εφικτόν συνεκράθης, τή απροσίτω Τριάδι.

Τής Εορτής, Όμοιον

Πληρών σου τήν απόρρητον, οικονομίαν Κύριε, εν τώ ναώ προσηνέχθης, υπό μητρός απειράνδρου, ιδών δέ σε εκραύγαζεν, ο Πρέσβυς. Νύν απόλυσον, τόν δούλόν σου ώ Δέσποτα. Σωτήρ γάρ ήλθες τού κόσμου, τό

Πατρικόν φώς Χριστέ μου.

Εις τόν Στίχον, τών Αίνων, Στιχηρά Προσόμοια τής Εορτής.

Ήχος β' Οίκος τού Εφραθά

Φέρουσα η Αγνή, καί άχραντος Παρθένος, τόν Πλάστην καί Δεσπότην, ως βρέφος εν αγκάλαις, εν τώ ναώ εισέρχεται.

Στίχ. Νύν απολύεις τόν δούλόν σου Δέσποτα, κατά τό ρήμά σου εν ειρήνη Κύριε, ότι είδον οι οφθαλμοί μου, τό σωτληριόν σου,

Δέχου ώ Συμεών, τόν Κύριον τής δόξης, καθως εχρηματίσθης, εκ Πνεύματος Αγίου, ιδού γάρ παραγέγονε.

Στίχ. Φώς εις αποκάλυψιν εθνών, καί δόξαν λαού σου Ισραήλ.

Νύν είδον αγαθέ, Θεέ οι οφθαλμοί μου, τήν σήν επαγγελίαν, απόλυσόν με τάχος, τόν δούλόν σου φιλάνθρωπε.

Δόξα... Καί νύν... Όμοιον

Χαίρε η τήν χαράν, τού κόσμου δεξαμένη, Χριστόν τόν ζωοδότην, καί παύσασα τήν λύπην, Παρθένε τής Προμήτορος.

Καί η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Η' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Μεγαλομάρτυρος Θεοδώρου τού στρατηλάτου, καί τού Αγίου Προφήτου Ζαχαρίου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν τά παρόντα Στιχηρά τών Αγίων.

Προσόμοια τού Μάρτυρος

Ήχος πλ. α' Χαίροις ασκητικών

Χαίροις ο στρατιώτης Χριστού, ο τροπωσάμενος εχθρού τήν παράταξιν, τώ όπλω τής ευσεβείας, ο τών πιστών στηριγμός, ο πολλαίς βασάνοις ωνησάμενος, Θεού τήν ουράνιον, βασιλείαν Θεόδωρε, εν ή χορεύων, καί μεθέξει θεούμενος, καί λαμπόμενος, καθαραίς διαδόσεσι, μέμνησο τών τιμώντων σου, τήν μνήμην τήν ένδοξον, καί προσκυνούντων εν πίστει, τήν τών λειψάνων σου λάρνακα, αφ' ής αναβλύζει, τοίς αιτούσιν ευρωστία, καί μέγα έλεος.

Χαίροις η Ιερά κεφαλή, τών Αθλοφόρων τό σεπτόν ακροθίνιον, ο κόσμος τής Εκκλησίας, ο καθαιρέτης εχθρού, δωρεών ενθέων ο επώνυμος, λαμπτήρ τήν υφήλιον, καταυγάζων τοίς θαύμασι, στύλος ο μέγας, διαμείνας ασάλευτος, ταίς προσρήξεσι, τών απείρων κολάσεων, λόγχη τής καρτερίας σου, ο κτείνας τόν δράκοντα, ο αριστεύσας μεγάλως, ως στρατιώτης αήττητος, Χριστόν εκδυσώπει, ταίς ψυχαίς ημών δοθήναι, τό μέγα έλεος.

Όπλω τού ζωηφόρου Σταυρού, τήν τών ειδώλων συντριβήν εργασάμενος, μαστίγων υπέστης πείραν, καί επί ξύλου ταθείς, σπαραγμούς παμμάκαρ εκαρτέρησας, υφ' ών συντριβόμενος, καί λαμπάσι φλεγόμενος, σταυρώ υψώθης, τιτρωσκόμενος βέλεσι, καί τά όμματα, υπ' αυτών εκτυφλούμενος, όθεν σε μακαρίζομεν, καλώς εναθλήσαντα, καί ουρανίων στεφάνων, επιτυχόντα Θεόδωρε, Χριστόν εκδυσώπει, ταίς ψυχαίς ημών δοθήναι, τό μέγα έλεος.

Προσόμοια τού Προφήτου

Ήχος πλ. δ'
Τί υμάς καλέσωμεν Άγιοι

Έχων πολιτείαν ισάγγελον, τοίς Αγγέλοις θεοφάντορ, συνωμίλεις προφανώς, δι' αυτών τά υπέρ νούν καταλαμπόμενος τόν νούν, συμβόλων, θαυμασίων ανακάθαρσιν, μεγάλων, Μυστηρίων αποκάλυψιν, προφητικήν προαγόρευσιν, πνευματιΚήν ανακαίνισιν. Ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Άγγελος εφάνης επίγειος, επί γής τούς ουρανίους, συλλαλούντας εσχηκώς, θεωρός υπερκοσμίων, θεαμάτων γεγονώς. Λυχνία, νοητόν φώς απαστράπτουσα. Ελαία, ψαλμικώς ειπείν κατάκαρπος, θεουργικήν αποστάζουσα, τοίς ευσεβέσι πιότητα. Ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Τής ελπιζομένης θεώσεως, απολαύων ως Προφήτης, αληθέστατος Θεού, καί τρανώς τής αϊδίου, εμπιπλάμενος τρυφής, καί δόξαν ανεκλάλητον θεώμενος, καί κάλλους διαδήματι κοσμούμενος, υπέρ ημών τών υμνούντων σε, δυσώπησον εκτενέστερον, θεόληπτε, τού σωθήναι τάς ψυχάς ημών.

Δόξα... Τού Μάρτυρος
Ήχος πλ. α'

Σήμερον ανέτειλεν υπέρ τόν Εωσφόρον, η σεβάσμιος μνήμη τού αθλοφόρου Χριστού, τών πιστών τάς καρδίας ανενδότως φωτίζουσα, καί τά νέφη τών ψυχών αποδιώκουσα, τή ενεργεία καί χάριτι τού Πνεύματος, πρός όν φιλομάρτυρες ανακράξωμεν. Χαίροις, ο τοίς πιστοίς αναδειχθείς θεοδώρητος χάρις, καί τών θαυμάτων τά πλήθη εφαπλών, τοίς εις σέ προστρέχουσι, Θεόδωρε μακάριε. Χριστόν απαύστως πρεσβεύων μή ελλίπης, τών αιωνίων άγαθών επιτυχείν, τούς εν πίστει εκτελούντας, τήν πάνσεπτον μνήμην σου.

Καί νύν... Τής Εορτής
Ο αυτός

Ο παλαιός ημερών, νηπιάσας σαρκί, υπό Μητρός Παρθένου τώ Ιερώ

προσάγεται, τού οικείου νόμου πληρών τό επάγγελμα, όν Συμεών δεξάμενος έλεγε, Νύν απολύεις εν ειρήνη κατά τό ρήμά σου τόν δούλόν σου, είδον γάρ οι οφθαλμοί μου, τό σωτήριόν σου Κύριε.

Εν τή Τεσσαρακοστή
Δόξα... Καί νύν... Θεοτοκίον
Ήχος πλ. α'

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καί δοξάζομέν σε, οι πιστοί κατά χρέος, τήν πόλιν τήν άσειστον, τό τείχος τό άρρηκτον, τήν αρραγή προστασίαν, καί καταφυγήν τών ψυχών ημών.

Η Σταυροθεοτοκίον, όμοιον

Ως αμνόν σε Λόγε, η αμνάς καί Παρθένος, πρός Ισφαγήν χωρούντα, καθορώσα εβόα, Ω ξένου τολμήματος! πώς άνομοι σφάττουσι, τόν τούς ανθρώπους ζωούντα; Μέγα σου Υιέ μου τό έλεος!

Τού Προφήτου
Δόξα... Καί νύν... Θεοτοκίον
Ήχος πλ. δ'
Τί υμάς καλέσωμεν Άγιοι

Νύμφην σε Παρθένον εκήρυξαν, τής αξίας τού Πατρός, καί τής θεότητος αυτού, οι Θεόν αξιωθέντες, κατιδείν σωματικώς, καί Λόγου καί Θεού Κόρη Γεννήτριαν, καί Πνεύματος Αγίου οικητήριον, εν σοί γάρ πάν τής θεότητος, σωματικώς κατεσκήνωσε, τό πλήρωμα, πληρεστάτης ούσης χάριτος.

Η Σταυροθεοτοκίον

Ξύλω προσπηγνύμενον Κύριε, ως εώρακεν ασπόρως, η τεκούσά σε Αμνάς, κατεξαίνετο τάς όψεις, καί εβόα εν κλαυθμώ, Υιέ μου πώς σφαγήν φέρεις τήν άδικον, πώς θνήσκεις, ο αθάνατος ώς άνθρωπος; Λόγον μοι δός φώς γλυκύτατον, βλέψον Μητέρα θρηνούσάν σε, καί δόξασον, ταύτην Λόγε τή εγέρσει σου.

Εις τόν Στίχον Στιχηρά Προσόμοια τής Εορτής.

Ήχος πλ. β'
Τριήμερος ανέστης Χριστέ

Υπόδεξαι φησί Συμεών, τόν Κτίστην τών απάντων χερσίν, ώ Πρεσβύτα, αγκαλίζου τόν Χριστόν, όν η Παρθένος Κόρη, εγέννησεν ασπόρως, εις αγαλλίασιν τού γένους ημών.

Στίχ. Νύν απολύεις τόν δούλόν σου Δέσποτα, κατά τό ρήμά σου εν ειρήνη Κύριε, ότι είδον οι οφθαλμοί μου, τό σωτληριόν σου,

Τού νόμου Ποιητήν καί Θεόν, όν φρίττουσιν Αγγέλων πληθύς, συνελθόντες, ανυμνήσωμεν λαοί, τόν μόνον ευεργέτην, καί νόμου Νομοδότην, εις σωτηρίαν τών ψυχών ημών.

Στίχ. Φώς εις αποκάλυψιν εθνών, καί δόξαν λαού σου Ισραήλ.

Νύν απολύεις Δέσποτα, τόν δούλόν σου ως είρηκας, εν ειρήνη, ότι είδόν σε Χριστέ, τό φώς τό πρό αιώνων, δεσμού με τού σαρκίου, εις απολύτρωσιν εθνών Ισραήλ.

Δόξα... Τού Μάρτυρος
Ήχος πλ. δ'

Τών τού Θεού δωρεών ως επώνυμον, καί τής αυτού κληρονόμον μακαριότητος, πάντες ευφημήσωμεν Πιστοί, καί μακαρίσωμεν επαξίως, Θεόδωρον τόν γενναίον μεγαλομάρτυρα, τής οικουμένης τόν υπέρμαχον, πρεσβεύει γάρ Χριστώ τώ Θεώ, υπέρ τών ψυχών ημών.

Καί νύν... Τής Εορτής, ο αυτός

Ο τοίς Χερουβίμ εποχούμενος, καί υμνουμενος υπό τών Σεραφίμ, σήμερον τώ θείω ιερώ, κατά νόμον προσφερόμενος, πρεσβυτικαίς ενθρονίζεται αγκάλαις, καί υπό Ιωσήφ εισδέχεται δώρα θεοπρεπώς, ως ζεύγος τρυγόνων τήν αμίαντον Εκκλησίαν, καί τών εθνών τόν νεόλεκτον λαόν, περιστερών δέ δύο νεοσσούς, ως αρχηγός Παλαιάς τε καί καινής, τού πρός αυτόν χρησμού δέ Συμεών, τό πέρας δεξάμενος, ευλογών τήν Παρθένον, Θεοτόκον Μαρίαν, τά τού πάθους σύμβολα, τού εξ αυτής προηγόρευσε, καί παρ αυτού εξαιτείται τήν απόλυσιν βοών, Νύν απολύεις με Δέσποτα, καθώς προεπηγγείλω μοι, ότι είδόν σε τό προαιώνιον φώς, καί Σωτήρα Κύριον τού Χριστωνύμου λαού.

Απολυτίκον  Ήχος δ'

Στρατολογία αληθεί Αθλοφόρε, τού ουρανίου στρατηγός Βασιλέως, περικαλής γεγένησαι Θεόδωρε, όπλοις γάρ τής πίστεως, παρετάξω εμφρόνως, καί κατεξωλόθρευσας, τών δαιμόνων τά στίφη, καί νικηφόρος ώφθης αθλητής, όθεν σε πίστει αεί μακαρίζομεν.

Δόξα... Τού Προφήτου  Ήχος β'

Τού Προφήτου σου τήν μνήμην Κύριε εορτάζοντες, δι' αυτού σε δυσωπούμεν, σώσον τάς ψυχάς ημών.

Καί νύν...  Ήχος α'

Χαίρε κεχαριτωμένη Θεοτόκε Παρθένε, εκ σού γάρ ανέτειλεν ο Ήλιος τής δικαιοσύνης, Χριστός ο Θεός ημών, φωτίζων τούς εν σκότει. Ευφραίνου καί σύ Πρεσβύτα δίκαιε, δεξάμενος εν αγκάλαις τόν ελευθερωτήν τών ψυχών ημών, χαριζόμενος ημίν καί τήν Ανάστασιν.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Καθισμα τού Μάρτυρος
Ήχος δ'  Ο υψωθείς έν τώ Σταυρώ

Ο μεγαλώνυμος Χριστού αθλοφόρος, ο επιπόθητος Θεώ καί Αγγέλοις, ο θαυμαστός καί ένδοξος Θεόδωρος, πάσας τάς υφήλιον, Ιεράς Ρκκλησίας, σήμερον τώ Πνεύματι, τώ αγίω ευφραίνει, καί εορτάζειν πάντας εν χαρά,

παρασκευάζει αυτού τό μνημόσυνον.

Δόξα... Καί νύν... Τής Εορτής
Κατεπλάγη Ιωσήφ

Εν τώ όρει τώ Σινά, πάλαι κατείδε Μωϋσής, τά οπίσθια Θεού, καί αμυδρώς θείας φωνής, κατηξιώθη εν γνόφω τε καί θυέλλη, νύν δέ Συμεών, τόν σαρκωθέντα Θεόν, ατρέπτως δι' ημάς ενηγκαλίσατο, καί γεγηθώς επείγετο τών τήδε, πρός τήν ζωήν τήν αιώνιον, διό εβόα, Νύν απολύεις, τόν δούλόν σου Δέσποτα.

Μετά τήν β' Στιχολογίαν

Κάθισμα τής Εορτής
Ήχος α'  Τού λίθου σφραγισθέντος

Θησαυρέ τών αιώνων, η ζωή τών απάντων, δι' εμέ νηπιάσας υπό νόμον εγένου, ο πάλαι χαράξας εν πλαξί, τόννομονεντώ ορειτώ Σινά, ίνα πάντας απαλλάξης, εκ τής τού νόμου πάλαι δουλείας. Δόξα τή ευσπλαγχνία σου Σωτήρ, δόξα τή βασιλεία σου, δόξα τή οικονομία σου, μόνε φιλάνθρωπε.

Δόξα... Καί νύν... Τό αυτό

Είτα ψάλλονται οι Κανόνες, ο τής Εορτής εις ς' καί τών Αγίων οι παρόντες δύο εις η'.

Ο Κανών τού Μάρτυρος, ού η Ακροστιχίς.

Φερώνυμον δώρόν σε τού Θεού σέβω. Νικολάου.

Εν δέ τοίς Θεοτοκίοις
Νικολάου

Ωδή α'  Ήχος πλ. δ'
Ο Ειρμός

«Αρματηλάτην Φαραώ εβύθισε, τερατουργούσα ποτέ, Μωσαϊκή ράβδος, σταυροτύπως πλήξασα, καί διελούσα θάλασσαν, Ισραήλ δέ φυγάδα, πεζόν οδίτην διέσωσεν, άσμα τώ Θεώ αναμέλποντα».

Φερωνυμία θεολήπτου κλήσεως καλλωπιζόμενος, καί δωρεών θείων, θησαυρός δεικνύμενος, καί μαρτυρίου χάριτι, Μάκαρ κεκοσμημένος, τούς υμνητάς σου χαρίτωσον, ύμνοις σε τιμώντας Θεόδωρε.

Έργω καί λόγω σού τήν θεοδώρητον, κλήσιν πιστούμενος, τάς δωρεάς νέμεις, δωρεάν τοίς χρήζουσι, δώρημα γάρ πάν τέλειον, άνωθεν καταβαίνον, εκ τού Πατρός προσδεχόμενος, άπαντας πλουτίζεις τιμώντάς σε,

Ρώμην θεόθεν νηπιόθεν πάνσοφε, λαβων καί σύνεσιν, πάθη σαρκός, πάντα,

πρότερον καί δαίμονας, ανδρείως καταβέβληκας, ύστερον δέ καθείλες, εχθρών τυράννων τό φρύαγμα, Μάκαρ συμμαχία τού Πνεύματος.

Ως εντρεχής καί νουνεχής καί φρόνιμος, κατεσοφίσω σοφώς, τόν σοφιστήν Μάκαρ, τής κακίας ρήμασι, καί πράγμασι Λικίνιον, εδελέασας δείξας, νεκροίς ξοάνοις λατρεύοντα, καί κεναίς ελπίσι τρεφόμενον.

Θεοτοκίον

Νικός μοι δίδου Παναγία άχραντε, τώ καταφεύγοντι, υπό τήν σήν σκέπην, τών δεινών εξαίρουσα, αεί με ταίς πρεσβείαις σου, καί γάρ τέτοκας Λόγον, τόν τώ Πατρί συναϊδιον, ομού τε τώ Πνεύματι σύνθρονον.

Ο Κανών τού Προφήτου, ού η Ακροστιχίς.

Εκπλήττομαί σου τούς λόγους Ζαχαρία. Θεοφάνους.

Ωδή α' Ήχος πλ. δ'

Ο Ειρμός

«Άσωμεν τώ Κυρίω, τώ διαγαγόντι τόν λαόν αυτού, εν Ερυθρά θαλάσση, ότι μόνος ενδόξως δεδόξασται ».

Έχων τόν φωτοδότην, ταίς σαίς υπακούοντα δεήσεσι, φωτισμόν μοι παράσχου, Ζαχαρία Προφήτα θεσπέσιε.

Κατακεκοσμημένος, κάλλεσι τής θείας ωραιότητος, τών Αγγέλων τό κάλλος, εθεώρεις ψυχής ωραιότητι.

Πλήρης αγιωσύνης, αγγελομιμήτου καί φαιδρότητος, συλλαλούντας Αγγέλους, καί φωτίζοντας έσχες θεόληπτε.

Θεοτοκίον

Λέλυται η κατάρα, Εύας τής Προμήτορος Πανάμωμε, τόν Χριστόν γάρ τεκούσα, ευλογίαις τόν κόσμον επλούτισας.

Τού Μάρτυρος

Ωδή γ' Ο Ειρμός

«Ουρανίας αψίδος οροφουργέ Κύριε, καί τής Εκκλησίας δομήτορ, σύ με στερέωσον, εν τή αγάπη τή σή, τών εφετών η ακρότης, τών Πιστών τό στήριγμα, μόνε φιλάνθρωπε».

Νεανίας ωραίος, πανευπρεπής δέδειξαι, κάλλει καταλλήλως εμπρέπων, ψυχής καί σώματος, ωραϊζόμενος, τών αρετών ευμορφία καί μαρτύρων στίγμασι, καλλωπιζόμενος.

Υπό θείας προνοίας, οδηγηθείς ώδευσας, τρίβον μαρτυρίου Δεσπότου, τού τήν καρδίαν σου, Μάκαρ πλατύναντος, ταίς δωρεαίς τών χαρίτων, καί πρός

τήν ουράνιον κλίσιν ιθύναντος.

Μεγαλόφρονι γνώμη, περιφρονών Πάνσοφε, τών ηδέων τού κόσμου, καί τών τού βίου τερπνών, ουδέν προέκρινας, τής τού Σωτήρος αγάπης, αλλ' αυτόν επόθησας, ψυχής ευθύτητι.

Θεοτοκίον

Ικετεύω σε μόνην, τήν τόν Θεόν τέξασαν, τόν εις ευλογίαν κατάραν, τήν πρίν αμείψαντα, καί χρηματίσαντα, υπέρ ανθρώπων κατάρα, Κόρη παντευλόγητε, καί κόσμον σώσαντα.

Τού Προφήτου

Ο Ειρμός

«Ουκ έστιν Άγιος ως ο Κύριος, καί ουκ έστι δίκαιος ως ο Θεός ημών, όν υμνεί πάσα κτίσις, ουκ έστι δίκαιος πλήν σου Κύριε».

Η άνωθεν χάρις σοι επεσκίασε τής προνοίας τήν άφραστον, θείαν κυβέρνησιν, δι' Αγίων Αγγέλων διδάσκουσα Πάνσοφε, Μάκαρ καί φωτίζουσα.

Τήν θείαν χρηστότητα παιδευόμενος, εμυήθης Πανόλβιε, ώς καθαρώτατος κατακάρπως οικείσθαι, τό θείον αγίασμα, τήν πόλιν τήν πανίερον.

Τό τείχος τό άρρηκτον, η ασφάλεια τού λαού τού θεόφρονος, γέγονας Κύριε, καί ψυχών σωτηρία, ως πάλαι προήγγειλε, Προφήτης ο θεσπέσιος.

Θεοτοκίον

Ο τόκος ο άφθορος, καί η άχραντος Θεοτόκε σου κύησις, τόν κόσμον ερρύσατο, εκ φθοράς καί θανάτου. Σωτήρα γάρ έτεκες, Λόγον τόν αϊδιον.

Κάθισμα τού Μάρτυρος

Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Θεϊκήν παντευχίαν αναλαβών, καί ειδώλων τήν πλάνην καταλαβών, Αγγέλους διήγειρας, ευφημείν τούς αγώνάς σου, τώ γάρ θείω πόθω, τόν νούν πυρπολούμενος, τού εν πυρί θανάτου, γενναίως κατετόλμησας, όθεν φερωνύμως, τοίς αιτούσί σε νέμεις, τά θεία δωρήματα, αθλοφόρε Θεόδωρε, διά τούτο βοώμέν σοι, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν άγίαν μνήμην σου.

Δόξα... Τού Προφήτου

Ήχος γ' Τήν ωραιότητα

Διϊππευόμενα άρματα έβλεψας, ηνιοχούμενα χειρί τού πάντων Θεού, τούς ασωμάτους λειτουργούς, Ζαχαρία θεσπέσιε, οίς συναγαλλόμενος, ως προφήτης αοίδιμε, αίτησαι ιθύνεσθαι, πρός οδόν θείας γνώσεως, τούς πίστει αδιστάκτω τελούντάς σου, μνήμην Προφήτα τήν πανίερον.

Καί νύν... Τής Εορτής, όμοιον

Εκ τής Παρθένου σε σωματωθέντα Χριστέ, χαίρων εδέξατο ο Ιερός Συμεών,

Νύν απολύεις εκβοών, τόν δούλόν σου ώ Δέσποτα, Άννα δέ η άμεμπτος, Προφήτις καί ένδοξος, τήν ανθομολόγησιν, καί τόν ύμνον προσήγέ σοι. Ημείς δέ Ζωοδότα βοώμέν σοι. Δόξα τώ ούτως ευδοκήσαντι.

Εν τή Τεσσαρακοστή
Καί νύν... Θεοτοκίον
Ήχος γ' Τήν ωραιότητα

Ακατανόητον, καί ακατάληπτον, υπάρχει Δέσποινα θεοχαρίτωτε, τό πεπραγμένον επί σοί, φρικτόν όντως μυστήριον! τόν γάρ απερίληπτον, συλλαβούσα εκύησας, σάρκα περιθέμενον, εξ αχράντων αιμάτων σου, όν πάντοτε Αγνή ώς Υιόν σου, δυσώπει τού σώσαι τάς ψυχάς ημών.

Η Σταυροθεοτοκίον

Η απειρόγαμος, Αγνή καί Μήτηρ σου, Χριστέ ορώσά σε νεκρόν κρεμάμενον, επί τού ξύλου μητρικώς, θρηνούσα απεφθέγγετο, Τί σοι ανταπέδωκε, τών Εβραίων ο άνομος, δήμος καί αχάριτος, ο πολλών καί μεγάλων σου, Υιέ μου δωρεών απολαύσας; Υμνώ σου τήν θείαν συγκατάβασιν.

Τού Μάρτυρος

Ωδή δ' Ο Ειρμός

«Σύ μου ισχύς, Κύριε, σύ μου καί δύναμις, σύ Θεός μου, σύ μου αγαλλίαμα, ο πατρικούς κόλπους μή λιπών, καί τήν ημετέραν, πτωχείαν επισκεψάμενος διό σύν τώ Προφήτη, Αββακούμ σοί κραυγάζω. Τή δυνάμει σου δόξα φιλάνθρωπε».

Ο πρός Θεόν, πόθος σου πάσαν ημαύρωσε, προσπαθείας, ύλην Παμμακάριστε, δόξαν τερπνήν, πλούτον καί Τρυφήν, καί περιφανείας τό περιβόητον ύψωμα, εντεύθεν ανυψώθης, πρός περίβλεπον ύψος, μαρτυρίου πρός δόξαν αμάραντον.

Νόμω καινώ, ζωοποιούντι τώ Πνεύματι, πεφραγμένος, νόμον ανομώτατον, παρανομούντων νεανικώς, ανέτρεψας μάκαρ, διό νομίμως ενήθλησας, καί στέφος ανεδήσω, τό τής δικαιοσύνης, εκ χειρός τού Δεσπότου Θεόδωρε.

Δώρον Θεού, δέδοσαι κόσμω φερώνυμον, δώρον θείον, δώρον αξιέραστον, δώρον πλουτίζον πάντα πιστόν, δώρον δεχομένοις, γλυκύ καί πράγμα καί όνομα, τό πάσι καταπέμπον, καταλλήλως τάς δόσεις, καί πληρούν τάς αιτήσεις τών δούλων σου.

Ως μιμητής, τού προσπαγέντος εν ξύλω Χριστού, μετά πάσαν, αικίαν τού σώματος, μετά πολλάς στρέβλας πονηράς, τάς τών μιαιφόνων, χριστομιμήτως ετάθης σταυρώ, καί βέλεσιν ετρώθης, καί δεινώς συνεκόπης, αλλ' ερρύσθης εκ τούτων δυνάμει Χριστού.

Θεοτοκίον

Καλλοποιόν, καί γής Δεσπότην κυήσασαν, απορρήτω τόκω κατά χρέος σε,

πάντες πιστοί, γλώσση καί ψυχή, κόσμου Βασιλίδα, καί Δέσποιναν ονομάζομεν, διό τής τυραννούσης, πονηράς συνηθείας, ελευθέρωσον τούς σέ γεραίροντας.

Τού Προφήτου

Ο Ειρμός

«Εξ όρους κατασκίου, Λόγε ο Προφήτης, τής μόνης Θεοτόκου, μέλλοντος σαρκοώσθαι, θεοπτικώς κατενόησε, καί εν φόβω, εδοξολόγει σου τήν δύναμιν».

Μίαν μέν φωτιστικήν, ουσίαν σέβειν, εν Ηλίοις δέ, Τρισίν οριζομένην, ταίς εις τά όντα προόδοις πληθυνομένην, σαφώς διδάσκεις Παμμακάριστε.

Άρμα τού Θεού, γενόμενος Προφήτα, άρματα οράν, ποικίλα τών Αγγέλων, περιοδεώσαι τά πάντα κατηξιώθης, μετά ευταξίας πορευόμενα.

Ιεροπρεπή πολύφωτον λυχνίαν, σύμβολον οράς, τής θείας φωταυγείας, επισκοπής τε Παμμάκαρ τής παντεπόπτου, δι' ής τά πάντα περισώζεται.

Θεοτοκίον

Σύμβολα τής σής, Αγνή, κυοφορίας, οι θεοειδείς, Προφήται προτυπούσι, πολυειδώς προχαράττοντες, καί ποικίλως, δι' αινιγμάτων οι θεόφρονες.

Τού Μάρτυρος

Ωδή ε'  Ο Ειρμός

«Ίνα τί με απώσω, από τού προσώπου σου τό φώς τό άδυτον, καί εκάλυψέ με, τό αλλότριον σκότος τόν δείλαιον; αλλ' επίστρεψόν με, καί πρός τό φώς τών εντολών σου, τάς οδούς μου κατεύθυνον δέομαι».

Ρητορεύεις τήν δόξαν, ένδοξε Θεόδωρε σύν παρρησία πολλή, τού σαρκί παθόντος, καί θανάτω τόν θάνατον λύσαντος, καί μαστίγων πείραν, πολλών λαβων λύσση τυράννου, σταυρικήν καταδίκην υπήνεγκας.

Ολοτρόπω προθέσει, σταύρωσιν εκούσιον Χριστού μιμούμενος, τήν αυτήν υπέστης, τιμωρίαν σταυρώ προσηλούμενος, αντί δέ τής λόγχης, βελών πολλών πληγάς εδέξω, οφθαλμών κόρας τε εξορυττόμενος.

Νικηφόρος ωράθης, άρτιος ολόκληρος μετά τήν σταύρωσιν, καί τήν άλλην πάσαν, τών μελών συγκοπήν τε καί νέκρωσιν, ο νικήσας κόσμον, σέ γάρ Χριστός χειρί Αγγέλου, ως ζωής αρχηγός ανεζώωσεν.

Συνιδόντα τά πλήθη, τό εν σοί γενόμενον θαώμα Θεόδωρε, τήν φωνήν επήραν, μεγαλύνοντα Χριστού τήν δύναμιν, τού δέ λυμεώνος, καί αλαζόνος Λικινίου, στηλιτεύοντα λύσσαν τήν άλογον.

Θεοτοκίον

Όλον τέτοκας Κόρη, τό φώς τό αιώνιον τοίς ανυμνούσί σε, τόν Χριστόν ασπόρως, σωματώσασα, όν εξιλέωσαι, τού σωθήναι πάντας, εκ πειρασμών τού αλλοτρίου, Παναγία Παρθένε Θεόνυμφε.

Τού Προφήτου

Ο Ειρμός

«Ο εκ νυκτός αγνοίας, θεογνωσία φαιδρύνας τά πέρατα, φώτισόν με τώ όρθρω, τής φιλανθρωπίας σου Κύριε».

Ο καθαρός καρδία, καί διανοίας προβλέπων οξύτητι, πάθος τό τού Σωτήρος, αξιοπρεπώς μακαρίζεται.

Υπερφυώς αγία, χαίρε Σιών, ο Προφήτης προτρέπεται, ήξει ο Βασιλεύς σου δίκαιος καί σώζων πραότητι.

Τών Προφητών η δόξα, τών θεηγόρων ανδρών η ευπρέπεια, κόσμον περιαυγάζει, τή τής προφητείας λαμπρότητι.

Θεοτοκίον

Ο τής Παρθένου τόκος, αναγεννήσας ημάς ηλευθέρωσε, τών πρίν αμαρτημάτων, δι' ημάς αμαρτία γενόμενος.

Τού Μάρτυρος

Ωδή ς'  Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μσυ, ο Θεός τής σωτηρίας μου».

Εξέλαμψας αρεταίς, καί διδαχαίς διά βίου σου, εξήστραψας δέ λαμπροίς, αγώσι Θεόδωρε, καί νύν περιβόητος, εν θαυματουργίαις, καί θερμός προστάτης πέφηνας.

Τοίς κάμνουσιν ιατρός, τοίς αιχμαλώτοις ανάρρυσις, μεσίτης αμαρτωλοίς, υπευθύνων άφεσις, πενθούσι παράκλησις, πρός Θεού εδόθης συμπαθέστατε Θεόδωρε.

Ουκ έστι κόρος τών σών, καλών απείρων Θεόδωρε, ουδέ τής σής καλλονής, σταθμός ισοστάσιος, διό τόν διάπυρον, πόθον μου προσδέχου, χορηγών μοι χάριν άφθονον.

Θεοτοκίον

Λαμψάτω νύν επ εμέ, η άφατος ευσπλαγχνία σου, βυθού με αμαρτιών, καί τής απογνώσεως, Κόρη απαλλάττουσα, καί πρός μετανοίας, τούς λιμένας εμβιβάζουσα.

Τού Προφήτου

Ο Ειρμός

«Τήν δέησιν εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών, η ψυχή μου επλήσθη, καί η ζωή μου τώ Άδη προσήγγισε, καί δέομαι ως, Ιωνάς, Εκ φθοράς ο Θεός με ανάγαγε».

Υπάρχων προφητικής ανάπλεως, επιπνοίας εσομένων τήν γνώσιν, υπερφυώς, μυηθείς απεστάλης, ανακηρύττειν τήν χάριν τήν μέλλουσαν, ημέραν τε τήν τού σταυρού, τήν γνωστήν τώ Κυρίω θεόληπτε.

Συνέσει πνευματική κοσμούμενος, δωρεών τών υπέρ νούν ηξιώθης, αγγελικάς, εμφανείας καί τάξεις, καί ομιλίας καί δόξαν θεώμενος, Πανόλβιε τά θαυμαστά, διδασκούσας καί θεία Μυστήρια.

Λαμπάδιον αρετών κτησάμενος, φωτισμόν θεογνωσίας πυρσεύεις, τήν μυστικήν, προμηνύων λαμπάδα, τής υπέρ λόγον τού Λόγου σαρκώσεως, φανήσεσθαι θεοπρεπώς, εκ Σιών Ζαχαρία θεόληπτε.

Θεοτοκίον

Ο στήσας τόν ουρανόν ανέδειξεν, ουρανόν σε λογικόν Θεοτόκε, τήν καλλονήν, Ιακωβ αγαπήσας, καί εκ γαστρός σου θεότητος Ήλιος, ανέτειλε σωματικώς, καί τόν κόσμον εφαίδρυνε χάριτι.

Κοντάκιον Ήχος β'

Τά άνω ζητών

Ανδρεία ψυχής, τήν πίστιν οπλισάμενος, καί ρήμα Θεού, ως λόγχην χειρισάμενος, τόν εχθρόν κατέτρωσας τών Μαρτύρων κλέος Θεόδωρε, σύν αυτοίς Χριστώ τώ Θεώ, πρεσβεύων μή παύση υπέρ πάντων ημών.

Ο Οίκος

Τών αθλητών τό έκλαμπρον κάλλος δεύτε πάντες, τοίς ύμνοις τών στεφάνων, πιστοί Θεόδωρον καταστέψωμεν, δώρον Θεού γάρ μέγα τώ κόσμω αναδέδεικται, λάμψεσι ταίς τών θαυμάτων, τόν γάρ εχθρόν εκνικήσας Βελίαρ άθλοις σεπτοίς, ομβρίζει αντί αιμάτων, κρουνηδόν ιαμάτων τά ρεύματα. Εν τούτοις ούν πάσι χαίρει Χριστώ, καί δίδωσιν ειρήνην ανέκλειπτον, διό βοώμεν αυτώ. Πρεσβεύων μή παύση υπέρ πάντων ημων.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Η' τού αυτού μηνός, Μνήμη τού Αγίου ενδόξου Μεγαλομάρτυρος Θεοδώρου τού Στρατηλάτου.

Στίχοι

- Ων Θεόδωρος αξίαν Στρατηλάτης,
- Υπήρξε τμηθείς τού Θεού Στρατηλάτης.
- Όμβριμον ογδοάτη Θεοδώρου αυχένα κόψαν.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Προφήτου Ζαχαρίου.

Στίχοι

- Ίππους εώρας τούς νόας Ζαχαρία,
- Δι' ών πρός ύψος ουρανών αφιππάσω.

Τή αυτή ημέρα, οι Άγιοι Μάρτυρες Νικηφόρος καί Στέφανος, ξίφει τελειούνται.

Στίχοι

- Ξεσθείσι Νικηφόρω καί τώ Στεφάνω,
- Νικηφόρου στέφανος επλάκη τέλους.

Τή αυτή ημέρα, αι Άγιαι Μάρθα καί Μαρία αι αδελφαί, καί ο Όσιος Λυκαρίων ο Μάρτυς, ξίφει τελειούνται.

Στίχοι

- Άς περ παρήξεν εις τό φώς γαστήρ μία,
- Μάρθαν Μαρίαν, έν στερεί φωτός ξίφος.
- Άφωνος ήκει πρός ξίφος Λυκαρίων,
- Έναντι τού κείροντος οίον αρνίον.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τού Μάρτυρος

Ωδή ζ' Ο Ειρμός

«Θεού συγκατάβασιν, τό πύρ ηδέσθη εν Βαβυλώνι ποτέ, διά τούτο οι παίδες εν τή καμίνω, αγαλλομένω ποδί, ως εν λειμώνι χορεύοντες έψαλλον. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών».

Υψούμενον Κύριον, επί τού ξύλου καί καταράξαντα, τόν μεγάλαυχον όφιν, κατανοήσας συνανυψώθης αυτώ, χριστομιμήτως εν σταυρώ καί θάνατον, υπενεγκών Αθλητά, συνεξανέστης αυτώ.

Θεού σε Θεόδωρε, τής ακηράτου δόξης θερμόν εραστήν, εγνωκώς τώ σώ πόθω, ολοκαρδίως ψυχήν προσέδησα, τήν προσδοκίαν πάσαν τής ελπίδος μου, ανατεθείς επί σοί, μή υπερίδης με.

Εδόξασας Κύριον, τοίς μέλεσί σου ενδοξαζόμενον, εν βουλαίς τών Αγίων, τόν σέ μεγάλως αντιδοξάσαντα, τερατουργίαις καί ποικίλοις θαύμασι, καί περιόντα τή γή, καί μετά τέλος Σοφέ.

Θεοτοκίον

Αγίων τόν άγιον, τέτοκας μόνη θεοχαρίτωτε, απορρήτω κυήσει, καί γάρ Παρθένος έμεινας άχραντε, ως πρό τού τόκου, διό σοι κραυγάζομεν τήν τού Αγγέλου φωνήν. Ευλογημένη Αγνή.

## Τού Προφήτου

### Ο Ειρμός

«Παίδες Εβραίων εν καμίνω, κατεπάτησαν τήν φλόγα θαρσαλέως, καί εις δρόσον τό πύρ, μετέβαλον βοώντες. Ευλογητός εί, Κύριε, ο Θεός εις τούς αιώνας».

Γήν επί πάσαν σού Προφήτα, διελήλυθεν ο φθόγγος ο θεόπνους, καί ρημάτων τών σών, η δύναμις βοώσα. Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Όλος ταίς άνω λαμπηδόσι, φωτιζόμενος τά μέλλοντα εώρας, ως παρόντα, διό, Πανόλβιε εβόας. Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

### Θεοτοκίον

Ύμνοις γεραίρω σε Παρθένε, τήν τιμήσασαν τήν φύσιν τών ανθρώπων, ατιμία δεινή, τό πρίν κατακριθείσαν. Ευλογημένος πάναγνε, ο καρπός τής σής κοιλίας.

## Τού Μάρτυρος

### Ωδή η'  Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος τοίς θεοσεβέσιν, εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών. Τόν Δημιουργόν καί Λυτρωτήν, ανεβόα, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Ο λυμεών Λικίνιος, ο λυσσώδης καί βέβηλος, όλον εαυτόν ολοτελώς τοίς δαίμοσιν, εκδούς υποβάλλει σε, τιμωριών ποικίλων ποιναίς, νώτον καί τό στήθος, τοίς βουνεύροις συγκόπτων, εν σφαίραις μολυβδίναις, τόν αυχένα συντρίβων, πλευράς όνυξι ξαίνων, καί φλέγων ταίς λαμπάσιν.

Υπομονήν ανένδοτον, καρτερίαν ανάλωτον, καί υπερφυή ανδρείαν ενδειξάμενος, ποικίλαις κολάσεσι, καί χαλεπαίς στρεβλώσεσι, πάντων τών Μαρτύρων, υπερέβης τούς άθλους, παθών Δεσποτικών δέ, τώ σταυρώ κοινωνήσας, καί πλέον υπομείνας, μειζόνως εδοξάσθης.

Σταυρώ ταθείς Θεόδωρε, τά Χριστού υστερήματα, εν σαρκί οικεία εκπληροίς τών θλίψεων, ου χείρας καί πόδας γάρ, μόνον προσηλωθείς καρτερείς, αλλά καί περόνη, σιδηρά διεπάρης, τό κρύφιόν σου μέλος, εκτμηθείς τούς διδύμους, καί βέλεσιν ομμάτων, εξορυχθείς τάς κόρας.

### Θεοτοκίον

Ουρανομήκη κλίμακα, νοητήν σε γινώσκομεν, δι' ής καταβάς, μετά σαρκός ο Υψιστος, ανθρώποις ωμίλησε, καί ταπεινούς ανύψωσε, πρός τήν υψηλήν, τών ουρανών πολιτείαν, εντεύθεν ανωτέραν, ουρανών καί Αγγέλων, καί πάντων ποιημάτων, τιμώμέν σε Παρθένε.

## Τού Προφήτου

### Ο Ειρμός

«Τόν εν όρει αγίω δοξασθέντα, καί εν βάτω πυρί το τής Αειπαρθένου, τώ Μωϋσή Μυστήριον γνωρίσαντα, Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Σιών όρος η πόλις η αγία, χαίρε σφόδρα ο θείος Ζαχαρίας, Αγγέλων ο συνόμιλος προτρέπεται, καί σύ δέ αγάλλου, Ιερουσαλήμ, εις πάντας τούς αιώνας.

Ζαχαρία Προφήτα κατατέρπου, πληρωθέντας θεώμενος τούς λόγους, ούς προηγόρευσας τώ Πνεύματι λαμπόμενος, Κύριον υμνείτε, καί υπερυψούτε, βοών εις τούς αιώνας.

Αναμέσον ορέων κατασκίων, εθεώρεις εστώτας τούς Αγγέλους, τήν επί πάντων πρόνοιαν μυούντάς σε, ένδοξε Προφήτα, καί υμνολογούντας, Χριστόν εις τούς αιώνας.

### Θεοτοκίον

Χαίρε θρόνε πυρίμορφε Κυρίου, χαίρε πύλη αϋλου φρυκτωρίας, χαίρε νεφέλη κούφη η τόν Ήλιον, τής δικαιοσύνης, λάμψασα τώ κόσμω αγνή Θεοκυήτορ.

## Τού Μάρτυρος

### Ωδή θ' Ο Ειρμός

«Εξέστη επί τούτω ο ουρανός, καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι μεγαλύνουσι».

Εξέστη τών Αγγέλων δήμος τήν σήν, Στρατηλάτα τηρών γενναιότητα, πάς ο παρών, όχλος κατεπλάγη τότε τάς σάς, ανδραγαθίας ένδοξε, έφριξε δαιμόνων η στρατιά, τά σά τρόπαια, νύν δέ, κροτεί κόσμος τά γέρα, καί πάς πιστός υμνεί τά θαύματα.

Βοάται παρά πάσης σχεδόν πνοής, τά πολλά σου καί μέγιστα τρόπαια, τά επί σοί, τέρατα δειχθέντα καί διά σού, η εκ νεκρών ανέγερσις, η ολοκληρία εκ συντριβής, η ρώσις τών νοσούντων, η λύσις τών δεσμίων, καί τών εν θλίψει η παράκλησις.

Ως έχων παρρησίαν πρός Χριστόν, υπέρ ού πάσας υπήνεγκας, μέχρι τομής, καύσεως θανάτου τε καί σταυρού, εγκαρτερών Θεόδωρε, αίτησαι συγγνώμην ημίν κακών, τώ κόσμω τήν ειρήνην, νίκας τοίς Βασιλεύσι, καί σωτηρίαν τοίς τιμώσί σε.

Θεοτοκίον

Υψώθη εδοξάσθη γένος βροτών, καί τιμής ηξιώθη τής κρείττονος, διά τής σής, Κόρη συγγενείας καί θεϊκής, υιοθεσίας έτυχε, τή σή μεσιτεία, καί γάρ Θεός, ωράθη σαρκοφόρος, εκ σού αρρήτω τρόπω, άτρεπτος μείνας τή θεότητι.

Τού Προφήτου

Ο Ειρμός

«Σέ τήν απειρόγαμον Θεού Μητέρα τού Υψίστου, σέ τήν υπέρ νούν κυήσασαν, διά λόγου τόν όντως Θεόν, τήν υψηλοτέραν τών αχράντων Δυνάμεων, ασιγήτοις δοξολογίαις μεγαλύνομεν».

Άπασαν τήν αίσθησιν, καταλιπών νοϊ τώ θείω, καί καθαρωτάτω πάνσοφε, φωτοφόρος παρίστασαι, τάς υπέρ τού κόσμου ικεσίας ποιούμενος, όθεν πάντες σε Ζαχαρία μεγαλύνομεν.

Ρήσεσιν επόμενοι, τών σών χειλέων θεοφάντορ, Κύριον επικαλούμεθα, δι' αυτού τε σω ζόμενοι, ως τής αληθείας σε Προφήτην καί κήρυκα, Ζαχαρία τής ευσεβείας μακαρίζομεν.

Ίλεων απέργασαι, ταίς σαίς πρεσβείαις τόν Δεσπότην, τοίς τήν Ιεράν καί εύσημον, εορτήν σου θεόπνευστε, πίστει εκτελούσι, καί σέ πόθω γεραίρουσιν, ώς Προφήτην καί θεηγόρον αληθέστατον.

Θεοτοκίον

Άβυσσον θαυμάτων σε, καί χαρισμάτων Θεοτόκε, πέλαγος Αγνή γινώσκοντες, καί σαφώς επιστάμενοι, τή σή προστασία πεποιθότες προστρέχομεν, καί συντόνως πρός τήν σήν σκέπην καταφεύγομεν.

Εξαποστειλάριον

Τοίς Μαθηταίς συνέλθωμεν

Μεγαλομάρτυς ένδοξε, τού Χριστού Στρατηλάτα, καί θείον εγκαλλώπισμα, τών σεπτών αθλοφόρων, Θεόδωρε γενναιόφρον, μή ελλίπης αιτείσθαι, τώ Βασιλεί τά τρόπαια, καί ειρήνην τώ κόσμω, καί ιλασμόν, τών αμαρτημάτων καί σωτηρίαν, τοίς εκτελούσι πάνσοφε, τήν φωσφόρον σου μνήμην.

Τής Εορτής

Εν πνεύματι τώ Ιερώ, παραστάς ο Πρεσβύτης, αγκάλαις υπεδέξατο, τόν τού νόμου Δεσπότην, κραυγάζων, Νύν τού δεσμού με, τής σαρκός απόλυσον, ως είρηκας εν ειρήνη, είδον γάρ τοίς οφθαλμοίς, αποκάλυψιν εθνών, καί Ισραήλ σωτηρίαν.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια τρία, δευτερούντες τό πρώτον.

Ήχος δ'

Ως γενναίον εν Μάρτυσιν

Αθλητής γενναιότατος, στρατιώτης αήττητος, εν Αγίω Πνεύματι αναδέδειξαι, καταβαλων τόν πολέμιον, σοφία τών λόγων σου, καί τών έργων σου σοφέ, καρτεραίς επιδείξεσιν, όθεν είληφας, τούς στεφάνους τής νίκης, καί ταίς άνω, όμηγυρεσι συνήφθης, κλέος Μαρτύρων Θεόδωρε.

Καί σταυρώ αναρτώμενος, καί τάς σάρκας τυπτόμενος, οξυτάτοις βέλεσι τιτρωσκόμενος, καί επί ξύλου τεινόμενος, καί πλευράς ξεόμενος, καί παντοίαις χαλεπαίς, αλγηδόσι κυκλούμενος, απαράτρωτος, καί αήττητος ώφθης τή δυνάμει, τού Σταυρώ προσηλωθέντος, κλέος Μαρτύρων Θεόδωρε.

Θείον άγαλμα γέγονας, ευσεβείας πανόλβιε, δυσσεβών αγάλματα βδελυξάμενος, καί Ιερείον ολόκληρον, καί θύμα ευπρόσδεκτον τώ τυθέντι διά σέ, καθαρώς, προσαγόμενος, τώ δοξάσαντι, τήν αγίαν σου μνήμην καί θαυμάτων, θησαυρόν σε τοίς εν κόσμω, δωρησαμένω Θεόδωρε.

Δοξα... Ήχος πλ. δ'

Αθλητικήν ανδρείαν, καί λογικήν λατρείαν ευσεβώς καθοπλισθείς, Αθλοφόρε Χριστού, καί στερρώς παραταχθείς τή δυνάμει αυτού, τών ειδώλων τό ασεβές, καί τών Τυράννων τό απηνές, ασθενές απέδειξας, καταφρονών τών βασάνων, καί τού προσκαίρου πυρός. Αλλ' ώ θείων δωρεών καί πράγμα καί όνομα, από πάσης περιστάσεως, τή πρεσβεία σου σώζε, τούς τελούντας τήν μνήμην σου.

Καί νύν... Τής Εορτής  Ήχος β'

Ο Κτίστης ουρανού καί γής, εν αγκάλαις εβαστάζετο, υπό αγίου Συμεών τού πρεσβύτου σήμερον, αυτός γάρ εν Πνεύματι αγίω έλεγε, Νύν ηλευθέρωμαι είδον γάρ τόν Σωτήρά μου.

Εις τόν Στίχον τών Αίνων, Στιχηρά Προσόμοια τής Εορτής.

Ήχος β'  Οίκος τού Εφραθά

Ο πάντα τή χειρί, περιέχων ως Κτίστης, καί δεσπόζων απάντων, υπό χειρών Πρεσβύτου, εν τώ ναώ προσάγεται.

Στίχ. Νύν απολύεις τόν δούλόν σου Δέσποτα, κατά τό ρήμά σου εν ειρήνη Κύριε, ότι είδον οι οφθαλμοί μου, τό σωτληριόν σου,

Αγάλλου Συμεών, καί η Άννα ευφραίνου, ιδού γάρ επεφάνη, ο Λυτρωτής τού κόσμου, ως βρέφος προσαγόμενος.

Στίχ. Φώς εις αποκάλυψιν εθνών, καί δόξαν λαού σου Ισραήλ.

Λέλυσαι τής φθοράς, Συμεών θεοφόρε, εν χερσί τόν πάντα, κατέχοντα βαστάζων, είδες γάρ τό σωτήριον.

Δόξα... Τού Αγίου  Ήχος πλ. δ'

Αθλητικόν συστησάμενος στάδιον κατά τής πλάνης, ηνδραγάθησας Θεόδωρε,

τή πυριφθόγγω γλώττη σου, καταισχυνας Λικινίου τό απάνθρωπον, διό καί σύν Αγγέλοις χορεύων μακάριε, αίτησαι Χριστώ τώ Θεώ, όπως ϊλεως γενήσεται ημίν, εν τή ημέρα τής κρίσεως.

Καί νύν... τής Εορτής Ήχος βαρύς

Φώς είς αποκάλυψιν εθνών ήλθες εξ ουρανού Σωτήρ ημών, καί προελθών εκ τής Παρθένου, επανεπαύσω εν αγκάλαις τού δικαίου Συμεών, έδει γάρ σε Ζωοδότα τών απάντων, υπό τού Πρεσβύτου γνωρισθήναι, ότι παρεγένου απολύσαι αυτόν, κατά τό ρήμά σου, ο έχων τό μέγα έλεος.

Καί η λοιπή Ακολουθία τού Όρθρου, κατά τήν τάξιν, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Θ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Μάρτυρος Νικηφόρου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος β'
Ότε εκ τού ξύλου σε νεκρόν

Νόμοις πειθαρχών τού δι' ημάς, σάρκα επί γής ειληφότος, καί πάθος τίμιον, Μάρτυς υπομείναντος, θεομακάριστε, τήν αγάπην ετήρησας, τήν πρός τόν πλησίον, νόμου τό κεφάλαιον, ούσαν καί τών Προφητών, όθεν, καί μακάριον τέλος, είληφας πηγή τής αγάπης, νύν ώ Νικηφόρε παριστάμενος.

Κλίνεις τόν αυχένα τώ Θεώ, ώ τά πάντα κλίνει τό γόνυ, Μάρτυς θαυμάσιε, κάραν εκτεμνόμενος, καί χωριζόμενος, τού γενναίου σου σώματος, Χριστώ δέ τή πάντων, κεφαλή ενούμενος, καθαρωτάτω νοϊ, ού νύν τώ φωτί πλησιάζων, αίτησαι ημίν Νικηφόρε, πάσι φωτισμόν τοίς ευφημούσί σε.

Ρείθροις τών αιμάτων σου Σοφέ, τών υπέρ Χριστού κενωθέντων τήν γήν ηγίασας, πνεύματι δέ πνεύματα, εχαροποίησας, ασωμάτων Δυνάμεων, Μαρτύρων αγέλας, πάσας δέ εφαίδρυνας, ταύταις ενούμενος, Μάκαρ ώς γενναίος οπλίτης, ως ακαταγώνιστος Μάρτυς, καί υπέρ ημών Θεού δεόμενος.

Δόξα... Καί νύν... Θεοτοκίον

Δέξαι τήν ικέσιον ωδήν, τών σών οικετών Θεοτόκε, ήν σοι προσάγομεν, Δέσποινα διάσωσον, απορουμένους ημάς, καί κινδύνων εξάγαγε, τήν ποίμνην σου ταύτην, πίστει σοι προσπίπτουσαν, εν τώ σεπτώ σου ναώ, σύ γάρ τόν Σωτήρα τεκούσα, έχεις παρρησίαν ως Μήτηρ, εκτενώς πρεσβεύειν τού σωθήναι ημάς.

Η Σταυροθεοτοκίον

Ότε η αμίαντος Αμνάς, έβλεψε τόν ίδιον άρνα, επί σφαγήν ως κριόν, θέλοντα ελκόμενον, θρηνούσα έλεγεν. Ατεκνώσαι νύν σπεύδεις με, Χριστέ τήν τεκούσαν, τί τούτο πεποίηκας, ο Λυτρωτής τού παντός; όμως, ανυμνώ καί

δοξάζω, σού τήν υπέρ νούν τε καί λόγον, άκραν συγκατάβασιν φιλάνθρωπε.

Εάν δέ τύχη εκτός τής Τεσσαρακοστής, λέγε τό εξής Ιδιόμελον.

Δόξα... Ήχος πλ. β'
Ιωάννου Μοναχού

Έδειξας πάσιν εμφανώς, Αθλητά Νικηφόρε, ότι τόν πλησίον ο μή φιλών, ούτε τόν Δεσπότην αγαπήσαι δύναται, διόπερ, αυτός μέν ειλικρινώς αγαπήσας Σαπρίκιον τόν ομόδουλον, εντεύθεν καί πρός τόν θείον ανεπτερώθης έρωτα, καί τήν ψυχήν σου τέθεικας, υπέρ τής εις Χριστόν ομολογίας καί πίστεως. Σαπρίκιος δέ ο δυσώνυμος, άσπονδον πρός σέ τό μίσος κτησάμενος, αρνητής εδείχθη καί τού Δεσπότου Χριστού, ώ νύν αυτός παρεστώς, καθικέτευε τού σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον
Όλην αποθέμενοι

Τετραυματισμένος με, ταίς ληστρικαίς τών Δαιμόνων, εφόδοις καί κείμενον, όλον ανενέργητον παναμώμητε, εν όδω πάντοτε, τού αστάτου βίου, καί ελέους προσδεόμενον, τάχος επίσκεψαι, οίνον επιθείσα καί έλαιον, τοίς ανιάτοις μώλωψι, καί πρός ευρωστίαν ανάγαγε, όπως σε δοξάζω, καί πόθω κατά χρέος ανυμνώ, τά μεγαλεία σου άχραντε, Μήτηρ αειπάρθενε.

Η Σταυροθεοτοκίον

Ρομφαία ως έφησεν, ο Συμεών τήν καρδίαν, τήν σήν διελήλυθε, παναγία Δέσποινα, ότε έβλεψας, τόν εκ σού λάμψαντα, απορρήτω λόγω υπ' ανόμων ως κατάκριτον, Σταυρώ υψουμενον, όξος καί χολήν τε γευόμενον, πλευράν δέ ορυττόμενον, χείράς τε καί πόδας ηλούμενον, καί οδυρομένη, ωλόλυζες βοώσα μητρικώς. Τί τούτο τέκνον γλυκύτατον, τό καινόν μυστήριον.

Απολυτίκιον
Ήχος δ' Ταχύ προκατάλαβε

Ο Μάρτυς σου, Κύριε, εν τή αθλήσει αυτού, τό στέφος εκομίσατο τής αφθαρσίας, εκ σού τού Θεού ημών, έχων γάρ τήν ισχύν σου, τούς τυράννους καθείλεν, έθραυσε καί δαιμόνων, τά ανίσχυρα θράση. Αυτού ταίς ικεσίαις, Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν τού Ψαλτηρίου λέγεται ο Κανών, ού η Ακροστιχίς.

Κλεινόν εν αθλοφόροις Νικηφόρον άσματι μέλπω.

Ποίημα Θεοφάνους

Ωδή α' Ήχος πλ. δ' Ο Ειρμός

«Αρματηλάτην Φαραώ εβύθισε, τερατουργούσα ποτέ, Μωσαϊκή ράβδος,

σταυροτύπως πλήξασα, καί διελούσα θάλασσαν Ισραήλ δέ φυγάδα, πεζόν οδίτην διέσωσεν, άσμα τώ Θεώ αναμέλποντα».

Κορθφουμένην τήν τού βίου θάλασσαν, καί κυματούσαν δεινώς, τό τής ψυχής σκάφος, πειρασμοίς καί πάθεσιν, ό τής ειρήνης αϊτιος, πρός γαλήνην βαθείαν, ως ευεργέτης μετάβαλε, Μάρτυρος Χριστέ ταίς εντεύξεσι.

Λελογισμένη διανοία πάνσοφε, τώ νοερώ τής ψυχής, τό τής οργής πάθος, ευσεβώς υπέταξας, καί τώ πλησίον έδραμες, Σαπρικίω σπουδάζων διαλλαγήναι θεσπέσιε, νόμοις τού Σωτήρος πειθόμενος.

Ενδεδυμένος τού Σταυρού τήν δύναμιν, ερρωμενέστερον, τώ δυσμενεί Μάρτυς συμπλακείς κατέρραξας, καί νικηφόρος γέγονας, προκληθείς φερωνύμως, ώ Νικηφόρε πανεύφημε, Μάρτυς τού Χριστού παναοίδιμε.

Τριαδικόν

Ισοσθενή ομοφυή καί συνθρονον, καί ομοούσιον, τήν τριφεγγή αίγλην, τής μιάς θεότητος, ομολογούντες σέβομεν, εν τρισί τοίς προσώποις, αδιαιρέτως κηρύττοντες, Λόγον σύν Πατρί καί τώ Πνεύματι.

Θεοτοκίον

Νούς καί ουράνιος τό σόν μυστήριον, τό ακατάληπτον, κατανοείν όντως, ατονεί πανύμνητε, τού Πατρός γάρ ο σύνθρονος, εν γαστρί σου σκηνώσας, εκ σού τεχθήναι ηυδόκησε, φύσεσι διτταίς γνωριζόμενος.

Ωδή γ'  Ο Ειρμός

«Ο στερεώσας κατ' αρχάς, τούς ουρανούς εν συνέσει, καί τήν γήν επί υδάτων εδράσας, εν τή πέτρα με Χριστέ, τών εντολών σου στήριξον, ότι ουκ έστι πλήν σου, άγιος μόνε φιλάνθρωπε».

Ο Νικηφόρος προκληθείς, επί τών έργων εδείχθη, νικηφόρος, τής γάρ πλάνης τόν ζόφον, τώ τής χάριτος φωτί, διασκεδάσας έλυσε, κράζων. Ουκ έστι πλήν σου, άγιος μόνε φιλάνθρωπε.

Νενεκρωμένον διά σέ, πεπιστευκώς τόν Δεσπότην, αυθαιρέτως τώ θανάτω προστρέχεις, τήν εκούσιον αυτού, επιποθήσας νέκρωσιν, ως νικηφόρος Μάρτυς, θεία δυνάμει ρωννύμενος.

Επί τής γής αγωνιστής, εν Ουρανοίς στεφανίτης, ο θεράπων τού Χριστού Νικηφόρος, αναδέδεικται σαφώς, σύν Ασωμάτων τάξεσι, κράζων. Ουκ έστι πλήν σου, άγιος μόνε φιλάνθρωπε.

Τριαδικόν

Νού εκ μεγάλου τού Πατρός, εξορμηθέντα τόν Λόγον, εκπορευθέν δέ καί τό Άγιον Πνεύμα, διδαχθέντες ευσεβώς, τοίς θεοπνεύστοις δόγμασιν, ομολογούμεν πάντες, άκτιστον μίαν θεότητα.

Θεοτοκίον

Απειρογάμως εκ Πατρός, τόν πρό αιώνων τεχθέντα, εν γαστρί σου

συλλαβούσα Παρθένε, απεγέννησας ημίν, Θεόν ομού καί άνθρωπον, εν εκατέρα φύσει, τέλειον ού διαιρούμενον.

Κάθισμα Ήχος πλ. δ'
Τήν Σοφίαν καί Λόγον

Εντολών τού Κυρίου εκπληρωτής, πεφηνώς κατηλλάγης τώ δυσμενεί, πρός σέ τήν διάνοιαν, τήν αυτού Μάρτυς έχοντι, καί τήν διά ξίφους, τελείωσιν είληφας, αντ' εκείνου Μάκαρ, Θεού σε καλέσαντος, όθεν νικηφόρον, φερωνύμως δειχθέντα, αυτός εστεφάνωσεν, ως Δεσπότης αξίως σε, Αθλοφόρε, αήττητε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Καί νύν... Θεοτοκίον

Χαριστήριον αίνον χρεωστικώς, ως η χήρα εκείνη δύο λεπτά, προσφέρω σοι Δέσποινα, υπέρ πασών τών χαρίτων σου, σύ γάρ ώφθης σκέπη, ομού καί βοήθεια, πειρασμών καί θλίψεων, αεί με εξαίρουσα, όθεν ως εκ μέσου, φλογιζούσης καμίνου, ρυσθείς τών θλιβόντων με, εκ καρδίας κραυγάζω σοι, Θεοτόκε βοήθει μοι, πρεσβεύουσα τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δοθήναί μοι, σέ γάρ έχω ελπίδα, ο ανάξιος δούλός σου.

Η Σταυροθεοτοκίον

Τόν Αμνόν καί Ποιμένα καί Λυτρωτήν, η αμνάς θεωρούσα εν τώ Σταυρώ, ωλόλυζε δακρύουσα, καί πικρώς ανεκραύγαζεν, ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήν περ υπομένεις, διά σπλάγχνα ελέους, Θεέ υπεράγαθε, ανεξίκακε Κύριε, ή πιστώς εκβοήσωμεν. Σπλαγχνίσθητι Παρθένε εφ' ημάς, καί πταισμάτων δώρησαι τήν άφεσιν, τοίς προσκυνούσιν εν πίστει, αυτού τά παθήματα.

Ωδή δ' Ο Ειρμός

«Σύ μου ισχύς, Κύριε, σύ μου καί δύναμις, σύ Θεός μου, σύ μου αγαλλίαμα, ο πατρικούς κόλπους μή λιπών, καί τήν ημετέραν πτωχείαν επισκεψάμενος, διό σύν τώ προφήτη, Αββακούμ σοί κραυγάζω. Τή δυνάμει σου δόξα φιλάνθρωπε».

Θείας ζωής, ώ Νικηφόρε τετύχηκας, θείας αίγλης, Μάκαρ κατηξίωσαι, θείου φωτός, ακτινοειδώς, νύν αντανακλάσεις, τοίς εκτελούσι τήν μνήμην σου, θεόφρον αντιπέμπεις, τοίς εν πίστει βοώσι. Τή δυνάμει σου δόξα φιλάνθρωπε.

Λάμπεις Χριστού, Μάρτυσι συναριθμούμενος, έλυσας γάρ, πλάνην τήν πολύθεον, ξίφει τμηθείς, σύ τήν κεφαλήν, καί ταίς τών αιμάτων, ροαίς σου πάσαν κατέκλυσας, ειδώλων τήν απάτην, τώ Δεσπότη κραυγάζων. Τή δυνάμει σου δόξα φιλάνθρωπε.

Ο τούς θεσμούς, σού μή φυλάξας Σαπρίκιος, σής γυμνούται, Σώτερ θείας χάριτος, καί τοίς εχθροίς νώτα δεδωκώς, τής τών σών Μαρτύρων, στερείται

δόξης ο δείλαιος, διό σου τής δικαίας, εκπλαγέντες Προνοίας. Τή δυνάμει σου δόξα κραυγάζομεν.

Τριαδικόν

Φώς ο Πατήρ, άναρχον καί πάντων αϊτιον, φώς ο Λόγος, φώς τό Πνεύμα τό Άγιον, εκ τού Πατρός, ώσπερ εκ πηγής, πρό πάντων αιώνων, αφράστως απαυγαζόμενα, τρισήλιος θεότης, εν μιά τή ουσία, καί δυνάμει καί δόξη γνωρίζεται.

Θεοτοκίον

Όλον εν σοί, ανακαινίζει τόν άνθρωπον, όλος όλη, Πάναγνε ενούμενος, ο πατρικούς κόλπους μή λιπών, καί τήν σήν γαστέρα, οικήσαι καταδεξάμενος, ό πλούτω ευσπλαγχνίας εκουσίως πτωχευσας, καί πλουτήσας τόν κόσμον θεότητι.

Ωδή ε'  Ο Ειρμός

«Ίνα τί με απώσω, από τού προσώπου σου τό φώς τό άδυτον, καί εκάλυψέ με, τό αλλότριον σκότος τόν δείλαιον, αλλ' επίστρεψόν με, καί πρός τό φώς τών εντολών σου, τάς οδούς μου κατεύθυνον δέομαι».

Ροή τών σών αιμάτων, τόν τής Εκκλησίας Παράδεισον, ήρδευσας, αφοριζομένη, εις αρχάς τετραρίθμους μακάριε, αρετών ενθέων, εξ ών ψυχών ώ Νικηφόρε, αρυόμεθα θεία χαρίσματα.

Ο σπορεύς τής κακίας, τή μνησικακία τόν δείλαιον ήρπασε τής χρηστότητος δέ, καί ειρήνης, αίτιος είλκυσεν, αντ εκείνου θείον, φωτοειδή ηγλαϊσμένον, Νικηφόρον θεόφρονα Μάρτυρα.

Ιερεύεται Σώτερ, τό σόν εθελούσιον πάθος μιμούμενος ταίς γάρ εκ πλευράς σου, ό θεόφρων ρανίσι σταζόμενος, τών αυτού αιμάτων, σοί τούς κρουνούς αντικομίζει, διά ξίφους πρός σέ πορθευόμενος.

Τριαδικόν

Σωτηρίας κρηπίδα, τήν ορθοδοξίαν ειδότες συνάναρχον, τώ Πατρί τόν Λόγον, καί τό Άγιον Πνεύμα κηρύττομεν, τρισίν εν προσώποις, μίαν αρχήν μίαν ουσίαν, μίαν θέλησιν, μίαν ενέργειαν.

Θεοτοκίον

Νοερώς εμυήθη, προφητών ο σύλλογος τά σά Μυστήρια, Ουρανού γάρ πύλην, επί γής ο Δεσπότης σέ έδειξε, καί εκ σού Παρθένε, σωματωθείς δικαιοσύνης, τοίς εν σκότει ως Ήλιος έλαμψεν.

Ωδή ς'  Ο Ειρμός

«Άβυσσος αμαρτιών, καί πταισμάτων καταιγίς με ταράττει, πρός βυθόν βιαίως, συνωθεί απογνώσεως, αλλ' αυτός τήν κραταιάν, χείρά μοι έκτεινον ως τώ Πέτρω, καί εκ φθοράς με ανακάλεσαι».

Ίασαι τήν συντριβήν, τής ψυχής μου Νικηφόρε θεόφρον, καί τών παθών τόν ζόφον, διαλυσας απέλασον, λαμπηδόνι τής εν σοί θείας λαμπρότητος,

ικετεύων τόν λυτρωτήν Χριστόν μακάριε.

Κλύδωνος ειδωλικού, τρικυμίαν αθλητά Νικηφόρε, τώ τού σταυρού ιστίω, καί ταίς αύραις τού Πνεύματος, ευσταλώς διαπερών, Μάρτυς αήττητε, τώ λιμένι τώ γαληνώ, Χριστώ προσώρμισαι.

Ήθλησας μαρτυρικώς, καί τώ όντι Νικηφόρος εγένου, τάς μηχανάς ανδρείως, διαλύσας τού δράκοντος, καί παθών ως κοινωνός, Μάκαρ γενόμενος, τού Δεσπότου, νύν επαξίως συνδεδόξασαι.

Θεοτοκίον

Φρίττουσιν αι νοεραί, τών Αγγέλων εκπληττόμεναι τάξεις, τόν τώ Πατρί συνόντα πρό αιώνων καί Πνεύματι, εκ γαστρός σου σαρκικώς, βρέφος τικτόμενον καθορώσαι, Θεογεννήτορ πανσεβάσμιε.

Κοντάκιον Ήχος γ'

Η παρθένος σήμερον

Πτερωθείς Αοίδιμε, τή τού Κυρίου αγάπη, καί τόν τούτου ένδοξε, Σταυρόν επ' ώμων βαστάσας, ήσχυνας τού διαβόλου τάς μεθοδείας, ήθλησας μέχρι θανάτου καί αληθείας, διά τούτο ανεδείχθης, οπλίτης μύστης, Θεού τής Χάριτος.

Ο Οίκος

Τήν τού Παύλου σαφώς διδασκαλίαν επόθησας, καί τοίς στέρνοις τοίς σοίς Ένδοξε κατεφύτευσας, βοών. Η αγάπη ουκ ασχημονεί, αύτη τόν Κτίστην άνθρωπον τέλειον ημίν εχαρίσατο, δι' αγάπην πάντα υπέμεινεν, ήλους καί σταυρόν, όξος καί εμπτύσματα, λόγχη επάγη πλευράν αγίαν, δι' ής ανέβλυσεν ημίν αίμα καί ύδωρ θεουργόν, όν ποθήσας, εφάνης νικηφόρος, ως καί τή κλήσει, οπλίτης, μύστης Θεού τής χάριτος.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Θ' τού αυτού μηνός, Μνήμη τού Αγίου Μάρτυρος Νικηφόρου.

Στίχοι

- Τόν εκ παλαιού κλητικόν Νικηφόρον,
- Τμηθέντα γνώθι πρακτικόν Νικηφόρον.
- Φασγάνω αμφ' ενάτη Νικηφόρε, δειροτομήθης.

Τή αυτή ημέρα, Μνήμη τού οσίου Πατρός ημών Ρωμανού τού Κίλικος.

Στίχοι

- Λήθην βαθείαν είχε καί ζών τού βίου,
- Ρωμανός ούτος, ός μετέστη τού βίου.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Μαρκέλλου Επισκόπου Σικελίας, Φιλαγρίου Επισκόπου Κύπρου, καί Παγκρατίου Επισκόπου Ταυρομενίου.

Στίχοι

- Λυθέντες άνδρες σαρκικών τρείς αμμάτων (δεσμών δηλ.),
- Τών τής Εδέμ μετέσχον εντρυφημάτων.

Τή αυτή ημέρα, ο Άγιος Ιερομάρτυς Πέτρος ο Δαμασκηνός ξίφει τελειούται.

Στίχοι

- Ο διελέγξας τούς παραπλήγας Πέτρος,
- Θνήσκει μονοπλήξ τώ διά ξίφους τέλει.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον καί σώσον ημάς. Αμήν.

Ωδή ζ' Ο Ειρμός

«Θεού συγκατάβασιν, τό πύρ ηδέσθη εν Βαβυλώνι ποτέ, διά τούτο οι Παίδες, εν τή καμίνω αγαλλομένω ποδί, ως εν λειμώνι χορεύοντες έψαλλον. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών».

Ο θάνατος γέγονε, σοί Νικηφόρε διαβατήριον, εκ τών εντεύθεν Μάκαρ, πρός ουρανόν σε καί τά ουράνια, διαβιβάζων Αγγέλοις συμψάλλοντα. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Ρωννύμενος πάθεσι, τής ασθενείας τού Παντοκράτορος, τό μετέωρον όμμα, καί επηρμένην οφρύν κατέβαλες, εις γήν θεόφρον, κραυγάζων τώ Κτίστη σου. Ευλογητός ο Θεός, ό τών Πατέρων ημών.

Οδόν μαρτυρίου σου, ο Νικηφόρος τρέχων διήνυσε, πλατυνθείς τήν καρδίαν, τή ενεργεία τού θείου Πνεύματος, καί νύν προθύμως κραυγάζει σοι Δέσποτα. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Τριαδικόν

Νούν πρώτον καί άναρχον, γεγεννηκότα Λόγον συνάναρχον, απαθώς καί αχρόνως, καί προβαλόντα Πνεύμα Πανάγιον, σέ τόν Πατέρα ειδότες κραυγάζομεν, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Αμφότερα πέφυκας, Παρθένος Μήτηρ Θεοκυήτορ αγνή, εν γαστρί συλλαβούσα, Θεόν αφράστως εκ σού σαρκούμενον, εν εκατέρα μορφή γνωριζόμενον, θεανδρικώς επί γής πολιτευσάμενον.

Ωδή η' Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο Τύραννος, τοίς θεοσεβέσιν, εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών. Τόν Δημιουργόν καί Λυτρωτήν ανεβόα, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Σημειωθείς τή χάριτι, τού Σωτήρος αυτόκλητος, σύ πρός τούς αγώνας ανδρικώς εχώρησας, καί νίκην αράμενος, κατ' αντιπάλων Μάρτυς Χριστού, τοίς νικητικοίς κατεκοσμήθης στεφάνοις, ενθέως αναμέλπων. Ιερείς ευλογείτε,

λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Μυστικωτέρα κλίμακι, κεχρημένος τώ αίματι, πρός τόν υπέρ σού διά Σταυρού εκχέαντα, τό αίμα τό ίδιον, σφαγιασθείς ανήλθες φαιδρώς, τάς τών δυσμενών διεκφυγων μεθοδείας, καί χαίρων ανακράζεις, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Αγιασθείς δι' ύδατος, Νικηφόρε καί πνεύματος, καί μαρτυρικοίς πεφοινιγμένος αίμασι, μαρτύρων μετέσχηκας, τών αληθών Χριστού τού Θεού, τής φωτοειδούς λαμπρότητος ώ παμμάκαρ, εν ή νύν ανακράζεις. Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Τριαδικόν

Σύν ασωμάτοις Τάξεσιν, εν Τρισίν Υποστάσεσι, μίαν αγαθότητος πηγήν αέναον, αγέννητον άναρχον, υπερτελή θεότητα, δημιουργικήν, καί Βασιλίδα τών όλων, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Ιερωτέρα πέφηνας, Θεοτόκε πανύμνητε, τής υπερκοσμίου τών Αγγέλων τάξεως, τόν τούτων γάρ τέτοκας, Δημιουργόν καί Κύριον εκ παρθενικής, απειρογάμου νηδύος, εν δύο ταίς ουσίαις, ασυγχύτως ατρέπτως, μιά δέ υποστάσει, Θεόν σεσαρκωμένον.

Ωδή θ' Ο Ειρμός

«Εξέστη επί τούτω ο ουρανός, καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι μεγαλύνουσι».

Μετέστης ως νυμφίος ωραϊσθείς, εν στολαίς υφανθείσαις εξ αίματος, μαρτυρικού, θείας αγλαΐας πρός μετοχήν, τού κοσμηθέντος σώματος, καί καλλωπισθέντος τώ σταυρώ, τώ πάθει τώ Τιμίω, τού πάντων ευεργέτου, ώ Νικηφόρε παμμακάριστε.

Εθέλχθης τού Δεσπότου ταίς καλλοναίς, ών ουδέν ωραιότερον ένδοξε, καί τής αυτού, σπεύδων απολαύειν διηνεκούς, καί ευπρεπούς λαμπρότητος, ξίφει εκτεμείν σου τήν κεφαλήν, ηρέθισας τυράννους, πυρούμενος τώ πόθω, ώ Νικηφόρε τού Κυρίου σου.

Λαμπρώς κατά τής πλάνης Μάρτυς Χριστού, αριστεύσας καί ταύτην τρεψάμενος, ως νικητής, στέφος εκομίσω τή κορυφή, τό τών χαρίτων ένδοξε, καί νύν συγχορεύεις μαρτυρικώς, Μαρτύρων ταίς χορείαις, παμμάκαρ Νικηφόρε, περί τόν θρόνον τού Παντάνακτος.

Τριαδικόν

Πατρός εξ αγεννήτου θεοπρεπώς, τόν Υιόν γεννηθέντα δοξάζοντες, καί τό ευθές, Πνεύμα πρό αιώνων εκπορευθέν, τρείς υποστάσεις σέβομεν, τής

υπερουσίου καί αρχικής, Τριάδος ηνωμένας, ενώσει ασυγχύτω, καί ευσεβούντες μεγαλύνομεν.

Θεοτοκίον

Ωράθης ώ Παρθένε Μήτηρ Θεού, υπέρ φύσιν τεκούσα εν σώματι, τόν αγαθόν, Λόγον εκ καρδίας τής εαυτού, όν ο Πατήρ ηρεύξατο, πάντων πρό αιώνων ως αγαθός, όν νύν καί τών σωμάτων, επέκεινα νοούμεν, εί καί τό σώμα περιβέβληται.

Εξαποστειλάριον

Ο ουρανόν τοίς άστροις

Φερώνυμος εδείχθης, τής νίκης ώ Νικηφόρε, αγάπη καί μαρτυρίω, νενικηκως τούς τυράννους, όθεν καί νίκης τό στέφος, εδέξω παρά Κυρίου.

Θεοτοκίον

Τή κραταιά σου σκέπη, από εχθρών επιβουλής, ημάς αγνή, τούς σούς δούλους, φύλαττε πάντας αβλαβείς, σέ γάρ κεκτήμεθα μόνην, καταφυγήν εν ανάγκαις.

Εις τόν Στίχον, τών Αίνων, τά Στιχηρά τής Οκτωήχου.

Καί η λοιπή, Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Ι' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Ιερομάρτυρος Χαραλάμπους τού Θαυματουργού.

ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά, Προσόμοια τρία, δευτερούντες τό πρώτον.

Ήχος α'

Τών ουρανίων ταγμάτων

Τών ουρανίων τά κάλλη ποθήσας Ένδοξε, καί τώ Χριστώ συνείναι, μετ' Αγίων Αγγέλων, παντοίας τάς βασάνους υπέστης στερρώς, καί τυράννων ωμότητα, καί μαρτυρήσας γενναίως υπέρ Χριστού, συνευφραίνη τοίς Μαρτύρων χοροίς.

Μαρμαρυγαίς ακηράτοις καταστραπτόμενος, τού νοητού Ηλίου, ώ Χαράλαμπες μάκαρ, ολόφωτος εδείχθης Μάρτυς Χριστού, ιερεύς τεννομώτατος, διό Χριστώ συνυπάρχων εν ουρανοίς, υπέρ κόσμου παντός πρέσβευε.

Τών αθλοφόρων χορείαις συναυλιζόμενος, εν ουρανοίς Τρισκάκαρ, παρεστώς τε τή θεία, Τριάδι τή ανάρχω μνείαν ποιου, τών τελούντων τήν μνήμην σου, καί τήν πανσέβαστον κάραν σου ευλαβώς, προσκυνούντων

μετά πίστεως.

Δόξα... Ήχος β'

Η Εκκλησία σήμερον πανηγυρίζει μυστικώς, νέαν στολήν ενδυσαμένη, ως πορφύραν καί βύσσον, τό αίμα τού Αθλοφόρου Χαραλάμπους, τούτον γάρ εν ευσεβεία εκ θρεψαμένη, θυσίαν άμωμον δεκτήν καί ευάρεστον, Χριστώ προσήγαγε. Διό ο νικητήν τούτον τών παρανόμων αναδείξας, Χριστέ ο Θεός, καί στεφανώσας καί δοξάσας, καί ημίν κατάπεμψον, ταίς αυτού πρεσβείαις, τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Τήν πάσαν ελπίδα μου εις σέ ανατίθημι, Μήτηρ τού Θεού, φύλαξόν με υπό τήν σκέπην σου.

Εις τόν Στίχον, Στιχηρά προσόμοια.

Ήχος β' Οίκος τού Εφραθά

Σύμπασα η Ελλάς, ενθέως νύν αγάλλου, κατέχουσα εν κόλποις, τήν σεβάσμιον κάραν, τήν τού Ιερομάρτυρος.

Στίχ. Θαυμαστός ο Θεός εν τοίς αγίους αυτού ο Θεός Ισραήλ αθτός δώσει δύναμιν καί κραταίωσιν τώ λαώ αυτού ευλογητός ο Θεός

Ω θαύματος φρικτού! ώ τεραστίου ξένου! οστά γάρ τών Μαρτύρων, ιάσεις εκτελούσι, καί θαύματα παράδοξα.

Στίχ. Δίκαιος ως φοίνιξ ανθήσει, ωσεί κέδρος η εν τώ Λιβάνω πληθυνθήσεται

Στίφει νύν τών Πιστών, καί τής Ελλάδος παίδες, ασπάσασθε προθύμως, τού θείου Χαραλάμπους, τήν κάραν τήν σεβάσμιον.

Δόξα... Καί νύν... Θεοτοκίον

Πάγχρυσε κιβωτέ, καί στάμνε μανναδόχε, Μαρία Θεοτόκε, τόν σόν Υιόν δυσώπει, τού σώσαι τάς ψυχάς ημών.

Απολυτίκιον Ήχος δ'

Ταχύ προκατάλαβε

Ως στύλος ακλόνητος, τής Εκκλησίας Χριστού, καί λύχνος αείφωτος τής οικουμένης σοφέ, εδείχθης Χαράλαμπες, έλαμψας εν τώ κόσμω, διά τού μαρτυρίου, έλυσας τών ειδώλων, τήν σκοτόμαιναν μάκαρ, διό εν παρρησία Χριστώ, πρέσβευε σωθήναι ημας.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετά τόν Προοιμιακόν, στιχολογούμεν τήν α' στάσιν τού α' Καθίσματος τού Ψαλτηρίου.

Εις δέ τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν τά παρόντα

προσόμοια Στιχηρά.

Ήχος πλ. β'
Όλην αποθέμενοι

Όλος εκ νεότητος, ανατεθείς τώ Δεσπότη, τούτον επεπόθησας, και αυτού τοίς ίχνεσιν ηκολούθησας, καθαρθείς πάσης δέ, τών παθών κηλίδος, θείαν χάριν κατεπλούτησας, τελείν ιάματα, καί θαυματουργείν τά παράδοξα, καί Μάρτυς εχρημάτισας, πάσαις προσβολαίς τών κολάσεων, ακλόνητος μείνας, δυνάμει τού τυθέντος εν Σταυρώ, όν εκτενώς καθικέτευε, υπέρ τών ψυχών ημών.

Ήλοις προσηλούμενος, σού τό μακάριον σώμα, τό καρτερικώτατον, αθλητά Χαράλαμπες, καί αήττητον, τήν ψυχήν άτρεπτον, καί τόν νούν άσυλον, διετήρεις συντριβόμενος, θείος γάρ έρως σε, ένδοθεν πλουσίως ανέφλεγε, καί φέρειν τών κολάσεων, άπασαν ιδέαν ηρέθιζε, Μάρτυς αθλοφόρε, Χριστού, τών παθηματωνκοινωνέ, όν παρρησία ικέτευε, υπέρ τών ψυχών ημών.

Χαράν τήν υπέρλαμπρον, καί τήν υπέρτιμον δόξαν, αθλήσας κεκλήρωσαι, καί τήν αιωνίζουσαν άγαλλίασιν, Ιερεύ Όσιε, αθλητά τίμιε, Στρστιώτα γενναιότατε, ο τά στρατεύματα, καί τάς παρατάξεις τού δράκοντος, αιμάτων σου τοίς ρεύμασιν, άρδην κατακλύσας τή χάριτι, καί θεία εντεύξει, νεκρούς εξαναστήσας αληθώς, καί παρρησία δεόμενος, υπέρ τών ψυχών ημών.

Έτερα  Ήχος δ'
Έδωκας σημείωσιν

Έδωκας τό σώμά σου, πρός τάς βασάνους αοίδιμε, τήν ψυχήν δέ ετήρησας, άμωμον ακίβδηλον, πάσης αμαρτίας, καί τής δυσσεβείας, τών παρανόμων αικιστών, καί ανυψώσας τόν νούν μετάρσιον, πανόλβιε Χαράλαμπες, πρός τόν Δεσπότην καί Πλάστην σου, κατοικείν κατηξίωσαι, εις παστάδα ουράνιον.

Έδωκας τοίς δούλοις σου, τόν σόν θεράποντα Κύριε, Χαραλάμπη τόν ένδοξον, ίασιν αλάθητον, νόσων πολυτρόπων, καί καθαιρέτην τής πλάνης μέγιστον, διό σου τήν φιλάνθρωπον, οικονομίαν δοξάζομεν, πολυεύσπλαγχνε Κύριε, καί Σωτήρ τών ψυχών ημών.

Χάριν ήν περ είληφας, παρά Θεού υπέρ έννοιαν, αθλοφόρε Χαράλαμπες, χάρις τών ιάσεων, πάσι παρεμφαίνει, καί τών θαυμασίων, η αναρίθμητος πληθύς, τάς δωρεάς σου κηρύττει Άγιε, άς όντως υπέρ λόγον τε, καί νούν απείληφας ένδοξε, πρός Χριστού τού Θεού ημών, τών Μαρτύρων αγλάϊσμα.

Δόξα... Ήχος δ'
Έθυσας τώ Θεώ θυσίαν αινέσεως

Ιερουργών τώ Δεσπότη καί Κτίστη σου, ως ιερεύς εννομώτατος, ού καί τού πάθους γέγονας μιμητής, θεόφρον Χαράλαμπες, σεαυτόν γάρ θυσίαν ευπρόσδεκτον προσήγαγες, τώ διά σέ θυσίαν εαυτόν, τώ Θεώ καί Πατρί προσαγαγόντι. Διό συναγάλλη αυτώ εις ουρανίους σκηνώσεις, εν Εκκλησία τών πρωτοτόκων ώ καί πρεσβεύεις αδιαλείπτως, ίνα ρυσθώμεν οργής καί θλίψεως, οι τιμώντές σου τήν πανέορτον μνήμην, καί πόθω ζέοντι

προσκυνούντες τήν σήν Κάραν, τήν άπειρα θαύματα βρύουσαν, καί λοιμώδη νόσον εκ ποδών ποιουμένην, σωτηρίαν τε καί ίασιν ημίν βραβεύουσαν.

Καί νύν... Θεοτοκίον

Ο διά σέ θεοπάτωρ προφήτης Δαυϊδ, μελωδικώς περί σού προανεφώνησε, τώ μεγαλειά σοι ποιήσαντι. Παρέστη η Βασίλισσα εκ δεξιών, σου. Σέ γάρ μητέρα πρόξενον ζωής ανέδειξεν, ο απάτωρ εκ σού ενανθρωπήσαι ευδοκήσας Θεός, ίνα τήν εαυτού αναπλάση εικόνα, φθαρείσαν τοίς πάθεσι, καί τό πλανηθέν ορειάλωτον ευρών πρόβατον, τοίς ώμοις αναλαβών, τώ Πατρί προσαγάγη, καί τώ ιδίω θελήματι ταίς ουρανίαις συνάψη Δυνάμεσι, καί σώση, Θεοτόκε, τόν κόσμον, Χριστός ό έχων τό μέγα, καί πλούσιον έλεος.

Είσοδος, τό, Φώς Ιλαρόν, Προκείμενον τής ημέρας, καί τά Αναγνώσματα.

Προφητείας Ησαϊου τό Ανάγνωσμα
(Κεφ. 43, 9, 14)

Τάδε λέγει Κύριος. Πάντα τά έθνη συνήχθησαν άμα, καί συναχθήσονται άρχοντες εξ αυτών. Τίς αναγγελεί ταύτα εν αυτοίς; ή τά εξ αρχής τίς ακουστά ποιήσει; αγαγέτωσαν τούς μάρτυρας αυτών, καί δικαιωθήτωσαν, καί ειπάτωσαν αληθή. Γίνεσθέ μοι μάρτυρες, καί εγώ μάρτυς Κύριος ο Θεός, καί ο παίς, όν εξελεξάμην ίνα γνώτε καί πιστεύσητέ μοι, καί συνήτε, ότι εγώ ειμι, έμπροσθέν μου ουκ εγένετο άλλος Θεός, καί μετ' εμέ ουκ έσται. Εγώ ειμι ο Θεός, καί ουκ έστι πάρεξ εμού ο σώζων. Εγώ ανήγγειλα καί εσωσα, ωνείδισα, καί ουκ ήν εν υμίν αλλότριος, υμείς εμοί μάρτυρες, καί εγω Κύριος ο Θεός. Ότι απ' αρχής εγώ ειμι, καί ουκ έστιν ό εκ τών χειρών μου εξαιρούμενος, ποιήσω, καί τίς αποστρέψει αυτό, ούτω λέγει Κύριος ο Θεός, ο λυτρούμενος ημάς, ο άγιος Ισραήλ.

Σοφίας Σολομώντος τό Ανάγνωσμα
(Κεφ. 3, 1-9)

Δικαίων ψυχαί εν χειρί Θεού, καί ου μή άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι, καί ελογίσθη κάκωσις η έξοδος αυτών, καί η αφ' ημών πορεία σύντριμμα, οι δέ εισιν εν ειρήνη. Καί γάρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Καί ολίγα παιδευθέντες, μεγάλα ευεργετηθήσονται, ότι ο Θεός επείρασεν αυτους, καί εύρεν αυτούς αξίους εαυτού. Ως χρυσόν εν χωνευτηρίω εδοκίμασεν, αυτούς, καί ως ολοκαρπωμα θυσίας προσεδέξατο αυτούς. Καί εν καιρώ επισκοπής αυτών αναλάμψουσι, καί ως σπινθήρες εν καλάμη διαδραμούνται. Κρινούσιν έθνη, καί κρατήσουσι λαών, καί βασιλεύσει αυτών Κύριος εις τούς αιώνας. Οι πεποιθότες επ' αυτόν συνήσουσιν αλήθειαν, καί οι πιστοί εν αγάπη προσμενούσιν αυτώ, ότι χάρις καί έλεος εν τοίς οσίοις αυτού, καί επισκοπή εν τοίς εκλεκτοίς αυτού.

Σοφίας Σολομώντος τό Ανάγνωσμα
(Κεφ. 5, 15-23 & 6, 1-3)

Δίκαιοι εις τόν αιώνα ζώσι, καί εν Κυρίω ο μισθός αυτών, καί η φροντίς αυτών παρά Υψίστω. Διά τούτο λήψονται τό βασίλειον τής ευπρεπείας, καί τό

διάδημα τού κάλλους εκ χειρός Κυρίου, ότι τή δεξιά αυτού σκεπάσει αυτούς, καί τώ βραχίονι υπερασπιεί αυτών. Λήψεται πανοπλίαν, τόν ζήλον αυτού, καί οπλοποιήσει τήν κτίσιν εις άμυναν εχθρών. Ενδύσεται θώρακα, δικαιοσύνην, καί περιθήσεται κόρυθα, κρίσιν ανυπόκριτον. Λήψεται ασπίδα ακαταμάχητον, οσιότητα, οξυνεί δέ απότομον οργήν εις ρομφαίαν, συνεκπολεμήσει αυτώ ο κόσμος επί τούς παράφρονας. Πορεύσονται εύστοχοι βολίδες αστραπών, καί ως από ευκύκλου τόξου τών νεφών, επί σκοπόν αλούνται, καί εκ πετροβόλου θυμού πλήρεις ριφήσονται χάλαζαι. Αγανακτήσει κατ' αυτών ύδωρ θαλάσσης, ποταμοί δέ συγκλύσουσιν αποτόμως. Αντιστήσεται αυτοίς πνεύμα δυνάμεως καί λαίλαψ εκλικμήσει αυτούς, καί ερημώσει πάσαν τήν γήν ανομία, καί η κακοπραγία περιτρέψει θρόνους δυναστών. Ακούσατε ούν βασιλείς καί σύνετε, μάθετε δικασταί περάτων γής. Ενωτίσασθε οι κρατούντες πλήθους, καί γεγαυρωμένοι επί όχλοις εθνών. Ότι εδόθη παρά Κυρίου η κράτησις υμίν, καί η δυναστεία παρά Υψίστου.

Εις τήν Λιτήν, Στιχηρά Ιδιόμελα.

Ήχος α'

Ευφραίνεσθε εν Κυρίω πόλεις τής Ελλάδος, καί σκιρτήσατε αγαλλόμεναι, τήν κάραν τού μεγαλομάρτυρος Χαραλάμπους, εν κόλποις κατέχουσαι, ως θησαυρόν βαθυτάλαντον καί ανεξάλειπτον, μεθ' ών καί ημείς οσημέραι, απαρυόμενοι εξ αυτής τά τών ιάσεων ρείθρα, τής πανώλους λοιμικής απαλλαττόμεθα νόσου, ευχαριστούντες Θεώ, τώ κηδεμόνι καί Σωτήρι τών ψυχών, καί τών σωμάτων ημών.

Ο αυτός

Τόν θείον αγώνα καλώς αγωνισάμενος Μάρτυς Χαράλαμπες, τής ουρανών βασιλείας οικήτωρ γέγονας, καί πρεσβεύεις υπέρ τού κόσμου παναοίδιμε, τό δέ καρτερικώτατόν σου σώμα, εν τή γή κατέλιπες, ίαμα σωτήριον τοίς αυτώ προσιούσι καί απτομένοις μετά πόθου, τήν δέ πάντιμόν σου κάραν, η Ελλάς εκτήσατο πλούτον αδάπανον, καί θησαυρόν πολύτιμον, δι' ής τών όντως εφετών τυγχάνει, καί τών εναντίων εκλυτρούται, επισκιάσει τής εν σοί θείας χάριτος.

Ο αυτός

Πίστει καί πόθω αναφλεχθείς, τώ πρός τόν Δεσπότην σου ζέοντι, και τώ μαρτυρίω τώ υπέρ Χριστού, ώσπερ κλίμακι χρησάμενος, ανήλθες πρός ουρανίους λειμώνας, κακείθεν τή θεόθεν δοθείση σοι χάριτι, εποπτεύεις τούς τελούντας τήν σεβάσμιον μνήμην σου, καί τούς σούς γεραίροντας αγώνας, καί τήν σήν πάντιμον κάραν κατασπαζομένους, Μάρτυς Χαράλαμπες.

Ο αυτός

Τά τού πονηρού ηκονημένα βέλη, απήμβλυνας Άγιε, τή τών σών άθλων αντιτυπία καί κατήσχυνας όφιν τόν αρχέκακον, καί τό τούτου όργανον, Σεβήρον τόν ασεβέστατον. Ακλινεί γάρ διανοία τή πέτρα ερηρεισμένος τής πίστεως, αδιάσειστος έμεινας, διό αι αντιφάσεις τής ασεβείας, ου κατίσχυσαν περιτρέψαι τήν στερράν σου ευσέβειαν. Ανθ' ών εν ουρανοίς συγχορεύεις Αγγέλοις, καί πρεσβεύεις αδιαλείπτως, υπέρ τών πίστει καί πόθω τιμώντων

εν άσμασι, τήν πανσεβάσμιον κάραν σου.

Ο αυτός

Μεγαλομάρτυς Αθλητά τού Χριστού, Χαράλαμπες γενναιότατε, σύ ρωμαλέω φρονήματι, τόν όντως Θεόν μεγαλοφώνως εν σταδίω εκήρυξας, τών παρόντων καταφρονήσας ως προσκαίρων. Καί νύν εν ουρανοίς επαγαλλόμενος, σύν τοίς χοροίς τών Αγγέλων, απαύστως τόν Χριστόν, όν Υιόν Θεού παρρησία ωμολόγησας, ικέτευε ειρηνεύσαι τόν κόσμον, καί τήν πανώλεθρον λοιμικήν νόσον εξ ανθρώπων ποιήσαι, εκ κινδύνων λυτρούμενον, ημάς παντοίων αεί, τούς εν πίστει καί πόθω ασπαζομένους τήν σεβάσμιον κάραν σου, καί τήν αγίαν σου μνήμην εορτάζοντας.

Ο αυτός

Ρωμαλεότητι φρενών ωχυρωμένος θεσπέσιε, τάς βασάνους τών αθέων εις ουδέν ελογίσω, αλλ' ανδρείως ώρμησας πρός τά σκάμματα, τώ δέ θείω Πνεύματι λαμπρυνθείς τήν διάνοιαν, βασιλέα παρανομώτατον ήλεγξας, καί τήν ορθόδοξον πίστιν εκράτυνας. Καί νύν εν ουρανοίς τά γέρα τών σών πόνων κομισάμενος, απαύστως δοξολογείς τήν Αγίαν Τριάδα, καί πρεσβεύεις υπέρ τών πίστει καί πόθω τιμώντων, τήν σεβάσμιον κάραν σου.

Δόξα... Ήχος πλ. α'

Δεύτε φιλομάρτυρες πάντες, ευωχηθώμεν εν τή πανσέπτω πανηγύρει τού Αθλοφόρου, καί πνευματικώς πανηγυρίσωμεν. Σήμερον γάρ συγκαλείται ημάς, η πανσεβάσμιος πανήγυρις, Χαραλάμπους τού Ιερομάρτυρος, τράπεζαν ημίν παρατιθεμένη, τάς αριστείας τών παλαισμάτων αυτού, καί τήν πανεύφημον αυτού Κεφαλήν, ιάματα ως νάματα βλύζουσαν, πάσι τοίς πιστώς αυτή προσιούσι, καί αρυομένοις εξ αυτής ίασιν, ψυχών τε καί σωμάτων, καί δεινών απαλλαγήν, καί τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Σέ δυσωπούμεν, ως Θεού Μητέρα, ευλογημένη, πρέσβευε σωθήναι ημάς.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος α'  Πανεύφημοι Μάρτυρες

Πανεύφημε Μάρτυς τού Χριστού, αθλητά Χαράλαμπες, σύ τόν Χριστόν ανεκήρυξας, Θεόν καί άνθρωπον, μέσον τού σταδίου, διό καί ηγώνισαι, κατά τών αντιπάλων ρωννύμενος, σθένει τού Πνεύματος, καί τόν στέφανον απείληφας, όθεν πάντες τήν κάραν σου σέβομεν.

Στίχ. Δίκαιος ως φοίνιξ ανθήσει, ωσεί κέδρος η εν τώ Λιβάνω πληθυνθήσεται

Αβρύνεται σήμερον Ελλάς, πάσα η χριστώνυμος, κάραν τήν σήν γάρ εκτήσατο, ως κρήνην βρύουσαν, ιαμάτων ρείθρα, καί πλούτον αδάπανον, καί χάριν κενουμένην μηδέποτε, νόσους τ' ελαύνουσαν, λοιμικήν τε τήν πολύφθορον, εξ ανθρ' ωπων τών μακαριζόντων σε.

Στίχ. Τοίς αγίοις τοίς εν τή γή αυτού, εθαυμάστωσεν πάντα τά θελήματα αυτού εν αυτοίς

Νεκρόν αναστήσας δι' ευχής, ασεβείς κατέπτηξας, εξ ών καί πλείστους προσήγαγες, Χριστώ Πανόλβιε, καί τόν δαιμονώντα, ευθύς ιασάμενος, Γαλήνην Βασιλίδα ανείλκυσας, τής πλάνης δαίμονος, καί Χριστώ ταύτην προσήγαγες, εστεμμένην ως παρθενομάρτυρα.

Δόξα... Ήχος δ'

Τόν νοερόν αδάμαντα, τής υπομονής αδελφοί, τόν γενναιότατον αθλητήν, τόν δυσί στέμμασι κατεστεμμένον, Ιερωσύνης καί αθλήσεως, παρά τής δεξιάς τού παντάνακτος Θεού, Χαραλάμπη, τόν εν Μάρτυσι μέγιστον ευφημήσωμεν. Ούτος γάρ τόν αλάστορα καταπαλαίσας, τρόπαιον μέγα κατά πλάνης ανεστήσατο. Καί νύν εν ουρανοίς τόν Θεόν εξαιτείται, άφεσιν αμαρτιών ημίν παρασχείν, καί παντοίων νόσων απαλλαγήν, τοίς θερμώς προστρέχουσιν αυτώ, και τήν αγίαν αυτού Κάραν ευλαβώς ασπαζομένοις, καί τήν ετήσιον αυτού μνήμην μετά πόθου τελούσι, καί αιτουμένοις δι' αυτού τόν Θεόν ιλασμόν, καί τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Εκ παντοίων κινδύνων τούς δούλους σου φύλατε, ευλογημένη Θεοτόκε, ίνα σε δοξάζωμεν, τήν ελπίδα τών ψυχών ημών.

Απολυτίκιον Ήχος δ'

Ταχύ προκατάλαβε

Ως στύλος ακλόνητος, τής Εκκλησίας Χριστού, καί λύχνος αείφωτος τής οικουμένης σοφέ, εδείχθης Χαράλαμπες, έλαμψας εν τώ κόσμω, διά τού μαρτυρίου, έλυσας τών ειδώλων, τήν σκοτόμαιναν μάκαρ, διό εν παρρησία Χριστώ, πρέσβευε σωθήναι ημας.

Δόξα... Καί νύν... Θεοτοκίον

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος γ'

Θείας πίστεως

Έργοις έλαμψας τής ευσεβείας, πλάνην έσβεσας κακοδοξίας, ως τού Χριστού στρατιώτης Χαράλαμπες, καί παρανόμων τάς φάλαγγας ήσχυνας, τροπαιοφόρος παμμάκαρ γενόμενος, Μάρτυς ένδοξε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Θεοτοκίον

Θαύμα μέγιστον! πώς εν αγκάλαις, σύ εβάστασας Παρθενομήτορ, τόν εν δρακί αυτού τά πάντα συνέχοντα, καί εκ μαζών σου εξέθρεψας γάλακτι, τόν τροφοδότην καί πλάστην τής φυσεως, Κόρη πάναγνε, αυτόν εκτενώς ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Μετά τήν β' Στιχολογίαν

Κάθισμα  Ηχός δ'
Επεφάνης σήμερον

Ως φωστήρ ανέτειλας εκ τής Εώας, καί πιστούς εφώτισας, ταίς τών θαυμάτων σου βολαίς, Ιερομάρτυς Χαράλαμπες, όθεν τιμώμεν τά θεία σου λείψανα.

Δόξα... Όμοιον

Ιερόν τό Πνεύμά σε Ιερομάρτυς, Ιερώς ανέδειξε, τό Ιερόν θύμα σοφέ, προσενεχθέν Ιερώτατε, τώ θείω λόγω, ώ θείως δεδόξασαι.

Καί νύν... Θεοτοκίον

Μωϋσής εώρακε πυρφόρον βάτον, σέ τό πύρ βαστάσασαν, τό τάς ψυχάς φωταγωγούν, καί μή φλεχθείσαν Πανάμωμε, δρόσου δέ μάλλον, πλησθείσαν τής χάριτος.

Μετά τόν Πολυέλεον

Κάθισμα  Ήχος γ'
Τήν ωραιότητα

Τήν καθαρότητα Μάρτυς τού βίου σου, καί τό υπέρλαμπρον τού μαρτυρίου σου, καταπλαγείσα η Ελλάς, βοά σοι ευφραινομένη. Σήμερον τιμώμέν σου, κεφαλήν τήν σεβάσμιον, θραύσον τά φρυάγματα, τών εχθρών ημών Άγιε, καί λύτρωσαι ημάς εκ τών κινδύνων, καί νοσημάτων τούς υμνούντάς σε.

Θεοτοκίον

Τήν απειρόγαμον θεογεννήτριαν, τήν τόν αχώρητον γαστρί χωρήσασαν, καί τόν τροφέα τού παντός, τώ γάλακτι θρεψαμένην, μόνην εξισχύσασαν, τής κατάρας λυτρώσασθαι, γένος τό ανθρώπινον, τήν πανάχραντον Δέσποιναν, υμνήσωμεν συμφώνως βοώντες. Χαίρε η Κεχαριτωμένη.

Τό Α' Αντίφωνον τών Αναβαθμών τού δ' Ήχου.

Προκείμενον  Ήχος δ'

Δίκαιος ως φοίνιξ ανθήσει, ωσεί κέδρος η εν τώ Λιβάνω πληθυνθήσεται
Στίχ. Πεφυτευμένοι εν τώ οίκω Κυρίου, εν ταίς αυλαίς τού Θεού ημών εξανθήσουσιν

Πάσα πνοή

Ευαγγέλιον κατά Λουκάν

Ο Ν'

Δόξα... Ταίς τού Αθλοφόρου...

Καί νύν... Ταίς τής Θεοτόκου...

Στίχ. Ελέησόν με ο Θεός...

Καί τό Ιδιόμελον, Ήχος πλ. β'

Φάλαγγα θεοστεφή, φωτοφανούς Μάρτυρος, υπέρ Χριστού τυθείσαν Προθύμως, τόν αγιόλεκτον συνασπισμόν, τού Ιερομάρτυρος Χαραλάμπους, φιλομάρτυρες δεύτε τιμήσωμεν, καί τήν πανίερον μνήμην αυτού πνευματικώς τελέσαντες, πρός αυτόν βοήσωμεν. Τής λοιμικής απειλής, τόν ευσεβόφρονα λαόν σου ελευθέρωσον, καί λύτρωσαι ημάς από πάσης περιστάσεως.

Είτα ψάλλεται ο Κανών τής Θεοτόκου μετά τών Ειρμών εις ς' καί τού Αγίου οι δύο παρόντες εις η'.

Κανών α' τού Αγίου

Ωδή α' Ήχος πλ. β'

«Ως εν ηπείρω πεζευσας ο Ισραήλ, εν αβύσσω ίχνεσι, τόν διώκτην Φαραώ, καθορών ποντούμενον, Θεώ επινίκιον ωδήν, εβόα άσωμεν».

Χοροβατών εύφροσυνως τά νοητά, ουρανών σκηνώματα, καί λαμπόμενος φωτί, ανεσπέρω ρύσαί με παθών, ταίς πρεσβείαις σου Σοφέ, όπως υμνήσω σε.

Η φωτοφόρος σου μνήμη ηλιακάς, απαστράπτει χάριτας, καί φωτίζει τούς πιστώς, εν αυτώ τιμώντάς σε χαράς, λαμπροτάτης αληθώς, Μάρτυς επώνυμε.

Ταίς τών αιμάτων ρανίσι τήν αλμυράν, απιστίας θάλασσαν, κατακλύσας ποταμός, ευσεβείας γέγονας Χριστού, καταρδεύων αληθώς, τήν Εκκλησίαν αεί.

Θεοτοκίον

Αμαρτιών καταιγίδες καί λογισμών, εναντία κύματα, καί παθών επαγωγαί, επ' εμέ διήλθοσαν, τή σή, Θεοτόκε κραταιά πρεσβεία, σώσόν με.

Κανών δεύτερος

Ωδή α' Ήχος δ'

«Ανοίξω τό στομα μου, καί πληρωθήσεται Πνεύματος, καί λόγον ερεύξομαι, τή Βασιλίδι Μητρί, καί οφθήσομαι, φαιδρώς πανηγυρίζων, καί άσω γηθόμενος, ταύτης τά θαύματα».

Τήν κάραν τήν πάνσεπτον, καί τά παλαίσματα Κύριε, υμνείν εφιέμενος, τού σού θεράποντος, θείαν έλλαμψιν, εξ ύψους εξαιτούμαι, δι' ής αναμέλψασθαι, ταύτα δυνήσομαι.

Σεβήρον τόν άθεον, τόν ωρυόμενον λέοντα, καθείλες Χαράλαμπες, σύν Κρίσπω άφρονι, τήν δυσσέβειαν, τήν τούτων άπελέγξας, ανθ' ών

εστεφάνωσαι, χειρί τού Κτίστου σου.

Βασίλειον κόσμον σε, η Εκκλησία εκτήσατο, δαιμόνων διώκτην τε, θείε Χαράλαμπες, νοσημάτων τε, παντοίων ελατήρα, διό εορτάζει σου, τήν μνήμην Άγιε.

Θεοτοκίον

Μαρίαν τήν άχραντον, καί Θεοτόκον υμνήσωμεν, τό όρος τό άγιον, στάμνον τήν πάγχρυσον, τήν βαστάσασαν, τό φύσει θείον μάννα, τό τρέφον εκάστοτε, πιστούς τή χάριτι.

Καταβασία

«Ανοίξω τό στομα μου, καί πληρωθήσεται Πνεύματος, καί λόγον ερεύξομαι, τή Βασιλίδι Μητρί, καί οφθήσομαι, φαιδρώς πανηγυρίζων, καί άσω γηθόμενος, ταύτης τά θαύματα».

## Ωδή γ'

«Ουκ έστιν Άγιος ως σύ, Κύριε, Ο Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου αγαθέ, καί στερεώσας ημάς, εν τή πέτρα, τής Ομολογίας σου».

Ουκ έστιν όλως εξειπείν, τών θαυμάτων τα πλήθη, άπερ έδρασας έτι, εν τώ βίω περιών, καί πρός Θεόν μετελθών, Αθλοφόρε, Μάρτυς αξιάγαστε.

Δυνάμει θεία κρατυνθείς, τό ανίσχυρον θράσος, τών ανόμων καθείλες, στρατιώτης ως στερρός, Χαράλαμπες αθλητά, ως οπλίτης θείας παρατάξεως.

Αιμάτων ρεύσαντες κρουνοί, σού τού σώματος πάσαν, ασεβείας τήν φλόγα, καί δεινήν πυρκαϊάν, κατέσβεσαν, τής τρυφής, τόν χειμάρρουν, σοί δέ προεξένησαν.

Θεοτοκίον

Αγίων Άγιον Θεόν, τέτοκας Παναγία, αγιότητος οίκος, δεδειγμένη καθαρός, καί Πύλη μόνος Χριστός, ήν διήλθε, σώζων τό ανθρώπινον.

## Κανών δεύτερος

Τούς σούς υμνολόγους

«Τούς σούς υμνολόγους Θεοτόκε, πιστώς συνελθόντας εν ναώ τήν Κάραν προσκυνήσαί σου, τήν θείαν καί σεβάσμιον, φρούρει καί πολεμήτορος».

Νεκρόν νεανίαν αναστήσας, δαιμόνων οφθείς τε ελατήρ, πλήθη βροτών εξέστησας, καί τώ Χριστώ προσήγαγες, μαρτυρικώ εν αίματι, χειρών αρπάσας τού δράκοντος.

Δεύτε η πληθύς τών Χριστωνύμων, Κυρίου τόν Μάρτυρα πιστώς, αινέσωμεν καί στέψωμεν, αυτού τήν Κάραν άσμασι, πνευματικοίς τήν πάνσεπτον, πταισμάτων λύσιν ως εύρωμεν.

Θεοτοκίον

Υιόν τού Θεού τόν Θεόν Λόγον, τόν κόσμω αχώρητον παντί, εν τή γαστρί χωρήσασα, αγκάλαις σου εβάστασας, Παρθενομήτορ άχραντε, Χριστιανών καταφύγιον.

Καταβασία

«Τούς σούς υμνολόγους Θεοτόκε, πιστώς συνελθόντας εν ναώ τήν Κάραν προσκυνήσαί σου, τήν θείαν καί σεβάσμιον, φρούρει καί πολεμήτορος».

Κάθισμα Ήχος γ'

Θείας πίστεως

Στύλος άσειστος τής Εκκλησίας, λύχνος άσβεστος τής οικουμένης, Αθλοφόρε ανεδείχθης Χαράλαμπες, καί αναλάμψας ηλίου φαιδρότερον, τήν τών ειδώλων ελαύνεις σκοτόμαιναν, Μάρτυς ένδοξε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Δόξα... Ήχος α'

Τόν τάφον σου Σωτήρ

Τά στίφη τών πιστών, ευσεβώς συνελθόντα, τόν Μάρτυρα Χριστού, Χαραλάμπη τόν μέγαν, αξίως ευφημήσωμεν, ευσεβείας τόν πρόμαχον, αδαμάντινον, καί δυσσεβών καθαιρέτην, τόν κηρύξαντα, Θεόν τού σύμπαντος κόσμου, Χριστόν τόν θεάνθρωπον.

Καί νύν... Θεοτοκίον

Μαρία τό σεπτόν, τού Δεσπότου δοχείον, ανάστησον ημάς, πεπτωκότας εις χάος, δεινής απογνώσεως, καί πταισμάτων καί θλίψεων, σύ γάρ πέφυκας, αμαρτωλών σωτηρία, καί βοήθεια, καί κραταιά προστασία, καί σώζεις τούς δούλους σου.

Ωδή δ'

«Χριστός μου δύναμις, Θεός καί Κύριος, η σεπτή Εκκλησία θεοπρεπώς, μέλπει ανακράζουσα, εκ διανοίας καθαράς, εν Κυρίω εορτάζουσα».

Ωραίος γέγονας, χρισθείς εν αίματι, τής σεπτής μαρτυρίας καί καλλοναίς, ταύτης κατηγλάϊσαι, Χαράλαμπες τών αθλητών, εγκαλλώπισμα καί στήριγμα.

Δαιμόνων ξόανα, τή σή συνέτριψας, Αθλοφόρε, ανδρεία, ναόν σαυτόν, τού Αγίου Πνεύματος, καί καρτερίας αψευδούς, στήλην δείξας καί υπόδειγμα.

Εις ύψος αίροντες, τάς χείρας Ένδοξε, οι τού σκότους προστάται σού τάς πλευράς, έξεον τοίς όνυξι, τήν δι' αιώνος αληθή, προξενούντές σοι απόλαυσιν.

Θεοτοκίον

Ισχύς καί ύμνησις, Χριστός ο Κύριος, ο εκ σού ανατείλας υπερβολή, Πάναγνε χρηστότητος, καί λυτρωσάμενος ημάς, τής αρχαίας παραβάσεως.

Κανών δεύτερος

Ο καθήμενος εν δόξη

«Ο καθήμενος εν δόξη, επί θρόνου θεότητος, ανεδέξατό σε, ώσπερ χρυσοπτέρυγα πέλειαν, εις ουρανίους σκηνώσεις ανιπτάμενον, ως αήττητον, αγωνιστήν καί περίδοξον».

Λαμπρυνόμενος τώ φέγγει, τού Θεού Μάρτυς ένδοξε, πρό βημάτων έστης, τών παρανομούντων αδείμαντος, καί τόν Χριστόν ελευθέρως ανεκήρυξας, Θεόν τέλειον, φύσιν βροτών ενδυσάμενον.

Μέγας όντως ανεδείχθη, θησαυρός καί πολύολβος, η τιμία Κάρα, σού τού αηττήτου Χαράλαμπες, πολυποικίλους τάς νόσους, τήν πανώλην τε, απελαύνουσα, νόσον δυνάμει τού Πνεύματος.

Θεοτοκίον

Τήν πανάχραντον Μαρίαν, Θεοτόκον υμνήσωμεν, τήν γεννησαμένην, τής δικαιοσύνης τόν Ήλιον, τήν επουράνιον πύλην τήν εισάγουσαν, τούς δοξάζοντας, ταύτην Θεού εις βασίλεια.

Καταβασία

«Ο καθήμενος εν δόξη, επί θρόνου θεότητος, ανεδέξατό σε, ώσπερ χρυσοπτέρυγα πέλειαν, εις ουρανίους σκηνώσεις ανιπτάμενον, ως αήττητον, αγωνιστήν καί περίδοξον».

Ωδή ε'

«Τώ θείω φέγγει σου αγαθέ, τάς τών Ορθριζόντων σοι ψυχάς, πόθω καταύγασον δέομαι, σέ ειδέναι Λόγε Θεού, τόν όντως Θεόν, εκ ζόφου τών πταισμάτων ανακαλούμενον».

Τό θείον πάθος τού δι' ημάς, πάθη υπομείναντος στερρώς, Μάρτυς Χριστού μιμησάμενος, φέρεις τάς εν όλω σώματι ένδοξε, τών ήλων προσηλώσεις καρτερικώτατα.

Τήν αλογίαν τών διωκτών, Λόγος ο συνάναρχος Πατρί, επανορθούμενος Πάνσοφε, λόγον τοίς αλόγοις σαφώς εντίθησι, λυθήναι τών δεσμών σε διαγορεύουσι.

Τοίς οβελίσκοις περονηθείς, έτρωσας καρδίαν τού δεινού, τών γηγενών πολεμήτορος, λόγχη τής ανδρείας καί καρτερίας σου, θεόφρον Αθλοφόρε αξιοθαύμαστε.

Θεοτοκίον

Τώ θείω φέγγει σου Αγαθή, τήν εσκοτισμένην μου ψυχήν, ταίς ηδοναίς, φωταγώγησον, καί πρός σωτηρίας τρίβον οδήγησον, η μόνη τόν σωτήρα Χριστόν κυήσασα.

Κανών δεύτερος

Εξέστη τά σύμπαντα

«Εξίστανται σύμπαντες, επί τή θεία δόξη σου, σού γάρ πανσεβάσμιος η

Κάρα, νόσους ελαύνει, διώκει δαίμονας, καί πάσι προστρέχουσι πιστοίς, ίασιν χαρίζεται, καί κακών απολύτρωσιν».

Σωμάτων νοσήματα, καί τών ψυχών Χαράλαμπες, παύονται τής θείας κεφαλής σου, προσκυνουμένης, καί τιμωμένης σεπτώς. Χριστός γάρ δεδώρηται ημίν, ταύτην ιατήριον, καί δεινών αμυντήριον.

Εξέστησαν δαίμονες, καί Ελληνες οι άθεοι, βλέποντες τάς χείρας κεκομμένας, καί κρεμαμένας τού σώματός σου δεινώς, Δουκός τού παντόλμου υβριστού, σύ δ' ως χριστομίμητος, τούτον αύθις υγίανας.

Θεοτοκίον

Ο Λόγος Πανάμωμε, Θεού ο ενυπόστατος, ώσπερ υετός επί τόν πόκον, εν τή γαστρί σου κατήλθεν άχραντε, καί πάσαν τήν φύσιν τών βροτών, έσωσε τώ καύσωνι, ξηρανθείσαν τού πτώματος.

Καταβασία

«Εξέστη τά σύμπαντα, επί τή θεία δόξη σου, σύ γάρ απειρόγαμε Παρθένε, έσχες εν μήτρα, τόν επί πάντων Θεόν, καί τέτοκας άχρονον Υιόν, πάσι τοίς υμνούσί σε, σωτηρίαν βραβεύοντα».

## Ωδή ς'

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοω σοι. Ανάγαγε εκ φθοράς τήν ζωήν μου Πολυέλεε».

Λαμπτήρ εχρημάτισας, τώ τών άθλων σου φωτί, φωταγωγών τά πέρατα, ομολογών τό όνομα τού Χριστού, τυράννων ενώπιον, Αθλοφόρε Κυρίου αξιάγαστε.

Ενθέου πυρούμενος, αγαπήσεως πυρί, τώ δροσισμώ τής πίστεως, τών δυσσεβούντων έσβεσας τήν πυράν, Χριστού τά θαυμάσια, τοίς απίστοις δεικνύων Αξιάγαστε.

Ζωής εφιέμενος, αθανάτου τής σαρκός, Χαράλαμπες ενέκρωσας, τάς εμπαθείς κινήσεις καί προσευχή, νεκρούς εξανέστησας, ανυμνών τόν εν πάσί σε δοξάσαντα.

Θεοτοκίον

Παθών με κλονούμενον, εναντίαις προσβολαίς Μήτερ Θεού στερέωσον, ως απαθείας τέξασα τήν πηγήν, πρός σέ γάρ κατέφυγον, τών ανθρώπων τό μέγα καταφύγιον.

## Κανών β'

### Τήν θείαν ταύτην καί πάντιμον

«Τήν θείαν ταύτην καί πάντιμον, τελούντες εορτήν τού Παμμάκαρος, δεύτε τήν πάντιμον, κάραν αυτού ασπασώμεθα, καί τών δεινών τήν λύτρωσιν

κομισώμεθα».

Πηγήν ιάσεων έχοντες, τήν κάραν τήν σεπτήν σου Χαράλαμπες, θερμώς προστρέχομεν, ταύτη προσκύνησιν νέμοντες, καί τόν Θεόν υμνούντες τόν σέ δοξάσαντα.

Μεγίστην χάριν απείληφας, θεόθεν αθλητά γενναιότατε, Μάρτυς Χαράλαμπες, κάραν τήν σήν γάρ ο Κύριος, τών ιαμάτων κρήνην σαφώς ειργάσατο.

Θεοτοκίον

Τό πύρ εν σοί τής θεότητος, εσκήνωσεν αγνή θεονύμφευτε, καί ου κατέφλεξε, τήν σήν νηδύν παμμακάριστε, εδρόσισε δέ μάλλον καί κατεφώτισε.

Καταβασία

«Τήν θείαν ταύτην καί πάντιμον, τελούντες εορτήν τού Παμμάκαρος, δεύτε τήν πάντιμον, κάραν αυτού ασπασώμεθα, καί τών δεινών τήν λύτρωσιν κομισώμεθα».

Κοντάκιον Ήχος δ'

Επεφάνης σήμερον

Θησαυρόν πολύτιμον η Εκκλησία, τήν σήν κάραν κέκτηται, Ιερομάρτυς Αθλητά, τροπαιοφόρε Χαράλαμπες, διό καί χαίρει τόν Κτίστην δοξάζουσα.

Ο Οίκος

Τόν στερρόν οπλίτην, καί Χριστού στρατιώτην καί μέγαν εν Μάρτυσι, Χαραλάμπη τόν πανένδοξον, συνελθόντες ευφημήσωμεν, υπέρ Χριστού γάρ καί τής αληθείας λαμπρώς ηγωνίσατο, καί τήν ορθόδοξον πίστιν τρανώς ανεκήρυξε, τήν πλάνην τών ειδώλων κατήργησε, βασιλέα παρανομώτατον ήλεγξε, καί τήν κάραν ετμήθη, χαίρων καί αγαλλόμενος, διό καί τόν στέφανον είληφε παρά τής δεξιάς τού Υψίστου, καί συμπολίτης Αγγέλων εγένετο. Όθεν η Εκκλησία τών Ορθοδόξων, τούτου τήν πάντιμον κάραν κατασπαζομένη, καί ευφημίαις καταστέφουσα, καί πολλών δεινών καί νόσων απαλλαττομένη, χαίρει τόν Κτίστην δοξάζουσα.

Συναξάριον

Τή Ι' τού αυτού μηνός, Μνήμη τού Αγίου ιερομάρτυρος Χαραλάμπους.

Στίχοι

- Κατηξιώθης, Χαράλαμπες, εκ ξίφους,
- Καί λαμπρότητος καί χαράς τών Μαρτύρων.
- Τή δεκάτη Χαράλαμπες, εόν ετμήθης από λαιμόν.

Τή αυτή ημέρα, οι Άγιοι Μάρτυρες, Βάπτος καί Πορφύριος, οι τιμωρούντες τόν Άγιον Χαραλάμπη, ξίφει τελειούνται.

Στίχοι

- Πορφύριος καί Βάπτος εκ κοινού ξίφους,
- Αθλήσεως βάπτουσι κοινήν πορφύραν.

Τή αυτή ημέρα, αι πιστεύσασαι Άγιαι τρείς γυναίκες ξίφει τελειούνται.

Στίχοι

- Τάς τρείς γυναίκας αρρενωπούς μηνύει,
- Άρρην αριθμός, ο τρία, πρός τό ξίφος.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων καί Παρθένων, Ενναθά, Ουαλεντίνης, καί Παύλου.

Στίχοι

- Εις αρραβώνα παρθένοις κόραις δύο,
- Ο νυμφίος δίδωσι θάρσος πρός φλόγα.
- Εκείνος ούτος Παύλος ο Χριστού φίλος,
- Χριστού πόθω τράχηλον εκτετμημένος.

Τή αυτή ημέρα, Μνήμη τού εν Αγίοις Πατρός ημών Αναστασίου, Αρχιεπισκόπου Κωνσταντινουπόλεως.

Στίχοι

- Αναστάσιος, τόν δρόμον τείνων πρόσω,
- Γής εξαναστάς πρός τόν Υψιστον τρέχει.

Τή αυτή ημέρα, Μνήμη τού οσίου Πατρός ημων Ζήνωνος.

Στίχοι

- Ζήνων τά τερπνά τής Εδέμ ζητών μόνα,
- Εις τέρψιν είχε τήν λύσιν τού σαρκίου.

Ταίς τών αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

«Οι Παίδες εν Βαβυλώνι, καμίνου φλόγα ουκ έπτηξαν, αλλ' εν μέσω πυρός εμβληθέντες, δροσιζόμενοι έψαλλον. Ευλογητός εί Κύριε, ο Θεός τών πατέρων ημών».

Προσομιλών ταίς βασάνοις καί τώ πυρί λιπαινόμενος, Αθλοφόρε Χριστού, ως χρυσίου, οβρυζότερος γέγονας, καί ιερόν ανάθημα, αληθώς εχρημάτισας.

Τών προσευχών τή δρόσω, παρανομούντων η κάμινος, κατεσβέσθη Σοφέ, καί ερύσθης μελωδών τώ ποιήσαντι, Ευλογητός εί Κύριε, ο Θεός τών Πατέρων ημών.

Τή παρατάσει τών άθλων, δένδρον εφάνης υψίκομον, συσκιάζων πιστούς, εκ φλογώδους αμαρτίας κραυγάζοντας. Ευλογητός εί Κύριε, ο Θεός τών Πατέρων ημών.

Θεοτοκίον

Η τήν χαράν δεξαμένη, εν τή πανάγνω νηδύϊ σου, Θεοτόκε Αγνή, ευφροσύνης τήν καρδίαν μου πλήρωσον, τό κατηφές διώκουσα, τών παθών αειπάρθενε.

## Κανών δεύτερος

## Ουκ ελάτρευσαν τή κτίσει

«Ανυμνούμέν σε βοώντες, χαίροις ένδοξε Μάρτυς Χαράλαμπες, τήν θείαν κάραν σου γάρ, ημίν σύ δεδώρησαι, ως κρήνην βρύουσαν, πλούτον άσυλον, τόν τάς ψυχάς ευφραίνοντα, τών πιστώς σε δοξαζόντων».

Μεγαλύνομεν τούς άθλους σου θεσπέσιε, Μεγαλομάρτυς Χριστού, καί τούς αγώνας τούς σούς, ειδώλων σεβάσματα γάρ καταβέβληκας, καί κατήργησας, τήν τών δαιμόνων έπαρσιν, παναοίδιμε γενναίως.

Ως φωστήρ αειλαμπέστατος ανέτειλεν, ημίν η κάρα σου, τής πλάνης τής ζοφεράς, κινδύνων καί θλίψεων ημάς εξαίρουσα, νοσημάτων τε, τών ολεθρίων ρύεται, καί δωρείται τήν υγείαν.

### Θεοτοκίον

Ανατέταλκεν ο μέγας καί ανέσπερος, Ήλιος πάσι βροτοίς, εκ τής νηδύος τής σής, καί πάντας εφώτισε φωτί τής γνώσεως, τούς κραυγάζοντας. Ευλογημένος Πάναγνε, ο καρπός τής σής κοιλίας.

### Καταβασία

«Ουκ ελάτρευσαν τή κτίσει οι θεόφρονες, παρά τόν Κτίσαντα, αλλά πυρός απειλήν; ανδρείως πατήσαντες, χαίροντες έψαλλον. Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί».

## Ωδή η'

«Εκ φλογός τοίς οσίοις δρόσον επήγασας, καί δικαίου θυσίαν ύδατι έφλεξας, άπαντα γάρ δράς Χριστέ, μόνω τώ βούλεσθαι. Σε υπερυψούμεν, εις πάντας τούς αιώνας».

Ταίς ροαίς τών αιμάτων έτι σταζόμενος, τών στιγμάτων τώ κάλλει ωραϊζόμενος, τώ νικητικώ, ευπρεπώς διαδήματι, κεκαλλωπισμένος, Θεώ παρέστης Μάρτυς.

Τών βασάνων τά πλήθη ου κατεκάλυψαν, τήν ανδρείαν σου Μάρτυς καί γενναιότητα, ή τών διωκτών, ουκ ημαύρωσεν ένστασις, σού τήν λαμπροτάτην, θεόφρον καρτερίαν.

Ιερεύς τε καί Μάρτυς ακαταγώνιστος, στρατιώτης γενναίος καί στύλος άσειστος, έρεισμα πιστών, ασεβείας αντίπαλος, όντως ανεδείχθης, θεόφρον Αθλοφόρε.

### Θεοτοκίον

Ο τά πάντα ποιήσας θείω βουλήματι, βουληθείς εν γαστρί σου ώκησεν Άχραντε, ρεύσαντας ημάς, αναπλάσαι βουλόμενος, όν υπερυψούμεν, εις πάντας τούς αιώνας.

## Κανών δεύτερος

### Παίδας ευαγείς

«Μέγας αρωγός τών Ορθοδόξων, καί ρύστης εκ τών κινδύνων αναδέδειξαι, πάνσοφε Χαράλαμπες, ρύη καί γάρ πάντοτε, πάντας τούς προστρέχοντας τή σεπτή κάρα σου, καί λύσιν τών κακών αιτουμένους, καί υπερυψούντας, Χριστόν εις τούς αιώνας».

Έστης εν σταδίω τού Σεβήρου, στερέμνιος οίά περ αδάμας τις, στύλος τ' απερίτρεπτος, ένδοξε Χαράλαμπες, καί τόν Χριστόν εκήρυξας Θεόν καί άνθρωπον, καί όλως ουχ υπέκλινας Μάκαρ, ταίς τών παλαμναίων, θωπείαις θυμοβόροις.

Λύσον τάς σειράς μου τών πταισμάτων, υμνούντος τήν κάραν σου Χαράλαμπες, τήν αεί πηγάζουσαν, νάματα ιάσεων, αμπλακημάτων άφεσιν εμοί δωρούμενος, δεινής τε απολύτρωσιν νόσου, σέ υμνολογούντι εις πάντας τούς αιώνας.

### Θεοτοκίον

Ρόδον εν ακάνθαις ευρηκώς σε, καί άνθος εν ταίς κοιλάσι τό πανεύοσμον, κρίνον τε πανάσπιλον, Δέσποινα Θεόνυμφε, ο σός Νυμφίος άνωθεν εν σοί εσκήνωσε, καί κόσμον ευωδίασε πάντα, σέ υπερυψούντα εις πάντας τούς αιώνας.

### Καταβασία

«Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

## Ωδή θ'

«Θεόν ανθρώποις ιδείν αδύνατον, όν ού τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ πάναγνε ωράθη βροτοίς, Λόγος σεσαρκωμένος, όν μεγαλύνοντες, σύν ταίς ουρανίαις στρατιαίς σέ μακαρίζομεν».

Ου πύρ, ου ξίφος αλλ' ουδέ θάνατος, ου διωγμός, ου θλίψις, ου λιμός, ουδέ κίνδυνος, ού βασάνων παντοίων επίνοια, ίσχυσε τής αγάπης, όντως χωρίσαι σε, τού πεποιηκότος, Αθλητά αξιοθαυμαστε.

Ξεσμοίς ονύχων, τούς τής νεκρώσεως, αποβάλων χιτώνας, ταίς στολαίς ταίς εξ αίματος, σεαυτόν Αθλοφόρε εκόσμησας, όθεν σύν παρρησία Μάρτυς αήττητε, πάντων τώ Δεσπότη, καί Θεώ χαίρων παρίστασαι.

Χαράς καί θείας όντως λαμπρότητος, παρεκτική η μνήμη σου τώ κόσμω ανέτειλε, τών παθών τόν χειμώνα διώκουσα, πάντας φωταγωγούσα, ήν εορτάζοντες, σχοίημεν πταισμάτων, ιλασμόν ταίς ικεσίαις σου.

### Θεοτοκίον

Παθών κλυδώνιον συνταράσσει με, καί τών κακών βυθίζει τρικυμία Πανάμωμε, κυβερνήτην Χριστόν η κυήσασα, χείρά μοι βοηθείας έκτεινον σώσόν με, μόνη προστασία, τών πιστώς μακαριζόντων σε.

## Κανών δεύτερος

### Άπας γηγενής

«Άπαντες πιστοί, τή κάρα προσέλθωμεν τού σεπτού Μάρτυρος, πάντων ο δεσπόζων γάρ, μεγίστην χάριν ταύτη παρέσχετο, όθεν ελαύνει δαίμονας, παύει νοσήματα, καί δωρείται, πάσι τοίς προσψαύουσιν, ευεξίαν καί ρώσιν καί έλεος».

Γή καί ουρανός, εξίσταται σήμερον επί τοίς θαύμασι, τού μεγαλομάρτυρος, δαιμόνων στίφη γάρ εκδιώκονται, καί τοίς νοσούσι δίδοται ρώσις τού σώματος, καί λοιμώδης νόσος καταπαύεται, τή προσψαύσει τής κάρας σου Ένδοξε.

Στώμεν ευλαβώς, εν οίκω Θεού ημών, καί προσκυνήσωμεν, κάραν τήν σεβάσμιον, τήν όντως θείαν καί αξιέπαινον, τήν φοινιχθείσαν αίματι τού θείου Μάρτυρος, καί τελούσαν θαύματα παράδοξα, ως στεφθείσαν χειρί Παντοκράτορος.

### Θεοτοκίον

Ύμνους παρ' ημών, προσδέχου Θεόνυμφε θεοχαρίτωτε, Μήτερ τού Θεού ημών, καί τήν σήν χάριν αντιδεδώρησο, τοίς ευλαβώς σε μέλπουσιν ημίν τοίς δούλοις σου, τόν Χριστόν δέ, όν αρρήτως τέτοκας, ημίν ίλεων Κόρη απέργασαι.

### Καταβασία

«Άπας γηγενής, σκιρτάτω τώ πνεύματι λαμπαδουχούμενος, πανηγυριζέτω δέ, αΰλων Νόων φύσις γεραίρουσα, τήν ιεράν πανήγυριν, τής Θεομήτορος, καί βοάτω. Χαίροις παμμακάριστε, Θεοτόκε Αγνή αειπάρθενε».

## Εξαποστειλάριον

### Γυναίκες ακουτίσθητε

Ενθέως πυρσευόμενος, τώ πόθω τού Παντάνακτος, τόν υπερήφανον όφιν, ανδρείως μάκαρ καθείλες, καί τύραννον απάνθρωπον, Σεβήρον τόν παράφρονα, ήλεγξας ώ Χαράλαμπες, καί τόν μισθόν εκομίσω, παρά τού πάντων Δεσπότου.

### Θεοτοκίον

Μαρία καταφύγιον, Χριστιανών τό καύχημα, φύλαττε σκέπε σούς δούλους, εκ πάσης βλάβης ατρώτους, κινδύνων εξελού ημάς, τούς πόθω ευφη μούντάς σε, καί πάσης περιστάσεως, ταίς σαίς πρεσβείαις χρωμένη, πρός τόν Υιόν καί Θεόν σου.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν τρία Στιχηρά Προσόμοια, δευτερούντες τό πρώτον.

Ήχος α'  Τών ουρανίων ταγμάτων
Οι τής Ελλάδος νύν παίδες δεύτε συνδράμετε, καί τήν τιμίαν κάραν, κατασπάσασθε πάντες, τού θείου Χαραλάμπους, τήν τόν Χριστόν εν σταδίω κηρύξασαν, καί απελέγξασαν πλάνην τών δυσσεβών, καί τόν Κτίστην μεγαλύνασαν.

Τοίς ουρανίοις Αγγέλοις νύν συνηρίθμησαι, καί παρεστως Τριάδι, τή αγία Τρισμάκαρ, αυτήν καθικετεύεις υπέρ ημών, τών εν πίστει τιμώντων σου, τήν πανσεβάσμιον κάραν, καί τών δεινών, αιτουμένων απολύτρωσιν.

Λαμπροφανής καί πανένδοξος ανατέταλκεν, εν τή Ελλάδι πάση, η πανέορτος μνήμη, τού θείου Χαραλάμπους, διό περ λαμπρώς, εορτάζει κατέχουσα, τήν πανσεβάσμιον κάραν, τήν τόν Χριστόν, ως θεάνθρωπον κηρύξασαν.
Δόξα... Ήχος πλ. α'
Ώσπερ αλάβαστρον πλήρες, η τιμία σου κάρα θεσπέσιε, προχέει οίόν τι μύρον πολύτιμον, τά ιάματα, τούς τε πιστούς ευωδιάζει θαυμασίως, καί τούς μετά πίστεως αυτή προσιόντας, τών δεινών πάντων ρύεται, τήν δυσώδη τε πλάνην, καί νόσους παντοίας, καί τήν πανώλην λοιμικήν καταπαύουσα, ευρωστίαν δωρείται πάσι, καί ειρήνην καί μέγα έλεος.
Καί νύν... Θεοτοκίον  Ήχος πλ. α’
Μακαρίζομέν σε, Θεοτόκε παρθένε, καί δοξάζομέν σε οι πιστοί κατά χρέος, τήν πόλιν τήν άσειστον, τό τείχος τό άρρηκτον, τήν αρραγή προστασίαν, καί καταφυγή τών ψυχών ημών.

Δοξολογία μεγάλη, καί Απόλυσις.

Δίδοται δέ καί άγιον Έλαιον τοίς άδελφοίς.

Εις τήν Λειτουργίαν, τά Τυπικά, καί εκ τών Κανόνων η γ' καί ς' Ωδή.

Ο Απόστολος, Πρός Τιμόθεον Β'
Τέκνον Τιμόθεε, ενδυναμού...

Ευαγγέλιον κατά Ιωάννην
Είπεν ο Κύριος τοίς εαυτού μαθηταίς, Ταύτα εντέλλομαι υμίν, ϊνα αγαπάτε αλλήλους...

Κοινωνικόν
Εις μνημόσυνον αιώνιον έσται Δίκαιος. Αλληλούια.

---

Αρχή

## ΤΗ ΙΑ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Ιερομάρτυρος Βλασίου.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια πέντε, δευτερούντες τό πρώτον.

Ήχος α'
Τών ουρανίων ταγμάτων

Εν τή ασκήσει βλαστήσας, Όσιε Βλάσιε, Ιερωσύνης δόξη, ώσπερ φοίνιξ δικαίων, εξήνθησας παμμάκαρ, καρπούς θεϊκούς, μαρτυρίου προσάγων Θεώ, τήν τών ειδώλων κατάλυσιν εμφανώς, καί ανθρώπων τήν οικείωσιν.

Ποιμαντικώς, διαπρέψας, Ιερομάρτυς Χριστού, άθλητικούς αγώνας, υπομείνας γενναίως, έν δι' αμφοτέρων, στέφος λαβών, εν εκατέροις κοσμούμενος, δικαιοσύνη καί πόνοις αθλητικοίς, διό πρέσβευε σωθήναι ημάς.

Θείω ρωσθείσαι γυναίκες, ζήλω τής πίστεως, τοίς υπερτίμοις άθλοις, τής καλής μαρτυρίας, εστέφθησαν σύν τέκνοις, θαύμα φρικτόν! τήν κεφαλήν γάρ ποθούσαι Χριστόν, καί εν αυτώ νυμφευθείσαι υπέρ αυτού, τάς κεφαλάς εναπετμήθησαν.

Ως προμηθέα σε πάντων, υμνούμεν Βλάσιε, καί λογικών θρεμμάτων, καί αλόγων πασχόντων, πάντας γάρ ισχύεις, θεράπον Χριστού, ευεργετείν καί ιάσθαι πιστώς, τήν γάρ τού Πνεύματος χάριν πεπλουτηκώς, δαψιλευεις τά θαυμάσια.

Χριστός τό ζήν σοι παμμάκαρ, καί τό θανείν αληθώς, κέρδος εδείχθη πίστει, κατά Παύλον τόν μέγαν, Βλάσιε θεόφρον, επεί δι' αυτόν, προθυμότατα τέθνηκας, καί σύν αυτώ βασιλεύεις διά παντός, εις ζωήν τήν ατελεύτητον.

Δόξα... Καί νύν... Θεοτοκίον

Επί τήν σήν ευσπλαγχνίαν, προστρέχω πάντοτε, επί τούς σούς προσφεύγω, οικτιρμούς καθ' εκάστην, υμνών καί ευλογών σε καί τήν πολλήν, ανοχήν εκπληττόμενος, τού σού Υιού επί πάσί μου τοίς κακοίς, ήν ενδείκνυται Θεόνυμφε.

Η Σταυροθεοτοκίον

Αναρτηθέντα ως είδεν, επί σταυρού τόν Αμνόν, η άμωμος Παρθένος, θρηνωδούσα εβόα. Γλυκύτατόν μου Τέκνον, τί τό καινόν, καί παράδοξον θέαμα; πώς ο κατέχων τά πάντα εν τή χειρί, επί ξύλου προσηλώθης σαρκί;

Εάν δέ τύχη εκτός τής τεσσαρακοστής, λέγε τά εξής, Ιδιόμελα.

Δόξα... Ήχος πλ. β' Τού Στουδίτου

Βλαστήσας εν τή ασκήσει τών θείων αρετών, φερωνύμως Βλάσιε, εξήνθησας δαυϊτικώς, ώσπερ φοίνιξ εν ταίς αυλαίς τού Κυρίου, καί ωσεί κέδρος επληθυνθης τοίς κατορθώμασιν, ως άμπελος δέ ευθηνούσα εν οίκω Θεού, τώ καιρώ τού μαρτυρίου, τεμνόμενος βασάνων ποιναίς, εκ καρπού τών αγώνων

σου, έβλυσας ημίν οίνον νοητόν, εξ ού πιόντες, ευφροσύνης ενθέου τάς καρδίας πληρούμεθα, καί συμφώνως συνελθόντες, εν τή σεβασμία μνήμη τής σής τελειώσεως, μακαρίζοντες ευφημούμέν σε, αιτούμενοι λαβείν διά σού τήν ειρήνην, καί τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Θεόν εκ σού σαρκωθέντα έγνωμεν, Θεοτόκε Παρθένε, αυτόν ικέτευε, σωθήναι τάς ψυχάς ημών.

Η Σταυροθεοτοκίον

Τριήμερος ανέστης

Η Πάναγνος ως είδέ σε, επί Σταυρού κρεμάμενον, θρηνωδούσα, ανεβόα μητρικώς. Υιέ μου καί Θεέ μου, γλυκύτατόν μου τέκνον, πώς φέρεις πάθος επονείδιστον.

Εις τόν Στίχον, τά Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος δ'

Ως καλός παιδοτρίβης, καί διδάσκαλος τής ευσεβείας, τή ενεργεία καί δυνάμει τών θείων λόνων σου, γυναίκας φιλοθέους υπείληψας πρός αγώνας μαρτυρικούς, τό ασθενές τής φύσεως αυτών ρωννύων εν Χριστώ, μεθ' ών τόν δρόμον τής ασκήσεως καλώς τελέσας, εις νυιμφώνα ουράνιον φαιδρώς συναγάλλη, διπλώ στεφάνω τής θείας δόξης σεμνυνόμενος, καί εξαιτούμενος σύν αυταίς τήν ειρήνην ημίν δοθήναι, καί τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Ως γενναίον εν Μάρτυσιν

Επομβρίαις Πανάχραντε, τής τού Πνεύματος χάριτος, τήν εμήν διάνοιαν καταγλύκανον, η τήν σταγόνα κυήσασα, Χριστόν τόν Θεόν ημών, ανομίας τών βροτών, οικτιρμοίς αποσμήχουσαν, καί κατάκλυσον, τήν πηγήν τών παθών μου, καί χειμάρρου, καταξίωσον τρυφής με, τής αειζώου πρεσβείας σου.

Η Σταυροθεοτοκίον

Ως εώρακε Κύριε, η Παρθένος καί Μήτηρ σου, εν Σταυρώ κρεμα μενον, εξεπλήττετο, καί ατενίζουσα έλεγε. Τί σοι ανταπέδωκαν, οι πολλών σου δωρεών, απολαύσαντες Δέσποτα; αλλά δέομαι, μή με μόνην εάσης εν τώ κόσμω, αλλά σπεύσον αναστήναι, συνανιστών τούς Προπάτορας.

Απολυτίκιον  Ήχος πλ. δ'

Καί τρόπων μέτοχος, καί θρόνων διάδοχος, τών Αποστόλων γενόμενος, τήν πράξιν εύρες θεόπνευστε, εις θεωρίας επίβασιν, διά τούτο τόν λόγον τής αληθείας ορθοτομών, καί τή πίστει ενήθλησας μέχρις αίματος, Ιερομάρτυς Βλάσιε. Πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, λέγεται ο Κανών, ού η ακροστιχίς.

Ύμνοις κροτώ σε Μάρτυς, ευσεβοφρόνως. Ο Ιωσήφ.

Ωδή α'  Ήχος πλ. δ'
Ο Ειρμός
«Άσμα αναπέμψωμεν λαοί, τώ θαυμαστώ Θεώ ημών, τώ απαλλάξαντι τόν Ισραήλ δουλείας, ωδήν επινίκιον, άδοντες καί βοώντες, Άσωμέν σοι τώ μόνω Δεσπότη».

Ύμνοις τήν φωσφόρον καί σεπτήν, καί ιεράν σου άθλησιν, ανευφημούντος πιστώς, Χριστού Ιερομάρτυς, τόν νούν μου καταύγασον, αίγλη φαεινοτάτη, παρρησίαν έχων πρός τόν Κτίστην.

Μίαν χαρακτήρσιν εν τρισίν, Ομολογών θεότητα, πολυθεΐας αχλύν, απήλασας καί όρθρος, αυγάζων ευσέβειαν, ώφθης Ιερομάρτυς, τοίς εν ζόφω πλάνης κρατουμένοις.

Νύκτα αθεΐας αστραπαίς, τού Ιερού κηρύγματος, απομειώσας φωστήρ, κοσμούμενος εδείχθης, θαυμάτων λαμπρότησι, φέγγει τε μαρτυρίου, καί τήν κτίσιν πάσαν καταυγάζεις.

Θεοτοκίον
Όλην καθαράν σε ευρηκώς, ο καθαρός εσκήνωσεν, εν τή νηδύϊ σου, αγνή Παρθενομήτορ, καί σάρξ εχρημάτισε, δίχα τής αμαρτίας, ίνα πλάνης ημάς απαλλάξη.

Ωδή γ'  Ο Ειρμός
«Εστερεώθη η καρδία μου εν Κυρίω, υψώθη κέρας μου εν Θεώ μου, επλατύνθη επ' εχθρούς μου τό στόμα μου, ευφράνθην εν σωτηρίω σου».

Οι ταίς ακάνθαις συμπνιγόμενοι τών τού βίου, απαύστως Βλάσιε συμπτωμάτων, τής πρεσβείας τή δρεπάνη καθαίρονται, προστάτην σε προσκαλούμενοι.

Τή πρός τό θείον ανανεύσει ολικωτάτη, βασάνων ήνεγκας τρικυμίαν, ξεομένης τής σαρκός σου, ως πάσχοντος ετέρου, σύ διακείμενος.

Ως Ιεράρχης, ως αήττητος Αθλοφόρος, ως θεία δόξη ηγλαϊσμένος, ακροτάτω εφετώ νύν παρίστασαι, πρεσβεύων υπέρ τής ποίμνης σου.

Θεοτοκίον
Σέ τήν φανείσαν, υπερέχουσαν τών κτισμάτων ως πάντων ούσαν αγιωτέραν, εν αινέσει γενεαί Ιμακαρίζουσιν, ανθρώπων θεομακάριστε.

Κάθισμα  Ήχος πλ. δ'
Τήν Σοφίαν καί Λόγον
Εκβλαστήσας ως δένδρον πανευθαλές, εν τώ οίκω Κυρίου Ιερουργέ,

πολλούς κατεφύτευσας, πρός τήν γήν τήν σωτήριον, καί ως κριός ποιμνίου, καλώς ηγησάμενος, δεσμευθείς εσφάγης, θυσία γενόμενος, τώ δι' ευσπλαγχνίαν, ως αρνίον σφαγέντι, καί χαίρων ανέδραμες, πρός αυτόν Πάτερ Βλάσιε. Διά τούτο βοώμέν σοι. Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Θεοτοκίον

Διά κόσμον Παρθένε τόν κοσμικόν, καί ταγμάτων τών άνω καλλωπισμόν, εν κόσμω εκύησας, τόν τού κόσμου Κοσμήτορα, πρό γάρ τούτου Κόρη, υπήρχον ακόσμητα, ως βροτών μή βλέπειν, δυναμένων τόν Κύριον, όθεν αμφοτέρων, κοσμιότης κοσμία, ωράθης Μητρόθεε, κοσμιότητι Τόκου σου, τόν γάρ κόσμον εκόσμησας, κόσμω τώ αρχαίω δι' αυτού, καί Αγγέλων πάντα τόν διάκοσμον, κατακοσμείς υπερκάλως, εν σοί κοσμοσώτειρα.

Η Σταυροθεοτοκίον

Τόν Αμνόν καί Ποιμένα καί Λυτρωτήν, η αμνάς θεωρούσα εν τώ Σταυρώ, ωλόλυζε δακρύουσα, καί πικρώς ανεκραύγαζεν. Ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταυρωσιν, ήν περ υπομένεις διά σπλάγχνα ελέους, Θεέ υπεράγαθε, ανεξίκακε Κύριε. Η πιστώς εκβοήσωμεν. Σπλαγχνίσθητι Παρθένε εφ' ημάς, καί πταισμάτων δώρησαι τήν άφεσιν, τοίς προσκυνούσιν εν πίστει, αυτού τά παθήματα.

Ωδή δ'  Ο Ειρμός

«Εξ όρους κατασκίου, Λόγε ο Προφήτης, τής μόνης Θεοτόκου, μέλλοντος σαρκούσθαι, θεοπτικώς κατενόησε, καί εν φόβω, εδοξολόγει σου τήν δύναμιν».

Έχων τήν ψυχήν, αϋλω φωταυγεία, Μάρτυς καί ποιμήν, φαιδρώς αυγαζομένην, δικαστικών πρό βημάτων έστης ανδρείως, Ομολογών Θεού τήν σάρκωσιν.

Μύστης Ιερεύς, καί Μάρτυς στεφηφόρος, στύλος ακλινής, καί βάσις ευσεβείας, καί αληθείας εδραίωμα εγνωρίσθης, τή Εκκλησία, Μάρτυς Βλάσιε.

Άρνας λογικούς, εποίμανας οσίως, θύμα δέ δεκτόν, προσήχθης τώ Δεσπότη, ολοκαυτούμενον άνθραξι μαρτυρίου, Ιερομύστα πανσεβάσμιε.

Ρήσει σου σοφών, χειλέων απεφράγη, χείλη πονηρά, λαλούντα βλασφημίαν, εις τόν τών όλων Δεσπότην καί Βασιλέα, Ιεροκήρυξ αξιάγαστε.

Θεοτοκίον

Τόμον σε καινόν, προείδεν ο Προφήτης, έχοντα Θεού, τόν Λόγον γεγραμμένον, τόν διαρρήξαντα Κόρη τής αμαρτίας, τών Προπατόρων τό χειρόγραφον.

Ωδή ε'  Ο Ειρμός

«Τόν ζόφον τής ψυχής μου, διασκέδασον, φωτοδότα Χριστέ ο Θεός, ο τό αρχέγονον σκότος διώξας τής αβύσσου, καί δώρησαί μοι τό φώς τών προσταγμάτων σου Λόγε, ίνα ορθρίζων δοξάζω σε».

Υπέμεινας ανδρείως, τής σαρκός τάς αικήσεις αοίδιμε, εν τώ δεινώς τραυματίζεσθαι, τήν πλάνην τραυματίζων, καί ταράσσων εχθρούς, τή πρός Θεόν ανυψώσει Ποιμήν αξιάγαστε.

Σταυρώ τόν προσπαγέντα, εν τώ πάθει σου εικονίζων Μακάριε, τάς τής σαρκός αλγηδόνας, υπέφερες γενναίως, καί νικητής γεγονώς, συνηριθμήθης αξίως, Μαρτύρων στρατεύμασιν.

Ενθέω πεποιθήσει, προσευχών σου μάστιξι, θήρα Πάτερ συνώθησας, αποβαλέσθαι τήν θήραν, ήν αδίκως συνέσχε, πιστού γυναίου πληρών, συμπαθεστάτη καρδία τήν αίτησιν Βλάσιε.

Θεοτοκίον

Υμνούμέν σε Μαρία, τήν θεώσασαν τών ανθρώπων τό φύραμα, τή υπέρ νούν σου λοχεία, καί αναπλάσασαν καταφθαρέντας ημάς, καί συντριβέντας απάτη τού όφεως Πάναγνε.

Ωδή ς' Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

Συνήθλησέ σοι χορός, σεπτών γυναίων αοίδιμε, ρωσθείσαι γάρ τού Σταυρού, δυνάμει συνέτριψαν, εχθρού πολυμήχανον, κεφαλήν καί νίκης, ανεπλέξαντο τό διάδημα.

Ερρώσθη τό ασθενές, Θεού δυνάμει καί χάριτι, ιδού γάρ νεανικώς, γυναίκες ηρίστευσαν, τόν όφιν πατήσασαι, τόν ποτέ τήν Εύαν, Παραδείσου εξοικίσαντα.

Βυθίσασαι πονηρών, δαιμόνων άψυχα ξόανα, επουρανίου ναού, κειμήλια έμψυχα, εαυτάς προσήξατε, καί τών πρωτοτόκων, Εκκλησίαν εφαιδρύνατε.

Θεοτοκίον

Ο θρόνος ο τού Θεού, τών Χερουβίμ ο υπέρτερος, νεφέλη η τού φωτός, ψυχής μου τά όμματα, Παναγία φώτισον, καί παθών αχλύος, τήν καρδίαν μου καθάρισον.

Κοντάκιον Ήχος β'

Τά άνω ζητών

Ο θείος βλαστός, τό άνθος τό αμάραντον, αμπέλου Χριστού, τό κλήμα τό πολύφορον, θεοφόρε Βλάσιε, τούς εν πίστει τελούντας τήν μνήμην σου, ευφροσύνης πλήρωσον τής σής, πρεσβεύων απαύστως υπέρ πάντων ημών.

## Ο Οίκος

Ρώμη Θεού ενισχυθείς, ώ θεόφρον, ως Ιερός Ιεράρχης καί λειτουργός αυτού, εν πράξεσι θείαις αναδέδειξαι, τών αθλοφόρων εν ταίς χορείαις, αθλοφόρος ωράθης καί στεφανίτης, τής Ααρων υπερήρθης θυσίας, ώς μύστης Χριστού, σύν Άβελ αίμα τό θείον ανακράζει Θεώ τήν σφαγήν σου, καί θρόνω θείω τού κτίσαντος παρεστώς, συν Αγγέλων τοίς τάγμασι πρεσβεύεις απαύστως υπέρ πάντων ημών.

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΑ' τού αυτού μηνός, Μνήμη τού Αγίου Ιερομάρτυρος Βλασίου, Αρχιεπισκόπου Σεβαστείας.

### Στίχοι

- Λαιμόν Βλάσιος εκκοπείς διά ξίφους,
- Αλγούσι λαιμοίς ρευμάτων είργει βλάβας.
- Ενδεκάτη Βλασίου τάμεν αυχένα χαλκός ατειρής.

Τή αυτή ημέρα, οι Άγιοι δύο Παίδες, οι συναθλήσαντες τώ Αγίω Βλασίω, μετά τών επτά γυναικών, ξίφει τελειούνται.

### Στίχοι

- Βαβαί τοσαύτης παιδίων ευθαρσίας!
- Σπεύδουσιν άμφω, ποίον εκτμηθή φθάσαν.
- Κτείνει γυναίκας επτά σεπτάς τό ξίφος,
- Ου τή γυναικών συσχεθείσας δειλία.

Τή αυτή ημέρα, Μνήμη τής ευρέσεως τού λειψάνου τού Αγίου Ζαχαρίου τού Προφήτου, τού Πατρός τού τιμίου Προδρόμου.

### Στίχοι

- Φανείς ο νεκρός γήθεν ο Ζαχαρίου,
- Τοίς ζώσι πιστοίς άφθονον βλύζει χάριν.

Τή αυτή ημέρα, Μνήμη Θεοδώρας τής Βασιλίσσης, τής στερεωσάσης τήν ορθοδοξίαν.

### Στίχοι

- Θεοδώραν Άνασσαν ευσεβεστάτην,
- Χριστός Βασιλεύς αξιοί θείου στέφους.

Ταίς αυτών Αγίαις πρεσβείαις, ο Θεός ελέησον ημάς. Αμήν.

## Ωδή ζ'  Ο Ειρμός

«Τών Χαλδαίων η κάμινος, πυρί φλογιζομένη, εδροσίζετο πνεύματι, Θεού επιστασία, οι Παίδες δέ έψαλλον. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών».

Φωτισμού θείου έμπλεων, κτησάμενος καρδίαν, απροσκόπτως παρέδραμες, προσκόμματα τής πλάνης, εχθρών διαβήματα, υποσκελίσας Σοφέ, τή

παρουσία σου.

Ραντισμώ τών αιμάτων σου, πλάνης φλόξ απεσβέσθη, τή ελλάμψει τών λόγων σου, η κτίσις εφωτίσθη, κραυγάζουσα Βλάσιε. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Ου σκιαίς ουκ αινίγμασιν, όν επόθησας βλέπεις, πρός δέ πρόσωπον, πρόσωπον λυθέντων τών εσόπτρων, καί μέλπεις γηθόμενος. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Νυσταγμώ κρατηθέντα με, Παρθένε αμελείας, αμαρτίας κατέλαβεν, ύπνος θανατηφόρος, διό μετανοίας με, πρός ζωηφόρον αυγήν, Αγνή εξέγειρον καί σώσόν με.

Ωδή η' Ο Ειρμός

«Ο στεγάζων εν ύδασι τά υπερώα αυτού, ο τιθείς θαλάσση όριον ψάμμον, καί συνέχων τό πάν, σέ υμνεί Ήλιος, σέ δοξάζει Σελήνη, σοί προσφέρει ύμνον πάσα κτίσις, τώ Δημιουργώ, καί Κτίστη εις τούς αιώνας».

Ως κριός εθελόθυτος, ως ιερείον δεκτόν, ως αμνός άκακος, χαίρων προσήχθης τώ τυθέντι αμνώ, εις ημών λύτρωσιν, καί Μαρτύρων συνήφθης ομηγύρει, μέλπων σύν Αγγέλοις, τήν Ιερωτάτην Παμμάκαρ υμνωδίαν.

Σταλαγμοίς τών αιμάτων σου, αποξηράνας βυθόν αθεϊας Μάρτυς, έβλυσας κόσμω, ιαμάτων κρουνούς, παύοντας καύσωνα, παθημάτων παντοίων, τών εν πίστει σοι καταφευγόντων, καί υπερυψούντων Χριστόν εις τούς αιώνας.

Ουκ αρνούμεθα Κύριον, τόν επί πάντων Θεόν, Ιερών γυναίων χορός, εβόα ο Μακάριος, όθεν ξεόμεναι, καί πυρί ομιλούσαι, καί σιδήρω κάρας εκτμηθείσαι, έχαιρον υμνουσαι, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον,

Ιεράν σε προήγγειλαν, Παρθενομήτορ φωναί, εσομένην Κόρη, τού Ποιητού σου, υπέρ φύσιν τροφόν, γέννησιν άρρητον, ως καί σύλληψιν ξένην κεκτημένην, όθεν σε υμνούμεν, εις πάντας τούς αιώνας.

Ωδή θ' Ο Ειρμός

«Τόν προδηλωθέντα, εν όρει τώ νομοθέτη, εν πυρί καί βάτω, τόκον τόν τής αειπαρθένου, εις ημών τών πιστών σωτηρίαν, ύμνοις ασιγήτοις μεγαλύνομεν».

Ως υπερφυεί κλίμακι, τώ αίματι Μάρτυς, επιβάς τάς άνω μονάς, κατέλαβες ωραίος, αγλαϊαις αποδειχθείς τών αγώνων, καί τώ στεφοδότη σου παρίστασαι.

Σέ τόν φωταυγή Ήλιον, ποθούσαι γυναίκες, καί τών ηδυπνόων Χριστέ

οσφρανθείσαί σου μύρων, διά πάθους τό σόν εικόνισαν πάθος, καί τής αφθαρσίας ηξιώθησαν.

Ημεροφαής ως αστήρ, ταίς άνω χορείαις αυλιζόμενος Βλάσιε, τήν φωσφόρον σου μνήμην, τούς γεραίροντας ζοφερών εγκλημάτων, ρύσαι ταίς πρεσβείαις σου δεόμεθα.

Θεοτοκίον

Φέρεις εν αγκάλαις, Χριστόν τόν διακρατούντα, οικουμένην πάσαν, χειρί αγνή Παρθενομήτορ, όν ικέτευε ως Υιόν σου καί Κτίστην, σώσαι τάς ψυχάς τών ανυμνούντων σε.

Εξαποστειλάριον

Εν πνεύματι τώ ιερώ

Μαρτύρων σε ωράϊσμα, Ιερέων τό κλέος, γινώσκομεν πανόλβιε, Βλάσιε Ιεράρχα, ως θύμα γάρ προσήνεγκας, σεαυτόν καί τέθυσαι, τώ διά σέ είς θυσίαν, εκουσίως ελθόντι, αγαθότητι αφράστω, καί βουλήσει αρρήτω.

Έτερον

Τοίς μαθηταίς συνέλθωμεν

Δεύτε καί δώμεν σήμερον, τώ Χριστώ δόξαν πάντες, αυτός γάρ ο Θεός ημών, τέρασι παραδόξοις, καί θαύμασι πολυτρόποις, τόν σοφόν Ιεράρχην, καί Μάρτυρα εδόξασε, Βλάσιον, όν τιμώντες, καί τήν αυτού, Ιεράν πανήγυριν εκτελούντες, αμαρτιών λυτρούμεθα, ταίς αυτού ικεσίαις.

Θεοτοκίον

Ζητών με τό πλανώμενον, πρόβατον παραβάσει, Θεός ό πλαστουργήσας με, σού τήν άφθορον μήτραν, υπέδυ άχραντε Κόρη, καί λαβών με επ' ώμων, εις ουρανούς ανύψωσε, συνεδρία τιμήσας τή Πατρική, ού τήν ανυπερβλητον ευσπλαγχνίαν, καί σέ τήν Θεομήτορα, προσκυνώ καί δοξάζω.

Εις τόν Στίχον τών Αίνων, Στιχηρά τής Οκτωήχου.

Καί η λοιπή Ακολουθία τού Όρθρου, ώς σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΒ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού εν Αγίοις Πατρός ημών Μελετίου, Αρχιεπισκόπου Αντιοχείας τής μεγάλης.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'

Ως γενναίον εν Μάρτυσιν

Μελετήσας μακάριε, Ιεράρχα Μελέτιε, νόμον τόν σωτήριον, καθως γέγραπται, ξύλον εδείχθης εν ύδατι, ασκήσεως κείμενον, καί καρπούς τών αρετών,

προβαλλόμενον χάριτι, τού φωτίσαντος, τήν αγίαν ψυχήν σου καί παντοίων, δεκτικήν εργασαμένου, πνευματικών επιλάμψεων.

Ωραιώθησαν Πάνσοφε, γραφικώς σιαγόνες σου, ως τρυγόνες στέργουσαι τήν εγκράτειαν, καί τήν τρυφήν διαπτύουσαι, εφέσει Μελέτιε, τής τρυφής τής νοητής, ήν Χριστός σοι χαρίζεται, προσδεξάμενος, τούς πολλούς σου αγώνας καί τόν ζήλον, τόν διάπυρον όν έσχες, προκινδυνεύων τής πίστεως.

Εγκρατεία εμάρανας, τής σαρκός τά σκιρτήματα, καί παθών Μελέτιε, κατεκράτησας, καί απαθείας λαμπρότητι, σεαυτόν εφαίδρυνας, καί αγνώς καί καθαρώς, τώ Χριστώ Ιερούργησας, όν ικέτευε, εκ φθοράς καί κινδύνων λυτρωθήναι, τούς εν πίστει εκτελούντας, τήν αεισέβαστον μνήμην σου.

Τή σαρκί καθ' υπόστασιν, ενωθέντα τόν άσαρκον, καί Πατρί συνάναρχον, Λόγον Πάνσοφε, δίχα τροπής καί συγχύσεως, σοφώς εδογμάτισας, ενεργούντα δέ διττώς, καταλλήλως ταίς φύσεσιν, εξ ών σύγκειται, καί εν αις θεωρείται, εις υπάρχων, αδιαίρετος τώ όντι, τούτο κακείνο νοούμενος.

Δόξα... Καί νύν... Θεοτοκίον

Εν θαλάσση με πλέοντα, εν οδώ με βαδίζοντα, εν νυκτί καθεύδοντα περιφρούρησον, επαγρυπνούντα χαρίτωσον, τόν νούν μου Πανάμωμε, καί ευόδωσον ποιείν, τού Κυρίου τό θέλημα, όπως εύροιμι, εν ημέρα, τής δίκης τών εν βίω, πεπραγμένων μοι τήν λύσιν, ο προσφυγων εν τή σκέπη σου.

Η Σταυροθεοτοκίον

Τόν αμνόν καί Ποιμένα σε, επί ξύλου ως έβλεψεν, η αμνάς η τέξασα επωδύρετο, καί μητρικώς σοι εφθέγγετο, Υιέ ποθεινότατε, πώς εν ξύλω τού Σταυρού, ανηρτήθης Μακρόθυμε; πώς τάς χείράς σου, καί τούς πόδας σου Λόγε προσηλώθης, υπ' ανόμων, καί τό αίμα, τό σόν εξέχεας Δέσποτα.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, λέγεται ο Κανών, ού η Ακροστιχίς.

Τούς σούς επαίνους εξυφαίνω παμμάκαρ.

Ποίημα Θεοφάνους

Ωδή α' Ήχος πλ. δ' Ο Ειρμός

«Αρματηλάτην Φαραώ εβύθισε, τερατουργούσα ποτέ, Μωσαϊκή ράβδος, σταυροτύπως πλήξασα, καί διελούσα θάλασσαν, Ισραήλ δέ φυγάδα, πεζόν οδίτην διέσωσεν, άσμα τώ Θεώ αναμέλποντα».

Τώ φωτοδότη παρεστώς ολόφωτος, φωτί τής γνώσεως, τό ζοφερόν όμμα, τής ψυχής μου φώτισον, καί τήν αχλύν απέλασον, τών παθών σαίς πρεσβείαις, ως Ιεράρχης γάρ όσιε, έχεις παρρησίαν Μελέτιε.

Ο εν τοίς κόλποις τού Πατρός καθήμενος, ο συναϊδιος, καί συμφυής Λόγος, τώ τεκόντι κήρυκα, τής εαυτού γεννήσεως, προχειρίζεται μόνος, ως Αποστόλων ομότροπον, σέ νύν θεοφόρε Μελέτιε.

Υπό τής θείας φωτισθείς ελλάμψεως, τόν εξ ανάρχου Πατρός, μονογενή Λόγον, άκτιστον αιώνιον, θεολογήσας, Όσιε, τούς Αρείου συμμάχους, ομόφρονάς τε συνέχεας, θεία παντευχία φραξάμενος.

Θεοτοκίον

Σεσαρκωμένον Παναγία τέτοκας, τόν πρίν ασώματον, θεαρχικόν Λόγον, μόνη εξ αιώνος γάρ, ακτίσι καθαρότητος, Παρθενίας τε κάλλει, καί παναμώμοις χαρίσμασι, πέφηνας αξία πανάμωμε.

Ωδή γ'  Ο Ειρμός

«Οστερεώσας κατ' αρχάς, τούς ουρανούς εν συνέσει, καί τήν γήν επί υδάτων εδράσας, εν τή πέτρα με Χριστέ, τών εντολών σου στήριξον, ότι ουκ έστι πλήν σου, Άγιος μόνε Φιλάνθρωπε».

Στερεωτέραν τήν ψυχήν, αδάμαντος κεκτημένος, τό σαθρόν σύ τής αιρέσεως δόγμα, ευσεβεία πυρσωθείς, Πανόλβιε κατέπαυσας, διό πιστοί σε πάντες, ύμνοις θεόφρον δοξάζομεν.

Ομοιωθείς δι' αρετών, τοίς τού Χριστού Αποστόλοις, τήν εκείνων αυθεντίαν καί θρόνον, εκληρώσω προφανώς, Μελέτιε πανένδοξε, ορθοδοξίας στύλος, καί ευσεβείας γενόμενος.

Υιοθετούμενος Θεώ, τόν εκ Θεού Θεόν Λόγον, ού κατήγαγες εις κτίσιν αφρόνως, αλλ' εδόξασας Πατρί, συνάναρχον καί σύνθρονον, Δημιουργόν καί Κτίστην, τών γεγονότων Θεόληπτε.

Θεοτοκίον

Σού τήν άγίαν ο Θεός γαστέρα κατασκηνώσας, εσαρκώθη Θεομήτορ ως οίδε, καί διέσωσεν ημάς, τοίς ζωηφόροις πάθεσιν, όθεν σε σωτηρίας, πύλην Παρθένε γινώσκομεν.

Κάθισμα  Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Μελετήσας ημέρας τε καί νυκτός, εν τώ νόμω Κυρίου Πάτερ σοφέ, ως ξύλον κατάκαρπον, εφ' υδάτων τού Πνεύματος, φυτευθέν ωράθης, διό Ιεράτευσας, τώ Θεώ αμέμπτως, Αρείου τό άθεον, καί τού Σαβελλίου, τόν κακόδοξον τρόπον, σαφώς βδελυξάμενος, όρθοδόξω φρονή ματι, Ιεράρχα Μελέτιε. Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... όμοιον

Τήν σοφίαν τού Λόγου καταμαθών, καί τό γράμμα τού νόμου αποβαλών, πάσιν ανεκήρυξας, τόν τής χάριτος λόγον, καί τών ψυχών τάς πλάκας, λαξεύσας τή γλώττη σου, εν αυταίς εχάραξας, τα θεία διδάγματα, όθεν καί τού

γνόφου, διαβάς τήν νεφέλην, καλυπτόμενος σώματι, αναλάμπεις τώ Πνεύματι, Ιεράρχα Μελέτιε. Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Καί νύν... Θεοτοκίον

Ο τών όλων Δεσπότης καί Ποιητής, εξ αχράντου σου μήτρας σάρκα λαβών, προστάτιν σε έδειξε, τών ανθρώπων Πανάμωμε, διά τούτο πάντες, πρός σέ καταφεύγομεν, ιλασμόν πταισμάτων, αιτούμενοι Δέσποινα, καί αιωνιζούσης, λυτρωθήναι βασάνου, καί πάσης κολάσεως, τής εκείσε δεόμεθα, καί εν πίστει βοώμέν σοι. Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τού δοθήναι πάσι Κόρη άφεσιν, τοίς ευσεβώς προσιούσι, τή σκέπη τή θεία σου.

Η Σταυροθεοτοκίον

Ο σταυρόν υπομείνας ως αγαθός, τού Αδάμ τήν πτωχείαν αναλαβών, μόνε αναμάρτητε, υπεράγαθε Κύριε, τού θανάτου εύσπλαγχνε, τό κράτος κατέλυσας, καί τώ πάθει σου Δέσποτα, τόν κόσμον διέσωσας. Όθεν Ζωοδότα, τήν πεσούσαν ψυχήν μου, οικτείρησον δέομαι, όταν κρίνης τά έργα μου, δικαιοκρίτα φιλάνθρωπε, καί δός μοι πανοικτίρμον Θεέ, τών πταισμάτων άφεσιν ως εύσπλαγχνος, ότι μόνος υπάρχεις, φύσει αναμάρτητος.

Ωδή δ'  Ο Ειρμός

«Σύ μου ισχυς, Κύριε, σύ μου καί δύναμις, σύ Θεός μου, σύ μου αγαλλίαμα, ο πατρικούς κόλπους μή λιπών, καί τήν ημετέραν, πτωχείαν επισκεψάμενος, διό σύν τώ Προφήτη, Άββακούμ σοί κραυγάζω. Τή δυνάμει σου δόξα φιλάνθρωπε».

Επιφανώς, Ιερομύστα διέπρεψας, τόν τού Πέτρου, θρόνον κληρωσάμενος, τού παρ' αυτού Πάτερ τού Χριστού, χειροτονηθέντος, ού καί τόν τρόπον εζήλωσας, Υιόν Θεού τού ζώντος, τόν Σωτήρα δοξάζων, διδαχαίς ταίς εκείνου επόμενος.

Παντοδαποίς, κεκοσμημένος χαρίσμασι, Μοναρχίας, κήρυξ εχρημάτισας, τής εν Πατρί καί μονογενεί, Λόγω νοουμένης καί θείω Πνεύματι Πάνσοφε. Μονάδα γάρ ουσίας, εν Τριάδι προσώπων, υφεστώτων εδίδαξας Όσιε.

Ανακραθείς, κάλλει τώ πρώτω θεσπέσιε, καί τή αίγλη, τούτου συμμορφούμενος, καί πυρσωθείς θείαις αστραπαίς, κατά μετουσίαν, τή Εκκλησία φώς δεύτερον, εγένου θεοφάντορ, φωτισμόν ευσεβείας, αναφαίνων τοίς πίστει προστρέχουσιν.

Θεοτοκίον

Ίνα μορφήν, τήν κεχωσμένην τοίς πάθεσιν, εκζητήσης, πλούτου αγαθότητι, Παρθενικήν ώκησας νηδύν, εξ ής η Σοφία, Θεού ναόν ώκοδόμησας, δι' ού συναναστράφης, τοίς ανθρώποις οικτίρμον, καί διέσωσας κόσμου τά πέρατα.

Ωδή ε'  Ο Ειρμός

«Ίνα τί με απώσω, από τού προσώπου σου τό φώς τό άδυτον, καί εκάλυψέ με, τό αλλότριον σκότος τόν δείλαιον, αλλ' επίστρεψόν με, καί πρός τό φώς

τών εντολών σου, τάς οδούς μου κατεύθυνον δέομαι».

Νεμομένης ατόπως, πάντας τής αιρέσεως τής κακοδαίμονος, υπερήρας Πάτερ, ευγενεία ψυχής καί φαιδρότητι, καί πανάγνω γνώμη, καί σταθηρά θεοσεβεία, θεοφάντορ παμμάκαρ Μελέτιε.

Ολικαίς προθυμίαις, τούς Αρειανόφρονας καταστρεψάμενος, ορθοδόξω πίστει, θεοφόρε τό κράτος εκύρωσας, εν Τριάδι ένα, Θεόν ημίν ανακηρύττων, παμμακάριστε Πάτερ Μελέτιε.

Υπερθέου Τριάδος, μύστης εχρημάτισας παναληθέστατος, τώ Πατρί τόν Λόγον, όμοούσιον σέβων καί σύνθρονον, καί τό θείον Πνεύμα, ομοφυές Πατρί καί Λόγω, πανσεβάσμιε Πάτερ Μελέτιε.

Θεοτοκίον

Στρατηγίαι τών άνω, Πάναγνε Δυνάμεων σέ μακαρίζουσι, γενεαί δέ πάσαι, τών ανθρώπων αξίως δοξάζουσι, διά σού γάρ μόνης, οι επί γής τοίς ουρανίοις, συναφθέντες υμνούμεν τόν τόκον σου.

Ωδή ς' Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, Ο Θεός τής σωτηρίας μου».

Εξήρανας ποταμούς, θεόφρον τούς τής αιρέσεως, ηνέω ξας δέ πηγάς, δογμάτων ορθότητος, αήττητος πρόμαχος, τής ορθοδοξίας, γεγονώς ώ παμμακάριστε.

Ξηράνας τό θολερόν, Αρείου ρείθρον καί άθεον, κατήρδευσας δαψιλώς, τής χάριτος νάμασι, πιστών τά συστή ματα, καί τής Εκκλησίας, τήν ευπρέπειαν εκόσμησας.

Υπάρχων διαπρεπής, ενθέοις επιτηδεύμασιν, εγένου περιφανής, Πάτερ πρακτικώτατος, ακλόνητος σύμμαχος τής θεοσεβείας, καί Ποιμένων προηγουμενος.

Θεοτοκίον

Φωτίζουσι τάς ψυχάς, τών ορθοδόξως υμνούντων σε, αι ρήσεις τών προφητών, τήν σήν προμηνύουσαι, πανάχραντον σύλληψιν, καί τήν υπέρ λόγον, θεονυμφευτόν σου γέννησιν.

Κοντάκιον Ήχος β'

Τοίς τών αιμάτων σου ρείθροις

Ορθοδοξίας τοίς τρόποις κοσμούμενος, τής Εκκλησίας προστάτης καί πρόβολος, εδείχθης παμμάκαρ Μελέτιε, καταπυρσεύων τά πέρατα δόγμασι, λαμπτήρ Εκκλησίας φαεινότατε.

Ο Οίκος

Τών Αποστόλων ομότροπόν σε, καί ομόδοξον πάντες εγνωκότες πιστοί, καί σύνθρονον Πάτερ Όσιε, καί τής Τριάδος μύστην καί λάτριν, καί Διδάσκαλον μέγαν τής Εκκλησίας, υπέρ αυτής τήν ψυχήν σου τρισμάκαρ προθέμενον, τώ ζήλω τής ευσεβείας πυρσούμενον, θεόφρον Μελέτιε, συιμφώνως πάντες ανυμνούμέν σε, τήν σεπτήν σου καί ένθεον γεραίροντες κοίμησιν, λαμπτήρ Εκκλησίας φαεινότατε.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΒ' τού αυτού μηνός, Μνήμη τού εν Αγίοις Πατρός ημών Μελετίου, αρχιεπισκόπου Αντιοχείας τής μεγάλης.

Στίχοι

- Τάς χείρας αίρων Μελέτιος Κυρίω,
- Ταίς χερσί σου τίθημι τήν ψυχήν, λέγει.
- Δωδεκάτη Μελέτιος έδυ χθόνα πουλυβότειραν.

Τή αυτή ημέρα, Μνήμη τής Οσίας Μαρίας, της μετονομασθείσης Μαρίνος.

Στίχοι

- Στολή Μαρίνον μαρτυρεί τήν Μαρίαν,
- Ταφή Μαρίαν δεικνύει τόν Μαρίνον.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημων Αντωνίου, αρχιεπισκόπου Κωνσταντινουπόλεως.

Στίχοι

- Ουδέν τι προσχών Αντώνιος τοίς κάτω,
- Καλών δικαίως ηξιώθη τών άνω.

Τή αυτή ημέρα, οι Άγιοι Σατορνίνος καί Πλουτίνος ξίφει τελειούνται.

Στίχοι

- Τά θνησιμαία ταύτα τών τετμημένων,
- Σατορνίνου πέφυκε καί τού Πλουτίνου.

Ταίς αυτών Αγίαις πρεσβείαις, ο Θεός, ελέησον καί σώσον ημάς. Αμήν.

Ωδή ζ' Ο Ειρμός

«Θεού συγκατάβασιν, τό πύρ ηδέσθη εν Βαβυλώνι ποτέ, διά τούτο οι παίδες εν τή καμίνω, αγαλλομένω ποδί, ως εν λειμώνι χορεύοντες έψαλλον. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών».

Αγία σε Σύνοδος, πρωτοστατούντα έσχε Θεόληπτε, ήν τό Άγιον Πνεύμα, εκ τών περάτων εις έν συνήθροισεν, υμνολογούσαν αυτού τήν θεότητα. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Ισότιμον έλαχες, τήν προεδρείαν τοίς Αποστόλοις Χριστού, καί τήν ένθεον

τούτων, διδασκαλίαν εκληρονόμησας, καί πολιτείαν μιμούμενος έψαλλες. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Νούν έχων οξύτατον, προς θεοπτίαν ανατεινόμενον, τήν τών αίρετιζόντων, αμβλυωπίαν εξεμυκτήρισας, τούς ευσεβείς δέ διδάσκων εκραύγαζες. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Ως έσοπτρον άχραντε, σύ τής αγίας στίλβουσα χάριτος, φωτοτόκος Παρθένε, καί Θεοτόκος πάναγνε γέγονας, διό συμφώνως τώ τόκω σου ψάλλομεν. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Ωδή η'  Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν, εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών. Τόν Δημιουργόν καί Λυτρωτήν ανεβόα, οι Παίδες ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Περιφανώς εδίδαξας, μίαν σέβειν θεότητα, τήν εν τώ Πατρί καί Υιώ καί Πνεύματι, καί δύναμιν άπειρον, καί βασιλείαν μίαν σαφώς, τών ιδιωμάτων, άσφαλώς τηρουμένων, εκάστη υποστάσει, ή καί ψάλλων εβόας. Λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Αγιωσύνης τέμενος, Ιεράρχα γενόμενος, πάντας αγιάζεις, τούς τώ σώ ονόματι, καλείσθαι σπουδάζοντας, καί τήν εικόνα Πάτερ τήν σήν, σχέσει τή πρός σέ, διαχαράττοντας πόθω, καί πίστει μελωδούντας. Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Μυσταγωγίαις άριστα, τήν σήν ποίμνην εφώτισας, νύν δέ πρωτοτόκων, Εκκλησίαν ηύξησας, προσθήκη γενόμενος, τοίς απ' αιώνος λάμψασιν, ιεραρχικαίς καί μυστικαίς λειτουργίαις, μεθ' ών βοάς απαύστως. Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Μεμυημένοι Πάναγνε, τό επί σοί Μυστήριον, καί τήν γενομένην, διά σού δρεπόμενοι, ψυχών απολύτρωσιν, καί σωτηρίαν κράζομεν, σύν τώ Γαβριήλ, τώ Αρχαγγέλω τό Χαίρε, βοώντες Θεοτόκε, καί πιστώς μελωδούντες. Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ωδή θ'  Ο Ειρμός

«Εξέστη επί τούτω ο ουρανός, καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι μεγαλύνουσιν».

Αΰλως τώ αΰλω παρεστηκώς, όν καί Κτίστην τών όλων καί Κύριον, καί τού Πατρός, Λόγον καί σοφίαν ουσιωδώς, καί συμφυώς υπάρχοντα, σύ

εθεολόγεις ειλικρινώς, αιτούμενος μή παύση, σωθήναι τούς εν πίστει, σέ θεηγόρε μακαρίζουσιν.

Καμάτοις ενιδρούντα πνευματικοίς, καί προθύμως εισέτι μαχόμενον, υπέρ αυτού, τοίς Πνευματομάχοις σέ καθορών, τό καθαρόν καί Άγιον, Πνεύμα στεφανώσαν ως νικητήν, προσέλαβεν αξίως, καί ταίς άνω Παμμάκαρ, χοροστασίαις συνηρίθμησεν.

Αγώνας διανύσας τούς ευαγείς, καί τόν δρόμον τελέσας τόν κάλλιστον, καί τήν ορθήν, πίστιν εκδιδάξας πανευσεβώς, δικαιοσύνης στέφανον, παρά τού τών πάντων Δημιουργού, εδέξω θεηγόρε, συνόδω διδασκάλων, ύμνοις εξ ύμνων προπεμπόμενος.

Θεοτοκίον

Ραδίως Θεοτόκε διαπεράν, τόν τού βίου παράσχου μοι κλύδωνα, τών πειρασμών, τάς επαναστάσεις καί τών παθών, ως αγαθή πραΰνουσα, καί καθοδηγούσα πρός αρετής, ουράνιον πορείαν, όπως ως ευεργέτην, ακαταπαύστως μεγαλύνω σε.

Εξαποστειλάριον

Ο ουρανόν τοίς άστροις

Ηπαμφαής επέστη, τού Ιεράρχου εορτή, δεύτε προθύμως εν ταύτη, ανευφημήσωμεν Χριστόν, τόν θαυμαστόν εν Αγίοις, καί μόνον Κύριον όντα.

Θεοτοκίον

Ελπίς τών απηλπισμένων, καταφυγή Χριστιανών, σύν Αποστόλοις Προφήταις, καί Μάρτυσι τόν σόν Υιόν, ικέτευε υπέρ πάντων, τών σέ πιστώς προσκυνούντων.

Εις τόν Στίχον τών Αίνων, Στιχηρά τής Οκτωήχου.

Καί η λοιπή Ακολουθία τού Όρθρου, ώς σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΓ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Μαρτινιανού.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ' Έδωκας σημείωσιν

Άσκησιν ελόμενος, καί κακουχίαν μακάριε, εν σπηλαίοις καί όρεσι, σαυτόν απεμάκρυνας, φυγαδεύων Πάτερ, καί ταίς θεωρίαις, καί αναβάσεσι τόν νούν, αποκαθαίρων, καί καλλυνόμενος, εντεύθεν εχρημάτισας, θείον δοχείον τού Πνεύματος, θεοφόρε πανόλβιε, μοναζόντων τό καύχημα.

Μάρτυς εθελούσιος, καί δικαστής καί κατήγορος, σεαυτού εχρημάτισας, πυρί γάρ φλεγόμενος, ηδονής ατόπου, πυράν λαυροτάτην Πάτερ ανάψας σεαυτόν, μέσον εισήξας κατακαιόμενος, η δρόσος δέ τού Πνεύματος, εξ ουρανού σε ανέψυξε, καί τόν σάλον τόν άπειρον, εις γαλήνην μετήγαγε.

Μέσον κατεσκήνωσας, θαλάσσης Πάτερ τά κύματα, αποφεύγων τού όφεως, κακεί δέ σοι θήρατρα ο εχθρός προσάγει τήν διασωθείσαν, εκ τρικυμίας χαλεπής, θηρσί δέ αύθις προσεποχούμενος, τή χέρσω προσεπέλασας, καί τόν αγώνα ετέλεσας, ξενιτεύων θλιβόμενος, θεοφόρε πανόλβιε.

Δόξα... Καί νύν... Θεοτοκίον

Τό χαύνον καί έκλυτον, Παρθενομήτορ πανάμωμε, τής ψυχής μου μετάβαλε, εις ρώσιν καί δύναμιν, νύν τού θείου φόβου, ποιείν τε καί πράττειν, τά δικαιώματα Χριστού, όπως εκφύγω τό πύρ τό άσβεστον, καί κλήρον τόν ουράνιον, καί τήν ζωήν τήν απέραντον, διά σού εύρω Δέσποινα, ευφραινόμενος πάντοτε.

Η Σταυροθεοτοκίον

Σταυρούμενον βλέπουσα, καί τήν πλευράν ορυττόμενον, υπό λόγχης η Πάναγνος, Χριστόν τόν φιλάνθρωπον, έκλαιε βοώσα. Τί τούτο Υιέ μου; τί σοι αχάριστος λαός, αποτιννύει ανθ' ών πεποίηκας, καλών αυτοίς καί σπεύδεις με, ατεκνωθήναι παμφίλτατε; Καταπλήττομαι εύσπλαγχνε, σήν εκούσιον σταύρωσιν.

Εάν δέ τύχη εκτός τής Τεσσαρακοστής, λέγε τό εξής Ιδιόμελον.

Δόξα... Ήχος β'

Χαίροις έντιμον καί πολυθαύμαστον, Παλαιστινών τό κύδος, ανέτειλας γάρ ήμίν ως φαεινότατος ήλιος, καί τήν τού εχθρού καταφλέξας άπασαν τήν δυναστείαν, τών μελών σου ήψω πυρί μακάριε, εν όρεσι γάρ καί ερήμοις καί νήσοις, πάντα πειρασμόν σοι προσήγαγε, τό μέν, εν ερήμω γύναιόν σοι παρεστήσατο, τό δέ, εν βράχει θαλαττίω, ο πειράζων πειράζεινσε, επειράτο σοφέ. Αλλ' ώ Μαρτινιανέ τρισόλβιε, Χριστόν απαύστως υπέρ ημών ικετεύων μή παύση, τών εκτελούντων σου πιστώς τό μνημόσυνον.

Καί νύν... Θεοτοκίον

Ότε εκτού ξύλου σε

Σύ εί τών Αγγέλων η χαρά, σύ εί τών ανθρώπων η δόξα, σύ τών πιστών η ελπίς, Δέσποινα πανάμωμε, καί προστασία ημών, καί πρός σέ καταφεύγοντες, εν πίστει βοώμεν, Όπως ταίς πρεσβείαις σου, εκ τών βελών τού εχθρού, λύπης ψυχοφθόρου καί πάσης, θλίψεως ρυσθείημεν πάντες, οι ανευφημούντές σε Θεόνυμφε.

Η Σταυροθεοτοκίον

Ότε εν Σταυρώ σε η Αμνάς, Άρνα τόν οικείον εώρα, κατακεντούμενον, ήλοις ωλοφύρετο, εκπληττομένη σφοδρώς, καί δακρύουσα έλεγε. Πώς θνήσκεις Υιέ μου, θέλων τό χειρόγραφον, τού πρωτοπλάστου' Αδάμ, ρήξαι, καί θανάτου λυτρώσαι, άπαν τό ανθρώπινον; Δόξα, τή οικονομία σου μακρόθυμε.

Εις τόν Στίχον, τά Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος β'

Πεποικιλμένος στολή αγνείας, καί πεπυρσευμένος, εντεύξει θεία, ένοικόν τε έχων Χριστόν τόν εκ Παρθένου τεχθέντα, γυναικεία στολή ού συνηρπάγης, ουδέ ηδονάς κατεδέξω, αλλ' επέβης προθύμως τώ ομοδούλω πυρί, τό θείον πύρ εγκάρδιον έχων, καί διά τού αισθητού καί προσκαίρου πυρός, τό εμπαθές πύρ κατέφλεξας, καί τής γεέννης τήν φλόγα κατέσβεσας. Διό πρέσβευε, Μαρτινιανέ τρισόλβιε, καί ημάς τού ολεθρίου καί αιωνίου λυτρωθήναι πυρός.

Καί νύν... Θεοτοκίον

Ότε εκ τού ξύλου σε

Νεύσον ταίς δεήσεσιν Αγνή, τών σων οικετών καί παράσχου, πηγάς δακρύων ημίν, ίνα αποπλύνωμεν, τών εγκλημάτων ημών, τάς κηλίδας Πανάμωμε, καί σβέσωμεν φλόγα, τού διαιωνίζοντος καί πικροτάτου πυρός, σύ γάρ, τών εξ όλης καρδίας, σέ τήν τού Δεσπότου Μητέρα, επικαλουμένων τάς δεήσεις πληροίς.

Η Σταυροθεοτοκίον

Ω τής αγαθότητος τής σής! ώ τής υπέρ νούν ευσπλαγχνίας! ώ τής πολλής ανοχής, καί μακροθυμίας σου, Λόγε προάναρχε! η Παρθένος εκραύγαζεν, ολοφυρομένη, Πώς ο ών αθάνατος, θανείν ηγάπησας; Μέγα τό μυστήριον βλέπω! όμως προσκυνώ σου τά πάθη, άπερ εκουσίως καθυπέμεινας.

Απολυτίκιον  Ήχος δ'

Τήν φλόγα τών πειρασμών, δακρύων τοίς οχετοίς, εναπέσβεσας Μακάριε, καί τής θαλάσσης τά κύματα, καί τών θηρών τά ορμήματα, χαλινώσας εκραύγαζες. Δεδοξασμένος εί Παντοδύναμε, πυρός καί ζάλης ό σώσας με.

Δόξα... Καί νύν... Θεοτοκίον

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν αναγινώσκεται ο Κανών, ού η Ακροστιχίς.

Μέλπω Μάκαρ σου τούς δρόμους θείοις λόγοις.

Ποίημα Θεοφάνους

Ωδή α'  Ήχος δ'  Ο Ειρμός

«Θαλάσσης, τό ερυθραίον πέλαγος, αβρόχοις, ίχνεσιν, ο παλαιός πεζεύσας, Ισραήλ, σταυροτύποις Μωσέως χερσί, τού Αμαλήκ τήν δύναμιν, εν τή ερήμω ετροπώσατο».

Μονάσας, καί τόν σταυρόν σου Όσιε, αναλαβόμενος, τώ διά σέ εκούσιον Σταυρόν καί ταφήν υπομείναντι, ακολουθείν επόθησας, πάθη νεκρώσας τά

τού σώματος.

Εν όρει, τής απαθείας Όσιε, μένειν ελόμενος, ταίς πρός τό θείον νεύσεσι νυκτός, καί ημέρας εσχόλασας, διά νηστείας Πάνσοφε, καί εγκρατείας καί δεήσεως.

Λαμπτήρα, τής Εκκλησίας ένδοξε, Χριστός σε έδειξε, φωτοβολούντα Πάτερ αρεταίς, τών πιστών τά συστήματα, καί τών ψυχών σκοτόμαιναν, πολυσχιδή αποδιώκοντα.

Θεοτοκίον

Παρθένον, καί μετά τόκον μόνην σε, μείνασαν έγνωμεν, τόν πλαστουργόν γάρ έτεκες Θεόν, καί σαρκί εσπαργάνωσας, τόν θεϊκαίς δυνάμεσι, τήν γήν ομίχλη σπαργανώσαντα.

Ωδή γ' Ο Ειρμός

«Ευφραίνεται επί σοί, η εκκλησία σου Χριστέ κράζουσα. Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

Ανύστακτον τόν πυρσόν, τόν τής ψυχής διατηρών πνεύματι, τής νοητής ένδοθεν, Όσιε παστάδος εσκήνωσας.

Ρεόντων παραδραμών, ευσεβοφρόνως τά τερπνά έσπευσας, τά μηδαμώς ρέοντα, Μαρτινιανέ εγκολπώσασθαι.

Στενούμενος πλατυσμώ, ασκητικής διαγωγής Όσιε, πλάτος τερπνόν έφθασας, τό τού Παραδείσου γηθόμενος.

Θεοτοκίον

Οικήσας σου τήν νηδύν, ο κατοικών τόν ουρανόν άλλον σε, Μήτηρ Θεού έμψυχον, όντως ουρανόν απειργάσατο.

Κάθισμα Ήχος α'

Τού λίθου σφραγισθέντος

Εν πέτρα ευσεβείας προσερείσας τόν πόδα σου, εχθρού ταίς μεθοδείαις απερίτρεπτος έμεινας, πυρί δέ θερμανθείς τών ηδονών, εις πύρ σαυτόν ενέβαλες δειχθείς, εθελούσιος Μαρτυς, επισκοπή τή θεία δροσιζόμενος. Δόξα τώ δεδωκότι σοι ισχύν, δόξα τώ σέ στεφανώσαντι, δόξα τώ ενεργούντι διά σού πάσιν ιάματα.

Δόξα... Καί νύν... Θεοτοκίον

Τάς χείράς σου τάς θείας, αίς τόν Κτίστην εβάστασας, Παρθένε Παναγία, σαρκωθέντα χρηστότητι, προτείνουσα δυσώπησον αυτόν, λυτρώσασθαι ημάς εκ πειρασμών, καί παθών καί τών κινδύνων, τούς ευφημούντάς σε πόθω καί βοώντάς σοι. Δόξα τώ ενοικήσαντι εν σοι δόξα τώ προελθόντι εκ σού, δόξα τώ ελευθερώσαντι ημάς διά τού τόκου σου.

Η Σταυροθεοτοκίον

Σταυρώ σου προσπαγέντος υπό τών παρανόμων, καί στρατιωτών Σώτερ

λόγχη, τήν πλευράν ορυγέντος, η Πάναγνος ωδύρετο πικρώς, τά σπλάγχνα κοπτομένη μητρικώς, καί τό πολύ σου καί φρικτόν τής ανοχής, εξίστατο βοώσα, Δόξα τή πρός ανθρώπους σου στοργή, δόξα τή σή χρηστότητι, δόξα τώ εν τώ θανάτω σου, βροτούς αθανατίζοντι.

### Ωδή δ'  Ο Ειρμός

«Επαρθέντα σε ιδούσα η Εκκλησία, επί Σταυρού τόν Ήλιον, τής δικαιοσύνης, έστη εν τή τάξει αυτής, εικότως κραυγάζουσα, Δόξα τή δυνάμει σου Κύριε».

Υπωπιάσας τήν σάρκα σκληραγωγίαις, τή καθαρά καρδία σου, φέγγος υπεδέξω, Πάτερ τό τού Πνεύματος, καί χαίρων εκραύγαζες, Δόξα τή δυνάμει σου Κύριε.

Ταίς τού πνεύματος λαμπόμενος φωταυγείαις, τό σκοτεινόν παρέδραμες, νέφος τών δαιμόνων, μέλπων εμμελέστατα, τώ σέ δυναμώσαντι, Δόξα τή δυνάμει σου Κύριε.

Ουκ εσάλευσε τόν πύργον τής σής καρδίας, ο δυσμενής προσρήξας σοι, κύματα κακίας, πέτρα γάρ εστήρικτο, Θεού αγαπήσεως, Μαρτινιανέ αξιάγαστε.

### Θεοτοκίον

Υπερτέρα τών Αγγέλων εδείχθης μόνη, βουλής μεγάλης Αγγελον, τέτοκας γάρ Λόγον πάντας τόν φωτίζοντα, Παρθένε τούς κραυγάζοντας, Δόξα τή δυνάμει σου Κύριε.

### Ωδή ε'  Ειρμός

«Σύ Κύριέ μου φώς, είς τόν κόσμον ελήλυθας, φώς άγιον επιστρέφον, εκ ζοφώδους αγνοίας, τούς πίστει ανυμνούντάς σε».

Τίς δύναται τά σά, εξειπείν κατορθώματα, ισάγγελον πολιτείαν, επί γής γάρ ασκήσας, οσίως υπερήθλησας.

Όργανον τής φθοράς, χρηματίσας ο τύραννος, προσβάλλει σου δελεάσαι, ηδονή, αλλ' ηττήθη, ταίς σαίς Πάτερ ενστάσεσιν.

Υπήρξας σεαυτού, δικαστής εθελούσιος, τήν φλόγα γάρ υπεισδύνων, τών παθών τάς καμίνους, Μακάριε κατέσβεσας.

### Θεοτοκίον

Σέ όπλον αρραγές, κατ' εχθρών προβαλλόμεθα, σέ άγκυραν καί ελπίδα, τής ημών σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

### Ωδή ς'  Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Δολίαις, γυναικός λαλιαίς σοι προσέβαλεν, ως τώ Προπάτορι πάλαι, δυσμενής ο όφις, αλλ' επινοία, τή σοφή σου, κατηργήθη αυτού τά σοφίσματα.

Ραδίως, διοδεύσας τήν τρίβον τήν φέρουσαν, πρός τάς εκεί καταπαύσεις, ουκ επαύσω Πάτερ διέρχεσθαι, τάς ερήμους, καί τάς πόλεις πολλοίς αγωνίσμασιν.

Όρεσι, καί θαλάσσαις σαυτόν απεμάκρυνας, τό τής αγνείας καλόν σου, Ιεραίς μελέταις καρπούμενος, καί στεφάνων, λαμπροτάτων Σοφέ αξιούμενος.

Μέλη σου, τή πυρά καταφλέγεσθαι δέδωκας, τάς υπεκκαύσεις σβεννύων, ηδονών τή δρόσω τού Πνεύματος, θεοφόρε, μοναστών ακλινέστατον έρεισμα.

Θεοτοκίον

Όλην σε, καθηγίασε Λόγος ο Άγιος, σού κατοικήσας τήν μήτραν, τήν ηγιασμένην αρρήτω λόγω, όν δυσώπει, εκτενώς τού σωθήναι τούς δούλους σου.

Κοντάκιον

Ήχος β' Τούς ασφαλείς

Ως ασκητήν τής ευσεβείας δόκιμον, καί αθλητήν τή προαιρέσει τίμιον, καί ερήμου καρτερόψυχον, πολίτην άμα καί συνίστορα, εν ύμνοις επαξίως ευφημήσωμεν, Μαρτινιανόν τόν αεισέβαστον, αυτός γάρ τόν όφιν κατεπάτησεν.

Ο Οίκος

Από περάτων έως περάτων διεξήλθεν ο φθόγγος τών τερπνών αρετών, καί τών ενθέων αγώνων σου, νέος γάρ υπάρχων τή ηλικία, ερήμοις επόθησας συνδιαιτάσθαι, ύμνους Χριστώ, ψαλμωδίας, ευχάς αναπέμπων αεί, ημέραν τε καί νύκτα συναύξων έν τε πόνοις καί δάκρυσιν, αγνώς τόν βίον ετέλεσας, καί σοφώς τόν αρχέκακον ήσχυνας, αυτός γάρ τόν όφιν κατεπάτησας.

Συναξάριον

Τή ΙΓ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Μαρτινιανού.

Στίχοι

- Μαρτινιανός, σαρκικήν σβέσας φλόγα,
- Φεύγει τελευτών μή τελευτώσαν φλόγα.
- Εν τριτάτη δεκάτη δέμας εξέδυ Μαρτινιανός.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Αποστόλων καί Μαρτύρων, Ακύλα καί Πρισκίλλης.

Στίχοι

- Τμηθέν γύναιον, Ακύλας φησί, βλέπων,
- Ουκ ανδριούμαι πρός τομήν ανήρ κάρας;

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Ευλογίου, Αρχιεπισκόπου

Αλεξανδρείας.

Στίχοι

- Ψυχήν δίδωσιν Ευλόγιος Κυρίω
- Βοών πρός αυτήν, Κύριον σόν ευλόγει.

Τή αυτή ημέρα, οι Άγιοι Πατήρ καί Υιός σταυρωθέντες τελειούνται.

Στίχοι

- Πατήρ σύν Υιώ σταυρικόν πάσχει πάθος,
- Υπέρ Πατρός, τού δόντος Υιόν εις πάθος.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ' Ο Ειρμός

«Εν τή καμίνω Αβραμιαίοι παίδες τή Περσική, πόθω ευσεβείας μάλλον ή τή φλογί, πυρπολούμενοι εκραύγαζον. Ευλογη μένος εί, εν τώ ναώ τής δόξης σου Κύριε».

Υπό τής θείας, κυβερνώμενος Πάτερ χειρός, ώσπερ, Ιωνάς απέρριψας σεαυτόν, εις βυθόν θαλάσσης Όσιε, θηρσίν οχούμενος, καί τή χέρσω λαμπρός εκδιδόμενος.

Συμπαθεστάτη, προαιρέσει Πάτερ σώζεις σαφώς κόρην πικροτάτης ζάλης καί ακλινή επί πέτραν θείας γνώσεως, στηρίζεις ψάλλουσαν, καί Θεώ ευαρέστως λατρεύουσαν.

Θεού προστάξει, θαλαττίου ρυσθείς εκ κλύδωνος, ταύτην μακαρίαν δέδωκας αμοιβήν, τήν τού σώματός σου νέκρωσιν, καί τήν ολόκληρον, πρός τόν πάντων Δεσπότην διάθεσιν.

Θεοτοκίον

Εκ σού τής δόξης, Θεογεννήτορ λάμψας Ήλιος, πάντων τών πιστών εφώτισε τάς ψυχάς, μελωδούντων θείω Πνεύματι. Ευλογημένος εί εν τώ ναω τής δόξης σου Κύριε.

Ωδή η' Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Ισχύς μου καί ύμνησις αυτός, υπάρχεις Κύριε, μερίς καί κλήρός μου, σού τήν εκούσιον νέκρωσιν, περιφέρων περιέρχομαι, πόλεις καί χώρας εμμελώς, Πάτερ εκραύγαζες. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ου ψύχει χαυνούμενος τόν νούν, αλλ' ουδέ καύσωνι, ψυχήν φλεγόμενος, όλως ενέδωκας θλίβων σου, τό σαρκίον, αλλ' υπέφερες, τήν τοίς δικαίοις

εννοών μακαριότητα, καί κραυγάζων. Πάντα τά έργα υμνείτε τόν Κύριον.

Ιστίω πτερούμενος σοφέ, τού θείου Πνεύματος, κούφως διέπλασας, βίου τήν θάλασσαν Όσιε, καί λιμένι προσεπέλασας, τής βασιλείας τού Θεού, μέλπων γηθόμενος. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Σκηναίς εναυλίζη φωτειναίς, αποδυσάμενος, νέφος τού σώματος, στολαίς φαιδρύνη δέ Όσιε, εξ ιδρώτων υφανθείσαις σου, ασκητικών, καί μελωδείς καθαρωτάτη ψυχή. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Θεοτοκίον

Λυτρούμενος κόσμον τής φθοράς, εκ σού σεσάρκωται ο υπερούσιος, θεοχαρίτωτε Δέσποινα, ενεργείαις καί θελήσεσι, διπλούς ορώμενος, μιά τή υποστάσει δέ, ώ βοώμεν. Πάντα τά έργα υμνείτε τόν Κύριον.

Ωδή θ'  Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Όλην τήν τού Πνεύματος αίγλην, καθαρωτάτη διανοία, Μαρτινιανέ εισεδέξω, καί φώς ωράθης καί στύλος Όσιε, από τής γής αιρόμενος, καί Μοναζόντων προηγούμενος.

Γέρα σοι τών πόνων παρέχει, ο αθλοθέτης σου παμμάκαρ, ούτινος τούς νόμους φυλάττων, ανεπιστρόφως τής συνειδήσεως, τό καθαρόν διήνυσας, Πάτερ αοίδιμε μαρτύριον.

Οικείς εν φωτί μετ' Αγγέλων βίον ισάγγελον βιώσας, θείας ηδονής απολαύων, καί θεωρίας καί καθαρότητος, ως καθαρός τώ πνεύματι, γεγενημένος, Αξιάγαστε.

Ιέρευσας τό σώμα θεόφρον, τόν λογισμόν καί τήν καρδίαν, Μαρτινιανέ τώ Κυρίω, καί θύμα ώφθης πυρί ασκήσεως, περιφανώς οπτώμενον, καί ευωδία συντηρούμενον.

Θεοτοκίον

Σέ τήν τού Ηλίου τής δόξης, κούφην νεφέλην Θεοτόκε, εξ ής υπέρ νούν ανατείλας, τήν κτίσιν πάσαν εφωταγώγησεν, ευσεβοφρόνως άσμασι, Παρθενομήτορ, μεγαλύνομεν.

Εξαποστειλάριον

Ο ουρανόν τοίς άστροις

Τής φύσεως βιαστής τε, καί Μάρτυς Μαρτινιανέ, σύ εθελουσίως ώφθης, καί οδηγός ταίς γυναιξί, μεθ' ών τόν εχθρόν νικήσας, υπέρ ημών νύν πρεσβεύεις.

Θεοτοκίον

Χαριστηρίοις σε ύμνοις, υμνούμεν πόθω Παρθένε, σύν τώ Αγγέλω τό χαίρε,

βοώντές σοι Θεοτόκε. Χαίρε ανύμφευτε Μήτηρ, τού Βασιλέως τής δόξης.

Εις τόν Στίχον τών Αίνων, τά Στιχηρά τής Οκτωήχου.

Καί ή λοιπή Ακολουθία τού Όρθρου, κατά τήν τάξιν, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΔ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Αυξεντίου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ' Έδωκας σημείωσιν

Αύξησιν ασκήσεως, επιδεικνύων Αυξέντιε, χαρισμάτων τήν αύξησιν, θεόθεν απείληφας, θεραπεύειν νόσους, δαίμονας ελαύνειν, τή επικλήσει τού Χριστού, πεπιστευμένος καί τής τού Πνεύματος, Παμμ άκαρ θείας χάριτος, εμφορηθείς καί δυνάμεως, ώ σαφώς κυβερνώμενος, πρός γαλήνην προσώρμισας.

Χάριν τών ιάσεων, καί τών θαυμάτων επλούτησας, καθαρθείς τήν διάνοιαν, παθών γάρ νοσήματα, καί σαρκός τόν ζόφον, καί τήν τρικυμίαν, απετινάξω καί φαιδράν, τήν τής ψυχής ειργάσω κατάστασιν, εντεύθεν καί διέλαμψας, εν Μοναστών ομηγύρεσι, δυσωπών τόν Φιλάνθρωπον, υπέρ τών ευφημούντων σε.

Αυξήσας τό τάλαντον, τό πιστευθέν σοι μακάριε, δαψιλώς εργασάμενος, καί σπείρας εν δάκρυσιν, εν αγαλλιάσει, Πάτερ νύν θερίζεις, πολλαπλασίονα χαράν, καί θυμηδίαν όντως δρεπόμενος, ως έχων παρρησίαν ούν, πρός τόν Δεσπότην δυσώπησον, υπέρ τών ανυμνούντων σε, θεοφόρε Αυξέντιε.

Δόξα... Καί νύν... Θεοτοκίον

Τό χαύνον καί έκλυτον Παρθενομήτορ πανάμωμε, τής ψυχής μου μετάβαλε, εις ρώσιν καί δύναμιν, νύν τού θείου φόβου, ποιείν τε καί πράττειν, τά δικαιώματα Χριστού, όπως εκφύγω τό πύρ τό άσβεστον, καί κλήρον τόν ουράνιον, καί τήν ζωήν τήν απέραντον, διά σού εύρω Δέσποινα, ευφραινόμενος πάντοτε.

Η Σταυροθεοτοκίον

Σταυρούμενον βλέπουσα, καί τήν πλευράν ορυττόμενον, υπό λόγχης η Πάναγνος, Χριστόν τόν φιλάνθρωπον, έκλαιε βοώσα. Τί τούτο Υιέ μου; τί σοι αχάριστος λαός, αποτιννύει ανθ' ών πεποίηκας, καλών αυτοίς, καί σπεύδεις με ατεκνωθήναι παμφίλτατε; Καταπλήττομαι, εύσπλαγχνε, σήν εκούσιον σταύρωσιν.

Εάν δέ τύχη εκτός τής Τεσσαρακοστής, λέγε τό εξής, Ιδιόμελον.

Δόξα... Ήχος πλ. δ'
Ανατολίου

Η καθαρά τού Πνεύματος τού Αγίου σοφία, σκηνώσασα εν τή καθαρά καρδία σου, παμμακάριστε Αυξέντιε, Όσιε Πάτερ, κατά τών πνευμάτων τής πονηρίας φοβερόν σε διώκτην ανέδειξε, καί ου μόνον φοβερόν, αλλά καί κρυπτών νοσημάτων ιατρόν. Διό παρρησίαν κεκτημένος πρός τόν φιλάνθρωπον Θεόν, τή απαύστω πρεσβεία σου, τών ψυχικών ημάς παθών, καί σωματικών ελευθέρωσον.

Καί νύν... Θεοτοκίον
Ω τού παραδόξου θαύματος

Χαίρε Αγγέλων εγκώμιον. Χαίρε βροτών καλλονή. Χαίρε δόξα τού γένους ημών. Χαίρε θεία είσοδος, πρός βασιλείαν Θεού. Χαίρε μεσίτρια, πρός τόν πλάσαντα. Χαίρε λυτήριον, τό τής αρχαίας αράς, σοί πάντες άδομεν, αίνον χαριστήριον χρεωστικώς, οι καταπολαύοντες, αεί τών σών αγαθών.

Η Σταυροθεοτοκίον

Ήλιος ιδών σε έφριξεν, επί Σταυρού Ιησού, ηπλωμένον θελήματι, καί η γή εσείετο, καί αι πέτραι ερρήγνυντο, καί τά μνημεία φόβω ηνοίγοντο, καί αί δυνάμεις πάσαι εξίσταντο, σέ δ' ως εώρακεν, η Παρθένος Δέσποινα ολολυγμώ, οίμοι! ανεκραύγαζε, τί τό ορώμενον.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν τού Ψαλτηρίου, λέγεται ο Κανών, ού η Ακροστιχίς.

Αυξέντιον τόν θείον ύμνών προφρόνως. Θεοφάνους.

Ωδή α'  Ήχος δ'  Ο Ειρμός

«Θαλάσσης, τό ερυθραίον πέλαγος, αβρόχοις ίχνεσιν, ο παλαιός πεζεύσας, Ισραήλ, σταυροτύποις Μωσέως χερσί, τού Αμαλήκ τήν δύναμιν, εν τή ερήμω ετροπώσατο».

Αυξήσας, τήν πρός Θεόν αγάπησιν, Πάτερ Αυξέντιε, καί κοσμικήν στοργήν καταλιπών, θεοφόρε κειμήλιον, χωρητικόν τού Πνεύματος, τών χαρισμάτων αναδέδειξαι.

Υπήλθες, εθελουσίοις νεύμασι, Πάτερ Αυξέντιε, σύ τόν ζυγόν Κυρίου τόν χρηστόν, καί τήν γήν εκαινούργησας, τών αρετών τοίς δάκρυσι, καταπιαίνων ταύτην ένδοξε.

Ξενώσας, βιοτικής συγχύσεως τήν σήν ψυχήν καί τόν νούν, καί πρός Θεόν συνάψας εμμελώς, εν συντόνοις ασκήσεσιν, επί τής γής ως άσαρκος, επολιτεύσω Παμμακάριστε.

Θεοτοκίον

Εν σοί νύν, εθεωρήθη Δέσποινα, η ακατάληπτος, θεανδρική πορεία τού Χριστού, ός Θεός τε καί άνθρωπος, εκ σού Αγνή γεγέννηται, ανακαινίζων τήν ουσίαν μου.

Ωδή γ' Ο Ειρμός

«Ουκ εν σοφία, καί δυνάμει καί πλούτω καυχωμεθα, αλλ' εν σοί τή τού Πατρός, ενυποστάτω Σοφία Θεού, ου γάρ έστιν Άγιος, πλήν σου φιλάνθρωπε».

Νενευρωμένος, τού Σταυρού τή δυνάμει κατήργησας, τών δαιμόνων τάς ορμάς, καί μεθοδείας διέλυσας, ασκήσει τρεπόμενος, τήν τούτων έφοδον.

Τήν τών Αγγέλων, επί γής πολιτείαν μιμούμενος, τό καθαρόν εν προσευχαίς, εν αγρυπνίαις τό εύτονον, προθύμως διήνυσας, Πάτερ Αυξέντιε.

Ιόν θανάτου, ταίς ψυχαίς προξενούσαν Αυξέντιε, επιγνούς τήν ηδονήν, δι' εγκρατείας ενέκρωσας, αυτής τά κινήματα, θεόφρον Όσιε.

Θεοτοκίον

Ο διαπλάσας, κατ' άρχάς εκ χοός με τόν άνθρωπον, πλαστουργείται δι' εμέ, εν τή γαστρί σου Πανάμωμε, τήν πάλαι κατάπτωσιν, επανορθούμενος.

Κάθισμα Ήχος α'

Τόν τάφον σου

Εις όρος ανελθών, θεωρίας Παμμάκαρ, καί πράξεως σαφώς, αστραπαίς τών θαυμάτων, ως ήλιος έλαμψας, καταυγάζων τά πέρατα, όθεν σήμερον, τήν παναγίαν σου μνήμην, εορτάζομεν, υμνολογούντές σε πίστει, καί πόθω γεραίρομεν.

Δόξα... Ήχος πλ. δ'

Τήν Σοφίαν

Ανελθών εν τώ όρει τών αρετών, βραχυτάτω κελλίω μάκαρ σαυτόν, συγκλείσας στενούμενος, επί γής δι' ασκήσεως, καί πρός πλάτος θείον, πανσόφως πτερούμενος, λογισμώ τελείω ανήλθες μακάριε, όθεν τούς εις βάθη πειρασμών εκπεσόντας, ανείλκυσας Όσιε, ενεργών τά τεράστια, θεοφόρε Αυξέντιε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Καί νύν... Θεοτοκίον

Ως Παρθένον καί μόνην εν γυναιξί, σέ ασπόρως Τεκούσαν Θεόν σαρκί, πάσαι μακαρίζουσι γενεαί τών ανθρώπων, τό γάρ πύρ εσκήνωσεν, εν σοί τής θεότητος, καί ως βρέφος θηλάζεις, τόν Κτίστην καί Κύριον, όθεν τών Αγγέλων, καί ανθρώπων τό γένος, αξίως δοξάζομεν, τόν πανάγιον τόκον σου, καί συμφώνως βοώμέν σοι, Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς ανυμνούσιν αξίως, τήν δόξαν σου Δέσποινα.

Η Σταυροθεοτοκίον

Τόν Αμνόν καί Ποιμένα καί Λυτρωτήν, η Αμνάς θεωρούσα εν τώ Σταυρώ,

ωλόλυζε δακρύουσα, καί Πικρώς εκβοώσα, ο μέν κόσμος αγάλλεται δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήν περ υπομένεις διά σπλάγχνα ελέους, Μακρόθυμε Κύριε, τού ελέους η άβυσσος, καί πηγή αγαθότητος, σπλαγχνίσθητι καί δώρησαι ούν, τών πταισμάτων άφεσιν τοίς δούλοις σου, τοίς ανυμνούσί σου πίστει, τά θεία παθήματα.

Ωδή δ'  Ο Ειρμός

«Επαρθέντα σε ιδούσα η Εκκλησία, επί Σταυρού τόν Ήλιον τής δικαιοσύνης, έστη εν τή τάξει αυτής, εικότως κραυγάζουσα. Δόξα τή δυνάμει σου Κύριε».

Νικητής κατά πνευμάτων τής πονηρίας, τή τού Αγίου Πνεύματος, Πάτερ συνεργεία, ώφθης καί τή χάριτι, κραυγάζων Αυξέντιε. Δόξα τή δυνάμει σου Κύριε.

Τών χειμάρρων θεοφόρε τής ανομίας, τή προσευχή παμμάκαρ, σεαυτόν όχυρώσας, έφυγες τόν τάραχον, τρυφής τόν χειμάρρουν δέ, πέπωκας αξίως πανόλβιε.

Ο θεοφόρος τήν πίστιν καί τήν αγάπην, τήν πρός Θεόν αυξήσας, πρός μετάρσιον ύψος, θείας οικειώσεως, υψώθη κραυγάζων σοι, Δόξα τή δυνάμει σου Κύριε.

Νουνεχώς Πάτερ προκρίνας, τής τών προσκαίρων χαμαιπετούς κυβείας, τήν μή σαλευομένην, θείαν ωραιότητα, προθύμως, εκραύγαζες, Δόξα τή δυνάμει σου Κύριε.

Θεοτοκίον

Θεόν Λόγον σε τεκούσαν σαφώς ειδότες σωματικώς κυρίως, οι πιστοί Θεοτόκον πάντες ονομάζομεν, τήν κλήσιν κατάλληλον, φύσει τών πραγμάτων προσάγοντες.

Ωδή ε'  Ο Ειρμός

«Σύ Κύριέ μου φώς, εις τόν κόσμον ελήλυθας, φως άγιον επιστρέφον, εκ ζοφώδους αγνοίας, τούς πίστει ανυμνούντάς σε».

Εχόμενα τής σής, οδού Πάτερ τά σκάνδαλα, οξύτητι διανοίας, αλωβήτως διήλθες, καί ψυχής καθαρότητι.

Ισότητι φρενών, τήν ζωήν διελήλυθας, τά πρόσκαιρα παρατρέχων, αιωνίοις δέ Πάτερ, είς αεί προστιθέμενος.

Ο βίος σου λαμπρός, καί η πίστις ορθόδοξος, η άσκησις θαυμασία, ηρτυμένος ο λόγος, τή χάοιτι Αυξέντιε.

Θεοτοκίον

Νούν έχοντες ορθόν, διδαγμάτων ανάπλεων, σέ πάναγνε Θεοτόκον,

ονομάζομεν πάντες, καί πόθω μακαρίζομεν.

Ωδή ς' Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αίνέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Υιόν σε, καί φωτός καί ημέρας ανέδειξεν, η πολιτεία σου μάκαρ, ευσχημόνως Πάτερ περιπατούντα, καί φωστήρα, ζωής εν κόσμω λόγον επέχοντα.

Μελέτην, τού θανάτου τόν βίον σου θέμενος, διαφερόντως τόν όρον, τής σοφίας Πάτερ κατανοήσας, μετετέθης, πρός τήν Σοφίαν τήν ενυπόστατον.

Θεοτοκίον

Ναόν σε, τού Θεού καί παστάδα γινώσκομεν, στάμνον λυχνίαν καί πλάκα, κεκτημένην ένδον εγγεγραμμένον, τόν δι' οίκτον, σωματωθέντα Λόγον πανάμωμε.

Κοντάκιον Ήχος β'

Τήν εν πρεσβείαις

Κατατρυφήσας θεόφρον τής εγκρατείας, καί τάς ορέξεις τής σαρκός χαλινώσας, ώφθης τή πίστει σου αυξανόμενος, καί ως φυτόν εν μέσω τού Παραδείσου εξήνθησας, Αυξεντιε Πάτερ ιερώτατε.

Ο Οίκος

Τίς τούς αγωνάς σου νύν επαξίως εξείπη, ή τούς πόνους σου Πάτερ, ούς υπέστης εν γή, διά τήν θείαν απόλαυσιν; από βρέφους γάρ νόμοις Κυρίου ακολουθήσας, καί προστάγμασι τούτου υπηρετήσας, νέος ημίν ανεδείχθης Ιώβ τοίς παλαίσμασι, τού κόσμου πάροικος ώφθης, καί τής γής απάσης αλλότριος, νηστείαν πίστει εξήσκησας, αγρυπνίαν, αγνείαν ηγάπησας, Αυξέντιε Πάτερ ιερώτατε.

Σ υ ν α ξ ά ρ ι ον

Τή ΙΔ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Αυξεντίου τού εν τώ Βουνώ.

Στίχοι

- Ο Βουνός, ως Κάρμηλος, ήν Αυξεντίω,
- Φανέντι τάλλα πλήν τελευτής Ηλία.
- Λείψε βίον δεκάτη Αυξέντιος ήδέ τετάρτη.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Μάρωνος.

Στίχοι

- Φύσει μαρανθείς σαρκίου, θάλλει Μάρων,
- Μετεμφυτευθείς τής Εδέμ τώ χωρίω.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Αβραάμ.

Στίχοι

- Πράξεις τό ταύτόν εύρε κλήσεως πλέον,
- Πρός τόν σύνοικον Αβραάμ Αβραάμης.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός ελέησον ημάς. Αμήν.

Ωδή ζ' Ο Ειρμός

«Εν τή καμίνω, Αβραμιαίοι Παίδες τή Περσική, πόθω ευσεβείας μάλλον ή τή φλογί, πυρπολούμενοι εκραύγαζον. Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε».

Ως τετρωμένος, τή τού Δεσπότου Πάτερ θεία στοργή, πάσαν πρός αυτόν ανένδοτον τήν ροπήν, τής καρδίας σου εκέκτησο, Ευλογημένος εί, ο Θεός μου κραυγάζων καί Κύριος.

Πεφωτισμένος, τή τού Σωτήρος αίγλη Πάνσοφε, σκότους τόν προστάτην ήλεγξας κραταιώς, κοσμοκράτορας καθείλες δέ, Ευλογημένος εί, ο Θεός μου κραυγάζων καί Κύριος.

Θεοτοκίον

Ρεύσασαν πάλαι, τής πρός τό κρείττον ανανεύσεως, φύσιν τών ανθρώπων πάναγνε βουληθείς, αναπλάσαι κατεσκήνωσεν, ο πλαστουργός Θεός, εν τή γαστρί σου μόνη Πανύμνητε.

Ωδή η' Ο Ειρμός

«Λυτρωτά τού παντός Παντοδύναμε, τούς εν μέσω φλογός ευσεβήσαντας, συγκαταβάς εδρόσισας, καί εδίδαξας μέλπειν, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον».

Ολικώς πρός Θεόν μεταθέμενος, απεσείσω σαρκός τήν ευπάθειαν, καί τών θαυμάτων είληφας, τήν ενέργειαν μέλπων. Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον.

Φοβερός απεφάνθης τοίς δαίμοσι, τόν Χριστόν κεκτημένος συλλήπτορα, ού τόν Σταυρόν αράμενος, ηκολούθησας μέλπων. Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον.

Θεοτοκίον

Ρητορεύει φανείς ο Αρχάγγελος, καί μηνύει τού Λόγου σοι Πάναγνε, τήν υπέρ λόγον σύλληψιν, καί σωτήριον κόσμω, Πάντα τά έργα, ευλογείτε κραυγάζων τόν Κύριον.

Ωδή θ' Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Όλη τή θεότητι Πάτερ, τώ βαπτισμώ σου συνετάξω, καί διατηρήσας

ακραιφνώς, τό τής εικόνος Μάκαρ αξίωμα, τρισσοφεγγεί λαμπρότητι, μετ' ευφροσύνης προσεχώρησας.

Νύν ουκ εν αινίγματι Πάτερ, ουδέν εσόπτρω κατοπτεύεις, τόν της θεαρχίας φωτισμόν, πρός πρόσωπον δέ πάνσοφε πρόσωπον, τής υπέρ νούν λαμπρότητος, καί θεοπτίας αξιούμενος.

Ως έχων πολλήν παρρησίαν, πρός τόν απάντων Βασιλέα, Πάτερ λυτρωθήναι δυσώπει, τούς τήν σήν μνήμην επιτελούντας πιστώς, εκ πάσης περιστάσεως, ίνα σε πάντες μακαρίζωμεν.

Θεοτοκίον

Σειράς τών εμών νύν πταισμάτων, λύσον Παρθένε Θεοτόκε, η τής ευσπλαγχνίας τήν πηγήν, τεκούσα μόνη θεομακάριστε, καί θυμηδίας έμπλησον, όπως αξίως μεγαλύνω σε.

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Αυξήσει τών αγώνων σου, επηύξησας τά τάλαντα, ά επιστεύθης καί ταύτα, τώ σώ προσήξας Δεσπότη, καί τό Εύ δούλε ήκουσας, καί τά τούτου ακόλουθα, πρός όν αεί μνημόνευε, τών σέ τιμώντων εκ πόθου, Αυξέντιε θεοφόρε.

Θεοτοκίον

Καί σχετικώς ασπάζομαι, καί πόθω τήν προσκύνησιν, προσνέμω πίστει καί πόθω, τή παναχράντω καί θεία, εικόνι σου Πανάμωμε, αφ' ής ψυχών εκβλύζουσι, καί τών σωμάτων Δέσποινα, ιάματα τοίς υμνούσι, σέ Θεοτόκον κυρίως.

Εις τόν Στίχον τών Αίνων, τά Στιχηρά τής Οκτωήχου.

Καί ή λοιπή Ακολουθία τού Όρθρου, κατά τήν τάξιν, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΕ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Αποστόλου Ονησίμου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'

Ως γενναίον εν Μάρτυσιν

Ποταμού τά ορμήματα, τού τής χάριτος κήρυκος, ως Θεού φανέντα σε πόλιν έμψυχον, διαφερόντως ευφραίνουσι, τά άρρητα ρήματα, επί γής τού τής τρυφής, Παραδείσου πλουτήσαντος, ού καί γέγονας, δραστικός υπηρέτης, εκμανθάνων τά ουράνια Παμμάκαρ, ά ουκ εξόν βροτοίς φθέγξασθαι.

Τό τής γνώμης ελεύθερον, καί ψυχής αυτεξούσιον, ευγενεία πίστεως κατελάμπρυνας, τής επιγείου δέ Πάνσοφε, δουλείας απήλλαξαι, καί τή ζεύγλη τού Χριστού, τόν αυχένα υπέκλινας, όθεν έδραμες, νοητής εκ δουλείας τούς ανθρώπους, απαλλάττων καί προσάγων, ελευθερία τής χάριτος.

Ως ακτίνά σε Πάνσοφε, φεγγοβόλον εξήστραψεν, ο τού κόσμου Ήλιος καί Διδάσκαλος, τήν οικουμένην λαμπρύνουσαν, φωτί τού κηρύγματος, καί ταίς θείαις αστραπαίς, τήν τής πλάνης σκοτόμαιναν, αφανίζουσαν, καί ποικίλων θαυμάτων ενεργείας, τών πιστών τάς διανοίας, καταφαιδρύνουσαν ένδοξε.

Δόξα... Καί νύν... Θεοτοκίον

Κατακρίσεως λύτρωσαι, Παναγία Θεόνυμφε, καί δεινών πταισμάτων απάλλαξον, ευχαίς σου καί δώρησαι, δικαιώσεως τυχείν, εν ημέρα ετάσεως ής επέτυχον, τών Αγίων οι δήμοι μετανοία, καθαρθέντα με πρό τέλους, καί τών δακρύων ταίς χύσεσιν.

Η Σταυροθεοτοκίον

Ως εώρακε Κύριε, η Παρθένος καί Μήτηρ σου, εν Σταυρώ κρεμάμενον εξεπλήττετο, καί ανακράζουσα έλεγε. Τί σοι ανταπέδωκαν, οι πολλών σου δωρεών απολαύσαντες Δέσποτα; αλλά δέομαι, μή με μόνην εάσης εν τώ κόσμω, αλλά σπεύσον αναστήναι, συνανιστών τούς Προπάτορας.

Απολυτίκιον Ήχος γ'

Απόστολε άγιε Ονήσιμε, πρέσβευε τώ ελεήμονι Θεώ ίνα πταισμάτων άφεσιν, παράσχη ταίς ψυχάς ημών.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, λέγεται ο Κανών, ού η Ακροστιχίς.

Παθών με δούλον όντα λύτρωσαι Μάκαρ. Θεοφάνους.

Ωδή α' Ήχος πλ. β'

Ο Ειρμός

«Ως εν ηπείρω πεζεύσας ο Ισραήλ, εν αβύσσω, ίχνεσι, τόν διώκτην Φαραώ, καθορών ποντούμενον Θεώ, επινίκιον ωδήν, εβόα άσωμεν».

Πεφωτισμένος τή θεία καί φωταυγεί, τού Σωτήρος χάριτι, τήν ζοφώδη μου ψυχήν, δυσωπών, Ονήσιμε Χριστόν, τόν φιλάνθρωπον Θεόν, Μάκαρ διάσωσον.

Ακτινοβόλοις τού Παύλου καταυγασθείς, λαμπηδόσιν ένδοξε, τής αγνοίας τήν αχλύν, ευχερώς διέφυγες, Χριστώ, χαριστήριον ωδήν, βοών Πανόλβιε.

Θείος εδείχθης Παμμάκαρ Ιερουργός, καί τώ θείω Πνευματι, διαλάμπων τηλαυγώς, πανταχού διέδραμες Χριστόν, αναγγέλλων ευσεβώς, θεομακάριστε.

Θεοτοκίον

Ωραϊσμένη τώ κάλλει τών αρετών, θεομήτοράχραντε, τόν Θεόν τόν αληθή, υπέρ νούν συνέλαβες ημάς, τόν ταίς θείαις αρεταίς, καταφαιδρύναντα.

Ωδή γ'  Ο Ειρμός

«Ουκ έστιν Άγιος ως σύ, Κύριε ο Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου αγαθέ, καί στερεώσας ημάς, εν τή πέτρα, τής ομολογίας σου».

Ναμάτων θείων τή πηγή, προσπελάσας τό στόμα, καί τρυφής τόν χειμάρρουν, εξ αυτής αναλαβών, τό πρόσωπον τής σεπτής Εκκλησίας, Ένδοξε κατήρδευσας.

Μεθέξει φέγγους νοητού, φαεινότατος ώφθης, ευσεβείας λαμπάσι, τάς καρδίας τών πιστών, καταφωτίζων λαμπρώς, τή φωσφόρω, αίγλη τού κηρύγματος.

Ελύθης Παύλου τοίς δεσμοίς, εκ δουλείας τής πλάνης, καί τή ελευθερία, τής χάριτος τιμηθείς, Υιός Θεού γεγονώς, κληρονόμος, θείος αναδέδειξαι.

Θεοτοκίον

Δολίως όφις με τό πρίν, ως αιχμάλωτον είλε, δι απάτης ερπύσας, διά σού δέ τής αυτού, δουλείας απαλλαγείς Θεομήτορ, ύμνοις μακαρίζω σε.

Κάθισμα  Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Εκ δουλείας τής πλάνης απαλλαγείς, απελεύθερος ώφθης εν τώ Θεώ, αυτού δούλος γνήσιος, χρηματίσας εν χάριτι, κοινωνός δεσμών δέ, τού Παύλου γενόμενος, διά Χριστόν εκτάνθης, αδίκως Απόστολε, όθεν ηξιώθης, μαρτυρήσας νομίμως, τής άνω λαμπρότητος, Ιεράρχα Ονήσιμε, διά τούτο βοώμέν σοι, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Καί νύν... Θεοτοκίον

Ως Παρθένον καί μόνην εν γυναιξί, σέ ασπόρως τεκούσαν Θεόν σαρκί, πάσαι μακαρίζουσι, γενεαί τών ανθρώπων, τό γάρ πύρ εσκήνωσεν, εν σοί τής θεότητος, καί ως βρέφος θηλάζεις, τόν Κτίστην καί Κύριον, όθεν τών Αγγέλων καί ανθρώπων τό γένος, αξίως δοξάζομεν, τόν πανάγιον τόκον σου, καί συμφώνως βοώμέν σοι. Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς άνυμνούσιν αξίως, τήν δόξαν σου Δέσποινα.

Η Σταυροθεοτοκίον

Τόν Αμνόν καί Ποιμένα καί Λυτρωτήν, η Αμνάς θεωρούσα εν τώ Σταυρώ ωλόλυζε δακρύουσα, καί πικρώς εκβοώσα, ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήν περ υπομένεις διά σπλάγχνα ελέους. Μακρόθυμε Κύριε, τού ελέους η άβυσσος, καί πηγή ανεξάντλητος, σπλαγχνίσθητι καί δώρησαι ούν, τών πταισμάτων άφεσιν τοίς δούλοις σου, τοίς ανυμνούσί σου πίστει, τά θεία παθήματα.

Ωδή δ'  Ο Ειρμός
«Χριστός μου δύναμις, Θεός καί Κύριος, η σεπτή Εκκλησία θεοπρεπώς, μέλπει ανακράζουσα, εκ διανοίας καθαράς, εν Κυρίω εορτάζουσα».

Ο θέλων άπαντας, σωθήναι Κύριος, εκ ζυγού σε δουλείας ιερουργόν, Μάκαρ προχειρίζεται, Ιερουργούντα τό σεπτόν, θεοφάντορ Ευαγγέλιον.

Υιός σύ γέγονας, Θεού τή χάριτι, τόν αυτού καταγγέλλων μονογενή, Λόγον τόν αϊδιον, μετά σαρκός τοίς επί γής, παραδόξως ομιλήσαντα.

Λογίω κρίσεως, καί θείω χρίσματι, τώ τής Ιερωσύνης ως Ιερεύς, Πάνσοφε διέπρεψας, καί καρτερία τών δεινών, Μάρτυς θείος εχρημάτισας.

Θεοτοκίον
Ο φύσει άναρχος, Υιός καί άχρονος, χρονικήν εκ Παρθένου Κόρης αρχήν, θέλων καταδέχεται, τους υπό χρόνον εκ φθοράς, αναπλάσαι προμηθούμενος.

Ωδή ε'  Ο Ειρμός
«Τώ θείω φέγγει σου αγαθέ, τάς τών ορθριζόντων σοι ψυχάς, πόθω καταύγασον δέομαι, σέ ειδέναι Λόγε Θεού, τόν όντως Θεόν, εκ ζόφου τών πταισμάτων ανακαλούμενον».

Νοός οξύτητι καί ψυχής, Μάκαρ καθαρότητι πάντας, τού δυσμενούς υπεριπτάμενος, βρόχους ανυψώθης πρός ουρανίους σκηνάς, πτεροίς θεογνωσίας αναφερόμενος.

Ο σός Απόστολος αγαθέ, τήν διά σαρκός σου παρουσίαν πρός ανθρώπους εκήρυξε, τούς πεπλανημένους πρός σήν επίγνωσιν, οδηγών καί φωτίζων, αίγλη τής πίστεως.

Ναός εδείχθης πανευπρεπής, ένδον κεκτημένος ως λυχνίαν, τό φέγγος τής θείας χάριτος, τή οικοδομία τού θείου Πνεύματος τεθεμελιωμένος Μάκαρ Ονήσιμε.

Θεοτοκίον
Τής αμαρτίας μου τάς σειράς, τή σή μεσιτεία, καί προστασία, Παρθένε διάρρηξον, τών απεγνωσμένων σύ γάρ υπάρχεις ελπίς, τών πίστει προστρεχόντων, τή θεία σκέπη σου.

Ωδή ς'  Ο Ειρμός
«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι, Ανάγαγε, εκ φθοράς τήν ζωήν μου Πολυέλεε».

Αστράψας ως ήλιος, ουρανόθεν ο κληθείς, τώ φωτισμώ τής χάριτος, επαφήκεν ακτίνά σε τηλαυγή, ευτόνως ελαύνουσαν, τής αγνοίας τόν ζόφον

Παμμακάριστε.

Λαμπρώς εστηλίτευσας, τών ανόμων τά σαθρά, καί δυσσεβή φρυάγματα, ευσεβείας φθεγγόμενος ευσεβώς, τά θεία διδάγματα, Ιεράρχα Κυρίου πανσεβάσμιε.

Θεοτοκίον

Υπάρχων υπεύθυνος, αμαρτίαις καί δεινώς, τραυματισθείς ο δείλαιος, επί σέ Θεομήτορ τήν συμπαθή, προσφεύγω δεόμενος, τάς ουλάς εξαλείψαι τών πταισμάτων μου.

Κοντάκιον Ήχος δ'

Επεφάνης σήμερον

Ως ακτίς εξέλαμψας, τή οικουμένη, ταίς βολαίς λαμπόμενος, ηλίου μάκαρ παμφαούς, Παύλου τού κόσμον φωτίσαντος, διό σε πάντες, τιμώμεν Ονήσιμε.

Ο Οίκος

Σέ υπό Παύλου τού σοφού, τής σάλπιγγος τής θείας, τή πίστει προσαχθέντα, καί λόγω φωτισθέντα τής αληθείας μυστικώς, καί μαρτυρηθέντα επ' εργασία αρετής, καί πίστεως στερρότητι, τίς εγκωμιάσαι ισχύσει, ως όντως κατ' αξίαν, ή τούς πόνους ευφημήσαι, εν οις στερρώς έπαυσας τήν πλάνην. Χρισθείς γάρ Ιερεύς εν Πνεύματι θείω, εκ δουλείας κοσμικής, καί Αποστόλων κήρυγμα λαβών, μετέσχες καί τών στεφάνων, διό σε πάντες τιμώμεν Ονήσιμε.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΕ' τού αυτού μηνός, Μνήμη τού Αγίου Αποστόλου Ονησίμου, μαθητού τού Αγίου Αποστόλου Παύλου.

Στίχοι

- Ήπλωσεν Ονήσιμος εις θλάσιν σκέλη,
- Παύλου σκελών δραμόντα γενναίους δρόμους.
- Πέμπτη Ονησίμου σκέλεα θραύσαν δεκάτη τε.

Τή αυτή ημέρα, ο Άγιος Μάρτυς Μαϊωρ αικιζόμενος τελειούται.

Στίχοι

- Μάστιξι πλησθείς τάς ψόας εμπαιγμάτων,
- Δαυϊδ τό ρητόν φάσκε, Μάρτυς Μαϊωρ.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Ευσεβίου.

Στίχοι

- Ανθρώπινον παρήλθεν ασμένως βίον,
- Ευσέβιος τό θαύμα καί τών Αγγέλων.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός ελέησον ημάς. Αμήν.

Ωδή ζ' Ο Ειρμός

«Δροσοβόλον μέν τήν κάμινον ειργάσατο, Άγγελος τοίς οσίοις Παισί, τούς

Χαλδαίους δέ καταφλέγον πρόσταγμα Θεού, τόν τύραννον έπεισε βοάν. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών».

Τό μακάριον απείληφας Ονήσιμε, τέλος καί τήν ανώλεθρον, αθανασίαν ηξιώθης μάκαρ καθοράν καί μέλπεις γηθόμενος Χριστώ. Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Ρωμαλέω σου φρονήματι Ονήσι με, πλάνης τά μηχανήματα, κατεπάτησας, ευσεβείας ταύτα καθελών, οργάνοις θεόσοφε βοών, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Ως υπάρχουσα πανάμωμος Θεόνυμφε, Λόγον Θεού συνέλαβες, τόν αχωρήτως εν τοίς κόλποις όντα τού Πατρός, χερσί τε κρατούμενον ταίς σαίς, ευλογημένη Παναγία, Θεομήτορ αγνή.

Ωδή η' Ο Ειρμός

«Εκ φλογός τοίς Οσίοις δρόσον επήγασας, καί Δικαίου θυσίαν ύδατι έφλεξας, άπαντα γάρ δράς Χριστέ, μόνω τώ βούλεσθαι. Σέ υπερυψούμεν, εις πάντας τούς αιώνας».

Σύν Αγγέλοις χορεύων Μάκαρ Ονήσιμε, μαρτυρίου τε στέφει κατακοσμούμενος, θρόνω νύν φαιδρώς, τού Δεσπότου παρίστασαι, όν υπερυψούμεν, είς πάντας τούς αιώνας.

Αποστόλω τώ θείω διακονούμενος, απορρήτων τών θείων έσχες ενέργειαν, κήρυξ άληθής, Χριστού Μάκαρ γενόμενος, όν υπερυψούμεν είς πάντας τούς αιώνας.

Ιαμάτων τήν χάριν εκ τής αφθόνου πηγής, τού Σωτήρος πλουτήσας πάσι μετέδωκας, τούτου πειθαρχών, Μάκαρ θείοις προστάγμασιν, όν υπερυψούμεν, είς πάντας τούς αιώνας.

Θεοτοκίον

Μυηθέντες τό θαύμα τής σής ταίς ουρανίαις Στρατιαίς, νύν μεγαλύνω σε.

Εξαποστειλάριον

Τοίς Μαθηταίς

Μαθητευθείς πανόλβιε, Παύλω τώ Κορυφαίω, τών Αποστόλων πάνσοφε, σύν αυτώ περιήλθες, τήν γήν στηρίζων τώ λόγω, παρειμένας καρδίας, τή πλάνη τού αλάστορος, καί τελέσας τόν δρόμον, εν ουρανοίς, τώ Χριστώ παρίστασαι σύν Αγγέλοις, Απόστολε Ονήσιμε, υπέρ κόσμου πρεσβεύων.

Θεοτοκίον

Τής υπέρ νούν λοχείας σου, τό παράδοξον θαύμα, νούς ουκ Αγγέλων δύναται, ου βροτών ερμηνεύσαι, ή εννοήσαι Παρθένε, τίκτεις γάρ απορρήτως, Θεόν τόν υπερούσιον, όν υμνεί πάσα κτίσις, ως Ποιητήν, σύν Πατρί καί Πνεύματιτώ Αγίω ού τής χαράς αξίωσον, καί ημάς Θεοτόκε.

Εις τόν Στίχον, τών Αίνων, τά Στιχηρά τής Οκτωήχου.

Καί η λοιπή τού Όρθρου Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

**ΤΗ ΙΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τού Αγίου Μάρτυρος Παμφίλου, καί τών σύν αυτώ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Προσόμοια Στιχηρά.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Αποστόλων ισάριθμοι, Αθλοφόροι γενόμενοι, λογισμόν ομόζηλον ανελάβετε, μή πτοηθέντες τήν άθεον, τυράννων ωμότητα, αλλ' ανδρείως καί στερρώς, τόν Σωτήρα κηρύξαντες, υπεμείνατε, τών μελών τάς στρεβλώσεις, τή ελπίδι τάς μελλούσας απολαύσεις, ήδη καρπούμενοι Πάνσοφοι.

Καρτερία νικήσαντες, τών αθέων τήν ένστασιν, καί ποικίλοις είδεσι προσπαλαίσαντες, κολαστηρίων τόν στέφανον, αξίως εδέξασθε, εκ χειρός ζωαρχικής, κληρουχίαν ανώλεθρον, νύν πλουτήσαντες, εν σκηναίς αιωνίοις τώ Σωτήρι, καί Δεσπότη τών απάντων, συμβασιλεύοντες Ένδοξοι.

Σύν Παμφίλω θεόφρονι, καί Ουάλεντι Σέλευκος, Δανιήλ, Θεόδουλος, Ησαϊας τε, Ιερεμίας Ηλίας τε, καί θείος Πορφύριος, Παύλος, Ιουλιανός, Σαμουήλ ο θαυμάσιος, νύν τιμάσθωσαν, υμνωδίαις ασμάτων καί ποικίλοις, εγκωμίοις οι γενναίοι, καί αεισέβαστοι Μάρτυρες.

Δόξα... Καί νύν... Θεοτοκίον

Επομβρίαις πανάχραντε, τής τού Πνεύματος χάριτος, τήν εμήν διάνοιαν καταδρόσισον, η τήν σταγόνα κυήσασα, Χριστόν τόν τήν άμετρον, ανομίαν τών βροτών, οικτιρμοίς αποσμήχοντα, καί κατάκλυσον, τήν πηγήν τών παθών μου, καί χειμάρρου, καταξίωσον τρυφής με, τή αειζώω πρεσβεία σου.

Η Σταυροθεοτοκίον

Τόν αμνόν καί ποιμένα σε, επί ξύλου ως έβλεψεν, αμνάς η κυήσασα επωδύρετο, καί μητρικώς σοι εφθέγγετο. Υιέ ποθεινότατε, πώς εν ξύλω τού Σταυρού, ανηρτήθης μακρόθυμε; πώς τάς χείράς σου, καί τούς πόδας σου Λόγε προσηλώθης, υπ' ανόμων καί τό αίμα, τό σόν εξέχεας Δέσποτα;

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν αναγινώσκεται ο Κανών, ού η Ακροστιχίς.

Δήμον δωδεκάριθμον Αθλοφόρων αναμέλπω. Θεοφάνους.

## Ωδή α' Ήχος δ' Ο Ειρμός

«Θαλάσσης, τό ερυθραίον πέλαγος, αβρόχοις ίχνεσιν, ο παλαιός πεζεύσας, Ισραήλ, σταυροτύποις Μωσέως χερσί, τού Αμαλήκ τήν δύναμιν, εν τή ερήμω ετροπώσατο».

Δυνάμει, τού Παναγίου Πνεύματος, η δωδεκάριθμος, συγκροτηθείσα φάλαγξ καρτερώς, δυσσεβούντων τήν άθεον, καί πονηράν παράταξιν, ως νικηφόρος ετροπώσατο.

Η σχύνθη, τοίς αθλοφόροις Μάρτυσιν, ο δυσμενής προσβαλών, τήν γάρ αυτού φαρέτραν ο δεινός, εκκενώσας πικρότατα, καταβαλείν ουκ ίσχυσε, τών αριστέων τήν στερρότητα.

Μανίας, ελληνικής τό φρύαγμα, κατεπατήσατε, θεία συνέσει Μάρτυρες Χριστού, καί σοφία κοσμούμενοι, ή αντιπείν ουκ, ίσχυσαν, οι ευσεβέσιν αντικείμενοι.

Ο θείος, καί θεηγόρος Πάμφιλος, επαληθεύουσαν, πεπλουτηκως τήν κλήσιν αληθώς, τής φιλίας τόν σύνδεσμον, πρός τόν Χριστόν ετήρησε, μέχρι θανάτου αδιάρρηκτον.

### Θεοτοκίον

Νεφέλην, δικαιοσύνης Ήλιον, ημίν εκλάμψασαν τόν τού Πατρός Υιόν μονογενή, Θεοτόκε πανύμνητε, πανευσεβώς δοξάζοντες, διαπαντός σε μακαρίζομεν.

## Ωδή γ' Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα. Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

Διέπρεψας ευσεβώς, έργω καί λόγω καί σεπτώ χρίσματι, Μάρτυς Χριστού Πάμφιλε, τής ιερωσύνης θεόσοφε.

Ως λύρα πανευπρεπής, όμολογίας εμμελώς άδουσα, φθόγγους Χριστού Μάρτυρες, συγκεκροτημένοι γεγόνατε.

Δραμόντες πρός τόν σκοπόν, τής ουρανίου καί σεπτής κλήσεως, ως νικηταί στέφανον, παρά τού Δε σπότου ειλήφατε.

### Θεοτοκίον

Εσκήνωσεν εν ημίν, ο εν υψίστοις κατοικών Πάναγνε, υπερφυώς σάρκα γάρ, εκ σού προσλαβών ημφιάσατο.

## Κάθισμα Ήχος δ'

### Ο υψωθείς εν τώ Σταυρώ

Κολαστηρίων φοβερών προκειμένων, οι τού Κυρίου Αθληταί οι γενναίοι, εν

απτοήτω χαίροντες φρονηματι, τούτοις προσωμίλησαν, τής σαρκός αλογούντες, όθεν εκληρώσαντο, αιωνίζουσαν δόξαν, υπέρ ημών πρεσβεύοντες αεί, τών ευφημούντων αυτών τά παλαίσματα.

Δόξα... Καί νύν... Θεοτοκίον

Ού σιωπήσομεν ποτέ Θεοτόκε, τού ευχαρίστως ανυμνείν εκ καρδίας, τά σά ελέη Δέσποινα οι δούλοί σου, κράζοντες καί λέγοντες, Παναγία Παρθένε, πρόφθασον καί λύτρωσαι, εξ εχθρών αοράτων, καί αναγκών καί πάσης απειλής, σύ γάρ υπάρχεις, ημών η αντίληψις.

Η Σταυροθεοτοκίον

Τόν εξ ανάρχου τού Πατρός γεννηθέντα, η επ εσχάτων σε σαρκί τετοκυία, επί Σταυρού κρεμάμενον ορώσά σε Χριστέ, οίμοι! ποθεινότατε, Ιησού ανεβόα, πώς ο δοξαζόμενος, ως Θεός υπ' Αγγέλων, υπό ανόμων νύν βροτών Υιέ, θέλων σταυρούσαι; Υμνώ σε μακρόθυμε.

Ωδή δ' Ο Ειρμός

«Επαρθέντα σε ιδούσα η Εκκλησία, επί Σταυρού τόν Ήλιον, τής δικαιοσύνης, έστη εν τή τάξει αυτής, εικότως κραυγάζουσα, Δόξα τή δυνάμει σου Κύριε».

Κεκοσμημένη τοίς θείοις τών Αποστόλων, καί Προφητών χαρίσμασιν η χοροστασία, ώφθη τών Μαρτύρων σου, η τούτων ισάριθμος, Δέσποτα φανείσα προνοία σου.

Από ποικίλων αχθέντες πολιτευμάτων, ως εν βραχεί ολόκληρον τύπον εκκλησίας, σώζειν ηξιώθητε, συμφώνως κραυγάζοντες. Δόξα τή δυνάμει σου Κύριε.

Ραδιουργίαι τυράννων καί μεθοδείαι, τούς Αθλητάς ουκ έκαμψαν ουδέ τών βασάνων, πόνοι εμαλάκισαν, προθύμως κραυγάζοντας. Δόξα τή δυνάμει σου Κύριε.

Ιθυνόμενος παλάμη τή τού Δεσπότου, τόν δι' αυτόν εκούσιον θάνατον υπέστη, δήμος ο πανεύφημος, Μαρτύρων κραυγάζοντες. Δόξα τή δυνάμει σου Κύριε.

Θεοτοκίον

Θεηγορίαις ενηχούμενοι Θεοτόκε, ταίς περί σού καί βλέποντες, τούτων τάς εκβάσεις, Χαίρέ σοι κραυγάζομεν, Παρθένε Πανάμωμε, οι λελυτρωμένοι τώ τόκω σου.

Ωδή ε' Ο Ειρμός

«Σύ Κύριέ μου φώς, εις τόν κόσμον ελήλυθας, φώς Άγιον επιστρέφον, εκ ζοφώδους αγνοίας, τούς πίστει ανυμνούντάς σε».

Μή φέρων τοίς εν γή, προσανέχειν ώ Πάμφιλε, τήν ένθεον πολιτείαν, ήν εκ βρέφους μετήλθες, αθλήσει κατελάμπρυνας.

Ο θεία πολιά, καί συνέσει κοσμούμενος, τής πόλεως τής Αγίας, ωρμημένος Ουάλης, ως Μάρτυς εστεφάνωται.

Νούν έχων τού Χριστού, ως τού Παύλου ομώνυμος, πανεύφημε τών Μαρτύρων, τώ στεφάνω νομίμως, αθλήσας κατηγλάϊσαι.

Θεοτοκίον

Ανώρθωσας Αγνή, τό τής Εύας ολίσθημα, κυήσασα Θεόν Λόγον, τόν τών κατερραγμένων, τήν πτώσιν ανορθώσαντα.

Ωδή ς'  Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Ελπίσιν, αιωνίου ζωής στηριζόμενοι, τάς τών σωμάτων στρεβλώσεις, γεγηθότες έφερον οι γενναίοι, οι τών θείων, υποφητών σου Σώτερ ομώνυμοι.

Θανάτω, τήν ζωήν τήν αμείνω ωνήσαντο, ο Σαμουήλ καί Ηλίας, Δανιήλ καί θείος Ιερεμίας, καί πρός τούτοις, ο Ησαϊας ο μεγαλώνυμος.

Λαμπτήρας, τώ Θεώ φαεινούς, νύν η Αίγυπτος, εξανατέλλει η πάλαι, βαθυτάτω σκότει καλυπτομένη, τής αγνοίας, θεογνωσίας φέγγος πλουτήσασα.

Θεοτοκίον

Όρος σε, Δανιήλ εθεώρει Πανάμωμε, εξ ού ετμήθη ο λίθος, ο συντρίψας πάσαν πλάνης εικόνα, καί πληρώσας, θεογνωσίας πάντα τά πέρατα.

Κοντάκιον  Ήχος β'

Τά άνω ζητών

Φιλήσας Χριστού, τά θεία θελήματα, εδείχθης Πιστών, ακέστωρ φιλόχριστος, γενναιόφρον Πάμφιλε, διά τούτο καί μακαρίζομεν, τήν σεπτήν σου πανήγυριν. Πρεσβεύων μή παύση υπέρ πάντων ημών.

Ο Οίκος

Ιδού εξέλαμψεν η φωσφόρος, καί φωταυγής θεία μνήμη τού στερρού αθλητού, Παμφίλου τού θεοκήρυκος, πάντων τάς όψεις καί τάς καρδίας καταυγάζουσα φέγγει τώ ανεσπέρω. Περιχαρώς, ώ φιλέορτοι, δεύτε συνδράμωμεν, καί τήν τούτου θείαν ημέραν, ως καλήν εορτήν ενιαύσιον, τοίς άσμασι καταστέψωμεν, ευλογούντες υμνούντες τόν Κύριον, τόν τούτον αξίως στεφανώσαντα. Πρεσβεύει γάρ απαύστως υπέρ πάντων ημών.

Συναξάριον

Τή ΙΣΤ' τού αυτού μηνός, Μνήμη τών Αγίων Μαρτύρων, Παμφίλου, Ουάλεντος, Παύλου, Σελεύκου, Πορφυρίου, Ιουλιανού, Θεοδούλου, Ηλία, Ιερεμίου, Ησαϊου, Σαμουήλ καί Δανιήλ.

Στίχοι

- Υπέρ τό πάν σε Πάμφιλος φιλών Λόγε,

- Καί τήν τομήν ηγείτο τής κάρας φίλην.
- Παύλον Σέλευκος, καί Σέλευκον ουάλης,
- Βλέπων τομή χαίροντα, τήν τομήν φέρει.
- Ήλαντο πρός πύρ Μάρτυρες θείοι δύο,
- Θείου πόθου πύρ έν τρέφοντες οι δύο.
- Σταυρούσι δούλοι τής πλάνης επί ξύλου,
- Καί Θεόδουλον, δούλοι Εσταυρωμένου.
- Κλήσεις Προφητών καί τελευτάς Μαρτύρων,
- Αυχούσι πέντε μάρτυρες τετμημένοι.
- Έκτη καί δεκάτη ξίφους τάμε Πάμφιλον ακμή.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων τών εν Μαρτυροπόλει, καί τού Οσίου Μαρουθά, τού ανεγείραντος τήν πόλιν επ' Ονόματι τών Μαρτύρων.

Στίχοι

- Η κλήσις έργον μαρτυρωνύμω πόλει,
- Πολλών εν αυτή μαρτυρησάντων ξίφει.
- Στέρξας Μαρουθάς τόν Θεόν σφόδρα σφόδρα,
- Θεώ παραστάς, τέρπεται σφόδρα σφόδρα.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Φλαβιανού.

Στίχοι

- Ζωής ματαίας εκπεραιώσας χρόνον,
- Ζή Φλαβιανός εις τόν αιώνα χρόνον.

Τή αυτή ημέρα, Μνήμη τού εν Αγίοις Πατρός ημών Φλαβιανού, Πατριάρχου Κωνσταντινουπόλεως.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός ελέησον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Εν τή καμίνω Αβραμιαίοι παίδες τή Περσική, πόθω ευσεβείας μάλλον ή τή φλογί, πυρπολούμενοι εκραύγαζον, Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε».

Φαιδρώ προσώπω, καί διανοίας καθαρότητι, μάρτυς προορών τήν μένουσάν σε χαράν, τών βασάνων κατεφρόνησας, καταξεόμενος ανηλεώς, Παμμάκαρ Πορφύριε.

Ο Νεανίας, τρείς εν καμίνω σώσας Θεός, ούτος αθλοφόρε Μάκαρ σε δι' αυτόν, εν πυρί ολοκαυτούμενον, σαφώς προσδέχεται, ως ευωδέστατον θύμα Πορφύριε.

Ρώμη ψυχής τε, κεκοσμημένος καί τού σώματος, πάσαν τού τυράννου Σέλευκε τήν ισχύν, καταβέβληκας πανεύφημε, Ευλογημένος εί, ο Θεός, μου

κραυγάζων καί Κύριος.

Θεοτοκίον

Ως Θεοτόκος, ωραιοτέρα πάσης κτίσεως έφυς, τού Θεού γάρ γέγονας αληθώς, ενδιαίτημα πανάγιον. Ευλογημένη σύ, εν γυναιξί Πανάμωμε Δέσποινα,

## Ωδή η' Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Νόμοις σύ πειθόμενος Χριστού, απέθου άπαντα Πάνσοφε Σέλευκε, ως στρατιώτης δέ γέγονας, ευσεβείας καί διδάσκαλος, καί τών χηρών καί ορφανών επιμελούμενος, καί κραυγάζων. Πάντα τά έργα υμνείτε τόν Κύριον.

Αίγλη αναλάμπων νοητή, Πρεσβύτα ένδοξε, Μάρτυς θεόδουλε, καί δούλος γνήσιος γέγονας, τόν Δεσπότην εκμιμούμενος, ού τόν σταυρόν επιποθών, σταυρόν υπέμεινας, Ευλογείτε, πάντα τά έργα κραυγάζων τόν Κύριον.

Ναός φανείς, Ιουλιανέ, τού θείου Πνεύματος, τρόπων χρηστότητι, κατακε, κόσμησαι, πλήρης μέν, ευσεβείας καί πρα ότητος, πλήρης δέ πίστεως οφθείς, ολοκαυτούμενος, Ευλογείτε, πάντα τά έργα κραυγάζων τόν Κύριον.

Θεοτοκίον

Αμήτωρ ο Λόγος εκ Πατρός υπάρχων πρότερον, απάτωρ γέγονεν, εκ σού τό δεύτερον Πάναγνε, σαρκωθείς ο πρίν ασώματος, δι' ευσπλαγχνίαν βουληθείς, σώσαι τούς ψάλλοντας. Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

## Ωδή θ' Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη Χριστός, συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Μόνην τήν ουράνιον έχειν ζωήν ποθούντες,, Αθλοφόροι, τών τής επικήρου καί φθαρτής, μεγαλοφρόνως κατεφρονήσατε, καί νύν τροφής τής κρείττονος, καί τής μακαρίας απολαύετε.

Ένδον νύν τού θείου λειμώνος, περιχορεύετε προθύμως, τών απαυγασμάτων τή πηγή, παρεστηκότες Μάρτυρες ένδοξοι, αφ' ής απαρυόμενοι, τάς λαμπηδόνας καταλάμπεσθε.

Λόγω καθηράμενοι θείω, τάς τών ψυχών υμών κηλίδας, καί τούς δερματίνους χιτώνας, διά βασάνων αποδυσάμενοι, πανευπρεπές ιμάτιον, τού σωτηρίου ημφιάσασθε.

Πάντων τών εν πίστει τελούντων, τήν παναοίδιμόν σου μνήμην, τής

δωδεκαρίθμου χορείας, νύν μεμνημένη, πρός τον Δεσπότην Χριστόν, τής μετά σού σκηνώσεως αξιωθήναι καθικέτευσον.

Θεοτοκίον

Ως Μήτηρ τού μόνου Δεσπότου, πάντων κτισμάτων υπερτέρα, πέφηνας Παρθένε Μαρία, διό πιστοί σε, πάντες Πανάμωμε, αεί επαγαλλόμενοι, εν υμνωδίαις μεγαλύνομεν.

Καί η λοιπή Ακολουθία τού Όρθρου, κατά τήν τάξιν, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΖ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Μεγαλομάρτυρος Θεοδώρου τού Τήρωνος.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος β'

Όte εκ τού ξύλου σε νεκρόν

Δώρον ο Χριστός πλουτοποιόν, σέ τή οικουμένη παρέσχεν, ώς ευεργέτης Θεός, δώρόν σου τό τίμιον αίμα Θεόδωρε, δι' αυτόν εκχεόμενον, καί θεοσεβείας, ζήλω προσφερόμενον, αυτώ δεξάμενος, ώ νύν ευσεβεί παρρησία, Μάρτυς παριστάμενος πάντας, τούς εις σέ προστρέχοντας διάσωσον.

Πύργος χρηματίζεις ασφαλής, τάς τών εναντίων εφόδους αποκρουόμενος, πρόμαχος αήττητος, τών ευφημούντων σε, οξυτάτη αντίληψις, θερμή προστασία, σύντομός τε λύτρωσις, κοινή βοήθεια, πρέσβυς δυνατώτατος μάκαρ, ρύστης ετοιμότατος πάντων, τών πιστώς αιτούντων σε Θεόδωρε.

Έχων τόν χειμάρρουν τής τρυφής, καί τό τής αφέσεως ύδωρ, Χριστόν ευΐλατον, Μάρτυς αληθέστατος, αυτού γενόμενος, τών χειμάρρων με λύτρωσαι, τών τής ανομίας ύδωρ μοι κατεύνασον, τό ανυπόστατον, παύσον, πειρασμών καταιγίδας. σώσον πρός τήν άνω γαλήνην, αξιομακάριστε Θεόδωρε.

Δόξα... Ήχος β'

Θείων δωρεών επώνυμόν σε γεραίρομεν, τρισμάκαρ Θεόδωρε, τού φωτός γάρ τού θείου, άδυτος φωστήρ αναδειχθείς, κατέλαμψας άθλοις σου, τήν σύμπασαν κτίσιν, τού πυρός ακμαιότερος φανείς, τήν φλόγα κατέσβεσας, καί τού δολίου δράκοντος, τήν κάραν συνέτριψας, διό εν τοίς άθλοις σου, Χριστός επικαμφθείς, εστεφάνωσε τήν θείαν κάραν σου, Μεγαλομάρτυς αθλητά. Ως έχων παρρησίαν πρός Θεόν, εκτενώς ικέτευε, υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

Ότε εκ τού ξύλου σε

Δέξαι τήν ικέσιον ωδήν, τών σών οικετών Θεοτόκε, ήν σοι προσάγομεν.

Δέσποινα διάσωσον, απορουμένους ημάς, καί κινδύνων εξάγαγε, τήν ποίμνην σου ταύτην, πίστει σοι προσπίπτουσαν, εν τώ σεπτώ σου ναώ, σύ γάρ τόν Σωτήρα τεκούσα, έχεις παρρησίαν ως Μήτηρ, εκτενώς πρεσβεύειν τού σωθήναι ημάς.

Η Σταυροθεοτοκίον

Ότε η αμίαντος αμνάς, έβλεψε τόν ίδιον άρνα, επί σφαγήν ως κριόν, θέλοντα ελκόμενον, θρηνούσα έλεγεν, Ατεκνώσαι νύν σπεύδεις με, Χριστέ τήν τεκούσαν, τί τούτο πεποίηκας, ο Λυτρωτής τού παντός; όμως, ανυμνώ καί δοξάζω, σού τήν υπέρ νούν τε καί λόγον, άκραν συγκατάβασιν Φιλάνθρωπε.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος β'

Τήν θεοδώρητον χάριν τών θαυμάτων σου Μάρτυς Θεόδωρε, πάσιν εφαπλοίς τοίς πίστει σοι προστρέχουσι, δι' ής ευφημούμέν σε λέγοντες, Αιχμαλώτους λυτρούσαι, θεραπεύεις νοσούντας, πενομένους πλουτίζεις, καί διασώζεις πλέοντας, μάταιον δρασμόν επέχεις οικετών, καί ζημίας φανέρωσιν ποιείς, τοίς συληθείσιν Αθλητά, καί στρατιώτας παιδεύεις, τής αρπαγής απέχεσθαι, νηπίοις χαρίζη συμπαθώς τά αιτήματα, θερμός ευρίσκη προστάτης τοίς επιτελούσί σου τό ιερόν μνημόσυνον, μεθ' ών καί ημίν, Αθλητά Ιερώτατε, τοίς ανυμνούσί σου τό μαρτύριον, αίτησαι παρά Χριστού τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Ότε εκ τού ξύλου σε νεκρόν

Νέον, ουρανόν καινοφανή, οι τού ουρανίου αυτόπται, σέ καθορώντες Θεού, δόξαν διηγούντί σοι, ουρανομήκη πρός γήν, καί χειρών αυτού ποίησιν, αγγέλλουσι κόσμω, έχοντες στερέωμα, τού σαρκωθέντος εκ σού, φθόγγος γάρ ο τούτων εξήλθε, μέχρι γής περάτων Παρθένε, τόκον κηρυττόντων σόν τοίς έθνεσι.

Η Σταυροθεοτοκίον

Ότε εν Σταυρώ σε η Αμνάς, Άρνα τόν οικείον εώρα, κατακεντούμενον, ήλοις ωλοφύρετο, εκπληττομένη σφοδρώς, καί δακρύουσα έλεγε. Πώς θνήσκεις Υιέ μου, θέλων τό χειρόγραφον, τού πρωτοπλάστου Αδάμ, ρήξαι καί θανάτου λυτρώσαι, άπαν τό ανθρώπινον; Δόξα τή οικονομία σου μακρόθυμε.

Απολυτίκιον  Ήχος β'

Μεγάλα τά τής πίστεως κατορθώματα! εν τή πηγή τής φλογός, ως επί ύδατος αναπαύσεως, ο άγιος Μάρτυς Θεόδωρος ηγάλλετο, πυρί γάρ ολοκαυτωθείς, ως άρτος ηδύς, τή Τριάδι προσήνεκται. Ταίς αυτού ικεσίαις, Χριστέ ο Θεός, ελέησον ημάς.

Δόξα... Καί νύν... Θεοτοκίον

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, λέγομεν τόν Κανόνα, ού η Ακροστιχίς

Τούς προσκαλουμένους σε σώζε Παμμάκαρ. Θεοφάνους.

Ωδή α'  Ήχος πλ. δ'
Ο Ειρμός
«Υγράν διοδεύσας ωσεί ξηράν, καί τήν Αιγυπτίαν, μοχθηρίαν διαφυγών, ο Ισραηλίτης ανεβόα. Τώ Λυτρωτή καί Θεώ ημών άσωμεν».

Τόν θείον αγώνα Μάρτυς Χριστού, διηγωνισμένος, καί τόν δρόμον τετελεκώς, τήν πίστιν τηρήσας τής ενθέου, δικαιοσύνης εύρες στέφανον.

Ουράνιος ένδοξε χορευτής, σύν τοίς Ασωμάτοις, χρηματίζων τούς επί γής, σέ προσκαλουμένους εκ κινδύνων, καί περιστάσεων εκλύτρωσαι,

Υπερφυή δόξαν παρά Χριστού, λαβών, Αθλοφόρε, τήν γήν πάσαν περιπολείς, ρυόμενος πάντας τούς εν πίστει, μετ' ευλαβείας ανυμνούν, τάς σε.

Θεοτοκίον
Σοφίαν καί Λόγον η τού Πατρός, αφράστως τεκούσα, τής ψυχής μου τό χαλεπόν, θεράπευσον τραύμα καί καρδίας, τήν αλγηδόνα καταπράϋνον.

Ωδή γ'  Ο Ειρμός
«Σύ εί τό στερέωμα τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Πύρ τό τών βασάνων σε, ου κατεπτόησεν, όθεν πύρ, τών πειρασμών, τών σοί προσφευγόντων, καταπαύεις Θεόδωρε.

Ρύσαι ταίς πρεσβείαις σου, τής κατεχούσης με θλίψεως, Μάρτυς Χριστού, πάσαν ομαλίζων, τήν τού βίου τραχύτητα.

Όλην τήν καρδίαν μου, καί τήν διάνοιαν τείνω σοι, καί τήν ψυχήν, τής σής Αθλοφόρε, βοηθείας δεόμενος.

Θεοτοκίον
Στήσόν μου τόν άστατον, τών λογισμών Αγνή τάραχον, Μήτηρ Θεού, τήν πρός τόν Υιόν σου, κατευθύνασα κίνησιν.

Κάθισμα  Ήχος πλ. δ'
Τήν Σοφίαν
Θεϊκήν παντευχίαν αναλαβών, καί ειδώλων τήν πλάνην καταβαλών, Αγγέλους διήγειρας, ευφημείν τούς αγώνάς σου, τώ γάρ θείω πόθω τόν νούν πυρπολούμενος, τού έν πυρί θανάτου, γενναίως κατετόλμησας, όθεν φερωνύμως, τοίς αιτούσί σε νέμεις, τά θεία δωρήματα, ιαμάτων χαρίσματα, αθλοφόρε Θεόδωρε. Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν

δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Καί νύν... Θεοτοκίον

Παναγία Παρθένε Μήτηρ Θεού, τής ψυχής μου τά πάθη τά χαλεπά, θεράπευσον δέομαι, καί συγγνώιμην παράσχου μοι, τών εμών πταισμάτων, αφρόνως ών έπραξα τήν ψυχήν καί τό σώμα, μολύνας ο άθλιος, οίμοι! τί ποιήσω, εν εκείνη τή ώρα, ηνίκα οι Άγγελοι, τήν ψυχήν μου χωρίζουσιν, εκ τού αθλίου μου σώματος; τότε Δέσποινα βοήθειά μοι γενού, καί προστάτις θερμότατος, σέ γάρ έχω ελπίδα, ο ανάξιος δούλός σου.

Η Σταυροθεοτοκίον

Τόν αμνόν καί ποιμένα καί Λυτρωτήν, η αμνάς θεωρούσα εν τώ Σταυρώ ωλόλυζε δακρύουσα, καί πικρώς εκβοώσα, ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήν περ υπομένεις, διά σπλάγχνα ελέους, Μακρόθυμε, Κύριε, τού ελέους η άβυσσος καί πηγή ανεξάντλητος, σπλαγχνίσθητι καί δώρησαι ούν, τών πταισμάτων άφεσιν τοίς δούλοις σου, τοίς ανυμνούσί σου πίστει, τά θεία παθήματα.

Ωδή δ' Ο Ειρμός

«Εισακήκοα Κύριε, τής οικονομίας σου τό μυστήριον, κατενόησα τά έργα σου, καί εδόξασά σου τήν θεότητα».

Κυβερνήτην προβάλλομαι, σέ Θεού θεράπον, σύ με κυβέρνησον, τώ ιστίω τώ τού Πνεύματος, καί ταίς θειαις αύραις παναοίδιμε.

Από πάσης δεόμεθα, ρύσαι απειλής Παμμάκαρ Θεόδωρε, τούς εν πίστει μακαρίζοντας, καί τήν θείαν μνήμην σου γεραίροντας.

Λιτανεύων Θεόδωρε, τόν αγαθοδότην καί μεγαλόδωρον, τούς εν τόπω τής κακώσεως, τεταπεινωμένους επανόρθωσον.

Θεοτοκίον

Υπό χρόνον γενόμενον, τόν εκ τού Πατρός αχρόνως εκλάμψαν τα, Θεομήτορ ημίν τέτοκας, όν δυσώπει σώσαι τούς υμνούντάς σε.

Ωδή ε' Ο Ειρμός

«Ορθρίζοντες βοώμέν σοι Κύριε, Σώσον ημάς, σύ γάρ εί Θεός ημών, εκτός σου άλλον ουκ οίδαμεν».

Μαρτύρων πεφηνώς εγκαλλώπισμα, Μάρτυς Χριστού, τών πιστών βοήθεια, γενού καί τείχος ακράδαντον.

Ενώσει απολαύων τή κρείττονι, τών υπέρ νούν, αγαθών Θεόδωρε τούς σέ τιμώντας διάσωσον.

Νυττόμενος τού κτίσαντος, τώ φίλτρω τήν τών κτιστών, απώσω προσπάθειαν, καί τώ Θεώ ευηρέστησας.

Θεοτοκίον

Ον έτεκες Παρθένε πανάμωμε, Θεόν Λόγον, εκτενώς ικέτευε, υπέρ τών πίστει υμνούντων σε.

Ωδή ς'  Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

Υπέρμαχος πεφυκώς, τής ευσεβείας θερμότατος, καί πλάνης στηλιτευτής, ειδώλων γενόμενος, δαιμόνων φαντάσματα, καί παθών εικόνας, τής ψυχής μου εξαφάνισον.

Στερέωμά μου γενού, καί τείχος Μάρτυς ασάλευτον, τό ασθενές καί σαθρόν, τό τής διανοίας μου, στηρίζων Θεόδωρε, ταίς σαίς προστασίαις, καί φυλάττων αδιάπτωτον.

Στρατείας φθοροποιού, καί φθειρομένης ηλόγησας, στρατείαν δέ τής ζωής, παμμάκαρ Θεόδωρε, τελείως ηγάπησας, εν ή νικηφόρος, ανεδείχθης αξιάγαστε.

Θεοτοκίον

Εξέλαμψεν εκ Σιών, η τού Υψίστου ευπρέπεια, τό πρόσλημμα τής σαρκός, καθ' ένωσιν άφραστον, εκ σού Αειπάρθενε, περιβεβλημένη, καί τόν κόσμον κατεφώτισεν.

Κοντάκιον  Ήχος β'
Αυτόμελον

Πίστιν Χριστού ωσεί θώρακα, ένδον λαβών εν καρδία σου, τάς εναντίας δυνάμεις κατεπάτησας, Πολύαθλε, καί στέφει ουρανίω εστέφθης, αιωνίως ώς αήττητος.

Ο Οίκος

Τόν εν θρόνω φωτός εποχούμενον ευχαρίστως εν πίστει υμνούμέν σε, ότι δώρημα θείον δεδώρησαι τόν γενναίον τοίς άθλοις Θεόδωρον, τόν εν τώ βίω τρισμακάριστον, ως υπέρμαχον όντα τής αληθείας, καί λαμπρόν στεφανίτην σου Χριστέ ο Θεός, υπέρ ού μέχρι τέλους αντέσχεν, αθλών ως αήττητος.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΖ' τού αυτού μηνός, Μνήμη τού Αγίου Μεγαλομάρτυρος Θεοδώρου τού Τήρωνος.

Στίχοι

- Τήρων, ο δηλών αρτίλεκτον οπλίτην,
- Θεώπρόσειισιν, αρτίκαυστος οπλίτης.
- Εβδομάτη δεκάτη πυρί Τήρωνα πυρί φλεγέθουσιν.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μαριάμνης, αδελφής τού Αγίου Φιλίππου τού Αποστόλου.

Στίχοι

- Αφείσα τήν γήν Μαριάμνη παρθένος,
- Τόν εκ Μαρίας Παρθένου Χριστόν βλέπει.

Τή αυτή ημέρα, Μνήμη τού οσίου Πατρός ημων Αυξιβίου.

Στίχοι

- Τόν Αυξίβιον ου παρόψεται λόγος,
- Φανέντα ληξίβιον εξ εναντίου.

Τή αυτή ημέρα, Μνήμη τού οσίου Πατρός ημών θεοστηρίκτου, καί Μνήμη τής ευρέσεως τών λειψάνων τού Αγίου Μηνά τού Καλλικελάδου.

Στίχοι

- Τήν γήν ορύξας ως δικέλλη τώ λόγω
- Μηνάν εκείθεν εκφέρω κεκρυμμένον.

Τή αυτή ημέρα, Μνήμη τών εν ευσεβεί τή Μνήμη γενομένων Βασιλέων Μαρκιανού καί Πουλχερίας.

Τελείται δέ η αυτών Σύναξις εν τή μεγάλη Εκκλησία.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός ελέησον καί σώσον ημάς. Αμήν.

Ωδή ζ' Ο Ειρμός

«Οι εκ τής Ιουδαίας, καταντήσαντες Παίδες εν Βαβυλώνι ποτέ, τή πίστει τής Τριάδος, τήν φλόγα τής καμίνου, κατεπάτησαν ψάλλοντες, ο τών Πατέρων ημών, Θεός ευλογητός εί».

Σέ ζωής μου προστάτην, καί συλλήπτορα φέρω τής σωτηρίας μου, καί φύλακα θεόφρον, ασφάλειαν διδόντα, τοίς εν πίστει κραυγάζουσιν, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Ως τερπνότατον θύμα, σεαυτόν τώ Κυρίω καί ιερώτατον, προσήνεγκας Παμμάκαρ, καί πυρί τών βασάνων, ωλοκαύτωσας ένδοξε, ο τών Πατέρων βοών, Θεός ευλογητός εί.

Ζωτικής επιπνοίας, εμφορούμενος Μάκαρ τού θείου Πνεύματος, τά πνεύματα διώκεις, τάς νόσους θεραπεύεις, καί κραυγάζεις γηθόμενος. Ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Θεοτοκίον

Εκ γαστρός σου προήλθε, σαρκωθείς ο τών όλων Παρθένε Κύριος, διό σε Θεοτόκον, φρονούντες ορθοδόξως, τώ Υιώ σου κραυγάζομεν, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Ωδή η' Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών. Τόν Δημιουργόν καί Λυτρωτήν ανεβόα, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Παντοδαπαίς Πανεύφημε, τρικυμίαις κυκλούμενοι, καί ταίς συμφοραίς τού βίου συνεχόμενοι, προστάτην οξύτατον, καί συνεργόν γινώσκοντες, πάντες οι πιστοί σε, πρεσβευτήν τώ Δεσπότη, προσάγομεν βοώντες. Μή ελλίπης πρεσβεύειν, υπέρ τών ανυμνούντων, τήν πάνσεπτόν σου μνήμην.

Αμαρτιών αλύσεσι, δεδεμένος Πανόλβιε, καί ταίς τών πταισμάτων μου σειραίς πεδούμενος, προσφεύγω τή σκέπη σου, στεφανηφόρε λύσιν αιτών, αλλ' ως θαυμαστήν, πρός τόν τών όλων Δεσπότην, θεόφρον παρρησίαν, κεκτη μένος δυσώπει, σωθήναι τούς υμνούντας, Χριστόν εις τούς αιώνας.

Μαρτυρικαίς λαμπόμενος, αγλαΐαις πανεύφημε, ταίς Αγγελικαίς συνηριθμήθης τάξεσι, μεθ' ών αγαλλόμενος, καί συγχορεύων Μάρτυς αεί, θαυματοποιίαις, ιαμάτων φαιδρύνεις, τούς πόθω σε τιμώντας, καί πιστώς, μελωδούντας. Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Μετά σαρκός ωμίλησε, τοίς ανθρώποις ως εύσπλαγχνος, ο Δημιουργός καί Λυτρωτής τής κτίσεως, εκ σού απειρόγαμε, Θεογεννήτορ ταύτην λαβών, όθεν Θεοτόκον, οι Πιστοί σε κυρίως, δοξάζομεν, βοώντες, καί πιστώς μελωδούντες. Λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Ωδή θ'  Ο Ειρμός

«Σέ τήν απειρόγαμον, Θεού Μητέρα τού Υψίστου, σέ τήν υπέρ νούν κυήσασαν, διά λόγου τόν όντως Θεόν, τήν υψηλοτέραν τών αχράντων Δυνάμεων, ασιγήτοις δοξολογίαις μεγαλύνομεν».

Αγρυπνόν σε φύλακα, Μεγαλομάρτυς κεκτημένοι, τών δυσμενών κακόνοιαν ευχερώς απελαύνοντα, καί ταίς Εκκλησίαις τήν ειρήνην βραβεύοντα, αθλοφόρε, ακαταπαύστως μεγαλύνομεν.

Κράτος σοι δεδώρηται, καί δαιμόνων ο Δεσπότης, πάθη δέ ψυχής καί σώματος, θεραπεύεις Μακάριε, πανευσεβεστάτη παρρησία, δεόμενος τού Σωτήρος, όθεν σε πάντες μεγαλύνομεν.

Αίγλην τήν τρισήλιον, καί ενιαίαν εποπτεύων, μίαν εν τρισί θεότητα, καί αρχήν υπεράρχιον, τήν αγαθοδότιν πηγήν αγαθότητος, Αθλοφόρε, τούς σέ υμνούντας περιφρούρησον.

Θεοτοκίον

Ρύσαί με πανάμωμε, τής νοητής αιχμαλωσίας, λύτρον αντιδούσα Δέσποινα, καί Υιού σου τήν σταύρωσιν, τήν υπέρ τής πάντων γενομένην λυτρώσεως, καί ειρήνης καί σωτηρίας τών υμνούντων σε.

Εξαποστειλάριον
Γυναίκες ακουτίσθητε

Τοίς πάσι τά χαρίσματα, τών ιαμάτων Άγιε, σύ δαψιλώς, παροχεύεις, Θεόδωρε αθλοφόρε, ως έχων δέ πρός Κύριον, τήν παρρησίαν πάντοτε, τούς εκ θερμής σε πίστεως, προσκαλουμένους προφθάνεις καί διασώζεις Παμμάκαρ.

Θεοτοκίον

Ταίς σαίς αγκάλαις Άχραντε, βαστάσασα τόν Κύριον, τόν τή αχράντω παλάμη, διακρατούντα τά πάντα, αυτόν θεομακάριστε, ικέτευε ρυσθήναί με, χειρός δολίου δράκοντος, τού αναιδώς σπαράττοντος, τήν ταπεινήν μου καρδίαν εις ηδονάς ψυχοφθόρους.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν τά τρία ταύτα Προσόμοια Στιχηρά δευτερούντες τό πρώτον.

Ήχος α'
Τών ουρανίων ταγμάτων

Τη παμφαεί πανηγύρει, τού θείου Μάρτυρος, ευωχηθώμεν πάντες, καί Πιστώς ευφρανθώμεν, φιλέορτα τιμώντες, φαιδράν εορτήν, τής αυτού τελειώσεως, ασματικώς ανυμνούντες τόν, Ιησούν, τόν δοξάσαντα τήν μνήμην αυτού.

Τόν αριστέα τής άνω, στρατολογίας Πιστοί, ως καρτερόν οπλίτην, τής ημών πολιτείας, συμφώνως συνελθόντες, ωδαίς μυστικαίς, ευφημήσωμεν λέγοντες, Αξιοθαύμαστε Μάρτυς τού Ιησού, υπερεύχου τών υμνούντων σε.

Τής ευσεβείας τόν πλούτον, καί τήν λαμπρότητα, αθλητικοίς καμάτοις, σεαυτώ θησαυρίσας, πάση σου ισχύϊ, δώρον δεκτόν, τώ Χριστώ προσενήνοχας, αναπληρών έν τοίς έργοις μετά σπουδής, τήν θεοδώρητόν σου πρόσκλησιν.

Δόξα... Ήχος πλ. β'

Αγιωσύνης δωρεά, καί πλούτος θείας ζωής, πεφανέρωσαι τώ κόσμω θεόδωρε Χριστός γάρ σου σοφέ, τήν μνήμην εδόξασεν, εν ή συμφώνως οι πιστοί, γεγηθότες υμνούμεν, τούς αγώνας τών άθλων σου.

Καί νύν... Θεοτοκίον
Όλην αποθέμενοι

Τετραυματισμένον με, ταίς ληστρικαίς τών Δαιμόνων, εφόδοις καί κείμενον, όλον ανενέργητον Παναμώμητε, εν οδώ πάντοτε, τού αστάτου βίου, σού ελέους προσδεόμενον, τάχος επίσκεψαι, η τών πεπτωκότων ανόρθωσις, καί δώρησαι τήν ίασιν, καί τήν σωτηρίαν μοι Δέσποινα, ίνα, σε δοξάζω, καί πόθω κατά χρέος ανυμνώ, τά μεγαλεϊά σου άχραντε, μόνη Μητροπάρθενε.

Η Σταυροθεοτοκίον

Τόν άρνα τόν ίδιον, αμνάς η άσπιλος πάλαι, καί άμωμος Δέσποινα, εν Σταυρώ υψούμενον ως εώρακε, μητρικώς ωλόλυζε, καί εκπληττομένη,

ανεβόα. Τί τό όραμα, τέκνον γλυκύτατον, τούτο τό καινόν καί παράδοξον, πώς δήμος ο αχάριστος, βήματι Πιλάτου παρέδωκε, καί κατακρινούσι, θανάτω τήν απάντων σε ζωήν, άλλ άνυμνώ σου τήν άφατον, Λόγε συγκατάβασιν.

Εις τόν Στίχον τά Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος πλ. δ'

Αθλητικήν ανδρείαν ευσεβώς καθοπλισθείς, Αθλοφόρε Χριστού, καί λογικής λατρείας, μυστικώς υπερμαχών, τή δυνάμει αυτού, τών ειδώλων τό δυσσεβές, καί τών τυράννων τό απηνές, ασθενές απέδειξας, καταφρονών τών βασάνων, καί τού προσκαίρου πυρός, αλλ' ως θείων δωρεών, καί πράγμα καί όνομα, από πάσης περιστάσεως, τή πρεσβεία σου σώζε, τούς εκτελούντας τήν μνήμην σου.

Καί νύν... Θεοτοκίον

Ω τού παραδόξου θαύματος

Όλος ο βίος μου άσωτος, η δέ ψυχή ασελγής, καί τό σώμα παμμίαρον, καί ο νούς ακάθαρτος, καί τά έργα παμβέβηλα, καί όλος όντως, ειμί υπεύθυνος, τής καταδίκης καί κατακρίσεως. Πού νύν πορεύσομαι; καί πρός τίνα φεύξομαι, ειμή πρός σέ; Δέσποινα σπλαγχνίσθητι, καί δεύρο σώσόν με.

Η Σταυροθεοτοκίον

Ω τού παραδόξου θαύματος! ώ μυστηρίου φρικτού! ώ φρικτής εγχειρήσεως! η Παρθένος έλεγεν, εν Σταυρώ ως εώρακεν, εν μέσω δύο ληστών κρεμάμενον, όν ανωδίνως φρικτώς εκύησε, κλαίουσα έλεγεν. Οίμοι! τέκνον φίλτατον, πώς ο δεινός, δήμος καί αχάριστος, Σταυρώ προσήλωσε.

Καί η λοιπή Ακολουθία τού Όρθρου, κατά τήν τάξιν, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΗ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Λέοντος Πάπα Ρώμης.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'

Πανεύφημοι Μάρτυρες

Εμφιλοσοφώτατα τόν νούν, Λέον παμμακάριστε, σύ τών παθών αυτοκράτορα, απεργασάμενος, αρετών ιδέαις, καί ηθών σεμνότητι, εικόνα τής ψυχής εζωγράφησας· διό αιτούμέν σε, ως Ποιμένα καί Διδάσκαλον, την ειρήνην, τώ κόσμω αιτήσασθαι.

Θρασύτητα Λέοντος Χριστού, δυνάμει πανόλβιε, δυναμωθείς ού κατέπτηξας, αλλ' εξεφαύλισας, Ιεράρχα τούτου, τής ψυχής τό άστατον, καί γνώμην

αληθώς τήν αγνώμονα, καί τής αιρέσεως, τήν τελείαν αθεότητα, καί τών τρόπων, τό δόλιον φρόνημα.

Προσθήκη εγένου τοίς Πιστοίς, Ιερεύ πανόλβιε, τοίς Ιεράρχαις καί Μάρτυσι· καί γάρ αήττητος, εν αγώσιν ώφθης, αρραγής ακλόνητος, ως πύργος ευσεβείας καί πρόβολος, ορθοδοξότατα, δογματίζων καί σαφέστατα, τού Κυρίου, τήν άφραστον γέννησιν.

Δόξα... Καί νύν... Θεοτοκίον

Πηγήν σε γινώσκομεν ζωής, αϊδίου Δέσποινα· τήν ξηρανθείσαν ούν πάθεσι, ψυχήν μου ζώωσον, εν τή χάριτί σου, καί πηγάζειν νάματα, σωτήρια αεί παρασκεύασον· καί νύν μοι στάλαξον, τή πρεσβεία σου τήν άφεσιν, τών πταισμάτων, καί κάθαρον δέομαι.

Η Σταυροθεοτοκίον

Ρομφαία διήλθεν ώ Υιέ, η Παρθένος έλεγεν, επί τού ξύλου ως έβλεψε, Χριστόν κρεμάμενον, τήν εμήν καρδίαν, καί σπαράττει Δέσποτα, ως πάλαι Συμεών μοι προέφησεν· άλλά ανάστηθι, καί συνδόξασον αθάνατε, τήν Μητέρα, καί δούλην σου δέομαι.

Απολυτίκιον  Ήχος πλ. δ'

Ορθοδοξίας οδηγέ, ευσεβείας Διδάσκαλε καί σεμνότητος, τής οικουμένης ο φωστήρ, τών ορθοδόξων θεόπνευστον εγκαλλώπισμα, Λέον σοφέ, ταίς διδαχαίς σου πάντας εφώτισας, λύρα τού Πνεύματος· Πρέσβευε Χριστώ τώ Θεώ· σωθήναι τάς ψυχάς ήμων.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη στιχολογίαν, λέγεται ο Κανών, ού η Ακροστιχίς.

Τώ πανσόφω Λέοντι τούς ύμνους πλέκω. Ποίημα Θεοφάνους.

Ωδή α'  Ήχος πλ. δ'

Ο Ειρμός

«Άσωμεν τώ Κυρίω, τώ διαγαγόν τι τόν λαόν αυτού, εν Ερυθρά θαλάσση, ότι μόνος ενδόξως δεδόξασται».

Τώ τής ιερωσύνης, χρίσματι Παμμάκαρ σεμνυνόμενος, κατεκόσμησας ταύτην, αρετών ταίς ιδέαις πανόλβιε.

Ώριμον ώσπερ βότρυν, Πάτερ αποθλίψας τήν διάνοιαν, ευφροσύνης κρατήρα, τής σοφίας σου πάσι προτέθεικας.

Πέτρου τού Κορυφαίου, θρόνου κληρονόμος εχρημάτισας, τήν αυτού έχων γνώμην, καί τόν ζήλον θεόφρον τής πίστεως.

Αίγλη τών σών δογμάτων, τών αιρετικών τόν σκοτεινότατον, διεσκέδασας

γνόφον, Ιεράρχα Κυρίου θεόληπτε.

Θεοτοκίον

Νόμου τή παραβάσει, κατακεκριμένον τόν πρωτόπλαστον, τόν Σωτήρα τεκούσα, Θεομήτορ αγνή ηλευθέρωσας.

Ωδή γ'  Ο Ειρμός

«Ουρανίας αψίδος, οροφουργέ Κύριε, καί τής Εκκλησίας δομήτορ, σύ με στερέωσον, εν τή αγάπη τή σή, τών εφετών η ακρότης, τών Πιστών τό στήριγμα, μόνε φιλάνθρωπε».

Στηλην ορθοδοξίας, τή τού Χριστού πάνσοφε, Λέον Εκκλησία, προθύμως φέρων ανέστησας, ήν περ κατέχουσα, αιρετικών τάς αθέους, διαλύει φάλαγγας, καί τά συστήματα.

Ουρανίου καί θείας, εμφορηθείς χάριτος, τών τής εκκλησίας δογμάτων, Πάτερ προϊστασο, πάσαις μαχόμενος, αιρετικών ταίς αθέοις, γλωσσαλγίαις ένδοξε, Λέον πανόλβιε.

Φωτί τώ λαμπροτάτω, καταυγασθείς, Όσιε, τόν τής απορρήτου, καί θείας ενανθρωπήσεως, λόγον ετράνωσας, διπλήν ειπών τήν ουσίαν, καί διπλήν ενέργειαν, τού σαρκωθέντος Θεού.

Θεοτοκίον

Ωραιώθης ως νύμφη, παρθενικοίς κάλλεσι, κεχαριτωμένη Παρθένε, Μήτηρ ανύμφευτε· πάσης γάρ κτίσεως, σύ κεχαρίτωσαι πλέον, ως τόν πάντων αίτιον, Λόγον κυήσασα.

Κάθισμα  Ήχος γ'

Θείας πίστεως

Θείοις δόγμασι, περιαστράπτων, φέγγος έλαμψας ορθοδοξίας, καί αιρέσεων τό σκότος εμείωσας· καί μεταστάς εκ τού βίου πανόλβιε, πρός τό ανέσπερον φώς κατεσκήνωσας· Λέον Όσιε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Θείας γέγονας, σκηνή τού Λόγου, μόνη πάναγνε Παρθενομήτορ, τή καθαρότητι Αγγέλους υπερέχουσα· τόν υπέρ πάντας εμέ γούν γενόμενον, ρερυπωμένον σαρκός πλημμελήμασιν, αποκάθαρον, πρεσβειών σου ενθέοις νάμασι, παρέχουσα Σεμνή τό μέγα έλεος.

Η Σταυροθεοτοκίον

Η αμίαντος αμνάς τού Λόγου, η ακήρατος, Παρθενομήτωρ, εν τώ Σταυρώ θεασαμένη κρεμάμενον, τόν εξ αυτής ανωδίνως βλαστήσαντα, μητροπρεπώς θρηνωδούσα εκραύγαζεν· Οίμοι τέκνον μου! πώς πάσχεις; θέλων ρύσασθαι, παθών τής ατιμίας τόν άνθρωπον.

Ωδή δ'  Ο Ειρμός

«Εξ όρους κατασκίου, Λόγε ο Προφήτης, τής μόνης Θεοτόκου, μέλλοντος

σαρκούσθαι, θεοπτικώς κατενόησεν εν φόβω· καί εδοξολόγει σου τήν δύναμιν».

Λέον σύ ως αληθώς, Παμμάκαρ ώφθης, τάς συγχυτικάς, αλώπεκας διώκων, βασιλικώ τώ βρυχήματι καταπλήττων, τών ασεβούντων τά νοήματα.

Εκρυψας τή προβολή, τών σών δογμάτων, τών θεοστυγών αιρέσεων τά ίχνη, τήν κεκρυμμένην αλήθειαν ανιχνεύσας, Ιερομύστα πανσεβάσμιε.

Όρθρος εκ δυσμών, ανέτειλας τρισμάκαρ, τόμον ευσεβών, δογμάτων ως ακτίνας, τή Εκκλησία θεόφρον εξαποστέλλων, καί καταυγάζων τάς ψυχάς ημών.

Θεοτοκίον

Νέκρωσον ορμάς, Παρθένε τών παθών μου, παύσον αγαθή, τόν σάλον τών πταισμάτων, τής αμαρτίας τόν κλύδωνα, σή γαλήνη, Θεογεννήτορ αφανίζουσα.

Ωδή ε'  Ο Ειρμός

«Ίνα τί με απώσω, από τού προσώπου σου τό φώς τό άδυτον, καί εκάλυψέ με, τό αλλότριον σκότος τόν δείλαιον· αλλ' επίστρεψόν με, καί πρός τό φώς τών εντολών σου, τάς οδούς μου κατεύθυνον δέομαι».

Τής διπλής ενεργείας, κήρυξ εχρημάτισας τής τού Σωτήρος Χριστού· ενεργείν γάρ έφης, εκατέραν μορφήν όπερ έσχηκε, μετά τής ετέρας, καί συγκειμένης κοινωνίας, Ιεράρχα θεόφρον μακάριε.

Ισοδύναμον όντα, τώ Γεγεννηκότι τόν Λόγον εγνώρισας· ως δέ σάρκα τούτον, γεγονότα Τρισμάκαρ επίστευσας· καταλλήλως, έφης, τά τής σαρκός ίδια πράττειν, ασυγχύτως ατρέπτως αμφότερα.

Θεοτοκίον

Τό πρό πάντων αιώνων, μόνω γινωσκόμενον Θεώ Μυστήριον, τό βροτόν γενέσθαι, τόν τών όλων κτισμάτων δεσπόζοντα, καί σαρκί πλακήναι, δίχα τροπής εκ σού Παρθένε, καθωράθη τό πέρας δεξάμενον.

Ωδή ς'  Ο Ειρμός

«Τήν δέησιν εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις· ότι κακών, η ψυχή μου επλήσθη, και η ζωή μου τώ Άδη προσήγγισε· καί δέομαι ως  Ιωνάς· Εκ φθοράς ο Θεός με ανάγαγε».

Ο Πέτρου νύν τού σεπτού διάδοχος, καί τήν τούτου προεδρείαν πλουτήσας, καί τό θερμόν, κεκτημένος τού ζήλου, θεοκινήτως τόν τόμον εκτίθεται, αιρέσεων συγχυτικών, τόν φυρμόν καί τήν κρασιν συγχέοντα.

Υιον ένα τόν Χριστόν καί Κύριον, πρό αιώνων εκ Πατρός γεννηθέντα, καί δι' ημάς, εκ Παρθένου τεχθέντα, καί πεφηνότα ημίν ομοούσιον, εκήρυξας

υπερφυώς, Λειτουργέ τών αρρήτων θεόληπτε.

Θεοτοκίον

Σέ πάναγνε σωτηρίας πρόξενον, οι πιστοί ομολογούντες βοώμεν· Χαίρε σεμνή· χαίρε νύμφη Παρθένε· χαίρε τό όρος Θεού τό κατάσκιον· τώ κόσμω γάρ σύ τήν χαράν, τήν ακλόνητον όντως επήγασας.

Κοντάκιον Ήχος γ'

Η Παρθένος σήμερον

Επί θρόνου Ένδοξε, ιερωσύνης καθίσας, καί λεόντων στόματα, τών λογικών αποφράξας, δόγμασιν εν θεοπνεύστοις σεπτής Τριάδος, ηύγασας φώς τή σή ποίμνη θεογνωσίας· διά τούτο εδοξάσθης, ως θείος μύστης Θεού τής χάριτος.

Ο Οίκος

Τόν Πατέρα καί Υιόν καί τό Πνεύμα τό Άγιον, τό τρισήλιον φώς, τήν τρισαγίαν δύναμιν, θεότητα μίαν, καί μίαν ουσίαν, ταύτην κηρύξας, χείλη τά δόλια εις τέλος ενέφραξας αιρετιζόντων, Λέον Θεόσοφε· όθεν τήν αγνήν Χριστού λοχεύτριαν, Θεοτόκον ομολογήσας, τού Νεστορίου τήν οφρύν καί φληνάφειαν καθείλες· Διά τούτο εγνώσθης εν τώ κόσμω, ως θείος μύστης Θεού τής χάριτος.

Συναξάριον

Τή ΙΗ' τού αυτού μηνός, Μνήμη τού εν Αγίοις Πατρός ημών Λέοντος Πάπα Ρώμης.

Στίχοι

- Ψυχήν ο θείος εξερεύγεται Λέων,
- Καί δαιμόνων φάλαγξιν εμβάλλει φόβον.
- Ογδοάτη δεκάτη τε Λέων ηρεύξατο θυμόν.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Λέοντος καί Παρηγορίου, αθλησάντων εν Πατάροις τής Λυκίας.

Στίχοι

- Παρηγόριος σάρκα δούς εις αικίας,
- Έει παρηγόρημα τά στέφη μέγα.
- Έκων άνωθεν ισχύν εκ Θεού Λέων,
- Έξεις βιαίως ως λέων εκαρτέρει.

Τή αυτή ημέρα, Μνήμη τού οσίου Πατρός ημών Αγαπητού Επισκόπου Σινάου, τού ομολογητού καί θαυματουργού.

Στίχοι

- Ον ηγάπησας, Αγαπητέ, Δεσπότην,
- Ούτος καλεί σε πρός τόπους, ούς ηγάπας.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ' Ο Ειρμός

«Παίδες Εβραίων εν καμίνω, κατεπάτησαν τήν φλόγα θαρσαλέως, καί εις δρόσον τό πύρ, μετέβαλον βοώντες· Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας».

Ύπνον ουκ έδωκας βλεφάροις, έως πρόρριζον ανέσπασας τήν πλάνην, Ευτυχούς τού παραφρονήσαντος κραυγάζων· Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Μίαν υπόστασιν εν δύο, ταίς ουσίαις τόν Χριστόν ομολογήσας, ενεργούντα διττώς, καί θέλοντα νύν ψάλλεις· Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Θεοτοκίον

Νύν σοι προσφεύγω Θεομήτορ, τών πταισμάτων ταίς σειραίς κατεσφιγμένος, διά σπλάγχνα ελέους, ρύσαί με βοώντα· Ευλογημένος πάναγνε, ο καρπός τής σής κοιλίας.

## Ωδή η'  Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ό τύραννος, τοίς θεοσεβέσιν, εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών· Τόν Δημιουργόν καί Λυτρωτήν ανεβόα, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Ολολαμπής ως ήλιος, εκ δυσμών ανατέταλκες, θαύμα θεορρήμον, εμφανώς παράδοξον, τήν κράσιν καί σύγχυσιν, τού Ευτυχούς ξηραίνων σαφώς, καί τού Νεστορίου, τήν διαίρεσιν τέμνων, διδάσκων ένα σέβειν, τόν Χριστόν εν ουσίαις, δυσίν αδιαιρέτως, ατρέπτως, ασυγχύτως.

Υπό Θεού κινούμενος, ευσεβείας διδάγματα, ως θεοχαράκτοις εν πλαξίν ετύπωσας, Μωσής οία δεύτερος, αναφανείς τώ θείω λαώ, καί τή ομηγύρει, τών σεπτων Διδασκάλων, κραυγάζων· Ανυμνείτε, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Σεσαρκωμένον Όσιε, τόν πρίν άσαρκον έγνωκας, Λόγον τού Πατρός, μονογενή, συνάναρχον, εν χρόνω τόν άχρονον, περιγραπτόν μέν εν σώματι, ως δέ Ποιητήν, περιγραφήν ουκ ειδότα, διδάσκεις ανακράζων· Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Περιβολήν τού σώματος, περιέθετο Πάναγνε, εκ τών σών αιμάτων, ο φωστήρων κάλλεσιν, ηλίω σελήνη τε, τόν ουρανόν φαιδρύνας Θεός, εμψυχόν σε άλλον, ουρανόν αναδείξας· όν Παίδες ευλογούσιν, Ιερείς ανυμνούσι, λαοί υπερυψούσιν, εις πάντας τούς αιώνας.

## Ωδή θ'  Ο Ειρμός

«Εφριξε πάσα ακοή, τήν απόρρητον Θεού συγκατάβασιν· όπως ο ύψιστος, εκων κατήλθε μέχρι καί σώματος, Παρθενικής από γαστρός, γενόμενος άνθρωπος, διό τήν άχραντον, Θεοτόκον οι πιστοί μεγαλύνομεν».

Λάμπεις νύν Μύστα τού Χριστού, ευπρεπείας εν στεφάνω κοσμούμενος, καί ως πιστός ιερεύς, δικαιοσύνην όντως ενδέδυσαι, καί Παραδείσω τής τρυφής, χορεύων θεσπέσιε, υπέρ τής Ποίμνης σου, τόν Δεσπότην εκτενώς καθικέτευε.

Ένθα νύν τών Πατριαρχών, προεδρείαί τε καί θρόνοι καί τάγματα, επαξίως Πάτερ Λέον πανόλβιε, συ εσκήνωσας, ως Πατριάρχης αληθής, καί πίστει καί χάριτι, καταλαμπόμενος· διό πάντες σε αεί μακαρίζομεν.

Κλύδωνος εκ βιοτικού, αποστάς σύ τώ Χριστώ προσεπέλασας, Λέον πανάριστε, εν τόπω χλόης αναπαυόμενος· ένθα χειμάρρους τής τρυφής, καί φώς τό ανέσπερον, καί η ανέκφραστος, ευφροσύνη καί χαρά διαμένουσα.

Θεοτοκίον

Ώριμον δρέπομαι ζωήν, μή βλαπτόμενος τώ ξύλω τής γνώσεως· σύ γάρ Πανάμωμε, ζωής τό ξύλον, Χριστόν εβλάστησας, τόν τάς εισόδους τής ζωής, τοίς πάσι γνωρίσαντα· διό σε πάναγνε, Θεοτόκον οι Πιστοί μεγαλύνομεν.

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Ως λέων αναδέδειξαι, καί ρήμασι καί πράγμασι, βασιλικώς καταπλήττων, βρυχήματι τών δογμάτων, τά ασεβή βουλεύματα, ως αλώπεκος Πάνσοφε, δεινά μηχανουργήματα, καί τήν ομήγυριν τέρπων, τών θεολέκτων Πατέρων.

Θεοτοκίον

Ο πάλαι μοι τήν οίκησιν, τής εν Εδέμ βιώσεως, φθονήσας δόλιος όφις, καί εξ αυτής εκβαλών με, διά τού σού θείου τόκου, αγία Μητροπάρθενε, καταπεσών νενέκρωται, εγώ δέ αύθις ανήλθον, πρός ήν απώλεσα δόξαν.

Εις τόν Στίχον τών Αίνων, Στιχηρά τής Οκτωήχου.

Καί η λοιπή ακολουθία τού Όρθρου, κατά τήν τάξιν, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΘ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Αποστόλου Αρχίππου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'

Οι Μάρτυρές σου Κύριε

Φωτί τών λόγων Άρχιππος, λαούς εφώτισε, καί αγνωσίας, σκότους ερρύσατο· καί εναθλήσας, καί συμπατήσας τόν εχθρόν, φέγγος πρός ανέσπερον ανέδραμε, καί σύν τοίς Αγγέλοις νύν ευφραίνεται· Αυτού ταίς ικεσίαις, Δέσποτα δίδου πάσι τό μέγα έλεος.

Συρόμενος Μακάριε, καί εκκεντούμενος, καί πάσαις άλλαις, περικυκλούμενος δεινών ιδέαις, ουκ εξηρνήσω τόν Χριστόν, ουδέ τοίς γλυπτοίς σέβας απένειμας· Όθεν στεφανίτης εχρημάτισας, αεί καθικετεύων, άπασι δωρηθήναι τό μέγα έλεος.

Αιμάτων θείοις ρεύμασι, Μάρτυς ηγίασας, τήν γήν θεόφρον, καί ετραυμάτισας τοίς τραύμασί σου, πληθύν δαιμόνων πονηράν· βλύζων δέ απαύστως τά ιάματα, πάθη ιατρεύεις χαλεπώτατα· Διό ταίς σαίς πρεσβείαις, αίτησαι πάσι Μάκαρ τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Οι λογισμοί ακάθαρτοι, τά χείλη δόλια, τά έργα δέ μου, εισί παμμίαρα· καί τί ποιήσω; πώς υπαντήσω τώ Κριτή; Δέσποινα Παρθένε καθικέτευσον, τόν Υιόν καί Πλάστην σου καί Κύριον, όπως εν μετανοία, δέξηταί μου τό πνεύμα, ως μόνος εύσπλαγχνος.

Η Σταυροθεοτοκίον

Η δάμαλις η άσπιλος, τόν μόσχον βλέπουσα επί τού ξύλου, προσαναρτώμενον εθελουσίως, οδυρομένη γοερώς, Οίμοι! ανεβόα ποθεινότατον, Τέκνον, τί σοι δήμος ανταπέδωκεν, αχάριστος Εβραίων, θέλων με ατεκνώσαι, εκ σού παμφίλτατε;

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, λέγομεν τόν Κανόνα, ού η Ακροστιχίς.

Άρχιππον υμνώ τόν σοφόν θεηγόρον. Ιωσήφ.

Ωδή α' Ήχος δ' Ο Ειρμός

«Θαλάσσης τό ερυθραίον πέλαγος, αβρόχοις ίχνεσιν, ο παλαιός πεζεύσας Ισραήλ, σταυροτύποις Μωσέως χερσί, τού Αμαλήκ τήν δύναμιν, εν τή ερήμω ετροπώσατο».

Αστράψας τώ φωτισμώ τής χάριτος, Παύλος ο πάνσοφος, ώσπερ ακτίνα Μάκαρ σε φαιδράν, επαφήκεν ελαύνουσαν, πολυθείας Άρχιππε, σκότος βαθύτατον εν Πνεύματι.

Ρημάτων θείαις πλοκαίς ηλίευσαι, Παύλου τού κήρυκος, καί εκ βυθού κακίας τούς λαούς, παραδόξως εζώγρησας, καί λογικόν οψώνιον, θεία τραπέζη προσενήνοχας.

Χιτώνα ενδεδυμένος Άρχιππε, ενθέου χάριτος, τούς γυμνωθέντας δόξης θεϊκής, αφθαρσίας ιμάτιον, καί σωτηρίου ένδοξε, καταστολήν θείαν ενέδυσας.

Θεοτοκίον

Ιδόντες προφητικοίς εν όμμασι, πόρρωθεν Πάναγνε, τού υπέρ νούν σου θείου τοκετού, τό φρικώδες Μυστήριον, οι θεηγόροι Άχραντε, ποικιλοτρόπως

κατετράνωσαν.

Ωδή γ'  Ο Ειρμός

«Ευφραίνεται επί σοί, η εκκλησία σου Χριστέ κράζουσα, Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

Πυρούμενος νοητώς, τού Παρακλήτου τώ πυρί έφλεξας, ϋλην πικράν, Άρχιππε, ειδωλομανίας πανεύφημε.

Πιστόν σε δούλον Χριστού, Παύλος ο θείος μαρτυρεί Άρχιππε, καί ιερόν Κήρυκα, καί συστρατιώτην μακάριε.

Ο βίος σου φωταυγής, ταίς εναρέτοις αστραπαίς έλαμψε, φωταγωγών· Άρχιππε, τούς ειλικρινώς σέ γεραίροντας.

Θεοτοκίον

Ναός εδείχθης Θεού, χωρητικός περιφανώς Πάναγνε, καί καθαρόν σκήνωμα, καί θεοπρεπές ενδιαίτημα.

Κάθισμα  Ήχος α'

Τόν τάφον σου Σωτήρ

Τού Παύλου μαθητής, γεγονώς θεοφόρε, εφώτισας λαούς, ανυμνείν τήν Τριάδα, ναούς δέ κατέστρεψας, απωλείας εν χάριτι· εναθλήσας δέ, καρτερικώς τούς στεφάνους, χαίρων είληφας, υπέρ ημών ικετεύων, Χριστόν Μάρτυς, Άρχιππε.

Δόξα... Καί νύν... Θεοτοκίον

Ο δήγησον ημάς, εν οδώ μετανοίας, εκκλίνοντας αεί, πρός κακών ανοδίας, καί τόν υπεράγαθον, παροργίζοντας Κύριον, απειρόγαμε, ευλογημένη Μαρία, καταφύγιον, απεγνωσμένων ανθρώπων, Θεού ενδιαίτημα.

Η Σταυροθεοτοκίον

Η άσπιλος Αμνάς, τόν Αμνόν καί Ποιμένα, κρεμάμενον νεκρόν, επί ξύλου ορώσα, θρηνούσα εφθέγγετο, μητρικώς ολολύζουσα· Πώς ενέγκω σου, τήν υπέρ λόγον Υιέ μου, συγκατάβασιν, καί τά εκούσια πάθη, Θεέ υπεράγαθε;

Ωδή δ'  Ο Ειρμός

«Επαρθέντα σε ιδούσα η Εκκλησία, επί Σταυρού τόν Ήλιον τής δικαιοσύνης, έστη εν τή τάξει αυτής, εικότως κραυγάζουσα Δόξα τή δυνάμει σου Κύριε».

Υφηγούμενον τά θεία καί τούς αθέους, περιφανώς ελέγχοντα, άνομος διώκτης, ποιναίς καθυπέβαλε, καί μάστιξιν Άρχιππε, καί ποικιλοτρόποις κολάσεσι.

Μακαρίως διανύων τόν βίον Μάκαρ, τέλος ευρείν μακάριον, όντως ηξιώθης· Μάρτυς γάρ γεγένησαι, Χριστού γενναιότατος, πόνους καρτερήσας τού σώματος.

Νεμομένην αθεϊας τήν σηπεδόνα· τών ευσεδών τό πλήρωμα, έστησας νοστίμω, άλατι τών λόγων σου, καί χαίρων εκραύγαζες· Δόξα τή δυνάμει σου Κύριε.

Θεοτοκίον

Ως κατάσκιον προβλέπει σε πάλαι όρος, ο Αββακούμ Πανάμωμε· φέρουσαν τόν Λόγον, πάντας συσκιάζοντα, φλογμού παραπτώσεων, καί αμαρτιών Κόρη καύσωνος.

Ωδη ε' Ο Ειρμός

«Σύ Κύριέ μου φώς, είς τόν κόσμον ελήλυθας· φώς άγιον επιστρέφον, εκ ζοφώδους αγνοίας, τούς πίστει ανυμνούντάς σε».

Ταίς θείαις αστραπαίς, τού πανσόφου κηρύγματος, εφώτισας αγνωσίας, τούς νυκτί συσχεθέντας, θεόφρον παμμακάριστε.

Ο θείος ποταμός, προελθών εκ καρδίας σου, κατέκλυσε τούς χειμάρρους, τής απάτης καί φρένας, Πιστών Παμμάκαρ ήρδευσε.

Νευρούμενος χρησταίς, ταίς ελπίσιν υπέμεινας, συρόμενος εκ τεσσάρων, καί τήν γήν αγιάζων, τοίς αίμασι θεόληπτε.

Θεοτοκίον

Σέ μόνην εκ πασών, γενεών εξελέξατο, ο Κύριος Θεοτόκε, καί εκ σού εσαρκώθη, θεώσας τό ανθρώπινον.

Ωδή ς' Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Ουδόλως, απειλαίς χαυνωθέντα ο δόλιος, άνηλεώς σε συγκόπτει, ταίς πληγαίς θεόφρον αποσκοπούντα, πρός τήν δόξαν, ήν Χριστός σοι παρέχει δοξάζων σε.

Φάλαγγας, δυσμενών αοράτων τοίς τραύμασι, κατετραυμάτισας μάκαρ, τής σαρκός σου Άρχιππε, καί ελέγχων, τήν καρδίαν, σπαραγμοίς τού τυράννου κατέξανας.

Οι λίθοις, αναισθήτω καρδία θρησκεύοντες, λιθολευστούσί σε μάκαρ, τής ζωής τήν πέτραν ομολογούντα, καί τής πλάνης, τό οχύρωμα Μάρτυς συντρίβοντα.

Θεοτοκίον

Νέκρωσιν, τήν ζωήν εκδυθείς ενεδύσατο, εν Παραδείσω Παρθένε, ο, Αδάμ· τώ σώ δέ ηθανατίσθη, ζωηφόρω τοκετώ Παναγία Θεόνυμφε.

Κοντάκιον Ήχος δ'

Επεφάνης σήμερον

Ως αστέρα μέγαν σε, η Εκκλησία, κεκτημένη Άρχιππε, ταίς τών θαυμάτων σου βολαίς, φωτιζομένη κραυγάζει σοι· Σώσον τούς πίστει, τιμώντας τήν μνήμην σου.

Ο Οίκος

Πιστόν σε δούλον τού Χριστού ο κορυφαίος Παύλος, Άρχιππε, εκθειάζων, συγγράφει τοίς επαίνοις, καί μαρτυρεί περιφανώς πληρωτήν τού λόγου, καί Ιερόν υφηγητήν, καί κήρυκα σοφώτατον· Ημείς δέ λύχνον σήμερον άσβεστον βλέπομέν σε πάντες, καταλάμποντα τώ
κόσμω Απόστολε· όν καί η Απφία εγνώρισε καλώς, εκ τού φωτός τού πρώτου τηλαυγέστατον πυρσόν, φαεσφόρον δαδουχητικώς φωτίζοντα τούς βοώντας· Σώσον τούς πίστει τιμώντας τήν μνήμην σου.

Συναξάριον

Τή ΙΘ' τού αυτού μηνός, Μνήμη τών Αγίων Αποστόλων, Αρχίππου, Φιλήμονος καί Απφίας.

Στίχοι

- Ποθών τόν ακρόγωνον Άρχιππος λίθον.
- Κατηλοήθη τώ πόθω τούτου λίθοις.
- Χώραν φιλούντα τόν Φιλήμονα χλόης,
- Χλωροίς λόγοις τύπτουσιν ηκανθωμένοις.
- Ηπλωμένην παίουσιν εις γήν Απφίαν,
- Εις ουρανούς έχουσαν όμμα καρδίας.
- Άρχιππος δεκάτη ενάτη θάνε χερμαδίοισιν.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Μαξίμου, Θεοδότου, Ησυχίου, καί Ασκληπιοδότης.

Στίχοι

- Ανδρών τριάς σύναθλος ευσθενεστάτη,
- Ανδρίζεταί σοι, καί τομής, Τριάς, μέχρι.
- Έστεψε Χριστός τήν Ασκληπιοδότην,
- Ής εξέκοψε τήν κεφαλήν τό ξίφος.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Ραβουλά.

Στίχοι

- Βουλάς Ραβουλάς θείς απράκτους δαιμόνων,
- Απήλθε βουλή τού Θεού τών ενθάδε.

Τή αυτή ημέρα, Μνήμη τών Οσίων Πατέρων ημών καί ομολογητών, Ευγενίου καί Μακαρίου.

Στίχοι

- Ως ευγενείς όρπηκες εν γή Μακάρων
- Οικούσιν Ευγένιος σύν Μακαρίω.

Τή αυτή ημέρα, Μνήμη τού οσίου Πατρός ημών Κόνωνος.

Μνήμη τής Οσίας μητρός ημών Φιλοθέης τής εξ Αθηνών.

Στίχοι

- Όρπηξ Αθηνών εστιν η Φιλοθέη,
- Εχθρόν βαλούσα σταυρού τή πανοπλία.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός ελέησον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Εν τή καμίνω, Αβραμιαίοι παίδες τή Περσική, πόθω ευσεβείας μάλλον ή τή φλογί, πυρπολούμενοι εκραύγαζον· Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου κύριε».

Θεηγορίαις, θεοσόφοις Παμμάκαρ χρησάμενος, γνώσει αληθεί, τό σκότος εκ τών ψυχών, τής αγνοίας απεδίωξας, σοφίας χάριτι, τών τώ σεπτώ πειθησάντων λόγω σου.

Εν λάκκω Μάρτυς, σέ κατωτάτω χωννύουσι, δήμοι δυσσεβών, καί λίθοις ανηλεώς, θανατούσιν αναμέλποντα· Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε.

Η γή τό αίμα, τό εκχυθέν σου Μάρτυς δέδεκται, βρύον ιαμάτων νάματα τοίς πιστοίς· ουρανός δέ τό μακάριον, Άρχιππε πνεύμά σου, Αθλοφόρων ψυχαίς αριθμούμενον.

Θεοτοκίον

Γήν μέν ομίχλη, τόν ουρανόν νεφέλαις δέ Κύριος, Κόρη περιβάλων, σάρκα θέλων θνητήν, εξ αιμάτων σου ενδύεται, καταστολήν δόξης, αθανάτου ενδύων τόν άνθρωπον.

Ωδή η'  Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες· Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον,

Ο Παύλος επαίνοις ιεροίς, εγκωμιάζων σε, Άρχιππε ένδοξε, συστρατιώτην σε έγραψε, πληρωτήν ενθέων πράξεων, διακονούμενον αυτώ, καί πίστει μέλποντα· Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ρήμασιν επήλειψε σεπτοίς, πρός τό μαρτύριον, ή αξιάγαστος, Απφία στέργουσα Ένδοξε, ως υιόν σε γνησιώτατον, μεθής τά άνω κατοικείς όντως βασίλεια, Ευλογείτε, πάντα τά έργα κραυγάζων τόν Κύριον.

Οι νήπιοι όντες ταίς φρεσί, σέ τόν εχέφρονα, νηπίοις παίγνιον, παραδιδόασιν Άρχιππε, εναθλούντα καρτερώτατα, καί υπ αυτών ανηλεώς κατακεντούμενον, καί βοώντα· Πάντα τά έργα, υμνείτε τόν Κύριον.

Θεοτοκίον

Νεκρός διά βρώσεως μιάς, Αδάμ γεγένηται, τρυγήσας θάνατον, φυτού τής γνώσεως Άχραντε· διά σού δέ ανεζώωται, καί Παραδείσου τήν τρυφήν, πάλιν απέλαβεν, Ευλογείτε, πάντα τά έργα κραυγάζων τόν Κύριον.

Ωδή θ' Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις· διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Ίνα τήν αιώνιον δόξαν, κληρονομήσης Αθλοφόρε, δόξης επιγείου παρείδες, τό αστατόν τε καί παρερχόμενον, καί πρός Χριστόν εχώρησας, δόξη πρός τούτου κλεϊζόμενος.

Ως τώ Κορυφαίω Παμμάκαρ, τών Αποστόλων μαθητεύσας, Παύλω τώ σοφώ θεηγόρω, σύν τούτω χαίρων τήν αιωνίζουσαν, κληρονομείς απόλαυσιν, Κολασσαέων εγκαλλώπισμα.

Στέφος ανεδήσω θεόφρον, νικητικόν τή κορυφή σου, καί περιεβάλου πορφύραν, εκ τών σών αιμάτων βαφείσαν Άρχιππε, καί τώ Χριστώ γηθόμενος, συμβασιλεύεις παμμακάριστε.

Ήθροισται λαός εν τή μνήμη, τή φωτοφόρω σου υμνήσαι, τόν αγαθοδότην Σωτήρα, καί τούς γενναίους, Άρχιππε πόνους σου, ούς ανδρικώς υπέμεινας, καταβαλών τόν πολυμήχανον.

Θεοτοκίον

Φέρουσα Χριστόν εν αγκάλαις, νεύματι φέροντα τά πάντα, τούτον ως Υιόν σου δυσώπει, εχθρού χειρών με Πάναγνε ρύσασθαι, καί δι' ελέους άβυσσον, εναγκαλίσασθαι καί σώσαί με.

Καί η λοιπή ακολουθία τού Όρθρου, κατά τήν τάξιν, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Κ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού εν Αγίοις Πατρός ημών Λέοντος, Επισκόπου Κατάνης.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'

Ώ τού παραδόξου θαύματος

Λέον θεόφρον πανόλβιε, ασκητικαίς αγωγαίς, καί τελείαις καθάρσεσι, τώ Θεώ καί Κτίστη σου, καθαρώς προσκολλώμενος, φωτός ενθέου έμπλεως γέγονας, καί χαρισμάτων θείων τετύχηκας, πάθη ανίατα, θεραπεύειν πάντοτε, καί

προσευχών, μάστιγι, ακάθαρτα, διώκειν πνεύματα.

Λέον τώ όντι μακάριος, Αρχιερεύς γεγονώς, επί χλόην εξέθρεψας, ράβδω θείας πίστεως, ως ποιμήν αληθέστατος, ορθοδοξίας καί τελειότητος, τήν σήν αγέλην σθένει τού Πνεύματος, ής κατενώπιον, εκτελών τεράστια, θεοπρεπώς, κλέος αναφαίρετον, εκληρονόμησας.

Έλαιον θείον αρύσασθε, ως εκ πηγής προϊόν, βλαστανούσης αέναον, τής τιμίας λάρνακος, τού σοφού Αρχιποίμενος, καί τώ τών όλων, Θεώ βοήσατε· ο εν Αγίοις σου θαυμαζόμενος, τούτου δεήσεσι, σώσον ημάς οίκτειρον, ως αγαθός, πίστει εορτάζοντας, τήν θείαν μνήμην αυτού.

Δόξα... Καί νύν... Θεοτοκίον

Δεύρο ψυχή μου στενάζουσα, καί τών δακρύων κρουνούς, εκ καρδίας πηγάζουσα, τή Παρθένω βόησον, καί Μητρί τού Θεού ημών Διά τό πλήθος, τών οικτιρμών σου Αγνή, τής φοβεράς με, ρύσαι κολάσεως, καί κατασκήνωσον, ένθα η ανάπαυσις καί η χαρά, η διαιωνίζουσα, καί η απόλαυσις.

Η Σταυροθεοτοκίον

Ήλιος Τέκνον ημαύρωται, καί η σελήνη τό φώς, εις ζοφώδες ιμάτιον, γνοφερώς μετέβαλε· γή κλονείται, καί ρήγνυται, τό τού ναού σου δέ καταπέτασμα· καγώ πώς Τέκνον, ου διαρρήξομαι, σπλάγχνα καί όμματα; παρειάς γλυκύτατε καταξανώ, αδίκως σε θνήσκοντα, βλέπουσα Σώτέρ μου.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, λέγεται ο Κανών, ού η, Ακροστιχίς.

Λέοντα πηγήν όντα θαυμάτων σέβω. ο Ιωσήφ.

Ωδή α' Ήχος πλ. δ' Ο Ειρμός

«Υγράν διοδεύσας ώσεί ξηράν· καί τήν Αιγυπτίαν μοχθηρίαν διαφυγών, ο Ισραηλίτης ανεβόα, Τώ Λυτρωτή καί Θεώ ημών άσωμεν».

Λαμπτηρά σε θείον η τού Χριστού, φαιδρά Εκκλησία, κεκτημένη Λέον σοφέ, ταίς τών αρετών σου φρυκτωρίαις, καί τών θαυμάτων πλουσίως φωτίζεται.

Εκ βρέφους ανέθηκας σεαυτόν, τώ πάντων Δεσπότη, καί νεκρώσει τών ηδονών, ζώσα τούτω γέγονας θυσία, θύων σαυτόν αναιμάκτως Μακάριε.

Ο βίος σου φέγγει τών αρετών, κατηγλα ϊσμένος, καί θαυμάτων ταίς αστραπαίς, καθωραϊσμένος θεοφόρε, περιφανή σε τοίς πάσιν ειργάσατο.

Θεοτοκίον

Ναός εχρημάτισας τού Θεού, αμόλυντε Κόρη, τού οικήσαντος υπέρ νούν, εν σοί Θεοτόκε κα τήν πλάνην, εκ τών ψυχών τών βροτών εξοικίσαντος.

## Ωδή γ'  Ο Ειρμός

«Ουρανίας αψίδος, οροφουργέ Κύριε, καί τής Εκκλησίας δομήτορ, σύ με στερέωσον, εν τή αγάπη τή σή, τών εφετών η ακρότης, τών πιστών τό στήριγμα, μόνε φιλάνθρωπε».

Τά σωτήρια Πάτερ, καί ευσεβή δόγματα, τής ορθοδοξίας φυλάττων αδιαλώβητα, ποίμνην εξέθρεψας, επί νομάς ζωηφόρους, καί πρός επουράνιον, μάνδραν εισήλασας.

Ανελθων εν τώ ύψει, τών αρετών Όσιε, χρίσμα ιερόν υπεδέξω, καί τόν Πανύψιστον, πανσόφως ήνεσας, υψηλοτάτη καθέδρα, λειτουργήσας χάριτι, τούτω ως Άγγελος.

Πειρασμούς υπομείνας, διά Χριστόν Όσιε, τής αθανασίας μετέσχες καί τής θεώσεως, μύρον ευώδες δέ, διηνεκώς αναβλύζον, αγιάζεις πίστει σοι, τούς προσπελάζοντας.

### Θεοτοκίον

Η λαβίς η τού θείου, καί φωταυγούς άνθρακος, βάτος η πυρί μή φλεχθείσα, τώ τής θεότητος, τά
φρυγανώδη μου, πάντα κατάφλεξον πάθη, τού πυρός εξάρπασον, διαιωνίζοντος.

## Κάθισμα  Ήχος γ'

### Θείας πίστεως

Μέγας ήλιος τή οικουμένη, ανατέταλκας τών αρετών σου, αναλάμψει καί θαυμάτων λαμπρότητι, φωταγωγήσας Πιστών τά συστήματα, καί αφανίσας παθών αμαυρότητα· Λέον Όσιε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν, τό μέγα έλεος.

### Δόξα... Καί νύν... Θεοτοκίον

Θείας φύσεως ουκ εχωρίσθη, σάρξ γενόμενος εν τή γαστρί σου, αλλά Θεός ενανθρωπήσας μεμένηκεν, ο μετά τόκον Μητέρα Παρθένον σε, ως πρό τού τόκου φυλάξας πανάμωμον, μόνος Κύριος· Αυτόν εκτενώς ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

### Η Σταυροθεοτοκίον

Η αμίαντος Αμνάς τού Λόγου, η ακήρατος Παρθενομήτωρ, εν τώ Σταυρώ θεασαμένη κρεμάμενον, τόν εξ αυτής ανωδίνως βλαστήσαντα, μητροπρεπώς θρηνωδούσα εκραύγαζεν, Οίμοι τέκνον! πώς πάσχεις θέλων· ρύσασθαι, παθών τής ατιμίας τόν άνθρωπον.

## Ωδή δ'  Ο Ειρμός

«Εισακήκοα Κύριε, τής οικονομίας σου τό μυστήριον, κατενόησα τά έργα σου, καί εδόξασά σου τήν θεότητα».

Γηπονήσας τήν άρουραν, σού τής διανοίας εκατοστεύοντα, στάχυν ήνεγκας Πανόλβιε, αρετών ενθέων καί ιάσεων.

Η αγία σου Άγιε, θήκη αενάως έλαιον άγιον, αναβλύζει αγιάζουσα, τάς ψυχάς τών πίστει προστρεχόντων σοι.

Νοσημάτων καθάρσιον, πονηρών, δαιμόνων φυγαδευτήριον, Ιεράρχα, εχρημάτισας, καί πιστών ανθρώπων καταφύγιον.

Θεοτοκίον

Ο τοίς πάσιν αχώρητος, Πάναγνε χορείται εν τή νηδύϊ σου, διασώζων με χρηστότητι, τόν βεβυθισμένον αμαρτήμασιν.

Ωδή ε'  Ο Ειρμός

«Ίνα τί με απώσω, από τού προσώπου σου τό φώς τό άδυτον, καί εκάλυψέ με, τό αλλότριον σκότος τόν δείλαιον· αλλ' επίστρεψόν με, καί πρός τό φώς τών εντολών σου, τάς οδούς μου κατεύθυνον δέομαι».

Νοί καθαρωτάτω, νούν τόν πάντων αίτιον ενοπτριζόμενος, παρ' αυτού εδέξω, χαρισμάτων τήν αίγλην θεόπνευστε, καί τών ιαμάτων, τάς ιεράς φωτοχυσίας· δι' ών λύεις παθών τήν σκοτόμαιναν.

Τόν απάταις δαιμόνων, πάντας τούς πιστεύοντας Χριστώ μωραίνοντα, τώ πυρί δικαία, παραδέδωκας ψήφω Μακάριε, καί ψυχάς ερρύσω, τής ολεθρίου τουτου βλάβης, ως Ποιμήν αληθής καί σωτήριος.

Αναφθείσης εν μέσω, έστης ακατάφλεκτος πυράς Αοίδιμε· η γάρ θεία δρόσος, τού Αγίου εκύκλου σε Πνεύματος, ως Ιερομύστην, ως λειτουργόν τής θείας δόξης, ως τής άνω λαμπρότητος μέτοχον.

Θεοτοκίον

Θεωρήσαντες πάλαι, ενθεαστικώτατα θεοχαρίτωτε, οι σεπτοί Προφήται, μυστηρίου τό βάθος τό άφραστον, τής σεπτής λοχείας, σού τής αγνής ποικιλοτρόπως, ως εχώρησαν τούτο προήγγειλαν.

Ωδή ς'  Ο Ειρμός

«Τήν δέησιν εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών, η ψυχή μου επλήσθη, καί η ζωή μου τώ Άδη προσήγγισε· καί δέομαι ως, Ιωνάς· Εκ φθοράς ο Θεός με ανάγαγε».

Αόμματοι τή εντεύξει σου Πάτερ, εκομίσαντο τό βλέπειν θεόφρον· τόν γάρ Χριστόν, συνεργόν κεκτημένος, καί πρός αυτόν τής ψυχής σου τά όμματα, κτησάμενος διηνεκώς, τάς αιτήσεις πλουσίας ελάμβανες.

Υπήρξας τώ βασιλεί θαυμάσιε, φοβερώτατος ηνίκα προβαίνων, εν ταίς αυλαίς, ταίς αυτού επεφέρου, τώ ιματίω σου άπτοντας άνθρακας, εδόξαζε γάρ σε Χριστός, οντώ βίω σου Λέον εδόξασας,

Μυρίζει σου η σορός τών λειψάνων, καί προχέει αενάως Παμμάκαρ, ώσπερ

πηγή, καθαρά καί ευώδης, έλαιον θείον, δι' ού φυγαδεύονται, νοσήματα εκ τών Πιστών, καί υγεία τοίς χρήζουσι δίδοται.

Θεοτοκίον

Αγίασον τήν ψυχήν μου Παρθένε, η τόν Άγιον κυήσασα Λόγον, τόν αληθώς, εν αγίοις ως θέμις, αναπαυόμενον μόνον Θεόν ημών, καί δίδου μοι ως αληθώς, κατανύξεως όμβρους Πανάμωμε.

Κοντάκιον Ήχος β'

Τήν εν πρεσβείαις

Τόν από βρέφους Κυρίω ανατεθέντα, καί εκ σπαργάνων τήν χάριν ανειληφότα, πάντες τοίς άσμασι στεφανώσωμεν, Λέοντα τόν φωστήρα τής Εκκλησίας καί πρόμαχον· αυτής γάρ υπάρχει τό στήριγμα.

Ο Οίκος

Τράνωσόν μου τήν γλώσσαν Χριστέ μου, καί παράσχου μοι λόγον, ο τών λόγων δοτήρ, καί παροχεύς τής ζωής ημών, ίνα ισχύσω εγκωμιάσαι τού σοφού Ιεράρχου τόν βίον όλον, όν εν τή γή διαπύρω αγάπη ετέλεσε, καί είληφεν ουρανόθεν τών απείρων θαυμάτων τό πέλαγος, καί τών δογμάτων τήν δύναμιν, δι' ών τήν Εκκλησίαν κατηύγασεν· αυτής γάρ υπάρχει τό στήριγμα.

Συναξάριον

Τή Κ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών καί θαυματουργού Λέοντος, Επισκόπου Κατάνης.

Στίχοι

- Οιμέν νεκρός Λέοντος, εί δ' οίου πύθη,
- Πάντως ερούμεν. Τού προέδρου Κατάνης.
- Εικάδι αμφί Λέοντα χυτήν επί γαίαν έχευσαν.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Σαδώκ, Επισκόπου, καί τών σύν αυτώ τελειωθέντων τόν αριθμόν εκατόν εικοσιοκτώ.

Στίχοι

- Φέρει σύν οκτώ καί Σαδώκ Επισκόπω,
- Η δωδεκαπλή Μαρτύρων δεκάς ξίφος.

Τή αυτή ημέρα, Μνήμη τού οσίου Πατρός ημών Βησσαρίωνος.

Στίχοι

- Πολλών ιδρώτων καί πόνων Βησσαρίων,
- Πολλάς θανών εύρηκεν αντιμισθίας.

Τή αυτή ημέρα, Μνήμη τού εν Αγίοις Πατρός ημών Αγάθωνος Πάπα Ρώμης.

Στίχοι

- Ρώμης Αγάθων οίακας διευθύνας,
- Πρύμναν έκρουσε πρός νοητούς λιμένας.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ' Ο Ειρμός

«Παίδες Εβραίων εν καμίνω, κατεπάτησαν τήν φλόγα θαρσαλέως, καί εις δρόσον τό πύρ μετέβαλον βοώντες· Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας».

Τάξεις τών θείων Ασωμάτων, μετά σώματος μιμούμενος θεόφρον, ελειτούργεις Θεώ, απαύστως ωαμέλπων· Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Ώ τα κωφεύοντα Παμμάκαρ, δι' εντεύξεως ηνέωξάς σου θείας, καί χωλοίς προφανώς, παρέχεις ευδρομίαν, Ευλογητός εί μέλπουσιν, ο Θεός εις τούς αιώνας.

Νεύματι θείω τού Δεσπότου, ακατάφλεκτος διέμεινας εν μέσω, εισελθων τού πυρός· ο μέτοχος δέ τούτου, κρίσει δικαία φλέγεται, Ηλιόδωρος ευχή σου.

Θεοτοκίον

Σού τήν νηδύν μή καταφλέξαν, τής θεότητος τό πύρ Παρθενομήτορ, σωματούται εκ σού, τά πέρατα φωτίζον, ταίς θεϊκαίς λαμπρότησι· διά τούτό σε υμνούμεν.

Ωδή η' Ο Ειρμός

«Νικηταί τυράννου, καί φλογός τή χάριτί σου γεγονότες, οι τών εντολών σου σφόδρα αντεχόμενοι, Παίδες εβόων· Ευλογείτε, πάντα τά έργα τον Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Εξεχύθη χάρις, Πάτερ σού τοίς χείλεσιν ιερομύστα· διά τούτο Λέον, ο Θεός σε έχρισεν Αρχιερέα, τού λαού βοώντα· Υμνείτε τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Βασιλεί Παμμάκαρ, τώ διαιωνίζοντι ευαρεστήσας, επιγείω Λέον, βασιλεί παρέστηκας άνθρακας φέρων, καί τήν τούτου Πάτερ, καταπλήττων έννοιαν, ταίς θαυματουργίαις, ταίς λίαν παραδόξοις.

Ως ελαία Πάτερ, φυτευθείς κατάκαρπος οίκω Κυρίου, φέρεις μετά τέλος, εκ τού θείου σκήνους σου έλαιον θείον, Πιστών πάσαν νόσον, απελαύνων πάντοτε, τών εις σέ μετά πόθου, σοφέ προσπεφευγότων.

Θεοτοκίον

Ο βουλήσει πάντα, εκτελών Πανάμωμε ευλογημένη, βουληθείς καί μήτραν, τήν σήν κατεσκήνωσε, καί σάρξ ωράθη, καί εθέωσέ με, φθαρέντα τό πρότερον, τού απατεώνος, κακίστου συμβουλία.

Ωδή θ' Ο Ειρμός

«Έφριξε πάσα ακοή, τήν απόρρητον Θεού συγκατάβασιν· όπως ο Ύψιστος, εκών κατήλθε μέχρι καί σώματος, Παρθενικής από γαστρός, γενόμενος άνθρωπος, διό τήν άχραντον, Θεοτόκον μεγαλύνομεν».

Ίνα σε θείαις εν φωναίς, μακαρίζωμεν οσίως βιώσαντα, καί τά ουράνια, περιπολούντα καί αγαλλόμενον, παθών καί θλίψεων ημάς, ευχαίς σου διάσωζε, καί περιστάσεων, Ιεράρχα καί Ποιμήν αξιάγαστε.

Ως κλήμα τής αληθινής, γεγονώς Πάτερ αμπέλου εβλάστησας, αρετών βότρυας, θαυμάτων γλεύκος εναποστάζοντας· εξ ού οι πίνοντες πιστώς, υγείαν κομίζονται, καί αγαλλίασιν, ευφημούντές σε αεί Λέον Όσιε.

Σώμά σου γέγονε ναός, Αγίου καί σεπτού Πάτερ Πνεύματος· καί νύν κατάκειται, τού θείου ένδον ναού, όν ήγειρας, είς δόξαν Λέον καί τιμήν, Λουκία τή μάρτυρι, θαυμάτων βρύων ημίν ποταμούς τοίς ευσεβώς σε γεραίρουσι.

Ήλιος ώφθης φωταυγής, αρετών λαμπαδουχίαις τά πέρατα περιαυγάζων αεί· καί νύν πρός φέγγος μετέβης άρρητον· τήν φωτοφόρον σου διό, μνήμην εορτάζοντας, Λέον Πανόλβιε, σκοτασμού πάντας δεινού απολύτρωσαι.

Θεοτοκίον

Φρίττω σου μόνε Βασιλεύ, τήν δευτέραν παρουσίαν καί δέδοικα, άμετρα πταίσας σοι, καί μεταγνώσει μή βελτιούμενος· αλλ' ως ύπάρχων αγαθός, επίστρεψον σώσόν με, τής Κυησάσης σε, ευπροσδέκτοις, Ιησού παρακλήσεσι.

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Λαμπτήρα καί διδάσκαλον, καί Ιεράρχην μέγιστον, η τού Χριστού Εκκλησία, γνωρίζει σε Ιεράρχα· τά τέκνα ταύτης Όσιε, καλώς Πάτερ εποίμανας, επί νομήν σωτήριον, Λέον θεόφρον άγιε, αιρετικούς εκδιώξας, καθάπερ θήρας αγρίους.

Θεοτοκίον

Κατάνης ό πολύφωτος, αστήρ καί διαυγέστατος, τερατουργός Ιεράρχης, Λέων ο μύστης Τριάδος, κυρίως Θεοτόκον σε, Αγνή τρανώς εκήρυξε, νώ καί ψυχή καί σώματι· ήν καί ημείς ανυμνούμεν, σαφώς Θεού ως Μητέρα.

Εις τόν Στίχον τών Αίνων, Στιχηρά τής Οκτωήχου.

Καί η λοιπή ακολουθία τού Όρθρου, κατά τήν τάξιν, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΑ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Τιμοθέου τού εν Συμβόλοις.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'
Ώ τού παραδόξου θαύματος

Πάτερ θεόφρον Τιμόθεε, δι' εγκρατείας πολλής, καί συντόνου δεήσεως, τών παθών σκιρτήματα, παντελώς εξηφάνισας, καί απαθείας χάριν δεξάμενος, δοχείον ώφθης τού θείου Πνεύματος, όθεν τά πνεύματα, απελαύνεις πάντοτε τά πονηρά, ζών καί μετά θάνατον, θεομακάριστε.

Πάτερ θεόφρον Τιμόθεε, τού Αβραάμ μιμητής, αψευδής εχρημάτισας, θεραπεύων πάντοτε, τούς πρός σέ καταφεύγοντας, Ιώβ εκτήσω τό εν τοίς πόνοις στερρόν, Δαυίδ τό πράον ανατεινόμενος, βίον ισάγγελον, επί γής διήνυσας, τών ορεκτών, έφθασας τό έσχατον, υπέρ ημών δυσωπών.

Πάτερ Ιερέ Τιμόθεε, τής σωφροσύνης εικών, εγκρατείας υπλοδειγμα, ευσεβείας, ίνδαλμα, καί πηγή κατανύξεως, ορθοδοξίας έρεισμα άσειστον, τών ιαμάτων ρείθρον αέναον, ήλιος άδυτος, τέκνον θείας χάριτος, καί Μοναστών, ώφθης εγκαλλώπισμα, σεβασμιώτατε.

Δόξα… Καί νύν... Θεοτοκίον

Όλος ο βίος μου άσωτος, η δέ ψυχή ασελγής, καί τό σώμα παμμίαρον, καί ο νούς ακάθαρτος, καί τά έργα παμβέβηλα, καί όλος όντως ειμί υπεύθυνος, τής καταδίκης καί κατακρίσεως, πού νύν πορεύσομαι, καί πρός τίνα φεύξομαι, ειμή πρός σέ; Δέσποινα σπλαγχνίσθητι καί δεύρο σώσόν με.

Η Σταυροθεοτοκίον

Ω τού παραδόξου θαύματος! ώ μυστηρίου φρικτού! ώ φρικτής εγχειρήσεως! η Παρθένος έλεγεν, εν Σταυρώ ως εώρακεν, εν μέσω δύο ληστών κρεμάμενον, όν ανωδίνως φρικτώς εκύησεν, έκλαιε λέγουσα, Ο' ίμοι Τέκνον φίλτατον! πώς ο δεινός, δήμος καί αχάριστος, Σταυρώ προσήλωσε;

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, λέγεται ο Κανών, ού η Ακροστιχίς.

Σέ τών Μοναστών τό κλέος μέλπω μάκαρ.

Άνευ τών Θεοτοκίων.

Θεοφάνους

Ωδή α'  Ήχος πλ. δ'
Ο Ειρμός

«Άσωμεν ωδήν τώ Θεώ, τώ εκ πικράς δουλείας, Φαραώ ρυσαμένω Ισραήλ, καί εν πυρίνω στύλω, καί φωτός νεφέλη καθοδηγήσαντι, ότι δεδόξασται».

Σέ τόν νοητόν αστέρα, τόν εν τώ ύψει Πάτερ, τής εγκρατείας αναλάμψαντα φαιδρώς, καί τών πιστών καρδίας καταυγάζοντα, μάκαρ Τιμόθεε, ανευφημούμεν αεί.

Έχων πρός Θεόν εκτενές, τής διανοίας όμμα, τής τιμελείας τόν ύπνον, εκ ψυχής απετινάξω Πάτερ, καί ναός εγένου θείου Πνεύματος, καί αγιάσματος τόπος Τιμοθεε.

Τάς τού πονηρού μηχανάς, τή ταπεινώσει Πάτερ, συμπεφραγμένος διήλθες αβλαβώς, καί πρός Θεόν υψώθης, καί αυτού τή δόξη διά παντός, εντρυφάς μάκαρ Τιμόθεε.

Θεοτοκίον

Τήν ανερμηνεύτως Θεόν, τόν Ποιητήν τών όλων, εν τή γαστρί συλλαβούσαν, καί σαρκί ως αληθώς τεκούσαν Θεοτόκον Κόρην, καί παρθενεύουσαν, ύμνοις Τιμήσωμεν.

Ωδή γ' Ο Ειρμός

«Στερέωμά μου Σωτήρ υπάρχεις, καταφυγή μου καί δύναμις, σαλευθείσαν τήν καρδίαν μου, στερέωσον εις τόν φόβον σου, ότι ουκ έστιν άγιος, ως σύ ο Θεός ημών».

Οικτείρων πάντας τή συμπαθεία, άλλος Αβραάμ εχρημάτισας, δεξιούμενος τούς πάντοθεν, παραβάλλοντας ώ Τιμόθεε, καί δι' αυτών τόν πάντων, θεραπεύων Θεόν.

Νεκρώσας μέλη τά επί γής σου, Πάτερ ώς φησιν ο Απόστολος, τής ζωής τής επουρανίου, συμμέτοχος αναδέδειξαι, εν ή τών τιμώντων σε, αεί μέμνησο.

Άνατολή σου τών έργων Πάτερ, ήλιος γεγένησαι άδυτος, ταίς ακτίσι τών αγώνων, τά πέρατα καταυγάζων αεί, καί τών δαιμόνων λύων τήν σκοτόμαιναν.

Θεοτοκίον

Αγνή Παρθένε τού Βασιλέως, τών βασιλευόντων Γεννήτρια, τάς σειράς μου τών πταισμάτων, διάρρηξον καί οδήγησον, πρός μετανοίας τρίβους ταίς πρεσβείαις σου.

Κάθισμα Ήχος πλ. δ'

Ταχύ προκατάλαβε

Παρθένος τώ σώματι σύ αναδέδειξαι, πιστώς τώ ποιήσαντι, σύ πεφανέρωσαι, Πατήρ ημών Όσιε, όθεν καί συνευφραίνη, ταίς φρονίμοις Παρθένοις, πίστει δέ συγχορεύεις, τοίς οσίοις Πατράσιν, ημίν δέ επεφάνης βρύων τά θαύματα.

Θεοτοκίον

Ταχύ προκατάλαβε, πρίν δουλωθήναι ημάς, εχθροίς βλασφημούσί σε, καί απειλούσιν ημίν, Χριστέ ο Θεός ημών, άνελε τώ Σταυρώ σου, τούς ημών πολεμούντας, γνώτωσαν πώς ισχύει, Ορθοδόξων η πίστις, πρεσβείαις τής

Θεοτόκου μόνε φιλάνθρωπε.

Η Σταυροθεοτοκίον

Παρθένε πανάμωμε, Μήτηρ Χριστού τού Θεού, ρομφαία διήλθέ σου, τήν παναγίαν ψυχήν, ηνίκα σταυρούμενον, έβλεψας εκουσίως, τόν Υιόν καί Θεόν σου, όν περ ευλογημένη, δυσωπούσα μή παύση, συγχώρησιν πταισμάτων, ημίν δωρήσασθαι.

Ωδή δ' Ο Ειρμός

«Εξ όρους κατασκίου, Λόγε ο Προφήτης, τής μόνης Θεοτόκου, μέλλοντος σαρκούσθαι, θεοπτι κώς κατενόη σε καί εν φόβω, εδοξολόγει σου τήν δύναμιν».

Σύ ταίς προσευχαίς, αεί ωχυρωμένος, τά τών νοητών, εχθρών τόξα καί βέλη, ώς περ νηπίων τοξεύματα ελογίσω, Πάτερ αοίδιμε Τιμόθεε.

Τόν τής πρός ημάς, Χριστού οικονομίας, σχέσει προσκυνών, θεόφρον χαρακτήρα, πείραν υπέστης μαστίγων υπό τών τούτον, απαρνουμένων ώ Τιμόθεε.

Ως τις ανδριάς, ασάλευτος υπήρξας, εν τή πρός Θεόν, αεί δοξολογία, μηδ' οπωσούν αναπαύσεως εν ταίς ταύτης, ώραις μετέχων ώ Τιμόθεε.

Θεοτοκίον

Νέον επί γής, εγέννησας Παιδίον, τόν εκ τού Πατρός, πρό πάντων τών αιώνων, γεγεννημένον αρρεύστως, Μήτερ αγία, Χριστιανών η επανόρθωσις.

Ωδή ε' Ο Ειρμός

«Τόν ζόφον τής ψυχής μου, διασκέδασον φωτοδότα, Χριστέ ο Θεός, ο τό αρχέγονον σκότος διώξας τής αβύσσου, καί δώρησαί μοι τό φώς τών προσταγμάτων σου Λόγε, ίνα ορθρίζων δοξάζω σε».

Νοί κεκαθαρμένω, παρεστώς τή Τριάδι μακάριε, καί ταίς εκείθεν ακτίσι πυρσευόμενος Πάτερ, τούς εν σκότει ημάς κινδυνεύοντας, τών ψυχικών παθημάτων, φωτίζεις εκάστοτε.

Τήν σάρκα εγκρατεία, τήν ψυχήν απαθεία κοσμούμενος, τού Βασιλέως των όλων, θεράπων εγνωρίσθης, καί παρ' αυτού εναργείς, τάς τών θαυμάτων εδέξω, Τιμόθεε χάριτας.

Ου γνώμη περιέργω, αλλ' απλάστω καρδία αιτήσασα, η προσελθούσά σοι στείρα, διά πιστού οικέτου, εύτεκνος δείκνυται εξ ατεκνίας, υμνούσα Χριστόν τόν Θεόν ημών.

Θεοτοκίον

Οικήσας εν γαστρί σου, ο οικών εν υψίστοις, σέ απειργάσατο, ουρανών πλατυτέραν, Μαρία Θεοτόκε, όν υπέρ πάντων ημών ως αγαθή, μή ελλίπης πρεσβεύειν Θεόνυμφε.

### Ωδή ς’ Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ πολλαί γαρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

Καλώς σου διατηρών, τό παρθενίας αξίωμα, εν όλη σου τή ζωή, γυναίω ουδέ ποτε, κατ' όψιν συνέτυχες, τήν εκ τούτου βλάβην, παντελώς αποκρουσάμενος.

Λιμένι τώ νοητώ, εγκαθωρμίσθης τοίς κύμασι, τών ηδονών μη βραχείς, παμμάκαρ Τιμόθεε, αλλά ταίς τού Πνεύματος, ζωηφόροις αύραις, ευπλοήσας, Παναοίδιμε.

Εμάκρυνας ψαλμικώς, εν όρεσι διαιτώμενος, καί ταίς ερήμοις αεί, σοφέ αυλιζόμενος, έως ού εισήλασας, είς Θεού τήν πόλιν, τήν ουράνιον Τιμόθεε.

### Θεοτοκίον

Ονώτοις χερουβικοίς, απεριγράπτως καθήμενος, περιγραπτώς εν τή σή, κοιλία ενώκησε, σαρκί ου θεότητι, καί εκ σού προήλθε, διασώζων με Πανάμωμε.

### Κοντάκιον Ήχος δ'
### Επεφάνης σήμερον

Ως αστήρ πολύφωτος εκ τής Εώας, αναλάμψας ηύγασας, εν ταίς καρδίαις τών πιστών, τάς αρετάς τών θαυμάτων σου, θαυματοφόρε θεόφρον Τιμόθεε.

### Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΑ' τού αυτού μηνός, Μνήμη τού εν αγίοις Πατρός ημών Τιμοθέου τού εν Συμβόλοις.

### Στίχοι

- Καί ζώντα Τιμόθεε καί τεθνηκότα,
- Τιμά Θεός ζώντων σε καί τεθνηκότων.
- Εικάδι Τιμόθεον πρώτη κατά σήμα κάλυψεν.

Τή αυτή ημέρα, Μνήμη τού εν Αγίοις Πατρός ημών Ευσταθίου, Πατριάρχου Αντιοχείας τής μεγάλης.

Τή αυτή ημέρα, Μνήμη τού εν αγίοις Πατρός ημών Γεωργίου, Επισκόπου Αμάστριδος.

### Στίχοι

- Ο Γεώργιος, καί λιπων τό σαρκίον,
- Πολλοίς γεωργεί ψυχικήν σωτηρίαν.

Τή αυτή ημέρα, ο εν αγίοις Πατήρ ημών Ιωάννης, Πατριάρχης

Κωνσταντινουπόλεως, ο από Σχολαστικών, εν ειρήνη τελειούται.

Στίχοι

- Χριστού τέθνηκας ο Σχολαστικός θύτης,
- Καί τών μακρών σου νύν σχολήν άγεις πόνων.

Τή αυτή ημέρα, ο άγιος Ζαχαρίας, Πατριάρχης Ιεροσολύμων, εν ειρήνη τελειούται.

Στίχοι

- Μακάριος εί καί θανών Ζαχαρία,
- Ζαχαρία πρόεδρε γής μακαρίας.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός ελέησον καί σώσον ημάς. Αμήν.

Ωδή ζ' Ο Ειρμός

«Ο δι' Αγγέλου Παίδας, εκ πυρός διασώσας, καί τήν βροντώσαν κάμινον, μεταβαλών εις δρόσον, ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών».

Σβέσας παθών τήν φλόγα, τών δακρύων τή δρόσω, χάριν θαυμάτων έβλυσας, δι' ών αποκαθαίρεις τούς μολυσμούς, τών παθημάτων Τιμόθεε.

Μακαρισμού τού θείου, άψευδώς τετύχηκας, τήν τών πραέων Όσιε, κληρονομήσας χώραν, καί τής χαράς τών εκλεκτών εμφορούμενος.

Λύσιν αμαρτημάτων, τοίς τελούσιν εκ πόθου, τό ιερόν μνημόσυνον, τής μεταστάσεώς σου, ως παρρησίαν ευρηκώς, Παμμάκαρ αίτησαι.

Θεοτοκίον

Λελυτρωμένοι πάντες, τής αρχαίας κατάρας, τώπαναγίω τόκω σου, ευλογημένη, σέ ευλογούμεν Θεοτόκε αμίαντε.

Ωδή η' Ο Ειρμός

«Ο στεγάζων έν ύδασι, τά υπερώα αυτού, ο τιθείς θαλάσση όριον ψάμμον, καί συνέχων τό πάν, σέ υμνεί ήλιος, σέ δοξάζει σελήνη, σοί προσφέρει ύμνον πάσα κτίσις, τώ Δημιουργώ καί κτίστη εις τούς αιώνας».

Παθοκτόνος γεγένησαι, δι' εγκρατείας πολλής, καί συντόνου Πάτερ τής αγρυπνίας, αναβάσεις αεί, αρετών Όσιε, μελετών εν καρδία, καί εκ δόξης βαίνων επί δόξαν, τής ατελευτήτου, ζωής καί αφθαρσίας.

Ως θυμίαμα Όσιε, τάς προσευχάς σου Θεώ, τώ καθαρωτάτω, σύ προσενέγκας καθαράς εκ ψυχής, θείαν ενέργειαν, παρ αυτού εκομίσω τών θαυμάτων, δαίμονας ελαύνειν, καί τάς τών ανθρώπων ιάσθαι ασθενείας.

Μισοπόνηρος άκακος, καί συμπαθής καί πραϋς, καί δικαιοσύνη κεκοσμημένος, Πάτερ γέγονας, όσιος, άμεμπτος, απεχόμενος πάσης αδικίας,

στύλος Μοναζόντων, όθεν σε τιμώμεν, Πιστοί είς τούς αιώνας.

Θεοτοκίον

Μόνην σε εξελέξατο, τήν καλλονήν Ιακώβ, τού Πατρός ο Λόγος, καί σού εν μήτρα κατεσκήνωσε, καί ως ηυδόκησεν, υπέρ πάντας ωραίος τούς ανθρώπους, Πάναγνε προήλθε, τήν αμαυρωθείσαν, ημών καθαίρων φύσιν.

Ωδή θ' Ο Ειρμός

«Ευλογητός Κύριος, ο Θεός τού Ισραήλ, ο εγείρας κέρας σωτηρίας ημίν, εν οίκω Δαυϊδ τού παιδός αυτού, εν οίς επεσκέψατο ημάς, ανατολή εξ ύψους, καί κατεύθυνεν ημάς, εις οδόν ειρήνης».

Αγιωσύνης τέμενος, κατανύξεως πηγή, συμπαθείας ρείθρον, ανεδείχθης Σοφέ, αγάπης τό άπειρον πέλαγος, Κυρίου θεράπων αψευδής, καί ουρανοπολίτης, καί Αγγέλων σύσκηνος, καί θαυμάτων βρύσις.

Κατακαυχάσθαι έλεον, Πάτερ κρίσεως ειδώς, ου παρείδες ξένον, αλλά πάσι χρηστώς, τά σπλάγχνα διήνοιξας Όσιε, πατήρ χρηματίσας ορφανών, καί τών χηρών προστάτης, καί γυμνών αμφίασις, καί τροφή πεινώντων.

Από τής γής εχώρησας, πρός τόν ουρανόν, ένθα είχες έτι περιών εν σαρκί, καλώς τό πολίτευμα Όσιε, ημίν ίλασμόν αμαρτιών, πρεσβεύων δωρηθήναι, τοίς πιστώς τιμώσί σου, τήν Αγίαν μνήμην.

Ρείθρα ημίν εκάστοτε, η τιμία σου σορός, ιαμάτων Πάτερ αναβλύζει, παθών εκχύσεις παντοίων ξηραίνοντα, καί πάσαν αρδεύοντα ψυχήν, πρός ευκαρπίαν θείαν, Ιερέ Τιμόθεε, τού Χριστού θεράπον.

Θεοτοκίον

Ρήμασι σοίς επόμεναι, γενεαί τών γενεών, Μακαρία σέ μακαριούσιν αεί, Θεόν γάρ τόν όντως μακάριον, εκύησας άχραντε Αγνή, τόν πάντας μακαρίους, τούς αυτώ δουλεύοντας, αψευδώς ποιούντα.

Καί η λοιπή τού Όρθρου Ακολουθία, κατά τήν τάξιν, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΒ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής ευρέσεως τών λειψάνων τών Αγίων Μαρτύρων τών εν τοίς Ευγενίου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'

Ο εξ υψίστου κληθείς

Ταίς πολυτρόποις ιδέαις τών βασάνων, εναπεκδυσάμενοι τούς τής

νεκρώσεως, χιτώνας Μάρτυρες ένδοξοι, τής αφθαρσίας, θείον ιμάτιον ενεδύσασθε, καί νύν τά ουράνια περιπολεύετε, τώ θεϊκώ θρόνω πάντοτε, παρεστηκότες, λελαμπρυσμένοι θεομακάριστοι, όθεν εν πίστει τήν υπέρλαμπρον, μνήμην υμών εορτάζομεν, καί λειψάνων τήν θήκην, Ιερώς περιπτυσσόμεθα.

Εξ ασθενείας βροτών δύναμις θεία, ιάσεων πρόεισι τοίς προσπέλάζουσι, κόνις βραχεία τού σώματος, τών Αθλοφόρων, πηγάς θαυμάτων βρύει εν χάριτι, προσέλθωμεν άνθρωποι καί αρυσώμεθα, ρώσιν ψυχής, ρώσιν σώματος, αναβοώντες, χαριστηρίους φωνάς καί λέγοντες, Σώτερ τού κόσμου, δι' όν ήθλησαν, οι σεπτοί Αθληταί καρτερώτατα, ταίς αυτών ικεσίαις, πάσης βλάβης ελευθέρωσον.

Οι επί χρόνους μακρούς εγκεκρυμμένοι, καλλίνικοι Μάρτυρες νύν πεφανέρωνται, καθάπερ όλβος πολύτιμος, τήν Βασιλίδα, καταπλουτίζοντες πασών πόλεων, παλάμαις φερόμενοι, αρχιερέως σοφού, καί εις ναόν κομιζόμενοι, σεπτώς τόν, θείον, καί τοίς αιτούσι διανεμόμενοι, εις πάσαν ρώσιν, εις ωφέλειαν, εις φωτισμόν, εις αντίληψιν, τών αυτούς δεχομένων, ως πιστούς Θεού θεράποντας.

Δόξα… Καί νύν... Θεοτοκίον

Εξαγορεύσω Αγνή σοι Θεοτόκε, τά δεινά μου πταίσματα, εί γάρ καί κρύψω αυτά, εν τή ημέρα τής κρίσεως, ανοιγομένων, πασών τών βίβλων φανερωθήσονται, Όμματα ερρύπωσα, βλέπων τά άτοπα, χείρας αθέσμως εμόλυνα, ταίς αισχρουργίαις, σώμα ηχρείωσα ο ταλαίπωρος, καί τήν ψυχήν μου ετραυμάτισα, αμαρτίαις, ελέησον οίκτειρον, καί μερίδος με δείξον, σωζομένων ταίς πρεσβείαις σου.

Η Σταυροθεοτοκίον

Μή εποδύρου μου Μήτερ καθορώσα, εν ξύλω κρεμάμενον τόν σόν Υιόν καί Θεόν, τών εφ' υδάτων κρεμάσαντα τήν γήν ασχέτως, καί πάσαν κτίσιν δημιουργήσαντα, καί γάρ αναστήσομαι, καί δοξασθήσομαι, καί τά τού Άδου βασίλεια, συντρίψω σθένει, καί αφανίσω τούτου τήν δύναμιν, καί τούς δεσμίους εκλυτρώσομαι, τής αυτού κακουργίας ως εύσπλαγχνος, καί Πατρί τώ ιδίω, προσαγάγω ως φιλάνθρωπος.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, αναγινώσκεται ο Κανών τών Αγίων.

Ωδή α'  Ήχος πλ. δ’
Ο Ειρμός

«Αρματηλάτην Φαραώ εβύθισε, τερατουργούσα ποτέ, Μωσαϊκή ράβδος, σταυροτύπως πλήξασα, καί διελούσα θάλασσαν, Ισραήλ δέ φυγάδα, πεζόν οδίτην διέσωσεν, άσμα τώ Θεώ αναμέλποντα».

Μαρτυρικαίς ηγλαϊσμένοι χάρισι, καί τώ μεγάλω φωτί, ολολαμπείς πόθω,

παρεστώτες Μάρτυρες, τά νέφη τών ψυχών ημών, καί παθών τόν χειμώνα διασκεδάσατε χάριτι, τού παντοδυνάμου Θεού ημών.

Ανατεθείς ο τών Μαρτύρων όμιλος, τώ παντεπόπτη Θεώ, καί τώ αυτού πόθω, τάς ψυχάς προσδήσαντες, διέλυσαν τόν σύνδεσμον, τής κακίας καί λύσιν, τών αμαρτημάτων βραβεύουσι, πίστει τοίς αυτούς μακαρίζουσιν.

Οι φανερώς τόν πονηρόν συντρίψαντες, πόνοις αθλήσεως, καί φθονερώς χρόνοις, πλείοσι κρυπτόμενοι, σήμερον πεφανέρωνται, καί χερσίν Ιερέως, θεόφρονος συγκομίζονται, κόσμω σωτηρίαν βραβεύοντες.

Θεοτοκίον

Εξ ορατών καί αοράτων ρύσαί με, Παρθενομήτορ εχθρών, η τόν Θεόν Λόγον, ορατόν γεννήσασα, αόρατον υπάρχοντα, καί παθών μου τόν σάλον, τή σή γαλήνη κατεύνασον, μόνη τών βροτών επανόρθωσις.

Ωδή γ' Ο Ειρμός

«Ουραωίας αψίδος, Οροφουργέ Κύριε, καί τής Εκκλησίας δομήτορ, σύ με στερέωσον, εν τή αγάπη τή σή, τών εφετών η ακρότης, τών πιστών τό στήριγμα, μόνε φιλάνθρωπε».

Πυρωθέντες τώ πόθω, τώ θεϊκώ Μάρτυρες, πύρ τής αθεϊας, αιμάτων ρείθροις εσβέσατε, καί αναλάμψαντες, φωτοειδείς ως αστέρες, πάσαν τήν υφήλιον κατεφαιδρύνατε.

Απαστράπτει Μαρτύρων, τά φωταυγή λείψανα, φέγγος ιαμάτων, τοίς πίστει τούτοις προστρέχουσι, χάριν γάρ ήντλησαν, εκ τών πηγών τού Σωτήρος, τούτου τό εκούσιον πάθος ζηλώσαντες.

Οι τής πίστεως πύργοι, τά τού Χριστού θύματα, χρόνον επιμήκιστον, ήδη κατακρυπτόμενοι, νύν πεφανέρωνται, Αρχιερέως παλάμη, εύσεβως οσίως τε, συγκομιζόμενοι.

Θεοτοκίον

Χαίρε μόνη τεκούσα, τόν τού παντός Κύριον, Χαίρε τήν χαράν τοίς ανθρώποις, η προξενήσασα, Χαίρε κατάσκιον, καί αλατόμητον όρος, Τών πιστών τό στήριγμα, χαίρε πανάμωμε.

Κάθισμα Ήχος α'

Τόν τάφον σου

Τήν πλάνην τού εχθρού, φαωερώς καθελόντες, εν έτεσι πολλοίς, φθονερώς κεκρυμμένοι, ημίν πεφανέρωσθε, παναοίδιμοι Μάρτυρες, θεραπεύοντες, τά τών ψυχών ημών πάθη, καί ιώμενοι, τάς τών σωμάτων οδύνας, εις Ιδόξαν θεού ημών.

Δόξα… Καί νύν… Θεοτοκίον

Κυβέρνησον Αγνή, τήν αθλίαν ψυχήν μου, καί οίκτειρον αυτήν, υπό πλήθους πταισμάτων, βυθώ ολισθαίνουσαν, απωλείας Πανάμωμε, καί εν ώρα με, τή

φοβερά τού θανάτου, ελευθέρωσον, κατηγορούντων δαιμόνων, καί πάσης κολάσεως.

Η Σταυροθεοτοκίον

Καί σού τής καθαράς, καί αμώμου Παρθένου, διήλθεν αληθώς, τήν καρδίαν ρομφαία, Σταυρώ ως εώρακας, τόν Υιόν σου υψούμενον, παναμώμητε, ευλογημένη Μαρία, τό προσφύγιον, αμαρτωλών Θεοτόκε, πιστών τό κραταίωμα.

Ωδή δ' Ο Ειρμός

«Σύ μου ισχύς, Κύριε, σύ μου καί δύναμις, σύ Θεός μου, σύ μου αγαλλίαμα, ο πατρικούς κόλπους μή λιπών, καί τήν ημετέραν, πτωχείαν επισκεψάμενος, διό σύν τώ Προφήτη, Αββακούμ σοι κραυγάζω, Τή δυνάμει σου δόξα φιλάνθρωπε».

Σού τήν σφαγήν καί τόν εκούσιον θάνατον, Ζωοδότα, δήμος επεπόθησε, τών Αθλητών, καί πολυειδείς πόνους υπομείνας, εις άπονον μεταβέβηκε, καί θείαν ευφροσύνην, μελωδών ευχαρίστως, Τή δυνάμει σου δόξα φιλάνθρωπε.

Τώ τού Σταυρού, περιφραξάμενοι θώρακι καί αγάπη, θεία κρατυνόμενοι, συνασπισμόν έλυσαν εχθρού, καί τάς παρατάξεις, τάς τούτου πίστει ηφάνισαν, οι Μάρτυρες οι θείοι, μελωδούντες προθύμως, Τή δυνάμει σου δόξα φιλάνθρωπε.

Ταίς καλλοναίς, τών αρετών φαιδρυνόμενοι, εξ αιμάτων χλαίναν εστολίσθητε, ηρυθρωμένην μαρτυρικών, σκήπτρον δέ καθάπερ, Σταυρού τό τρόπαιον φέροντες, Χριστώ συμβασιλεύειν, ηξιώθητε όντως, μακαρίων ελπίδων λαβόμενοι.

Θεοτοκίον

Μήτηρ Θεού ευλογημένη Πανάμωμε, Αθλοφόρων, θείον εγκαλλώπισμα, η ουρανώσασα τήν ημών, φύσιν απωσθείσαν τή συ, μβουλία τού όφεως, διάσωσόν με πάντων, τών τού βίου σκανδάλων, καί τυχείν σωτηρίας αξίωσον.

Ωδή ε' Ο Ειρμός

«Ίνα τί με απώσω, από τού προσώπου σου τό φως τό άδυτον, καί εκάλυψέ με, τό αλλότριον σκότος τόν δείλαιον, αλλ' επίστρεψόν με, καί πρός τό φώς τών εντολών σου, τάς οδούς μου κατεύθυνον δέομαι».

Τών αγίων σου Σώτερ, χρόνον επιμήκιστον κατακρυπτόμενα, τά οστά φυλάξας, εφανέρωσας νύν ως ηυδόκησας, εις λαού σου Λόγε, αγιασμόν καί σωτηρίαν, καί αισχύνην εχθρών βλασφημούντων σε.

Τόν κρυμόν τής απάτης, θέρμη διελύσατε πίστεως Ένδοξοι, καί πολλών βασάνων, διαδράντες πολύπλοκα θήρατρα, πρός τήν άνω πόλιν, επτερωμένοι τή αγάπη, κατεπαύσατε δόξης πληρούμενοι.

Καρτερία μαστίγων, πάσαν απερράπισαν εχθρού απόνοιαν, οι στερροί οπλίται, καί στρεβλούμενοι καί αναρτώμενοι, καί πυρί ενύλω, προσομιλούντες πάσαν ύλην, αθεϊας ενέπρησαν χάριτι.

Θεοτοκίον

Υπερτέρα τών άνω, πέφυκας Δυνάμεων θεοχαρίτωτε, συλλαβούσα Λόγον, τόν τά σύμπαντα λόγω ποιήσαντα, καί τεκούσα, τόν εκ Πατρός πρό τών αιώνων, γεννηθέντα αρρεύστως αμόλυντε.

Ωδή ς' Ο Ειρμός

«Ιλάσθητί μοι Σωτηρ, πολλαί γάρ αί ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

Ως κρίνα ταίς νοηταίς, κοιλάσιν αναβλαστήσαντες, ενθέου πάντας οσμής, πληρούτε, Πανεύφημοι, καί ψυχών ελαύνετε, δυσωδίαν πάσαν, Αθλοφόροι αξιάγαστοι.

Ιχώρες μαρτυρικαί, ψυχών ιώνται τά τραύματα, εν τούτοις γάρ τόν εχθρόν, στερρώς τραυματίσαντες, ιατρείον άμισθον, τοίς θερμώς αιτούσι, θείω Πνεύματι γεγόνασι.

Τώ βασιλεί κατ' εχθρών, αιτείσθε τά νικητήρια, Αρχιερεί δέ θερμώς, υμάς συγκομίσαντι, τήν άνωθεν Μάρτυρες, παρά τού Σωτήρος, εξαιτήσασθε ευμένειαν.

Θεοτοκίον

Εκ σού Θεός τοίς θνητοίς, σαρκός εφάνη προσλήμματι, ο πλούσιος τήν εμήν, πτωχείαν Πανάμωμε, εκ σού ανελάβετο, τής αθανασίας, τάς εισόδους μοι δωρούμενος.

Κοντάκιον Ήχος δ'

Επεφάνης σήμερον

Εκ τής γής εκλάμψαντες, φωστήρος δίκην, ασεβείας άπασαν, απεμειώσατε αχλύν, καί τούς πιστούς εφωτίσατε, Μάρτυρες θείοι, Τριάδος υπέρμαχοι.

Ο Οίκος

Ως ρόδα μέσον ακανθών τά λείψανα, ανθούντα όσμήν ορθοδοξίας πηγάζετε εν κόσμω, Μάρτυρες ένδοξοι σεπτοί, κόσμου τά ωραία αρνησάμενοι καλώς, βασάνους υπεμείνατε, Βασιλείς ανομούντας ηλέγξατε, τόν Βασιλέα καί Δεσπότην τών απάντων κηρύξαντες μετά παρρησίας, διά τούτο ουρανού τά κάλλη όρώντες, εκτενώς υπέρ ημών τήν ικεσίαν τώ Βασιλεί τών αιώνων προσάγετε, τών τελούντων υμών τά μνημόσυνα, Μάρτυρες θείοι, Τριάδος υπέρμαχοι.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΒ' τού αυτού μηνός, Μνήμη τής ευρέσεως τών λειψάνων τών

Αγίων Μαρτύρων τών εν τοίς Ευγενίου, ήτις συνέβη εν τοίς χρόνοις Αρκαδίου τού Βασιλέως.

Στίχοι

- Φανέντες εκ γής Μάρτυρες κεκρυμμένοι,
- Αίρουσι πάσαν εκ προσώπου γής βλάβην.
- Εικάδα δευτερίην ανά σεπτά φάνη χθονός Οστά.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών καί ομολογητού Αθανασίου, τού εν τώ Παυλοπετρίω.

Στίχοι

- Αθανάσιος, θρέμμα Παυλοπετρίου,
- Αποστόλοις σύνεστι, Παύλω καί Πέτρω.

Τή αυτή ημέρα, η Αγία Ανθούσα, καί οι δώδεκα αυτής οικέται, ξίφει τελειούνται.

Στίχοι

- Εύνους εφεύρες, Ανθούσα, τούς οικέτας,
- Ξίφει θανούση, συνθανόντας σοι ξίφει.

Τή αυτή ημέρα, ο Άγιος Μάρτυς Συνετός ξίφει τελειούται.

Στίχοι

- Ψάλλει Συνετός καί περ εκθνήσκων ξίφει,
- «Βλέπων ασυνετούντας εξετηκόμην».

Τή αυτή ημέρα, Μνήμη τών οσίων Πατέρων ημών Θαλασσίου καί Λιμναίου.

Στίχοι

- Λιμήν Λιμναίον καί Θαλάσσιον φέρει,
- Ώς περ Θάλασσαν εκφυγόντας τόν βίον.

Τή αυτή ημέρα, ο Άγιος Τελεσφόρος, Επίσκοπος Ρώμης, εν ειρήνη τελειούται.

Στίχοι

- Ηνεγκε καρπόν τή τομή Τελεσφόρος,
- Τελεσφορήσας ευγενής οία σπόρος.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Βαραδάτου.

Στίχοι

- Εν γή νεκρώσας, ως λέγει Παύλος, μέλη,
- Ζωής μετέσχεν εν πόλω Βαραδάτος.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός ελέησον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Θεού συγκατάβασιν, τό πύρ ηδέσθη εν Βαβυλώνι ποτέ, διά τούτο οι παίδες εν τή καμίνω, αγαλλομένω ποδί, ώς εν λειμώνι χορεύοντες έψαλλον. Ευλογητός ο Θεός, ο τών Πατέρων ημών».

Γνωστοί τώ ποιήσαντι, τώ μαρτυρίω πάλαι γενόμενοι, αφανώς κεκρυμμένοι, ημίν αρτίως νύν επεγνώσθητε, τοίς μελωδούσι Πανεύφημοι Μάρτυρες, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Αντλήσατε άνθρωποι, πηγής βρυούσης νάμα σωτήριον, οχετών εξ αϋλων, διά λειψάνων Μαρτύρων σήμερον, καί μελωδείτε τώ τούτους δοξάσαντι, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Φωτός οικητήρια, αναδειχθέντες διά βασάνων πολλών, κατακρύψει ζοφώδει, ετών διαύλοις κατακρυπτόμενοι, ως εξ υδάτων φωστήρες εξέλαμψαν, οι Αθληταί σου Χριστέ, φωταγωγούντες ημάς.

Θεοτοκίον

Προφήται προήγγειλαν, τό βάθος Κόρη τού μυστηρίου σου, εξ αγνών σου αιμάτων, Θεόν Παρθένε εκυοφόρησας, καί εν ουσίαις δυσίν απεκύησας, εις σωτηρίαν ημών καί απολύτρωσιν.

Ωδή η’  Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν, εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, Τόν Δημιουργόν καί Λυτρωτήν ανεβόα, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Ως τής αμπέλου κλήματα, τής αϋλου υπάρχοντες, βότρυας ημίν θεογνωσίας ήνθησαν, καί οίνον εκέρασαν, αθανασίας πάσι σαφώς, μέθην ψυχικής, αποκρουόμενον βλάβης, οι Μάρτυρες βοώντες, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Τοίς οχετοίς τού αίματος, ποταμούς απεξήραναν, ειδωλομανίας, καί πυράν ετέφρωσαν, αθέου προστάγματος, οι αθληταί τής δόξης Χριστού, πάσαν δέ πιστώς, αναβοώσαν καρδίαν, κατήρδευσαν πλουσίως, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ιεραρχών ο πρόκριτος, Ιερώς συγκινούμενος, τήν συγκομιδήν τήν ιεράν πεποίηται, υμών Παμμακάριστοι, καί ετησίως ταύτην τιμά, μέλπων σύν παντί, τώ Ιερώ καταλόγω, Οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Αγιασθείσα πνεύματι, Θεοτόκε Πανάμωμε, τόν εν τοίς Αγίοις επαναπαυόμενον, εκύησας Άγιον, καί ευεργέτην μόνον Θεόν, πάντας τούς βοώντας, αγιάζοντας πίστει, Οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Ωδή θ’  Ο Είρμός

«Εξέστη επί τούτω ο ουρανός, καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι μεγαλύνουσιν».

Αλλήλους συνωθούντες πρός τήν ζωήν, καί θαρρείν εαυτοίς εγκελεύοντες, τούς αικισμούς, ήνεγκαν βοώντες οι Αθληταί, Ιδε καιρός ευπρόσδεκτος, στώμεν καί νικήσωμεν τόν εχθρόν, Χριστός γάρ αθλοθέτης, προτείνει τούς στεφάνους, ο δι’ ημάς παθείν ελόμενος.

Υψώθης επί ξύλου Λόγε Θεού, καί Μαρτύρων αγέλας ανείλκυσας, πρός εαυτόν, πάθος εικονίσαντας καί σφαγήν, ήν εκουσίως Δέσποτα, είλου ευσπλαγχνία, τή καθ' ημάς, διό σε οι γενναίοι, ποθήσαντες οπλίται, ως ιερεία σφαγιάζονται.

Χριστώ συμβασιλεύειν διαπαντός, αθλοφόροι πανεύφημοι, Μάρτυρες περιχαρώς, καταξιωθέντες εν ουρανοίς, τώ Βασιλεί τά τρόπαια, καί τώ Ποιμενάρχη τήν ψυχικήν, αιτείσθε σωτηρίαν, καί πάσι τοίς εν πίστει, ανευφημούσιν υμάς σήμερον.

Θεοτοκίον

Νεφέλη τού Ηλίου τού νοητού, τής ψυχής μου τά νέφη απέλασον, πύλη Θεού, άνοιξόν μοι πύλας εκδυσωπώ, δικαιοσύνης Δέσποινα, καί πρός τάς εισόδους τάς αγαθάς, εισάγαγε Παρθένε, σκανδάλων πολυτρόπων, τού πονηρού εκλυτρουμένη με.

Καί η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΓ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Ιερομάρτυρος Πολυκάρπου, Επισκόπου Σμύρνης.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος β’

Ότε εκ τού ξύλου σε νεκρόν

Ότε τής Παρθένου ο καρπός, καί ζωαρχικώτατος σπόρος, εις γήν ενέπεσε, τότε σε πολύκαρπον, στάχυν εβλάστησε, τούς πιστούς διατρέφοντα, τοίς τής ευσεβείας, λόγοις τε καί δόγμασι, καί τής αθλήσεως, τούτους αγιάζοντα θείω, αίματι καί Ιερωσύνης, μύρω καθαγνίζοντα Πολύκαρπε.

Έδυς εκ τού κόσμου πρός Θεόν, ταίς μαρμαρυγαίς αποστίλβων, τού

μαρτυρίου σου, έστης τής εφέσεως ως τό ακρότατον, ορεκτών φθάσας Όσιε, καί τής μακαρίας, αίγλης εμφορούμενος, ής νύν ικέτευε, πάντας εν μεθέξει γενέσθαι, τούς τήν σήν πανίερον μνήμην, Μάκαρ εορτάζοντας Πολύκαρπε.

Ότε επί ξύλου τού Σταυρού, η αληθινή κρεμασθείσα, υψώθη άμπελος, τότε σέ κατάκαρπον, κλήμα εξέτεινε, τή δρεπάνη τεμνόμενον, σεπτού μαρτυρίου, καί τοίς τών κολάσεων, ληνοίς πατούμενον, ούπερ ευφροσύνης κρατήρα, πίστει συγκεράσαντες, Πάτερ, τούς σεπτούς αγώνάς σου δοξάζομεν.

Δόξα… Καί νύν… Θεοτοκίον

Πάντων θλιβομένων η χαρά, καί αδικουμένων προστάτις, καί πενομένων τροφή, ξένων τε παράκλησις χειμαζομένων λιμήν, ασθενούντων επίσκεψις, καταπονουμένων, σκέπη καί αντίληψις, καί βακτηρία τυφλών, Μήτερ τού Θεού τού γψίστου, σύ υπάρχεις άχραντε, σπεύσον, δυσωπούμεν ρύσασθαι τούς δούλους σου.

Η Σταυροθεοτοκίον

Ύβρεις υπομείναντα πολλάς, καί επί Σταυρού υψωθέντα, τόν τού παντός Ποιητήν, βλέψασα Πανάχραντε, έστενες λέγουσα, Υπερύμνητε Κύριε, γιέ καί Θεέ μου, πώς τιμήσαι θέλων σου, τό πλάσμα Δέσποτα, φέρεις εν σαρκί πολλή ευσπλαγατιμίαν, Δόξα τη χνία, καί συγκαταβάσει σου φιλάνθρωπε.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, λέγεται ο Κανών, ού η Ακροστιχίς.

Τόν θείον Πολύκαρπον εν άσμασιν ευφημήσω. Θεοφάνους.

Ωδή α  Ήχος β’  Ο Ειρμός

«Δεύτε λαοί, ά σωμενάσμα Χριστώ τώ Θεώ, τώ διελόντι θάλασσαν, καί οδηγήσαντι, τόν Λαόν, όν ανήκε, δουλείας Αιγυπτίων, ότι δεδόξασται».

Τή τού Χριστού, φωτοχυσία λαμπόμενος, καί τής αυτου ελλάμψεως, Πάτερ πληρούμενος, τήν ζοφώδη ψυχήν μου, καταύγασον θεόφρον, ταίς ικεσίαις σου.

Ο φωτισμός, τού σωτηρίου κηρύγματος, τήν καθαράν καρδίαν σου, καθάπερ έσοπτρον, ακηλίδωτον Πάτερ, αστράψας τάς ακτίνας, πάσιν εξέλαμψε.

Νόμου καινού, στηλογραφία σύ γέγονας, εγγεγραμμένον έχουσα, Πάτερ ού μέλανι, αλλά Πνεύματι θείω, τής χάριτος τής θείας, τό Ευαγγέλιον.

Θεοτοκίον

Θεόν εκ σού, σωματωθέντα γινώσκοντες, άνευ σαρκός θελήματος, τόν πρό τής κτίσεως, καί πρό πάντων αιώνων, κυρίως Θεοτόκον, ομολογούμέν σε.

Ωδή γ'  Ο Ειρμός

«Στερέωσον ημάς εν σοί Κύριε, ό ξύλω νεκρώσας τήν αμαρτίαν, καί τόν

φόβον σου εμφύτευσον, εις τάς καρδίας ημών τών υμνούντων σε».

Ελαία ψαλμικώς ειπείν κατάκαρπος, εγένου Πολύκαρπε θεοφάντορ, εν τώ οίκω τού Κυρίου σου, ιλαρότητα φέρων τού κηρύγματος.

Ιθύνας εμμελώς θεομακάριστε, τόν νούν σου προστάγμασι τού Σωτήρος, επαξίως εχρημάτισας, τής αυτού Εκκλησίας ποιμήν άριστος.

Ολόκληρον σαυτόν Χριστώ προσήγαγες, ως ζώσαν θυσίαν τώ μαρτυρίω, συνειδήσεως μαρτύριον, προαθλήσας Παμμάκαρ δι' ασκήσεως.

Θεοτοκίον

Νεκρώσεως ημών τόν χούν ετίναξας, τεκούσα τήν όντως αθανασίαν, καί στολάς ημίν εξύφανας, αφθαρσίας Παρθένε τή γεννήσει σου.

Κάθισμα Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Τόν τής χάριτος βότρυν εν τή ψυχή, αληθώς γεωργήσας Πάτερ σοφέ, ως οίνον εξέβλυσας, τόν τής πίστεως λόγον, τόν ευφραίνοντα πάντων, Πιστών τήν διάνοιαν, καί θαυμάτων ώφθης απέραντον πέλαγος, όθεν καί Μαρτύρων, καλλονή ανεδείχθης, πυρί τελειούμενος, καί φωτός αξιούμενος, αϊδίου Πολύκαρπε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν Μνήμην σου.

Δόξα… Καί νύν… Θεοτοκίον

Τού Ηλίου νεφέλη τού νοητού, θείου φέγγους λυχνία χρυσοφαής, άσπιλε αμόλυντε, υπεράμωμε Δέσποινα, τήν σκοτεινήν ψυχήν μου, τυφλώττουσαν πάθεσι, τής απαθείας αίγλη, καταύγασον δέομαι, καί μεμολυσμένην τήν καρδίαν μου πλύνον, ροαίς κατανύξεως, μετανοίας τε δάκρυσι, ίνα πόθω κραυγάζω σοι, πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δοθήναί μοι, σέ γάρ έχω ελπίδα, ο ανάξιος δούλός σου.

Η Σταυροθεοτοκίον

Τόν Αμνόν καί Ποιμένα καί Λυτρωτήν, η Αμνάς θεωρούσα εν τώ Σταυρώ, ωλόλυζε δακρύουσα, καί πικρώς εκβοώσα, Ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήν περ υπομένεις, διά σπλάγχνα ελέους, Μακρόθυμε Κύριε, τού ελέους η άβυσσος, καί πηγή ανεξάντλητος, σπλαγχνίσθητι καί δώρησαι ούν, τών πταισμάτων άφεσιν τοίς δούλοις σου, τοίς ανυμνούσί σου πίστει, τά θεία παθήματα.

Ωδή δ' Ο Ειρμός

«Εισακήκοα Κύριε, τήν ακοήν τής σής οικονομίας, καί εδόξασά σε, μόνε φιλάνθρωπε».

Πολυκαρπίαν φέρουσα, τών αρετών πολύκαρπος φυτεία, τώ Δεσπότη ώφθης, Πάτερ Πολύκαρπε.

Ολοκαύτωμα τέλειον, καί καθαρά θυσία προσηνέχθης, τώ Σωτήρι πάντων, Πάτερ Πολύκαρπε.

Λαόν ευσεβώς Όσιε, καθοδηγών πρός φώς θεογνωσίας, τόν τής άθεϊας ζόφον απήλασας.

Υμνολογούμεν Ένδοξε, τήν τής ψυχής στερράν σου καρτερίαν, καί τών σών άγωνων τό ακαθαίρετον.

Θεοτοκίον

Καταλάμπρυνον Άχραντε, τήν ζοφεράν ψυχήν μου τώ φωτί σου, η τό φώς τεκούσα τό ενυπόστατον.

Ωδή ε' Ο Ειρμός

«Ο τού φωτός αρχηγός, καί τών αιώνων Ποιητής Κύριος, εν τώ φωτί τών σών προσταγμάτων, οδήγησον ημάς, εκτός σου γάρ άλλον, Θεόν ου γινώσκομεν».

Αίγλη τού Πνεύματος σύ, καταλαμπόμενος τόν νούν Όσιε, συμβολικώς, πυρί φλεγομένω, σαφώς εμυήθης, τήν διά πυρός σου, θεόφρον τελείωσιν.

Ρείθρον εδέξω ζωής, ως εκ χειμάρρου τής τρυφής Όσιε, τώ μαθητή τώ ηγαπημένω, μεμαθητευμένος, τώ αρυσαμένω, σοφίας τήν άβυσσον.

Πλούτον καί δόξαν, λαμπράν καί μήκος βίου, καί ζωήν άφθαρτον, η αληθής σοφία Χριστός σοι, δεδώρηται Πάτερ, ως διαφερόντως αυτόν αγαπήσαντι.

Θεοτοκίον

Ο παλαιός ημερών, ως επί πόκον υετός Πάναγνε, επί τήν σήν, γαστέρα κατήλθε, τήν ηγιασμένην, καί νέος εφάνη, Αδάμ ο φιλάνθρωπος.

Ωδή ς' Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, Εκ φθοράς ο Θεός με ανάγαγε».

Νεκρωθείς θεηγόρε τώ κόσμω παντί, μόνω δέ Χριστώ ζών καί πολιτευόμενος, πρός τόν Χριστόν μεθέστηκας, ζωτικήν αφθαρσίαν καααρπούμενος.

Ευσχημόνως οδεύων Μακάριε, τέκνον τε φωτος καί ειρήνης δεικνύμενος, τόν τής νυκτός πρωτότοκον, καί πολέμιον έγνως Μαρκίωνα.

Νουθετούμενοι Πάτερ τοίς λόγοις σου, πάσαν εκτρεπόμεθα βέβηλον αίρεσιν, καί πονηρά συνέδρια, τών διττάς πρεσβευόντων αρχάς δυσσεβώς.

Θεοτοκίον

Αμαρτίαν τού κόσμου τόν αίροντα, άχραντον Αμνόν συλλαβούσα Πανάμωμε, αμαρτιών συγχώρησιν, εκδυσώπει δοθήναι τοίς δούλοις σου.

Κοντάκιον Ήχος α'
Χορός Αγγελικός

Καρπούς τούς λογικούς, τώ Κυρίω προσφέρων, Πολύκαρπε σοφέ, αρετών δι' ενθέων, εδείχθης αξιόθεος, Ιεράρχα μακάριε, όθεν σήμερον, οι φωτισθέντες σοίς λόγοις, ανυμνούμέν σου, τήν αξιέπαινον μνήμην, δοξάζοντες Κύριον.

Ο Οίκος

Τήν τής σοφίας χρηστότητα αρυσάμενος, εξ αυτής Πάτερ έπλησας θεογνωσία τήν ποίμνην σου, καί τής παναγίας καί αρρήτου θεότητος τό τρισήλιον ήστραψας, τού Πατρος τό αγέννητον, Υιού δέ τήν γέννησιν καί εκπόρευσιν Πνεύματος, μίαν θεότητα, μίαν δόξαν τρανώς εκδιδάξας, καί ειδώλων αθεΐαν εκ ποδών αποποιήσας, καρπούς 6έ ωρίμους, ψυχάς πιστευόντων προσάγων τούτω ένδοξε, εν ώ βεβαπτίσμεθα, εις όν καί Πιστεύομεν, δοξάζοντες Κύριον.

Συναξάριον

Τή ΚΓ' τού αυτού μηνός, Μνήμη τού Αγίου Ιερομάρτυρος Πολυκάρπου, Επισκόπου Σμύρνης.

Στίχοι

- Σοί Πολύκαρπος ωλοκαυτώθη Λόγε,
- Καρπόν πολύν δούς εκ πυρός ξενοτρόπως.
- Εικάδι εν τριτάτη κατά φλόξ Πολύκαρπον έκαυσεν.

Τή αυτή ημέρα, Μνήμη τών Οσίων πατέρων ημών, Ιωάννου, Μωϋσέως, Αντιόχου, καί Αντωνίνου.

Στίχοι

- Σύνταγμα τετράριθμον ανδρών τιμίων,
- Συντάσσεταί σοι, καί μεθίσταται βίου.

Τή αυτή ημέρα, η Αγία Γοργονία, η αδελφή τού Αγίου Γρηγορίου τού Θεολόγου, εν ειρήνη τελειούται.

Στίχοι

- Τιμώ τελευτήν σήν σιγή, Γοργονία,
- Γρηγορίου μέλψαντος αυτήν εκ λόγων.

Τή αυτή ημέρα, ο Άγιος Μάρτυς Κλήμης ξίφει τελειούται.

Στίχοι

- Κλήμης, τό κλήμα τής νοητής αμπέλου,
- Καινόν τι γλεύκος, αίμα τμηθείς εκχέει.

Τή αυτή η μέρα, η Αγία Μάρτυς Θεή ξίφει τελειούται.

Στίχοι

- Θεήν αποσκώπτουσαν εις Θεούς πλάνους,
- Οι τής πλάνης κτείνουσι προστάται ξίφει.

Τή αυτή ημέρα, Μνήμη τών Οσίων πατέρων ημών Ζεβινά, Πολυχρονίου, Μωσέως, καί Δαμιανού.

Στίχοι

- Θείος Ζεβινάς λήξιν εις θείαν φθάνει,
- Λήξαντος αυτώ τού παρ' ανθρώποις βίου.
- Πολυχρόνιος, καί συνασκηταί δύω.
- Οι τρείς ομού πληρούσι τούς ζωής χρόνους.

Ταίς αυτών αγίαις Πρεσβείαις, ο Θεός ελέησον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Εικόνος χρυσής, εν πεδίω Δεηρά λατρευομένης, οι τρείς σου Παίδες κατεφρόνησαν, αθεωτάτου προστάγματος, μέσον δέ πυρός εμβληθέντες, δροσιζόμενοι έψαλλον, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών».

Στερρώ λογισμώ, καιομένης τής φλογός επέβης Ένδοξε, ως οι τρείς Παίδες οι τήν κάμινον, πυρί αΰλω δροσίσαντες, μέσον δέ πυρός ανακράζων, ακατάφλεκτος έμεινας, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Μακάριος εί, καί καλώς σοι έσται νύν κατασκηνώσαντι, ένθα Δικαίων τά σκηνώματα, ένθα Μαρτύρων στρατεύματα, ένθα τών σοφών Αποστόλων αι χορείαι κραυγάζουσιν, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Ακάρπους τό πρίν, πολυκάρπους τώ Χριστώ ψυχάς προσήνεγκας, γεωργία τή τού Πνεύματος, καθομαλίσας καί εύσταχυν, ταύταις καταθέμενος σπόρον, καί κραυγάζειν επαίδευσας, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Σύ μόνη Θεού, τού τά σύμπαντα σοφώς δημιουργήσαντος, Μήτηρ εδείχθης απειρόγαμος, Παρθενομήτορ Πανάχραντε, όθεν ευσεβώς σοι Παρθένε, ανακράζομεν λέγοντες, Ευλογημένη η Θεόν σαρκί κυήσασα.

Ωδή η'  Ο Ειρμός

«Τόν εν καμίνω τού πυρός, τών Εβραίων τοίς παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον μεταβαλόντα Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Ιερουογήσας ευσεβώς, τού Χριστού τήν μυστικήν ιερουργίαν, λογικόν ιερείον, αυτός προσήχθης Θεώ θυσία δεκτή καί ευάρεστος, ολοκαρπουμένη, Πολύκαρπε τρισμάκαρ.

Νεανικήν εν πολιά, βαθυτάτη τήν ανδρείαν επεδείξω, τού Σταυρού τή δυνάμει, διαναστήσας σαυτού, πρός θείους αγώνας τό φρόνημα, Ιερομαρτύρων, Χριστού κλέος θεόφρον.

Επερειδόμενος Σταυρώ, καί τόν ιεραρχικόν κόσμον αξίως, ενδυσάμενος Πάτερ, εις τόν ναόν τού Θεού εισήλθες ιδίω σου αίματι, τώ Αρχιποίμενι, Χριστώ εμφανισθήναι.

Υπέρ Χριστού σφαγιασθείς, ως επίσημος κριός Ιεροφάντορ, μιμητής ανεδείχθης, τών παθημάτων αυτού, καί δόξης εγένου συμμέτοχος, καί τής βασιλείας, αυτού ισυγκληρονόμος.

Θεοτοκίον

Φωτοειδής στύλος πυρός, καί νεφέλη φωτεινή προηγουμένη, πρός ουράνιον κλήρον, Θεογεννήτορ Αγνή, γενού μοι Παρθένε πανάμωμε, τώ εν τή ερήμω τού βίου πλανωμένω.

Ωδή θ'  Ο Ειρμός

«Τόν εκ Θεού Θεόν Λόγον, τόν αρρήτω σοφία, ήκοντα καινουργήσαι τόν Αδάμ, βρώσει φθορά πεπτωκότα δεινώς, εξ αγίας Παρθένου, αφράστως σαρκωθέντα δι' ημάς, οι πιστοί ομοφρόνως μεγαλύνομεν».

Η φωτοφόρος σου μνήμη, ανατείλασα Πάτερ, φωτίζει τάς ψυχάς τών ευσεβώς, ταύτην τελούντων θεσπέσιε, καί μετόχους τής θείας, φωτοφανείας πάντας εκτελεί, ήν αξίως θεόφρον, εν ύμνοις μεγαλύνομεν.

Μετά τής άνω χορείας, τών αγίων Αγγέλων, τώ θρόνω τού Δεσπότου παρεστώς, τούτον δυσώπει τού φθάσαι ημάς, τό σωτήριον πάθος, καί τήν αυτού ανάστασιν φαιδρώς, αρετής πολυτρόπους, ιδέας εκτελέσαντας.

Η τής άγίας Τριάδος, κατανόησις Πάτερ, τρανώς ουκ εν αινίγμασιν ως πρίν, ως καθαρώ τήν καρδίαν σοι, διασχόντι τήν ύλην, καί τών δεσμών λυθέντι τής φθοράς, κατοπτεύεται μάκαρ, Πολύκαρπε πανόλβιε.

Στεφηφορούντά σε Πάτερ, καί βραβείον τής νίκης, δεξάμενον εκ θείας δεξιάς, καί τούς αγώνας τελέσαντα, καί φωτός πληρωθέντα, Πιστεύοντες Πολύκαρπε σοφέ, πρεσβευτήν τώ Χριστώ σε, προθύμως προβαλλόμεθα.

Θεοτοκίον

Ως Θεοτόκον σε Κόρη, καί Μητέρα τού Λόγου, καί πρόξενον υπάρχουσαν ημίν, τής αϊδίου καί θείας ζωής, ως τής δικαιοσύνης τόν Ήλιον εκλάμψασαν ημίν, οι Πιστοί ομοφρόνως, εν ύμνοις μεγαλύνομεν.

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Πολλούς καρπούς προσήνεγκας, Χριστώ σοφέ Πολύκαρπε, τούς διά σού σεσωσμένους, βροτούς εκ πλάνης δαιμόνων, Ιερομάρτυς ένδοξε, Αγγέλων ισοστάσιε, καί Αποστόλων σύσκηνε, μεθ' ών μνημόνευε Πάτερ, τών σέ τιμώντων εκ πόθου.

Θεοτοκίον

Ερράγη Μητροπάρθενε, τό τού φραγμού μεσότοιχον, καί οι θνητοί τοίς

Αγγέλοις, τώ σώ συνήφθημεν τόκω, καί νύν Θεογεννήτρια, νηστεύειν ημάς κράτυνον, καί φθάσαι τήν τριήμερον, ανάστασιν τού Υιού σου, ειλικρινώς προσκυνή σαι.

Καί η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΔ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής ευρέσεως τής τιμίας κεφαλής τού Αγίου Προφήτου, Προδρόμου καί Βαπτιστού Ιωάννου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν στίχους ι' καί ψάλλομεν τό, Ιδιόμελον τής ημέρας δίς, καί τό Μαρτυρικόν καί τά Προσόμοια τού Τριωδίου, είτα τά παρόντα γ' προσόμοια τού Προδρόμου, δευτερούντες τό α'.

Ήχος πλ. α' Χαίροις ασκητικών

Χαίροις η Ιερά Κεφαλή, καί φωτοφόρος καί Αγγέλοις αιδέσιμος, η ξίφει τμηθείσα πάλαι, καί τμητικοίς ελεγμοίς, ασελγείας αίσχος διακόψασα, πηγή η τοίς θαύμασι, τούς πιστούς καταρδεύουσα, η τού Σωτήρος, τήν σωτήριον έλευσιν, καταγγείλασα, καί τήν πτήσιν τού Πνεύματος, πάλαι κατανοήσασα, πρός τούτον σκηνώσασαν, τής Παλαιάς τε καί Νέας, η μεσιτεύσασα χάριτος, Χριστόν εκδυσώπει, ταίς ψυχαίς ημών δοθήναι τό μέγα έλεος.

Στάμνω εγκεκρυμμένη ποτέ, η τού Προδρόμου κεφαλή πεφανέρωται, λαγόνων αναδοθείσα, εκ τών τής γής εμφανώς, καί θαυμάτων ρείθρα αναβλύζουσα, καί γάρ εν τοίς ύδασι, κεφαλήν εναπέλουσε, τού υπερώα, νύν στεγάζοντος ύδασι, καί ομβρίζοντος τοίς βροτοίς θείαν άφεσιν, Ταύτην ούν μακαρίσωμεν, τήν όντως αοίδιμον, καί εν τή ταύτης ευρέσει, περιχαρώς εορτάσωμεν, Χριστόν δυσωπούσης, τού δωρήσασθαι τώ κόσμω τό μέγα έλεος.

Κάρα η τόν αμνόν τού Θεού, ανακηρύξασα σαρκί φανερούμενον, καί πάσι τής μετανοίας, τάς σωτηρίους οδούς, θείαις υποθήκαις βεβαιώσασα, η πρίν τού Ηρώδου, παρανομίαν ελέγξασα, καί διά τούτο, εκτμηθείσα τού σώματος, τήν χρόνιον, υποστάσα κατάκρυψιν, ώσπερ φωτοφανής ημίν, ανέτειλεν ήλιος, Μετανοείτε βοώσα, καί τώ Κυρίω προστίθεσθε, ψυχής κατανύξει, τώ παρέχοντι τώ κόσμω τό μέγα έλεος.

Δόξα... Ήχος πλ. β'

Θησαυρός ενθέων δωρεών, η θεοφρούρητος κάρα σου Πρόδρομε, εκ τών τής γής λαγόνων ανέτειλεν, ήν ημείς πιστώς αρυσάμενοι, καί προσκυνούντες ένδοξε, πλουτούμεν διά σού Χριστού Βαπτιστά, θαυμάτων τά παράδοξα, καί τών πταισμάτων τήν συγχώρησιν.

Καί νύν... Θεοτοκίον

Μεταβολή τών θλιβομένων, απαλλαγή τών ασθενούντων, υπάρχουσα Θεοτόκε Παρθένε, σώζε πόλιν καί λαόν, τών πολεμουμένων η ειρήνη, τών χειμαζομένων η γαλήνη, η μόνη προστασία τών πιστών.

Η Σταυροθεοτοκίον

Τριήμερος ανέστης

Εν ξύλω τήν ζωήν ημών, ορώσα η πανάμωμος Θεοτόκος, κρεμαμένην μητρικώς, ωδύρετο βοώσα, Υιέ μου καί Θεέ μου, σώσον τούς πόθω ανυμνούντάς σε.

τά αναγνώσματα τού Τριωδίου

Εις τόν Στίχον, τό Ιδιόμελον τής ημέρας δίς, καί τό Μαρτυρικόν. Είτα.

Δόξα... Ήχος β'

Η τών θείων εννοιών πανσεβάσμιος θήκη, καί τής αρρήτου ουσίας τρανώς η προβλέψασα, τό μυστήριον Κάρα σου, ως εκ λαγόνων μητρικών, εκ τών ταμείων τής γής, σήμερον ανατέταλκεν, Ιωάννη πανεύφημε, καί ευωδίασε πάσαν τήν υφήλιον, αγιασμού προχέουσα μύρον, καί νοητώς κηρύττουσα μετανοίας οδόν, καί τώ Σωτήρι τών όλων πρεσβεύουσα, υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

Χαίρε η ελπίς ημών, Θεοτόκε άχραντε, χαίρε η δι' Αγγέλου δεξαμένη τό χαίρε, χαίρε η τεκούσα Πατρός τό απαύγασμα, ευλογημένη χαίρε σεμνή, Παναγία Παρθένε μόνη πανύμνητε, σέ δοξάζει πάσα κτίσις τήν Μητέρα τού φωτός.

Η Σταυροθεοτοκίον

Ότε εκ τού ξύλου σε νεκρόν

Βοτρυν τόν παμπέπειρον Αγνή, όν αγεωργήτως εν μήτρα εκυοφόρησας, ξύλω ως εώρακας, τούτον κρεμάμενον, θρηνωδούσα ωλόλυζες, καί έκραζες, Τέκνον, γλεύκος εναπόσταξον, δι' ού η μέθη αρθή, πάσα τών παθών ευεργέτα, δι' εμού τής σέ τετοκυίας, σού τήν ευσπλαγχνίαν ενδεικνύμενος.

Απολυτίκιον Ήχος δ'

Ταχύ προκατάλαβε

Εκ γής ανατείλασα η τού Προδρόμου κεφαλή, ακτίνας αφίησι τής αφθαρσίας, πιστοίς τών ιάσεων, άνωθεν συναθροίζει, τήν πληθύν τών Αγγέλων, κάτωθεν συγκαλείται, τών ανθρώπων τό γένος, ομόφωνον αναπέμψαι, δόξαν Χριστώ τώ Θεώ.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος δ'

Ταχύ προκατάλαβε

Ως θείον θησαύρισμα, εγκεκρυμμένον τή γή, Χριστός απεκάλυψε τήν κεφαλήν

σου ημίν, Προφήτα καί Πρόδρομε, Πάντες ούν συνελθόντες, εν τή ταύτης ευρέσει, άσμασι θεηγόροις, τόν Σωτήρα υμνούμεν, τόν σώζοντα ημάς εκ φθοράς ταίς ικεσίαις σου.

Δόξα... Καί νύν... Θεοτοκίον

Ταχύ προκατάλαβε, πρίν δουλωθήναι ημάς, εχθροίς βλασφημούσί σε, καί απειλούσιν ημίν, Χριστέ ο Θεός ημών, άνελε τώ Σταυρώ σου, τούς ημάς πολεμούντας, γνώτωσαν πώς ισχύει, Ορθοδόξων η πίστις, πρεσβείαις τής Θεοτόκου μόνε Φιλάνθρωπε.

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ

Αναδοθείσα ως χρυσός εκ μετάλλων, η Ιερά σου κεφαλή παραδόξως, εκ τών αδύτων γής επλούτισε, Χριστού Βαπτιστά, πάντας τούς προστρέχοντας, εν τή ταύτης ευρέσει, ύμνοις μεγαλύνοντας, τόν Σωτήρα καί Κτίστην, τούτοις διδόντα μάκαρ διά σού, λύσιν πταισμάτων, καί πλούσιον έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Ού σιωπήσομεν ποτέ Θεοτόκε, τού ευχαρίστως ανυμνείν εκ καρδίας, τά σά ελέη Δέσποινα οι δούλοί σου, κράζοντες καί λέγοντες, Παναγία Παρθένε, πρόφθασον καί λύτρωσαι, εξ εχθρών αοράτων, καί αναγκών καί πάσης απειλής, σύ γάρ υπάρχεις, ημών η αντίληψις.

Μετά τόν Πολυέλεον

Κάθισμα Ήχος δ'

Επεφάνης σήμερον

Ο Ηρώδης Πρόδρομε, παρανομήσας, τήν τιμίαν κάραν σου, ξίφει απέτεμε δεινώς, ως έκφρων οίστρω ο δείλαιος, ήν περ εκ πόθου, Πιστοί ασπαζόμεθα.

Δόξα... Καί νύν... Θεοτοκίον

Μωϋσής εώρακε, πυρφόρον βάτον, σέ τό πύρ βαστάσασαν, τό τάς ψυχάς φωταγωγούν, καί μή φλεχθείσαν Πανάμωμε, δρόσου δέ μάλλον, πλησθείσαν τής χάριτος.

Τό Α' Αντίφωνον τών Αναβαθμών τού δ' Ήχου.

Προκείμενον Ήχος δ'

Εκεί εξανατελώ κέρας τώ Δαυίδ, ητοίμασα λύχνον τώ Χριστώ μου.
Στίχ. Μνήσθητι, Κύριε τού Δαυϊδ, καί πάσης τής πραότητος αυτού.

Τό, Πάσα πνοή

Ευαγγέλιον, Κατά Λουκάν

Τώ καιρώ εκείνω, ήκουσεν Ηρώδης...

Ο Ν'

Δόξα... Ταίς τού σού Προδρόμου...

Καί νύν... Ταίς τής Θεοτόκου...

Στίχ. Ελέησόν με ο Θεός...

Καί τό Ιδιόμελον
Ήχος πλ. β'

Η τών θείων εννοιών πανσεβάσμιος θήκη, καί τής αρρήτου ουσίας τρανώς η προβλέψασα, τό μυστήριον Κάρα σου, ως εκ λαγόνων μητρικών, εκ τών ταμείων τής γής, σήμερον ανατέταλκεν, Ιωάννη πανεύφημε, καί ευωδίασε πάσαν τήν υφήλιον, αγιασμού προχέουσα μύρον, καί νοητώς κηρύττουσα μετανοίας οδόν, καί τώ Σωτήρι τών όλων πρεσβεύουσα, υπέρ τών ψυχών ημών.

Είτα ο Κανών τού Προδρόμου μετά τών ειρμών εις ς' καί τά Τριώδια τής ημέρας ως καθεκάστην.

Ο Κανών τού Προδρόμου

Ωδή α' Ήχος πλ. β'
Ο Ειρμός

«Ως εν ηπείρω πεζεύσας ο Ισραήλ, εν αβύσσω ίχνεσι, τόν διώκτην Φαραώ, καθορών ποντούμενον Θεώ, επινίκιον ωδήν, εβόα άσωμεν».

Δεύτε ευφήμω τή γλώττη καί πανσθενεί, κροτουμένη Πνεύματι, εκ χειλέων ευαγών, τήν τού Λόγου Πρόδρομον φωνήν, εν ωδαίς πνευματικαίς, πιστοί δοξάσωμεν.

Ειρηνική καταστάσει γαληνιά, καί απείροις πλήθεσιν, Εκκλησία η Χριστού, ευσταθώς ποιμαίνεται τών σοί, τήν ετήσιον ωδήν, βοώντων Πρόδρομε.

Τήν πρός Θεού δεδομένην ως θησαυρον, ημίν αναφαίρετον, θεοφόρον κορυφήν, τού Προδρόμου άπαντες ωδαίς, επαξίως πανδημεί, πιστοί τιμήσωμεν.

Θεοτοκίον

Τόν σεαυτής δεξαμένη Δημιουργόν, ως αυτός ηθέλησεν, εξ ασπόρου σου γαστρός, υπέρ νούν σαρκούμενον Αγνή, τών κτισμάτων αληθώς, εδείχθης Δέσποινα.

Ωδή γ' Ο Ειρμός

«Ουκ έστιν Άγιος ως σύ, Κύριε ο Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου αγαθέ, καί στερεώσας ημάς, εν τή πέτρα, τής ομολογίας σου».

Γαστήρ στειρεύουσα βλαστόν, σέ προσήνεγκε θείον, τής εθνών Εκκλησίας, ευκλεή Νυμφαγωγόν, Χριστώ τώ όντως Θεώ, καί Νυμφίω, ταύτην μνηστευόμενον.

Τήν σήν θεόφθογγον φωνήν, Πρόδρομε Ιωάννη, ουδέ ξίφει επέσχεν, η αθλία μοιχαλίς, τήν θείαν γάρ σου ημίν, εμφανίζεις, κάραν τήν υπόγαιον.

Πανηγυρίζουσα φαιδρώς, η ποθούσά σε πόλις, ευωχείται ώς όλβον, ευραμένη μυστικόν, καί κρήνην ανελλιπή, ιαμάτων Πρόδρομε τήν κάραν σου.

Θεοτοκίον

Τού θείου τόκου σου Αγνή, πάσαν φύσεως τάξιν, υπερβαίνει τό θαύμα, Θεόν γάρ υπερφυώς, συνέλαβες εν γαστρί, καί τεκούσα, μένεις αειπάρθενος.

Κάθισμα Ήχος δ'

Τό προσταχθέν μυστικώς

Ως εν ταμείω θησαυρός εναπόθετος, η τού Προδρόμου κεφαλή εφυλάττετο, εν υδρία κρυβείσα, η φωνή τού Λόγου, ως σίτος καταχωσθείσα εις βάθος γής, ανήκε καρποφορούσα θείαν ζωήν, Ταύτης πάντες τιμήσωμεν, τήν εύρεσιν, τόν Χριστόν, δοξάζοντες τόν δόντα αυτή, χάριν βρύειν ιάματα.

Δόξα... όμοιον

Τού βαπτιστού η κεφαλή κατεκρύπτετο, ως μαργαρίτης υπό γήν εν τή υδρία, καί ως λύχνος θεόφωτος αγλαϊζομένη, εκλάμπει θαυματουργούσα κόσμω παντί, ως όρθρος εξανατέλλων πανευπρεπής, τού Ηλίου ο Πρόδρομος, καί ανεσπέρω φωτί, μηνύων πάλιν ημίν, ίδε κραυγάζει ο Αμνός τού Θεού.

Καί νύν... Θεοτοκίον

Τό προσταχθέν μυστικώς λαβών εν γνώσει, εν τή σκηνή τού Ιωσήφ σπουδή επέστη, ο Ασώματος λέγων τή απειρογάμω ο κλίνας τή καταβάσει τούς ουρανούς, χωρείται αναλλοιώτως όλως εν σοί, όν καί βλέπων εν μήτρα σου, λαβόντα δούλου μορφήν, εξίσταμαι κραυγάζειν σοι, Χαίρε Νύμφη ανύμφευτε.

Ωδή δ' Ο Ειρμός

«Χριστός μου δύναμις, Θεός καί Κύριος, η σεπτή Εκκλησία θεοπρεπώς, μέλπει ανακράζουσα, εκ διανοίας καθαράς, εν Κυρίω εορτάζουσα».

Της πάλαι γέγονας, σφραγίς πανόλβιε, εμφανώς Διαθήκης καί Προφητών, πέρας εχρημάτισας, καί νυμφοστόλος δέ σεπτός, τής καινής εδείχθης Πρόδρομε.

Τριχίνοις ράκεσι, συνήθως Πρόδρομε, τήν τιμίαν ηνέσχου καί ευκλεή, Κάραν σου καλύπτεσθαι, βασιλικής αλουργίδος, ως εσθήτι αγαλλόμενος.

Τή αίγλη Πρόδρομε, τού θείου Πνεύματος, τήν τιμώσάν σε πόλιν διηνεκώς, πρέσβευε φαιδρύνεσθαι, καί εν τή σή σοφέ μνήμη, σύν Αγγέλοις επαγάλλεσθαι.

Θεοτοκίον

Νεκρόν με έδειξε, φυτού απόγευσις, τής ζωής δέ τό ξύλον εκ σού φανέν, Πάναγνε ανέστησε, καί Παραδείσου τής τρυφής, κληρονόμον με κατέστησε.

Ωδή ε'  Ο Ειρμός

«Τώ θείω φέγγει σου αγαθέ, τάς τών ορθριζόντων σοι ψυχάς, πόθω καταύγασον δέομαι, σέ ειδέναι Λόγε Θεού, τόν όντως Θεόν, εκ ζόφου τών πταισμάτων ανα καλούμενον».

Ουκ έφυς κάλαμος Βαπτιστά, ταίς πειραστικαίς τού δυσμενούς, αύραις αεί ριπιζόμενος, πύργος δέ τού θείου λαού ακράδαντος, δυνάμει Ηλιού γάρ ώφθης καί πνεύματι.

Ο τήν θεότητα αθετών, καί κατασμικρύνων τήν δόξαν, τού υπό σού βαπτισθέντος Χριστού, τήν τε θείαν χάριν σού νοσφιζόμενος, ενδίκως περιβόλων θείων απείργεται.

Αφθόνου ήνοιξας σύ πηγής, πύλην τοίς υμνούσί σε ημίν, πόθω αοίδιμε Πρόδρομε, χάριτος τής θείας βλυζούσης νάματα, καί ρείθρα ιαμάτων πάντας ευφραίνοντα.

Θεοτοκίον

Φορούσα κάλλος τό νοητόν, τής ωραιοτάτης σου ψυχής, νύμφη Θεού εχρημάτισας, κατεσφραγισμένη τή παρθενία Σεμνή, καί φέγγει τής αγνείας, κόσμον φαιδρύνουσα.

Ωδή ς'  Ο Ειρμός

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι, Ανάγαγε, εκ φθοράς τήν ζωήν μου Πολυέλεε».

Προφήτην σε έφησεν η αλήθεια Χριστός, καί Προφητών υπέρτερον, Βαπτιστά τε καί Πρόδρομε τής ζωής, αυτόν γάρ εώρακας, ον Προφήται καί νόμος προκατήγγειλαν.

Ουκ έφερε κρύπτεσθαι, τών θαυμάτων η πηγή, ο θησαυρός τής χάριτος, η αοίδιμος Κάρα σου Βαπτιστά, Προφήτα καί Πρόδρομε, αλλ' οφθείσα προχέει ιαμάτων πηγάς.

Πανόλβιον καύχημα, καί αγ λάϊσμα φαιδρόν, καί θυρεόν σωτήριον, η φιλόχριστος αύτη καί ευκλεής, προβάλλεται πόλις σου, τήν σεπτήν σου καί θείαν Κάραν Πρόδρομε.

Θεοτοκίον

Ο μέγας προέγραψεν, εν Προφήταις Μωϋσής, σέ κιβωτόν καί τράπεζαν, καί λυχνίαν καί στάμνον συμβολικώς, σημαίνων τήν σάρκωσιν τήν εκ σού τού Υψίστου Μητροπάρθενε.

## Κοντάκιον Ήχος β'
## Τά άνω ζητών

Προφήτα Θεου, καί Πρόδρομε τής χάριτος, τήν Κάραν τήν σήν, ως ρόδον Ιερώτατον, εκ τής γής ευράμενοι, τάς ιάσεις πάντοτε λαμβάνομεν, καί γάρ πάλιν ως πρότερον, εν κόσμω κηρύττεις τήν μετάνοιαν.

## Ο Οίκος

Εκ τού Κυρίου τήν μαρτυρίαν ειληφώς Ιωάννη, υπέρ πάντας βροτούς υπέρτερος εχρημάτισας, όθεν επαίνους τών εγκωμίων προσενέγκαι σοι δέδοικα, αλλά πόθω εκβιασθείς, τή ωδή εγχειρήσαι τετόλμηκα, διό μή απαξιώσης συνεργός μοι γενέσθαι Πανεύφημε, ίνα ισχύσω στεφανώσαί σου κορυφήν τήν αγίαν τρισόλβιε, καί γάρ σύ έν κόσμω κηρύττεις τήν μετάνοιαν.

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΔ' τού αυτού μηνός, Μνήμη τής ευρέσεως τής τιμίας κεφαλής τού Αγίου Προφήτου, Προδρόμου καί Βαπτιστού Ιωάννου.

## Στίχοι

- Εκ γής προφαίνει Πρόδρομος σεπτήν Κάραν,
- Καρπούς παραινών αξίους ποιείν πάλιν.
- Ο Βαπτίσας πρίν υδάτων πηγαίς όχλους,
- Γήθεν φανείς βάπτιζε πηγαίς θαυμάτων.
- Εικοστήν Προδρόμοιο φάνη Κάρη αμφί τετάρτην.

Ταίς τού σού Προδρόμου πρεσβείαις, ο Θεός ελέησον ημάς. Αμήν.

## Ωδή ζ' Ο Ειρμός

«Δροσοβόλον μέν τήν κάμινον ειργάσατο, Άγγελος τοίς Οσίοις Παισί, τούς Χαλδαίους δέ καταφλέγον πρόσταγμα Θεού, τόν τύραννον έπεισε βοάν, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών».

Τής Παρθένου ο βλαστός σε υπέρ άπαντας, έφη εν γεννητοίς γυναικών, ως γάρ άσαρκος καί ισάγγελος επί τής γής, αυτώ πεπολίτευσαι βοών, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Εν νηδύϊ τής Παρθένου τόν σκηνώσαντα, έγνως στειρωτικής εκ γαστρός, καί χρησάμενος, τή μητρώα Πρόδρομε φωνή, σκιρτών ανεκραύγαζες αυτώ, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Μεμακάρισται τώ όντι εν ταίς πόλεσιν, αύτη νύν παναοίδιμε, κτησαμένη σε, πολιούχον, Πρόδρομε Χριστού, διό εορτάζουσα βοά, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

## Θεοτοκίον

Διά σού Μήτερ Παρθένε φώς ανέτειλε, πάση τή οικουμένη φαιδρόν, τόν γάρ Κτίστην, σύ τών απάντων τέτοκας Θεόν, όν αίτησαι Πάναγνε ημίν,

καταπεμφθήναι τοίς Πιστοίς τό μέγα έλεος.

Ωδή η'  Ο Ειρμός

«Εκ φλογός τοίς Οσίοις δρόσον επήγασας, καί Δικαίου θυσίαν ύδατι έφλεξας, άπαντα γάρ δράς Χριστέ, μόνω τώ βούλεσθαι, Σέ υπερυψούμεν, εις πάντας τούς αιώνας».

Απεστάλη βοώντος φωνή ο Πρόδρομος, ταίς ερήμοις καρδίαις, τήν τού Υιού τού Θεού, πίστιν ευσεβή, εγκεντρίζων τού όντως Θεού, όν υπερυψούμεν, εις πάντας τούς αιώνας.

Ετοιμάσατε φάσκει καί νύν ο Πρόδρομος, τού Κυρίου τήν τρίβον, δι' αγιότητος, ούτος γάρ ελθών, σύν Πατρί καί τώ Πνεύματι, ταίς ημών καρδίαις, οικήσει εις αιώνας.

Τή φωνή ακοήν μέν τή τού Γεννήτορος, οφθαλμούς δέ τή θέα, τού θείου Πνεύματος, όλος δέ αφή, Ιωάννης ο Πρόδρομος, σέ χειροθετήσας, Χριστέ θεοφορείται.

Θεοτοκίον

Χρυσαυγής σε λυχνία προδιετύπωσε, δεξαμένην αφράστως, φώς τό απρόσιτον, γνώσει τή αυτού, καταυγάζον τά σύμπαντα, όθεν σε υμνούμεν, Αγνή εις τούς αίωνας.

Ωδή θ'  Ο Ειρμός

«Θεόν ανθρώποις ιδείν αδύνατον, όν ου τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ Πάναγνε ωράθη βροτοίς, Λόγος σεσαρκωμένος, όν μεγαλύνοντες, σύν ταίς ουρανίαις Στρατιαίς σέ μακαρίζομεν».

Σαφώς τής πλήρους δεκάδος Πρόδρομε, τών εντολών σύ φύλαξ εξ ισχύος γενόμενος, καταλλήλως πρός Χριστού τετίμησαι, χαρισμάτων δεκάδι, όθεν τού Λόγου σε μύστην τε καί φίλον νύν ειδότες, σέ μακαρίζομεν.

Χριστού προφήτης τε καί Απόστολος, Αγγελός τε καί Πρόδρομος τής θείας σαρκώσεως, Βαπτιστής καί Ιερεύς καί Μάρτυς πιστός, κήρυξ τε τοίς εν Άδου, σύ εχρημάτισας, καί τοίς παρθενεύουσι κανών, καί τής ερήμου βλαστός.

Ψυχής τό άπιστον δειγματίζεται, Ιερουργού χειρός νενεκρωμένης τώ θαύματι, βλαστησάσης αύθις διά τής πίστεως, σής γάρ εκφανθείσης Κάρας Μακάριε, η καταποθείσα παλάμη ανακαινίζεται.

Θεοτοκίον

Παθών ιάματα αρυσώμεθα, τώ ευκλεεί τεμένει τού Προδρόμου προστρέχοντες, εν αυτώ γάρ πάρεισιν Αγγέλων χοροί, πνεύματά τε δικαίων, πάντων η Δέσποινα, σύν τώ Βαπτιστή, Ιωάννη ιάσεις νέμουσα.

Εξαποστειλάριον

Τοίς Μαθηταίς συνέλθωμεν

Λαμπροφανής ανέτειλεν, η τιμία σου Κάρα, εκ τών αδύτων κόλπων γής, Πρόδρομε Ιωάννη, λύχνε φωτός τού αύλου, ής τήν εύρεσιν πόθω, τελούντες δυσωπούμέν σε, τών δεινών ευρείν λύσιν, καί τόν καιρόν, ευμαρώς ανύσαι τής εγκρατείας, πρεσβείαις σου πανεύφημε, Βαπτιστά τού Σωτήρος.

Θεοτοκίον

Ψυχαγωγείται Πάναγνε, τών πιστών η θεόφρων, ομήγυρις λατρεύουσα, καί πιστώς ανυμνούσα, σέ Θεοτόκον κυρίως, ταίς πρεσβείαις σου όθεν, τών νηστειών τόν δίαυλον, δός ημίν εκτελέσαι, θεοπρεπώς, καί Σταυρόν τόν τίμιον προσκυνήσαι, καί πάθη τά σωτήρια, τού Υιού καί Θεού σου.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν τρία Στιχηρά Προσόμοια, δευτερούντες τό πρώτον.

Ήχος δ'

Έδωκας σημείωσιν

Ήνοιξε προπύλαια, τής εγκρατείας η πάνσεμνος, κεφαλή σου Πανεύφημε, καί τρυφήν προέθηκεν, ηδυτάτην πάσι, θείων χαρισμάτων, ών περ μετέχοντες πιστώς, τό τής νηστείας τραχύ γλυκαίνομεν, καί πίστει ευφημούμέν σε, καί εκβοώμεν Χριστώ τώ Θεώ, Ιησού παντοδύναμε, ο Σωτήρ τών ψυχών ημών. (Δίς)

Μύρα ώσπερ νάματα, η κεφαλή αποστάζουσα, τού Προδρόμου αέναα, καί τραπέζη σήμερον, αποτεθειμένη, μυστική καί θεία, ευωδιάζει νοητώς, καί άηδίαν ελαύνει θλίψεων, καί ευφροσύνης άπαντας, πληροί τούς πόθω κραυγάζοντας, Ιησού παντοδύναμε, ο Σωτήρ τών ψυχών ημών.

Έτεμεν η Κάρα σου, καθάπερ ξίφος τομώτατον, κεφαλάς ανομούντων εχθρών, καί νάματα έβλυσεν, ευνομούσι πάσι, τών θείων χαρίτων, καί διά τούτό σε πιστώς, ανευφημούμεν φίλον καί Πρόδρομον, Ιωάννη τού Κτίσαντος, καί εκβοώμεν αυτώ εκτενώς, Ιησού παντοδύναμε, ο Σωτήρ τών ψυχών ημών.

Δόξα... Ήχος πλ. β'

Τήν πανσεβάσμιον Κάραν, τού Βαπτιστού σου Κύριε, φανερωθείσαν σήμερον εκ γής, μετά φωνής αινέσεως, αρυσάμενοι πιστώς, εις πρεσβείαν φιλάνθρωπε, οι επταικότες δούλοί σου, προσάγοντες αιτούμεθα, δι' αυτής επιτυχείν εν ημέρα κρ ίσεως, παρά σού τόν ιλασμόν καί τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Τριήμερος ανέστης Χριστέ

Φιλάγαθε Θεέ καί Σωτήρ, τούς δούλους σου περίσωζε, από πάσης, περιστάσεως δεινής, πρεσβείαις τού Προδρόμου, καί πάντων τών Αγίων, καί τής Μητρός σου ταίς εντεύξεσιν.

Εις τόν Στίχον, τό Ιδιόμελον τής ημέρας δίς, καί τό Μαρτυρικόν. Είτα.

Δόξα... Ήχος πλ. β'

Η πρώην επί πίνακι, τό τού Ηρώδου άθεσμον μύσος ελέγξασα, τήν δέ μετάνοιαν πάσι κηρύξασα πιστοίς, τιμία κεφαλή τού Βαπτιστού σου Κύριε, εκ τών ταμείων τής γής αναφανείσα, πρόκειται τοίς Πιστώς προσιούσιν αυτή, καί απτομένοις εν φόβω, καί προσκυνούσι πόθω ψυχής, βραβευομένη λύσιν πταισμάτων, καί αιτημάτων παρέχει τά σωτήρια, καί τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Θεοτόκε, σύ εί η άμπελος η άληθινή.

Τό, Αγαθόν τό εξομολογείσθαι τώ Κυρίω.

Ποιούμεν δέ μετανοίας μεγάλας τρείς.

Συνάπτομεν δέ καί τήν πρώτην ώραν, καί τάς λοιπάς εφεξής, λέγοντες εν αυταίς Απολυτίκιον καί Κοντάκιον τού Προδρόμου.

---

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν Στιχολογίαν τών, Πρός Κύριον, εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ι' καί ψάλλομεν τό Ιδιόμελον τής ημέρας δίς, καί τό Μαρτυρικόν, καί τά Προσόμοια τού Τριωδίου, είτα τού Αγίου τά παρόντα γ'.

Ήχος β'

Ότε εκ τού ξύλου σε νεκρόν

Δεύτε τήν τιμίαν κεφαλήν, τήν αποτμηθείσαν τώ ξίφει, τού Βαπτιστού οι πιστοί, σήμερον τιμήσωμεν, εν τή ευρέσει αυτής, υπαντώντες εν ά σμασι, τιμώντες εκ πόθου, χάριτας προχέουσαν, τών ιαμάτων ημίν, ήν περ, ο ληρώδης Ηρώδης, πάλαι προαπέτεμεν οίστρω, τή Ηρωδιάδι συμπλεκόμενος. (Δίς)

Ως περ εκ μετάλλων ο χρυσός, ούτως εκ τής γής τού Προδρόμου, η κεφαλή δα δουχεί, στάμνω διαλάμπουσα, καί Φθεγγομένη τρανώς, τού Ηρώδου ελέγχουσα, μοιχείαν καί φόνον, αίγλη τε φωτίζουσα, τάς διανοίας ημών, ήν περ, ασπαζόμενοι πίστει, σήμερον τιμήσωμεν ύμνοις, ως υπέρ ημών Θεώ πρεσβεύουσαν.

Πάλαι ώσπερ θείος θησαυρός, στάμνω κεκρυμμένη η Κάρα, τού Βαπτιστού εν τή γή, σήμερον τοίς πέρασιν, αποκαλύπτεται, ώσπερ πλούτος προχέουσα, πηγάς ιαμάτων, νόσους θεραπεύουσα, ψυχάς φωτίζουσα, όθεν θυμηδίας απάσης, χάριν απολαύοντες ύμνοις, ταύτην ευλαβώς εγκωμιάσωμεν.

Δόξα... Ήχος β'

Η τών θείων εννοιών πανσεβάσμιος θήκη, καί τής αρρήτου ουσίας, Τρανώς η προβλέψασα, τό μυστήριον Κάρα σου, ως εκ λαγόνων μητρικών, εκ τών

ταμείων τής γής, σήμερον ανατέταλκεν, Ιωάννη πανεύφημε, καί ευωδίασε πάσαν τήν υφήλιον, αγιασμού προχέουσα μύρον, καί νοητώς κηρύττουσα μετανοίας οδόν, καί τώ Σωτήρι τών όλων πρεσβεύουσα, υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον
Ότε εκ τού ξύλου σε

Φόβος πολυτρόπων πειρασμών, καί τών αναγκών καταιγίδες, νύν με χειμάζουσι, καί βυθός καλύπτει με, τής απογνώσεως, ο χειμών τών πταισμάτων μου, δεινώς με ταράττει, πρόφθασον καί λύτρωσαι κλυδωνιζόμενον, μόνη τών πιστών η γαλήνη, καί πρός τόν λιμένα τής άνω, θείας κληρουχίας με εισάγαγε.

Η Σταυροθεοτοκίον

Πόνους υπομείνασα πολλούς, εν τή τού Υιού καί Θεού σου, σταυρώσει Άχραντε, έστενες δακρύουσα, καί ολολύζουσα, Οίμοι τέκνον γλυκύτατον! αδίκως πώς πάσχεις; πώς τώ ξύλω κρέμασαι, ο πάσαν γήν εκπληρών; όθεν, Παναγία Παρθένε, σέ παρακαλούμεν εν πίστει, ίλεων ημίν τούτον απέργασαι.

Είσοδος μετά τού Ευαγγελίου, τό, Φώς ιλαρόν, τό Προκείμενον, καί τά Αναγνώσματα τής ημέρας, τό, Κατευθυνθήτω, καί ευθύς τό Προκείμενον τού Αποστόλου, τό, Αλληλούϊα, καί τό Ευαγγέλιον, καί καθεξής η θεία Λειτουργία τών Προηγιασμένων.

Εισερχόμενοι δέ εις τήν τράπεζαν, καταλύομεν έλαιον καί οίνον, άνευ τής πρώτης εβδομάδος.

---

Αρχή

## ΤΗ ΚΕ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού εν Αγίοις Πατρός ημών Ταρασίου, Αρχιεπισκόπου Κωνσταντινουπόλεως.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'
Τών ουρανίων ταγμάτων

Υπέρ τό ζήσαι Παμμάκαρ θανείν προθέμενος, τήν τού Χριστού εικόνα, προσκυνεισθαι προστάττεις, καί πάντων τών Αγίων, όθεν λοιπόν αιρετιζόντων τά στόματα, Δαυϊτικώς ενεφράγη, κατά Θεού, τών λαλούντων αδικίαν πολλήν.

Φιλαργυρίας τήν νόσον αποσεισάμενος, τόν θησαυρόν τής άνω, βασιλείας εκτήσω, Όσιε θεόφρον, όθεν πιστώς, η σορός τών λειψάνων σου, τοίς προσιούσι παρέχει θεοπρεπώς, τά ιάματα αοίδιμε.

Ταίς εντολαίς τού Κυρίου πολιτευόμενος, υπογραμμός εδείχθης, τώ ποιμνίω σου Πάτερ, Ταράσιε τρισμάκαρ, όθεν καί νύν, ταίς διδαχαίς σου φρουρούμεθα, αλλά μή παύση πρεσβεύων υπέρ ημών, τών τήν μνήμην σου τελούντων φαιδρώς.

Τόν αληθή Ιεράρχην, καί λειτουργόν τού Χριστού, ως παρ αυτού λαβόντα, τήν τού Πνεύματος χάριν, τιμήσωμεν αξίως Ταράσιον νύν, τόν σοφόν αρχιποίμενα, ως παρρησίαν γάρ έχων πρός τόν Θεόν, ικετεύει τού σωθήναι ημάς.

Δόξα... Καί νύν… Θεοτοκίον

Επί τήν σήν ευσπλαγχνίαν, προστρέχω πάντοτε, επί τούς σούς προσφεύγω, οικτιρμούς καθ' εκάστην, υμνών καί ευλογών σε, καί τήν πολλήν, ανοχήν εκπληττόμενος, τού σού Υιού επί πάσί μου τοίς κακοίς, ήν ενδείκνυται Θεόνυμφε.

Η Σταυροθεοτοκίον

Αναρτηθέντα ως είδεν, επί Σταυρού τόν Αμνόν, η άμωμος Παρθένος, θρηνωδούσα εβόα, Γλυκύτατόν μου Τέκνον, τί τό καινόν καί παράδοξον θέαμα; πώς ο κατέχων τά πάντα εν τή χειρί, επί ξύλου προσηλώθης σαρκί;

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, αναγινώσκεται ο Κανών, ού η ακροστιχίς.

Χαίρων γεραίρω Ταράσιον τόν μέγαν.

Εν δέ τοίς Θεοτοκίοις

Γεωργίου

Ωδή α' Ήχος δ' Ο Ειρμός

«Ανοίξω τό στόμα μου, καί πληρωθήσεται Πνεύματος, καί λόγον ερεύξομαι, τή Βασιλίδι Μητρί, καί οφθήσομαι, φαιδρώς πανηγυρίζων, καί άσω γηθόμενος, ταύτης τά θαύματα».

Χαρίτων τού Πνεύματος, οι ποταμοί προχεόμενοι, εν τή μνήμη σήμερον, τού Ιεράρχου Χριστού, Καταρδεύουσι, Πιστών τάς διανοίας, καί πάθη εκπλύνουσι, καί μολυσμούς τών ψυχών.

Άνωθεν δεξάμενος, ιερωσύνης τό ένδυμα, αρεταίς εφαίδρυνας, τούτο Ταράσιε, καί υπέρλαμπρος, φωστήρ εν Ιερεύσιν, εδείχθης εν Πνεύματι, ιερουργών τώ Χριστώ.

Ίδρυσας Ταράσιε, ορθοδοξίας εις άσειστον, πέτραν τήν διάνοιαν, σαλευομένην βροτών, καί εδόνησας, θεμέλια τής πλάνης, καί τάς τών

αιρέσεων, βάσεις κα τέβαλες.

Θεοτοκίον

Γαλήνης επλήρωσε, τής νοητής Θεονύμφευτε, τήν κτίσιν ο αρρήτως, εκ σού τεχθείς εν σαρκί, καί κατηύγασε, τόν κλύδωνα τής πλάνης, καί εις όρμον ίθυνεν ήμας ουράνιον.

Ωδή γ' Ο Ειρμός

«Τούς σούς υμνολόγους Θεοτόκε, ως ζώσα καί άφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικόν στερέωσον, καί εν τή θεία δόξη σου, στεφάνων δόξης αξίωσον».

Γραφής εις βυθόν τής θεοπνεύστου, εισδύσας Ταράσιε σοφέ, εντεύθεν τόν πολύτιμον, μαργαρίτην ανείλκυσας, όν μεταδούς τή ποίμνη σου, ταύτην ενθέως κατεπλούτισας.

Έσβεσας τοίς όμβροις τών δακρύων, τό πύρ ηδονών τών σαρκικών, καί διανήψας Όσιε, τήν ψυχικήν λαμπάδα σου, ελαίω καθαρότητος, καί ευποιϊας κοσμησθείσαν φαιδρώς.

Ράβδω τών ενθέων σου δογμάτων, τούς θήρας σοφέ τής τού Χριστού, απήλασας Μακάριε, ποίμνης ταύτην αλώβητον, διατηρών Ταράσιε, τόν Αρχιποίμενα δοξάζουσαν.

Θεοτοκίον

Ως κλίμακα γήθέν σε Παρθένε, ο Κτίστης προθέμενος βροτοίς, καί κατωτάτων θλίψεων, καί εκ φθοράς πρός άφθαρτον, ζωήν ταίς ικεσίαις σου, αναβιβάζει τούς υμνούντάς σε.

Κάθισμα Ήχος πλ. δ'

Την Σοφίαν καί Λόγον

Κατά παθών βασιλεύσας τών τής σαρκός, Ιεράρχης εχρίσθης θεοπρεπώς, καί τήν βασιλεύουσαν, ορθοδόξως εποίμανας, απελάσας θήρας, αιρέσεων θεόπνευστε, τήν τών σεπτών εικόνων, τρανώσας προσκύνησιν, όθεν μετά τέλος, ατελεύτητον χάριν, αξίως κεκλήρωσαι, Ιεράρχα Ταράσιε, Διά τούτο βοώμέν σοι, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα… Καί νύν… Θεοτοκίον

Ως Παρθένον καί μόνην εν γυναιξί,, σέ ασπόρως τεκούσαν Θεόν σαρκί, πάσαι μακαρίζομεν, γενεαί τών ανθρώπων, τό γάρ πύρ εσκήνωσεν, εν σοί τής θεότητος, καί ώς βρέφος θηλάζεις, τόν Κτίστην καί Κύριον, όθεν τών Αγγέλων, καί ανθρώπων τό γένος, αξίως δοξάζομεν, τόν Πανάγιον Τόκον σου, καί συμφώνως βοώμέν σοι, Πρέσβευε τώ σω Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς ανυμνούσιν αξίως, τήν δόξαν σου Άχραντε.

Η Σταυροθεοτοκίον

Τόν Αμνόν καί Ποιμένα καί Λυτρωτήν, η Αμνάς θεωρούσα εν τώ Σταυρώ,

ωλόλυζε δακρύουσα, καί πικρώς εκβοώσα, Ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήν περ υπομένεις, διά σπλάγχνα ελέους, Μακρόθυμε Κύριε, τού ελέους η άβυσσος, καί πηγή αγαθότητος, σπλαχνίσθητι καί δώρησαι ούν, τών πταισμάτων άφεσιν τοίς δούλοις σου, τοίς ανυμνούσί σου πίστει, τά θεία παθήματα.

Ωδή δ' Ο Ειρμός

«Τήν ανεξιχνίαστον θείαν βουλήν, τής εκ Παρθένου σαρκώσεως, σού τού Υψίστου, ο προφήτης Αββακούμ, κατανοών εκραύγαζε, Δόξα τη δυνάμει σου Κύριε».

Άρτον προβαλλόμενος τόν ψυχικόν, έθρεψας πεινώντας Ταράσιε, λόγοις ενθέοις καί προτέθεικας σαυτόν, τοίς δεομένοις τράπεζαν, άφθονον τροφήν επιφέρουσαν.

Ιλύν αποθέμενος Πάτερ σοφέ, τήν επιπροσθούσαν τοίς όμμασι, τής διανοίας, ταίς αγρύπνοις προσευχαίς, τής νοητής επέτυχες, Θεού θεωρίας Ταράσιε.

Ρώμη τών δογμάτων σου Πάτερ σοφέ, όρη εσαλεύθη αιρέσεων, καί ασεβείας, κατεβλήθησαν βουνοί, καί ασαλεύτως ίδρυνται, οι τής Εκκλησίας θεμέλιοι.

Θεοτοκίον

Ρώμην περιβέβληται η τών βροτών, φύσις ασθενήσασα πρότερον, τή παραβάσει, εν τώ τόκω σου Αγνή, καί τού εχθρού η τύραννος, δύναμις εις τέλος ησθένησεν.

Ωδή ε' Ο Ειρμός

«Εξέστη τά σύμπαντα, επί τή θεία δόξη σου, σύ γάρ απειρόγαμε Παρθένε, έσχες εν μήτρα τόν επί πάντων Θεόν, καί τέτοκας άχρονον Υιόν, πάσι τοίς υμνούσί σε, τήν ειρήνην βραβεύουσα».

Τού λόγου τή σύριγγι, τήν ποίμνην σου Ταράσιε, επί τάς νομάς τής ευσεβείας, καί επί ύδωρ τής θείας γνώσεως, καί είς τάς επαύλεις τού Χριστού, ίθυνας άλώβητον, ταύτην τηρών πρεσβείαις σου.

Άρματι χρησάμενος, τών αρετών Ταράσιε, δι' αυτών πρός ύψος θεωρίας, ανεβιβάσθης καί τά αθέατα, είδες διανοίας οφθαλμοίς, κάλλη τού Δεσπότου σου, ών νοϊ κατετρύφησας.

Ρείθρον τήν προαίρεσιν, ελέου ανεξάντλητον, έχων Ιεράρχα δεομένοις, τής ευποιΐας τούς αενάους κρουνούς, έβλυσας, διό σε ο Χριστός, πρός ύδωρ αείζωον, καί τρυφήν κατεσκήνωσε.

Θεοτοκίον

Γένος τό ανθρώπινον, τήν πρώην ωραιότητα, καί τό ευπρεπές καί κατ' εικόνα, δι' αμαρτίαν απεκδυσάμενον, ταύτα περιβάλλεται Αγνή, διά τής κυήσεως, τής

σής θεοειδέστερα.

Ωδή ς'  Ο Ειρμός

«Ήλθον εις τά βάθη τής θαλάσσης, καί κατεπόντισέ με, καταιγίς πολλών αμαρτημάτων, αλλ' ως Θεός, εκ βυθού ανάγαγε, τήν ζωήν μου πολυέλεε».

Απάρας τό κάλυμμα θεόγρον, αιρετικών καρδίαις, τό εγκείμενον τής αγνωσίας, τήν αληθή, τών δογμάτων Όσιε, πάσι γνώσιν εφανέρωσας.

Σύ πυρφόροις λόγοις Ιεράρχα, τάς ακανθώδεις φλέξας δυσφημίας τών αιρετιζόντων, τόν φωτισμόν, τών ορθών δογμάτων σου, εν τοίς πέρασιν εφήπλωσας,

Ισχύν εκ Θεού διεζωσμένος, τή νοητή μαχαίρα, τών δογμάτων σου Ιερομύστα, τάς κεφαλάς, τάς τού ψεύδους έτεμες, διαγγέλλων τήν αλήθειαν.

Θεοτοκίον

Ιδείν οφθαλμοίς τής διανοίας, τήν νοητήν σου δόξαν, καταξίωσον Θεογεννήτορ, τούς τά σεπτά, προσκυνούντας σύμβολα, τής αφθόρου σου κυήσεως.

Κοντάκιον  Ήχος δ'
Επεφάνης σήμερον

Ώσπερ μέγας ήλιος, ταίς τών δογμάτων, καί θαυμά, των λάμψεσι, φωταγωγείς διαπαντός, τής οικουμένης τό πλήρωμα, ουρανομύστα, παμμάκαρ Ταράσιε.

Ο Οίκος

Τήν σκοτισθείσάν μου ψυχήν τώ σκότει τών πταισμάτων, φωτί τού σού ελέους καταύγασον Σωτήρ μου, καί λογισμόν επ' άγαθοίς δώρησαί μοι Χριστέ μου, εκκαθάρας τήν αχλύν τών φαύλων ενθυμήσεων, ίν' όπως κατ' αξίαν ισχύσω τόν σόν Ιεράρχην ανυμνήσαι, καί φθάσαι τόν βίον, καί τάς πράξεις τάς λαμπράς, καί τήν ένθεον πίστιν, καί τόν ζήλον, όν υπέρ τής σής εκτήσατο, Εκκλησίας, ήτις κατά χρέος αυτόν ευφημούσα κραυγάζει, Ουρανομύστα, παμμάκαρ Ταράσιε.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΕ' τού αυτού μηνός, Μνήμη τού εν Αγίοις Πατρός ημών Ταρασίου αρχιεπισκόπου Κωνσταντινουπόλεως.

Στίχοι

- Άκλειστος όρμος Ταράσιον λαμβάνει,
- Κόσμου ταραχής, καί ζάλης σεσωσμένον.
- Εικάδι εκ ταράχοιο Ταράσιος έπτατο πέμπτη.

Τή αυτή ημέρα, ο Άγιος Αλέξανδρος ξίφει τελειούται.

Στίχοι

- Τόν Αλέξανδρον δίσκος είδεν ηλίου,
- Υπέρ Χριστού τμηθέντα, δόξης Ηλίου.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου ιερομάρτυρος Ρηγίνου, επισκόπου Σκοπέλου.

Στίχοι

- Ασειτος εί Ρηγίνε τήν προθυμίαν,
- Κάν δεινόν ενσείσωσι πυκνά σοι ξίφη.

Τή αυτή ημέρα, ο Άγιος Αντώνιος πυρί τελειούται.

Στίχοι

- Ενθέντες Αντώνιον εις πύρ οι πλάνοι,
- Έψουσιν όψον νόστιμον τώ Κυρίω.

Τή αυτή ημέρα, ο Άγιος Θεόδωρος, ο διά Χριστόν σαλός, εν ειρήνη τελειούται.

Στίχοι

- Εκων αμείψας, ώς ο Δαυϊδ, τάς φρένας,
- Βίον διέδρας, ου τόν Αγχούς παμμάκαρ.

Τή αυτή ημέρα, ο Άγιος Μάρτυς Μάρκελλος, Επίσκοπος Απαμείας τής Κύπρου, ξίφει τελειούται.

Στίχοι

- Σπένδεις Θεώ, Μάρκελλε, θερμώ τώ πόθω,
- Θερμούς σταλαγμούς αιμάτων εξ αυχένος.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ’  Ο Ειρμός

«Ουκ ελάτρευσαν τή κτίσει οι θεόφρονες, παρά τόν κτίσαντα, αλλά πυρός απειλήν, ανδρείως πατήσαντες, χαίροντες έψαλλον, υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί».

Οι κρατήρες τών δογμάτων σου πληρούμενοι, οίνου τής χάριτος, πόμα ημίν νοητόν, Πάτερ τό τής γνώσεως, πασιν εκέρασαν, τοίς κραυγάζουσιν, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Νέφη ήλαισας τή πνεύσει τών δογμάτων σου, τά τών αιρέσεων, τής Εκκλησίας Χριστού, καί αίγλη Ταράσιε, ορθοδοξίας αυτήν, κατεφαίδρυνας, τώ Φωτοδότη κράζουσαν, ο Θεός ευλογητός εί.

Τήν ακένωτον θεόθεν εισδεξάμενος, χάριν Ταράσιε, τροφήν ψυχών δαψιλώς, καί σωμάτων έβλυσας, τοίς ενδεέσι σοφέ, διά τούτό σε, ως σιτοδότην άφθονον, οι πιστοί ανευφημούμεν.

Θεοτοκίον

Ο αχώρητος τή φύσει τής θεότητος, καί, απερίγραπτος, Λόγος Θεού γεννηθείς, εκ σού σαρκί Πάναγνε, καί παναμώμητε, προσιτός εστι, καί εν εικόνι γράφεται, ως σαφώς ενανθρωπήσας.

Ωδή η’ Ο Ειρμός

«Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν, Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Όλον τής σαρκός σου τό γεώδες, άπέθου εγκρατείας πόνοις Ταράσιε, καί βίον ισάγγελον, επί γής διήνυσας, διό τών Ασωμάτων σε, χοροί εδέξαντο, απαύστως εκβοώντα τώ Κτίστη, Σέ υπερυψούμεν, εις πάντας τούς αιώνας.

Νάμασι Χριστού τήν Εκκλησίαν, δογμάτων Ιεράρχα όλην κατήρδευσας, καί τά θεία σπέρματα, τού Αγίου Πνεύματος, έν ταύτη εγεώργησας, καί επλεόνασας, διό καρποφορούσα κραυγάζει, Σέ υπερυψούμεν, Χριστέ εις τούς αιώνας.

Μύρω νοητώ τού Παρακλήτου, χρισθείς ως Ιερεύς Πάτερ Ταράσιε, τής ιερουργίας σου, τήν στολήν εποίκιλας, τών αρετών τοίς χρώμασι, καί ταίς λαμπρότησι, διό καί ιερούργεις Κραυγάζων, σέ υπερυψούμεν, Χριστέ εις τούς αιώνας.

Θεοτοκίον

Υπό τής αυτού φιλανθρωπίας, καί μόνης ευσπλαγχνίας τε καί αγαθότητος, τού Πατρός ο σύνθρονος, Λόγος δυσωπούμενος, εκ σού σαρκί γεγέννηται, θεοχαρίτωτε, ίνα τήν γεωθείσαν ανθρώπων, φύσιν ουρανώση, ως μόνος Ευεργέτης.

Ωδή θ' Ο Ειρμός

«Άπας γηγενής, σκιρτάτω τώ πνεύματι λαμπαδουχούμενος, πανηγυριζέτω δέ, αϋλων νόων φύσις γεραίρουσα, τήν ιεράν πανήγυριν τής Θεομήτορος, καί βοάτω, Χαίροις παμμακάριστε, Θεοτόκε αγνή αειπάρθενε».

Έμπνους ως εικών, καί στήλη Ταράσιε ζώσα προκείμενος, αρετών καί πίστεως, βοάς απαύστως έργοις καί λόγοις σοφέ, καί πρός οικείαν μίμησιν, πάντας προτρέπεις πιστούς, διά τούτο, μνήμη αθανάτω σε, οι πρός σέ αφορώντες γεραίρουσι.

Γνώσιν αληθή, πλουτίσας τήν ποίμνην σου, Πάτερ Ταράσιε, απειθείς εγύμνωσας, τής ψευδωνύμου γνώσεως Όσιε, καί απορούντας έδειξας, καί πενομένους αυτούς, διά τούτο, αληθείας κήρυκα, οι Πιστοί σε αξίως δοξάζομεν.

Άρας πρός Θεόν, τάς χείρας καί όμματα, Πάτερ Ταράσιε, νοητούς κατέβαλες,

καί αοράτους καί πολεμίους εχθρούς, καί ετρωπώσω φάλαγγας, τάς τών αιρέσεων, καί τήν ποίμνην, τού Χριστού αλώβητον, ορθοδοξίας εις γήν διεβίβασας.

Θεοτοκίον

Νέφη τών παθών, Αγνή καί τών θλίψεων διασκεδάσασα, αίγλη ευφροσύνης σου, καί θυμηδίας ημάς κατάλαμψον, καί τής ειρήνης αίτησαι, τόν φωτοδότην Χριστόν, εναυγάσαι, πάντας τούς υμνούντάς σε, καί τή θεία σου σκέπη περίσωζε.

Εξαποστειλάριον

Τοίς Μαθηταίς

Θεουργικαίς ελλάμψεσι, τών εν σοί χαρισμάτων, καταφαιδρύνεις πάνσοφε, τήν Χριστού Εκκλησίαν, Ταράσιε Θεοκήρυξ, τώ γάρ κρείττονι Πάτερ, τό χείρον δουλωσάμενος, θείον έσοπτρον ώφθης, τής τριφεγγούς, καί σεπτής θεότητος Ιεράρχα, υφ’ ής καταλαμπόμενος, φρυκτωρείς, κόσμον όλον.

Θεοτοκίον

Γνώμην βουλήν καί σύνεσιν, νούν καρδίαν καί σώμα, ψυχήν καί άπαν κίνημα, ενεργείας ενθέου, εις σέ εθέμην Παρθένε, σύ με φρούρει καί σκέπε, εξ αοράτων Δέσποινα, καί εχθρών ορωμένων, τό πονηρόν, τών αμαρτιών μου λύουσα χρέος, ως Θεομήτωρ πάντα γαρ, όσα θέλεις ανύεις.

Καί η λοιπή Ακολουθία τού Όρθρου, κατά τήν τάξιν, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Πορφυρίου, Επισκόπου Γάζης.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'  Τών ουρανίων ταγμάτων

Τοίς τών δακρύων σου ρείθροις, Μάκαρ Πορφύριε, τόν τής ψυχής καθάρας, ρύπον έσβεσας φλόγα, παθών τής αμαρτίας, καί τήν στολήν, εν πορφύρα χρωννύμενος, εν ουρανίοις πολεύη διά παντός, εις αιώνας αγαλλόμενος.

Ορθοδοξίας εμπρέπων, θείοις υψώμασιν, Αρχιερέων κλέος, τή λυχνία ετέθης, άξιος εργάτης, μισθόν αληθώς, τών σών πόνων δρεπόμενος, καί διά τούτο χαρίσματα εκ Θεού, εκομίσω Παμμακάριστε.

Ο μυστιπόλος τής κάτω, φρικτής τραπέζης εκεί, εν ουρανοίς Κυρίω, τήν θυσίαν προσφέρει, τήν άϋλον καί θείαν, αϋλως αεί, εποπτεύων ημάς ταίς αυτού, πρός τήν αγίαν Τριάδα πρεσβυτικαίς, ικεσίαις ο Πορφύριος.

Δόξα… Καί νύν... Θεοτοκίον

Παραπτωμάτων πελάγει κλυδωνιζόμενος, τώ γαληνώ λιμένι, τής αχράντου

πρεσβείας, τής σής Θεοκυήτορ, προσπεφευγώς, ανακράζω σοι, Σώσόν με, τήν κραταιάν σου ορέξασα δεξιάν, τώ οικέτη σου Πανάμωμε.

Η Σταυροθεοτοκίον

Ιδού κατείδον ρομφαίαν, τήν διελθούσάν μου, νύν τήν καρδίαν Τέκνον, ως προείπόν μοι πάλαι, ότε σε εώρων, πάντων υιών, γηγενών ωραιότερον, τώ γάρ Σταυρώ εκουσίως μετά ληστών, ως κακούργος απηώρησαι.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, λέγομεν τόν Κανόνα, ού η ακροστιχίς.

Τό πορφυρίζον Ποιμένων άνθος σέβω. Ιωσήφ.

### Ωδή α' Ήχος πλ. δ' Ο Ειρμός

«Άσωμεν τώ Κυρίω, τώ διαγαγόντι τόν λαόν αυτού, εν Ερυθρά θαλάσση, ότι μόνος ενδόξως δεδόξασται».

Ταύτην τήν φωτοφόρον, μνήμην σου γεραίροντι Πορφύριε, φωτοφόρον μοι αίγλην, ουρανόθεν δοθήναι ικέτευε.

Όλον από σπαργάνων, σεαυτόν Κυρίω προσανέθηκας, καί αυτώ εκολλήθης, καί ψυχή καί καρδία Πορφύριε.

Πάθη προθανατώσας, πάντα δι' σκήσεως Πορφύριε, Ιερεύς ανεδείχθης, τού ζωής καί θανάτου δεσπόζοντος.

Θεοτοκίον

Όμβρον εισδεξαμένη, σού εν τή νηδΰϊ τόν ουράνιον, Θεοτόκε Παρθένε, αμαρτίας τούς όμβρους εξήρανας.

### Ωδή γ' Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Ράβδω τών δογμάτων σου, επί νομάς ζωής Όσιε, τήν ιεράν, Ποίμνην σου ποιμάνας, τώ Θεώ ευηρέστησας.

Φέγγει θείας γνώσεως, τούς εν νυκτί δεινών Όσιε, φωταγωγών, έδειξας ημέρας, κοινωνούς διά πίστεως.

Ύψει διαπρέποντα, τών αρετών Θεός τέθεικεν, εν υψηλή, Πάνσοφε λυχνία, τούς Πιστούς καταυγάζοντα.

Θεοτοκίον

Ρύσαι με πρεσβείαις σου, τών τού εχθρού βελών Άχραντε, καί λογισμών, τών επεμβαινόντων, αφειδώς τή καρδία μου.

Κάθισμα  Ήχος δ’
Ταχύ προκατάλαβε
Εν πέτρα τής πίστεως, ερηρεισμένος σοφέ, τήν πέτραν επόθησας, ήν είδε πρίν Δανιήλ, Χριστόν τόν Θεόν ημών, ύψωσας τήν φωνήν σου, καί τόν νούν πρός τόν Κτίστην, έβαλες τούς οχλούντας, τή σαρκί πολεμίους, τή σή σφενδόνη Γάζης ο σεπτός, πρόβολος Πάτερ Πορφύριε.
Δόξα… Καί νύν… Θεοτοκίον
Εκαίνισας Άχραντε, τώ θείω τόκω σου, φθαρείσαν τοίς πάθεσι, τών γηγενών τήν θνητήν, ουσίαν καί ήγειρας, πάντας εκ τού θανάτου, πρός ζωήν αφθαρσίας, όθεν σε κατά χρέος, μακαρίζομεν πίστει, Παρθένε δεδοξασμένη, ως Προεφήτευσας.
Η Σταυροθεοτοκίον
Παρθένε πανάμωμε, Μήτηρ Χριστού τού Θεού, ρομφαία διήλθέ σου, τήν παναγίαν ψυχήν, ηνίκα σταυρούμενον, έβλεψας εκουσίως, τόν Υιόν καί Θεόν σου, όν περ ευλογημένη, δυσωπούσα μή παύση, συγχώρησιν πταισμάτων ημίν δωρήσασθαι.

Ωδή δ'  Ο Ειρμός
«Εισακήκοα Κύριε, τής οικονομίας σου τό μυστήριον, κατενόησα τά έργα σου, καί εδόξασά σου τήν θεότητα».

Ισουργόν τώ Γεννήτορι, Λόγον διαγγέλλων τοίς ματαιόφροσι, πρός ευσέβειαν εζώγρησας, καί Θεώ τών όλων καθιέρωσας.

Ζωτικαίς επιπνεύσεσι, τήν πρός τελευταίαν ώραν εγγίζουσαν, ιερώτατε εζώωσας, εις πολλών καί ταύτης αναγέννησιν.

Ολονύκτοις δεήσεσι, καί ταίς πανημέροις Ίσιε στάσεσι, τήν καρδίαν απετέλεσας, τού Θεού τών όλων καταγώγιον.
Θεοτοκίον
Νεκρωθέντα με Πάναγνε, πάλιν ανεζώωσας ως κυήσασα, τήν ζωήν τήν ενυπόστατον, τόν Υιόν καί Λόγον τού Γεννήτορος.

Ωδή ε'  Ο Ειρμός
«Φώτισον ημάς, τοίς προστάγμασί σου Κύριε, καί τώ βραχίονί σου τώ υψηλώ, τήν σήν ειρήνην παράσχου ημίν Φιλάνθρωπε».

Πρόρριζον τεμών, τήν άκανθαν τήν φιλήδονον, εκαρποφόρησας τόν άσταχυν, τής ευσεβείας Ιεράρχα πανσεβάσμιε.

Ο όμβροις σών ευχών, ουρανούς Σοφέ διήνοιξας, καί υετόν τή γή διένειμας, αιρετιζόντων αποπνίξας τά ζιζάνια.

Ίθυνας ροπή, θείου Πνεύματος ολόκληρον, λαόν καί πόλιν εις λιμένα ζωής, διεκφυγόντα αθεΐας τό κλυδώνιον.

Θεοτοκίον

Μόνην γενεών, εκ πασών σε εξελέξατο, ο Πλαστουργός, καί αναπλάττει ημάς, εν σοί οικήσας, Θεοτόκε αειπάρθενε.

Ωδή ς’ Ο Ειρμός

«Τήν δέησιν εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών, η ψυχή μου επλήσθη, καί η ζωή μου τώ Άδη προσήγγισε, καί δέομαι ως Ιωνάς, Εκ φθοράς ο Θεός με ανάγαγε».

Εφέσεως αληθούς επέτυχες, εγκρατεία ταπεινώσας τά πάθη, καί πρός Θεόν, προσεχώρησας χαίρων, καί ορεκτών ακροτάτω παρίστασαι, Πορφύριε Ιεραρχών, καί Ποιμένων κανών ακριβέστατος.

Νοήσας σου τής ψυχής τό ωραίον, καθωράθη εν σταυρώ ηπλωμένος, ο υψωθείς, εν αυτώ εκουσίως καί τήν αυτού φυλακήν εγχειρίζει σοι, εμφαίνων σοι τήν πρός αυτόν, καί στοργήν καί τελείαν οικείωσιν.

Ως Πέτρου τού Κορυφαίου τόν ζήλον, καί τήν πίστιν θεηγόρε πλουτήσας, τώ τμητικώ, ευσεβείας σου λόγω, τό κακουργόν εθανάτωσας γύναιον, τού Μάνεντος φθοροποιά, δολερώς υποσπείρον διδάγματα.

Θεοτοκίον

Νεκρώσει τε καί φθορά υπαχθέντα, τόν πρωτόπλαστον Παρθένε Μαρία, τόν νεκρωτήν, τού θανάτου τεκούσα, εις αφθαρσίαν μετήγαγες Άχραντε, καί έδειξας τούς γηγενείς, ουρανίους Θεόν σωματώσασα.

Κοντάκιον Ήχος β’

Τοίς τών αιμάτων σου

Ιερωτάτοις σου τρόποις κοσμούμενος, Ιερωσύνης στολαίς κατηγλάϊσαι, Παμμάκαρ θεόφρον Πορφύριε, καί ιαμάτων εμπρέπεις υψώμασι, πρεσβεύων απαύστως υπέρ πάντων ημών.

Ο Οίκος

Υπεραστράπτει πλέον ηλίου, Πορφυρίου η μνήμη τού σοφού, αστραπαίς θαυμάτων πάσαν τήν κτίσιν φωταγωγούσα, καί διώκουσα πλάνην τήν τών ειδώλων, καί τούς πιστούς σελαγίζουσα, πάντας ευφραίνει, Θεώ γάρ ευαρεστήσας επί γής, τών ισημείων απείληφε τήν χάριν, πάντας ιάσθαι, παρεστώς τή Τριάδι ολόφωτος, καί πρεσβεύων απαύστως υπέρ πάντων ημών.

Συναξάριον

Τή ΚΣΤ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Πορφυρίου, Επισκόπου Γάζης.

Στίχοι

- Ώ τίς παρέλθη, τίς δέ καί παραδράμη
- Τόν Πορφύριον, κάν παρήλθεν εκ βίου;
- Πορφυρίοιο νέκυν κρύψε χθών εικάδι έκτη.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος Φωτεινής τής Σαμαρείτιδος, ή ωμίλησεν ο Χριστός εν τώ φρέατι, καί τών σύν αυτή.

Στίχοι

- Ρίπτουσι τήν σήν Σαμαρείτιν εις φρέαρ,
- Τήν εις φρέαρ σοι συλλαλήσασαν Λόγε.

Τή αυτή ημέρα, η Αγία Φωτώ, η αδελφή αυτής, ξίφει τελειούται.

Στίχοι

- Φερνήν ταλάντων μυρίων ανταξίαν,
- Φωτώ φέρει σοι τήν κάραν φώτων Πάτερ.

Τή αυτή ημέρα, η Αγία Φωτίς, η ετέρα αδελφή αυτής, εις δύο προσδεθείσα δένδρα, καί διαμερισθείσα, τελειούται.

Στίχοι

- Δώσεις έπαθλον δενδροάθλω Φωτίδι,
- Δενδρώνα τερπνόν τής Εδέμ Θεού Λόγε.

Τή αυτή ημέρα, η αγία Παρασκευή, η ετέρα αδελφή αυτής, ξίφει τελειούται.

Στίχοι

- Η Παρασκευή πρός ξίφος τόν αυχένα,
- Έτοιμον είχε καί παρεσκευασμένον.

Τή αυτή ημέρα, η Αγία Κυριακή, ετέρα αδελφή αυτής, ξίφει τελειούται.

Στίχοι

- Εκ Κυριακής ουδέ τού ξίφους φόβος,
- Τού Κυρίου τόν θείον εκβάλλει φόβον.

Τή αυτή ημέρα, ο άγιος Μάρτυς Ιωσής, ο υιός τής Αγίας Φωτεινής, ξίφει τελειούται.

Στίχοι

- Τομεύς τραχήλων εξεγύμνου τό ξίφος,
- Ιωσή δέ τράχηλος ού φρίττει ξίφος.

Τή αυτή ημέρα, ο άγιος Φωτεινός, ο έτερος υιός αυτής, ξίφει τελειούται.

Στίχοι

- Τίς ούτος ατμός εκ ζεόντων αιμάτων;
- Φωτεινός άρτι Μάρτυς ετμήθη κάραν.

Τή αυτή ημέρα, ο άγιος Σεβαστιανός ο Δούξ ξίφει τελειούται.

Στίχοι

- Σεβαστιανώ τούτον είπω τόν λόγον.
- Σεβάζομαί σε, τήν κάραν τετμημένον.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός ελέησον ημάς. Αμήν.

Ωδή ζ' Ο Ειρμός

«Παίδες Εβραίων εν καμίνω, κατεπάτησαν τήν φλόγα θαρσαλέως, καί εις δρόσον τό πύρ μετέβαλον βοώντες, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας

Άρνας ποιμάνας επί χλόην, αληθείας ως αρνίον τώ ποιμένι, προσηνέχθης Χριστώ, Πορφύριε κραυγάζων, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Νέμει Καμάτων σου τά γέρα, κατοικίζων σε, μοναίς εν ακηράτοις, Ιησούς ο Χριστός, Πορφύριε βοώντα, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Θαύμασι πλείστοις καί σημείοις, κατεκόσμησε τόν βίον σου τρισμάκαρ, ο Χριστός δν ποθών, Πορφύριε εβόας, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Θεοτοκίον

Οίκτειρον σώσόν με Παρθένε, τόν οικτίρμονα τεκούσα Θεόν Λόγον, καί φωτί τώ εν σοί, καταύγασον βοώντα, Ευλογημένος Πάναγνε, ο καρπός τής σής κοιλίας.

Ωδή η’ Ο Ειρμός

«Οι θεορρήμονες Παίδες εν τή καμίνω, σύν τώ πυρί καί τήν φλόγα, καταπατούντες εκραύγαζον, Ευλογείτε τά έργα, Κυρίου τόν Κύριον».

Σεσοφισμένω σου λόγω κατεβλήθη, ο σοφιστής τής κακίας, Ιεροκήρυξ πανόλβιε, ευσεβών δέ καρδίαι, ενθέως ευφράνθησαν.

Συναγελάζη Πατέρων ομ ηγύρει, καί συνευφραίνη Οσίων, Πάτερ μακάριε πνεύμασιν, Ευλογείτε τά έργα κραυγάζων τόν Κύριον.

Εξεδάφισας τεμένη τών δαιμόνων, ναόν Θεού εδομήσω, εν ώ πληθύς μέλπει οσίων, Ευλογείτε τά έργα, Κυρίου τόν Κύριον.

Βασιλικήν αλουργίδα πορφυρώσας, εξ αρετών σου, καί ταύτην, ως Ιερεύς στολισάμενος, εις τά άνω χορεύεις, βασίλεια Όσιε.

Θεοτοκίον

Ως ανωτέραν σε πάντων τών ποιημάτων, καί ουρανών πλατυτέραν, Παρθενομήτορ ηγάπησεν, ο Υιός σου, καί σάρκα εκ σού ανελάβετο.

Ωδή θ' Ο Ειρμός

«Έφριξε πάσα ακοή, τήν απόρρητον Θεού συγκατάβασιν, όπως ο ύψιστος, εκών κατήλθε μέχρι καί σώματος, Παρθενικής από γαστρός, γενόμενος άνθρωπος, διό τήν άχραντον Θεοτόκον, οι Πιστοί μεγαλύνομεν».

Ιστίω Πάτερ νοητώ, εκπεράσας τό τού βίου κλυδώνιον, οιακιζόμενος, παλάμη θεία τού Παντοκράτορος, πρός τούς λιμένας τής ζωής, σοφώς κατέπλευσας, χαράς λαβόμενος αιωνίου, καί τερπνής απολαύσεως.

Ώριμος πλήρης ημερών, τών τού Πνεύματος γενόμενος Όσιε, καί τήν απάθειαν, ως διπλοΐδα περιβαλλόμενος, ιερωσύνης στολισμώ, λάμπων μεταβέβηκας, εις φώς ανέσπερον, τού Κυρίου καθοράν τήν τερπνότητα.

Στόματι θείον γλυκασμόν, αρυσάμενος, ηρεύξω Μακάριε, λόγον σωτήριον, παθών πικρίαν αποδιώκοντα, καί γλυκασμώ πνευματικώ, πάντας ενηδύνοντα, τούς τήν ετήσιον εκτελούντάς σου θεόφρον πανήγυριν.

Ήλιον έγνως τόν Χριστόν, ομιλήσαντα ημίν μετά σώματος, καί ταίς λαμπρότησι ταίς τούτου Πάτερ, ψυχής τά όμματα, καταυγασθείς ολολαμπής, αστήρ εχρημάτισας, θέσει θεούμενος, ιερέ θαυματουργέ Πάτερ Όσιε.

Θεοτοκίον

Φείσαί μου Σώτερ ο τεχθείς, καί φυλάξας τήν τεκούσάν σε άφθορον, μετά τήν κύησιν, όταν καθίσης Κρίναι τά έργα μου, τάς ανομίας παρορών, καί τάς αμαρτίας μου, ως αναμάρτητος, ελεήμων, ως Θεός καί φιλάνθρωπος.

Εξαποστειλάριον

Επεσκέψατο ημάς

Μεταναστεύσας τήν πολλήν, ύπαρξιν διεσκόρπισας, τούς πλάνη δέ σκορπισθέντας, θαύμασιν αποστολικοίς, συνήγαγες Πορφύριε, αλλά πρέσβευε Πάτερ, σωθήναι τούς δούλους σου.

Θεοτοκίον

Επί σοί μετά Θεόν, ελπίζομεν Πανάχραντε, καί τώ εκ σού προελθόντι, συσταυρούμενοι Χριστώ, ταίς πρός αυτόν πρεσβείαις σου, απροσκόπτους εις τέλος, ημάς διαφύλαξον.

Καί η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΖ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Προκοπίου τού Δεκαπολίτου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'

Ως γενναίον έν μάρτυσι

Κατ' εικόνα γενόμενος, τού Θεού καί ομοίωσιν, κατ' αρχήν τής πλάσεως Παμμακάριστε, τό τής εικόνος αξίωμα, τηρείν διεσπούδασας, λογισμώ

πανευσεβεί, καί νοός καθαρότητι, καί αγνότητι, καί παθών εγκρατεία καί τηρήσει, τών Χριστού διαταγμάτων, καί ευσεβεία Πανόλβιε.

Τή ασκήσει τό πρότερον, προσλαβών καί τήν άθλησιν, θεοφρόνως ύστερον, ευηρέστησας, δι' αμφοτέρων τώ Κτίσαντι, τώ μόνω τήν κάθαρσιν, απαιτούντι παρ' ημών, καί ψυχής τήν ευγένειαν, ού τήν ένσαρκον, παρουσίαν δοξάζων προσεκύνεις, τήν εικόνα τήν αγίαν, τής κατ' αυτόν ανθρωπότητος.

Τούς τού Λόγου τήν σάρκωσιν, δυσσεβώς αθετήσαντας, διελέγχων όσιε, διετέλεσας, δια μαστίγων ετάσεως, πάσης τε κακώσεως, καί δεσμών καί φυλακής, βεβαιών τήν αλήθειαν, όθεν γέγονας, τής Χριστού βασιλείας κληρονόμος, καί χαράς ανεκλαλήτου, καί αϊδίου ελλάμψεως.

Δόξα... Καί νύν... Θεοτοκίον

Η Θεόν τόν αχώρητον, εν γαστρί σου χωρήσασα, φιλανθρώπως άνθρωπον χρηματίσαντα, καί τό ημέτερον φύραμα, εκ σού προσλαβόμενον, καί θεώσαντα σαφώς, μή παρίδης με Πάναγνε, νύν θλιβόμενον, αλλ' οικτείρησον τάχος καί παντοίας, δυσμενείας τε καί βλάβης, τού πονηρού ελευθέρωσον.

Η Σταυροθεοτοκίον

Εν Σταυρώ ως εώρακε, καθηλούμενον Κύριε, η αμνάς καί Μήτηρ σου εξεπλήττετο, καί, Τί τό όραμα, έκραζεν, Υιέ ποθεινότατε; ταύτά σοι ο απειθής, δήμος ανταποδίδωσιν, ο παράνομος, ο πολλών σου θαυμάτων απολαύσας; Αλλά δόξα τή αρρήτω, συγκαταβάσει σου Δέσποτα.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, λέγεται ο Κανών, έχων Ακροστιχίδα τήν δε.

Τούς σούς αγώνας ευπρεπώς μέλπω Μάκαρ.

Ωδή α' Ήχος β' Ο Ειρμός

«Ως εν ηπείρω πεζεύσας ο Ισραήλ, εν αβύσσω, ίχνεσι, τόν διώκτην Φαραώ, καθορών ποντούμενον Θεώ, επινίκιον ωδήν εβόα άσωμεν».

Τής ευσεβείας τώ φίλτρω κατασχεθείς, καί τώ θείω έρωτι, τρικυμίας κοσμικάς, απεκρούσω Όσιε, Θεώ, επινίκιον ωδήν ανακρουόμενος, ο φωτοφόρος σου βίος καί τό φαιδρόν, τής ψυχής καί σύντονον, ευσεβεία συγκραθέν, αρετής εικόνισμα λαμπρόν, εν σοί Όσιε, τρανώς απηκριβώσατο.

Υπερφυείδα δουχία καί φωταυγεί, τού Χριστού λαμπόμενος, τών παθών τάς προσβολάς, εγκρατώς εμάρανας βοών, επινίκιον ωδήν τώ Παντοκράτορι.

Θεοτοκίον

Σεσαρκωμένον τόν Λόγον θεοπρεπώς, συλλαβούσα Πάναγνε, τόν πρίν άσαρκον ημίν, υπέρ φύσιν τέτοκας Αγνή, μετά γέννησιν Παρθένος διαμείνασα.

## Ωδή γ'  Ο Ειρμός

«Ουκ έστιν Άγιος ως σύ, Κύριε ο Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου αγαθέ, καί στερεώσας ημάς, εν τή πέτρα τής ομολογίας σου».

Σού η θεόληπτος ψυχή, τώ τής πίστεως ζήλω, πυρπολουμένη Μάκαρ, τών ανόμων τήν πικραν, μανίαν καί τόν θυμόν, θεοφόρε, κραταιώς διέλυσεν.

Οικείοις αίμασι βαφείς, τών Μαρτύρων τούς άθλους, εμιμήσω τρισμάκαρ, αικισμούς τών ασεβών, ανδρειοτάτη ψυχή, υπομείνας, καρτερικώς Προκόπιε.

Υπέστης Όσιε διπλούς, τούς αγώνας εμφρόνως, τάς αιρέσεις ελέγχων, καί λεόντων τάς ορμάς ανδρείως υπενεγκών, θεοφρόνως, πάνσοφε Προκόπιε.

### Θεοτοκίον

Σοφία Λόγος τού Πατρός, ο πρό πάντων αιώνων, επ' εσχάτων τών χρόνων, απορρήτως σαρκωθείς, εξ απειράνδρου Μητρός, Θεοτόκον ταύτην απειργάσατο.

## Κάθισμα  Ήχος α'

### Τού λίθου σφραγισθέντος

Ασώματος εν βίω εγνωρίσθης Πατήρ ημών, καί ένσαρκος Αγγέλοις, ανεδείχθης συνδίαιτος, τώ κόσμω κατά Παύλον σταυρωθείς, τώ σοί εσταυρωμένω αληθώς, καί εις ουράνιον οικών, τή διανοία χώρον ο γήϊνος, Δόξα τώ ευδοκήσαντι εν σοί, δόξα τώγνωρισθέντι σοι, δόξα τώ ενεργούντι διά σού πάσιν ιάματα.

### Δόξα... Καί νύν... Θεοτοκίον

Τάς χείράς σου τάς θείας, αίς τόν Κτίστην εβάστασας, Παρθένε Παναγία, σαρκωθέντα χρηστότητι, προτείνασα δυσώπησον αυτόν, λυτρώσασθαι ημάς εκ πειρασμών, καί παθών καί τών κινδύνων, τούς ευφημούντας πόθω, καί βοώντάς σοι, Δόξα τώ ενοικήσαντι εν σοί, δόξα τώ προελθόντι εκ σού, δόξα τώ ελευθερώσαντι ημάς διά τού τόκου σου.

### Η Σταυροθεοτοκίον

Σταυρώ σου προσπαγέντος, υπό τών παρανόμων, καί στρατιωτών Σώτερ λόγχη, τήν πλευράν ορυγέντος, η Πάναγνος ωδύρετο πικρώς, τά σπλάγχνα κοπτομένη μητρικώς, καί τό πολύ σου καί φρικτόν, τής ανοχής εξίστατο βοώσα, Δόξα τή πρός ανθρώπους σου στοργή, δόξα σου τή χρηστότητι, δόξα τώ εν τώ θανάτω σου βροτούς αθανατίζοντι.

## Ωδή δ'  Ο Ειρμός

«Χριστός μο υ δύναμις, Θεός καί Κύριος, η σεπτή Εκκλησία θεοπρεπώς, μέλπει ανακράζουσα, εκ διανοίας καθαράς, εν Κυρίω εορτάζουσα».

Αρδεύων Όσιε, δακρύων χεύμασι, τήν καρδίαν σου Μάκαρ τών αρετών, σπόρον εγεώργησας, εκ διανοίας καθαράς, οσιώτατε Προκόπιε.

Γεώδες φρόνημα, τώ θείω Πνεύματι, καθυπέταξας Πάτερ ασκητικόν, βίον ανελόμενος, καί συνταττόμενος χοροίς, τών Μαρτύρων Παμμακάριστε.

Ως Μάρτυς ένθεος, καί αληθέστατος, υπέρ τής ευσεβείας αιρετικήν, ήλεγξας απόνοιαν, τής γάρ μανίας αληθώς, τών αθέων κατεφρόνησας.

Θεοτοκίον

Νομίμων άνευθεν, θεσμών Πανάμωμε, συλλαβούσα τόν Κτίστην δίχα φθοράς, τούτον απεγέννησας, καί Θεοτόκος αληθώς, καί κυρίως εχρημάτισας.

## Ωδή ε' Ο Ειρμός

«Τώ θείω φέγγει σου αγαθέ, τάς τών ορθριζόντων σοι ψυχάς, πόθω καταύγασον δέομαι, σέ ειδέναι Λόγε Θεού, τόν όντως Θεόν, εκ ζόφου τών πταισμάτων ανακαλούμενον».

Αγιασθέντα ασκητικώς, καί τελειωθέντα σε δι' αίματος, γεραίρομεν Όσιε, μνήμη γάρ δικαίων μετ' εγκωμίων αεί, πιστώς επιτελείται, καί μνημονεύεται.

Σοφώς ο πάντα μεταποιών, καί μετασκευάζων πρός τό κρείττον, ως βούλεται Κύριος, τή τών δυσσεβούντων μιαιφονία τή σή, ασκήσει μαρτυρίου, κλέος προσέθετο.

Επί τών ώμων αναλαβών, τήν διά Σταυρού πανοπλίαν, σύ τώ Χριστώ ηκολούθησας, τών οπίσω Πάτερ λήθην ποιούμενος, καί τοίς έμπροσθεν δρόμοις επεκτεινόμενος.

Θεοτοκίον

Υμνούμεν Πάναγνε τόν εκ σού, σάρκα παθητήν τε καί θνητήν, περιβαλλόμενον Κύριον, καί τεθεωμένην απεργασάμενον, ενώσει ασυγχύτω τή καθ' υπόστασιν.

## Ωδή ς' Ο Ειρμός

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι, Ανάγαγε εκ φθοράς τήν ζωήν μου Πολυέλεε».

Προβαίνων αείμνηστε, από δόξης αληθώς, ασκητικής ανέδραμες, πρός Μαρτύρων ανδρείαν τε καί Τιμήν, οικείου εξ αίματος, ερυθράν πορφυρίδα περικείμενος.

Ρεόντων τό άστατον, λογισάμενος ψυχή, καί λογισμώ θεόφρονι, τοίς αεί διαμένουσιν αγαθοίς, καί πέρας ουκ έχουσιν, ευσεβώς επτερώθης Παμμακάριστε.

Εγκράτειαν σύντονον, καί πραότητα Χριστός, σέ καθορών πλουτήσαντα, φιλανθρώπως επέβλεψεν επί σέ, καί Ιδόξης ανέδειξε, κοινωνόν θεοφόρε

Παναοίδιμε.

Θεοτοκίον

Πανάμωμε Δέσποινα, τής ψυχής μου τά δεινά, καί χαλεπά συντρίμματα, χειρουργίαις ιάτρευσον μυστικαίς, δραστήρια φάρμακα, τού Υιού σου βαλούσα τά παθήματα.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΖ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών, καί ομολογητού Προκοπίου τού Δεκαπολίτου.

Στίχοι

- Ουδέν, Δεκαπολίτα, γής πάσαι πόλεις,
- Πρός τήν νοητήν, ένθα περ τάττη, πόλιν.
- Εικάδι εβδομάτη Προκοπίω τέρμα φαάνθη.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Γελασίου, ός τό Βάπτισμα κελευσθείς διαπαίξαι παρά τού, Άρχοντος, βαπτίζεται αληθώς, καί ξίφει τελειούται.

Στίχοι

- Φώτισμα μέλλων εκγελάν, γελάς πλάνην,
- Πλυθείς δέ Γελάσιε, εκτέμνη κάραν.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Θαλλελαίου.

Στίχοι

- Ο Θαλλέλαιος φαιδρώς, ήκει πρός πόλον,
- Θαλλοίς ελαιών, αρεταίς εστεμμένος.

Τή αυτή ημέρα, ο Όσιος Στέφανος, ο συστησάμενος τό γηροκομείον τού Αρματίου, εν ειρήνη τελειούται.

Στίχοι

- Γήρει Στέφανος πρύτανις ζωής πόρου,
- Όν περ θανόντα Πρύτανις στέφους στέφει.

Τή αυτή ημέρα, ο Άγιος Νήσιος βουνεύροις τυπτόμενος, τελειούται.

Στίχοι

- Νεύροις βοείοις Νήσιος πάσχων φέρει,
- Νευρούμενος γάρ τών πόνων λήθην έχει.

Οι Όσιοι πατέρες ημών Ασκληπιός Ιάκωβος καί Τιμόθεος οι εν Καισαρεία εν ειρήνη τελειούνται.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός ελέησον ημάς. Αμήν.

Ωδή ζ' Ο Ειρμός

«Δροσοβόλον μέν τήν κάμινον ειργάσατο, Άγγελος τοίς Οσίοις Παισί, τούς

Χαλδαίους δέ καταφλέγον, πρόσταγμα Θεού τόν τύραννον έπεισε βοάν, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών».

Ως υπέρλαμπρος ο βίος σου θεόσοφε, γέγονε δι' ασκήσεως, ούτως ώφθη σου, προφανώς η άθλησις στερρά, Χριστόν γάρ εδόξασας βοών, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Σωφροσύνη καθαρότητα θεσπέσιε, Πάτερ περιζωσάμενος, εν ανδρεία δέ, μαρτυρίου στέφανον λαμπρόν, δεξάμενος χάριτι βοάς, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Μή τήν άχραντον εικόνα προσκυνούντές σου, Σώτερ οι ασεβέστατοι, τόν οικέτην σου μαστιγούντες, έξεον δεινώς, υμνούντα καί κράζοντα πρός σέ, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Ευφραινόμενοι τώ τόκω σου Πανάμωμε, πάντες σε μακαρίζομεν, δι αυτού γάρ νύν, σαρκικής γεννήσεως ημείς, ρυσθέντες κραυγάζομεν αυτώ, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Ωδή η' Ο Ειρμός

«Εκ φλογός τοίς Οσίοις δρόσον επήγασας, καί Δικαίου θυσίαν ύδατι έφλεξας, άπαντα γάρ δράς Χριστέ, μόνω τώ βούλεσθαι, Σέ υπερυψούμεν, εις πάντας τούς αιώνας».

Λελυμένος τής ϋλης καί πρό θανάτου οφθείς, μετετέθης εντεύθεν πρός τήν ακήρατον, Όσιε ζωήν, τώ θανάτω χρησάμενος, κλίμακι προσφόρω, Προκόπιε θεόφρον.

Πεπλησμένος εφάνης φωτός τής πίστεως, καί πρός άδυτον φέγγος Πάτερ εφοίτησας, πάσαν υλικήν, αποθέμενος έφεσιν, όθεν σε τιμώμεν, Προκόπιε θεόφρον.

Ωπλισμένος δυνάμει τού θείου Πνεύματος, πονηρίας πνευμάτων ετρέψω φάλαγγας, όθεν ουρανών, πύλαι σοι ηνεώχθησαν, Μάκαρ ανυμνούντι, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Μακαρίζουσι πάσαι γενεαί Δέσποινα, ως προέφης η μόνη θεομακάριστος, σέ τήν αληθή, Θεοτόκον καί πάναγνον, ήν υπερυψούμεν, εις πάντας τούς αιώνας.

Ωδή θ' Ο Ειρμός

«Θεόν ανθρώποις ιδείν αδύνατον, όν ού τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ Πάναγνε ωράθη βροτοίς, Λόγος σεσαρκωμένος, όν μεγαλύνοντες, σύν ταίς ουρανίαις Στρατιαίς, σέ μακαρίζομεν».

Αθλείν νομίμως Σοφέ ελόμενος, τών παθών ορμάς δι' εγκρατείας ενέκρωσας, καί σαρκός σκιρτήματα θεράπον Χριστού, όθεν τής απαθείας, νύν τήν ανώλεθρον, σύν ταίς ασωμάτοις Στρατιαίς, εύρες απόλαυσιν.

Κριτή δικαίω φαιδρώς παρίστασαι, ως νικητής στεφάνους αμαράντους δεξάμενος, εκτενώς Προκόπιε δεόμενος, υπέρ τών εκτελούντων, σού τήν πανίερον, μνήμην καί τήν θείαν εορτήν, τής μεταστάσεως.

Αυγαίς τρισί νύν καταλαμπόμενος, ταίς εκ μιάς αφράστως προϊούσαις θεότητος, πανολβίου λήξεως ηξίωσαι, καί τερπνής θυμηδίας, συναγαλλόμενος, ταίς υπερκοσμίαις Στρατιαίς, Πάτερ Προκόπιε.

Θεοτοκίον

Ρευστήν ο Λόγος Θεού ο άρρευστος, μορφήν λαβών ανθρώπους αφθαρσίαν ενέδυσεν, ευδοκία Πατρική σκηνώσας εν σοί, τή Κεχαριτωμένη, όθεν Πανάχραντε, σύν ταίς ουρανίαις Στρατιαίς, σέ μεγαλύνομεν.

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Σαρκίου τού τιμίου σου, απολυθείς Προκόπιε, παρέστης νύν σύν Αγγέλοις, τή απροσίτω Τριάδι, πρός ήν ημών μνημόνευε, τών εκτελούντων ένδοξε, τήν παναγίαν μνήμην σου, καί σέ τιμώντων εκ πόθου, Πάτερ σοφέ Ιεράρχα.

Θεοτοκίον

Τό μέγα καταφύγιον, καί σκέπη τών ψυχών ημών, η ουρανών πλατυτέρα, καί Χερουβίμ υπερτέρα, τόν σόν Υιόν δυσώπησον, υπέρ οικείων δούλων σου, Θεοκυήτορ πάναγνε, όπως ρυσθείημεν πάντες, αμαρτιών καί κινδύνων.

Καί η λοιπή Ακολουθία τού Όρθρου, κατά τήν τάξιν, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΗ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Βασιλείου τού Ομολογητού, συνασκητού τού Αγίου Προκοπίου τού Δεκαπολίτου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'

Έδωκας σημείωσιν

Τής μακαριότητος, τής υπέρ νούν ορεγόμενος, ελογίσω θεσπέσιε, τρυφήν τήν εγκράτειαν, τήν πτωχείαν πλούτον, τήν ακτημοσύνην, περιουσίαν δαψιλή, καί ευδοξίαν τήν μετριότητα, διό καί τής εφέσεως, κατά γνώμην επέτυχας, έν σκηναίς αυλιζόμενος, τών Αγίων Βασίλειε.

Δρόμον τής ασκήσεως, απεριτρέπτως τετέλεκας, καί τήν πίστιν τετήρηκας,

εντεύθεν καί στέφανον, εκομίσω Πάτερ, τής δικαιοσύνης, όν σοι ητοίμασε Χριστός, ο κατ' αξίαν νέμων τά έπαθλα, καί γέρα χαριζόμενος, καί τήν τών πόνων αντίδοσιν, όν δυσώπει θεόπνευστε, τού σωθήναι τάς ψυχάς ημών.

Πάσαν ηδυπάθειαν, υπωπιάζων τό σώμά σου, απηρνήσω θεόσοφε, πικραίνων τήν αίσθησιν, εγκρατείας πόνοις, καί σκληραγωγίαις, υπομονή τε πειρασμών, καί καρτερία τών περιστάσεων, ανθ' ών τήν ατελεύτητον, αντιλαμβάνεις απόλαυσιν, καί τρυφήν αδιάδοχον, καί χαράν ανεκλάλητον.

Δόξα... Καί νύν... Θεοτοκίον

Τό χαύνον καί έκλυτον, Παρθενομήτορ πανάμωμε, τής ψυχής μου μετάβαλε, εις ρώσιν καί δύναμιν, νύν τού θείου φόβου, ποιείν τε καί πράττειν, τά δικαιώματα Χριστού, όπως εκφύγω τό πύρ τό άσβεστον, καί κλήρον τόν ουράνιον, καί τήν ζωήν τήν απέραντον, διά σού εύρω Δέσποινα, ευφραινόμενος πάντοτε.

Η Σταυροθεοτοκίον

Σταυρούμενον βλέπουσα, καί τήν πλευράν ορυττόμενον, υπό λόγχης η Πάναγνος, Χριστόν τόν φιλάνθρωπον, έκλαιε βοώσα, Τί τούτο Υιέ μου; τί σοι αχάριστος λαός, αποτιννύει ανθ' ών πεποίηκας, καλών αυτοίς καί σπεύδεις με, ατεκνωθήναι παμφίλτατε; καταπλήττομαι εύσπλαγχνε, σήν εκούσιον Σταύρωσιν.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, λέγομεν τόν Κανόνα, ού ή Ακροστιχίς.

Τής πίστεως βάσιν σε γινώσκω Πάτερ. Θεοφάνους.

Ωδή α' Ήχος δ'
ο Ειρμός

«Θαλάσσης, τό ερυθραίον πέλαγος, αβρόχοις ίχνεσιν, ο παλαιός πεζεύσας Ισραήλ, σταυροτύποις Μωσέως χερσί, τού Αμαλήκ τήν δύναμιν, εν τή ερήμω ετροπώσατο».

Τήν βάσιν, επί τήν πέτραν θέμενος, Πάτερ τής πίστεως, τών πειρασμών ουκ έπτηξας ορμάς, αλλ' ασάλευτος έμεινας, ως αρετής υπέρμαχος, τής βασιλείας ως επώνυμος.

Η χάρις, τού παναγίου Πνεύματος, σέ δυναμώσασα, τών αλγεινών μαστίγων καρτερείν, τάς νιφάδας ενίσχυσε, καί νικηφόρον έδειξε, κατά τυράννου ματαιόφρονος.

Συνάθλου, καί στρατιώτου έμφρονος, Πάτερ επέτυχες, ταίς αρεταίς προκόπτοντος αεί, μεθ' ού χαίρων πανόλβιε, τής σταθηράς αθλήσεως, διηγωνίσω τό μαρτύριον.

Θεοτοκίον

Προστάτιν, καί σωτηρίας πρόξενον, καί τείχος άρρηκτον, σέ τής εμής προβάλλομαι ζωής, Θεοτόκε πανύμνητε, τήν τόν Θεόν γεννήσασαν, τόν ευεργέτην πάσης κτίσεως.

Ωδή γ' Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα, Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

Ιθύνας επιμελώς, τήν σήν καρδίαν πρός Θεόν Όσιε, ασκητική χάριτι, καί ομολογία διέπρεψας.

Στρατείαν αναλαβών, καί πανοπλίαν τού Σταυρού έτρεψας, τόν νοητόν δράκοντα, καί τόν αισθητόν Πάτερ λέοντα.

Τηρήσαντες ευσεβώς, τό κατ' εικόνα τής ψυχής Όσιοι, τήν τού Χριστού άχραντον, σέβοντες εικόνα ηθλήσατε.

Θεοτοκίον

Ευλόγηται διά σού, η πρίν κατάρας καί φθοράς μέτοχος, φύσις ημών Άχραντε, καί τής αφθαρσίας μετείληφεν.

Κάθισμα Ήχος δ'

Κατεπλάγη Ιωσήφ

Τήν πτωχείαν τού Χριστού, επιποθήσας ευσεβώς, πλούτον έλιπες φθαρτόν, καί δόξαν ρέουσαν σοφέ, καί τόν σταυρόν σου επώμων αράμενος, τήν τρίβον τήν στενήν, χαίρων διήνυσας, πατών τάς ηδονάς, τάς εκ τού σώματος, δι' εγκρατείας Όσιε απάσης τε, κακοπαθείας καί έφθασας, πρός πλάτος θείον, τού Παραδείσου, θεηγόρε Βασίλειε.

Δόξα... Καί νύν...

Θεοτοκίον, αυτόμελον

Κατεπλάγη Ιωσήφ, τό υπέρ φύσιν θεωρών, καί ελάμβανεν εις νούν, τόν επί πόκον υετόν, εν τή ασπόρω συλλήψει σου Θεοτόκε, Βάτον εν πυρί ακατάφλεκτον, Ράβδον Ααρών τήν βλαστήσασαν, καί μαρτυρών ο Μνήστωρ σου καί φύλαξ, τοίς Ιερεύσιν εκραύγαζε, Παρθένος τίκτει, καί μετά τόκον, πάλιν μένει Παρθένος.

Η Σταυροθεοτοκίον

Παρεστώσα τώ Σταυρώ, η παναμώμητος Αμνάς, τού Αμνού καί Λυτρωτού, θρήνοις συνέκοπτεν αυτήν, καί ατενίζουσα έλεγεν εκπληττομένη, Τί τούτο τό καινόν, καί ξένον θέαμα, γλυκύτατε Υιέ, πώς φέρεις ταύτα εκών, ονειδισμούς καί μάστιγας καί ύβρεις, καί επονείδιστον θάνατον, Δοξολογώ σου, τήν υπέρ λόγον, Υιέ μου συγκατάβασιν.

Ωδή δ' Ο Ειρμός

«Επαρθέντα σε ιδούσα η Εκκλησία, επί Σταυρού τόν Ήλιον τής δικαιοσύνης, έστη εν τή τάξει αυτής, εικότως κραυγάζουσα, Δόξα τή δυνάμει σου Κύριε».

Ως ωραία σου παμμάκαρ η καρτερία, εν πολιά νεότητος επιδεικνυμένη, Όσιε στερρότητα, μεθ' ής ανεκραύγαζες, Δόξα τή δυνάμει σου Κύριε.

Συνημμένος δι' αγάπης τώ σώ Δεσπότη, καί τήν αυτού βοήθειαν περιβεβλημένος, πόνων ουκ ησθάνου σαρκός, κραυγάζων δέ έψαλλες, Δόξα τή δυνάμει σου Κύριε.

Βασιλείας ως επώνυμος ουρανίου, τήν πρός αυτήν απάγουσαν οδόν επορεύθης, σύμπνοον ευράμενος, Προκόπιον κράζοντα, Δόξα τή δυνάμει σου Κύριε.

Θεοτοκίον

Απειρογάμως εκύησας ώ Παρθένε, καί μετά τόκον ώφθης παρθενεύουσα πάλιν, όθεν ασιγήτοις φωναίς, τό Χαίρέ σοι Δέσποινα, πίστει αδιστάκτω κραυγάζομεν.

Ωδή ε'  Ο Ειρμός

«Σύ Κύριέ μου φώς, εις τον κόσμον ελήλυθας, φώς άγιον επιστρέφον, εκ ζοφώδους αγνοίας, τούς πίστει ανυμνούντάς σε».

Σύ Όσιε λαμπρώς, ηγωνίσω Βασίλειε, τού Λέοντος εκφαυλίσας, τό αμείλικτον θράσος, καί γνώμην τήν αγνώμονα.

Ισόρροπον ευρών, διανύεις τήν άθλησιν, Προκόπιον τόν εν πόνοις, προκοπαίς πολυτρόποις, ενθέως στεφανούμενον.

Νύν βλέπεις καθαρώς, τόν Χριστόν όν επόθησας, ού πόρρωθεν τάς εμφάσεις, νοητώς εθεώρεις, Παμμάκαρ Ιερώτατε.

Θεοτοκίον

Σέ όπλον αρραγές, κατ' εχθρών προβαλλόμεθα, σέ άγκυραν καί ελπίδα, τής ημών σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

Ωδή ς'  Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον εκ τής πλευράς σου ρεύσαντι αίματι».

Έρωτι, Βασιλείας τής άνω λαβόμενος, τού επί γής Βασιλέως, αλογίστου γνώμης καί προσταγμάτων, καί δογμάτων, θεοφόρε γενναίως ηλόγησας.

Γυμνός μέν, τών επί γής εμφρόνως ηγώνισαι, ενδεδυμένος δέ θείαν, δυναστείαν ώφθης στεφανηφόρος, ως νικήσας, τών αθέων τυράννων τήν ένστασιν.

Θεοτοκίον

Ιδού νύν, τών Προφητών πληρούν ται κηρύγματα, σού τής Παρθένου τεκοόσης, τόν Προφήταις πάλαι, κεκηρυγμένον, καί πληρούντα τά προρρηθέντα Πνεύματος χάριτι.

Κοντάκιον Ήχος β'
Τά άνω ζητών

Εξ ύψους λαβών, τήν θείαν αποκάλυψιν, εξήλθες σοφέ, εκ μέσου τών θορύβων, καί μονάσας οσίως, τών θαυμάτων είληφας τήν ενέργειαν, καί τάς νόσους ιάσθαι τή χάριτι, Βασίλειε παμμάκαρ Ιερώτατε.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΗ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών καί ομολογητού Βασιλείου, συνασκητού τού Αγίου Προκοπίου.

Στίχοι

- Ο Βασίλειος Χριστόν εν ψυχή φέρων,
- Ψυχήν σκιάς τίθησι τής αυτού χάριν.
- Κρύψαν υπό χθόνα εικόνα ογδοάτη Βασίλειον.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Ιερομάρτυρος Προτερίου, Αρχιεπισκόπου Αλεξανδρείας.

Στίχοι

- Ο Προτέριος σφάττεται τοίς καλάμοις,
- Οξυγράφου κάλαμος ών κατά πλάνης.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Νέστορος.

Στίχοι

- Ουκ είχεν είδος, ουδέ κάλλος εν ξύλω,
- Νέστωρ απλωθείς, τό προφητικόν φάναι.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Γυναικών Κύρας καί Μαράνας.

Στίχοι

- Καταξιούνται Μαράνα τε καί Κύρα,
- Σαρκός μαρασμώ, κυριεύειν τού πόλου.

Τή αυτή ημέρα, οι Άγιοι έξ Μάρτυρες, οι εξ Αιγύπτου ξίφει τελειούνται.

Στίχοι

- Ξίφει θανείν έγραψαν έξ Αιγυπτίους,
- οι τού χρόνου γράψαντες άθλους καί βίους.

Τή αυτή ημέρα, οι Άγιοι Απόστολοι Νυμφάς καί Εύβουλος εν ειρήνη τελειούνται.

Στίχοι

- Χριστού φυτεία Χρισταπόστολοι δύο,
- Χριστώ σύνεισιν Εύβουλος Νυμφάς άμα.

Τή αυτή ημέρα, ο Όσιος Βάρσος, Επίσκοπος Δαμασκού, εν ειρήνη τελειούται.

Στίχοι

- Πανήγυριν ρέοντος εκλιπων βίου,
- Σύνεστι Βάρσος Αγγέλων πανηγύρει.

Τή αυτή ημέρα, ο Άγιος Μάρτυς Αβίρκιος ξίφει τελειούται.

Στίχοι

- Χριστού λατρευτής αυχένα τμηθείς ξίφει,
- θεών λατρευτάς Αβίρκιος αισχύνει.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Εν τή καμίνω, Αβραμιαίοι Παίδες τή Περσική, πόθω ευσεβείας μάλλον ή τή φλογί, πυρπολούμενοι εκραύγαζον, Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε».

Γεωργηθέντα, καί καθαρθέντα δι' ασκήσεως Πάτερ, καί αθλήσει λάμψαντα καρτερώς, ο Χριστός σε προσεδέξατο, Ευλογημένος εί, ο Θεός μου βοώντα καί Κύριος.

Νενευρωμένος, θεία δυνάμει Πάτερ ήλεγξας, πάντας τούς σεπτόν εικόνισμα τού Χριστού, αθετούντας ως παράφρονας, Ευλογημένος εί, ο Θεός μου κραυγάζων καί Κύριος.

Θεοτοκίον

Ως Θεοτόκον, καί Βασιλίδα πάσης κτίσεως, πάντες οι Πιστοί υμνούμέν σε τήν αγνήν, καί τό Χαίρέ σοι κραυγάζομεν, Ευλογημένη σύ, εν γυνσιξίν υπάρχεις Πανάμωμε.

Ωδή η'  Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Σώμα θεοφόρε καί τόν νούν, εις ολοκάρπωσιν, Χριστώ προσήγαγες, ώς ολοκαύτωμα τέλειον, τώ πυρί τής συνειδήσεως, καί τή φλογί τών αικισμών ολοκαυτούμενον, καί κραυγάζεις, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Κατεδίωξάς σου τούς εχθρούς, καί διωκόμενος, Πάτερ κατέλαβες, καί κατεπάτησας Όσιε, τήν οφρύν τήν υψηλόφρονα, ανηρημένους κατιδών τούς σέ μαστίξαντας, καί κραυγάζων, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Ως τις περιδέξιος ημίν, τοίς φοιτηταίς αριστεύς, ώφθης Πανόλβιε, τή πρίν ασκήσει γάρ άθλησιν, ανδρικώτατα προστέθεικας, συναθλητήν τόν μαθητήν έχων Προκόπιον, καί βοώντα, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Θεοτοκίον

Πύλην φωτοφόρον ουρανών, σέ Ονομάζομεν, δι' ής διήλθε Θεός, καί σεσωμάτωται Πάναγνε, ο ασώματος τό πρότερον, καθό Θεός, καί τώ Πατρί ως ομοούσιος, ώ βοώμεν, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Ωδή θ' Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη Χριστός, συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Άπασαν τήν αίσθησιν Πάτερ, νύν υπερβάς πρός τόν Δεσπότην, χαίρων μεταβέβηκας πόθω, τών σών αγώνων πλούτον δρεπόμενος, Αγγελικήν τερπνότητα, καί Παραδείσου τρυφήν άληκτον.

Τώ σώ μαθητή καί συνάθλω, συναπολαύων Αθλοφόρε, τής τών μακαρίων ελπίδος, καί δι' αιώνος συνευφραινόμενος, τούς τήν υμών πανήγυριν, επιτελούντας εποπτεύοιτε.

Εκ γής πρός ουράνιον λήξιν, Στεφανηφόροι μεταστάντες, ένθα τών Αγίων οι δήμοι, καί τών Αγγέλων θεία στρατεύματα, τών μαθητών τόν σύλλογον, υμών πρεσβείαις διασώσατε.

Θεοτοκίον

Ρήξον τάς σειράς τών πταισμάτων, τών σέ υμνούντων Θεομήτορ, παύσον τάς ορμάς τών πειρασμών, τής αμαρτίας θραύσον τόν τάραχον, τήν καταιγίδα σύντριψον, τήν τών κινδύνων Μητροπάρθενε.

Καί η λοιπή Ακολουθία τού Όρθρου, κατά τήν τάξιν, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΘ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών καί Ομολογητού Κασσιανού.

ΕΙΔΗΣΙΣ

*Ιστέον ότι, ότε ο χρόνος εστί δίσεκτος, ψάλλεται η ακολουθία αύτη κατά τήν Κθ'. Εί δέ ουκ έστι δίσεκτος, ψάλλεται τή ΚΗ' εν τοίς Αποδείπνοις.*

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος β'

Άγγελος μέν τό χαίρε

Αγγελικώς βιώσας, επί γής θεόφρον Μακάριε, χοροίς τών ασωμάτων ηρίθμησαι, σταυρόν γάρ επί ώμων σου αράμενος Όσιε, τώ τών όλων Θεώ ηκολούθησας, καί πάθη ψυχοφθόρα, εγκρατείας πόνοις θανατώσας, τού

Πνεύματος δοχείον, καί σκεύος καθαρόν εχρημάτισας, Διό βοώμέν σοι, Υπέρ πάντων εκδυσώπει τών ευφημούντων σε.

Νηστείαις αγρυπνίαις, τώ Θεώ αεί προσκολλώμενος, απάσης ηδονής υψηλότερος μακάριε εδείχθης, καί καλαίς αναβάσεσιν, απαύστως φωτιζόμενος, έβλυσας διδασκαλίας ρείθρα, τών πιστών αρδεύοντα καρδίας, καί γνώσιν εκτιθέντα, Κασσιανέ θεόφρον σωτήριον, Διό βοώμέν σοι, Υπέρ πάντων εκδυσώπει τών ευφημούντων σε.

Άνωθεν φωτισθείσα, η σοφή σου Πάτερ διάνοια, διδασκαλίας φέγγος απήστραψε, δι' ού φωταγωγείται Μοναζόντων τό σύστημα, τών παθών τής αχλύος λυτρούμενον, διό καί εορτάζει τήν αγίαν πάντοτε μνήμην σου, τόν Κύριον τής δόξης δοξάζον, τόν αεί σε δοξάσαντα, άγωνισάμενον, καί νικήσαντα τόν όφιν τόν πολυμήχανον.

Καί νύν... Θεοτοκίον Ήχος β'

Τήν πάσαν ελπίδα μου εις σέ ανατίθημι, Μήτηρ τού Θεού, φύλαξόν με υπό τήν σκέπην σου.

Η Σταυροθεοτοκίον

Ότε εκ τού ξύλου σε

Βότρυν τόν παμπέπειρον Αγνή, όν αγεωργήτως εν μήτρα εκυοφόρησας, ξύλω ως εώρακας, τούτον κρεμάμενον, θρηνωδούσα ωλόλυζες, καί έκραζες, Τέκνον, γλεύκος εναπόσταξον, δι' ού η μέθη αρθή, πάσα τών παθών ευεργέτα, δι' εμού τής σέ τετοκυίας, σού τήν ευσπλαγχνίαν, ενδεικνύμενος.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, λέγεται ο Κανών, ού η Ακροστιχίς.

Σοί Κασσιανέ τήν δε τήν ωδήν πλέκω. Ιωσήφ.

Ωδή α' Ήχος β'

Ο Ειρμός

«Εν βυθώ Κατέστρωσε ποτέ, τήν Φαραωνίτιδα, παν στρατιάν η υπέροπλος δύναμις, σαρκωθείς ο Λόγος δέ, τήν παμμόχθηρον αμαρτίαν εξήλειψεν, ο δεδοξασμένος Κύριος, ενδόξως γάρ δεδόξασται».

Στεφανώσας θείαις αρεταίς, Όσιε τόν βίον σου, Κασσιανέ πρός Θεόν εξεδήμησας, παρ' ού ημίν αίτησαι, απολύτρωσιν τών πταισμάτων δεόμεθα, τοίς επιτελούσι, πίστει τήν αγίαν σου μετάστασιν.

Ολοτρόπω νεύσει πρός Θεόν, πάντων Αξιάγαστε, τών εμπαθών νοημάτων εξένευσας, καί φώς εχρημάτισας, ταίς μεθέξεσι ταίς αϋλοις θεούμενος, όθεν σε τιμώμεν, καί πανηγυρίζομεν Τήν μνήμην σου.

Ιατρός γεγένησαι ψυχών, θείοις σου διδάγμασι, Κασσιανέ ρυθμίζων τά

φρονήματα, Μοναστών εν χάριτι, καί τήν φέρουσαν πρός ζωήν τήν αιώνιον, άριστα δεικνύων, τρίβον θεοφόρε παμμακάριστε.

Θεοτοκίον

Κυοφόρον άνανδρον Αγνήν, πάντες σε γινώσκομεν, τόν γάρ Θεόν σάρκα θνητήν ενδυσάμενον, υπέρ νούν εγέννησας, τόν φαιδρύναντα τών Οσίων τόν σύλλογον, Όθεν σε υμνούμεν, πίστει μεγαλύνοντες τόν τόκον σου.

Ωδή γ'  Ο Ειρμός

«Εξήνθησεν η έρημος, ωσεί κρίνον Κύριε, η τών εθνών στειρεύουσα Εκκλησία, τή παρουσία σου, εν ή εστερεώθη η καρδία μου».

Αστέρα εν τώ ύψει σε, Εκκλησίας λάμποντα, ο φωτισμός ανέδειξε, τών εν σκότει Χριστός πανεύφημε, ασκητών ωραιότης Πάτερ πάνσοφε

Σταυρώ τόν ομιλήσαντα, καί τόν κόσμον σώσαντα, Κασσιανέ μιμούμενος, εσταυρώθης κόσμω καί πάθεσι, πανουργίας δαιμόνων τροπωσάμενος.

Σοφίας πληρωθείσά σου, η καρδία Πάνσοφε, διδασκαλίας άβυσσον, εν Αγίω έβλυσε Πνεύματι, Μοναστών τάς αγέλας καταρδεύουσα.

Θεοτοκίον

Ιάτρευσον Πανάμωμε, τήν ψυχήν μου δέομαι, εξασθενούσαν πάθεσι, καί παντοίαις επαναστάσεσι, τών κακίστων δαιμόνων μεσιτείαις σου.

Κάθισμα  Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ

Οσιωθείς σύ τώ Θεώ ανετέθης, καί λαμπρυνθείς σύ τών καλών ταίς ιδέαις, Κασσιανέ ως ήλιος απήστραψας, φέγγει τών ενθέων σου διδαχών τάς καρδίας, πάντων τών τιμώντων σε, αενάως φωτίζων, αλλ' εκτενώς ικέτευε Χριστόν, υπέρ τών πόθω, θερμώς ευφημούντων σε.

Θεοτοκίον

Τή Θεοτόκω εκτενώς νύν προσδράμωμεν, αμαρτωλοί καί ταπεινοί καί Προσπέσωμεν, εν μετανοία κράζοντες εκ βάθους ψυχής Δέσποινα βοήθησον, εφ' ημίν σπλαγχνισθείσα σπεύσον απολλύμεθα, υπό πλήθους πταισμάτων, μή αποστρέψης σούς δούλους κενούς, σέ γάρ καί μόνην ελπίδα κεκτήμεθα.

Η Σταυροθεοτοκίον

Τόν εξ ανάρχου τού Πατρός γεννηθέντα, η ανωδίνως σε σαρκί τετοκυία, επί Σταυρού κρεμάμενον ορώσά σε Χριστέ, Οίμοι! ποθεινότατε, Ιησού ανεβόα, πώς ο δοξαζόμενος, ως Θεός υπ' Αγγέλων, υπό ανόμων νύν βροτών Υιέ, θέλων σταυρούσαι; Υμνώ σε μακρόθυμε.

Ωδή δ'  Ο Ειρμός

«Ελήλυθας, εκ Παρθένου ου πρέσβυς ουκ Άγγελος, αλλ' αυτός ο Κύριος, σεσαρκωμένος καί έσωσας, όλον με τόν άνθρωπον, διό κραυγάζω σοι, Δόξα τή δυνάμει σου Κύριε».

Αγώσί σου, τής σαρκός υποτάξας σκιρτήματα, τώ πνεύματι Όσιε, ταίς Ιεραίς νουθεσίαις σου, πάσας απεγύμνωσας, τάς πανουργίας τού πλάνου καί τά ένεδρα.

Νεκρούμενος, εκουσίως τώ κόσμω τήν μέλλουσαν, ζωήν κλήρον είληφας, Κασσιανέ παναοίδιμε νόμους συνεγράψω δέ, εις Μοναστών οδηγίαν καί τελείωσιν.

Ενώκησε, τή ψυχή σου η χάρις τού Πνεύματος, καί πάντων ανώτερον, τών τής σαρκός φρονημάτων σε, έδειξε Πανόλβιε, καί τών τού πλάνου παγ ίδων εμφανέστατα.

Θεοτοκίον

Τόν άχρονον, υπό χρόνον γενόμενον τέτοκας, αρρήτως Πανάμωμε, τόν τούς Οσίους λαμπρύναντα, πίστει αριστεύσαντας, καί τόν αρχέκακον όφιν ταπεινώσαντας.

Ωδή ε' Ο Ειρμός

«Μεσίτης Θεού, καί ανθρώπων γέγονας, Χριστέ ο Θεός, διά σού γάρ Δέσποτα, τήν πρός τόν αρχίφωτον Πατέρα σου, εκ νυκτός αγνωσίας, προσαγωγήν εσχήκαμεν».

Ηρπάγης ταίς σαίς, αρεταίς θεόληπτε οχούμενος, καί χαίρων κατέπαυσας, πρός τά επουράνια σκηνώματα, τών καμάτων τά γέρα, αξίως κομιζόμενος.

Νοί καθαρώ, σύ ενοπτριζόμενος, τό κάλλος Χριστού, ίστασο ακλόνητος, νύκτωρ μεθ' ημέραν τε Αοίδιμε, καί ενθέους δηλώσεις, εκείθεν εισδεχόμενος.

Δακρύων πηγαίς, θεοφόρε Πάτερ αρδευόμενος, ως δένδρον υψίκορμον, ήνεγκας καρπούς τά κατορθώματα, επευφραίνοντα πάντων, ενθέως τά νοήματα.

Θεοτοκίον

Εκ σού η ζωή, υπέρ νούν Παρθένε ανατείλασα, εχθρόν εθανάτωσεν, άπαντας ημάς τόν θανατώσαντα, καί εζώωσε κόσμον, απαύστως ανυμνούντά σε.

Ωδή ς' Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, Εκ φθοράς ο Θεός με ανάγαγε».

Τήν οδόν τήν στενήν Πάτερ ώδευσας, πάσί τε τοίς λόγοις σου ταύτην υπέδειξας, ήν οι καλώς βαδίζοντες, Παραδείσου πρός πλάτος εισάγονται.

Η ζωή σου οσία γεγένηται, καί η τελευτή μακαρία καί έντιμος, Κασσιανέ Πατήρ ημών, τών αγίων Αγγέλων συνόμιλε.

Νυσταγμόν αμελείας απέρριψας, καί επαγρυπνών θεωρίαις καί πράξεσιν,

αγγελικώς εβίωσας, επί γής θεοφόρε πανόλβιε.

Θεοτοκίον

Ως καλήν ώς ωραίαν ποθήσας σε, ο καλλοποιός Ιησούς Παναμώμητε, εκ σού σαρκί γεγέννηται, καί θεοί με δι' οίκτον αμέτρητον.

Συναξάριον

Τή Κθ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών καί Ομολογητού Κασσιανού τού Ρωμαίου.

Στίχοι

- Ένθεν μεταστάς Κασσιανός πρός νόας,
- Θθείας νοητώς κασσίας αποπνέει.
- Εικάδα αμφ ενάτην θάνε Κασσιανός μεγαθύμων.

Ταίς αυτού αγίαις πρεσβείαις, ο Θεός ελέησον ημάς. Αμήν.

Ωδή ζ' Ο Ειρμός

«Αντίθεον πρόσταγμα παρανομούντος, τυράννου μετάρσιον, τήν φλόγα ανερρίπισε, Χριστός δέ εφήπλωσε, θεοσεβέσι Παισί, δρόσον τήν τού Πνεύματος, ο ών ευλογημένος καί υπερένδοξος».

Διόλου ταίς νεύσεσι ταίς φανοτάταις, θεόφρον θεούμενος, φωστήρ εδείχθης άδυτος, εντεύθεν απήστραψας, λόγον σωτήριον, πάντων τά νοήματα ημών, φωταγωγούντα τών ευφημούντων σε.

Η γλώσσά σου πνεύματι εκτεθηγμένη, σαφώς διεχάραξε, τόν νόμον τόν σωτήριον, καί τύπους εξέθετο, οίς περ ρυθμίζονται, πάσαι Παμμακάριστε αεί, τών Μοναζόντων αγέλαι χαίρουσαι.

Νοήματα Όσιε σωτηριώδη, καί ρήματα άγνοιαν, καρδίας απελαύνοντα, πλουσίως ανέβλυσας, Πάτερ θεόσοφε, όθεν σε γεραίρομεν πιστώς, τήν παναγίαν τελούντες μνήμην σου.

Θεοτοκίον

Παστάς εχρημάτισας τού Θεού Λόγου, καί θρόνος πυρίμορφος, εν ώ επανεπαύσατο, ο Λόγος σαρκούμενος, δι άκραν αγαθότητα, τούτον ούν ικέτευε αγνή, κατοικτειρήσαι καί ελεήσαι ημάς.

Ωδή η' Ο Ειρμός

«Κάμινος ποτέ, πυρός εν Βαβυλώνι, τάς ενεργείας διεμέριζε, τώ θείω προστάγματι, τούς Χαλδαίους καταφλέγουσα, τους δέ πιστούς δροσίζουσα, ψάλλοντας, Ευλογείτε πάντα τά έργα τόν Κύριον».

Λάμπων ως αστήρ, τώ λόγω καί τώ βίω, Κασσιανέ φωτίζεις άπαντα, τής γής τά πληρώματα, τής αγνοίας υπεξαίρων αχλύν, καί μέλπειν προτρεπόμενος, άπαντας, Ευλογείτε, πάντα τά έργα τόν Κύριον.

Έδυσας θανών, ως ήλιος Παμμάκαρ, ώσπερ ακτίνας δέ κατέλιπες, αδύτους τούς λόγους σου, φωτιζούσας τάς ψυχάς ημών, τών πίστει τήν αγίαν σου μνήμην επιτελούντων, καί δοξαζόντων τόν Κύριον.

Κάλλους νοητού, αρρήτως απολαύεις απολυθείς τούδε τού σώματος, καί βλέπειν ηξίωσαι, άπερ Αοίδιμε, Αγγέλων τά στρατεύματα μέλποντα, Ευλογείτε, πά τα τά έργατόν Κύριον.

Θεοτοκίον

Ώφθης ουρανών, Παρθένε πλατυτέρα, τόν μηδαμού Θεόν χωρούμενον, αφράστως κυήσασα, καί τεκούσα υπέρ έννοιαν, διπλούν όντα ταίς φύσεσι, μίαν δέ κεκτημένον, θεοπρεπώς τήν υπόστασιν.

Ωδή θ' Ο Ειρμός

«Ανάρχου Γεννήτορος, Υιός Θεός καί Κύριος, σαρκωθείς εκ Παρθένου ημίν επέφανε, τά εσκοτισμένα φωτίσαι, συναγαγείν τά εσκορπισμένα, διό τήν πανύμνητον, Θεοτόκον μεγαλύνομεν».

Ισχύς σοι δεδώρηται, παρά Θεού καί δύναμις, τάς αρχάς διολέσαι τού κοσμοκράτορος, όθεν αριστεύσας μεγάλως, ως αληθώς, Πάτερ θεοφόρε, χοροίς συνηρίθμησαι, τών Οσίων αγαλλόμενος.

Ως ρόδον ηδύπνοον, ημάς ευωδιάζουσιν, οι θεόπνευστοι λόγοι, τής θείας γλώττης σου, σύ γάρ ευωδία εγένου, τού δι' ημάς, Θεού σαρκωθέντος, δι' άμετρον έλεος, θεοφόρε πανσεβάσμιε.

Σκιρτήσωμεν άνθρωποι, πνευματικώς χορεύοντες, Κασσιανού νύν τή μνήμη επαγαλλόμενοι, ψάλλωμεν Θεώ εν αινέσει, τώ θαυμαστώ, όντι εν αγίοις, καί καθαγιάζοντι, τούς εν πίστει αυτόν σέβοντας.

Θεοτοκίον

Φθαρείσαν εκαίνισας, τήν φύσιν τού Προπάτορος, υπέρ φύσιν τεκούσα, καί παρθενεύουσα, φύσεως απάσης τόν Πλάστην, όν εν Σταυρώ, κρεμάμενον πάλαι, ώλόλυζες βλέπουσα, Παναγία Μητροπάρθενε.

Καί η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

---

**Τίτλος**
**Μάρτιος_1 Μάρτιος_2 Μάρτιος_3 Μάρτιος_4 Μάρτιος_5 Μάρτιος_6 Μάρτιος_7 Μάρτιος_8 Μάρτιος_9 Μάρτιος_10 Μάρτιος_11 Μάρτιος_12 Μάρτιος_13 Μάρτιος_14 Μάρτιος_15 Μάρτιος_16 Μάρτιος_17 Μάρτιος_18 Μάρτιος_19 Μάρτιος_20 Μάρτιος_21 Μάρτιος_22 Μάρτιος_23 Μάρτιος_24 Μάρτιος_25 Μάρτιος_26 Μάρτιος_27 Μάρτιος_28 Μάρτιος_29 Μάρτιος_30 Μάρτιος_31**

## ΤΗ Α' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής αγίας Οσιομάρτυρος Ευδοκίας τής από Σαμαρειτών.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν τρία Στιχηρά Προσόμοια τής Αγίας.

Ήχος δ'  Έδωκας σημείωσιν

Πρότερον ασκήσασα, καί τής σαρκός τά σκιρτήματα, εγκρατεία μαράνασα, αθλήσει τό δεύτερον τού εχθρού καθείλες, τάς μηχανουργίας, καί νίκην ήρας κατ' αυτού, ώ Ευδοκία θεομακάριστε, διό σε εστεφάνωσεν, επί διπλοίς αγωνίσμασιν, Ιησούς ο φιλάνθρωπος, καί Σωτήρ τών ψυχών ημών.

Καρδίας ταίς αύλαξι, σπόρον τόν θείον εισδέδεξαι, ως γή πίων θεόπνευστε, και εκατοστεύοντα, μαρτυρίου στάχυν, εξήνθησας όντως, καί αποθήκαις νοηταίς, εθησαυρίσθης σθένει τού Πνεύματος, τού σέ μεταποιήσαντος, καί αλλοιώσει τή κρείττονι, αλλοιώσαντος χάριτι, Ευδοκία πανεύφημε.

Νεκρούς εξανέστησας, ζωοποιώ σου προσφθέγματι, Ευδοκία πανεύφημε, νεκρώσασα πάνσοφε, εγκρατείας πόνοις, τού σώματος πάθη, καί νύν οικείς τούς ουρανούς, μετά Μαρτύρων, καλώς τελέσασα, τόν δρόμον τής αθλήσεως, τή συνεργεία τού Πνεύματος, υπέρ πάντων τών πίστει σε, ανυμνούντων πρεσβεύουσα.

Δόξα... Καί νύν... Θεοτοκίον

Χαίροις ηλιόμορφε, Ηλίου άδυτον όχημα, η τόν Ήλιον λάμψασα, τόν απερινόητον, χαίρε νούς αστράπτων, θείαις φρυκτωρίαις, η λαμπηδών τής αστραπής, η διαυγάζουσα γής τά πέρατα, η όντως χρυσαυγίζουσα, η παγκαλής καί πανάμωμος, η τό φώς τό ανέσπερον, τοίς πιστοίς εξαστράψασα.

Η Σταυροθεοτοκίον

Σταυρούμενον βλέπουσα Χριστόν η πάναγνος Δέσποινα, καί πλευράν ορυττόμενον, λόγχη η πανάμωμος, έκλαιε βοώσα, Τί Υιέ μου; τί σοι αχάριστος τουτο λαός, αποτιννύει ανθ' ών πεποίηκας, καλών αυτοίς, καί σπεύδεις με, ατεκνωθήναι παμφίλτατε; καταπλήττομαι εύσπλαγχνε, σήν εκούσιον σταύρωσιν.

Εάν δέ τύχη εν Σαββάτω, η εκτός τής τεσσαρακοστής, λέγε τό εξής Ιδιόμελον.

Δόξα... Ήχος πλ. β'
Ιωάννου Μοναχού

Καταλιπούσα τά τερπνά, καί ποικίλα τού βίου, η Οσία καί Μάρτυς, καί τόν σταυρόν αραμένη επ' ώμων, προσήλθε τού νυμφευθήναί σοι, Χριστέ, καί σύν οιμωγαίς δακρύων εβόα, Μή με τήν πόρνην απορρίψης, ο ασώτους καθαίρων, μή μου τά δάκρυα παρίδης, τών δεινών αφλημάτων, αλλά δέξαι

με, ώσπερ τήν πόρνην εκείνην, τήν τό μύρον σοι προσενέγκασαν, καί ακούσω καγώ, Η πίστις σου σέσωκέ σε, πορεύου εις ειρήνην.

Καί νύν... Θεοτοκίον

Τριήμερος ανέστης

Μετάνοιαν ού κέκτησαι, ψυχή αμετανόητε, τί βραδύνεις; τού θανάτου η τομή, εγγίζει καί τό τέλος, εφέστηκεν ως κλέπτης, τή Θεοτόκω δράμε πρόσπεσον.

Η Σταυροθεοτοκίον

Ορώσά σε σταυρούμενον, Χριστέ η σέ κυήσασα, ανεβόα, Τί τό ξένον, ο ορώ, μυστήριον Υιέ μου; πώς επί ξύλου θνήσκεις, σαρκί κρεμάμενος ζωής χορηγέ;

Η λοιπή τού Εσπερινού Ακολουθία κατά τήν τάξιν.

Απολυτίκιον Ήχος δ'

Η αμνάς σου Ιησού, κράζει μεγάλη τή φωνή, σέ νυμφίε μου ποθώ, καί σέ ζητούσα αθλώ, καί συσταυρούμαι καί συνθάπτομαι τώ βαπτισμώ σου, καί πάσχω διά σέ, ως βασιλεύσω σύν σοί, καί θνήσκω υπέρ σού, ίνα καί ζήσω εν σοί, αλλ' ως θυσίαν άμωμον προσδέχου, τήν μετά πόθου υθείσάν σοι, Αυτής πρεσβείαις ως ελεήμων, σώσον τάς ψυχάς ημών.

Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν λέγονται οι Κανόνες κατά τήν τάξιν.

Ο κανών τής Αγίας, ού η Ακροστιχίς.

Τής Ευδοκίας τούς αγώνας αινέσω

Ωδή α' Ο Ειρμός

«Άσωμεν τώ Κυρίω, τώ διαγαγόντι τόν λαόν αυτού, εν Ερυθρά θαλάσση, ότι μονος ενδόξως δεδόξασται».

Τήν εξ απροσεξίας, σκότωσίν μοι Μάρτυς επισκήψασαν, πρεσβειών σου ακτίσιν, Ευδοκία υμνούντί σε σκέδασον.

Ήγρευσεν η σαγήνη, λόγων θεοπνεύστων Καλλιμάρτυς σε, αθανάτου τραπέζης, απολαύσεως θείας εντρύφημα.

Στέμμα τής αφθαρσίας, καί τήν διαμένουσαν απόλαυσιν, τά γής παρωσαμένη, Ευδοκία, αξίως κεκλήρωσαι.

Θεοτοκίον

Έλυσε τού θανάτου, εκ τής καταδίκης με Πανάμωμε, ο εκ σού Θεός Λόγος, σαρκωθείς διά σπλάγχνα ελέους αυτού.

Ωδή γ'  Ο Ειρμός

«Σύ εί τό στερέωμα τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Ύλην καταλείψασα, τήν πολυποίκιλον ένδοξε, κόσμου φθαρτού, όλβον Ευδοκία, αναφαίρετον είληφας.

Δόξης αγαλλίαμα, τής μετανοίας σου σύμβολον, εν ουρανοίς, σεπτή κατιδούσα, εφωτίσθης βαπτίσματι.

Θεοτοκίον

Όλην μου τήν έφεσιν, Θεογεννήτρια δέομαι, πρός τόν εκ σού, ίθυνον τεχθέντα, τών παθών ρυομένη με.

Κάθισμα

Ήχος πλ. δ'  Τήν Σοφίαν

Φωτισθείσα τή αίγλη τή θεϊκή, τόν τής πλάνης κατέλιπες σκοτασμόν, καί βίον ανέλαβες, μετά σώματος άϋλον, χαρισμάτων δέ θείων, πλησθείσα τού Πνεύματος, εκ ψιλής προσρήσεως, νεκρούς εξανέστησας, όθεν επί τέλει, μαρτυρίου στεφάνω, ενθέως κεκόσμησαι, καί τόν δόλιον ήσχυνας, Ευδοκία Ισάγγελε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω τήν αγίαν μνήμην σου.

Θεοτοκίον

Ενθυμούμαι τήν κρίσιν καί δειλιώ, εννοών μου τάς πράξεις τάς πονηράς, πώς απολογήσομαι, τώ Κριτή ο ταλαίπωρος; πρός τήν σήν δέ βλέπων, εικόνα πανύμνητε, αναψυχήν λαμβάνω, Κυρία τών πόνων μου, καί απεγνωσμένος, σοί προσπίπτω κραυγάζων, Ελέησον, οίκτειρον, Παναγία μου πρόφθασον, εν η μέρα τής κρίσεως, όπως ταίς πρεσβείαις ταίς σαίς, ο Υιός σου ίλεώς μοι γένηται, επεί περ άλλην ελπίδα, εκτός σου ού κέκτημαι.

Η Σταυροθεοτοκίον

Τόν Αμνόν καί Ποιμένα καί Λυτρωτήν, η Αμνάς θεωρούσα εν τώ σταυρώ, αδίκως κρεμάμενον, θρηνωδούσα εκραύγαζεν, Οίμοι φίλτατον τέκνον, Υιέ ποθεινότατε! Οίμοι πώς τοσούτον, οράν στέρξω θέαμα! κόπτομαι τά σπλάγχνα τήν καρδίαν Πιμπρώμαι, Αλλ' ώ υπεράγαθε, τούς σούς λόγους εκπέρανον, καί ανάστηθι τάχιον, κόσμον χαρμονής εμπιπλών, καί πταισμάτων λύτρωσιν δωρούμενος, τοίς ανυμνούσιν εν πίστει, τό άχραντον πάθος σου.

Ωδή δ'  Ο Ειρμός

«Εισακήκοα Κύριε, τής οικονομίας σου τό μυστήριον, κατενόησα τά έργα σου, καί εδόξασά σου τήν θεότητα».

Καλλονή υπερέχουσα, σώματος αξίως ψυχής εξήνθησας, ωραιότητα κατάλληλον, πόνοις Ευδοκία απαστράπτουσα.

Ιεραίς εισηγήσεσι, ταίς τού Γερμανού τήν κρίσιν ευϊλατον, δι' ελέους Μάρτυς

είληφας, τών πρίν αθεμίτων αλογήσασα.

Απημαύρωσας άπασαν, πλάνης προσβολήν, φωτός αληθείας γάρ, οδηγόν έσχες Αρχάγγελον, θείας σοι εμφάσεις εκκαλύπτοντα.

Θεοτοκίον

Σύ πανάμωμε Δέσποινα, σάλον τών κυμάτων ψυχής μου πράϋνον, αμαρτίας με τού κλύδωνος, καί τής τρικυμίας απαλλάττουσα.

## Ωδή ε' Ο Ειρμός

«Ορθρίζοντες βοώμέν σοι Κύριε, σώσον ημάς, σύ γάρ εί Θεός ημών, εκτός σου άλλον ουκ οίδαμεν».

Τόν βόρβορον τών πράξεων δάκρυσιν, εκπλυθείσα λουτρώ τού Βαπτίσματος, ηλίου πλέον εξέλαμψας.

Ου πλούτος, ού θωπείαι, ου μάστιγες, ου ξεσμοί σε, ου ξίφος, ου θάνατος, Θεού χωρίσαι δεδύνηνται.

Θεοτοκίον

Υλώδους προσπαθείας μου άκανθαν, Θεοτόκε, φλέξον τώ μή φλέξαντι, πυρί τήν θείαν γαστέρα σου.

## Ωδή ς' Ο Ειρμός

«Χιτώνά μοι παράσχου φωτεινόν, ο αναβαλλόμενος φώς ως ιμάτιον, πολυέλεε Χριστέ ο Θεός ημών».

Στερρώς τώ τής αθλήσεως πυρί, σεαυτήν λιπάνασα, βασάνοις ανάλωτος, Ευδοκία, ανεδείχθης σεβάσμιε.

Αγάπης εραστών τών φθαρτικών, σεμνόν προτιμήσασα Νυμφίον τώ έρωτι, Ευδοκία τώ αφθάρτω επανέθου σαυτήν.

Θεοτοκίον

Γαλήνης η κυήσασα Χριστόν, τόν αίτιον Δέσποινα, τόν άγριον κλύδωνα, τών παθών μου, Παναγία ημέρωσον.

Εί έστι Τεσσαρακοστή, λέγε τό Μαρτυρικόν τού τυχόντος ήχου.

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή Α' τού αυτού μηνός, Μνήμη τής Αγίας Οσιομάρτυρος Ευδοκίας τής από Σαμαρειτών.

Στίχοι

- Η Σαμαρείτις ουχ ύδωρ Ευδοκία,
- Αλλ' αίμα, Σώτερ, εκ τραχήλου σοι φέρει.
- Μαρτίου αμφί πρώτη η Ευδοκία ξίφος έτλη.

Τή αυτή ημέρα, μνήμη τής Αγίας Δομνίνης, καί τών σύν αυτή.

Στίχοι

- Τών αρετών φέρουσα φόρτους Δομνίνα,
- Θεώ προσήλθεν έμπορος πανολβία.

Τή αυτή ημέρα, μνήμη τής Αγίας Μάρτυρος Αντωνίνης.

Στίχοι

- Θάλαμος η θάλασσα νυμφικός γίνη,
- Αντωνίναν κρύπτουσα νύμφην Κυρίου.

Τή αυτή ημέρα οι Άγιοι Μάρκελλος καί Αντώνιος, πυρί τελειούνται.

Στίχοι

- Χώνη τις η κάμινος Αθληταίς δύο,
- Οί χρυσίου λάμπουσιν εν ταύτη πλέον.

Τή αυτή ημέρα, οι Άγιοι Μάρτυρες Σίλβεστρος καί Σωφρόνιος ξίφει τελειούνται.

Στίχοι

- Ου καρτερών Σίλβεστρε θρησκεύειν πλάνην,
- Σύν Σωφρονίω τήν τομήν εκαρτέρεις.

Τή αυτή ημέρα, ο Άγιος Νεστοριανός ξίφει τελειούται.

Στίχοι

- Εις τουπίσω τράχηλον εξειλκυσμένος,
- Νεστοριανός τήν σφαγήν πρόσω φέρει.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ' Ο Ειρμός

«Οι εκ τής Ιουδαίας, καταντήσαντες παίδες εν Βαβυλώνι ποτέ, τή πίστει τής Τριάδος, τήν φλόγα τής καμίνου, κατεπάτησαν ψάλλοντες, Ο τών Πατέρων ημών, Θεός ευλογητός εί».

Ως ζωής κληρονόμος, καί θανάτου ρυσθείσα τού ψυχοφθόρου σαφώς, ευχή τούς τεθνεώτας, ζωούσα Ευδοκία, τώ Χριστώ ανεκραύγαζες, Ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Ναός τής αμαρτίας, προϋπάρξασα Μάρτυς σαυτήν καθήρας Θεώ, ναόν ηγιασμένον, ενάρετον δεικνύσα, Καλλιμάρτυς κραυγάζουσα, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Ασκήσεως ιδρώσι, πιανθείσα ελαία ώφθης κατάκαρπος, αθλήσεως δέ ξίφει, καί λύθρω Ευδοκία, τρυγωμένη εκραύγαζες, ο τών πατέρων ημών, Θεός ευλογητός εί.

Θεοτοκίον

Συντριβέντα κακία, καί δειναίς αμαρτίαις καταβριθόμενον, Αμνόν τήν αμαρτίαν, τόν αίροντα τού κόσμου, η κυήσασα Δέσποινα, επικρατείας αυτών, Παρθένε, τήρησόν με.

Ωδή η' Ο Ειρμός

«Τόν Βασιλέα τών ουρανών, όν υμνούσι, στρατιαί τών Αγγέλων, υμνείτε καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Αϋλον πύρ σοι ενδομυχούν, καί εν κόλποις, θείος άνθραξ Πάνσεμνε υπάρχων, εφλεξε τυράννους, αλώβητον τηρών σε.

Ιδρώτων θείων τάς αμοιβάς Ευδοκία, ιαμάτων είληφας πλημμύρας, νόσους θανατούσα, καί τούς νεκρούς ζωούσα.

Θεοτοκίον

Νενεκρωμένην ταίς ηδοναίς τήν ψυχήν μου, Θεοτόκε ζώωσον, ζωήν γάρ, μόνη απειράνδρως, γεγέννηκας Παρθένε.

Ωδή θ' Ο Ειρμός

«Κυρίως Θεοτόκον, σέ ομολογούμεν, οι διά σού σεσωσμένοι Παρθένε Αγνή, σύν Ασωμάτων χορείαις, σέ μεγαλύνοντες».

Ελύθης τών προσκαίρων, Μάρτυς Ευδοκία, καί εφετών τό ακρότατον είληφας, πρός τόν Θεόν, διά ξίφους επιδημήσασα.

Σύν Μάρτυσιν ως Μάρτυς, καί σύν ταίς Οσίαις, ως Ασκητών ακροθίνιον έλαμψας, θαυματουργός Ευδοκία, δειχθείσα ένδοξε.

Θεοτοκίον

Ως θείαν προστασίαν, καί ως ασφαλή σε, ελπίδα μόνην κατέχω Μητρόθεε, αμαρτιών καί κινδύνων εκλυτρωθήναί με.

Ει έστι Τεσσαρακοστή, τό Φωταγωγικόν, και η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Β' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Μάρτυρος Ησυχίου τού Συγκλητικού.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν τρία Προσόμοια Στιχηρά τού Αγίου.

Ήχος δ' Ως γενναίον εν Μάρτυσιν

Καί εν βίω εν περίδοξος, και Μάρτυσι μέγιστος, Αθλητά Ησύχιε γνωριζόμενος, ταίς ουρανίαις Δυνάμεσι, συνων παμμακάριστε, τώ τών όλων Βασιλεί, μετά δόξης παρίστασαι, όθεν πίστει σου, τούς γενναίους αγώνας ευφημούμεν, καί

τήν μνήιμην εκτελούμεν, τόν Ευεργέτην δοξάζοντες.

Βασιλεί τών Δυνάμεων, στρατευθείς διά πίστεως, αθλητά Ησύχιε, δόγμα άθεον, παρανομούντων ηκύρωσας, Βασιλέων ένδοξε, καί προείλου τό θανείν διά πόθον τόν ένθεον, όθεν άπασα, η σεπτή Εκκλησία εορτάζει, τήν πανέορτόν σου μνήμην, καί θυμηδίας ανάπλεων.

Ποταμίοις εν ρεύμασιν, απερρίφης Ησύχιε, εν αυτοίς τόν δράκοντα τόν πολέμιον, εναποπνίξας πανόλβιε, καί νύν ανελήλυθας εις αυτούς τούς ουρανούς, τούς στεφάνους ληψόμενος καί παρίστασαι, εφετών ακροτάτω Αθλοφόρε, τών Αγγέλων συμπολίτα, τής ευσεβείας εδραίωμα.

Δόξα... Καί νύν... Θεοτοκίον

Η Θεόν τόν αχώρητον, εν γαστρί σου χωρήσασα, φιλανθρώπως άνθρωπον χρηματίσαντα, καί τό ημέτερον φύραμα, εκ σού προσλαβόμενον καί θεώσαντα σαφώς, μή παρίδης με Πάναγνε, νύν θλιβόμενον, αλλ' οικτείρησον τάχος καί παντοίας, δυσμενείας τε καί βλάβης, τού πονηρού ελευθέρωσον.

Η Σταυροθεοτοκίον

Εν Σταυρώ ως εώρακε, καθηλούμενον Κύριε, η Αμνάς καί Μήτηρ σου εξεπλήττετο, καί Τί τό όραμα, έκραζεν, Υιέ ποθεινότατε; ταύτά σοι ο απειθής, δήμος ανταποδίδωσιν, ο παράνομος, ο πολλών σου θαυμάτων απολαύσας; Αλλά δόξα τή αρρήτω, συγκαταβάσει σου, Δέσποτα.

Καί τά λοιπά τού Εσπερινού, ως σύνηθες.

Απολυτίκιον Ήχος δ'

Ο Μάρτυς σου, Κύριε, εν τή αθλήσει αυτού, τό στέφος εκομίσατο τής αφθαρσίας εκ σού τού Θεού ημών, Έχων γάρ τήν ισχύν σου, τούς τυράννους καθείλεν, έθραυσε καί δαιμόνων τά ανίσχυρα θράση, Αυτού ταίς ικεσίαις, Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, λέγονται οι Κανόνες κατά τήν τάξιν.

Ο Κανών τού Αγίου έχων Ακροστιχίδα.

Τόν παμμέγιστον Ησύχιον αινέσω. Ιωσήφ.

Ωδή α' Ήχος δ' Ο Ειρμός

«Άσομαί σοι Κύριε ο Θεός μου, ότι εξήγαγες λαόν, δουλείας Αιγύπτου, εκάλυψας δέ άρματα, Φαραώ καί τήν δύναμιν».

Ταίς θείαις λαμπρότησι τού Σωτήρος, λελαμπρυσμένος, Αθλητά, τούς πίστει

τελούντας, τήν σήν αγίαν άθλησιν, φωτός ενθέου πλήρωσον.

Όλος ανακείμενος τώ Σωτήρι, τόν δι' αυτόν καρτερικώς, θάνατον υπέστης, Ησύχιε πανόλβιε καί θείας ζωής έτυχες.

Νόμοις τού Δεσπότου συμπεφραγμένος, τών ανομούντων, πονηράς, απώσω θωπείας, Ησύχιε πανόλβιε αθλών καρτερικώτατα.

Θεοτοκίον

Παρθένος διέμεινας μετά τόκον, ως πρό τού τόκου αληθώς, τόν Κτίστην τεκούσα, όν αίτησαι Πανάμωμε, σωθήναι τούς υμνούντάς σε.

Ωδή γ' Ο Ειρμός

«Τόξον δυνατών ησθένησε, καί οι ασθενούντες περιεζώσαντο δύναμιν, διά τούτο εστερεώθη, έν Κυρίω η καρδία μου».

Άνω πρός Θεόν τό φρόνημα, έχων Αθλοφόρε, τών διωκτών κατεπάλαισας, δυναστείαν ολεθροτόκον, εναθλών καρτερικώτατα.

Μόνον τού Χριστού εράσμιον, κάλλος αγαπήσας, κάλλη τού κόσμου παρέδραμες, καί αθλήσας δικαιοσύνης, ανεδήσω, Μάκαρ στέφανον.

Μίαν επιγνούς θεότητα, τής πολυθεϊας απεβδελύξω τό άστατον, Αθλοφόρε, καί μαρτυρίω ελαμπρύνθης, αξιάγαστε.

Θεοτοκίον

Έστη μέχρι σού ο θάνατος, τής αθανασίας γάρ τήν πηγήν απεκύησας, Παναγία, Χριστόν τόν μόνον, υπεράγαθον Θεόν ημών.

Κάθισμα Ήχος γ'

Τήν ωραιότητα

Ακαταγώνιστος Αθλητής γέγονας, τού Παντοκράτορος, μάκαρ Ησύχιε, εν τώ καιρώ τών διωγμών, τής σαρκός μή φεισάμενος, όθεν θανατούμενος, ποταμίοις εν ύδασι, τούτοις εναπέπνιξας, τόν πολέμιον δράκοντα, διό εν ευφροσύνη, τήν θείαν μνήμην σου Μάρτυς εορτάζομεν.

Θεοτοκίον

Ακατανόητον, καί ακατάληπτον, υπάρχει Δέσποινα, θεοχαρίτωτε, τό πεπραγμένον επί σοί, φρικτόν όντως μυστήριον! τόν γάρ απερίληπτον, συλλαβούσα εκύησας, σάρκα περιθέμενον, εξ αχράντων αιμάτων σου, όν πάντοτε Αγνή ως Υιόν σου, δυσώπει τού σώσαι τάς ψυχάς ημών.

Η Σταυροθεοτοκίον

Η απειρόγαμος, Αγνή καί Μήτηρ σου, Χριστέ ορώσά σε, νεκρόν κρεμάμενον, επί τού ξύλου μητρικώς, θρηνούσα απεφθέγγετο, Τί σοι ανταπέδωκε, τών Εβραίων ο άνομος, δήμος καί αχάριστος, ο πολλών καί μεγάλων σου, Υιέ μου δωρεών απολαύσας; Υμνών σου τήν θείαν συγκατάβασιν.

Ωδή δ' Ο Ειρμός

«Δι' αγάπησιν Οικτίρμον τής σής εικόνος, επί Σταυρού σου έστης, καί ετάκησαν έθνη, σύ γάρ εί φιλάνθρωπε, ισχύς μου καί ύμνησις».

Γενναιότητι πανόλβιε διανοίας, τώ δυσσεβεί Τυράννω, αντετάξω ξοάνοις, θύειν σε προστάσσοντι, Ησύχιε ένδοξε.

Ιερείον ώσπερ άμωμον προσηνέχθης, τώ υπέρ σού τυθέντι, διά σπλάγχνα ελέους μέγιστε Ησύχιε, Μαρτύρων αγλάϊσμα.

Στηριγμός σοι καί κραταίωμα ο Δεσπότης, εν τώ καιρώ τών άθλων, Παναοίδιμε ώφθη, όθεν τόν επίκηρον, ουκ έπτηξας θάνατον.

Θεοτοκίον

Τόν ακήρατον βλαστήσασα Κόρη βότρυν, αθανασίας γλεύκος αποστάζοντα πάσιν, ώφθης παναναμώμητε, καί Μήτηρ αλόχευτος.

## Ωδή ε' Ο Ειρμός

«Σύ Κυριέ μου φώς, εις τόν κόσμον ελήλυθας, φώς άγιον επιστρέφον, εκ ζοφώδους αγνοίας, τούς πίστει ανυμνούντάς σε».

Ο νούς σου τώ φωτί, τώ αϋλω λαμπόμενος, διέλυσε τής απάτης, τήν πολύθεον πλάνην, Ησύχιε μακάριε.

Νοήσεσι φαιδραίς, καί καλαίς αναβάσεσι, θεούμενος αθεΐας, Αθλοφόρε Παμμάκαρ, τό άστατον διέφυγες.

Ησύχασας λιπών, πολυτάραχον άγνοιαν, καί είληφας Αθλοφόρε, αντί κόπων καί πόνων, τήν θείαν αγαλλίασιν.

Θεοτοκίον

Σύ μόνη επί γής, τόν ουράνιον τέτοκας, Πανάμωμε Θεόν Λόγον, όν υμνεί πάσα κτίσις, ως ποιητήν καί Κύριον.

## Ωδή ς' Ο Ειρμός

«Εβόησε, προτυπών τήν ταφήν τήν τριήμερον, ο Προφήτης, Ιωνάς εν τώ κήτει δεόμενος, Εκ φθοράς με ρύσαι, Ιησού Βασιλεύ τών δυνάμεων.

Υψώσας σου, πρός Θεόν τής καρδίας τόν έρωτα, απερρίφης, ποταμίοις εν ρείθροις Ησύχιε, εν αυτοίς τό τέλος, τό μακάριον Μάρτυς ευράμενος.

Χειμάρρους σε, τής τρυφής επαξίως εδέξατο, δεδεγμένον, τό μακάριον τέλος Ησύχιε, ποταμού εν ρείθροις, ώ στίφος δαιμόνων απέπνιξας.

Ισχύϊτε, καί δυνάμει παμμάκαρ τού Πνεύματος, μυριάδας, αοράτων εχθρών κατεπάτησας, καί στεφθείς ταίς νίκαις, τών Αγγέλων χοροίς συνηρίθμησαι.

Θεοτοκίον

Οικήσας σου, τήν αγίαν γαστέρα ο Κύριος Θεοτόκε, τής Τριάδος τερπνά

καταγώγια, εκτελεί τούς πίστει, αληθείας σε νύν μακαρίζοντας.

Ει έστι Τεσσαρακοστή, λέγεται τό Μαρτυρικόν τού ήχου.

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή Β' τού αυτού μηνός, Μνήμη τού Αγίου Μάρτυρος Ησυχίου τού Συγκλητικού.

Στίχοι

- Ποταμόν Ησύχιος υδάτων έδυ,
- Όπως ποταμόν τού πυρός διεκφύγη.
- Δευτερίη προσέβη Ησύχιος εν πόλου όρμοις.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Ιερομάρτυρος Θεοδότου, Επισκόπου Κυρηνίας τής Κύπρου.

Στίχοι

- Άθλου πέπλησαι, Θεόδοτε, στιγμάτων,
- Ει καί μετ ειρήνης σε Χριστός λαμβάνει.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Κοϊντου τού θαυματουργού.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Νέστορος καί Τριβιμίου.

Στίχοι

- Ο τράχηλον Νέστορος πλήξας τώ ξίφει,
- Πληγήν ομοίαν εντρίβει Τριβιμίω.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Τρωαδίου καί τών σύν αυτώ μαρτυρησάντων επί Δεκίου Βασιλέως.

Στίχοι

- Μή μέλλε, Τρωά διε, θνήσκειν έκ ξίφους,
- Μή μέλλε, καί μέλλησιν ουχ έξει στέφος.

Τή αυτή ημέρα, η Αγία Παρθένος Ευθαλία ξίφει τελειούται.

Στίχοι

- Υιόν φιλούσα Μητροπαρθένου Κόρης,
- Τομήν υπέστη καλλιπάρθενος Κόρη.

Τή αυτή ημέρα, οι Άγιοι Μάρτυρες Ανδρόνικος καί Αθανασία ξίφει τελειούνται.

Στίχοι

- Αθανασία συνθανόντα τή πάνυ,
- Πεπείσμεθα ζήν Ανδρόνικον τόν πάνυ.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Αβραμιαίοι ποτέ, εν Βαβυλώνι Παίδες, καμίνου φλόγα κατεπάτησαν, εν ύμνοις κραυγάζοντες, Ο τών Πατέρων ημών, Θεός ευλογητός εί».

Νεανικώς τώ εχθρώ, περιπλακείς τήν τούτου, ισχύν Παμμάκαρ εταπείνωσας, κραυγάζων Ησύχιε, Ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Από περάτων τής γής, έως περάτων Μάρτυς, η σή ανδρεία καταγγέλλεται, καί τά κατορθώματα, καί η βεβαία πίστις, Ησύχιε θεόφρον.

Ισχυροτάταις νευραίς, απαγχονήσας Μάρτυς, τών σών αγώνων τόν αντίπαλον, επίδοξον θάνατον εν πνιγμονή υδάτων, Ησύχιε εδέξω.

Θεοτοκίον

Νενεκρωμένους ημάς, τή αμαρτία πάντας, ζωήν τεκούσα ανεζώωσας, διό σοι κραυγάζομεν, Θεοκυήτορ Κόρη, αεί δεδοξασμένη.

Ωδή η'  Ο Ειρμός

«Πάντα τά έργα τού Θεού καί πάσα κτίσις, ευλογείτε τόν Κύριον, Όσιοι καί ταπεινοί τή καρδία, υμνείτε λαοί, καί υπερυψούτε, αυτόν εις τούς αιώνας.

Εναπεδύσω ανδρικώς πρός τούς αγώνας, Χριστόν έχων συλλήπτορα Ένδοξε, καί κατά κράτος νικήσας, εδέξω στέφος άφθαρτον, καί ζής εις τούς αιώνας.

Στήσας τά ρεύματα Σοφέ τής αθεΐας, ιεροίς αγωνίσμασιν, εμβληθείς εν ποταμώ, εν τούτω εδέξω τό τέλος υμνών, τόν Χριστόν εις τούς αιώνας.

Ως βασιλεύσας ευκλεώς κατά τής πλάνης, βασιλείοις κατέλιπες, ένδοξε, διατριβάς τε καί μέγα αξίωμα, καί τώ Βασιλεί, τού παντός προσεκολλήθης.

Θεοτοκίον

Ιερώτατός σε καλεί Προφήτης πύλην, αδιόδευτον Άχραντε, ο Κτίστης δι' ής διήλθεν, ως μόνος επίστασαι, πάλιν κεκλεισμένην, λιπών ως πρό τού τόκου.

Ωδή θ'  Ο Ειρμός

«Ευα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν είσω κίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν».

Ωραίος τώ είδει τής ψυχής Ησύχιε, εγνωρίσθης καί τού σώματος, σύ γάρ αξίωμα καί πλούτον, κατέλιπες καί δόξαν επίκηρον, καί μόνω τώ Χριστώ ηκολούθη σας, δήμοις Μαρτύρων συναπτόμενος.

Συνέτριψας ξόανα σοφέ Ησύχιε, απωλείας καί ηγάπησας, μάλλον θανείν βιαιοτάτως, ζωήν όπως κερδήσης τήν μέλλουσαν, σύν πάσι τοίς καλώς

εναθλήσασιν, όθεν σε πίστει μακαρίζομεν.

Η μνήμη σου σήμερον ημίν Ησύχιε, Θεομάκαρ επεδήμησε, πάντων φωτίζουσα καρδίας, εν ταύτη τών πιστώς ευφη μούντων σου, τούς πόνους, τά γενναία παλαίσματα, καί τά τών πόνων αγωνίσματα.

Θεοτοκίον

Φώς ημίν ανέτειλεν εκ σού Πανάμωμε, ο τών όλων μόνος Κύριος, καί κατελάμπρυνε τάς πάντων καρδίας, θεϊκαίς επιγνώσεσι, καί σκότος αγνωσίας εμείωσεν, Όθεν σε πάντες μακαρίζομεν.

Καί η λοιπή τού Όρθρου Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Γ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Μαρτύρων Ευτροπίου, Κλεονίκου καί Βασιλίσκου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν τρία Στιχηρά Προσόμοια τών Μαρτύρων.

Ήχος α'

Πανεύφημοι Μάρτυρες

Τρισάριθμοι Μάρτυρες στερρώς, ανταγωνισάμενοι, τοίς ωμοτάτως δικάζουσι, καί πείραν άπασαν, δριμυτάτων πόνων, πίστει υπομείναντες, τής άνω βασιλείας τύχετε, Διό πρεσβεύσατε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Εύτροπον, Κλεόνικον στερρόν, Βασιλίσκον ά σμασι, πνευματικοίς ευφημήσωμεν, πυρί γάρ έφλεξαν, αθεϊας ύλην, ευσεβείας χάριτι, καί νύν φωταγωγούσι τά πέρατα, θείοις πυρσεύμασιν, ως φωστήρες διαυγέστατοι, ως τήν πλάνην πάσαν αμαυρώσαντες.

Κάρας εκτεμνόμενοι εχθρού, κάραν συνετρίψατε, ωραιοτάτοις ποσίν υμών, γενναίοι Μάρτυρες, απλανείς αστέρες, Ιερεία έμψυχα, ναού επουρανίου κειμήλια, Εύτροπε ένδοξε, Βασιλίσκε καί Κλεόνικε, τήν ειρήνην πάσιν εξαιτούμενοι.

Δόξα... Καί νύν... Θεοτοκίον

Νοσούσαν, Πανύμνητε, δεινώς, τήν ψυχήν μου πάθεσι, πονηροτάτοις θεράπευσον, η τόν ακέστορα, καί Σωτήρα πάντων, τόν Χριστόν κυήσασα, τόν πάσαν μαλακίαν ιώμενον, τόν τραυματίσαντα διαβόλου την κακόνοιαν, καί θανάτου ημάς απαλλάξαντα.

Η Σταυροθεοτοκίον

Σφαγήν σου τήν άδικον Χριστέ, η Παρθένος βλέπουσα, οδυρομένη εβόα σοι, Τέκνον γλυκύτατον, πώς αδίκως θνήσκεις; πώς τώ ξύλω, κρέμασαι, ο πάσαν

γήν κρεμάσας τοίς ύδασι; Μή λίπης μόνην με, Ευεργέτα πολυέλεε, τήν Μητέρα καί δούλην σου δέομαι.

Καί ή λοιπή τού Εσπερινού Ακολουθία κατά τήν τάξιν.

Απολυτίκιον τών Αγίων
Ήχος δ'

Οι Μάρτυρές σου, Κύριε, εν τή αθλήσει αυτών, στεφάνους εκομίσαντο τής αφθαρσίας, εκ σού τού Θεού ημών, σχόντες γάρ τήν ισχύν σου, τούς τυράννους καθείλον, έθραυσαν καί δαιμόνων τά ανίσχυρα θράση, αυτών ταίς ικεσίαις, Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, λέγονται οι Κανόνες τού Τριωδίου είτα τών Αγίων ο παρών, ού η Ακροστιχίς.

Τριών Αθλητών συμφρόνων μέλπω πόνους.
Ποίημα Θεοφάνους.

Ωδή α' Ήχος δ' Ο Ειρμός

«Θαλάσσης τό ερυθραίον πέλαγος, αβρόχοις ίχνεσιν, ο παλαιός πεζεύσας Ισραήλ, σταυροτύποις Μωσέως χερσί, τού Αμαλήκ τήν δύναμιν, εν τή ερήμω ετροπώσατο».

Τής θείας, φωτοχυσίας λάμψεσι, καταστραπτόμενοι, καί αθλητών στεφάνοις αληθώς, λαμπρυνόμενοι Αγιοι, Τριάδος οι ισάριθμοι, ταύτην ημίν εξευμενίσασθε.

Ρημάτων, ενηχηθέντες Μάρτυρες, πνευματικώς θεϊκών, καί συνημμένοι επί τό αυτό, τής ειρήνης τόν σύνδεσμον, εν εαυτοίς κατέχοντες, εχθρού τήν πλάνην ετροπώσασθε.

Ισάριθμοι, τής Τριάδος Μάρτυρες, αναδειχθέντες τρανώς, ίσα φρονούντες πίστει εις αυτήν, ίσον εύρατε στέφανον, Ευτρόπιε Κλεόνικε, σύν Βασιλίσκω οι καλλίνικοι.

Θεοτοκίον

Ωραίος, ο εκ γαστρός σου Δέσποινα, υπέρ υιούς τών βροτών, ο πρό αιώνων Λόγος προελθών, σκυθρωπόν εξηφάνισε, τό τού θανάτου άχραντε, ζωήν αιώνιον ημίν δεδωκώς.

Ωδή γ' Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα, Σύ μου ισχύς Κύριε,

καί καταφυγή καί στερέωμα».

Νευρούμενος εν Χριστώ, φερωνυμών τε αψευδώς Εύτροπε, τροπαιοφόρος γέγονας, κατά δυσμενών Μάρτυς ένδοξε.

Αθάνατον εναθλών, κλέος τής νίκης εμφανώς είληφας, Μάρτυς σοφέ Κλεόνικε, τώ σταυρώ γενναίως ηλούμενος.

Θωρακισθείς τώ Σταυρώ, βασιλικώς Ελληνικην έτρεψας, πολυθείαν ένδοξε, Μάρτυς Βασιλίσκε αοίδιμε.

Θεοτοκίον

Λιμένα σε γαληνόν, καί αδιάσπαστον Πιστοί άγκυραν, Θεογεννήτορ έχοντες, πλάτης τών δεινών λυτρωθείημεν.

Κάθισμα Ήχος α'

Τόν τάφον σου Σωτήρ

Τριάδα τήν σεπτήν, η τριάς τών Μαρτύρων, ενώπιον πολλού, ωμολόγησε δήμου, καί δήμοις συνηρίθμηται, Ασωμάτων αθλήσασα, Τούτους σήμερον, ανευφημήσωμεν πίστει, εορτάζοντες, τήν ιεράν αυτών μνήμην, καί κοσμοχαρμόσυνον.

Θεοτοκίον

Ελπίς Χριστιανών, Παναγία Παρθένε, όν έτεκες Θεόν, υπέρ νούν τε καί λόγον, απαύστως ικέτευε, σύν ταίς άνω Δυνάμεσι, δούναι άφεσιν, αμαρτιών ημίν πάσι, καί διόρθωσιν, βίου τοίς πίστει καί πόθω, αεί σε δοξάζουσιν.

Η Σταυροθεοτοκίον

Ωθαύματος καινού! ώ φρικτού μυστηρίου! εβόα η αγνή, καί πανάμωμος Μήτηρ, εν ξύλω ως έβλεψεν, απλωθέντα τόν Κύριον, ο τά σύμπαντα, εν τή δρακί περιέχων, ως κατάκριτος, υπό κριτών παρανόμων, σταυρώ κατακρίνεται.

Ωδή δ' Ο Ειρμός

«Επαρθέντα σε ιδούσα η Εκκλησία, επί τόν Ήλιον τής δικαιοσύνης, έστη εν τή τάξει αυτής, εικότως κραυγάζουσα, Δόξα τή δυνάμει σου Κύριε».

Ηδρασμένοι εν τή πέτρα τής αληθείας, ταίς προβολαίς ακλόνητοι, ώφθητε βασάνων, Μάρτυρες πολύαθλοι, τής πλάνης οχύρωμα, άπαν εμφανώς εκμοχλεύσαντες.

Τετακότες όλην έφεσιν πρός τόν Κτίστην, δεσμοίς περιτεινόμενοι, καί ξεσμοίς αλγούντες, ώφθητε ανάλωτοι, Κλεόνικε Εύτροπε, σύν τώ Βασιλίσκω εν σκάμματι.

Ωραιοτάταις ακτίσι διηυγασμένοι, ως τόν Χριστόν προβλέποντες, ένθεν Αθλοφόροι, θάττον υπεμείνατε, πυρός τήν επίχυσιν, τούς υπεναντίους συμφλέξαντες.

Θεοτοκίον
Νεμομένην ρύμην έστησας τού θανάτου, ρείθρον ζωής κυήσασα, Χριστόν, όν δυσώπει, αμαρτίας κάμινον, ψυχής κατασβέσαι μου, Μήτερ τού ελέους πανάχραντε.

Ωδή ε'  Ο Ειρμός
«Σύ Κύριέ μου φώς, εις τόν κόσμον ελήλυθας, φώς άγιον επιστρέφον, εκ ζοφώδους αγνοίας, τούς πίστει ανυμνούντάς σε».

Στερρότητι νοός, φληναφίαν εθραύσατε, ώμότητος αικιζόντων, καταπτύσαντες θράσους, Μάρτυρες καρτερώτατοι.

Υπέρ τά γεηρά, ουρανίων φροντίσαντες, ευγένειαν επανθούσαν, καί στρατείαν καί πλούτον, καί δόξαν κατελίπετε.

Μανίαν απηνή, τυραννούντων ού πτήξαντες, πυρός τε καί τών μαστίγων, καί ξεσμών καί βασάνων, ανδρείως κατεπτύσατε.
Θεοτοκίον
Φορέσας με εκ σού, Θεοτόκε ο πλάσας με, προήλθε διπλούς τή φύσει, εν μιά υποστάσει, αφύρτως γνωριζόμενος.

Ωδή ς'  Ο Ειρμός
«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής Πλευράς σου ρεύσαντι αίματι».

Ρωσθείσα, ξυνωρίς τών Μαρτύρων αυτάδελφος, μετά πολλάς τάς βασάνους, τώ Σταυρώ παγείσα εστέφθη στέφει, ακηράτω, σύν Ευτροπίω ο θείος Κλεόνικος.

Οδεύσας Μαρτυρίου πορείαν ακλόνητον, ήλοις πειρόμενος άμα, Βασιλίσκος πόδας συνέθλασε, τών δαιμόνων, τάς κεφαλάς πατήσας ο ένδοξος.

Ναόν σου, τήν καρδίαν λαξεύσας ανέτρεψας, άγαλμα πλάνης συμφλέξας καί τό στέφος ξίφει, Μάρτυς εδέξω εκτμηθείς σου, κεφαλήν Βασιλίσκε αοίδιμε.
Θεοτοκίον
Ως ρόδον, τών ακανθών εν μέσω ευράμενος, καί καθαρώτατον κρίνον, καί κοιλάδων άνθος ώ Θεομήτορ, ο Νυμφίος, εν τή γαστρί σου Λόγος εσκήνωσε.

Τό Μαρτυρικόν τού ενδιατάκτου ήχου.

Σ υ ν α ξ α ρ ι ο ν
Τή Γ' τού αυτού μηνός, Μνήμη τών Αγίων Μαρτύρων, Ευτροπίου, Κλεονίκου καί Βασιλίσκου.
Στίχοι
- Ο χρηστός ημίν Ευτρόπιος τούς τρόπους,

- Εφεύρε Χριστόν καί τέλους διά ξίφους.
- Καί Κλεόνικος ευκλεά νίκην έχει,
- Σταυρώ κρεμασθείς, ως Χριστός μου πάλαι.
- Ειρκτήν τό σώμα καί πρό τής ειρκτής έχων,
- Ειρκτών λυτρούται Βασιλίσκος εκ δύο.
- Εν ξύλω Ευτρόπιος σταυροίο τρίτη προσεπήχθη.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Ιερομάρτυρος Θεοδωρήτου, Πρεσβυτέρου Αντιοχείας.

Στίχοι

- Χωρείν έχει που τής Εδέμ τό χωρίον,
- Καί τόν Θεοδώρητον ένδον τόν μέγαν.

Τή αυτή ημέρα, οι Άγιοι Ζήνων καί Ζώϊλος εν ειρήνη τελειούνται.

Στίχοι

- Ζωής λύσις Ζήνωνι καί τώ Ζωϊλω
- Ζωής υπήρξε κρείττονος παραιτία.

Τή αυτή ημέρα, η Οσία Πιαμούν η παρθένος εν ειρήνη τελειούται.

Στίχοι

- Κροσσωτά χρυσά Πιαμούν μελαμφόρος,
- Τάς αρετάς άπεισιν ημφιεσμένη.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον καί σώσον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Εν τή καμίνω, Αβραμιαίοι Παίδες τή Περσική, πόθω ευσεβείας μάλλον ή τή φλογί, πυρπολούμενοι εκραύγαζον, Ευλογημένος εί, εν τώ Ναώ τής δόξης σου Κύριε».

Νύν επαξίως τής αιωνίου ζωής λαβόμενοι, ώσπερ εναθλούσιν έφη ο Ποιητής, Αθλοφόροι αναμέλπετε, Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε.

Μυσταγωγίαν τήν υπέρ νούν καί κλέος καί στέφανον, κάλλος διαμένον άλυπον χαρμονήν, κληρωσάμενοι κραυγάζετε, Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε.

Εν τή καμίνω τή τών βασάνων καρτερήσαντες, πλάνης υπηρέτας Μάρτυρες ακλινείς, κατεφλέξατε κραυγάζοντες, Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε.

Θεοτοκίον

Λύσον Παρθένε, αμαρτιών μου τό χειρόγραφον, σώσον εκ παντοίας βλάβης καί προσβολής, τού δολίου, ίνα κράζω σοι, Ευλογημένη σύ, εν γυναιξί πανάμωμε Δέσποινα.

## Ωδή η'  Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Πλήρης ευφροσύνης καί χαράς, φαιδράς εφέστηκε, νύν η ετήσιος, υμών πατήγυρις Άγιοι, εν ή πόθω ευφημούντες υμάς, τώ στεφοδότη καί Θεώ, ύμνοις κραυγάζομεν, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ωραίοι οι μώλωπες υμών, ώσπερ χρυσίον γάρ, καί λίθος τίμιος, Θεώ εδείχθητε Μάρτυρες, ούς εν πίστει προσκυνούμεν ημείς, τώ ενισχύσαντι υμάς, Θεώ κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Πηγή χαρισμάτων αψευδής, Χριστώ ενδέδοται, σαφώς τοίς Μάρτυσι, καρπογονεί γάρ η άνικμος, καί η άνυδρος εκβλύζει κρουνούς, καί η αλόγων λογικώς, φύσις εφέστηκεν, Ευλογείτε, πάντα τά έργα βοώσα τόν Κύριον.

### Θεοτοκίον

Ο λόγος οικήσας εν τή σή, κοιλία Άχραντε σάρξ εχρημάτισε, φύσιν θεώσας μου Δέσποινα, ο υπέρθεος τή άκρα αυτού φιλανθρωπία, όν πιστώς υμνούντες ψάλλομεν, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

## Ωδή θ'  Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώτας φύσεις, Διό επαγαλλόμενοι σέ Θεοτόκε μεγαλύνομεν».

Νύν τρανώς τήν δόξαν Κυρίου, στεφανηφόροι καθορώντες, σύν ταίς Ασωμάτοις χορείαις, καί τών Μαρτύρων καί τών Δικαίων αυτού, Μάρτυρες οι τρισάριθμοι, υπέρ υμών θερμώς πρεσβεύσατε.

Όλον εαυ τοίς τόν Σωτήρα, εισοικισάμενοι αξίως, πόλις εγνωρίσθητε Θεού, εδραιουμένη θείαις επάλξεσιν, Ευτρόπιος καί Κλεόνικος, σύν Βασιλίσκω οι θεόφρονες.

Υπέρ τών πιστώς εκτελούντων, την παναγίαν υμών μνήμην, καί τούς Ιερούς ευφημουντων, αγώνας θείους, Μάρτυρες ένδοξοι, τόν Κτίστην ικετεύσατε, αμαρτιών ευρείν συγχώρησιν.

### Θεοτοκίον

Σύ μόνη αντίληψις ώφθης, καί η ελπίς καί σωτηρία, σύ καταφυγή μου καί τείχος, καί τής ψυχής μου θεία παράκλησις, διό με, Αειπάρθενε, εκ πάσης λύτρωσαι κολάσεως.

## Τό Φωταγωγικόν τού ήχου

Καί η λοιπή, Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Δ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Γερασίμου τού εν τώ Ιορδάνη.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν τρία προσόμοια Στιχηρά τού Οσίου.

Ήχος πλ. δ'
Ώ τού παραδόξου θαύματος

Πάτερ θεόφρον Γεράσιμε, αναπτερώσας τόν νούν, πρός Θεόν διά πίστεως, κοσμικής συγχύσεως, εβδελύξω τό άστατον, καί τόν σταυρόν σου αναλαβόμενος, τώ παντεπόπτη κατηκολούθησας, σώμα δυσήνιον, αγωγαίς ασκήσεως, τώ λογισμώ σθένει δουλωσάμενος, τού θείου Πνεύματος.

Όσιε Πάτερ Γεράσιμε, εν ερημίαις αεί, καί σπηλαίοις καί όρεσι, πίστει διαιτώμενος, τόν Θεόν εξεζήτησας, καί τούτον εύρες, ώσπερ επόθησας, ανεπιστρόφω ψυχή νευρούμενος, ταίς αναβάσεσι, ταίς καλαίς εκάστοτε, καί Μοναστών, στίφη προσενήνοχας, Χριστώ σωζόμενα.

Πάντα τόν βίον διήνυσας, εν ησυχία πολλή, καί εν πένθει καί δάκρυσι, Μοναστών γενόμενος, αλείπτης διά πίστεως, ακτημοσύνη κατακοσμούμενος, καί εγκρατεία ωραϊζόμενος, ξένος καί πάροικος, επί γής δεικνύμενος, όθεν καλώς, εύρες τήν απόλαυσιν, θεομακάριστε.

Δόξα... Καί νύν... Θεοτοκίον

Σέ δυσωπούμεν πανάχραντε, τήν προστασίαν ημών, Συσχεθέντας εν θλίψεσι, μή παρίδης τέλεον, απολέσθαι τούς δούλους σου, αλλά γε σπεύσον, τού εξελέσθαι ημάς, τής ενεστώσης οργής καί θλίψεως, ώ θεοδόξαστε, Θεοτόκε άχραντε, σύ γάρ ημών, τείχος καί βοήθεια ακαταμάχητος.

Η Σταυροθεοτοκίον

Ήλιος τέκνον ημαύρωται, καί η Σελήνη τό φώς, εις ζοφώδες ιμάτιον, ζοφερώς μετέβαλε, γή κλονείται, Καί ρήγνυται, φρικτώς ναού σου, τό καταπέτασμα, καγω πώς Τέκνον, μή διαρρήξομαι, σπλάγχνα καί όμματα, πώς δέ μή τό πρόσωπον, καταξανώ, αδίκως σε θνήσκοντα, βλέπουσα Σώτέρ μου.

Καί τά λοιπά τού Εσπερινού κατά τήν τάξιν.

Απολυτίκιον  Ήχος α'

Τής ερήμου πολίτης καί εν σώματι άγγελος, καί θαυματουργός ανεδείχθης, θεοφόρε Πατήρ ημών, Γεράσιμε, νηστεία αγρυπνία προσευχή, ουράνια χαρίσματα λαβών, θεραπεύεις τούς νοσούντας, καί τάς ψυχάς τών πίστει προστρεχόντων σοι, Δόξα τώ δεδωκότι σοι ισχύν, δόξα τώ σέ στεφανώσαντι, δόξα τώ ενεργούντι διά σού πάσιν ιάματα.

Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, λέγομεν τούς Κανόνας, ως σύνηθες.

Ο Κανών τού Αγίου, ού η Ακροστιχίς εν τοίς θεοτοκίοις. Γεωργίου.

Ωδή α'  Ήχος δ'  Ο Ειρμός
«Ασομαί σοι Κύριε ο Θεός μου, ότι εξήγαγες λαόν δουλείας Αίγυπτίων, εκάλυψας δέ άρματα, Φαραώ καί τήν δύναμιν».

Όπλον κατά πάσης τήςμεθοδείας, τού αλλοτρίου κραταιόν, την νηστείαν έχοντες, γενναίως πατήσωμεν, τά τούτου μηχανήματα.

Ελλάμψει τού Πνεύματος θεοφόρε, καταυγασθείς, τά νοητά τής ψυχής σου όμματα, πρός φώς ενητένισας, δι' αρετής τό άδυτον.

Τών παρόντων Πάτερ δι' ακτησίας, τό γεηρόν αποβαλων άχθος ως ασώματος, Γεράσιμε ήνυσας, τόν δρόμον τής ασκήσεως.

Θεοτοκίον
Γήθεν πρός ουράνιον πολιτείαν, ημάς ανείλκυσεν Αγνή, ο άχραντος τόκος σου, νηστείας ταίς πτέρυξιν, εις ουρανούς αναγαγών ημάς.

Ωδή γ'  Ο Ειρμός
«Εν Κυρίω Θεώ μου, εστερεώθη η καρδία μου, διό οι ασθενούντες, περιεζώσαντο δύναμιν».

Τών παθών τά θηρία, διά νηστείας αποκτείναντες, Χριστώ δι' απαθείας, καί καθαρότητος εγγίσωμεν.

Πρός τόν άϋλον πόθον, τόν τού Κυρίου, Πάτερ Όσιε, αεί ενατενίζων, ύλης προσκαίρου κατεφρόνησας.

Τόν Χριστόν εν τή γλώσση, έχων αεί Πάτερ Γεράσιμε, τό αληθές τών λόγων, διεβεβαίου εν τοις θαύμασι.

Θεοτοκίον
Εν νηστείαις καί πόνοις, τό ασθενές ημών τής φύσεως, ρωννύουσα Παρθένε, κατά παθών τούτο ενίσχυσον.

Κάθισμα  Ήχος α'
Τού λίθου σφραγισθέντος
Τήν κλίμακα τών θείων αρετών διανύσας, πρός νοητής θεωρίας ανελήλυθας ύψος, καί θείων μυστηρίων τού Χριστού, εμφάσεις υπεδέξω καθαράς, διά

τούτο, θεοφόρε, σέ ευσεβώς τιμώμεν καί βοώμεν, Δόξα τώ ενισχύσαντι Χριστώ, δόξα τώ σέ στεφανώσαντι, δόξα τώ ενεργούντι διά σού πάσιν ιάματα.

Θεοτοκίον

Τάς χείράς σου τάς θείας, αις τόν Κτίστην εβάστασας, Παρθένε Θεοτόκε σαρκωθέντα χρηστότητι, προτείνασα δυσώπησον αυτόν, λυτρώσασθαι ημάς από παθών, πειρασμών τε καί κινδύνων, τούς ευφημούντάς σε πόθω καί βοώντας, Δόξα τώ ενοικήσαντι έν σοί, δόξα τώ προελθόντι εκ σού, δόξα τώ ελευθερώσαντι ημάς διά τού τόκου σου.

Η Σταυροθεοτοκίον

Σταυρώ σου προσπαγέντος υπό τών παρανόμων, καί στρατιωτών Σώτερ λόγχη, τήν πλευράν ορυγέντος, η Πάναγνος ωδύρετο πικρώς, τά σπλάγχνα κοπτομένη μητρικώς, καί τό πολύ σου καί φρικτόν τής ανοχής εξίστατο βοώσα, Δόξα τή πρός ανθρώπους σου στοργή, δόξα τή σή χρηστότητι, δόξα τώ εν τώ θανάτω σου βροτούς αθανατίζοντι.

Ωδή δ'  Ο Ειρμός

«Τής σής επί τής γής παρουσίας, Χριστέ ο Θεός, προμηνύων ο προφήτης τήν έλευσιν, μετά χαράς εκραύγαζε, Δόξα τή δυνάμει σου Κύριε».

Τής σής εν τοίς βροτοίς ευσπλαγχνίας, Χριστέ ο Θεός, δείγμα παρέσχου τόν καιρόν τής εγκρατείας Σωτήρ, δι' ού ψυχάς καί σώματα καθαίρεις, καί αγιάζεις τών δούλων σου.

Τών αρετών τήν κλίμακα ανύσας Σοφέ, μυστικωτέρας θεωρίας, ηξίωσαι, διό καί χάριν είληφας οράν, καί πρό καιρού τά εσόμενα.

Ιδρώσι τών αγώνων σου τών ενθέων, τήν άγονον κατήρδευσας έρημον, καί καρποφόρον έδειξας, αθρώπους τώ Χριστώ συγκομίζουσαν.

Θεοτοκίον

Ως στήριγμα Πιστών δεδομένη, Παρθένε αγνή, παρά Χριστού τού σέ δοξάσαντος, δύναμιν εν τώ
καιρώ περίζωσον, ημάς τής εγκρατείας υμνούντάς σε.

Ωδή ε'  Ο Ειρμός

«Ο ανατείλας τό φώς, καί φωτίσας τόν όρθρον, καί δείξας τήν ημέραν, δόξα σοι δόξα σοι, Ιησού Υιέ τού Θεού».

Τής χαμαιζήλου ημάς, προσπαθείας οικτίρμον, νηστεία, αφαρπάσας, πρός τό ύψος έλκυσον, Ιησού τής σής αγαπήσεως.

Τών προσευχών ταίς προσβολαίς, παρατάξεις δαιμόνων, κατέτρωσας γενναίως, καί Χριστόν Γεράσιμε, σύ ανύμνεις Υιόν τού Θεού.

Τήν τών παθών διασχών, θεοφόρε ομίχλην, φωτί τώ τής αγνείας, καί τής καθαρότητος, νοητώς επλησίασας.

Θεοτοκίον

Ρύπου ημάς νοητού, διά τής εγκρατείας, εκπλύνασα Παρθένε, καθαρούς παράστησον, δοξολογείν τόν Υιόν τού Θεού.

Ωδή ς'  Ο Ειρμός

«Ως Ιωνάν τόν Προφήτην, ελυτρώσω τού κήτους Χριστέ ο Θεός, καμέ τού βυθού τών πταισμάτων, ανάγαγε, καί σώσόν με μόνε φιλάνθρωπε».

Τής εγκρατείας τή αίγλη, ελλαμφθέντας ημάς καταξίωσον, ιδείν τής εγέρσεως Σώτερ, τής σής τήν θείαν δόξαν καί τήν λαμπρότητα.

Ως εωσφόρος εκλάμψας, εν τώ σκότει τού βίου Γεράσιμε, ανθρώπους εις φώς πολιτείας, Αγγέλων ασωμάτων εχειραγώγησας.

Τη ευχών βακτηρία, κεφαλάς νοουμένων συνέθλασας, θηρών παναοίδιμε Πάτερ, καί θήρας τής εκείνων ανθρώπους διέσωσας.

Θεοτοκίον

Γνόντες τών πάντων Δεσπότην, διά σού Θεοτόκε, ερρύσθημεν πλάνης τών ειδώλων, καί πόθω, κυρίως σε Μητέρα Θεού δοξάζομεν.

Τό Μαρτυρικόν τού ενδιατάκτου ήχου.

Συναξάριον

Τή Δ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Γερασίμου τού εν τώ Ιορδάνη.

Στίχοι

- Υπηρέτης θήρ τώ Γερασίμω γέρας,
- Θήρας παθών κτείναντι πρίν λήξαι βίου.
- Τή δέ τετάρτη Γεράσιμος βιότοιο απέπτη.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Παύλου καί Ιουλιανής τής αυτού αδελφής.

Στίχοι

- Ο κείμενος μέν Παύλος, η δέ κειμένη
- Ιουλιανή, σύγγονοι τετμημένοι.

Τή αυτή ημέρα, οι ανωτέρω, Κοδράτος, Ακάκιος καί Στρατόνικος οι από δημίων, ξίφει τελειούνται.

Στίχοι

- Τρείς εκχέαντες αίμα πολλών ως ύδωρ,
- Σοφών αίμα, Χριστέ σοί χέουσιν εκ ξίφους.

Τή αυτή ημέρα, ο Άγιος Γρηγόριος Κύπρου, εν ειρήνη τελειούται.

Στίχοι

- Ελαφος ώσπερ εκ βρόχου ρυσθείς βίου,
- Άνεισι Γρηγόριος, ένθα ζών ύδωρ.

Ταίς τών σών Αγίων πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Ο εν τώ όρει τώ Μωσεί συλλαλήσας, καί τύπον τής Παρθένου τήν βάτον δείξας, ευλογητός ο Θεός, ο τών Πατέρων ημών».

Δι' εγκρατείας αναβάντες πρός όρος, ενθέου πολιτείας καί σωφροσύνης, τόν φωτοδότην Κύριον, νοητώς ενοπτρισώμεθα.

Εν ακηράτοις αρετών παραδείσοις, χορεύσας θεοφόρε, άνθη θαυμάτων, εδρέψω πάσιν άφθονον, τούτων χάριν δωρούμενος.

Τήν κατ' εικόνα θεοφόρε αξίαν φυλάττων, φοβερός ανημέροις θηρσίν, εδείχθης άδων απαύστως τώ Θεώ ευχαριστήρια.

Θεοτοκίον

Ισχύν καί κράτος κατ' εχθρών νοουμένων, νηστεία καί αγώσι Θεοκυήτορ, ημάς αινούντας Αγνή, καί υμνούντάς σε περίσωσον.

Ωδή η'  Ο Ειρμός

«Τον Βασιλέα Χριστόν, όν ωμολόγησαν οι αιχμάλωτοι Παίδες, εν τή καμίνω λέγοντες μεγάλη τή φωνή, Πάντα τά έργα υμνείτε, καί υπερυψούτε, είς πάντας τούς αιώνας».

Ο Βασιλεύς τού παντός, Δέσποτα Κύριε, καί ημάς βασιλεύσαι, παθών καί ηδονών τών σαρκικών, ως αγαθός, διά νηστείας καί πόνων αξίωσον, ίνα σε ευλογώμεν, εις πάντας τούς αιώνας.

Τόν Βασιλέα Χριστόν, εν τή καρδία σου από βρέφους θεόφρον δεξάμενος, χαρίτων τών αυτού, καί επιλάμψεων θείων ώφθης, καταγώγιον τερπνόν, τούτον δοξάζων εκάστοτε.

Εν τή φλογί τών παθών Πάτερ Γεράσιμε, μηδαμώς σε φλεχθέντα, δρόσος η τών χαρίτων τού Χριστού εξ ουρανού, όλον κατήρδευσε πόθω, τούτον ανυμνούντα, εκτενώς Θεόν τών όλων.

Θεοτοκίον

Ο σαρκωθείς εκ τών σών, άχραντε Δέσποινα, παναγίων αιμάτων, αυτός αποκαθαίρει μολυσμών σαρκικών, διά νηστείας καί πόνων ημάς δυναμών, ταίς σαίς απαύστοις ικεσίαις Θεοτόκε Παρθένε.

Ωδή θ'  Ο Ειρμός

«Τόν άσπορον τόκον σου, Θεοτόκε Άχραντε, Χριστόν τόν Θεόν ημών, εν ύμνοις ασιγήτοις μεγαλύνομεν».

Ο πλούτος τής χάριτος, τού Αγίου Πνεύματος εις πάντας προστίθεται, τούς πόνοις εγκρατείας τούτον συλλέγοντας.

Τήν άϋλον Όσιε, υλικώ εν σώματι, ζωήν καί πολιτείαν διήνυσας, δοξάζων τόν δυναμούντά σε Κύριον.

Όλην σου τήν έφεσιν, τής ψυχής Γεράσιμε, πρός μόνα τά άφθαρτα έχων, κατηξιώθης ών επόθησας.

Σύν Οσίοις Όσιε, Χριστώ παριστάμενος αυτόν καθικέτευε, υπέρ τών εκτελούντων τήν θείαν μνήμην σου.

Θεοτοκίον

Ύπερθεν εκλάμπουσα, η σή χάρις Δέσποινα, φωτίζει τούς σέ ακαταπαύστως, Θεομήτορ μεγαλύνοντας.

Τό Φωταγωγικόν τού ήχου, τό Ιδιόμελον τής ημέρας, καί η λοιπή τού Όρθρου Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Ε' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Οσιομάρτυρος Κόνωνος τού εν Ισαυρία.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν τού Αγίου Στιχηρά προσόμοια τρία.

Ήχος α' Πανεύφημοι Μάρτυρες

Μάρτυς παναοίδιμε πολλαίς, ομιλήσας θλίψεσι, καί ανυποίστοις κολάσεσι τόν πολυμήχανον, ετροπώσω όφιν, καί τούτον υπέταξας, ποσίν ωραιοτάτοις σου ένδοξε, Χριστού δεόμενος, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην καί τό μέγα έλεος.

Κόνων παναοίδιμε φωτί, τού Αγίου Πνεύματος, καταυγασθείς τήν, διάνοιαν, σκότος εμείωσας, πονηρών δαιμόνων, καί πρός φέγγος άδυτον, μετέβης εν Θεώ ευφραινόμενος, όν νύν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην καί τό μέγα έλεος.

Κόνων αξιάγαστε ναός, τής Τριάδος γέγονας, καί τόν ναόν τόν πανάγιον, έν ώ τό σώμά σου, ευσεβώς ετέθη, ποταμόν ανέδειξας, απείρων ιαμάτων πανόλβιε, διό ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην καί τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Χαίρε ξένον άκουσμα Αγνή, χαίρε ξύλον άγιον, τού Παραδείσου θεόφυτον, χαίρε εξάλειψις, πονηρών δαιμόνων, χαίρε ξίφος δίστομον, εχθρού τήν

κεφαλήν αποτέμνουσα, τώ ξένω τόκω σου, Παναγία υπεράμωμε, ξενωθέντας, ημάς ανακάλεσαι.

Η Σταυροθεοτοκίον

Τόν ίδιον Άρνα η Αμνάς, καί άμωμος Δέσποινα, εν τώ Σταυρώ ως εώρακεν, είδος ουκ έχοντα, ουδέ κάλλος, Οίμοι! θρηνω δούσα έλεγε, πού σου τό κάλλος έδυ γλυκύτατε; πού η ευπρέπεια; πού η χάρις η αστράπτουσα, τής μορφής σου, Υιέ μου παμφίλτατε;

Τά λοιπά τής τού Εσπερινού Ακολουθίας, ως σύνηθες, καί Απόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τή συνήθη Στιχολογίαν, λέγονται οι Κανόνες τού Τριωδίου, καί τού Αγίου ο παρών, ού ή Ακροστιχίς.

Ο Καλλίνικος Μάρτυς υμνείσθω Κόνων.

Ανευ τών Θεοτοκίων

Ωδή α' Ήχος πλ. α' Ο Ειρμός

«Τώ σωτήρι Θεώ, τώ εν θαλάσση λαόν, ποσίν αβρόχοις οδηγήσαντι, καί Φαραω πανστρατιά καταποντίσαντι, αυτώ μόνω άσωμεν, ότι δεδόξασται».

Ο Καλλίνικος νύν, Μάρτυς υμνείσθω Κόνων, κατά τής πλάνης ανδρισάμενος, ως στρατευσάμενος Χριστώ, τώ επί πάντων Θεώ, καί άφθαρτον στέφος αναδησάμενος.

Κεκρυμμένην ζωήν, καί τήν αγήρω δόξαν επιποθήσας αντηλλάξατο, Κόνων ο ένδοξος Μάρτυς, τής επικήρου χλιδής, όν ύμνοις τιμήσωμεν, ότι δεδόξασται.

Αφθαρσίας στολήν, περιβαλόμενος νύν, ενεκεντρίσθης Κόνων ένδοξε, αγριελαίου εκ ρίζης εις καλλιέλαιον, Χριστώ τε το ύς φύσαντας εκαρποφόρησας.

Λελυμένος αράς, τής τού Προπάτορος φθοράς, τήν πλάνης ζεύγλην απεσείσατο, ο παναοίδιμος Μάρτυς, καί τήν ομόζυγον, αγνείας συνόμιλον συναπειργάσατο.

Θεοτοκίον

Άχραντε μήτηρ Θεού, τόν σαρκωθέντα εκ σού, καί εκ τών κόλπων τού γεννήτορος, μή εκφοιτήσαντα Θεόν, απαύστως ικέτευε, σωθήναι τάς ψυχάς ημών.

Ωδή γ' Ο Ειρμός

«Δυνάμει τού Σταυρού σου Χριστέ, στερέωσόν μου τήν διάνοιαν, εις τό υμνείν καί δοξάζειν σου, τήν εκούσιον νύν σταύρωσιν».

Λατρεύειν ηρετίσω Θεώ, τό φώς ποθήσας, εβδελύξω δέ, τήν ζοφεράν Κόνων ένδοξε, τών ειδώλων αθεότητα.

Ιέρευσας προθύ μως Χριστώ, ψυχήν καί σώμα, καί ευπρόσδεκτος, ως μόνος μόνω ωμίλησας, τώ Δεσπότη παμμακάριστε.

Νομίμων τών πατρώων σοφώς, λαούς απείρους ηλευθέρωσας, τόν απωλείας φερώνυμον, θριαμβεύων Κόνων ένδοξε.

Ικέτευε παθών ψυχικών, σωματικών τε λύσιν Ένδοξε, παρασχεθήναι τοίς εν πίστει, εορτάζουσι τήν μνήμην σου.

Θεοτοκίον

Ικέτευε απαύστως Αγνή, τόν προελθόντα εκ λαγόνων σου, ρυσθήναι πλάνης διαβόλου, τούς υμνούντάς σε Μητέρα Θεού.

Κάθισμα Ήχος α'

Τόν τάφον σου Σωτήρ

Εκ βρέφους τώ Θεώ, κολληθείς θεοφόρε, τού Πνεύματος σεπτόν, ανεδείχθης δοχείον, καί τά πονηρότατα, καθυπέταξας πνεύματα, εναθλήσας δέ, εμεγαλύνθης αξίως, όθεν άπαντες, τήν παναγίαν σου μνήμην, πιστώς εορτάζομεν.

Θεοτοκίον

Κυβέρνησον Αγνή, τήν αθλίαν ψυχήν μου, καί οίκτειρον αυτήν, υπό πλήθους πταισμάτων, βυθώ ολισθαίνουσαν, απωλείας Πανάμωμε, καί εν ώρα με, τή φοβερά τού θανάτου, ελευθέρωσον, κατηγορούντων δαιμόνων, καί σώσόν με δέομαι.

Η Σταυροθεοτοκίον

Τήν σήν τής καθαράς, καί αμώμου Παρθένου, διήλθεν αληθώς, τήν καρδίαν ρομφαία, Σταυρώ ώς εώρακας, τόν Υιόν σου υψούμενον, Παναμώμητε, ευλογημένη Μαρία, τό προσφύγιον, αμαρτωλών Θεοτόκε, πιστών τό κραταίωμα

Ωδή δ' Ο Ειρμός

«Ακήκοα Κύριε, τήν εκ τού τάφου σου έγερσιν, καί εδόξασά σου, τήν αήττητον δύναμιν».

Καθείλες Μακάριε, τό τών λαών απατήλιον, καί υπέφηνας, τού Ιησού τήν θεότητα.

Ο λίθινος φρίξας σου, ψευδής Θεός τό εμβρίμημα, τόν Ιησούν μόνον, καθωμολόγησεν είναι Θεόν.

Συνήκαν οι άφρονες, τήν υπέρ φύσιν δεξάμενοι, εκ λιθίνου χείλους, αληθεστάτην μετάθεσιν.

Μυστήριον άρρητον, τό διά σού κηρυττόμενον, επιστρέφεις γάρ Μάρτυς, πεπλανημένους πρός Κύριον.

Θεοτοκον

Κυρίως δοξάζομεν, σέ Θεοτόκον, Ανύμφευτε, καί τώ σώ λιμένι, οι πιστοί καταφεύγομεν.

Ωδή ε'  Ο Ειρμός

«Ορθρίζοντες βοώμέν σοι Κύριε, σώσον ημάς, σύ γάρ εί Θεός ημών, εκτός σου άλλον ουκ οίδαμεν».

Άχράντου σε δοχείον η χάρις, καί ακηράτου φωτός απειργάσατο, Μαρτύρων κλέος καί καύχημα.

Ρημάτων επλουτίσθης αρρήτων, τήν θείαν γνώσιν, καί ταύτην εμύησας, λαούς απείρους υπέρτιμε.

Τήν χάριν σου ορώντες οι άνομοι, τών θαυμάτων εβόων, ο Κόνωνος Θεός, τήν πλάνην ενίκησε.

Θεοτοκίον

Παρθένον μετά τόκον υμνούμέν σε, Θεοτόκε, σύ γάρ τόν Θεόν Λόγον, σαρκί τώ κόσμω εκύησας.

Ωδή ς'  Ο Ειρμός

«Εκύκλωσέ με άβυσσος, ταφή μοι τό κήτος εγένετο, εγώ δέ εβόησα, πρός σέ τόν φιλάνθρωπον, καί έσωσέ με, η δεξιά σου Κύριε».

Υπήρξε τοίς πιστεύσασιν, η χάρις τού πλούτου επαύξησις, τοίς δέ απειθήσασιν, η ένστασις όλεθρος, ταίς ικεσίαις, σού Κόνων παμμακάριστε.

Σαφώς σοι υποτέτακται, δαιμόνων τά στίφη μακάριε, σαυτόν υποτάξαντι, Θεώ τώ ποιήσαντι, αυτεξουσίως, ώ Μάρτυς Κόνων ένδοξε.

Υπό σού επαιδεύετο, τά πλήθη αιρείσθαι τόν έλεον, καί τρόπον βδελύττεσθαι, ενθέως φιλάργυρον, Παμμάκαρ έργω, καί λόγω διδασκόμενα.

Θεοτοκίον

Βάτον σε ακατάφλεκτον, καί όρος καί κλίμακα έμψυχον, καί πύλην ουράνιον, αξίως δοξάζομεν, Μαρία ένδοξε, Ορθοδόξων καύχημα.

Τό Μαρτυρικόν τού ενδιατάκτου ήχου.

Συναξάριον

Τή Ε' τού αυτού μηνός, Μνήμη τού Αγίου Οσιομάρτυρος Κόνωνος τού εν Ισαυρία.

Στίχοι

- Ήκεις πρός αυτόν τόν Θεόν, Θεός θέσει,

- Εις γήν άφείς σου τήν κόνιν, Κόνων Πάτερ.
- Πέμπτη καρτερόφρων ψυχήν ο Κόνων αφέηκεν.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Κόνωνος τού Κηπουρού.

Στίχοι

- Ήλων τύπους φέροντι Κυρίω Κόνων,
- Ήλων τύπους πρόσεισιν εις πόδας φέρων.

Τή αυτή ημέρα, Μνήμη τού οσίου Πατρός ημών Μάρκου Μοναχού τού θαυματουργού.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Ευλογίου τού εν Παλαιστίνη.

Στίχοι

- Τόν Ευλόγιον ευλογεί πάσα κτίσις,
- Κτίστου χάριν σού τήν κάραν τετμημένου.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Ευλαμπίου.

Στίχοι

- Τράχηλον Ευλάμπιος εκτμηθείς ξίΦει,
- Τραχηλιώσαν δυσσέβειαν αισχύνει.

Τή αυτή ημέρα, ο Άγιος Μάρτυς Αρχέλαος καί οι σύν αυτώ εκατόν τεσσαράκοντα δύο Μάρτυρες ξίφει τελειούνται.

Στίχοι

- Θείς πρώτος Αρχέλαος αυχένα ξίφει,
- Άρχει τομής σοι, λαέ θείε Κυρίου.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Ο εν καμίνω πυρός, τούς υμνολόγους σώσας Παίδας, ευλογητός ο Θεός, ο τών Πατέρων ημών».

Μαρτυρικώς Αθλητά, ηγωνισμένος ανεβόας, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Νενικηκώς τόν εχθρόν, σύ ανεδείχθης Αθλοφόρος, ευλογητός ο Θεός, ο τών Πατέρων βοών.

Επί τής γής νικητής, εν ουρανοίς δέ στεφανίτης, ανηγορεύθης τού Χριστού, Μάρτυς αήττητε.

Ιερουργήσας Θεώ, τήν τών εν πλάνη σωτηρίαν, Ευλογητός ο Θεός, ο τών

Πατέρων βοάς.

Θεοτοκίον

Ο εκ Παρθένου τεχθείς, ήν Θεοτόκον απειργάσω, ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Ωδή η'  Ο Ειρμός

«Τόν εκ Πατρός πρό αιώνων γεννηθέντα Υιόν καί Θεόν, καί επ' εσχάτων τών χρόνων, σαρκωθέντα εκ Παρθένου Μητρός, Ιερείς υμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Σεσυλημένον ορώντες, τόν τού σκότους κοσμοκράτορα, τήν δεισιδαίμονα πλάνην, τού Αγίου ταίς εντεύξεσιν, Ιερείς υμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Θεοπρεπώς σοι Παμμάκαρ, τών Κακούργων τά συστήματα, δι' ολεθρίων πνευμάτων, τιμωρούμενα εκραύγαζον, Ιερείς υμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ως μητρικαίς αγκάλαις, ασινές τό βρέφος έσωσας, τή ενεργεί σου προστάξει, έν ταίς μύλαις τού αγρίου θηρός, Ιερείς υμνείτε, λαός υπερυψούτε, Χριστόν βοών απαύστως.

Κατελαμπρύνθης αφθόνως, Αθλητά τώ τρισηλίω φωτί, τήν τρισυπόστατον φύσιν, αναμέλπων γάρ εκραύγαζες, Ιερείς υμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Τών Χερουβίμ υπερτέρα, ανεδείχθης υπερένδοξε, Θεογεννήτορ Μαρία, εν γαστρί σου γάρ εσκήνωσεν, όν σύν Ασωμάτοις, βροτοί δοξολογούμεν, εις πάντας τούς αιώνας.

Ωδή θ'  Ο Ειρμός

«Σέ τήν υπέρ νούν καί λόγον μητέρα Θεού, τήν εν χρόνω τόν άχρονον, αφράστως κυήσασαν, οι πιστοί ομοφρόνως μεγαλύνομεν».

Όλος τού αϋλου πόθου γενόμενος, τού Χριστού επεπόθησας, πιείν τό ποτήριον, διό πάντες σε Μάκαρ μακαρίζομεν.

Νόμω θείω θεαρέστως επόμενος, ου θωπείαις Μακάριε, τού Χριστού τό ποτήριον, ολοψύχως ώφθης αρυσάμενος.

Ώφθης τών Μαρτύρων ένδοξε καλλονή, τοίς Χριστού καλλυνόμενος, σεπτοτάτοις στίγμασι, διά τούτό σε, άπαντες γεραίρομεν.

Νύν εν ουρανίω λήξει γενόμενος, τών τού βίου με λύτρωσαι, δεινών περιστάσεων, Αθλητά Κυρίου Κόνων ένδοξε.

Θεοτοκίον

Χαίρε Θεοτόκε Μήτερ Χριστού τού Θεού, χαίρε όρος τό άγιον, χαίρε τό κεφάλαιον, τής σεπτής παρθενίας, χαίρε Δέσποινα.

Τό Φωταγωγικόν τού ήχου.

Εις τόν Στίχον, τό Ιδιόμελον τής ημέρας καί τό Μαρτυρικόν.

Δόξα... Καί νύν...
Θεοτοκίον ή Σταυροθεοτοκίον

Αι μετάνοιαι, ως σύνηθες, η α' Ωρα, καί Απόλυσις.

**ΤΗ Ε' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τού Αγίου Οσιομάρτυρος Κόνωνος τού εν Ισαυρία.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν τού Αγίου Στιχηρά προσόμοια τρία.

Ήχος α'  Πανεύφημοι Μάρτυρες

Μάρτυς παναοίδιμε πολλαίς, ομιλήσας θλίψεσι, καί ανυποίστοις κολάσεσι τόν πολυμήχανον, ετροπώσω όφιν, καί τούτον υπέταξας, ποσίν ωραιοτάτοις σου ένδοξε, Χριστού δεόμενος, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην καί τό μέγα έλεος.

Κόνων παναοίδιμε φωτί, τού Αγίου Πνεύματος, καταυγασθείς τήν, διάνοιαν, σκότος εμείωσας, πονηρών δαιμόνων, καί πρός φέγγος άδυτον, μετέβης εν Θεώ ευφραινόμενος, όν νύν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην καί τό μέγα έλεος.

Κόνων αξιάγαστε ναός, τής Τριάδος γέγονας, καί τόν ναόν τόν πανάγιον, έν ώ τό σώμά σου, ευσεβώς ετέθη, ποταμόν ανέδειξας, απείρων ιαμάτων πανόλβιε, διό ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην καί τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Χαίρε ξένον άκουσμα Αγνή, χαίρε ξύλον άγιον, τού Παραδείσου θεόφυτον, χαίρε εξάλειψις, πονηρών δαιμόνων, χαίρε ξίφος δίστομον, εχθρού τήν κεφαλήν αποτέμνουσα, τώ ξένω τόκω σου, Παναγία υπεράμωμε, ξενωθέντας, ημάς ανακάλεσαι.

Η Σταυροθεοτοκίον

Τόν ίδιον Άρνα η Αμνάς, καί άμωμος Δέσποινα, εν τώ Σταυρώ ως εώρακεν, είδος ουκ έχοντα, ουδέ κάλλος, Οίμοι! θρηνω δούσα έλεγε, πού σου τό κάλλος έδυ γλυκύτατε; πού η ευπρέπεια; πού η χάρις η αστράπτουσα, τής μορφής σου, Υιέ μου παμφίλτατε;

Tά λοιπά τής τού Εσπερινού Ακολουθίας, ως σύνηθες, καί Απόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τή συνήθη Στιχολογίαν, λέγονται οι Κανόνες τού Τριωδίου, καί τού Αγίου ο παρών, ού ή Ακροστιχίς.

Ο Καλλίνικος Μάρτυς υμνείσθω Κόνων.
Ανευ τών Θεοτοκίων

Ωδή α' Ήχος πλ. α' Ο Ειρμός
«Τώ σωτήρι Θεώ, τώ εν θαλάσση λαόν, ποσίν αβρόχοις οδηγήσαντι, καί Φαραω πανστρατιά καταποντίσαντι, αυτώ μόνω άσωμεν, ότι δεδόξασται».

Ο Καλλίνικος νύν, Μάρτυς υμνείσθω Κόνων, κατά τής πλάνης ανδρισάμενος, ως στρατευσάμενος Χριστώ, τώ επί πάντων Θεώ, καί άφθαρτον στέφος αναδησάμενος.

Κεκρυμμένην ζωήν, καί τήν αγήρω δόξαν επιποθήσας αντηλλάξατο, Κόνων ο ένδοξος Μάρτυς, τής επικήρου χλιδής, όν ύμνοις τιμήσωμεν, ότι δεδόξασται.

Αφθαρσίας στολήν, περιβαλόμενος νύν, ενεκεντρίσθης Κόνων ένδοξε, αγριελαίου εκ ρίζης εις καλλιέλαιον, Χριστώ τε το ύς φύσαντας εκαρποφόρησας.

Λελυμένος αράς, τής τού Προπάτορος φθοράς, τήν πλάνης ζεύγλην απεσείσατο, ο παναοίδιμος Μάρτυς, καί τήν ομόζυγον, αγνείας συνόμιλον συναπειργάσατο.

Θεοτοκίον
Άχραντε μήτηρ Θεού, τόν σαρκωθέντα εκ σού, καί εκ τών κόλπων τού γεννήτορος, μή εκφοιτήσαντα Θεόν, απαύστως ικέτευε, σωθήναι τάς ψυχάς ημών.

Ωδή γ' Ο Ειρμός
«Δυνάμει τού Σταυρού σου Χριστέ, στερέωσόν μου τήν διάνοιαν, εις τό υμνείν καί δοξάζειν σου, τήν εκούσιον νύν σταύρωσιν».

Λατρεύειν ηρετίσω Θεώ, τό φώς ποθήσας, εβδελύξω δέ, τήν ζοφεράν Κόνων ένδοξε, τών ειδώλων αθεότητα.

Ιέρευσας προθύ μως Χριστώ, ψυχήν καί σώμα, καί ευπρόσδεκτος, ως μόνος μόνω ωμίλησας, τώ Δεσπότη παμμακάριστε.

Νομίμων τών πατρώων σοφώς, λαούς απείρους ηλευθέρωσας, τόν απωλείας

φερώνυμον, θριαμβεύων Κόνων ένδοξε.

Ικέτευε παθών ψυχικών, σωματικών τε λύσιν Ένδοξε, παρασχεθήναι τοίς εν πίστει, εορτάζουσι τήν μνήμην σου.

Θεοτοκίον

Ικέτευε απαύστως Αγνή, τόν προελθόντα εκ λαγόνων σου, ρυσθήναι πλάνης διαβόλου, τούς υμνούντάς σε Μητέρα Θεού.

Κάθισμα Ήχος α'

Τόν τάφον σου Σωτήρ

Εκ βρέφους τώ Θεώ, κολληθείς θεοφόρε, τού Πνεύματος σεπτόν, ανεδείχθης δοχείον, καί τά πονηρότατα, καθυπέταξας πνεύματα, εναθλήσας δέ, εμεγαλύνθης αξίως, όθεν άπαντες, τήν παναγίαν σου μνήμην, πιστώς εορτάζομεν.

Θεοτοκίον

Κυβέρνησον Αγνή, τήν αθλίαν ψυχήν μου, καί οίκτειρον αυτήν, υπό πλήθους πταισμάτων, βυθώ ολισθαίνουσαν, απωλείας Πανάμωμε, καί εν ώρα με, τή φοβερά τού θανάτου, ελευθέρωσον, κατηγορούντων δαιμόνων, καί σώσόν με δέομαι.

Η Σταυροθεοτοκίον

Τήν σήν τής καθαράς, καί αμώμου Παρθένου, διήλθεν αληθώς, τήν καρδίαν ρομφαία, Σταυρώ ώς εώρακας, τόν Υιόν σου υψούμενον, Παναμώμητε, ευλογημένη Μαρία, τό προσφύγιον, αμαρτωλών Θεοτόκε, πιστών τό κραταίωμα

Ωδή δ' Ο Ειρμός

«Ακήκοα Κύριε, τήν εκ τού τάφου σου έγερσιν, καί εδόξασά σου, τήν αήττητον δύναμιν».

Καθείλες Μακάριε, τό τών λαών απατήλιον, καί υπέφηνας, τού Ιησού τήν θεότητα.

Ο λίθινος φρίξας σου, ψευδής Θεός τό εμβρίμημα, τόν Ιησούν μόνον, καθωμολόγησεν είναι Θεόν.

Συνήκαν οι άφρονες, τήν υπέρ φύσιν δεξάμενοι, εκ λιθίνου χείλους, αληθεστάτην μετάθεσιν.

Μυστήριον άρρητον, τό διά σού κηρυττόμενον, επιστρέφεις γάρ Μάρτυς, πεπλανημένους πρός Κύριον.

Θεοτοκον

Κυρίως δοξάζομεν, σέ Θεοτόκον, Ανύμφευτε, καί τώ σώ λιμένι, οι πιστοί καταφεύγομεν.

Ωδή ε' Ο Ειρμός

«Ορθρίζοντες βοώμέν σοι Κύριε, σώσον ημάς, σύ γάρ εί Θεός ημών, εκτός σου άλλον ουκ οίδαμεν».

Άχράντου σε δοχείον η χάρις, καί ακηράτου φωτός απειργάσατο, Μαρτύρων κλέος καί καύχημα.

Ρημάτων επλουτίσθης αρρήτων, τήν θείαν γνώσιν, καί ταύτην εμύησας, λαούς απείρους υπέρτιμε.

Τήν χάριν σου ορώντες οι άνομοι, τών θαυμάτων εβόων, ο Κόνωνος Θεός, τήν πλάνην ενίκησε.

Θεοτοκίον

Παρθένον μετά τόκον υμνούμέν σε, Θεοτόκε, σύ γάρ τόν Θεόν Λόγον, σαρκί τώ κόσμω εκύησας.

Ωδή ς' Ο Ειρμός

«Εκύκλωσέ με άβυσσος, ταφή μοι τό κήτος εγένετο, εγώ δέ εβόησα, πρός σέ τόν φιλάνθρωπον, καί έσωσέ με, η δεξιά σου Κύριε».

Υπήρξε τοίς πιστεύσασιν, η χάρις τού πλούτου επαύξησις, τοίς δέ απειθήσασιν, η ένστασις όλεθρος, ταίς ικεσίαις, σού Κόνων παμμακάριστε.

Σαφώς σοι υποτέτακται, δαιμόνων τά στίφη μακάριε, σαυτόν υποτάξαντι, Θεώ τώ ποιήσαντι, αυτεξουσίως, ώ Μάρτυς Κόνων ένδοξε.

Υπό σού επαιδεύετο, τά πλήθη αιρείσθαι τόν έλεον, καί τρόπον βδελύττεσθαι, ενθέως φιλάργυρον, Παμμάκαρ έργω, καί λόγω διδασκόμενα.

Θεοτοκίον

Βάτον σε ακατάφλεκτον, καί όρος καί κλίμακα έμψυχον, καί πύλην ουράνιον, αξίως δοξάζομεν, Μαρία ένδοξε, Ορθοδόξων καύχημα.

Τό Μαρτυρικόν τού ενδιατάκτου ήχου.

Συναξάριον

Τή Ε' τού αυτού μηνός, Μνήμη τού Αγίου Οσιομάρτυρος Κόνωνος τού εν Ισαυρία.

Στίχοι

- Ήκεις πρός αυτόν τόν Θεόν, Θεός θέσει,
- Εις γήν άφείς σου τήν κόνιν, Κόνων Πάτερ.
- Πέμπτη καρτερόφρων ψυχήν ο Κόνων αφέηκεν.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Κόνωνος τού Κηπουρού.

Στίχοι

- Ήλων τύπους φέροντι Κυρίω Κόνων,

- Ήλων τύπους πρόσεισιν εις πόδας φέρων.

Τή αυτή ημέρα, Μνήμη τού οσίου Πατρός ημών Μάρκου Μοναχού τού θαυματουργού.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Ευλογίου τού εν Παλαιστίνη.

Στίχοι

- Τόν Ευλόγιον ευλογεί πάσα κτίσις,
- Κτίστου χάριν σού τήν κάραν τετμημένου.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Ευλαμπίου.

Στίχοι

- Τράχηλον Ευλάμπιος εκτμηθείς ξίΦει,
- Τραχηλιώσαν δυσσέβειαν αισχύνει.

Τή αυτή ημέρα, ο Άγιος Μάρτυς Αρχέλαος καί οι σύν αυτώ εκατόν τεσσαράκοντα δύο Μάρτυρες ξίφει τελειούνται.

Στίχοι

- Θείς πρώτος Αρχέλαος αυχένα ξίφει,
- Άρχει τομής σοι, λαέ θείε Κυρίου.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ' Ο Ειρμός

«Ο εν καμίνω πυρός, τούς υμνολόγους σώσας Παίδας, ευλογητός ο Θεός, ο τών Πατέρων ημών».

Μαρτυρικώς Αθλητά, ηγωνισμένος ανεβόας, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Νενικηκώς τόν εχθρόν, σύ ανεδείχθης Αθλοφόρος, ευλογητός ο Θεός, ο τών Πατέρων βοών.

Επί τής γής νικητής, εν ουρανοίς δέ στεφανίτης, ανηγορεύθης τού Χριστού, Μάρτυς αήττητε.

Ιερουργήσας Θεώ, τήν τών εν πλάνη σωτηρίαν, Ευλογητός ο Θεός, ο τών Πατέρων βοάς.

Θεοτοκίον

Ο εκ Παρθένου τεχθείς, ήν Θεοτόκον απειργάσω, ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Ωδή η' Ο Ειρμός

«Τόν εκ Πατρός πρό αιώνων γεννηθέντα Υιόν καί Θεόν, καί επ' εσχάτων τών χρόνων, σαρκωθέντα εκ Παρθένου Μητρός, Ιερείς υμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Σεσυλημένον ορώντες, τόν τού σκότους κοσμοκράτορα, τήν δεισιδαίμονα πλάνην, τού Αγίου ταίς εντεύξεσιν, Ιερείς υμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Θεοπρεπώς σοι Παμμάκαρ, τών Κακούργων τά συστήματα, δι' ολεθρίων πνευμάτων, τιμωρούμενα εκραύγαζον, Ιερείς υμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ως μητρικαίς αγκάλαις, ασινές τό βρέφος έσωσας, τή ενεργεί σου προστάξει, έν ταίς μύλαις τού αγρίου θηρός, Ιερείς υμνείτε, λαός υπερυψούτε, Χριστόν βοών απαύστως.

Κατελαμπρύνθης αφθόνως, Αθλητά τώ τρισηλίω φωτί, τήν τρισυπόστατον φύσιν, αναμέλπων γάρ εκραύγαζες, Ιερείς υμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Τών Χερουβίμ υπερτέρα, ανεδείχθης υπερένδοξε, Θεογεννήτορ Μαρία, εν γαστρί σου γάρ εσκήνωσεν, όν σύν Ασωμάτοις, βροτοί δοξολογούμεν, εις πάντας τούς αιώνας.

Ωδή θ'  Ο Ειρμός

«Σέ τήν υπέρ νούν καί λόγον μητέρα Θεού, τήν εν χρόνω τόν άχρονον, αφράστως κυήσασαν, οι πιστοί ομοφρόνως μεγαλύνομεν».

Όλος τού αϋλου πόθου γενόμενος, τού Χριστού επεπόθησας, πιείν τό ποτήριον, διό πάντες σε Μάκαρ μακαρίζομεν.

Νόμω θείω θεαρέστως επόμενος, ου θωπείαις Μακάριε, τού Χριστού τό ποτήριον, ολοψύχως ώφθης αρυσάμενος.

Ώφθης τών Μαρτύρων ένδοξε καλλονή, τοίς Χριστού καλλυνόμενος, σεπτοτάτοις στίγμασι, διά τούτό σε, άπαντες γεραίρομεν.

Νύν εν ουρανίω λήξει γενόμενος, τών τού βίου με λύτρωσαι, δεινών περιστάσεων, Αθλητά Κυρίου Κόνων ένδοξε.

Θεοτοκίον

Χαίρε Θεοτόκε Μήτερ Χριστού τού Θεού, χαίρε όρος τό άγιον, χαίρε τό κεφάλαιον, τής σεπτής παρθενίας, χαίρε Δέσποινα.

Τό Φωταγωγικόν τού ήχου.

Εις τόν Στίχον, τό Ιδιόμελον τής ημέρας καί τό Μαρτυρικόν.

Δόξα... Καί νύν...
Θεοτοκίον ή Σταυροθεοτοκίον

Αι μετάνοιαι, ως σύνηθες, η α' Ωρα, καί Απόλυσις.

---

Αρχή

**ΤΗ ΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τών Αγίων τεσσαράκοντα δύο Μαρτύρων τών εν τώ Αμορίω, Θεοδώρου, Κωνσταντίνου, Καλλίστου, Θεοφίλου, Βασσώη καί τής συνοδίας αυτών.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλο μεν τών Μαρτύρων Στιχηρά Προσόμοια τρία.

Ήχος δ'
Ο εξ Υψίστου κληθείς

Οι εν εσχάτοις καιροίς αναφανέντες, καλλίνικοι Μάρτυρες, αστέρες άδυτοι, εν τώ σεπτώ στερεώματι, τής Εκκλησίας, άθλων λαμπρότησιν εφωτίσατε, πάσαν τήν υφήλιον, καί διελύσατε, πλάνης τό σκότος πανεύφημοι, καί νύν πρός φέγγος, τό αιωνίζον μετεβιβάσθητε, όθεν έν πίστει, τήν φωσφόρον τε, καί ιεράν υμών άθλησιν, εκτελούμεν προστάτας, αγαθούς ημών πλουτήσαντες.

Απαγωγή Χριστομάρτυρες βιαία, δέσμιοι γεγόνατε, καί απετέθητε, εν φυλακή επί μήκιστον, άπαντες χρόνον, θείοι τής πίστεως, όντως φύλακες, εντεύθεν μαινόμενος, θήρ ο δυσώνυμος, ξίφει υμάς εθανάτωσε, μή βουληθέντας, είξαι τοίς τούτου δεινοίς προστάγμασι, καί νύν τά άνω, εκληρώσασθε, χαρμονικώς τεσσαράκοντα, πρός δυσί πεφυκότες, παναοίδιμοι βασίλεια.

Σύν Κωνσταντίνω Βασσώη καί Καλλίστω, Θεόφιλον άπαντες, καί τόν Θεόδωρον, καί τόν λοιπόν θείον όμιλον, τών Αθλοφόρων, μεγαλοφώνως ανευφημήσωμεν, θανείν γάρ προείλοντο, υπέρ τής πάντων Ζωής, σφαγιασθέντες γηθόμενοι, καί νύν εν πόλει, Θεού τού ζώντος επαναπαύονται, καί εξαιτούνται τού ευρείν ημάς, αμαρτημάτων τήν άφεσιν, εν ημέρα τής δίκης, καί τελείαν απολύτρωσιν.

Δόξα... Καί νύν... Θεοτοκίον

Ότι εις βάθη πολλών παραπτωμάτων, αθλίως κατήντησα, εξ αμελείας μου, καί ραθυμίας ο δείλαιος, καί απορία καί απογνώσει νυνί συνέχομαι, γενού μοι βοήθεια, καί ιλαστήριον, καί σωτηρία Πανάχραντε, παραμυθίαν, ευμενεστάτην παρεχομένη μοι, σέ ικετεύω και σού δέομαι, καί προσπίπτω καί πίστει κραυγάζω σοι, Μή δε, τέλος, τώ αλάστορι εχθείην εις πίχαρμα.

Η Σταυροθεοτοκίον

Μή εποδύρου μου Μήτερ καθορώσα, εν ξύλω κρεμάμενον τόν σόν Υιόν καί Θεόν, τόν εφ' υδάτων κρεμάσαντα, τήν γήν ασχέτως, καί πάσαν κτίσιν δημιουργήσαντα, καί γάρ αναστήσομαι καί δοξασθήσομαι, καί τά τού Άδου βασίλεια, συντρίψω σθένει, καί αφανίσω τούτου τήν δύναμιν, καί τούς δεσμίους εκλυτρώσομαι, τής αυτού κακουργίας, ως εύσπλαγχνος, καί Πατρί τώ ιδίω, προσαγάγω ώς φιλάνθρωπος.

Εάν δέ τύχη εν Σαββάτω, λέγε τά εξής, Ιδιόμελα.

Δόξα... Ήχος β' Μεθοδίου

Η Εκκλησία σήμερον πανηγυρίζει μυστικώς, νέαν στολήν ενδυσαμένη, ως πορφύραν καί βύσσον, τά αίματα τών νέων Αθλοφόρων, τούτους γάρ εν ευσεβεία εκθρεψαμένη, θυσίαν άμωμον δέ τήν καί ευάρεστον, Χριστώ προσήγαγε, Διό νικητάς ο τούτους τών παρανόμων αναδείξας, καί στεφανώσας καί δοξάσας, καί ημίν κατάπεμψον, ταίς αυτών πρεσβείαις τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον Ήχος β'

Τήν πάσαν ελπίδα μου εις σέ ανατίθημι, Μήτηρ τού Θεού, φύλαξόν με υπό τήν σκέπην σου.

Η Σταυροθεοτοκίον

Ότε εκ τού ξύλου σε

Ύβρεις υπομείναντα πολλάς, καί επί Σταυρού υψωθέντα, τόν τού παντός Ποιητήν, βλέψασα, Πανάχραντε, έστενες λέγουσα, Υπερύμνητε Κύριε, Υιέ καί Θεέ μου, πώς τιμήσαι θέλων σου, τό πλάσμα Δέσποτα, φέρεις εν σαρκί ατιμίαν; Δόξα τή πολλή ευσπλαγχνία, καί συγκαταβάσει σου φιλάνθρωπε.

Εις τόν Στίχον, τό Ιδιόμελον τής ημέρας, καί τό Μαρτυρικόν.

Δόξα... Ήχος πλ. β' Συκεώτου

Φάλαγγα θεοστεφή, αρτιφανών Μαρτύρων, σφάγιον άμωμον, υπέρ Χριστού τυθέντων προθύμως, τόν αγιόλεκτον συνασπισμόν τών τεσσαράκοντα δύο, φιλομάρτυρες δεύτε τιμήσωμεν, καί τήν πανίερον μνήμην πνευματικώς τελέσαντες, βοήσωμεν πρός αυτούς, θραύσατε θράσος τών ασεβών καί βαρβάρων, καί ρύσασθε λαόν ευσεβόφρονα, ευχαίς ημών, πάσης περιστάσεως.

Καί νύν... Θεοτοκίον

Τριήμερος ανέστης

Μεγάλων χαρισμάτων Αγνή, Παρθένε Μήτηρ μόνη Θεού, ηξιώθης, ότι έτεκες σαρκί, τόν ένα τής Τριάδος, Χριστόν τόν ζωοδότην, εις σωτηρίαν τών ψυχών ημών.

Η Σταυροθεοτοκίον

Η Πάναγνος ως είδέ σε, επί Σταυρού κρεμάμενον, θρηνωδούσα, ανεβόα μητρικώς, Υιέ μου καί Θεέ μου, γλυκύτατόν μου τέκνον, πώς φέρεις πάθος επονείδιστον;

Η λοιπή τού Εσπερινού Ακολουθία ως σύνηθες.

Απολυτίκιον τών Αγίων
Ήχος πλ. α'

Τών αγίων Μαρτύρων τά κατορθώματα, ουρανών αι δυνάμεις υπερεθαύμασαν, ότι εν σώματι θνητώ τόν ασώματον εχθρόν, τή δυνάμει τού Σταυρού, αγωνισάμενοι καλώς, ενίκησαν αοράτως, καί νύν πρεσβεύουσι τώΚυρίω, ελεηθήναι τάς ψυχάς ημών.

Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, οι Κανόνες κατά τήν τάξιν.

Ο Κανών τών Αγίων, ού η Ακροστιχίς.

Άθλους επαινώ καλλινίκων Μαρτύρων. Ιωσήφ.

Ωδή α' Ήχος πλ. β'
Ο Ειρμός

«Ως εν ηπείρω πεζεύσας ο Ισραήλ, εν αβύσσω, ίχνεσι, τόν διώκτην Φαραώ, καθορών ποντούμενον Θεώ επινίκιον ωδήν, εβόα, άσωμεν».

Αναφανέντες τώ ύψει τής τού Χριστού, Εκκλησίας Ένδοξοι ως αστέρες φαεινοί, τών πιστών φωτίζετε ψυχάς, τόν τής πλάνης σκοτασμόν αποδιώκοντες.

Θαρσαλεότητι γνώμης τώ δυσμενεί, συμπλακέντες Μάρτυρες, κατεβάλετε αυτόν, καί θανόντες εύρατε ζωήν, ατελεύτητον ομού μακαριώτατοι.

Λελαμπρυσμένοι τώ κάλλει τής φωταυγούς, καί στερράς αθλήσεως, προσηνέχθητε Χριστώ, τώ τυθέντι Μάρτυρες σαρκί, καί χοροίς μαρτυρικοίς συνηριθμήθητε.

Οι τεσσαράκοντα δύο πανευκλεείς, τού Κυρίου Μάρτυρες, μυριόλεκτον πληθύν, ανομούντων τρέψαντες πολλών, αγαθών εν ουρανοίς κατηξιώθητε.

Θεοτοκίον

Υπεραγία Παρθένε τών Αθλητών, θείον εγκαλλώπισμα, η κυήσασα Χριστόν, τόν ωραίον κάλλεσιν αυτόν, ωραϊσαι τήν εμήν ψυχήν ικέτευε.

Ωδή γ' Ο Ειρμός

«Ουκ έστιν Άγιος ως σύ, Κύριε ο Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου αγαθέ, καί στερεώσας αυτούς, εν τή πέτρα τής ὁμολογίας σου».

Σταδίου μέσον παραστάς, τόν σωτήριον Λόγον, δι' ημάς σαρκωθέντα, ελευθέρα τή φωνή, εκήρυξας ανδρικώς, καρτερόφρον, μέγιστε Θεόδωρε.

Εμφρόνως πίστει εναθλών, απηρνήσω τό σώμα, καί τομή τή τού ξίφους, υποκλίνας σεαυτόν, ετύθης ώσπερ αμνός, Κωνσταντίνε Μάρτυς αξιάγαστε.

Πιστόν σε φίλον τού Θεού, ο καιρός τών αγώνων, εφανέρωσε πάσι, τής πρός σάρκα βλαβεράς φιλίας τόν λογισμόν, αποσπώντα, κράτιστε Θεόφιλε.

Θεοτοκίον

Αγίων δήμος εναθλών, τεσσαράκοντα δύο, σέ Θεού τού Υψίστου, Μητέρα παναληθή, εκήρυττεν εμφανώς, δυναμούσαν, τούτους μεσιτείαις σου.

Κάθισμα Ήχος δ'

Ο υψωθείς

Συμπεφραγμένοι ανδρικώς πρός ανόμους, συντεταγμένοι λογικώς πρός αθέους, τήν πανοπλίαν ήρασθε Χριστού τού Θεού, πίστιν μέν ως μάχαιραν, επί χείρα λαβόντες, ασπίδα τήν ελπίδα δέ, τεθεικότες επ' ώμων, καί τής αγάπης θώρακα σαφώς, ενδεδυμένοι, εχθρούς ετροπώσασθε.

Έτερον Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Απαχθέντες δεσμώται υπό εχθρού, καί φρουρά συγκλεισθέντες χρόνοις πολλοίς, τή πίστει φρουρούμενοι, ασινείς διεμείνατε, καί τώ ξίφει λυθέντες, τού σώματος Άγιοι, τώ ενθέω πόθω σαφώς συνεδέθητε, όθεν ως φωστήρες, διελάμψατε κόσμω, τούς πάντας φωτίζοντες, τή τού Πνεύματος χάριτι, Αθλοφόροι μακάριοι, Πρεσβεύσατε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην υμών.

Θεοτοκίον

Τήν Σοφίαν καί Λόγον εν σή γαστρί, συλλαβούσα αφράστως Μήτηρ Θεού, τώ κόσμω εκύησας, τόν τόν κόσμον συνέχοντα, καί εν αγκάλαις φέρεις, τόν πάντα κατέχοντα, τόν τροφοδότην πάντων, καί πλάστην τής κτίσεως, όθεν δυσωπώ σε, Παναγία Παρθένε, Εν ώρα τής κρίσεως, όταν μέλλω παρίστασθαι, πρό προσώπου τού Κτίστου μου, δώρησαί μοι τότε τήν σήν, προστασίαν Δέσποινα πανάχραντε, σέ γάρ έχω ελπίδα, ο ανάξιος δούλός σου.

Η Σταυροθεοτοκίον

Τόν Αμνόν καί Ποιμένα καί Λυτρωτήν, η Αμνάς θεωρούσα εν τώ Σταυρώ, ωλόλυζε δακρύουσα, καί πικρώς ανεκραύγαζεν, ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήν περ υπομένεις, διά σπλάγχνα ελέους, Μακρόθυμε Κύριε, τού ελέους η άβυσσος, καί πηγή ανεξάντλητος, Σπλαγχνίσθητι καί δώρησαι ούν, τών πταισμάτων άφεσιν τοίς δούλοις σου, τοίς ανυμνούσί σου πίστει, τά θεία παθήματα.

Ωδή δ' Ο Ειρμός

«Χριστός μου δύναμις, Θεός καί Κύριος, η σεπτή Εκκλησία θεοπρεπώς,

μέλπει ανακράζουσα, Εκ διανοίας καθαράς, εν Κυρίω εορτάζουσα».

Ισχύϊ Μάρτυρες, τού θείου Πνεύματος, κατεβάλετε πάσαν τού δυσμενούς, δύναμιν ανίσχυρον, θανατωθέντες καί ζωήν, κληρωσάμενοι αιώνιον.

Νευρώσας κάλλιστα, ψυχήν ο Κάλλιστος, ταίς ενθέοις μελέταις νεανικώς, χαίρων προσεχώρησε, πρός τήν τού ξίφους εκτομήν, τά ουράνια κληρούμενος.

Ωραίως έστησας, εν πέτρα γνώσεως, τού νοός σου Βασσώη τάς νοητάς, βάσεις καί εσκέλισας, καταδιώξας ανδρικώς, τούς εχθρούς σου παμμακάριστε.

Κενούντες αίματα, λαμπρώς τά πνεύματα, παρεδώκατε άμα τώ δι' ημάς, πλούτω αγαθότητος, αίμα τό ίδιον Σταυρώ, Παναοίδιμοι κενώσαντι.

Θεοτοκίον

Αγνήν Μητέρα σε, οι θείοι Μάρτυρες, επιστάμενοι Κόρη, καί τήν εν σοί, δόξαν κλεϊζόμενοι, τάς αθανάτους δωρεάς, εν υψίστοις εκληρώσαντο.

Ωδή ε' Ο Ειρμός

«Τώ θείω φέγγει σου Αγαθέ, τάς τών ορθριζόντων σοι ψυχάς, πόθω καταύγασον δέομαι, σέ ειδέναι Λόγε Θεού, τόν όντως Θεόν, εκ ζόφου τών πταισμάτων ανακαλούμενον».

Λαμπάδες ώφθητε μυστικαί, φέγγει ευσεβείας τάς ψυχάς, τών ευσεβών σελαγίζουσαι, καί τής αγνωσίας τό σκότος λύουσαι, Κυρίου Αθλοφόροι μακαριώτατοι.

Λεόντων χάσματα νοητών, Μάρτυρες Κυρίου ευλαβώς, παραδραμόντες γεγόνατε, βρώμα τού Δεσπότου τών όλων ήδιστον, τρυφής αδιαρρεύστου καταξιούμενοι.

Ικετηρίαν υπέρ ημών, Μάρτυρες προσάξατε Θεώ, οι δύο καί τεσσαράκοντα, όπως λυτρωθώμεν πάσης κολάσεως, καί τών επερχομένων απείρων θλίψεων.

Θεοτοκίον

Νοός μου ίθυνον δυσωπώ, Άχραντε κινήσεις πρός Θεόν, οδόν ζωής χρηματίζοντα, καί τών αθλοφόρων εξομαλίσαντα, τάς τρίβους τάς φερούσας πρός τά ουράνια.

Ωδή ς' Ο Ειρμός

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι, Ανάγαγε, εκ φθοράς τήν ζωήν μου Πολυέλεε».

Ιστίω πτερούμενοι, τού Σταυρού οι Αθληταί, παρανομίας θάλασσαν, υπέπλευσαν αβρόχως καί γαληνούς, λιμένας κατέλαβον, ευσεβών κυβερνήται χρηματίζοντες.

Κυρίου τούς Μάρτυρας, Κωνσταντίνον ευσεβώς, καί τόν κλεινόν Θεόδωρον, Κάλλιστόν τε Βασσώην καί σύν αυτοίς, τόν μέγαν Θεόφιλον, καί τούς τούτων συνάθλους ευφημήσωμεν.

Ως άνθη ηδύπνοα, εν λειμώνι μυστικώς, τών Αθλητών ανθήσαντες, τήν Εκκλησίαν άπασαν νοητής, οσμής επληρώσατε, τό δυσώδες τής πλάνης απελάσαντες.

Θεοτοκίον

Νομίμων σε άνευθεν, τών τής φύσεως Χριστέ, υπερφυώς εκύησεν, η Θεοτόκος Κόρη ως αληθώς, νομίμως τούς Μάρτυρας, εναθλήσαντας πίστει στεφανώσαντα.

Ει τύχοι εν Σαββάτω, λέγε τό παρόν Κοντάκιον, καί τόν Οίκον ειδ' ού, τό εν τώ Τριωδίω Μαρτυρικόν τού ήχου.

Κοντάκιον Ήχος β'

Τά άνω ζητών

Τούς νεοφανείς, οπλίτας τής Πίστεως, ως υπέρ Χριστού, προθύμως εναθλήσαντας, εγκωμίων στέμμασιν, επαξίως πάντες στεφανώσωμεν, υπέρ ημών πρεσβεύοντας Χριστώ, ως πύργους καί φυλακας τής Ρωμαίων αρχής.

Ο Οίκος

Τό τού Χριστού αμήχανον κάλλος, καί τήν άφραστον δόξαν, ήν Αγγέλων χοροί επιθυμούσι θεάσασθαι, εν παρρησία ημείς ορώντες, μετά πάντων Αγίων τών απ' αιώνος, οι τού Χριστού τεσσαράκοντα καί δύο Αθληταί, ταίς αγίαις ημών πρεσβείαις, τούς υμάς ευφημούντας φωτίσατε, αμαρτιών τό σκότος διώκοντες, καί υιούς φωτός εργαζόμενοι, ως πύργοι καί φύλακες τής Ρωμαίων αρχής.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΣΤ' τού αυτού μηνός, Μνήμη τών Αγίων Μαρτύρων, τών εν τώ Αμορίω αθλησάντων, Θεοδώρου, Κωνσταντίνου, Καλλίστου, Θεοφίλου, Βασσώη καί τών σύν αυτοίς.

Στίχοι

- Τήν εξάριθμον συντεθειμένην φέρει,
- Σύν επταρίθμω η τετμημένη φάλαγξ.
- Τεσσαράκοντα κάρηνα δυοίν άμα έκτη ετμήθη.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Αρκαδίου.

Στίχοι

Οσφύν νοητήν αρεταίς εζωσμένος, Εύζωνος, Αρκάδιε, πρός πόλον τρέχεις.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Ησυχίου τού θαυματουργού.

Στίχοι

- Δούς, Ησύχιε, σαυτόν η σύχω βίω,
- Τέλους φθάσαντος, ησυχάζεις εκ βίου.

Τή αυτή ημέρα, ο Όσιος Μάξιμος λιθοβοληθείς τελειούται.

Στίχοι

- Όλω βλέπων νώ Μάξιμος πρός τά στέφη,
- Πρός τάς βολάς υπήρχε τών λίθων λίθος.

Τή αυτή ημέρα, ο Άγιος Ευφρόσυνος, ύδωρ κοχλάζον ποτισθείς, τελειούται.

Στίχοι

- Ζέον πεπωκως φιάλη κοίλη πόμα,
- Ο Μάρτυς Ευφρόσυνος ευφράνθη μάλα.

Τή αυτή ημέρα, Μνήμη τής ευρέσεως τού τιμίου Σταυρού, υπό τής μακαρίας Ελένης.

Στίχοι

- Δίδωσιν ημίν Ελένη ταύτην χάριν,
- Βλέπειν τό σώσαν εκ φθοράς ημάς ξύλον.

Τή αυτή ημέρα, Μνήμη τής ευρέσεως τών τιμίων ήλων.

Στίχοι

- Φανέωτες ήλοι Βασιλεί, τού μέν κράνους,
- Άγαλμα κείνται, τού χαλινού δέ κράτος.

Τή αυτή ημέρα, οι Άγιοι Ιουλιανός καί Εύβουλος ξίφει τελειούνται.

Στίχοι

- Δεύρο, ξίφει θάνωμεν, Ευβούλω λέγει,
- Ιουλιανός, εισφέρων ευβουλίαν.

Ταίς τών σών Αγίων πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Δροσοβόλον μέν τήν κάμινον ειργάσατο, Άγγελος τοίς οσίοις Παισί, τούς Χαλδαίους δέ καταφλέγον πρόσταγμα Θεού, τόν τύραννον επεισε βοάν, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών».

Μετά χρόνιον ειρκτήν οι τεσσαράκοντα, καί δύο Χριστού Μάρτυρες, τής τού σώματος φυλακής λυθέντες ως αυτού, φυλάξαντες νόμους αληθείς, φύλακες ώφθησαν ημών, οικούντες τούς ουρανούς.

Αιχμαλώτους θείους παίδας έμιμήσασθε, τρείς τούς εν Βαβυλώνι ποτέ, ως

αιχμάλωτοι απαχθέντες, χώραν εις μακράν, καλλίνικοι Μάρτυρες, εν ή τόν πολυτάραχον εχθρόν ηχμαλωτεύσατε.

Ρείθροις αίματος υμών τής ματαιότητος, χειμάρρους εξηράνατε, ποταμίοις δέ εμβληθέντες ρεύμασι Σοφοί, προς ύδωρ μετέβητε ζωής, εποχετεύοντες ημίν, αθανασίας κρουνούς.

Θεοτοκίον

Νόμος Άχραντε καινότατος ύπάρχουσα, τόν Λόγον εγγραφόμενον, εν σοί έσχηκας, τόν εν βίβλω ζώντων τούς αυτού, εγγράψαντα θείους Αθλητάς, τά γεγραμμένα εμμελώς αποπληρώσαντα.

Ωδή η' Ο Ειρμός

«Εκ φλογός τοίς Οσίοις δρόσον επήγασας, καί Δικαίου θυσίαν ύδατι έφλεξας, άπαντα γάρ δράς Χριστέ, μόνω τώ βούλεσθαι, Σέ υπερυψούμεν, εις πάντας τούς αιώνας».

Υπελθόντες Μαρτύρων τό θείον στάδιον, σταθερώς τούς αγώνας προσεπεδείξασθε, τρέποντες εχθρόν, ταίς ατρέπτοις ενστάσεσιν, όθεν ευφημούμεν, υμάς Χριστού οπλίται.

Ρωμαλέως αντέστης τοίς ματαιόφροσιν, Αθλητά Κωνσταντίνε τοίς αναγκάζουσι, σέ τής τού Χριστού, αποσπάν αγαπήσεως, καί ταίς τών Μαρτύρων, αγέλαις ηριθμήθης.

Ωσπερ άκακοι άρνες ομού θυόμενοι, πρός δυισίν Αθλοφόροι οι τεσσαράκοντα, πάθος τό σεπτόν, τού τυθέντος ως πρόβατον, χαίροντες μιμούνται, πολλή σύν παρρησία.

Θεοτοκίον

Νυμφοστόλιστος φανείς σοι θείος Αρχάγγελος, Χαίρε πύρινε θρόνε Θεού εβόα σοι, Άχραντε Αγνή, αθλοφόρων κραταίωμα, ομολογησάντων Θεόν σαρκί φανέντα.

Ωδή θ' Ο Ειρμός

«Θεόν ανθρώποις ιδείν αδύνατον, όν ου τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ Πάναγνε ωράθη βροτοίς, Λόγος σεσαρκωμένος, όν μεγαλύνοντες, σύν ταίς ουρανίαις Στρατιαίς, σέ μακαρίζομεν».

Ιδείν τόν Κύριον ηξιώθητε, στέφος υμίν δωρούμενον τής δόξης τό άφθαρτον, Κωνσταντίνε, Βασσώη, Θεόδωρε, Κάλλιστε γενναιόφρον, μάκαρ Θεόφιλε, άμα τοίς λοιποίς, υπέρ ημών αεί πρεσβεύσατε.

Ως φώς ως όρθρος ως μέγας Ήλιος, τών Αθλητών η μνήμη αναλάμψασα σήμερον, τών πιστών τάς ψυχάς κατελάμπρυνε, ταύτην επιτελούντες, τούτους αινέσωμεν, μέλεσιν αυτών, τόν Λυτρωτήν Χριστόν δοξάσαντας.

Στρατός Μαρτύρων θείος κατάλογος, αθλητικός δυσί πρός τεσσαράκοντα χάριτι, μυριάσιν Αγγέλων ηρίθμηται, λύσιν ημίν πταισμάτων, νύν εξαιτούμενος, μέτρω τής νηστείας, ημερών τών τεσσαράκοντα.

Η γή τό αίμα υμών εδέξατο, καί ποταμός τά σώματα ριφθέντα συνήνωσε, κεφαλαίς ταίς τμηθείσαις Πανόλβιοι, ύπερθεν φερομένης, θείας λαμπρότητος, καί προηγουμένης, εμφανώς δυνάμει κρείττονι.

Θεοτοκίον

Φωτός δοχείον θεοχαρίτωτε, φωτιστικαίς αυγαίς σου τήν καρδίαν μου φώτισον, ραθυμίας τά νέφη διώκουσα, καί τό τής αμαρτίας, σκότος εξαίρουσα, η τόν αναμάρτητον Θεόν αποκυήσασα.

Ει τύχοι εν Σαββάτω, λέγε τό εξαποστειλάριον, ει δέ ενάλλη ημέρα, τό Φωταγωγικόν τού τυχόντος ήχου.

Εξαποστειλάριον

Εν Πνεύματι τώ Ιερώ

Τετραδεκάριθμος χορός, συν δυσίν ομοψύχοις, ενήθλησε στερρότατα, μέχρι τέλους καί πάσας, τάς μηχανάς κατέβαλε, τού εχθρού καί πέφυκε, πρός ουρανίους σκηνώσεις, τό δέ στέφος τής νίκης, εκομίσατο φαιδρόν, εκ δεξιάς τού Υψίστου.

Θεοτοκίον

Ως έχουσα τό συμπαθές, καί τό έλεος μέγα, επίβλεψον πανύμνητε, Θεοτόκε Παρθένε, εις τήν εμήν ταπείνωσιν, καί παθών τόν θόρυβον, καί τών σκανδάλων τού βίου, διασκέδασον Κόρη, καί πυρός τής γεέννης, ρύσαί με σαίς πρεσβείαις.

Εις τόν Στίχον, τών Αίνων ψάλλομεντόεντώ Τριωδίω Ιδιόμελον τής ημέρας, καί τά λοιπά. Αι συνήθεις μετάνοιαι, η α' Ώρα, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Ζ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Ιερομαρτύρων, τών εν Χερσώνι επισκοπησάντων, Εφραίμ, Βασιλέως, Ευγενίου, Αγαθοδώρου, Καπίτωνος, Αιθερίου καί Ελπιδίου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Προσόμοια Στιχηρά τών Αγίων τρία.

Ήχος δ'

Έδωκας σημείωσιν

Μάρτυρες αήττητοι, καί Ιεράρχαι πανεύφημοι, καί φωστήρες παγκόσμιοι, στύλοι απερίτρεπτοι, θείας Εκκλησίας, καί βάσις δογμάτων, καί οδηγοί τών

ευσεβών, καί καθαιρέται πλάνης γεγόνατε, Πατέρες ουρανόφρονες, φωταγωγοί τών ψυχών ημών, τών Αγγέλων συνόμιλοι, τής Τριάδος υπέρμαχοι.

Εφραίμ ο αοίδιμος, καί Βασιλεύς ο θεόσοφος, καί Καπίτων ο μέγιστος, θείος Αγαθόδωρος, σύν τώ Ελπιδίω, καί τώ Αιθερίω, καί Ευγενίω τώ κλεινώ, λόγοις ενθέοις μακαριζέσθωσαν, οσίως γάρ βιώσαντες, καί ιερώς εναθλήσαντες, βασιλείας εδείχθησαν, ουρανίου οικήτορες.

Νεκρώσας τό φρόνημα, τό τής σαρκός αγωνίσματι, Βασιλεύς ο αοίδιμος, νεκρούς εξανέστησεν, έπικλήσει θεία, Καπίτων δέ πάλιν, ο Ιερώτατος ποιμήν, φλογός εν μέσω εστώς γηθόμενος, ωράθη ακατάφλεκτος, Αυτών πρεσβείαις Φιλάνθρωπε, ιλασμόν ημίν δώρησαι, καί τό μέγα σου έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Χαίροις ηλιόμορφε, Ηλίου άδυτον όχημα, η τόν Ήλιον λάμψασα, τόν απερινόητον, χαίρε νούς αστράπτων, θείαις φρυκτωρίαις, η λαμπηδων τής αστραπής, η διαυγάζουσα γής τά πέρατα, η όντως χρυσαυγίζουσα, η παγκαλής καί πανάμωμος, η τό φώς τό ανέσπερον, τοίς πιστοίς εξαστράψασα.

Η Σταυροθεοτοκίον

Σταυρούμενον βλέπουσα, Χριστόν η πάναγνος Δέσποινα, καί πλευράν ορυττόμενον, λόγχη η πανάμωμος, έκλαιε βοώσα, Τί τούτο Υιέ μου; τί σοι αχάριστος λαός, αποτιννύει ανθ' ών πεποίηκας, καλών αυτοίς καί σπεύδεις με, ατε κνωθή ναι παμφίλτατε, καταπλήττομαι εύσπλαγχνε, σήν εκούσιον σταύρωσιν.

Τά λοιπά τής τού Εσπερινού Ακολουθίας, κατά τήν τάξιν.

Απολυτίκιον τών Αγίων
Ήχος πλ. α'

Τά θαύματα τών αγίων σου Μαρτύρων, τείχος ακαταμάχητον ημίν δωρησάμενος, Χριστέ ο Θεός, Ταίς αυτών ικεσίαις βουλάς εθνών διασκέδασον, τής βασιλείας τά σκήπτρα κραταίωσον, ως μόνος αγαθός καί φιλάνθρωπος.

Α π ο λ υ σ ι ς

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν αναγινώσκονται οι Κανόνες τών Αγίων καί τού Τριωδίου κατά τήν τάξιν.

Ο Κανών τών Αγίων, ού η Ακροστιχίς.

Τόν επτάριθμον Ποιμένων χορόν σέβω. Ιωσήφ.

## Ωδή α'  Ο Ειρμός

«Θαλάσσης, τό ερυθραίον πέλαγος, αβρόχοις ίχνεσιν, ο παλαιός πεζεύσας Ισραήλ, σταυροτύποις Μωσέως χερσί, τού Αμαλήκ τήν δύναμιν, εν τή ερήμω ετροπώσατο».

Ταίς θείαις, φωτοχυσίαις Μάρτυρες, περιχεόμενοι, τήν φωτοφόρον ταύτην καί φαιδράν, εορτήν υμών πάντοτε, τούς ευσεβώς γεραίροντας, παθών αχλύος εκλυτρώσασθε.

Ο Λόγος, ο τού Θεού σαρκούμενος, ημάς ανέδειξε, πανευκλεείς Ποιμένας τήν αυτού, καταγγείλαι θεότητα, τοίς πλανωμένοις Όσιοι, καί αγνωσία κινδυνεύουσι.

Ναμάτων, ζωοποιών τού Πνεύματος, αποπληρούμενοι, τούς εκτακέντας καύσωνι δεινής, αθεΐας ηρδεύσατε, καί πρός τό ύδωρ, Ένδοξοι, τής σωτηρίας ωδηγήσατε.

### Θεοτοκίον

Ελύθη, τών προπατόρων Άχραντε, τό επιτίμιον, τή υπέρ νούν κυήσει σου Αγνή, καί τήν πρώτην απέλαβον, τού Παραδείσου είσοδον, μεγαλοφώνως ευφημούντές σε.

## Ωδή γ'  Ο Ειρμός

«Ευφραίνεται επί σοί η Εκκλησία σου Χριστέ κράζουσα, Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

Πυρί τώ θείω τόν νούν, πεπυρωμένος Βασιλεύ πάνσοφε, οία ποιμήν άριστος, ύλην αθεΐας ενέπρησας.

Τού Πνεύματος τώ εν φωτί, τους τώ σκότει τών δεινών Ένδοξοι, πρός φωτισμόν ειλκύσατε, τού Ιερωτάτου Βαπτίσματος.

Αι τρίβοι σου πρός Θεόν, κατευθυνθείσαι Βασιλεύ άπαντας, πλάνης οδού χάριτι, πρός θεογνωσίαν επέστρεψαν.

### Θεοτοκίον

Ρυόμενον τούς βροτούς τής δυναστείας τού εχθρού Πάναγνε, τόν δυνατόν Κύριον, άχραντε Παρθένε εκύησας.

## Κάθισμα  Ήχος γ'

### Τήν Ωραιότητα

Μύρω τής χάριτος ιερατεύσαντες, ποιμένες ώφθητε λαού θεόφρονος, καί ως αρνία καθαρά, τυθέντες προσηνέχθητε, Λόγω Αρχιποίμενι, τώ τυθέντι ως πρόβατον, Μάρτυρες Πανεύφημοι, καί φωστήρες παγκόσμιοι, διό πανηγυρίζομεν πάντες, πόθω τήν θείαν μνήμην υμών.

### Θεοτοκίον

Ως αγεώργητος Παρθένε άμπελος, τόν ωραιότατον βότρυν εβλάστησας, αναπηγάζοντα ημίν, τόν οίνον τόν σωτήριον, πάντων τόν ευφραίνοντα, τάς ψυχάς καί τά σώματα, όθεν ως αιτίαν σε, τών καλών μακαρίζοντες, αεί σύν τώ Αγγέλω βοώμέν σοι. Χαίρε η Κεχαριτωμένη.

Η Σταυροθεοτοκίον

Τόν επονείδιστον Οικτίρμον θάνατον, διά σταυρώσεως εκών υπέμεινας, όν η τεκούσά σε Χριστέ, ορώσα επιτρώσκετο, ής ταίς παρακλήσεσι, διά σπλάγχνα ελέους σου, μόνε υπεράγαθε, καί φιλάνθρωπε Κύριε, οικτείρησον καί σώσον τόν κόσμον, ο αίρων τήν τούτου αμαρτίαν.

Ωδή δ'  Ο Ειρμός

«Επαρθέντα σε ιδούσα η Εκκλησία, επί Σταυρού τόν Ήλιον, τής δικαιοσύνης, έστη έν τή τάξει αυτής, εικότως κραυγάζουσα, Δόξα τή δυνάμει σου Κύριε».

Ιερώτατος Μαρτύρων χορός υμνείσθω, Ιερωσύνης χάριτι, καί τής μαρτυρίας, καταγλαϊζόμενος, καί μέλπων γηθόμενος, Δόξα τή δυνάμει σου Κύριε.

Θεοφόροι κυβερνήται τής Εκκλησίας, Εφραίμ καί Αγαθόδωρος, Βασιλεύς Καπίτων, Ευγένιος, Ελπίδιος καί θείος Αιθέριος, Πνεύματι Αγίω εδείχθησαν.

Μεμυημένοι τά θεία θείοι Πατέρες, λαούς εν οσιότητι καί δικαιοσύνη, όντως εποιμάνατε, καί τέλος μακάριον, διά μαρτυρίου εδέξασθε.

Οι θανόντες απιστία τού τεθνηκότος, τή ανεγέρσει έτυχον ζωής, αιωνίου διά σού πιστεύσαντες, Χριστώ τώ Θεώ ημών, Μάρτυς Βασιλεύ ιερώτατε.

Θεοτοκίον

Νενεκρωμένους εζώωσας τούς ανθρώπους, Ζωήν τήν ενυπόστατον τεκούσα Παρθένε, υπέρ πάσαν έννοιαν, Χριστόν τόν Θεόν ημών, άνθρωπον δι' οίκτον γενόμενον.

Ωδή ε'  Ο Ειρμός

«Σύ Κύριέ μου φώς, εις τόν κόσμον ελήλυθας, φώς άγιον επιστρέφον, εκ ζοφώδους αγνοίας, τούς πίστει ανυμνούντάς σε».

Ποτήριον σεπτού, μαρτυρίου επίετε, τό όνομα Κυρίου, θεοφόροι Πατέρες, πιστώς επικαλούμενοι.

Ο μόνος τοίς νεκροίς, επιπνέων ανάστασιν, εντεύξει σου τόν θανόν τα, βασιλεύ ανεγείρει, λαμπρύνων σου τό κήρυγμα.

Ισότιμον Πατρί, τόν Υιόν καταγγέλλοντες, πολύθεον τυραννίδα, τής ειδωλομανίας, Πατέρες εμειώσατε.

Θεοτοκίον

Μακάριός εστιν, ο λαός ο γινώσκων σε, Πανάμωμε τού Δεσπότου, τών απάντων Μητέρα, καί πόθω μακαρίζων σε.

Ωδή ς'  Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αίνέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Επαίνοις, Αγαθόδωρόν τε καί Ευγένιον, καί Βασιλέα τόν μέγαν, καί σοφόν Ελπίδιον στέψωμεν, Ιεράρχας, καί γενναίους υπάρχοντας Μάρτυρας.

Νομίμοις, τεθραμμένοι τού Πνεύματος Πάνσοφοι, τοίς ανομούσι τούς νόμους, τούς σωτηριώδεις παρατιθέντες, ευσεβείας, πρός τό φέγγος αυτούς εφειλκύσατε.

Ώφθητε, διαφόρων εκ πόλεων θρέμματα, ενός Ποιμένες λαού δέ, καί τής θείας πόλεως κληρονόμοι, ήν οικούσιν, οι Θεόν θεραπεύοντες Μάρτυρες.

Θεοτοκίον

Νόμου σε, αι σκιαί Προφητών τε αινίγματα, προδιετύπουν Παρθένε, τήν αρρήτω λόγω κυοφορίαν, εσχηκυίαν, διασώζουσαν κόσμον πανάμωμε.

Tό Μαρτυρικόν τού τυχόντος ήχου.

Συναξάριον

Τή Ζ' τού αυτού μηνός, μνήμη τών Αγίων Ιερομαρτύρων, τών εν Χερσώνι επισκοπησάντων, Εφραίμ, Βασιλέως, Ευγενίου, Αγαθοδώρου, Ελπιδίου, Καπίτωνος καί Αιθερίου.

Στίχοι

- Μή τήν κεφαλήν τοίς αγάλμασι κλίνων,
- Εφραίμ αγάλλη, τή τομή ταύτην κλίνων.
- Συρείς Βασιλεύς χερσί δεισιδαιμόνων,
- Χείρας διασπά δεισιδαίμονος πλάνης.
- τριάς σύναθλος τού Προφήτου τόν λόγων,
- «Εις μάστιγας δέδωκα τόν νώτον», λέγει.
- Επήρε χείρας εις προσευχήν Καπίτων
- Καί πρός Θεόν μετήρεν εξάρας πόδας.
- Εκ τού Ποταμού πρός Θεόν χωρείς Πάτερ,
- Τόν εν ποταμώ σαρκικώς λελουμένον.
- Εβδομάτη πατέρας μόρος ήρπασεν επτά αριθμώ.

Τή αυτή ημέρα, Νέστωρ καί Αρκάδιος, επίσκοποι Τριμυθούντος, εν ειρήνη τελειούνται.

Στίχοι

- Τής Τριμυθούντος Ποιμένες καλοί δύο,
- Εν τή καλή σκιρτώσι τής Εδέμ πόα.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Παύλου τού Απλού.

Στίχοι

- Γήθεν μεταστάς πρός Θεόν Παύλος Λόγον,
- Τής απλότη ος πολλαπλά στέφη λάβοι.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ' Ο Ειρμός

«Εν τή καμίνω, Αβραμιαίοι παίδες τή Περσική, πόθω ευσεβείας μάλλον ή τή φλογί, πυρπολούμενοι εκραύγαζον, Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε».

Χαίρων εισήλθες Πάτερ Καπίτων, πρός τήν κάμινον, μένεις ού φλεχθείς δέ, Παίδες ώσπερ οι τρείς, τούς απίστους εξαιρούμενος, πυρός τού μέλλοντος, Πιστωθέντας τοίς θείοις σου θαύμασιν.

Ού δειλιάσας, ου φοβηθείς τό επίταγμα, Πάτερ Ιερέ Καπίτων, τήν ιεράν, αμπεχόνην Περιβέβλησαι, ταύτη τούς άνθρακας, τού πυρός επιφέρων μακάριε.

Ρύμην επέσχες, τής αγνωσίας θείοις λόγοις σου, γνώσιν ευσεσεβείας άπασιν επιτιθείς, τοίς εις βάθη ολισθήσασι, τής ματαιότητος, Ιερουργέ Καπίτων θεόληπτε.

Θεοτοκίον

Ο διαπλάσας, χειρί τήν Εύαν Λόγος Θεού, Κόρη, αναπλάσαι, άπαντας βουληθείς, εκ γαστρός σου διαπλάττεται, αρχήν δεχόμενος, ο τώ Πατρί καί Πνεύματι σύνθρονος.

Ωδή η' Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Νεκρούμενοι πόνοις τής σαρκός, ζωήν αθάνατον, προεξενήσατε, Πατέρες Όσιοι άπασι, τοίς νεκροίς θεοίς λατρεύουσι, οί καί σωθέντες σύν υμίν, αεί κραυγάζουσιν, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Συμφώνως Ευγένιον Πιστοί καί Αγαθόδωρον, Εφραίμ, Ελπίδιον, σύν Αιθερίωνι, μέλψωμεν Βασιλέα καί Καπίτωνα, ως καθαιρέτας τού εχθρού, καί Ιεράρχας Χριστού, ώ βοώμεν, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Ευφράνας λαούς Πάτερ σοφέ, τοίς σοίς διδάγμασι, νύν μεταβέβηκας, πρός τήν ανέσπερον έλλαμψιν, ευφροσύνην πρός αΐδιον, τών σών καμάτων αμοιβάς υποδεχόμενος, καί κραυγάζων, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Βότρυες τής αμπέλου τής ζωής, Μακαριώτατοι, νύν χρηματίζοντες, οίνον

εκβλύζετε, πάντοτε, ιαμάτων καί ευφραίνετε, πάντων καρδίας, τών πιστώς ανευφημούντων υμάς, καί βοώντων, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Θεοτοκίον

Ωράθη ως άνθρωπος εκ σού, αποτικτόμενος ο υπερούσιος, διπλούς ταίς φύσεσιν, Άχραντε, ενεργείαις καί θελήσεσιν, οίς ωμοιώθη βουληθείς, εμφανιζόμενος, ώ βοώμεν, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Ωδή θ'  Ο Ειρμός

«Λίθος αχειρότμητος όρους εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη Χριστός, συνάψας τάς διεστώσας φυσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Ιερομαρτύρων Αγίων τήν ιεράν τελούντες μνήμην, ύμνοις Ιεροίς δεύτε πάντες, μεγαλοφώνως αυτούς τιμήσωμεν, υπέρ ημών πρεσβεύοντας, τώ πανοικτίρμονι Θεώ ημών.

Ώφθητε ως τίμιοι λίθοι, επί τής γής από αθέων, Μάρτυρες συρόμενοι θείοι, καί τής απάτης τά οχυρώματα, σθένει Θεού συντρίβοντες, όθεν αξίως μακαρίζεσθε.

Σήμερον η πόλις Χερσώνος, υμών τήν μνήμην εορτάζει, ταύτης γάρ εδείχθητε πύργοι, καί θείοι στύλοι καί οχυρώματα, ποιμένες καί διδάσκαλοι, καί πρεσβευταί θεομακάριστοι.

Ήδη τοίς χοροίς τών Αγγέλων, χορός Πατέρων ηριθμήθη, Ευγένιος, Εφραίμ καί Καπίτων, Ελπίδιός τε καί ο Αιθέριος, καί Βασιλεύς ο ένδοξος, καί θεόφρον Αγαθόδωρος.

Θεοτοκίον

Φέρουσα Χριστόν εν αγκάλαις, χειρί τόν φέροντα τά πάντα, η Θεοχαρίτωτος Κόρη, εκπληττομένη εβόα λέγουσα, Πώς καί Υιόν γνωρίζω σε, καί Ποιητήν μου ακατάληπτε;

Τό Φωταγωγικόν τού τυχόντος Ήχου.

Εις τόν Στίχον τών Αίνων, τό έν τώ Τριωδίω Ιδιόμελον τής ημέρας, μετά τών επομένων αυτώ.

Η λοιπή Ακολουθία, η α' Ώρα, ως η συνήθεια, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Η' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Θεοφυλάκτου, Επισκόπου Νικομηδείας.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν τρία Στιχηρά Προσόμοια τού Αγίου.

Ήχος α'  Πανεύφημοι Μάρτυρες

Πάτερ Θεοφύλακτε Θεού, φυλακαίς φρουρούμενος, διεφυλάχθης αλώβητος, καί πύργος άσειστος, Εκκλησίας ώφθης, πειρασμοίς ακλόνητος, τοίς τών αιρετικών μηχανήμασι, καί νύν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην καί τό μέγα έλεος.

Πάτερ Θεοφύλακτε τής γής, μεταστάς ανέδραμες, πρός ουρανόν καί ουράνια, οικείν σκηνώματα, ηξιώθης μάκαρ, εξορίας ένεκεν, ήν διά τόν Χριστόν εκαρτέρησας, καί νύν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην καί τό μέγα έλεος.

Πάτερ Θεοφύλακτε Θεόν, νύν όρών μακάριε, ως εφικτόν καί Ορώμενος, ενώσει κρείττονι, απολαύων τούτου, καί θετώς θεούμενος, τό μόνον ορεκτόν καί μακάριον, χαίρων απέλαβες, Ιεράρχα παμμακάριστε, τοίς Αγγέλοις νύν συναυλιζόμενος.

Δόξα... Καί νύν... Θεοτοκίον

Νοσούσαν Πανύμνητε δεινώς, τήν ψυχήν μου πάθεσι, πονηροτάτοις θεράπευσον, η τόν ακέστορα, καί Σωτήρα πάντων, τόν Χριστόν κυήσασα, τόν πάσαν μαλακίαν ιώμενον, τόν τραυματίσαντα, διαβόλου τήν κακόνοιαν, καί θανάτου ημάς απαλλάξαντα.

Η Σταυροθεοτοκίον

Ρομφαία διήλθεν ώ Υιέ, η Παρθένος έλεγεν, επί τού ξύλου ως έβλεψε, Χριστόν κρεμάμενον, τήν εμήν καρδίαν, καί σπαράττει Δέσποτα, ως πάλαι Συμεών μοι προέφησεν, αλλά ανάστηθι, καί συνδόξασον αθάνατε, τήν Μητέρα καί δούλην σου δέομαι.

Εις τόν Στίχον, τό εν τώ Τριωδίω Ιδιόμελον καί τά λοιπά.

Απολυτίκιον, λεγόμενον ει ουκ έστι Τεσσαρακοστή.

Ήχος πλ. β'

Λαθών ετέχθης υπό τό σπήλαιον

Λαθών εβίωσας Παναοίδιμε, αλλ' ο Χριστός σε πάσιν ανέδειξεν, ως φωστήρα φθεγγόμενον, λυχνίαν επιθείς τήν νοητήν, καί πλάκας ενεχείρισε, δογμάτων τών τού Πνεύματος, δι' ών καταύγασον ημάς.

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν λέγονται οι Κανόνες κατά τήν τάξιν.

Ο Κανών τού Αγίου, ού η Ακροστιχίς.

Θείον Θεοφύλακτον εν ωδαίς ευφημήσω.
Ποίημα Θεοφάνους

Ωδη α'  Ήχος πλ. δ'
Ο Ειρμός
«Άσωμεν τώ Κυρίω, τώ διαγαγόντι τόν λαόν αυτού, εν Ερυθρά θαλάσση, ότι μόνος ενδόξως δεδόξασται».

Θρόνω τώ τού Δεσπότου, Πάτερ θεοφόρε Θεοφύλακτε, παριστάμενος πίστει, τούς τελούντας τήν μνήμην σου φύλαττε.

Εχρισέ σε αξίως, χάρις η τού Πνεύματος Πανόλβιε, ένεκεν αληθείας, καί τόν τρόπον σου χάριν χρηστότητος.

Ίνα τών ουρανίων, Μάκαρ επιτύχης τά επίγεια, κατεπάτησας πάντα, καί Χριστώ τώ Θεώ ηκολούθησας.

Θεοτοκίον
Όλος επιθυμία, ο εκ τής γαστρός σου Θεονύμφευτε, ευδοκήσας τεχθήναι, γλυκασμός τε καί φώς Αγνή άδυτον.

Ωδή γ'  Ο Ειρμός
«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Νόμοις σύ πειθόμενος, τοίς τού Δεσπότου σου ένδοξε, Αρχιερεύ, νόμων παρανόμων, βασιλέων ηλόγησας.

Θείον εξεικόνισμα, Χριστού καί άχραντον έσεβες, τάς τών ασεβούντων ασεβείας αρνούμενος.

Έτλης τό μαρτύριον, τής συνειδήσεως πρότερον, ασκητικώς, καί νύν τών Μαρτύρων, ανεδήσω τόν στέφανον.

Θεοτοκίον
Ίνα τρίβον Δέσποτα, πρός αγιότητα φέρουσαν, δείξης ημίν, μήτραν παναγίαν, παναγίως κατώκησας.

Κάθισμα  Ήχος πλ. δ'
Τήν Σοφίαν
Εξασκήσας οσίως Πάτερ σοφέ, Ιεράρχης εχρίσθης ιερουργείν, τά θεία μυστήρια, εις ψυχών περιποίησιν, τήν Χριστού δέ εικόνα, τιμήσας υπήνεγκας, εξορίας θλίψεις, καί χρόνιον κάθειρξιν, όθεν μετά τέλος, αναβλύζων ιάσεις, ιάσαι τούς κάμνοντας, καί φωτίζεις τούς ψάλλοντας, Ιεράρχα Θεοφύλακτε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς

εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Θεοτοκίον

Τού Ηλίου νεφέλη τού νοητού, θείου φέγγους λυχνία χρυσοφαής, άσπιλε, αμόλυντε, υπεράμωμε Δέσποινα, τήν σκοτεινήν ψυχήν μου, τυφλώττουσαν πάθεσι, τής απαθείας αίγλη καταύγασον δέομαι, καί μεμολυσμένην, τήν καρδίαν μου, πλύνον ροαίς κατανύξεως, μετανοίας τε δάκρυσι, ίνα πόθω κραυγάζω σοι, Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δοθήναί μοι, σέ γάρ έχω ελπίδα, ο ανάξιος δούλός σου.

Η Σταυροθεοτοκίον

Τόν Αμνόν καί Ποιμένα καί Λυτρωτήν, η Αμνάς θεωρούσα εν τώ Σταυρώ, ηλάλαζε δακρυουσα, καί πικρώς εκβοώσα, ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήν περ υπομένεις διά σπλάγχνα ελέους, Μακρόθυμε Κύριε, τού ελέους η άβυσσος, καί πηγή αγαθότητος, σπλαγχνίσθητι καί δώρησαι ούν, τών πταισμάτων άφεσιν τοίς δούλοις σου, τοίς ανυμνούσί σου πίστει, τά θεία παθήματα.

Ωδή δ'  Ο Ειρμός

«Εισακήκοα Κύριε, τής οικονομίας σου τό μυστήριον, κατενόησα τά έργα σου, καί εδόξασά σου τήν θεότητα».

Ού τό πύρ εδειλίασας, τό τών πειρασμών παμμάκαρ θεόπνευστε, ουκ εχαύνωσε τόν τόνον σου, τής τρυφής τό λείον Θεοφύλακτε.

Φυλακήν σου τώ στόματι, έθετο Χριστός καί χείλεσιν, Όσιε, όθεν έμεινας ασάλευτος, ασεβών συστάντων εναντίον σου.

Υπομένων υπέμεινας, τόν επί τήν πέτραν πόδας σου στήσαντα, καί προσέσχε σοι ο Ύψιστος, τήν αυτού εικόνα προσκυνήσαντι.

Θεοτοκίον

Λυτρωθέντες τώ τόκω σου, τού τής αμαρτίας χρέους πανάμωμε, χαριστήριον εφύμνιον, αναμέλπομέν σοι Θεονύμφευτε.

Ωδή ε'  Ο Ειρμός

«Ορθρίζοντες βοώμέν σοι Κύριε, σώσον ημάς, σύ γάρ εί Θεος ημών, εκτός σου άλλον ουκ οίδαμεν».

Αι χείρές σου οσίως θεόπνευστε, πρός τόν Θεόν, Πάτερ επαιρόμεναι, τούς δυσσεβείς ετροπώσαντο.

Κρατήσας τής χειρός σου ο Κύριος θεοφόρε, Πάτερ καθωδήγησε, πρός ουρανίαν απόλαυσιν.

Τήν τρίβον τήν στενήν Θεοφύλακτε, διαπερών, πρός πλάτος κατήντησας, τού Παραδείσου θεόπνευστε.

Θεοτοκίον

Οι μή σέ Θεοτόκον γινώσκοντες, Θεομήτορ, φώς ου μή θεάσωνται, τό γεννηθέν εκ σού πάναγνε.

Ωδή ς'  Ο Ειρμός

«Χιτώνά μοι παράσχου φωτεινόν, ο αναβαλλόμενος, φώς ως ιμάτιον, πολυέλεε Χριστέ ο Θεός ημών».

Νεκρώσας τάς αισθήσεις εγκρατώς, παθών εβασίλευσας, καί νύν Θεοφύλακτε, απαθείας εντρυφάς ταίς λαμπρότησιν.

Εικόνα τού Σωτήρος προσκυνείν, τούς πάντας εδίδαξας, έργοις καί δόγμασι, διαπρέψας εμφανώς Θεοφύλακτε.

Νεφέλην σε τόν όμβρον τής ζωής, ο Χριστός ανέδειξε, Πάτερ πηγάζουσαν, Ιεράρχα τού Χριστού Θεοφύλακτε.

Θεοτοκίον

Ωραίος παρά πάντας τούς βροτούς, ο Υιός σου Πάναγνε, κάλλει θεότητος, εί καί σάρκα δι' ημάς ανελάβετο.

Τό Μαρτυρικόν τού Ήχου.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Η' τού αυτού μηνός, μνήμη τού Οσίου Πατρος ημών καί Ομολογητού Θεοφυλάκτου Επισκόπου Νικομηδείας.

Στίχοι

- Καί σαρκός εξόριστος, ως καί πατρίδος,
- Θείος Θεοφύλακτος, ού Θεός φύλαξ.
- Ήλυθεν ογδοάτη Θεοφύλακτος Θεού άγχι.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Παύλου Πλουσιάδος τού Ομολογητού.

Στίχοι

- Σάλπιγξ σιωπά Παύλος ο Πλουσιάδος,
- Σάλπιγγος ηχήν τήν τελευταίαν μένων.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Αποστόλου Ερμού, ού μέμνηται ο Απόστολος Παύλος εν τή πρός Ρωμαίους επιστολή.

Στίχοι

- Ερμή θανόντι τώ μαθητή Κυρίου,
- Ερμώ ον έμπνουν εκ λόγων διαγλύφω.

Τή αυτή ημέρα, ο Αγιος Μάρτυς Δίων μαχαίρα τελειούται.

Στίχοι

- κάν δεξιά σφάττει σε δεινή τού πλάνου,
- Η δεξιά στέφει σε Δεσπότου Δίων.

Τή αυτή ημέρα, ο Όσιος Δομέτιος εν ειρήνη τελειούται.

Στίχοι

- Ο Δομέτιος τής τελευτής τό χρέος,
- Δι' εκβιβαστών εξέτιοεν Αγγέλων.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Παίδες Εβραίων εν καμίνω κατεπάτησαν τήν φλόγα θαρσαλέως, καί εις δρόσον τό πύρ, μετέβαλον βοώντες, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας».

Δρόμον τόν θείον εκτελέσσσσας, καί τήν πίστιν σου τηρήσας μέχρι τέλους, τών σών πόνων Σοφέ, τόν στέφανον εκτήσω, αναβοών μακάριε, ο Θεός ευλογητός εί.

Άρματι θείων αρετών σου, εποχούμενος πρός ύψος ανηνέχθης, τώ Θεώ δέ τανύν παρέστηκας κραυγάζων, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Ίδεν ο πλάσας κατά μόνας, τάς καρδίας τών ανθρώπων θεοφόρε, τής καρδίας τής σής, τό ένθεον καί θρόνοις, διδασκαλίας ίδρυσε, Θεοφύλακτε τρισμάκαρ.

Θεοτοκίον

Σοί νύν προσφεύγω Θεοτόκε, καί τή σκέπη σου καί θεία προστασία, λυτρωθήναι δεινών, δεόμενος πταισμάτων, ευλογημένη πάναγνε, η Θεόν σαρκί τεκούσα.

Ωδή η'  Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, τόν Δημιουργόν, καί Λυτρωτήν ανεβόα, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Ευφραινομένων ένθα νύν, κατοικία κατώκησας, Ομολογητά τής αληθείας πρόμαχε, καί φώς σοι ανέτειλεν, οία δικαίω πάνσοφε, καί τούς τών Μαρτύρων ηθληκότι αγώνας, μεθ' ών νύν ανακράζεις, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Υπομονής τόν στέφανον, εκομίσω θεόληπτε, τάς υπερορίας γάρ πικρώς κατώκησας, μισθόν εκδεχόμενος, απολαβείν τών άθλων σου, καί τής αγαθής ού διεψεύσθης ελπίδος, Χριστώ ανακραυγάζων, Ιερείς ευλογείτε, λαός

υπερυψούτε, εις πάντας τούς αιώνας.

Φωτοφανώς η μνήμη σου, θεοφόρε τελείται νύν, τής ομολογίας φωτισμού πυρσεύουσα, αγίαν εικόνα γάρ, τήν τού Χριστού ετίμησας, καί τής Θεοτόκου, τών Αγίων τε πάντων, μεθ' ών νύν αναμέλπεις, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Θεομήτωρ πάναγνε, τής ψυχής μου τά τραύματα καί τής αμαρτίας τάς ουλάς εξάλειψον, Θεόν η κυήσασα, τών επί πάντων Κόρη αγνή, εκ παρθενικής απειρογάμου νηδύος, όν Παίδες ευλογούσιν, Ιερείς ανυμνούσι, λαοί υπερυψούσιν, εις πάντας τούς αιώνας.

Ωδή θ' Ο Ειρμός

«Κυρίως Θεοτόκον, σέ ομολογούμεν, οι διά σού σεσωσμένοι Παρξένε αγνή, σύν Ασωμάτων χορείαις σέ μεγαλύνοντες».

Μεγάλων χαρισμάτων, όντως ηξιώθης, υπέρ Χριστού κινδυνεύσας φρονή ματι, καρτερικώ θεοφόρε θεομακάριστε.

Ημάς τούς σέ υμνούντας, Μάκαρ εποπτεύεις, εκ πειρασμών καί κινδύνων λυτρούμενος, καί τών αιρέσεων θραύων τά μηχανήματα.

Σωφρόνως καί δικαίως, ως Ιεροφάντωρ, πολιτευσάμενος Μάρτυς εγένου λαμπρός, την σήν πορφύραν υφάνας εκ τών αιμάτων σου.

Θεοτοκίον

Ως όρθρος τοίς εν σκότει, καί πεπλανημένοις, δικαιοσύνης τόν Ήλιον έχουσα, εν ταίς αγκάλαις Παρθένε Χριστόν ανέτειλας.

Τό Φωταγωγικόν τού ήχου.

Εις τόν Στίχον τών Αίνων, τό εν τώ Τριωδίω Ιδιόμελον καί τά επόμενα τούτω.

Η λοιπή τού Όρθρου Ακολουθία, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Θ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών αγίων μεγάλων Τεσσαράκοντα Μαρτύρων, τών εν τή λίμνη Σεβαστείας μαρτυρησάντων.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ι' καί ψάλλομεν τό Ιδιόμελον τής ημέρας δίς, καί τό Μαρτυρικόν. Είτα τά γ' Προσόμοια τού Τριωδίου, ειθ' ούτω τών Αγίων τά Ιδιόμελα, δευτερούντες τό πρώτον.

Ήχος β'  Ιωάννου Μοναχού

Φέροντες τά παρόντα γενναίως, χαίροντες τοίς ελπιζομένοις, πρός αλλήλους έλεγον οι Άγιοι Μάρτυρες, Μή γάρ ιμάτιον αποδυόμεθα; αλλά τόν παλαιόν άνθρωπον αποτιθέμεθα, Δριμύς ο χειμών, αλλά γλυκύς ο Παράδεισος, αλγεινή η πήξις, αλλά ηδεία η απόλαυσις, Μή ούν εκκλίνωμεν, ώ συστρατιώται, μικρόν υπομείνωμεν, ίνα τούς στεφάνους τής νίκης αναδησώμεθα, παρά Χριστού τού Θεού, καί Σωτήρος τών ψυχών ημών.

Τού αυτού

Ρίπτοντες περιβόλαια πάντα, βαίνοντες ατρόμως εις λίμνην, αλλήλους έλεγον οι Άγιοι πρός Μάρτυρες, Διά Παράδεισον, όν απωλέσαμεν, ιμάτιον φθαρτόν ισήμερον μή αντισχώμεθα, δι' όφιν ποτέ φθοροποιόν ενδυσάμενοι, εκδυσώμεθα νύν διά τήν πάντων ανάστασιν, καταφρονήσωμεν κρύους λυομένου, καί σάρκα μισήσωμεν, ίνα τούς στεφάνους τής νίκης αναδησώμεθα παρά Χριστού τού Θεού, καί Σωτήρος τών ψυχών ημών.

Τού αυτού

Βλέποντες ως τρυφάς τάς βασάνους, τρέχοντες πρός λίμνην κρυώδη, ως πρός θάλψιν, έλεγον οι Άγιοι Μάρτυρες, Μή υποπτήξωμεν ώραν χειμέριον, ίνα τήν φοβεράν γέενναν τού πυρός φύγωμεν, καυθήτω ο πούς, ίνα χορεύη αιώνια, η δέ χείρ ρυείτω, ίνα υψούται πρός Κύριον, καί μή φεισώμεθα φύσεως θνησκούσης, ελώμεθα θάνατον, ίνα τούς στεφάνους τής νίκης αναδυσώμεθα, παρά Χριστού τού Θεού, καί Σωτήρος τών ψυχών ημών.

Δόξα...

Φέροντες τά παρόντα γενναίως, χαίροντες τοίς ελπιζομένοις, πρός αλλήλους έλεγον οι Άγιοι Μάρτυρες, Μή γάρ ιμάτιον αποδυόμεθα; αλλά τόν παλαιόν άνθρωπον αποτιθέμεθα, Δριμύς ο χειμών, αλλά γλυκύς ο Παράδεισος, αλγεινή η πήξις, αλλά ηδεία η απόλαυσις, Μή ούν εκκλίνωμεν, ώ συστρατιώται, μικρόν υπομείνωμεν, ίνα τούς στεφάνους τής νίκης αναδησώμεθα, παρά Χριστού τού Θεού, καί Σωτήρος τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

Ότε εκ τού ξύλου σε Έργοις σκοτεινοίς συναπαχθείς, όλον απημαύρωσα κάλλος, τό τού Βαπτίσματος, θέλων ο πανάθλιος, καί περιβέβλημαι, στολισμόν κατακρίσεως, καί σκότους, διό σου, δέομαι Πανάμωμε, Τή δυναστεία σου, ρήξον τών παθών μου τά νέφη, καί τής αφθαρσίας με χλαίναν, ένδυσον γυμνώττοντα καί σώσόν με.

Κατά δέ τήν τυπικήν διάταξιν.

Δόξα... Ήχος πλ. β'

Εν ωδαίς ασμάτων όρα εις τόν Στίχον.

Καί νύν... Θεοτοκίον. Είσοδος κλπ. καί καθεξής η Θεία Λειτουργία.

Μή τελουμένης δέ τής Λειτουργίας.

Εις τόν Στίχον ψάλλομεν τό Ιδιόμελον τής ημέρας, δίς, καί τό Μαρτυρικόν.

Δόξα... Τών Αγίων
Ήχος πλ. β'

Εν ωδαίς ασμάτων ευφημήσωμεν πιστοί, τούς αθλοφόρους τεσσαράκοντα Μάρτυρας, καί πρός αυτούς μελωδικώς εκβοήσωμεν λέγοντες, Χαίρετε αθλοφόροι τού Χριστού, Ησύχιε, Μελίτων, Ηράκλειε Σμάραγδε καί Δόμνε, Ευνοϊκέ Ουάλη καί Βιβιανέ, Κλαύδιε καί Πρίσκε, Χαίρετε Θεόδουλε Ευτύχιε καί Ιωάννη, Ξανθία Ηλιανέ Σισίνιε, Κυρίων Αγγία, Αέτιε καί Φλάβιε, Χαίρετε Ακάκιε, Εκδίκιε, Λυσίμαχε, Αλέξανδρε, Ηλία καί Καύδιδε, Θεόφιλε Θείε Γάϊε καί Γορδομετιανέ, και γόνιε, Χαίρετε Ευτυχές καί Αθανάσιε, Κύριλλε καί Σαρκεδών, Νικόλαε καί Ουαλέριε, Φιλοκτήμον, Σεβηριανέ, Χουδίων καί Αγλάϊε, Ως έχοντες παρρησίαν πρός Χριστόν τόν Θεόν ημών, Μάρτυρες παναοίδιμοι, αυτόν εκτενώς πρεσβεύσατε, τού σωθήναι τούς εν πίστει εκτελούντας, τήν πανσέβαστον μωήμην υμών.

Θεοτοκίον  Ήχος πλ. β'

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής. Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Απολυτίκιον  Ήχος α'

Τάς αλγηδόνας τών Αγίων, άς υπέρ σού έπαθον, δυσωπήθητι, Κύριε, καί πάσας ήμών τάς οδύνας, ίασαι φιλάνθρωπε, δεόμεθα.

Καί τό, Θεοτόκε Παρθένε, καί τά λοιπά.

Αι γ' μεγάλαι μετάνοιαι, καί Απόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα  Ήχος δ'
Επεφάνης σήμερον

Τό σεπτόν στερέωμα, τής Εκκλησίας, ως αστέρες μέγιστοι, καταλαμπρύνετε αεί, καί τούς πιστούς καταγαύζετε, Μάρτυρες θείοι, Χριστού τεσσαράκοντα.

Δόξα... Καί νύν... Θεοτοκίον

Εν τή σκέπη πάναγνε, τή σή Παρθένε, προσφυγόντων δέησιν, προσδεξαμένη παρ' ημών, μή διαλίπης πρεσβεύουσα, πρός τόν Υιόν σου, σωθήναι τούς δούλους σου.

Μετά τήν β' Στιχσλογίαν

Κάθισμα  Ήχος δ'
Ο υψωθείς εν τώ Σταυρώ

Ανδρειοτάτω λογισμώ υπελθόντες, τήν μαρτυρίαν θαυμαστοί Αθλοφόροι, διά πυρός καί ύδατος διήλθετε, καί διεβιβάσθητε, σωτηρίας πρός πλάτος, κλήρον κομισάμενοι, ουρανών βασιλείαν, εν ή ποιείσθε τάς υπέρ ημών, θείας δεήσεις, σοφοί Τεσσαράκοντα.

Δόξα... καί νύν... Θεοτοκίον

Τού ευχαρίστως ανυμνείν εκ καρδίας, καί εξαιτείσθαι εκτενώς Θεοτόκε, τά σά ελέη δώρησαι τοίς δούλοις σου, κράζουσι καί λέγουσι, Παναγία Παρθένε, πρόφθασον καί λύτρωσαι, εξ εχθρών αοράτων, καί ορατών καί πάσης απειλής, σύ γάρ υπάρχεις, ημών η αντίληψις.

Μετά τόν Πολυέλεον

Κάθισμα  Ήχος πλ. α'
Τόν συνάναρχον Λόγον

Τών Αγίων Μαρτύρων τό εγκαλλώπισμα, η θεόστεπτος αύτη καί θεοσύλλεκτος, τών Τεσσαράκοντα πληθύς, ανευφημήσθωσαν νύν, διά κρυμού γάρ καί πρός, δοκιμασθέντες οι σοφοί, εδείχθησαν στρατιώται, Χριστού τού παμβασιλέως, καί πρεσβεύουσι τού σωθήναι ημάς.

Δόξα... Καί νύν... Θεοτοκίον

Τήν ταχείάν σου σκέπην, καί τήν βοήθειαν, καί τό έλεος δείξον επί τόν δούλόν σου, καί τά κύματα
Αγνή καταπράϋνον, τών ματαίων λογισμών, καί τήν πεσούσάν μου ψυχήν, ανάστησον Θεοτόκε, οίδα γάρ ότι Παρθένε, ισχύεις όσα καί βούλεσαι.

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί  Αντίφωνον Α'

- Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.
- Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον

Διήλθομεν διά πυρός καί ύδατος καί εξήγαγες ημάς εις αναψυχήν.
Στίχ. Επύρωσας ημάς, ως πυρούται τό αργύριον.

Ευαγγέλιον κατά Λουκάν

Είπεν ο Κύριος Προσέχετε από τών ανθρώπων.

Ο Ν'

Δόξα... Ταίς τών Αθλοφόρων...

Καί νύν... Ταίς τής Θεοτόκου...

Ήχος β'  Κυπριανού Μοναχού

Προφητικώς ανεβόα ο Δαυϊδ εν ψαλμοίς, Διήλθομεν διά πυρός καί ύδατος, καί εξήγαγες ημάς εις αναψυχήν, υμείς δέ Μάρτυρες Χριστού, δι' αυτών τών έργων τό λόγιον πληρούντες, διήλθετε διά πυρός τε καί ύδατος, καί εισήλθετε εις τήν βασιλείαν τών ουρανών, Διό Πρεσβεύσατε, τεσσαράκοντα όντες Αθληταί, δωρηθήναι ημίν τό μέγα έλεος.

Οι Κανόνες τών Αγίων εις ς' καί τά Τριώδια εις τήν τάξιν αυτών.

Ο Κανών τών Αγίων, ού η Ακροστιχίς, άνευ τών Ειρμών καί τών Θεοτοκίων.

Θεοστεφή φάλαγγα μέλπω Μαρτύρων.

Ποίημα Ιωάννου Μοναχού.

Ωδή α'  Ήχος β'

Ο Ειρμός

«Δεύτε λαοί, άσωμεν άσμα Χριστώ τώ Θεώ, τώ διελόντι θάλασσαν, καί οδηγήσαντι, τόν λαόν όν ανήκε, δουλείας Αιγυπτίων, ότι δεδόξασται».

Θεοστεφή, φάλαγγα μέλπω Μαρτύρων Χριστού, εν θεοπνεύστοις άσμασι, τών Τεσσαράκοντα, τήν ετήσιον μνήμην, φαιδρώς πανηγυρίζων, ότι δεδόξασται.

Επί τής γής, άπασαν απαρνησάμενοι προσηγορίαν είλοντο οι Τεσσαράκοντα, τήν Χριστώνυμον κλήσιν, δι' ής εν τοίς υψίστοις, νύν πολιτεύονται.

Οι εν Χριστώ, σάρκα καί Κόσμον μισήσαντες, τόν παλαιόν μέν άνθρωπον συνεξεδύσασθε, τή προσκαίρω εσθήτι, στολήν δέ αφθαρσίας περιεβάλεσθε.

Θεοτοκίον

Τίς εξειπείν, σού κατ' αξίαν δυνήσεται, τήν υπέρ λόγον σύλληψιν, Θεόν γάρ τέτοκας, εν σαρκί Παναγία, ημίν επιφανέντα Σωτήρα πάντων ημών.

Ωδή γ'  Ο Ειρμός

«Στερέωσον ημάς εν σοί Κύριε, ο ξύλω νεκρώσας τήν αμαρτίαν, καί τόν φόβον σου εμφύτευσον εις τάς καρδίας ημών, τών υμνούντων σε».

Στρατείας καί ζωής καί ωραιότητος, σωμάτων καί όλβου ηλογηκότες, ευκλεώς οι Τεσσαράκοντα, τόν Χριστόν αντί πάντων εκληρώσαντο.

Τοίς λίθοις αφειδώς οι Τεσσαράκοντα, προστάξει βαλλόμενοι τών τυράννων, τάς βολάς διά τού Πνεύματος, κατά τών προσταττόντων απεκρούσαντο.

Ελάλει κατά τών τυράννων χείλεσιν, ο όφις τού Κτίσαντος βλασφημίας, αλλ' αυτού τό θεομάχον στόμα, τοίς κατά τών Μαρτύρων λίθοις θλάττεται.

Θεοτοκίον

Τού άνθρακος χρυσούν θυμιατήριον, τού θείου ανύμφευτε γενομένη, τό δυσώδες τής καρδίας μου, ευωδίασον μόνη Αειπάρθενε.

Κάθισμα Ήχος πλ. δ'

Τήν Σοφίαν

Τώ Χριστώ στρατευθέντες μαρτυρικώς, τόν εχθρόν καθελόντες αθλητικώς, έργοις εκπληρώσαντες, τού Προφήτου τά ρήματα, διά πυρός γάρ καί ύδατος, γενναίως διήλθετε, αναψυχήν ευράμενοι, ζωήν τήν αιώνιον, όθεν καί στ εφάνους ουρανόθεν λαβόντες, χοροίς συνευφραίνεσθε, Ασωμάτων δυνάμεων, Αθλοφόροι πανεύφημοι, πρεσβεύσατε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην υμών.

Θεοτοκίον

Ενθυμούμαι τήν κρίσιν καί δειλιώ, τήν εξέτασιν τρέμω τήν φοβεράν, φρίττω τήν απόφασιν, καί πτοούμαι τήν κόλασιν, τήν τού πυρός οδύνην, τό σκότος τόν τάρταρον, τόν βρυγμόν τών οδόντων, τόν άϋπνον σκώληκα, Οίμοι! τί ποιήσω, όταν τίθωνται θρόνοι, καί βίβλοι ανοίγωνται, καί αι πράξεις ελέγχωνται, καί κρυπτά δημοσιεύωνται! Τότε Δέσποινα βοήθειά μοι γενού, καί προστάτις θερμότατος, σέ γάρ έχω ελπίδα, ο αχρείος οικέτης σου.

Ωδή δ' Ο Ειρμός

«Εισακήκοα Κύριε, τήν ακοήν τής σής οικονομίας, καί εδόξασά σε, μόνε φιλάνθρωπε».

Φρενοβλαβείτε έλεγον, οί Αθληταί τήν πρόξενον ζημίας, δωρεάν προτείνοντες, αθεώτατοι.

Ηκονημένα ξίφει τε, θήρας καί πύρ, σταυρόν τε τοίς Αγίοις, οι Χριστού διώκται επανετείνοντο.

Φοβερόν ημίν έλεγον, οι Αθληταί τό πύρ τής γεέννης, τό δέ νύν, ως σύνδουλον, ου πτοούμεθα.

Απαστράπτοντες Ένδοξοι, τή νοερά Χριστού φωταγωγία, πρός ακτίνα θείαν με οδηγήσατε.

Θεοτοκίον

Δυσωπούμέν σε' Άχραντε, τήν τόν Θεόν ασπόρως συλλαβούσαν, τού αεί πρεσβευειν υπέρ τών δούλων σου.

Ωδή ε' Ο Ειρμός

«Ο τού φωτός χορηγός, καί τών αιώνων Ποιητής Κύριος, εν τώ φωτί τών σών προσταγμάτων οδήγησον ημάς, εκτός σου γάρ άλλον, Θεόν ου γινώσκομεν».

Λύσση παράφρονι, τών διωκτών οι Αθληταί αίθριοι, εν τώ κρυμώ διανυκτερεύειν καταδικασθέντες, ανέμελπον ύμνον, Θεώ χαριστήριον.

Αγαλλιώμενοι, οι Τεσσαράκοντα Χριστού Μάρτυρες, τήν αλγεινήν υπέμειναν πήξιν εν λίμνη εστώτες, ελπίδι τών θείων στεφάνων νευρούμενοι.

Γέλως προτίθεται, τοίς Τεσσαράκοντα Χριστού Μάρτυσιν, αποπνιγείς ο πρίν εμφωλεύων, τοίς ύδασιν όφις, τήν ολεθροτόκον ισχύν γάρ αφήρηται.

Θεοτοκίον

Σοί τή Τεκούση Χριστόν, τόν τού παντός Δημιουργόν κράζομεν, Χαίρε Αγνή, χαίρε η τό φώς ανατείλασα ημίν, χαίρε η χωρήσασα, Θεόν τόν αχώρητον.

Ωδή ς' Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, Εκ φθοράς ο Θεός με ανάγαγε».

Γεγηθως ο αρχέκακος ήρπασεν, ως τής δωδεκάδος Ιούδαν τόν δείλαιον, καί τής Εδέμ τόν άνθρωπον, τής τεσσαρακοντάδος τόν έκπτωτον.

Αναιδής ων δικαίως φρυάττεται, οία γάρ Ληστή, καί Ματθία τό πρότερον, ούτω καί νύν ο τύραννος, τού φρουρούντος τή κλήσει σπαράττεται.

Ματαιόφρων καί θρήνων επάξιος, ός τις τών ζωών αμφοτέρων διήμαρτε, διά πυρός γάρ λέλυται, καί πρός πύρ εξεδήμησεν άσβεστον.

Θεοτοκίον

Απειράνδρως Παρθένε εκύησας, καί διαιωνίζεις Παρθένος εμφαίνουσα, τής αληθούς θεότητος, τού Υιού καί Θεού σου τά σύμβολα.

Κοντάκιον Ήχος πλ. β'

Τήν υπέρ ημών

Πάσαν στρατιαν τού κόσμου καταλιπόντες, τώ εν ουρανοίς Δεσπότη προσεκολλήθητε, Αθλοφόροι Κυρίου Τεσσαράκοντα, διά πυρός γάρ καί ύδατος, διελθόντες μακάριοι, επαξίως εκομίσασθε, δόξαν εκ τών ουρανών, καί στεφάνων πληθυν.

Ο Οίκος

Τώ εν θρόνω αστέκτω εποχουμένω, τώ εκτείναντι τόν αυρανόν καθάπερ δέρριν, τώ τήν γήν εδράσαντι, καί συνάξαντι τά ύδατα εις τάς συναγωγάς αυτών, τώ τά πάντα εκ μή όντων ποιήσαντι υπάρχειν, καί πάσι χορηγούντι πνοήν καί ζωήν, τώ προσδεχομένω τών Αρχαγγέλων τόν ύμνον, καί υπ' αγγέλων δοξαζομένω, καί υπό πάντων προσκυνουμένω, Χριστώ τώ παντοκράτορι, τώ Πλάστη καί Θεώ ημών, προσπίπτω ο ανάξιος προσάγων

μου τήν δέησιν, λόγου χάριν αιτών, ίνα ισχύσω ευσεβώς υμνήσαι καγω τούς Αγίους, ούς αυτός έδειξας νικητάς, δωρησάμενος αυτοίς δόξαν εκ τών ουρανών, καί στεφάνων πληθύν.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή θ' τού αυτού μηνός, Μνήμη τών Αγίων μεγάλων Τεσσαράκοντα Μαρτύρων, τών εν Σεβαστεία τή πόλει μαρτυρησάντων.

Στίχοι

- Πληρούμεν υστέρημα σού, Σώτερ, πάθους,
- Τεσσαράκοντα, συντριβέντες τά σκέλη.
- Αμφ' ενάτη εάγη σκέλη ανδρών τεσσαράκοντα.

Τή αυτή ημέρα, μνήμη τού Αγίου Μάρτυρος Ουρπασιανού.

Στίχοι

- Ο κλωβός άρμα πυρός, αι δ' αύ λαμπάδες,
- Ουρπασιανέ, σοί τέθριππος ανόδου.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Καισαρίου, αδελφού τού Αγίου Γρηγορίου τού θεολόγου.

Στίχοι

- Ο Γρηγορίου πρός νεκρόν Καισαρίου,
- Γλώττης χαλινοί τής εμής λόγους λόγος.

Τή αυτή ημέρα οι Άγιοι Μάρτυρες, Πάππος, Μάμμη, Πατήρ, Μήτηρ, καί δύο τέκνα, ξίφη τελειούνται.

Στίχοι

- Διά ξίφους ήθλησε συγγενές γένος,
- Η παππόμμαμος πατρομητροτεκνία.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός ελέησον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Εικόνος χρυσής, εν πεδίω Δεηρά λατρευομένης, οι τρείς σου Παίδες Κατεφρόνησαν, αθεωτάτου, προστάγματος, μέσον δέ πυρός εμβληθέντες, δροσιζόμενοι έψαλλον, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών».

Εξέστη ορών, τούς στεφάνους ο φρουρός τών Τεσσαράκοντα, καί παρωσάμενος τό φιλόζωον, ανεπτερώθη τώ έρωτι, τής επιφανείσης σου δόξης, καί σύν τοίς Μάρτυσιν έψαλλεν, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Λουτρώ προσδραμών, ψυχοφθόρω θανατούται ο φιλόζωος, ο δέ φιλόχριστος άρπαξ άριστος, τών θεαθέντων γενόμενος, ώσπερ εν λουτρώ αφθαρσίας, σύν τοίς Μάρτυσιν έψαλλεν, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Πυρός νοητού, αναφθέντος εν φρεσί τών Τεσσαράκοντα, η πολυμήχανος κατεφλέγετο, τών ασεβούντων απόνοια, ώσπέρ τις κηρός τηκομένη, σοί δέ Χριστέ ανεμέλπετο, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Ως λίαν φαιδρά, ευπρεπής τε τού Σταυρού Χριστέ η δύναμις, δι' εναντίων στέφη πλέκουσα, τοίς τεσσαράκοντα Μάρτυσιν, ύδωρ γάρ καί πύρ διελθόντες, εν αφθαρσία κραυγάζουσιν, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Σέ βάτον Μωσής, εν τώ όρει τώ Σινά πυρπολουμένην, Αγνή προεθεώρει τήν ενέγκασαν, ακαταφλέκτως τήν άστεκτον, αίγλην τής αρρήτου ουσίας, ενωθείσης παχύτητι, σαρκός μιάς τών εν αυτή, Αγίων υποστάσεων.

Ωδή η'  Ο Ειρμός

«Τόν εν καμίνω τού πυρός, τών Εβραίων τοίς Παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον μεταβαλόντα Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Μανιωδώς τοίς Αθληταίς, εποτρύνας ο εχθρός άπασαν κτίσιν, διά πάσης ησχύνθη, οι Τεσσαράκοντα γάρ απαύστως, Υμνείτε κραυγάζουσι, καί υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ανηλεώς υπέρ Χριστού, τά τού σώματος υμών μέλη θλασθέντες, ολοκαύτωμα θείον προσενεχθέντες Θεώ, αγγέλων χοροίς συναγάλλεσθε, Μάρτυρες υμνούντες, Χριστόν εις τούς αιώνας.

Ρωμαλεότητι φρενών, όν εκύησεν επ' ώμων αραμένη, η φιλόθεος μήτηρ, τής ευσεβείας καρπόν, προσάγει σύν Μάρτυσι Μάρτυρα, τήν ιερουργίαν, Αβραάμ μιμουμένη.

Τήν πρός τήν άληκτον ζωήν, ευθυδρόμως, ώ υιέ, στέλλου πορείαν, η φιλόχριστος μήτηρ, τώ φιλοχρίστω παιδί, εβόα, Ού φέρω σε δεύτερον, τώ αγωνοθέτη, Θεώ εμφανισθήναι.

Τριαδικόν

Τήν ως ηλίοις εν τρισίν, ενιαίαν ευσεβώς φύσιν νοούντες, εχομένοις αλλήλων, τό τρισυπόστατον Φώς, υμνούμεν τά έργα ως Κύριον καί υπερυψούμεν, εις πάντας τους αιώνας.

Θεοτοκίον

Νεύσον δεήσεσιν ημών, τών σών δούλων αγαθή Θεοκυήτορ, καί δεινών τάς εφόδους, καί πειρασμών προσβολάς, ταχέως κατάπαυσον Δέσποινα, ίνα σε τιμώμεν, υπερευλογη μένη.

Ωδή θ'  Ο Ειρμός

«Τόν εκ Θεού Θεόν Λόγον, τόν αρρήτω σοφία ήκοντα, καινουργήσαι τόν

Αδάμ, βρώσει φθορά πεπτωκότα δεινώς, εξ αγίας Παοθένου, αφράστως σαρκωθέντα δι' ημάς, οι πιστοί ομοφρόνως, εν ύμνοις μεγαλύνομεν».

Υπέρ Χριστού γυμνωθέντες, καί τοίς λίθοις βληθέντες, αέρος υπεμείνατε κρυμόν, ύδατος πήξιν, καί θλάσιν μελών, καί πυρί φλογισθέντες, εν ποταμίω λάμπετε ροϊ, τηλαυγείς ως φωστήρες, Μάρτυρες τεσσαράκοντα.

Ράβδον δυνάμεως θείας, τόν Σταυρόν κεκτημένοι, εβόων τώ Χριστώ οι Αθληταί, οι τεσσαράκοντα, Δέσποτα πανσθενεί τροπαιούχω, τή σή στεφανωθείημεν χειρί, ίνα πάντες σε ύμνοις, απαύστως μεγαλύνωμεν.

Ως αλγεινή μέν η πήξις, ως δέ λίαν εκτόπως, δριμύς όν υπεμείνατε κρυμόν, αλλά γλυκύς ο Παράδεισος, Αβραάμ γάρ οι κόλποι, τού Πατριάρχου θάλπουσιν υμάς, εν σκηναίς αιωνίοις, Μάρτυρες τεσσαράκοντα.

Νενικηκότες τοίς άθλοις, καί τή τρισυποστάτω Τριάδι, παρεστώτες, Αθληταί, νύν δωρηθήναι Πρεσβεύσατε, τήν ειρήνην τώ κόσμω, νίκας τώ φιλοχρίστω Βασιλεί, καί ημίν σωτηρίαν, Μάρτυρες τεσσαράκοντα.

Θεοτοκίον

Χαίρε πηγή αφθαρσίας, χαίρε κούφη νεφέλη, χαίρε τερπνέ Παραδεισε Θεού, χαίρε πηγή ιαμάτων ψυχών, χαίρε άγιον όρος, ο είδεν ο Προφήτης Δανιήλ, χαίρε Μήτηρ Παρθένε, χαίρε η πάντων Άνασσα.

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Χορός τετραδεκάριθμος, Μαρτύρων Τεσσαράκοντα, τής υπερθέου Τριάδος, τών αρετών τετρακτΰϊ, πυρός αέρος ύδατος, καί γής στοιχείων τετράδος, άσμασι θείοις υμνείσθω, υπέρ Χριστού ως αθλήσας, τού τών απάντων Δεσπότου.

Θεοτοκίον

Χαίρε κατάρας λύτρωσις, καί τού Αδάμ ανάκλησις, χαίρε Αγνή Θεοτόκε, ελπίς καί σκέπη τού κόσμου, χαίρε σεμνή μητρόθεε, χαίρε τό θείον όχημα, χαίρε η κλίμαξ καί πύλη, χαίρε κούφη νεφέλη, χαίρε τής Εύας η λύσις.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ'. Ει βούλει δέ, ψάλλε τά Ιδιόμελα τών Αγίων, καί ποίησον Στίχους έξ.

Στιχηρά Προσόμοια

Ήχος πλ. α'

Χαίροις ασκητικών

Δεύτε μαρτυρικήν Αδελφοί, μετ' εγκωμίων ανυμνήσωμεν φάλαγγα, τώ κρύει πυρποληθείσαν, καί τόν τής πλάνης κρυμόν, διαπύρω ζήλω πυρπολήσασαν, στρατόν γενναιότατον, ιερώτατον σύνταγμα, συνασπισμόν τε, αρραγή καί ανίκητον, τούς τής πίστεως, περιβόλους καί φύλακας, Μάρτυρας

τεσσαράκοντα, χορείαν τήν ένθεον, τής εκκλησίας τούς πρέσβεις, τούς δυνατώς ικετεύοντας, Χριστόν καταπέμψαι, ταίς ψυχαίς ήμών ειρήνην, καί μέγα έλεος.

Χαίροις συναγωγή κραταιά, καί Ιερά καί τροπαιούχος παράταξις, οι πύργοι τής ευσεβείας, οι στρατιώται Χριστού, οι στερροί οπλίται καί αήττητοι, τόν νούν ευτονώτατοι, καί ψυχήν ανδρειότατοι, τώ όντι θείοι, καί Θεώ ποθεινότατοι, χορός Άγιος καί θεόλεκτον σύστημα, Μάρτυρες τεσσαράκοντα, οι ίσοι τήν άθλησιν, ίσοι τήν γνώμην καί ίσους, καί τούς στεφάνους δεξάμενοι, Χριστόν δυσωπείτε, ταίς ψυχαίς ημών δοθήναι, τό μέγα έλεος.

Χαίροις τροπαιοφόρος πληθύς, η εν πολέμοις ανδρικώς αριστεύσασα, αστέρες οι διελθόντες, διά πυρός καί κρυμού, καί υδάτων πήξιν διαλύσαντες, οι γήν ουρανώσαντες, καί τά πάντα φωτίσαντες, οι εν τοίς κόλποις, Αβραάμ νύν θαλπόμενοι, οι χορεύοντες, σύν Αγγέλων στρατεύμασι, Μάρτυρες τεσσαράκοντα, τά άνθη τά πνέοντα, τήν ευωδίαν τής όντως, πνευματικής διαδόσεως, Χριστόν δυσωπείτε, ταίς ψυχαίς ημών δοθήναι, τό μέγα έλεος.

Τά Ιδιόμελα  Ήχος α'

Χορός τετραδεκαπύρσευτος, στρατός όλος θεοσύλλεκτος, συνεξέλαμψε τή νηστεία άθλοις σεπτοίς, αγιάζων καί φωτίζων τάς ψυχάς ημών.

Έτερον  Ήχος β'

Τήν τετραδεκάριθμον χορείαν τών Μαρτύρων, τίς μή ανυμνήσει; τώ γάρ ύδατι τής λίμνης εισήλθον θαρσαλέως, καί τώ κρύει σφιγγόμενοι, τήν ωδήν ανέμελπον τώ Κυρίω, Μή εν ποταμοίς οργισθής ημίν Κύριε, μή εν ποταμοίς οργισθής ημίν φιλάνθρωπε, ελάφρυνον τό βάρος, καί τήν πικρότητα τού αέρος, τώ οικείω γάρ αίματι, εβάφησαν ημών οι πόδες, καί εισήγαγες ημάς ο Θεός εις τάς αιωνίους σου σκηνάς, ίνα ο κόλπος ημάς θάλψη του Πατριάρχου Αβραάμ.

Έτερον, ο αυτός

Αληθείας κρατήρα, εξ οικείων αιμάτων, τώ πυρί τών βασάνων, καί τή τού ύδατος πήξει, τοίς πιστοίς κατήρδευσαν, τετραρίθμω γάρ άδοντες, δεκάδι τώ Σωτήρι, εις μέν όντες τοίς πνεύμασιν, εν σώματι δέ πλείους, προσηνέχθησαν Χριστώ, καί Θεόνυμφος Μήτηρ τώ φιλοχρίστω παιδί, επ' ώμων αραμένη έλεγε, Δεύρο Αθλητά, καί συναγωνίζου τοίς προλοίποις.

Δόξα...  Ήχος πλ. α'

Ιωάννου Μοναχού

Αθλοφόροι Χριστού, τήν πάνσεπτον νηστείαν φαιδροτέραν απειργάσασθε, τή μνήμη τής ενδόξου υμών αθλήσεως, Τεσσαράκοντα γάρ όντες, τήν τεσσαρακονθήμερον αγιάζετε, τό σωτήριον πάθος μιμησάμενοι, διά τής υπέρ Χριστού υμών αθλήσεως, Διό έχοντες παρρησίαν πρεσβεύσατε, εν ειρήνη καταντήσαι ημάς, εις τήν τριήμερον Ανάστασιν τού Θεού, καί Σωτήρος τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καί δοξάζομέν σε, οι πιστοί κατά χρέος, τήν πόλιν τήν άσειστον, τό τείχος τό άρρηκτον, τήν αραγή προστασίαν, καί

καταφυγήν τών ψυχών ημών.

Δοξολογία Μεγάλη

Η πρώτη Ώρα, καί αι λοιπαί εφεξής, εν αίς λέγομεν Απολυτίκιον καί Κοντάκιον τών Αγίων, ποιούντες καί τάς τρείς μεγάλας Μετανοίας.

Εάν δέ μή ψάλληται Δοξολογία.

Εις τόν Στίχον, τό Ιδιόμελον τής ημέρας δίς, καί τό Μαρτυρικόν.

Δόξα... τών Αγίων
Ήχος β'
Τήν λίμνην ως Παράδεισον, καί τό κρύος ως καύσωνα, οι Μάρτυρες ηγήσαντο, Χριστέ ο Θεός, ουκ έπτηξαν τόν λογισμόν αι τών τυράννων απειλαί, ουκ εδειλίασαν οι γενναίοι τών βασάνων τάς προσβολάς, όπλον θείον κεκτημένοι τόν Σταυρόν, δι' αυτού γάρ τόν εχθρόν, ως κραταιοί ετροπώσαντο, όθεν καί τόν στέφανον εκομίσαντο τής χάριτος.
Καί νύν... Θεοτοκίον
Αδιόδευτε πύλη μυστικώς εσφραγισμένη, ευλογημένη Θεοτόκε Παρθένε, δέξαι τάς δεήσεις ημών, καί προσάγαγε τώ Υιώ σου καί Θεώ, ίνα σώση διά σού τάς ψυχάς ημών.

Είτα, Αγαθόν τό εξομολογείσθαι.

Καί η λοιπή, Ακολουθία, αί γ' μεγάλαι Μετάνοιαι, καί η α' Ώρα καί Απόλυσις.

ΕΝ ΔΕ ΤΩ ΕΣΠΕΡΙΝΩ

Μετά τήν συνήθη Στιχολογίαν.

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ι' καί ψάλλομεν τό Ιδιόμελον τής ημέρας δίς, τό Μαρτυρικόν, τά γ' Προσόμοια τού Τριωδίου, καί τών Αγίων δ'. Δευτερούντες τό α'.

Ήχος β' Ιωάννου Μοναχού
Φέροντες τά παρόντα γενναίως, χαίροντες τοίς ελπιζομένοις, πρός αλλήλους έλεγον οι Άγιοι Μάρτυρες, Μή γάρ ιμάτιον αποδυόμεθα; αλλά τόν παλαιόν άνθρωπον αποτιθέμεθα, Δριμύς ο χειμών, αλλά γλυκύς ο Παράδεισος, αλγεινή η πήξις, αλλά ηδεία η απόλαυσις, Μή ούν εκκλίνωμεν, ώ συστρατιώται, μικρόν υπομείνωμεν, ίνα τούς στεφάνους τής νίκης αναδησώμεθα, παρά Χριστού τού Θεού, καί Σωτήρος τών ψυχών ημών.
Τού αυτού
Ρίπτοντες περιβόλαια πάντα, βαίνοντες ατρόμως εις λίμνην, αλλήλους έλεγον

οι Άγιοι πρός Μάρτυρες, Διά Παράδεισον, όν απωλέσαμεν, ιμάτιον φθαρτόν ισήμερον μή αντισχώμεθα, δι' όφιν ποτέ φθοροποιόν ενδυσάμενοι, εκδυσώμεθα νύν διά τήν πάντων ανάστασιν, καταφρονήσωμεν κρύους λυομένου, καί σάρκα μισήσωμεν, ίνα τούς στεφάνους τής νίκης αναδησώμεθα παρά Χριστού τού Θεού, καί Σωτήρος τών ψυχών ημών.

Τού αυτού

Βλέποντες ως τρυφάς τάς βασάνους, τρέχοντες πρός λίμνην κρυώδη, ως πρός θάλψιν, έλεγον οι Άγιοι Μάρτυρες, Μή υποπτήξωμεν ώραν χειμέριον, ίνα τήν φοβεράν γέενναν τού πυρός φύγωμεν, καυθήτω ο πούς, ίνα χορεύη αιώνια, η δέ χείρ ρυείτω, ίνα υψούται πρός Κύριον, καί μή φεισώμεθα φύσεως θνησκούσης, ελώμεθα θάνατον, ίνα τούς στεφάνους τής νίκης αναδυσώμεθα, παρά Χριστού τού Θεού, καί Σωτήρος τών ψυχών ημών.

Δόξα... Ήχος β'

Κυπριανού Μοναχού

Προφητικώς ανεβόα ο Δαυϊδ εν ψαλμοίς, Διήλθομεν διά πυρός καί ύδατος, καί εξήγαγες ημάς εις αναψυχήν, υμείς δέ Μάρτυρες Χριστού, δι' αυτών τών έργων τό λόγιον πληρούντες, διήλθετε διά πυρός τε καί ύδατος, καί εισήλθετε εις τήν βασιλείαν τών ουρανών, Διό Πρεσβεύσατε, τεσσαράκοντα όντες Αθληταί, δωρηθήναι ημίν τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Τήν πάσαν ελπίδα μου εις σέ ανατίθημι, Μήτερ τού Θεού, φύλαξόν με υπό τήν σκέπην σου.

Είσοδος μετά τού Ευαγγελίου.

Τό, Φώς ιλαρόν, τό Προκείμενον τής ημέρας καί τά Αναγνώσματα.

Μετά δέ τήν συμπλήρωσιν τών Αναγνωσμάτων, τό, Κατευθυνθήτω.

Προκείμενον τού Αποστόλου

Σύ Κύριε φυλάξαις ημάς, καί διατηρήσαις ημάς.
Στίχ. Σώσόν με, Κύριε, ότι εκλέλοιπεν όσιος.

Ο Απόστολος πρός Εβραίους

Αδελφοί τοσούτον έχοντες περικείμενον...

Αλληλούϊα Ήχος β'

Διήλθομεν διά πυρός καί ύδατος καί εξήγαγες ημάς εις αναψυχήν.

Ευαγγέλιον Εκ τού κατά Ματθαίον

Είπεν ο Κύριος τήν παραβολήν ταύτην, Ωμοιώθη ή βασιλεία τών ουρανών ανθρώπω οικοδεσπότη... Πολλοί γάρ εισι κλητοί, ολίγοι δέ εκλεκτοί.

Καί η Θεία Λειτουργία τών Προηγιασμένων.

Κοινωνικόν

Εις μνημόσυνον αιώνιον έσται Δίκαιος. Αλληλούια.

Εις δέ τήν Τράπεζαν εσθίομεν άλαιον καί οίνον. Ει δέ εν τή Α' Εβδομάδι τύχοι, οίνον μόνον.

---

Αρχή

## ΤΗ Ι' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Μάρτυρος Κοδράτου τού εν Κορίνθω, καί τών σύν αυτώ.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'

Πανεύφημοι Μάρτυρες

Κοδράτε πανάριστε ζωής, θείας εφιέμενος, ζωής φθαρτής κατεφρόνησας, τής τών ρεόντων γάρ, προτιμήσας ύλης, τήν άϋλον ύπαρξιν, τήν άληκτον εκτήσω απόλαυσιν, διά θανάτου γάρ, πρός αθάνατον μετέβης τρυφήν, καί πρός δόξαν τήν μή διαπίπτουσαν.

Κοδράτε θεόληπτε οδόν, Μαρτυρίου έδραμες, ανεπιστρόφω φρονήματι τά διαβήματα, επλατύνθη γάρ σου, τής ψυχής καί ίχνη σου, ουδόλως τής ανδρείας ησθένησαν, έν οίς γενόμενος οδηγός τών συναθλούντων σοι, πρός τήν άνω Μητρόπολιν έφθασας.

Κοδράτε καλλίνικε στρατόν, εις Θεού παράταξιν, νεανικώς αριθμούμενον, συνεπαγόμενος, τών σών συμμαρτύρων, στρατηγός ως άριστος, κατά τών αντιθέων ηρίστευσας, καί νίκης τρόπαια, ειληφώς εν μυριάσι Χριστώ, στεφηφόρος σύν αυτοίς παρέστηκας.

Δόξα... Καί νύν... Θεοτοκίον

Χαίρε ξένον άκουσμα Αγνή, χαίρε ξύλον άγιον, τού Παραδείσου Θεόφυτον, χαίρε εξάλειψις, πονηρών δαιμόνων, χαίρε ξίφος δίστομον, εχθρού τήν κεφαλήν αποτέμνουσα, τώ ξένω τόκω σου, Παναγία υπεράμωμε, ξενωθέντας ημάς ανακάλεσαι.

Η Σταυροθεοτοκίον

Σφαγήν σου τήν άδικον Χριστέ, η Παρθένος βλέπουσα, οδυρομένη εβόα σοι, Τέκνον γλυκύτατον, πώς αδίκως πάσχεις; πώς τώ ξύλω κρέμασαι, ο πάσαν γήν κρεμάσας τοίς ύδασι; Μή λίπης μόνην με, Ευεργέτα πολυέλεε, τήν Μητέρα καί δούλην σου δέομαι.

Εις τόν Στίχον, τό Ιδιόμελον τής ημέρας, καί τό Μαρτυρικόν.

Δόξα... Καί νύν... Θεοτοκίον

Η Σταυροθεοτοκίον

Τό, Θεοτόκε Παρθένε

Καί τά λοιπά, ως σύνηθες, καί Απόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, τά Καθίσματα κατά τήν τάξιν, καί οι Κανόνες τών Αγίων, καί τού Τριωδίου κατά τήν τάξιν.

Ο Κανών τών Αγίων

Ποίημα Ιωσήφ

Ωδή α' Ήχος δ'
Ο Ειρμός
«Τριστάτας κραταιο ύς, ο τεχθείς εκ Παρθένου, απαθείας εν βυθώ, ψυχής τό τριμερές, καταπόντισον δέομαι, όπως σοι ως εν τυμπάνω, τή νεκρώσει τού σώματος, επινίκιον, άσω μελώδημα».

Μαρτύρων Ιερών, ιερώς αθλησάντων, Ιερά καί θαυμαστή, επέστη εορτή, φωταυγεία τού Πνεύματος, άπαντας φωταγωγούσα, συνελθόντες φιλέορτοι, κατά χρέος αυτούς μακαρίσωμεν.

Ως ήλιος φαιδρός, αρετών δαδουχία, ανατέταλκας ημίν, Κοδράτε αθλητά, φεγγοβόλοις σου λάμψεσι, σκότος τής πολυθεϊας, εκδιώκων μακάριε, καί φωτίζων πιστών τά συστήματα.

Τήν πέτραν τής ζωής, Ιησούν τόν Σωτήρα, καταγγέλλοντες Θεόν, ηθλήσατε στερρώς, καί πηγήν αγιάσματος, πέτραν υποδεξαμένην, τών αιμάτων τά ρεύματα, φωταυγή απειργάσασθε Μάρτυρες.

Θεοτοκίον
Ιλύος εκ παθών, λογισμών τρικυμίας, εκ βελών τού πονηρού, εκ πάσης προσβολής, εναντίας διάσωσον, άχραντε Θεοκυήτορ, τάς ψυχάς τών υμνούντων σου, τόν ανέκφραστον τόκον Πανάμωμε.

Ωδή γ' Ο Ειρμός
«Ότι στείρα έτεκεν, η εξ εθνών Εκκλησία, καί η πολλή εν τέκνοις ησθένησε Συναγωγή, τώ θαυμαστώ Θεώ ημών βοήσωμεν, Άγιος εί Κύριε».

Οι στερροί αδάμαντες, τυμπανιζόμενοι ξίφει, καί αλγεινών ιδέαις, προσομιλούντες καρτρώς, τώ θαυμαστώ Θεώ ημών εκραυγαζον, Άγιος εί Κύριε.

Τή σοφία Κοδράτος, τή θεοδότω κατήργει, Ελληνικής σοφίας ερεσχελίας εναθλών, καί τοίς οικείοις αίμασιν, εν Πνεύματι θείω καλλυνόμενος.

Σύν Κοδράτω Άνεκτον, καί σύν τώ Παύλω Κρήσκεντα, Κυπριανόν τόν θείον, καί Διονύσιον ομού, ευσεβοφρόνως μέλψωμεν, τοίς άσμασι, πίστει εναθλήσαντας.

Θεοτοκίον

Νούς ουδέ ουράνιος, τήν υπέρ νούν σου λοχείαν, διερμηνεύσαι Κόρη δύναται, Νού γάρ τού πρώτου εν γαστρί, Λόγον Αγνή συνέλαβες, τόν τά πάντα λόγω συστησάμενον.

Κάθισμα Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ

Τή καρτερία τών δεινών θανατώσας, τόν υπερήφανον εχθρον Αθλοφόρε, τόν διά ξίφους θάνατον υπέμεινας, άμα τοίς συνάθλοις σου, τοίς πανσόφοις Κοδράτε, όθεν εορτάζομεν, τήν σεπτήν υμών μνήμην, αναβοώντες, Μνήσθητε ημών, πρός τόν Δεσπότην, αήττητοι Μάρτυρες.

Θεοτοκίον

Ου σιωπήσομεν ποτέ Θεοτόκε, τάς δυναστείας σου λαλείν οι ανάξιοι, ει μή γάρ σύ προϊστασο πρεσβεύουσα, τίς ημάς ερρύσατο εκ τοσούτων κινδύνων; τίς δέ διεφύλαξεν, έως νύν ελευθέρους; Ουκ αποστώμεν Δέσποινα εκ σού, σούς γάρ δούλους σώζεις αεί, εκ παντοίων δεινών.

Η Σταυροθεοτοκίον

Τόν εξ ανάρχου τού Πατρός γεννηθέντα, η επ' εσχάτων σε σαρκί τετοκυία, επί Σταυρού κρεμάμενον ορώσα Χριστέ, Οίμοι ποθεινότατε Ιησού! ανεβόα, πώς ο δοξαζόμενος, ως Θεός υπ' Αγγέλων, υπό ανόμων νύν βροτών Υιέ, θέλων σταυρούσαι; Υμνώ σε μακρόθυμε.

Ωδή δ' Ο Ειρμός

«Ο καθήμενος εν δόξη, επί θρόνου θεότητος, εν νεφέλη κούφη, ήλθεν Ιησούς ο υπέρθεος, τή ακηράτω παλάμη καί διέσωσε, τούς κραυγάζοντας, Δόξα Χριστέ τή δυνάμει σου».

Τής σοφίας σου τώ λόγω, τούς ασόφους κατήσχυνας, καί τή παραινέσει, τών θεοπειθών διδαγμάτων σου Μάρτυς Κοδράτε ζωγρήσας θείον, Άνεκτον, τώ Δεσπότη σου, καρτερικόν φέρεις Μάρτυρα.

Εκ σπαργάνων ω κειωθης, τώ τά πάντα ποιήσαντι, εκ παιδός τελείου, φρόνημα ανδρός επιδέδειξαι, καί τήν σοφίαν ποθήσας, όλος γέγονας, καθαρώτατον, Μάρτυς Χριστού ενδιαίτημα.

Η εξάφωτος λυχνία, τών Μαρτύρων σου Κύριε, μυστικώ ελαίω, επαρδευομένη εμείωσε, πολυθεΐας τήν νύκτα καί κατηύγασε, τούς κραυγάζοντας, Δόξα Χριστέ τή δυνάμει σου.

Θεοτοκίον

Η αγία Θεοτόκος, ήν οικήσαι ηυδόκησεν ως ευώδη οίκον, Λόγος τού Πατρός Ομοούσιος, ου κατεφλέχθη τήν μήτραν, ουκ ωδίνησε, καί γάρ τέτοκεν, Εμμανουήλ τόν Θεάνθρωπον.

Ωδή ε' Ο Ειρμός

«Τόν φωτισμόν σου Κύριε, κατάπεμψον ημίν, καί τής αχλύος ημάς τών πταισμάτων λύσον αγαθέ, τήν σήν ειρήνην ουρανόθεν δωρούμενος».

Τώ φωτισμώ τής γνώσεως, αγνοίας τήν αχλύν, αποδιώκων Κυρίω προσάγεις, δήμον Αθλητών σοφέ Κοδράτε, σύν αυτοίς στεφανούμενος.

Ασκητικώς τό πρότερον, νικήσας τών παθών, επαναστάσεις τό δεύτερον, είλες κράτος δυσσεβών, Κοδράτε Μάρτυς, εναθλήσας στερρότατα.

Αναστομούται άνικμος, η πέτρα προχοαίς, σεπτών αιμάτων καί ρείθρον διαυγές, δίδωσι, πιστούς καθαγιάζον, θεϊκαίς επινεύσεσι.

Θεοτοκίον

Ο πλαστουργήσας άχραντε, τήν Εύαν εκ πλευράς, σού εκ νηδύος Αγνή πλαστουργείται, σώσαι τόν Αδάμ δι' ευσπλαγχνίαν, βουληθείς ως φιλάνθρωπος.

Ωδή ς' Ο Ειρμός

«Εβόησε, προτυπών τήν ταφήν τήν τριήμερον, ο Προφήτης, Ιωνάς εν τώ κήτει δεόμενος, Εκ φθοράς με ρύσαι, Ιησού Βασιλεύ τών Δυνάμεων».

Εξάριθμος, Αθλοφόρων χορός ημίν έλαμψεν, ως αστέρων, Εκκλησίας σεπτώ στερεώματι, τούς πιστούς φωτίζων, καί τής πλάνης σκεδάζων σκοτόμαιναν.

Τό πέλαγος, τών βασάνων διήλθετε Μάρτυρες, ακυμάντως, καί τής άνω γαλήνης ετύχετε, τών πιστών λιμένες, γεγονότες καί πρέσβεις θερμότατοι.

Αινέσωμεν, σύν Ανέκτω Κοδρά τον τόν ένδοξον, καί σύν Παύλω, Κυπριανόν Διονύσιον Κρήσκεντα, τής Χριστού αμπέλου, τά καλά καί κατάκαρπα κλήματα.

Θεοτοκίον

Ουράνωσας, γεωθείσαν τήν φύσιν Πανάμωμε, τών ανθρώπων, καί φθαρείσαν αυτήν εθεούργησας, διά τούτο πάντες, ασιγήτοις φωναίς σέ δοξάζομεν.

Τό Μαρτυρικόν τού ήχου.

Συναξάριον

Τή Ι' τού αυτού μηνός, μνήμη τού Αγίου Μάρτυρος Κοδράτου τού εν Κορίνθω, καί τών σύν αυτώ, Ανέκτου, Παύλου, Διονυσίου, Κυπριανού καί

Κρήσκεντος.

Στίχοι

- Τών δυσσεβών τήν πίστιν ύβρεσι πλύνας
- Τμηθείς Κοδράτε σών αφ' αιμάτων πλύνη.
- Γνωστοίς Άνεκτον σύν δυσί κτείνει ξίφος,
- Οίς ουκ ανεκτόν μή θανείν Θεού χάριν.
- Ορών καταθνήσκοντα Κρήσκεντα ξίφει,
- Σπεύδει σύν αυτώ Κυπριανός τεθνάναι.
- Αμφί δεκάτη Κοδράτον ξίφος εγκατέπεφνε.

Τή αυτή ημέρα, Μνήμη τής Οσίας Μητρός ημών Αναστασίας τής Πατρικίας.

Τή αυτή ημέρα, ο Άγιος Μαρκιανός ξύλοις θλασθείς τελειούται.

Στίχοι

- Εθαύμασαν βροτοί σε θλασθέντα ξύλοις,
- Αμήν λέγω σοι, Μαρκιανέ, καί νόες.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Ο διασώσας εν πυρί, τούς Αβραμιαίους σου Παίδας, καί τούς Χαλδαίους ανελών, οίς αδίκως δικαίους ενήδρευσαν, υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί».

Εντώ πυρί τών αικισμών, άνωθεν δεχόμενοι δρόσον, υπομονής σύν τοίς Παισίν, οι γενναίοι εκραύγαζον Μάρτυρες, Υπερύμνητε, Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Τή επομβρία τού σεπτού, αίματος υμών Αθλοφόροι, πέτρα η άνικμος τό πρίν, ανεστόμωται ρείθρα προχέουσα, ιαμάτων, τοίς μέλπουσιν, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Ως μυροθήκη νοητή, μύρα ιαμάτων Κοδράτε, η τών λειψάνων σου σορός, αναβλύζει παθών απελαύνουσα, τό δυσώδες καί φλέγουσα, τών δαιμόνων παρατάξεις θεία προνοία.

Θεοτοκίον

Ευλογημένος ο καρπός, τής ευλογημένης γαστρός σου, όν ευλογούσιν ουρανών αι Δυνάμεις, βροτών τε συστήματα, ο ημάς λυτρωσάμενος, τής κατάρας τής αρχαίας ευλογητός εί.

Ωδή η'  Ο Ειρμός

«Λυτρωτά τού παντός Παντοδύνα με, τούς εν μέσω φλογός ευσεβήσαντας, συγκαταβάς εδρόσισας, καί εδίδαξας μέλπειν, Πάντα τά έργα, ευλογείτε

υμνείτε τόν Κύριον».

Λαμπρυνθείς ταίς τών άθλων λαμπρότησι, στεφηφόρος Κυρίω παρίστασαι, σύν τοίς συνάθλοις ένδοξε, αναμέλπων Κοδράτε, Πάντα τά έργα ευλογείτε υμνείτε τόν Κύριον.

Αρετών τώ φωτί καλλυνόμενος, επί τέλει Μαρτύρων λαμπρότητα, κατεκληρώσω πάνσοφε, αναμέλπων Κοδράτε, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον.

Προτειχίσματα Κόρινθος κέκτηται, τών Αγίων τε τίμια λείψανα, καί ιατρείον άμισθον, τόν ναόν, ένθα πίστει, πάς ο προστρέχων, αλγεινών καί παθών απαλλάττεται.

Θεοτοκίον

Λυτρωθέντες αράς τής Προμήτορος, διά σού τής Αγνής Θεομήτορος, ευλογημένη Δέσποινα, ευλογούμέν σε πίστει, καί μελωδούμεν, Ευλογείτε τά έργα τόν Κύριον.

Ωδή θ'  Ο Ειρμός

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν».

Ιχώρες ημίν μαρτυρικοί εκπέμπουσιν, ευωδίαν πλήρη χάριτος, αίματα τούτων ιαμάτων, προχέουσι κρουνούς θείω Πνεύματι, καί πάθη τών ψυχών θεραπεύουσιν, ούς επαξίως μακαρίσωμεν.

Ωραίος στιγμάτων καλλοναίς γενόμενος, τοίς Αγγέλοις έξωμοίωσαι, αίματι δέ τώ εκχυθέντι, Κοδράτε επιβάς ως εν άρματι, ανέπτης πρός τά άνω βασίλεια, γέρα τών πόνων κομισόμενος.

Σταλάζων τόν θείον γλυκασμόν εκ στόματος, Αθλοφόρων δήμον έπεισας, Μάρτυς Κοδράτε, συναθλείν σοι τόν, Άνεκτον καί Παύλον καί Κρήσκεντα, Κυπριανόν τε καί σοφόν Διονύσιον, οίς συγχορεύεις αξιάγαστε.

Ημέραν εόρτιον υμών τήν άθλησιν, Αθλοφόροι πάντες άγομεν, ταύτη γάρ στέφος αφθαρσίας, αράμενοι υιοί χρηματίζετε, φωτός τε καί ημέρας χορεύοντες, περί τόν θρόνον τού Παντάνακτος.

Θεοτοκίον

Φανείσα τού πάντων Ποιητού λοχεύτρια, υπέρ πάντα νούν πανάμωμε, τών ουρανών υψηλοτέρα εδείχθης καί τών όλων δεσπόζουσα Θεοτόκε πανύμνητε, όθεν Παρθένε σε πάντες μεγαλύνομεν.

Τό Φωταγωγικόν, τό Ιδιόμελον τής ημέρας σύν τώ Μαρτυρικώ,

Καί Θεοτοκίον, ή Σταυροθεοτοκίον. Αι μετάνοιαι, η α' Ώρα, ως σύνηθες καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΑ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού εν Αγίοις Πατρός ημών Σωφρονίου, Πατριάρχου Ιεροσολύμων.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τού Αγίου γ'.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Σωφροσύνης επώνυμος, εξ ενθέου προγνώσεως, προκληθείς Σωφρόνιος, σώφρων γέγονας, επί τών έργων καί δίκαιος, ανδρείος καί φρόνιμος, αρεταίς ταίς γενικαίς, γενικώς στεφανούμενος, καί διένειμας, προσφυώς εκατέρω τή ψυχή τε, καί τώ σώματι, καθάπερ, διαιτητής ακριβέστατος.

Θεολόγου εκ στόματος, θεολόγους εβρόντησας, διδαχάς Σωφρόνιε, παμμακάριστε, θεολογήσας τρανότατα, Πατέρα τόν άναρχον, καί συνάναρχον Υιόν, καί τό Πνεύμα τό Άγιον, συναϊδιον, εν μονάδι Τριάδα καί Μονάδα, εν Τριάδι Θεόν ένα, τή ουσιώδει ταυτότητι.

Τή σαρκί καθ' υπόστασιν, ενωθέντα τόν άσαρκον, καί Πατρί συνάναρχον, Λόγον Πάνσοφε, δίχα τροπής καί συγχύσεως, σοφώς εδογμάτισας, ενεργούντα δέ διττώς, καταλλήλως ταίς φύσεσιν, εξ ών σύγκειται, καί εν αίς θεωρείται είς υπάρχων, αδιαίρετος τώ όντι, τούτο κακείνο νοούμενος.

Δόξα... Καί νύν... Θεοτοκίον

Κατακρίσεως λύτρωσαι, Παναγία Θεόνυμφε, καί δεινών πταισμάτων, τήν ταπεινήν μου ψυχήν, καί τού θανάτου απάλλαξον, ευχαίς σου, καί δώρησαι, δικαιώσεως τυχείν, εν ημέρα ετάσεως, ής επέτυχον, τών Αγίων οι δήμοι, μετανοία, καθαρθέντα με πρό τέλους, καί τών δακρύων ταίς χύσεσιν.

Η Σταυροθεοτοκίον

Εν Σταυρώ ως κατείδέ σε, καθηλούμενον Κύριε, η αμνάς καί Μήτηρ σου, εξεπλήττετο, καί τί τό όραμα, έκραζεν, Υιέ ποθεινότατε; ταύτά σοι ο απειθής, δήμος ανταποδίδωσιν ο παράνομος, ο πολλών σου, θαυμάτων απολαύσας; αλλά δόξα τή αρρήτω, συγκαταβάσει σου Δέσποτα.

Απολυτίκιον Ήχος α'

Κανόνα πίστεως καί εικόνα πραότητος, εγκρατείας διδάσκαλον ανέδειξέ σε τή ποίμνη σου, η τών πραγμάτων αλήθεια, διά τούτο εκτήσω τή ταπεινώσει τά υψηλά, τή πτωχεία τά πλούσια, Πάτερ Ιεράρχα Σωφρόνιε, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Τό, Θεοτόκε Παρθένε, καί τά έτερα.

Α π ο λ υ σ ι ς

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, οι Κανόνες τού Αγίου καί τού Τριωδίου.

Ο Κανων τού Αγίου, ού η Ακροστιχίς.

Σωφροσύνης μέλπω τόν επώνυμον, αίσιμα ρέζων.
Θεοφάνους.

Ωδήα' Ήχος δ'
Ο Ειρμός
«Ανοίξω τό στόμα μου, καί πληρωθήσεται πνεύματος, καί λόγον ερεύξομαι τή Βασιλίδι μητρί, καί οφθήσομαι, φαιδρώς πανυγηρίζων, καί άσω γηθόμενος, ταύτης τά θαύματα».

Σωφρόνως διέπλευσας, τής σωφροσύνης τό πέλαγος, ταίς αύραις τού Πνεύματος, οιακιζόμενος, καί συνήθροισας, πολλήν περιουσίαν, σοφίας χαρίσματι, Πάτερ Σωφρόνιε.

Ως Άγγελος γέγονας, τής τού Χριστού Αναστάσεως, καί πρόεδρος ένθεος, τού θείου Μνήματος, τού πλουτήσαντος, πηγήν αθανασίας, Χριστόν τόν εγείραντα, πτώσιν τού γένους ημών.

Φαιδρότητι λόγων σου, διανοίας οξύτητι, τόν κόσμον εφαίδρυνας, θεολογήσας τρανώς, τρισυπόστατα τόν, θεότητος ουσίαν, Μονάδα τρισάριθμον, Πάτερ Σωφρόνιε.

Ρημάτων ο φθόγγος σου, καί τών δογμάτων η εύσημος, κιθάρα διέδραμε, τής γής τά πέρατα, τό μυστήριον, τής οικονομίας, τού Λόγου διδάσκουσα, Πάτερ θεόληπτε.

Θεοτοκίον
Ο ων φύσει άκτιστος, καί τώ Πατρί συναϊδιος, καί χρόνων υπέρτερος, καί προαιώνιος, εκ σού Δέσποινα, κτιστός καί υπό χρόνον, ως άνθρωπος γίνεται, σώζων τόν άνθρωπον.

Ωδή γ' Ο Ειρμός
«Ουκ εν σοφία, καί δυνάμει καί πλούτω καυχώμεθα, αλλ' εν σοί τή τού Πατρός ενυποστάτω Σοφία Θεού, ού γάρ εστιν Άγιος, πλήν σου φιλάνθρωπε».

Στηριζομένη, βακτηρία τών λόγων σου Όσιε, τάς ορμάς τών δυσσεβών, καί θεομάχων αιρέσεων, ελαύνει διώκουσα, η Εκκλησία Χριστού.

Υπερμαχήσας, τού σεπτού θεοφόρε κηρύγματος, ανεδείχθης νικητής, τή συμμαχία τού Πνεύματος, σοφώς δυναμούμενος, Πάτερ Σωφρόνιε.

Νεκρώσας πάσαν, φθειρομένης σαρκός ηδυπάθειαν, τήν ακήρατον ψυχήν, δι' ευσεβείας εζώωσας, καί ταύτην ανέδειξας, ένθεον όργανον.

Η θεολόγος, καί τερπνή καί μελίρρυτος γλώσσά σου, τούς τού λόγου ποταμούς, αναπηγάζει θεόληπτε, τά θεία διδάγματα, πάσι προχέουσα.

Θεοτοκίον

Σέ τήν τεκούσαν τόν Θεόν, Θεοτόκον δοξάζομεν, τώ Γεννήματι τώ σώ, προσηγορίαν αρμόζοντες, καί κλήσιν κατάλληλον, πάναγνε Δέσποινα.

Κάθισμα Ήχος δ'

Ταχύ προκατάλαβε

Τοίς λόγοις εκόσμησας τήν Εκκλησίαν Χριστού, τοίς έργοις ετήρησας τό κατ' εικόνα Θεού, Σωφρόνιε Όσιε, έλαμψε γάρ εν κόσμω, η εν σοί σωφροσύνη, χάριτας διδαγμάτων, απαστράπτουσα πάσι, τοίς πίστει εορτάζουσι Πάτερ τήν μνήμην σου.

Θεοτοκίον

Εκαίνισας Άχραντε τώ θείω τόκω σου, φθαρείσαν τοίς πάθεσι τών γηγενών τήν θνητήν, ουσίαν καί ήγειρας, πάντας εκ τού θανάτου, πρός ζωήν αφθαρσίας, όθεν σε κατά χρέος, μακαρίζομεν πάντες, Παρθένε δεδοξασμένη, ώς προεφήτευσας.

Η Σταυροθεοτοκίον

Σταυρώ σε υψούμενον ως εθεάσατο, η άχραντος Μήτηρ σου Λόγε Θεού μητρικώς, θρηνούσα εφθέγγετο, Τί τό καινόν καί ξένον, τούτο θαύμα Υιέ μου, πώς η ζωή τών όλων, ομιλείς τώ θανάτω, ζωώσαι τούς τεθνεώτας, θέλων ώς εύσπλαγχνος ;

Ωδή δ ' Ο Ειρμός

«Ο καθήμενος εν δόξη, επί θρόνου θεότητος, εν νεφέλη κούφη, ήλθεν Ιησούς ο υπέρθεος, τή ακηράτω παλάμη καί διέσωσε, τούς κραυγάζοντας, Δόξα Χριστέ τή δυνάμει σου».

Μίαν άναρχον ουσίαν, εν τρισίν υποστάσεσιν, ιδικαίς τελείαις, Πάτερ σύ σοφώς εδογμάτισας, διαιρουμένην ατμήτως, ενουμένην τε ασυγχύτως, βουλήσει μιά καί θεότητι.

Έχων σώφρονας τάς φρένας, καί τόν νούν σωφρονέστερον, ου φυρμόν εφρόνεις, Πάτερ ου τροπήν ουδέ σύγχυσιν, τών ηνωμένων ατρέπτως δύο φύσεων, εν ενί Χριστώ, μονογενεί απαστράπτουσαν.

Λαμπρυνόμενος ενθέως, φωτισμώ  τώ τού Πνεύματος, τήν δεινήν μανίαν, τήν τού Νεστορίου διέλυσας, ταυτοβουλία καί γνώμη τού τήν ένωσιν, δογματίσαντος, επί Χριστού δύο φύσεων.

Πύρρον έφλεξας αντάρτην,τώ πυρί τών δογμάτων σου, αθετούντα δύο, είναι τού Χριστού τά θελήματα, ταίς διαφ  όροις ουσίαις τά κατάλληλα, ενεργείας τε, άμα διπλάς Πάτερ Όσιε.

Θεοτοκίον

Ωραιώθης υπέρ πάσαν, τών Αγγέλων ευπρέπειαν, ως τεκούσα τούτων, Κόρη ποιητήν τε καί Κύριον, εκ σών αχράντων αιμάτων σωματούμενον, τόν ρυόμενον, πάντας αυτόν τούς δοξάζοντας.

## Ωδή ε'  Ο Ειρμός

«Ασεβείς ουκ όψονται, τήν δόξαν σου Χριστέ, αλλ' ημείς σε μονογενές, πατρικής απαύγασμα, δόξης θεότητος, εκ νυκτός ορθρίζοντες, ανυμνούμέν σε φιλάνθρωπε».

Τήν σεπτήν ανάστασιν, καί τάφον τής ζωής, ακλινεί πόθω θεωρών, Θεώ οίας ήντλησας κρυφιομύστους, καί πιστοίς μετέδωκας, Ιεράρχα τής ελλάμψεως.

Ολικώς επόθησας, τόν μόνον αγαθόν, πυρσωθείς φέγγει νοητώ, καί πηγήν ηγάπησας τής αφθαρσίας, θεωρίαις Πάνσοφε, πρός αυτήν ανατεινόμενος.

Ναός ζών καί έμψυχος, εγένου τού Θεού, νεκρωθείς πάσι τοίς εν γή, τήν τού λόγου τράπεζαν ευθηνουμένην, κεκτημένος Όσιε, καί λυχνίαν τήν τής πίστεως.

Θεοτοκίον

Εν δυσί νοούμενον, ουσίαις τόν Χριστόν, τόν Υιόν τόν μονογενή, τού Θεού τόν άναρχον, σάρκα γενόμενον, υπέρ λόγον τέτοκας, Θεομήτορ απειρόγαμε.

## Ωδή ς'  Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Πλουσίως, εξεχύθη η χάρις τού Πνεύματος, τού παναγίου θεόφρον, έν τοίς χείλεσί σου, όθεν ο φθόγγος, τών σών λόγων, τού ποταμού μιμείται τά ρεύματα.

Ως φοίνιξ, εν τώ οίκω Κυρίου εξήνθησας, τή ευκαρπία τών λόγων, καθαρώ τε βίω καταγλυκαίνων, τάς καρδίας, Ιεράρχα, τών πίστει τιμώντων σε.

Νεκρούται, τή ζωτική ρομφαία τής γλώττης σου, τό τών αιρέσεων στίφος, καί θρασεία φάλαγξ τών θεομάχων, σφαττομένη, θανατούται δογμάτων σου ξίφεσιν.

Θεοτοκίον

Υμνούμεν, Θεοτόκε τόν άχραντον τόκον σου, δι' ού σω ζόμεθα πάντες, καί θανάτου βρόχων καί δεινοτάτης, αμαρτίας, καί τών μυχών τού Άδου λυτρούμεθα.

Τό Μαρτυρικόν τού Ήχου.

Συναξάριον

Τή ΙΑ' τού αυτού μηνός, μνήμη τού Οσίου Πατρός ημών Σωφρονίου, Αρχιεπισκόπου Ιεροσολύμων.

Στίχοι

- Έσπευδε τηρείν καί κεραίαν τού νόμου,
- Ο Σωφρόνιος, ού παρ ουρανοίς κέρας.
- Ενδεκάτη σαόφρων έδυ Σωφρόνιος παρά τύμβον.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Ιερομάρτυρος Πιονίου, Πρεσβυτέρου τής εν Σμύρνη Αγίας Εκκλησίας.

Στίχοι

- Ως εγκρυφίας άρτος εξωπτημένος,
- Καυθείς προσήχθη Πιόνιος Κυρίω.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Γεωργίου θεοφόρου καί θαυματουργού, τού εν τώ Διϊππείω λεγομένω, τού Νεοφανούς.

Στίχοι

- Εκ γειτόνων εί, Γεώργιε, κανθάδε,
- Κακείθεν, οίμαι, Χριστομύστη, Παρθένω.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων, Τροφίμου καί θαλλού, τών εν Λαοδικεία μαρτυρησάντων.

Τή αυτή ημέρα, Η εις τήν Κωνσταντινούπολιν ανακομιδή τών Λειψάνων τού Αγίου Μάρτυρος Επιμάχου.

Στίχοι

- Κομίζεταί σοι όλβος, ολβία Πόλις,
- Επιμάχου τό σώμα τού τρισολβίου.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Γεωργίου τού Σιναϊτου.

Στίχοι

- Πώς άν διήλθες πλέθρα γής τάχος τόσα;
- Ει μή άσαρκος, ώς τις ής, πάτερ, βίω;

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς.

Ωδή ζ' Ο Ειρμός

«Ο διασώσας εν πυρί, τούς Αβραμιαίους Παίδας, καί τούς Χαλδαίους ανελών,

οις αδίκως δικαίους ενήδρευσαν, υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί».

Μετά τής άνωθεν ροπής, ταίς αιρετικαίς γλωσσαλγίαις, αντιταττόμενος Σοφέ, νικηφόρος γενόμενος έψαλλες, Υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Ο λαός ανάθημα Θεού, τάς τών Ασκητών φυτουργίας, περιϊπτάμενος, Σοφέ, τόν λειμώνα τόν σόν κατεφύτευσας, αρετών εμμελέτημα, τώ Θεώ τώ εν υψίστοις καθιερώσας.

Νόμω πειθόμενος Χριστού, τής σής επιστήμης τόν πλούτον, τοίς δεομένοις ευσεβώς, αναμέλπων θεόφρον μετέδωκας, Υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Θεοτοκίον

Αγιασθείσα τήν ψυχήν, καί προκαθαρθείσα τό σώμα, τή επελεύσει επί σέ, τού Αγίου Πανάμωμε Πνεύματος, τού Υψίστου τήν δύναμιν, εν γαστρί σου συλλαβούσα τίκτεις ασπόρως.

Ωδή η'  Ο Ειρμός

«Παίδας ευαγείς εν τή καμίνω ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν, Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Ιεραρχικής Ιερουργίας, τώ μύρω καθηγιάσθης τώ τής χάριτος, ένθα πεφανέρωται, κόσμου η σωτήριος Ιεραρχία, πάνσοφε, Πάτερ Σωφρόνιε, Τόν Κύριον υμνείτε κραυγάζων, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Σοφίαν τιμών διαφερόντως, στεφάνω τώ τών χαρίτων εστεφάνωσαι, δόξαν τήν αμάραντον, πλούτον αναφαίρετον, τό τής σοφίας, Ένδοξε δώρον δεξάμενος, καί Κύριον υμνείτε, κραυγάζων, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ιεροπρεπώς Ιερομύστα, τήν θείαν δικαιοσύνην ενδυσάμενος, ίθυνας Πανόλβιε, Πάτερ γενναιότατα, τό τού Δεσπότου ποίμνιον λόγοις καί πράξεσι, Τόν Κύριον υμνείτε κραυγάζων, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Μεγαλοπρεπώς καί υπέρ λόγον, ο Λόγος ο τώ Πατρί Πάτερ συνάναρχος, λόγον σοι δεδώρηται, λόγους διατρέφοντα, καί γλωσσαλγίας λύοντα τάς τών αιρέσεων, τόν Κύριον υμνείτε βοώντα, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Θεοτοκίον

Αγιοπρεπής Ναός εδείχθης, τού Λόγου τού πάσαν κτίσιν αγιάσαντος, όρος πίον άγιον, όρος εμφανέστατον, ευλογημένη Δέσποινα μόνη πανύμνητε, Διό

σε Θεομήτορ υμνούμεν, καί υπερυψούμεν εις πάντας τούς αιώνας.

Ωδή θ'  Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη Χριστός, συνάψας τάς διεστώσας φυσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Ρήσις εκ χειλέων σου θείων, προερχομένη θεορρήμον, τάς τών ευσεβών διανοίας, καταγλυκαίνει διά τής χάριτος, ώς περ κηρίον στάζουσα, τών νοημάτων τήν ευπρέπειαν.

Ένδον ουρανίων αδύτων, περιπολεύεις θεηγόρε, περί τόν τών όλων Δεσπότην καί Βασιλέα, ένθα χορεύουσιν, Αγγελικαί λαμπρότητες, καί τών Αγίων τά στρατεύματα.

Ζωήν μετερχόμενος Πάτερ, επί τής γής τήν τών Αγγέλων, τής αγγελικής εν ουρανοίς, κατηξιώεης μακαριότητος, ένθα Χριστόν δυσώπησον, σωθήναι πάντας τούς υμνούντάς σε.

Ως τών αρωμάτων φιάλαι, αι σιαγόνες σου θεόφρον, νάρδου πιστικής πολυτίμου, σοφίας γέμων ώφθης αλάβαστρον, Σώμα Χριστού τό τίμιον, αρωματίζων τοίς σοίς δόγμασι.

Θεοτοκίον

Νεφέλην σε κούφην Παρθένε, ο Ησαίας εθεώρει, επί σοί γάρ Κύριος ελθών, καθείλε πάντα τά χειροποίητα, καί τήν αυτού επίγνωσιν, τοίς σέ υμνούσιν εφανέρωσε.

Τό Φωταγωγικόν, τό Ιδιόμελον τής ημέρας, τό Μαρτυρικόν.

Καί η λοιπή, Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΒ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών καί Ομολογητού Θεοφάνους τής Σιγγριανής.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'

Ώ τού παραδόξου θαύματος

Πάτερ θεόφρον Θεόφανες, θεοφανείας Χριστού, κεκλημένος επώνυμος, ζωηφόροις ίχνεσι, τοίς αυτού ηκολούθησας, καί τά τερπνά τού βίου κατέλιπες, ενατενίζων τώ ποθουμένω σοι κάλλει πανάριστε, καί ταίς θείαις νεύσεσι ταίς

πρός αυτόν, άριστα θεούμενος, καί τελεώτατα.

Πάτερ θεόφρον Θεόφανες, υπερορίας πικράς, ασθενώς διακείμενος, καρτερώς υπήνεγκας, αφειδήσας τού σώματος, υπέρ σεπτών εικόνων πανεύφη με, θυμώ λεόντων εξ οριζόμενος, ών κατορχούμενος, τάς βουλάς εμώρανας, καί λογισμούς, όντας ματαιόφρονας, καί νούν αλάστορα.

Όντως αμοιβάς τών πόνων σου, τών αγαθών ο δοτήρ, δαψιλώς σοι δεδώρηται, απελαύνειν δαίμονας, θεραπεύειν νοσήματα, παρεσχηκως Τρισμάκαρ τήν δύναμιν, καί αξιώσας σε τής αφράστου χαράς, ένθα χορεύουσι, τών Αγγέλων τάγματα, διά παντός, πρόσωπον θεώμενον, τού Παντοκράτορος.

Δόξα... Καί νύν... Θεοτοκίον

Δεύρο ψυχή μου στενάζουσα, καί τών δακρύων πηγάς, εκ καρδίας προσφέρουσα, τή Παρθένω βόησον, καί Μητρί τού Θεού ημών, Διά τό πλήθος τών οικτιρμών σου Αγνή, τής φοβεράς με ρύσαι κολάσεως, καί κατασκήνωσον, ένθα η ανάπαυσις καί η χαρά, η διαιωνίζουσα, καί η απόλαυσις.

Η Σταυροθεοτοκίον

Σέ καθηλούμενον βλέπουσα, εν τώ Σταυρώ Ιησού, καί τά πάθη δεχόμενον, εκουσίως Δέσποτα, η Παρθένος καί Μήτηρ σου, Τέκνον εβόα, Τέκνον γλυκύτατον, πληγάς αδίκων πώς φέρεις, ο ιατρός, ο ιασάμενος, τήν βροτών ασθένειαν, καί τής φθοράς, άπαντας ρυσάμενος, τή ευσπλαγχνία σου;

Απολυτίκιον  Ήχος πλ. δ'

Ορθοδοξίας οδηγέ, ευσεβείας διδάσκαλε καί σεμνότητος, τής οικουμένης ο φωστήρ, τών μοναζόντων θεόπνευστον εγκαλλώπισμα, Θεόφανες σοφέ, υπέρ εικόνων αγίων ήθλησας, λύρα τού Πνεύματος, Πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τού Αγίου καί τού Τριωδίου κατά τήν τάξιν.

Ο Κανών τού Αγίου, ού η Ακροστιχίς, άνευ τών Θεοτοκίων.

Θεοφάνης μέλπει σε τόν Θεοφάνην.

Ωδή α'  Ήχος δ'  Ο Ειρμός

«Θαλάσσης, τό ερυθραίον πέλαγος, αβρόχοις ίχνεσιν, ο παλαιός πεζεύσας Ισραήλ, σταυροτύποις Μωσέως χερσί, τού Αματήν δύναμιν, εν τή ερήμω ετροπώσατο».

Θεού, τού σαρκί φανέντος ίχνεσιν, επηκολούθησας, τή ευσεβεία Πάτερ πυρωθείς, ως εντεύθεν τήν κλήσιν πλουτείν, τήν αληθώς φερώνυμον, ως τή

προνοία προτετύπωτο.

Εθέλχθης, ποθεινοτάτω έρωτι, τώ τού Δεσπότου σου, καταφρονήσας πόθου κοσμικού, συγκραθείς δέ τή θεία στοργή, βιωτικήν τερπνότητα, ουδέν ηγήσω Παμμακάριστε.

Ορμήσας, θηριωδώς εδίωξε, Λέων ο τύραννος, τούς εκλεκτούς, μή φέρων καθοράν, σεβομένους εικόνα Χριστού, μεθ' ών καί σέ Θεόφανες, υπερορία κατεδίκασεν.

Θεοτοκίον

Ασπόρως, τό τού Πατρός βουλήματι, εκ θείου Πνεύματος τόν τού Θεού συνείληφας Υιόν, καί σαρκί απεκύησας, τόν εκ Πατρός αμήτορα, καί δι' ημάς εκ σού απάτορα.

Ωδή γ'  Ο Ειρμός

«Ουκ εν σοφία, καί δυνάμει καί πλούτω καυχώμεθα, αλλ' εν σοί τή τού Πατρός ενυποστάτω Σοφία Θεού, ου γάρ εστιν Άγιος, πλήν σου φιλάνθρωπε».

Φωτός τού θείου, πεπλησμένος ωράθης Θεόφανες, δι' αγάπης συγκραθείς, τώ ποθουμένω μακάριε, διό σου τήν ένδοξον μνήμην γεραίρομεν.

Απαγορεύσας, τά δυσσεβή τού Λέοντος δόγματα, τούς θεσμούς πανευσεβώς τής Εκκλησίας εκράτυνας, διό σε τοίς θαύμασι, Χριστός εδόξασε.

Νενευρωμένη, δι' ελπίδος καί πίστεως Όσιε, σού σαρκός τό ασθενές, ψυχή στερρότητι ρώννυσι, Θεώ οικειώσασα, σώμα ομόβουλον.

Θεοτοκίον

Απειρογάμως, η Θεόν σαρκωθέντα κυήσασα, τών παθών ταίς προσβολαίς, κλονούμενόν με στερέωσον, ου γάρ έχω Άχραντε, πλήν σου βοήθειαν.

Κάθισμα  Ήχος γ'

Θείας πίστεως

Ζήλον ένθεον προσκεκτημένος, δόγμα άθεον απεβδελύξω, καί κινδύνοις πολυτρόποις ωμίλησας, υπερορίαις αδίκως στελλόμενος, καί ευσεβώς παμμάκαρ τελειούμενος, Πάτερ Θεόφανες, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Θεοτοκίον

Θείας φύσεως ουκ εχωρίσθη, σάρξ γενόμενος έν τή γαστρί σου, αλλά Θεός ενανθρωπήσας μεμένηκεν, ο μετά τόκον Μητέρα Παρθένον σε, ως πρό τού τόκου φυλάξας Πανάμωμε, μόνος Κύριος, Αυτόν εκτενώς ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Η Σταυροθεοτοκίον

Η αμίαντος Αμνάς τού Λόγου, η ακήρατος Παρθενομήτωρ, έν τώ Σταυρώ θεασαμένη κρεμάμενον, τόν εξ αυτής ανωδίνως βλαστήσαντα, μητροπρεπώς

θρηνωδούσα εκραύγαζεν, Οίμοι τέκνον μου! πώς πάσχεις θέλων ρύσασθαι, παθών τής ατιμίας τόν άνθρωπον;

Ωδή δ'  Ο Ειρμός

«Επαρθέντα σε ιδούσα η Εκκλησία, επί Σταυρού τόν Ήλιον τής δικαιοσύνης, έστη εν τή τάξει αυτής, εικότως κραυγάζουσα, Δόξα τή δυνάμει σου Κύριε».

Η ουράνιος ητοίμασται βασιλεία, ως, Αθλητή σοι ένδοξε, τής γάρ επιγείου, χαίρων μετετέθης σκηνής, βοών τώ Δεσπότη σου, Δόξα τή δυνάμει σου Κύριε.

Στεφανηφόρος Θεόφανες ανεδείχθης, τό γάρ σεπτόν εικόνισμα, Χριστού θεοφόρε, μάκαρ ουκ ηρνήσω τιμάν, διό καί ανέκραζες, Δόξα τή δυνάμει σου Κύριε.

Μεθιστάμενος προστάγματι τού τυράννου, τού δυσσεβούς ο Όσιος, σαρκός ασθενείας, όλως ουκ εφρόντισε, κραυγάζων τώ Κτίσαντι, Δόξα τή δυνάμει σου Κύριε.

Εμεγαλύνθης τοίς θαύμασι θεοφόρε, ο γάρ Χριστός ημείψατο σέ τής καρτερίας, όθεν καί ιάματα πηγάζεις τοίς χρήζουσιν, ώσπερ εκ πηγής ιερώτατε.

Θεοτοκίον

Απειρογάμως εκύησας ώ Παρθένε, καί μετά τόκον ώφθης παρθενεύουσα πάλιν, όθεν ασιγήτοις φωναίς, τό Χαίρέ σοι Δέσποινα, πίστει αδιστάκτω κραυγάζομεν.

Ωδή ε'  Ο Ειρμός

«Σύ Κύριέ μου φώς, εις τόν κόσμον ελήλυθας, φώς άγιον επιστρέφον, εκ ζοφώδους αγνοίας, τούς πίστει ανυμνούντάς σε».

Λόγω πανευσεβεί, ορθοδόξως εκήρυξεν, ο Όσιος Θεοφάνης, τό τής πίστεως δόγμα, τώ Πνεύματι λαμπόμενος.

Πλούτον παντοδαπή, θεοφρόνως διένειμας, προστάγματι τού Δεσπότου, τοίς πενία συζώσιν, επόμενος Πανεύφημε.

Έχων σου τήν ψυχήν, κατ' εικόνα τού Κτίσαντος, τήν άχραντον τού Δεσπότου, προσεκύνεις Εικόνα, τώ πόθω ασπαζόμενος.

Θεοτοκίον

Σέ όπλον αρραγές, κατ' εχθρών προβαλλόμεθα, σέ άγκυραν καί ελπίδα, ημών σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

Ωδή ς'  Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων

λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Ίθυνον, πρό αρετήν τόν βίον μου Όσιε, τήν τής ασκήσεως τρίβον, ταίς ευχαίς σου Πάτερ εξομαλίζων, ήν συντόνως, ευθυπορείν με μάκαρ αξίωσον.

Σωφρόνως, σού τήν ζωήν διήνυσας Όσιε, μετά φρονήσεως έσχες, σύν ανδρεία γάρ τήν δικαιοσύνην, καί τώ κύκλω, τών αρετών εφάνης κοσμούμενος.

Ευκλείας μαρτυρικής επέβης Θεόφανες, τής Θεομήτορος Κόρης, καί Μαρτύρων Πάτερ τούς χαρακτήρας, ως τιμήσας, καί τοίς διώκταις αντιταξάμενος.

Θεοτοκίον

Ωθαύμα, τών απάντων θαυμάτων καινότερον! ότι Παρθένος εν μήτρα, τόν τά σύμπαντα περιέποντα, απειράνδρως, συλλαβούσα ουκ εστενοχώρησε.

Κοντάκιον Ήχος β'

Τά άνω ζητών

Εξ ύψους λαβών, τήν θείαν αποκάλυψιν, εξήλθες σπουδή, εκ μέσου τών θορύβων, καί μονάσας Όσιε, ενεργείας θαυμάτων είληφας, καί προφητείας χαρίσματα, συμβίου καί πλούτου στερούμενος.

Ο Οίκος

Επί τής γής μηδέν προτιμήσας, η κολούθησας χαίρων τώ καλούντί σε Χριστώ, καί τόν ζυγόν αυτού έλαβες επί τών ώμων τών σών προθύμως, καί ανάπαυσιν εύρες τή ψυχή σου, ήν περ καμοί τώ πτωχώ καί ραθύμω κατάπεμψον τώ λέγοντι, καί μηδόλως εκτελούντι, αλλ' έτι σχολάζοντι, εν τοίς τού βίου πράγμασι, καί θαυμάζοντι, πώς πάντα έφυγες, συμβίου καί πλούτου στερούμενος.

Συναξάριον

Τή ΙΒ' τού αυτού μηνός, Μνήμη τού Οσίου, Πατρός ημών καί Ομολογητού Θεοφάνους τής Σιγγριανής, τού εν τώ μεγάλω αγρώ κειμένου.

Στίχοι

- Θεόφανες, φάνηθι πιστοίς προστάτης,
- Τιμώσι πιστώς σόν μετ' ειρήνης τέλος,
- Δωδεκάτη φθινύθοντος απήρε βίου Θεοφάνης.

Τή αυτή ημέρα, Μνήμη τού οσίου Πατρός ημών Γρηγορίου, Πάπα Ρώμης τού Διαλόγου.

Στίχοι

- Ο Γρηγόριος εκ μέσου μέν τού βίου.
- Εν τώ μέσω δέ τού χορού τών Αγγέλων.

Τή αυτή ημέρα, οι Άγιοι εννέα Μάρτυρες πυρί τελειούνται.

Στίχοι

- Πρός τήν κάμινον θαρσύνει τούς εννέα,
- Θείου πόθου κάμινος εκκεκαυμένη.

Τή αυτή ημέρα, ο δίκαιος Φινεές έν ειρήνη τελειούται.

Στίχοι

- Έστι Φινεές, άλλά τού Θεού πέλας,
- Ημίν ιλασμώ ψυχικήν θραύσιν λύων.

Τή αυτή ημέρα, ο Όσιος καί θεοφόρος Πατήρ ημών Συμεών ο νέος θεολόγος εν ειρήνη τελειούται.

Στίχοι

- Πρώην μέν είχες γλώτταν αντί τής βίβλου,
- Γλώττης δέ αντί, σήν έχεις ήδη βίβλον.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς.

Ωδή ζ' Ο Ειρμός

«Εν τή καμίνω,, Αβραμιαίοι Παίδες τή Περσική, πόθω ευσεβείας μάλλον ή τή φλογί, πυρπολού μενοι εκραύγαζον, Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε».

Τό κατ' εικόνα, σύ κεκτημένος καί ομοίωσιν, βίω λαμπροτάτω, Πάτερ προσειληφώς, δι' αμφοτέρων υπερέλαμψας, Ευλογημένος εί, ο Θεός μου κραυγάζων καί Κύριος.

Ομολογίας, σύ τώ στεφάνω Πάτερ διέπρεψας, έργω διελέγξας λόγους τών δυσσεβών, τούς πιστούς δέ εβεβαίωσας, Ευλογημένος εί, ο Θεός μου κραυγάζων καί Κύριος.

Νού στερροτάτη, εν προθυμία τάς τού σώματος, Πάτερ, αλγηδόνας ήνεγκας καρτερώς, ευχαρίστως τώ Δεσπότη σου, Ευλογημένος εί, ο Θεός μου κραυγάζων καί Κύριος.

Θεοτοκίον

Τό τού υψίστου, ηγιασμένον θείον σκήνωμα χαίρε, διά σού γάρ δέδοται η χαρά, Θεοτόκε τοίς κραυγάζουσιν, Ευλογημένη σύ, εν γυναιξί πανάμωμε Δέσποινα.

Ωδή η' Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Θεώμενος Μάκαρ τό στερρόν, τής σής ενστάσεως, Λέων ο τύρραννος,

υπερορία σε έπεμψε, πικροτάτη παμπόνηρος, εν ευφροσύνη δέ βοών, ταύτην υπήνεγκας, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Επί τό πρωτότυπον ειδώς, τήν τής εικόνος τιμήν διαβιβάζεσθαι, επί τό στάδιον έδραμες, Αθλητής ως εννομώτατος, καί νικητής αναδειχθείς, στέφανον είληφας, αναμέλπων, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Ουράνιον αντί τής εν γή, σκηνήν σοι δέδωκεν, ο πάντων Κύριος, αντί στενώσεως εύρες γάρ, πλατυσμόν αγαλλιάσεως, εν Παραδείσω τής τρυφής, μετά Μαρτύρων βοών, ευλογείτε, πάντα τά
έργα Κυρίου τόν Κύριον.

Φωτί ελαμπρύνθης νοητώ, τού θείου Πνεύματος, μάκαρ Θεόφανες, όθεν ιάματα βρύεις νύν, τοίς εν πίστει σοι προστρέχουσι, καί τήν αγίαν σου σορόν, πόθω γεραίρουσι, καί βοώσι, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Θεοτοκίον

Σύ μόνη εν πάσαις γενεαίς, Παρθένε άχραντε, Μήτηρ εδείχθης Θεού, σύ τής θεότητος γέγονας, ενδιαίτημα πανάμωμε, μή φλογισθείσα τώ πυρί, τού απροσίτου φωτός, όθεν πάντες, σέ ευλογούμεν Μαρία Θεόνυμφε.

Ωδή θ'  Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Άπαντα τόν βίον σκορπίσας, τοίς δεομένοις θεοφόρε, τήν δικαιοσύνην σου σαφώς, αντικομίζη σοι ανατέλλουσαν, αντί φθαρτών δρεπόμενος, τά δι' αιώνος διαμένοντα.

Νόσους θεραπεύεις Παμμάκαρ, τού Παρακλήτου τή δυνάμει, δαίμονας σαφώς απελαύνεις, τή ενεργεία τούτου πανόλβιε, διό πιστοί θεώμενοι, σέ θεοφόρε μακαρίζομεν.

Η σή φωτοφόρος θεόφρον, τής μεταστάσεως ημέρα, πάντας προσκαλείται τούς πιστούς, πρός μετουσίαν τού αγιάσματος, ήν περ καί νύν γηθόμενοι, επιτελούμεν ιερώτατε.

Νέμοις τήν σήν άφθονον χάριν, τώ τών επαίνων σου τούς λόγους, πλέξαντι θεόφρον προθύμως, ομότροπόν σοι ώσπερ ομώνυμον, τούτον δεικνύς πρεσβείαις σου, ταίς ευπροσδέκτοις Ιερώτατε.

Θεοτοκίον

Δέχου τάς λιτάς τού Λαού σου, πρός τόν Υιόν σου Θεοτόκε, ιλεωσαμένη ευμενώς, ημάς κινδύνων καί περιστάσεων, ρυσθήναι τούς υμνούντάς σε σύ γάρ προστάτις τής ζωής ημών.

Τό Φωταγωγικόν τού Ήχου.

Τό Ιδιόμελον τής ημέρας, καί τό Μαρτυρικόν.

Δόξα... Καί νύν... Θεοτοκίον

Η Σταυροθεοτοκίον

Αι μετάνοιαι, καί η α' Ώρα, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΓ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής Ανακομιδής τού Λειψάνου τού έν Αγίοις Πατρός ημών Νικηφόρου, Πατριάρχου Κωνσταντινουπόλεως.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'
Ώ τού παραδόξου

Λόγω τά πάθη Πανόλβιε, καθυποτάξας σαφώς, τήν ψυχήν κατελάμπρυνας, αρετών εν χρώμασι, καί δογμάτων ορθότητι, τόν τής σοφίας πλούτον δρεψάμενος, καί διανείμας τοίς σοί προστρέχουσι, λύχνος πολύφωτος, γεγονώς τή χάριτι, θεοπρεπώς, ώφθης εγκαλλώπισμα, τή Εκκλησία Χριστού.

Νίκην κατ' εχθρών αράμενος, δικαιοσύνης λαμπρώ, νύν στεφάνω κεκόσμησαι, Νικηφόρε πάνσοφε, τής αγνείας διδάσκαλε, τής ευσεβείας στύλος ακράδαντος, τής Εκκλησίας ακαταμάχητος, πύργος γενόμενος, τών αφρόνων άπασαν, αιρετικών, φάλαγγα κατέστρεψας, θεόφρον Όσιε.

Ένδον τών αδύτων πέφηνας, εις ουρανούς αναβάς, αρετών εποχούμενος, θεορρήμον άρμασι, διφρηλάτης αιθέριος, ως ο θεσβίτης νύν ανυψούμενος, ού καί τόν ζήλον εκμιμησάμενος, ξίφει τού Πνεύματος, τής αισχύνης άπαντας, τούς Ιερείς, άριστα κατέσφαξας, μακαριώτατε.

Δόξα... Καί νύν... Θεοτοκίον

Χαίροις οικουμένης καύχημα, χαίρε Κυρίου ναέ, χαίρε όρος κατάσκιον, χαίρε καταφύγιον, χαίρε λυχνία χρυσή, χαίρε τό κλέος τών ορθοδόξων σεμνή, χαίρε Μαρία, Μήτηρ Χριστού τού Θεού, χαίρε Παράδεισε, χαίρε θεία τράπεζα, χαίρε σκηνή, χαίρε στάμνε πάγχρυσε, χαίρε η πάντων ελπίς.

Η Σταυροθεοτοκίον

Ήλιος ιδών σε έφριξεν, επί Σταυρού Ιησού, ηπλωμένον θελή ματι, καί η γή εσείετο, καί πέτραι διερρήγνυντο, καί τά μνημεία φόβω ηνοίγοντο, καί αι δυνάμεις πάσαι εξίσταντο, άπερ ως έβλεψεν, η Παρθένος Δέσποινα, εν στεναγμοίς, Οίμοι ανεκραύγαζε, τί τό ορώμενον:

Απολυτίκιον  Ήχος δ'

Κανόνα πίστεως καί εικόνα πραότητος, εγκρατείας διδάσκαλον ανέδειξέ σε τή ποίμνη σου, η τών πραγμάτων αλήθεια, Διά τούτο εκτήσω τή ταπεινώσει τά υψηλά, τή πτωχεία τά πλούσια, Πάτερ Ιεράρχα Νικηφόρε, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τού Αγίου, καί τού Τριωδίου. Ο κανών τού Αγίου.

Ποίημα Ιγνατίου

Ωδή α'  Ήχος β'

«Δεύτε Λαοί, άσωμεν άσμα Χριστώ τώ Θεώ, τώ διελόντι θάλασσαν, καί οδηγήσαντι, τόν Λαόν όν ανήκε, δουλείας Αιγυπτίων, ότι δεδόξασται».

Αμαρτιών, τάφω δεινώ συσχεθέντα με, τή αθανάτω νεύσει σου καί τή ευσπλάγχνω σου, αναστήσας παλάμη, ζώωσον ως οικτίρμον, καί πολυέλεος.

Τάς γενικάς, τών αρετών τελειότητας, τετραμερώς κτησάμενος, καί ως εν άρματι, επιβάς θεοφόρε, εις νύσσαν θεωρίας, ήρθης εκ πράξεως.

Σύ τής ζωής, τής ακηράτου δεξάμενος, εκ τού κρατήρος Όσιε, τό θείον έπιε, καί νηφάλιον πόμα, διό καί τής σοφίας, δοχείον γέγονας.

Απελαθείς, θρόνου καί δόξης καί ποίμνης σου, χειρί βιαία Όσιε, τών τής αιρέσεως, θυμοφθόρων θηρίων, νυνί πρός τήν οικείαν, μάνδραν εισήλασας.

Θεοτοκίον

Τόν τού Πατρός, Λόγον τώ λόγω συνείληφας, καί υπέρ λόγον τέτοκας, καί μετά κύησιν, υπέρ φύσιν καί λόγον, Παρθένος ως πρό τόκου, πάλιν διέμεινας.

Ωδή γ'  Ο Ειρμός

«Στερέωσον ημάς εν σοί Κύριε, ο ξύλω νεκρώσας τήν αμαρτίαν, καί τόν φόβον σου εμφύτευσον, εις τάς καρδίας ημών τών υμνούντων Σε».

Τώ όπλω τού Σταυρού θωρακισάμενος, τό θείον εκτύπωμα τού Σωτήρος, περιγράφων προσεκύνεις ευσεβώς, πατρικοίς εφεπόμενος θεσπίσμασιν.

Ποίμνη τόν ποιμένα σε ποθήσασα, τόν ταύτης κατ' όνομα συγκαλούντα, καί τούς λύκους εκδιώκοντα, τή τής πίστεως ράβδω σοί προστρέχει Σοφέ.

Ως πάλαι Ιωσήφ τού θείου σώφρονος, τό σώμα ο Ισραήλ συγκομίζει, ούτω νύν η Εκκλησία Χριστού, τήν σορόν τών λειψάνων σου σεβάζεται.

Θεοτοκίον

Ναός καί ιερόν κατοικητήριον, τού Λόγου υπάρχουσα Θεοτόκε, τών πταισμάτων ιλαστήριον, Παναγία γενού μοι Θεονύμφευτε.

Κάθισμα Ήχος γ'
Θείας πίστεως

Νίκαις έστεψας τήν Εκκλησίαν, πλάνην έτρεψας κακοδοξίας, Νικηφόρος φερωνύμως γενόμενος, καί αγιάζεις τού κόσμου τά πέρατα, συγκομιδή τού αγίου λειψάνου σου, Πάτερ Οσιε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Θεοτοκίον

Θείας φύσεως ουκ εχωρίσθη, σάρξ γενόμενος εν τή γαστρί σου, αλλά Θεός εναθρωπήσας μεμένηκεν, ο μετά τόκον Μητέρα Παρθένον σε, ως πρό τού τόκου φυλάξας Πανάμωμε, μόνος Κύριος, Αυτόν εκτενώς ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Η Σταυροθεοτοκίον

Η αμίαντος αμνάς τού Λόγου, η ακήρατος Παρθενομήτωρ, εν τώ Σταυρώ θεασαμένη κρεμάμενον, τόν εξ αυτής ανωδίνως βλαστήσαντα, μητροπρεπώς θρηνωδούσα εκραύγαζεν, Οίμοι τέκνον μου! πώς πάσχεις θέλων ρύσασθαι, παθών τής ατιμίας τόν άνθρωπον;

Ωδή δ' Ο Ειρμός

«Εισακήκοα Κύριε, τή ν ακοήν τής σής οικονομίας, καί εδόξασά σε, μόνε φιλάνθρωπε».

Κιβωτός αγιάσματος, εξ ής πηγήν ιάσεων αντλούμεν, η σορός σου γέγονε τοίς τιμώσί σε.

Τάς αιρέσεις εδίωξας, καί τήν τής ποίμνης μάνδραν ησφαλίσω, διδαχαίς ενθέοις περιφραξάμενος.

Κατά χρέος τιμώμέν σου, τήν τών Λειψάνων Μάκαρ μυροθήκην, ως ζωής πηγάζουσαν, ευωδίαν πιστοίς.

Θεοτοκίον

Νοητόν σε Παράδεισον, τής ζωής τό ξύλον δεξαμένην, εν γαστρί Παρθένε Χριστόν δοξάζομεν.

Ωδή ε' Ο Ειρμός

«Ο τού φωτός χορηγός, καί τών αιώνων Ποιητής Κύριος, εν τώ φωτί τών σών προσταγμάτων οδήγησον ημάς, εκτός σου γάρ άλλον Θεόν ου γινώσκομεν».

Εχθροί αισχύνονται νύν, αιρεσιάρχαι σύν αυτοίς μαίνονται, τήν σήν σορόν ορώντες θεόφρον, πιστώς Τιμωμένην, υπό Βασιλέως καί πάσης τής ποίμνης σου.

Η ιερά σου σορός, τά τών δαιμόνων πονηρά πνεύματα, ως φοβερά μάστιξ

εκδιώκει, καί νίκην κατ' αυτών, Νικηφόρε δόξης, θεόθεν κομίζεται.

Τού συνειδότος εν σοί, τό χωνευτήριον πυρί Πνεύματος, αναφλεχθέν, ως χρυσόν τή πίστει, σέ έδειξε λαμπρόν, τών αιρετιζόντων, ελέγχον τό κίβδηλον.

Θεοτοκίον

Ωραιωθείσα Σεμνή, τή επελεύσει τού σεπτού Πνεύματος, Θεόν μαζοίς θηλάζεις, καί τούτον συνέχεις αγκάλαις, τόν πάσαν τήν κτίσιν, παλάμαις συνέχοντα.

Ωδή ς'  Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, εκ φθοράς ο Θεός με ανάγαγε».

Υπέρ πίστεως πάθη υπέμεινας, υπέρ τής Πατέρων σεπτής παραδόσεως, υπερορίας ήνεγκας, δι' ών δόξαν εκτήσω υπέρτιμον.

Η εδραία σου πίστις καί ένστασις, τάς τών τυραννούντων ανοίας διέσεισε, στύλος πυρός δέ γέγονε, τή σεπτή Εκκλησία Μακάριε.

Ως φαιδρούς μαργαρίτας καί λίθους Σοφέ, υπερδιαυγείς τήν σορόν καί τήν κόνιν σου, η Εκκλησία φέρουσα, ορθοτόμω στεφάνω καλλύνεται.

Θεοτοκίον

Τόν απόρρητον τρόπον τού τόκου σου, γλώσσαι γηγενών καί Αγγέλων γεραίρουσι, τών ποιημάτων Δέσποινα, υπερτέραν σε πάντων δοξάζουσαι.

Συναξάριον

Τή ΙΓ' τού αυτού μηνός, μνήμη τής Ανακομιδής τού Λειψάνου τού εν Αγίοις Πατρός ημών Νικηφόρου, Πατριάρχου Κωνσταντινουπόλεως.

Στίχοι

- Νίκης εορτήν η πόλις Νικηφόρε,
- Δοχήν άγει σου Λειψάνου Νικηφόρου.
- Χούς τρισκαιδεκάτη Νικηφόρου άστυ εισήχθη.

Τή αυτή ημέρα, μνήμη τού Ιερομάρτυρος Πουπλίου επισκόπου Αθηνών.

Στίχοι

- Στολήν έβαψας αιμάτων ρείθροις, μάκαρ,
- Καί λαμπρός ώφθης νύν Κυρίω ή πλέον.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Αφρικανού, Πουπλίου, καί Τερεντίου, ών η Σύναξις τελείται εν τώ Παυλοπετρείω.

Στίχοι

- Συμμάρτυρας τρείς, ών διά ξίφους τέλος,
- Ίσα στεφάνοις τοίς ιάμβοις χρή στέφειν.

Τή αυτή ημέρα, ο Άγιος Άβιβος ο εξ Ερμουπόλεως, λίθω προσδεθείς, καί εν ποταμώ βληθείς, τελειούται.

Στίχοι

- Βληθείς Άβιβος εις ποταμόν σύν λίθω,
- Εκπλεί ποταμόν συρφετώδη τού βίου.

Τή αυτή ημέρα, η Αγία Μάρτυς Χριστίνα η εκ Περσίδος, μαστιζομένη τελειούται.

Στίχοι

- Μάστιξ τό τύπτον, σάρξ τό πάσχον Χριστίνης.
- Χριστού χάριν χέουσα κρουνούς αιμάτων.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ς' Ο Ειρμός

«Εικόνος χρυσής, έν πεδίω Δεηρά λατρευομένης, οι τρείς σου Παίδες κατεφρρρρ οόνησαν, αθεωτάτου προστάγματος μέσον δέ πυρός εμβληθέντες, δροσιζόμενοι έψαλλον, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών».

Τή θεία ροπή, αδιάφθορα τηρείται τά εντάφια, καί τά όστά σου θείω νεύματι, τήν αρμονίαν μή λύσαντα, πάσαν ακαθάρτων πνευμάτων, διασκεδάζει κακόνοιαν, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Συντρέχει Ποιμήν, Βασιλεύς τε ευσεβής καί τών εν τέλει πληθύς, καί υποθέντες τή ενδόξω σου, σορώ αυχένας θεόληπτε, ώσπερ κιβωτώ παναγία, δορυφορούσι καί ψάλλουσιν, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Ο θείος σηκός, τών τού Λόγου Μαθητών υποδεχέσθω σεμνώς, τών Αποστόλων τόν συνόμιλον, καί τών Μαρτύρων τόν σύσκηνον, τών Ιεραρχών τήν κρηπίδα, καί τόν Οσίων ομότροπον, Ευλογητός εί, ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Ορών Μωϋσής, βάτον άφλεκτον πυρί αναπτομένην, εν τώ Σιναίω Μήτερ πάναγνε, προδιετύπου τήν μήτραν σου, πύρ γάρ συλλαβούσα τό θείον, ου κατεφλέχθης, αλλ' έτεκες, τόν τού φωτός δημιουργόν, Θεόν καί Άνθρωπον.

Ωδή η' Ο Ειρμός

«Τόν εν καμίνω τού πυρός, τών Εβραίων τοίς Παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον, μεταβαλόντα, Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε εις πάντας τούς αιώνας».

Εν τώ λιμένι τής ζωής, εκ πολλών τρικυμιών έφθασας Πάτερ, τή τού

Πνεύματος αύρα, καί τό τού φόρτου καλόν, αβρόχω ποδί σου διέσωσας, καί νύν απολαυεις τής εκείσε γαλήνης.

Τάφον ορώντες οι πιστοί, εις κοινόν θυσιαστήριον ληφθέντα, εν ώ θείαι τελούνται όλοκαυτώσεις, πιστώς, καί ένδον, νεκρόν Ιερώτατον, τόν θαυματουργόν υπερυψούμεν.

Χαίρει τό ποίμνιον φαιδρώς, εορτάζει Μοναστών λαμπρά χορεία, καί πιστών Βασιλέων η ευσεβής πορφυρίς, καί πάσα δυναστών ομήγυρις, επί τή σεμνή κομιδή τών σών λειψάνων.

Θεοτοκίον

Λόγω τόν Λόγον εν γαστρί, τών τά πάντα συστησάμενον τώ λόγω, συλλαβούσα ασπόρως Θεοκυήτορ Αγνή Παρθένε, υπέρ λόγον τέτοκας, όν υπερυψούμεν εις πάντας τούς αιώνας.

Ωδή θ'  Ο Ειρμός

«Τόν εκ Θεού Θεόν Λόγον, τόν αρρήτω σοφία, ήκοντα καινουργήσαι τόν Αδάμ, βρώσει φθορά πεπτωκότα δεινώς, εξ αγίας Παρθένου, αφράστως σαρκωθέντα δι' ημάς, οι πιστοί Ομοφρόνως, εν ύμνοις μεγαλύνομεν».

Επί τή σή πανηγύρει, καί τοίς επαίνοις σου Πάτερ,, Αγγέλων συγχορεύουσα πληθύς, τόν υπεράγιον Κύριον, ευχαρίστως δοξάζει, καί τήν ειρήνην άνωθεν ημίν, εξαιτείται τοίς πίστει, τιμώσί σου τό λείψανον.

Η τών λειψάνων σου χάρις, ως σεπτόν ιατρείον, τή ασθενεία γένοιτο ημίν, καί η πρεσβεία Πανεύφημε, ιλαστήριον πάσι, καί πρός Θεόν οδός καί οδηγός, τοίς εν πίστει καί πόθω, τιμώσί σε μακάριε.

Νικητικαίς πανοπλίαις, τούς πιστούς θωρακίσας, Παντάναξ τή χειρί σου Βασιλείς, κατά Βαρβάρων ενίσχυσον, καί τήν σήν Εκκλησίαν, ως άσφαλή κρηπίδα τών πιστών, τού Οσίου πρεσβείαις, ορθοτομούσαν, φύλαττε.

Θεοτοκίον

Ως κραταιάν προστασίαν, ως ελπίδα καί τείχος, καί άγκυραν καί σκέπην ασφαλή, καί απροσμάχητον έρεισμα, καί αχείμαστον όρμον, καί μόνον καταφύγιον, Αγνή, κεκτημένον σε πάντες, σωζόμεθα Πανύμνητε.

Τό Φωταγωγικόν, τό Ιδιόμελον σύν τώ Μαρτυρικώ.

Καί η λοιπή Ακολουθία ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΔ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Βενεδίκτου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε Εκέκραξα. Στιχηρά Προσόμοια.

Ήχος β'
Ότε εκ τού ξύλου σε

Νεύσει καί αγάπη, αληθεί, κόσμον αρνησάμενος Πάτερ, εκ βρέφους Όσιε, χαίρων ηκολούθησας, τώ σταυρωθέντι Χριστώ, καί πολλοίς αγωνίσμασι, τήν σάρκα νεκρώσας, χάριν τών ιάσεων, πλουσίως έλαβες, παύειν ασθενείας ποικίλας, καί τής πονηρίας διώκειν, πνεύματα μεγάλως θαυμαζόμενος.

Κόσμος γεγονώς τών Μοναστών, ήθροισας ανείκαστον πλήθος, υμνείν τόν Κύριον, Όσιε Πατήρ ημών, καί πρός ουράνιον, πάντας τρίβον ωδήγησας, καλώς επομένους, θείοις σου διδάγμασι, καί μιμουμένους σου, βίον τόν ενάρετον μάκαρ, ούς καί πάλιν άμα συνήξας, εν τή μεταστάσει σου Βενέδικτε.

Πάλαι ώς Ηλίας υετούς, Πάτερ ουρανόθεν εντεύξει, θεία κατήγαγες, βλύζειν δέ τό έλαιον, άγγος εποίησας, καί νεκρόν εξανέστησας, καί άλλα μυρία, θαύματα ετέλεσας, εις δόξαν Όσιε, πάντως τού Θεού καί Σωτήρος, όθεν σου τήν ένθεον μνήμην, πόθω εορτάζομεν Βενέδικτε.

Δόξα... Καί νύν... Θεοτοκίον

Στήσον τού νοός μου εκτροπάς, καί τάς τών αισθήσεων πλάνας, καί τά ινδάλματα, τέλεον εξάλειψον, τών ψυχοφθόρων παθών, καί ψυχής μου τόν τάραχον, κατεύνασον Κόρη, ίνα μεγαλύνω σου, τήν αγαθότητα, σέ γάρ τής ζωής μου απάσης, κέκτημαι προστάτιν Παρθένε, καί τής ασθενείας μου βοήθειαν.

Η Σταυροθεοτοκίον

Ότε εν σταυρώ σε η Αμνάς, Άρνα τόν οικείον εώρα, κατακεντούμενον, ήλοις ωλοφύρετο, εκπληττομένη, σφοδρώς, καί δακρύουσα έλεγε, Πώς θνήσκεις Υιέ μου, θέλων τό χειρόγραφον τού πρωτοπλάστου Αδάμ, ρήξαι καί θανάτου λυτρώσαι, άπαν τό ανθρώπινον; Δόξα, τή οικονομία σου φιλάνθρωπε.

Εις τόν Στίχον, τό Ιδιόμελον, τό Μαρτυρικόν, τό Θεοτοκίον.

Καί τά λοιπά καί Απόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, οι Κανόνες τού Αγίου, καί τού Τριωδίου εις τήν τάξιν αυτών. Τού Αγίου Κανών, ού η Ακροστιχίς.

Ύμνον προσάξω τώ σοφώ Βενεδίκτω. Ιωσήφ.

Ωδή α'  Ήχος β'
Ο Ειρμός

«Δεύτε λαοί, άσωμεν άσμα Χριστώ τώ Θεώ, τώ διελόντι θάλασσαν, καί

οδηγήσαντι, τόν λαόν όν ανήκε, δουλείας Αιγυπτίων ότι δεδόξασται».

Υμνολογείν, τήν αξιέπαινον μνήμην σου, προαιρουμένω Όσιε, χάριν δοθήναί μοι, Βενέδικτε δυσώπει, καί πάντων επταισμένων τήν απολύτρωσιν.

Μοναδικώς, τόν σόν εκ βρέφους αράμενος, σταυρόν κατηκολούθησας τώ Παντοκράτορι, καί νεκρώσας τήν σάρκα, ζωής κατηξιώθης μακαριώτατε.

Νόμω Θεού, υποκλιθείς παμμακάριστε, τά τών παθών σκιρτήματα εναπεμάρανας, εγκρατείας ιδρώσι, καί τήν τής απαθείας χάριν επλούτησας.

Θεοτοκίον

Οι διά σού, τήν αφθαρσίαν πλουτήσαντες, Θεοκυήτορ πάναγνε, Χαίρε βοώμέν σοι η Κεχαριτωμένη, Οσίων καί Δικαίων τό εγκαλλώπισμα.

Ωδή γ'  Ο Ειρμός

«Στερέωσον ημάς εν σοί Κύριε, ο ξύλω νεκρώσας τήν αμαρτίαν, καί τόν φόβον σου εμφύτευσον, εις τάς καρδίας ημών τών υμνούντων σε».

Ναμάτων ζωτικών τού θείου Πνεύματος, πλησθείσα Βενέδικτε η ψυχή σου, ποταμούς θαυμάτων έβλυσε, νοσημάτων ξηραίνοντας επήρειαν.

Πρός πλάτος Παραδείσου κατεσκήνωσας, Παμμάκαρ οδεύσας, στενήν τήν τρίβον, καί δαιμόνων πανουργεύματα, καί πορείας ατάκτους απεστένωσας.

Ροαίς σου τών δακρύων αρδευόμενος, ως δένδρον Βενέδικτε καρποφόρον, ευκαρπίαν θείαν ήνεγκας, αρετών καί θαυμάτων θεία χάριτι.

Θεοτοκίον

Ο μόνος αγαθός τήν σήν σαρκούμενος, υπέδυ Παναμώμητε γαστέρα, καί βροτός ωράθη τέλειος, ικέτευε σώσαι τάς ψυχάς ημών.

Κάθισμα  Ήχος α'

Τού λίθου σφραγισθέντος

Μονάσας θεαρέστως, εναρέτως εβίωσας, καί χάριν ιαμάτων, εκομίσω Βενέδικτε, θαυμάσια τελέσας φοβερά, Μονήν δέ συγκροτήσας ιεράν, προσενήνοχας Κυρίω τών σωζομένων πληθύν παναοίδιμε, Δόξα τώ σέ λαμπρύναντι Θεώ, δόξα τώ σέ στεφανώσαντι, δόξα τώ ενεργούντι διά σού πάσιν ιάματα.

Θεοτοκίον

Τάς χείράς σου τάς θείας, αίς τόν Κτίστην εβάστασας, Παρθένε Παναγία, σαρκωθέντα χρηστότητι, προτείνουσα δυσώπησον αυτόν, λυτρώσασθαι ημάς εκ πειρασμών, καί παθών καί τών κινδύνων, τούς ευφημούντάς σε πόθω καί βοώντάς σοι, Δόξα τώ ενοικήσαντι εν σοί, δόξα τώ παρελθόντι εκ σού, δόξατώ ελευθερώσαντι ημάς διά τού τόκου σου.

Η Σταυροθεοτοκίον

Σταυρώ σου προσπαγέντος, υπό τών παρανόμων, καί στρατιωτών Σώτερ

λόγχη, τήν πλευράν ορυγέντος, η Πάναγνος ωδύρετο πικρώς, τά σπλάγχνα κοπτομένη μητρικώς, καί τό πολύ σου καί φρικτόν, τής ανοχής εξίστατο βοώσα, Δόξα τή πρός ανθρώπους σου στοργή, δόξα τή σή χρηστότητι, δόξα τώ εν τώ θανάτω σου βροτούς αθανατίζοντι.

### Ωδή δ' Ο Ειρμός

«Υμνώ σε, ακοή γάρ Κύριε, εισακήκοα καί εξέστην, έως εμού ήκεις γάρ, εμέ ζητών τόν πλανηθέντα, Διό τήν πολλήν σου αγαθότητα, τήν εις εμέ δοξάζω Παντοδύναμε».

Σταυρώσας, σεαυτόν τοίς πάθεσι, καί τώ κόσμω θεόφρον Πάτερ, τόν εν Σταυρώ τείναντα εθελουσίως τάς παλάμας Χριστόν, εθεράπευσας Βενέδικτε, όν εκδυσώπει σώσαι τάς ψυχάς ημών.

Αγώσιν, εγκρατείας Όσιε, τής σαρκός νεκρώσας τά μέλη, νεκρούς ευχή ήγειρας, καί παρειμένοις ευδρομίαν πιστώς, θαυμαζόμενος απένειμας, καί πάσαν νόσον Πάτερ εθεράπευσας.

Ξηράς τε, καί ανίκους Όσιε, απειργάσω ψυχάς γονίμους, τώ ζωτικώ λόγω σου, καί τών θαυμάτων επιδείξει, Ποιμήν θεοπρόβλητος γενόμενος, καί μοναζόντων κόσμος ωραιότατος.

### Θεοτοκίον

Ως όμβρος επί πόκον Άχραντε, τή σεπτή σου γαστρί ο Λόγος, κατήλθε σαρκούμενος, καί έπαυσε πολυθεΐας σαφώς, τά ομβρήματα Πανάμωμε, καί τόν πικρόν χειμώνα διεσκέδασεν.

### Ωδή ε' Ο Ειρμός

«Ο τού φωτός χορηγός, καί τών αιώνων ποιητής Κύριος, εν τώ φωτί τών σών προσταγμάτων, οδήγησον ημάς, εκτός σου γάρ άλλον Θεόν ού γινώσκομεν».

Τόν εν ελέει Θεόν, εκδυσωπών Πάτερ σοφέ έπλησας, ως Ηλιού καμψάκην ελαίου, τό άγγος τό μέγα, υπό τών ορώντων πιστώς θαυμαζόμενος.

Ως καθαρός την ψυχήν, σύ εν εκστάσει γεγονώς έβλεψας, πάσαν τήν γήν, ως υπό ακτίνα, λαμπομένην μίαν, Θεού σε τιμώντος, παμμάκαρ Βενέδικτε.

Σημειουργών εν Χριστώ, ύδωρ πηγάσαι δι' ευχής Όσιε, εκδυσωπείς τόν αγαθοδότην, όπερ διαμένει, επανακηρύττων, τό θαύμα Βενέδικτε.

### Θεοτοκίον

Ο κατοικών ουρανούς, τήν σήν πανάμωμον νηδύν ώκησεν, όπως ημάς, οίκους τής Τριάδος εναποτελέση, τούς σέ Θεοτόκον, κηρύττοντας Άχραντε.

### Ωδή ς' Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, Εκ φθοράς ο Θεός με ανάγαγε».

Φωταυγείαις λαμπόμενος Πνεύματος, σκότος πονηρών τών δαιμόνων εμείωσας, θαυματουργέ Βενέδικτε, μοναζόντων φωστήρ διαυγέστατε.

Ως περίδοξος Μάκαρ ο βίος σου, ως περιφανής η σεπτή πολιτεία σου, δι' ής αγέλας είλκυσας, Μοναζόντων πρός γνώσιν σωτήριον.

Βασιλείας οικήτωρ γενόμενος, τής επουρανίου θεόφρον Βενέδικτε, ταύτης τυχείν ικέτευε, τούς πιστώς σε αεί μακαρίζοντας.

Θεοτοκίον

Εκ γαστρός σου αγίας ανέτειλε, τής δικαιοσύνης ανέσπερος Ήλιος, καί τούς πιστούς εφώτισε, Θεοτόκε Παρθένε πανύμνητε.

Τό Μαρτυρικόν τού Ήχου.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΔ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Βενεδίκτου.

Στίχοι

- Άγξας λογισμοίς, ως χαλινοίς, πάν πάθος.
- Ζωής χαλινούς Βενέδικτος εκπτύει.
- Ούλυμπον Βενέδικτος έβη δεκάτη γε τετάρτη.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Αλεξάνδρου, τού έν Πίδνη.

Στίχοι

- Μή τούς στεφάνους ζημιωθήναι φέρων,
- Φέρει κεφαλής, Αλέξανδρος ζημίαν.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών καί Ομολογητού Ευσχήμονος, Επισκόπου Λαμψάκου.

Στίχοι

- Πρό τού θανείν Εύσχημος, είπεν άν Παύλος.
- Ευσχημόνως ώδευεν ως εν ημέρα.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Ρήτορες ανεδείχθησαν Παίδες, φιλοσοφώτατοι ποτέ, εκ θεολήπτου ψυχής γάρ, θεολογούντες χείλεσιν έμελπον, ο υπέρθεος τών Πατέρων, καί ημών Θεός ευλογητός εί».

Νέκρωσιν ζωηφόρον εκτήσω, τών ηδονών τή αποχή, όθεν νεκρούς εξεγείρειν, κατηξιώθης παμμάκαρ Βενέδικτε, θαυμαζόμενος υπό πάντων, τών Πιστών, ως Ηλιού ο μέγας.

Ειργάσω τοίς οσίοις σου πόνοις, μάνδραν απείρων μοναστών, ήτις αεί διαμένει, τειχιζομένη ταίς προστασίαις σου, Αξιάγαστε πειθομένη, τοίς καλώς υπό σού τυπωθείσι.

Δόξαντες θανατώσαι αφρόνως, Μάκαρ φαρμάκοις πονηροίς, σέ τόν φρουρούμενον θεία τού Παντουργού παλάμη, οι άφρονες κατησχύνθησαν, φωραθέντες τή εν σοί, τού Πνεύματος προγνώσει.

Θεοτοκίον

Ίασαι τής ψυχής μου τά πάθη, τής απαθείας τήν πηγήν, η συλλαβούσα Παρθένε, καί κατανύξεως όμβρους παράσχου μοι, προξενούντάς μοι τήν παράκλησιν εκεί, αγία Θεοτόκε.

Ωδή η' Ο Ειρμός

«Τόν έν καμίνω τού πυρός, τών Εβραίων τοίς Παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον, μεταβαλόντα Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Κατά παθών φθοροποιών, βασιλεύσας έν Χριστώ θεόφρον Πάτερ, ουρανών Βασιλείαν, κατηξιώθης οικείν, σύν πάσι τοίς καλώς βιώσασι, καί τόν παντεπόπτην, Θεόν ηγαπηκόσι.

Τάς σάς άγίας προσευχάς, προσδεχόμενος Θεός τοίς ενδεέσι, δια σού εχορήγει, τάς πρός τό ζήν αφορμάς, μεγάλως επί γής δοξάζων σε, ταίς θαυματουργίαις, Βενέδικτε τρισμάκαρ.

Ωραιωθείς ταίς καλλοναίς, τών ενθέων αρετών, πρός τούς ωραίους μετετέθης νυμφώνας, Πάτερ συνείναι Θεώ καί τούτου θείας ωραιότητος, εις τούς απεράντους, αιώνας απολαύειν.

Θεοτοκίον

Ιδού γεγέννηται εκ σού, Ησαϊας ως βοά Αγνή, Παιδίον, ο Υιός τού Υψίστου, καί σός οράται Υιός, Παρθένε, υιούς εργαζόμενος, τού επουρανίου Πατρός, τούς σέ υμνούντας.

Ωδή θ' Ο Ειρμός

«Τόν εκ Θεού Θεόν Λόγον, τόν αρρήτω σοφία, ήκοντα καινουργήσαι τόν Αδάμ, βρώσει φθορά πεπτωκότα δεινώς, εξ Αγίας Παρθένου, αφράστως σαρκωθέντα δι' ημάς, οι πιστοί ομοφρόνως, εν ύμνοις μεγαλύνομεν».

Ώφθης ως ήλιος μέγας, καταυγάζων τήν κτίσιν, σημείοις θεοφόρε φοβεροίς, καί αρετών αναλάμψεσι, διά τούτο τελούμεν, τήν μνήμην σου τήν όντως φωταυγή, φωτιζόμενοι Πάτερ, καρδίας αισθητήρια.

Σέ μοναζόντων αγέλαι, υπό σού κροτηθείσαι, ημέρας ευφημούσι καί νυκτός, μέσον τό σώμά σου έχοντες, αναβλύζον πλουσίως, θαυμάτων ποταμούς, Πάτερ σοφέ καί φωτίζον τά τούτων, απαύστως διαβήματα.

Ηλιακών λαμπηδόνων υπερήστραψας Πάτερ, τελέσας τού Θεού τάς εντολάς, καί πρός τό φώς τό ανέσπερον μετετέθης πρεσβεύων, δοθήναι ιλασμόν αμαρτιών, τοίς πιστώς σε τιμώσιν, αοίδιμε Βενέδικτε.

Θεοτοκίον

Φωτοκυήτορ Παρθένε, τής ψυχής μου τά νέφη, απέλασον καί δίδου καθαρώς, προσενοπτρίζεσθαι Δέσποινα, τό σωτήριον κάλλος, τού λάμψαντος αρρήτως, εκ τής σής παναγίας νηδύος, εις φώς Εθνών πανύμνητε.

Τό Φωταγωγικόν. Εις τόν Στίχον τό Ιδιόμελον σύν τώ Μαρτυρικώ.

Δόξα. Καί νύν. Θεοτοκίον

Η Σταυροθεοτοκίον

Καί η λοιπή Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΕ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Μαρτύρων, Αγαπίου καί τών σύν αυτώ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'
Ω τού παραδόξου θαύματος

Μάρτυρες Χριστού επτάριθμοι, τών διωκτών τάς ορμάς, καί τόν βίαιον θάνατον, εις ουδέν ηγήσασθε, αλλ' ετοίμως εσπεύσατε, ανδρειοφρόνως πρός τά παλαίσματα, καί νίκης στέφος αναδησάμενοι, συνηριθμήθητε, τοίς δικαίοις άπασι, μεθ' ών υμάς, πάντοτε γεραίρομεν καί μακαρίζομεν.

Μάρτυς αθλητά Αγάπιε, τών αγαθών τήν πηγήν, ορεκτών τό ακρότατον, αγαπήσας έσπευσας, τού πιείν τό ποτήριον, τού μαρτυρίου επικαλούμενος, Θεού τού ζώντος τό θείον όνομα, Ώ τής ανδρείας σου! ώ τής καρτερίας σου! δι' ής τυχείν, δόξης καί λαμπρότητος, σαφώς ηξίωσαι.

Μάρτυρες αξιοθαύμαστοι, εθελουσίω σφαγή, εαυτούς εξεδώκατε, καί τήν γήν τοίς αίμασι, τοίς ημών ηγιάσατε, καί τόν αιθέρα κατελαμπρύνατε, τή διαβάσει, καί νύν οικίζεσθε, εις τά ουράνια, πρός φώς τό ανέσπερον, υπέρ ημών, πάντοτε δεόμενοι, θεοειδέστατοι.

Δόξα... Καί νύν... Θεοτοκίον

Χαίρε φωτός θείον όχημα, χαίρε Κυρίου ναέ, καί σκηνή αγιάσματος, φώς ημίν ανέτειλας, έξ αχράντου νηδύος σου, καταφωτίζον κόσμου τά πέρατα, καί αγιάζον ημάς χρηστότητι, χαίρε κεφάλαιον, σωτηρίας Άχραντε, χαίρε φρικτόν,

άκουσμα καί λάλημα, τών πεποιθότων εις σέ.

Η Σταυροθεοτοκίον

Ήλιος Τέκνον ημαύρωται, καί η σελήνη τό φώς, εις ζοφώδες ιμάτιον, ζοφερώς μετέβαλε, γή κλονείται καί ρήγνυται, φρικτώς να, νού σου τό καταπέτασμα, καγώ πώς Τέκνον μή διαρρήξομαι, σπλάγχνα καί όμματα; πώς δέ μή τό πρόσωπον καταξανώ, αδίκως σε θνήσκοντα, βλέπουσα Σώτέρ μου;

Απολυτίκιον  Ήχος δ'

Τούς Μάρτυρας Χριστού ικετεύσωμεν πάντες, αυτοί γάρ τήν ημών σωτηρίαν αιτούνται, καί πόθω προσέλθωμεν πρός αυτούς μετά πίστεως, Ούτοι βρύουσι τών ιαμάτων τήν χάριν, ούτοι φάλαγγας αποσοβούσι δαιμόνων, ως φύλακες τής πίστεως.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη στιχολογίαν, οι Κανόνες.

Ο Κανών τών Αγίων, ού η Ακροστιχίς.

Επτά προσάξω μάρτυσι μελωδίαν. Ιωσήφ.

Ωδή α'  Ήχος πλ. δ'

Ο Ειρμός

«Άσωμεν τώ Κυρίω, τώ διαγαγόντι τόν λαόν αυτού, εν Ερυθρά θαλάσση, ότι μόνος ενδόξως δεδόξασται».

Εν τοίς επουρανίοις, Μάρτυρες υπάρχοντες σκηνώμασι, τούς υμάς ευφημούντας, επί γής φωτισμού αξιώσατε.

Πύργοι τής Εκκλησίας, ώφθητε τά τείχη καταστρέφοντες, τής ειδωλομανίας, Αθλοφόροι Χριστού γενναιότατοι.

Τέτρωσαι τή αγάπη, Μάρτυς αξιάγαστε Αγάπιε, τού Δεσπότου τών όλων, καί θανείν δι' αυτόν προτεθύμησαι.

Θεοτοκίον

Αίγλη φαεινοτάτη, τού εκ σού Παρθένε ανατείλαντος, τής ψυχής μου τάς κόρας, φωταγώγησον όπως δοξάζω σε.

Ωδή γ'  Ο Ειρμός

«Ουκ έστιν Άγιος, ώς ο Κύριος ημών, καί ουκ έστι δίκαιος, ως ο Θεός ημών, όν υμνεί πάσα κτίσις, ουκ έστιν Άγιος πλήν σου Κύριε».

Πυρί αναπτόμενος, τής αγάπης τού Χριστού, τήν πυράν εναπέσβεσας, Μάρτυς Αγάπιε τής ειδωλομανίας, ροαίς τών αιμάτων σου, όθεν ευφημούμέν σε.

Ρομφαίαι ωράθητε, διακόπτουσαι τομώς, μυριάδας μακάριοι, δαιμόνων εν χάριτι, καί νύν ταίς μυριάσιν, ηνώθητε χαίροντες, τών νοερών Δυνάμεων.

Οδόν διανύοντες, μαρτυρίου ανδρικώς, αποθέσει τού πνεύματος, τήν άνω εφθάσατε Βασιλείαν, εν ή περ εκέκτησθε, Μάρτυρες θείοι τό πολίτευμα.

Θεοτοκίον

Σαρκός Ομοιώτατι, εμφανισθέντα εκ τής σής φωτοφόρου νηδύος, τόν Κτίστην επέγνωμεν, διά σπλάγχνα ελέους, ημίν τοίς υμνούσί σε, Μήτερ αειπάρθενε.

Κάθισμα Ήχος α'

Τόν τάφον σου

Επτάριθμος χορός, τών Μαρτύρων υμνείσθω, αυτοί γάρ τήν ημών εκδιώκουσι βλάβην, ως φύλακες τής Πίστεως, Εκκλησίας προπύργια, ούτοι φάλαγγας, αποσοβούσι δαιμόνων, καί πρεσβεύουσιν, υπέρ ημών τόν Δεσπότην, ειρήνην βραβεύοντες.

Θεοτοκίον

Μητέρα σε Θεού, επιστάμεθα πάντες, Παρθένον αληθώς, καί μετά τόκον οφθείσαν, οι πόθω καταφεύγοντες, πρός τήν σήν αγαθότητα, σέ γάρ έχομεν, αμαρτωλοί προστασίαν, σέ κεκτήμεθα, εν πειρασμοίς σωτηρίαν, τήν μόνην πανάμωμον.

Η Σταυροθεοτοκίον

Η ασπιλος Άμνάς, τόν Αμνόν καί Ποιμένα, κρεμάμενον νεκρόν, επί ξύλου ορώσα, θρηνούσα εφθέγγετο, μητρικώς αλαλάζουσα, Πώς ενέγκω σου, τήν υπέρ λόγον Υιέ μου, συγκατάβασιν, καί τά εκούσια Πάθη, Θεέ υπεράγαθε;

Ωδή δ' Ο Ειρμός

«Εξ όρους κατασκίου Λόγε ο Προφήτης, τής μόνης Θεοτόκου μέλλοντος σαρκούσθαι, θεοπτικώς κατενόησε, καί εν τρόμω εδοξολόγει σου τήν δύναμιν».

Άγαν τόν Χριστόν Αγάπιε ποθήσας, πάθη τά αυτού ανδρείως εμιμήσω, σφαγιασθείς ως αρνίον εθελουσίως, Μεγαλομάρτυς αξιάγαστε.

Ξίφει εαυτούς ενδόντες ολοψύχως, Μάρτυρες σοφοί ρανίσι τών αιμάτων, επορφυρώσατε χλαίναν, ήν στολισθέντες, τούς ουρανούς περιπολεύετε.

Ω τής πρός Θεόν υμών θερμής αγάπης! δι' ής εαυτούς ηρνήσασθε τελείως, καί βιαιότατον θάνατον υποστάντες, αθανασίας ηξιώθητε.

Θεοτοκίον

Μύρον εν γαστρί τόν Λόγον υπεδέξω, άχραντε Αγνή τόν κόσμον δυσωδίας, αποκαθαίροντα πάσης τών επταισμένων, όθεν πιστώς σε μακαρίζομεν.

Ωδή ε' Ο Ειρμός

«Ο εκ νυκτός αγνοίας, θεογνωσία φαιδρύνας τά σύμπαντα, φώτισόν με πρός

όρθρον, τής δοξολογίας σου Κύριε».

Αγαπητός τή πράξει, ως καί τή κλήσει γενόμενος Ένδοξε, ήθλησας δι' αγάπην, τού παμβασιλέως Θεού ημών.

Ρήμα δεινού τυράννου, εξεφαυλίσατε Άγιοι Μάρτυρες, καί Χριστώ στρατευθέντες, φάλαγγας δαιμόνων ωλέσατε.

Τοίς Ιεροίς αγώσι, καταβαλόντες ανόμων τό φρύαγμα, στέφος αθανασίας, Μάρτυρες Χριστώ ανεδήσασθε.

Θεοτοκίον

Υμνολογίαις θείαις, τήν Θεοτόκον πιστοί μακαρίσωμεν, χαίρε λέγοντες, πύλη, μόνος ήν διώδευσε Κύριος.

Ωδή ς' Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

Σύν Αλεξάνδροις δυσί, Διονυσίοις τε μέλψωμεν, Αγάπιον τόν κλεινόν, Τιμόλαον Ρώμυλον, στερρώς εναθλήσαντας, καί τάς μυριάδας, τού εχθρού καταπαλαίσαντας.

Ιάσεων ποταμούς, αναπηγάζοντες Μάρτυρες, τά πάθη τών γηγενών, ενθέως καθαίρετε, διά τούτο χαίροντες, τά υμών εν πίστει, ευφημούμεν προτερήματα.

Νομίμως τόν ιερόν, αγώνα διατελέσαντες, νομίμως παντουργική, παλάμη εστέφθητε, επτάριθμοι Μάρτυρες, ουρανοπολίται, τών Αγγέλων ισοστάσιοι.

Θεοτοκίον

Μαράνασα τά φυτά, τής αθεΐας Πανάμωμε, τώ σώ Αγίω βλαστώ, τήν αναβλαστάνουσαν, εν εμοί εκάστοτε, τού εχθρού κακίαν, απομείωσον Θεόνυμφε.

Τό Μαρτυρικόν τού Ηχου.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΕ' τού αυτού μηνός, μνήμη τού Αγίου Μάρτυρος Αγαπίου, καί τών σύν αυτώ Πλησίου, Ρωμύλου, Τιμολάου, Αλεξάνδρων δύο, καί δύο Διονυσίων.

Στίχοι

- Έσπευδεν Αγάπιος εις μαρτυρίαν.
- Θεού γάρ αυτόν υπέθαλπεν αγάπη.
- Μετά τριών Πλήσιος εκτμηθείς ξίφει,
- Θεού σύν αυτοίς ίσταται νύν πλησίον.

- Ως Αλεξάνδροις κλήσις εκτομή, στέφος,
- Καί Διονυσίοις τε κοινά ήν τάδε.
- Πέμπτη καί δεκάτη τμήθη Αγάπιος, εταίροι.

Τή αυτή ημέρα, μνήμη τού Αγίου Αποστόλου Αριστοβούλου, Επισκόπου Βρεττανίας, αδελφού Βαρνάβα τού Αποστόλου.

Τή αυτή ημέρα, μνήμη τού Αγίου Μάρτυρος Νικάνδρου τού εν Αιγύπτω.

Στίχοι

- Νίκανδρον εκδαίρουσιν, ώσπερ αρνίον,
- Χείρας βαλόντες οι μάγειροι τής πλάνης.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Οι έκ τής Ιουδαίας, καταντήσαντες Παίδες εν Βαβυλώνι ποτέ, τή πίστει τής Τριάδος, τήν φλόγα τής καμίνου, κατεπάτησαν ψάλλοντες, ο τών Πατέρων ημών, Θεός ευλογητός εί».

Εαυτούς εκουσίως, πρός σφαγήν ώς αρνία παραδεδώκατε, μή πτήξαντες βασάνους, πανεύφημοι οπλίται, αλλ' ευθύμως κραυγάζοντες, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Λαμπρυνθείς τή αγάπη, τού τών όλων Δεσπότου, Μάρτυς Αγάπιε, υπέκλινας αυχένα, τώ ξίφει καί Μαρτύρων, ηριθμήθης στρατεύμασιν, Ο τών Πατέρων βοών, Θεός ευλογηός εί.

Ως λυχνία οράσθε, εν τώ οίκω Κυρίου Μάρτυρες ένδοξοι, επτάφωτος τώ κόσμω, φωτίζουσα βοώντας, τούς εν πίστει προφθάνοντας, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Θεοτοκίον

Δεδεμένον σειραίς με, αμυθήτων πταισμάτων λύσον Πανάμωμε, παρέχουσά μοι όμβρους, δακρύων μελωδούντι, τώ εκ σού ανατείλαντι, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Ωδή η'  Ο Ειρμός

«Τόν εν όρει αγίω δοξασθέντα, καί εν βάτω πυρί τό τής αειπαρθένου, τώ Μωϋσεί Μυστήριον γνωρίσαντα, Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας».

Ιατήρες ποικίλων νοσημάτων, χειρουργία τού Πνεύματος δειχθέντες, πάσας ημών τάς νόσους θεραπεύετε, όπως ευφημώμεν, καί δοξολογώμεν, υμών τήν θείαν μνήμην.

Αγαπήσας Θεόν, πρός τούτο Μάρτυς ηγαπήθης, διό σε τόν αγώνα, τόν θείον εκτελέσαντα προσήκατο, σύν τοίς ομοζήλοις, εν επουρανίοις, Αγάπιε θαλάμοις.

Νευρωθέντες τή πίστει τού Δεσπότου, δυναστείαν καθείλετε τού πλάνου, καί ευκλεώς ταίς νίκαις κλεϊζόμενοι, εις επουρανίους, Μάστυρες Κυρίου, οικείτε καταπαύσεις.

Θεοτοκίον

Ιασαί μου τά πάθη τής καρδίας, απαθείας πηγήν η τετοκυία, καί πρός ζωήν, με θείαν καθοδήγησον, ίνα σε δοξάζω, Μήτερ τού Σωτήρος, εις πάντας τούς αιώνας.

Ωδή θ' Ο Ειρμός

«Κυρίως Θεοτόκον, σέ ομολογούμεν, οι διά σού σεσωσμένοι Παρθένε αγνή, σύν Ασωμάτων χορείαις σέ μεγαλύνοντες».

Ωραίοι γεγονότες, θείαις ευμορφίαις, τής μαρτυρίας Κυρίω παρέστητε, καί σύν αυτώ Αθλοφόροι αεί ευφραίνεσθε.

Στρατός ύμάς Αγγέλων, επανακομίζει, διαζευχθέντας τού σώματος Μάρτυρες, πρός τήν ουράνιον πόλιν, πρός φώς ανέσπερον.

Η μών τών εκτελούντων, σήμερον τήν μνήμην, τήν Ιεράν υμών Μάρτυρες ένδοξοι, πρός τόν Θεόν μνημονεύειν μή διαλίπητε.

Θεοτοκίον

Φωτί με μετανοίας, τόν εσκοτισμένον, τή αμελεία Πανάμωμε λάμπρυνον, όπως υμνώ καί δοξάζω τά μεγαλειά σου.

Τό Φωταγωγικόν, τό Ιδιόμελον εις τόν Στίχον καί τό Μαρτυρικόν.

Δόξα, καί νύν. Θεοτοκίον

Η Σταυροθεοτοκίον

Καί τά λοιπά, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΣΤ' ΤΟ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Μάρτυρος Σαβίνου τού Αιγυπτίου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'

Κύριε, ει καί κριτηρίω

Κύριε, σύ τό ασθενές τής ανθρώπων, ως επιστάμενος φύσεως, ζώσον εν καιρώ τής νηστείας, ισχύν ημάς καί κραταίωσον, κατά παθών καί εχθρών, νοουμένων ως εύσπλαγχνος, απαθεία ψυχής τειχίσας, τού δοξάζειν σου τό έλεος.

Κύριε σύ τόν Αθλοφόρον εκ σκότους, πρός φως τής θείας σκηνώσεως τή τού Παρακλήτου εμπνεύσει, ως αγαθός μετεποίησας, καί κραταιόν κατ' εχθρών, ανέδειξας οπλίτην σου, διά τούτο αριστεύων, εδόξασέ σε φιλάνθρωπε.

Κύριε, σύ ταίς τών Μαρτύρων πρεσβείαις, ως αγαθός καί φιλάνθρωπος, φύλαξον ημάς εν τή σκέπη τών νοουμένων πτερύγων σου, καί καθαρώς καί αγνώς, αξίωσον θεάσασθαι, τήν τριήμερόν σου Λόγε, εξανάστασιν ως εύσπλαγχνος.

Δόξα... Καί νύν... Θεοτοκίον

Κύριε, δέξαι σής Μητρός ικεσίας, καί σπλαγχνισθείς επικάμφθητι, σώσον άπαν γένος ανθρώπων, τών δοξαζόντων τό κράτος σου, καί εκλύτρωσαι ημάς, τής πλάνης τού αλάστορος, καί ελέησον ελεήμον, καί σφαλμάτων δίδου άφεσιν.

Η Σταυροθεοτοκίον

Κύριε, ότε σε ο ήλιος είδεν, επί ξύλου κρεμάμενον, Ήλιε τής Δικαιοσύνης, τάς ακτίνας εναπέκρυψε, καί η σελήνη τό φώς, εις σκότος μετεβάλετο, η δέ πανάμωμός σου Μήτηρ, τά σπλάγχνα διετέτρωτο.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες κατά τάξιν, ως σύνηθες.

Ο Κανών τού Αγίου, ού η Ακροστιχίς, εν τοίς Θεοτοκίοις.

Γεωργίου

Ωδή α'  Ήχος πλ. δ'

Ο Ειρμός

«Υγράν διοδεύσας ωσεί ξηράν, καί τήν Αιγυπτίαν, μοχθηρίαν διαφυγών, ο Ισραηλίτης ανεβόα, τώ Λυτρωτή καί Θεώ ημών άσωμεν».

Τό όμμα καθάραντες τής ψυχής, εγκρατείας πόνοις καί δακρύων καταρροαίς, νοητώς τόν Ήλιον τής δόξης, εξαναστάντα θεασώμεθα.

Εν ύψει τής γνώσεως τού Χριστού, σοφή διανοία, Αθλοφόρε αναδραμών, τού ψεύδους κατέλιπες τήν πλάνην, καί ουρανίου δόξης έτυχες.

Χρυσορρόας Μάρτυς άλλος Χριστού, εν γή Αιγυπτίων, καί εν κόσμω αθλητικώς, πλημμυρήσας αίμασι Σαβίνε, θεογνωσία ανθρώπους κατήρδευσας.

Θεοτοκίον

Γαλήνης Πανάχραντε ο εκ σού, τεχθείς υπέρ λόγον, ταίς πρεσβείαις σου εκπληροί, τόν παρόντα χρόνον καί ιθύνει, τούς σέ δοξάζοντας πανάμωμε.

Ωδή γ'  Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Σύ ημάς ενίσχυσον, διά νηστείας σοι Κύριε, ευαρεστείν, καί πληρούν προθύμως, τά σεπτά σου θελήματα.

Κράτος απροσμάχητον, θωρακισάμενος Ένδοξε, τήν τού Χριστού, πίστιν καί αγάπην, κατ' εχθρών σύ ηρίστευσας.

Πλάνης τά θεμέλια, τή καρτερία σου έσεισας, καί εις βυθόν, βωμούς τών ειδώλων, Σαβίνε καταβέβληκας.

Θεοτοκίον

Εν σοί δυναμούμενοι, καί κραταιούμενοι, Άχραντε, εν τώ καιρώ τώ τής εγκρατείας, παθών νικώμεν τόν πόλεμον.

Κάθισμα  Ήχος γ'

Η Παρθένος σήμερον

Αθλοφόρε μέγιστε, τής αληθείας οπλίτα, Χριστομάρτυς ένδοξε, Κήρυξ τής θείας Τριάδος, αίτησαι, τοίς σέ τιμώσιν εξ ύψους χάριν, δώρησαι, ταίς σαίς πρεσβείαις πάσιν ειρήνην, τοίς απαύστως ανυμνούσι, τήν θείαν μνήμην, τής σής αθλήσεως.

Θεοτοκίον

Έκαστος όπου σώζεται, εκεί δικαίως καί προστρέχει, καί ποία άλλη τοιαύτη καταφυγή, ως σύ Θεοτόκε, σκέπουσα τάς ψυχάς ημών.

Η Σταυροθεοτοκίον

Ράβδον δυνάμεως κεκτημένοι, τόν Σταυρόν τού Υιού σου Θεοτόκε, εν αυτώ καταβάλλομεν, τών εχθρών τά φρυάγματα, οι πόθω σε απαύστως μεγαλύνοντες.

Ωδή δ'  Ο Ειρμός

«Εισακήκοα Κύριε, τής οικονομίας σου τό μυστήριον, κατενόησα τά έργα σου, καί εδόξασά σου τήν θεότητα».

Τής σαρκός τά σκιρτήματα, νηστεία καί πόνοις καθυποτάξαντες, απαθώς Χριστού οψόμεθα, καί αγνώς τά πάθη τά σωτήρια.

Ώσπερ μάστιγι έπληξας, ρήμασι Σαβίνε ομολογίας σου, τής ενθέου τούς διώκοντας, καί αυτός εσώθης απαράτρωτος.

Τούς τή κτίσει λατρεύοντας, έπεισας Σαβίνε καί καθωδήγησας, εις λατρείαν

τού τών δλων Θεού, Οδηγόν σε Μάρτυς καταγγέλλοντας.

Θεοτοκίον

Ως αγκύρας δεξάμενοι, τής σής προστασίας μόνη Πανύμνητε, τού Υιού σου καί Θεού ημών, εις λιμένα θείον αναγόμεθα.

Ωδή ε' Ο Ειρμός

«Φώτισον ημάς, τοίς προστάγμασί σου Κύριε, καί τώ βραχίονί σου τώ υψηλώ, τήν σήν ειρήνην παράσχου ημίν φιλάνθρωπε».

Λάμπρυνον ημάς, τής νηστείας ταίς ελλάμψεσι, καί αξίωσον αγνώς κατιδείν σε, τής Δόξης καί Δικαιοσύνης τόν Ήλιον.

Έχων εν ψυχή ώσπερ λύχνον φαεινότατον, τήν Χριστού θείαν αγάπησιν, πρός τούτον Μάρτυς, ωδηγήθης δι' αθλήσεως.

Έκτεινας Σοφέ, Αιγυπτίων τά σεβάσματα, εν τή ράβδω τής σοφίας σου, τόν τών απάντων Ποιητήν δοξάζων Κύριον.

Θεοτοκίον

Ρώμην τήν ημών, περιβάλλουσα ασθένειαν, εν καιρώ τής εγκρατείας Αγνή, κατά πολέμων, καί παθών ημάς ενίσχυσον.

Ωδή ς' Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου ο Θεός τής σωτηρίας μου».

Απόλαυσιν αγαθών, καί μέθεξιν ακηράτου τρυφής, η νηστεία προξενεί τοίς ταύτης μετέχουσι, καί Χριστόν δοξάζουσι, καθαρά καρδία σωτηρίας μόνον πρόξενον.

Ευπρέπειαν ορατήν, καί κοσμικήν περιφάνειαν, εβδελύξω ευσεβώς, καί δόξης τής κρείττονος, καί πλούτου τού μένοντος, εραστής εδείχθης, Αθλοφόρε παναοίδιμε.

Τήν ζάλην τού μοχθηρού, Σαβίνε βίου κατέλιπες, εις όρμον δέ τής Χριστού κατήντησας πίστεως, δι' ής τής αθλήσεως, τόν πλούτον εις θεία, ταμεία εναπέθηκας.

Θεοτοκίον

Γευσάμενοι τού φυτού, παρακοή οι Πρωτόπλαστοι, εξόριστοι τής τρυφής, γεγόνασιν Άχραντε, ημείς δέ μετέχοντες, τού εκ σού τεχθέντος, εντρυφώμεν ακηράτω ζωή.

Τό Μαρτυρικόν τού ήχου.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΣΤ' τού αυτού μηνός, Μνήμη τού Αγίου Μάρτυρος Σαβίνου τού Αιγυπτίου.

Στίχοι

- Ρείθρον Σκαμάνδρου, ως ελέγξεως ύδωρ,
- Ευανδρίας έλεγχος ήν τής Σαβίνου.
- Τή δεκάτη έκτη εντεύθεν απήρε Σαβίνος.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Πάπα.

Στίχοι

- Δεσμή πέδαις εις δένδρον, ώ προσβάς Πάπα,
- Ζακχαίος οία Χριστόν εκπνεύσας βλέπεις.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Ιουλιανού τού εν Κιλικία.

Τή αυτή ημέρα, ο Άγιος Ιωάννης, ο εν Ρουφιαναίς, εν ειρήνη τελειούται.

Στίχοι

- Τιμώμεν, Ιωάννη, σήν εκδημίαν,
- Ενδημίαν δέ πρός Θεόν μάλλον φάναι.

Τή αυτή ημέρα, ο Άγιος Μάρτυς Ρωμανός ο εν τώ Παρίω, ξίφει τελειούται.

Στίχοι

- Τό πρό σέ φίλτρον εις αγώνας δεικνύει,
- Ο Ρωμανός σου, Σώτερ, ορμών πρός ξίφος.

Τή αυτή ημέρα, οι Άγιοι Δέκα Μάρτυρες, οι έν Φοινίκη ξίφει τελειούνται.

Στίχοι

- Χορόν δέκανδρον Μαρτύρων διά ξίφους,
- Ανδροκτόνοι κτείνουσι Μαρτυροκτόνοι.

Τή αυτή ημέρα, ο Άγιος Αλεξανδρίων Πάπας Ρώμης, εν ειρήνη τελειούται.

Στίχοι

- Ρώμης παλαιάς Αλεξανδρίων Πάπας,
- Εδέμ κατοικεί τήν παλαιάν Πατρίδα.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Ανίνα τού θαυματουργού.

Στίχοι

- Σορώ καλυφθείς θαυματουργός Ανίνας,
- Ου συγκαλύπτει τήν χάριν τών θαυμάτων.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

## Ωδή ς'  Ο Ειρμός

«Οι εκ τής Ιουδαίας, καταντήσαντες Παίδες εν Βαβυλώνι ποτέ, τή πίστει τής Τριάδος, τήν φλόγα τής καμίνου, κατεπάτησαν ψάλλοντες, ο τών Πατέρων ημών, Θεός ευλογητός εί».

Τήν αχλύν τών ομμάτων, τής ψυχής, αφελόντες διά νηστείας τό φώς, τό ένθεον τή πίστει, δεξώμεθα εν φόβω καί αγνεία κραυγάζοντες, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Τής ψυχής τό ωραίον, τώ τού σώματος Μάρτυς, κάλλει ενέφηνας, φαιδρός γάρ θεωρίαις, ηδύς τε εν τοίς λόγοις, ανεδείχθης καί έψαλλες, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Γενναιότητι Μάρτυς, τής ψυχής καί ανδρεία θράσος αντίπαλον, τυράννων ανομούντων, διήλεγξας Σαβίνε, καί Χριστώ ανεκραύγαζες, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

### Θεοτοκίον

Ιδείν Θεοκυήτορ, τού Υιού καί Θεού σου τήν θείαν έγερσιν, νηστεία καθαρθέντας, αξίωσον τούς πίστει, ευλογούντας καί λέγοντας, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

## Ωδή η'  Ο Ειρμός

«Τόν Βασιλέα τών ουρανών, όν υμνούσι, στρατιαί τών Αγγέλων, υμνείτε καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Τόν Βασιλέα τών ουρανών κοσμηθέντες, τάς ψυχάς νηστεία καί δεήσει, πίστει αδιστάκτω, δεξώμεθα ενθέως.

Τού Παρακλήτου ταίς νοηταίς Αθλοφόρε, αρδευθείς ροαίς, καρπούς προσήξας, τούς τού Μαρτυρίου, Σαβίνε τώ Κυρίω.

Οι τών αιμάτων σοι ποταμοί πλημμυρούντες, επί γής Σαβίνε ιαμάτων, νάματα τοίς πάσι, προχέουσιν ανθρώποις.

### Θεοτοκίον

Οι εγκαυχώμενοι επί σοί Θεοτόκε, τύχοιμεν τής δόξης τού Υιού σου, καί ταίς σαίς ικεσίαις, εν τή αυτού εγέρσει.

## Ωδή θ'  Ο Ειρμός

«Κυρίως Θεοτόκον, σε ομολογούμεν, οι διά σού σεσωσμένοι Παρθένε Αγνή, σύν Ασωμάτων χορείαις σέ μεγαλύνοντες».

Τά πάθη χαλινούντες, διά εγκρατείας, καθυποτάξωμεν νοϊ καθαρώ, ίνα τώ πάντων Δεσπότη συμβασιλεύσωμεν.

Κρατήσας Αθλοφόρε, νοητών πολέμων, καί υποτάξας τυράννους γενναία

ψυχή, τώ Ποιητή τών απάντων συμβασιλεύεις Χριστώ.

Απάρας πρός τόν πόλον, εκ τής γής Σαβίνε, υπέρ ημών τών τιμώντων σε πρέσβευε, τώ Ποιητή τών απάντων καί στεφοδότη σου.

Θεοτοκίον

Υπάρχεις Θεοτόκε, δόξα τών σών δούλων, καί παρρησία καί σθένος καί καύχημα, καί ασφ, αλής απαρτία τής προσδοκίας μου.

Τό Φωταγωγικόν τού ήχου.

Εις τόν Στίχον τό Ιδιόμελον σύν τώ Μαρτυρικώ, καί Θεοτοκίον ή Σταυροθεοτοκίον.

Καί η λοιπή Ακολουθία, ώς σύνηθες, η α' Ώρα, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΖ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Αλεξίου τού ανθρώπου τού Θεού.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, Στιχηρά Προσόμοια.

Ήχος α'

Πανεύφημοι Μάρτυρες

Άνθρωπόν σε έγνωμεν Θεού, κλήσει τε καί πράγματι, ταίς αρεταίς γάρ διέλαμψας, πτωχείαν άμετρον, καί στενοχωρίαν, επί γής κτησάμενος, καί θαύμασι πιστούς πιστωσάμενος, διό ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην καί τό μέγα έλεος.

Έρωτι δροσίζοντι σαρκός, έρωτας φλογίζοντας, εναποσβέσας Αλέξιε, θαλάμου θάλαμον, ευσεβώς ηλλάξω, ηδονής τε σώματος, τήν θείαν τών Αγγέλων ομοίωσιν, μεθ' ών ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην καί τό μέγα έλεος.

Μένεις αγνοούμενος Σοφέ, πρό πυλών θλιβόμενος, τών ευγενών γεννητόρων σου, εμπα ροινούντων σοι, τών οικείων παίδων, επί χρόνον μήκιστον, θανών δέ φανερούσαι τοίς θαύμασιν, οίς επετέλεσας, θεραπεύων τά νοσήματα, καί διώκων ακάθαρτα πνεύματα.

Δόξα... Καί νύν... Θεοτοκίον

Χαίρε ξένον άκουσμα Αγνή, χαίρε ξύλον άγιον, τού Παραδείσου θεόφυτον, χαίρε εξάλειψις, πονηρών δαιμόνων, χαίρε ξίφος δίστομον, εχθρού τήν κεφαλήν, αποτέμνουσα, τώ ξένω τόκω σου, Παναγία υπεράμωμε, ξενωθέντας ημάς ανεκάλεσας.

Η Σταυροθεοτοκίον

Σφαγήν σου τήν άδικον Χριστέ, η Παρθένος βλέπουσα, οδυρομένη εβόα σοι, Τέκνον γλυκύτατον, πώς αδίκως πάσχεις, πώς τώ ξύλω κρέμασαι, ο πάσαν γήν κρεμάσας τοίς ύδασι; Μή λίπης μόνην με, Ευεργέτα πολυέλεε, τήν Μητέρα καί δούλην σου δέομαι.

Απολυτίκιον
Ήχος β'  Ταχύ προκατάλαβε
Εκ ρίζης εβλάστησας, περιφανούς καί κλεινής, εκ πόλεως ήνθησας, βασιλικής καί λαμπράς, Αλέξιε πάνσοφε, πάντων δ' υπερφρονήσας, ως φθαρτών καί ρεόντων, έσπευσας συναφθήναι, τώ Χριστώ καί Δεσπότη, Αυτόν ούν εκδυσώπει αεί, υπέρ τών ψυχών ημών.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Ο Κανών, ού η Ακροστιχίς.

Σέ τόν Θεού Άνθρωπον αινέσω μάκαρ. Ιωσήφ.

Ωδή α'  Ήχος β'  Ο Ειρμός
«Εν βυθώ κατέστρωσε ποτέ, τήν Φαραωνίτιδα, πανστρατιάν η υπέροπλος δύναμις, σαρκωθείς ο Λόγος δέ, τήν παμμόχθηρον αμαρτίαν εξήλειψεν, ο δεδοξασμένος Κύριος, ενδόξως γάρ δεδόξασται».

Στενοτάτην ώδευσας οδόν, άμεμπτον καί όσιον, βίον Σοφέ μετελθών εκ νεότητος, διό μου τήν στένωσιν καταπλάτυνον, τού νοός ευφημήσαί σε, τόν πρός Παραδείσου, πλάτος αυλιζόμενον Αλέξιε.

Εαυτόν διόλου τώ Θεώ, Μάκαρ αναθέμενος, έξω Σαρκός καί κόσμου εχρημάτισας, πλούτου διαρρέοντος, τόν ουράνιον προτιμήσας καί μένοντα, καί ενεγκαμένης, πόλιν τήν Σιών τήν αιωνίζουσαν.

Τής νηδύος σύ τής μητρικής, στείρωσιν διέλυσας, αποτεχθείς ως Σαμουήλ Πανόλβιε, έν γαστρί καρδίας δέ, τόν αγνότατον συλλαβών φόβον έτεκες, πνεύμα σωτηρίας, θείαις αρεταίς δια τής πίστεως.
Θεοτοκίον
Ο Θεού συνάναρχος Υιός, έσχεν ως αιτίαν σε, τής πρός ημάς Παρθένε ομοιώσεως, μόνην υπέρ πάσαν, κτίσιν άχραντε καθαράν σε ευράμενος, όθεν σε υμνούμεν, πάσαι γενεαί καί μακαρίζομεν.

Ωδή γ'  Ο Ειρμός
«Εξήνθησεν η έρημος, ωσεί κρίνον Κύριε, η τών Εθνών στειρεύσα, Εκκλησία τή παρουσία σου, εν ή εστερεώθη η καρδία μου».

Νυττόμενος τώ έρωτι, τής αγνείας θάλαμον, τού επί γής ουράνιον, αντηλλάξω καί γυναικός ηδονής, τήν ηδίστην Αγγέλων εξομοίωσιν.

Θορύβους τούς εν βίω, καί όγκον πλούτου έλιπες, καί μετανάστης γέγονας, τής Πατρίδος Πάτερ Αλέξιε, τού Χριστού τήν πτωχείαν εκμιμούμενος.

Εν δάκρυσι καί πόνοις, καί εγκρατεία Πάνσοφε, τό αγαθόν εζήτησας, πότε ήξει φώς επιγνώσεως, τήν απάθειαν νέμον τή καρδία σου.

Θεοτοκίον

Ο άνω αθεώρητος, τοίς Αγγέλοις Άχραντε, κάτω εκ σού γενόμενος, καθοράται τέλειος άνθρωπος, απολλύμενον κόσμον άνακτώμενος.

Κάθισμα Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Τούς ιδρώτας καί πόνους τους σούς Σοφέ, νοερώς θεωρούντες πάντες πιστοί, πάσης κατανύξεως τάς ψυχάς εμ πιπλάμεθα, καί πρός θείους ύμνους καί δόξαν καί αίνεσιν, τού Δεσπότου τών όλων, παμμάκαρ Αλέξιε, πόθω εγκαρδίω, εαυτούς συγκινούμεν, ωδαίς σε γεραίροντες, καί πιστώς εκβοώντές σοι, ώς Κυρίου θεράποντι, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Ήχος γ' Τήν ωραιότητα

Κόσμου τερπνότητα οσίως έλιπες, ανταλλαξάμενος πλούτου τού ρέοντος, τόν αδιάρρευστον σαφώς, καί μένοντα Αλέξιε, όθεν μετά πάντων σε, τών Αγίων δοξάζομεν, καί πανηγυρίζομεν, Ιερώς εν τή μνήμη σου, αιτούμενοι ευρείν ταίς ευχαίς σου, Πάτερ τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Ακατανόητον καί ακατάληπτον, υπάρχει Δέσποινα θεοχαρίτωτε, τό πεπραγμένον επί σοί, φρικτόν μέγα μυστήριον, τόν γάρ απερίληπτον, συλλαβούσα εκύησας, σάρκα περιθέμενον, εξ αχράντων αιμάτων σου, όν πάντοτε Αγνή εκδυσώπει, ως Υιόν σου, τού σώσαι τάς ψυχάς ημών.

Η Σταυροθεοτοκίον

Η σέ κυήσασα Χριστέ εισβλέψασα, Σταυρώ υψούμενον, ώσπερ κατάκριτον, θρηνολογούσα γοερώς, τοιαύτα απεφθέγγετο, Οίμοι! πώς σε άνομος, δήμος όλως ουκ ώκτειρε, τούτον οικτειρήσαντα, διά πλήθος ελέους σου, Μή με εγκαταλίπης εν Κόσμω μόνην, ο μόνος αναμάρτητος.

Ωδή δ' Ο Ειρμός

«Ελήλυθας, εκ Παρθένου ού πρέσβυς ουκ Αγγελος, αλλ' αυτός ο Κύριος, σεσαρκωμένος καί έσωσας, όλον με τόν άνθρωπον, διό κραυγάζω σοι, Δόξα τή δυνάμει σου Κύριε».

Υπέμεινας, τήν πτωχείαν προσαίτης γενόμενος, πτωχός ώσπερ Λάζαρος, έρως γάρ θείος ηρέθιζε, Μάκαρ τήν καρδίαν σου, επιποθούσαν τόν πλούτον τόν ουράνιον.

Απέριττον, καί απράγμονα βίον επόθησας, άπαξ σιτιζόμενος, τής εβδομάδος Αλέξιε, πόθω τής μενούσης σε, αδιαρρεύστου παμμάκαρ απολαύσεως.

Ναόν Θεού, τήν καρδίαν ζητών απεργάσασθαι, εν οίκω ηγάπησας, τής Θεομήτορος Ένδοξε, πάντοτε καθέζεσθαι, καί τά ουράνια κάλλη ενοπτρίζεσθαι.

Θεοτοκίον

Θηλάσασα, τόν Δοτήρα Παρθένε τού γάλακτος, πεινώσαν καί στένουσαν, νύν τήν καρδίαν μου κόρεσον, πάσης επιγνώσεως, καί κατανύξεως θείας ικετεύω σε.

Ωδή ε' Ο Ειρμός

«Μεσίτης Θεού, καί ανθρώπων γέγονας, Χριστέ ο Θεός, διά σού γάρ Δέσποτα, τήν πρός τόν αρχίφωτον Πατέρα σου, εκ νυκτός αγνωσίας, προσαγωγήν εσχήκαμεν».

Ροαίς Ιερών, καταρδεύων πάντοτε δακρύων σου, ψυχήν εγεώργησας, στάχυν αληθώς εκατοστεύοντα, γεωργώ αθανάτω, καλώς διατηρούμενον.

Ωράθης εν γή, πολιτείαν άσαρκον μιμούμενος, τή υπερβαλλούση σου, Πάτερ εγκρατεία αξιάγαστε, καί ευχής προσεδρία, δι' ής φώς εχρημάτισας.

Πυρί προσευχών, αμαρτίας έφλεξας τήν ύλην Σοφέ, αγρύπνοις δέ στάσεσι, πάσαν ηδυπάθειαν εκοίμισας, κοιμηθείς δέ πρός φέγγος, μετέβης τό ανέσπερον.

Θεοτοκίον

Ο φώς κατοικών, τήν αγίαν ώκησε νηδύν σου Αγνή, κόσμου απολλύμενον, σκότει αγνωσίας ανακτώμενος, όν ικέτευε πάντας, φωτίσαι τούς υμνούντάς σε.

Ωδή ς' Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, εκ φθοράς ο Θεός με ανάγαγε».

Ναόν ζώντα Θεού σε γενόμενον, τού Χριστού τό σκήνωμα, η Απειρόγαμος, προσφανεροί κρυπτόμενον, καί δοξάζει λανθάνειν σπουδάζοντα.

Αι ευχαί σου Θεώ ως θυμίαμα, Μάκαρ προσεδέχθησαν, ένθεν τώ βίω σου, τά τών πιστών φρονήματα, ευωδίασας Πνεύματος χάριτι.

Ιερά πολιτεία κοσμούμενον, πάλιν ο Χριστός μή βουλόμενον Ένδοξε, σέ τή πατρίδι δίδωσιν, αποφεύγοντα δόξαν τήν πρόσκαιρον.

Θεοτοκίον

Νόμους φύσεως άχραντε Δέσποινα, ο δημιουργός καινουργήσας τής κτίσεως, εκ σού αρρήτως τίκτεται, καί θεοί με δι' άμετρον έλεος.

Κοντάκιον Ήχος δ'

Επεφάνης σήμερον

Αλεξίου σήμερον τού πανολβίου, εορτήν τήν πάνσεπτον, επιτελούντες ευσεβώς, αυτόν υμνήσωμεν λέγοντες, χαίροις Οσίων τερπνόν εγκαλλώπισμα.

Ο Οίκος

Τίς τάς σεπτάς σου αρετάς αξίως ευφημήσει, καί ικανώς υμνήσει, Αλέξιε θεόφρον, τήν σωφροσύνην, τήν υπομονήν, τήν πραότητα, τήν εγκράτειαν, τόν ακατάπαυστον ύμνον, τήν άκραν σκληραγωγίαν, καί άμετρον ταπείνωσιν, δι' ών Αγγέλοις εφάμιλλος γενόμενος, Πρεσβεύεις αεί υπέρ τού κόσμου παντός, διό ακούεις Όσιε, νύν παρά πάντων Πιστών, Χαίροις Οσίων τερπνόν εγκαλλώπισμα.

Συναξάριον

Τή ΙΖ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Αλεξίου τού Ανθρώπου τού Θεού.

Στίχοι

- Άνθρωπος εν γή τού Θεού κληθείς μόνος,
- Έξεις τι καινόν κάν πόλω, Πάτερ μόνος.
- Εβδομάτη δεκάτη, Αλέξιε, πότμον ανέτλης.

Τή αυτή ημέρα, συνέφθασε καί η μνήμη τής μετά φιλανθρωπίας επενεχθείσης ημίν φοβεράς απειλής τού Σεισμού, ής παρ' ελπίδα ελυτρώσατο ημάς ο φιλάνθρωπος Κύριος, γέγονε δέ επί Κωνσταντίνου Βασιλέως.

Τή αυτή ημέρα, ο Άγιος Μάρτυς Παύλος υπέρ τών Αγίων Εικόνων πυρί τελειούται.

Στίχοι

- Ζήλος διεξέκαυσε Παύλον Εικόνων,
- Ώ φλόξ δι' αυτάς εξεκαύθη καμίνου.

Τή αυτή ημέρα, ο Όσιος Θεοστήρικτος, Ομολογητής, εν ειρήνη τελειούται.

Στίχοι

- Στήριγμα πιστοίς καί μεταστάς εκ βίου,
- Τάς σάς, Θεοστήρικτε, πρεσβείας δίδου.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον, καί σώσον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Αντίθεον πρόσταγμα παρανομούντος, τυράννου μετάρσιον, τήν φλόγα ανερρίπισε, Χριστός δέ εφήπλωσε, θεοσεβέσι Παισί, δρόσον τήν τού Πνεύματος, ο ών ευλογημένος, καί υπερένδοξος».

Επέμενες Όσιε τών γεννητόρων, πυλώσι καθήμενος, καί όλως αγνοούμενος, καί παίδων παροινίαν υποδεχόμενος, καί καταπαιζόμενος δεινώς, καί εν

πτωχεία πολλή θλιβόμενος.

Σαρκός σου τό φρόνημα απονεκρώσας, ορών τούς γεννήτορας, καί τούτοις αγνοούμενος, τής φύσεως έστεγες τήν βίαν Όσιε, καί τήν εξουθένησιν τών σών, απείρων παίδων επιθλιβόντων σε.

Ωθαύμα! πώς έμεινας αεί πτωχεύων, εν πλούτω Αλέξιε, απείρου ταπεινώσεως! πώς ήνεγκας παίζεσθαι καί ονειδίζεσθαι, υπό παίδων πάνσοφε τών σών, αγνοησάντων τήν πολιτείαν σου!

Θεοτοκίον

Μεγάλου διάκονος σύ Μυστηρίου, εγένου πανάμωμε, Θεόν γάρ εσωμάτωσας, μεγάλων κακών ημάς απολυτρούμενον, τούς σέ μεγαλύνοντας Αγνή, ευλογημένη Θεοχαρίτωτε.

## Ωδή η' Ο Ειρμός

«Κάμινος ποτέ, πυρός εν Βαβυλώνι, ενεργείας διεμέριζε, τώ τας θείω προστάγματι, τούς Χαλδαίους καταφλέγουσα, τούς δέ πιστούς δροσίζουσα, ψάλλοντας, Ευλογείτε, πάντα τά έργα τόν Κύριον».

Άγνωστος τό πρίν, γεννήτορσιν υπάρχων, εν τώ καιρώ τής εκδημίας σου, τούτοις τό μυστήριον, εκκαλύπτεις φανερούμενος, εις δόξαν τού Θεού ημών, Ένδοξε τού μεγάλως σε, καί αξίως δοξάσαντος.

Κύριος φωνή, μεγάλη φανεροί σε, πάση τή Ρώμη τόν κρυπτόμενον, θησαυρόν Πανόλβιε, εν πτωχού σχήματι κείμενον, καί δωρεαίς ιάσεων, άπαντας τούς εν πίστει, σοί προσιόντας πλουτίζοντα.

Άρχοντες λαών, καί Βασιλείς συνήλθον, καί Ιερείς Μάκαρ κηδεύσαί σε, Θεού επινεύσεσι, καί κατείδον μέγα θέαμα, θαμβούμενοι θαύμασιν, Όσιε οίς ετέλεις, θεία δυνάμει τού Πνεύματος.

Θεοτοκίον

Ρεύσαντας ημάς, τή πάλαι παραβάσει, ανακαινίζων ο φιλάνθρωπος, αρρεύστως σεσάρκωται, εξ αφθόρου σου Πανάμωμε, νηδύος καί ερρύσατο, άπαντας αμαρτίας, καταφθοράς παναμώμητε.

## Ωδή θ' Ο Ειρμός

«Ανάρχου γεννήτορος, Υιός Θεός καί Κύριος, σαρκωθείς εκ Παρθένου ημίν επέφανε, τά εσκοτισμένα φωτίσαι, συναγαγείν τά εσκορπισμένα, διό τήν πανύμνητον, Θεοτόκον μεγαλύνομεν».

Ιδείν κατηξίωσαι, Θεού τήν δόξαν Όσιε, τού λαμπρώς σε εν τέλει Μάκαρ δοξάσαντος, φώς γάρ οι μή βλέποντες είδον, καί τό λαλείν έλαβον οι πρώην, τυγχάνοντες άλαλοι, παναοίδιμε Αλέξιε.

Ωράθης προκείμενος, καί πρός ταφήν αγόμενος, ώσπερ ήλιος Πάτερ,

πέμπων ιάσεων, τάς μαρμαρυγάς παραδόξως, καί σκοτεινά πάθη φυγαδεύων, καί φλέγων τούς δαίμονας, καί φωτίζων τούς θεόφρονας.

Συνήλθε κηδεύσαί σε, Πατριαρχών ο πρόκριτος, Βασιλεύς τε ο λίαν φιλοχριστότατος, Άρχοντες πρεσβύται καί νέοι, καί Μοναστών χοροί θεία νεύσει καθαγιαζόμενοι, τή προσψαύσει σου Μακάριε.

Ηρπάγης εν άρματι, τών αρετών οχούμενος, καί κατέπαυσας ένθα Όσίων τάγματα, καί τών Αποστόλων Μαρτύρων, Πατριαρχών, καί πάντων Δικαίων, μεθ' ών ημών μέμνησο, τών τιμώντων σε Αλέξιε.

Θεοτοκίον

Φωνήν σοι προσάγομεν, τού Γαβριήλ γηθόμενοι, χαίρε λέγοντες χώρα η αγεώργητος, χαίρε τής κατάρας η λύσις, χαίρε πηγή, ύδατος τού ζώντος, Οσίων τό καύχημα, Θεοτόκε αειπάρθενε.

Εξαποστειλάριον

Ο ουρανόν τοίς άστροις

Ωθαύμα! πώς εν πυλώσι, τών γεννητόρων χρονίως, ώς τις αδάμας υπέστης, φύσεως βία μή καμφθείς, Γονέων τε καί συζύγου, Αλέξιε πικροίς θρήνοις.

Θεοτοκίον, όμοιον

Καί η λοιπή Ακολουθία, ως σύνηθες, η α' Ώρα, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΗ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού εν Αγίοις Πατρός ημών Κυρίλλου Αρχιεπισκόπου Ιεροσολύμων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, Στιχηρά Προσόμοια.

Ήχος δ'

Ως γενναίον εν Μάρτυσιν

Ως αστήρ ανατέταλκας, καί πιστούς κατεφώτισας, Ιεραίς λαμπρότησι τών δογμάτων σου, καί τάς αιρέσεις εσκότασας, καί τέλεον έτρεψας, καί ως δούλος τό δοθέν, πλεονάσας σου τάλαντον, ευηρέστησας, τώ Δεσπότη θεόφρον, ού εις χείρας εναπέθου σου τό πνεύμα, τό Ιερώτατον Κύριλλε.

Τή σοφία τών λόγων σου, καί τώ φέγγει τού βίου σου, ως αστήρ πολύφωτος αξιάγαστε, μέσον Συνόδου διέλαμψας, Πατέρων τόν άθεον, Μακεδόνιον νευραίς, αποπνίξας τής χάριτος, εις τό Άγιον, καί ζωώσαν τά πάντα θείον Πνεύμα, βλασφημήσαντα αφρόνως, καί προφανώς ανομήσαντα.

Νούν αλάστορα ήσχυνας, τού παράφρονος Μάνεντος, στηλιτεύσας κάλλιστα

καί σοφώτατα, τά βορβορώδη, διδάγματα, τής τουτου σκαιότητος, Διδασκάλων αρχηγέ, Ιερέων ευπρέπεια, θείε πρόμαχε, τής Χριστού Εκκλησίας, διά τούτο, τήν αγίαν γεγηθότες, επιτελούμέν σου κοίμησιν.

Δόξα... Καί νύν... Θεοτοκίον

Φωτοφόρον παλάτιον, τού Δεσπότου υπάρχουσα, καί φωτός νεφέλη θεοχαρίτωτε, τού νοητού ανατείλαντος, τώ κόσμω πανάμωμε, φωταγώγησον ημών, καί ψυχήν καί διάνοιαν, καί τά σκάνδαλα, αφανίσασα πάντα τού δολίου, τή πρεσβεία σου Παρθένε, τόν λογισμόν ημών στήριξον.

Η Σταυροθεοτοκίον

Ως εώρακε Κύριε, η Παρθένος καί Μήτηρ σου, εν Σταυρώ κρεμάμενον εξεπλήττετο, καί ατενίζουσα έλεγε, Τί σοι ανταπέδωκαν, οι πολλών σου δωρεών, απολαύσαντες Δέσποτα; Αλλά δέομαι, μή με μόνην εάσης εν τώ κόσμω, αλλά σπεύσον αναστήναι, συνανιστών τούς Προπάτορας.

Απολυτίκιον Ήχος δ'

Κανόνα πίστεως καί εικόνα πραότητος, εγκρατείας διδάσκαλον ανέδειξέ σε τή ποίμνη σου, η τών πραγμάτων αλήθεια, Διά τούτο εκτήσω τή ταπεινώσει τά υψηλά, τή πτωχεία τά πλούσια, Πάτερ Ιεράρχα Κύριλλε, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, τά Καθίσματα, καί οι Κανόνες τού Αγίου καί τού Τριωδίου.

Ο Κανων τού Αγίου, ού η Ακροστιχίς.

Κύριλλον υμνώ τόν πρόεδρον Αιλίας.

Θεοφάνους.

Ωδή α' Ήχος δ'

Ο Ειρμός

«Τριστάτας κραταιούς, ο τεχθείς εκ Παρθένου, απαθείας εν βυθώ, ψυχής τό Τριμερές, καταπόντισον δέομαι, όπως σοι ως εν τυμπάνω, τή νεκρώσει τού σώματος, επι νίκιον άσω μελώδημα».

Κοσμήσας τήν ψυχήν, αρετών ταίς ιδέαις, χαρισμάτων δεκτικήν, τού Πνεύματος αυτήν, τού Αγίου τετέλεκας, όθεν άβυσσον σοφίας, εξηρεύξω Αιρέσεων, τά πελάγη ξηραίνουσαν Κύριλλε.

Υπέρτερον τόν νούν, τών ενύλων ειργάσω, τών αϋλων λειτουργών, συνόμιλος δειχθείς, τώ πυρί δέ τών λόγων σου, πάσαν έφλεξας τήν ύλην, τών αιρέσεων Κύριλλε, Εκκλησίας πυρσός ο ακοίμητος.

Ρημάτων σου οδμαίς, ηδυπνόοις μανίας, τόν επώνυμον Σοφέ, αιρέσεων

πασών, τόν ανύποιστον βόρβορον, ήλασας μακράν ποιήσας, ως ποιμήν αληθέστατος, ως Χριστού ευωδία γενόμενος.

Θεοτοκίον

Ιλύος εκ παθών, λογισμών τρικυμίας, εκ βελών τού πονηρού, εκ πάσης προσβολής, εναντίας διάσωσον, άπαντας τούς ανυμνούντας, σού πανάμωμε Δέσποινα, τόν ανέκφραστον τόκον Πανάχραντε.

Ωδή γ'  Ο Ειρμός

«Οτι στείρα έτεκεν η εξ' Εθνών Εκκλησία, καί η πολλή εν τέκνοις ησθένησε Συναγωγή, τώ θαυμαστώ Θεώ ημών βοήσωμεν, Άγιος εί Κύριε».

Λάμπων ταίς φαιδρότησι Πνευματικής σοφίας, τό τριφεγγές τής θείας Τριάδος, Πάτερ τηλαυγώς, τοίς επί γής ετράνωσας, δι' ής σκότους πλάνης ελυτρώθημεν.

Λύρα ώφθης Πνεύματος τού παναγίου θεόφρον, αναφωνούσα μέλος επιφανείας τού Χριστού, όν εν δυσί ταίς φύσεσιν εκήρυξας, θέλγων τάς ψυχάς ημών.

Οίκος αγιάσματος σού η ψυχή ανεδείχθη, εν ώ Πατήρ Υιός τε καί Πνεύμα τό ζωαρχικόν, υπερφυώς κατώκησεν, ώ ψάλλομεν, Άγιος εί Κύριε.

Θεοτοκίον

Νούς ουδέ ουράνιος τήν υπέρ νούν σου λοχείαν, διερμηνεύει Κόρη, Νού γάρ τού πρώτου εν γαστρί, Λόγον Αγνή συνέλαβες, τόν τά πάντα λόγω συστησάμενον.

Κάθισμα  Ήχος πλ. δ'

Τήν σοφίαν

Τήν σοφίαν τού λόγου πεπλουτηκώς, εξηρεύξω δογμάτων ρείθρα ζωής, καί πάσαν κατήρδευσας, ευσεβούντων διάνοιαν, καί βακτηρία θεία ποιμάνας τό ποίμνιον, επί χλόην θείας, εξέθρεψας γνώσεως, όθεν ώς Ποιμένα, καί διδάσκαλον μέγαν, καί πίστεως πρόμαχον, ευφημούμέν σε κυριλλε, Ιεράρχα κραυγάζοντες, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Ήχος α'

Τόν Τάφον σου Σωτήρ

Η γλώσσά σου Σοφέ, θεϊκαίς επιπνοίαις, εφώτισε λαούς, μίαν σέβειν Τριάδα, τή φύσει αμέριστον, μεριστήν τοίς προσώποις δέ, όθεν χαίροντες, τήν παναγίαν σου μνήμην, εορτάζομεν, πρός τόν Θεόν πρεσβευτήν σε, αεί προβαλλόμενοι.

Καί νύν... Θεοτοκίον

Μαρία τό σεπτόν, τού Δεσπότου δοχείον, ανάστησον ημάς, πεπτωκότας εις χάος, δεινής απογνώσεως, καί πταισμάτων καί θλίψεων, καί ανάγαγε, εκ ραθυμίας πταισμάτων, τού δοξάζειν σε, Παντελεήμον τήν μόνην, ελπίδα τών δούλων σου.

Η Σταυροθεοτοκίον

Ορώσά σε Χριστέ, η πανάμωμος Μήτηρ, νεκρόν επί Σταυρού, ηπλωμένον εβόα, Υιέ μου συνάναρχε, τώ Πατρί καί τώ Πνεύματι, τίς η άφατος, οικονομία σου αύτη, δι' ής έσωσας, τό τών αχράντων χειρών σου, σοφόν δημιούργημα;

Ωδή δ' Ο Ειρμός

«Τούς ουρανούς η αρετή σου κατεκάλυψε, καί η γή έπληρώθη τής δόξης σου Χριστέ, διό απαύστως κράζομεν, Δόξα τή δυνάμει σου Κύριε».

Υπερκοσμίου τής σοφίας ρείθρον Όσιε, σού η καρδία δεξαμένη, εξηρεύξατο διδασκαλίας άβυσσον, νόας ασεβούντων βυθίζουσαν.

Μίαν ισχύν μίαν ουσίαν καί βούλησιν, τρισυποστάτου θεότητος εκήρυξας, καί πολυθέου Κύριλλε, πλάνης τόν χειμάρρουν εξήρανας.

Νούν βορβορώδη καί παράφρονα τού Μάνεντος, ως νουνεχής καί θεοδίδακτος Μακάριε, ταίς άστραπαίς τών λόγων σου, φλέξας εμφανώς εστηλίτευσας.

Θεοτοκίον

Ως ανωτέρα πάντων τών ποιημάτων Αγνή, τόν Ποιητήν τής κτίσεως συνέλαβες, καί υπέρ φύσιν τέτοκας, φύσιν τήν ημών αναπλάττοντα.

Ωδή ε' Ο Ειρμός

«Σύ Κύριέ μου φώς, εις τόν κόσμον ελήλυθας, φώς άγιον επιστρέφον, εκ ζοφώδους αγνοίας, τούς πίστει ανυμνούντάς σε».

Τή ράβδω τής σεπτής, Ιεράρχα σοφίας σου, εποίμανας επί ύδωρ, ορθοδόξου λατρείας, τήν ποίμνην σου μακάριε.

Ο λόγος σου φωτί, θεϊκώ αστραπτόμενος, ώ Κύριλλε φωτισθέντων, εν Ιεροσολύμοις, αχλύν αγνοίας έλυσε.

Θεοτοκίον

Νύξ Πάναγνε παθών, καί κακών αμαυρότητες, καλύπτουσι τήν ψυχήν μου, φωτοδότην τεκούσα, καταύγασόν με δέομαι.

Ωδή ς' Ο Ειρμός

«Εβόησε, προτυπών τήν ταφήν τήν τριήμερον, ο Προφήτης, Ιωνάς εν τώ κήτει δεόμενος, εκ φθοράς με ρύσαι, Ιησού Βασιλεύ τών δυνάμεων».

Ποταμός σύ, ως εξ άλλης Εδέμ εκπεπόρευσαι, ζωηρύτων, πεπλησμένος ναμάτων τού Πνεύματος, καί τής Εκκλησίας, Ιεράρχα με θύσκεις τάς αύλακας.

Ρημάτων σου, τώ πυρσώ θαλαττίου εκ κλύδωνος, άσεβείας διασώζεις λαόν Ιερώτατε, γαληνόν πρός όρμον, ορθοδόξως αυτόν εκκαλούμενος.

Θεοτοκίον

Ουράνωσας, γεωθείσαν τήν φύσιν Πανάμωμε, τών ανθρώπων, καί φθαρείσαν αυτήν εκαινούργησας, διά τούτο Κόρη, ασιγήτοις φωναίς σε γεραίρομεν.

Τό Μαρτυρικόν τού Ήχου.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΗ' τού αυτού μηνός, μνήμη τού εν Αγίοις Πατρός ημών Κυρίλλου, Αρχιεπισκόπου Ιεροσολύμων.

Στίχοι

- Είσελθε, κέρδος εκ ταλάντων προσφέρων,
- Εις τήν χαράν, Κύριλλε, τού σού Κυρίου.
- Ογδοάτη δεκάτη θάνατος μέλας είλε Κύριλλον.

Τή αυτή ημέρα, οι Άγιοι Μύριοι Μάρτυρες, τούς αυχένας τμηθέντες, τελειούνται.

Στίχοι

- Τμηθέντες Άνδρες Μύριοι τούς αυχένας,.
- Απήλθον ένθα μυριόμματοι Νόες.

Τή αυτή ημέρα, μνήμη τών Αγίων Μαρτύρων Τροφίμου, Ευκαρπίωνος καί τών σύν αυτοίς.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Νέοι τρείς εν Βαβυλώνι, πρόσταγμα τυραννικόν, εις φλήναφον θέμενοι, εν μέσω φλογός ανεβόων, Ευλογητός εί Κύριε, ο Θεός τών Πατέρων ημών».

Έχων πύρ εν διανοία, φόβου Πάτερ τού Θεού, ύλην απετέφρωσας, τήν τών ηδονών αναμέλπων, Ευλογητός εί Κύριε, ο Θεός ο τών Πατέρων ημών.

Δάκρυσι παθών τήν φλόγα, σβέσας Μάκαρ τόν πυρσόν, ετήρησας άσβεστον, σού τόν τής ψυχής ανακράζων, Ευλογητός εί Κύριε, ο Θεός ο τών Πατέρων ημών.

Ρείθρον ζών έχων τήν χάριν, Πνεύματος εν τή ψυχή θεόφρον ανέβλυσας, Πάτερ ποταμούς διδαγμάτων, τήν Εκκλησίαν άρδοντας, ευσεβώς σε γεραίρουσαν.

Θεοτοκίον

Όλην σε καθαγιάζει,  Άγιος ο εκ τής σής, σαρκός δανεισάμενος, σάρκα εαυτώ Θεοτόκε, ο εν Αγίοις Κύριος, κατοικών ο Θεός ημών.

Ωδή η'  Ο Ειρμός

«Λυτρωτά τού παντός Παντοδύναμε, τούς εν μέσω φλογός ευσεβήσαντας, συγκαταβάς εδρόσισας, καί εδίδαξας μέλπειν, Πάντα τά έργα, ευλογείτε τόν Κύριον».

Νυσταγμόν αμελείας Μακάριε, εκ βλεφάρων ψυχής απωσάμενος, τόν τοίς δικαίοις πρέποντα, νύν κεκοίμησαι ύπνον, καί πρός ημέραν, ανεσπέρου φωτός μεταβέβηκας.

Αστραπαίς σου τόν λόγον κατέφλεξας, φρυγανώδεις αιρέσεις Αοίδιμε, καί τούς πιστούς εφώτισας, μίαν σέβειν Τριάδα, τοίς χαρακτήρσιν, εν Μονάδι υπάρχουσαν φύσεως.

Ιερεύσας σαυτόν ταίς ασκήσεσι, τόν νεκρόν διά σέ χρηματίσαντα, σύ αναιμάκτως τέθυκας, Ιεράρχης ως θείος, ως Μυστηρίων, απορρήτων διάκονος Κύριλλε.

Θεοτοκίον

Λυτρωθέντες αράς τής Προμήτορος, διά σού τής αγνής Θεομήτορος, ευλογημένη Δέσποινα, ευλογούμεν Παρθένε δεδοξασμένη, τόν πανάγιον τόκον σου σέβοντες.

Ωδή θ'  Ο Ειρμός

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν».

Ιδείν εφιέμενος Χριστού τήν άρρητον, Ιεράρχα δόξαν έσπευσας, πάθη νεκρώσαι ψυχοφθόρα, καρδίαν τε δοχείον ποιήσασθαι, σοφίας τής αμείνω καί κρείττονος, όθεν σε πίστει μακαρίζομεν.

Αστέρα πολύφωτον Χριστός ο Ήλιος, Εκκλησίας εν τώ ύψει σε, έθετο Κύριλλε ακτίσι, δογμάτων Ιερών καταυγάζοντα, καρδίας τών πιστώς εκτελούντων σου, τήν φωτοφόρον, μνήμην Όσιε.

Συνόμιλος καί συλλειτουργός γεγένησαι, τών Αγγέλων, ως γάρ άσαρκος, Πάτερ εν γή επολιτεύσω, Οσίων ανεδείχθης συμμέτοχος, καί τών Ιεραρχών ισοστάσιος, οίς συγχορεύων ημών μέμνησο.

Θεοτοκίον

Στειρεύουσαν θείων αρετών Πανάχραντε, Θεοτόκε την καρδίαν μου, δείξον Παρθένε καρποφόρον, εκ στείρας η τεχθείσα βουλήματι, τά πάντα τού ποιούντος τώ
νεύματι, ίνα υμνώ σε τήν Πανύμνητον.

Τό Φωταγωγικόν.

Καί τά λοιπά, ως σύνηθες, καί Απόλυσις.

Αρχή

## ΤΗ ΙΘ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Μαρτύρων Χρυσάνθου καί Δαρείας εξ Αθηνών.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, Στιχηρά Προσόμοια.

Ήχος δ'
Εδωκας σημείωσιν

Θείας επιγνώσεως, εισδεδεγμένος τήν έλλαμψιν, εφωτίσθης τά όμματα, Σοφέ τής καρδίας σου, καί τής πλάνης ζόφον, έλιπες εμφρόνως, καί ωμολόγησας Χριστόν, σάρκα λαβόντα τόν πάντων Κύριον, εντεύθεν δυναμούμενος, δυνάμει Πνεύματος Χρύσανθε, τών βασάνων ανώτερος, ανεδείχθης πανεύφημε.

Εχθρού δελεάσματα, καί ηδονής υπεκκαύματα, ως αράχνην λελόγισαι, ζοφώδη δέ κάθειρξιν, υποστάς ενθέω, φέγγει κατηυγάσθης, καί ευωδίας νοητής, απεπληρώθης μέσον ιστάμενος, βορβόρου καί προσήγαγες, ως νυμφοστόλος πανάριστος, τώ Χριστώ νύμφην άμωμον, τήν μωμήσαί σε σπεύσασαν.

Ετρώθης τώ έρωτι, τώ γλυκυτάτω τού κτίσαντος, καί τής πλάνης τό άθεον, τέλεον εξέκλινας, καί νυμφώνος θείου, εχώρησας ένδον, νενυμφευμένη τώ Χριστώ, διά βασάνων πολλών τού σώματος, Δαρεία μεγαλώνυμε, θείον δοχείον τού Πνεύματος, Αθλητών εγκαλλώπισμα, καί Παρθένων αγλάϊσμα.

Δόξα... Καί νύν... Θεοτοκίον

Εν κλίνη κατάκειμαι, τής αμελείας Πανάμωμε, καί ραθύμως διέρχομαι, τόν βίον καί δέδοικα, τόν τής τελευτής μου, καιρόν Θεοτόκε, μή ώσπερ λέων αφειδώς, διασπαράξη τήν ταπεινήν μου ψυχήν, ο όφις ο παμπόνηρος, διό τή σή αγαθότητι, πρό τού τέλους ποοφθάσασα, πρός μετάνοιαν έγειρον.

Η Σταυροθεοτοκίον

Νεκρούμενον βλέπουσα, Χριστόν η πάναγνος Δέσποινα, καί νεκρούντα τόν δόλιον, ώς Δεσπότην κλαίουσα, ύμνει τόν εκ σπλάγχνων, αυτής προελθόντα, καί τό μακρόθυμον αυτού, αποθαυμάζουσα ανεκραύγαζε, Τέκνον μου ποθεινότατον, μή επιλάθη τής δούλης σου, μή βραδύνης φιλάνθρωπε, τό εμόν καταθύμιον.

Απολυτίκιον Ήχος δ'

Οι Μάρτυρές σου Κύριε, εν τή αθλήσει αυτών, στεφάνους εκομίσαντο τής αφθαρσίας, εκ σού τού Θεού ημών, σχόντες γάρ τήν ισχύν σου, τούς τυράννους καθείλον, έθραυσαν καί δαιμόνων, τά ανίσχυρα θράση, Αυτών ταίς ικεσίαις, Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν οι Κανόνες, ως σύνηθες, καί τών Αγίων, ού η Ακροστιχίς.

Σέ τό χρυσαυγές Μαρτύρων άνθος σέβω. Ιωσήφ.

### Ωδή α' Ήχος δ'

### Ο Ειρμός

«Θαλάσσης, τό ερυθραίον πέλαγος, αβρόχοις ίχνεσιν, ο παλαιός πεζεύσας Ισραήλ, σταυροτύποις Μωσέως χερσί, τού Αμαλήκ τήν δύναμιν, εν τή ερήμω ετροπώσατο».

Στεφάνω, υπέρ χρυσόν εκλάμποντι, Μάρτυς κοσμούμενος, καί μαρτυρίου λάμπων καλλοναίς, τώ Δεσπότη παρίστασαι, υπέρ ημών δεόμενος, τών σέ τιμώντων αξιάγαστε.

Ετρώθης, τώ γλυκυτάτω έρωτι, Μάρτυς τού κτίσαντος, καί τά τερπνά τού βίου παριδών, τήν ροπήν όλην δέδωκας, τής σής καρδίας Χρύσανθε, τώ ποθουμένω προθυμότατα.

Τή πίστει, θωρακισθείς κατέβαλες, τόν πολυμήχανον, σοί προσβαλόντα Μάρτυς γυναικός, ηδονής δελεάσματι, καί τής αγνείας τίμιον, Χρύσανθε σκεύος εχρημάτισας.

### Θεοτοκίον

Ο φύσει, τή θεϊκή απρόσιτος, προσιτός ώφθη μοι, εκ σού Παρθένε σάρκα προσλαβών, όν Δαρεία ποθήσασα, καρτερικώς συνήθλησε, καί νυμφικώς αυτώ προσήνεκται.

### Ωδή γ' Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα, Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

Χρυσίον δοκιμασθέν, τή τών κολάσεων πυρά πέφηνας, Βασιλικώς Χρύσανθε, φέρων παθημάτων εκσφράγισμα.

Ρητόρων καταλιπών, αδολεσχίαν ταίς πλοκαίς ήγρευσαι, τών μαθητών Χρύσανθε, τού περιφανώς σε σοφίσαντος.

Υπείκεις τώ εραστή, νυμφαγωγούντί σε Χριστώ Πάνσοφε, διά σεπτής πίστεως, έρωτα σαρκός καταλείψασα.

### Θεοτοκίον

Σαρκί τεχθείς εκ γαστρός, σού τής Παρθένου Ιησούς Άχραντε, Νύμφην αγνήν Μάρτυρα, εαυτώ Δαρείαν μνηστεύεται.

## Κάθισμα Ήχος γ'
### Τήν ωραιότητα

Το ωραιότατον κάλλος επόθησας καί τά ορώμενα κάλλη παρέδραμες, καί προσηγάγω τώ Χριστώ, χρυσέοις Μάρτυς λόγοις σου, Χρύσανθε μακάριε, τήν Δαρείαν τήν ένδοξον, άθλους διανύσασαν, καί τυράννους αισχύνασαν, μεθ' ής ημών μνημόνευσε πάντων, τών πίστει τελούντων τήν μνήμην υμών.

### Θεοτοκίον

Ως αγεώργητος Παρθένε άμπελος, τόν ωραιότατον βόρτυν εβλάστησας, αναπηγάζοντα ημίν, τόν οίνον τόν σωτήριον, πάντων τόν ευφραίνοντα, τάς ψυχάς καί τά σώματα, όθεν ως αιτίαν σε, τών καλών μακαρίζοντες, αεί σύν τώ Αγγέλω βοώμέν σοι, Χαίρε η Κεχαριτωμένη.

### Η Σταυροθεοτοκίον

Τόν επονείδιστον Οικτίρμον θάνατον, διά σταυρώσεως εκών υπέμεινας, όν η τεκούσά σε Χριστέ, ορώσα επιτρώσκετο, Οίμοι τέκνον έλεγε, τί τό ξένον μυστήριον, Ής ταίς παρακλήσεσι, διά σπλάγχνα ελέους σου, οικτείρησον καί σώσον τόν κόσμον, ο αίρων τήν τούτου αμαρτίαν.

## Ωδή δ'  Ο Ειρμός

«Επαρθέντα σε ιδούσα η Εκκλησία, επί Σταυρού τον Ήλιον τής δικαιοσύνης, έστη εν τή τάξει αυτής, εικότως κραυγάζουσα, Δόξα τή δυνάμει σου Κύριε».

Αι τού Πνεύματος αστράψασαι λαμπηδόνες, τή καθαρά καρδία σου όλον φωταυγή σε, Μάρτυς απειργάσαντο, προθύμως κραυγάζοντα, Δόξα τή δυνάμει σου Κύριε.

Υφαντόν σε θείας χάριτος εκ τών άνω, ο Ποιητής ενέδυσεν άφθαρτον χιτώνα, άμωμον τηρήσαντα, τό σώμα Μακάριε, καί ως νικητήν εστεφάνωσε.

Γενναιότητι καρδίας απετινάξω, τάς ηδονάς τού σώματος, κάλλει ασυγκρίτω, θείω ενηδόμενος, καί χαίρων διήνυσας, τό τής μαρτυρίας σου στάδιον.

Εθεώθης κατά μέθεξιν Αθλοφόρε, θεοποιού ενώσεως καί προς ουρανίους, είσω κίσθης χαίρουσα, θαλάμους ως άμωμος, Νύμφη τού Δεσπότου τής κτίσεως.

### Θεοτοκίον

Συντηρήσας σε Παρθένον ως πρό τού τόκου, μετά τόν τόκον άχραντε, εκ σού εσαρκώθη, ο απερινόητος, Δαρείαν τήν Μάρτυρα, Νύμφην εαυτώ επαγόμενος.

## Ωδή ε'  Ο Ειρμός

«Σύ Κύριέ μου φώς, εις τόν κόσμον ελήλυθας, φώς άγιον επιστρέφον, εκ ζοφώδους αγνοίας, τούς πίστει ανυμνούντάς σε».

Μετάρσιον τόν νούν, τών ενύλων ποιούμενος, δεσμούμενος τήν κακίαν, τού εχθρού Αθλοφόρε, διέλυσας μακάριε.

Αγνείας εραστής, γεγονώς Ιερώτατε, μετήνεγκας τής Παρθένου, τό διάπυρον φίλτρον, εις Κύριον πανεύφημε.

Ρηγνύμενον ορών, καί ποσί συμπατούμενον, τόν τύραννον γεγηθότι, λογισμώ τόν Δεσπότην, Παμμάκαρ εμεγάλυνας.

Θεοτοκίον

Τίς δύναται τό σόν, ερμηνεύσαι μυστήριον, ώ πάναγνε Θεόν Λόγον, υπέρ νούν γάρ καί λόγον, διπλούν τή φύσει τέτοκας.

Ωδή ς' Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Υμνούντα, τόν Δεσπότην τών όλων αοίδιμε, φώς ουρανόθεν δι' όλου, σέ περιΚυκλώσαν καταφωτίζει, καθειργμένον, ζοφωτάτω οικήματι Χρύσανθε.

Ρώμη σε, μαρτυρίω σεπτώ κλεϊζόμενον, χρυσοειδή ως αστέρα, κεκτημένη Μάρτυς στολίζεται, τοίς αγώσι, καί τοίς θείοις σου Χρύσανθε θαύμασιν.

Ωραία, περικαλής τε καί περιδέξιος, Μάρτυς Δαρεία Παρθένε, δεδειγμένη, Λόγω ωραιοτάτω, ενυμφεύθης, διά πόνων παντοίων τού σώματος.

Θεοτοκίον

Νέον σε, ως παιδίον Παρθένος εκύησε, τόν προαιώνιον Λόγον, όν ποθούσαι Κόραι, ταύτης οπίσω, σοί τώ πάντων, Βασιλεί νυμφικώς απηνέχθησαν.

Τό Μαρτυρικόν τού Ήχου.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΘ' τού αυτού μηνός, Μνήμη τών Αγίων Μαρτύρων, Χρυσάνθου καί Δαρείας.

Στίχοι

· Ζώσι Χρύσανθος καί Δαρεία εν πόλω,
· Κάν εκπνέωσι, ζώντες εισδύντες βόθρω.
· Χώσαν συζυγίην δεκάτη ενάτη ομόλεκτρον.

Τή αυτή ημέρα, ο Άγιος Κλαύδιος ο Τριβούνος, εν θαλάσση βληθείς, τελειούται.

Στίχοι

· Φυγών θάλασσαν Κλαύδιος, τήν τής πλάνης.
· Ένδον θαλάσσης βάλλεται παρά πλάνων.

Τή αυτή ημέρα, η Αγία Μάρτυς Ιλαρία, η τούτου σύζυγος, ξίφει τελειούται.

Στίχοι

· Ιλαρία τμηθείσα τήν κάραν ξίφει,
· Θεού πρόσωπον ιλαρώτατα βλέπει.

Τή αυτή ημέρα, οι Άγιοι Μάρτυρες, Ιάσων καί Μαύρος, οι υιοί αυτών, ξίφει τελειούνται.

Στίχοι

· Σύν αυταδέλφω τέμνεται Μαύρω κάραν,
· Αδελφά τούτω συμφρονήσας Ιάσων.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Παγχαρίου.

Στίχοι

· Ο Παγχάριος πάσαν ήν πλουτών χάριν,
· Όν πρός τομήν ήλειψεν η Θεού χάρις.

Τή αυτή ημέρα, οι Άγιοι Διόδωρος Πρεσβύτερος καί Μαριανός Διάκονος, σπηλαίω εγκλεισθέντες, τελειούνται.

Στίχοι

· Ως βήμα τό σπήλαιον, ένδον γάρ φέρει
· Θύτην τε Χριστού καί σύν αυτώ Λευϊτην.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ' Ο Ειρμός

«Εν τή καμίνω, Αβραμιαίοι παίδες τή Περσική, πόθω ευσεβείας μάλλον ή τή φλογί, πυρπολούμενοι εκραύγαζον, Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε».

Άνθος Μαρτύρων, χρυσοειδές σύ γεγένησαι, δήμον αθλητών προσήξας γάρ τώ Χριστώ, θείοις λόγοις σου καί θαύμασι, Μάρτυς θεόληπτε, μεθ' ών πιστώς σε νύν μακαρίζομεν.

Νομή βορβόρου, συγκλεισθέντα γυμνόν σε πανένδοξε, θείας ευωδίας δόξη φωτοειδεί, Ιησούς καταφαιδρύνει σε, όν καθαρότητι, διανοίας πανσόφως ηγάπησας.

Θήρα φρουρόν σοι, παρθενίας Χριστός εξαπέστειλε, λύμην ασεβών απείργοντα προφανώς, μελωδούντί σοι Πανεύφημε, Ευλογημέμς εί, εν τώ ναώ τής δόξης σου Κύριε.

Θεοτοκίον

Ο κατ' ουσίαν, τήν θεϊκήν ών απερίγραπτος, κόλποις σου Παρθένε γέγονε καθ' ημάς, τή σαρκί περιγραφόμενος, Ευλογημένη σύ, εν γυναιξί πανάμωμε Δέσποινα.

Ωδή η' Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ

δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Στερρότητι μάκαρ λογισμού, αντιταξάμενος τώ ματαιόφρονι, ξεσμούς τού σώματος ήνεγκας, καί λαμπάσι φλογιζόμενος, ου κατεφλέχθης, τοίς Παισί συμψάλλων Χρύσανθε, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Σοφία κοσμούμενος Χριστού, εναπεμώρανας, ασόφων φρύαγμα, καί νούν αλάστορα ήσχυνας, τού τήν Εύαν απατήσαντος, αιχμαλωτίσας ευσεβώς, τούτου τό όπλον Σοφέ, καί προσάξας, Νύμφην Θεώ εκλεκτήν διά πίστεως.

Ενώσει ψυχής τήν τής σαρκός, φυγόντες ένωσιν, αγνά κειμήλια, τού Παντοκράτορος ώφθητε, καί Ναώ προσανετέθητε, επουρανίω Αθληταί, αναβοώντες Χριστώ, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Βουλήσει Θεού τών τής σαρκός, παθών κρατήσαντες, πύρ απετέφρωσαν, τό τών κολάσεων Χρύσανθος, καί Δαρεία δρόσω Πνεύματος, καί τών στεφάνων τής ζωής έτυχον μέλποντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Θεοτοκίον

Ως ρόδον εν μέσω ακανθών, τού βίου Πάναγνε, Θεός ευράμενος, σέ τήν αμώμητον ώκησε, τήν γαστέρα σου τήν άχραντον, καί ευωδίας μυστικής κόσμον επλήρωσεν, εκβοώντα, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Ωδή θ'  Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Ιερολογούντι τά θεία, θείος στρατός σοι προσετέθη, πλάνης ανιέρου λυτρωθείς, καί διά ξίφους άμωμα θύματα, τώ δι' ημάς ως πρόβατον, Μάρτυς τυθέντι προσηνέχθησαν.

Ώφθητε θηρίων εν μέσω, οιά περ άρνες Αθλοφόροι, σάρκωσιν κηρύττοντες θείαν, τού κενωθέντος καί μέχρις αίματος, καί διά πόνων άπονον, λήξιν ενθέως εκληρώσασθε.

Σήμερον φαιδρώς εορτάζειν, άπασαν πόλιν τε καί χώραν, Ρώμη συγκαλείται η Πόλις, τούς θείους άθλους καί τά παλαίσματα, ως πανδαισίαν άϋλον, προβαλλομένη υμών Άγιοι.

Ήρθητε πρός άπειρον δόξαν, Χρύσανθε Μάρτυς καί Δαρεία, καί τώ Παντοκράτορι Λόγω, στεφανηφόροι άμα παρίστασθε, υπέρ ημών πρεσβεύοντες, μακαριζόντων υμάς πάντοτε.

Θεοτοκίον

Φρίττει λογισμός καί καρδία, κατανοούντα σήν λοχείαν, τήν ακατανόητον

Κόρη, Θεόν γάρ Λόγον εκυοφόρησας, τόν διά σού ρυόμενον, πάσης ανάγκης τούς τιμώντάς σε.

Τό Φωταγωγικόν τού Ήχου.

Καί η λοιπή Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Κ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Οσίων Πατέρων ημών τών εν τή Μονή τού Αγίου Σάββα αναιρεθέντων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, Στιχηρά Προσόμοια.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Εφετών τό ακρότατον, ολικώς αγαπήσαντες, τά τού βίου Όσιοι, ώσπερ σκύβαλα, τερπνά ηγήσασθε άπαντα, καί μόνα τά μένοντα, αγρυπνία καί ευχή, νιφετώ τε καί καύσωνι, εποθήσατε, σπηλοδίαιτοι άμα γεγονότες, συμπολίται τών Αγγέλων, αναδειχθέντες εν χάριτι.

Καί ροπάλοις τυπτόμενοι, καί τοίς λίθοις βαλλόμενοι, καί πυγμαίς κοπτόμενοι τήν ομόνοιαν, ου διελύσατε Μάρτυρες, αγάπη συνδούμενοι, καί στοργή αδελφική, αλλ' υφ' έν θανατούμενοι, καί τεμνόμενοι, μεληδόν Αθλοφόροι τή τραπέζη, προσηνέχθητε τή θεία, ως Ιερεία αμώμητα.

Καί πνιγμώ συγκλειόμενοι, καί πυρί δαπανώμενοι, τάς ψυχάς παρέθεσθε ως αμώμητα, Μάρτυρες ένδοξοι θύματα, χειρί τού Παντάνακτος, καί συνήφθητε χοροίς, ασωμάτων Δυνάμεων, αιωνίζουσαν, κληρωσάμενοι δόξαν, ής μεθέξειν, τούς ημάς ανευφημούντας, αδιαλείπτως πρεσβεύσατε.

Δόξα... Καί νύν... Θεοτοκίον

Μετανοίας τό άριστον, καί σωτήριον φάρμακον, η Θεόν κυήσασα τόν Σωτήρά μου, καί τών δακρύων τά ρεύματα, καί ώρας τήν έννοιαν, τής φρικτής καί φοβεράς, αδεκάστου τε κρίσεως, σύ μοι δώρησαι, καί φυγείν ταίς ευχαίς σου, ώ Παρθένε, τών κολάσεων τόν τρόμον καί θείας τεύξασθαι χάριτος.

Η Σταυροθεοτοκίον

Η Αμνάς η κυήσασα, τό Αρνίον τό άκακον, τό τήν αμαρτίαν ελθόν ιάσασθαι, παντός τού κόσμου Πανάμωμε, οικείω εν αίματι, τό σφαγέν υπέρ ημών, καί ζωώσαν τά σύμπαντα, σύ με ένδυσον, γυμνωθέντα τής θείας αφθαρσίας, εξ ερίου τού σού τόκου, περιβολήν θείας χάριτος.

Απολυτίκιον Ήχος β'

Αθλοφόροι Κυρίου μακαρία η γή η πιανθείσα τοίς αίμασιν υμών, καί άγιαι αι

σκηναί αι δεξάμεναι τά πνεύματα υμών, εν σταδίω γάρ τόν εχθρόν εθριαμβεύσατε, Χριστόν μετά παρρησίας εκηρύξατε, Αυτόν ώς αγαθόν ικετεύσατε, σωθήναι δεόμεθα τάς ψυχάς ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες, ως σύνηθες, καί τών Αγίων, ού η Ακροστιχίς άνευ τών Θεοτοκίων.

Ύμνοις γεραίρω Μάρτυρας μονοτρόπους.

Στεφάνου Σαββαϊτου.

### Ωδή α' Ήχος πλ. δ'
### Ο Ειρμός

«Άσμα αναπέμψωμεν λαοί, τό θαυμαστώ Θεώ ημών, τώ απαλλάξαντι τόν Ισραήλ δουλείας, ωδήν επινίκιον, άδοντες καί βοώντες, Άσωμέν σοι τώ μόνω Δεσπότη».

Ύμνοις τήν θεόπνευστον πληθύν, τών Ιερών Μαρτύρων σου, ποθούντι ευφημήσαι, Χριστέ μοι ουρανόθεν, παράσχου φώς γνώσεως, τούτων ταίς ικεσίαις, ίνα μέλψω θεόφθεγκτον άσμα.

Νόμω τώ τού Πνεύματος σοφοί, τά μέλη κυβερνήσαντες, ημών καί τάς αισθήσεις, ναοί ηγιασμένοι, Θεού ανεδείχθητε, Μάρτυρες θεοφόροι, εν υμίν γάρ Χριστός ενηυλίσθη.

Όλβον τόν φθειρόμενον εν γή, καταλιπόντες Άγιοι, καί τά τερπνά τού βίου ως όναρ παριδόντες, Χριστού ηρετίσασθε, τήν μή σαλευομένην Βασιλείαν, ής νύν εμφορείσθε.

### Θεοτοκίον

Κλίμαξ ανεδείχθης μυστική, ήν, Ιακώβ τεθέαται, ο εκλεκτός τού Θεού εξ ής αρρήτω λόγω, προήλθεν ο άσαρκος, σάρξ ατρέπτως υπάρξας, υπέρ λόγον εκ σού Θεοτόκε.

### Ωδή γ' Ο Ειρμός

«Ουρανίας αψίδος, οροφουργέ Κύριε, καί τής Εκκλησίας δομήτορ σύ με στερέωσον, εν τή αγάπη τή σή, τών εφετών η ακρότης, τών πιστών τό στήριγμα, μόνε φιλάνθρωπε».

Ιερευσαντες όλον, τόν εαυτών Άγιοι, βίον ακηλίδωτον όλως, τώ παντεπόπτη Θεώ, προσενηνόχατε, ολοκαυτώματα θεία, εαυτούς καί τέλειον, στέφανον ήρασθε.

Σάββα τού θεοφόρου, ως φοιτηταί γνήσιοι, τήν εκ τών θορύβων ποθήσαντες

αναχώρησιν, ανεμστρόφως οδόν, τήν τεθλιμμένην πατούντες, πρός ζωήν εφθάσατε, τήν ατελεύτητον.

Γεωργήσαντες σπόρον, τόν εν υμίν Όσιοι, εγκαταβληθέντα τού λόγου, καί τών δακρύων ροαίς, άγαν αρδεύοντες, εκατοστεύοντα στάχυν, τώ Θεώ προσάγετε, καρποφορήσαντες.

Θεοτοκίον

Ενοικήσας Παρθένω σωματικώς Κύριε, ώφθης τοίς ανθρώποις, ως έπρεπε θεαθήναί σε, ήν καί ανέδειξας, ως αληθή Θεοτόκον, καί πιστών βοήθειαν, μόνε φιλάνθρωπε.

Κάθισμα  Ήχος πλ. δ'

Τό προσταχθέν

Δι' εγκρατείας τών παθών τάς πυριφλέκτους, απονεκρώσαντες ορμάς, καί τάς κινήσεις, Ασκηταί θεόληπτοι, επόμενοι κατ' ίχνος, τώ πάντα τεκτηναμένω μόνω Θεώ, καθάπερ δεκτή θυσία καί ιερά, προσηνέχθητε σφάγια, διά χειρός βαρβαρικής, τυπτόμενοι σφαττόμενοι, καί βιαίως Κοπτόμενοι.

Θεοτοκίον

Θεοχαρίτωτε Αγνή ευλογημένη, τόν διά σπλάγχνα οικτιρμών εκ σού τεχθέντα, σύν ταίς άνω δυνάμεσι, καί τοίς Αρχαγγέλοις, καί πάσι τοίς Ασωμάτοις υπέρ ημών, δυσώπει ακαταπαύστως δούναι ημίν, πρό τού τέλους συγχώρησιν, καί ιλασμόν αμαρτιών, καί βίου επανόρθωσιν, όπως εύρωμεν έλεος.

Η Σταυροθεοτοκίον

Τώ τού υιού σου Καί Θεού Σταυρώ Παρθένε, περιφρουρούμενοι αεί τάς τών δαιμόνων, προσβολάς τροπούμεθα, καί τάς μεθοδείας, κυρίως σε Θεοτόκον καί αληθώς, υμνούντες, καί πόθω πάσαι αι γενεαί, μακαρίζομεν Άχραντε, ως προεφήτευσας, διό, πταισμάτων ημίν άφεσιν, ταίς πρεσβείαις σου δώρησαι.

Ωδή δ'  Ο Ειρμός

«Επέβης εφ ίππους, τους Αποστόλους σου Κύριε, καί εδέξω χερσί σου ηνίας αυτών, καί σωτηρία γέγονεν, η ιππασία σου, τοίς πιστώς μελωδούσι, Δόξα τή δυνάμει σου Κύριε».

Ερήμω ανίκμω, εγκαρτερούντας ορών ο εχθρός, αρεταίς τε ποικίλαις εμπρέποντας, τούς αηττήτους Μάρτυρας, επυρπολείτο δεινώς, τώ φθόνω βεβλημένος, καί πρός παρατάξεις ετρέπετο.

Ριζώσας τήν πλάνην, εν τοίς ιδίοις αυτού μαθηταίς, πρός αλληλοφονίαν ηρέθισε, τά τών βαρβάρων φύλα ο Δράκων ο δόλιος, δι' ών καί τής ερήμου, εξώσαι τούς Οσίους ηπείγετο.

Αγρίως τά κύκλω, περιλαβών ως επόθησε, φυγαδεύσαι μέν τούτους, ουκ ίσχυσε τούς αηττήτους, ο τών Δικαίων αντίπαλος, νικηθείς δ' αοράτως, όφθαλμοφανώς επεστράτευσεν.

Ιού καί μανίας, εμπεπλησμένος εφώρμησε, σύν τοίς υπασπισταίς ο αρχέκακος, θηριωδώς δέ τοίς μακαρίοις εφήλατο, καί πληγαίς ανηκεστοις, αίματος λιβάδας εξέχεε.

Ρεούσης απήτουν, ύλης χρυσίου φθαρτού θησαυρός, οι τή γή τάς ελπίδας ερείσαντες, οι δέ γενναίοι εν ουρανοίς αναθέμενοι, τάς ελπίδας εβόων, Δόξα τή δυνάμει σου Κύριε.

Ως θήρες ροπάλοις, ανηλεώς καί τοίς ξίφεσι, τούς Οσίους καί λίθοις ηκίζοντο, τούς σφών προκρίτους καταμηνύειν κελεύοντες, αλλ' ανένευον Πάντες, νόμω τής αγάπης νευρού μενοι.

Θεοτοκίον

Παρθένε καί Μήτηρ, σύ Αποστόλων καλλώπισμα, καί Μαρτύρων Αγίων κραταίωμα, καί τών Οσίων καύχημά τε καί διάσωσμα, τών πιστώς μελωδούντων, Δόξα τή δυνάμει σου Κύριε.

Ωδή ε' Ο Ειρμός

«Ίνα τί με απώσω, από τού προσώπου σου τό φώς τό άδυτον, καί εκάλυψέ με, τό αλλότριον σκότος τόν δείλαιον, αλλ' επίστρεψόν με, καί πρός τό φώς τών εντολών σου, τάς οδούς μου κατεύθυνον δέομαι».

Μυηθέντες αγάπης, Σώτερ, τόν θεσμόν τής τελείας οι Όσιοι, καί πεπαιδευμένοι, υπό σού τάς ψυχάς προετίθεσαν, υπέρ τών ιδίων, φίλων, τό σόν υπέρ ανθρώπων, εθελούσιον πάθος μιμούμενοι.

Άγαν υπέρ τήν φύσιν, τήν εκ θελημάτων σαρκός γεννηθείσαν Χριστέ, τό διάταγμά σου, τού θανάτου εφάνη στερρότερον, τώ γάρ σώ στοιχούντες, Νόμω θανείν υπέρ τών φίλων, ευκλεώς οι θεόφρονες εϊλοντο.

Ραντισθέντες υσσώπω, διά τού Βαπτίσματος τώ νοητω τάς ψυχάς, τοίς οικείοις αύθις, ερραντίσθητε αίμασιν Όσιοι, εν φορά πυρός δέ, οία χρυσός δοκιμασθέντες, προσηνέχθητε θύμα ευώδες Χριστώ.

Θεοτοκίον

Μητρικήν παρρησίαν, τήν πρός τόν Υιόν σου κεκτημένη Πάναγνε, συγγενούς προνοίας, τής ημών μή παρίδης δεόμεθα, ότι σέ καί μόνην, Χριστιανοί πρός τόν Δεσπότην, ιλασμόν ευμενή προβαλλόμεθα.

Ωδή ς' Ο Ειρμός

«Πρός τόν δυνάμενον σώζειν με Κύριον, εκ βυθού αμαρτιών εβόησα, καί εκ φθοράς ανήγαγε, τήν ζωήν μου ως φιλάνθρωπος».

Τάς απειλάς τών τυράννων ουκ έπτηξαν, οι θεράποντες Χριστού, τόν βίον γάρ διηνεκώς μελέτημα, τού θανάτου προκατέστησαν.

Υπονοούντες πλουτείν τούς ακτήμονας, αφειδώς οι ασεβείς εκόλαζον, τούς τά

φθαρτά μέν ρίψαντας, κτησαμένους δέ τά άφθαρτα.

Ρώμην ανίκητον αμφιασάμενοι, τού Χριστού οι Αθληταί ετρέψαντο, τού νοητού αλάστορος, καί βαρβάρων τά φρυάγματα.

Θεοτοκίον

Ως επί κούφης νεφέλης ελήλυθεν, επί σοί ο βασιλεύων Κύριος, τού καθελείν Αιγύπτια, χειροποίητα Πανάμωμε.

Τό Μαρτυρικόν τού Ήχου.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Κ' τού αυτού μηνός, Μνήμη τών Αγίων Αββάδων τών αναιρεθεντων υπό τών Μαύρων εν τή Μονή τού Αγίου Σάββα τού Ηγιασμένου.

Στίχοι

- Διπλούς στεφάνους χειρός εκ τού Κυρίου,
- Πόνων χάριν δέχεσθε καί τών αιμάτων.
- Εικάδι Αββάδες εκ χθονός ουρανόν ήλυθον ευρύν.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών καί Ομολογητού Νικήτα, Επισκόπου Απολλωνιάδος.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων επτά Μαρτύρων γυναικών, τών εν Αμινσώ, Αλεξανδρείας, Κλαυδίας, Ευφρασίας, Ματρώνης, Ιουλιανής, Ευφημίας, καί Θεοδοσίας.

Στίχοι

- Δηλοί γυναικών τών πεπυρπολημένων,
- Αριθμός επτά παρθένος τών Παρθένων.

Τή αυτή ημέρα, ο άγιος Μάρτυς Ροδιανός ξίφει τελειούται.

Στίχοι

- Ο Ροδιανός, ως ερυθρόν σοι ρόδον,
- Χριστέ προσήχθη, τό σώμα βεβαμμένος.

Τή αυτή ημέρα, ο Άγιος Ακύλας ο Έπαρχος ξίφει τελειούται.

Στίχοι

- Άμωμον ιερείον ώφθης Ακύλα,
- Τμηθείς αμώμω Δεσπότη διά ξίφους.

Τή αυτή ημέρα, ο Άγιος Λολλίων πυγμαίς βαλλόμενος τελειούται.

Στίχοι

- Ο Λολλίων έστηκε τάς πυγμάς φέρων,
- Καί μή στεναγμόν, μηδέ μυγμόν εκφέρων.

Τή αυτή ημέρα, ο Άγιος Εμμανουήλ ξίφει τελειούται.

Στίχοι

- Ξίφει χεθήτω, κάν κοτύλη φησί μοι,
- Εμμανουήλ πέφυκεν αίματος μία.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

### Ωδή ζ' Ο Ειρμός

«Οι τής Χαλδαίας καμίνου, τήν πανώλεθρον δύναμιν σβέσαντες, μορφή Αγγέλου συγκαταβάντος, τώ Δημιουργώ Νεανίαι εκραύγαζον, Ευλογητός εί καί αινετός, ο Θεός ο τών Πατέρων ημών».

Απηνεώθησαν άμφω, τά πολέμια τών εναντίων στίφη, τών ορωμένων καί αοράτων, εν τοίς αικισμοίς καθορώντες τούς Μάρτυρας, υμνολογούντας, Ευλογητός, ο Θεός ο τών Πατέρων ημών.

Σοί τώ Χριστώ νυμφευθέντες, καί τώ έρωτί σου τιτρωσκόμενοι, τού μόνου όντως ηγαπημένου, γένος καί πατρίδα καί πλούτον ηθέτησαν, οι πρόσφυγές σου ώ Λυτρωτά, ο Θεός ο τών Πατέρων ημών.

Μιαιφονία βαρβάρων, ου μετέστησε τούς εραστάς σου Χριστέ, τής εν ερήμω θεολατρίας, τούς γάρ αναιρούντας τό σώμα ουκ έπτηξαν, τάς σάς κατέχοντες εντολάς, ως ακοάδαντον θεμέλιον.

Όλον πρός σέ μεταθέντες, εκ τού κόσμου τήν επιθυμίαν Χριστέ, θυμόν δέ κατά τής αμαρτίας μόνης ανθοπλίσαντες, σοί ευηρέστησαν πανσόφω χρώμενοι λογισμώ, οι θεράποντές σου Κύριε.

Νόμον θεόγραφον ένδον, εν πλαξί τών καρδιών υμών, θεόθεν Μάρτυρες δεδεγμένοι, ένα εν Τριάδι Θεόν εκηρύττετε, αυτώ βοώντες, Ευλογητός, ο Θεός ο τών Πατέρων ημών.

### Θεοτοκίον

Εν τώ φωτί τού Κυρίου, πορευόμενοι, δεύτε υμνήσωμεν, τήν θείαν πύλην τού Βασιλέως, τών βασιλευόντων, Μαρίαν τήν άχραντον, τήν Θεοτόκον ως αληθώς, καί ελπίδα τών ψυχών ημών.

### Ωδή η' Ο Ειρμός

«Ασεβείας όργανα άλιον μέλος, ευσεβείας δέ αι θεόφθογγοι, εκελάδουν φόρμιγγες, Ευλογείτε πάντα τά έργα, Χριστόν εις τούς αιώνας».

Ουρανίαις τάξεσιν ημιλλημένοι, οι ισάγγελοι ολονύκτοις, εν αγρυπνίαις έψαλλον, Ευλογείτε πάντα τά έργα, Χριστόν εις τούς αιώνας.

Τόν Σταυρόν αράμενοι σοί τώ Δεσπότη, ηκολούθησαν ολοψύχως, οι Μάρτυρες ψάλλοντες, Ευλογείτε πάντα τά έργα, Χριστόν εις τούς αιώνας.

Ράβδοις συνθλαττόμενοι, λίθων νιφάδας, υφιστάμενοι οι Πανόλβιοι, αρετής

αντείχοντο, Υμνείτε βοώντες τά έργα, Χριστόν εις τούς αιώνας.

Ολοτρόπως σώμά τε ψυχήν καί πνεύμα, καθηράμενοι οι Μακάριοι, τώ Χριστώ ανέμελπον, Ευλογείτε πάντα τά έργα, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Οι διττήν υπόστασιν σέ βλασφημούντες, τόν αμέριστον αισχυνέσθωσαν, ως τετράδα σέβοντες, ημείς γάρ σε ένα τής θείας, Τριάδος προσκυνούμεν.

Ωδή θ' Ο Ειρμός

«Εξέστη επί τούτω ο ουρανός, καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι μεγαλύνουσι».

Ποικίλως γυμνασθέντες οι Αθληταί, καί νικήσαντες τού κοσμοκράτορος, τάς μηχανάς, ήσχυναν ανδρείως καί ευσεβώς, βαρβαρικήν απόνοιαν, τούτων υπομείναντες τάς ορμάς, διό καί τούς στεφάνους, διπλούς εκ τού δικαίου, Αγωνοθέτου εκομίσαντο.

Ο παίς καί εν σπηλαίοις ασκητικώς, τήν ζωήν διελθόντες Μακάριοι, άντρου στενού, χάσματι καθείρχθητε αφεγγεί, πεφοινιγμένοι αίμασι, καύσει τε πυρός καί τή εκ καπνού, δεινώς αποσμυχούση, ατμίδι εκπνιγέντες, τροπαιοφόροι απεφάνθητε.

Υμνούμεν τούς αγώνας υπερφυώς, ούς πρός τήν αμαρτίαν ηθλήσατε, νεανικώς, αντικαθιστάμενοι τού Χριστού, ως στρατιώται ένδοξοι, καί γάρ ενικήσατε ευκλεώς, καί νύν παρεστηκότες, σύν τάγμασι Αγίων, τώ πανυψίστω ημών μέμνησθε.

Σύν Σάββα τώ Πατρί καί Καθηγητή, ως ανόθευτα τέκνα Μακάριοι, εν ουρανοίς, αίγλης εμφορούμενοι τριλαμπούς, υπέρ ημών πρεσβεύσατε, τών συμφοιτητών τε καί υμνητών, ειρήνην δωρηθήναι, κοινώς ταίς Εκκλησίαις, καί σωτηρίαν ταίς ψυχαίς ημών.

Θεοτοκίον

Οφρύν καί θράσος άμα τών δυσμενών, ο τεχθείς εκ Παρθένου κατάβαλε, καί τάς βουλάς, τών κακοδοξούντων Δημιουργέ, τών δέ Πιστών τό σύστημα, στήριξον ακράδαντον ως Θεός, τό κέρας ανυψώσας, καί πίστει κραταιώσας, ίνα σε πάντες μεγαλύνωμεν.

Τό Φωταγωγικόν τού Ήχου.

Καί η λοιπή Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΑ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Ιακώβου Επισκόπου, τού Ομολογητού.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, Στιχηρά Προσόμοια.

Ήχος β'
Ότε εκ τού ξύλου σε νεκρόν

Κόσμου τούς θορύβους εκφυγών, εν αταραξία παμμάκαρ τόν νούν εφύλαξας, μή περιπλανώμενον, μηδέ ρεμβόμενον, ταίς τού βίου συγχύσεσι, καί ταίς τρικυμίαις, αλλ' ανατεινόμενον, καί άνω βλέποντα, πόθω πρός τόν άνω Δεσπότην, πρός τόν ευεργέτην τών όλων, αξιομακάριστε Ιάκωβε.

Έξω τής τού κόσμου ταραχής, Πάτερ διεξάγων τόν βίον, παθών ελεύθερος, γέγονας τή χάριτι περιφρουρούμενος, καί δαιμόνων τάς φάλαγγας, ασκήσει συντόνω, καί θείαις αστράψεσι, καταστεψάμενος, χαίρων σύν Αγγέλοις χορεύεις, ών τήν πολιτείαν εκτήσω, περί τόν Παντάνακτα καί Κύριον.

Έζης έξω κόσμου καί σαρκός, υπέρ τά ορώμενα πάντα, ως τήν αόρατον, δόξαν ενθυμούμενος, καί φανταζόμενος, τής σκηνής τήν ευπρέπειαν, τής επουρανίου, καί τήν ωραιότητα τήν ακατάληπτον, ής νύν εμφορούμενος σώσαι, τούς πιστώς τιμώντάς σε Πάτερ, τόν Χριστόν δυσώπησον Ιάκωβε.

Δόξα... Καί νύν... Θεοτοκίον

Πάντων θλιβομένων η χαρά, καί αδικουμένων προστάτις, καί πενομένων τροφή, ξένων τε παράκλησις, χειμαζομένων λιμήν, ασθενούντων επίσκεψις, καταπονουμένων, σκέπη καί αντίληψις, καί βακτηρία τυφλών, Μήτηρ τού Θεού τού υψίστου, σύ υπάρχεις άχραντε, σπεύσον, δυσωπούμεν ρύσασθαι τούς δούλους σου.

Η Σταυροθεοτοκίον

Πόνους υπομείνασα πολλούς, εν τή τού Υιού καί Θεού σου, σταυρώσει άχραντε, έστενες δακρύουσα, καί ολολύζουσα, Οίμοι, Τέκτον γλυκύτατον! αδίκως πώς πάσχεις; πώς τώ ξύλω κρέμασαι, ο πάσι νέμων ζωήν, Όθεν Παναγία Παρθένε, σέ παρακα λούμεν εν πίστει, ίλεων ημίν τούτον απέργασαι.

Απολυτίκιον  Ήχος δ'

Ο Θεός τών Πατέρων ημών, ο ποιών αεί μεθ' ημών, κατά τήν σήν επιείκειαν, μή αποστήσης τό έλεός σου αφ' ημών, αλλά ταίς αυτών ικεσίαις, εν ειρήνη κυβέρνησον τήν ζωήν ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες ως σύνηθες. Ο Κανών τού Αγίου.

Ποίημα Ιγνατίου.

## Ωδή α' Ήχος β' Ο Ειρμός

«Δεύτε Λαοί, άσωμεν άσμα Χριστώ τώ Θεώ, τώ διελόντι θάλασσαν, καί οδηγήσαντι, τόν Λαόν όν ανήκε, δουλείας Αιγυπτίων, ότι δεδόξασται».

Τόν φωτισμόν, τού σού Δεσπότου, Ιάκωβε, εν τή ψυχή δεξάμενος, κόσμου κατέλιπες, αχλυώδη απάτην, καί τής υπερκοσμίου δόξης επέτυχες.

Σύ τόν Σταυρόν, επί τών ώμων αράμενος, τώ σταυρωθέντι Όσιε, κατηκολούθησας, καί μονάσας πανσόφως, τά πάθη εγκρατεία Πάτερ εμείωσας.

Χωρητικόν, τών χαρισμάτων τού Πνεύματος, έξ απαλών ονύχων σου, σκεύος γεγένησαι, καί τής άνω πολίτης, Σιών καί κληρονόμος μάκαρ, Ιάκωβε.

### Θεοτοκίον

Μόνη Θεόν, πάσι τόν όντα αχώρητον, σοί χωρητόν γενόμενον, δι' αγαθότητα, απεκύησας Κόρη, όν αίτησαι σωθήναι τούς ανυμνούντας σε.

## Ωδή γ' Ο Ειρμός

«Στερέωσον ημάς εν σοί Κύριε, ο ξύλω νεκρώσας τήν αμαρτίαν, καί τόν φόβον σου εμφύτευσον, εις τάς καρδίας ημών τών υμνούντων σε».

Ο βίος σου τερπνός, ο λόγος ένθεος, αγάπης τώ άλατι ηρτυμένος, η καρδία ευκατάνυκτος, διά τούτό σε πίστει μακαρίζομεν.

Χριστού τού δι' ημάς φανέντος σώματι, τόν θείον σεβόμενος χαρακτήρα, διωγμούς Πάτερ υπέμεινας, καί κινδύνους καί πόνους παμμακάριστε.

Ως θύμα καθαρόν σαυτόν προσήγαγες, Κυρίω νεκρώσει τής αμαρτίας, καί θυσίας αναιμάκτους αυτώ, Ιεράρχης ως έννομος προσήγαγες.

### Θεοτοκίον

Χρυσούν ως αληθώς θυμιατήριον, καί στάμνον τού θείου μάννα καί θρόνον, καί παλάτιον τερπνότατον, τού Θεού σε Παρθένε ονομάζομεν.

## Κάθισμα Ήχος γ'

### Τήν ωραιότητα

Τήν ωραιότητα τών διδαγμάτων σου, καί τήν λαμπρότητα τών νοημάτων σου, καί ούς υπέστης διωγμούς, σεπτά δι εκτυπώματα, Πάτερ εκπληττόμενοι, κατά χρέος τιμώμέν σε, Ιάκωβε πανεύφημε, θυηπόλε τού Κτίστου σου, διό σύν υμνωδίαις βοώμέν σοι, Σώσον ημάς ταίς πρεσβείαις σου.

### Θεοτοκίον

Έκαστος όπου σώζεται, εκεί δικαίως καί προστρέχει, καί ποία άλλη τοιαύτη καταφυγή, ως σύ Θεοτόκε, σκέπουσα τάς ψυχάς ημών.

### Η Σταυροθεοτοκίον

Ράβδον δυνάμεως κεκτημένοι, τόν Σταυρόν τού Υιού σου Θεοτόκε, εν αυτώ καταβάλλομεν τών εχθρών τά φρυάγματα, οι πόθω σε απαύστως

μεγαλύνοντες.

## Ωδή δ'  Ο Ειρμός

«Εισακήκοα Κύριε, τήν ακοήν τής σής οικονομίας, καί εδόξασά σε, μόνε φιλάνθρωπε».

Τών δακρύων τοίς ρεύμασι, διηνεκώς λουόμενος Παμμάκαρ, καθαρόν δοχείον ώφθης τού Πνεύματος.

Ολονύκτοις δεήσεσι, τάς ηδονάς τού σώματος κοιμίσας, απαθείας ώφθης λύχνος ακοίμητος.

Ταπεινός τε καί μέτριος, καί συμπαθής ακέραιος καί σώφρων, Ιεράρχα Όσιε εχρημάτισας.

### Θεοτοκίον

Απειρόγαμε Δέσποινα, η τόν Θεόν αφράστως συλλαβούσα, πειρασμών καί θλίψεων πάντας λύτρωσαι.

## Ωδή ε'  Ο Ειρμός

«Ο τού φωτός χορηγός, καί τών αιώνων Ποιητής Κύριε, εν τώ φωτί τών σών προσταγμάτων Οδήγησον ημάς, εκτός σου γάρ άλλον, Θεόν ού γινώσκομεν».

Δόξης ερών αληθούς, τό εν ανθρώποις υψηλόν Όσιε, περιφανώς Πάτερ εβδελύξω, καί γέγονας φωστήρ, ταπεινοφροσύνης εμπρέπων φαιδρότητι.

Αναστηλών σεαυτόν, ταίς ολονύκτοις προσευχαίς ίστασο, τώ τής ψυχής όμματι τάς θείας, δεχόμενος αυγάς, Πάτερ Ιεράρχα θεόφρον Ιάκωβε.

Εν εγκρατεία πολλή, εν αγρυπνία εκτενεί Όσιε, εν προσευχή καί κακοπαθεία, εζήτησας Θεόν, τόν σέ πρός τάς άνω μονάς με ταθέμενον.

### Θεοτοκίον

Τήν πληγωθεϊσάν μου, ταίς προσβολαίς τού δυσμενούς, Άχραντε, ως συμπαθής ίασαι καρδίαν, η τόν επί Σταυρού σαρκί πληγωθέντα, αρρήτως κυήσασα.

## Ωδή ς'  Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, εκ φθοράς ο Θεός με ανάγαγε».

Οι κρουνοί τών δακρύων σου Όσιε, θάλασσαν δεινών παθημάτων εξήραναν, καί τήν εκεί παράκλησιν, τή σεπτή σου ψυχή προεξένησαν.

Ανεξίκακος πράος ακέραιος, όσιος ηδύς ταπεινόφρων καί μέτριος, καί φωτισμού ανάπλεως, παναοίδιμε Πάτερ γεγένησαι.

Τή τών θείων ποιμένων η μνήμη σου, Πάτερ συνδεδόξασται, οία Ποιμένος καλού, Ποιμήν σοφέ Ιάκωβε, ως οσίως τήν ποίμνην ποιμάναντος.

Θεοτοκίον

Ο βουλήσει τό πάν εργασάμενος, μήτραν βουληθείς απειρόγαμον ώκησε, τούς τή φθορά νοσήσαντας, αφθαρσία πλουτίσας ως εύσπλαγχνος.

Μαρτυρικόν τού Ήχου.

Συναξάριον

Τή ΚΑ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Ιακώβου Επισκόπου, τού Ομολογητού.

Στίχοι

- Λύπας ενεγκών σής χάριν σκιάς, Λόγε,
- Βίου σκιώδους Ιάκωβος ηρπάγη.
- Κρύψαν υπό χθόνα εικαδ' Ιάκωβον κατά πρώτην.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Θωμά, Πατριάρχου Κωνσταντινουπόλεως.

Στίχοι

- Ζωήν ο Θωμάς εκλιπών μετρουμένην,
- Ζωήν πρεπόντως εύρεν ου μετρουμένην.

Τή αυτή ημέρα, μνήμη τών Αγίων Μαρτύρων Φιλήμονος καί Δομνίνου.

Στίχοι

- Τμηθείς Φιλήμον, καί Δομνίνον σόν φίλον,
- Φιλείν κεφαλής τήν τομήν απειργάσω.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Βηρίλλου, επισκόπου Κατάνης.

Στίχοι

- Διπλά θανών εύρατο Βήριλλος στέφη,
- Ως κυριεύσας καί παθών καί δαιμόνων.

Τή αυτή ημέρα ο Άγιος Σεραπίων, ο από Σιδώνος, εν ειρήνη τελειούται.

Στίχοι

- Δούς πάντα χερσίν ενδεών Σεραπίων,
- Τέλος δίδωσι καί τό Πνεύμα Κυρίω.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Εικόνος χρυσής, εν πεδίω Δεηρά λατρευομένης, οι τρείς σου Παίδες κατεφρόνησαν αθεωτάτου προστάγματος, μέσον δέ πυρός εμβληθέντες, δροσιζόμενοι έψαλλον, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών».

Πολλούς διωγμούς, ανενδότους πειρασμούς Πάτερ υπέμεινας, Εικονομάχους εκτρεπόμενος, ως ζηλωτής ενδικώτατος, πάντας τούς ορώντας φωτίζων, καί κραυγάζων, Ιάκωβε, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Χριστού τήν φρικτήν, Παρουσίαν εννοών εν κατανύξει, πάντα τόν βίον διετέλεσας, έως ού εύρες μακάριε, κάθαρσιν πταισμάτων τελείαν, καί αιωνίαν παράκλησιν, καί φωτισμόν αληθινόν, καί δόξαν άρρητον.

Ποιμένος Χριστού, εν πραότητι ψυχής ώφθης αρνίον, καί υπό τούτου ποιμαιν όμενος, Ποιμήν προβάτων εν Πνεύματι, Πάτερ λογικών ανεδείχθης, σύν αυτοίς μέλπων πάντοτε, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Μαρία σεμνή, αειπάρθενε Αγνή ευλογημένη, καταπιπτόντων επανόρθωσις, αμαρτανόντων η λύτρωσις, σώσον με τόν άσωτον σώσον, τώ Υιώ σου κραυγάζοντα, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Ωδή η' Ο Ειρμός

«Τόν εν καμίνω τού πυρός, τών Εβραίων τοίς Παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον, μεταβαλόντα Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Ο καθαρώτατός σου νούς, καθαραίς προσομιλών φωτοχυσίαις, τών δαιμόνων τό σκότος, καί τών παθών τήν αχλύν, εμφρόνως έξέκλινεν Όσιε, Χριστόν ανυμνείτε, κραυγάζων εις αιώνας.

Πεπυρωμένα τού εχθρού, βέλη έσβεσας Σοφέ ταίς επομβρίαις, τών απαύστων δακρύων, καί πυρωθείς τή Χριστού, αγάπη παμμάκαρ κατέφλεξας, τάς υλομανούσας, τών ηδονών ακάνθας.

Τούτο τό ποίμνιον Σοφέ, ο συνήγαγες ταίς σαίς διδασκαλίαις, καί τούς πίστει ελούντας τήν ιεράν καί σεπτήν, καί πλήρη φωτός θείαν μνήμην σου, φύλαττε ευχαίς σου, Πειρασμών καί Κινδύνων.

Θεοτοκίον

Ζωσα υπάρχουσα πηγή, ώς τό ύδωρ τής ζωής αποτεκούσα, τήν ψυχήν μου τακείσαν τής αμαρτίας φλογμώ, Παρθένε Θεοτόκε πότισον, ίνα σε δοξάζω, εις πάντας τούς αιώνας.

Ωδή θ' Ο Ειρμός

«Τόν εκ Θεού Θεόν Λόγον, τόν αρρήτω σοφία, ήκοντα καινουργήσαι τόν Αδάμ, βρώσει φθορά πεπτωκότα δεινώς, εξ αγίας Παρθένου, αφράστως σαρκωθέντα δι' ημάς, οι πιστοί ομοφρόνως, εν ύμνοις μεγαλύνομεν».

Μετά πολλούς τούς καμάτους, μετά πόνους μυρίους, ιδρώτάς τε καί θλίψεις αληθώς, πρός τόν λιμένα κατέπαυσας, τόν ουράνιον φέρων, τόν πλούτον τών ενθέων αρετών, Ιερώτατε Πάτερ, Οσίων εγκαλλώπισμα.

Ημερινόν ως αστέρα, ως Πνεύματος οίκον, ως ρόδον ευωδίας μυστικής, Πάτερ υπάρχων ανάπλεων, ώς υψίκομον δένδρον, ως δόξης αιωνίου κοινωνόν, ώς σοφόν Ιεράρχην, τιμώμέν σε Ιάκωβε.

Αι τών δακρύων λιβάδες, εν τή γή τής καρδίας, πεμπόμεναι πλουσίως αληθώς, στάχυν εξέθρεψαν ώριμον, τάς ψυχάς τών εν πίστει, Τιμώντων σε εκτρέφοντα αεί, Ιεράρχα θεόφρον, Πατήρ ημών, Ιάκωβε.

Θεοτοκίον

Φείσαί μου Κύριε φείσαι, όταν μέλλης με κρίναι, καί μή καταδικάσης με εις πύρ, μή τώ θυμώ σου ελέγξης με, δυπωπεί σε Παρθένος, η σέ κυοφορήσασα Χριστέ, τών Αγγέλων τά πλήθη, καί ο κλεινός Ιάκωβος.

Τό Φωταγωγικόν τού Ήχου.

Καί η λοιπή Ακολουθία, ως σύνηθες καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΒ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Ιερομάρτυρος Βασιλείου, Πρεσβυτέρου τής Αγκυρανών Εκκλησίας.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'

Ο εξ υψίστου κληθείς

Ιερωσύνης στολαίς ηγλαϊσμένος, Θεώ ελειτούργησας, καθάπερ Άγγελος, τώ δι' ημάς ύλη σώματος, επιφανέντι, θύων Βασίλειε μεγαλώνυμε, εντεύθεν ως τέλειον πρόβατον τέθυσαι, καί καθαρόν θύμα γέγονας, καί προσηνέχθης, νύν εις τό άνω θυσιαστήριον, όθεν φωναίς σε μακαρίζομεν, χαρμονικώς καί βοώμέν σοι, ικετεύων μή παύση, τού σωθήναι τάς ψυχάς ημών.

Αφαιρεθείς τήν δοράν κρίσει αδίκω, τούς πόνους υπήνεγκας αποσκοπούμενος, λήξιν τήν άπονον Ένδοξε, καί τά βραβεία, τά τοίς αθλήσασιν αποκείμενα, πυρί δέ στομούμενος, οίά περ σίδηρος, ουρανοχάλκευτον γέγονας, παμμάκαρ, ξίφος, πάσας συγκόπτων εχθρού τάς φάλαγγας, όθεν τιμά σε πάσα σήμερον, τών ευσεβών γλώσσα χαίρουσα, καί αιτεί δυσωπείν σε, τόν Θεόν υπέρ τής ποίμνης σου.

Ωραϊσμένος τοίς στίγμασι τοίς θείοις, εις πόλιν εκ πόλεως δέσμιος έτρεχες, καταδεσμεύων τόν τύραννον, καί τάς πορείας, τών σών βημάτων κατευθυνόμενος, καί δή πρός Καισάρειαν πόλιν γενόμενος, εν ταύτη τέλος μακάριον, καθυπεδέξω, καί πρός τήν πόλιν τήν επουράνιον, στεφανηφόρος

ανελήλυθας, καί Θεώ Βασιλεί νύν παρίστασαι, όν ικέτευε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Ότι είς βάθη πολλών παραπτωμάτων, αθλίως κατήντησα εξ άμελείας μου, καί ραθυιμίας ο δείλαιος, καί απορία, καί απογνώσει νυνί συνέχομαι, γενού μοι βοήθεια καί ιλαστήριον, καί σωτηρία Πανάχραντε, παραθυμίαν, ευμενεστάτην παρεχομένη μοι, σέ ικετεύω, καί σού δέομαι, καί προσπίπτω καί πίστει κραγάζω σοι, Μή δειχθείην εις τέλος, τώ αλάστορι επίχαρμα.

Η Σταυροθεοτοκίον

Μή εποδύρου μου Μήτερ καθορώσα, εν ξύλω κρεμάμενον τόν σόν Υιόν καί Θεόν, τόν εφ' υδάτων κρεμάσαντα, τήν γήν ασχέτως, καί πάσαν κτίσιν δημιουργήσαντα, καί γάρ αναστήσομαι καί δοξασθήσομαι, καί τά τού Άδου βασίλεια συντρίψω σθένει, καί αφανίσω τούτου τήν δύναμιν, καί τούς δεσμίους εκλυτρώσομαι, τής αυτού κακουργίας ως εύσπλαγχνος, καί Πατρί τώ ιδίω προσαγάγω ως φιλάνθρωπος.

Απολυτίκιον

Καί τρόπον μέτοχος καί θρόνον διάδοχος, τών Αποστόλων γενόμενος, τήν πράξιν εύρες θεόπνευστε, εις θεωρίας επίβασιν, Διά τούτο τόν λόγον τής αληθείας ορθοτομών, καί τή πίστει ενήθλησας μέχρις αίματος, Ιερομάρτυς Βασίλειε, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι κανόνες ως σύνηθες.

Ο κανών τού Αγίου, ού η Ακροστιχίς.

Σού τούς μεγίστους, Μάρτυς, ευφημώ πόνους. Ιωσήφ.

Ωδή α' Ήχος πλ. β' Ο Ειρμός

«Ως εν ηπείρω πεζεύσας ο Ισραήλ, εν αβύσσω, ίχνεσι, τόν διώκτην Φαραώ, καθορών ποντούμενον Θεώ, επινίκιον ωδήν εβόα άσωμεν».

Σού τήν βασίλειον δόξαν Παμβασιλεύ, ο κλεινός Βασίλειος, αγαπήσας σταθερώς, επί γής ενήθλησε, δι' ού, Βασιλείας ουρανών ημάς αξίωσον.

Ο αξιέπαινος βίος, η καθαρά, πολιτεία Ένδοξε, τών αγώνων η τριβή, κληρονόμον έδειξε Θεού, καί πολίτην ουρανών σε απειργάσατο.

Υποταγείς τώ Κυρίω δι' αγαθής, πολιτείας πάνσοφε, καθυπέταξας εχθρόν καί ποσί συνέτριψας λαμπρώς, αριστεύσας κατ' αυτού Μάρτυς Βασίλειε.

Τή τών αιμάτων πλημμύρα τόν νοητόν, Φαραώ εβύθισας, πανστρατί ώς αληθώς, καί πρός γήν ανέδραμες σοφέ, ένθα νέφος αθλητών αεί ευφραίνεται.

### Θεοτοκίον

Οτώ Πατρί συνυπάρχων μονογενής, βουληθείς κατώκησε, σού τήν άχραντον νηδύν, καί βροτός εγένετο Αγνή, σώσαι θέλων τούς βροτούς δι' αγαθότητα.

### Ωδή γ' Ο Ειρμός

«Ουκ έστιν Άγιος ώς σύ, Κύριε ο Θεός μου, ο υψώσας τό κέρας τών πιστών σου αγαθέ, καί στερεώσας αυτούς, εν τή πέτρα τής ομολογίας σου».

Υψώθης οία περ αμνός, επί ξύλου Τρισμάκαρ, τούς ξεσμούς υποφέρων, διανοία καθαρά, καί καταράσσων εχθρού, τάς επάρσεις, σθένει θείου Πνεύματος.

Στιγμάτων Μάρτυς καλλοναίς, ωραιότατος ώφθης, τήν ψυχήν καί τό σώμα, διανοία καθαρά, χαριστηρίους φωνάς, αναμέλπων τώ αγωνοθέτη σου.

Μεγίστην εύκλειαν ζητών, μεγαλόφρονι γνώμη, τούς μεγίστους αγώνας, εκαρτέρησας σοφέ, καί τόν μεγάλως αεί, επηρμένον, Μάρτυς εταπείνωσας.

Ενθέων φύλαξ πεφυκώς, προσταγμάτων θεόφρον, φυλακαίς κατε κλείσθης, υπανοίγων τοίς πιστοίς, διδασκαλίας οδόν, την εις πλάτος γνώσεως εισάγουσαν.

### Θεοτοκίον

Γνωρίσας πόρρωθεν τήν σήν, σύλληψιν Ησαΐας, διά Πνεύματος Κόρη, διετράνωσεν αυτήν, βοών, Ιδού εν γαστρί, η Παρθένος, τόν Θεόν συλλήψεται.

### Κάθισμα Ήχος δ'
### Ταχύ προκατάλαβε

Ο Μάρτυς Βασίλειος, τήν Βασιλείαν Θεού, ποθήσας υπήνεγκε, τήν τών βασάνων πυράν, καί θάνατον άδικον, όθεν αθανασίας, αληθούς ηξιώθη, Τούτον ούν συνελθόντες, μακαρίσωμεν πίστει, πρεσβεύοντα τώ Κυρίω υπέρ πάντων ημών.

### Θεοτοκίον

Εκαίνισας άχραντε, τώ θείω τόκω σου, φθαρείσαν τοίς πάθεσι, τών γηγενών τήν θνητήν, ουσίαν καί ήγειρας, πάντας εκ τού θανάτου, πρός ζωήν αφθαρσίας, όθεν σε κατά χρέος, μακαρίζομεν πάντες, Παρθένε δεδοξασμένη, ως προεφήτευσας.

### Η Σταυροθεοτοκίον

Παρθένε πανάμωμε, μήτερ Χριστού Θεού, ρομφαία διήλθέ σου, τήν Παναγίαν ψυχήν, ηνίκα σταυρούμενον, έβλεψας εκουσίως, τόν Υιόν καί Θεόν σου, όν περ ευλογημένη, δυσωπούσα μή παύση, συγχώρησιν πταισμάτων ημίν δωρήσασθαι.

### Ωδή δ' Ο Ειρμός

«Χριστός μου δύναμις, Θεός καί Κύριος, η σεπτή Εκκλησία θεοπρεπώς, μέλπει ανακράζουσα, Εκ διανοίας καθαράς, εν Κυρίω εορτάζουσα».

Ιδών αστράπτον σου, τό θείον πρόσωπον, τή τού Πνεύματος αίγλη ο δυσσεβής, Μάρτυς κατεπλήττετο, καί ως τού σκότους υπουργός, αναισθήτως εμωραίνετο.

Σοφία κρείττονι, καλλωπιζόμενος, τούς σοφούς τών Ελλήνων θεαρχικώ, σθένει απεμώρανας, καί εναθλήσας καρτερώς, νίκης στέφανον απείληφας.

Ταθέντα πάντοθεν, καί εξαρθρούμενον, εκραταίου σε Λόγος ο εν Σταυρώ, τανυσθείς Βασίλειε, καί διά πάθους τοίς πιστοίς, δωρησάμενος απάθειαν.

Ου θύω δαίμοσιν, ου φρίττω θάνατον, ου κολάσεων είδη ο Ιερός, έκραζε Βασίλειος, ένα Θεόν ομολογώ, εν Τριάδι γνωριζόμενον.

Θεοτοκίον

Υμνώ σε Δέσποινα, τήν πολυϋμνητον, ευλογώ σε Παρθένε, δι' ής βροτοί, πάντες ευλογήθημεν, καί τής κατάρας αληθώς, τής αρχαίας ελυτρώθημεν.

Ωδή ε'  Ο Ειρμός

«Τώ θείω φέγγει σου αγαθέ, τάς τών ορθριζόντων σοι ψυχάς, πόθω καταύγασον δέομαι, σέ ειδέναι Λόγε Θεού, τόν όντως Θεόν, εκ ζόφου τών πταισμάτων ανακαλούμενος».

Σιδήρου βάρει κατακαμφθείς, ώς τόν ελαφρότατον ζυγόν, Κυρίου φέρειν ελόμενος, τόν κατά τού Κτίστου τραχηλιάσαντα, εχθρόν τόν αλαζόνα Μάρτυς κατέκαμψας.

Μετ' ευφροσύνης τά σιδηρά, Μάρτυς περικείμενος δεσμά, τόπους εκ τόπων διέδραμες, τούτοις ως ορμίσκοις ωραϊζόμενος, Βασίλειε, καί τέρπων τόν Αθλοθέτην σου.

Αιμάτων ρεύμασι σεαυτώ, Μάρτυς επιχρώσας αληθώς, βασιλικήν στολήν ένδοξε, νίκης τε διάδημα περιθέμενος, Χριστώ συμβασιλεύεις χαίρων Βασίλειε.

Ρωσθείς τή χάριτι τού Σταυρού, ήνυσας μακράν καί χαλεπήν, οδόν δεινώς ελαυνόμενος, μέλπων, Εν τή τρίβω τών μαρτυρίων σου, τερπόμενος καί χαίρων Λόγε πορεύσομαι.

Θεοτοκίον

Τήν ανωτέραν τών Χερουβίμ, τήν υψηλοτέραν ουρανών, τήν υπερτέραν τής κτίσεως, τών σοφών Μαρτύρων τό περιτείχισμα, τήν μόνην Θεοτόκον, ύμνοις τιμήσωμεν.

Ωδής'  Ο Ειρμός

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι, Ανάγαγε, έκ φθοράς τήν ζωήν

μου Πολυέλεε».

Υψώθης τοίς άθλοις σου, καί κατέρραξας εχθρόν, Μεγαλομάρτυς ένδοξε, καί πρός Θεόν μετέβης νικητικώ, στεφθείς διαδή ματι, επί τέλει τών άθλων αξιάγαστε.

Σταυρώ τόν τανύσαντα, τάς παλάμας διά σέ, Μάρτυς σοφέ μιμούμενος, ανηρτήθης εν ξύλω καρτερικώς, ξεσμούς εκαρτέρησας, τραυματίζων τήν πλάνην σού τοίς τραύμασιν.

Εδέσμεις δεσμούμενος, τούς ασάρκους δυσμενείς, υπέρ Χριστού Βασίλειε, απολυθείς δέ ένδοξε τής σαρκός, εις τό τέλος διέλυσας, τάς αυτών κακουργίας θεία χάριτι.

Θεοτοκίον

Υμνώ σε Πανύμνητε, ήν υμνούσι στρατιαί, επουρανίων τάξεων, καί δυσωπώ σε, πάθη μου τής ψυχής, ιάτρευσον Άχραντε, καί πυρός αιωνίου ελευθέρωσον.

Τό Μαρτυρικόν τού Ήχου.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΒ' τού αυτού μηνός, Μνήμη τού Αγίου Ιερομάρτυρος Βασιλείου, Πρεσβυτέρου τής Αγκυρανών Εκκλησίας.

Στίχοι

- Σώαν Προφήτης είπεν αλγείν κοιλίαν.
- Τετρημένην δέ Μάρτυς αλγείν ουκ έφη.
- Εικάδι δευτερίη Βασίλειος ετρήθη σούβλαις.

Τή αυτή ημέρα, αι Άγιαι Μάρτυρες Καλλινίκη καί Βασίλισσα, ξίφει τελειούνται.

Καί μνήμη τής Αγίας Δροσίδος, θυγατρός τού Βασιλέως Τραϊανού, καί τών σύν αυτή πέντε Κανονικών μοναζουσών.

Στίχοι

- Καλλινίκην τέμνουσι σύν Βασιλίσση,
- Τάς Καλλινίκους καί πόλου Βασιλίδας.
- Δροσίς απήλθεν εκ δρόσου τής τού μύρου,
- Ως εκ Λιβάνου Κανονική πρός πόλον.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Δροσοβόλον μέν τήν κάμινον ειργάσατο, Άγγελος τοίς οσίοις Παισί, τούς Χαλδαίους δέ καταφλέγον πρόσταγμα Θεού, τόν τύραννον έπεισε βοάν,

Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών».

Φωτισμώ τής θείας χάριτος λαμπόμενος, τό σκότος τών κολάσεων διελήλυθας, γεγονώς ημέρας κοινωνός, Σοφέ ανεσπέρου, καί βοών, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Η δρασμένη επί πέτραν θείας γνώσεως, θεόφρον η καρδία σου, ου σεσάλευται, πειρασμών ανέμοις Αθλητά, βοώσα τώ πάντων Λυτρωτή, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Μωραινόμενος ο τύραννος προστάττει σε, λωροτομείσθαι Ένδοξε, καί ως άσαρκον υπομένοντά σε καθορών, συνήκεν ουδόλως εκβοάν, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Ως χρυσός εν τή καμίνω τών κολάσεων, εξέλαμψας πυρούμενος, καί εκσφράγισμα, παθημάτων θείων γεγονώς, εβόας Βασίλειε σοφέ, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Παρθενίαν μετά τόκον αδιάφθορον, Παρθένε διαμένουσαν, κατανοούσα, τώ εκ σού τεχθέντι υπέρ νούν εβόας Σωτήρι καί Θεώ, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

## Ωδή η' Ο Ειρμός

«Εκ φλογός τοίς Οσίοις δρόσον επήγασας, καί Δικαίου θυσίαν ύδατι έφλεξας, άπαντα γάρ δράς Χριστέ, μόνω τό βούλεσθαι, Σέ υπερυψούμεν, εις πάντας τού αιώνας».

Ολικώς πρός τό θείον ανατεινόμενος, τούς τού σώματος πόνους όναρ λελόγισαι, όθεν πρός ζωήν μακαρίαν καί άπονον, Μάρτυς αθλοφόρε, γηθόμενος μετέβης.

Νευρωθείς τή αγάπη τού Παντοκράτορος, σπαραγμούς υποφέρεις σαρκός στερρότατα, καί τόν δυνατόν εν κακία συμπνίγεις εχθρόν ρείθροις σών αιμάτων, Βασίλειε τρισμάκαρ.

Ο βασίλειος κόσμος τής Εκκλησίας Χριστού, τών παθών τού Σωτήρος τό απεικόνισμα, Μάρτυς ο στερρός, τών πιστών τό κραταίωμα, ύμνοις ευφημείσθω, Βασίλειος ο μέγας.

Υπερκόσμιον δόξαν καί φώς ανέσπερον, ουρανών Βασιλείαν, στέφος αμάραντον, άλυπον ζωήν, καί χαράν ανεκλάλητον, Μάρτυς μετά τέλος ευρείν κατηξιώθης.

Θεοτοκίον

Σωτηρίας ανθρώπων γένος ήξίωται διά σού Παναγία θεοχαρίτωτε, μόνη γάρ ημίν, τόν Σωτήρα εκύησας, όν υπερυψούμεν, εις πάντας τους αιώνας.

Ωδή θ' Ο Ειρμός

«Θεόν ανθρώποις ιδείν αδύνατον, όν ου τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ Πάναγνε ωράθη βροτοίς, Λόγος σεσαρκωμένος, όν μεγαλύνοντες, σύν ταίς ουρανίαις Στρατιαίς σέ μακαρίζομεν».

Ιδείν Αγίων τερπνας λαμπρότητας, απολυθείς σαρκός, κατηξιώθης Πανόλβιε, καί Αγγέλων συνήγθης στρατεύμασι, μέλπων αεί συν τούτοις, Άγιος, Άγιος, Άγιος, Τριάς, η παντουργός καί παντοδύναμος.

Ως φώς παμμάκαρ, ως μέγας ήλιος, εν ουρανώ Χριστού τής Εκκλησίας ορώμενος, ταίς τών άθλων φεγγοβόλοις λάμψεσι, καί θαυματουργημάτων, θείαις λαμπρότησι, πάντων καταυγάζεις, τάς ψυχάς τών ανυμνούντων σε.

Σαυτόν τών άθλων ταίς ωραιότησι, πανευκλεώς θεόθεν, Αθλοφόρε ωράϊσας, καί Χριστώ τώ ωραίω παρίστασαι, στέφος δικαιοσύνης, νύν περικείμενος, όθεν σε τιμώμεν οι πιστοί επαγαλλόμενοι.

Η γή τή θεία ταφή ηγίασται, τού Ιερού Βασίλειε καί θείου σου σώματος, τών Δικαίων εσκίρτησαν πνεύματα, μέσον αυτών τό πνεύμά σου μάκαρ έχοντα, μεθ' ών πάντων μέμνησο, ημών τών μεμνημένων σου.

Θεοτοκίον

Φρικτός ο τρόπος ο τής λοχείας σου! Θεός γάρ ήν Παρθένε σαρκωθείς ο τικτόμενος, όν ικέτευε φρικτής κολάσεως, πάντας τούς αδιστάκτω πίστει τιμώντάς σε, Μήτερ απειρόγαμε, σεμνή απολυτρώσασθαι.

Τό Φωταγωγικόν τού Ήχου.

Καί τά λοιπά, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΓ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου πατρός ημών Νίκωνος καί τών αυτού Μαθητών εκατόν ενενήκοντα εννέα.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, Στιχηρά Προσόμοια.

Ήχος δ'

Ως γενναίον εν Μάρτυσι

Η δονάς τάς τού σώματος, καί σαρκός τό δυσήνιον, τώ κημώ μακάριε καθυπέταξας, τάς εγκρατείας εν χάριτι, νικήσας ως άριστος, πανοπλίαν τού εχθρού, τή δυνάμει τού Πνεύματος, όθεν γέγονας ποδηγός μοναζόντων επομένων, τώ πανσόφω σου καί θείω Νίκων κηρύγματι πάντοτε.

Αναλάμψας ως ήλιος, εξ Εώας Πανόλβιε, οικουμένην άπασαν Κατεφώτισας, τή τών θαυμάτων λαμπρότητι, χορόν επαγόμενος, ως αστέρων φαεινών, οπαδών, μεθ' ών ήθλησας, καρτερώτατα, διά ξίφους τμηθέντες, καί εις χείρας, τού παντάνακτος Δεσπότου, υμών τά πνεύματα θέμενοι.

Ου λιμός ουδέ κίνδυνος, ου γυμνότης ου μάστιγες, ουχ ο βιαιότατος όντως θάνατος, υμάς αγάπης εχώρισε, Χριστού αξιάγαστοι, αλλ' ώς άρνες εις σφαγήν, τώ ποιμένι επόμενοι, εκ τής δύσεως, πρός ανέσπερον λήξιν ουρανίου, Βασιλείας, Αθλοφόροι, στεφανηφόροι εφθάσατε.

Δόξα... Καί νύν... Θεοτοκίον

Μετανοίας τό άριστον, καί σωτήριον φάρμακον, η Θεόν κυήσασα τόν Σωτήρά μου, καί τών δακρύων τά ρεύματα, καί ώρας τήν έννοιαν, τής φρικτής καί φοβεράς, αδεκάστου τε κρίσεως, σύ μοι δώρησαι, καί φυγείν ταίς ευχαίς σου, ώ Παρθένε, τών κολάσεων τόν τρόμον, καί θείας τεύξασθαι χάριτος.

Η Σταυροθεοτοκίον

Τόν Αμνόν καί Ποιμένα σε, επί ξύλου ως έβλεψεν, η Αμνάς η τέξασα επωδύρετο, καί μητρικώς σοι εφθέγγετο, Υιέ ποθεινότατε, πώς εν ξύλω τού Σταυρού, ανηρτήθης μακρόθυμε, πώς τάς χείράς σου καί τούς πόδας σου Λόγε προσηλώθης, υπ' ανόμων, καί τό αίμα, τό σόν εξέχεας Δέσποτα;

Απολυτίκιον

Ο Θεός τών Πατέρων ημών, ο ποιών αεί μεθ' ημών, κατά τήν σήν επιείκειαν, μή αποστήσης τό έλεός σου αφ' ημών, αλλά ταίς αυτών ικεσίαις, εν ειρήνη κυβέρνησον τήν ζωήν ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες κατά τήν τάξιν.

Ο Κανών τών Αγίων, ού η Ακροστιχίς.

Νίκης σε μέλπω τόν φερώνυμον μάκαρ. Ιωσήφ.

Ωδή α'  Ήχος δ'
ο Ειρμός

«Θαλάσσης, τό ερυθραίον πέλαγος, αβρόχοις ίχνεσιν, ο παλαιός πεζεύσας Ισραήλ, σταυροτύποις Μωσέως χερσί, τού Αμαλήκ τήν δύναμιν, εν τή ερήμω ετροπώσατο».

Νικήσας, ασκητικοίς παλαίσμασι, τόν κακομήχανον, αθλητικαίς εστέφθης καλλοναίς, καί Θεώ νύν παρίστασαι, υπέρ ημων δεόμενος, Όσιε Νίκων τών τιμώντων σε.

Ισχύϊ, τού τήν ημών ασθένειαν, ενδυναμώσαντος, δυναμωθείς ηρίστευσας τό

πρίν, εν πολεμοις Μακάριε, καί νικητής γενόμενος, Χριστού προστρέχεις τώ βαπτίσματι.

Κοσμείται, τώ μαρτυρίω όμιλος, μακαριώτατος, τών μαθητών σου πρότερον Σοφέ, λαμπρυνθείς ταίς ασκήσεσι, καί εν διπλοίς παλαίσμασι, διπλούς στεφάνους ανεπλέξατο.

Θεοτοκίον

Η πύλη, τής πρός ημάς σου Κύριε, συγκαταβάσεως, Ανατολήν καί Ήλιον καί Φώς, μυστικώς σε καλούμενον, υπερφυώς γεγέννηκε, διπλούν τήν φύσιν τόν Θεάνθρωπον.

Ωδή γ' Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα, Σύ μου Ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

Στρατείαν πνευματικήν, περιζωσάμενος στρατόν ένθεον, Μάρτυς Χριστού ώπλισας, πρός τά τής αθλήσεως σκάμματα.

Σταυρώσας ασκητικώς, σάρκα Πανένδοξε τό πρίν έσπευσας, αθλητικαίς μάστιξι, φάλαγγας δαιμόνων τροπώσασθαι.

Εώας ώσπερ αστήρ, Νίκων απάρας πρός δυσμάς έφθασας, όθεν θανών έδυσας, καί πρός τόν Χριστόν εξανέτειλας.

Θεοτοκίον

Μαρτύρων δήμος τήν σήν, απεικονίσατο σφαγήν Δέσποτα, επεγνωκως Κόρης σε, εξ απειρογάμου βλαστήσαντα.

Κάθισμα Ήχος γ'

Θείας πίστεως

Φώς επέλαμψε σού τή καρδία, θείοις ρήμασι τής σέ τεκούσης, φωτισθείς δέ τώ Βαπτίσματι Όσιε, τών Μοναστών κατελέγης συστήματι, καί ποδηγός καί φωστήρ εχρημάτισας, επομένων σοι, μεθ' ών τόν Χριστόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Θεοτοκίον

Θεία γέγονας σκηνή τού Λόγου, μόνη πάναγνε Παρθενομήτορ, τή καθαρότητι Αγγέλους υπεράρασα, τόν υπέρ πάντας εμέ γούν γενόμενον, ρερυπωμένον σαρκός πλημμελήμασιν, αποκάθαρον, πρεσβειών σου ενθέοις νάμασι, παρέχουσα σεμνή τό μέγα έλεος.

Η Σταυροθεοτοκίον

Η αμίαντος Αμνάς τού Λόγου, η ακήρατος Παρθενομήτορ, εν τώ Σταυρώ θεασαμένη κρεμάμενον, τόν εξ αυτής ανωδίνως βλαστήσαντα, μητροπρεπώς θρηνωδούσα εκραύγαζεν, Οίμοι τέκνον μου! πώς πάσχεις θέλων ρύσασθαι, παθών τής ατιμίας τόν άνθρωπον.

Ωδή δ' Ο Ειρμός

«Επαρθέντα σε ιδούσα η Εκκλησία, επί Σταυρού τάν Ήλιον τής δικαιοσύνης, έστη εν τή τάξει αυτής, εικότως κραυγάζουσα, Δόξα τή δυνάμει σου Κύριε».

Ενηδόμενος ταίς θείαις φωτοχυσίαις, τά τών βασάνων ρεύματα, άτρωτος διέβης, Νίκων αξιάγαστε, καί νίκης τόν στέφανον, Μάρτυς επαξίως απείληφας.

Λαμπροτάταις διαπρέπων ανδραγαθίαις, ως ασκητής ηγώνισαι, πάθη θανατώσας, πρότερον τού σώματος, αθλήσει τό δεύτερον, τάς δαιμονικάς τρέπων φάλαγγας.

Παρετάξασθε τώ όπλω τής ευσεβείας, τώ δυσμενεί θεόφρονες, καί διά θανάτου, εύκλειαν αθάνατον, ειλήφατε ψάλλοντες, Δόξα τή δυνάμει σου Κύριε.

Θεοτοκίον

Ως υπάρχουσαν τής κτίσεως ανωτέραν, ο Ποιητής ηγάπησεν, ώ Παρθενομήτορ, δείξας σε Μητέρα αυτού, ήν καί λιτανεύουσι, δήμοι, Αθλητών ευπρεπέστατα.

Ωδή ε'  Ο Ειρμός

«Σύ Κύριέ μου φώς, εις τόν κόσμον ελήλυθας, φώς άγιον επιστρέφον, εκ ζοφώδους αγνοίας, τούς πίστει ανυμνούντάς σε».

Ταίς θείαις τής μητρός, ευπειθών παραινέσεσι, τήν δύναμιν Νίκων έσχες, τού Σταυρού εν πολέμοις, μυούμενος τά κρείττονα.

Ο βίος σου φωτί αρετών πυρσευόμενος, τήν άθλησιν ώσπερ κόσμον, ευπρεπέστατον έχει, θεόφρον πανσεβάσμιε.

Νόμοις θεαρχικοίς, ευπειθούντες οι Μάρτυρες, ηρίστευσαν, καί ανόμους, θεϊκή συμμαχία, ανδρείως ετροπώσαντο.

Θεοτοκίον

Φώς άχρονον ημίν, τού Πατρός τό απαύγασμα, εγέννησας επί χρόνον, αγαθότητος πλούτω, γενόμενον Πανάμωμε.

Ωδή ς'  Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμονων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Εώας, ώς πολύφωτος ώρμησας ήλιος, ώσπερ αστέρας θεόφρον, μαθητών χορόν επαγόμενος, καί τήν δύσιν, ταίς ακτίσιν υμών εφωτίσατε.

Ρανίσι, τών αιμάτων σου Μάρτυς κατέκλυσας, πολυθεϊας θαλάσσας, καί βυθώ αγώνων απέπνιξας, τής κακίας, τόν δεινόν ευρετήν καί παμπόνηρον.

Ως κρίνα, αρετών εν λειμώνι ηνθήσατε, καί ως ηδύπνοα ρόδα, τάς ημών καρδίας μυρίζετε, Μαρτυρίου, καλλοναίς Αθλοφόροι θεόπνευστοι.

Θεοτοκίον

Ναόν σε, τού Θεού καί παλάτιον έμψυχον, τών Αθλοφόρων χορεία, επιγνούσα Δέσποινα λιτανεύει, σέ τήν μόνην, γυναικών αραμένην τό όνειδος.

Τό Μαρτυρικόν τού Ηχου.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΓ' τού αυτού μηνός, Μνήμη τού Αγίου Μάρτυρος Νίκωνος καί τών αυτού μαθητών, εκατόν ενενηκονταεννέα Μαρτύρων.

Στίχοι

- Νίκης στέφανον ευτρεπίζει σοι, Νίκων,
- Βραβεύς στεφάνων, θνήσκε λοιπόν τώ ξίφει.
- Εικάδι εν τρ ιτάτη ξίφει Νίκων κράτα δώκε.

Εις τούς αυτού Μαθητάς.

Στίχοι

- Ενός δέοντος τέσσαρας Συμμαρτύρων,
- Διά ξίφους τέμνουσι πεντηκοντάδας.

Τή αυτή ημέρα, ο Άγιος Δομέτιος ξίφει τελειούται.

Στίχοι

- Ο δεινόν ούτος εισορών σπαθηφόρος,
- Οργά κατοίσαι τήν σπάθην Δομετίου.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Εν τή καμίνω Αβραμιαίοι παίδες τή Περσική, πόθω ευσεβείας μάλλον ή τή φλογί, πυρπολούμενοι εκραύγαζον, Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου, Κύριε».

Υπέρ Χρύσίον, δοκιμασθείς θεόφρον τοίς αικισμοίς, πύργος αρετής εφάνης τάς εμβολάς, τών δαιμόνων απωθούμενος, Ευλογητός εί, ο Θεός μου κραυγάζων καί Κύριος.

Μετά τό τέλος, απορριφέν σου σώμα Μάρτυς κρυφή, θείας ιαμάτων πέμπον μαρμαρυγάς, απελαύνει λώβην δαίμονος, τού σέ κατάδηλον, διά θείουποιήσαντος Πνεύματος.

Όλος ταίς θείαις, ενηδυνθείς Παμμάκαρ νεύσεσι, σώμα αικισμοίς παρέδωκας καρτερώς, στεφηφόρος γάρ παρίστασθαι, τώ Παντοκράτορι, εν ουρανοίς

επόθησας ένδοξε.

Νομεύς προβάτων, τών λογικών τήν μάνδραν Πάτερ σοφέ, λύκων νοητών ετήρησας αβλαβή, καί σύν τούτοις πρός ουράνιον, μονήν εσκήνωσας, τώ Δεσπότη τών όλων παρ ίστασθαι.

Θεοτοκίον

Μή διαφθείρας, τήν παρθενίαν Κόρη όλως τήν σήν, Λόγος τού Πατρός εσκήνωσεν επί σοί, καί Μαρτύρων επεσπάσατο, χορόν αοίδιμον, Θεοτόκον αγνήν σε κηρύττοντα.

Ωδή η'  Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Ανύστακτον φέρων τόν πυρσόν, τόν τής καρδίας σου, επαρδευόμενον, δακρύων νάμασιν Όσιε, καί αθλήσεως εν αίμασιν, εις αχειρότευκτον βοών, παστάδα νύν κατοικείς, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Κόσμος Ασκητών καί Αθλητών, εδείχθης Όσιε, εν αμφοτέροις γάρ, επευδοκίμησας τρόπαια, καταπλήττοντα διάνοιαν, κατά τού μόνου δυσμενούς Νίκων στησάμενος, καί κραυγάζων, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Αίμασι κατήρδευσας ψυχάς, πρός ζήλον ένθεον εγείρας Όσιε, στιγμάτων ξίφεσιν, έπληξας, τών δαιμόνων τήν παράτσξιν, επαληθεύουσαν εν σοί τήν κλήσινδείξας βοών, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Θεοτοκίον

Ρήξον τόν κλοιόν μου τόν βαρύν, τών παραπτώσεων, η ανορθώσασα, Αδάμ τήν έκπτωσιν Αχραντε, τή κυήσει σου πανύμνητε, καί φωταγώγησον βοάν εν καθαρώ λογισμώ, Ευλογειτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ωδή θ'  Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλ λόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Ίδε σε στιγμάτων τώ κάλλει, διηνθισμενον καί πορφύραν, εκ μαρτυρικών σου αιμάτων, ο στεφοδότης περιβαλλόμενον καί σύν αυτώ κατώκισε, Νίκωω ενθέως αγαλλόμενον.

Ως περικαλής σου ο πόθος, όν πρός τόν Κύριον εκτήσω, Νίκων καί θερμός σου ο ζήλος, πυρί τώ θείω αναφλεγόμενος, καί θαυμαστή η άθλησις, τοίς ουρανίοις σε συνάψασα.

Σέ τής Εκκλησίας εν ύψει, ήλιον μέγαν κεκτημένοι, δήμος Αθλητών ως

αστέρες, φωτί τώ θείω περιχεόμενοι, ακτινοβόλοις λάμψεσι, τήν οικουμένην καταυγάζουσιν.

Ήρθης πρός μονάς ακηράτους, χορόν διπλής εκατοντάδος, Μάρτυς Αθλητών παραστήσας, τώ στεφοδότη, μεθ' ών μνημόνευε, τών εκτελούντων σήμερον, τό Ιερόν υμών μνημόσυνον.

Θεοτοκίον

Φωτός οικητήριον ώψθης, τού δι' ημάς εκ σού τεχθέντος, όν αδιαλείπτως δυσώπει, φωταγωγήσαι τούς ανυμνούντάς σε, καί Θεοτόκον πάναγνε, Παρθενομήτορ καταγγέλλοντας.

Καί η λοιπή Ακολουθία καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΔ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Προεόρτια τού Ευαγγελισμού τής Υπεραγίας Θεοτόκου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ι' καί ψάλλομεν τό Ιδιόμελον τής ημέρας δίς, καί τό Μαρτυρικόν, καί τά προσόμοια τού Τριωδίου καί τής Εορτής δ'.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Κεκρυμμένον μυστήριον, καί Αγγέλοις αγνώριστον, Γαβριήλ πιστεύεται ο Αρχάγγελος, καί επί σέ νύν ελεύσεται, τήν μόνην ακήρατον, καί καλήν περιστεράν, καί τού γένους ανάκλησιν, καί βοήσει σοι, Παναγία τό, Χαίρε, ετοιμάζου, διά λόγου Θεόν Λόγον, σού ταίς λαγόσιν εισδέξασθαι. (Δίς)

Φωτοφόρον Παλάτιον, ητοιμάσθη σοι Δέσποτα, η νηδύς η άφθορος τής θεόπαιδος, δεύρο πρός τούτο κατάβηθι, οικτείρας τό πλάσμα σου, φθονερώς πολεμηθέν, καί δουλεία κρατούμενον τού αλάστορος, καί τό κάλλος τό πρώην απολέσαν, καί τήν σήν σωτηριώδη, προσαναμένον κατάβασιν.

Γαβριήλ ο Αρχάγγελος, επί σέ Παναμώμητε, εμφανώς ελεύσεται καί βοήσει σοι, Χαίρε κατάρας λυτήριον, πεσόντων ανόρθωσις, χαίρε μόνη εκλεκτή, τώ Θεώ χρηματίσασα, χαίρε έμψυχε, τού Ηλίου νεφέλη υποδέχου, τόν ασώματον εν μήτρα, τή σή οικήσαι θελήσαντα.

Δόξα... Καί νύν... Ήχος β'

Ευαγγελίζεται ο Γαβριήλ, τή Κεχαριτωμένη σήμερον, Χαίρε ανύμφευτε Κόρη καί απειρόγαμε, μή καταπλαγής τή ξένη μου μορφή, μηδέ δειλιάσης, Αρχάγγελός ειμι όφις εξηπάτησεν Εύαν ποτέ, νύν ευαγγελίζομαί σοι τήν χαράν, καί μενείς άφθορος, καί τέξη τόν Κύριον Άχραντε.

Είσοδος, τά Αναγνώσματα καί η λοιπή Ακολουθία τών Προηγιασμένων.

Απολυτίκιον Προεόρτιον
Ήχος δ'

Σήμερον τής παγκοσμίου χαράς τά προοίμια, τήν προεόρτιον άσαι προτρέπεται, ιδού γάρ Γαβριήλ παραγίνεται, καί πρός αυτήν εκβοήσεται, Χαίρε Κεχαριτωμένη, ο Κύριος μετά σού.

Ει δέ ου τελείται Λειτουργία ψάλλομεν εις τόν Στίχον τό Ιδιόμελον τής ημέρας, καί τό Μαρτυρικόν.

Δόξα, καί νύν, τής Εορτής, οίον βούλει

Τό, Θεοτόκε Παρθένε, καί αι γ' μεγάλαι μετάνοιαι.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες, ο Προεόρτιος, κα τού Τριωδίου εις τήν τάξιν αυτών.

Ο Προεόρτιος Κανών εις ς'

Ποίημα Γεωργίου, οι δέ Θεοφάνος.

Ωδή α'  Ήχος δ'  Ο Ειρμός

«Θαλάσσης, τό ερυθραίον πέλαγος, αβρόχοις ίχνεσιν, ο παλαιός πεζεύσας Ισραήλ, σταυροτύποις Μωσέως χερσί, τού Αμαληκ τήν δύναμιν, εν τή ερήμω ετροπώσατο».

Ο κόσμος, περιχαρώς ευφράνθητι, ώσπερ αισθόμενος, τήν τού Κυρίου κάθοδον εν σοί, διά σπλάγχνα ελέους γάρ, εξ ουρανού κατέρχεται, γαστρί Παρθένου σωματούμενος.

Ιδού σοι, τή Βασιλίδι στέλλεται, θείος Αρχάγγελος, τού Βασιλέως πάντων καί Θεού, προμηνύσαι τήν έλευσιν, καί προσφωνήσει Χαίρέ σοι, επ' ανακλήσει τού Προπάτορος.

Η στάμνος, η φωταυγής καί πάγχρυσος, διευτρεπίσθητι, πρός εισδοχήν τού μάννα τής ζωής, επί σέ γάρ ελεύσεται, διά φωνής Αγγέλου σοι, υπερφυώς εισοικιζόμενος.

Θεοτοκίον

Λαγόσι, σού τής Αγνής οικίζεσθαι, μέλλει ο Κύριος, ο κατοικών αεί τούς ουρανούς, ουρανώσαι γάρ έρχεται, τών γηγενών τό φύραμα, τούτο σαφώς επενδυσάμενος.

Ωδή γ'  Ο Ειρμός

«Ουκ εν σοφία καί δυνάμει καί πλούτω καυχώμεθα, αλλ' εν σοί τή τού Πατρός, ενυποστάτω Σοφία Θεού, ου γάρ εστιν Άγιος, πλήν σου φιλάνθρωπε».

Γή τάς ακάνθας, τών παθών λυπηρώς η βλαστήσασα, σκίρτα χόρευε, ιδού, ο γεωργός ο αθάνατος, κατάρας εξαίρων σε, νύν επελεύσεται.

Ο θείος πόκος, ετοιμάζου Παρθένε αμόλυντε, επί σέ γάρ ο Θεός, ώς υετός καταβήσεται, ξηράναι τά ρεύματα, τής παραβάσεως.

Τόμος ο θείος, ευτρεπίζου, Πατρός τώ δακτύλω γάρ, εγγραφήσεται εν σοί, ο θείος Λόγος σαρκούμενος, τήν εξ αλογίας μου, λύων παράβασιν.

Χρυσή λυχνία, υποδέχου τό πύρ τής θεότητος, αναλάμπον διά σού, καί φώς τώ κόσμω δωρούμενον, δι' ού τών κακών ημών, σκότος λυθήσεται.

Κάθισμα  Ήχος γ'
Τήν ωραιότητα

Σήμερον άπασα κτίσις αγάλλεται, ότι το Χαίρέ σοι φάσκει ο Άγγελος, ευλογημένη σύ Αγνή, τού Χριστού Μήτηρ άχραντε, Σήμερον τού όφεως, αμαυρούται τό φρύαγμα, αράς γάρ διαλέλυται, ο δεσμός τού Προπάτορος, Διό σοι καί ημείς εκβοώμεν, Χαίρε η Κεχαριτωμένη.

Δόξα... Καί νύν... Τό αυτό

Ωδή δ'  Ο Ειρμός

«Επαρθέντα σε ιδούσα η Εκκλησία, επί Σταυρού τόν Ήλιον τής δικαιοσύνης, έστη εν τή τάξει αυτής, εικότως κραυγάζουσα, Δόξα τή δυνάμει σου Κύριε».

Τό Μυστήριον τό πάλαι πρό τών αιώνων, προορισθέν φανέρωσιν, άρχεται λαμβάνειν, γή καί τά ουράνια, συμφώνως ευφράνθητε, καί χαρμονικώς αλαλάξατε.

Το Παλάτιον τό μέγα τού Βασιλέως, τών ακοών διάνοιξον τάς θείας εισόδους, ήδη γάρ ελεύσεται, Χριστός η αλήθεια, καί κατασκηνώσει εν μέσω σου.

Τής Προμήτορος τόν όλισθον ανορθώσων, ο λυτρωτής οφθήσεται, εν απειρογάμω, μήτρα οικιζόμενος, Αυτώ μελωδήσωμεν, Δόξα τή δυνάμει σου Κύριε.

Αββακούμ, σε προηγορευσε πάλαι Όρος, ταίς αρεταίς κατάσκιον, εξ ού φανερούσθαι, μέλλει ο Θεός ημών, Παρθένε πανάμωμε, μόνη τών βροτών εγκαλλώπισμα.

Ωδή ε'  Ο Ειρμός

«Σύ Κύριέ μου φώς, εις τόν κόσμον ελήλυθας, φώς άγιον επιστρέφον, εκ ζοφώδους αγνοίας, τούς πίστει ανυμνούντάς σε».

Ω άσπιλε Αμνάς, ο Αμνός τού Θεου ημών, τήν μήτραν σου υπεισδύναι, κατεπείγεται αίρων, ημών τά αμαρτήματα.

Ράβδος η μυστική, μετ' ολίγον ανθήσειεν, ως γέγραπται, θείον άνθος, Ιεσσαί εκ τής ρίζης, ημίν εμφανιζόμενον.

Αγγέλου τή φωνή, πιανθείσα ως άμπελος, πρός βλάστησιν ετοιμάζου, τού πεπείρου Παρθένε, καί ακηράτου βότρυος.

Μέγιστε Προφητών, Ησαϊα ευφράνθητι, Παρθένος γάρ ήν προέφης, εν γαστρί συλλαμβάνει, Βουλής μεγάλης Άγγελον.

Ωδή ς' Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Χαίρέ σοι, Γαβριήλ ο Αρχάγγελος φθέγγεται, τήν γάρ χαράν εν γαστρί σου, συλλαμβάνειν μέλλεις ανερμηνεύτως, ήν η Εύα, παραβάσει Παρθένε απώλεσεν.

Ού φλέξει, μή δειλιάσης όλως, τήν μήτραν σου, πύρ τής θεότητος Κόρη, η γάρ βάτος πάλαι σέ προετύπου, καιομένη, ουδαμώς φλεγομένη δέ Πάναγνε.

Τό Όρος, Δανιήλ ο προείδεν εν Πνεύματι, χαίρε Παρθένε, εκ σού γάρ, ο νοητός λίθος αποτμηθήσεται, καί συντρίψει, τών δαιμόνων τά άψυχα ξόανα.

Ειρήνης, ο Βασιλεύς εν σοί επελεύσεται, τού διά σού ειρηνεύσαι, τούς πολεμηθέντας καί ηττηθέντας, Θεομήτορ, πονηρά συμβουλία τού όφεως.

Κοντάκιον Προεόρτιον

Ήχος δ'

Επεφάνης σήμερον

Επελεύσει Πνεύματος τού Παναγίου, τού Πατρός τόν σύνθρονον, καί ομοούσιον φωνή, τού Αρχαγγέλου συνέλαβες, Θεοκυήτορ, Αδάμ η ανάκλησις.

Συναξάριον

Τή ΚΔ' τού αυτού μηνός, Προεόρτια τού Ευαγγελισμού τής Υπεραγίας Θεοτόκου, καί Μνήμη τού Οσίου Πατρός ημών Αρτέμονος, Επισκόπου Σελευκείας τής Πισιδείας.

Στίχοι

- Τήν σάρκα ρίψας, ως έλυτρον, Αρτέμων,

- Ου γής έχων τι στέλλεται τήν πρός πόλον.
- Εικάδι αμφί τετάρτη εδέξατο Αρτέμον Εδέμ.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Ιερομάρτυρος, Αρτέμονος, Πρεσβυτέρου Λαοδικείας.

Τή αυτή ημέρα, ο Όσιος Ζαχαρίας εν ειρήνη τελειούται.

Στίχοι

- Θεώ πρός ισχύν εξομοιωθείς, Πάτερ,
- Υιώ Θεού σύγκληρος εκστάς γής γίνη.

Τή αυτή ημέρα, οι Άγιοι οκτώ Μάρτυρες, οι εκ Καισαρείας τής Παλαιστίνης, ξίφει τελειούνται.

Στίχοι

- Σωτήρος οκτάριθμος ετμήθη φάλαγξ,
- Τού πρίν περιτμηθέντος οκταημέρου.

Τή αυτή ημέρα, ο Όσιος Μαρτίνος ο θηβαίος εν ειρήνη τελειούται.

Στίχοι

- Καλώ τραφείς κάλλιστα γήρα, Μαρτίνε,
- Θανών θανούσι προστέθεισαι Πατράσι.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Ο διασώσας εν πυρί, τούς Αβραμιαίους σου Παίδας, καί τούς Χαλδαίους ανελών, οίς αδίκως δικαίους ενήδρευσαν, υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί».

Η κιβωτός η λογική, ήν ο αληθής Νομοθέτης, ήγαπηκως τήν επί σοί, κατασκήνωσιν μέλλει ποιήσασθαι, θυμηδίας εμπλήσθητι, διά σού γάρ τούς φθαρέντας ανακαινίσει.

Προφητικός θείος χορός, ώσπερ επαισθόμενος Κόρη, τήν επί σοί τού Λυτρωτού, ειρηναίαν επέλευσιν κράζει σοι, Χαίρε πάντων η λύτρωσις, χαίρε μόνη τών ανθρώπων η σωτηρία.

Μή δειλιάσης τήν φωνήν, μή καταπλαγής τόν λαλούντα, Θεού διάκονός εστι, φανερώσαί σοι ήκει Μυστήριον, τό Αγγέλοις απόρρητον, απειρόγαμε Μαρία ευλογημένη.

Οράς τήν κτίσιν τώ εχθρώ, πάσαν δουλωθείσαν Παρθένε, Κατελεήσαι δέ αυτήν, διά σπλάγχνα ελέους βουλόμενον, διά σού τόν φιλάγαθον, μή ούν λόγοις Τού Αγγέλου προσαπιστήσης.

## Ωδή η'  Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε πάντα τά έργα Κυρίου τόν Κύριον».

Η κούφη νεφέλη τού φωτός, η απειρόγαμος, διευτρεπίσθητι, ιδού ο Ήλιος άνωθεν, επιλάμψει σοι ο άδυτος, πρός μέν ολίγον επί σοί κατακρυπτόμενος, τώ δέ κόσμω, φαίνων καί λύων κακίας τήν ζόφωσιν.

Αγγέλων ο πρώτος λειτουργός, προσεπαφίησι σοι, φωνήν χαρμόσυνον, καταμηνύων σοι Άχραντε, τόν μεγάλης βουλής Άγγελον, σαρκωθησόμενον εκ σού δι' αγαθότητα, ώ βοώμεν, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Ως ρόδον κοιλάδων καθαρόν, ως κρίνον εύοσμον κατανοήσας σε, ο πλαστουργός ημών Κύριος, νύν ηράσθη σου τού κάλλους Αγνή, καί σαρκωθήναι εκ τών σών, αιμάτων βούλεται, τό δυσώδες, όπως διώξη τής πλάνης χρηστότητι.

Πατρός δεξιόθεν ουκ εκστάς, εν σοί τήν οίκησιν, μέλλει ποιήσασθαι, ο υπερούσιος Άχραντε, όπως στήση δεξιά αυτού, σέ τήν πλησίον καί καλήν, οία Βασίλισσαν, δεξιάν τε, πάσι προτείνη πεσούσι, καί σώση ημάς.

## Ωδή θ'  Ο Ειρμός

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν».

Εύα μέν ετρύγησε καρπόν, τόν θάνατον, γεωργούντα τόν ολέθριον, σού δέ εν μέσω εκβλαστήσει, Καρπός αθανασίας ο πρόξενος, Χριστός, ο γλυκασμός ημών Δέσποινα, όν ανυμνούντες, σέ δοξάζομεν.

Κλίνας ουρανούς νύν πρός ημάς κατάβηθι, θρόνος ήδη ητοιμάσθη σοι, Λόγε, η μήτρα τής Παρθένου, εν ώ ως Βασιλεύς ωραιότατος καθίσεις εξεγείραι τού πτώματος, τής δεξιάς σου τό πλαστούργημα.

Ηράσθη τού κάλλους σου Χριστός, Πανάμωμε, καί τήν μήτραν σου κατώ κησεν, όπως παθών εξ αμορφίας, τό γένος τών ανθρώπων λυτρώσηται, καί κάλλος τό αρχαίον δωρήσηται, όν προσκυνούντες, σέ δοξάζομεν.

Η χώρα η άσπορος Αγνή υπόδεξαι, διά λόγου τόν ουράνιον Λόγον, ως σίτον καρπορόρον, βλαστάνοντα εκ σού καί τά πέρατα, εκτρέφοντα τώ άρτω τής γνώσεως, όν προσκυνούντες, σέ δοξάζομεν.

## Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Ως δώρα προεόρτια, προσφερομέν σοι Πάναγνε, φιλοπτωχείας τόν πλούτον, αγνείαν καί σωφροσύνην, ύμνους ευχάς καί δάκρυα, νηστείαν καί ταπείνωσιν, εφ' οίς συμπράττοις Δέσποινα, καί άπαντας εποπτεύοις ευσπλάγχνως, ώ Θεομήτορ.

Εις τόν Στίχον, τό Ιδιόμελον τής ημέρας, καί τό Μαρτυρικόν.

Δόξα... Καί νύν... Ήχος δ'

Γλώσσαν ήν ουκ έγνω, ήκουσεν η Θεοτόκος, ελάλει γάρ πρός αυτήν ο Αρχάγγελος, τού Ευαγγελισμού τά ρήματα, όθεν πιστώς δεξαμένη τόν ασπασμόν, συνέλαβέ σε τόν προαιώνιον Θεόν, Διό καί ημείς αγαλλόμενοι βοώμέν σοι, ο εξ αυτής σαρκωθείς ατρέπτως Θεός, ειρήνην τώ κόσμω δώρησαι, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Τό Αγαθόν τό εξομολογείσθαι τώ Κυρίω.

Τό Τρισάγιον, τό Τροπάριον καί αι τρείς μεγάλαι μετάνοιαι, κατά τήν τάξιν.

Περί δέ τήν τρίτην Ώραν τής ημέρας συναγόμεθα εν τή Εκκλησία, καί ψάλλομεν, κατά τήν συνήθειαν, τήν γ' ώραν καί τήν ς' καί μικρόν παρατηρήσαντες, συνάπτο μεν καί τήν θ' καί μετά τούτο ο Εσπερινός ταχύτερον, διά τόν κόπον τής Αγρυπνίας.

---

Αρχή

## ΤΗ ΚΕ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Ο Ευαγγελισμός τής Υπεραγίας Θεοτόκου καί Αειπαρθένου Μαρίας.

Ει τύχοι ο Ευαγγελισμός εν Κυριακή.

ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Στιχηρά Προσόμοια

Ήχος δ' Ο εξ υψίστου κληθείς

Κατοικτειρήσας τό ποίημα ο Πλάστης, σπλάγχνοις τοίς οικείοις τε κατακαμπτόμενος, Κόρης εν μήτρα θεόπαιδος, οικήσαι σπεύδει, προς ήν ο μέγας ήλθεν Αρχάγγελος, Χαίρε προσφθεγγόμενος, θεοχαρίτωτε, νύν μετά σού ο Θεός ημών, μή πτοηθής με, τού Βασιλέως τόν Αρχιστράτηγον, εύρες γάρ χάριν, ήν απώλεσεν, Εύα τό πρίν η Προμήτωρ σου, καί συλλήψη καί τέξη, τού Πατρός τον ομοούσιον.

Ξένος εστί σου ο λόγος καί η θέα, ξένα σου τά ρήματα καί τά μηνυματα, η Μαριάμ πρός τόν Άγγελον, μή με πλανήσης, Κόρη υπάρχω γάμου αμύητος,

λέγεις ως συλλήψομαι τόν απερίληπτον, καί πώς χωρήσει η μήτρα μου, όν τά μεγέθη, τών ουρανών χωρήσαι ου δύνανται; Τού Αβραάμ σε διδαξάτω πρίν, η καλύβη, Θεόν η χωρήσασα, Προτυπούσα Παρθένε, τήν θεόδεκτον γαστέρα σου.

Εις Ναζαρέτ νύν τήν Πόλιν επιφθάσας, Πόλιν σε τήν έμψυχον τού Βασιλέως Χριστού, ο Γαβριήλ κατασπάζεται, βοών σοι, Χαίρε, ευλογημένη θεοχαρίτωτε, έξεις εν νηδύϊ σου Θεόν σαρκούμενον, καί διά σού τό ανθρώπινον, πρός τό αρχαίον, δι' ευσπλαγχνίαν ανακαλούμενον, Ευλογημένος τής κοιλίας σου, θείος καρπός ο αθάνατος, ο παρέχων τώ κόσμω, διά σού τό μέγα έλεος.

Δόξα... Καί νύν... Ήχος α'

Τώ έκτω μηνί, ο Αρχιστράτηγος απεστάλη πρός σέ τήν Παρθένον Αγνήν, μηνύσαί σοι τόν λόκαι γον τής σωτηρίας, άμα δέ καί καλέσαι σε, Χαίρε Κεχαριτωμένη, ο Κύριος μετά σού, τέξης Υιόν, τόν πρό αιώνων εκ Πατρός, ός σώσει τόν λαόν αυτού, εκ τών πταισμάτων αυτών.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'

Ω τού παραδόξου θαύματος

Άρχων τών άνω Δυνάμεων, ο Γαβριήλ καταπτάς, τήν Παρθένον ασπάζεται, χαίρε λέγων όχημα, καθαρόν τής θεότητος, σέ εξ αιώνος Θεός ηγάπησεν, εις κατοικίαν τε ηρετίσατο, δούλος Δεσπότου σου, παρουσίαν πάρειμι, αναβοών, τέξη ουντόν Κύριον, άφθορος μένουσα.

Στίχ. Ευαγγελίζεσθε ημέραν εξ ημέρας τό σωτήριον τού Θεού ημών.

Τί σου τό είδος τό πύρινον, τώ Γαβριήλ η Σεμνή, μετ' εκπλήξεως έφησε, τί σου τό αξίωμα, καί τών λόγων η δύναμις; παιδοποιΐαν προσεπαγγέλλη μοι, εγώ δέ πείραν ανδρός ου κέκτημαι, άπιθι πόρρωθεν, μή πλανήσης άνθρωπε, ώς περ τό πρίν, Εύαν τήν Προμήτορα, όφις ο δόλιος.

Στίχ. Άσατε τώ Κυρίω άσμα καινόν.

Πνεύμα Θεού τό πανάγιον, ήξει αγνή επί σέ, θεοχώρητε Δέσποινα, καί επισκιάσει σοι, τού Υψίστου η δύναμις, καί τέξη παίδα διατηρούντά σου, τήν παρθενίαν απαρασάλευτον, ούτος Υιός εστιν, αγενεαλόγητος, ούτος οφθείς, σώσει τόν λαόν αυτού, καθώς ηυδόκησε.

Δόξα... Καί νύν... Ήχος δ'

Τώ έκτω μηνί, απεστάλη ο Αρχάγγελος πρός Παρθένον αγνήν, καί χαίρειν αυτή προσειπών, ευηγγελίσατο εξ αυτής τόν Λυτρωτήν προελθείν, Όθεν δεξαμένη τόν ασπασμόν, συνέλαβέ σε τόν προαιώνιον Θεόν, τόν αφράστως ευδοκήσαντα ενανθρωπήσαι, εις σωτηρίαν τών ψυχών ημών.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Αρχόμεθα τού μεγάλου Εσπερινού, άνευ μετανοιών καί Στιχολογίας.

Εις δέ τό Κύριε εκέκραξα ιστώμεν στίχους ς' καί ψάλλομεν Στιχηρά προσόμοια γ' δευτερούντες αυτά.

Ήχος πλ. β'
Όλην αποθέμενοι

Βουλήν προαιώνιον, αποκαλύπτων σοι Κόρη, Γαβριήλ εφέστηκε, σέ κατασπαζόμενος, καί φθεγγόμενος, Χαίρε γή άσπορε, χαίρε βάτε άφλεκτε, χαίρε βάθος δυσθεώρητον, χαίρε η γέφυρα, πρός τούς ουρανούς η μετάγουσα, καί κλίμαξ η μετάρσιος, ήν ο Ιακωβ εθεάσατο, χαίρε θεία στάμνε τού Μάννα, χαίρε λύσις τής αράς, χαίρε Αδάμ η ανάκλησις, μετά σού ο Κύριος.

Φαίνη μοι ως άνθρωπος, φησίν η άφθορος Κόρη, πρός τόν Αρχιστράτηγον, καί πώς φθέγγη ρήματα υπέρ άνθρωπον, μετ' εμού έφης γάρ, τόν Θεόν έσεσθαι, καί σκηνώσειν εν τή μήτρα μου, καί πώς γενήσομαι, λέγε μοι χωρίον ευρύχωρον, καί τόπος αγιάσματος, τού τοίς Χερουβίμ επιβαίνοντος; Μή με δελεάσης απάτη, ου γάρ έγνων ηδονήν, γάμου υπάρχω αμύητος, πώς ούν παίδα τέξομαι!

Θεός όπου βούλεται, νικάται φύσεως τάξις, φησίν ο Ασώματος, καί τά υπέρ άνθρωπον διαπράττεται. Τοίς εμοίς πίστευε, αληθέσι ρήμασι, Παναγία υπεράμωμε. Η δέ εβόησε, Γένοιτό μοι νύν ως τό ρήμά σου, καί τέξομαι τόν άσαρκον, σάρκα εξ εμού δανεισάμενον, όπως αναγάγη τόν άνθρωπον, ως μόνος δυνατός, εις το αρχαίον αξίωμα, διά τής συγκράσεως.

Δόξα... Καί νύν...
Ήχος πλ. β' Ιωάννου Μοναχού

Απεστάλη εξ ουρανού Γαβριήλ ο Αρχάγγελος, ευαγγελίσασθαι τή Παρθένω τήν σύλληψιν, καί ελθών εις Ναζαρέτ, ελογίζετο εν εαυτώ, τώ θαύμα εκπληττόμενος, ότι, Πώς ο εν υψίστοις ακατάληπτος ών, εκ παρθένου τίκτεται! ο έχων θρόνον ουρανόν, καί υποπόδιον τήν γήν, εν μήτρα χωρείται γυναικός! ώ τά Εξαπτέρυγα καί Πολυόμματα ατενίσαι ού δύνανται, λόγω μόνω εκ ταύτης σαρκωθήναι ηυδόκησε, Θεού εστι Λόγος ο παρών. Τί ούν ίσταμαι, καί ου λέγω τή Κόρη; Χαίρε Κεχαριτωμένη ο Κύριος μετά σού, χαίρε αγνή Παρθένε, χαίρε Νύμφη ανύμφευτε, χαίρε Μήτηρ τής ζωής, ευλογημένος ο καρπός τής κοιλίας σου.

Είσοδος τό Φώς ιλαρόν, τό Προκείμενον, καί τά Αναγνώσματα.

Γενέσεως τό Ανάγνωσμα
(Κεφ. 28, 10-17)

Εξήλθεν Ιακώβ από τού φρέατος τού όρκου καί επορεύθη εις Χαρράν. Καί απήντησε τόπω, καί εκοιμήθη εκεί, έδυ γάρ ο ήλιος, καί έλαβεν από τών

λίθων τού τόπου, καί εθηκεπρός κεφαλής αυτού, καί εκοιμήθη εν τώ τόπω εκείνω, καί ενυπνιάσθη. Καί ιδού κλίμαξ εστηριγμένη εν τή γή, ής η κεφαλή αφικνείτο εις τόν Ουρανόν, καί οι Άγγελοι τού Θεού ανέβαινον καί κατέβαινον επ' αυτής. Ο δέ Κύριος επεστήρικτο επ' αυτής, καί είπεν. Εγώ ειμι ο Θεός Αβραάμ τού πατρός σου, καί ο Θεός Ισαάκ, μή φοβού, η γή, εφ' ής σύ καθεύδεις επ' αυτής, σοί δώσω αυτήν, καί τώ σπέρματί σου. Καί έσται τό σπέρμα σου ωσεί άμμος τής γής καί πλατυνθήσεται επί θάλασσαν, καί λίβα, καί βορράν, καί επί ανατολάς, καί ενευλογηθήσονται εν σοί πάσαι αι φυλαί τής γής, καί εν τώ σπέρματί σου. Καί ιδού εγώ ειμι μετά σού, διαφυλάσσων σε εν τή οδώ πάση, ού εάν πορευθής, καί επιστρέψω σε εις τήν γήν ταύτην, ότι ου μή σε εγκαταλίπω, έως τού ποιήσαι με πάντα όσα ελάλησά σοι. Καί εξηγέρθη Ιακώβ εκ τού ύπνου αυτού καί είπεν. Ότι εστί Κύριος εν τώ τόπω τούτω, εγώ δέ ουκ ήδειν. Καί εφοβήθη, καί είπεν. Ως φοβερός ο τόπος ούτος! Ουκ έστι τούτο, αλλ' ή οίκος Θεού, καί αύτη η πύλη τού ουρανού.

Προφητείας, Ιεζεκιήλ τό Ανάγνωσμα
(Κεφ. 43, 27 & 44, 1-4)

Έσται από τής ημέρας τής ογδόης καί επέκεινα, ποιήσουσιν οι Ιερείς επί τό θυσιαστήριον τά ολοκαυτώματα υμών, καί τά τού σωτηρίου υμών, καί προσδέξομαι υμάς, λέγει Κύριος (μδ' 1). Καί επέστρεψέ με κατά τήν οδόν τής πύλης τών Αγίων τής εξωτέρας τής βλεπούσης κατά ανατολάς, καί αύτη ήν κεκλεισμένη. Καί είπε Κύριος πρός με. Η πύλη αύτη κεκλεισμένη έσται, ουκ ανοιχθήσεται, καί ουδείς ου μή διέλθη δι' αυτής, ότι Κύριος ο Θεός, Ισραήλ εισελεύσεται δι' αυτής, καί έσται κεκλεισμένη. Διότι ο Ηγούμενος ούτος κάθηται επ' αυτήν τού φαγείν άρτον ενώπιον Κυρίου, κατά τήν οδόν τού Αιλάμ τής πύλης εισελεύσε ται, καί κατά τήν οδόν αυτού εξελεύσεται. Καί εισήγαγέ με κατά τήν οδόν τής πύλης τών Αγίων τής πρός βορράν, κατέναντι τού οίκου, καί είδον καί ιδού πλήρης δόξης ο οίκος Κυρίου.

Παροιμιών τό Ανάγνωσμα
(Κεφ. 9, 1-11)

Η σοφία ωκοδόμησεν εαυτή οίκον καί υπήρεισε στύλους επτά. Έσφαξε τά εαυτής θύματα, καί εκέρασεν εις κρατήρα τόν εαυτής οίνον, καί ητοιμάσατο τήν εαυτής τράπεζαν. Απέστειλε τούς εαυτής δούλους, συγκαλούσα μετά υψηλού κηρύγματος, ως επί κρατήρα, λέγουσα. Ός εστιν άφρων, εκκλινάτω πρός με, καί τοίς ενδεέσι φρενών είπεν. Έλθετε φάγετε τόν εμόν άρτον, καί πίετε οίνον, όν κεκέρακα υμίν, απολίπετε αφροσύνην, καί ζήσεσθε, καί ζητήσατε φρόνησιν, ίνα βιώσητε, καί κατορθώσητε σύνεσιν εν γνώσει, ο παιδεύων κακούς, λήψεται εαυτώ ατιμίαν, ελέγχων δέ τόν ασεβή, μωμήσεται εαυτόν, (οι γάρ έλεγχοι τώ ασεβεί, μώλωπες αυτώ). Μή έλεγχε κακούς, ίνα μή μισήσωσί σε, έλεγχε σοφόν καί αγαπήσει σε. Δίδου σοφώ αφορμήν, καί σοφώτερος έσται, γνώριζε δικαίω, καί προσθήσει τού δέχεσθαι. Αρχή σοφίας, φόβος Κυρίου, καί βουλή Αγίων, σύνεσις, (τό γάρ γνώναι Νόμον, διανοίας εστίν αγαθής), τούτω γάρ τώ τρόπω πολύν ζήσεις χρόνον, καί προστεθήσεταί σοι έτη ζωής.

Εις τήν Λιτήν, ψάλλομεν τά παρόντα Ιδιόμελα Στιχηρά.

Ήχος α'  Βύζαντος

Τώ έκτω μηνί, ο Αρχιστράτηγος απεστάλη πρός σέ τήν Παρθένον καί Αγνήν, μηνύσαί σοι τόν λόγον τής σωτηρίας, άμα δέ καί καλέσαι σε, Χαίρε Κεχαριτωμένη ο Κύριος μετά σού, τέξη Υιόν, τόν πρό αιώνων εκ Πατρός, ός σώσει τόν λαόν αυτού, εκ τών πταισμάτων αυτών.

Ο αυτός  Ανατολίου

Εν τώ μηνί τώ έκτω, απεστάλη ουρανόθεν Γαβριήλ ο Αρχάγγελος, εν πόλει τής Γαλιλαίας Ναζαρέτ, κομίσαι τή Κόρη χαράς ευαγγέλια, καί προσελθών πρός αυτήν εβόησε λέγων, Χαίρε Κεχαριτωμένη, ο Κύριος μετά σού, χαίρε δοχείον τής αχωρήτου φύσεως, όν γάρ ουρανοί ουκ εχώρησαν, η νηδύς σου κεχώρηκεν ευλογημένη, Χαίρε σεμνή, τού Αδάμ η ανάκλησις, καί τής Εύας η λύτρωσις, καί χαρά τού κόσμου, καί αγαλλίασις τού γένους ημών.

Ο αυτός

Απεστάλη Άγγελος Γαβριήλ, ουρανόθεν εκ Θεού, πρός Παρθένον αμόλυντον, εις πόλιν τής Γαλιλαίας Ναζαρέτ, ευαγγελίσασθαι αυτή τού ξένου τρόπου τήν σύλληψιν, Απεστάλη δούλος ασώματος, πρός έμψυχον πόλιν καί πύλην νοεράν, μηνύσαι Δεσποτικής παρουσίας τήν συγκατάβασιν, Απεστάλη στρατιώτης ουράνιος, πρός τό έμψυχον τής δόξης Παλάτιον, προετοιμάσαι τώ Κτίστη κατοικίαν άληκτον, καί προσελθών πρός αυτήν εκραύγαζε, Χαίρε θρόνε πυρίμορφε, τών τετραμόρφων υπερενδοξοτέρα, Χαίρε καθέδρα, Βασιλική ουράνιε, χαίρε Όρος αλατόμητον, δοχείον πανέντιμον, εν σοί γάρ πάν τό πλήρωμα κατώκησε, τής θεότητος σωματικώς, ευδοκία Πατρός αϊδίου, καί συωεργεία τού  Αγίου Πνεύματος, Χαίρε Κεχαριτωμένη, ο Κύριος μετά Σού.

Δόξα... Καί νύν...

Ήχος β'  Κοσμά Μοναχού

Ευαγγελίζεται ο Γαβριήλ τή κεχαριτωμένη σήμερον, Χαίρε ανύμφευτε Κόρη καί απειρόγαμε, μή καταπλαγής τή ξένη μου μορφή, μηδέ δειλιάσης, Αρχάγγελός ειμι, όφις εξηπάτησεν Εύαν ποτέ, νύν ευαγγελίζομαί σοι τήν χαράν, καί μενείς άφθορος, καί τέξη τόν Κύριον Άχραντε.

Εις τόν Στίχον Στιχηρά Ιδιόμελα.

Ήχος δ'

Τώ έκτω μηνί, απεστάλη ο Αρχάγγελος πρός Παρθένον αγνήν, καί χαίρειν αυτή προσειπών, ευηγγελίσατο εξ αυτής τόν Λυτρωτήν προελθείν, Όθεν πιστώς δεξαμένη τόν ασπασμόν, συνέλαβέ σε τόν προαιώνιον Θεόν, τόν αφράστως ευδοκήσαντα ενανθρωπήσαι, εις σωτηρίαν τών ψυχών ημών.

Στίχ. Ευαγγελίζεσθε ημέραν εξ ημέρας τό σωτήριον τού Θεού ημών.

Γλώσσαν ήν ουκ έγνω, ήκουσεν η Θεοτόκος, ελάλει γάρ πρός αυτήν ο Αρχάγγελος, τού Ευαγγελισμού τά ρήματα, όθεν πιστώς δεξαμένη τόν ασπασμόν, συνέλαβέ σε τόν προαιώνιον Θεόν, Διό καί ημείς αγαλλόμενοι

βοώμέν σοι, ο εξ αυτής σαρκωθείς ατρέπτως Θεός, ειρήνην τώ κόσμω δώρη σαι, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Στίχ. Άσατε τώ Κυρίω άσμα καινόν.

Ιδού η ανάκλησις νύν επέφανεν ημίν, υπέρ λόγον ο Θεός τοίς ανθρώποις ενούται, Αρχαγγέλου τή φωνή η πλάνη εκμειούται, η Παρθένος γάρ δέχεται τήν χαράν, τά επίγεια γέγονεν ουρανός, ο κόσμος λέλυται τής αρχαίας αράς, Αγαλλιάσθω η κτίσις καί φωναίς καί λυτρωανυμνείτω, Ο ποιητής τής ημών, Κύριε δόξα σοι.

Δόξα... Καί νύν... Ήχος δ'

Ανδρέου Ιεροσολυμίτου

Σήμερον χαράς Ευαγγέλια, παρθενική πανήγυρις, τά κάτω τοίς άνω συνάπτεται, ο Αδάμ καινουργείται, η Εύα τής πρώτης λύπης ελευθερούται, καί η σκηνή τής καθ' ημάς ουσίας τή θεώσει τού προσληφθέντος φυράματος, ναός Θεού κεχρημάτικεν, Ώ Μυστήριον! ο τρόπος τής κενώσεως άγνωστος, ο τρόπος τής συλλήψεως άφραστος, Άγγελος λειτουργεί τώ θαύματι, παρθενική γαστήρ τόν Υιόν υποδέχεται, Πνεύμα Άγιον καταπέμπεται, Πατήρ άνωθεν ευδοκεί, καί τό συνάλλαγμα, κατά κοινήν πραγματεύεται βούλησιν, εν ώ, καί δι' ού σωθέντες, συνωδά τώ Γαβριήλ, πρός τήν Παρθένον βοήσωμεν, Χαίρε Κεχαριτωμένη, ο Κύριος μετά σού, εξ ής η σωτηρία, Χριστός ο Θεός ημών, τήν καθ' ημάς προσλαβόμενος φύσιν, πρός εαυτόν επανήγαγεν, Αυτόν ικέτευε, σωθήναι τάς ψυχάς ημών.

Τρισάγιον

Απολυτίκιον Ήχος δ' εκ τρίτου

Σήμερον τής σωτηρίας ημών τό Κεφάλαιον, καί τού απ' αιώνος Μυστηρίου η φανέρωσις, ο Υιός τού Θεού, Υιός τής Παρθένου γίνεται, καί Γαβριήλ τήν χάριν ευαγγελίζεται, Διό σύν αυτώ τή Θεοτόκω βοήσωμεν, Χαίρε Κεχαριτωμένη, ο Κύριος μετά σού.

Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος α'

Τόν τάφον σου Σωτήρ

Ο μέγας Στρατηγός, τών αϋλων ταγμάτων, εις πόλιν Ναζαρέτ, επιστάς Βασιλέα, μηνύει σοι Άχραντε, τών αιώνων καί Κύριον, Χαίρε, λέγων σοι, Ευλογημένη Μαρία, ακατάληπτον, καί ανερμήνευτον θαύμα, βροτών η ανάκλησις.

Δόξα... Καί νύν... πάλιν τό αυτο

Μετά τή β' Στιχολογίαν

Κάθισμα  Ήχος γ'
Τήν ωραιότητα

Σήμερον άπασα κτίσις αγάλλεται, ότι τό χαίρέ σοι φωνεί Αρχάγγελος, ευλογημένη σύ Σεμνή, καί Άχραντε πανάμωμε, Σήμερον τού όφεως, αμαυρούται τό φρύαγμα, αράς γάρ διαλέλυται, τού Προπάτορος σύνδεσμος, Διό καί κατά πάντα βοώμέν σοι, Χαίρε η Κεχαριτωμένη.

Μετά δέ τόν Πολυέλεον

Κάθισμα  Ήχος δ'
Κατεπλάγη Ιωσήφ

Γαβριήλ εξ ουρανού, τό Χαίρε κράζει τή σεμνή, ότι συλλήφη εν γαστρί, τόν προαιώνιον Θεόν, τόν διά λόγου τά πέρατα συστησάμενον, όθεν Μαριάμ απεφθέγγετο, Άνανδρός ειμι, καί πώς τέξω Υιόν; άσπορον γονήν τίς εώρακε; καί ερμηνεύων έλεγεν ο Άγγελος, τή Θεοτόκω καί Παρθένω, Ελεύσεταί σοι, Άγιον Πνεύμα, καί δύναμις Υψίστου επισκιάσει σοι.

Δόξα... τό αυτό

Καί νύν... όμοιον

Απεστάλη Γαβριήλ, πρός τήν Παρθένον καί αγνήν, καί εμήνυσεν αυτή, τήν ανεκλάλητον χαράν, ότι ασπόρως συλλήψη καί ου φθαρήση, τέξη γάρ Υιόν, τόν πρό αιώνων Θεόν, ός σώσει τόν λαόν, εκ τών πταισμάτων αυτών, καί μαρτυρεί ο πέμψας με ειπείν σοι, Ευλογημένη τό Χαίρε, Παρθένος τίκτεις, καί μετά τόκον, πάλιν μένεις Παρθένος.

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί  Αντίφωνον Α'

- Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.
- Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον  Ήχος δ'

Ευαγγελίζεσθε ημέραν εξ ημέρας τό σωτήριον τού Θεού ημών.
Στίχ. Άσατε τώ Κυρίω άσμα καινόν.

Τό, Πάσα πνοή

Ευαγγέλιον εκ τού κατά Λουκάν.

Αναστάσα Μαριάμ επορεύθη...

Δόξα... Ταίς τής Θεοτόκου...

Καί νύν... τό αυτό

Στίχ. Ελέησόν με ο Θεός κατά τό μέγα έλεός σου...

Ήχος β'  Κοσμά Μοναχού

Ευαγγελίζεται ο Γαβριήλ τή κεχαριτωμένη σήμερον, Χαίρε ανύμφευτε Κόρη καί απειρόγαμε, μή καταπλαγής τή ξένη μου μορφή, μηδέ δειλιάσης, Αρχάγγελός ειμι, όφις εξηπάτησεν Εύαν ποτέ, νύν ευαγγελίζομαί σοι τήν χαράν, καί μενείς άφθορος, καί τέξη τόν Κύριον Άχραντε.

Ο Κανών, ού η Ακροστιχίς, κατά Αλφάβητον.

Ποίημα Ιωάννου Μοναχού

Ωδή α'  Ήχος δ' Ο Ειρμός

«Ανοίξω τό στόμα μου καί πληρωθήσεται Πνεύματος, καί λόγον ερεύξομαι, τή Βασιλίδι Μητρί, καί οφθήσομαι, φαιδρώς πανηγυρίζων, καί άσω γηθόμενος, ταύτης τήν Σύλληψιν».

Αδέτω σοι Δέσποινα, κινών τήν λύραν τού Πνεύματος, Δαυίδ ο Προπάτωρ σου, Άκουσον θύγατερ, τήν χαρμόσυνον, φωνήν τήν τού Αγγέλου, χαράν γάρ μηνύει σοι, τήν ανεκλάλητον.

Ο Άγγελος

Βοώ σοι γηθομενος, κλίνον τό ούς σου καί πρόσχες μοι, Θεού καταγγέλλοντι, σύλληψιν άσπορον, εύρες χάριν γάρ, ενώπιον Κυρίου, ήν εύρεν ουδέποτε, άλλη τις Πάναγνε.

Η Θεοτόκος

Γνωσθήτω μοι Άγγελε, τών σών ρημάτων η δύναμις, πώς έσται ο είρηκας; λέγιε σαφέστατα, πώς συλλήψομαι, Παρθένος ούσα Κόρη; πώς δέ καί γενήσομαι, Μήτηρ τού Κτίστου μου;

Ο Άγγελος

Δολίως με φθέγγεσθαι, διαλογίζη ως έοικε, καί χαίρω θεώμενος, τήν σήν ασφάλειαν, θάρσει Δέσποινα, Θεού γάρ βουλομένου, ραδίως περαίνεται, καί τά παράδοξα.

Καταβασία

Ανοίξω τό στόμα μου καί πληρωθήσεται Πνεύματος, καί λόγον ερεύξομαι, τή Βασιλίδι Μητρί, καί οφθήσομαι, φαιδρώς πανηγυρίζων, καί άσω γηθόμενος, ταύτης τήν Σύλληψιν.

## Ωδή γ'  Ο Ειρμός

«Τούς σούς υμνολόγους Θεοτόκε, ως ζώσα καί άφθορος πηγή, θίασον συγκροτήσαντας πνευματικόν στερέωσον, κάν τή σεπτή Συλλήψει σου, στεφάνων δόξης αξίωσον».

Η Θεοτόκος

Εξέλιπεν Άρχων εξ Ιούδα, ο χρόνος εφέστηκε λοιπόν, καθ' όν αναφανήσεται, η τών εθνών ελπίς ο Χριστός, σύ δέ πώς τούτον τέξομαι, Παρθένος ούσα, σαφήνισον.

Ο Άγγελος

Ζητείς παρ' εμού γνώναι Παπθένε, τόν τρόπον συλλήψεως τής σής, αλλ' ούτος ανερμήνευτος, τό Πνεύμα δέ τό Άγιον, δημιουργώ δυνάμει σοι, επισκιάσαν εργάσεται.

Η Θεοτόκος

Η εμή Προμήτωρ δεξαμένη, τήν γνώμην τού όφεως Τρυφής, τής θείας εξωστράκισται, διό περ καγώ δέδοικα, τόν ασπασμόν τόν ξένον σου, ευλαβουμένη τόν όλισθον.

Ο Άγγελος

Θεού παραστάτης απεστάλην, τήν θείαν μηνύσων σοι βουλήν, τί με φοβή Πανάμωμε, τόν μάλλόν σε φοβούμενον, τί ευλαβή με Δέσποινα, τόν σέ σεπτώς ευλαβούμενον;

Καταβασία

Τούς σούς υμνολόγους Θεοτόκε, ως ζώσα καί άφθορος πηγή, θίασον συγκροτήσαντας πνευματικόν στερέωσον, κάν τή σεπτή Συλλήψει σου, στεφάνων δόξης αξίωσον.

## Κάθισμα  Ήχος πλ. δ'

Αυλών ποιμενικών

Ο Λόγος τού Θεού, επί γής νύν κατήλθεν, ο Άγγελος βοών, τή Παρθένω επέστη, Χαίρε Ευλογημένη, η τήν σφραγίδα μόνη φυλάξασα, εν μήτρα δεξαμένη, τόν Πρό αιώνων Λόγον καί Κύριον, ίνα εκ πλάνης σώση ώς Θεός, τό γένος τών ανθρώπων.

Δόξα... Καί νύν... τό αυτό

## Ωδή δ' Ο Ειρμός

«Ο καθήμενος εν δόξη, επί θρόνου θεότητος, εν νεφέλη κούφη, ήλθεν Ιησούς ο υπέρθεος, τή ακηράτω παλάμη καί διέσωσε, τούς κραυγάζοντας, Δόξα Χριστέ τή δυνάμει σου».

Η Θεοτόκος

Ιεράν τινα Παρθένον, τεξομένην ακήκοα, τού Προφήτου πάλαι, τόν Εμμανουήλ προθεσπίσαντος, επιποθώ δέ τού γνώναι, πώς θεότητος, τήν ανάκρασιν, φύσις βροτών υποστήσεται;

Ο Άγγελος

Κατεμήνυσεν η βάτος, ακατάφλεκτος μείνασα, δεξαμένη φλόγα,

Κεχαριτωμένη ανύμφευτε, τού κατά σέ Μυστηρίου τό απόρρητον, μετά τόκον γάρ, μενείς Αγνή, αειπάρθενος.

Η Θεοτόκος

Λαμπρυνόμενος τώ φέγγει, τού Θεού παντοκράτορος, αληθείας κήρυξ, λέγε, Γαβριήλ, αληθέστατα, πώς, ακηράτου μενουσης τής αγνείας μου; Λόγον τέξομαι, μετά σαρκός τόν ασώματον.

Ο Άγγελος

Μετά δέους σοι ως δούλος, τή Κυρία παρίσταμαι, μετά φόβου Κόρη, νύν κατανοείν ευλαβούμαί σε, ώς υετός επί πόκον καταβήσεται, επί σέ Λόγος, ο τού Πατρός ως ηυδόκησε.

Καταβασία

Ο καθήμενος εν δόξη, επί θρόνου θεότητος, εν νεφέλη κούφη, ήλθεν Ιησούς ο υπέρθεος, τή ακηράτω παλάμη καί διέσωσε, τούς κραυγάζοντας, Δόξα Χριστέ τή δυνάμει σου.

Ωδή ε'  Ο Ειρμός

«Εξέστη τά σύμπαντα, επί τή θεία δόξη σου, σύ γάρ απειρόγαμε Παρθένε, έσχες εν μήτρα τόν επί παντων Θεόν, καί τέτοκας άχρονον Υιόν, πάσι τοίς υμνούσί σε, σωτηρίαν βραβεύοντα».

Η Θεοτόκος

Νοείν σου ού δύναμαι, τών λόγων τήν ακρίβειαν, θαύματα γάρ γέγονε πολλάκις, θεία δυνάμει τερατουργούμενα, σύμβολα καί τύποι νομικοί, τέτοκε Παρθένος δέ, απειράνδρως ουδέποτε.

Ο Άγγελος

Ξενίζη Πανάμωμε, καί ξένον γάρ τό θαύμά σου, μόνη γάρ τόν πάντων Βασιλέα, δέξη εν μήτρα σαρκωθησόμενον, καί σέ προτυπούσι Προφητών, ρήσεις καί αινίγματα, καί τού Νόμου τά σύμβολα.

Η Θεοτόκος

Ο πάσιν αχώρητος, καί πάσιν αθεώρητος, πώς ούτος δυνήσεται Παρθένου, μήτραν οικήσαι, ήν αυτός έπλασε; πώς δέ καί συλλήψομαι Θεόν, Λόγον τόν συνάναρχον, τώ Πατρί καί τώ Πνεύματι;

Ο Άγγελος

Πρός τόν σόν Προπάτορα, Δαυϊδ επαγγειλάμενος, θήσειν εκ καρπού τού τής κοιλίας, επί τόν θρόνον τής Βασιλείας αυτού, τήν τού Ιακώβ σε καλλονήν, μόνην εξελέξατο, λογικόν ενδιαίτημα.

Καταβασία

Εξέστη τά σύμπαντα, επί τή θεία δόξη σου, σύ γάρ απειρόγαμε Παρθένε, έσχες εν μήτρα τόν επί παντων Θεόν, καί τέτοκας άχρονον Υιόν, πάσι τοίς υμνούσί σε, σωτηρίαν βραβεύοντα.

Ωδή ς'  Ο Ειρμός

«Εβόησε, προτυπών τήν ταφήν τήν τριήμερον, ο Προφήτης, Ιωνάς εν τώ κήτει δεόμενος, Εκ φθοράς με ρύσαι, Ιησού Βασιλεύ τών δυνάμεων».

Η Θεοτόκος

Ρημάτων σου, τήν φωνήν Γαβριήλ, τήν χαρμόσυνον, δεξαμένη, ευφροσύνης

ενθέου πεπλήρωμαι, χαράν γαρ μηνύεις, καί χαράν καταγγέλλεις τήν άληκτον.

Ο Άγγελος

Σοί δέδοται, η χαρά Θεομήτορ η ένθεος, σοί τό Χαίρε, πάσα κτίσις κραυγάζει Θεόνυμφε, σύ γάρ μόνη Μήτηρ, τού Υιού τού Θεού προωρίσθης Αγνή.

Η Θεοτόκος

Τής Εύας νύν, δι εμού καταργείσθω κατάκριμα, αποδότω, δι' εμού τό οφείλημα σήμερον, δι' εμού τό χρέος, τό αρχαίον δοθήτω πληρέστατον.

Ο Άγγελος

Υπέσχετο, ο Θεός, Αβραάμ τώ προπάτορι, ευλογείσθαι, εν τώ σπέρματι τούτου τά Έθνη Αγνή, διά σού δέ πέρας, η υπόσχεσις δέχεται σήμερον.

Καταβασία

Εβόησε, προτυπών τήν ταφήν τήν τριήμερον, ο Προφήτης, Ιωνάς εν τώ κήτει δεόμενος, Εκ φθοράς με ρύσαι, Ιησού Βασιλεύ τών δυνάμεων.

Κοντάκιον  Ήχος πλ. δ'

Τή υπερμάχω στρατηγώ τά νικητήρια, ως λυτρωθείσα τών δεινών ευχαριστήρια, αναγράφω σοι η Πόλις σου Θεοτόκε, Αλλ' ως έχουσα τό κράτος απροσμάχητον, εκ παντοίων με κινδύνων ελευθέρωσον, ίνα κράζω σοι, Χαίρε νύμφη ανύμφευτε.

Ο Οίκος

Άγγελος πρωτοστάτης, ουρανόθεν επέμφθη, ειπείν τή Θεοτόκω τό Χαίρε καί σύν τή ασωμάτω φωνή, σωματούμενόν σε θεωρών Κύριε, εξίστατο καί ίστατο, κραυγάζων πρός αυτήν τοιαύτα.

- Χαίρε, δι' ής η χαρά εκλάμψει, χαίρε, δι' ής η αρά εκλείψει.
- Χαίρε, τού πεσόντος , Αδάμ η ανάκλησις, χαίρε τών δακρύων τής Εύας η λύτρωσις.
- Χαίρε, ύψος δυσανάβατον ανθρωπίνοις λογισμοίς, χαίρε, βάθος δυσθεώρητον καί Αγγέλων οφθαλμοίς.
- Χαίρε, ότι υπάρχεις Βασιλέως καθέδρα, χαίρε, ότι βαστάζεις τόν βαστάζοντα πάντα.
- Χαίρε, αστήρ εμφαίνων τόν Ήλιον, χαίρε, γαστήρ ενθέου σαρκώσεως.
- Χαίρε, δι' ής νεουργείται η κτίσις, χαίρε, δι' ής βρεφουργείται Κτίστης.
- Χαίρε, Νύμφη ανύμφευτε.

Συναξάριον

Τή ΚΕ' τού αυτού μηνός, ο Ευαγγελισμός τής Υπεραγίας Δεσποίνης ημών Θεοτόκου καί Αειπαρθένου Μαρίας.

Στίχοι

- Ήγγειλεν Υιόν Άγγελος τή Παρθένω,
- Πατρός μεγίστης Βουλής μέγαν.
- Γήθεο τή Μαρίη έφατ' Άγγελος εικάδι πέμπτη.

Ωδή ζ'  Ο Ειρμός

«Ουκ ελάτρευσαν, τή κτίστει οι θεόφρονες, παρά τόν κτίσαντα, αλλά πυρός απειλήν, ανδρείως πατήσαντες, χαίροντες έψαλλον, Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί».

Η Θεοτόκος

Φώς τό άϋλον, μηνύων ύλη σώματος, ενωθησόμενον, δι' ευσπλαγχνίαν πολλήν, φαιδρόν Ευαγγέλιον, θεία κηρύγματα, νύν κραυγάζεις μοι, Ευλογημένος Πάναγνε, ο καρπός τής σής κοιλίας.

Ο Άγγελος

Χαίρε δέσποινα, Παρθένε χαίρε πάναγνε, χαίρε δοχείον Θεού, χαίρε λυχνία φωτός, Αδάμ η ανάκλησις, Εύας η λύτρωσις, όρος άγιον, περιφανές αγίασμα, καί νυμφών αθανασίας.

Η Θεοτόκος

Ψυχήν ήγνισε, καί σώμα καθηγίασε, ναόν ειργάσατο, χωρητικόν με Θεού, σκηνήν θεοκόσμητον, έμψυχον τέμενος, η επέλευσις, τού Παναγίου Πνεύματος, καί ζωής αγνήν Μητέρα.

Ο Άγγελος

Ως πολύφωτον, λαμπάδα καί θεότευκτον, παστάδα βλέπω σε, νύν ώς χρυσή Κιβωτός, τού Νόμου τόν πάροχον, δέχου Πανάμωμε, ευδοκήσαντα, τήν τών ανθρώπων ρύσασθαι, διά σού φθαρτήν ουσίαν.

Καταβασία

Ουκ ελάτρευσαν, τή κτίστει οι θεόφρονες, παρά τόν κτίσαντα, αλλά πυρός απειλήν, ανδρείως πατήσαντες, χαίροντες έψαλλον, Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Ιστέον ότι αύται αι β' ωδαί περιέχουσιν Ακροστιχίδα τήν κατά Αλφάβητον, η μέν η' ορθώς, η δέ θ' αντιστρόφως.

Ωδή η'  Ο Ειρμός

Ο Άγγελος

«Άκουε Κόρη Παρθένε αγνή, ειπάτω δή ο Γαβριήλ, Βουλήν Υψίστου αρχαίαν αληθινήν, Γενού πρός υποδοχήν ετοίμη Θεού, διά σού γάρ ο αχώρητος, βροτοίς αναστραφήσεται, διό καί χαίρων βοώ, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Η Θεοτόκος

Έννοια πάσα ηττάται βροτών, αντέφησεν η Παρθένος, Ζητούσα άπερ μοι φθέγγη παράδοξα, Ήσθην σου τοίς λόγοις, αλλά δέδοικα, θαμβηθείσα μή απάτη με, ως Εύαν πόρρω πέμψης Θεού, αλλ' όμως ίδε βοάς, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ο Άγγελος

Ίδε σοι τό άπορον λέλυται, φησί πρός ταύτα ο Γαβριήλ, Καλώς γάρ έφης τό πράγμα δυστέκμαρτον, Λόγοις σών χειλέων πειθαρχούσα λοιπόν, Μή αμφίβαλλε ως πλάσματι, ως πράγματι δέ πίστευε, εγώ γάρ χαίρων βοώ, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Η Θεοτόκος

Νόμος ούτος θεόθεν βροτοίς, η άμεμπτος αύθις φησί, Ξυνού εξ έρωτος τόκον

προέρχεσθαι, Ουκ οίδα συζύγου παντελώς ηδονήν, Πώς ούν λέγεις ότι τέξομαι; φοβούμαι μή απάτη λαλής, αλλ όμως ίδε βοάς, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ο Άγγελος

Ρήματα άπερ μοι φθέγγη Σεμνή, ο Άγγελος πάλιν βοά, Συνήθους πέλει λοχείας ανθρώπων θνητών, τόν όντως Θεόν σοι επαγγέλλομαι, Υπέρ λόγον τε καί έννοιαν, σαρκούμενον ως οίδεν εκ σού, διό καί χαίρων βοώ, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Η Θεοτόκος

Φαίνη μοι αληθείας ρήτωρ, κατέθετο η Παρθένος, Χαράς κοινής γάρ ελήλυθας Άγγελος, Ψυχήν ούν επεί καθήγνισμαι Πνεύματι Ως τό ρήμά σου γενέσθω μοι, σκηνούτω εν εμοί ο Θεός, πρός όν βοώ μετά σού, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Καταβασία

Άκουε Κόρη Παρθένε αγνή, ειπάτω δή ο Γαβριήλ, Βουλήν Υψίστου αρχαίαν αληθινήν, Γενού πρός υποδοχήν ετοίμη Θεού, διά σού γάρ ο αχώρητος, βροτοίς αναστραφήσεται, διό καί χαίρων βοώ, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

## Ωδή θ'

## Μ ε γ α λ υ ν ά ρ ι ο ν

Ευαγγελίζου γή χαράν μεγάλην, αινείτε ουρανοί Θεού τήν δόξαν.

Αλφάβ. αντιστρόφως, Ο Ειρμός

«Ως εμψύχω Θεού κιβωτώ, ψαυέτω μηδαμώς χείρ αμυήτων, Χείλη δέ πιστών τή Θεοτόκω ασιγήτως, Φωνήν τού Αγγέλου αναμέλποντα, εν αγαλλιάσει βοάτω, Χαίρε Κεχαριτωμένη ο Κύριος μετά σού».

Ευαγγελίζου γή χαράν μεγάλην, αινείτε ουρανοί Θεού τήν δόξαν.

Υπέρ έννοιαν συλλαβούσα Θεόν, τής φύσεως θεσμούς έλαθες Κόρη, Σύ γάρ εν τώ τίκτειν τά μητέρων διέδρας, Ρευστή φύσις περ καθεστηκυία, όθεν επαξίως ακούεις, Χαίρε Κεχαριτωμένη, ο Κύριος μετά σού.

Ευαγγελίζου γή χαράν μεγάλην, αινείτε ουρανοί Θεού τήν δόξαν.

Πώς πηγάζεις γάλα Παρθένε αγνή; Ού φέρει εξειπείν γλώσσα βροτεία, Ξένον γάρ φύσεως επιδείκνυσαι πράγμα, Νομίμου γονής όρους υπερβαίνον, όθεν επαξίως ακούεις, Χαίρε Κεχαριτωμένη, ο Κύριος μετά σού.

Ευαγγελίζου γή χαράν μεγάλην, αινείτε ουρανοί Θεού τήν δόξαν.

Μυστικώς ταίς Ιεροτεύκτοις Γραφαίς, Λαλείται περί σού, Μήτερ Υψίστου, Κλίμακα γάρ πάλαι Ιακώβ σε προτυπούσαν, Ίδων έφη, Βάσις Θεού αύτη,

όθεν επαξίως ακούεις, Χαίρε κεχαριτωμένη, ο Κύριος μετά σού.

Ευαγγελίζου γή χαράν μεγάλην, αινείτε ουρανοί Θεού τήν δόξαν.

Θαυμαστόν τώ Ιεροφάντη Μωσεί, Η βάτος καί τό πύρ έδειξε τέρας, Ζητών δέ τό πέρας εις διάβασιν χρόνου, Εν Κόρη αγνή, έψη, κατοπτεύσω, ή ως Θεοτόκω λεχθείη, Χαίρε κεχαριτωμένη, ο Κύριος μετά σού.

Ευαγγελίζου γή χαράν μεγάλην, αινείτε ουρανοί Θεού τήν δόξαν.

Δανιήλ σε όρος καλεί νοητόν, Γεννήτριαν Θεού ο Ησαίας, Βλέπει δέ ως πόκον Γεδεών, ο Δαυίδ δέ, Αγίασμα φάσκει, πύλην δέ σε άλλος, ο δέ Γαβριήλ σοι κραυγάζει, Χαίρε κεχαριτωμένη, ο Κύριος μετά σού.

Καταβασία

Ως εμψύχω Θεού κιβωτώ, ψαυέτω μηδαμώς χείρ αμυήτων, Χείλη δέ πιστών τή Θεοτόκω ασιγήτως, Φωνήν τού Αγγέλου αναμέλποντα, εν αγαλλιάσει βοάτω, Χαίρε Κεχαριτωμένη ο Κύριος μετά σού.

## Ε ξ α π ο σ τ ε ι λ ά ρ ι ο ν

Τοίς Μαθηταίς συνέλθωμεν

Αγγελικών δυνάμεων, Στρατηγός απεστάλη, εκ Θεού Παντοκράτορος, πρός Αγνήν καί Παρθένον, ευαγγελίσασθαι ξένον, καί απόρρητον θαύμα, ότι Θεός ως άνθρωπος, εξ αυτής βρεφουργείται, άνευ σποράς, αναπλάττων βρότειον άπαν γένος, Λαοί ευαγγελίζεσθε, τήν ανάπλασιν κόσμου.

Όμοιον

Χαίρε κατάρας λύτρωσις, τού Αδάμ Θεοτόκε, χαίρε σεμνή Μητρόθεε, χαίρε έμψυχε βάτε, χαίρε λαμπάς, χαίρε θρόνε, χαίρε κλίμαξ καί πύλη, χαίρε τό θείον όχημα, χαίρε κούφη νεφέλη, χαίρε ναέ, χαίρε στάμνε πάγχρυσε, χαίρε όρος, χαίρε σκηνή καί τράπεζα, χαίρε Εύας η λύσις.

Εις τούς Αίνους ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'

Τών ουρανίων ταγμάτων

Τών ουρανίων αψίδων, ο Γαβριήλ καταπτάς, εις Ναζαρέτ επέστη, πρός Παρθένον Μαρίαν, βοών αυτή τό Χαίρε, συλλήψη Υιόν, τού Αδάμ αρχαιότερον, τόν ποιητήν τών απάντων καί λυτρωτήν, τών βοώντων σοι τό Χαίρε Αγνή.

Ο Γαβριήλ τή Παρθένω, τό Ευαγγέλιον, εξ ουρανού κομίσας, ανεβόα τό Χαίρε, συλλήψη εν γαστρί σου τόν σοί χωρητόν, καί τώ κόσμω αχώρητον, καί κυοφόρος οφθήση τού εκ Πατρός, πρό εωσφόρου ανατείλαντος.

Ο συναΐδιος Λόγος, τού προανάρχου Πατρός, μή χωρισθείς τών άνω, νύν

επέστη τοίς κάτω, δι' άκραν ευσπλαγχνίαν οίκτον λαβών, τού καθ' ημάς ολισθήματος, καί τού Αδάμ τήν πτωχείαν αναλαβών, εμορφώθη τό αλλότριον.

Δόξα... Καί νύν...

Ήχος β' Θεοφάνους

Το απ' αιώνος μυστήριον, ανακαλύπτεται σήμερον, καί ο Υιός τού Θεού, Υιός ανθρώπου γίνεται, ίνα τού χείρονος μεταλαβών, μεταδώ μοι τού βελτίονος, Εψεύσθη πάλαι Αδάμ, καί Θεός επιθυμήσας ου γέγονεν, άνθρωπος γίνεται Θεός, ίνα Θεόν τόν Αδάμ απεργάσηται, Ευφραινέσθω η κτίσις, χορευέτω, η φύσις, ότι Αρχάγγελος Παρθένω, μετά δέους παρίσταται, και τό Χαίρε κομίζει, τής λύπης αντίθετον, Ο διά σπλάγχνα ελέους ενανθρωπήσας, Θεός ημών δόξα σοι.

Δοξολογία μεγάλη

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τά Τυπικά καί εκ τού Κανόνος, Ωδή γ' καί ς'. Ει δέ βούλει, λέγε τά παρόντα Αντίφωνα.

Αντίφωνον Α'

Στίχος α'. Ο Θεός τό κρίμά σου τώ Βασιλεί δός, καί τήν δικαιοσύνην σου τώ υιώ τού βασιλέως.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχος β'. Αναλαβέτω τά όρη ειρήνην τώ λαώ, καί οι βουνοί δικαιοσύνην.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχος γ'. Ευαγγελίζεσθε ημέραν εξ ημέρας, τό σωτήριον τού Θεού ημών.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχος δ'. Ώμοσε Κύριος τώ Δαυϊδ αλήθειαν καί ου μή αθετήσει αυτήν.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Δόξα... Καί νύν...

Ταίς πρεσβείαις τής Θεοτόκου...

Αντίφωνον Β'

Στίχος α'. Καταβήσεται ως υετός επί πόκον, καί ωσεί σταγών η στάζουσα επί τήν γήν.

Σώσον ημάς, Υιέ Θεού, ο δι' ημάς σαρκωθείς...

Στίχος β'. Ηγίασε τό σκήνωμα αυτού ο Ύψιστος.

Σώσον ημάς, Υιέ Θεού, ο δι' ημάς...

Στίχος γ'. Ο Θεός εμφανώς ήξει, ο Θεός ημών καί ου παρασιωπήσεται.

Σώσον ημάς, Υιέ Θεού, ο δι' ημάς...

Στίχος δ'. Ανατελεί εν ταίς ημέραις αυτού δικαιοσύνη, καί πλήθος ειρήνης.

Σώσον ημάς, Υιέ Θεού, ο δι' ημάς...

Δόξα... Καί νύν...

Ο μονογενής Υιός καί Λόγος,..

## Αντίφωνον Γ'

Στίχος α'. Έσται τό όνομα αυτού ευλογημένον εις τούς αιώνας.

### Ήχος δ'

Σήμερον τής σωτηρίας ημών τό Κεφάλαιον, καί τού απ' αιώνος Μυστηρίου η φανέρωσις, ο Υιός τού Θεού, Υιός τής Παρθένου γίνεται, καί Γαβριήλ τήν χάριν ευαγγελίζεται, Διό σύν αυτώ τή Θεοτόκω βοήσωμεν, Χαίρε Κεχαριτωμένη, ο Κύριος μετά σού.

Στίχος β'. Ευλογητός Κύριος ο Θεός τού Ισραήλ, ο ποιών θαυμάσια μόνος.

Σήμερον τής σωτηρίας ημών τό Κεφάλαιον, καί τού απ' αιώνος Μυστηρίου η φανέρωσις, ο Υιός τού Θεού, Υιός τής Παρθένου γίνεται, καί Γαβριήλ τήν χάριν ευαγγελίζεται, Διό σύν αυτώ τή Θεοτόκω βοήσωμεν, Χαίρε Κεχαριτωμένη, ο Κύριος μετά σού.

Στίχος γ'. Ευλογημένον τό όνομα αυτού εις τόν αιώνα, καί εις τόν αιώνα τού αιώνος.

Σήμερον τής σωτηρίας ημών τό Κεφάλαιον, καί τού απ' αιώνος Μυστηρίου η φανέρωσις, ο Υιός τού Θεού, Υιός τής Παρθένου γίνεται, καί Γαβριήλ τήν χάριν ευαγγελίζεται, Διό σύν αυτώ τή Θεοτόκω βοήσωμεν, Χαίρε Κεχαριτωμένη, ο Κύριος μετά σού.

## Ε ι σ ο δ ι κ ό ν

- Ευαγγελίζεσθε ημέραν εξ ημέρας τό σωτήριον τού Θεού ημών.
- Σώσον ημάς, Υιέ Θεού, ο δι' ημάς σαρκωθείς.

### Απολυτίκιον   Ήχος δ'

Σήμερον τής σωτηρίας ημών τό Κεφάλαιον, καί τού απ' αιώνος Μυστηρίου η φανέρωσις, ο Υιός τού Θεού, Υιός τής Παρθένου γίνεται, καί Γαβριήλ τήν χάριν ευαγγελίζεται, Διό σύν αυτώ τή Θεοτόκω βοήσωμεν, Χαίρε Κεχαριτωμένη, ο Κύριος μετά σού.

### Κοντάκιον  Ήχος πλ. δ'

Τή υπερμάχω στρατηγώ τά νικητήρια, ως λυτρωθείσα τών δεινών ευχαριστήρια, αναγράφω σοι η Πόλις σου Θεοτόκε, Αλλ' ως έχουσα τό κράτος απροσμάχητον, εκ παντοίων με κινδύνων ελευθέρωσον, ίνα κράζω σοι, Χαίρε νύμφη ανύμφευτε.

### Εις τό, Εξαιρέτως

Ευαγγελίζου γή χαράν μεγάλην, αινείτε ουρανοί Θεού τήν δόξαν.

«Ως εμψύχω Θεού κιβωτώ, ψαυέτω μηδαμώς χείρ αμυήτων, Χείλη δέ πιστών τή Θεοτόκω ασιγήτως, Φωνήν τού Αγγέλου αναμέλποντα, εν αγαλλιάσει βοάτω, Χαίρε Κεχαριτωμένη ο Κύριος μετά σού».

### Κοινωνικόν

Εξελέξατο Κύριος τήν Σιών, ηρετίσατο αυτήν εις κατοικίαν εαυτώ. Αλληλούϊα.

## ΔΟΞΟΛΟΓΙΑ ΕΠΙ ΤΗ ΕΘΝΙΚΗ ΕΟΡΤΗ

Ιερεύς: Ευλογητός ο Θεός ημών, πάντοτε, νύν καί αεί καί εις τούς αιώνας τών αιώνων.

### Απολυτίκιον  Ήχος δ'

Σήμερον τής σωτηρίας ημών τό Κεφάλαιον, καί τού απ' αιώνος Μυστηρίου η φανέρωσις, ο Υιός τού Θεού, Υιός τής Παρθένου γίνεται, καί Γαβριήλ τήν χάριν ευαγγελίζεται, Διό σύν αυτώ τή Θεοτόκω βοήσωμεν, Χαίρε Κεχαριτωμένη, ο Κύριος μετά σού.

### Κοντάκιον  Ήχος πλ. δ'

Τή υπερμάχω στρατηγώ τά νικητήρια, ως λυτρωθείσα τών δεινών ευχαριστήρια, αναγράφω σοι η Πόλις σου Θεοτόκε, Αλλ' ως έχουσα τό κράτος απροσμάχητον, εκ παντοίων με κινδύνων ελευθέρωσον, ίνα κράζω σοι, Χαίρε νύμφη ανύμφευτε.

### καί Δοξολογία

Δόξα σοι τώ δείξαντι το Φώς...

- Ελέησον ημάς, ο Θεός, κατά τό μέγα έλεός σου, δεόμεθά σου, επάκουσον καί ελέησον.

- Have mercy on us, O God, according to Your great love, we pray You, hearken, and have mercy.
- Έτι δεόμεθα υπέρ τών ευσεβών καί Ορθοδόξων Χριστιανών.
- Again we pray for pious and Orthodox Christians.
- Έτι δεόμεθα υπέρ τού Αρχιεπισκόπου ημών __, καί πάσης τής εν Χριστώ ημών αδελφότητος.
- Again we pray for our Archbishop __, and all our brotherhood in Christ.
- Έτι δεόμεθα υπέρ τού ευσεβούς ημών Έθνους καί πάσης Αρχής καί εξουσίας εν αυτώ, τού κατά ξηράν, θάλασσαν και αέρα φιλοχρίστου ημών Στρατού, και υπέρ τού Κύριον τον Θεόν ημών επί πλέον συνεργήσαι καί κατευοδώσαι αυτούς εν πάσιν.
- Again we pray for this country, those in authority, all those in public service, and for our Christ loving forces on land, sea and air, and that the Lord our God would assist and accompany them in all.
Έτι δεόμεθα υπέρ μακαρίας μνήμης καί αιωνίου αναπαύσεως πάντων τών εν τοίς ιεροίς ημών αγώσιν υπέρ πίστεως καί πατρίδος αγωνισαμένων καί πεσόντων καί υπέρ τού συγχωρηθήναι αυτοίς πάν πλημμέλημα εκούσιόν τε καί ακούσιον.
- Again, let us pray the blessed memory and eternal repose of all those involved in the heroic struggles for the faith and our Homeland and who have gloriously fallen, and for the forgiveness of all their sins and transgressions both voluntary and involuntary.

- Again, let us pray for the blessed memory and eternal repose of the souls of the servants of God: Hellenes and Phil-hellenes who heroically fought and have fallen asleep for the liberation of Greece, for whom this prayer is offered and for the forgiveness of their sins and transgressions both voluntary and involuntary.

- Έτι δεόμεθα υπέρ τού διαφυλαχθήναι τήν αγίαν Εκκλησίαν καί τήν πόλιν ταύτην, καί πάσαν πόλιν και χώραν από οργής, λοιμού, λιμού, σεισμού, καταποντισμού, πυρός, μαχαίρας, επιδρομής αλλοφύλων, εμφιλίου πολέμου, καί αιφνιδίου θανάτου, υπέρ τον ίλεων, ευμενή καί ευδιάλακτον, γενέσθαι τόν αγαθόν και φιλάνθρωπον Θεόν ημών, τού αποστρέψαι καί, διασκεδάσαι πάσαν οργήν και νόσον, τήν καθ' ημών κινουμένην, καί ρύσασθαι ημάς εκ τής επικειμένης δικαίας αυτού απειλής, καί ελέησαι ημάς.
- Again we pray for the safekeeping of this holy church and this city, and of all cities and towns from pestilence, famine, earthquake, flood, fire and the sword, from invasion of enemies, civil war, and unforeseen death; for His mercy, that He will be kind to entreat as our good God, Who loves mankind and that He may turn away and scatter all wrath and disease that moves against us, and deliver us from His impending, justified chastisement, and have mercy on us.
- Έτι δεόμεθα καί υπέρ τού εισακούσαι Κύριον τόν Θεόν φωνής τής δεήσεως ημών τών αμαρτωλών, και ελέησαι ημάς.
- Again we pray that the Lord God will hear the voice of the petitions of us sinners and have mercy on us.

- Επάκουσον ημών, ο Θεός, ο Σωτήρ ημών, η ελπίς πάντων τών περάτων τής γής καί τών εν θαλάσση μακράν, καί ίλεως, ίλεως γενού ημίν, Δέσποτα επί ταίς αμαρτίαις ημών, καί ελέησον ημάς.
- Hear us, O God, our Saviour, the hope of all the ends of the earth, and of those who are far off upon the sea; and show compassion on us, O Master, on our many sins, and have mercy upon us.
-Τού Κυριαυ δεηθώμεν.

Κύριε ο Θεός ημών, ο τά σύμπαντα τώ σώ κράτει συνέχων τή θεία σου καί πανσθενεί βουλή κυβερνών, ο εκάστω έθνει τάς ιδίας οροθεσίας θέμενος, τό δέ ευσεβές ημών Έθνος εξαιρέτως ευεργετήσας, τήν επίγνωσιν τής σής αληθείας αυτώ χαρισάμενος, καί πρός τό φώς τής αληθούς ημών θρησκείας καθοδηγήσας, έξ αυτού δέ μεγάλους τής Εκκλησίας πατέρας καί διδασκάλους αναδείξας, καί ελεύθερον μέν αυτό επί αιώνας διατηρήσας τή θεία σου χάριτι, δουλωθέν δέ στηρίξας καί διασώσας καί εις ελεύθερον αύθις βίον αυτό εξαναστήσας, Αυτός, πανάγιε Δέσποτα, πρόσδεξαι τάς ευχαριστηρίους ημών δεήσεις επί τή απελευθερώσει καί τή παλιγγενεσία αυτού. Καί τάς μέν ψυχάς τών υπέρ Πίστεως καί Πατρίδος ηρωϊκώς αγωνισαμένων καί ενδόξως εν τοίς ιεροίς ημών αγώσι πεσόντων ή υπό τών πολεμίων αναιρεθέντων πατέρων καί αδελφών ημών μετά τών απ' αιώνός σοι ευαρεστησάντων ανάπαυσον, Ημάς δέ πάντας αξίους τής ελευθερίας ανάδειξον, εν ειρήνη καί ομονοία διατήρησον καί εις πάν έργον αγαθόν καί σοί ευάρεστον καθοδήγησον, τούς πιστούς άρχοντας ημών εν ειρήνη καί ομονοία διατήρησον καί λάλησον αγαθά εν ταίς καρδίαις αυτών υπέρ τής Εκκλησίας σου καί παντός τού λαού σου. Σύ γάρ εί ο Βασιλεύς τής ειρήνης καί Σωτήρ τών ψυχών ημών, καί σοί τήν δόξαν αναπέμπομεν, τώ Πατρί καί τώ Υιώ καί τώ Αγίω Πνεύματι, νύν καί αεί καί εις τούς αιώνας τών αιώνων, Αμήν.

Απόλυσις

Στιχηρόν Ιδιόμελον, ψαλλόμενον όταν Τυπική διάταξις απαιτήσηαυτό.

Ήχος πλ. δ'
Ιωάννου Μοναχού

Ευφραινέσθωσαν οι ουρανοί, καί αγαλλιάσθω η γή, ο γάρ τού Πατρός συναϊδιος καί συνάναρχος καί σύνθρονος Υιός, οίκτον λαβών καί φιλάνθρωπον έλεον, εαυτόν καθήκεν εις κένωσιν κατ' ευδοκίαν καί βούλησιν Πατρικήν, καί μήτραν ώκησε Παρθενικήν, προαγνισθείσαν τώ Πνεύματι. Ώ τού θαύματος! ο Θεός εν ανθρώποις, ο αχώρητος εν μήτρα, ο άχρονος εν χρόνω, καί τό παράδοξον, ότι καί η σύλληψις άσπορος, καί η κένωσις άφραστος, καί τό μυστήριον όσον! Ο Θεός γάρ κενούται, καί σαρκούται καί πλάττεται, Αγγέλου πρός τήν Αγνήν, τήν σύλληψιν λέξαντος, Χαίρε Κεχαριτωμένη, ο Κύριος μετά σού, ο έχων τό μέγα έλεος.

---

Αρχή

## ΤΗ ΚΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Η σύναξις τού Αρχιστρατήγου Γαβριήλ.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ', Βουλήν προαιώνιον, καί τά λοιπά δύο.

### Στιχηρά Προσόμοια τού Αρχαγγέλου

Ήχος α'
Πανεύφημοι Μάρτυρες

Γαβριήλ ο μέγιστος νούς, ο θεοειδέστατος, ο φωταυγής καί ουράνιος, φώς τό Τρισήλιον, καθορών καί βλέπων, σύν ταίς άνω τάξεσι, τό θείον καί φρικώδες μυστήριον, ευηγγελίσατο, τή Παρθένω αφικόμενος, καί πρεσβεύει υπέρ τών ψυχών ημών.

Τό μέγα μυστήριον τό πρίν, τοίς Αγγέλοις άγνωστον, καί πρό αιώνων απόκρυφον, μόνος πεπίστευσαι, Γαβριήλ καί τούτο, τή μόνη τεθάρρηκας, Αγνή εις Ναζαρέτ αφικόμενος, μεθ' ής ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Φωτός ών ανάπλεως αεί, καί ποιών τό θέλημα, καί εκτελών τά προστάγματα, τού Παντοκράτορος, Αρχηγέ Αγγέλων, Γαβριήλ πανάριστε, τούς πόθω σε τιμώντας περίσωζε, αεί αιτούμενος, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Δόξα... Καί νύν... Ήχος πλ. δ'
Ιωάννου Μοναχού

Απεστάλη εξ ουρανού Γαβριήλ ο Αρχάγγελος, ευαγγελίσασθαι τή Παρθένω τήν σύλληψιν, καί ελθών εις Ναζαρέτ, ελογίζετο εν εαυτώ τό θαύμα εκπληττόμενος, ότι πώς ο εν υψίστοις ακατάληπτος ών, εκ Παρθένου τίκτεται! ο έχων θρόνον ουρανόν, καί υποπόδιον τήν γήν, εν μήτρα χωρείται γυναιΚός! ώ τά Εξαπτέρυγα καί Πολυόμματα, ατενίσαι ου δύνανται, λόγω μόνω εκ ταύτης σαρκωθήναι ηύδόκησε! Θεού εστι Λόγος ο παρών. Τί ούν ίσταμαι, καί ου λέγω τή Κόρη; Χαίρε Κεχαριτωμένη, ο Κύριος μετά σού, χαίρε Αγνή Παρθένε, χαίρε Νύμφη ανύμφευτε, χαίρε Μήτηρ τής ζωής, ευλογημένος ο καρπός τής κοιλίας σου.

Είσοδος. Τό Φώς ιλαρόν, καί τά Αναγνώσματα.

### Τής Εξόδου τό Ανάγνωσμα
(Κεφ. 3, 1-9)

Εισήλθε Μωσής εις τό όρος τού Θεού Χωρήβ. Ώφθη δέ αυτώ Άγγελος Κυρίου, εν φλογί πυρός εκ τής βάτου, καί ορά, ότι η βάτος καίεται πυρί, η δέ βάτος ου κατεκαίετο. Είπε δέ Μωσής. Παρελθών όψομαι τό όραμα τό μέγα τούτο, τί ότι ου κατακαίεται η βάτος. Ως δέ είδε Κύριος ότι προσάγει ιδείν,

εκάλεσεν αυτόν Κύριος εκ τής βάτου, λέγων. Μωσή, Μωσή. Ο δέ είπε. Τί εστι, Κύριε; Ο δέ είπε. Μή εγγίσης ώδε, λύσον τά υποδήματα εκ τών ποδών σου, ο γάρ τόπος εν ώ σύ έστηκας γή αγία εστί. Καί είπεν αυτώ. Εγώ ειμι ο Θεός τού πατρός σου, Θεός Αβραάμ, καί Θεός Ισαάκ, καί Θεός Ιακώβ. Απέστρεψε δέ Μωσής τό πρόσωπον αυτού, ηύλαβείτο γάρ καταβλέψαι ενώπιον τού Θεού. Είπε δέ Κύριος πρός Μωσήν. Ιδών είδον τήν κάκωσιν τού λαού μου, τού εν Αιγύπτω. Καί τής κραυγής αυτών ακήκοα από τών εργοδιωκτών. Οίδα γάρ τήν οδύνην αυτών, καί κατέβην τού εξελέσθαι αυτούς εκ χειρός τών Αιγυπτίων, καί εξαγαγείν αυτούς εκ τής γής εκείνης καί εισαγαγείν αυτούς εις γήν αγαθήν καί πολλήν, εις γήν ρέουσαν γάλα καί μέλι.

Παροιμιών τό Ανάγνωσμα
(Κεφ. 8, 22-30)

Κύριος έκτισέ με αρχήν οδών αυτού, εις έργα αυτού. Πρό τού αιώνος εθεμελίωσέ με, εν αρχή πρό τού τήν γήν ποιήσαι, καί πρό τού τάς αβύσσους ποιήσαι, πρό τού προσελθείν τάς πηγάς τών υδάτων, πρό τού όρη εδρασθήναι, πρό δέ πάντων τών βουνών γεννά με. Κύριος εποίησε χώρας καί αοικήτους καί άκρα οικούμενα τής υπ' ουρανόν. Ηνίκα ητοίμαζε τόν ουρανόν, συμπαρήμην αυτώ, καί ότε αφώριζε τόν εαυτού θρόνον επ' ανέμων, ηνίκα ισχυρά εποίει τά άνω νέφη, καί ως ασφαλείς ετίθη πηγάς υδάτων τής υπ' ουρανόν, εν τώ τιθέναι τή θαλάσση ακριβασμόν αυτού, καί ύδατα, ά ού παρελεύσεται στόματος αυτού, καί ισχυρά εποίει τά θεμέλια τής γής, ήμην παρ' αυτώ αρμόζουσα.  Έγω ήμην, ή προσέχαιρε. Καθ' ημέραν δέ ευφραι νόμην εν προσώπω αυτού, εν παντί καιρώ.

Εις τόν Στίχον ψάλλομεν τά εξής:

Ήχος πλ. δ'
Ώ τού παραδόξου θαύματος

Άρχων τών άνω δυνάμεων, ο Γαβριήλ καταπτάς, τήν Παρθένον ασπάζεται, χαίρε λέγωνόχημα, καθαρόν τής θεότητος, σέ εξ αιώνος Θεός ηγάπησεν, εις κατοικίαν τε ηρετίσατο, δούλος Δεσπότου σου, παρουσίαν πάρειμι, αναβοών, τέξη ούν τόν Κύριον, άφθορος μένουσα.

Στίχ. Ευαγγελίζεσθε ημέραν εξ ημέρας τό σωτήριον τού Θεού ημών.

Τί σου τό είδος τό πύρινον, τώ Γαβριήλ η Σεμνή, μετ' εκπλήξεως έφησε, τί σου τό αξίωμα, καί τών λόγων η δύναμις; παιδοποιϊαν προσεπαγγέλλη μοι, έγω δέ πείραν, ανδρός ου κέκτημαι, άπιθι πόρρωθεν, μή πλανήσης άνθρωπε, ώς περ τό πρίν, Εύαν τήν προμήτορα, όφις ο δόλιος.

Στίχ. Άσατε τώ Κυρίω άσμα καινόν.

Πνεύμα Θεού τό πανάγιον, ήξει Αγνή επί σέ, Θεοχώρητε Δέσποινα, καί επισκιάσει σοι, τού Υψίστου η δύναμις, καί τέξη παίδα διατηρούντά σου, τήν παρθενίαν απαρασάλευτον, ούτος Υιός εστιν, αγενεαλόγητος, ούτος οφθείς,

σώσει τόν λαόν αυτού, καθώς ηυδόκησε.

Δόξα... Καί νύν... Θεοτοκίον

Τώ έκτω μηνί, απεστάλη ο Αρχάγγελος πρός Παρθένον αγνήν, καί χαίρειν αυτή προσειπών, ευηγγελίσατο εξ αυτής τόν Λυτρωτήν προελθείν. Όθεν δεξαμένη τόν ασπασμόν, συνέλαβέ σε τόν προαιώνιον Θεόν, τόν αφράστως ευδοκήσαντα ενανθρωπήσαι, εις σωτηρίαν τών ψυχών ημών.

Απολυτίκιον  Ήχος δ'

Τών ουρανίων στρατιών Αρχιστράτηγε, δυσωπούμέν σε αεί ημείς οι ανάξιοι, ίνα ταίς σαίς δεήσεσι τειχίσης ημάς, σκέπη τών πτερύγων τής αϋλου σου δόξης, φρουρών ημάς προσπίπτοντας εκτενώς καί βοώντας, εκ τών κινδύνων λύτρωσαι ημάς, ως Ταξιάρχης τών άνω δυνάμεων.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Ο Κανων τού Αρχαγγέλου, ού η ακροστιχίς.

Ως παμμέγιστον τόν Γαβριήλ αινέσω. Ιωσήφ.

Ωδή α'  Ήχος δ'

Ανοίξω τό στόμα μου

Ως φώς χρηματίζοντα, ταίς πρός τό φώς τό ακρότατον, αϋλοις μεθέξεσι, θείον καί άϋλον, ικετεύω σε, Αρχάγγελε τόν νούν μου, φώτισον πρεσβείαις σου, όπως υμνήσω σε.

Στησώμεθα σήμερον, χορούς ενθέους γηθόμενοι, τόν πρώτον γεραίροντες, τών ασωμάτων Νοών, τόν τήν άρρητον, χαράν μεμηνυκότα, εν κόσμω φοιτήσασαν δι' αγαθότητα.

Προστάτην σε μέγιστον, καί πρός Θεόν αντιλήπτορα, καί τείχος καί στήριγμα, Γαβριήλ έχοντες, οι ποθούντές σε, ρυόμεθα κινδύνων, καί βλάβης τού όφεως ανευφημούντές σε.

Θεοτοκίον

Αγνήν σε πανάμωμον, ο Γαβριήλ ως εώρακε, τό Χαίρέ σοι Δέσποινα, λαμπρώς εβόησεν, απειρόγαμε, βροτών η σωτηρία, Αγγέλων τό καύχημα, καί σεμνολόγημα.

Ωδή γ'

Τούς σούς υμ νολόγους

Μεθέξει φωτός αϋλοτάτου, ως άϋλος όντως Γαβριήλ, αϋλως φωτιζόμενος, φώς καθωράθης δεύτερον, τούς υλικούς εκάστοτε, βροτούς φωτίζων υμνούντάς σε.

Μεγίστης ευκλείας ηξιώθης, τό μέγα μυστήριον ημίν, ανακαλύψας μέγιστε, Αγγέλων δι' ού ήρθημεν, οι από γής πρός μέγιστον, ύψος μεγάλως τιμώντές

σε.

Επίφανον πάσιν ουρανόθεν, τοίς πόθω ζητούσί σε αεί, καί παύσον τό τό κλυδώνιον, καθ' ημών κινούμενον, τών πειρασμών καί θλίψεων, ώ Γαβριήλ Αρχιστράτηγε.

Θεοτοκίον

Γνωρίζων τό πάλαι κεκρυμμένον, Μυστήριον Κόρη σοι ποτέ, ο Γαβριήλ εκραύγαζε. Χαίρε Θεού παλάτιον, εν ώ οικήσας άπαντας, βροτούς θεώσει ως εύσπλαγχνος.

Κάθισμα Ήχος α'

Τόν τάφον σου Σωτήρ

Ο μέγας Γαβριήλ, Αρχηγός τών Αγγέλων, δεικνύμενος αεί, σύν αυτοίς ανακράζει, τό θείον μελώδημα, τή Τριάδι γηθόμενος. Τούτον άπαντες, μεγαλοφώνως εν πίστει, ανυμνήσωμεν, καί καθαρά διανοία, αισίως δοξάσωμεν.

Έτερον Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ

Των ασωμάτων Λειτουργών ως πρωτεύων, τό πρό αιώνων ορισθέν φρικτόν όντως, σοί Γαβριήλ πεπίστευται Μυστήριον, τόκον τόν απόρρητον, τής Αγίας Παρθένου, Χαίρε προσφωνών αυτή, η Κεχαριτωμένη, χρεωστικώς σε όθεν οι πιστοί, εν ευφροσύνη αεί μακαρίζομεν.

Ωδή δ'

Τήν ανεξιχνίαστον

Ίστασο μεθέξεσι θεαρχικαίς, πάλαι Γαβριήλ αξιάγαστε, καταφαιδρύνων, τόν Προφήτην Δανιήλ, καί εντιθείς τήν δήλωσιν, τών αγνοουμένων εν πνεύματι.

Στόμασι πηλίνοις σε χαρμονικώς, πύρινον τή φύσει υπάρχοντα, ανευφημούμεν, εξελού ημάς πυρός, διηνεκώς φλογίζοντος, θείαις Γαβριήλ μεσιτείαις σου.

Τήν υπέρ τόν ήλιον θείαν στολήν, δόξη απορρήτω αστράπτουσαν, ημφιεσμένος, Στρατηγέ τών Λειτουργών, τώ Βασιλεί παρίστασαι, τώ επουρανίω γηθόμενος.

Θεοτοκίον

Όλην σε τώ Πνεύματι ο Γαβριήλ, περιηγνισμένην Πανάμωμε, κατανοήσας, εκβοά σοι εμφανώς. Χαίρε αράς η λύτρωσις, καί τών Προπατόρων ανάκλησις.

Ωδή ε'

Εξέστη τά σύμπαντα

Νοός κατά μέθεξιν, τού πρώτου φωτιζόμενος, δεύτερον ωράθης φώς κραυγάζων, σύν ταίς απείροις Αγγέλων τάξεσιν. Άγιος ο Θεός ο παντουργός, Υιός ο συνάναρχος, καί τό Πνεύμα τό σύνθρονον.

Τό είδός σου πύρινον, τό κάλλος υπερθαύμαστον, άπασαν διάνοιαν εκπλήττον, μέγα τό κλέος Γαβριήλ μέγιστε, θείων Ασωμάτων αρχηγέ, πάντων εγκαλλώπισμα, τών πιστώς ανυμνούντων σε.

Ο θείος ως ειδέ σε, καιρώ τού θυμιάματος, παλαι συνεστώτα Ζαχαρίας, μένει κωφεύων, ου γάρ επίστευσε, σού τή αγγελία τή φρικτή, ήν περ εξεφώνησας, Γαβριήλ Αρχιστράτηγε.

Θεοτοκίον

Ναός αγιάσματος, υπάρχουσα Πανάμωμε, φωνή Γαβριήλ τού Αρχαγγέλου, τόν εν Αγίοις αναπαυόμενον, τέτοκας πανάγιον Θεόν, πάντας αγιάζοντα, καί δεινών εξαιρούμενον.

Ωδή ς'

Τήν θείαν ταύτην

Γεώδεις γλώσσαι γεραίρειν σε, τόν νούν τόν φωταυγή καί ουράνιον, ουκ εξισχύουσι, περιφανώς λαμπρυνόμενον, ταίς υπέρ νούν καί λόγον, θείαις λαμπρότησιν.

Ακτίς Ηλίου πολύφωτε, πυρίνων Λειτουργών Αρχιστράτηγε, ταίς σελασφόροις σου, πρός τόν Δεσπότην δεήσεσι, τούς υμνητάς σου σκότους, παθών εξάρπασον.

Βουλάς εθνών διασκέδασον, τήν Πίστιν τήν ορθόδοξον κράτυνον, παύσον τά σχίσματα, τής Εκκλησίας, Αρχάγγελε, ταίς πρός τόν Κτίστην πάντων, σού παρακλήσεσι.

Θεοτοκίον

Ρημάτων θείων υπήκοος, Αγνή τού Γαβριήλ εχρημάτισας, καί τόν προάναρχον, Λόγον σαρκί ά πεκύησας, τής αλογίας κόσμον απολυτρούμενον.

Εάν τύχη εν Σαββάτω ή Κυριακή, λέγε τό Κοντάκιον τής Εορτής.

Κοντάκιον Ήχος δ'

Αρχιστράτηγε Θεού λειτουργέ θείας δόξης, τών ανθρώπων οδηγέ καί αρχηγέ ασωμάτων, τό συμφέρον ημίν πρέσβευε, καί τό μέγα έλεος, ως τών ασωμάτων Αρχιστράτηγος.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΣΤ' τού αυτού μηνός, τήν Σύναξιν επιτελούμεν τού Αρχαγγέλου Γαβριήλ, εξ αρχής καί άνωθεν Παραδεδομένην, ως τώ θείω καί υπερφυεί Μυστηρίω καί απορρήτω καθυπουργήσαντος.

Στίχοι

- Τόν σήν απαγγείλαντα σάρκωσιν Νόα,
- Τιμή πρεπούση πάσα σάρξ τιμά, Λόγε.

- Εικάδι αμ' ύμνους Γαβριήλ κτίσιν έκτη εγείρει.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων κς, Μαρτύρων, τών εν Γοτθία μαρτυρησάντων, εξ ών εισι Πρεσβύτεροι δύο, Βαθούσις καί Ουϊρκας, μετά δύο υιών αυτού καί τριών θυγατέρων, καί Αρπύλας μονάζων, λαϊκοί δέ, Αβήπας, Αγνάς, Ρύαξ, Ηγάθραξ, Ησκόος, Σύλλας, Σίγητζας, Σουηρίλλας, Σεϊμβλας, θέρμας, Φίλγας, καί εκ τών γυναικών Άννα, Αλλάς, Βάρις, Μωϊκώ, Μαμύκα, Ουϊρκώ, καί Ανιμάϊς.

Στίχοι

- Τόσην πυρί φλέγουσι πληθύν Μαρτύρων,
- Όσας άγει Μήν σήμερον τάς ημέρας.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Κοδράτου, θεοδοσίου, Εμμανουήλ, καί ετέρων Μ' τών εν Ανατολή.

Στίχοι

- Κοδράτε, θαυμάζω σε τής ευανδρίας!
- Πώς υπτιάζων ανδρικώς σφάττη μάκαρ.
- Θεοδόσιος τώ Θεώ ζών καί μόνω,
- Ζωήν δι' αυτόν εκ ξίφους καταστρέφει.
- Ξίφει χεθήτω, κάν κοτύλη φησί μοι,
- Εμμανουήλ, πέφυκεν αίματος μία.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Στεφάνου τού Ομολογητού, τού Τριγλίας Ηγουμένου.

Στίχοι

- Θείου Στέφανος αμπελώνος εργάτης,
- Θεώ παραστάς, καμάτου μισθόν λάβη.

Τή αυτή ημέρα αναγινώσκεται διήγησις ωφέλιμος Μάλχου μοναχού αιχμαλωτισθέντος.

Ταίς τών αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Ουκ ελάτρευσαν τή κτίσει

Ιωάννου τόκον Ένδοξε εμήνυσας, τώ Ζαχαρία ποτέ, ένδον τού θείου Ναού, εστώτι καί ψάλλοντι, τώ λυτρωτή καί Θεώ, Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Η περίδοξος τού οίκου σου ευπρέπεια, περιφανώς Γαβριήλ, καθαγιάζει ψυχάς πιστών, καί προτρέπεται μεγαλοφώνως βοάν, Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Λαμπρυνόμενος μεθέξει Αρχιστράτηγε, πρώτου φωτός μυστικώς, δεύτερον

φώς αληθώς, ωράθης τούς μέλποντας, φωτίζων πάντοτε Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Θεοτοκίον

Απεστάλη Γαβριήλ ο Αρχιστράτηγος, χαράν μηνύων σοι, Παρθενομήτορ αγνή, δι' ής λύπη πέπαυται, καί η αρά αληθώς, απεστείρωται, καί ευλογία ήνθησε, τοίς πιστοίς εις τούς αιώνας.

Ωδή η'

Παίδας ευαγείς εν τή καμίνω

Ιερολογίαις Ιεραίς σε, λαός Ιερός υμνεί γηθόμενος, σύ γάρ τόν παναίτιον, Λόγον σωματούμενον, τό καθ' ημάς Αρχάγγελε, τή εξ ημών προσφωνείς, Παρθένω υπέρ νούν τε καί λόγον, όθεν σε τιμώμεν, εις πάντας τούς αιώνας.

Νοϊ τώ μεγάλω τε καί πρώτω, αϋλως Αρχάγγελε ενούμενος, στόματι πυρίνω σου, μέλπεις τό μελώδημα, τό φοβερόν, ο μέλπουσι, πάντων Αγγέλων χοροί, Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ευκλείαις σαφώς πεποικιλμένος, ταίς θείαις διέρχη τά ουράνια, είτα τά επίγεια, εκπληρών ως άϋλος, τά Ιερά θελήματα, Χριστού τού πάντων Θεού, Αγγέλων Γαβριήλ Αρχηγέτα, κλέος τών εν πίστει, αεί σε ευφημούντων.

Σαρκί καθ' υπόστασιν ο Λόγος, ανθρώποις προσομιλήσαι προελόμενος, έσχε σε προτρέχοντα, καί προετοιμάζοντα τό Ιερόν παλάτιον, ώ Ιερέ Γαβριήλ, καί Κύριον υμνείτε βοώντα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Ως θρόνον τερπνόν τού Βασιλέως, ως πάντων τών ποιημάτων υπερέχουσαν, ως τόν υπερούσιον, μόνην ουσιώσασαν, τόν τούς βροτούς θεώσαντα, ενώσει κρείττονι, γεννήσεως αρρήτου καί ξένης, τήν ευλογημένην, υμνήσωμεν Παρθένον.

Ωδή θ'

Άπας γηγενής

Ίσταται φρικτώς, τώ θρόνω τής χάριτος διακονούμενος, καί καταστραπτόμενος, φωτοχυσίαις ταίς υπέρ έννοιαν, καί Ιερώς θεούμενος, καί φώς ορώμενος, καί φωτίζων, πίστει τούς τιμώντάς σε, Ιερέ Γαβριήλ Αρχιστράτηγε.

Ώσπερ ουρανός, υπάρχεις κατάστερος, θείαις λαμπρότησιν, ώσπερ Στρατηγέτης δέ, χερσί κατέχεις σκήπτρον υπέρλαμπρον, καί διαθέεις άπασαν τήν γήν, τό βούλημα τού Δεσπότου, πάντοτε ποιούμενος, καί δεινών τούς πιστούς εξαιρούμενος.

Στήσον τό δεινόν, βαρβάρων κλυδώνιον, επεγειρόμενον, πάντοτε τοίς δούλοις σου, τής Εκκλησίας παύσον τά σχίσματα, τοίς υμνηταίς σου βράβευσον πταισμάτων λύτρωσιν, Βασιλεί τε, δώρησαι τά τρόπαια, Γαβριήλ

τή θερμή προστασία σου.

Η περικαλής, δυάς καί περίδοξος Μιχαήλ καί Γαβριήλ, θρόνω παριστάμενοι, τής θείας δόξης, πάσιν αιτήσασθε, αμαρτιών συγχώρησιν, απαλλαγήν τών δεινών, ώς προστάται, ως τήν αγαθότητα, τού Δεσπότου εν πάσι μιμούμενοι.

Θεοτοκίον

Φέγγος αστραπής, τού τόκου σου έλαμψε καί κατεφαίδρυνε, πάσαν τήν υφήλιον, καί τόν προστάτην τού σκότους ώλεσε, Θεογεννήτορ Πάναγνε, Αγγέλων καύχημα, καί ανθρώπων, πάντων τό διάσωσμα, τών απαύστοις φωναίς ευφημούντων σε.

Ει τύχοι εν Σαββάτω ή Κυριακή, λέγε τό Εξαποστειλάριον τής Εορτής, καί εις τούς Αίνους, εκ τών Προσομοίων τής Εορτής.

Καί η λοιπή, Ακολουθία καί η α' Ώρα, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΖ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής Αγίας Μάρτυρος Ματρώνης τής έν Θεσσαλονίκη.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, Στιχηρά Προσόμοια.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Ιουδαίων φρυάγματι, καί θρασεία ωμότητι, λογισμόν αντέθηκας ανδρειόφρονα, τήν τών μελλόντων προσβλέπουσα, θεόφρον απόλαυσιν, διαμένουσαν αεί, δι' αιώνος ασάλευτον, ής επέτυχες, από γής μεταστάσα πρός νυμφώνας, ουρανίους καί χορείαν, τήν ακατάλυτον ένδοξε.

Βασιλείας ευπρέπειαν, καί τερπνήν ωραιότητα, κατιδείν ηξίωσαι τού Νυμφίου σου, ωραϊσμένη τοίς στίγμασι, στερράς σου αθλήσεως, καί πηγή τών αγαθών, επαξίως προσήγγισας, τής επέκεινα, θεϊκής ευφροσύνης μετουσίαν, καρπουμένη Μακαρία, καί τήν αθάνατον εύκλειαν.

Ου ζυγός τής δουλείας σε, ου τό χαύνον τού θήλεως, ου λιμός ου μάστιγες ενεπόδισαν, τήν τών Μαρτύρων στερρότητα, μιμείσθαι Πανένδοξε, προθυμία γάρ ψυχής, τάς βασάνους υπέμεινας, όθεν έτυχες, ουρανίων θαλάμων, καί στεφάνω, τών χαρίτων εκοσμήθης, περισταμένη τώ Κτίστη σου.

Δόξα... Καί νύν... Θεοτοκίον

Μετανοίας τό άριστον, καί σωτήριον φάρμακον, η Θεόν κυήσασα τόν Σωτήρά μου, καί τών δακρύων τά ρεύματα, καί ώρας τήν έννοιαν, τής φρικτής καί φοβεράς, αδεκάστου τε κρίσεως, σύ μοι δώρησαι, καί φυγείν ταίς ευχαίς σου, ώ Παρθένε, τών κολάσεων τόν τρόμον, καί θείας τεύξασθαι χάριτος.

Η Σταυροθεοτοκίον

Ως εώρακε Κύριε, η Παρθένος καί Μήτηρ σου, εν Σταυρώ κρεμάμενον εξεπλήττετο, καί ανακράζουσα έλεγε, Τί σοι ανταπέδωκαν, οι πολλών σου δωρεών, απολαύσαντες Δέσποτα; αλλά δέομαι, μή με μόνην εάσης εν τώ κόσμω, αλλά σπεύσον αναστήναι, συνανιστών τούς Προπάτορας.

Απολυτίκιον Ήχος δ'

Η αμνάς σου Ιησού, κράζει μεγάλη τή φωνή, Σέ Νυμφίε μου ποθώ καί σέ ζητούσα αθλώ, καί συσταυρούμαι καί συνθάπτομαι τώ βαπτισμώ σου, καί πάσχω διά σέ, ώς βασιλεύσω σύν σοί, καί θνήσκω υπέρ σού, ίνα καί ζήσω εν σοί, αλλ' ως θυσίαν άμωμον, προσδέχου τήν μετά πόθου τυθείσάν σοι, Αυτής πρεσβείαις ως ελεήμων, σώσον τάς ψυχάς ημών.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες ως σύνηθες.

Ο Κανων τής Αγίας, ού η Ακροστιχίς.

Τό τής Ματρώνης ένθεον μέλπω κλέος. Θεοφάνους.

Ωδή α' Ήχος δ'
Ο Ειρμός

«Θαλάσσης, τό ερυθραίον πέλαγος, αβρόχοις ίχνεσιν, ο παλαιός πεζεύσας Ισραήλ, σταυροτύποις Μωσέως χερσί, τού Αμαλήκ τήν δύναμιν, εν τή ερήμω ετροπώσατο».

Ταίς θείαις, τών Ασωμάτων τάξεσι, περιχορεύουσα, περί τών πάντων αίτιον Θεόν, καί τρανώς απαλαύουσα, θεαρχικής ελλάμψε      ως, τούς σέ υμνούντας καταφαίδρυνον.

Ο δούλου, καταξιώσας δέξασθαι, μορφήν Χριστός ο Θεός, ελευθερώσαι ταύτην βουληθείς, εκ φθοράς καί θανάτου δεσμών, από ζυγού δουλείας σε, Μάρτυρα Νύμφην εμνηστεύσατο.

Το θήλυ, αρρενωθέν τή χάριτι, τήν επηρμένην οφρύν, καί καυχωμένην άμετρα τό πρίν, εξαλείφειν τήν θάλαασαν, δι' ασθενείας σώματος, θεία, δυνάμει καταβέβληκε.

Θεοτοκίον

Η πύλη, τής πρός ημάς σου Κύριε, συγΚαταβάσεως, Ανατολήν καί Ήλιον καί φώς, μυστικώς σε καλούμενον, υπερφυώς εξήστραψε, διπλούν τήν φύσιν τόν φιλάνθρωπον.

Ωδή γ' Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα, Σύ μου ισχύς Κύριε,

καί καταφυγή καί στερέωμα».

Στερρότητι λογισμού, τής παρανόμου καί δεινής ήνεγκας, τήν χαλεπήν βάσανον, φρουράς ώ Ματρώνα πανόλβιε.

Μαστίγων οδυνηρών, αισθανομένη καρτερώς έφερες, ψηλαφητού σκότους δέ, θείαν λαμπηδόνα αντείληφας.

Αιμάτων σου οι κρουνοί, τής ασεβείας τήν πυράν έσβεσαν, τούς δέ πιστούς ήρδευσαν, τής θεοσεβείας τοίς νάμασι.

Θεοτοκίον

Τήν πλάκα, τήν Κιβωτόν, τήν δεξαμένην εν γαστρί Πάναγνε, Λόγον Θεού τόν άναρχον, θεηγορικώς ευφημούμέν σε.

Κάθισμα Ήχος δ'

Ταχύ προκατάλαβε

Επέστη φιλέορτοι, λαμπρά πανήγυρις, η μνήμη η ένδοξος, τής Αθληφόρου Χριστού, ευφραίνουσα τά σύμπαντα, λάμπουσα ταίς ακτίσι, τών θαυμάτων εν κόσμω, φέρουσα τοίς ανθρώποις, τήν αέναον χάριν, Αυτής ταίς ικεσίαις Σωτήρ, σώσον τόν κόσμον σου.

Θεοτοκίον

Εκαίνισας Άχραντε, τώ θείω τόκω σου, φθαρείσαν τοίς πάθεσι, τών γηγενών τήν θνητήν, ουσίαν καί ήγειρας, πάντας εκ τού θανάτου, πρός ζωήν αφθαρσίας, όθεν σε κατά χρέος, μακαρίζομεν πάντες, Παρθένε δεδοξασμένη, ως προεφήτευσας.

Η Σταυροθεοτοκίον

Παρθένε Πανάμωμε, Μήτερ Χριστού τού Θεού, ρομφαία διήλθέ σου, τήν Παναγίαν ψυχήν, ηνίκα σταυρούμενον, έβλεψας εκουσίως, τόν Υιόν καί Θεόν σου, όνπερ ευλογημένη, δυσωπούσα μή παύση, συγχώρησιν πταισμάτων ημίν δωρήσασθαι.

Ωδή δ' Ο Ειρμός

«Επαρθέντα σε ιδούσα η Εκκλησία, επί Σταυρού τόν Ήλιον τής δικαιοσύνης, έστη εν τή τάξει αυτής, εικότως κραυγάζουσα, Δόξα τή δυνάμει σου Κύριε».

Ρώμη τή θεία Ματρώνα δυναμουμένη, νύν τής πικράς Δεσποίνης εξέφυγες δουλείαν, γνώμην αταπείνωτον, ψυχής γάρ εκέκτησο, μόνω τώ Δεσπότη δουλεύουσα.

Ωρυομένη καί μέθη βεβακχευμένη, καί τώ θυμώ, σφαδάζουσα η δυσσεβεστάτη, μάστιξι κατέτεμνεν, Εβραίων ωμότητι, Μάρτυς Αθληφόρε τό σώμά σου.

Νεανικήν επεδείξω τήν καρτερίαν, εν αφεγγέσι τόποις εγκατακλειομένη, Μάρτυς καί λιμώττουσα, αλλ' εύρες αντίδοσιν, τής αθαθασίας τήν τράπεζαν.

### Θεοτοκίον

Η χρυσήλατος λυχνία προδιετύπου, τήν τόν Θεόν βαστάσασαν σεσωματωμένον, αίγλη τής θεότητος, τά πάντα φωτίζοντα, σέ τήν αληθή Θεομήτορα.

### Ωδή ε'  Ο Ειρμός

«Σύ Κύριέ μου φώς, εις τόν κόσμον ελήλυθας, φώς άγιον επιστρέφον, εκ ζοφώδους αγνοίας, τούς πίστει ανυμνούντάς σε».

Σέ στέφανον λαμπρόν, η θεόφρων καυχήσεως, εκτήσατο Ζωοδότα, καί εκ σκότους πρός φέγγος, τό θείον εξεδήμησεν.

Εστήριξε Χριστός, επί πέτραν τής πίστεως, τούς πόδας σου Μακαρία, πρός αυτόν κατευθύνων, σοφώς τά διαβήματα.

Νούν θείον αληθώς, καί σοφόν καί θεόφρονα, σύ έχουσα διαλάμπεις, εν χορεία Μαρτύρων, Ματρώνα παμμακάριστε.

### Θεοτοκίον

Θεότητος μορφήν, καί μορφήν ανθρωπότητος, εγέννησας Θεομήτορ, ηνωμένας αφύρτως, καθ' ένωσιν ασύγχυτον.

### Ωδή ς'  Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Εύας νύν, Αθλοφόρε τόν πόθον ετρύγησας, επιτηδείως Ματρώνα, θεουμένη νεύσει τή ανενδότω, καί δικαίως, τής αϊδίου δόξης ηξίωσαι.

Ου δούλος, εν Χριστώ ουκ ελεύθερος κρίνεται, αλλ' αρετής ευμορφία, ευσεβείας τρόποις κεκοσμημένη, ής εδείχθης, πλαστουργός, Αθλοφόρε αήττητε.

### Θεοτοκίον

Ναόν σε, τού Θεού καί Παστάδα γινώσκομεν, Στάμνον Λυχνίαν καί Πλάκα, κεκτημένην ένδον εγγεγραμμένον, τόν δι' οίκτον, σωματωθέντα Λόγον πανάμωμε.

Τό Μαρτυρικόν τού Ήχου.

### Συναξάριον

Τή ΚΖ' τού αυτού μηνός, Μνήμη τής Αγίας Μάρτυρος Ματρώνης, τής εν Θεσσαλονίκη.

### Στίχοι

- Ουκ άξιον λαθείν σε Μάρτυς Ματρώνα,
- Κάν ένδον ειρκτής εκπνέης κεκρυμμένη.
- Εικάδι εβδομάτη θάνε Ματρώνα ενί ειρκτή.

Τή αυτή ημέρα, ο Όσιος Κήρικος, ο εν τώ Άπρω, εν ειρήνη τελειούται.

Στίχοι

- Εγώ, Πάτερ Κήρικε, καί τεθνηκότα,
- Κάν καρδία φέρειν σε, κάν γλώττη θέλω.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Φιλητού τού Συγκλητικού, καί Λυδίας τής αυτού γυναικός, καί τών τέκνων αυτών, Μακεδόνος, Θεοπρεπίου, Κρονίδου, Κομενταρησίου, καί Αμφιλοχίου Δουκός.

Στίχοι

- Ώσπερ Φιλητού καί Λυδίας σάρξ μία,
- Ούτως έν αυτών καί μετ' ειρήνης τέλος.
- Θνήσκει Θεοπρέπιος σύν Μακεδόνι,
- Θεοπρεπώς άδοντες ύμνους Κυρίω.
- Δούξ συντελευτά τώ Κομενταρησίω,
- Εξουσιάζων εξυπηρετουμένω.

Τή αυτή ημέρα, οι Άγιοι Μάρτυρες, Ιωάννης καί Βαρούχιος ξίφει τελειούνται.

Στίχοι

- Ου θάρσος ήττον Ιωάννου πρός ξίφος,
- Βαρουχίω υπήρχεν, αλλά καί πλέον.

Τή αυτή ημέρα, ο Προφήτης Ανανί εν ειρήνη τελειούται.

Στίχοι

- Τριάς τρίπους σός, Ανανί θεοπρόπε,
- Δι' ής τό μέλλον προύλεγες πρό τού τέλους.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Παύλου, Επισκόπου Κορίνθου, αδελφού Πέτρου τού Αγιωτάτου Επισκόπου, Άργους τού σημειοφόρου, καί τού Οσίου Πατρός ημών Ευτυχίου.

Στίχοι

- Ευτυχές Ευτύχιος ήλθεν εις πέρας,
- Γήθεν μεταστάς καί κατοικήσας πόλον.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ' Ο Ειρμός

«Εν τή καμίνω, Αβραμιαίοι Παίδες τή Περσική, πόθω ευσεβείας μάλλον ή τή φλογί, πυρπολούμενοι εκραύγαζον, Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε».

Μετ' ευμενείας, καί παρρησίας προσεχώρησας, όντως πρός τόν σόν Πανεύφημε εραστήν, ευχαρίστως ανακράζουσα, Ευλογημένος εί, εν τώ ναώ

τής δόξης σου Κύριε.

Εν ευφροσύνη, καί χαρμοσύνη μεταβέβηκας, πλήρης αρετών Ματρώνα παντοδαών, από γής πρός επουράνιον, χορείαν ένδοξε, κληρουχίαν λαχούσα αθάνατον.

Θεοτοκίον

Λελαμπρυσμένη, πεποικιλμένη πάσαις ταίς αρεταίς, Λόγον υπέρ λόγον τέτοκας τού Πατρός, σαρκωθέντα Μητροπάρθενε, Ευλογημένη σύ, εν γυναιξί πανάμωμε Δέσποινα.

Ωδή η'  Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Πλουσίου φωτός μαρμαρυγάς, κατηξιώθης ιδείν, απαλλαγείσα σαρκός, καί επουράνιον σκήνωμα, κατοικείν αντί σκηνώματος, τού σκοτεινού καί ζοφερού, ού Κατεκλείσθης Σεμνή, Ευλογείτε, πάντα τά έργα βοώσα τόν Κύριον.

Ωραίος ο στέφανος, όν νύν εστέφθης Ένδοξε, ζωαρχική δεξιά, τού Παντοκράτορος, Νύμφην γάρ, καθορών πεφοινιγμένην σε, ταίς τών αιμάτων σου ραοίς, χαίρων ελάμπρυνεν, Ώ βοώμεν, Πάντα τά έργα υμνούμέν σε Κύριε.

Θεοτοκίον

Κυρίως γεννήσασα Θεόν, κυρίως πάναγνε, Μήτηρ εδείχθης Θεού, επαληθεύουσαν φέρουσα, καταλλήλως τώ γεννήματι, θεωνυμίαν, οι πιστοί, όθεν δοξάζομεν, Θεοτόκον, σέ θεοφρόνως πανάμωμε Δέσποινα.

Ωδή θ'  Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Λάμπει νοηταίς φωταυγείαις, η φωτοφόρος σου ημέρα, ταίς φαεινοτάταις αστραπαίς, τής τρισηλίου Μάρτυς ελλάμψεως, εν ή νύν εκδυσώπησον, καταυγασθήναι τούς υμνούντάς σε.

Εύρες αμοιβάς Αθληφόρε, ή τής τών μαστίγων αλγηδόνος, τήν τών ουρανών κληρουχίαν, εν Εκκλησία τών πρωτοτόκων νύν, εν ή πανηγυρίζουσα, ταίς σαίς πρεσβείαις ημάς φρούρησον.

Όντως τώ Χριστώ νύν συνήφθης, τώ αθανάτω σου Νυμφίω, Περιηνθισμένη τηλαυγώς, τοίς θείοις τούτου Πάνσεμνε στίγμασι, καί τώ τιμίω αίματι, τού μαρτυρίου περιλάμπουσα.

Θεοτοκίον

Σειράς τών εμών νύν πταισμάτων, λύσον Παρθένε Θεοτόκε, η τής ευσπλαγχνίας τήν πηγήν, τεκούσα μόνη Θεομακάριστε, καί θυμηδίας έμπλησον, όπως αξίως μεγαλύνω σε.

Τό Φωταγωγικόν.

Καί τά λοιπά, ως σύνηθες, η α' Ώρα, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΗ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Ιλαρίωνος τού Νέου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, Στιχηρά Προσόμοια.

Ήχος δ'  Έδωκας σημείωσιν

Βίον ακηλίδωτον, υπομονήν καί πραότητα, καί αγάπην ανόθευτον, εγκράτειαν άμετρον, παννύχιον στάσιν, κατάνυξιν θείαν, πίστιν ελπίδα ασφαλή, εν συμπαθεία Πάτερ κτησάμενος, ως Άγγελος εβίωσας, επί τής γής μετά σώματος, Ιλαρίων μακάριε, πρεσβευτά τών ψυχών ημών.

Επίγειος Άγγελος, καί επουράνιος άνθρωπος, εχρημάτισας Όσιε, πηγή κατανύξεως, συμπαθείας ρείθρον, πέλαγος θαυμάτων, αμαρτωλών εγγυητής, ελαία όντως Θεού κατάκαρπος, ελαίω τών καμάτων σου, καθιλαρύνων τά πρόσωπα, τών πιστώς ευφημούντων σε, Ιλαρίων μακάριε.

Ο νούς σου λαμπόμενος, ταίς θεϊκαίς επιγνώσεσι, τών τού σώματος ύπερθεν, παθών εχρημάτισεν, αμιγής τών κάτω, φέρων χαρακτήρας, καί εκτυπών εν εαυτώ, τό θείον κάλλος, καί γνωριζόμενος, όλος θεοειδέστατος, τή συνεργεία τού Πνεύματος, Ιλαρίων Πατήρ ημών, Μοναζόντων αγλάϊσμα.

Δόξα... Καί νύν... Θεοτοκίον

Τό χαύνον καί έκλυτον, Παρθενομήτορ πανάμωμε, τής ψυχής μου μετάβαλε, εις ρώσιν καί δύναμιν, τού φόβω καί πόθω, ποιείν τε καί πράττειν, τά δικαιώματα Χριστού, όπως εκφύγω, τό πύρ τό άστεκτον, καί κλήρον τόν ουράνιον, καί τήν ζωήν τήν αιώνιον, διά σού απολάβοιμι, ευφραινόμενος πάντοτε.

Η Σταυροθεοτοκίον

Σταυρούμενον βλέπουσα, καί τήν πλευράν ορυττόμενον, υπό λόγχης η Πάναγνος, Χριστόν τόν φιλάνθρωπον, έκλαιε βοώσα, Τί τούτο Υιέ μου; τί σοι αχάριστος λαός, αποτιννύει ανθ' ών πεποίηκας, καλών αυτοίς καί σπεύδει με, ατεκνωθήναι παμφίλτατε; Καταπλήττομαι εύσπλαγχνε, σήν εκούσιον σταύρωσιν.

Απολυτίκιον  Ήχος πλ. δ'

Εν σοί Πάτερ ακριβώς, διεσώθη τό κατ' εικόνα, λαβών γάρ τόν Σταυρόν, ηκολούθησας τώ Χριστώ, καί πράττων εδίδασκες, υπεραράν μέν σαρκός, παρέρχεται γάρ, επιμελείσθαι δέ ψυχής, πράγματος αθανάτου, διό καί μετά Αγγέλων συναγάλλεται, Όσιε Ιλαρίων τό πνεύμά σου.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι συνήθεις Κανόνες.

Ο Κανών τού Αγίου, Ού η ακροστιχίς.

Σού τούς Ιλαρούς αινέσω τρόπους, Πάτερ. Ιωσήφ.

Ωδή α' Ήχος β'
Ο Ειρμός
«Εν βυθώ κατέστρωσε ποτέ, τήν Φαραωνίτιδα, πανστρατιάν η υπέροπλος δύναμις, σαρκωθείς ο Λόγος δέ, τήν παμμόχθηρον αμαρτίαν εξήλειψεν, ο δεδοξασμένος Κύριος, ενδόξως γάρ δεδόξασται».

Συμπαθής καί πράος γεγονώς, Πάτερ δι' ασκήσεως, καί Ιλαρός ως αληθώς τώ πνεύματι, συμπαθείας θείας μεσιτείαις σου, Ιλαρίων αξίωσον, όπως σε υμνήσω, νύν εν Ιλαρότητι καρδίας μου.

Οσιωθείς Πάτερ εκ παιδός, καί αναλαβόμενος, σού τόν σταυρόν, τώ Χριστώ ηκολούθη σας, πάθη τά τού σώματος, εγκρατεία τε καί συντόνοις δεήσεσιν, εναπομαραίνων, καί τή απαθεία σεμνυνόμενος.

Υπελθών Κυρίου τόν ζυγόν, σύ τόν ελαφρότατον, καί τοίς αυτού υπείκων δικαιώμασιν, Ιλαρίων Όσιε, τό βαρύτατον αμαρτίας απέρριψας, πάνσοφε φορτίον, τήν αγιωσύνην προσκτησάμενος.

Θεοτοκίον

Τών εμών πταισμάτων τάς σειράς, Πάναγνε διάρρηξον, τόν σόν Υιόν καί Θεόν ικετεύουσα, καί τήν τυραννούσάν με, Αειπάρθενε, αμαρτίαν κατάβαλε, όπως σε γεραίρω, πάντοτε Πανάμωμε σωζόμενος.

Ωδή γ' Ο Ειρμός
«Εξήνθησεν η έρημος, ωσεί κρίνον Κύριε, η τών Εθνών στειρεύουσα, Εκκλησία τή παρουσία σου, εν ή εστερεώθη ή καρδία μου».

Ο βίος σου ως ήλιος, αναλάμψας Όσιε, ταίς διαυγέσι λάμψεσι, μοναζόντων χορούς εφώτισε, καί δαιμόνων τό σκότος απεδίωξεν.

Υπήρξας ιλαρώτατος, τή καρδία, Όσιε, καί ταπεινός τώ πνεύματι, καί αγάπης θείας ανάπλεως, ευπροσήγορον ήθος έχων πάντοτε.

Σταγόσιν εναπέσβεσας, τών δακρύων άνθρακας, τής αμαρτίας, βρύεις δέ, ως πρό τέλους καί μετά θάνατον, ιαμάτων πελάγη τοίς προστρέχουσι.

Θεοτοκίον

Ιάτρευσον τά τραύματα, τής ψυχής μου δέομαι, καί τού νοός κυβέρνησον, τάς κινήσεις πρός τά θελήματα, τού εκ σού σαρκ ωθέντος Κόρη πάναγνε.

Κάθισμα Ήχος δ'

Ταχύ προκατάλαβε

Θεώ καθιέρωσας, τήν σήν Παμμάκαρ ζωήν, γενόμενος άριστος, Ιερουργός αληθώς, Χριστού Ιερώτατε, όθεν μετά μυρίους, τούς ιδρώτας καί πόνους, χαίρων εις τάς αϋλους, μετετέθης σκηνώσεις, καί νύν αναπηγάζεις ημίν ρείθρα ιάσεων.

Θεοτοκίον

Ταχύ δέξαι Δέσποινα, τάς ικεσίας ημών, καί ταύτας προσάγαγε, τώ σώ Υιώ καί Θεώ, Κυρία πανάμωμε, λύσον τάς περιστάσεις, τών εις σέ προστρεχόντων, πράϋνον μηχανίας, καί κατάβαλε θράσος, τών οπλιζομένων αθέων κατά τών δούλων σου.

Η Σταυροθεοτοκίον

Σταυρώ σε υψούμενον, ως εθεάσατο, η άχραντος Μήτηρ σου, Λόγε Θεού μητρικώς, θρηνούσα εφθέγγετο, τί τό καινόν καί ξένον, τούτο θαύμα Υιέ μου; πώς η ζωή τών όλων, ομιλείς τώ θανάτω; ζωώσαι τούς τεθνεώτας θέλων ως εύσπλαγχνος;

Ωδή δ' Ο Ειρμός

«Ελήλυθας, εκ Παρθένου ου πρέσβυς ουκ Άγγελος, αλλ' αυτός ο Κύριος, σεσαρκωμένος καί έσωσας, όλον με τόν άνθρωπον, διό κραυγάζω σοι, Δόξα τή δυνάμει σου Κύριε».

Λαμπρύνας σου, τήν καρδίαν σεπταίς αναβάσεσι, τόν νούν ανεπτέρωσας, μόνον Θεού ενοπτρίζεσθαι, κάλλος τό αμήχανον, καί ταίς εκείθεν ακτίσι καταυγάζεσθαι.

Ανάπτυξιν, τών λογίων τών θείων ποιούμενος, τήν γνώσιν τήν ένθεον, Πάτερ εκείθεν εξήντλησας, πάσί τε μετέδωκας, τοίς ευσεβώς Ιλαρίωω σοι προστρέχουσι.

Ρημάτων σου, τό ηδύ τάς καρδίας Ιλάρυνε, τών προσερχομένων σοι, πράττων γάρ άπερ εδίδασκες, λόγον ευαπόδεκτον, εν συμπαθεί διαθέσει είχες Όσιε.

Θεοτοκίον

Ο Κύριος, σέ Κυρίαν απάντωω καί Δέσποιναν, ειργάσατο Άχραντε, σού γάρ εκ μήτρας σεσάρκωται, κατακυριεύοντος, εχθρού τό ίδιον πλάσμα λυτρωσάμενος.

Ωδή ε' Ο Ειρμός

«Μεσίτης Θεού, καί ανθρώπων γέγονας, Χριστέ ο Θεός, διά σού γάρ Δέσποτα, τήν πρός τόν αρχίφωτον Πατέρα σου, εκ νυκτός αγνωσίας, προσαγαγήν εσχήκαμεν».

Υφάνας σαυτώ, σωτηρίου Όσιε ιμάτιον, οικείων εκ πόνων σου, τούτο ενεδύσω καί τόν άρχοντα, τόν τού σκότους αισχύνην, αιώνιον ενέδυσας.

Σαρκός ηδονάς, εγκρατεία Όσιε εμάρανας, καί χάριν ουράνιον, Πάτερ υπεδέξω ιλαρώτατα, ιατρεύσας παντοία, ανθρώπων αρρωστήματα.

Αι σαί πρός Θεόν, ανενδότως θεί αι επαιρόμεναι, χείρες τού αλάστορος, Πάτερ μεθοδείαις κατηδάφισαν, καί παντί ασθενούντι, υγείαν εχορήγησαν.

Θεοτοκίον

Ισχύς τών πιστών, καί Οσίων γέγονας κραταίωμα, διά σού γάρ Άχραντε, άπασιν επήγασας τά κρείττονα, καί οι γήνκατοικούντες, πρός ουρανόν βαδίζουσιν.

Ωδή ς'  Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, Εκ φθοράς ο Θεός με ανάγαγε».

Νεκρωθείς Ιλαρίων τώ κόσμω παντί, νύν μεταναστεύσας ζής ππός τά ουράνια, καί ζωηφόρον πάντοτε, ιαμάτων πηγάζεις ενέργειαν.

Ευπροσήγορος πράος ακέραιος, άμεμπτος καί όσιος ευκατάνυκτος, καί Ιλαρός τώ πνεύματι, εχρημάτισας Πάτερ πανόλβιε.

Συμπαθεία αμέτρω κοσμούμενος, καί φιλοπτωχείας κάλλει σεμνυνόμενος, Θεού θεράπων γνήσιος, Ιλαρίων εδείχθης θαυμάσιε.

Ως σεπτός σου ο βίος καί άμεμπτος! ως περικαλής καί ωραίος ο τρόπος σου! ως φοβερά τά θαύματα, ά τελείς Καθ' εκάστην θαυμάσιε!

Θεοτοκίον

Τήν Παστάδα Θεού τήν αμόλυντον, θρόνον τον πυρίμορφον τού Παντοκράτορος, τήν Θεοτόκον άπασαι, γενεαί γενεών μακαρίσωμεν.

Το Μαρτυρικόν του ήχου.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΗ' τού αυτού Μηνός, Μνήμη τού οσίου Πατρός ημών Ιλαρίωνος τού Νέου, Ηγουμένου Μονής τής Πελεκητής.

Στίχοι

- Δούς Ιλαρίων γή τό γήθεν σαρκίον,
- Γήν Μακάρων ώκησε τήν μακαρίαν.
- Ογδόη Ιλαρίωνα κιχήσατο εικάδι πότμος.

Τή αυτή ημέρα, άθλησις τού Αγίου Ηρωδίωνος, ενός τών εβδομήκοντα Αποστόλων.

Στίχοι

- Ρόδον νοητόν ών σαφώς Ηρωδίων,
- Ξίφει τρυγηθείς, αύθις ανθεί εν πόλω.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Αντίθεον πρόσταγμα παρανομούντος, τυράννου μετάρσιον, τήν φλόγα ανερρίπισε, Χριστός δέ εφήπλωσε, θεοσεβέσι Παισί, δρόσον τήν τού Πνεύματος, ο ών ευ λογημένος καί υπερένδοξος».

Ρομφαία κατέτρωσας τών σών αγώνων, τόν άσαρκον δράκοντα, καί παντελώς ηφάνισας, βραβείον τά θαύματα, όθεν απείληφας, πάθη χαλεπώτατα, ψυχών καί τών σωμάτων ιάσθαι Όσιε.

Ο λόγος σου πρόεισι καθάπερ δρόσος, ελαύνων τόν καύσωνα, τής αθυμίας Όσιε, τών προσερχομένων σοι πίστει, Πατήρ ημών, καί τοίς εναρέτοις σου αεί, φωτιζομένων τρόποις μακάριε.

Παθών αυτοκράτορα τόν νούν ποιήσας, σαφώς εβασίλευσας, ως τροπαιούχος άριστος, καί έθνη αλλόφυλα κατεπολέμησας, καί κατεξωλόθρευσας Σοφέ, τά τών δαιμόνων πάθη ολέθρια.

Ουκ έσεισαν Όσιε τής σής καρδίας, τόν πύργον τόν άσειστον, τών πειρασμών οι άνεμοι, τή πέτρα γάρ ήδραστο τής τού Κυρίου στοργής, ή περ ερειδόμενος πολλοίς, εγένου θείον Πάτερ κραταίωμα.

Τριαδικόν

Υμνώ σε τρισάριθμον τοίς χαρακτήρσι, Τριάς υπερούσιε, ασύγχυτον αμέριστον, Μονάδα εν φύσει δέ απερινόητον, ένα Παντοκράτορα Θεόν, Πατέρα Λόγον καί Πνεύμα Άγιον.

Θεοτοκίον

Συμβόλοις σε πόρρωθεν προδιετύπου, η χάρις τού Πνεύματος, προφητικοίς χαρίσμασιν, όρος πίον άγιον, πύλην σωτήριον, τόμον τε καινότατον Αγνή, καί κιβωτόν σε κατονομάζουσα.

Ωδή η'  Ο Ειρμός

«Κάμινος ποτέ, πυρός εν Βαβυλώνι, τάς ενεργείας διεμέριζε, τώ θείω προστάγματι, τούς Χαλδαίους καταφλέγουσα, τούς δέ πιστούς δροσίζουσα, ψάλλοντας, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Πρόσκαιρον λιπών, τού βίου Πάτερ δόξαν, καί διαρρέουσαν απόλαυσιν, κλέος αναφαίρετον, καί τρυφήν τήν αδιάρρευστον, εν ουρανοίς απείληφας,

κράζων νύν, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Άπαντα πενθών, τόν σόν διήγες βίον, μακαρισμού όθεν ηξίωσαι, καί τής παρακλήσεως, ής μετέχουσιν οι Όσιοι, εν γή πραέων χαίρων, νύν Όσιε ενσκηνώσας, ως νουνεχής τε καί φρόνιμος.

Τίμιος ο σός, Θεού έναντι ώφθη, θάνατος Πάτερ ιερώτατε, αυτού γάρ ετίμησας την Εικόνα, καί υπήνεγκας τούς διωγμούς, θλιβόμενος Όσιε τών Τυράννων, Μάρτυς εν τούτω δεικνύμενος.

Έλυσας σαφώς, τών αλιέων Πάτερ, τήν αγανάκτησιν καί έπλησας, τούτους τού θηράματος, ούπερ πρώην απετύγχανον, Θεού καθυπακούσαντος, Όσιε τών ευχών σου, Ιερουργέ Ιερώτατε.

Θεοτοκίον

Ρύπου με παθών, καί σπίλου αμαρτίας, Θεοχαρίτωτε απόπλυνον, καί πύλας μοι άνοιξον, μετανοίας ολισθαίνοντι, καί συνεχώς τοίς πταίσμασιν, Άχραντε συναντώντι, καί τόν Θεόν παροργίζοντι.

Ωδή θ'  Ο Ειρμός

«Ανάρχου Γεννήτορος, Υιός Θεός καί Κύριος, σαρκωθείς εκ Παρθένου ημίν επέφανε, τά εσκοτισμένα φωτίσαι, συναναγαγείν τά εσκορπισμένα, διό τήν πανύμνητον, Θεοτόκον μεγαλύνομεν».

Ιάσεις ο τάφος σου, τού Πνεύματος τή χάριτι, αναβλύζων ξηραίνει παθών ομβρήματα, πνεύματα τής πλάνης διώκει, φωταγωγεί πάντων τάς καρδίας, Ιλαρίων Όσιε, τών πιστώς μακαριζόντων σε.

Ως ρόδον εξήνθησας, λειμώνι τής ασκήσεως, ως ηδύπνοον κρίνον, ως μήλον εύοσμον, καί κατευωδίασας πάντων, τών ευσεβών ψυχάς καί καρδίας, Ιλαρίων ένδοξε, πρεσβευτά τών ευφημούντων σε.

Συμπάθειαν έσχηκας, αγάπην καί ταπείνωσιν, καί ελεημοσύνην, καί ήθος άπλαστον, πίστιν αληθή καί ελπίδα, βίον σεμνόν καί γνώμην ευθείαν, Ιλαρίων ένδοξε, Μοναζόντων εγκαλλώπισμα.

Η μνήμη σου σήμερον, ως ήλιος ανέτειλεν, ευσεβών τάς καρδίας, φέγγει τών πόνων σου, καί ταίς τών θαυμάτων ακτίσιν, ως αληθώς φωτίζουσα Πάτερ, εν ή πάντων μνήσθητι, τών Πιστώς μακαριζόντων σε.

Θεοτοκίον

Φωνήν σοι προσάγομεν, τού Γαβριήλ γηθόμενοι, Χαίρε λέγοντες οίκος τού Παντοκράτορος, χαίρε τών Οσίων η δόξα, καί τών πιστών πάντων σωτηρία, δι' ής εθεώθημεν, Θεοτόκε αειπάρθενε.

Τό Φωταγωγικόν τού ήχου.

Καί η λοιπή Ακολουθία, ως σύνηθες, η α' Ώρα, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΘ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Μαρτύρων Μάρκου, Επισκόπου Αρεθουσίων, Κυρίλλου Διακόνου καί τών σύν αυτοίς, καί τών Αγίων Μαρτύρων, Ιωνά, Βαραχησίου καί τών σύν αυτοίς.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, Στιχηρά Προσόμοια.

Ήχος α'
Σταυρός κατεπάγη εν Κρανίω

Ενστάσει γενναία Ιεράρχα, κατέβαλες εχθρού τάς παρατάξεις, καί λαούς εκ τής πλάνης τών ειδώλων ερρύσω.

Εκτάσει χειρών σου Ιεράρχα, κρατύνας τούς συνάθλους σου εν πόνοις, ως ανίσχυρον εχθρού ανέδειξας τό κράτος.

Ως Μύστης καί Μάρτυς τού Δεσπότου, καί Διδάσκαλος σοφός τής Εκκλησίας, Ιεράρχα δυσώπει υπέρ ημών απαύστως.

Έτερα Στιχηρά Προσόμοια τών Μαρτύρων.

Ήχος α'  Πανεύφημοι Μάρτυρες

Μάρτυς Βαραχήσιε πολλών, πόνων επιδόσεσι, φωτοειδής εχρημάτισας, πυρός νικήσας γάρ, τήν φλογώδη φύσιν, τή θερμή πρός Κύριον, αγάπη εκρεμάσθης μετέωρος, καί πιεζόμενος, τά οστά πάντα συντέτριψαι, διά τούτο, πίστει σε γεραίρομεν.

Ιωνά θεσπέσιε δεθείς, ραβδισμούς υπήνεγκας, καί τών δακτύλων αφαίρεσιν, γλωσσοτομούμενος, καί βραζούση πίσση, συγκατακαιόμενος, καί πρίοσι δεινώς μεριζόμενος, διό ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην καί τό μέγα έλεος.

Ύμνοις Βαραχήσιον Πιστοί, Λάζαρον καί Άβιβον, καί Ιωνάν ευφημήσωμεν, Ναρσήν Ηλίαν τε, Μάρην Σηβεήθην, Μαρουθάν τόν ένδοξον, καί Σάββαν Ζανιθάν τε, αιτούμενοι, τούτων δεήσεσι, τών κακών λαβείν συγχώρησιν, καί ειρήνην, καί τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Αμαρτωλών τάς δεήσεις προσδεχομένη, καί θλιβομένων στεναγμόν μή παρορώσα, πρέσβευε τώ εξ αγνών λαγόνων σου, σωθήναι ημάς παναγία Παρθένε.

Η Σταυροθεοτοκίον

Πανεύφημοι Μάρτυρες

Σταύρωσιν τήν άδικον Χριστέ, η Παρθένος βλέπουσα, οδυρομένη εβόα σοι, Τέκνον γλυκύτατον, πώς νεκρός οράσαι; πώς τώ ξύλω κρέμασαι, ο πάσαν γήν εδράσας τοίς ύδασι; Μή ούν εάσης με, ευεργέτα μόνην εύσπλαγχνε, τήν σήν δούλην, καί Μητέρα δέομαι.

Απολυτίκιον Ήχος πλ. δ'

Τό προσταχθέν

Δι' εγκρατείας τών παθών τάς πυριφλέκτους, απονεκρώσαντες ορμάς καί τάς κινήσεις, τού Χριστού οι Μάρτυρες έλαβον τήν χάριν, τάς νόσους αποδιώκειν τών ασθενών, καί ζώντες καί μετά τέλος θαυματουργείν, όντως θαύμα παράδοξον! ότι οστέα γυμνά, εκβλύζουσιν ιάματα, Δόξα τώ μόνω Θεώ ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι συνήθεις Κανόνες, καί τών Αγίων εις η'.

Ο Κανών τών Αγίων, ού η Ακροστιχίς εν τοίς Θεοτοκίοις. Γεωργίου.

Ωδή α' Ήχος α' Ο Ειρμός

«Τώ βοηθήσαντι Θεώ, εν Αιγύπτω τώ Μωσεί, καί δι' αυτού τόν Φαραώ, πανστρατί βυθίσαντι, επινίκιον ωδήν άσωμεν, ότι δεδόξασται».

Τής Εκκλησίας τού Χριστού, τόν λαμπτήρα τόν φαιδρόν, ανευφημήσωμεν πιστοί, ώς τής πίστεως φωτί, καταυγάσαντα λαούς, δοξάζοντας τόν Ποιητήν τού παντός.

Εν τώ λειμώνι νοητώς, τώ τής Πίστεως Χριστού, ανατραφείς καί αυξηθείς, Ιεράρχα πρός αυτόν, τώ τής αθλήσεως ύψει, ανέδραμες μάκαρ φαιδρότατος.

Κήρυξ καί Μύστης τού Χριστού, καθαρός τε λειτουργός, υπάρχων Μάρκε τήν ψυχήν, υπέρ τούτου τέθεικας, καί προσήνεγκας αυτώ, ως θύματα τούς συνανθλούντάς σοι.

Θεοτοκίον

Γένος ανθρώπων διά σού, τής φθοράς απαλλαγήν, καί αφθαρσίας καί ζωής, ακηράτου εν Χριστώ, κληρωσάμενον τιμήν, δοξάζει σε θεοχαρίτωτε.

Έτερος Κανών τών Μαρτύρων, οή η' Ακροστιχίς.

Αίνον προσοίσω τοίς Θεώ παραστάταις. Ιωσήφ.

Ωδή α' Ήχος α' Ο Ειρμός

«Σού η τροπαιούχος δεξιά, θεοπρεπώς εν ισχύϊ δεδόξασται, αύτη γάρ, Αθάνατε, ως πανσθενής υπεναντίους έθραυσε, τοίς Ισραηλίταις, οδόν βυθού καινουργήσασα».

Αίγλη φωτιζόμενοι αεί, τής Τρισηλίου λαμπάδος Μακάριοι, όλον με φωτίσατε, καί τήν αχλύν τής αγνωσίας λύσατε, όπως τήν φωσφόρον, υμών υμνήσω πανήγυριν.

Ιερολογούντες Ιερώς, τά τού Θεού Ιερώτατα λόγια, πάσαν τήν ανίερον, τών διωκτών κακίαν απεκρούσασθε, καί ιερωτάτως, αθλήσαντες εδοξάσθητε.

Νόμοις ασεβέσιν αθληταί, τούς ευσεβείς ανδρικώς αντεθήκατε, τών παρανομούντων τε, τά χαλεπά υπενεγκόντες βάσανα, Μάρτυρες νομίμως, παρά Κυρίου εστέφθητε.

Θεοτοκίον

Όρος σε κατάσκιον ποτέ, ο Αββακούμ ελλαμφθείς εθεάσατο, Μήτηρ απειρόγαμε, εξ ής Θεός σωματωθείς επέφανεν, αρετή καλύψας, ως αληθώς τά ουράνια.

Ωδή γ'  Ο Ειρμός

«Στερέωμά μου γενού, ο θεμελιώσας τήν γήν επί τών υδάτων, ότι ουκ έστιν Άγιος πλήν σου Κύριε».

Εξήρανας θολερούς, χειμάρρους τής πλάνης πυρί τών σών λόγων, καί νάματα γνώσεως Χριστού, Μάρκε επήγασας.

Εχθρών τήν παρεμβολήν, εσκέδασας Μάρκε Χριστού επικλήσει, καί ήθροισας λόγοις σου λαούς, εις τήν αγάπην αυτού.

Μαρτύρων συνασπισμος, έχων στρατηγούντα Χριστόν τόν Σωτήρα, τής πλάνης τόν πόλεμον, τόν άσπονδον ενίκησε.

Θεοτοκίον

Εν θλίψεσι πλατυσμόν, έχοντες Παρθένε τήν σήν μεσιτείαν, οί πόθω τιμώντές σε, εκ κινδύνων λυτρούμεθα.

Τών Μαρτύρων

Ειρμός άλλος

«Ο μόνος ειδώς τής τών βροτών, ουσίας τήν ασθένειαν, καί συμπαθώς αυτήν μορφωσάμενος, περίζωσόν με εξ ύψους δύναμιν, τού βοάν σοι, Άγιος ο ναός ο έμψυχος, τής αφράστου σου δόξης Φιλάνθρωπε».

Νευρούμενοι πόθω θεϊκώ, ασκήσει υπετάξατε, τό τής σαρκός Μακάριοι φρόνημα, αθλήσαντες δέ κατεπαλαίσατε, δυσμενή ασώματον, πόνων επιδόσεσι, καί νομίμως εστέφθητε Άγιοι.

Ποθών τό παθείν υπέρ Χριστού, υπήνεγκας στερρότατα, τούς ραβδισμούς παμμάκαρ τού σώματος, Τυπτόμενός τε καί συντριβόμενος, καί

κατατεινόμενος, Ιωνά πανόλβιε, τών Αγίων Αγγέλων συνόμιλε.

Ρωννύμενος σθένει θεϊκώ, πυρούμενος εν χάριτι, τού παντουργού πανόλβιε Πνεύματος, τάς αναρτήσεις, τό πύρ, τάς μάστιγας, ανδρικώς υπήνεγκας, Μάρτυς Βαραχήσιε, υπό πάντων πιστών θαυμαζόμενος.

Θεοτοκίον

Ο μόνος οικών τούς ουρανούς, τήν μήτραν σου κατώκησεν, υπερβολή Παρθένε χρηστότητος, καί σάρξ ωράθη εκ σού τικτόμενος, αλλ' αυτόν ικέτευε, πάσης Περιστάσεως, Παναγία ρυσθήναι τούς δούλους σου.

Κάθισμα Ήχος α'

Ο μόνος ειδώς

Αθλήσεως καύχημα, καί στεφάνων αξίωμα, οι ένδοξοι Αθλοφόροι περιβέβληνταί σε Κύριε, καρτερία γάρ αικισμών, τούς ανόμους ετροπώσαντο, καί δυνάμει θεϊκή, εξ ουρανού τήν νίκην εδέξαντο, Αυτών ταίς ικεσίαις, δώρησαι ημίν ο Θεός, τό μέγα σου έλεος.

Δόξα... Ήχος ο αυτός

Τόν τάφον σου Σωτήρ

Μαρτύρων καρτερούς, υπομείναντες πόνους, πρός άπονον ζωήν, μετηνέχθητε όντως, καί νύν ταίς ευχαίς υμών, πάντα πόνον κουφίζετε, Μεγαλώνυμοι, εκ τών πιστώς προσιόντων, τή σορώ υμών, ήν ασπαζόμενοι πόθω, υμάς μακαρίζομεν.

Καί νύν... Θεοτοκίον

Συλλαβούσα αφλέκτως, τό πύρ τής θεότητος, καί τεκούσα ασπόρως πηγήν ζωής τόν Κύριον, Κεχαριτωμένη Θεοτόκε, περίσωζε τούς σέ μεγαλύνοντας.

Η Σταυροθεοτοκίον

Οι τήν σήν προστασίαν κεκτημένοι Άχραντε, καί ταίς σαίς ικεσίαις τών δεινών εκλυτρούμενοι, τώ Σταυρώ τού Υιού σου εν Παντί φρουρούμενοι, καπά χρέος σε πάντες, ευσεβώς μεγαλύνομεν.

Τού Ιεράρχου

Ωδή δ' Ο Ειρμός

«Κατενόησα παντοδύναμε τήν σήν οικονομίαν, καί μετά φόβου εδόξασά σε Σωτήρ».

Εξήρανας θολερούς χειμάρρους τής πλάνης, καί τό ψεύδος Μάκαρ σύ Κατεπολέμησας.

Εν πελάγει τής σοφίας σου τήν Ελλήνων μωρίαν, Ιερομάρτυς Μάρκε κατέδυσας.

Τών συνάθλων σου τήν παράταξιν, Ιεράρχα Κυρίου, στερρώς καθώπλισας τοίς διδάγμασιν.

Θεοτοκίον

Ως υπέρμαχος ούσα Άχραντε ημών τών σέ υμνούντων, τών πολεμίων θράση κατάβαλε.

Τών Μαρτύρων

Ειρμός άλλος

«Όρος σε τή χάριτι, τή θεία κατάσκιον, προβλεπτικοίς ο Αββακούμ, κατανοήσας οφθαλμοίς, εκ σού εξελεύσεσθαι, τού Ισραήλ προανεφώνει τόν Άγιον, εις σωτηρίαν ημών καί ανάπλασιν».

Συμφώνως Ηλίαν, Σηβεήθην καί Άβιβον, Λάζαρον Μάρην Μαρουθάν, Ναρσήν καί Σάββαν Ζανιθάν, καί τόν Βαραχήσιον καί Ιωνάν, θεοπρεπώς ανυμνήσωμεν, υπέρ Χριστού τού Θεού εναθλήσαντας.

Οσίως παμμάκαρ, Ιωνά σε γεραίρομεν, μετά γάρ πλείστους αικισμούς, εις παγετόν απορριφείς, γενναίως υπέμεινας, τή τού Θεού καταθαλπόμενος χάριτι, καί τόν χειμώνα τής πλάνης τροπούμενος.

Ισχύϊ παμμάκαρ, θεϊκή Βαραχήσιε, τάς πυρακτώσεις ενεγκών, τάς εκ μολύβδου ανδρικώς, τό όμμα ανέτεινες, πρός τόν Χριστόν, αναψυχήν εισδεχόμενος, σωτηριώδη, διό σε γεραίρομεν.

Σοφίας οι Μάρτυρες, πλησθέντες τού Πνεύματος, πάντας σοφους καί δυνατούς, πυρσολατρών τών δυσμενών, σαφώς ετροπώσαντο, τό τού Θεού ανακηρύττοντες όνομα, ούς έν αινέσει πιστοί μακαρίσωμεν.

Ωραίοι τοίς στίγμασι, τοίς θείοις εδείχθητε, Μάρτυρες ένδοξοι Χριστού, όθεν τά στίγματα βροτών, καί πάθη ανίατα, ανελλιπώς ιάσθε καί θεραπεύετε, τάς ασθενείας καί νόσους εν χάριτι.

Θεοτοκίον

Τό Όρος Προφήτης, Δανιήλ ο τεθέαται, εξ ού ο λίθος ο Χριστός, ετμήθη άνευθεν χειρός, συντρίψας τά είδωλα, καί καθελών τά τών δαιμόνων φρυάγματα, σύ εί Παρθένε, διο σε δοξάζομεν.

Ωδή ε' Ο Ειρμός

«Εκ νυκτός ορθρίζοντες, ανυμνούμέν σε Χριστέ ο Θεός, τόν δι' ημάς πτωχεύσαντα, καί σταυρόν καί θάνατον, εν τή σαρκί σου υπομείναντα».

Εν θυμώ αντέστησας, πολεμίων Χριστού ώς μιμητής, μακροθυμίαν Όσιε, δι' ής εταπείνωσας, τούτων τά θράση καί ενίκησας.

Ταίς πυκναίς πληττόμενος, τών βελών αικίσεσιν Όσιε, τούς βάλλοντας κατέτρωσας, σύ δέ απαράτρωτος, χάριτι θεία συντετήρησαι.

Ως στερροί τής πίστεως, καί αήττητοι υπέρμαχοι σοφοί, γενναίως

αντετάξασθε, τοίς απειθούσιν Αγιοι, καί πολεμούσι τήν αλήθειαν.

Θεοτοκίον

Ρυπωθείσαν πάθεσι, τών ανθρώπων Άχραντε, εκ σού τήν φύσιν, ο Κτίστης προσλαβόμενος, απέπλυνεν εκαίνισε, καί θεία χάριτι εθέωσεν.

Τών Μαρτύρων

Ειρμός άλλος

«Ο φωτίσας τή ελλάμψει, τής σής παρουσίας Χριστέ, καί φαιδρύ νας τώ Σταυρώ σου, τού κόσμου τά πέρατα, τάς καρδίας φώτισον φωτί, τής σής θεογνωσίας, τών ορθοδόξως υμνούντων σε».

Ο μιλήσας τώ φωτί, τώ μεγάλω φώς δεύτερον, εγνωρίσθης αμαυρούν, δυσσεβούντων προστάγματα, Ιωνά θεσπέσιε, δεθείς σχοινίω δέ, τήν πλάνην πάσαν, διέλυσας χάριτι.

Ιώμενος τά ημών, ο Χριστός παραπτώματα, εκρεμάσθη επί ξύλου Σταυρού αγαθότητι, τούτον δέ μιμούμενος, ο Βαραχήσιος κρεμάται, πάθει σεπτώ καλλυνομενος.

Στρεβλούμενος, Ιωνά, καί δακτύλους κοπτόμενος, ανέμελπες τώ Θεώ, υμνωδίαν γηθόμενος, τώ ενδυναμούντί σε, μετά σαρκός εχθρούς ασάρκους, καταπατείν διά πίστεως.

Θεοτοκίον

Θαυμάζουσα τόν εκ ταύτης, αρρήτως τικτόμενον, η Πάναγνος κατεπλήττετο, καί εμεγάλυνε, καί βοώσα έλεγιε, Πώς εν αγκάλαις σε κατέχω, τέκνον, τόν πάντα κατέχοντα;

Τού Ιεράρχου

Ωδή ς'  Ο Ειρμός

«Τόν Προφήτην διέσωσας, εκ τού κήτους Φιλάνθρωπε, Καμέ τού βυθού τών πταισμάτων, ανάγαγε δέομαι».

Αθεΐας εξήλεγξας, τήν απάτην Αοίδιμε, καί θεογνωσίας τώ φέγγει, ανθρώπους εφώτισας.

Τών ειδώλων κατέσεισας, τά τεμένη Μακάριε, καί σαλευομένους ανθρώπους, εις Χριστόν εστήριξας.

Τούς συνάθλους καθώπλισας, καί εχθρούς επολέμησας, Μάρκε σύν Κυρίλλω, καί νίκης, βραβεία ειλήφατε.

Θεοτοκίον

Γηγενείς ανυψώθημεν, ο εχθρός τεταπείνωται, διά τού αφράστου καί θείου, τόκου σου Άχραντε.

## Τών Μαρτύρων

## Ειρμός άλλος

«Εκύκλωσεν ημάς εσχάτη άβυσσος, ουκ έστιν ο ρυόμενος, ελογίσθημεν ως πρόβατα σφαγής, σώσον τόν λαόν σου ο Θεός ημών, σύ γάρ ισχύς, τών ασθενούντων καί επανόρθωσις».

Ενεύρου σε Χριστός αγωνιζόμενον, δοράν γάρ αφαιρούμενος, παναοίδιμε τής κάρας Ιωνά, έφερες ανδρείως τήν τού όφεως, καταπατών, δολίαν κάραν καί νούν αλάστορα.

Ο νούς σου ακλινής αποτμηθείσης σου, τής γλώττης μένει Όσιε, καί τοίς αίμασιν ηγίασται η γή, τοίς έκκενωθείσι δι' αγάπησιν, τού εν Σταυρώ, τό θείον Αίμα κενώσαντος.

Υμνήσωμεν πιστοί Ηλίαν Αβιβον, Ναρσή καί Μάρην Λάζαρον, Σηβεήθην Μαρουθάν καί Ζανιθάν, Σάββαν καί τόν μέγαν Βαραχήσιον, καί Ιωνάν, τούς καλλινίκους καί Μάρτυρας.

## Θεοτοκίον

Παλάτιον Θεού εδείχθης Δέσποινα, τού πάντων βασιλεύοντος, όν ικέτευε, ληστών με πονηρών, ήδη γεγονότα καταγώγιον, αποκαθάραι, καί σώσαί με άχραντε.

## Ο Ειρμός

Εκύκλωσεν ημάς εσχάτη άβυσσος, ουκ έστιν ο ρυόμενος, ελογίσθημεν ως πρόβατα σφαγής, σώσον τόν λαόν σου ο Θεός ημών, σύ γάρ ισχύς, τών ασθενούντων καί επανόρθωσις.

## Τό Μαρτυρικόν τού Ήχου

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή Κθ' τού αυτού μηνός, Μνήμη τών Αγίων Μαρτύρων Μάρκου Επισκόπου Αρεθουσίων, Κυρίλλου Διακόνου, καί ετέρων πολλών.

## Στίχοι

- Επαγρυπνήσας πρώτα πολλαίς αικίαις,
- Ύπνωσε Μάρκος, θείον ειρήνης ύπνον,
- Γαστήρ Κυρίλλου Λευϊτου διά ξίφους,
- Ωσεί πάχος γής, είπε Δαυϊδ, ερράγη.
- Κείνται γύναια βρώσεως χοίροις σκάφαι,
- Γαστρός παθούσαι ρήξιν εκχοιροφρόνων.
- Εικάδι ηδ' ενάτη Αθληταί εις πόλον ίκον.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Ιωνά, Βαραχησίου καί τών σύν αυτοίς εννέα Μαρτύρων.

Στίχοι

- Έχεις Ιωνάν καί σύ, γή, πάντως μέγαν,
- Κατ' ουδέν ενδέοντα τού θαλαττίου.
- Διψών Βαραχήσιος Αθλητών τέλους,
- Χανδόν ζεούσης εκπίνει πίσσης σκύφον.
- Χριστού υπετμηθέντες άνδρες εννέα,
- Σύνεισιν ήδη τάξεσι ταίς εννέα.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών καί Ομολογητού Ευσταθίου Βιθυνίας.

Στίχοι

- Τόν πηλόν εκδύς, Ευστάθιε παμμάκαρ.
- Χριστώ παρέστης τώ δι' ημάς πηλίνω.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τού Ιεράρχου

Ωδή ζ'  Ο Ειρμός

«Ο εν τή βάτω οφθείς, εν πυρί τώ Νομοθέτη, καί τόν τόκον τής αειπαρθένου εν αυτή προτυπώσας, ευλογητός εί Κύριε, ο Θεός τών Πατέρων ημών».

Οι τών αιμάτων κρουνοί, τής αθλήσεώς σου Μάρκε, απέπνιξαν τούς τριστάτας τής απάτης, καί θείον ίαμα πάσιν έβλυσαν, τοίς υμνούσι Χριστόν τόν Θεόν.

Αι προσβολαί τού εχθρού, εξησθένησαν εις τέλος, αι κατά σού μηχανώμεναι, αήττητε Μάρκε, σύ δέ θεόθεν δύναμιν, απροσμάχητον είληφας.

Θύμα σαυτόν λογικόν, ιερούργησας Κυρίω, τή μαχαίρα τής αθλήσεως τυθείς, καί ενθέου Κύριλλε τελειώσεως, πυρί δειχθείς ολοκαύτωμα.

Θεοτοκίον

Ισχύν καί κράτος ημάς, ικεσίαις σου Παρθένε, τούς απαύστως σε Κυρία, ως Θεοτόκον υμνούντας, κατά παθών επένδυσον, καί προσβολών νοουμένων εχθρών.

Τών Μαρτύρων

Ειρμός άλλος

«Σέ νοητήν Θεοτόκε κάμινον, κατανοούμεν οι πιστοί, ως γάρ Παίδας έσωσε τρείς, ο υπερυψούμενος, κόσμον ανεκαίνισεν εν τή ο γαστρί σου ολόκληρον, αινετός τών Πατέρων, Θεός καί υπερένδοξος».

Αποσκοπών εις τόν μόνον Κύριον, σώζειν δυνάμενον σοφέ, ουκ εφλέχθης

προσομιλών, πίσσης πυρακτώσεσι, δρόσον θείας χάριτος, ώ Ιωνά κομιζόμενος, ώσπερ οι τρείς νεανίαι ποτέ, όθεν υμνούμέν σε.

Ρώμη Θεού, Ιωνά ρωννύμενος, ήνεγκας βάσανα πικρά, Ησαίας δέ ως τό πρίν, έχαιρες πριζόμενος, τέλος τό μακάριον, αναβοών καί δεχόμενος, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Άδει τά σά, Μάρτυς προτερήματα, η Εκκλησία τού Θεού, μεγαλύνουσα τούς μακρούς, άθλους ούς υπήνεγκας, θάνατον τόν τίμιον, καί προσκυνεί τών λειψάνων νύν, τήν σορόν εξ ής βρύει, ημίν ψυχών ιάματα.

Σύ ανδρικώς, Μάρτυς Βαραχήσιε, καταπατών τού πονηρού, ακανθώδεις επιβουλάς, έφερες συρόμενος, καί κατακεντούμενος, τοίς ακανθώδεσι βέλεσι, τόν αινετόν αναμέλπων, Θεόν τόν υπερένδοξον.

Θεοτοκίον

Τήν εν εμοί, ραθυμίαν Δέσποινα, καί νυσταγμόν τόν χαλεπόν, ταίς αγρύπνοις σου Πρός Θεόν, ταίς σεπταίς δεήσεσιν, Άχραντε απέλασον, καί μελωδούντά με οίκτειρον, Ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Τού Ιεράρχου

Ωδή η'  Ο Ειρμός

«Ύμνον σοι προσφέρομεν τών Ασωμάτων, ώσπερ οι παίδες εν τή καμίνω, καί υμνούντες λέγομεν, Ευλογείτε πάντα τά έργα τόν Κύριον».

Λόγοις κατεκόσμησας τήν Εκκλησίαν, καί αιμάτων τοίς ρείθροις, φαιδρώς κατηγλάϊσας Ιεράρχα, Χριστόν υμνούσαν τόν σέ ενισχύσαντα.

Άγρυπνα τά όμματα τής ψυχής σου έχων, τήν ποίμνην τού Χριστού, ασινή φυλάττεις Ιεράρχα, τήν απαύστως εν ύμνοις σε δοξάζουσαν.

Μύρα ευωδέστατα οι Αθλοφόροι, τά τών αιμάτων ρείθρα, προσήξαν τώ Δεσπότη λέγοντες, Ευλογείτε πάντα τά έργα τόν Κύριον.

Θεοτοκίον

Ολάγαθον έχοντες σέ προστασίαν, Θεογεννήτορ αγαθότητος, διά σού τυγχάνομεν βοηθείας, παρά τού αγαθοδότου Θεού.

Τών Μαρτύρων

Ειρμός άλλος

«Εν καμίνω παίδες Ισραήλ, ως εν χωνευτηρίω, τώ κάλλει τής ευσεβείας, καθαρώτερον χρυσού, απέστιλβον λέγοντες, Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Ακαθέκτοις χρώμενος Ορμαίς, εχθρός ο δολιόφρων, καλάμοις σου περιάπτει,

παναοίδιμε πλευράς, δεσμών καί συνθλίβων σε, καί τάς σάρκας ξαίνων καί τέμνων, καί Μάρτυρα δεικνύων, τού Παμβασιλέως, Χριστού εις τούς αιώνας.

Τοίς δεσμοίς σου λύεις πονηρά, δεσμά τής αθεϊας, ταθείς καί συντριβείς σου, τά τού σώματος Οστά, Μάρτυς Βαραχήσιε, τήν απάτην πάσαν συντρίβεις, καί ωσεί χούν λεπτύνεις, μέλπων, Σέ δοξάζω, Χριστέ εις τούς αιώνας.

Απορήσας σου τή καρτερά, ενστάσει ο παράφρων, βραζούσαις σε καταφλέγει, Καταπόσεσι θερμώς, Μάρτυς Βαραχήσιε, μελωδούντα, Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ιερεία τέλεια Θεώ, καί θύματα ευώδη, ολόκληροι Προσφοραί τε, προσηνέχθητε ομού, κραυγάζοντες Μάρτυρες, Ευλογείτε πάντα τά έργα, τόν κυριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Συντριβείσαν φύσιν τών βροτών, τή πάλαι παραβάσει, ανέπλασας υπέρ φύσιν, καί εθέωσας Αγνή, τώ τόκω σου ψάλλουσαν, Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ο Ειρμός

Εν καμίνω παίδες Ισραήλ, ως εν χωνευτηρίω, τώ κάλλει τής ευσεβείας, καθαρώτερον χρυσού, απέστιλβον λέγοντες, Ευλογείτε πάντα τά έργα Κυρίου, τόν κυριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

## Τού Ιεράρχου

### Ωδή θ'  Ο Ειρμός

«Σέ τήν οραθείσαν πύλην, υπό Ιεζεκιήλ τού Προφήτου, εν ή ουδείς διήλθεν, εί μή Θεός μόνος, Θεοτόκε Παρθένε, εν ύμνοις τιμώμέν σε.

Σύ τάς λογικάς λατρείας, καί θυσίας Πάτερ αναιμάκτους, προσφέρων Κυρίω, καρδία αγνοτάτη, καθαρόν Ιερείον, προσήχθης δι' αθλήσεως.

Σύ τή νοητή μαχαίρα τών λόγων σου, τού ψεύδους Κεφαλάς πολυμόρφους, Μάρκε τεμών, ανθρώποις τήν αλήθειαν πάσι, κηρύξας εμεγάλυνας.

Σού τών αθλητών πρεσβείαις, καί Μυσταγωγών σου ικεσίαις ευεργέτα, Μάρκου τε καί Κυρίλλου, καί τών συναθλοφόρων, καί ημάς τών θείων χαρίτων καταξίωσον.

Θεοτοκίον

Υπό οικτιρμών οικείων, καί φιλανθρωπίας απορρήτου, καμφθείς ο πάντων Κτίστης, εκ σού Αγνή ετέχθη, καί φθαρέντας ανθρώπους, ανέπλασε καί εκαινούργησε.

## Τών Μαρτύρων

Ειρμός άλλος

«Τύπον τής αγνής λοχείας σου, πυρπολουμένη βάτος έδειξεν άφλεκτος, καί νύν καθ' ημών τών πειρασμών αγριαίνουσαν, κατασβέσαι αιτούμεν τήν κάμινον, ίνα σε Θεοτόκε, ακαταπαύστως μεγαλύνωμεν».

Ίδε φωταυγής πανήγυρις, φωτοειδών Μαρτύρων έλαμψε σήμερον, νέφη πονηρά τής αμαρτίας σκεδάζουσα, καί φωτίζουσα θείω εν Πνεύματι, πιστών τάς διανοίας, ταύτην προθύμως εορτάσωμεν.

Ώσπερ δύο ανατέλλοντες, φωτοειδείς αστέρες πάσαν φωτίζετε, τήν υπ' ουρανόν, ταίς τών αγώνων λαμπρότησιν, Ιωνά καί σοφέ Βαραχήσιε, διό με τόν εν σκότει τής αμαρτίας καταυγάσατε.

Στύλοι Εκκλησίας ώφθητε, απεριτρέπτως ταύτην διαβαστάζοντες, Άβιβος ομού, Ναρσής καί Μάρης Ηλίας τε, Ιωνάς Σηβεήθης καί Λάζαρος, καί Ζανιθάς καί Σάββας, καί Μαρουθάς καί Βαραχήσιος.

Ήδη, μετ' Αγγέλων Άγιοι, παρεστηκότες θρόνω τής δόξης πάντοτε, καί ταίς αστραπαίς, τής Τρισηλίου λαμπρότητος, αυγαζόμενοι πάντας φωτίσατε, τούς πίστει τήν φωσφόρον, υμών γεραίροντας πανήγυριν.

Θεοτοκίον

Φείσαι τού λαού σου Κύριε, καί ής εκτήσω ταύτης κληρονομίας σου, ταίς υπέρ υμών, τής σέ τεκούσης θεόπαιδος, παρακλήσεσιν επικαμπτόμενος, ίνα σε ως Δεσπότην, καί Πανοικτίρμονα δοξάζωμεν.

Ο Ειρμός

Τύπον τής αγνής λοχείας σου, πυρπολουμένη βάτος έδειξεν άφλεκτος, καί νύν καθ' ημών τών πειρασμών αγριαίνουσαν, κατασβέσαι αιτούμεν τήν κάμινον, ίνα σε Θεοτόκε, ακαταπαύστως μεγαλύνωμεν.

---

Αρχή

## ΤΗ Λ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Ιωάννου τού Συγγραφέως τής Κλίμακος.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'

Ώ τού παραδόξου θαύματος

Πάτερ Ιωάννη Όσιε, διά παντός αληθώς, τού Θεού εν τώ λάρυγγι, τάς υψώσεις έφερες, μελετών πρακτικώτατα, τά θεόπνευστα λόγια πάνσοφε, καί τήν εκείθεν αναπηγάζουσαν, χάριν επλούτησας, γεγονώς μακάριος, τών ασεβών, πάντων τά βουλεύματα, Καταστρεψάμενος.

Πάτερ Ιωάννη ένδοξε, ταίς τών δακρύων πηγαίς, τήν ψυχήν καθαιρόμενος, καί παννύχοις στάσεσι, τόν Θεόν ιλασκόμενος, ανεπτερώθης πρός τήν αγάπησιν, τήν τούτου μάκαρ καί ωραιότητα, ής επαξίως νύν, απολαύεις άληκτα, χαρμονικώς, μετά τών συνάθλων σου, θεόφρον Όσιε.

Πάτερ, Ιωάννη ένδοξε, αναπτερώσας τόν νούν, πρός Θεόν διά πίστεως, κοσμικής συγχύσεως, εβδελύξω τό άστατον, καί τόν Σταυρόν σου αναλαβόμενος, τώ παντεπόπτη κατηκολούθησας, σώμα δυσήνιον, αγωγαίς ασκήσεως τώ λογισμώ, σθένει δουλωσάμενος, τού θείου Πνεύματος.

Δόξα... Καί νύν... Θεοτοκίον

Δεύρο ψυχή μου στενάζουσα, καί τών δακρύων πηγάς, εκ καρδίας προσφέρουσα, τή Παρθένω βόησον, καί Μητρί τού Θεού ημών, διά τό πλήθος τών οικτιρμών σου Αγνή, τής φοβεράς με ρύσαι κολασεως, καί κατασκήνωσον, ένθα η ανάπαυσις, καί η χαρά, η διαιωνίζουσα, καί η απόλαυσις.

Η Σταυροθεοτοκίον

Σέ καθηλούμενον βλέπουσαν, εν τώ Σταυρώ Ιησού, καί τά πάθη δεχόμενον, εκουσίως Δέσποτα, η Παρθένος καί Μήτηρ σου, Τέκνον εβόα, Τέκνον γλυκύτατον, πληγάς αδίκως, πώς φέρεις ο ιατρός, ο ιασάμενος, τήν βροτών ασθένειαν καί τής φθοράς, άπαντας ρυσάμενος, τή ευσπλαγχνία σου.

Απολυτίκιον

Ήχος πλ. δ'

Ταίς τών δακρύων σου ροαίς, τής ερήμου τό άγονον εγεώργησας, καί τοίς εκ βάθους στεναγμοίς, εις εκατόν τούς πόνους εκαρποφόρησας, καί γέγονας φωστήρ τή οικουμένη, λάμπων τοίς θαύμασιν, Ιωάννη, πατήρ ημών Όσιε, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τού Αγίου καί τού Τριωδίου.

Ο Κανών τού Αγίου, ού η Ακροστιχίς.

Κλίμαξ πέφηνας τών αρετών παμμάκαρ.

Εν δέ τοίς Θεοτοκίοις Κλήμεντος

Ωδή α'  Ήχος α'

Ο Ειρμός

«Ωδήν επινίκιον άσωμεν πάντες, Θεώ τώ ποιήσαντι θαυμαστά τέρατα, βραχίονι υψηλώ, καί σώσαντι τόν Ισραήλ, ότι δεδόξασται».

Καλώς βδελυξάμενος τόν κάτω κόσμον, τόν άνω απείληφας, Ιωάννη πάνσοφε, διό διδάσκεις ημάς, τού κόσμου είναι τήν φυγήν, Θεού οικείωσιν.

Λιμού προσπαθεία σου λύσας τήν νόσον, τόν άρχοντα έδησας τών παθών μακάριε, σειραίς αγώνων σου, καί απαθείας έπαθλα, εστέφθης παρά Χριστού τού Θεού.

Ισάγγελον φρόνημα λαβων θεόφρον, τού κόσμου απέρρηξας, σεαυτόν πανόλβιε, τού γεηρού καί φθαρτού, διό αυλίζη προφανώς, εις τάς αϋλους μονάς.

Μακρόν συγγραψάμενος τοίς υπηκόοις, τόν λόγον μακάριε, Ιωάννη πάνσοφε, ταίς διδαχαίς σου αυτούς, πρός μακαρίαν εκ τής γής, αναβιβάζεις ζωήν.

Θεοτοκίον

Κηρύττει τόν τόκον σου η Εκκλησία, Παρθένε Θεόνυμφε, ορθοδόξω στόματι, καί δόγμασι θεϊκοίς, τά σύμβολα δέ τής σαρκός, τού σού Υιού Προσκυνεί.

Ωδή γ' Ο Ειρμός

«Λίθον όν απεδοκίμασαν οι οικοδομούντες, ούτος εγενήθη εις κεφαλήν γωνίας, αυτός εστιν η πέτρα, εν ή εστερέωσε τήν Εκκλησίαν ο Χριστός, ήν εξ εθνών εξηγοράσατο».

Εύρες ως τερπνόν θυμίαμα, τήν αοργησίαν, πάσαν εκδιώξας θυμού τήν δυσωδίαν, εκ βάθους τής ψυχής σου, διό νύν θεσπέσιε, υπέρ ημών τώ Λυτρωτή, αμαρτιών τήν λύσιν αίτησαι.

Φλέξας τώ πυρί μακάριε, τής Χριστού αγάπης, νούν μνησικακίας έλαμψας ακτίσι, πιστώς φιλαδελφίας, καί ράστην υπέδειξας Οδόν Μακάριε, πρός σωτηρίαν πάσι, τρανών τό αμνησίκακον.

Ήρας πρακτικής ασκήσεως, ουρανόθεν χάριν, όθεν αποφράττεις χείλη καταλάλων, σοφαίς διδασκαλίαις, εν αίς ποδηγούμεθα, πρός αρετών πορείαν, ής καί τυχείν αξιωθείημεν.

Θεοτοκίον

Ήσε παρθενία τίκτειν σε ο Προφήτης πάλαι, άχρονον εν χρόνω, καί υπέρ νούν καί λόγον, τόν ένα τής Τριάδος, Χριστόν Θεόν ημών, όν εξιλέωσας Αγνή, υπέρ ημών τών ευφημούντων σε.

Κάθισμα Ήχος δ'

ο υψωθείς

Τάς αρετάς πρός ουρανόν αναβάσεις, καταπηξάμενος σαφώς επανήλθες, πρός θεωρίας άπλετον βυθόν ευσεβώς, πάσας στηλιτεύσας μέν, τών δαιμόνων ενέδρας, σκέπεις αλωβήτους δέ, τούς ανθρώπους εκ τούτων, ώ Ιωάννη κλίμαξ αρετών, πάντας σωθήναι ικέτευε Όσιε.

Δόξα... Καί νύν... Θεοτοκίον

Ου σιωπήσομεν ποτέ Θεοτόκε, τάς δυναστείας σου λαλείν οι ανάξιοι, ειμή γάρ σύ προϊστατο πρεσβεύουσα, τίς ημάς ερρύσατο, εκ τοσούτων κινδύνων,

τίς δέ διεφύλαξεν, έως νύν ελευθέρους; Ουκ αποστώμεν Δέσποινα εκ σού, σούς γάρ δούλους σώζεις αεί εκ παντοίων δεινών.

Η Σταυροθεοτοκίον

Τόν εξ ανάρχου τού Πατρός γεννηθέντα, η επ' εσχάτων σε σαρκί τετοκυία, επί Σταυρού κρεμάμενον ορώσά σε Χριστέ, Οίμοι ποθεινότατε, Ιησού, άνεβόα, πώς ο δοξαζόμενος, ως Θεός υπ', Αγγέλων, υπό ανόμων νύν βροτών Υιέ, θέλων σταυρούσαι; Υμνώ σε μακρόθυμε.

Ωδή δ'  Ο Ειρμός

«Εν πνεύματι προβλέπων Προφήτα Αββακούμ, τήν τού Λόγου σάρκωσιν εκήρυττες βοών, Εν τώ εγγίζειν τά έτη επιγνωσθήση, εν τώ παρείναι τόν καιρόν αναδειχθήση, Δόξα τή δυνάμει σου Κύριε».

Νηστεία χαλινώσας τής γλώττης τάς ορμάς, ησυχία ίθυνας τόν βίον σου Σοφέ, ως οσμήν δέ πυρός γευσάμενος χάριν Υψίστου, πολυέπειαν ως αχλύν τής αμαρτίας έφυγες, αμέμπτως λατρεύων Θεώ.

Αφθόνως αληθεία γλυκάνας τήν ψυχήν, τήν πικράν εξέφυγες τού ψεύδους μετοχήν, διό ασκήσει ενθέω καταδουλώσας, δαιμόνων δούλους θεορρήμον Ιωάννη, ώφθης Μοναστών οδηγός απλανής.

Στενούμενος τώ τόνω ασκήσεως στερρώς, ακηδίας λέλυκας τήν πάρεσιν Σοφέ, καί προθυμίας τώ δόρατι θανατώσας, τής αθυμίας τήν ισχύν, Θεώ πρεσβεύεις, πάσιν ιλασμόν δωρηθήναι ημίν.

Θεοτοκίον

Μακάριον τό έθνος πανύμνητε Αγνή, ο τιμάν ηξίωται τόν τόκον σου πιστώς, ορθοδοξία καί δόγμασι καί τοίς έργοις, τής αληθείας εν συμβόλοις εμφανίζον, πάσαν τού Υιού σου τήν σάρκωσιν.

Ωδή ε'  Ο Ειρμός

«Νύξ περιέσχε με Σωτήρ, αμαρτίας καί αχλύς, διό μοι ανάτειλον, τής μετανοίας Κύριε, τόν όρθρον ως εύσπλαγχνος, πρό τού με φθάσαι τό πέρας τό άδηλον, τό τής ζωής μου Χριστέ, η ζωή καί τό φώς».

Τής εγκρατείας τή τρυφή, πιαινόμενος τόν νούν, ουκ έδωκας χείλη σου, τής ηδονής τοίς βρώμασι, διό απηγχόνισας λιμώ τά πάθη, καί δαίμονας ήσχυνας, καί γάρ ο θλίβων λοιμόν, θανατοί ηδονάς.

Ώφθης αγνείας εραστής, καί λαγνείας μισητής, τώ φωτί εξέφυγες, πιστής εξαγορεύσεως, παθών τήν σκοτόμαιναν, καί γάρ ο θέλων καθάραι σώμα καί νούν, θριαμβεύσει θερμώς τά τού σκότους κρυπτά.

Νώ καί ψυχή καί τή σαρκί, τή Τριάδι λειτουργών, ειδώλων προσκύνησιν, σαφώς απεσκοράκισας, ελέω φιλόπτωχε, καί αναγκαίων τή σπάνει, καί γέγονας φιλόθεος αληθώς, ή φιλάργυρος.

Άχθος τής ύλης ευσεβώς, απορρίψας επί γής, ανέπτης πρός άϋλα, πτεροίς ακτημοσύνης σου, διό παριστάμενος, αϋλως Πάτερ Χριστώ σύν Αϋλοις πιστώς, αίτησαι ιλασμόν, ταίς ψυχαίς ημών.

Θεοτοκίον

Έχθιστοι ώφθησαν ημίν, καί επάρατοι ομού, τής σής Αειπάρθενε, οι προσκυνείν μή θέλοντες, μορφής τό Εικόνισμα, καί τού Υιού σου, διότι ού πείθονται, τοίς άνωθεν πατρικοίς θείοις δόγμασι.

Ωδή ς' Ο Ειρμός

«Τόν Προφήτην Ιωνάν, εκμιμούμενος βοώ, Τήν ζωήν μου Αγαθέ, ελευθέρωσον φθοράς, καί σώ σόν με, Σωτήρ τού κόσμου, κράζοντα, Δόξα σοι».

Ρώμη νήψεως αγνής, καί αγώσι προσευχής, τό αναίσθητον παθών, εξεδίωξας στερρώς, τής σής ψυχής, καί όλος ώφθης, Πάτερ νηφάλιος.

Εν αϋπνω προσευχή, τόν φιλόϋπνον εχθρόν, υποτάξας ανδρικώς, ώφθης γρήγορος ποιμήν, θεόληπτε, Χριστού τής ποίμνης, καί διδασκάλων φωστήρ.

Τού νοός τόν οφθαλμόν, καθαγνίσας ευσεβώς, ανυστάκτως τώ Χριστώ, λειτουργών διά παντός, προέβλεψας, τά θεία κάλλη, τής μακαρίας τρυφής.

Θεοτοκίον

Ναυτιώσι σάλω νύν, απιστίας τής Πικράς, Καθορώντες ευλαβώς, Ορθοδόξων τούς χορούς, οι άνομοι, ασπαζομένους, τήν σήν Παρθένε μορφήν.

Τό Μαρτυρικόν τού Ηχου

Κοντάκιον τού Αγίου

Χορός αγγελικός

Καρπούς αειθαλείς, εκ σής βίβλου προσφέρων, διδάγματα Σοφέ, καθηδύνεις καρδίας, τών τουτοις μετά νήψεως, προσεχόντων μακάριε, κλίμαξ γάρ εστι, ψυχάς ανάγουσα γήθεν, πρός ουράνιον, καί διαμένουσαν δόξαν, τών πίστει τιμώντων σε.

Συναξάριον

Τή Λ' τού αυτού μηνός, μνήμη τού Οσίου Πατρός ημών Ιωάννου τού Συγγραφέως τής Κλίμακος.

Στίχοι

- Επί κλίμαξι κλίμακας πυκνώς, Πάτερ,
- Τάς σάς αρετάς θείς, έφθασας πόλου μέχρι.
- Χαίρεν Ιωάννης τριακοστή εξαναλύων.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Προφήτου Ιωάδ.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Ιωάννου τού εν τώ Φρέατι.

Τή αυτή ημέρα, η Αγία Ευβούλη, η μήτηρ τού Αγίου Παντελεήμονος, εν ειρήνη τελειούται.

Στίχοι

- Εν ουρανοίς σύνεστιν αθλητή Τέκνω,
- Αθλητομήτωρ καλλίτεκνος Ευβούλη.

Τή αυτή ημέρα ο Άγιος, Ιωάννης, Πατριάρχης Ιεροσολύμων, εν ειρήνη τελειούται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ' Ο Ειρμός

«Τούς εν καμίνω Παίδάς σου Σωτήρ, ουχ ήψατο, ουδέ παρηνώχλησε τό πύρ, τότε οι Τρείς ως εξ ενός στόματος, ύμνουν καί ευλόγουν λέγοντες, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών».

Ως τής ανδρείας ξίφει καθελών, Πανεύφημε, θράσους νηπιώδους δειλίας, ώφθης στερρός καί φοβερός, πνεύμασιν όντως ακαθάρτοις άπασιν, Ευλογητός ο Θεός, ο θαυμαστώσας σε.

Νόμω Χριστού ενθέως πειθαρχών, επάτησας δόξαν φερωνύμως τήν κενήν, μόνω Θεώ τώ εν κρυπτώ, φέρων τούς κόπους τής στερράς ασκήσεως, ός αποδίδωσιν εις φανερόν τούς μισθούς.

Πρός αοράτους φάλαγγας παθών, αράμενος πόλεμον, εδείχθης νικητής, ως ταπεινός τώ λογισμώ καί τή καρδία, τόν γάρ υπερήφανον καί αλαζόνα εχθρόν, τούτοις κατέτρωσας.

Θεοτοκίον

Τής σής Χριστέ σαρκώσεως τιμών, τήν ένωσιν ταύτης καί τό είδος προσκυνώ, θεοπρεπώς, ότι Θεός ών πρό αιώνων, εκ Παρθένου γέγονας, βροτός αφύρτως αυτός, κατ' άμφω τέλειος.

Ωδή η' Ο Ειρμός

«Ον φρίττουσιν Άγγελοι, καί πάσαι στρατιαί, ώς Κτίστην καί Κύριον, υμνείτε Ιερείς, δοξάσατε Παίδες, ευλογείτε λαοί, καί υπερυψούτε, είς πάντας τούς αιώνας».

Απλάστοις σου ήθεσι μειώσας ακραιφνώς, τόν τρόπον τόν ύπουλον, ως δύσχρηστον φυγών, πραέων τοίς τόποις επαυλίζη σαφώς, ως πράως βιώσας, θεόφρον Ιωάννη.

Μητέρα καί φύλακα πασών τών αρετών, τήν θείαν ταπείνωσιν, υπέγραψας

ημίν, καί γάρ ως υπάρχων, αρχιτέκτων σοφός, τής θείας ανόδου, τήν βάσιν κατεπήξω.

Μετέσχες τής χάριτος τού Πνεύματος σαφώς, καί πάντας επλήρωσας, τού θείου φωτισμού, διάκρισιν όντως ημίν ευδιάκριτον, τή πράξει διδάξας, καί παιδεύσας τοίς λόγοις.

Θεοτοκίον

Ου γράφω θεότητα, μή ψεύδεσθε τυφλοί, απλή γάρ αόρατος, ανείδεός εστι, σαρκός δέ τόν τύπον ιστορών προσκυνώ, καί πίστει δοξάζω, τήν τεκούσαν Παρθένον.

Ωδή θ' Ο Ειρμός

«Τήν ζωοδόχον πηγήν τήν αέναον, τήν φωτοφόρον λυχνίαν τής χάριτος, τόν ναόν τόν έμψυχον, Τήν σκηνήν τήν άχραντον, τού ουρανού καί τής γής τήν πλατυτέραν, τήν Θεοτόκον οι πιστοί μεγαλύνομεν».

Αϋλω νώ αναπτάς πρός τά άϋλα, θεωρημάτων βυθόν σύ κατείληφας, καί τυχών τής χάριτος τού Αγίου Πνεύματος, δι' εκτενούς προσευχής κατηξιώθης, τού προοράν τών μελλόντων τήν ήλωσιν.

Καταναλώσας τό ένυλον φρόνημα, τής προσευχής τή φλογί Οσιώτατε, Όλος πύρ ενέφηνας, Ιωάννη πάνσοφε θεόφρον, διό εκστάς ευσεβώς ταίς θεωρίαις, τήν αγαθήν ηλλοιώθης αλλοίωσιν.

Απονεκρώσας τά πάθη ασκήσει σου, πρός τελειότητα Πάτερ ανέδραμες, απαθείας Όσιε, διό νύν δεήθητι Θεού, υπέρ ειρήνης παντός τού κόσμου, καί σωτηρίας ημών τών τιμώντων σε.

Ρώμην λαβών εν τή πίστει Πατήρ ημών, καί πτερωθείς τή αγάπη ανέδραμες, αρετών πρός κλίμακα, ευσθενώς καί βέβηκας, εν τή Αγάπη Χριστού, καί γάρ εν ταύτη, τών ορεκτών εστι πάντων τό πλήρωμα.

Θεοτοκίον

Σού τής λοχείας Αγνή τό παράδοξον, καί επί τοίχων γραφαίς ασπαζόμεθα, ού τό έργον σέβομεν, καί τό είδος τιμώμεν, τό αληθές εξ αμφοίν ομολογούντες, ορθοδοξίας εικότως πληρούμεθα.

Τό Φωταγωγικόν τού Ηχου.

Καί η λοιπή, Ακολουθία, κατά τήν τάξιν, η α' Ώρα, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΛΑ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Ιερομάρτυρος καί θαυματουργού Υπατίου, Επισκόπου Γαγγρών.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, Στιχηρά Προσόμοια

Ήχος πλ. δ'
Ώ τού παραδόξου θαύματος

Πάτερ θεόφρον Υπάτιε, εν εγκρατεία καλώς, εκτραφείς είς περίδοξον, αρετών επηύξησαι, ύψος ανατεινόμενος, πρός θεωρίαν μυστικωτάτην σαφώς, Χριστού τό κάλλος κατοπτριζόμενος, ού ταίς ελλάμψεσι, νούν τε καί διάνοιαν, καταυγασθείς, πάσιν εναπήστραψας, τάς τών θαυμάτων αυγάς.

Πάτερ πατέρων Υπάτιε, Ορθοδοξίας φωτί, απαστράψας κατηύγασας, διανοίας Όσιε, τών πιστώς προστρεχόντων σοι, καί τάς Αρείου κόρας ημαύρωσας, αποκηρύξας τής Εκκλησίας Χριστού, όθεν φωστήρά σε, κεκτημένοι άπαντες, τήν ιεράν, μνήμην σου γεραίρομεν, καί μακαρίζομεν.

Πάτερ Ιερέ Υπάτιε, τόν Βασιλέα Χριστόν, όν τρανώς ανεκήρυξας, Πατρί ομοούσιον, έχων εν τή καρδία σου, τάς τών θαυμάτων ακτίνας έλαμψας, φωταγωγήσας πάσαν υφήλιον, δράκοντα έκτεινας, καί θερμών ανάβλυσιν, σαίς προσευχαίς, υδάτων εξέβλυσας εις ιατρείαν παθών.

Δόξα... Καί νύν... Θεοτοκίον

Χαίροις οικουμένης καύχημα, χαίρε Κυρίου Ναέ, χαίρε Όρος κατάσκιον, χαίρε καταφύγιον, χαίρε Λυχνία χρυσή, χαίρε τό κλέος τών Ορθοδόξων σεμνή, χαίρε Μαρία Μήτηρ Χριστού τού Θεού, χαίρε παράδεισε, χαίρε θεία Τράπεζα, χαίρε σκηνή, χαίρε Στάμνε πάγχρυσε, χαίρε η πάντων ελπίς.

Η Σταυροθεοτοκίον

Ήλιος ιδών σε έφριξεν, επί Σταυρού Ιησού, ηπλωμένον θελήματι, καί η γή εσείετο, καί πέτραι διερρήγνυντο, καί τά μνημεία φόβω ηνοίγοντο, καί αι δυνάμεις πάσαι εξίσταντο, άπερ ως έβλεψεν, η Παρθένος Δέσποινα, εν στεναγμοίς, Οίμοι! ανεκραύγαζε, τί τό ορώμενον;

Απολυτίκιον Ήχος δ'

Καί τρόπων μέτοχος καί θρόνων διάδοχος, τών Αποστόλων γενόμενος, τήν πράξιν εύρες θεόπνευστε, εις θεωρίας επίβασιν, Διά τούτο τόν λόγον τής αληθείας ορθοτομών καί τή πίστει ενήθλησας μέχρις αίματος, Ιερομάρτυς Υπάτιε, πρέσβευε Χριστώ τώ Θεώ σωθήναι τάς ψυχάς ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τού Αγίου εις δ'.

Ωδή α' Ήχος πλ. δ'
Ο Ειρμός

«Υγράν διοδεύσας ωσεί ξηράν, καί τήν Αιγυπτίαν, μοχθηρίαν διαφυγών, ο Ισραηλίτης ανεβόα, Τώ Λυτρωτή καί Θεώ ημών άσωμεν».

Φωτί της Τριάδος καταυγασθείς, εκ βρέφους θεόφρον, Ιεράρχα τώ ζωηρώ τής πίστεως γάλακτι ετράφης, ταίς αρεταίς καταυγαζόμενος.

Συνέσει καί χάριτι κοσμηθείς, νηστείαις καί πόνοις, εχαλίνωσας τής σαρκός, θεόφρον παμμάκαρ τάς ορέξεις, καί τήν ψυχήν αρεταίς κατεκόσμησας.

Αστράψας τώ βίω τώ φαεινώ, ως ήλιος πάσαν, Ιεράρχα τήν τού Χριστού, εφαίδρυνας Πάτερ Εκκλησίαν, εν ταίς ακτίσι τών θαυμάτων σου.

Ιδού αι προρρήσεις τών προφητών, επί σοί τό πέρας, απειλήφασιν αληθώς, Λόγον γάρ ασπόρως συλλαβούσα, Θεογεννήτορ αγνή απεκήυσας.

Ωδή γ'  Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Ξύλον ζωής πέφυκας, καταρδευόμενος πάνσοφε, εκ τών Γραφών, ού περ ού προστρέχει, τώ καρπώ ο τής Εύας εχθρός.

Στόματα ενέφραξας, τά δυσσεβή συσχών άσματα, προφητικώς, ταίς θεοπειθέσι, πρός Χριστόν παρακλήσεσι.

Γύναια βακχεύοντα, σύ τή πηγή σοφώς έθραυσας, σωφρονισμόν, τοίς παραδόξοις ποιούμενος.

Οίκος θείου Πνεύματος, καί προσευχής εικών γέγονας, Ιεραρχών, καύχημα καί κλέος, τών Μαρτύρων Υπάτιε.

Θεοτοκίον

Νόμοις ου δουλεύσασα, τοίς μητρικοίς Σεμνή τέτοκας, τόν Λυτρωτήν, φύσεως οι νόμοι, επί σοί καινίζονται.

Κάθισμα  Ήχος δ'

Ταχύ προκατάλαβε

Τής πίστεως δόγματα, κρατύνων Όσιε, Πατρί συναϊδιον, καί ομοούσιον, τόν Λόγον εκήρυξας, όθεν ορθοδόξως, τήν σήν ποίμνην ποιμάνας, ήσχυνας τού Αρείου, τήν κακόφρονα γνώμην, διό νύν μεταωάς πρός τόν Χριστόν, πρέσβευε υπέρ πάντων ημών.

Θεοτοκίον

Εκαίνισας Άχραντε, τώ θείω τόκω σου, φθαρείσαν τοίς πάθεσι, τών γηγενών τήν θνητήν, ουσίαν καί ήγειρας, πάντας εκ τού θανάτου, πρός ζωήν αφθαρσίας, όθεν σε κατά χρέος, μακαρίζομεν πάντες, Παρθένε δεδοξασμένη, ως προεφήτευσας.

Η Σταυροθεοτοκίον

Παρθένε πανάμωμε, Μήτηρ Χριστού τού Θεού, ρομφαία διήλθέ σου, τήν

παναγίαν ψυχήν, ηνίκα σταυρούμενον, έβλεψας εκουσίως, τόν Υιόν καί Θεόν σου, όν περ ευλογημένη, δυσωπούσα μή παύση, συγχώρησιν πταισμάτων ημίν δωρήσασθαι.

Ωδή δ' Ο Ειρμός

«Εισακήκοα Κύριε, τής οικονομίας σου τό μυστήριον, κατενόησα τά έργα σου, καί εδόξασά σου τήν θεότητα».

Η τού Πνεύματος έλλαμψις, Πάτερ επί σοί πλουσίως σκηνώσασα, φωτοφόρον στύλον έδειξε, δαδουχούντα κόσμον θείοις δόγμασι.

Τή γαλήνη τών λόγων σου, τόν ειδωλικόν χειμώνα ημαύρωσας, καί τροπαίοις ταπεινώσεως, ασεβείας θράσος κατεμάρανας.

Ακηλίδωτον έσοπτρον, Πάτερ τής Τριάδος ώφθης Υπάτιε, Κατοπτεύειν γάρ ηγάπησας, καθαρώς τήν γνώσιν τού Θεού ημών.

Θεοτοκίον

Ως φρικτόν καί παράδοξον, τής αγνής λοχείας σου τό Μυστήριον! υπέρ φύσιν γάρ Πανάμωμε, τόν Δημιουργόν σου απεκύησας.

Ωδή ε' Ο Ειρμός

«Ίνα τί με απώσω, από τού προσώπου σου τό φώς τό άδυτον, καί εκάλυψέ με, τό αλλότριον σκότος τόν δείλαιον, αλλ' επίστρεψόν με, καί πρός τό φώς τών εντολών σου, τάς οδούς σου κατεύθυνον δέομαι».

Επί ύδωρ τής θείας, Πάτερ, αναβάσεως έχων τήν έφεσιν, καί τού Παραδείσου, τού αϋλου τό κάλλος γλιχόμενος, ευανθέσι τόποις, συμβολικώς επαναπαύου, τάς έκείθεν μονάς τεκμαιρόμενος.

Ταίς αϋλοις γυμνάζων, Πάτερ σεαυτόν θεωρίαις καί πράξεσιν, υλικάς φροντίδας, ώσπερ βάρος ψυχής καταλέλοιπας, καί εν ταίς ερήμοις, χοροβατών ως εν λιμώνι, επλουτίσθης τήν χάριν τού Πνεύματος.

Επαυξήσας τήν ποίμνην, Πάτερ εν τή πόα τών θείων δογμάτων σου, ώσπερ μάνδρας οίκους, σεβασμίους παμμάκαρ καθίδρυσας, εν οίς εισελαύνων, τά λογικά θρέμματα Πάτερ, ελυτρώσω θηρών εξ αιρέσεων.

Θεοτοκίον

Μόνη τίκτεις Παρθένος, μόνη καί απείρανδρος ώφθης Πανάμωμε, εν γαστρί γάρ Λόγον, τού Πατρός δεξαμένη τόν άναρχον, γαλουχείς Παρθένε, θαύμα φρικτόν! καί παρθενεύεις, καί τούς όρους καινίζεις τής φύσεως.

Ωδή ς' Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

Φλογώδη ρείθρα φωτός, Ιερομάρτυς Υπάτιε, ανάψας ο ποταμός, νυκτί διαβαίνοντι, τήν τρίβον εδείκνυεν, υποφαίνων πάσι, τής ψυχής σου τήν λαμπρότητα.

Τερατουργών διά σού, ο ζωοδότης Χριστός ο Θεός, ιάσεων θησαυρόν, τό ύδωρ ανέδειξεν, ευχαίς σου Υπάτιε, γλυκασμόν θαυμάτων, τό πικρόν απεργασάμενος.

Θαυμάτων υπερφυών, εργάτης ώφθης Υπάτιε, λαβών δέ παρά Θεού, χάριν τών ιάσεων, πηγή εχρηματίσας, δαψιλεύων πάσι, σωτηρίας θείας νάματα.

Θεοτοκίον

Ταίς σαίς πρεσβείαις Αγνή, κινδύνων καί περιστάσεων, εξάρπασόν με δεινών, καί ρύσαί με δέομαι, σύ γάρ τείχος άρρηκτον, καί λιμήν καί σκέπη καί απόρθητον οχύρωμα.

Συναξάριον

Τή ΛΑ' τού μηνός, Η Άθλησις τού Αγίου Ιερομάρτυρος Υπατίου, Επισκόπου Γαγγρών.

Στίχοι

- Κτείνει γυνή βαλούσα καιρίαν λίθω,
- Τόν Υπάτιον, φεύ γυναικί αθλία!
- Πρώτη Υπατίω βιότου πέρας εν τριακοστή.

Τή αυτή ημέρα, Μνήμη τού οσίου Πατρός ημών Ακακίου, Επισκόπου Μελιτηνής τού Ομολογητού.

Στίχοι

- Ακακίω θνήσκοντι τώ γής Αγγέλω,
- Χώραν ετοιμάζουσιν Άγγελοι πόλου.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων, τών εν Περσίδι μαρτυρησάντων, Αυδά Επισκόπου, Βενιαμίν Διακόνου, καί τών σύν αυτοίς εννέα Μαρτύρων, καί άλλων πολλών Αγίων, τών είς φυλακήν βληθέντων, καί υπό μυών καί γαλών, τών συγκλεισθέντων αυτοίς, βιβρωσκομένων.

Στίχοι

- Αυδάς, ενισχύοντος υψίστου Λόγου,
- Καθείλεν ισχύν δυσσεβών, τμηθείς κάραν.
- Αθλητικώ κλυστήρι, τώ πάλω λέγω,
- Πάν Βενιαμίν ψυχικόν κενοί βάρος.
- Εν τοίς όνυξι κάλαμον δεδεγμένοι,
- Σφάς Μάρτυρας γράφουσιν άνδρες εννέα.
- Ζώων ταμεία Μαρτύρων τά σαρκία,
- Μύς ετρέφοντο, καί γαλαί εν τώ βόθρω.

Ο άγιος Μάρτυς Μένανδρος κατά πετρών γυμνός συρόμενος τελειούται.

Ο Όσιος πατήρ ημών Βλάσιος, ο εν τή πόλει Αμορίου γεννηθείς, εν ειρήνη τελειούται.

Οι Άγιοι τριάκοντα οκτώ Μάρτυρες, συγγενείς όντες, ξίφει τελειούνται.

Ο Όσιος πατήρ ημών Στέφανος ο θαυματουργός εν ειρήνη τελειούται.

Ών ταίς πρεσβείαις Χριστέ, ο Θεός ημών, ελέησον καί σώσον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Οι εκ τής Ιουδαίας, καταντήσαντες Παίδες εν Βαβυλώνι ποτέ, τή πίστει τής Τριάδος, τήν φλόγα τής καμίνου, κατεπάτησαν ψάλλοντες, ο τών Πατέρων ημών, Θεός ευλογητός εί».

Απορρήτων θαυμάτων, αυτουργός Ιεράρχα παρά Χριστού γεγονώς, εφώτισας τόν κόσμον, τή πράξει καί τώ λόγω, εκδιδάξας βοάν ευσεβώς ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Απογνώσεως βρόχους, εν βυθώ απιστίας αποπνιγόμενος, προσάπτων τοίς πεσούσιν, εις πάθη ατιμίας, την μετάνοιαν έσβεσεν, ήν περ αστράψας πιστοίς, κατέφλεξας Ναβάτον.

Θεοτοκίον

Τήν Μητέρα τού Λόγου, τήν Αγνήν Θεοτόκον καί προστασίαν ημών, δι' ής τάς επηρείας, εχθρών καταπατούμεν, ανυμνούμεν καί λέγομεν, Ευλογημένη Θεόν, σαρκί αποτεκούσα.

Ωδή η'  Ο Ειρμός

«Τόν Βασιλέα τών ουρανών, όν υμνούσι, στρατιαί τών Αγγέλων, υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Τάς αναιμάκτους ειλικρινώς τή Τριάδι, αναφέρων θυσίας Παμμάκαρ, γέγονας Κυρίω σφάγιον Μαρτυρίου.

Τήν Ιεράν σου βάψας στολήν τώ οικείω, θεοφόρε αίματι προθύμως, στέφανον εδέξω διπλούν Ιερομάρτυς.

Ως Μαθητής οίά περ Χριστού εκμιμήσει, συμπαθείας θνήσκων υπερηύχου, σού τούς ανδροφόνους τεύξασθαι σωτηρίας.

Θεοτοκίον

Λόγον συνείληφας εν γαστρί υπέρ λόγον, καί τεκούσα πάλιν παρθενεύεις πάντα υπέρ φύσιν τά σά Θεογεννήτορ.

Ωδή θ'  Ο Ειρμός

«Εξέστη επί τούτω ο ουρανός, καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων ταξιαρχίαι μεγαλύνουσιν».

Μωσέα εικονίζων ταίς αρεταίς, υπερήλασας τούτον τώ θαύματι, ράβδω τή σή, πλήξας γάρ τόν δράκοντα ευθαρσώς, ως εν αγκίστρω είλκυσας, Πάτερ εκ ταμείων Βασιλικών, πυρί καταναλώσας, ως όργανον κακίας Ορθοδοξία κραταιούμενος.

Χωννύμενος τοίς λίθοις διά Χριστόν, υπό τών μιαιφόνων Υπάτιε, ρείθροις τών σών, έπνιξας αιμάτων τού ασεβούς, Ναβάτου τά αντίθεα, δόγματα κηρύξας Πάτερ σοφέ, τοίς πταίουσι συγγνώμην, διά τής μετανοίας τών οφλημάτων προσπορίζεσθαι.

Μή παύση ικετεύων υπέρ ημών, Ιεράρχα καί Μάρτυς Υπάτιε, τώ Ποιητή, πάντων καί Δεσπότη παρεστηκώς, εκ πειρασμών καί θλίψεων, ρύσασθαι το ύς πόθω ειλικρινεί, τελούντας τήν σήν μνήμην, καί θείαις μελωδίαις, ανευφημούντάς σε πανεύφημε.

Θεοτοκίον

Οφρύν καί θράσος άμα τών δυσμενών, ο τεχθείς εκ Παρθένου κατάβαλε, καί τάς βουλάς, τών κακοδοξουντων Δημιουργέ, τών δέ πιστών τό σύστημα στήριξον ακράδαντον ως Θεος, τό κέρας ανυψώσας, καί πίστει κραταιώσας, ίνα σε πάντες μεγαλύνωμεν.

Τό Φωταγωγικόν τού Ήχου.

Εις τόν Στίχον, το Ιδιόμελον τής ημέρας, καί τό Μαρτυρικον. Δόξα... Καί νύν... Θεοτοκίον ή Σταυροθεοτοκίον.

Αι μετάνοιαι ως συνήθως, καί η α' Ώρα μετα μετανοιών καί Απόλυσις.

Αρχή
**Τίτλος**
**Απρίλιος_1 Απρίλιος_2 Απρίλιος_3 Απρίλιος_4 Απρίλιος_5 Απρίλιος_6 Απρίλιος_7 Απρίλιος_8 Απρίλιος_9 Απρίλιος_10 Απρίλιος_11 Απρίλιος_12 Απρίλιος_13 Απρίλιος_14 Απρίλιος_15 Απρίλιος_16 Απρίλιος_17 Απρίλιος_18 Απρίλιος_19 Απρίλιος_20 Απρίλιος_21 Απρίλιος_22 Απρίλιος_23 Απρίλιος_24 Απρίλιος_25 Απρίλιος_26 Απρίλιος_27 Απρίλιος_28 Απρίλιος_29 Απρίλιος_30**

---

## ΤΗ Α' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής Οσίας Μητρός ημών Μαρίας τής Αιγυπτίας.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν τού Τριωδίου γ' καί τής Αγίας Προσόμοια γ'.

Ήχος πλ. β'  Όλην αποθέμενοι

Σέ μέν διεκώλυε, τής τών σεπτών εποπτείας, μολυσμών τών πρότερον, τό επισυρόμενον μιαντήριον, η δέ σή αίσθησις, καί τών σοί θεόφρον, πεπραγμένων η συνείδησις, τήν πρός τά κρείττονα, σοί επιστροφήν ενειργάσατο, εικόνι γάρ προσβλέψασα, τής ευλογημένης θεόπαιδος, πάντων καταγνούσα, πταισμάτων σου πανεύφημε τών πρίν, εν παρρησία τό τίμιον, Ξύλον προσεκύνησας.

Τόπους προσκυνήσασα, περιχαρώς τούς αγίους, αρετής εφόδιον, σωτηριωδέστατον ένθεν είληφας, καί φαιδρώς έδραμες, τήν καλήν πορείαν, καί τό ρείθρον εκπεράσασα, τό Ιορδάνειον, τό τού Βαπτιστού ενδιαίτημα, προθύμως Κατεσκήνωσας, καί τήν τών παθών αγριότητα, διά πολιτείας, ημέρωσας λεπτύνασα σαρκός, δι' εγκρατείας αείμνηστε, Μήτερ τά οιδήματα.

Έρημον οικήσασα, τών σών παθών τάς εικόνας, ευσεβώς απειλήψας, τό θεοειδέστατον εξεικόνισμα, εν ψυχή γράψασα, αρετών ιδέαις, καί τοσούτον υπερέλαμψας, ως καί τοίς ύδασι, κούφως επιβαίνειν τοίς ίχνεσι, καί γήθεν υπεραίρεσθαι, εν ταίς πρός Θεόν σου εντεύξεσι, καί νύν παρρησία, πανένδοξε Μαρία τώ Χριστώ, παρισταμένη δυσώπησον, υπέρ τών ψυχών ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Ο γάμος ηυτρέπισται, τού ουρανίου Νυμφίου, οι κήρυκες κράζουσι, τί βραδύνεις μέλαινα, εκουσίως ψυχή; ρυπαρά πάντα σου, αληθώς υπάρχει, ασελγείαις τά ιμάτια, καί πώς ταλαίπωρε, μέλλεις εισελθείν, δεύρο πρόσπεσον, πρό τέλους εκ καρδίας σου, τή Αειπαρθένω κραυγάζουσα, Υσσώπω Πρεσβείας ραντίσασα καθάρισον Αγνή, καί τού νυμφώνος αξίωσον, όπως μεγαλύνω σε.

Η Σταυροθεοτοκίον

Κρίσιν Ισραήλ κριταί, θανατηφόρον κριθήναι, σέ Υιέ κατέκριναν, ως κριτόν σε στήσαντες, επί βήματος, τόν νεκρούς κρίνοντα, καί τούς ζώντας Σώτερ, καί Πιλάτω παριστώσί σε, καί κατακρίνουσι, πρό τής δίκης, φεύ! οι παράνομοι, καί βλέπουσα τιτρώσκομαι, καί συγκατακρίνομαι Κύριε όθεν καί προκρίνω, θανείν υπέρ τό ζήν, εν στεναγμοίς, η Θεοτόκος εκραύγαζε, μόνε πολυέλεε.

Εάν δέ τύχη εν Σαββάτω, λέγε τά εξής Ιδιόμελα.

Δόξα... Ήχος β'

Τά τής ψυχής θηρεύματα, καί τά πάθη τής σαρκός, τώ ξίφει τής εγκρατείας έτεμες, τά τής εννοίας εγκλήματα, τή σιγή τής ασκήσεως απέπνιξας, καί

ρείθροις τών δακρύων σου, τήν έρημον άπασαν κατήρδευσας, καί εβλάστησας ημίν τής μετανοίας καρπούς, διό σου τήν μνήμην Οσία εορτάζομεν.

Καί νύν... Θεοτοκίον

Ότε, εκ τού ξύλου σε νεκρόν

Στένω, εκ βαθέων τής ψυχής, όταν εννοήσω μου Κόρη, τά πλημμελήματα, τύπτω δέ τό στήθός μου, κράζων τό, Ήμαρτον, καί προσπίπτω σοι Δέσποινα, ζητών μεταγνώναι, πάλιν δέ ηλίθιος ών περιπείρομαι, Οίμοι τή κακή συνηθεία! Ταύτης ούν με λύτρωσαι τάχει, καί πρός σωτηρίαν καθοδήγησον.

Απολυτίκιον  Ήχος πλ. δ'

Εν σοί μήτερ ακριβώς, διεσώθη τό κατ' εικόνα, λαβούσα γάρ τόν Σταυρόν, ηκολούθησας τώ Χριστώ, καί πράττουσα εδίδασκες, υπεροράν μέν σαρκός, παρέρχεται γάρ, επιμελείσθαι δέ ψυχής, πράγματος αθανάτου, διό καί μετά Αγγέλων συναγάλλεται, Οσία Μαρία τό πνεύμά σου.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, οι Κανόνες τής ημέρας καί τής Αγίας.

Ο Κανών τής Αγίας, ού η Ακροστιχίς,

Αθλ' αρετής Μαρίης αγλαόφρονος άσμασι μέλπω.

Ποίημα Θεοφάνους.

Ωδή α'  Ήχοςβ'  Ο Ειρμός

«Εν βυθώ κατέστρωσε ποτέ, τήν Φαραωνίτιδα πανστρατιάν, η υπέροπλος δύναμις, σαρκωθείς, ο Λόγος δέ, τήν παμμόχθηρον αμαρτίαν εξήλειψεν, ο δεδοξασμένος Κύριος, ενδόξως γάρ δεδόξασται».

Αγλαΐας τής πλησιφαούς, καί τής φωτοδότιδος μαρμαρυγής, νύν ευρούσα τήν έλλαμψιν, τήν ψυχήν μου δέομαι φωταγώγησον, σκοτισθείσαν τοίς πάθεσι, σού ταίς ικεσίαις, ένδοξε Μαρία ταίς πρός Κύριον.

Θανατούσα πάλαι τήν ψυχήν, υπό τής τού όφεως επιβουλής, καί παραλόγοις πράξεσιν, εγκατολισθαίνουσα, καί πρός βάραθρον απωλείας εμπίπτουσα, τά κρείττονα είλου, καί τών επικήρων κατεφρόνησας.

Λογισμοίς ατόποις εμπαθώς, χραίνουσα τό πρότερον, τό ευγενές τής ψυχής καί αδούλωτον, καί τό δυσωδέστατον, περιβόλαιον τής φθοράς περιφέρουσα, τής ακαταλήπτου δόξης, ημνημόνεις τού Ποιήσαντος.

Ακρασία τρέφουσα τόν νούν, καί τή ματαιότητι τών ηδονών, τούς εραστάς φαυλίζουσα, μετουσίας κρείττονος, απετείχισας σεαυτήν, Αξιάγαστε, αντιβαλλομένη, πάσης αμαρτίας τήν θρασύτητα.

Θεοτοκίον

Ρυπωθέντα πάθεσι τόν νούν, καί τοίς παραπτώμασι, μωλωπισθέντα καί δεινώς κλονούμενον, η τήν ενυπόστατον, καί ζωήρυτον αφθαρσίαν κυήσασα, Κεχαριτωμένη, κάθαρον καί ρύσαι τών πταισμάτων με.

Ωδή γ' Ο Ειρμός

«Εν πέτρα με τής πίστεως στερεώσας, επλάτυνας τό στόμα μου επ' εχθρούς μου, ηυφράνθη γάρ τό πνεύμά μου εν τώ ψάλλειν, Ουκ έστιν άγιος ώς ο Θεός ημών, καί Ουκ έστι δίκαιος πλήν σου Κύριε».

Επτερώθης τώ πόθω τώ υπερθέω, καί δόξης φθειρομένης απορραγείσα, προσήγγισας κραυγάζουσα τώ Δεσπότη, Ουκ έστιν άγιος ώς ο Θεός ημών, καί Ουκ έστι δίκαιος πλήν σου Κύριε.

Τώ ξύλω προσελθούσα τής αμαρτίας, καί γνώσιν μυηθείσα θανατηφόρον, προσέδραμες τώ ξύλω τώ ζωηφόρω, Χριστώ κραυγάζουσα, Σύ εί Θεός ημών, καί Ουκ έστι δίκαιος πλήν σου Κύριε.

Ηράσθης τής αρρήτου φωτοχυσίας, καί πάντων τών προσκαίρων υπεριδούσα, ανέδραμες πρός άυλον θεωρίαν, εν πίστει κράζουσα, Σύ εί Θεός ημών, καί Ουκ έστι δίκαιος πλήν σου Κύριε.

Θεοτοκίον

Συνήφθημεν τώ τόκω σου Θεοτόκε, ταίς θείαις τών Αγγέλων χοροστασίαις, τόν Κτίστην γάρ συνέλαβες απορρήτως, καί εσωμάτωσας τόν ακατάληπτον, όθεν Θεοτόκον σε πάντες σέβομεν.

Κάθισμα Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Τά σκιρτήματα πάντα τά τής σαρκός, χαλινώσασα πόνοις ασκητικοίς, ανδρείον απέδειξας, τής ψυχής σου τό φρόνημα, τόν γάρ Σταυρόν ποθήσασα, Κυρίου θεάσασθαι, Ιερώς αοίδιμε, τώ κόσμω εσταύρωσαι, όθεν καί πρός ζήλον, αγγελικής πολιτείας, προθύμως διήγειρας, σεαυτήν παμμακάριστε, Διά τούτο γεραίρομεν, τήν μνήμην σου Μαρία πιστώς, τών πταισμάτων άφεσιν αιτούμενοι, τού δωρηθήναι πλουσίως, ημίν ταίς πρεσβείαις σου.

Θεοτοκίον

Εις ιλύν ενεπάγην αμαρτιών, καί ουκ έστιν υπόστασις εν εμοί, δεινώς γάρ κατεπόντισε, καταιγίς τών πταισμάτων με, αλλ' η τεκούσα Λόγον, τόν μόνον φιλάνθρωπον, επ' εμέ επίβλεψον, Παρθένε καί ρύσαί με, πάσης αμαρτίας, καί παθών ψυχοφθόρων, καί πάσης κακώσεως, τού δεινού πολεμήτορος, ίνα ψάλλω γηθόμενος, Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς καταφεύγουσι πίστει, τή σκέπη σου Άχραντε.

Η Σταυροθεοτοκίον

Τόν αμνόν καί ποιμένα καί Λυτρωτήν, η αμνάς θεωρούσα επί Σταυρού, αδίκως κρεμάμενον, θρηνωδούσα εκραύγαζεν, Οίμοι φίλτατον τέκνον! τί

τούτο τό μέγιστον, καί φρικτόν καί ξένον, ο βλέπω μυστήριον; κόπτομαι τά σπλάγχνα, καί στενάζειν ου σθένω, καί φέρειν ου δύναμαι, καθοράν σε νεκρούμενον, αλλά Δέσποτα Κύριε, οίκτειρον Μητρός στεναγμούς, καί χαράς με έπλησον, ώς έφησας, εξαναστάς εκ τού τάφου, ώς Θεός παντοδύναμος.

Ωδή δ'  Ο Ειρμός

«Υμνώ σε, ακοήν γάρ Κύριε, εισακήκοα καί εξέστην, έως εμού ήκεις γάρ, εμέ ζητών τόν πλανηθέντα, διό τήν πολλήν σου αγαθότητα, τήν εις εμέ δοξάζω πολυέλεε».

Μετήχθης, εκ πατρίδος ένδοξε, τή Προνοία πλωϊζομένη, πρός γήν τώ σώ έρωτι, Σιωνιτών Οσία Μήτερ, εν ή διά τής εξαγορεύσεως, τών πεπραγμένων εύρες τήν διάλυσιν.

Αδήλως, ωθουμένη ένδοξε, καί βελτίονος εποπτείας, μή προσεχώς βλέπουσα, τήν άφραστον φωτοδοσίαν, τόν νούν επιστάτην καταστήσασα, τής αδηλίας έγνως τά απόκρυφα.

Ρωσθείσα, σωτηρίω χάριτι, καί τήν θείαν καί φωτοφόρον, κατιδούσα έλλαμψιν, τά όμματα καί τήν καρδίαν, Σταυρώ τώ πανσέπτω προσεπέλασας, καί σωτηρίας ένθεν εκοινώνησας.

Ιδούσα, τό φωτοειδέστατον, τής Παρθένου καί Θεοτόκου, χαρμονικώς ίνδαλμα, προσέδραμες μετά δακρύων, αυτή τάς συνθήκας Παμμακάριστε, παραθεμένη πάσης τής βιώσεως.

Θεοτοκίον

Ηνώθη, απορρήτω νεύματι, ασυγκρίτω τε προμηθεία, ουσιωδώς Πάναγνε, καί όλον με ανακαινίζει, εκ σού σαρκοφόρος προερχόμενος, ο ουσιώσας άπαντα βουλήματι.

Ωδή ε'  Ο Ειρμός

«Ο φωτισμός, τών εν σκότει κειμένων, η σωτηρία, τών απεγνωσμένων Χριστέ Σωτήρ μου πρός σέ ορθρίζω, Βασιλεύ τής ειρήνης, φώτισόν με τή επιλάμψει σου, άλλον γάρ εκτός σου Θεόν ουκ επίσταμαι».

Συμβολικώς, εκδημούσα τού βίου, καί πρός τήν θείαν, κατεπειγομένη τής απαθείας, τρίβον θεόφρον, διαβέβηκας πόθω, Ιορδάνου τά περιβόητα νάματα, καί δόξης αρρήτου τετύχηκας.

Αρρενωπόν, τήν ψυχήν κεκτημένη πρός τούς αγώνας, ώρμησας αθλούσα διαφερόντως, τών εναντίων, τήν δυσκάθεκτον πλάνην, καρτερούσα νεανικώτατα, τό τής εγκρατείας Μαρία αγλάϊσμα.

Γνώμη στερρά, εκτινάξασα Μήτερ τήν γυναικείαν, φύσιν καί τά πάθη δι' εγκρατείας, σύ λουσαμένη, ως εν θείω λειμώνι, εν ερήμω περιπολεύουσα,

έχαιρες ορώσα τό κάλλος τού Κτίστου σου.

Λόγοις ο πρίν, υποφθείρας τήν Εύαν έν Παραδείσω, καί τής αϊδίου τρυφής εκείνης, εξοστρακίσας, μηχαναίς πολυτρόποις, νύν πατείται καί καταβέβληται, τοίς ανδρικωτάτοις σου Μήτερ παλαίσμασιν.

Θεοτοκίον

Ανατολήν, τού Ηλίου τής δόξης, καί φωτοφόρον, όχημα Παρθένε τού Βασιλέως εν ώ επέβη, ο Υιός τού Υψίστου, κιβωτόν τε τής αγαθότητος, φέρουσαν εν κόσμω Χριστόν επιστάμεθα.

Ωδή ς' Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, Εκ φθοράς ο Θεός με ανάγαγε».

Ολοτρόπως εθέλχθης τώ έρωτι, τής επιφανείας Χριστού Παμμακάριστε, καί τών παθών τήν έφοδον, απεκρούσω ρωσθείσα τώ Πνεύματι.

Φαιδρυνθείσα τώ κάλλει τών έργων σου, τάς επαναστάσεις τού σκότους διέλυσας, καί τών εχθρών τά πρόσωπα, απημαύρωσας πόνοις ασκήσεως.

Ρωμαλέως τό όμμα ητένιζες, επικαλουμένη τήν μόνην Πανάμωμον, καί πρός αυτήν εκάστοτε, προσεπερειδομένη Πανεύφημε.

Θεοτοκίον

Ουρανών ανεδείχθης υπέρτερος, θρόνος Παναμώμητε τού Βασιλεύοντος, σωματικώς χωρήσασα, τής αυτού θεαρχίας τό πλήρωμα.

Κοντάκιον Ήχος γ'

Η Παρθένος

Η πορνείαις πρότερον, μεμεστωμένη παντοίαις, Χριστού νύμφη σήμερον, τή μετανοία εδείχθης, Αγγέλων τήν πολιτείαν επιποθούσα, δαίμονας, Σταυρού τώ όπλω καταπατούσα, διά τούτο βασιλείας, εφάνης νύμφη Μαρία πάνσεμνε.

Ο Οίκος

Τήν αμνάδα Χριστού καί θυγατέρα άσμασιν ευφημούμέν σε νύν, Μαρία παναοίδιμε, τήν τών Αιγυπτίων μέν αναφανείσαν θρέμμα, τήν πλάνην δέ τούτων πάσαν φυγούσαν, καί καλώς προσενεχθείσαν τή Εκκλησία βλάστημα τίμιον, δι' εγκρατείας καί δεήσεως, ασκήσασα υπέρ μέτρον τής ανθρωπίνης φύσεως, διό καί υψώθης εν Χριστώ διά βίου καί πράξεως, βασιλείας ουρανού φανείσα νύμφη, Μαρία πάνσεμνε.

Τό παρόν Κοντάκιον καί ο Οίκος τής Αγίας, ει τύχη εν τή Τεσσαρακοστή, ου λέγονται, ειμή εν Σαββάτω ή Κυριακή, ειδ' ού, τό Μαρτυρικόν τού τυχόντος Ήχου.

Συναξάριον

Τή Α' τού αυτού μηνός, Μνήμη τής οσίας Μητρός ημών Μαρίας τής

Αιγυπτίας.

Στίχοι

- Απήρε πνεύμα, σάρξ απερρύη πάλαι.
- Τόν όστινον γή κρύπτε νεκρόν Μαρίας.
- Πρώτη Απριλίου Μαρίη θάνεν εύχος ερήμου.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών καί Ομολογητού Μακαρίου, Ηγουμένου τής Πελεκητής.

Στίχοι

- Ο Μακάριος μακαριστός εν βίω,
- Μακαρίως νύν γή ενοικεί Μακάρων.

Τή αυτή ημέρα, Μνήμη τών αγίων Μαρτύρων Γεροντίου καί Βασιλείδου.

Στίχοι

- Σύν Βασιλείδη Γερόντιος εκ ξίφους,
- Γερών μετέσχε παμβασιλέως Λόγου.

Τή αυτή ημέρα, Μνήμη τού αγίου καί δικαίου Άχαζ.

Στίχοι

- Άχαζ Θεού πέφυκεν εστώς πλησίον,
- Άχαζ, ός είπεν, Ου Θεόν μου πειράσω.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδη ζ'  Ο Ειρμός

«Εικόνος χρυσής, εν πεδίω Δεειρά λατρευομένης, οι τρείς σου Παίδες κατεφρόνησαν, αθεωτάτου προστάγματος, μέσον δέ πυρός εμβληθέντες, δροσιζόμενοι έψαλλον, Ευλογητός εί ο Θεός ο τών Πατέρων ημών».

Νικήσαι ζητών, ο αλάστωρ πάσαν γήν, αντενικήθη, υπό γυναίου ο καυχώμενος, καί φρυαττόμενος άμετρα, καί νενεκρωμένος οράται ο νεκρώσας τόν άνθρωπον, καί τής τρυφής τής ζωηράς αποβαλλόμενος.

Ο θρέψας ποτέ, παραδόξως τόν λαόν εν τή ερήμω ούτος θεόφρον σοί γεγένηται αναψυχή καί παράκλησις, τρέφων απορρήτω δυνάμει, καί ποτίζων κραυγάζουσαν, Ευλογητός εί ο Θεός ο τών Πατέρων ημών.

Σταυρώ κραταιώς, πεφραγμένη τών παθών τάς τρικυμίας, απετινάξω ώσπερ θάλασσαν, θεοπτικώς διατέμνουσα, τής επαγγελίας πρός γήν δέ, απαθώς διαβαίνουσα, κληροδοσίαν κατοικείς τήν αδιάρρευστον.

Απείροις ορμαίς, τό εδραίον καί στερρόν τής καρτερίας σου, καταπαλαίσαι ο επίβουλος, τών ευσεβών ου κατίσχυσεν, όθεν τής αυτού απωλείας, κατεπαίρου κραυγάζουσα, Ευλογητός εί ο Θεός ο τών Πατέρων ημών.

Θεοτοκίον

Σαρκούται εκ σού, Μητροπάρθενε σεμνή ο ακατάληπτος, καί αναπλάττει εν τή μήτρα σου, ώς αγαθός τό ανθρώπινον, όθεν τών φρικτών ώς μεσίτιν, ανυμνούντές σε λέγομεν, Ευλογημένη η Θεόν σαρκί κυήσασα.

Ωδή η'  Ο Ειρμός

«Τόν εν καμίνω τού πυρός, τών  Εβραίων τοίς παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον μεταβαλόντα Θεόν, υμνείτε τά έργα ώς Κύριον, καί υπερυψούτε αυτόν εις τούς αιώνας».

Μαρμαρυγαίς τών αρετών ακτινοφωτοειδώς ηγλαϊσμένος, εις τόν σύμπαντα κόσμον, διαπεφοίτηκε νύν, ο φθόγγος τών κατορθωμάτων σου, όθεν σου τήν μνήμην πιστώς δοξολογούμεν.

Ανεκλαλήτου τής χαράς, ο θεόφρων Ζωσιμάς κατηξιώθη, σέ σαφώς εν ερημω τετηρηκώς καί βοών, Υμνείτε τά έργα τόν Κύριον, καί υπερυψούτε αυτόν εις τούς αιώνας.

Συμμετασχούσα τών γερών, καί τής θείας αμοιβής ηξιωμένη, θεοφόρε εμνήσθης, τού Ζωσιμά τής ορμής, καί τούτω συμψάλλουσα έλεγες, Σέ υπερυψούμεν Χριστέ είς τούς αιώνας.

Θεοτοκίον

Ίνα τόν άνθρωπον Σωτήρ, εξαρπάσης ο Θεός τού βροτοκτόνου, σαρκοφόρος ωράθης, επί τής γής άληθώς, φυλάξας αγνήν τήν τεκούσάν σε, όθεν σε υμνούμεν, εις πάντας τούς αιώνας.

Ωδή θ'  Ο Ειρμός

«Η τόν πρό ηλίου φωστήρα, τόν Θεόν εξανατείλαντα, σωματικώς ημίν επιδημήσαντα, εκ λαγόνων παρθενικών, αφράστως σωματώσασα, ευλογημένη Πάναγνε, σέ Θεοτόκε μεγαλύνομεν».

Μακαριωτάτης καί θείας, ηξιώθης μεταστάσεως, τών μυστηρίων πόθω κοινωνήσασα, καί τής αίγλης τής φωταυγούς, πλησθείσα Παμμακάριστε, καί τής αφράστου χάριτος, ηξιωμένη τού Νυμφίου σου.

Επί τών υδάτων αβρόχως, θεοφόρε επιβέβηκας, τής εκδημίας γνούσα τό απόρρητον, καί μετέστης τών επί γής, τό κάλλος τό αμήχανον, καταλαβούσα πάνσεμνε, καί τήν τερπνότητα τού Κτίστου σου.

Λαμπαδηφορούσα, καί καθωραϊσμένη τή λαμπρότητι, τών αρετών τόν θρόνον τού Παντάνακτος, εποπτεύεις καί τής αυτού, γλυκείας ωραιότητος, κατατρυφάς θεόληπτε, μετά δικαίων συγχορεύουσα.

Πόνων καί καμάτων πλουσίως, απολαύοντες τά έπαθλα, παρά Θεού Μαρία σύν θεόφρονι, Ζωσιμά άπασιν ημίν, καί νύν αυτόν εξιλεώσασθε, τήν τών

πταισμάτων άφεσιν, παρασχεθήναι ταίς ψυχαίς ήμών.

Θεοτοκίον

Ώφθης ανωτέρα απάντων, ποιημάτων Κόρη Δέσποινα, ώς τόν Δεσπότην πάντων εν κοιλία σου, υπέρ λόγον σωματικώς, βαστάσασα καί γάλακτι, μητροπρεπώς θηλάσασα, όθεν σε πάντες μεγαλύνομεν.

Η λοιπή Ακολουθία, ως σύνηθες, η Α' Ώρα καί Απόλυσις.

---

Αρχή

## ΤΗ Β' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών καί θαυματουργού Τίτου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά τού Τριωδίου γ' καί τού Αγίου προσόμοια γ'.

Ήχος πλ. δ'
Ω τού παραδόξου θαύματος

Τίτε θεόφρον Πατήρ ημών, τόν σόν βαστάσας σταυρόν, τώ Χριστώ ηκολούθησας, καί τά πάθη άπαντα, τή ψυχή καθυπέταξας, εντεύθεν χάριν εξ ύψους έλαβες, ιάσθαι πάθη τών προστρεχόντων σοι, παύειν νοσήματα, καί διώκειν πνεύματα, όθεν τήν σήν, μνήμην εορτάζομεν, πανηγυρίζοντες.

Τίτε παμμάκαρ Πατήρ ημών, ασκητικαίς αγωγαίς, ιερώς καθαιρόμενος, καί τόν νούν μεθέξεσι, θεϊκαίς φωτιζόμενος, Ιερωσύνης χρίσμα πανάγιον, τή επινεύσει τού θείου Πνεύματος, όντως εισδέδεξαι, λειτουργήσας άριστα, επί τής γής, τώ Θεώ καί Κτίστη σου, καθάπερ, Άγγελος.

Όσιε Τίτε θόπνευστε, Ορθοδοξίας φωτί, τήν ψυχήν λαμπρυνόμενος, σκοτεινής αιρέσεως, τήν αχλύν απεμείωσας, καί ανατείλας ώς φαεινότατος, αστήρ φωτίζεις κόσμου τά πέρατα, θαυματουργίαις σου, σελασφόροις πάντοτε, όθεν πιστώς πάντες σε γεραίρομεν, καί μακαρίζομεν.

Δόξα... Καί νύν... Θεοτοκίον

Ποίοις οφθαλμοίς θεάσωμαι, ωραίαν όψιν τήν σήν, ο μολύνας τοίς πάθεσι, τής σαρκός τά όμματα; ή πώς πάλιν ασπάσωμαι, τήν σήν εικόνα τήν θεοτύπωτον, βέβηλα χείλη έχων ο άσωτος; πώς δέ εκτείνω μου, πρός τήν θείαν χάριν σου, ο εναγής, χείρας άς ηχρείωσα; Δέσποινα σώσόν με.

Η Σταυροθεοτοκίον

Ήλιος ιδών σε έφριξεν, επί Σταυρού Ιησού, ηπλωμένον θελήματι, καί η γή εσείετο, καί πέτραι διερρήγνυντο, καί τά μνημεία φόβω ηνοίγοντο, καί αι δυνάμεις πάσαι εξίσταντο, η δέ τεκούσά σε, απειράνδρως βλέπουσα, μετ' οιμωγής, Οίμοι! ανεκραύγαζε, τί τό ορώμενον;

Απολυτίκιον  Ήχος πλ. δ'

Εν σοί Πάτερ ακριβώς, διεσώθη τό κατ' εικόνα, λαβών γάρ τόν Σταυρόν, ηκολούθησας τώ Χριστώ, καί πράττων εδίδασκες, υπεροράν μέν σαρκός, παρέρχεται γάρ, επιμελείσθαι δέ ψυχής, πράγματος αθανάτου, διό καί μετά Αγγέλων συναγάλλεται, Όσιε Τίτε τό πνεύμά σου.

Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, οι Κανόνες τής ημέρας, καί τού Αγίου.

Κανών τού Αγίου, ού η Ακροστιχίς (άνευ τών Θεοτοκίων).

Ο τών μοναστών στύλος υμνείσθω Τίτος.
Ποίημα Θεοφάνους.

Ωδή α' Ήχος πλ. δ' Ο Ειρμός
«Υγράν διοδεύσας ωσεί ξηράν, καί τήν Αιγυπτίαν, μοχθηρίαν διαφυγών, ο Ισραηλίτης ανεβόα, τώ Λυτρωτή καί Θεώ ημών άσωμεν».

Όλον με τοίς πάθεσι τής σαρκός, δεινώς εμπαγέντα, καί φθαρέντα ταίς ηδοναίς, θησαυρός υπάρχων απαθείας, ταίς σαίς πρεσβείαις με Τίτε διάσωσον.

Τή θεία τού Πνεύματος εκλογή, Θεώ προσηνέχθης, εκ σπαργάνων τών μητρικών, καί τής απειράνδρου Θεοτόκου, μύστης καί λάτρις εχρημάτισας.

Ως τής εγκρατείας τόν γλυκασμόν, θηλάσας απώσω, τήν πικρίαν τήν τών παθών, όθεν υπέρ μέλι καί κηρίον, ηδύνεις Πάτερ τάς ψυχάς ημών.

Νέον ως τού Παύλου σε φοιτητήν, Τίτον ευφημούμεν, τών εκείνου γάρ ζηλωτής, αγώνων εδείχθης θεομάκαρ, καί σύν αυτώ τό στέφος είληφας.
Θεοτοκίον
Λόγον τόν αμήτορα εκ Πατρός, απάτορα τούτον, επ' εσχάτων θεανδρικώς, εκύησας μόνη Θεομήτορ, ώς υπερτέρα πάσης κτίσεως.

Ωδή γ' Ο Ειρμός
«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Μύρον αγιάσματος, εκ τών ασκητικών Όσιε, αρωμάτων, όλως συνετέθης, εις οσμήν τού Θεού ημών.

Όπλον τήν εγκράτειαν, καί θυρεόν ευχήν Όσιε, έχων αεί, τάς αρχάς τού σκότους, θριαμβεύσας κατήσχυνας.

Νόμον τόν τού Πνεύματος, αντιτιθείς σοφώς έσβεσας, τόν τής σαρκός, νόμον καί νομίμως, τώ Κυρίω δεδούλευκας.

Άπασαν τήν έφεσιν, καί τήν διάνοιαν Όσιε, πρός τόν Χριστού, πόθον προσερείσας, τών γηίνων ηλόγησας.

Θεοτοκίον

Ίλεων γενέσθαι μοι, εκδυσωπώ αεί Δέσποινα, ταίς σαίς ευχαίς, τόν εκ σού τεχθέντα, εν ημέρα τής κρίσεως.

## Κάθισμα Ήχος δ'

Ταχύ προκατάλαβε

Δακρύων τοίς ρεύμασι, καθάπερ δένδρον σοφέ, άεί πιαινόμενος, δικαιοσύνης καρπούς, πλουσίως εξήνθησας, όθεν σε συνελθόντες, επαξίως τιμώμεν, Τίτε θαυματοφόρε, ασκητών ωραιότης, αλλά ταίς ικεσίαις ταίς σαίς, πάντας περίσωζε.

Έτερον, Έπεφάνης σήμερον

Τόν τού βίου τάραχον, εγκαταλείψας, καί ησύχως άπαντα, ζήσας τόν βίον σου σοφέ, πρός τόν Θεόν μεταβέβηκας, θαυματοφόρε Πατήρ ημών όσιε.

Θεοτοκίον, όμοιον

Εν τή σκέπη άχραντε, τή σή Παρθένε, προσφυγόντες άπαντες, δεόμεθά σου εκτενώς, Μή διαλίπης πρεσβεύουσα, τώ φιλανθρώπω σωθήναι τούς δούλους σου.

Η Σταυροθεοτοκίον

Εν Σταυρώ σε Δέσποτα, προσηλωμένον, η αμνάς καί Μήτηρ σου, Κατανοούσα μητρικώς, οδυρομένη εβόα σοι, Τέκνον, υμνώ σου τό άφατον έλεος.

## Ωδή δ' Ο Ειρμός

«Εισακήκοα Κύριε, τής οικονομίας σου τό μυστήριον, κατενόησα τά έργα σου, καί εδόξασά σου τήν θεότητα».

Σηπεδόνα Μακάριε, τήν τής αμαρτίας πώσαν διέπτυσας, καί τώ βέλει τής ασκήσεως, τών δαιμόνων σμήνος ετραυμάτισας.

Τής αγνείας τώ έρωτι, τήν ψυχήν τρωθείς θερμώς ηκολούθησας, τώ Χριστώ, καί εισελήλυθας, εις νυμφώνα δόξης Παμμακάριστε.

Ως λειμών ευωδέστατος, καί τών αρετών παράδεισος έμψυχος, τήν εγκράτειαν εξήνθησας, δι' ής πάντας τρέφεις τούς τιμώντάς σε.

Νομοθέτην ασκήσεως, καί τής απλανούς εικόνα πραότητος, ως Μωσήν σε καί Δαυϊδ αληθώς, κεκτημένοι πάντες μακαρίζομεν.

Θεοτοκίον

Χερουβίμ υπερτέραν σε, καί τών Σεραφίμ υμνούμεν Πανάμωμε, όν γάρ

τρέμουσι τά σύμπαντα, εν σαρκί εβάστασας ταίς αγκάλαις σου.

Ωδή ε' Ο Ειρμός

«Ίνα τί με απώσω, από τού προσώπου σου το φώς το άδυτον, καί εκάλυψέ με, τό αλλότριον σκότος τόν δείλαιον; αλλ' επίστρεψόν με, καί πρός τό φώς τών εντολών σου, τάς οδούς μου κατεύθυνον δέομαι».

Σβέσας πάντα τά πάθη, δρόσω τών αγώνων σου Τίτε μακάριε, και τό πύρ ανάψας, δαψιλώς τής αγάπης καί πίστεως, εγκρατείας λύχνος, καί φωτισμός τής απαθείας, καί ημέρας υιός εχρημάτισας.

Τόν τής πίστεως βότρυν, θεία γεωργία σου Πάτερ, εξέθρεψας, καί ληνοίς απέθου, καί εξέθλιψας πόνοις ασκήσεως, καί κρατήρα πλήσας, πνευματικόν τής εγκρατείας, κατευφραίνεις καρδίας τής ποίμνης σου.

Υπομείνας γενναίως, προσβολάς καί στίγματα δαιμόνων Όσιε, άνεδείχθης στύλος, καρτερίας στηρίζων τήν ποίμνην σου, βακτηρία θεία, επί νομάς τής εγκρατείας, καί εφ' ύδωρ εκτρέφων μακάριε.

Θεοτοκίον

Ως λιμένα σε πάντες, τείχος καί οχύρωμα καί σκέπην Άχραντε, καί πρός βασιλείαν, ακαταίσχυντον εισοδον έχοντες, τής ημών ελπίδος, μή εκπεσείν εκδυσωπούμεν, μητρικαίς σου πρεσβείαις πανάμωμε.

Ωδή ς' Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αί ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

Λύσας παθών τήν αχλύν, καί τήν ζοφώδη σκοτόμαιναν, ημέραν ανατολής, καί φώς εν ταίς τρίβοις σου, ανέτειλας Όσιε, εκ πολλών αγώνων, καί κινδύνων τών τής πίστεως.

Όλως εξέστης Θεώ, τώ έρωτι τής ασκήσεως, καί κόσμον καταλιπών, καί τά κοσμοκράτορος, εδράξω θεόληπτε, τής υπερκοσμίου, βασιλείας τήν απόλαυσιν.

Συνέλεξας εν ψυχή, τόν θείον πλούτον τής χάριτος, τήν άμεμπτον προσευχήν, αγνείαν σεμνότητα, αγρυπνίαν σύντονον, δι' ών εγνωρίσθης, οίκος όντως τού Θεού ημών.

Ύλης τής κάτω σοφέ, παρέδραμες τήν ευτέλειαν, αϋλωδέ προσευχή, τόν νούν ανεπτέρωσας, καί τής άνω λήξεως, κληρονόμος ώφθης, διά βίου τελειότητος.

Θεοτοκίον

Συνείληφας αληθώς, Θεού τόν Λόγον εν μήτρα σου, καί τούτον υπερφυώς,

Πανάμωμε τέτοκας, όν λιταίς ιλέωσαι, τών κινδύνων πάντας, εκλυτρώσασθαι τούς δούλους σου.

Τό μαρτυρικόν τού Ήχου.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Β' τού αυτού μηνός, Μνήμη τού οσίου Πατρός ημών Τίτου.

Στίχοι

- Τί τούτο, Τίτε; καί σύ λείπεις εκ βίου;
- Λείπω μεταστάς, δόξαν ούτω Κυρίω.
- Δευτερίη Τίτοιο από ψυχήν Νόες ήραν.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων καί αυταδέλφων Αμφιανού καί Αιδεσίου.

Στίχοι

- Σώ συμβυθισθείς Αμφιανέ συγγόνω,
- Ύδωρ θαλάσσης αμφιέννυμαι, λέγε.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Παρθενομάρτυρος Θεοδώρας.

Στίχοι

- Σεμνή, καλή τε η Θεοδώρα ούσα,
- Δώρον προσήχθη ευάρεστον Κυρίω.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Πολυκάρπου.

Στίχοι

- Ως κλήμα τμηθείς Πολύκαρπος Κυρίου,
- Τόν καρπόν ούτω πλείονα Χριστώ φέρει.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ' Ο Ειρμός

«Οι εκ τής Ιουδαίας, καταντήσαντες Παίδες εν Βαβυλώνι ποτέ, τή πίστει τής Τριάδος, τήν φλόγα τής καμίνου, κατεπάτησαν ψάλλοντες, ο τών Πατέρων ημών Θεός ευλογητός εί».

Μή βραχείς αμαρτίαις, ποταμός εγκρατείας Πάτερ εδείχθης ημίν, τά πάθη κατακλύζων, καί ρύπον εκκαθαίρων, τών βοώντων εκ πίστεως, ο τών πατέρων ημων Θεός ευλογητός εί.

Νύν αϋλοις χορείαις, ομιλών θεομάκαρ καί τής λαμπρότητος, τής άνω βασιλείας, αλήκτως απολαύων, εποπτεύεις τούς ψάλλοντας, ο τών πατέρων ημών Θεός ευλογητός εί.

Εν τή ομολογία, τή τής Πίστεως Πάτερ έμεινας άτρεπτος, Χριστόν γάρ

εικονίζων, σαρκί καί περιγράφων, προσεκύνεις καί έκραζες, ο τών Πατέρων ημών Θεός ευλογητός εί.

Ιησού τού Δεσπότου, εν τώ σώματι φέρων Πάτερ τά στίγματα, καμέ καταστιχθέντα, τώ βέλει τού Βελίαρ, ιατρεύεις κραυγάζοντα, ο τών Πατέρων ήμων Θεός ευλογητός εί.

Θεοτοκίον

Υπέρ φύσιν καί λόγον, τόν Δεσπότην τών όλων εκυοφόρησας, καί τρέφεις εκ μαζών σου, τόν πάσιν ευκαιρία, ετοιμάζοντα τράπεζαν, Όν εκτενώς Αγαθή υπέρ ημών δυσώπει.

## Ωδή η' Ο Ειρμός

«Τόν Βασιλέα τών ουρανών, όν υμνούσι, στρατιαί τών Αγγέλων, υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Στήλην σε έμπνουν ώς αληθώς καί εικόνα, εγκρατείας Πάτερ κεκτημένοι, Τίτε σου τήν μνήμην, τιμώμεν εις αιώνας.

Θίασος χαίρει τών Μοναστών, καί χορεύει, τών Οσίων δήμος καί Δικαίων, στέφος γάρ αξίως, σύν τούτοις εκομίσω.

Ωραϊσμένος ταίς αρεταίς, εις νυμφώνα, τής αρρήτου δόξης ανεκλήθης, ύμνον αναμέλπων, Χριστώ εις τούς αιώνας.

Τήν διπλοϊδα τήν Ιεράν εστολίσω, καί τελών θυσίας αναιμάκτους, θύμα προσηνέχθης, Θεώ εις τούς αιώνας.

Θεοτοκίον

Εν τή νηδύϊ σου τόν πρό σού συλλαβούσα, Θεομήτορ άχραντε Παρθένε, τέτοκας αφράστως, Χριστόν τόν Βασιλέα.

## Ωδή θ' Ο Ειρμός

«Τήν αγνήν ενδόξως τιμήσωμεν, λαοί Θεοτόκον, τήν τό πύρ τής θεότητος, δεξαμένην εν γαστρί αφλέκτως, εν ύμνοις μεγαλύνωμεν».

Ιατήρ νοσούντων εν πάθεσι, θεόθεν εδείχθης, ελατήρ δέ Μακάριε, καί διώκτης πονηρών δαιμόνων, διό σε μακαρίζομεν.

Τήν γήν ώς φθοράς οικητήριον, κατέλιπες Πάτερ, καί εις γήν κατεσκήνωσας τών πραέων, καί σύν αυτοίς αγάλλη, θείας απολαύων τρυφής.

Όρον απαρέγκλιτον πίστεως, καί τής εγκρατείας, υποτύπωσιν έχοντες, τούς σούς πόνους αληθώς, τόν Κτίστην, εν ύμνοις μεγαλύνομεν.

Σήμερον ημέρα εόρτιος, συγκαλεί γάρ Τίτος, Μοναζόντων τα ποίμνια, εις χορείαν καί κοινήν εστίασιν, καί βρώσιν ακηρατου ζωής.

Θεοτοκίον

Ο εν σοί σκηνώσας Πανάμωμε, τόν πρίν τούς γενάρχας, κακοτρόπως πτερνίσαντα, βροτοκτόνον καταβαλών ετέχθη, καί πάντας ημάς έσωσεν.

Τό Φωταγωγικόν, τό Ιδιόμελον τής ημέρας, εις τόν Στίχον, καί η λοιπή Ακολουθία ως σύνηθες καί Απόλυσις.

---

Αρχή

## ΤΗ Γ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών καί Ομολογητού Νικήτα, Ηγουμένου τής Μονής τού Μηδικίου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά τού Τριωδίου γ' καί τού Οσίου Προσόμοια γ'.

Ήχος β'

Ότε, εκ τού ξύλου σε νεκρόν

Λόγω, κυβερνώμενος ψυχών, θείος οικονόμος εδείχθης, μυσταγωγός τε πιστός, σπέρματα σωτήρια καταβαλλόμενος, καί θερίζων τόν άσταχυν, πολύχουν θεόφρον, τούτον τώ Δεσπότη σου, φέρεις γηθόμενος, ώ νύν παριστάμενος μάκαρ, μέμνησο τής ποίμνης σου ταύτης, τής αεί τιμώσης σε θεόπνευστε.

Πράος, πεφυκώς καί προσηνής, τής Ορθοδοξίας τώ ζήλω, ώφθης μαχόμενος, πίστιν γάρ ώς θώρακα περιβαλλόμενος, καί ώς δόρυ εγκράτειαν, Νικήτα θεόφρον, άπασαν τήν βλάσφημον, αίρεσιν ήλεγξας, θείαν, τού Σωτήρος εικόνα, σέβων καί τιμών θεοφόρε, όροις πατρικοίς σαφώς επόμενος.

Ότε, εξορίαις σε πικραίς, καί σκοτεινοτάτοις εν τόποις, ο σκοτεινότατος, τύραννος κατέκλεισε θηρών ωμότητι, Παραδείσου τήν οίκησιν, εν νώ περιφέρων, χαίρων τε τώ πνεύματι, Πάτερ υπέμεινας, ού νύν, τήν ευπρέπειαν βλέπειν, όντως κατηξίωσαι μάκαρ, τά τών πόνων έπαθλα δρεπόμενος.

Δόξα... Καί νύν... Θεοτοκίον

Στένω, εκ βαθέων τής ψυχής, όταν εννοήσω μου Κόρη, τά πλημμελήματα, τύπτω δέ τό στήθός μου, κράζων τό, Ήμαρτον, καί προσπίπτω σοι Δέσποινα, ζητών μεταγνώναι, πάλιν δέ ηλίθιος ών, περιπείρομαι Οίμοι τή κακή συνηθεία, Ταύτης ούν με λύτρωσαι τάχει, καί πρός σωτηρίαν καθοδήγησον.

Η Σταυροθεοτοκίον

Σκότος, ενεδύσατο ποτέ, ήλιος ορών σε εν ξύλω, Σώτερ κρεμάμενον, έφριξαν δέ κάτωθι τά καταχθόνια, καί νεκροί εξανέστησαν, ερράγησαν πέτραι, καί τά επουράνια πάντα εξέστησαν, σού δέ τώ Σταυρώ παρεστώσα, έκλαιεν η άχραντος Κόρη, ανυμνολογούσά σε φιλάνθρωπε.

Απολυτίκιον Ήχος πλ. δ’

Ορθοδοξίας οδηγέ, ευσεβείας διδάσκαλε καί σεμνότητος, τής οικουμένης ο φωστήρ, τών μοναζόντων θεόπνευστον εγκαλλώπισμα, Νικήτα σοφέ ταίς διδαχαίς σου πάντας εφώτισας, λύρα τού Πνεύματος, Πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η Στιχολογία, ώς σύνηθες. Οι Κανόνες τής ημέρας, καί τού Αγίου.

Ο Κανωντού Αγίου, ού η Ακροστιχίς (άνευ τών Θεοτοκίων).

Τόν σόν γεραίρω παμφαή βίον Πάτερ.
Ποίημα Θεοφάνους.

Ωδή α' Ήχος β' Ο Ειρμός

«Εν βυθώ κατέστρωσε ποτέ, τήν Φαραωνίτιδα πανστρατιάν, η υπέροπλος δύναμις, σαρκωθείς ο Λόγος δέ, τήν παμμόχθηρον αμαρτίαν εξήλειψεν, ο δεδοξασμένος Κύριος, ενδόξως γάρ δεδόξασται».

Τώ φωτί τής θείας αστραπής, Πάτερ αυγαζόμενος, σού τήν ζωήν τώ Θεώ καθιέρωσας, εκ παιδός ελόμενος, παρθενίας τήν φωσφόρον λαμπρότητα, δι' ής ωμοιώθης, τή τών Ασωμάτων καθαρότητι.

Οδηγώ τώ θείω καί σεπτώ, Πνεύματι χρησάμενος, θεοειδεί τών μοναζόντων σχήματι, καθαρώς ωμίλησας, καί διέμεινας πολυφώτω πυρσούμενος, αίγλη θεοφόρε, βίον καθαρώτατον κτησάμενος.

Νευρωθείς δυνάμει τού Σταυρού, πάθη κατεμάρανας, τά τής σαρκός, καί τόν νούν κατελάμπρυνας, ώ Νικήτα πάνσοφε, τή μελέτη τών διδαγμάτων τού Πνεύματος, θείας θεωρίας, πλούτον αδαπάνητον καρπούμενος.

Σωφροσύνη μάκαρ λαμπρυνθείς, καί τή καθαρότητι, πρός ιεράν ανηνέχθης ακρότητα, τής ιερωσύνης γάρ, λαμπροτάτω κατεκοσμήθης ενδύματι, θείων μυστηρίων, Όσιε μεσίτης γνωριζόμενος.

Θεοτοκίον

Υπερτέρα πέφηνας Αγνή, πάσης αοράτου τε, καί ορατής Αειπάρθενε κτίσεως, τόν γάρ Κτίστην τέτοκας, ώς ηυδόκησε σαρκωθήναι εν μήτρα σου, Ώ σύν παρρησία, πρέσβευε σωθήναι τάς ψυχάς ημών.

Ωδή γ' Ο Ειρμός

«Εξήωθησεν η έρημος, ωσεί κρίνον Κύριε, η τών εθνών στειρεύουσα,

Εκκλησία τή παρουσία σου, εν ή εστερεώθη η καρδία μου».

Ουράνιον κτησάμενος, πολιτείαν ένδοξε, φωτοειδής καί έκλαμπρος, ευσεβείας φωστήρ γεγένησαι, διαπρέπων εωθέοις σου χαρίσμασι.

Νεκρώσας τά φρονήματα, τής σαρκός σου πάνσοφε, δι' αρετής εζώωσας, θεοφρόνως ψυχής τό έωθεον, καί ζωής τής αφθάρτου κατηξίωσαι.

Γηθόμενος διήνυσας, σού τόν βίον Όσιε, πεποικιλμένος κάλλεσι, καί ωραίοις πλουτών χαρίσμασιν, εν οίς εστερεώθη η καρδία σου.

Εξέλαμψας ώς ήλιος, μοναζόντων τάγμασι, ταίς αρεταίς κοσμούμενος, ώ Νικήτα θεόφρον Όσιε, διό σε γεγηθότες μακαρίζομεν.

Θεοτοκίον

Ως Μήτηρ κεκτημένη σύ, παρρησίαν Δέσποινα, πρός τόν Υιόν σου αίτησαι, επαμύναι λαώ καί ποίμνη σου, τών ανόμων δέ θραύσαι τά φρυάγματα.

Κάθισμα Ήχος δ'

Ταχύ προκατάλαβε

Ηυλίσθης εν όρεσι, τής ησυχίας σοφέ, ετράφης εν πόλεσι, τής εγκρατείας σαφώς, υψώθης αμφοτέρωθεν, έλιπες χαμαιζήλου, ηδονής πολιτείαν, έφθασας ουρανίου, τήν μονήν κατοικίας, εν ή καθικετεύεις υπέρ ημών τόν Θεόν.

Θεοτοκίον

Πολλοίς πλημμελήμασιν, εγώ ο άσωτος, τόν νούν σκοτιζόμενος, επιβοώμαι τήν σήν, βεβαίαν αντίληψιν, Φώτισον Θεοτόκε, τής ψυχής μου τάς κόρας, λάμψον μοι μετανοίας, τό λαμπρότατον φέγγος, καί ένδυσόν με όπλα τού φωτός Πανάμωμε.

Η Σταυροθεοτοκίον

Σταυρώ σε υψούμενον, ώς εθεάσατο, η άμωμος Μήτηρ σου, Λόγε Θεού μητρικώς, θρηνούσα εφθέγγετο, Τί τό καινόν καί ξένον, τούτο θαύμα Υιέ μου; πώς η ζωή τών όλων, ομιλείς τώ θανάτω; ζωώσαι τούς τεθνεώτας θέλων ως εύσπλαγχνος.

Ωδή δ' Ο Ειρμός

«Ελήλυθας, εκ Παρθένου ού πρέσβυς, ουκ Άγγελος, αλλ' αυτός ο Κύριος, σεσαρκωμένος, καί έσωσας, όλον με τόν άνθρωπον, διό κραυγάζω σοι, Δόξα τή δυνάμει σου Κύριε».

Ριζοτόμος, τών παθών θεοφόρε δεικνύμενος, ψυχής καθαρότητι, τών θεομάχων ανέσπασας, άπασαν ψυχόλεθρον, Ιερομύστα απάτην πανσεβάσμιε.

Αράμενος, τόν τής νίκης πανόλβιε στέφανον, σκηναίς ουρανίοις νύν, επαναπαύη μακάριε, πάθη τιναξάμενος, καί τήν απάθειαν Πάτερ

ενδυσάμενος.

Ιερείον, ώσπερ άμωμον Πάτερ τόν βίον σου, Χριστώ προσενήνοχας, θείας αγάπης ανάπλεων, καί τώ τής ασκήσεως, ωραϊζόμενον κάλλει παμμακάριστε.

Ρητορείας, ψυχοφθόρου Παμμάκαρ αιρέσεως, τρανώς εξεφαύλισας, Χριστού τιμών θείαν μόρφωσιν, καί τής Θεομήτορος, καί τών Αγίων απάντων Ιερώτατε.

Θεοτοκίον

Σέ λιμένα, σωτηρίας καί τείχος ακράδαντον, Θεοτόκε Δέσποινα, πάντες πιστοί επιστάμεθα, σύ γάρ ταίς πρεσβείαις σου, εκ τών κινδύνων λυτρούσαι τάς ψυχάς ημών.

Ωδή ε' Ο Ειρμός

«Μεσίτης Θεού, καί ανθρώπων γέγονας, Χριστέ ο Θεός, διά σού γάρ Δέσποτα, τήν πρός τόν αρχίφωτον Πατέρα σου, εκ νυκτός αγνωσίας, προσαγωγήν εσχήκαμεν».

Ως πράος εν γή, τών πραέων ώκησας, Νικήτα σοφέ, μαχητής γενόμενος, υπέρ αληθείας πανοίδιμε, καί τής ομολογίας, στέφει λαμπρώς κοσμούμενος.

Πρός ένθεον φώς, νύν μετέστης Όσιε, φωτός γεγονώς, υιός ενδιάθετος, εν αγαλλιάσει καί τερπνότητι, σύν χοροίς τών Αγγέλων, χαρμονικώς γηθόμενος.

Αφράστου τρυφής, Παραδείσου γέγονας νύν μέτοχος, λιμήν γάρ πανεύδιος, τοίς χειμαζομένοις αναδέδειξαι, καί λιμώττουσι μάκαρ, διατροφεύς γεγένησαι,

Θεοτοκίον

Δυσώπει τόν σόν, Υιόν καί Κύριον Παρθένε αγνή, αιχμαλώτοις λύτρωσιν, τοίς εξ εναντίας περιστάσεως, επί σοί πεποιθόσιν, ειρηνικήν δωρήσασθαι.

Ωδή ς' Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, Εκ φθοράς ο Θεός με ανάγαγε».

Μακαρίων ελπίδων επέτυχες, Πάτερ παμμακάριστε, μακαριότητος, δεσποτικής γενόμενος, κληρονόμος καί θείας ελλάμψεως.

Φωτοφόρους λαμπάδας κατέχων διπλάς, τής Ομολογίας σου, καί τής ασκήσεως, εις ουρανούς εχώρησας, θεοφόρε Νικήτα πανάριστε.

Απολαύων αλήκτου καί θείας τρυφής, εν επουρανίοις νύν Πάτερ σκηνώμασιν, υπέρ ημών δυσώπησον, τόν τών όλων Δεσπότην καί Κύριον.

Θεοτοκίον

Απειράνδρως Παρθένε εκύησας, καί διαιωνίζεις παρθένος εμφαίνουσα, τής αληθούς θεότητος, τού Υιού καί Θεού σου τά σύμβολα.

Τό Μαρτυρικόν τού Ήχου.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Γ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Νικήτα τού Ομολογητού, Ήγουμένου τής Μονής τού Μηδικίου.

Στίχοι

- Ρυσθείς βίου Νικήτας, ως στρουθός πάγης,
- Πτεροίς νοητοίς ίπταται πρός τόν πόλον.
- Νικήταν καλέουσι τρίτη επί δώρα θεοίο.

Τή αυτή ημέρα, Μνήμη τού οσίου Πατρός ημών Ιωσήφ τού Υμνογράφου.

Στίχοι

- Ζώντος Θεού σύ θείος υμνητής Πάτερ,
- Εγώ δέ σού θανόντος υμνητής νέος.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Ελπιδηφόρου.

Στίχοι

- Ξίφους αληθής μάρτυς Ελπιδηφόρος,
- Θεόν φέρει άψευστον ευελπιστίαν.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Δίου.

Στίχοι

- Βαλών κεράμω δυσσεβής Δίου κάραν,
- Ως σκεύος αυτήν συντρίβει κεραμέως.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Βυθονίου.

Στίχοι

- Ο Βυθόνιος εις βυθόν βεβλημένος,
- Τήν κλήσιν εύρεν εις προφητείαν τέλους.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Γαλύκου.

Στίχοι

- Δηχθείς οδούσι Γάλυκος τών θηρίων.
- Θηρός νοητού τούς οδόντας συντρίβει.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Ιλλυριού, τού εν τώ όρει τού Μυρσιώνος.

Στίχοι

- Εκ Μυρσιώνος, Ιλλυριέ, πρός πόλον,
- ουχ ως ο Χριστός εξ Ελαιώνος φέρη.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον καί σώσον ημάς. Αμήν.

## Ωδή ζ'  Ο Ειρμός

«Αντίθεον πρόσταγμα παρανομούντος, τυράννου μετάρσιον, τήν φλόγα ανερρίπισε, Χριστός δέ εφήπλωσε θεοσεβέσι Παισί, δρόσον τήν τού Πνεύματος, ο ών ευλογημένος καί υπερένδοξος».

Η σή επιείκεια διαφερόντως, εις χούν εταπείνωσε τυράννου τήν ωμότητα, συντόνοις δεήσεσι τούτον νεκρώσασα, οίδε γάρ τό θέλημα ποιείν τών φοβουμένων αυτόν ο Κύριος.

Βροντή τών δογμάτων σου, καί η φωσφόρος, αστραπή τού βίου σου, τόν κόσμον κατεφαίδρυνε, πιστούς καταυγάζουσα θεοφεγγέσι πυρσοίς, λόγοις τε καί πράξεσι φαιδραίς, Ιερομύστα θεομακάριστε.

Ισχύι νευρούμενος τού Παρακλήτου, δαιμόνων τάς φάλαγγας καί βρόχους τών αιρέσεων, θεόφρον διέφυγες καί πρός ουράνιον, ύψος ανελήλυθας, χοροίς τών Ασωμάτων νύν αυλιζόμενος.

### Θεοτοκίον

Αγίων Αγίαν σε κατανοούμεν, ώς μόνην κυήσασαν, Θεόν τόν αναλλοίωτον, Παρθένε αμόλυντε, Μήτηρ ανύμφευτε, πάσι γάρ επήγασας πιστοίς, τήν αφθαρσίαν τώ θείω τόκω σου.

## Ωδή η'  Ο Ειρμός

«Κάμινος ποτέ, πυρός εν Βαβυλώνι, τάς ενεργείας διεμέριζε, τώ θείω προστάγματι, τούς Χαλδαίους Καταφλέγουσα, τούς δέ Πιστούς δροσίζουσα, κράζοντας, Ευλογείτε, πάντα τά έργα τόν Κύριον».

Όλην υπερβάς, τήν αίσθησιν Τρισμάκαρ, τώ νοητώ νύν προσωμίλησας, φωτί πανσεβάσμιε, θεοπτίας αξιούμενος, καί φωτισμού πληρούμενος, κράζων, Υπερυψούτε, πάντα τά έργα τόν Κύριον.

Νέκρωσιν παθών, σαφώς ενδεδυμένος, πρός ζωηφόρον επεδήμησας, χορείαν Πανόλβιε, ευσεβεία πυρπολούμενος, καί αρεταίς λαμπόμενος, κράζων, Υπερυψούτε, πάντα τά έργα τόν Κύριον.

Πάσαν αρετήν, εκ βρέφους εξασκήσας, επί τώ τέλει τών αγώνων σου, στεφάνω κοσμούμενος, τών χαρίτων αναδέδειξαι, καί τό βραβείον είληφας, ψάλλων, Υπερυψούτε, πάντα τά έργα τόν Κύριον.

Ανωθεν ημάς, νύν εποπτεύεις Πάτερ, τώ σώ Δεσπότη παριστάμενος, Νικήτα φερώνυμε, παρρησία πολλή χρώμενος, καί ψυχικήν αιτούμενος, ένδοξε σωτηρίαν, ιεροφάντορ τή Ποίμνη σου.

### Θεοτοκίον

Σύ τόν τού Πατρός, αχώριστον εν μήτρα, θεανδρικώς πολιτευσάμενον, ασπόρως συνέλαβες, καί αφράστως απεκύησας, Θεογεννήτορ άχραντε, όθεν

σε σωτηρίαν, πάντων ημών επιστάμεθα.

Ωδή θ'  Ο Ειρμός

«Ανάρχου Γεννήτορος, Υιός Θεός καί Κύριος, σαρκωθείς εκ Παρθένου ημίν επέφανε, τά εσκοτισμένα φωτίσαι, συναγαγείν τά εσκορπισμένα, διό τήν πανύμνητον, Θεοτόκον μεγαλύνομεν».

Τής θείας λαμπρότητος, ως καθαρός ηξίωσαι, αρετών ταίς ιδέαις εξαστραπτόμενος, καί ομολογίας στεφάνω, διαπαντός εκλελαμπρυσμένος, διό τήν πανένδοξον, εορτήν σου νύν γεραίρομεν.

Εμφρόνως μακάριε, σού τήν ζωήν διήνυσας, προσταγαίς τού Σωτήρος διευθυνόμενος, νύν δέ τής σκιάς παρηγμένης, περιχαρώς ζωής αιωνίου, αξίως τετυχηκας, θεορρήμον Ιερώτατε,

Ρεόντων οξύτατα, παρέδραμες τόν τάραχον, γαληνώ δέ Νικήτα τής βασιλείας Χριστού, χαίρων προσωρμίσθης λιμένι, πρός όν ημάς οδήγησον Πάτερ, τούς σέ μακαρίζοντας, καί τήν μνήμην σου γεραίροντας.

Θεοτοκίον

Ως πόκος Πανάμωμε, τόν όμβρον τόν ουράνιον, εν γαστρί δεξαμένη, ημίν εκτέτοκας, τόν τήν αμβροσίαν διδούντα, πάσι βροτοίς αυτόν προσκυνούσι, καί σέ τήν πανύμνητον, Θεοτόχον μεγαλύνουσι.

Τό Φωταγωγικόν, καί η λοιπή Ακολουθία τού Όρθρου, ώς σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Δ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Γεωργίου τού εν τώ Μαλαιώ (ή Μαλεώ).

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους στ' καί ψάλλομεν Στιχηρά Προσόμοια τού Τριωδίου γ' καί τού Οσίου γ'.

Ήχος β'  Ότε, εκ τού ξύλου σε

Όλος, ανακείμενος θερμώς, όλη τή ψυχή συνημμένος, τώ παντεπόπτη Θεώ, θείους εγεώργησας καρπούς τού Πνεύματος, ησυχίαν εγκράτειαν, αγάπην ελπίδα, τήν μακροθυμίαν τε, καί τήν πραότητα, δρόμον, πρός τήν άνω πορείαν, πίστιν καί χρηστότητα Πάτερ, μεγαλοπρεπώς επιδεικνύμενος.

Χάρις, η τού Πνεύματος εν σοί, ώς καθαρωτάτω καί πράω κατασκηνώσασα, πάσι κατεκόσμησεν αρετής είδεσι, καί ποικίλοις χαρίσμασιν, ελάμπρυνε Πάτερ, όθεν καί γεώργιον, Χριστού φερώνυμον, ώφθης γεωργήσας

εμφρόνως, αύλακας τής σής διανοίας, αξιομακάριστε Γεώργιε.

Χαίρων, τών μελλόντων αγαθών, Πάτερ τή ελπίδι τούς πόνους, ράον υπήνεγκας, πρόθυμος τοίς έμπροσθεν επεκτεινόμενος, τών οπίσω δέ πάνσοφε, ποιούμενος λήθην, έως τό μακάριον, τέλος κατέλαβες, πλήρης αρετών εργασίαις, καί μακαριότητος θείας, Όσιε Γεώργιε τετύχηκας.

Δόξα... Καί νύν... Θεοτοκίον

Χαίροις, όντως θρόνε τού Θεού, καί τού Βασιλέως καθέδρα, χαίρε ζωής κιβωτέ, χαίρε αγιάσματος, πηγή ακένωτε, μυροθήκη τού Πνεύματος, τρυφή Παραδείσου, χαίρε η απόλαυσις, η μυστική τών ψυχών, χαίρε, η χαρά τών Οσίων, χαίρε αγαλλίαμα πάντων, τών σοί προστρεχόντων Θεονύμφευτε.

Η Σταυροθεοτοκίον

Θρήνοις, κοπτομένη η, Αμνάς, δάκρυσι πικροίς τε τάς όψεις καταρραντίζουσα, ξύλω ενητένιζε, Σταυρού η άμεμπτος, καί τάς χείρας εκτείνουσα, Υιέ μου εβόα, πού νύν απελεύσομαι; τίνα καλέσω Υιόν, οίμοι! πώς μεμόνωμαι τέκνον! πώς δέ μου τό φώς ημαυρώθη! ράγητε τά σπλάγχνα καί σπαράχθητε.

Απολυτίκιον Ήχος πλ. δ'

Ταίς τών δακρύων σου ροαίς, τής ερήμου τό άγονον εγεώργησας, καί τοίς εκ βάθους στεναγμοίς, εις εκατόν τούς πόνους εκαρποφόρησας, καί γέγονας φωστήρ τή οικουμένη λάμπων τοίς θαύμασι, Γεώργιε πατήρ ημών, Όσιε, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ήμών.

Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τού Τριωδίου καί τού Αγίου.

Ο Κανών τού Αγίου, ού η, Ακροστιχίς.

Τούς σούς προθύμους, ώ Πάτερ, μέλπω πόνους.

Ποίημα Θεοφάνους.

Ωδή α' Ήχος β' Ο Ειρμός

«Δεύτε λαοί, άσωμεν άσμα Χριτω Θεώ, τώ διελόντι θάλασσαν, καί οδηγήσαντι, τόν λαόν όν ανήκε, δουλείας Αιγυπτίων, ότι δεδόξασται».

Τρισσοφαεί, τής θεαρχίας λαμπρότητι, πεφωτισμένος Όσιε, κόσμον κατέλιπες, καί παθών τήν ομίχλην, καί βίω λαμπροτάτω Πάτερ διέπρεψας.

Οδηγηθείς, θεία προνοία Γεώργιε, πρός ουρανόν τήν φέρουσαν, τρίβον εβάδισας συνεργόν κεκτημένος τόν μόνον ευεργέτην, καί πανοικτίρμονα.

Υπό Θεού μάκαρ σαφώς κυβερνώμενος, υιοθεσίας χάριτι, καταλαμπόμενος, διετέλεσας Πάτερ, οσίως καί δικαίως, πολιτευσάμενος.

Θεοτοκίον

Σέ στηριγμόν, καί προστασίαν πλουτήσαντες, οι Θεοτόκον πάναγνον, ομολογούντές σε, τρικυμίας τού βίου, πανάμωμε Παρθένε, διασωζόμεθα.

Ωδή γ' Ο Ειρμός

«Στερέωσον ημάς εν σοί Κύριε, ο ξύλω νεκρώσας τήν αμαρτίαν, καί τόν φόβον σου εμφύτευσον, εις τάς καρδίας ημών τών υμνούντων σε».

Σύ τρίβους τής ζωής τής εις απέραντον, αιώνα παμμάκαρ διαμενούσης, ακλινώς χαίρων διώδευσας, καί μοναίς αιωνίαις κατεσκήνωσας.

Ο βίος σου λαμπρός, ο λόγος άλατι, τώ θείω καί χάριτι ηρτυμένος, αναδείκνυται Γεώργιε, γεωργίας ενθέου θείον φύτευμα.

Υιός σύ τού Θεού διά Βαπτίσματος, γενέσθαι παμμάκαρ ηξιωμένος, πατρικόν εκληρονόμησας, θησαυρόν διά βίου καθαρότητα.

Θεοτοκίον

Στερέωμα γενού καί καταφύγιον, καί σκέπη, Παρθένε Θεογεννήτορ τοίς εν πίστει σοι προστρέχουσι, καί Θεού σε Μητέρα καταγγέλλουσιν.

Κάθισμα Ήχος γ'

Τήν ωραιότητα

Τόν ωραιότατον, Χριστόν επόθησας, καί τά τού σώματος, πάθη εμίσησας, αγγελικώς επί τής γής, Γεώργιε βιοτεύσας, όθεν τήν αγίαν σου, εορτάζομεν κοίμησιν, καί περιπτυσσόμεθα, τήν σορόν τών λειψάνων σου, εξ ής ημίν πηγάζεις ιάματα, Πάτερ τοίς πόθω τιμώσί σε.

Θεοτοκίον

Τά επουράνια, φόβω ηγάλλοντο, καί τά επίγεια, πόθω ευφραίνοντο, ότε η άχραντος φωνή, επήλθέ σοι Θεοτόκε, μία γάρ πανήγυρις, αμφοτέροις εγένετο, ότε τόν πρωτόπλαστον, εκ θανάτου ερρύσατο, Διό σύν τώ Αγγέλω βοώμέν σοι, Χαίρε ή κεχαριτωμένη.

Η Σταυροθεοτοκίον

Η απειρόγαμος, Αγνή καί Μήτηρ σου, Χριστέ ορώσά σε, νεκρόν κρεμάμενον, επί τού ξύλου μητρικώς, θρηνολογούσα έλεγε, Τί σοι ανταπέδωκε, τών Εβραίων ο άνομος, δήμος καί αχάριστος, ο πολλών καί μεγάλων σου, Υιέ μου δωρεών απολαύσας; Υμνώ σου τήν Θείαν συγκατάβασιν.

Ωδή δ' Ο Ειρμός

«Εισακήκοα Κύριε, τήν ακοήν, τής σής οικονομίας, καί εδόξασά σε μόνε φιλάνθρωπε».

Πεποικιλμένος κάλλεσι, τής αρετής, καί ήθεσι φωσφόροις, πρός Θεόν ανέπτης μάκαρ Γεώργιε.

Ρευστών γής Πάτερ Όσιε, τήν ταραχήν, διέφυγες, γαλήνης, φιλοθέου βίου αντιποιούμενος.

Οι ανομίας χείμαρροι, σού τήν ψυχήν, ουκ ίσχυσαν ταράξαι, ο τρυφής χειμάρρους σέ γάρ κατήρδευσεν.

Θεία μελέτη πάνσοφε, διηνεκώς, προσέχων τούς αστάτους, λογισμούς απώσω Πάτερ Γεώργιε.

Θεοτοκίον

Υμνολογούμεν Άχραντε, τόν εν γαστρί, τή σή σωματωθέντα, καί σέ ευλογούμεν ως Θεομήτορα.

Ωδή ε'  Ο Ειρμός

«Ο τού φωτός χορηγός, καί τών αιώνων ποιητής Κύριε, εν τώ φωτί τών σών προσταγμάτων, Οδήγησον ημάς, εκτός σου γάρ άλλον Θεόν ου γινώσκομεν».

Μακαριότητος, καί αθανάτου βιοτής έτυχες, Πάτερ σοφέ, τάς θείας ανόδους, ανύων παμμάκαρ, ελπίδι, αγάπη καί πίστει ρωννύμενος.

Ωραϊζόμενος, τή ταπεινώσει τού Χριστού Όσιε, πρός υψηλήν, σαφώς ανηνέχθης, θεόφρον αρετήν, γεώργιον θείας, γενόμενος άλωνος.

Σώματος κένωσιν, δι' εγκρατείας ακριβούς έδειξας, καί καθαράν, καρδίαν εκτήσω, δι' ής ηξιώθης, θεάσασθαι Πάτερ, τόν πάσιν αθέατον.

Θεοτοκίον

Ως ακατάληπτον, καί δυσθεώρητον παντί, Δέσποινα, τό υπέρ νούν μυστήριον Κόρη, τού τόκου σου σαφώς, τόν όντως γάρ όντα, Θεόν ημίν τέτοκας.

Ωδή ς'  Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, Εκ φθοράς ο Θεός με ανάγαγε».

Πονηρίας πνευμάτων διώκτης θερμός, ώφθης παναοίδιμε μάκαρ Γεώργιε, τή τού Αγίου Πνεύματος, συνεργία σαφώς δυναμούμενος.

Απαθείας εμπρέπων υψώμασι, τόν τής σωφροσύνης χιτώνα Γεώργιε, περιφανώς ενδέδυσαι, τών παθών κατευνάσας τόν τάραχον.

Τήν φλογίνην ρομφαίαν διέβης σοφέ, καί Παραδείσου τρυφής κατηξίωσαι, τό τού Σταυρού Γεώργιε, περιθέμενος όπλον τό άρρητον.

Θεοτοκίον

Επί σοί τάς ελπίδας ανέθηκα, Μήτηρ αειπάρθενε τής σωτηρίας μου, καί σέ προστάτιν τίθημι, τής ζωής ασφαλή τε καί άσειστον.

Τό Μαρτυρικόν τού Ήχου.

Συναξάριον

Τή Δ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Γεωργίου τού εν τώ Μαλαιώ.

Στίχοι

- Ψυχήν ο Γεώργιος ασμένως δίδως,
- Ψυχών γεωργώ καί φυτουργώ σαρκίων.
- Τή δέ τετάρτη απήρε Γεώργιος εις πόλον ευρύν.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Θεοδούλου καί Αγαθόποδος.

Στίχοι

- Πρώτος θάλασσαν είσιων Αγαθόπους,
- Έργοις υπήρχε Χριστόπους Θεοδουλω.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος Φερβούθας καί τής παιδίσκης αυτής καί τής συνοδίας αυτής.

Στίχοι

- Απλήν με πλάττεις, Χριστέ διπλέ τήν φύσιν,
- Έχεις δέ πρισθείσάν με διπλήν Φερβούθαν.
- Δούλας αληθείς Δεσπότου Θεού δύο,
- Δούλην τε καί Δέσποιναν έπρισε πρίων.

Τή αυτή ημέρα' Μνήμη τού Οσίου Πατρός ημών Ποπλίου.

Στίχοι

- Έν ουρανοίς, Πόπλιε, μισθός σοι μέγας,
- Πρός ούς απαίρων χαίρε καί κρότει μέγα.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ήμων Πλάτωνος, Ηγουμένου Μονής τού Στουδίου.

Στίχοι

- Πλάτων αρίστην ευ μετεπλάσθη πλάσιν,
- Χριστώ πλάσαντι συγκραθείς πλάσιν ξένην.

Τή αυτή ημέρα, οι τρείς Όσιοι, θεωνάς, Συμεών, καί Φερβίνος, εν ειρήνη τελειούνται.

Στίχοι

- Ψυχάς δέχου τρείς ου κεκηλιδωμένας,
- Ψυχών ακηλίδωτε τών θείων τόπε.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Ζωσιμά, τού κηδεύσαντος τήν Όσίαν Μαρίαν τήν Αιγυπτίαν.

Στίχοι

- Ζώσαν προπέμψας Ζωσιμάς τήν Μαρίαν,
- Θανούσαν εύρεν, αλλά νύν ζώσιν άμα.

Τή αυτή ημέρα, ο όσιος θεωνάς, ο εν τή μονή τού Παντοκράτορος ασκήσας, ύστερον δ' επίσκοπος Θεσσαλονίκης γενόμενος, εν ειρήνη τελειούται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον καί σώσον ημάς. Αμήν.

Ωδή ζ' Ο Ειρμός

«Εικόνος χρυσής, εν πεδίω Δεειρά λατρευομένης, οι τρείς σου Παίδες κατεφρόνησαν, αθεωτάτου προστάγματος, μέσον δέ πυρός εμβληθέντες, δροσιζόμενοι έψαλλον, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών».

Ρωσθείς τήν ψυχήν, τή δυνάμει τού Χριστού, Πάτερ Γεώργιε, τούτου τώ κράτει κατεδίωξας, τών σέ μισούντων τάς φάλαγγας, ταύταις τόν Σταυρόν επισείσας, ώ φρουρούμενος έψαλλες, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Μακάριος εί, καί καλώς σοι έσται νύν μακαριώτατε, απολαβόντι τήν τών πόνων σου, καί τών αγώνων αντίδοσιν, καί σύν τοίς Αγγέλοις βοώντι, τώ Κυρίω Γεώργιε, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Εδείχθης φαιδρόν, ενδιαίτημα Θεού, θρόνος αισθήσεως, Πάτερ γενόμενος καί φρονήσεως, αγιωσύνης ανάπλεως, πίστει τε καί χάριτι λάμπων, καί κραυγάζων Γεώργιε, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ήμων.

Θεοτοκίον

Λυχνία φωτός, καί νεφέλη φωτεινή καί αγιάσματος, τόπος εδείχθης Απειρόγαμε, τών γάρ Αγίων τόν Άγιον, Λόγον υπεδέξω αφράστως, όν υμνούντες βοώμέν σοι Ευλογημένη, η Θεόν σαρκί κυήσασα.

Ωδή η' Ο Ειρμός

«Τόν εν καμίνω τού πυρός, τών Εβραιων τοίς παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον μεταβαλόντα Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε αυτόν εις τούς αιώνας».

Πρός ακατάλυτον ζωήν, πρός αμάραντον τρυφήν Πάτερ μετέστης, πρός αϊδιον δόξαν, καί πρός ανέσπερον φώς, Θεού γάρ εδείχθης γεώργιον, όν υπερυψούμεν, εις πάντας τούς αιώνας.

Ως υπηρέτης τού Θεού, ώς διάκονος Χριστού καί οικονόμος, τών αυτού μυστηρίων, ώς απλανής οδηγός, εγένου Γεώργιε Όσιε, πάθη θεραπεύων, ψυχών τε καί σωμάτων.

Πλήρης ασκήσεως καρπών, πρός τήν άλωνα Χριστού πάτερ προσήχθης, καί

ώς ώριμος βότρυς, τοίς ουρανίοις ληνοίς, παμμάκαρ θλιβείς, κατανύξεως, οίνον αναβλύζεις, ημίν τοίς σέ τιμώσιν.

Θεοτοκίον

Ο τής κοιλίας σου καρπός, τής αφθάρτου μοι ζωής αίτιος ώφθη, καί τρυφής αϊδίου, Θεογεννήτορ αγνή, διό σοι κραυγάζω γηθόμενος, τήν τού, Αρχαγγέλου φωνήν, Χαίρε Παρθένε.

Ωδή θ' Ο Ειρμός

«Τόν εκ Θεού Θεόν Λόγον, τόν αρρήτω σοφία, ήκοντα καινουργήσαι τόν Αδάμ, βρώσει φθορά πεπτωκότα δεινώς, εξ αγίας Παρθένου, αφράστως σαρκωθέντα δι' ημάς, οι πιστοί ομοφώνως, εν ύμνοις μεγαλύνωμεν».

Νενευρωμένος τή πίστει, καί Χριστού τή δυνάμει, Παμμάκαρ πεφραγμένος αληθώς, βρόχους δαιμόνων διέλυσας, καί τάς τούτων ενέδρας, καί μεθοδείας πάσας εκφυγών, τώ Δεσπότη τών όλων, παρέστης αγαλλόμενος.

Όλον τόν πόθον σου Πάτερ, πρός Θεόν μεταφέρων, καί θείας απολαύων καλλονής, ής πάσα φύσις εφίεται, θεωρία καί πράξει, καί βίω λαμ προτάτω σεαυτόν, κατεκόσμησας Πάτερ, διό σε μακαρίζομεν.

Υπέρ ημών τών εν πίστει, τήν σήν μνήμην τελούντων, Χριστόν καθικετεύων εκτενώς, Πάτερ μή παύση σωθήναι ημάς, πειρασμών τρικυμίας, καί ζάλης καί κινδύνων καί παθών, καί ειρήνην τώ κόσμω, δοθήναι ταίς πρεσβείαις σου.

Θεοτοκίον

Σεσαρκωμένον τόν Λόγον, τόν πρίν άσαρκον όντα, καθό Θεός υπάρχει εκ Θεού, τέτοκας μόνη Πανύμνητε επί ανακαινίσει, καί σωτηρία πάντων τών βροτών, διό πιστοί σε πάντες, εν ύμνοις μεγαλύνομεν.

Τό φωταγωγικόν τού τυχόντος Ήχου.

Εις τόν Στίχον το Ιδιόμελον καί τό Μαρτυρικόν.

Είτα η Α' Ώρα, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Ε' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Μαρτύρων Κλαυδίου, Διοδώρου, Ουϊκτωρος, Ουϊκτωρίνου, Παππίου, Νικηφόρου καί Σεραπίωνος.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τού Τριωδίου γ' καί τών Αγίων γ'.

Ήχος δ'

Ως γενναίον εν Μάρτυσιν

Οφθαλμούς εκκεντούμενοι, καί δακτύλους κοπτόμενοι, καί πλευράς ξεόμενοι, καί κρεμάμενοι, καί τά οστά συντριβόμενοι, καί ξίφει τεμνόμενοι, μεληδόν καί κεφαλήν, τού δολίου συντρίψαντες, ουκ ηρνήσασθε, τόν Σωτήρα τών όλων, ου ξοάνοις, επεθύσατε αλόγως, Μεγαλομαρτυρες ένδοξοι.

Σύν Κλαυδίω τιμήσωμεν, Νικηφόρον τόν ένδοξον, τόν σεπτόν Διόδωρον καί Ουϊκτωρα, Ουϊκτωρίνον Παππίαν τε, καί τόν Σεραπίωνα, τόν επτάριθμον χορόν, τό πανάγιον άθροισμα, τήν ολόκληρον, εκκλησίαν, τόν δήμον τόν απάσας, τών δαιμόνων μυριάδας, ξίφει ανδρείας συγκόψαντα.

Οι τό πάθος τό άγιον, τού Χριστού μιμησάμενοι, καί τή θεία χάριτι φυγαδεύοντες, πάθη ψυχής τε καί σώματος, οι στύλοι οι άσειστοι, οι φωστήρες τών πιστών, οι τόν δόλιον κτείναντες, οι πανεύδιοι, τών εν ζάλη λιμένες, οι τά άνω κατοικούντες επαξίως, μεγαλυνέσθωσαν Μάρτυρες.

Δόξα... Καί νύν... Θεοτοκίον

Τήν σκηνήν τήν αμόλυντον, τήν νεφέλην τήν έμψυχον, τόν ναόν τόν άγιον, τού Θεού ημών, τήν αδιάβατον γέφυραν, τήν στάμνον, τήν πάγχρυσον, τήν αγίαν κιβωτόν, τήν μετάρσιον κλίμακα, τό ευρύχωρον, τού Δεσπότου χωρίον, τήν Παρθένον, καί Μητέρα τού Κυρίου, περιφανώς μακαρίσωμεν.

Η Σταυροθεοτοκίον

Τόν αμνόν καί Ποιμένα σε, επί ξύλου ως έβλεψεν, η Αμνάς η τέξασα, επωδύρετο, καί μητρικώς σοι εφθέγγετο, Υιέ ποθεινότατε, πώς εν ξύλω τού Σταυρού, ανηρτήθης μακρόθυμε; πώς τάς χειράς σου, καί τούς πόδας σου Λόγε, προσηλώθης, υπ' ανόμων καί τό αίμα, τό σόν εξέχεας Δέσποτα;

Απολυτίκιον

Ήχος δ' Ταχύ προκατάλαβε

Οι μάρτυρές σου Κύριε, εν τή αθλήσει αυτών, στεφάνους εκομίσαντο τής αφθαρσίας εκ σού τού Θεού ημών, σχόντες γάρ τήν ισχύν σου τούς τυράννους καθείλον, έθραυσαν καί δαιμόνων τά ανίσχυρα θράση, αυτών ταίς ικεσίαις Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν οι Κανόνες τών Αγίων καί τού Τριωδίου εις τήν τάξιν αυτών.

Ο Κανών τών Αγίων, ού η Ακροστιχίς,

Τήν επτάριθμον Μαρτύρων Τιμώ χάριν.

Ποίημα Ιωσήφ.

Ωδή α' Ήχος δ' Ο Ειρμός

«Θαλάσσης, τό Ερυθραίον πέλαγος, αβρόχοις ίχνεσιν, ο παλαιός πεζεύσας Ισραήλ, σταυροτύποις Μωσέως χερσί, τού Αμαλήκ τήν δύναμιν, εν τή ερήμω ετροπώσατο».

Τόν δρόμον, τόν ιερόν τελέσαντες, Άγιοι Μάρτυρες, στεφηφορούντες θρόνω τού Θεού, μετά δόξης παρίστασθε, φωτιστικαίς τού Πνεύματος, κόσμον ακτίσι καταυγάζοντες.

Η θεία, τών Αθλητών επτάριθμος, χορεία σήμερον, μεγαλυνέσθω, θείαις καλλοναίς, ιερώς εξαστράπτουσα, καί ασωμάτοις τάξεσιν, εν ουρανοίς νύν συγχορεύουσα.

Νομίμως τό Μαρτυρίου στάδιον, διαδραμόντες Σοφοί, καί αικισμών παντοίων προσβολάς, ενεγκόντες, στερρότατα, τήν κληρουχίαν χαίροντες, τήν αιωνίζουσαν ειλήφατε.

Θεοτοκίον

Εν χρόνω, ο έξω χρόνων Κύριος, εκ σού σαρκούμενος, τά τών βροτών διέλυσεν Αγνή, πολυχρόνια πταίσματα, Όν εκτενώς ικέτευε, τού οικτειρήσαι τάς ψυχάς ημών.

Ωδή γ' Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα, Σύ μου ισχύς Κύριε, καί καταφυγή, καί στερέωμα».

Παντοίοις διά Χριστόν, προσομιλούντες αικισμοίς Άγιοι, υπέρ χρυσόν χάριτι, Πνεύματος Αγίου ηστράψατε.

Τού νώτου σου συντριβήν, Ουϊκτωρίνε, οφθαλμών στέρησιν, καί τών χειρών ένδοξε, Μάρτυς καί ποδών εκαρτέρησας.

Αγάπη τή εις Χριστόν, προσδεδεμένοι Αθληταί ένδοξοι, τού σκολιού δράκοντος, πάσας μηχανάς διελύσατε.

Θεοτοκίον

Ρυόμενον τούς βροτούς, αιχμαλωσίας νοητής τέτοκας, τόν τού παντός Κύριον, άχραντε Παρθένε πανύμνητε.

Κάθισμα Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ

Τούς πολυτρόπους αικισμούς ενεγκόντες, εν απτοήτω λογισμώ Αθλοφόροι, υπέρ ηλίου λάμπε τε φαιδρότητα, όθεν τήν φαιδράν υμών, εορτάζομεν μνήμην, πίστει ικετεύοντες, ταίς υμών μεσιτείαις, αμαρτημάτων λύτρωσιν λαβείν, καί αιωνίων καλών τήν απόλαυσιν.

Θεοτοκίον

Τών δωρεών σου τών σεπτών απολαύοντες, ου σιωπήσομεν υμνείν Θεοτόκε,

τά σά ελέη πάντοτε οι δούλοί σου, κράζοντες καί λέγοντες, Παναγία Παρθένε, πάντας εξελού ημάς, εξ εχθρών αοράτων, καί αναγκών καί πάσης απειλής, σύ γάρ υπάρχεις ημών η αντίληψις.

Η Σταυροθεοτοκίον

Ου φέρω βλέπειν σε Σταυρώ τεταμένον, Μήτηρ η σή Παμβασιλεύ ανεβόα, όν υπέρ φύσιν τέτοκα Υιόν καί Θεόν, οίδα γάρ σου Δέσποτα, τό φιλάνθρωπον οίδα, όπως πάσχεις ένεκα, τής βροτών σωτηρίας, αλλ' ούν ου σθένω Τέκνον μητρικάς, φέρειν οδύνας, Σταυρώ καθορώσά σε.

Ωδή δ' Ο Ειρμός

«Επαρθέντα σε ιδούσα η Εκκλησία, επί Σταυρού τόν Ήλιον τής δικαιοσύνης, έστη εν τή τάξει αυτής, εικότως κραυγάζουσα, Δόξα τή δυνάμει σου Κύριε».

Ιοβόλον απερράπισας πονηρίαν, τού δυσμενούς εν χάριτι, Ούϊκτωρ θεόφρον, γλώσσαν αφαιρούμενος, πλευράς τε ξεόμενος, καί μαρτυρικώς κλεϊζόμενος.

θυρεώ τής ευσεβείας εμπεφραγμένος, τήν συντριβήν τού σώματος, Μάρτυς Νικηφόρε, σταθερώς υπήνεγκας, βοών τώ Δεσπότη σου, Δόξα τή δυνάμει σου Κύριε.

Μεγαλύνων τόν τών όλων Θεόν προθύμως, Κλαύδιος ο πανάριστος, χείράς τε καί πόδας, αφαιρείται θλώμενος, τυράννου ώμότητι, λίθοις σιαγόνας γηθόμενος.

Ουκ επτήξατε Πανεύφημοι τρικυμίας, πολυειδείς κολάσεων, ου θάνατον δόξης, αιωνίου πρόξενον, εν πίστει κραυγάζοντες, Δόξα τή δυνάμει σου Κύριε.

Θεοτοκίον

Νοερώς σε ο Προφήτης προεθεώρει, όρος Σεμνή κατάσκιον, εξ ού ο Δεσπότης, αληθώς επέφανε, σαρκός ομοιώματι, σώζων εκ φθοράς το ανθρώπινον.

Ωδή ε' Ο Ειρμός

«Σύ Κύριέ μου φώς, εις τόν κόσμον ελήλυθας, φώς άγιον επι στρέφον, εκ ζοφώδους αγνοίας, τούς πίστει ανυμνούντάς σε».

Μεγάλοις αικισμοίς, ομιλήσας Διόδωρε, υπέφερες οβελίσκων, πυρακτώσεις, προθύμως, ανθράκων τε κατάφλεξιν.

Ασάλευτον τόν νούν, Σεραπίων διέμεινας, κρεμάμενος καί βασάνοις, ομιλών πολυτρόποις, καί ξίφει τελειούμενος.

Ρομφαίας τού εχθρού, ώ Παππία απήμβλυνας, ξεόμενος καί τοίς ήλοις, καθηλούμενος Μάρτυς, καί ύδασι ποντούμενος.

Θεοτοκίον

Τήν πτώσιν τών βροτών, επηνώρθωσας Δέσποινα, κυήσασα, Θεόν Λόγον, τόν τούς Κατερραγμένους επανορθούν δυνάμενον.

Ωδή ς' Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Υμνείσθω, Σεραπίων καί θείος Διόδωρος, Ουϊκτωρίνος, Παππίας, Νικηφόρος, Κλαύδιος καί Ουΐκτωρ, ώς τήν πλάνην, τού δολίου τελείως νικήσαντες.

Ρομφαίαι, στομωθείσαι ωράθητε Πνεύματι, καί διεκόψατε πάσας, τού εχθρού τάς φάλαγγας, Αθλοφόροι, ουρανίου, βασιλείας καλών απολαύοντες.

Ω θαύμα! πώς εις όλμον βληθέντες εθλάσθητε, καθάπερ σίτος Ουΐκτωρ, καί Ουϊκτωρίνε τή συντριβή τε, τών οστέων, τάς παγίδας εχθρού συνετρίψατε!

Θεοτοκίον

Νεύρωσον, τής ψυχής μου τόν τόνον Πανάμωμε, τή συνεχεί αμελεία, καί τή αμαρτία κεχαυνωμένον, ίνα πίστει, καί προθυμία μέλπω σε πάντοτε.

Τό Μαρτυρικόν του Ήχου.

Συναξάριον

Τή Ε' τού αυτού μηνός, Μνήμη τών Αγίων Μαρτύρων Κλαυδίου, Διοδώρου, Ουΐκτωρος Ουϊκτωρίνου, Παππίου, Σεραπίωνος καί Νικηφόρου.

Στίχοι

- Σπεύδεις οκλάζων, Κλαύδιε, πρός σόν γόνυ,
- Τομή κεφαλής, πρός Θεού δραμεϊν γόνυ.
- Πέμπτη Κλαυδίου κεφαλήν τάμε χείρ φονόεσσα.

Τή αυτή ημέρα, Μνήμη τής οσίας Μητρός ημων Θεοδώρας τής εν Θεσσαλονίκη.

Στίχοι

- Θεσσαλονίκη, σχούσα καλά μυρία,
- Καί Θεοδώραν πλούτον άσυλον φέρεις.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Θεοδώρας καί Διδύμου.

Στίχοι

- Σύν τή συνάθλω, Δίδυμε, τμηθείς φλέγη,
- Φέρων σύν αυτή δίδυμον τιμωρίαν.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος θέρμου.

Στίχοι

- Θέρμην έρωτος ενθέου θέρμος φέρων,
- Θέρμην πυρός φλέγοντος ως ψύξιν κρίνει.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων γυναικών κυρίας καί δούλης.

Στίχοι

- Εχρήν έπεσθαι κυρία τήν δουλίδα,
- Εκ γής ιούση πρός Θεόν διά ξίφους.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Πομπηϊου.

Στίχοι

- Ως ζών πρόβατον Πομπήϊε Κυρίου,
- Χέεις, αμελχθείς αυχένα ξίφει, γάλα.

Τή αυτή ημέρα, ό Άγιος Ζήνων πίσσαν χρισθείς, καί εις πύρ' βληθείς, καί δόρατι ένδον τής πυράς τρωθείς, τελειούται.

Στίχοι

- Άθλος τριπλούς Ζήνωνι, πίσσα, πύρ, δόρυ.
- Οίμαι, δι' ήν έπασχε ταύτα Τριάδα.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Μαξίμου καί Τερεντίου.

Στίχοι

- Ίσου μετέσχον καί στέφους, ως καί τέλους,
- Τερέντιος, Μάξιμος, οίς τομή τέλος.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων πέντε Μαρτύρων νεανίδων τών από Λέσβου.

Στίχοι

- Άθληφόρους τίθησι Λεσβίας κόρας,
- Μίαν, δύο, τρείς, τέσσαρας πέντε, ξίφος.

Ταίς τών Αγίων σου πρεσβείαις, Χριστέ ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ' Ο Ειρμός

«Εν τή καμίνω, Αβραμιαί οι παίδες τή Περσική, πόθω ευσεβείας μάλλον ή τή φλογί, πυρπολούμενοι εκραύγαζον, Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε».

Ταθείς Ουϊκτωρ, τάς πλευράς κατεξάνθης πανένδοξε, όλμω συνθλασθείς, καί γλώτταν δέ εκτμηθείς, αναμέλπων τετελείωσαι, Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε.

Ισχύϊ Μάρτυς, τού θείου Πνεύματος Κλαύδιε, νώτου καί κοιλίας μάστιγας υποστάς, σιαγόνας συντριβόμενος, χείρας καί πόδας τε, προσαφηρέθης, υμνών τόν Κύριον.

Μεγαλοφρόνως, ώ Νικηφόρε δακτύλων στέρησιν, όντως υπομείνας Μάρτυς

νεανικώς, συντριβήν τε παντός σώματος, νίκης διάδημα, φερωνυμία σύ αναδέδησαι.

Θεοτοκίον

Ως τού Υψίστου, θρόνον Παρθένε υψηλότατον, πάντες, καί χρυσήν λυχνίαν καί κιβωτόν, αγιάσματος υμνούμέν σε, Ευλογημένη σύ εν γυναιξί, βοώντες Πανάμωμε.

Ωδή η' Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Χείρας ανυψούντες πρός Θεόν, θεομακάριστοι, σώζειν δυνάμενον, πόνους στρεβλώσεων φέροντες, πολυτρόπων υπεμείνατε, καί νικηφόροι πρός αυτόν βοώντες ήρθητε, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ανυμνολογήσωμεν πιστοί, Παππίαν σήμερον, καί Σεραπίωνα, καί τόν Διόδωρον, Κλαύδιον, Νικηφόρον καί Ουϊκτωρα, Ουϊκτωρίνόν τε ομού, Χριστού τούς Μάρτυρας, μελωδούντες, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Ρεύσαντα τά αίματα υμών, Μεγαλομάρτυρες, τήν γήν ηγίασαν, τής απιστίας δέ έστησαν, θεία χάριτι τά ρεύματα, καί τών βοώντων τάς ψυχάς πλουσίως ήρδευσαν, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Τριαδικόν

Ιερολογίαις Ιεραίς, Πατέρα άναρχον, Υιόν συναναρχον, καί Πνεύμα Άγιον μέλψωμεν, ομοδύναμον θεότητα, ομοβασίλειον ζωήν, καί ανακράξωμεν, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Θεοτοκίον

Νοός ο φρικτός σου τοκετός, νικά κατάληψιν, Θεοχαρίτωτε, Θεός γάρ πέφυκεν άναρχος, χρονικήν αρχήν δεξάμενος, διά τό σώσαι τούς πιστώς αυτώ κραυγάζοντας, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ωδή θ' Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας ψύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Ίχνεσι σεπτών παθημάτων, ακολουθούντες, Αθλοφόροι, πάσαν υπεμείνατε πείραν, κολαστηρίων στερρώ φρονήματι καί ευκλεώς τεθνήξαντες, εις τούς αιώνας μακαρίζεσθε.

Ώσπερ προσφορά καί θυσία, ευωδεστάτη προσαχθέντες, τή επουρανίω τραπέζη, τών πρωτοτόκων κατεφαιδρύνατε, τήν Εκκλησίαν Μάρτυρες, υπέρ τόν ήλιον εκλάμποντες.

Σήμερον πιστοί συνελθόντες, Ουϊκτωρίνον τόν γενναίον, Κλαύδιον, Παππίαν τε θείον, Διόδωρόν τε καί Σεραπίωνα, καί τόν σοφόν Ουϊκτωρα, καί Νικηφόρον μακαρίσωμεν.

Η πλησιφαής υμών μνήμη, εξανατείλασα φωτίζει, πάσαν τού Χριστού Εκκλησίαν, σεπτοί οπλίται, εν ή πρεσβεύσατε, αμαρτημάτων άφεσιν, ημίν δοθήναι αξιάγαστοι.

Θεοτοκίον

Φέρουσα Χριστόν εν αγκάλαις, σάρκα θνητήν εκ σού λαβόντα, τούτον εκδυσώπει Παρθένε, αθανασίας τυχείν Πανάμωμε, τούς σέ πιστώς γεραίροντας, καί Θεοτόκον μεγαλύνοντας.

Τό Φωταγωγικόν, τό Ιδιόμελον, καί η Α' Ώρα, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού εν Αγίοις Πατρός ημών Ευτυχίου, Πατριάρχου Κωνσταντινουπόλεως.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, Στιχηρά Προσόμοια, τού Τριωδίου γ' καί τού Αγίου γ'.

Ήχος πλ. δ'

Κύριε, ει καί κριτηρίω

Κύριε, σύ εν τώ λειμώνι τής θείας, τρυφής Ευτύχιον ήνθησας, νάμασι τής σής τε σοφίας, τούτον ενθέως κατήρδευσας, καί διά τούτο καρπούς, εξήνθησε τής γνώσεως, ευσεβεία κατευφραίνων, τούς πιστώς σε μεγαλύνοντας.

Κύριε, σύ ο εμβατεύων καρδίας, καί προγινώσκων τά κρύφια, σκεύος προϊδών εκλογής σου, τόν Ιεράρχην Ευτύχιον, τής Εκκλησίας τής σής, ποιμένα εγκατέστησας, διά τούτο ευσεβείας, επί χλόην ταύτην ίθυνεν.

Κύριε, σύ ο τόν σοφόν Ιεράρχην κατακοσμήσας τή χάριτι, καί Ιεραρχίας ποδήρει, καταφαιδρυνας ως εύσπλαγχνος, εν αρεταίς καί ημάς, ευχαίς αυτού καταύγασον, τού υμνείν σε ορθοδόξως, εν αγνεία καί σεμνότητι.

Δόξα... Καί νυν... Θεοτοκίον

Άχραντε, η τόν εν Αγίοις τεκούσα, αναπαυόμενον Κύριον, σύ με μολυνθέντα αθλίως, υπό παθών αποκάθαρον, καί τής αγνείας Οδούς, Οδήγησον πορεύεσθαι, σύ γάρ πάντων εί προστάτις, ακαταίσχυντος τών δούλων σου.

Η Σταυροθεοτοκίον

Κύριε, εί καί εν Σταυρώ τάς παλάμας, εθελουσίως ανέτεινας, αλλά πατρικήν ευδοκίαν, εκπληρών πάθος υφίστασαι, καί γάρ τού σώσαι βροτούς, ελήλυθας

ώς εύσπλαγχνος, η πανάμωμος εβόα, Θεοτόκος, ήν δοξάζομεν.

Απολυτίκιον Ήχος δ’

Κανόνα πίστεως καί εικόνα πραότητος, εγκρατείας διδάσκαλον ανέδειξέ σε τή ποίμνη σου η τών πραγμάτων αλήθεια, Διά τούτο εκτήσω τή ταπεινώσει τά υψηλά, τή πτωχεία τά πλούσια, Πάτερ Ιεράρχα Ευτύχιε, πρέσβευε Χριστώ τώ Θεώ σωθήναι τάς ψυχάς ημών.

Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τού Τριωδίου, κατά τήν τάξιν, καί τού Αγίου

Ο Κανών τού Αγίου, ού η' Ακροστιχίς, άνευ τών Θεοτοκίων.

Τόν θαυματουργόν Ευτύχιον θαυμάσω.

Θεοφάνους.

Ωδή α' Ήχος πλ. β'

Ο Ειρμός

«Ως ενηπείρω πεζεύσας ο Ισραήλ, εν αβύσσω ίχνεσι, τόν διώκτην Φαραώ, καθορών ποντούμεμενον, Θεώ, επινίκιον ωδήν, εβόα, άσωμεν».

Ταΐς αρεταίς ευτυχήσας καί λαμπρυνθείς, φωτοβόλοις λάμψεσι, χαρισμάτων τού Θεού, δυστυχίαις ρύσαί με παθών, ταίς πρεσβείαις σου Σοφέ, όπως υμνήσω σε.

Ουρανοφύτευτον κλήμα εν ταίς αυλαίς, τού Θεού εβλάστησας, ευθηνούμενον καρποίς, εναρέτων πράξεων ομού, καί θαυμάτων αληθώς, Πάτερ Ευτύχιε.

Νούν ηγεμόνα ποιήσας τής τών παθών, τυραννίδος Όσιε, κατεκράτησας, διό, απαθείας πτέρυξιν αρθείς, πρός αυτά τά τού Θεού ήχθης σκηνώματα.

Θεοτοκίον

Τόν εαυτής δεξαμένη Δημιουργόν, ώς αυτός ηθέλησεν, εξ ασπόρου σου γαστρός, υπέρ νούν σαρκούμενον Αγνή, τών κτισμάτων αληθώς εδείχθης Δέσποινα.

Ωδή γ' Ο Ειρμός

«Ουκ έστιν Άγιος ώς σύ, Κύριε ο Θεός μου, ο υψώσας τό κέρας, τών Πιστών σου αγαθέ, καί στερεώσας αυτούς, εν τή πέτρα, τής ομολογίας σου».

Αγίου γέγονας ναός, Πνεύματος θεοφόρε, σεαυτόν εκκαθάρας, τής ιλύος τών παθών, δι' εμμελείας πολλής, Ιεράρχα, ένδοξε Ευτύχιε.

Υιός ημέρας μετοχή, φρυκτωρίας αϋλου, ανεδείχθης καί φέγγει, ιαμάτων αψευδών, τήν αχλυώδη παθών, απελαύνεις, λώβην Παναοίδιμε.

Μαστούς θηλάσας εκ παιδός, εγκρατείας εις μέτρον, προσευχαίς αενάοις, ηλικίας τού Χριστού, κατήντησας αληθώς, Ιεράρχα, ένδοξε Ευτύχιε.

Ανοίξας στόμα τό σεπτόν, είλκυσας Πάτερ πνεύμα, καί ενέφραξας στόμα, αδικίαν εις αυτό, τό ύψος τής τού Θεού, μελετήσαν, πάνσοφε σαρκώσεως.

Θεοτοκίον

Τού θείου τόκου σου Αγνή, πάσαν φύσεως τάξιν, υπερβαίνει τό θαύμα, Θεόν γάρ υπερφυώς, συνέλαβες εν γαστρί, καί τεκούσα μένεις αειπάρθενος.

Κάθισμα Ήχος γ'

Θείας πίστεως

Θείαν δύναμιν, ενδεδυμένος, απεγύμνωσας, ισχύν τού πλάνου, θαυματουργών θεοφόρε εξαίσια, απελαθείς δέ αδίκως τής ποίμνης σου, παλινδρομείς εις αυτήν δοξαζόμενος, Πάτερ Όσιε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Θεοτοκίον

Θείας φύσεως, ουκ εχωρίσθη, σάρξ γενόμενος, εν τή γαστρί σου, αλλά Θεός ενανθρωπήσας μεμένηκεν, ο μετά τόκον Μητέρα παρθένον σε, ώς πρό τού τόκου φυλάξας Πανάμωμε, μόνος Κύριος, Αυτόν εκτενώς ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Η Σταυροθεοτοκίον

Θείας φύσεως, ου διηρέθης, κάν εκούσιον, υπέστης πάθος, αλλά σαρκί σταυρωθείς Υπεράγαθε, πάσαν κλονείς ως Θεός τήν υφήλιον, η Θεοτόκος εβόα δακρύουσα, ήν υμνήσωμεν ως μόνην Θεού γεννήτριαν, αιτούμενοι λαβείν τό μέγα έλεος.

Ωδή δ' Ο Ειρμός

«Χριστός μου δύναμις, Θεός καί Κύριος, η σεπτή Εκκλησία θεοπρεπώς, μέλπει ανακράζουσα, εκ διανοίας καθαράς, εν Κυρίω εορτάζουσα».

Τή αίγλη Πάνσοφε, τής θείας χάριτος, ελλαμπόμενος πάσας αιρετικών, δόξας απημαύρωσας, καί κατεφαίδρυνας λαών, ορθοδόξων τά συστήματα.

Ου κατενάρκωσας, υπέρ τής Πίστεως, διωγμούς υπομένων, καί γάρ αυτόν, είχες συμμαχούντά σοι, τόν βλασφημούμενον Χριστόν Ιεράρχα πανσεβάσμιε.

Υψώσας έστησεν, εν πέτρα Κύριος, τής αυτού αληθείας της σής ψυχής, Πάτερ διαβήματα, καί υπεσκέλισεν εχθρών, επαιρόμενα φρονήματα.

Ρημάτων δύναμις, τών σών ανίσχυρον, εναντίων τό δόγμα καί τήν ισχύν, Πάτερ απειργάσατο, τού Ορθοδόξου δέ λαού, τείχος γέγονε καί στήριγμα.

Θεοτοκίον

Ως όντως άφθεγκτα, καί ακατάληπτα, τά τής σής Θεοτόκε θεοπρεπούς πέφυκε κυήσεως, τοίς επί γής καί ουρανού, αειπάρθενε μυστήρια.

Ωδή ε'  Ο Ειρμός

«Τώ θείω φέγγει σου αγαθέ, τάς τών ορθριζόντων σοι ψυχάς, πόθω καταύγασον δέομαι, σέ ειδέναι Λόγε Θεού, τόν όντως Θεόν, εκ ζόφου τών πταισμάτων ανακαλούμενος».

Γενναίως φέρων τόν χωρισμόν, ποίμνης τής λαχούσης σοι σοφέ, Πάτερ αδίκως εκβέβλησαι, αύθις δέ πρός ταύτην παλινδρομείς εν χαρά, μεγάλως υπό πάντων ανευφημούμενος.

Ουκ εν αινίγματι καθοράς, δόξαν ήν επόθησας Θεού, εκ βρέφους μάκαρ Ευτύχιε, πρόσωπον δέ μάλλον νυνί πρός πρόσωπον, λυθέντων τών εσόπτρων σαρκός, Πατήρ ημών.

Ναμάτων θείων σου η ψυχή, μάκαρ πληρωθείσα ποταμόν, τή Εκκλησία ανέβλυσεν, όντως διδαγμάτων σοφέ Ευτύχιε, καί ταύτης καταρδεύεις, Πάτερ τάς αύλακας.

Θεοτοκίον

Τούς Θεοτόκον σε εκ ψυχής, Δέσποι να τού κόσμου αγαθή, ομολογούντας διάσωσον, σέ γάρ προστασίαν ακαταμάχητον, κεκτήμεθα, τήν όντως Θεογεννήτριαν.

Ωδή ς'  Ο Ειρμός

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι, Ανάγαγε, εκ φθοράς την ζωήν μου Πολυέλεε».

Εν σοί κατεσκήνωσεν, η τριάς ώς καθαρώ, τής τών παθών συγχύσεως, καί χαρισμάτων έπλησεν αληθώς, θεόφρον Ευτύχιε, δι' ών άπασαν νόσον εκδιώκεις αεί.

Υψώθης κτησάμενος, εν καρδία αψευδώς, υψοποιόν ταπείνωσιν, καί τών δαιμόνων πάσας τάς μηχανάς, υφ' έν εταπείνωσας, Ιεράρχα Κυρίου παναοίδιμε.

Τού βίου τήν θάλασσαν, ακυμάντως διελθών, πρός τούς λιμένας έφθασας, τής βασιλείας Πάτερ τών ουρανών, Θεώ τά αγώγιμα, τής ψυχής διασώσας αξιάγαστε.

Θεοτοκίον

Η πάναγνος Δέσποινα, η τεκούσα τοίς βροτοίς, τόν κυβερνήτην Κύριον, τών παθών μου τόν άστατον καί δεινόν, κατεύνασον τάραχον, καί γαλήνην παράσχου τή καρδία μου.

Τό Μαρτυρικόν τού Ήχου.

Συναξάριον

Τή ΣΤ' τού αυτού μηνός, Μνήμη τού εν Αγίοις Πατρός ημών Ευτυχίου, Πατριάρχου Κωνσταντινουπόλεως.

Στίχοι

- Ευτύχιον θανόντα τιμών τοίς λόγοις,
- Εμαυτόν αυτός ευτυχέστατον κρίνω.
- Ψυχή Ευτυχίοιο πύλη πόλου οίγεται έκτη.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων εκατόν είκοσι Μαρτύρων τών εν Περσίδι.

Στίχοι

- Άν εξαριθμής ούς τό πύρ Πέρσας φλέγει,
- Εύροις έχοντας τετράκις τό τρίς δέκα.

Τή αυτή ημέρα, Μνήμη τής οσίας Πλατωνίδος.

Στίχοι

- Πόλου πλάτη φέρουσι τήν Πλατωνίδα,
- Ταίς αρεταίς λάμψασαν εις τά γής πλάτη.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων δύο Μαρτύρων τών εν Ασκάλωνι άχρις οσφύος χωσθέντων καί τελειωθέντων.

Στίχοι

- Ανηρότως σοι γή φύει καρπόν, Λόγε.
- Ο καρπός άνδρες, άχρις Οσφύος, δύο.

Ταίς αυτών αγίας πρεσβείας, ο Θεός, ελέησον ημάς. Άμήν.

Ωδή ζ'  Ο Ειρμός

«Δροσοβόλον μέν τήν κάμινον ειργάσατο, Άγγελος τοίς οσίοις Παισί, τούς Χαλδαίους δέ καταφλέγον πρόσταγμα Θεού, τον τύραννον έπεισε βοάν, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών».

Χιονώδη τήν ψυχήν Πάτερ κτησάμενος, τών αρετών λευκότητι, εξωμοίωσαι τοίς Αγγέλοις, όθεν σύν αυτοίς χορεύεις γηθόμενος βοών, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Ιερείον ώσπερ άμωμον προσήγαγες, σαυτόν εκ βρέφους Όσιε, τώ Δεσπότη σου, ηδονών νεκρώσει αληθώς, διό αγαλλόμενος βοάς, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Οι κρουνοί σου τών δακρύων Πάτερ έσβεσαν, πυρκαϊάν σαρκός ηδονών, καί γεγόνασιν, ιαμάτων δρόσος τοίς πιστώς, κραυγάζουσι πάντοτε Χριστώ,

Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Σέ πανάμωμε καί Μήτηρ αειπάρθενε, έγνωμεν σωτηρίαν βροτοί, ο γάρ εν κόλποις τού Πατρός αχώριστος Υιός, εκ σού σεσωμάτωται, διό, ευλογημένη γενεαίς γενεών πέφηνας.

Ωδή η' Ο Ειρμός

«Εκ φλογός τοίς Οσίοις δρόσον επήγασας, καί Δικαίου θυσίαν ύδατι έφλεξας, άπαντα γάρ δράς Χριστέ, μόνω τώ βούλεσθαι, Σέ υπερυψούμεν εις πάντας τούς αιώνας».

Νυσταγμόν αμελείας αποκρουσάμενος, αρετών εμμελεία Πάτερ ηγρύπνησας, έως τού Θεού, Ιακώβ ώφθης σκήνωμα, όν υπερυψούμεν εις πάντας τούς αιώνας.

θυρεώ ευσεβείας περισκεπόμενος, καί ώς δίστομον ξίφος αναλαβόμενος, δόγμα τό σεπτόν, πάσας όντως συνέκοψας, τών αιρετιζόντων τάς φάλαγγας θεόφρον.

Αναιμάκτους θυσίας Θεώ προσήγαγες, ταπεινώσει καρδίας, Πάτερ Ευτύχιε θύων διά σέ, τόν τυθέντα ως πρόβατον, όν υπερυψούμεν εις πάντας τούς αιώνας.

Υφαιρέσει τού χείρονος ανυψούμενος, τοίς αύλοις, Αγγέλοις εξομοιούμενος, έτι τή σαρκί ενδημών εξεδήμησας, έρωτι ασχέτω, πρός όν Χριστόν επόθεις.

Θεοτοκίον

Εν τώ τίκτειν διέδρας ωδίνας Άχραντε, καί τεκούσα Παρθένος πάλιν διέμεινας, άπαντα γάρ δρά, Ιησούς ο Θεάνθρωπος, όν υπερυψούμεν εις πάντας τούς αιώνας.

Ωδή θ' Ο Είρμός

«Θεόν ανθρώποις ιδείν αδύνατον όν ου τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ Πάναγνε ωράθη βροτοίς, Λόγος σεσαρκω μένος, όν μεγαλύνοντες, σύν ταίς ουρανίαις Στρατιαίς σέ μακαρίζομεν».

Μικρών τά μέγιστα αντικτώμενος, καί τών φθαρτών τά άφθαρτα καλώς αντωνούμενος, βασιλείαν ασάλευτον έλαβες, τής μη παρεχομένης δόξης επέτυχες, ταίς τών αρετών σου καλλοναίς ωραιζόμενος.

Αγνώς τόν βίον σου διετέλεσας, καί τής αγνής Παρθένου, λάτρις ώφθης Ευτύχιε, Ιεράρχης Θεού αληθέστατος, στύλος Ορθοδοξίας, έρεισμα πίστεως, τείχος τού λαού τού εκλεκτού θεομακάριστε.

Σαρκός τό φρόνημα καθυπέταξας, τώ λογισμώ, καί άσαρκος καθάπερ εν σώματι, επί γής εβίωσας Ευτύχιε, όθεν σύν ασωματοις, θείαις Δυνάμεσι,

πάντων τώ Δεσπότη, καί Θεώ χαίρων παρίστασαι.

Ως φώς, ως όρθρος, ως, μέγας ήλιος, τοίς επί γής εξέλαμψας, θεόφρον Ευτύχιε, μεταστάς δέ πάλιν από γής πρός Θεόν, καί τάς φωτοχυσίας τούτου δεχόμενος, πάσιν επιπέμπεις, φωτισμόν τοίς ευφημούσί σε.

Θεοτοκίον

Ρωσθείς δυνάμει τή σή καί χάριτι, σοί τήν ωδήν προθύμως εκ καρδίας ανέθηκα, αλλά ταύτην πρόσδεξαι, Παρθένε αγνή, χάριν αντιδιδούσα, σού τήν πολύφωτον, εκ τών ακηράτων θησαυρών Θεομακάριστε.

Τό Φωταγωγικόν τού Ήχου, τό. Ιδιόμελον τής ημέρας, τό Μαρτυρικόν, καί η Α' Ώρα, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Ζ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Μάρτυρος Καλλιοπίου καί τού Οσίου Πατρός ημών Γεωργίου, Μητροπολίτου Μυτιλήνης.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

**Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν στιχηρά Προσόμοια τού Τριωδίου γ' καί τού Αγίου γ'.**

Τού Μάρτυρος

Ήχος πλ. δ'

Ώ τού παραδόξου θαύματος

Μάρτυς αθλοφόρε ένδοξε, διά Χριστόν τόν Θεόν, πολυώδυνα βάσανα, καί στρεβλώσεις σώματος, υπομείνας στερρότατα, τόν σόν α τών γώνα χαίρων διήνυσας, και στεφάνων τής δόξης έτυχες, πάσιν αιτούμενος, ιλασμόν καί έλεος, τοίς ευσεβώς, πίστει εορτάζουσι, τήν θείαν μνήμην σου.

Μάρτυς αθλητά πανθαύμαστε, υπέρ Χριστού σταυρωθείς, τόν Σταυρόν υπομείναντος, ουρανόθεν ήκουσας, εκ Θεού Παντοκράτορος, φωνής τιμίας προσκαλουμένης σε, πρός τάς εκείθεν μονάς αοίδιμε, εν αίς γενόμενος, τών βραβείων έτυχες, ως νικητής, όθεν ευφημούμέν σε, καί μακαρίζομεν.

Θεία αγάπη πυρούμενος, τό προσαγόμενον πύρ, τώ αγίω σου σώματι, δροσισμώ τού Πνεύματος, Αθλητά εκαρτέρησας, εντεύθεν ώφθης, λαμπάς πολύφωτος, πιμπρώσα πάσαν, πλάνην πολύθεον, Όθεν τήν μνήμην σου, τήν αγίαν σήμερον, χρεωτικώς, πάντες εορτάζομεν, σέ μακαρίζοντες.

Δόξα... Καί νύν... Θεοτοκίον

Φώς η τεκούσα τό άδυτον, τόν σκοτισθέντα με νύν, υπό πάσης σκαιότητος, από γνώμης Δέσποινα, τή σή αίγλη καταύγασον, καί τώ φωτί με τώ σώ σημείωσον, όπως τοίς λύκοις ανεπιβούλευτος, όλως γενήσωμαι, υπό σού

σκεπόμενος, καί ασφαλώς, σεμνή οδηγούμενος, πρός τρίβον ένθεον.

Η Σταυροθεοτοκίον

Ήλιος ιδών σε έφριξεν, επί σταυρού Ιησού, ηπλωμένον θελήματι, καί η γή εσείετο, καί αι πέτραι ερρήγνυντο, καί τά μνημεία φόβω ηνοίγοντο, καί αι δυνάμεις πάσαι εξίσταντο, η δέ τεκούσά σε, απειράνδρως βλέπουσα, μετ' οιμωγής, Οίμοι! ανεκραύγαζε, τί τό ορώμενον.

Τού Ιεράρχου

Ήχος α'

Πανεύφη μοι Μάρτυρες

Πάτερ Γεέργιε Χριστού, τήν σεπτήν καί άχραντον, τιμητικώς προσεκύνησας, εικόνα πάνσοφε, θεομάχον θράσος, μηδαμώς πτοούμενος, δυνάμει τή αυτού δυναμούμενος, όν νύν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Πάτερ Γεώργιε θυμόν, ασεβών υπήνεγκας, θρασυνομένων αλόγιστα, ούς καί τεθέασαι υπερυψωθέντας, δυσσεβεί φρυάγματι, καί πάλιν συντριβέντας δεινότερον, διαφανέστατα, τής προνοίας πρός τήν άμυναν, τών αφρόνων, κινουμένης ένδοξε.

Πάτερ Γεώργιε Θεώ, συνεργός γενόμενος, ως ιερεύς καί γεώργιον, εκατοστεύοντα, καρπόν τώ Δεσπότη, τάς ψυχάς προσήνεγκας, τάς τών διασωθέντων τώ λόγω σου, καί νύν δυσώπησον, στηριχθήναι τήν Ορθόδοξον, Εκκλησίαν, αληθείας δόγμασι.

Δόξα... Καί νύν... Θεοτοκίον

Μαρία τό άμωμον καί νούν, πάντα υπερκείμενον, τή καθαρότητι όχημα, περικρατούμενον, πολλαίς αμαρτίαις, καί στενοχωρούμενον, πρός πλάτος μετανοίας με ίθυνον, πανσθενεστάτη σου, προστασία, καί γάρ δύνασαι, οία Μήτηρ, τού πάντα Ισχύοντος.

Η Σταυροθεοτοκίον

Τόν ίδιον, Άρνα η αμνάς, καί άμωμος Δέσποινα, εν τώ Σταυρώ ώς εώρακεν, είδος ουκ έχοντα, ουδέ κάλλος, Οίμοι! θρηνω δούσα έλεγε, τό κάλλος πού σου έδυ γλυκύτατε; πού η ευπρέπεια; πού η χάρις η αστράπτουσα, τής μορφής σου, Υιέ μου παμφίλτατε;

Τού Μάρτυρος

Απολυτίκιον  Ήχος δ'

Ταχύ προκατάλαβε

Ο μάρτυς σου Κύριε εν τή αθλήσει αυτού, τό στέφος εκομίσατο τής αφθαρσίας εκ σού τού Θεού ημών, Έχων γάρ τήν ισχύν σου τούς τυράννους καθείλεν, έθραυσε καί δαιμόνων τά ανίσχυρα θράση, αυτού ταίς ικεσίαις, Χριστέ ο Θεός, σώσον τάς ψυχάς ήμων.

Τού Ιεράρχου

Απολυτίκιον Ήχος δ'

Κανόνα πίστεως καί εικόνα πραότητος, εγκρατείας διδάσκαλον ανέδειξέ σε τή ποίμνη σου η τών πραγμάτων αλήθεια, διά τούτο εκτήσω τή ταπεινώσει τά υψηλά, τή πτωχεία τά πλούσια, Πάτερ Ιεράρχα Γεώργιε, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Τού Μάρτυρος

Ως σύνηθες. Ο Κανών τού Αγίου, ού η Ακροστιχίς.

Καλούς επαινώ Καλλιωπίου πόνους. Ποίημα Ιωσήφ.

Ωδή α' Ήχος πλ. δ'

Ο Ειρμός

«Υγράν διοδεύσας ωσεί ξηράν, καί τήν Αιγυπτίαν, μοχθηρίαν διαφυγών, ο Ισραηλίτης ανεβόα, Τώ Λυτρωτή, καί Θεώ ημών άσωμεν».

Καλώς τόν αγώνα διηνυκώς, Μάρτυς αθλοφόρε, καί τήν πίστιν τετηρηκώς, τής νίκης εδέξω τούς στεφάνους, χαρμονικώς, καί Θεώ νύν παρίστασαι.

Αγίας εκ ρίζης αειθαλής, εβλάστησας κλάδος, ευκαρπία μαρτυρική, πάντων τάς καρδίας διατρέφων, τών σέ τιμώντων, σοφέ Καλλιόπιε.

Λαμπρύνας καρδίας τό οπτικόν, γραφών αναπτύξει, καί μελέτη διηνεκεί, Μαρτύρων υπήλθες τούς αγώνας, ανδρικωτάτω νοϊ Καλλιοπιε.

Θεοτοκίον

Ονεύματι πάντα δημιουργών, εκ σού σωματούται, υπέρ λόγον Μήτερ Θεού, ο τόν αθλοφόρον στεφανώσας, μεθ' ού πιστώς σε αεί μακαρίζομεν.

Τού Ιεράρχου

Ο Κανών. Ποίημα Ιγνατίου.

Ωδή α' Ήχος πλ. δ'

Ο Ειρμός

«Άσμα αναπέμψωμεν λαοί, τώ θαυμαστώ Θεώ ημών, τώ απαλλάξαντι τόν Ισραήλ εκ δουλείας, ωδήν επινίκιον, άδοντες καί βοώντες, Άσωμέν σοι τώ μόνω Δεσπότη».

Αίγλην ευσπλαγχνίας μοι Χριστέ, τώ πηρωθέντι πταίσμασι, καί αμαρτίαις δεινώς, ανάτειλον οικτίρμον, καί γνόφον απέλασον, τής εμής αβλεψίας, ταίς πρεσβείαις τού σού Ιεράρχου.

Πάσαν εγεώργησας σοφέ, τοίς πόνοις καί ιδρώσί σου, τής εγκρατείας τήν γήν, καί σπείρας εν καρδία, τόν σίτον τού Πνεύματος, στάχυν τής απαθείας, εκομίσω Γεώργιε μάκαρ.

Ώμοις σόν σταυρόν αναλαβών, καί τά τής γής τερπνότατα, τώ κοσμοκράτορι τού σκότους απορρίψας, Χριστώ ηκολούθησας, καί θησαυρούς εκτήσω, τής αυτού αΰλου βασιλείας.

Θεοτοκίον

Όπλον καί λιμένα ασφαλή, καί τείχος καί οχύρωμα, καί θείαν άγκυραν, καί γέφυραν καί σκέπην, τήν σήν Θεονύμφευτε, έχοντες Προστασίαν, τών κινδύνων λυτρούμεθα πάντων.

## Τού Μάρτυρος

### Ωδή γ'  Ο Ειρμός

«Ουρανίας αψίδος, οροφουργέ Κύριε, καί τής Εκκλησίας δομήτορ, σύ με στερέωσον, εν τή αγάπη τή σή, τών εφετών η ακρότης, τών πιστών τό στήριγμα, μόνε φιλάνθρωπε».

Υπέρ φύσιν αγώνας, πολυειδείς ήνεγκας, Μάρτυς ανδρικώς τώ διώκτη, αντιταττόμενος, όθεν επέτυχες, τής ουρανίου γαλήνης, ευπλοήσας ένδοξε, αύραις τού Πνεύματος.

Στρατιώτης γενναίος, καί νικητής άριστος, ώφθης ομιλών ταίς βασάνοις, νοός στερρότητι, καί γάρ τυπτόμενος, καί τροχιζόμενος μάκαρ, τό τής πλάνης φρύαγμα, όλον κατέβαλες.

Επαιρόμενον θράσος, τού δυσμενούς ώλεσας, Μάρτυς αναρτώμενος ξύλω, καί δαπανώμενος, πληγαίς τό σώμά σου, καί τών στιγμάτων τώ κάλλει, χαίρων Καλλόπιε, καλλωπιζόμενος.

Θεοτοκίον

Παναγία Παρθένε, τών Αθλητών καύχημα, καί τών ιερών Αποστόλων τό σεμνολόγημα, τούς εν αινέσει σε, χαρμονικώς ανυμνούντας, ρύσαι ταίς πρεσβείαις σου, πάσης στενώσεως.

## Τού Ιεράρχου

### Ωδή γ'  Ο Ειρμός

«Ουκ έστιν Άγιος, ως ο Κύριος, ημών καί ουκ έστι δίκαιος, ως ο Θεός ημών, όνν υμνεί πάσα κτίσις, Ουκ έστι δίκαιος, Άγιος πλήν σου Κύριε».

Τώ ύψει μακάριε, επιβάς τών αρετών, καί τά βάθη τού Πνεύματος, αξίως κατοπτεύσας, καί θεωρίας δοχείον, γενόμενος Όσιε, αυλίζη σύν Αγγέλων χοροίς.

Πτωχεύσας τώ πνεύματι, κατεπλούτησας Σοφέ, βασιλείαν τήν άϋλον, εν ή τώ ποιμνίω σου, θησαυρούς αιωνίους, πιστώς προητοίμασας, διό σε μακαρίζομεν.

Τό άπλαστον Όσιε, καί τό πράον τής ψυχής, εμιμήσω τοίς τρόποις σου, καί τοίς κατορθώμασιν, Ιακώβ καί εδείχθης, καθάρσει τού Πνεύματος, Ισραηλίτης νούς Ορών τόν Θεόν.

Θεοτοκίον

Απάτορα τέτοκας, τόν αμήτορα πρό σού, καί ως βρέφος εθήλασας, τόν τρέφοντα άπαντα, όν δυσώπει σωθήναι, τούς πίστει υμνούντάς σε, κυρίως Θεοτόκον αγνήν.

Τού Μάρτυρος

Κάθισμα Ήχος δ'

Ταχύ προκατάλαβε

Σταυρώ ανυψούμενος, απεριτρέ, πάπτω νοϊ, Χριστού τό σωτήριον, πάθος σοφέ Αθλητά, καλώς εξεικόνισας, όθεν τήν φωτοφόρον, καί αγίαν σου μνήμην, πίστει επιτελούμεν, ιλασμόν τών πταισμάτων, αιτούμενοι διά σού λαβείν, καί μέγα έλεος.

Θεοτοκίον

Επάκουσον Δέσποινα, εκ κατωδύνου ψυχής, βοώντος τού δούλου σου, καί τών προτέρων κακών, παράσχου τήν άφεσιν, σέ γάρ επικαλούμαι, εν νυκτί καί η μέρα, Ρύσαί με Θεοτόκε, τού πυρός τής γεέννης, καί στήσον εκ δεξιών, τού σού Υιού καί Θεού.

Η Σταυροθεοτοκίον

Παρθένε πανάμωμε, Μήτερ Χριστού τού Θεού, ρομφαία διήλθέ σου, τήν Παναγίαν ψυχήν, ηνίκα σταυρούμενον, έβλεψας εκουσίως, τόν, Υιόν καί Θεόν σου, όν περ ευλογημένη, δυσωπούσα μη παύση, συγχώρησιν πταισμάτων, ημίν δωρήσασθαι.

Τού Ιεράρχου

Κάθισμα Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Ταπεινώσεως ύψει περιφανής, γεγονώς τάς επάρσεις τού δυσμενούς, τελείως ηφάνισας, αριστεύσας λαμπρότατα, ελεήμων δέ Πάτερ, γενόμενος Όσιε, δαψιλεί χορηγία, πεινώσιν επήρκεσας, όθεν τήν αγήρω, μετά τέλος κληρούσαι, τρυφήν αγαλλόμενος, εις αιώνας Γεώργιε, Ιεράρχα μακάριε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Θεοτοκίον

Πειρασμοίς πολυπλόκοις περιπεσών, εξ εχθρών αοράτων καί ορατών, τώ σάλω συνέχομαι, τών αμέτρων πταισμάτων μου, αλλ' ως θερμήν αντίληψιν, καί σκέπην μου έχων σε, τώ λιμένι προστρέχω, τής σής αγαθότητος, όθεν Παναγία, τόν εκ σού σαρκωθέντα, ασπόρως ικέτευε, υπέρ πάντων τών δούλων σου, τών απαύστως υμνούντων σε, πρεσβεύουσα εν παρρησία

αυτώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς προσκυνούσιν αξίως, τόν τόκον σου άχραντε.

Η Σταυροθεοτοκίον

Τόν Αμνόν καί Ποιμένα καί Λυτρωτήν, η Αμνάς θεωρούσα εν τώ Σταυρώ, ωλόλυζε κλαίουσα, καί πικρώς ανεκραύγαζε, ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήν περ υπομένεις, διά σπλάγχνα ελέους, Θεέ υπεράγαθε, ανεξίκακε Κύριε, η πιστώς εκβοήσωμεν, Σπλαγχνίσθητι Παρθένε αγνή, καί πταισμάτων δώρησαι τήν άφεσιν, τοίς προσκυνούσιν εν πίστει, αυτού τά παθήματα.

Τού Μάρτυρος

Ωδή δ' Ο Ειρμός

«Εισακήκοα Κύριε, τής οικονομίας σου τό μυστήριον, κατενόησα τά έργα σου, καί εδόξασά σου τήν θεότητα».

Αθλητής γενναιότατος, ώφθης εν σταδίω αγωνιζόμενος, καί τής πλάνης τό οχύρωμα, καταβάλλων, Μάρτυς Καλλιόπιε.

Ιερείον ολόκληρον, Μάρτυς τώ τυθέντι Λόγω προσήνεξαι, ευωδία συντηρούμενος, τών σεπτών σου πόνων Καλλιόπιε.

Νεκρωθέν τό σαρκίον σου, πόνοις ανενδότοις, Μάρτυς πανόλβιε, τήν ζωήν σοι προεξένησε, τήν εν τοίς υψίστοις Καλλιόπιε.

Θεοτοκίον

Ως κατάκαρπος άμπελος, βότρυν εγεώργησας αποστάζοντα, γλεύκος θείον παναμώμητε, τοίς πιστώς αεί σε μακαρίζουσιν.

Τού Ιεράρχου

Ωδή δ' Ο Ειρμός

«Εξ όρους κατασκίου, Λόγε ο Προφήτης, τής μόνης Θεοτόκου, μέλλοντος σαρκούσθαι, θεοπτικώς κατενόησε καί εν φόβω, εδοξολόγει σου τήν δύναμιν».

Σύ τήν τής ψυχής, ολκάδα διασώσας, εκ τής τών παθών, ενύλου τρικυμίας, επί λιμένα καθώρμισας καί γαλήνην, τής εγκρατείας Πάτερ Όσιε.

Αγγελοειδή, τήν φρένα κεκτημένος, τής τριαδικής, Αγγέλων υμνωδίας, επηκροάσω γενόμενος εν, εκστάσει, έτι εν βίω ων Πανεύφημε.

Σύ τή νοητή, σφενδόνη ωπλισμένος, ώς άλλον Γολιάθ, τόν άρχοντα τού σκότους, ωφρυωμένον κατέβαλες Ιεράρχα, Δαυϊτική καί θεία πίστει σου.

Θεοτοκίον

Ελπίς καί προστασία, κόσμου Παναγία, δυσώπει τόν εκ σού, υπέρ τών οικετών σου, σέ γάρ φρικτόν ιλαστήριον κεκτημένοι, τής αμαρτίας εκλυτρούμεθα.

## Τού Μάρτυρος

### Ωδή ε'  Ο Ειρμός

«Ίνα τί με απώσω, από τού προσώπου σου τό φώς τό άδυτον, καί εκάλυψέ με, τό αλλότριον σκότος τόν δείλαιον, Αλλ' επίστρεψόν με, καί πρός τό φώς τών εντολών σου, τάς οδούς μου κατεύθυνον δέομαι».

Κλεϊζόμενος πόνοις, Μάρτυς υπεβλήθης τροχώ γενναιότατε, καί πυρός λαμπάσι, φλογιζόμενος δρόσον ουράνιον, εκ Θεού εδέξω, αγγελικαίς επιστασίαις, αθλοφόρε σοφέ Καλλιόπιε.

Αοράτω δυνάμει, Μάρτυς Καλλιόπιε τού Λυτρωτού ημών, οι παρανομούντες, παρελύθησαν σέ καταικίζοντες, τής φλογός σβεσθείσης, καί σού μηδόλως αψαμένης, επινεύσει τού πάντων δεσπόζοντος.

Λαμπρυνθείς ταίς αικίαις, οίά περ χρυσός εν καμίνω απήστραψας, καί ως θείος φύλαξ, τών σεπτών τού Χριστού διατάξεων, φυλακαίς εβλήθης, τοίς Ιεροίς δεσμοίς σου λύσας, πολυθέου μανίας τό φρύαγμα.

### Θεοτοκίον

Λυτρωθέντες Παρθένε, τής προγονικής διά σού καταπτώσεως, σύν τώ Αρχαγγέλω, Γαβριήλ σοι βοώμεν πανάμωμε, Χαίρε μόνη πάντων, αμαρτωλών η σωτηρία, Χαίρε πάντων Μαρτύρων κραταίωμα.

## Τού Ιεράρχου

### Ωδή ε'  Ο Ειρμός

«Ο εκ νυκτός αγνοίας, θεογνωσία φαιδρύνας τά πέρατα, φώτισόν με τώ όρθρω, τής δοξολογίας σου Κύριε».

Σέ ως αγνείας στύλον, καί σωφροσύνης κλειδούχον Αοίδιμε, κεκτημένοι σε πάντες, τύχοιμεν ελέους πρεσβείαις σου.

Θεοπτική προβλέψει, τό Ιερόν ενεδύσω αξίωμα, τής αμώμου Παρθένου, ώς άμεμπτον εις τούτο καλούσης σε.

Τόν τού ελέους οίκτον, έμφυτον έχων καί πάντοτε σύνοικον, γέγονας τοίς πένησι, δαψιλούς τροφής εργαστήριον.

### Θεοτοκίον

Τόν ουρανού Δεσπότην, εν τή γαστρί συλλαβούσα Πανάμωμε, γέγονας ανωτέρα, ουρανών καί πάσης τής κτίσεως.

Τού Μάρτυρος

Ωδή ς'  Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

Ιδούσά σε καλλοναίς, στιγμάτων καλλωπιζόμενον, η σέ τεκούσα Σοφέ, χαράς ούσα έμπλεως, Θεόν εμεγάλυνε, περιπτυσσομένη, καί σεπτώς καταφιλούσά σε.

Ωράθη σοι εν φρουρά, εγκεκλεισμένω φώς άδυτον, καί ουρανόθεν φωνή, ηνέχθη σοι Άγιε, σέ παραθαρρύνουσα, καί τούς σούς αγώνας, Ιερώς ανακηρύττουσα.

Παράδεισος νοητός, ωράθης Μάρτυς πολύαθλε, ξύλον ζωής τόν Χριστόν, εν μέσω κτησάμενος, τόν σέ μετοικίσαντα, πρός τάς αιωνίους, καταπαύσεις Καλλιόπιε.

Θεοτοκίον

Ιάτρευσόν μου, Αγνή, ψυχής τά άμετρα πταίσματα, καί φώτισόν μου τόν νούν, αεί σκοτιζόμενον, πάσαις παραβάσεσιν, όπως εν αινέσει, κατά χρέος μακαρίζω σε.

Τού Ιεράρχου

Ωδή ς'  Ο Ειρμός

«Χιτώνά μοι παράσχου φωτεινόν, ο αναβαλλόμενος φώς ως ιμάτιον, πολυέλεε Χριστέ ο Θεός ημών».

Τό Πνεύμα τό Πανάγιον εν σοί, ευρόν κατασκήνωσιν, πνευμάτων ήλασε, λεγεώνας πονηρών ταίς πρεσβείαις σου.

Γαλήνης ανεδείχθης ποταμός, καί ρείθρον πραότητος, οίς ποτιζόμεθα, τόν χειμάρρουν τής τρυφής, Πάτερ Όσιε.

Νέκρωσας τής σαρκός τάς ηδονάς, τώ πνεύματι έζησας, καμέ τοίς πάθεσι, συμπτωθέντα, διανάστησον Ένδοξε.

Θεοτοκίον

Τόν Λόγον εν γαστρί τόν εκ Πατρός, αχρόνως εκλάμψαντα, χρόνω συνείληφας, Θεόν Λόγον υπέρ λόγον Πανάχραντε.

Τό Μαρτυρικόν τού Ήχου.

Συναξάριον

Τή Ζ' τού αυτού μηνός, Μνήμη τού Αγίου Μάρτυρος Καλλιοπίου.

Στίχοι

- Καλλιόπιος έμπαλιν παγείς ξύλω,
- Τόν ορθίως παγέντα δοξάζει Λόγον.
- Ζωήν Καλλιόπιος αγήρω εβδόμη εύρεν.

Τή αυτή ημέρα, Μνήμη τού εν Αγίοις Πατρός ημών Γεωργίου, Επισκόπου Μυτιλήνης.

Στίχοι

- Εχει Μυτιλήνη σε καί τεθνηκότα,
- Ως ζώντα, Γεώργιε, προστάτην μέγαν.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Ρουφίνου Διακόνου.

Στίχοι

- Σφαγής λογισθείς ως πρόβατον Ρουφίνος,
- Σφάττει παλαιόν, τόν διάβολον λύκον.

Τή αυτή ημέρα, η Αγία Μάρτυς Ακυλίνα, τάς χείρας εις τού πίσω δεσμευθείσα, καί τήν κοιλίαν φλεχθείσα, τελειούται.

Στίχοι

- Οπισθόχειρα σχοινίοις στρεβλουμένην,
- Εμπροσθίως φλέγουσι τήν Ακυλίναν.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων διακοσίων Μαρτύρων τών εν Σινώπη ξίφει τελειωθέντων.

Στίχοι

- Ανείλεν ανδρών εικάδας δέκα ξίφος,
- Οις ανδρικός νούς, ανδρική καί καρδία.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τού Μάρτυρος

Ωδή ζ'  Ο Ειρμός

«Οι εκ τής Ιουδαίας, καταντήσαντες Παίδες εν Βαβυλώνι ποτέ, τή πίστει τής Τριάδος, τήν φλόγα τής καμίνου, κατεπάτησαν ψάλλοντες, ο τών Πατέρων ημών, Θεός ευλογητός εί».

Ουδαμώς απονείμας, αλογώτατον σέβας ξοάνοις ένδοξε, πυρός τήν τιμωρίαν, υπήνεγκας ανδρείως, εκβοών Καλλιόπιε, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Υψηλή διανοία, εκμιμούμενος Μάρτυς τόν υψωθέντα Σταυρώ, υψώθης επί ξύλου, θελήσει αντιστρόφως, τήν πορείαν ποιούμενος, πρός ουρανόν εν χαρά, υπέρ ημών πρεσβεύων.

Πολυτρόποις αικίαις, ομιλήσας γενναίω Μάρτυς φρονήματι, πολλών κατηξιώθης, κραυγάζων εν υψίστοις, αγαθών Καλλιόπιε, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Θεοτοκίον

Ο καρπός Θεοτόκε, τής σεπτής σου νηδύος ημάς εζώωσε, καρπώ θανατωθέντας, διό σε κατά χρέος, ανυμνούντες κραυγάζομεν, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

## Τού Ιεράρχου

### Ωδή ζ' Ο Ειρμός

«Ο τούς Παίδας δροσίσας εν καμίνω, καί Παρθένον φυλάξας μετά τόκον, τήν σέ τεκούσαν, ευλογητός εί Κύριε, ο Θεός ο τών Πατέρων ημών».

Τή ελλάμψει τού Πνεύματος τού θείου, τήν εντεύθεν προέγνως πρός τά κρείττω, μετάστασίν σου, καί νύν χορεύεις Όσιε, εις τάς εκείθεν μονάς.

Εις νυμφώνα τής άνω βασιλείας, εστολισμένος εισήλθες επαξίως, καί ανεκλίθης, σύν τώ νυμφίω Όσιε, εις ευωχίαν τής αϋλου τρυφής.

Αμοιβήν σοι τών πόνων ετοιμάσας, δεύρο πρός με, προσείπεν ο τών έργων, μισθαποδότης, μεθ' ού αγάλλη Όσιε, εις αιωνίους σκηνάς.

Θεοτοκίον

Ουρανών αι Δυνάμεις ως Μητέρα, τής ζωής τών απάντων κατά χρέος, δορυφορούσι, καί ανυμνούσί σε Δέσποινα, ως προστασίαν τών ψυχών ημών.

## Τού Μάρτυρος

### Ωδή η' Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν, εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, τόν Δημιουργόν, καί Λυτρωτήν ανεβόα, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Νόμω Θεού σφαττόμενος, αθλητά Καλλιόπιε, πάσαν πονηρίαν, τών ανόμων έφυγες, καιρώ τού τιμίου δέ, πάθους Χριστός δοξάζει σε, Μάρτυς αντιστρόφως, σταυρωθέντα θελήσει, πρός θείας καταπαύσεις, προσκαλούμενος όντως, τοίς θείοις Ασωμάτοις, συντάττει σε θεόφρον.

Ο λολαμπής ως ήλιος, ανατείλας Πανεύφημε, τήν υπ' ουρανόν, καταφωτίζεις πάντοτε, ακτίσι τών άθλων σου, καί διεγείρεις άπαντας, νύν επιτελείν, τήν φωτοφόρον σου μνήμην, βοώντας, Τόν Δεσπότην, Ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Υπομονήν ασύγκριτον, καρτερίαν πανθαύμαστον, Μάρτυς αθλητά, εν τώ καιρώ τών άθλων σου,
σαφώς ενδειξάμενος, ταίς τών Αγγέλων τάξεσι, νύν συνηριθμήθης, ευκλεώς αναμέλπων, Οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός, υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Σωματοφόρον τέτοκας, καί αγκάλαις εβάστασας, άχραντε Παρθένε, Ιησούν τόν Κύριον, τόν πάντα βαστάζοντα, παντοδυνάμω νεύματι, όθεν ως Θεού σε, ανυμνούμεν Μητέρα, βοώντες εν αινέσει, Ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Τού Ιεράρχου

Ωδή η' Ο Ειρμός

«Οι θεορρήμονες Παίδες εν καμίνω, σύν τώ πυρί καί τήν πλάνην καταπατούντες εκραύγαζον, Ευλογείτε τά έργα, Κυρίου τόν Κύριον».

Θεοκυβέρνητον έχων τήν καρδίαν, τόν τών παθών μου ζοφώδη, Πάτερ κατεύνασον κλύδωνα, καί λιμένι γαλήνης, τής σής με καθόρμισον.

Πεφυτευμένος ταίς θείαις διεξόδοις, τών τής αγάπης υδάτων, δένδρον ζωής ανατέθηλας, καί καρπούς ευσεβείας, καιρώ εναπέδωκας.

Ως ιατήρ ανιάτων νοσημάτων, καί ελατήρ ακαθάρτων πνευμάτων, μάκαρ Γεώργιε, καμού τής αμαρτίας, τήν νόσον θεράπευσον.

Θεοτοκίον

Τίς εκλαλήσει τόν θείον τοκετόν σου, Θεοκυήτορ Μαρία; πάσα γάρ φύσις εξίσταται, γηγενών καί Αγγέλων, καί σέ μακαρίζουσιν.

Τού Μάρτυρος

Ωδή θ' Ο Ειρμός

«Εξέστη επί τούτω ο ουρανός, καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί γαστήρ σου γύγονεν, ευρυχωροτέρα τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι μεγαλύνουσιν».

Ιστίω πτερωθείσά σου η ψυχή, τού Αγίου πανόλβιε Πνεύματος, τό χαλεπόν, πέλαγος διήλθε τών αικισμών, καί τούς λιμένας έφθασε, τούς επουρανίους περιχαρώς, βυθίσασα τού πλάνου, δολίας παρατάξεις, θεία πλημμύρα τών αιμάτων σου.

Ωραίος νεανίας αποφανθείς, καλλοναίς τών αγώνων εξήστραψας, ηλιακών, πλέον αθλοφόρε μαρμαρυγών, καί τών πιστών εφώτισας, Μάρτυς Καλλιόπιε τάς ψυχάς, τών πόθω τήν αγίαν, καί όντως φωτοφόρον, επιτελούντων σου

πανήγυριν.

Στησώμεθα χορείαν πνευματικήν, τόν στερρόν αθλητήν Καλλιόπιον, χαρμονικώς, νύν ανευφημούντες, καί τοίς αυτού, κατατρυφώντες σήμερον, πόνοις, οις υπέστη διά Χριστόν, γενναίως εναθλήσας, καί τής πολυθεΐας, καταστρεψάμενος τό άθεον.

Η θήκη σου πηγάζει μύρα ζωής, καί εκβλύζει ως νάματα θαύματα, ήν οι πιστοί, πάντοτε κυκλούντες περιχαρώς, καί πόθω ασπαζόμενοι, τόν αγιασμόν τε καί φωτισμόν, αντλούσι τήν αγίαν, δοξάζοντές σου μνήμην, Μάρτυς Κυρίου Καλλιόπιε.

Θεοτοκίον

Φωτός σου ταίς ακτίσι ταίς μυστικαίς, τού νοός μου τό σκότος απέλασον, Μήτερ Θεού, καί τών λογισμών μου τό χαλεπόν, κλυδώνιον κατεύνασον, καί πρός τούς λιμένας τούς γαληνούς, οδήγησόν με μόνη, η πάντων σωτηρία, όπως εν πίστει μακαρίζω σε.

Τού Ιεράρχου

Ωδή θ'  Ο Ειρμός

«Τόν προδηλωθέντα, εν όρει τώ Νομοθέτη, εν πυρί καί βάτω, τόκον τόν τής Αειπαρθένου, εις ημών τών πιστών σωτηρίαν, ύμνοις ασιγήτοις μεγαλύνωμεν».

Ταίς τών σών δακρύων πηγαίς τόν τής απαθείας, εγεώργησας Όσιε, παράδεισον αμέμπτως, καί πολύχουν τήν ευκαρπίαν προβάλλη, τρέφων αρεταίς τό θείον ποίμνιον.

Σύ τήν καθαράν τώ Θεώ, ανύσας λατρείαν, καί τής πίστεως Όσιε, τόν δρόμον εκτελέσας νύν εδέξω στέφανον δικαιοσύνης εκ χειρός Χριστού τού αθλοθέτου σου.

Θησαυρόν ακένωτον, καί πλούτον χαρισμάτων, τήν σήν κόνιν έχοντες, καί σορόν τών λειψάνων, εμπιπλάμεθα νοητών αρωμάτων, αξιομακάριστε Γεώργιε.

Θεοτοκίον

Τόν θεανδρικόν σου τόκον, πανάμωμε Κόρη, ως Θεόν υπάρχοντα, καί Κτίστην τών αιώνων, δυσωπούσα μή διαλίπης απαύστως, σώσαι τάς ψυχάς τών ανυμνούντων σε.

Τό Φωταγωγικόν τού Ήχου.

Τό Ιδιόμελον τής ημέρας, καί τό Μαρτυρικόν, ως σύνηθες. Είτα η Α' Ώρα, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Η' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Αποστόλων εκ τών Εβδομήκοντα, Ηρωδίωνος, Αγάβου, Ρούφου, Ασυγκρίτου, Φλέγοντος καί Ερμού.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά τού Τριωδίου γ' καί τών Αποστόλων γ'.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Αετοί ως υπόπτεροι, πάσαν γήν διεδράμετε, τά σεπτά διδάγματα, κατασπείροντες, καί τά ζιζάνια τέμνοντες, τής πλάνης εν χάριτι, καί πολύχουν τόν καρπόν, γεωργούντες Πανεύφη μοι, όν κατέχουσι, νοηταί αποθήκαι, εις αιώνας, Γεωργώ τώ αθανάτω, περιφανώς
συντηρούμενον.

Ηρωδίωνα, Άγαβον, καί Ασύγκριτον, Ρούφόν τε, καί Ερμήν καί Φλέγοντα, μακαρίσωμεν, τά τής αμπέλου τυγχάνοντα, κατάκαρπα κλήματα, αποστάζοντα ημίν, γλυκασμόν τόν σωτήριον, τόν ευφραίνοντα, τάς διψώσας καρδίας τών εν πίστει, αληθεί τούτων τήν μνήμην, επιτελούντων τήν εύσημον.

Ουρανοί χρηματίσαντες, υψηλοί τήν διάνοιαν, δόξαν αναγγέλλετε, τού Θεού ημών, τού σαρκωθέντος θελήματι, θεόπται Απόστολοι, οδηγοί τών ευσεβών, Εκκλησίας θεμέλιοι, πύργοι άσειστοι, ευσεβείας λιμένες, απορρήτων, μυστηρίων υπηρέται, φωταγωγοί τών ψυχών ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Ως Θεού Μήτηρ άφθορος, καί αγνή καί πανάμωμος, καί αγιωσύνη πάση ασύγκριτος, τόν εναγή καί ακάθαρτον, καί πάσης αισχρότητος, παρανόμου καί δεινής, ευρετήν εγχειρήσεως, μή απώση με, μή εάσης με όλως απολέσθαι, αλλά ρύσαι τών παθών με, καί επιστρέφοντα σώσόν με.

Η Σταυροθεοτοκίον

Πικροτάτως δακρύουσαν, καί θρηνούσάν σε πάναγνε, ελεήσας ώκτιρεν, ο εκ σπλάγχνων σου, σάρκα λαβών υπέρ έννοιαν, καί δρόσον ενστάξας σοι, επεφώνει ως Υιός, Παύσαι Μήτερ δακρύουσα, εί γάρ πέπονθα, εκουσίως Παρθένε, καί νεκρούμαι, αλλ' εγείρομαι δοξάσαι, τούς σέ σεπτώς μεγαλύνοντας.

Απολυτίκιον  Ήχος γ'

Απόστολοι άγιοι πρεσβεύσατε τώ ελεή μονι Θεώ, ίνα πταισμάτων άφεσιν παράσχη ταίς ψυχαίς ημών.

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, ο Κανών τών Αποστόλων, καί τά Τριώδια, κατά τήν τάξιν αυτών.

Ο κανών τών Αποστόλων, ού η Ακροστιχίς.

Αποστόλοις πλέξωμεν ένθεον μέλος. Ποίημα Ιωσήφ.

### Ωδή α' Ήχος γ' Ο Ειρμός

«Ο τά ύδατα πάλαι, νευματι Θείω εις μίαν, συναγωγήν συναθροίσας, καί τεμών θάλασσαν, Ισραηλίτη λαώ, ούτος ο Θεός ημών, δεδοξασμένος υπάρχει, αυτώ μόνω άσωμεν, ότι δεδόξασται».

Αποστόλων Αγίων, τήν παναγίαν συμφώνως, πανηγυρίσωμεν μνήμην, καί αυτούς μέλψωμεν, εν ευφροσύνη ψυχής, τόν γάρ υπεράγιον, καθικετεύουσι Λόγον, ιλασμόν δωρήσασθαι, ημίν καί έλεος.

Πολυθέου μανίας, τήν σηπεδόνα σοβούντες, τού λόγου άλατι θείω, τάς ψυχάς ένδοξοι, τάς μωρανθείσας ποτέ, πάσας υγιώσατε, καί σεσωσμένας τώ Κτίστη, πάντων παρεστήσατε, όθεν δοξάζεσθε.

Ο κλεινός Ηρωδίων, Ρούφος καί Αγαβος, Φλέγων, καί ο Ασύγκριτος άμα, καί Ερμής άσμασι μακαριζέσθωσαν, γνήσιοι γενόμενοι, τού Λυτρωτού ημών φίλοι, καί σοφοί Απόστολοι, καί θείοι κήρυκες.

Θεοτοκίον

Συμπαθής Θεοτόκε, τών Αποστόλων τό κλέος, τών Αθλοφόρων η δόξα, καί πιστών στήριγμα, στήριξον δέομαι, τόν περιτρεπόμενον, ταίς επηρείαις τού πλάνου, νούν μου καί σκοτούμενον, ταίς παραβάσεσιν.

### Ωδή γ' Ο Ειρμός

«Ο εκ μή όντων τά πάντα παραγαγών, τώ Λόγω κτιζόμενα, τελειούμενα Πνεύματι, Παντοκράτορ Ύψιστε, εν τή αγάπη τή σή στερέωσόν με».

Τής Εκκλησίας γενόμενοι οφθαλμοί, πολλών διηνοίξατε, οφθαλμούς ενοπτρίζεσθαι, κάλλος τό αμήχανον, θεοειδείς Μαθηταί Θεού τού Λόγου.

Οίκος Τριάδος εδείχθης φωτοειδής, Ρούφε παναοίδιμε, καί τώ λόγω τής χάριτος, ναούς κατηδάφισας, καί εδομήσω Κυρίω Εκκλησίας.

Λόγω σου θείω νεώσας Ρούφε σοφέ, καρδίας κατέσπειρας, τά σωτήρια δόγματα, καί πολύχουν άσταχυν, τήν τών σωθέντων, εδρέψω σωτηρίαν.

Θεοτοκίον

Ο κατ' ουσίαν υπάρχων τήν θεϊκήν, απρόσιτος Άχραντε, προσιτός μοι νύν γέγονε, καί σαρκός προσλήμματι, όλως ηνώθη δι' άκραν ευσπλαγχνίαν.

Κάθισμα Ήχος α'
Τόν τάφον σου Σωτήρ

Ακτίνες νοητού, γεγονότες Ηλίου, φαιδρύνετε τήν γήν, ταίς τών λόγων ακτίσι, καί σκότος ελαύνετε, αγνωσίας εν χάριτι, όθεν σήμερον, εν τή φαιδρά υμών μνήμη, λαμπρυνόμενοι, φωτοειδείς θεηγόροι, υμάς μακαρίζομεν.

Θεοτοκίον

Εγγίζει ο Κριτής, επί θύραις τό τέλος, γρηγόρησον ψυχή, καί εκ βάθους καρδίας, στενάξασα βόησον, τή Μητρί τού Θεού ημών, Ελευθέρωσον, τών φοβερών με βασάνων, καί εν τόπω με, τής αναπαύσεως τάξον, πανάχραντε Δέσποινα.

Η Σταυροθεοτοκίον

Ως είδεν εν Σταυρώ, η Αμνάς σε τόν Άρνα, κρεμάμενον Χριστέ, τών κακούργων εν μέσω εβόα δακρύουσα, καί πικρώς ολολύζουσα, Τέκνον φίλτατον, τί τό ορώμενον ξένον; Μήτερ άνανδρε, ζωή παγκόσμιος τούτο, αντέφης, γνωσθήσεται.

Ωδή δ' Ο Ειρμός

«Έθου πρός ημάς, κραταιάν αγάπησιν Κύριε, τόν μονογενή γάρ σου Υιόν, υπέρ ημών εις θάνατον δέδωκας, διό σοι κραυγάζομεν, ευχαριστούντες, Δόξα τή δυνάμει σου».

Ίαμα πιστοίς, διά γλώσσης θείον προσφέροντες, γήν τής ασεβείας πονηράν, καταστροφή Σοφοί παρεδώκατε, καί ωκοδομήσατε, ψυχάς εν πίστει, όθεν μακαρίζεσθε.

Ιθένος διά σού, Ηρωδίων μάκαρ ενδέδυται, πόλις τών Πατρών περιφανώς, πρώτος τόν θρόνον γάρ κατεκόσμησας, θείαις ελλαμπόμενος, φωτοχυσίαις, τού Αγίου Πνεύματος.

Πόλις τών Πατρών, πολιστήν σε μέγαν επλούτησε, μάκαρ Ηρωδίων αληθώς, πρός τήν Σιών τήν άνω μετάγοντα, ταύτην αληθέστατα, όθεν τιμά σε, θείοις μελωδήμασι,

Θεοτοκίον

Λόγω Ιερώ, τού Πατρός τόν Λόγον συνέλαβες, πάσης αλογίας τούς βροτούς, Θεογεννήτορ Κόρη λυτρούμενον, όθεν λόγοις πάντοτε, μεγαλοφώνως, θείοις σε δοξάζομεν.

Ωδή ε' Ο Ειρμός

«Επί τής γής ο αόρατος ώφθης, καί τοίς βροτοίς εκών συναναστράφης, ο ακατάληπτος, πρός σέ ούν ορθρίζοντες, ανυμνούμέν σε Φιλάνθρωπε».

Επί τής γής τόν ελθόντα τού σώσαι, τό πλανηθέν, εκηρύξατε Λόγον, θείοι Απόστολοι, καί τής πλάνης άπαντας, τούς ανθρώπους ελυτρώσασθε.

Ξενοπρεπώς προφητείας σοι χάρις, παρά Θεού εξεχύθη πλουσίως, θεόφρον Άγαβε, προφωνείς γάρ δήλωσιν, τών μελλόντων εμφανέστατα.

Ώφθης ποτέ προσημαίνων τώ Παύλω, επιβουλήν καί δεσμά καί κακώσεις, Προφήτα Άγαβε, οπηνίκα χείράς σου, τή εκείνου ζωνη έδησας.

Θεοτοκίον

Μόνη εν γή τοκετόν έσχες ξένον, μόνον ημάς καταλλάσσοντα μόνω, τώ προανάρχω Πατρί, διά τούτο μόνην σε, ως Θεού Μητέρα σέβομεν.

Ωδή ς'  Ο Ειρμός

«Άβυσσος εσχάτη αμαρτιών, εκύκλωσέ με, καί εκλείπει τό πνεύμά μου, αλλ' εκτείνας Δέσποτα, σόν υψηλόν βραχίονα, ως τόν Πέτρον με, κυβερνήτα διάσωσον».

Έθετο λαμπάδας ως φωταυγείς, υμάς ο Λόγος, οικουμένην φωτίζοντας, καί τό σκότος λύοντας, θεοειδείς Απόστολοι, καί δεικνύοντας, τήν οδόν τήν σωτήριον.

Νέκρωσιν κηρύττων τού απαθούς, νενεκρωμένους, πρός ζωήν προσηγάγετο, ο σοφός Ασύγκριτος, Αποστόλων τό καύχημα, Υρκανίας τε, τό σοφόν περιτείχισμα.

Ευρέ σε Ασύγκριτε ποταμόν, ναμάτων πλήρη, Υρκανία τού Πνεύματος, καί σεπταίς αρδείαις σου, καταρδευθείσα ήνεγκεν, ωραιότατα, τώ Δεσπότη βλαστήματα.

Θεοτοκίον

Νόμου σε ετύπου η κιβωτός, τήν δεξαμένην νόμου θείου τό πλήρωμα, καί σαρκί κυήσασαν, καί μετά τόκον μείνασαν, αειπάρθενον, ώς πρό τόκου Θεόνυμφε.

Συναξάριον

Τή Η' τού αυτού μηνός, Μνήμη τών Αγίων Αποστόλων εκ τών εβδομήκοντα, Ηρωδίωνος, Αγάβου, Ρούφου, Φλέγοντος, Ασυγκρίτου καί Ερμού.

Στίχοι

- Ευαγγελίου τόν καλόν δραμών δρόμον,
- Ηρωδίων κάλλιστον ήρατο στέφος.
- Ψυχήν Αγάβου τού Προφηταποστόλου,
- Ο ψυχοσώστης προσκαλείται Δεσπότης.
- Σβέσας πλάνης φλέγουσαν ο Φλέγων φλόγα,
- Ούς Δαυίδ είπε, πύρ φλέγον, βλέπει Νόας.
- Παύλος καλεί σε, Ρούφ', Απόστολος μέγας.
- Εκλεκτόν όντως, ώ επαίνου αξίου!
- Ασύγκριτον δέ πάς επαινέσει μάλα.

- Τούτον γάρ ησπάσατο Παύλου τό στόμα.
- Ερμή θανόντι τώ μαθητή Κυρίου,
- Ερμώον έμπνουν εκ λόγων αναγλύφω.
- Ογδοάτη μετέβησαν Απόστολοι, αγγελέες τε.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Κελεστίνου Πάπα Ρώμης.

Στίχοι

- Τό χάσμα καί σέ παμμάκαρ, Κελεστίνε,
- Χορού διιστά μή μεμακαρισμένου.

Ταίς αυτών αγίαις πρεσβείαις, Χριστέ ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Τό πρίν εικόνι τή χρυσή, Περσικώ σεβάσματι, Παίδες ου προσεκύνησαν τρείς, υμνούντες εν μέσω τής καμίνου, Τών πατέρων ο Θεός ευλογητός εί».

Θεμελιώσαντες καλώς, εν πέτρα τής Πίστεως τών εθνών τά πληρώματα, λίθους πάλαι τούς σεβομένους μάτην, κατεφώτισαν σοφώς οι θεηγόροι.

Έφλεξας Φλέγον ιερέ, πυρί θείω άπασαν, τής απάτης τήν άκανθαν, καί καρδίας αθλίως εσβεσμένας, θέρμη Πνεύματος ανήψας αριδήλως.

Οι Μαραθώνος οικισταί, προστάτην σε μέγιστον, καί διδάσκαλον άριστον, καί φωστήρα καί ποδηγέτην σχόντες, Φλέγον ένδοξε, τιμώσί σε απαύστως.

Θεοτοκίον

Νέος Παράδεισος ημίν, ζωής ξύλον άχραντε, κεκτημένος γεγένησαι, ού η βρώσις, τούς βρώσει τεθνηκότας ανεζώωσεν, αγνή Θεογεννήτορ.

Ωδή η'  Ο Ειρμός

«Βαβυλωνία κάμινος, τούς Παίδας ουκ έφλεξεν, ουδέ τής θεότητος τό πύρ, τήν Παρθένον διέφθειρε, διό μετά τών Παίδων πιστοί βοήσωμεν, Ευλογείτε, τά έργα Κυρίου τόν Κύριον».

Μακαριζέσθω Άγαβος, Φλέγων καί Ασύγκριτος, Ρούφος καί Ερμής ο ευκλεής, καί Ηρωδίων σήμερον, τού Λόγου γεγονότες θείοι Απόστολοι, καί φωστήρες τού κόσμου, καί εθνών διδάσκαλοι.

Ερμής, ο παναοίδιμος, Δαλματίας γέγονε, πάσης οδηγός καί φωτισμός, εν ταύτη γάρ ως ήλιος πολύφωτος επέστη, τελών εξαίσια, καί φωτίζων Καρδίας, αβλεπτούσας πρότερον.

Λόγον ως λύχνον φαίνοντα, Ερμή φέρων ένδοξε, τούς εν τή νυκτί τών δυσχερών, καθημένους εφώτισας, Ιάσεις καί σημεία τελών δέ μέγιστα,

εφειλκύσω πρός πίστιν, απίστων τό πλήρωμα.

Τριαδικόν

Οι τήν Τριάδα σέβοντες, Πατέρα δοξάσωμεν, Υιόν προσκυνήσωμεν πιστώς, καί Πνεύμα τό Άγιον, Τρισίν εν χαρακτήρι, μίαν θεότητα ηνωμένην τή φύσει, απλήν αδιαίρετον.

Θεοτοκίον

Σέ Προστασίαν έχομεν, Άχραντε οι δούλοί σου, καί πρός τόν Υιόν σου καί Θεόν, μεσίτιν ακαταίσχυντον, κινδύνων ημάς σώζε, καί πειρασμών σεμνή, ίνα πιστει καί πόθω, αεί σε δοξάζωμεν.

Ωδή θ' Ο Ειρμός

«Τήν εν βάτω καί πυρί, προγραφείσαν εν Σινά τώ νομοθέτη Μωσή, καί τό θείον εν γαστρί, αφλέκτως συλλαβούσαν πύρ, τήν ολόφωτον καί άσβεστον λαμπάδα, τήν μόνην Θεοτόκον, εν ύμνοις τιμώντες μεγαλύνομεν».

Ιερώτατον χορόν, συστησώμεθα πιστώς, εν όμονοία ψυχής, μακαρίζοντες θερμώς, Ερμήν καί Ηρωδίωνα, Ρούφον, Άγαβον, Ασύγκριτόν τε τόν μέγαν, καί Φλέγοντα τόν θείον, τού Λόγου αυτόπτας χρηματίσαντας.

Ως ελαίαι μυστικαί, δεδειγμένοι αληθώς, οι θεηγόροι ημών, καθιλάρυναν ψυχάς, καί πρόσωπα εν χάριτι, καί ερρύσαντο αθέου δυναστείας, καί σκότους αγνωσίας, όθεν επαξίως μακαρίζονται.

Στεναγμών ημάς πολλών, καί δουλείας τού εχθρού, καί παλαιού πτερνιστού, ελυτρώσατε σοφοί, τού Λυτρωτού Απόστολοι, καί εδείξατε τάς τρίβους, τάς φερούσας ενθέω πεποιθήσει, πρός τήν Βασιλείαν τήν ουράνιον.

Η εξάφωτος λαμπάς, τών αγίων Μαθητών, ικέτευε εκτενώς, τήν Τρισήλιον αυγήν, φωτίσαι τάς ψυχάς ημών, τών τήν πάμφωτον τελούντων υμών μνήμην, καί ρύσασθαι εκ σκότους, καί τής αιωνίου κατακρίσεως.

Θεοτοκίον

Φλογοφόρος ώς λαβίς, υπεδέξω εν γαστρί, άνθρακα τόν νοητόν, καταφλέγοντα ημών, τά πάθη καί φωτίζοντα, τάς ψυχάς ημών καί λύοντα τό σκότος, τής ειδωλομανίας, άχραντε Παρθένε πολυύμνητε.

Τό Φωταγωγικόν, τό Ιδιόμελον καί τά λοιπά, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Θ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Μάρτυρος Ευψυχίου τού εν Καισαρεία.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'
Οι Μάρτυρές σου Κύριε

Ο πάνσοφος Ευψύχιος, κατεπαιρόμενον αλαζονεία, τόν ματαιό ξίφει, αισχύφρονα, πληγείς τω νης έπλησε πολλής, καί συνηριθμήθη τοίς στρατεύμασι, τοίς επουρανίοις αγαλλόμενος, Αυτού ταίς ικεσίαις, δώρησαι πάσι Σώτερ τό μέγα έλεος.

Ευψύχιος ο ένδοξος, στύλος γεγένηται τής Εκκλησίας, καί πύργος άσειστος τής ευσεβείας, καί καθαιρέτης τού εχθρού, πάσι τοίς νοσούσι καί προστρέχουσι, βλύζων ως εκ κρήνης τά ιάματα, Αυτού ταίς ικεσίαις, εύσπλαγχνε πάσι δίδου τό μέγα έλεος.

Ως κρίνον ευωδίασας, πάσαν διάνοιαν ταίς ηδυπνόοις, οσμαίς τών άθλων σου, γενναίε Μάρτυς, καί απεμείωσας σοφέ, πλάνης τό δυσώδες καί ανέλαμψας, ήλιος καθάπερ εν τοίς πέρασι, πρεσβεύων δωρηθήναι, άπασι σωτηρίαν καί μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Αγνή Θεογεννήτρια, η τόν σωτήριον τεκούσα Λόγον, ρύσαι τούς δούλους σου πειρατηρίων, τού πολεμήτορος εχθρού, φώτισον ημών τά αισθητήρια, ίθυνον ημών τά διαβήματα, πρός τρίβους σωτηρίας, όπως σε πίστει Κόρη πάντες δοξάζωμεν.

Η Σταυροθεοτοκίον

Σταυρώ σε καθηλούμενον, ώς εθεάσατο η σέ τεκούσα, μόνε Μακρόθυμε, οδυρομένη, δάκρυα έρρει κρουνηδόν, καί τό υπερβάλλον τής χρηστότητος, καί τό συμπαθές τό πρός τόν άνθρωπον, λίαν εκπληττομένη, ύμνει σου τό μακρόθυμον πολυεύσπλαγχνε.

Απολυτίκιον

Ο Μάρτυς σου Κύριε εν τή αθλήσει αυτού, τό στέφος εκομίσατο τής αφθαρσίας εκ σού τού Θεού ημών, Έχων γάρ τήν ισχύν σου τούς τυράννους καθείλεν, έθραυσε καί δαιμόνων τά ανίσχυρα θράση, αυτού ταίς ικεσίαις Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

Καί απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες, ως σύνηθες.

Ο Κανών τού Αγίου, ού η Ακροστιχίς.

Τούς Ευψυχίου ευψύχως άδω πόνους. Ποίημα Ιωσήφ.

Ωδή α' Ήχος πλ. δ'
Ο Ειρμός

«Υγράν διοδεύσας ωσεί ξηράν, καί τήν Αιγυπτίαν, μοχθηρίαν διαφυγών, ο Ισραηλίτης ανεβόα, τώ Λυτρωτή καί Θεώ ημών άσωμεν».

Τούς άθλους ευψύχως μάκαρ τούς σούς, Ευψύχιε Μάρτυς, αναμέλπων σέ δυσωπώ, Έχων παρρησίαν τήω ψυχήν μου, τής τών παθών τυραννίδος εξάρπασον.

Ο νούς σου τή νεύσει τή πρός Θεόν, ανένευσε πάντων, τών τού βίου μάκαρ Τερπνών, καί όλος ωραίος απεφάνθη, κατά παθών βασιλεύσας Ευψύχιε.

Υφάνας ιμάτιον σεαυτώ, εξ έργων αρίστων, καί φοινίξας μαρτυρικώς, εστόλισαι τούτω καί παρέστης, ωραϊσμένος Κυρίω Ευτύχιε.

Θεοτοκίον

Σαρκός ομοιώματι γεννηθείς, εκ σού ο Δεσπότης, εκαινούργησε τήν ημών, πεπαλαιωμένην Κόρη φύσιν, καί τούς θνητούς ουρανίους ειργάσατο.

Ωδή γ' Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Έμφρονα υπάρχοντα, καταμηνύουσιν άφρονες, σέ δυσμενεί, Άρχοντι αφρόνως, δαιμονίοις λατρεύοντι.

Ύψει μαρτυρίου σοι, προσομιλήσαντι Άγγελος, επιφανείς, σέ παραθαρρύνει, αθλοφόρε Ευψύχιε.

Ψαλλων τώ Κυρίω σου, πάσης χαράς όντως πέπλησαι, Μάρτυς σοφέ, όθεν καί ευψύχως, τό μαρτύριον ήνυσας.

Θεοτοκίον

Ύμνον χαριστήριον, τών αθλητών χορός άδει σοι, Κόρη σεμνή, σού ταίς οδηγίαις, νικηφόρος γενόμενος.

Κάθισμα Ήχος α'

Τόν τάφον σου Σωτήρ

Ευψύχως τόν καλόν, διανύσας αγώνα, ενίκησας εχθρόν, τόν πολέμιον Μάρτυς, βραβείον τά θαύματα, εκ Θεού κομισάμενος, όθεν άπασα, η τών Πιστών εκκλησία, μακαρίζει σε, εν τή παρούση ημέρα, συμφώνως Ευψύχιε,

Θεοτοκίον

Συγχάρητε βροτοί, τή Μητρί τού Κυρίου, αινέσατε αυτήν, ουρανών αι Δυνάμεις, δοξάσατε τήν άχραντον, οι τής γης βασιλεύοντες, δεύτε άπαντες, τών φιλεόρτων οι δήμοι, Χαίροις είπωμεν, τή Θεοτόκω συμφώνως, πιστώς ευφραινόμενοι.

Η Σταυροθεοτοκίον

Ω θαύματος καινού! ώ φρικτού μυστηρίου! εβόα η αγνή, καί πανάμωμος Κόρη, εν ξύλω ώς εώρακεν, απλωθέντα τόν Κύριον, ο τά σύμπαντα, εν τή

δρακί περιφέρων, ως κατάκριτος, υπό κριτών παρανόμων, Σταυρώ κατακρίνεται.

Ωδή δ' Ο Ειρμός

«Εισακήκοα Κύριε, τής οικονομίας σου τό μυστήριον, κατενόησα τά έργα σου, καί εδόξασά σου τήν θεότητα».

Χαίρων Μάρτυς διένειμας, πάντα τά υπάρχοντα πενητεύουσι, μαρτυρίου όλβον άσυλον, καί χαράν αγήρω αντικτώμενος.

Ιερώς φωτιζόμενος, σκότος ανιέρων σύ εστηλίτευσας, αναγκάζειν πειρωμένων σε, υπαχθήναι πλάνη δεισιδαίμονι.

Ου λιμός ουδέ θάνατος, ουδέ τής παρούσης τρυφής απόλαυσις, τής αγάπης σε τού κτίσαντος, διαστήσαι Μάρτυς υπερίσχυσαν.

Θεοτοκίον

Υπερτέρα δυνάμεων, τών επουρανίων σύ χρηματίσασα, σαρκικών παθών υπέρτερον, τόν εμόν Παρθένε νούν ανάδειξον.

Ωδή ε' Ο Ειρμός

«Φώτισον ημάς, τοίς προστάγμασί σου Κύριε, καί τώ βραχίονί σου τώ υψηλώ, τήν σήν ειρήνην, παράσχου ημίν φιλάνθρωπε».

Έφερες σαρκός, τάς αικίσεις καρτερώτατα, αναρτηθείς Μάρτυς Ευψύχιε, παραπλησίως, τώ Δεσπότη πάσης κτίσεως.

Ύμνεις τόν Χριστόν, τάς πλευράς Μάρτυς ξεόμενος, καί τήν δοράν προσαφαιρούμενος, ανδρειοτάτης, διανοίας καρτερότητι.

Ψεύδους τήν αχλύν, αληθεία Μάρτυς έλυσας, εν τή σοφία τή τών λόγων σου, δείξας ασόφους, τούς τή πλάνη ρητορεύοντας.

Θεοτοκίον

Υπέρ τών εις σέ, τάς ελπίδας πάντων Δέσποινα, κεκτημένων απαύστως πρέσβευε, όπως μελλούσης λυτρωθώμεν κατακρίσεως.

Ωδή ς' Ο Ειρμός

«Τήν δέησιν εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών η ψυχή μου επλήσθη, καί η ζωή μου τώ άδη προσήγγισε, καί δέομαι ώς, Ιωνάς, Εκ φθοράς ο Θεός με ανάγαγε».

Χειμάζει μέν τών βασάνων ο όγκος, ουκ ισχύει δέ βυθίσαι σε μάκαρ, τόν γάρ Χριστόν, καί Θεόν κυβερνήτην, καί αρωγόν επιφέρεις ιθύνοντα, λΙ:μένα σε πρός γαληνόν, τής αυτού βασιλείας Ευψύχιε.

Ωραίόν σου τό ανάστημα Μάρτυς, τής ψυχής τοίς εναντίοις δεικνύων, ώφθης

αυτοίς, φοβερός καταπλήττων, υπομονή τήν εκείνων κακόνοιαν, καί είληφας παρά Χριστού, τών αγώνων τής νίκης τά έπαθλα.

Συλήσαι τόν θησαυρόν οιόμενος, τής ψυχής σου υπελθών σε εντέχνως, εν δωρεαίς, καί βασάνων ιδέαις, απεπειράτο τό εύτονον λύειν σου, ο τύραννος, αλλά στερρώς, υπομείνας νενίκηκας Ένδοξε.

Θεοτοκίον

Ανόρθωσον συμπτωθέντα με όλον, ώς τοίς πάθεσιν ανοίξαντα θύραν, καί εν τή σή, αγαθή μεσιτεία πρός μετανοίας εισόδους εισάγαγε, καί σώσόν με η τού παντός, τόν Σωτήρα τεκούσα καί Κύριον.

Τό Μαρτύρικόν τού Ηχου.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή θ' τού αυτού μηνός, Μνήμη τού Αγίου Μάρτυρος Ευψυχίου τού εν Καισαρεία.

Στίχοι

- Εκεί μετήλθεν Ευψύχιον τό ξίφος,
- Ού Χριστός ήλθε, Καισαρείας εις μέρη.
- Φάσγανον αμφ' ενάτην Ευψυχίου έκταμε λαιμόν.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Βαδίμου τού Αρχιμανδρίτου, καί τών επτά μαθητών αυτού.

Στίχοι

- Επτάς μαθητών συντέτμηται Βαδίμω,
- Εις ουρανούς δ' έφθασεν, ού Θεός θρόνος.

Τή αυτή ημέρα, Μνήμη τών αγίων Μαρτύρων, τών εν τή αιχμαλωσία τελειωθέντων εν Περσίδι.

Στίχοι

- Εις πυρσολατρών γήν εναθλεί Περσίδα
- Η χριστολατρών αυχενότμητος φάλαγξ.

Τή αυτή ημέρα, ο Άγιος Αυδιησούς μαχαίρα τελειούται.

Στίχοι

- Ών αιχμάλωτος Αυδιησούς τήν τύχην,
- Ηλευθέρωται, τήν σφαγήν διδούς λύτρον.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Παίδες Εβραίων εν καμίνω, κατεπάτη σαν τήν φλόγα θαρσαλέως, καί εις δρόσον τό πύρ, μετέβαλον βοώντες, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας».

Δήμοις Μαρτύρων ηριθμήθης, ταίς χορείαις τε τών θείων Ασωμάτων, αλογησας παθών, τού σώματος τρισμάκαρ, καί αριστεύσας χάριτι, αθλητά Χριστού μεγάλως.

Ω τής καλής σου πραγματείας! δρακός αίματος ηλλάξω γάρ τήν άνω, βασιλείαν σοφέ, εν ή καί αναμέλπεις, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Πύλαι ηνοίγησάν σοι πόλου, τετμημένω διά ξίφους ανιόντι, καί Αγγέλων χοροί υπήντων σοι Τρισμάκαρ, αναβοώντες, Κύριε, ο Θεός ευλογητός εί.

Θεοτοκίον

Όρος Προφήτης Δανιήλ σε, θείω Πνεύματι εκάλεσε Παρθένε, εξ ού ο λίθος Χριστός, άνευ χειρός ετμήθη, καί συντριβήν ειργάσατο, τών ξοάνων τής απάτης.

## Ωδή η' Ο Ειρμός

«Νικηταί τυράννου, καί φλογός τή χάριτί σου γεγονότες, οι τών εντολών σου, σφόδρα αντεχόμενοι, Παίδες εβόων, Ευλογείτε πάντα, τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Νικητής τυράννων, καί πνευμάτων γέγονας τών ακαθάρτων, καί πιστών ανθρώπων, τάς καρδίας πάντοτε καταφωτίζεις, όθεν ευχαρίστως, σέ υμνούντες Ένδοξε, πάντες ευλογούμεν, Χριστόν εις τούς αιώνας.

Οι τών σών θαυμάτων, ποταμοί χεόμενοι νοσούντων πάθη, καί ψυχών τάς νόσους εξιώνται χάριτι Θεόφρον Μάρτυς, όθεν σου τήν μνήμην, οι πιστοί δοξάζοντες, ανυμνολογούμεν, Χριστόν εις τούς αιώνας.

Άπελθων ανδρείως, τό αγώνων στάδιον Μάρτυς εξέσθης, μέχρις αρμονίας, καί αυτής τής ένδοθεν οικονομίας, αλλ' εφάνης όλος, ακλινής ακράδαντος, όθεν τούς στεφάνους, απέλαβες τής νίκης.

Θεοτοκίον

Συμπαθής Παρθένε, η τόν συμπαθέστατον τεκούσα Λόγον, τόν ασυμπαθή με, δωρεάν οικτείρησον απεγνωσμένον, πταίσμασιν αμέτροις, καί μή επιστρέφοντα, αλλ' εν ραθυμία, τόν βίον δαπανώντα.

## Ωδή θ' Ο Ειρμός

«Κυρίως Θεοτόκον, σέ ομολογούμεν, οι διά σού σεσωσμένοι Παρθένε αγνή, σύν Ασωμάτοις χορείαις σέ μεγαλύνοντες».

Ικρίω ανηρτήθης, πάθος εικονίζων, τού απαθούς καί τά πάθη μειώσαντος, τών ευσεβών ευσπλαγχνία, Μάρτυς Ευψύχιε.

Ωράθη θαύμα μέγα, σού τή τελειώσει, αντί γάρ αίματος γάλα σύν ύδατι, τής

κεφαλής σου τμηθείσης, Μάρτυς συνέρρευσεν.

Συνήφθης ουρανίαις, Μάκαρ στρατηγίαις, καί συναγάλλη Μαρτύρων τοίς τάγμασι, στεφανηφόρος, καί νύν ημών πρόστηθι.

Ημών τών μεμνημένων, καί επιτελούντων, τήν ιεράν σου πανήγυριν μέμνησο, ταίς πρός Θεόν σου πρεσβείαις, Μάρτυς Ευψύχιε.

Θεοτοκίον

Φωτί τής μετανοίας, αύγασον Παρθένε, τής αμαρτίας νυκτί με σκοτούμενον, καί ραθυμίας ομίχλη συγκαλυπτόμενον.

Καί η λοιπή Ακολουθία, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Ι' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Μαρτύρων Τερεντίου, Πομπηϊου, Μαξίμου, Μακαρίου, Αφρικανού καί τών σύν αυτοίς.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'

Ως γενναίον εν Μάρτυσιν

Πολυώνυμον σύνταγμα, πολυποίκιλα βάσανα, Αθλητών υπέμεινε, καρτερώτατα, καί πρός τόν μόνον Θεόν ημών, μετέστη γηθόμενον, μυριάσιν Ιερών, Ασωμάτων αγάλλεσθαι, ώς τού δράκοντος, τάς πολλάς μυριάδας εκνικήσαν, τή ενστάσει τή γενναία, καί τή τού Πνεύματος χάριτι.

Ο περίδοξος Μάξιμος, καί ο μέγας Τερέντιος, ο κλεινός Πομπήϊος, καί Μακάριος, Αφρικανός ο θειότατος, τιμάσθωσαν άσμασι, σύν αυτοίς καί ο λοιπός, τών Μαρτύρων κατάλογος, οι τώ αίματι τώ οικείω τήν άνω βασιλείαν, ωνησάμενοι καί δόξης, αδιαδόχου πληρούμενοι.

Ου λιμός ουδέ κίνδυνος, ου ζωή ουδέ θάνατος, τής αγάπης Ένδοξοι τού ποιήσαντος, υμάς χωρίσαι κατίσχυσαν, διό εκληρώσασθε, βασιλείαν ουρανών, καί τρυφήν αδαπάνητον, καί μή λήγουσαν, μηδαμώς ευφροσύνην, Αλλ' αιτείσθε, καί ημίν αγαθοδότως, τόν ιλασμόν καί τό έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Ως πηγήν αγιάσματος, κιβωτόν σε ως πάγχρυσον, εν Αγίω Πνεύματι, απαστράπτουσαν, καθικετεύω καί δέομαι, τήν πάθεσιν έκδοτον, καί αθλίαν μου ψυχήν, φωταγώγησον Δέσποινα, ρυομένη με, τής πικράς τυραννίδος τών δαιμόνων, καί οδόν μοι σωτηρίας, παρεχομένη πρεσβείαις σου.

Η Σταυροθεοτοκίον

Ως αμνόν σε ελκόμενον, πρός σφαγήν τήν εκούσιον, καθορώσα Δέσποτα η

πανάμωμος, καί πολυύμνητος Μήτηρ σου, εβόα δακρύουσα, τίς ο δρόμος ο ταχύς; πού απέρχη παμφίλτατε; συνδραμούμαί σοι, συνθανούμαί σοι Λόγε, μή εάσης, τήν ασπόρως σε τεκούσαν, μεμονωμένην καί άτεκνον.

Απολυτίκιον  Ήχος πλ. α'

Τών αγίων Μαρτύρων τά κατορθώματα, ουρανών αι δυνάμεις υπερεθαύμασαν, ότι εν σώματι θνητώ, τόν αόρατον εχθρόν τή δυνάμει τού Σταυρού, αγωνισάμενοι καλώς, ενίκησαν αοράτως, καί νύν πρεσβεύουσι τώ Κυρίω ελεηθήναι τάς ψυχάς ημών.

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά την συνήθη Στιχολογίαν οι Κανόνες κατά τήν τάξιν.

Ο Κανών τών Αγίων, ού η Ακροστιχίς.

Πληθύς με σώζοις καλλινίκων Μαρτύρων. Ποίημα Ιωσήφ.

Ωδήα'  Ήχος πλ. δ'
Ο Ειρμός

«Υγράν διοδεύσας ωσεί ξηράν, καί τήν Αιγυπτίαν, μοχθηρίαν διαφυγών, ο Ισραηλίτης ανεβόα, Τώ Λυτρωτή καί Θεώ ημών άσωμεν».

Πληθύς Αθλοφόρων πανευκλεών, Χριστόν εκδυσώπει, πλήθος έχοντα οικτιρμών, τά πλήθη μειώσαι τών κακών μου, όπως τήν σήν ευφημήσω πανήγυριν.

Λατρεύοντες ζώντι καί αληθεί, Θεώ Αθλοφόροι, τοίς αψύχοις σέβας θεοίς, ουδόλως ενείματε, καί ζώσα, τώ ζωοδότη θυσία προσήχθητε.

Η κύρωσαν δόγμα θεοστυγές, καί μέσον σταδίου, τεσσαράκοντα Αθληταί, εκήρυξαν Λόγον σαρκωθέντα, τόν αλογίας τόν κόσμον ρυσάμενον.

Θυμόν αλογώτατον δυσσεβούς, τυράννου γενναίως, απεκρούσαντο οι σοφοί, αγάπη τηρούμενοι τή θεία, καί πρός θυμόν κινηθέντες τόν δίκαιον.

Θεοτοκίον

Ύμνώ σε Παρθένε ότι Θεόν, πανύμνητε μόνη, εσωμάτωσας εκ τών σών, τιμίων αιμάτων Παναγία, καί υπέρ λόγον φρικτώς απεκύησας.

Ωδή γ'  Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Στόμασιν εκήρυξαν, τοίς Ιεροίς αυτών Κύριον, οι Αθληταί, έναντι τυράννων, εναθλούντες στερρότατα.

Μίαν γνώμην έχοντες, οι Αθληταί θανείν είλοντο, διά Χριστόν, καί πολυθεΐας, πλάνην πάσαν επάτησαν.

Έλυσαν τόν σύνδεσμον, τής ματαιότητος δέσμιοι, διά Χριστόν, οι περί τόν θείον, γεγονότες Τερέντιον.

Θεοτοκίον

Σώσόν με κυήσασα τόν υπεράγαθον Κύριον, Μήτηρ αγνή, παύσον τής ψυχής μου, πολυτάραχον κλύδωνα.

Κάθισμα Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Εξ αιμάτων οικείων οι Αθληταί, εαυτοίς πορφυρίδα βάψαντες, νύν ωραίοι τοίς στίγμασι, τώ Χριστώ προσηνέχθησαν, τρισηλίου δόξης φωτί λαμπρυνόμενοι, καί ημάς φωτίζοντες, αυτούς μακαρίζοντας, όθεν τήν φωσφόρον, καί σεπτήν αυτών μνήμην, τελούντες λαμβάνομεν, ιαμάτων χαρίσματα, Οίς εν πίστει βοήσωμεν, Πρεσβεύσατε γενναίοι τώ Χριστώ, δωρηθήναι άφεσιν τοίς μέλπουσι, καί πιστώς εκτελούσι, τήν πάμφωτον μνήμην υμών.

Θεοτοκίον

Ο τών όλων Δεσπότης καί Ποιητής, εξ αχράντου σου μήτρας σάρκα λαβών, προστάτιν σε έδειξε, τών ανθρώπων πανάμωμε, διά τούτο πάντες, πρός σέ καταφεύγομεν, ιλασμόν πταισμάτων, αιτούμενοι Δέσποινα, καί αιωνιζούσης, λυτρωθήναι βασάνου, καί πάσης κακώσεως, τού δεινού κοσμοκράτορος, ίνα πίστει βοώμέν σοι, Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς ανυμνούσί σε πόθω, καί πίστει πανύμνητε.

Η Σταυροθεοτοκίον

Μαθητών υπεκρύβη φόβω χορός, οι γνωστοί δέ μακρόθεν ίστανται νύν, μόνη δέ συνέχομαι, καί τή λύπη τιτρώσκομαι, τήν σφαγήν σου τέκνον, ορώσα τήν άδικον, η Παρθένος έλεγε, τάς όψεις σπαράττουσα, Δεύρο πάσα κτίσις, νύν τώ τρόμω ληφθείσα, συνάλγησον, θρήνησον, τή Μητρί τού Κυρίου σου, καί σύν φόβω ανάκραξον, Δόξα σοι τώ πάντων Ποιητη, ότι θέλων πάσχεις υπεράγαθε, καί εκουσίως σταυρούσαι, τού σώσαι τόν άνθρωπον.

Ωδή δ' Ο Ειρμός

«Εισακήκοα Κύριε, τής οικονομίας σου τό μυστήριον, κατενόησα τά έργα σου, καί εδόξασά σου τήν θεότητα».

Ωραιώθητε μάρτυρες, πόνων επιδόσεσι φαιδρυνόμενοι, υπέρ σάπφειρον χρυσίον τε, καρτεροίς αγώσιν ελαμπρύνθητε.

Ζωηφόρον ενέργειαν, εκ ζωαρχικής Τριάδος δεξάμενοι, πάντα πόνον, πάσαν νέκρωσιν, ψυχών καί σωμάτων απελαύνετε.

Ουκ αρνούμεθα Κύριον, δαίμοσιν αφρόνως ουκ επιθύομεν, οι θεόφρονες εκραύγαζον, ομιλούντες πόνοις καί κολάσεσιν.

Ιαμάτων χαρίσματα, χάριν αδαπάνητον, ρώσιν άπαυστον, αναβλύζοντες Μακάριοι, τών ανθρώπων πάθη θεραπεύετε.

Θεοτοκίον

Σέ πανάμωμε Δέσποινα, πειρασμοίς κυκλούμενος εις βοήθειαν, προσκαλούμαι, Σπεύσον σώσόν με, τόν Σωτήρα Λόγον η κυήσασα.

Ωδή ε' Ο Ειρμός

«Ορθρίζοντες βοώμέν σοι Κύριε, Σώσον ημάς, σύ γάρ εί Θεός ημών, εκτός σου άλλον ουκ οίδαμεν».

Καθείλετε τής πλάνης οχύρωμα, Αθλοφόροι, ταίς αναμοχλεύσεσι, τής καρτερίας πανεύφημοι.

Αιμάτων επιρροαίς ξηράναντες, τής απάτης, τόν βυθόν μακάριοι, πάσαν ψυχήν κατηρδεύσατε.

Λογίων τών ενθέων πληρούμενοι, Αθλοφόροι, τών σοφών ελύσατε, τήν αλογίαν εν Πνεύματι.

Θεοτοκίον

Λυτρούμενος επέφανεν Άχραντε, τούς ανθρώπους, εκ σού ο υπέρθεος, άνθρωπος Κόρη γενόμενος.

Ωδή ς' Ο Ειρμός

«Τήν δέησιν, εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών, η ψυχή μου επλήσθη, καί η ζωή μου τώ άδη προσήγγισε, καί δέομαι ως Ιωνάς, Εκ φθοράς ο Θεός με ανάγαγε».

Ισχύϊ σου Ιησού νευρούμενοι, εξενεύρισαν εχθρού δυναστείαν, καί δυνατοί, ανεδείχθησαν όντως, δι' ασθενείας σαρκός προσπαλαίοντες, καί ρίψαντες τόν ισχυρόν, οι σεπτοί καί καλλίνικοι Μάρτυρες.

Νενίκηκας, τόν πολυμορφον όφιν, καί τήν τούτου τοίς ποσί σου συντρίψας, ώς αληθώς, κεφαλήν νικηφόρον, τή κορυφή σου διάδημα είληφας, Τερέντιε Μάρτυς Χριστού, τών αγίων Αγγέλων συμμέτοχε.

Ιάματα, η σορός τών Μαρτύρων, αναβλύζει, καί τά πάθη καθαίρει, καί τών ψυχών, αποπλύνει τόν ρύπον, καί τών δαιμόνων βυθίζει τάς φάλαγγας, απάντων δέ τών ευσεβών, τάς καρδίας αρδεύει τή χάριτι.

Θεοτοκίον

Κατάσκιον, προεώρα σε όρος, ο Προφήτης Αββακούμ Θεοτόκε, εκ σού Θεός, υπέρ λόγον προήλθε, σεσαρκωμένος, καί κόσμον διέσωσε, τώ κλύδωνι τής χαλεπής, αμαρτίας δεινώς συνεχόμενον.

Τό Μαρτυρικόν τού Ήχου.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Ι' τού αυτού μηνός, Μνήμη τών Αγίων Μαρτύρων Τερεντίου, Αφρικανού, Μαξίμου, Πομπηϊου καί ετέρων τριάκοντα έξ, έτι δέ καί τών περί τόν μακάριον Ζήνωνα καί Αλέξανδρον καί Θεόδωρον.

Στίχοι

- Έπαθλα ποία τής τομής Τερεντίω;
- Ά μή προσέσχεν όψις, ούς ή καρδία.
- Ίδωμεν ούς τέμνουσιν αθλητάς, όσοι.
- Δεκάς τετραπλή, πρός δέ καί άλλοι μάλα.
- Ασφάραγον δεκάτη γε Τερέντιος εξυπεκάρθη.

Τή αυτή ημέρα, Μνήμη τής Οσίας Προφήτιδος Ολδάς.

Στίχοι

- Αφήκεν Ολδά πνεύμα μέλλοντα βλέπον,
- Η Πνεύματος γέμουσα θείου πυθία.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Ιακώβου Πρεσβυτέρου, καί Αζά Διακόνου.

Στίχοι

- Τόν Ιάκωβον καί τετμημένον γράφω,
- Καί τής τομής φέροντα μισθόν τό στέφος.
- Τμηθείς ο Χριστού Λευϊτης, Αζά κάραν,
- Χριστού τόν εχθρόν Λευϊαθάν αισχύνει.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ' Ο Ειρμός

«Παίδες Εβραίων εν καμίνω, κατεπάτησαν τήν φλόγα θαρσαλέως, καί εις δρόσον τό πύρ, μετέβαλον βοώντες, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας».

Ώτα ευήκοα πρός θείαν, αποπλήρωσιν Χριστού τών προσταγμάτων, κεκτημένοι Σοφοί, εμέλπετε Προθύμως, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Νόμους ενθέους Αθλοφόροι, αντεθήκατε προστάγμασιν ανόμων, κελευόντων Χριστόν αρνείσθαι, ώ βοώμεν, Ευλογητός εί Κύριε ο Θεός εις τούς αιώνας.

Μέλη ποιναίς εκδεδωκότες, απηρνήσασθε τό σώμα δι' αγάπην, τού οφθέντος εν γή, καί σάρκα ειληφότος, ώ μελωδείτε Μάρτυρες, ο Θεός ευλογητός εί.

Άνω τό όμμα διανοίας, ανατείναντες Γενναίοι τάς βασάνους, στερροτάτη ψυχή, ηνέγκατε βοώντες, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Θεοτοκίον

Ρεύσαντας πάλαι τούς γεννάρχας, παραβάσεως ατόπου πλημμελεία, εν νηδύϊ Χριστόν, αρρεύστως συλλαβούσα, πρός τήν ζωήν ανήγαγες, τήν αρχαίαν Θεοτόκε.

Ωδή η' Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύρρανος, τοίς θεοσεβέσιν, εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, τόν Δημιουργόν, καί Λυτρωτήν ανεβόα, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Τυραννικού πρό βήματος, ο θεόφρων Τερέντιος, σύν Αφρικανώ τε, Μάξιμος Πομπήϊος, ο θείος Μακάριος, καί ο κλεινός θεόδωρος, άμα τή λοιπή τών συμμαρτύρων χορεία, Χριστόν ομολογούσι, τόν Σωτήρα τών όλων, καί τούτου τή αγάπη, γενναίως εναθλούσιν.

Υπέρ Χριστού στρεβλούμενοι, καί βουνεύροις τυπτόμενοι, καί ανηλεώς, οι Αθληταί ξεόμενοι, τριβόλοις κεντούμενοι, καί τοίς θηρσί ριπτούμενοι, καί πυρακτωθείσιν, οβελίσκοις τά στέρνα, φλεγόμενοι εβόων, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Ρήμα ζωής προφέροντες, οι καλλίνικοι Μάρτυρες, τεθανατωμένους, εν τή πλάνη έσωσαν, εχθρούς εθανάτωσαν, καί τού Χριστού τόν θάνατον, καί τά φωταυγή εξεικονίζοντες πάθη, βασάνοις πολυτρόποις, τό μακάριον τέλος, εδέξαντο υμνούντες, Χριστόν εις τούς αιώνας.

Ώσπερ κιθάρα εύρυθμος, κρουομένη τώ Πνεύματι, καί τάς διανοίας, τών πιστών ηδύνουσα, τετράριθμος πέφυκε, τών Αθλοφόρων θεία δεκάς, θείον κορυφαίον, κεκτημένη βοώντα, Τερέντιον τόν μέγαν, Ιερείς ευλογείτε, λαός υπερυψούτε, είς πάντας τούς αίωνας.

Θεοτοκίον

Νενεκρωμένην ζώωσον, πεπτωκυίαν ανάστησον, τετραυματισμένην, τήν ψυχήν μου ίασαι, τή λόγχη Πανάμωμε, τή κεντησάση θείαν πλευράν, τού εκ τής γαστρός σου, σαρκωθέντος Σωτήρος, όν Παίδες ευλογούσιν, Ιερείς ανυμνούσι, λαοί υπερυψούσιν, είς πάντας τούς αιώνας.

Ωδή θ' Ο Ειρμός

«Έφριξε πάσα ακοή, τήν απόρρητον Θεού συγκατάβασιν, όπως ο Ύψιστος, εκών κατήλθε μέχρι καί σώματος, παρθενικής από γαστρός, γενόμενος άνθρωπος, διό τήν άχραντον, Θεοτόκον οι πιστοί μεγαλύνομεν».

Ίαμα βρύει η σορός, τών Μαρτύρων εκ πηγής θείου Πνεύματος, επαρδομένη αεί, προθύμως δεύτε απαρυσώμεθα, σώμα, καρδίαν καί ψυχήν,

καθαγιαζόμενοι, καί τόν Σωτήρα Χριστόν, μεγαλύνοντες πιστώς φιλομάρτυρες.

Ως άνθη θεία τού αγρού, ώσπερ ρόδα μυστικά εξηνθήσατε, καί ευωδίας σεπτής, τήν Εκκλησίαν απεπληρώσατε, πλάνην δυσώδη τού εχθρού, μακράν απελαύνοντες, τή θεία χάριτι, Αθλοφόροι τού Χριστού αξιάγαστοι.

Σήμερον Μάξιμον πιστοί, καί Αλέξανδρον ομού καί Θεόδωρον, Ζήνωνα, Πομπήϊον, Αφρικανόν τε καί τόν Τερέντιον, σύν τοις λοιποίς συναθληταίς, πιστώς ευφημήσωμεν, καί μακαρίσωμεν, ανυμνούντες τά αυτών προτερήματα.

Ήγγικε, πρόσεχε ψυχή, η τού Κτίστου τελευταία επέλευσις, οι θρόνοι τίθενται, καί τό κριτήριον ήδη πάρεστιν, ο δέ Κριτής ως αγαθός, βοά, Ετοιμάσθητε, Σπεύσον ούν βόησον, τών Μαρτύρων σου λιταίς Σώτερ σώσόν με.

Θεοτοκίον

Φώτισον πύλη τού φωτός, τήν ψυχήν μου ταίς δειναίς αμαυρότησι, τών παραβάσεων, εσκοτισμένην καί κινδυνεύουσαν, καί τής ημέρας κοινωνόν, τής θείας ανάδειξον, όπως δοξάζω σε, προστασία τών Πιστών ακαταίσχυντε.

Τό Φωταγωγικόν τού Ήχου.

Καί η λοιπή Ακολουθία, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΑ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Ιερομάρτυρος Αντίπα, Επισκόπου Περγάμου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος β'

Ότε, εκ τού ξύλου σε νεκρόν

Χάριν, απαντλήσας δαψιλώς, γνώσεως Χριστού Ιεράρχα, εξ ακενώτου πηγής, τού Επιστηθίου τε καί θείου Κήρυκος, ταύτης πάσι μετέδωκας, ανθρώποις αφθόνως, δρόμον ισαπόστολον ανύων Όσιε, όθεν, σύν αυτώ παρρησίαν, έχων πρός Θεόν υπέρ πάντων, τών σέ ευφημούντων καθικέτευε.

Βίον, διανύσας ευκλεή, καί τών αρετών συναθροίσας, τόν πλούτον Όσιε, πλήρης δι' αθλήσεως, καλών πρός Κύριον, ώς ο πρίν εξεδήμησας, Αβραάμ Αντίπα, όθεν καί τής κρείττονος δόξης ηξίωσαι, χαίρων, τού Χριστού συν τοίς μύσταις, καί υπέρ ημών ικετεύων, τών πιστώς τιμώντων σου τήν άθλησιν.

Έχων, εξ αφθόνων δωρεών, σύ τού Παρακλήτου τήν χάριν, τήν τών ιάσεων,

πάθη τά τού σώματος, καί τών ψυχών ημών, επισκέψει σου ίασαι, οδύνας κοιμίζων, πόνους παύων άπαντας, καί εκλυτρούμενος, πάντας συμφορών καί κινδύνων, τούς τήν σήν Αντίπα τιμώντας μνήμην, καί δοξάζοντας τόν Κύριον.

Δόξα... Καί νύν... Θεοτοκίον

Έχεις, συμπαθείας οικτιρμούς, έχεις ευσπλαγχνίας αβύσσους, θεοχαρίτωτε, τούτοις μου συγκάλυψον τά αμαρτήματα, καί απόπλυνον άπαντα, τόν ρύπον Παρθένε, εξ απροσεξίας μου τόν προσγινόμενον, όπως, από βλάβης παντοίας, Δέσποινα σωθείς μεγαλύνω, τό σόν εις αιώνας θείον όνομα.

Η Σταυροθεοτοκίον

Ότε, προσηλώθης τώ Σταυρώ, άκακος αμνός ώσπερ Σώτερ, καί εκεντήθης πλευράν, ήλιος εσκότασε, καί γή ετρόμαξε, καί αι πέτραι εσχίσθησαν, ναού δέ ερράγη, θείον καταπέτασμα από τού φόβου σου, όθεν, η τεκούσά σε Μήτηρ, θρήνοις κοπτομένη εβόα, Δόξα τή αφάτω ευσπλαγχνία σου.

Καί απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες, ως σύνηθες, καί τού Αγίου ο Κανών, ού η, Ακροστιχίς.

Τόν φαιδρόν εν Μάρτυσιν Αντίπαν σέβω.

Ποίημα Ιωσήφ.

Ωδή α'  Ήχος δ'  Ο Ειρμός

«Θαλάσσης, τό ερυθραίον πέλαγος, αβρόχοις ίχνεσιν, ο παλαιός πεζεύσας Ισραήλ, σταυροτύποις Μωσέως χερσί, τού Αμαλήκ τήν δύναμιν, εν τή ερήμω ετροπώσατο».

Τώ φέγγει, τής τρισηλίου χάριτος, καταλαμπόμενος, τούς τήν φαιδράν σου ταύτην εορτήν, εκτελούντας καταύγασον, τής τών παθών λυτρούμενος, Μάρτυς Αντίπα αμαυρώσεως.

Ο Λόγος ο τού Θεού σου Πάνσοφε, μάρτυρα γνήσιον τών εαυτού ανέδειξε παθών, τήν δυσσέβειαν τρέποντα, καί τών δαιμόνων άπασαν, τήν πονηρίαν αφανίζοντα.

Νομίμως, τό Ιερόν σου ποίμνιον, όντως εποίμανας, καί επί χλόην Πάτερ τών Χριστού, διδαγμάτων εξέθρεψας, νύν δ' εποπτεύεις άνωθεν, στέφει Μαρτύρων κλεϊζόμενος.

Θεοτοκίον

Φωτός σου, ταίς αστραπαίς καταύγασον, Κόρη πανάμωμε, τήν εν νυκτί παθών καί συμφορών, συσχεθείσαν καρδίαν μου, δικαιοσύνης Ήλιον, πάσιν αρρήτως ανατείλασα.

Ωδή γ'  Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα, Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

Ανέβλυσας ποταμούς, διδασκαλίας τούς πιστούς άρδοντας, καί θολερά νάματα, τής πολυθεΐας ξηραίνοντας.

Ισχύϊ δυναμωθείς, τού τήν ασθένειαν ημών άραντος, δαιμονικήν έθραυσας, Ένδοξε ισχύν δι' αθλήσεως.

Δαιμόνων τούς λατρευτάς, σέβειν Θεόν αληθινόν έπεισας, σάρκα θνητήν Όσιε, πλούτω ευσπλαγχνίας φορέσαντα.

Θεοτοκίον

Ρυόμενον τούς βροτούς, αιχμαλωσίας τού εχθρού Άχραντε, τόν Λυτρωτήν τέτοκας, όθεν ευσεβώς σέ δοξάζομεν.

Κάθισμα Ήχος γ'

Θείας πίστεως

Θείοις άνθραξι, θείας αγάπης, αναπτόμενος, μάρτυς, Αντίπα, τής αθεϊας τήν φλόγα κατέσβεσας, καί πυρωθέντι βληθείς χαλκουργήματι, πρός τό ανέσπερον φώς εξεδήμησας, Πάτερ Όσιε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Θεοτοκίον

Παραμύθιον, τών θλιβομένων, ιλαστήριον, αμαρτανόντων, σύ ανεδείχθης Μητροπάρθενε Δέσποινα, τήν γάρ βροτών σωτηρίαν γεννήσασα, πύργος ισχύος πιστοίς μόνη γέγονας, Όθεν κράζομεν, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Η Σταυροθεοτοκίον

Σταυρουμένου σου, η γή εσείσθη, νεκρωθέντος σου, τό φώς εκρύβη, καί οι νεκροί τών δεσμών απελύθησαν, η δέ πανάχραντος Μήτηρ σου Δέσποινα, δακρυρροούσα πικρώς απεφθέγγετο, Τέκνον φίλτατον, υμνώ σου τό μέγα έλεος, τού σώσαι γάρ βροτούς ταύτα πέπονθας.

Ωδή δ' Ο Ειρμός

«Επαρθέντα σε ιδούσα η Έκκλησία, επί Σταυρού τόν ήλιον τής δικαιοσύνης, έστη εν τή τάξει αυτής, εικότως κραυγάζουσα, Δόξα τή δυνάμει σου Κύριε».

Ου κατέσεισε τόν πυργον τής σής καρδίας, παρανομούντων ένστασις, Μάρτυς αθλοφόρε, όθεν πυρακτούμενος, τώ ζήλω τής πίστεως, ώφθης τού πυρός δυνατώτερος.

Νυσταγμώ τής αθεϊας τούς κρατουμένους, επαγρυπνών Πανεύφημε, ταίς διδασκαλίαις τού Άγίου Πνεύματος, πρός γνώσιν εξήγειρας, τής αληθινής επιγνώσεως.

Ενεπλήσθης τών τού Πνεύματος χαρισμάτων, εκ θεολόγου στόματος, τού

Έπιστηθίου, όθεν καί ανέβλυσας, τά θεία διδάγματα, πάσι τοίς Πιστοίς Πάτερ Όσιε.

Θεοτοκίον

Μετά τόκον ώς πρό τόκου διεφυλάχθης, Παρθενομήτορ άφθορος, τόν Δημιουργόν γάρ, πάντων απεκύησας, εκ σού τό ανθρώπινον, σώμα εκουσίως φορέσαντα.

Ωδή ε' Ο Ειρμός

«Σύ Κύριέ μου φώς, εις τόν κόσμον ελήλυθας, φώς άγιον επιστρέφον, εκ ζοφώδους αγνοίας, τούς πίστει ανυμνούντάς σε».

Ανήλθες αρετών, είς τό όρος Μακάριε, καί γνώσεως υπεισήλθες, τόν ακρότατον γνόφον, καί τώ Θεώ ωμίλησας.

Ρημάτων σου πλοκαίς, εκ βυθού αθεότητος, εζώγρησας Ιεράρχα, πλανωμένους ανθρώπους, καί χάριτι διέσωσας.

Τό μέγα τής Θεού, παρουσίας μυστήριον, κηρύττων Ιερομάρτυς, κατεσμίκρυνας ύψος, ειδώλων αθεώτατον.

Θεοτοκίον

Υπάρχων εν μορφή, τού Θεού ο υπέρθεος, εσκήνωσεν εν γαστρί σου, τήν μορφήν μου φορέσας, ο Κύριος Πανάμωμε.

Ωδή ς' Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Σταυρώσας, εγκρατεία τά μέλη Μακάριε, τούς εν ασκήσει αγώνας, τοίς αγώσιν έστεψας τών Μαρτύρων, ούς υπέστης, διανοίας Αντίπα στερρότητι.

Ίστασο, πρό βημάτων κηρύττων τήν σάρκωσιν, τού διά σέ κενωθέντος, καί Πιλάτου βήματι παραστάντος, Αθλοφόρε, καί Σταυρώ τόν εχθρόν θανατώσαντος.

Νέκρωσιν, τού Σταυρώ νεκρωθέντος θεσπέσιε, ποθών Αντίπα εισέδυς, τώ πεπυρωμένω βοϊ χαλκείω καί θυσία, νεκρωθείς τώ Κυρίω προσενήνεξαι.

Θεοτοκίον

Άγιος, ο σκηνώσας εν μήτρα σου Κύριος, ο εν Αγίοις Παρθένε, επαναπαυόμενος καί δοξάζων, τους εν πίστει, αληθεί τούτον Κόρη δοξάζοντας.

Κοντάκιον Ήχος πλ. δ'

Τή υπερμάχω

Τόν ιεράρχην καί κλεινόν μεγαλομάρτυρα, τόν πολιούχον τής Περγάμου τόν πανάριστον, καί κοινού εχθρού αντίπαλον τόν Αντίπαν, κατά χρέος

ευφημήσωμεν εν άσμασιν, ως τούς πάσχοντας Οδόντας θεραπεύοντα, πόθω κράζοντες, χαίροις, Πάτερ τρισόλβιε.

Τό Μαρτυρικόν τού Ήχου.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΑ' τού αυτού μηνός, Μνήμη τού Αγίου Ιερομάρτυρος Αντίπα, Επισκόπου Περγάμου.

Στίχοι

- Ταύρω παλαίεις, καλλιμάρτυς, Αντίπα,
- Ός σε φλογίζειν, ού κερατίζειν έχει.
- Χάλκεον ενδεκάτη βληθείς φλέγη, Αντίπα, εις βούν.

Τή αυτή ημέρα, Μνήμη τής οσίας Τρυφαίνης τής εν Κυζίκω.

Στίχοι

- Χωρίζεται Τρύφαινα σαρκός πηλίνης,
- Η πηλόν αυτής τάς τρυφάς ηγουμένη.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Φαρμουθίου.

Στίχοι

- Εξήλθε Φαρμούθιος εκ τών ενθάδε,
- Φαρμουθί μηνί, δήλον ώς Απριλίω.

Ταίς τών Αγίων σου πρεσβείαις, Χριστέ ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Εν τή καμίνω, Αβραμιαίοι Παίδες τή Περσική, πόθω ευσεβείας μάλλον ή τή φλογί, πυρπολούμενοι εκραύγαζον, Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε».

Νέους τρείς Παίδας, εξεικονίζων Μάρτυς ένδοξε, μέσον ως καμίνου έστης τού δολερώς, πυρωθέντος χαλκουργήματος, Ευλογημένος εί, ο Θεός μου, κραυγάζων καί Κύριος.

Τή θεία δρόσω, περικυκλούμενος πάντοθεν, όλως ουκ εφλέχθης μέσον ών τού πυρός, ουδέ δαίμοσιν επέθυσας, Ευλογημένος εί ο Θεός μου, κραυγάζων καί Κύριος.

Ισχύϊ θεία, τής ηλικίας τό ανίσχυρον, Πάτερ, ενισχύσας άκμων ώσπερ στερρός, πρός τό στάδιον εχώρησας, Ευλογημένος εί, ο Θεός μου, κραυγάζων καί Κύριος.

Πεποικιλμένος, Ιεραρχίας θεία χάριτι, αύθις πορφυρίδι αίματός σου Σοφέ, στολισάμενος ανέδραμες, πρός τά βασίλεια, περιφανώς τά άνω γηθόμενος.

Θεοτοκίον

Αιμάτων Κόρη, παρθενικών τών σών ενσεσάρκωται, Λόγος ο Πατρί συνάναρχος τήν ημών, συντριβήν επανορθούμενος, Ευλογημένη σύ, εν γυναιξί πανάμωμε Δέσποινα.

Ωδή η' Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε πάντα τά έργα Κυρίου τόν Κύριον».

Νούν ουκ εν εσόπτροις καθοράς, ουκ εν αινίγμασι, καλών τό έσχατον, πρός δέ γε πρόσωπον πρόσωπον, παρελθόντων τών εμφάσεων, αναβοών χαρμονικώς, τώ σέ δοξάσαντι, Ευλογείτε πάντα τά έργα Κυρίου τόν Κύριον.

Σέ τού αρχιποίμενος Χριστου, τό θείον πρόβατον, καλώς ποιμάναντα, αυτού τό ποίμνιον πάνσοφε, ως αμνόν οι ανομώτατοι, ολοκαυτούσι τώ πυρί, Αντίπα κράζοντα, Ευλογείτε πάντα τά έργα Κυρίου τόν Κύριον.

Εν πέτρα τών θείων εντολών, τά τής καρδίας σου, ερείσας βήματα, δεινών κολάσεων πνεύματι, αικισμών τε επικλύσεσιν, ουκ εσαλεύθης, μελωδών Αντίπα πάνσοφε, Ευλογείτε πάντα τά έργα Κυρίου τόν Κύριον.

Βεβαίως τής δόξης τού Χριστού, Μάρτυς τετύχηκας, Αντίπα πάνσοφε, διπλούν δέ στέφανον έλαβες, ώς ποιμήν παναληθέστατος, καί νικηφόρος αθλητής, οίς καί Κοσμούμενος ανακράζεις, Πάντα τά έργα ευλογείτε υμνείτε τόν Κύριον.

Θεοτοκίον

Ως μήτηρ τού πάντων Ποιητού, ως θείον τέμενος, τού Παντοκράτορος, ώς γή ανήροτος άσταχυν, αγεώργητον βλαστήσασα, Παρθένε σώζε τούς πιστώς άεί κραυγάζοντας, Ευλογείτε πάντα τά έργα Κυρίου τόν Κύριον.

Ωδή θ' Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ άλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε με γαλύνομεν».

Ιεραρχικώς Ιεράρχα, τόν ιερόν ανύσας δρόμον, τήν ιερωτάτην ζωήν σου, Ιερωτάτως σύ καθιέρωσας, τώ ποιητή καί πλάστη σου, Μάρτυς Αντίπα Ιερώτατε.

Ως τών αρετών ταίς ιδέαις, περικαλής γεγενημένος, δόξη μαρτυρίου Παμμάκαρ, καθωραΐσθης καί μεταβέβηκας, πρός τόν ωραίον Κύριον, θέσει θεούμενος θεόληπτε.

Σήμερον η Πέργαμος χαίρει, επί τή θεία πανηγύρει, τού Ιερωτάτου ποιμένος,

καί συγκαλείται πόλεις τάς κύκλω αυτής, ή καί ημείς συγχαίροντες, τούτον εν ύμνοις καταστέψωμεν.

Η τών Ιερών σου Λειψάνων, ιερωτάτη Μάκαρ θήκη, μύρον ιαμάτων πηγάζει, δυσώδη πάθη αποδιώκουσα, καί τούς τήν σήν γεραίροντας, μνήμην σαφώς ευωδιάζουσα.

Θεοτοκίον

Φώς ημίν ανέτειλε Κόρη, εκ φωτοφόρου σου νηδύος, ο Δημιουργός τού ηλίου, καί τών αστέρων καί πάσης κτίσεως, όν εκτενώς ικέτευε, φωταγωγήσαι τούς υμνούντάς σε.

Τό Φωταγωγικόν, καί η λοιπή Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΒ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού εν Αγίοις Πατρός ημών Βασιλείου, Επισκόπου Παρίου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ' Έδωκας σημείωσιν

Ηλίου φαιδρότερον, λελαμπρυσμένη η μνήμη σου, τοίς πιστοίς εξανέτειλε, τήν κτίσιν φωτίζουσα, θείαις φρυκτωρίαις, Βασίλειε μάκαρ, καί παθημάτων τήν αχλύν, καί τών δαιμόνων σκότος διώκουσα, διό σε μακαρίζομεν, καί ετησίως γεραίρομεν, τήν αγίαν σου κοίμησιν, τόν Σωτήρα δοξάζοντες.

Βέλει τώ τών λόγων σου, παρανομούντων συστήματα, παμμακάριστε έτρωσας, φωνήν όθεν έδωκαν, ουρανών νεφέλαι, χοροί Ασωμάτων, συνεπεκρότησαν χαρά, τών σών αγώνων τήν καρτερότητα, διό επαγαλλόμενοι, πίστει σύν τούτοις τιμώμέν σε, ως φωστήρα παγκόσμιον, πρεσβευτήν ως θερμότατον.

Σοφώς αντικτώμενος, τών επί γής τά ουράνια, καί ρεόντων τά άρρευστα, φθαρτής τε τήν άφθαρτον, αντηλλάξω δόξαν, καί αντ εξορίας, καί πολυτρόπων πειρασμών, τά υπέρ λόγον Θεού βασίλεια, εν οίς καί αγαλλόμενος, σύν Ασωμάτοις Βασίλειε, υπέρ πάντων ικέτευε, τών πιστώς ευφημούντων σε.

Δόξα... Καί νύν... Θεοτοκίον

Άνθρακα κυήσασα, όν Ησαίας τεθέαται, τή λαβίδι τό πρότερον, φρικτώς υπεδέξατο, χρόνων δ' επ' εσχάτων, εκ σού Θεοτόκε, σάρκα οφθέντα καί βροτών, τά πάθη πάντα αποκαθαίροντα, πυρί τώ τής θεότητος, τάς αμαρτίας κατάφλεξον, τάς εμάς Θεονύμφευτε, καί παντός ρύπου πλύνόν με.

Η Σταυροθεοτοκίον

Νεκρούμενον βλέπουσα, Χριστόν η πάναγνος Δέσποινα, καί νεκρούντα τόν

δόλιον, ώς μήτηρ δακρύουσα, ύμνει τόν εκ σπλάγχνων, αυτής προελθόντα, καί τό μακρόθυμον αυτού, αποθαυμάζουσα ανεκραύγαζε, Τέκνον μου ποθεινότατον, μή επιλάθη τής δούλης σου, μή βραδύνης φιλάνθρωπε, τό εμόν καταθύμιον.

Απολυτίκιον Ήχος δ’

Κανόνα πίστεως καί εικόνα πραότητος, εγκρατείας διδάσκαλον, ανέδειξέ σε τή ποίμνη σου η τών πραγμάτων αλήθεια, διά τούτο εκτήσω τή ταπεινώσει τά υψηλά, τή πτωχεία τά πλούσια, Πάτερ Ιεράρχα Βασίλειε, πρέσβευε Χριστώ τώ Θεώ σωθήναι τάς ψυχάς ημών.

Καί Απόλυσις

## Ε ΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες, ως σύνηθες, καί τού Αγίου, ού η Ακροστιχίς.

Τήν σήν τελευτήν συντόνως μέλπω, Πάτερ.
Ποίημα Θεοφάνους.

Ωδή α' Ήχος πλ. δ' Ο Ειρμός

«Υγράν διοδεύσας ωσεί ξηράν, καί τήν Αιγυπτίαν, μοχθηρίαν διαφυγών, ο Ισραηλίτης ανεβόα, τώ Λυτρωτή καί Θεώ ημών άσωμεν».

Τό άφραστον φώς σοι καί τριλαμπές, εν τή ασαλεύτω, βασιλεία τών ουρανών, ανέτειλε Πάτερ καί δικαίων, η ευφροσύνη αξίως εδέξατο.

Ηνοίγησαν πύλαι σοι τής Εδέμ, καί Αρχιερεύσι, προσετέθης Αρχιερεύς, καί τών πρωτοτόκων εκκλησία, συνηριθμήθης Βασίλειε ένδοξε.

Νοός σου τό όμμα προκαθαρθείς, ανήλθες εις όρος, αρετής, ώς άλλος Μωσής, διό καί τόν όντα θεωρήσας, προσεκολλήθης αυτώ Πάτερ Όσιε.

Θεοτοκίον

Σαρκί καθυπόστασιν ενωθείς, τή εκ σού ληφθείση, ο τών όλων Δημιουργός, προήλθεν αφράστως Θεομήτορ, καί τοίς βροτοίς ομιλήσαι ηυδόκησεν.

Ωδή γ' Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Η αξιοθαύμαστος, καί παναοίδιμος μνήμη σου, χαρμονικώς, τά τών Ορθοδόξων, κατευφραίνει συστήματα.

Νέφος τό τού σώματος, απεκδυσάμενος Όσιε, καί τών δεσμών, απολελυμένος, τώ Θεώ προσεπέλασας.

Τέλος τό μακάριον, καί τήν απόλαυσιν Όσιε, τών εκλεκτών, ώς εκλελεγμένος, επαξίως απείληφας.

Θεοτοκίον

Έχων σε βοήθειαν, ουκ αισχυνθήσομαι πάναγνε, Μήτηρ Θεού, έχων σε προστάτιν, τών εχθρών μου ρυσθήσομαι.

Κάθισμα Ήχος α'

Τόν τάφον σου Σωτήρ

Ως ήλιος ημίν, η αγία σου μνήμη, ανέτειλε σοφέ, καί φωτίζει τήν κτίσιν, Βασίλειε θείοις σου, καταυγάζουσα θαύμασιν, ήν περ σήμερον, επιτελούντες βοώμεν, Καθικέτευε, υπέρ ημών Ιεράρχα, Χριστόν τού σωθήναι ημάς.

Θεοτοκίον

Ευφραίνεται πιστών, η πληθύς Θεοτόκε, τό όνομα τό σόν, καθ' εκάστην βοώσα, καί πόθω τάς υψώσεις σου, μεγαλύνουσα πάντοτε, σύ γάρ καύχημα, καί βοηθός καί προστάτις, ακαταίσχυντος, πάντων υπάρχεις Παρθένε, τών πίστει τιμώντων σε.

Ή Σταυροθεοτοκίον

Λαμπάς η φεραυγής, τού ηλίου εκρύβη, εν ξύλω τού Σταυρού, αναβάντος σου Λόγε, η κτίσις πάσα έφριξε, καί τώ φόβω ετρόμαξεν, η δέ Μήτηρ σου, παρισταμένη εβόα, Τέκνον φίλτατον, πώς εκουσίως νεκρούσαι, τό φώς μου τό άδυτον!

Ωδή δ' Ο Ειρμός

«Εισακήκοα Κύριε, τής οικονομίας σου τό μυστή ριον, κατενόησα τά έργα σου, καί εδόξασά σου τήν θεότητα».

Λιτανεύων πρός Κύριον, τήν επαιρομένην φρένα κατέβαλες, τής κακόφρονος αιρέσεως, καί τήν Εκκλησίαν Πάτερ εύφρανας.

Εν σκηναίς ουρανίαις σε, ο αγωνοθέτης Πάτερ κατώκισε, τήν ανένδοτόν σου ένστασιν, πρός τούς αντιπάλους προσδεξάμενος.

Υπέρ τών παραδόσεων, τών πεφυλαγμένων εν Εκκλησία Χριστού, διωκόμενος υπέμεινας, καί προκινδυνεύων διετέλεσας.

Θεοτοκίον

Τόν Θεόν όν εκύησας, άχραντε Παρθένε τούτον δυσώπη σον, τοίς ικέταις σου δωρήσασθαι, τών πλημμελημάτων τήν συγχώρησιν.

Ωδή ε' Ο Ειρμός

«Ορθρίζοντες βοώμέν σοι Κύριε, Σώσον ημάς, σύ γάρει Θεός ημών, εκτός σου άλλον ουκ οίδαμεν».

Η ένθεος σκηνώσασα χάρις σοι, θεοφόρε, ποιμένα πιστότατον, τής Εκκλησίας σε έδειξε.

Νεκρώσας τής σαρκός σου τό φρόνημα, καί τά πάθη, τής ζωής τώ πνεύματι, κατηκολούθησας Ένδοξε.

Σωφρόνως καί δικαίως τόν βίον σου, διανύσας, θεόφρον απείληφας, τών αρετών τήν αντίδοσιν.

Θεοτοκίον

Υπάρχουσα πανάγιον τέμενος, απαθείας, τήν πηγήν εγέννησας, Παρθενομήτορ πανάμωμε.

Ωδή ς' Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

Νυττόμενος τώ τερπνώ, τών ουρανίων πυρσεύματι, τόν θρόνον τόν επί γής, κατέλιπες Όσιε, καί κλήρον ακήρατον, εν γή τών πραέων, ώς πραότατος επλούτησας.

Τής πλάνης καταγελών, τής τών βλασφήμων αιρέσεως, τό θείον καί ευσεβές, Ορθόδοξον φρόνημα, προθύμως εδίδαξας, τήν εικόνα σέβειν, τού Σωτήρος αξιάγαστε.

Ο πόθος σου πρός Θεόν, πεπλήρωται παναοίδιμε, μετέστης γάρ πρός αυτόν, ενθέως γηθόμενος, καί νύν τάς λαμπρότητας, τών Αγίων Πάτερ, εποπτεύεις καί φαιδρότητας.

Θεοτοκίον

Νεκρώσεως καί φθοράς, λελύτρωσαι τό ανθρώπινον, τόν φύσει ζωοποιόν, ασπόρως γάρ τέτοκας, Παρθένε πανάμωμε, επ' ευεργεσία, τών πιστώς ανευφημούντων σε.

Τό Μαρτυρικόν τού Ήχου.

Συναξάριον

Τή ΙΒ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Βασιλείου, Έπισκόπου Παρίου τού Ομολογητού.

Στίχοι

- Χαίρων τελεύτα, Βασίλειε τρισμάκαρ.
- Εκεί γάρ ήξεις, ού χαράς πλησθής όσης.
- Δωδεκάτη Βασίλειε ταφήϊα δύσσαο νεκρός.

Τή αυτή ημέρα, εν έτει εξακισχιλιοστώ τετρακοσιοστώ πεντηκοστώ, ανεκομίσθη η τιμία Ζώνη τής υπεραγίας Δεσποίνης ημών Θεοτόκου από τής επισκοπής Ζήλας επί τήν βασιλίδα τών πόλεων, επί Κωνσταντίνου καί Ρωμανού, τών Πορφυρογεννήτων, μετά δέ ταύτα, ύστερον μετετέθη εν τή

αγία σορώ τών Χαλκοπρατείων, κατά τήν τριακοστήν πρώτην τού Αυγούστου μηνός.

Τή αυτή ημέρα, Μνήμη τής Οσίας Μητρός ημών Ανθούσης, θυγατρός Κωνσταντίνου τού Κοπρωνύμου.

Στίχοι

- Ρίζης δυσώδους καρπός ευώδης μάλα,
- Ανθούσα σεμνή γής απανθεί καί βίου.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Δήμη καί Πρωτίωνος.

Στίχοι

- Πρώτος κεφαλήν Πρωτίων αφηρέθη,
- Μεθ' ού κάραν προύτεινε Δήμης δημίω.

Τή αυτή ημέρα, Μνήμητού Αγίου Ιερομάρτυρος Αρτέμωνος.

Στίχοι

- Εύρε στεφάνους αρτίτμητος Αρτέμων
- Πρέποντας αυτού τή τετμημένη κάρα.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων τριών Μαρτύρων Μηνά, Δαυϊδ, καί Ιωάννου.

Στίχοι

- Δούλους Θεού τρείς Αββάδας παθοκτόνους
- Τοξεύμασι κτείνουσιν ανθρωποκτόνοι.

Ταίς αυτών αγίαις πρεσβείαις, Χριστέ ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Παίδες Εβραίων εν Καμίνω, κατεπάτησαν τήν φλόγα θαρσαλέως, καί εις δρόσον τό πύρ, μετέβαλον βοώντες, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας».

Ω τής αφράστου ευφροσύνης, ής ηξίωσαι Παμμάκαρ απολαύειν, εν αϋλω φωτί, σκηνούμενος καί μέλπων, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Στέφει τής θείας ευπρεπείας, Παμμακάριστε κοσμίως διαπρέπων, συγχορεύεις βοών, ταίς άνω στρατηγίαις, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Μύστης υπάρχων τής Τριάδος, μυστηρίων λειτουργός επουρανίων, τόν Δεσπότην ημίν, ιλέωσαι βοώσιν, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Θεοτοκίον

Εύας τής πρώτης τήν κατάραν, μεταβέβληκας Αγνή εις ευλογίαν, τόν Υιόν τού Θεού γεννήσασα, ώ πάντες, Ευλογητός εί κράζομεν, ο Θεός εις τούς αιώνας.

Ωδή η'  Ο Ειρμός

«Νικηταί τυράννου, καί φλογός τή χάριτί σου γεγονότες, οι τών εντολών σου, σφόδρα αντεχόμενοι Παίδες εβόων, Ευλογείτε πάντα, τά έργα τόν Κύριον, καί υπερυψούτε, είς πάντας τούς αιώνας».

Λυπηρών τού βίου, καί δεινής συγχύσεως λελυτρωμένος, τήν χαράν Παμμάκαρ, καί τήν αγαλλίασιν τήν υπέρ λόγον, εκομίσω μέλπων, Υμνείτε τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Πατρικών δογμάτων, θερμώς προϊστάμενος τάς γλωσσαλγίας, τών βλασφήμων Πάτερ, ευχερώς διέλυσας ιεροφάντορ, Ευλογείτε κράζων, τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ως τερπνός ο τόπος, εν ώ κατεσκήνωσας Ιερομύστα! ώς ωραίον Πάτερ, τό σόν ενδιαίτημα, ο εκπληρώσω! Ευλογείτε μέλπων, τά έργα τόν κυριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Προστασίαν πάντες, οι πιστοί κεκτή μεθά σε Παναγία, καί ταίς σαίς πρεσβείαις, τών δεινών λυτρούμεθα, Χριστώ βοώντες, Ευλογείτε πάντα, τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ωδή θ'  Ο Ειρμός

«Κυρίως Θεοτόκον, σέ ομολογούμεν, οι διά σού σεσωσμένοι Παρθένε αγνή, σύν Ασωμάτοις χορείαις σέ μεγαλύνοντες».

Αγίως σου τόν βίον, Πάτερ διανύσας, καί τόν Θεόν θεραπεύσας τοίς έργοις σου, τής ουρανών βασιλείας όντως τετύχηκας.

Τόν δρόμον εκτελέσας, πίστιν τε τηρήσας, καί τόν αγώνα ανύσας Βασίλειε, δικαιοσύνης εδέξω χαίρων τόν στέφανον.

Εφέσεως τρισμάκαρ, έτυχες τής θείας, καί τής ευκταίας τού πόθου πληρώσεως, νύν ούν πρεσβεύων μή παύση υπέρ τής ποίμνης σου.

Θεοτοκίον

Ρευστήν δι' ευσπλαγχνίαν, φύσιν εκ γαστρός σου, ο πλαστουργος προσλαβόμενος Άχραντε, τής άφθαρσίας χιτώνα ταύτην ενέδυσε.

Τό Φωταγωγικόν, καί τά λοιπά, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΓ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού εν Αγίοις Πατρός ημών Μαρτίνου, Πάπα Ρώμης, καί τών σύν αυτώ Επισκόπων.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'
Τί υμάς καλέσωμεν

Τί σε νύν Μαρτίνε προσφθέγξωμαι; Ορθοδόξων διδαχών, καθηγητήν πανευκλεή, κορυφαίον ιερόν, δογμάτων θείων αψευδώς, τού ψεύδους, αληθέστατον κατήγορον, τού λόγου, γενναιότατον συνήγορον, Ιερουργόν ιερώτατον, θαυματουργόν τιμιώτατον, ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Τί σε νύν Μαρτίνε καλέσωμεν, ποταμόν πνευματικών, ναμάτων έμπλεων αεί, καταρδεύοντα ψυχάς, πρός ευκαρπίαν νοητήν, λυχνίαν, ευσεβείας φώς εκλάμπουσαν, σταλάζον, όρος θείαν αγαλλίασιν, θείων λογίων εκφάντορα, πάσης αιρέσεως έλεγχον, ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Τί σε νύν Μαρτίνε προσείπωμεν, τής σκηνής τής αληθούς, Ιερουργόν πανευσεβή, μεσιτεύοντα Θεώ, καί πλάσματι θεοπρεπώς, κρατήρα, πόμα θείον αναβλύζοντα, φωστήρα, ζωής λόγον ως επέχοντα, Δύσεως μέν εξορμώμενον, Ανατολή δέ φαινόμενον, ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Τί τών σών καλών θαυμαστότερον, θεραπεύεις πάντας Κόρη, καί λυτρούσαι τών παθών, απελαύνεις πολεμίων, τάς αθέσμους προσβολάς, κινδύνων, απαλλάττεις τούς τιμώντάς σε, καί θλίψεις καταπαύεις Θεονύμφευτε, Χαράς Παρθένε τής κρείττονος, πρόξενος γίνου τοίς δούλοις σου, πρεσβεύουσα, τού σωθήναι τάς ψυχάς ημών.

Η Σταυροθεοτοκίον

Τί τό φοβερόν τούτο θέαμα; η Παρθένος ανεβόα, τώ Κυρίω μητρικώς, αι ωδίνες άς ουκ έγνων, εντώ τίκτειν σε Υιέ, δριμείαι, καθικνούνται τή καρδία μου, ου φέρω, τώ Σταυρώ σε προσηλούμενον, οράν ώ φώς τών ομμάτων μου, Σπεύσον λοιπόν εξανάστηθι, καί δόξασον, τήν φρικτήν οικονομίαν σου.

Απολυτίκιον  Ήχος δ'

Ο Θεός τών πατέρων ημών, ο ποιών αεί μεθ' ημών, κατά τήν σήν επιείκειαν, μή αποστήσης τό έλεός σου αφ' ημών, αλλά ταίς αυτών ικεσίαις, εν ειρήνη κυβέρνησον τήν ζωήν ημών.

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες, ως σύνηθες, καί τού Αγίου, ού η Ακροστιχίς.

Πόνους επαινείν Μαρτίνου κλέος μέγα.

Ποίημα Ιωσήφ.

Ωδή α'  Ήχος πλ. δ'
Ο Ειρμός
«Η κεκομμένη, τήν άτομον έτεμε, καί είδεν ήλιος γήν, ήν ουκ εθεάσατο, αλάστορα εχθρόν τό ύδωρ κατεπόντισε, καί άβατον διήλθεν Ισραήλ, ωδή δέ ανεμέλπετο, τώ Κυρίω άσωμεν, ενδόξως γάρ δεδόξασται».

Πόνους μυρίους, Μαρτίνε υπέμεινας, υπέρ Χριστού τού Θεού, καί νύν εξεδήμησας, πρός άπονον ζωήν, καλώς αγωνισάμενος, διό μου τής ψυχής τάς χαλεπάς, οδύνας επικούφισον, όπως ανυμνήσω σε, ευχαίς σου φωτιζόμενος.

Ουσίας δύο, καί δύο θελήματα, καί ενεργείας διπλάς, φέροντα Μακάριε, τόν ένα τής σεπτής, Τριάδος εδογμάτισας, Χριστόν τόν υπερούσιον Θεόν, καί τους μή ούτω σέβοντας, πάντας απεκήρυξας, Μαρτίνε Ιερώτατε.

Νενοσηκότας, αλόγως τούς άφρονας, καί επί μόνου Χριστού, έν φρονούντας θέλημα, φρονήσει αληθεί, καί πίστει σεμνυνόμενος, διήλεγξας Μαρτίνε προφανώς, καί χαίρων ανεκραύγαζες, τώ Κυρίω άσωμεν, ενδόξως γάρ δεδόξασται.

Θεοτοκίον
Ο κατά φύσιν, τήν θείαν αόρατος, ωράθη βρέφος εκ σού, άνθρωπος γενόμενος, διπλάς ώς αληθώς, θελήσεις ενεργείας τε, προφαίνων υποστάσει εν μιά, ώ πρέσβευε Πανάμωμε, πάντας ημάς σώζεσθαι τούς πόθω σε γεραίροντας.

Ωδή γ'  Ο Ειρμός
«Τόν φόβον σου Κύριε εμφύτευσον, ταίς καρδίαις τών δούλων σου, καί γενού ημίν στερέωμα, τοίς σέ εν αληθεία επικαλουμένοις.

Υπάρχων ανάπλεως πανόλβιε, θείου ζήλου συνήθροισας, Ιεράν Μαρτίνε σύνοδον, καί τό τής Εκκλησίας εκύρωσας δόγμα.

Συνόδου εν μέσω απεκήρυξας, Πύρρον, Σέργιον, Όσιε, τόν Θεόδωρον καί Κύρόν τε, καί τούς σύν εκείνοις Ομοίως ληρωδούντας.

Εκ Ρώμης βιαίως ελαυνόμενος, περιήρχου ως ήλιος, τάς ακτίνας πέμπων Όσιε, τάς τής ορθοδοξίας, καί φωτίζων πάντας.

Θεοτοκίον
Πατρός τόν ομότιμον καί σύνθρονον, υπέρ λόγον εγέννησας, ενεργείας δύο φέροντα, καί δύο τάς θελήσεις, Παναγία Κόρη.

Κάθισμα  Ήχος πλ. δ'
Τήν Σοφίαν καί Λόγον

Τώ Θεώ από βρέφους ανατεθείς, αρεταίς αυξηθείς τε πνευματικώς, ηξίωσαι διάδοχος, Αποστόλων γενήσεσθαι, ορθοδοξία ποιμάνας, Κυρίου τό ποίμνιον, αιρετικών δέ φάλαγγας ελαύνων πανεύφημε, όθεν επί τέλει, Μαρτυρίου τώ στέφει, εστέφθης αοίδιμε, αθλητής ως αήττητος, ώ Μαρτίνε θεόπνευστε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοις εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Θεοτοκίον

Λογισμοίς ολισθαίνων τοίς πονηροίς, εις βυθόν κατηνέχθην αμαρτιών, καί στένων κραυγάζω σοι, εκ καρδίας Πανάχραντε, Εν εμοί θαυμάστωσον, τό πλούσιον έλεος, καί τής σής ευσπλαγχνίας, τό άπειρον πέλαγος, καί τών οικτιρμών σου, τόν αμέτρητον πλούτον, καί δός μοι μετάνοιαν, καί πταισμάτων συγχώρησιν, ίνα πάντοτε κράζω σοι, Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δοθήναί μοι, σέ γάρ έχω ελπίδα, ο δούλός σου, Άχραντε.

Η Σταυροθεοτοκίον

Τόν Αμνόν καί Ποιμένα καί Λυτρωτήν, η Αμνάς θεωρούσα επί Σταυρού, αδίκως υψούμενον, θρηνωδούσα εκραύγαζεν, Οίμοι φίλτατον τέκνον! Υιέ μου γλυκύτατε, πώς υποίσω Λόγε, φρικτόν βλέπειν θέαμα; κόπτομαι τά σπλάγχνα, τήν καρδίαν τιτρώσκομαι, καί ου δύναμαι φέρειν, σφαγήν σου τήν άδικον, Αλλ' ο φύσει μακρόθυμος, σπεύσον εξανάστηθι ταχύ, καί τήν σήν εκπλήρωσον υπόσχεσιν, όπως δοξάσης Υιέ μου, καμέ τήν τεκούσάνσε.

Ωδή δ'  Ο Ειρμός

«Επέβης εφ' ίππους, τούς, Αποστόλους σου Κύριε, καί εδέξω χερσί σου ηνίας αυτών, καί σωτηρία γέγονεν η ιππασία σου, τοίς πιστώς μελω δούσι, δόξα τή δυνάμει σου Κύριε».

Αδίκως τού θρόνου, σοφέ τού σού ελαυνόμενος, υπ ανθρώπων αδίκων ο δίκαιος, κακωθήναι προήρησο, όπως τό δίκαιον δόγμα τής, Εκκλησίας, Πάτερ διασώσης αλώβητον.

Ιστάμενος μέσον, παρανομούντων ο έννομος, αθλητής Ιεράρχα θεόληπτε, καί υπ αυτών θλιβόμενος καί εμπαιζόμενος, καί συρόμενος μάτην, έμεινας τόν νούν απαράτρεπτος.

Νηπίων ηγήσω, Πάτερ Μαρτίνε τοξεύματα, παροινίας τών μάτην θλιβόντων σε, καί καρτερώς ενήθλησας, περιδονούμενος, καί δεσμούμενος μάκαρ, καί ταίς φυλακαίς συγκλειόμενος.

Θεοτοκίον

Εν δύο ουσίαις, Θεανδρικώς γνωριζόμενον, τής Τριάδος τόν ένα εκύησας, Θεόν ομού καί άνθρωπον, θελήσεις φέροντα, καταλλήλως ταίς τούτου, φύσεσι Παρθένε πανάμωμε.

Ωδή ε'  Ο Ειρμός

«Τόν εκ νυκτός αγνωσίας, επί τήν ψυχάλωτον οδόν αεί πλανώμενον, τώ φωτί

τώ τής γνώσεώς σου Κύριε, ποδηγών με εν τή τρίβω, τών εντολών σου καθοδήγησον».

Ιερωτάτω σου λόγω, Πάτερ, τό πανίερον σαφώς δόγμα εκράτυνας, καί τό στίφος τών αιρέσεων έτρεψας, υπομένων εξορίας, καί φυλακάς καί θλίψεις ένδοξε.

Νυσταγμόν τοίς σοίς βλεφάροις, Όσιε ουκ έδωκας, έως σκήνωμα γέγονας τού Θεού, καί πάσαν άνεμόχλευσας, τής αιρέσεως τήν πλάνην, μαρτυρικώς αγωνισάμενος.

Μανιωδώς σε ώς θήρες, έσυραν αλύσεσι Σοφε, εχθροί δεσμήσαντες, εν τώ μέσω παικτικώς τής πόλεως, λοιδορούντες βλασφημούντες, καί αναιδώς σοι επεμβαίνοντες.

Θεοτοκίον

Απειρογάμως Παρθένε, η τόν απερίγραπτον Θεόν σαρκί κυήσασα, τής σαρκός μου τά πάθη θανάτωσον, ζώωσον δέ τήν ψυχήν μου, νενεκρωμένην πλημμελήμασιν.

Ωδή ς'  Ο Ειρμός

«Άβυσσος αμαρτιών, καί πταισμάτων καταιγίς με ταράττει, καί πρός βυθόν βιαίως συνωθεί απογνώσεως, αλλά σύ τήν κραταιάν, χείρά μοι έκτεινον, ώς τώ Πέτρω, καί εκ φθοράς με ανακάλεσαι».

Ρήγνυται ο πονηρός, θεοφόρε πρό ποδών ιερών σου, καί πονηρών ανθρώπων, τά απύλωτα στόματα, αποφράττονται τώ σώ, λόγω καί δείκνυται διαλάμπον, δόγμα τό θείον υπέρ ήλιον.

Τείνουσί σε αφειδώς, καί σχοινίοις συνδεσμούσιν οι πλάνοι, πλάνην δεσμούντα πάσαν, καί αιρέσεων σύνδεσμον, διαρρήσσοντα δεσμοίς, θείων δογμάτων σου, Ιεράρχα, Πάτερ Μαρτίνε Ιερώτατε.

Ίστασο δικαστικών, πρό βημάτων κατακρίνων τήν πλάνην, τών κηρυττόντων μίαν τού Χριστού Πάτερ θέλησιν, καί Μαρτύρων προφανώς, καλλωπιζόμενος τώ στεφάνω, τούτων τής δόξης κατηξίωσαι.

Θεοτοκίον

Νόμοι φύσεως εν σοί, καταλύονται, αρρήτως γάρ τίκτεις, τόν πλαστουργόν τών όλων, Θεοτόκε πανύμνητε, ώς Θεόν τε καί βροτόν, δύο θελήσεις δέ κεκτημένον, καί ενεργείας Μητροπάρθενε.

Τό Μαρτυρικόν τού Ήχου.

Συναξάριον

Τή ΙΓ' τού αυτού μηνός, Μνήμη τού εν Αγίοις Πατρός ημών Μαρτίνου Πάπα Ρώμης, τού Ομολογητού, καί τών σύν αυτώ Επισκόπων.

Στίχοι

- Ο σήν γεγηθώς σάρκα Σώτερ εσθίων,
- Απεκδύσει γέγηθε σαρκός Μαρτίνος.
- Αμφί τρίτη δεκάτη θάνε Μαρτίνος περίπυστος.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Μαξίμου, Κυντιλλιανού καί Δάδα.

Στίχοι

- Τίνες κεφαλών οίδε κείμενοι δίχα;
- Κυντιλλιανός, Μάξιμός τε καί Δάδας.

Τή αυτή ημέρα, Μνήιμη τού Αγίου Μάρτυρος Ελευθερίου τού Πέρσου.

Στίχοι

- Ελευθέριος ουκ εδουλώθη πλάνη.
- Ελεύθερος δέ πρός ξίφους έστη στόμα.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Θεοδοσίου.

Στίχοι

- Θεοίς προσοίσειν μηδαμώς πεισθείς δόσιν,
- Ήχθη Θεοδόσιος τήν επί ξίφους.

Τή αυτή ημέρα Μνήμη τού Αγίου Μάρτυρος Ζωϊλου.

Στίχοι

- Τόξου βέλει, Ζώϊλε, πληγείς εν ξύλω,
- Πλήττεις τόν εισάξαντα τήν φθοράν ξύλω.

Ταίς αυτών αγίαις πρεσβείαις, Χριστέ ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ' Ο Ειρμός

«Οι εκ τής Ιουδαίας, καταντήσαντες Παίδες εν Βαβυλώνι ποτέ, τή πίστει τής Τριάδος, τήν φλόγα τής καμινου, κατεπάτησαν ψάλλοντες, ο τών Πατέρων ημών, Θεός ευλογητός εί».

Οι διπλής ενεργείας, καί θελήσεως Πάτερ Χριστόν στερήσαντες, εστέρησάν σε θρόνου, εκδόντες εξορίαις, μακροτάταις κραυγάζοντα, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Υπελθών τας χρονίους, φυλακάς, οία φύλαξ αμώμου Πίστεως, αιρέσεων τό σκότος, εμείωσας καί μέλπειν, τούς πιστούς κατεφώτισας, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Κρύει καί παγετώ σε, προσπαλαίοντα Πάτερ, καί ασθενείαις μακραίς, υπέθαλπεν η χάρις, ρωννύουσα Μαρτίνε, μελωδούντα τώ Πνεύματι, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Λέων Πάτερ καθάπερ, πεποιθώς πρός ανόμους τομώς εχώρησας, Θεόδωρον καί Κύρον, καί Σέργιον καί Πύρρον, καί τούς τούτων ομόφρονας, τής τού Χριστού αφιστών, αγίας Εκκλησίας.

Τριαδικόν

Ενιζομένη φύσει, διαιρείται προσώποις η Παναγία Τριάς, Πατήρ ο Παντοκράτωρ, Υιός ο συνυπάρχων, καί τό Πνεύμα τό Άγιον, Ο τών Πατέρων ημών, Θεός Ευλογητός εί.

Θεοτοκίον

Ο θελήσεσι δύο, καί δυσίν ενεργείαις εκ σού Πανάμωμε, τεχθείς ανερμηνεύτως, τούς ούτω συμφρονούντας, διασώζει κραυγάζοντας, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Ωδή η'  Ο Ειρμός

«Οι θεορρήμονες Παίδες εν καμίνω, σύν τώ πυρί καί τήν πλάνην, καταπατούντες εκραύγαζον, Ευλογείτε τα έργα, Κυρίου τόν Κύριον».

Στενοχωρούμενος Πάτερ ασθενείαις, καί χαλεπαίς εξορίαις, καί πολυτρόποις κολάσεσι, Μαρτυρίου στεφάνους, ως Μάρτυς απείληφας.

Μακαρισμού ηξιώθης θεολέκτου, δεδιωγμένος Μαρτίνε, δικαιοσύνης εχόμενος, εκδιώξας εκ μέσου τήν άδικον αίρεσιν.

Επικοσμήσας τόν Πέτρου θείον θρόνον, καί τή αυτού θεία πέτρα, τήν Εκκλησίαν ασάλευτον, συντηρήσας Μαρτίνε, σύν τούτω δεδόξασαι.

Τριαδικόν

Γλώσση πυρίνη τών θείων Ασωμάτων, αναλαβόντες τόν ύμνον  Άγιος, Άγιος, Άγιος, τή Τριάδι συμφώνως, πιστοί εκβοήσωμεν.

Θεοτοκίον

Αγιωτέρα τών άνω στρατευμάτων, καί Χερουβίμ υπερτέρα, Μήτερ Θεού χρηματίζουσα, τών παθών τής σαρκός με, υπέρτερον ποίησον.

Ωδή θ'  Ο Ειρμός

«Όρους παρήλθες τής φύσεως, τόν Δημιουργόν συλλαβούσα καί Κύριον, καί πύλη σωτηρίας τώ κόσμω γέγονας, διό σε Θεοτόκε, ακαταπαύστως μεγαλύνομεν».

Ιερουργός ιερώτατος, ομολογητής τε καί μάρτυς γενόμενος, Πατριαρχών χορείαις Μαρτίνε μέγιοτε, αξίως συναγάλλη, όθεν σε πίστει μακαρίζομεν.

Ως φωταυγής Μάκαρ ήλιος, ανατεταλκώς πρός εώαν εκ δύσεως, άπασαν ακτίσι τήν γήν εφώτισας, καί ήλασας τό σκότος, αιρετιζόντων τό βαθύτατον.

Στώμεν εν οίκω Θεού ημών, επανακηρύττοντες άθλους καί παλαίσματα, καί τάς όμολογίας τού ουρανόφρονος, Πατρός ημών Μαρτίνου, καί τούτον πόθω

μακαρίσωμεν.

Ήστραψε μάκαρ η μνήμη σου, ημεροφαής ώς αστήρ εν τοίς πέρασι, καί πάντας καταυγάζει τούς ευφημούντάς σε, εν ύμνοις επαξίοις, Πάτερ Μαρτίνε θεοδόξαστε.

Θεοτοκίον

Φωναίς Πατέρων πειθόμενοι, δύο εν Ουσίαις αγνή καί θελήσεσι, τόν ένα τής Τριάδος εκ σού τικτόμενον, πιστώς ομολογούμεν, καί σέ Παρθένε μεγαλύνομεν.

Τό Φωταγωγικόν, Καί η λοιπή Ακολουθία, η Α' Ώρα καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΔ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Αποστόλων, εκ τών εβδομήκοντα, Αριστάρχου, Πούδη καί Τροφίμου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'  Πανεύφημοι Μάρτυρες

Λόγω θείας γνώσεως λαούς, αγνωσίας πάνσοφοι, ολοτελώς ελυτρώσασθε, καί προσηγάγετε, σεσωσμένους τούτους, Λόγω τώ εκλάμψαντι, Πατρός εξ αγεννήτου Απόστολοι, Αυτώ πρεσβεύσατε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Πούδην καί Αρίσταρχον σοφόν καί τόν θείον Τρόφιμον, τούς αληθείς χριστοκήρυκας, ανευφημήσωμεν, πλάνης γάρ χειμώνα, θέρμη θείας χάριτος, διέλυσαν, καί νύν πρός τό άδυτον, φέγγος εσκήνωσαν, αμοιβάς πόνων δρεψόμενοι, καί μεθέξει, αρρήτω θεούμενοι.

Παύλω εφεπόμενοι κλεινώ, διδασκάλω Ένδοξοι, πολλούς κινδύνους υπέστητε, ειρκτή κλειόμενοι, ομιλούντες πόνοις, ξίφει επί τέλει δέ, τμηθέντες κεφαλάς ενηθλήσατε, Χριστώ πρεσβεύσατε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Χωρίον ευρύχωρον Θεού, ουρανών πλατύτερον, τόν σμικρυνθέντα τοίς πάθεσι, καί στενωθέντα με, πειρασμών εφόδοις, εν θλίψεσι πλάτυνον, καί εν στενοχωρίαις μεγάλυνον, προσηρεμούσά μοι, τά προσπίπτοντα Πανάμωμε, καθ' εκάστην, αύραις τής πρεσβείας σου.

Η Σταυροθεοτοκίον

Ρομφαία διήλθεν, ώ Υιέ, η Παρθένος έλεγεν, επί τού ξύλου ως έβλεπε, Χριστόν κρεμάμενον, τήν εμήν καρδίαν, καί σπαράττει Δέσποτα, ως πάλαι Συμεών μοι προέφησεν, αλλ' εξανάστηθι, καί συνδόξασον αθάνατε, τήν

Μητέρα, καί δούλην σου δέομαι.

Απολυτίκιον Ήχος γ'

Απόστολοι άγιοι, πρεσβεύσατε τώ ελεή μονι Θεώ, ίνα πταισμάτων άφεσιν παράσχη ταίς ψυχαίς ημών.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες της ημέρας, καί τών Αγίων, ού η Ακροστιχίς.

Θείοις Μαθηταίς θείον εξάδω μέλος.
Ποίημα Ιωσήφ.

Ωδή α' Ήχος πλ. β'
Ο Ειρμός

«Ως εν ηπείρω πεζεύσας ο Ισραήλ, εν αβύσσω, ίχνεσι, τόν διώκτην Φαραώ, καθορών ποντούμενον, Θεώ επινίκιον ωδήν, εβόα άσωμεν».

Θρόνω Θεού παρεστώτες ως λειτουργοί, ως αυτού διάκονοι, ως φωστήρες νοητοί, φωτισμόν αιτήσασθε ημίν, τοίς τιμώσι τήν υμών μνήμην Απόστολοι.

Επί τής γής ο δι' οίκτον επιφανείς, μαθητάς εκλέγεται, καί θεράποντας υμάς, σύν ετέροις πλείοσιν αυτού, καταγγέλλοντας Σοφοί, τό θείον βούλημα.

Ιερωτάτη χορεία τών Ιερών, Χριστού εβδομήκοντα, συνταγέντες Μαθητών, σύν τώ Παύλω άπασαν τήν γήν, διδαχών θείω φωτί καταλαμπρύνετε.

Ο Ιερώτατος Πούδης, Καί ο κλεινός, καί σοφός, Αρίσταρχος, σύν Τροφίμω φωταυγείς, ως αστέρες έλαμψαν εν γή, τόν τής πλάνης σκοτασμόν αποδιώκοντες.

Θεοτοκίον

Ίνα τούς κάτω τοίς άνω υπερβολή, ευσπλαγχνίας Άχραντε, νύν συνάψη ο Θεός, σάρκα προσελάβετο εκ σού, καί διέμεινεν ο ήν καί μετά σάρκωσιν.

Ωδή γ' Ο Ειρμός

«Ουκ έστιν Άγιος ως σύ, Κύριε ο Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου αγαθέ, καί στερεώσας ημάς, εν τή πέτρα τής Ομολογίας σου».

Συνόντες Παύλω τώ κλεινώ, σύν αυτώ πάντα κόσμον, ώς αστέρες ηλίω, περιήλθετε φωτί, κηρύγματος Ιερού, αγνωσίας σκότος απελαύνοντες.

Μεγάλοις πονοις τής σαρκός, τήν επίπονον ήραν, αμαρτίαν εκ μέσου, οι τού Λόγου Μαθηταί, τήν άπονον τοίς πιστοίς, εν υψίστοις λήξιν μνηστευόμενοι.

Αρρήτως όντα εκ Πατρός, εν αρχή Θεόν Λόγον, επί γής σαρκωθέντα, οι Απόστολοι σαφώς, κηρύττοντες τάς αρχάς, τού αιώνος τούτου εξεφαύλισαν.

Θεοτοκίον

Θηλάζεις γάλα τού παντός, τόν τροφέα τού κόσμου, γεννηθέντα αρρεύστως, εξ αχράντου σου γαστρός, καί συντριβέντας φθορά, τούς ανθρώπους πάλιν αναπλάσαντα.

Κάθισμα Ήχος δ'

Επεφάνης σήμερον

Τής αμπέλου κλήματα, τής ζωηφόρου, πεφυκότες βότρυας, εναποστάζοντας ημίν, οίνον ζωής προσηνέγκατε, ουρανομύσται, Κυρίου Απόστολοι.

Θεοτοκίον

Ρυπωθείσαν πάθεσι, τής αμαρτίας, τήν ψυχήν μου άχραντε, Θεογεννήτορ αγαθή, τή σή πρεσβεία καθάρισον, σύ γ άρ υπάρχεις, σωτήριος κάθαρσις.

Η Σταυροθεοτοκίον

Επί ξύλου βλέπουσα, προσηλωμένον, τόν Αμνόν η άμωμος, Αμνάς καί Μήτηρ καί αγνή, αναβοώσα εκραύγαζε, Λόγε, υμνώ σου τά θεία παθήματα.

Ωδή δ' Ο Ειρμός

«Χριστός μου δύναμις, Θεός καί Κύριος, η σεπτή Εκκλησία θεοπρεπώς, μέλπει ανακράζουσα, εκ διανοίας καθαράς, εν Κυρίω εορτάζουσα».

Η υπερούσιος, τριάς ώς τρίφωτον, επανήψε λαμπάδα τούς Ιερούς, Πούδην τε καί Τρόφιμον, καί τόν Αρίσταρχον τήν γήν, θείω λόγω καταυγάζοντας.

Τού Παύλου ώφθητε, σοφοί συνέκδημοι, διωγμούς σύν εκείνω πολυειδείς, καί κινδύνους Ένδοξοι, διά τήν μέλλουσαν ζωήν, γεγηθότες υπομείναντες.

Αιμάτων ρεύμασι, καθηγιάσατε, πάσαν κτίσιν αθλούντες, τά εναγή, αίματα τοίς δαίμοσιν, επιφερόμενα, Χριστού, καταπαύσαντες Απόστολοι.

Θεοτοκίον

Ισχύς μου Άχραντε, καί καταφύγιον, καί απόρθητον τείχος, καί πρός Θεόν, πρέσβις χρηματίζουσα, αιωνιζούσης με φλογός, καί γεέννης ελευθέρωσον.

Ωδή ε' Ο Ειρμός

«Τώ θείω φέγγει σου αγαθέ, τάς τών ορθριζόντων σοι ψυχάς, πόθω καταύγασον δέομαι, σέ ειδέναι Λόγε Θεού, τόν όντως Θεόν, εκ ζόφου τών πταισμάτων ανακαλούμενον».

Στήλας κατέαξαν καί ναούς, τούς ειδωλικούς οι ευκλεείς, οικοδομούντες εν χάριτι, ως σκηνήν πεσούσαν ταίς παραβάσεσι, καρδίας τών ανθρώπων οι θεοκήρυκες.

Θάλασσαν ίπποι πανευκλεείς, όντως χρηματίζοντες Θεού, τής αθείας

ταράξαντες, τούς αποπνιγέντας εν ταύτη πρότερον, κηρύγματι τώ θείω ανεζωώσατε.

Επισκοπούμενοι πρός Θεού, θείαις επισκέψεσιν υμών, τούς εν οδύνη τυγχάνοντας, ειδωλομανίας καί κινδυνεύοντας, εσώσατε σωτήρες ημών γενόμενοι.

Θεοτοκίον

Ιερωτάτως ο Ιερός, πάλαι Ησαίας φωτισθείς, Πνεύματι θείω εβόησεν, ιδού η Παρθένος, έξει σαρκούμενον, Θεόν δι' ευσπλαγχνίαν τόν απερίληπτον.

Ωδή ς' Ο Ειρμός

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι, Ανάγαγε, εκ φθοράς τήν ζωήν μου Πολυέλεε».

Ο πάνσοφος Τρόφιμος, καί Αρίσταρχος ομού, καί Πούδης ο θαυμάσιος, ώς μαθηταί τού Λόγου καί ιεροί, τού Παύλου συνέκδημοι, Ιεραίς μελωδίαις ευφημείσθωσαν.

Ναμάτων ανάπλεοι, τών τού Πνεύματος Σοφοί, ως αληθώς υπάρχοντες, πάσαν ψυχήν ηρδεύσατε διδαχαίς, εκ μέσου ποιήσαντες, τόν φλογμόν τής απάτης θεία χάριτι.

Ενούμενοι πνεύματι, μερισμόν ούδ εν αυτώ, τώ μερισμώ τού σώματος, εσχήκατε, ομού γάρ τάς κεφαλάς, σύν Παύλω τώ κήρυκι, απετμήθητε τούτω κλεϊζόμενοι.

Θεοτοκίον

Ξένη σου η σύλληψις, ξένη Κόρη καί φρικτή, η υπέρ νούν σου γέννησις, τούς ξενωθέντας πάντας από Θεού, αυτώ καταλλάττουσα, καί τό κάλλος τό πρώην απονέμουσα.

Το Μαρτυρικόν τού Ήχου.

Συναξάριον

Τή ΙΔ' τού αυτού μηνός, Μνήμη τών Αγίων Αποστόλων εκ τών εβδομήκοντα, Αριστάρχου, Πούδη καί Τριφίμου.

Στίχοι

- Τιμώ τόν Αρίσταρχον ως αριστέα,
- Καλώς αριστεύσαντα μέχρι καί ξίφους.
- Πού δή μετέστης, ως απετμήθης, Πούδη;
- Πού δή μετέστην, ή πρός άφθαρτον κλέος;
- Τρυφήν Τρόφιμος ουρανού ποθών άκρως,
- Τροφή προσήκται τώ τεθηγμένω ξίφει.
- Τή δεκάτη δέ μαθηταί απήραν καί γε τετάρτη.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Αρδαλίωνος τού Μίμου.

Στίχοι

- Νύν Μίμος όντως Αρδαλίων ή πάλαι.
- Μιμούμενος γάρ Μάρτυρας, τό πύρ στέγει.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος Θωμαΐδος.

Στίχοι

- Αιώνος ήρας τούδε τήν Θωμαΐδα,
- Τό τής Γραφής, μέλλοντος αιώνος Πάτερ.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Δροσοδόλον μέν τήν κάμινον ειργάσατο, Άγγελος τοίς οσίοις Παισί, τούς Χαλδαίους δέ καταφλέγον πρόσταγμα Θεού, τόν τύραννον έπεισε βοάν, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών».

Ασεβείας κατεσβέσατε τήν κάμινον, όμβροις σεπτού κηρύγματος, ως Απόστολοι, ως δέ θείοι όντες, Αθληταί, αιμάτων ροαίς ειδωλικήν, ύλην εφλέξατε Σοφοί, όθεν δοξάζεσθε.

Διελθόντες ως υπόπτεροι γήν άπασαν, Απόστολοι πανεύφημοι, θείον κήρυγμα τών εθνών εσπείρατε ψυχαίς, ως άριστοι όντες γεωργοί, καί ώσπερ σίτον τώ Χριστώ, πάντας προσήξατε.

Ωραιώθητε ωραίοις υμών στίγμασιν, Αρίσταρχε καί Τρόφιμε, ελαμπρύνθητε υπέρ πάντα δόκιμον χρυσόν, σύν Πούδη τώ όντως θαυμαστώ, διά παντός υπέρ ημών, εκδυσωπούντες Χριστόν.

Θεοτοκίον

Μακαρία εξ Αγίου ώφθης Πνεύματος, Βουλής μεγάλης  Άγγελον, σωματώσασα, τόν τούς θείους τούτους μαθητάς, τώ κόσμω ως θείας αστραπάς, εξαποστείλαντα Σεμνή, φωταγωγήσαι πιστούς.

Ωδή η'  Ο Ειρμός

«Εκ φλογός τοίς Οσίοις δρόσον επήγασας, καί δικαίου θυσίαν ύδατι έφλεξας, άπαντα γάρ δράς, Χριστέ, μόνω τώ βούλεσθαι, Σέ υπερυψούμεν, εις πάντας τούς αιώνας».

Εκτεμόντες τάς ρίζας τής αθεότητος, τή δρεπάνη τή θεία κατεφυτεύσατε, πίστιν αληθή, καί τελείαν επίγνωσιν, ταίς τών ευσεβούντων, καρδίαις θεηγόροι.

Λόγω θείω καρδίας κατενεώσατε, καί τής γνώσεως σπόρον καταβαλόμενοι,

άσταχυν Σοφοί, πολύχουν εθερίσατε, τών διασωθέντων, Απόστολοι τό πλήθος.

Οι ακλόνητοι στύλοι τής Εκκλησίας Χριστού, τής αμπέλου τής θείας οι θείοι βότρυες, οι τόν γλυκασμόν, τής ζωής αποστάζοντες, Αρίσταρχος καί Πούδης, καί Τρόφιμος τιμάσθω.

Θεοτοκίον

Συντριβείσαν Παρθένε τήν ανθρωπότητα, ανεκαίνισας όλην καινή λοχεία σου, φύσεως θεσμούς, υπέρ φύσιν καινίσασα, κεχαριτωμένη, Θεού τού ζώντος Μήτηρ.

Ωδή θ' Ο Ειρμός

«Θεόν ανθρώποις ιδείν αδύνατον, όν ου τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ Πάναγνε ωράθη βροτοίς, Λόγος σεσαρκωμένος, όν μεγαλύνοντες, σύν ταίς ουρανίαις στρατιαίς σέ μακαρίζομεν».

Ισχύς αφήρηται τού αλάστορος, πέπτωκε δέ τό τούτου επαιρόμενον φρύαγμα, ασθενεία σαρκός γάρ οι Άγιοι, τούτω περιπλακέντες, έτρεψαν ώλεσαν, καί τής τυραννίδος τής αυτού πιστούς ερρύσαντο.

Ως χούν τήν πλάνην εξελεπτύνατε, πανευκλεείς φωστήρες οικουμένης Απόστολοι, καί Αγγέλων συμπολίται ώφθητε, μέλποντες σύν εκείνοις, Άγιος, Άγιος, Άγιος ο Πατήρ, καί ο Υιός, καί Πνεύμα Άγιον.

Σαρκός ιώμενοι αρρωστήματα, καί ψυχικά Απόστολοι Κυρίου νοσήματα, καί τελούντες εξαίσια θαύματα, πάντας τούς εν αγνοία προσεφειλκύσατε, γνώσεως πρός φώς αληθινόν, όθεν δοξάζεσθε.

Η θεία μνήμη υμών εκλάμψασα, τήν τού Χριστού φαιδρύνει Εκκλησίαν Απόστολοι, ην ταίς θείαις υμών παρακλήσεσι, ρύσασθε πάσης βλάβης τής τών αιρέσεων, σκέποντες απήμονα λαόν τόν ευσεβόφρονα.

Θεοτοκίον

Φλογός γεέννης με ελευθέρωσον, η υπέρ νούν τό πύρ αποτεκούσα τό άστεκτον, καί ψυχήν μου πρός πόθον επάναψον, άχραντε τού ελθόντος πύρ επιγνώσεως, Κόρη επί γής επιβαλείν, θεοχαρίτωτε.

Τό Φωταγωγικόν, καί η λοιπή Ακολουθία καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΕ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Μάρτυρος Κρήσκεντος.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Πρός επίπονα σκάμματα, πρός πολύπλοκα θήρατρα, πρός δεινά παλαίσματα, Κρήσκη πάνσοφε, γενναιοφρόνως εχώρησας, σαρκός μή φεισάμενος, αλλ' ελόμενος θανείν, διά πόθον τόν ένθεον, όθεν πάσά σε, η Χριστού Εκκλησία μακαρίζει, εκτελούσά σου τήν μνήμην, Μεγαλομάρτυς πανένδοξε.

Ωμοτάτως ξεόμενος, καί πλευράς ορυττόμενος, καί μαστίγων πλήθεσι, δαπανώμενος, ουκ εξηρνήσω τό όνομα, Χριστού τό σεβάσμιον, Αθλοφόρων καλλονή, Εκκλησίας ευπρέπεια, διά ταύτά σε, εν αινέσει τιμώμεν τήν αγίαν, εορτάζοντές σου μνήμην, καί προσκυνούντες τά λείψανα.

Ιερώς πυρπολούμενος, τή αγάπη τού Κτίσαντος, Κρήσκη παναοίδιμε, μέσον ίστασο, πυρός μηδόλως φλεγόμενος, εις χείρας δέ πάνσοφε, εναπέθου τού Θεού, τό μακάριον πνεύμά σου, όθεν είληφας, τούς στεφάνους τής νίκης, ικετεύων, ιλασμόν αμαρτημάτων, λαβείν τούς πόθω τιμώντάς σε.

Δόξα... Καί νύν... Θεοτοκίον

Ως Θεού Μήτηρ άφθορος, καί αγνή καί πανάμωμος, καί αγιωσύνη πάση ασύγκριτος, τόν εναγή καί ακάθαρτον, καί πάσης αισχρότητος, παρανόμου καί δεινής, ευρετήν εγχειρήσεως, μή απώση με, μή εάσης με όλως απολέσθαι, αλλά ρύσαι τών παθών με, καί επιστρέφοντα σώσόν με.

Η Σταυροθεοτοκίον

Ως εώρακε Κύριε, η Παρθένος καί Μήτηρ σου, εν Σταυρώ κρεμάμενον, εξεπλήττετο, καί ατενίζουσα έλεγε, Τί σοι ανταπέδωκαν, οι πολλών σου δωρεών, απολαύσαντες Δέσποτα; Αλλά δέομαι, Μή με μόνην εάσης εν τώ κόσμω αλλά σπεύσον αναστήναι, συνανιστών τούς Προπάτορας.

Απολυτίκιον

Ο μάρτυς σου Κύριε εν τή αθλήσει αυτού, τό στέφος εκομίσατο τής αφθαρσίας εκ σού τού Θεού ημών, Έχων γάρ τήν ισχύν σου τούς τυράννους καθείλεν, έθραυσε καί δαιμόνων τά ανίσχυρα θράση, αυτού ταίς ικεσίας Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τής ημέρας, ως σύνηθες, καί τού Αγίου, ού η Ακροστιχίς.

Κρήσκεντα πηγήν θαυμάτων επανέσω.
Ποίημα. Ιωσήφ.

Ωδή α' Ήχος δ' Ο Ειρμός

«Θαλάσσης, τό ερυθραίον πέλαγος, αβρόχοις ίχνεσιν, ο παλαιός πεζεύσας Ισραήλ, σταυροτύποις Μωσέως χερσί, τού Αμαλήκ τήν δύναμιν, εν τή ερήμω ετροπώσατο».

Κροτήσωμεν, ευσεβώς γηθόμενοι, τή μνήμη σήμερον, τού αθλητού καί Μάρτυρος πιστοί, Ιερώς εναθλήσαντος, καί τόν τού σκότους άρχοντα, τροπωσαμένου θεία χάριτι.

Ρεόντων, παραδραμών τό άστατον, Μάρτυς πολύαθλε, πρός αικισμούς καί μάστιγας σαυτόν, Ολοψύχως εκδέδωκας, καί νικητής γενόμενος, στεφηφορών Θεώ παρίστασαι.

Ημέραν, χαρμονικήν τελέσωμεν, πανηγυρίζοντες, εν τή αθλήσει σήμερον πιστοί, τού θεόφρονος Κρήσκεντος, καί τά σεπτά παλαίσματα, τούτου τιμήσωμεν γηθόμενοι.

Θεοτοκίον

Σαρκούται, υπερβολή χρηστότητος, εκ σού ο Κύριος, καί δι' ημάς οράται καθ' ημάς, ο τή φύσει απρόσιτος, όν εκτενώς ικέτευε, υπέρ ημών Αγνή πανάμωμε.

Ωδή γ'  Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα, Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

Κρεμάμενος τούς ξεσμούς, ρωμαλεότητι νοός ήνεγκας, τό τής φθοράς Ένδοξε, πάχος προφανώς εκδυόμενος.

Ενεύρου σε Ιησούς, αγωνιζόμενον στερρώς Ένδοξε, καί τής σαρκός έφερες, πόνους ρωμαλέω φρονήματι.

Νυττόμενος αληθώς, τή αγαπήσει τού Χριστού ένδοξε, Κρήσκη στερρώς ήθλησας, πόνοις αφειδήσας τού σώματος.

Θεοτοκίον

Τήν μόνην εν γυναιξίν, ανερμηνεύτως τόν Θεόν τέξασαν, τήν τού παντός Δέσποιναν, Ιερολογίαις τιμήσωμεν.

Κάθισμα  Ήχος δ'

Ο υψωθείς

Τών αιωνίων αγαθών κληρονόμος, αποδειχθείς δι' ευσεβούς μαρτυρίας, Μεγαλομάρτυς ένδοξε παρίστασαι, δόξη λαμπρυνόμενος, τού Δεσπότου τών όλων, όθεν τήν αγίαν σου εορτάζομεν μνήμην, τήν τών πταισμάτων λύσιν αθλητα, Κρήσκη ζητούντες, λαβείν ταίς πρεσβείαις σου.

Θεοτοκίον

Ου σιωπήσομεν ποτέ Θεοτόκε, τάς δυναστείας σου λαλείν οι ανάξιοι, εί μή γάρ σύ προϊστατο πρεσβεύουσα, τίς ημάς ερρύσατο εκ τοσούτων κινδύνων; τις δέ διεφύλαξεν, έως νύν ελευθέρους; ουκ αποστώμεν Δέσποινα εκ σού,

σούς γαρ δούλους σώζεις αεί, εκ παντοίων δεινών.

Η Σταυροθεοτοκίον

Ου φέρω βλέπειν σε Σταυρώ τεταμένον, Μήτηρ η σή Παμβασιλεύ ανεβόα, όν υπέρ φύσιν τέτοκα Υιόν καί Θεόν, οίδα γάρ σου Δέσποτα, τό φιλάνθρωπον οίδα, όπως πάσχεις ένεκα, τής βροτών σωτηρίας, αλλούνου σθένω Τέκνον μητρικάς, φέρειν οδύνας, σταυρώ καθρρώσά σε.

Ωδή δ' Ο Ειρμός

«Επαρθέντα σε ιδούσα η Εκκλησία, επί Σταυρού τόν Ήλιον, τής δικαιοσύνης, έστη εν τή τάξει αυτής, εικότως κραυγάζουσα, Δόξα τή δυνάμει σου Κύριε».

Αναρτώμενος εν ξύλω γενναιοφρόνως, τούς αικισμούς υπέφερες, Μάρτυς αθλοφόρε, πάθος γάρ εικόνιζες, τό θείον καί άχραντον, δι' ού τήν απάθειαν εύρηκας.

Παριστάμενος ενώπιον τών τυράννων, τό τού Κυρίου όνομα, πίστει αδιστάκτω, Κρήσκη ωμολόγησας, καί χαίρων ενήθλησας, όθεν ευσεβώς σε γεραίρομεν.

Ηκολούθησας τοίς ίχνεσι τού Σωτήρος, καί τά αυτού σωτήρια πάθη εικονίσας, μάστιγας υπήνεγκας, καί βίαιον θάνατον, Μάρτυς αθλοφόρε αοίδιμε.

Γενναιότητι κατέπληξας τούς αθέους, υπομονής τε σώματος, Κρήσκη θεηγόρε, τόν τής νίκης στέφανον εδέξω πανόλβιε, καί τήν δι' αιώνος απόλαυσιν.

Θεοτοκίον

Η τόν Κύριον απάντων τών ποιημάτων, υπερφυώς κυήσασα, επ' ευεργεσία, τού ιδίου πλάσματος, η πάναγνος Δέσποινα, αξιοπρεπώς μακαρίζεται.

Ωδή ε' Ο Ειρμός

«Σύ Κύριέ μου φώς, είς τόν κόσμον ελήλυθας, φώς άγιον επιστρέφον, εκ ζοφώδους αγνοίας, τούς πίστει ανυμνούντάς σε».

Ναμάτων ζωτικών, τών τού Πνεύματος έμπλεως, γενόμενος τής κακίας, απεξήρανας Μάρτυς, τά ρεύματα θεόπνευστε.

Θανάτω τήν ζωήν τήν αγήρω κτησάμενος, πανεύφημε αναβλύζεις, δωρεάς αθανάτους, τοίς πίστει προσιούσί σοι.

Αιμάτων σου ροαίς, ιερώς φοινισσόμενος, καί στίγμασιν αθλοφόρων, καλλυνόμενος Μάρτυς, ως άστρον αναδέδειξαι.

Θεοτοκίον

Υμνούμέν σε δι' ής τής φθοράς ελυτρώθημεν, πανύμνητε Θεοτόκε, καί βοώμέν σοι, Χαίρε, Μαρτύρων αγαλλίαμα.

## Ωδή ς'  Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Μέλεσιν, εδοξάσθη τοίς σοίς ο Δεσπότης σου, Κρήσκη θεόπνευστε Μάρτυς, διά τούτο νύν σε αντιδοξάζει, εν σημείοις, καί πολλοίς θαυμασίοις καί τέρασιν.

Άνθραξι, τής αγάπης Κυρίου πυρούμενος, διά πυρός υπεδέξω, Μάρτυς αθλοφόρε τό θείον τέλος, καταφλέξας, πολυθέου απάτης τό άθεον.

Τίμιος, εναντίον Κυρίου ο θάνατος, σού παμμακάριστε Κρήσκη, ανεφάνη, μέσον πυρός γάρ ώφθης, μεγαλύνων, καί δοξάζων Θεόν ακατάφλεκτος.

### Θεοτοκίον

Ως θρόνον, τού Δεσπότου τών όλων πυρίμορφον, υμνονολογούμέν σε Κόρη, καί τερπνόν παλάτιον καί λυχνίαν, καί παστάδα, καί θεόδεκτον άχραντε τράπεζαν.

### Συναξάριον

Τή ΙΕ' τού αυτού μηνός, Μνήμη τού Αγίου Μάρτυρος Κρήσκεντος, τού εν Μύροις τής Λυκίας.

### Στίχοι

- Θάμβος βλέπειν Κρήσκεντα τού πυρός μέσον,
- Ηγούμενον λειμώνα τερπνόν τήν φλόγα.
- Κάτθανε καί Κρήσκης πέμπτη δεκάτη πυρί λαύρω.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων γυναικών, Βασιλίσσης καί Αναστασίας.

### Στίχοι

- Αμνού Θεού σφάττουσιν αμνάδας δύο,
- Αναστασίαν καί Βασίλισσαν άμα.

Τή αυτή ημέρα, Μνήμη τού εν Αγίοις Πατρός ημών Λεωνίδου, Επισκόπου Αθηνών.

### Στίχοι

- Σκότος συνέσχε τάς Αθήνας αθρόον,
- Δύναντος αυταίς ηλίου Λεωνίδου.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Θεοδώρου Πρεσβυτέρου, καί Παυσολυπίου.

### Στίχοι

- Παυσολυπίω καί Θεοδώρω θύτη,
- Δώρόν τι παυσίλυπον όντως τό ξίφος.

Ταίς αυτών αγίαις πρεσβείαις, Χριστέ ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός
«Εν τή καμίνω, Αβραμιαίοι Παίδες τή Περσική, πόθω ευσεβείας μάλλον ή τή φλογί, πυρπολούμενοι εκραύγαζον, Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε».

Νέους τρείς Παίδας, εξεικονίζων Μάρτυς ένδοξε, μέσον τού πυρός εβλήθης, διά Χριστόν, καί τό τέλος τό μακάριον, εν τούτω δέδεξαι, υμνολογών Θεόν παμμακάριστε.

Εν μέσω έστης, φλογός αστέκτου χρυσός ως όβρυζος, πίστει εξαστράπτων Μάρτυς αληθινή, καί φωτίζων τούς κραυγάζοντας, Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε.

Πυρός παμμάκαρ, δυνατωτέραν έχων έντασιν, μέσον εμβληθείς πανεύφημε τής φλογός, απερίτρεπτος διέμεινας, πλάνης τούς άνθρακας αποσβεννύων, Κρήσκη πολύαθλε.

Θεοτοκίον
Αγιωτέρα, τών Χερουβίμ ώφθης Πανάμωμε, λόγω συλλαβούσα Λόγον τόν τού Πατρός, όν υμνούντες ανακράζομεν, Ευλογημένη σύ, εν γυναιξί πανάμωμε Δέσποινα.

Ωδή η'  Ο Ειρμός
«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Ιδεϊν εφιέμενος Χριστόν, στολαίς εφαίδρυνας, τών αρετών σεαυτόν, εξυφανθείσαις σοι άνωθεν, καί παρίστασαι γηθόμενος, τώ αθανάτω Βασιλεί βοών Πανόλβιε, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Νοός καρτερία τόν πικρόν, υπέστης θάνατον, πυρί οπτώμενος, ως άρτος Ένδοξε ήδιστος, τού τών όλων Βασιλεύοντος, ώ παριστάμενος βοάς, αγαλλομένη ψυχή, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ειληφώς παρά Θεού σαφώς, τήν χάριν Ένδοξε λύειν νοσήματα, διώκειν πνεύματα πάντοτε, τήν ψυχήν εξασθενούσάν μου, αμαρτιών ταίς προσβολαίς, ίασαι δέομαι, ίνα κράζω, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Στίγμασι πολλοίς ωραϊσθείς, υπήλθες Άγιε, τό πύρ τό άστεκτον, καί ως οχήματι ένδοξε επιβάς τούτω, ανέδραμες, πρός όν επόθησας Θεόν, μέλπων γηθόμενος, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Θεοτοκίον
Ω θαύμα! πώς τέτοκας Θεόν βροτόν γενόμενον, θεοχαρίτωτε; πώς

ακατάφλεκτος έμεινας, πύρ τό άστεκτον χωρήσασα; χαριστηρίοις σε φωναίς, όθεν δοξάζομεν καί βοώμεν, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ωδή θ' Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Ιερολογίαις σε θείαις, Μάρτυς Χριστού ανευφημούμεν, ως τώ Βασιλεί τών αιώνων, υπερβαλλόντως ευαρεστήσαντα, καί καθελόντα ξόανα, τής απωλείας ανδρικώτατα.

Ως υπερφυείς σου οι πόνοι! ως ευκλεείς σου οί ιδρώτες! ούς υπενεγκών διά Χριστόν, αρρήτου δόξης Μάρτυς ηξίωσαι, υπέρ ημών δεόμενος, τών ευσεβώς μακαριζόντων σε.

Σήμερον η πόλις Μυρέων, περιφανώς πανηγυρίζει, άδουσα τούς άθλους σου Μάρτυς, καί τούς κινδύνους καί τά παλαίσματα, άπερ γενναίως ήνεγκας, υπέρ Χριστού αγωνισάμενος.

Ημεροφαή ως αστέρα, η Εκκλησία σε γνωρίζει, θείαις φρυκτωρίαις τόν κόσμον, Μεγαλομάρτυς περιαυγάζοντα, όθεν τελεί τήν μνήμην σου, τήν φωτοφόρον ευφημούσά σε.

Θεοτοκίον

Φως ημίν ανέτειλε Κόρη, εκ φωτοφόρου σου νηδύος, ο Δημιουργός τού ηλίου, καί τής σελήνης Χριστός ο Κύριος, όν εκτενώς ικέτευε, φωταγωγήσαι τάς ψυχάς ημών.

Τό Φωταγωγικόν τού Ήχου, καί η λοιπή Ακολουθία, ως σύνηθες, η Α' Ώρα, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων μαρτύρων γυναικών, Αγάπης, Ειρήνης, καί Χιονίας.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'

Πανεύψημοι Μάρτυρες

Παρθένοι νεάνιδες σεπτών, αρετών επώνυμοι, καί αρεταίς εκτρεφόμεναι, πρός τόν ακρότατον, ευσεβείας όρον, ανδρικώς εφθάσατε, καί νύν πρός ουρανόν ανεδράμετε, Χριστώ πρεσβεύουσαι, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Παρθένοι νεάνιδες σαφώς, Εύας τής προμήτορος, επιτηδείως κομίζεσθε, πόθον θεώσεως, ανενδότω νεύσει, πρός Θεόν θεούμεναι, καί θείας θεωρίας πληρούμεναι, καί νύν πρεσβεύσατε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Γενναίω φρονήματι Χριστόν, ως ενστερνισάμεναι, τόν ισχυρόν κατεπάτησαν, αι γενναιόφρονες, τόν τήν Εύαν πάλαι, δόλω απατήσαντα, καί τούτον κατά κράτος νικήσασαι, Χριστώ πρεσβεύουσι, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Νοσούσαν Πανύμνητε δεινώς, τήν ψυχήν μου πάθεσι, πονηροτάτοις θεράπευσον, η τόν ακέστορα, καί Σωτήρα πάντων, τόν Χριστόν κυήσασα, τόν πάσαν μαλακίαν ιώμενον, τόν τραυματίσαντα, διαβόλου τήν κακόνοιαν, καί θανάτου, ημάς απαλλάξαντα.

Η Σταυροθεοτοκίον

Σφαγήν σου τήν άδικον Χριστέ, η Παρθένος βλέπουσα, οδυρομένη εβόα σοι, Τέκνον γλυκύτατον, πώς αδίκως θνήσκεις; πώς τώ ξύλω κρέμασαι, ο πάσαν γήν κρεμάσας τοίς ύδασι; Μή λίπης μόνην με, ευεργέτα πολυέλεε, τήν μητέρα καί δούλην σου δέομαι.

Απολυτίκιον  Ήχος πλ. α'

Τά θαύματα τών αγίων σου Μαρτύρων, τείχος ακαταμάχητον ημίν δωρησάμενος, Χριστέ ο Θεός, ταίς αυτών ικεσίαις, βουλάς εθνών διασκέδασον, τής βασιλείας τά σκήπτρα κραταίωσον, ώς μόνος αγαθός καί φιλάνθρωπος.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τής ημέρας, καί τών Αγίων, ού η Ακροστιχίς.

Χριστού προσοίσω Μάρτυσι θείον μέλος.

Ποίημα Ιωσήφ.

Ωδή α'  Ήχος πλ. δ'

Ο Ειρμός

«Άσωμεν τώ Κυρίω, τώ διαγαγόντι τόν λαόν αυτού, εν Ερυθρά θαλάσση, ότι μόνος ενδόξως δεδόξασται».

Χάριν μοί ουρανόθεν, Μάρτυρες Κυρίου νύν αιτήσασθε, τήν υμών ευφημούντι, επί γής φωτοφόρον πανήγυριν.

Ρήξασαι προσπαθείας, σαρκικής δεσμά εν θείω Πνεύματι, τώ Χριστώ αι

Παρθένοι, συνεδέθησαν σθένει θεότητος.

Ίσχυσεν ο Βελίαρ, απατήσαι πρίν τήν Εύαν σεπταί Μάρτυρες, αλλά νύν κατησχύνθη, τοίς ποσίν υμών όντως πατούμενος.

Σώμασιν ηγνισμένοις, εκ Παρθένου Κόρης τόν εκλάμψαντα, θεραπεύσασαι Λόγον, αι Παρθένοι, σύν τούτω ευφραίνονται.

Θεοτοκίον

Τίκτεις ανερμηνεύτως, όν Πατήρ αρρεύστως απεγέννησε, καί μαζοίς διατρέφεις, τόν τά σύμπαντα τρέφοντα Δέσποινα.

Ωδή γ' Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Όμβροις θείου Πνεύματος, καταρδευόμεναι στάχυας, μαρτυρικούς, θεία γεωργία, αι Παρθένοι εξήνθησαν.

Υπέρ τά ορώμενα, τά μή βλεπόμενα στέργουσαι, τούς ορατούς, καί τούς αοράτους, ετροπώσαντο δαίμονας.

Πύρ ουκ επτοήθητε, προσαναπτόμεναι Πνεύματος, θείω πυρί, όθεν ιαμάτων, θείαν δρόσον πηγάζετε.

Θεοτοκίον

Ρήξον τών πταισμάτων μου, δεινόν χειρόγραφον Δέσποινα, η τά δεσμά, λύσασα τού, Άδου, τή ασπόρω κυήσει σου.

Κάθισμα Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Νυμφευθείσαι Κυρίω θεοπρεπώς, ώσπερ προίκα τό αίμα καί τήν αυτώ σφαγήν, προσηνέγκατε, αθληφόροι Νεάνιδες, καί νυμφώνος θείου, αξίως ετύχετε, φωτισμού αρρήτου, απαύστως πληρούμεναι, όθεν τήν αγίαν, καί σεπτήν υμών μνήμην, τελούντες εν πνεύματι, τόν Σωτήρα δοξάζομεν, καί πιστώς ανακράζομεν, Πρεσβεύσατε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην υμών.

Θεοτοκίον

Τήν Σοφίαν καί Λόγον εν σή γαστρί, συλλαβούσα αφλέκτως Μήτηρ Θεού, τώ κόσμω εκύησας, τόν τόν κόσμον συνέχοντα, καί εν αγκάλαις φέρεις, τόν πάντα βαστάζοντα, τόν τροφοδότην πάντων καί πλάστην τής κτίσεως, όθεν δυσωπώ σε, παναγία Παρθένε, Εν ώρα τής κρίσεως, όταν μέλλω παρίστασθαι, Πρό προσώπου τού Κτίστου μου, δώρησαί μοι τότε τήν σήν, φιλανθρώπως ταχινήν βοήθειαν, σέ γάρ έχω ελπίδα, ο ανάξιος δούλός σου.

Η Σταυροθεοτοκίον

Τόν Αμνόν καί Ποιμένα καί Λυτρωτήν, η Αμνάς θεωρούσα επί Σταυρού, ωλόλυζε δακρύουσα, καί πικρώς ανεκραύγαζεν, ο μέν κόσμος αγάλλεται,

δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταυρωσιν, ήν περ υπομένεις, διά σπλάγχνα ελέους, Θεέ υπεράγαθε, ανεξίκακε Κύριε, Η πιστώς εκβοήσωμεν, Σπλαγχνίσθητι Παρθένε εφ' ημάς, καί πταισμάτων δώρησαι τήν άφεσιν, τοίς προσκυνούσιν εν πίστει, αυτού τά παθήματα.

Ωδή δ'  Ο Ειρμός

«Εισακήκοα Κύριε, τής οικονομίας σου τό μυστήριον, κατενόησα τά έργα σου, καί εδόξασά σου τήν θεότητα».

Οι τού σώματος έρωτες, έρωτι τώ θείω υποχωρήσαντες, καταγώγια τού Πνεύματος, τάς Χριστού Παρθένους απειργάσαντο.

Συμφωνία θεόφρονι, τοίς υπεναντίοις αντιταξάμεναι, νίκην θείαν απηνέγκασθε, καί στεφάνων θείων η ξιώθητε.

Ο χορός ο μακάριος, τών αειπαρθένων πυρί οπτώμενος, ευωδία προσενήνεκται, τώ εκ τής Παρθένου ανατείλαντι.

Ιερώς ώσπερ άκακοι, ήγεσθε αμνάδες θύεσθαι πάνσεμνοι, ουκ ερίζουσαι, ου κράζουσαι, αλλά προαιρέσει θανατούμεναι.

Θεοτοκίον

Σωματούμενον Κύριον, έτεκες Κυρία πάσης τής κτίσεως, όν ικέτευε ρυσθήναί με, εχθρού Παναγία κυριεύοντος.

Ωδή ε'  Ο Ειρμός

«Φώτισον ημάς, τοίς προστάγμασί σου Κύριε, καί τώ βραχίονί σου τώ υψηλώ, τήν σήν ειρήνην, παράσχου ημίν φιλάνθρωπε».

Ώρθρισαν Ομού, πρός Χριστόν τό φώς τό άδυτον, αι Παρθένοι αί θεόφρονες, καί υπέρ φέγγος, τού ηλίου κατηυγάσθησαν.

Μέλη ανδρικώς, εκδεδώκατε πρός βάσανα, βασανίσασαι τόν τύραννον, τή καρτερία, αξιάγαστοι τής πίστεως.

Άνθος ιερόν, τών Μαρτύρων ανεδείχθητε, ευωδίαν θείας γνώσεως, τή Εκκλησία διαπνέουσαι πανεύφημοι.

Ρήμασιν υμών, ο μεγάλαυχος πεφίμωται, καρτερία δέ νενίκηται, καί αφανεία, παρεπέμφθη παναοίδιμοι.

Θεοτοκίον

Τέλος μοι χρηστόν, προσγενέσθαι Κόρη πρέσβευε, όπως φύγω τάς μενούσας με, ατελευτήτους, τιμωρίας καί σωθήσομαι.

Ωδή ς'  Ο Ειρμός

«Τήν δέησιν εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών, η ψυχή μου επλήσθη, καί η ζωή μου τώ Άδη προσήγγισε, καί δέομαι ως, Ιωνάς, Εκ φθοράς ο Θεός με ανάγαγε».

Υπέμειναν τής σαρκός τάς οδύνας, καί πυρός τάς Τιμωρίας ανδρείως, αι τού Χριστού, αθληφόροι καί νύμφαι, η Χιονία Αγάπη Ειρήνη τε, καί στέφανον τόν ευπρεπή, καί τήν άρρητον δόξαν απέλαβον.

Συρόμεναι επί γής ώσπερ λίθοι, κατεστρέψατε Παρθένοι τής πλάνης, οικοδομήν, πάσαν σθένει τού Λόγου, καί πρός ναόν ενεχθείσαι τόν άγιον, παρίστασθε περιχαρώς, τώ δεσπόζοντι πάσης τής Κτίσεως.

Ιάματα η σορός Χιονίας, καί Ειρήνης καί Αγάπης πηγάζει, εκ τών πηγών, αρδομένη πλουσίως, τού Παρακλήτου, καί παύει νοσήματα, ποτίζει δέ τών ευσεβώς, προσιόντων καρδίας εν χάριτι.

Θεοτοκίον

Νεκρώσεως δερματίνους χιτώνας, ο Αδάμ αποβαλων τή σαρκώσει, τού σού Υιού, Θεοτόκε Παρθένε, καταστολήν θείας δόξης ενδέδυται, δοξάζων σε περιχαρώς, ως Μητέρα Θεού παναμώμητον.

Τό Μαρτυρικόν τού Ηχου.

Σ υ ν α ξ α ρ ι ον

Τή ΙΣΤ' τού αυτού μηνός, Μνήμη τών Αγίων Μαρτύρων γυναικών, Αγάπης, Ειρήνης καί Χιονίας.

Στίχοι

- Χιών τό πύρ ήν τή Χιονία τάχα,
- Ού συμμετασχείν ηγάπησεν Αγάπη.
- Βέλος σε πέμπει πρός τόν ειρήνης τόπον,
- Αφ' αιμάτων σών εκμεθυσθέν Ειρήνη.
- Χιονίην τ' Αγάπην εκκαιδεκάτη κατέκαυσαν.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Φήλικος Επισκόπου, Ιανουαρίου Πρεσβυτέρου, Φουρτουνάτου καί Σεπτεμίνου.

Στίχοι

- Τετράς αθλητών συγκεκομμένων ξίφει
- Νύν συγχορεύει μυριάσιν Αγγέλων.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Λεωνίδου, Χαρίσσης, Νίκης, Γαληνής, Καλλίδος, Νουνεχίας, Βασιλίσσης καί Θεοδώρας.

Στίχοι

- Κόλποις θαλάσσης εκδοθείς Λεωνίδης
- Φθάνει κολυμβών Αβραάμ κόλπων άχρι.
- Θάλασσαν η Χάρισσα φρίττειν ουκ έχω,

- Ήτις θάλασσαν προξενεί μοι χαρίτων.
- Βυθώ Γαληνή καί Νίκη βεβλημέναι,
- Νίκην εφεύρον καί γαλήνην εκ σάλου.
- Βυθός θαλάσσης λαμβάνει τήν Καλλίδα,
- Κάλλους ερώσαν ψυχεραστού Κυρίου.
- Ευρούσα κέρδος εκ βυθού σωτηρίαν
- Τό νουνεχές σου δεικνύεις, Νουνεχία.
- Γαστήρ θαλάσσης λαμβάνει κόρας δύο,
- Λίχνην φυγούσας, δυσσεβείας γαστέρα.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος Ειρήνης.

Στίχοι

- Ειρηνικώς ζήσασα, Μάρτυς Ειρήνη,
- Ουκ ειρηνικώς, αλλ' εκ τού ξίφους θνήσκεις

Ταίς τών Αγίων σου πρεσβείαις, Χριστέ ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ' Ο Ειρμός

«Παίδες Εβραίων εν καμίνω, κατεπάτησαν τήν φλόγα θαρσαλέως, καί εις δρόσον τό πύρ, μετέβαλον βοώντες, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας».

Θήρας αγρίους επιόντας, ου παφλάζουσαν ορμήν πυρός αστέκτου, ου μελών εκτομάς, ου πόνους πολυτρόπους, αί τού Χριστού νεάνιδες, εδειλίασαν εμφρόνως

Έχουσαι όμματα καρδίας, πρός τόν σώζοντα Θεόν καί Βασιλέα, αι Αμνάδες Χριστού, εχώρησαν πρός πάσαν, τού δυσμενούς παράταξιν, καί ενίκησαν ανδρείως.

Ίλεως έσο τοίς σοίς δούλοις, Υπεράγαθε πρεσβείαις Χιονίας, καί Ειρήνης σεμνής, καί τής σεπτής Αγάπης, αμαρτιών συγχώρησιν, δι' αυτών ημίν παρέχων.

Όλον τόν νούν πρός τόν νυμφίον, ανατείνασαι Χριστόν αι Αθληφόροι ως τρυφάς τάς πικράς, ηγήσαντο βασάνους, Ευλογητός εί κράζουσαι, ο Θεός εις τούς αιώνας.

Θεοτοκίον

Νέκρωσον Άχραντε τήν ζώσαν, καί νεκρούσαν τήν ψυχήν μου αμαρτίαν, καί ζωής μετασχείν, αξίωσόν με θείας, η τήν χαράν κυήσασα, καί νεκρώσασα τόν όφιν.

Ωδή η' Ο Ειρμός

«Οι θεορρήμονες Παίδες εν τή καμίνω, σύν τώ πυρί καί τήν πλάνην,

καταπατούντες υπέψαλλον Ευλογείτε τά έργα Κυρίου τόν Κύριον».

Μεμυημέναι τά θεία παραδόξως, εν τώ καιρώ τών αγώνων, γνώμην ανδρείαν ανέλαβον, τού Χριστού αι Αμνάδες, στερρώς εναθλήσασαι.

Εσκοτισμένος τή μέθη ο διώκτης, τής ζοφεράς αμαρτίας, γέλωτ' οφλήσας εφαίνετο, αι Χριστού δέ Παρθένοι, ως φώς απεδείκνυντο.

Λύρα φωνούσα προφρόνως θείον μέλος, ομολογίας ενθέου, καί μαρτυρίας καί πίστεως, ανεδείχθητε όντως, παρθένοι Νεάνιδες.

Ο χυρωθείσαι τώ πόθω τού Δεσπότου, τά οχυρώματα πάντα, τού διαβόλου καθείλετε, Αθληφόροι Κυρίου, καί νύν μακαρίζεσθε.

Θεοτοκίον

Σύμβολα φέρουσα πάλαι τού σού τόκου, τούς νεανίας ου φλέγει, Παρθενομήτορ η κάμινος, ως ουδέ τήν νηδύν σου, τό πύρ τής θεότητος.

Ωδή θ'  Ο Ειρμός

«Κυρίως Θεοτόκον, σέ ομολογούμεν, οι διά σού σεσωσμένοι Παρθένε αγνή, σύν Ασωμάτοις χορείαις σέ μεγαλύνοντες».

Ιθύνθητε Παρθένοι, θείους πρός λιμένας, τή κυβερνήσει Χριστού τού Θεού ημών, τών πειρασμών παρελθούσαι άγρια κύματα.

Ως άστρα ώς λαμπάδες, φαίνουσαι Ειρήνη, σύν Χιονία Αγάπη φωτίζουσι, τής Εκκλησιας πλουσίως άπαν τό πλήρωμα.

Συνήφθητε χορείαις, ταίς τών Ασωμάτων, τούς ασωμάτους εχθρούς μετά σώματος, περιφανώς, Αθληφόροι καταπαλαίσασαι.

Ηλίου λαμπροτέρα, φαίνουσα η μνήμη, ημών φωτίζει πιστών άπαν πλήρωμα, ήν ετησίως τιμώμεν Παρθενομάρτυρες.

Θεοτοκίον

Φιλάγαθε Παρθένε, τήν κεκακωμένην, τή αμαρτία ψυχήν μου αγάθυνον, η τόν πανάγαθον Λόγον αποκυήσασα.

Τό Φωταγωγικόν τού Ήχου, καί η λοιπή ακολουθία, ως σύνηθες, η Α' Ώρα, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΖ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Ιερομάρτυρος Συμεων τού εν Περσίδι, καί τών σύν αυτώ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'
Έδωκας σημείωσιν

Ήστραψεν ως ήλιος, η θεία μνήμη σου σήμερον, τούς πιστούς καταυγάζουσα, την κτίσιν φωτίζουσα, θείαις φρυκτωρίαις, Συμεών Παμμάκαρ, καί παθημάτων τήν αχλύν, καί τών δαιμόνων σκότος διώκουσα, διό σε μακαρίζομεν, καί ετησίως γεραίρομεν, ώς φωστήρα παγκόσμιον, πρεσβευτήν ώς θερμότατον.

Σοφώς αντικτώμενος, τών επί γής τά ουράνια, καί ρεόντων τά άρρευστα, φθαρτής δόξης άφθαρτον, αντημείψω χαίρων, βασάνων τε νέφους, καί αικισμών παντοδαπώς, τά υπέρ λόγον Θεού Βασίλειε, εν οίς καί αγαλλόμενος, συν τοίς συνάθλοις σου ένδοξε, υπέρ πάντων ικέτευε, τών πιστώς ευφημούντων σε.

Βέλει τώ τών λόγων σου, παρανομούντων συστήματα, Συμεών Μάρτυς έτρωσας, φωνήν όθεν έδωκαν ουρανών νεφέλαι, χοροί τών Αγγέλων, συνεπεκρότησαν λοιπόν, τών σών αγώνων τήν καρτερότητα, διό επαγαλλόμενοι, πάντες πιστώς εορτάζομεν, τήν αγίαν σου κοίμησιν, τόν Σωτήρα δοξάζοντες.

Δόξα... Καί νύν... Θεοτοκίον

Σέ τό καθαρώτατον, τού Βασιλέως παλάτιον, δυσωπώ πολυύμνητε, τόν νούν μου καθάρισον, τόν εσπιλωμένον, πάσαις αμαρτίαις, καί καταγώγιον τερπνόν, τής υπερθέου Τριάδος ποίησον, όπως τήν μεσιτείαν σου, καί τό αμέτρητον έλεος, μεγαλύνω σωζόμενος, ο αχρείος ικέτης σου.

Η Σταυροθεοτοκίον

Σταυρούμενον βλέπουσα, καί τήν πλευράν ορυττόμενον, υπό λόγχης η Πάναγνος, Χριστόν τόν φιλάνθρωπον, ύμνει τόν εκ σπλάγχνων, αυτής προελθόντα, καί τό μακρόθυμον αυτού, αποθαυμάζουσα ανεκραύγαζε, Τέκνον μου ποθεινότατον, μή επιλάθη τής δούλης σου, μή βραδύνης φιλάνθρωπε, τό εμόν καταθύμιον.

Απολυτίκιον Ήχος πλ. α'

Τών αγίων Μαρτύρων τά κατορθώματα, ουρανών αι δυνάμεις υπερεθαύμασαν, ότι εν σώματι θνητώ τόν ασώματον εχθρόν, τή δυνάμει τού Σταυρού αγωνισάμενοι καλώς, ενίκησαν αοράτως, καί νύν πρεσβεύουσι τώ Κυρίω, ελεηθήναι τάς ψυχάς ημών.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τής ημέρας, ώς σύνηθες, καί τού Αγίου, ού η Ακροστιχίς.

Στέφω μάκαρ σε, Συμεών, μελωδίαις.
Ποίημα Ιωσήφ.

Ωδή α'  Ήχος πλ. α'
Ο Ειρμός

«Ίππον καί αναβάτην εις θάλασσαν Ερυθράν, ο συντρίβων πολέμους, εν υψηλώ βραχίονι, Χριστός εξετίναξεν, Ισραήλ δέ έσωσεν, επινίκιον ύμνον άδοντα».

Στέφανον αφθαρσίας αναδησάμενος, καί τώ θρόνω Κυρίου, Παμμάκαρ παριστάμενος, τούς πίστει τιμώντάς σου, τήν ψωσφόρον άθλησιν, ταίς ευχαίς σου αεί περίσωζε.

Τίμιον σκεύος ώφθης τού θείου Πνεύματος, Συμεών θεοφόρε, παρ' ού χρισθείς εποίμανας, λαόν περιούσιον, βακτηρία θείων δογμάτων, Μάρτυς εφ' ύδωρ γνώσεως.

Έλαμψας εν τώ κόσμω πράξει καί λόγω σοφέ, εν λαμπρότητι βίου, καί λαόν εποίμανας, επί χλόην Όσιε ζωηφόρον, όστις γεραίρει, Μάρτυς τήν θείαν μνήμην σου.

Θεοτοκίον

Φέρεις χερσί Παρθένε τόν πάντα φέροντα, καί θηλάζεις ως βρέφος, τόν χορηγόν τού γάλακτος, αυτόν ούν ικέτευε, τόν λαόν σου άπαντα, οικτιρήσαι πιστώς υμνούντά σε.

Ωδή γ'  Ο Ειρμός

«Ο πήξας επ' ουδενός, τήν γήν τή προστάξει σου, καί μετεωρίσας ασχέτως βρίθουσαν, επί τήν ασάλευτον Χριστέ, πέτραν τών εντολών σου, τήν Εκκλησίαν σου στερέωσον, μόνε αγαθέ καί φιλάνθρωπε».

Ωραίως τάς τής ψυχής, κινήσεις ποιούμενος, καί βαδίζων τρίβον τήν άνω φέρουσαν, πάσης ανοδίας πονηράς, εξέκλινας καί ήχθης, πρός τής ζωής τήν πύλην ένδοξε, πρός τήν αιωνίαν κατάπαυσιν.

Μακρύνας τόν λογισμόν, παθών τών τού σώματος, αναιμάκτους Πάτερ θυσίας ήνεγκας, Λόγω τώ τυθέντι δι' ημάς, καί τούτου καταγγέλλων, τήν υπέρ λόγον θείαν σάρκωσιν, τέθυσαι αρνίον ως άκακον.

Ανήχθης ως καθαρά, θυσία καί άμωμος, τή τού Θεού τραπέζη Μάκαρ αοίδιμε, καί ως ολοκαύτωμα δεκτόν, τυθείς εθελουσίως, υπέρ τής πίστεως εισδέδεξαι, δόξαν ευκλεή κλεϊζόμενος.

Θεοτοκίον

Κατάρας προγονικής, ημάς ηλευθέρωσας, ευλογίαις πάντας τόν στεφανώσαντα, Λόγον σωματώσασα Αγνή, αεί ευλογημένη, τών Αθλοφόρων

εγκαλλώπισμα, καί αμαρτανόντων εξίλασμα.

Κάθισμα  Ήχος α'
Τόν τάφον σου Σωτήρ

Ως ήλιος ημίν, η αγία σου μνήμη, ανέτειλε σοφέ, Συμεών Ιεράρχα, καί τών συμμαρτύρων σου, τούς πιστούς καταυγάζουσα, ήν περ σήμερον, επιτελούντες βοώμεν ικετεύσατε, υπέρ ημών Αθλοφόροι, τόν μόνον φιλάνθρωπον.

Θεοτοκίον

Μαρία τό σεπτόν, τού Δεσπότου δοχείον, ανάστησον ημάς, πεπτωκότας εις χάος, δεινής απογνώσεως, καί πταισμάτων καί θλίψεων, καί ανάγαγε, εκ ραθυμίας βαράθρων, τού δοξάζειν σε, παντελεήμον τήν μόνην, ελπίδα τών δούλων σου.

Η Σταυροθεοτοκίον

Ορώσά σε Χριστέ, η πανάμωμος Μήτηρ, νεκρόν επί Σταυρού, ηπλωμένον εβόα, Υιέ μου συνάναρχε, τώ Πατρί καί τώ Πνεύματι, τίς η άφατος, οικονομία σου αύτη; δι' ής έσωσας, τό τών αχράντων χειρών σου, σοφόν δημιούργημα.

Ωδή δ'  Ο Ειρμός

«Τήν θείαν εννοήσας σου κένωσιν, προβλεπτικώς ο Αββακούμ, Χριστέ εν τρόμω εβόα σοι, Εις σωτηρίαν λαού σου, τού σώσαι τούς χριστούς σου ελήλυθας».

Αγόμενος δεσμώτης διέλυσας, τάς μηχανάς τού πονηρού, Ιερομύστα πανόλβιε, καί εναθλήσας γενναίως, στεφάνους αφθαρσίας απείληφας.

Ρημάτων σου βολίσι κατέτρωσας, Ιερομάρτυς Συμεών, παρανομούντων συστήματα, καί τώ πυρί τών αιμάτων, πολύθεον απάτην ενέπρησας.

Σταλάζουσιν οι πόνοι σου ίαμα, τοίς ασθενούσι τάς ψυχάς, τών Αποστόλων ομότροπος, σύ γάρ σαφώς ανεδείχθης, καί θείων Αθλοφόρων εφάμιλλος.

Θεοτοκίον

Εκ σού δικαιοσύνης ο Ήλιος, εξανατείλας υπέρ νούν, τήν οικουμένην εφώτισε, θεοχαρίτωτε Κόρη, καί πλάνης τόν χειμώνα διέλυσεν.

Ωδή ε' Ο Ειρμός

«Ο αναβαλλόμενος, φώς ως ιμάτιον, πρός σέ ορθρίζω, καί σοί κραυγάζω, Τήν ψυχήν μου φώτισον, τήν εσκοτισμένην, Χριστέ, ώς μόνος εύσπλαγχνος».

Στύλος καί εδραίωμα, τής Εκκλησίας Χριστού, οφθείς Παμμάκαρ τή σή αθλήσει, ακλινή ακράδαντον, ταύτην εις αιώνας, συντήρει μεσιτείαις σσυ.

Ύμνοις μακαρίζομεν, τήν πολιτείαν σου, τούς διωγμούς τε καί τάς ενστάσεις, Συμεών πανόλβιε, δι' ών ηξιώθης, τής μακαρίας λήξεως.

Μύρω θείας χρίσεως, ποιμήν γενόμενος, υπέρ τής ποίμνης ετύθης Μάκαρ, ως κριός επίσημος, καί τών πρωτοτόκων, τήν Εκκλησίαν εύφρανας.

Θεοτοκίον

Ευροιμί σε Δέσποινα, εξαιρουμένην με, εν ώρα δίκης, τής καταδίκης, ο Πιστώς δοξάζων σε, καί κολαστηρίων, ρυσθείην τών μεν όντων με.

Ωδή ς' Ο Ειρμός

«Μαινομένην κλύδωνι, ψυχοφθόρω Δέσποτα Χριστέ, τών παθών τήν θάλασσαν κατεύνασον, καί εκ φθοράς, ανάγαγέ με ως εύσπλαγχνος»,

Ώφθης θείας έμπλεως, θυμηδίας Μάκαρ Συμεών, διά ξίφους τέλος τό μακάριον, σύν εκατόν, δεξάμενος θείοις Μάρτυσι.

Νέοι καί πρεσβύτεροι, μονασταί τε καί Ιερουργοί, τόν καλόν αγώνα διανύσαντες, υπέρ Χριστού, καθάπερ άρνες ετύθητε.

Μακαρίως ζήσαντες, Αθλοφόροι τέλος αληθώς, εν Χριστώ ήνύσατε μακάριον, διά ξίφους τελειωθέντες γηθόμενοι.

Θεοτοκίον

Εκ σού ανατέταλκε, Παναγία ο Δημιουργός, καί ακτίσι θείας ε εν νυκτί, τής απιγνώσεως, τους γνωσίας εφώτισεν.

Τό Μαρτυρικόν τού Ηχου.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΖ' τού αυτού μηνός, Μνήμη τού Αγίου Ιερομάρτυρος Συμεών, Επισκόπου Περσίδος, καί τών σύν αυτώ, Αυδελλά Πρεσβυτέρου, Γοθαζάτ, Φουσίκ, καί ετέρων χιλίων εκατόν πεντήκοντα.

Στίχοι

- Επίσκοπόν σε, Συμεών, εγώ μέγαν,
- Εκ δέ ξίφους μέγιστον αθλητήν έγνων.
- Άρκτου τό δεινόν Αυδελλάς έδυ στόμα,
- Βδέλλης απλήστου τού Σατάν φυγών στόμα.
- Επιτραπέντος τού θύειν ή τεθνάναι,
- Θανείν Γοθαζάτ είλετο τμηθείς ξίφει.
- Τό δέρμα Φουσίκ εκδεδάρθω μου λέγει,
- Χιτών υφανθείς τού Σατανά τή κρόκη.
- Τέμνουσιν ανδρών τριπλοπεντηκοντάδα,
- Τήν τριπρόσωπον προσκυνούσαν ουσίαν.
- Πίπτουσι Περσών αμφί χιλίους ξίφει,
- Ιδών έφης άν Παύλε, Μαρτύρων νέφος.
- Εβδομάτη Συμεών δεκάτη από αυχένα τμήθη.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου μάρτυρος, Αδριανού τού νέου.

Στίχοι

- Αν ουκ έγνως τίς εστιν ο φλογός μέσον,
- Γνώση λαλούντος, Αδριανέ, καρτέρει.

Τή αυτή ημέρα, Μνήμη τού εν Αγίοις Πατρός ημών Αγαπητού, Πάπα Ρώμης.

Στίχοι

- Θνήσκων τί κράζεις; Σώτερ, ηγάπησά σε.
- Αλλ' ηγαπήθης, Αγαπητέ, καί πλέον.

Ταίς τών Αγίων σου πρεσβείαις Χριστέ ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ' Ο Ειρμός

«Ουπερυψούμενος, τών Πατέρων Κύριος, τήν φλόγα κατέσβεσε, τούς Παίδας εδρόσισε, συμφώνως μελωδούντας, ο Θεός ευλογητός εί».

Λύχνος φαίνων γνώσεως, φώς εγνώσθης Όσιε, εν σκότει καθεύδουσιν, αγνοίας καί έλυσας, πυρσολατρών τό σκότος, εναθλήσας παραδόξως.

Ώφθης προηγούμενος, Αθλητών συστήματος, μεθ' ών τελειούμενος, ξίφει ανεκραύγαζες, Συμεών θεόφρον, ο Θεός ευλογητός εί.

Δήμον πολυάριθμον, Μαρτύρων τιμήσωμεν, σεπτώς συγκροτούμενον, διαφόρων πόλεων, ιερουργών ενθέων, μοναστών τε θεοφόρων.

Θεοτοκίον

Ίασαι Πανάμωμε, πάθη τής καρδίας μου, κόπασον τόν τάραχον, τόν νούν μου χειμάζοντα, καί σώσόν με βοώντα, ο Θεός ευλογητός εί.

Ωδή η' Ο Ειρμός

«Σοί τώ παντουργώ, εν τή καμίνω Παίδες, παγκόσμιον πλέξαντες, χορείαν έμελπον, Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Άνθραξ νοητός, Συμεών δεδειγμένος, πυρί ουκ ελάτρευσας, Μακαριώτατε, ύλην Πικράν δέ, πολυθεΐας φλέξας, άδυτον πρός φέγγος, αξίως μετετέθης.

Ίασαι ημών, τάς ασθενείας Μάρτυς, τόν ζόφον απέλασον τών καρδιών ημών, καί αιωνίου ζωής, δείξον μετόχους, σαίς πρός τόν Δεσπότην, θεόφρον μεσιτείαις.

Στάζουσιν ημίν, οι σοί αγώνες Πάτερ, ψυχής αγαλλίασιν, καί απελαύνουσιν, πάθη ποικίλα, καί νόσους τών σωμάτων, τών προσερχομένων, πιστώς εν τή σορώ σου.

Θεοτοκίον

Ίνα τόν σεπτόν, σού προδηλώση τόκον, βάτος ακατάφλεκτος, ωράθη Πάναγνε, πύρ γάρ εν σπλάγχνοις, τό θείον δεξαμένη, όλως ουκ εφλέχθης, διό σε ανυμνούμεν.

Ωδή θ'  Ο Ειρμός

«Ησαία χόρευε, η Παρθένος έσχεν εν γαστρί, καί έτεκεν υιόν τόν Εμμανουήλ, Θεόν τε καί άνθρωπον, Ανατολή όνομα αυτώ, όν μεγαλύνοντες, τήν Παρθένον μακαρίζομεν».

Ως δεκτόν θυμίαμα, προσηνέχθης τώ Παμβασιλεί, ώς σφάγιον Ιερόν ως περικαλές, σοφέ καλλιέρημα, ώσπερ μύρον, ώσπερ προσφορά, ρόδον ως εύσσμον, ως Μαρτύρων αγαλλίαμα.

Στήριγμα γενόμενος, Ιεράρχα, πάντων τών πιστών, ετύθης ώσπερ κριός, καί πρός νοητα, μετέβης βασίλεια, καί Βασιλεί πάντων καί Θεώ, χαίρων παρίστασαι, θεία δόξη αστραπτόμενος.

Η σεπτή παράταξις, τών Μαρτύρων μέσον ασεβών, κηρύξασα τόν Χριστόν, πλήθη δυσμενών, δαιμόνων ηφάνισε, καί στρατιαίς ταίς αγγελικαίς, όντως συνήφθησαν, θεία δόξη κλεϊζόμενοι.

Θεοτοκίον

Φανοτάταις λάμψεσι, παναγία Μήτηρ τού Θεού, καταύγασόν μου τόν νούν, σκότει χαλεπώ, αγνοίας κρατούμενον, όπως τυχών θείου φωτισμού, τά μεγαλειά σου καταγγέλλω αειπάρθενε.

Τό Φωταγωγικόν, τό Ιδιόμελον τής ημέρας, η Α' Ώρα, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΗ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Ιωάννου, μαθητού τού Αγίου Γρηγορίου τού Δεκαπολίτου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. β'
Όλην αποθέμενοι

Ορμάς τάς τού σώματος, καί τήν πικράν τυραννίδα, τών παθών εξέκλι νας, θείω φόβω Όσιε, κυβερνώμενος, καί Θεόν εύφρανας, αρετών κάλλεσιν, ωραϊσας τήν καρδίαν σου, καί νύν εσκήνωσας, ένθα τών Οσίων τά τάγματα, κατάλληλον τού πόθου σου, Πάτερ ευρηκώς τήν κατάπαυσιν, ένθα μνημονεύειν, ημών μή διαλίπης τών πιστώς, επιτελούντων τήν μνήμην σου, Ιωάννη Όσιε.

Θεόν εξεζήτησας, ανεπιστρόφω καρδία, μελέταις πτερούμενος, ιεραίς θεόπνευστε, καί ταίς νεύσεσι, πρός αυτόν πάντοτε, ολικώς κείμενος, πρός δέ τούτο επαλείφοντα, καί παρορμώντά σε, έσχες τόν εν κλήσει καί πράξεσι, Γρηγόριον τόν θαύμασι, καί τερατουργίαις εκλάμψαντα, ού ταίς φρυκτωρίαις, λαμπόμενος διήλθες αβλαβώς, τού ταπεινού τουτου σώματος, μάκαρ τό κλυδώνιον.

Οσίως εβίωσας, μή εσχηκώς, τάς φροντίδας, τού βίου ταίς κρείττοσιν, εργασίαις Όσιε καλλυνόμενος, αλλά πύρ άϋλον, εν καρδία φέρων, ησυχίαν εκαρτέρησας, παννύχοις στάσεσι, καί ταίς αγρυπνίαις προσκείμενος, ευτόνως καθαιρόμενος καί θεοειδής ενδεικνύμενος, όθεν μετά πόνους, τήν άπονον απείληφας τρυφήν, τοίς σέ τιμώσιν αιτούμενος, θείαν αγαλλίασιν.

Δόξα... Καί νύν... Θεοτοκίον

Άσπιλε αμόλυντε, Μήτηρ Θεού Παναγία, Κόρη αειπάρθενε, Θεοτόκε Δέσποινα, πώς υμνήσω σε, τό Θεού σκήνωμα, ο μεμολυσμένος, τήν ψυχήν καί τήν διάνοιαν, πώς δέ τό μέγεθος σού τών θαυμασίων εξείποιμι, τήν χάριν καί τό έλεος, όπερ επιχέεις μοι πάντοτε; Φρίττων ούν προσπίπτω, καί κράζω σοι τό, Χαίρε ευλαβώς, χαίρε πιστών παραμύθιον, τών παρακαλούντων σε.

Η Σταυροθεοτοκίον

Πάθος τό εκούσιον, τού απαθούς καθορώσα, η αγνή καί άμωμος, μητρικώς ωδύρετο, καί εκραύγαζεν, Ώ φρικτόν θέαμα! πώς ο κτίσας πάντα, ορατά καί τά αόρατα, ο δόξης Κύριος, νύν καί Βασιλεύς προαιώνιος, αδίκως κατακέκριται, καί μετά κακούργων λελόγισται; Τά όρη καί νάπαι, σταλάξατέ μοι δάκρυον πικρόν, καί μονωθείσαν θρηνήσατε, τήν τόν Κτίστην τέξασαν.

Απολυτίκιον  Ήχος πλ. δ'

Εν σοί Πάτερ ακριβώς διεσώθη τό κατ' εικόνα, λαβών γάρ τόν Σταυρόν, ηκολούθησας τώ Χριστώ, καί πράττων εδίδασκες, υπεροράν μέν σαρκός, παρέρχεται γάρ, επιμελείσθαι δέ ψυχής, πράγματος αθανάτου, διό καί μετά Αγγέλων συναγάλλεται, Όσιε Ιωάννη τό πνεύμά σου.

Καί απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η Στιχολογία ώς συνήθως, καί οι Κανόνες τής ημέρας, κατά τήν τάξιν, καί τού Αγίου.

Ποίημα Θεοφάνους.

Ωδή α'  Ήχος πλ. δ'

Ο Ειρμός

«Αρματηλάτην Φαραώ εβύθισε, τερατουργούσα ποτέ, Μωσαϊκή ράβδος, σταυροτύπως πλήξασα, καί διελούσα θάλασσαν, Ισραήλ δέ φυγάδα, πεζόν οδίτην διέσωσεν, άσμα τώ Θεώ αναμέλποντα».

Τή τών παθών με τρικυμία πάντοτε, περιδονούμενον, καί λογισμών σάλω, νύν περικυκλούμενον, τή σή Πρεσβεία Όσιε, απαθείας πρός όρμον, πρός σωτηρίας λιμένα τε, μάκαρ, Ιωάννη κυβέρνησον.

Μετατεθείς τή προαιρέσει Όσιε, πρός ουρανόν αληθώς, αγγελικώς Πάτερ, επί γής εβίωσας, νεκρώσας σου τό φρόνημα, τής σαρκός εγκρατεία, δι' ής Θεού οικητήριον, ώφθης Ιωάννη θεσπέσιε.

Υπακοήν τήν ευπειθή κτησάμενος, καί τήν ταπείνωσιν, ώσπερ χρυσάς ταύτας, πτέρυγας εκέκτησο, δι' ών Πάτερ επέτασας, κοσμικών εκ σκανδάλων, πρός τόν Θεόν, όν εζήτησας, τόν από τής ζάλης σε σώσαντα.

Θεοτοκίον

Ο συνυπάρχων τώ Πατρί καί Πνεύματι, καί συναϊδιος, μονογενής Λόγος, εκ σού πεφανέρωται, επί τής γής ως άνθρωπος, Θεοτόκε Μαρία, καί κόσμον όλον διέσωσεν, αίνεσιν αυτώ αναπέμποντα.

Ωδή γ'  Ο Ειρμός

«Ο στερεώσας καταρχάς, τούς ουρανούς εν συνέσει, καί τήν γήν επί υδάτων εδράσας, εν τή πέτρα με Χριστέ, τών εντολών σου, στήριξον, ότι ουκ έστι πλήν σου, Άγιος μόνε φιλάνθρωπε».

Νηφαλεότητι νοός, τών ουρανίων τά κάλλη, φανταζόμενος ουδόλως φροντίσιν, ενεπάρης υλικαίς, πτεροίς δέ κουφιζόμενος, ακτημοσύνης Πάτερ, όλος μετάρσιος γέγονας.

Τής ησυχίας ερασθείς, τού φιλησύχου ποιμένος, Γρηγορίου, Ιωάννη τρισμάκαρ, τάς εν βίω ταραχάς, προθύμως καταλέλοιπας, καί προσευχαίς απαύστοις, θείας γαλήνης τετύχηκας.

Εν ησυχία λογισμών, καταστορέσας τήν ζάλην, αταράχως σου τόν βίον διήλθες, κυβερνώμενος σοφέ, τή χάριτι τού Πνεύματος βεβιωκώς οσίως, ώ Ιωάννη θεόπνευστε.

Θεοτοκίον

Η πρός ημάς φωτιστική, τού βασιλεύοντος πάντων, τών αιώνων αδιόδευτος πύλη, σύ εδείχθης άληθώς, δι' ής αυτός διώδευσεν, εσφραγισμένην πάλιν, καταλιπών σε Πανάμωμε.

Κάθισμα  Ήχος α'

Τόν τάφον σου Σωτήρ

Ενθάψας πονηράς, τών δαιμόνων ενέδρας, ασκήσεσι πολλαίς, καί δεήσεσι Πάτερ, νεκρός τάφω κείμενος, αδιάλυτος έμεινας, όθεν χαίροντες, τήν παναγίαν σου μνήμην, εορτάζομεν, εν ευφροσύνη καρδίας, Χριστόν μεγαλύνοντες.

Θεοτοκίον

Ευφραίνεται Πιστών, η πληθύς Θεοτόκε, τό όνομα τό σόν, καθ' εκάστην βοώσα, καί πόθω τάς υψώσεις σου, μεγαλύνουσα πάντοτε, σύ γάρ καύχημα, καί βοηθός καί προστάτις, ακαταίσχυντος, πάντων υπάρχεις Παρθένε, τών πίστει τιμώντων σε.

Η Σταυροθεοτοκίον

Η άσπιλος Αμνάς, τόν Αμνόν καθορώσα, νεκρόν επί Σταυρού, ηπλωμένον εβόα, Υιέ μου συνάναρχε, τώ Πατρί καί τώ Πνεύματι, τίς η άφατος, οικονομία σου αύτη; δι' ής έσωσας, τό τών αχράντων χειρών σου, σοφόν δημιούργημα.

Ωδή δ' Ο Ειρμός

«Σύ μου ισχυς, Κύριε, σύ μου καί δύναμις, σύ Θεός μου, σύ μου αγαλλίαμα, ο πατρικούς κόλπους μή λιπών, καί τήν ημετέραν, πτωχείαν επισκεψάμενος, διό σύν τώ Προφήτη, Αββακούμ σοί κραυγάζω, Τή δυνάμει σου δόξα φιλάνθρωπε».

Υπομονής, πέτρα εδείχθης Μακάριε, εναντίοις, κύμασιν εκάστοτε, προσρησσομένη καί μηδαμώς, τού τής ευσεβείας, σαλευομένη φρονήματος, διό σε ο Δεσπότης, ώς υπέρτιμον λίθον, θησαυροίς αιωνίοις απέθετο.

Σέ ο Πατήρ, τών οικτιρμών προσελάβετο, ως γνησίως, τούτον αγαπήσαντα, καί ταίς αυτού, Πάτερ εντολαίς, επηγρυπνηκότα, καί τοίς υιοίς συναρίθμιον, τής χάριτος ποιήσας, αϊδίου σε δόξης, Ιωάννη θεόφρον ηξίωσεν.

Τών αρετών, σύ αναβάς επί κλίμακος, είδες όντως, τήν ακατανόητον, δόξαν Θεού, καί καταυγασθείς, νούν καί τήν καρδίαν, τή θεία αίγλη τού Πνεύματος, ολόφωτος εδείχθης, ώσπερ ήλιος Πάτερ, καταλάμπων πολλούς εν τώ βίω σου.

Θεοτοκίον

Σύ αληθώς, τής σωτηρίας υπόθεσις, Θεομήτορ, μόνη εχρημάτισας, τώ Ποιητή καί Δημιουργώ, εκ τών σών αχράντων, αιμάτων σάρκα δανείσασα, δι' ής αι τού θανάτου, συνετρίβησαν πύλαι, καί ζωή τοίς ανθρώποις δεδώρηται.

Ωδή ε' Ο Ειρμός

«Ίνα τί με απώσω, από τού προσώπου σου τό φώς τό άδυτον, καί εκάλυψέ με, τό αλλότριον σκότος τόν δείλαιον, Αλλ' επίστρεψόν με, καί πρός τό φώς τών εντολών σου, τάς οδούς μου κατεύθυνον δέομαι».

Ώσπερ άκακον άρνα, χλόη τής ασκήσεως εντεθραμμένον σε, ο ποιμήν ο μέγας, εν αυλαίς αιωνίοις προσήκατο, Ιωάννη Μάκαρ, καί δεξιοίς αυτού προβάτοις, συναρίθμιον Όσιε έδειξεν.

Τής ημέρας τό βάρος, Πάτερκαί τόν καύσωνα στερρώς εβάστασας, αρετών τόν θείον, αμπελώνα καλώς εργασάμενος, όθεν τή εσπέρα, τής εκ τού βίου εκδημίας, τόν μισθόν εκομίσω επάξιον.

Εντολών θεμελίω, Πάτερ ωκοδόμησας, πύργον υψίκομον, δι' ού καί ανέπτης, πρός αυτό τών καλών τό ακρότατον, καί τόν όντως όντα, ψυχεραστήν ιδών ώς θέμις, ολοψύχως αυτώ ηκολούθησας.

Θεοτοκίον

Νεκρωθέντα Παρθένε, κέντρω παραβάσεως καί κατακείμενον, εξανάστησόν με, η ζωήν τήν αθάνατον τέξασα, τόν Σωτήρα τού κόσμου, καί Λυτρωτήν καί βασιλέα, καί πρός φώς καθοδήγησον άχραντε.

Ωδή ς' Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

Δακρύων σου σταλαγμοίς, παθών εξήρανας πέλαγος, καί πάσαν τού νοητού, εχθρού κατεπόντισας, ανίσχυρον δύναμιν, Ιωάννη Μάκαρ, τού Χριστού ενδυναμούντός σε.

Ως όβρυζόν σε χρουσόν, δοκιμασθέντα αοίδιμε, ασκήσεως τώ πυρί, Χριστός εναπέθετο, Βασιλεύς ο άφθαρτος, εν αφθάρτοις Πάτερ, θησαυροίς τής αιωνίου ζωής.

Ως κήπος πανευθαλής, εδείχθης όντως καί εύκαρπος, δακρύων τοίς οχετοίς, καλώς αρδευόμενος, καί μυρίπνουν Οσιε, τόν καρπόν τώ Κτίστη, Ιωάννη προσενήνοχας.

Θεοτοκίον

Τό σκήνωμα τού Θεού, τό θείον όντως καί πάνσεπτον, υμνήσωμεν ευσεβώς, Μαρίαν τήν άχραντον, Θεόν γάρ εχώρησεν, υποδεξαμένη, τόν αχώρητον καί άληπτον.

Τό Μαρτυρικόν τού Ήχου.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΗ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Ιωάννου, μαθητού τού Αγίου Γρηγορίου τού Δεκαπολίτου.

Στίχοι

- Ιωάννη, σκίρτησον ως Ιωάννης,
- Ου γαστρός εντός, αλλά τής Εδέμ ένδον.
- Οκτωκαιδεκάτη Ιωάννης νέκυς ώφθη.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Σάββα τού Στρατηλάτου καί Γότθου.

Στίχοι

- Ύπελθε, Σάββα, φθαρτόν ηδέως ύδωρ,
- Ως άν πίνης άφθαρτον ηδονής ϋδωρ.

Τή αυτή ημέρα, Μνήμη τού εν Αγίοις Πατρός ημών Κοσμά Επισκόπου Χαλκηδόνος.

Στίχοι

- Θραύσας βέλη σά, καί μεταστάς σου, βίε,
- Έξω βελών υπήρξε Κοσμάς, ώς λόγος.

Τή αυτή ημέρα, Μνήμη τής Οσίας Μητρός ημών Αθανασίας τής θαυματουργού.

Στίχοι

- Αθανασίας τή κορυφή προσφέρω,
- Στέφανον αθάνατον διά τών λόγων.

Ταίς τών σων Αγίων πρεσβείαις, Χριστέ ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ' Ο Ειρμός

«Οι εκ τής Ιουδαίας, καταντήσαντες Παίδες, εν Βαβυλώνι ποτέ, τή πίστει τής Τριάδος, τήν φλόγα τής καμίνου, κατεπάτησαν ψάλλοντες, ο τών Πατέρων ημών, Θεός ευλογητός εί».

Τήν δευτέραν Κυρίου, εννοών παρουσίαν, από βλεφάρων ψυχής, τόν ύπνον απεβάλου, Σοφέ τής αμελείας, καί αγρύπνως εκραύγαζες, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Απαλών εξ ονύχων, αγαθήν εξελέξω μερίδα Πάνσοφε, δουλεύειν τώ Κυρίω, εν φόβω τε τά τούτου, εκτελείν δικαιώματα, ο τών Πατέρων βοών, Θεός ευλογητός εί.

Μακρυνθείς τού σαρκίου, τών δεσμών Ιωάννη, ψυχής εφρόντισας, Κυρίω ελευθέρα, τή γνώμη εκδουλεύων, καί κραυγάζων εκάστοτε, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Θεοτοκίον

Η τού κόσμου Κυρία, η Θεόν σαρκωθέντα, ημίν κυήσασα, πολλαίς κυριευθείσαν, ατόποις άμαρτίαις, τήν ψυχήν μου διάσωσον, ευλογημένη Αγνή, ίνα σε μακαρίζω.

Ωδή η' Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν, εμμανώς εξεκαυσε, δυνάμει δέ κρείττονι, Περισωθέντας τούτους ιδών, τόν Δημιουργόν, καί Λυτρωτήν ανεβόα, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Ως μηλωτήν τό χάρισμα, ευφυώς κληρωσάμενος, Πάτερ, Ιωάννη, τού κλεινού ποιμένος σου, εν τούτω διέρρηξας, τών ηδονών τό πέλαγος, καί διασωθείς,

ακαταπόντιστος ώφθης, Αγγέλων συμπολίτης, σύν αυτοίς ανακράζων, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Τόν δι' ημάς πτωχεύσαντα, υπεράγαθον Κύριον, Πάτερ Ιωάννη, ευσεβώς μιμούμενος, πτηνών εν ισότητι, ακτημοσύνην ήσκησας, καί τών αγαθών, τών αιωνίων τόν πλούτον, εκτήσω αναμέλπων, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Η καθαρά τού Πνεύματος, τή ψυχή σου σκηνώσασα, χάρις καθαράν σοι, τήν καρδίαν έκτισε, καί πνεύμα εκαίνισεν, ευθές εν τοίς εγκάτοις σου, όθεν καί βιώσας, καθαρά πολιτεία, εβόας, Ιωάννη, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Αγιασθείσα Πνεύματι, Θεοτόκε πανάμωμε, όντως υπεδέξω, εν γαστρί τόν άναρχον, Υιόν καί αϊδιον, εν σοί αγνή σαρκούμενον, επ' ευεργεσία, τών εν πίστει βοώντων, Οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ωδή θ'  Ο Ειρμός

«Εξέστη επί τούτω ο ουρανός, Καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί ή γαστήρ σου γέγονεν, ευρυχωροτέρα τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι μεγαλύνουσιν».

Νεώσας τώ αρότρω τών προσευχών, Ιωάννη ψυχής σου τήν αύλακα, τών αρετών, ταύτη κατεβάλου τά ευσεβή, καί ζωηφόρα σπέρματα, όθεν ιαμάτων θεοπρεπών, εθέρισας τόν στάχυν, πολύχουν θεοφορε, δι' ού εκτρέφεις τους υμνούντάς σε.

Τόν δρόμον εκτελέσας ασκητικώς, καί τήν πίστιν τηρήσας Μακάριε, ως αληθώς, πλήρηεηλικίας πνευματικής, δικαιοσύνης στέφανον, είληφας θεόφρον παρά Χριστού, καί νύν επαναπαύη, σκηναίς φωτεινοτάταις, μετά Δικαίων παναοίδιμε.

Επέβης ώς εν άρματι αρετών, τώ τεθρίππω παμμάκαρ αιθέριος, εις ουρανούς, άλλος ως Κλίας Πάτερ σοφέ, καί συν Οσίοις ώκησας, σώμα τό πολύαθλον επί γής, λιπών τοίς σέ ποθούσι, ταμείον ιαμάτων, καί τών δαιμόνων ελατήριον.

Θεοτοκίον

Ριφθέντας ουρανίου διαγωγής, καί πεσόντας αθλίως είς θανατον, πάλιν ημάς, Μήτηρ γενομένη τού Λυτρωτού, ανεκαλέσω Πάναγνε, καί πρός τήν αρχαίαν παλινδρομείν, ηξίωσας πατρίδα, διό σε Θεομήτορ, ακαταπαύστως μεγαλύνομεν.

Τό Φωταγωγικόν τού Ήχου, τό Ιδιόμελον τής ημέρας, τό Μαρτυρικόν, η

Α' Ώρα, ως σύνηθες, καί Απόλυσις.

Αρχή

## ΤΗ ΙΘ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Ιερομάρτυρος Παφνουτίου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'
Τών ουρανίων ταγμάτων

Τής ασεβείας καθείλες τά οχυρώματα, εν τή υπομονή σου, Αθλοφόρε Κυρίου, καί νίκην ουρανόθεν, εδέξω σοφέ, μή ούν παύση δεόμενος, υπέρ τών πίστει τιμώντων τήν ιεράν, καί σεβάσμιόν σου άθλησιν.

Τούς ιερούς σου αγώνας πιστώς γεραίρομεν, αθλητικούς καμάτους, ούς διήνυσας χαίρων, Παφνούτιε τρισμάκαρ, υπέρ Χριστού, τού Σταυρόν υπομείναντος, καί τήν αγίαν σου μνήμην περιχαρώς, εορτάζομεν εν άσμασιν.

Η τών λειψάνων σου θήκη, Ιερομάρτυς Χριστού, ως ποταμός εκβλύζει, τών ιάσεων ρείθρα, καί πάντων καταρδεύει τών ευσεβών, τάς καρδίας Παφνουτιε, τών προσφοιτώντων εκάστοτε εν αυτή, καί υμνούντων τούς αγώνάς σου.

Δόξα... Καί νύν... Θεοτοκίον

Τών ουρανίων ταγμάτων τό αγαλλίαμα, τών επί γής ανθρώπων, κραταιά προστασία, άχραντε Παρθένε, σώσον ημάς, τούς εις σέ καταφεύγοντας, ότι εν σοί τάς ελπίδας μετά Θεόν, Θεοτόκε ανεθέμεθα.

Η Σταυροθεοτοκίον

Εντώ Σταυρώ θεωρούσα η απειρόγαμος, καί άμωμος Παρθένος, όν Δεσπότην καί Κτίστην, καί Πλάστην τών ανθρώπων, εβόα πικρώς, θρηνωδούσα καί στένουσα, Τί τούτο τέκνον γλυκύτατον, ο ορώ; ανυμνώ σου τό μακρόθυμον.

Απολυτίκιον Ήχος δ’

Καί τρόπων μέτοχος καί θρόνων διάδοχος τών Αποστόλων γενόμενος, τήν πράξιν εύρες θεόπνευστε εις θεωρίας επίβασιν, Διά τούτο τόν λόγον τής αληθείας ορθοτομών, καί τή πίστει ενήθλησας μέχρις αίματος, Ιερομάρτυς Παφνούτιε, πρέσβευε Χριστώ τώ Θεώ σωθήναι τάς ψυχάς ημών.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τής ημέρας, καί τού Αγίου.

## Ωδή α'  Ήχος δ'  Ο Ειρμός

«Άσομαί σοι Κύριε ο Θεός μου, ότι εξήγαγες λαόν δουλείας Αιγυπτίων, εκάλυψας δέ άρματα, Φαραώ καί τήν δύναμιν».

Δεύτε τήν ετήσιον εκτελούντες, τού Αθλοφόρου εορτήν, φαιδροίς εύφη μούντες εν άσμασι δοξάσωμεν, τόν τούτον στεφανώσαντα.

Έλαμψας εν κόσμω φωστήρος δίκην, θεραπευτά τού Ιησού, Παφνούτιε μάκαρ, διό σου τήν πανίερον, τιμώμεν μνήμην σήμερον.

Ηύγασας εν δόγμασιν Ιεράρχα, τόν περιούσιον λαόν, καί πόμα Κυρίου, διά τού ξίφους έπιες, αθλήσας καρτερώτατα.

Θεοτοκίον

Όρος αλατόμητόν σε Παρθένε, εξ ού λίθος ο Χριστός, αλάξευτος ώφθη, εν άσμασι γεραίροντες, αξίως μακαρίζομεν.

## Ωδή γ'  Ο Ειρμός

«Τόξον δυνατών ησθένησε, καί οι ασθενούντες Περιεζώσαντο δύναμιν, διά τούτο εστερεώθη, εν Κυρίω η καρδία μου».

Ύμνοις Ιεροίς γεραίροντες, τήν πανευκλεή τε καί ιεράν μνήμην σήμερον, εκτελούμεν τού Αθλοφόρου, Παφνουτίου αγαλλόμενοι.

Τείχος αρραγές ακλόνητον, κατά τών δαιμόνων οι πιστοί προβαλλόμεθα, το πηγάζον εκ τών λειψάνων, θείον έλαιον χριόμενοι.

Σθένει τού Χριστού ρωννύμενος, μέσον ανομούντων θείον νόμον εκήρυξας, καί νομίμως Μάρτυς αθλήσας, νίκης είληφας τόν στέφανον.

Θεοτοκίον

Χαίροις Μήτηρ απειρόγαμε, η τόν Θεόν Λόγον εν γαστρί σου χωρήσασα, καί τεκούσα σεσαρκωμένον, ώς Θεόν ομού καί άνθρωπον.

## Κάθισμα  Ήχος δ'

Ταχύ προκατάλαβε

Φοινίξας εν αίματι, τήν ιεράν σου στολήν, θυσίαν ευάρεστον, Θεώ προσήξας σαυτόν, Παφνούτιε ένδοξε, έθραυσας τών δαιμόνων, τό ανίσχυρον θράσος, εύφρανας τούς Αγγέλους, τή στερρά σου ενστάσει, διό καθικετεύων μή παύση, σωθήναι ημάς.

Θεοτοκίον

Επάκουσον Δέσποινα, εκ κατωδύνου ψυχής, βοώντος τού δούλου σου, καί τών πολλών μου κακών, παράσχου τήν άφεσιν, σέ γάρ επικαλούμαι, εν νυκτί καί ημέρα, Ρύσαί με Θεοτόκε, τού πυρός τής γεέννης, καί στήσον εκ δεξιών με, τού σού Υιού καί Θεού.

Η Σταυροθεοτοκίον

Παρθένε πανάμωμε, Μήτηρ Χριστού τού Θεού, ρομφαία διήλθέ σου, τήν

παναγίαν ψυχήν, ηνίκα σταυρούμενον, έβλεψας εκουσίως, τόν Υιόν καί Θεόν σου, όν περ ευλογημένη, δυσωπούσα μή παύση, συγχώρησιν πταισμάτων ημίν δωρήσασθαι.

### Ωδή δ'  Ο Ειρμός

«Τούς ουρανούς η αρετή σου Κατεκάλυψε, καί η γή επληρώθη τής σής δόξης Χριστέ, διό απαύστως κράζομεν, Δόξα τή δυνάμει σου Κύριε».

Νύν αγαλλόμενοι πάντες εορτάζομεν, σύν Αρχαγγέλοις Αγγέλοις συγχορεύοντες, τήν ευκλεή τελούντές σου, μνήμην, αθλοφόρε Παφνούτιε.

Υπό τής όντως εδοξάσθης θείας χάριτος, καί μετ' Αγγέλων τώ Δεσπότη παριστάμενος, νύν καί ημών μνημόνευε, Μάρτυς αθλοφόρε Παφνούτιε.

Τούς οικτιρμούς καί πόνους Μάκαρ καθυπέμεινας, απτοήτω καί γενναίω τώ φρονήματι, καί τούς στεφάνους είληφας, όντως εκ χειρός τού Παντάνακτος.

### Θεοτοκίον

Χερουβικών ταγμάτων Κόρη υπερέχουσα, καί Θεόν εν αγκάλαις εποχούμενον, μετά σαρκός βαστάσασα, χαίρε Θεοτόκε ανύμφευτε.

### Ωδή ε'  Ο Ειρμός

«Ο ανατείλας τό φώς, καί φωτίσας τόν όρθρον, καί δείξας τήν ημέραν, δόξα σοι δόξα σοι, Ιησού Υιέ τού Θεού».

Ο αναδείξας ημίν, τού γενναίου τήν μνήμην, ηλίου λαμπροτέ οαν, δόξα σοι δόξα σοι, Ιησού Υιέ τού Θεού.

Ιερωτάταις φρεσί, καί πισταίς διανοίαις, τήν μνήμην ανυμνούμεν, σού Μάρτυς ένδοξε, τόν Χριστόν μεγαλύνοντες.

Ξίφη καί θήρας καί πύρ, καί τόν θάνατον Μάρτυς, ουδόλως επτοήθης, κραυγάζων, Δόξα σοι Ιησού Υιέ τού Θεού.

### Θεοτοκίον

Τήν τού Αγγέλου φωνήν, ασιγήτως η κτίσις, προσφέρει σοι Παρθένε, Χαίροις η τέξασα, Ιησούν τόν Λόγον Θεού.

### Ωδή ς'  Ο Ειρμός

«Εβόησε, προτυπών τήν ταφήν τήν τριήμερον, ο Προφήτης, Ιωνάς εν τώ κήτει δεόμενος, Εκ φθοράς με ρύσαι, Ιησού βασιλεύ τών δυνάμεων».

Εκκέχυται, εις τού κόσμου τά πέρατα άπαντα, Αθλοφόρε, η δοθείσά σοι χάρις πανένδοξε, διό πίστει πάντες, τόν δοτήρα Χριστόν μεγαλύνομεν.

Ο μέγιστος, τής Τριάδος θεράπων Παφνούτιος, ανεδείχθη φοβερός εναντίαις δυνάμεσιν, απελαύνων ταύτας, καί φωτίζων πιστών τά συστήματα.

Εν θαύμασι, καί σημείοις Χριστός σε εδόξασεν αθλοφόρε, καί τοίς πάσι Παφνούτιε έδειξεν, Ιατρόν παμμάκαρ, διά τούτο τιμώμεν τήν μνήμην σου.

Θεοτοκίον

Δυσώπησον, υπέρ τών ικετών σου Θεόνυμφε, Θεοτόκε, τόν εκ σού σαρκωθέντα Θεόν ημών, τού ρυσθήναι πάντας, πειρασμών πολυτρόπων τού όφεως.

Συναξάριον

Τή ΙΘ' τού αυτού μηνός, Μνήμη τού Αγίου Ιερομάρτυρος Παφνουτίου.

Στίχοι

- Τόν Παφνούτιον γής τάφω κεκρυμμένον,
- Απεικός εστι καί σιγής κρύψαι τάφω.
- Τή δ' ενάτη δεκάτη Παφνούτιον ένθεν άειραν.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Θεοδώρου, τού εν Πέργη τής Παμφυλίας.

Στίχοι

- Κοινωνός ώφθης, Θεόδωρε, τού πάθους,
- Τώ καί παθητώ, καί παθών υπερτέρω.

Τή αυτή ημέρα. η Αγία Μάρτυς Φιλίππα, η μήτηρ τού Αγίου Θεοδώρου, ξίφει τελειούται.

Στίχοι

- Φιλώ Φιλίππαν, ως αθλητού μητέρα,
- Φιλώ Φιλίππαν, ώς αθλούσαν εκ ξίφους.

Τή αυτή ημέρα, οι Άγιοι Σωκράτης καί Διονύσιος, λόγχη τρωθέντες τελειούνται.

Στίχοι

- Ένυξε λόγχη νεκρόν Υψίστου πάλαι,
- Νύττει δέ καί νύν Μάρτυρας ζώντας δύο.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Γεωργίου, Επισκόπου Πισιδίας τού Ομολογητού.

Στίχοι

- Ο Γεώργιος, ως γεώργιον μέγα,
- Έχων απήλθεν είδος αρετής άπαν.

Τή αυτή ημέρα, Μνήμη τού εν Αγίοις Πατρός ημών Τρύφωνος Αρχιεπισκόπου Κωνσταντινουπόλεως. Τελείται δέ η αυτού σύναξις εν τή Αγιωτάτη Μεγάλη Εκκλησία.

Στίχοι

- Θεόν ποθήσας ο τρυφήν μισών Τρύφων,

- Θεού παρέστη τώ κατοικητηρίω.

Ταίς τών Αγίων σου πρεσβείαις, Χριστέ ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Ο διασώσας εν πυρί, τούς Αβραμιαίους σου Παίδας, καί τούς Χαλδαίους ανελών, οίς αδίκως δικαίους ενήδρευσαν, υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί».

Ράβδος δυνάμεως πιστοίς, κατά τών δαιμόνων εδόθη, η τών λειψάνων σου σορός, πάσιν ίασιν νέμουσα άφθονον, τοίς βοώσι Παφνούτιε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Επί τής γής οι γηγενείς, τήν πανευκλεή σου ημέραν, επιτελούντες ευσεβώς, Αθλοφόρε Κυρίω κραυγάζομεν, Υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Η Εκκλησία νύν Χριστού ώσπερ θησαυρόν κεκτημένη, τήν τών λειψάνων σου σορόν, γηθομένη κραυγάζει Παφνούτιε, Υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Θεοτοκίον

Τήν απορρήτως εν γαστρί, καί υπερφυώς δεξαμένην, τόν αναλλοίωτον Θεόν, ευσπλαγχνία βροτοίς Ομιλήσαντα, οι πιστοί προσκυνήσωμεν, ως Μητέρα τού Κυρίου ευλογημένην.

Ωδή η'  Ο Ειρμός

«Τόν εν μορφή Αγγέλου οραθέντα, εν καμίνω πυρός τοίς υμνολόγοις, Χριστόν τόν Θεόν, υμνείτε Παίδες, Ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Φωτοφανής αστράπτει νύν ημέρα, η φαιδρά εορτή τού Αθλοφόρου, καί υπέρλαμπρος, ήν πάντες πόθω, εκτελούντες βοώμεν, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Νεανικώς Παμμάκαρ ηγωνίσω, εν σταδίω εστώς, καί νίκης τρόπαια απέλαβες, Χριστώ απαύστως, μελωδών τώ Δεσπότη, καί τούτον μεγαλύνων, εις πάντας τούς αιώνας.

Ως αληθώς ωραίος ανεδείχθης, εν αγώσι πολλοίς Ιερομάρτυς, στολήν Ιεράν, τώ αίματί σου, στολισθείς φοινιχθείσαν, καί στέφος παρά Θεού, λαβών εις τούς αιώνας.

Θεοτοκίον

Τήν εν γαστρί ασπόρως συλλαβούσαν, καί τεκούσαν ημίν τοίς φθονηθείσιν, εχθρώ πονηρώ, Χριστόν τόν μόνον, Λυτρωτήν καί Σωτήρα, τήν μόνην Θεοτόκον, υμνούμεν εις αιώνας.

Ωδή θ'  Ο Ειρμός

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, συ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν».

Τήν άφθονον χάριν χορηγείς αήττητε, Αθλοφόρε παναοίδιμε, πάσι τοίς πίστει προσιούσι, τώ θείω σου τεμένει καί μέλπουσιν, εν ύμνοις τόν Σωτήρα καί Κύριον, καί εορτάζουσι τήν μνήμην σου.

Ίλεων γενέσθαι τοίς πιστοίς τόν Κύριον, εκδυσώπει εν τή μνήμη σου, πάσί τε Μάρτυς Ορξοδόξοις, τοίς πίστει πανταχόθεν προστρέχουσι, τήν θείαν σου τελέσαι πανήγυριν, ταίς παν, ιέροις μεσιτείαις σου.

Κατεύνασον Μάρτυς σαίς ευχαίς τόν τάραχον, Εκκλησίας τόν κυμαίνοντα, καί διαστρέφειν τάς ευθείας, πειρώμενον οδούς τού Θεού ημών, εμπνεύσεσιν αιρέσεων ένδοξε, καί τήν ειρήνην πάσιν αίρεσθαι.

Θεοτοκίον

Σύμβολα πανάμωμε τής σής γεννήσεως, οι Προφήται προεκήρυξαν, άλλοθεν άλλος παραδόξως, σοί τάς προσηγορίας αρμόζοντες, ζωήν γάρ τοίς εν Άδη εγέννησας, κράτος θανάτου διαλύσασαν.

Καί η λοιπή Ακολουθία, ως καθ' εκάστην, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Κ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Θεοδώρου τού Τριχινά.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'

Ώ τού παραδόξου θαύματος

Όσιε Πάτερ Θεόδωρε, δώρον Θεού εκλεκτόν, σεαυτόν προσενήνοχας, αγρυπνίαν πάννυχον, καί αγάπην στησάμενος, μελέτην θείαν, άκραν ταπείνωσιν, ελπίδα, πίστιν καί καθαρότητα, άκραν συμπάθειαν, αληθή εγκράτειαν, καί προσευχήν, στύλον σε δεικνύουσαν, φωτοειδέστατον.

Πάτερ θεόφρον Θεόδωρε, καταστολήν αληθή, καί σωτήριον ένδυμα, ευσεβιεί φρονήματι, εκζητών επενδύσασθαι, τώ εκ τριχίνων ρακίω πάντοτε, σού τό σαρκίον, σκέπειν ουκ έλιπες, καί απεγύμνωσας, τού ή, μας γυμνώσαντος, τάς μηχανάς, σθένει δυναμούμενος, τού θείου Πνεύματος.

Τώ σαρκωθέντι Θεώ ημών, εκ παναμώμου Μητρός, δι' ημάς τε πτωχεύσαντι,

ώς πτωχόν τώ πνεύματι, σεαυτόν προσενήνοχας, θυσίαν ζώσαν, καί ολοκάρπωμα, σεπτόν παμμάκαρ, καί δώρον τίμιον, όθεν καί έλαβες, ουρανών απόλαυσιν, πρός όν αεί, πρέσβευε δεόμεθα, τού ελεήσαι ημάς.

Δόξα... Καί νυν... Θεοτοκίον

Ποίοις οφθαλμοίς θεάσωμαι, αγίαν όψιν τήν σήν, ο μολύνας τοίς πάθεσι, τής σαρκός τά όμματα; ή πώς πάλιν ασπάσωμαι, τήν σήν εικόνα, τήν θεοτύπωτον, βέβηλα χείλη, έχων ο άθλιος; πώς δέ εκτείνω μου, πρός τήν θείαν χάριν σου, ο εναγής, χείρας άς ηχρείωσα; Δέσποινα σώσόν με.

Η Σταυροθεοτοκίον

Ήλιος ιδών σε έφριξεν, επί Σταυρού Ιησού, ηπλωμένον θελήματι, η δέ γή εσείετο, καί πέτραι διερρήγνυντο, καί τά μνημεία φόβω ηνοίγοντο, καί αι Δυνάμεις πάσαι εξίσταντο, η δέ τεκούσά σε, απειράνδρως βλέπουσα, μετ' οιμωγής, Οίμοι! ανεκραύγαζε, τί τό Ορώμενον;

Απολυτίκιον  Ήχος πλ. δ'

Εν σοί Πάτερ ακριβώς διεσώθη τό κατ' εικόνα, λαβών γάρ τόν Σταυρόν, ηκολούθησας τώ Χριστώ, καί πράττων εδίδασκες, υπεροράν μέν σαρκός, παρέρχεται γάρ, επιμελείσθαι δέ ψυχής, πράγματος αθανάτου, διό καί μετά Αγγέλων συναγάλλεται, Όσιε Ιωάννη τό πνεύμά σου.

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τής ημέρας, καί τού Αγίου ο παρών.

Ωδή α'  Ήχος δ'  Ο Ειρμός

«Θαλάσσης, τό ερυθραίον πέλαγος, αβρόχοις ίχνεσιν, ο παλαιός πεζεύσας Ισραήλ, σταυροτύποις Μωσέως χερσί, τού Αμαλήκ τήν δύναμιν, εν τή ερήμω ετροπώσατο».

Τά άνθη τών αρετών προβάλλεται, η μνήμη σήμερον, τού θεοφόρου πάσι τοίς πιστοίς, ευωδίαν εκπέμποντα, τήν μυστικήν τού Πνεύματος, καί τών θαυμάτων τά παράδοξα.

Ρομφαία, τή νοητή Θεόδωρε, τάς τών παθών προσβολάς, σύ διακόψας ήρας κατ αυτών, νικητήρια Όσιε, όθεν θαυμάτων χάρισι, καί ιαμάτων εστεφάνωσαι.

Ποθήσας, τήν τού Κυρίου Όσιε, πτωχείαν άπασαν, τήν γεηράν καί πρόσκαιρον σαφώς, εβδελύξω Θεόδωρε, δόξαν, διό καί έτυχες, δόξης αφθάρτου καί φαιδρότητος.

Θεοτοκίον

Ασπόρως, τώ τού Πατρός βουλήματι, εκ θείου Πνεύματος, τόν τού Θεού συνείληφας Υιόν, καί σαρκί απεκύησας, τόν εκ Πατρός αμήτορα, καί δι' ημάς εκ σού απάτορα.

## Ωδή γ'  Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα, Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

Τούς θήρας τούς τής σαρκός, δι' εγκρατείας ενεργούς έκτεινας, καί τής ψυχής Όσιε, πάσας τάς δυνάμεις ετράνωσας.

Οι πόνοι σου εν κλαυθμώ, κατασπειρόμενοι Σοφέ έδωκαν, όντως καρπόν εύσταχυν, τώ Παμβασιλεί προσφερόμενον.

Ουκ έδωκας νυσταγμόν, τοίς σοίς βλεφάροις αληθώς Όσιε, έως Θεού σκήνωμα, μάκαρ σεαυτόν απετέλεσας.

### Θεοτοκίον

Σύ μόνη τοίς επί γής, τών υπέρ φύσιν αγαθών πρόξενος, Μήτηρ Θεού γέγονας, όθεν σοι τό Χαίρε προσάγομεν.

## Κάθισμα  Ήχος δ'  Ο υψωθείς

Ως καθαρός τώ καθαρώ προσπελάσας, διά συντόνου προσευχής καί αγνείας, καθηγιάσθης Πνεύματι Θεόδωρε, όθεν σύν Αγγέλοις νύν, αυλιζόμενος μέλπεις, ύμνον τόν τρισάγιον, τώ τών όλων Δεσπότη, πρός όν δυσώπει Όσιε αεί, τού ελεήσαι τούς πόθω υμνούντάς σε.

### Θεοτοκίον

Τή Θεοτόκω εκτενώς νύν προσδράμωμεν, αμαρτωλοί καί ταπεινοί καί προσπέσωμεν, εν μετανοία κράζοντες εκ βάθους ψυχής, Δέσποινα βοήθησον, εφ' ημίν σπλαγχνισθείσα, σπεύσον απολλύμεθα, υπό πλήθους πταισμάτων, μή αποστρέψης σούς δούλους κενούς, σέ γάρ καί μόνην ελπίδα κεκτήμεθα.

### Η Σταυροθεοτοκίον

Τόν εξ ανάρχου τού Πατρός γεννηθέντα, η επ' εσχάτων σε σαρκί τετοκυία, επί σταυρού κρεμάμενον ορώσα Χριστέ, Οίμοι! ανεκραύγαζε, ποθεινότατον Τέκνον, τί σοι ανταπέδωκε, τών Εβραίων ο δήμος; Αλλά ανάστηθι καί σώζε τούς εις σέ, πεπιστευκότας ώς μόνος φιλάνθρωπος.

## Ωδή δ'  Ο Ειρμός

«Επαρθέντα σε ιδούσα η Εκκλησία, επί Σταυρού τόν Ήλιον τής δικαιοσύνης, έστη έν τή τάξει αυτής, εικότως κραυγάζουσα, Δόξα τή δυνάμει σου Κύριε».

Συνηυξήθησαν τώ σώματί σου θεόφρον, τών αρετών τά κάλλη, όθεν ώσπερ φοίνιξ, ήνθησας Θεόδωρε, καρπούς προβαλλόμενος, γλυκααμόν τή ποίμνησου βρύοντας.

Απενέκρωσας τά πάθη δι' εγκρατείας, καί τού Αγίου Πνεύματος, ώφθης θεοφόρε, θείον οικητήριον, δι' ού πάσιν έβλυσας, τά τών ιαμάτων χαρίσματα.

Εν πτωχεία τή τού πνεύματος καί στενώσει, Πάτερ αεί διάγων, ράκεσι τό σώμα, τριχίνοις εκάλυπτες, πρός πλούτον τόν άφθαρτον μόνον αφορών καί αϊδιον.

Θεοτοκίον

Απειρογάμως εκύησας ώ Παρθένε, καί μετά τόκον ώφθης, παρθενεύουσα πάλιν, όθεν ασιγήτοις φωναίς, τό Χαίρέ σοι Δέσποινα, πίστει αδιστάκτω κραυγάζομεν.

Ωδή ε' Ο Ειρμός

«Σύ Κύριέ μου φώς, εις τόν κόσμον ελήλυθας, φώς άγιον επιστρέφον, εκ ζοφώδους αγνοίας τούς πίστει ανυμνούντάς σε».

Σύ Κύριε τόν σόν, ασκητήν εκραταίωσας, σύ δύναμιν καί ανδρείαν, περιέζωσας τούτον, κατά τού πολεμήτορος.

Σέ Κύριε ποθών, εν ασκήσει ο Όσιος, σοί άμωμον ώσπερ θύμα, εαυτόν εγκρατείας, πυρί σαφώς προσήγαγεν.

Εν δίψει καί λιμώ, εκζητήσας τόν Κύριον, Θεόδωρε τού χειμάρρου, τής τρθφής απολαύεις, Οσίων σύν τοίς τάγμασι.

Θεοτοκίον

Σέ όπλον αρραγές, κατ εχθρών προβαλλόμεθα, σέ άγκυραν καί ελπίδα, τής ημών σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

Ωδή ς' Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Τά βέλη, τά τού εχθρού συνέτριψας Όσιε, τής ταπεινώσεως όπλοις, κατ' αυτού χρησάμενος, καί τήν νίκην, συνεργεία, τού Χριστού εκομίσω Θεόδωρε.

Τά πάθη, τών πειρασμών ώς κύματα Όσιε, τής εγκρατείας ιδρώ τι εν τή καρτερία Πάτερ αισίως, απεκρούσω, τή γαλήνη Χριστού κυβερνώμενος.

Άληστον, τήν τού θανάτου ώραν ποιούμενος, εν στεναγμοίς καί δακρύοις, διετέλεις Πάτερ λούων τήν κλίνην, καί εν φόβω, τώ Κυρίω δουλεύων εκάστοτε.

Θεοτοκίον

Ω θαύμα, τών απάντων θαυμάτων καινότερον! ότι Παρθένος εν μήτρα, τόν τά σύμπαντα περιέποντα, απειράνδρως συλλαβούσα, ουκ εστενοχώρησεν.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Κ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Θεοδώρου τού Τριχινά.

Στίχοι

- Θνήσκεις, ο πλήξας τριχίνη στολή Πάτερ,
- Τόν ενδύσαντα τούς γενάρχας φυλλίνην.
- Εικάδι σός, Θεόδωρε, λίπ' οστέα θυμός αγήνωρ.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Βίκτωρος, Ζωτικού, Ζήνωνος, Ακινδύνου, Καισαρίου, Σεβηριανού, Χριστοφόρου, θεωνά καί Αντωνίνου.

Στίχοι

- Σύν Ακινδύνω τέσσαρας κτείνει ξίφος,
- Τόν εκ πλάνης κίνδυνον εκπεφευγότας.
- Καμινιαίας αιθάλης πεπλησμένοι,
- Χριστώ προσήλθον οι περί Χριστοφόρον.

Τή αυτή ημέρα, Μνήμη τού οσίου Πατρός ημών Ιωάννου τού Παλαιολαυρίτου.

Στίχοι

- Νέον τι κέρδος, τόν Παλαιολαυρίτην,
- Ιωάννην, χαίρουσιν ευρόντες νόες.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Ιερομάρτυρος Αναστασίου Αντιοχείας.

Στίχοι

- Αναστάσιε, σού δέ τί γράψω χάριν,
- Χριστού χάριν σπεύδοντος εκθανεϊν ξίφει;

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Αποστόλου Ζακχαίου.

Στίχοι

- Ουχί κατάβα, άλλ ανάβα σοι λέγει,
- Ζακχαίε, Χριστός προσκαλών σε εις πόλον.

Ταίς τών Αγίων σου πρεσβείαις, Χριστέ ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Εν τή καμίνω Αβραμιαίοι Παίδες τή Περσική πόθω ευσεβείας μάλλον ή τή φλογί, πυρπολούμενοι εκραύγαζον, Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε».

Η θεία χάρις, η εν καμίνω πάλαι δρόσον Παισί, δούσα, αύτη Πάτερ τήν τών παθών, κατεμάρανέ σοι κάμινον, ώς νεφέλη σοι, αναψύξεως όμβρον εκχέασα.

Εν τοίς ιδρώσι, τά τών δακρύων Πάτερ ρείθρα σοφέ, μίξας, κολυμβήθραν χάριτι τού Χριστού, απειργάσω ταύτα Όσιε, εν ή λουσάμενος, τών παθών τάς κηλίδας απέσμηξας

Εν τή καμίνω τή τών δακρύων πάθη φλέξας σαρκός, όλος καθαρός υπέρλαμπρος ως χρυσός, ανεδείχθης θείαις χάρισι, Πάτερ Θεόδωρε, αποστίλβων εις δόξαν Θεού ημών.

Θεοτοκίον

Τό τού Υψίστου, ηγιασμένον θείον σκήνωμα, χαίρε, διά σού γάρ δέδοται η χαρά, Θεοτόκε τοίς κραυγάζουσιν, Ευλογημένη σύ, εν γυναιξί πανάμωμε Δέσποινα.

Ωδή η' Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Άνθεσι κοσμούμενος σοφέ, τών αρετών νοητώς, τήν ευωδίαν αυτών, εν κόσμω έπνευσας Όσιε, καί τά μύρα τών θαυμάτων σου, πάσιν εκπέμπεις τοις πιστοίς, Χριστώ κραυγάζουσιν, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Χείρας εκπετάσας πρός Θεόν, τούς θήρας Όσιε, τούς νοητούς προσευχαίς, κατά σού αίροντας στόματα, απεφίμωσας καί έψαλλες, εν διανοία καθαρά, Πάτερ γηθόμενος, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ήρθης από γής πρός ουρανόν, Πάτερ Θεόδωρε, αντί στενώσεως, πρός πλάτος άπειρον Όσιε, εν Αγίων τοίς σκηνώμασιν, αντί ρακίων ευτελών, βύσσω κοσμούμενος, καί κραυγάζων, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Θεοτοκίον

Σύ μόνη εν πάσαις γενεαίς, Παρθένε άχραντε, Μήτηρ εδείχθης Θεού, σύ τής θεότητος γέγονας, ενδιαίτημα πανάμωμε, μή φλογισθείσα τώ πυρί, τού απροσίτου φωτός, όθεν πάντες, σέ ευλογούμεν, Μαρία Θεόνυμφε.

Ωδή θ' Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Άνω τό πολίτευμα έχειν, εν ουρανοίς επιποθήσας, κλίμακι καθάπερ εχρήσω, ταίς αρεταίς σου Πάτερ Θεόδωρε, δι' ών εκείσε έφθασας, καί τής εφέσεως επέτυχες.

Οίκος εχρημάτισας Πάτερ, τών αρετών, εν ώ πλουσίως, πίστις καί ελπίς καί αγάπη, καί σωφροσύνη εναπετέθησαν, διό καί πλήρης Όσιε, τών αρετών μετέστης άριστα.

Ένθα τών Οσίων οι δήμοι, καί τών Δικαίων αι χορείαι, ένθα τών Αγίων τά πλήθη, καί πρωτοτόκων Πάτερ τά τάγματα, περιφανώς εσκήνωσας, μεθ' ών αεί ημών μνημόνευε.

Θεοτοκίον

Σύ τό εγκαλλώπισμα πάντων, τών επί σοί εγκαυχωμένων, σύ η ευφροσύνη τού κόσμου, καί θυμηδία ημών τών δούλων σου, σύ γλυκασμός καί έφεσις, τών σέ εμνούντων Μητροπάρθενε.

Καί η λοιπή Ακολουθία, η Α' Ώρα, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΑ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Ιερομάρτυρος, Ιανουαρίου καί τών σύν αυτώ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'

Ως γενναίον εν Μάρτυσιν

Ιερεύς εννομώτατος, αθλητής Ιερώτατος, ώ Ιανουάριε, εχρημάτισας, ουκ αλλοτρίω εν αίματι, οικείω δέ μάλιστα, εις αυτόν τόν ουρανόν, εισελθών, ένθα πρόδρομος, πάντων πέφυκεν, Ιησούς αενάως, τούτον Πάτερ, οπτανόμενος καί βλέπων, άπερ οι Άγγελοι βλέπουσι.

Καί δοράν αφαιρούμενος, καί πυρί προσριπτούμενος, καί θηρσί διδόμενος, Αξιάγαστε, καί φυλακαίς συγκλειόμενος, ημέραις εν πλείοσιν, αταπείνωτος τόν νούν, ρώμη θεία διέμεινας, καί ετέλεσας, τόν άγωνα νομίμως εναθλήσας, Ιερέ θαυματοφόρε, τών Ασωμάτων εφάμιλλε.

Δισιδέριον Πρόκουλον, Σώσσον, Φαύστον Ευτύχιον, και Ιανουάριον τόν αοίδιμον, καί τόν σοφόν Ακουτίωνα, συμφώνως τιμήσωμεν, ως σοφούς ιερουργούς, στεφηφόρους ως Μάρτυρας, ως τής Πόλεως, τής αγίας πολίτας πρεσβευτάς τε, τών αυτούς μακαριζόντων, αληθεστάτους υπάρχοντας.

Δόξα... Καί νύν... Θεοτοκίον

Τήν σκηνήν τήν αμόλυντον, τήν νεφέλην τήν έμψυχον, τόν ναόν τόν άγιον, τού Θεού ημών, τήν αδιάβατον γέφυραν, τήν στάμνον τήν πάγχρυσον, τήν αγίαν κιβωτόν, τήν μετάρσιον κλίμακα, τό ευρύχωρον, τού Δεσπότου χωρίον, τήν Παρθένον, καί Μητέρα τού Κυρίου, περιφανώς μακαρίσωμεν.

Η Σταυροθεοτοκίον

Τόν Αμνόν καί Ποιμένα σε, επί ξύλου ως έβλεψεν, η Αμνάς η τέξασα, επωδύρετο, καί μητρικώς σοι εφθέγγετο, Υιέ ποθεινότατε, πώς εν ξύλω τού Σταυρού, ανηρτήθης μακρόθυμε; πώς τάς χείράς σου, καί τούς πόδας σου Λόγε, προσηλώθης, υπ' ανόμων καί τό αίμα, τό σόν εξέχεας Δέσποτα;

Απολυτίκιον  Ήχος δ’

Καί τρόπων μέτοχος καί θρόνων διάδοχος, τών Αποστόλων γενόμενος, τήν πράξιν εώρες θεόπνευστε, εις θεωρίας επίβασιν, Διά τούτο τόν λόγον τής

αληθείας Ορθοτομών, καί τή πίστει ενήθλησας μέχρις αίματος, Ιερομάρτυς Ιανουάριε, πρέσβευε Χριστώ τώ Θεώ σωθήναι τάς ψυχάς ημών.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τής ημέρας, ως σύνηθες, καί τών Αγίων, ού η Ακροστιχίς.

Σύστημα τερπνόν Μαρτύρων επαινέσω.
Ο Ιωσήφ.

Ωδή α' Ήχος δ' Ο Ειρμός
«Τριστάτας κραταιούς, ο τεχθείς εκ Παρθένου, απαθείας εν βυθώ, ψυχής τό τριμερές, καταπόντισον δέομαι, όπως σοι ως εν τυμπάνω, τή νεκρώσει τού σώματος, επινίκιον άσω μελώδημα».

Συνών ταίς στρατιαίς, τών αϋλων, Αγγέλων, καί μεθέξει φωτισμού, αδύτου τήν ψυχήν, Ιερώς φωτιζόμενος, φώτισόν μου τήν καρδίαν, τήν φωσφόρον σου σήμερον, εορτήν ευφημούντος μακάριε.

Υπήρξας εκ παιδός, ιερώτατος όλως, αρεταίς συναυξηθείς, καί χρίσμα ιερόν, ειληφώς ιεράτευσας, Όσιε λαόν ποιμάνας, μαρτυρίου δε αίματι, λαμπρυνθείς υπέρ ήλιον έλαμψας.

Στρατός φωτοειδής, ιερώτατος δήμος, συναλθεί σοι καρτερώς, σοφέ Ιερουργέ μεθ' ών πάσαν διέλυσας, όφεως μηχανουργίαν, υπομείνας πολύπλοκα, ρωμαλέω φρονήματι βάσανα.

Τοίς ίχνεσι Χριστού, τού μεγάλου καί πρώτου, αρχιποίμενος Σοφέ, επόμενος βαφαίς, μαρτυρίου εφαίδρυνας, σού τής αρχιερωσύνης, τήν στολήν, διά τούτό σε, διανοίας τιμώμεν ευθύτητι.

Ηχήσας ως βροντή, σού ο ένθεος λόγος, εμβροντήτους ακοάς, παράφρονος εχθρού, κατεπτόησεν ένδοξε, όθεν σε καθυποβάλλει, ανηκέστοις κολάσεσι, τώ πρός Κύριον φίλτρω πυρούμενον.

Θεοτοκίον

Μακάριος εστίν, ο λαός Θεοτόκε, ο δοξάζων σε Θεού, Μητέρα αψευδή, καί αεί μακαρίζων σε, άχραντε, καθώς προείπας, ιερώς προφητεύουσα, οπηνίκα Χριστόν ένδον έφερες.

Ωδή γ' Ο Ειρμός
«Τόξον δυνατών ησθένησε, καί οι ασθενούντες, περιεζώσαντο δύναμιν, διά τούτο εστερεώθη, εν Κυρίω η καρδία μου».

Αίγλη τού Αγίου Πνεύματος, περιηνθισμένος, μέσον καμίνου εχόρευες, Νεανίας τούς πρίν οσίους, Παμμακάριστε μιμούμενος.

Τάξεις ιερών δυνάμεων, μέσον τής καμίνου, σύν σοί θεόφρον εχόρευον, μεθ' ών ύμνεις τόν Ευεργέτην, διαμένων ακατάφλεκτος.

Έχων τόν Χριστόν υπέρμαχον, μέσον τών τυράννων, εστώς απτόητος έμεινας, καί βασάνους καθυπομείνας, Μάρτυς ώφθης ενδοξότατος.

Θεοτοκίον

Ρήξον τάς σειράς Θεόνυνφε, τών αμαρτιών μου, η τά δεσμά διαρρήξασα, τά τού Άδου τώ τοκετώ σου, καί χαράς πάντα πληρώσασα.

Κάθισμα Ήχος δ'

Ο υψωθείς

Ιερωσύνης τήν στολήν επιχρώσας, ταίς τών αιμάτων σου βαφαίς λαμπροτέραν, περιφανώς απέδειξας θεράπον Χριστού, όθεν ανελήλυθας, εις μονάς αιωνίους, βρύων τοίς τιμώσί σε, ιαμάτων πελάγη, καί ικετεύων πάντοτε Θεόν, πάσι δοθήναι πταισμάτων συγχώρησιν.

Θεοτοκίον

Ου σιωπήσομεν ποτέ Θεοτόκε, τάς δυναστείας σου λαλείν οι ανάξιοι, ειμή γάρ σύ προϊστασο πρεσβεύουσα, τίς ημάς ερρύσατο εκ τοσούτων κινδύνων, τίς δέ διεφύλαξεν, έως νύν ελευθέρους; Ουκ αποστώμεν Δέσποινα εκ σού, σούς γάρ δούλους σώζεις αεί, εκ παντοίων δεινών.

Η Σταυροθεοτοκίον

Τόν εξ ανάρχου τού Πατρός γεννηθέντα, η επ' εσχάτων σε σαρκί τετοκυία, επί Σταυρού κρεμάμενον ορώσα Χριστέ, Οίμοι! ανεκραύγαζε, ποθεινότατον τέκνον, τί σοι ανταπέδωκε, τών Εβραίων ο δήμος; Αλλά ανάστηθι καί σώζε τούς εις σέ, πεπιστευκότας ως μόνος φιλάνθρωπος.

Ωδή δ' Ο Ειρμός

«Δι' αγάπησιν Οικτίρμον τής σής εικόνος, επί Σταυρού σου έστης, καί ετάκησαν έθνη, σύ γάρ εί φιλάνθρωπε, ισχύς μου καί ύμνησις».

Πάντες Σώσσον τόν λευΐτην καί αθλοφόρον, τόν Ιερόν τε Φαύστον, Πρόκουλόν τε τόν μέγαν, καί τόν Δισιδέριον, συμφώνως τιμήσωμεν.

Νυσταγμόν τής ασεβείας Πρόκουλε Μάρτυς, σύ μή νυστάξας όλως, εγρηγόρσεσι θείαις, πάσαν κατεκοίμισας, αθέων κακόνοιαν.

Όλως θείαις ευτυχήσας καλών ιδέαις, καί μαρτυρίου φέγγει απαστράψας ωραίως, μέγιστε Ευτύχιε, Θεώ ευηρέστησας.

Νέον ώσπερ Δανιήλ σε, θηρών εν μέσω, σύν τοίς συνάθλοις σώζει, αβλαβή εκβληθέντα ώ Ιανουάριε, Χριστός ο Θεός ημών.

Θεοτοκίον

Μεγαλύνωμεν τήν μόνην ευλογημένην, δι' ής μεγάλως πάντας, επευλόγησεν όντως, ο πανυπεράγαθος, εκ ταύτης σαρκούμενος.

Ωδή ε' Ο Ειρμός

«Σύ Κύριέ μου φώς, εις τόν κόσμον ελήλυθας, φώς άγιον επιστρέφον, εκ ζοφώδους αγνοίας, τούς πίστει ανυμνούντάς σε».

Αίματι Ιερώ, τήν στολήν σου Πανόλβιε, ετέλεσας λαμπροτέραν, καί ναόν πρός τόν άνω, ως ιερεύς ελήλυθας.

Ρεύσαν επί τής γής, τό πολύτιμον αίμά σου, γεγένηται ιαμάτων ποταμός, παθημάτων, ξηραίνων Πάτερ ρεύματα.

Τόν άδικον κριτήν, τυφλωθέντα εντεύξει σου, εφώτισας ευσπλαγχνίαν, τού Δεσπότου τών όλων, μιμούμενος, πανόλβιε.

Θεοτοκίον

Υμνούμέν σε δι' ής, τοίς εν σκότει φώς άδυτον, ανέτειλε Θεοτόκε, ο τών όλων Δεσπότης, καί πόθω μακαρίζομεν.

Ωδή ς' Ο Ειρμός

«Ήλθον εις τά βάθη τής θαλάσσης, καί κατεπόντισέ με, καταιγίς πολλών αμαρτημάτων, αλλ' ο Θεός, εκ φθοράς ανάγαγε, τήν ζωήν μου ως φιλάνθρωπος».

Ρήμασι σημεία θεωρήσας, δήμός σε παρανόμων, εργαζόμενον Ιερομύστα, τώ Ποιητή, εκ ψυχής προσέρχεται, παραδόξως φωτιζόμενος.

Ώφθης καί πρό τέλους Ιεράρχα, καί μετά θείον τέλος, εργαζόμενος πλήθος θαυμάτων, τήν δωρεάν, τού Αγίου Πνεύματος, από βρέφους κομισάμενος.

Νύν Ιερωτάτη συμφωνία, Φαύστον καί Σώσσον πάντες, Δισιδέριον σύν Ευτυχίω, καί τώ σοφώ Ακουτίω μέλψωμεν, καί Προκούλω τούς θεόφρονας.

Θεοτοκίον

Επ' ευεργεσία τών ανθρώπων, σών εξ αγνών αιμάτων, σεσωμάτωται ο Θεός Λόγος, όν εκτενώς, Θεομήτορ αίτησαι, τού σωθήναι τάς ψυχάς ημών.

Τό Μαρτυρικόν τού Ηχου.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΑ' τού αυτού μηνός, Μνήμη τού Αγίου Ιερομάρτυρος, Ιανουαρίου Επισκόπου, Προκούλου, Σώσσου καί Φαύστου Διακόνων, Δισιδερίου Αναγνώστου, Ευτυχίου καί Ακουτίωνος.

Στίχοι

- Τόν Ιανουάριον άνδρα γεννάδαν
- Απρίλιος μήν είδεν εκτετμημένον.

- Σύν τώ Προκούλω Σώσσον, αλλά καί Φαύστον,
- Πρό κουλεού κύψαντας έκτεινε ξίφος.
- Δισιδέριος τήν δέριν δούς τώ ξίφει,
- Τομήν υπέστη, καί παρέστη Κυρίω.
- Φωνής ακουτίσθητι τής, Ακουτίου,
- Λέγοντος, Ευτύχιε, συντμήθητί μοι,
- Ιανουαρίοιο κάρην τάμον εικάδι πρώτη.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος Αλεξάνδρας τής βασιλίσσης.

Στίχοι

- Ήδει μενούσης πρόξενον λαμπηδόνος,
- Τήν εν ζόφω κάθειρξιν η Αλεξάνδρα.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Απολλώ, Ισαακίου, καί Κορδάτου, λιμώ καί ξίφει τελειωθέντων.

Στίχοι

- Λιμαγχόνην οίσαντες Αθληταί δύο,
- Ψυχοκτόνων φεύγουσι δαιμοναγχόνην.
- Ζωμούς χύτρας σής, τούς ιδρώτας Κορδάτε,
- Άλατι τμηθείς αιμάτων παραρτύεις.

Τή αυτή ημέρα, Μνήμη τού εν Αγίοις Πατρός ημών Μαξιμιανού, Πατριάρχου Κωνσταντινουπόλεως.

Στίχοι

- Μαξιμιανός, ουχ ο παμφάγος λύκος,
- Αλλ' ο τροφεύς τέθνηκε τής Εκκλησίας.

Τή αυτή ημέρα' Μνήμη τού Οσίου Πατρός ημών Αναστασίου τού Σιναΐτου.

Στίχοι

- Αναστάσιος εν Σινά Μωσής νέος,
- Καί πρίν τελευτής τόν Θεόν βλέπειν έχει.

Ταίς τών Αγίων σου πρεσβείαις, Χριστέ ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ' Ο Ειρμός

«Νέοι τρείς εν Βαβυλώνι, πρόσταγμα τυραννικόν, εις φλήναφον θέμενοι, εν μέσω φλογός αωεβόων, Ευλογητός εί Κύριε, ο Θεός ο τών Πατέρων ημών».

Παΐδες θείους εμιμήσω, ανά μέσον τής φλογός, ώ Ιανουάριε, εν συγκαταβάσει, Αγγέλων περιχορεύων, καί ωδαίς μυστικαίς τόν Σωτήρα υμνών.

Άνοσον τόν λογισμόν σου, χάριτι θεία τηρών, καί πρό τής αθλήσεως, νόσους εθεράπευσας πάσας, ποιμήν καί μέγας, θαυματουργός γνωριζόμενος.

Ίστασο πρό τών βημάτων, Μάρτυς, τών τυραννικών, αθλών καρτερώτατα, καί τούς δυσσεβεϊς καταισχύνων, καί πλανηθείσιν άπασιν, υποδεικνύς τήν αλήθειαν.

Θεοτοκίον

Νέκρωσόν μου τάς κινήσεις, Άχραντε τάς τής σαρκός, ζωήν η κυήσασα, ζώωσον αγνή τήν ψυχήν μου, νεκρωμένην πάθεσι, καί πολλοίς αμαρτήμασιν.

Ωδή η' Ο Ειρμός

«Λυτρωτά τού παντός Παντοδύναμε, τούς εν μέσω φλογός ευ, σεβήσαντας, συγκαταβάς εδρόσισας, καί εδίδαξας μέλπειν, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον».

Ευφημείσθω ο μέγας νύν Πρόκουλος, καί σύν τώ Ευτυχίω Ακούτιος, ο θείος Δισιδέριος, Φαύστός τε καί Σώσσος ο γενναιόφρων, τού Σωτήρος οι ένδοξοι Μάρτυρες.

Σέ χορός Αθλοφόρων ο ένδοξος, κορυφαίον πλουτήσας επάτησεν, Ιερομύστα ένδοξε, κορυψάς τών δαιμόνων, καί αθεϊας, κορυψούμενον θράσος ηφάνισεν.

Ως οι Παίδες τό πύρ κατεπάτησας, καί θηρών τάς ορμάς εχαλίνωσας, ώς Δανιήλ πανάριστε, ώς δέ Παύλος τήν κάραν εναπετμήθης, ευσεβώς τελειώσας τόν δρόμον σου.

Θεοτοκίον

Οσκηνώσας αφράστως εν μήτρα σου, εαυτού οικητήριον έδειξε, σέ καθαρόν Πανάχραντε, ώ βοώμεν απαύστως, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον.

Ωδή θ' Ο Ειρμός

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, σύ δέ παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν».

Ιανουαρίου τά σεπτά παλαίσματα, τούς αγώνας καί τά στίγματα, τήν μέχρις αίματος ανδρείαν, τούς πόνους καί τόν βίαιον θάνατον, θαυμάτων τε τό άπειρον πέλαγος, εν ευφροσύνη μεγαλύνωμεν.

Ωράθης εν ύψει τής σεπτής αοίδιμε, μαρτυρίας ώσπερ άδυτος ήλιος, θείους ως αστέρας, Μαρτύρων τήν πληθύν επαγόμενος, καί νύν φωταγωγείται τά πέρατα, άθλων μεγίστων ταίς λαμπρότησιν.

Η μέραν τελέσωμεν πιστοί εόρτιον, ευφημούντες Ακουτίωνα, Πρόκουλον Σώσσον καί τόν Φαύστον, Ευτύχιον σοφόν Δισιδέριον, καί τόν Ιανουάριον

άσμασιν, ως υπέρ πάντων νύν πρεσβεύοντας.

Θεοτοκίον

Φωτός τού εν σοί μαρμαρυγαίς τυφλώττουσαν, τήν ψυχήν μου φωταγώγησον, καί χειραγώγησόν με Κόρη, οδούς σωτηριώδεις πορεύεσθαι, καί πλάνης εκφυγείν τά προσκόμματα, όπως εν, πίστει μακαρίζω σε.

Τό Φωταγωγικόν, τό Ιδιόμελον, καί η λοιπή Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΒ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Θεοδώρου τού Συκεώτου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, κυριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'

Τών ουρανίων ταγμάτων

Ιερομύστης τού Λόγου Πάτερ γενόμενος, καί αρεταίς εκλάμψας, τή τού Πνεύματος αίγλη, Θεόδωρε τρισμάκαρ, παρέχεις ημίν, ιαμάτων χαρίσματα, τοίς εν τή μνήμη σου ταύτη τή Ιερά, προσιούσι καί τιμώσί σε.

Ταίς ουρανίαις ακτίσι περιλαμπόμενος, τή τού Χριστού δυνάμει, τάς ιάσεις παρέχεις, τοίς πίστει σε αιτούσι, καί ευσεβώς, εκτελούσι τήν μνήμην σου, θεομακάριστε Πάτερ θαυματουργέ, αξιάγαστε Θεόδωρε.

Τού αμπελωνος εργάτης, διά τής πράξεως, τών εντολών εδείχθης, τού Χριστού θεοφόρε, διό τής βασιλείας, τής άνω λαβών, μυστικώς τό δηνάριον, αδιαλείπτως πρεσβεύεις υπέρ ημών, τών τιμώντων σε Θεόδωρε.

Δόξα... Καί νύν... Θεοτοκίον

Θεομακάριστε Κόρη Θεοχαρίτωτε, η των αμαρτανόντων, κραταιά προστασία, τών καταπονουμένων η κραταιά, καί βεβαία αντίληψις, Θεοκυήτορ Παρθένε, πάντων πιστών, καταφύγιον πανύμνητε.

Η Σταυροθεοτοκίον

Εν τώ Σταυρώ σε ορώσα, Χριστέ κρεμάμενον, η άμωμος Παρθένος, η ασπόρως τεκούσα, εβόα θρηνωδούσα, Υιέ καί Θεέ, τίς η θεία καί άφατος, οικονομία σου Λόγε, δι' ής βροτους, τής κατάρας ηλευθέρωσας!

Καί Απόλυσις

### ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τής ημέρας, καί τού Αγίου, ού η Ακροστιχίς.

Θείόν σε δώρον παμμάκαρ μέλπω, Πάτερ. Ο Ιωσήφ.

Ωδή α'  Ήχος δ'
Ο Ειρμός

«Τώ οδηγήσαντι πάλαι, τόν Ισραήλ φεύγοντα, εκ τής δουλείας τού Φαραώ, καί εν ερήμω θρέψαντι, άσωμεν ώς λυτρωτή ημών Θεώ, ότι δεδόξασται».

Θεοφεγγή σε αστέρα, ο νοητός Ήλιος, τω στερεώματι Σοφέ, τής Εκλησίας ανέδειξε, βολάς θαυμάτων εκπέμποντα πάντοτε, καί παθημάτων τήν αχλύν αφανίζοντα.

Εκ μητρικής σε νηδύος, Ο Ποιητής Όσιε, Ιερεμίαν ως τό πρίν, καθαγιάσας ειργάσατο, σκεύος τού Πνεύματος εύχρηστον, πνεύματα αποσοβούντα, πονηρά Πάτερ Θεόδωρε.

Ιδρώσι τής εγκρατείας, φλόγα παθών έσβεσας, καί επομβρία προσευχών, ρείθρα θαυμάτων έβλυσας, καύσωνα αρρωστημάτων σβεννύοντα, Πάτερ Θεόδωρε.

Θεοτοκίον

Ο αγεώργητος βότρυς, σού εκ γαστρός ήνθησε, Παρθενομήτορ γλυκασμόν, αναβλαστάνων αφέσεως, καί ευφροσύνης πανάχραντε, άπασι τοίς εκ τής μέθης, τών δεινών παραφρονήσασιν.

Ωδή γ'  Ο Ειρμός

«Ο στερεών βροντήν καί κτίζων πνεύμα, στερέωσόν με Κύριε, ίνα ύμνώ σε ειλικρινώς, καί ποιώ τό θέλημά σου, ότι ουκ έστιν Άγιος, ως σύ ο Θεός ημών».

Ως θαυμαστός ο βίος σου θεόφρον! ώς φοβερά τά θαύματα! ως υψηλή σου η πρός Θεόν, οικείωσις καί νεύσις, καί ακλινής ανάβασις! πανένδοξε Θεόδωρε.

Ρύμην παθών ανέστειλας παμμάκαρ, τών πόνων επιδόσεσι, καί τών δαιμόνων τάς δολεράς, εξηφάνισας ενέδρας, τού Παναγίου Πνεύματος, ισχΰϊ Θεόδωρε.

Οι τή σεπτή προστρέχοντες σορώ σού, εκ ταύτης αρυόμεθα, τών ιαμάτων τούς θησαυρούς, καί θαυμάτων τά πελάγη, καί δωρεάν τήν άφθονον, υμνούντές σε Θεόδωρε.

Θεοτοκίον

Νόμοι εν σοί τής φύσεως Παρθένε, καινοτομούνται, τίκτεις γάρ, υπερφυώς τόν Δημιουργόν, υπέρ λόγον τόν Δεσπότην, όν εκτενώς ικέτευε, σωθήναι τούς δούλους σου.

Κάθισμα  Ήχος δ'
Ο υψωθείς

Αγωνισάμενος καλώς Ιεράρχα, κατά πνευμάτων πονηρών εξουσίαν, παρά Κυρίου έλαβες Θεόδωρε, λύειν τά νοσήματα, καί ιάσθαι ποικίλα, πάντων αρρωστήματα, τών πιστώς προστρεχόντων, τή σή τιμία πάντοτε σορώ, ήν προσκυνούντες αεί ευφημούμέν σε.

Θεοτοκίον

Τών ακαθάρτων λογισμών μου τά πλήθη, καί τών ατόπων εννοιών τάς νιφάδας, τίς εξειπείν δυνήσεται Παρθένε αγνή, τάς επαναστάσεις δέ, τών ασάρκων εχθρών μου, τίς εκδιηγήσεται, καί τήν τούτων κακίαν, Αλλά τή σή, πρεσβεία αγαθή, τούτων μοι πάντων τήν λύτρωσιν δώρησαι.

Η Σταυροθεοτοκίον

Τόν εξ ανάρχου τού Πατρός γεννηθέντα, η επ' εσχάτων σε σαρκί τετοκυία, επί Σταυρού κρεμάμενον ορώσά σε Χριστέ, Οίμοι! ανεκραύγαζε, ποθεινότατον Τέκνον, τί, σοι ανταπέδωκε, τών Εβραίων ο δήμος; Αλλά ανάστηθι καί σώσον ως Θεός, τόν κόσμον πάντα, χειρός τού αλάστορος.

Ωδή δ'  Ο Ειρμός

«Εισακήκοα ο Θεός, τήν ακοήν σου καί εφοβήθην, κατενόησα τά έργα σου, καί εξέστην Κύριε, ότι τής σής αινέσεως πλήρης η γή».

Ποταμός υπάρχεις σαφώς, πεπληρωμένος ναμάτων θείων, χαρισμάτων τε τού Πνεύματος, καταρδεύων άπασαν, τήν Εκκλησίαν Πάτερ Θεόδωρε.

Απηγχόνισας τόν εχθρόν, νευραίς τών πόνων τών σών παμμάκαρ, καί τά τούτου εξωλόθρευσας, πονηρά στρατεύματα, τών προσευχών σου ξίφει Θεόδωρε.

Μελετών τόν νόμον Θεού, εν διεξόδοις τής εγκρατείας, θείον ξύλον ανεβλάστησας, ευκαρπίαν πράξεων, τών εναρέτων φέρων Θεόδωρε.

Θεοτοκίον

Μακαρία εκ γενεών, πασών εδείχθης, Χριστόν τεκούσα, μακαρίους εργαζόμενον, τούς αυτώ
δουλεύοντας, Παρθενομήτορ άχραντε Δέσποινα.

Ωδή ε'  Ο Ειρμός

«Ανάτειλόν μοι Κύριε, τό φώς τών προσταγμάτων σου, ότι πρός σέ Χριστέ τό πνεύμά μου, ορθρίζει καί υμνεί σε, σύ γάρ εί Θεός ημών, καί πρός σέ καταφεύγω, τής ειρήνης Βασιλεύ».

Ακοίμητον λαμπάδα σε, καί λύχνον μή σβεννύμενον, τό φώς τό άχρονον ανέδειξε, τοίς ζόφω κρατουμένοις, τών παθών Θεόδωρε, καί τή αμαυρότητι, τών πολλών αμαρτιών.

Καλώς παιδοτριβούντά σε, τόν Μάρτυρα Γεώργιον, εξ απαλών ονύχων έσχηκας, καί τούτου εμιμήσω, τό εν πάσι πρόθυμον, καί τήν πρός τόν Κύριον, Πάτερ Όσιε στοργήν.

Ανόθευτον εγκράτειαν, υπομονήν ασύγκριτον, πίστιν ελπίδα καί ταπείνωσιν, έσχες υπέρ άνθρωπον, όθεν υπερβάλλουσαν, χάριν εύρες εκ Θεού.

Θεοτοκίον

Ρανίσι τού ελέους σου, κατάρδευσον Πανάχραντε, τήν εκτακείσάν μου διάνοιαν, φλογμώ τής αμαρτίας, καί τόν εσβεσμένον μου, τής καρδίας άναψον, λύχνον πύλη τού φωτός.

Ωδή ς' Ο Ειρμός

«Ζάλη με λογισμών καταλαβούσα, εις βυθόν καθέλκει με, αμέτρων αμαρτημάτων αλλά σύ Κυβερνήτα αγαθέ, προφθάσας ανάγαγε, ως τόν Προφήτην καί σώσόν με».

Μέριμναν τών γηϊνων απεκρούσω, όλον δέ εκένωσας, τόν πόθον πρός τόν Δεσπότην, ενηδόμενος τούτου καλλοναίς, καί ταίς αναβλυζούσαις, Πάτερ εκείθεν ελλάμψεσιν.

Έλυσας παγετόν τής αμαρτίας, κρύει πιεζόμενος, κλωβού ιστάμενος μέσον, καί ως άσαρκος Πάτερ, προσβολάς, υπήνεγκας αέρων, θεία θαλπόμενος χάριτι.

Λάρνακι ιερά σου προσιόννες, οσμής θείας γνώσεως, πληρούμεθα Ιεράρχα, δυσωδίας λυτρούμενοι παθών, οι πόθω σε τιμώντες, θαυματουργέ Πάτερ Όσιε.

Θεοτοκίον

Παθών με τρικυμία συνταράσσει, βυθός απογνώσεως, χειμάζει μου τήν καρδίαν, κυβερνήτην κυήσασα Χριστόν, Παρθένε καί Σωτήρα, ρύσαι καί σώσόν με δέομαι.

Κοντάκιον Ήχος γ'

Η Παρθένος σήμερον

Ως πυρίνω άρματι, ταίς αρεταίς Θεοφόρε, επιβάς ανέδραμες, εις ουρανίους οικήσεις, Άγγελος μετά ανθρώπων συμβιοτεύων, άνθρωπος σύν τοίς Αγγέλοις περιχορεύων, διά τούτο ανεδείχθης, θαυμάτων θείον, δοχείον Θεόδωρε.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΒ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Θεοδώρου τού Συκεώτου, Επισκόπου Αναστασιουπόλεως.

Στίχοι

- Καί Θεοδώρω, καί νεκρώ Θεοδώρου,
- Τό θαυματουργείν δώρον εκ Θεού μέγα.
- Εικάδι δευτερίη Συκεώτην τύμβος έκρυψεν.

Τή αυτή ημέρα, ο Άγιος Μάρτυς Νέαρχος πυρί τελειούται.

Στίχοι

- Τού πρός σέ, Σώτερ, εμπύρου θείου πόθου,
- Νέαρχος είπεν, ουδέ πύρ με χωρίσει.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Ἀποστόλου Ναθαναήλ, ός εστι Σίμων ο Ζηλωτής, ήτοι η ανάμνησις τής πρός τόν Χριστόν αυτού γνωρίσεως.

Στίχοι

Τόν Ναζαρηνόν γνούς Ναθαναήλ μέγαν, Τήν Ναζαρέτ σίγησον άχρηστον λέγειν.

Ταίς τών Αγίων σου πρεσβείαις, Χριστέ ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ' Ο Ειρμός

«Τόν εν καμίνω τούς Παίδας, αφλέκτους τηρήσαντα, καί τό πύρ κατασβέσαντα, υμνήσωμεν λέγοντες, Ευλογητός εί κυριε, ο Θεός ο τών Πατέρων, εις πάντας τούς αιώνας».

Ως αψευδής Ιεράρχης, θυσίαν αναίμακτον, προσήγαγες εν Πνεύματι, καί παθών νεκρότητι, θύμα ευώδες Παμμάκαρ, σεαυτόν τώ Δεσπότη, προσήνεγκας εν πίστει.

Πύρ ηδονών εγκρατείας, ιδρώσι κατέσβεσας, αυχμόν τε γής ανέστειλας, όμβρων επικλύσεσι θαυματουργέ, ως Ηλίας ουρανούς κεκλεισμένους, ευχαίς σου υπανοίγων.

Αγιασθείς από βρέφους, ευχής γενναιότητι στειρευούσας εποίησας, γαστέρας πολύπαιδας, τυφλοίς παρέσχες τό βλέπειν, καί χωλοίς ευδρομίαν, Θεόδωρε τρισμάκαρ.

Θεοτοκίον

Τήν καλλονήν Ιακώβ σε, Θεός εξελέξατο, καί εν σοί κατεσκήνωσε, καί σέ διετήρησε, καί μετά τόκον Παρθένον, ώσπερ ής πρό τού τόκου, Παρθένε Θεοτόκε.

Ωδή η' Ο Ειρμός

«Γή καί πάντα τά εν αυτή, καί θάλασσα, καί πάσαι αι πηγαί, οι ουρανοί τών ουρανών, φώς καί σκότος, ψύχος καί καύσων, υιοί τών ανθρώπων, Ιερείς ευλογείτε τόν Κύριον, καί υπερυψούτε, αυτόν εις τούς αιώνας».

Επί πέτραν υπομονής, ερείσας σου τάς βάσεις τής ψυχής, ού παρετράπης προσβολαίς εναντίαις, ουκ εσαλεύθης, εχθρών επηρείαις, αλλά ύψος πρός θείον ανέδραμες, υπέρ τών πίστει τιμώντων σε πρεσβεύων.

Ρείθρον πρόεισιν εκ σορού, ιάσεων τής σής θαυματουργέ, καί αποπλύνει μολυσμούς παθημάτων, καί σηπεδόνας δεινών εκκαθαίρει, καί πιστών καταρδεύει Θεόδωρε, πάντων τάς καρδίας, τών πόθω σε τιμώντων.

Ο τών δώρων τών θεϊκών, επώνυμος, καί μύστης τού Χριστού, τών Ασκητών η καλλονή, Ιερέων ωραιότης, θαυμάτων η βρύσις, η σεπτή μυροθήκη τού Πνεύματος, νύν ανευφημείσθω, Θεόδωρος ο μέγας.

Θεοτοκίον

Ιεραί σεπτών Προφητών, κηρύττουσι φωναί συμβολικώς, πύλην καί όρος καί σκηνήν, καί αγίαν φωτός νεφέλην, εξ ής τοίς εν σκότει καί σκιά καθημένοις ανέτειλεν, Ήλιος Παρθένε, Χριστός ο φωτοδότης.

Ωδή θ'  Ο Ειρμός

«Ότι εποίησέ μοι μεγαλεία ο Δυνατός, καί άγιον τό Όνομα αυτού, καί τό έλεος αυτού, εις γενεάν καί γενεάν τοίς φοβουμένοις αυτόν».

Ως όρθρος, ως ημέρα διαυγής, η σή εορτή, επέφανε φωτίζουσα ημών, τάς καρδίας τών πιστώς ανευφημούντων, τούς σεπτούς πόνους σου Πάνσοφε.

Συνόμιλος, Αγγέλων, Αποστόλων καί Αθλητών, Οσίων καί Δικαίων γεγονώς, Πάτερ καί Ιεραρχών, εν ουρανοίς υπέρ ημών, Χριστώ πρεσβεύεις αεί.

Ηθήκη τών αγίων σου, λειψάνων Πάτερ σοφέ, ως άλλη κολυμβήθρα Σιλωάμ, εγνωρίσθη τοίς πιστοίς, ή προσιόντες, τάς ψυχάς αγιαζόμεθα.

Θεοτοκίον

Φρικτή σου η λοχεία, Θεοτόκε Μήτηρ Θεού, διό σε μακαρίζομεν αεί, καί δοξάζομεν πιστώς, αι γενεαί τών γενεών, εις τούς αιώνας. Αμήν.

Καί η λοιπή Ακολουθία, ως σύνηθες, η Α' Ώρα καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΓ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου ενδόξου Μεγαλομάρτυρος Γεωργίου τού τροπαιοφόρου.

Ει βούλεται ο Προεστώς ποιήσαι Αγρυπνίαν.

### ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια τού Αγίου.

Ήχος α'

Τών ουρανίων ταγμάτων

Τής αληθείας τό έαρ, λαμπρώς εφέστηκε, καί νεουργεί τήν κτίσιν, ευσεβεί επιγνώσει, Χριστού τού ζωοδότου, όθεν σαφώς, φωτισθείς τήν διάνοιαν, ο αθλητής τού Κυρίου, τήν τών εχθρών, κατεπάτησεν απόνοιαν.

Τώ Βασιλεί τών αιώνων, σύ εστρατεύσω σοφέ, καί παρατάξεις πάσας, καθελών τών ανόμων, Γεώργιε τρισμάκαρ, στερρός αθλητής, ανεδείχθης τή χάριτι, τή εκ Θεού σοι δοθείση θαυματουργέ, διό πρέσβευε σωθήναι ημάς.

Ρείθρα ιάσεων νέμεις, τοίς σοί προστρέχουσι, Γεώργιε τρισμάκαρ, καί ψυχών καί σωμάτων, αρωγός σύ υπάρχεις, τοίς πίστει θερμή, προσιούσι τή σκέπη σου, αξιοθαύμαστε Μάρτυς τού Ιησού, Αθλοφόρων εγκαλλώπισμα.

Δόξα... Ήχος α'

Τού μεγάλου Βασιλέως στρατιώτα Γεώργιε, χαίρε καί ευφραίνου, Θεώ γάρ ευηρέστησας, πάντων καταφρονήσας, ζωήν τήν αιώνιον εύρες εν ουρανοίς, τό γάρ σώμά σου πάσαν νόσον εξ ανθρώπων απελαύνει, Χριστός γάρ όν επόθησας, αυτός σε δοξάζει μακάριε.

Καί νύν... Τής Εορτής

Εις τόν Στίχον, Στιχηρά Προσόμοια τού Αγίου.

Ήχος β'

Οίκος τού Εφραθά

Εύγε τής υπέρ νούν, χαράς ής ηξιώθης, Γεώργιε τρισμάκαρ, παρά Χριστού τού Κτίστου, ώς Μάρτυς απαράγραπτος.

Στίχ. Δίκαιος ως φοίνιξ ανθήσει καί ωσεί κέδρος η εν τώ Λιβάνω πληθυνθήσεται.

Χαίροις τών Αθλητών, ο μέγας ταξιάρχης, καί τών πιστών απάντων, προσφύγιον καί τείχος, καλλίνικε Γεώργιε.

Στίχ. Θαυμαστός ο Θεός εν τοίς Αγίοις αυτού.

Λύτρωσαι τών δεινών, τών νύν παρενοχλούντων, τήν ταπεινήν ψυχήν μου, ως άριστος προστάτης, Μάρτυς Χριστού Γεώργιε.

Δόξα... Ήχος δ' Ανατολίου

Πάντα τά έθνη κροτήσατε χείρας, αλαλάξωμεν τώ Θεώ τώ Σωτήρι ημών, ότι εν ξύλω υψωθείς, καί εντάφω κατελθών, τόν Άδην εσκύλευσε, καί νεκρούς συνήγειρε, βοώντας αυτώ, Αλληλούϊα, Αλληλούϊα, Αλληλούϊα Χριστώ τώ αναστάντι.

Καί νύν... Τής Εορτής

Απολυτίκιον Ήχος δ'

Ως τών αιχμαλώτων ελευθερωτής, καί τών πτωχών υπερασπιστής, ασθενούντων ιατρός, βασιλέων υπέρμαχος, Τροπαιοφόρε Μεγαλομάρτυς Γεώργιε, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Καί τής Εορτής, καί Απόλυσις

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετά τόν Προοιμιακόν, καί τήν α' Στάσιν τού Μακάριος ανήρ, εις τό Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τού Αγίου.

Ήχος δ' Αυτόμελον

Ως γενναίον εν Μάρτυσιν, αθλοφόρε Γεώργιε, συνελθόντες σήμερον, ευφημούμέν σε, ότι τόν δρόμον τετέλεκας, τήν πίστιν τετήρηκας, καί εδέξω εκ Θεού, τόν τής νίκης σου στέφανον, όν ικέτευε, εκ φθοράς καί κινδύνων λυτρωθήναι, τούς εν πίστει εκτελούντας, τήν αεισέβαστον μνήμην σου.

Ρωμαλέω φρονήματι, πεποιθώς ηυτομόλησας, ώσπερ λέων ένδοξε, πρός τήν άθλησιν, υπερορών μέν τού σώματος, ως φθείρεσθαι μέλλοντος, τής αφθάρτου δέ ψυχής, σοφώς επιμελούμενος, καί κολάσεων, πολυτρόποις ιδέαις έπυρώθης, ως χρυσός κεκαθαρμένος, επταπλασίως Γεώργιε.

Τώ Σωτήρι συνέπαθες, καί θανάτω τόν θάνατον, εκουσίως ένδοξε μιμησάμενος, συμβασιλεύεις λαμπρότατα, πορφύραν έξ αίματος, ενδυσάμενος φαιδράν, καί τώ σκήπτρω τών άθλων σου, εγκοσμούμενος, καί στεφάνω τής νίκης διαπρέπων, απεράντους εις αιώνας, Μεγαλομάρτυς Γεώργιε.

Τώ τής πίστεως θώρακι, καί ασπίδι τής χάριτος, καί Σταυρού τώ δόρατι, συμφραξάμενος, τοίς εναντίοις ανάλωτος, εγένου Γεώργιε, καί ως θείος αριστεύς, τών δαιμόνων τάς φάλαγγας, τροπωσάμενος, σύν Αγγέλοις χορεύεις, τούς Πιστούς δέ, περιέπων αγιάζεις, καί διασώζεις καλούμενος.

Ως αστέρα πολύφωτον, ώσπερ ήλιον λάμποντα, εν τώ στερεώματι, σέ γινώσκομεν, Ως μαργαρίτην πολύτιμον, ως λίθον αυγάζοντα, ως ημέρας σε υιόν, ως γενναίον εν Μάρτυσιν, ως υπέρμαχον, τών πιστών εν κινδύνοις ευφημούμεν, εκτελούντές σου τήν μνήμην, τροπαιοφόρε Γεώργιε.

Εν θαλάσση με πλέοντα, έν οδώ με βαδίζοντα, εν νυκτί καθεύδοντα, περιφρούρησον, επαγρυπνούντα διάσωσον, παμμάκαρ Γεώργιε, καί αξίωσον ποιείν, τού Κυρίου τό θέλημα, όπως εύροιμι, εν ημέρα τής δίκης τών εν βίω, πεπραγμένων μοι τήν λύσιν, ο προσδραμών εν τή σκέπη σου.

Δόξα... Ήχος πλ. β'

Αξίως τού ονόματος, επολιτεύσω στρατιώτα Γεώργιε, τόν σταυρόν γάρ τού Χριστού, επ' ώμων αράμενος, τήν εκ διαβολικής πλάνης χερσωθείσαν γήν εκαλλιέργησας, καί τήν ακανθώδη θρησκείαν τών ειδώλων εκριζώσας, τής Ορθοδόξου Πίστεως κλήμα κατεφύτευσας, όθεν βλυστάνεις ιάματα, τοίς εν πάση τή οικουμένη πιστοίς, καί Τριάδος γεωργός, δίκαιος ανεδείχθης,

Πρέσβευε δεόμεθα, υπέρ ειρήνης τού κόσμου, καί σωτηρίας τών ψυχών ημών.

Καί νύν... Τής τυχούσης Εορτής

Είσοδος, τό, Φώς ιλαρόν, Τό Προκείμενον τής ημέρας, καί τά Αναγνώσματα.

Προφητείαις Ησαΐου τό Ανάγνωσμα
(Κεφ. 43, 9-14)

Τάδε λέγει Κύριος, Πάντα τά έθνη συνήχθησαν άμα καί συναχθήσονται άρχοντες εξ αυτών, Τίς αναγγελεί ταύτα εν αυτοίς; ή τά εξ αρχής, τίς ακουστά ποιήσει ημίν, Αγαγέτωσαν τούς μάρτυρας αυτών, καί δικαιωθήτωσαν, Καί ειπάτωσαν αληθή, Γίνεσθέ μοι μάρτυρες, καί εγώ μάρτυς Κύριος ο Θεός, καί ο παίς, όν εξελεξάμην, ίνα γνώτε καί Πιστεύσητε, καί συνήτε, ότι εγώ ειμι, Εμπροσθέν μου ουκ εγένετο άλλος Θεός, καί μετ εμέ ουκ έσται, Εγώ ειμι ο Θεός, καί ουκ έστι πάρεξ εμού ο σώζων. Εγώ ανήγγειλα καί έσωσα, ωνείδισα, καί ουκ ήν εν ημίν αλλότριος. Υμείς εμοί μάρτυρες, καί εγώ Κύριος ο Θεός, ότι απ' αρχής εγώ ειμι, καί ουκ έστιν ο εκ τών χειρών μου εξαιρούμενος. Ποιήσω, καί τίς αποστρέψει αυτό. Ούτω λέγει Κύριος ο Θεός, ο λυτρούμενος ημάς, ο Άγιος Ισραήλ.

Σοφίας Σολομώντος τό Ανάγνωσμα
(Κεφ. 3, 1-9)

Δικαίων ψυχαί εν χειρί Θεού, καί ου μή άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι. Καί ελογίσθη κάκωσις η έξοδος αυτών, καί η αφ' ημών πορεία σύντριμμα, οι δέ εισιν εν ειρήνη. Καί γάρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Καί ολίγα παιδευθέντες, μεγάλα ευεργετηθήσονται, ότι ο Θεός επείρασεν αυτούς, καί εύρεν αυτούς αξίους εαυτού. Ως χρυσόν εν χωνευτηρίω εδοκίμασεν αυτούς, καί ως ολοκάρπωμα θυσίας προσεδέξατο αυτούς. Καί εν καιρώ επισκοπής αυτών αναλάμψουσι, καί ως σπινθήρες εν καλάμη διαδραμούνται. Κρινούσιν έθνη, καί κρατήσουσι λαών καί βασιλεύσει αυτών Κύριος εις τούς αιώνας, οι πεποιθότες επ' αυτόν, συνήσουσιν αλήθειαν, καί οι πιστοί έν αγάπη προσμενούσιν αυτώ, ότι χάρις καί έλεος εν τοίς οσίοις αυτού, καί επισκοπή εν τοίς εκλεκτοίς αυτού.

Σοφίας Σολομώντος τό Ανάγνωσμα
(Κεφ. 5, 15-23 & 6, 1-3)

Δίκαιοι εις τόν αίωνα ζώσι, καί εν Κυρίω ο μισθός αυτών, καί η φροντίς αυτών παρά Υψίστω. Διά τούτο λήψονται τό βασίλειον τής ευπρεπείας, καί τό διάδημα τού κάλλους εκ χειρός Κυρίου, ότι τή δεξιά αυτού σκεπάσει αυτούς, καί τώ βραχίονι υπερασπιεί αυτών. Λήψεται πανοπλίαν, τόν ζήλον αυτού, καί οπλοποιήσει τήν κτίσιν εις άμυναν εχθρών. Ενδύσεται θώρακα, δικαιοσύνην, καί περιθήσεται κόρυθα, κρίσιν ανυπόκριτον. Λήψεται ασπίδα ακαταμάχητον, οσιότητα, οξυνεί δέ απότομον οργήν εις ρομφαίαν. Συνεκπολεμήσει αυτώ ο κόσμος επί τούς παράφρονας, πορεύσονται εύστοχοι βολίδες αστραπών, καί

ως από ευκύκλου τόξου τών νεφών, επί σκοπόν αλούνται, καί εκ πετροβόλου θυμού πλήρεις ριφήσονται χάλαζαι. Αγανακτήσει κατ' αυτών ύδωρ θαλάσσης, ποταμοί δέ συγκλύσουσιν αποτόμως. Αντιστήσεται αυτοίς πνευμαδυνάμεως, καί ως λαίλαψ εκλικμήσει αυτούς, καί ερημώσει πάσαν τήν γήν ανομία, καί η κακοπραγία περιτρέψει θρόνους δυναστών. Ακούσατε ούν, Βασιλείς, καί σύνετε, μάθετε, δικασταί περάτων γής, ενωτίσασθε οι κρατούντες πλήθους, καί γεγαυρωμένοι επί όχλοις εθνών, ότι εδόθη παρά Κυρίου η κράτησις υμίν, καί η δυναστεία παρά Υψίστου.

Εις τήν Λιτήν, Στιχηρά Ιδιόμελα.

Ήχος α'  Ανατολίου

Ο λαμπρός αριστεύς Γεώργιος, εν τή ενδόξω αθλήσει αυτού, τάς άνω Δυνάμεις ευφραίνει, καί σύν αυταίς αγαλλόμενος νύν, επίγειον τοίς πιστοίς πανήγυριν ήγειρε, καί συνεορτάζειν ημίν τοίς δι' αυτόν ήθροισμένοις, ως Χριστού δούλος παραγέγονε, Διόπερ αυτόν αξίως τιμήσωμεν, απαύστως πρεσβεύοντα τώ τών όλων Θεώ, δωρηθήναι ημίν τό μέγα έλεος.

Ο αυτός

Αριστείαις άθλων γεωργών τά κρείττονα, τούς πόνους τών καρπών σου, τώ Χριστώ προσήνεγκας, παμμακάριστε Μάρτυς Γεώργιε, πίστει πόθον ενστησάμενος, ελπίδι φόβον απωσάμενος, αγάπη εκτήσω τά ουράνια πανεύφημε, Παρρησίαν ούν έχων, ευπροσδέκτοις δεήσεσιν, αίτησαι ταίς ψυχαίς ημών τήν ειρήνην, ιλασμόν τε αμαρτιών, καί τό μέγα έλεος.

Ο αυτός

Τού μεγάλου Βασιλέως στρατιώτα Γεώργιε, χαίρε καί ευφραίνου, Θεώ γάρ ευηρέστησας, πάντων καταφρονήσας, ζωήν τήν αιώνιον εύρες εν ουρανοίς, τό γάρ σώμά σου πάσαν νόσον εξ ανθρώπων απελαύνει, Χριστός γάρ όν επόθησας, αυτός σε δοξάζει μακάριε.

Ήχος δ'

Δεύτε φιλομάρτυρες, ασματικήν υμνωδίαν, τώ αναστάντι εκ τάφου Χριστώ προσάξωμεν, Σήμερον γάρ έαρ νοητόν ανέτειλεν ημίν, περκάζον άνθη τά λογικά, η παγκόσμιος μνήμη Γεωργίου τού σοφού Μεγαλομάρτυρος, ού τινος τά στίγματα ανανεούντες, κομιζόμεθα ιαμάτων πηγάς, Αυτόν καί νύν ικετεύσωμεν, τού πρεσβεύειν απαύστως τώ Σωτήρι Χριστώ, ειρήνην τή οικουμένη δωρήσασθαι, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Ο αυτός  Ανατολίου

Πάντα τά έθνη κροτήσατε χείρας, αλαλάξωμεν τώ Θεώ τώ Σωτήρι ημών, ότι εν ξύλω υψωθείς, καί εν τάφω κατελθών, τόν Άδην εσκύλευσε, καί νεκρούς συνήγειρε, βοώντας αυτώ, Αλληλούϊα, Αλληλούϊα, Αλληλούϊα Χριστώ τώ αναστάντι.

Ο αυτός

Στέφανον δόξης επί κεφαλής σου ανεδήσω, στεφανηφόρε Γεώργιε, τόν γάρ αόρατον εχθρόν, ως ο Παύλος εκβοά, ορών εκαρτέρησας, νικητής γενόμενος τής πλάνης αυτού, Αλληλούϊα, Αλληλούϊα, Αλληλούϊα Χριστώ τώ αναστάντι.

Ο αυτός

Άσμα ασμάτων χορεύοντες άμα, προσενέγκωμεν τώ Χριστώ φιλομάρτυρες, ότι τόν τύραννον εχθρόν, ο γενναίος Αθλητής, πτερνίσας κατέβαλε, διό πάντες άσωμεν απαύστοις φωναίς Δόξα Σώτερ τή φρικτή σου αναστάσει, δι' ής έσωσας τόν κόσμον.

Δόξα... Ήχος β'
Ιωάννου Μοναχού

Νευέτω δίκαια, έφησεν ο Σολομών, τοίς βροτοίς τά βλέφαρα, ελεηθήσεται γάρ παρά Χριστού τού Θεού ο βλέπων λεία, προηγόρευσεν, Ευμαρώς δέ ταύτα ενωτισθείς, ώ πολύτλα Γεώργιε, τού Δεσπότου ταίς διδαχαίς ηκολούθησας, καί ανόμοις εκδοθείς εκαρτέρησας, τής πλάνης τά όργια καταπτύσας ώς βέβηλα, τό σώμα γάρ ο παρέδωκας, υπέρ αγάπης τού πλάσαντος, όλον μελνδόν κατετέμνετο, καί ο Βελίαρ μάλλον, όλος αισχυνθείς επιτρώσκετο, στεφηφόρον σε Ορών ακμαιότατον, Όθεν εν αυλαίς οικών τού Κυρίου σου, σύν ταίς άνω Δυνάμεσι, πρέσβευε αθλοφόρε Χριστώ, σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Τής Εορτής

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος δ' Ο εξ υψίστου κληθείς

Ανευφημούσι λαοί ψαλμοίς καί ύμνοις, σού τήν παναοίδιμον, μνήμην Γεώργιε, ως ευπρεπής γάρ εξέλαμψε, καί φωτοφόρος, πεποικιλμένη δόξη καί χάριτι, όθεν καί σκιρτώσι νύν, Αγγέλων τάγματα, επικροτούσι δέ Μάρτυρες, σύν Αποστόλοις, τών σών αγώνων Μάρτυς τά έπαθλα, καί ανυμνούσι, τόν δοξάσαντα, σέ Σωτήρα Χριστόν τόν Θεόν ημών, όν ικέτευε σώσαι, Καί φωτίσαι τάς ψυχάς ημών.

Στίχ. Δίκαιος ως φοίνιξ ανθήσει καί ωσεί κέδρος η εν τώ Λιβάνω πληθυνθήσεται.

Ενδεδυμένος Χριστού τήν πανοπλίαν, ευρέθης Γεώργιε, τοίς μή ζητούσί σε, υπέρ Χριστού πυρπολούμενος, καί μυκτηρίζων, θεών ματαίων πλάνην ψυχόλεθρον, τότε καί, Στρατεύομαι, τώ Βασιλεί μου Χριστώ, τοίς παρανόμοις εκραύγαζες, ουδέ γάρ θήρες, ουδέ τροχοί, ου πύρ, ουδέ μάχαιρα, εμέ χωρίσαι κατισχύσουσι, τής αγάπης Χριστού τού Θεού ημών, όν ικέτευε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

Στίχ. Τοίς Αγίοις τοίς εν τή γή αυτού εθαυμάστωσεν ο Κύριος.

Καταφρονήσας οργάνων πολυμόρφων, ποικίλων βασάνων τε, καί καταπέλτου φρικτού, στεφανηφόρε Γεώργιε, τής ευσεβείας, μαρτυρικώς τόν δρόμον τετέλεκας, όθεν τήν υπέρλαμπρον, μνήμην σου άνθεσιν, ασματικοίς περιστέφομεν, καί τά σεπτά σου, περιπτυσσόμεθα πίστει λείψανα, αλλ' ως τώ θρόνω παριστάμενος, λαμπροφόρος Χριστού τού Θεού ημών, καθικέτευε

σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

Δόξα... Ήχος δ'
Τού Στουδίτου

Τόν νοερόν αδάμαντα, τής καρτερίας αδελφοί, πνευματικώς ευφημήσωμεν, Γεώργιον τόν αοίδιμον Μάρτυρα, όν υπέρ Χριστού πυρούμενον, εχάλκευσαν κίνδυνοι, καί εστόμωσαν βάσανοι, καί ποικίλαι κολάσεις ανήλωσαν, σώμα τό φύσει φθειρόμενον, ενίκα γάρ ο πόθος τήν φύσιν, διά θανάτου πείθων τόν εραστήν, διαβήναι πρός τόν ποθούμενον, Χριστόν τόν Θεόν, καί Σωτήρα τών ψυχών ημών.

Καί νύν... Τής εορτής

Απολυτίκιον Ήχος δ'

Ως τών αιχμαλώτων ελευθερωτής, καί τών πτωχών υπερασπιστής, ασθενούντων ιατρός, βασιλέων υπέρμαχος, Τροπαιοφόρε Μεγαλομάρτυς Γεώργιε, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Καί τής Εορτής

Εις τήν ευλόγησιν τών άρτων, τό Θεοτόκε Παρθένε.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά την α' Στιχολογίαν

Κάθισμα Ήχος α'
Τόν τάφον σου Σωτήρ

Ανέτειλεν ιδού, τό τής χάριτος έαρ, επέλαμψε Χριστού, η Ανάστασις πάσι, καί ταύτη συνεκλάμπει νύν, Γεωργίου τού Μάρτυρος, η πανέορτος, καί φωτοφόρος ημέρα, δεύτε άπαντες, λαμπροφορούντες ενθέως, φαιδρώς εορτάσωμεν.

Καί τής Εορτής

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος γ'
Θείας πίστεως

Πόθω ζέοντι, τώ τού Δεσπότου, πυρπολούμενος, ανδρειοφρόνως, τά τής πλάνης ταμεία κατέβαλες, καί εν σταδίω Χριστόν ωμολόγησας, τροπαιοφόρε παμμάκαρ Γεώργιε, Μάρτυς ένδοξε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Καί τής Εορτής

Μετά τόν Πολυέλεον

Κάθισμα  Ήχος δ'
Κατεπλάγη Ιωσήφ

Γεωργήσας εμμελώς, σπόρον τών θείων εντολών, διεσκόρπισας πτωχοίς, πάντα τόν πλούτον ευσεβώς, αντικτησάμενος ένδοξε Χριστού τήν δόξαν, όθεν πεποιθώς, πρός αγώνας χωρείς, καί πόνους τούς μακρούς, Μάρτυς Γεώργιε, καί κοινωνός γενόμενος τού πάθους, τού απαθούς καί εγέρσεως, τής βασιλείας, αυτού μετέσχες, υπέρ ημών νύν δεόμενος.

Καί τής Εορτής

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί  Αντίφωνον Α'

- Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.
- Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον  Ήχος δ'

Δίκαιος ως φοίνιξ ανθήσει καί ωσεί κέδρος η εν τώ Λιβάνω πληθυνθήσεται.
Στίχ. Πεφυτευμένος εν τώ οίκω Κυρίου.

Τό, Πάσα πνοή

Ευαγγέλιον εκ τού κατά Μάρκον

Είπεν ο Κύριος. Βλέπετε εαυτούς...

Τέλος:

Ο δέ υπομείνας εις τέλος, ούτος σωθήσεται.

Τό Ανάστασιν Χριστού θεασάμενοι

Ο Ν'

Δόξα... Ταίς τού Αθλοφόρου...
Καί νύν... Ταίς τής Θεοτόκου...

Στιχ. Ελέησόν με ο Θεός, κατά τό μέγα έλεός σου...

Ήχος πλ. β'

Σήμερον η οικουμένη πάσα, ταίς τού Αθλοφόρου αυγάζεται ακτίσι, καί η τού

Χριστού Εκκλησία, τοίς άνθεσιν ωραϊζομένη, Γεώργιε βοά σοι, θεράπον Χριστού, καί προστάτα θερμότατε, μή ελλίπης πρεσβεύειν υπέρ ημών πρός Κύριον.

Οι κανόνες του Πάσχα, καί του Αγίου οι δύο.

Κανών τού Αγίου, ού η Ακροστιχίς.

Υμνώ σε Γεώργιε Δαυϊδ εκ πόθου, δεί γάρ δή.

Ωδή α'  Ήχος α'
Αναστάσεως ημέρα

Υπέρ ήλιον εξήστραψεν η μνήμη σου νύν, Μάρτυς Χριστού οπλίτα, τάς γάρ ακτίνας παμφαείς, τών θαυμάτων τάς αυγάς, εις πάσαν τήν γήν, λαμπρώς εξεδίσκευσε, φωτοφόρε Γεώργιε.

Μονομάχε μυριόνικε Χριστού Αθλητά, δός μοι τούς άθλους μέλψαι, καί αγωνίσματα τά σά, άπερ έτλης ανδρικώς, τώ πόθω Χριστού, σοφέ εκπυρούμενος, ώ καί έζης γηθόμενος.

Νέος ώφθης εν πολέμοις ικανός τή χειρί, άλλος Δαυϊδ ανδρείος, ώς γάρ αυτός τόν Γολιάθ, τόν αντίπαλον καί σύ, νικάς καθελών, βολαίς ταίς τών λόγων σου, στεφανίτα Γεώργιε.

Θεοτοκίον

Ως ανέκφραστος ηραίος, φρικαλαίος ο σός, ξένος ο τόκος Κόρη, ως υπομάζιον καί γάρ, τόν παντέλειον Θεόν, θηλάζεις σαρκί, παράδοξον άκουσμα, βρεφοτρόφε Μητράνανδρε.

Έτερος Κανών τού Αγίου, ού η Ακροστιχίς.

Θερμός πέφυκας Μάρτυς όντως προστάτης.

Ποίημα Θεοφάνους.

Ωδή α'  Ήχος β'
Εν βυθώ κατέστρωσε

Θερμοτάτη πίστει καί στοργή, τούς προσκαλουμένους σε, Μάρτυς Χριστού στεφηφόρε Γεώργιε, παρεστως ολόφωτος, σεπτώ βήματι, τού τών όλων δεσπόζοντος, σού ταίς ικεσίαις, καί ταίς προστασίαις διαφύλαξον.

Ευγενές γεώργιον Θεού, γέγονας Γεώργιε, μαρτυρικαίς γεωργούμενον πράξεσι, καί ως πλούτον έμψυχον, ουρανίοις σε, θησαυροίς εναπέθετο, ο αγωνοθέτης, ως διαφερόντως αριστεύσαντα.

Ρωμαλέως καί καρτερικώς, ώρμησας αυτόκλητος, πρός τούς αγώνας παμμάκαρ Γεώργιε, καί καταστρεψάμενος, τήν ατίθασον τών τυράννων

παράταξιν, πρέσβυς υπέρ πάντων, τών προσκαλουμένων σε γεγένησαι.

Μακαρίας ένδοξε ζωής, νύν επιλαβόμενος, τής εν Χριστώ κρυπτομένης Γεώργιε, υπέρ ής ηγώνισαι, μέχρις αίματος, τούς εν πίστει υμνούντάς σε, αίτησαι σωθήναι, πάσης αθλοφόρε περιστάσεως.

Θεοτοκίον

Ουρανός εγένου λογικός, Λόγον τόν ουράνιον, τή σή γαστρί Θεομήτορ χωρήσασα, δι' ού πάντα γέγονεν, ουρανός τε καί γή, καί τά τούτων επέκεινα, όθεν πα ορησία, πρέσβευε σωθήναι τούς υμνούντάς σε.

Καταβασία

Αναστάσεως ημέρα, λαμπρυνθώμεν Λαοί, Πάσχα Κυρίου, Πάσχα, εκ γάρ θανάτου πρός ζωήν, καί εκ γής πρός ουρανόν, Χριστός ο Θεός, ημάς διεβίβασεν, επινίκιον άδοντας.

Ωδή γ'

Δεύτε πόμα πίωμεν καινόν

Σύνδρομος εξέλαμψεν ημίν, η πανένδοξος μνήμη η τού θεράποντος, τή Αναστάσει Χριστού, εν ή συνελθόντες οι πιστοί, φαιδρώς εορτάσωμεν.

Ευφράνθητε γή καί ουρανοί, τά τε όρη καί πάντες βουνοί σκιρτήσατε, ρείθρα θαυμάτων καί γάρ, υψόθεν ημίν ομβροβλυτεί, ο Μάρτυς Γεώργιος.

Γή πάσα καί βρότειος φυλή, ουρανός τε συγχαίρει, στρατός Αγγέλων τε, ο πρωτοστράτηγος γάρ, Χριστού νύν Γεώργιος εκ γής, βαίνει πρός ουράνια.

Θεοτοκίον

Ευφράνθητι, τέρπνου Μαριάμ, ει καί χθές ως ρομφαία γάρ τήν καρδίαν σου, ο τού Υιού σου Σταυρός διήλθεν, αλλ' ούν ως εκ παστού, τού τάφου ανέτειλεν.

Έτερος

Εξήνθησεν η έρημος

Στεφάνω τής αθλήσεως, διαλάμπων Ένδοξε, τούς ευσεβώς καλούντάς σε, λιτανεύων τώ λυτρωτή καί Θεώ, από πάσης ανάγκης μάκαρ λύτρωσαι.

Πλουσίαις φωτιζόμενος, λαμπηδόσι Πάνσοφε, τήν ζοφεράν απέλασον, αθυμίαν καί τήν αχλύν τών παθών, αφ' ημών τών εν πίστει ευφημούντων σε.

Ελπίδι στηριζόμενος, καί αγάπη πίστει τε, περιφραχθείς Γεώργιε, καί δυνάμει Χριστού ρωννύμενος, τών ειδώλων τήν πλάνην καταβέβληκας.

Θεοτοκίον

Φωτίζοντα τά πέρατα, Παναγία τέτοκας, μετά σαρκός τόν άσαρκον, καί πρό πάντων Πατρί συνάναρχον, Θεοτόκον διό σε πίστει σέβομεν.

Καταβασία

Δεύτε πόμα πίωμεν καινόν, ουκ εκ πέτρας αγόνου τερατουργούμενον, αλλ' αφθαρσίας πηγήν, εκ τάφου ομβρήσαντος Χριστού, εν ώ στερεούμεθα.

Κάθισμα  Ήχος πλ. δ'
Τήν Σοφίαν καί Λόγον

Ευσεβείας τοίς τρόποις ανδραγαθών, ασεβείας τήν πλάνην καταβαλών, Μάρτυς κατεπάτησας, τού εχθρού τά φρυάγματα, τώ γάρ θείω ζήλω, τόν νούν πυρπολούμενος, τών τυράννων έσβεσας, τό άθεον φρύαγμα, όθεν επαξίως, αμοιβήν τών βασάνων, εδέξω τόν στέφανον, καί παρέχεις ιάματα, αθλοφόρε Γεώργιε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα...

Τόν επίγειον πλούτον τόν επί γής, διανέμων τοίς πάσι Μάρτυς σοφέ, πλούτον τόν ουράνιον, εκληρώσω τοίς πόνοις σου, τόν γάρ Σταυρόν τόν, Άχραντον, εν σοί τεθωράκισαι, καί εν τούτω ήσχυνας, τυράννων τό φρύαγμα, όθεν τή πρεσβεία, τοίς αιτούσί σε νέμεις, τά θεία δωρήματα, ιαμάτων χαρίσματα, αθλοφόρε Γεώργιε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Καί νύν... Τής Εορτής

Ωδή δ'
Επί τής θείας φυλακής

Ως υπερήλασε τήν πρίν, Νότου βασίλισσαν σοφέ, νύν η βασιλίς, Αλεξάνδρα, εις τήν σήν γάρ σύνεσιν, εκθαμβηθείσα έδραμεν, όθεν σοι συμπαρίστασαι Μάρτυς, εκ δεξιών τού Θεού ώσπερ βασίλισσα.

Ρημάτων σου ουκ ενεγκών, τούς ελεγμούς ο δυσσεβής, τύπτεσθαι κελεύει τό στόμα, φεύ! τό σόν Γεώργιε, τό δέ καίτοι κρουόμενον, κύμβαλον ώς αντήχει, κραυγάζον, Μόνος Θεός αψευδής, ο Χριστός εστιν.

Γνήσιε φίλε τού Χριστού, πρωταθλητάρχα τε αυτού, πάμφωτε λαμπτήρ οικουμένης, αστήρ φαεινότατε, λυχνία τιμαλφέστατε, άγρυπνε τών τιμώντων σε φύλαξ, φύλαττε ημάς, Μάρτυς Γεώργιε.

Θεοτοκίον

Ιδού καί τέτοκας Αγνή, καί παρθενεύεις εν ταυτώ, θαύμα πολυθαύμαστον όντως, φοβερόν ξενήκουστον! Θεόν γάρ τόν παντάνακτα, φέρουσα σαίς αγκάλαις θηλάζεις, τόν τροφοδότην Χριστόν Κόρη νήπιον.

Έτερος

Ελήλυθας εκ Παρθένου

Υμνούμέν σου, τούς άγώνας Παμμάκαρ Γεώργιε, δι' ών καταβέβληκας, τά τών ειδώλων σεβάσματα, πάσαν δέ κατήργησας, την τών δαιμόνων απάτην παναοίδιμε.

Κατεύνασον, πειρασμών καί κινδύνων τόν τάραχον, καί πάσαν επήρειαν, τήν

τών δαιμόνων απέλασον, από τών υμνούντων σε, ως τού Χριστού στρατιώτης Αξιάγαστε.

Ανέτειλας, ως αστήρ εωσφόρος Γεώργιε, ψυχής γενναιότητι, καί στηριγμώ τώ τής πίστεως, πλάνης τήν σκοτόμαιναν, αποδιώκων καί σώζων τούς υμνούντάς σε.

Θεοτοκίον

Σωτηρίαν, ουσιώδη Παρθένε γεγέννηκας, πλουσία χρηστότητι, καί φυσική αγαθότητι, σώζουσαν τόν άνθρωπον, καί τήν φθαρείσαν, εικόνα αναπλάττουσαν.

Καταβασία

Επί τής θείας φυλακής, ο θεηγόρος Αββακούμ, στήτω μεθ' ημών καί δεικνύτω, φαεσφόρον Άγγελον, διαπρυσίως λέγοντα, Σήμερον σωτηρία τώ κόσμω, ότι ανέστη Χριστός ως παντοδύναμος.

Ωδή ε'

Ορθρίσωμεν όρθρου βαθέος

Εόρτιον κρότει σκιρτώσα η Εκκλησία, τήν σεπτήν Ανάστασιν τού Σωτήρος, καί τήν νύν μετάθεσιν τού Αθλοφόρου ψάλλουσα, δύο τά καλά γάρ συνέδραμον.

Δοξάζει σου τέρας τό ξένον θαυματοβρύτα, ο καλός Γλυκέριος, τόν βούν ού περ θαυμαστώς εζώωσας, αυτόν δέ τώ Κυρίω σου, ζώσανθυσίαν προσήνεγκας.

Αινέσεως όπως τήν δόξαν τήν σήν υμνήσω, πλήρωσον τό στόμα μου χαριτώσας, καί τόν νούν Γεώργιε, καί γάρ αγαλλιάσεται, όταν σοι ψάλλη τό πνεύμά μου.

Θεοτοκίον

Υπέραγνε, πώς υπέρ λόγον γαλακτοτρόφος, καί Παρθένος πέφυκας; απορώ σου, τό φρικτόν μυστήριον! Τιμών λοιπόν τόν τόκον σου, σέ προσκυνώ Παναγία μου.

Έτερος

Ο φωτισμός

Μαρτυρικήν, παρρησίαν ως έχων πρός τόν Δεσπότην, αίτησαι προθύμως τήν σωτηρίαν, τοίς σέ υμνούσι, ψυχικών νοσημάτων, απαλλάττων ταίς σαίς δεήσεσι, Μάρτυς αθλοφόρε, παμμάκαρ Γεώργιε.

Αγγελικαίς, συγχορεύων ως Μάρτυς χοροστασίαις, καί τής αθανάτου καί μακαρίας, Στεφανηφόρε, εμφορούμενος δόξης, τούς τή σκέπη τή σή προστρέχοντας, πάσης τρικυμίας, καί ζάλης εξάρπασον.

Ρύσαι ημάς, από πάσης ανάγκης ως ελεήμων, τόν τής αμαρτίας καί τών

κινδύνων, εξαφανίζων, πολυποίκιλον κλόνον, Γεωργίου τού σού θεράποντος, τάς ικετηρίας, Χριστέ προσδεχόμενος.

Θεοτοκίον

Τήν οφειλήν, τής προμήτορος Εύας σύ Θεομήτορ, απέτισας σάρκα ή μφιεσμένον, εκ σού τεκούσα, τόν Σωτήρα τού κόσμου, όθεν πάντες σε μακαρίζομεν, κεχαριτωμένη Παρθένε πανάμωμε.

Καταβασία

Ορθρίσωμεν όρθρου βαθέος, καί αντί μύρου τόν ύμνον προσοίσωμεν τώ Δεσπότη , καί Χριστόν οψόμεθα, δικαιοσύνης ήλιον, πάσι ζωήν ανατέλλοντα.

Ωδή ς'

Κατήλθες εν τοίς κατωτάτοις

Ιδού σοι καί μία τερπνή χελιδών, θεοσύλλεκτε λαέ, τήν τού έαρος χάριν, αναπληροί θαυμαστώς, ο Γεώργιος, καί συγχάρητε λοιπόν, τή χαρά τούτου πάντες.

Δριμείας βασάνους δεινών ενεγκών, ως τρυφάς ταύτας ηγού, υπομένων Κυρίω, καί ψάλλων Ένδοξε, η φωνή δέ σου, τής βροντής εν τώ τροχώ, τών ευχών εξηχείτο.

Ευφραίνου καί σκίρτα χορός Αθλητών, πανηγύρεως τής νύν, ευρηκότες εξάρχοντα τόν Γεώργιον, καί αγάλλεσθε, σύν αυτώ Δαυϊτικώς, ημέρα γάρ Κυρίου.

Θεοτοκίον

Καί τίκτεις, καί πάλιν αγνεύεις ώς πρίν, φοβερός ο τοκετός, μητρανύμφευτε Κόρη, καί ανεκλάλητος, τόν υπέρχρονον, βρεφωθέντα καθ' ημάς, υπέρ έννοιαν τίκτεις.

Έτερος

Εν αβύσσω πταισμάτων

Υπέρ φύσιν καί λόγον καί έννοιαν, τά τής αριστείας σου ανδραγαθήματα, διηνεκώς αδόμενα, παμμακάριστε Μάρτυς Γεώργιε.

Στρατιάς ουρανίου συνόμιλος, μάκαρ γεγονώς, καί τήν θείαν εμφάνειαν, ως εφικτόν θεώμενος, τούς τιμώντάς σε πίστει διάσωσον.

Ο λοτρόπως Θεώ ανακείμενος, καί τάς αστραπάς τών θαυμάτων δεχόμενος, τάς δωρεάς τοίς χρήζουσι, διανέμεις παμμάκαρ Γεώργιε.

Θεοτοκίον

Νύν πρός σέ καταφεύγω Πανάχραντε, Σώσόν με πρεσβείαις σου, καί διαφύλαξον, όσα γάρ θέλεις δύνασαι, οία Μήτηρ τού πάντα ισχύοντος.

Καταβασία

Κατήλθες εν τοίς κατωτάτοις τής γής, καί συνέτριψας μοχλούς αιωνίους, κατόχους πεπεδημένων Χριστέ, καί τριήμερος, ως εκ κήτους Ιωνάς,

εξανέστης τού τάφου.

Κοντάκιον Ήχος δ'
Ο υψωθείς εν τώ Σταυρώ

Γεωργηθείς υπό Θεού ανεδείχθης, τής ευσεβείας γεωργός Τιμιώτατος, τών αρετών τά δράγματα συλλέξας σεαυτώ, σπείρας γάρ ενδάκρυσιν, ευφροσύνη θερίζεις, αθλήσας δέ δι' αίματος, τόν Χριστόν εκομίσω, καί ταίς πρεσβείαις Άγιε ταίς σαίς, πάσι παρέχεις πταισμάτων συγχώρησιν.

Ο Οίκος

Τόν υπέρ κόσμου τής ζωής τήν ψυχήν αυτού θέντα, Χριστόν τόν Βασιλέα, ποθών ο στρατιώτης, ο μέγας Γεώργιος, σπεύδει θανείν υπέρ αυτού, ζήλον γάρ θείον εν καρδία εσχηκώς, αυτός εαυτόν προσήγαγε. Τούτον ούν καί ημείς ανυμνήσωμεν πίστει, ως θερμόν προστάτην ημών, ως ένδοξον όντα Χριστού δούλον, μιμούμενον σαφώς τόν ίδιον Δεσπότην, καί αιτούντα αυτόν, πάσι παρέχειν πταισμάτων συγχώρησιν.

Συναξάριον

Τή ΚΓ τού αυτού μηνός, Μνήμη τού Αγίου καί ενδόξου Μεγαλομάρτυρος Γεωργίου τού Τροπαιοφόρου.

Στίχοι

- Εχθρούς ο τέμνων Γεώργιος εν μάχαις,
- Εκών παρ' εχθρών τέμνεται διά ξίφους.
- Ήρε Γεωργίου τρίτη εικάδι αυχένα χαλκός.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Ουαλερίου.

Στίχοι

- Θείαν κεφαλήν ήρεν Ουαλερίου
- Κακή κεφαλή δήμιος διά ξίφους.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Ανατολίου καί Πρωτολέοντος, Στρατηλατών.

Στίχοι

- Δύσας Ανατόλιος εκτομή κάρας,
- Εώον είδε φώς νοητόν Κυρίου.
- Ο χριστομάρτυς τέμνεται Πρωτολέων,
- Χριστώ πεποιθώς, ώσπερ αλκαία λέων.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Αθανασίου τού από Μάγων.

Στίχοι

- Αθανάσιος φαρμακός Τομήν κάρας
- Ψυχής νοσούσης εύρε φάρμακον ξένον.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Γλυκερίου τού γεωργού.

Στίχοι

- Λαιμόν σόν ως γήν, ως ύννιν δέ τήν σπάθην.
- Γεωργέ Γλυκέριε, προσφόρως κρίνω.

Τή αυτή ημέρα, οι Άγιοι Δονάτος καί Θερινός ξίφει τελειούνται.

Στίχοι

- Ξίφει, Θερινέ, συνθερισθείς Δονάτω,
- Άμφω Θεού γίνεσθε δράγματα ξένα.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Ο παίδας εκ καμίνου ρυσάμενος

Ποθώ σου εξυμνείν τά θαυμάσια, καί πάλιν σιστέλλομαι, όταν γάρ αυτά εξαριθμήσαι βουληθώ, υπέρ άμμον ευρίσκονται πληθυνόμενα, καί δέξαι μου τό λοιπόν Αθλητά, τό βραχύ τούτο εφύμνιον.

Ουκ έστιν ουδέ γή ουδέ θάλασσα, ου πόλις ουκ έρημος, ένθα αληθώς, τών σών θαυμάτων οι κρουνοί, πελαγίζοντες Μάρτυς ουχ υπερβλύζουσι, τό σόν γάρ θαυμαστόν, εν πάση τή γή άδεται όνομα.

Θαμβείταί σου στρατάρχα τήν άθλησιν, Αγγέλων τό στράτευμα, σέ δ' ο τών Αγγέλων Βασιλεύς καταπλαγείς, επεθύμησε Μάρτυς τού κάλλους σου, διό περ καί σύν αυτώ βασιλεύειν αεί σε κατηξίωσε.

Θεοτοκίον

Ολόφωτε σκηνή θεοδόμητε, λυχνία κατάχρυσε, στάμνε κιβωτέ, θεοκατοίκητε ναέ, ξενοβλάστητε ράβδε, Μητράναδρε, τούς σούς ικέτας ημάς, πολυώνυμε Κόρη διαφυλαττε.

Έτερος

Αντίθεον πρόσταγμα

Τόν σόν εκμιμούμενος Μάρτυς Δεσπότην, εκών ηυτομόλησας, πρός τούς αγώνας Ένδοξε, καί νίκην αράμενος, τής Εκκλησίας Χριστού, φύλαξ εχρημάτισας, αυτήν, αεί φυλάττων ταίς προστασίαις σου.

Ως Μάρτυς αήττητος, ως αθλοφόρος, ως ακαταγώνιστος τής πίστεως υπέρμαχος, νύν πύργος ακράδαντος, τοίς ευφημούσίσε, πάνσοφε Γεώργιε γενού, περιτειχίζων ταίς ικεσίαις σου.

Σοφώς εγεώργησας τόν θείον σπόρον, καί τούτον επλήθυνας, αιμάτων σου τοίς ρεύμασιν, αρδεύων μακάριε, καί τή τών πόνων σπουδή, καί τοίς επαλλήλοις αικισμοίς, δι' ών τυράννων τό θράσος έσβεσας.

Θεοτοκίον

Παρθένος διέμεινας καί μετά τόκον, Θεόν γάρ εγέννησας, τόν πάντας διατρέφοντα δι' άφαντον έλεος, καί ευσπλαγχνίαν πολλήν, άνθρωπον γενόμενον Αγνή, όν νύν δυσώπει σωθήναι πάντας ημάς.

Καταβασία

Ο Παίδας εκ καμίνου ρυσάμενος, γενόμενος άνθρωπος, πάσχει ως θνητός, καί διά πάθους τό θνητόν, αφθαρσίας ενδύει ευπρέπειαν, ο μόνος ευλογητός τών Πατέρων, Θεός καί υπερένδοξος.

Ωδή η'  Αύτη η κλητή

Ύμνους ως ευώδη, συλλέξαντες άνθη, άλλου Παραδείσου, τού θεοπνεύστου Ψαλτήρος, δεύτε στέφος λαμπρόν, ασματόπλοκον, τώ Μάρτυρι πλέξωμεν, ηρίστευσε γάρ, καθελών Σατάν τό κράτος.

Δεύρο Μελουργέ, προφητόπρωτε φράσον, ο δίκαιος εκείνος, ο εξανθήσας ως φοίνιξ, τίς καί ποίος εστίν, ο μεγάλαυχος υπάρχει Γεώργιος, γλυκύκαρπον όντως, φυτόν καρδιοτρόφον.

Έρχου επιφάνηθι, τάχυνον φθάσον, ημάς τήν νοσσιάν σου, ως αετός χρυσοπτέρυξ, περιθάλπων αεί καθυπόδεξαι, διείς τάς πτέρυγάς σου, σκιάν υπό σήν γάρ, καλόν αναπεπαύθαι.

Θεοτοκίον

Ίδε ήν προέφης, Προφήτα Παρθένον, συνέλαβεν ασπόρως, η Βασιλίς καί Κυρία, καί ως Μήτηρ γεννά, τόν Παντάνακτα, πανάφθορος μείνασα, Μυστήριον ξένον, ο τοκετός σου Κόρη!

Έτερος

Κάμινος ποτέ πυρός

Ρύμην τών δεινών, παθών τε καί κινδύνων, καί ταραχώδους περιστάσεως, καί νόσων συμπτώματα, καί δαιμόνων μηχανήματα, καί δυσμενών ορμήματα, παύσον ταίς σαίς πρεσβείαις, στεφανηφόρε Γεώργιε.

Όλω τώ φωτί, παμμάκαρ τής Τριάδος, ειλικρινώς Καταλαμπόμενος, ως Μάρτυς αήττητος, ευσεβείας ως υπέρμαχος, ως νικητής θεόστεπτος, σώσον Ουρανοφοίτα, τούς σέ Τιμώντας πρεσβείαις σου.

Στέφει νοητώ, ποικίλως διαπρέπων, καί βασιλείας διαδήματι, καί σκήπτρω κοσμούμενος, καί πορφύραν περιθέμενος, σώ φοινιχθείσαν αίματι, μάκαρ συμβασιλεύεις, τώ βασιλεί τών Δυνάμεων.

Θεοτοκίον

Τόν εκ τού Πατρός, αχρόνως γεννηθέντα, καί πρό αιώνων αναλάμψαντα, τόν πάντα ποιήσαντα, ορατά τε καί αόρατα, Παρθενομήτορ τέτοκας, όθεν σε Θεοτόκον, πάντα τά έθνη δοξάζομεν.

Καταβασία

Αύτη η κλητή καί αγία ημέρα, η μία τών Σαββάτων, η βασιλίς καί κυρία,

εορτών εορτή, καί πανήγυρις εστί πανηγύρεων, εν ή ευλογούμεν, Χριστόν εις τούς αιώνας.

Ωδή θ'  Φωτίζου, φωτίζου

Γλυκύτατον δρόσον, όρη σταλάξατε, καί σύ, κατ' εξαίρετον σκίρτα, τό όρος τό Άγιον, χόρευε νύν, καί αγάλλου φαιδρώς, εύρες καί γάρ, κράτιστον τόν μέγαν, Γεώργιον οροφύλακα.

Αινούσι αι σύμπασαι, νύν πατριαί τών εθνών, ευλογούσιν υμνούσι, καί συμφώνως κράζουσι, Χαίρε Σωτήρ, τών πιστών η χαρά, χαίροις καί σύ, εύχος, Αθλοφόρων, Γεώργιε υπερθαύμαστε.

Ραβδίσματα, ξέσεις, καί τών βουνεύρων τούς δαρμούς, τάς κρηπιδας, τόν λάκκον τής ασβέστου σέβομαι, τάλλά τε όσα υπέστης αθλών, Μάρτυς Χριστού, πάντα μακαρίζω, καί τόν τροχόν κατασπάζομαι.

Δημήτριε Μάρτυς, σύν Γεωργίω τώ κλεινώ, αγαθοί γάρ οι δύο, μηδαμώς ελλίπητε, τόνδε τόν χώρον φρουρούντες αεί, καί πειρασμών, όλας μυριάδας, μετακινούντες αμφότεροι.

Θεοτοκίον

Η δόξα τό κάλλος, η ωραιότης τών πιστών, η τρυφή τών Αγγέλων, κόσμου τό διάσωσμα, πάναγνε Μήτηρ Χριστού τού Θεού, τούς εις τήν σήν, σκέπην προσδραμόντας, συντήρησον Παναγία μου.

Έτερος

Ανάρχου Γεννήτορος

Απαύστως τόν Κύριον, υπέρ ημών δυσώπησον, τών υμνούντων σε μάκαρ, ως Χριστομάρτυρα, ως νενικηκότα τυράννους, ως πονηρών, πνευμάτων διώκτην, ως άγρυπνον φύλακα, ως προστάτην ακαταίσχυντον.

Τών άθλων τά έπαθλα, πλουσίως σοι δεδώρηται, ο τών όλων Δεσπότης, ώ παριστάμενος, μετά παρρησίας Τρισμάκαρ, μαρτυρικής, καί μετ' ευφροσύνης, τούς προσκαλουμένους σε, περιέπων διαφύλαττε.

Η γή σε κατέκρυψε, καί ουρανός εδέξατο, καί ηνοίγη σοι Πύλη, τού Παραδείσου σαφώς, όν περιχαρώς Αθλοφόρε, χοροβατών, καί περιπολεύων, τούς πίστει υμνούντάς σε, σαίς πρεσβείαις περιφρούρησον.

Θεοτοκίον

Σκηνή προετύπου σε, τού Μαρτυρίου Πάναγνε, ενή πλάκες καί στάμνος, καί η χρυσή κιβωτός, ώσπερ γάρ εκείνη εκείνα, ούτω καί σύ, τόν άναρχον Λόγον, εν γαστρί εχώρησας, Θεοτόκε σωματούμενον.

Καταβασία

Φωτίζου, φωτίζου η νέα Ιερουσαλήμ, η γάρ δόξα Κυρίου επί σε ανέτειλε. Χόρευε νύν καί αγάλλου, Σιών, σύ δέ, αγνή, τέρπου, Θεοτόκε, εν τή εγέρσει τού τόκου σου.

Εξαποστειλάριον Ήχος β'
Τοίς Μαθηταίς συνέλθωμεν

Έαρ ημίν εξέλαμψεν, η λαμπρά τού Δεσπότου, καί θεία εξανάστασις, πρός ουράνιον Πάσχα, εκ γής ημάς παραπέμπον, ταύτη δέ συνεκλάμπει, τού πανενδόξου Μάρτυρος, Γεωργίου η μνήμη, η φωταυγής, ήν φαιδρώς τελέσωμεν, ίνα θείας, αξιωθώμεν χάριτος, πρός Χριστού τού Σωτήρος.

Καί τής Εορτής

Εις τούς Αίνους, Στιχηρά Προσόμοια.

Ήχος β'
Ότε, εκ τού ξύλου σε νεκρόν

Δεύτε, τήν πανέορτον φαιδράν, ένδοξον Ανάστασιν πάντες, πανηγυρίσαντες, πάλιν εορτάσωμεν, φαιδράν πανήγυριν, Γεωργίου τού Μάρτυρος, καί στέψωμεν τούτον, εαρινοίς άνθεσιν, όντα αήττητον, όπως ταίς αυτού ικεσίαις, λάβωμεν τών θλίψεων άμα, καί πλημμελημάτων απολύτρωσιν.

Όλον, προσενήνοχας σαυτόν, τώ σοί δεδωκότι παμμάκαρ, ζωήν ολόκληρον, ώσπερ ολοκάρπωσιν, ζώσαν καί έμψυχον, καί θυσίαν ευπρόσδεκτον, καί καθαρωτάτην, όθεν εχρημάτισας, πρέσβυς θερμότατος, ζάλης εξαιρούμενος πάντας, πίστει τούς υμνούντάς σε Μάρτυς, καί προσκαλουμένους σε Γεώργιε.

Σπόρον, γεωργήσας εμμελώς, τόν καταβληθέντα τού λόγου, τή καθαρά σου ψυχή, τούτον επλεόνασας, πόνοις αθλήσεως, καί σοφώς αποθέμενος, εν επουρανίαις, θήκαις τήν ακήρατον, εύρες απόλαυσιν, ής νύν, εμφορούμενος Μάκαρ, ταίς πρός τόν Θεόν σου πρεσβείαις, τούς πιστώς υμνούντάς σε περίσωζε.

Μάρτυς, αθλοφόρε τού Χριστού, τούς έν διαφόροις ανάγκαις, σώζε πρεσβείαις σου, πάσης περιστάσεως, απολυτρούμενος, καί διώκων ψυχόλεθρον, δεινήν αθυμίαν, χάριν δέ καί έλεος, ημίν αιτούμενος, όπως, ταίς λιταίς σου σωθέντες, χαίροντες γεραίρωμεν πάντες, τούς σεπτούς αγώνάς σου Γεώργιε.

Δόξα... Ήχος πλ. α'
Θεοφάνους

Ανέτειλε τό έαρ, δεύτε ευωχηθώμεν, εξέλαμψεν η Ανάστασις Χριστού, δεύτε ευφρανθώμεν η τού Αθλοφόρου μνήμη, τούς πιστούς φαιδρύνουσα ανεδείχθη, διό φιλέορτοι, δεύτε μυστικώς αυτήν πανηγυρίσωμεν, ούτος γάρ ως καλός στρατιώτης, ηνδρίσατο κατά τών τυράννων, καί τούτους κατήσχυνε, μιμητής γενόμενος τού πάθους τού Σωτήρος Χριστού, ουκ ηλέησε τό σκεύος

τό πήλινον τό εαυτού, αλλά γυμνόν ανεχάλκευσεν, εν βασάνοις αυτό προσαμειβόμενος, αυτώ βοήσωμεν, Αθλοφόρε ικέτευε, εις τό σωθήναι τάς ψυχάς ημών.

Καί νύν...

Αναστάσεως ημέρα, καί λαμπρυνθώμεν τή πανηγύρει, καί αλλήλους περιπτυξώμεθα. Είπωμεν αδελφοί, καί τοίς μισούσιν ημάς, Συγχωρήσωμεν πάντα τή Αναστάσει, καί ούτω βοήσωμεν, Χριστός ανέστη εκ νεκρών, θανάτω θάνατον πατήσας, καί εν τοίς μνήμασι, ζωήν χαρισάμενος.

Δοξολογία μεγάλη καί Απόλυσις.

Δίδοται δέ καί Άγιον έλαιον εκ τής κανδύλας τού Αγίου.

Εις τήν Λειτουργίαν

Τυπικά, καί οι Μακαρισμοί, κατά τήν προλαβούσαν διατύπωσιν.

---

Αρχή

## ΤΗ ΚΔ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής Οσίας Μητρός ημών Ελισάβετ, τής θαυματουργού.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά τής Εορτής γ' καί τής Αγίας γ'.

Ήχος πλ. δ'
Οι Μάρτυρές σου Κύριε

Τοίς πόνοις τοίς ασκήσεως, εγκαρτερήσασα, εδέξω χάριν, ψυχών νοσήματα καί τών σωμάτων, Μήτερ σεμνή αποσοβείν, πνεύματα διώκειν θείω Πνεύματι, πάντων τών εν θλίψεσι προϊστασθαι, Διό ταίς, σαίς πρεσβείαις, αίτησαι πάσι ρώσιν, καί μέγα έλεος.

Η κόνις τών λειψάνων σου, τυφλοίς ανάβλεψιν αναπηγάζει, καί πάσιν ίασιν τοίς ασθενούσι, καί προσπελάζουσι πιστώς, καί εξαιτουμένοις σε βοήθειαν, Μήτερ Ελισάβετ αξιάγαστε, Διό ταίς σαίς πρεσβείαις, αίτησαι πάσι ρώσιν, καί μέγα έλεος.

Συμπάθειαν εξήσκησας, Πίστιν Ορθόδοξον καί τήν αγάπην, τήν πρός τόν Κύριον καί τόν πλησίον, θεομακάριστε σεμνή, όθεν θεία χάρις σοι τού Πνεύματος, Μήτερ Ελισάβετ ανεπαύσατο, Διό ταίς σαίς πρεσβείαις, δίδου ημίν ειρήνην, ρώσιν καί έλεος.

Δόξα... Καί νύν... Τής Εορτής

Εις τόν Στίχον, τής Εορτής.

Δόξα... Καί νύν... Τής Εορτής.

Απολυτίκιον

Εν σοί Μήτερ ακριβώς διεσώθη τό κατ' εικόνα, λαβούσα γάρ τόν Σταυρόν, ηκολούθησας τώ Χριστώ, καί πράττουσα εδίδασκες, υπεροράν μέν σαρκός, παρέρχεται γάρ, επιμελείσθαι δέ ψυχής, πράγματος αθανάτου, διό καί μετά Αγγέλων συναγάλλεται, Οσία Ελισάβετ τό Πνεύμά σου.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τής Εορτής, καί τής Αγίας.

Ποίημα Ιωσήφ.

Ωδή α' Ήχος πλ. δ'

Αρματηλάτην Φαραώ

Ταίς τών παθών με τρικυμίαις πάντοθεν, περικυκλούμενον, καί λογισμών σάλω, τήν ψυχήν δονούμενον, επί λιμένα εύδιον, τών Χριστού θελημάτων, ταίς προσευχαίς σου κυβέρνησον, όπως Ελισάβετ υμνήσω σε.

Παρθενικαίς ηγλαϊσμένη χάρισι, θεομακάριστε, τώ καθαρώ Λόγω, ενυμφεύθης ένδοξε, εκ βρέφους δι' ασκήσεως, καί αυτού ζωηφόροις, επηκολούθησας ίχνεσι, νέκρωσιν παθών περιφέρουσα.

Απορραγείσα τής τού κόσμου σχέσεως, καί κολληθείσα σεμνή, τώ τού Χριστού πόθω, τής σαρκός τό φρόνημα, διά νηστείας έτηξας, αρεταίς δέ καί πόνοις, καί προσευχαίς καρτερήσασα, θαύματα τελείν κατηξίωσαι.

Θεοτοκίον

Σέ τήν τεκούσαν υπέρ νούν Πανάμωμε, τόν αδιαίρετον, Θεού Πατρός Λόγον, διαπύρω έρωτι, ποθούσα η αοίδιμος, Ελισάβετ δοχείον, Αγίου Πνεύματος γέγονε, θείαις αρεταίς διαλάμπουσα.

Ωδή γ'

Ουρανίας αψίδος

Ουρανίους θαλάμους, φωτοειδείς ώκησας, νύμφη εκλεκτή γενομένη τού Παντοκράτορος, καί τών ιάσεων, τούς ποταμούς διεκβλύζεις, παθημάτων ρεύματα, αποξηραίνοντας.

Τόν Ηλίαν ζηλούσα, καί Μωϋσήν Πάνσεμνε, μήκει ημερών, ως εκείνοι, νηστείαν ήνυσας, άρτον ουράνιον, θεωριών σοφωτάτων, δεχομένη Χάριτι,

τού θείου Πνεύματος.

Αποκάλυψις θεία, τή σή μητρί δέδοται, πρό τής σής συλλήψεως κόρη, τής εσομένης σοι, τώ θείω Πνεύματι, δι' αρετής πολιτείας, Ελισάβετ ένδοξε, καί τής λαμπρότητος.

Θεοτοκίον

Παρθενίας σε μόνη, τό καθαρόν τέμενος, η πανευκλεής Ελισάβετ, πίστει ποθήσασα, χαίρει Πανάμωμε, τώ σώ Υιώ προσαχθείσα, ευσεβώς οπίσω σου ακολουθήσασα.

Ο Ειρμός

«Ουρανίας αψίδος, οροφουργέ Κύριε, καί τής Εκκλησίας δομήτορ, σύ με στερέωσον, εν τή αγάτη τή σή, τών εφετών η ακρότης, τών πιστών τό στήριγμα, μόνε φιλάνθρωπε».

Κάθισμα Ήχος γ'

Θείας πίστεως

Πόνους ήνεγκας, τής εγκρατείας, χάριν είληφας, τής απαθείας, καί ιαμάτων Ελισάβετ θεόπνευστε, τού θεραπεύειν παντοία νοσήματα, καί απελαύνειν δαιμόνων ενέργειαν Αξιάγαστε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Καί τής εορτής

Ωδή δ'

Σύ μου ισχύς, Κύριε

Όφιν δεινόν, δράκοντα σύ εθανάτωσας, προσευχή σου, πρότερον συντρίψασα, τού πονηρού, πάσας μηχανάς, θεία δυναστεία, καί τούτον εις βρώσιν δέδωκας, θηρίων Ελισάβετ, καί παντοίων ορνέων, τόν τών όλων Δεσπότην δοξάζουσα.

Θείων ανδρών, τρόπους ζηλούσα διήνυσας θείω σθένει, τεσσαρακονθήμερον, Μήτερ σεμνή, βρώσεως τινός, μή μεταλαβούσα, αλλ' άσιτος διαρκέσασα, σαρκός επαναστάσεις, θανατούσα πανσόφως, καί ζωούσα τό πνεύμα θεόπνευστε.

Θεοτοκίον

Μόνη Θεόν, φέρεις εν μήτρα σαρκούμενον, τόν τό είναι πάσι παρεχόμενον, όν επεπόθησεν εκ ψυχής, τούτω μνηστευθείσα, η Ελισάβετ εν Πνεύματι, Παρθένε Θεοτόκε, τών Αγγέλων τό θαύμα, καί δαιμόνων τό τραύμα πανθαύμαστε.

Ωδή ε'

Ίνα τί με απώσω

Απεξήρανας ρείθρα, τά τής αμαρτίας δακρύων προσχύσεσι, καί αιμάτων ρύσιν, πολυχρόνιον έστησας χάριτι, ευλαβών γυναίων, προσελθουσών σοι διαφόρως, Ελισάβετ Οσία πανεύφημε.

Επί πλείονας χρόνους, άρτου τήν μετάληψιν ηρνήσω ένδοξε, εγκρατείας πόνοις, τήν ψυχήν ευσεβώς εκκαθαίρουσα, καί τήν ασαρκίαν τών Ασωμάτων προσκτωμένη, Ελισάβετ Οσίων τό καύχημα.

Ολοτρόπως Κυρίω, πάσαν τήν διάνοιαν αναθεμένη σου, οφθαλμούς νοός μέν, καί καρδίας αυτώ ενητένιζες, εν τρισί δέ χρόνοις, τόν ουρανόν ουκ εθεάσω, αλλά γήν ώς εκ γής θεοδόξαστε.

Θεοτοκίον

Υπερτέρα τών άνω, πέφυκας Δυνάμεων, Λόγον κυήσασα, τού Πατρός Παρθένε, τόν συνάναρχον καί συναΐδιον, ού ταίς φρυκτωρίαις, η θεοφόρος αυγασθείσα, τών παθών τήν ομίχλην διέλυσεν.

## Ωδή ς'

Ιλάσθητί μοι Σωτήρ

Τόν έλεον τού Θεού, ασκητικώς επισπάσασθαι, επιποθούσα σεμνή, ελαίου μετάληψιν, εκ βρέφους εξέκλινας, ιλαρυνομένη, ταίς τών πόνων επιδόσεσιν.

Ο βίος σου φωταυγής, ταίς αρεταίς κεκαλλώπισται, η κοίμησις ιερώς, τοίς θαύμασιν ήστραψε, διώκουσα δαίμονας, καί παθών χειμώνα, θεία χάριτι σκεδάζουσα.

Τώ κρύει καί παγετώ, σαρκός γυμνώσει πυκτεύουσα, ηλίου καύσιν στερρώς, υπέφερες στέργουσα, Ελισάβετ ένδοξε, πρός τήν άνω θάλψιν, τάς ελπίδας επερείδουσα.

Θεοτοκίον

Συνέλαβες εν γαστρί, τόν Προαιώνιον άχραντε, καί τέτοκας εν σαρκί, τόν φύσει ασώματον, καί γάλακτι έθρεψας, τόν τροφέα πάντων, Θεομήτορ απειρόγαμε.

Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

## Τό Κοντάκιον τής Εορτής

## Συναξάριον

Τή ΚΔ' τού αυτού μηνός, Μνήμη τής Οσίας Ελισάβετ, τής θαυματουργού.

Στίχοι

- Ελισάβετ, λιπούσα γήν, Θεού Λόγε,
- Καλή καλόν βλέπει σε νύμφη νυμφίον.
- Εικάδι καί γε τετάρτη απήρε πόλονδε Ελισαβέτεια.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Σάββα τού Στρατηλάτου.

Στίχοι

- Έπνιξε δεινά πνεύματα πλάνης Σάββας,
- Ποταμόπνικτος Μάρτυς οφθείς Κυρίου.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτυρων τών διά τού Αγίου Σάββα πιστευσάντων εβδομήκοντα στρατιωτών, ξίφει τελειωθέντων.

Στίχοι

- Κάρας αριθμών τώ ξίφει τετμημένας,
- Εύροις πεσόντας άνδρας επτάκις δέκα.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Πασικράτους καί Βαλεντίωνος.

Στίχοι

- Ο Πασικράτης ήρατο τμηθείς κράτος,
- Βαλεντίωνος εκβαλών φόβον ξίφους.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Ευσεβίου, Νέωνος, Λεοντίου, Λογγίνου καί ετέρων τεσσάρων.

Στίχοι

- Αριθμόν ισάμιλλον οκτώ Μαρτύρων,
- Τόν ισάκις τέμνουσιν ίσον ισάκις.

Ταίς τών σών Αγίων πρεσβείαις, Χριστέ ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Παίδες Εβραίων

Γνώμην φιλόθεον εκτήσω, μετ' Αγγέλων γάρ Αγνή εβιοτεύσω, αγρυπνούσα θερμώς, καί ψάλλουσα προθυμως, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Χείρα προτείνεις συμπαθείας, καί παρέλεις τήν υγείαν τώ λειψάνω, τοίς προστρέχουσι σώ, καί πίστει προσιούσι, μοναζουσών τό στήριγμα, Ελισάβετ θεοφόρε.

Θαύματα μέγιστα τελούσα, καί θεράπαινα δειχθείσα τού Κυρίου, Ελισάβετ σεμνή, πρός τούτον νύν μετέστης, σύν τοίς Οσίοις ψάλλουσα, ο Θεός ευλογητός εί.

Θεοτοκίον

Ίδε τήν θλίψίν μου Παρθένε, ήν επήγαγε τό πλήθος τών κακών μου, καί γεέννης πυρός, εξάρπασον βοώντα, Ευλογημένος Πάναγνε, ο καρπός τής σής κοιλίας.

Ωδή η'

Επταπλασίως κάμινον

Οι τή σορώ πελάζοντες, τών λειψάνων σου πάντοτε, πάσας τάς αιτήσεις, ευσεβώς λαμβάνουσι, Θεού σε δοξάζοντος, αεί καί μεγαλύνοντος, τού προσδεξαμένου, τούς σεπτούς σου αγώνας, πρός όν βοάς απαύστως, Ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Τά τής καρδίας όμματα, φωτισθείσα εν Πνεύματι, πίστει τώ τήν σήν, καταλαβόντι θείαν σορόν, τό βλέπειν δεδώρησαι, παρά Χριστού πλουτήσασα, τήν τών ιαμάτων, δαψιλή χορηγίαν, πρός όν Οσία κράζεις, Ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Φωτοφανής ώς ήλιος, επί γής ανατέταλκας, θείαις αρεταίς, λαμπρυνομένη πάνσεμνε, βολίδας δέ πέμπουσα, τών Ιερών θαυμάτων σου, ών οι μετασχόντες, Ελισάβετ βοώσιν, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Σωματοφόρον τέτοκας, καί αγκάλαις εβάστασας, άχραντε Παρθένε, Ιησούν τόν Κύριον, τόν πάντα βαστάζοντα, παντοδυνάμω νεύματι, όθεν ώς Θεού σε, ανυμνούμεν Μητέρα, βοώντες, εν αινέσει, Ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, τόν Δημιουργόν, καί Λυτρωτήν ανεβόα, οι Παίδες ευ λογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

## Ωδή θ'

Έφριξε πάσα ακοή

Ιδέσθαι κάλλος νοητόν, τού Νυμφίου καθαρώς επεπόθησας, καί, πού κοιτάζεις; αυτώ, πού δέ ποιμαίνεις; θερμώς εκραύγαζες, επαναπαύσομαι εν σοί, καί σού ταίς τερπνότησι, κατατερφθήσομαι, μεγαλύνουσα τήν σήν αγαθότητα.

Ω θαύμα! πώς μετά ταφήν, καί χρονίαν εν μνημείω κατάθεσιν, αδιαλώβητον, το σόν οράται λείψανον κείμενον, χαριτωθέν καί λαμπρυνθέν, σημείοις καί τέρασι, καί ιαμάτων κρουνούς, καθ' εκάστην τοίς πιστοίς παρεχόμενον!

Σύνεσιν έσχες εν ψυχή, καί ταπείνωσιν καί θείαν πραότητα, πίστιν ανόθευτον, καί σύν ελπίδι αγάπην ένθεον, εν ολονύκτοις προσευχαίς, Θεώ προσεδρεύουσα, καί ταίς εκείθεν αυγαίς, Ελισάβετ λαμπομένη φαιδρότατα.

Θεοτοκίον

Φείσαί μου Σώτερ ο τεχθείς, καί φυλάξας τήν τεκούσάν σε άφθορον, μετά τήν κύησιν, όταν καθίσης κρίναι τά έργα μου, τάς ανομίας παρορών, καί τάς αμαρτίας μου, ως υπεράγαθος, ελεήμον αγαθέ καί φιλάνθρωπε.

Ο Ειρμός

«Έφριξε πάσα ακοή, τήν απόρρητον Θεού συγκατάβασιν, όπως ο Ύψιστος

εκών, κατήλθε μέχρι καί σώματος, Παρθενικής από γαστρός, γενόμενος άνθρωπος, διό τήν άχραντον, Θεοτόκον οι πιστοί μεγαλύνομεν».

Τό Εξαποστειλάριον τής Εορτής. Εις τόν Στίχον Στιχηρά τής Εορτής, η Α' Ώρα καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΕ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Αποστόλου καί Ευαγγελιστού Μάρκου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν τά διπλά Προσόμοια τού Αποστόλου, ει βούλει, ειδ' ού, ειπέ τρία τής Εορτής, καί τρία τού Αποστόλου.

Στιχηρά Προσόμοια τού Αποστόλου.

Ήχος α'
Τών ουρανίων ταγμάτων

Τών θεηγόρων λογίων, τόν συγγραφέα πιστοί, καί τής Αιγύπτου μέγαν, πολιούχον αξίως, υμνήσωμεν βοώντες, Μάρκε σοφέ, διδαχαίς καί πρεσβείαις σου, πρός τόν ακύμονα βίον πάντας ημάς, ως Απόστολος οδήγησον.

Συνοδοιπόρος εγένου, τού Σκεύους τής εκλογής, καί σύν αυτώ διήλθες, όλην Μακεδονίαν, εν Ρώμη δέ φοιτήσας, τού Πέτρου ηδύς, ερμηνεύς αναδέδειξαι, καί ανεπαύσω αθλήσας θεοπρεπώς, εν Αιγύπτω Μάρκε πάνσοφε.

Τάς κεκαυμένας καί χέρσους, ψυχάς ελίπανας, ταίς φαειναίς νιφάσι, ταίς τού Ευαγγελίου, διό σου θείε Μάρκε, φαιδρώς σύν ημίν, Αλεξάνδρεια σήμερον, πανηγυρίζει τήν μνήμην καί ευφημεί, προσκυνούσά σου τά λείψανα.

Έτερα Προσόμοια Ήχος ο αυτός

Πανεύφημοι Μάρτυρες

Μάρκε παμμακάριστε τρυφής, τόν χειμάρρουν έπιες, ως εξ Εδέμ δέ εξώρμησας, περιφανέστατος, ποταμός ειρήνης, περικλύζων νάμασι, τού Ευαγγελικού σου κηρύγματος, τής γής τό πρόσωπον, Εκκλησίας τά συστήματα, καταρδεύων, θεοπνεύστοις δόγμασι.

Μάρκε παναοίδιμε Μωσής, Αιγυπτίους πρώην μέν, εν τή θαλάσση εβύθισεν, αλλά σύ πάνσοφε, εκ θαλάσσης τούτους, τής πλάνης ανείλκυσας, δυνάμει τού αυτοίς μετά σώματος, επιδημήσαντος, καί τά τούτων χειροποίητα, καθελόντος, υψηλώ βραχίονι.

Ω Μάρκε πανίερε φωτί, ομιλών τού Πνεύματος, πνευματικός όλος γέγονας, καί νύν πανόλβιε, ταίς πρός τόν Δεσπότην, ανενδότοις νεύσεσι, καί μακαριωτάταις ελλάμψεσιν, θέσει θεούμενος, μυστηρίου τό κεφάλαιον, καί τό τέλος, εύρες τό πολύευκτον.

Δόξα... Ήχος πλ. β'

Σού εξεχύθη χάρις εν χείλεσι, Μάρκε Απόστολε, καί γέγονας ποιμήν τής τού Χριστού Εκκλησίας, διδάσκων τά λογικά πρόβατα, πιστεύειν εις Τριάδα ομοούσιον, εν μιά θεότητι.

Καί νύν... Τής Εορτής

Εις τόν Στίχον, Στιχηρά Προσόμοια τού Αποστόλου.

Ήχος α'

Πανεύφημοι Μάρτυρες

Ω Μάρκε θεόσοφε σοφού, γραμματέως κάλαμος, καί οξυγράφου γεγένησαι, Χριστού τήν σάρκωσιν, θεοπνεύστως γράφων, καί τρανώς φθεγγόμενος, ζωής ατελευτήτου τά ρήματα, εν ή δυσώπησον, εγγραφήναι τούς υμνούντάς σε, καί τιμώντας, τήν ένδοξον μνήμην σου.

Στίχ. Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών.

Ω Μάρκε Πανεύφημε Χριστόν, ευαγγελιζόμενος, τήν οικουμένην διέδραμες, καθάπερ ήλιος, αφανίζων πάσαν, ταίς αυγαίς τής πίστεως, τήν τής πολυθεϊας σκοτόμαιναν, καί νύν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Στίχ. Οι ουρανοί διηγούνται δόξαν Θεού ποίησιν δέ χειρών αυτού αναγγέλλει τό στερέωμα.

Ω Μάρκε Απόστολε εν οίς, τό πρίν επλεόνασε, τής ασεβείας η άνοια, αυτός εκήρυξας, Αιγυπτίων σκότος, φωτισμώ τών λόγων σου, διώκων θεοκήρυξ πανόλβιε, καί νύν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Δόξα... Ήχος πλ. δ'

Δεύτε τής ουρανίου μυσταγωγίας τόν κήρυκα, καί υποφήτην τού Ευαγγελίου, ψαλμοίς καί υμνωδίαις, Μάρκον πάντες ευφημήσωμεν, Ούτος γάρ ποταμός ανεδείχθη τού νοητού Παραδείσου, τάς ψυχικάς αρούρας, τοίς ουρανίοις όμβροις επάρδων, καί καρποφόρους δεικνύων Χριστώ τώ Θεώ, τώ παρέχοντι πάσι ταίς πρεσβείαις αυτού, ιλασμόν, καί τό μέγα έλεος.

Καί νύν... Τής Εορτής

Απολυτίκιον  Ήχος γ'

Απόστολε Άγιε, καί Ευαγγελιστά Μάρκε, πρέσβευε τώ ελεήμονι Θεώ, ίνα πταισμάτων άφεσιν παράσχη ταίς ψυχαίς ημών.

Δόξα... Καί νύν... τής Εορτής

Καί, Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τής Εορτής μετά τών Ειρμών εις η' καί τού Αγίου εις ς'.

Ο Κανών τού Αγίου.

Ωδή α' Ήχος α'
Σού η τροπαιούχος δεξιά

Μάρκον τόν θεόπτην ευφημών, επικαλούμαι τήν χάριν τού Πνεύματος, όπως μοι εμπνεύσασα, φωτιστικώς απελάση τήν άγνοιαν, καί τόν θείον πλούτον, τόν τής σοφίας δωρήσηται.

Σού τόν θεηγόρον φωτισμώ, καταλαμπρύνας Σωτήρ τώ τής χάριτος, κόσμω εξαπέστειλας, Λόγε Θεού τών αγαθών ως αίτιος, σού τήν παρουσίαν, ημίν ευαγγελιζόμενον.

Πέτρω τώ σοφώ μαθητευθείς, καί τήν εκείνου πλουτήσας υιότητα, Μάρκε παναοίδιμε, μυσταγωγός εδείχθης μυστηρίων Χριστού, καί συγκληρονόμος, αυτού τής δόξης γεγένησαι.

Θεοτοκίον

Ο τούς Αιγυπτίους εν βυθώ, καταποντίσας, νεφέλη καθήμενος, ούτος επεδήμησε, παρθενική, τοίς Αιγυπτίοις ύστερον, καί διά τού Μάρκου, αυτούς τής πλάνης ερρύσατο.

Ωδή γ'
Ο μόνος ειδώς τής τών βροτών

Σέ τήν ενυπόστατον Χριστέ, σοφίαν ανεκήρυξε, μαρμαρυγαίς ταίς σαίς αυγαζόμενος, παντί τώ κόσμω φανείσαν Δέσποτα, καί ζωήν παρέχουσαν, καί βροτούς φωτίζουσαν, ο θεράπων σου Μάρκος φιλάνθρωπε.

Τό ρείθρον δεξάμενος Χριστέ, σοφίας τό αείρυτον, ως ποταμός ροιζών γής επέκλυσε, θεογνωσίας φωτί τά πέρατα, σού δεικνύς υπάρχουσαν, αληθή τήν πρόρρησιν, ο αυτόπτης σου Μάρκος φιλάνθρωπε.

Τώ Πέτρω επόμενος σοφέ, σοφώς τό Ευαγγέλιον, ως μαθητής αυτού διετύπωσας, θεολογίας τό φώς δρεψάμενος, παρ' αυτού Απόστολε, καί Θεού τήν ένσαρκον, παρουσίαν μηνύσας τρανότατα.

Θεοτοκίον

Αιγύπτου τό πρίν παρθενικαίς, αγκάλαις εποχούμενος, δαιμονικούς βωμούς σύ κατέσεισας, καί ταύτη πάλιν τόν Μάρκον έπεμψας, συνετίζειν άπαντας, τήν σήν ενανθρώπησιν, καί τό θείον Χριστέ μου μυστήριον.

Κοντάκιον τής Εορτής

Κάθισμα τού Αγίου  Ήχος α'
Τόν τάφον σου Σωτήρ

Εις ύψος ανελθών, αρετών θείε Μάρκε, εβρόντησας ημίν, σωτηρίων δογμάτων, μεγάλα μυστήρια, θείος κήρυξ γενόμενος, όθεν πίστει σε, εκδυσωπούμεν Παμμάκαρ, πάσης θλίψεως, αμαρτιών καί κινδύνων, ημάς ελευθέρωσον

Δόξα... έτερον
Ήχος δ'  Επεφάνης σήμερον

Ως αστέρα μέγαν σε, η Εκκλησία, κεκτημένη ένδοξε, τών διδαγμάτων σου βολαίς, φαιδρυνομένη κραυγάζει σοι, Χαίροις Παμμάκαρ, Κυρίου Απόστολε.

Καί νύν... τής Εορτής

Ωδή δ'
Όρος σε τή χάριτι

Εις πάσαν ο φθόγγος σου, τήν γήν εξελήλυθε, καί εις τά πέρατα Σοφέ, τής οικουμένης σου τρανώς, ρημάτων η δύναμις, δαυϊτικώς διαπρυσίως κηρύττουσα, τήν σωτηρίαν ημών καί ανάπλασιν.

Έφανε Σωτήρ, ως αστραπή ο Απόστολος, τή οικουμένη ο σοφός, τής αληθείας τήν χαράν, ευαγγελιζόμενος, θεολαμπεί φωτοχυσία πυρσούμενος, εις σωτηρίαν ημών καί ανάπλασιν.

Οι πόδες οι σοί προφητικώς ωραιώθησαν, τήν υπέρ λόγον γάρ ημίν, ευηγγελίσω προφανώς, ειρήνην θεόληπτε, διά σαρκός εμφανισθείσαν τοίς πέρασιν, εις σωτηρίαν ημών καί ανάπλασιν.

Θεοτοκίον

Νεφέλη ο Λόγος, παρθενική εποχούμενος, τών Αιγυπτίων τάς βουλάς, καί θεομάχους λογισμούς, μωράνας διέλυσε, ταίς διδαχαίς τού θείου Μάρκου ως εύσπλαγχνος, εις σωτηρίαν ημών καί ανάπλασιν.

Ωδή ε'
Ο φωτίσας τή ελλάμψει

Εστάλαξας γλυκασμόν, ευσεβείας τώ λόγω σου, θείον όρος πανταχόθεν ακτίσι λαμπόμενον, εκφανθείς τή χάριτι, σαφώς τού νοητού Ηλίου, Μάρκε παμμάκαρ θεόληπτε.

Εκ τού οίκου τού Κυρίου πηγή εξελήλυθας, καί ποτίζεις τάς χερσώδεις καρδίας τοίς ρεύμασι, δαψιλώς τού Πνεύματος, καρπόν αντί τής ακαρπίας,

φέρειν διδάσκων, Απόστολε.

Σύ τού Πέτρου τού μεγάλου, υιός εχρημάτισας, καί ταίς τούτου διδαχαίς, φωτιζόμενος πάντοτε, τάς ψυχάς ελάμπρυνας, τών σοί θερμώς προσομιλούντων, Μάρκε Κυρίου Απόστολε.

Θεοτοκίον

Ως άνθρωπος εκ Παρθένου, τεχθείς Αιγυπτίοις Χριστέ, επεφάνης εκ Πατρός, ο εκλάμψας πρό κτίσεως, οίς τόν Μάρκον έχρισας, σοφώς αυτούς μυσταγωγούντα, θεογνωσίας μυστήρια.

Ωδή ς'

Εκύκλωσεν ημάς

Κατέβαλες οφρύν ανόμων Κύριε, καί ύβριν υπερήφανον, εταπείνωσας, Απόστολον τόν σόν, δείξας τροπαιούχον τή δυνάμει σου, σύ γάρ ισχύς τών ασθενούντων, καί επανόρθωσις.

Τόν στέφανον τόν τής ελπίδος ένδοξε, δι' ού νύν στεφανούμεθα, εν τοίς λόγοις σου εκήρυξας σοφέ, τόν Δημιουργόν Μάρκε τής κτίσεως, τόν είς ημών δόξαν πλασθέντα, φύσει τού σώματος.

Ο Πέτρος σε, ο κορυφαίος Ένδοξε σαφώς εμυσταγώγησεν, Ευαγγέλιον συγγράψαι τό σεπτόν, δείξας υπηρέτην σε τής χάριτος, σύ γάρ ημίν θεογνωσίας, τό φώς εξήπλωσας.

Θεοτοκίον

Τήν Αίγυπτον, τήν πρίν εν σκότει Κύριε, Παρθένου Θεομήτορος, κατελάμπρυνας ώς βρέφος προελθών, ταύτης θριαμβεύσας τά σεβάσματα, ταίς διδαχαίς τού θεηγόρου, Μάρκου φιλάνθρωπε.

Κοντάκιον Ήχος β'

Τά άνω ζητών

Εξ ύψους λαβών, τήν χάριν τήν τού Πνεύματος, ρητόρων πλοκάς, διέλυσας Απόστολε, καί τά έθνη άπαντα, σαγηνεύσας, Μάρκε αοίδιμε, τώ Δεσπότη προσήγαγες, τό θείον κηρύξας Ευαγγέλιον.

Ο Οίκος

Τού Κορυφαίου τών Αποστόλων μαθητής χρηματίσας, καί σύν αυτώ τόν Χριστόν Υιόν Θεού κηρύξας, επί τήν πέτραν τής αληθείας εστερέωσας τούς πλάνη σαλευομένους, εν ή καμέ στερεώσας, ψυχής μου κατεύθυνον τά διαβήματα, όπως τού εχθρού τών παγίδων λυτρούμενος ανεμποδίστως δοξάζω σε, σύ γάρ πάντας εφώτισας, Μάρκε σοφέ, τό θείον κηρύξας Ευαγγέλιον.

Συναξάριον

Τή ΚΕ' τού αυτού μηνός, Μνήμη τού Αγίου Αποστόλου καί Ευαγγελιστού Μάρκου.

Στίχοι

- Σύροντες εις γήν Μάρκον οι μιαιφόνοι,
- Πρός ουρανούς πέμποντες αυτόν ηγνόουν.
- Εικάδι πέμπτη Μάρκον ενί χθονί άφρονες είλκον.

Τή αυτή ημέρα, η ανάμνησις τών Εγκαινίων τού σεπτού Αποστολείου τού Αγίου καί πανευφήμου Κορυφαίου τών Αποστόλων Πέτρου, τού συγκειμένου εν τή αγιωτάτη Μεγάλη Εκκλησία.

Τή αυτή ημέρα, Μνήμη τού εν Αγίοις Πατρός ημών Μακεδονίου, Πατριάρχου Κωνσταντινουπόλεως.

Στίχοι

- Εκστάς, Μακεδόνιε, τού φθαρτού θρόνου,
- Υμνείς τό θείον σύν Σεραφίμ καί θρόνοις.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος Νίκης.

Στίχοι

- Νίκης βραβεία τή τετμημένη Νίκη,
- Νίκης βραβεύς δίδωσιν, ώς νικηφόρω.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων οκτώ Οσιομαρτύρων καί Αναχωρητών.

Στίχοι

- Οκτώ συνεκκόπτουσιν ανδρών αυχένας,
- Υπό ζυγόν τόν σόν δαμασθέντων, Λόγε.

Ταίς τών αγίων σου πρεσβείαις, Χριστέ ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Σέ νοητήν, Θεοτόκε

Ταίς θεϊκαίς, αστραπαίς πυρούμενος, αντανακλάσεις μυστικώς, αντιπέμπεις αυγοειδείς, Μάρκε Παμμακάριστε, Λόγον γάρ εκήρυξας, σεσαρκωμένον τόν άσαρκον, τόν αινετόν τών Πατέρων, Θεόν καί υπερένδοξον.

Θεουργικαίς, Παντουργέ δυνάμεσι, τον θεηγόρον Μαθητήν, καθοπλίσας θαυματουργόν, τούτον απετέλεσας, νόσους γάρ απήλασε, καί μαλακίας ιάσατο, τόν αινετόν σε κηρύττων, Θεον καί υπερένδοξον.

Τών Μαθητων, τού χορού τόν έξαρχον, καθηγεμόνα εσχηκώς, θείον Πέτρον εκμιμητής, τούτου αναδέδειξαι, άπαν γάρ ερρύθμισας, τής Εκκλησίας τό πλήρωμα, τόν αινετόν τών Πατέρων, Θεόν κηρύττων Ένδοξε.

Θεοτοκίον

Στήλην αυτός, εν Αιγύπτω έστη σας, Ευαγγελίου σου γραφήν, τώ τεχθέντι άνευ σποράς, εκ τής θεομήτορος, ρήσεσιν επόμενος, τού Ησαΐου Πανεύφημε, τόν αινετόν καταγγέλλων, Θεόν τόν υπερένδοξον.

## Ωδή η'

### Εν καμίνω Παίδες

Τόν τεχθέντα Λόγον εκ Πατρός, πρό πάντων τών αιώνων, τήν φύσιν τήν τών ανθρώπων, ενδυσάμενον Χριστόν, εκήρυξας Ένδοξε, καί εβόας, Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Τόν διδόντα λύτρον εαυτόν, ημών τής αμαρτίας, καί πάθει τούς πεπτωκότας, αναστήσαντα Χριστόν, εδόξασας ένδοξε, καί εβόας, Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Τή τού Πέτρου Μάρκε πειθαρχών, σοφέ διδασκαλία, πανσόφως διά γραμμάτων, ανετύπωσας πιστοίς, σεπτόν Ευαγγέλιον, τοίς βοώσι, Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

### Θεοτοκίον

Η Παρθένος τόν Εμμανουήλ, βαστάζουσα ως βρέφος, επέστη τοίς Αιγυπτίοις, οίς ως έκλαμπρος αστήρ, ο Μάρκος απέσταλται, ανακράζων, Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

## Ωδή θ'

### Τύπον τής αγνής λοχείας σου

Φθάσας τήν πηγήν τήν άφθαστον, τής τρισηλίου θεοφάντορ ελλάμψεως, καθαρώτερον, κατατρυφάς καί τρανότερον, τής θεώσεως της υπέρ έννοιαν, Αγγέλοις συγχορεύων, ακαταπαύστως Ιερώτατε.

Πέτρου κοινωνός γενόμενος, διδασκαλίας καί τού θείου κηρύγματος, τά ουράνια, περιπολεύεις σκηνώματα, σύν αυτώ θεορρήμον μακάριε, μεθ' ού καί συμπρεσβευεις, υπέρ ημών Μάρκε Απόστολε.

Φάος τό τρισσώς ενούμενον, μοναδικώς τε πάλιν ξένως τρισσούμενον, ανεκήρυξας, πανευσεβώς Μάρκε πάνσοφε, φωτιζόμενος αίγλη τής χάριτος, διό σε δυσωπούμεν, Υπέρ ημών αεί ικέτευε

### Θεοτοκίον

Μάρκος ο σεπτός, Απόστολος, τοίς Αιγυπτίοις Ιεράρχης δεδώρηται, οίς ως νήπιος, σωματωθείς επεδήμησεν, εκ Παρθένου αγνής Θεομήτορος, ο Κύριος τής δόξης, όν ανυμνούντες μεγαλύνομεν.

## Εξαποστειλάριον

### Φώς αναλλοίωτον Λόγε

Σύ τήν υιότητα Πέτρου, τού Αποστόλου πλουτήσας, τοίς Αιγυπτίοις εντεύθεν, διατυποίς πρώτος πάντων, τό Ευαγγέλιον Μάρκε, δι' ού τόν κόσμον φωτίζεις.

### Καί τής Εορτής

### Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια

τού Αποστόλου γ' δευτερούντες τό α'.

Ήχος α'
Πανεύφημοι Μάρτυρες

Αιγύπτου φωστήρ ο φαεινός, Μάρκος ο πανάριστος, κήρυξ τού Λόγου ο πάνσοφος, Ευαγγελίου τε, συγγραφεύς ο θείος, ευφημείσθω άσμασι, καί θείοις παρ' ημών μελωδήμασι, Χριστώ πρεσβεύει γάρ, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος. (Δις)

Δογμάτων τών θείων συγγραφεύς, τού Χριστού γενόμενος, πάσαν τήν γήν κατεφώτισας, αυτού τήν σάρκωσιν, καί τά θεία πάθη, τήν σεπτήν αναστασιν, καί τήν πρός τόν Πατέρα αναβασιν, κηρύξας πάνσοφε, καί τά έθνη πρός επίγνωσιν, αληθείας, ελκύσας Απόστολε.

Τού Πέτρου τού θείου οπαδός, ευπειθής γενόμενος, Μάρκε Κυρίου Απόστολε, ταίς τούτου πάνσοφε, διδαχαίς πειθήσας, τού Αγίου Πνεύματος, τή χάριτι λαούς Κατεφώτισας, τών Αιγυπτίων τε, Καταυγάσας τήν διάνοιαν, καί τήν πόλιν, αυτών κατεκόσμησας.

Δόξα... Ήχος πλ. β'

Σού εξεχύθη χάρις εν χείλεσι, Μάρκε Απόστολε, καί γέγονας ποιμήν τής τού Χριστού Εκκλησίας, διδάσκων τά λογικά πρόβατα, πιστεύειν εις Τριάδα ομοούσιον, εν μιά θεότητι.

Καί νύν... Τής Εορτής

Εις τήν Λειτουργίαν

Κοινωνικόν

Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών, καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών. Αλληλούϊα.

---

Αρχή

## ΤΗ ΚΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Ιερομάρτυρος Βασιλέως, Επισκόπου Αμασείας.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά τής Εορτής γ' καί τού Αγίου Προσόμοια γ'.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Κατά πάντων Μακάριε, τών παθών εβασίλευσας, νόμω θείω μέγιστε, κρατυνόμενος, καί λογισμόν αυτοκράτορα, σαφώς ποιησάμενος, καί γενόμενος Θεού, παραστάτης επάξιος, χρίσμα άγιον, υπεδέξω, καί ποίμνης

προηγήσω, λογικής Αρχιερέων, καί Αθλητών εγκαλλώπισμα.

Ως κριόν εκ ποιμνίου σε, Βασιλεύ παμμακάριστε, βασιλεύς παράνομος διεχώρισε, καί Βασιλέα κηρύττοντα, Χριστόν τόν Θεόν ημών, τόν τυθέντα ως αμνόν, καί βροτούς διασώσαντα, θεασάμενος, κατασφάττει αδίκως προξενών σοι, ουρανών τήν βασιλείαν, καί αιωνίζουσαν εύκλειαν.

Εφ' υδάτων τάς τρίβους σου, παραδόξως πεποίησαι, Βασιλεύ αοίδιμε, μετά τέλος γάρ, απορριφείς, ως προέφησας, συντόνως υπέπλευσας, καί τή πόλει σου σαυτόν, Αμασεία απέδωκας, φόρτον τίμιον, ακαταίσχυντον πρέσβυν ιαμάτων, ποταμόν καί νοσημάτων, παντοδαπών καθαρτήριον.

Δόξα... Καί νύν... Τής Εορτής

Εις τόν Στίχον τής Εορτής

Καί Απολυτίκιον τής αυτής

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Τά Καθίσματα τής Εορτής. Οι Κανόνες τής εορτής καί τού Αγίου.

Ποίημα Ιωσήφ.

Ωδή α'  Ήχος β'
Δεύτε λαοί άσωμεν

Τώ Βασιλεί, τών ουρανίων Δονάμεων, στεφηφορών παρίστασαι, πάσιν αιτούμενος, Βασιλεύ θεοφόρε, τοίς πόθω σε τιμώσι, χάριν καί έλεος.

Κατά παθών, τών τής σαρκός εβασίλευσας, καί βασιλέα άθεον, εγκελευόμενον, τόν ουράνιον Μάκαρ, αρνείσθαι Βασιλέα, σύ κατεπάτησας.

Βασιλικών, φύλακα θείων προστάξεων, βασιλικώς σε χρίσματι, θείω επέχρισε, Βασιλεύς ο τής δόξης, καί στέφει μαρτυρίου, Μάκαρ εκόσμησε.

Θεοτοκίον

Η τών πιστών, καταφυγή Αειπάρθενε, η κραταιά βοήθεια, τών προστρεχόντων σοι, από πάσης ανάγκης, καί βλάβης εναντίας, ημάς διάσωσον.

Ωδή γ'
Εν πέτρα με τής πίστεως

Αγέλαις ηριθμήθης τών πρωτοτόκων, θεούμενος μεθέξεσι θειοτάταις, καί βλέπων καθαρώτερον τού Δεσπότου, τήν ωραιότητα, Μάρτυς αήττητε, Βασιλεύ θεόσοφε, καί μακάριε.

Αιρέσεων διέλυσας τόν χειμώνα, τή θέρμη τών πανσόφων σου διδαγμάτων, ειδώλων διεσκέδασας τήν ομίχλην, φωτί τών άθλων σου, διό με φώτισον, Βασιλεύ μακάριε, τόν τιμώντά σε.

Ψυχόλεθρον Γλαφύρα φυγούσα βόθρον, λιμένα σωτηρίας σε Πάτερ εύρε, διό καί νυμφευθείσα Χριστώ τώ Κτίστη, χαίρει κραυγάζουσα, Σύ εί Θεός ημών, καί ουκ έστιν Άγιος, πλήν σου Κύριε.

Θεοτοκίον

Εκύησας τόν άναρχον Βασιλέα, εκ σού Παρθενομήτορ αρχήν λαβόντα, αυτόν ούν ως φιλάνθρωπον εκδυσώπει, σώσαι τούς δούλους σου, πάσης εκ θλίψεως, καί εχθρών αλώσεως, παναμώμητε.

Ο Ειρμός

«Εν πέτρα με τής πίστεως στερεώσας, επλάτυνας τό στόμα μου επ' εχθρούς μου, ηυφράνθη γάρ τό πνεύμά μου εν τώ ψάλλειν, Ουκ έστιν Άγιος, ως ο Θεός ημών, καί ουκ έστι δίκαιος, πλήν σου Κύριε».

Κάθισμα Ήχος γ'

Θείας πίστεως

Ζάλην άθεον, ειδώλων πλάνης, εκφευξάμενος, Ιερομύστα, διά δέ ξίφους θαλάσση ποντούμενος, πρός τόν ακύμαντον όρμον κατήντησας, καί αιωνίως εν τούτω γηθόμενος, Πάτερ Όσιε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Καί τής Εορτής

Ωδή δ'

Ελήλυθας, εκ Παρθένου

Ιέρευσας, σεαυτόν ως αρνίον πανάμωμον, τυθείς Παμμακάριστε, καί ταίς ροαίς τών αιμάτων σου, θάλασσαν εξήρανας, τής πονηράς αθεϊας θεία χάριτι.

Βασίλειον, επιχρώσας εσθήτα τοίς αίμασι, καί νίκης διάδημα, τή κεφαλή περιθέμενος, χαίρων προσεχώρησας, εις τά βασίλεια Πάτερ τά ουράνια.

Οσίως σου, καί δικαίως ποιμάνας τό ποίμνιον, εις μάνδραν εισήλασας, τήν επουράνιον Όσιε, ένθα τής αθλήσεως, περικοσμούμενος στέφει προσεχώρησας.

Θεοτοκίον

Πανύμνητε, τών ανθρώπων ετοίμη βοήθεια, τά άγρια κύματα, τών πειρασμών καταπράϋνον, σώζουσα τούς δούλους σου, τής τών εχθρών επηρείας προστασίαις σου.

Ωδή ε'

Ο φωτισμός τών εν σκότει

Τώ φωτισμώ, τής του Πνεύματος αίγλης λελαμπρυσμένος, σκότος απεμείωσας αθεϊας, ιερομύστα, καί πολλούς συσχεθέντας, τή ομίχλη τής

ματαιότητος, πρός τάς ουρανίους, μονάς καθωδήγησας.

Φύλαξ Θεού, προσταγμάτων υπάρχων εν φυλακή τε, ένδον καθειργμένος υπό αθέων, οράς τό μέλλον, επί σοί θείον τέλος, δι' Αγγέλου εκδιδασκόμενος, Ιερομαρτύρων, κρηπίς καί εδραίωμα.

Θαύμα φρικτόν, εν τή σή τελειώσει πάσιν ωράθη, ξίφει γάρ η κάρα σου εκτμηθείσα, Ιερομάρτυς, καί θαλάσση βληθείσα, συνηρμόσθη τώ θείω σκήνει σου, δώρον τοίς ποθούσι, δοθείσα θεόσδοτον.

Θεοτοκίον

Πόλις Θεού, περί ής ελαλήθη δεδοξασμένα, ταύτην σου τήν πόλιν καί πάσαν χώραν, από κινδύνων, καί λιμού καί βαρβάρων, Θεοτόκε Παρθένε λύτρωσαι, μόνη προστασία, πιστών ακαταίσχυντε.

Ωδη ς'

Εν αβύσσω πταισμάτων

Εφ' υδάτων πορείας πεποίησαι, ύδατα τής πλάνης ξηράνας τοίς ρεύμασι, τών Ιερών αιμάτων σου, καί πρός όρμον κατήντησας άκλυστον.

Ζωηφόρος νεκρός εχρημάτισας, Πάτερ την υγράν Βασιλεύ διερχόμενος, καί μαθηταίς διδόμενος, διά θείων σαφώς εισηγήσεων.

Τήν αγίαν στολήν κατεποίκιλας, αίμασι σεπτοίς ώσπερ βύσσον βασίλειον, ήν Βασιλεύ ενδέδυσαι, στεφηφόρος Χριστώ παριστάμενος.

Θεοτοκίον

Παναγία Παρθένε Θεόνυμφε, η μετά Θεόν προστασία τών δούλων σου, βαρβαρικής αλώσεως, καί κινδύνων ημάς απολύτρωσαι.

Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, εκ φθοράς ο Θεός με ανάγαγε».

Το Κοντάκιον τής Εορτής

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΣΤ' τού αυτού μηνός, Μνήμη τού Αγίου Ιερομάρτυρος Βασιλέως, Επισκόπου Αμασείας.

Στίχοι

- Τμηθείς, Βασιλεύ, βασιλεύς πόλου γίνη,
- Εξ αιμάτων σών βάμμα κόκκινον φέρων.
- Εικάδα αμφ' έκτην Βασιλεύς ξίφει αυχένα κάρθη.

Τή αυτή ημέρα, η Αγία Γλαφύρα εν ειρήνη τελειούται.

Στίχοι

- Θεόν Γλαφύρα ψυχικών δι' ομμάτων,

- Ου γλαφυρώς νύν, αλλά τηλαυγώς βλέπει

Τή αυτή ημέρα, η Οσία Ιούστα εν ειρήνη τελειούται.

Στίχοι

- Τρόπον σελήνης πλησιφαούς, Ιούσταν,
- Λάμψασαν έργοις, μνήματος κρύπτει νέφος.

Τή αυτή ημέρα, ο Όσιος Νέστωρ, τούς γονείς καταλιπών καί μονάσας, εν ειρήνη τελειούται.

Στίχοι

- Τούς ουρανούς ιδρώσι Νέστωρ επρίω,
- Δι' ούς φύσιν τύραννον ηρνήσω θέσει.

Ταίς τών σών Αγίων πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν

Ωδή ζ'

Εικόνος χρυσής

Αιμάτων βαφαίς, επιχρώσας σεαυτώ πορφύραν Μάρτυς, καί ταύτην χαίρων αμπεχόμενος, καί τή χειρί τό σωτήριον, όπλον τού Σταυρού περιφέρων, Βασιλεύ παναοίδιμε, τώ αθανάτω Βασιλεί, συμβασιλεύεις αεί.

Τή ποίμνη τή σή, απεδόθη τό καλώς αθλήσαν σώμά σου, εκ θαλαττίων κόλπων πέλαγος, άμα πηγάζον ιάσεων, καί τών παθημάτων ξηραίνον, διεκχύσεις τή χάριτι, Ιερομάρτυς Βασιλεύ, τού θείου Πνεύματος.

Νυμφίω Χριστώ, νύμφην όλην αρεταίς ηγλαϊσμένην, καί παρθενία διαλάμπουσαν, Γλαφύραν Πάτερ προσήγαγες, ταύτην διδαχαίς ωραϊσας, καί νυμφώνος ηξίωσας, ή καί συγχαίρεις Βασιλεύ, εν ουρανίοις σκηναίς.

Θεοτοκίον

Η μόνη ελπίς, καί βοήθεια πιστών Θεογεννήτορ, σπεύσον βοήθει τοίς ικέταις σου, βυθιζομένοις ταίς θλίψεσι, καί ηπορημένοις Παρθένε, καί εν οδύνη υπάρχουσι, καί καταφεύγουσιν εις σέ, εν πεποιθήσει ψυχής.

Ωδή η'

Τόν εν καμίνω τού πυρός

Τή βακτηρία τών σοφών, διδαγμάτων πρός νομάς σωτηριώδεις, σού τά θρέμματα νέμων, τούς πονηρούς καί βαρείς εκ μέσου Πάτερ λύκους ήλασας, καί εσφαγιάσθης, ώσπερ αρνίον θέλων.

Εκ θαλαττίων σε βυθών, μαργαρίτην ως τερπνόν αναδοθέντα, συγκομίζουσι πίστει, οι Ιεροί μαθηταί, θαυμάτων αϊγλην αποπέμποντα, Ιερομαρτύρων, κανών καί μέγα κλέος.

Όλος εκ βρέφους τώ Θεώ αναθέμενος σαυτόν χρίσματι θείω, Ιερώς ηγιάσθης,

καί ιερεύσας σαυτόν, προσήχθης Ιερεύς καί σφάγιον, εν τή άθανάτω, καί μυστική τραπέζη.

Θεοτοκίον

Καταφυγή Χριστιανών, βοηθέ τών εν δεινοίς συνεχομένων, Παναγία Παρθένε, μή υπερίδης ημάς, κινδύνοις κλονουμένους πάντοθεν, καί πολλαίς εφόδοις, τών πονηρών βαρβάρων.

Ο Ειρμός

«Τόν εν καμίνω τού πυρός, τών Εβραίων τοίς Παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον, μεταβαλόντα Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ'

Τόν εκ Θεού Θεόν Λόγον

Ιερωσύνης παμμάκαρ, καί σεπτής μαρτυρίας, ταίς θείαις απαστράπτων καλλοναίς, νύν κατοικείς τά ουράνια, καί παρίστασαι χαίρων, Τριάδι τή Αγία Βασιλεύ, μετά πάντων Μαρτύρων, υπέρ ημών δεόμενος.

Ως φωταυγής σου η μνήμη, απαστράπτουσα αίγλην, ενθέων χαρισμάτων τοίς πιστοίς, ως Ιερόν σου τό τέμενος, ένθα κείμενος βρύεις, ιάματα καί σώζεις Βασιλεύ, χαλεπών εκ κινδύνων, τούς πόθωσε γεραίροντας.

Η τών λειψάνων σου θήκη, ως πηγή καθοράται, ιάσεων εκβλύζουσα κρουνούς, καί θεραπεύουσα άπαντα, τά νοσήματα Πάτερ, ψυχών καί τών σωμάτων Βασιλεύ, διά τούτο πιστώς σου, τελούμεν τό μνημόσυνον.

Θεοτοκίον

Φωτοκυήτορ Παρθένε, μετά τών ασωμάτων, Αγγέλων Αποστόλων Προφητών, Ιεραρχών Αθλοφόρων τε, καί Οσίων απάντων, τόν μόνον υπεράγαθον Θεόν, εκδυσώπει ρυσθήναι, κινδύνων τάς ψυχάς ημών.

Ο Ειρμός

«Τόν εκ Θεού Θεόν Λόγον, τόν αρρήτω σοφία, ήκοντα καινουργήσαι τόν Αδάμ, βρώσει φθορά πεπτωκότα δεινώς, εξ αγίας Παρθένου, αφράστως σαρκωθέντα δι' ημάς, οι Πιστοί ομοφρόνως, εν ύμνοις μεγαλύνωμεν».

Τό Εξαποστειλάριον τής Εορτής

Καί η λοιπή Ακολουθία, η Α' Ώρα, καί Απόλυσις.

---

Αρχή

**ΤΗ ΚΖ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τού Αγίου Ιερομάρτυρος Συμεών, συγγενούς τού Κυρίου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ' καί τού Αγίου γ'.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Ιερεύς Ιερώτατος, αθλητής εννομώτατος, συγγενής τού κτίσαντος, αληθέστατος, θαυματουργός υπερθαύμαστος, φωστήρ διαυγέστατος, πλανωμένων οδηγός, Συμεών αναδέδειξαι, στύλος άσειστος, τής σεπτής Εκκλησίας καί τής άνω, βασιλείας κληρονόμος, καί τών Αγέλλων ισότιμος.

Μετά πόνους τού σώματος, πολυτρόπους θαυμάσιε, μετά πάσαν βάσανον, πολυώδυνον, μετά μυρία παλαίσματα, Σταυρώ προσωμίλησας, εκμιμούμενος Χριστόν, σταυρωθέντα θελήματι, όθεν σήμερον, Συμεών σου τήν μνήμην τήν φωσφόρον, εκτελούντες τάς αισθήσεις, τάς ψυχικάς φωτιζόμεθα.

Εις ναόν επουρανιον, Ιερώς προσεχώρησας, Ιερώ σταζόμενος, μάκαρ αίματι, καί τή Τριάδι παρίστασαι, πλουσίως λαμπόμενος, ταίς εκείθεν αστραπταίς, πηγαζούσαις πανόλβιε, όθεν χαίροντες, τήν αγίαν σου μνήμην εκτελούμεν, Συμεών ταίς σαίς πρεσβείαις, λύσιν πταισμάτων λαμβάνοντες.

Δόξα... Καί νύν... Τής Εορτής

Εις τόν Στίχον, Στιχηρά τής Εορτής.

Απολυτίκιον  Ήχος α'

Χριστού σε συγγενή, Συμεών Ιεράρχα, καί Μάρτυρα στερρόν, ιερώς ευφημούμεν, τήν πλάνην ολέσαντα, καί τήν πίστιν τηρήσαντα, όθεν σήμερον, τήν παναγίαν σου μνήμην, εορτάζοντες, αμαρτημάτων τήν λύσιν, ευχαίς σου λαμβάνομεν.

Καί τής Εορτής, καί Απόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετα τήν συνήθη Στιχολογίαν, τά Καθίσματα τής Εορτής, καί οι Κανόνες τής Εορτής, καί τού Αγίου, ού η Ακροστιχίς.

Σίμων ο καί Συμεών υμνείσθω πόθω.
Ποίημα Ιωσήφ.

Ωδή α'  Ήχος δ'
Άσομαί σοι, Κύριε ο Θεός μου

Σίμων Ιερώτατε τώ Δεσπότη, στεφηφορών παρεστηκώς, τοίς πόθω τήν μνήμην σου, τελούσι τήν πανίερον, πταισμάτων λύσιν αίτησαι.

Ιστίω πτερούμενος θεομάκαρ, τώ τού Σταυρού ως αληθώς, τού Πνεύματος αύραις, τόν κλύδωνα παρέδραμες, τής πλάνης Παμμακάριστε.

Μύρω θείω έχρισεν Ιερέα, σέ τού λαού ο εκ φυλής, Ιούδα βλαστήσας Χριστός, Συμεών Ιερώτατε, τών Αγγέλων συνόμιλε.

Θεοτοκίον

Ως ούσα τής κτίσεως ανωτέρα, πάσης τόν Κτίστην καί Θεόν, εν μήτρα συνέσχες, Παρθένε καί εκύησας, βροτών εις απολύτρωσιν.

Ωδή γ'

Τόξον δυνατών ησθένησε

Νεύσει πρός Θεόν θεούμενος, όλος Ιεράρχα, θεοειδής εχρημάτισας, μαρτυρίου περιαστράπτων, λαμπηδόσιν ιερώτατε.

Όρθρος τοίς εν σκότει έλαμψας, τής δικαιοσύνης, υποδεικνύων τόν Ήλιον, εκ νεφέλης Παρθένου Κόρης, τοίς ανθρώποις ανατείλαντα.

Κόσμου ηδονάς εμίσησας, καί, Αρχιερέων, κόσμος τερπνός εχρημάτισας, καί αθλήσας, υπερκοσμίου δόξης Πάτερ κατηξίωσαι.

Θεοτοκίον

Άπας εγκωμίων πάναγνε, νόμος νύν ηττάται, σέ ανυμνείν θεονύμφευτε, τόν γάρ Λόγον Θεού τεκούσα, τούς Αγγέλους υπερβέβηκας.

Ο Ειρμός

«Τόξον δυνατών ησθένησε, καί οι ασθενούντες, περιεζώσαντο δύναμιν, διά τούτο εστερεώθη, εν Κυρίω η καρδία μου».

Κάθισμα  Ήχος δ'

Ο υψωθείς

Ιεραρχίας ταίς στολαίς εκοσμήθης, καί μαρτυρίου καλλοναίς ωραιώθης, καί τώ Θεώ σύν δόξη παριστάμενος, λάμπεις αυγαζόμενος, τώ φωτί τής Τριάδος, όθεν δυσωπούμέν σε, Συμεών Ιεράρχα. Ως παρρησίαν έχων πρός Θεόν, υπέρ τών πίστει τιμώντων σε πρέσβευε.

Καί τής Εορτής

Ωδή δ'

Δι' αγάπησιν οικτίρμον

Ιερούργησας θυσίας τάς αναιμάκτους, τώ διά σέ τυθέντι, τυθείς ως αρνίον, καί τούτω προσήνεξαι, θεόφρον πανόλβιε.

Συνετρίβη πρό προσώπου σου Ιεράρχα, τής ασεβείας όρη, καί βουνοί τών δαιμόνων, πάντες κατετάκησαν, Χριστού δυναμούντός σε.

Υψηλότατον τόν βίον έχων Παμμάκαρ, εθελοντί υψώθης, επί ξύλου τό θείον, πάθος εκμιμούμενος, τού κόσμον υψώσαντος.

Θεοτοκίον

Μεμυημένος τόν τόκον σου ο Προφήτης, σέ Αββακούμ προγράφει, κατάσκιον

όρος, Κόρη ο Θεός ημών, έξ ού επεδήμησεν.

Ωδή ε'

Τόν φωτισμόν σου Κύριε

Εθελοντί μακάριε, παρέδωκας σαυτόν, παθείν προθύμως, μιμούμενος Χριστόν, τόν υπέρ ημών σαρκί παθόντα, καί τά πάθη μειώσαντα.

Ως ιερείον άμωμον, εκδέδωκας σαυτόν, ολοκαυτούσθαι πυρί τών βασάνων, μάκαρ Συμεών, ευωδία μυστική συντηρούμενον.

Ναός τού θείου Πνεύματος, γενόμενος Σοφέ, ναούς ειδώλων κατέστρεψας μοχλώ, σού τών προσευχών, καί πλανωμένους, πρός το φώς καθωδήγησας.

Θεοτοκίον

Υπέρ ημών δυσώπησον, Χριστόν τόν εκ τών σών, αγνών αιμάτων, αγνή Θεοτόκε, σάρκα υλικήν ημφιεσμένον, καί βροτούς αναπλάσαντα.

Ωδή ς'

Εβόησε, προτυπών

Μεμύησαι, παραδόξων εκ θείων ελλάμψεων, τά πρός θείαν, οδηγούντα ζωήν σε πανόλβιε, καί αρρήτου δόξης, Ιεράρχα ανάπλεως γέγονας.

Ναμάπων σε, ζωηρύτων πλησθέντα τού Πνεύματος, ώσπερ άλλον, ποταμόν εξ Εδέμ πορευόμενον, Συμεών η θεία, Εκκλησία αγάλλεται έχουσα.

Εκάθισας, υψηλήν εις καθέδραν διάδοχος, Ιακώβου, καί τρόπων συμμέτοχος, τήν Ιεραρχίαν, μαρτυρίω λαμπρύνας Μακάριε.

Θεοτοκίον

Ιάτρευσον, τά ανίατα πάθη Θεόνυμφε, τής ψυχής μου, ιατρόν καί Σωτήρα κυήσασα, τών βροτών τά πάθη, τοίς αυτού θεραπεύοντα πάθεσιν.

Ο Ειρμός

«Εβόησε, προτυπών τήν ταφήν τήν τριήμερον, ο Προφήτης, Ιωνάς εν τώ κήτει δεόμενος, Εκ φθοράς με ρύσαι, Ιησού Βασιλεύ τών Δυνάμεων».

Κοντάκιον Ήχος β'

Τά άνω ζητών

Τής άνω Σιών, πολίτης γενόμενος, τής κάτω Σιών, τόν θρόνον εγκεχείρισαι, καί καλώς τό ποίμνιον, οδηγήσας πρός μάνδραν ουράνιον, εσταυρώθης Χριστώ Συμεών, τό θείον πάθος αυτού μιμησάμενος.

Ο Οίκος

Τόν εκ γένους Αβραάμ, καί εκ σειράς τής τού Δαυϊδ, τόν υιόν τού Ιωσήφ, καί συγγενή τού Ιησού, ευφημήσωμεν σήμερον Συμεών τόν τρισόλβιον, ως μεγάλως μέν τή αγχιστεία Χριστού κλεϊζόμενον, λαμπρώς δέ τώ θρόνω τής μητρός τών Εκκλησιών αγλαϊζόμενον, ευκλεώς δέ τώ αίματι τού μαρτυρίου καλλυνόμενον, καί γάρ ούτος, ως ο Δεσπότης, τώ σταυρώ προσεπάγη, τό θείον πάθος αυτού μιμησάμενος.

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΖ' τού αυτού μηνός, Μνήμη τού Αγίου Ιερομάρτυρος Συμεών, Επισκόπου Ιεροσολύμων, συγγενούς τού Κυρίου.

Στίχοι

- Αδελφά πάσχεις, Συμεών, τώ Κυρίω,
- Ξύλω κρεμασθείς, ως αδελφός Κυρίου.
- Εν ξύλω εβδόμη Συμεών πάγη εικάδι μακρώ.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών καί Ομολογητού Ιωάννου, Ηγουμένου τής Μονής τών Καθαρών.

Στίχοι

- Παθών καθαρθείς, ώ Ιωάννη Μάκαρ,
- Μονής προέστης τών Καθαρών εικότως.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Ποπλίωνος, μαχαίρα τελειωθέντος.

Στίχοι

- Σφαγείς Ποπλίων, αίμα σόν Χριστώ χέεις,
- Ός ηγοράσθης αίματι Χριστού πάλαι.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Ευλογίου τού ξενοδόχου, εν ειρήνη τελειωθέντος.

Στίχοι

- Τόν Ευλόγιον, τόν ξενιστήν τών ξένων,
- Θεού ξενιστής Αβραάμ ξενιζέτω.

Τή αυτή ημέρα, Μνήιμη τού Αγίου Μάρτυρος Λολλίωνος τού Νέου, ός κατά γής συρόμενος τελειούται.

Στίχοι

- Κονίεται τό σώμα, Μάρτυς Λολλίων,
- Κόνιν φύρεσθαι τήν απ' αυτού δούς κόνιν.

Ταίς τών Αγίων σου πρεσβείαις, Χριστέ ο Θεός, ελέησον ημάς. Αμήν.

## Ωδή ζ'

Αβραμιαίοι ποτέ

Σώμα βασάνοις προδούς, υπέρ Χριστού προθύμως, ού παρετράπης ουκ ενέδωκας, κραυγάζων θεσπέσιε, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Θείω Παμμάκαρ φίλτρω, αναφλεχθείς τάς φρένας, πυρός ενύλου δυνατώτερος, βοών εχρημάτισας, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Ως ο Δεσπότης Χριστός, επί σταυρού υψώθης, τώ πάθει σεμνυνόμενος, καί

μέλπεις γηθόμενος, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Θεοτοκίον

Παρθενομήτορ αγνή, τό τών δαιμόνων τραύμα, καί τών ανθρώπων τό διάσωσμα, Αγγέλων ευπρέπεια, τήν ταπεινήν μου ψυχήν, εχθρού τής πλάνης ρύσαι.

Ωδή η'

Τόν εν τώ Σταυρώ

Όλην τήν αυγήν, σοφέ τού Παρακλήτου, τή καθαρά σου Συμεών, δεξάμενος καρδία, σκότος τών δαιμόνων αφεγγές, εξηφάνισας πιστούς φωτίζων.

Θάλασσαν δεινής, Σοφέ κακοπιστίας, αποξηράνας ταίς ροαίς, τών θείων διδαχών σου, άπασαν κατήρδευσας ψυχήν, στάχυν πίστεως καρποφορούσαν.

Ώφθης ιερεύς, σεπτός εν τώ ιδίω, αίματι Μάρτυς εισελθών, ναόν εις θείον, ένθα πάντοτε οράς τόν διά σέ, ώσπερ άμωμον άμνον τυθέντα.

Θεοτοκίον

Ίνα σε φωναίς, Αγνή χαριστηρίοις, τήν χαριτώσασαν ημών, τό γένος ανυμνώμεν, σκέπε περιφρούρει τε ημάς, Θεονύμφευτε εκ πάσης βλάβης.

Ο Ειρμός

«Τόν εν τώ σταυρώ, σαρκί προσηλωθέντα, καί υποδείξαντα ημίν, όπλον εις σωτηρίαν, Παίδες υπερυψούτε Χριστόν, τόν Θεόν ημών εις τούς αιώνας».

Ωδή θ'

Ο τόκος σου άφθορος

Ως στύλος πυρός μάκαρ ωράθης, λαού προηγούμενος τού νέου, εξ Αιγύπτου τής πλάνης, καί πρός γήν, επαγγελίας τήν θείαν Μάρτυς, τούτον εισάγων, ταίς σαίς όντως εισηγήσεσι.

Σίμων Συμεών διπλήν τήν κλήσιν, λαβών, τόν διπλούν τή φύσει Λόγον, εναντίον αθέων τόν αυτόν, Θεόν βροτόν τε ανακηρύττεις, όθεν σε πάντες, συνελθόντες μακαρίζομεν.

Η γή ηγιάσθη τή αθλήσει, σού Μάρτυς σταυρώ προσηλωθέντος, αι ψυχαί δέ δικαίων Συμεών, αγαλλιώνται τή σή ανόδω, όθεν καί πάντες, οι πιστοί σε μακαρίζομεν.

Θεοτοκίον

Φωτί με καταύγασον τώ θείω, φωτός οικητήριον, Παρθένε, τών παθών μου τό σκότος τό πυκνόν, καί νύκτα όντως τήν βαθυτάτην, σαίς μεσιτείαις, Θεοκυήτορ απελαύνουσα.

Ο Ειρμός

«Ο τόκος σου άφθορος εδείχθη, Θεός εκ λαγόνων σου προήλθε, σαρκοφόρος ως ώφθη επί γής, καί τοίς ανθρώποις συναναστράφη, σέ Θεοτόκε, διό πάντες μεγαλύνομεν».

Εξαποστειλάριον, τής Εορτής

Εις τόν Στίχον, Στιχηρά τής Εορτής. Η Α' Ώρα, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΗ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων εννέα Μαρτύρων τών εν Κυζίκω.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ' καί τών Αγίων γ'.

Ήχος πλ. δ'
Ώ τού παραδόξου θαύματος

Μάρτυρες Χριστού πανεύφημοι, κατακρατούσης ποτέ, τής Ελλήνων σκαιότητος, καί ωθούσης άπαντας, πρός αθέμιτα βάραθρα, οδόν ευθείαν, ού κατελίπετε, καί αθεϊα, ου προσετέθητε, αλλ' ενηθλήσατε, γνώμης ανδρειότητι, καί τήν ζωήν, ξίφει θανατούμενοι, κατεκληρώσασθε.

Θέογνιν Ρούφον Αντίπατρον, θεόστιχον Αρτεμάν, Μάγνον τε καί θεόδοτον, τόν κλεινόν θαυμάσιον, καί τόν θείον Φιλήμονα, τούς εν αθλήσει, φαιδρώς εκλάμψαντας, καί τούς εν σκότει, φωταγωγήσαντας, πίστει Τιμήσωμεν, ύμνοις μακαρίσωμεν, τήν ιεράν, τούτων εορτάζοντες, μνήμην γηθόμενοι.

Άνθη Μαρτύρων τερπνότατα, παρεμβολή Ιερά, θεοσύλλεκτον άθροισμα, εκκλησία άριστος, συνοδία θεόλεκτος, χορός Αγίων, δήμος μακάριος, υπέρ Τριάδος, αγωνισάμενοι, ταύτην αιτήσασθε, δούναι ημίν άφεσιν, αμαρτιών, καί ειρήνην άπασι, καί μέγα έλεος.

Δόξα... Καί νύν... Τής Εορτής

Εις τόν Στίχον, Στιχηρά τής αυτής. Ομοίως καί Απολυτίκιον, καί Απόλυσις.

Ε ΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι κανόνες τής Εορτής, καί τών Αγίων, ού η Ακροστιχίς.

Τήν εννάριθμον Μαρτύρων σέβω χάριν.
Ποίημα Ιωσήφ.

Ωδή α' Ήχος δ'
Τριστάτας κραταιους

Ταίς θείαις καλλοναίς, ενηδόμενοι όντως, καί χειμάρρου τής τρυφής, τρυφώντες δαψιλώς, καί μεθέξει θεούμενοι, Μάρτυρες στεφανηφόροι, τούς υμάς μακαρίζοντας, χαλεπών εκ κινδύνων λυτρώσασθε.

Ηλίου φωταυγούς, ανατείλαντος δίκην, ταίς ακτίσι τών στερρών, αγώνων Αθληταί, καί θαυμάτων ταίς λάμψεσιν, άπαντας φωταγωγείτε, καί παθών νύκτα λύετε, καί δαιμόνων τόν ζόφον σκεδάζετε.

Νεφέλαι μυστικαί, τών αιμάτων τοίς όμβροις, υετίζουσαι πιστούς, εδείχθητε σοφοί, Αθληταί αξιάγαστοι, καί ξηραίνουσαι τήν πλάνην, αθεϊας εν χάριτι, διά τούτο υμάς μακαρίζομεν.

Θεοτοκίον

Εκύησας Χριστόν, εξ αγνών σου αιμάτων, σαρκωθέντα υπέρ νούν, μορφήτή καθ' ημάς, Θεομήτορ πανάμωμε, όθεν πάσαι γενεαί σε, ευσεβώς μακαρίζομεν, τών αγίων Μαρτύρων τό καύχημα.

Ωδή γ'

Ουκ εν σοφία

Νεκροίς ξοάνοις, επιθύσαι μηδόλως θελήσαντες, τώ τυθέντι δι' ημάς, θυσία ζώσα προσήχθητε, παίδες ωραιότατοι, Άγιοι Μάρτυρες.

Νόμοις ενθέοις, δυναμούμενοι σθένει τού Πνεύματος, ανομούντων τάς βουλάς, καί τάς ενέδρας Καθείλετε, νομίμως δ' αθλήσαντες, δόξης ετύχετε.

Αποσκοπούντες, εις τήν μέλλουσαν εύκλειαν Μάρτυρες, τήν φθαρτήν καί γεηράν, Τιμήν εμφρόνως ελίπετε, καί δόξαν αθάνατον, όντως ελάβετε.

Θεοτοκίον

Ρομφαίαι πάσαι, τού εχθρού νύν εις τέλος εξέλιπον, σού τεκούσης τόν Χριστόν, τρωθέντα λόγχη Πανάμωμε, υπέρ ού οι Μάρτυρες, τρωθέντες ήθλησαν.

Ο Ειρμός

«Ουκ εν σοφία, καί δυνάμει καί πλούτω καυχώμεθα, αλλ' εν σοί τή τού Πατρός, ενυποστάτω σοφία Χριστέ, ου γάρ έστιν Άγιος, πλήν σου φιλάνθρωπε».

Κάθισμα  Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Σοφισθέντες τή γνώσει τή θεϊκή, οπλισθέντες τοίς όπλοις τοίς νοητοίς, εχθρού κατεβάλετε, παρατάξεις εν Πνεύματι, καί βίω καί τρόπω, θανέντες μετέβητε, πρός ζωήν αγήρω, καί φώς τό ανέσπερον, όθεν καί ιάσεις, αναβλύζοντες πάσι, ιάσθε νοσήματα, καί διώκετε πνεύματα, Αθλοφόροι εννάριθμοι, Πρεσβεύσατε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω τήν αγίαν μνήμην υμών.

Καί τής Εορτής

Ωδή δ'

Ο καθήμενος εν δόξη

Ιερεία Άθλοφόροι, καί νεόθυτα σφάγια, θείαι προσφοραί τε, θύματα δεκτά προσηνέχθητε, τώ εκουσίως τυθέντι, καί τόν θάνατον, θανατώσαντι, όθεν υμάς μακαρίζομεν.

Θαύμα μέγιστον δεικνύντες, παρειμένας ιάσασθε, Αθλοφόροι χείρας, καί δυσεντερίας ερρύσασθε, τόν προσφυγόντα εκ πόθου τή σορώ υμών, περιβόητον άνδρα, ποτέ αξιάγαστοι.

Μίαν γνώμην διαφόροις, εν τοίς σώμασιν έχοντες, μαρτυρίου στέφος, άμα εκομίσασθε Μάρτυρες, εν ουρανοίς ούν Κυρίω παριστάμενοι, καί πληρούμενοι δόξης, ημάς εποπτεύετε.

Θεοτοκίον

Ο εν κόλποις τοίς πατρώοις, αχωρίστως καθήμενος, σού εν ταίς αγκάλαις, κάθηται Παρθένε ως νήπιος, ού τό μακάριον πάθος εικονίζοντες, οι καλλίνικοι Παίδες, αρίστως ενήθλησαν.

Ωδή ε'

Ασεβείς ουκ όψονται

Νοητοί ως άνθρακες, ανάψαντες Σοφοί, κατεφλέξατε αληθώς, φρυγανώδη άπασαν, πλάνην μακάριοι, καί πυράν εσβέσατε, τών ειδώλων δρόσω τού Πνεύματος.

Μερισμόν εν σώμασιν, ουκ έσχετε πολλοίς, αμερίστου υπεραθλείν, Αθληταί Τριάδος κατεπειγόμενοι, όθεν διελύσατε, διαβόλου πάσαν φάλαγγα.

Ανυμνείσθω σήμερον, θέογνις Αρτεμάς, Ρούφος Μάγνος τε ο κλεινός, ευκλεής Φιλήμων τε καί ο θεόδοτος, σύν τώ θαυμασίω τε, καί Αντίπατρος θεόστιχος.

Θεοτοκίον

Ρυομένη φάνηθι, ημάς τών δυσχερών, καί πταισμάτων φθοροποιών, καί παθών καί θλίψεων καί περιστάσεων, τούς πιστώς υμνούντάς σε, Θεοτόκε αειπάρθενε.

Ωδή ς'

Ήλθον εις τά βάθη

Τίμιος ο θάνατος εδείχθη, τών θείων Αθλοφόρων, σού Θεέ τών όλων εναντίον, ούς περ σαφώς, ιατρείον άμισθον, τοίς νοσούσιν εναπέδειξας.

Υψώσαντες χείρας καί καρδίας, υψηλοτάτη γνώμη, πρός τόν Ύψιστον ανδρειοφρόνως, τού πονηρού τάς επάρσεις Μάρτυρες, θεοφόροι κατερράξατε.

Ρείθροις τών σεπτών υμών αιμάτων, ειδωλικής απάτης, εξηράνατε θάλασσαν όντως, καί τήν Χριστού, Εκκλησίαν Μάρτυρες, κατηρδεύσατε θεόφρονες.

Θεοτοκίον

Ώσπερ θημονία η κοιλία, σού τής Αγνής ωράθη, σίτον φέρουσα αθανασίας, πάντων πιστών, τάς ψυχάς τόν τρέφοντα, καί τούς Μάρτυρας ευφραίνοντα.

Ο Ειρμός

«Ήλθον εις τά βάθη τής θαλάσσης, καί κατεπόντισέ με, καταιγίς πολλών αμαρτημάτων, αλλ' ο Θεός, εκ φθοράς ανάγαγε, τήν ζωήν μου ως φιλάνθρωπος».

Κοντάκιον τής Εορτής

Συναξάριον

Τή ΚΗ' τού αυτού μηνός, Μνήμη τών Αγίων εννέα Μαρτύρων τών εν Κυζίκω, Θεόγνιδος, Ρούφου, Αντιπάτρου, Θεοστίχου, Αρτεμά, Μάγνου, Θεοδότου, Θαυμασίου καί Φιλήμονος.

Στίχοι

- Εικών αϋλων Ταγμάτων τών εννέα,
- Οι τάς κάρας τμηθέντες άνδρες εννέα.
- Εικάδι όγδοάτη βιότου λυγρού εννέ απήραν.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Μέμνονος τού θαυματουργού.

Στίχοι

- Υπνοί τι μικρόν, αρπαγήν τήν εσχάτην,
- Τήν εις απαντήν τού Θεού, Μέμνων μένων.

Διήγησις περί τού γενομένου θαύματος εν Αφρική, εν τή πόλει Καρθαγένη.

Στίχοι

- Έκστηθι λάγνε, ώδε μοιχείας βλέπων,
- Τήν εκδίκησιν, καί μακράν ταύτης γίνου.

Τή αφάτω φιλανθρωπία σου, Χριστέ ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Νέοι τρείς εν Βαβυλώνι

Νέοι έξ τρισί πρός άλλοις, μίαν γνώμην εν πολλοίς, κτησάμενοι σώμασι, κάμινον Κατέσβεσαν πλάνης, δρόσω θείου Πνεύματος, ευσεβώς δροσιζόμενοι.

Στάζουσιν υμών οι πόνοι, Μάρτυρες θείους κρουνούς, ιάσεων πάντοτε, νόσων ποταμούς εκμειούντες, καί ρύπον πάντα πλύνοντες, τών παθών αξιάγαστοι.

Έχαιρον οι Αθλοφόροι, εν τώ θλίβεσθαι αυτούς, χαράν ανεκλάλητον, έψαλλον τεμνόμενοι ξίφει, Ευλογητός εί Κύριε, ο Θεός ο τών Πατέρων ημών.

Βάρη τά τών νοσημάτων, πάθη τά τών καρδιών, οδύνας τού σώματος, πάσάν τε συμβαίνουσαν θλίψιν, ημών κουφίσαι ένδοξοι, Αθληταί δυσωπήθητε.

Θεοτοκίον

Ώφθης πάντων τών Μαρτύρων, άχραντε Μήτερ Θεού, κραταίωμα μέγιστον, ώφθης τών ανθρώπων προστάτις, τών σέ υμνούντων πάντοτε, ιεροίς μελωδήμασιν.

## Ωδή η'

Λυτρωτά τού παντός

Χαριστήριον αίνον προσάξωμεν, τώ μεγίστους ημίν αντιλήπτορας, τούς αθλοφόρους Μάρτυρας, παρασχόντι, βοώντες, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον.

Ανυμνείσθω ο μέγας Αντίπατρος, θαυμαζέσθω ο θείος Θαυμάσιος, Ρούφός τε καί Θεόστιχος, Μάγνος θέογνις άμα τώ Θεοδότω, Αρτεμά καί τώ θείω Φιλήμονι.

Ριζωθέντες εν πέτρα τής πίστεως, ευγενή ως στελέχη οι Μάρτυρες, καρπούς ημίν αθλήσεως, νύν προβάλλονται πίστει τοίς μελωδούσιν, Ευλογείτε τά έργα τόν Κύριον.

Ιατήρες παθών μεγαλώνυμοι, τής ψυχής μου τά πάθη ιάσασθε, καί τής γεέννης ρύσασθε, καί τού σκότους εκείνου τού εξωτέρου, δυσωπούντες Χριστόν τόν Θεόν ημών,

Θεοτοκίον

Νομοδότην Χριστόν απεκύησας, τόν νομίμως αθλήσαντας στέψαντα, τούς αθλοφόρους Μάρτυρας, όν δυσώπει, τώ νόμω τής άμαρτίας, τροπωθέντα με Κόρη ιάσασθαι.

Ο Ειρμός

«Λυτρωτά τού παντός Παντοδύναμε, τούς εν μέσω φλογός ευσεβήσαντας, συγκαταβάς εδρόσισας, καί εδίδαξας μέλπειν, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον».

## Ωδή θ'

Εύα μέν τώ τής παρακοής

Ιδού, ηνεώχθησαν ημίν ουράνιοι, πυλεώνες εναθλήσασιν, έφη Χριστός τοίς Αθλοφόροις, εισέλθετε, κομίσασθε χαίροντες, τά έπαθλα τών πόνων επάξια, τοίς απ' αιώνος εναθλήσασιν.

Ως άνθη τερπνά τού νοητού Πανεύφημοι, Παραδείσου εγνωρίσθητε, κρίνα ως εύοσμα καί ρόδα, ημάς εγκατοσφραίνοντες χάριτι, καί πλάνης δυσωδίας

εξαίροντες, όθεν αξίως μακαρίζεσθε.

Στώμεν έν τώ οίκω τού Θεού γεραίροντες, Αντιπάτρου Θεοστίχου τε, Ρούφου Φιλήμονος τούς άθλους, τού θείου Θαυμασίου τά θαύματα, τού Μάγνου Αρτεμά καί Θεόγνιδος, καί Θεοδότου τό αήττητον.

Ημέρα σωτήριος ημίν ανέτειλε, τών Αγίων η πανήγυρις, ήν εκτελούντες ετησίως, βοήσωμεν αυτοίς μετά πίστεως, Μαρτύρων φωταυγή ακροθίνια πάντων καρδίας καταυγάζετε.

Θεοτοκίον

Φορέσας εκ σού ο Βασιλεύς τού σώματος, τήν πορφύραν προελήλυθεν, όλος ωραίος εκ γαστρός σου, καί πάντας τούς εχθρούς ετροπώσατο, καί νίκην Αθλοφόροις εβράβευσεν, άχραντε μόνη Αειπάρθενε.

Ο Ειρμός

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν».

Εξαποστειλάριον τής Εορτής

Καί η λοιπή Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΘ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Αποστόλων Ιάσονος καί Σωσιπάτρου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ' καί τών Αποστόλων γ'.

Ήχος α'
Πανεύφημοι Μάρτυρες

Πάντα κατελίπετε τερπνά, Χριστόν αγαπήσαντες, ού τάς ψυχάς εκολλήθητε, οπίσω ένδοξοι, ίχνεσί τε τούτου, πίστει προσηνέχθητε Ιάσων καί Σωσίπατρε πάνσοφοι, ώ καί πρεσβεύετε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Ιάσων Σωσίπατρε ψυχήν, τήν εμήν φωτίσατε, εσκοτισμένην τοίς πάθεσιν, οι τόν περίγειον, διδαχαίς ενθέοις, κόσμον καταλάμψαντες, καί σκότος τών ειδώλων μειώσαντες, καί προσενέγκαντες, γένος άπαν τό ανθρώπινον, σεσωσμένον, Χριστώ τώ Θεώ ημών.

Χριστός ο Θεός υμάς σοφοί, Ιάσων Σωσίπατρε, τούς πλανωμένους απέστειλεν, ανακαλέσασθαι, καί πρός σωτηρίαν, πάντας καθωδήγησεν, υμών

τοίς θεοσόφοις διδάγμασιν, ώ νύν πρεσβεύσατε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Δόξα... Καί νύν... Τής Εορτής

Εις τόν Στίχον Στιχηρά τής Εορτής.

Τού Αποστόλου Ήχος γ’

Απόστολοι άγιοι, πρεσβεύσατε τώ ελεήμονι Θεώ, ίνα πταισμάτων άφεσιν παράσχη ταίς ψυχαίς ημών.

Καί τής Εορτής

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι κανόνες τής Εορτής, καί τών Αγίων.

Ωδή α' Ήχος β'
Δεύτε λαοί

Τώ τού Χριστού, βήματι νύν παριστάμενοι, μνείαν ημών Απόστολοι, ποιείσθε πάντοτε, τών υμάς ευφημούντων, ελάβετε γάρ χάριν, πρεσβεύειν υπέρ ημών.

Δυάς σεπτή, τών Αποστόλων αιτήσασθε, Χριστόν τον πανοικτίρμονα, χάριν δοθήναί μοι, τού ημάς ευφημήσαι, καί μέλψαι τούς αγώνας, υμών πανόλβιοι.

Μύσται Χριστού, Ιάσων ώ Παμμακάριστε, καί πάνσοφε Σωσίπατρε, τούς τήν σεπτήν υμών, εορτάζοντας μνήμην, παντοίων εκ κινδύνων, απολυτρώσασθε.

Θεοτοκίον

Χαίρε σεμνή, τών δωρημάτων η άβυσσος, χαίρε λιμήν αχείμαστε, χαίρε οχύρωμα, τής ημών σωτηρίας, Παρθένε Θεοτόκε, μόνη πανύμνητε.

Ωδή γ'
Στερέωσον ημάς

Τού Παύλου φοιτηταί, σοφοί γενόμενοι, κατ' ίχνος εκείνου τε πορευθέντες διεδράμετε τά σύμπαντα, τόν σωτήριον λόγον καταγγέλλοντες.

Ως θείοι ποταμοί, σοφίας ένδοξοι, ναμάτων πληρούτε τών σωτηρίων, Εκκλησίας τά συστήματα, εκ πηγών σωτηρίου ρείθρα βλύζοντες.

Παντοίων αναγκών, καί περιστάσεων, τού βίου πρεσβείαις υμών αγίαις, θεοφόροι κυβερνήσατε, τούς υμάς νύν τιμώντας διασώζοντες.

Θεοτοκίον

Ο κλίνας ουρανούς, τή υπέρ έννοιαν, κενώσει τήν σάρκα εκ σού πτωχεύει,

προσλαβόμενος Θεόνυμφε, καί τόν κόσμον πλουτίζει τή θεότητι.

Ο Ειρμός

«Στερέωσον ημάς εν σοί Κύριε, ο ξύλω νεκρώσας τήν αμαρτίαν, καί τόν φόβον σου εμφύτευσον, εις τάς καρδίας ημών τών υμνούντων σε

Κάθισμα Ήχος α'

Τόν τάφον σου Σωτήρ

Ιάσονα πιστοί, καί Σωσίπατρον ύμνοις, ως μύστας ιερούς, τής Αγίας Τριάδος, καί κήρυκας τής Πίστεως, επαξίως τιμήσωμεν, όπως λάβωμεν, ταίς παρακλήσεσι τούτων, πάντες έλεος, καί χάριν εύρωμεν θείαν, εις εύκαιρον βοήθειαν.

Καί τής Εορτής

Ωδή δ'

Εισακήκοα Κύριε

Τού Χριστού τώ ονόματι, θαυματουργοί, τελούντες τάς ιάσεις, πρός Θεού τήν πίστιν λαούς ειλκύσατε.

Καί ποιμαίνειν Μακάριοι, καί οδηγείν, υμάς καί μετά τέλος, τό μικρόν πιστεύομεν τούτο ποίμνιον.

Συγγενόμενοι Ένδοξοι, πνευματικώς, πρεσβείας συμπολίταις, τάς χρηστάς φιλίας νόμω παράσχοιτε

Θεοτοκίον

Ταίς πρεσβείαις δεόμεθα, τής σέ σαρκί, Τεκούσης Θεού Λόγε, τώ λαώ σου δώρησαι τά ελέη σου.

Ωδή ε'

Ο τού φωτός χορηγός

Ιερουργοί τού Χριστού, τών μυστηρίων ευκλεείς ώφθητε, καί κοινωνοί, σοφοί τών εκείνου, αγίων τε παθών, διό επαξίως, αεί μακαρίζεσθε.

Ως ουρανοί λογικοί, τοίς επί γής τήν τού Θεού, Άγιοι, δόξαν τρανώς, φθεγγόμενοι ζόφον, εξήρατε δεινόν, καί θεογνωσίας, τόν κόσμον επλήσατε.

Ταίς ικεσίαις τών σών, Ιερωτάτων μαθητών Κύριε, σώσον ημάς, ημείς γάρ λαός σου, καί πρόβατα νομής, καί φόβω σε πάντες, υμνούντες δοξάζομεν.

Θεοτοκίον

Εν γενεαίς γενεών, ευλογημένη καί αγνή πέφυκας, ως τήν αράν, τώ θείω σου τόκω, νεκρώσασα τό τώ πρίν, καί τήν ευλογίαν, κόσμω πηγάσασα.

Ωδή ς'

Άβυσσος αμαρτημάτων

Όπλον σε οι θεηγόροι, Απόστολοι κεκτημένοι, τήν τών εναντίων ευσθενώς,

παράταξιν έτρεψαν, ως άριστοι, στρατιώταί σου Λόγε.

Εκράτυναν τήν Εκκλησίαν, Σωσίπατρος καί Ιάσων, Ιερολογίαις Ιεραίς, ως ένθεοι ρήτορες καί κήρυκες, καί Θεού Ιεράρχαι.

Εκύκλωσαν ημάς ανάγκαι, καί θλίψεις δι' αμαρτίαν, αλλά παρακλήσεσι σεπταίς, τών Αποστόλων σου, ελέησον ο Θεός τούς σούς δούλους.

Θεοτοκίον

Μακάριος ο σέ γινώσκων, λαός αγνή Θεοτόκε, εν γάρ τού Υιού σου τώ φωτί, πάς τίς πορεύεται, σωζόμενος, εις αιώνας αιώνων.

Ο Ειρμός

«Άβυσσος αμαρτημάτων, εκύκλωσέ με εσχάτη, αλλ' ως τόν Προφήτην Ιωνάν, Κύριε Κύριε, ανάγα γε, εκ φθοράς τήν ζωήν μου».

Κοντάκιον Ήχος β'

Χειρόγραφον εικόνα

Τοίς δόγμασι τού Παύλου καταυγασθέντες, γεγόνατε φωστήρες τής οικουμένης, τρισμακάριοι, καταυγάζετε γάρ αεί κόσμον θαύμασιν, Ιάσων, η πηγή τών ιαμάτων, Σωσίπατρε, Χριστού Μαρτύρων κλέος, Απόστολοι θεοφόροι, προστάται τών εν ανάγκαις, καθικετεύσατε Θεώ, τού σωθήναι τάς ψυχάς ημών.

Ο Οίκος

Απόστολοι θεηγόροι, καί κήρυκες ευσεβείας, διδάσκαλοι καί προστάται ευσεβούντων αεισέβαστοι, παρεστηκότες Θεώ, καί φωτός θείου πληρούμενοι, καί στεφάνοις εγκοσμούμενοι, φωτίσατε ημάς δεόμεθα, γεραίρειν τήν υμών πανέορτον πανήγυριν, εν ευφήμοις υμνωδίαις ευσεβώς, πάντες γάρ έσμεν ποίμνιον υμών, λυτρωθέντες τής πλάνης εν χάριτι, αλλ' ως όντες σωτήρες τών πιστών, σπεύσατε πρός τόν Κτίστην, πρεσβεύειν παρρησία, τού σωθήναι τάς ψυχάς ημών.

Συναξάριον

Τή ΚΘ' τού αυτού μηνός, Μνήμη τών Αγίων Αποστόλων εκ τών Εβδομήκοντα Ιάσονος καί Σωσιπάτρου.

Στίχοι

- Ζωής Ιάσων λαμβάνει φθαρτής πέρας,
- Αλλ' εύρεν άλλην μή πέρας κεκτημένην.
- Θανέντι δόξαν σού προσώπου δεικνύεις
- Σώ Σωσιπάτρω, τού Θεού Λόγου, Πάτερ.
- Εικάδι αμφ' ενάτη Ιάσων απεβήσατο γαίης.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων επτά Μαρτύρων ληστών, οι διά τού Αποστόλου Ιάσονος πιστεύσαντες τώ Χριστώ εν λέβητι πίσσης κοχλαζούσης βληθέντες τελειούνται.

Στίχοι

- Λησταί, μαθόντες τήν Εδέμ ληστού λάχος,
- Πίσση λαχείν έσπευσαν αυτήν εμφλόγω.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Κερκύρας, θυγατρός Κερκυλλίνου τού Βασιλέως, ήτις βέλεσι κατατρωθείσα τελειούται.

Στίχοι

- Βελών Βασιλίς ταίς βολαίς εστιγμένη,
- Εκ στιγμάτων έλαμψεν, ως εκ μαργάρων.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Ζήνωνος καί Βιταλίου, πυρί τελειωθέντων.

Στίχοι

- Μή δειλιάσης, Βιτάλιε, πρός φλόγα,
- Ηγήσομαι γάρ, καί προεισέλθω Ζήνων.

Τή αυτή ημέρα, ο Άγιος Μάρτυς Ευσέβιος πυρί τελειούται.

Στίχοι

- Εκ σού τό πύρ οποίον εκσμήξει ρύπον,
- Όβρυζον, Ευσέβιε, Χριστού χρυσίον.

Ταίς τών Αγίων σου πρεσβείαις, Χριστέ ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Εικόνος χρυσής

Τού πρώτου φωτός, τάς ακτίνας ο σοφός Παύλος δεξάμενος, ημάς Ιάσων ιερώτατε, καί θεοφόρε Σωσίπατρε, δευτεροφανώς καταυγάζει, διδαχαίς αναμέλποντας, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Ηλίου σοφοί, επί γής τού αισθητού οδόν εδράμετε, Άνατολήν γάρ καταλάμψαντες, πρός Δύσιν φθάσαντες έδυτε, σώματι φαιδρώ πρός Θεόν δε, ανυψώσαντες πνεύματα, υμνολογείτε νύν αυτόν, ως τών Πατέρων Θεόν.

Θεοτοκίον

Προστάτιν θερμήν, τήν τεκούσάν σε Χριστέ Παρθένον έδωκας, τοίς εν ανάγκαις περιπίπτουσι, ταίς τών δεινών περιστάσεων, ρύσαι ούν ημάς ευχαίς ταύτης, τών κινδύνων τούς ψάλλοντας, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Ωδή η'

Τόν εν καμίνω τού πυρός

Ωραιωθέντες καλλοναίς, τού τής χάριτος σοφοί Ευαγγελίου, παντί ώφθητε κόσμω, τήν υπερέχουσαν νούν, ειρήνην ευαγγελιζόμενοι, όθεν ανυμνείτε, Χριστόν εις τούς αιώνας.

Τών φιλοσόφων τάς πλοκάς, διελύσατε σοφώς θεολογούντες, τρισυπόστατον

φύσιν, Μύσται τού Λόγου σεπτοί, καί κόσμον όλον εφωτίσατε, μέλπειν καί δοξάζειν, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Σέ Θεοτόκον αληθή, ονομάζοντες Αγνή ομολογούμεν, τόν εκ σού σαρκωθέντα, Λόγον αφράστως διπλούν, τήν φύσιν αλλ' ου τήν υπόστασιν, καί υπερυψούμεν αυτόν εις τούς αιώνας.

Ο Ειρμός

«Τόν εν καμίνω τού πυρός, τών Εβραίων τοίς παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον μεταβαλόντα Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ'

Τόν εκ Θεού Θεόν λόγον

Τόν επί γής τούς Αγίους, μεγαλύναντα Λόγον Θεού, καί τό μνημόσυνον αυτών, εις τόν αιώνα δοξάσαντα, καί νύν εν τοίς υψίστοις, κατέχοντα τά πνεύματα αυτών, εν χειρί τή οικεία απαύστως μεγαλύνομεν.

Τελειωθέντες θεόπται, εν ολίγω πληρούτε, εν τόποις φωτεινοίς χρόνους μακρούς, ένθα χαρά ανεκλάλητος, καί αϊδιος δόξα, καί φώς τό καταλάμπον ως Θεός, τού φωτός τούς αξίους, υπέρ ημών πρεσβεύοντας.

Νύν ευφημούντες θεόπται, δυσωπούμεν εν ύμνοις, υμάς ως κυβερνήτας ιερούς, υπέρ ειρήνης τού σύμπαντος, ικετεύσατε κόσμου, καί ευσταθείας τών Εκκλησιών, καί ή, μών σωτηρίας, Ιάσων καί Σωσίπατρε.

Θεοτοκίον

Θεοκυήτορ Παρθένε, σαίς αλήκτοις πρεσβείαις, κατάβαλε τά θράση τών εθνών, τών τούς πολέμους ζητούντων αεί, Βασιλεί φιλοχρίστω, βραβεύουσα τάς νίκας κατ' εχθρών, ίνα σε κατά χρέος, εν ύμνοις μεγαλύνωμεν.

Ο Ειρμός

«Τόν εκ Θεού Θεόν Λόγον, τόν αρρήτω σοφία, ήκοντα καινουργή σαι τόν Αδάμ, βρώσει φθορά πεπτωκότα δεινώς, εξ αγίας Παρθένου, αφράστως σαρκωθέντα δι' ημάς, οι πιστοί ομοφρόνως, εν ύμνοις μεγαλύνομεν».

Εξαποστειλάριον

Ο ουρανόν τοίς άστροις

Η Παμφαής καί θεία, τών Αποστόλων εορτή, τών Κερκυραίων τά πλήθη, πρός ευωχίαν συγκαλεί, Δεύτε κορέσθητε πάντες, πνευματικής ευφροσύνης.

Καί τής Εορτής

Καί η λοιπή Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

**ΤΗ Λ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τού Αγίου Αποστόλου, Ιακώβου, αδελφού Ιωάννου τού

θεολόγου.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ' καί τού Αγίου γ'.

Ήχος πλ. δ'
Ώ τού παραδόξου θαύματος

Μάκαρ θεόπτα Ιάκωβε, σύ τήν τού Λόγου φωνήν, παραυτίκα δεξάμενος, πατρικής ηλόγησας, θεραπείας καί σχέσεως, καταλιπών γάρ, βίου τόν τάραχον, εις νοητήν δέ, μεταβάς θάλασσαν, ταύτην ετάραξας, ευσεβείας δόγμασι, καί ταίς βρονταίς, ταίς υπερκοσμίοις σου, θεομακάριστε.

Λόγον παμμάκαρ Ιάκωβε, τόν αρχηγόν τής ζωής, καί αιώνος τού μέλλοντος, θεραπεύων πράξεσιν, Ισραήλ τόν παμβέβηλον, πρωτοτοκίων όντως εστέρησας, ως τήν κοιλίαν Θεόν ηγούμενον, όν καί επτέρνισας, καί γυμνόν απέδειξας, τής πατρικής, σκέπης ευλογίας τε, καί κλήρου άμοιρον.

Άρχων κατεστάθης Ένδοξε, νύν επί πάσαν τήν γήν, περί σού ώσπερ γέγραπται, μαθητής γενόμενος, τού τά πάντα ποιησαντος, καί διά ζήλον, σού τόν θερμότατον, υπό ανόμων, μαχαίρα πάνσοφε, φόνον υπέμεινας, τής σεπτής τών δώδεκα, συμμαθητών, μάκαρ ομηγύρεως, προαναιρούμενος.

Δόξα... Ήχος πλ. δ'

Πρώτος Πανεύφημε τής θεολέκτου δωδεκάδος, θάνατον εν μαχαίρα υπό Ηρώδου, διά τόν Διδάσκαλον υπέμεινας, πρώτος τό ποτήριον αυτού ως υπέσχου έπιες, όθεν τής βασιλείας σε συγκληρονόμον προσήκατο ο φιλάνθρωπος, σύν τώ συγγόνω πρεσβεύοντας, υπέρ τών ψυχών ημών.

Καί νύν... Τής Εορτής

Εις τόν Στίχον, Στιχηρά τής Εορτής.

Δόξα... Τού Αποστόλου  Ήχος α'

Απόστολε καί Μάρτυς, Ιάκωβε, τού καλού ποιμένος τό θεόλεκτον πρόβατον, τώ ομαίμονι εν υψίστοις συναγαλλόμενος, αίτησαι τοίς εορτάζουσι τό σεπτόν σου μνημόσυνον, άφεσιν αμαρτιών, καί τό μέγα έλεος.

Καί νύν... Τής Εορτής

Απολυτίκιον  Ήχος γ'

Απόστολε Άγιε Ιάκωβε, πρέσβευε τώ ελεήμονι Θεώ, ίνα πταισμάτων άφεσιν παράσχη ταίς ψυχαίς ημών.

Καί τής Εορτής

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τής Εορτής, καί τού Αποστόλου, ού η Ακροστιχίς.

Τόν Βροντής, Ιάκωβον έμφρονα παίδα γεραίρω.
Ποίημα Θεοφάνους.

### Ωδή α' Ήχος πλ. δ'
Αρματηλάτην Φαραώ

Τώ σώ δικτύω αλιεύς ως έμπειρος, τού τών πταισμάτων βυθού, αναγαγών μάκαρ, τήν ψυχήν μου φώτισον, ταίς φωτοβόλοις λάμψεσι, καί υμνείν σου αξίως, ώ θεοφάντορ Ιάκωβε, μνήμην τήν αγίαν ευόδωσον.

Ο πρό αιώνων τώ Πατρί συνάναρχος, υπερτελής τε Θεός, σωματωθείς ώφθη, επί γής ως άνθρωπος, καί συνεργόν τής χάριτος, αναδείκνυσι Μάκαρ, καί υπηρέτην σε πάνσοφον, ρώμη τή αυτού δυναμούμενον.

Νενοηκώς σου τήν ψυχής ευγένειαν, σέ ο προγνώστης Θεός, καί τό στερρόν Μύστα, καί ακαταμάχητον, τής διανοίας ένδοξε, τοίς αυτού υπηρέταις, προκεκριμένως ενέταξεν, έθνεσιν αυτόν καταγγελλόντα.

Βουλής μεγάλης τού Πατρός, ο Άγγελος, εξ απειράνδρου Μητρός, επιφανείς κόσμω, σάρκα προσελάβετο, ός αρεταίς κοσμούμενον, μαθητήν σε δεικνύει, καί θεηγόρον Ιάκωβε, λόγους τούς αυτού ρητορεύοντα.

Θεοτοκίον

Δεδοξασμένα περί σού λελάληνται, εν γενεαίς γενεών, η τόν Θεόν Λόγον, εν γαστρί χωρήσασα, αγνή δέ διαμείνασα, Θεοτόκε Μαρία, διό σε πάντες γεραίρομεν, τήν μετά Θεόν προστασίαν ημών.

### Ωδή γ'
Ο στερεώσας κατ' αρχάς

Η εκ τού ύψους σε πνοή, βιαία τού Παρακλήτου, εκπυρώσασα σοφόν θεηγόρον, ρητορεύοντα σαφώς, τά μεγαλεία δείκνυσι, τού σαρκωθέντος Λόγου, ού καί αυτόπτης γεγένησαι.

Σέ ώσπερ βέλος εκλεκτόν, ο Λόγος ηκονημένον, εν καρδίαις τών εχθρών εμπηγνύει, διαρρήσσοντα ψυχάς, τών εναντίων πάνσοφε, καί προνομεύοντά σε, τούτων τά σκύλα, Ιάκωβε.

Ιερωμένος σου Σοφέ, ο τόκος καί φωτοφόρος, τού Θεού τή συγγενεία παμμάκαρ, φαιδρυνόμενος τρανώς, εν συναφεία δείκνυται, εξ απαλών γάρ ώφθης, τώ Λόγω συνδιαιτώμενος.

Ακηλιδώτου σου ψυχής, τό ιλαρόν τώ Δεσπότη, οραθέν καί πρό τής κλήσεως μάκαρ, αξιόληπτος αυτώ, εφάνης ώ Ιάκωβε, καί τής οικονομίας, μύστης τής τούτου γεγένησαι.

Θεοτοκίον

Τών Χερουβίμ καί Σεραφίμ, εδείχθης υψηλοτέρα, Θεοτόκε, σύ γάρ μόνη εδέξω, τόν αχώρητον Θεόν, εν σή γαστρί αμόλυντε, διό πιστοί σε πάντες, ύμνοις αεί μακαρίζομεν.

Ο Ειρμός

«Ο στερεώσας κατ αρχάς, τούς ουρανούς εν συνέσει, καί τήν γήν επί υδάτων εδράσας, εν τή πέτρα με Χριστέ, τών εντολών σου στήριξον, ότι ουκ έστι πλήν σου, Άγιος μόνε φιλάνθρωπε».

Κάθισμα  Ήχος α'

Τόν τάφον σου Σωτήρ

Χριστώ μαθητευθείς, καί πιών τό εκείνου, ποτήριον σοφέ, ώσπερ έφη σοι μάκαρ, μαχαίρα Ιάκωβε, απεκτάνθης Απόστολε, όθεν άπασα, η Εκκλησία χορεύει, εορτάζουσα, τήν παναγίαν σου μνήμην, εν ή ευφημούμέν σε.

Καί τής Εορτής

Ωδή δ'

Σύ μου ισχύς, Κύριε

Κήρυξ Χριστού, γέγονας θείος Ιάκωβε, σύ κληθείς γάρ, θάττον ηκολούθησας, τήν πατρικήν, σχέσιν παριδών, καί τών επιγείων, τά μένοντα αμειψάμενος, διό καί τής αφράστου, ουρανών κληρουχίας, κατηξίωσαι μάκαρ αοίδιμε.

Ω τού θερμού, πόθου σου πρός τόν Δεσπότην Χριστόν! σύ γάρ τούτον, σφόδρα επεπόθησας, τώ φωτισμώ, τούτου λαμπρυνθείς, καί μορφωθείς τούτω, εφάνης πάσι φώς δεύτερον, τού πρώτου ταίς ακτίσι, λαμπρυνθείς καί τή δόξη, Iρανσεβάσμιε μάκαρ Ιάκωβε.

Βίον σεπτόν, έσχηκας καί υπερθαύμαστον, τώ γάρ πόθω πόθον ακατάσχετον, προσειληφώς, τήν τών ορεκτών, τής αγαθαρχίας, εσχάτην μακαριότητα, κατέλαβες θεόφρον, Ασωμάτοις συμψάλλων, τή δυνάμει σου δόξα Φιλάνθρωπε.

Όλον σαυτόν, νεύμασιν εμπαρεχόμενος, τού Δεσπότου, Μύστα θεοδίδακτε, τών αρετών, ήρθης εμφανώς, πρός υψηλοτάτην, καί θείαν όντως ακρώρειαν, κακείθεν ιαμάτων, Ποταμούς αναβλύζεις, τοίς τήν μνήμην σου μάκαρ δοξάζουσιν.

Θεοτοκίον

Σύ τών πιστών, καύχημα πέλεις Ανύμφευτε, σύ προστάτις, σύ καί καταφυγιον, Χριστιανών, τείχος καί λιμήν, πρός γάρ τόν Υιόν σου, εντεύξεις φέρεις Πανάμωμε, καί σώζεις εκ κινδύνων, τούς εν πίστει καί πόθω,

Θεοτόκον αγνήν σε γινώσκοντας.

Ωδή ε'
Ίνα τί με απώσω

Νέος ώσπερ Ηλίας, ζήλω πυρακτούμενος, τούς απειθήσαντας, τώ κηρύγματί σου, καταφλέξαι ηθέλησας Ένδοξε, αλλ' εκώλυσέ σε, ο θελητής τής ευσπλαγχνίας, εκδιδάσκων τό πράον τής χάριτος.

Επιβάς ακροτάτης, αρετής πτερούμενος, δι' αγαπήσεως, τών εγκρίτων θρόνων, τού Δεσπότου επόθησας Ένδοξε, τά πρωτεία φέρειν, ουχ ως ερών δόξης ματαίως, αλλά βλέπειν αμέσως όν έστερξας.

Υπερέβη τούς όρους, Σώτερ ο Ιάκωβος, τής ανθρωπότητος, τήν γάρ δύναμίν σου, ως ιμάτιον περιζωσάμενος, ιαμάτων βρύει, τούς ποταμούς καί τών θαυμάτων, καί φωτίζει τή πίστει τά πέρατα.

Φωτεινή σε νεφέλη, Λόγον απαστράπτοντα, δόξη θεώμενον, εν θαβώρ τώ όρει, επεσκίασε μάκαρ Ιάκωβε, καί φωνής ακούσαι, τής πατρικής κατηξιώθης, βεβαιούσης αυτού τήν υιότητα.

Θεοτοκίον

Μητρικήν παρρησίαν, τήν πρός τόν Υιόν σου κεκτημένη Πάναγνε, συγγενούς προνοίας, τής ημών μή παρίδης δεόμεθα, ότι σέ καί μόνην, Χριστιανοί πρός τόν Δεσπότην ιλασμόν ευμενή προβαλλόμεθα.

Ωδή ς'
Άβυσσος αμαρτιών

Ρεύματα ως εκ πηγής, ιαμάτων αενάως παρέχων, καί φωτισμόν δογμάτων, ευσεβών βλύζων ένδοξε, τάς ψυχάς τών ευσεβεί, πόθω  Ιάκωβε, προσιόντων, καταλαμπρύνεις παμμακάριστε.

Όργανον χωρητικόν, ο Δεσπότης ευρηκώς σε παμμάκαρ, τής εαυτού πλουσίας, καί σεπτής διαδόσεως, εμφορεί τών δωρεών, τών υπέρ έννοιαν, μυστηρίων, Ιερουργέ τής αϊδίου ζωής.

Δόξαν τήν επί τής γής, εκζητήσας τώ Χριστώ παρασχείν σοι, ως Βασιλεί γηίνω, βασιλείας επέτυχες, ού τής κάτω καί φθαρτής, μάκαρ Ιάκωβε, αλλ' αφθάρτου, ήν δι' αθλήσεως απέλαβες.

Νέκρωσιν υπέρ ημών, ο Δεσπότης υπελθείν ευδοκήσας, τήν τοίς νεκροίς αιτίαν, αληθούς αναστάσεως, ως αυτού Μυσταγωγόν, μάκαρ σε είλετο, συνεργάτην, εν τή νυκτί ή παρεδίδοτο.

Θεοτοκίον

Άβυσσον τών οικτιρμών, η τεκούσα Θεοτόκε Παρθένε, τών λυπηρών τού βίου, τήν ψυχήν μου διάσωσον, καί χαράς πνευματικής, θύραν μοι άνοιξον, σοί γάρ Κόρη, τά τής ελπίδος ανατίθημι

## Ο Ειρμός

«Άβυσσος αμαρτιών, καί πταισμάτων καταιγίς με ταράττει, καί πρός βυθόν βιαίως, συνωθεί απογνώσεως, αλλά σύ τήν κραταιαν, χείρά μοι έκτεινον, ως τώ Πέτρω, ώ κυβερνήτα καί διάσωσον».

## Κοντάκιον Ήχος β'
## Τά άνω ζητών

Φωνής θεϊκής, ακούσας προσκαλούσης σε, αγάπην πατρός, παρείδες καί προσέδραμες, τώ Χριστώ Ιάκωβε, μετά καί τού συγγόνου σου ένδοξε, μεθ' ού καί ηξιώθης ιδείν, Κυρίου τήν θείαν Μεταμόρφωσιν.

## Ο Οίκος

Ως αλιεύς λογικών ιχθύων, τώ δικτύω Τρισμάκαρ τών σεπτών ευχών βυθού πταισμάτων ανάγαγε τήν ταπεινήν μου ψυχήν, τήν πάλαι υφ' ηδονών θηρευθείσαν τών τού βίου ίνα ακλινώς διελθών τόν υπόλοιπον χρόνον μου, υμνήσω τό όνομά σου, καί δοξάσω τόν βίον τόν άμεμπτον, όν εκτελέσας επί τής γής, ηξιώθης επ' όρους θεάσασθαι, Κυρίου τήν θείαν Μεταμόρφωσιν.

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή Λ' τού αυτού μηνός, Μνήμη τού Αγίου ενδόξου Αποστόλου Ιακώβου, αδελφού τού Αγίου Ιωάννου τού Θεολόγου.

### Στίχοι

- Ως αμνός Ιάκωβος αχθείς εσφάγη,
- Τής ευσεβείας μηρυκίζων τούς λόγους.
- Κτείνε, μάχαιρα φόνου, Ιάκωβον ενί τριακοστή.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Κλήμεντος τού Ποιητού.

### Στίχοι

- Τέρψας ο Κλήμης γηγενείς ωδαίς κάτω,
- Απήλθε τέρψων, ώσπερ οίμαι, καί νόας.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Μαξίμου.

### Στίχοι

- Μάξιμος ευρών τήν ξί συλλαβήν μέσην,
- Τό γαστρός ημίν μηνύει μέσον ξίφος.

Τή αυτή ημέρα, Μνήμη τής ευρέσεως τών λειψάνων τού Αγίου Ιερομάρτυρος Βασιλέως, Επισκόπου Αμασείας.

### Στίχοι

- Χρή μηδέ νεκρόν λανθάνειν Βασιλέα,
- Βασιλέως θνήξαντα τού ζώντος χάριν.

Τή αυτή ημέρα, Μνήμη τού εν Αγίοις Πατρός ημών Δονάτου, Επισκόπου Ευροίας.

Στίχοι

- Τίς μή Δονάτον δοξάσει εν τοίς λόγοις,
- Όν περ τά έργα πανταχού εδόξασαν.

Ταίς αυτών αγίαις Πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'
Θεού συγκατάβασιν

Ποτήριον έπιες καθώς υπέσχου, τό τού Δεσπότου Χριστού, καί τό βάπτισμα τούτου, σύ εβαπτίσω θεομακάριστε, ώ νύν προθύμως κραυγάζεις γηθόμενος, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Ακτίσι λαμπόμενος, τής θεοπτίας ώφθης Ιάκωβε, διά τούτό σε στέφει, τής βασιλείας Χριστός ο Κύριος, καταγλαϊζει Αγγέλοις συμψάλλοντα, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Ιδού σοι πεπλήρωκε, τάς υποσχέσεις ο μεγαλόδωρος, πρός αυτόν ανυψώσας, τή εκμιμήσει τών παθημάτων αυτού, ώ παρεστώς νύν κραυγάζεις γηθόμενος, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Τό φώς τό ανέσπερον, Θαβώρ εν όρει σύ θεασάμενος, επί γής καταπίπτεις, μή φέρων τούτο οράν τοίς όμμασι, τής πατρικής δέ φωνής ως ακήκοας, Ευλογητός ο Θεός, προσανεβόας τρανώς.

Θεοτοκίον

Δυάδα τών φύσεων, αλλ' ού προσώπων Κόρη κηρύττομεν, τόν εκ σού σαρκωθέντα, όν κατά σάρκα εξεικονίζομεν, καί Προσκυνούμεν μορφής το ομοίωμα, οι διά σού τώ Θεώ καταλλαγέντες αγνή.

Ωδή η'
Επταπλασίως κάμινον

Αβραμιαίαν πρόθεσιν, σύ θεόπτα κτησάμενος, τώ προσκαλουμένω, σέ Χριστώ επόμενος, εγένου θεόσοφος, καί λειτουργός υπήρξας αυτώ, ως Δημιουργώ, καί Λυτρωτή ανακράζων, Οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, αυτόν εις τούς αιώνας.

Γεγωνοτέρα δέδεικται, τής βροντής σου η πρόοδος, τής τών νομικών, τυπωτικής ηχήσεως, Χριστόν γάρ εβρόντησας, τή οικουμένη πάση Θεόν, ως Δημιουργόν καί Λυτρωτήν αναμέλπων, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, αυτόν εις τούς αιώνας.

Εθαυμαστώθης ένδοξε, μαρτυρίας φαιδρότητι, καί θεοσεβείας αληθούς λαμπρότητι, καί άρχων Απόστολε, κατασταθείς απάσης τής γής, τόν Δημιουργόν καί Λυτρωτήν ανεβόας, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Πάσαν εις γήν διέδραμεν, ο σός λόγος Ιάκωβε, πλήξας ως βροντή, τήν τών απίστων έννοιαν, φωτίσας δέ άπαντας, θείω φωτί τής πίστεως, ώσπερ αστραπή, τούς ευπειθώς εκβοώντας, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Ρητορευόντων γλώσσαί σε, ανυμνήσαι ου σθένουσιν, ώ Θεογεννήτορ, Μαριάμ Θεόνυμφε, Χριστόν γάρ εγέννησας, τόν επί πάντων Κόρη, Θεόν, τόν Δημιουργόν καί Λυτρωτήν, ώ βοώμεν, Οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, αυτόν εις τούς αιώνας.

Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, Τόν Δημιουργόν καί Λυτρωτήν, άνεβόα, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ'

Εξέστη επί τούτω

Αγίως σου τόν δρόμον διηνυκώς, εν Αγίων σκηνώιμασιν ένδοξε, νύν γεγηθώς, αίγλην κατοπτεύεις τήν τριφεγγή, ής απολαύων πάνσοφε, πλήρεις ευφροσύνης τούς υμνητάς, τούς σούς καί χαρμοσύνης, ανάδειξον παμμάκαρ ταίς ικεσίαις σου Ιάκωβε.

Ιδείν σε οι κακούργοι καί φονευταί, ως τόν σόν πρίν Δεσπότην μή φέροντες, τας γάρ αυτών, πράξεις εκφαυλίζων σής αγωγής, τή παραθέσει ήλεγξας, κτείνουσι μαχαίρα τόν μιμητήν, Χριστού τού σταυρωθέντος, σαρκί υπέρ ανθρώπων, ώ θεορρήμον παμμακάριστε.

Ρομφαία ουρανίω τιμωρηθείς, ταίς πληγαίς ο Ηρώδης απώλετο, ότι τούς σούς, Λόγε διακόνους καί μαθητάς, ούς Αποστόλους έφησας, κτείνων ουκ ενάρκησεν ο δεινός, διό σου τήν δικαίαν, πρόνοιαν ευεργέτα, καταπλαγέντες μεγαλύνομεν.

Τιμώντές σου τήν μνήμην χαρμονικώς, ευφημούμέν σε μάκαρ, Ιάκωβε, μύστα Χριστού, άδοντες δέ ζήλόν σου τόν θερμόν, καί τήν μακράν περίοδον, καί τούς σούς αγώνας καί τήν σφαγήν, βροντής υιόν καί φώς σε, κριτήν καί μυστολέκτην, πιστώς σε πάντες ονομάζομεν.

Θεοτοκίον

Ωράθης ώ Παρθένε Μήτηρ Θεού, υπέρ φύσιν τεκούσα εν σώματι, τόν αγαθόν, Λόγον εκ καρδίας τής εαυτού, όν ο Πατήρ ήρεύξατο, πάντων πρό αιώνων ως αγαθός, όν νύν καί τών σωμάτων, επέκεινα νοούμεν, εί καί τό σώμα περιβέβληται.

Ο Ειρμός

«Εξέστη επί τούτω ο ουρανός, καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι

μεγαλύνουσιν».

Εξαποστειλάριον Ήχος β'
Τών Μαθητών ορώντων σε

Τώ σαρκωθέντι Λόγω δι' ευσπλαγχνίαν, μαθητευθείς Ιάκωβε τής χορείας, ώφθης Κορυφαίων συναρίθμιος, μεθ' ών Χριστώ δυσώπησον, υπέρ ημών τών τιμώντων, τήν παναγίαν σου μνήμην.

Καί τής Εορτής

Εις τούς Αίνους, Στιχηρά προσόμοια τού Αποστόλου.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσι

Τώ καλάμω τής χάριτος, εκ βυθού ματαιότητος, τούς βροτούς ανείλκυσας, αξιάγαστε, τού Διδασκάλου τοίς νεύμασιν, υπείκων Ιάκωβε, τού φωτίσαντος τήν σήν, κατά πάντα διάνοιαν, καί Απόστολον, καί σεπτόν θεηγόρον σε Παμμάκαρ, αναδείξαντος τής τούτου, ακαταλήπτου θεότητος. (Δίς)

Η τού Πνεύματος έλλαμψις, επί σέ καταβέβηκε, τού πυρός εν είδει, καί σέ μακάριε, θείον δοχείον ειργάσατο, συντόνως ελαύνοντα, αθεΐας τήν αχλύν, καί τόν κόσμον φωτίζοντα, τή λαμπρότητι, τών πανσόφων σου λόγων, μυστολέκτα, Αποστόλων η ακρότης, Χριστού αυτόπτα Ιάκωβε.

Αστραπαίς τού κηρύγματος, τούς εν σκότει καθεύδοντας, αγνωσίας ένδοξε, ώ Ιάκωβε, καταφωτίσας ανέδειξας, υιούς διά πίστεως, τού Δεσπότου καί Θεού, ού το πάθος εζήλωσας, καί τόν θάνατον, καί τής δόξης εγένου κληρονόμος, ως σοφός, ως θεηγόρος, ως μαθητής αληθέστατος.

Δόξα... Ήχος πλ. δ'

Δεύτε τής ουρανίου μυσταγωγίας τόν κήρυκα, καί υποφήτην τού Ευαγγελίου, ψαλμικαίς υμνωδίαις, Ιάκωβον ευφημήσωμεν, ούτος γάρ ποταμός ανεδείχθη τού νοητού Παραδείσου, τάς ψυχικάς αρούρας, τοίς ουρανίοις όμβροις επάρδων, καί καρποφόρους δεικνύων Χριστώ τώ Θεώ, τώ παρέχοντι πάσι ταίς πρεσβείαις αυτού, ιλασμόν καί φωτισμόν καί μέγα έλεος.

Καί νύν... Τής Εορτής

Δοξολογία Μεγάλη

Εις τήν Λειτουργίαν, Τυπικά, καί οι Μακαρισμοί.

Κοινωνικόν

Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών, καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών. Αλληλούϊα.

---

**ΤΗ Α' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τού Αγίου Προφήτου Ιερεμίου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Εορτής γ' καί τού Αγίου γ'.

Στιχηρά τού Αγίου

Ήχος πλ. δ'
Κύριε, εί καί κριτηρίω

Κύριε, σύ πρό τού πλασθήναι προέγνως, Ιερεμίαν τόν ένδοξον, καί πρό τού τεχθήναι εκ μήτρας, υποφήτην καθηγίασας, ως προειδώς αληθώς, τής γνώμης τό ελεύθερον, ού ταίς πρεσβείαις ημάς σώσον, ως αγαθός καί φιλάνθρωπος.

Κύριε, ει καί εν βορβόρω εβλήθη, Ιερεμίας ο ένδοξος, αλλά τής τερπνής ευωδίας, νοητώς αντελαμβάνετο, εν Παραδείσου σκηναίς, οίά περ αυλιζόμενος, ού ταίς πρεσβείαις ημάς σώσον, ως αγαθός καί φιλάνθρωπος.

Κύριε, ει καί θρηνωδίας ελάλει, Ιερεμίας ο δούλός σου, αλλά τήν πρός σέ ευφροσύνην, ως Προφήτης ουκ ημαύρωσε, τήν γάρ Ψυχήν σοι Χριστέ, τώ πόθω συνηρμόσατο, καί θυμηδίας της ανεκφράστου, διαπαντός ενεπίμπλατο.

Δόξα... Καί νύν... Τής Εορτής

Εις τόν Στίχον, Στιχηρά τής Εορτής.

Απολυτίκιον Ήχος β'

Τού προφήτου σου Ιερεμίου τήν μνήμην, Κύριε, εορτάζοντες, δι' αυτού σε δυσωπούμεν, σώσον τάς ψυχάς ημών.

Δόξα... Καί νύν... τό τής Εορτής

καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τής Εορτής καί τού Αγίου.

Ο Κανών τού Αγίου.

Ωδή α' Ήχος πλ. β'
Υγράν διοδεύσας
Πρό τού σε πλασθήναι προγνωστικώς, μητρός εκ κοιλίας, ηγιάσθης καί τών εθνών, Προφήτης εχρίσθης ανακράζων, Τώ Λυτρωτή καί Θεώ ημών άσωμεν.

Ο πάντων τήν γνώσιν προειληφώς, σού τής διανοίας, τάς κινήσεις προθεωρών, ώ Ιερεμία θεοφάντορ, καθηγητήν σε λαού προχειρίζεται.

Σού τής διανοίας τό οπτικόν, σαφώς εκκαθάρας, μολυσμάτων τών τής σαρκός, αληθείας μάρτυς ανεδείχθης, τώ Ποιητή σου ποθεινότατος.
Θεοτοκίον
Σκηνώσαντα Λόγον τόν τού Πατρός, επί σοί Παρθένε, Θεοτόκε, υπερφυώς, εν σαρκί τεκούσα ανεφάνης, τών ποιημάτων απάντων δεσπόζουσα.

Ωδή γ'
Σύ εί τό στερέωμα
Σύ προκαθηγίασας, τόν υποφήτην σου Δέσποτα, πρό τοκετού, καί τοίς πλανωμένοις, οδηγόν εξαπέστειλας.

Χάρις σού τοίς χείλεσιν, εγκατοικήσασα Πνεύματος, φωτιστικήν, οία περ λαμπάδα, τοίς εν σκότει σε ανέδειξε.

Μύρον ευωδίας σου, μή υποφέροντες δήμός σε, τού Ισραήλ, βεβορβορωμένος, εν τώ λάκκω καθείργνυσι.
Θεοτοκίον
Διά σού Πανάχραντε, ο υπερούσιος άναρχος, Υιός Θεού, συναναστραφήναι, τοίς ανθρώποις ευδόκησε.
Ο Ειρμός
«Συ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Κάθισμα Ήχος α'
Τόν τάφον σου Σωτήρ
Ο άνομος λαός, σέ τόν νόμους δικαίους, κρατύνοντα σοφέ, υποβάλλει βορβόρω, οσμήν θείας γνώσεως, μή βουλόμενος δέξασθαι, όν εθρήνησας, υπό βαρβάρων αθέων, απαγόμενον, αιχμαλωσία βιαία, Προφήτα μακάριε.

## Ωδή δ'

### Εισακήκοα Κύριε

Η υπέρφωτος έλλαμψις, η τού παναγίου καί θείου Πνεύματος, τή καρδία σου αστράψασα, τοίς εν σκότει φαίνειν απειργάσατο.

Προφητών συμπαθέστατος, πάντων πεφηνώς παμμάκαρ θεόληπτε, συμπαθείας με αξίωσον, τόν απεγνωσμένον πολλοίς πάθεσιν.

Ως μεσίτης γενόμενος, εκφαντορικής καί θείας ελλάμψεως, μεσιτείαις σου ειρήνευσον, πολυτάραχόν μου βίου κλύδωνα.

### Θεοτοκίον

Ισραήλ ευρών δέδωκε, τώ ηγαπημένω Θεός νύν άπασαν, επιστήμης τήν επίγνωσιν, καί εκ σού Παρθένε ημίν έλαμψεν.

## Ωδή ε'

### Φώτισον ήμάς

Ώσπερ αστραπήν, τόν Προφήτην σου απέστειλας, Ιερεμίαν τόν ιερώτατον, τοίς εν τώ σκότει, τό φώς σε Χριστέ μηνύοντα.

Βέλος έκλεκτόν, εν φαρέτρα σε κρυπτόμενον, Ιερεμία τή προγνώσει αυτού, ο σός Δεσπότης, οίς έδει καιροίς ανέδειξεν.

Ώτα καθαρά, διανοίας έχων ένδοξε, προσομιλούντός σοι τού Πνεύματος, κατηξιώθης, Προφήτα επακροάσασθαι.

### Θεοτοκίον

Μέγα καί φρικτόν, τής Παρθένου τό μυστήριον, τόν γάρ οφθέντα επί γής δι' αυτής, Θεόν ανθρώποις, μητρικώς ετιθηνήσατο.

## Ωδή ς'

### Άβυσσος αμαρτιών

Είλκυσας τόν φωτισμόν, καί τήν χάριν δαψιλώς θεοφόρε, πνευματικώς τό στόμα, τής ψυχής ως επλάτυνας, καί πλησθείς κοινωνικώς, πάσι μετέδωσας, ώ Προφήτα, τοίς βουλομένοις τής ελλάμψεως.

Θάλασσαν τήν κοσμικήν, υψουμένην πειρασμών Τρικυμίαις, εωρακώς εσχάτους, τούς σταθμούς επεπόθησας, καί πηγήν ποταμηδόν, βρύουσαν δάκρυα, τόν λαόν σου, τόν δυσμενή πικρώς οδύρεσθαι.

Θάνατον τού Λυτρωτού, προεδήλους μυστικώς θεηγόρε, ως γάρ αμνόν τώ ξύλω, τόν Χριστόν απηώρησε, τής ζωής τόν αρχηγόν, δήμος ο άνομος Ιουδαίων, τόν ευεργέτην πάσης κτίσεως.

### Θεοτοκίον

Λόγος ο εκ τού Πατρός, πρό αιώνων γεννηθείς ασωμάτως, εκ σού Αγνή εν χρόνω, σαρκικώς αποτίκτεται, καί αυτού εν τή σκιά, πάντως ζησόμεθα, ώσπερ πάλαι, Ιερεμίας προεφήτευσεν.

## Ο Ειρμός

«Άβυσσος αμαρτιών, καί πταισμάτων καταιγίς με ταράττει, καί πρός βυθόν βιαίως, συνωθεί απογνώσεως, αλλά σύ τήν κραταιάν, χείρά μοι έκτεινον, ως τώ Πέτρω, καί εκ φθοράς με ανακάλεσαι».

## Κοντάκιον τής Εορτής

## Συναξάριον

Τή Α' τού αυτού μηνός, Μνήμη τού Αγίου Προφήτου Ιερεμίου.

### Στίχοι

- Ψυχαί λιθώδεις καί ξέναι θείου φόβου,
- Λίθοις ανείλον θείον Ιερεμίαν.
- Πρώτη εν Μαϊοιο λίθοις κτάνον Ιερεμίαν.

Τή αυτή ημέρα, Μνήμη τής αθλήσεως τού Αγίου Ιερομάρτυρος Βατά τού Πέρσου.

### Στίχοι

- Καί τώ Βατά, τμηθέντι τήν κάραν ξίφει,
- Βατά πρεπόντως ουρανού τά χωρία.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

## Ωδή ζ'

### Παίδες Εβραίων

Σύ νύν ουκέτι εν ελπίσιν, αλλά πράγματι, Προφήτα τάς προρρήσεις, πληρουμένας τάς σάς, θεώμενος κραυγάζεις, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Όργανον θείον ανεδείχθης, κυβερνώμενον, χειρί τού Παρακλήτου, ουρανίους φωνάς, φθεγγόμενος καί μέλπων, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Θρήνους συγγράφων ώ Προφήτα, ουκ ημαύρωσας, τήν θείαν ευφροσύνην, ή εκ βρέφους τρανώς, συνήκμασας κραυγάζων, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

### Θεοτοκίον

Μήτραν Παρθένου υπεισδύναι, ως ευδόκησας, ανθρώπους θέλων σώσαι, τούς Προφήτας σαφώς, εδίδαξας τό θαύμα, Ευλογητός εί κράζοντας, ο Θεός εις τούς αιώνας.

## Ωδή η'

### Νικηταί τυράννου

Ουρανούς επέβης, γεγηθώς θεόπνευστε Ιερεμία, καί σύν ασωμάτοις, θρόνον τού Παντάνακτος περιπολεύεις, Ευλογείτε μέλπων, τά έργα τόν Κύριον, καί

υπερυψούτε, αυτόν εις τούς αιώνας.

Θεϊκής ακτίνος, τώ πυρσώ λαμπόμενος αντανακλάσεις, τοίς ποθούσι πέμπεις, έσοπτρον πολύφωτον ως δεδειγμένος, Ευλογείτε μέλπων, τά έργα τόν Κύριον, καί υπερυψούτε, αυτόν εις τούς αιώνας.

Ευσεβείας κήρυξ, οραθείς πανεύφη, με ιερωμένος, τήν τής αθεϊας, ήλεγξας ασθένειαν Ιερεμία, Ευλογείτε μέλπων, τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Τήν εμήν ουσίαν, εκ σού ανεδέξατο ο Ζωοδότης, καί τών πρίν κηλίδων, ταύτην εξεκάθηρεν ώ Θεομήτορ, Ευλογούμεν τοίνυν, τά έργα τόν Κύριον, καί υπερυψούμεν, αυτόν εις τούς αιώνας.

Ο Ειρμός

«Νικηταί τυράννου, καί φλογός τή χάριτί σου γεγονότες, οι τών εντολών σου, σφόδρα αντεχόμενοι, Παίδες εβόων, Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ'

Κυρίως Θεοτόκον

Φωτί συνανεκράθης, τώ ακραιφνεστάτω, τή τής θεότητος αίγλη Μακάριε, ής επί γής τάς εμφάσεις τρανώς εκέκτησο.

Πηγής τής ακηράτου, μέχρι κατάντησας, απαυγασμάτων τών τήδε θεόπνευσε, τού ποθουμένου σοι τέλους σαφώς επέτυχες.

Τή αίγλη τή φωσφόρω, ής νύν απολαύεις, τούς ανυμνούντας σήν μνήμην φαιδρύνεσθαι, Ιερεμία παμμάκαρ πάντας αξίωσον.

Θεοτοκίον

Λιμένα σωτηρίας, οι πεπιστευκότες, τώ παναχράντω σου τοκωγινώσκοντες, εκ τών κινδύνων ρυσθήναι σέ ικετεύομεν.

Ο Ειρμός

«Κυρίως Θεοτόκον, σέ ομολογούμεν, οι διά σού σεσωσμένοι Παρθένε αγνή, σύν ασωμάτοις χορείαις σέ μεγαλυνοντες».

Εξαποστειλάριον τής Εορτής

Εις τόν Στίχον, Στιχηρά τής Εορτής.

Καί ή λοιπή Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Β' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής ανακομιδής τού λειψάνου του εν Αγίοις Πατρός ημών Αθανασίου τού μεγάλου, Πατριάρχου Αλεξανδρείας.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ' καί τού Αγίου γ'.

Προσόμοια τού Αγίου

Ως γενναίον εν Μάρτυσι
Ήχος δ'

Διωγμούς εκαρτέρησας, καί κινδύνους υπέμεινας, θεορρήμον Όσιε Αθανάσιε, έως τήν πλάνην εξώρισας, Αρείου τήν άθεον, καί τήν ποίμνην τής αυτού, ασεβείας διέσωσας, ομοούσιον, τώ Πατρί δογματίσας τόν Υιόν τε, καί τό Πνεύμα ορθοδόξως, Ιερουργέ Ιερώτατε.

Αστραπαίς τού κηρύγματος, τούς εν σκότει εφώτισας, καί τήν πλάνην άπασαν απεδίωξας, προκινδυνεύων τής πίστεως, στερρέ Αθανάσιε, ως ποιμήν αληθινός, ως εδραίωμα άσειστον, παναοίδιμε, τής Χριστού Εκκλησίας, διά τούτο, συνελθόντες σε τιμώμεν, μελωδικώς αγαλλόμενοι.

Αρετήν πάσαν ήσκησας, επιμόνως θεόπνευστε, καί χρισθείς τώ Πνεύματι χρίσμα άγιον, Ιερουργός ιερώτατος, σαφώς εχρημάτισας, καί ποιμήν αληθινός, καί τής πίστεως πρόμαχος, όθεν άπασα, Εκκλησία δοξάζει σου τήν μνήμην, Ιερώς επιτελούσα, καί τόν Σωτήρα δοξάζουσα.

Δόξα... Ήχος πλ. β'
Γερμανού

Χριστού τόν Ιεράρχην, υμνήσωμεν άπαντες Αθανάσιον, ότι Αρείου τά διδάγματα πάντα κατήργησε, καί τής Αγίας Τριάδος τό κράτος, εις πάντα τόν κόσμον τρανώς καταγγέλλει, ένα Θεόν εν τρισί προσώποις αμέριστον, ώ καί πρεσβεύει υπέρ ημών, τών εν πίστει τελούντων τήν μνήμην αυτού.

Καί νύν... Τής Εορτής

Εις τήν Λιτήν

Δόξα... Ήχος γ'
Γερμανού Πατριάρχου

Η μεγάλη τής Εκκλησίας σάλπιγξ, ο πολύαθλος Αθανάσιος, πρός ευωχίαν σήμερον συγκαλείται τήν οικουμέτην φαιδρώς, Πάντες πιστοί, πρός τήν πανήγυριν υπαντήσωμεν τού καλού ποιμένος, ύμνοις γεραίροντες τούς Ιερούς αυτού πόνους, όπως ταίς πρεσβείαις αυτού, λάβωμεν παρά Χριστού τό μέγα έλεος.

Καί νύν... Τής Εορτής

Εις τόν Στίχον, Στιχηρά Προσόμοια τού Αγίου.

Ήχος πλ. α'
Χαίροις ασκητικών

Χαίροις τών αοετών ο κανών, ο υπέρ πίστεως αθλήσας στερρότατα, καί λύσας τήν τού Αρείου, κακοδοξίαν νευραίς, τών σεπτών σου λόγων Αθανάσιε, τρανώς εκδιδάσκων, μιάς θεότητος δύναμιν, οριζομένην, εν τρισίν υποστάσεσι, παρ' ής άπαντα, νοητά καί φαινόμενα, μόνην δι' αγαθότητα, παρήχθη πρός γένεσιν, καί σαφηνίζων τής θείας, δημιουργίας τά δύσληπτα, Χριστόν καταπέμψαι, ταίς ψυχαίς ημών δυσώπει τό μέγα έλεος.

Στίχ. Τό στόμα μου λαλήσει σοφίαν καί η μελέτη τής καρδίας μου σύνεσιν

Χαίροις Πατριαρχών η κρηπίς, σάλπιγξ η εύηχος, ο νούς ο περίβλεπτος, η γλώσσα η οξυτάτη, ο διαυγής οφθαλμός, τών ορθών δογμάτων η σαφήνεια, ποιμήν αληθέστατος, ο λαμπτήρ ο φανότατος, πέλεκυς κόπτων, ύλην πάσαν αιρέσεων, καταφλέγων τε, τώ πυρί τώ τού Πνεύματος, στύλος ο απερίτρεπτος, ο πύργος ο άσειστος, ο τής Τριάδος κηρύξας, τήν υπερούσιον δύναμιν, τρανώς, ήν δυσώπει, ταίς ψυχαίς ημών δοθήναι τό μέγα έλεος.

Στίχ. Οι Ιερείς σου Κύριε ενδύσονται δικαιοσύνην καί οι όσιοί σου αγαλλιάσονται

Χαίροις ατελευτήτου ζωής, επωνυμία αληθώς κλεϊζόμενος, τρυγών τε ωραιοτάτη, σύν νεοττοίς ιεροίς, καί τώ ομοζύγω εκπετάσασα, εκ γής πρός ουράνια, ένθα νέφος ευφραίνεται, σεπτών Μαρτύρων, ένθα φώς τό ανέσπερον, όπου άπαυστος, ευφροσύνη γνωρίζεται, τάγματα επουράνια, Αγίων λαμπρότητες, όπου ο ήχος ο θείος, εορταζόντων ακούεται, Χριστός ένθα πέλει, ο δωρούμενος τώ κόσμω τό μέγα έλεος.

Δόξα... Ήχος γ'
Γερμανού

Πάλιν ημίν ο χρυσορρόας Νείλος, καί τής αθανασίας επώνυμος, διά τής ετησίου μνήμης επιδημών ταίς καλαίς αναβάσεσι, πλημμυρεί τά χρυσόρρειθρα τής αθανασίας χεύματα, καί τροφήν αμβροσίας καρποδοτών, διά τής υψηλής θεηγορίας, Τριάδος αδιαίρετον κράτος εκδιδάσκει προσκυνείν, καί πελαγίζων τά θεία διδάγματα, τών πιστών κατάρδει τάς διανοίας, καί πρεσβεύει υπέρ τών ψυχών ημών.

Καί νύν... Τής Εορτής

Απολυτίκιον Ήχος γ'

Στύλος γέγονας ορθοδοξίας, θείοις δόγμασιν υποστηρίζων, τήν Εκκλησίαν Ιεράρχα Αθανάσιε, τώ γάρ Πατρί τόν Υιόν ομοούσιον, ανακηρύξας κατήσχυνας Αρείον, Πάτερ Όσιε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν, τό μέγα έλεος.

Καί τής Εορτής, Καί Απολυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος γ'
Θείας πίστεως

Θείοις δόγμασιν ορθοδοξίας, Πάτερ ώπλισας τήν Εκκλησίαν, ταίς διδαχαίς σου τάς αιρέσεις εξέτεμες, τής ευσεβείας τόν δρόμον τετέλεκας, καί ώς ο Παύλος τήν πίστιν τετήρηκας, λοιπόν απόκειται, καί σοί παναοίδιμε, ο δίκαιος τών πόνων σου στέφανος.

Δόξα... Καί νύν... Τής Εορτής

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος δ'
Επεφάνης σήμερον

Ώσπερ άστρον άδυτον, καί μετά πότμον, σών δογμάτων λάμψεσι, φωταγωγείς διά παντός, τών Ορθοδόξων τό πλήρωμα, ιερομύστα σοφέ Αθανάσιε.

Δόξα... Καί νύν.... Τής Εορτής

Οι Κανόνες τού Πάσχα καί τού Αγίου.

Καταβασίαι τού Πάσχα

Ο Κανών τού Αγίου

Ωδή α' Ήχος γ'
Άσωμεν τώ Κυρίω

Ως αθάνατον έν Εκκλησία, κεκτημένον εύκλειαν, εν θεοπνεύστοις λόγοις, πάντες, Αθανάσιον τιμήσωμεν αξίως, όν περ καί μετά θάνατον, εδόξασε Χριστός ο Θεός, ώς οικείον θεράποντα.

Εις θεωρίας βάθος, εκταθείς τάς φρένας, εν Αγίω Πνεύματι, ιερομύστα Πάτερ, τόν πλούτον ανίχνευσας τών θείων λογίων, καί τόν κόσμον επλούτισας.

Τούς εν πελάγει πλάνης, χειμαζομένους Πάτερ, ως πυρσός μετάρσιος ενθέων διδαγμάτων, ιθύνεις εκάστοτε τή γαλήνη τών λόγων σου, πρός λιμένα τής χάριτος.

Θεοτοκίον

Υμνούμέν σε Παρθένε, Θεοτόκε αγνή, χερουβικόν όχημα, εξ ής Θεός ετέχθη, σύ γάρ μόνη γέγονας πηγή αφθαρσίας, πηγάζουσα πάσι ζωήν, αφ' ής αρυόμενοι, ιάματα λαμβάνομεν.

Ωδή γ'

Εστερεώθη η καρδία μου

Ταίς αστραπαίς τών λογων σου Ιεράρχα, τήν τυφλήν ημαύρωσας τού Αρείου διδασκαλίαν, γενόμενος οφθαλμος τών πιστών.

Εξυφανθέντα πόνοις σου καί ιδρώσιν, ενεδύσω Όσιε τόν ποδήρη, τής αληθείας εν χάριτι, ιερουργήσας Χριστώ.

Ως ταξιάρχης παραστάσεως θεολέκτου, συνασπισμόν διέκοψας θεομάχων, τή μαχαίρα τού Πνεύματος οπλισάμενος.

Θεοτοκίον

Η τόν Θεον εν μήτρα σου δεξαμένη, καί τεκούσα τούτον σεσαρκωμένον, καί ανθρώπους τής φθοράς απαλλάξαντα, Θεοτόκε ικέτευε σωθήναι ημάς.

Τό Κοντάκιον τής Εορτής, Είτα Κάθισμα τού Αγίου.

Ήχος γ'

Τήν ωραιότητα

Τήν τών αιρέσεων πλάνην διήλεγξας, καί τήν ορθόδοξον, πίστιν ετράνωσας, ως Ιεράρχης ευσεβής, εκήρυξας εν τώ κόσμω, μίαν τήν θεότητα, εν Τριάδι γνωρίζεσθαι, φύσει ομοούσιον, καί προσώποις ασύγχυτον, διό καί συνελθόντες εν πίστει,' Αθανάσιε Πάτερ, τελούμεν τήν μνήμην σου.

Δόξα... Καί νύν... Τής Εορτής

Ωδή δ'

Εισακήκοα τήν ακοήν σου

Πάσαν ήρδευσας τήν οικουμένην, Όσιε Πάτερ, τήν πηγήν εν τή καρδία σου, τής ζωής κεκτημένος.

Ανεπλήρωσας εν τή σαρκί σου, Όσιε Πάτερ, τού Κυρίου τά παθήματα, υπέρ τής Εκκλησίας αυτού.

Διωκόμενος υπό αθέων, Όσιε Πάτερ, απεδίωξας τής ποίμνης σου, αρειόφρονα πλάνην.

Θεοτοκίον

Μήτηρ άχραντε ευλογημένη, αγνή Παρθένε, τούς υμνούντάς σε περίσωζε, από πάσης ανάγκης.

Ωδή ε'

Τήν σήν ειρήνην δός ημίν

Δικαιοσύνην μάθετε οι ενοικούντες τήν γήν, Αθανασίου τοίς λόγοις παιδευόμενοι, στόμα γάρ τού Λόγου τού πρό αιώνων, ανεδείχθη διά πίστεως.

Πύργος φανείς Μακάριε ακατάβλητος, τής Εκκλησίας Χριστού τού Θεού ημών, πάσας τού Αρείου, μηχανουργίας διεσάθρωσας.

Ταίς ικεσίαις Κυρίου τού Ιεράρχου σου, τούς οικτιρμούς σου ημίν αντικατάπεμψον, καί τής βασιλείας σου, αξίους ποίησον ως εύσπλαγχνος.

Θεοτοκίον

Τήν εκ Δαυίδ βλαστήσασαν ανυμνήσωμεν, ως τόν Υιόν τού Θεού συλλαβούσαν εν γαστρί, καί σαρκί τεκούσαν, καί μείνασαν Παρθένον μετά τόκον αγνήν

Ωδή ς'

Εβόησα εν στεναγμοίς ασιγήτοις

Παράδεισον αληθώς απειργάσω, μάκαρ τήν Εκκλησίαν τού Χριστού, κατασπείρας εν αυτή τόν λόγον τόν ευσεβή, καί τών αιρέσεων, εκτεμών τάς ακάνθας.

Τής χάριτος ποταμός θεοφόρε, Νείλος εδείχθης νοητός, καρποδότης ευσεβών διδαγμάτων τοίς πιστοίς, ποτίζων άπαντας, καί τά πέρατα τρέφων.

Θεοτοκίον

Τήν άχραντον ανυμνούμεν Μητέρα, τήν μετά τόκον Παρθένον, τήν χωρήσασαν γαστρί τόν αχώρητον παντί, τόν συναϊδιον τώ Πατρί, καί τώ Πνεύματι Λόγον

Κοντάκιον Ήχος β'

Τοίς τών αιμάτων σου

Ορθοδοξίας φυτεύσας τά δόγματα, κακοδοξίας ακάνθας εξέτεμες, καί τόν τής πίστεως σπόρον επλήθυνας, τή επομβρία τού Πνεύματος Όσιε, διό ευφημούμεν τήν μνήμην σου.

Ο Οίκος

Αθανασίου τήν πανέορτον μνήμην, εν ωδαίς οι Πιστοί ανευφημήσωμεν σήμερον, ούτος γάρ Άρειον τόν πλάνον, καί Ευνόμιον άμα σύν Σαβελλίω, τοίς τής αληθείας κατέβαλε δόγμασι, πυρί τώ αιωνίω παραδούς αυτούς κατακαίεσθαι, ως βλασφημήσαντας άδικα κατά τής τού Σωτήρος σαρκώσεως, ήν πάντες Προφήται προκατήγγειλαν, διό ευφημούμεν τήν μνήμην αυτού.

Συναξάριον

Τή Β τού αυτού μηνός, Μνήμη τής ανακομιδής τού λειψάνου τού εν Αγίοις Πατρός ημών Αθανασίου, Πατριάρχου Αλεξανδρείας.

Στίχοι

- Αθανάσιε, πού κομίζη; μή πάλιν
- Καί νεκρόν εξόριστον εκπέμπουσί σε;
- Δευτερίη νέκυς Αθανασίου εξέδυ τύμβου.

Τή αυτή ημέρα, Μνήμη τής αθλήσεως τών Αγίων Μαρτύρων, Εσπέρου καί Ζωής τής συμβίου αυτού καί τών τέκνων αυτών, Κυριακού καί Θεοδούλου.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδη ζ'

Τρείς παίδες εν καμίνω

Ως σίμβλον τήν καρδίαν, τών καλών εργασάμενος, αναβλύζεις γλυκασμον ορθοδοξίας ημίν, όν τρυγώντες βοώμεν, Ευλογητός εί ο Θεός ο τών Πατέρων ημών.

Αθέων δυναστείαν, ού κατέπτηξας Όσιε, ευσεβούς δέ παρρησίας εμπιπλάμενος, πνεύματι ανεβόας, Ευλογητός εί ο Θεος, ο τών Πατέρων ημών.

Τού Πνεύματος υπάρχων, αδιαίρετος Όσιε, διετήρησας αμέριστον το κήρυγμα, τής Τριάδος κραυγάζων, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Ετέχθης εκ Παρθένου, ως ευδόκησας Κύριε, καί ερρύσω εκ φθοράς τήν ζωήν ημών, διά τούτο βοώμεν, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Ωδη η'

Τόν εξ ανάρχου τού Πατρός

Καί τοίς πράγμασι σαφώς, ανεδείχθης Αθανάσιος, τή οικουμένη τής αθανασίας δόγματα φθεγξάμενος, διό Χριστόν σύν Αγγέλοις καί ημείς, υμνούμεν ευλογούμεν, καί υπερυψούμεν, εις πάντας τούς αιώνας.

Τήν Τριάδα ευσεβώς, δογματίσας ομοούσιον, σύν τώ Αρείω καί τήν Σαβελλίου ήλεγξας κακόνοιαν, διό φυγόντες τήν αυτών εναντίαν συμπλοκήν, υμνούμεν ευλογούμεν, καί υπερυψούμεν, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Τόν ενοικήσαντα πιστοί, έν κοιλία τής Παρθένου Μητρός, καί γεννηθέντα εξ αυτής αφράστως, καί πάλιν μετά γέννησιν, Παρθένον φυλάξαντα, ως Θεόν αληθινόν, υμνούμεν ευλογούμεν, καί υπερυψούμεν, Χριστόν εις τούς αιώνας.

Ωδή θ'

Σέ ακατάφλεκτον βάτον

Έσοπτρον Θεού τήν ψυχήν σου, ακηλίδωτον δείξας, πρακτικώς καί λογικώς, τή οικουμένη αστράπτεις, τάς θείας εμφάσεις Παμμακάριστε.

Σάλπιγξ γνωστικής ευφωνίας, ανεδείχθης θεόφρον, τά φρονήματα ημών ανδρείας λόγοις, κατά τών θεομάχων ανδρών διεγείρουσα.

Σέ τόν αληθώς δεδειγμένον, τής σοφίας κρατήρα, καί ποτίζοντα ημάς, τής ευσεβείας τό νηφάλιον πόμα, εν ύμνοις μεγαλύνομεν.

Θεοτοκίον

Σέ τήν εν γαστρί συλλαβούσαν, τον αχώρητον Λόγον, καί τεκούσαν εν σαρκί ανερμηνεύτως, Θεοτόκε αγνή, οι πιστοί μεγαλύνομεν.

Εξαποστειλάριον

Ήχος γ'

Ο ουρανόν τοίς άστροις

Αρχιερέων τό κλέος, καί τής Αιγύπτου τό θρέμμα, αθανασίας τό κύδος, υμνήσωμεν εν αινέσει, ως καθαιρέτην Αρείου, καί τών πιστών ως προστάτην.

Καί τής Εορτής

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια τού Αγίου.

Ήχος δ'

Ως γενναίον εν Μάρτυσι

Τοίς πυρίνοις σου δόγμασι, τών αιρέσεων άπασα, φρυγανώδης φλέγεται, ύλη πάνσοφε, τών νοημάτων τοίς βάθεσι, βυθίζεται στράτευμα, απειθούντων δυσσεβών, Αθανάσιε Όσιε, σοίς δέ δόγμασι, καλλωπίζεται μάκαρ καθ' εκάστην, τών πιστών η Εκκλησία, μεγαλοφώνως τιμώσά σε. (Δίς)

Τή τών λόγων λαμπρότητι, τών ενθέων σου Όσιε, Εκκλησία άπασα ωραϊζεται, καί ευσεβώς καλλωπίζεται, ωραίοις εν κάλλεσι, καί τιμά χρεωστικώς, τήν πανέορτον μνήμην σου, Αθανάσιε, Ιερέων τό κλέος ευσεβείας, λαμπρός καί μέγας κήρυξ, ο τής Τριάδος υπέρμαχος.

Τής Χριστού απεδίωξας, νοητούς λύκους Πάνσοφε, Εκκλησίας σκίμπωνι τών δογμάτων σου, καί ταύτην κύκλω ετείχισας, λόγων οχυρώμασι, παραστήσας τώ Χριστώ, ασινή καί αλώβητον, όν ικέτευε, εκ φθοράς καί κινδύνων λυτρωθήναι, τούς εν πίστει εκτελούντας, τή αεισέβαστον μνήμην σου.

Δόξα... Ήχος γ'

Τό μέγα κλέος τών ιερέων, Αθανάσιον τόν αήττητον αριστέα, Ιεροπρεπώς ευφημήσωμεν, ούτος γάρ τών αιρέσεων συγκόψας τάς φάλαγγας, Τή δυνάμει τού Πνεύματος, τά τής ορθοδοξίας τρόπαια, ανεστήσατο καθ' όλης τής οικουμένης, αριθμών ευσεβώς τό τής Τριάδος μυστήριον, διά τήν τών προσώπων ιδιότητα, καί πάλιν συνάπτων ασυγχύτως εις έν, διά τήν τής ουσίας ταυτότητα, καί χερουβικώς θεολογών, πρεσβεύει υπέρ τών ψυχών ημών.

Καί νύν... Τής Εορτής

Δοξολογία μεγάλη, καί Απόλυσις

Εις τήν Λειτουργίαν, Τυπικά, καί εκ τού Κανόνος τής Εορτής Ωδή γ' καί εκ τού Αγίου Ωδή ς', Απόστολος, Ευαγγέλιον καί Κοινωνικόν τού Αγίου.

---

Αρχή

## ΤΗ Γ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Μαρτύρων Τιμοθέου καί Μαύρας

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ' καί τών Αγίων γ'.

Στιχηρά τών Αγίων

Ήχος α'
Πανεύφημοι Μάρτυρες

Τό ζεύγος τό άγιον Χριστού, ξυνωρίς η ένθεος, τό τών Μαρτύρων καλλώπισμα, μέγιστοι Μάρτυρες, οι τήν θείαν ζεύγλην, εν βασάνοις στέρξαντες, καί μάστιγας τυράννων μή πτήξαντες, καί νύν πρεσβεύσατε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Μορφή αστραπτούση ώ σεμνή, Μαύρα παμμακάριστε, καί τώ φωτί τής σής χάριτος, όψεις ημαύρωσας, τού δεινού τυράννου, καί Θεώ ασπασμοίς τριχών τών σών, ναφανδόν προσωμίλησας, εντεύθεν έφλεξας, τών λεβήτων εν τοίς βράσμασι, τού Βελίαρ, τήν κάραν τήν άδικον.

Ισχύϊ Τιμόθεε ψυχής, καί καρδίας όλης σου, Θεόν τιμών τόν υπέρτιμον, πυρί φλεγόμενος, καί τοίς οβελίσκοις, είληφας φωνής Θεού, καρδίας εν ωσί τήν τερπνότητα, καί εν κρεμάσματι, αντιστρόφω πρός ουράνιον, δρόμον τρέχων, το στέφος εισδέδεξαι.

Δόξα... Καί νύν... Τής Εορτής

Εις τόν Στίχον Στιχηρά τής Εορτής.

Απολυτίκιον
Ταχύ Προκατάλαβε

Τιμόθεον σήμερον σύν τή συνάθλω πιστοί, συζύγω τιμήσωμεν Μαύρα τή νύμφη Χριστού, τήν τούτων γεραίροντες, εύτολμον καρτερίαν, Ούτοι γάρ σταυρωθέντες, ίχνεσι τού σφαγέντος, ηκολούθησαν πόθω, καί πάντων τάς αμαρτίας Σταυρώ προσηλώσαντος.

Καί νύν... τής Εορτής

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τής Εορτής, καί τών Αγίων.

Ο Κανών τών Αγίων, ού η Ακροστιχίς.
Τιμοθέου Μαύρας τε τούς πόνους σέβω.
Ποίημα Ιωσηφ.

Ωδή α' Ήχος πλ. β'
Ως εν ηπείρω πεζεύσας
Τών ιερών αθλοφόρων τήν ιεράν, καί σεπτήν πανήγυριν, ο λαός ο ιερός, Ιερώς τιμήσωμεν αυτών, ταίς δεήσεσι δεινών όπως ρυσθείημεν.

Ιερονίκους στεφάνους παρά Χριστού, ειληφέναι σπεύδοντες, τό θανείν υπέρ τό ζήν, οι γενναίοι Μάρτυρες σαφώς, ηρετίσαντο, διό δόξης επέτυχον.

Μή δειλιάσαντες πόνους τούς τής σαρκός, μή κολάσεις πτήξαντες, μή τό πύρ τών διωκτών, αθλοφόροι Μάρτυρες Χριστόν, εν σταδίω ανδρικώς ανεκηρύξατε.

Θεοτοκίον
Ο υπερούσιος Λόγος ουσιωθείς, εξ αγνών αιμάτων σου, εθεούργησεν ημάς, καί φθοράς ερρύσατο Αγνή, διά τούτό σε πιστώς αεί δοξάζομεν.

Ωδή γ
Ουκ έστιν Άγιος ώς σύ
Θεού τάς βίβλους τώ λαώ, ιερώς υπανοίγων, καί φωτίζων καρδίας, στρατιώτα τού Χριστού, Τιμόθεε τώ σεπτώ μαρτυρίω, χαίρων επιβέβηκας.

Ενθέω πόθω τήν ψυχήν, πυρπολούμενος Μάρτυς, τώ πυρί τών βασάνων, προσωμίλεις καρτερώς, διό σε η τού Χριστού, θεία δρόσος, μάκαρ επανέψυχεν.

Ο νούς σου νεύσει πρός Θεόν, λαμπρυνόμενος Μάρτυς, ουκ ησθάνετο όλως, τών σιδήρων τάς δεινάς, προσψαύσεις διά πυρός, γινομένας, ένδοξε Τιμόθεε.

Θεοτοκίον
Υπάρχων φύσει απαθής, ο Υιός σου Παρθένε, προσελάβετο σάρκα, εξ αιμάτων σου αγνών, καί διά πάθους Σταυρού, τών παθών με, άχραντε ερρύσατο.

Ο Ειρμός
«Ουκ έστιν Άγιος ως σύ, Κύριε, ο Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου αγαθέ, καί στερεώσας ημάς, εν τή πέτρα, τής ομολογίας σου».

Κάθισμα  Ήχος α'
Τόν τάφον σου Σωτήρ
Τιμήσαντες Θεόν, απημαύρωσαν πλάνην, Τιμόθεος σαφώς, καί η ένδοξος Μαύρα, καί πάσαν υπομείναντες, οι πανένδοξοι βάσανον, ελαμπρύνθησαν, υπέρ ακτίνας ηλίου, καί γεγόνασι, συλλειτουργοί τών Αγγέλων, ούς πίστει δοξάσωμεν.

Καί τής Εορτής

Ωδή δ'
Χριστός μου δύναμις
Μεγίστην εύκλειαν, επιποθήσαντες, ηξιώθητε ταύτης, τέκνα φωτός, θείου χρηματίσαντες, Μεγαλομάρτυρες Χριστού, τών Άγγέλων ισοστάσιοι.

Αγίων τάγμασι, συναριθμούμενος, καί ευήκοα ώτα πρός θεϊκούς, νόμους έχων ένδοξε, τάς διατρήσεις σταθερώς, εκαρτέρησας Τιμόθεε.

Υψούντες ξύλω σε, οι ματαιόφρονες, προσβαρύνουσι λίθω τήν κεφαλήν, ένδοξε Τιμόθεε, αλλ' εδυνάμου σε Χριστός, θείω πάθει σεμνυνόμενον.

Ρεόντων άστατον, φοράν Μακάριοι, εβδελύξασθε όντως, καί εαυτούς, πόνοις εξεδώκατε, τά δι' αιώνος αγαθά, διά τούτων κληρωσάμενοι.
Θεοτοκίον
Αγνείας σκήνωμα, κατοικητήριον, τού Δεσπότου τών όλων, καί Προφητών, πάντων περιήχημα, θεοχαρίτωτε Ναέ, τούς υμνούντάς σε οικτίρησον.

Ωδή ε'
Τώ θείω φέγγει σου αγαθέ
Συζύγου Μαύρα φωτοειδείς, λόγους ηκροάσω ευμενώς, καί τήν ζοφώδη κακόνοιαν, απορριψαμένη φώς εχρημάτισας, διά τού μαρτυρίου θεομακάριστε.

Τώ θείω Πνεύματι σεαυτήν, Μαύρα θωρακίσασα σεμνή, πρός συμπλοκήν τού αλάστορος, χαίρουσα εξήλθες, καί τούτον έτρεψας, καί νίκης τούς στεφάνους Μάρτυς απείληφας.

Ένα σε Κύριον Ιησούν, καθομολογούσα η Σεμνή, χειρί τόν άνθρωπον πλάσαντα, τέμνεται δακτύλους χειρός τήν άδικον, ανδρείως τιμωρίαν καθυποφέρουσα.
Θεοτοκίον
Τήν καταιγίδα τών λογισμών, τάς επαναστάσεις τών παθών, τών πειρασμών τό κλυδώνιον, κόπασον Παρθένε θεοχαρίτωτε, καί σώσόν με υμνούντα τά μεγαλεία σου.

Ωδή ς'

## Τού βίου τήν θάλασσαν

Οι άγιοι Μάρτυρες, τώ ιστίω τού Σταυρού, πνευματικώς πτερούμενοι, τών πειρασμών τό πέλαγος αβλαβώς, εν πίστει παρέδραμον, καί πρός θείους λιμένας ανεπαύσαντο.

Υφάψαντες λέβητα, εν αυτώ σε τόν Χριστόν, ομολογούσαν ρίπτουσιν, οι δυσσεβείς, αλλ' έμεινας αβλαβής, τήν δρόσον τού Πνεύματος, ευραμένη σέ Μαύρα αναψύχουσαν.

Στρεβλούμενοι Μάρτυρες, πάσας στρέβλας τού εχθρού, ανδρείως διελύσατε, καί τή αγάπη τέλεον τού Χριστού, ψυχάς συνεδήσατε, τής σαρκός αποθέσει παναοίδιμοι.

### Θεοτοκίον

Πανάγαθε Δέσποινα, τόν πανάγαθον Θεόν, η εν σαρκί κυήσασα, κεκακωμένην πάθεσι τήν εμήν, καρδίαν αγάθυνον, ίνα πίστει καί πόθω μεγαλύνω σε.

### Ο Ειρμός

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι, Ανάγαγε, εκ φθοράς τήν ζωήν μου Πολυέλεε».

## Κοντάκιον τής Εορτής

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή Γ' τού αυτού μηνός, Μνήμη τών Αγ. Μαρτύρων Τιμοθέου καί Μαύρας.

### Στίχοι

- Ήπλωσε Χριστός χείρας εν Σταυρώ πάλαι,
- Ήπλωσε καί νύν Μαύρα σύν Τιμοθέω.
- Σταυρώ Τιμόθεος τριτάτη τανύθη άμα Μαύρα.

Τή αυτή ημέρα, Μνήμη τής αθλήσεως τών Αγίων Μαρτύρων, Διοδώρου καί Ροδοπιανού διακόνου.

### Στίχοι

- Ροδοπιανώ καί Διοδώρω ρόδα,
- Η δώρα μάλλον ήσαν οι πλήκται λίθοι.

Τή αυτή ημέρα, Μνήμη τού οσίου πατρός ημών Πέτρου τού σημειοφόρου (θαυματουργού), Επισκόπου Άργους.

Οι άγιοι είκοσιν επτά μάρτυρες πυρί τελειούνται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

## Ωδή ζ'

Δροσοβόλον μέν

Ουκ ησθάνου ταίς λαμπάσι παναοίδιμε, φλογιζομένη πάντοθεν, πύρ εγκάρδιον, τήν αγάπην, φέρουσα Χριστού, καί τούτω βοώσα εμμελώς, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Νυσταγμόν από βλεφάρων απωσάμενος, κακίας ώ Τιμόθεε, εκαρτέρησας, οφθαλμών πηρώσεις τόν Χριστόν, καρδίας τοίς όμμασιν ορών, καί μελωδών, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Οι τά κάτω παριδόντες θείοι Μάρτυρες, τών άνω δέ τήν οίκησιν, κληρωσάμενοι, ιεραίς τιμάσθωσαν ωδαίς, βοώντες απαύστως σύν ημίν, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Υπερύμνητε Παρθένε, υπερύμνητον Θεόν αποκυήσασα, τούς υμνούντάς σε, κοινωνούς ανάδειξον φωτός, καί ρύσαι γεέννης καί φλογός, καί πάσης βλάβης τού εχθρού ταίς ικεσίαις σου.

## Ωδή η'

Εκ φλογός τοίς οσίοις

Συντηρούντες τούς νόμους τού Παντοκράτορος, ανομούντων τώ κράτει ουχ υπεκύψατε, σέβας πονηροίς, ουκ ενείματε δαίμοσι, Μάρτυρες γενναίοι, Κυρίου κληρονόμοι.

Συζυγία αρίστη σαφώς συνδούμενοι, τόν ζυγόν τού Κυρίου τόν ελαφρότατον, ήρατε ομού, επαυχένιον Μάρτυρες, καί ταίς τών Μαρτύρων, συνήφθητε αγέλαις.

Επί ξύλου ταθέντες σταυρού Πανεύφημοι, επί πλείστας ημέρας εξεικονίσατε, πάθος τό σεπτόν, τού παθόντος βουλήματι, όν υπερυψούμεν, εις πάντας τούς αιώνας.

Βιαιότατον όντως θάνατον Άγιοι, παραστάσει τών πόνων καθυπεμείνατε, άπονον διό, πρός ζωήν μετετέθητε, ανυμνολογούντες, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Ωραιώθης Παρθένε αποκυήσασα, ωραιότατον κάλλει Χριστόν τόν Κύριον, θείαις τούς πιστούς, αγλαΐαις φαιδρύνοντα, όν υπερυψούμεν, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Εκ φλογός τοίς οσίοις δρόσον επήγασας, καί δικαίου θυσίαν ύδατι έφλεξας, άπαντα γάρ δράς Χριστέ, μόνω τώ βούλεσθαι, Σέ υπερυψούμεν, εις πάντας τούς αιώνας».

## Ωδή θ'

Θεόν ανθρώποις

Ιδείν τήν δόξαν κατηξιώθητε, τού εαυτόν κενώσαντος δι' οίκτον Πανεύφημοι, τούς αυτού γάρ νόμους εφυλάξατε, καί κοινωνοί τών τούτου, παθημάτων γεγόνατε, όθεν συνελθόντες, ευσεβώς ημάς γεραίρομεν.

Ωρών ισάριθμον διηνύσατε, μέτρον Σοφοί, νυκτών καί ημερών προσκαλούμενοι, τού δι' οίκτον Σταυρώ ομιλήσαντος, όν καθομολογούντες πάντων δεσπόζοντα, τούτου εν χερσί, τά εαυτών πνεύματα έθεσθε.

Στρατός Αγγέλων χορός μακάριος, τών Προφητών Μαρτύρων Αποστόλων Οσίων τε, τή ανόδω υμών επεκρότησε, πάντων δέ ο Δεσπότης, στέφει κατέστεψε, Μάρτυρες ημάς νικητικώ ως υπεράγαθος.

Ημίν τοίς πόθω υμάς γεραίρουσι, καί τήν σεπτήν υμών επιτελούσι πανήγυριν Αθλοφόροι Χριστού γενναιότατοι, λύσιν αμαρτημάτων, βίου διόρθωσιν πάντων τε δεινών απαλλαγήν σοφοί αιτήσασθε.

Θεοτοκίον

Φωτί τώ σώ με Θεοχαρίτωτε, εν γυναιξί Παρθένε καταλάμπρυνον δέομαι, καί πυρός αιωνίου με λύτρωσαι όπως σε μεγαλύνω, όπως δοξάζω σε, όπως κατά χρέος, ανυμνώ τά μεγαλειά σου.

Ο Ειρμός

«Θεόν ανθρώποις ιδείν αδύνατον όν ού τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ Πάναγνε ωράθη βροτοίς, Λόγος σεσαρκωμένος, όν μεγαλύνοντες, σύν ταίς ουρανίαις, στρατιαίς σέ μακαρίζομεν».

Εξαποστειλάριον, τής Εορτής

Εις τόν Στίχον, Στιχηρά τής Εορτής. Καί τά λοιπά καί Απολυσις.

---

Αρχή

## ΤΗ Δ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής Αγίας Μάρτυρος Πελαγίας.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ' καί τής Αγίας γ'.

Στιχηρά τής Αγίας

Ήχος δ'

Έδωκας σημείωσιν

Βάπτισμα τό πάνσεπτον, καί Ιερόν καί σωτήριον, Πελαγία ποθήσασα, σπουδή επεζήτησας, καί ευρούσα Μάρτυς, τόν μυσταγωγούντα, μετ' ευφροσύνης καί χαράς, τώ ποθουμένω θάττον προσέδραμες, καί ξένων

κατηξίωσαι, θεωριών αξιάγαστε, ως νεάνις Οπίσω δέ, τού νυμφίου σου έδραμες.

Κόσμον τόν επίγειον, καταλιπούσα ώς πρόσκαιρον, καίφθαρτόν καί ευμάραντον, τήν θείαν ευπρέπειαν, ως αεί εστώσαν, καί ώς κεκτημένην, διηνεκή τήν χαρμονήν, καί θυμηδίαν καί καθαρότητα, συντόνως κατεδίωξας, καί παρθενία προσείληφας, τών Μαρτύρων τήν εύκλειαν, δι' αμφοίν αναλάμψασα.

Άπειρον καί άφραστον, τών σών θαυμάτων τό πέλαγος, Πελαγία πανεύφημε, Χριστόν γάρ ποθήσασα, καθαρά καρδία, καί τελειοτάτη, τών αικισμών καί τού πυρός, καί τών βασάνων καταπεφρόνηκας διό σε καρτερόψυχε, θαλαμηπόλον ουράνιον, ο νυμφίος ειργάσατο, ο Σωτήρ τών ψυχών ημών.

Δόξα... Καί νύν... Τής Εορτής

Εις τόν Στίχ. Στιχηρά τής Εορτής.

Απολυτίκιον  Ήχος δ’
Κατεπλάγη Ιωσήφ

Η αμνάς σου Ιησού, κράζει μεγάλη τη φωνή, Σέ Νυμφίε μου ποθώ, καί σέ ζητούσα αθλώ, καί συσταυρούμαι, καί συνθάπτομαι τώ βαπτισμώ σου, καί πάσχω διά σέ, ως βασιλεύσω σύν σοί, καί θνήσκω υπέρ σού, ίνα καί ζήσω εν σοί, αλλ’ ως θυσίαν άμωμον, προσδέχου τήν μετά πόθου τυθείσάν σοι, Αυτής πρεσβείαις, ως ελεήμων, σώσον τάς ψυχάς ημών.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τής Εορτής, καί τής Αγίας.

Ο Κανών τής Αγίας, ού η Ακροστιχίς.
Πελαγία τόν αίνον εικότως πλέκω.
Ποίημα Θεοφάνους.

Ωδή α'  Ήχος δ'
Θαλάσσης τό ερυθραίον

Πελάγει, τών σών θαυμάτων πλέοντι, αύραν τού Πνεύματος, νύν μοι παράσχου Μάρτυς τού Χριστού, Πελαγία πανεύφημε, καί πρός λιμένα εύδιον, τών σών επαίνων καθοδήγησον.

Εκ βρέφους, προγνωστικώς τώ Κτίστη σου, ανατεθείσα σεμνή, τήν τών φθαρτών απέρριψας στοργήν, Πελαγία πανένδοξε, αρρενωπώς τά πάθη δέ, θεία δυνάμει κατεπάτησας.

Λουτρόν μέν, επιθυμούσα δέξασθαι, τό τού Βαπτίσματος, Ιερουργόν ευρούσα δέ Χριστού, Πελαγία προσέδραμες, καί μετασχούσα γέγονας, φωτός ενθέου Μάρτυς έμπλεως.

Θεοτοκίον

Αγίων, αγιωτέρα πέφηνας, Παρθένε άχραντε, τόν τών Αγίων Άγιον Χριστόν, εν αγκάλαις βαστάσασα τόν θεϊκαίς δυνάμεσι, πάσαν τήν κτίσιν περιέχοντα.

Ωδή γ'

Ευφραί νεται επί σοί

Γή ώσπερ τις αγαθή, προσηκαμένη λογικά σπέρματα, Μάρτυς Χριστού πάνσοφε, ταύτα δαψιλώς εγεώργησας.

Ιθύνθης ως εκλεκτή, πρός τόν Δεσπότην καί Θεόν σπεύδουσα, Μάρτυς Χριστού ένδοξε, θείοις ρωννυμένη διδάγμασι

Θεοτοκίον

Ανέστησας ώ σεμνή, τήν πεπτωκυίάν μου μορφήν τέξασα, τόν προφανως αίτιον, τής υπερφυούς αναστάσεως.

Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα, Σύ μου ισχύς Κύριε, καί καταφυγή, καί στερέωμα».

Κάθισμα  Ήχος α'

Τόν τάφον σου Σωτήρ

Τώ πόθω τού Χριστού, τήν ψυχήν πυρουμένη, υπήλθες ανδρικώς, τώ σφοδρώς εκκαέντι, θεόφρον χαλκουργήματι, Πελαγία καί γέγονας, τώ Δεσπότη σου, ευωδεστάτη θυσία, όθεν σήμερον, τήν παναγίαν σου μνήμην, φαιδρώς εορτάζομεν.

Καί τής Εορτής

Ωδή δ'

Επαρθέντα σε ιδούσα

Τήν τού Δεσπότου πορφύραν ενδεδυμένη, διά λουτρού πανένδοξε παλιγγενεσίας, πάσαν τήν τού βίου τερπνήν, πορφύραν εκδέδυσαι, Μάρτυς Πελαγία πανέντιμε.

Ο πόθος τών ουρανίων ωραιοτήτων, τούς επί γής ημαύρωσε, πόθους, Αθληφόρε, επτερώθης Χριστώ, βοώσα καί λέγουσα, Δόξα τή δυνάμει σου Κύριε.

Νενοθευμένην θρησκείαν καταλιπούσα, τή τού Χριστού προσέδραμες, σοφώς Πελαγία, Μάρτυς παναοίδιμε, ειδώλων πατήσασα, πάσαν τήν απάτην θεόληπτε.

Θεοτοκίον

Απειρογάμως εκύησας ώ Παρθένε, καί μετά τόκον ώφθης, παρθενεύουσα πάλιν, όθεν ασιγήτοις φωναίς, τό Χαίρέ σοι Δέσποινα, πίστει αδιστάκτω κραυγάζομεν.

Ωδή ε'

Σύ Κύριέ μου φώς

Ισχυσας τού εχθρού, καταλύσαι τό φρύαγμα, πανεύφημε Πελαγία, τώ Σταυρώ τού Δεσπότου, σωθείσα καί τή χάριτι.

Νύν χαίρεις αληθώς, συναφθείσα νυμφίω σου, υπέρλαμπρε μαρτυρίου, καί τής σής παρθενίας, τάς λαμπάδας κατέχουσα.

Θεοτοκίον

Ο Κύριος εν σοί, Θεομήτορ εσκήνωσε, τόν άνθρωπον αναπλάττων, τόν φθορά πεπτωκότα, απάτη τή τού όφεως.

Ωδή ς'

Θύσω σοι, μετά φωνής

Νομίμως, τώ Χριστώ νυμφευθείσα διήνυσας, τού μαρτυρίου τόν δρόμον, επικαλουμένη τόν σόν νυμφίον, καί λιμένι, γαληνοτάτω τούτου προσώρμισας.

Επλάκη, σή κορυφή ωραιότατος στέφανος, δικαιοσύνης θεόφρον, Πελαγία, Μάρτυς στεφανηφόρε τήν γάρ πίστιν, μέχρι τέλους ετήρησας άτρωτον.

Θεοτοκίον

Ιόν μέν, πρίν ακοαίς τής Εύας εξέχεεν, ο σκολιώτατος όφις, σύ δέ μόνη τούτον εξετινάξω, Θεομήτορ, τόν αναιρέτην τούτου κυήσασα.

Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Κοντάκιον τής Εορτής

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Δ' τού αυτού μηνός, Μνήμη τής Αγίας Μάρτυρος Πελαγίας.

Στίχοι

- Βοός τό χαλκούργημα πύρ φανέν φλέγον,
- Βληθείσαν ένδον τήν Πελαγίαν φλέγει.
- Αμφί τετάρτη Πελαγίη καύθη βοϊ χαλκώ.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Ιλαρίου τού θαυματουργού.

Στίχοι

- Έγνων τόν Ιλάριον Ιλαρόν φύσει,
- Ός θαυματουργεί εν τάφω τεθειμένος.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

### Ωδή ζ

### Εν τή καμίνω, Αβραμιαίοι

Καμίνου δίκην, τό κεκαυμένον Μάρτυς όργανον, θείω πυρσουμένη έρωτι τού Χριστού, υπομένουσα εκραύγαζες, Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε.

Ο περιβάλλων, τόν ουρανόν εν νεφέλαις ένδοξε, Μάρτυς γυμνωθείσαν θεία περιβολή, κατεφαίδρυνέ σε ψάλλουσαν, Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε.

### Θεοτοκίον

Τό τού Υψίστου, ηγιασμένον θείον σκήνωμα, χαίρε, διά σού γάρ δέδοται η χαρά, Θεοτόκε τοίς κραυγάζουσιν, Ευλογημένη σύ, εν γυναιξί πανάμωμε Δέσποινα.

### Ωδή η'

### Χείρας εκπετάσας Δανιήλ

Ως Μάρτυς, ως λίαν αψευδής, Χριστού Πανεύφημε, τήν τούτου δύναμιν, εθεολόγησας άπαντας, θεοφρόνως εκδιδάσκουσα, καί πρός ευσέβειαν λαούς είλκυσας ψάλλοντας, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Σαφώς μνηστευθείσα τώ Χριστώ τήν τού τυράννου ορμήν, πάσαν κατέσβεσας, σοφίας πέλαγος βρύουσα, Πελαγία πανσεβάσμιε, καί διαδήμασι τρισί Μάρτυς κεκόσμησαι, Ευλογείτε, πάντα τά έργα βοώσα τόν κύριον,

### Θεοτοκίον

Πατρός εξ ανάρχου τόν Υιόν, καί Πνεύμα Άγιον, ομολογούμεν πιστοί, εκ σού Πανάμωμε λέγοντες σεσαρκώσθαι τόν συνάναρχον, μονογενή Λόγον Πατρί καί θείω Πνεύματι, καί βοώμεν, Πάντα τά έργα υμνείτε τόν Κύριον.

### Ο Ειρμος

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

### Ωδή θ'

### Λίθος αχειρότμητος

Λόγος εξειπείν ουκ ισχύει, τούς σους επαίνους Πελαγία, πέλαγος θαυμάτων γάρ βρύεις, τού σού νυμφίου ρώμη καί χάριτ, όνπερ καί νύν δυσώπησον, πάντας σωθήναι τούς υμνούντάς σε.

Έστης τής εφέσεως νύμφη, στεφανηφόρε Πελαγία, τώ τών ορεκτών ακροτάτω, αξιωθείσα Μάρτυς παρίστασθαι, καί τήν τρυφήν απείληφας, τής αιωνίου απολαύσεως.

Κόσμω τήν ειρήνην βραβεύειν, τόν σόν νυμφίον εκδυσώπει, Μάρτυς Πελαγία

θεόφρον, τήν Εκκλησίαν διαφυλάττουσα, εκ πειρασμών καί χάριτι, τούς σέ υμνούντας Καταυγάζουσα.

Θεοτοκίον

Ωράθης Παρθένος καί Μήτηρ, υπερφυώς Θεογεννήτορ, Λόγον συλλαβούσα τού Θεού, καί σαρκωθέντα τούτον γεννήσασα, δι' ούπερ νύν σωζόμενοι, σέ Θεοτόκε μεγαλύνομεν.

Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Εξαποστειλάριον τής Εορτής

Εις τόν Στίχον, Στιχηρά τής Εορτής. Καί η λοιπή Ακολουθία, ώς σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Ε' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής Αγίας καί ενδόξου Μεγαλομάρτυρος Ειρήνης.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ' καί τής Αγίας γ'.

Στιχηρά τής Αγίας

Ήχος α'
Πανεύφημοι Μάρτυρες

Πορφύραν εξ αίματος λαμπράν, τού οικείου Πάνσεμνε, περιθεμένη ανέδραμες, πρός όν επόθησας, Βασιλέα Κτίστην, τού παντός καί Κύριον, πρός τούτου τε τής νίκης τόν στέφανον, όντως απείληφας, σύν αυτώ νύν βασιλεύουσα, ως παρθένος, καί Μάρτυς πολύαθλος.

Πυρός καταφλέγοντος ορμήν, ήνεγκας Πανεύφημε, ξέσεις τε πάσας τού σώματος, ενατενίζουσα, πρός τάς αντιδόσεις, τάς εκείσε πάνσεμνε, άς μόνοις Ιησούς προητοίμασε, τοίς αγαπήσασι, καί θερμώς αυτόν ποθήσασιν, ως νυμφίον, ψυχών ωραιότατον.

Εθέλχθης τώ έρωτι Χριστού, καί θεούς εμίσησας, εθνών καί άψυχα ξόανα, Ειρήνη ένδοξε, καί θεογνωσίας, στήλην εμφανέστατα, σαυτήν τοίς καθορώσιν ανέστησας, ως τόν δρόμον τεεναθλήσασα, καί λειώσασα, καί τήν πίστιν, άμωμον τηρήσασα.

Δόξα... Καί νύν... Τής Εορτής

Εις τόν Στίχον Στιχηρά τής Εορτής.

Απολυτίκιον Ήχος α'
Τού λίθου σφραγισθέντος

Ο Χριστός η ειρήνη σέ Ειρήνην εκάλεσε, σύ γάρ τήν ειρήνην βραβεύεις τοίς τελούσι τήν μνήμην σου, καί ύμνοις καί ωδαίς πνευματικαίς, προστρέχουσι τώ θείω σου ναώ, καί πρεσβεύεις υπέρ πάντων, τή τρισηλίω παρισταμένη θεότητι, Άπαντες ούν χαρμονικώς, τήν μνήμην αυτής τελέσωμεν, τόν αντιδοξάσαντα αυτήν, Χριστόν μεγαλύνοντες.

Καί τής Εορτής

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τής Εορτής καί τής Αγίας.

Ο Κανών τής Αγίας, ού η Ακροστιχίς.
Σαίς με προσευχαίς μάρτυς Ειρήνη σκέπε.

Ωδή α' Ήχος δ'
Άσομαί σοι Κύριε

Στέφανος υπάρχων τής Αθληφόρου, ταύτης Χριστέ ταίς πρεσβείαις, ειρήνην τώ κόσμω, καί δόξαν τήν αμάραντον, τοίς υμνούσί σε δώρησαι.

Αίγλη διαλάμπουσα παρθενίας, καί κοσμουμένη τώ κάλλει, τής σής μαρτυρίας, Ειρήνη μεγαλώνυμε, σώ νυμφίω παρίστασαι.

Ίλεων γενέσθαι ταίς Εκκλησίαις, τόν σόν δυσώπει νυμφίον, Ειρήνη θεόφρον, καί πταισμάτων τήν άφεσιν, παρέχειν τοίς υμνούσί σε.

Θεοτοκίον

Σάρκα γεγονότα τόν Θεόν Λόγον, καί πεφηνότα καθ' ημάς, αγία Παρθένε, αφράστως απεκύησας, υπέρ λόγον καί έννοιαν.

Ωδή γ'
Τόξον δυνατών ησθένησε

Μύρου κενωθέντος αίσθησιν, τού τήν οικουμένην ευωδιάσαντος χάριτι, δεξαμένη ανεπτερώθης, πρός τόν τούτου πόθον Ένδοξε.

Έσχες τόν Θεόν συλλήπτορα, εν τοίς σοίς αγώσι, καί συνασπίζοντα Πάνσοφε, διά τούτο στεφανωθείσα, τούς τυράννους κατεπάλαισας.

Πύργος αρετών ακλόνητος, καί θεοσεβείας κατοικητήριον γέγονας, καί

ανδρείας καί σωφροσύνης, ενδιαίτημα Πανεύφημε.

Θεοτοκίον

Ρέων μέχρι σού, ο θάνατος, έστη προσβαλών τώ εκ σού τεχθέντι Πανάμωμε, διά τούτο αθανασίας, απαρχήν σε ονομάζομεν.

Ο Ειρμός

«Τόξον δυνατών ησθένησε, καί οι ασθενούντες περιεζώσαντο δύναμιν, διά τούτο εστερεώθη, εν Κυρίω η καρδία μου».

Κάθισμα Ήχος α'

Τόν τάφον σου Σωτήρ

Τώ κάλλει σου Χριστέ, η παρθένος τρωθείσα, παρέδραμε σπουδή, τά ορώμενα πάντα, καί πάσαν τήν τού σώματος, ευμορφίαν εκδέδωκε, ταίς κολάσεσι, καί ταίς πικραίς τιμωρίαις, αφανίζεσθαι, ήν εις ωραίους νυμφώνας, εισήγαγες Δέσποτα.

Δόξα... Καί νύν... Τής Εορτής

Ωδή δ'

Τής σής επί τής γής παρουσίας

Ο τήν ειρήνην σοι βραβεύων ειρηνώνυμε, δι' αυτόν μαχομένην σε θεώμενος, ανδροπρεπούς φρονήματος, Μάρτυς καί δυνάμεως έπλησε.

Συντονωτάταις προθυμίαις υπερβέβηκας, τό τού θήλεος χαύνον παμμακάριστε, καί σταθερώς διήλεγξας, Μάρτυς τούς τή πλάνη δουλεύοντας.

Ενθεωτάτην καρτερίαν επιδέδειξαι, καί τυράννων τό θράσος καταβέβληκας, τώ σώ νυμφίω κράζουσα, Δόξα τή δυνάμει σου Κύριε

Υμνολογίαις ασιγήτοις καί δεήσεσι, τόν Δεσπότην θεόφρον υμνολόγησας, καί πρός αυτόν ανέδραμες, δόξαν οψομένη τήν άφραστον.

Θεοτοκίον

Χαρμονικήν σοι γεγηθότες φωνήν πάναγνε, διά σού οι σωθέντες ανακράζομεν, Χαίρε Παρθένε πάνσεμνε, χαίρε Θεοτόκε πανύμνητε.

Ωδή ε'

Τόν φωτισμόν σου Κύριε

Αδρειοτέρω Ένδοξε, φρονήματι Χριστόν, Θεόν τών όλων, τρανώς ωμολόγεις, λόγω δέ στερρώ τούς αντιπάλους, αθληφόρε κατήσχυνας.

Ιχνηλατείν επόθησας τό πάθος τού Χριστού, καί τή μιμήσει θερμώς ηκολούθεις, αγωνιστικώς ύπεραθλούσα, τού Δεσπότου πανόλβιε.

Στίφη Μαρτύρων Ένδοξε, προσήνεγκας Χριστώ, τή σή σοφία καί θεολογία, τούτους αληθώς μυσταγωγούσα, καί τώ λόγω τής χάριτος.

Θεοτοκίον

Μεμυημένοι μυστήριον συλλήψεως τής σής, καί τού αφράστου καί θείου σου τόκου, σέ πανευσεβώς υμνολογούμεν, Θεοτόκε πανύμνητε.

Ωδη ς'
Εβόησε, προτυπών
Ανώρθωσας, τής προμήτορος Εύας τήν έκπτωση Αθληφόρε, τού εχθρού καθελούσα τήν δύναμιν, καί καταβαλούσα, τήν εκείνου οφρύν θεία χάριτι.

Ρωμαλέον, κεκτημένη Ειρήνη τό φρόνημα, τοίς τυράννοις, αντετάξω ψυχής γενναιότητι, καί στεφάνω νίκης, πρός Χριστού τού Θεού εστεφάνωσαι.

Τώ αίματι, τής αθλήσεως Μάρτυς φαιδρότερον, απειργάσω, τό τής φύσεως κάλλος τό άχραντον, γενικούς αγώνας, υποστάσα στερρώς καλλιπάρθενε.
Θεοτοκίον
Υπέφηνε, τό μυστήριον σού τής κυήσεως, ο θεόπτης, καιομένην τήν βάτον θεώμενος, καί μή φλεγομένην, Θεοτόκε αγνή αειπάρθενε.
Ο Ειρμός
«Εβόησε, προτυπών τήν ταφήν τήν τριήμερον, ο προφήτης, Ιωνάς εν τώ κήτει δεόμενος, Εκ φθοράς με ρύσαι, Ιησού Βασιλεύ τών Δυνάμεων».

Κοντάκιον Ήχος δ'
Ο υψωθείς
Τήν καλλιπάρθενον υμνήσωμεν πάντες, νύμφην Χριστού, εκ τών νεκρών αναστάσαν, ήν ο Θεός εδόξασε σημείοις φρικτοίς, Είλκυσε γάρ πλήθος άπειρον, ασεβών εν τή πίστει, καί θεόθεν έλαβε, τήν Χριστώνυμον κλήσιν, ο τού Θεού γάρ Άγγελος ελθών, εκ Πηνελόπης Ειρήνην εκάλεσε.
Ο Οίκος
Τού νυμφίου Χριστού έρωτι, Παναοίδιμε, από βρέφους σεμνή πυρποληθείσα έδραμες, δορκάς ως διψώσα πηγαίς αειρύτοις, καί τή αθλήσει σαυτήν συντηρήσασα, εντώ αφθάρτω, όντως τού Κτίστου σου θαλάμω ένδοξε, ως νύμφη ευκλεής, εστολισμένη, πεποικιλμένη, εισήλθες ως εκλεκτή, στεφανηφόρος οραθείσα, εξ αφθάρτου νυμφίου δεξαμένη, ως χρυσίον, βραβείον νίκης τής σής αθλήσεως.

Σ υ ν α ξ ά ρ ι ο ν
Τή Ε' τού αυτού μηνός, Μνήμη τής Αγίας Μεγαλομάρτυρος Ειρήνης.
Στίχοι
- Ξίφει θανούσα καί βιώσασα ξένως,
- Ειρηνικώς τέθνηκας αύθις, Ειρήνη.
- Ειρήνη τμηθείσα ανέγρετο καί θάνε πέμπτη.

Τή αυτή ημέρα, Μνήμη τής αθλήσεως τών Αγίων Μαρτύρων Νεοφύτου, Γαΐου καί Γαϊανού.

Τελείται δέ η αυτών σύναξις εν τώ σεπτώ καί σεβασμίω ναώ τών Αγίων

ενδόξων καί θαυματουργών Αναργύρων Κοσμά καί Δαμιανού, τώ όντι εν τοίς Δαρείου.

Τή αυτή ημέρα, Ανάμνησις τών εγκαινίων τού ναού τής Υπεραγίας Θεοτόκου εν τοίς Κύρου.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Αβραμιαίοι ποτέ

Στεφανηφόρος Σεμνή, παρισταμένη θρόνω, τού σού Δεσπότου περιφρούρησον, τούς πίστει κραυγάζοντας, ο τών Πατέρων ημών Θεός ευλογητός εί.

Εν ουρανίαις σκηναίς, περιχορεύειν Μάρτυς, κατηξιώθης αξιάγαστε, Ειρήνη κραυγάζουσα, ο τών Πατέρων ημών Θεός ευλογητός εί.

Ιμειρομένη τυχείν, τού εραστού σου κάλλους, βασάνων πόνους εκαρτέρησας, Ειρήνη κραυγάζουσα, ο των Πατέρων ημών Θεός ευλογητός εί.

Θεοτοκίον

Ρήσει χειλέων τών σών, ακολουθούντες πίστει, σέ Θεομήτορ μακαρίζομεν, βοώντες τώ τόκω σου, ο τών Πατέρων ημών Θεός ευλογητός εί.

Ωδή η'

Παίδας ευαγείς

Ήθλησας Ειρήνη μακαρία, γενναίως καί τούς τυράννους καταβέβληκας, έχουσα συμπράττουσαν, τήν ακαταμάχητον, τού σού Δεσπότου δύναμιν, καί συνεργούσάν σοι καί, Κύριον υμνείτε, εβόας, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Νεάνις αγάπη τετρωμένη, οπίσω τού σού νυμφίου ηκολούθησας, Ειρήνη πανένδοξε, τούτου τά παθήματα, εν τή σαρκί σου φέρουσα, καί αναμέλπουσα, τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Η σή εν βασάνοις καρτερία, Ειρήνη στεφανηφόρε κατεγέλασε, τών τής ματαιότητος, καί τής αθεότητος, αντεχομένων ένδοξε, πίστει δέ έψαλλες, τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Σοφία Θεού πάντων τεχνίτις, γαστρί σου Παρθενομήτορ ενσκηνώσασα, οίκον ω κοδόμησεν, έννουν τε καί έμψυχον, τόν εαυτής καί έσωσε, κόσμον κραυγάζοντα, τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσωσατο, τότε μέν

τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν, τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε εις πάντας τούς αιώνας».

Ωδή θ'
Εύα μέν τώ τής παρακοής
Κύκλω περί τόν σόν εραστήν χορεύουσα, εν υψίστοις καλλιπάρθενε, αίτησαι κόσμω τήν ειρήνην, Ειρήνη, καί πταισμάτων τήν άφεσιν, τοίς πίστει εκτελούσι τήν μνήμην σου, τήν φωτοφόρον καί πανίερον.

Ένδον τής παστάδος σε Χριστός ως Μάρτυρα, καί Παρθένον κατεσκήνωσεν, ένθα Παρθένοις συναγάλλη, καί σύν τοίς τών Μαρτύρων στρατεύμασιν, Ειρήνη, στεφανηφόρε πανεύφημε, όθεν σε πάντες μακαρίζομεν.

Πύλας διανοίξας ουρανών εδέξατο, τήν ψυχήν σου τήν πανάμωμον, μόνος ο πάντων βασιλεύων, καί τής δικαιοσύνης ο πρύτανις, Ειρήνη, θείας ειρήνης επώνυμε, όθεν σε πάντες μακαρίζομεν.

Θεοτοκίον
Έχουσα πρός τόν εκ σού Υιόν πανάχραντε, παρρησίαν ανεπαίσχυντον, τούτον δυσώπει Παναγία, τώ κόσμω τήν ειρήνην δωρήσασθαι, καί πάσαις Εκκλησίαις ομόνοιαν, ίνα σε πάντες μεγαλύνωμεν.

Ο Ειρμός
«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν».

Εξαποστειλάριον
Γυναίκες ακουτίσθητε
Ρωσθείσα καλλιπάρθενε, Σταυρώ τώ τού Κυρίου σου, τυράννων έλυσας θράσος, αθλούσα Μάρτυς γενναίως, καί πρός Χριστού απείληφας, βραβεία νίκης πάνσοφε, Ειρήνη μεγαλώνυμε, υπέρ υμών δυσωπούσα, τών σέ τιμώντων εκ πόθου.

Καί τής Εορτής

Εις τόν Στίχον, Στιχηρά τής Εορτής. Καί η λοιπή Ακολουθία, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου καί δικαίου Ιώβ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Είς τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ' καί

τού Αγίου γ'.

Στιχηρά τού Αγίου

Ήχος δ'
Έδωκας σημείωσιν

Έδωκας υπόδειγμα, υπομονής υπεράγαθε, καί ανδρείας τόν δίκαιον, Ιωβ τόν πολύαθλον, αρεταίς καί λόγοις, καί τοίς θείοις έργοις, καί σωφρονίζεις αληθώς, τούς μετεώρους τοίς ατυχήμασι, διό σου τήν ανείκαστον, οικονομίαν δοξάζομεν, Ιησού παντοδύναμε, ο Σωτήρ τών ψυχών ημών.

Δίκαιος καί άκακος, αληθινός τε καί άμεμπτος, καί παντός απεχόμενος, Ιώβ κακού πράγματος, εγνωρίσθης μάκαρ, κατηγλαϊσμένος, ταίς αρεταίς ως αληθώς, καί ευσεβεία καταλαμπόμενος, διό σε μακαρίζομεν, καί τήν αγίαν σου σήμερον, καί σεπτήν εορτάζομεν, γεγηθότες πανήγυριν.

Πλούτον τήν ευσέβειαν, καί ως πορφύραν πολύτιμον, στολιζόμενος άμεμπτε, Ιώβ τήν συμπάθειαν, τήν δικαιοσύνην, ώσπερ θείον στέφος, περιβαλλόμενος παθών, τών τυραννούντων σύ εβασίλευσας, διό πρός τά βασίλεια, τά νοητά αναβέβηκας, Βασιλεί τε αοίδιμε, αιωνίω παρίστασαι.

Δόξα... Ήχος πλ. β'

Εν ακριβεία τόν βίον τηρήσας, τών εν νόμω ού διήμαρτες, τήν γάρ εκ Θεού επαινετήν ευφημίαν σύμμαχον έχων, ως στρατιώτης καρτερώτατος, Πρός τό γυμνάσιον τής αρετής εξεδύσω, καί αφορήτοις μώλωψι τών ιχώρων καταπαλαίσας, τόν άμετρα καυχώμενον κατέβαλες, εντεύθεν τό νίκης βραβείον, παρά Χριστού αναδησάμενον, αυτόν ικέτευε υπέρ τών ψυχών ημών.

Καί νύν... Τής Εορτής

Εις τόν Στίχον, Στιχηρά τής Εορτής.

Απολυτίκιον Ήχος β'

Τού δικαίου σου Ιώβ τήν μνήμην, Κύριε, εορτάζοντες, δι' αυτού σε δυσωπούμεν, σώσον τάς ψυχάς ημών.

Καί έτερον
Κατεπλάγη, Ιωσήφ

Κατεπλάγη αληθώς, άπας αγγέλων ο χορός, καί ανθρώπων ο εσμός, έφριξε δίκαιε ιδών, τήν υπεράνθρωπον όντως υπομονήν σου. Όθεν καί ημίν τύπος δέδοσαι, τοίς θλίψεσι τού βίου εκάστοτε, χειμαζομένοις κρίμασι Κυρίου, καί πειρασμοίς περιπίπτουσιν, Αυτός γάρ είπεν, ο υπομείνας, μέχρι τέλους σωθήσεται.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι κανόνες τής Εορτής, καί τού Αγίου.

Ο Κανών τού Αγίου, ού η Ακροστιχίς, άνευ τών Θεοτοκίων.

Τόν μυρίαθλον άξιον μέλπειν Ιώβ.
Ποίημα τού Αγίου Κοσμά, οι δέ Ιωάννου Μοναχού.

Ωδή α'  Ήχος δ'
Χοροί Ισραήλ ανίκμοις
Τόν καρτερικόν αδάμαντα, τής υπομονής, τώ στεφάνω κατακοσμούμενον, η Χριστού Εκκλησία, νοεροίς ορώσα οφθαλμοίς πανηγυρίζει, εν αγαλλιάσει μέλπουσα, Άσωμεν τώ Θεώ ημών, ότι δεδόξασται.

Ου γλώσσα σοφών δυνήσεται, ουδέ νούς βροτών εφικέσθαι τών εγκωμίων σου η γάρ άκτιστος γλώσσα, σέ θεοσεβή αληθινόν άμεμπτον έφη, όθεν σοι συμφώνως βοώμεν, Άσωμεν τώ Θεώ ημών, ότι δεδόξασται.

Νομίσας πλούτω φραττόμενον, ως ουκ ευχερές αυτώ ανατρέπειν τόν Δίκαιον, εξαιτεί ο αλάστωρ, καί γυμνώ βιαίως προσταλαίσας κατερράγη, δι' υπομονής γάρ εβόα, Άσωμεν τώ Θεώ ημών, ότι δεδόξασται.
Θεοτοκίον
Χοροί Προφητών υμνούσιν Αγνή, καί τών Ασωμάτων σε τάξεις γεραίρουσι, τόν γάρ Κτίστην τών όλων, εκ νηδύος σου αφράστως προελθόντα καθορώντες, τούτω ασιγήτως βοώσιν Άσωμεν τώ Θεώ ημών, ότι δεδόξασται.

Ωδή γ'
Τόξον δυνατών ησθένησε
Μένεις ακλινής τό φρόνημα, τών φιλτάτων τέκνων, καί τού πλούτου στερούμενος, αναμέλπων, Ευλογημένον, τού Κυρίου μου τό όνομα.

Ύλην αρετής πεποίησαι, πλούτον καί πενίαν, δι' αμφοίν γάρ πυρούμενος, ως χρυσίον επταπλασίως, ανεδείχθης δοκιμώτατος.

Ρήσει γυναικός προσέβαλεν, ως τό αρχεγόνω, ο αρχέγονος όφις σοι, αλλ' εφεύσθη τής πανουργίας, ο εις άμετρα καυχώμενος.
Θεοτοκίον
Χαίρε Μήτερ απειρόγαμε, η τόν Θεόν Λόγον εν γαστρί σου χωρήσασα, καί τεκούσα σεσαρκωμένον, ως Θεόν ομού καί άνθρωπον.
Ο Ειρμός
«Τόξον δυνατών ησθένησε, καί οι ασθενούντες, περιεζώσαντο δύναμιν, διά τούτο εστερεώθη, εν Κυρίω η καρδία μου».

Κάθισμα  Ήχος γ'
Τήν ωραιότητα
Ιώβ τόν άμεμπτον, καί καθαρώτατον, στύλον τόν άτρεπτον, καί

καρτερώτατον, ταίς μεθοδείαις τού εχθρού, γενόμενον εν Πνεύματι, πάντες μακαρίσωμεν, καί πιστώς ευφημήσωμεν, μέγιστον θεράποντα, τού Χριστού χρηματίσαντα, καί τούτον εκτενώς δυσωπούντα, σώσαι κινδύνων τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Τής Εορτής

Ωδή δ'
Εισακήκοα τήν ένδοξον

Ικανώτατον υπόδειγμα, καί στήλη έμπνους, καί είκων αρετής, Ιώβ ο άμεμπτος ανεδείχθη, ού ζηλωτάς ημάς βοώντας ποίησον, Δόξα τή δυνάμει σου Κύριε.

Αθλοθετεί σοι γυμνάσιον, ο πληρωτής τών αγαθών αθλητά, εξ υπογαίου ανακαλύπτων, τών αρετών σου πάσι τήν λαμπρότητα, άμεμπτε Ιώβ παμμακάριστε.

Θεραπεύει σοι τό εύτονον, καί καρτερικόν τής ακάκου ψυχής, εν τή σαπρία ο αθλοθέτης, τής εν Εδέμ υπάρχον παραβάσεως, ίαμα Ιώβ παμμακάριστε.

Λογισμώ κρίνων τό όσιον, ανεμελώδει ο Ιώβ, αγαθά οι δεδεγμένοι παρά Κυρίου, τά αλγεινά γενναίως ουχ υποίσομεν; Δόξα τή δυνάμει σου Κύριε.

Θεοτοκίον

Απειρόγαμε Θεόνυμφε, η τόν Σωτήρα τεξαμένη σαρκί, σέ ανυμνούμεν δεδοξασμένη, καί ασιγήτως ύμνον σοι κραυγάζομεν, Χαίρε προστασία τών δούλων σου.

Ωδή ε'
Ο ανατείλας τό φώς

Οι παρακλήτορες πρίν, τών δεινών προστιθέντες, τοίς τραυμασί σου άλγος, πλείονάς σοι έπλεξαν, τούς στεφάνους, Ιώβ ένδοξε.

Νεανικώς εν δεινοίς, ακατάπτωτος ώφθης, καί εν περιφανείαις, πρός τήν άτακτον ύβριν, ουκ επήρθης, Ιώβ άμεμπτε.

Ακαταγώνιστον σύ, τής ψυχής τό φρούριον δειμάμενος, γενναίως έφερες Ένδοξε, τού εχθρού τόν δεινόν κλύδωνα.

Θεοτοκίον

Τήν τού Αγγέλου φωνήν, ασιγήτως ή κτίσις, προσφέρει σοι Παρθένε, Χαίρε Μήτερ άχραντε, Ιησού τού Υιού τού Θεού.

Ωδή ς
Εβόησε, προτυπών

Ξενίζεται, ακοή εντρυφώσα τοίς λόγοις σου, ότι στόμα, μυστηρίου εδείχθης ανάπλεων, τού ποιήσαντός σε καί διδάξαντος θείω εν Πνεύματι.

Ιώμενος, λυπουμένης καρδίας τό άλγημα, εκ βλεφάρων, συμπαθείας προέχεας δάκρυα, προϊστάμενος, ορφανών καί χηρών, Ιώβ ένδοξε.

Ο βίος σου, ευσεβής καί φιλόθεος πέφηνε, διά τούτο, καί ο θάνατος ώφθη ανάπαυσις, καί πρός άληκτον, ευφροσύνην Ιώβ μετέβηκας.

Θεοτοκίον

Δεόμεθα, υπέρ τών οικετών σου αλόχευτε, Θεοτόκε, τόν εκ σού σαρκωθέντα ικέτευε, ότι σέ καί μόνην, προστασίαν ημών επιστάμεθα.

Ο Ειρμός

«Εβόησε, προτυπών τήν ταφήν τήν τριήμερον, ο Προφήτης, Ιωνάς εν τώ κήτει δεόμενος, Εκ φθοράς με ρύσαι, Ιησού Βασιλεύ τών δυνάμεων».

Κοντάκιον Ήχος πλ. δ'

Ως απαρχάς τής φύσεως

Ως αληθής καί δίκαιος, θεοσεβής καί άμεμπτος, ηγιασμένος τε ώφθης πανένδοξε, Θεού θεράπον γνήσιε, καί εδίδαξας κόσμον, εν τή σή καρτερία Ιώβ πολύαθλε, όθεν πάντες τιμώντες, υμνούμέν σου τό μνημόσυνον.

Ο Οίκος

Ο τών όλων Θεός τε καί Κύριος, σύν Υιώ βασιλεύων καί Πνεύματι, εν μιά τή θεότητι έλαμψε, καί πιστούς ευσεβείς απειργάσατο, ο αυτός καί τόν Ιώβ εμαρτύρησεν, η γλώσσα η άκακος, άκακον, θεοσεβή τε καί δίκαιον, πάντων τών κακών απεχόμενον, Διά τούτό σε Ιώβ, εν ψαλμωδίαις τιμώντες άπαντες, υμνούμέν σου τό μνημόσυνον.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΣΤ' τού αυτού μηνός, Μνήμη τού Αγίου καί δικαίου καί πολυάθλου Προφήτου Ιώβ.

Στίχοι

- Ει καί θανών, άλητος ανδρείας πέτρα,
- Καί πώς Ιώβ κρύψει σε τή λήθης πέτρα;
- Εκτη Ιώβ πολύτλαν θανάτου τέλος αμφεκάλυψε.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου καί θεοφόρου πατρός ημών Σεραφείμ, εν τώ όρει τού Δομπού ασκήσαντος.

Στίχοι

- Λιπών Σεραφείμ τόν κάτω καί τοίς άνω,
- Φλογοφόροις σύνεστι Σεραφείμ χώρον.
- Ήλατ' άημα ένθεν Σεραφείμ ουρανίων ες πόλον.

Τή αυτή ημέρα οι όσιοι Μάμας, Παχώμιος καί Ιαρίων εν ειρήνη τελειούνται.

Ο άγιος μάρτυς Δημητρίων τοξευόμενος τελειούται.

Οι άγιοι μάρτυρες Δάναξ, Μέσιρος καί θερινός ξίφει τελειούντα.

Ο άγιος μάρτυς Δονάτος τοξευόμενος τελειούται.

Ο άγιος μάρτυς Βάρβαρος ξίφει τελειούται.

Τελείται δέ τών ειρημένων αγίων η σύναξις εν τώ Μαρτυρείω αυτών τώ όντι εν τώ Δευτέρω.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Ο διασώσας εν πυρί

Νομίμων άγευστος επών, αλλά προφητών τε καί νόμου, φέρων τό πλήρωμα Ιώβ, δι' αγάπης Θεώ
ευηρέστησας, μελωδών, Υπερύμνητε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Μή θησαυρίσας επί γής, αλλ' εν ουρανοίς τήν ελπίδα, ως χούν λελόγισαι χρυσόν, τώ Θεώ εκβοών αγαλλόμενος, Υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Έλκει σε παίσας πονηρώ. καί τών υπαρχόντων γυμνώσας, ο τών δικαίων δυσμενής, τής ψυχής σου τόν τόνον ουκ έκαμψε, μελωδών δέ εκραύγαζες, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Τριαδικόν

Λόγον καί Πνεύμα εκ Πατρός, μίαν τρισυπόστατον φύσιν, θεολογούντες ευσεβώς, οι θεόφρονες πίστει βοήσωμεν, Υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Θεοτοκίον

Τήν αλοχεύτως εν γαστρί, καί υπερφυώς δεξαμένην, τόν αναλλοίωτον Θεόν, ευσπλαγχνία βροτοίς ομιλήσαντα, ευσεβώς ανυμνούμεν σε, ως μητέρα τού Υψίστου εις τούς αιώνας.

Ωδή η'

Τόν εν μορφή Αγγέλου

Πανηγυρίζει πάς εορταζόντων, εν υψίστοις ο χορός, τώ θεσπεσίω συμμέλπων Ιώβ, διό καί ανακράζων, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Εδιπλασίασέ σοι τούς στεφάνους, επί γής καί ουρανού, ο αθλοθέτης, θεόφρον Ιώβ, διό κραυγάζεις, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ιάματα ψυχών τε καί σωμάτων, οι Ιχώρες τής σαρκός Μακάριε βρύουσι τοίς μελωδούσιν, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Νόσος υγεία, πλούτος καί πενία, εναμβρυνονται τή βιοτή σου Μακάριε, λαμπρός φανείς γάρ, διά πάντων κραυγάζεις, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Τήν απορρήτω λόγω συλλαβούσαν, καί τεκούσαν τήν χαράν τή οικουμένη, Χριστόν τόν Θεόν, υμνείτε παίδες, Ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Τόν εν μορφή Αγγέλου οραθέντα, εν καμίνω πυρός τοίς υμνολόγοις, Χριστόν τόν Θεόν, υμνείτε παίδες, Ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ'

Εύα μέν τώ τής παρακοής

Ιώβ μέν τή τής υπομονής λαμπρότητι, επαξίως εστεφάνωται, σύ δέ πενθείς καί σκυθρωπάζεις, ου φέρων τού Δικαίου τόν στέφανον, διακενής γάρ ελπίσας ησχύνθης Σατάν, μόνε Δικαίων δυσμενέστατε.

Ως θέμις ανθρώπω κατιδείν τήν δόξαν σου, κατοπτεύσας τήν αθέατον, φόβω κραθείς καί ευλαβεία, εβόησεν Ιώβ λίαν έντρομος, Σποδός υπάρχω καί γή, σύ δέ Κύριος, όθεν σε πάντες μεγαλύνομεν.

Βίβλος σε αξίως τής ζωής εδέξατο, καί ταμεία επουράνια, σίτον ως ώριμον αχθέντα, καί πλήρη ημερών τών τού Πνεύματος, Ιώβ θεράπον Κυρίου μακάριε, όθεν ο πάντες μακαρίζομεν.

Θεοτοκίον

Σοφίας χωρίον υπέρ νούν τής κρείττονος, ανεδείχθης Κόρη άμωμε, έμψυχος θρόνος τε καί πύλη, διό ώς βασιλίδα ηγάπησαν, παρθένοι σε Παρθένε οπίσω σου, απενεχθείσαι τής θεόπαιδος.

Ο Ειρμός

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν».

Εξαποστειλαριον τής Εορτής.

Καί η λοιπή Ακολουθία ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Ζ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού εν ουρανώ φανέντος σημείου τού Τιμίου Σταυρού, ώρα τρίτη τής ημέρας, επί Κωνσταντίου Βασιλέως, υιού Κωνσταντίνου τού Μεγάλου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό Κυριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ' καί τού Τιμίου Σταυρού γ'.

Στιχηρά τού τιμίου Σταυρού

Ηχος δ'
Ο εξ υψίστου κληθείς

Σήμερον χαίρει πιστών πληθύς η θεία, φαίνει γάρ ουράνιος Σταυρός εν πέρασι, λάμπει αιθήρ φώς απρόσιτον, αήρ αυγάζει, καί γής τό πρόσωπον ωραϊζεται, μέλπει θείοις άσμασιν η Εκκλησία Χριστού, σέβει τιμώσα τόν άνωθεν, αυτήν φρουρούντα, Σταυρόν τόν θείον καί υπερθαύμαστον, ού τή δυνάμει κραταιούμενοι, τώ Δεσπότη προσέλθωμεν κράζοντες, ειρηνεύσαι τόν κόσμον, καί φωτίσαι τάς ψυχάς ημών.

Τιμιωτάτη ως κλίμαξ καθωράθη, σήμερον ο πάντιμος Σταυρός καί ένδοξος, από τής γής πρός ουράνια, μετάγων πίστει, τούς αδιστάκτω τούτον γεραίροντας, Χαίρει έθνη άπαντα, θερμώς προστρέχοντα, τώ βαπτισμώ καί αγάλλεται καί Εκκλησίας, νυμφοστολείται μορφή η ένθεος, όν γάρ συγκρύπτειν εγκατέσπευδον, Ιουδαίοι εξ ύψους αιθέριος, καταυγάζει καί σώζει, τούς πιστώς αυτώ προστρέχοντας.

Αγαλλιάσθω η κτίσις καί σκιρτάτω, σήμερον γάρ ήστραψε Σταυρός εν πέρασιν, εξ ουρανού τά επίγεια, καταφωτίζων καί συνημμένα δεικνύς τά άμικτα, Σήμερον συγχαίρουσι χοροίς Αγγέλων βροτοί, τό γάρ διείργον μεσότοιχον, Σταυρώ ηρμένον, εις έν τά πάντα σαφώς συνήγαγεν, όθεν προλάμπων υπέρ ήλιον, πάσαν κτίσιν φαιδρύνει τή χάριτι, καί λαμπρύνει καί σώζει, τούς πιστώς αυτόν γεραίροντας.

Δόξα... Ήχος πλ. β'

Ανήγγειλαν οι ουρανοί τήν δόξαν σου Κύριε, τό φοβερόν τού Σταυρού σου σημείον, καί η γή άπασα μετά φόβου προσεκύνησεν, ημείς δέ δοξολογούντες, ευχαρίστως σοι βοώμεν, Θεός ών απαθής, σαρκί παθείν δι' ημάς, εκουσίως κατεδέξω, διό σώσον λαόν, όν περιεποιήσω οικείω αίματι.

Καί νύν... Τής Εορτής

Εις τόν Στίχον, Στιχηρά τής Εορτής.

Απολυτίκιον τού Σταυρού
Ήχος α'

Τού Σταυρού σου ο τύπος νύν υπέρ ήλιον έλαμψεν, όνπερ εξ όρους αγίου, τόπω Κρανίου εφήπλωσας, καί τήν εν αυτώ σου Σώτερ ισχύν ετράνωσας, διά τούτου κρατύνας καί τούς πιστούς Βασιλείς ημών, ούς καί περίσωζε διαπαντός εν ειρήνη, πρεσβείαις τής Θεοτόκου Χριστέ ο Θεός, καί σώσον ημάς.

Καί τής Εορτής

Τά λοιπά, ως σύνηθες, καί Απολυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, Καθίσματα τής Εορτής, οι Κανόνες τής Εορτής, καί τού τιμίου Σταυρού.

### Ο Κανων τού Σταυρού

Ιωάννου Μοναχού

Ωδή α' Ήχος δ'
Άρματα Φαραώ

Έφανας επί γής, τάς ακτίνας τού Σταυρού, εν ώ τόν διάβολον καταβαλών, τών ανθρώπων έσωσας, τό γένος Κύριε, διό υμνούμεν τήν δόξαν σου.

Γεύσεως απειθούς, τώ Σταυρω ο Λυτρωτής, έλυσε τό δέλεαρ, τή τού Πατρός ευδοκία, Άσωμεν αυτώ άσμα καινόν, ότι ενδόξως δεδόξασται.

Σκήπτρον νικοποιόν, κατεφύτευσας Χριστέ, ζωής ξύλον άχραντον, ως εν Εδέμ τόν Σταυρόν σου, ως φωτοειδής εξέλαμψεν, επί τό όρος τό άγιον.

Θεοτοκίον

Ήν περ τών Προφητών, προεώρακε χορός, ως πύλην ουράνιον, καί ακατάφλεκτον βάτον, σέ Παρθενομήτορ άχραντε, Θεόν τεκούσαν έγνωμεν.

Ωδή γ'
Τόξον δυνατών ησθένησε

Ώσπερ θυρεώ φραττομεθα, τώ τού αηττήτου σου Σταυρού τύπω Δέσποτα, όν μή φέρων ο απευκταίος, δραπετεύει τών δαιμόνων εσμός.

Πάντας ο Σταυρός σου ηύφρανε, τούς εσταυρωμένον σε Θεόν καταγγέλλοντας, ός εκλάμπρω καί απροσίτω, ωραιότητι εξέλαμψε.

Χαίροις ώ Σταυρέ πανάγιε, ότι σου ο τύπος υπέρ ήλιον ήστραψε, καί τήν πλάνην πάσαν διώξας, τούς πιστούς ημάς εφώτισε.

Θεοτοκίον

Χαίρε Μήτερ απειρόγαμε, η τόν Θεόν Λόγον εν γαστρί σου χωρήσασα, καί τεκούσα σεσαρκωμένον, ως Θεόν ομού καί άνθρωπον.

Ο Ειρμός

«Τόξον δυνατών ησθένησε, καί οι ασθενούντες περιεζώσαντο δύναμιν, διά τούτο εστερεώθη, εν Κυρίω η καρδία μου».

Κοντάκιον τής Εορτής

Είτα Κάθισμα τού τιμίου Σταυρού.

Ήχος δ'
Ο υψωθείς εν τώ Σταυρώ

Ο διανοίξας ουρανούς κεκλεισμένους, εν ουρανώ περιφανείς τάς ακτίνας, επί τής γής ανέτειλεν ο άχραντος Σταυρός, όθεν οι τήν έλλαμψιν, τής αυτού ενεργείας, δεξάμενοι πρός άδυτον, οδηγούμεθα φέγγος, καί εν πολέμοις έχομεν αυτόν, όπλον ειρήνης, αήττητον τρόπαιον.

Καί τής Εορτής

Ωδή δ'
Εισακήκοα Κύριε

Μυστικώς μέν πρίν, καί αισθητώς δέ σήμερον, κατηγλάϊσας Χριστέ, τού αχράντου σου Σταυρού τόν τύπον.

Τό παράνομον τών θεοκτόνων τολμημα, σταυροτύπω σου Σωτήρ, εθριάμβευσας φωτί οικτίρμον.

Εβεβαίωσας Χριστιανών τό θρήσκευμα, τώ αϋλω σου φωτί, τόν Σταυρόν ημίν Χριστέ χαράξας.

Θεοτοκίον

Μήτηρ άχραντε, ευλογημένη Δέσποινα, όν εκύησας Θεόν, ταίς λιταίς σου εξιλέωσαι ημίν.

Ωδή ε'
Ο τού φωτός διατμήξας

Θανατηφόρον τό ξύλον, ο Σταυρός ζωηφόρος, τοίς τής Εδέμ αποίκοις εδείχθη Χριστέ, ένοικον αύθις, διά κακούργου τόν Αδάμ εργασάμενος.

Ο υποστήσας τώ λόγω, τό πρωτόκτιστον σέλας, ως Υιώ Πατήρ φωταυγή τόν Σταυρόν, νύν διαγράφει, τώ σταυρωθέντι μαρτυρών τήν θεότητα.

Εν τώ φωτί τώ αδύτω, τό υπέρτατον φάος, εν τώ Πατρί οψόμεθα πίστει Χριστέ, σέ τόν Υιόν καί σού τό Πνεύμα, ταίς ψυχαίς ημών έλλαμψον.

Θεοτοκίον

Εν τώ ωδίνειν σε Κόρη, τά μητέρων ουκ έγνως, υπερφυώς επεί συλλαβούσα Θεόν, τέτοκας σαρκί, διό πάντες ευσεβώς σε δοξάζομεν.

Ωδή ς'
Εν τώ θλίβεσθαί με

Τόν Σταυρόν εκλάμπεις, πέρασι Χριστέ ο Θεός, καί εφώτισας δέ, δι' αυτού τούς ανυμνούντάς σε.

Καλυπτέτωσαν μέν, τό όμμα οι παράνομοι, τού Σταυρού τό κάλλος, εξαστράπτον γάρ ου φέρουσιν.

Εντρυφάτωσαν δέ, τή αίγλη τού αχράντου Σταυρού, οι Θεόν ειδότες, τόν εν ξύλω προσπαγέντα σαρκί.

Θεοτοκίον

Η Θεόν τεκούσα, Παρθένε απειρόγαμε, υπέρ ημών μή παύση, τόν Υιόν σου ικετευούσα.

Ο Ειρμός

«Εν τώ θλίβεσθαί με, εβόησα πρός Κύριον, καί επήκουσέ μου, ο Θεός τής σωτηρίας μου».

Κοντάκιον Ήχος πλ. δ'

Ω τρισμακάριστε Σταυρέ καί Πανσεβάσμιε, σέ ανυμνών καί προσκυνών νύν αγιάζομαι, εν ώ Χριστός ανυψούμενος κόσμον έσωσεν, αλλά πρόφθασον καί σώσον τή δυνάμει σου, καί παντοίων με κινδυνων ελευθέρωσον, ίνα κράζω σοι, Χαίρε Ξύλον μακάριον.

Ο Οίκος

Ανοιξόν μου τό στόμα, Βασιλεύ τών αιώνων, καταύγασόν μου τόν νούν καί τάς φρένας, καί αγίασον μου τήν ψυχήν, ίνα υμνήσω Λόγε τό σεπτόν ξύλον σου, κατάπεμψον τό Πνεύμά σου καί δίδαξον με, ίνα πόθω κραυγάζω.

- Χαίρε, Σταυρέ οικουμένης δόξα, χαίρε, Σταυρέ Εκκλησίας κράτος.
- Χαίρε, ιερέων προπύργιον άσειστον, χαίρε, βασιλέων διάδημα τίμιον.
- Χαίρε, σκήπτρον τού παντάνακτος Δημιουργού τού παντός, χαίρε, ότι κατεδέξατο προσπαγήναί σοι Χριστός.
- Χαίρε, τών θλιβομένων παραμύθιον μέγα, χαίρε, τών εν πολέμοις τό αήττητον όπλον.
- Χαίρε, Σταυρε, Αγγέλων ευπρέπεια, χαίρε, Σταυρέ, πιστών η αντίληψις
- Χαίρε, δι' ού κατεπόθη ο Άδης, χαίρε, δι' ού εξανέστημεν πάντες.
- Χαίρε, Ξύλον μακάριον.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Ζ' τού αυτού μηνός, τήν ανάμνησιν εορτάζομεν τού εν ουρανώ φανέντος σημείου τού Τιμίου Σταυρού, επί Κωνσταντίου Βασιλέως, υιού τού Μεγάλου Κωνσταντίνου, καί Κυρίλλου Αρχιεπισκόπου Ιεροσολύμων.

Στίχοι

- Σταυρού παγέντος, ηγιάσθη γή πάλαι.
- Καί νύν φανέντος, ηγιάσθη καί πόλος.
- Εβδομάτη Σταυροίο τύπος πόλω αμφετανύθη.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Ακακίου.

Στίχοι

- Είπερ τις άλλος, εν χορώ τών Μαρτύρων,

- Κάλλιστος Ακάκιος εκτμηθείς ξίφει.

Τή αυτή ημέρα, Μνήμη τής αθλήσεως τού Αγίου Μάρτυρος Κοδράτου καί τών σύν αυτώ.

Στίχοι

- Ζωμούς χύτρας σής τούς ιδρώτας, Κοδράτε,
- Άλατι τμηθείς αιμάτων παραρτύεις.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών καί Ομολογητού Ιωάννου τού Ψυχαΐτου.

Στίχοι

- Ψυχής μόνης σύ τήν σχέσιν φέρων Πάτερ,
- Ψυχαΐτης κέκλησαι ενδίκως μάκαρ.

Τή αυτή ημέρα, Μνήμη τής αθλήσεως τού Αγίου Μάρτυρος Μαξίμου.

Στίχοι

- Λίθοις επιβάς Μάξιμος μεγαλόνους,
- Ανήλθε χαίρων ουρανού εις τό πλάτος.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον καί σώσον ημάς. Αμήν.

Ωδή ζ'

Ο διασώσας εν πυρί

Ο υψωθείς εν τώ Σταυρώ, Ήλιος μεσούσης ημέρας, όν καθορών ο αισθητός, τάς ακτίνας συνέστειλεν ήλιος, υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Ο τώ θεόπτη εν πυρί, πάλαι ομιλήσας καί γνόφω, σταυροφανεί δέ αστραπή, ως Θεός δοξαζόμενος σήμερον, υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Τό εκ φωτός καί εν φωτί, φώς συναϊδίως εκλάμπον, καί τώ αχράντω σου φωτί, τού Σταυρού σου δοξάσας τό τρόπαιον, υπερυμνήτε Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Θεοτοκίον

Τήν αλοχεύτως εν γαστρί, καί υπερφυώς δεξαμένην, τόν αναλλοίωτον Θεόν, ευσπλαγχνία βροτοίς ομιλήσαντα, ευσεβώς ανυμνήσωμεν, ως Μητέρα τού Υψίστου εις τούς αιώνας.

Ωδή η'

Τόν εν μορφή Αγγέλου

Τόν επί θρόνου δόξης οραθέντα, καί εν ξύλω Σταυρού καθηλωθέντα, ουσία σαρκός, υμνείτε Παίδες, Ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Τόν εν φωτί αχράντω τυπωθέντα, καί εκλάμψαντα Σταυρόν επί τό όρος τό άγιον, υμνείτε Παίδες, ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Δοξολογούντες ένα τής τριάδος, τόν τή αίγλη τού Σταυρού τήν οικουμένην φωτίσαντα, υμνείτε Παίδες, Ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Τήν απορρήτω λόγω συλλαβούσαν, καί τεκούσαν τήν χαράν τή οικουμένη, Χριστόν τόν Θεόν, υμνείτε Παίδες, Ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας

Ο Ειρμός

«Τόν εν μορφή Αγγέλου οραθέντα, εν καμίνω τού πυρός τοίς υμνολόγοις, Χριστόν τόν Θεόν, υμνείτε Παίδες, Ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ'

Λίθος αχειρότμητος

Ο πάλαι πυρί τε καί γνόφω, τώ απειθεί νομοθετήσας, νύν τω πιστοτάτω σου λαω, τόν τού Σταυρού σου τύπον διέγραψας, υπέρ φωστήρας λάμποντα, όν επαξίως μεγαλύνομεν.

Επένθησε ζόφω η κτίσις, τών σταυρωσάντων σε τήν τολμαν, νύν ευπρεπεστάτω δέ φωτί, ο ζωηφόρος λαμψας Σταυρός σου Χριστέ, τής Εκκλησίας έδειξε, τήν κεκρυμμένην ωραιότητα.

Εκ σού τάς ελπίδας ανάψας, ο περιούσιος λαός σου, σοί πρός ικεσίαν τόν Σταυρόν, Καί τό φρικτόν σου αίμα προβάλλεται, αλλ' ευμενώς επίνευσον, πρός τήν ημών Παντάναξ λύτρωσιν.

Θεοτοκίον

Φώτισον ημάς η τεκούσα, φώς τό απρόσιτον Παρθένε, έμπλησον ημάς ευφροσύνης, καί θυμηδίας καί θείας γνώσεως, τούς καθαρά καρδία σε, ευσεβοφρόνως μακαρίζοντας.

Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε με γαλύνομεν».

Εξαποστειλάριον

Σταυρός, ο φύλαξ πάσης τής οικουμένης, Σταυρός, η ωραιότης τής Εκκλησίας, Σταυρός, βασιλέων τό κραταίωμα, Σταυρός, πιστών τό στήριγμα, Σταυρός, Αγγέλων η δόξα, καί τών δαιμόνων τό τραύμα.

Καί τής Εορτής

Εις τόν Στίχον, Στιχηρά τής Εορτής.

Εις τήν Λειτουργίαν, ζήτει τήν Ακολουθίαν τής ιδ' Σεπτεμβρίου, ήγουν Απόστολον, Ευαγγέλιον, καί Κοινωνικόν σταυρώσιμον.

---

Αρχή

## ΤΗ Η' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου ενδόξου Αποστόλου καί Ευαγγελιστού Ιωάννου τού θεολόγου, Καί τού Οσίου Πατρός ημών Αρσενίου τού Μεγάλου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Στιχολογείται η α' στάσις τού. Μακάριος ανήρ. Εις δέ τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια τού Αποστόλου γ'.

Ήχος α'
Τών ουρανίων ταγμάτων

Ο θεατής τών αρρήτων αποκαλύψεων, καί ερμηνεύς τών άνω, τού Θεού μυστηρίων, ο παίς τού Ζεβεδαίου, γράψας ημίν, τό Χριστού Ευαγγέλιον, θεολογείν τόν Πατέρα, καί τόν Υιόν, καί τό Πνεύμα εξεπαίδευσεν.

Η θεοκίνητος λύρα τών ουρανίων ωδών, ο μυστογράφος ούτος, τό θεόφραστον στόμα, τό άσμα τών ασμάτων, άδει τερπνώς, τά μέν χείλη κινών ως νευράς, ώσπερ δέ πλήκτρον τήν γλώτταν ανακινών, καί πρεσβεύει τού σωθήναι ημάς.

Τή βροντοφώνω σου γλώττηανα φθεγγόμενος, της τού Θεού σοφίας, τόν απόκρυφον λόγον, Θεώ Ηγαπημένε, κράζεις αεί, αναπτύσσων τά χείλη πυκνώς, το εν αρχή ήν ο Λόγος, καί δαδουχείς, πάντα άνθρωπον πρός γνώσιν Θεού.

Έτερα τού Οσίου γ'

Ήχος πλ. δ'
Ώ τού παραδόξου θαύματος

Πάτερ θεόφρον Αρσένιε, ταίς τών δακρύων πηγαίς, λαμπρυνθείς τήν διάνοιαν, τώ Θεώ ωμίλησας, ανενδότοις καθάρσεσι καί τή ελλάμψει, στύλος ολόφωτος, θεοσεβείας πυρσώ λαμπόμενος, ώφθης μακάριε, μοναστών τό καύχημα, καί νύν ημάς, πάντας περιφρούρησον, ταίς ικεσίαις σου.

Όσιε Πάτερ Αρσένιε, σύ τόν Θεόν εκζητών, καί ταίς τούτου ελλάμπεσθαι, φωτοβόλοις λάμψεσιν, ευσεβώς εφιέμενος, περιφανείας πάσαν λαμπρότητα, καί βασιλείους αυλάς κατέλιπες, καί τήν αθάνατον, κληρουχίαν είληφας, μετά Χριστού, νύν συναυλιζόμενος θεομακάριστε.

Λόγου καί γνώσεως έμπλεως, είπερ τις άλλος οφθείς, αρεταίς τε κατάκοσμος, πάσης δόξης γέγονας, τής εντεύθεν ανάπλεως, αλλά τώ θείω ζήλω πυρούμενος, καί τών αρρήτων καταγλιχόμενος, φεύγεις εις Αίγυπτον, ένθα βίον έζησας, ασκητικόν, βάρος δόξης άρρητον, ανταλλαττόμενος.

Δόξα... Ήχος β' Γερμανού

Τόν υιόν τής βροντής, τόν θεμέλιον τών θείων λόγων, τόν αρχηγόν τής θεολογίας, καί κήρυκα πρώτιστον, τής αληθούς δογμάτων Θεού σοφίας, τόν ηγαπημένον Ιωάννην καί παρθένον, μερόπων γένος κατά χρέος ευφημήσωμεν, Ούτος γάρ άληκτον έχων τό θείον εν εαυτώ, τό εν αρχή μέν έφησε τού Λόγου, αύθις δέ, τό πρός τόν Πατέρα αχώριστον, καί τό ίσον μετά ταύτα τής τού Πατρός ουσίας, δεικνύων ημίν δι' αυτού, τήν ορθοδοξίαν τής Αγίας Τριάδος, δημιουργόν τε όντα σύν τώ Πατρί, καί ζωήν φέροντα, καί φώς αληθινόν, τόν αυτόν έδειξεν ημίν, Ώ θαύματος εκστατικού, καί πράγματος, σοφιστικού ότι πλήρης ών τής αγάπης πλήρης γέγονε καί τής θεολογίας, δόξη καί τιμή καί πίστει, θέμεθλος υπάρχων, τής ακραιφνούς ημών πίστεως, δι' ής τύχοιμεν τών αιωνίων αγαθών, εν τή ημέρα τής κρίσεως.

Καί νύν... Τής εορτής

Είσοδος, Προκείμενον τής ημέρας καί τά Αναγνώσματα.

Καθολικής Α' Επιστολής Ιωάννου
τό Ανάγνωσμα (Κεφ. 3,21-24 & 3,1-6)

Αγαπητοί, εάν η καρδία ημών μή καταγινώσκη ημών, παρρησίαν έχομεν πρός τόν Θεόν, καί ο εάν αιτώμεν, λαμβάνομεν παρ' αυτού, ότι τάς εντολάς αυτού τηρούμεν, καί τά αρεστά ενώπιον αυτού ποιούμεν. Καί αύτη εστίν η εντολή αυτού, ίνα πιστεύσωμεν τώ ονόματι τού Υιού αυτού Ιησού Χριστού, καί αγαπώμεν αλλήλους, καθώς έδωκεν ημίν εντολήν. Καί ο τηρών τάς εντολάς αυτού, εν αυτώ μένει, καί αυτός εν αυτώ, καί εν τούτω γινώσκομεν, ότι μένει εν ημίν, εκ τού Πνεύματος, ού έδωκεν ημίν, Αγαπητοί, μή παντί πνεύματι πιστεύετε, αλλά δοκιμάζετε τά πνεύματα, εί εκ τού Θεού εστιν, ότι πολλοί ψευδοπροφήται εξεληλύθασιν εις τόν κόσμον. Εν τούτω γινώσκετε τό πνεύμα τού Θεού, πάν πνεύμα, ο ομολογεί Ιησούν Χριστόν εν σαρκί εληλυθότα, εκ τού Θεού εστιν. Καί πάν πνεύμα ο μή ομολογεί Ιησούν Χριστόν εν σαρκί εληλυθότα, εκ τού Θεού ουκ έστι, καί τού τό εστι το τού Ανηχρίστου, ο ακηκόατε, ότι έρχεται, καί νύν εν τώ κόσμω εστίν ήδη. Υμείς εκ τού Θεού εστε, τεκνία, καί νενικήκατε αυτούς, ότι μείζων εστίν ο εν υμίν, ή ο εν τώ κόσμω. Αυτοί εκ τού κόσμου εισί, διά τούτο εκ τού κόσμου λαλούσι, καί ο κόσμος αυτών ακούει. Ημείς εκ τού Θεού εσμεν, ο γινώσκων τόν Θεόν, ακούει ημών, ός ουκ έστιν εκ τού Θεού, ουκ ακούει ημών.

Καθολικής Α' Επιστολής Ιωάννου
τό Ανάγνωσμα (Κεφ. 4,11-16)

Αγαπητοί, εί ούτως ο Θεός ηγάπησεν ημάς, καί ημείς οφείλομεν αλλήλους αγαπάν, Θεόν ουδείς πώποτε τεθέαται. Εάν αγαπώμεν αλλήλους, ο Θεός εν

ημίν μένει, καί η αγάπη αυτού τετελειωμένη εστίν εν ημίν. Εν τούτω γινώσκομεν ότι εν αυτώ μένομεν, καί αυτός εν ημίν, ότι εκ τού Πνεύματος αυτού δέδωκεν ημίν. Καί ημείς τεθεάμεθα καί μαρτυρούμεν ότι ο Πατήρ απέσταλκε τόν Υιόν Σωτήρα τού κόσμου. Ός άν ομολογήση, ότι Ιησούς εστιν ο Υιός τού Θεού, ο Θεός εν αυτώ μένει, καί αυτός εν τώ Θεώ. Καί ημείς εγνώκαμεν καί πεπιστεύκαμεν τήν αγάπην, ήν έχει ο Θεός εν ημίν, ο Θεός αγάπη εστί, καί ο μένων εν τή αγάπη, εν τώ Θεώ μένει, καί ο Θεός εν αυτώ.

Καθολικής Α' Επιστολής Ιωάννου
τό Ανάγνωσμα (Κεφ. 4,20-21 & 5,1-5)

Αγαπητοί, εάν τις είπη, ότι αγαπά τόν Θεόν, καί τόν αδελφόν αυτού μισή, ψεύτης εστίν, ο γάρ μή αγαπών τόν αδελφόν αυτού όν εώρακε, τόν Θεόν, όν ουχ εώρακε, πώς δύναται αγαπάν. Καί ταύτην τήν εντολήν έχομεν απ' αυτού, ίνα ο αγαπών τόν Θεόν αγαπά καί τόν Αδελφόν αυτού. Πάς ο πιστεύων, ότι Ιησούς εστιν ο Χριστός, εκ τού Θεού γεγένηται, καί πάς ο αγαπών τόν γεννήσαντα, αγαπά καί τόν γεγεννημένον εξ αυτού. Εν τούτω γινώσκομεν, ότι αγαπώμεν τά τέκνα τού Θεού, όταν τόν Θεόν αγαπώμεν, καί τάς εντολάς αυτού τηρώμεν, καί αι εντολαί αυτού βαρείαι ουκ εισίν. Ότι πάν τό γεγεννημένον εκ τού Θεού, νικά τόν κόσμον, καί αύτη εστίν η νίκη η νικήσασα τόν κόσμον, η πίστις ημών. Τίς εστιν ο νικών τόν κόσμον, ειμή ο πιστεύων, ότι Ιησούς εστιν ο Υιός τού Θεού;

Εις τήν Λιτήν, Στιχηρά Ιδιόμελα.

Ήχος α' Γερμανού

Ποταμοί θεολογίας, εκ τού τιμίου σου στοματος ανέβλυσαν Απόστολε, εξ ών η Εκκλησία τού Θεού αρδευομένη, προσκυνεί ορθοδόξως Τριάδα ομοούσιον, ήν καί νύν αίτησαι, Ιωάννη θεολογε, στηριχθήναι, καί σωθήναι τάς ψυχάς ημών.

Τού αυτού, ο αυτός

Τό φυτόν τής αγνείας, τό μύρον τής ευωδίας, πάλιν ανέτειλεν ημίν, εις τήν παρούσαν εορτήν, βοήσαι πρός αυτόν, ο αναπεσών επί τό στήθος τό δεσποτικόν, καί επομβρίσας τώ κόσμω τόν λόγον, Ιωάννη Απόστολε, ο τήν Παρθένον φυλάξας ως κόρην οφθαλμού, αίτησαι ημίν παρά Χριστού τό μέγα έλεος.

Τού αυτού, ο αυτός

Ως τών απορρήτων μυστηρίων αυτόπτης, εκέκραγες βοών, τόν προαιώνιον Λόγον, εν αρχή υπάρχειν πρός Θεόν, καί αυτόν είναι τόν Θεόν, Ιωάννη Απόστολε, επιστήθιε Χριστού, καί φίλε γνήσιε, τής Τριάδος τό ήδυσμα, τής Εφέσου καί Πάτμου τό στήριγμα το άσειστον, ημών δέ βοήθεια, Πρέσβευε, Θεολόγε παμμακάριστε, εκ δυσσεβών εχθρών, αισθητών καί νοητών, λυτρωθήναι λαόν, τόν τήν μνήμην σου αεί εκτελούντα πιστώς.

Ήχος β'

Τήν τών Αποστόλων ακρότητα, τής θεολογίας τήν σάλπιγγα, τόν πνευματικόν στρατηγόν, τόν τήν οικουμένην Θεώ καθυποτάξαντα, δεύτε οι πιστοί μακαρίσωμεν, Ιωάννην τόν αοίδιμον, εκ γής μεθιστάμενον, καί γής ουκ

αφιστάμενον, αλλά ζώντα καί μένοντα, τήν φοβεράν τού Δεσπότου δευτέραν έλευσιν, εις ήν ακατακρίτως υπαντήσαι ημάς, αίτησαι φίλε μυστικέ, Χριστού επιστήθιε, τούς εκ πόθου τελούντας τήν μνήμην σου.

Τού Οσίου

Ήχος πλ. β'

Όσιε Πάτερ, εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος τών κατορθωμάτων σου, δι' ών εν τοίς ουρανοίς, εύρες μισθόν τών καμάτων σου, τών δαιμόνων ώλεσας τάς φάλαγγας, τών Αγγέλων έφθασας τά τάγματα, ών τόν βίον αμέμπτως εζήλωσας, Παρρησίαν έχων πρός Κύριον, αίτησαι ειρήνην ταίς ψυχαίς ημών.

Δόξα... Ήχος δ'

Αναπεσών εν τώ στήθει τού διδασκάλου Χριστού, εν τώ δείπνω Κυρίου, ηγαπημένε Μαθητά, εκείθεν έγνως τά άρρητα, καί τήν ουράνιον πάσιν εβρόντησας φωνήν, Εν αρχή ήν ο Λόγος, καί ο Λόγος ήν πρός τόν Θεόν, καί Θεός ήν ο Λόγος, τό φώς τό αληθινόν, τό φωτίζον πάντα άνθρωπον εις τόν κόσμον ερχόμενον, Χριστός ο Θεός καί Σωτήρ τών ψυχών ημών.

Καί νύν... Τής Εορτής

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος β'

Ότε, εκ τού ξύλου σε νεκρόν

Δεύτε, τής σοφίας τόν βυθόν, κα τών ορθοδόξων δογμάτων, τόν συγγραφέα πιστοί, ύμνοις στεφανώσωμεν ενθέοις σήμερον, Ιωάννην τόν ένδοξον, καί ηγαπημένον ούτος γάρ εβρόντησεν, ο Λόγος ήν εν αρχή, Όθεν, βροντόφωνος εδείχθη, ως τό Ευαγγέλιον κόσμω γράψας πολυσόφως ο αοίδιμος.

Στίχ. Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών.

Όντως, σύ εφάνης αληθώς, φίλος επιστήθιος μέγας, τώ διδασκάλω Χριστώ, στήθει γάρ ανέπεσας, όθεν εξήντλησας, τής σοφίας τά δογματα, εν οίς καί πλουτίζεις, πάσαν τήν περίγειον, ως θεηγόρος Θεού, όθεν καί κατέχουσα ταύτα, η τερπνή Χριστού Εκκλησία, νύν ευφραινομένη επαγάλλεται.

Στίχ. Οι ουρανοί διηγούνται δόξαν Θεού ποίησιν δέ χειρών αυτού αναγγέλλει τό στερέωμα.

Χαίροις, Θεολόγε αληθώς, χαίροις τής μητρός τού Κυρίου, υιός παμπόθητος, σύ γάρ παριστάμενος, εν τώ Σταυρώ τού Χριστού, τής ενθέου ακήκοας, φωνής τού Δεσπότου, Ίδε νύν η Μήτηρ σου, πρός σέ βοήσαντος, όθεν επαξίως σε πάντες, ως Χριστού, Απόστολον θείον, καί ηγαπημένον

μακαρίζομεν.

Δόξα... Ήχος πλ. β'
Λέοντος Μαΐστορος

Απόστολε Χριστού, Ευαγγελιστά Ιωάννη, τών απορρήτων μύστης γενόμενος, τής σοφίας τά απόρρητα ημίν εβρόντησας δόγματα, τό, Εν αρχή ήν τρανώσας τοίς πιστοίς, καί τό, Ουκ ήν αποβαλών, τών αιρετιζόντων απεκρούσω τούς λόγους, επιστήθιος φανείς, καί φίλος ηγαπημένος, ως Ησαϊας ο μεγαλοφωνότατος, καί Μωσής ο θεόπτης, Παρρησίαν έχων πρός Θεόν, εκτενώς ικέτευε υπέρ τών ψυχών ημών.

Καί νύν... Τής Εορτής

Απολυτίκιον Ήχος β'

Απόστολε Χριστώ τώ Θεώ ηγαπηημένε, επιτάχυνον, ρύσαι λαόν αναπολόγητον, δέχεταί σε προσπίπτοντα, ο επιπεσόντα τώ στήθει καταδεξάμενος, όν ικέτευε, Θεολόγε, καί επίμονον νέφος εθνών διασκεδάσαι, αιτούμενος ημίν ειρήνην, καί τό μέγα έλεος.

Καί τής Εορτής

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν Α' Στιχολογίαν, Κάθισμα τής τυχούσης Εορτής, μετά τήν Β' Στιχολογίαν, Κάθισμα τού Αγίου.

Ήχος πλ. δ'
Τήν Σοφίαν καί Λόγον

Αναπεσών εν τώ στήθει τού Ιησού, παρρησίας τυγχάνων ως μαθητής, ηρώτησας, Τίς εστιν, ο προδότης σου Κύριε; καί ως ηγαπημένω, υπάρχοντι ένδοξε, διά τού άρτου ούτος, σαφώς υπεδείχθη σοι, όθεν καί ως μύστης, γεγονώς τών αρρήτων, τού Λόγου τήν σάρκωσιν, εκδιδάσκεις τά πέρατα, Θεολόγε Απόστολε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, την αγίαν μνήμην σου.

Δόξα... τό αυτό

Καί νύν... τής Εορτής

Μετά τόν Πολυέλεον

Κάθισμα Ήχος δ'
Ταχύ προκατάλαβε

Τήν μνήμην τιμήσωμεν, τού Αποστόλου πιστοί, επέστη γάρ σήμερον, πάσι

τοίς πέρασι, φωτίζουσα άπαντας, Ούτος γάρ τού Κυρίου, αληθής θεολόγος, καί εν Ευαγγελίω, αναδέδεικται φίλος, διό καί τοίς τιμώσιν αυτόν, βρύει ιάματα.

Δόξα... τό αυτό

Καί νύν... τής Εορτής

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί Αντίφωνον Α'

- Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.
- Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον Ήχος δ'

Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών.
Στίχ. Οι ουρανοί διηγούνται δόξαν Θεού ποίησιν δέ χειρών αυτού αναγγέλλει τό στερέωμα.

Τό, Πάσα πνοή. Ευαγγέλιον, Εωθινόν ια'.

Τό, Ανάστασιν Χριστού θεασάμενοι καί ο Ν' ψαλμός.

Δόξα... Ταίς τού Αποστόλου...
Καί νύν... Ταίς τής Θεοτόκου...

Ήχος β'

Τήν τών Αποστόλων ακρότητα, τής θεολογίας τήν σάλπιγγα, τόν πνευματικόν στρατηγόν, τόν τήν οικουμένην Θεώ καθυποτάξαντα, δεύτε οι πιστοί μακαρίσωμεν, Ιωάννην τόν αοίδιμον, εκ γής μεθιστάμενον, καί γής ουκ αφιστάμενον, αλλά ζώντα καί μένοντα, τήν φοβεράν τού Δεσπότου δευτέραν έλευσιν, εις ήν ακατακρίτως υπαντήσαι ημάς, αίτησαι φίλε μυστικέ, Χριστού επιστήθιε, τούς εκ πόθου τελούντας τήν μνήμην σου.

Σώσον ο Θεός τόν λαόν σου, τό, Κύριε ελέησον, ιβ' καί οι Κανόνες.

Κανών τού Αποστόλου. Ποίημα Θεοφάνους, οι δέ, Ιωάννου Μοναχού.

Ωδή α'

Αρματηλάτην Φαραώ

Ως καθαρός ηγαπημένος γέγονας, τώ ακροτάτω φωτί, καί τοίς αυτού στέρνοις, επαναπαυσάμενος, πεπαρρησιασμένη ψυχή, εξ αβύσσου σοφίας, τό φώς τής γνώσεως είλκυσας, μάκαρ Ιωάννη, Απόστολε.

Υπερφυώς θεολογών εβρόντησας, ηγαπημένε Χριστώ, Ήν εν αρχή Λόγος, ζών καί ενυπόστατος, πρός τόν αυτού Γεννήτορα, καί Θεός ήν ο Λόγος, καί σάρξ ο Λόγος εγένετο, καί Θεός διέμεινεν άτρεπτος.

Θεοτοκίον

Υπό τήν σκέπην σου αεί προσφεύγοντες, αποτρεπόμεθα, τών πειρασμών πάσαν, καταιγίδα άχραντε, διό καί νύν αιτούμεθα, πεπτωκότας εις βάθος, πλημμελημάτων ανάγαγε, θείαις σου Αγνή παρακλήσεσι.

Τού Οσίου

Ο αυτός

Τώ τού Δεσπότου πειθαρχών Αρσένιε, θείω προστάγματι, βασιλικού πλούτου, δόξαν καταλέλοιπας, ώσπερ ο νομοθέτης Μωσής, καί φυγών τούς ανθρώπους, Αγγέλοις γέγονας σύσκηνος, άμα σύν αυτοίς ευφραινόμενος.

Σύ τούς θορύβους εκφυγων Αρσένιε, ως αμαρτίας πηγάς, τή σιωπή γλώσσαν, εχαλιναγώγησας, όθεν εν αταράχω τόν νούν, ησυχία τηρήσας, τού θείου Πνεύματος γέγονας, αξιοπρεπές ενδιαίτημα.

Θεοτοκίον

Δεδοξασμένα περί σού λελάληνται, εν γενεαίς γενεών, η τόν Θεόν Λόγον, εν γαστρί χωρήσασα, αγνή δέ διαμείνασα, Θεοτόκε Μαρία, διό σε πάντες γεραίρομεν, τήν μετά Θεόν προστασίαν ημών.

Καταβασία

Αναστάσεως ημέρα, λαμπρυνθώμεν Λαοί, Πάσχα Κυρίου, Πάσχα, εκ γάρ θανάτου πρός ζωήν, καί εκ γής πρός ουρανόν, Χριστός ο Θεός, ημάς διεβίβασεν, επινίκιον άδοντας.

Τού Αποστόλου

Ωδή γ'

Ο στερεώσας κατ' αρχάς

Εξ αλιέων αλιεύς, ανθρώπων καί θεολόγος, εχρημάτισας σοφέ Ιωάννη, αφειδήσας πατρικής, καί τής τού κόσμου σχέσεως, καί τώ Δεσπότη Λόγω, έρωτι θείω επόμενος.

Κεκαθαρμένος τής ψυχής, τό όμμα ώ Θεολόγε, εθεάσω τήν απόρρητον δόξαν, εκ Πατρός μονογενούς, τού Λόγου καί Υιού τού Θεού, δι' ού σάφώς τά πάντα, θείω γεγένηται Πνεύματι.

Θεοτοκίον

Επί τήν σήν προσπεφευγώς, Θεοκυήτορ Παρθένε, προστασίαν,

απαλλάττομαι πάσης, επηρείας τού εχθρού, καί σώζομαι πρεσβείαις σου, αλλά καί τής μελλούσης, αγνή ρυσθείην κολάσεως.

Τού Οσίου

Ο αυτός

Πάτερ Αρσένιε τής σής, χριστομιμήτου πτωχείας, τό τραχύ καί ευτελέστατον ράκος, τό περίδοξον τής πρίν, εσθήτος κατεκάλυπτε, τήν τής αφράστου δόξης, στολήν σοι περιποιούμενον.

Τάς προσβολάς τών δυσμενών, καί ακαθάρτων πνευμάτων, εκ Θεού συντετριμμένη καρδία, δεδεγμένος αρωγήν, Αρσένιε κατέρραξας, τροπαιοφόρος Πάτερ, τή ταπεινώσει γενόμενος.

Θεοτοκίον

Τών Χερουβίμ καί Σεραφίμ, εδείχθης υψηλοτέρα, Θεοτόκε, σύ γάρ μόνη εδέξω, τόν αχώρητον Θεόν, εν σή γαστρί αμόλυντε, διό πιστοί σε πάντες, ύμνοις αγνή μακαρίζομεν.

Καταβασία

Δεύτε πόμα πίωμεν καινόν, ουκ εκ πέτρας αγόνου τερατουργούμενον, αλλ' αφθαρσίας πηγήν, εκ τάφου ομβρήσαντος Χριστού, εν ώ στερεούμεθα.

Κάθισμα τού Αποστόλου

Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Τής σοφίας τώ στήθει αναπεσών καί τήν γνώσιν τών όντων καταμαθών, ενθέως εβρόντησας, Εν αρχή ήν ο Λόγος, καλλιγραφήσας πρώτος, τήν άναρχον γέννησιν, καί δογματίσας πάσι, τού Λόγου τήν σάρκωσιν, όθεν καί τή γλώττη, σαγηνεύσας τά έθνη, τήν χάριν τού Πνεύματος, εκδιδάσκεις τοίς πέρασι, Θεολόγε Απόστολε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Τού Οσίου, όμοιον

Τούς θορύβους τού βίου αποφυγών, καί ησύχως τόν βίον διατελών, τά πάθη ενέκρωσας, καί τόν νούν ανεπτέρωσας, πρός τόν Θεόν καί στύλος, πυρός εχρημάτισας, καί φωστήρ άπάντων, πιστών τών τιμώντων σε, όμβροις δέ δακρύων, πιαινόμενος ώφθης, ως δένδρον κατάκαρπον, εν αυλαίς τού Θεού ημών, θεοφόρε, Αρσένιε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Καί τής Εορτής

Ωδή δ'

Σύ μου ισχύς, Κύριε

Σέ τής βροντής, γόνον ο Κύριος έφησε, σέ βροντήσαι πνεύματι ηξίωσε, τής εαυτού, θείας εκ Πατρός, καί ακαταλήπτου, γεννήσεως τό απόρρητον, διό σου Θεολόγε, τήν πανέορτον μνήμην, εν ωδαίς επαξίως δοξάζομεν.

Σύ αρετών, ήρθης πρός ύψος, Απόστολε, σύ κατείδες, δόξη απαστράπτοντα, μονογενή Λόγον εν σαρκί, τόν εν τοίς πατρώοις, ανάρχως κόλποις καθήμενον, φωνής τε επακούσαι, πατρικής ηξιώθης, μαρτυρούσης αυτώ τήν υιότητα.

Θεοτοκίον

Επί τήν σήν, νύν καταφεύγων αντίληψιν, ο αχρείος, δούλός σου Πανάμωμε, μή αισχυνθώ, σέ γάρ πρός Θεόν, έχω προστασίαν, καί τείχος ακαταμαχητον, εν σοί καί τής μελλούσης, απολαύσω γαλήνης, καί τής θείας ζωής επιτεύξομαι.

Τού Οσίου

Ο αυτός

Σύ βιαστής, φύσεως ώφθης Αρσένιε, σύ τά πάθη, πάτερ, καθυπέταξας, τώ νοερώ ηγεμονικώ, καθάπερ οικέτη, τώ ύπνω εγκελευόμενος, διό καί εν παννύχοις, αγρυπνίαις εβόας, Τή δυνάμει σου δόξα Φιλάνθρωπε.

Σύ τόν Θεόν, Όσιε πόθω εζήτησας, σύ φανέντα, πλείον επεπόθησας, καί τή καθάρσει θεοειδής, όλος χρηματίσας, τώ ποθουμένω ωμίλησας, καί έγνως τή ενώσει, τόν υπέρτερον πάσης, καταλήψεως Πάτερ, Αρσένιε.

Θεοτοκίον

Σύ τών πιστών, καύχημα πέλεις ανύμφευτε, σύ προστάτις, σύ καί καταφύγιον, Χριστιανών, τείχος καί λιμήν, πρός γάρ τόν Υιόν σου, εντεύξεις φέρεις Πανάμωμε, καί σώζεις εκ κινδύνων, τούς εν πίστει καί πόθω, Θεοτόκον αγνήν, σε γινώσκοντας.

Καταβασία

Επί τής θείας φυλακής, ο θεηγόρος Αββακούμ, στήτω μεθ' ημών καί δεικνύτω, φαεσφόρον Άγγελον, διαπρυσίως λέγοντα, Σήμερον σωτηρία τώ κόσμω, ότι ανέστη Χριστός ως παντοδύναμος.

Ωδή ε'

Ίνα τί με απώσω

Εν τώ σκότει τού κόσμου, λάμψαν θεασάμενος, τό φώς τό άχραντον, καίκραθείς τώ πόθω, καί φωστήρ ευσεβείας γενόμενος, τά πολυσπόρων, γένη εθνών θεολογίας, Ιωάννη φωτί κατελάμπρυνας.

Επιγνούς ως ο νόμος, διά Μωϋσεως, ο σκιώδης δέδοται, η δέ θεία χάρις, εν Χριστώ τώ Θεώ ημών γέγονε, θεολόγω γλώττη, γόνε βροντής ηγαπημένε, ευηγγελίσω αυτού τήν θεότητα.

Θεοτοκίον

Σύ μου σκέπη καί κράτος, Πάναγνε καί στήριγμα, καί τείχος άρρηκτον, καί σέ προσκαλούμαι, Εν νυκτί καί ημέρα με φρούρησον, εκ Παντοίας βλάβης, επερχομένης τού Βελίαρ, ίνα πίστει καί πόθω δοξάζω σε.

Τού Οσίου

Ο αυτός

Τόν μεσίτην τής πρώτης, Πάτερ παραβάσεως τού πρωτοπλάστου Αδάμ, ευσεβώς απώσω, τού εχθρού εύ ειδώς, τά σοφίσματα, διό εν αχράντω, χοροβατών τρυφής λειμώνι, τόν Δεσπότην Χριστόν καθικέτευε.

Σεαυτόν απηρνήσω, πάσαν ηδυπάθειαν απαρνησαμενος, καί επί τών ώμων, τόν Σταυρόν σου βαστάσας Αρσένιε, καί Χριστόν ποθήσας, εν ουρανοίς συγκληρονόμος, επαξίως αυτού εχρημάτισας.

Θεοτοκίον

Μητρικήν παρρησίαν, τήν πρός τόν Υιόν σου κεκτημένη Πάναγνε, συγγενούς προνοίας, τής ημών μή παρίδης δεόμεθα, ότι σέ καί μόνην, Χριστιανοί πρός τόν Δεσπότην, ιλασμόν ευμενή προβαλλόμεθα.

Καταβασία

Ορθρίσωμεν όρθρου βαθέος, καί αντί μύρου τόν ύμνον προσοίσωμεν τώ Δεσπότη, καί Χριστόν οψόμεθα, δικαιοσύνης ήλιον, πάσι ζωήν ανατέλλοντα.

Τού Αποστόλου

Ωδή ς'

Άβυσσος αμαρτιών

Άνθρακα θείου πυρός, προκατείδε Τυπικώς Ησαϊας, ώ καθαρθείς τά χείλη, προφητείας ηξίωται, σαρκωθέντος δέ Θεού, Λόγου μακάριε Ιωάννη, σύ ανεδείχθης επιστήθιος.

Λόγος ο μονογενής, ο εν κόλποις τού Πατρός ιδρυμένος, σωματωθείς ωράθη, Ιωάννη μακάριε, καί ως μύστη προσφιλεί, σοί εξηγήσατο, ασωμάτως, Θεόν ουδένα ιδείν πώποτε.

Θεοτοκίον

Φώτισον μου τήν ψυχήν, η τεκούσα τό απαύγασμα δόξης, τής τού Πατρός Παρθένε, Θεοτόκε πανύμνητε, τήν σήν γάρ οι αληθείς, χάριν κατέχοντες, θιασώται, τάς γλωσσαλγίας απεκρούσαντο.

Τού Οσίου

Ο αυτός

Φρόνημα τό τής σαρκός, ευσεβώς δι' απαθείας νεκρώσας, ουχ ηρετίσω κλήρον τόν επίγειον Όσιε, τής Χριστού επιποθών, Πάτερ Αρσένιε, εν υψίστοις, κληροδοσίας τήν απόλαυσιν.

Ήλιος επιφανείς, τήν ολόνυκτόν σου έλυσε στάσιν, τού νοητού Ηλίου, τήν ασύγκριτον έλλαμψιν, μετά τούς εν τή νυκτί, βίου καμάτους σου, προμηνύων, περιαυγάσειν σοι Αρσένιε.

Θεοτοκίον

Έχουσα τό συμπαθές, η τεκούσα τόν φιλάγαθον Λόγον, σώσον ημάς βιαίας, καί δεινής περιστάσεως, σέ γάρ μόνην οι πιστοί, πάναγνε Δέσποινα, προστασίαν, ακαταμάχητον κεκτήμεθα.

Καταβασία

Κατήλθες εν τοίς κατωτάτοις τής γής, καί συνέτριψας μοχλούς αιωνίους, κατόχους πεπεδημένων Χριστέ, καί τριήμερος, ως εκ κήτους Ιωνάς, εξανέστης τού τάφου.

Κοντάκιον αυτόμελον

Ήχος β'

Τά μεγαλεία σου Παρθένε τίς διηγήσεται; βρύεις γάρ θαύματα, καί πηγάζεις ιάματα, καί πρεσβεύεις υπέρ τών ψυχών ημών, ως θεολόγος καί φίλος Χριστού.

Ο Οίκος

Ύψη ουράνια εκμανθάνειν, καί θαλάσσης τά βάθη ερευνάν, τολμηρόν υπάρχει καί ακατάληπτον, ώσπερ δέ άστρα εξαριθμήσαι, καί παράλιον ψάμμον ουκ έστιν όλως ούτως ουδέ τά τού θεολόγου ειπείν ικανόν, τοσούτοις αυτόν στεφάνοις ο Χριστός, όν ηγάπησεν, έστεψεν, ού εν τώ στήθει ανέπεσε, καί εν τώ μυστικώ δείπνω συνειστιάθη, ως θεολόγος καί φίλος Χριστού.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Η' τού αυτού μηνός, Μνήμη τού Αγίου ενδόξου Αποστόλου καί Ευαγγελιστού, επιστηθίου, φίλου, ηγαπημένου καί παρθένου, Ιωάννου τού θεολόγου, ήτοι, η σύναξις τής Αγίας κόνεως, τής εκπεμπομένης εκ τού τάφου αυτού, ήγουν τού μάννα.

Στίχοι

- Ου βρώσιν, αλλά ρώσιν ανθρώποις νέμει
- Τό τού τάφου σου μάννα, μύστα Κυρίου.
- Ογδοάτη τελέουσι ροδισμόν βροντογόνοιο.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Αρσενίου τού Μεγάλου.

Στίχοι

- Λαθείν βιώσας Αρσένιος ηγάπα,
- Ός ουδέ πάντως εκβιώσας λανθάνει.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τού Αποστόλου

Ωδή ζ'

Θεού συγκατάβασιν

Προθύμως εκβέβηκας, δεσμού τής ύλης ώ Παμμακάριστε, ως Θεού παραστάτης, καί θεοπνεύστου γεγονώς άγγελος, θεολογίας βοάν εξεπαίδευσας, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Ως χόρτον λελόγισαι, χρυσόν καί πλούτον ώ Παμμακάριστε, καί ο χόρτος χρυσός σοι, δι' ενεργείας θείας γεγένηται, θεολογούντι τόν Κτίστην, καί ψάλλοντι, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Τό Πνεύμα τό Άγιον, Πατρός ανάρχου εκπορευόμενον, καί εκ σού αμερίστως, λαμβάνον Λόγε Μονογενές τού Θεού, τοίς Αποστόλοις κραυγάζειν ανήγγειλεν, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Θεοτοκίον

Αρρήτω κυήσει σου, φρικτών αρρήτων ημάς ηξίωσας, Θεοτόκε πραγμάτων, διό φρικτής με ρύσαι κολάσεως, καί τής αρρήτου χαράς καταδίωξον, ίνα υμνώ σε αεί τήν πολυΰμνητον.

Τού Οσίου

Ο αυτός

Τήν λύμην ιώμενος, τών πάλαι μύρων Πάτερ Αρσένιε, δυσωδίας ηνέσχου, καί ευωδίας μύρον Χριστού γεγονώς, τή μετουσία τής χάριτος έλεγες, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Τόν θείον εν σώματι, υπέδυς γνόφον Πάτερ Αρσένιε, εν Χριστώ μυηθείς δέ, Πατρός ανάρχου γνώσιν καί Πνεύματος, τήν εν Τριάδι μονάδα ανύμνησας, Ευλογητός εκβοών ο τών Πατέρων Θεός.

Τριαδικόν

Απάντων μέν Κύριον, ενός δέ μόνου μονογενούς Υιού, ορθοδόξως Πατέρα, θεολογούντες σέ καταγγέλλομεν, καί έν ειδότες σού εκπορευόμενον, Πνεύμα ευθές συμφυές καί συναϊδιον.

Καταβασία

Ο Παίδας εκ καμίνου ρυσάμενος, γενόμενος άνθρωπος, πάσχει ως θνητός, καί διά πάθους τό θνητόν, αφθαρσίας ενδύει ευπρέπειαν, ο μόνος ευλογητός τών Πατέρων, Θεός καί υπερένδοξος.

Τού Αποστόλου

Ωδή η'

Επταπλασίως κάμινον

Ως ευτρεπής καί εύσημος, η πανένδοξος μνήμη σου, Ευαγγελιστά, τής Ιησού θεότητος, ενθέως μυρίζουσα, τή Εκκλησία έλαμψεν, όθεν γεγηθότες οι πιστοί μελω δούμεν, Οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Τόν θεολόγον έχοντες, τής χορείας ταξίαρχον, σέ τόν υπ' αυτού Χριστέ θεολογούμενον, Θεόν καταγγέλλομεν, σύν τώ Πατρί καί Πνεύματι, καί χαρμονικώς, υμνολογούντες βοώμεν, Οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Σωματωθέντα τέτοκας, Θεόν Λόγον πανάμωμε, τούτον εκδυσώπει, τού πυρός με ρύσασθαι, ιδού γάρ ο βίος μου, όλος εκδεδαπάνηται, όλος ταίς δειναίς, εκδουλωθείς αμαρτίαις, διόπρός σέ Παρθένε, καταφεύγω ο τάλας, καί σέ επικαλούμαι τήν Κεχαριτωμένην.

Τού Οσίου

Ο αυτός

Τών ηδονών Αρσένιε, τήν ψυχόλεθρον πύρωσιν, τήν κολαστικήν τε, τής γεέννης έκκαυσιν, ευτόνως κατέσβεσας, τοίς τών δακρύων ρεύμασιν, αλλά καί ημάς, εξ αμφοτέρων ρυσθήναι, μή παύση ικετεύων, τον Σωτήρα τού κόσμου, Χριστόν, όν ευλογούμεν εις πάντας τούς αιώνας.

Επταπλασίως Όσιε, κατανύξεως κάμινον, τής Βαβυλωνίας, σεαυτώ εξέκαυσας, εν ή δροσιζόμενος, τώ φωτισμώ τής χάριτος, τόν Δημιουργόν καί Λυτρωτήν ανεβόας, Οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Τριαδικόν

Τρισσοφαή θεότητα, ενιαίαν εκλάμπουσαν, αίγλην εκ μιάς, τρισυποστάτου φύσεως, Γεννήτορα άναρχον, ομοφυά τε Λόγον Πατρός, καί συμβασιλεύον, ομοούσιον Πνεύμα, οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Καταβασία

Αύτη η κλητή καί αγία ημέρα, η μία τών Σαββάτων, η βασιλίς καί κυρία, εορτών εορτή, καί πανήγυρις εστί πανηγύρεων, εν ή ευλογούμεν, Χριστόν εις τούς αιώνας.

Τού Αποστόλου

Ωδή θ'

Εξέστη επί τούτω ο ουρανός

Σταυρώ τώ τού Δεσπότου παρεστηκώς, τήν Παρθένον τε καί Θεοτόκον αγνήν, τών Μαθητών, ο αγαπημένος τό καθαρόν, θεολογίας όργανον, οίά περ παρθένος εγχειρισθείς, καί φύλαξ τής αμέμπτου, υπάρξας Θεοτόκου, νύν επαξίως μακαρίζεται.

Αξίως αγαπήσας ο καθαρός, τόν σεμνόν καί ακίβδηλον βίον σου, αγγελικώς, πεπολιτευμένον επί τής γής, σέ αδελφόν προσήκατο, μάκαρ Ιωάννη τής εαυτού υιόν σε καταγγείλας, Μητρός τής Θεοτόκου, μεθ' ής σε πάντες μακαρίζομεν.

Θεοτοκίον

Σωτήριος γενού μοι πύργος Αγνή, τών δαιμόνων απείργων τάς φάλαγγας, καί πειρασμών, όχλον καί κινδύνων αποσοβών, καί τών παθών τήν έφοδον, πόρρω απελαύνων καί καθαράν, διδούς ελευθερίαν, καί θείων χαρισμάτων,

τήν αφθονίαν μοι παρέχουσα.

Τού Οσίου

Ο αυτός

Μωσής εθαυμαστώθη αξιωθείς, κατιδείν τής Παρθένου τήν κύησιν, συμβολικώς, βάτω τυπουμένην φλογοειδεί, σύ δέ τώ θείω Πνεύματι, όλος δι' εκστάσεως συγκραθείς, πυρίμορφος ωράθης, διό καί επαξίως, σέ μακαρίζομεν Αρσένιε.

Ανέτειλε Χριστός σοι άδυτον φώς, ευφροσύνη δέ σέ υπεδέξατο, εν ουρανοίς, μνήμη γάρ θανάτου διηνεκεί, τόν σεαυτού προσήγαγες, βίον ακηλίδωτον εμμελώς, διό καί επαξίως, απείληφας τών πόνων, επικαρπίας Παμμακάριστε.

Θεοτοκίον

Ωράθης ώ Παρθένε Μήτηρ Θεού, υπέρ φύσιν τεκούσα εν σώματι, τόν αγαθόν, Λόγον εκ καρδίας τής εαυτού, όν ο Πατήρ ηρεύξατο, πάντων πρό αιώνων ως αγαθός, όν νύν καί τών σωμάτων, επέκεινα νοούμεν, εί καί τό σώμα περιβέβληται.

Καταβασία

Φωτίζου, φωτίζου η νέα Ιερουσαλήμ, η γάρ δόξα Κυρίου επί σε ανέτειλε, Χόρευε νύν καί αγάλλου, Σιών, σύ δέ, αγνή, τέρπου, Θεοτόκε, εν τή εγέρσει τού τόκου σου.

Εξαποστειλάριον

Ήχος β'

Τοίς Μαθηταίς συνέλθωμεν

Θεολογών εβρόντησας, Εν αρχή ήν ο Λόγος, καί πρός Θεόν ο Λόγος ήν, καί ο Θεός ήν ο Λόγος, Απόστολε Ιωάννη, τού Χριστού γάρ τώ στήθει, επιπεσων κακείθεν δέ, πλήρες θεολογίας, ρείθρον ζωής, μάκαρ αρυσάμενος Θεολόγε, τήν κτίσιν άρδεις άπασαν, ήτις σε καί γεραίρει.

Τού Οσίου

Ο αυτός

Τώ τού Δεσπότου Όσιε, πειθαρχών θείω νόμω, πάντα τόν κόσμον έλιπες, καί λαβών τόν σταυρόν σου, Πάτερ Αρσένιε χαίρων, ηκολούθησας τούτω, νηστείαις καί τοίς δάκρυσι, θεοφόρε σχολάζων, καί προσευχή, στάσει τε παννύχω καί ησυχία, δι' ής εκράθης πάνσοφε, τή Αγία Τριάδι.

Καί τής Εορτής

Εις τούς Αίνους, Στιχηρά Προσόμοια τού Αποστόλου.

Ήχος πλ. δ'

Ώ τού παραδόξου θαύματος

Μάκαρ Ιωάννη πάνσοφε, περιουσία θερμής, πρός Χριστόν αγαπήσεως, πλέον πάντων πέφηνας, Μαθητών αγαπώμενος, τώ παντεπόπτη Λόγω καί κρίνοντι, δικαίοις πάσαν τήν οικουμένην ζυγοίς, τής καθαρότητος, καί αγνείας κάλλεσι, καταυγασθείς, σώμα καί διάνοιαν, θεομακάριστε.

Τό παρθενίας απάνθισμα, τό τών σεπτών αρετών, δεκτικόν ενδιαίτημα, τής σοφίας όργανον, τό τού Πνεύματος τέμενος, τό φωτοφόρον, στόμα τής χάριτος, τής Εκκλησίας, τό φαεινότατον, όμμα τό πάνσεπτον, Ιωάννην άσμασι πνευματικοίς, νύν ανευφημησωμεν, ως υπηρέτην Χριστού.

Θεολογίας τά νάματα, επί τού στήθους πεσών, τής σοφίας εξήντλησας, καί τόν κόσμον ήρδευσας, Ιωάννη μακάριε, τή τής Τριάδος, γνώσει τήν θάλασσαν, καταξηράνας τής αθεότητος, στύλος γενόμενος, καί νεφέλη έμψυχος, καθοδηγών, πρός τήν επουράνιον, κληροδοσίαν ημάς.

Τού Οσίου

Ο όμοιον

Πάτερ θεόφρον Αρσένιε, τής κοσμικής σεαυτόν, αποστήσας συγχύσεως, πρός τήν υπερκόσμιον, ανηνέχθης ακρότητα, αυτήν ποθήσας, τών αγαθών τήν πηγήν, αυτό τό όντως, εφετόν έφθασας, ού ταίς ελλάμψεσι, μάκαρ πυρσευόμενος, αμαρτιών, ζόφου ταίς πρεσβείαις σου, ημάς εξάρπασον.

Δόξα... Ήχος πλ. δ'

Ευαγγελιστά Ιωάννη, Ισάγγελε παρθένε, Θεολόγε θεοδίδακτε, ορθοδόξως τώ κόσμω, τήν άχραντον πλευράν, τό αίμα καί τό ύδωρ, βλύζουσαν εκήρυξας, εν ώ τήν αιώνιον ζωήν ποριζόμεθα ταίς ψυχαίς ημών.

Καί νύν... Τής Εορτής

Δοξολογία Μεγάλη

Εις τήν Λειτουργίαν, Τυπικά, καί εκ τού Κανόνος, Ωδή γ' καί ς', Απόστολον καί Ευαγγέλιον τού Αποστόλου.

Κοινωνικόν

Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών, καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών. Αλληλούϊα.

---

Αρχή

## ΤΗ Θ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Προφήτου Ησαϊου, καί τού Αγίου Μάρτυρος Χριστοφόρου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κυριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηχά αμφοτέρων ανά γ'.

Στιχηρά τού Προφήτου

Ήχος δ'
Έδωκας σημείωσιν

Άνθρακι θεότητος, τού σαρκωθέντος ριπτόμενος, προφητείαν πιστεύεται, ο μέγας καί ένδοξος, καί τήν θείαν δόξαν, βλέπει Ησαΐας, διά πολλήν τής αρετής, περιουσίαν καί καθαρότητα, καί κήρυξ προχειρίζεται, καί προμηνύει τήν μέλλουσαν, σωτηρίαν τοίς έθνεσι, καί τήν θείαν εμφάνειαν.

Νούν τε καί διάνοιαν, εκκαθαρθείς αξιάγαστε, Ησαΐα τού Πνεύματος, ευάρμοστον όργανον ενεργείαις τούτου, καί ταίς επιπνοίαις, ανακρουόμενον αεί, καί θεοφρόνως μεθαρμοζόμενον, εγένου παναοίδιμε, τόν επί θρόνου καθήμενον, επηρμένου θεώμενος, καί τά θεία μυούμενος.

Μίαν κυριότητα, τρισυποστάτου θεότητος, τρισαγίω φωνήματι, απαύστως δοξάζοντα, Σεραφίμ τά θεία, Μάκαρ θεωρήσας, καί μυηθείς προφητικήν, ενεπιστεύθης χάριν θαυμάσιε, διό σου τό πανίερον, επιτελούντες μνημόσυνον, τώ Χριστώ σε προσάγομεν, πρεσβευτήν δυνατώτατον.

Έτερα Στιχηρά τού Μάρτυρος

Ήχος α'
Τών ουρανίων ταγμάτων

Τού Χριστοφόρου τούς άθλους, δεύτε τιμήσωμεν, δι' ών ημίν πηγάζει η αέναος χάρις, Χριστού τού ζωοδότου, καί γάρ κραταιώς, τούς εχθρούς τροπωσάμενος, κατά παθών καί δαιμόνων καί οδυνών, τήν εξουσίαν εκομίσατο.

Η τών λειψάνων σου κόνις, θαυμάτων βλύζει πηγάς, τών κεραυνών τήν λύσιν, καί λοιμών καί κινδύνων, τήν λύτρωσιν παρέχει, διό σε καί νύν, Χριστοφόρε πολύαθλε, ο σός λαός ικετεύει, όπως αεί, διασώζηται τής βλάβης αυτών.

Σού τό μνημόσυνον Μάρτυς, ευωδιάζει τρανώς, εαρινά ως ρόδα, τά πολύαθλα πάθη, τών σών αγωνισμάτων, δι' ών ασθενείς, εμπαθείς τε καί άρρωστοι, τήν ευρωστίαν πλουτούντες, ταίς σαίς ευχαίς, ανυμνούσι τόν δοτήρα Χριστόν.

Δόξα... Τού Μάρτυρος
Ήχος δ' Ιωάννου Μοναχού

Κογχύλη αίματος τού μαρτυρίου σου, κοσμηθείσα η Εκκλησία τού Θεού, ηλιακάς ακτίνας εκπέμπει, Χριστοφόρε πολύαθλε, τώ γάρ Σταυρώ, καθοπλίσας σεαυτόν, καί τό θανείν υπέρ Χριστού προθύμως ελόμενος,

γενναίως πρός παράταξιν τού αλλοτρίου αντικατέστης, καί καταισχύνας πάσας τάς επινοίας τών παρανόμων, νικητής στρατιώτης ώφθης τού Χριστού, Διό δυσωπούμέν σε, ως παρρησίαν έχων, Μαρτύρων εγκαλλώπισμα, πρέσβευε, τού σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Τής Εορτής

Εις τόν Στίχον, Στιχηρά τής Εορτής.

Δόξα... τού Μάρτυρος
Ήχος δ'  Ανατολίου

Δεύτε τών Πιστών τό σύστημα, πνευματικήν χορείαν επικροτήσωμεν, καί τόν αθλοφόρον Χριστού τού Θεού, εν ύμνοις τιμήσωμεν, Χριστοφόρον τόν ένδοξον, Σήμερον γάρ ως εωσφόρος ανέτειλε, καί καταφωτίζει τάς διανοίας τών πιστών, τών εν πίστει καί πόθω, επιτελούντων τήν μνήμην αυτού τήν σεβάσμιον.

Καί νύν... Τής Εορτής

Απολυτίκιον τού Προφήτου
Ήχος β'

Τού Προφήτου σου Ησαϊου, τήν μνήμην Κύριε εορτάζοντες, δι' αυτού σε δυσωπούμεν, Σώσον τάς ψυχάς ημών.

Δόξα... τού Μάρτυρος
Ήχος δ'  Ταχύ προκατάλαβε

Στολαίς ταίς εξ αίματος, ωραϊζόμενος, Κυρίω παρίστασαι, τώ Βασιλεί ουρανών, Χριστοφόρε αοίδιμε, όθεν σύν Ασωμάτων, καί Μαρτύρων χορείαις, άδεις τή τρισαγίω, καί φρικτή μελωδία, διό ταίς ικεσίαις ταίς σαίς, σώζε τούς δούλους σου.

Καί νύν... Τής Εορτής

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τής ημέρας, καί τών Αγίων κοινός.
Ποίημα Θεοφάνους.

Τού Προφήτου

Ωδή α'  Ήχοςδ'
Άσομαί σοι Κύριε

Φώτισόν με Κύριε ο Θεός μου, καί καθοδήγησον φαιδρώς, τού θείου Προφήτου, τήν ένδοξον καί έντιμον, ευφημήσαι πανήγυριν.

Θεόφθογγος σάλπιγξ τού Ησαϊου, περιηχήσασα τήν γήν, τούς τής Εκκλησίας,

τροφίμους συνεκάλεσεν, εορτάσαι τήν μνήμην αυτού.

Τά πάθη τού σώματος θεοφόρε, τώ λογισμώ τώ τής ψυχής, σαφώς υποτάξας, τήν δόξαν κατηξίωσαι, ιδείν τού Παντοκράτορος.

Τού Μάρτυρος

Ο αυτός

Δεύτε πάντες σήμερον χριστοφόροι, τού Χριστοφόρου τήν μνήμην, τού τής αληθείας, Μάρτυρος θεόφρονες, ευσεβώς ανυμνήσωμεν.

Ανδρείως ηγωνίσω κατά τής πλάνης, καί τάς Τυράννων απειλάς, Μάρτυς αθλοφόρε, ισχύϊ ρωννύμενος, τού Σταυρού κατεπάτησας.

Θεοτοκίον

Ράβδον προορών σε τήν Θεοτόκον, άνθος δέ πάλιν τό εκ σού, σαρκούμενον Λόγον, προήγγειλεν ο ένδοξος, Ησαϊας Πανάχραντε.

Ωδή γ'

Τόξον δυνατών ησθένησεν

Όλην τήν αυγήν τού Πνεύματος, υποδεδεγμένος προηγόρευσας Ένδοξε, τής τού Λόγου οικονομίας, τό απόρρητον μυστήριον.

Ήρθης πρός ύψος ουράνιον, καί τής ευσεβείας τήν λαμπρότητα έδειξας, τών ειδώλων ματαιοτάτην, διελέγξας τήν ασθένειαν.

Λίθον εν Σιών υπέρτιμον, ακρογωνιαίον, τήν οικουμένην συνδέοντα, τόν Δεσπότην ο Ησαϊας, προφητεύει τεθησόμενον.

Τού Μάρτυρος

Ο αυτός

Όπλω τού Σταυρού φραξάμενος, Μάρτυς αθλοφόρε, τάς αλγηδόνας υπέμεινας, αενάως τώ ποθουμένω, εντρυφών καί αγαλλόμενος.

Σάρξ μέν αικισμοίς ετέμνετο, η θεοφιλής δέ σου ψυχή, δι' αγάπης ετρέφετο, μελετώσα τής βασιλείας, Χριστοφόρε τήν απόλαυσιν.

Θεοτοκίον

Ρήσις αληθώς πεπλήρωται, η τού Ησαϊου, η Παρθένος γάρ τέτοκε, σαρκωθέντα τόν ζωοδότην, καί Σωτήρα τών ψυχών ημών.

Ο Ειρμός

«Τόξον δυνατών ησθένησε, καί οι ασθενούντες, περιεζώσαντο δύναμιν, διά τούτο εστερεώθη, εν Κυρίω η καρδία μου».

Κάθισμα Ήχος γ'

Θείας πίστεως

Θείας χάριτος κατηξιώθης, ότι ήκουσας φωνής Κυρίου, Ησαϊα ώ Προφήτα πανένδοξε, τής αληθείας προρρήσεις εκήρυξας, καί ανομούντας τυράννους διήλεγξας, όθεν πρίονι, ξυλίνω πρισθείς παρίστασαι Χριστώ, εκλιπαρών υπέρ τών δούλων σου.

Τού Μάρτυρος

Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Ευσεβείας τήν γνώσιν καταλαβών, αγνωσίας τόν ζόφον αποβαλών, Μάρτυς κατεπάτησας, τόν αρχέκακον όφιν, τώ γάρ θείω πόθω, τόν νούν πυρπολούμενος, τών ειδώλων έσβεσας, τό άθεον φρύαγμα, όξεν επαξίως, αμοιβήν τών αγώνων, εδέξω τόν στέφανον, καί παρέχεις ιάματα, Χριστοφόρε πολύαθλε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Καί τής Εορτής

Τού Προφήτου

Ωδή δ

Τής σής επί γής παρουσίας

Τής αρετής ανυψώθης πρός τήν ακρότητα, καί καθαρώς τώ ποθουμένω προσωμίλησας, καί γεγηθότως έψαλλες, Δόξα τή δυνάμει σου Κύριε.

Προφητικήν Ησαία χάριν πεπίστευσαι, καί Θεού ενδιαίτημα θείον δέδειξαι, καί ουρανών σκηνώμασι, δόξης ακηράτου ηξίωσαι.

Εγκαινίζεσθαι νήσους έφης αινιττόμενος, τάς εθνών Εκκλησίας, τού θείου Πνεύματος, πλησθησομένας Ένδοξε, μύστης αρρήτων γενόμενος.

Τού Μάρτυρος

Ο αυτός

Τών ουρανών τήν κληροοχίαν Μάρτυς είληφας, επί γής υπέρ Χριστού αγωνισάμενος, καί τών ειδώλων έσβεσας, πλάνην ανδρικώς δεισιδαίμονα.

Τών γυναικών σοι τήν πείραν Μάρτυς προσέφερεν, ως Αδάμ τώ προπάτορι, ο όφις ποτέ, αλλ' ηττηθείς ησχύνετο, βρόχους καθεαυτού τεκταινόμενος.

Θεοτοκίον

Παιδίον ημίν εδόθη εκ τής Προφήτιδος, τό τεχθέν πρό ώδίνων τής Θεομήτορος, ού η αρχή επώμιος, θείος Ησαίας εκήρυξεν.

Τού Προφήτου

Ωδή ε'

Τόν φωτισμόν σου Κύριε

Τό κεκρυμμένον άνωθεν, μυστήριον ορών, καί τήν αρχαίαν βουλήν τού Υψίστου, τής περί ημάς οικονομίας, θεορρήμον κατήγγειλας.

Η τών παθών σου Κύριε, αέναος πηγή, τών παθημάτων ημάς αποπλύνει, ήκεις γάρ Σωτήρ, ως Ησαϊας, ο Προφήτης εδίδαξε.

Τού Μάρτυρος

Ο αυτός

Τώ φωτισμώ τής πίστεως, σαφώς εζώγρησας λαούς, καί τήν μανίαν αθέων τυράννων, έλυσας, ενδεδυμένος, τήν εξ ύψους ενέργειαν.

Ουρανών ως προέκρινας, απόλαυσιν σαφώς, τής επιγείου, σοφέ Χριστοφόρε, έφερες στερρώς βασάνων πόνους, τώ Σταυρώ δυναμούμενος.

Θεοτοκίον

Επί νεφέλης Κύριε, καθήμενον αγνής, τής πανυμνήτου Μητρός, Ησαίας βλέπει σε τρανώς, τών Αιγυπτίων καθαιρούντα τά ξόανα.

Τού Προφήτου

Ωδή ς'

Εβόησε προτυπών

Τώ Πνεύματι, τυπωθείς Ησαίας εώρακεν, επί θρόνου, κυριότητα δόξης αστράπτουσαν, υμνολογουμένην, τρισαγία φωνή τήν τρισάριθμον.

Τώ στόματι, δεδοικός σοι προσάγει τόν άνθρακα, Ησαϊα, Σεραφίμ τή λαβίδι δραξάμενον, καί Θεού Προφήτην, εκτελεί μυστικώς ιερώτατον.

Τήν έκβασιν, τηλαυγώς θεωρών τών προρρήσεων, Ησαϊας, νοερώς σύν Αγγέλοις αγάλλεται, καί σκιρτών δοξάζει, τόν πληρούντα αυτού τά κηρύγματα.

Τού Μάρτυρος

Ο αυτός

Ού πρός αίμα, ου πρός σάρκα τήν πάλην αράμενος ο γενναίος, αλλ' αρχάς ετροπούτο καί δαίμονας, αοράτω σθένει, τού Υιού τού Θεού κρατυνόμενος.

Αγαπήσας, ευπρεπώς ορεκτών τήν ακρότητα, Αθλοφόρε, ουκ ησθάνου τών πόνων ξεόμενος, τήν διάνοιάν σου, επερείδων αεί τώ Δεσπότη σου.

Θεοτοκίον

Τήν Παρθένον, εν γαστρί συλλαβούσαν θεώμενος, καί τεκούσαν, Ησαίας ως έφη ο ένδοξος, σαρκωθέντα Λόγον, καί Υιόν τού Θεού νύν αγάλλεται.

Ο Ειρμός

«Εβόησε, προτυπών τήν ταφήν τήν τριήμερον, ο Προφήτης Ιωνάς εν τώ κήτει δεόμενος, Εκ φθοράς με ρύσαι, Ιησού Βασιλεύ τών δυνάμεων».

Κοντάκιον Ήχος β'

Τήν εν πρεσβείαις ακοίμητον

Τής Προφητείας τό χάρισμα δεδεγμένος, προφητομάρτυς Ησαία θεοκήρυξ, πάσιν ετράνωσας τοίς υφ' ήλιον, τήν τού Θεού φωνήσας μεγαλοφώνως σάρκωσιν, Ιδού η Παρθένος εν γαστρί λήψεται.

Ο Οίκος

Όλος υπάρχων νενεκρωμένος καί ακάθαρτα χείλη κεκτημένος Χριστέ, πώς οίσω σοι αίνον επάξιον, Όντως γινώσκων τήν σήν ευσπλαγχνίαν, ότι σώζει τούς πίστει σοι προσιόντας, ώσπερ ποτέ καί η χήρα εκείνη τά δύω λεπτά, προσφέρω λόγους χειλέων ρυπαρών, καί προσπίπτω κραυγάζων σοι, Τόν νούν μου φώτισον Δέσποτα, ίνα λέγω μετά τού Προφήτου σου, Ιδού η Παρθένος εν γαστρί λήψεται.

Συναξάριον

Τή Θ' τού αυτού μηνός, Μνήμη τής αθλήσεως τού Αγίου ενδόξου Προφήτου Ησαϊου.

Στίχοι

- Ός άσπορον προείδεν υιομητρίαν,
- Πρισθείς άναρχον είδεν υιοπατρίαν.
- Ησαϊας δ' ορόων μέλλοντ' ενάτη χερί πρίσθη.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Χριστοφόρου.

Στίχοι

- Τόν Χριστοφόρον οίδά σε Χριστοφόρος,
- Χριστώ τυθέντα τώ Θεώ διά ξίφους.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων, Επιμάχου καί Γορδιανού.

Τή αυτή ημέρα, αι άγιαι μάρτυρες Καλλινίκη καί Ακυλίνα, αι διά τού αγίου Χριστοφόρου πιστεύσασαι τώ Χριστώ, σούβλαις από ποδών έως ώμων διαπαρείσαι τελειούνται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Αβραμιαίοι ποτέ

Τήν τού Σωτήρος ημίν, παρεσομένην βλέπων, ο Ησαίας απολύτρωσιν, Ήξει ανεβόησεν, ο τών Πατέρων ημών, Θεός ευλογημένος.

Καί προφητείας χάριν, καί μαρτυρίου στέφος, ο Ησαίας ανεδήσατο, ισχύς μου καί ύμνησις, ο τών Πατέρων βοών, Θεός ευλογητός εί.

Τής ευσεβείας όρους, καί πολιτείας νόμους, θεοφορήτω γλώσση τέθεικας,

Προφήτα θεσπέσιε, ο τών Πατέρων βοών, Θεός ευλογητός εί.

Τού Μάρτυρος

Ο αυτός

Τής μαρτυρίας οδόν, τή καρτερία τρέχων, ο Χριστοφόρος τά ουράνια, πολεύει σκηνώματα, ο τών Πατέρων βοών, Θεός ευλογητός εί.

Τής ασεβείας φλόγα, τής ευσεβείας δρόσω, ο Χριστοφόρος κατεμάρανε, καί ύμνοις εκραύγαζεν, ο τών Πατέρων ημών, Θεός ευλογητόςεί.

Θεοτοκίον

Τής παρθενίας ορών, τόν υπέρ φύσιν τόκον, καί τής αγνείας τήν λαμπρότητα, Ησαϊα βόησον, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Τού Προφήτου

Ωδή η'

Οι εν Βαβυλώνι παίδες

Ευφροσύνης τόν χιτώνα, νυμφίου περικείμενος τρόπον, αγάλλεται νύν χαρμονικώς, Ησαϊας ο ένδοξος, καί θείας τρυφής απολαύων, τοίς Αγγέλοις συμφθέγγεται, Ευλογείτε τά έργα Κυρίου τόν Κύριον.

Οι Θεού πρίν χωρισθέντες, δαιμόνων απατώμενοι λόγοις, ενδίκως απανίστανται γής, τής αγίας οι τάλανες, Προφήτου φωναίς ακολούθως, καί νύν μέλπειν ού δύνανται, Ευλογείτε τά έργα Κυρίου τόν Κύριον.

Τήν πλάνην καταλιπόντα, τώ θείω προσεπέδραμον φέγγει, τά πλήθη τών εθνών, καί Χριστού, τώ κλήρω Προσηρμόσθησαν, ως πάλαι φησίν Ησαϊας, καί υμνούντες νύν μέλπουσιν, Ευλογείτε τά έργα Κυρίου τόν Κύριον.

Τού Μάρτυρος

Ο αυτός

Τό τής ειδωλομανίας, θρασέως προσρηγνύμενον κύμα, Μαρτύρων προσεθραύσθη στερραίς, αντιτύποις ενστάσεσι, τών υπέρ Χριστού ελομένων, κινδύνους καί μελπόντων αυτώ, Ευλογείτε τά έργα Κυρίου τόν Κύριον.

Βασιλικήν αλουργίδα, βαφείσαν εξ αιμάτων σου Μάρτυς, ωραίως ενδυσάμενος νύν, Χριστοφόρε αήττητε, Αγγέλων χοροίς συγχορεύεις, καί συμμέλπεις τώ Κτίστη σου, Ευλογείτε τά έργα Κυρίου τόν Κύριον.

Θεοτοκίον

Η παρθενομήτωρ Κόρη, ως βρέφος αγκαλίζεται Λόγον, τόν πάσι διδόντα τήν ζωήν, καί τά πάντα ποιήσαντα, ως έφη τό πρίν Ησαϊας, ός καί χαίρων εκραύγαζεν, Ευλογείτε τά έργα Κυρίου τόν Κύριον.

Ο Ειρμός

«Οι εν Βαβυλώνι Παίδες, τώ θείω πυρπολούμενοι ζήλω, τυράννου καί φλογός απειλήν, ανδρείως κατεπάτησαν, καί μέσον πυρός εμβληθέντες, δροσιζόμενοι έψαλλον, Ευλογείτε τά έργα Κυρίου τόν Κύριον».

Τού Προφήτου

Ωδή θ'
Εύα μέν τώ τής παρακοής

Βήματι παρέστηκας φαιδρώς θεόληπτε, τού Δεσπότου τών Δυνάμεων, δόξη δέ τούτου επευφραίνη τάς τής σής ευσεβείας καρπούμενος, επικαρπίας παμμάκαρ αοίδιμε, όθεν σε πάντες μακαρίζομεν.

Δεύτε νύν φωτός προφητικού χαρίσματος, οι ποθούντες απαρύσασθε, βίβλω προθύμως Ησαϊου, τή τής θεογνωσίας εγκύμονι, συντόνω επιθυμία προσέλθωμεν, καί θείας αίγλης πλησθησόμεθα.

Πνεύματι φωτιστικώ σαφώς λαμπόμενος, Ησαϊα θεοφόρητε, πάντας φωτίζεις τούς τελοϋντας, το θείον καί σεπτόν σου μνημόσυνον, πρεσβεύων τής σωτηρίας τυχείν αυτούς, καί τής τερπνής αγαλλιάσεως,

Τού Μάρτυρος

Ο αυτός

Στέφανον ως νικητής λαμπρόν δεξάμενος, Χριστοφόρε παναοίδιμε, συμβασιλεύεις τώ Δεσπότη, τώ σέ εν ταίς βασάνοις κρατύναντι, καί χείρα ζωηφόρον ορέξαντι, καταπαλαίσαι τόν αρχέκακον.

Αίματι μαρτυρικώ φαιδρώς λουσάμενος, κατηυγάσθης Υπερένδοξε, νύν δέ παρθένων εν νυμφώνι, σύν τώ νυμφίω χαίρων εισέδραμες, ειρήνην δέ τώ κόσμω αιτσύμενος, μή διαλίπης Μάρτυς ένδοξε.

Θεοτοκίον

Άνθρακα τόν νοητόν αγνή Θεόνυμφε, Ησαϊας όν τεθέαται, φέρεις αγκάλαις Θεομήτορ, μορφή τή ημετέρα ενούμενον, καί κόσμω τήν σωτηρίαν δωρούμενον, όθεν σε πάντες μεγαλύνομεν.

Ο Ειρμός

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν».

Εξαποστειλάριον τής Εορτής

Εις τόν Στίχον τών Αίνων, Στιχηρά Προσόμοια τής Εορτής.

Η λοιπή Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Ι' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Αποστόλου Σίμωνος τού Ζηλωτού.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ' καί τού Αποστόλου γ'.

Στιχηρά τού Αποστόλου

Ήχος δ'
Έδωκας σημείωσιν

Σίμων ο θαυμάσιος, τών Αποστόλων το καύχημα, ως βολίς εξαστράπτουσα, διήλθε τά πέρατα, εκδιώκων ζόφον, τής πολυθεϊας, σωτηριώδεσιν αυτού, καί φωτοβόλοις θείοις διδάγμασι, καί πάντας κατεφώτισε, μίαν δοξάζειν θεότητα, εν τρισίν υποστάσεσιν, αδιαίρετον άτμητον.

Σίμων ο θεόπνευστος, ο παμφαής καί υπέρτιμος, τών εθνών ο διδάσκαλος, σαγήνη η ένθεος, εκ τής απωλείας, τού βυθού ζωγρούσα, θεολογίας υψηλής, ο αληθέστατος κήρυξ άπαντας, Χριστού πρός τήν επίγνωσιν, νύν δεξιώς ειστιάσατο, τά αυτού κατορθώματα, προτιθείς πανδαισίαν τερπνήν.

Σίμων ο μακάριος, διαδραμών εις τά πέρατα, ως τροχός κυλιόμενος, πάσαν γήν κατέφλεξεν, ειδωλομανούσαν, καί τή ευσεβεία, καταπυρσεύσας τηλαυγείς, πυρσούς ανήψε πιστοίς εν χάριτι, πάντας γάρ κατεφώτισε, μίαν δοξάζειν θεότητα, εν τρισίν υποστάσεσιν, αδιαίρετον άτμητον.

Δόξα... Ήχος β'

Ζήλου επώνυμος κληθείς, Σίμων αξιάγαστε, ζηλών εζήλωσας Θεώ τώ παντοκράτορι, καί θείων σε θαυμάτων έμπλεων ανέδειξε, ξένον γάρ τόν ζήλον έχων, φερωνύμως Ζηλωτής μακάριε εκλήθης, καί τώ τρόπω τήν κλήσιν σύμφωνον εκτήσω, Διό υψηλός υπάρχων, εν μεταρσίοις χοροίς σκηνούμενος, πρέσβευε θεόπτα τώ Λόγω Χριστώ τώ Θεώ ημών, δωρηθήναι ημίν τό μέγα έλεος.

Καί νύν... Τής Εορτής

Εις τον Στίχον. Στιχηρά Προσόμοια τού Αποστόλου.

Ήχος α'
Πανεύφημοι Μάρτυρες

Σίμων παναοίδιμε τρυφής, τόν χειμάρρουν έπιες, καί θεοφρόνως επότισας, Θεού επίγνωσιν, τούς θερμώς ποθούντας, τόν Χριστόν μιμούμενος, ώ νύν χαρμονικώς προσεχώρησας, δόξαν θεώμενος, τής Τριάδος τήν υπέρφωτον, καί ειρήνην, τήν απειροδύναμον.

Στίχ. Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών.

Σίμων υπερθαύμαστε Θεόν, καθορών τερπνότατα, ως εφικτόν καί ορώμενος, ενώσει κρείττονι, απολαύων τούτου, καί θετώς θεούμενος, τό μόνον ορεκτόν καί μακάριον, χαίρων απέλαβες, χριστοκήρυξ παναοίδιμε, τοίς Αγγέλοις, νύν συναυλιζόμενος.

Στίχ. Οι ουρανοί διηγούνται δόξαν Θεού ποίησιν δέ χειρών αυτού αναγγέλλει τό στερέωμα.

Σίμων παμμακάριστε Θεού, καί ανθρώπων δέδειξαι, πιστός μεσίτης γενόμενος, καί νύν ευϊλατον, ευπαρρησιάστοις προσευχαίς τιθείς ημίν, Χριστόν μή διαλίπης τόν Κύριον, πρεσβεύων πάντοτε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Δόξα... Ήχος πλ. β'

Τήν κτίσιν ως αετός υψιπέτης διήλθες, Σίμων ιερώτατε, μαθητά τού Σωτήρος καί Απόστολε, καί τήν πλάνην τών ειδώλων, τοίς πυριφθόγγοις σου δόγμασιν, ως ύλην πάσαν καταφλέξας, τά έθνη εξ αγνωσίας βυθού, πρός τήν θείαν γνώσιν μετήγαγες, καί νύν πρέσβευε Χριστώ, όπως ίλεως γενήσεται ημίν, εν τή ημέρα τής κρίσεως.

Καί νύν... τής Εορτής

Απολυτίκιον Ήχος γ’

Απόστολε Άγιε Σίμων, πρέσβευε τώ ελεήμονι Θεώ, ίνα πταισμάτων άφεσιν παράσχη ταίς ψυχαίς ημών.

Καί τής Εορτής. Καί Απόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, τά Καθίσματα τής εορτής, καί οι Κανόνες τής Εορτής, καί τού Αποστόλου.

Κανών τού Αποστόλου, ού η Ακροστιχίς.

Αποστολου Σίμωνος εξάδω κλέος

Ποίημα Θεοφάνους.

Ωδή α' Ήχος πλ. δ'

Άσμα αναπέμψωμεν

Άνω τώ Δεσπότη παρεστώς, Απόστολε θεσπέσιε, τώ σέ δοξάσαντι, καί μαθητήν οικείον, λαμπρώς αναδείξαντι, φώτισον τήν ψυχήν μου, ίνα σου μέλψω τήν ένθεον μνήμην.

Πάσαν αφθονίαν αγαθών, σοί ο Χριστός δεδώρηται, καί τάς ακρότητας, τών θείων χαρισμάτων, Απόστολον δείξας σε, κρίσει δικαιοτάτη, θεοφάντορ, ο δίκαιος μόνος.

Όλην τήν τού Πνευματος αυγήν, δεξάμενος Απόστολε, καταφοιτήσασαν, επί σέ ουρανόθεν, πυρίπνοος γέγονας, άπασαν καταφλέγων, τήν απάτην τής πολυθεϊας.

Θεοτοκίον

Σύ μου τό θνητόν τε καί φθαρτόν, αθάνατον καί άφθαρτον, Σωτήρ ανέδειξας, Παρθένου Παναγίας, οικήσας πανάχραντον, μήτραν απειρογάμως, μορφωθείς τε τήν βρότιον φύσιν.

Ωδή γ'

Ουκ έστιν Άγιος ως ο Κύριος

Τό θείον μυστήριον της σαρκώσεως, εμυήθης Απόστολε, Σίμων θεόληπτε, παρ αυτού τού Σωτήρος, τήν αίγλην δεξάμενος τήν υπερκόσμιον.

Ο Λόγος ο άναρχος καί αϊδιος, τόν αυτού υπηρέτην σε, Σίμων θεσπέσιε, αστραπαίς φανοτάταις, πλουσίως ελάμπρυνε, ταίς τής θείας χάριτος.

Θεοτοκίον

Λυχνία η πάγχρυσος σέ προέγραψε, Θεοτόκε βαστάζουσαν φώς τό ανέσπερον, τό φωτίζον τόν κόσμον, ακτίσι θεότητος, Χριστόν τόν Θεόν ημών.

Ο Ειρμός

«Ουκ έστιν Άγιος, ως ο Κύριος, ημών, καί ουκ έστι δίκαιος, ως ο Θεός ημών, όν υμνεί πάσα η κτίσις, Ουκ έστιν Άγιος πλήν σου Κύριε».

Κάθισμα  Ήχος γ'

Θείας πίστεως

Θείου Πνεύματος τή φωταυγία, σκότος έλυσας, πολυθεϊας, καί τών πιστών τάς καρδίας εφώτισας, αναβοήσας, σωτήρια δόγματα, καί καταργήσας Ελλήνων μυθεύματα, Σίμων ένδοξε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Καί τής Εορτής

Ωδή δ'

Εξ όρους κατασκίου

Όλος θησαυρός υπάρχεις χαρισμάτων, ευαγγελικών χαρίτων πεπλησμένος, καί φώς τού κόσμου, καί άλας τής οικουμένης, Σίμων παμμάκαρ εχρημάτισας.

Ύλης αηδούς εμφάσεις απεστράφης, άϋλον δέ φώς ιδείν κατηξιώθης, τό τής θεότητος είδος επειλημμένον, ύλης βροτείας Αξιάγαστε

Σίμων Ζηλωτά ζωής τής ακηράτου, νέκρωσον ημών τήν ζώσαν αμαρτίαν, τή

ζωηφόρω δυνάμει τού Ζωοδότου, ής υπεδέξω τήν ενέργειαν.

Θεοτοκίον

Ίσος πεφυκώς Πατρί σου κατ' ουσίαν, ίσος τοίς βροτοίς εγένου κατά φύσιν, εκ τής αχράντου Παρθένου τήν ημετέραν, Δέσποτα σάρκα προσλαβόμενος.

Ωδή ε'

Ο εκ νυκτός αγνοίας

Μετά πυρός Παμμάκαρ, σύ ορωμένην τήν γλώσσαν τού Πνεύματος, υπεδέξω προθύμως, εν τώ υπερώω καθήμενος.

Ως υψηλός υπάρχων, εν μεταρσίοις χωρίοις σκηνούμενος, υψηλά καί μεγάλα, δόγματα ημίν προσενήνοχας.

Θεοτοκίον

Νόμος ο πρίν Παρθένε, παρεισελθών, εν τώ τόκω σου πέπαυται, ήνθησε δέ η χάρις, καί δικαιοσύνη ανέτειλεν.

Ωδή ς'

Χιτώνά μοι παράσχου

Ο ζήλου επώνυμος κληθείς, Σίμων αξιάγαστε, ζηλών εζήλωσας, τώ Κυρίω καί Θεώ Παντοκράτορι.

Σέ θείων θαυμάτων αυτουργόν, ο Σωτήρ ανέδειξε, δούς εξουσίαν σοι, ενεργεία τής αυτού αγαθότητος.

Θεοτοκίον

Εμφράττεται τό στόμα δυσσεβών, τών μή Θεοτοκον σε, φρονούντων Πάναγνε, καί η όψις εντροπήν ενδιδύσκεται.

Ο Ειρμός

«Χιτώνά μοι παράσχου φωτεινόν, ο αναβαλλόμενος φώς ως ιμάτιον, πολυέλεε Χριστέ ο Θεός ημών».

Κοντάκιον Ήχος β'

Τούς ασφαλείς

Τόν ασφαλώς τά τής σοφίας δόγματα, εν ταίς ψυχαίς τών ευσεβούντων θέμενον, εν αινέσει μακαρίσωμεν, τόν θεηγόρον πάντες Σίμωνα, τώ θρόνω γάρ τής δόξης νύν παρ ίσταται, καί σύν τοίς ασωμάτοις επαγάλλεται, πρεσβεύων απαύστως υπέρ πάντων ημών.

Ο Οίκος

Τού Αποστόλου τήν μνήμην πάντες ώς σωτηρίας ημέραν, ευφημήσωμεν νύν, καί ευσεβώς μακαρίσωμεν, αύτη γάρ πάση τή οικουμένη, ώσπερ ήλιος λάμπει, φωτός ακτίσι πάσαν αχλύν εκδιώκουσα καί καταλάμπουσα τούς πόθω ταύτην γεραίροντας, Διό προθύμως συνδράμωμεν ανυμνούντες, αυτόν ως χρέος, αυτός γάρ Χριστώ παρίσταται, πρεσβεύων απαύστως υπέρ πάντων ημών.

Συναξάριον

Τή Ι' τού αυτού μηνός, Μνήμη τού Αγίου Αποστόλου Σίμωνος τού Ζηλωτού.

Στίχοι

- Έοικε Χριστέ τούτό σοι Σίμων λέγειν.
- Ζηλών πάθος σον, καρτερώ Σταυρούπάθος.
- Έν ξύλω αμφετάθη Σίμων δεκάτη μεγάθυμος.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων, Αλφειού, Φιλαδέλφου, καί Κυπρίνου.

Στίχοι

- Ο Φιλάδελφος φιλαδέλφως τώ ξίφει,
- Σύν τοίς αδελφοίς θείον εύρατο στέφος.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Ησυχίου τού Ομολογητού.

Στίχοι

- Τόν βίον Ησύχιος άγων ησύχως,
- Εν ησυχία πρός Θεόν διαβαίνει.

Ο όσιος πατήρ ημών Λαυρέντιος εν ειρήνη τελειούται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Παίδες Εβραίων

Ξένον τόν ζήλον Σίμων έχων, φερωνύμως Ζηλωτής μάκαρ εκλήθης, καί τόν τρόπον τή κλήσει σύμφωνον εδείξω, Ευλογητός εί Κύριε, εκβοών εις τούς αιώνας.

Άμα τώ Λόγω συνοδεύων, καί συνόμιλος αυτώ γεγενημένος, βασιλείας εκεί μετέσχηκας κραυγάζωγ Ευλογητός εί κύριε, ο Θεός εις τούς αιώνας.

Θεοτοκίον

Δόλω τής πάλαι ευκληρίας, τούς προπάτορας εξώρισεν ο όφις, σύ δέ τούτους Θεού, Μήτερ ανεκαλέσω, Ευλογημένος πάναγνε, ο καρπός τής σής κοιλίας.

Ωδή η'

Μουσικών οργάνων

Ως ωραίοι Σίμων οι σοί πόδες, ευπρεπής υπάρχει καί η γλώσσα, λαλούσα δόξα τού Θεού, καί πείθουσα κραυγάζειν, Τόν Κύριον υμνείτε, αι υπερυψούτε, εις πάντας τούς αιώνας.

Καλλοναίς εμπρέπων φωτοβόλοις, καί θαυμάτων πέμπων λαμπηδόνας, εγνώσθης Σίμων τοίς λαοίς, σπέρμα ευλογημένον, Τόν κυριον υμνείτε, καί υπερυψούτε, βοών εις τους αιώνας.

Θεοτοκίον

Λογισμός ού δύναται τόν τόκον, σού Θεογεννήτορ ερμηνεύσαι, καί φράσαι λόγος ατονεί, Θεόν γάρ συλλαβούσα, τέτοκας Παρθένε, όν υπερυψούμεν, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Μουσικών οργάνων συμφωνούντων, καί λαών απείρων προσκυνούντων, εικόνι τή εν Δεειρά, τρείς Παίδες μή πεισθέντες, τόν Κύριον ανύμνουν, καί εδοξολόγουν, εις πάντας τούς αιώνας».

Ωδή θ'

Τήν αγνήν ενδόξως

Εμφανής εγένου τοίς πέρασι, φωτί καταλάμπων, καί τό πύρ τό τού Πνευματος δεδεγμένος, φωτοειδής εδείχθης, διό σε μακαρίζομεν.

Ολικώς Θεώ ανακείμενος, αυτώ συνεκράθης, όν νύν καθικέτευε, θεοφάντορ υπέρ ημών, τών πίστει καί πόθω ευφημούντων σε.

Θεοτοκίον

Σωτηρίας πάσι τήν πρόξενον, φανείσαν ανθρώποις, καί τόν κόσμον φωτίσασαν λαμπηδόσι, θεοειδούς αγνείας, εν ύμνοις μεγαλύνωμεν.

Ο Ειρμός

«Τήν αγνήν ενδόξως τιμήσωμεν, λαοί Θεοτόκον, τήν τό πύρ τής θεότητος δεξαμένην, εν τή γαστρί αφλέκτως, εν ύμνοις μεγαλύνωμεν».

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Αυτόπτα καί Απόστολε, Χριστού τού πανοικτίρμονος, ειρήνην αίτησαι πάση, τή οικουμένη, καί νίκας, τώ φιλοχρίστω Άνακτι, ημίν πταισμάτων άφεσιν, καί σωτηρίαν άπασι, τοίς ευφημούσί σε Σίμων, ως μαθητήν θεηγόρον.

Καί τής Εορτής

Εις τούς Αίνους, ψάλλομεν Στιχηρά Προσόμοια τού Αποστόλου γ' δευτερούντες τό α'.

Ήχος δ'

Ως γενναίον εν Μάρτυσι

Τώ καλάμω τής χάριτος, εκ βυθού ματαιότητος, τούς βροτούς ανείλκυσας, Σίμων ένδοξε, τού Διδασκάλου τοίς νεύμασιν, υπείκων μακάριε, τού φωτίσαντος τήν σήν, κατά πάντα διάνοιαν, καί Απόστολον, καί σεπτόν θεηγόρον καί φωσφόρον, αναδείξαντα τής τούτου, ακαταλήπτου θεότητος.

Η τού Πνεύματος έλλαμψις, επί σέ καταβέβηκε, τού πυρός εν είδει, καί σέ μακάριε, θείον δοχείον ειργάσατο, συντόνως ελαύνοντα, αθεϊας τήν αχλύν, καί τόν κόσμον φωτίζοντα τή λαμπρότητι, τών πανσόφων σου λόγων, μυστολέκτα, Αποστόλων η ακρότης, Σίμων θεόφρον πανόλβιε.

Αστραπαίς τού κηρύγματος, τούς εν σκότει καθεύδοντας, αγνωσίας Ένδοξε, κατεφώτισας, αναγεννήσας θεσπέσιε, υιούς διά πίστεως, τού Δεσπότου καί Θεού, ού ζηλώσας τό πάθος τε, καί τόν θάνατον, καί τής δόξης εγένου κληρονόμος, ως σοφός καί θεηγόρος, καί μαθητής αληθέστατος.

Δόξα... Ήχος πλ. δ'

Μαθητά τού Σωτήρος καί Απόστολε, Σίμων Ζηλωτά πανένδοξε, ημών δέ πολιούχε, καί τής οικουμένης κήρυξ διαπρύσιε, πρέσβευε εκτενώς ρυσθήναι ημάς εκ κινδύνων, καί σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Τής Εορτής

Δοξολογία Μεγάλη καί Απόλυσις

Εις τήν Λειτουργίαν, τής Εορτής καί τού Αποστόλου.

---

Αρχή

## ΤΗ ΙΑ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Ανάμνησις τών γενεθλίων, ήτοι τών εγκαινίων τής Κωνσταντινουπόλεως, καί τού Αγίου Ιερομάρτυρος Μωκίου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ' καί τώ εγκαινίων μετά τού Ιερομάρτυρος γ'.

Τών Εγκαινίων

Ήχος δ'

Ως γενναίον εν Μάρτυσιν

Ητών πόλεων Άνασσα, τή Κυρία τής κτίσεως, τήν αυτής νύν σύστασιν ανατίθεται, εν γάρ αυτή καί κρατύνεται, καί φύλα πολέμια, καί υψαύχενα εχθρόν, τοίς ποσίν υποτίθησι, τών πιστών αυτής, Βασιλέων βοώσα, Σύ Παρθένε, καί τού στέφους καί τών σκήπτρων, καί τών ανάκτων κραταίωμα.

Τού Ιερομάρτυρος

Φωταυγής ώσπερ ήλιος, εκ δυσμών ανατέταλκας, καταυγάζων άπασαν τήν υφήλιον, ταίς αστραπαίς τής αθλήσεως, θεόφρον πανόλβιε, αθλητών η καλλονή, Ιερέων ευπρέπεια, ισοστάσιε, τών αγίων Αγγέλων, ο τής πλάνης, τήν ισχύν εξαφανίσας, θεομακάριστε Μώκιε.

Ευσεβεία πυρούμενος, καί αθλήσει στομούμενος, καί ανδρεία Μώκιε λιπαινόμενος, ουρανοχάλκευτος γέγονας, αοίδιμε μάχαιρα, παρατάξεις δυσμενών, παντελώς αφανίζουσα, όθεν σήμερον, τήν φωσφόρον εκ πόθου

καί αγίαν, εορτάζομέν σου μνήμην, κλέος Μαρτύρων καί καύχημα.

Δόξα... καί νύν... Τής Εορτής

Εις τόν Στίχον, Στιχηρά τής Εορτής.

Απολυτίκιον τών Γενεθλίων
Ήχος δ'

Τής Θεοτόκου η Πόλις, τή Θεοτόκω προσφόρως, τήν εαυτής ανατίθεται σύστασιν, εν αυτή γάρ εστήρικται διαμένειν, καί δι' αυτής περισώζεται καί κραταιούται, βοώσα πρός αυτήν, Χαίρε η ελπίς πάντων τών περάτων τής γής.

Καί τής Εορτής, καί Απόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, τά Καθίσματα τής Εορτής καί οι Κανόνες τής εορτής, καί τού Αγίου μετά τών Γενεθλίων.

Κανών τών Γενεθλίων καί τού Αγίου.

Ωδή α'  Ήχος δ'
Ανοίξω τό στόμα μου

Τήν πόλιν σου Δέσποτα, ήνπερ επύργωσας φύλαττε, καί ταύτην περίεπε, εξ αλλοφύλων εχθρών, εμφυλίων τε, πολέμων καί μαχαίρας, σεισμού τε ακράδαντον, λοιμούπυρός καί λιμού.

Πρός πλάτος μακάριε, τών σών επαίνων κυβέρνησον, νοός μου τήν χαύνωσιν, καί φώς κατάπεμψον, τή καρδία μου, υμνούντος τήν φωσφόρον, καί ένδοξον μνήμην σου, Μάρτυς πανεύφημε.

Σιδήρω ξεόμενος, καί τώ πυρί λιπαινόμενος, χρυσού οβρυζότερος, Μώκιε γέγονας, καί εκσφράγισμα, Χριστού τών παθημάτων, καί πίστεως πρόμαχος, θεομακάριστε.

Θεοτοκίον

Χαράς ημίν πρόξενος, ως δεξαμένη τό πλήρωμα, τής όλης θεότητος, ώφθης Πανάμωμε, όθεν πάντες σοι, τό Χαίρε τού Αγγέλου, συμφώνως κραυγάζομεν, θεοχαρίτωτε.

Ωδή γ'
Ουκ εν σοφία

Ητών πόλεων, βασιλεύουσα πολις σου Δέσποτα, καυχωμένη επί σοί, τήν εαυτής προσανέθετο, ημέραν σωτήριον, τώ Βασιλεί καί Θεώ.

Ανενδοιάστως, πρός αγώνας πρός πάλας εχώρησας, τή δυνάμει τού Σταυρού, τό ασθενές σου ρωννύμενος, όθεν τόν μεγάλαυχον, όφιν κατέβαλες.

Διά θανάτου, τού προσκαίρου αθάνατον εύκλειαν, διά πόνου τής σαρκός, τήν δι' αιώνος απόλαυσιν, εύρες ως επόθησας, Μάρτυς αήττητε.

Θεοτοκίον

Σέ η σοφία, τού Θεού καθαρώτατον σκήνωμα, ευραμένη εκ τών σών, αγνών αιμάτων σεσάρκωται, καί μετά τήν κύησιν, άφθορον έδειξεν.

Ο Ειρμός

«Ουκ εν σοφία, καί δυνάμει καί πλούτω καυχώμεθα, αλλ' εν σοί τή τού Πατρός, ενυποστάτω σοφία Χριστέ, ου γάρ έστιν άγιος, πλήν σου φιλάνθρωπε».

Κάθισμα  Ήχος δ'

Ταχύ προκατάλαβε

Αστήρ ανατέταλκας, από δυσμών αθλητά, καί πάσαν εφώτισας, τήν οικουμένην αυγαίς, τών θείων αγώνων σου, φθάσας δέ βασιλίδα, πόλιν μάκαρ δεσμώτης, λέλυσαι διά ξίφους, καί πρός πόλιν τήν άνω, ανέδραμες συνείναι Χριστώ, Μώκιε ένδοξε.

Δόξα... Καί νύν... Τής Εορτής

Ωδή δ'

Ο καθήμενος εν δόξη

Κραταιουμένη τώ σκήπτρω, βασιλείας η Πόλις σου, επί σοί νύν πάσαν, Σώτερ τήν ελπίδα ανέθετο, ήν περιφρούρει παντάναξ καί διάσωζε, εξαιρούμενος, εκ πειρασμών καί εχθρών δυσχερών.

Τόν δερμάτινον χιτώνα, τής αρχαίας νεκρώσεως, εξεδύσω Μάκαρ, πάντοθεν τό σώμα ξεόμενος, καταστολήν αφθαρσίας, ενεδύσω δέ, καί τρυφάς τού ξύλου τής ζωής αγαλλόμενος.

Αθεΐας ο βυθός σε, ουδαμώς κατεπνότισε, κραταιά χειρί γάρ, σέ ο πλαστουργός διεσώσατο, οι ποταμοί τών βασάνων ουκ εσάλευσαν, τής ψυχής σου τόν πύργον, Σοφέ, τόν ασάλευτον.

Θεοτοκίον

Ο θελήματι τά πάντα, πλαστουργήσας βουλήματι, εκ τών σών αιμάτων, σάρκα εαυτώ ωκοδόμησε, καί εν δυσί ταίς ουσίαις εις προέρχεται, Μητροπάρθενε, σώζων ημάς αγαθότητι.

Ωδή ε'

Σύ Κύριέ μου φώς

Σέ έχουσα Χριστέ, κραταιόν καταφύγιον, η Πόλις σου σοί προσπίπτει, καί κρατύνεται πίστει, τή σή στηριζομένη αεί.

Σοίς αίμασιν η γή ηγιάσθη Μακάριε, σοίς στίγμασι κατεστίχθη, τών δαιμόνων τό στίφος, θεόφρον αξιάγαστε.

Σέ έχουσα φαιδρόν, μαργαρίτην καί έντιμον, εν στέμματι τώ οικείω, η σεπτή Εκκλησία, παμμάκαρ ωραϊζεται.

Θεοτοκίον

Φώς άχρονον ημίν, τού Πατρός τό απαύγασμα, γεγέννηκας υπό χρόνον, αγαθότητος πλούτω, γενόμενον Πανάμωμε.

Ωδή ς'

Θύσω σοι, μετά φωνής

Η πόλις, η βασιλίς τών πόλεων σήμερον, πάσαν τήν σύστασιν ταύτης, τώ Σωτήρί σοι προσανέθετο, ήν περ σώζοις, εκ παντοίων κακώσεων άτρωτον.

Αγάπη, καί ελπίδι καί πίστει καθώπλισεν, Αγωνοθέτης ο μέγας, τόν στερρόν οπλίτην τής ευσεβείας, διά τούτο, τό τής πλάνης καθείλεν οχύρωμα.

Φιλίας, τής πρός σάρκα τόν νούν σου εχώρισας, καί τού νυμφίου τώ κάλλει, ανενδότω νευσει ενατενίζων, τάς βασάνους, εις ουδέν ελογίσω Πανεύφημε.

Θεοτοκίον

Άβυσσον, ευσπλαγχνίας Χριστόν η κυήσασα, αμαρτιών εκ βυθού με, συμπαθής ως μόνη ανάγαγε, καί εκ βλάβης, λογισμών εναντίων διάσωσον.

Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Κοντάκιον τής Εορτής

Συναξάριον

Τή ΙΑ' τού αυτού μηνός, τήν ανάμνησιν πνευματικώς επιτελούμεν τού Γενεθλίου, ήτοι τών Εγκαινίων ταύτης τής θεοφυλάκτου καί βασιλίδος τών πόλεων, τής κατ' εξαίρετον ανακειμένης τή Δεσποίνη ημών, καί Αγία Θεοτόκω, καί υπ' αυτής διά παντός σωζομένης.

Στίχοι

- Γενεθλίων σών δεί με τιμάν ημέραν,
- Εν σοί Πόλις τυχόντα τών γενεθλίων.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Ιερομάρτυρος Μωκίου.

Στίχοι

- Μωκώμενόν σε δεισιδαίμονα πλάνηω,
- Οι δυσσεβείς κτείνουσι Μώκιε ξίφει.
- Μώκιος ενδεκάτη κεφαλήν τμήθη αγαθόφρων.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Διοσκορίδου ή Διοσκόρου.

Στίχοι

- Παρ' ημέραν ζήν μύθος ήν Διοσκόρους,
- Διόσκορος δέ ζήν αεί τμηθείς έχει.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

## Ωδή ζ'

Ο διασώσας εν πυρί

Ήνπερ επύργωσας Χριστέ, πόλιν σου περίεπε ταύτην, από λιμού τε καί λοιμού, καί πολέμων παντοίων καί θλίψεων, τού βοάν ευχαρίστως σοι, Ο Θεός ο τών Πατέρων ευλογητός εί.

Εν τή καμίνω εμβληθείς, εύρηκας δροσίζοντα Λόγον, τόν εν μορφή αγγελική, Νεανίας τούς τρείς διασώσαντα, εκβοών παμμακάριστε, Ο Θεός ο τών Πατέρων ευλογητός εί.

Κατά ξιφών κατά πυρός, κατά πριστηρίων οργάνων, Μάρτυς αντέστης ανδρικώς, τή δυνάμει τή θεία ρωννύμενος, καί βοών αγαλλόμενος, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Θεοτοκίον

Σέ τήν αθάνατον πηγήν, ύδωρ τής αφέσεως μόνην, αποκυήσασαν ημίν, Ιησούν τόν Χριστόν Αειπάρθενε, ανυμνούμεν κραυγάζοντες, ο Θεός ο τών Πατέρων ευλογητός εί.

## Ωδή η'

Παίδας ευαγείς

Πόλεων πασών νύν η κρατούσα, τήν σύστασιν ταύτης προσανέθετο, Δέσποτα τώ κράτει σου, ήν καί διαφύλαττε, τής προσδοκίας άτρωτον, πάντων εθνών εισαεί, βοώσάν σοι εν Πίστει οικτίρμον, Υπερευλογώ σε, Χριστέ εις τούς αιώνας.

Πορφύραν οικείων εξ αιμάτων, φοινίξας, καί ταύτην περικείμενος, φέρων αντί σκήπτρου τε, όπλον τό αήττητον, συμβασιλεύεις Μώκιε, τώ Βασιλεί τού παντός, τόν Κύριον υμνείτε κραυγάζων, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ως ήλιος σήμερον τώ κόσμω, η μνήμη τής σής αθλήσεως ανέτειλε, πάντας καταυγάζουσα, νόσους εκδιώκουσα, δαιμονικής κακώσεως, εξαιρουμένη ημάς, εν ή περιχαρώς σε υμνούμεν, Μώκιε υμνούντες, Χριστόν εις τους αιώνας.

Θεοτοκίον

Εν σοί καθωράθησαν πορείαι, μεγάλου τού Βασιλέως τών δυνάμεων, πύλη επουράνιε, Κόρη απειρόγαμε, η τών βροτών τό φύραμα, αποθεώσασα, διό σε τήν Παρθένον υμνούμεν, καί υπερυψούμεν, εις πάντας τούς αιώνας.

O Ειρμός

«Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν, Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τους αιώνας».

Ωδή θ'

Εύα μέν τώ τής παρακοής

Τήν πόλιν σου φύλαττε Σωτήρ λυτρούμενος, εκ παντοίων περιστάσεων, νίκας τώ Άνακτι παρέχων, εχθρών καθυποτάσσων τό φρύαγμα, πρεσβείαις τής ασπορως τεκούσης σε, καί τών Αγίων πολυέλεε.

Όλβιος καί πλήρης φωτισμού γενόμενος, καί τώ πάθει σεμνυνόμενος, ένδον εχώρησας παστάδος, φρονίμοις σύν παρθένοις γηθόμενος, καί κάλλος κατανοείς τό αμήχανον, ού τάς εμφάσεις πρίν εκέκτησο.

Πόλεσιν εταίραις προαθλών αοίδιμε, Βυζαντίδα πόλιν έφθασας, Μάρτυς, εν ή τών σών αγώνων, τό πέρας καί τής νίκης τόν στέφανον, εδέξω αθλητής ώς αήττητος, ήν περιέποις σαίς δεήσεσι.

Θεοτοκίον

Ρήμασιν επόμενοι τοίς σοίς εκάστοτε, ώ Παρθένε σέ δοξάζομεν, Λόγον ημίν γάρ απορρήτως, Πατρός τόν πρό αιώνων εκλάμψαντα, εγέννησας, αυτός ως ευδόκησεν, όν επαξίως μεγαλύνομεν.

O Ειρμος

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσα το, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν».

Εξαποστειλάριον, τής Εορτής

Εις τόν Στίχον, Στιχηρά τής Εορτής.

Καί τά λοιπά, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΒ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών εν Αγίοις Πατέρων ημών, Επιφανίου Επισκόπου Κύπρου, καί Γερμανού, Αρχιεπισκόπου Κωνσταντινουπόλεως.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια αμφοτέρων ανά τρία.

Στιχηρά τού Αγίου Επιφανίου

Ήχος δ'
Έδωκας σημείωσιν

Νόμος ο εν γράμματι, παιδαγωγός σοι γεγένηται, εις Χριστόν Επιφάνιε, δεικνύς τήν αστράψασαν, τού Σωτήρος χάριν, τής θεογνωσίας, προγραφομένην μυστικώς, καί τυπουμένην διαφανέστατα, ήνπερ καί εφανέρωσας, ταίς διδαχαίς σου πανεύφημε, τηλαυγώς εκτιθέμενος, τά θεόπνευστα δόγματα.

Νόμου τού τής χάριτος, καταγγελεύς εχρημάτισας, θεοφάντορ μακάριε, φωτίζων τά πέρατα, ταίς τών σών δογμάτων, θείαις δαδουχίαις, καί τών αιρέσεων θερμώς, τάς γλωσσαλγίας καταστρεψάμενος, πανσόφως εστηλίτευσας, διδασκαλίας πανόσιε, καί τό κάλλος τό άχραντον, τό τής πίστεως έδειξας.

Ο βίος ο ένθεος, τώ ορθοδόξω φρονήματι, συνδραμών παρεσκεύασε, τελείν τά θαυμάσια, καί δαιμόνων θράσος, Πάτερ απελαύνειν, καί νοσημάτων χαλεπών, τάς αλγηδόνας παύειν εντεύξεσι, καί χάριτι κοσμούμενον, Ιεραρχίας σε έδειξεν, Ιησούς ο φιλάνθρωπος, καί Σωτήρ τών ψυχών ημών.

Τού Αγίου Γερμανού

Ήχος α'
Πανεύφημοι Μαρτύρες

Λεόντιον φρόνημα στερρώς, Γερμανέ κατέβαλες, τό δυσσεβείας ανάμεστον, τήν γάρ προσκύνησιν, τών σεπτών εικόνων, τού Χριστού ο δείλαιος, καί πάντων τών Αγίων ηρνήσατο, αλλά τοίς λόγοις σου, θεοφάντορ εξελήλεγκται, καί ως άνους, ανόητος έμεινεν.

Ο Λέων ο άθεος, ο θήρ, ο Θεώ μισούμενος, τού Αντιχρίστου ο πρόδρομος, ο τήν προσκύνησιν, τής Χριστού εικόνος, αθετήσας Όσιε, τού κλήρου τών πιστών εξωστράκισται, διό αιτούμέν σε, Ως εκείνον ταίς πρεσβείαις σου, τόν παρόντα, κατεύνασον τάραχον.

Εφέσεως έτυχες τής σοί, θεοφάντορ πόρρωθεν, πεποθημένης σαφέστατα, τώ γάρ Δεσπότη σου, με τά παρρησίας, Γερμανέ μακάριε, νύν Ιεροπρεπώς προσεχώρησας, ώ παριστάμενος, απολαύεις τής θεώσεως, τήν ειρήνην, τώ κόσμω αιτούμενος.

Δόξα... Τού Αγίου Επιφανίου
Ήχος β'

Ει καί Μωσαϊκοίς νόμοις υπέκυψας, τής Ιουδαϊκής λατρείας υπάρχων βλάστημα, αλλ' η χάρις Πάτερ η τού Χριστού, εν σοί επιλάμψασα, μαθητήν τής ειρήνης τού Ευαγγελίου σαφώς απειργάσατο, εντεύθεν ως αγχίνους, τοίς αμφοίν διαθηκών, κατά νούν ειληφώς έκβασιν, από δουλείας, εις ελευθείαν μεταβέβηκας, Διό ικέτευε υπέρ ημών, λυτρωθήναι τής τυραννίδος τού εχθρού,

καί σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Τής Εορτής

Εις τόν Στίχον Στιχηρά τής Εορτής.

Δόξα... Τού Αγίου Επιφανίου
Ήχος πλ. α'

Τής ορθοδόξου πίστεως, διά τήν πνευματικήν σοφίαν, διδάσκαλος ώφθης, Επιφάνιε μακάριε, καί Χριστόν ευρών ποδηγέτην, τάς βουλάς τών κακοδόξων αιρετικών διεσκέδασας, Διο αιτούμέν σε Άγιε, πρεσβεύειν άχρι τέλους, τήν υπό σού βεβαιωθείσαν ορθήν πίστιν, ασάλευτον φυλαχθήναι ημίν, καί τό μέγα έλεος παρ' αυτού τού Σωτήρος τών όλων, δωρηθήναι ταίς ψυχαίς ημών.

Καί νύν... Τής Εορτής

Απολυτίκιον Ήχος α'
Τού λίθου σφραγισθέντο

Ξυνωρίδα τής θείας Εκκλησίας τάς σάλπιγγας, Γερμανόν σοφόν Ιεράρχην, καί κλεινόν Επιφάνιον, τιμήσωμεν προφρόνως οι πιστοί, τόν μέν ώς εν φρονήματι στερρώ υπέρ τής Χριστού εικόνος, τόν θεομάχον Λέοντα ελέγξαντα, ως μάστιγα δέ αιρέσεων δεινήν, τόν άγιον Επιφάνιον, Ούτοι γάρ εκτενώς υπέρ ημών, αεί πρεσβεύουσι.

Καί τής Εορτής, καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, τά Καθίσματα τής Εορτής, καί οι Κανόνες τής Εορτής, καί τών Αγίων.

Κανών τού Αγίου Επιφανίου, ού η Ακροστιχίς (άνευ τών Θεοτοκίων).

Επιφανίου τό κύδος έπλησε χθόνα.
Ιωάννου τού Δαμασκηνού.

Ωδή α' Ήχος α'
Σού η τροπαιούχος

Εν τώ τού θεράποντος πιστώς, πολιτευσάμενος νόμω τού γράμματος, τώ δεσποτικω υποκύψας ζυγώ, διέπρεψας Πανόλβιε, καί φωστήρ εδείχθης, τής γής φωτίζων τά πέρατα.

Πόθω θείου νόμου συσχεθείς, καί τού αδίκου προκρίνας τό δίκαιον, Πάτερ Επιφάνιε, συμβολικώς εδέξω τήν σωτήριον, πίστιν τής Τριάδος, εκ θείας ώσπερ προγνώσεως.

Ιατήρ σαρκός τε καί ψυχής, θεοειδής σοι εγένετο άνθρωπος, τώ υποζυγίω σου, τό τών παθών συναποκτείνας όρμημα, καί σvνθεραπεύσας, ψυχής τό άπιστον φρόνημα.

Θεοτοκίον

Όλην τήν μορφήν μου προσλαβών, ο εν μορφή Θεού πρίν καθορώμενος, όλην ανεκαίνισε, τή σή γαστρί θεοπρεπώς σκηνώσας Αγνή, όθεν Θεοτόκον πιστοί σε πάντες δοξάζομεν.

Έτερος Κανών τού Αγίου Γερμανού ού η Ακροστιχίς.

Τού ποιμενάρχου Γερμανού μέλπω κλέος.

Ωδή α'

Ήχος καί Ειρμός ο αυτός

Τής Ιερωσύνης τή στολή, κατακοσμούμενος Μάκαρ διέπρεψας, λόγω δέ τής χάριτος, τά τών πιστών πανευσεβώς συστήματα, ώφθης θεοφάντορ, καταφωτίζων τοίς δόγμασιν.

Όχημα υπήρξας αρετών, ού επιβάς τώ Θεώ προσεχώρησας, κόσμου τήν τερπνότητα, καταλιπών, καί τό σαθρόν δοξάριον, καί ουρανοφοίτης, τή σή σοφία γενόμενος.

Υπό τής προνοίας προγνωσθείς, ως Ιερεύς θεηγόρος εσόμενος, Πάτερ υπεξέφυγας, τυραννικήν μιαιφονίαν Όσιε, τού Θεού φρουρούντος, σέ δεξιά παντοκράτορι.

Θεοτοκίον

Ποίαν σοι επάξιον ωδήν, η ημετέρα προσοίσει ασθένεια, ειμή τήν χαρμόσυνον, ήν Γαβριήλ ημάς εμυσταγώγησε; Χαίρε Θεοτόκε, Παρθένε Μήτερ ανύμφευτε.

Τού Επιφανίου

Ωδή γ'

Ο μόνος ειδώς

Φαιόν περιβόλαιον ιδών, αιτήσαντι τόν έλεον, μεταδοθέν τοίς σώματος όμμασι, λαμπράν εσθήτα περιβαλλόμενον, νοητώς τεθέασαι, καί τή θεία χάριτι, εφωτίσθης πρός πίστιν αμώμητον.

Ακούσας ρημάτων ευσεβών, τήν ύλην εβδελύξω μέν, καί βίον επόθησας άϋλον, ως αίματος δέ συμμετασχούσάν σοι, καί τής γνώμης μέτοχον, προσλαβών τήν όμαιμον, ανεδείχθητε ζεύγος μακάριον.

Νεκρούς λογισμούς αποστραφείς, Παμμάκαρ Επιφάνιε, επιποθήσας ζώντι λατρεύειν Θεώ, τώ θείω δρόμω πιστώς προσέδραμες, καί εδέξω σύμβολον,

τηλαυγές πανόλβιε, τών νεκρών σου πεδίλων τήν έκπτωσιν.

Θεοτοκίον

Αγίων τόν Άγιον Χριστόν, αγίως απεκύησας, αγιωσύνης άγιον σκήνωμα, τόν εν Αγίοις αναπαυόμενον, ώ βοώμεν, Άγιος, ο ναός ο έμψυχος, τής αφράστου σου δόξης φιλάνθρωπε.

Τού Γερμανού

Ο αυτός

Ο θεία προγνώσει προειδώς, σής γνώμης τό ελεύθερον, καί τής ψυχής Σοφέ τήν ευγένειαν, χερσίν ανόμοις αναιρεθήναί σε, ως Θεός εκώλυσε, καί παρθένων τάγματι, ευνουχία πανσόφως κατέλεξεν.

Ιδείν εφιέμενος σαφώς, Παμμάκαρ τήν λαμπρότητα, τήν νοητήν τής θείας θεώσεως, ιεραρχίαν τήν σήν εκόσμησας, πολιτεία σώφρονι, καί σοφοίς διδάγμασιν, ορθοδόξως ιθύνας τό ποίμνιον.

Μεγάλης καθέδρας επιβάς, μεγάλως κατελάμπρυνας, τής Εκκλησίας Πάτερ τό πλήρωμα, διδασκαλίαις καί μελωδήμασι, Γερμανέ πανεύφημε, Ιεράρχα Όσιε, καί φωστήρ οικουμένης υπέρτιμε.

Θεοτοκίον

Εκ σού ανεβλάστησεν Αγνή, τό άνθος τό αμάραντον, ευωδιάζον τήν ανθρωπότητα, τώ θείω μύρω τής αυτού φύσεως, ο Πατρί συνάναρχος, καί εκ σού γενόμενος, υπό χρόνον, Παρθένε πανάμωμε.

Ο Ειρμός

Ο μόνος ειδώς τής τών βροτών, ουσίας τήν ασθένειαν, καί συμπαθώς αυτήν μορφωσάμενος, περίζωσόν με εξ ύψους δύναμιν, τού βοάν σοι, Άγιος, ο ναός ο έμψυχος, τής αφράστου σου δόξης φιλάνθρωπε».

Κάθισμα τού Επιφανίου

Ήχος γ'

Θείας πίστεως

Θείοις δόγμασι, τήν Εκκλησίαν, Πάτερ έπλησας, ορθοδοξίας, ταίς διδαχαίς σου αιρέσεις τρεψάμενος, τής ευσεβείας τόν δρόμον επλήρωσας, καί σύν τώ Παύλω τήν πίστιν ετήρησας, Επιφάνιε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Δόξα... τού Γερμανού

Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Ιεράν αμπεχόμενος τήν στολήν, ανεδείχθης υπέρμαχος τού Χριστού, μή πτήξας παράνομον, Βασιλέα, Πατήρ ημών, τόν αυχένα μή κλίνας, αθέω προστάγματι, ραπισμούς υποφέρων, ονείδη καί σκώμματα, όθεν ο αλάστωρ, τώ θυμώ υπερζέσας, φρουρά σε κατέκλεισε, μέχρι τέλους μακάριε, διά τούτο βοώμέν σοι, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Καί νύν... τής Εορτής

Τού Επιφανίου

Ωδή δ'

Όρος σε τή χάριτι

Ικέτης ως δούλος προσελθών τώ Βαπτίσματι, υιοθετήθης δι' αυτού, καί κληρονομος αληθώς, Θεού Επιφάνιε, καί τού Χριστού συγκληρονόμος γεγένησαι, θεοπρεπώς αυτώ πολιτευσάμενος.

Ορά σου πολλή ηγλαϊσμένον τό πρόσωπον, καί απορρήτω ο ποιμήν, δόξη καί στέφει ευπρεπεί, τήν ένδοξον κάραν σου υπερφυώς, κατεστεμμένην αοίδιμε, τής καθαράς σου καρδίας τά σύμβολα.

Υπήρξας δοχείον θείας χάριτος Όσιε, καί διεσκόρπισας σαφώς πλούτον τόν πρόσκαιρον Χριστώ καί όλβον αιώνιον, εν ουρανοίς ασύλητον εθησαύρισας, ώσπερ αγχίνους κριτής Επιφάνιε.

Τών νέων αμείψας εν νεότητι φρόνημα, στοιχειωθείς δέ πρεσβυτών, παρά σοφών καί συνετών, τώ φόβω Μακάριε, τώ θεϊκώ, μελέτη λόγων τού Πνεύματος, σύ εραστής τής σοφίας γεγένησαι.

Θεοτοκίον

Αγία Αγίων Θεοτοκε πανύμνητε, η προσδοκία τών εθνών, καί σωτηρία τών πιστών, εκ σού ανεβλάστησεν, ο λυτρωτής καί ζωοδότης καί Κύριος, εις σωτηρίαν ημών τών υμνούντων σε.

Τού Γερμανού

Ο αυτός

Νεκρώσας πανσόφως τής σαρκός τά σκιρτήματα, Ιερομύστα Γερμανέ, φιλοσοφίας φωτισμώ, τόν νούν κατελάμπρυνας, πνευματική μυσταγωγία κοσμούμενος, Χριστώ κραυγάζων, Δόξα τή δυνάμει σου.

Αρνείσθαι τό πάνσεπον Χριστού εξεικόνισμα, ο δυσμενέστατος εχθρός, παραφροσύνη προκληθείς, ταίς σαίς εξελήλεγκται, περιφανώς διδασκαλίαις αοίδιμε, αλλ' ανιάτως νοσών ουκ ησθάνετο.

Ρημάτων τόν έλεγχον τών σών υφορώμενος, ο θηριώνυμος, Σοφέ, καί θηριότροπος τον νούν, τού θρόνου κατάγει σε, τού Ιερού, αλλ' αντί τούτου επλούτησας, Ιερουργίαν Παμμάκαρ ουράνιον.

Θεοτοκίον

Χαράν σοι σαφώς απ' ουρανού αφικόμενος, ο Αρχιστράτηγος Αγνή, ευηγγελίσατο, ειπών, Θεός εξελεύσεται, μετά σαρκός, εκ σού Παρθένε πανάχραντε, εις σωτηρίαν τών πόθω υμνούντων σε.

Τού Επιφανίου

Ωδή ε'

Ο φωτίσας τή ελλάμψει

Οσίως σου τήν γαστέρα, εν άρτω καί ύδατι, εστένωσας, κεχρημένος ως όψω τώ άλατι, καί παθών εκράτησας σαρκός, εν σώματι τον βίον, τών Ασωμάτων μιμούμενος.

Κατώκτιρας τρυχομένους, τώ δίψει εν καύσωνι, καί ήμειψας ευπρεπώς τών σημείων αρχόμενος ως θεράπων άριστος, τόν σόν μιμούμενος Δεσπότην οίνον εις ύδωρ Μακάριε.

Υπέδρασας τόν κενόν, τών ανθρώπων δοξάριον, καί έρημον, ώσπερ ο σος Δεσπότης κατώκησας, πειρασμοίς δέ εχώρησας δαιμονικήν, πρός πάλην αοράτως, τό ασθενές σου νευρούμενος.

Θεοτοκίον

Λόγον θείον, διά λόγου εν μήτρα εχώρησας, υπέρ λόγον Θεοτόκε, αυτόν ούν δυσώπησον, εξ αλόγων πράξεων, καί ηδονών θανατηφόρων, ελευθερώσαι τούς δούλους σου.

Τού Γερμανού

Ο αυτός

Ο λοκλήρως τόν Χριστόν, αγαπήσας θεοληπτε, ηγαπήθης παρ' αυτού, επαξίως καί είληφας, χαρισμάτων πέλαγος, καί γάρ σοφώς ταίς διδαχαίς, σου, τήν Εκκλησίαν εφώτισας.

Υμνωδίαις Γερμανέ, θεοπνεύσοις εφαίδρυνας, τάς χορείας τών πιστών, καί τά θεία πληρώματα, η γάρ παναρμονιος νευρά, Πάτερ τής σής καρδίας, τους Ορθοδόξους ελάμπρυνε.

Γηθόμενος, τών Μαρτυρων τούς άθλους καί τρόπαια, στηλιτεύσας εγκωμίων καί λόγων συνθέσεσι, καί αύθις Αοίδιμε, εικονικαίς χρωματουργίαις, εις έν συνάπτων αμφότερα.

Θεοτοκίον

Ευφραίνονται, ουρανών αι δυνάμεις ορώσαί σε αγάλλονται, συν αυτοίς τών βροτών τά συστήματα, τώ γάρ τόκω ήνωνται τώ σώ, Παρθένε Θεοτόκε, όν επαξίως δοξάζομεν.

Τού Επιφανίου

Ωδή ς'

Εκύκλωσεν υμάς

Δαιμόνων σε οι μίμηται εκύκλωσαν, τής Άγαρ οι απόγονοι, τόν Δεσπότην δ'

εκμιμούμενος τόν σόν, τόν αντιδικούντα ευηργέτησας, καί διφαή, έδειξας Πάτερ τόν ετερόφθαλμον.

Ο Πλάστης σου εν σοί αναπαυσάμενος, τού Πνεύματός σε όργανον, καί Θεόν ως Μωϋσήν τώ Φαραώ, έδειξεν Αράβων τοίς σκηνώμασι, παναληθώς, ώφθης τόν τρόπον τούτου μιμούμενος.

Συνέσεισε τών Ασσυριων άνακτα, τό πνεύμα διωκόμενον, εχρημάτισε δέ άγγελος τής σής, Πάτερ αρετής καί θείας χάριτος, τούς γάρ αυτόν οίδε δοξάζειν Θεός δοξάζοντας.

Θεοτοκίον

Ευφραίνονται εν σοί Παρθένε άχραντε, τού γένους οι προπάτορες, τήν Εδέμ απολαβόντες διά σού, ήν εκ παραβάσεως απώλεσαν, σύ γάρ αγνή, καί πρό τόκου καί μετά γέννησιν.

Τού Γερμανού

Ο αυτός

Ρυθμίζεται ταίς διδαχαίς σου Πάνσοφε, καί λόγοις τό βασίλειον ιεράτευμα, λαός τε τού Χριστού, ο ηγιασμένος καί θεόκλητος, καί πρός Θεόν, καθοδηγείται ταίς υποθήκαις σου.

Μνημόνευε τών σέ υμνούντων Όσιε, Θεώ νύν παριστάμενος, καί πληρούμενος τής θείας καλλονής, καί τής ακηράτου ωραιότητος, πρός τήν ζωήν, καθοδηγήσαι ταίς ικεσίαις σου.

Ανάβασιν σοφώς τού βίου τέθεικας, εκ δόξης καί δυνάμεως, πρός ουράνιον σύ δόξαν καί ισχύν, Ένδοξε προβαίνων ταίς ασκήσεσιν, έως Χριστώ, τώ ποθουμένω χαίρων ωμίλησας.

Θεοτοκίον

Νύν Πάναγνε τόν σόν οικέτην λύτρωσαι, εκ πάσης περιστάσεως, τρικυμίας τε καί ζάλης τών παθών, καί πρός σόν λιμένα καθοδήγησον, συ γάρ εμού, καί προστασία καί επανόρθωσις.

Ο Ειρμός

«Εκύκλωσεν ημάς εσχάτη άβυσσος, ουκ έστιν ο ρυόμενος, ελογίσθημεν ως πρόβατα σφαγής σώσον τόν λαόν σου ο Θεός ημών, σύ γάρ ισχύς, τών ασθενούντων καί επανόρθωσις».

Κοντάκιον κοινόν

Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ

Ιεραρχών τήν θαυμαστήν ξυνωρίδα, ανευφημήσωμεν πιστοί κατά χρέος, σύν Γερμανώ τόν θείον Επιφάνιον, ούτοι γάρ κατέφλεξαν, τών αθέων τάς γλώσσας, δόγματα σοφώτατα, διαθέμενοι πάσι, τοίς ορθοδόξως μέλπουσιν αεί, τής ευσεβείας τό μέγα μυστήριον.

Ο Οίκος

Ως Ιερέων καλλονήν, καί δόξαν ορθοδόξων, δυάδα τήν αγίαν τιμήσωμεν αξίως, ούτοι γάρ ώφθησαν ημίν πύργοι ασφαλείας, κατ' εχθρών τών ορατών καί αοράτων πάντοτε, τής πίστεως στύλοι ακλόνητοι, καί τής Εκκλησίας θείος κόσμος, όν φορούσα ορθοτομεί, ευθύμως βοώσα, Ευφράνθη εν εμοί τό πνεύμά μου όντως, τήν στολήν μου ώσπερ πρίν απολαβούση, ήν αιρετικοί διέρρηξαν, μή υμνούντες τής ευσεβείας τό μέγα μυστήριον.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΒ' τού αυτού μηνός, Μνήμη τού εν Αγίοις Πατρός ημών Επιφανίου, Επισκόπου Κωνσταντίας τής Κύπρου.

Στίχοι

- Φανείς Επιφάνιος εν Κύπρω μέγας,
- Κλέος παρ αυτή καί θανών έχει μέγα.
- Τή δυοκαιδεκάτη Επιφάνιον μόροςείλε.

Τή αυτή ημέρα, Μνήμη τού εν Αγίοις Πατρός ημών Γερμανού, Αρχιεπισκόπου Κωνσταντινουπόλεως.

Στίχοι

- Χαίρων αφείς γήν Γερμανός καί γής θρόνον,
- Γής Δημιουργού τόν θρόνον χαίρει βλέπων.

Ταίς αυτών αγίαις, πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τού Επιφανίου

Ωδή ζ'

Σέ νοητήν, Θεοτόκε κάμινον

Εκ θεϊκής, δεδεγμένος χάριτος, τήν τών θαυμάτων δωρεάν, τοίς αιτούσί σε δωρεάν, Πάτερ τά ιάματα, άπασι διένειμας, ως ο Δεσπότης προσέταξεν, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Πίπτει ποδών, σού προκυλινδούμενος, ο Ασσυρίων βασιλεύς, ευλαβείσθε γάρ αρετήν, οίδε καί πολέμιος, άπας υποπίπτει δέ, οίς ενοικών Χριστός αναπαύεται, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Λόγος σιγά, τών κατορθωμάτων σου, καί τών θαυμάτων τήν πληθύν, τό κατ' έπος ου δυνηθείς, φράσαι Παμμακάριστε, ψάμμον υπερέβη γάρ, ών ο Χριστός σοι δεδώρηται, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Τριαδικόν

Η τριφεγγής, ενιαία άληπτος, απείρου άβυσσος φωτός, εποπτεύοις σούς υμνητάς, ο υπερυψούμενος, άναρχος αρχή, Πατήρ, Υιός καί Πνεύμα συναΐδιον, οαινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Θεοτοκίον

Σέ Ιακώβ, Θεοτόκε κλίμακα, προφητικώς κατανοεί, διά σού γάρ επί τής γής, ο υπερυψούμενος, ώφθη τοίς ανθρώποις τε, συνανεστράφη ως ηυδόκησεν, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Τού Γερμανού

Ο αυτός

Όλην εν σοί, τήν αυγήν τού Πνεύματος, εισδεδεγμένος αληθώς, αναβρύεις ως ποταμός, Πάτερ αξιάγαστε, δόγματα σωτήρια, θεοτερπή τε διδάγματα, τόν αινετόν μεγαλύνων, Θεόν καί υπερένδοξον.

Υμνολογών, ευσεβώς εφαίδρυνας, τάς τού Δεσπότου εορτάς, αναμέλπων μελωδικώς, ένθεος, γενόμενος, πάντας τούς Αγίους τε, σαίς μουσικαίς εμεγάλυνας, πρός αρετήν επαλείφων, σοφώς τούς πίστει ψάλλοντας.

Τριαδικόν

Μίαν αρχήν, ενιαίαν άτμητον, εν υποστάσεσι τρισί, θεολόγω γλώσση βοών, πάσιν ανεκήρυξας, άναρχον Γεννήτορα, Μονογενή τε συνάναρχον, καί συμφυές θείον Πνεύμα, τρανώς καί ομοούσιον.

Θεοτοκίον

Εν σοί αγνή, Θεοτόκε τίθημι, πάσαν ελπίδα, καί πρός σέ, καταφεύγω διά παντός, Σώσόν με πανάμωμε, ρύσαι ταίς πρεσβείαις σου, τής κατεχούσης συγχύσεως, καί ταραχής, τών δεινών μου παθών καί παραπτώσεων.

Τού Επιφανίου

Ωδή η'

Εν καμίνω παίδες

Σύ τώ λόγω ήλεγξας σαφώς, αι ρέσεων τήν πλάνην, καί φέγγει τής ευσεβείας, εφυγάδευσας αυτήν, βοών Επιφάνιε, Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Επί θρόνου ήρθης υψηλού, παθών γάρ βασιλεύσας, σαρκός τε επικρατήσας, σύ εποίμανας Χριστού, κραυγάζων τό ποίμνιον, Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Χορευέτω πάσα νοερά, καί λογική ουσία, τή μνήμη τού Ιεράρχου, καί θεράποντος Χριστού, πιστώς ανακράζουσα, Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεαρέστως σύ θεολογών, ως άγκυραν δογμάτων, τοίς πάσι θεολογίαν, καταλέλοιπας τήν σήν, δι' ής αναμέλπομεν, Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Χαίρε θρόνε ένδοξε Θεού, πιστών χαίρε τό τείχος, δι' ής φώς τοίς εν σκότει, εξανέτειλε Χριστός, τοίς σέ μακαρίζουσι καί βοώσιν, Ευλογείτε πάντα τά έργα

Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Τού Γερμανού

Ο αυτός

Λαμπηδόσι καί μαρμαρυγαίς, φωτός τής τρισηλίου, λαμπάδος Ιεροφάντορ, ενηδόμενος τανύν, κραυγάζεις γηθόμενος, Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Πολυφώτου καί πλησιφαούς, Πάτερ ηξιωμένος, χορείας επουρανίου, εν σκηνώμασιν ημών, βοώντων μνημόνευε, Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ως τηρήσας τό θεοειδές, καί Θεού κατ' εικόνα, εικόνας τάς τών Αγίων, ανεστήλωσας ειδώς, επί τό πρωτότυπον, διαβαίνειν πάσαν τιμήν τε καί δόξαν, πανεύφημε καί γέρας. Κύριον υμνείτε, βοών εις τούς αιώνας.

Θεοτοκίον

Καινώ τρόπω καί υπερφυεί, Παρθένε συλλαβούσα, τόν Λόγον τόν τώ Πατρί, συγκαθορώμενον Υιόν, Παρθένος διέμεινας, Σέ υμνούμεν πάντα τά έργα, τό Χαίρέ σοι βοώντες, καί υπερυψούμεν, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Εν καμίνω Παίδες Ισραήλ, ως εν χωνευτηρίω, τώ κάλλει τής ευσεβείας, καθαρώτερον χρυσού, απέστιλβον λέγοντες, Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Τού Επιφανίου

Ωδή θ'

Τύπον αγνής

Όρος πρακτικής ο βίος σου, καί θεωρίας θείας Πάτερ οι λόγοι σου, τώ θεόφρονι, όντως λαώ κατελείφθησαν, Επιφάνιε μάκαρ αοίδιμε, διό σε επαξίως, ανευφημούντες μακαρίζομεν.

Νύμφης τού Χριστού προϊστασο, τής Εκκλησίας ένδοξε επιφάνιε, καί κατεύνασον, τόν κατ' αυτής εγειρόμενον, ταίς πρεσβείαις σου άγριον κλύδωνα, ως έχων παρρησίαν, πρός τόν Δεσπότην καί φιλάνθρωπον.

Άναξ τών ανακτων Άγιε, μοναρχική Τριάς, η πάντων δεσπόζουσα, τοίς υμνούσί σε, τήν τών πταισμάτων συγχώρησιν, καί τού βίου παντός τήν κατάστασιν, απείραστον παράσχου, Επιφανίου ταίς εντεύξεσι.

Θεοτοκίον

Άπας εγκωμίων πάναγνε, νόμος ηττάται τώ μεγέθει τής δόξης σου. αλλά Δέσποινα, παρ' οικετών αναξίων σου, εξ ευνοίας δέ σοι προσφερόμενον, προσδέχου Θεοτόκε, μετ' ευμενείας τό εφύμνιον.

Τού Γερμανού

Ο αυτός

Λύειν καί δεσμείν τά πταίσματα, τήν εξουσίαν ουρανόθεν δεξάμενος, εννομώτατος, ως Ιερεύς παμμακάριστε, τοίς υμνούσί σε Πάτερ τήν άφεσιν, πρεσβείαις σου παράσχου, ίνα σε πάντες μακαρίζωμεν.

Εύρες αμοιβάς τών πόνων σου, Ιεροφάντορ Γερμανέ παμμακάριστε, τό μακάριον, απειληφως ενδιαίτημα, καί ζωής αιωνίου λαβόμενος, καί θείας θεωρίας, ακαταπαύστως εμφορούμενος.

Όλον σεαυτόν ανέθηκας, τώ παντεπόπτη Λόγω καί παντοκράτορι, καλλιέρημα, αναδειχθείς Ιερώτατον, καί θυσίαν δεκτήν καί ευάρεστον, προσάγων τώ Κυρίω, σών πονημάτων τά εφύμνια.

Θεοτοκίον

Στήσον τής σαρκός τό φρόνημα, καί τών παθών Παρθένε παύσον τόν τάραχον, τού προσφεύγοντος, Θεογεννήτορ τή σκέπη σου, καί ελπίδος κρηπίδά σε έχοντος, καί θείαν προστασίαν, πεπλουτηκότος καί αντίληψιν.

Ο Ειρμός

«Τύπον τής αγνής λοχείας σου, πυρπολουμένη βάτος έδειξεν άφλεκτος, καί νύν καθ' ημών, τών πειρασμών αγριαίνουσαν, κατασβέσαι αιτούμεν τήν κάμινον, ίνα σε Θεοτόκε, ακαταπαύστως μεγαλύνωμεν».

Εξαποστειλάριον κοινόν

Γυναίκες ακουτίσθητε

Δεύτε πιστοί τιμήσωμεν, τήν θείαν καί πανίερον, Ιεραρχών ξυνωρίδα, εν υμνωδίαις ασμάτων, τόν θείον Επιφάνιον, καί Γερμανόν τούς λύσαντας, αιρέσεων σκοτόμαιναν, καί ευσεβείας ακτίσι, φωτίσαντας πάσαν κτίσιν.

Καί τής Εορτής

Εις τόν Στίχον τών Αίνων, Στιχηρά τής Εορτής.

Δόξα... τού Αγίου Γερμανού

Ήχος πλ. δ'

Τή μελέτη τών θείων Γραφών σεαυτόν παρασχόμενος, καί ταίς εκείθεν ακτίσι τόν νούν καταυγασθείς, τής Ιερωτάτης ιεραρχίας σκεύος καθαρόν, καί φωτός έμπλεων ανεδείχθης, Γερμανέ Πατήρ ημών όθεν καί ταίς σοφαίς σου διδασκαλίαις, τό τού Χριστού ποίμνιον, εις νομάς ζωηφόρους οδηγήσας, καί Γραφικαίς αποδείξεσι, τήν τών Εικονομάχων αίρεσιν στηλιτεύσας, τής Ορθοδόξου πίστεως πρόμαχος εγένου, καί φυλακαίς καί θλίψεσι προσεπάλαισας, καί νύν παριστάμενος Χριστώ, πρέσβευε υπέρ τών ψυχών ημών.

Καί νύν... Τής Εορτής

Καί η λοιπή Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΓ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής Αγίας Μάρτυρος Γλυκερίας.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά τής Εορτής γ' καί τής Αγίας γ'.

Στιχηρά τής Αγίας

Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Διά πόνων αθλήσεως, τόν Δεσπότην νενύμφευσαι, παρθενίας κάλλεσι διαλάμπουσα, καί ώσπερ προίκα προσήγαγες, αυτώ παναοΐδιμε, τών μελών τήν εκκοπήν, καί τόν βίαιον θάνατον, όθεν έτυχες, ουρανίων θαλάμων Γλυκερία, δυσωπούσα τού σωθήναι, τούς σέ πιστώς μακαρίζοντας.

Ως ανδρείον τό φρόνημα, καί γενναία η ένστασις, τής ψυχής σου Ένδοξε εναπέφηνεν, εν ασθενεία γάρ σώματος, προθύμω δέ πνεύματι, τόν αρχέκακον εχθρόν, κατεπάτησας λέγουσα, Σύ εί Κύριε, η ίσχύς καί τό κλέος τών σών δούλων, ο δυνάμει αηττήτω, τόν ισχυρόν τροπωσάμενος.

Ου λιμός, ουδέ κίνδυνος, αλγεινών τε επίτασις, τής αγάπης ένδοξε ου κατίσχυσαν, Χριστού χωρίσαι αοίδιμε, ου κάθειρξις βίαιος, ουδέ κάμινος πυρός, ού τών λίθων κατάστρωσις, όθεν δέδεξαι, εκ Θεού θείαν δρόσον Γλυκερία, καί εκ γής καί τών γηΐνων, πρός τήν ζωήν μεταβέβηκας.

Δόξα... καί νύν... Τής Εορτής

Εις τόν Στίχον, Στιχηρά τής Εορτής

Απολυτίκιον
Τόν συνάναρχον Λόγον

Δεύτε πάντες φιλέορτοι νύν συνέλθωμεν, εν τώ ναώ Γλυκερίας τής καλλιμάρτυρος, καί τήν επέτειον αυτής μνήμην τελέσωμεν, Ότι δοράν τής κεφαλής, αφαιρεθείσα απηνώς, απέπνιξε τόν Βελίαρ, καί Χριστώ συμπαρισταμένη, υπέρ ημών αεί πρεσβεύει Αυτώ.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, Καθίσματα τής Εορτής, καί οι Κανόνες τής Εορτής, καί τής Αγίας.

## Κανών τής Αγίας

### Ωδή α' Ήχος β'
Δεύτε λαοί

Τών αρετών, σήμερον καί τών θαυμάτων αυτής, τόν μυστικόν πληρώσασα, κρατήρα άπαντας, Γλυκερία η Μάρτυς, εις πόσιν ευφροσύνης πιστούς προσκέκληται.

Μαρτυρικαίς, ηγλαϊσμένη λαμπρότησι, τώ καθαρώ παρίστασαι, Μάρτυς νυμφίω σου, ψυχοφθόρον πταισμάτων, αιτούσα λυτρωθήναι τούς ανυμνούντάς σε.

Πρός αικισμούς, πρός αλγηδόνας, πρός μάστιγας, πολυειδείς απτόητος, Μάρτυς, εχώρησας, συνεργούσαν γάρ είχες, τού Πνεύματος τήν χάριν καί συναρήγουσαν.

Θεοτοκίον

Γνώσιν Θεού, άπαντες κατεπλουτήσαμεν, καί επιγνόντες Δέσποινα, σέ Θεομήτορα, καί Κυρίαν τιμώμεν, τοίς πράγμασι τούς λόγους επισφραγίζοντες.

### Ωδή γ'
Στερέωσον ημάς

Τά αίματα Χριστώ ώσπερ αρώματα, καί μύρα κομίσασα Αθληφόρε, ευωδία προσηνέχθης αυτώ, πλημμυρούσα τοίς πάσι τά ιάματα.

Ευφράνθη νοητώς εν τοίς αγώσί σου, Μαρτύρων καλλώπισμα, ο Δεσπότης, ευφροσύνην όθεν θείαν σε, τών πιστών ταίς καρδίαις επεβράβευσε.

Θεοτοκίον

Ερράγη τής αράς Θεοχαρίτωτε, τό πάλαι μεσότοιχον, καί η έχθρα, εξηφάνισται τώ τόκω σου, καί Αγγέλοις συνήφθημεν οι άνθρωποι.

Ο Ειρμός

«Στερέωσον ημάς εν σοί Κύριε, ο ξύλω νεκρώσας τήν αμαρτίαν, καί τον φόβον σου εμφύτευσον, εις τάς καρδίας ημών τών υμνούντων σε».

### Κάθισμα Ήχος δ'
Ο υψωθείς εν τώ Σταυρώ

Τών νοουμένων τό τερπνόν προορώσα, τών ορωμένων τό ρευστόν παριδούσα, ταίς θεϊκαίς ωχύρωσας ελπίσι τόν νούν, όθεν πρός τό στάδιον, τής αθλήσεως Μάρτυς, χαίρουσα εισέδραμες, καί τόν όφιν καθείλες, καί ανεπλέξω νίκης ευπρεπή, ώ Γλυκερία καί άφθαρτον στέφανον.

Καί τής Εορτής

## Ωδή δ'

## Εισακήκοα Κύριε

Τών παθών αποκτείνασα, τούς αοράτους θήρας Γλυκερία, ορωμένους θήρας ουκ εδειλίασας.

Ον εκήρυττες Κύριον, πρό οφθαλμών ορώσα Αθληφόρε, υπερείδες πάντα τά τών αισθήσεων.

Θεοτοκίον

Οι προστάτιν σε Δέσποινα, καί τής ψυχής Παρθένε προσδοκίαν, ευσεδώς πλουτούντες ουκ αισχυνθήσονται.

## Ωδή ε'

## Ο φωτισμός

Φόβον Θεού, εν γαστρί διανοίας εισδεξαμένη, πνεύμα σωτηρίου ομολογίας, καί μαρτυρίου, έτεκες Γενναιόφρον, παραδόξως στερρώς αθλήσασα, καί τάς εναντίας αρχάς θριαμβεύσασα.

Σού τό σεπτόν, καί μακάριον πάθος εκμιμουμένη, η δι' απαθείας σου συναφθείσα, πάσχει προθύμως, εν πυρί βεβλημένη, ζωοδότα Χριστέ κραυγάζουσα, Έτερον εκτός σου Θεόν ουκ επίσταμαι.

Θεοτοκίον

Η φωτεινή, τού ηλίου νεφέλη λάμψον μοι αίγλην, λύουσαν τόν ζόφον τής αμαρτίας, δίδου μοι χείρα, καί παθών εν τώ βόθρω, Θεοτόκε κείμενον έγειρον, μόνη τού πεσόντος Αδάμ η ανάκλησις.

## Ωδή ς'

## Εν αβύσσω πταισμάτω

Λαμπρυνθείσα τή αίγλη τού Πνεύματος, καί τής καθαρότητος ταίς ωραιότησι, κεκοσμημένη Ένδοξε, τώ Δεσπότη Χριστώ νύν παρίστασαι.

Τόν καλόν όντως άθλον ανύσασα, καί τής ευσεβείας τόν δρόμον τελέσασα, δικαιοσύνης είληφας, εκ Θεού τόν επάξιον στέφανον.

Θεοτοκίον

Γνωστικήν ευφροσύνην γινώσκων σε, πάναγνε, παθών τής αγνοίας τό κάλυμμα, ταίς σαίς πρεσβείαις Δέσποινα, αποτίθεμαι, Δόξα τώ κράτει σου.

Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, Εκ φθοράς ο Θεός με ανάγαγε».

## Κοντάκιον τής Εορτής

## Συναξάριον

Τή ΙΓ' τού αυτού μηνός, Μνήμη τής Αγίας Μάρτυρος Γλυκερίας.

Στίχοι

- Θηρός τό πικρόν δήγμα τή Γλυκερία
- Υπέρ γλυκάζον ως αληθώς ήν μέλι.
- Εν τριτάτη δεκάτη δάκε καί κτάνε θήρ Γλυκερίαν.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Σεργίου τού Ομολογητού.

Στίχοι

- Ο Σέργιός μοι πώς τελευτάς τόν βίον,
- Κοινώ τέλει τέθνηκα, καί ζών ειμί σοι.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Παυσικάκου, Επισκόπου Συννάδων.

Στίχοι

- Ο Παυσικάκου προστρέχων τώ λειψάνω,
- Παθών κακούντων παύσιν ευρίσκει ξένην.

Τή αυτή ημέρα, ο άγιος Λαοδίκιος ο δεσμοφύλαξ, ξίφει τελειούται.

Ο άγιος Ιερομάρτυς Αλέξανδρος, επίσκοπος Τιβεριανών, ξίφει τελειούται.

Ο όσιος Ευθύμιος ο νέος, ο κτίτωρ τής εν Άθω μονής τών Ιβήρων καί Ιωάννης ο Ίβηρ, ο πατήρ τού ρηθέντος Ευθυμίου, καί Γεώργιος ο συγγενής αυτών, εν ειρήνη τελειούνται.

Ο όσιος Γαβριήλ ο Ίβηρ, ο θείας φωνής ακηκοώς, καί εξαγαγων τής θαλάσσης τήν θανματουργόν εικόνα τής Πορταϊτίσσης, εν ειρήνη τελειούται.

Οι μοναχοί οσιομάρτυρες ιβηρίται, οι τούς λατινόφρονας ελέγξαντες, τόν βασιλέα, φημί, Μιχαήλ, καί τόν πατριάρχην Βέκκον, εν τη θαλάσση βληθέντες τελειούνται.

Στίχοι

- Υπέρ πατρώων επνίγητε δογμάτων
- Καί πρός γαληνούς ωρμίσασθε λιμένας.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Εικόνος χρυσής

Τό κάλλος Χριστού, εν εσόπτρω νοητώ τώ τής αγνείας, κατανοούσα επεπόθησας, τούτο ενθέως Αοίδιμε, καί δραμούσα τούτου οπίσω, δι' αθλήσεως έψαλλες, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Ωραίαν στολήν, τών αιμάτων ταίς βαφαίς πεποικιλμένην, περιθεμένη

καθυπέδειξας, τής ευσεβείας τήν κόσμησιν, πάσιν Αθληφόρε τοίς πίστει, ανυμνούσι καί ψάλλουσιν, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Ιδού σε Αγνή, πάσα φύσις γηγενών δοξολογούσιν, υπερθαυμάζοντες τό μυστήριον, τής σής κυήσεως άχραντε, καί χαρμονικώς εκβοώντες, τώ εκ σού ανατείλαντι, Ευλογητός εί ο Θεός, ο τών πατέρων ημών.

Ωδή η'

Τόν εν καμίνω τού πυρός

Τόν τής αγνείας νοητόν, κεκτημένη εραστήν Χριστόν νυμφίον, σεαυτήν Αθληφόρε, εν καθαρότητι νού, καί πόνοις θείοις εκαλλώπισας, καί τούτω ηρμόσθης διά τού μαρτυρίου.

Η συντριβή σου τών μελών, εξελέπτυνεν εχθρών μηχανουργίας τών αιμάτων η ρύσις, τής αθεϊας δεινούς, χειμάρρους Σοφή απεξήρανε, πέλαγος θαυμάτων ημίν αναδειχθείσα.

Θεοτοκίον

Σώσον οικτίρησον ημάς, τόν οικτίρμονα Θεόν αποτεκούσα, υπέρ λόγον Παρθένε, πυρκαϊάς λογισμών, παθών τε εξαίρουσα καύσωνα, ταίς σαίς ικεσίαις αγνή Θεοκυήτορ.

Ο Ειρμός

«Τόν εν καμίνω τού πυρός, τών Εβραίων τοίς παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον, μεταβαλόντα Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε εις πάντας τούς αιώνας».

Ωδή θ'

Τόν εκ Θεού Θεόν Λόγον

Υπεραρθείσα απάσης, σαρκικής προσπαθείας, τώ πόθω τού νυμφίου σου Σεμνή, άσαρκον βίον επόθησας, διό σύν τοίς αϋλοις, Χριστόν τόν εραστήν σου νοερώς, καθορώσα δοξάζεις, ως πάντων ποθεινότερον.

Μετά πολλάς τάς βασάνους, τό ακίβδηλον πνεύμα, Κυρίω παραδέδωκας τό σόν, ουτή ανόδω εκρότησαν, επουράνιαι τάξεις, Χριστός δέ παναλκεί σε δεξιά εστεφάνωσε Μάρτυς, νομίμως εναθλήσασαν.

Θεοτοκίον

Η ταίς φωναίς καμπτομένη, τών θερμώς σε αιτούντων, η μόνη τών πιστών καταφυγή, σώσον οικτίρησον Δέσποινα, διατήρησον βλάβης, εκ πάσης καί εχθρών επιβουλής, τούς εν πίστει καί πόθω, αεί σε μεγαλύνοντας.

Ο Ειρμός

«Τόν εκ Θεού Θεόν Λόγον, τόν αρρήτω σοφία, ήκοντα καινουργήσαι τόν Αδάμ, βρώσει φθορά πεπτωκότα δεινώς, εξ Αγίας παρθένου, αφράστως σαρκωθέντα δι' ημάς, οι πιστοί ομοφρόνως, εν ύμνοις μεγαλύνωμεν».

Εξαποστειλάριον τής Εορτής

Εις τόν Στίχον τών Αίνων, Στιχηρά τής Εορτής.

Τά λοιπά, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

**ΤΗ ΙΔ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τού Αγίου Μάρτυρος Ισιδώρου τού εν τή Χίω.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ' καί τού Μάρτυρος γ'.

Στιχηρά τού Μάρτυρος

Ήχος δ'
Έδωκας σημείωσιν

Ζήλω πυρπολούμενος, τής ευσεβείας Ισίδωρε, υπεισήλθες τό στάδιον, θερμώς τής αθλήσεως, καί βραβείον νίκης, Μάρτυς απηνέγκω, κατά τής πλάνης διδαχαίς, θεοφιλέσιν ωραϊζόμενος, Σταυρού δέ κρατυνόμενος, τή πανοπλία κατέβαλες, τόν αλάστορα τύραννον, νικηφόρος δεικνύμενος.

Μάστιξι ξεόμενος, τής δερματίνης νεκρώσεως, τούς χιτώνας ενδέδυσαι, στολήν αφθαρσίας δέ, καί λαμπράν εσθήτα, περιβεβλημένος, θάττον τώ ξύλω τής ζωής, αποκατέστης ζωήν δρεψάμενος, τήν όντως ακατάλυτον, καί ατελεύτητον Ένδοξε, ής περ νύν εμφορούμενος, τούς υμνούντάς σε εύφρανον.

Όντως υπερβέβηκε, τά τών Μαρτύρων παλαίσματα, τών επαίνων τήν σύνθεσιν, καί λόγον καί έννοιαν, οι στερροί γάρ πύργοι, τής θεοσεβείας, σώμα θνητόν καί παθητόν, ως τό ημέτερον περικείμενοι, πυρός τε κατετόλμησαν, καί τών πληγών κατεφρόνησαν, ως εν σώματι πάσχοντες, αλλοτρίω οι ένδοξοι.

Δόξα... Καί νύν... Τής Εορτής

Εις τόν Στίχον. Στιχηρά τής Εορτής.

Απολυτίκιον τής Εορτής, Καί Απόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, οι Κανόνες τής Εορτής, καί τού Αγίου.

Ο Κανών τού Αγίου, ού η Ακροστιχίς.

Τόν κλεινόν Ισίδωρον υμνώ προφρόνως.
Ποίημα Θεοφάνους.

Ωδή α'  Ηχος πλ δ'
Υγράν διοδεύσας

Ταίς σαίς ικεσίαις Μάρτυς Χριστού, Ισίδωρε μάκαρ, ουρανόθεν μοι φωτισμόν, παράσχου καί χάριν ευφημήσαι, τήν εορτήν σου τήν σεβάσμιον.

Ολόκληρον έχων πρός τόν Θεόν, Ισίδωρε Μάρτυς, τήν καρδίαν καί τήν ψυχήν, πανάμωμον έσχες καί τόν βίον, μαρτυρικώς εγγυμναζόμενος.

Νομίμως ρυθμίσας σου τήν ζωήν, Ισίδωρε μάκαρ, ώσπερ άσυλον θησαυρόν, τήν πίστιν εκράτεις, ατρεπτόν τε τήν σωτηρίαν παμμακάριστε.

Θεοτοκίον

Κυρίως τεκούσα φύσει Θεόν, κυρίως ακούεις, Θεοτόκος καί αληθώς, τήν προσηγορίαν καταλλήλως, τώ θείω Λόγω Αγνή περιφέρουσα.

Ωδή γ'
Σύ εί τό στερέωμα

Λόγω κυβερνώμενος, τάς τών παθών ορμάς ένδοξε, Μάρτυς Χριστού, αρετών ασκήσει, αθλοφόρε ημαύρωσας.

Έχων ακατάπληκτον, τήν τής ψυχής ορμήν ένδοξε, πανευσεβώς, τήν ομολογίαν, αρραγή διετήρησας.

Ίλεων πρεσβείαις σου, τόν τού παντός Κριτήν έργασαι, τοίς ευλαβώς, τήν σήν ευφημούσιν, Αθλοφόρε πανήγυριν.

Θεοτοκίον

Νέκρωσον τό φρόνημα, τό τής σαρκός ημών Δέσποινα, καί τήν ψυχήν, ζώωσον Παρθένε, τών εν πίστει υμνούντων σε.

Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Κάθισμα  Ήχος γ'
Τήν ωραιότητα

Αγωνισάμενος, κατά τού όφεως, έστησας τρόπαιον, Μάρτυς Ισίδωρε, εκ τής Αιγύπτου γάρ φωστήρ, αυγάζων τήν υφήλιον, πάσιν εξανέτειλας, τάς κινήσεις ποιούμενος, πρός τόν ανατείλαντα, εκ Παρθένου θεόπαιδος, δι' όν σφαγιασθείς αθλοφόρε, θύμα ευώδες γεγένησαι.

Καί τής Εορτής

Ωδή δ'
Σύ μου ισχύς, Κύριε

Όλον εν σοί, τόν λόγον εισοικισάμενος, στρατιώτης, ως ακαταγώνιστος, τυραννικήν ήσχυνας οφρύν, καί τροπαιοφόρος, εντεύθεν μάκαρ γενόμενος, στεφάνους αμαράντους, εκ Θεού εκομίσω, παναοίδιμε Μάρτυς, Ισίδωρε.

Νεανικώς, καταδιώξας, Ισίδωρε, τούς εχθρούς σου, τούτους κατελέανας, τώ φοβερώ όπλω τού Σταυρού, περιπερραγμένος, ισχύν τε περιζωσάμενος, καί τούς μισήσαντάς σε, εξωλόθρευσας κράζων, Τή δυνάμει σου δόξα Φιλάνθρωπε.

Ιχνηλατών, τά τού Δεσπότου παθήματα, εμιμήσω, θάνατον εκούσιον, τό δι' αυτόν, θέλων υποστάς, όθεν ακηράτου, ζωής σε Μάρτυς ηξίωσεν, ο Κύριος τής δόξης, ού χερσίν εναπέθου, τήν ψυχήν σου παμμάκαρ, Ισίδωρε.

Θεοτοκίον

Σωματωθείς, ανακαινίζει τόν άνθρωπον, όλως όλω, Πάναγνε ενούμενος, ο πατρικούς, κόλπους μή λιπών, καί τήν σήν γαστέρα, οικήσαι καταδεξάμενος, ο πλούτω ευσπλαγχνίας, εκουσίως πτωχεύσας, καί πλουτίσας τόν κόσμον θεότητι.

## Ωδη ε'

Ίνα τί με άπώσω

Ιερείον προσήχθης, άμωμον καί τέλειον τώ σώ Δεσπότη Χριστώ, καί τυθείς προθύμως, καί τό αιμά σου ράνας Ισίδωρε, κοινωνός τού πάθους, καί τής αυτού νύν βασιλείας, χρηματίζεις αξίως συμμέτοχος.

Δυναμούμενος Σώτερ, τώ παντοδυνάμω σου σθένει κατέσβεσε, τήν αχλύν τής πλάνης, ο καλλίνικος Μάρτυς Ισίδωρος, καί τμηθείς τήν κάραν, σοί τήν ψυχήν τώ ζωοδότη, ευκλεώς εναπέθετο Δέσποτα.

Ωραϊζεται μάκαρ, τοίς σοίς προτερήμασιν η Εκκλησία Χριστού, καί φαιδρύνεταί σου, ταίς τών άθλων ενστάσεσιν ένδοξε πρός τήν αμαρτίαν, σύ γάρ στερρώς μέχρις αιμάτων, ανθιστάμενος ώφθης Ισίδωρε.

Θεοτοκίον

Ρυπωθείσαν τήν φύσιν, τήν τής ανθρωπότητος τή παραβάσει τή πρίν, καί δεινώς φθαρείσαν, καί θνητήν γενομένην ανέστησας, τήν πηγήν τεκούσα, τής υπέρ νούν αθανασίας, Θεοτόκε πανάμωμε Δέσποινα.

## Ωδή ς'

Τήν δέησιν εκχεώ

Ολόκληρον πρός Θεόν τήν έφεσιν, κεκτημένος αθλοφόρε παμμάκαρ, τών αγαθών, τό ακήρατον όντως, τών επιγείων τόν πόθον ημαύρωσας, καί έδραμες αναβοών, Εκολλήθην οπίσω σου Δέσποτα.

Νυμφίος ως ευπρεπής Ισίδωρε, καλλοναίς μαρτυρικαίς διαπρέπων, πρός ουρανούς, ανελήλυθας χαίρων, καλλοποιώ λαμπηδόνι παρίστασθαι, δεόμενος, διαπαντός, υπέρ τών εκτελούντων τήν μνήμην σου.

Υπέφερες αθλητά σφαττόμενος, προορών τήν δι' αιώνος δόξαν, καί τήν τρυφήν, τήν αϊδιον όντως, μετά Μαρτύρων, ως Μάρτυς αήττητος, απείληφας παναληθώς, στεφηφόρε παμμάκαρ, Ισίδωρε.

Θεοτοκίον

Μαρία, τό τού Δεσπότου σκήνωμα, τό λαμπραίς τής παρθενίας ακτίσι, φωτοειδώς, ώσπερ κρίνον εκλάμψαν, τής ακανθώδους εν μέσω συγχύσεως, σού δέομαι τής αγαθής, τών πταισμάτων παράσχου μοι άφεσιν.

Ο Ειρμός

«Τήν δέησιν εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών, η ψυχή μου επλήσθη, καί η ζωή μου τώ Άδη προσήγγισε, καί δέομαι ως Ιωνάς, Εκ φθοράς ο Θεός με ανάγαγε».

Κοντάκιον τής Εορτής

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΔ' τού αυτού μηνός, Μνήμη τού Αγίου Μάρτυρος Ισιδώρου.

Στίχοι

- Έσαινεν Ισίδωρον ελπίς τού στέφους,
- Καί πρός τομήν ήπειγεν, εξ ής τό στέφος.
- Εν δ' Ισίδωρον άορ δεκάτη τάμεν ηδέ τετάρτη.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Ιερομάρτυρος θεράποντος.

Στίχοι

- Ώφθης θεράπων, οία θύτης τού Λόγου,
- Ώφθης θεράπων, καί δι' αίματος Πάτερ.

Τή αυτή ημέρα, Μνήμη τού αγίου μάρτυρος Αλεξάνδρου τού εν Κεντουκέλλαις.

Μνήμη τών αγίων μαρτύρων Αλεξάνδρου, Βαρβάρου καί Ακολούθου.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Παίδες Εβραίων

Νύν ελλαμπόμενος Τρισμάκαρ, τή τού πνεύματος αυγή τούς σέ υμνούντας, ελλαμφθήναι σόν σοί ευδόκησον βοώντας, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Ω τών καλλίστων σου αγώνων, δι' ών έλυσας τήν πλάνην τών ειδώλων καί τυράννους δεινούς, κατήσχυνας κραυγάζων, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Θεοτοκίον

Πάναγνε Δέσποινα Παρθένε, τών πταισμάτων μου τούς μώλωπας ελαίω, συμπαθείας τής σής, θεράπευσον βοώντος, Ευλογημένος Δέσποινα, ο καρπός τής σής κοιλίας.

## Ωδή η'

### Επταπλασίως κάμινον

Ραδιουργίαις ώετο, υποκλέπτειν ο τύραννος, τής σής καρτερίας, τό στερρόν καί εύτονον, παμμάκαρ, Ισίδωρε, πρός τήν αυτού κακόνοιαν, αλλά σύ θεόφρον, τόν Χριστόν ανεβόας, φοβούμαι, ώ λατρεύω, προσκυνώ τε καί μέλπω, λαός υπερυψούτε, αυτόν εις τούς αιώνας.

Ολολαμπές ως ήλιος, Ιλαρόν σου τό πρόσωπον, τή τού μαρτυρίου χαρμονή εφαίνετο, αμνός γάρ ως άμωμος σφαγιασθείς προσήχθης Θεώ, όν ως πλαστουργόν, μελωδικώς ανεβόας, οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Φωτοειδές τό σώμά σου, τοίς ποθούσιν εδείκνυτο, τής Αγγελικής δορυφορούσης τάξεως, αστράπτον Ισίδωρε, μαρμαρυγαίς τής χάριτος, θαυματοποιΐαις τε ποικίλαις εμπρέπον, δωρούμενον εκάστω, τάς ιάσεις αφθόνως, καί σάλου εξαρπάζων, σαφώς καί εκ κινδύνων.

### Θεοτοκίον

Ρητορευόντων γλώσσαί σε, ευφημήσαι ου σθένουσιν, ώ Θεογεννήτορ, Μαριάμ Θεόνυμφε, Θεόν γάρ εγέννησας, τόν επί πάντων Κόρη αγνή, εκ παρθενικής, απειρογάμου νηδύος, όν Παίδες ευλογούσιν, ιερείς ανυμνούσι, λαοί υπερυψούσιν, εις πάντας τούς αιώνας.

### Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν, εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, τόν Δημιουργόν, καί Λυτρωτήν ανεβόα, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

## Ωδή θ'

### Εξέστη επί τούτω

Ο πλούτω ευσπλαγχνίας συγκαταβάς, καί πτωχεύσας, σταυρόν τε καί θάνατον υπέρ ημών, θέλων υπομείνας ως αγαθός, τόν δι' αυτόν σε θάνατον, βλέπων υπομείναντα καρτερώς, αυτού τής βασιλείας, Ισίδωρε τρισμάκαρ, συγκληρονόμον απειργάσατο.

Νομίμως σών αιμάτων επί τής γής, οι κρουνοί εκχυθέντες Ισίδωρε, εν ουρανοίς χλαίνάν σοι εφοίνιξαν ευπρεπώς, εξυφασμένην χάριτι, ήν νύν ενδυσάμενος τώ Χριστώ, παρέστης εν θαλάμοις, παμμάκαρ ουρανίοις, στεφανηφόρε Μάρτυς ένδοξε.

Ως έχων παρρησίαν πρός τόν Χριστόν, ικετεύων μή παύση Ισίδωρε, εκ πειρασμών, ζάλης τε καί θλίψεως καί παθών, τούς εκτελούντας ρύσασθαι,

μνήμην σου αξίως τήν ιεράν, ψυχών τε σωτηρίαν, αιτούμενος τρισμάκαρ, σής κληρουχίας καταξίωσον.

Θεοτοκίον

Σωτήρα ως τεκούσα καί λυτρωτήν, σωτηρίας με Κόρη αξίωσον, επιτυχείν, πάναγνε πταισμάτων μου τάς σειράς, ταίς σαίς πρεσβείαις λύουσα, πάντα γάρ ως θέλεις σύ κατορθοίς, ως φέρουσα εν κόλποις, τόν πάντων Βασιλέα, τόν αγαθότητι ασύγκριτον.

Ο Ειρμός

«Εξέστη επί τούτω ο ουρανός, καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι μεγαλύνουσιν».

Εξαποστειλάριον τής Εορτής

Καί ή λοιπή Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΕ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Παχωμίου τού Μεγάλου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά τής Εορτής γ' καί τού Οσίου γ'.

Στιχηρά τού Οσίου

Ήχος πλ. β'

Όλην αποθέμενοι

Όλην σου τήν έφεσιν, πρός τόν Θεόν ανατείνας, κοσμικήν τερπνότητα, ως μή διαμένουσαν καταλέλοιπας, καί Χριστώ πάνσοφε, σεαυτόν ανέθου, ολοτρόπως δι' ασκήσεως, εκκαθαιρόμενος, καί καρτερικήν ενδεικνύμενος, τήν ένστασιν Παχώμιε, πρός τά τών παθών υπεκκαύματα, καί τή συνειδήσει, μαρτύριον θεόφρον υποστάς, ως νικηφόρος απείληφας, στέφος τό αμάραντον.

Σοί νύν εξεγένετο, εκ πρακτικής θεωρίας, διασχόντι σώματος, τό παχύ προκάλυμμα καί προσπάθειαν, τής σαρκός ρήξαντι, τώ Θεώ κραθήναι, ταίς εκείθεν αστραπτόμενον, αυγαίς καί χάρισι, καί θεουργικοίς αμαρύγμασι, καί νεύσεσι θεούμενον, καί τοίς πρός τό κρείττον υψώμασι, καί νύν θεοφόρε, μακάριος γενόμενος Χριστώ, εν παρρησία δυσώπησον, υπέρ τών ψυχών ημών.

Άπασαν τήν αίσθησιν, υπεραρθείς τώ Δεσπότη, καθαρώς ωμίλησας, τής

σαρκός γενόμενος έξω πάντιμε, λογισμώ κρείττονι, τών παθών κρατήσας, καί δαιμόνων τά φρυάγματα, καταστρεψάμενος, καί καταπατήσας Παχώμιε, καί νύν ενδιαιτώμενος, τοίς επουρανίοις σκηνώμασι, πάντων τών τιμώντων, τήν μνήμην σου μνημόνευε Χριστώ, έν παρρησία πανόλβιε, Πάτερ, παριστάμενος.

Δόξα... Ήχος δ'

Κρίνον σε έρημος εξήνθησε Πάτερ, άπαντας ευωδιάζον, εξ αρετερπνόν, εκ τών τής πράξεως, και σοφίας τής εκ θεωρίας, ως επαμφοτεροδέξιον, καί τή τού τελείου ευδοκιμήσει, απολαβών τήν κρείττονα ψήφον, έκ τε του λόγου καί τού βίου σου, έκ τε τών έργων καί τής πίστεως, ευηρέστησας Χριστώ τώ Θεώ, Αυτόν καθικέτευε, Παχώμιε θεόληπτε, καί ημάς ευαρεστείν αυτώ, καί σύν σοί τυχείν τής άνω κληρουχίας.

Καί νύν... Τής Εορτής

Εις τόν Στίχον, Στιχηρά τής Εορτής.

Δόξα... Ήχος πλ. δ'

Τών μοναστών τά πλήθη, τόν καθηγητήν σε τιμώμεν Παχώμιε, διά σού γάρ τήν τρίβον, τήν όντως ευθείαν, πορεύεσθαι έγνωμεν, Μακάριος εί, τώ Χριστω δουλεύσας, καί εχθρού θριαμβεύσας τήν δύναμιν, Αγγέλων συνόμιλε, Οσίων συμμέτοχε καί Δικαίων, μεθ' ών πρέσβευε τώ Κυρίω, ελεηθήναι τάς ψυχάς ήμων.

Καί νύν... Τής Εορτής

Απολυτίκιον τού Οσίου
Ήχος πλ. α'
Τόν συνάναρχον Λόγον

Αγελάρχης εδείχθης τού Αρχιποίμενος, μοναστών τάς αγέλας Πάτερ Παχώμιε, πρός τήν μάνδραν οδηγών τήν επουράνιον, καί τό πρέπον ασκηταίς, εκείθεν σχήμα μυηθείς, καί τούτο πάλιν μυήσας, νύν δέ σύν τούτοις αγάλλη, καί συγχορεύεις εν ουρανίαις σκηναίς.

Καί τής Εορτής καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν Καθίσματα τής Εορτής καί οι Κανόνες τής Εορτής καί τού Αγίου.

Ο Κανών τού Αγίου, ού η Ακροστιχίς (άνευ τών Θεοτοκίων τών πρώτων έξ Ωδών).

Παχωμίω τόν αίνον εικότως πλέκω.

Ποίημα Θεοφάνους.

Ωδή α'  Ήχος β'
Εν βυθώ κατέστρωσε ποτέ

Πεποιθώς χρηστότητι τών σών, τρόπων προθυμότατα, σοί τήν ωδήν προσφυώς ανακρούομαι, αλλά μου θεσπέσιε, τήν διάνοιαν, φωτοβόλοις ελλάμψεσι, ταίς σαίς ικεσίαις, λάμπρυνον Παχώμιε πανάριστε.

Απαθείας έρωτι θερμώ, Πάτερ κατεχόμενος, τάς υλικάς τών παθών κατεμάρανας αφορμάς Παχώμιε, καί κατέλαβες, δι' αγάπης πτερούμενος, πάσαν τήν πηγαίαν, έλλαμψιν παμμάκαρ τής θεότητος.

Χαρμονής ενέπλησας πολλής, ουρανών τά τάγματα, τόν Ποιητήν επιγνούς πάσης κτίσεως, εν φρουρά γάρ έμαθες, κατεχόμενος, τήν απόρρητον δύναμιν, τούτου θεοφόρε, πίστεως τό δόγμα παιδευόμενος.

Θεοτοκίον

Υπερτέρα πέφηνας Αγνή, πάσης αοράτου τε, καί ορατής αειπάρθενε κτίσεως, τόν γάρ Κτίστην τέτοκας, ως ηυδόκησε, σαρκωθήναι εν μήτρα σου, ώ σύν παρρησία, πρέσβευε σωθήναι τάς ψυχάς ημών.

Ωδή γ'
Εξήνθησεν η έρημος

Ως έλαφος προσέδραμες, πρός τό ύδωρ Όσιε, καί ραντισθείς Βαπτίσματι, τώ αγίω τήν δρόσον είληφας, δι' ής κατεγλυκάνθη η καρδία σου.

Μή φέρουσαι τό σύντονον, καθοράν σου Όσιε, τών δυσμενών αι φάλαγγες, θεοφόρε τό τής ασκήσεως, πειρασμούς σοι ποικίλους ετεκτήναντο.

Ιεράν ως κτησάμενος, πολιτείαν γέγονας, τών ασκητών Παχώμιε, νομοθέτης καί προηγούμενος, Χριστώ τούτους προσάγων παναοίδιμε.

Θεοτοκίον

Τά ταγματα εξέστησαν, τών Αγγέλων Πάναγνε, καί τών ανθρώπων έφριξαν, αι καρδίαι επί τώ τόκω σου, διό σε Θεοτόκον πίστει σέβομεν.

Ο Ειρμός

«Εξήνθησεν η έρημος, ωσεί κρίνον Κύριε, η τών εθνών στειρεύουσα, Εκκλησία τή παρουσία σου, εν ή εστερεώθη η καρδία μου».

Κάθισμα  Ήχος πλ. δ'
Τήν Σοφίαν καί Λόγον

Τών δακρύων τοίς όμβροις τήν σήν ψυχήν, καταρδεύσας πλουσίως Πάτερ σοφέ, πολύχουν εθέρισας, αρετών σου τόν άσταχυν, καί ποιμήν θρεμμάτων, οσίων γενόμενος, επί χλόην ταύτα, ασκήσεως έθρεψας, όθεν αναλύσας, εκ τού βίου ενδόξως, Πατέρων Παχώμιε, τοίς χοροίς συνηρίθμησαι, Διά τούτο βοώμέν σοι, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Καί τής Εορτής

Ωδή δ'
Ελήλυθας, εκ Παρθένου

Ως άριστος, κυβερνήτης εγένου Παχώμιε, μοναστών συστήματος, δι' Οπτασίας γάρ πάνσοφε, Πάτερ κεχρημάτισαι, τή αρετή ανεγείρειν φροντιστήρια.

Τού Πνεύματος, τού Αγίου τήν αίγλην δεξάμενος, αστήρ φαεινότατος, λάμπων τή χάριτι γέγονας, πάσιν ούς ωδήγησας, εις σωτηρίας λιμένα σοίς διδάγμασιν.

Ο βίος σου, θεοφόρε παμμάκαρ Παχώμιε, κανών ακριβέστατος, τών μοναζόντων γεγένηται, ώ νύν πολιτεύονται, οι σοίς επόμενοι Πάτερ θείοις δόγμασιν.

Νυττόμενος, τού Δεσπότου τώ πόθω κατέσβεσας, σαρκός τήν ευπάθειαν, δι' εγκρατείας Παχώμιε, όλον δέ τόν βίον σου, ως ευωδέστατον θύμα καθιέρωσας.

Θεοτοκίον

Σέ λιμένα, σωτηρίας καί τείχος ακράδαντον, Θεοτόκε Δέσποινα, πάντες πιστοί επιστάμεθα, σύ γάρ ταίς πρεσβείαις σου, εκ τών κινδύνων λυτρούσαι τάς ψυχάς ημών.

Ωδή ε'
Μεσίτης Θεού

Αγάπη Θεού, διδαχαίς ωμίλησας τού Πνεύματος, εξ ών φωτιζόμενος, αρετής ακρότητα κατείληφας, τών παθών απαλλάξας, τήν τής ψυχής κατάστασιν.

Ικέτην τόν σόν, Ασκητήν προσαγομέν σοι Δέσποτα, δι' αυτού αιτούμενοι φωτισμώ τής χάριτος λαμ πρύνεσθαι, τή σή παντευχία, διά παντός φυλάττεσθαι.

Νευρώσας τόν νούν, εντολών τηρήσεσι Παχώμιε, τής σαρκός τό σκίρτημα, τή σή εγκρατεία κατεμάρανας, καί ποιμήν ανεδείχθης, θεοφιλούς συστή ματος.

Θεοτοκίον

Δυσώπει τόν σόν, Υιόν καί Κύριον Παρθένε αγνή, αιχμαλώτοις λύτρωσιν, τοίς εξ εναντίας περιστάσεως, επί σοί πεποιθόσιν, ειρηνικήν δωρήσασθαι.

Ωδή ς'
Εν Αβύσσω πταισμάτων

Ολεθρίων πνευμάτων επάτησας, Πάτερ μηχανήματα, τήν τού Δεσπότου σου, ενδεδυμένος δύναμιν, καί Σταυρώ τώ τιμίω φραττόμενος.

Νουνεχώς τών προσκαίρων προέκρινας, τά διαιωνίζοντα, πόνοις ασκήσεως, εγκαρτερήσας Όσιε, καί ψυχών οικονόμος γενόμενος.

Εκουσίως πτωχεύσας τώ πνεύματι, Πάτερ τήν αθάνατον, καί αδιάδοχον, εν ουρανοίς απόλαυσιν, καί τόν άφραστον πλούτον απείληφας.

Θεοτοκίον

Απειράνδρως Παρθένε εκύησας, καί διαιωνίζεις Παρθένος εμφαίνουσα, τής αληθούς θεότητος, τού Υιού καί Θεού σου τά σύμβολα.

Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν αωεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, Εκ φθοράς ο Θεός με ανάγαγε».

Κοντάκιον Ήχος β'

Τά άνω ζητών

Φωστήρ φαεινός, εδείχθης εν τοίς πέρασι τήν έρημον δέ, επόλισας τοίς πλήθεσι, σεαυτόν εσταύρωσας, τόν σταυρόν σου επ' ώμων αράμενος, καί ασκήσει τό σώμα, κατέτηξας, πρεσβεύων απαύστως υπέρ πάντων ημών.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΕ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Παχωμίου τού Μεγάλου.

Στίχοι

- Ο Παχώμιος, λεπτύνων σαρκός πάχος,
- Ψυχή συνήγε πρίν μεταστήναι στέαρ
- Πέμπτη καί δεκάτη Παχώμιον ένθεν άειραν.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Αχιλλίου Μητροπολίτου Λαρίσσης.

Στίχοι

- Λαλεί Λάρισσα σάς αριστείας ξένας,
- Μνήμην έχουσα καί θανόντος σου Πάτερ.

Τή αυτή ημέρα, Μνήμη τού, Οσίου Πατρός ημών Βαρβάρου τού μυροβλύτου.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Αντίθεον πρόσταγμα

Ισχύν ενδυσάμενος τήν τού Δεσπότου, ως χούν ηδυπάθειαν, τού βίου κατεπάτησας, τώ πόθω βαλλόμενος, τής ακηράτου ζωής, ής νύν καί μετέσχηκας, χοροίς Αγγέλων, Πάτερ συναυλιζόμενος.

Καρδίαν κτησάμενος, καθαρωτάτην, ιδείν κατηξίωσαι, τόν πάσιν αθεώρητον,

εντεύθεν μακάριος, ως η υπόσχεσις, Πάτερ εχρημάτισας υμνών, τόν ευεργέτην καί υπερένδοξον.

Ορθόδοξον φρόνημα σύ κεκτημένος, Μονάδα τρισάριθμον, Τριάδα ομοούσιον, παμμάκαρ εκηρυξας, καί τήν τού Λόγου φρικτήν, σάρκωσιν εδίδαξας υμνών, ως Θεοτοκον τήν αειπάρθενον.

Θεοτοκίον

Αγίων Αγίαν σε κατανοούμεν, ως μόνην κυήσασαν, Θεόν τον αναλλοίωτον, Παρθένε αμόλυντε, Μήτερ ανύμφευτε, πάσι γάρ επήγασας πιστοίς, τήν αφθαρσίαν τώ θείω τόκω σου.

## Ωδή η'

Κάμινος ποτέ

Τάς τών ασκητών, σοφάς υποτυπώσεις, πρός τού Αγγέλου εμυήθης Σοφέ, εκ θείου προστάγματος, αισπερ νύν καί εκτρεφόμενοι, οι ευσεβείας τρόφιμοι, κράζομεν, Ευλογείτε, πάντα τα έργα τόν Κύριον.

Ώσπερ αστραπή, μεγίσταις φρυκτωρίαις, η πολιτεία διαλάμπουσα, τοίς πάσιν ανέτειλεν, τής ασκήσεώς σου πάνσοφε, τοίς ευσεβώς τώ Κτίσαντι, κράζουσιν, Ευλογείτε, πάντα τά έργα τόν Κύριον.

Σέ τόν υπέρ νούν, Πατρός εξ αγεννήτου, πρό τών αιώνων γεννηθέντα Χριστέ, δοξάζων εκήρυξεν, ο Παχώμιος ο ένδοξος, καί Πνεύμα τό πανάγιον, μίαν τήν τής Τριάδος, φύσιν ειδώς καί θεότητα.

Θεοτοκίον

Πύλην σε φωτός, παρθένε Θεομήτορ, οι ευσεβούντες ονομάζομεν, Πατρός γάρ απαύγασμα, ενωθέν σαρκός παχύτητι, υπερφυώς εγέννησας, πάναγνε, όν υμνούμεν, πάντα τά έργα ως Κύριον.

Ο Ειρμός

«Κάμινος ποτέ, πυρός εν Βαβυλώνι, τάς ενεργείας διεμέριζε, τώ θείω προστάγματι, τούς Χαλδαίους καταφλέγουσα, τούς δέ πιστούς δροσίζουσα, ψάλλοντας, Ευλογείτε, πάντα τά έργα τόν Κύριον».

## Ωδή θ'

Ανάρχου Γεννήτορος

Λαμπάσι τής χάριτος, καταυγασθείς Παχώμιε, ως πιστός υπηρέτης Θεώ παρίστασαι, τής εν ουρανοίς θείας δόξης, κατατρυφών τής ακαταλύτου, διό τήν σεβάσμιον, εορτήν σου μεγαλύνομεν.

Επλάκη σοι στέφανος, ως νικητή Παχώμιε, δεξιά ζωηφόρω καί παντοκράτορι, καί νύν τούς υμνούντας σήν μνήμην, τήν ευκλεή, αξίωσον μάκαρ, τυχείν τής αφέσεως, τών πταισμάτων παναοίδιμε.

Καρπούς νύν δρεπόμενος, τών πόνων σου Παχώμιε, τής χαράς απολαύεις, τής υπέρ έννοιαν, αλλά μεσιτεύων σωθήναι, σούς φοιτητάς, Χριστόν

εκδυσώπει, τούς σέ νύν γεραίροντας, καί τιμώντας αξιάγαστε.

Θεοτοκίον

Ως πόκος Πανάμωμε, τόν όμβρον τόν ουράνιον, εν γαστρί δεξαμένη ημίν εκτέτοκας, τόν τήν αμβροσίαν διδόντα, τοίς ευσεβώς αυτόν ανυμνούσι, καί σε τήν πανάμωμον, Θεοτόκον καταγγέλλουσιν.

Ο Ειρμός

«Ανάρχου γεννήτορος, Υιός Θεός καί Κύριος, σαρκωθείς εκ Παρθένου ημίν επέφανε, τά εσκοτισμένα φωτίσαι, συναγαγείν τά εσκορπισμένα, διό τήν πανύμνητον, Θεοτόκον μεγαλυνομεν».

Εξαποστειλάριον

Ο ουρανόν τοίς άστροις

Αγγελικόν τόν βίον, ποθών εμάκρυνας σαυτόν, εν ταίς ερήμοις, καί πάθη, καθυποτάξας τής σαρκός, Ισάγγελος ανεδείχθης, Παχώμιε θεοφόρε.

Καί τής Εορτής

Εις τόν Στίχον, Στιχηρά Προσόμοια τής Εορτής.

Καί τά λοιπά, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Θεοδώρου τού Ηγιασμένου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ' καί τού Οσίου γ'.

Στιχηρά τού Οσίου

Ήχος πλ. β'

'Ολην αποθέμενοι

Νέφει τήν επίβασιν, αυτού τιθείς ως Δεσπότης, εν νεφέλη κούφη πρίν, καταβάς εις Αίγυπτον τούς εκλάμψαντας, εκλεκτούς προώρισε, τούς αρπαζομένους, εν νεφέλαις ως θεόφρονας, μεθ' ών Θεόδωρος, ο Ηγιασμένος Πατήρ ημών, ο πύργος ο ακράδαντος, ό τήν αρετήν περιβόητος, ο φαεινοτάταις, ελλάμψεσιν εκλάμπων τού Χριστού, καί παρρησία δεόμενος, υπέρ τών ψυχών ημών.

Αίγυπτος η πρότερον, δαιμονικαίς μαινομένη, τελεταίς καί πάθεσιν, ασκητών νύν τάγμασιν ωραϊζεται, καί ποικίλοις κάλλεσιν, αρετής ενθέου, κοσμουμένη διαδείκνυται, εν ή διέλαμψε, θείων δωρεών ο επώνυμος, Θεόδωρος ο Όσιος, ο θεοειδής καί θεόληπτος, ο τήν θαυμασίαν, ταπείνωσιν μιμούμενος Χριστού,

καί παρρησία δεόμενος, υπέρ τών ψυχών ημών.

Άσκησιν εγκράτειαν, υπομονήν καρτερίαν, αποχήν κακότητος, αρετής περίληψιν εκ νεότητος, ο σοφός Θεόδωρος, ασκητών ο μέγας, ο θεόφρων επεδείξατο, θερμός γενόμενος, θείας εραστής αγαπήσεως, καί πάντα τά ορώμενα, χαίρων υπερβάς ο θαυμάσιος, διά θεωρίας, υψούμενος ωμίλει τώ θεή, καί παρρησία πρεσβεύει νύν, υπέρ τών ψυχών ημών.

Δόξα... Καί νύν... Τής Εορτής

Εις τόν Στίχον, Στιχηρά τής Εορτής.

Τού Οσίου  Ήχος α'
Τού λίθου σφραγισθέντος

Τής ερήμου πολίτης, καί εν σώματι άγγελος, καί θαυματουργός ανεδείχθης, θεοφόρε πατήρ ηνών Ανδρόνικε, νηστεία, αγρυπνία, προσευχή, ουράνια χαρίσματα λαβών, θεραπεύεις τούς νοσούντας, καί τάς ψυχάς των πίστει προστρεχόντων σοι. Δόξα τώ δεδωκότι σοι ισχύν, δόξα τώ σέ στεφανώσαντι, δόξα τώ ενεργούτι διά σού πάσιν ιάματα.

Καί τής Εορτής

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τής Εορτής καί τού Αγίου.
Ο Κανών τού Αγίου, ού η Ακροστιχίς.
Υμνώ Θεού σε δώρον ηγιασμένον.
Ποίημα Θεοφάνους.

Ωδήα'  Ήχος β'
Έν βυθώ κατέστρωσε ποτέ

Υμνωδίαις μέλλοντι τήν σήν, μέλπειν νύν πανήγυριν, τών θεϊκών δωρεών ως επώνυμος, δωρεάν παράσχου μοι, φωτοφόρων εκ θησαυρών αρυόμενος, τών αδαπανήτων, χάριτος τής θείας Παναοίδιμε.

Μελετών τόν νόμον εμμελώς, Πάτερ τόν αγνότατον, όλος αγνός καί καθαρός γεγένησαι, τώ πανάγνω Λόγω δέ, ρυθμιζόμενος, τής αγνείας λαμπρότατον, σκεύος ανεδείχθης, καί ηγιασμένον παμμακάριστε.

Θεοτοκίον

Νεκρωθείς τώ κόσμω καί ζωήν, Πάτερ τήν ισάγγελον, επί τής γής ευσεβώς μετερχόμενος, τώ εξανατείλαντι, εκ λαγόνων παρθενικών ηκολούθησας, τόν σταυρόν επ' ώμων, άρας σου θεόφρον παναοίδιμε.

Ωδή γ'
Εξήνθησεν η έρημος

Ως δώρον αγαπώμενον, τώ Δεσπότη Όσιε, τήν σήν ψυχήν Θεόδωρε, σεσωσμένην καί δι' ασκήσεως, παθών απηλλαγμένην προσενήνοχας.

Θεώ καθιερούμενος, υπερέβης Πάνσοφε, τών ορατών τήν αίσθησιν, καθαρώ δέ νώ προσωμίλησας, Νοΐ υπεοτάτω παμμακάριστε.

Θεοτοκίον

Εμάκρυνας εις έρημον, φυγαδεύων ένδοξε, τόν εκ Παρθένου λάμψαντα, Θεον Λόγον σύ προσδεχόμενος, εν ώ καί διεσώθης αξιάγαστε.

Ο Ειρμός

«Εξηνθησεν η έρημος, ωσεί κρίνον Κύριε, η τών εθνών στειρεύουσα, Εκκλησία τή παρουσία σου, εν ή εστερεώθη η καρδία μου».

Κάθισμα Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Τά επίγεια πάντα καταλιπών, καί εν κόσμω υπάρχων σωματικώς, τώ πνεύματι γέγονας, τών Αγγέλων συμμέτοχος, τά γάρ παρόντα πάθη, νεκρώσας τού σώματος, τής τριάδος εδείχθης, θεράπων μακάριε, όθεν καί νοσούντων, θεραπεύεις τά πάθη καί λόγω τά πνεύματα, απελαύνεις τή χάριτι, θεοφόρε Θεόδωρε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Καί τής Εορτής

Ωδή δ'

Ελήλυθας, εκ Παρθένου

Ο μόσκηνος, Παχωμίω τώ θείω γενόμενος, τούς τρόπους ιζήλωσας, Πάτερ θεόφρον Θεόδωρε, τούτου τήν εγκράτειαν, καί τήν ορθόδοξον πίστιν εκμιμούμενος.

Υμνουμένης, βασιλείας καί θείας ελλάμψεως, αξίως τετύχηκας, ως γεγονώς επιτήδειος, Πάτερ καθαρότητι, πρός μετοχήν τής αφθάρτου ωραιότητος.

Σκηνώματα, Αιθιόπων δαιμόνων συστήματα, τήν σήν επτοήθησαν, υπομονήν καί ταπείνωσιν, καί τήν ακατάπαυστον, εν αγρυπνίαις σου στάσιν Αξιάγαστε.

Θεοτοκίον

Εν εκστάσει, κεφαλαί δυναστών διεκόπησαν, τώ φόβω τού τόκου σου, Θεογεννήτορ πανάμωμε, δήμος τών Οσίων δέ, εθαυμαστώθη αξίως θεία χάριτι.

Ωδή ε'

Μεσίτης Θεού

Δογμάτων θερμώς, τών σεπτών εχόμενος διέλυσας, πασών τών αιρέσεων, τάς πεπλανημένας υπολήψεις Σοφέ, τής Τριάδος τή πίστει, περιφρουρών τήν ποίμνην σου.

Ως φώς αληθώς, επί γής διέπρεψας Θεόδωρε, πολιτείαν άμεμπτον, πεπολιτευμένος παναοίδιμε, ασκητών η τερπνότης, τών μοναστών τό καύχημα.

Θεοτοκίον

Ροαίς ασκητά, τών δακρύων άρδων τήν καρδίαν σου, καρποφόρον έδειξας, τώ εξανατείλαντι Δεσπότη Χριστώ, εκ Παρθένου Αγίας, Θεόδωρε πανόλβιε.

Ωδή ς'

Εν αβύσσω πταισμάτων

Ο λαμπρός καί θεάρεστος βίος σου, σοί τήν επουράνιον Πάτερ λαμπρότητα, τήν τών Αγίων έδειξεν, εν σκηναίς ουρανίοις Θεόδωρε.

Νικητής τροπαιούχος Θεόδωρε, τών τής πονηρίας πνευμάτων γεγένησαι, τώ Παρακλήτω Πνεύματι, συνεργώ κεχρημένος θεόληπτε.

Θεοτοκίον

Η νεφέλη η κούφη υπάρχεις, Αγνή, ής επικαθήμενος ήλθεν εις Αίγυπτον, ο παντοκράτωρ Κύριος, καί φωστήρας οσίους ειργάσατο.

Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, εκ φθοράς ο Θεός με ανάγαγε».

Κοντάκιον Ήχος β'

Τά άνω ζητών

Εν οίκω Θεού, ως φοίνιξ σύ εξήνθησας, καρπούς τε αυτώ, αρετών προσενήνοχας, διά τής ασκήσεως, τής αρίστης Πάτερ Θεόδωρε, όθεν καί μακαρίζη νύν, ως τών Ασωμάτων ισοστάσιος.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΣΤ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Θεοδώρου τού Ηγιασμένου.

Στίχοι

- Δώρόν σε θείον Θεόδωρε δεικνύει
- Εν Αγίοις Άγιος ηγιασμένε.
- Τή δέγε ενδεκάτη Θεόδωρος αφίπτατο γαίης.

Τή αυτή ημέρα, Μνήμη τού εν αγίοις πατρός ημών Αλεξάνδρου, αρχιεπισκόπου Ιεροσολύμων.

Μνήμη τών αγίων μαρτύρων Αυδά, Αυδιησού, επισκόπου, καί τών σύν αυτοίς τριάκοντα οκτώ, πρεσβυτέρων δέκα έξ, Διακόνων εννέα, μοναχών έξ, καί παρθένων επτά.

Οι άγιοι μάρτυρες Ισαάκιος, Συμεών καί Δαχθισόης πυρί τελειούνται.

Οι άγιοι Αββάδες, οι εν τή μονή τού αγίου Σάββα, υπό τών Βλεμμυών

ξίφει τελειούνται.

Ο άγιος μάρτυς Παπηλίνος ξίφει Τελειούται.

Ο άγιος μάρτυς Πέτρος, ο εν Βλαχέρναις, βουνεύροις τυφθείς, τελειούται.

Ο άγιος Νικόλαος, πατριάρχης Κωνσταντινουπόλεως, εν ειρήνη τελειούται.

Μνήμη τής αγίας Ευφημίας πλησίον τού νεωρίου λιμένος εις τήν αγίαν Δύναμιν.

Ταίς αυτων αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Αντίθεον πρόσταγμα

Γνωστώς επεπόθησας, ως ο θεόπτης, Θεού τήν λαμπρότητα, θεάσασθαι Θεόδωρε, διό τά ορώμενα πάντα κατέλιπες, γνόφον υπεισδύνας δέ οράν, κατηξιώθης τον ακατάληπτον.

Ιόν σύ τού όφεως τού ψυχοφθόρου, παμμάκαρ Θεόδωρε, μηδαμώς προσηκάμενος, τό τούτου μνημόσυνον Πάτερ απώλεσας, μνήμην ακατάπαυστον Θεού, εν σή καρδία σοφώς κτησάμενος.

Θεοτοκίον

Αγίων τόν Άγιον τόν εν Αγίοις, επαναπαυόμενον αγίως απεκύησας, Παρθένε πανάμωμε, δι' ευσπλαγχνίαν πολλήν, άνθρωπον γενόμενον εκ σού, σωματωθέντα τόν πρίν ασώματον.

Ωδή η'

Κάμινος ποτέ

Σύ φωτοειδής, φωτί τώ φανοτάτω, προσομιλήσας εναπέφηνας, παμμάκαρ Θεόδωρε, τή ενώσει τή αμείνονι, υπερφυώς θεούμενος, κράζων νύν, Ευλογείτε, πάντα τά έργα τόν Κύριον.

Μάρτυς γεγονώς, στερρός πρός αμαρτίαν, μέχρις αιμάτων ανθιστάμενος, θεόφρον Θεόδωρε, τώ στεφάνω τής αθλήσεως, σήν κορυφήν εκόσμησας, κράζων νύν, Ευλογείτε, πάντα τά έργα τόν Κύριον.

Θεοτοκίον

Έφανεν ημίν, εκ σού Θεογεννήτορ, δικαιοσύνης φαιδρός Ήλιος, φωτίζων τά πέρατα, λαμπηδόσι τής θεότητος, σωματωθείς ο Ύψιστος, όν περ νύν ανυμνούμεν, πάντα τά έργα ως Κύριον.

Ο Ειρμός

«Κάμινος ποτέ, πυρός εν Βαβυλώνι, τάς ενεργείας διεμέριζε, τώ θείω προστάγματι, τούς Χαλδαίους καταφλέγουσα, τούς δέ πιστούς δροσίζουσα,

ψάλλοντας, Ευλογείτε, πάντα τά έργα τόν Κύριον».

Ωδή θ'
Ανάρχου Γεννήτορος

Νύν ου δι' αινίγματος, σοί ο Χριστός οπτάνεται, πρός δέ πρόσωπον μάλλον οράται πρόσωπον, τή τής αληθείας εμφάσει, τών τής σκιάς λυθέντων εσόπτρων, δωρεών επώνυμε, τού Σωτήρος καί Θεού ημών.

Ο πόθος ο θείός σου, πεπλήρωται Θεόδωρε, οία φθάσας τό τέλος, ό δι' ασκήσεως, πόρρωθεν εώρας συντόνως, ού καί τυχων εφέσεως έστης, ασκητών τό καύχημα, μοναζόντων η ευπρέπεια.

Θεοτοκίον

Νοσήσας τό φθείρεσθαι, παρακοή ο πρώτος Αδάμ, διά σού Θεομήτορ ανακεκαίνισται, σύ γάρ σαρκωθέντα τεκούσα, χωρίς φθοράς τόν άφθαρτον Λόγον, φθοράν εξωστράκισας, αφθαρσίαν δέ εξήνθησας.

Ο Ειρμός

«Ανάρχου Γεννήτορος, Υιός Θεός καί Κύριος, σαρκωθείς εκ Παρθένου ημίν επέφανε, τά εσκοτισμένα φωτίσαι, συναγαγείν τά εσκορπισμένα, διό τήν πανύμνητον, Θεοτόκον μεγαλύνομεν».

Εξαποστειλάριον τής Εορτής

Καί τά λοιπά, ως σύνηθες

Καί Απόλυσις

---

Αρχή

## ΤΗ ΙΖ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Αποστόλων Ανδρονίκου καί Ιουνίας, καί Μνήμη τού εν Αγίοις πατρός ημών Αθανασίου επισκόπου Χριστιανουπόλεως.

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετά τόν Προοιμιακόν τό Μακάριος ανήρ.

Στιχηρά τών Αποστόλων
Ήχος πλ. δ'
Ω τού παραδόξου θαύματος

Λόγω τήν άλογον έπαυσας, τής αθεΐας φθοράν, ως τού Λόγου υπήκοος, καί κλεινός διάκονος, καί φωστήρ διαυγέστατος, τής οικουμένης, θεομακάριστε, διό σε λόγοις, θείοις δοξάζομεν, καί τήν αγίαν σου, μνήμην εορτάζομεν, περιχαρώς, αίνεσιν προσάγοντες, τώ Παντοκράτορι.

Παύλος ο θείος Απόστολος, θείοις επαίνοις ημάς, εκθειάζων λαμπρότατα,

τοίς πιστοίς παρίστησι, τήν υμών γενναιότητα, πρό τούτου λέγων, αποδειχθήναι ημάς, Θεού τού Λόγου, μαθητάς πάνσοφοι, καί συγγενείς αυτού, Ιουνία πάνσοφε, ως αληθώς, μάκαρ τε Ανδρόνικε, Θεού θεράποντες.

Πάσαν Ιερώ κηρύγματι, φωταγωγούντες τήν γήν, τήν αχλύν απελάσατε, τήν τής ματαιότητος, καί πρός φώς ωδηγήσατε, θεογνωσίας, τούς ενυπάρχοντας, εν σκότει πάλαι, τής αθεότητος, θείοι Απόστολοι, οδηγοί σωτήριοι, καί πρεσβευταί, πάντων τών πιστώς υμάς, τιμώντων πάντοτε.

Ήχος β'
Ποίοις ευφημιών

Πάντες οι ευσεβείς σήμερον, ανυμνήσωμεν τόν Ιεράρχην, τόν αθανασίας επώνυμον, καί Αθανασίου εφάμιλλον, Χριστιανουπόλεως ποιμένα, Δοχείον λαμπρόν γενόμενον τού Πνεύματος, τό σώμα σύν τή ψυχή αποκαθάραντα, τής τών παθών τρικυμίας, Όθεν ηξιώθη, αενάως θαυματουργείν, Ωριστώ παριστάμενος, τώ σώσαντι τάς ψυχάς ημών.

Δεύτε εν ιεροίς μέλεσι, καταστέψωμεν τήν θείαν Κάραν, ευωδίας ούσαν ανάπλεων, καί πάμπολλα θαύματα βρύουσαν, καί πιστούς κινδύνων λυτρουμένην, Βοώντες, Σέ ανυμνούμεν παντοδύναμε, προστάτην καί αρωγόν ημίν εκφήναντα, τόν Αθανάσιον όντως, ού τό θείον σκήνος, ευωδίας πολλής πληροίς, Χριστέ ο Θεός ημών, ο έχων τό μέγα έλεος.

Θαύμα εκπληκτικόν γέγονε, καί κατέπληξε τούς τολμητίας, τούς βεβήλους χείρας εκτείνοντας, καί τά λείψανά σου συλήσαντας, Εκλονίσθη πάσα η οικία, καί κρότος, φρικτός καί μέγας καί παννύχιος, σέ ζώντα καί μετά θάνατον απέδειξε, καί οί αυτόπται νύν ζώσιν, ούτοι μαρτυρούσιν, ότι σύ εί θαυματουργός κλεινέ Αθανάσιε, Ευχαίς σου πάντες σωθείημεν.

Πόθω θεοτερπεί σήμερον, ασπασώμεθα τό θείον σκήνος, τού αξιαγάστου Πατρός ημών, Αθανασίου τού μάκαρος, τού κρουνοίς δακρύων καθαρθέντος, τό μέγα τής Γορτυνίας εγκαλλώπισμα, καί θείον Μονής Προδρόμου στύλον άσειστον, τής ευποιΐας τόν πλούτον, τόν αεί δηλούντα, αγανάκτησιν τού Θεού, τριγμώ τής σής λάρνακος, τιμώμέν σε Αθανάσιε.

Δόξα... Ήχος πλ. α'

Ως θαυμαστά σου τά έργα Χριστέ! Ανέδειξας εν τοίς εσχάτοις χρόνοις, θαυματουργόν τόν Ιεράρχην σου Αθανάσιον, Σέ γάρ τόν βαρύτιμον ποθήσας μαργαρίτην, τόν πλούτον καί τήν δόξαν, σκύβαλα ελογίσατο, Καί τοίς ίχνεσί σου ακολουθών, πνεύμα καί σώμα ταίς αρεταίς απεθέωσεν, Όθεν τό «επίβλεψον Κύριε εκφωνών, λαμπρότατον άστρον, πρό τού στόματος αυτού εωράτο, Τήν δ' ολολύζουσαν γοερώς, επί τού θείου λειψάνου, νεκρώς τήν χείρα ύψωσε, καί ταύτην ηυλόγησε, Μεγαλουργέ Αθανάσιε, πρέσβευε τού ρυσθήναι ημάς, εκ τών βελών τού Βελίαρ, καί σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Τής Εορτής

Είσοδος. Φώς ιλαρόν, τό Προκείμενον τής ημέρας καί τά Αναγνώσματα.

Παροιμιών τό Ανάγνωσμα
(Κεφ. 10, 7 & 3, 13-16 & εκλογή)

Μνήμη δικαίου μετ’ εγκωμίων, καί ευλογία Κυρίου επί κεφαλήν αυτού, Μακάριος άνθρωπος, ός εύρε σοφίαν, καί θνητός, ός είδε φρόνησιν, Κρείσσον γάρ αυτήν εμπορεύεσθαι, ή χρυσίου καί αργυρίου θησαυρούς, Τιμιωτέρα δέ εστι λίθων πολυτελών, ουκ αντιτάσσεται αυτή ουδέν πονηρόν, ευγνωστός εστι πάσι τοίς εγγίζουσιν αυτήν, πάν δέ τίμιον ούκ άξιον αυτής εστιν. Εκ γάρ τού στόματος αυτής εκπορεύεται δικαιοσύνη, νόμον δέ καί έλεον επί γλώσσης φορεί. Τοιγαρούν ακούσατέ μου, ώ τέκνα, σεμνά γάρ ερώ, καί μακάριος άνθρωπος, ός τάς εμάς όδούς φυλάξει. Αι γάρ έξοδοί μου, έξοδοι ζωής, καί ετοιμάζεται θέλησις παρά Κυρίου, Διά τούτο παρακαλώ υμάς καί προϊεμαι εμήν φωνήν υιοίς ανθρώπων, Ότι εγώ η Σοφία κατεσκεύασα βουλήν καί γνώσιν καί έννοιαν, εγώ επεκαλεσάμην, Εμή βουλή καί ασφάλεια, εμή φρόνησις, εμή δέ ισχύς, Εγώ τούς εμέ φιλούντας αγαπώ, οι δέ εμέ ζητούντες ευρήσουσι χάριν, Νοήσατε τοίνυν άκακοι πανουργίαν, οι δέ απαίδευτοι ένθεσθε καρδίαν, Εισακούσατέ μου καί πάλιν, σεμνά γάρ ερώ, καί ανοίγω από χειλέων ορθά, Ότι αλήθειαν μελετήσει ο λάρυγξ μου, εβδελυγμένα δέ εναντίον εμού χείλη ψευδή, Μετά δικαιοσύνης πάντα τά ρήματα τού στόματός μου, ουδέν εν αυτοίς σκολιόν, ουδέ στραγγαλιώδες, Πάντα ευθέα εστί τοίς νοούσι, καί ορθά τοίς ευρίσκουσι γνώσιν, Διδάσκω γάρ υμίν αληθή, ίνα γένηται εν Κυρίω η ελπίς υμών, καί πλησθήσεσθε Πνεύματος.

Παροιμιών τό Ανάγνωσμα
(Κεφ. 10, 31-32 & 11, 1-12)

Στόμα δικαίου αποστάζει σοφίαν, γλώσσα δέ αδίκου εξολείται, Χείλη ανδρών δικαίων επίστανται χάριτας, στόμα δέ ασεβών καταστρέφεται, Ζυγοί δόλιοι βδέλυγμα ενώπιον Κυρίου, στάθμιον δέ δίκαιον δεκτόν αυτώ, Ού εάν εισέλθη ύβρις, εκεί καί ατιμία, στόμα δέ ταπεινών μελετά σοφίαν, Τελειότης ευθέων οδηγήσει αυτούς, καί υποσκελισμός αθετούντων προνομεύσει αυτούς, Ούκ ωφελήσει υπάρχοντα εν ημέρα θυμού, δι καιοσύνη δέ ρύσεται από θανάτου, Αποθανών δίκαιος έλιπε μετάμελον, πρόχειρος δέ γίνεται καί επίχαρτος ασεβών απώλεια, Δικαιοσύνη αμώμου ορθοτομεί οδούς, ασέβεια δέ περιπίπτει αδικία, Δικαιοσύνη ανδρών ορθών ρύσεται αυτούς, τή δέ αβουλία αλίσκονται παράνομοι. Τελευτήσαντος ανδρός δικαίου ουκ όλλυται ελπίς, τό δέ καύχημα τών ασεβών όλλυται, Δίκαιος εκ θήρας εκδύνει, αντ’ αυτού δέ παραδίδοται ο ασεβής, Εν στόματι ασεβών παγίς πολίταις, αίσθησις δέ δικαίων εύοδος, Εν αγαθοίς δικαίων κατώρθωται πόλις, καί εν απωλεία ασεβών αγαλλίαμα, Εν ευλογία ευθέων υψωθήσεται πόλις, στόματι δέ ασεβών κατασκαφήσεται, Μυκτηρίζει πολίτας ενδεής φρενών, ανήρ δέ φρόνιμος ησυχίαν άγει.

Σοφίας Σολομώντος τό Ανάγνωσμα
(Κεφ. 4, 7-15)

Δίκαιος εάν φθάση τελευτήσαι, εν αναπαύσει έσται, Γήρας γάρ τίμιον ου τό

πολυχρόνιον, ουδέ αριθμώ ετών μεμέτρηται, Πολιά δέ εστι φρόνησις ανθρώποις, καί ηλικία γήρως βίος ακηλίδωτος, Ευάρεστος Θεώ γενόμενος ηγαπήθη, καί ζών μεταξύ αμαρτωλών μετετέθη, Ηρπάγη, μή κακία αλλάξη σύνε σιν αυτού, Βασκανία γάρ φαυλότητος αμαυροί τά καλά, καί ρεμβασμός επιθυμίας μεταλλεύει νούν άκακον, Τελειωθείς έν ολίγω, επλήρωσε χρόνους μακρούς, αρεστή γάρ ήν Κυρίω η ψυχή αυτού, διά τούτο έσπευσεν εκ μέσου πονηρίας, οι δέ λαοί ιδόντες καί μή νοήσαντες, μηδέ θέντες επί διανοία τό τοιούτον, ότι χάρις καί έλεος εν τοίς οσίοις αυτού, καί επισκοπή εν τοίς εκλεκτοίς αυτού.

Ιδιόμελα εις τήν Λιτήν Ήχος α'

Τούς υπέρ άνθρωπον αγώνάς σου, καί τάς πυκνάς χαμευνίας, πώς μή θαυμάσωμεν, Ιεροφάντα θεσπέσιε, Αρχήθεν γάρ προορισθείς, τόν τιμαλφή καί ισάγγελον τής παρθενίας χιτώνα, άσπιλον διεφύλαξας, Καί τοίς τερπνοίς καί χαμαιζήλοις τού βίου χαίρειν ειπών, νύκτωρ τε μεθ' ημέραν, τώ Σωτήρι εβόας, «Η ψυχή μου εκολλήθη οπίσω σου, Γνώρισόν μοι Κύριε, οδόν εν ή πορεύσομαι». Όθεν ανελθών, εις τό περίβλεπον Ιεραρχίας ύψος, επινεύσει τής Θεοτόκου, πάσαν αρετήν εαυτώ ενεθησαύρισας, καί θαυματουργόν σεαυτόν εναπέφηνας, Πρέσβευε υπέρ ημών, Πάτερ Αγιώτατε.

Τήν πίστιν τετήρηκε, τόν δρόμον τετέλεκε, αγώνα τόν καλόν αγωνισάμενος, ό Χριστιανουπόλεως Αθανάσιος, Ποιμαίνων γάρ καί πυκτεύων, καί τήν σάρκα δουλαγωγών, τοίς πάσι πάντα γέγονεν, ίνα πάντας κερδήση, Καί τόν Σωτήρα μιμούμενος, υπέρ τών προβάτων τήν ψυχήν αυτού ετίθει, Διό, καί τούτον εδόξασεν ο Χριστός, Καί ζώντα καί μετά θάνατον, τώ τρισηλίω ούν φωτί, φαιδρός παρ ιστάμενος, πρέσβευε υπέρ ημών, τού Ευαγγελίου κήρυξ διαπρύσιε.

Ως αργαλέος εστίν ο δρόμος τής αρετής! Διό καί παρά Θεού στεφανούνται, οι αναβάσεις εν τή καρδία τιθέμενοι, καί ακλινώς πολεμούντες, καί κόσμον καί κοσμοκράτορα, Αλλ' ώ Κερκύρας βλάστημα, καί Γορτυνίας καύχημα, τής Χριστιανουπόλεως Ιερουργέ καί ποιμάντορ, εν ουρανοίς χοροβατών, καί επί γής απείροις θαύμασι δοξασθείς, πρέσβευε υπέρ ημών, Πάτερ Αθανάσιε.

Δόξα... Ήχος δ'

Σήμερον σκιρτήσωμεν, καί πνευματικώς ευφρανθώμεν, επί τή μνήμη τού Ιεράρχου, Τόν γάρ Σωτήρα τού παντός, ούτος επιποθήσας, γονείς, μνηστήν, σύν τοίς λοιποίς τού βίου θελγήτροις απηρνήσατο, Καί τή λυχνία επιβάς διά τής Θεοτόκου, τή αόκνω διδασκαλία, Θεόν καί άνθρωπον εκήρυξε, Φόβω καί τρόμω δέ τούτον θύων, όλην έν αυτώ τήν Τριάδα επεσπάσατο, Καί τήν ψυχήν τής τών παθών αχλύος εκκαθάρας, γυμνητιώντων καί πειναλέων, χηρών τε ορφανών υπήρξε παραμύθιον, Όθεν τοίς θαύμασιν εδοξάσθη, μέλλοντα προειπών, καί τούς τής λίμνης βατράχους αφώνους απειργάσατο, αύθις δέ τούτοις τό κοάζειν, μετά καιρόν εχαρίσατο, Αυτού ταίς ικεσίαις Χριστέ, ειρήνην τή πίστει δώρησαι, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Καί νύν... Τής Εορτής

Εις τόν Στίχον απόστιχα Προσόμοια.

Πανεύφημοι μάρτυρες

Διάδοχος ώφθης αληθής, πάτερ Αθανάσιε, τών Αποστόλων, Καί ένδοξος, καί διαπρόσιος, τού Χριστού θεράπων, καί ποιμήν εγρήγορος, εισάγων καί εξάγων τό ποίμνιον, ό ελυτρώσατο, ο Σωτήρ ιδίω αίματι, καί ελαύνων, πρός νομήν σωτήριον.

Στίχ. Διά τούτο έχρισέ σε ο Θεός, ο Θεός σου έλαιον αγαλλιάσεως παρά τούς μετόχους σου.

Γορτύνιοι άπαντες τορώς, δεύτε συναθροίσθητε, καί τόν ποιμένα υμνήσατε, κατασπαζόμενοι, εν απλέτω πόθω, σώμα τό μυρίπνοον, καί Κάραν τήν αγίαν καί πάντιμον, τήν απελαύνουσαν, τά πολλά δεινοπαθήματα, καί φρουρούσαν τούς πιστώς προστρέχοντας.

Στίχ. Οι Ιερείς σου Κύριε ενδύσονται δικαιοσύνην.

Τώ πόθω Χριστού τρωθείς σοφέ, Ιεράρχα ένδοξε, θαυματουργέ Αθανάσιε, καί τούτον ακλινώς, εν τοίς στέρνοις φέρων σύν Πατρί καί Πνεύματι προλέγειν ηξιώθης τά μέλλοντα, Αυτόν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Δόξα... Ήχος γ'

Λαμπροφανής καί πανένδοξος επέφανε νύν η μνήμη σου, Αθανάσιε. Αγγελικώς γάρ βιώσας, εν μέσω τύρβης τής κοσμικής, τό χείρον τώ κρείττονι καθυπέταξας, καί τήν σήν ποίμνην αόκνως, τών κακοδόξων Αιρετικών άτρωτον διεφύλαξας, Όθεν τών τήδε υπεραρθείς, τών Αποστόλων ομόσκηνος γέγονας, Καί υπερφυώς θαυματουργών, τούς τήν σήν μνήμην τελούντας ταίς ευλογίαις ουρανόθεν καταστέφεις, καί πρεσβεύεις υπέρ τών ψυχών ημών.

Καί νύν... Τής Εορτής

| |
|---|
| Απολυτίκιον τών Αποστόλων<br>Ήχος γ'<br>Απόστολοι Άγιοι, πρεσβεύσετε τώ ελεήμονι Θεώ ίνα πταισμάτων άφεσιν, παράσχη ταίς ψυχάς ημών. |

Απολυτίκιον Ήχος α'
Τής ερήμου πολίτης

Τούς τελούντας τήν μνήμην, καί τιμώντας τό σώμά σου, καί πανευλαβώς προσκυνούντας τήν μυρίπνοον Κάραν σου, ως έχων παρρησίαν πρός Θεόν, ικέτευε Χριστόν τόν αγαθόν, καί ταίς σαίς θερμαίς πρεσβείαις, τών κινδύνων σώζε, ώ άγιε Αθανάσιε, Έχων δέ καί συμπρεσβευτήν, τόν μέγαν Κυρίου

Πρόδρομον, έσο αοράτως τής Μονής, φρουρός καί προπύργιον.

Δόξα... Καί νύν... τής Εορτής

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολ.

Κάθισμα α'
Τήν ωραιότητα

Βίον ισάγγελον θεομακάριστε, Πάτερ διήνυσας, εν μέσω κλύδωνος, τού κοσμικού καί τών κακών, καί ύλης τής φθειρομένης, Όθεν απεξήρανας, τών δακρύων τοίς ρεύμασι, τών παθών μακάριε, τόν ακάθεκτον χείμαρρον, Διό καί πρεπωδέστατα μέλπομεν, πίστει σήν μνήμην Ιεράρχα.

Δόξα... Καί νύν... Τής Εορτής

Μετά τήν β' Στιχολ.

Κάθισμα β'
Τόν τάφον σου Σωτήρ

Πανήγυριν φαιδράν, Ιεράν πανδαισίαν, σκιρτώσα εκτελεί, η μονή τού Προδρόμου, σοφέ Αθανάσιε, εν τοίς κόλποις κατέχουσα, τήν σήν πάντιμον, καί θεοβράβευτον Κάραν, ανυμνούσά σου τούς εναρέτους αγώνας, Διό ταύτην φύλαττε.

Δόξα... Καί νύν...

Παρθένος άληθώς, πρό τού τόκου Παρθένε, Παρθένος αληθώς, εν τώ τόκω Παρθένε, Παρθένος Αειπάρθενος, μετά τόκον διέμεινας, καί Παρθένον σε, ομολογούμεν Παρθένε, καί ελπίζομεν, εν σοί Παρθένε σωθήναι, Κυρία Αειπάρθενε.

Μετά τόν Πολυέλεον

Τό προσταχθέν μυστικώς

Τόν Γορτυνίας, αδελφοί φρουρόν καί φύλακα, καί τού Προδρόμου τής μονής έρεισμα άσειστον, Αθανάσιον πάντες τόν εν Ιεράρχαις, προφρόνως νύν εορτάσωμεν εν ωδαίς, Βοώντες ακαταπαύστως, φρούρει ημάς, καί περίσωζε Άγιε, παντοδαπών ασθενειών, καί πάσης άλλης θλίψεως, καί παντοίας κακώσεως.

Δόξα... Καί νύν... Τής Εορτής

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί  Αντίφωνον Α'

- Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.
- Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον

Τίμιος εναντίον Κυρίου ο θανατος τού Οσίου.
Στίχ. Τί ανταποδώσωμεν τώ Κυρίω.

Τό, Πάσα πνοή

Ευαγγέλιον τού Ιεράρχου

Ο Ν'

Δόξα... Ταίς τού Ιεράρχου…
Καί νύν... Ταίς τής Θεοτόκου…

Ελέησόν με ο Θεός...

Ιδιόμελον  Ήχος πλ. β'

Αθανάσιε Πάτερ, τή πολιτεία Ισάγγελε, καί πιστέ Χριστού θεράπον, ως έχων παρρησίαν πρός Αυτόν περίσωζε ημάς ταίς ευπροσδέκτοις πρεσβείαις σου, εκ παντοίων κινδύνων, ότι πρός σέ καταφεύγομεν.

Ο Κανων τών Αποστόλων, ού η Ακροστιχίς.
Αίνον προσοίσω τώ σοφώ Ανδρονίκω.
Ποίημα Ιωσήφ.

Ωδή α'  Ήχος πλ. δ'
Άσωμεν τώ Κυρίω

Αίνον Θεώ προσάγει εν τή παναγία Μάκαρ μνήνη σου, η σεπτή Εκκλησία, τούς αγώνάς σου πίστει δοξάζουσα.

Ιθυνας τού νοός σου, πάσας τάς κινήσεις ιερώτατε, πρός Θεού θελημάτων, αποπλήρωσιν χαίρων, Ανδρόνικε.

Νόσους αποκαθαίρειν, πνεύματα διώκειν πονηρότατα, εκ Θεού θείαν χάριν, εκομίσω θεόφρον Ανδρόνικε.

Θεοτοκίον
Ομβρισόν μοι Παρθένε, πάντων τών πταισμάτων απολύτρωσιν, καί διόρθωσιν βίου, τή εν σοί μεσιτεία καί χάριτι.

Ο Κανών τού Αγίου, ού η Ακροστιχίς

Μέλπω τόν Χριστού θείον Ιεροφάντην

Εν δέ τοίς Θεοτοκίοις
Μαρτίνος

Ωδή α' Ήχος α'
Ωδήν επινίκιον

Μολπήν σοί προσάγοντι, κανόνος τούτου, προσδέχου, ώ Άγιε, καί ταμά πταίσματα, νοός μου τάς εκτροπάς, σαίς πρός Θεόν θερμαίς λιταίς, άρδην εξάλειψον.

Εχθρόν τόν παμπόνηρον, ήσχυνας Πάτερ στερρέ Αθανάσιε, Χριστιανουπόλεως, ποιμήν καί ιερουργέ, πατήσας ταίς σαίς αρεταίς τούτου τά ένεδρα.

Λαμπρώς σε εδόξασε, θαύμασι πλείστοις Τριάς η υπέρθεος, καί τήν θείαν Κάραν σου, πανέντιμον θησαυρόν, καί τών δεινών απαλλαγήν πάσι δεδώρηται.

Παντοίοις δεδόξασαι, καί εν τώ βίω Πάτερ, Αθανάσιε, θαυμαστοίς τέρασιν, αρά γάρ σή υποβαλών, βατράχους κοάζοντας αφώνους κατέστησας.

Θεοτοκίον
Μαρία πανάχραντε, ευλογημένη, φωτός οικητήριον, καί ναός τού Πνεύματος σύ γέγονας αληθώς, τόν γάρ Υιόν τόν τού Θεού Παρθένος εκύησας.

Τών Αποστόλων

Ωδή γ'
Ουκ έστιν Άγιος

Νεκρώσας τά μέλη σου αγωνίσμασι, τήν ζωήν κατηξίωσαι, τών ζώντων θεάσασθαι, επί γής σαρκοφόρον, Χριστόν τόν Θεόν ημών, Ανδρόνικε Απόστολε.

Πυρίπνοος γέγονας θείου Πνεύματος, καθαρά διανοία σου, τήν θέρμην Απόστολε, περιφέρων καί φλέγων, τής πλάνης τήν άκανθαν, Ανδρόνικε πανεύφημε.

Ρημάτων ο φθόγγος σου καί η δύναμις, τών θαυμάτων επέδραμε, τού

κόσμου τά πέρατα, μαθητά τού Κυρίου, πιστούς εκδιδάσκουσα χάριν τήν σωτήριον

Θεοτοκίον

Ουκ έστιν άχραντος πλήν σου Δέσποινα, καί ουκ έστιν άμεμπτος πλήν σου πανάμωμε, τού Θεού γάρ τών όλων, χωρίον μόνη εχρημάτισας.

Ο Ειρμός

«Ουκ έστιν, Άγιος ως ο Κύριος καί ουκ έστι δίκαιος ως ο Θεός ημών, όν υμνεί πάσα Κτίσις, ουκ έστι δίκαιος πλήν σου Κύριε».

## Ωδή γ'

Στερεωθήτω η καρδία μου

Ω Αθανάσιε ισάγγελε, σύ απηρνήσω σούς γεννήτορας, καί εγκατέλιπες μνηστήν καί τού βίου τά θέλγητρα, καί τόν Κύριον ηγάπησας, τόν ημάς αγαπήσαντα.

Τόν γοητεύτριαν δεσμεύσαντα, καί νεκρά χειρί ευλογήσαντα, τήν επί φέρετρον τό σόν, γοερώς ολολύζουσαν, ανυμνούμέν σε προφρόνως, Ιερέ Αθανάσιε.

Ότε ευλόγεις τό σόν ποίμνιον, καί εξεφώνεις τό «επίβλεψον», οι τήν καρδίαν καθαροί, άστρον φεγγοβολώτατον, πρό τού στόματός σου έβλεπον, ευλαβώς εξιστάμενοι.

Θεοτοκίον

Αγιωτέρα πάσης κτίσεως, σύ ώ Παρθένε αναδέδειξαι, καί καθαρώτατος ναός, καί πυρίμορφον όχημα, καί παλάτιον τού Λόγου, τού τόν κόσμον λυτρώσαντος.

Κάθισμα τών Αποστόλων  Ήχος δ'

Ταχύ προκατάλαβε

Ο θείος Ανδρόνικος, φωτοειδής πεφυκώς, καρδίας εφώτισε, θεογνωσίας φωτί, Κυρίω προσέρχεσθαι, όθεν καί μετά τέλος, αναβλύζει ιάσεις, πίστει τοίς προσιούσι, τώ σεπτώ αυτού οίκω, καί πάσιν εξαιτείται πιστοίς τό μέγα έλεος.

Κάθισμα  Ήχος α'

Τόν τάφον σου Σωτήρ

Αισχύνθητε εχθροί, τής Χριστού Εκκλησίας, καί πάντες υλισταί, τής αθέου μωρίας, οι θαύματα τεράστια, αναιδώς μή πιστεύοντες, καί νύν έλθετε, Αθανασίου τό σκήνος, ιδείν πώς αυτό, ευωδιάζει αρρήτως, καί δαίμονας τρέπεται.

Δόξα... Καί νύν... Τής Εορτής

Τών Αποστόλων

Ωδή δ'
Εξ όρους κατασκίου

Σέ ως συγγενή, ασπάζεται ο Παύλος, έναντι πιστών, τούς θείους σου επαίνους, ανακηρύττων Ανδρόνικε θεορρήμον, φωταγωγέ τών ευφημούντων σε.

Οίκος γεγονώς, Τριάδος παναγίας, οίκους καί βωμούς, κατέστρεψας τής πλάνης, καί εδομήσω Πανελύφημε εκκλησίας, εις σωτηρίαν τών ψυχών ημών.

Ίσχυσας Θεού, τό σθένος περιφέρων, τά τού δυνατού, αρπάσαι σκεύη μάκαρ, καί εκτελέσαι τού Πνεύματος τού Αγίου, κατοικητήριον Ανδρόνικε.

Θεοτοκίον

Σέ διά παντός, Παρθένε Θεοτόκε, πάντες οι πιστοί, συμφώνως ανυμνούμεν, ως ασφαλή καί υπέρμαχον προστασίαν, καί τών ψυχών ημών τήν λύτρωσιν.

Ωδή δ'
Εν πνεύματι προβλέπων

Νοσήματα διώκεις, καί πάθη χαλεπά, καί τά σπερματοφθόρα ζιζάνια σοβείς, Τών εν θερμή καρδία σέ επικαλουμένων, καί τήν αγίαν κάραν σου κατασπαζομένων, ώ θεοφόρε Αθανάσιε.

Χριστόν επιποθήσας τόν θείον Λυτρωτήν, εκ τών γηϊνων Πάτερ, ανύψωσας σαυτόν, Δι' εγκρατείας εκάθηρας τό σαρκίον, καί όντως ανεδείχθης τροφεύς τών πενομένων, Όθεν τήν μνήμην σου γεραίρομεν.

Ρηγνύεις σύ τό όρος ποινή τή τού δεσμού, ως παρρησίαν έχων πρός Κύριον πολλήν, Όθεν υμνούμεν Θεόντόν καλώς ειδότα, τούς λατρευτάς καί φίλους αυτού αντιδοξάζειν, καί θαυμαστούν απείροις θαύμασιν.

Ιάσεων πλημμύρα η σή λάρναξ σοφέ, καί νοσημάτων πέλει ταχύς φυγαδευτής, Διό ακέστορα έχει σε η Προδρόμου, μονή καί Γορτυνία καύχημα καί προστάτην, Ιερουργέ πανιερώτατε.

Θεοτοκίον

Ροώδη φύσιν κόσμου τώ τόκω σου Αγνή, επαναφέρεις αύθις εις ό ήν απ' αρχής, Διό Παρθένον πρό τόκου καί εν τώ τόκω, καί μετά τόκον πάντες ώ Κεχαριτωμένη, ομολογούμεν εμμελέστατα.

Τών Αποστόλων

Ωδή ε'
Ο εκ νυκτός αγνοίας

Ως συγγενή σε παύλου, καί πρό αυτού μαθητήν χρηματίσαντα, σύν αυτώ

νύν τιμώμεν, πίστει συνελθόντες Ανδρόνικε.

Τούς φωταυγείς αστέρας, καί Ιερούς Αποστόλους τιμήσωμεν, Ιουνίαν ενθέως, καί τόν θεοφόρον Ανδρόνικον.

Ως επισήμους όντως, εν Αποστόλοις υμάς ο μακάριος, Παύλος ανακηρύττει, εν τή Εκκλησία μακάριοι.

Θεοτοκίον

Σέ παναγία Κόρη, τών Προφητών ο χορός προεχαραξεν, Ιεροίς εν συμβόλοις, έσεσθαι Κυρίου λοχεύτριαν.

## Ωδή ε'

Τήν σήν ειρήνην

Στενήν καί τεθλιμμένην σύ βαδίσας οδόν, ρεύμασι δακρύων τήν σάρκα εμάρανας, εν τώ κρυπτώ ταύτα ποιούμενος. Όθεν ο Χριστός σέ τοίς θαύμασι δοξάζει.

Ταίς σαίς πρεσβείαις Ιεράρχα, φρούρει ημάς, ότι πλήν σου άλλον αρωγόν ου γινώσκομεν, εν Γορτυνία οι τιμώντές σε, ελατήρ γάρ πέλεις ποικίλων νοσημάτων.

Οργήν Θεού φρικώδη, τριγμώ δηλοίς σής σορού, καί τά αναρίθμητα στίφη τής ακρίδος απήλασας, καί κατεξήρανας τόν δάκτυλον, τού τολμήσαντός σου τή Κάρα προσεγγίσαι.

Υγράν αυχμώσαν σαίς ευχαίς ποιείς σύ τήν γήν, καί τήν απειθούσάν σοι κώμην ερημία παρέδωκας, τούς γάρ νεκρούς ούτοι κατέκαιον, εκ πολλής ανοίας καί δεισιδαιμονίας.

Θεοτοκίον

Τήν σήν βοήθειαν, Κόρη δίδου ημίν, άλλην γάρ εκτός σου Παρθένον ουκ έγνωμεν, μετά τόν τόκον, ώ Πανάσπιλε. Όθεν Σε τιμώμεν Αγνή ως Θεοτόκον.

Τών Αποστόλων

## Ωδή ς'

Χιτώνά μοι παράσχου

Ο οίκός σου ιάσεων πηγάς, τοίς πόθω προστρέχουσι, πηγάζει Απόστολε, αποτλύνων ψυχικά αρρωστήματα.

Φθαρείσαν αθεϊα τήν πληθύν, εθνών ανεκαίνισας, νοστίμοις σου δόγμασι, τού αφθάρτου Ιησού φίλε γνήσιε.

Ως ήλιος επέδραμες τήν γήν, Ανδρόνικε πάνσοφε, τρισήλιον άκτιστον, καταγγέλλων τοίς πιστοίς φώς θεότητος.

Θεοτοκίον

Αι θείαι τού Δεσπότου επί σοί, πορείαι εγνώσθησαν, τού σάρκα πτωχεύσαντος, καί πλουτίσαντος πιστούς Απειρόγαμε.

Ο Ειρμός

«Χιτώνά μοι παράσχου φωτεινόν, ο αναβαλλόμενος, φώς ώσπερ ιμάτιον, πολυέλεε Χριστέ ο Θεός ημών».

Ωδή ς'

Τόν προφήτην Ιωνάν

Θαυματόβρυτος πηγή, Αθανάσιε σοφέ, η σή Κάρα αληθώς, ανεδείχθη τοίς πιστοίς, καί καύχημα, τών Γορτυνίων βοώντων πρόφθασον.

Εχρισέ σε ο Θεός, μύρω θείω νοητώ, Αρχιποίμενα ημών, καί το σωμά σου λαμπρώς, εδόξασε, σύν ευωδία νύν σωζόμενον.

Ίνα σαίς ευχαίς καγώ, εύρω ίλεων Χριστόν, τόν Δεσπότην τού παντός, εν ημέρα τή φρικτή, εξύφανα, τά τής σής μνήμης εόρτια.

Θεοτοκίον

Ιλεών μοι τόν Υιόν, Σού απέργασαι Αγνή, τόν συνάναρχον Πατρί, καί τώ Πνεύματι όνπερ, κηρύττομεν, Θεόν αεί τε καί άνθρωπον.

Κοντάκιον  Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ

Ο δοξασθείς παρά Θεού θαυμασίως, δι' ευωδίας καί θαυμάτων ποικίλων, εν τοίς εσχάτοις χρόνοις, Αθανάσιε, φάνηθι ταχύτατος, καί θερμός αντιλήπτωρ, τών δεινών λυτρούμενος, τούς πιστώς σε τιμώντας, και τούς τά λείψανα κατέχοντας τά σά, πρός μετανοίας οδόν χειραγώγησον.

Ο Οίκος

Φώτισόν μου τήν φρένα, σθένωσόν μου τήν χείρα, ώ Πνεύμα ζωοποιόν καί αυτάγαθον, όπως υμνήσω αριπρεπώς τόν χθιζά τε καί πρώιζα εκ Κερκύρας ανατείλαντα φαεινόν φωστήρα τής Εκκλησίας καί λάτρην Χριστού Αθανάσιον, Καταφρονήσας γάρ τών γεηρών καί χαμαιζήλων, ως δυνατόν τό κατ' εικόνα ακηλίδωτον διετήρησεν, αγγελικώς τόν βίον διήνυσε, καί τώ διττώ τής αρχιερωσύνης τε καί ασκήσεως χαρίσματι λαμπρυνθείς, εν ουρανώ τήν ψυχήν ανεβίβασε, Τών δέ νομιζόντων μύθους είναι τήν αρετήν καί τά θαύματα δυσσεβών τά στόματα κατεφίμωσεν, Οθεν τής μυριπνόου εμπιπλάμενοι ευωδίας, καί τήν πανίερον αυτού μνήμην τελούντες βοώμεν, Ω θείε Πάτερ, πρός μετανοίας οδόν ημάς χειραγώγησον.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΖ' τού αυτού μηνός, Μνήμη τών Αγίων Αποστόλων Ανδρονίκου καί Ιουνίας.

Στίχοι

- Έθνη διδάξας Ανδρόνικος μυρία,

- Πρός Χριστόν ήλθεν, ός καλεί πρός φώς έθνη.
- Ιουνία τέθνηκε μηνί Μαϊω,
- Ός πρώτός εστιν εισιών Ιουνίου,
- Εβδομάτηδεκάτη θάν' Ιουνίη Ανδρόνικός τε.

Τή αυτή ημέρα μνήμη, τού εν Αγίοις Πατρός ημών Αθανασίου τού νέου, Επισκόπου Χριστιανουπόλεως, τού θαυματουργού.

Στίχοι

- Πέφευγεν εχθρού τού βροτοκτόνου βέλη
- Ο ευλογητός καί μέγας Χριστού λάτρις.

Άλτο άημα φαεσφόρον νύν γε Αθανασίοιο.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Σολόχωνος, καί τών σύν αυτώ, Παμφαμήρ καί Παμφυλών.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τών Αποστόλων

Ωδή ζ'

Ο εν αρχή τήν γήν

Νόσους δεινάς καί πάσας μαλακίας, εκ τών ψυχών ομού καί τών σωμάτων, αποδιώκεις τών προστρεχόντων, εν τώ οίκω σου σοφέ Μαθητά τού Χριστού.

Δαιμονικάς εφόδους απελαύνων, πάθη δεινά καθαίρεις τών ανθρώπων, εν συμπαθεία Χριστού αυτόπτα, διά τούτό σε πιστώς μακαρίζομεν.

Ρητορικήν Σοφέ αδολεσχίαν, καταβαλων απλότητι δογμάτων, Θεόν κηρύττεις σαρκός εν είδει, ομιλήσαντα βροτοίς αγαθότητι.

Θεοτοκίον

Ο εν γαστρί τής Παρθένου οικήσας, καί εν αυτή τον Αδάμ αναπλάσας, ευλογητός εί εις τούς αιώνας Κύριε, ο Θεός ό τών Πατέρων ημών.

Ωδή ζ'

Τούς εν καμίνω παίδας

Ο χαμευνίαις καί δεήσεσι πυκναίς, καί τή εγκρατεία τόν ρούν τών παθών χειρωσάμενος, πνευματικήν ευωχίαν εν τή μνήμη αυτού σήμερον παρατίθεται, καί βοάν επείγει, Ευλογητός ο Θεός Αθανασίου.

Νικήσας νίκην κατά τού εχθρού, ήνπερ κατενίκησαν Προφήται καί Μάρτυρες, καί ο κλεινός τών Αποστόλων θίασος, Αγγέλους καί ανθρώπους εξέπληξας, Ημάς ούν σώζε αεί τού λαοφθόρου λοιμού.

Ιερατεύσας νεύσει θεϊκή, τού Ευαγγελίου διαπρύσιος κήρυξ Σύ γέγονας, καί τού Χριστού τοίς ίχνεσιν επόμενος, υπογραμμός αρετής αναδέδειξαι, καί ευλογείς τόν Θεόν εν ουρανοίς κατοικών.

Επί τήν θείαν ήρθης σκοπιάν, αρχιερωσύνης καθαρότητι νού Αθανάσιε, καί τόν σταυρόν σου επ' ώμων αράμενος, τώ κόσμω ενεκρώθης Ισάγγελε, καί απεδείχθης τρανώς τών πενομένων τροφεύς.

Θεοτοκίον

Νενεκρωμένον πάθεσι δεινοίς, καί τών ακαθάρτων λογισμών τοίς βελέμνοις βεβλημένον με έγειρον, ώ Θεού Λόγου υπέραγνον σκήνωμα, Μαρία Θεοτόκε Μητράνανδρε, η τέξασα, τόν Θεόν δίχα τροπής καί φυρμού.

Τών Αποστόλων

Ωδή η'

Τον εν όρει αγίω

Νεμομένην κακίας σηπεδόνα, τών ανθρώπων Ανδρόνικε καρδίας, άλατι θείω έστησας δογμάτων σου, καί τώ κενωθέντι, Λόγω σωζομένας, παρέστησας τρισμάκαρ.

Ιερεύς τε καί θύτης καί θυσία, τώ τυθέντι δι' οίκτον εγνωρίσθης, καί πρός αυτόν ανέδραμες Ανδρόνικε, στέφος αφθαρσίας, καί δικαιοσύνης, πρός τούτου δεδεγμένος.

Κήρυξ θείος Απόστολος θεόπτης, καθαιρέτης ξοάνων απωλείας, καί πλουτιστής απόρων ώφθης ένδοξε, καί Σιών τής άνω, μέγιστος οικήτωρ, Ανδρόνικε θεόφρον.

Θεοτοκίον

Ως λαβίδι χερσίν άνθρακα φέρεις, δρόσον θείον πηγάζοντα Παρθένε, τοίς τώ φλογμώ τής πλάνης κινδυνεύουσι, φλέγοντα δέ πάθη, τών υμνολογούντων, αυτού τήν βασιλείαν.

Ο Ειρμός

«Τόν εν όρει αγίω δοξασθέντα, καί εν βάτω πυρί τό τής Αειπάρθενου, τώ Μωϋσή Μυστήριον γνωρίσαντα, Κύριονυμνείτε, καί δοξολογείτε, αυτόν εις τούς αιώνας».

Ωδή η'

Όν φρίττουσιν Άγγελοι

Ραθάμιγγες κόνεως εκ λάρνακος τής σής, εκβλύζουσιν Άγιε, καί πάντας τούς πιστούς λυτρούνται κινδύνων, τελούντας πιστώς, καί ανευφημούντας, τήν γεραράν σου μνήμην.

Ω ουράνιοι Άγγελοι καί πάσα η σεπτή, Ιεραρχών ομήγυρις, κροτούσι τούς σούς πανσέπτους αγώνας, καί έχουσι νύν σύσκηνόν σε Πάτερ, εις πάντας τους αιώνας.

Φαιδρύνεται σήμερον ενδόξως καί τερπνώς, η Γορτυνία άπασα, Σκιρτά δέ ευαγώς τιμία Προδρόμου καί οσία μονή, θησαυρόν ευρούσα, τά λείψανά σου Πάτερ.

Αγνείαν εξήσκησας, νηστείαν προσευχήν εκ βρέφους, ώ Άγιε πενήτων καί γυμνών τροφεύς καί προστάτης, διόρθωσις ακριβής, τών αμαρτανόντων σύ ανεδείχθης Πάτερ.

Θεοτοκίον

Ο τόκος σου έθλασε πανύμνητε Αγνή, τήν κεφαλήν τού δράκοντος, κρημνίσας γάρ δολερώς τήν Εύαν απάτη, συνέσυρεν άπαν τό γένος τών ανθρώπων, εις τήν παρανομίαν.

Τών Αποστόλων

Ωδή θ'

Τόν προδηλωθέντα

Ίνα τής εκείθεν ζωής οφθής κληρονόμος, τούς νενεκρωμένους τό πρίν, δαιμόνων επηρείαις, ανεζώωσας ζωηφόρω σου λόγω, αξιομακάριστε Ανδρόνικε.

Ως τής αληθούς γεγονώς αμπέλου παμμάκαρ, κλήμα ευφορώτατον, οίνον αθανασίας, εναπέσταξας, καί ανθρώπων καρδίας, εύφρανας πανεύφημε Ανδρόνικε.

Σέ τόν αστραπαίς φλέξαντα δογμάτων τήν ύλην, τής πολυθεϊας σαφώς, καί φώς θεογνωσίας, καταλάμψαντα τοίς εν σκότει τού βίου, πάντες μακαρίζομεν Απόστολε.

Ηιερωτάτη σου μνήμη εφαπλουμένη, εις τά πέρατα σήμερον, φωτίζει τάς καρδίας, τών εν ταύτη σε ιερώς ανυμνούντων, αξιομακάριστε Ανδρόνικε.

Θεοτοκίον

Φωτισμόν ημίν αίτησαι η τό φως τεκούσα, καί αμαρτιών άφεσιν, καί ψυχών σωτηρίαν, τοίς ειδόσι σε αληθή Θεοτόκον, άχραντε Παρθένε παναμώμητε.

Ο Ειρμός

«Τόν προδηλωθέντα εν όρει τώ νομοθέτη, εν πυρί καί βάτω τόκον τόν τής Αειπαρθένου, εις ημών τών πιστών σωτηρίαν, ύμνοις ασιγήτοις μεγαλύνομεν».

Ωδή θ'

Τήν φωτοφόρον Νεφέλην

Νύν ουν Γορτύνιοι πάντες, δεύτε αθροίσθητε πόθω, καί περιπτύξασθε θερμώς, τήν πανσέβαστον Κάραν, καί εμφορήθητε οσμής ευώδους, καί θείας εκ τής λάρνακος, ανυμνούντες καί βοώντες, σώσον πάντας Ιεράρχα σαίς ευχαίς.

Τήν φωτοφόρον σου μνήμην, επιτελούμεν ενθέως, ωδαίς καί ύμνοις ιεροίς, Αθανάσιε Πάτερ, θαυματουργός γάρ αληθώς, ημίν οσημέραι αναδείκνυσαι, καί τήν θείαν σου Κάραν, εγκατέλιπες ημίν ως θησαυρόν.

Η νίκα μέλλει ο Κτίστης τά έθνη άπαντα κρίναι, τότε παράστηθι γοργώς, καί λιπάρησον Πάτερ, ίνα ο δύστηνος ρυσθώ, τής γξέννης εκείνης καί τού σκώληκος, καί τό πλήθοσπαρίδη, τών εμών πταισμάτων ο Κριτής.

Νικητικά μέν βραβεία, τής αρετής ήρω Πάτερ, ως γάρ ποιμήν αληθινός καί τυφλών ποδηγέτης, υπερετίθεις σήν ψυχήν, καί τοίς πάσι πάντα γέγονας ουράνιε, ίνα πάντας κερδήσης, καί προσάξης τό σόν ποίμνιον Χριστώ.

Θεοτοκίον

Σώσον ημάς Θεοτόκε, τούς επί σοί πεποιθότας, καί Θεοτόκον αληθώς, καί Παρθένον πρό τόκου, καί μετά τόκον αψευδώς, καί εν τόκω σέ ανακηρύττοντας, Προσκυνούμεν ούν Μήτερ, καί λατρεύομεν τόν τόκον σου Αγνή.

Εξαποστειλάριον

Τοίς μαθηταίς συνέλθωμεν

Αθανασίου σήμερον, τού σεπτού Ιεράρχου, καί Χριστιανουπόλεως, υπερκάλου ποιμένος, καί Γορτυνίων προστάτου, χαρμονικώς εκτελούντες, μνήμην τήν παναοίδιμον, απαντλούμεν αφθόνως, εκ τής σορού, δαψιλή χαρίσματα καί ιάσεις, καί πρός Θεόν κεκτήμεθα, ακαταίσχυντον πρέσβυν.

Εις τούς Αίνους, ιστώμεν Στίχους έξ καί ψάλλομεν τά εφεξής Προσόμοια τέσσαρα.

Ήχος α'

Τών ουρανίων ταγμάτων

Τής καλλιγόνου τό θρέμμα, Κερκύρας μέλψωμεν, καί τόν τής Γορτυνίας, αρωγόν καί προστάτην, καί θείον Ιεράρχην θαυματουργόν, τής Χριστιανουπόλεως, Αυτώ βοήσωμεν πάντες ειλικρινώς, χαίροις Πάτερ αγιώτατε.

Δεύτε πιστοί συνελθόντες, περικυκλώσωμεν, τήν θήκην τών λειψάνων, ίνα εμφορηθώμεν, ευώδους καί απλέτου θείας οσμής, καί τερπνώς εκβοήσωμεν, τούς εκ κινδύνων καί θλίψεων πολλαπλών, τρυχομένους Πάτερ πρόφθασον.

Ούτε λαμπρότης χρυσίου, ούτε γονέων στοργή, κατίσχυσαν σαλεύσαι, τόν στερέμνιον Πάτερ, πύργον τής ψυχής σου, αλλ' ατρεκώς τώ Χριστώ ηκολούθησας, καί εκμαγείον τού σκεύους τής εκλογής, ανεδείχθης ιερώτατε.

Τέρπου, αγάλλου καί σκίρτα, μονή Προδρόμου λαμπρώς, κατέχουσα εν κόλποις, χρήμα μέγα καί θείον, Χριστού τόν Ιεράρχην τόν θαυμαστόν, καί

σεπτόν Αθανάσιον, τών Γορτυνίων προπύργιον αρραγές, καί φρουρόν ακαταμάχητον.

Δόξα... Ήχος πλ. α'

Ως σμυρναλόης φιάλη, καί πολυτίμητος νάρδος, προτέθειται νύν η πάντιμος Κάρα σου Αθανάσιε, τοίς μετά πόθου προσιούσι, ρείθρα ιάσεων πελαγίζουσα, Τό γάρ τρισάκτινον φώς, τής υπερφώτου Τριάδος λατρεύσασα, φαιδράς καί αιγληέσσας αστράπτει τάς μαρμαρυγάς, Όθεν καί ημείς σήμερον, μεταρσιούμενοι τώ πνεύματι, εν κατανύξει καρδίας βοήμεν, Άναψον ημίν τό πύρ Χριστέ τής σής αγάπης, ταίς λιταίς τού θεράποντός Σου, καί ταίς ψυχαίς ημών ρίζωσον τόν φόβον τών εντολών Σου, Ενίσχυσον δέ, όπως κατ' έτος τελώμεν, τήν παναγίαν τού Ιεράρχου σου κοίμησιν.

Καί νύν... τής Εορτής

Δοξολογία Μεγάλη

Εις τήν Λειτουργίαν τά Τυπικά εκ τού κανόνος τού Αγίου ωδή γ' καί ς' εί δόξει τώ προεστώτι, Απόστολον καί Ευαγγέλιον ζήτει είς Ιεράρχην ΙΓ' Νοεμβρίου.

Κοινωνικόν

Εις μνημόσυνον αιώνιον έσται Δίκαιος. Αλληλούια.

ΜΕΓΑΛΥΝΑΡΙΑ

Ψαλλόμενα εις τήν υποδοχήν τής Τιμίας Κάρας, εις Παράκλησιν καί εις τούς Αγιασμούς.

Χριστιανουπόλεως τόν καλόν, καί σεπτόν ποιμένα, Αθανάσιον τόν κλεινόν, Τιμήσωμεν πάντες, ως μέγαν Θεού φίλον, καί Γορτυνίων σθένος ακαταμάχητον.

Τόν εν Ιεράρχαις θαυματουργόν, καί τόν εν κινδύνοις, απροσμάχητον βοηθόν, τόν θείον ποιμένα, καί λειτουργόν Κυρίου, Αθανάσιον τόν νέον πάντες τιμήσωμεν.

Έχοντες τήν Κάραν σου τήν σεπτήν, Αθανάσιε Πάτερ, ως προπύργιον οχυρόν, προσφεύγομεν ταύτη, εν πάσι τοίς κινδύνοις, καί λοιμικής τής νόσου απολυτρούμεθα.

---

Αρχή

## ΤΗ ΙΗ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Μαρτύρων Πέτρου, Διονυσίου, Ανδρέου, Παύλου, Χριστίνης, Ηρακλείου, Παυλίνου καί Βενεδίμου.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ' καί τών Αγίων γ'.

### Στιχηρά τών Αγίων

Ήχος δ'
Εδωκας σημείωσιν

Αίγλη φωτιζόμενοι, τής τρισηλίου θεότητος, σκοτασμόν παρεδράμετε, βασάνων καί ώφθητε, φωτεινοί αστέρες, τό τής Εκκλησίας, θείον στερέωμα αεί, φωταγωγούντες Άγιοι Μάρτυρες, διό τήν φωταυγή ημών, επιτελούμεν πανήγυριν, προσκυνούντες τά λείψανα, καί τήν κόνιν τού σώματος.

Πέτρον Διονύσιον, Παύλον Ανδρέαν Βενέδιμον, τούς γενναίους αδάμαντας, Χριστίναν Ηράκλειον, καί Παυλίνον πάντες, εν αγαλλιάσει, νύν μακαρίσωμεν πιστοί, υπέρ Τριάδος στερρώς αθλήσαντας, καί πάσας τάς τού δράκοντος, μηχανουργίας πατήσαντας, καί τό σκότος μειώσαντας, τών ειδώλων εν χάριτι.

Αίματι ωνήσασθε, τήν βασιλείαν μακάριοι, τού Θεού τήν ασάλευτον, καί όρμους εφθάσατε, τούς γαληνοτάτους, πάσαν τρικυμίαν, υπενεγκόντες τών δεινών, γνώμης ανδρεία θεομακάριστοι, εντεύθεν μακαρίζεσθε, νύν ικετεύοντες πάντοτε, τού ευρείν ημάς έλεος, εν ημέρα τής κρίσεως.

Δόξα... Καί νύν... Τής Εορτής

Ει τύχοι η νηστεία τών Αποστόλων

Δόξα... Καί νύν... Θεοτοκίον
Ήχος δ' Έδωκας σημείωσιν

Τόν ρύπον απόσμηξον, τής ταλαιπώρου καρδίας μου, Θεοτόκε πανύμνητε, καί πάντα τά τραύματα, καί τά έλκη ταύτης, τά εξ αμαρτίας, εναποκάθαρον Αγνή, καί τού νοός μου στήσον τό άστατον, όπως τήν δυναστείαν σου, καί τήν μεγάλην αντίληψιν, μεγαλύνω ο άθλιος, καί αχρείος οικέτης σου.

Η Σταυροθεοτοκίον

Σταυρούμενον βλέπουσα, καί τήν πλευράν ορυττόμενον, υπό λόγχης ή Πάναγνος, Χριστόν τόν φιλάνθρωπον, έκλαιε βοώσα, Τί τούτο Υιέ μου, τί σοι αχάριστος λαός, ανταποδίδωσιν ών πεποίηκας, καλών αυτοίς, καί σπεύδεις με, ατεκνωθήναι παμφίλτατε; Καταπλήττομαι εύσπλαγχνε, σήν εκούσιον σταύρωσιν.

Εις τόν Στίχον, Στιχηρά τής Εορτής. Απολυτίκιον ομοίως, καί Απόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τής Εορτής, καί τών Αγίων.

Ο Κανών τών Αγίων, ού η Ακροστιχίς.

Πιστώς ανυμνώ τούς πόνους τών Μαρτύρων.
Ποίημα Ιωσήφ.

Ωδή α' Ήχος δ'
Άσομαί σοι Κύριε
Πίστεως Υπέρμαχοι τούς εν πίστει, τήν ιεράν υμών αεί, τελούντας πανήγυριν, παθών απολυτρώσασθε, καί πάσης περιστάσεως.

Ιστίω πτερούμενοι θεοφόροι, τώ τού Σταυρού πανευκλεώς, αβρόχως τό πέλαγος, βασάνων διεπλεύσατε, εχθρόν καταποντίσαντες.

Συνήφθητε τάξεσιν ασωμάτοις, καθυπομείναντες πληγάς, εν σώματι Άγιοι, διό τήν θείαν σήμερον, μνήμην υμών γεραίρομεν.

Τώ νόμω τώ θείω ωχυρωμένοι, τών ανομούντων τάς βουλάς, Σοφοί κατηργήσατε, αθλήσαντες νομίμως δέ, Θεού δόξης ετύχετε.

Θεοτοκίον
Ως θρόνον σε Παρθένε τού Βασιλέως, εν ώ καθίσας τοίς πιστοίς, καθέδραν ουράνιον, ητοίμασε, γεραίρομεν, καί πόθω μακαρίζομεν.

Ωδή γ'
Τόξον δυνατών ησθένησεν
Στήσας επί πέτραν πίστεως, Πέτρε τής ψυχής σου τούς πόδας μακάριε, τή ενστάσει ου παρετράπης, τών αθέων παμμακάριστε.

Άλλον ως αστέρα λάμποντα, Λάμψακός σε Πέτρε, τή οικουμένη προβάλλεται, εκμειούντα τής αθεΐας, τήν εσπέραν θεία χάριτι.

Νεύσει πρός Θεόν νευρούμενος, Πέτρε τροχαντήρσι, καί δεσμοίς συντριβόμενος, καί τυπτόμενος ανενδότως, στεφανίτης αναδέδειξαι.

Υμνοντώ Θεώ προσάγοντες, πάσαν Αθλοφόροι επιφοράν τών κολάσεων, υπεμείνατε, διά τούτο, τών στεφάνων ηξιώθητε.

Θεοτοκίον
Μόνη παρθενεύεις τίκτουσα, μόνη μυστηρίου, μεγίστου όντως διάκονος, εγνωρίσθης Θεον τεκούσα, Θεότοκε Μητροπάρθενε.

Ο Ειρμός
«Τόξον δυνατών ησθένησε, καί οι ασθενούντες Περιεζώσαντο δύναμιν, διά τούτο εστερεωθη, εν Κυρίω η καρδία μου».

Κάθισμα Ήχος δ'

Ταχύ προκατάλαβε

Μαρτύρων εν αίματι, καλλωπιζόμενοι, Κυρίω παρίστασθε, τώ τού παντός Βασιλεί, καλλίνικοι Μάρτυρες, όθεν εν ευφροσύνη, τήν σεπτήν υμών μνήμην, σήμερον εκτελούμεν οφλημάτων τήν λύσιν, αιτούμενοι ευρείν δι' υμών, καί μέγα έλεος.

Ει τύχοι η νηστεία τών Αποστόλων

Δόξα... Καί νύν... Θεοτοκίον

Ήχος δ' Ταχύ προκατάλαβε

Εκαίνισας Άχραντε, τώ θείω Τόκω σου, φθαρείσαν τοίς πάθεσι, τών γηγενών τήν θνητήν, ουσίαν καί ήγειρας, πάντας εκ τού θανάτου, πρός ζωήν αφθαρσίας, όθεν σε κατά χρέος, μακαρίζομεν πάντες, Παρθένε δεδοξασμένη, ως προεφήτευσας.

Η Σταυροθεοτοκίον

Παρθένε πανάμωμε, Μήτερ Χριστού τού Θεού, ρομφαία διήλθέ σου, τήν παναγίαν ψυχήν, ηνίκα σταυρούμενον, έβλεψας εκουσίως, τόν Υιόν καί Θεόν σου, όν περ ευλογημένη δυσωπούσα μή παύση, συγχώρησιν πταισμάτων ημίν δωρήσασθαι.

Καί τής Εορτής

Ωδή δ'

Δι' αγάπησιν Οικτίρμον

Νυσταγμόν από βλεφάρων ψυχής ωθούντες, τόν εκ τής αμελείας, εγρηγόρσεσι θείαις, πάσαν εκοιμίσατε αθέων κακόνοιαν,

Ως υπέρτιμοι καί θείοι τού Λόγου λίθοι, θανατωθέντες λίθοις, ο Ανδρέας καί Παύλος, καί ο Διονύσιος, ζωής ηξιώθησαν.

Τόν τερπνοτατον λειμώνα τής ευσεβείας, τήν αληθή καί θείαν, τού Χριστού ευωδίαν, πίστει ευφημήσωμεν τούς Μάρτυρας σήμερον.

Οι τά κάτω παριδόντες εφέσει θεία, καί τής σαρκός τούς πόνους, υποστάντες γενναίως, χαίροντες πρός άπονον ζωήν μεταβεβήκασι.

Θεοτοκίον

Υπερύμνητε Παρθενε Θεοκυήτορ, τούς υμνητάς σου σώζε, επί σοί πεποιθότας, πάσης περιστάσεως κινδύνων καί θλίψεων.

Ωδή ε'

Τόν φωτισμόν σου Κύριε

Σημειωθέντες Μάρτυρες, φωτί τώ νοητώ, βασάνων σκότος, καί νύκτα πονηράν, σθένει θεϊκώ, πολυθεϊας απροσκόπτως διέβητε.

Παρθενικαίς εκλάμπουσα, Χριστίνα καλλοναίς, στιγμάτων φέγγει, λαμπρώς

ωραιώθης, καί πρός νοητόν Χριστού νυμφώνα, κατεσκήνωσας χαίρουσα.

Οι μανικώς ερώμενοι, τού σώματος τού σού, Χριστίνα μάρτυς, ηδίστω σου λόγω, έρωτα Θεού εισδεδεγμένοι, εναθλούσι στερρότατα.

Θεοτοκίον

Νύμφη Χριστού ανύμφευτε, δι' ής τού παλαιού, λυθέντες χρέους, υιοί κατά χάριν, ώφθημεν Πατρός επουρανίου, τούς υμνούντάς σε φύλαττε.

Ωδή ς'

Εβόησε, προτυπών

Ο ένδοξος, αριστεύσας Ηράκλειος ήρατο, μέγα κλέος, Παραδείσου πολίτης γενόμενος, καί σεπταίς χορείαις, ενωθείς Αθλητών συναγάλλεται.

Υμνήσωμεν, σύν Παυλίνω τόν θείον Βενέδιμον, καί Ανδρέαν, καί Ηράκλειον, καί Διονύσιον, Πέτρον τε καί Παύλον, καί Χριστίναν Κυρίου τούς Μάρτυρας.

Στρεβλούμενοι, καί τοίς λίθοις αδίκως βαλλόμενοι, τώ πυρί τε τελειούμενοι, ένδοξοι μάρτυρες, τήν τών πρωτοτόκων, Εκκλησίαν οικείν ηξιώθητε.

Τόν δείξαντα, τούς σοφούς, Αθλοφόρους εκλάμποντας, ως αστέρας, Εκκλησίας εν τώ στερεώματι, ευσεβώς υμνούντες, τόν Υιόν τού Θεού προσκυνήσωμεν.

Θεοτοκίον

Ως άρουρα, καρποφόρος τόν στάχυν εβλάστησας, Θεοτόκε, τής ζωής τούς πιστούς διατρέφοντα, καί λιμόν τής πλάνης, εκ τής γής αληθώς αναστέλλοντα.

Ο Ειρμός

«Εβόησε, προτυπών τήν ταφήν τήν τριήμερον, ο προφήτης, Ιωνάς εν τώ κήτει δεόμενος, Εκ φθοράς με ρύσαι, Ιησού Βασιλεύ τών Δυνάμεων».

Κοντάκιον τής Εορτής

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΗ' τού αυτού μηνός, Μνήμη τών Αγίων Μαρτύρων, Πέτρου, Διονυσίου, Χριστίνης παρθένου, Ανδρέου, Παύλου, Βενεδίμου, Παυλίνου καί Ηρακλείου.

Στίχοι

- Σεπτοί Αθληταί, υπέρ σεπτής Τριάδος,
- Υπέρ τό ζήν είλοντο θανείν εμφρόνως.
- Ογδοάς, Αθλοφόρων εκ γαίης εις πόλιν ήρθη.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων επτά Μαρτύρων γυναικών, τών εν Αγκύρα τής Γαλατίας, Τεκούσης, Αλεξανδρίας, Κλαυδίας, Φαεινής, Ευφρασίας, Ματρώνης, Ιουλίας καί Θεοδότου Μάρτυρος.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Αβραμιαίοι Ποτέ

Νέους ζηλούντες πιστώς, εν Βαβυλώνι παίδας, τό πύρ προθύμως υπεισήλθετε, βοώντες Μακάριοι, ο τών Πατέρων ήμων Θεός ευλογητός εί.

Μή προσκυνήσαι γλυπτοίς, οι Αθληταί τής δόξης, ανασχεθέντες τόν αοίδιμον, θάνατον υπέστησαν, τάς αθανάτους λήξεις σαφώς απολαβόντες.

Ανδρειοτάτη ψυχή, καί ρωμαλέα γνώμη, τών ανομούντων τά φρυάγματα, καθείλον οι Μάρτυρες, αναβοώντες πιστώς, Χριστέ ευλογητός εί.

Ρήμασι θείοις οχυρωθείς, Μάρτυς Παυλίνε, θανείν προείλου παναοίδιμε, βοών τώ ποιήσαντι, ο τών Πατέρων ήμων Θεός ευλογητός εί.

Θεοτοκίον

Τήν κιβωτόν τού Θεού, τού θείου μάννα στάμνον, χρυσήν λυχνίαν τε καί τράπεζαν, τό όρος τό άγιον, τήν Θεοτόκον πάντες πιστώς υμνολογούμεν.

Ωδή η'

Λυτρωτά τού παντός

Υφαντόν εκ τής άνωθεν χάριτος, απεκδύσει πηλίνου τού σώματος, οι Αθληταί ιμάτιον, ενεδύσαντο πόθω αναβοώντες, Ευλογείτε τά έργα τόν Κύριον.

Ραντισμώ θείου αίματος Μάρτυρες, καθαρθέντες τό αίμα τό ίδιον, υπέρ Χριστού εχέατε, μελωδούντες απαύστως, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον.

Ωραιότατοι βότρυες ώφθητε, νοουμένης αμπέλου Μακάριοι, οίνον ημίν προχέοντες, ευσεβείας τοίς πόθω αναβοώσιν, Ευλογείτε τά έργα τόν Κύριον.

Θεοτοκίον

Νοητόν ιλαστήριον πέφυκας, τάς απάντων δεήσεις δεχόμενον, καί τώ Υιώ σου Πάναγνε, αναφέρον εις λύτρον τών μελωδούντων, Ευλογείτε τά έργα τόν Κύριον.

Ο Ειρμός

«Λυτρωτά τού παντός Παντοδύναμε, τούς εν μέσω φλογός ευσεβήσαντας, συγκαταβάς εδρόσισας, καί εδίδαξας μέλπειν, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον.

Ωδή θ'

Εύα μέν τώ τής παρακοής

Ιέρευσαν πόθω εαυτούς οι Μάρτυρες, οι γενναίοι αγαλλόμενοι, έδωκαν αίματα προθύμως, καί όλβον αναφαίρετον έλαβον, καί νύν ταίς τών Μαρτύρων ηρίθμηνται, χοροστασίαις οι πανεύφημοι.

Ωράθητε άνθη νοητά μυρίζοντα, Αθλοφόροι τήν ευσέβειαν, θείας τε πόλεως πολίται, λιμένες τών εν ζάλη σωτήριοι, φωστήρες αληθείας υπέρμαχοι, όθεν αξίως μακαρίζεσθε.

Σύν Πέτρω καί Παύλω τόν σοφόν Ηράκλειον, καί Παυλίνον καί Βενέδιμον, άμα Ανδρέα καί Χριστίνη, καί τώ Διονυσίω τιμήσωμεν, στερρώς υπέρ Χριστού μαρτυρήσαντας, καί τήν απάτην αφανίσαντας.

Η γή μέν τά αίματα υμών εδέξατο, εκχυθέντα μεγαλώνυμοι, υπέρ τού πάντων Ευεργέτου, σκηναί δέ τών Δικαίων τά πνεύματα, μεθ' ών περιχορεύοντες μνήσθητε, τών μεμνημένων υμών πάντοτε.

Θεοτοκίον

Φωνήν σοι πιστοί περιχαρώς προσφέρομεν, τού Αγγέλου Θεονύμφευτε, Χαίρε βοήθεια ανθρώπων, Μαρτύρων Αποστόλων κραταίωμα, καί παντων Προφητών περιήχημα, Θεογεννήτορ παναμώμητε.

Ο Ειρμός

«Εύα μέν τώ τής παρακοής νοσή ματι, τήν κατάραν εισωκίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν».

Εξαποστειλάριον τής Εορτής

Καί τά λοιπά, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΘ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Ιερομάρτυρος Πατρικίου, Επισκόπου Προύσης, καί τών σύν αυτώ, Ακακίου, Μενάνδρου καί Πολυαίνου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ' καί τών Αγίων γ'.

Στιχηρά τών Αγίων

Ήχος β'
Ότε, εκ τού ξύλου

Θεία, τετρακτύς Ιεραρχών, δέδεικται πληθύς ώσπερ στύλων, αμεταθέτων Χριστού, ών τή εδραιότητι, Σοφία οίκτον υψοί, τών δογμάτων τά θύματα, προτίθησι πάσιν, οίνον τόν ευφρόσυνον, κιρνά κρατήρι σεπτώ, νέμει τήν τροφήν καί τήν χάριν, τοίς πιστώς τελούσι τήν μνήμην, τών Ιεραρχών καί αθλοφόρων Χριστού.

Μύσται, καί θεράποντες Χριστού, καί Ιερομάρτυρες θείοι, κόσμον

φρουρήσατε, μέγιστε Πατρίκιε, σύν Ακακίω ομού, ιερώτατε Μένανδρε, Πολύαινε μάκαρ, στίφος ισοστάσιον, τών τετραμόρφων νοών, θείαν, ως τελούντες χορείαν, καί Θεού παρόντες τώ θρόνω, συντηρείτε πίστει τούς τιμώντας υμάς.

Όντως, ώ Πατρίκιε ποθών, επί θαλασσών τόν αφράστως, θεμελιώσαντα γήν, καί τόν ποταμοίς αυτήν προετοιμάσαντα, σού τοίς θείοις προσρήμασι, διδάσκεις υδάτων, τών θερμών μυστήριον, τό υπερθαύμαστον, ούπερ, προχοαίς νύν ενθέοις, δίδου καί ημίν σαίς πρεσβείαις, ιαμάτων άνωθεν τά νάματα.

Δόξα... Καί νύν... Τής Εορτής

Ει τύχοι η νηστεία τών Αποστόλων

Δόξα... Καί νύν... Θεοτοκον

Ήχος β' Ότε, εκ τού ξύλου σε νεκρόν

Χαίρε, ηλιόμορφε αστήρ, χαίρε η αιτία απάντων, καλών Πανάμωμε, χαίρε η χωρήσασα, Θεόν αχώρητον, η τόν στάχυν βλαστήσασα, τής αθανασίας, χαίρε θείον όχημα, πύλη η πάμφωτος, χαίρε, η αράς αναιρέτις, τής προγονικής ημών, χαίρε, αγαθών η πρόξενος υπάρχουσα.

Η Σταυροθεοτοκίον

Βότρυν, τόν παμπέπειρον Αγνή, όν αγεωργήτως εν μήτρα, εκυοφόρησας, ξύλω ως εώρακας, τούτον κρεμάμενον, θρηνωδούσα ηλάλαζες, καί έκραζες, Τέκνον, γλεύκος εναπόσταξον, δι' ού η μέθη αρθή, πάσα, τών παθών ευεργέτα, δι' εμού τής σέ τετοκυΐας, σού τήν ειυυυυσπλαγχνίαν ενδεικνύμενος.

Εις τόν Στίχον Στιχηρά τής Εορτής. Ομοίως καί Απολυτίκιον καί Απόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τής Εορτής, καί τών Αγίων.

Ο Κανων τών Αγίων, ού η Ακροστιχίς.

Πατρίκιον τόν άριστον εν αθλοφόροισιν αείδω.

Ποίημα Θεοφάνους.

Ωδή α'

Ήχος πλ. δ' Αρματηλάτην

Παντοδαπαίς κεκοσμημένην χάρισιν, Ιερωσύνης στολήν, καί ταίς βαφαίς αύθις, μαρτυρίου αίματος, ωραϊσθείσαν Ένδοξοι περιθέμενοι πάντες, τής ευσεβείας εδείχθητε, πρόμαχοι στερροί καί τής πίστως.

Αγωνοθέτης ο Χριστός καθήμενος, εν δεξιά τού Πατρός, τοίς Αθληταίς πάσι, τών αγώνων στάδιον, αναπετάσας ήθροισε, προσφυώς ηρμοσμένον, χορόν Μαρτύρων τετράριθμον, άσμασιν αυτόν μεγαλύνοντα.

Τής Εκκλησίας προεστώς Πατρίκιε, οία ποιμήν αγαθός, υπέρ αυτής μάκαρ, τήν ψυχήν σου τέθεικας, σύν Ακακίω Μέναωδρον, Πολύαινόν τε τόν θείον, σοφούς πλουτήσας συλλήπτορας, άσμα τώ Θεώ αναπέμποντας.

Θεοτοκίον

Ρήσεσι θείων Προφητών επόμενοι, καθωμολόγησαν, τόν τού Θεού Λόγον, σάρκα προσλαβόμενον, οι θεηγόροι Μάρτυρες, εξ αχράντου Παρθένου, ήν Θεοτόκον δοξάζοντες, άσμασιν αεί μακαρίζομεν.

Ωδή γ'

Ο στερεώσας κατ' αρχάς

Τούς πορευθέντας ανδρικώς, τήν τρίβον τού μαρτυρίου, καί τελέσαντας τόν κάλλιστον δρόμον, μακαρίσωμεν πιστοί, ώς νικηφόρους μάρτυρας, και στεφανίτας θείους, καί ιεράρχας θεόφρονας.

Ο θεηγόρος πυρωθείς, τώ ζήλω τής ευσεβείας, κατεμάρανε τήν φλόγα τής πλάνης, ρητορεύων ασφαλώς, θεολογίας δόγματα, καί συνετίζων πάντας, πρός θείαν όντως επίγνωσιν.

Νενεκρωμένον καθορών, τώ κάρω τής ασεβείας, ο Πατρίκιος δεινόν ηγεμόνα, εισεπήδησε βοών, θεογνωσίας ρήματα, καί διασπείρων πάσι, τόν θείον λόγον τής πίστεως.

Θεοτοκίον

Απειρογάμως τού Θεού, τόν Λόγον ώ Θεοτόκε, απεγέννησας εκ σού σαρκωθέντα, όν οι Μάρτυρες Θεού, ανδρείως ωμολόγησαν, ως στρατιώται τούτου, καί στεφανίται γενόμενοι.

Ο Ειρμός

«Ο στερεώσας κατ' αρχάς, τούς ουρανούς εν συνέσει, καί τήν γήν επί υδάτων εδράσας, εν τή πέτρα με Χριστέ, τών εντολών σου στήριξον, ότι ουκ έστι πλήν σου, Άγιος μόνε φιλάνθρωπε».

Κάθισμα Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Σύν Μενάνδρω Ακάκιον τόν σοφόν, καί Πολύαινον πίστει τόν Ιερόν, τιμήσωμεν άσμασι, καί τόν μέγαν Πατρίκιον, Ιερείς γάρ ούτοι, Θεού παντοκράτορος, γεγονότες πίστει, αυτώ ευηρέστησαν, όθεν μαρτυρίου, επί τέλει τού βίου, λαμπρώς ηξιώθησαν, καί Αγγέλοις συνήφθησαν, οίς εκ πόθου βοήσωμεν, Πρεσβεύσατε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην υμών.

Καί τής Εορτής

Ει τύχοι η νηστεία τών Αποστόλων

Δόξα... Καί νύν... Θεοτοκον
Ήχος πλ. δ' Τήν Σοφίαν καί Λόγον

Χαριστήριον αίνον χρεωστικώς, ως η χήρα εκείνη δύο λεπτά, προσφέρω σοι Δέσποινα, υπέρ πασών τών χαρίτων σου, σύ γάρ ώφθης σκέπη, ομού καί βοήθεια, Πειρασμών καί θλίψεων, αεί με εξαίρουσα, όθεν ως εκ μέσου, φλογιζούσης καμίνου, ρυσθείς τών θλιβόντων με, εκ καρδίας κραυγάζω σοι, Θεοτόκε βοήθει μοι, πρεσβεύουσα τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δοθήναί μοι, σέ γάρ έχω ελπίδα, ο ανάξιος δούλός σου.

Η Σταυροθεοτοκίον

Τόν Αμνόν καί Ποιμένα καί Λυτρωτήν, η Αμνάς θεωρούσα εν τώ Σταυρώ, ωλόλυζε δακρύουσα, καί πικρώς ανεκραύγαζεν, ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήνπερ υπομένεις διά σπλάγχνα ελέους, Θεέ υπεράγαθε, ανεξίκακε Κύριε, Η πιστώς εκβοησωμεν, Σπλαγχνίσθητι Παρθένε εφ' ημάς, καί πταισμάτων δώρησαι τήν άφεσιν, τοίς προσκυνούσιν εν πίστει, αυτού τά παθήματα.

Ωδή δ'
Σύ μου ισχύς, Κύριε

Ρώμην Χριστού, περιεβάλου Πατρίκιε, Ιερεύς γάρ, τούτου εχρημάτισας, καί τοίς αυτού, ίχνεσι σαφώς, κατακολουθήσας, διά βασάνων προσήνεξαι, τώ μόνω ευεργέτη, εύσεβως ανακράζων, Τή δυνάμει σου δόξα φιλάνθρωπε.

Ιερουργός, θείος εδείχθης Ακάκιε, θείας αίγλης, Πάτερ εμφορούμενος, καί τού Χριστού, Μάρτυς αληθής, αναδεδειγμένος, ειδώλων πλάνην κατέπτυσας, διό καί γεγηθότι, συνειδότι κραυγάζεις, Τή δυνάμει σου δόξα φιλάνθρωπε.

Στίφει Χριστέ, τών σων Μαρτύρων ο Μένανδρος, συγχορεύων, καί συναγαλλόμενος, μαρμαρυγαίς, λάμπει νύν ταίς σαίς, καί φωτοχυσίαις, ωραίαις αγλαϊζόμενος, κακεί σοι τώ Δεσπότη, γεγηθώς ανακράζει, Τή δυνάμει σου δόξα φιλάνθρωπε.

Τής Ιεράς, στάσεως Σώτερ Πολύαινος, ηξιώθη ως ακαταγώνιστος, Μάρτυς φανείς, όθεν καί φωτός, νύν τού ακηράτου, αξίως αναπιμπλάμενος, βοά σοι τώ Δεσπότη, τών απάντων καί κτίστη, Τή δυνάμει σου δόξα φιλάνθρωπε.

Θεοτοκίον

Όπλον Χριστέ, τήν σέ τεκούσαν Πανάμωμον, κεκτημένοι, πλάνης ετροπώσαντο, τάς μηχανάς, Μάρτυρες οι σοί, καί τάς τών τυράννων, θωπείας σαφώς διέλυσαν, καί νύν στεφανηφόροι, δεδειγμένοι βοώσι, Τή δυνάμει σου δόξα φιλάνθρωπε.

Ωδή ε'

Ίνα τί με απώσω

Νεκρωθέντες τώ κόσμω, Μάρτυρες θεόφρονες πόνοις ασκήσεως, τώ Χριστώ προθύμως, προσηνέγκατε θύματα τέλεια, εαυτούς τυθέντες, ώσπερ αμνοί τοίς τού Δεσπότου, πειθαρχούντες ενθέοις προστάγμασιν.

Εναθλούντες νομίμως, Μάρτυρες πανεύφημοι εστεφανώθητε, καρτερήσαντες γάρ, τάς πικράς αλγηδόνας καί μάστιγας, τάς τών παρανόμων, εν ουρανοίς κατατρυφήσαι, τής αφθάρτου ζωής ηξιώθητε.

Νοερώς σύν Αγγέλοις, νύν ενδιαιτώμενος μάκαρ Πατρίκιε, τών επιτελουντων, τήν σεβάσμιον μνήμην σου μέμνησο, πρός τόν σόν Δεσπότην, εν προσευχαίς καθικετεύων, εκ κινδύνων ρυσθήναι πανεύφη με.

Θεοτοκίον

Αληθή Θεοτόκον, πάντες επιγνόντες σε Μάρτυρες ένδοξοι, τόν εκ σού τεχθέντα, Θεόν Λόγον ειδότες εκήρυξαν, πρός τήν αμαρτίαν, νεανικώς μέχρι θανάτου, ανθιστάμενοι Κόρη πανύμνητε.

Ωδή ς'

Άβυσσος αμαρτιών

Θίασον αθλητικόν, εκ τεσσάρων συνεστώτα Μαρτύρων ιεραρχών αξίως, ευπρεπώς φαιδρυνόμενον, ο λαός ο ευσεβής, νύν συστησάμενοι τάς χορείας, χαρμονικώς ανευφημήσωμεν,

Λύουσι σωματικών, αλγηδόνας οι στερροί νοσημάτων, ταίς τών θερμών υδάτων, αυτομάτοις εκβλυσεσι, καί παθών τών ψυχικών, θείαις εντεύξεσι, τούς εν πίστει, προσερχομένους απαλλάττουσιν.

Όρθρον μοι τόν νοητόν, τώ εν σκότει τών πταισμάτων κειμένω καί μοχθηρώς εντεύθεν, τήν ζωήν διανύοντι, προσευχαίς μάκαρ ταίς σαίς, νύν εξανάτειλον, ικετεύων, τόν Λυτρωτήν Χριστόν Πατρίκιε.

Θεοτοκίον

Φώτισόν μου τήν ψυχήν, η τεκούσα τό απαύγασμα δόξης, τής τού Πατρός Παρθένε, Θεοτόκε πανύμνητε, τήν σήν γάρ οι αθληταί, χάριν κατέχοντες, τών τυράννων, τάς γλωσσαλγίας απεκρουσαντο.

Ο Ειρμός

«Άβυσσος αμαρτιών, καί πταισμάτων καταιγίς με ταράττει, καί πρός βυθόν βιαίως συνωθεί απογνώσεως, αλλά σύ τήν κραταιάν, χείρά μοι έκτεινον, ως τώ Πέτρω, καί εκ φθοράς με ανακάλεσαι».

Κοντάκιον Ήχος πλ. δ'

Ως απαρχάς τής φύσεως

Ως ιερόν κειμήλιον, τού Ιησού Πατρίκιε, η Εκκλησία λαβούσα τό σώμά σου, αγαλλομένη κράζει σοι, Διά σού άπας κόσμος, εν ειρήνη βαθεία διαφυλάττεται, εξ αιρέσεως πάσης αλώβητος καί αήττητος.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΘ' τού αυτού μηνός, Μνήμη τού Αγίου Ιερομάρτυρος Πατρικίου, Επισκόπου Προύσης καί τών σύν αυτώ, Ακακίου, Μενάνδρου καί Πολυαίνου,

Στίχοι

- Εφεύρε Πατρίκιος εκτμηθείς κλέος,
- Υπέρ κλέος πάν γηϊνων πατρικίων.
- Εννεακαιδεκάτη τάμε Πατρίκιον ξίφος οξύ

Τή αυτή ημέρα, Μνήμη τού οσίου πατρός ημών Μέμνονος τού θαυματουργού.

Μνήμη τού αγίου μάρτυρος Ακολούθου.

Η αγία νέα μάρτυς Κυριακή πυρί τελειούται.

Η αγία μάρτυς Θεοτίμη ξίφει τελειούται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Θεού συγκατάβασιν

Οι ένδοξοι Μάρτυρες, Ιερωσύνης κεκοσμημένοι στολή, τώ σφών αίματι ταύτην, Ιερωτέραν απεργασάμενοι, εν θεοπτία χορεύοντες ψάλλουσιν, Ευλογητός ο Θεος ο τών Πατέρων ημών.

Ρητόρων δεινότητας, φωτί τώ θείω καταυγαζόμενος, εξεφαύλισας μάκαρ, ως εν καμίνω τοίς αυτομάτοις θερμοίς, οίς ουκ εφλέχθης βληθείς, αλλ' εκραύγαζες, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Ου φέρει Πατρίκιε, σοφούς σου λόγους, οίς εθριάμβευσας, Ηγεμών ο αλάστωρ, μιαρωτάτους καί ψευδωνύμους θεούς, ών καταπτύσας εβόας γηθόμενος, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Θεοτοκίον

Ιδού νύν πεπλήρωται, Δαυίδ τού θείου η θεία πρόρρησις, λιτανεύει γάρ πόθω, τετράς Μαρτύρων τώ σώ προσώπω Αγνή, τώ σαρκωθέντι εκ σού ανακράζουσα, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Ωδή η'

Επταπλασίως κάμινον

Στεφανηφόρους Μάρτυρας, Ιεράρχας θεόφρονας, δεύτε γεγηθότες, οι πιστοί τιμήσωμεν, Χριστόν μεγαλύνοντες, τόν παρασχόντα τούτοις ισχύν, τάς τών δυσμενών, μή δεδοικέναι βασάνους, όν Παίδες ευλογούσιν, Ιερείς ανυμνούσι, λαοί υπερυψούσιν, εις πάντας τούς αιώνας.

Ιερωσύνης χρίσματι, μαρτυρίου τε αίματι, η τών καλλινίκων, τετρακτύς

κεκόσμηται, καί λάμπει τοίς θαύμασι, δι' εκατέρων μάλα λαμπρώς, τόν Δημιουργόν, καί Λυτρωτήν εκβοώσα, οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Νενικηκότες ένδοξοι, τών δαιμόνων τάς φάλαγγας, καί τάς τών τυράννων, απειλάς μή πτήξαντες, στεφάνους εδέξασθε, παρά Χριστού πανεύφημοι, καί ως νικηφόροι αθληταί μελωδείτε, οι Παίδες ευλογείτε, Ιερεις ανυμνείτε, λαός υυπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Αγαλλιάσθω Μένανδρος, ευφημείσθω Ακάκιος, καί σύν Πολυαίνω, ο φαιδρός Πατρίκιος, χορείαν στησάμενοι, τόν σαρκωθέντα Λόγον Πατρός, εκ παρθενικής απειρογάμου νηδύος, υμνείτωσαν απαύστως, ιερείς δεδειγμένοι, αυτόν υπερυψούντες, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν, εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, τον Δημιουργόν καί Λυτρωτήν ανεβόα, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ'

Εξέστη επί τούτω ο ουρανός

Εξέστησαν ορώντες τούς αθλητάς, κεφαλάς τεμνομένους οι τύραννοι, καί τάς ψυχάς, πόθω προδιδόντας καρτερικώς, ο δέ Χριστός εδέξατο, τούτους καταπαύσας εν εαυτώ, δι' ών καί τάς ιάσεις, πηγάζει ως εκ κρήνης, αδιαλείπτως τοίς προστρέχουσιν.

Ιδείν εσπουδακότες τών ορεκτών, τήν πηγήν Ιεράρχαι καί Μάρτυρες, εν ουρανοίς, πάσας ευκληρίας τάς εν τή γή, καταλιπόντες ήρθητε, πρός υψηλοτάτην περιωπήν, τής θείας βασιλείας, τρυφάν αξιωθέντες, τής υπέρ νούν μακαριότητος.

Διήλθετε τό ύδωρ τών πειρασμών, καί τό πύρ τών βασάνων διέβητε, καί νύν τρανώς, τήν διαιωνίζουσαν, Αθληταί, αναψυχήν ειλήφατε, τών επουρανίων εν ταίς σκηναίς, εν αις στεφανηφόροι, χορεύοντες απαύστως, εκ τών κινδύνων υμάς ρύσασθε.

Θεοτοκίον

Ως ήλιος η μνήμη τών αθλητών, τους πιστούς περιλάμπει τοίς θαύμασιν, ο γάρ εκ σού, άχραντε Παρθένε τεχθείς Θεός, όν ευσεβώς εκήρυξαν, τούτους κατελάμπρυνεν εμφανώς, δοξάζων τούς εν πίστει, αυτού τήν παρουσίαν, τετιμηκότας ως υπέσχετο.

Ο Ειρμός

«Εξέστη επί τούτω ο ουρανός, καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι μεγαλύνουσιν.

Εξαποστειλάριον τής Εορτής

Εις τόν Στίχον τών Αίνων, Στιχηρά

Προσόμοια τής Εορτής

Καί τά λοιπά, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

**ΤΗ Κ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τού Αγίου Μάρτυρος Θαλλελαίου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ' καί τού Αγίου γ'.

Στιχηρά τού Αγίου

Ήχος δ'
Έδωκας σημείωσιν

Όμβροις τών αιμάτων σου, μεγαλομάρτυς Θαλλέλαιε, άθεϊας τήν κάμινον, ενθέως κατέσβεσας νύν δέ τών θαυμάτων, ρείθροις απελαύνεις, πάθη ποικίλα καί πιστοίς, ρώσιν παρέχεις εν θεία χάριτι, διό τήν θείαν μνήμην σου, περιχαρώς εορτάζομεν, καί τήν κόνιν τού σώματος, ιερώς προσπτυσσόμεθα.

Θαλλόν σε κατάκαρπον, θείας ελαίας γνωρίσαντες, αθλοφόρε Θαλλέλαιε, ελαίω τών πόνων σου, καί τών υπέρ φύσιν θαυματουργημάτων, ιλαρυνόμεθα σαφώς, τόν επί πάντων Θεόν δοξάζοντες, μεγάλως σε δοξάσαντα, υπέρ αυτού ως αθλήσαντα, καί τής πλάνης τό φρύαγμα, παντελώς αφανίσαντα.

Πελάγει ριπτούμενος, καί ταίς σανίσιν ειλούμενος, καί ευτόνως ξεόμενος, μένεις αταπείνωτος, τού Χριστού σε μάκαρ, επενδυναμούντος, ανδρειοτάτω λογισμώ, πονηροτάτω φθόνω μαχόμενον, Θαλλέλαιε μακάριε, τών Ασωμάτων ομότιμε, αθλοφόρων συνόμιλε, πρεσβευτά τών ψυχών ημών.

Δόξα... Καί νύν... τής Εορτής

| |
|---|
| Ει τύχοι η νηστεία τών Αποστόλων<br><br>Δόξα... Καί νύν... Θεοτοκίον<br>Ήχος δ'  Έδωκας σημείωσιν<br>Τόν ρύπον απόσμηξον, τής ταλαιπώρου καρδίας μου, Θεοτόκε πανύμνητε, |

καί πάντα τά τραύματα, καί τά έλκη ταύτης, τά εξ αμαρτίας, εναποκάθαρον Αγνή, καί τού νοός μου στήσον τό άστατον, όπως τήν δυναστείαν σου, καί τήν μεγάλην αντίληψιν, μεγαλύνω ο άθλιος, καί αχρείος οικέτης σου.

Η Σταυροθεοτοκίον

Σταυρούμενον βλέπουσα, καί τήν πλευράν ορυττόμενον, υπό λόγχης ή Πάναγνος, Χριστόν τόν φιλάνθρωπον, έκλαιε βοώσα, Τί τούτο Υιέ μου, τί σοι αχάριστος λαός, ανταποδίδωσιν ών πεποίηκας, καλών αυτοίς, καί σπεύδεις με, ατεκνωθήναι παμφίλτατε; Καταπλήττομαι εύσπλαγχνε, σήν εκούσιον σταύρωσιν.

Εις τόν Στίχον, Στιχηρά τής Εορτής.

Απολυτίκιον τής Εορτής

Απολυτίκιον

Ήχος δ’ Ταχύ προκατάλαβε

Ο Μάρτυς σου, Κύριε, εν τή αθλήσει αυτού, τό στέφος εκομίσατο τής αφθαρσίας, εκ σού τού Θεού ημών, έχων γάρ τήν ισχύν σου, τούς τυράννους καθείλεν, έθραυσε καί δαιμόνων, τά ανίσχυρα θράση. Αυτού ταίς ικεσίαις, Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τής Εορτής, καί τού Αγίου.

Ο Κανών τού Αγίου, ού η Ακροστιχίς.

Τόν Θαλλέλαιον ευφημείν θέμις.

Ποίημα. Ιωσήφ.

Ωδή α' Ήχος δ'

Τώ οδηγήσαντι

Ταίς υπερφώτοις ακτίσι, τού παντουργού Πνεύματος, καταλαμπόμενος αεί, τούς τήν φωσφόρον σου πάντοτε, επιτελούντας πανήγυριν φώτισον, τού μεγαλύνειν σε πιστώς, Μάρτυς Θαλλέλαιε.

Οχυρωθείς ευσεβεία, καί κρατυνθείς χάριτι, τού πανοικτίρμονος Θεού, γενναιοφρόνως Θαλλέλαιε, πρός τούς αγώνας εχώρησας, καί έλυσας τά οχυρώματα εχθρού, νίκην αράμενος.

Νέος τό σώμα υπάρχων ταίς δέ φρεσί τέλειος, θεογνωσίαν αληθή καθάπερ ήλιος έλαμψας, ειδωλικής ματαιότητος ζόφωσιν, αποσεισάμενος σαφώς, Μάρτυς Θαλλέλαιε.

Θεοτοκίον

Κυριοτόκε Παρθένε, τών ευσεβών καύχημα, η τών Αγγέλων χαρμονή, Χριστιανών τό διάσωσμα, αμαρτανόντων εξίλασμα, γέφυρα εκ γής μετάγουσα τούς πιστούς, σώζε τούς δούλους σου.

Ωδή γ'

Ο στερεών βροντήν

Θαυματουργείς εξαίσια Παμμάκαρ, καιρώ τώ τής αθλήσεως, τού γάρ τυράννου ανηλεώς, σέ κολάζειν προθεμένου, αι τούτου χείρες ώφθησαν, ξηραί καί ανενέργητοι.

Αποσκοπών πρός μόνον τόν Δεσπότην, τόν νίκην σοι παρέχοντα, ου παρετράπης τής αληθούς Αθλητά ομολογίας, αλλ' ακλινής διέμεινας, εκπλήττων καί τούς άφρονας.

Λόγω ζωής καί έργων επιδείξει, Αλέξανδρον εζώγρησας, καί τόν, Αστέριον Αθλητά, καί Θεώ τώ ευεργέτη, πανευκλεείς παρέστησας, Θαλλέλαιε μάρτυρας.

Θεοτοκίον

Λάμψον μοι φώς Παρθένε μετανοίας, εν σκότει γάρ κατάκειμαι, τής αμαρτίας φρενοβλαβώς, καί παράσχου μοι τήν λύσιν, τών επταισμένων όπως σε, δοξάζω πανάμωμε.

Ο Ειρμός

«Ο στερεών βροντήν καί κτίζων πνεύμα, στερέωσόν με Κύριε, ίνα υμνώ σε ειλικρινώς, καί ποιώ τό θέλημά σου, ότι ουκ έστιν Άγιος ως σύ ο Θεός ημών».

Κάθισμα Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ

Φωτοειδής αναδειχθείς αθλοφόρος, τής αθεϊας σκοτασμόν απεκρούσω, καί πρός ποινάς καί θάνατον εχώρησας, όθεν διανύσας σου τούς γενναίους αγώνας, μέγιστον αντέλαβες, κληρουχίαν καί δόξαν, τήν μηδαμώς γενναίε αθλητά, παρερχομένην, Θαλλελαιε ένδοξε.

Και τής Εορτής

Ει τύχοι η νηστεία τών Αποστόλων

Δόξα... Καί νύν... Θεοτοκον

Ήχος δ' Ο υψωθείς εν τώ Σταυρώ

Τού ευχαρίστως ανυμνείν εκ καρδίας, καί εξαιτείσθαι εκτενώς Θεοτόκε, τά σά ελέη Δέσποινα τούς δούλους σου, κράζοντας καί λέγοντας, Παναγία Παρθένε, πρόφθασον καί λύτρωσαι, εξ εχθρών αοράτων, καί ορατών καί πάσης απειλής, σύ γάρ υπάρχεις ημών η αντίληψις,

Σταυροθεοτοκίον

Τή εν Σταυρώ σου Ιησού ανυψώσει, συνανυψώθη τών βροτών η ουσία, η δέ

Παρθένος έκλαιε βοώσα μητρικώς, Τί σοι ανταπέδωκε, τών Εβραίων Υιέ μου, δήμος ο αχάριστος, ο πολλών σου θαυμάτων, επαπολαύσας, άναρχε Θεέ; Δόξα τω θείω Σταυρώ καί τώ πάθει σου.

## Ωδή δ'

### Εισακήκοα Κύριε

Εν θαλάσση απορριφείς, δυνάμει θεία ουκ εβυθίσθης, ασεβείς δέ κατεπόντισας, τώ βυθώ Θαλλέλαιε, τών ιερών αιμάτων σου Μάρτυς σοφέ.

Λαμπροφόρος ταίς θεϊκαίς, Μάρτυς αστράπτων φωτοχυσίαις, επεφάνης τώ δικάζοντι, διελέγχων ένδοξε, τήν ζοφεράν δυσσέβειαν τούτου τρανώς.

Αγιώτατόν σε ναόν, καί οίκον τής τρισηλίου δόξης, γεγονότα Μάκαρ έγνωμεν, ναούς τε καί ξόανα, τών πονηρών δαιμόνων συντρίψαντα,

### Θεοτοκίον

Ιεροί Προφήται, τήν σήν λοχείαν πάλαι προανεφώνουν, όρος μέγα καί κατάσκιον, Πύλην τε καλούντές σε, δι' ής Κύριος μόνος Αγνή διώδευσεν.

## Ωδή ε'

### Ανάτειλόν μοι Κύριε

Οι πόνοι σου μακάριε, ευώδες ως θυμίαμα, τώ Ευεργέτη προσηνέχθησαν, τήν άπονον εντεύθεν, βασιλείαν Άγιε, καί ζωήν κεκλήρωσαι, μετά πάντων εκλεκτών.

Ναμάτων θείων έμπλεως, υπάρχων τών τού Πνεύματος, ψυχάς φλεχθείσας, φλογμώ τής ασεβείας, καί πρός ύδωρ Ένδοξε, τό τής αναπαύσεως, καθωδήγησας σαφώς.

Ελαία ως κατάκαρπος, εν οίκω τού Θεού ημών, Μάρτυς Θαλλέλαιε πεφύτευσαι, ελαίω ευσεβείας, πάντων ιλαρύνουσα, τάς καρδίας πάνσοφε, καί τά πρόσωπα αεί.

### Θεοτοκίον

Υιούς φωτός απέδειξας, τούς σκοτισθέντας πάθεσι, Πατρός απαύγασμα κυήσασα, Χριστόν τόν φωτοδότην, Παναγία Δέσποινα, διά τούτο πόθω σε, μακαρίζομεν αεί.

## Ωδή ς'

### Ζάλη με λογισμών

Φάλαγγας δαιμόνων ετροπώσω, συνεργούς Θαλλέλαιε, αγίους έχων Αγγέλους, εν καιρώ τών αγώνων σου σοφέ, δι' ών στεφανηφόρος, αναδειχθείς δόξης έτυχες.

Η φύσις τών αλόγων επιγνούσα, τού Λόγου σε Μάρτυρα, ορμήν τήν άλογον φεύγει, και τιμά σε εν λόγω ευσεβεί, εν μέσω τού σταδίου, αγωνιζόμενον ένδοξε.

Μέγιστα επί σοί θαύματα βλέπων, όχλος ο παράνομος, τελούμενα παραδόξως, καταβάλλεται νεύσει θεϊκή, Θαλλέλαιε καί φέγγος, θεογνωσίας είσδέχεται

Θεοτοκίον

Έλυσας τών δεσμών με τής αμαρτίας, τεκούσα τόν Κύριον, τόν λύσαντα τά τού Άδου Θεοτόκε, βασίλεια Αγνή, καί πάντας συνδεσμούντα πρός τήν οικείαν επίγνωσιν.

Ο Ειρμός

«Ζάλη με λογισμών καταλαβούσα, εις βυθόν καθέλκει με, αμέτρων αμαρτημάτων, αλλά σύ Κυβερνήτα αγαθέ, προφθάσας διάσωσον, ως τόν Προφήτην, καί σώσόν με».

Κοντάκιον Ήχος γ'

Η Παρθένος σήμερον

Τών Μαρτύρων σύναθλος, αναδειχθεις καί οπλίτης, στρατιώτης άριστος, τού Βασιλέως τής δόξης, γέγονας διά βασάνων καί τιμωρίας, έπαρσιν ειδωλολατρών καταπατήσας, διά τούτο τήν σεπτήν σου, υμνούμεν μνήμην σοφέ Θαλλέλαιε.

Συναξάριον

Τή Κ' τού αυτού μηνός, Μνήμη τού Αγίου Μάρτυρος Θαλλελαίου.

Στίχοι

- Ακέστορι τμηθέντι τώ Θαλλελαίω.
- Θεός βοτάνην πρός λύσιν πέμπει πάθους.
- Εικοστή Θαλλέλαιος τήν κεφαλήν απεκάρθη.

Μνήμη τού αγίου μάρτυρος Ασηλά, όστις εν ποταμώ ριφείς, τελειούται.

Οι τρείς όσιοι καί θεοφόροι πατέρες ημών Νικήτας, Ιωάννης καί, Ιωσήφ, οι κτίτορες τής εν Χίω Ιεράς καί βασιλικής Νέας Μονής, εν ειρήνη τελειουνται.

Τή αυτή ημέρα, η ανακομιδή καί μετακομιδή τού λειψάνου τού εν αγίοις πατρός ημών Νικολάου Μύρων τής Λυκίας τού θαυματουργού.

Ο όσιος πατήρ ημών Θαλάσσιος εν ειρήνη τελειούται.

Ο όσιος Μάρκος ο ερημίτης εν ειρήνη τελειούται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Ευλογητός εί ο Θεός

Ίστατο μέσον τής φλογός, τών πειρασμών ως οι Παίδες, τήν θείαν δρόσον εξ ύψους Ένδοξε, δεχόμενος σαφώς, καί τόν επί πάντων Θεόν δοξολογών.

Νέος ως άλλος Δανιήλ, μέσον λεόντων εβλήθης, τής τούτων βλάβης ουδόλως χάριτι, τή θεία μετασχών, μάρτυς αθλοφόρε Θαλλέλαιε.

Θαυματουργίαις τούς πιστούς, νόσων παντοίων λυτρούσαι, τάς τών δαιμόνων ελαύνων φάλαγγας, καί λύων πειρασμών, ταίς σαίς ικεσίαις Μαρτύρων καλλονή.

Θεοτοκίον

Εις τήν βοήθειαν ημών, θεοχαρίτωτε Κόρη, σέ δυσωπούμεν θερμώς, ανάστηθι καί λύτρωσαι ημάς, πειρασμών αιωνίων καί πάσης απειλής.

Ωδή η'

Εν φλογί πυρός

Μίαν φύσιν μίαν θέλησιν, καί βουλήν καί ισχύν Ένδοξε, Τριάδος θείας καταγγέλλων ευσεβώς, πολύθεον εμφρόνως, καθείλες βλασφημίαν, καί πόνους υπομείνας πολλούς, μεγάλως εδοξάσθης.

Ιερείον ώσπερ άμωμον, τώ τυθέντι αμνώ άγιον, σύ προσηνέχθης τή τού ξίφους εκτομή, καί έκτεινας τόν όφιν, τόν πρίν εν Παραδείσω, παρακοής θανάτω Αδάμ, καί Εύαν ανελόντα.

Συγχορεύουσι τή μνήμη σου, τοίς πιστοίς αθληται Όσιοι, Αγγέλων δήμοι, Αποστόλων Προφητών, μεθών τάς ουρανίους, κληρούμενος σκηνώσεις, μή παύση υπέρ πάντων ημών, πρεσβεύων αθλοφόρε.

Θεοτοκίον

Ιλασμόν τών επταισμένων μοι, Παναγία αγνή αίτησαι, καί δός μοι χείρα εν πελάγει τών δεινών, δεινώς χειμαζομένω, ίνα σε μακαρίζω, καί πιστώς κηρύττω τήν σήν, βεβαίαν προστασίαν.

Ο Ειρμός

«Εν φλογί πυρός παρίστανταί σοι, Χερουβίμ Σεραφίμ Κύριε, καί πάσα κτίσις ύμνον άδει σοιτερπνόν, Υμνείτε ευλογείτε, λαός υπερυψούτε, Χριστόν τόν μόνον δημιουργόν, εις πάντας τούς αιώνας».

Ωδή θ'

Παρθενομάρτυς πολύαθλος

Ως καθαιρέτην τής πλάνης σε, ως θείον ναόν τού θείου Πνεύματος, σήμερον ανευφημούμεν Σοφέ, τούς μακαρίους σου πόνους, τά τίμια στίγματα, καί τήν κόνιν, τών λειψάνων ασπαζόμενοι.

Σαρκός ημών τά νοσήματα, ψυχής τε τά δυσίατα τραύματα, ίασαι τών ιαμάτων χάριν πλουτήσας, Μάρτυς τού Χριστού, καί τής αιωνίου ρυσθήναι κολάσεως, τούς τιμώντάς σε, δυσώπει τόν φιλάνθρωπον.

Η γή χυθέν σου τό αίμα, εδέξατο τό τίμιον Θαλλέλαιε, καί γέγονε πηγή ιάσεων, εν ή προστρέχοντες πιστοί, τών δεινών λυτρούνται, Χριστόν

μεγαλύνοντες, καί συμφώνως σε τιμώντες μακαρίζουσι.

Θεοτοκίον

Φωτός δοχείον γεγένησαι Παρθένε, καί θρόνος τού Παντάνακτος άχραντε, έν ώ καθίσας τού παλαιού, πτώματος ήγειρεν ημάς, καί τή συνεδρία τή θεία ετίμησε, τούς εν πίστει καί πόθω σε μεγαλύνοντας.

Ο Ειρμός

«Παρθενομάρτυς πολύαθλος, Παρθένον Μητέρα πολυύμνητον, σήμερον εν τώ αυτής νυμφώνι, επιδημούσαν ξεναγεί, νυμφοστόλοι πάντες χορεύσωμεν πάτρια, ευσεβώς τήν Βασιλίδα μεγαλύνοντες».

Εξαποστειλάριον τής Εορτής

Καί τά λοιπά, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΑ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων ενδόξων, μεγάλων, θεοστέπτων καί Ισαποστόλων Βασιλέων, Κωνσταντίνου καί Ελένης.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Στιχολογούμεν τήν α' στάσιν τού, Μακάριος ανήρ. Εις δέ τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ' καί τών Αγίων γ'.

Στιχηρά τών Αγίων.

Ήχος δ'

Έδωκας σημείωσιν

Όπλον κραταιότατον, τώ Βασιλεί ημών δέδωκας, τόν Σταυρόν σου τόν τίμιον, δι' ού εβασίλευσεν, επί γής δικαίως, λάμψας ευσεβεία, καί βασιλείας ουρανών, κατηξιώθη τή ευσπλαγχνία σου, μεθ' ού σου τήν φιλάνθρωπον, οικονομίαν δοξάζομεν, Ιησού παντοδύναμε, ο Σωτήρ τών ψυχών ημών.

Έδωκας φιλάνθρωπε, τώ ευσεβεί σου θεράποντι, Σολομώντος τήν φρόνησιν, Δαυϊδ τήν πραότητα καί τών Αποστόλων τήν ορθοδοξίαν, ως βασιλέων Βασιλεύς, κυριευόντων τε πάντων Κύριος, διό σου τήν φιλάνθρωπον, οικονομίαν δοξάζομεν, Ιησού παντοδύναμε, ο Σωτήρ τών ψυχών ημών.

Πρώτος καθυπέταξας, τήν αλουργίδα αείμνηστε, Βασιλεύ εκουσίως Χριστώ, αυτόν επιγνούς Θεόν, καί παμβασιλέα, πάντων ευεργέτην, νικοποιόν πάσης αρχής, καί εξουσίας τόν υπερκείμενον, εντεύθέν σοι φιλόχριστε, τήν βασιλείαν κατεύθυνεν, Ιησούς ο φιλάνθρωπος, καί Σωτήρ τών ψυχών ημών.

Δόξα... Ήχος β' Βυζαντίου

Πλουσίων δωρεών τά κρείττονα, ειληφώς παρά Θεού, Άναξ κράτιστε,

Κωνσταντίνε μέγιστε, καλώς εν τούτοις διέπρεψας, καταυγασθείς γάρ ακτίσι τού παναγίου Πνεύματος, υπό Σιλβέστρου Ιερέως, ως διά τού βαπτίσματος, εν Βασιλεύσιν ώφθης αήττητος, τήν οικουμένην ως προίκα προικοδοτήσας τώ Κτίστη σου, καί πόλιν βασιλεύουσαν θεοσεβή. Διό ικετεύων μή παύση Χριστώ τώ Θεώ, δωρηθήναι άπασι, τοίς τελούσι τήν μνήμην σου, ως παρρησίαν έχων, αμαρτιών συγχώρησιν, καί τό μέγα έλεος.

Καί νύν... Τής Εορτής

Ει τύχοι η νηστεία τών Αποστόλων

Δόξα... Καί νύν... Θεοτοκίον
Ήχος δ' Έδωκας σημείωσιν

Τόν ρύπον απόσμηξον, τής ταλαιπώρου καρδίας μου, Θεοτόκε πανύμνητε, καί πάντα τά τραύματα, καί τά έλκη ταύτης, τά εξ αμαρτίας, εναποκάθαρον Αγνή, καί τού νοός μου στήσον τό άστατον, όπως τήν δυναστείαν σου, καί τήν μεγάλην αντίληψιν, μεγαλύνω ο άθλιος, καί αχρείος οικέτης σου.

Η Σταυροθεοτοκίον

Σταυρούμενον βλέπουσα, καί τήν πλευράν ορυττόμενον, υπό λόγχης ή Πάναγνος, Χριστόν τόν φιλάνθρωπον, έκλαιε βοώσα, Τί τούτο Υιέ μου, τί σοι αχάριστος λαός, ανταποδίδωσιν ών πεποίηκας, καλών αυτοίς, καί σπεύδεις με, ατεκνωθήναι παμφίλτατε; Καταπλήττομαι εύσπλαγχνε, σήν εκούσιον σταύρωσιν.

Είσοδος, τό, Φώς Ιλαρόν, τό Προκείμενον τής ημέρας, καί τά Αναγνώσματα.

Βασιλειών Γ' τό Ανάγνωσμα

Έστη Σολομών κατά πρόσωπον τού θυσιαστηρίου Κυρίου, ενώπιον πάσης εκκλησίας Ισραήλ, καί διεπέτασε τάς χείρας αυτού εις τόν πυρανόν, καί είπε, Κύριε ο Θεός Ισραήλ, ουκ έστιν ως σύ Θεός εν τώ ουρανώ άνω, καί επί τής γής κάτω. Εί ο ουρανός τού ουρανού ουκ αρκέσουσί σοι, πώς ο οίκος ούτος, όν ωκοδόμησα τώ ονόματί σου; Πλήν καί επιβλέψεις επί τήν δέησιν μου, Κύριε ο Θεός, Ισραήλ, ακούειν τής δεήσεως καί τής προσευχής, ής ο δούλός σου προσεύχεται ενώπιόν σου σήμερον πρός σέ, τού είναι τούς οφθαλμούς σου ανεωγμένους εις τόν οίκον τούτον, ημέρας καί νυκτός, εις τόν τόπον, όν είπας, έσται τό όνομά μου εκεί, τού εισακούειν τής προσευχής, ής προσεύχεται ο δούλός σου εις τόν τόπον τούτον. Καί εισακούση τής δεήσεως τού δούλου σου καί τού λαού σου, Ισραήλ, όσα άν προσεύξωνται εις τόν τόπον τούτον καί σύ εισακούση εν τώ τόπω τής κατοικήσεώς σου εν τώ ουρανώ, καί ποιήσεις, καί ίλεως έση.

Προφητείας Ησαϊου τό Ανάγνωσμα

Αγαλλιάσθω η ψυχή μου επί τώ Κυρίω, ενέδυσε γάρ με ιμάτιον σωτηρίου, καί χιτώνα ευφροσύνης. Ως νυμφίω περιέθηκέ μοι μίτραν, καί ως νύμφην κατεκόσμησέ με κόσμω. Καί ως γή αύξουσα τό άνθος αυτής, καί ως κήπος τά

σπέρματα αυτού εκφύει, ούτως ανατελεί Κύριος δικαιοσύνην, καί αγαλλίαμα εναντίον πάντων τών εθνών. Διά Σιών ού σιωπήσομαι, καί διά Ιερουσαλήμ ουκ ανήσω, έως άν εξέλθη ως φώς η δικαιοσύνη μου, τό δέ σωτήριόν μου ως λαμπάς καυθήσεται. Καί όψονται τά έθνη τήν δικαιοσύνην σου, καί πάντες οι βασιλείς τής γής τήν δόξαν σου, καί καλέσουσι τό όνομά σου τό καινόν, ό ο Κύριος ονομάσει αυτό, καί έση στέφανος κάλλους εν χειρί Κυρίου, καί διάδημα βασιλείας εν χειρί Θεού σου. Καί ουκ έτι κληθήση Καταλελειμμένη, καί η γή σου ουκ έτι κληθήσεται, Έρημος, σοί γάρ κληθήσεται, θέλημα εμόν, καί τή γή σου, Οικουμένη, ότι ευδοκήσει Κύριος εν σοί, καί η γή σου συνοικισθήσεται. Καί ως συνοικών νεανίσκος παρθένω, ούτω κατοικήσουσιν οι υιοί σου, καί έσται όν τρόπον ευφρανθήσεται νυμφίος επί νύμφη, ούτως ευφρανθήσεται Κύριος επί σοί.

## Προφητείας Ησαϊου τό Ανάγνωσμα

Φωτίζου, φωτίζου, Ιερουσαλήμ, ήκει γάρ σου τό φώς, καί η δόξα Κυρίου επί σέ ανατέταλκεν. Ιδού σκότος καλύψει γήν, καί γνόφος επί έθνη, επί σέ δέ φανήσεται Κύριος, καί η δόξα αυτού επί σέ οφθήσεται. Καί πορεύσονται βασιλείς τώ φωτί σου, καί έθνη τή λαμπρότητί σου. Άρον κύκλω τούς οφθαλμούς σου, καί ίδε συνηγμένα τά τέκνα σου, ήκασι πάντες οι υιοί σου μακρόθεν, καί αι θυγατέρες σου επ' ώμων αρθήσονται. Τότε όψει, καί χαρήση καί φοβηθήση, καί εκστήση τή καρδία ότι μεταβαλεί εις σέ πλούτος θαλάσσης, καί εθνών καί λαών. Καί ηξουσί σοι αγέλαι καμήλων, καί καλύψουσί σε κάμηλοι Μαδιάμ καί Γεφάρ. Πάντες εκ Σαβά ήξουσι, φέροντες χρυσίον, καί λίβανον οίσουσί σοι, καί λίθον τίμιον καί τό σωτήριον Κυρίου ευαγγελιούνται. Καί πάντα τά πρόβατα Κηδάρ συναχθήσονται, καί κριοί Ναβαιώθ ήξουσί σοι, καί ανενεχθήσονται δεκτά επί τό θυσιαστήριόν μου, καί ο οίκος τής προσευχής μου δοξασθήσεται. Τίνες οί δε ως νεφέλαι πέτανται, καί ωσεί περιστεραί σύν νεοσσοίς; Εμέ νήσοι υπέμειναν καί πλοία θαρσείς εν πρώτοις αγαγείν τά τέκνα σου μακρόθεν καί τό αργύριον καί τό χρυσίον αυτών μετ' αυτών, διά τό όνομα Κυρίου τό άγιον, καί διά τό τόν άγιον τού Ισραήλ έωδοξον είναι. Καί οικοδομήσουσιν αλλογενείς τά τείχη σου, καί οι βασιλείς αυτών παραστήσονταί σοι, διά γάρ οργήν μου επάταξά σε, καί διά έλεός μου ηγάπησά σε. Καί ανοιχθήσονται αι πύλαι σου διά παντός, ημέρας καί νυκτός ου κλεισθήσονται, εισαγαγείν πρός σέ δύναμιν εθνών, καί βασιλείς αυτών αγομένους. Τά γάρ έθνη καί οι βασιλείς, οί τινες ου δουλεύσουσί σοι, απολούνται, καί τά έθνη ερημία ερημωθήσονται. Καί η δόξα τού Λιβάνου πρός σέ ήξει εν κυπαρίσσω καί πεύκη καί κέδρω άμα, δοξάσαι τόν τόπον τόν άγιόν μου, καί τόν τόπον τών ποδών μου δοξάσω. Καί πορεύσονται πρός σέ δεδοικότες υιοί τών ταπεινωσάντων σε καί παροξυνάντων σε, καί προσκυνήσουσιν επί τά ίχνη τών ποδών σου πάντες οι παροξύναντές σε, καί κληθήση Πόλις Κυρίου Σιών, τού Αγίου Ισραήλ, διά τό γεγενήσθαί σε εγκαταλελειμμένην καί μεμισημένην, καί ουκ ήν ο βοηθών σοι. Καί θήσω σε αγαλλίαμα αιώνιον, ευφροσύνην γενεαίς γενεών. Καί θηλάσεις γάλα εθνών, καί πλούτον βασιλέων φάγεσαι, καί γνώση, ότι εγώ Κύριος ο σώζων σε, καί εξαιρούμενός σε ο Θεός Ισραήλ.

## Εις τήν Λιτήν, Στιχηρά Ιδιόμελα

### Ήχος α'

Χρεωστικώς εκτελούμεν τήν μνήμην σου, Κωνσταντίνε ισαπόστολε, πάντων ανάκτων βάσις καί καύχημα, φωτισθείς γάρ ακτίσι τού Πνεύματος, πάσαν εφαίδρυνας τήν Εκκλησίαν τού Χριστού, τα συστήματα τών πιστών πανταχόθεν συνάξας, εν τή λαμπρά πόλει Νικαέων, ένθα τών ασεβών εσβέσθη τό φρύαγμα, καί αιρετικών ησθένησαν γλώσσαι, καί εμωράνθησαν, τών δέ ορθοδόξων υψώθη τό στίφος, φανερωθείσης τής πίστεως. Όθεν υπ' αυτών εδοξάσθης Ορθοδοξότατος, καί πάντων βασιλέων εκηρύχθης πατήρ, ως πρώτος τήν αλουργίδα παρά Θεού κομισάμενος. Διό αιτούμέν σε, οι τελούντες τήν μνήμην σου πιστώς, αίτησαι ιλασμόν αμαρτιών ταίς ψυχαίς ημών.

### Ο αυτός

Ουκ εξ ανθρώπων τήν κλήσιν έλαβες, αλλ' ως ο θεσπέσιος Παύλος, έσχες μάλλον ένδοξε ταύτην εξ ύψους, Κωνσταντίνε Ισαπόστολε, παρά Χριστού τού Θεού, τό γάρ σημείον τού Σταυρού, εν ουρανώ θεασάμενος, καί δι' αυτού αγρευθείς, ως κάλλιστον θήραμα, έν τούτω καί νικητής, κατά ορωμένων καί αοράτων εχθρών, απεφάνθης αήττητος, Όθεν δυσωπούμέν σε, ως πρεσβευτήν θερμότατον, οι γηγενείς επαξίως τήν μνήμην σου σέβοντες, εν παρρησία αιτησασθαι ημίν, φωτισμόν ιλασμόν καί τό μέγα έλεος.

### Ήχος β' Βύζαντος

Τού ευσεβούς Κωνσταντίνου η μνήμη, ως μύρον εκκενούμενον σήμερον ανέτειλε, Χριστόν γάρ ποθήσας, ειδώλων κατεφρόνησε, ναόν εγείρας επι γής, τώ σταυρωθέντι δι' ημάς, εν ουρανοίς δέ απέλαβε, τόν τής ελπίδος στέφανον.

### Ήχος γ'

Νεανικήν άγων τήν ηλικίαν, ώσπερ ο θεσπέσιος Παύλος, εκ τών υψίστων εδέξω τό θείον χάρισμα, καί τού δεινού πολεμητορος τά θράση, τή πανοπλία τού Σταυρού κατέβαλες, ανάκτων τό καύχημα, Κωνσταντίνε ισαπόστολε, υπέρ ημών πρός Κύριον ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

### Ήχος δ'

Αίνος τώ Θεώ, εκ χοϊκών χειλέων προσάδεται, επί τή θεία μνήμη σου, Κωνσταντίνε πανεύφημε, Σύ γάρ ώφθης ακραιφνής στρατιώτης τού λόγου τής πίστεως, φαυλίσας εν τώ σκάμματι, τών ειδώλων τάς μορφάς, καί νύν προσηρείσθης τώ φέγγει τής Τριάδος, καταπυρσεύων ημών, τάς διανοίας ταίς πρεσβείαις σου.

### Δόξα... Ήχος πλ. α'

Η Εκκλησία σήμερον στολισαμένη, τώ κράττει σου Άναξ, μυστικώς ευφραίνεται, καί τήν σήν παγγέραστον μνήμην, κατ' αξίαν ευφήμως γεραίρει κραυγάζουσα, Χαίροις, ο τόν Παύλον ζηλώσας, καί τόν Σταυρόν τού Χριστού αράμενος, καί τάς παγίδας συντρίψας τού αντιπάλου, Χαίροις, ανάκτων πανάριστε, καί Αποστόλων Ισότιμε, Χαίροις πιστών τό στήριγμα, καί Βασιλέων τό προπύργιον, Κωνσταντίνε μακάριε, υπέρ ημών πρός Κύριον, μή διαλίπης πρεσβεύων, ως παρρησίαν έχων, Βασιλέων εγκαλλώπισμα.

Καί νύν... Τής Εορτής

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος β'

Ότε, εκ τού ξύλου σε νεκρόν

Πρώτος, Βασιλεύς Χριστιανών, παρά τού Θεού, Κωνσταντίνε, τό σκήπτρον έλαβες, σοί γάρ πεφανέρωται εν γή κρυπτόμενον, τό σωτήριον σύμβολον, δι' ού καί τά έθνη, πάντα καθυπέταξας τοίς τών Ρωμαίων ποσίν, όπλον απροσμάχητον έχων, τόν ζωοποιόν Σταυρόν μάκαρ, δι' ού καί προσήχθης τώ Θεώ ημών.

Στίχ. Ύψωσα εκλεκτόν εκ τού λαού μου.

Όντως, μακαρία η γαστήρ, καί ηγιασμένη κοιλία, η σέ βαστάσασα, Μέδων κοσμοπόθητε, Χριστιανών η χαρά, Κωνσταντίνε θεόστεπτε, Ανάκτων η δόξα, πλούτος καί υπέρμαχος τών ορφανών καί χηρών, σκέπη ταπεινών καί απόρων, θλίψεων ανόρθωσις όντως, καί τών αιχμαλώτων η ανάρρυσις.

Στίχ. Διά τούτο έχρισέ σε ο Θεός, ο Θεός σου.

Πόθω, καί αγάπη τού Χριστού, κατεπειγομένη η Μήτηρ, τού γλυκυτάτου βλαστού, σπεύδουσα αφίκετο εν τή αγία Σιών, εις τόν τόπον τόν άγιον, εν ώ εσταυρώθη, θέλων ο Σωτήρ ημών, διά τό σώσαι ημάς, ένθα, τόν Σταυρόν αραμένη, χαίρουσα εκραύγαζε, Δόξα, τώ δωρησαμένω μοι όν ήλπιζον.

Δόξα... Ήχος πλ. δ'

Σέλας φαεινότατον, κομήτης εσπερώτατος, εξ απιστίας εις πίστιν θεότητος μετοχετευθείς, ήχθης αγιάσαι λαόν καί πόλιν, καί τύπον Σταυρού εν ουρανώ κατοπτεύσας, ήκουσας εκείθεν, Εν τούτω νίκα τούς εχθρούς σου, Όθεν δεξάμενος τήν γνώσιν τού Πνεύματος, Ιερεύς τε χρισθείς καί Βασιλεύς, ελαίω εστήριξας τήν Εκκλησίαν τού Θεού, ορθοδόξων Βασιλέων πατήρ, ού καί η λάρναξ ιάσεις βρύει, Κωνσταντίνε Ισαπόστολε, πρέσβευε υπέρ τών ψυχών ημών.

Καί νύν... Τής Εορτής

Απολυτίκιον  Ήχος πλ. δ'

Τού Σταυρού σου τόν τύπον εν ουρανώ θεασάμενος, καί ως ο Παύλος τήν κλήσιν ουκ εξ ανθρώπων δεξάμενος, ο εν βασιλεύσιν, Απόστολός σου Κύριε, Βασιλεύουσαν πόλιν τή χειρί σου παρέθετο ήν περίσωζε διά παντός εν ειρήνη, πρεσβείαις τής Θεοτόκου, μόνε Φιλάνθρωπε.

Καί τής Εορτής

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος γ'
Θείας πίστεως

Νέος γέγονας, Δαυϊδ τοίς τρόποις, γέρας άνωθεν, εισδεδεγμένος, τής βασιλείας τή κορυφή σου τό έλαιον, σέ γάρ τώ Πνεύματι έχρισεν ένδοξε, Ο υπερούσιος Λόγος καί Κύριος, όθεν έλαβες, καί σκήπτρον Σοφέ βασίλειον, αιτούμενος ημίν τό μέγα έλεος.

Καί τής... Εορτής

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος πλ. β'

Ελκόμενος επί σταυρού, ο Ποιητής τού ηλίου καί κτίσεως, σέ ως αστέρα φαεινόν, εξ ουρανού δι' αστέρων εφειλκύσατο, ώ καί κράτος πρώτος τό βασίλειον επέθηκε, διό σε ανευφημούμεν, Κωνσταντίνε Βασιλεύ ευσεβέστατε, σύν Ελένη μητρί τή θεόφρονι.

Καί τής Εορτής

Μετά τόν Πολυέλεον

Κάθισμα Ήχος δ'
Ταχύ προκατάλαβε

Η εύσημος μνήμη σου, επιφανείσα ημίν, αυγάζει τά πέρατα, θεογνωσίας φωτί, Κωνσταντίνε θεόπνευστε, σύ γάρ εν Βασυλεύσιν ευσεβής ανεδείχθης, νόμους επουρανίου, Βασιλέως τηρήσας, διό ταίς ικεσίαις ταίς σαίς, ρύσαι ημάς πειρασμών.

Καί τής Εορτής

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί Αντίφωνον Α'

- Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.
- Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον  Ήχος δ'

Ύψωσα εκλεκτόν εκ τού λαοί μου, εύρον Δαυϊδ τόν δούλόν μου εν ελαίω αγίω μου έχρισα αυτόν.
Στίχ. Διά τούτο έχρισέ σε, ο Θεός, ο Θεός σου. έλαιον αγαλλιάσεως.

Τό, Πάσα πνοή

Ευαγγέλιον κατά Ιωάννην

Δόξα... Ταίς Θεοστέπτων...
Καί νύν... Ταίς τής Θεοτόκου...

Ήχος β'  Βύζαντος

Τού ευσεβούς Κωνσταντίνου η μνήμη, ως μύρον εκκενούμενον σήμερον ανέτειλε, Χριστόν γάρ ποθήσας, ειδώλων κατεφρόνησε, ναόν εγείρας επι γής, τώ σταυρωθέντι δι' ημάς, εν ουρανοίς δέ απέλαβε, τόν τής ελπίδος στέφανον.

Σώσον ο Θεός τόν λαόν σου, τό, Κύριε ελέησον, ιβ' καί οι Κανόνες τής Εορτής, καί τών Αγίων.

Κανών τών Αγίων

Ωδή α'  Ήχος πλ. δ'
Υγράν διοδεύσας

Μόνε επουράνιε Βασιλεύ, τής βασιλευούσης, αμαρτίας νύν επ' εμοί, τών σών θεραπόντων ικεσίαις, τήν ταπεινήν μου ψυχήν ελευθέρωσον.

Τής άνω γενόμενος εραστής, μάκαρ Κωνσταντίνε, βασιλείας τώ Βασιλεί, πάντων καί Δεσπότη διανοία, καθαρωτάτη πιστεύσας ελάτρευσας.

Φωτί ελλαμφθείσα θεαρχικώ, σκότος αγνωσίας καταλέλοιπας αληθώς, θεόφρον Ελένη καί γνησίως, τώ Βασιλεί τών αιώνων εδούλευσας.

Θεοτοκίον

Η πύλη τής θείας ανατολής, άνοιξόν μοι πύλας, μετανοίας καί εκ πυλών, τής θανατηφόρου αμαρτίας, τή μεσιτεία σου ρύσαί με Δέσποινα.

Ωδή γ'
Ουρανίας αψίδος

Αμοιβών ουρανίων, επιτυχείν έσπευσας, όθεν τώ καλούντι θεόφρον επηκολούθησας, καί σκότος έλιπες, πατροπαράδοτον πλάνην, καί φωστήρ εν Πνεύματι θείω γεγένησαι.

Τώ Χριστώ κολληθείσα, καί επ' αυτώ Πάνσεμνε, άπασαν θεμένη ελπίδα τούς ιερούς αυτού, τόπους κατέλαβες, εν οίς τά άχραντα Πάθη, σαρκωθείς

υπέμεινεν, ο υπεράγαθος.

Τό σωτήριον όπλον, τό αρραγές τρόπαιον, τών Χριστιανών τήν ελπίδα, Σταυρόν τόν τίμιον, φθόνω κρυπτόμενον, σύ εφανέρωσας θείω φλεγομένη έρωτι θεομακάριστε

Θεοτοκίον

Ιεράς πολιτείας, αποπεσών Άχραντε, παρασυνεβλήθην τοίς κτήνεσι, καί κατάκριτος, όλος γεγένημαι, η τόν Κριτήν τετοκυία, πάσης κατακρίσεως ρύσαι καί σώσόν με.

Κάθισμα  Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Τάς αισθήσεις εκτείνας πρός ουρανόν, καί τών άστρων μανθάνων τήν καλλονήν, εκ τούτων μεμύησαι, τών απάντων τον Κύριον, τού Σταυρού δέ τό όπλον, εν μέσω ανέλαμψε, διαγράφον εν τούτω, νικάν καί κρατύνεσθαι, όθεν τής ψυχής σου, επανοίξας τό όμμα, το γράμμα ανέγνωκας, καί τόν τρόπον μεμάθηκας, Κωνσταντίνε πανσέβαστε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Καί νύν... Τής Εορτής

Ει τύχοι η νηστεία τών Αποστόλων

Δόξα... Καί νύν... Θεοτοκον

Ήχος δ'  Ο υψωθείς εν τώ Σταυρώ

Τού ευχαρίστως ανυμνείν εκ καρδίας, καί εξαιτείσθαι εκτενώς Θεοτόκε, τά σά ελέη Δέσποινα τούς δούλους σου, κράζοντας καί λέγοντας, Παναγία Παρθένε, πρόφθασον καί λύτρωσαι, εξ εχθρών αοράτων, καί ορατών καί πάσης απειλής, σύ γάρ υπάρχεις ημών η αντίληψις,

Σταυροθεοτοκίον

Τή εν Σταυρώ σου Ιησού ανυψώσει, συνανυψώθη τών βροτών η ουσία, η δέ Παρθένος έκλαιε βοώσα μητρικώς, Τί σοι ανταπέδωκε, τών Εβραίων Υιέ μου, δήμος ο αχάριστος, ο πολλών σου θαυμάτων, επαπολαύσας, άναρχε Θεέ; Δόξα τω θείω Σταυρώ καί τώ πάθει σου.

Ωδή δ'

Εισακήκοα Κύριε

Ουρανόθεν ως Παύλόν σε, πάλαι σαγηνεύει Χριστός ο Κύριος, Κωνσταντίνε εκδιδάσκων σε, βασιλέα τούτον μόνον σέβεσθαι.

Υπερλάμπρω σημείω σε, Μάκαρ δι' αστέρων Χριστός ο ήλιος, καταυγάζει καί φωστήρά σε, τών εσκοτισμένων αναδείκνυσι.

Καί τοίς τρόποις φιλόθεος, καί ταίς θείαις πράξεσιν αξιάγαστος, Μακαρία

εχρημάτισας, διά τούτο πίστει σε δοξάζομεν.

Φανεροίς τό κρυπτόμενον, χρόνοις επί πλείστοις νύν θείον τρόπαιον, τού Σταυρού, δι' ού σεσώσμεθα, καί δαιμόνων πλάνης ελυτρώθημεν.

Θεοτοκίον

Τήν ψυχήν μου καταύγασον, τήν εσκοτισμένην τοίς πλημμελήμασιν, η τόν Ήλιον κυήσασα, τής δικαιοσύνης Αειπάρθενε.

Ωδή ε'

Ορθρίζοντες, βοώμέν σοι

Ορθρίσας πρός τόν άδυτον Ήλιον, καί Δεσπότην, Βασιλεύ θεόσοφε, φωτός ανάπλεως γέγονας.

Αγάπην καί τελείαν συμπάθειαν, ως πορφύραν, φορούσα κατώκησας, νύν εις τά άνω βασίλεια.

Συνήφθης Ασωμάτων Ελένη χοροστασίαις, Θεόν θεραπεύσασα, ταίς εναρέτοις σου πράξεσι.

Θεοτοκίον

Παρθένε τήν ψυχήν μου καθάρισον μολυνθείσαν, ηδοναίς τού σώματος, τή επηρεία τού όφεως.

Ωδή ς'

Τήν δέησιν εκχεώ

Συνήθροισας θεοφόρων Πατέρων, τόν μακάριον χορόν παραδόξως, καί δι' αυτών, Κωνσταντίνε τάς πάντων, κυμαινομένας καρδίας εστήριξας, ομότιμον δοξολογείν, τώ τεκόντι τόν Λόγον καί σύνθρονον.

Πιστεύσασα επί Κύριον ζώντα, τόν τό είναι παρεχόμενον πάσι, τών βδελυκτών, καί ματαίων ειδώλων νεκροποιά απεβάλου θρησκεύματα καί είληφας περιχαρώς, βασιλείαν Ελένη ουράνιον:

Παλάμη σου κυβερνώμενοι Λόγε, αγνωσίας τό βαθύτατον σκότος, καί τής δεινής αθεϊας τόν σάλον, οι διά σου βασιλεύοντες έλιπον, καί ήχθησαν πρός γαληνούς, ευσεβείας λιμένας γηθόμενοι.

Θεοτοκίον

Ιάτρευσον ανιάτως νοσούσαν, καί τώ δήγματι δεινώς πληγωθείσαν, τού πονηρού, τήν καρδίαν μου Κόρη, καί τής εν σοί θεραπείας αξίωσον, καί σωσόν με τόν επί σοί, πεποιθότα πρεσβείαις σου άχραντε.

Κοντάκιον  Ήχος γ'

Ή Παρθένος σήμερον

Κωνσταντίνος σήμερον, σύν τή μητρί τή Ελένη, τόν Σταυρόν εμφαίνουσι, τό πανσεβάσμιον ξύλον, πάντων μέν τών Ιουδαίων αισχύνην όντα, όπλον δέ πιστών, Ανάκτων κατ' εναντίων, δι' ημάς γάρ ανεδείχθη, σημείον μέγα, καί εν

πολέμοις φρικτόν.

Ο Οίκος

Κωνσταντίνον πιστοί σύν τή μητρί τιμήσωμεν, τού Προφήτου γάρ αυτοί λόγους ακροασάμενοι, έν κέδρω καί πεύκη καί κυπαρίσσω, τόν τρισύνθετον Σταυρόν κατενόησαν, δι' ού τό σωτήριον πάθος εξηκολούθησε, καί πάντας παρέστησαν τούς Ιουδαίους παρασκευάζεσθαι, δείξαι τοίς λαοίς μέγα δικαίωμα, τό κεκρυμμένον διά τόν φθόνον, καί βασκανίαν τήν αυτών, καί τούτο ευρόντες ανέδειξαν αυτοί, Διά τούτο τοίς πάσι νικηφόροι ανεδείχθησαν, όπλον φέροντες απροσμάχητον, σημείον μέγα, καί έν πολέμοις φρικτόν.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΑ τού αυτού μηνός, Μνήμη τών Αγίων ενδόξων, θεοστέπτων, καί ισαποστόλων, μεγάλων Βασιλέων, Κωνσταντίνου καί Ελένης.

Στίχοι

- Ως κοινόν είχον γής Βασιλείς τό στέφος,
- Έχουσι κοινόν καί τό τού πόλου στέφος.
- Ξύνθανε μητέρι εικάδι πρώτη Κωνσταντίνος.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Παίδες Εβραίων

Σού τά προστάγματα φυλάττων, υπεκλίθη σού τώ νόμω Κωνσταντίνος, ανομούντων διό, καθείλε παρατάξεις, αναβοών σοι Κύριε, ο Θεός ευλογητός εί.

Ξύλον τό πάντας ανελκύσαν, Αξιάγαστε εκ λάκκου απωλείας, συγχωσθέν φθονερώς, ημίν ανακαλύπτεις, καταχωννύον δαίμονας, ολεθρίους εις αιώνας.

Πράξεσι θείαις εδομήσω, τήν καρδίαν σου ναόν Θεού Ελένη, καί ναούς ιερούς, αυτώ ανωκοδόμεις, ένθα σαρκί τά άχραντα, δι' ημάς υπέστη Πάθη.

Θεοτοκίον

Γνώμη οικεία αμαρτάνων, καί δουλούμενος ατόποις συνηθείαις, τή συνήθει σου νύν, προστρέχω συμπαθεία, απεγνωσμένον σώσόν με, Παναγία Θεοτόκε.

Ωδή η'

Επταπλασίως κάμινον

Ως πορφυρίδα Ένδοξε, στολισθείς τήν ευμένειαν, καί ώσπερ χλαμύδα τήν καλήν συμπάθειαν, στεφάνω κεκόσμησαι, τών αρετών τελείω νοϊ, καί μετατεθείς από τής γής εις τά άνω, βασίλεια κραυγάζεις, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ευφραινομένην βλέποντες, σύν υιώ σε θεόφρονι, ένδοξε Ελένη, εις Θεού βασίλεια, Χριστόν μεγαλύνομεν, τόν τήν υμών σεπτήν εορτήν, δείξαντα ημίν,

υπέρ ακτίνας ηλίου ημάς φωταγωγούσαν, τούς πιστώς μελωδούντας, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ως θαυμαστός ο πόθος σου! καί ο τρόπος σου ένθεος, ένδοξε Ελένη, γυναικών τό καύχημα, τούς τόπους γάρ φθάσασα, τούς τά σεπτά παθήματα, υποδεξάμενους τού Δεσπότου τών όλων, ναοίς περικαλέσι, κατεκόσμεις βοώσα, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Τά τής ψυχής μου όμματα, ταίς πολλαίς παραβάσεσιν, αποτυφλωθέντα, Θεοτόκε φώτισον, τόν νούν μου ειρήνευσον, καί τήν καρδίαν δέομαι, εκταραττομένην, ηδοναίς πολυτρόποις, καί σώσόν με βοώντα, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ωδή θ'

Εξέστη επί τούτω

Ο τάφος ένθα κείται τό ιερόν, Κωνσταντίνε, καί τίμιον σώμά σου, μαρμαρυγάς, θείας καί ακτίνας φωτολαμπείς, τοίς προσιούσι πάντοτε, βλύζει ιαμάτων παντοδαπών, τό σκότος απελαύνων, καί φέγγει ανεσπέρω, φωταγωγών τούς ευφημούντάς σε.

Αγίως σου τελέσασα τήν ζωήν, σύν Αγίοις νυνί κατεσκήνωσας, αγιασμού, πλήρης γενομένη καί φωτισμού, τών ιαμάτων πάντοτε, όθεν αναβλύζεις τούς ποταμούς, καί πάθη κατακλύζεις, Ελένη μακαρία, καί καταρδεύεις τάς ψυχάς ημών.

Προάναρχε αθάνατε Βασιλεύ, βασιλείας τής άνω ηξίωσας, ούς ευσεβώς, πάλαι εδικαίωσας επί γής, τού βασιλεύειν Κύριε, σέ ηγαπηκότας ειλικρινώς, Ελένην τήν, Αγίαν, τόν μέγαν Κωνσταντίνον, ών ταίς πρεσβείαις πάντας οίκτιρον.

Θεοτοκίον

Τόν πάντων Βασιλέα καί Ποιητήν, συλλαβούσα Παρθένε εκύησας, καί νύν ιδού, οίά περ Βασίλισσα δεξιά, τούτου αγνή παρίστασαι, όθεν δυσωπώ σε αριστεράς, μερίδος λύτρωσαί με, εν ώρα καταδίκης, καί δεξιοίς προβάτοις σύνταξον.

Εξαποστειλάριον

Τοίς Μαθηταίς συνέλθωμεν

Ουκ εξ ανθρώπων είληφε, τό βασίλειον κράτος, αλλ' εκ τής θείας χάριτος, Κωνσταντίνος ο μέγας, σύν τή μητρί ουρανόθεν, εξαστράπτον δέ βλέπει, Σταυρού τό θείον τρόπαιον, όθεν τούτω ολέσας τούς δυσμενείς, τών ειδώλων έλυσε τήν απάτην, εν κόσμω δέ εκράτυνε, τήν ορθόδοξον πίστιν.

Καί τής Εορτής

Εις τούς Αίνους Στιχηρά Προσόμοια.

Ηχος πλ. δ'
Ώ τού παραδόξου θαύματος
Χαίροις Κωνσταντίνε πάνσοφε, ορθοδοξίας πηγή, ή ποτίζουσα πάντοτε, τοίς γλυκέσι νάμασι, τήν υφήλιον άπασαν, Χαίροις η ρίζα, εξ ής εβλάστησε, καρπός ό τρέφων, τήν Εκκλησίαν Χριστού, Χαιροις τό καύχημα, τών περάτων ένδοξε, Χριστιανών, βασιλέων πρώτιστε, Χαίρε χαρά τών πιστών.

Ο βασιλεύων τής κτίσεως, τό ευπειθές προορών, τής καρδίας σου Πάνσοφε, λογικώς θηρεύει σε, αλογία κρατούμενον, καί καταυγάσας τήν σήν διάνοιαν, τής ευσεβείας ταίς επιγνώσεσι, κόσμω ανέδειξε, φωταυγή ως ήλιον, μαρμαρυγάς, θείων αποπέμποντα, πράξεων ένδοξε.

Τά τού Κυρίου διδάγματα, καθάπερ γή εκλεκτή, δεξαμένη πανεύφημε, εναρέτων πράξεων, ευκαρπίαν εβλάστησας, τάς διανοίας, ημών εκτρέφουσα, τή εκμιμήσει, Ελένη πάνσοφε, τής πολιτείας σου, όθεν εορτάζομεν, περιχαρώς, σήμερον τήν μνήμην σου πανηγυρίζοντες.

Έλαιον αγαλλιάσεως, τούς σους μετόχους Χριστέ, Κωνσταντίνον Ελένην τε, παραδόξως έχρισας, τήν απάτην μισήσαντας, καί σού τό κάλλος επι ποθήσαντας, καί βασιλείας τής ουρανίου σου, τούτους ηξίωσας, ευσεβώς τό πρότερον, επί τής γής, Λόγε βασιλεύσαντας, τή επινεύσει σου.
Δόξα... Ήχος πλ. δ'
Μεθοδίου Πατριαρχου
Ο τών Ανάκτων Άναξ καί Θεός, ο πλουσίαις δωρεαίς κατακοσμών τούς αξίους, αυτός ουρανόθεν, ώσπερ Παύλον τόν αοίδιμον, διά σημείου τού Σταυρού, σέ Κωνσταντίνε εζώγρησεν, Εν τούτω, φήσας, νίκα τούς εχθρούς σου, όν αναζητήσας σύν μητρί θεόφρονι, καί ευρών ως επόθεις, τούτους κατά κράτος ετροπώσω, Σύν αυτή ούν ικέτευε, υπέρ ορθοδόξων Βασιλέων, καί τού φιλοχρίστου Στρατού, καί πάντων τών τήν μνήμην σου τελούντων πιστώς, τόν μόνον φιλάνθρωπον, λυτρωθήναι πάσης οργής.

Καί νύν... Τής Εορτής

Δοξολογία Μεγάλη

Εις τήν Λειτουργίαν, Τυπικά, καί οι Μακαρισμοί, εκ τού Κανόος η γ' καί ς' Ωδή.

Κοινωνικόν
Εις μνημόσυνον αιώνιον έσται Δίκαιος. Αλληλούια.

---

Αρχή

**ΤΗ ΚΒ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τού Αγίου Μάρτυρος Βασιλίσκου.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ' καί τού Αγίου γ'.

### Στιχηρά τού Αγίου

Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Βασιλείαν ασάλευτον, βασιλεύσας απείληφας, Βασιλίσκε ένδοξε, καί παρίστασαι, τώ βασιλεί τών δυνάμεων, σύν πάσαις γηθόμενος, τών Αγγέλων στρατιαίς, αναμέλπεις τε πάντοτε, τό αέναον, καί μακάριον άσμα, φρυκτωρίαις, κατά μέθεξιν ταίς θείαις, περιφανώς αυγαζόμενος.

Τούς σούς πόδας υπέδησαν, ταίς κρηπίσιν ηλώσαντες, εν τώ σέ πορεύεσθαι τρίβους χαίροντα, τού μαρτυρίου Αοίδιμε, μεθ' ών κατεπάτησας, κεφαλήν τού δυσμενούς, καί τελείως συνέτριψας, καί εβάδισας, ευσταλώς τήν ουράνιον πορείαν, τώ Δεσπότη νικηφόρος, εμφανιζόμενος ένδοξε.

Προσευχή σου εβλάστησε, ξύλον άνικμον πρότερον, καί πηγήν ανέβλυζε ζώντος ύδατος, τή δέ ροή σου τού αίματος, η γή καθηγίασται, ο αήρ δέ τής ψυχής, τή ανόδω πανόλβιε, όθεν πίστει σου, τήν αγίαν τιμώμεν Βασιλίσκε, καί πανέορτον ημέραν, εν ή νομίμως ηρίστευσας.

Δόξα... Καί νύν... Τής Εορτής

Ει τύχοι η νηστεία τών Αποστόλων

Δόξα... Καί νύν... Θεοτοκον
Ήχος δ'  Ως γενναίονεν Μάρτυσιν

Ως πρεσβείαν ακοίμητον, καί παράκλησιν έμμονον, κεκτημένη πάναγνε πρός τον Κύριον, τούς πειρασμούς κατακοίμισον, τά κύματα πράϋνον, τής αθλίας μου ψυχής, καί εν θλίψει υπάρχουσαν τήν καρδίαν μου, παρακάλεσον Κόρη, δυσωπώ σε, καί χαρίτωσον τόν νούν μου, όπως αξίως δοξάζω σε.

Η Σταυροθεοτοκίον

Τόν αμνόν καί ποιμένα σε, επί ξύλου ως έβλεψεν, η Αμνάς η τέξασα επωδύρετο, καί μητρικώς σοι εφθέγγετο, Υιέ ποθεινότατε, ταύτά σοι ο απειθής, δήμος ανταποδίδωσιν, ο θαυμάτων σου, απολαύσας μεγίστων, αλλά δόξα, τή αρρήτω σου καί θεία, συγκαταβάσει φιλάνθρωπε.

Εις τόν Στίχον, Στιχηρά τής Εορτής. Απολυτίκιον τής Εορτής.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Ο Κανών τής Εορτής, καί τού Αγίου.

Κανών τού Αγίου, ού η Ακροστιχίς.

Τόν παμμέγιστον Βασιλίσκον αινέσω.
Ποίημα Ιωσήφ.

Ωδή α' Ήχος πλ. δ'
Άσμα αναπέμψωμεν

Ταύτην τήν φαιδράν σου εορτήν, τούς ευσεβώς γεραίροντας, Μάρτυς πολύαθλε, τόν Βασιλέα Χριστόν, ικέτευε σώζεσθαι, καί τής επουρανίου, βασιλείας μετόχους γενέσθαι.

Όλος τή αγάπη τού Χριστού, ανακραθείς πανόλβιε, σαρκός ηλόγησας, ως φθείρεσθαι μελλούσης, καί ήνεγκας βάσανα, γνώμ η ανδρειοτάτη, στηλιτεύσας ειδώλων τήν πλάνην.

Νύκτα αγνωσίας φωτισμώ, τού παναγίου Πνευματος, καταλαμπόμενος, παρήλθες Βασιλίσκε, καί άθλων λαμπρότησιν, ήλιος καθωράθης, πάσαν κτίσιν φαιδρώς καταυγάζων.

Θεοτοκίον

Πόκον προεώρα Γεδεών, τήν άχραντον γαστέρα σου, δρόσον τήν ουράνιον, Παρθένε δεξαμένην, θαλάσσας ξηραίνουσαν, Κόρη, τής αθεϊας, καί τακείσας αρδεύουσαν φρένας.

Ωδή γ'
Σύ εί τό στερέωμα

Αίμασιν αθλήσεως, ειδωλικήν πυράν έσβεσας, καί τής τρυφής, Μάρτυς τώ χειμάρρω, εντρυφάς αγαλλόμενος.

Μάρτυρα Τριάδος σε, η εκλεκτή δυάς ένδοξε, τών Αθλητών, απολειπομένη, πρός Χριστόν απεδήμησεν.

Μένεις τών συνάθλων σου, απολειφθείς, Χριστόν Κύριον, ομολογών πάντων Βασιλέα, Βασιλίσκε πολύαθλε.

Θεοτοκίον

Ευροιμί σε Πάναγνε, χειραγωγούσάν με πάντοτε, πρός αρετάς, καί πρός μετανοίας, τάς οδούς εμβιβάζουσαν.

Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό, φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Κάθισμα Ήχος α'
Τόν τάφον σου Σωτήρ

Τώ μόνω βασιλεί, νύν παρίστασαι χαίρων, διάδημα φαιδρόν, καί στολήν εξ οικείων, βαφείσαν αιμάτων σου, Ιερώς περικείμενος, καί θεούμενος, καθ' αρωτάτη μεθέξει, όθεν σήμερον, τήν παναγίαν σου μνήμην, τελούντες υμνούμέν σε.

Δόξα... Καί νύν... Τής Εορτής

Ει τύχοι η νηστεία τών Αποστόλων

Δόξα... Καί νύν... Θεοτοκον
Ήχος α'  Τόν τάφον σου Σωτήρ
Προστάτιν πρός Θεόν, κεκτημένοι σε πάντες, προστρέχομεν σεμνή, τώ αγίω ναώ σου, αιτούμενοι βοήθειαν, παρά σού Αειπάρθενε, ρύσαι ούν ημάς, τής τών δαιμόνων κακίας, καί εξάρπασον, εκ καταδίκης φρικώδους, τούς σέ μακαρίζοντας.

Η Σταυροθεοτοκίον
Ω θαύματος καινού! ώ φρικτού μυστηρίου! εβόα η αμνάς καί πανάμωμος Κόρη, εν ξύλω ώς εώρακεν, απλωθέντα τόν Κύριον, ο τά σύμπαντα, εν τή δρακί περιφέρων, πώς κατάκριτος, υπό κριτών παρανόμων, Σταυρώ κατακρίνεται;

Ωδή δ'
Εισακήκοα Κύριε
Γηπονήσας τήν άρουραν, Μάρτυς τής ψυχής σου εκατοστεύοντα, στάχυν ήνεγκας αθλήσεως, αποθήκαις θείαις συντηρούμενον.

Ιεράς επακήκοας, άνωθεν παμμάκαρ φωνής καλούσης σε, καί τό πέρας τής αθλήσεως, βεβαιούσης Μάρτυς παναοίδιμε.

Σταθεράν ενδεικνύμενος, ένδοξε τήν ένστασιν εκαρτέρησας, ταίς αλύσεσι δεσμούμενος, καί τής πλάνης λύων πάντα σύνδεσμον.

Τόν Σατάν απηγχόνισας, θείαις αθλπφόρε νευραίς τών λόγωνσου, νίκης όθεν κεκαλλώπισαι, Βασιλίσκε μάρτυς διαδήμασι.

Θεοτοκίον
Ο Πατρί ομοούσιος, ώφθη κατά πάντα ανθρώποις όμοιος, σαρκωθείς καθώς ηθδόκησεν, εκ τών σών αιμάτων Παναμώμητε.

Ωδή ε'
Ορθρίζοντες βοώμέν σοι
Νομίμως εναθλήσαι ελόμενος, ανομούντας, δυνάμει τού Πνεύματος, Μάρτυς θεόφρον κατήσχυνας.

Βαδίζων θαρσαλέως τήν τρίβον, τού μαρτυρίου, τά κέντρα συνέτριψας, τού πολεμήτορος Ένδοξε.

Αι βάσεις σου τοίς ήλοις θεόφρον, εμπεπαρμέναι, εχθρού πολυμήχανον, κάραν τελείως συνέθλασαν.

Θεοτοκίον

Σαρκός εν ομοιώματι τέτοκας, Θεοτόκε, τόν ακατανόητον, καί απερίληπτον Κύριον.

Ωδή ς'

Τήν δέησιν εκχεώ

Ικρίω τόν υψωθέντα κηρύττων, εν ξηρώ δεσμήσαι ξύλω καί τούτο, σών προσευχών, επομβρίαις δεικνύεις, χλωρόν καί φύλλοις παντοίοις κατάκομον, εις στήριγμα τών ευσεβών, Βασιλίσκε καί κλέος τών πόνων σου.

Λυθέντα σε σαρκικής προσπαθείας, οι παράνομοι αδίκως δεσμούσι, καί σιδηροίς, περονίζουσιν ήλοις, καί μακροτάταις οδοίς συνελαύνουσι, τώ αίματι πάσαν τήν γήν, αγιάζοντα Μάρτυς πολύαθλε.

Ιστάμενος καί δεσμούμενος χείρας, ανεπτέρωσας καρδίας τό όμμα, πρός τόν Θεόν, καί πηγήν αναβλύσαι, ύδατος ζώντος αυτόν εδυσώπησας, εις μνήμην σου πανευκλεή, καί ψυχών θεραπείαν Μακάριε.

Θεοτοκίον

Συντρίμματα τής αθλίας ψυχής μου, καί τά χρόνια ιάτρευσον πάθη, τόν ιατρόν, τών ψυχών καί σωμάτων, ανερμηνεύτως Παρθένε κυήσασα, καί σώσόν με τόν επί σοί, τάς ελπίδας Πανάμωμε θέμενον.

Ο Ειρμός

«Τήν δέησιν εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών, η ψυχή μου επλήσθη, καί η ζωή μου τώ Άδη προσήγγισε, καί δέομαι ως Ιωνάς, Εκ φθοράς ο Θεός με ανάγαγε».

Κοντάκιον τής Εορτής

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΒ' τού αυτού μηνός, Μνήμη τού Αγίου Μάρτυρος Βασιλίσκου.

Στίχοι

- Ο Βασιλίσκος εκτομή δούς τήν κάραν,
- Πατεί νοητού βασιλίσκου τήν κάραν.
- Εικάδι δευτερίη Βασιλίσκος φάσγανον έτλη.

Ο Άγιος Μάρτυς Μάρκελλος, μόλυβδον κοχλάζοντα ποτισθείς, τελειούται.

Ο Άγιος μάρτυς Κόδρος υπό ίππων συρόμενος τελειούται.

Ο Άγιος Ιωάννης ο Βλαδίμηρος, ο βασιλεύς καί θαυματουργός, ξίφει τελειούται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Παίδες Εβραίων

Κόσμος Μαρτύρων ανεδείχθης, υπερκόσμια σκηνώματα Τρισμάκαρ, κατοικών καί ημίν, τοίς πόθω σε τιμώσι, τό κοσμικόν κλυδώνιον, κατευνάζων σαίς πρεσβείαις.

Οίκος Τριάδος ανεδείχθης, τά ινδάλματα βωμούς τε τών ειδώλων, καταράσσων σοφέ, καί ψάλλων τώ Δεσπότη, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Νέμει σοι γέρα ο Δεσπότης, εναθλήσαντι στερρώς καί καθελόντι, μηχανάς τού εχθρού, καί μέλποντι συντόνως, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας,

Άλλο στερέωμα εδείχθης, ώσπερ ήλιον τούς άθλους κεκτημένον, καί ως άστρα τών σών θαυμάτων Βασιλίσκε, τήν ιεράν λαμπρότητα, καί πληθύν εις τούς αιώνας.

Θεοτοκίον

Ίδε ήν έφησε Παρθένον, εν τώ Πνεύματι ο μέγας Ησαϊας, εν γαστρί τόν Θεόν, συνέλαβε καί τίκτει, ώ μελωδούμεν, Κύριε, ο Θεος ευλογητος εί.

Ωδή η'

Νικηταί τυράννου

Νικητής τυράννων, καί πνευμάτων Ένδοξε τής πονηρίας, ανεδείχθης μέλπων, τώ σέ δυναμώσαντι ακαταπαύστως, Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί ύπερυψούτε εις πάντας τούς αιώνας.

Ενεκρώθης κόσμω, τώ νεκροίς διδόντι δέ ζωήν Δεσπότη, Βασιλίσκε Μάρτυς, ακλινώς επόμενος έψαλλες χαίρων, Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε είς πάντας τούς αιώνας.

Σώματος βασάνους, ενεγκών στερρότητι ψυχής θεόφρον, Ασωμάτοις θείοις, συγχορεύων αίνεσιν Θεώ προσάγεις, Ευλογείτε λέγων, τα έργα τόν Κύριον, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Θεοτοκίον

Ώφθης πλατυτέρα, ουρανών, χωρήσασα Θεον εν μήτρα, τόν στενοχωρίας πονηράς ρυόμενον τους μελωδούντας, Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε είς πάντας τούς αιώνας.

Ο Ειρμός

«Νικηταί τυράννου, καί φλογός τή χάριτί σου γεγονότες, οι τών εντολών σου σφόδρα, αντεχόμενοι Παίδες εβόων, Ευλογείτε πάντα τά έργα τόν Κύριον καί υπερυψούτε εις πάντας τούς αιώνας».

Ωδή θ'

Έφριξε πάσα ακοή

Ιστίω Μάρτυς τού Σταυρού, τών βασάνων διελθών τό κλυδώνιον, τόν γαληνότατον, τής βασιλείας, όρμον κατέλαβες, καί ώσπερ έμπορος καλός, τόν φόρτον διέσωσας, τής ευσεβείας Χριστώ, τώ τών όλων Βασιλεί καί Θεώ ημών.

Ως πάλαι πύρ εξ ουρανού, ο θεσβίτης Ηλιού κατηγάγετο, ούτω Μακάριε, τή σή δεήσει φλόγα κατήγαγες, δι' ής εκκαίεται ναός, ειδώλων καί ξόανα, δαιμόνων φλέγονται, καί Θεός ο ποιητής μεγαλύνεται.

Σώματος λέλυσαι σοφέ, τή τού ξίφους εκτομ η δεξαμένων σου, σεπτών Δυνάμεων, τό θείον πνεύμα νικήσαν χάριτι, τής πονηρίας τά δεινά, πανόλβιε πνεύματα, καί νύν τά άνω οικείς, στεφηφόρος Βασιλίσκε βασίλεια.

Η γή μέν Μάρτυς τή ταφή, ουρανός δέ τή ψυχή καθηγίασται, τή σή θεόπνευστε, ως γάρ πορφύραν λαμπράν εξ αίματος, περιβαλλόμενος τού σού, Χριστώ τώ Θεώ ημών, συμβασιλεύεις αεί, μεμνημένος τών πιστώς μεμνημένων σου.

Θεοτοκίον

Φύσει μέν πέφυκας Θεός, αλλ' ηνέσχου περιθέσθαι τόν άνθρωπον μήτραν αμώμητον, εθελουσίως, εισδύς Φιλάνθρωπε, όθεν διπλάς τάς φυσικάς, ειδότες, θελήσεις σου, σέ μεγαλύνομεν, τήν Μητέρα σου πιστώς μακαρίζοντες.

Ο Ειρμός

«Έφριξε πάσα ακοή, τήν απόρρητον Θεού συγκατάβασιν, όπως ο Ύψιστος, εκών κατήλθε μέχρι καί σώματος, παρθενικής από γαστρός, γενόμενος άνθρωπος, διό τήν άχραντον, Θεοτόκον οι πιστοί μεγαλύνομεν».

Εξαποστειλάριον τής Εορτής

Εις τόν Στίχον, Στιχηρά τής Εορτής.

Τά λοιπά, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΓ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών καί Ομολογητού Μιχαήλ, Επισκόπου Συννάδων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ' καί τού Αγίου γ'.

Στιχηρά τού Αγίου

Ήχος πλ. δ'
Ώ τού παραδόξου θαύματος

Πάτερ Μιχαήλ θεόπνευστε, τό κατ' εικόνα Θεού, διετήρησας άμεμπτον, καί Χριστού τόν άχραντον, χαρακτήρα ετίμησας, καί διδαχαίς σου, πάσαν κατέσβεσας, τήν γλωσσαλγίαν, ψυχής στερρότητι, Ώ τών αγώνων σου, καρτεράς ενστάσεως! δι' ής Χριστώ, μάκαρ ευηρέστησας, τώ παντοκράτορι.

Πάτερ Μιχαήλ θεόληπτε, Ιερωσύνης στολήν, ενδυσάμενος έδραμες, τών μαρτύρων στάδιον, καί Χριστώ προσενήνεξαι, διπλοίς στεφάνοις, μάκαρ κοσμουμενος, αρχιερέων, τάξεις οψόμενος, Ώ τής αφράστου σου, χαρμονής μακάριε, ής μετασχείν, όντως κατηξίωσαι, θεομακάριστε.

Πάτερ Μιχαήλ θειότατε, σύ τώ ποδήρει σεπτώς, Ααρών ώσπερ δεύτερος, καθωραϊζόμενος, τών Αγίων τά Άγια, νύν κατοπτεύεις, ένδον γενόμενος, καί τού δευτέρου καταπετάσματος, Ώ τής αχράντου σου, υπέρ νούν ελλάμψεως, Ιεραρχών, θείον εγκαλλώπισμα, ής καί μετέσχηκας.

Δόξα... Καί νύν... Τής Εορτής

Ει τύχοι η νηστεία τών Αποστόλων

Δόξα... Καί νύν... Θεοτοκον
Ήχος πλ. δ'
Ώ τού παραδόξου θαύματος

Πάντοτε πράττων τά άτοπα, τόν ποιητήν μου Θεόν, παροργίζω ο άθλιος, καί πτοούμαι πάναγνε, τήν αιώνιον κόλασιν, καί τού πυρός τήν φλόγα τήν άσβεστον, Καί τών σκωλήκων τήν αγριότητα, ών με εξάρπασον, Δέσποινα πανύμνητε, τόν σόν Υιόν, Λόγον καί φιλάνθρωπον καθικετεύουσα.

Η Σταυροθεοτοκίον

Τί το ορώμενον θέαμα, ό τοίς εμοίς οφθαλμοίς, καθοράται ώ Δέσποτα: ο συνέχων άπασαν, κτίσιν ξύλω ανήρτησαι, καί θανατούσαι, ο πάσι νέμων ζωήν η Θεοτόκος κλαίουσα έλεγεν, ότε εώρακεν, εν Σταυρώ κρεμάμενον, τόν εξ αυτής, αρρήτως εκλάμψαντα, Θεόν καί άνθρωπον.

Εις τόν Στίχον, Στιχηρά τής Εορτής Απολυτίκιον τής Εορτής, Κανόνα πίστεως καί Απόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τής Εορτής καί τού Αγίου.

Ο Κανών τού Αγίου ού η Ακροστιχίς.

Αρχιερεύ Μιχαήλ, Ιεροίς ύμνοις σε γεραίρω.
Ποίημα Θεοφάνους.

Ωδή α'  Ήχος β'
Εν βυθώ κατέστρωσέ ποτε

Απορρήτω λάμψας φωτισμώ, Πάτερ δι' ασκήσεως αρχιερεύς τού Θεού εχρημάτισας, Μιχαήλ θεσπέσιε, τό βασίλειον, ποδηγών Ιεράτευμα, καί Χριστού ποιμαίνων, σύ τήν Εκκλησίαν παμμακάριστε.

Ρητορεύων στόματι λαμπρώ, πάσι διεσάφησας, πανευσεβώς τά θεόφθεγκτα δόγματα, Μιχαήλ πανόλβιε, τών αιρέσεων, διελέγχων τό βλάσφημον, καί τής ευσεβείας, άριστα παμμάκαρ προϊστάμενος.

Χαρισμάτων θείων γεγονώς, μάκαρ ενδιαίτημα, πάσι πιστώς προφανώς μεταδέδωκας, Μιχαήλ πανεύφημε, θεομίμητον, πολιτείαν κτησάμενος, καί δικαιοσύνην, περιβεβλημένος ως ιμάτιον.

Ιερόν εικόνισμα Θεού, καί τής Θεομήτορος, τιμητικώς προσκυνών διετέλεσας, Μιχαήλ πανίερε, καί τήν βλάσφημον γλωσσαλγίαν διέλυσας, τών αιρετιζόντων, λόγοις καί παθήμασι τροπούμενος.

Θεοτοκίον

Εκ γαστρός σου Πάναγνε σεμνή, λάμψας ημίν Ήλιος, θεουργικαίς αστραπαίς κατεφαίδρυνεν, εκδιώξας άπασαν, τών δαιμόνων τήν σκοτεινόμορφον σύγχυσιν, ο δεδοξασμένος Κύριος, ενδόξως γάρ δεδόξασται.

Ωδή γ'
Εν πέτρα με τής πίστεως

Ρεόντων προετίμηκας θεορρήμον, τά άρρευστα καί μένοντα δι' αιώνος, ποικίλως γάρ διέπρεψας ανακράζων, Ουκ έστιν Άγιος ως ο Θεός ημών, καί ουκ έστι δίκαιος, πλήν σου Κύριε.

Εξεχύθη σοίς χείλεσι θεία χάρις, επλάτυνας τό στόμα σου καί εδέξω, σοφίας τά χαρίσματα καί εβόας, Ουκ έστιν Άγιος ως ο Θεός ημών, καί ουκ έστι δίκαιος, πλήν σου Κύριε.

Υπέταξας τά πάθη δι' εγκρατείας, εφώτισας τόν νούν σου τή θεωρία, εγένου πρακτικώτατος αναμέλπων, Ουκ έστιν Άγιος, ως ο Θεός ημών, καί ουκ έστι, δίκαιος πλήν σου Κύριε.

Θεοτοκίον

Μαρίαν τήν πανάχραντον Θεοτόκον, υμνήσωμεν ως πρόξενον σωτηρίας, φανείσαν οι θεόφρονες, ή βοώμεν, Ουκ έστιν άλλη τις, ελπίς καί στήριγμα, τών πιστών πανύμνητε θεοδόξαστε.

Ο Ειρμός

«Εν πέτρα με τής πίστεως στερεώσας, επλάτυνας τό στόμα μου επ' εχθρούς μου, ηυφράνθη γάρ τό πνεύμά μου, εν τώ ψάλλειν, Ουκ έστιν Άγιος ως ο

Θεός ημών, καί ουκ έστι δίκαιος, πλήν σου Κύριε».

Κάθισμα  Ήχος α'
Τόν τάφον σου Σωτήρ

Ιέρευσας σαυτόν, διά βίου τελείου, καί ώφθης Ιερεύς, τού Θεού τού Υψίστου, παρ' ού δυναμούμενος, αιρετίζοντα στόματα, απεφίμωσας, κατά Χριστού τής εικόνος, ανοιγόμενα, καί διωκόμενος Πάτερ, τόν δρόμον τετέλεκας.

Καί τής Εορτής

Ει τύχοι η νηστεία τών Αποστόλων

Δόξα... Καί νύν... Θεοτοκον
Ήχος α'  Τόν τάφον σου Σωτήρ

Προστάτιν πρός Θεόν, κεκτημένοι σε πάντες, προστρέχομεν σεμνή, τώ αγίω ναώ σου, αιτούμενοι βοήθειαν, παρά σού Αειπάρθενε, ρύσαι ούν ημάς, τής τών δαιμόνων κακίας, καί εξάρπασον, εκ καταδίκης φρικώδους, τούς σέ μακαρίζοντας.

Η Σταυροθεοτοκίον

Ω θαύματος καινού! ώ φρικτού μυστηρίου! εβόα η αμνάς καί πανάμωμος Κόρη, εν ξύλω ώς εώρακεν, απλωθέντα τόν Κύριον, ο τά σύμπαντα, εν τή δρακί περιφέρων, πώς κατάκριτος, υπό κριτών παρανόμων, Σταυρώ κατακρίνεται;

Ωδή δ'
Ελήλυθας, εκ Παρθένου

Ιέμενος, τών στεφάνων τής δόξης, κατέλιπες σαρκός τήν ευπάθειαν Ιερομύστα πανόλβιε, όλον δέ τόν βίον σου, ως ευωδέστατον θύμα Χριστώ τέθυκας.

Χωλάναντες, απ' ευθείας τής τρίβου κατέπεσον, εις βόθρον αιρέσεως, οι νύν φανέντες αλλότριοι, ούσπερ εξεφαύλισας, Χριστού τιμών τήν εικόνα Παμμακάριστε.

Απείληφας, τών σών άθλων αξίως τά έπαθλα, Μιχαήλ πανέντιμε, ταίς ουρανίαις Δυνάμεσι, νύν συνευφραινόμενος, καί συγχορεύων ως Μάρτυς αξιάγαστε.

Η γλώσσά σου, ανεδείχθη τού Πνεύματος κάλαμος, Μιχαήλ πανένδοξε, οικονομίαν τήν ένσαρκον, Γραφαίς μελετήσασα, τού παντοκράτορος Λόγου παναοίδιμε.

Λαμπόμενος, ιερώ καί τιμίω στολίσματι, τής ιερωσύνης σου, ομολογία διέπρεψας, θέατρον γενόμενος, Αγγέλοις τε καί ανθρώποις Πανσεβάσμιε.

Θεοτοκίον

Ιθυνόν μου, Θεοτόκε τόν βίον προστάγμασιν, ενθέοις ρυθμίζουσα, τού σαρκωθέντος Λόγου εκ σού, καί πρός φώς οδήγησον, Παρθενομήτορ Μαρία Θεονύμφευτε.

Ωδή ε'

Ο φωτισμός, τών εν σκότει

Εξ αγκαλών, ανετέθης τώ Λόγω Ιεροφάντορ, θείον γάρ ανάθημα δεδειγμένος, ενδιαπρέψας, πρακτική θεωρία, καί σοφίας καρπόν δρεψάμενος, γέγονας ποιμήν αληθώς αξιόληπτος.

Ρήμα Θεού, δαψιλώς κατοικήσαν εν σοί θεόφρον, ποταμούς ανέβλυσε διδαγμάτων, οίς εντρυφώντες, ευφραινόμεθα μάκαρ, σέ μεσίτην σαφώς πλουτήσαντες, ίλεων ημίν εργαζόμενον Κύριον.

Ο θεϊκή, δυναστεία τά πάντα διακοσμήσας, σέ ώ θεοφάντορ ιερωσύνης, μυστικωτάτης, κατηγλάϊσε μύρω, προγινώσκων τήν σήν λαμπρότητα ώφθης Ιερεύς γάρ Θεού μεγαλόφωνος.

Θεοτοκίον

Ισος ημίν, κατά πάντα γενέσθαι καταξιώσας, εν σοί κατεσκήνωσε Θεομήτορ, Πατρός εκλάμψας, ο πανάγιος Λόγος, καί ετέχθη εκ σού Πανάμωμε, άνθρωπος ομού, καί Θεός παντοδύναμος.

Ωδή ς'

Εν αβύσσω πταισμάτων

Σωτηρίου χιτώνα Πανεύφημε, θείας ευφροσύνης τε περιβαλλόμενος, ομολογίας στέφανον, πρός Θεού εκομίσω επάξιον.

Υπομείνας πικράς εξορίας σοφέ, εις ευρυχωρότατον πλάτος κατήντησας, τού Παραδείσου Μάρτυσι, συγχορεύων θεόφρον πανόλβιε.

Μαθητής χρηματίσας Χριστού τού Θεού, τούτου τά παθήματα Μάκαρ εζήλωσας, Προκινδυνεύων άριστα, τής αυτού Εκκλησίας θεόπνευστε.

Θεοτοκίον

Νοερώς εμυούντο τήν άφραστον, πάντες οι Προφήται σού Πάναγνε κύησιν, συμβολικώς τυπούμενοι, καί προλέγοντες πάσι τά μέλλοντα.

Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυασον, Εκ φθοράς ο Θεός με ανάγαγε».

Κοντάκιον  Ήχος δ'

Επεφάνης σήμερον

Ώσπερ μέγας ήλιος, εξανατείλας, καταυγάζεις άπαντας, τών αρετών σου τώ φωτί, καί τών θαυμάτων ταίς λάμψεσι, θαυματοφόρε, Αγγέλων ομώνυμε.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΓ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Μιχαήλ τού Ομολογητού, Επισκόπου Συννάδων.

Στίχοι

- Τώ κυματώδει μικρόν εμπρέψας βίω,
- Λύη Μιχαήλ, οία κούφη πομφόλυς.
- Εικάδι εν τριτάτη Μιχαήλ αναδέδραμεν εκ γής.

Τή αυτή ημέρα, Μνήμη τής αγίας μυροφόρου Μαρίας τού Κλωπά εν ειρήνη τελειωθείσης.

Ο άγιος μάρτυς Σαλωνάς ο Ρωμαίος ξίφει τελειούται.

Ο άγιος μάρτυς Σέλευκος πριονισθείς τελειούται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Αντίθεον πρόσταγμα

Ουκ έφερε γλώσσησσου τόν θείον φθόγγον, ο θήρ ο δυσώνυμος, Μιχαήλ Ιερώτατε, αλλ' υπερορίαις σε καταδικάζει μακραίς, όμως κατησχύνετο τήν σήν, Ιεροκήρυξ ορών στερρότητα.

Ιθύνεται πάνσοφε ταίς διδαχαίς σου, Χριστού τό πανίερον, ορθόδοξόν τε σύστημα, εγένου γάρ όργανον θαυματουργέ Μιχαήλ, Πνεύματι κρουόμενον, βοών, τά μεγαλεία τού Παντοκράτορος.

Σοφώς εστηλίτευσας τών δυσωνύμων, τροφίμων τού Μάνεντος τήν βλάσφημον ασέβειαν, Χριστού τήν πανάχραντον Πάτερ εικόνα τρανώς, καί τής Θεομήτορος τιμών, καί τών Αγίων Μιχαήλ, Όσιε.

Θεοτοκίον

Σαρκώσεως γέγονας Θεού τού Λόγου, Παρθένε πανάμωμε, ωραίον ενδιαίτημα, εκ σού γάρ ανέλαβε, δι' ευσπλαγχνίαν πολλήν, όλον με τόν άνθρωπον ο ων ευλογημένος καί υπερένδοξος.

Ωδή η'

Τόν εν καμίνω τού πυρός

Επί τού βήματος εστώς, θεοκήρυξ, Μιχαήλ ου κατεπλάγης, απειλάς τών ανόμων, αλλ' ελευθέρα φωνή, εβόας, Εικόνα τήν άχραντον, σέβω τού Σωτήρος Χριστού καί τών Αγίων.

Γνώμη στερρά καί σταθηρά, συμπλεκόμενος Σοφέ τοίς θεομάχοις, νικητής ανεφάνης, έργω καί λόγω δεικνύς, ως δέον εικόνα τήν άχραντον, σέβειν τού Σωτήρος, Χριστού καί τών Αγίων.

Εις τό πρωτότυπον ειδώς, τής εικόνος τήν τιμήν ιεροφάντορ, διαβαίνουσαν

Πάτερ, ταίς θεοπνεύστοις Γραφαίς, συνάδων τούς πάντας εδίδαξας, σέβειν τήν εικόνα, Χριστού καί τών Αγίων.

Θεοτοκίον

Ρείθρον ιάσεων ημίν, αενάως τοίς πιστοίς αναπηγάζεις, ού τήν άφθονον χάριν, απαρυόμενοι σού, υμνούμεν τόν τόκον τόν άχραντον, καί υπερυψούμεν, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Τόν εν καμίνω τού πυρός, τών Εβραίων τοίς Παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον, μεταβαλόντα Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε εις πάντας τους αιώνας».

Ωδη θ'

Ανάρχου Γεννήτορος

Απείρω λαμπόμενος, νύν φωτισμώ πανόλβιε, τώ φωτί τώ μεγάλω ως παριστάμενος, τού πεποθημένου σοι τέλους, τυχείν σαφώς Πάτερ ηξιώθης, πρός ο σπεύδων έδραμες, ευσεβώς πολιτευσάμενος.

Ιδείν κατηξίωσαι, τήν υπέρ νούν λαμπρότητα, ής εν γή τάς εμφάσεις Πάτερ εκέκτησο, αλλά μεσιτεύων ρυσθήναι, σούς φοιτητάς, Χριστόν εκδυσώπει, τούς σέ νύν γεραίροντας, καί τιμώντας αξιάγαστε.

Ρωσθείς θεία χάριτι, σοφίας σου πυρσεύμασι, θεομάχων τό θράσος σαφώς κατέσβεσας, τών απαυγασμάτων τών τήδε, ως τήν πηγήν ένδον κεκτημένος, Μιχαήλ θεσπέσιε, Χριστοκήρυξ Ιερώτατε.

Θεοτοκίον

Ως πόκος Πανάμωμε, τόν όμβρον τόν ουράνιον, εν γαστρί συλλαβούσα ημίν εκτέτοκας, τόν τήν αμβροσίαν διδόντα, τοίς ευσεβώς αυτόν ανυμνούσι, καί σέ τήν πανύμνητον, Θεοτόκον καταγγέλλουσιν.

Ο Ειρμός

«Ανάρχου Γεννήτορος, Υιός Θεός καί Κύριος, σαρκωθείς εκ Παρθένου ημίν επέφανε, τά εσκοτισμένα φωτίσαι, συναγαγείν τά εσκορπισμένα, διό τήν πανύμνητον, Θεοτόκον μεγαλύνομεν».

Εξαποστειλάριον, τής Εορτής

Καί τά λοιπά, ως συνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΔ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ήμων Συμεών, τού εν τώ θαυμαστώ όρει.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ' καί τού Αγίου γ'.

## Στιχηρά τού Αγίου

Ήχος πλ. δ'
Ώ τού παραδόξου θαύματος

Στήλην γεγραμμένην έχουσαν, τάς γενικάς αρετάς, θεωρίαις καί πράξεσι, Συμεών πανόλβιε, τήν ψυχήν απετέλεσας, τά τής σαρκός νικήσας σκιρτήματα, καί ζωηφόρον αμφιασάμενος, νέκρωσιν Όσιε, καί φωστήρ γενόμενος, αειφανής, πάσης γής τοίς πέρασι, λάμπεις τή χάριτι.

Πόθω τώ θείω πτερούμενος, έτι τήν σάρκα φορών, καί τόν χούν περικείμενος, τοίς Αγγέλοις γέγονας, προφανώς ομοδίαιτος, τών επιγείων μέν αφιστάμενος, πρός ουρανούς δέ, Πάτερ υψούμενος, όθεν ελήλυθας, ένθα φώς τό άδυτον, διηνεκώς, θείαις αναβάσεσιν, επεκτεινόμενος.

Σάρκα λεπτύνας ασκήσεσιν, ανωφερή τήν ψυχήν, καί Θεώ πλησιάζουσαν, Συμεών απέδειξας, καί δοχείον τού Πνεύματος, καί τή δυνάμει, τούτου τά θαύματα, τά υπέρ φύσιν, τελείν ηξίωσαι, ένθα γάρ πέφυκε, παντουργός ενέργεια, τά υπέρ νούν, πάντα καί διάνοιαν, διαπεραίνεται.

Δόξα... Ήχος β'
Γερμανού

Εις όρος υψηλόν συμβολικώς, τό θαυμαστόν άνελθών, καί τήν σεπτήν Κιβωτόν ως άδυτον υπελθών, πράξιν αρίστην, καί επίβασιν θεωριών επεδείξω, τή μέν, τόν βίον λαμπρύνας δεσμοίς σιδηροίς, ως ορμίσκοις χρυσοίς κοσμούμενος, τή δέ, Θεόν ορών τε καί ορώμενος, καί μόνος μόνω προσλαλών, όν ικέτευε σεβάσμιε Συμεών, υπέρ τών ψυχών ημών.

Καί νύν... Τής Εορτής

Ει τύχοι η νηστεία τών Αποστόλων

Δόξα... Καί νύν... Θεοτοκον
Ήχος β' Ότε, εκ τού ξύλου σε νεκρόν

Χαίρε, ηλιόμορφε αστήρ, χαίρε η αιτία απάντων, καλών Πανάμωμε, χαίρε η χωρήσασα, Θεόν αχώρητον, η τόν στάχυν βλαστήσασα, τής αθανασίας, χαίρε θείον όχημα, πύλη η πάμφωτος, χαίρε, η αράς αναιρέτις, τής προγονικής ημών, χαίρε, αγαθών η πρόξενος υπάρχουσα.

Η Σταυροθεοτοκίον

Βότρυν, τόν παμπέπειρον Αγνή, όν αγεωργήτως εν μήτρα, εκυοφόρησας, ξύλω ως εώρακας, τούτον κρεμάμενον, θρηνωδούσα ηλάλαζες, καί έκραζες, Τέκνον, γλεύκος εναπόσταξον, δι' ού η μέθη αρθή, πάσα, τών παθών ευεργέτα, δι' εμού τής σέ τετοκυϊας, σού τήν ειυυυυσπλαγχνίαν ενδεικνύμενος.

Εις τόν Στίχον, Στιχηρά τής Εορτής

Απολυτίκιον, τού Αγίου
Ήχος α'

Υπομονής στύλος γέγονας, ζηλώσας τούς προπάτορας Όσιε, τόν Ιώβ εν τοίς πάθεσι, τόν Ιωσήφ εν τοίς πειρασμοίς, καί τήν τών ασωμάτων πολιτείαν υπάρχων εν σώματι, Συμεών Πατήρ ημών Όσιε, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Καί τής Εορτής

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τής Εορτής, καί τού Αγίου.

Κανών τού Αγίου, ού η Ακροστιχίς.

Θαυμαστέ μέλπω Συμεων σού τήν χάριν.
(άνευ τών Θεοτοκίων)
Ιωάννου Μοναχού

Ωδή α'  Ήχος πλ. δ'
Αρματηλάτην

Θεολογίας αληθούς υπόθεσις, εστίν η μνήμη σου, θαυματουργέ Πάτερ, Συμεών καί έλλαμψις, τοίς συνελθούσιν άπασι, καθαραίς ταίς καρδίαις, υμνήσαι ταύτης τό μέγεθος, καί τόν αξιάγαστον βίον σου.

Από φωνής τού Βαπτιατού καί όψεως, ευηγγελίσθη σου, η ευκλεής μήτηρ, καί σε ευωδέστατον, καί θείον καταγώγιον, παμμακάριστε Πάτερ, συνέλαβέ τε καί τέτοκε, τής τρισυποστάτου θεότητος.

Υπερφυώς δικαιοσύνης όχημα, θεοχαρίτωτον, εκ σπαργάνων Πάτερ, μητρικών εσόμενον, προγνούς ο μέγας Πρόδρομος, ευωνύμου μαστού σε, απέχεσθαι εγκελεύεται, καί τού δεξιού αποτρέφεσθαι.

Μυστικωτάτης απαρχήν δεξάμενος, ζωής πανόλβιε, διά λουτρού Πάτερ, τής αναγεννήσεως, τήν δωρεάν τού Πνεύματος, από βρέφους ενθέως, τής σής ψυχής τήν ευπρέπειαν, έδειξας ηλίου φαιδρότερον.

Θεοτοκίον

Πεποικιλμένη ποικιλία χάριτος, θεοχαρίτωτε, τόν τού Πατρός Λόγον, σάρκα χρηματίσαντα, δι' ευσπλαγχνίαν άφατον, υπέρ νούν τε καί λόγον, ευλογημένη γεγέννηκας, μείνασα παρθένος αμόλυντος.

Ωδή γ'
Ουρανίας αψίδος

Απαλών εξ ονύχων, αγωνιστής άριστος, έφυς εραστής τε, τού θείου κάλλους

διάπυρος, όθεν εν μήτρα σε, προεγνωκώς ο Δεσπότης, Συμεών ηγίασε, Πάτερ αοίδιμε.

Σοφισθείς εκ βραχείας, θαυματουργέ όσιε, Πάτερ ηλικίας, τήν όντως γνώσιν τού Πνεύματος, τόν ακατάληπτον, αυτοπτικώς ηξιώθης, κατιδείν Δυνάμεσι περικυκλούμενον.

Τής ψυχής τάς αισθήσεις, εκ τής φρικτής όσιε, Πάτερ ελλαμφθείς, θεωρίας, ξένην διάγνωσιν, εκτήσω τών αγαθών, καί τών ετέρως εχόντων, Συμεών, καί άπταιστον βίον διήνυσας.

Εμφανώς σοι παρέστη, αποσταλείς, Άγγελος, τόν αγγελικόν, θεοφόρε παρεγγυώμενος, βίον ασπάσασθαι, αγαλλομένω ποδί δέ, τού οφθέντος είπεσο, Πάτερ τοίς ίχνεσι.

Θεοτοκίον

Νεκρωθέντα με πάλαι, πρός τήν ζωήν Πάναγνε, πάλιν επανήγαγες μόνη, τήν ενυπόστατον, ζωήν γεννήσασα, ή προσβαλών διερράγη, προφανώς ο θάνατος, ο δυσμενέστατος.

Ο Ειρμός

«Ουρανίας αψίδος, οροφουργέ Κύριε, καί τής Εκκλησίας δομήτορ, σύ με στερέωσον, εν τή αγάπη τή σή, τών εφετών η ακρότης, τών πιστών τό στήριγμα, μόνε φιλάνθρωπε».

Κάθισμα  Ήχος α'

Τόν τάφον Σου Σωτήρ

Εν πέτρα ριζωθείς, τών Χριστού θελημάτων, ωράθης επί γής, εγειρόμενος στύλος, στηρίζων επιδείξεσιν, ιαμάτων τά πέρατα, όθεν πίστει σου, επιτελούντες τήν μνήμην, φωτιζόμεθα, αναβοώντές σοι Πάτερ, Πρεσβείαις σου σώζε ημάς.

Καί τής Εορτής

Ει τύχοι η νηστεία τών Αποστόλων

Δόξα... Καί νύν... Θεοτοκον

Ήχος α'  Τόν τάφον σου Σωτήρ

Προστάτιν πρός Θεόν, κεκτημένοι σε πάντες, προστρέχομεν σεμνή, τώ αγίω ναώ σου, αιτούμενοι βοήθειαν, παρά σού Αειπάρθενε, ρύσαι ούν ημάς, τής τών δαιμόνων κακίας, καί εξάρπασον, εκ καταδίκης φρικώδους, τούς σέ μακαρίζοντας.

Η Σταυροθεοτοκίον

Ω θαύματος καινού! ώ φρικτού μυστηρίου! εβόα η αμνάς καί πανάμωμος Κόρη, εν ξύλω ώς εώρακεν, απλωθέντα τόν Κύριον, ο τά σύμπαντα, εν τή δρακί περιφέρων, πώς κατάκριτος, υπό κριτών παρανόμων, Σταυρώ κατακρίνεται;

## Ωδή δ'
### Σύ μου ισχύς, Κύριε

Μένειν εντός, ήκιστα κόσμου υπέμεινας, έτι Πάτερ, έχων οδηγούσάν σε, τήν τού Θεού, δύναμιν Χριστόν, εις δέ τάς αβάτους, ερήμους συνδιαιτώμενος, θηρσί συνανεστρέφου, αδεώς παίς υπάρχων, καί τοίς πόνοις ευφραίνου τού σώματος.

Επιπηδών, έλαφος ώσπερ τοίς όρεσιν, επεπόθεις, Πάτερ θεορρύτους πηγάς, καί ευρηκώς, ταύτας Συμεών, τής θεοφιλίας, τήν δίψαν προσανεπλήρωσας, εξ ών θεολογίας, πεπωκώς αναβλύζεις, τώ προσώπω Χριστού οπτανόμενος.

Λευχειμονών, σέ ωσπερεί επ' οχήματος, διεσκόπει, όσιε φερόμενον τοίς νοεροίς, Πάτερ οφθαλμοίς, στύλω φωτεινώ Τε, παιδίω συνοδηγούμενον, ο θείος Ιωάννης, εφιστάμενος βάσει, πρό τής σής αυτόν αναβάσεως.

Ποδηγηθείς, Ένδοξε υπό τής χάριτος, τής δοθείσης, σοί ως εκ δυνάμεως, εις θεουργόν δύναμιν φοιτάς, πρός τήν Ιωάννου, καλύβην τού ουρανόφρονος, μεθ' ού τήν τών αγώνων, ασπασίως παλαίστραν, μετερχόμενος ώφθης ως άγγελος.

### Θεοτοκίον

Δαυϊτικής, εκ βασιλίδος βλαστήσασα, συγγενείας, σύ τόν βασιλεύοντα, τόν πρό αιώνων εκ τού Πατρός, Λόγον απορρήτως, καί υπέρ νούν αναλάμψαντα, εγέννησας Παρθένε, Θεοτόκον διό σε, θεοφρόνως πιστοί μακαρίζομεν.

## Ωδή ε'
### Ίνα τί με απώσω

Ωραιότητος πλήρης, παίς ως ευπρεπέστατος, Πάτερ ο Κύριος, εμφανώς επέστη, εν τή βάσει τήν στάσιν σοι έχοντι, καί αστράψας δόξαν, υπομονής καθώς ητήσω, εαυτόν επεδείκνυ σταυρούμενον.

Συνεξέλαμψεν άϊγλη, τών αποκαλύψεων ο θείος βίος σου, ών τώ θείω μύρω ευωδίας γενόμενος έμπλεως, τάς αντικειμένας, αθλητικώς Θεού θεράπον, τών δαιμόνων συνέκοψας φάλαγγας.

Υψωθείς θεωρίαις, θείαις Παμμακάριστε, νού καθαρότητι, καί πηγήν σοφίας, ζωηφόρους ροάς αναβλύζουσαν, τήν καρδίαν έχων, παρά Θεού διδασκαλίαις, τάς ψυχάς τών συνόντων εφώτισας.

### Θεοτοκίον

Ο Θεού Θεός Λόγος, ο πρό τών αιώνων Πατρί συννοούμενος, ευσπλαγχνίας πλούτω, εν γαστρί σου σκηνώσας επτώχευσε, καί βροτός εφάνη, επί τής γής σάρξ χρηματίσας, Θεοτόκε Παρθένε πανύμνητε.

## Ωδή ς'
### Τήν δέησιν εκχεώ πρός Κύριον

Μετάρσιος ως Μωσής ταίς αρεταίς, ο θεσπέσιος γενόμενος Πάτερ, εφ' υψηλού, στύλου νεύματι θείω, προσεπιβάς υπερήρθης τώ πνευματι, καί δύναμιν φωτιστικήν, ειληφώς ως εκείνος δεδόξασαι.

Εκένωσεν εαυτού ο δυσμενής, τήν βελών τών ψυχοφθόρων φαρέτραν, μανιωδώς, θεοφόρε τοξεύων, καί τής ψυχής τον πύργον ουκ έσεισε, τή πέτρα γάρ τή αρραγεί, αραρότως Χριστού επεστήρικτο.

Ως φέροντι ευμαρώς τούς ιδρώτας, τής ασκήσεως θεσπέσιε Πάτερ, επιτερφθείς, ο Δεσπότης σοι ράβδον, παναλκεστάτην Χριστός εγχειρίζεται, καί ταύτη σε τών ασθενών, θεραπεύειν τάς νόσους προτρέπεται.

Θεοτοκίον

Ειδότες συμβολικαίς εμφάσεσι, τού φρικτού σου μυστηρίου τό βάθος, ότι Θεόν, εν γαστρί σου συλλήψη, οι θεηγόροι Προφήται προήγγειλαν, Πανάμωμε, καί νύν ημείς, τάς εκβάσεις ορώντες πιστεύομεν.

Ο Ειρμός

«Τήν δέησιν εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών, η ψυχή μου επλήσθη, καί η ζωή μου τώ Άδη προσήγγισε, καί δέομαι ως Ιωνάς, Εκ φθοράς ο Θεός με ανάγαγε».

Κοντάκιον Ήχος β'

Τά άνω ζητών

Τά άνω ποθών, τών κάτω μεθιστάμενος, καί άλλον ουρανόν, τόν στύλον τεκτηνάμενος, δι' αυτού απήστραψας, τών θαυμάτων τήν αίγλην Όσιε, καί Χριστώ τώ πάντων Θεώ, πρεσβεύεις απαύστως υπέρ πάντων ημών.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΔ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Συμεών τού εν τώ θαυμαστώ όρει.

Στίχοι

- Θαυμαστόν άκει πρίν Συμεών γής όρος,
- Πόλου δέ πανθαύμαστον οικεί νύν όρος.
- Εικάδι ένθα νόες Συμεών μόλεν αμφί τετάρτη.

Τή αυτή ημέρα, Μνήμη τών αγίων μαρτύρων Μελετίου τού στρατηλάτου καί τών σύν αυτώ, Ιωάννου, Στεφάνου, Σεραπίωνος τού Αιγυπτίου, Καλλινίκου τού μάγου, κομήτων καί Τριβούνων δώδεκα, γυναικών τριών, Μαρκιανής, Παλλαδίας καί Σωσάννης, νηπίων δύο, Κυριακού καί Χριστιανού, καί τών σύν αυτοίς μαρτυρησάντων χιλιάδων ένδεκα καί διακοσίων οκτώ.

Τελείται δέ η σύναξις πάντων τούτων, εις τόν ναόν τού αγίου μάρτυρος Πλάτωνος τόν ευρισκόμενον εις τά προαύλια τά ονομαζόμενα τού Δομνίου.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

## Ωδή ζ'

## Οι τής Χαλδαίας καμίνου

Νεανικώ θεοφόρε, τώ φρονήματι κόσμου τήν όχλησιν, κενής τε δόξης τάς καταπτώσεις, φεύγων ησυχάζειν επόθεις εν πνεύματι, βοών απαύστως, Ευλογητός, ο Θεός τών Πατέρων ημών.

Σταυροειδώς ανατείνων, τάς παλάμας σου καί προσευχόμενος, Χριστόν εν δόξη μετά Αγγέλων, οφθαλμοφανώς θεοφόρε τεθέασαι, πρός τούτο όρος τό θαυμαστόν, αναβήναί σε προστάττοντα.

Ουρανοδρόμω τή γνώμη, επειγόμενος Πάτερ τού κίονος, εκβάς Προθύμως σύ τού Δεσπότου, θείοις πειθαρχήσας εντάλμασιν, έφθασας τό όρος τούτο, ο θαυμαστώς, θαυμαστόν αυτός ωνόμασας.

Υψηλοτάτην κορυφήν, επουράνιον ώσπερ Παράδεισον, ευωδεστάτοις πεφυτευμένον, άνθεσι παντοίοις ευράμενος, ώκησας, μονήν δέ ταύτην θαυματουργέ, θεοχάρακτον κατέπηξας.

### Θεοτοκίον

Εν τώ φωτί τού Κυρίου, πορευόμενοι δεύτε υμνήσωμεν, τήν θείαν πόλιν τού Βασιλέως, τών βασιλευόντων, Μαρίαν τήν άχραντον, τήν Θεοτόκον τήν αληθή, τήν ελπίδα τών ψυχών ημών.

## Ωδή η'

## Επταπλασίως κάμινον

Ταίς ευαρμόστοις Όσιε, τής ψυχής σου δυνάμεσιν, η τρισσοφαής συγκατεκράθη έλλαμψις, εξ ής δαδουχούμενος, ως εκ μιάς θεότητος, ταύτης πρό τού στύλου, σού τρισόλβιον οίκον, ενδόξως εδομήσω, καί τήν άκτιστον σέβειν, εθέσπισας εν τούτω, τριάδα εις αιώνας.

Η πανσθενής τού Πνεύματος, τού Αγίου ενέργεια, σοί θεοειδώς Παμμάκαρ ενσκηνώσασα, συντρέχειν κεκίνηκεν, εκ τών περάτων άπαντας, τους υπό πνευμάτων, πονηρών μαινομένους, καί τούτους θεραπεύων τή βαϊνη σου ράβδω, εδίδασκες, Τόν Κτίστην, υμνείτε εις αιώνας.

Νεανικώς τό φρόνημα, τής σαρκός καθυπέταξας, Πάτερ εν νηστείαις, καί ευχαίς τώ πνεύματι, γαστρός τε τήν πύρωσιν, απεσβεκώς ηφάνισας, καί ως μή εσθίων, υπέρ ανθρώπων ώφθης, τροφή τή ουρανίω, διαιτώμενος μόνη, καί ταύτης τόν δοτήρα, υμνών εις τούς αιώνας.

Χοροστασίαν ένθεον, φοιτητών σοι θεσπέσιε, Πάτερ εγχειρίζεται, Χριστός ο Κύριος ούς πόθω δεξάμενος διδασκαλίαις ήλειφας, πρός τόν εν ασκήσει, επεκτείνεσθαι δρόμον, μεθ' ών τάς αναπαύσεις, τών νοσηλευομένων, τελών εδοξολόγεις, αυτόν εις τούς αιώνας.

### Θεοτοκίον

Υπέρ ημών δυσώπησον, τόν Υιόν σου καί Κύριον, τών ειλικρινώς, καί

καθαρώς βοώντων σοι, καί σέ Θεομήτορα ομολογούντων Πάναγνε, τών αμαρτημάτων, αιτουμένη τήν λύσιν, τυχείν τε σωτηρίας, τούς πιστώς μελωδούντας, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, Τόν Δημιουργόν καί Λυτρωτήν ανεβόα, οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ'

Έφριξε πάσα ακοή

Άρτοις ολίγοις Συμεών, τόν χορτάσαντα πληθύν πολυάνθρωπον, Χριστόν τρισόλβιε, ταίς προσευχαίς σου εκμειλιξάμενος, τούς εν τή μάνδρα κενούς σιτώνας επληρωσάς, ταίς ευλογίαις σου, καί εκ πείνης ελυτρώσω τήν ποίμνην σου.

Ρήμασι Μάρθας τής σεμνής, καί οσίας σου μητρός Παμμακάριστε, ικετηρίοις σε, προσλιπαρούσης εκδυσωπήσαι Χριστόν ουκ απηξίωσας αυτής, πληρώσαι τήν αίτησιν, καί θεουπόλεως, τήν θεήλατον οργήν απεληλακας.

Ίδες τό πέρας Συμεών, τών αγώνων σου λυθείς εκ τού σώματος τήν υπεράρρητον, εν τοίς υψίστοις παμμάκαρ θέωσιν πρός ήν ενθένδε αναπτάς, αγάλλη τώ πνεύματι, κατοπτριζόμενος δι' αυτής τήν τρισυπόστατον έλλαμψιν.

Θεοτοκίον

Ναός σύ γέγονας Θεού, τόν αχώρητον εν μήτρα, χωρήσασα καί τόν πρίν άσαρκον, σεσαρκωμένον Λόγον γεννήσασα, όν εκδυσώπησον Αγνή, πταισμάτων συγχώρησιν, πάσι δωρήσασθαι, τοίς εν πίστει σε αεί μεγαλύνουσιν.

Ο Ειρμός

«Έφριξε πάσα ακοή, τήν απόρρητον Θεού συγκαταβασιν, όπως ο Ύψιστος, εκών κατήλθε μέχρι καί σώματος, Παρθενικής από γαστρός, γενόμενος άνθρωπος, διό τήν άχραντον Θεοτόκον οι πιστοί μεγαλύνομεν».

Εξαποστειλάριον

Φώς αναλλοίωτον Λόγε

Εκ τής ερήμου αστράψας, τήν οικουμένην φωτίζεις, τών μοναζόντων τά πλήθη, αγάλλονται τή σή μνήμη, Ώ Συμεών θεοφόρε, μή διαλίπης, υπέρ τού κόσμου πρεσβεύων.

Καί τής Εορτής

Καί η λοιπή Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

**ΤΗ ΚΕ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Η Γ' Εύρεσις τής Τιμίας κεφαλής τού Προδρόμου.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Μετά τόν Προοιμιακόν, στιχολογούμεν τήν α' στάσιν τού Μακάριος ανήρ. Εις δέ τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ' καί τού Προδρόμου γ'.

### Στιχηρά τού Προσδρόμου

Ήχος πλ. δ'
Ώ τού παραδόξου θαύματος

Μάκαρ, Ιωάννη Πρόδρομε, υπέρ ηλίου αυγάς, ανατείλασα ήστραψεν, εκ τής γής η Κάρα σου, Καί πιστούς κατελάμπρυνεν, ήν ώσπερ θείον, θησαυρόν έχοντες, πλουσίαν χάριν απαρυόμεθα, αγιαζόμενοι, καί ψυχάς καί σώματα, καί λογισμούς, καί πανηγυρίζοντες, σέ μακαρίζομεν.

Χάριν αέναον βρύουσα, η Ιερά Κεφαλή, σού μακάριε Πρόδρομε, ιερεί θεόφρονι, αγνοούντι μηνύεται, ός επισπεύσας, πίστει καί χάριτι, σαφώς ποιείται ταύτης τήν εύρεσιν, αγιαζόμενος, σύν λαώ θεόφρονι καί Βασιλεί, πίστιν τήν ορθόδοξον, θερμώς κρατύνοντι.

Τρίτην τελούμεν φανέρωσιν, σού τής σεπτής Κεφαλής, ήν τριάς εστεφάνωσεν, εκτμηθείσαν ένδοξε, διά ζήλον τόν ένθεον, καί τή ευρέσει, ταύτης αγάλλονται, Αγγέλων τάξεις, Μαρτύρων σύλλογος, θείοι Απόστολοι, καί Προφήται άπαντες, μεθ' ών ημών, πάντοτε μνημόνευε, Κυρίου Πρόδρομε.

Δόξα... Ήχος πλ. β'

Θησαυρός ενθέων δωρεών, η θεοφρούρητος Κάρα σου Πρόδρομε, εκ τών τής γής λαγόνων ανέτειλεν, ήν ημείς πιστώς αρυόμενοι, καί προσκυνούντες ένδοξε, πλουτούμεν διά σού, Χριστού Βαπτιστά, θαυμάτων τά παράδοξα, καί τών πταισμάτων τήν συγχώρησιν.

Καί νύν... Τής Εορτής

Ει τύχοι η νηστεία τών Αποστόλων

Καί νύν... Θεοτοκίον

Τίς μή μακαρίσει σε, Παναγία παρθένε; τίς μή ανυμνήσει σου τόν αλόχευτον τόκον; ο γάρ αχρόνως εκ Πατρός εκλάμψας Υιός μονογενής, ο αυτός εκ σού τής Αγνής προήλθεν, αφράστως σαρκωθείς, φύσει Θεός υπάρχων, καί φύσει γενόμενος άνθρωπος δι' ημάς, ουκ εις δυάδα προσώπων τεμνόμενος, αλλ' εν δυάδι φύσεων ασυγχύτως γνωριζόμενος, Αυτόν ικέτευε, σεμνή παμμακάριστε, ελεηθήναι τάς ψυχάς ημών.

Είσοδος. Προκείμενον τής ημέρας

Εις τόν Στίχον, Στιχηρά Προσόμοια τού Προδρόμου.

Ήχος β'
Ότε, εκ τού ξύλου σε νεκρόν

Δεύτε, τήν τιμίαν Κεφαλήν, τήν αποτμηθείσαν τώ ξίφει, τού Βαπτιστού οι πιστοί, σήμερον τιμήσωμεν, εν τή ευρέσει αυτής, υπατώντες εν άσμασι, γεραίροντες πόθω, χάριτας προχέουσαν τών ιαμάτων ημίν, ήνπερ, ο ληρώδης Ηρώδης, πάλαι προαπέτεμεν οίστρω, τή Ηρωδιάδι συμπλεκόμενος.

Στίχ. Εκεί εξανατελώ κέρας τώ Δαυϊδ.

Ώσπερ, εκ μετάλλων ο χρυσός, ούτως εκ τής γής τού Προδρόμου, η Κεφαλή δαδουχεί, σκεύει διαλάμπουσα, καί φθεγγομένη τρανώς, τού Ηρώδου ελέγχουσα, μοιχείαν καί φόνον, αίγλη δέ φωτίζουσα τάς διανοίας ημών, ήν περ, ασπαζόμενοι πίστει, σήμερον τιμήσωμεν ύμνοις ως υπέρ ημών Θεώ πρεσβεύουσαν.

Στίχ. Ητοίμασα λύχνον τώ Χριστώ μου.

Πάλαι, ώσπερ θείος θησαυρός, σκεύει κεκρυμμένη η Κάρα, τού Βαπτιστού εν τή γή, σήμερον τοίς πέρασιν αποκαλύπτεται, ώσπερ πλούτον προχέουσα, πηγάς ιαμάτων, νόσους θεραπεύουσα, ψυχάς φωτίζουσα, όθεν θυμηδίας απάσης, χάριν απολαυοντες, πάντες τού Χριστού τόν Πρόδρομον υμνήσωμεν.

Δόξα... Ήχος β'

Η τών θείων εννοιών πανσεβάσμιος θήκη, καί τής αρρήτου ουσίας, τρανώς η προσβλέψασα, τό μυστήριον Κάρα σου, ως εκ λαγόνων μητρικών, εκ τών τής γής ταμείων σήμερον ανατέταλκεν, Ιωάννη πανεύφημε, καί ευωδίασε πάσαν τήν υφήλιον, αγιασμού προχέουσα μύρον, καί νοητώς κηρύττουσα μετανοίας οδόν, καί τώ Σωτήρι τών όλων πρεσβεύουσα, υπέρ τών ψυχών ημών.

Καί νύν... τής Εορτής

Ει τύχοι η νηστεία τών Αποστόλων

Καί νύν... Θεοτοκίον
Ήχος πλ. β'

Αδιόδευτε πύλη, μυστικώς εσφραγισμένη, ευλογημένη Θεοτόκε, δέξαι τάς δεήσεις ημών, καί προσάγαγε τώ σώ Υιώ καί Θεώ, ίνα σώ, ση διά σού τάς ψυχάς ημών.

Απολυτίκιον Ήχος δ'
Ταχύ προκατάλαβε

Ως θείον θησαύρισμα, εγκεκρυμμένον τή γή, Χριστός απεκάλυψε, τήν

Κεφαλήν σου ημίν, Προφήτα καί Πρόδρομε, πάντες ούν συνελθόντες, εν τή ταύτη ευρέσει, άσμασι θεηγόροις, τον Σωτήρα υμνούμεν, τόν σώζοντα ημάς εκ φθοράς ταίς ικεσίαις σου.

Καί τής Εορτής

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολ.

Κάθισμα Ήχος δ'
Ταχύ προκατάλαβε

Εκ γής ανατείλασα, η τού Προδρόμου Κεφαλή, ακτίνας αφίησι, τής αφθαρσίας πιστοίς τών ιάσεων, άνωθεν συναθροίζει, τήν πληθύν τών Αγγέλων, κάτωθεν συγκαλείται, τών ανθρώπων τό γένος ομόφωνον αναπέμψαι, δόξαν Χριστώ τώ Θεώ. (Δίς)

Καί τής Εορτής

Ει τύχοι η νηστεία τών Αποστόλων

Δόξα... Καί νύν... Θεοτοκίον
Ήχος δ' Ταχύ προκατάλαβε

Εκαίνισας Άχραντε, τώ θείω Τόκω σου, φθαρείσαν τοίς πάθεσι, τών γηγενών τήν θνητήν, ουσίαν καί ήγειρας, πάντας εκ τού θανάτου, πρός ζωήν αφθαρσίας, όθεν σε κατά χρέος, μακαρίζομεν πάντες, Παρθένε δεδοξασμένη, ως προεφήτευσας.

Η Σταυροθεοτοκίον

Παρθένε πανάμωμε, Μήτερ Χριστού τού Θεού, ρομφαία διήλθέ σου, τήν παναγίαν ψυχήν, ηνίκα σταυρούμενον, έβλεψας εκουσίως, τόν Υιόν καί Θεόν σου, όν περ ευλογημένη δυσωπούσα μή παύση, συγχώρησιν πταισμάτων ημίν δωρήσασθαι.

Μετά τήν β' Στιχολ.

Κάθισμα Ήχος ο αυτός
Ο υψωθείς εν τώ Σταυρώ

Αναδοθείσα ως χρυσός εκ μετάλλων, η ιερά σου Κεφαλή παραδόξως, εκ τών αδύτων γής επλούτισε, Χριστού Βαπτιστά, πάντας τούς προστρέχοντας, εν τή ταύτης ευρέσει, ύμνοις μεγαλύνοντας, τόν Σωτήρα καί Κτίστην, τόν νέμοντα ημίν διά σού τό μέγα έλεος. ( Δίς)

Καί τής Εορτής

Ει τύχοι η νηστεία τών Αποστόλων

Δόξα... Καί νύν... Ήχος δ'

Ου σιωπήσωμέν ποτε, Θεοτόκε, τάς δυναστείας σου λαλείν οι ανάξιοι ειμή γάρ σύ προϊστασο πρεσβεύουσα, τίς ημάς ερρύσατο εκ τοσούτων κινδύνων; Τίς δέ διεφύλαξεν έως νύν ελευθέρους; Ουκ αποστώμεν, Δέσποινα, εκ σού, σούς γάρ δούλους σώζεις αεί, εκ παντοίων δεινών.

Μετά τόν Πολυέλεον

Κάθισμα Ήχος ο αυτός
Επεφάνης σήμερον

Ο Ηρώδης Πρόδρομε, παρανομήσας, γυναικί παρέσχετο, τήν κεφαλήν σου τήν σεπτήν, ής τή ευρέσει βοώμέν σοι, Αίτησαι πάσι, δωρήσασθαι έλεος. (Δίς)

Καί τής Εορτής

Ει τύχοι η νηστεία τών Αποστόλων

Δόξα... Καί νύν... Θεοτοκον
Ήχος δ' Επεφάνης σήμερον

Προστασία άμαχε τών θλιβομένων, καί θερμή αντίληψις, τών πεποιθότων επί σε, εκ τών κινδύνων με λύτρωσαι, σύ γάρ υπάρχεις η πάντων βοήθεια.

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί Αντίφωνον Α'

- Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.
- Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον

Εκεί εξανατελώ κέρας τώ Δαυϊδ.
Στίχ. Μνήσθητι Κύριε τού Δαυϊδ.

Ευαγγέλιον κατά Λουκάν

Τώ καιρώ εκείνω, εξήλθεν ο λόγος ούτος εν δλη τή' Ιουδαίαπερί τού Ιησού...

Δόξα... Ταίς τού σού Προδρόμου...
Καί νύν... Ταίς τής Θεοτόκου...

Στίχ. Ελέησόν με ο Θεός...

Ήχος β'

Η τών θείων εννοιών πανσεβάσμιος θήκη, καί τής αρρήτου ουσίας, τρανώς η προσβλέψασα, τό μυστήριον Κάρα σου, ως εκ λαγόνων μητρικών, εκ τών τής γής ταμείων σήμερον ανατέταλκεν, Ιωάννη πανεύφημε, καί ευωδίασε πάσαν τήν υφήλιον, αγιασμού προχέουσα μύρον, καί νοητώς κηρύττουσα μετανοίας οδόν, καί τώ Σωτήρι τών όλων πρεσβεύουσα, υπέρ τών ψυχών ημών.

Οι Κανόνες τής Εορτής, καί τού Προδρόμου.

Ποίημα Ταρασίου

Ωδή α' Ήχος πλ. δ'

Αρματηλάτην Φαραώ

Φωνήν τού Λόγου γεγονώς διάλυσον, τήν αφωνίαν μου, ως τού Πατρός πάλαι, εν αγαλλιάσεως φωνή ανευφημήσαί σε, τή παρούση ευρέσει, τής Κεφαλής σου μακάριε, Πρόδρομε ουράνιε άνθρωπε.

Τήν κεφαλήν χειροθετήσας Πρόδρομε, τής Εκκλησίας Χριστόν, σού τήν σεπτήν Κάραν, τήν κατανοήσασαν Τριάδος τήν φανέρωσιν, φανεροίς τούτο τρίτον, περιφανώς αγιάζουσαν, τά τών ορθοδόξων συστήματα.

Ουκ ενεγκών επί πολύ συγκρύπτεσθαι, Κυρίου Πρόδρομε, οικονομείς πάλιν, φανερούσθαι σήμερον, ου στάμνω συγκλειόμενος, αργυρέω δέ σκεύει εν Ιερώ τόπω κείμενος, καί Ιερουργώ μηνυόμενος.

Θεοτοκίον

Στειρωτικής από γαστρός εβλάστησας, ετοιμαζόμενος, τώ Ποιητή Λόγω, τάς οδούς Πανεύφημε, εκ Κόρης ανατείλαντι, παναγίας αφράστως, ήν Θεοτόκον γινώσκουσαι, πάσαι γενεαί μακαρίζουσιν.

Ωδή γ'

Ουρανίας αψίδος

Πορνικών ορχημάτων, ή Ιερά Κάρα σου, έπαθλον γυναίω δοθείσα, χερσίν εφέρετο, νυνί δέ σώφρονος, ιερουργού ταίς παλάμαις, ιερώς πρός άγιον ναόν κομίζεται.

Ευσεβώς υπαντά σοι, τό τών πιστών άθροισμα, σύν Ιερουργώ Βασιλεί τε, ένδοξε Πρόδρομε, άδον χαρμόσυνα, καί προηγείταί σου πόθω, καθαγιαζόμενον τή παρουσία σου.

Ιερών εξ αδύτων, ως φωταυγής ήλιος, η ιερωτάτη σου Κάρα, εξανατείλασα, πάσαν εφώτισε, τήν οικουμένην Προφήτα, τού Χριστού καί Πρόδρομε, θείαις λαμπρότησι.

Θεοτοκίον

Στειρευούσης νηδύος, φωτοφανές έλαμψας, άστρον τού Ηλίου τής δόξης, προπορευόμενον, τού ανατείλαντος, Παρθενικής εκ νεφέλης, Βαπτιστά καί λύσαντος, νύκτα πολύθεον.

Κάθισμα Ήχος δ'
Επεφάνης σήμερον

Επεφάνη σήμερον, η τού Προδρόμου, Κεφαλή εκ κόλπων γής, αναδοθείσα τοίς πιστοίς, εκ τών μετάλλων καθά χρυσός, καί ικετεύει Χριστόν, τού σωθήναι ημάς.

Καί τής Εορτής

Ει τύχοι η νηστεία τών Αποστόλων

Δόξα... Καί νύν... Θεοτοκον
Ήχος δ' Επεφάνης σήμερον

Προστασία άμαχε τών θλιβομένων, καί θερμή αντίληψις, τών πεποιθότων επί σε, εκ τών κινδύνων με λύτρωσαι, σύ γάρ υπάρχεις η πάντων βοήθεια.

Ωδή δ'
Εισακήκοα Κύριε

Προφητών ως υπέρτερος, τόν προφητευθέντα ιδείν ηξίωσαι, Ηλιού προπορευόμενος, εν δυνάμει τούτου μάκαρ Πρόδρομε.

Τήν αοίδιμον Κάραν σου, μύρα ιαμάτων αναπηγάζουσαν, τρίτον ήδη εφανέρωσας, τά δυσώδη πάθη απελαύνουσαν.

Συνελθόντες αρύσασθε, άπαντες ιάματα μή κενούμενα, εκ πηγής αναδιδόμενα, τής τιμίας Κάρας τού Προδρόμου Χριστού.

Θεοτοκίον

Ταπεινώσασα σώσόν με, τόν υψηλοφρόνως πολιτευόμενον, η τεκούσα τόν υψώσαντα, τήν ταπεινωθείσαν φύσιν Πάναγνε.

Ωδή ε'
Ίνα τί με απώσω

Ως μεσίτης τής νέας, καί τής παλαιάς γεγονώς Ιερώτατε, Διαθήκης θείας, τήν ημών παλαιότητα καίνισον, καινισμόν τελούντων, τής νεωστί αναφανείσης, Κεφαλής σου μακάριε Πρόδρομε.

Εκ Κομάνων κομώσαν, χάριν ιαμάτων τήν Κάραν σου Πρόδρομε, πρός τήν Βασιλίδα, εισοικίζεις τών πόλεων σήμερον, ής τή επανόδω, επικροτεί πιστών τά πλήθη, φωτισμού ακηράτου πληρούμενα.

Βασιλεύς αλουργίδος, πλέον τή εισόδω τής Κάρας σου γάννυται, ιερεύς δέ θείος, θεοφόρου επώνυμος Πρόδρομε, ταίς παλάμαις ταύτην, περικρατών

συνευλογείται, ευλογών τούς πιστούς τελεώτατα.

Θεοτοκίον

Τόν Δεσπότην τεκούσα, ώφθης υπερτέρα τών άνω Δυνάμεων, και βροτών τήν φύσιν, εθεούργησας Κόρη πανάμωμε, Θεοτόκον όθεν παναληθή ψυχή καί γλώσση, οι πιστοί σε Παρθένε δοξάζομεν.

Ωδή ς'

Ιλάσθητί μοι Σωτήρ

Αλήθεια εκ τής γής, η κεφαλή ανατείλασα, τού Βαπτιστού σου Χριστέ, τό ψεύδος απήλασεν, αιρέσεων έλυσε, τόν πικρόν χειμώνα, καί τόν κόσμον κατεφώτισεν.

Αντλήσατε φωτισμόν, καί χάριν Θεού καί έλεος, καί κεφαλήν καί ψυχήν, πιστώς αγιάσθητε, Κεφαλή προσψαύοντες, τού τής θείας Κάρας, αψαμένου εν τοίς ύδασι.

Τάς κεφαλάς τών εχθρών, υπό τούς πόδας συντρίβεσθαι, τού Βασιλέως ημών, ικέτευε Πρόδρομε, πόθω τήν τιμίαν σου κεφαλήν τιμώντος, τήν Ηρώδην στηλιτεύσασαν.

Θεοτοκίον

Τοίς εν τώ Άδη τό φώς, εκήρυξας ελευσόμενον, αιμάτων παρθενικών, σάρκα περικείμενον, γενόμενον άνθρωπον, επ' ευεργεσία τών ανθρώπων μάκαρ Πρόδρομε.

Κοντάκιον  Ήχος πλ. β'

Τήν υπέρ ημών

Ο φωτοφανής καί θείος εν κόσμω στύλος, ο τού νοητού Ηλίου Πρόδρομος λύχνος, Κεφαλήν τήν φωσφόρον καί θείαν αυτού, αναδείξας εν τοίς πέρασιν, αγιάζει τούς Πιστώς αυτήν, προσκυνούντας καί κραυγάζοντας, Χριστού σοφέ Βαπτιστά, σώσον πάντας ημάς.

Ο Οίκος

Από γής, καθώς πηγή τού Παραδείσου, Κεφαλή θεοφιλής η τού Προδρόμου, ρείθρα βλύζει χάριτος, καί θαυμάτων τά νάματα νέμει πάσι τοίς χρήζουσι, Προσέλθωμεν ούν πάντες, καί αντλήσωμεν προθύμως εκ ταύτης τών ιαμάτων τούς θείους κρουνούς, αρδεύει γάρ ψυχάς εν δωρεαίς αενάοις, καί κατακλύζει σωμάτων πόνους, καί πάσαν νόσον ευθέτως αίρει, Ταύτην ούν πόθω μέλψωμεν, καί πίστει ασπασώμεθα, σεμνώς περιπτυσσόμενοι, καί άσμασιν ως στέμμασι στέψωμεν ταύτην Πιστοί, Προκαθάρωμεν ημών κηλίδας νοητάς, καί ενθέοις αρεταίς κοσμήσωμεν ψυχάς, καί βοήσωμεν στερρώς, Χριστού σοφέ Βαπτιστά, σώσον πάντας ημάς.

Συναξάριον

Τή ΚΕ' τού αυτού μηνός, Μνήμη τής τρίτης Ευρέσεως τής τιμίας Κεφαλής τού Αγίου καί ενδόξου Προφήτου, Προδρόμου καί Βαπτιστού Ιωάννου.

Στίχοι

- Φωνή βοώντος γής μυχώ κεκρυμμένη,
- Τής γής ραγείσης, πάσιν ήχησε ξένως.
- Εικάδι δέ Προδρόμοιο Κάρην εύρον κατά πέμπτην.

Τή αυτή ημέρα ο άγιος μάρτυς Κελεστίνος, σιδήρω τάς πτέρνας τρυπηθείς, τελειούται.

Ο όσιος Αλβιανός εν ειρήνη τελειούται.

Ταίς τού σού Προδρόμου πρεσβείαις, Χριστέ ο Θεός ημών, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Οι εκ τής Ιουδαίας

Τού Ηλίου τής δόξης, φαεινότατος λύχνος, γέγονας Πρόδρομε, τό νέφος εκδιώκων, τής πλάνης καί φωτίζων, τούς εν πίστει κραυγάζοντας, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Εορτήν ετησίαν, η σεπτή Εκκλησία, καί ταύτην Πρόδρομε, λαμπρώς επιτελεί σοι, τήν Κάραν σου τιμώσα, καί συνήθως κραυγάζουσα, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Προμηνύσας τού Λόγου, τήν φρικτήν παρουσίαν, θείοις σκιρτήμασι, μηνύεις σου τής Κάρας, τήν εύρεσιν Προφήτα, αψευδούς διά στόματος, τώ σέ ποθούντι θερμώς, ιερουργώ Ποιμένι.

Θεοτοκίον

Παρθενία καί τόκος, υπέρ φύσιν καί λόγον, εν σοί συνέδραμον, Θεόν γάρ σαρκωθέντα, εκύησας αφράστως, Θεοτόκε, ώ ψάλλομεν, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Ωδή η'

Επταπλασίως κάμινον

Ο Βαπτιστής καί Πρόδρομος, ο επίγειος Άγγελος, τής παρανομίας, ακριβής κατήγορος, Τριάδος φανέρωσιν, εν Ιορδάνη πρίν κατιδών, τρίτον φανεροί, τήν Κεφαλήν αυτού πάσι, τοίς πόθω μελωδούσιν, Ιερείς ευλογείτε, λαός όπερυψούτε, Χριστόν εις τούς αιώνας.

Προσυπαντά προθύμως σοι, Βασιλεύς ο πραότατος, άμα φιλοχριστώ τώ λαώ Πανεύφημε, ποιμένων δέ πρόκριτος, προσεφαπλοί τάς χείράς σοι, καί τώ εαυτού ενστερνισάμενος στήθει, σκιρτά εν ευφροσύνη, καί βοά ευχαρίστως, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Υπέρ χρυσόν η Κάρα σου, διαλάμπουσα Πρόδρομε, τεθησαυρισμένη, αργυρέοις σκεύεσιν, ως όλβος πολύτιμος, τή βασιλίδι δέδοται, ταύτην

δωρεαίς, καταπλουτίζουσα θείαις, προθύμως μελωδούσαν, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Εν τή γαστρί φερόμενον, τόν τά σύμπαντα, μάκαρ Ιωάννη, χαίρων προσεκύνησας, νηδύϊ κρυπτόμενος, στειρωτική πανεύφημε όνπερ γεννηθέντα, εξ Αγίας Παρθένου, αμνόν Θεού κηρύττων, ευσεβώς ανεβόας, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ωδή θ'

Έφριξε πάσα ακοή

Τής στείρας όσιος βλαστός, γεννητών εκ γυναικών ο υπέρτερος, τού Βασιλέως Χριστού, ο στρατιώτης ο μέγας Πρόδρομος, ο προκηρύξας τόν Αμνόν, τού κόσμου τά πταίσματα, τόν αφαιρούμενον, ευφημείσθω Ιεροίς μελωδήμασι.

Κρατήρα πλήσας δαψιλώς, συγκαλείς μεθυψηλού τού κηρύγματος, τήν Εκκλησίαν Χριστού, τή ανευρέσει σής Κάρας Πρόδρομε, Δεύτε εμπλήσθητε βοών, τερπνών ών ητοίμασα, καί μεγαλύνατε, τόν τό είναι τοίς βροτοίς παρεχόμενον.

Άναξ σε, Άγγελε Θεού, αγγελώνυμος εις τούτου βασίλεια, χαίρων εισδέχεται, καθυπουργούντος πρός τούτο κάλλιστα, τού ποιμενάρχου ευσεβώς, καί κλήσει καί χάριτι, σεμνυνομένου σαφώς, θεοφόρου Ιερού καί θεόφρονος.

Θεοτοκίον

Φείσαί μου Σώτερ ο τεχθείς, καί φυλάξας τήν τεκούσάν σε άφθορον, μετά τήν κύησιν, όταν καθίσης κρίναι τά έργα μου, τάς ανομίας παρορών, καί τάς αμαρτίας μου, ο ευσυμπάθητος, ελεήμον αγαθέ καί φιλάνθρωπε.

Εξαποστειλάριον

Τοίς μαθηταίς συνέλθωμεν

Εν τή ευρέσει Πρόδρομε, τής τιμίας σου Κάρας, βασιλεύς ο φιλόχριστος, πλέον γάννυται ήπερ, τή εαυτού πορφυρίδι, όν αμείβου ταίς νίκαις, εξ ύψους δυναμούμενον, καί ημάς φρούρει σκέπε, σού ταίς ευχαίς, Βαπτιστά πανεύφημε Ιωάννη, φαιδρώς πανηγυρίζοντας, καί τιμώντάς σε πόθω.

Καί τής Εορτής

Ει τύχοι η νηστεία τών Αποστόλων

Θεοτοκίον

Τοίς Μαθηταίς συνέλθωμεν

Όρος Θεού πανάγιον, καί λυχνίαν καί στάμνον, καί κιβωτόν καί τράπεζαν, ράβδον τε καί πυρείον, καί θείον θρόνον καί πύλην, καί ναόν καί παστάδα, υμνήσωμεν θεόφρονες, τήν αγνήν καί Παρθένον, εξ ής Θεός, σαρκωθείς ατρέπτως καί υπέρ φύσιν, εθέωσε το πρόσλημμα, απορρήτω ενώσει.

Εις τούς Αίνους, ψάλλομεν Στιχηρά Προσόμοια τού Προδρόμου γ' δευτερούντες τό α'.

Ήχος πλ. α'
Χαίροις ασκητικών

Χαίροις η ιερά Κεφαλή, καί φωτοφόρος καί Αγγέλοις αιδέσιμος, η ξίφει τμηθείσα πάλαι, καί τμητικοίς ελεγμοίς, ασελγείας αίσχος διακόψασα, πηγή η τοίς θαύμασι, τούς πιστούς καταρδεύουσα, η τού Σωτήρος, τήν σωτήριον έλευσιν, καταγγείλασα, καί τήν πτήσιν τού Πνεύματος, πάλαι κατανοήσασα, πρός τούτον σκηνώσαντος, τής παλαιάς τε καί νέας, η μεσιτεύσασα χάριτος, Χριστόν εκδυσώπει, ταίς ψυχαίς ημών δοθήναι τό μέγα έλεος. (Δίς)

Σκεύει τού Βαπτιστού αργυρώ εγκεκρυμμένη Κεφαλή πεφανέρωται, λαγόνων αναδοθείσα, εκ τών τής γής εμφανώς, καί θαυμάτων ρείθρα αναβλύζουσα, καί γάρ εν τοίς ύδασι, κεφαλήν εναπέλουσε, τού υπερώα, νύν στεγαζοντος ύδασι, καί ομβρίζοντος, τοίς βροτοίς θείαν άφεσιν. Ταύτην ούν μακαρίσωμεν, τήν όντως αοίδιμον, καί εν τή ταύτης ευρέσει, περιχαρώς εορτάσωμεν, Χριστόν δυσωπούσης, τού δωρήσασθαι τώ κόσμω τό μέγα έλεος.

Κάρα η τόν αμνόν τού Θεού, ανακηρύξασα σαρκί φανερούμενον, καί πάσι τής μετανοίας, τάς σωτηρίους οδούς, θείαις υποθήκαις βεβαιώσασα, η πρίν τού Ηρώδου, παρανομίαν ελέγξασα, καί διά τούτο, εκτμηθείσα τού σώματος, καί τήν χρόνιον, υποστάσα κατάκρυψιν, ώσπερ φωτοφανής ημίν, ανέτειλεν ήλιος, Μετανοείτε βοώσα, καί τώ Κυρίω προστίθεσθε, ψυχής κατανύξει, τώ παρέχοντι τώ κόσμω τό μέγα έλεος.

Δόξα... Ήχος πλ. β'

Τήν πανσεβάσμιον Κάραν τού Βαπτιστού σου Κύριε, φανερωθείσαν σήμερον εκ γής, μετά φωνής αινέσεως, αρυσάμενοι πιστώς, εις πρεσβείαν φιλάνθρωπε, οι επταικότες δούλοί σου προσάγομεν, αιτούμενοι δι' αυτής απολαβείν, εν η μέρα κρίσεως, παρά σού τόν ιλασμόν καί τό μέγα έλεος.

Καί νύν... τής Εορτής

Ει τύχοι η νηστεία τών Αποστόλων

Καί νύν... Θεοτοκίον

Θεοτόκε, σύ ή άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής, Σέ ικετεύομεν, πρέσβευε Δέσποινα, μετά καί τού Προδρόμου, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Δοξολογία Μεγάλη, καί Απόλυσις

Εις τήν Λειτουργίαν, Τυπικά, καί εκ τού Κανόνος τού Προδρόμου Ωδή γ' καί ς'.

Προκείμενον  Ήχος βαρύς

Ευφρανθήσεται δίκαιος εν Κυρίω.
Στίχ. Εισάκουσον ο Θεός τής φωνής μου.

Ο Απόστολος, πρός Κορινθίους.

Αδελφοί, ο Θεός ο ειπών εκ σκότους φώς λάμψαι...

Ευαγγέλιον κατά Ματθαίον.

Τώ καιρώ εκείνω, ακούσας ο Ιωάννης εν τώ δεσμοτηρίω...

Κοινωνικόν

Εις μνημόσυνον αιώνιον έσται Δίκαιος. Αλληλούια.

---

Αρχή

## ΤΗ ΚΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Αποστόλου Κάρπου, ενός τών Εβδομήκοντα.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ' καί τού Αποστόλου γ'.

Στιχηρά τού Αποστόλου

Ήχος γ'
Πανεύφημοι Μάρτυρες

Δεκτικών ελλάμψεων τόν νούν θεϊκών ποιούμενος, κατεφωτίσθης Πανόλβιε, καί εις τό κήρυγμα, τού Χριστού εξήλθες, καί λαόν εδίδαξας, πιστεύειν εις αυτόν, ως φιλάνθρωπον, καί νύν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Άστρον φαεινότατον δειχθείς, θείαις επιλάμψεσι, τής οικουμένης τά πέρατα, φωτίζεις πάντοτε, διδαχαίς, Παμμάκαρ, καί σκεδάζεις χάριτι αχλύν τών νοσημάτων εκάστοτε, καί νυν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Θυσίαν αναίμακτον Θεώ, θύων τελεώτατα, υπέρ αυτού Μάρτυς τέθυσαι, καί προσενήνεξαι, νοητή τραπέζη, θύμα ευωδέστατον, Απόστολε ώ Κάρπε θεόληπτε, διό ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Δόξα... Καί νύν... τής Εορτής

Ει τύχοι η νηστεία τών Αποστόλων

Δόξα... Καί νύν... Θεοτοκον
Ήχος α'  Πανεύφημοι μάρτυρες

Φωτός ενδιαίτημα Αγνή, μόνη εχρημάτισας, τού εκ Πατρός αναλάμψαντος, όθεν κραυγάζω σοι, τήν εσκοτισμένην, ψυχήν μου τοίς πάθεσι, φωτί τών αρετών καταφαίδρυνον, καί εν σκηνώμασι, φωτεινοίς σου κατασκήνωσον, εν ημέρα τής κρίσεως Άχραντε.

Η Σταυροθεοτοκίον

Σφαγήν σου τήν άδικον Χριστέ, ή Παρθένος βλέπουσα, οδυρομένη εβόα σοι, Τέκνον γλυκύτατον, πώς αδίκως πάσχεις; πώς τώ ξύλω κρέμασαι, ο πάσαν γήν κρεμάσας τοίς ύδασι; Μή λίπης μόνην με, Ευεργέτα πολυέλεε, τήν μητέρα καί δούλην σου δέομαι.

Εις τόν Στίχον, Στιχηρά τής Εορτής.

Απολυτίκιον Ήχος γ'

Καί τής Εορτής

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τής Εορτής, καί τών Αγίων.

Ο Κανων τού Αγίου, ού η Ακροστιχίς.

Τόν κλεινόν αlνώ Κάρπον ενθέω πόθω.
Ποίημα Ιωσήφ.

Ωδή α'  Ήχος δ'
Άσομαί σοι Κύριε ο Θεός μου

Τούς πόθω τελούντάς σου τήν φωσφόρον, καί Ιεράν πανευκλεή, καί πάντιμον μνήμην σου, φωτός ενθέου πλήρωσον, Απόστολε πρεσβείαις σου.

Όλος ανακείμενος τώ Δεσπότη τούτου τούς νόμους τούς σεπτούς, ατρώτους ετήρησας, ανόμους ευνομίαν δέ, Απόστολε εδίδαξας.

Νούν τόν υπέρ έννοιαν αγαπήσας, εν θεωρία μυστική, τόν νούν κατηυγάσθης, καί κόσμον κατεφώτισας, Παμμάκαρ ιερώτατε.

Θεοτοκίον

Κύουσα Παρθένος ανερμηνεύτως, καί τούς τής φύσεως θεσμούς, καινίζουσα πέφυκας, Μήτηρ αειπάρθενος, διό σε μακαρίζομεν.

Ωδή γ'
Τόξον δυνατών ησθένησε

Λύρα κρουομένη Πνεύματι, γέγονε Παμμάκαρ, η θεοκίνητος γλώσσά σου, φθεγγομένη τά μεγαλεία, τού Σωτήρος καί Θεού ημών.

Έχων Λόγον τόν προάναρχον, σέ κατευοδούντα, καί προφανώς ενισχύοντα, τοίς αθέοις τάς σωτηρίους τρίβους, Κάρπε καθυπέδειξας.

Ίνα Κάρπε τό σωτήριον, κήρυγμα τή κτίσει, ως Ιεράρχης θεόληπτος καταγγείλης, πολλούς υπέστης, διωγμούς καί θλίψεις ένδοξε.

Θεοτοκίον

Νέον ως παιδίον τέτοκας, τόν πρό τών αιώνων, εκ τού Πατρός ανατείλαντα, απορρήτως Θεογεννήτορ, διά τούτό σε δοξάζομεν.

Ο Ειρμός

«Τόξον δυνατών ησθένησε, καί οι ασθενούντες, περιεζώσαντο δύναμιν, διά τούτο εστερεώθη, εν Κυρίω η καρδία μου».

Κάθισμα Ήχος γ'

Θείας πίστεως

Θείαν έλλαμψιν τού Παρακλήτου, Κάρπε πάνσοφε εισδεδεγμένος, τούς σκοτισθέντας αγνωσία εφώτισας, καί μεταστάς πρός τά άνω βασίλεια, τώ Βασιλεί τών απάντων παρίστασαι, εξαιτούμενος, Χριστόν τόν Θεόν εκάστοτε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Καί τής Εορτής

Ει τύχοι η νηστεία τών Αποστόλων

Δόξα... Καί νύν... Θεοτοκον

Ήχος γ' Θείας πίστεως

Θείας φύσεως ουκ εχωρίσθη, σάρξ γενόμενος εν τή γαστρί σου, αλλά Θεός ενανθρωπήσας μεμένηκεν, ο μετά τόκον παρθένον Μητέρα σε, ως πρό τού τόκου φυλάξας πανάμωμον, μόνος Κύριος, αυτόν εκτενώς ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Η Σταυροθεοτοκίον

Η αμίαντος Αμνάς τού Λόγου, η ακήρατος Παρθενομήτωρ, εν τώ Σταυρώ θεασαμένη κρεμάμενον, τόν εξ αυτής ανωδίνως βλαστήσαντα, μητροπρεπώς θρηνωδούσα εκραύγαζεν, Οίμοι! τέκνον μου, πώς πάσχεις; θέλων ρύσασθαι, παθών τής ατιμίας τόν άνθρωπον.

Ωδή δ'

Δι' αγάπησιν Οικτίρμον

Οικοδόμησας ως λίθους πιστών το πλήθος, εν ευσεβείας πέτρα, καί ναούς απειργάσω, του Αγίου Πνεύματος, θεόφρον Απόστολε.

Νεουργήσας τώ βαπτίσματι θεοκήρυξ, παλαιωθέντας γνώμη, Τή φθορά τούς ανθρώπους, έσωσας δοξάζοντας, Χριστόν τόν Θεόν ημών.

Υποφαίνων τό μυστήριον τό καλύψαν, επ' αρετή θεόφρον, ουρανούς, εφειλκύσω, έθνη πρός επίγνωσιν, τό σκότος αφέμενα.

Μετά Παύλου τού φωστήρος τής οικουμένης, οδοιπορών πολλάκις, τάς οδούς τάς φερούσας, Κάρπε καθυπέδειξας, λαοίς πρός ευσέβειαν.

Θεοτοκίον

Νοερώς ο θεοφόρος Θεογεννήτορ, όρος σε βλέπει μέγα, καί κατάσκιον Κόρη, εξ ού επεδήμησε, σαρκί ο Θεός ημών.

Ωδή ε'

Τόν φωτισμόν σου Κύριε

Ως φυτοκόμος άριστος, υπέδειξας λαοίς, ζωής τό ξύλον, εξ ού ο μετασχών, ζήσεται λοιπόν εις τόν αιώνα, χριστοκήρυξ Απόστολε.

Κήρυξ εθνών Απόστολος, διδάσκαλος σεπτός, ιερομύστης καί Ιερολόγος, Κάρπε γεγονώς εν ευφροσύνη, τώ Δεσπότη παρίστασαι.

Ανατολής εξώρμησαι, ως άδυτος φωστήρ, τήν οικουμένην αυγαίς τών σων λόγων, καί τών ιερών φωτίζων τρόπων, Ιεράρχα. Απόστολε

Θεοτοκίον

Ρύπου ψυχής καί σώματος, καθάρισόν με νύν, ευλογημένη, ευσπλάγχνω σου ροπή, όπως σε υμνώ καί μεγαλύνω, κατά χρέος Πανύμνητε.

Ωδή ς'

Εβόησε, προτυπών

Πηγάζει σου, ή σορός τών λειψάνων τοίς χρήζουσιν, ιαμάτων, Ιεράρχα καρπούς θεία χάριτι, καί καθαίρει πάθη, καί βυθίζει ακάθαρτα πνεύματα.

Ο λόγος σου, αλογίας ανθρώπους ερρύσατο, καί θαυμάτων, η μεγίστη επίδειξις ένδοξε, τούς πεπλανημένους, πρός ευσέβειαν Κάρπε ωδήγησε.

Νευρούμενος, δυναστεία τή θεία τόν δράκοντα, τον εις ύψος, βλασφημίαν λαλούντα διώλεσας, καί τούς υπ' εκείνου, ολλυμένους Απόστολε έσωσας.

Θεοτοκίον

Εκύησας, ανωδύνως τόν Πλάστην Πανάμωμε, τάς οδύνας, καί τούς πόνους ημών αφαιρούμενον, καί τής ανωδύνου, αξιούντα τρυφής τό ανθρώπινον.

Ο Ειρμός

«Εβόησε, προτυπών τήν ταφήν τήν τριήμερον, ο Προφήτης, Ιωνάς εν τώ κήτει δεόμενος, Εκ φθοράς με ρύσαι, Ιησού Βασιλεύ τών δυνάμεων».

Κοντάκιον τής Εορτής

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΣΤ' τού αυτού μηνός, Μνήμη τού Αγίου καί ενδόξου Αποστόλου

Κάρπου, ενός τών Εβδομήκοντα Αποστόλων.

Στίχοι

- Καρπούς ενεγκών, Κάρπε, δεκτούς Κυρίω
- Φέρεις καθ' ώραν τήν τελευτήν ως τρύγην.
- Εικάδι έκτη Κάρπος από χθονός ίπτατο μακρής.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Αποστόλου Αλφαίου, καί τών Αγίων Μαρτύρων, Αβερκίου καί Ελένης.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Αβραμιαίοι ποτέ

Νόσους διώκων φθογγή, καί θεραπεύων πάθη, σφραγίδι μόνη τό σωτήριον, διήγγειλας κήρυγμα, ιερομύστα Κάρπε, φωτίζων τούς εν σκότει.

Θυμόν αρχόντων Σοφέ, μή δειλιάσας όλως, τομώς εχώρεις πρός αθλήσεως, επίπονα σκάμματα, ο τών Πατέρων βοών, Θεός ευλογητός εί.

Επισκοπούμενόν σε, υπό Κυρίου Κάρπε, Βέρροια θείον εκληρώσατο, Επίσκοπον άριστον, επισκοπούντα ταύτην, επισκοπαίς ενθέοις.

Θεοτοκίον

Ως πλατυτέρα ούσα, τών ουρανών εν μήτρα, εδέξω Λόγον τόν αχώρητον, Παρθένε λυτρούμενον, στενοχωρίας πάσης, τό γένος ανθρώπων.

Ωδή η'

Τόν εν τώ Σταυρώ προσηλωθέντα

Παυλω τώ σοφώ καθηγεμόνι, διακονών επιστολαίς, ενθέοις Ιεράρχα, τάς σωτηριώδεις διδαχάς, διεπόρθμευσας τοίς σωζομένοις.

Όρθρος φαεινός περιαυγάζων, τήν οικουμένην τώ φωτί, κηρύγματος εδείχθης, καί τής αγνωσίας το βαθύ, αξιάγαστε εξαίρων σκότος.

Θαύματα τελών τή επικλήσει, Πατρός καί Πνεύματος σοφέ, καί Λόγου σαρκωθέντος, έπεισας Ελλήνων τούς σοφούς, Τρισυπόστατον ουσίαν σέβειν.

Θεοτοκίον

Ώφθης ουρανός Θεοκυήτορ, εξανατέλλουσαημίν, τόν τής δικαιοσύνης, Ήλιον, φωτίζοντα ημάς, επιγνώσεσι θεογνωσίας.

Ο Ειρμός

«Τόν εν τώ Σταυρώ προσηλωθέντα, καί υποδείξαντα ημίν, όπλον εις σωτηρίαν, Παίδες υπερυψούτε, Χριστόν τόν Θεόν ημών εις τούς αιώνας».

Ωδή θ'

Ο τόκος σου άφθορος

Ιδών μετά δόξης ανελθόντα, Θεόν σαρκοφόρον εν υψίστοις, εβδομήκοντα

Κάρπε Μαθηταίς, συναριθμούμενος εξήλθες, άμα σύν τούτοις, κήρυξ ένθεος δεικνύμενος.

Ως πρόβατον μέσον απεστάλης, τών λύκων μετάγων αυτούς Κάρπε, πρός επίγνωσιν λόγω αληθεί, τής σωτηρίας, καί μεταπλάττων, τούτων τήν γνώμην, θεορρήμον πρός ευσέβειαν.

Συνόμιλος ώφθης τών Αγγέλων Απόστολε Κάρπε θεορρήμον, Αποστόλων καί Μαρτύρων θαυμαστώς, εν ευσεβεία τελειωθέντων, οίς συγχορεύων, ευφροσύνως ημών μέμνησο.

Η γίασας Κάρπε βηματίζων, τήν γήν καί τό άγιον κηρύττων, Ευαγγέλιον πίστει καί ψυχάς, τώ ζωοδότη λόγω προσήξας, όθεν σοι νέμει, κληρουχίαν τήν ουράνιον.

Θεοτοκίον

Φωνήν σοι προσάγομεν Παρθένε, τήν τού Γαβριήλ αναβοώντες, Χαίρε κούφη νεφέλη, Χαίρε γή αγεωργήτως στάχυν ωραίον, καρποφορούσα, τόν τροφέα τής κτίσεως.

Ο Ειρμός

«Ο τόκος σου άφθορος εδείχθη, Θεός εκ λαγόνων σου προήλθε, σαρκοφόρος, ός ώφθη επί γής, καί τοίς ανθρώποις συνανεστράφη, σέ Θεοτόκε, διό πάντες μεγαλύνομεν».

Εξαποστειλάριον, τής Εορτής

Καί τά λοιπά, ως σύνηθες, καί Απόλυσις

---

Αρχή

## ΤΗ ΚΖ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου ενδόξου Ιερομάρτυρος Ελλαδίου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις το, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ' καί τού Αγίου γ'.

Στιχηρά τού Αγίου

Ήχος α'

Πανεύφημοι Μάρτυρες

Θεόφρον Ελλάδιε βαφαίς, τού οικείου αίματος, Ιερωσύνης ελάμπρυνας, στολήν τήν ένθεον, μεθ' ής εις τά άνω, εισήλθες βασίλεια, καί θρόνω τού Δεσπότου παρίστασαι, όν νύν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Θεόφρον Ελλάδιε Χριστός, εποφθείς σοι άπαντας, τούς εκ μωλώπων ιάσατο, χώρας, χάριτι, δι' αυτόν γάρ πάσαν, υπομείνας κάκωσιν, προείλου προφανώς αικιζόμενος, διό ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Θεόφρον Ελλάδιε πυρός, φύσιν εχαλίνωσας, καί αδιάφλεκτος έμεινας, η δρόσος γάρ Θεού, σέ περικυκλούσα, αβλαβή εφύλαττεν, εχθρούς περιφανώς καταισχύνουσα, καί νύν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Δόξα... Καί νύν... Τής Εορτής

Ει τύχοι η νηστεία τών Αποστόλων

Δόξα... Καί νύν... Θεοτοκον

Ήχος α' Πανεύφημοι μάρτυρες

Φωτός ενδιαίτημα Αγνή, μόνη εχρημάτισας, τού εκ Πατρός αναλάμψαντος, όθεν κραυγάζω σοι, τήν εσκοτισμένην, ψυχήν μου τοίς πάθεσι, φωτί τών αρετών καταφαίδρυνον, καί εν σκηνώμασι, φωτεινοίς σου κατασκήνωσον, εν ημέρα τής κρίσεως Άχραντε.

Η Σταυροθεοτοκίον

Σφαγήν σου τήν άδικον Χριστέ, ή Παρθένος βλέπουσα, οδυρομένη εβόα σοι, Τέκνον γλυκύτατον, πώς αδίκως πάσχεις; πώς τώ ξύλω κρέμασαι, ο πάσαν γήν κρεμάσας τοίς ύδασι; Μή λίπης μόνην με, Ευεργέτα πολυέλεε, τήν μητέρα καί δούλην σου δέομαι.

Εις τόν Στίχον Στιχηρά τής Εορτής.

Απολυτίκιον ομοίως, καί Απόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, ο, Κανων τής Εορτής καί τού Αγίου.

Ο Κανών τού Αγίου

Ωδή α' Ήχος δ'

Άρματα Φαραώ

Δεύτε θεοπρεπώς, φιλομάρτυρες λαοί, χορεύοντες άσωμεν, ασματικαίς υμνωδίαις, τόν Ιερομάρτυρα τού Χριστού, ανευφημούντες Ελλάδιον.

Άνθεσι χαρμονικώς, καταστέψωμεν πιστοί, τόν θείον Ελλάδιον, ως νικντήν ασεβείας,καί μάρτυρα στερρόν τής τριφαούς, ομοουσίου θεότητος.

Ήλιος διαυγής, εξ αδύτων ιερών, τώ κόσμω ανέτειλας, απομειώσας τήν

πλάνην, εν αθλητικαίς μαρμαρυγαίς, Ιερομάρτυς Ελλάδιε.

Θεοτοκίον

Άσπορον τοκετόν, μόνη φέρεις γυναικών, καί Μήτηρ υπάρχουσα, καί παρθενεύουσα Κόρη, άκουσμα φρικτόν ώφθης Αγνή, ότι Θεόν απεκύησας.

Ωδή γ'

Ο στερεών βροντήν

Ως θαυμαστόν λαοίς τόν Μάρτυρά σου, ανέδειξας Σωτήρ ημών, υπενεγκόντα πάσαν προσβολήν, διά δέ πικρών βασάνων, τώ πόθω γλυκαινόμενον, τής σής αγαπήσεως.

Εν οφθλμοίς τό πύρ υποίσας Μάκαρ, τήν όψιν απολέλοιπας, καί κατιδών δόξαν ουρανών, τώ Θεώ καθωμολόγεις, ότι τώ πάθει φάος σοι, λαμπρόν εξανέτειλε.

Θεοτοκίον

Τό θαυμαστόν αεί εν σοί θρυλείται, τεράστιον Πανάχραντε, ότι Παρθένος ούσα παιδοτοκείς, καί γνησία Μήτηρ πέλεις, τού Ποιητού τής κτίσεως, αμφοίν αληθεύουσα.

Ο Ειρμός

«Ο στερεών βροντήν καί κτίζων πνεύμα, στερέωσόν με Κύριε, ίνα υμνώ σε ειλικρινώς, καί ποιώ τό θέλημά σου, ότι ουκ έστιν Άγιος, ως σύ ο Θεός ημών».

Κάθισμα  Ήχος α'

Τόν τάφον σου Σωτήρ

Καθάρας σευτόν, από ρύπου κακίας, εχρίσθης καί Θεώ, Ιεράτευσας Πάτερ, αθλήσας δέ δι' αίματος, πλειοτέρως εξέλαμψας, καί κατηύγασας, τάς τών πιστών διανοίας, τών θαυμάτων σου, ταίς παραδόξοις ακτίσιν, Ελλάδιε ένδοξε.

Καί τής Εορτής

Ει τύχοι η νηστεία τών Αποστόλων

Δόξα... Καί νύν... Θεοτοκον

Ήχος α'  Τόν τάφον σου Σωτήρ

Προστάτιν πρός Θεόν, κεκτημένοι σε πάντες, προστρέχομεν σεμνή, τώ αγίω ναώ σου, αιτούμενοι βοήθειαν, παρά σού Αειπάρθενε, ρύσαι ούν ημάς, τής τών δαιμόνων κακίας, καί εξάρπασον, εκ καταδίκης φρικώδους, τούς σέ μακαρίζοντας.

Η Σταυροθεοτοκίον

Ω θαύματος καινού! ώ φρικτού μυστηρίου! εβόα η αμνάς καί πανάμωμος Κόρη, εν ξύλω ώς εώρακεν, απλωθέντα τόν Κύριον, ο τά σύμπαντα, εν τή δρακί περιφέρων, πώς κατάκριτος, υπό κριτών παρανόμων, Σταυρώ κατακρίνεται;

## Ωδή δ'
## Εισακήκοα ο Θεός

Εν αυχήμασι ποικιλθείς, δικαιοσύνης τή κορυφή σου, αντιτέθεικας διάδημα, λιθοχρυσοκόλλητον, Ιερομάρτυς ένδοξε, κλέος πιστών.

Ηδομένης σου τής ψηχής, εν ταίς βασάνοις τό πρό σωπόν σου, ωσεί ρόδον τεθεώρητο, ωραϊζομένου σου, εν τοίς Χριστού παθήμασι, Μάκαρ σοφέ.

### Τριαδικόν

Εν μιά ουσία υμνώ, τρείς υποστάσεις της θεαρχίας, τού Πατρός Υιού καί Πνεύματος, ότι μία έλλαμψις, τής τρισηλίου φύσεως, εις ο Θεός.

### Θεοτοκίον

Η Παρθένος πώς γαλουχείς; πώς τοίς μητρώοις λοχεύεις νόμοις; Ότι όνπερ απεκύησας, σαρκωθείς Θεός εστι, καινοτομών τήν φύσιν, ως οίδεν αυτός.

## Ωδή ε'
## Ανάτειλόν μοι Κύριε

Εξέλαμψας ως ήλιος, οικών τό δεσμωτήριον, ότι εκεί τό φώς τό άδυτον, Χριστός σοι επεφάνη, λόγους παρακλήσεως, ως τώ Παύλω φωνών σοι, καρτερόφρον Αθλητά.

Δεσμά σοι διερράγησαν, ώσπερ ιστός αράχνιος, ότι εν σοί ισχύς η άμαχος, συντρίβουσα δαιμόνων, άπασαν επίνοιαν καί σέ μεγαλύνουσα, στρατιώτα τού Χριστού.

### Τριαδικόν

Καί τρία σέβω πρόσωπα, καί μίαν τήν θεότητα, ότι εν τρισί διήρηται προσώποις ού τή φύσει, εις γάρ ο Θεός ημών, ο Πατήρ ο Υιός τε, καί τό Πνεύμα τό ευθές.

### Θεοτοκίον

Καί άρρητον λεγόμενον, καί άγνωστον νοούμενον, τό επί σοί Οφθέν μυστήριον, ότι σποράν ουκ έγνως, καί υιόν απέτεκες, ουτός εστι Πάναγνε, τής ειρήνης Βασιλεύς.

## Ωδή ς'
## Τών πταισμάτων τή ζάλη

Τών πταισμάτων τήν λύραν πάντες άσωμεν, αγαλλομένη καρδία, ότι Χριστός ανέδειξεν, Ελλάδιον τόν κλεινόν αθλοφόρον, νικητήν τού αντικειμένου.

Τοίς ειδώλοις τό θυειν απαρνούμενος, θυσία ζώσα Τρισμάκαρ Θεώ γέγονας, ευωδιάζων άπασι, τά άχραντα μύρα τών παθημάτων, τού Χριστού εν τώ σώματι σου.

Τετραδέσμοις ανάγκαις διερχόμενος, ως εν αδύτοις υπήρχες ευφραινόμενος, εώρας γάρ τήν μέλλουσαν ανάπαυσιν, πρό προσώπου σου Μάρτυς, υπέρ ής είλου πάντα παθείν.

Θεοτοκίον

Υπερφυής σου ο τόκος, ότι ασπόρως, μητροπρεπώς πάλιν τίκτεις, νόμω φύσεως, παναληθή αμφότερα, φιμούσθωσαν αι γλωσσώδεις αιρέσεις, επί σοί αγνή Θεομήτορ.

Ο Ειρμός

«Τών πταισμάτων τή ζάλη βυθιζόμενος, ως εν κοιλία τού κήτους συνεχόμενος, ως ο Προφήτης κράζω σοι, Ανάγαγε εκ φθοράς τήν ζωήν μου, δέομαι καί ελέησόν με».

Κοντάκιον τής Εορτής

Συναξάριον

Τή ΚΖ τού αυτού μηνός, Μνήμη τού Αγίου Ιερομάρτυρος Ελλαδίου.

Στίχοι

- Έλαιον Ελλάδιος ιερωσύνης,
- Αίματι συνέμιξε τού μαρτυρίου.
- Εικάδι εβδομάτη Ελλάδιον έκτανε πυγμή.

Τή αυτή ημέρα Μνήμη τού αγίου Ιερομάρτυρος θεράποντος.

Ο Άγιος μάρτυς Ευσεβιώτης πυρί τελειούται.

Ο άγιος μάρτυς Αλύπιος λίθω τήν κεφαλήν συντριβείς τελειούται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Πύρ φλέγον εν καμίνω

Ουρανός σε ηδέσθη πρός γήν συρόμενον, θέατρον Μακάριε, εν τώ κόσμω γέγονας, υπέρ Χριστού εναθλήσας, καί τούτον υμνών, τόν τών Πατέρων Θεόν.

Εν πτέρναις σου υποίσας πικράν διάτρησιν, έτρωσας τόν δόλιον, καί πτερνίσας έρριψας, υπό τούς πόδας σου Μάκαρ, δοξάζων Χριστόν, τόν τών Πατέρων Θεόν.

Τριαδικόν

Τρισήλιε θεότης ομοβασίλειε, άναρχε αϊδιε, Πάτερ Υιέ καί Πνεύμα, ευλογητός εί ο μόνος υπάρχων Θεός, ο τών Πατέρων ημων.

Θεοτοκίον

Ω φρικτού μυστηρίου! ώ ξένου θαύματος! πώς καί Μήτηρ πέφηνας, καί Παρθένος έμεινας; Ευλογημένη σύ μονη, τεκούσα ημίν, τόν τών Πατέρων Θεόν.

Ωδή η'

Γή καί πάντα τά εν αυτή

Γή τό αίμά σου μυρωδεί, άνωθεν υμνεί σε ουρανός, λογογραφούμεν δέ ημείς τά ωραία άθλά σου Μάκαρ, καί λαμπρώς εκβοώμεν, Ιερείς ευλογείτε τόν Κύριον, καί υπερυψούτε αυτόν εις τούς αιώνας.

Πύρ καί ξίφος μή πτοηθείς, γέγονας οπλίτης τού Χριστού, εν παντευχία μυστική, τόν Βελίαρ σκυλεύσας Μάκαρ, καί πιστώς ανακράζων, Ιερείς ευλογείτε τόν Κύριον, καί υπερυψούτε αυτόν εις τούς αιώνας.

Τριαδικόν

Θεόν δοξάζω επί Πατρός, σύμφωνα υμνώ επί Υιού, καί επί Πνεύματος ταύτον, φύσιν κράτος, πλήν τών προσώπων είς Θεός γάρ τά τρία, όν υμνούντες αινούμεν ως Κύριον, καί υπερυψούμεν εις πάντας τούς αιώνας.

Θεοτοκίον

Νούς τό θαύμα ουκ εγχωρεί, γλώσσα δέ ειπείν εξαπορεί, ότι κύει άνευ σποράς η Παρθένος, καί μετά τόκον αληθώς Θεομήτωρ, ήν αινούντες, υμνούμεν τόν Κύριον, καί υπερυψούμεν εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Γή καί πάντα τά εν αυτή, θάλασσα καί πάσαι αι πηγαί, οι ουρανοί τών ουρανών, φώς καί σκότος, ψύχος καί καύσων, υιοί τών ανθρώπων, Ιερείς ευλογείτε τόν Κύριον, καί υπερυψούτε αυτόν εις τούς αιώνας».

Ωδή θ'

Τόν άσπορον τόκον σου

Ημέραν αθλήσεως, λαμπρώς εορτάζοντες, τού θείου Ελλαδίου, εν ύμνοις τόν Σωτήρα μεγαλύνομεν.

Σκεύος Ιερόχρυσον, Ιεράς αθλήσεως, Χριστού τή Εκκλησία, τόν Μάρτυρα υμνούντες μεγαλύνομεν.

Θεοτοκίον

Χαίροις μυριόχαρε, καί κοσμοχαρμόσυνε, Μαρία Θεοτόκε, ύμνοις σε ασιγήτοις μεγαλύνομεν.

Ο Ειρμός

«Τόν άσπορον τόκον σου Θεοτόκε άχραντε, Χριστόν τόν Θεόν ημών, εν ύμνοις ασιγήτοις μεγαλύνομεν».

Εξαποστειλάριον τής Εορτής

Καί τά λοιπά, ως σύνηθες, και Απόλυσις

---

Αρχή

## ΤΗ ΚΗ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Μάρτυρος Ευτυχούς ή Ευτυχίου, Επισκόπου Μελιτηνής.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ' καί τού Αγίου γ'.

Στιχηρά τού Αγίου

Ήχος α'
Πανεύφημοι Μάρτυρες

Θεόφρον Ευτύχιε νευραίς, τών πανσόφων λόγων σου, εναποπνίξας τούς άφρονας, τέλος μακάριον, πνιγμονή υδάτων, υπεδέξω δράκοντα, εν τούτοις αποπνίγων τό άσαρκον, διό ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Κόσμος ωραιότατος δειχθείς, άθλητών εν χάριτι, μετεβιβάσθης γηθόμενος, πρός υπερκόσμια, Βασιλεί τών όλων, αληθώς παρίστασθαι, σύν πάσαις ταίς αγίαις Δυνάμεσι, μεθ' ών ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Μάρτυς αξιάγαστε τά σά, λείψανα γηθόμενοι, περιφανώς ασπαζόμεθα, καί αρυομένοι, χάριν ιαμάτων, πόθω σε γεραίρομεν, καί πίστει εκτενώς δυσωπούμέν σε, Χριστόν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Δόξα... Καί νύν... Τής Εορτής

Ει τύχοι η νηστεία τών Αποστόλων

Δόξα... Καί νύν... Θεοτοκον
Ήχος δ' Ως γενναίονεν Μάρτυσιν

Ως πρεσβείαν ακοίμητον, καί παράκλησιν έμμονον, κεκτημένη πάναγνε πρός τον Κύριον, τούς πειρασμούς κατακοίμισον, τά κύματα πράϋνον, τής αθλίας μου ψυχής, καί εν θλίψει υπάρχουσαν τήν καρδίαν μου, παρακάλεσον Κόρη, δυσωπώ σε, καί χαρίτωσον τόν νούν μου, όπως αξίως δοξάζω σε.

Η Σταυροθεοτοκίον

Τόν αμνόν καί ποιμένα σε, επί ξύλου ως έβλεψεν, η Αμνάς η τέξασα επωδύρετο, καί μητρικώς σοι εφθέγγετο, Υιέ ποθεινότατε, ταύτά σοι ο απειθής, δήμος ανταποδίδωσιν, ο θαυμάτων σου, απολαύσας μεγίστων, αλλά δόξα, τή αρρήτω σου καί θεία, συγκαταβάσει φιλάνθρωπε.

Εις τόν Στίχον, Στιχηρά τής Εορτής.

Απολυτίκιον

Καί τρόπων μέτοχος. Καί τής Εορτής. Καί Απόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τής Εορτής καί τού Αγίου.

Κανών τού Αγίου, ού η Ακροστιχίς.

Τούς σούς επαινώ, Μάρτυς, ενθέους τρόπους.
Ποίημα Ιωσήφ.

Ωδή α' Ήχος δ'
Ανοίξω τό στομα μου
Ταίς θείαις Δυνάμεσι, συναγελάζων Ευτύχιε, καί θρόνω τής χάριτος, νύν παριστάμενος, τους τιμώντάς σου, τήν μνήμην τήν φωσφόρον, ενθέως καταύγασον, τή μεσιτεία σου.

Οσίως εβίωσας, μαθητευθείς ακριβέστατα, παμμάκαρ Ευτύχιε, τοίς Αποστόλοις Χριστού, εις τελείαν τε, ανήχθης ηλικίαν, αθλήσας λαμπρότατα, αξιοθαύμαστε.

Υπήλθες τό στάδιον, τής μαρτυρίας γηθόμενος, καί θάνατον πρόξενον, ζωής επόθησας, καί απέπνιξας, εχθρών τάς μυριάδας, θαλάσση πνιγόμενος, μάκαρ Ευτύχιε.

Θεοτοκίον
Σαρκός ομοιώματι, επιφανείς ο φιλάνθρωπος, εκ σού Παναμώμητε, κόσμον διέσωσεν, απολλύμενον, καί πλάνη υπαχθέντα, όθεν σε γεραίρομεν, καί μακαρίζομεν.

Ωδή γ'
Τούς σούς υμνολόγους
Ευρών τούς τού Λόγου υπηρέτας, απάντων σπορέας τών καλών, εδέξω εν καρδία σου, τόν σπόρον τόν τού Πνεύματος, καί ευσεβώς εβλάστησας, εκατοστεύοντα άσταχυν.

Πυρί τής θεότητος αϋλω, παμμάκαρ σαφώς αναφλεχθείς, ως ύλην τήν δυσσέβειαν, κατέφλεξας Ευτύχιε, καί Ιερώς ενήθλησας, όθεν πιστώς ευφημούμέν σε.

Αγίοις τού Λόγου υπηρέταις, ψυχή καί καρδία κολληθείς, αγίως σου διήνυσας, τόν βίον καί εσκήνωσας, περιφανώς Ευτύχιε, εν ταίς Αγίων λαμπρότησι.

Ιάσεις πηγάζων μετά τέλος, παμμάκαρ Ευτύχιε σοφέ, αποδιώκεις πνεύματα, καί τής σαρκός νοσήματα, αποκαθαίρεις χάριτι, Πνεύματος θείου μακάριε.

Θεοτοκίον
Νοός μου τό σκότος Θεοτόκε, φωτίτώ εν σοί ως αγαθή, εκδυσωπώ διάλυσον,

καί μετανοίας τρόποις με, βελτιωθήναι πρέσβευε, όπως εν πίστει δοξάζω σε.

Ο Ειρμός

«Τούς σούς υμνολόγους Θεοτόκε, ως ζώσα καί άφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικόν στερέωσον, καί εν τή θεία δόξη σου, στεφάνων δόξης αξίωσον».

Καθισμα Ήχος δ'

Ταχύ προκατάλαβε

Καλώς τόν αγώνά σου, τελέσας Μάρτυς σοφέ, βραβεία τά θαύματα, εκ τού τών όλων Θεού, εδέξω Ευτύχιε, όθεν σε συνελθόντες, κατά χρέος τιμώμεν, πίστει τών σών λειψάνων, τήν σορόν προσκυνούντες, πλουσίως ημίν διδούσαν, χάριν καί έλεος.

Δόξα... Καί νύν... Τής Εορτής

Ει τύχοι η νηστεία τών Αποστόλων

Δόξα... Καί νύν... Θεοτοκίον

Ήχος δ' Ταχύ προκατάλαβε

Εκαίνισας Άχραντε, τώ θείω Τόκω σου, φθαρείσαν τοίς πάθεσι, τών γηγενών τήν θνητήν, ουσίαν καί ήγειρας, πάντας εκ τού θανάτου, πρός ζωήν αφθαρσίας, όθεν σε κατά χρέος, μακαρίζομεν πάντες, Παρθένε δεδοξασμένη, ως προεφήτευσας.

Η Σταυροθεοτοκίον

Παρθένε πανάμωμε, Μήτερ Χριστού τού Θεού, ρομφαία διήλθέ σου, τήν παναγίαν ψυχήν, ηνίκα σταυρούμενον, έβλεψας εκουσίως, τόν Υιόν καί Θεόν σου, όν περ ευλογημένη δυσωπούσα μή παύση, συγχώρησιν πταισμάτων ημίν δωρήσασθαι.

Ωδή δ'

Τήν ανεξιχνίαστον

Ώριμον ως βότρυν σε τής νοητής, ένδοξε αμπέλου υπάρχοντα, υμνολογούμεν, Κατανύξεως ημίν, ως αληθώς Ευτύχιε, οίνον ευσεβώς αναβλύζοντα.

Μέγιστος ως ήλιος ανατολαίς, Μάρτυς τών αγώνων σου άπασαν, τήν οικουμένην, καταυγάζεις αληθώς, τόν σκοτασμόν Ευτύχιε, λύων τών ψυχών ημών χάριτι.

Αγαλλιασώμεθά πνευματικώς, σήμερον τή μνήμη χορεύοντες, τού αθλοφόρου, καί βοήσωμεν αυτώ, Μεγαλομάρτυς αίτησαι, πάσι τών πταισμάτων συγχώρησιν.

Ρώμη δυναμούμενος παντουργική, πάσας τών δαιμόνων τάς φάλαγγας, Μάρτυς Κυρίου, ετροπώσω ανδρικώς, καί κατ' αυτών ηρίστευσας, στέφος

αφθαρσίας δεξάμενος.

Θεοτοκίον

Τόμον σε προέγραψε τών Προφητών, άχραντε Παρθένε ο μέγιστος, εν ώ δακτύλω  κατεγράφη τού Πατρός, ο Λόγος Θεονύμφευτε, βίβλω τής ζωής καταγράφων πιστούς.

Ωδή ε'

Εξέστη τά σύμπαντα

Υψώθης πρός Κύριον, χρυσαίς παμμάκαρ πτέρυξι, τού ιερωτάτου μαρτυρίου, καί πρός ενθέους μονάς κατέπαυσας, δήμοις Αθλητών πανευκλεών, νύν συναριθμούμενος, θεομάκαρ Ευτύχιε.

Σταυρώ τόν τανύσαντα, εθελουσίως Όσιε, χείρας μιμησάμενος εμφρόνως, χείρας εδέθης, δέρρει κλειόμενος, καί παραδιδόμενος βυθώ, καί τέλος δεχόμενος, εν αυτώ τό μακάριον.

Εγνώσθησαν ένδοξε, πορείαί σου εν ύδασιν, εν οίς τελειούμενος εμφρόνως, τόν αλαζόνα πανστρατί τύραννον, Μάρτυς εναπέπνιξας σοφέ, όθεν μακαρίζοντες, ευσεβώς σε γεραίρομεν.

Θεοτοκίον

Νεκρούμενος πάθεσι, καί λογισμοίς Πανάμωμε, πρός τούς οικτιρμούς σου καταφεύγω, πρός τήν θερμήν σου προστρέχω Δέσποινα, σκέπην καί βοήθειαν, ζωήν, μόνη η κυήσασα, ζωοποίησον σώσόν με.

Ωδή ς'

Τήν θείαν ταύτην

Θαυμάτων χάριν δεξάμενος, ιάσαι τών ψυχών αρρωστήματα, Μάρτυς Ευτύχιε, καί θεραπεύεις νοσήματα, τών προστρεχόντων πίστει, υπό τήν σκέπην σου.

Ενθέου πίστεως έμπλεως, καί χάριτος γενόμενος Ένδοξε, λόγον σωτήριον, σύν Αποστόλοις εκήρυξας, τής δυσσεβείας λύων, σκότος βαθύτατον.

Οσίως Λόγον τόν άναρχον, κηρύττων ως εν θήκη εμβέβλησαι, δέρρει Ευτύχιε, καί τώ βυθώ παραδέδοσαι, πρός σωτηρίας όρμον, κατεπειγόμενος.

Θεοτοκίον

Υμνολογώ σε Πανύμνητε, δοξάζω τά σεπτά μεγαλείά σου τής αιωνίου με, ρύσαι δεινής κατακρίσεως τόν σόν Υιόν απαύστως καθικετεύουσα.

Ο Ειρμός

«Τήν θείαν ταύτην καί πάντιμον, τελούντες εορτήν οι θεόφρονες, τής Θεομήτορος, δεύτε τάς χείρας κροτήσωμεν, τόν εξ αυτής τεχθέντα, Θεόν δοξάζοντες».

Κοντάκιον τής Εορτής

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΗ' τού αυτού μηνός, Μνήμη τού Αγίου Ιερομάρτυρος Ευτυχούς, Επισκόπου Μελιτηνής.

### Στίχοι

- Ως ευτυχώς σύ ευτύχησας τρισμάκαρ!
- Θείας τετευχώς, Ευτυχές, κληρουχίας,
- Εικάδι ογδοάτη Ευτυχέα ένθεν άειραν.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος Ελικωνίδος.

### Στίχοι

- Ελικωνίς τμηθείσα τήν κάραν ξίφει
- Ουχ Ελικώνα, αλλ' Εδέμ τρυφήν έχει.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν

## Ωδή ζ'

### Ουκ ελάτρευσαν τή κτίσει

Σταθηράν επιδεικνύμενος τήν ένστασιν, Μάρτυς Ευτύχιε, τούς τών Ελλήωων σοφούς, ανδρείως κατήσχυνας, μέλπων εν Πνεύματι, Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Τούς τού Λόγου Μαθητάς καταμυούντάς σε, ευρών Ευτύχιε, τά υπέρ λόγον καί νούν, τό ούς σου υπέκλινας θεοπειθέστατα, καί εκραύγαζες, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Ρείθρον ζών εν τή καρδία σου Ευτύχιε, υποδειξάμενος, τού Πνεύματος αληθώς, πλάνης απεξήρανας, θολώδη ρεύματα, καί ιάσεων, αναπηγάζεις νάματα, τοίς πιστώς σοι προσιούσι.

### Θεοτοκίον

Ο εν κόλποις τού Πατρός απερινόητος, Υιός καθήμενος, εν κόλποις σου τής αγνής, ως βρέφος καθέζεται, επ' ανακλήσει ημών, ώ κραυγάζομεν, Ο τών πατέρων Κύριος, καί Θεός ευλογητός εί.

## Ωδή η'

### Παίδας ευαγείς

Πολλά κατά σού κενολογούντες, οι πλάνοι θεομακάριστε ησχύνθησαν, μώμους σοι προσάπτοντες, άμωμον φυλάξαντι, τήν σήν ψυχήν καί μέλποντι, Μάρτυς Ευτύχιε, Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ο νούς σου φωτί λελαμπρυσμένος, Ευτύχιε ένδοξε τού Πνεύματος, πλάνης αμαυρώσεως, έμεινεν αμέτοχος, ταίς πρός Θεόν υψούμενος, απαύστοις νεύσεσι, Τόν Κύριον υμνείτε κραυγάζων, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Υμνούμεν παμμάκαρ αθλοφόρε, τους πόνους, τόν ζήλόν σου τόν ύνθεον, καί τά αριστεύματα, μέγιστε Ευτύχιε, δι' ών εχθρού κατέβαλες τά πανουργεύματα, καί στέφος αφθαρσίας εδέξω, εκ τού αθλοθέτου, καί πάντων Βασιλέως.

Θεοτοκίον

Συνήψας τά πάλαι διεστώτα, Παρθένε θεοχαρίτωτε τώ τόκω σου, όθεν ως αιτίαν σε πάντων μακαρίζομεν, τών αγαθών κραυγάζοντες, ψυχής ευθύτητι, Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν, Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ'

Άπας γηγενής

Ίδε φωταυγής, επέστη πανήγυρις, τού αθλοφόρου Χριστού, πάντες ούν συνδράμωμεν, ευσεβοφρόνως τούτου τά θαύματα, καί Ιερά παλαίσματα ανευφημήσαι πιστώς, δι' ών ώφθη, Άγγελος επίγειος, αληθώς καί ουρανιος άνθρωπος.

Ώσπερ προσφοράν, παμμάκαρ παρέδωκας, τήν σήν ψυχήν τώ Θεώ, μέσον τών υδάτων μέν, τό θείον τέλος υποδεχομενος, πρός τόν τρυφής χειμάρρουν δέ κατασκηνούμενος, καί μεθέξει, κάλλιστα θεούμενος, καί φωτός αϊδίου πληρούμενος.

Στήριγμα πιστών, υπάρχεις καί καύχημα αξιοθαύμαστε, τών ασπαζομένων σου, θεόφρον Μάρτυς τά θεία λείψανα, καί εκτελούντων πάντοτε τήν θείαν μνήμην σου, αθλοφόρων, μέγα ακροθίνιον, τών Αγγέλων απάντων συνόμιλε.

Ήθροισται λαός, υμνήσαί σου σήμερον τά αριστεύματα, καί τά κατορθώματα, καί τούς αγώνας καί τά παλαίσματα, όν ταίς ευχαίς σου μέγιστε Μάρτυς Ευτύχιε, από πάσης, λύτρωσαι στενώσεως, καί αθέων βαρβάρων αλώσεως.

Θεοτοκίον

Φώτισον Αγνή, ψυχής μου τά όμματα, παύσον τόν κλύδωνα, τόν επιγινόμενον, τής τών δαιμόνων παρενοχλήσεως, καί εις οδόν κατεύθυνον τών θελημάτων Χριστού, τού νοός μου, πάναγνε τήν στένωσιν, όπως πίστει αεί μακαρίζω σε.

Ο Ειρμός

«Άπας γηγενής, σκιρτάτω τώ πνεύματι λαμπαδουχούμενος, πανηγυριζέτω δέ, αϋλων Νόων φύσις γεραίρουσα, τήν ιεράν πανήγυριν τής Θεομήτορος, καί βοάτω, Χαίροις παμμακάριστε, Θεοτόκε αγνή αειπάρθενε».

Εξαποστειλάριον, τής Εορτής

Καί η λοιπή Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΘ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής Αγίας Μάρτυρος Θεοδοσίας.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ' καί τής Αγίας γ'.

Στιχηρά τής Αγίας
Ήχος πλ. δ'
Ω τού παραδόξου θαύματος

Αίγλη παρθενίας λάμπουσα, Θεοδοσία σεμνή, καί πορφύραν δι' αίματος, μαρτυρίου πάνσοφε, βεβαμμένην λαμπρότατα, περιθεμένη καί υπερκόσμιον, Χριστού νυμφώνα κατασκηνώσασα, κόρη πανάμωμε, συγχορεύεις τάξεσιν, Αγγελικαίς, όντως ακατάλυτον, χορείαν ένδοξε.

Μάρτυς παρθένε πανεύφημε, Θεοδοσία Χριστόν, ολοκλήρως ποθήσασα, τών βασάνων ήνεγκας, τάς πληγάς καρτερώτατα, αικιζομένη διά τόν σόν εραστήν, καί ξεομένη πλευράς ταίς μάστιξιν, Ώ τών αγώνων σου, καρτεράς ενστάσεως! δι' ής πρός γήν, όντως καταβέβληκας, τόν υπερήφανον.

Κάλλει ψυχής τε καί σώματος, κεκοσμημένη φαιδρώς, τώ Χριστώ προσετήνεξαι, τόν τής δόξης στέφανον, παρ αυτού αναδήσασθαι, Θεοδοσία Μάρτυς πανένδοξε, καί βασιλείας σαφώς διάδημα, όντως πολύτιμον, επαξίως δέδεξαι, σή κορυφή, νύμφη παναμώμητος, φανείσα πάνσοφε.

Δόξα... Καί νύν... τής Εορτής

Ει τύχοι η νηστεία τών Αποστόλων

Δόξα... Καί νύν... Θεοτοκον
Ήχος πλ. δ'
Ώ τού παραδόξου θαύματος

Πάντοτε πράττων τά άτοπα, τόν ποιητήν μου Θεόν, παροργίζω ο άθλιος, καί πτοούμαι πάναγνε, τήν αιώνιον κόλασιν, καί τού πυρός τήν φλόγα τήν άσβεστον, Καί τών σκωλήκων τήν αγριότητα, ών με εξάρπασον, Δέσποινα πανύμνητε, τόν σόν Υιόν, Λόγον καί φιλάνθρωπον καθικετεύουσα.

Η Σταυροθεοτοκίον

Τί το ορώμενον θέαμα, ό τοίς εμοίς οφθαλμοίς, καθοράται ώ Δέσποτα: ο συνέχων άπασαν, κτίσιν ξύλω ανήρτησαι, καί θανατούσαι, ο πάσι νέμων ζωήν η Θεοτόκος κλαίουσα έλεγεν, ότε εώρακεν, εν Σταυρώ κρεμάμενον,

τόν εξ αυτής, αρρήτως εκλάμψαντα, Θεόν καί άνθρωπον.

Εις τόν Στίχον, Στιχηρά τής Εορτής.

Απολυτίκιον Ήχος δ’
Κατεπλάγη Ιωσήφ

Η αμνάς σου Ιησού, κράζει μεγάλη τη φωνή, Σέ Νυμφίε μου ποθώ, καί σέ ζητούσα αθλώ, καί συσταυρούμαι, καί συνθάπτομαι τώ βαπτισμώ σου, καί πάσχω διά σέ, ως βασιλεύσω σύν σοί, καί θνήσκω υπέρ σού, ίνα καί ζήσω εν σοί, αλλ’ ως θυσίαν άμωμον, προσδέχου τήν μετά πόθου τυθείσάν σοι, Αυτής πρεσβείαις, ως ελεήμων, σώσον τάς ψυχάς ημών.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τής Εορτής, καί τής, Αγίας ο παρών. ού η' Ακροστιχίς.

Θεοδοσίας τής Μάρτυρος μέλπω κλέος.

Ωδή α' Ήχος δ'
Θαλάσσης τό ερυθραίον

Θεός σοι Θεοδοσία γέγονεν, οδός αθλήσεως, επί Σταυρόν εκούσιον ελθών, καθελών γάρ τόν τύραννον, ώσπερ στρουθίον παίζεσθαι, υπό Μαρτύρων απειργάσατο.

Ευτόνως Θεοδοσία πάντιμε, πρός γήν κατέρραξας, τόν αρχηγόν τής πλάνης καρτερώς, εναθλούσα πανεύφημε, καί τόν τής νίκης στέφανον, ως νικηφόρος Μάρτυς είληας.

Ο πάλαι μεγαλαυχία χρώμενος, νύν καταβέβληται, σή καρτερία Μάρτυς προσβαλών, τού Σταυρού γάρ τήν δύναμιν, αναλαβούσα ήσχυνας, άμετρα τούτον φρυαττόμενον.

Θεοτοκίον

Δολίως εξαπατήσας όφις με, είλεν αιχμάλωτον, τού θεωθήναι πόθον μοι ενθείς, διά σού δέ Πανάχραντε, ανακληθείς τεθέωμαι, αναλλοιώτως αληθέστατα.

Ωδή γ'
Ευφραίνεται επί σοί

Ο πόθος ο θεϊκός, Θεοδοσία σέ πιστήν έδειξε, νύμφην Χριστού Μάρτυρα, τούτου τόν Σταυρόν αγαπήσασαν.

Σαρκός τήν φθοροποιόν, καταλιπούσα ώ σεμνή πρόνοιαν, ζωοποιώ Πνεύματι, ζής Θεοδοσία πανεύφημε.

Ιάτρευσόν μου τόν νούν, θεοδωρήτω σου Σεπτή χάριτι, καί τήν ψυχήν πάθεσιν, εκνενευρισμένην θεράπευσον.

Θεοτοκίον

Ανέστησας ώ σεμνή, τήν πεπτωκυίάν μου μορφήν τέξαυα, τόν αρχηγόν Δέσποινα, τής πάντων ημών αναστάσεως.

Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα, Σύ μου ισχύς, Κύριε, καί καταφυγή, καί στερέωμα».

Κάθισμα  Ήχος δ'

Ταχύ προκατάλαβε

Θεού δόσις πέφυκας, εικότως Μάρτυς σοφή, αθλήσει εκλάμπουσα, καί παρθενίαις φαιδραίς, ακτίσι πυρσεύουσα, πάντων τάς διανοίας, τών αεί σε τιμώντων, πίστει Θεοδοσία, καί τήν σήν φαιδροτάτην, τελούντων επί γής εορτήν θεομακάριστε.

Καί τής Εορτής

Ει τύχοι η νηστεία τών Αποστόλων

Δόξα... Καί νύν... Θεοτοκίον

Ήχος δ'  Ταχύ προκατάλαβε

Εκαίνισας Άχραντε, τώ θείω Τόκω σου, φθαρείσαν τοίς πάθεσι, τών γηγενών τήν θνητήν, ουσίαν καί ήγειρας, πάντας εκ τού θανάτου, πρός ζωήν αφθαρσίας, όθεν σε κατά χρέος, μακαρίζομεν πάντες, Παρθένε δεδοξασμένη, ως προεφήτευσας.

Η Σταυροθεοτοκίον

Παρθένε πανάμωμε, Μήτερ Χριστού τού Θεού, ρομφαία διήλθέ σου, τήν παναγίαν ψυχήν, ηνίκα σταυρούμενον, έβλεψας εκουσίως, τόν Υιόν καί Θεόν σου, όν περ ευλογημένη δυσωπούσα μή παύση, συγχώρησιν πταισμάτων ημίν δωρήσασθαι.

Ωδή δ'

Επαρθέντα σε ιδούσα

Σεσοβημένος ο τύραννος ταίς αικίαις, καταπτοείν τό εύτονον, τής σής καρτερίας, ώετο ο δόλιος, αυτή δέ Πανεύφη με, Δόξα τώ Θεώ ανεκραύγαζες.

Τήν θεόσδοτον καί θείαν προσηγορίαν, προγνωστικώς επλούτησας, Μάρτυς αθληφόρε, δόσις γάρ εγένου Θεώ, ημάς κατευφραίνουσα, πίστει σε καί πόθω γεραίροντας.

Η γλαϊσμένην θεόφρον Θεοδοσία, μαρτυρικού δι' αίματος, σού πεφοινιγμένην, περιβεβλημένη στολήν, Δραμούμαι οπίσω σου, πόθω τού νυμφίου μου, έκραζες.

Θεοτοκίον

Σεσαρκωμένον τόν Λόγον αγνή Παρθένε, θεοπρεπώς εγέννησας, καί μένεις Παρθένος, όθεν ασιγήτοις φωναίς, τό Χαίρέ σοι Δέσποινα, πίστει αδιστάκτω κραυγάζομεν.

Ωδή ε'

Σύ Κύριέ μου φώς

Μύρον εκκενωθέν, τόν Χριστόν αγαπήσασαι, νεάνιδες θεοφρόνως, ηκολούθησαν τούτω, εν άσμασι δοξάζουσαι.

Αιώνιον ζωήν, χρονικής ανταλλάξασα, ανθ' αίματος βραχυτάτου, ουρανών βασιλείαν, η Μάρτυς εκληρώσατο.

Ρέουσιν ως πηγαί, τών Μαρτύρων τά λείψανα, ιάματα τοίς νοσούσι, καί ψυχών αρρωστίας, τή πίστει θεραπεύουσι.

Θεοτοκίον

Τίς δύναται τό σόν, ερμηνεύσαι μυστήριον, Πανάμωμε; τόν γάρ Κτίστην, μή χωρούμενον πάσιν, εν μήτρα σου εχώρησας.

Ωδή ς'

Θυσω σοι, μετά φωνής

Υπέρ σού, μετά σπουδής τόν θάνατον είλετο, Θεοδοσία η Μάρτυς, απειλάς τυράννων μή πτοηθείσα, τό σόν πάθος, μιμουμένη Χριστέ τό εκούσιον.

Ραδίως, τώ Σταυρώ σου γυναίκες ρωννύμεναι, τάς κεφαλάς τών δρακόντων, ώσπερ έφης Σώτερ καταπατούσι, τώ σώ πόθω, τετρωμέναι καί θείω σου έρωτι.

Θεοτοκίον

Όλην σε, περιστεράν τελείαν καί άμωμον, καί τηλαυγέστατον κρινον, καί κοιλάδων άνθος ώ Θεομήτορ, ο νυμφίος, ο νοητός ευρών σοι εσκήνωσεν.

Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Κοντάκιον Ήχος β'

Τά άνω ζητών

Τοίς πόνοις ζωήν, τήν άπονον κεκλήρωσαι, τοίς αίμασι δέ, τόν Λέοντα απέπνιξας, τόν εχθρόν τόν βέβηλον, Εκκλησίας Χριστού πανεύφημε, καί αυτώ συγχαίρουσα νύν, δυσώπει απαύστως υπέρ πάντων ημών.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Κθ' τού αυτού μηνός, Μνήμη τής Αγίας Μάρτυρος Θεοδοσίας.

Στίχοι

- Πνίγει θαλάσσης Θεοδοσίαν ύδωρ,
- Τρέφει δέ Χριστός εις αναψυχής ύδωρ.

- Εικάδι Θεοδοσίην ενάτη πέφνε ρεύμα θαλάσσης.

Τή αυτή ημέρα, Μνήμη τής  Αγίας Οσιομάρτυρος Θεοδοσίας τής Κωνσταντινουπολιτίσσης.

Στίχοι

- Κέρας κριού κτείνάν σε, Θεοδοσία,
- Ώφθη νέον σοι τής Αμαλθείας κέρας.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Ιερομάρτυρος Ολβιανού, Επισκόπου πόλεως  Ανέου.

Στίχοι

- Τόν Ολβιανόν μάλα όλβιον λέγω,
- Υπέρ Θεού θανόντα τού πανολβίου.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς  Αμήν.

Ωδή ζ'

Εν τή καμίνω

Σέ θεοσδότοις, κεκοσμημένην Μάρτυς κάλλεσι, πίστει θεωρούντες ύμνοις ειλικρινώς, τώ νυμφίω σου κραυγάζομεν, Ευλογημένος εί εν τώ  ναώ, τής δόξης σου Κύριε.

Μετά παρθένων, λαμπαδηφόρος εις ουράνιον, Μάρτυς νύν παστάδα χαίρουσα τώ  Χριστώ, εισελήλυθας κραυγάζουσα, Ευλογημένος εί εν τώ ναώ τής δόξης σου Κύριε.

Θεοτοκίον

Επί τού θρόνου, τού επηρμένου ό καθήμενος, θρόνον σε επί γής Παρθένε θεοπρεπή, ευρηκώς επανεπαύσατο, Ευλογημένη σύ εν γυναιξί, πανάμωμε Δέσποινα.

Ωδή η'

Χείρας εκπετάσας Δανιήλ

Λυθείσα δεσμών τών τής σαρκός, Θεοδοσία σεμνή, ανέπτης χαίρουσα, πρός φωτεινόμορφον θάλαμον, νυμφικώς περιχορεύουσα, καί μαρτυρίου φοινικώ αίματι στίλβουσα, καί βοώσα, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Παστάδα ουράνιον οικείν, κατηξιώθης φαιδρώς, Θεοδοσία σεμνή, διαιωνίζουσαν εύκλειαν, ευραμένη παναοίδιμε, καί τής ανδρείας σου καρπόν όντως πλουτήσασα, Ευλογείτε, πάντα τά έργα βοώσα τόν Κύριον.

Ωράθης φερώνυμος σαφώς, Θεοδοσία σεμνή, Θεού γάρ δόσις ημίν, αρίστη δέδοσαι πάνσοφε, δωρεών τών υπέρ έννοιαν, αναδιδούσα ποταμούς τοίς πίστει μέλπουσιν, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Θεοτοκίον

Κυρίως γεννήσασα Θεόν, κυρίως πάναγνε, Μήτηρ εδείχθης Θεού, επαληθεύουσαν φέρουσα, καταλλήλως τώ γεννήματι, θεωνυμίαν, οι πιστοί, όθεν δοξάζομεν, Θεοτόκον, σέ θεοφρόνως πανάμωμε Δέσποινα.

Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Ωδή θ'

Λίθος αχειρότμητος

Λύσον τάς σειράς τών πταισμάτων, τών ευσεβώς σε ανυμνούντων, ταίς σαίς ικεσίαις θεόφρον, Θεοδοσία Μάρτυς πανεύφημε, Θεώ τώ παντοκράτορι, παρισταμένη πανσεβάσμιε.

Εύας τής προμήτορος πόθον, επιτηδείως εκομίσω, νεύσει πρός Θεόν θεουμένη, καί γενομένη θεία μεθέξει Θεός, διό σε παμμακάριστε, Θεοδοσία μακαρίζομεν.

Όλος γλυκασμός χρηματίζει, ο σός νυμφίος αθληφόρε, όλος ψυχική θυμηδία, Θεοδοσία Μάρτυς υπάρχει Χριστός, ούπερ νύν απολαύουσα, ταίς σαίς πρεσβείαις ημών μέμνησο.

Θεοτοκίον

Σαρκί επιδημήσαι θελήσας, ο διακοσμήσας πάντα Λόγος, εν σοί κατεσκήνωσε μόνην, αγιωτέραν πάντων ευράμενος, καί Θεοτόκον έδειξεν, επ' αλνθείας Μητροπάρθενε.

Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Καί τά λοιπά, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Λ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου πατρός ημών  Ισαακίου, Ηγουμένου τής Μονής τών Δαλμάτων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ' καί τού Αγίου γ'.

Στιχηρά τού Αγίου

Ήχος δ'

Ως γενναίον εν Μάρτυσιν

Εγκρατείας τοίς βέλεσι, τόν εχθρόν ετραυμάτισας, καί τάς τούτου φάλαγγας εξεπόρθησας, διό τής νίκης απέλαβες, βραβεία Μακάριε, παρ' αυτού τού κραταιώς, σέ Χριστού ενισχύσαντος, όν ικέτευε, εκ φθοράς καί κινδύνων λυτρωθήναι, τούς εν πίστει εκτελούντας, την αεισέβαστον μνήμην σου.

Θεωρίας τής κρείττονος, επιβάς Παμμακάριστε, τά γεώδη άπαντα καί επίκηρα, καί περιών εν τώ σώματι, παρείδες καί άϋλον, πολιτείαν επί γής, επεσπάσω αοίδιμε, θείω Πνεύματι, οδηγούμενος Πάτερ μοναζόντων, οδηγός κανών καί τύπος, ώφθης καί πίστει περίδοξος.

Τών χαρίτων τού Πνεύματος, ταίς ενθέοις ελλάμψεσι, φαιδρυνδείς θεόπνευστε, Ισαάκιε, φωστήρ εδείχθης τοίς πέρασιν, οδύνας κακώσεων, καί τό σκότος τών παθών, απελαύνων πρεσβείαις σου, καί ρυόμενος, νοσημάτων παντοίων καί κινδύνων, τούς εν πίστει εκτελούντας, τήν αεισέβαστον μνήμην σου.

Δόξα... Καί νύν... Τής Εορτής

Ει τύχοι η νηστεία τών Αποστόλων

Δόξα... Καί νύν... Θεοτοκον

Ήχος δ'  Ως γενναίονεν Μάρτυσιν

Ως πρεσβείαν ακοίμητον, καί παράκλησιν έμμονον, κεκτημένη πάναγνε πρός τον Κύριον, τούς πειρασμούς κατακοίμισον, τά κύματα πράϋνον, τής αθλίας μου ψυχής, καί εν θλίψει υπάρχουσαν τήν καρδίαν μου, παρακάλεσον Κόρη, δυσωπώ σε, καί χαρίτωσον τόν νούν μου, όπως αξίως δοξάζω σε.

Η Σταυροθεοτοκίον

Τόν αμνόν καί ποιμένα σε, επί ξύλου ως έβλεψεν, η Αμνάς η τέξασα επωδύρετο, καί μητρικώς σοι εφθέγγετο, Υιέ ποθεινότατε, ταύτά σοι ο απειθής, δήμος ανταποδίδωσιν, ο θαυμάτων σου, απολαύσας μεγίστων, αλλά δόξα, τή αρρήτω σου καί θεία, συγκαταβάσει φιλάνθρωπε.

Εις τόν Στίχον Στιχηρά, τής Εορτής.

Απολυτίκιον  Τό τού Οσίου

Ήχος πλ. δ’

Ταίς τών δακρύων σου ροαίς, τής ερήμου τό άγονον εγεώργησας, καί τής εκ βάθους στεναγμοίς, εις εκατόν τούς πόνους εκαρποφόρησας, καί γέγονας φωστήρ, τή οικουμένη λάμπων τοίς θαύμασι, Θεόκτιστε Πατήρ ημών Όσιε, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τής Εορτής, καί τού Αγίου ο παρών.

Ωδή α'  Ήχος πλ. δ'
Άσωμεν τώ Κυρίω

Πάθεσι νεκρωθέντα, ζώωσόν με Πάτερ ταίς πρεσβείαις σου, τή ζωή νύν τών ζώντων, παρρησία πολλή παριστάμενος.

Αίγλην άϋλον Πάτερ, ένδον εν καρδία  σου δεξάμενος, εφωτίσθης καί πάσαν, τών παθών τήν αχλύν εξηφάνισας.

Θεοτοκίον

Σώσόν με τόν εν ζάλη, αισχίστων παθών κλυδωνιζόμενον, τόν Σωτήρα τεκούσα, τού παντός τήν γαλήνην Πανάμωμε.

Ωδή γ'
Σύ εί τό στερέωμα

Σάρκα καθυπέταξας, τώ λογισμώ στερρώς Όσιε, τήν δέ ψυχήν, έδειξας δουλείας, τών παθών απελεύθερον.

Πόνοις σου τήν άρουραν, τήν τής ψυχής σοφέ Όσιε, καλλιεργών, στάχυν απαθείας, καί θαυμάτων εξήνθησας.

Θεοτοκίον

Τόπον αγιάσματος, καί νοητήν Αγνή τράπεζαν, άρτον Χριστόν, τήν ζωήν τών όλων, δεξαμενην υμνούμέν σε.

Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, συ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Κάθισμα  Ήχος δ'
Επεφάνης σήμερον

Επιλάμψει Πνεύματος τού Παναγίου, φωτισθείς απήλασας, τήν τών αιρέσεων αχλύν, θαυματουργέ, Ισαάκιε, όθεν σε πάντες, συμφώνως γεραίρομεν.

Κάθισμα τής Εορτής

Ει τύχοι η νηστεία τών Αποστόλων

Δόξα... Καί νύν... Θεοτοκον
Ήχος δ'  Επεφάνης σήμερον

Εν τή σκέπη πάναγνε, ττή σή Παρθένε, προσφυγόντων δέησιν, προσδεξαμένη παρ' ημών, μή διαλίπης πρεσβεύουσα, τώ φιλανθρώπω, σωθήναι τούς δούλους σου.

Η Σταυροθεοτοκίον

Επί ξύλου Δέσποινα, προσηλωμένον, τόν Υιόν σου βλέψασα,

Παρθενομήτορ καί Θεόν, σύν οδυρμοίς ανεκραύγαζες, Πώς ταύτα πάσχεις, Υιέ μου καί Κύριε;

Ωδή δ'

Εισακήκοα Κύριε

Επομβρίαις τής χάριτος, Πάτερ ποταμους θαυμάτων ανέβλυσας, μολυσμόν αποκαθαίροντες, τών εν πίστει Μάκαρ προστρεχόντων σοι.

Ολονύκτοις δεήσεσι, καί ταίς πανημέροις Όσιε στάσεσι, τήν ψυχήν προκαθηράμενος, τής Τριάδος οίκον Πάτερ έδειξας.

Θεοτοκίον

Αλατόμητον όρος σε, πάλαι Αββακούμ προείδε Πανάμωμε, ο Θεός εξ ού επέφανε, καί ημάς φθαρέντας ανεκαίνισεν.

Ωδή ε'

Ορθρίζοντες βοώμέν σοι

Ναός τής τρισηλίου θεότητος, χρηματίσας, παθών τά ινδάλματα, τής σής ψυχής εξεμείωσας.

Πνευμάτων ακαθάρτων καθέστη  κας, σύ διώκτης Αγίου γάρ Πνεύματος, καθαρόν σκήνωμα γέγονας.

Θεοτοκίον

Τόν Ήλιον τεκούσα τής ζωής, Θεοτόκε, όλον φωταγώγησον, εσκοτισμένον με πάθεσιν.

Ωδή ς'

Ιλάσθητί μοι Σωτήρ

Τού κήτους τού νοητού, πανολεθρίαν διέφυγες, εγκράτειαν προσευχήν, αγάπην αθόλωτον, κραταιάν ταπείνωσιν, καί στοργήν βεβαίαν, πρός Χριστόν Πάτερ κτησάμενος.

Θεός σου τά πρός αυτόν, κατεύθυνε διαβήματα, ο δυνατός δυνατόν, σαφώς απειργάσατο, πατούντα επ' όφεων, καί σκορπίων κάρας,, Ισαάκιε μακάριε.

Θεοτοκίον

Μαρία τό καθαρόν, τής παρθενίας κειμήλιον, καθάρισόν μου τόν νούν, παθών αμαυρότητος, καί πλήρωσον χάριτος, καί δικαιοσύνης, τήν καρδίαν μου πανάμωμε.

Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καίεκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

Κοντάκιον τής Εορτής

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Λ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Ισαακίου, Ηγουμένου τής Μονής τών Δαλμάτων.

Στίχοι

- Ψήφω Θεού πρός θείον ήρθη χωρίον,
- Γής, Ισαάκιος εκλιπών τό χωρίον.
- Θείον Ισαάκιον μόρος είλεν ενί τριακοστή.

Τή αυτή ημέρα ο Άγιος Νατάλιος ξίφει τελειούται.

Ο όσιος Βαρλαάμ εν ειρήνη τελειούται.

Οι άγιοι νεομάρτυρες Ρωμανός καί Μελέτιος, ξίφει τελειούνται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Παίδες Εβραίων

Ήρθης πρός ύψος απαθείας, εμιμήσω γάρ εν σώματι Αγγέλους, αϊδίου τρθφής, μέτοχος ανεδείχθης, αναβοών Μακάριε, ο Θεός ευλογητός εί.

Λάμπων ακτίσι θεωρίας, διεσκέδασας δαιμόνων επιθέσεις, καί τής τούτων πολλούς, κακώσεως ερρύσω, κραυγάζοντας Ισαάκιε, ο Θεός ευλογητός εί.

Θεοτοκίον

Ίδε ήν έφησε Παρθένον, εν τώ Πνεύματι ο μέγας Ησαΐας, εν γαστρί τόν Θεόν, συνέλαβε καί τίκτει, ώ μελωδούμ εν, Κύριε, ο Θεός ευλογητός εί.

Ωδή η'

Τόν άναρχον Βασιλέα

Ανύστακτον τής ψυχής τήν λαμπάδα, ελαίω σου τών αγώνων τηρήσας, εισήλθες εν χαρά εις άφθαρτον νυμφώνα, καί ζής εις τούς αιώνας.

Τό δύσμορφον τών παθών εξεδύσω, χιτώνιον, ενεδύσω δέ Μάκαρ, ωραίαν τήν στολήν, τής θείας απαθείας, Χριστώ συμβασιλεύων.

Θεοτοκίον

Ως έντιμον καί υπέρτατον θρόνον, υπάρχουσαν τού Θεού τήν Μητέρα, υμνήσωμεν λαοί, τήν μόνην μετά τόκον, Παρθένον φυλαχθείσαν.

Ο Ειρμός

«Τόν άναρχον Βασιλέα τής δόξης, όν φρίττουσι στρατιαί τών Αγγέλων, υμνείτε ιερείς, λαός υπερυψούτε, είς πάντας τούς αιώνας».

Ωδή θ'

Έφριξε πάσα ακοή

Έδυς μέν οίά περ αστήρ, από κόσμου, πρός Χριστόν δέ ανέτειλας, τόν νοητόν αληθώς, δικαιοσύνης παμμάκαρ Ήλιον, καί ως ακτίνα τοίς πιστοίς, τάς σάς καταλέλοι πας, φωτοειδείς αρετάς, ελαυνούσας τών ψυχών αμαυρότητα.

Τίμιος έναντι Θεού, σού ο θάνατος Ισαάκιε γέγονε, καί γάρ οσίως εν γή, επολιτεύσω τούτου προστάγματα, καί δικαιώματα σοφέ, τηρήσας αλώβητα' όθεν ανέτειλεν, ώς δικαίω σοι τό φώς τό ανέσπερον

Θεοτοκίον

Έπαυσας μόνη γυναικών, τήν αράν τών πρωτοπλάστων Θεόνυμφε, τόν απερίγραπτον, σαρκί τεκούσα περιγραφόμενον, εκαινοτόμησας θεσμούς, φύσεως αμόλυντε, τά διεστώτα τό πρίν, παραδόξω μεσιτεία σου ήνωσας.

Ο Ειρμός

«Έφριξε πάσα ακοή, την απόρρητον Θεού συγκατάβασιν, όπως ο Ύψιστος, εκών κατήλθε μέχρι καί σώματος, Παρθενικής από γαστρός, γενόμενος άνθρωπος, διό τήν άχραντον, Θεοτόκον οι πιστοί μεγαλύνομεν».

Εξαποστειλάριον τής Εορτής

Καί τά λοιπά, ως σύνηθες καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΛΑ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Μάρτυρος Ερμείου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχ. Προσόμοια τής Εορτής γ' καί τού Αγίου γ'.

Στιχηρά τού Αγίου

Ήχος α'
Τών ουρανίων ταγμάτων

Η απροσμάχητος χάρις, τού δυναμούντός σε, εν ασθενεία Μάρτυς, σού τής φύσεως πάσι, τήν δύναμιν δεικνύει, διό καί θνητώ, σέ ενίσχυσε σώματι, καταπαλαίσαι τόν άσαρκον κραταιώς, καί λαβείν τά νικητήρια.

Ταίς τών αιμάτων ρανίσι, τής αθεϊας τό πύρ, Μεγαλομάρτυς σβέσας, τήν Χριστού Εκκλησίαν, κατήρδευσας πλουσίως, καί τών πιστών, τάς καρδίας εφώτισας, τών ευσεβώς σου τιμώντων τό Ιερόν, καί σεβάσμιον μνημόσυνον.

Ως ακαθαίρετος Πύργος, ταίς προσβολαίς τών εχθρών, ουκ εσαλεύθης όλως, τάς αυτών δέ καρδίας, συνέσεισας Ερμεία, καί τώ μοχλώ τών γενναίων αγώνων σου, ως ευπερίτρεπτον τείχος, πάντων αυτών, τά φρονήματα κατέαξας.

Δόξα... Καί νύν... τής Εορτής

Ει τύχοι η νηστεία τών Αποστόλων

Δόξα... Καί νύν... Θεοτοκον
Ήχος α'  Τών ουρανίων ταγμάτων
Εν τώ πελάγει τού βίου κλυδωνιζόμενος, καί ταίς τών εναντίων, ραπιζόμενος αύραις, βοώ σοι Θεοτόκε, Ίθυνον νύν, πρός λιμένα με εύδιον, τής μετανοίας τήν ζάλην τών λογισμών, εις γαλήνην μεταβάλλουσα.
Η Σταυροθεοτοκίον
Εν τώ Σταυρώ παρεστώσα τού σού Υιού καί Θεού, καί τήν μακροθυμίαν, τούτου αποσκοπούσα, έλεγες θρηνούσα, Μήτερ αγνή, Οίμοι! Τέκνον γλυκύτατον, τί ταύτα πάσχεις αδίκως, Λόγε Θεού; ίνα σώσης τό ανθρώπινον.

Εις τόν Στίχον, Στιχηρά τής Εορτής.

Απολυτίκιον ομοίως, καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τής Εορτής, καί τού Αγίου.

Ο Κανων τού Αγιου, ού η Ακροστιχίς.

Άδω Μάκαρ σου τούς πόνους θερμώ  πόθω.
Ποίημα Ιωσήφ.

Ωδή α'  Ήχος πλ. δ'
Υγράν διοδεύσας
Αστήρ διαλάμπων θείω φωτί, τώ τής αληθείας ανεδείχθης μαρτυρικώς, πάντας καταυγάζων τούς εν πίστει, ειλικρινεί σε Ερμεία γεραίροντας.

Διόλου τή νεύσει τή πρός Θεόν, πάντων αλογήσας, τών εν βίω Μάρτυς σοφέ, μαρτύρων υπέδυς τούς αγώνας, καί τόν εχθρόν καταρράσσων ενίκησας.

Ωραίος τό είδος καί τήν ψυχήν, υπάρχων Ερμεία, εστρατεύθης τώ  Βασιλεί, τώ  επουρανίω  καί τούς τούτου, Μάρτυς εις τό τέλος εχθρούς εταπείνωσας.

Μή θύσας ειδώλοις Μάκαρ τούς σούς, εθλάσθης οδόντας, σιαγόνας τών νοητών, συνθλάσας λεόντων, καί τής νίκης, αναδησάμενος στέφος αμάραντον.
Θεοτοκίον
Αγία Παρθένε Μήτηρ Χριστού, Μαρτύρων η δόξα, καί Αγγέλων η χαρμονή, σύν τούτοις δυσώπει τόν Υιόν σου, τού οικτιρήσαι καί σώσαι τούς δούλους σου.

Ωδή γ'
Σύ εί τό στερέωμα

Κόσμος εχρημάτισας, τών αθλητών Σοφέ χάριτι, θεολαμπής, όθεν οι εν κόσμω, ευσεβώς σε γεραίρομεν.

Αίνον τώ Θεώ ημών, τάς σιαγόνας σου θλώμενος, Μάρτυς σοφέ, τώ σέ δυναμούντι, ευχαρίστως ανέμελπες.

Ρώμη θείου Πνεύματος, σύ κρατυνόμενος Πάνσοφε, τόν δυνατόν, χαίρων εν κακία, εταπείνωσας δράκοντα.

Θεοτοκίον

Στόματι καί γλώττη σε, Θεού πανάγιον τέμενος, ομολογώ, Πάναγνε, διό με, πάσης ρύσαι κολάσεως.

Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Κάθισμα Ήχος δ'
Επεφάνης σήμερον

Ως αστέρα μέγιστον, τή οικουμένη, ο Χριστός σε έδειξε, φωταγωγούντα τούς πιστούς, ταίς τών αγώνων σου λάμψεσι, Μάρτυς Ερμεία, Αγγέλων συνόμιλε.

Καί τής Εορτής

Ει τύχοι η νηστεία τών Αποστόλων

Δόξα... Καί νύν... Θεοτοκον
Ήχος δ' Επεφάνης σήμερον

Εν τή σκέπη πάναγνε, ττή σή Παρθένε, προσφυγόντων δέησιν, προσδεξαμένη παρ' ημών, μή διαλίπης πρεσβεύουσα, τώ φιλανθρώπω, σωθήναι τούς δούλους σου.

Η Σταυροθεοτοκίον

Επί ξύλου Δέσποινα, προσηλωμένον, τόν Υιόν σου βλέψασα, Παρθενομήτορ καί Θεόν, σύν οδυρμοίς ανεκραύγαζες, Πώς ταύτα πάσχεις, Υιέ μου καί Κύριε;

Ωδή δ'
Εισακήκοα Κύριε

Οι κρουνοί τών αιμάτων σου, τής πολυθεΐας τό πύρ κατέσβεσαν, τοίς πιστοίς δέ δρόσος ώφθησαν, αθλοφόρε Μάρτυς αξιάγαστε.

Υπεισήλθες απτόητος, τήν πυρακτωθείσαν Ένδοξε κάμινον, ως οι Παίδες δέ διέμεινας θεϊκή δυνάμει ακατάφλεκτος.

Τής Τριάδος τή χάριτι, Μάρτυς δροσιζόμενος μένεις άφλεκτος, τής φλογός

μέσον ιστάμενος, εν Τρισίν ημέραις παναοίδιμε.

Ο χορός τών Δυνάμεων, άνωθεν εσκόπει τήν γενναιότητα, καί τών πόνων σου τό εύτονον, αθλητά Ερμεία εκπληττόμενος.

Θεοτοκίον

Υπερύμνητε Δέσποινα, τόν έν τοίς Αγίοις αναπαυόμενον, υπέρ λόγον απεκύησας, διά τούτο ύμνοις σε γεραίρομεν.

## Ωδή ε'

### Ίνα τί με απώσω

Συντριβόμενος σώμα, Μάρτυς παναοίδιμε πολλαίς κολάσεσι, συντριβήν ειργάσω, απωλείας ξοάνων εν χάριτι, διά τούτο πάντων, τών ευσεβών χάριτι θεία, θεραπεύεις ψυχών τά συντρίμματα.

Πικροτάτων φαρμάκων, Μάκαρ καταπόσεσι μένεις απήμαντος, είς βεβαίαν πίστιν, εκκαλούμενος τούτων τόν πάροχον, μετακυλισθέντα, τή σή λαμπρά θαυματουργία, μαρτυρίου πρός κλέος υπέρλαμπρον.

Ουδαμώς παρετράπης, στάσεως τής κρείττονος Μακαριώτατε, τόν κρατύνοντά σε, καί στηρίζοντα καί κατευθύνοντα, τάς κινήσεις πάσας, τάς πρός αυτόν σου γινομένας, προορώμενος γνώμης ευθύτητι.

Θεοτοκίον

Νοεράν σε λυχνίαν, πάλαι ο Προφήτης κατείδεν εν Πνεύματι, κεκτημένην Κόρη, τό λαμπάδιον Χριστόν τόν Κύριον, τόν φωτί αρρήτω, πάντας ημάς φωταγωγούντα, τούς πιστώς σε τιμώντας πανάμωμε.

## Ωδή ς'

### Ιλάσθητί μοι Σωτήρ

Ολόκληρον πρός Θεόν, Παμμάκαρ έχων τήν έφεσιν, τούς πόνους καί σπαραγμούς, τού θείου σου σώματος, ώσπερ άλλου πασχοντος, εκαρτέρεις Χαίρων, τούς στεφάνους προορώμενος.

Υπέμεινας καρτερώς, τών νεύρων σου τήν αφαίρεσιν, Ερμεία Μάρτυς Χριστού, εχθρόν πολυμήχανον, εκνευρίζων χάριτι, καί ανδρείας πάσης, υποτύπωσις δεικνύμενος.

Στομούμενος τώ πυρί, τής τού Χριστού αγαπήσεως, ως δίστομος αληθώς, γεγένησαι μάχαιρα, στρατεύματα άθεα, ως στερρός οπλίτης, διακόπτων εμφανέστατα.

Θεοτοκίον

Θηλάζετς μητροπρεπώς, τόν νεύματι πάντας τρέφοντα, αγκάλαις περικρατείς, πανάμωμε Δέσποινα, τόν πάντας κατέχοντα, διά τούτο πίστει, κατά χρέος σε δοξάζομεν.

Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αί ανομίαι μου, καί εκ βυθού τών κακών,

ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

## Κοντάκιον τής Εορτής

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΛΑ' τού αυτού μηνός, Μνήμη τού Αγίου Μάρτυρος Ερμείου.

### Στίχοι

- Βαπτεις σεαυτόν κογχύλη σών αιμάτων,
- Ερμεία, Τμηθείς ώ βαφής ανεκπλυτου!
- Ερμείαν τριακοστή άορ κατέκτανε πρώτη.

Ταίς αυτού αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

## Ωδή ζ'

### Οι εκ τής Ιουδαίας

Εις Θεόν ατενίζων, τόν δυνάμενον σώζειν νοός ευθύτητι, υπήνεγκας τους πόνους, Ερμεία τούς γενναίους, αναμέλπων τού σώματος, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Ραντισμώ τών αιμάτων, τήν πυράν κατασβέσας τής αθεότητος, τήν φλόγα υπεισήλθες, εφλέχθης δέ ουδόλως, αναμέλπων πανόλβιε, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Μακφρίζει σε πάσα, Εκκλησία Ορώσα τάς αριστείας σου, τήν χάριν τών θαυμάτων, τής νίκης τά βραβεία, ά παρέσχε σοι Κύριος, Ερμεία Μάρτυς σοφέ, λαμπρώς ηγωνισμένω.

### Θεοτοκίον

Ωραιώθης Παρθένε, τόν εν κάλλει ωραίον Χριστόν κυήσασα, ημίν ομοιωθέντα, καί πάντας συντριβέντας, πρός ζωήν αναπλάσαντα, όθεν πιστώς σε αεί, δοξάζομεν εν ύμνοις.

## Ωδή η'

### Νικηταί τυράννου

Παρανόμων δόγμα, νόμω  κρατυνόμενος τής αληθείας, αθλητά Ερμεία, χαίρων εξεφαύλισας καί τοίς αγώσι, τοίς μεγίστοις μάκαρ, καρτερών απέλαβες, τάς εν τοίς υψίστοις, σκηνώσεις εις αιώνας.

Ου πτοούμαι πάσαν, αλγεινών επίτασιν προσγινομένην, ουδέ νέμω σέβας, τοίς μή ούσιν έκραζες θεοίς Παμμάκαρ, ένα μόνον σέβω, Ιησούν τόν Κύριον, τόν επί Ποντίου, Πιλάτου σταυρωθέντα.

Θύεσθαι προείλου, ως αρνίον άμωμον Μάρτυς Ερμεία, υπέρ τού τυθέντος, δι' ημάς ως πρόβατον, καί τάς θυσίας τάς βεβήλους πάσας, εκ τής γής εξάραντος, όθεν εν αινέσει αξίως σε υμνούμεν.

Θεοτοκίον

Ώφθης πλατυτέρα, ουρανών χωρήσασα Θεόν εν μήτρα, όν αεί δυσώπει, τής στενοχωρούσης με νύν αμαρτίας, ρύσασθαι Παρθένε, όπως πλατυνόμενος, έργοις ευσεβείας, πιστώς σε μακαρίζω.

Ο Ειρμός

«Νικηταί τυράννου, καί φλογός τή χάριτί σου γεγονότες, οι τών εντολών σου σφόδρα αντεχόμενοι Παίδες εβόων, Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

## Ωδή θ'

Εξέστη επί τούτω ο ουρανός

Ιδείν Κατηξιώθης απολυθείς, τής σαρκός αθλοφόρε πανεύφημε, τά αγαθά, άπερ προητοίμασέ σοι Θεός, καί τοίς σύν σοί αθλήσασι, καί καταβαλούσι τόν πονηρόν, μεθ' ων ημάς σωθήναι, τόν Κύριον δυσώπει, Μάρτυς Ερμεία αξιάγαστε.

Ωραίόν σου τό είδος καί πρό τής σής, εναθλήσεως όν ωραιότερον, ώφθη Σοφέ, μετά τούς αγώνας τούς θαυμαστούς, αγγελική λαμπρότητι, κατηγλαϊσμένον περιφανώς, διό καί πρός ωραίους, ανέδραμες νυμφώνας, νίκης στεφάνοις καλλυνόμενος.

Στρατείας αλογήσας τής επί γής, Βασιλεί ουρανίω  εστράτευσαι, Μάρτυς σοφέ, ού τή δυναστεία τή κραταιά, τάς τών δαιμόνων φάλαγγας, πάσας εξηφάνισας κραταιώς, καί νίκης τούς στεφάνους, νομίμως ανεπλέξω, υπέρ ημών πρεσβεύων πάντοτε.

Η μνήμη σου επέστη η φωταυγής, τάς ημών διανοίας φωτίζουσα, μαρμαρυγαίς, τών αγωνισμάτων σου τών στερρών, εν ή παρακαλούμέν σε, Έχων παρρησίαν πρός τόν Χριστόν, ικέτευε απαύστως, τυχείν ημάς ελέους, εν τή ημέρα  τής ετάσεως.

Θεοτοκίον

Φορέσας με προήλθε Θεός εκ σού, αφθαρσίας ενδύων με ένδθμα, τόν πονηρά, γνώμη γυμνωθέντα θείας στολής, Θεογεννήτορ Δέσποινα, πάντων τών ανθρώπων καταφυγή, Μαρτύρων στεφηφόρων, κραταίωμα καί τείχος, καί τών Αγγέλων αγαλλίαμα.

Ο Ειρμός

«Εξέστη επί τούτω ο ουρανός, καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις, σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι μεγαλύνουσιν».

Εξαποστειλάριον τής Εορτής

Καί τά λοιπά, ως σύνηθες, καί Απόλυσις

---

Αρχή

---

Αρχή

## ΤΗ Α' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Μάρτυρος Ιουστίνου τού Φιλοσόφου, καί ετέρου Ιουστίνου καί τών σύν αυτώ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια τών Αγίων.

Ήχος β
Ότε, εκ τού ξύλου σε νεκρόν

Ότε, αγνωσίας ο κρυμός, πάσαν επεκράτει τήν κτίσιν, ταίς επηρείαις εχθρού, καί εθεραπεύετο η τών είδώλων πληθύς, τότε ένδοξοι Μάρτυρες, προθύμω καρδία, ζέσει θείας πίστεως, τούτον επαύσατε, πόθω εκκενούντες τό αίμα, υπέρ τού τό, ίδιον αίμα, επί τόν Σταυρόν σαφώς κενώσαντος.

Πέων, ο γενναίος αθλητής, Βαλλεριανός καί Χαρίτων, καί Χαριτω σύν αυτώ, θείος, Ιουστίνός τε καί ο Ευέλπιστος, καί Ιέραξ ο ένδοξος, στολήν εξ αιμάτων, θείαν επιχρώσαντες, καί στολισάμενοι, άμα τώ Δεσπότη τών όλων, εν τοίς ουρανοίς μετ' Αγγέλων τώ παμβασιλεί Χριστώ παρίστανται.

Ότε, επινεύσει θεϊκή, πρός τούς υπέρ φύσιν αγώνας, προσεχωρήσατε, σώμα τό φθειρόμενον απαρνησάμενοι, τότε σθένει ρωννύμενοι, τού Παντοδυνάμου, πύρ ουκ επτοήθητε, ου ξίφη τέμνοντα, όθεν τώ Θεώ τόν αυχένα, κλίναντες μακάριον τέλος, έν αγαλλιάσει υπεδέξασθε.

Δόξα... Καί νύν... Θεοτοκίον

Σύ εί, τών Αγγέλων η χαρά, σύ εί τών ανθρώπων η δόξα, σύ τών πιστών η ελπίς, Δέσποινα πανάμωμε, καί προστασία ημών, καί πρός σέ καταφεύγοντες, εν πίστει βοώμεν, όπως ταίς πρεσβείαις σου, εκ τών βελών τού εχθρού, λύπης ψυχοφθόρου καί πάσης, θλίψεως ρυσθείημεν πάντες, οι ανευφημούντές σε Θεόνυμφε.

Η Σταυροθεοτοκίον

Πόνους υπομείνασα πολλούς, εν τή τού Υιού καί Θεού σου, σταυρώσει Άχραντε, έστενες δακρυούσα, καί ολολύζουσα, Οίμοι! τέκνον γλυκύτατον, αδίκως πώς πάσχεις, πάντας θέλων ρύσασθαι, τούς εξ Αδάμ γηγενείς; Όθεν Παναγία Παρθένε, σέ παρακαλούμεν εν πίστει, ίλεων ημίν τούτον απέργασαι.

Απολυτίκιον Ήχος δ'

Οι Μάρτυρές σου Κύριε, εν τή αθλήσει αυτών, στεφάνους εκομίσαντο τής αφθαρσίας, εκ σού τού Θεού ημών, σχόντες γάρ τήν ισχύν σου, τούς τυράννους καθείλον, έθραυσαν καί δαιμόνων τά ανίσχυρα θράση, Αυτών ταίς ικεσίαις Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τών Αγίων ο παρών.

Ωδή α' Ήχος β'

Δεύτε λαοί

Μαρτυρικαίς, ηγλαϊσμένοι φαιδρότησι, τώ καθαρώ παρίστασθε, Μάρτυρες βήματι, τού Δεσπότου τών όλων, ημίν αμαρτημάτων λύσιν βραβεύοντες.

Οι ευσεβείς, τής αληθείας υπέρμαχοι, τυραννικού πρό βήματος, αγωνισάμενοι, ομοφρόνως καθείλον, τήν πλάνην τού Βελίαρ σθένει τού Πνεύματος.

Δι' αικισμών, διά μαστίγων καί θλίψεων, οι ευσεβείς ωνήσαντο, Μεγαλομάρτυρες, τήν Χριστού βασιλείαν, εν ή στεφανηφόροι νύν πολιτεύονται.

Θεοτοκίον

Κατοικτιρών, σού τών χειρών τό πλαστούργημα, ο εν ελέει πλούσιος, μήτραν κατώκησας, απειράνδρου Παρθένου, καί ταύτην προστασίαν ημών ανέδειξας.

Ωδή γ'

Στερέωσον ημάς

Στερέωμα Χριστόν εν τή καρδία σου, κατέχων ανδρείως αντικατέστης, Ιουστίνε τώ δικάζοντι, ανομείν παρανόμως σε προστάττοντι.

Χορός θεολαμπής στρατός θεόλεκτος, Αγίων Μαρτύρων άγιος δήμος, αθροισθείς νύν κατεπάλαισε, δυσμενείς ασωμάτους μετά σώματος.

Τό σώμα αικισμοίς οι μεγαλόψυχοι, εκδόντες ηγάλλοντο προορώντες, τήν αιώνιον απόλαυσιν, καί τήν μέλλουσαν δόξαν καί λαμπρότητα

Θεοτοκίον

Ασπόρως εν γαστρί Θεόν συνέλαβες, καί τίκτεις αφράστως σεσαρκωμένον, εις όν βλέπειν ου τολμώσιν αεί, ουρανών αι δυνάμεις Αειπάρθενε.

Ο Ειρμός

«Στερέωσον ημάς, εν σοί Κύριε, ο ξύλω νεκρώσας τήν αμαρτίαν, καί τον

φόβον σου εμφύτευσον, εις τάς καρδίας ημών τών υμνούντων σε».

Κάθισμα  Ήχος πλ. δ'

Τόν συνάναρχον Λόγον

Ιουστίνος Χαρίτων, Πέων Ευέλπιστος, Χαριτω καί Ιέραξ καί Βαλλεριανός, οι φωστήρες οι φαιδροί οι καταυγάζοντες, τά πληρώματα τής γής, ταίς φρυκτωρίαις τών αυτών αγώνων, μεγαλοφώνως, ανευφημείσθωσαν πάντες, Χριστώ πρεσβεύοντες σωθήναι ημάς.

Θεοτοκίον

Η θερμή προστασία καί απροσμάχητος, η ελπίς η βεβαία καί ακαταίσχυντος, τείχος καί σκέπη καί λιμήν τών προστρεχόντων σοι, αειπάρθενε Αγνή, τόν Υιόν σου καί Θεόν, ικέτευε σύν Αγγέλοις, ειρήνην δούναι τώ κόσμω, καί σωτηρίαν καί μέγα έλεος.

Η Σταυροθεοτοκίον

Εν Σταυρώ σε ορώσα Χριστέ η Μήτηρ σου, εκουσίως εν μέσω ληστών κρεμάμενον, κοπτομένη μητρικώς τά σπλάγχνα έλεγεν, Αναμάρτητε Υιέ, πώς αδίκως εν Σταυρώ ώσπερ κακούργος επάγης, τό γένος τό τών ανθρώπων, ζωώσαι θέλων ως υπεράγαθος!

Ωδή δ'

Εισακήκοα Κύριε

Ιουστίνου Χαρίτωνος, καί Χαριτούς καί Πέωνος τούς άθλους, τών Αγγέλων τάγματα κατεπλάγησαν.

Συντριβόμενα σώματα, τοίς αικισμοίς τήν θείαν προεξένει, τοίς γενναιοτάτοις μακαριότητα.

Ευελπίστου Ιέρακος, τών ακλινών Μαρτύρων τήν ανδρείαν, οι τού σκότους άρχοντες επτοήθησαν.

Θεοτοκίον

Δυσωπούμέν σε Άχραντε, τήν τόν Θεόν ασπόρως συλλαβούσαν, τού αεί πρεσβεύειν υπέρ τών δούλων σου.

Ωδή ε'

Ο τού φωτός χορηγός

Πνεύματος θείου πλησθείς, τής πονηρίας τά δεινά πνεύματα, τοίς οχετοίς, Μάρτυς τών αιμάτων, τών σών Ιουστίνε, απέπνιξας μάκαρ, αθλήσας στερρότατα.

Η χαριτώνυμος, χάριτος έμπλεως Θεού γέγονε, καί γυναικών, επιλαθομένη σαφώς τού ασθενούς, ήθλησε νομίμως, καί δόξης ηξίωται.

Χαριτωθείς τήν ψυχήν, ομολογίαις Ιεραίς ήμβλυνας, τού παλαιού, εχθρού τήν κακίαν Χαρίτων αθλητά, θείων αθλοφόρων, σεπτόν εγκαλλώπισμα.

Θεοτοκίον

Σοί τή τεκούση Χριστόν, τόν τού παντός Δημιουργόν κράζομεν, Χαίρε η Αγνή, χαίρε η τό φώς ανατείλασα ημίν, χαίρε η χωρήσασα, Θεόν τόν αχώρητον.

### Ωδή ς'
### Εν αβύσσω πταισμάτων

Ουρανόθεν τήν κλήσιν δεξάμενος, ώσπερ ο θεσπέσιος Παύλος θεόσοφε, ευθυδρομήσας άριστα, μαρτυρίου τό στάδιον ήνυσας.

Ακυμάντως βασάνων τό πέλαγος, θεία κυβερνήσει διήλθετε Μάρτυρες, καί πρός λιμένα εύδιον, τής Χριστού βασιλείας εφθάσατε.

Απλανείς ως αστέρες εμπρέποντες, τώ τής Εκκλησίας σεπτώ, στερεώματι, τήν οικουμένην άπασαν, φωταυγείαις τών άθλων φωτίζετε.

### Θεοτοκίον

Απειράνδρως Παρθένε εκύησας, καί διαιωνίζεις Παρθένος εμφαίνουσα, τής αληθούς θεότητος, τού Υιού καί Θεού σου τά συμβολα.

### Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, Εκ φθοράς ο Θεός με ανάγαγε».

### Σ υ ν α ξ ά ρ ι ο ν

Τή Α' τού αυτού μηνός, Μνήμη τού Αγίου Μάρτυρος Ιουστίνου τού Φιλοσόφου.

### Στίχοι

- Ιουστίνον κώνειον ήρεν εκ βίου,
- Ως είθε πρώτον τούς πιείν δεδωκότας.
- Πρώτη Ιουνίου Ιουστίνε ελλεβορίζη.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Ιουστίνου, Χαρίτωνος, Χαριτούς, Ευελπίστου, Ιέρακος, Πέωνος καί Βαλλεριανού.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Φίρμου του Μάρτυρος.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Θεσπεσίου.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

### Ωδή ζ'
### Εικόνος χρυσής

Απάτης βυθόν, τών αιμάτων ποταμώ αποξηράναντες, κρουνούς θαυμάτων ανεβλύσατε, κατασβεννύοντες άνθρακας, Μάρτυρες δεινών παθημάτων, τών βοώντων εκάστοτε, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Σοφία Θεού, Ιουστίνος ο σοφός κεκοσμημένος, τήν τών Ελλήνων απεμώρανε, φιλοσοφίαν εν χάριτι, πείσας προσκυνείν τήν Τριάδα,

Ορθοδόξως κραυγάζειν τε, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Ενθέω πυρί, αγαπήσεως σοφοί ύλην κακίας, γενναιοφρόνως κατεφλέξατε, καί ως πυρσοί αναλάμψαντες, πάντων τών βοώντων καρδίας, ευσεβώς εφωτίσατε, Ευλογητός εί ό Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Σέ βάτον Μωσής, εν τώ όρει τώ Σινά πυρπολουμένην, προεθεώρει τήν ενέγκασαν, ακαταφλέκτως τήν άστεκτον, αίγλην τής αρρήτου ουσίας, ενωθείσης παχύτητι, σαρκός μιάς τών εν αυτή, αγίων υποστάσεων.

## Ωδή η'

### Τον εν καμίνω τού πυρός

Ως εν καμίνω τώ πυρί, τών βασάνων καρτερώς δοκιμασθέντες, Αθλοφόροι Κυρίου, υπέρ χρυσόν αληθώς, ενθέως βοώντες ηστράψατε, Σέ υπερυψούμεν, Χριστέ εις τούς αιώνας.

Σύν Ιουστίνω τώ σοφώ, ανυμνείσθω Χαριτώ Πέων Χαρίτων, καί ιέραξ ο μέγας, σύν Βαλλεριανώ, αθλήσει τήν πλάνην μειώσαντες, καί ταίς τών Αγγέλων, χορείαις συναφθέντες.

Πρός τήν αιώνιον ζωήν, επειγόμενοι σοφοί γενναιοφρόνως, τόν αυχένα τώ ξίφει, εν ομονοία ψυχής, οι πάντες εκλίνατε Μάρτυρες, θύματα καθάπερ, Θεώ προσενεχθέντες.

Θεοτοκίον

Μύρον κενούμενον ημίν, Θεοτόκε τόν Χριστόν κυοφορούσα, ευωδίασας κόσμον, εν θεοπνεύστοις οσμαίς, διό σοι τό Χαίρε κραυγάζομεν, καί υπερυψούμεν, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Τόν εν καμίνω τού πυρός, τών Εβραίων τοίς Παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον, μεταβαλόντα Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

## Ωδή θ'

### Τόν εκ Θεού Θεόν Λόγον

Θεία λαμπόμενοι δόξη, τόν κρυμόν τής απάτης ελύσατε, γενναίοι Αθληταί, καί κοινωνοί χρηματίσαντες Ιερών παθημάτων, τού σάρκα ειληφότος δι' ημάς, σύν αυτώ αιωνίως, εις ουρανούς αγάλλεσθε.

Τήν Ιουστίνου σοφίαν, Χαριτούς τήν ανδρείαν, Χαρίτωνος τήν τόλμαν αληθώς, Πέωνός τε Ιέρακος, τούς γενναίους αγώνας, καί Βαλλεριανού πρός τά δεινά, τήν πολλήν καρτερίαν, οι Άγγελοι εθαύμασαν.

Ώσπερ εν άρματι θείω, επιβάντες ενδόξως, τώ αίματι υμών πρός ουρανόν, χαρμονικώς ανεδράμετε, καί χειρί ζωηφόρω, τής νίκης εκομίσασθε Σοφοί, τούς στεφάνους απαύστως, υπέρ ημών πρεσβεύοντες.

Θεοτοκίον

Σωματωθείς απορρήτως, εξ άγνών σου αιμάτων, ως ήλιος επέφανεν ημίν, πάναγνε Μήτηρ ανύμφευτε, τών αιώνων απάντων, ο πρίν Πατρί συνάναρχος Υιός, καί τό σκότος διώξας, εφώτισε τά σύμπαντα.

Ο Ειρμός

«Τόν εκ Θεού Θεόν Λόγον, τόν αρρήτω σοφία, ήκοντα καινουργήσαι τόν Αδάμ, βρώσει φθορά πεπτωκότα δεινώς, εξ Αγίας Παρθένου, αφράστως σαρκωθεντα δι' ημάς, οι πιστοί ομοφρόνως, εν ύμνοις μεγαλύνομεν».

Καί τά λοιπά, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Β' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού έν Αγίοις Πατρός ημών Νικηφόρου, Αρχιεπισκόπου Κωνσταντινουπόλεως, τού Ομολογητού.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'

Ως γενναίον εν Μάρτυσιν

Αληθείας εδραίωμα, καί τής πίστεως έρεισμα, καί δογμάτων πρόβολον σέ γινώσκομεν, τής ευσεβείας συνήγορον, αγνείας τε σκήνωμα, καί δοχείον εκλεκτόν, ευωδίας τού Πνεύματος, καί παμμέγιστον, θησαυρόν διδαγμάτων καί κρηπίδα, τού Χριστού τής Εκκλησίας, Ιεροφάντα θεόπνευστε.

Αποστόλων διάδοχον, Αθλοφόρων ομότροπον, Ασκητών ομόζηλον ευφημούμέν σε, καί Διδασκάλων εκσφράγισμα, καί θείον εκτύπωμα, καί Χριστού μυσταγωγόν, Ιεράρχα μακάριε, καί θεόρρυτον, ποταμόν ιαμάτων τάς ανόμους, καί βλασφήμους διανοίας, κατακαλύπτοντα πάνσοφε.

Τής σοφίας τό τάλαντον, πλεονάσας Πανόλβιε, τής χαράς ηξίωσαι τού Κυρίου σου, πεποικιλμένος τή χάριτι, τής θείας ελλάμψεως, καί τή αίγλη νοητώς, αποστίλβων τού Πνεύματος, νύν παρίστασαι, δεξιά ζωηφόρω λαμπηδόσιν, ουρανίοις αενάως, καταστραπτόμενος ένδοξε.

Δόξα... Καί νύν... Θεοτοκίον

Μακαρίζω σε Πάναγνε, τήν βροτούς αφαρπάσασαν, εκ βυθού κακίας καί απογνώσεως, υμνολογώ σε Θεόνυμφε, τήν αειμακάριστον, καί δοξάζω σου Σεμνή, τήν απόρρητον κύησιν, ότι έτεκες, τόν Σωτήρα τού κόσμου, καί κατάρας, ηλευθέρωσας Παρθένε, προγονικής τό ανθρώπινον.

Η Σταυροθεοτοκίον

Ως εώρακε Κύριε, η Παρθένος καί μήτηρ σου, εν Σταυρώ κρεμάμενον εξεπλήττετο, καί ατενίζουσα έλεγε, Τί σοι ανταπέδωκαν, οι πολλών σου δωρεών, απολαύσαντες Δέσποτα; Αλλά δέομαι, Μή με μόνην εάσης εν τώ

κόσμω, αλλά σπεύσον αναστήναι, συνανιστών τούς προπάτορας.

Απολυτίκιον  Ήχος δ'

Κανόνα πίστεως, καί εικόνα πραότητος, εγκρατείας διδάσκαλον, ανέδειξέ σε τή ποίμνη σου, η τών Πραγμάτων αλήθεια, διά τούτο εκτήσω, τή ταπεινώσει τά υψηλά, τή πτωχεία τά πλούσια, Πάτερ Ιεράρχα Νικηφόρε, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τού Αγίου ο παρών, ού η Ακροστιχίς.

Τόν Νικηφόρον ως νικηφόρον άσμασι μέλπω.

Ποίημα Θεοφάνους.

Ωδή α'  Ήχος δ'

Θαλάσσης τό ερυθραίον

Τήν πράξιν τής θεωρίας έδειξας, σαφώς επίβασιν, τήν γάρ ψυχήν ρυθμίσας πρακτικώς, Νικηφόρε πανόλβιε, πρός θεωρίαν άριστον, τήν ακροτάτην ανεπτέρωσας.

Ο λόγος ωραϊσμένος πράξεσιν, ο βίος λόγω δέ, κεκοσμημένος ώφθη σου λαμπρώς, Νικηφόρε θεόληπτε, διό επί τού θρόνου σε, τού υψηλού Χριστός ανέθετο.

Νοσήσας τού Μαμωνά τήν αίρεσιν, Λέων ο δείλαιος, καί τή στερρά σοι πέτρα προσβαλών, Νικηφόρε συντέτριπται, καί θαυμαστή τις γέγονεν, η συμφωνία τής σοφίας σου.

Νεκρώσας τά επί γής φρονήματα, σύ δι' ασκήσεως, καί τήν ψυχήν ιθύνας εμμελώς, Νικηφόρε θεόπνευστε, πρός τούς λιμένας έφθασας, τής ακυμάντου καταστάσεως.

Θεοτοκίον

Ιάσω τήν συντριβήν Πανάμωμε, τής ανθρωπότητος, τόν ποιητήν τεκούσα τού παντός, τόν ημάς ανορθώσαντα, καταρραγέντας πτώματι, τών Προπατόρων Θεονύμφευτε.

Ωδή γ'

Ουκ εν σοφία

Κατακοσμήσας, αρετών ταίς ιδέαις τόν βίον σου, καί φωστήρ λόγον ζωής, σαφώς επέχων γενόμενος, Χριστού τήν πανίερον, ποίμνην εποίμανας.

Η θεορρήμων, καί πυρίνη σου γλώσσα καί ένθεος, τώ πυρί τώ νοητώ, τάς ακανθώδεις κατέφλεξεν, αιρέσεις θεόσοφε, Πάτερ αοίδιμε.

Φιλοσοφία, τής σοφίας τό βάθος ηρεύνησας, καί δογμάτων σου πλοκαίς, τούς αθετούντας εικόνα Χριστού, τρανώς απηγχόνησας, Αξιοθαύμαστε.

Θεοτοκίον

Ο μολογούντες, τόν Πατρί πρό αιώνων συνάναρχον, επ' εσχάτων εκ τής σής, γαστρός τεχθέντα Πανάμωμε, κυρίως δοξάζομεν, σέ Θεομητορα.

Ο Ειρμός

«Ουκ εν σοφία, καί δυνάμει καί πλούτω καυχώμεθα, αλλ' εν σοί τή τού Πατρός, ενυποστάτω σοφία Χριστέ, ού γάρ έστιν Άγιος, πλήν σου φιλάνθρωπε».

Κάθισμα Ήχος α'

Τόν τάφον σου Σωτήρ

Χοροί Πατριαρχών, τήν αγίαν σου μνήμην, εν ύμνοις καί ωδαίς, Νικηφόρε τιμώσι, προσθήκην γάρ εδέξαντο, τήν ψυχήν σου τήν ένδοξον, όθεν σήμερον, καί η σεπτή Εκκλησία, μεγαλύνουσα, τόν Βασιλέα δοξάζει, τόν μόνον φιλάνθρωπον.

Θεοτοκίον

Μητέρα σε Θεού, επιστάμεθα πάντες, Παρθένον αληθώς, καί μετά τόκον οφθείσαν, οι πόθω καταφεύγοντες, πρός τήν σήν αγαθότητα, σέ γάρ έχομεν, αμαρτωλοί προστασίαν, σέ κεκτήμεθα, εν πειρασμοίς σωτηρίαν, τήν μόνην πανάμωμον.

Η Σταυροθεοτοκίον

Ορώσά σε Χριστέ, η πανάμωμος Μήτηρ, νεκρόν επί Σταυρού, ηπλωμένον εβόα, Υιέ μου συνάναρχε, τώ Πατρί καί τώ Πνεύματι, τίς η άφατος οικονομία σου αύτη, δι' ής έσωσας, τό τών αχράντων χειρών σου, σοφόν δημιούργημα;

Ωδή δ'

Επαρθέντα σε ιδούσα

Ρώμη τή θεία τάς μύλας Ιεροφάντα, τών ασεβών συνέθλασας, τώ στερρώ σου λόγω, τούτους τροπωσάμενος, καί σέβειν εδίδαξας, θείον τού Σωτήρος εικόνισμα.

Ομολογία τήν θείαν Ιερωσύνην, περιφανώς εφαίδρυνας, Πάτερ Νικηφόρε, Λέοντος ωμότητι, υπεροριζόμενος, μύστα τών αρρήτων θεόληπτε.

Νεανικώς προϊστάμενος Νικηφόρε, τών ευσεβών δογμάτων, τής σεπτής Εκκλησίας, μάστιγι τών λόγων σου, τούς λύκους εδίωξας, πίστιν τήν ορθήν καπηλεύοντας.

Ως παράδεισον τήν καρδίαν σου κεκτημένος, ξύλον ζωής εν μέσω ταύτης πεφυτευμένον, πάσιν εφανέρωσας τόν λόγον τής Πίστεως, Πάτερ Νικηφόρε θεόπνευστε.

Θεοτοκίον
Σεσαρκωμένον τόν άσαρκον πρίν τεκούσα, Λόγον Θεού πανύμνητε Κεχαριτωμένη, Κόσμον ανεκαίνισας, διό σε Θεόνυμφε, πίστει ορθοδόξω γεραίρομεν.

Ωδή ε'
Σύ Κύριέ μου φώς
Νούν έχων καθαρόν, ουρανούς εμβατεύοντα, τής γνώσεως καί σοφίας, τό αμάραντον άνθος, εδρέψω Παμμακάριστε.

Ιάματα ψυχαίς, ορθοδόξοις εβράβευσας, τούς λόγους σου θεοφάντορ, τήν δέ γήν τών αφρόνων, κατέστρεψας τοίς δόγμασι.

Καί λόγον πρακτικόν, καί ζωήν έχων άμεμπτον, ως ήλιος εξαστράπτων, τής σεπτής Εκκλησίας, λαμπρύνεις τό στερέωμα.
Θεοτοκίον
Η λύσις τής αράς, τής προμήτορος γέγονας, Πανάμωμε συλλαβούσα, τόν ημάς ευλογίαις, ταίς θείαις στεφανώσαντα.

Ωδή ς'
Θύσω σοι, μετά φωνής
Φωσφόρος, ταίς ακτίσιν εκλάμπων τού Πνεύματος, ταίς Εκκλησίαις θεόφρον, ανεδείχθης στύλος ουρανομήκης, καί νεφέλη, πρός κληρουχίαν άγων ουράνιον.

Όλην σου, τήν ζωήν τώ Θεώ καθιέρωσας, διαφερόντως εντεύθεν, καί εις πάσαν άρχων τήν οικουμένην, κατεστάθης, Ιεροφάντα Πάτερ μακάριε.

Ρήγνυσι, τάς πλοκάς τών αθέων αιρέσεων, σού ο θεόπνευστος λόγος, τώ διστόμω ξίφει τού Παρακλήτου, τό δέ φεγγος, τής αληθείας πάσι προδείκνυσι.
Θεοτοκίον
Οι νόμοι, παραδόξως τής φύσεως λύονται, ότι Παρθένος νύν τίκτει, καί θηλάζει Κόρη απειρογάμως, συλλαβούσα, τόν τών απάντων Κτίστην καί Κύριον.
Ο Ειρμός
«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ Δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Κοντάκιον Ήχος δ'
Επεφάνης σήμερον
Τόν τής νίκης στέφανον, ώ Νικηφόρε, ουρανόθεν σήμερον, ως ειληφώς παρά Θεού, σώζε τούς πίστει τιμώντάς σε, ως Ιεράρχην ομού καί Διδάσκαλον.

Συναξάριον
Τή Β' τού αυτού μηνός, Μνήμη τού εν Αγίοις Πατρός ημών Νικηφόρου,

Αρχιεπισκόπου Κωνσταντινουπόλεως, τού Ομολογητού.

Στίχοι

- Τού Πατριάρχου Πατριάρχης πλησίον,
- Θείου γέροντος, Αβραάμ Νικηφόρος.
- Δευτερίη Νικηφόρος εις Εδέμ εύρατο μοίρην.

Τή αυτή ημέρα, οι άγιοι τριάκοντα όκτω μάρτυρες, εν Λουτρώ βληθέντες, τής θύρας εμφραγείσης τελειούνται.

Η αγία Μήτηρ μετά τών τριών αυτής τέκνων τελειούνται.

Ο όσιος Ιερομάρτυς Έρασμος, οεντώ Χερμελία τής Αχρίδος, εν ειρήνη τελειούται.

Αι διά τού αγίου Εράσμου Πιστεύσασαι τώ Χριστώ είκοσι χιλιάδες ξίφει τελειούνται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Εν τή Καμίνω

Ναόν σεζώντα, Θεού τού ζώντος επιστάμεθα, ένδον ως λυχνίαν έχοντα χρυσαυγή, τήν Τριάδα καί κραυγάζοντα, Ευλογημένος εί εν τώ Ναώ, τής δόξης σου Κύριε.

Αιρετιζόντων, τάς γλωσσαλγίας καταλέλυκας, πείθων τήν εικόνα σέβειν τήν τού Χριστού, Νικηφόρε τούς κραυγάζοντας, Ευλογημένος εί εν τώ Ναώ, τής δόξης σου Κύριε.

Σοφίας πλούτον, καί πολιτείαν έχων ένθεον, πάσαν διαβάς τήν αίσθησιν νοερώς, τώ Χριστώ ψάλλων παρίστασαι, Ευλογημένος εί εντώ Ναώ, τής δόξης σου Κύριε.

Θεοτοκίον

Μή διαιρούντες, τά ηνωμένα μηδέ συγχέοντες, ένα τόν Χριστόν δοξάζομεν τόν εκ σού, σαρκωθέντα Λόγον κράζοντες, Ευλογημένη, σύ εν γυναιξίν, υπάρχεις Πανάμωμε

Ωδή η'

Παίδες ευαγείς

Αίματι Χριστού λελυτρωμένος, τή γνώμη τόν δι' αυτόν υπέστης θάνατον, τής γάρ συνειδήσεως, ήνεγκας μαρτύριον, ομολογίας χάριτι κατ αλαμπόμενος, καί Κύριον υμνείτε κραυγάζων, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Σώμα καί ψυχήν κεκαθαρμένος, τόν λόγον τώ παντεπόπτη Λόγω τέθεικας, τούτον πρίν ασώματον άναρχον δεικνύοντα, καί συμπαθώς γενόμενον

άνθρωπον ύστερον, τόν Κύριον υμνείτε κραυγάζων, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ίνα κληρουχίας ουρανίου, καί δόξης αδιαδόχου τύχης ένδοξε, δόξαν τήν ευμάραντον, Πάτερ καταλέλοιπας, υπερορίας άπασαν φέρων πικρότητα, καί Κύριον υμνείτε κραυγάζων, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Μόνην καθαράν ο καθαρός σε, νυμφίος ο νοητός ευρών Πανάμωμε, κρίνον ευωδέστατον, άνθος ωραιότατον, καί φωτοφόρον θάλαμον νύμφην προσήκατο, διό σε τήν Παρθένον υμνούμεν, καί υπερυψούμεν εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν, τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, είς πάντας τούς αιώνας».

## Ωδή θ'

Λίθος αχειρότμητος

Εύρες τό μακάριον τέλος, υπεξελθόντων τών εσόπτρων, καί τής αληθείας φανείσης, τή θεωρία τού ακηράτου κάλλους, ούπερ νύν εμφορούμενος, ταίς σαίς πρεσβείαις ημών μέμνησο.

Λάρνακα κυκλούντες τήν θείαν, τού θεοφόρου Νικηφόρου, Δεύτε χριστοφόροι προθύμως, ως νικηφόρον τούτον υμνήσωμεν, καί τήν αυτού πανήγυριν, μετ' ευφροσύνης εορτάσωμεν.

Πάσαν αρετήν εξασκήσας, επί τώ τέλει τών αγώνων, τής ομολογίας τώ στέφει, Ιερομάρτυς ώφθης κοσμούμενος, ώ καθωραϊζόμενος τώ σώ Δεσπότη νύν παρίστασαι.

Θεοτοκίον

Ως ρίζαν πηγήν καί αιτίαν, τής αφθαρσίας σε Παρθένε, πάντες οι πιστοί πεπεισμένοι, ταίς ευφημίαις καταγεραίρομεν, σύ γάρ τήν ενυπόστατον, αθανασίαν ημίν έβλυσας.

Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Καί η λοιπή Ακολουθία ως σύνηθες, καί Απόλυσις

---

Αρχή

## ΤΗ Γ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Μάρτυρος Λουκιλλιανού.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'
Πανεύφημοι μάρτυρες

Τών κυριοκτόνων σε δεινοί, παίδες προδεδώκασι, φθόνω τηκόμενοι ένδοξε, καί ανδρισάμενος, ακαταγωνίστως, Παραδείσου είληφας, ώ Λουκιλλιανέ τήν απόλαυσιν, διό ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Παίδες οι πανίεροι πατρί, ώσπερ πειθαρχούντές σοι, σύν σοί αθλούσι στερρότατα, καί η αοίδιμος, καί Οσία Παύλα, Μάρτυς αξιάγαστε, μεθ' ών νύν κατοικών τά ουράνια, Χριστόν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Ιάσεων νάματα η σή, θήκη τοίς προστρέχουσιν, αναπηγάζει εκάστοτε, Μάρτυς πολύαθλε, καί εκπλύνει πάθη, καί βυθίζει φάλαγγας, δαιμόνων συνεργεία τού Πνεύματος, διό ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Εμέ τόν κατάκριτον εμέ, τόν αναπολόγητον, τόν απωσμένον καί άθλιον, Αγνή ελέησον, καί μή καταισχύνης, αλλά τάχος πρόφθασον, καί ρύσαι όταν μέλλη ο Κύριος, κρίνειν τά σύμπαντα, καί κολάσεως εξάρπασον όσα θέλεις, Σεμνή καί γάρ δύνασαι.

Η Σταυροθεοτοκίον

Ρομφαία διήλθεν ώ Υιέ, η Παρθένος έλεγεν, επί τού ξύλου ως έβλεψε, Χριστόν κρεμάμενον, τήν εμήν καρδίαν, καί σπαράττει Δέσποτα, ως πάλαι Συμεών μοι προέφησεν, Αλλά ανάστηθι, καί συνδόξασον αθάνατε, τήν Μητέρα, καί δούλην σου δέομαι.

Απολυτίκιον  Ήχος δ'

Τούς μάρτυρας Χριστού, ικετεύσωμεν πάντες, αυτοί γάρ τήν ημών, σωτηρίαν αιτούνται, καί πόθω προσέλθωμεν, πρός αυτούς μετά πίστεως, ούτοι βρύουσι τών ιαμάτων τήν χάριν, ούτοι φάλαγγας, αποσοβούσι δαιμόνων, ως φύλακες τής πίστεως.

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τής Οκτωήχου, καί τού Αγίου ο παρών, ού η Ακροστιχίς.

Λουκιλλιανού Μάρτυρος μέλπω κλέος.
Ποίημα Ιγνατίου.

Ωδήα'  Ήχος πλ. δ'
Υγράν διοδεύσας

Λόγου σε θείου θεραπευτήν, Μαρτύρων τό κλέος, ανυμνώ Λουκιλλιανέ, διό μοι πρεσβείαις σου παράσχου, τόν ιλασμόν τών κακών καί τήν ίασιν.

Όλη διανοία τε καί ψυχή, όλος ανεκράθης τη αγάπη τή τού Χριστού, καί τής τών ειδώλων εξαπάτης, καί ασθενείας Σοφέ κατεφρόνησας.

Υπέρ πάσαν δοξαν τήν επί γής, τήν διά βασάνων, δόξαν θείαν επιποθών, τής αγήρω δόξης θεομάκαρ, τών ουρανίων τερπνών κατετρύφησας.

Θεοτοκίον

Κλίμαξ ήν εώρακεν Ιακώβ, σύ εί Θεοτόκε, διά σού γάρ τοίς επί γής, ο Λόγος συνήφθη καί πρός ύψος, τήν τών ανθρώπων ουσίαν ανείλκυσεν.

Ωδή γ'
Σύ εί τό στερέωμα

Ιούδας προδέδωκε, τόν λυτρωτήν Χριστόν Κύριον, θεοκτόνοις, σέ δέ τοίς ανόμοις, Ιουδαίοι προέδωκαν.

Λόγοις σε ο βάσκανος, εξαπατάν θωπείαις πειρώμενος, ώφθη τοίς σοίς, λόγοις αντί λίθων, Αθλοφόρε βαλλόμενος.

Λύχνος φαεινότατος, τοίς συναθλούσί σοι γέγονας, φωταγωγών, εν ταίς θείαις τρίβοις, τής εκεί απολαύσεως.

Θεοτοκίον

Ίλεων γενέσθαι μοι, σέ δυσωπώ ταίς σαίς Δέσποινα, παρρησίαις, τόν εκ σού τεχθέντα, εν ημέρα τής κρίσεως.

Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί το φώς τών εσκοτισμένων, καί υμνεί σε, τό πνεύμα μου».

Κάθισμα  Ήχος α'
Τόν Τάφον σου Σωτήρ

Πυρί προσομιλών, ουδαμώς κατεφλέχθης, ώ Λουκιλλιανέ, αθλητά γενναιόφρον, τήν δρόσον γάρ εκέκτησο, τού Θεού αναψύχουσαν, όθεν ήνυσας, τούς υπέρ φύσιν αγώνας, αγαλλόμενος, μετά νηπίων Αγίων, μεθ' ών ημών μνήσθητι.

Θεοτοκίον

Μητέρα σε Θεού, επιστάμεθα πάντες, Παρθένον αληθώς, καί μετά τόκον φανείσαν, οι πόθω καταφεύγοντες, πρός τήν σήν αγαθότητα, σέ γάρ έχομεν, αμαρτωλοί προστασίαν, σέ κεκτήμεθα, εν πειρασμοίς σωτηρίαν, τήν μόνην Πανάμωμον.

Η Σταυροθεοτοκίον

Ορώσά σε Χριστέ, η Πανάμωμος Μήτηρ, νεκρόν επί Σταυρού, ηπλωμένον

εβόα, Υιέ μου συνάναρχε, τώ Πατρί καί τώ Πνεύματι, τίς η άφατος, οικονομία σου αύτη, δι' ής έσωσας, τό τών αχράντων χειρών σου, σοφόν δημιούργημα;

Ωδή δ'
Εισακήκοα Κύριε
Απαστράπτεις τοίς λόγοις σου, καί φωταγωγείς τόν κόσμον τοίς άθλοις σου, τών τυράννων δέ τήν ένστασιν, ως αχλύν διώκεις ανυπόστατον.

Νέος ώφθης εκ πίστεως, Αβραάμ ως πάλαι δικαιωθείς εν Χριστώ, επιγνώσει γάρ τού Κτίστου σου, απηρνήσω πάσαν ματαιότητα.

Ολετήρα τής πλάνης σε, καί τών αλγεινών παθών ιατήρα πιστοί, κεκλημένοι Μάρτυς ένδοξε, εντρυφώμεν πάντες τών ιάσεων.
Θεοτοκίον
Υπέρ νούν τό μυστήριον, τής κυοφορίας σου Μητροπάρθενε, εν γαστρί γάρ συλλαβούσα Θεόν, ανεκφράστω λόγω απεκύησας.

Ωδή ε'
Φώτισον ημάς
Μόνε ιατρέ, τών ψυχών καί τών σωμάτων ημών, τών Μαρτύρων ταίς εντεύξεσι, τών παθημάτων τήν οδύνην μου θεράπευσον.

Άνθος ιερόν, γεωργία τή τού Πνεύματος, ανεδείχθης Μάρτυς ένδοξε, τήν ευκαρπίαν εν τοίς άθλοις προβαλλόμενος.

Ρήματα ζωής, εν καρδία κεκτημένος Σοφέ, τών τυράννων τά θωπεύματα, τή σή ενστάσει απενέκρωσας αοίδιμε.
Θεοτοκίον
Τείχος αρραγές, καί λιμένα καί οχύρωμα, καί ελπίδα Θεομήτορ αγνή, καί θείον όπλον, κεκτημένοι σε σωζόμεθα.

Ωδή ς'
Ιλάσθητί μοι Σωτήρ
Υψώσας σου νοητώς, τόν τής ψυχής θείον έρωτα, πρός πύρ τό τυραννικόν, θαρρών, ηυτομόλησας, καί δρόσω τού Πνεύματος, σύν παι σίν εθάλφθης, Αθλοφόρε καρτερώτατε.

Ρωσθείσα Μάρτυς σοφέ, καί Παύλα ταίς υποθήκαις σου, ηνδρίσατο καρτερώς κατά τού αλάστορος, καί στέφανον ήρατο τής δικαιοσύνης, εκ χειρός τού αθλοθέτου Χριστού.

Ορών σου τό ακλινές, ως όρος Σιών ασάλευτον, ουκ ήνεγκεν ο εχθρός, αλλ' όμως αισχύνεται, καί πρός γήν πατούμενος, υπό σού θεόφρον, εν τώ σκάμματι συντρίβεται.
Θεοτοκίον

Συνείληφας αληθώς, τόν Θεόν Λόγον εν μήτρα σου, καί τούτον υπερφυώς, Πανάχραντε, τέτοκας, όν λιταίς ιλέωσαι, τών κινδύνων πάντας, εκλυτρώσασθαι τούς δούλους σου.

Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Γ' τού αυτού μηνός, Μνήμη τού Αγίου Μάρτυρος Λουκιλλιανού, Παύλης, καί τών σύν αυτοίς νηπίων, Κλαυδίου, Υπατίου, Παύλου καί Διονυσίου.

Στίχοι

- Λουκιλλιανός σύν τε Παύλα νηπίοις,
- Αίματι ωνήσαντο Μαρτύρων στέφη.
- Σταυρώ αμφί τρίτην Λουκιλλιανός τετάνυστο.

Τή αυτή ημέρα, Μνήμη τού εν αγίοις πατρός ημών Αθανασίου τού θαυματουργού.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Οι εκ τής Ιουδαίας

Μετά Παύλου εβόας, Ου χωρίσει με, Μάρτυς, εκ τής αγάπης Χριστού, ου κίνδυνος ου λύπη, λιμός τε ουδέ ξίφος, διό καί ανεκραύγαζες, ο τών Πατέρων ημών Θεός ευλογητός εί.

Εν τή πέτρα ερείσας, τή τής ομολογίας τούς θείους πόδας σου, ατίνακτος εδείχθης, τώ σάλω τών κυμάτων, διό καί ανεκραύγαζες, ο τών Πατέρων ημών Θεός ευλογητός εί.

Θεοτοκίον.

Λυτρωθείημεν πάντες, εκ παθών καί κινδύνων καί περιστάσεων, καί νόσων πολυτρόπων, πρεσβείαις σου πανάγνοις, Θεομήτορ κραυγάζοντες, ο τών Πατέρων ημών Θεός ευλογητός εί.

Ωδή η'

Τόν Βασιλέα τών ουρανών

Παρά τάς θείας ως αληθώς διεξόδους, φυτευθείς τής πίστεως Κυρίου, ξύλον ανεδείχθης, Παμμάκαρ ζωηφόρον.

Ωραιωθέντες οι αθληταί εν τώ κάλλει, τής Χριστού σεπτής ομολογίας, στέφος ουρανόθεν, εδέξαντο αξίως.

Θεοτοκίον

Κατακλιθέντα τοίς αλγεινοίς καί πεσόντα, διανάστησόν με Θεομήτορ, όπως

σε δοξάζω, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Τόν Βασιλέα τών ουρανών όν υμνούσι, στρατιαί τών Αγγέλων, υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδη θ'

Μεγαλύνομέν σε

Λογικού λειμώνος, άνθη βλέποντες, Χριστού ευωδέστατα, τούς Μάρτυρας σήμερον, τιμαίς μεγαλύνομεν.

Εωσφόροι φανέντες, αληθώς τή Εκκλησία, Χριστού τού Θεού, οι Μάρτυρες λάμπουσι, τής ομολογίας τό φώς.

Ο παθών οδύνας, ταίς ευχαίς τών, Αθλοφόρων ιώμενος, καμού νύν θεράπευσον, τό άλγος Φιλάνθρωπε.

Θεοτοκίον

Σέ καί τείχος καί σκέπην, καί αχείμαστον λιμένα Πανάμωμε, οι πιστοί κεκτήμεθα, δι' ής καί σωζόμεθα.

Ο Ειρμός

«Μεγαλύνομέν σε τήν Μητέρα τού Θεού, καί δοξάζομέν σε Θεοτόκε Παρθένε, ως Σωτήρα τεκούσαν τών ψυχών ημών».

Καί τά λοιπά, ως σύνηθες, καί Απόλυσις

---

Αρχή

## ΤΗ Δ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού εν Αγίοις Πατρός ημών Μητροφάνους, Αρχιεπισκόπου Κωνσταντινουπόλεως.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Στιχολογούμεν τήν α' στάσιν τού, Μακάριος ανήρ. Εις δέ τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'

Ως γενναίον εν Μάρτυσι

Τής Τριάδος τόν πρόμαχον, εθσεβείας τόν πρόβολον, όργανον τής χάριτος τό θεόπνευστον, τών Αποστόλων διάδοχον, Αγγέλων συνόμιλον, Εκκλησίας τού Χριστού, ακολούθως θεμέλιον, αρραγέστατον, Ιεράρχην τόν μέγαν Μητροφάνην, Ιεραίς εν υμνωδίαις, ανευφημήσωμεν σήμερον.

Ότε σκήπτρα βασίλεια, η τών πόλεων Άνασσα, κατ' αρχάς καί στέμματα ανεδέξατο, τότε σού πρώτου ημοίρησε, Παμμάκαρ Μητρόφανες, θεία ψήφω τού Χριστού, Ιεράρχου θεόφρονος προεξάρχοντος, τής αυτού Εκκλησίας καταλλήλως, τή ενθέω βιοτή σου, ανυψωθέντος λαμπρότατα.

Υπέρ ήλιον έλαμψας, ταίς ακτίσι τής χάριτος, πάνσοφε Μητρόφανες, καί λαμπρότησι, τών αρετών καί δογμάτων σου, τών θείων καί άπαντας, κατεφώτισας λαούς, εκδιδάσκων τρανότατα, ορθώς σέβεσθαι, ομοούσιον κράτος τής Τριάδος, καταισχύνων τάς Αρείου, ερεσχελίας τού άφρονος.

Έτερα Στιχηρά Προσόμοια

Ήχος πλ. β'
Όλην αποθέμενοι

Όλος ιερώτατος, καί θεοφόρος εδείχθης, χρίσμα θείον άγιον, εν αγίω Πνεύματι περικείμενος, καί φαιδρώς πάντοτε, προσχωρών Όσιε, τών Αγίων εις τά Άγια, καί ταίς λαμπρότησι, ταίς θεαρχικαίς αστραπτόμενος, καί χάριτι μυούμενος, τά σωτηριώδη μυστήρια, ως ιερομύστης, ως όντως Ιεράρχης ευκλεής, καί παρρησία δεόμενος, υπέρ τών ψυχών ημών.

Ήστραψεν ο βίος σου, τών αρετών λαμπηδόσι, παμμάκαρ Μητρόφανες, καί τής πλάνης ζόφωσιν διεσκέδασεν, αληθώς ώφθης γάρ, φωταυγής ήλιος, Ιεράρχα παμμακάριστε, καί νύν εσκήνωσας, ένθα φώς υπάρχει ανέσπερον, υιός ημέρας χάριτι, Πνεύματος Αγίου γενόμενος, όθεν, σου την μνήμην, τήν θείαν καί φωσφόρον καί σεπτήν, επιτελούντες Μητρόφανες, πόθω σε γεραίρομεν.

Ο νούς σου ταίς νεύσεσι, ταίς πρός τό θείον θεόφρον, πίστει καλλυνόμενος, καί λαμπρώς θεούμενος, παναοίδιμε, εν θνητώ σώματι, καί φθαρτώ πάνσοφε, αφθαρσίαν εμελέτησε, καί προσεκτήσατο, τήν τών ασωμάτων λαμπρότητα, παθών έξω γενόμενος, καί τή απαθεία κοσμούμενος, Πάτερ Ιεράρχα Μητρόφανες λαμπρότατε φωστήρ, καί πρεσβευτά τών ψυχών ημών, τών μακαριζόντων σε.

Δόξα... Ήχος β'

Τόν εν σαρκί ισάγγελον βίον σου, Άγγελοι καί άνθρωποι εθαύμασαν, ιερείς καί μονάζοντες ηυλαβήθησαν, βασιλείς τε καί άρχοντες ηδέσθησαν, Θεός δέ εδόξασεν, ο αυτός υπό σού δοξασθείς, όν νύν ημίν εξιλέωσαι, Πάτερ αγιώτατε.

Καί νύν... Θεοτοκίον

Παρήλθεν η σκιά τού νόμου, τής χάριτος ελθούσης, ως γάρ η βάτος, ουκ εκαίετο καταφλεγομένη, ούτω παρθένος έτεκες, καί παρθένος έμεινας, Αντί στύλου πυρός, δικαιοσύνης ανέτειλεν Ήλιος, αντί Μωϋσέως Χριστός, η σωτηρία τών ψυχών ημών.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος β'
Ότε, εκ τού ξύλου σε νεκρόν

Μέγας, ανεδείχθης αληθώς, σύ Αρχιερεύς τού Υψίστου, τής Εκκλησίας

φωστήρ, έρεισμα τής πίστεως, καί πύργος άσειστος, ευσεβών περιτείχισμα, ακλόνητος στύλος, κανών ακριβέστατος, αρχιερέων Χριστού, όθεν ευσεβώς σε τιμώμεν, καί τήν σήν πανίερον μνήμην, ιερώς γεραίρομεν Μητρόφανες.

Στίχ. Τίμιος εναντίον Κυρίου ο θάνατος τού Οσίου αυτού.

Άγει κατά χρέος η σεπτή, Πάτερ Εκκλησία αισίως, πανευκλεή εορτήν, εν τή θεία μνήμη σου, πιστούς ευφραίνουσαν, καί λαούς διεγείρουσαν, πρός δόξαν Κυρίου, καί ύμνον καί αίνεσιν τού σέ δοξάσαντος, Λόγου καί Θεού, όν δυσώπει, εκ παντός κινδύνου λυτρούσθαι, τούς αυτήν τελούντας πανσεβάσμιε.

Στίχ. Μακάριος ανήρ ο φοβούμενος τόν Κύριον.

Λύμην τής, Αρείου δυσσεβούς, Πάνσοφε αιρέσεως σβέσας, ως πύρ παμφάγον τοίς σοίς, δόγμασι κατέκλυσας, καθάπερ ύδασι, ποταμών αεί βρύουσι, τής σής εκ κοιλίας, οίσπερ δροσιζόμενοι πιστοί δοξάζομεν, ύμνοις ευσεβώς τήν Τριάδα, υπέρ ής θερμώς ηγωνίσω, πρός τήν αμαρτίαν ανθιστάμενος.

Δόξα... Ήχος πλ. β'

Σήμερον ανέτειλεν ημίν, τού Ιεράρχου η σεβάσμιος πανήγυρις, ως έαρ ηδύπνοον τούς πιστούς ευωδιάζουσα, καί πάσας συγκαλούσα τάς Εκκλησίας, πρός ευφροσύνην μυστικήν, Ιδού γάρ παραγίνεται, τή ετησίω μνήμη, χάριτας νέμων πνευματικάς, ο μέγας φωστήρ, χριστομύστης Μητροφάνης, ο λάμψας εν τώ κόσμω ευσεβείας ταίς ακτίσι, καί τό σκότος διώξας τής, Αρείου μανίας, εκ τού ύψους τής καθέδρας, ως από λυχνίας υψηλής, εν ή αξίως ετέθη, τή άνωθεν προμηθεία, τάς αυγάς εξαστράπτων τής χάριτος, ού γάρ έδει τόν λύχνον υπό τόν μόδιον κρύπτεσθαι, Διό πάντες αυτόν κατά χρέος ανυμνήσωμεν, ως κήρυκα τής αληθείας, καί τού θρόνου κοσμήτορα, καί πρεσβεύοντα υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον  Ήχος πλ. β'

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής. Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Απολυτίκιον  Ήχος α'

Τού λίθου σφραγισθέντος

Τό μέγα τής Τριάδος μυστήριον κηρύττων, τήν εν Χριστώ οικονομίαν διετράνωσας πάσιν, ως ποίμνης ποιμήν τής λογικής, διώξας λύκους τούς νοητούς, καί τά θρέμματα τής τούτων φθοροποιού λύμης σώσας βοώντα, Δόξα τώ δεδωκότι σοι ισχύν, δόξα τώ σέ υψώσαντι, δόξα τώ βεβαιούντι διά σού πίστιν τήν ορθόδοξον.

Θεοτοκίον

Τού Γαβριήλ φθεγξαμένου σοι Παρθένε τό Χαίρε, σύν τή φωνή εσαρκούτο ο τών όλων Δεσπότης, εν σοί τή αγία κιβωτώ, ως έφη ο δίκαιος Δαυϊδ, εδείχθης

πλατυτέρα τών ουρανών, βαστάσασα τόν Κτίστην σου. Δόξα τώ ενοικήσαντι εν σοί, δόξα τώ προελθόντι εκ σού, δόξα τώ ελευθερώσαντι ημάς διά τού τόκου σου.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα  Ήχος γ'
Θείας πίστεως

Δόγμα ένθεον επικρατύνας, επεστηριξας τήν Εκκλησίαν, ώ Μητρόφανες, καταισχύνας τόν Άρειον, τώ γάρ Πατρί τόν Υιόν ομοούσιον, ανακηρύξας πιστούς εβεβαίωσας, Πάτερ Όσιε, Χριστόν τόν Θεόν ικέτευε, δωρησασθαι ημίν τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Θείας φύσεως ουκ εχωρίσθη, σάρξ γενόμενος εν τή γαστρί σου, αλλά Θεός ενανθρωπήσας μεμένηκεν, ο μετά τόκον Μητέραπαρθένον σε, ως πρό τού τόκου φυλάξας πανάμωμον, μόνος Κύριος, αυτόν εκτενώς ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Μετά τήν β' Στιχολογίαν

Κάθισμα  Ήχος γ'
Θείας πίστεως

Νέος γέγονας Μωσής τοίς έργοις, πλάκας πίστεως επί τού όρους, τής μυστικής θεοφανείας δεξάμενος, νομοθετήσας λαοίς τήν ευσέβειαν, τού τής Τριάδος μυστηρίου Μητρόφανες, όθεν άπαντες, τιμώμεν πιστοί τήν μνήμην σου, αιτούντες διά σού τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Θεία γέγονας σκηνή τού Λόγου, μόνη πάναγνε Παρθενομήτορ, τή καθαρότητι Αγγέλους υπερέχουσα, τόν υπέρ πάντας εμέ γούν γενόμενον, ρερυπωμένον σαρκός πλημμελήμασιν, αποκάθαρον, πρεσβειών σου ενθέοις νάμασι, παρέχουσα σεμνή τό μέγα έλεος.

Μετά τόν Πολυέλεον

Κάθισμα  Ήχος πλ. δ'
Τήν Σοφίαν καί Λόγον

Κατά παθών βασιλεύσας τών τής σαρκός, Ιεράρχης εχρίσθης θεοπρεπώς, καί τήν Βασιλεύουσαν, ορθοδόξως εποίμανας, απελάσας θήρας, αιρέσεων Όσιε, βακτηρία λόγων, τών θείων θεόπνευστε, όθεν μετά τέλος, ατελεύτητον χάριν, αξίως κεκλήρωσαι, Ιεράρχα Μητρόφανες, διά τούτο βοώμέν σοι, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω τήν αγίαν μνήμην σου.

Δόξα... Καί νύν... Θεοτοκίον

Τήν ουράνιον Πύλην καί Κιβωτόν, τό πανάγιον Όρος τήν φωτεινήν, Νεφέλην υμνήσωμεν, Βάτον τήν ακατάφλεκτον, τόν λογικόν Παράδεισον, τήν τής Εύας ανάκλησιν, τής οικουμένης πάσης, τό μέγα κειμήλιον, ότι σωτηρία, εν αυτή διεπράχθη, τώ κόσμω καί άφεσις, τών αρχαίων εγκλημάτων, διά τούτο βοώμεν αυτή, Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς ανυμνούσιν αξίως τήν δόξαν σου Άχραντε.

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί Αντίφωνον Α'

- Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.
- Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον

Τό στόμα μου λαλήσει σοφίαν.
Στίχ. Ακούσατε ταύτα πάντα τά έθνη.

Πάσα πνοή. Ευαγγέλιον εις Ιεράρχας. ο Ν'

Δόξα... Ταίς τού Ιεράρχου...
Καί νύν... Ταίς τής Θεοτόκου...

Στίχ. Ελέησόν με ο Θεός...

Ήχος β'

Τόν εν σαρκί ισάγγελον βίον σου, Άγγελοι καί άνθρωποι εθαύμασαν, ιερείς καί μονάζοντες ηυλαβήθησαν, βασιλείς τε καί άρχοντες ηδέσθησαν, Θεός δέ εδόξασεν, ο αυτός υπό σού δοξασθείς, όν νύν ημίν εξιλέωσαι, Πάτερ αγιώτατε.

Ο Κανών τής Θεοτόκου μετά τών Ειρμών εις ς' καί τού Αγίου οι δύο εις η'.

Ο Κανών τού Αγίου, ού η' Ακροστιχίς.

Τόν αρχιθύτην Μητροφάνην αινέσω.
Εν δέ τοίς Θεοτοκίοις.
Ο Μαλαξός.

Ωδή α' Ήχος δ'
Ανοίξω τό στόμα μου

Τήν θείαν τού Πνεύματος, χάριν εξ ύψους παράσχου μοι, Θεού Λόγε άναρχε, φωτίζουσάν μου τόν νούν, ευφημήσαί σου, τόν μέγαν Ιεράρχην, τόν σέ ομοούσιον, Πατρί κηρύξαντα.

Ο βίος σου ένθεος, ο τρόπος δέ σου θεόληπτος, ο ζήλος διάπυρος, τό ήθος σεμνοπρεπές, ο δέ λόγος σου ζωής πλήρης θεόφρον, όθεν ανεδέδειξαι φωστήρ Μητρόφανες.

Ναός εχρημάτισας, τής τρισηλίου θεότητος, καί πόλις σύ έμψυχος ευφραινομένη Θεού, ώσπερ ύδασι, τοίς δόγμασι Παμμάκαρ, δι' ών κατεφαίδρυνας κόσμου τά πέρατα.

Ανοίξας τό στόμα σου, λόγω Θεού πνεύμα είλκυσας, καί ρήματα έβλυσας, τής αιωνίου ζωής, καί εκύρωσας, ενώπιον Συνόδου, πίστιν τήν ορθόδοξον, σοφέ Μητρόφανες.

Θεοτοκίον

Ο Λόγος ο Άναρχος, ο τώ Πατρί συννοούμενος, καί τώ θείω Πνεύματι, νύν επ' εσχάτων εκ σού, σάρξ γεγένηται, καί εν ημίν δι' οίκτον, εσκήνωσεν Άχραντε, ώσπερ ηυδόκησεν.

Έτερος Κανών τού Αγίου, ού η' Ακροστιχίς.

Μέγιστον υμνώ τού Μητροφάνους κλέος.

Ποίημα Θεοφάνους.

Ωδή α' Ήχος πλ. β'

Ως εν ηπείρω πεζεύσας

Μετά τής άνω χορείας ως Ιερεύς, ως Θεού διάκονος, παρεστώς υπέρ ημών, εκτενώς ικέτευε τυχείν, αιωνίων αγαθών, Πάτερ Μητρόφανες.

Εκλελεγμένος Κυρίω Ιερουργείν, τό σεπτόν μακάριε, Ευαγγέλιον αυτού, εις Θεού επίγνωσιν λαούς, παραινέσεσι σοφαίς, Πάτερ επέστρεψας.

Γνώσιν τήν θείαν πλουτήσας λόγον ζωής, εκ καρδίας έβλυσας, καταρδεύοντα ψυχάς, χερσωθείσας πάθεσι σοφέ, Ιεράρχα τού Θεού, θεομακάριστε.

Θεοτοκίον

Ιερωτάτη χορεία τών Προφητών, προεδήλου πόρρωθεν, εσομένην σε Θεού, αληθή λοχεύτριαν Αγνή, ανωτέραν Χερουβίμ, καί πάσης κτίσεως.

Ωδή γ'

Τούς σούς υμνολόγους

Ρητόρων απάσας φληναφίας, διέλυσας, Μάκαρ ταίς στερραίς, ενστάσεσι τών λόγων σου, καί αδρανείς απέδειξας, ισχύϊ τή θεόθεν σοι, χορηγηθείση θεόσοφε.

Χριστού οπαδός γεγενημένος, τόν θρόνον τόν τούτου επί γής, εκληρώσω Μητρόφανες, πρώτον εις πόλιν Άνασσαν, Πατριαρχών δεικνύμενος, αξίως θεομακάριστε.

Ιδών σου το εύθετον τής γνώμης, ο πρώτος Ανάκτων ευσεβών, τώ θείω εφεπόμενος, βουλήματι Μητρόφανες, Πατριαρχών σε πρόκριτον, θεία Συνόδω απέφηνε.

Θαυμάσασα Σύνοδος η πρώτη, τήν λάμπουσαν χάριν τών εν σοί, δωρημάτων τού Πνεύματος, τή θεία ψήφω Όσιε, Θεού καί τή τού Άνακτος, ακολουθούσα δοξάζει σε.

Θεοτοκίον

Μεγάλων χαρίτων ηξιώθης, Μαρία Κυρία τού παντός, ως τόν Θεόν γεννήσασα, εν σαρκί υπέρ έννοιαν, τόν εν ταυτώ σε δείξαντα, Παρθένον καί Θεομήτορα.

Έτερος

Ουκ έστιν Άγιος

Σταλάζων θείον γλυκασμόν, εκ χειλέων σου Πάτερ, τής πικράς αθεϊας, απεξήρανας κρουνούς, ποτίσας τούς ευσεβείς, θείον ύδωρ, μάκαρ επιγνώσεως.

Τή θεία ψήφω προκριθείς, Ιεράρχης εχρίσθης, αναιμάκτους θυσίας, αναφέρων τώ Θεώ, τυθέντι υπέρ ημών, θεοφόρε, Πάτερ Ιερώτατε.

Ο τάφος ένθα τό σεπτόν, σού κατάκειται σώμα, ευωδίαν εκπέμπει, ως Παράδεισος Θεού, ευωδιάζων ημάς, Ιεράρχα ένδοξε Μητρόφανες.

Θεοτοκίον

Νοείν τού τόκου σου Αγνή, τό απόρρητον βάθος, απορεί νούς ανθρώπων, ο Θεός γάρ εαυτόν, κενώσας δι' οικτιρμούς, εν γαστρί σου, έσωσε τόν άνθρωπον.

Κάθισμα  Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Αποστόλων τούς τρόπους καί τάς φωνάς, εκμιμούμενος ώφθης παναληθώς, ως Πέτρος γάρ ενώπιον, τής Συνόδου εκήρυξας, τώ Θεώ Πατρί Λόγον, Υιόν ομοούσιον, Ιωάννου πλουτήσας, θεόφθογγα ρήματα, ώσπερ δέ ο Παύλος, τήν ψυχήν υπέρ ποίμνης, τέθυκας αοίδιμε, κατά δέ τόν Πρωτόκλητον, τόν ποθούμενον έδειξας, Διό πρέσβευε σύν αυτοίς τώ Χριστώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Θεοτοκίον

Παναγία Παρθένε Μήτηρ Θεού, τής ψυχής μου τά πάθη τά χαλεπά, ίασαι δέομαι, καί συγγνώμην παράσχου μοι, τών εμών πταισμάτων, αφρόνως ών έπραξα, τήν ψυχήν καί τό σώμα, μολύνας ο άθλιος, Οίμοι! τί ποιήσω, εν εκείνη τή ώρα, ηνίκα οι Άγγελοι, τήν ψυχήν μου χωρίζουσιν, εκ τού αθλίου

μου σώματος; Τότε Δέσποινα βοήθειά μοι γενού, καί προστάτης θερμότατος, σέ γάρ έχω ελπίδα, ο ανάξιος δούλός σου.

Ωδή δ'

Ο καθήμενος εν δόξη

Υψωθείς επί καθέδραν, ακροτάτην εκάθισας, καί Πατήρ Πατέρων, σύ περιφανώς εχρημάτισας, υμνολογών καί δοξάζων, τόν Δεσπότην σου, εκβοών αυτώ, Δόξα Χριστέ τή δυνάμει σου.

Τήν πρός Πέτρον εκπληρώσω, τού Χριστού φωνήν Όσιε, εν τή σή γάρ πέτρα, τής ομολογίας επήξατο, τής Εκκλησίας τά βάθρα, ής ουδέποτε, κατισχύσαι πύλαι τού Άδου δυνήσονται.

Η θρησκεία τών ειδώλων, διδαχαίς ταίς ενθέοις σου, εις Θεού λατρείαν, Πάτερ προφανώς μετενήνεκται, τά ειδωλεία δέ τούτων εις ναούς σεπτούς, μεταβέβληται, θείαν στολήν εισδεχόμενα.

Θεοτοκίον

Απορρήτως τόν Δεσπότην, τών απάντων γεγέννηκας, καί τεκούσα τούτον, Κόρη αειπάρθενος έμεινας, καί Θεοτόκος εδείχθης κατ' αλήθειαν, όθεν Δέσποιναν, σέ τού παντός καταγγέλλομεν.

Έτερος

Χριστός μου δύναμις

Υπάρχων έμπλεως, τού θείου Πνεύματος, ιερώτατε Πάτερ τά πονηρά, πνεύματα απήλασας, καί Θεού οίκους τούς βροτούς, διδαχαίς σου απετέλεσας.

Μονάδα άκτιστον, εθεολόγησας, έν τρισί χαρακτήρσι διαιρετήν, άτμητον ασύγχυτον, φωταγωγών τούς ευσεβείς, ιεραίς θεολογίαις σου.

Νεκρώσας πρότερον, σαρκός σκιρτήματα, εγκρατεία καί πόνοις καί προσευχαίς, θείος εχρημάτισας, ιερουργός τού Πλαστουργού, Ιερώτατε Μητρόφανες.

Θεοτοκίον

Ως πύλην φέρουσαν, πρός θείαν είσοδον, ως Παράδεισον θείον ως νοητόν, τόπον αγιάσματος, ως καλλονήν τού Ιακώβ, τήν Παρθένον μακαρίσωμεν.

Ωδή ε'

Εξέστη τά σύμπαντα

Νυκτί Προσκαθήμενον, καί σκότει λαόν Πάνσοφε, ειδωλομανίας τώ φωτί σου, καί τών διδαγμάτων εφωταγώγησας, καί θεογνωσίας αστραπαίς, πάντας κατεφαίδρυνας, ως λαμπτήρ παμφαέστατος.

Μονάδα Τρισάριθμον, Τριάδα ομοούσιον, μίαν θεαρχίαν εν προσώποις, τρισίν υπάρχουσαν αδιαίρετον, άτμητον ασύγχυτον απλήν, πάσιν

ανεκήρυξας, ορθοδόξως Τρισόλβιε.

Ηλίου λαμπρότερον, εξέλαμψας Μητρόφανες, σύ γάρ τής απάτης σκότος λύεις, καί δραπετεύεις ζοφώδεις δαίμονας, νύκτας τών παθών αποσοβείς, καί δεινήν σκοτόμαιναν, φυγαδεύεις αιρέσεων.

Θεοτοκίον

Λυτήριον εύρατο, τόν τόκον σου Θεόνυμφε, φύσις γηγενών τής πρίν κατάρας, καί ευλογίας θεοπρεπούς πλουτισμόν, όθεν ευλογούμέν σε Πιστοί, πάντες καί δοξάζομεν, Μαριάμ Παντευλόγητε.

Έτερος

Τώ θείω φέγγει σου

Τά θεία θείως επιτελών, καί καθαρωτάτω λογισμώ, τών καθαρών εφαπτόμενος, άμεμπτος εδείχθης ιερουργών τώ Θεώ, απλότητι καρδίας, Πάτερ Μητρόφανες.

Οι τών ειδώλων θεραπευταί, ώφθησαν Θεού νύν λατρευταί, σού ταίς σεπταίς παραινέσεσιν, ούσ εξ αναξίων αξίους εξαγαγών, θεράπων ανεδείχθης τού Παντοκράτορος.

Υπό τής χάριτος προσκληθείς, έλυσας αυχμόν ειδωλικόν, ταίς επομβρίαις τών λόγων σου, καί κεχερσωμένας καρδίας Όσιε, γονίμους απειργάσω Πνεύματος χάριτι.

Θεοτοκίον

Μετά τήν κύησιν τήν φρικτήν, έμεινας Παρθένος ως τό πρίν, Θεός γάρ ήν τό τικτόμενον, ο μετασκευάζων πάντα βουλήματι, ανύμφευτε Μαρία θεοχαρίτωτε.

Ωδή ς'

Τήν θείαν ταύτην

Τό θείον σκεύος τού Πνεύματος, τόν άνθρωπον Θεού τόν ουράνιον, ένσαρκον Άγγελον, ιεραρχίαις αγλάϊσμα, τόν σοφόν Μητροφάνην ύμνοις τιμήσωμεν.

Ρημάτων θείων η δύναμις, καί φθόγγος τών ενθέων λογίων σου, πάντα διέδραμε, τής οικουμένης τά πέρατα, ορθοδοξίαν πάσι Μάκαρ κηρύττοντα.

Ο πάντα καί πρό γενέσεως, γινώσκων ως Θεός ώ Μητρόφανες, σέ εκ κοιλίας μητρός, προεγνωκώς καθηγίασε, καί Πνεύματος δοχείον σέ απειργάσατο.

Θεοτοκίον

Απόρρητός σου η σύλληψις, ανέκφραστος ο τόκος Θεόνυμφε, καί ανερμήνευτον, τό τής αγνείας μυστήριον, διό σε πίστει μόνη αεί δοξάζομεν.

Έτερος

Τού βίου τήν θάλασσαν

Η γλώσσά σου Πνεύματι, τεθηγμένη νοητώς, ως γραμματέως κάλαμος, καλλιγραφεί καρδίας τών ευσεβών, τόν λόγον τής χάριτος, ιερώτατε Πάτερ θείω πνεύματι.

Τά θεία μυούμενος, ως χωρών πρός νοητά, τά τών Αγίων Άγια, μυσταγωγείς εν Πνεύματι τούς πιστούς, Τριάδος τήν έλλαμψιν, Ιερώτατε Πάτερ τελεώτατα.

Ροαίς τών δογμάτων σου, κατακλύσας θολερά τής αθεϊας ύδατα, ως ποταμός ωράθης τά ευσεβή, αρδεύων συστήματα, τών πιστών Ιεράρχα πανσεβάσμιε.

Θεοτοκίον

Ο λόγος εν μήτρα σου, παχυνθείς άνευ σποράς, βροτός ωράθη τέλειος, καινοτομών τάς φύσεις θεοπρεπώς, ως μόνος επίσταται, Θεοκόσμητε Κόρη παναμώμητε.

Κοντάκιον Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ

Τόν Ιεράρχην τού Χριστού Μητροφάνην, τής Εκκλησίας τόν φωσφόρον λαμπτήρα, τόν ομοούσιον τόν Λόγον τώ Πατρί, εν μέσω κηρύξαντα, θεοφόρων Πατέρων, καί θρόνον κοσμήσαντα, Βασιλίδος εν πρώτοις, καί προφητείας χάριν εκ Θεού, σαφώς λαβόντα, συμφώνως υμνήσωμεν.

Ο Οίκος

Ο μυστολέκτης των Θεού αρρήτων μυστηρίων, Απόστολος ο μέγας Παύλος, τό στόμα τού Χριστού, πόρρωθεν προβλέπων τό μέλλον, προέγραφεν τόν άξιον τού θρόνου τής τών πόλεων Βασιλίδος, Τοιούτος ημίν, φάσκων, έπρεπεν Αρχιερεύς, όσιος καί άκακος, δίκαιος καί αμίαντος, κεχωρισμένος από τών αμαρτωλών, καί ηνωμένος τώ πνεύματι ταίς άνω ουρανίαις Δυνάμεσιν ός, έχων παρρησίαν εις τήν είσοδον τών Αγίων, παρίσταται αεί τώ θρόνω τής χάριτος, αιτούμενος δοθήναι ημίν έλεος, καί χάριν ευρείν εις εύκαιρον βοήθειαν, Αυτόν ούν χρεωστικώς ανευφημούντες, ως χάριν εκ Θεού σαφώς λαβόντα, συμφώνως υμνήσωμεν.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Δ' τού αυτού μηνός, Μνήμη τού εν Αγίοις Πατρός ημών Μητροφάνους, Αρχιεπισκόπου Κωνσταντινουπόλεως.

Στίχοι

- Γής μητρός εκστάς, Μητρόφανες παμμάκαρ,
- Εκεί μετήρας, ού Πατήρ πάντων μέγας.
- Μητροφάνης δέ τετάρτη έδυ χθόνα βωτιάνειραν.

Μνήμη τής οσίας μητρός ημών Σοφίας τής ασκητικώς βιωσάσης.

Ο άγιος οσιομάρτυς Ιωάννης, ο ηγούμενος τής μονής Μοναγρίας, εν σάκκω βληθείς καί τή θαλάσση καταποντισθείς τελειούται.

Ο όσιος Αλώνιος εν ειρήνη τελειούται.

Αι άγιαι Μαρία καί Μάρθα, αδελφαί τού Λαζάρου, εν ειρήνη τελειούνται.

Στίχοι

- Εκ Βηθανίας τάς αδελφάς Λαζάρου,
- Σώζειν δύνασθαι καί νεκράς πιστευτέον.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Ουκ ελάτρευσαν

Φώς ανέτειλε τής ευσεβείας Όσιε, πάσι τοίς πέρασιν, εν τώ ευθέτω καιρώ, τής ιεραρχίας σου, διό καί έψαλλες, Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Απεκάλυψας τούς μέλλοντας τώ Άνακτι, εμπνευσθείς άνωθεν, καί μέχρι Τρίτου Σοφέ, διαδεξαμένους σου, θρόνον καί φρόνημα, ευσεβέστατον, ως τής Τριάδος γνήσιος, καί πιστότατος θεράπων.

Νέονον παίδα μέν Χριστός ενστερνισάμενος, θεοφορούμενον, καί Ιεράρχην σοφέ, καί Μάρτυρα έδειξε, σύ δέ μιμούμενος, τούτον Πάνσοφε, τόν νέον Παύλον έσεσθαι, σού διάδοχον προέφης.

Η τού Πνεύματος σοί χάρις ενοικήσασα, προφήτην έδειξε, προβλέποντα τά μακράν καί σαφώς προλέγοντα, όθεν προείρηκας, τοίς αιτούσί σε, περί πολλών θεσπέσιε, καί σής θείας εκδημίας.

Θεοτοκίον

Ξύλου βρώσεως γευσάμενοι προπάτορες απεστερήθησαν, τής Παραδείσου τρυφής, ημείς δέ γευόμενοι, σαρκός τού τόκου σου, Θεονύμφευτε, τήν εν Εδέμ απόλαυσιν, καί ζωήν κληρονομούμεν.

Έτερος

Δροσοβόλον μέν τήν κάμινον

Φωτιζόμενος τού Πνεύματος τή χάριτι, ταίς πρός τό θείον νεύσεσι, Καί μεθέξεσι, φωτοβόλος γέγονας αστήρ, φωτίζων τούς ψάλλοντας Σοφέ, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Αγιώτατος ναός αγλαϊζόμενος, ταίς εναρέτοις πράξεσι, σύ γενόμενος ενοικούσαν έσχες ιερώς, εν σοί τήν Τριάδα εκβοών, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Νυσταγμόν από βλεφάρων απωσάμενος, ταίς θείαις εγρηγόρσεσι, θείαν έλλαμψιν εισεδέξω, Άγγελον φωτός, καί στύλον καί έρεισμα πιστών, καί Ιεράρχην αποτελούσάν σε.

Θεοτοκίον

Ο καθήμενος εν κόλποις τού Γεννήτορος, απεριγράπτως Άχραντε εν τοίς

κόλποις σου καθέζεται νύν περιγραπτώς, τήν σήν περικείμενος μορφήν, διά τό σώσαι τόν Αδάμ, νέος Αδάμ γεγονώς.

## Ωδή η'

### Παίδας ευαγείς

Νάμασι τού Πνεύματος θεόφρον, ως πλήρης ζωοπαρόχων αναβλύσεων, ποταμός εξέχεας, ευσεβείας ύδατα, ψυχάς πιστών δέ ήρδευσας, ψάλλειν διδάσκων αεί, τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ανήρ επιθυμιών Πνεύματος ώφθης, καί σκεύος εκλελεγμένον Ιερώτατε, όθεν ερωτήσαντι, ιεράρχη είρηκας, Αλεξανδρέων Πρόεδρον, προοπτικώς μετ' αυτον, τόν μέγαν Αθανάσιον είναι, τόν πολύν τά θεία, καί λαμπρόν αριστέα.

Ιθύνας τό σκάφος Εκκλησίας, πρός όρμον ορθοδοξίας γαληνότατον, οία εμπειρότατος, κυβερνήτης Πάνσοφε, τήν άνω πόλιν έφθασας, γέρα ληψόμενος, τών πόνων καί ιδρώτων σου μάκαρ, παρά τού Δεσπότου, Χριστού εις τούς αιώνας.

### Θεοτοκίον

Όλην προσλαβών τήν ανθρωπίνην, ουσίαν εκ σού Σεμνή ο υπερούσιος, όλον με τόν άνθρωπον, έσωσε βουλήματι, καί κοινωνόν ανέδειξε, νύν θείας φύσεως, διό σε γεγηθότες υμνούμεν, ως καλών αιτίαν, Παρθένε εις αιώνας.

### Έτερος

### Εκ φλογός τοίς οσίοις

Υπερήφανον όφιν τή Ταπεινώσει σου, εταπείνωσας Μάκαρ προσανυψούμενος, ταίς πρός τόν Θεόν καθαραίς σου εντεύξεσιν, όθεν σε τιμώμεν, Χριστόν υπερυψούντες.

Σαρκωθέντα τόν Λόγον εθεολόγη σας, καί λαούς εκ δουλείας πλάνης διέσω σας, τήν ειδωλικήν, απελαύνων δυσσέβειαν, Πάτερ Ιεράρχα, Μητρόφανες θεόφρον.

Καί τόν βίον τώ λόγω έχων αρμόζοντα, καί τόν λόγον τώ βίω έχων εμπρέποντα, πλήρης ημέρων γεγονώς τών τού Πνεύματος, Πάτερ πρός τάς άνω, μετέβης κατοικίας.

### Θεοτοκίον

Λυτρωθέντες τής πρώην αράς τώ τόκω σου, παντευλόγητε Κόρη Θεογεννήτρια, τήν τού Γαβριήλ, φωνήν σοι αναμέλπομεν, Χαίρε η αιτία, τής πάντων σωτηρίας.

## Ωδή θ'

### Άπας γηγενής

Νόμος ο γραπτός, παρήλθε τής χάριτος επιφανείσης Χριστού, η Ααρωνίτις δέ, ιερωσύνη τή σή Μητρόφανες, Ιεραρχία πάνσοφε παραχωρεί εμφανώς, ως

ηλίου, τηλαυγώς εκλάμποντος, τό αστέριον φέγγος συγκρύπτεται.

Ειρήνη πολλή, εκ Θεού γεγένηταί σοι Ιερώτατε, ού ωραίοι έδραμον, πόδες ειρήνης, οδόν κηρύττοντος, ειρήνην υπερέχουσαν άπαντα λόγον καί νούν, καί ειρήνης, τόποις ενσκηνώσαντος, καί ειρήνην λιταίς ημίν νέμοντος.

Σύν Πατριαρχών, καί Μαρτύρων τάγμασιν Οσίων καί Προφητών, καί ταίς τών Αγγέλων δέ, ταξιαρχίαις ως παριστάμενος, τώ θρόνω τού Παντάνακτος, απαύστως πρέσβευε, κραταιούσθαι, άτρωτον τό κήρυγμα, εις αιώνας αιώνων τής πίστεως.

Ω παμβασιλεύ, Θεέ Τρισυπόστατε ημίν ευϊλατος, γενού ταίς θείαις λιταίς, τού Ιεράρχου καί παύσον άπαντα, τής Εκκλησίας σκάνδαλα, καί τά φρυάγματα, τών αθέων, εχθρών εξαφάνισον, καί ειρήνευσον πάντα τόν κόσμον σου.

Θεοτοκίον

Σώζε πειρασμών, καί παντοίων θλίψεων αγνή Μητρόθεε, άπαντας τούς δούλους, καί αιωνίου ρύσαι κολάσεως, καί τής χαράς αξίωσον, τού σού Υιού καί Θεού, τούς εκ πόθου, σέ ύμνοις γεραίροντας, καί τήν θείαν τιμώντας εικόνα σου.

Έτερος

Θεόν ανθρώποις

Εν γή πραέων σύ κατεσκήνωσας, Αρχιερεύ πραϋς εν ακακία γενόμενος, καί τοίς άνω συνήφθης στρατεύμασι, όλος ωραϊσμένος θείαις λαμπρότησιν, όλος τώ φωτί τών αρετών περιεχόμενος.

Οράς Αγγέλων θείας λαμπρότητας, Πατριαρχών Μαρτύρων Αποστόλων Μητρόφανες, σύν αυτοίς δυσωπών τόν φιλάνθρωπον, άφεσιν τών πταισμάτων, βίου διόρθωσιν, Όσιε δωρήσασθαι ημίν τοίς ευφημούσί σε.

Θεοτοκίον

Σταγών καθάπερ η επουράνιος, τή σή γαστρί Παρθένε υετός καταβέβηκε, καί ξηράνας τής πλάνης τά ρεύματα, ώμβρισεν αφθαρσίαν καί απολύτρωσιν, πάσι τοίς ανθρώποις, διά σού θεοχαρίτωτε.

Εξαποστειλάριον

Φώς αναλλοίωτον

Φώς τριλαμπέστατον μάκαρ, Μητρόφανες εν καρδία, δεξάμενος ανεδείχθης, μέγας φωστήρ Εκκλησίας, καταφωτίζων τούς πίστει τών εν Τριάδι, ένα Θεόν προσκυνούντας.

Θεοτοκίον

Φωτός δοχείον εδείχθης, φωτολαμπές Θεοτόκε, τό άχρονον εκ γαστρός σου, φώς γάρ ανέτειλε κόσμω, καί κατεφώτισε πάντας τούς ορθοδόξως, σέ Θεοτόκον υμνούντας.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'
Ο εξ υψίστου κληθείς

Αναλαβών τού Χριστού τήν πανοπλίαν, καί περιζωσάμενος τήν σήν οσφύν κραταιώς, εν αληθείας ευθύτητι, δικαιοσύνης, θείον δέ θώρακα ενδυσάμενος, καί υποδυσάμενος ωραίους πόδας σου, Ευαγγελίου τής χάριτος, ετοιμασία, καί επί πάσι θυρεόν πίστεως, καί τήν τού Πνεύματος, θείαν μάχαιραν, ρήμα Θεού ώ Μητρόφανες, τού εχθρού τά πυρφόρα, παντελώς βέλη κατέσβεσας.

Ξενοπρεπώς σου τόν βίον διανύσας, τόν ξένον γενόμενον, Χριστόν μιμούμενος, δι' ευσπλαγχνίαν αμέτρητον, ξένων χαρίτων, κατηξιώθης Πάτερ Μητρόφανες, ξένοις καί αυτόχθοσι σαφώς τά μέλλοντα, προαγορεύων ως ένθεος, νέος Προφήτης, εν γηραλέω ψυχής φρονήματι, όθεν τής κρείττονος θείας έτυχες, κατ αξίαν ξενίας αοίδιμε, ικετεύων σωθήναι, τούς εν πίστει ανυμνούντάς σε.

Ο επαξίως κομήτης Κωνσταντίνος, ώσπερ εσπερώτατος προσκληθείς άνωθεν τών χριστωνύμων ο πρώτιστος, Άναξ ανάκτων, σέ εξ εώας εξανατείλαντα, άλλον ώσπερ ήλιον, ευρών Μητρόφανες, συναγαών ως αείφωτον, χορόν αστέρων, θείων Πατέρων τό πρώτον άθροισμα, εν υψιθρόνω στερεώματι, Εκκλησίας Χριστού ενεθρόνισε, καταυγάζειν ακτίσιν, ευσεβείας τό ανθρώπινον.

Υπερουράνιον άρτον προσκομίζων, θυσίαν αναίμακτον τώ Παντοκράτορι, σαυτόν ως θύμα ευπρόσδεκτον, ως Ιεράρχης, μάκαρ προσήξας καί καλλιέρημα, όθεν καί ωσφράνθη σου τού θυμιάματος, οσμήν καί μύρον ηδύπνοον, τήν ευωδίαν τών αρετών τε καί θείων πράξεων, καί νύν τώ θρόνω, παριστάμενος, τού Σωτήρος θυσίαν αναίμακτον, παρρησία προσφέρεις, καί φωτίζεις τούς υμνούντάς σε.

Δόξα... Ήχος πλ. δ'

Μητρός παμφαούς, ώ Μητρόφανες σοφέ, τής Εκκλησίας Χριστού, Πατήρ θεοπρόβλητος ανεδείχθης, καί νύμφης εκλεκτής τού Βασιλέως τών ουρανών, νυμφίος σεμνοπρεπής μυστικώς εχρημάτισας, υιούς απείρους προσάγων τώ αοράτω Πατρί διά πίστεως, πολύτεκνον τήν κολυμβήθραν, εν πνεύματι Αγίω απεργασάμενος, Όθεν τό δοθέν σοι τάλαντον πολύπλασιάσας, χαίρων εισήλθες εις τόν νυμφώνα τόν ουράνιον τών πρωτοτόκων ταίς χορείαις συνηδόμενος, καί πρεσβεύων υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

Τά ουράνια υμνεί σε, Κεχαριτωμένη Μήτηρ ανύμφευτε, καί ημείς δοξολογούμεν, τήν ανεξιχνίαστον σου γέννησιν, Θεοτόκε πρέσβευε σωθήναι τάς ψυχάς ημών.

Δοξολογία Μεγάλη, καί Απόλυσις

Εις τήν Λειτουργίαν, Τυπικά, καί εκ τών Κανόνων, Ωδή γ' καί ς'.

---

Αρχή

## ΤΗ Ε' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Ιερομάρτυρος Δωροθέου, Επισκόπου Τύρου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'
Οι Μάρτυρές σου Κύριε

Πυξίον θείου Πνεύματος, θεομακάριστε εδείχθης, Πάτερ τά θεία δόγματα εγγεγραμμένα, φέρων εν γνώσει θεϊκή, ών τή αναπτύξει Κατεφώτισας, τούς τή αγνωσία κινδυνεύοντας, διό ταίς σαίς πρεσβείαις, αίτησαι ημίν πάσι τό μέγα έλεος.

Αιμάτων θείοις ρεύμασι, προσεπιχρώσας σου Ιερωσύνης, στολήν Δωρόθεε εισήλθες, χαίρων εις τόν ουράνιον ναόν, νύν εμφανισθήναι τώ Θεώ ημών, νέμοντι στεφάνουςτης αθλήσεως, αυτόν καθικετευων, άπασι δωρηθήναι τό μέγα έλεος.

Ο βίος σου Ισάγγελος, η μαρτυρία δέ λελαμπρυσμένη, δι' ής ηξίωσαι μετά Αγγέλων, περιχορεύειν εν χαρά, θαύμασι τήν γήν Πάτερ Δωρόθεε, θείοις καταυγάζων καί διδάγμασι, διό ταίς σαίς πρεσβείαις, αίτησαι πάσι δούναι τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Εγώ ειμι Πανάμωμε, δένδρον τό άκαρπον τού θείου λόγου, καρπόν σωτήριον μηδόλως φέρον, καί δειλιώ τήν εκκοπήν, μήπως εις τό πύρ βληθώ τό άσβεστον, όθεν δυσωπώ σε, Τούτου ρυσαί με, δείξασα καρποφόρον, Αχραντε, τώ Υιώ σου τή μεσιτεία σου.

Η Σταυροθεοτοκίον

Η δάμαλις η άσπιλος, τόν μόσχον βλέπουσα επί τού ξύλου προσαναρτώμενον εθελουσίως, οδυρομένη γοερώς, Οίμοι! ανεβόα ποθεινότατον τέκνον, τί σοι δήμος ανταπέδωκεν, αχάριστος Εβραίων, θέλων με ατεκνώσαι εκ σού παμφίλτατε;

Απολυτίκιον  Ήχος δ'

Καί τρόπων μέτοχος, καί θρόνων διάδοχος, τών Αποστόλων γενόμενος, τήν πράξιν εύρες θεόπνευστε, εις θεωρίας επίβασιν, διά τούτο τόν λόγον τής αληθείας ορθοτομών, καί τή πίστει ενήθλησας μέχρις αίματος, Ιερομάρτυς Δωρόθεε, Πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

### ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τού Αγίου ο παρών, ού η Ακροστιχίς.

Δώρον Θεού σε παμμάκαρ Πάτερ σέβω. Ιωσήφ.

Ωδή α'  Ήχος πλ. δ'
Άσωμεν τώ Κυρίω

Δώρον Θεώ παμμάκαρ, σεαυτόν προσήξας καθαρώτατον, διά βίου τελείου, καί σεπτού μαρτυρίου Δωρόθεε.

Ώριμον ώσπερ βότρυν, Πάτερ αποθλίψας τήν διάνοιαν, ευφροσύνης κρατήρα, τοίς πιστοίς διδαγμάτων προέθηκας.

Ρεύματα τής απάτης, έστησας Δωρόθεε τώ ρεύματι, τής πανσόφου σου γλώττης, καί πιστών διανοίας κατήρδευσας.

Θεοτοκίον

Ομβρισόν μοι Παρθένε, δέομαι σταγόνα κατανύξεως, τόν ενόντα μοι ρύπον, αποπλύνουσα όπως δοξάζω σε.

Ωδή γ'
Σύ εί τό στερέωμα

Νύκτα απεδίωξας, τής ματαιότητος άπασαν, ταίς αστραπαίς, Πάτερ Ιεράρχα, τού πανσόφου κηρύγματος.

Θαύμασιν εστήριξας, καί Ιεροίς Σοφέ δόγμασι, τάς τών Πιστών, πάντων διανοίας, ώς ποιμήν Ιερώτατος.

Έχρισέ σε Κύριος, τώ Ιερώ σοφέ χρίσματι, καί τής αυτού, θείας Εκκλησίας, ποιμενάρχην κατέστησε.

Θεοτοκίον

Όλην τήν καρδίαν μου, τώ θεϊκώ φωτί λάμπρυνον, πύλη φωτός, τόν τής αμαρτίας, σκοτασμόν εκδιώκουσα.

Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Κάθισμα  Ήχος γ'
Θείας πίστεως

Θείοις δόγμασιν αεί εκλάμπων, δώρον άγιον σαυτόν προσήξας, τώ αθανάτω Βασιλεί δι' αθλήσεως, καί κατοικείς νύν αεί ευφραινόμενος, τών πρωτοτόκων τήν άνω μητρόπολιν, Πάτερ Όσιε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Θεοτοκίον

Θείας φύσεως ουκ εχωρίσθη, σάρξ γενόμενος εν τή γαστρί σου, αλλά Θεός ενανθρωπήσας μεμένηκεν, ο μετά τόκον Μητέρα Παρθένον σε, ως πρό τού τόκου φυλάξας πανάμωμον, μόνος Κύριος, Αυτόν εκτενώς ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Η Σταυροθεοτοκίον

Η αμίαντος αμνάς τού Λόγου, η ακήρατος Παρθενομήτωρ, εν τώ Σταυρώ θεασαμένη κρεμάμενον, τόν εξ αυτής ανωδίνως βλαστήσαντα, μητροπρεπώς θρηνωδούσα εκραύγαζεν, Οίμοι! τέκνον μου, πώς πάσχεις θέλων ρύσασθαι, παθών τής ατιμίας τόν άνθρωπον!

Ωδή δ'

Εισακήκοα κύριε

Υψουμένου κατέπτυσας, Όσιε χειμώνος τής αθεότητος, καί τή θέρμη θείου Πνεύματος, αβλαβείς καρδίας συνετήρησας.

Συνετρίβη Δωρόθεε, μάκαρ πρό προσώπου σου όρη βίαια, τών δαιμόνων καί ετάκησαν, δυσμενών ανθρώπων τά φρονήματα.

Εκαρτέρεις θλιβόμενος, πόλεως εις πόλιν εκδιωκόμενος, μακαρίας όθεν έτυχες, τών Μαρτύρων δόξης καί λαμπρότητος.

Θεοτοκίον

Πειρασμών με διάσωσον, καί τού ψυχοφθόρου τών παθών κλύδωνος, όπως πίστει μακαρίζω σε, παναγία Κόρη Μητροπάρθενε.

Ωδή ε'

Εκ νυκτός αγνωσίας

Αποσκοπών εμφρόνως, τάς αντιδόσεις τάς θείας Δωρόθεε, τούς μεγίστους κινδύνους, καί τούς πειρασμούς εκαρτέρησας.

Μοναδικώς τήν θείαν, ανακηρύττων Τριάδα Δωρόθεε, πολυθέου μανίας, μάταιον διέλυσας φρύαγμα.

Μή προσκυνήσας Μάρτυς, έργα χειρών ανομούντων υπέμεινας, πειρασμούς καί κινδύνους, καί μαστίγων πόνους Δωρόθεε.

Θεοτοκίον

Ανατολή ηλίου, πρό εωσφόρου εκλάμψαντος γέγονας, δι' ού φώς οι εν σκότει, Άχραντε δεινών εθεάσαντο.

Ωδή ς'

Χιτώνά μοι παράσχου

Καρδίαν πυρωθείσαν ταίς πνοαίς, εκτήσω τού Πνεύματος, πνευμάτων Δωρόθεε, εναντίων τόν κρυμόν διαλύουσαν.

Αγίων πολιτείας Ιεραίς, συγγραφαίς εδήλωσας, Πάτερ θεόπνευστε, θεία γνώσει τήν ψυχήν φωτιζόμενος.

Ρημάτων σου ο φθόγγος καί τερπνών, δογμάτων η δύναμις, πάσαν επέδραμε, Παμμακάριστε τήν γήν θεία χάριτι.

Θεοτοκίον

Παρθένε όν εκύησας Θεόν, άνθρωπον γενόμενον, τούτον ικέτευε, λυτρωθήναί με πυρός καί κολάσεως.

Ο Ειρμός

«Χιτώνά μοι παράσχου φωτεινόν, ο αναβαλλόμενος φώς ώσπερ ιμάτιον, πολυέλεε Χριστέ ο Θεός ημών».

Κοντάκιον Ήχος γ'

Η Παρθένος

Ορθοδόξοις δόγμασιν, Ιερομάρτυς κηρύξας, δώρον θείον άγιον, σαυτόν προσήξας τώ Κτίστη, πρότερον εν τή ασκήσει ενδιαπρέψας, ύστερον τώ μαρτυρίω στερρώς αθλήσας, καί νομίμως υπεδέξω, βραβείον νίκης, παρά Χριστού τού Θεού.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Ε' τού αυτού μηνός, Μνήμη τού Αγίου Ιερομάρτυρος Δωροθέου, Επισκόπου Τύρου.

Στίχοι

- Ο Δωρόθεος, κάν φραγγέλλωμαι λέγει,
- Λείπουσι πολλά πρός τά Χριστού μου πάθη.
- Πέμπτη Δωροθέοιο δέμας πληγήσι δαμάσθη.

Τή αυτή ημέρα, Μνήμη τής μετά φιλανθρωπίας επενεχθείσης ημίν φοβεράς απειλής καί ανάγκης, εν τή τών Βαρβάρων επιδρομή, ότε, μέλλοντας υπ' αυτών δικαίως αιχμαλωτίζεσθαι, καί φόνω μαχαίρας παραδίδοσθαι, ο οικτίρμων καί φιλάνθρωπος Κύριος, διά σπλάγχνα ελέους αυτού, παρ' ελπίδα πάσαν ελυτρώσατο ημάς.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων δέκα Μαρτύρων τών εν Αιγύπτω, Μαρκιανού, Νικάνδρου, Υπερεχίου, Απόλλωνος, Λεωνίδου, Αρείου, Γοργίου, Σεληνιάδος, Ειρήνης καί Πάμβωνος.

Ο άγιος μάρτυς Χριστόφορος ο από Ρώμης, ξίφει τελειούται.

Ο άγιος Μάρτυ Κόνων, ο από Ρώμης, εν θαλάσση βληθείς τελειούται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Παίδες Εβραίων

Άστρον πολύφωτον εφάνης, ταίς λαμπρότησι τών άθλων σου φωτίζων, τάς ψυχάς τών πιστώς, Δωρόθεε βοώντων, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Τρίβους ευθείας διοδεύων, υπεξέκλινας τά βάραθρα τού πλάνου, καί οδούς πρός ζωής, ωδήγεις τούς βοώντας, Ευλογητός εί Κύριε, ο Θεός εις τούς

αιώνας.

Έσβεσας όμβροις τών αιμάτων, Παναοίδιμε τήν κάμινον τής πλάνης, καί πρός ύδωρ ζωής, εσκήνωσας κραυγάζων, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Θεοτοκίον

Ρύσαι δεσμών τής αμαρτίας, τήν αθλίαν μου ψυχήν Θεογεννήτορ, καί αγάπη Θεού, υπόζευξον τελεία, ίνα πιστώς, δοξάζω σε, Θεοτόκε εις αιώνας.

## Ωδή η'

Οι θεορρήμονες Παίδες

Σοβαρευόμενον όφιν εν κακία, ταπεινωθείς εν Κυρίω, Πάτερ βοών εταπείνωσας, Ευλογείτε τά έργα Κυρίου τόν Κύριον.

Εν βαθυτάτω σε γήρα πρός αγήρως, αναπαυσάμενον τόπους, ο πλαστουργός κατεσκήνωσεν, Ιερώτατε Πάτερ, Μαρτύρων αγλάϊσμα.

Βίον ισάγγελον έχων σύν Αγγέλοις, τώ τού Δεσπότου σου θρόνω, αναβοών νύν παρίστασαι, Ευλογείτε τά έργα Κυρίου τόν Κύριον.

Θεοτοκίον

Ωραιοτάτη Παρθένε ανεδείχθης, τόν ωραιότατον Λόγον, κυοφορούσα ώ ψάλλομεν, Ευλογείτε τά έργα Κυρίου τόν Κύριον.

Ο Ειρμός

«Οι θεορρήμονες Παίδες εν καμίνω, σύν τώ πυρί καί τήν φλόγα, καταπατούντες υπέψαλλον, Ευλογείτε τά έργα Κυρίου τόν Κύριον».

## Ωδή θ'

Τόν προδηλωθέντα

Ίθυνας τήν ποίμνην, Χριστού θείους πρός λιμένας, αβλαβή τηρήσας αυτήν χειμώνων εναντίων, ως πανάριστος Ιεράρχης καί θείων Πάτερ, πληρωτής σοφέ προστάξεων.

Ως ιερουργός ιερός, ως Μάρτυς γενναίος, ως θαυματουργός θαυμαστός, ως θείος λογογράφος, ως τής πίστεως αδιάσειστος στύλος, δόξης αιωνίου Πάτερ έτυχες.

Σέ ως θείον δώρον Δωρόθεε ο τά δώρα, ως Θεός παρέχων, πλουσία χρηστότητι τοίς δεομένοις, εις πιστών εναργή σωτηρίαν, τή Εκκλησία εδωρήσατο.

Η Θεοφεγγής μνήμη σου ανέτειλε κόσμω, καταυγάζουσα πιστούς, ακτίσι χαρισμάτων, ήν δοξάζοντας κοινωνούς ημάς δείξον Πάτερ, τής εν σοί θείας λαμπρότητος.

Θεοτοκίον

Φέρουσα Χριστόν χερσί, τόν φέροντα τά πάντα, νεύματι τώ θείω Αγνή, αυτόν

αεί δυσώπει, τών χειρών ημών τάς επάρσεις ευθύναι, τούτου ως θυμίαμα ενώπιον.

ο Ειρμός

«Τόν προδηλωθέντα εν όρει τώ νομοθέτη, εν πυρί καί βάτω τόκον, τόν τής Αειπαρθένου, εις ημών τών πιστών σωτηρίαν, ύμνοις ασιγήτοις μεγαλύνομεν».

Καί η λοιπή Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Ιλαρίωνος τού Νέου, Ηγουμένου τής Μονής τών Δαλμάτων.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'

Έδωκας σημείωσιν

Βίον ακηλίδωτον, υπομονήν καί πραότητα, καί αγάπην ανόθευτον, εγκράτειαν άμετρον, παννύχιον στάσιν, κατάνυξιν θείαν, πίστιν ελπίδα αληθή, εν συμπαθεία Πάτερ κτησάμενος, ως άγγελος εβίωσας, επί τής γής μετά σώματος, Ιλαρίων μακάριε, πρεσβευτά τών ψυχών ημών.

Επίγειος Άγγελος, καί επουράνιος άνθρωπος, εχρημάτισας Όσιε, πηγή κατανύξεως, συμπαθείας ρείθρον, πέλαγος θαυμάτων, αμαρτωλών εγγυητής, ελαία όντως Θεού κατάκαρπος, ελαίω τών καμάτων σου, καθιλαρύνων τά πρόσωπα, Ιλαρίων μακάριε, τών πιστώς ευφημούντων σε.

Ο νούς σου λαμπόμενος, ταίς θεϊκαίς επινεύσεσι, τών τού σώματος ύπερθεν, παθών εχρημάτισεν, αμιγείς τών κάτω, φέρων χαρακτήρας, καί εκτυπών εν εαυτώ, τό θείον κάλλος καί γνωριζόμενος, όλος φωτοειδέστατος, τή συνεργεία τού Πνεύματος, Ιλαρίων Πατήρ ημών, μοναζόντων αγλάϊσμα.

Δόξα... Καί νύν... Θεοτοκίον

Σέ τό καθαρώτατον, τού Βασιλέως παλάτιον, δυσωπώ Πολυΰμνητε, τόν νούν μου καθάρισον, τόν εσπιλωμένον, πάσαις αμαρτίαις, καί καταγώγιον τερπνόν, τής υπερθέου Τριάδος ποίησον, όπως τήν δυναστείαν σου, καί τό αμέτρητον έλεος, μεγαλύνω σωζόμενος, ο αχρείος ικέτης σου.

Η Σταυροθεοτοκίον

Σέ ώς εθεάσατο, επί Σταυρού ανυψούμενον, η τεκούσα Φιλάνθρωπε, κραυγάζουσα έλεγε, Πώς εθελουσίως, πάθος υπομένεις, ο απαθώς εκ τής εμής, γαστρός εκλάμψας ως παντοδύναμος, καί λύσας τήν κατάκριτον, φύσιν βροτών κατακρίσεως; Ανυμνώ σου τήν άμετρον, νύν Υιέ συγκατάβασιν.

Απολυτίκιον Ήχος πλ. δ'

Εν σοί Πάτερ ακριβώς διεσώθη τό κατ' εικόνα, λαβών γάρ τόν σταυρόν, ηκολούθησας τώ Χριστώ, καί πράττων εδίδασκες, υπερoράν μέν σαρκός, παρέρχεται γάρ, επιμελείσθαι δέ ψυχής, πράγματος αθανάτου, διό καί μετά Αγγέλων συναγάλλεται, όσιε Ιλαρίων τό πνεύμά σου.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τού Αγίου ο παρών.

Ωδή α' Ήχος πλ. δ'

Υγράν διοδεύσας

Εν φωτί αϋλω καί νοητώ, εκ τής κατηφείας, τών ενύλων αναδραμών, Ιλαρίων Όσιε λιταίς, σου, ταίς πρός τόν Κύριόν με φώτισον.

Εκ βρέφους θηλάσας τήν αρετήν, εγκρατείας πόνοις, καί ιδρώσιν ασκητικοίς, εις άνδρα κατήντησας καί μέτρον, πνευματικής τής ηλικίας Χριστού.

Τών παθών τό πέλαγος διελθών, καί τάς τρικυμιας, τών δαιμόνων διεκφυγών, εις λιμένα ώρμησας αβρόχως, τής απαθείας Πάτερ Όσιε.

Θεοτοκίον

Λόγον τόν αμήτορα εκ Πατρός, απάτορα τούτον, επ' εσχάτων θεανδρικώς, εκύησας μόνη Θεομήτορ, ως υπερτέρα πάσης κτίσεως.

Ήχος γ'

Σύ εί τό στερέωμα

Έφλεξας τώ άνθρακι, τώ τής ασκήσεως Ένδοξε, τήν τών παθών, άκανθαν καί θάλπεις, τών πιστών τά φρονήματα.

Όπλον τήν εγκράτειαν, καί προσευχήν ώσπερ θώρακα, καθοπλισθείς, εχθρών αοράτων, ετροπώσω τάς φάλαγγας.

Παρθενίας έρωτι, δαψιλευσάμενος Όσιε, καί αρετάς τάς πρός τόν Δεσπότην, Ιλαρίων κατώρθωσας.

Θεοτοκίον

Δός ημίν βοήθειαν, ταίς ικεσίαις σου Πάναγνε, τάς προσβολάς, αποκρουομένη, τών δεινών περιστάσεων.

Ο Ειρμός

Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμα μου».

Κάθισμα Ήχος δ'

Ταχύ προκατάλαβε

Θεώ καθιέρωσας, τήν σήν παμμάκαρ ζωήν, γενόμενος άριστος Ιερουργός

αληθώς, Χριστού Ιερώτατε, όθεν μετά μυρίους, τούς ιδρώτας καί πόνους, χαίρων εις τάς αϋλους, μετετέθης σκηνώσεις, καί νύν αναπηγάζεις ημίν ρείθρα ιάσεων.

Θεοτοκίον

Εκαίνισας άχραντε, τώ θείω τόκω σου, φθαρείσαν τοίς πάθεσι, τών γηγενών τήν θνητήν, ουσίαν καί ήγειρας, πάντας εκ τού θανάτου, πρός ζωήν αφθαρσίας, όθεν σε κατά χρέος μακαρίζομεν πάντες, Παρθένε δεδοξασμένη, ως προεφήτευσας.

Η Σταυροθεοτοκίον

Υψούμενος ύψωσας, τούς πεπτωκότας ποτέ, εμέ δέ κατέβαλες, τή ανυψώσει τή σή, ώ φώς τών ομμάτων μου, Δέχου Υιέ τό πάθος, δι' ημάς εκουσίως, φέρε Σταυρόν, τούς ήλους, καί τόν σπόγγον τήν λόγχην, δι' ών τής απαθείας τήν χάριν εβράβευσας.

Ωδή δ'

Εισακήκοα Κύριε

Φυτευθείς εν τοίς ύδασι, τοίς τής εγκρατείας Πάτερ μακάριε, κλήμα ώφθης ευθαλέστατον, ευσεβείας βότρυν προβαλλόμενον.

Όλος ένθους γενόμενος, καί πνευματοφόρος όλος εγνώσθης Θεώ, Ιλαρίων παμμακάριστε, διό μετ' Αγγέλων συγχορεύεις αεί.

Εν τή πέτρα τής πίστεως, έστησας τά βήματα τής καρδίας σου, καί ασάλευτος διέμεινας, προσβολάς δαιμόνων μή πτοουμενος.

Θεοτοκίον

Χερουβίμ υπερτέραν σε, καί τών Σεραφίμ υμνούμεν Πανάχραντε, όν γάρ τρέμουσιν εβάστασας, εν σαρκί Θεόν ημών ταίς αγκάλαις σου.

Ωδή ε'

Ορθρίζοντες βοώμέν σοι

Τό όμμα τής καρδίας ακοίμητον, εν ταίς θείαις εντολαίς ετήρησας ακαταγνώστως, Αοίδιμε.

Εις όρος αρετών δι' ασκήσεως, θεοφόρε, πρακτικής ανέδραμες, πρός θεωρίας επίβασιν.

Τόν έλεον σκορπίσας τοίς πένησιν, εκ καρδίας, Ιλαρίων Όσιε, πλούτον ουράνιον είλνφας.

Θεοτοκίον

Τού Λόγου Κιβωτόν σε ανέδειξε, Θεοτόκε, ο τού νόμου Κύριος, εν ή αφράστως εσκήνωσεν.

Ωδή ς'

Ιλάσθητί μοι Σωτήρ

Τόν νοητόν Γολιάθ, κακία υπεραιρόμενον, αόπλω σου συμπλοκή, πιστώς

εσφενδόνισας, καί τούτου σπασάμενος, τά τής ήττης όπλα, ως μεγάλαυχον απέτεμες.

Τόν μέγαν εις αρετήν, εζήλωσας Ιλαρίωνα, καί τούτω πνευματικώς, κατ' ίχνος επόμενος, εγκρατείας Όσιε, κορυφαίος ώφθης, καί τής ποίμνης υποτύπωσις.

Ιδρώσιν ασκητικοίς, τούς άνθρακας τών βελών τού εχθρού, κατέσβεσας ολικώς, καί τό πύρ τής πίστεως, ανάψας κατέφλεξας, τά τής απιστίας, τών αιρέσεων φρυάγματα.

Θεοτοκίον

Συνείληφας αληθώς, τόν Θεόν Λόγον εν μήτρα σου, καί τούτον υπερφυώς, Πανάμωμε τέτοκας, όν λιταίς ιλέωσαι, υπέρ τών κυρίως, Θεοτόκον ανυμνούντων.

Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

Κοντάκιον Ήχος α'

Τόν τάφον σου Σωτήρ

Πυρί προσομιλών, ουδαμώς κατεφλέχθης, Ιλάριε σοφέ, αθλητά γενναιόφρον, τήν δρόσον γάρ εκέκτησο, τού Θεού αναψύχουσαν, όθεν ήνυσας, τούς υπέρ φύσιν αγώνας, αγαλλόμενος, μετά Οσίων θεόφρον, μεθ' ών ημών μνήσθητι.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ς' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Ιλαρίωνος τού Νέου, Ηγουμένου τής Μονής τών Δαλμάτων.

Στίχοι

- Ιλαρός ων πνεύματι σύ Ιλαρίων,
- Ιλαρός εν σώματι ής καί καρδία.
- Βή δ' ες όλυμπον Ιλαρίωνος κέαρ αγνόν εν έκτη.

Τή αυτή ημέρα, μνήμη τού Οσίου Πατρός ημών Αττάλου τού θαυματουργού.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων πέντε Παρθένων, καί τής συνοδίας αυτών.

Στίχοι

- Κόρας φρονίμους πέντ' έφη Θεός Λόγος,
- Προϊστορών σοι τάσδε πέντε Παρθένους.

Ταίς αυτών Αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Οι εκ τής Ιουδαίας

Εν τή χλόη τής άνω, βασιλείας τήν ποίμνην Πάτερ εξέθρεψας, καί ράβδω τών δογμάτων, τούς θήρας απελάσας, τών αιρέσεων έψαλλες, ο τών Πατέρων ημών Θεός ευλογητός εί.

Τών θαυμάτων τήν αίγλην, εφαπλώσας σκεδάζεις τήν τών νοσούωτων αχλύν, καί ρώσεως ακτίνας, παρέχεις καί ημέραν, ευεξίας κραυγάζουσιν, ο τών Πατέρων ημών Θεός ευλογητός εί.

Εν τή άνω εισήλθες, νυμφική ευωχία τού Βασιλέως Χριστου, στολήν ενδεδυμένος, αξίαν τού καλούντος, εκβοών Παμμακάριστε, Ο τών Πατέρων ημών Θεός Ευλογητός εί.

Θεοτοκίον

Υπέρ φύσιν καί λόγον, τόν Δεσπότην τών όλων εκυοφόρησας, καί τρέφεις εκ μαζών σου, τόν πάσιν ευκαιρία, ετοιμάζοντα τράπεζαν, όν εκτενώς αγαθή υπέρ ημών δυσώπει.

Ωδή η'

Επταπλασίως κάμινον

Τοίς τών δακρύων ρεύμασι, τών παθών τά σκιρτήματα, καί τούς ακαθέκτους, λογισμούς κατέκλυσας, καί πέλαγος γέγονας, μακροθυμίας Όσιε, πρός γαλήνην άγων, Ιλαράν τούς βοώντας, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ως καρτερόν αδάμαντα, τής ασκήσεως έχοντες, τάς σάς παραινέσεις, Ιλαρίων Όσιε, καρδίαν στομούμεθα, καί τών παθών τάς φάλαγγας, τρέπομεν ως έθνη, καί πιστώς εκβοώμεν, οι παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Δι' εγκρατείας Όσιε, τής σαρκός τήν ευπάθειαν, υπώπιασμοίς τε κατατήξας πάνσοφε, επλήρωσας Πνεύματος, τήν ψυχικήν ενέργειαν, καί πρός απαθείας, τρίβους έφθασας κράζων, οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν είς τούς αιώνας.

Θεοτοκίον

Υπό τήν σκέπην Δέσποινα, τών Αγίων πτερύγων σου, οι Κεκακωμένοι, πάντες καταφεύγομεν, δεινοίς αμαρτήμασι, καί Πειρασμοίς καί θλίψεσι, σέ γάρ προστασίαν, κεκτημένοι βοώμεν, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, τώ Δημιουργώ καί Λυτρωτή ανεβόα, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ'

Εξέστη επί τούτω ο ουρανός

Πηγήν σε τών θαυμάτων ως αληθώς, ο Χριστός ώ Τρισμάκαρ ανέδειξε, τούς αλγεινούς, ρύπους εκκαθαίρουσαν τών παθών, καί νοσημάτων ένδοξε, πόνους κατακλύζουσαν ευχερώς, διό καί ποταμόν σε, ψυχικών καθαρσίων, καλούμεν πάντες παμμακάριστε.

Εξήνθησας ως φοίνιξ πνευματικός, εν τώ οίκω Θεού παναοίδιμε, καρποφορών, πόνους εγκρατείας ως γλυκασμόν, εν ώ καρδίας ήδυνας, Πάτερ τάς τής ποίμνης σου λογικώς, διό καί τών στεφάνων, τής ουρανίου δόξης, ταύτην αξίωσον πρεσβείαις σου.

Τετέλεκας τον δρόμον ασκητικώς, καί τήν πίστιν θεόφρον ετήρησας, διπλούς τε νύν, στέφανος επλάκη σοι αληθώς, όν κατά τήν διάγνωσιν, τών βεβιωμένων παρά Θεού, νομίμως απολήψη, καί εις τήν άνω λήξιν, εναπολαύσεις σύν Αγγέλων χοροίς.

Θεοτοκίον

Σέ όπλον εν κινδύνοις καί πειρασμοίς, καί λιμένα καί τείχος εν θλίψεσι, καί θυρεόν, εν πολέμοις έχομεν νοητόν, καί μέγα ιλαστήριον, εν δειναίς πταισμάτων επιδρομαίς, διό σε Θεοτόκον, τιμώμεν κατά χρέος, καί μεγαλύνομεν τόν τόκον σου.

Ο Ειρμός

«Εξέστη επί τούτω οουρανός, καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι μεγαλύνουσιν».

Η λοιπή Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Ζ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Ιερομάρτυρος Θεοδότου Αγκύρας.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'

Τών ουρανίων ταγμάτων

Αγαλλομένη καρδία, καί σταθερώ λογισμώ, πρός τούς αγώνας Μάρτυς, ηυτομόλησας όντως, μή πτήξας τών βασάνων τά αλγεινά, ού τόν βίαιον θάνατον, όθεν νομίμως αθλήσας περιφανώς εστεφάνωσαι Θεόδοτε.

Τοίς σπαραγμοίς τής σαρκός σου κατετραυμάτισας, τούς πολεμίους Μάκαρ, καί κατέξανας τούτων, ελέγχοις τάς καρδίας, τοίς δέ κρουνοίς, τών χυθέντων αιμάτων σου, τάς διεκχύσεις εξήρανας παντελώς, τής αθεϊας παμμακάριστε.

Καρτερικώς ταίς λαμπάσι περικαιόμενος, καί ταίς πληγαίς τόν νώτον, συντριβόμενος Μάρτυς, υπέμεινας κραυγάζων, Τής τού Χριστού, αγαπήσεως όλως με, ουδέν χωρίσει ου θάνατος, ού ζωή, ουδέ πάσα άλλη βάσανος.

Δόξα... Καί νύν... Θεοτοκίον

Αυτόμελον

Τών ουρανίων ταγμάτων τό αγαλλίαμα, τών επί γής ανθρώπων, κραταιά προστασία, άχραντε Παρθένε, σώζε ημάς, τούς εις σέ καταφεύγοντας, ότι εν σοί τάς ελπίδας μετά Θεόν, Θεοτόκε ανεθέμεθα.

Η Σταυροθεοτοκίον

Σέ τόν αμνόν καί ποιμένα, επί τού ξύλου Σωτήρ, η σέ αγνώς τεκούσα, ως εώρα Θεέ μου, θρηνούσα ανεβόα, Τέκνον εμόν, φώς τού κόσμου γλυκύτατον, πώς επί ξύλου ορώ σε τού σταυρικού, ως κακούργον αναρτώμενον;

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τού Αγίου, ού η Ακροστιχίς.

Θεού δόσις πέφυκας εικότως μάκαρ. Ιωσήφ.

Ωδή α' Ήχος πλ. β'

Ως εν ηπείρω πεζεύσας

Θεολαμπή σε αστέρα ο νοητός, αναδείξας ήλιος, εν τώ ύψει τής αυτού, Εκκλησίας άπασαν τήν γήν, αστραπαίς Μάκαρ τών σών άθλων εφαίδρυνεν.

Εκ νεαράς ηλικίας ανατεθείς, τώ Θεώ Θεόδοτε, θεοδότοις αρεταίς, τήν ψυχήν ελάμπρυνας σαφώς, καί τόν κόσμον τοίς σεπτοίς άθλοις εφαίδρυνας.

Ο περιώνυμος Μάρτυς κατανοών, τά τής πλάνης δίκτυα, εφαπλούμενα εν γή, πανταχού διήρχετο ψυχάς, διδαχαίς τών ευσεβών στηρίζων χάριτι.

Θεοτοκίον

Υπερβολή ευσπλαγχνίας τούς ουρανούς, κλίνας καταβέβηκεν, ο Υιός ο τού Θεού, καί εκ σού σεσάρκωται Αγνή, διασώζων τούς βροτούς πλάνης τού όφεως.

Ωδή γ'

Ουκ έστιν Άγιος ως σύ

Διόλου νεύων πρός Θεόν, οφθαλμοίς διανοίας, παναοίδιμε Μάρτυς, ουκ ησθάνου ταίς πληγαίς τού σώματος ομιλών, καί βασάνοις, πάντοθεν κυκλούμενος.

Ουδόλως Μάρτυς προσβολαίς, αλγεινών εσαλεύθης, ου θωπείαις ανόμων, επί πετραν ασφαλή, τής πίστεως τού Χριστού, ηδρασμένος, ένδοξε Θεόδοτε.

Συντρίβει σώμα ταίς πολλαίς, ο διώκτης αικίαις, ουκ ισχύει δέ όλως, σού τόν τόνον τής ψυχής, χαυνώσαι θεία στοργή, τού Σωτήρος, Μάκαρ κρατυνόμενον.

Θεοτοκίον

Ιδών σου πόρρωθεν χορός, Προφητών θεηγόρων, μυστηρίου τό βάθος, πολυτρόποις εν φωναίς, Θεού Μητέρα αγνή, σέ κηρύττει, πάναγνε Θεόνυμφε.

Ο Ειρμός

«Ουκ έστιν Άγιος ως σύ, Κύριε ο Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου Αγαθέ, καί στερεώσας ημάς, εν τή πέτρα, τής ομολογίας σου».

Κάθισμα  Ήχος α'

Τόν τάφον σου Σωτήρ

Πολύφωτος αστήρ, δαδουχίαις θαυμάτων, καί άθλων Ιερών, καταυγάζων τήν κτίσιν, Θεόδοτε μακάριε, αληθώς εχρημάτισας, όθεν σήμερον, τήν φωτοφόρον σου μνήμην, εορτάζομεν, εν κατανύξει καρδίας, Χριστόν μεγαλύνοντες.

Θεοτοκίον

Μητέρα σε Θεού, επιστάμεθα πάντες, Παρθένον αληθώς, καί μετά τόκον φανείσαν, οι πόθω καταφεύγοντες, πρός τήν σήν αγαθότητα, σέ γάρ έχομεν, αμαρτωλοί προστασίαν, σέ κεκτήμεθα, εν πειρασμοίς σωτηρίαν, τήν μόνην πανάμωμον.

Η Σταυροθεοτοκίον

Ορώσά σε Χριστέ, η Πανάμωμος Μήτηρ, νεκρόν επί Σταυρού, ηπλωμένον εβόα, Υιέ μου συνάναρχε, τώ Πατρί καί τώ Πνεύματι, τίς η άφατος, οικονομία σου αύτη, δι' ής έσωσας, τό τών αχράντων χειρών σου, σοφόν δημιούργημα.

Ωδή δ'

Χριστός μου δύναμις

Σοφία λόγων σου, καί έργων χάριτι, τόν τού σκότους προστάτην περιφανώς, ήσχυνας Θεόδοτε, καί νίκην ήρας κατ' αυτού, ευκλεώς αγωνισάμενος.

Πυρί τών άθλων σου, σαφώς ενέπρησας, τήν πολύθεον πλάνην καί ως λαμπάς, εν Αγίω Πνεύματι, Μάρτυς ανάψας μυστικώς, τήν υφήλιον εφώτισας.

Ευτόνως ένδοξε, πλευράς ξεόμενος, καί σφοδραίς αλγηδόσιν ως αληθώς, πάντοθεν κυκλούμενος, απαρασάλευτος τόν νούν, εγνωρίσθης διά πίστεως.

Θεοτοκίον

Φυλάξας άφθορον, σέ μετά κύησιν, ως πρό τόκου Παρθένον ο πλαστουργός, ώκησεν εν μήτρα σου, καί τούς φθαρέντας τή πλάνη, εκαινούργησεν ως εύσπλαγχνος.

Ωδή ε'

Τώ θείω φέγγει σου

Υπομονή σου Μάρτυς σοφέ, τών παρανομούντων τάς ορμάς, καί τών βασάνων τήν κάκωσιν, καί τάς πυρακτώσεις σαφώς υπήνεγκας, τή θεία

συμμαχία περιφραττόμενος.

Κηρύττων λόγον τόν ευσεβή, τάς οδοιπορίας τάς μακράς, Μάρτυς θεόφρον διώδευσας, καί τούς πλανωμένους πρός φώς επέστρεψας, τό σκότος αφεμένους τής ματαιότητος.

Αναρτηθείς οίά περ αμνός, Μάρτυς επί ξύλου σιδηρών, ονύχων φέρεις σπαράγματα, άσαρκος καθάπερ μακαριώτατε, νεκρώσεως τό πάχος αποδυσάμενος.

Θεοτοκίον

Σωματωθέντα τόν αληθή Λόγον, τού Πατρός εκ τών σεπτών, αγνή Παρθένε αιμάτων σου, τέτοκας εν δύο τελείαις φύσεσι, μιά δέ υποστάσει θεοχαρίτωτε.

Ωδή ς'

Τού βίου τήν θάλασσαν

Επήλειψας λόγοις σου, Ιεροίς τά Ιερά, πρός τούς αγώνας γύναια, καί καθελόντα Μάρτυς τόν δυσμενή, ανδρείοις παλαίσμασιν, αφθαρσίας στεφάνους ανεπλέξαντο.

Ισχύϊ τού Πνεύματος, τήν ψυχήν πε ριφραχθείς, τής πονηρίας πνεύματα, υπομονή κατέβαλες αικισμών, καί νίκης διάδημα, εκ Θεού εκομίσω Αξιάγαστε.

Κρουνοίς τών αιμάτων σου, τών ειδώλων τήν πυράν, Μάρτυς Χριστού κατέσβεσας, καί δροσισμώ τών πόνων σου ευσεβώς, ψυχάς κατεδρόσισας, εκ φλογός τής απάτης λυτρωσάμενος.

Θεοτοκίον

Ο πάσης επέκεινα, νοουμένης αληθώς, καί ορωμένης κτίσεως, μήτραν τήν σήν υπέδυ παναληθώς, καί σάρξ εχρημάτισε, τούς βροτούς αναπλάττων Αειπάρθενε.

Ο Ειρμός

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ Κλύδωνι, τώ ευδίω λιμένι σου
προσδραμών, βοώ σοι, Ανάγαγε, εκ φθοράς τήν ζωήν μου Πολυέλεε».

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Ζ' τού αυτού μηνός, Μνήμη τού Αγίου Ιερομάρτυρος Θεοδότου τού εν Αγκύρα.

Στίχοι

- Χείρ Θεόδοτον, ήν Θεού χείρ ξηράνοι,
- Θεώ δοτόν τίθησι, πλήξασα ξίφει.
- Θεόδοτος εβδομάτη τυθείς έλεν ουρανόν ευρύν.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος Ζηναϊδος τής θαυματουργού, καί τών Αγίων γυναικών, Αισίας καί Σωσάννης, μαθητριών

Παγκρατίου Επισκόπου Ταυρομενίου.

Τελείται δέ η αυτών σύναξις εν τώ αγιωτάτω αυτών Μαρτυρείω, εν τοίς Βασιλίσκου.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Λυκαρίωνος.

Στίχοι

- Άφωνος ήκει πρός ξίφος Λυκαρίων,
- Έναντι τού κείροντος οίον αρνίον.

Τή αυτή ημέρα, οι Άγιοι Μάρτυρες Ταράσιος καί Ιωάννης ξίφει τελειούνται.

Στίχοι

- Ιωάννην τέμνουσι σύν ταρασίω
- Ου πρός τέμνον εκταραχθέντας ξίφος.

Τή αυτή ημέρα, ο Όσιος Στέφανος εν ειρήνη τελειούται.

Στίχοι

- Επώνυμος Στέφανος ού φορεί στέφους,
- Ο πρακτική χείρ αρετών οίδε πλέκειν.

Τή αυτή ημέρα, ο. Όσιος Άνθιμος εν ειρήνη τελειούται.

Στίχοι

- Άνθην ενεγκών Άνθιμος χριστού βίου,
- Πρό τής τελευτής αρετών καρπόν φύει.

Τή αυτή ημέρα, η Αγία Σεβαστιανή εν ειρήνη τελειούται.

Στίχοι

- Σεβαστιανής, ως τά λοιπά τού βίου,
- Σεβαστά πάσι, καί τό τού βίου τέλος.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Δροσοβόλον μέν τήν κάμινον

Τώ πυρί θεομακάριστε τών πόνων σου, πυράν ειδώλων έσβεσας, τών αιμάτων δέ, τοίς κρουνοίς εβύθισας εχθρούς, ασάρκους Θεόδοτε βοών, ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Ως θυμίαμα ευώδες προσενήνεξαι, Σοφέ τώ αθλοθέτη σου, θεία χάριτι, τήν δυσώδη πλάνην καθελών, διό μελωδείς περιχαρώς, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Συντηρήσας σου τούς λόγους φόρτος Άγιος, τώ θεοφόρω Φρόντωνι

αποδέδοσαι, εις ναού ανέγερσιν σεπτού, εις κάθαρσιν πάντων ευσεβών, εις περιποίησιν ψυχών, Μάρτυς Θεόδοτε.

Θεοτοκίον

Μίαν φέροντα υπόστασιν εκύησας, τόν Λόγον Μητροπάρθενε, διπλάς έχοντα, τάς θελήσεις καί τά φυσικά, αυτού ιδιώματα σαφώς, Θεός γάρ εστι καί βροτός, ο δι' ημάς σαρκωθείς.

Ωδή η'

Εκ φλογός τοίς Οσίοις

Αδιάσειστος στύλος πύργος ακλόνητος, απερίτρεπτον τείχος βάσις τής πίστεως, δόσις θεϊκή, ευσεβείας υπέρμαχος πλάνης καθαιρέτης, εδείχθης Αθλοφόρε.

Κυβερνήσει τής θείας χάριτος Πάνσοφε, τών βασάνων παρήλθες τό μέγα πέλαγος, καί τούς γαληνούς, αγαλλόμενος έφθασας, ένδοξε λιμένας, τής άνω βασιλείας.

Αι πορείαι καί τρίβοι σου κατευθύνθησαν, πρός Χριστόν τόν τών όλων Θεόν καί Κύριον, ού εν ταίς χερσί, σού τό πνεύμα παρέδωκας, Μάρτυς αθλοφόρε, Θεόδοτε τρισμάκαρ.

Θεοτοκίον

Ρητορεύουσα γλώσσα τού μυστηρίου σου, τό απόρρητον βάθος ειπείν ου δύναται, Λόγον γάρ Θεού, υπέρ λόγον εκύησας, πάναγνε Παρθένε, εις πάντων σωτηρίαν.

Ο Ειρμός

«Εκ φλογός τοίς Οσίοις δρόσον επήγασας, καί Δικαίου θυσίαν ϋδατι έφλεξας, άπαντα γάρ δράς Χριστέ,, μόνω τώ βούλεσθαι, Σέ υπερυψούμεν, εις πάντας τούς αιώνας».

Ωδή θ'

Απορεί πάσα γλώσσα

Ίνα τής δόξης τύχης, τής εκεί Αθλοφόρε, τής ορωμένης χαίρων κατεφρόνησας, καί θεία επινεύσει, πρός τούς αικισμούς εχώρησας μή δειλιάσας, κολαστηρίων είδη καί θάνατον πικρόν, όθεν μετά Μαρτύρων εστέφθης αγωνισάμενος.

Ωράθης οίκος Μάρτυς, καθαρός τής Τριάδος, οικοδομία πράξεων Θεόδοτε, πανόλβιε ενθέων, άθλων τε λαμπρών φαιδρότησι κεκοσμημένος, δι' ών ναούς δαιμόνων, καί ξόανα σοφέ, θεία τού Παρακλήτου δυνάμει, σαφώς κατέστρεψας.

Σταλάζον όρος θείον, γλυκασμόν ανεφάνης, πηγή θαυμάτων πέλαγός τε ένδοξε, ενθέων χαρισμάτων, ρείθρον διαυγές τού Πνεύματος, ψυχάς αρδεύον, καί κατακλύζον πάθη, καί πάσι προξενούν, Μάρτυς τοίς σέ υμνούσι τήν αγαλλίασιν.

Θεοτοκίον

Φωνή Αγγέλου τέτοκας, τόν άναρχον Λόγον, λαβόντα σάρκα έννουν τε καί έμψυχον, Παρθένε Παναγία, εκ τών καθαρών αιμάτων σου, καί τούς ασάρκους εχθρούς καταβαλόντα, καί σώσαντα ημάς, πάντας τούς αληθή Θεοτόκον ομολογούντάς σε.

Ο Ειρμός

Απορεί πάσα γλώσσα, ευφημείν πρός αξίαν, ιλιγγιά δέ νούς καί υπερκόσμιος, υμνειν σε Θεοτόκε, όμως αγαθή υπάρχουσα, τήν πίστιν δέχου, καί γάρ τόν πόθον οίδας, τόν ένθεον ημών, σύ γάρ Χριστιανών εί προστάτις, σέ μεγαλύνομεν».

Η λοιπή Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Η' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής ανακομιδής τού λειψάνου τού Αγίου Μεγαλομάρτυρος Θεοδώρου τού Στρατηλάτου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια γ' δευτερούντες αυτά.

Ήχος δ'

Ως γενναίον εν Μάρτυσιν

Αθλητής γενναιότατος, στρατιώτης αήττητος, εν Αγίω Πνεύματι αναδέδειξαι, καταβαλών τόν πολέμιον, σοφία τών λόγων σου, καί τών έργων σου σοφέ, καρτεραίς επιδείξεσιν, όθεν είληφας, τούς στεφάνους τής νίκης, καί τοίς άνω, ομηγύρεσι συνήφθης, Μεγαλομάρτυς Θεόδωρε.

Καί σταυρώ αναρτώμενος, καί τάς σάρκας ξεόμενος, οξυτάτοις βέλεσι Τιτρωσκόμενος, καί επί ξύλου τεινόμενος, καί ξίφει τεμνόμενος, καί παντοίαις μηχαναίς, αλγηδόνων κυκλούμενος, απαράτρωτος, καί αήττητος ώφθης τή δυνάμει, τού Σταυρώ προσηλωθέντος, κλέος Μαρτύρων Θεόδωρε.

Θείον άγαλμα γέγονας, ευσεβείας πανόλβιε, δυσσεβών αγάλματα βδελυξάμενος, καί Ιερείον ολόκληρον, καί θύμα ευπρόσδεκτον, τώ τυθέντι διά σέ, καθαρώς προσαγόμενον, τώ δοξάσαντι, τήν Αγίαν σου μνήμην καί θαυμάτων, θησαυρόν σε τοίς εν κόσμω, δωρησαμένω Θεόδωρε.

Δόξα... Ήχος πλ. δ'

Αθλητικόν συστησάμενος στάδιον, κατά τής πλάνης ηνδραγάθησας Θεόδωρε, τή πυριφθόγγω γλώττη σου, καταισχύνας Λικινίου τό απάνθρωπον, Διό καί σύν Αγγέλοις χορεύων μακάριε, αίτησαι Χριστόν, όπως ίλεως γένηται ημίν, εν τή ημέρα τής κρίσεως.

Καί νύν... Θεοτοκίον

Δέσποινα πρόσδεξαι, τάς δεησεις τών δούλων σου, καί λύτρωσαι ημάς από πάσης ανάγκης καί θλίψεως.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος πλ. α'
Χαίροις ασκητικών

Χαίροις ο στρατιώτης Χριστού, ο τροπωσάμενος εχθρού τήν παράταξιν, τώ όπλω τής ευσεβείας, ο τών πιστών στηριγμός, ο πολλών βασάνων ωνησάμενος, Θεού τήν ουράνιον, βασιλείαν Θεόδωρε, εν ή χορεύων, καί μεθέξει θεούμενος, καί λαμπόμενος, καθαραίς διαδόσεσι, μέμνησο τών τιμώντων σου, τήν μνήμην τήν ένδοξον, καί προσκυνούντων εν πίστει, τήν τών λειψάνων σου λάρνακα, αφ' ής αναβλύζεις, τοίς αιτούσιν ευρωστίαν, καί μέγα έλεος.

Στίχ. Θαυμαστός ο Θεός εν τοίς αγίοις αυτού ο Θεός Ισραήλ αυτός δώσει δύναμιν καί κραραίωσιν τώ λαώ αυτού ευλογητός ο Θεός.

Χαίροις η Ιερά Κεφαλή, τών θλοφόρων τό σεπτόν ακροθίνιον, ο κόσμος τής Εκκλησίας, ο καθαιρέτης εχθρού, δωρεών ενθέων ο επώνυμος, λαμπτήρ τήν υφήλιον, καταυγάζων τοίς θαύμασι, πύργος ο μέγας, διαμείνας ασάλευτος, ταίς προσρήξεσι, τών απείρων κολάσεων, λόγχη τής καρτερίας σου, ο κτείνας τόν δράκοντα, ο αριστεύσας μεγάλως, ως στρατιώτης αήττητος, Χριστόν εκδυσώπει, ταίς ψυχαίς ημών δοθήναι, τό μέγα έλεος.

Στίχ. Τοίς Αγίοις τοίς εν τή γή αυτού εθαυμάστωμεν πάντα τά θέλημα αυτού εν αυτοίς.

Όπλω τού ζωηφόρου Σταυρού, τήν τών ειδώλων συντριβήν εργασάμενος, μαστίγων υπέστης πείραν, καί επί ξύλου ταθείς, σπαραγμούς παμμάκαρ εκαρτέρησας, υφ' ών συντριβόμενος, καί λαμπάσι φλεγόμενος, σταυρώ υψώθης, τιτρωσκόμενος βέλεσι, καί τά όμματα, υπ' αυτών εκτυφλούμενος, όθεν σε μακαρίζομεν, καλώς εναθλήσαντα, ουρανίων στεφάνων, επιτυχόντα Θεόδωρε, Διό εκδυσώπει, ταίς ψυχαίς ημών δοθήναι, τό μέγα έλεος.

Δόξα... Ήχος πλ. α'

Τών τού Θεού δωρεών ως επώνυμον, καί τής αυτού κληρονόμον μακαριότητος, πάντες ευφημήσωμεν πιστοί, καί μακαρίσωμεν επαξίως, Θεόδωρον τόν γενναίον Μεγαλομάρτυρα, τής οικουμένης τόν υπέρμαχον, πρεσβεύει γάρ Χριστώ τώ Θεώ, υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

Τά ουράνια υμνεί σε, κεχαριτωμένη Μήτερ ανύμφευτε, καί ημείς δοξολογούμεν, τήν ανεξιχνίαστόν σου γέννησιν, Θεοτόκε πρέσβευε, σωθήναι τάς ψυχάς ημών.

Απολυτίκιον Ήχος δ'

Ο υψωθείς εν Σταυρώ

Στρατολογία αληθεί αθλοφόρε, τού ουρανίου στρατηγός Βασιλέως, περικαλής γεγένησαι Θεόδωρε, όπλοις γάρ τής πίστεως, παρετάξω εμφρόνως, καί κατεξωλόθρευσας, τών δαιμόνων τά στίφη, καί νικηφόρος ώφθης αθλητής, όθεν σε πίστει, αεί μακαρίζομεν.

Δόξα... Καί νύν...

Ήχος δ' Θεοτοκίον

Τό απ' αιώνος απόκρυφον, καί αγγέλοις άγνωστον Μυστύριον, διά σού Θεοτόκε τοίς επί γής πεφανέρωται, Θεός εν ασυγχύτω ενώσει σαρκούμενος, καί Σταυρόν εκουσίως υπέρ ημών καταδεξάμενος, δι' ού αναστήσας τόν Πρωτόπλαστον, έσωσεν εκ θανάτου τάς ψυχάς ημών.

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τής Οκτωήχου, καί τού Αγίου ο παρών, ού η Ακροστιχίς. Μέλπω σε δώρων ενθέων επώνυμε. (Άνευ τών Θεοτοκίων). Ποίημα Θεοφάνους.

Ωδή α' Ήχος δ'

Θαλάσσης τό ερυθραίον

Μαρτύρων περιφανώς λαμπρότησι, καλλωπιζόμενος, καλλοποιώ παρίστασαι Χριστώ, παρ' αυτού καλλυνόμενος, ως δωρεών επώνυμος, τών τού Θεού Μάρτυς Θεόδωρε.

Ενθέοις θωρακισθείς Θεόδωρε, όπλοις τής πίστεως, τού δυσμενούς συνέκοψας στερρώς, ψυχοφθόρου τάς φάλαγγας, καί νικητής γενόμενος, μετά Μαρτύρων εστεφάνωσαι.

Λαμπρόν σου τό τής ψυχής αναστημα, επιδεικνύμενος, τώ δυσσεβεί θεόφρον βασιλεί, τή σοφία τών λόγων σου, καί τή τών έργων χάριτι, τούτον κατήσχυνας Θεόδωρε.

Θεοτοκίον

Ασπόρως τώ τού Πατρός βουλήματι, εκ θείου Πνεύματος, τόν τού Θεού συνείληφας Υιόν, καί σαρκί απεκύησας, τόν εκ Πατρός αμήτορα, καί δι' ημάς εκ σού απάτορα.

Ωδή γ'

Ευφραίνεται επί σοί

Παράταξιν δυσσεβή, ως στρατηλάτης δυνατός έτρεψας, καί σκολιού δράκοντος, πάσας μηχανάς εξεφαύλισας.

Ως πρόθυμος τήν ψυχήν, δι' επινοίας ευσεβούς Ένδοξε, τών δυσσεβών ώλεσας, τά νενοθευμένα σεβάσματα.

Στερρότητι λογισμού, τών δυσμενών επιφοράς ήνεγκας, ζωοποιόν νέκρωσιν, τού αγωνοθέτου μιμούμενος.

Θεοτοκίον

Σύ μόνη τοίς επί γής, τών υπέρ φύσιν αγαθών πρόξενος, Μήτηρ Θεού γέγονας, όθεν σοι τό Χαίρε κραυγάζομεν.

Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα, Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

Κάθισμα  Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Υπέρ φύσιν αγώνας διηνυκώς, υπέρ φύσιν επάθλων παρά Θεού, αξίως επέτυχες, Αθλοφρόρε πολύαθλε, ως ουδέν γάρ θέμενος, τό άθεον πρόσταγμα, σεαυτόν βασάνοις, προθύμως εξέδωκας, όθεν υπομείνας, σπαραγμούς καί στρεβλώσεις, σταυρόν τε καί θάνατον, τώ Χριστώ συνδεδόξασαι, αρμοζόντως Θεόδωρε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Καί νύν... Θεοτοκίον

Τήν ψυχήν μου Παρθένε τήν ταπεινήν, τήν εν ζάλη τού βίου τών πειρασμών, νύν ως ακυβέρνητον, ποντουμένην τώ κλύδωνι, αμαρτιών τε φόρτω, αφθείσαν υπέραντλον, καί εις πυθμένα Άδου, πεσείν κινδυνεύουσαν, φθάσον Θεοτόκε, τή θερμή σου πρεσβεία, καί σώσον παρέχουσα, σόν λιμένα τόν εύδιον, ίνα πίστει κραυγάζω σοι, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων δούναί μοι τήν άφεσιν, σέ γαρ έχω ελπίδα ο δούλός σου.

Ωδή δ'

Επαρθέντα σε ιδούσα.

Ετραυμάτισας τόν όφιν τώ τραυματούσθαι, καί καρτεραίς ενστάσεσι, Μάρτυς ανεδείχθης, μέλπων εμμελέστατα, τώ σέ δυναμώσαντι, Δόξα τή δυνάμει σου Κύριε.

Δαπανώμενος τάς σάρκας πολλαίς αικίαις, τόν λογισμόν ακλόνητον, έσωσας Τρισμάκαρ, μέλπων προθυμότατα, τώ σέ δυναμώσαντι, Δόξα τή δυνάμει σου Κύριε.

Ωραιώθης τοίς παθήμασι τού Δεσπότου, σού τά σεπτά παθήματα, Πάνσοφε συνάψας, καί καταξιούμενος αυτού τής λαμπρότητος, καί τής ποθουμένης φαιδρότητος.

Θεοτοκίον

Απειρογάμως εκύησας ώ Παρθένε, καί μετά τόκον ώφθης παρθενεύουσα πάλιν, όθεν ασιγήτοις φωναίς, τό χαίρέ σοι Δέσποινα, πίστει αδιστάκτω κραυγάζομεν.

## Ωδή ε'

### Συ Κύριέ μου φώς

Ραντίσματι σαρκός, τών αιμάτων απέπαυσας, δαιμόνιον επ' ολέθρω, προσαγόμενον λύθρον, αήττητε Θεόδωρε.

Ω γνώμης ευσεβούς! ώ γενναίου φρονήματος! ώ πίστεως θερμοτάτης, τού σεπτού Αθλοφόρου, δι' ής Θεού επέτυχε!

Νούν έχων τώ φωτί, τού Θεού ελλαμπόμενον, τόν πρόμαχον τής Κακίας, απημαύρωσας όφιν, πανένδοξε Θεόδωρε.

### Θεοτοκίον

Σέ όπλον αρραγές, κατ' εχθρών προβαλλόμεθα, σέ άγκυραν καί ελπίδα, τής ημών σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

## Ωδή ς'

### Θύσω σοι, μετά φωνής

Ενίκας, προθυμία συντόνω τούς άφρονας, επί σταυρού ηπλωμένος, καί τοίς ήλοις Μάκαρ εμπεπαρμένος, εικονίζων, τό σωτήριον πάθος τού κτίσαντος.

Νομίμως, εναθλούντι Χριστός σοι οπτάνεται, εν τή φρουρά κεκλεισμένω, επαλείφων οία αγωνοθέτης, πρός αγώνας, πρός εχθρού τά παλαίσματα Ένδοξε.

Θυσίαν, καθαράν καί αγίαν καί άμωμον, τώ διά σέ εκουσίως, εαυτόν θυσίαν προσαγαγόντι, προσηγάγου, σεαυτόν αθλοφόρε Θεόδωρε.

### Θεοτοκίον

Ω θαύμα, τών απάντων θαυμάτων καινότερον! ότι Παρθένος εν μήτρα, τόν τά σύμπαντα περιέχοντα, απειράνδρως, συλλαβούσα ουκ εστενοχώρησεν.

### Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

## Κοντάκιον Ήχος β'

### Τά άνω ζητών

Ανδρεία ψυχής τήν πίστιν θωρακισάμενος, καί ρήμα Θεού ως λόγχην χειρισάμενος, τόν εχθρόν κατέτρωσας, τών Μαρτύρων μέγιστε Θεόδωρε, σύν αυτοίς Χριστώ τώ Θεώ, πρεσβεύων απαύστως υπέρ πάντων ημών.

### Ο Οίκος

Τών αθλητών τό έκλαμπρον κάλλος, δεύτε πάντες τών ύμνων τοίς στεφάνοις πιστοί, Θεόδωρον καταστέψωμεν, δώρον γάρ Θεού μέγα τώ κόσμω αναδέδεικται, λάμψεσι ταίς τών θαυμάτων, τόν γάρ εχθρόν εκνικήσας Βελίαρ άθλοις σεπτοίς, ομβρίζει αντί αιμάτων, Κρουνηδόν ιαμάτων τά ρεύματα, σύν τούτοις δέ πάσι χαίρει Χριστώ, καί δίδωσιν ειρήνην ανέκλειπτον, πρεσβεύων απαύστως υπέρ πάντων ημών.

Συναξάριον

Τή Η' τού αυτού μηνός, Μνήμη τής Ανακομιδής τού Λειψάνου τού Αγίου Μεγαλομάρτυρος Θεοδώρου τού Στρατηλάτου.

Στίχοι

- Νεκρόν με Θεόδωρον η πατρίς δέχου,
- Όν ζώντα πλουτεί Μαρτύρων πατρίς πολος.
- Όλβιον ογδοάτη Θεοδώρου σώμα κομίσθη.

Τή αυτή ημέρα, τελείται η σύναξις τής υπεραγίας Θεοτόκου εν τώ Σωσθενείω.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Νικάνδρου καί Μαρκιανού.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος Καλλιόπης.

Ταίς αυτών αγίαις, πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Εν τή καμίνω, Αβραμιαίοι

Εν τή καμίνω, τών σών αγώνων Μάρτυς ένδοξε, ύλην ασεβείας έφλεξας, καί πυρσός, ευσεβείας ψάλλων γέγονας, Ευλογημένος εί εν τώ ναώ, τής δόξης σου Κύριε.

Ως στρατηγέτης, ως νουνεχής καί νηφάλιος έργω, βασιλέα άφρονα δυσσεβή, εξεφαύλισας καί έδειξας, τούτον ανίσχυρον, ενισχυθείς τώ σθένει τού Πνεύματος.

Νόμος ηττάται, τών εγκωμίων τώ μεγέθει σου, σύ γάρ, φανοτάταις έλαμψας αστραπαίς, μαρτυρίου τώ Δεσπότη σου, βοών Θεόδωρε, Ευλογητόν τό κράτος σου Δέσποτα.

Θεοτοκίον

Τό τού Υψίστου, ηγιασμένον θείον σκήνωμα χαίρε, διά σού γάρ δέδοται η χαρά, Θεοτόκε τοίς κραυγάζουσιν, Ευλογημένη σύ εν γυναιξίν, υπάρχεις Πανάμωμε.

Ωδή η'

Χείρας εκπετάσας Δανιήλ

Εν σοί πεποιθώς τώ δι' εμε, σταυρόν καί θάνατον, καθυπομείναντι, σταυρώ ανήρτημαι Δέσποτα, καί τιτρώσκομαι τοξεύμασι, καί χαλεπαίς προσομιλώ αικίαις Κύριε, ανεβόας, Μάρτυς αθλών γενναιόφρον Θεόδωρε.

Προσήγαγες θύμα καθαρόν, σαυτόν τώ Κτίστη σου, χαίρων Θεόδωρε, καί προσεχώρησας ένδοξε, βασιλείαν πρός ουράνιον, μετά Μαρτύρων Ιερών κραυγάζων πάντοτε, ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ως κρίνον, ως ρόδον νοητόν, οδμαίς τών άθλων σου ευωδιάζεις ημάς, διώκων χάριτι πάντοθεν, τό δυσώδες τών παθών ημών, καί παρορμών αναβοάν ευωδεστάτη ψυχή, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Θεοτοκίον

Σύ μόνη εν πάσαις γενεαίς, Παρθένε άχραντε, Μήτηρ εδείχθης Θεού, σύ τής θεότητος γέγονας, ενδιαίτημα Πανάμωμε, μή φλογισθείσα τώ πυρί τού απροσίτου φωτός, όθεν πάντες, σέ ευλογούμεν Μαρία Θεόνυμφε.

Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

## Ωδή θ'

Λίθος αχειρότμητος

Νύν τών μακαρίων τοίς δήμοις, καί τών Μαρτύρων ταίς χορείαις, ως ηγλαϊσμένος τοίς άθλοις, συναγελάζων καί συνηδόμενος, στεφηφορών παρίστασαι, τώ Ποθουμένω σοι Θεόδωρε.

Ύψος πρός ουράνιον ήρθης, τών επί γής καταφρονήσας, καί τού ποθουμένου σοι τέλους, κατηξιώθης αυτό τό έσχατον, τών ορεκτών Θεόδωρε, κατειληφώς επαγαλλόμενος.

Μόνον σε αθάνατον Λόγον, σαρκί παθόντα καί θανέντα, Μάρτυς ο θεόφρων ποθήσας, αθανασίας τής σής επέτυχεν, εν ουρανοίς σκηνούμενος, Κτίστα τών όλων παντοδύναμε.

Θεοτοκίον

Σαρκί επιδημήσαι θελήσας, ο διακοσμήσας πάντα λόγω, εν σοί κατεσκήνωσε μόνην, αγιωτέραν πάντων ευράμενος, καί Θεοτόκον εδειξεν, επ' αληθείας Μητροπάρθενε.

Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε με γαλύνομεν».

## Εξαποστειλάριον

Εν Πνεύματι τώ Ιερώ

Τάς παρατάξεις τών εχθρών, καί δαιμόνων τά θράση, εις τέλος κατηδάφισας, καί τό στέφος εδέξω, Θεόδωρε μακάριε, εκ χειρός τού Κτίστου σου, ως Μάρτυς τής αληθείας, διασώζεις δέ πάντας, εκ παντοίων θλιβερών, παγίδων τού αλλοτρίου.

Θεοτοκίον Όμοιον

Γεραίρουσι τόν τόκον σου, Ασωμάτων αι τάξεις, χαράς γάρ τά επίγεια, σύ πεπλήρωκας μόνη, διό σε τήν πανάμωμον, οι πιστοί δοξάζοντες, εν ύμνοις δοξολογούμεν, φώς γάρ σύ τοίς εν σκότει, εξανατέλλων ως όρθρος, ανέτειλας

τής ημέρας.

Ει βούλει, ειπέ εις τούς Αίνους εκ τών Στιχηρών τού Εσπερινού, ειδ' ού, εις τόν Στίχον, τής Οκτωήχου.

Δόξα... Ήχος πλ. β'

Αγιωσύνης δωρεά, καί πλούτος θείας ζωής, πεφανέρωσαι τώ κόσμω Θεόδωρε, Χριστός γάρ σου σοφέ τήν μνήμην εδόξασεν, εν ή συμφώνως οι πιστοί, γεγηθότες υμνούμεν, τούς αγώνας τών άθλων σου.

Καί νύν... Θεοτοκίον Ήχος πλ. β'

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής. Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Η λοιπή Ακολουθία τού Όρθρου, καί Απόλυσις

Εις τήν Λειτουργίαν, Τυπικά, καί εκ τού Κανόνος, Ωδή γ' καί ς'.

Ο Απόστολος

Τέκνον Τιμόθεε, ενδυναμού εν τή χάριτι... Ζήτει Οκτωβρίου κς'.

Ευαγγέλιον (Ζήτει Σεπτεμβρίου Κ' )

Κοινωνικόν

Εις μνημόσυνον αιώνιον έσται Δίκαιος. Αλληλούια.

---

Αρχή

## ΤΗ Θ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήιμη τού εν Αγίοις Πατρός ημών Κυρίλλου, Αρχιεπισκόπου Αλεξανδρείας.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'

Ως γενναίον εν Μάρτυσι

Φρυκτωρίαις τού Πνεύματος, ελλαμφθείς τήν διάνοιαν, φωτοβόλος ήλιος εχρημάτισας, ώσπερ ακτίνας τά δόγματα, εις πάντα τά πέρατα, εφαπλών καί τών πιστών, καταυγάζων πληρώματα, Παμμακάριστε, καί διώκων τό σκότος θεοφόρε, τών αιρέσεων δυνάμει, τού εκ Παρθένου εκλάμψαντος.

Ευφραδεία τών λόγων σου, Ιερώτατε Κύριλλε, Εκκλησία άπασα ωραϊζεται, καί ευσεβώς καλλωπίζεται, ωραίοις εν κάλλεσι, καί τιμά σου Ιερώς, τήν αγίαν μετάστασιν, παναοίδιμε, ιερέων τό κλέος, τών Πατέρων, κορυφαίε τής

Συνόδου, τής παναγίας υπέρμαχε.

Τοίς πυρίνοις σου δόγμασι, τών αιρέσεων άπασα, φρυγανώδης φλέγεται ύλη πάνσοφε, τών νοημάτων τοίς βάθεσι, βυθίζεται στράτευμα, απειθούντων δυσσεβών, Ιερώτατε Κύριλλε, τοίς διδάγμασι, καλλωπίζεται μάκαρ καθ' εκάστην, τών πιστών η Εκκλησία, μεγαλοφώνως τιμώσά σε.

Δόξα... Καί νύν... Θεοτοκίον

Πεπτωκότων ανόρθωσις, τεθνεώτων ανάστασις, σύ εδείχθης τέξασα τόν Υιόν τού Θεού, τόν τώ Πατρί συννοούμενον, τήν θείαν τε γέννησιν, ανασχόμενον εκ σού, σαρκικών υποστάσεων, όν ικέτευε, πειρασμών καί κινδύνων λυτρωθήναι, τούς ενπίστει Παναγία, ειλικρινώς σε δοξάζοντας.

Η Σταυροθεοτοκίον

Ως εώρακε Κύριε, η Παρθένος καί Μήτηρ σου, εν Σταυυυυρώ κρεμάμενον εξεπλήττετο, καί ατενίζουσα έλεγε, Τί σοι ανταπέδωκαν, οι πολλών σου δωρεών, απολαύσαντες Δέσποτα; Αλλά δέομαι, Μή με μόνην εάσης εν τώ κόσμω, αλλά σπεύσον αναστήναι, συνανιστών τούς προπάτορας.

Απολυτίκιον

Ήχος α'  Τής ερήμου πολίτης

Τόν φωστήρα τού κόσμου καί ρητόρων τόν έξαρχον, τής Αειπαρθένου Μαρίας παλαιστήν καί υπέρμαχον, τόν δόγμασι πυρίνοις αληθώς, εμπρήσαντα αιρέσεως δεινής, Νεστορίου τού βεβήλου τά δυσσεβή καί αντίχριστα ρήματα, υμνήσωμεν νύν πανευλαβώς, ώ Κύριλλε θείε, λέγοντες, πρέσβευε τού κρατύνειν τόν Χριστόν, πίστιν τήν ορθόδοξον.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τού Αγίου ο παρών, ού η Ακροστιχίς.

Θεωριών Κύριλλος ενθέων λύρα.
Θεοφάνους (Άνευ τών Θεοτοκίων).

Ωδή α'  Ήχος δ'

Θαλάσσης τό ερυθραίον

Θεόθεν τήν φωτοδότιν Κύριλλε, χάριν δεξάμενος, καί τηλαυγής φωστήρ αναδειχθείς, λογικάς απαστράψαις ημίν, μαρμαρυγάς, τήν μνήμην σου, όπως αξίως ανυμνήσωμεν.

Επλήσθης τής δαδουχίας Κύριλλε, τού θείου Πνεύματος, τών εντολών ως φύλαξ τού Χριστού, καί παθών καθηράμενος, τής υπερθέου γέγονας, όντως Τριάδος ενδιαίτημα.

Ως ζήλου καί παρρησίας έμπλεως, Κύριλλε ένδοξε, τάς θεομάχους πάσας αψευδώς, γλωσσαλγίας διέλυσας, τών δυσσεβών αιρέσεων, ορθοδοξίας

προϊστάμενος.

Θεοτοκίον

Ιάσω τήν συντριβήν Πανάμωμε, τής ανθρωπότητος, τόν ποιητήν τε, κούσα τού παντός, τόν ημάς ανορθώσαντα, καταρραγέντας πτώματι, τών προπατόρων Θεονύμφευτε.

Ωδή γ'

Ευφραίνεται επί σοί

Ρωννύμενος εν Χριστώ, τάς μηχανάς τού σκολιού δράκοντος, γνώμη στερρά Κύριλλε, ως ιστόν αράχνης διέλυσας.

Ιλύν παθών εκ ψυχής, εξετινάξω καθελών Κύριλλε, πάν λογισμών ύψωμα, κατά τού Χριστού επαιρόμενον.

Ως εύστοχος αθλητής, Πάτερ εξέκλινας στερρώς άπασαν, τήν τής σαρκός ευπάθειαν, ως επιβλαβή καί επίβουλον.

Θεοτοκίον

Τήν μόνην εν γυναιξίν, ευλογημένην ως Θεού σκήνωμα, πανευπρεπές άπαντες, εν αγαλλιάσει δοξάσωμεν.

Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα, Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

Κάθισμα  Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Τήν σοφίαν τήν θείαν πεπλουτηκώς, εξηρεύξω δογμάτων Πάτερ πηγάς, πλυνούσας αιρέσεων, δυσωδέστατον βόρβορον, καί πιστών καρδίας, αρδευούσας εν χάριτι, καί τής Εκκλησίας τάς αύλακας Κύριλλε, ήδη μεθυσκούσας, διά τούτό σε πίστει, Τιμώντες τήν μνήμην σου, εκτελούμεν θεόπνευστε, Ιεράρχα πανεύφημε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Θεοτοκίον αυτόμελον

Τήν Σοφίαν καί Λόγον εν σή γαστρί, συλλαβούσα αφράστως Μήτηρ Θεού τώ κόσμω εκύησας, τόν τόν κόσμον κατέχοντα, καί εν αγκαλαις έσχες, τόν πάντα συνέχοντα, καί εκ μαζών εθήλασας, τόν πάντας εκτρέφοντα, Όθεν δυσωπώ σε, Παναγία Παρθένε, ρυσθήναι πταισμάτων μου, όταν μέλλω παρίστασθαι, πρό προσώπου τού Κτίστου μου, Δέσποινα Παρθένε αγνή τήν σήν βοήθειαν τότε μοι δώρησαι, καί γάρ δύνασαι, όσα θέλεις πανύμνητε.

Η Σταυροθεοτοκίον

Τόν αμνόν καί ποιμένα καί λυτρωτήν, η αμνάς θεωρούσα εν τώ Σταυρώ, ωλόλυζε δακρύουσα, καί πικρώς εκβοώσα, ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήν περ υπομένεις, διά σπλάγχνα ελέους, Μακρόθυμε Κύριε, τού ελέους η άβυσσος, καί πηγή αγαθότητος, σπλαγχνίσθητι καί δώρησαι ούν,

τών πταισμάτων άφεσιν τοίς δούλοις σου, τοίς ανυμνούσί σου πίστει, τά θεία παθήματα.

### Ωδή δ'
### Επαρθέντα σε ιδούσα

Νενικητότα τά πάθη τά ψυχοφθόρα, καί λογισμώ κρατήσαντα σαρκός θεοφόρε, Κύριλλε ιδών ο Χριστός, τής θείας σε πρόεδρον, Πάτερ Εκκλησίας καθίστησιν.

Κληρονομήσας ως γόνος ηγαπημένος, τήν πατρικήν τού Μάρκου, αρετήν καί τού θρόνου, γέγονας διάδοχος, τού θείου τοίς ίχνεσιν, Ευαγγελιστού παρεπόμενος.

Υπό Χριστού μέν ως πρόβατον εποιμάνθης, ως δέ ποιμήν εποίμανας, τό ποίμνιον Πάτερ, λόγοις ψυχοτρόφοις σου, ως πόαις καί άνθεσι, δαψιλώς εκτρέφων τή χάριτι.

### Θεοτοκίον

Σεσαρκωμένον τόν Λόγον εκ σού Παρθένε, θεοπρεπώς εγέννησας, καί μένεις Παρθένος, όθεν ασιγήτοις φωναίς, τό Χαίρέ σοι Δέσποινα, πίστει αδιστάκτω κραυγάζομεν.

### Ωδή ε'
### Σύ Κύριέ μου φώς

Ρεύμα όντος σφοδρόν, πλημμυρούντος χειμάρρου ο σός, ώ Κύριλλε εκμιμείται, λόγος, τών κακοδόξων εκτρέπων μηχανήματα.

Ίσως τήν βδελυράν, τού Αρείου διαίρεσιν, ώ Κύριλλε μιαράν τε, Σαβελλίου εκ βάθρων, συναλοιφήν καθήρηκας.

Λόγους πλουτοποιούς, ως χρυσόν καταλέλοιπας, ώ Κύριλλε θησαυρούς δέ, υπέρ λίθους τιμίους, τούς σούς τή Εκκλησία Χριστού.

### Θεοτοκίον

Τίς δύναται τό σόν, ερμηνεύσαι μυστήριον, Πανάμωμε; τόν γάρ κτίσει, μή χωρούμενον πάση, εν μήτρα σου εχώρησας.

### Ωδή ς'
### Θύσω σοι, μετά φωνης

Λαβίδι, Σεραφίμ τώ Προφήτη τόν άνθρακα, τή Εκκλησία Χριστού δέ, ταίς χερσί προσνέμεις Ιερομύστα, τό εκ θείου, πυρός ηνθρακωμένον καθάρσιον.

Ο μόρους, ως Σαμψων αλλοφύλους ουκ έθραυσας, τά δέ αλλόκοτα πάντα, τών ετεροδόξων διδάγματα, καί τό κράτος, τοίς ορθοδόξοις δέδωκας Κύριλλε.

Συνόδου, θεολέκτου σαφώς προηγούμενος, τό δυσσεβές Νεστορίου, χριστομάχον θράσος Πάτερ καθείλες, ζήλω πνέων, υπέρ τής αληθούς

Θεομήτορος.

Θεοτοκίον

Όλην σε, περιστεράν τελείαν καί πάγκαλον, καί τηλαυγές ευρών κρίνον, καί κοιλάδων άνθος ώ Θεομήτορ, ο Νυμφίος, ο νοητός εν σοί κατεσκήνωσεν.

Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Κοντάκιον Ήχος πλ. β'

Τήν υπέρ ημών

Άβυσσον ημίν, δογμάτων θεολογίας, έβλυσας σαφώς, εκ τών πηγών τού Σωτήρος, τάς αιρέσεις κατακλύζουσαν μακάριε, καί τό ποίμνιον αλώβητον, τρικυμίαις διασώζουσαν, τών περάτων καί γάρ Όσιε, υπάρχεις καθηγητής, ως τά θεία σαφών.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Θ' τού αυτού μηνός, Μνήμη τού εν Αγίοις Πατρός ημών Κυρίλλου, Αρχιεπισκόπου Αλεξανδρείας.

Στίχοι

- Κύριλλον υμνώ τού Κυρίου μου φίλον,
- Καί Κυρίας πρόμαχον Αειπαρθένου.
- Εύρατο τυμβοχοήν ένατον Κύριλλος ες ήμαρ.

Ταίς αυτού αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Εν τή καμίνω, Αβραμιαίοι

Εν τώ Σιναίω, ακρωτηρίω πάλαι γνόφον εισδύς, νόμον είλε μάκαρ Κύριλλε ο Μωσής, αναιρούντα, τόν τού γράμματος, σύ δέ ανέπτυξας, τό κεκρυμμένον βάθος τού Πνεύματος.

Νομοθεσίας, δι' αινιγμάτων ως νηπίοις τό πρίν, Πάτερ δεδομένης κάλυξι καλυπτά, ώσπερ ρόδα τά νοήματα, σύ απεκάλυψας, ερμηνεύσας τούς τύπους σαφέστατα.

Θεοκηρύκων, καί θεολήπτων τά δυσέφικτα, τεύχη Προφητών τή χάριτι εμπνευσθείς, τού εκείνους εμφορήσαντος, Πνεύματος Κύριλλε, ειλικρινώς ημίν διεσάφησας.

Εν ασυγχύτω, ενώσει θεία καί ατμήτω σαφώς, Πάτερ διαιρέσεις, τρείς μέν θεολογών, υποστάσεις έφης Κύριλλε, απαραλλάκτους δέ, εν ουσία μιά καί θεότητι.

Θεοτοκίον

Επί τού θρόνου, τού επηρμένου ο καθήμενος, θρόνον επί γής Παρθένε θεοπρεπή, ευρηκώς σε ανεπαύσατο, Ευλογημένη συ, Θεογεννήτορ άχραντε

Δέσποινα.

Ωδή η'

Χείρας εκπετάσας

Ως κύμα θαλάσσης αληθώς, εν σοί εξέβλυσεν, η τής σοφίας πηγή, καί γάρ αέναοι έρρευσαν, ποταμοί εκ τής κοιλίας σου, Πάτερ δογμάτων ευσεβών, καθώς προείπε Χριστός, υπερβαίνει ψάμμον γάρ, τεύχη τά σά τά θεόλεκτα.

Νομεύς καί διδάσκαλος σοφός, τής Εκκλησίας δειχθείς, τάς δύο Κύριλλε, σαφώς ανέπτυξας Όσιε, Διαθήκας καί ως άγκυραν, καί πατρικόν κλήρον τούς σούς, έχουσα λόγους βοά, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Λόγου σαρκωθέντος δι' ημάς, τού παντεχνήμονος, σύ τήν απόρρητον, διδάσκεις ένωσιν Κύριλλε, αδιαίρετον ασύγχυτον, τάς εφ' εκάτερον ροπάς, ίσως εκκλίνας βοάς, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Θεοτοκίον

Κυρίως γεννήσασα Θεόν, κυρίως Πάναγνε, Μήτηρ εδείχθης Θεού, επαληθεύουσαν φέρουσα, καταλλήλως τώ γεννήματι, θεωνυμίαν, οι πιστοί, όθεν δοξάζομεν, Θεοτόκον σε, θεοφρόνως πανάμωμε Δέσποινα.

Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Ωδή θ'

Εύα μέν τώ τής παρακοής

Ύψωμα Χριστού κατεπαρθέν τής γνώσεως, καί τής τούτου Θεομήτορος, Κύριλλε άπαν κατά κράτος, καθείλες Νεστορίου τό άθεον, Υιών δυάδα ωσαύτως καί σύγχυσιν, τών Ακεφάλων τήν τών φύσεων.

Ρώσει τών φρενών καί φωτισμώ τής χάριτος, τήν Τριάδα ομοούσιον, τόν τε Υιόν σεσαρκωμένον, Θεόν θεολογήσας Μακάριε, οφθείς τε Θεοτόκου υπέρμαχος, εν τοίς υψίστοις νύν δεδόξασαι.

Άνωθεν ημάς τούς υμνητάς αοίδιμε, εποπτεύοις Πάτερ ίλεως, Άνακτι νίκας σταυροφόρω, βραβεύων καί υψών ταίς πρεσβείαις σου, τό κέρας ορθοδόξων φωτίζων τε, τούς τήν σήν μνήμην μεγαλύνοντας.

Θεοτοκίον

Άνθρακα τόν νοητόν Αγνή πανάμωμε, Ησαΐας όν τεθέαται, φέρεις αγκάλαις Θεομήτορ, μορφή τή ημετέρα ενούμενον, καί κόσμω τήν σωτηρίαν βραβεύοντα, όθεν σε πάντες μεγαλύνομεν.

Ο Ειρμός

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν».

Καί η λοιπή Ακολουθία τού Όρθρου, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Ι' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Μαρτύρων Αλεξάνδρου καί Αντωνίνης.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'
Πανεύφημοι Μάρτυρες

Τριάδος τήν έλλαμψιν δυάς, Αθλητών πλουτήσασα, ανδρειοτάτως ενήθλησε, θείος Αλέξανδρος, συν τή Αντωνίνη, βάσανα πολύπλοκα, ομού διά Χριστόν υπομείναντες, ώ νύν πρεσβεύουσι, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Διπλούν στέφος είληφας σαφώς, Αντωνίνα πάνσεμνε, αγνείας τε καί αθλήσεως, εχθρού νικήσασα, τάς μηχανουργίας, καί πρό τής αθλήσεως, καί πάλιν εν καιρώ τών αγώνων σου, Χριστόν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Εν ξύλω υψούμενοι σοφοί, χείράς τε κοπτόμενοι, καί ταίς λαμπάσι φλεγόμενοι, καί σπαθιζόμενοι, καί εν κατωτάτω, λάκκω συγχωννύμενοι, καί τέλος εν αυτώ τό μακάριον, υποδεχόμενοι, Αθλοφόροι αξιάγαστοι, τόν τών όλων, Θεόν ουκ ηρνήσασθε.

Δόξα... Καί νύν... Θεοτοκίον

Πανάγιον τέμενος Θεού, ουρανών πλατύτερον, καί Χερουβίμ αγιώτερον, θεοχαρίτωτε, Παναγία Κόρη, τόν νούν μου χαρίτωσον, καί φώτισον καρδίας τά όμματα, παρεχομένη μοι, ευπροσδέκτοις μεσιτείαις σου, τών πταισμάτων, τήν άφεσιν δέομαι.

Η Σταυροθεοτοκίον

Σφαγήν σου τήν άδικον Χριστέ, η Παρθένος βλέπουσα, οδυρομένη εβόα σοι, Τέκνον γλυκύτατον, πώς αδίκως πάσχεις; πώς τώ ξύλω κρέμασαι, ο πάσαν γήν κρεμάσας τοίς ύδασι; Μή λίπης μόνην με, Ευεργέτα πολυέλεε, τήν Μητέρα, καί δούλην σου δέομαι.

### ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τής Οκτωήχου, καί τών Αγίων ο ακόλουθος, ού η' Ακροστιχίς.

Ύμνοις επαινώ τήν καλήν ξυνωρίδα. Ιωσήφ.

Ωδ ή α'  Ήχος α'
Σού η τροπαιούχος

Ύμνοις επαινέσαι τήν υμών, προθυμουμένω πανήγυριν Μάρτυρες, φώς μοι χορηγήσατε, τόν σκοτασμόν σκεδάζοντες τής αγνοίας μου, ως τώ ανεσπέρω, φωτί αεί παριστάμενοι.

Μόνα δι' αιώνος Αθληταί, τά διαμένοντα πίστει ποθήσαντες, πάντα παρεδράμετε, τά ορατά καί πρός ποινάς καί μάστιγας, γνώμη στερροτάτη, περιφανώς εχωρήσατε.

Νόμιμον ανύοντες σεπτοί, τού μαρτυρίου αγώνα τόν Κύριον, είχετε συλλήπτορα, τών αλγεινών ημάς επικουφίζοντα, καί κατά τυράννων, ανδρείους επεργαζόμενον.

Θεοτοκίον

Οδημιουργήσας ως Θεός, τάς αοράτους δυνάμεις βουλήματι, έσχεν ως αιτίαν σε, τής πρός ημάς Παρθένε αναπλάσεως, Τούτον ούν δυσώπει, τόν κόσμον σώσαι Πανάμωμε.

Ωδή γ'
Ο μόνος ειδώς

Ιδείν Αντωνίνα τόν Χριστόν, ποθούσα καλλιπάρθενε, τό θείον τούτου πάθος εζήλωσας, ραπίσματα γά, ο ως αυτός ήνεγκας, εναπορραπίζουσα, τά ζοφώδη πρόσωπα, τών ασάρκων δαιμόνων πανεύφημε.

Στερρώς αντετάξω τώ εχθρώ, μαστίζεσθαί σε Πάνσεμνε, προστεταχότι γνώμης στρεβλότητι, φρουράν οικείν δέ καταδικάζει σε, φρουρουμένην άνωθεν, προσταγαίς τού Κτίστου σου, υφ' αγίων Αγγέλων θεώμενος.

Ευχαίς σου βρονταί καί αστραπαί, εξ ύψους κατεφέροντο, καί φώς ωράθη, μέγα Θεόνυμφε, φωνή τε θεία λαμπρώς γεγένηται, σέ παραθαρρύνουσα, Αντωνίνα πάνσεμνε, καί τροφή λογική ενισχύουσα.

Θεοτοκίον

Παρθένος κυήσασα Θεόν, ωράθης μετά γέννησιν, καί σού τό θείον Άχραντε πρόσωπον, χοροί παρθένων νύν λιτανεύουσι, μεθ' ών ημίν αίτησαι, ιλασμόν καί έλεος, καί δεινών παντελή απολύτρωσιν.

Ο Ειρμός

«Ο μόνος είδως τής τών βροτών ουσίας τήν ασθένειαν, καί συμπαθώς αυτήν μορφωσάμενος, περίζωσόν με εξ ύψους δύναμιν, τού βοάν σοι, Άγιος, ο ναός ο έμψυχος, τής αφράστου σου δόξης Φιλάνθρωπε».

Κάθισμα  Ήχος α'
Τόν τάφον σου Σωτήρ

Δυάς η θαυμαστή, τών σεπτών Αθλοφόρων, ενέγκασα στερρώς, τήν πυράν τών βασάνων, εν δόξη παρίσταται, τή Τριάδι πρεσβεύουσα, χάριν έλεος, καί ιλασμόν τών πταισμάτων, τοίς τήν ένδοξον, αυτής γεραίρουσι μνήμην,

δοθήναι εν πνεύματι.

Θεοτοκίον

Ελπίς Χριστιανών, Παναγία Παρθένε, όν έτεκες Θεόν, υπέρ νούν τε καί λόγον, απαύστως ικέτευε, σύν ταίς άνω Δυνάμεσι, δούναι άφεσιν, αμαρτιών ημίν πάσι, καί διόρθωσιν, βίου τοίς πίστει καί πόθω, αεί σε δοξάζουσιν.

Η Σταυροθεοτοκίον

Η άσπιλος αμνάς, τόν αμνόν καί πυιμένα, κρεμάμενον νεκρόν, επί ξύλου ορώσα, θρηνούσα εφθέγγετο, μητρικώς ολολύζουσα, Πώς ενέγκω σου, τήν υπέρ λόγον Υιέ μου, συγκατάβασιν, καί τά εκούσια πάθη, Θεέ υπεράγαθε;

Ωδή δ'

Όρος σε τή χάριτι

Άδεται εις πάντα τόν κόσμον η άθλησις, καί τά παλαίσματα υμών, Μεγαλομάρτυρες Χριστού, δι' ών ετροπώσασθε, τάς τού εχθρού πικράς δυνάμεις εν χάριτι, καί νικηταί κατ' αυτού απεφάνθητε.

Ίστησι παγίδας κατά σού ό παμπόνηρος, εν ανδρικώ δέ λογισμώ, καί στολισμώ τάς προσταγάς, αυτού απηχρείωσας, καί παντελώς αυτόν Σεμνή κατηδάφισας, θεία χειρί σκεπομένη θεόσοφε.

Νόησιν καί σύνεσιν Χριστός σοι χαρίζεται, καί εκ χειρός τών δυσσεβών, άσπιλον άμωμον τηρεί, καί λύτρον εκπέμπει σοι, τόν Ιερόν, ώ Αντωνίνα Αλέξανδρον, καθάπερ θείον εξ ύψους Αρχάγγελον.

Θεοτοκίον

Ως έχουσα πανύμνητε ισχύν σε καί στήριγμα, η Αντωνίνα καρτερεί, τά δυσαχθή καί θλιβερά, καί ρίπτει τόν τύραννον, καί συμπατεί ποσίν ωραίοις τή χάριτι, τού εκ νηδύος σου Λόγου εκλάμψαντος.

Ωδή ε'

Ο φωτίσας τή ελλάμψει

Τεινόμενος, επί ξύλου καί κατατεμνόμενος, Αλέξανδρε, καί σφοδραίς αλγηδόσι κυκλούμενος, πρός Θεόν ανέτεινες, σώζειν δυνάμενον τό όμμα, τής διανοίας πανεύφημε.

Νεκρούμενοι, εν γυμνώσει σωμάτων οι Μάρτυρες, εδέξαντο, αφθαρσίας στολήν καί αθάνατον, δόξαν εκληρώσαντο, αντί προσκαίρου ατιμίας, όθεν αεί μακαρίζονται.

Θεοτοκίον

Κατάβαλε, τούς αεί πολεμούντάς με δαίμονας, καί άπρακτον, τήν βουλήν αυτών ποίησον άχραντε, άτρωτόν με σώζουσα, τής προσδοκίας τούτων Κόρη, όπως αεί μακαρίζω σε.

Ωδή ς'

Εκύκλωσεν ημάς

Αγώνας ανδρικούς καί πλήρεις θαύματος, ενθέως διανύοντες, μυριάδας

Αιθιόπων νοητών, Μάρτυρες Κυρίου ετροπώσασθε, καί τοίς χοροίς, τών Ασωμάτων νύν συνευφραίνεσθε.

Λαμπόμενοι φωτί τώ θείω Μάρτυρες, αγνείας ωραιότητι, ωμοιώθητε αϋλοις λειτουργοίς, τόν αγαθοδότην θεραπεύσαντες, καί πρός αυτόν, στεφανηφόροι μεταχωρήσαντες.

Η γάλλεσθε φρουρά ομού τυγχάνοντες, φωτός ημίν αστράψαντος, καί φωνής επενεχθείσης εκ Θεού, θάρσος εντιθείσης ταίς ψυχαίς υμών, πανευκλεείς στεφανηφόροι Μεγαλομάρτυρες.

Θεοτοκίον

Νενέκρωμαι ψυχήν ταίς παραβάσεσιν, επίσκεψαί με ζώωσον, η ζωήν αποκυήσασα Χριστόν, όν οι ευκλεείς Μεγαλομάρτυρες, πάντων Θεόν, Παρθενομήτορ καθωμολόγησαν.

Ο Ειρμός

«Εκυκλωσεν ημάς εσχάτη άβυσσος, ουκ έστιν ο ρυόμενος, ελογίσθημεν ως πρόβατα σφαγής, σώσον τόν λαόν σου ο Θεός ημών, συ γάρ ισχύς, τών ασθενούντων καί επανόρθωσις».

Κοντάκιον Ήχος δ'

Επεφάνης σήμερον

Τών Μαρτύρων έλαμψεν, η αξιέπαινος μνήμη, ήν πιστοί τελέσωμεν, καί ανυμνήσωμεν πιστώς, εν επι γνώσει κραυγάζοντες, Σύ τών Μαρτύρων, Χριστέ τό κραταίωμα.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Ι' τού αυτού μηνός, Μνήμη τής Αθλήσεως τών Αγίων Μαρτύρων Αλεξάνδρου καί Αντωνίνης.

Στίχοι

- Εύρατο Αλέξανδρος άμ' Αντωνίνη
- Τόν βόθρον ακάτιον εις τρυφήν φέρον.
- Τλή δεκάτη μόρον Αντωνίνα εμπυρόπισσον,

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Ιερομάρτυρος Τιμοθέου, επισκόπου Προύσης.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Κανίδου.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Θεοφάνους καί Πανσέμνης.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Απόλλωνος επισκόπου, καί Αλεξίου Επισκόπου Βιθυνίας.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'
Σέ νοητήν Θεοτόκε
Ξενοπρεπώς, χείρας αφαιρούμενοι, τάς αιρομένας πρός τόν Θεόν, τόν τών όλων Κύριον, έχαιρον οι Μάρτυρες, δύναμιν δεχόμενοι, εξ ουρανού καί Κραυγάζοντες, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Υπομονή, ανυποίστων Μάρτυρες, κολαστηρίων αληθώς, λαμπρυνόμενοι ως χρυσός, κόσμος ωραιότατος, ώφθητε κραυγάζοντες, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Νεανικώς, ξύλω αναρτώμενοι, καί σπαθιζόμενοι δεινώς, ουκ ησθάνεσθε αληθώς, πόνων τών κολάσεων, άνωθεν δεχόμενοι, τήν αρωγήν καί κραυγάζοντες, ο αινετός τών Πατέρων, Θεός καί υπερένδοξος.

Θεοτοκίον
Ώσπερ τούς τρείς, Παίδας ού κατέφλεξε, κάμινος η χαλδαϊκή, ούτως Άχραντε σήν νηδύν, πύρ τό τής θεότητος, άφλεκτον ετήρησεν, αλλά βοώ σοι, Κατάφλεξον, ύλην πικράν τών παθών μου, Αγνή όπως δοξάζω σε.

Ωδή η'
Εν καμίνω Παίδες
Ρητορεύει πάνσοφος δυάς, ενώπιον ανόμων, τήν σάρκωσιν τού οφθέντος, δι' ημάς επί τής γής, Λόγου υπέρ έννοιαν, καί βασάνων πάσαν πείραν υποστάσα, Μαρτύρων ταίς αγέλαις νύν συναριθμείται, εις πάντας τούς αιώνας.

Ιερεία ώσπερ Ιερά, οπτώμενοι λαμπάσι, τό όμμα πρός τόν Θεόν, σώζειν δυνάμενον υμάς, ετείνατε Μάρτυρες, μελωδούντες, Πάντα τά έργα Κυρίου, τον Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Δεδεμένοι Μάρτυρες σοφοί, καί πίσση κεχρισμένοι, εν βόθρω πυρακτωθέντι, υπεβλήθητε ομού, ενθέως κραυγάζοντες, Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον
Απειράνδρως τέτοκας Θεόν, ημίν ομοιωθέντα, Παρθένε, όν εκδυσώπει, παναμώμητε αεί, σώσαι τούς κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ο Ειρμός
«Εν καμίνω Παίδες Ισραήλ, ως εν χωνευτηρίω, τώ κάλλει τής ευσεβείας, καθαρώτερον χρυσού, απέστιλβον λέγοντες, Ευλογείτε πάντα τά έργα Κυρίου, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ'
Τύπον τής αγνής λοχείας σου
Ίνα στέφος αμαράντινον, καί φωταυγή παστάδα καί όλβον άσυλον, Μάρτυρες Χριστού, εν ουρανοίς απολάβητε, εν καμίνω καί λάκκω εβλήθητε, εν τούτω

μακαρίως, τελειωθέντες αξιάγαστοι.

Ώσπερ προσφοραί ολόκληροι, τώ Βασιλεί τών όλων ανεκομίσθητε, Μάρτυρες Χριστού, διά πυρός τελειούμενοι, καί λαμπρά ομηγύρει συνήφθητε, τών άνω στρατευμάτων, μεθ' ών υμάς αεί γεραίρομεν.

Σώμα καί ψυχήν προσήξατε, θυσίαν όντως ζώσαν Μεγαλομάρτυρες, τώ υπέρ ημών, Χριστώ τυθέντι ως πρόβατον, καί σκηναίς πρωτοτόκων ευφραίνεσθε, Αλέξανδρε θεόφρον, καί Αντωνίνα αξιάγαστε.

Θεοτοκίον

Φώς μοιτώ κειμένω Πάναγνε, εν αμελείας σκότει νύν εξανάτειλον, τά τυφλούντά μου, τόν λογισμόν νέφη λύουσα, καί ειρήνην βαθείαν πανάμωμε, αεί εργαζομένη, εν τή ψυχή μου τού δοξάζειν σε.

Ο Ειρμός

«Τύπον τής αγνής λοχείας σου πυρπολουμένη Βάτος έδειξεν άφλεκτος, καί νύν καθ' ημών, τών πειρασμών αγριαίνουσαν, κατασβέσαι αιτούμεν τήν κάμινον, ίνα σε Θεοτόκε, ακαταπαύστως μεγαλύνωμεν».

Καί η λοιπή Ακολουθία, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΑ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Αποστόλων Βαρθολομαίου καί Βαρνάβα.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια αμφοτέρων.

Τού Αγίου Βαρθολομαίου

Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Τη σαγήνη τής γλώττης σου, θεορρήμον Απόστολε, εκ βυθού ανήγαγες ματαιότητος, καί χαλεπής αθεότητος, τού κόσμου τά πέρατα, καί προσήγαγες Χριστώ, τώ Θεώ διά πίστεως, τώ τοιαύτην σοι, δεδωκότι τήν χάριν ως ενθέω, μαθητή καί μυστολέκτη, Βαρθολομαίε Απόστολε.

Ο τής δόξης σε ήλιος, Ιησούς ο Θεός ημών, ως ακτίνα ένδοξε εξαπέστειλεν, εις τά τού κόσμου πληρώματα, συντόνως ελαύνουσαν, αθεϊας τήν αχλύν, καί φωτίζουσαν άπαντας, τούς καθεύδοντας, εν νυκτί αγνωσίας, ούς ειργάσω, τής ημέρας κληρονόμους, Βαρθολομαίε θεόσοφε.

Καθυπείκων τοίς νεύμασιν, ού τώ νεύματι άπαντα, καθυπείκει τούτόν τε εκμιμούμενος, ως αληθείας διδάσκαλον, θανάτου ποτήριον, διά πάθους

σταυρικού, αγαλλόμενος έπιες, καί παρίστασαι, εφετών ακροτάτω Αποστόλοις, καί Αγγέλοις συγχορεύων, Βαρθολομαίε αοίδιμε.

Τού Αγίου Βαρνάβα

Ήχος ο αυτός
Έδωκας σημείωσιν

Είληφας Απόστολε, κατά δαιμόνων αήττητον, εξουσίαν καί δύναμιν, Χριστού εν ονόματι, τάς αρχάς τού σκότους, τούτων απελαυνειν, καί διελήλυθας τήν γήν, καταλαμπρύνων καθάπερ ήλιος καί Ρώμην τήν αοίδιμον, καταλαβών πρώτος ένδοξε, τού Χριστού ανεκήρυξας, τήν σωτήριον έλευσιν.

Πρώτην αγαθότητα, καί φυσικήν καί υπέρθεον, πολιτείαν μιμούμενος, ανήρ εχρημάτισας, αγαθός Βαρνάβα, κατά μετουσίαν, καί παρακλήσεως υιός, διαφερόντως ονομαζόμενος, τών τρόπων σου χρηστότητι, καί τή τού νού καθαρότητι, τούς πιστούς παρεκάλεσας, επιμένειν τή χάριτι.

Όργανον ευάρμοστον, τή θεϊκή κυβερνώμενον, ενεργεία τού Πνεύματος, βαρνάβα γενόμενος, τών Εθνών τήν κλήσιν, σύ κατεπιστεύθης, πρός τήν επίγνωσιν Χριστού, μεταρρυθμίζων λόγοις καί πράξεσι, καί πάντας κατεφώτισας, ομολογείν αληθέστατα, Ιησού τήν θεότητα, τού Σωτήρος τών ψυχών ημών.

Δόξα... Ήχος πλ. β'
Θεοφάνους

Τούς τής ευσεβείας αληθείς κήρυκας, καί παμφαείς τής Εκκλησίας αστέρας, ύμνοις εγκωμίων τιμήσωμεν, Βαρθολομαίον καί Βαρνάβαν, τούς τών πιστών διδασκάλους, καί μύστας τού Σωτήρος Χριστού, Ούτοι γάρ τόν τής αληθείας λόγον σπείραντες, εν ταίς καρδίαις τών πιστών, πάσι καρποφορίαν διένειμαν, καί πρεσβεύουσι Χριστώ, τού σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον
Τριήμερος ανέστης

Μετάνοιαν ου κέκτησαι, ψυχή αμετανόητε, τί βραδύνεις; τού θανάτου η τομή, εγγίζει καί τό τέλος, εφέστηκεν ως κλέπτης, τή Θεοτόκω δράμε πρόσπεσον.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος α'
Πανεύφημοι Μάρτυρες

Εις πάσαν εξέδραμε τήν γήν, ημών ο σωτήριος, φθόγγος θεόπται Απόστολοι, καί κατεφώτισε, ψυχάς πλανωμένας, καί Χριστώ προσήγαγε, βροτούς πεφωτισμενους τή χάριτι, διό πρεσβεύσατε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Στίχ. Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών.

Φωστήρες υπέρλαμπροι Χριστού, σκεύη καθαρώτατα, αίγλην τού Πνεύματος Πάνσοφοι, πίστει χωρήσαντα, Εκκλησίας στύλοι, ουρανοί περίδοξοι, τήν δόξαν τού Θεού διηγούμενοι, αυτώ πρεσβεύσα, τε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Στίχ. Οι ουρανοί διηγούνται δόξαν Θεού ποίησιν δέ χειρών αυτού αναγγέλλει τό στερέωμα.

Έθνη προσηγάγετε Χριστώ, τώ Θεώ Μακάριοι, λελυτρωμένα τώ αίματι, τού ευδοκήσαντος, επί γης τεχθήναι, καί Σταυρόν καί θάνατον, θελήσει υπομείναντος ένδοξοι, ώ νύν πρεσβεύσατε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Δόξα... Ήχος πλ. δ'

Κοσμά Μοναχού

Ήν διήλθετε κτίσιν φωτίσαντες, οι τού Σωτήρος Μαθηταί, τήν πλάνην τών ειδώλων, ως ύλην καταφλέξαντες τοίς διδάγμασιν υμών, τά έθνη εξ αγνωσίας βυθού, πρός τήν θείαν γνώσιν, σαγηνεύσαντες εσώσατε, καί νύν πρεσβεύσατε Χριστώ, όπως ίλεως γένηται ημίν, εν τή ημέρα τής κρίσεως.

Καί νύν... Θεοτοκίον  Ήχος πλ. δ'

Δέσποινα πρόσδεξαι, τάς δεήσεις τών δούλων σου, καί λύτρωσαι ημάς, από πάσης ανάγκης καί θλίψεως.

Απολυτίκιον  Ήχος γ'

Απόστολοι Άγιοι, πρεσβεύσετε τώ ελεήμονι Θεώ ίνα πταισμάτων άφεσιν, παράσχη ταίς ψυχάς ημών.

Δόξα... Καί νύν...

Σέ τήν μεσιτεύσασαν τήν σωτηρίαν τού γένους ημών, ανυμνούμεν Θεοτόκε Παρθένε, εν τή σαρκί γάρ τή εκ σού προσληφθείση, ο Υιός σου καί Θεός ημών, τό διά Σταυρού καταδεξάμενος πάθος, ελυτρώσατο ημάς, εκ φθοράς ως φιλάνθρωπος.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τών Αγίων ο παρών.

Ποίημα Θεοφάνους.

Ωδή α'  Ήχος β'

Εν βυθώ κατέστρωσε

Ο προγνώστης πάντων καί Θεός, τό τής διανοίας σου, θεοειδές καθορών εξελέξατο, καί σέ συνηρίθμησε, τή χορεία Βαρθολομαίε πανεύφημε, τή των

Αποστόλων, χάριτι λαμπρύνας τήν καρδίαν σου.

Αρετών εις ύψος αναβάς, γλώσσαν τήν πυρίπνοον, πυροειδώς μερισθείσαν επλούτησας, ως Χριστού Απόστολος, παρουσία τού Παρακλήτου Πανάριστε, τήν τής ασεβείας ύλην, δαπανώσαν καί κουφότητα.

Κανών τού Αγίου Βαρνάβα, ού η' Ακροστιχίς.

Ωδήν πλέκω σου Βαρνάβα θεηγόρε.
( άνευ τών Θεοτοκίων)

Ο αυτός
Ως ανήρ υπάρχων αγαθός, καί τής παρακλήσεως, υιός φανείς τής ψυχής μου τήν κάκωσιν, καί τής αμαρτίας μου, τήν ψυχόλεθρον αθυμίαν απέλασον, όπως ευφροσύνης, έμπλεως γενόμενος υμνήσω σε.

Δεδεγμένος μάκαρ τό σεπτόν, φέγγος τού βλαστήσαντος, εκ τής φυλής τού Ιούδα πανόλβιε, Χριστού τού παντάνακτος, εκ Λευϊτιδος συγγενείας ορμώμενος, τής ιερωσύνης, νόμου τε μετάθεσιν εκήρυξας.

Η λαμπρά σου πάνσοφε ζωή, πρώτης αγαθότητος, καί φυσικής μετουσίας παρέδειξεν, αγαθόν σε δεύτερον, ταίς εκείθεν αγαθυνόμιενον χάρισιν, ένδοξε Βαρνάβα, γέννημα τής θείας παρακλήσεως.
Θεοτοκίον
Νεανίδων θείων ο χορός, ενθεαστικώτατα, εν γυναιξί σε καλήν ασματίζουσι, Θεοτόκε Δέσποινα, καλλοναίς ωραϊζομένην θεότητος, τόν καλλοποιόν γάρ Λόγον, υπέρ λόγον απεκύησας.

Ωδή γ'
Εξήνθησεν η έρημος
Ως πηγή προελήλυθας, σωτηρίου νάματος, Βαρθολομαίε πάντιμε, καί πολύχουν τόν καρπόν ήνεγκας, εθνών τήν σωτηρίαν αξιάγαστε.

Τώ άλατι τής χάριτος, τών ειδώλων έπαυσας, τήν σηπεδόνα Πάνσοφε, τώ νοστίμω λόγω τής πίστεως, τάς καρδίας ηδύνων τών τιμώντων σε.

Τού Βαρνάβα

Ο αυτός
Νεφέλη τόν εκούσιον, ημίν όμβρον φέρουσα, εκ τών πηγών τής χάριτος, καθωράθης Βαρνάβα ένδοξε, καί τρυφής τόν χειμάρρουν ποταμίζουσα.

Ποικίλαις δαδουχούμενον, λαμπηδόσι βλέπουσα, η πανσθενής τού Πνεύματος εξουσία, τών μυστηρίων Χριστού λειτουργόν αφορίζει, σέ πανσεβάσμιε.

Λαμπόμενοι τή χαριτι, τού Σταυρού σου Δέσποτα, οι ευκλεείς Απόστολοι, σοί τά έθνη πίστει προσάγουσιν, ο Βαρνάβας καί Παύλος οι θεόφρονες.

Θεοτοκίον

Εφάνης καθαρότητι, ωσεί κρίνον Δέσποινα, τών ακανθών εκλάμψασα, λαμπηδόσι τής παρθενίας σου, εν μέσω Θεοτόκε πανσεβάσμιε.

Ο Ειρμός

«Εξήνθησεν η έρημος, ωσεί κρίνον Κύριε, η τών εθνών στειρεύουσα, Εκκλησία τή παρουσία σου, εν ή εστερεώθη η καρδία μου».

Κάθισμα  Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ

Ως ουρανός περικαλής διηγήσω, Βαρθολομαίε επί γης θείαν δόξαν, τής τού Θεού σαρκώσεως πανεύφημε, φαίνων ώσπερ ήλιος, τάς εν ζόφω καρδίας, λύων τήν σκοτόμαιναν, τών κακίστων δαιμόνων, αλλά ευχαίς σου φώτισον ημάς, σού τήν φωσφόρον τελούντας πανήγυριν.

Τού Βαρνάβα

Ήχος πλ. δ'

Αυλών ποιμενικών

Τού νόμου τήν σκιάν, σύ λιπών ως εχέφρων, τή χάριτι φοιτάς, θεοφόρε Βαρνάβα, κατά πόλιν καί χώραν, τού σταυρωθέντος φέρων τό όνομα, θαύμασι καί σημείοις, τούς απειθούντας πρός τήν αλήθειαν, καθοδηγήσας ώφθης έν Χριστώ, τού κόσμου παράκλησις.

Θεοτοκίον

Τό προσταχθέν μυστικώς

Τόν απερίληπτον Θεού Υιόν καί Λόγον, ανερμηνεύτως υπέρ νούν εκ σού τεχθέντα, Θεοτόκε ικέτευε σύν τοίς Αποστόλοις, ειρήνην τή οικουμένη, ειλικρινή, βραβεύσαι, καί τών πταισμάτων δούναι ημίν, πρό τού τέλους διόρθωσιν, καί βασιλείας ουρανών, δι' άκραν αγαθότητα, αξιώσαι τούς δούλους σου.

Ωδή δ'

Ελήλυθας εκ Παρθένου

Κατήργησας, τώ Σταυρώ τού Κυρίου φραξάμενος, δαιμόνων τό φρύαγμα, Βαρθολομαίε πανάριστε, τούτων ψυχόλεθρον, απάτην αποδιώξας τώ κηρύγματι.

Φώς τού κόσμου, τό τής δόξης τής θείας απαύγασμα, Χριστός σε ανέδειξε, Βαρθολομαίε θεόληπτε, πάσαν γάρ κατηύγασας, θεογνωσία τήν κτίσιν παμμακάριστε.

Τού Βαρνάβα

Ο αυτός

Επόμενος προσταγαίς τού Δεσπότου Απόστολε, Βαρνάβα πανεύφημε, τοίς πενομένοις διένειμας, όλην σου τήν ύπαρξιν, καί χριστοκήρυξ εγένου μεγαλόφωνος.

Κατέλαβες, αρετών λαμπροτάτην ακρότητα, καί Παύλον ευράμενος, τόν θεηγόρον Απόστολον, πάσι κατηγγείλατε, τού μυστηρίου τό βάθος, τό απόρρητον.

Ως ήλιος, διατρέχων τού κόσμου τά πέρατα, Βαρνάβα πανένδοξε, ακτινοβόλοις ελλάμψεσι, Παύλω εφεπόμενος, καταλαμπρύνεις τω λόγω τώ τής χάριτος.

Συμμέτοχος τών παθών τού Σωτήρος γενόμενος, Βαρνάβα πανεύφημε, εν ουρανίοις σκηνώμασι, τούτω συνδεδόξασαι, τής υπέρ νούν ευφροσύνης εμφορούμενος.

Θεοτοκίον

Η τής Εύας, Θεομήτορ κατάρα τώ τόκω σου, λέλυται πανάμωμε, σεσαρκωμένον γάρ τέτοκας, Λόγον τόν αϊδιον, τόν ευλογίαις τόν κόσμον στεφανώσαντα.

Ωδή ε'

Μεσίτης Θεού

Ακτίστω φωτί, δι' ημάς εν κτίσματι φανέντι Χριστώ, πρωτουργώς ωμίλησας, τούτω συγγινόμενος Απόστολε, καί ταίς θείαις ακτίσι, ταίς παρ αυτού λαμπόμενος.

Ως δρόσος Θεού, τοίς ανθρώποις ίαμα κομίζουσα, εν τώ κόσμω πέφηνας, ώ Βαρθολομαίε, παμμακάριστε, καί τήν γήν τής ασεβείας, προφητικώς κατέστρεψας.

Τού Βαρνάβα

Ο αυτός

Ο νόμου σκιάν, υπερβάς καί χάριτι λαμπόμενος, τών εθνών τό πλήρωμα, ευαγγελιζόμενος εφώτισεν, ο θεόφρων Βαρνάβας, τώ τού Χριστού κηρύγματι.

Ισχύν κραταιάν τού Αγίου Πνεύματος, Απόστολε, σαφώς περικείμενος, πονηρίας πνεύματα κατέβαλες, τής αυτών κακουργίας, τόν κόσμον λυτρωσάμενος.

Βοώντος φωνή, εν ερήμοις έθνεσιν εγένου σοφέ, τής θείας σαρκώσεως, τό υπέρ κατάληψιν μυστήριον, αναγγέλλων τοίς πάσι, Βαρνάβα παμμακάριστε.

Θεοτοκίον

Ιδού εν γαστρί, Θεοτόκε πάναγνε Χριστόν τόν Θεόν, υπέρ λόγον έσχηκας,

ώσπερ Ησαΐας προηγόρευσεν, υπέρ φύσιν δέ τούτον, Θεογεννήτορ τέτοκας.

Ωδή ς'
Εν αβύσσω πταισμάτων
Τών θαυμάτων τήν χάριν δεξάμενος, καί τών ιαμάτων πλουτήσας ενέργειαν, Βαρθολομαίε πάνσοφε, τών εθνών τάς αγέλας εζώγρησας.

Η πυρίνη σου γλώσσα Πανεύφημε, πάσαν τήν απάτην ως χόρτον κατέφλεξε, τών δέ πιστών ελάμπρυνε, τάς καρδίας τώ θείω κηρύγματι.

Τού Βαρνάβα

Ο αυτός
Ανατείλας τώ κόσμω Χριστέ ο Θεός, τής δικαιοσύνης ο ήλιος Δέσποτα, ώσπερ ακτίνας λάμποντας, τόν Βαρνάβαν καί Παύλον εξήστραψας.

Ριζοτόμος αξίνη γεγένησαι, τήν υλομανήσασαν απάτην τέμνουσα, τοίς υπέρ λόγον θαύμασι, τεθηγμένη Βαρνάβα θεσπέσιε.

Νομοθέτης εδείχθης τής χάριτος, ως τής παλαιάς διαθήκης τά σύμβολα, πρός αληθείας έμφασιν, μεταπλάττων Βαρνάβα θεόληπτε.
Θεοτοκίον
Ουρανόν ο τανύσας βουλήματι, ουρανόν επίγειον άλλον απέδειξε, σέ Θεομήτορ άχραντε, καί εκ σού ανατείλας επέφανεν.
Ο Ειρμός
«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, Εκ φθοράς ο Θεός με ανάγαγε».

Κοντάκιον Ήχος δ'
Επεφάνης σήμερον
Ώφθης μέγας ήλιος τή Εκκλησία, διδαγμάτων λάμψεσι, καί θαυμασίων φοβερών, φωταγωγών τούς τιμώντάς σε, Βαρθολομαίε Κυρίου Απόστολε.
Ο Οίκος
Εμυήθης τού Λόγου μαθητά, τούς λόγους τούς αγίους, καί τούς πάλαι αλογία δεινώς καθυπαχθέντας τέκνα ειργάσω τού φωτός, Ήπλωσας εις βάθη αγνωσίας τά σεπτά καί Ιερά σου δίκτυα, καί έλαβες τά έθνη υπήκοα, τάς κεχερσωμένας απάτη διανοίας ενέωσας τώ θείω αρότρω, Εξήρανας τόν φλογμόν τής πολυθεΐας, δροσισμώ σου τής φαιδράς θεηγορίας υιούς Θεού, τούς πρίν οργής τέκνα εργασάμενος, Βαρθολομαίε Κυρίου Απόστολε.

Συναξάριον
Τή ΙΑ' τού αυτού μηνός, Μνήμη τών Αγίων Αποστόλων Βαρθολομαίου καί Βαρνάβα.
Στίχοι
- Καί σός μαθητής, Χριστέ, Βαρθολομαίος,

- Μιμούμενός σε, σταυρικόν φέρει πάθος.
- Υπέρ λίθον σάπφειρον, ως γραφή λέγει,
- Τούς συντρίβοντας είχε Βαρνάβας λίθους.
- Ενδεκάτη σταύρωσαν ερίφρονα Βαρθολομαίον.

Τή αυτή ημέρα, η Σύναξις τελείται τού Αρχαγγέλου Γαβριήλ εν τώ, Άδειν.

Στίχοι

- Ή σας Γαβριήλ πρίν τό Χαίρε τή Κόρη.
- Άδεις δέ καί νύν, Αξιόν σε υμνέειν.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Αντίθεον πρόσταγμα

Τό μέγα μυστήριον Βαρθολομαίε, τής θείας σαρκώσεως, τώ κόσμω εφανέρωσας, τό πάσιν αχώρητον καί ακατάληπτον, μόνοις δέ χωρούμενον πιστοίς, ανερμηνεύτως καί πιστευόμενον.

Ως λίθος πανάγιος Βαρθολομαίε, αγνώς κυλιόμενος τής πλάνης τό Οχύρωμα, ευτόνως κατέστρεψας, τής Εκκλησίας δέ, άρρηκτος θεμέλιος φανείς, διαφυλάττεις ταύτην ακράδαντον.

Τού Βαρνάβα

Ο αυτός

Αγίως τόν Άγιον τόν εν Αγίοις, επαναπαυόμενον, Βαρνάβα εκήρυξας, Υιόν τόν συνάναρχον Πατρί καί σύνθρονον, άνθρωπον γενόμενον ημίν, τήν σωτηρίαν πραγματευόμενον.

Βολίδες αστράπτουσαι, τό θείον φέγγος, Βαρνάβας ο πάντιμος, καί Παύλος ο θεόληπτος, ως φώς εξεπορεύθησαν, καταλαμπρυνοντες λόγω, τώ τής χάριτος εθνών, τήν παγκληρίαν οι χριστοκήρυκες.

Αγάλλεται σήμερον, η θρεψαμένη, ευώδες θυμίαμα, κυπρίζοντα τής πίστεως, Χριστώ σε βλαστήσασα θεομακάριστε, ήνπερ αμειβόμενος, τής νύν αιχμαλωσίας, ρύσαι πρεσβείαις σου.

Θεοτοκίον

Ιθύνουσα Πάναγνε τόν εμόν βίον, πρός τόν σόν πανεύδιον, λιμένα καθοδήγησον, Θεόν η κυήσασα, τών αγαθών τήν πηγήν, τόν πάσι παρέχοντα πιστοίς, τήν αφθαρσίαν τής αγαθότητος.

Ωδή η'

Κάμινος ποτέ, πυρός

Μέγα καί μικρόν, πολύ τε καί ολίγον, τό τού Σωτήρος Ευαγγέλιον, πανσόφως εδίδαξας, τά μεγάλα καί παράδοξα, συντετμημένοις ρήμασι, πάσι διασημαίνον, Βαρθολομαίε θεόσοφε.

Ώσπερ ποταμός, Σιών εξωρμημένος, τής Εκκλησίας τά συστήματα, ποτίζων Πανόλβιε, τόν χειμάρρουν τής θείας τρυφής, εξέπιες φανότατα, κράζων, Υπερυψούτε, πάντα τά έργα Κυρίου τόν Κυριον.

Τού Βαρνάβα

Ο αυτός

Θάλασσαν εθνών, ταράττει σου τούς ίππους, ως ευεργέτης επεβίβασας, Βαρνάβαν τόν ένδοξον, καί τόν Παύλον τόν θεσπέσιον, τήν πλάνην τήν πολύθεον, δόγμασι Ζωοδότα, τής ευσεβείας ελαύνοντας.

Έθου ως Θεός, Παράκλητε τό Πνεύμα, τό παντουργόν εν Εκκλησία σου, φωστήρας εκλάμποντας, τήν σήν δύναμιν κηρυττοντας, Υιού τε καί Γεννήτορος, κράζοντας, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ήστραψας φαιδρώς, ως ήλιος εν κόσμω τώ νοητώ προσομιλήσας σαφώς, ηλίω θεόληπτε, ποιωθείς γάρ τή λαμπρότητι, φώς δεύτερον γεγένησαι, άπασιν αναφαίνων, τού μυστηρίου τήν δύναμιν.

Γήν ταίς διδαχαίς, τήν σύμπασαν φωτίσας, τής υπέρ νούν μακαριότητος, αξίως τετύχηκας, ουρανίοις εν σκηνώμασι, Βαρνάβα πανσεβάσμιε, στέφανον ευπρεπείας, πρός τού Δεσπότου δεξάμενος.

Θεοτοκίον

Ίνα τήν αράν, τήν πρώτην αφανίσης, καί τού θανάτου τό κατάκριμα, τής πάλαι προμήτορος, εκ Παρθένου Θεομήτορος, Λόγε Θεού γεγέννησαι, πάσι δεδωρημένος, αθανασίαν ανώλεθρον.

Ο Ειρμός

«Κάμινος ποτέ, πυρός εν Βαβυλώνι, τάς ενεργείας διεμέριζε, τώ θείω προστάγματι, τούς Χαλδαίους καταφλέγουσα, τούς δέ πιστούς δροσίζουσα, ψάλλοντας, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Ωδή θ'

Ανάρχου Γεννήτορος

Τού Λόγου γενόμενος, αυτόπτης καί διάκονος, μαθητής τε καί κήρυξ θεοπτικώτατος, ένθα νύν υπάρχει ο Λόγος, σύ κατοικείν, όντως ηξιώθης, ως αυτός υπέσχετο, αψευδώς ο υπεράγαθος.

Ως νύν παριστάμενος, τώ θρόνω τού Δεσπότου σου, καί εκείθεν ακτίσι περιλαμπόμενος, ώ Βαρθολομαίε θεόφρον, τούς υμνητάς, τούς σούς εποπτεύοις, παθών εκλυτρούμενος, καί ποικίλων περιστάσεων.

Τού Βαρνάβα

Ο αυτός
Οι φώς χρηματίσαντες, δι' αρετής Απόστολοι, καί φωτί τώ μεγάλω νύν παριστάμενοι, κόσμω τήν ειρήνην βραβεύειν, καί τήν υμών, σώζειν Εκκλησίαν, ήνπερ συνεστήσασθε, τόν Δεσπότην ικετεύσατε.

Ρητόρων δεινότητα, σοφίας σου πυρσεύμασι, θεοφάντορ Βαρνάβα, σαφώς κατέσβεσας, τών απαυγασμάτων τών θείων, ως τήν πηγήν ένδον κεκτημένος, διό τήν πανίερον, εορτήν σου μεγαλύνομεν.

Εν πίστει τήν μνήμην σου, τελούντες νύν Απόστολε, πρεσβευτήν τώ Δεσπότη σέ προβαλλόμεθα, λύσιν εξαιτούντες πταισμάτων, διά τής σής λαβείν μεσιτείας, Βαρνάβα πανέντιμε, θεοκήρυξ Ιερώτατε.

Θεοτοκίον
Ως όρθρος ευρέθης πρωϊνός, εν τή τού βίου νυκτί, παρθενίας ακτίσι περιαστράπτουσα, τήν ανατολήν γάρ ηλίου, τού νοητού τής δικαιοσύνης ημίν εφανέρωσας, Θεομήτορ πανσεβάσμιε.

Ο Ειρμός
«Ανάρχου Γεννήτορος, Υιός Θεός καί Κύριος, σαρκωθείς εκ Παρθένου ημίν επέφανε, τά εσκοτισμένα φωτίσαι, συναγαγείν τά εσκορπισμένα, διό τήν πανύμνητον, Θεοτόκον μεγαλύνομεν».

Εξαποστειλάριον
Γυναίκες ακουτίσθητε
Βαρθολομαίος σήμερον, Βαρνάβας ο θεόληπτος, εν τή σεπτή αυτών μνήμη, νύν παρ' ημών κατά χρέος, λαμπρώς ανευφημείσθωσαν, ως τού Χριστού Απόστολοι, καί μαθηταί πρεσβεύοντες, υπέρ ημών τών τελούντων, τήν Ιεράν αυτών μνήμην.

Θεοτοκίον
Μαρία καθαρώτατον, χρυσούν θυμιατήριον, τής αχωρήτου Τριάδος, δοχείον γεγενημένη, εν ώ Πατήρ ηύδόκησεν, ο δέ Υιός εσκήνωσε, καί Πνεύμα τό πανάγιον, επισκιάσαν σοι Κόρη, ανέδειξε Θεοτόκον.

Εις τούς Αίνους, ψάλλομεν Στιχηρά Προσόμοια γ' δευτερούντες τό α'.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν
Ο τής δόξης σε ήλιος, Ιησούς ο Θεός ημών, εις τού κόσμου άπαντα τά πληρώματα, ώσπερ ακτίνα πολύφωτον, θεόφρον Απόστολε, επαφήκε τήν αχλύν, τής κακίας ελαύνουσαν, καί φωτίζουσαν, σκοτισθείσας καρδίας αγνωσία, καί παθών επικρατεία, Βαρθολομαίε πανόλβιε.

Καθαρόν ενδιαίτημα, τής Τριάδος γεγένησαι, αρετών λαμπρότητι φαιδρυνόμενος, καί εν καρδία δεχόμενος, Βαρνάβα τήν έλλαμψιν, παρ' αυτής

τόν φωτισμόν, τού ηλίου φαιδρότερον, εν τοίς πέρασι, τηλαυγώς επιπέμπεις καί φωτίζεις, τούς εν σκότει καθημένους, τής αγνωσίας θεόληπτε.

Ως νεφέλαι Μακάριοι, επί πάντα τά πέρατα, υετόν ερράνατε τόν ουράνιον, καί τάς ψυχάς κατηρδεύσατε, πιστών θεία χάριτι, αποπνίξαντες δεινά, αθεϊας ζιζάνια, καί τελέσαντες, τάς ψυχάς καρποφόρους τών ανθρώπων, διά τούτο εν αινέσει, υμάς τιμώμεν Απόστολοι.

Δόξα... Ήχος πλ. α'

Η σοφία τού Θεού, ο συναϊδιος Λόγος τού Πατρός, καθώς εν Ευαγγελίοις προέβη, τά εύφορα κλήματα, υμείς εστε πανεύφημοι Απόστολοι, οι τόν βότρυν τόν πέπειρον καί Τερπνόν, εν τοίς κλάδοις υμών φέροντες, όν οι πιστοί εσθίοντες, επιστοιχούμεν γεύσιν πρός ευφρόσυνον, Βαρθολομαίε θεόληπτε, καί Βαρνάβα υιέ παρακλήσεως, εκτενώς πρεσβεύσατε, υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καί δοξάζομέν σε, οι πιστοί κατά χρέος, τήν πόλιν τήν άσειστον, τό τείχος τό άρρηκτον, τήν αρραγή προστασίαν, καί καταφυγήν τών ψυχών ημών.

Δοξολογία Μεγάλη, καί Απόλυσις

Εις τήν Λειτουργίαν

Ωδή γ' καί ς'

Ο Απόστολος

Αδελφοί, ο Θεός ημάς τούς Αποστόλους, εσχάτους απέδειξεν...

Ζήτει Κυριακή Δεκάτη.

Ευαγγέλιον

ζήτει Οκτωβρίου ΙΗ'

Κοινωνικόν

Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών, καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών. Αλληλούϊα.

---

Αρχή

**ΤΗ ΙΒ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τού Οσίου Πατρός ημών Ονουφρίου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'

Ώ τού παραδόξου θαύματος

Πάτερ θεόφρον Ονούφριε, εν ερημία με νύν, τών παθών αυλιζόμενον, εις οδόν ευθείάν με, αρετών χειραγώγησον, πρός μετανοίας, τρίβον πρεσβείαις σου, πρός θελημάτων, Θεού εκπλήρωσιν, πρός αδαπάνητον τών καλών απόλαυσιν, όπως τό σόν, χαίρων παναοίδιμε, τελώ μνημόσυνον.

Πάτερ θεόφρον Ονούφριε, τόν παγετόν τής νυκτός, καί ημέρας τόν καύσωνα, τή ελπίδι Όσιε, τών μελλόντων υπέμεινας, τά επί γής σου, μέλη νεκρώσας γάρ, τής ουρανίου ζωής επέτυχες, ένδον γενόμενος, τής παστάδος Άγιε, περιχαρώς, κάλλος τό αμήχανον, Ορών τού Κτίστου σου.

Πάτερ θεόφρον Ονούφριε, τής κοσμικής σεαυτόν, αποστήσας συγχύσεως, πρός τήν υπερκόσμιον, ανηνέχθης ακρότητα, αυτήν ποθήσας, τών αγαθών τήν πηγήν, αυτό τό όντως εφετόν έφθασας, ού ταίς ελλάμψεσι, μάκαρ πυρσευόμενος αμαρτιών, ζόφου ταίς πρεσβείαις σου, ημάς εξάρπασον.

Δόξα... Ήχος πλ. β'

Όσιε Πάτερ, εις πάσαν τήν γήν, εξήλθεν ο φθόγγος τών κατορθωμάτων σου, διό εν τοίς ουρανοίς, εύρες μισθόν τών καμάτων σου, τών δαιμόνων ώλεσας τάς φάλαγγας, τών Αγγέλων έφθασας τά τάγματα, ών τόν βίον αμέμπτως εζήλωσας, Παρρησίαν έχων πρός Κύριον, εκτενώς ικέτευε, υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

Τριήμερος ανέστης Χριστέ

Μεγάλων χαρισμάτων αγνή, Παρθένε Θεονύμφευτε, ηξιώθης, ότι έτεκες σαρκί, τόν ένα τής Τριάδος, Χριστόν τόν ζωοδότην, εις σωτηρίαν τών ψυχών ημών.

Η Σταυροθεοτοκίον

Η Πάναγνος ως ειδέ σε, επί Σταυρού κρεμάμενον, θρηνωδούσα, ανεβόα μητρικώς, Υιέ μου καί Θεέ μου, γλυκύτατόν μου τέκνον, πώς φέρεις πάθος επονείδιστον.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος δ'

Έδωκας σημείωσιν

Τής μακαριότητος τής υπέρ νούν ορεγόμενος, ελογίσω θεσπέσιε, τρυφήν τήν εγκράτειαν, τήν πτωχείαν πλούτον, τήν ακτημοσύνην, περιουσίαν αληθή, καί ευδόξίαν τήν μετριότητα, διό καί τής εφέσεως, τής κατά γνώμην επέτυχες, εν σκηναίς αυλιζόμενος τών Αγίων Ονούφριε.

Στίχ. Τίμιος εναντίον Κυρίου ο θάνατος τού Οσίου αυτού.

Δρόμον τής ασκήσεως, απεριτρέπτως τετέλεκας, καί τήν πίστιν τετήρηκας, εντεύθεν καί στέφανον, εκομίσω Πάτερ, τής δικαιοσύνης, όν σοι ητοίμασε Χριστός ο κατ' αξίαν νέμων τά έπαθλα, καί γέρα χαριζόμενος καί τήν τών

πόνων αντίδοσιν, όν καί νύν ημάς ρύσασθαι, εκ κινδύνων δυσώπησον.

Στίχ. Μακάριος ανήρ ο φοβούμενος τόν Κύριον.

Πάσαν ηδυπάθειαν, υπωπιάζων τό σώμά σου, απηρνήσω θεόσοφε, πικραίνων τήν αίσθησιν, εγκρατείας πόνοις, καί σκληραγωγίας, υπομονή τε πειρασμών, καί καρτερία τών περιστάσεων, ανθ' ών τήν ατελεύτητον, αντιλαμβάνεις απόλαυσιν, καί τρυφήν αδιάδοχον, καί χαράν ανεκλάλητον.

Δόξα... Ήχος πλ. δ'

Τών μοναστών τά πλήθη, τόν καθηγητήν σε τιμώμεν Ονούφριε, διά σού γάρ τήν τρίβον, τήν όντως ευθείαν πορεύεσθαι έγνωμεν, Μακάριος εί, τώ Χριστώ δουλεύσας, καί εχθρού θριαμβεύσας τήν δύναμιν, Αγγέλων συνόμιλε, Οσίων συμμέτοχε Καί Δικαίων, μεθ' ών πρέσβευε τώ Κυρίω, ελεηθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον Ήχος πλ. δ’

Δέσποινα πρόσδεξαι, τάς δεήσεις τών δούλων σου, καί λύτρωσαι ημάς, από πάσης ανάγκης καί θλίψεως.

Η Σταυροθεοτοκίον

Οι Μάρτυρές σου

Η δάμαλις η άσπιλος, τόν μόσχον βλέπουσα επί τού ξύλου, προσαναρτώμενον εθελουσίως, οδυρομένη γοερώς, Οίμοι! ανεβόα ποθεινότατον τέκνον, τί σοι δήμος ανταπέδωκεν, αχάριστος Εβραίων, θέλων με ατεκνώσαι εκ σού παμφίλτατε;

Απολυτίκιον Ήχος α'

Τής ερήμου πολίτης καί εν σώματι Άγγελος, καί θαυματουργός ανεδείχθης θεοφόρε Πατήρ ημών Ονούφριε νηστεία, αγρυπνία, προσευχή, ουράνια χαρίσματα λαβών, θεραπεύεις τούς νοσούντας, καί τάς ψυχάς τών πίστει προστρεχόντων σοι, Δόξα τώ δεδωκότι σοι ισχύν, δόξα τώ σέ στεφανώσαντι, δόξα τώ ενεργούντι διά σού πάσιν ιάματα.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τού Αγίου ο παρών, ού η Ακροστιχίς.

Ονουφρίω τόν αίνον εξάδω πόθω.

Ωδή α' Ήχος β'

Δεύτε λαοί

Όλον Χριστόν, εισοικισάμενος ένδοξε, καί κόσμον παρωσάμενος, δόξαν τήν άστατον, τής αυτού απολαύεις, Ονούφριε αξίως, χαράς αοίδιμε.

Νόμω Χριστού, εμμελέτησας θεσπέσιε, δένδρον ζωής κατάκαρπον, αρεταίς δέδειξαι, προβαλλόμενος χάριν, τών θείων ιαμάτων, τοίς κατορθώμασι.

Θεοτοκίον
Οίκος αγνή, ο τής σοφίας εγνώρισαι, εκ τών αιμάτων σάρκα γάρ, τών σών αγνών λαβών, καί σταυρώ ομιλήσας, Θεός τής απαθείας, ημίν μετέδωκεν.

Ωδή γ'
Στερέωσον ημάς
Υπήλθες τόν Χριστού ζυγόν, Ονούφριε, ερήμοις αβάτοις σύ καταμόνας, ομιλείν επιποθών αυτώ, καί τού κάλλους τρυφάν, δόξης τής θείας αυτού.

Φωτίσας σεαυτόν φωτί τής γνώσεως, καί γνόφον σκεδάσας τών παθημάτων, εν πλαξί ταίς τής καρδίας σου, απαθείας τόν νόμον Πάτερ είληφας.
Θεοτοκίον
Ρανίδι συμπαθώς τή τής πρεσβείας σου, τήν φλόγα κατάσβεσον τής ψυχής μου, Θεοτόκε αειπάρθενε, συμπαθείας πηγήν μοι επαρδεύουσα.
Ο Ειρμός
«Στερέωσον ημάς εν σοί Κύριε, ο ξύλω νεκρώσας τήν αμαρτίαν, καί τόν φόβον σου εμφύτευσον, εις τάς καρδίας ημών τών υμνούντων σε».

Κάθισμα Ήχος δ'
Ταχύ προκατάλαβε
Εμάκρυνας Όσιε, καί εν ερήμοις σαφώς, ηυλίσθης τόν Κύριον, ρυόμενόν σε δεινών, αεί εκδεχόμενος, Όθεν ευαρεστήσας, τώ Δεσπότη παμμάκαρ, είληφας τήν αγήρω, ουρανών βασιλείαν, εν ή νύν αυλιζόμενος, μνήσθητι τών τιμώντων σε.
Δόξα... Καί νύν... Θεοτοκίον
Εκαίνισας άχραντε, τώ θείω τόκω σου, φθαρείσαν εν πάθεσι, τών γηγενών τήν θνητήν, ουσίαν καί ήγειρας, πάντας εκ τού θανάτου, πρός ζωήν αφθαρσίας, όθεν σε κατά χρέος, μακαρίζομεν πάντες, Παρθένε δεδοξασμένη, ως προεφήτευσας.
Η Σταυροθεοτοκίον
Υψούμενος ύψωσας, τούς πεπτωκότας ποτέ, εμέ δέ κατέβαλες, τή ανυψώσει τή σή, ώ φώς τών ομμάτων μου, Δέχου Υιέ τό πάθος, δι' ημάς εκουσίως, φέρε Σταυρόν, τούς Ήλους, καί τόν Σπόγγον, τήν Λόγχην, δι' ών τής απαθείας, τήν χάριν εβράβευσας.

Ωδή δ'
Εισακήκοα Κύριε
Ιδρυμένος ακλόνητος, παρά Χριστού δαιμόνων τρικυμίας, ως αφρόν Ονούφριε διαλέλυκας.

Ως αδάμας τοίς θάλπεσι, καί τοίς κρυμοίς στερρώς εγκαρτερήσας, τών δαιμόνων έλυσας τά παλαίσματα.
Θεοτοκίον
Τής ψυχής μου τήν κάκωσιν, τού σού Υιού τή λάμψει Θεοτόκε, αφελούσα σύναψον σωτηρία με.

Ωδη ε'
Ο τού φωτός χορηγός
Ολοκαυτώσας τόν νούν, τώ δι' ημάς υπέρ ημών θάνατον, διά Σταυρού κεκαρτερηκότι, αξίως κοινωνός, καί συγκληρονόμος τής δόξης γεγένησαι.

Ναόν ειργάσω σαυτόν, όλολαμπή ταίς αρεταίς Όσιε, διαφανείς βολίδας ενθέους, αστράπτων τηλαυγώς, θείων θαυμασίων παμμάκαρ Ονούφριε.
Θεοτοκίον
Αγαθοδότην Χριστόν, Θεοκυήτρια αγνή τέξασα, τόν πονηραίς παθών τρικυμίαις, κλονούμενόν με νύν, τή σή ευσπλαγχνία Παρθένε θεράπευσον.

Ωδή ς'
Εν αβύσσω πταισμάτων
Ιθυνόμενος αύραις τού Πνεύματος, όρμω γαληνώ προσεπέλασας Όσιε, τό βάρος παρωσάμενος, τής σαρκός εγκρατεία Ονούφριε.

Νεύσει θεία θεούμενος γέγονας, άγγελος επίγειος, τήν Ιωάννου γάρ, καί Ηλιού εζήλωσας, πολιτείαν παμμάκαρ Ονούφριε.
Θεοτοκίον
Ο δυνώμενος πάθεσιν Άχραντε, καί συμποδιζόμενος τοίς παραπτώμασιν, η τήν χαράν κυήσασα, τών κακών μοι λύσιν παράσχου δέομαι.
Ο Ειρμός
«Εν αβύσσω πταισμάτων Κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, Εκ φθοράς ο Θεός με ανάγαγε».

Κοντάκιον Ήχος πλ. δ'
Πίστιν Χριστού
Φώς νοητόν καί ουράνιον, ένδον λαβών εν καρδία σου, τής ακηράτου Τριάδος δοχείον ώφθης Ονούφριε, καί νύν μετά Αγγέλων ηρίθμησαι, κραυγάζων, Αλληλούϊα.
Ο Οίκος
Ω αγάπη, Τό φώς τό υπέρλαμπρον! ώ πασών αρετών τό κεφάλαιον! η αεί τά ουράνια τάγματα ευφροσύνης πληρούσα καί χάριτος, η ενοικήσασα τοίς Αγίοις, Πατριάρχαις Προφήταις καί Αποστόλοις, ών ταίς ευχαίς καί ημίν ενοίκησον, ίνα σύν αυτοίς μελωδώμεν τώ Θεώ, Αλληλούϊα.

Συναξάριον
Τή ΙΒ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Ονουφρίου τού Αιγυπτίου.
Στίχοι
- Καί τήν ενός χιτώνος εντολήν, Πάτερ,
- Υπερβέβηκας, γυμνητεύσας είς τέλος.
- Δωδεκάκη αχίτωνα Ονούφριον εκ βίου ήραν.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Πέτρου τού εν τώ Άθω.

Στίχοι

- Καί σοί προτείνει δεξιάν Χριστός, Πέτρε,
- Σωθέντι γυμνώ εκ θαλάσσης τού βίου.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος Αντωνίνης.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Ιωάννου τού Στρατιώτου, καί τών Οσίων Ζήνωνος καί Τριφυλλίου Επισκόπου, καί τού Οσίου Ιουλιανού τού εν τοίς Δαγάτου (ή Δαγάζου).

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Εικόνος χρυσής

Νεώσας ψυχήν, τώ αρότρω προσευχής Πάτερ Ονούφριε, καί κατασπείρας τήν εγκράτειαν, στάχυν αγνείας εθέρισας, ή συνδιαιτώμενος μάκαρ, σύν Αγγέλοις εκραύγαζες, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Εμάκρυνας μέν, σεαυτόν εκ κοσμικής διαίτης Όσιε, εν ερημίαις δ' αυλιζόμενος, άρτον ουράνιον είληφας, είχες γάρ Χριστόν σιτοδότην, ώ γεγηθως ανεκραύγαζες, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Ξενίζει βροτούς, καί αϋλους Πάναγνε τής σής λοχείας, θείον μυστήριον, μόνη γάρ, άνευ σποράς Λόγον τέτοκας, σάρκα γεγονότα δι' οίκτον, ώ σωθέντες κραυγάζομεν, Ευλογημένη, η Θεόν σαρκί κυήσασα.

Ωδή η'

Τόν έν καμίνω τού πυρός

Αίγλη τού Πνεύματος σαφώς, πυρσευόμενος τόν νούν φωστήρος δίκην, θεωριών ακτίνας, καί ιαμάτων αυγάς, αστράπτεις Παμμάκαρ Ονούφριε, τοίς υπερυψούσι, Χριστόν εις τούς αιώνας.

Δυνάμει θεία ευσθενής, γνωριζόμενος αεί δαιμόνων θράσος, καθελών τών αλόγων, ζώων τήν φύσιν σαφώς, κραυγάζων υπέταξας, οσιε, Σέ υπερυψούμεν, Χριστέ είς τούς αιώνας.

Θεοτοκίον

Ωσπερ νεφέλη φωτεινή, τόν υπέρθεον Χριστόν ήλιον φέρεις, εν αγκάλαις σου Μήτερ, δι' ού τον ζόφον παθών, ψυχής μου λαμπρύνασα αύγασον, τώ τής απαθείας, φωτί Θεογεννήτορ.

Ο Ειρμός

«Τόν εν καμίνω τού πυρός, τών Εβραίων τοίς Παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον, μεταβαλόντα Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ'

Τόν εκ Θεού Θεόν Λόγον

Πυρί Θεού τής αγάπης, ηδονάς καταφλέξας σαρκός, καί ωραϊσας τήν ψυχήν, οία αστήρ Πάτερ έλαμψας, εν ερήμω, φωτίζων τήν πάσαν οικουμένην εμφανώς, τού σού βίου ακτίσι, καί φέγγει τών ιάσεων.

Όλος Θεώ κεκραμένος, δι' αγάπης τρισμάκαρ, μετέσχες βασιλείας τής αυτού, καί τής τρυφής τήν απόλαυσιν, καί ζωής τόν χειμάρρουν, καί τών εορταζόντων τόν χορόν, καί χαράν τήν αγήρω, απείληφας Ονούφριε.

Θεόν ευϊλατον έχων, τής ασκήσεως πόνοις, ιδρώσί τε καμάτων νύν τών σών, τούτον ημίν εξευμένισαι, τοίς υμνούσί σε πάσι, λυτρούμενος σοφέ εκ συμφορών, καί παθών καί οδυνης, Ονούφριε αοίδιμε.

Θεοτοκίον

Ως προστασίαν σε μόνην, καί ισχύν Θεοτόκε, καί τείχος καί προπύργιον στερρόν, έχων τροπούμαι εχθρών προσβολάς, καί παθών επικλύσεις, εν σοί γάρ τάς ελπίδας μου αεί, ανεθέμην τή μόνη, φθοράς απαλλαττούση με.

Ο Ειρμός

«Τόν εκ Θεού Θεόν Λόγον, τόν αρρήτω σοφία, ηκοντακαινουργήσαι τόν Αδάμ, βρώσει φθορά πεπτωκότα δεινώς, εξ Αγίας Παρθένου, αφράστως σαρκωθέντα δι' ημάς, οι πιστοί ομοφρόνως, εν ύμνοις μεγαλύνομεν».

Εξαποστειλάριον

Τών μαθητών ορώντων σε

Ο υψηλός σου βίος τοίς μονοτρόποις, κανών θεοσεβείας τελειοτάτης, σύ γάρ λογισμώ ενζυμωμένος, εν ζυγώ διακρίσεως, ποιείς Ονούφριε τούτους, ευπαρακλήτως όδεύειν.

Θεοτοκίον  Όμοιον

Ημείς εν σοί καυχώμεθα Θεοτόκε, καί εις Θεόν σε έχομεν προστασίαν, έκτεινον τήν χείρά σου τήν άμαχον, καί θραύσον τούς εχθρούς ημών, σοίς εξαπόστειλον δούλοις, βοήθειαν εξ Αγίου.

Εις τούς Αίνους, ψάλλομεν Στιχηρά προσόμοια γ' δευτερούντες τό α'.

Ήχος πλ. δ'

Ω τού παραδόξου θαύματος

Πάτερ θεόφρον Ονούφριε, τού Ηλιού μιμητής, χρηματίσας εν πνεύματι, μετανάστης γέγονας, τής τού κόσμου συγχύσεως, σαρκός ορέξεις απαρνησάμενος, καί έν ερήμω συναυλιζόμενος, χαίρων μακάριε, τήν ψυχήν επτέρωσας, πρός ουρανόν, ένθα τό πολίτευμα, σαφώς εκέκτησο.

Όσιε Πάτερ Ονούφριε, ιερωτέραν ψυχήν, θεοφρόνως κτησάμενος, πειρασμούς υπήνεγκας, θεία πίστει ρωννύμενος, καί δι' αγάπης Θεώ ενούμενος, τή τών πραέων γή κατεσκήνωσας, ωραϊζόμενος, αρετών λαμπρότησιν, όθεν τήν σήν, μνήμην ευφραινόμενοι, πανηγυρίζομεν.

Πάτερ παμμάκαρ Ονούφριε, τάς υπέρ νούν δωρεάς, ουρανόθεν δεξάμενος, ευσεβώς μετέδωκας, τοίς ποθούσι τρισόλβιε, τής σής ασκήσεως τά γνωρίσματα, ευλογημένης φωνής ακήκοας, ένδον γενόμενος, τού νυμφώνος ένθα νύν, περιπολείς, θρόνω τού Παντάνακτος, αξιοθαύμαστε.

Δόξα... Ήχος β'

Εζήτησας θεοφόρε, τού θεωρείν τού Κυρίου τήν τερπνότητα, καί μόνος αυτώ μόνω, προσομιλείν επεπόθησας, Όθεν κόσμον κατέλιπες φυγαδεύων, καί διαιτώμενος εν ερήμοις καί όρεσι, καί τόν Χριστόν ενδεδυμένος, χιτώνος ουκ εφρόντιζες, τής αφθαρσίας χιτώνα σεαυτώ εμπορευόμενος, μεθ' ού εισήλθες εις τόν ουράνιον νυμφώνα, αιωνίως αγαλλόμενος, Ονούφριε Όσιε.

Καί νύν... Θεοτοκίον Ήχος β'

Τήν πάσαν ελπίδα μου εις σέ ανατίθημι, Μήτηρ τού Θεού, φύλαξόν με υπό τήν σκέπην σου.

Εις τόν Στίχον, τής Οκτωήχου

Η λοιπή Ακολουθία, ως σύνηθες, καί Απόλυσις

---

Αρχή

## ΤΗ ΙΓ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής Αγίας Μάρτυρος Ακυλίνης.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά προσόμοια.

Ήχος δ'

Έδωκας σημείωσιν

Νύμφην αδιάφθορον, καλλωπισθείσαν εν Πνεύματι, τώ Αγίω γινώσκοντες, τελούμεν τήν μνήμην σου, τήν φωτεινοτάτην, Μάρτυς αθληφόρε, καί προσκυνούμεν ευσεβώς, τήν τών λειψάνων αγίαν λάρνακα, τήν ρώσιν αρυόμενοι, τήν τών παθών ημών πάντοτε, Ακυλίνα πανεύφημε, οι πιστώς σε γεραίροντες.

Έρωτι πανεύφημε, κεκρατημένη τού Κτίστου σου, τά εκείνου παθήματα, σαρκί εξεικόνισας, πάσαν τρικυμίαν, πόνων ενεγκούσα, καί νύν οικείς τούς ουρανούς, άπονον δόξαν καί στέφος φέρουσα, αμάραντον καί βλέπουσα, ά θεωρούσι γηθόμενα, τών Αγγέλων τά τάγματα, Ακυλίνα θεόπνευστε.

Προίκα προσενήνοχας, τών σών μελών τά λακτίσματα, τώ νυμφίω σου πάνσεμνε, διό τών θαλάμων σε, τών φωτεινοτάτων, αυτός αξιώσας, καταλαμπρύνει τώ φωτί, τής θείας δόξης ο υπερούσιος, ώ παρεστώσα χαίρουσα, υπέρ υμών καθικέτευε, τών πιστώς εκτελούντων νύν, Ακυλίνα τήν μνήμην σου.

Δόξα... Καί νύν... Θεοτοκίον

Μαρία Θεόνυμφε, τής ταλαιπώρου καρδίας μου, αποπλύνουσα βόρβορον, ρείθρω τού ελέους σου, ξήρανον πελάγη, τών εμών πταισμάτων, καί πρός μετάνοιαν αγνή, τόν αδιόρθωτον εγκαθόρμισον, λιμένα ευσπλαγχνίας γάρ, ως τετοκυία πανάμωμε, επί σοί τήν ελπίδα μου, ανατίθημι Παναγνε.

Η Σταυροθεοτοκίον

Σέ ως εθεάσατο, επί Σταυρού ανυψούμενον, η τεκούσα Φιλάνθρωπε, κραυγάζουσα έλεγε, Πώς εθελουσίως, πάθος υπομένεις, ο απαθώς εκ τής εμής, γαστρός εκλάμψας ως Παντοδύναμος, καί λύσας τήν κατάκριτον, φύσιν βροτών κατακρίσεως; Ανυμνώ σου τήν άμετρον, νύν Υιέ συγκατάβασιν.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τής Αγίας ο παρών, ού η Ακροστιχίς.

Δέχου τόν ύμνον καλλίπαις Ακυλίνα. Ιωσήφ.

Ωδή α' Ήχος πλ. δ'

Η κεκομμένη

Δεδοξασμένη Χριστώ τώ νυμφίω σου, εν ουρανοίς αληθώς, χαίρουσα παρίστασαι, διό σε επί γής τούς ευσεβώς γεραίροντας, ευχαίς σου αντιδόξασον Σεμνή, καί σού μετόχους ποίησον, τώ Κυρίω ψάλλοντας, Ενδόξως γάρ δεδόξασται.

Εισεποιήσω τήν χάριν τού Πνεύματος, τήν σήν ψυχήν καθαράν, Ένδοξε τελέσασα, καί στίγμασι σαρκός ωραιοτάτη πέφηνας, διό σε ο νυμφίος τών ψυχών, αγνή, τελείως άμωμον, όλην χρηματίσασαν, ηρμόσατο πανεύφημε.

Χειμώνος πλάνης τής γής τά πληρώματα, πληρούντος πάλαι δεινώς, πλήρης ούσα Πνεύματος, ως Μάρτυς απλανής Κυρίου παντοκράτορος, επέφθασας τό έαρ τής ζωής, καί νίκης ήρας τρόπαιον, Ακυλίνα ένδοξε, θεόφρον αξιάγαστε.

Θεοτοκίον

Ο τώ ανάρχω Πατρί συννοούμενος, υπέδυ μήτραν τήν σήν, άνθρωπος γενόμενος, καί έσωσεν ημάς, κακία υποκύψαντας, καί πλάνη δουλωθέντας τού εχθρού, Μαρία Θεονύμφευτε, διά τούτο πίστει σε, καί πόθω μακαρίζομεν.

Ωδή γ'

Σύ εί τό στερέωμα

Ύφανας εν χάριτι, καταστολήν φωτός ένδοξε, αίματι σώ, ταύτην Ακυλίνα, ιερώς επιχρώσασα.

Τέτρωσαι τώ έρωτι, τώ θεϊκώ σαφώς Πάνσεμνε, όθεν στερρώς, τρώσεις τε καί πόνους, χαλεπούς εκαρτέρησας.

Όλην σε ηγίασεν, ο λυτρωτής σεμνή Κύριος, ολοσχερώς, τούτον Ακυλίνα, εκ ψυχής αγαπήσασα.

Θεοτοκίον

Νύμφην σε ανύμφευτον, καί καθαρόν Αγνή σκήνωμα, τού Ποιητού, καί αγιωτέραν Χερουβίμ επιστάμεθα.

Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Κάθισμα  Ήχος πλ. δ'

Τήν Σοφίαν

Αρετών πυρσευθείσα θείω φωτί, αθλητών εκοσμήθης πανευκλεώς, σεμνή διαδήματι, καί ωραία εν κάλλει, γεγονυία πίστει, τώ πάντων δεσπόζοντι, ενυμφεύθης όντως, αμίαντος άφθορος, όθεν ουρανίων, ηξιώθης θαλάμων, καλώς εναθλήσασα, καί τόν δόλιον κτείνασα, Ακυλίνα θεόσεφε, πρέσβευε Χριστώ τώ Θεώ τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πίστει, τήν αγίαν μνήμην σου.

Θεοτοκίον

Παναγία Παρθένε Μήτηρ Θεού, τής ψυχής μου τά πάθη τά χαλεπά, ίασαι δέομαι, καί συγγνώμην παράσχου μοι, τών εμών πταισμάτων, αφρόνως ών έπραξα, τήν ψυχήν καί τό σώμα, μολύνας ο άθλιος, Οίμοι! Τί ποιήσω εν εκείνη τή ώρα, ηνίκα οι Άγγελοι, τήν ψυχήν μου χωρίζουσιν, εκ τού αθλίου μου σώματος; Τότε Δέσποινα βοήθειά μοι γενού, καί προστάτις θερμότατος, σέ γάρ έχω ελπίδα, ο ανάξιος δούλός σου.

Η Σταυροθεοτοκίον

Τόν αμνόν καί ποιμένα καί λυτρωτήν, η αμνάς θεωρούσα επί Σταυρού, ηλάλαζε δακρύουσα, καί πικρώς εκβοώσα, ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, Ορώσης σου τήν σταύρωσιν, ήνπερ υπομένεις, διά σπλάγχνα ελέους, Μακρόθυμε Κύριε, τού ελέους η άβυσσος, καί πηγή αγαθότητος, σπλαγχνίσθητι καί δώρησαι ούν, τών πταισμάτων άφεσιν τοίς δούλοις σου, τοίς ανυμνούσί σου πίστει, τά θεία παθήματα.

Ωδή δ'

Εισακήκοα Κύριε

Υπερήφανον δράκοντα, σύ δι' ασθενείας σαρκός κατέβαλες, αριστεύσασα λαμπρότατα, καί τυράννων θράσος αφανίσασα.

Μαρτυρίου λαμπρότησι, καί τής παρθενίας θείοις εν κάλλεσιν, Ακυλίνα εχρημάτισας, τού Δεσπότου νύμφη περιδέξιος.

Νεκρωθέν τό σαρκίον σου, ταίς πολυειδέσι στρέβλαις θεόπνευστε, τήν ζωήν σοι προεξένησε, τήν εις τούς αιώνας διαμένουσαν.

Οι κρουνοί τών αιμάτων σου, τής πολυθεϊας τό πύρ κατέσβεσαν, τών θαυμάτων δέ τά ρεύματα, τών βροτών εκπλύνει τά νοσήματα.

Θεοτοκίον

Νυσταγμώ αμελείας με, ύπνος αμαρτίας Κόρη κατέλαβε, τή αγρύπνω ικεσία σου, διανάστησόν
με πρός μετάνοιαν.

Ωδή ε'

Ο εκ νυκτός αγνοίας

Κυμαινομένης ώσπερ, αγριαινούσης θαλάσσης τής πλάνης ποτέ, ώφθης κυβερνωμένη, Μάρτυς Ακυλίνα Χριστού δεξιά.

Αποσκοπούσα Μάρτυς, πρός τά βραβεία υπέστης στερρότατα, σπαραγμούς τών μελών σου, καί τόν βιαιότατον θάνατον.

Λαμπροφανής ωράθης, τοίς πολεμίοις αυτούς καταπλήττουσα, τώ ωραίω σου κάλλει, καί τώ τής ψυχής αναστήματι.

Θεοτοκίον

Λελυτρωμένοι πάντες, προγονικής καταδίκης τώ τόκω σου, Χαίρέ σοι προσφωνούμεν, Κεχαριτωμένη πανύμνητε.

Ωδή ς'

Τόν Ιωνάν εν τώ κήτει

Ιχνηλατείν τού Χριστού τά ένδοξα, επόθησας παθήματα, Παρθένε καί ανδρειοφρόνως, υπέστης τούς αικισμούς, καί σπαραγμούς, τού αγνού σου σώματος.

Πολυειδείς πόνους εκαρτέρησας, πυρός τε κατεφρόνησας, παρθένε όθεν Ακυλίνα, καί τάς οδύνας ημών, διαπαντός κουφίζεις πρεσβείαις σου.

Αποσκοπών άνωθεν εθαύμασε, χορός Αγγέλων ένδοξε, Παρθένε τήν υπομονήν σου, όπως ασάρκους εχθρούς, μετά σαρκός ενίκησας εν χάριτι.

Θεοτοκίον

Ίνα Θεός ο άνθρωπος γένηται, Θεός ωράθη ανθρώποις, Παρθένε εκ τών σών λαγόνων, ανερμηνεύτως τεχθείς, καί όπερ ήν μείνας άναλλοίωτος.

Ο Ειρμός

«Τόν Ιωνάν εν τώ κήτει Κύριε, μονώτατον κατώκισας, εμέ δέ τόν πεπεδημένον, εν άρκυσι τού εθρού, ως εκ φθοράς εκείνον διάσωσον».

Κοντάκιον  Ήχος γ'

Η Παρθένος σήμερον

Ραντισμοίς αιμάτων σου, καθηγνισμένην παρθένε, καί Μαρτύρων στέμμασι, σέ Ακυλίνα στεφθείσαν, δέδωκε, τοίς εν ανάγκαις τών νοσημάτων, ίασιν, καί σωτηρίαν ο σός νυμφίος, τοίς προστρέχουσιν εν πίστει, Χριστός ο βρύων ζωήν αιώνιον.

## Συναξάριον

Τή ΙΓ' τού αυτού μηνός, Μνήμη τής Αγίας Μάρτυρος Ακυλίνης.

## Στίχοι

- Τόν παστόν ευτρέπιζε λαμπρόν, Νυμφίε.
- Ακυλίνα σοι τέμνεται Νύμφη νέα.
- Αμφί τρίτην δεκάτην κεφαλήν τμήθη Ακυλίνα.

Τή αυτή ημέρα, Μνήμη τής Οσίας Μητρός ημών Αννης καί τού υιού αυτής, Ιωάννου.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

## Ωδή ζ'

## Παίδες Εβραίων

Σώματος πάσχοντος θεόφρον, ουκ εφρόντισας σκοπούσα τάς εκείθεν, αντιδόσεις σαφώς, καί δόξαν Ακυλίνα, καί τού Θεού τερπνότητα, καί τήν θείαν ευφροσύνην.

Άσπιλον φέρουσα τό σώμα, τήν καρδίαν τε Κυρίω ηνωμένην, πρό βημάτων Αγνή, δικαστικών παρέστης, ασυνετούντα τύραννον, διελέγχουσα θεόφρον.

Κόσμου ηλλάξω φθειρομένου, ύπερκόσμιον ζωήν μή φθειρομένην, καί προσκαίρου τρυφής, τήν μένουσαν Παρθένε, τού σαρκικού μνηστήρός τε, τόν αθάνατον νυμφίον.

## Τριαδικόν

Ύμνοις τήν θείαν Μοναρχίαν, τρισσουμένην μέν προσώποις παραδόξως, τή δέ φύσει απλήν, υπάρχουσαν τιμώμεν, αναβοώντες, Κύριε, ο Θεός ευλογητός εί.

## Ωδή η'

## Οι θεορρήμονες Παίδες

Λελαμπρυσμένη τώ φέγγει τώ τής αγνείας, καί ταίς βαφαίς τών αιμάτων, διηνθισμένη παρίστασαι, Ακυλίνα παρθένε, Χριστώ τώ Θεώ ημών.

Ιερωτάτη θυσία προσηνέχθης, καί προσφορά λαμπροτάτη, καί ως ευώδες θυμίαμα, θεόφρον Ακυλίνα, Χριστώ τώ Θεώ ημών.

Νόσους ανθρώπων θεραπεύει, καί απελαύνει δαιμόνων, λώβην τό άγιον σωμά σου, Ακυλίνα εν τάφω, πανένδοξε κείμενον.

## Θεοτοκίον

Αδιαφθόρως τόν Λόγον υπέρ λόγον, κατά φθοράς ημάς πάσης, απολυτρούμενον τέτοκας, διά τούτο σε πάντες, Παρθένε δοξάζομεν.

## Ο Ειρμός

«Οι θεορρήμονες Παίδες εν τή καμίνω, σύν τώ πυρί καί τήν πλάνην

καταπατούντες υπέψαλλον, Ευλογείτε Κυρίου, τά έργα τόν Κύριον».

Ωδή θ'
Κυρίως Θεοτόκον

Ικρίω προσπαγέντι, Σώτερ η Παρθένος, συνεσταυρώθη σοι γνώμη αθλήσασα, καί τήν τού δράκοντος κάραν, καταπατήσασα.

Ωραίόν σου τό κάλλος, καί υπερφερής σου, η τής ψυχής απεφάνθη ευγένεια, θεοειδής Ακυλίνα, αξιοθαύμαστε.

Συνούσα ταίς χορείαις, ταίς τών Ασωμάτων, καί τών Μαρτύρων τοίς δήμοις πανεύφημε, υπέρ ημών τόν τών όλων Θεόν ικέτευε.

Η ένδοξός σου μνήμη, πάντας συγκαλείται, περιχαρώς Ακυλίνα υμνήσαί σου, τούς ευκλεείς Μάρτυς πόνους, καί τά παλαίσματα.

Θεοτοκίον

Φωνήν σοι τού Αγγέλου, Πάναγνε βοώμεν, Χαίρε ανθρώπων απάντων διάσωσμα, καί πανενδόξων Μαρτύρων, θείον στεφάνωμα.

Ο Ειρμός

«Κυρίως Θεοτόκον, σέ ομολογούμεν, οι διά σού σεσωσμένοι Παρθένε αγνή, σύν Ασωμάτοις χορείαις, σέ μεγαλύνοντες».

Η λοιπή Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΔ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Προφήτου Ελισαίου, καί τού εν Αγίοις Πατρός ημών Μεθοδίου, Αρχιεπισκόπου Κωνσταντινουπόλεως τού Ομολογητού.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια αμφοτέρων.

Στιχηρά τού Προφήτου

Ήχος πλ. δ'
Ώ τού παραδόξου θαύματος

Χαίροις Ελισαίε πάνσοφε, σύ γάρ καθάρας τόν νούν, ηδονών τών τού σώματος, υπεδέξω ένδοξε, τάς αυγάς τάς τού Πνεύματος, τοίς εφεξής τε, πάσι μετέδωκας, καί όλος ώφθης, φωτοειδέστατος, όθεν εσκήνωσας, πρός τό φώς τό άδυτον, υπέρ ημών, πάντοτε δεόμενος, τών ευφημούντων σε.

Σέ Ελισαίε μακάριε, ο ζηλωτής Ηλιού, εν διπλώ τώ χαρίσματι, καταλαμπρυνόμενον, καταλείψας αιθέριος, αρματηλάτης όντως εδείκνυτο, ού

τή μιμήσει, ρείθρα ποτάμια, χάριτι έστησας, καί διήλθες ένδοξε, περιχαρώς, καταγλαϊζόμενος, καί μεγαλύνων Χριστόν.

Πάλαι πιστή Σωμανίτιδι, παίδα χαρίζη ευχής, όν θανόντα εξήγειρας, ως Προφήτης ένθεος, Ιερώς θαυμαζόμενος, αλσί δέ πάλιν, ύδατα άγονα, σαφώς μετάγεις εις γονιμότητα, θαύματα άπειρα, εκτελείς τή χάριτι τού παντουργού, Πνεύματος μακάριε, όθεν υμνούμέν σε.

Στιχηρά τού Ιεράρχου

Ήχος δ'
Ώς γενναίον εν Μάρτυσιν

Αληθείας εδραίωμα, καί τής πίστεως έρεισμα, καί δογμάτων πρόβολον σέ γινώσκομεν, τής ευσεβείας συνήγορον, αγνείας τε σκήνωμα, καί δοχείον εκλεκτόν, ευωδίας τού Πνεύματος καί παμμέγιστον, θησαυρόν διδαγμάτων καί κρηπίδα, τού Χριστού τής Εκκλησίας, ιεροφάντα Μεθόδιε.

Αυτοκίνητον όργανον, ταίς πνοαίς υπηχούμενον, τού Αγίου Πνεύματος εχρημάτισας, τή πυριφθόγγω γάρ γλώττη σου, τά θεία εβρόντησας, καί κατέφλεξας εχθρών, δυσσεβών τά ζιζάνια, τών μή χρώμασιν, υλικοίς προσκυνούντων τού Κυρίου, καί Θεού ημών τό είδος, καί τής αχράντου Μητρός αυτού.

Ιερέων εν τάγμασιν, Ασκητών Ομηγύρεσι, καί χοροίς Μαρτύρων σύ καταλέλεξαι, υπέρ Χριστού μέχρις αίματος, στερρώς ανθιστάμενος, παρανόμου δικαστού, διελέγχων απόνοιαν, καί Προστάγματι, ασεβούς βασιλέως εν μνημείω, καθειρχθείς Πάτερ θεόφρον, διετηρήθης αλώβητος.

Δόξα... Ήχος πλ. β'

Προφήτα κήρυξ Χριστού, τού θρόνου τής μεγαλωσύνης, ουδέποτε χωρίζη, καί εκάστω άσθενούντι αεί παρίστασαι, έν τοίς υψίστοις λειτουργών, τήν οικουμένην ευλογείς, πανταχού δοξαζόμενος, Αίτησαι ιλασμόν ταίς ψυχαίς ημών.

Καί νύν... Θεοτοκίον
Τριήμερος ανέστης Χριστέ

Μεγάλων χαρισμάτων αγνή, Παρθένε Θεονύμφευτε, ηξιώθης, ότι έτεκες σαρκί, τόν ένα τής Τριάδος, Χριστόν τόν ζωοδότην, εις σωτηρίαν τών ψυχών ημών.

Η Σταυροθεοτοκίον

Η Πάναγνος ως είδέ σε, επί Σταυρού κρεμάμενον, θρηνωδούσα ανεβόα μητρικώς, Υιέ μου καί Θεέ μου, γλυκύτατόν μου τέκνον, πώς φέρεις πάθος επονείδιστον;

Εις τόν Στίχον, τής Οκτωήχου, Είτα τού Ιεράρχου, ήχος δ'.

Ποίημα Φωτίου Πατριάρχου.

Στίχ. Τίμιος εναντίον Κυρίου ο θάνατος τών οσίων αυτού.

Ευφροσυνως σήμερον, η Εκκλησία τού Θεού στολίζεται, αγαλλομένη καί κράζουσα, Ελαμπρύνθη μου τό κάλλος, υπέρ πάσαν πόλιν, ιδού γάρ τών Αρχιερέων τό μέγα κειμήλιον, ο ένδοξος Μεθόδιος, τήν πορείαν πρός ουρανόν εποιήσατο, Δεύτε ούν φιλέορτοι, τών ορθοδόξων τό σύστημα, χοροστατήσαντες περί τήν θείαν λάρνακα, ιαμάτων πλημμύραν λαβόντες παρ αυτής, ικετεύσωμεν αιτήσασθαι Χριστόν τόν Θεόν, τού ρυσθήναι τήν οικουμένην, από πάσης αιρέσεως.

Δόξα... Ήχος πλ. δ'

Τών Προφητών τούς ακραίμονας, καί παμφαείς φωστήρας τής οικουμένης, εν ύμνοις τιμήσωμεν πιστοί, Ηλίαν καί Ελισαίον, καί Χριστώ εκβοήσωμεν μελωδικώς, Εύσπλαγχνε Κύριε, παράσχου τώ λαώ σου, ικεσίαις τών Προφητών σου, άφεσιν αμαρτιών, καί τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Τά ουράνια ύμνεί σε, κεχαριτωμένη Μήτερ ανύμφευτε, καί ημείς δοξολογούμεν, τήν ανεξιχνίαστόν σου γέννησιν, Θεοτόκε πρέσβευε, σωθήναι τάς ψυχάς ημών.

Η Σταυροθεοτοκίον

Οι Μάρτυρές σου

Η δάμαλις η άσπιλος, τόν μόσχον βλέπουσα επί τού ξύλου, προσαναρτώμενον εθελουσίως, οδυρομένη γοερώς, Οίμοι! ανεβόα ποθεινότατον τέκνον, τί σοι δήμος ανταπέδωκεν, αχάριστος Εβραίων, θέλων με ατεκνώσαι, εκ σού παμφίλτατε;

Απολυτίκιον Ήχος δ'

Ταχύ προκατάλαβε

Ο ένσαρκος Άγγελος, τών Προφητών η κρηπίς, ο δεύτερος Πρόδρομος, τής παρουσίας Χριστού, Ηλίας ο ένδοξος, άνωθεν καταπέμψας, Ελισαίω τήν χάριν, νόσους αποδιώκει, καί λεπρούς καθαρίζει, διό καί τοίς τιμώσιν αυτόν, βρύει ιάματα.

Δόξα... Τού Ιεράρχου

Ήχος πλ. δ'

Ορθοδοξίας οδηγέ, ευσεβείας διδάσκαλε καί σεμνότητος, τής οικουμένης ο φωστήρ, Αρχιερέων θεόπνευστον εγκαλλώπισμα, Μεθόδιε σοφέ, ταίς διδαχαίς σου πάντας εφώτισας, λύρα τού Πνεύματος, Πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τών Αγίων.

Ο κανών τού Προφήτου, ού η Ακροστιχίς.

Χαίρε Προφήτα τού Θεού πανόλβιε.
Άνευ τών Θεοτοκίων. Ιωάννου Μοναχού.

Ωδή α'  Ήχος πλ. δ'
Άσωμεν τώ Κυρίω
Χαίροις ώ Ελισαίε, επιδεδειγμένος τήν Ισάγγελον, επί γής πολιτείαν, εν σαρκί τε βιώσας ως άριστος.

Αϋλόν σου τό όμμα, τής ψυχής Προφήτα φυλαξάμενος, τή τού Πνεύματος αίγλη, προοράν ηξιώθης τά μέλλοντα.

Ίαμα τοίς νοσούσι, καί πλημμελημάτων καθαρτήριον, εκ Θεού Ελισαίε, τοίς γνησίως υμνούσί σε αίτησαι.
Θεοτοκίον
Άσωμεν τώ Κυρίω τώ εκ τής Παρθένου ευδοκήσαντι, σαρκωθήναι ασπόρως, εις ημών σωτηρίαν καί λύτρωσιν.

Ο Κανών τού Ιεράρχου, ού η Ακροστιχίς.

Αρχιερήα θεοίο, Μεθόδιον άσματι μέλπω.

Ωδή α'  Ήχος β'
Δεύτε λαοί άσωμεν
Αφ' αρπαγής, καί προνομής καί δουλείας με, τής αμαρτίας λύτρωσαι, καί πρός μετάνοιαν, ποδηγήσας Οικτίρμον, προνόμευσον αξίως εν τή αγάπη σου.

Ρείθρον ζωής, έχων σοφέ τήν καρδίαν σου, τή Εκκλησία γέγονας, ως ποταμός Θεού, πληρωθείς διδαγμάτων, καί ταύτης καταρδεύσας Πάτερ τό πρόσωπον.

Χαλιναγωγών, σύ τών παθών τά σκιρτήματα, τής εγκρατείας έρωτι μετεστοιχείωσας, τής σαρκός τό υλώδες, πρός τήν τής απαθείας Πάτερ ακρώρειαν.
Θεοτοκίον
Ιδού φησιν, ο Ησαίας Παρθένε αγνή, βουλής μεγάλης Άγγελον εν τή νηδύϊ σου, συλλαβούσα ασπόρως, καί τέτοκας καί σώζη μετά τόν τόκον αγνή.

Τού Προφήτου

Ωδή γ'
Σύ εί τό στερέωμα
Ρήσει θεοπνεύστω, σε χρηματισθείς σαφώς έχρισεν, Ελισαίε, ένδοξε Προφήτην, Ηλιού ο θεσπέσιος.

Εύρε τήν ανάπαυσιν, καί ενεσκήνωσεν άφθονος, χάρις εν σοί, Πνεύματος Αγίου, Ελισαιέ, αοίδιμε.

Πόνοις σε νεώσαντα, τήν τής ψυχής ευρών αύλακα, προφητικήν, χάριν ο Δεσπότης, Ελισαίε, ενέσπειρεν.

Θεοτοκίον

Σέ πάντες κεκτήμεθα, καταφυγήν καί τείχος ημών, Χριστιανοί, σέ δοξολογούμεν, ασιγήτως ανύμφευτε.

## Τού Ιεράρχου

Στερέωσον ημάς

Θερμότητι φρενών καί ζήλω πίστεως, Πατέρων σύ γέγονας κορυφαίος, τών Εβραίων τε τήν ένστασιν, ως υπάρχουσαν Άδου πύλην έθραυσας.

Ο βίος ιερός ο λόγος ένθεος, η πράξις τώ λόγω δεδοξασμένη, αναβάσεις εν καρδία σου, αληθούς θεωρίας εθησαύρισε.

Θεοτοκίον

Ο ξένος τοκετός η ξένη πρόοδος, εν μήτρα ξενίζεται τής Παρθένου, καί τήν φύσιν ολισθήσασαν, εις φθοράν εξ απάτης ανεστήσατο.

Ο Ειρμός

«Στερέωσον ημάς εν σοί Κύριε, ο ξύλω νεκρώσας, τήν αμαρτίαν, καί τόν φόβον σου εμφύτευσον, εις τάς καρδίας ημών τών υμνούντων σε».

## Κοντάκιον τού Ιεράρχου

Ήχος δ'

Επεφάνης σήμερον

Ευσεβείας δόγμασι τήν Εκκλησίαν, καταυγάσας ήλασας, τήν τών αιρέσεων αχλύν, ιεροφάντα Μεθόδιε, πάσι κηρύττων Χριστόν εικονίζεσθαι.

## Κάθισμα τού Προφήτου

Ήχος α'

Τόν τάφον σου Σωτήρ

Προβλέψει θεϊκή, Ηλιού σε ο μέγας, σοφέ Ελισαίε, φοιτητήν επισπάται, Προφήτην δεικνύων σε, ελλαμπόμενον Πνεύματι όθεν σήμερον, τήν παναγίαν σου μνήμην, εορτάζομεν, ευσεβοφρόνως τιμώντες, σύν τούτω σε ένδοξε.

Έτερον τού Ιεράρχου

Ήχος δ'

Επεφάνης σήμερον

Ώσπερ μέγας ήλιος, ταίς τών δογμάτων, καί θαυμάτων λάμψεσι, φωταγωγείς διά παντός, τής οικουμένης τό πλήρωμα, ουρανομύστα, παμμάκαρ Μεθόδιε.

Θεοτοκίον

Τάς αχράντους χείράς σου, Παρθενομήτορ, εφαπλούσα σκέπασον, τούς πεποιθότας επί σέ, καί τώ Υιώ σου κραυγάζοντας, Πάσι παράσχου, Χριστέ τά ελέη σου.

Τού Προφήτου

Ωδή δ'
Εισακήκοα Κύριε
Ριζότομον ανέδειξε, πάσης σε κακίας Πνεύμα τό Άγιον, φυτοκόμον Ελισαίε δέ, αρετής απάσης παμμακάριστε.

Ο προγνώστης τού μέλλοντος, καί καλών ως όντα τά μή υπάρξαντα, Ελισαίέ σε επάξιον, προειδώς Προφήτα προωρίσατο.

Η κολούθει τώ βίω σου, ητών αρετών Προφήτα ομήγυρις, όθεν νύν πανηγυρίζουσιν, οι λαοί καί δήμοι εν τή μνήμη σου.
Θεοτοκίον
Τόν Θεόν όν εκύησας, άχραντε Παρθένε τούτον δυσώπησον, τοίς ικέταις σου δωρήσασθαι, τών πλημμελημάτων τήν συγχώρησιν.

Τού Ιεράρχου

Υμνώ σε, ακοή γάρ Κύριε
Ιδρώσι, τούς αγώνας έσπειρας, εν τή χώρα τής μετανοίας, καί θερίσας άσταχυν Μεθόδιε, τής απαθείας εν γή, τών πραέων κατεσκήνωσας, καί σύν τοίς Ασωμάτοις εορτάζεις αεί.

Ορθρίσας, προσευχαίς συνέλαβες, θείον φόβον εν τή γαστρί σου, καί τέτοκας Πνεύματι τή ποίμνη σου, δογμάτων όρους, δι' ών τάς αιρέσεις αποφράττουσα, εις γήν ορθοδοξίας εμπλατύνεται.

Ανάψας, τήν σαυτού προαίρεσιν, τώ ελαίω τής ευποιϊας, ανύστακτος γέγονας, τοίς πένησι λαμπάς Παμμάκαρ, διό τού νυμφώνός σοι τήν είσοδον, Χριστός σύν ταίς παρθένοις προεξένησε.
Θεοτοκίον
Ασπόρως, χωρηθείς Πανάμωμε, θείος Λόγος εν τή γαστρί σου, προέρχεται σύμμορφος, ατρέπτως τού βροτείου γένους, διό καί τής πλάσεως ανάπλασιν, δι οίκτον θειοτέραν προεξένησε.

Τού Προφήτου

Ωδή ε'
Φώτισον ημάς
Τίς τάς πρακτικάς, αρετάς σου διηγήσεται; τάς αναβάσεις δέ τού Πνεύματος, τίς καταγγείλαι Προφήτα, Θεού δυνήσεται;

Άβυσσον ευρών, Ελισαίε χαρισμάτων Θεού, τοίς προσιούσί σοι επήγασας, προρρήσεις θείας, ιάσεις ψυχής καί σώματος.

Τάφος τά τών σών, αρετών ουκ επεκάλυψεν, Ελισαίε νύν κατορθώματα, αλλ' υπό πάντων υμνούμενα καταγγέλλεται.

Θεοτοκίον

Δυσώπησον αεί, τόν Υιόν σου καί Θεόν ημών, απειρόγαμε Μαρία αγνή, τού καταπέμψαι τοίς Πιστοίς τό μέγα έλεος.

Τού Ιεράρχου

Ο τού φωτός χορηγός

Ράβδω τή τής πίστεως, τά τών αιρέσεων σοβείς θήρατρα, καί τώ δεσμώ συζεύξας τήν ποίμνην, τής θείας αγάπης, ελπίδι καί πίστει φυλάττεις ακλόνητον.

Αποσεισάμενος, τή εγκρατεία τήν τρυφην έθρεψας, σού τήν ψυχήν Οψώνιον έχων, συντόνους προσευχάς, μελέτην τε θείαν, υψούσαν ταπείνωσιν.

Σύ τόν χιτώνα Σοφέ, τής Εκκλησίας πρακτικώς ύφανας, εν ώ χριστού σεπτόν χαρακτήρα, στηλώσας, τή πίστει, τής ορθοδοξίας ετράνωσας δόγματα.

Θεοτοκίον

Σέ προστασίαν Αγνή, καί τής ελπίδος ασφαλή άγκυραν, καί συνοχήν καί σκέπην καί τείχος, κεκτήμεθα πάντες, καί πρός βασιλείαν εισάγουσαν γέφυραν.

Τού Προφήτου

Ωδή ς'

Ιλάσθητί μοι Σωτήρ

Ο νούς σου ειλικρινής, ο λόγος σου διειδέστατος, πηγής γάρ εκ καθαράς, αθόλωτοι βρύουσι, Προφήτα μακάριε, προχοαί υδάτων, θριαμβεύσαί σου τά κρύφια.

Υπέστης μή χωρισθείς, τού διδασκάλου πανεύφημε, καί ξένην εωρακώς, πορείαν ποιούμενον, υψώθης τώ έρωτι, Ελισαίε μάκαρ, συμμετέωρος γενόμενος.

Θροή μέν Ελισαιέ, ορώμενος τον διδάσκαλον, τεθρίππω τών αρετών, πυρίνω τώ άρματι, καί ίπποις αιρόμενον, αλλ' εδέξω κλήρον, μηλωτήν σύν τοίς χαρίσμασι.

Θεοτοκίον

Ρυσθείημεν τών δεινών, πταισμάτων ταίς ικεσίαις σου, Θεογεννήτορ αγνή, καί τύχοιμεν πάναγνε, τής θείας ελλάμψεως, τού εκ σού αφράστως, σαρκωθέντος Υιού τού Θεού.

Τού Ιεράρχου

Εν άβυσσω πταισμάτων

Ιερείον καί θύτης γενόμενος, έσπεισας σαυτόν τώ Θεώ διά πίστεως, καί συντηρείς εν άπασι, τής λατρείας αυτώ τήν τελείωσιν.

Νύν εις άϋλον δόξαν απάρας εκ γής, τήν υλομανούσαν τοίς πάθεσιν Όσιε, τή εμμελεί καθάρσει σου, τής πρεσβείας ψυχήν μου θεράπευσον.

Αποξέσας τόν όγκον τού γράμματος, τή τών νοημάτων σου θεία λαμπρότητι, τής Εκκλησίας γέγονας, οξυγράφος Μεθόδιε κάλαμος.

Θεοτοκίον

Απορία καλύπτει τόν τόκον σου, ξένως γάρ Παρθένε θηλάζεις τόν άποσον, καί γαλουχείς τόν άϋλον, καί αγκάλαις συνέχεις τόν κτίσαντα.

Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, Εκ φθοράς ο Θεός με ανάγαγε».

Κοντάκιον  Ήχος πλ. δ'

Τή υπερμάχω

Διπλήν τήν χάριν ειληφώς παρά τού Πνεύματος, Προφήτης ώφθης θαυμαστός πάσι τοίς πέρασι, τούς υμνούντάς σε λυτρούμενος εκ κινδύνων, καί δωρούμενος τήν χάριν τών θαυμάτων σου, τοίς προστρέχουσιν εν ταύτη μετά πίστεως, καί βοώσί σοι, Χαίροις Προφήτα θεσπέσιε.

Ο Οίκος

Ήλιος καταλάμψας ο τής δικαιοσύνης εν τή πεφωτισμένη ψυχή σου, απεδίωξε πάσαν αχλύν αμαρτίας εξ αυτής, καί Θεού έδειξε Προφήτην σε φαιδρότατον, εντεύθεν καί ημείς κράζομεν ούτως.

- Χαίρε, Θεού ο μηδέν προτιμήσας, χαίρε, βοών κατασφάξας τά ζεύγη.
- Χαίρε, ο καταλείψας τόν βίον σου άπαντα, χαίρε, ο πλουτήσας τόν πλούτον τόν άσυλον.
- Χαίρε, ότι ηκολούθησας τώ καλέσαντι Θεώ, χαίρε, ότι νύν απείληφας παρ' αυτού τάς δωρεάς.
- Χαίρε, ότι τήν μηλωτήν Ηλιού εκομίσω, χαίρε, ότι έν τάχει διασχίζεις τό ύδωρ.
- Χαίρε, περών αβρόχως τά ύδατα. χαίρε, ψυχών πολλών ο επίκουρος.
- Χαίρε, μαθών τήν απόκρυφον γνώσιν, χαίρε, θανών καί ως ζών εποπτεύων, Χαίροις, Προφήτα θεσπέσιε.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΔ τού αυτού μηνός, Μνήμη τού Αγίου Προφήτου Ελισαίου.

Στίχοι

- Ηλίαν ίπποι, τόν δέ διπλούν Ηλίαν,
- Εις ουρανούς ανήγον ως ίπποι Νόες.
- Πότμον Ελισσαίος δεκάτη λάχεν ηδέ τετάρτη.

Τή αυτή ημέρα, Μνήμη τού εν Αγίοις Πατρός ημών Μεθοδίου, Αρχιεπισκόπου Κωνσταντινουπόλεως.

Στίχοι

- Μεθόδιον φωστήρα τής Εκκλησίας,
- Τό τής τελευτής σβεννύει στυγνόν νέφος.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Ιερομάρτυρος Κυρίλλου, Επισκόπου Γορτύνης τής Κρητών νήσου.

Στίχοι

- Εί καί γέρων Κύριλλος ήν ο Γορτύνης,
- Ηβώσαν είχε πρός ξίφος τήν καρδίαν.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τού Προφήτου

Ωδή ζ'

Παίδες Εβραίων

Είληφας μάκαρ Ελισσαίε, εν τώ Πνεύματι διπλά τού διδασκάλου, καί εν τούτω θεοφορούμενος εβόας, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Όλον τόν βίον εκα οπώσω, καί τήν άφθονον χάριν τού διδασκάλου, παρθενίας δειχθείς κειμήλιον καί μέλπων, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Ύδωρ διήλθες, Ιορδάνου, ο επάταξας μνησθείς τού διδασκάλου, καί διέβης ανίκμοις ίχνεσι κραυγάζων, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Θεοτοκίον

Χαίροις πανάμωμε Παρθένε, ότι έτεκες Θεόν σαρκί τώ κόσμω, τόν εκ πλάνης αγνή λυτρούμενον τούς πίστει, σέ Θεοτόκον Δέσποιναν, αληθή δοξολογούντας.

Τού Ιεράρχου

Εικόνος χρυσής

Σοφίας κρατήρ, ανεδείχθης αρεταίς σοφέ πληρούμενος, καί συγκαλέσας τώ κηρύγματι, τής υψηλής πολιτείας σου, ίθυνας τήν ποίμνην θεόφρον, καί σύν αυτή πάτερ έκραζες, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Μονάς τάς εκεί, καί τάς λήξεις εν τιμή Πάτερ προέφθασας, καί συναγάλλη τώ Κυρίω σου, καί συνευφραίνη καί γέγηθας, Όθεν σε τιμώμεν παμμάκαρ, τώ δοξάζοντι κράζοντες, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Ανδρεία φρενών, εζωσμένος τήν Οσφύν Πάτερ Μεθόδιε, καί διά βίου στολισάμενος, τήν αμπεχόνην τής πίστεως, εν τή ευωχία τής άνω, βασιλείας εισέδραμες, Ευλογητός εί εκβοών, ο τών Πατέρων Θεός.

Θεοτοκίον

Απάτωρ εκ σού, ο αμήτωρ εκ Πατρός Αγνή προέρχεται, καί τής αγνείας σου τά σήμαντρα, διατηρήσας αλώβητα, έδειξεν αλόχευτον τόκον, καί παρθενίαν αμόλυντον, καινοτομούνται γάρ εν σοί, νόμοι τής γύσεως.

Τού προφήτου

Ωδή η'

Τόν εν όρει, αγίω

Άλας θείον, εν Πνεύματι Αγίω, Ελισαίε υπήρξας θεοφόρε, καί εν αλσί ιάσω νάματα άτεκνα, Κύριον υμνείτε, καί υπερυψούτε, βοών εις τούς αιώνας.

Νέων παίδων, τήν άτακτον κακίαν, αναστέλλων θηρσί τοίς αιμοβόροις, Ελισαίε Προφήτα βοράν δέδωκας, Κύριον υμνείτε, καί υπερυψούτε, βοών εις τούς αιώνας.

Λελουμένος, Ναιμάν δι' Ελισαίου, καί τής λέπρας πλυθείς εν Ιορδάνη, τήν τού βαπτίσματος εδήλου θείαν κάθαρσιν, Κύριον υμνείτε, καί υπερυψούτε, βοών εις τούς αιώνας.

Θεοτοκίον

Τόν εν κόλποις, Πατρός ακαταλήπτου, καί αγκάλαις Μητρός απειρογάμου, ανερμηνεύτως εμφανισθέντα άπασι, Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Τού Ιεράρχου

Τόν εν καμίνω τού πυρός

Σύ εν τώ οίκω τού Θεού, ως κατάκαρπος Σοφε δειχθείς ελαία, αυποιΐας ελαίω, καί εγκρατείας τρυφή, πενήτων καρδίας ελίπανας, καί φαιδράν ανήψας, τή σή ψυχή λαμπάδα.

Ιεραρχίας τήν στολήν, τώ τών έργων σου φωτί λαμπρύνας ώφθης, σωφροσύνης κλειδούχος, τής εγκρατείας τρυφή, τής όντως προσευχής διδάσκαλος, καί τής μετανοίας οδός καί νόμος βίου.

Μεταμελείας ο καιρός, μετανοίας τόν καρπόν προβάλλεταί σοι, καί συκής τής ακάρπου, τήν εκτομήν απειλεί, ψυχή μου τήν αράν πτοήθητι, θρέψον δέ Χριστόν αρετών τή ευκαρπία.

Θεοτοκίον

Μή επιλάθη τής φωνής, προστασία φοβερά τών ικετών σου, αλλ' εκ πάσης οδύνης, ταίς μεσιτείαις ταίς σαίς, καί πάσης απειλής εξάρπασον, κάμπτει γάρ η σή, μητρική Θεόν πρεσβεία.

Ο Ειρμός

«Τόν εν καμίνω τού πυρός, τών Εβραίων τοίς Παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον, μεταβαλόντα Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Τού Προφήτου

Ωδή θ'
Κυρίως Θεοτόκον

Βοώσαν κατοικτίρας, καί οδυνωμένην, τήν Σωμανίτιν τόν παίδα ανέστησας, μετά τήν στείρωσιν λύσας, Μάκαρ τήν νέκρωσιν.

Ιθύνετο ο βίος, λόγω αληθείας, εδυναμούτο ο λόγος δέ Πνεύματι, δι' εναρέτου σου βίου, Προφήτα ένδοξε.

Εν λήξει πανολβίω, μάκαρ Ελισαίε, αναπαυόμενος νύν καθικέτευε, τής τών ψυχών σωτηρίας, αξιωθήναι ημάς.

Θεοτοκίον

Ενήργησας αφράστως, Δέσποτα Σωτήρ μου, καθ' εκατέρας τών δύο σου φύσεων, αυτεξουσίω θελήσει, τήν σωτηρίαν μου.

Τού Ιεράρχου

Τόν εκ Θεού Θεόν Λόγον

Εναπεμάρανας Πάτερ, μεθοδείας καί βέλη, πυρί τής εγκρατείας τού εχθρού, καί τής αγνείας τώ άνθρακι, τής σαρκός τήν υλώδη, μανίαν πυρπολήσας αληθώς, τής εκεί φωταυγείας, Μεθόδιε ηξίωσαι.

Λιποτακτήσας ουδόλως, ασθενεία σαρκός σου, τοίς θείοις ενετρύφας δαψιλώς, ουδέ τό γήρας προέκρινας, τήν καθέδραν προβλέπων, ως έφη Δανιήλ τού Παλαιού, αλλ' ύπερείδες Πάτερ, εν κόποις τήν ασθένειαν.

Πατριαρχών εν χορεία, αυλιζόμενος μέλπεις, τό άσμα τών Αγγέλων σύν αυτοίς, Άγιος, Άγιος, Άγιος, ο Πατήρ ο γεννήτωρ, Υιός ο γεννηθείς, καί τό Πνεύμα, προϊόν αμερίστως, Τριάς Αγία δόξα σοι.

Θεοτοκίον

Νύμφη καί Μήτηρ Παρθένε, τών Αγγέλων τά πλήθη, τόν σόν καθικετεύουσιν Υιόν, δέξαι καμέ η ελπίς τών πιστών, καί ειρήνην τώ κόσμω, νίκας τώ φιλοχρίστω Βασιλεί, καί ημίν σωτηρίαν, τοίς σέ υμνούσι βράβευσον.

Ο Ειρμός

«Τόν εκ Θεού Θεόν Λόγον, τόν αρρήτω σοφία, ήκοντα καινουργήσαι τόν Αδάμ, βρώσει φθορά πεπτωκότα δεινώς, εξ αγίας Παρθένου, αφράστως σαρκωθέντα δι' ημάς, οι πιστοί ομοφρόνως, εν ύμνοις μεγαλύνομεν».

Εξαποστειλάριον
Ο ουρανόν τοίς άστροις

Εξ αροτήρος ώφθης, προφήτης ώ Έλισαιε, καί Ηλιού δεδεγμένος, τήν μηλωτήν καί τό αυτού, πνεύμα δισσώς επεσπάσω, καί σύν αυτώ σε τιμώμεν.

Έτερον τού Ιεράρχου

Τών μαθητών ορώντων σε

Ως ήλιος ανίσχων εκ τής εώας, έδυς εις τά εσπέρια τή αθλήσει, νύν δέ κατεφώτισας τόν κόσμον, σοίς πάνσοφε διδάγμασι, Πάτερ Μεθόδιε θεοφόρε, διό ημών υπερεύχου.

Θεοτοκίον Όμοιον

Ημείς εν σοί καυχώμεθα Θεοτόκε, καί εις Θεόν σε έχομεν προστασίαν, έκτεινον τήν χείρά σου τήν άμαχον, καί θραύσον τούς εχθρούς ήμων, σοίς εξαπόστειλον δούλοις, βοήθειαν εξ Αγίου.

Εις τόν Στίχον τής Οκτωήχου

Δόξα... Ήχος πλ. β'

Φωτίου Πατριάρχου

Αστήρ ανέτειλεν ευσεβείας, από δυσμών ηλίου τού φαινομένου, ο μέγας εν Ιεράρχαις Μεθόδιος, καί τήν αχλύν διατμήξας τών κακοδόξων, κατέπαυσεν εις τήν όντως ανατολήν, τού τής δικαιοσύνης ηλίου, Χριστού τού Θεού ημών, κακείσε ταίς ασωμάτοις συναυλιζόμενος χορείαις, καί πρός τώ θρόνω παρεστως τής Τριάδος, ως Όσιος, ως Μάρτυς, ως Ιερεύς, ως Πατριάρχης, πράξει καί θεωρία, ημίν αιτείται τοίς εν πίστει τελούσι, τήν Ιεράν αυτού μνήμην, τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Τριήμερος ανέστης

Μετάνοιαν ου κέκτησαι, ψυχή αμετανόητε, τί βραδύνεις; τού θανάτου η τομή, εγγίζει καί τό τέλος, εφέστηκεν ως κλέπτης, τή Θεοτόκω δράμε πρόσπεσον.

Η Σταυροθεοτοκίον

Ορώσά σε σταυρούμενον, Χριστέ η σέ κυήσασα, ανεβόα, Τί τό ξένον ο ορώ, μυστήριον Υιέ μου; πώς επί ξύλου θνήσκεις, σαρκί κρεμάμενος ζωής χορηγέ;

Καί η λοιπή Ακολουθία, ως συνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΕ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Προφήτου, Αμώς.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά προσόμοια.

Ήχος β'

Ότε, εκ τού ξύλου σε

Εύρεν, η τού Πνεύματος αυγή, τής σής διανοίας Προφήτα, τήν καθαρότητα, στίλβουσαν ως έσοπτρον, διαφανέστατον, καί τόν κόσμον κατηύγασε, τής

θεογνωσίας, φέγγος απαστράψασα, καί προτυπώσασα, θείων μυστηρίων εικόνας, χάριν τε τήν πάσαν ανθρώποις, μέλλουσαν δοθήσεσθαι θεσπέσιε.

Στόμα, χρηματίσας τού Θεού, τούς τής ασεβείας εργάτας, σαφώς διήλεγξας, δίκην αναπόδραστον, αυτοίς καί άφυκτον, απαρτίσας Πανόλβιε, τής δικαιοσύνης, δόγμασιν επόμενος, καί θείοις κρίμασιν, όθεν τών σοφών σου ρημάτων, βλέποντες τήν έκβασιν μάκαρ, ύμνοις επαξίοις ευφημούμέν σε.

Μύστης, τών αρρήτων τού Θεού, γέγονας κριμάτων Προφήτα, θεομακάριστε, έθνη γάρ εφώτισας, καί κατελάμπρυνας, καί Τριάδα εκήρυξας, Αμώς θεηγόρε, όθεν σου τήν ένδοξον μνήμην γεραίρομεν, Ρύσαι από πάσης ανάγκης, πάντας τούς πιστώς ευφημούντας, καί πανηγυρίζοντάς σε ένδοξε.

Δόξα... Καί νύν... Θεοτοκίον

Ύδωρ, ως τεκούσα τής ζωής, τής αθανασίας τό νέκταρ, Χριστόν τόν Κύριον, πότισόν με Πάναγνε, ύδωρ αφέσεως, καί τόν νούν μου χαρίτωσον, νοήμασι θείοις, όπως τά σωτήρια, πράττω προστάγματα, ίνα σωτηρίας πρός όρμον, διά τής αυτών εργασίας, φθάσω καί δοξάζω σε τήν άχραντον.

Η Σταυροθεοτοκίον

Πόνους υπομείνασα πολλούς, εν τή τού Υιού καί Θεού σου, σταυρώσει Άχραντε, έστενες δακρύουσα, καί ολολύζουσα, Οίμοι! τέκνον γλυκύτατον, αδίκως πώς πάσχεις, πάντας θέλων ρύσασθαι, τούς εξ Αδάμ γηγενείς! Όθεν Παναγία Παρθένε, σέ παρακαλούμεν εν πίστει, ίλεων ημίν τούτον απέργασαι.

Απολυτίκιον τού Προφήτου

Ήχος β'

Τού Προφήτου σου Αμώς τήν μνήμην, Κύριε εορτάζοντες, δι' αυτού σε δυσωποούμεν, Σώσον τάς ψυχάς ημών.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τού Προφήτου ο παρών, ού ή Ακροστιχίς.

Αμώς σε μέλπω τόν Προφήτην τόν μέγαν.

Ωδή α' Ήχος βαρύς

Τώ εκ τινάξαντι

Ανακαθάρας μου τόν νούν, τού τών παθών αχλυώδους λογισμού, τόν Προφήτην σου Αμώς, Δέσποτα μέλπειν καταύγασον.

Μυσταγωγός αναδειχθείς, τών υπέρ νούν μυστηρίων τού Θεού, ηξιώθης προοράν, Ενδοξε τά γενησόμενα,

Ως ακηλίδωτον Θεού, καί καθαρόν οικητήριον φανείς, τήν τού Πνεύματος Αμώς, είληφας θείαν ενέργειαν.

Θεοτοκίον

Σύ τήν πεσούσαν τού Αδάμ, προφητικώς εξανέστησας σκηνήν, τόν Σωτήρα καί Θεόν, Άχραντε κυοφορήσασα.

Ωδή γ'

Εστερεώθη τή πίστει

Σύ παρανόμους ελέγχων, Αμώς τήν τού Κυρίου, δικαιοσύνην εδείκνυς, βοών θεοφάντορ, Άγιος εί Κύριε, ο σώζων τάς ψυχάς ημών.

Ετέθης στύλος Προφήτα, τής Καινής Διαθήκης, αωέχων ταύτης τήν στέγην, καί πίστει κραυγάζων, Άγιος εί Κύριε, καί σέ υμνεί τό πνεύμά μου.

Μεμυημένος τά θεία, Προφήτα θεηγόρε, Αμώς ενθέως φωτίζων, λαους εμελώδεις, Άγιος εί Κύριε, ο σώζων τάς ψυχάς ημών.

Θεοτοκίον

Εστερεώθην τόν θείον, τόκον επεγνωκώς σου, καί προστασίαν Παρθένε, πλουτώ σε κραυγάζων, Άγιος εί Κύριε, ο σώζων τάς ψυχάς ημών.

Ο Ειρμός

«Εστερεώθη τή πίστει, Χριστού η Εκκλησία, καί γάρ απαύστως εν ύμνοις, βοά μελωδούσα, Άγιος εί Κύριε, καί σέ υμνεί τό πνεύμά μου».

Κάθισμα  Ήχος γ'

Θείας πίστεως

Θείον όργανον τού Παρακλήτου, εχρημάτισας ταίς τούτου μάκαρ, διηνεκέσι πνοαίς υπηχούμενον, αναφωνείς γάρ αδήλων τήν δήλωσιν, καί καταυγάζεις τούς πίστει προστρέχοντας, Αμώς ένδοξε, Χριστόν τόν Θεόν αιτούμενος, δωρήσασθαι ημίν τό μέγα έλεος.

Θεοτοκίον

Θείας φύσεως, ουκ εχωρίσθη, σάρξ γενόμενος, εν τή γαστρί σου, αλλά Θεός ενανθρωπήσας μεμένηκεν, ο μετά τόκον Παρθένον Μητέρα σε, ως πρό τού τόκου φυλάξας Πανάμωμε, μόνος Κύριος, Αυτόν εκτενώς ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Η Σταυροθεοτοκίον

Η αμίαντος αμνάς τού Λόγου, η ακήρατος Παρθενομήτωρ, εν τώ Σταυρώ θεασαμένη κρεμάμενον, τόν εξ αυτής ανωδίνως βλαστήσαντα, μητροπρεπώς θρηνωδούσα εκραύγαζεν, Οίμοι! τέκνον μου, πώς πάσχεις θέλων ρύσασθαι, παθών τής ατιμίας τόν άνθρωπον;

Ωδή δ'

Ακήκοα τήν ακοήν σου

Λατρεύοντα κωφοίς ειδώλοις, τόν λαόν τού Ισραήλ ήλεγξας, όθεν αιχμάλωτον γενέσθαι, τούτον έφης Αξιάγαστε.

Προφήτην σε τόν πρίν ποιμένα, έδειξεν ο Θεός αναλαβών, Ιεροφάντορ Αμώς, διό σε πάντες πίστει μακαρίζομεν.

Ως έσοπτρον τάς τού Αγίου Πνεύματος, δεδεγμένος αστραπάς, τάς φωτοβόλους Αμώς, πάσι προφαίνεις, χαίρων τήν ευσέβειαν.

Τήν αμεμπτόν σου πολιτείαν Ένδοξε, θεασάμενος Θεός, κήρυκα δόξης αυτού προβάλλεταί σε, θείας τε σαρκώσεως.

Θεοτοκίον

Ο λόγος σοί κατασκηνώσας, Άχραντε, τήν ουσίαν τήν εμήν, ανεμορφώσατο διαπεσούσαν, ταίς πρίν παραβάσεσιν.

Ωδή ε'

Πρός σέ ορθρίζω

Νενεκρωμένους, τρυφής βολίσι Μάκαρ ωνείδισας, ως λογιζομένους, πεπηγέναι τά ρευστά, τά τρεπτήν κεκτημένα, καί φθειρομένην τήν απόλαυσιν.

Πλουσιωτάταις, φωτοχυσίαις περιχεόμενος, ώφθης θεορρήμον, καί συνόμιλος Θεού, διαγγέλλων τοίς πάσι, τής ασεβείας τά επίχειρα.

Ρυσθήναι πάντας, τούς σέ υμνούντας Μάκαρ δυσώπησον, τών δελεασμάτων, καί τών βρόχων τού εχθρού, καί φωτί λαμπρυνθήναι, τής ουρανίου προφητείας σου.

Θεοτοκίον

Οι Θεοτόκον, ομολογούντές σε Μητροπάρθενε, τής αδιαδόχου, βασιλείας καί τρυφής, διά σού Θεομήτορ, επιτυχείν αξιωθείημεν.

Ωδή ς'

Ο Ιωνάς εκ κοιλίας

Φωτιστικαίς, αληθείας ακτίσιν εκλάμπων, ερράπισας τόν τού ψεύδους προφήτην, ευτόνως διελέγχων, καί προλέγων τήν αυτού εξολόθρευσιν.

Η μαύρωσας, τής απάτης τήν φλόγα Προφήτα, ως ήλιος ευσεβείας τήν αίγλην, τοίς πάσιν ανατέλλων, ως τού Πνεύματος αυγήν εισδεξάμενος.

Θεοτοκίον

Τήν άχραντον, παρθενίαν υμνώ σου Παρθένε, τόν άφθαρτον καί σεβάσμιον τόκον, τιμώ σου Παναγία, δι' ού σέσωσμαι φθοράς καί νεκρώσεως.

Ο Ειρμός

«Ο Ιωνάς εκ κοιλίας Άδου εβόα, ανάγαγε εκ φθοράς τήν ζωήν μου, ημείς δέ σοι βοώμεν, Παντοδύναμε Σωτήρ, ελέησον ημάς».

Συναξάριον

Τή ΙΕ' τού αυτού μηνός, Μνήμη τού Αγίου Προφήτου Αμώς.

Στίχοι

- Αμώς, ο συκάμινα κνίζων αιπόλος,
- Εδέμ τρυγά τά δένδρα κνίζων ουκέτι.
- Πέμπτη εκ βιότοιο Αμώς δεκάτη τε απέπτη.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Δουλά.

Στίχοι

- Δουλάς, ξοάνοις δουλικόν μή δούς σέβας,
- Ήνεγκε σαρκός, ως Θεού δούλος, ξέσεις.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Νερσή, καί η σύναξις τής Υπεραγίας Δεσποίνης ημών Θεοτόκου πέραν εν τοίς Μαρανακίου.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Οι εν καμίνω πυρός

Ήν προηγόρευσας θείαν σωτηρίαν, εφανερώθη, Αμώς προφήτα θαυμάσιε, φωτισμοίς ευσεβείας λάμπουσα κόσμω, Ευλογητός εί κράζοντι, ο Θεός ο τών Πατέρων ημών.

Νενευρωμένος τή θεία δυναστεία τοίς αντιθέοις, εχθροίς ανάλωτος γέγονας, καρτερώς ως αδάμας μείνας κραυγάζων, Ευλογητός εί Κύριε, ο Θεός ο τών Πατέρων ημών.

Θεοτοκίον

Τόν ακατάληπτον τόκον τής Παρθένου, δοξολογούμεν, δι' ού θανάτου ερρύσθημεν, δι' αυτού γεννηθέντες εις αφθαρσίαν, Ευλογητός εί κράζοντες, ο Θεός ο τών Πατέρων ημών.

Ωδή η'

Τόν μόνον άναρχον

Όλος ανέδραμες εις αιθέριον ύψος, καί εμυήθης τών αρρήτων τήν γνώσιν, καί γέγονας μηνυτής τής τού Λόγου σαρκώσεως Αμώς, διό σε ανυμνούμεν, εις πάντας τούς αιώνας.

Νοός οξύτητι τόν τών όλων Δεσπότην, κατανοείν ως εφικτόν ηξιώθης, μυούντά σε, τών αρρήτων τήν γνώσιν κραυγάζων ευσεβώς, Λαός υπερυψούτε, αυτόν εις τούς αιώνας.

Μακαριότητος καί χαράς ανεκφράστου, καί βασιλείας ουρανών ως προφήτης, επέτυχες ουρανίων επόπτα, κραυγάζων ευσεβώς, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Εν δύο φύσεσι τής Τριάδος, τόν ένα θεοπρεπώς άνευ σποράς Θεομήτορ, εγέννησας τόν Σωτήρα τού κόσμου, διό σε οι πιστοί, πόθω υπερυψούμεν, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Τόν μόνον άναρχον, Βασιλέα τής δόξης, όν ευλογούσιν ουρανών αι δυνάμεις, καί φρίττουσι τών Αγγέλων αι τάξεις, υμνείτε Ιερείς, λαός

υπερυψούτε, αυτόν εις τούς αιώνας».

Ωδή θ'

Πανύμνητε τών ουρανών

Γενόμενος προφητικής εκφαντορίας, θεοκίνητος γλώσσα, τά θεία φθεγγόμενος, πάσιν αναγγέλλεις Αμώς, τήν θείαν ευσπλαγχνίαν, Διό πάντες σε αεί μακαρίζομεν.

Ανέκφραστος τών Προφητών η ευδοξία, τό γάρ Άγιον Πνεύμα εν τούτοις κατοικήσαν, τής φωτοχυσίας αυτού, ανέδειξε μετόχους, εξών πάντες οι πιστοί φωτιζόμεθα.

Θεοτοκίον

Νεκρώσεως καί φθοράς μου τούς χιτώνας, περιείλες Παρθένε, σωτήριον χιτώνα, τόν σεσαρκωμένον Θεόν, τεκούσα τοίς ανθρώποις, Διό πάντες σε αεί μεγαλύνομεν.

Ο Ειρμός

«Πανύμνητε τών ουρανών υψηλοτέρα εί, τόν άναρχον Λόγον ασπόρως συλλαβούσα, καί σεσαρκωμένον Θεόν, τεκούσα τοίς ανθρώποις, Διό πάντες σε αεί μεγαλύνομεν».

Καί η λοιπή Ακολουθία, ως συνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Πατρός ημών Τύχωνος, Επισκόπου Αμαθούντος τής Κύπρου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'

Τί υμάς καλέσωμεν

Έχων πολιτείαν ισάγγελον, αποχή τών ηδονών, σκεύος εδείχθης τού Θεού, διά τούτό σε σοφέ, Αρχιερέα τού λαού, τό θείον αρμοζόντως προχειρίζεται, καί στύλον, καί εδραίωμα τής πίστεως, Τύχων δεικνύει θεόπνευστε, ορθοδοξίας εφ' ύδατα, ποιμαίνοντα, σού τήν ποίμνην ιερώτατε.

Θείας πεπλησμένος συνέσεως, ποίμνης ώφθης λογικής, ταύτην εκτρέφων λογικώς, επί χλόην αληθών, δογμάτων πάνσοφε ποιμήν, διό σου, τήν αγίαν νύν πανήγυριν, τιμώμεν, τόν δοξάσαντά σε Κύριον, μεγαλοφώνως δοξάζοντες, Τύχων θεόφρον πανόλβιε, ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Θαύμασι Θεός σε εδόξασεν, ο δοξάζων τούς αυτόν, Πάτερ δοξάζοντας

πιστώς, εν καιρώ γάρ τής σεπτής, καί θείας μνήμης σου σοφέ, οράται, βότρυς πέπειρος γενόμενος, υμνούντων, τών παρόντων τά παράδοξα, εξ ού οι πιστοί μετέχοντες, αγιασμόν καί ωφέλειαν, εισδέχονται, επαξίως σε γεραίροντες.

Δοξα... Καί νύν... Θεοτοκίον

Τίς ο προσφυγών εν τή σκέπη σου, Θεοτόκε αειπάρθενε, ανύμφευτε αγνή, ου λαμβάνει τήν ταχείαν, τών κακών απαλλαγήν, ευρίσκει, βοηθόν σε ακαταίσχυντον, προστάτιν τε καί πύργον αρραγέστατον, Θεογεννήτορ πανάμωμε, Χριστιανών η αντίληψις, μεσίτευσον, τού σωθήναι τούς τιμώντάς σε.

Η Σταυροθεοτοκίον

Άρνα η αμνάς ως εώρακε, τόν Υιόν τόν εαυτής, καθηλωμένον εν Σταυρώ, επιτρώσκετο τής λύπης, τή ρομφαία τήν ψυχήν, τά σπλάγχνα, εδονείτο θρήνους πλέκουσα, καί λύπης, τήν καρδίαν ενεπίμπλατο, Οίμοι! Υιέ μου γλυκύτατε, πώς ταύτα πάσχεις μακρόθυμε; Δοξάζω σου, τό μακρόθυμον φιλάνθρωπε.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, και τού Αγίου ο παρών, ού η Ακροστιχίς.

Τώ θαυματουργώ προσλαλήσω ποιμένι. Ιωσήφ.

Ωδή α' Ήχος δ'

Τριστάτας κραταιούς

Τώ θρόνω τού Θεού, παρεστως στεφηφόρος, ως βιώσας επί γής, οσίως καί φωτί, ανεσπέρω λαμπόμενος, φώτισόν μου τήν καρδίαν, καί τόν νούν ανυμνήσαί σου, τόν ισάγγελον βίον Μακάριε.

Ωράθης ευκλεούς, μακαρίας τε ρίζης, εκβλαστάνων Ιερώς, ως κλάδος αληθώς, ευκαρπίας πληρούμενος, πίστεώς τε καί ελπίδος, καί αγάπης καί χάριτος, παραδόξων θαυμάτων θεόπνευστε.

Θυσίαν σεαυτόν, καθαράν καί τελείαν, τώ τυθέντι δι' ημάς, προσήγαγες Χριστώ, τά ψυχήν αποκτείνοντα, πάθη εναπονεκρώσας, διά πόνων ασκήσεως, επιμόνου τε Πάτερ δεήσεως.

Θεοτοκίον

Ανώρθωσας ημάς, απωλείας εις βάθη, πεπτωκότας τόν Χριστόν, κυήσασα Αγνή, εξ αχράντων λαγόνων σου, τούτον ούν ως παρρησίαν, κεκτημένη ικέτευε, λυτρωθήναι κινδύνων τούς δούλους σου.

Ωδή γ'

Ουκ εν σοφία

Ύλην κακίας, εκτεμών τής καρδίας σου πρόρριζον, τή δρεπάνη τών ευχών,

ως γή κατάκαρπος Όσιε, στάχυν εγεώργησας, εκατοστεύοντα.

Μόνα ποθήσας, τά πρός θείαν ζωήν οδηγούντά σε, τρίβους Πάτερ δεξιάς, ανεπιστρόφως διώδευσας, έχων οδηγούσάν σε, χάριν τού Πνεύματος.

Αγίων βίους, εμιμήσω θεόφρον ως Άγιος, καί απάθειαν ψυχής, εκτήσω Τύχων θεόπνευστε, οίκος θείου Πνεύματος, αποδεικνύμενος.

Θεοτοκίον

Τόν τής Τριάδος, απεκύησας ένα Πανάμωμε, αναπλάττοντα ημάς, τούς συντριβέντας τό πρότερον, κακία τού όφεως, τού πολεμήτορος.

Ο Ειρμός

«Ουκ εν σοφία, καί δυνάμει καί πλούτω καυχώμεθα, αλλ' εν σοί τή τού Πατρός, ενυποστάτω σοφία Χριστέ, ου γάρ εστιν, Άγιος, πλήν σου φιλάνθρωπε».

Κάθισμα Ήχος γ'

Τήν ωραιότητα

Τώ θείω μύρω σε, έχρισεν Όσιε, Πνεύμα τό Άγιον, Αρχιερέα σαφώς, λαόν ποιμάναντα καλώς, εν πάση οσιότητι, όθεν σε καί θαύμασιν, ιερώς κατεκόσμησε, νόσους γάρ εκάστοτε, θεραπεύεις τών πίστει σου, τού ζώντος προσιόντων λειψάνοις, Τύχων αειμακάριστε.

Θεοτοκίον

Τήν νεκρωθείσάν μου, ψυχήν τοίς πάθεσι, ζώωσον Πάναγνε, μόνη πανάμωμε, ως παρρησίαν μητρικήν, πρός τόν Υιόν σου έχουσα, σύ γάρ μόνη έτεκες, υπέρ νούν καί διάνοιαν, Λόγον τόν συνάναρχον, τώ Πατρί καί τώ Πνεύματι, ζωήν καί άφθαρσίαν τώ κόσμω, διδόντα αεί καί μέγα έλεος.

Η Σταυροθεοτοκίον

Τόν επονείδιστον, οικτίρμον θάνατον, διά σταυρώσεως, εκών υπέμεινας, όν η τεκούσά σε Χριστέ, ορώσα επιτρώσκετο, σπλάγχνα κοπτομένη τε, μητρικώς επωδύρετο, Ής ταίς παρακλήσεσι, διά σπλάγχνα ελέους σου, οικτίρησον καί σώσον τόν κόσμον, ο αίρων τήν τούτου αμαρτίαν.

Ωδή δ'

Ο καθήμενος εν δόξη

Τόν ενάρετόν σου βίον, τά περίδοξα θαύματα, τήν βεβαίαν πίστιν, τήν υπομονήν τήν πραότητα, οι ευσεβείς καθορώντες Ιερέα σε, καί ποιμένα σαφώς προχειρίζονται Όσιε.

Ουκ ηλάττωται ο σίτος, ενδεέσι διδόμενος, τή χειρί σου Μάκαρ, μάλλον δέ πλειόνως ηυλόγηται, τών κενωθέντων δοχείων θεία χάριτι, πληρουμένων σαφώς παναοίδιμε.

Υπανοίγων τήν καρδίαν, συμπαθώς Τύχων ένδοξε, πενομένοις πλούτος, καί περιβολή γυμνητεύουσι, τών ορφανών τε προστάτης εχρημάτισας, θεραπευων εν τούτοις Χριστόν τόν Θεόν ημών.

Θεοτοκίον

Ραθυμία συσχεθέντα, καί παθών αμαυρότητι, όλον σκοτισθέντα, καί τή αμαρτία δουλεύσαντα, τόν αναμάρτητον Λόγον η κυήσασα, φωταγώγησον, καί πρός ζωήν χειραγώγησον.

Ωδή ε'

Ασεβείς ουκ όψονται

Γεωργός ως άριστος, ενέωσας ψυχάς, χερσωθείσας Πάτερ σοφέ, καί ως σπόρον άριστον, ενθείς τόν λόγον σου, γεωργείν ουράνια, παρεσκεύασας νοήματα.

Ως τού θείου Πνεύματος, δοχείον γεγονώς, τών πνευμάτων τών πονηρών, Ιεράρχα πέφυκας φυγαδευτήριον, καί παθών καθάρσιον, καί νοσούντων ιατήριον.

Ποταμός πληρούμενος, ναμάτων μυστικών, εγνωρίσθης Ιερουργέ, καί πηγάς εξήρανας, παθών εν χάριτι, καί ψυχάς κατήρδευσας, βλαστανούσας τήν ευσέβειαν.

Θεοτοκίον

Ρυομένη φάνηθι, εχθρών επαγωγής, καί βαρβάρων επιδρομής, τούς σούς δούλους Άχραντε, τούς κεκτημένους σε, κραταιάν αντίληψιν, καί πρεσβείαν ακαταίσχυντον.

Ωδή ς'

Ήλθον εις τά βάθη

Ουκ έσεισε Πάτερ τής ψυχής σου, ο πονηρός τόν οίκον, εν τή πέτρα γάρ τής αληθείας, ως αληθώς ίστασο θεόπνευστε, θείω σθένει κρατυνόμενος.

Σοφία Θεού κεκοσμημένος, καί αρετών εις ύψος, Ιερώτατε φθάσας καθείλες, τού πονηρού τάς επάρσεις χάριτι, τήν καρδίαν ταπεινούμενος.

Λειμών ευανθής Τύχων ωράθης, τών αρετών τά άνθη, τών θαυμάτων τε τήν ευωδίαν, πάσι πιστοίς Ιεράρχα όσιε, θεοκρίτως προβαλλόμενος.

Θεοτοκίον

Αγία Παρθένε τήν ψυχήν μου, ήν ο εχθρός δολίως, κατεσπίλωσε τή αμαρτία, ως αγαθή, δυσωπώ αγάθυνον, καί φωτί σου καταλάμπρυνον.

Ο Ειρμός

«Ήλθον εις τά βάθη τής θαλάσσης, καί κατεπόντισέ με, καταιγίς πολλών αμαρτημάτων, αλλ' ως Θεός, εκ φθοράς ανάγαγε, τήν ζωήν μου ως φιλάνθρωπος».

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΣΤ' τού αυτού μηνός, Μνήμη τού εν Αγίοις Πατρός ημών Τύχωνος, Επισκόπου Αμαθούντος τής Κύπρου.

Στίχοι

- Βλάβην ολοθρεύοντος εκφυγών Τύχων,
- Ζωής τυχών γέγηθε τής ανωλέθρου.
- Έκτη καί δεκάτη κατερύκακε γαία Τύχωνα.

Ταίς αυτού αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'
Νέοι τρείς εν Βαβυλώνι

Λόγοις θείοις κατηρδεύθη, άμπελος ως αληθής, Τύχων η καρδία σου, καί καρποφορήσασα βότρυν, θεογνωσίας έβλυσε, γλυκασμόν ιαμάτων ημίν.

Ήνθησας καθάπερ ρόδον, έλαμψας ώσπερ αστήρ, έφανας ως ήλιος Πάτερ, τούς βοώντας φωτίζων, Ευλογητός εί Κύριε, ο Θεός ο τών Πατέρων ημών.

Στέφανος χαρίτων Πάτερ, σού τή θεία κορυφή, ετέθη ώς γέγραπται, νίκην κατεχθρών αραμένου, καί μελωδούντος, Κύριε, ο Θεός ο τών Πατέρων ημών.

Ώφθη σου τό θαύμα μέγα, Τύχων πάτερ θαυμαστέ, χρόνοις λαμπρυνόμενον, άμπελος γάρ σού εν τή μνήμη, περκάζει βότρυν φέροντα, γλυκασμόν ευφροσύνης πιστοίς.

Θεοτοκίον

Πάντων ώφθης ασωμάτων, οία Μήτηρ τού Θεού, όντως υπερέχουσα, όν εκδυσωπούσα Παρθένε, υπέρτερόν μου δείξον, τόν λογισμόν σαρκικών ηδονών.

Ωδή η'
Λυτρωτά τού παντός

Ουδαμώς ηδοναίς απενύσταξας, εγρηγόρως δέ μάλλον παρέδραμες, νύκτα τού βίου Όσιε, καί κοιμίσας τά πάθη σαρκός, πρός φέγγος, απαθείας, ενθέως κατήντησας.

Ιατρείον παθών αναδέδεικται, η σορός τών αγίων λειψάνων σου, ήν περ κυκλούντες μέλπομεν, ιερώτατε Τύχων, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον.

Μεγαλύνεις Χριστόν τόν Θεόν ημών, επακούσας φωνής πρός τά άνω σε, περιφανώς βασίλεια, παναοίδιμε Πάτερ προσκαλουμένης, ως καλώς καί οσίως βιώσαντα.

Εγνωρίσθη σοι Πάτερ η έξοδος, η τού βίου, Θεός γάρ ο δίκαιος, δικαιοσύνη λάμποντα, τοίς δικαίοις σε πάσι, Τύχων συνάπτει, υπέρ πάντων αυτόν ικετεύοντα.

Νηπιώδες εξέκλινας φρόνημα, εκ παιδός, καί τελείοις νοήμασι, τόν παλαιόν κατέβαλες ευρετήν τής κακίας, Τύχων κραυγάζων, Ευλογείτε τά έργα τόν

Κύριον.

Θεοτοκίον

Ιερείς καί λαοί ευφημούσί σε, παντευλόγητε Κόρη πανάμωμε, τήν ευλογίαις άπαντας, στεφανώσασαν πίστει τούς μελωδούντας, Ευλογείτε υμνείτε τόν Κύριον.

Ο Ειρμός

«Λυτρωτά τού παντός παντοδύναμε, τούς εν μέσω φλογός ευσεβήσαντας, συγκαταβάς εδρόσισας, καί εδίδαξας μέλπειν, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον».

Ωδή θ'

Εύα μέν τώ τής παρακοής

Ιδού σοι τόν δρόμον τόν καλόν τελέσαντι, καί τήν πίστιν νύν τηρήσαντι, Πάτερ θεόφρον ιεράρχα, ουράνια ηνοίχθη σκηνώματα, καί τόπος φωταυγής σε εδέξατο, αγιωσύνη διαλάμποντα.

Ως μύστης ως θείος Ιερεύς ως άριστος, ποιμενάρχης ως εδραίωμα, τής Εκκλησίας ως θαυμάτων, Παμμάκαρ αυτουργός μεμακάρισαι, καί δήμοις ιεροίς συνηρίθμησαι, πάντων αγίων αγαλλόμενος.

Σήμερον η μνήμη σου ημίν ανέτειλε, τού ηλίου τηλαυγέστερον, φέγγει ενθέων χαρισμάτων, φωτίζουσα πιστών τήν διάνοιαν, καί σκότος τών παθών εκδιώκουσα, Τύχων θεόφρον Ιερώτατε.

Η Κύπρος τό σώμά σου σοφέ τό άγιον, ιαμάτων κρήνην κέκτηται, πάσα δέ πόλις τε καί χώρα, κηρύττει σου τόν βίον, τά θαύματα, καί τήν πρός τόν Δεσπότην οικείωσιν, Τύχων παμμάκαρ αξιάγαστε.

Θεοτοκίον

Φωτός οικητήριον η σή πανάμωμε, Παναγία μήτρα γέγονεν, ώ φωτιζόμενοι τού σκότους, λυτρούμεθα τής πλάνης υμνούντές σε, καί πόθω αληθεί μακαρίζοντες, μόνη ανθρώπων επανόρθωσις.

Ο Ειρμός

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν είσω κίσατο, σύ δέ παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε, πάντες μεγαλύνομεν».

Καί η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΖ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Μαρτύρων, Ισαύρου, Βασιλείου, Ιννοκεντίου, Ερμείου, Φήλικος καί Περεγρίνου, καί τών Αγίων Μαρτύρων, Μανουήλ, Σαβέλ καί Ισμαήλ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους στ' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Τού Αγίου Ισαύρου καί τών σύν αυτώ.

Ήχος δ'
Έδωκας σημείωσιν

Πόνοις συντριβόμενοι, καί κακουχίαις στενούμενοι, καί ειρκτή συγκλειόμενοι, ξίφεσι κοπτόμενοι, καί βιαιοτάτω, θνήσκοντες θανάτω, ουκ απηρνήσασθε Χριστόν, ου τοις ξοάνοις σέβας ενείματε, διό καί ηξιώθητε, τής ουρανίου λαμπρότητος, δυσωπούντες τόν Κύριον, υπέρ πάντων μακάριοι.

Ισαυρος ο ένδοξος, καί ο στερρός Ιννοκέντιος, καί ο θείος Βασίλειος, Φήλιξ ο θαυμάσιος, ο κλεινός Ερμείας, καί ο Περεγρίνος, οι ουρανώσαντες τήν γήν, ταίς τών θαυμάτων θείαις λαμπρότησι, πιστώς μακαριζέσθωσαν, ως τού Κυρίου θεράποντες, καί τά πάθη διώκοντες, τών ψυχών υμών πάντοτε.

Κρήνη αναβλύζουσα, τών ιαμάτων χαρίσματα, η σορός υμών δεδείκται, εξ ής αρυόμεθα, τών παθών υγείαν, καί τών νοσημάτων, τήν παντελή απαλλαγήν, ανευφημούντες υμάς εκάστοτε, σεπτοί Μεγαλομάρτυρες, τών Ασωμάτων εφάμιλλοι, τού Κυρίου θεράποντες, πρεσβευταί τών ψυχών ημών.

Τών Αγίων Μανουήλ καί τών σύν αυτών.

Ήχος ο αυτός
Ως γενναίον εν Μάρτυσι

Ως αστέρες πολύφωτοι, Αθλοφόροι πανεύφημοι, θεϊκαίς λαμπρότησι καταυγάζετε, τής οικουμένης τά πέρατα, δαιμόνων σκοτόμαιναν, καί παθών φθοροποιών, καί κινδύνων εξαίροντες, όθεν σήμερον, τήν Φαιδράν καί φωσφόρον καί αγίαν, συνελθόντες εκτελούμεν, υμών πανήγυριν ένδοξοι.

Μανουήλ ο θαυμάσιος, καί Σαβέλ ο μακάριος, Ισμαήλ ο πάνσοφος μελωδήμασιν, ιερωτάτοις τιμάσθωσαν, Τριάδα τήν άκτιστον, εναντίον τών εχθρών, ιερώς προκηρύξαντες, καί πολύθεον, αποσβέσαντες πλάνην, τών αιμάτων, ταίς προσχύσεσι καί δόξαν, απειληφότες αμάραντον.

Βασιλέα παράνομον, παρανόμως προστάττοντα, υποκύπτειν σέβας τε νέμειν άλογον, θεοίς αψύχοις μακάριοι, εμφρόνως ηχύνατε, Μανουήλ καί Ισμαήλ, καί Σαβέλ μεγαλώνυμοι, καί αθλήσαντες, καρτερώς καί νομίμως τούς στεφάνους, ανεπλέξασθε τής νίκης, υπέρ τού κόσμου πρεσβεύοντες.

Δόξα... Ήχος πλ. β'
Ανατολίου

Ειλικρινώς ποθησαντές σε Λόγε Θεού, οι ένδοξοι Μάρτυρες, τό πυρσολατρείν εάσαντες, λιπόντες καί τήν τών Χαλδαίων χθόνα, τώ σώ φωτί

κατηυγάσθησαν, θωρακισθέντες δέ όπλοις τής πίστεως, ήσχυναν Ιουλιανόν τόν τύραννον, Μανουήλ ο ένδοξος, καί Σαβέλ ο αείμνηστος, καί Ισμαήλ ο τρισόλβιος, σύν Πατρί καί τώ Πνεύματι υμνούντές σε, καί πρεσβεύουσι τού σωθήναι τάς ψυχάς υμών.

Καί νύν... Θεοτοκίον

Ώ τού παραδόξου θαύματος

Χαίροις οικουμένης καύχημα, Χαίρε Κυρίου ναέ, Χαίρε όρος κατάσκιον, Χαίρε καταφύγιον, Χαίρε λυχνία χρυσή, Χαίρε τό κλέος τών ορθοδόξων σεμνή, Χαίρε Μαρία, Μήτηρ Χριστού τού Θεού, Χαίρε Παράδεισε, Χαίρε θεία τράπεζα, Χαίρε σκηνή, Χαίρε στάμνε πάγχρυσε, Χαίρε η πάντων χαρά.

Η Σταυροθεοτοκίον

Τί τό ορώμενον θέαμα, ο τοίς εμοίς οφθαλμοίς, καθοράται ώ Δέσποτα; ο συνέχων άπασαν, κτίσιν ξύλω ανήρτησαι, καί θανατούσαι, ο πάσι νέμων ζωήν; Η Θεοτόκος, κλαίουσα έλεγεν, ότε εώρακεν, εν Σταυρώ υψούμενον τόν εξ αυτής, αρρήτως εκλάμψαντα, Θεόν καί άνθρωπον.

Απολυτίκιον  Ήχος δ'

Οι Μάρτυρές σου Κύριε, εν τή αθλήσει αυτών, στεφάνους εκομίσαντο τής αφθαρσίας εκ σού τού Θεού ημών, σχόντες γάρ τήν ισχύν σου, τούς τυράννους καθείλον, έθραυσαν καί δαιμόνων, τά ανίσχυρα θράση, Αυτών ταίς ικεσίαις Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τών Αγίων ο ακόλουθος, ού η Ακροστιχίς.

Ισαυρε Μάρτυς, ευμενής φάνηθί μοι.

Εν δέ τοίς Θεοτοκίοις.

Γρηγορίου.

Ελλείποντος τού πρώτου Ρ, διά τών Ωδών τό οκτάριθμον.

Ωδή α'  Ήχος πλ. δ'

Υγράν διοδεύσας

Ιλέωσαι Μάρτυς τόν ευμενή, Θεόν καί Σωτήρα, ελεήσαί με καί δεινής, επηρείας μάκαρ ρύσασθαί με, τόν προσφυγόντα πιστώς εν τή σπέπη σου.

Στενούμενος πταίσμασι χαλεποίς, καί πλήθει κινδύνων, πιεζόμενος εκβοώ, Ίσαυρε θεόφρον πρόστηθί μου, τής συνεχούσης ανάγκης καί λύτρωσαι.

Αθλήσας νομίμως υπέρ Χριστού, ανύστακτος φύλαξ, εχαρίσθης πόλει τή σή, γενού δέ καί σκέπη καί προστάτης, τών προσφυγόντων σοι ένδοξε, Ίσαυρε.

Θεοτοκίον

Γυμνών αρετών με καταστολής, ευρών ο Βελίαρ, βέλει έτρωσεν ηδονών, η

τόν ιατρόν Θεόν τεκούσα, τά τής ψυχής μου θεράπευσον τραύματα.

Ωδή γ'

Σύ εί τό στερέωμα

Άνωθεν τοίς δούλοις σου, τήν σήν βοήθειαν δώρησαι, σώζων ημάς, πάσης επηρείας, καί κινδύνων καί θλίψεων.

Ρείθρα τών ιάσεων, η σή σορός αναβρύουσα, παντοδαπά, παύει τών ανθρώπων, αρρωστήματα, Ίσαυρε.

Τίμιος γεγένησαι, τό τού Χριστού τιμών όνομα, διό βοώ, λύτρωσαί με πάσης, ατιμίας πρεσβείαις σου.

Θεοτοκίον

Ήνωται ο Κτίστης μου, υπερφυώς εν σοί Δέσποινα, όλον εμέ, θέλων αναπλάσαι, διά σού ως ηυδόκησεν.

Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Κάθισμα  Ήχος γ'

Θείας πίστεως

Θείον φρόνημα, ανειλημμένοι, ώ υπέρμαχοι τού Δυρραχίου, καί τού Χριστού οπλίται στερρόψυχοι, Απολλωνίου τό θράσος καθείλετε, καί Τριποντίου τό σέβας ηχύνατε, νίκης έπαθλα, φαιδρώς εκ Θεού δεξάμενοι, δωρείσθε τοίς πιστοίς παθών ιάματα.

Θεοτοκίον

Θεία γέγονας, σκηνή τού Λόγου, μόνη πάναγνε, Παρθενομήτορ, τή καθαρότητι Αγγέλους υπεράρασα, τόν υπέρ πάντας εμέ γούν γενόμενον, ρερυπωμένον σαρκός πλημμελήμασιν, αποκάθαρον, πρεσβειών σου ενθέοις νάμασι, παρέχουσα σεμνή τό μέγα έλεος.

Η Σταυροθεοτοκίον

Η αμίαντος, αμνάς τού Λόγου, η ακήρατος, Παρθενομήτορ, εν τώ Σταυρώ θεασαμένη Κρεμάμενον, τόν εξ αυτής ανωδίνως βλαστήσαντα, μητροπρεπώς θρηνωδούσα εκραυγαζεν, Οίμοι! τέκνον μου, πώς πάσχεις, θέλων ρύσασθαι, παθών τής ατιμίας τόν άνθρωπον;

Ωδή δ'

Εισακήκοα Κύριε

Υψωθείς απονοία μου, ολισθήσας πάθεσι κατενήνεγμαι, έγειρόν με κατακείμενον, εν βυθώ θεόφρον απογνώσεως.

Σέ πανένδοξε κέκτημαι, ασφαλή φρουρόν μου καί καταφύγιον, πρόστηθί μου μή παρίδης με, εν ημέρα θλίψεως καί σώσόν με.

Εν οδύνη καρδίας μου, τόν εμόν προστάτην σε τόν θερμότατον, δυσωπώ, Μή

καταλίπης με, εχθρών επηρείαις απολλυμενον.

Θεοτοκίον

Γηγενών ακαταίσχυντε, σκέπη καί βοήθεια σύ μου πρόστηθι, καί παντοίας με εξάρπασον, συμφοράς Παρθένε τόν οικέτην σου.

Ωδή ε'

Ίνα τί με απώσω

Υιός ώφθης ημέρας, έχων εν καρδία σου λάμπον φώς άδυτον, δι' ού σκοτομήνη, τής απάτης μειούται καί άπασι, δαδουχείται γνώσις, θείου φωτός, διό βοώ σοι, Φώτισόν με τόν γνώμη τυφλώττοντα.

Μή παρίδης με Μάρτυς, πίστει σοι προστρέχοντα, μηδέ απώση με, γλώσση γάρ δολία, κατ' εμού οι μισούντές με φθέγγονται, πολεμούντες μάτην, τού απολέσαι τόν σόν δούλον, αλλά πρόφθασον σώσόν με Άγιε.

Εν νυκτί καί ημέρα, σέ επικαλούμαι τόν μέγαν προστάτην μου, εν παντί με τόπω καί καιρώ διαφύλαξον Άγιε, από πάσης βλάβης, καί εναντίων, τόν είς σέ τήν επηρείας ελπίδα μου θέμενον.

Θεοτοκίον

Όλον εμέ μορφούται, εκ σού Απειρόγαμε Θεός ο πλάστης μου, όν αεί δυσώπει, οικτιρήσαι λαόν αμαρτάνοντα, διασώσαι κόσμον, δαιμονικής απάσης βλάβης, τόν εις σέ Θεοτόκε ελπίζοντα.

Ωδή ς'

Τήν δέησιν εκχεώ

Νοός μου τάς εκτροπάς θεραπεύσας, καί καρδίας μου τά πάθη θεόφρον, σωματικών, αλγηδόνων με ρύσαι, καί επηρείας απάσης καί θλίψεως, καί δείξόν με ταίς σαίς λιταίς, τού εχθρού τών παγίδων υπέρτερον.

Ηγίασέ σε αθλήσαντα Μάρτυς, ο πανάγιος Θεός όν δυσώπει, αγιασμόν, τοίς σοίς δούλοις εκπέμψαι, καί φωτισμόν καί πταισμάτων τήν λύτρωσιν, προστάτης γάρ παρά Θεού, εχαρίσθης ημίν ακαταίσχυντος.

Συνείναί με τόν πολλά σε ποθούντα, πολυπόθητε ευδόκησον Μάρτυς, σέ δυσωπώ, τόν καλόν μου προστάτην, καί πίστει κράζω σοι άγιε, Ίσαυρε, Γενήθητί μοι βοηθός, καί παντοίας ανάγκης με λύτρωσαι.

Θεοτοκίον

Ρανίσι τής σωστικής σου πρεσβείας, κατασβέσασα παθών μου τήν φλόγα, τάς τού νοός, εκτροπάς σαίς πρεσβείαις, υπεραγία Παρθένε θεράπευσον, καί κόπασον τό χαλεπόν, τών παθών μου κλυδώνιον πάναγνε.

Ο Ειρμός

«Τήν δέησιν εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών, η ψυχή μου επλήσθη, καί η ζωή μου τώ Άδη προσήγγισε, καί δέομαι ως Ιωνάς, Εκ φθοράς ο Θεός με ανάγαγε».

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΖ' τού αυτού μηνός, μνήμη τής αθλήσεως τού Αγίου Μάρτυρος Ισαύρου, καί τών σύν αυτώ Βασιλείου, Ιννοκεντίου, Φήλικος, Ερμείου καί Περεγρίνου.

Στίχοι

- Τμηθείς Ίσαυρος σύν συνάθλων πεντάδι,
- Σαύρας νοητής καρδίαν τέμνει μέσον.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Μανουήλ, Σαβέλ καί Ισμαήλ.

Στίχοι

- Σαβέλ, Μανουήλ, Ισμαήλ Πέρσαι γένος.
- Τό δ' αξίωμα, Μάρτυρες διά ξίφους.
- Εβδομάτη δεκάτη κασιγνήτους τρείς τάμε χαλκός.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Υπατίου τού εν Ρουφιαναίς.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

### Ωδή ζ'

Θεού συγκατάβασιν

Φωτί αστραπτόμενος, τώ τρισηλίω ένδοξε Ίσαυρε, Ιννοκέντιε θείε, Φήλιξ Ερμεία καί Περεγρίνε σοφέ, σύν Βασιλείω θαυμάτων λαμπρότησι, καταφωτίσατε τούς ευφημούντας ημάς.

Αστέρες πολύφωτοι, ζόφον τής πλάνης μειούντες ώφθητε, αθλοφόροι Κυρίου, διό ψυχήν μου γνώμη τυφλώττουσαν, θεογνωσίας φωτί καταλάμψατε, τής αγνωσίας αχλύν αποδιώκοντες.

Νοσούσαν ανίατα, τήν ταπεινήν μου ψυχήν ιάσασθε, τά τού σώματος πάθη, Μάρτυρες θείοι εξαφανίσατε, ώ Περεγρίνε Ίσαυρε Βασίλειε, Φήλιξ Ερμεία κλεινέ καί Ιννοκέντιε.

Θεοτοκίον

Ισχύς μου καί ύμνησις, καί σωτηρία Χριστός ο Κύριος, ο εκ σού ανατείλας, Παρθενομήτορ διά χρηστότητα, εκ τής αρχαίας ημάς λυτρωσάμενος, προγονικής απειλής καί αποφάσεως.

### Ωδή η'

Επταπλασίως κάμινον

Ηγλαϊσμένος κάλλεσι, μαρτυρίου θεόληπτε, καί κεκοσμημένος, τοίς εξ άθλων στίγμασι, πορφύραν εξ αίματος, ενδεδυμένος τής σής σφαγής, καί Ιερωσύνης, καλλυνόμενος δόξη, παρέστης τώ Κυρίω, όν αεί εκδυσώπει, κοσμήσαι σωτηρίου, ημάς περιβολαίω.

Θανατωθείς ο δείλαιος, ηδονών τώ εκπτώματι, έρριμμαι εις γήν, θέαμα θρήνων άξιον, πανένδοξε, Ίσαυρε, νύν επ' εμέ επίβλεψον, δείξον εν εμοί, τήν τών θαυμάτων σου χάριν, βροτών ιδέτω γένος, ότι σύ μου προστάτης, καί σώζεις εκ θανάτου, τούς σούς αχρείους δούλους.

Ιερωσύνη πρότερον, κοσμηθείς Ιερώτατε, καί διακονήσας, ευλαβώς εις ύστερον, αυθαίρετον γέγονας, σύ ιερείον άμωμον, Ιερουργηθείς, Χριστώ διά μαρτυρίου, διό καμού τόν ύμνον, ως θυμίαμα Μάρτυς, προσκόμισον τώ Κτίστη, καί σώσόν με λιταίς σου.

Θεοτοκίον

Ο τών φωστήρων κάλλεσιν, ουρανόν καλλωπίσας Θεός, άλλον ουρανόν σε, Θεοτόκε έδειξεν, εκ σού γάρ ως ήλιος, εξανατείλας πάσαν τήν γήν, τής θεογνωσίας, κατελάμπρυνε φέγγει, διό ουδείς προστρέχων, εν σοί κατησχυμμένος, πορεύεται τών θείων, μή τυχών δωρεών σου.

Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, τώ Δημιουργώ, καί Λυτρωτή ανεβόα, οί Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

## Ωδή θ'

Εξέστη επί τούτω

Μεγάλων χαρισμάτων αξιωθείς, εκ Θεού παναοίδιμε Ίσαυρε, αποσοβείς, δαίμονας καί νόσους παντοδαπάς, καί πειρασμούς καί θάνατον, πάσι τά αιτήματα χορηγών, διό καμοί παράσχου, ειρήνην καί υγείαν, καί τών πταισμάτων απολύτρωσιν.

Ο θείος καί σεβάσμιός σου ναός, τό πολύτιμον άγιον σώμά σου, ως θησαυρόν, έχων αναφαίρετον τούς πιστούς, καταπλουτίζει πάντοτε, ταίς τών χαρισμάτων διανομαίς, διό καγώ τών θείων, τύχοιμι δωρεών σου, ο προσφυγών τώ θείω τάφω σου.

Ιδού Μάρτυς Κυρίου καλώς καμών, τόν μισθόν εκομίσω τών πόνων σου, Πρόστηθι ούν, πάντοτε θεόφρον τού σού λαού, τήν σήν πατρίδα φύλαττε, σώζε τούς προστρέχοντάς σοι πιστώς, καί βράβευσον ειρήνην, πάση τή οικουμένη, καμού τού σού οικέτου μέμνησο.

Θεοτοκίον

Υπέρφωτε νεφέλη Μήτηρ Θεού, τούς ημίν πολεμούντας πολέμησον, τή κραταιά, καί παντοδυνάμω σου δεξιά, τοίς εν ανάγκαις πρόστηθι, τών αδικουμένων αντιλαβού, πταισμάτων λυτρουμένη, ταίς σαίς ικετηρίαις, όσα γάρ θέλεις πάντα δύνασαι.

Ο Ειρμός

«Εξέστη επί τούτω ο ουρανός, καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα

τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι μεγαλύνουσι».

Καί η λοιπή Ακολουθία, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΗ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου μάρτυρος Λεοντίου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'
Τί υμάς καλέσωμεν

Τί σε ονομάσωμεν ένδοξε; τής Ελλάδος προσφοράν, ως ωρμημένον απ' αυτής, τής Φοινίκης καθαρμόν, ως τεθυμένον εν αυτή, φωστήρα, ως εν σκότει εξαστράψαντα, γενναίον, ως αήττητον τοίς πλήττουσι, Πολύτροπός σου η εύκλεια, Λεόντιε παμμακάριστε, ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Τί σε αθλοφόρε προσείπωμεν, στρατιώτην τού Χριστού, ως καθαιρέτην τών εχθρών, βασιλέα τών παθών, ως ευσεβείας αθλητήν, τροφέα, τών πεινώντων ως φιλόπτωχον, δικαίων, εραστήν ως ουρανόφρονα, Ποικίλα σου τά παθήματα, λαμπρότερα τά παλαίσματα, ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Τίς σε ου θαυμάσει Λεόντιε; ότι ένοικον λαβών, τής αληθείας τήν πηγήν, ποταμούς ευεργεσίας, αναβλύζεις τοίς πιστοίς, καί πάσιν, αναργύρως ανεπίφθονα, προσφέρεις τοίς διψώσι τά δωρήματα, ευφραίνεις δέ τούς μετέχοντας, υδάτων τών τής χρηστότητος, ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Τίνι ωμοιώθης ταλαίπωρε, πρός μετάνοιαν ουδόλως, ανανεύουσα ψυχή, καί τό πύρ μή δειλιώσα, τών κακών επιμονή; Ανάστα, καί τήν μόνην πρός αντίληψιν, ταχείαν, επικάλεσαι καί βόησον, Τόν σόν Υιόν καί Θεόν ημών, μή διαλίπης πρεσβεύουσα, ρυσθήναί με, τών παγίδων τού αλάστορος.

Η Σταυροθεοτοκίον

Άρνα η αμνάς ως εώρακεν, επί ξύλου ηπλωμένον, εκουσίως σταυρικού, ανεβόα μητρικώς, οδυρομένη εν κλαυθμώ, Υιέ μου, τί τό ξένον τούτο θέαμα; ο πάσι, τήν ζωήν νέμων ως Κύριος, πώς θανατούσαι μακρόθυμε, βροτοίς παρέχων ανάστασιν, Δοξάζω σου, τήν πολλήν Θεέ μου συγκατάβασιν.

Απολυτίκιον Ήχος δ'

Ο μάρτυς σου Κύριε, εν τή αθλήσει αυτού, τό στέφος εκομίσατο τής αφθαρσίας, εκ σού τού Θεού ημών, έχων γάρ τήν ισχύν σου, τούς τυράννους

καθείλεν, έθραυσε καί δαιμόνων, τά ανίσχυρα θράση, Αυτού ταίς ικεσίαις Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία καί οι Κανόνες τής Οκτωήχου, καί τού Αγίου ο ακόλουθος, ού η Ακροστιχίς (άνευ τών Θεοτοκίων).

Νίκη Θεός σοι καί γέρας Λεόντιε.
Ιωάννου Μοναχού.

Ωδή α'  Ήχος δ'
Άσομαί σοι Κύριε
Νόμοις εγκωμίων η αρετή σου, ουχ υποπίπτει τού Χριστού, θεράπον Λεόντιε, αυτός γάρ σοι εγκώμιον, καί όλβος αναφαίρετος.

Ιέμενος Μάκαρ τών υπέρ φύσιν, τήν ακηλίδωτον ψυχήν, παρθένω τώ σώματι, κοσμήσας πρός τήν άνοδον, ευσταλή κατεσκεύασας.

Κράτος απηνέγκω κατά τής πλάνης, τή εις τούς Μάρτυρας τιμή, γεραίρων οσίως, αοίδιμε Λεόντιε, τόν αεί σοι ποθούμενον.
Θεοτοκίον
Πώς σε μακαρίσωμεν Θεοτόκε, τήν υπερτέραν ουρανού, καί πάσης τής κτίσεως; Υιόν γάρ εγέννησας, τόν πλάστην καί Θεόν ημών.

Ωδή γ'
Τόξον δυνατών ησθένησε
Ήθος ευσταθές καί φρόνημα, χάριν Τε θεόθεν κεκτημένος Λεόντιε, ανεδείχθης τής αληθείας, αθλητής καί Μάρτυς άριστος.

Θέσθε τάς ψυχάς τώ ζώντι Θεώ, τοίς συστρατιώταις ανεφώνεις Λεόντιε, Βασιλεί τε τώ αιωνίως, διαμένοντι στρατεύεσθε.

Έρρει ευσεβείας ρήματα, η μελισταγής καί φιλόθεος γλωσσά σου, τοίς δέ δούλοις τής ασεβείας, βλασφημείν ενδιεβάλλετο.
Θεοτοκίον
Χαίροις Μήτηρ απειρόγαμε, η τόν Θεόν Λόγον εν γαστρί σου χωρήσασα, καί τεκούσα σεσαρκωμένον, ως Θεόν Ομού καί άνθρωπον.
Ο Ειρμός
«Τόξον δυνατών ησθένησε, καί οι ασθενούντες, περιεζώσαντο δύναμιν, διά τούτο εστερεώθη, εν Κυρίω η καρδία μου».

Καθισμα  Ήχος δ'
Ταχύ προκατάλαβε
Σταυρόν ώσπερ θώρακα, αναλαβόμενος πρός πάλην εχώρησας, τών

αοράτων εχθρών, γενναίως τε ήθλησας, όθεν εξαφανίσας, τήν αυτών δυναστείαν, έπαθλον εκομίσω, τών θαυμάτων τήν χάριν, πρεσβεύων τού σωθήναι ημάς, Μάρτυς Λεόντιε,

Δόξα... Καί νύν... Θεοτοκίον

Εχθροίς αντιτάχθητι, τοίς πολεμούσιν ημίν, δεινώς γάρ επέθεντο, τή κληρουχία τή σή, πανάχραντε Δέσποινα, όλεσον σαίς πρεσβείαις, τών βαρβάρων τά θράση, γνώτωσαν τήν ισχύν σου, φιλοπόλεμα έθνη, τώ νεύματί σου τούτους πάντας αφάνισον.

Η Σταυροθεοτοκίον

Παρθένε πανάμωμε, Μήτηρ Χριστού τού Θεού, ρομφαία διήλθέ σου, τήν παναγίαν ψυχήν, ηνίκα σταυρούμενον, έβλεψας εκουσίως, τόν Υιόν καί Θεόν σου, όνπερ ευλογημένη, δυσωπούσα μή παύση, συγχώρησιν πταισμάτων, ημίν δωρήσασθαι.

Ωδή δ'

Τούς ουρανούς η αρετή σου

Ο τώ θυμώ τώ δεισιδαίμονι υπόσπονδος, σέ τόν πόθω τώ θείω πληρούμενον Χριστού, ανηλεώς ηκίζετο, Μάρτυς αθλοφόρε Λεόντιε.

Συνεκροτείτο παρρησία σοι Λεόντιε, υπέρ τής αληθείας κινδυνεύοντι, μεθ' ής τομής καί καύσεως, πάσης κατετόλμας αοίδιμε.

Σέ σαγηνεύειν καί ζωγρείν πρός τήν αλήθειαν, θαρσαλέως αντέφης, ως μακαριστόν τόν απειλούντα ήγημαι, Μάρτυς Αθλοφόρε Λεόντιε.

Θεοτοκίον

Χερουβικών ταγμάτων υπερέχουσα, καί Θεόν εν αγκάλαις εποχούμενον, μετά σαρκός βαστάσασα, χαίρε Θεοτόκε πανύμνητε.

Ωδή ε'

Ο κτησάμενος ημάς

Ιερείον πρός σφαγήν, ετοιμότατον αχθείς, Λεόντιε πανένδοξε, τυραννικού πρό βήματος, υπέρ Χριστού αυθαιρέτως παρίστασο.

Καθελείν σου τό στερρόν, επειράτο τής ψυχής, τής πλάνης ο υπεύθυνος, τόν σταυρωθέντα Κύριον, ώσπερ κακούργον βροτόν λοιδορούμενον.

Απολέσθωσαν θεοί, οι τήν γήν καί ουρανόν, σαφώς μή τεκτηνάμενοι, ο σταυρωθείς απάντων γάρ, Δημιουργός εστι Μάρτυς αντέλεγες.

Θεοτοκίον

Η Θεόν υπερφυώς, συλλαβούσα εν γαστρί, Παρθενομήτορ άχραντε, τήν σήν ειρήνην δός ημίν, τοίς Θεοτόκον σε ύμνοις δοξάζουσιν.

Ωδή ς'

Εβόησε, προτυπών

Ιλαρός μέν, τοίς προστρέχουσι πίστει Λεόντιε, καί τόν λόγον, ηρτυμένος τώ

θείω σου άλατι, ιταμώτατος δέ τοίς εχθροίς τού Χριστού ανεδείκνυσο.

Γεγηθώς μέν, ο πιστός σου θεράπων Λεόντιος, απεδίδου, τό μαρτύριον τής βασιλείας σου, αλλ' ουκ έφερον, οι εχθροί σου Χριστέ τήν αλήθειαν.

Εξήπτοντο, τώ θυμώ ώσπερ θήρες οι άνομοι, καί τάς χείρας, επετίθουν ως αρνίω τώ Μάρτυρι, επειγόμενοι, διασπάν αφειδώς τόν αήττητον.

Θεοτοκίον

Δεόμεθα υπέρ τών ικετών σου αλόχευτε, Θεοτόκε, τόν εκ σού σαρκωθέντα δυσώπησον, ότι σέ καί μόνην, προστασίαν ημών επιστάμεθα.

Ο Ειρμός

«Εβόησε, προτυπών τήν ταφήν τήν τριήμερον, ο Προφήτης, Ιωνάς, εν τώ κήτει δεόμενος, Εκ φθοράς με ρύσαι, Ιησού Βασιλεύ τών δυνάμεων».

Κοντάκιον Ήχος γ'

Η Παρθένος

Τών τυράννων ήλεγξας, τάς πονηράς επινοίας, καί Ελλήνων ήσχυνας, τήν αθεώτατον πλάνην, ηύφρανας τάς τών Αγγέλων χοροστασίας, ίασιν τών νοσημάτων πιστοίς παρέχεις, διά τούτό σου τήν μνήμην, τιμώμεν πόθω, σοφέ Λεόντιε.

Συναξάριον

Τή ΙΗ' τού αυτού μηνός, Μνήμη τού Αγίου Μάρτυρος Λεοντίου καί τών σύν αυτώ, Υπατίου καί Θεοδούλου.

Στίχοι

- Άκμων τό σώμα τού Λεοντίου τάχα,
- Άκμων σιδηρούς, πρός σφύρας τάς αικίας.
- Ογδοάτη δεκάτη πληγήσι Λεόντιος εκπνεί.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Αιθερίου.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Ο διασώσας εν πυρί

Ρωμαλεότητι φρενών, ώσπερ οι αιχμάλωτοι Παίδες, σύν τή φλογί τών πειρασμών, καί τήν πλάνην επάτει Λεόντιος, αναμέλπων σοι Κύριε ο Θεός ο τών Πατέρων ευλογητός εί.

Απροσπαθεία τής σαρκός, επιλελησμένος ευτόνως, τούς αικισμούς υπέρ Χριστού, ως αήττητος Μάρτυς υπέφερες, μελωδών σου τώ κτίσαντι, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Σοφία πόθω τε Χριστού, φύσεως βιαίως κρατήσας, τής επικήρου βιοτής, ζωηφόρον προέκρινας θάνατον, αναμέλπων Λεόντιε, ο Θεός ο τών Πατέρων

ευλογητός εί.

Τριαδικόν

Λόγον καί Πνεύμα σύν Πατρί, μίαν τρισυπόστατον φύσιν, θεολογών ο ακλινής, καί αήττητος Μάρτυς εκραύγαζεν, Υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Θεοτοκίον

Τήν αλοχεύτως εν γαστρί, καί υπερφυώς, δεξαμένην, τόν αναλλοίωτον Θεόν, ευσπλαγχνία βροτοίς ομιλήσαντα, ευσεβώς ανυμνήσωμεν, ως μητέρα γενομένην τού πάντων Κτίστου.

Ωδή η'

Τόν εν τώ Σταυρώ προσηλωθέντα

Έφερε σαρκός πληγάς ο Μάρτυς, καί τόν ασώματον εχθρόν, σφοδρότερον ηνία, μέλπων, Υπερυψούτε, Χριστόν τόν Θεόν ημών εις τούς αιώνας.

Όρθιον τόν νούν πρός τόν Δεσπότην, εν ταίς βολαίς τών ακανθών, ανέτεινας τώ πόθω, Μάρτυς, Υπερυψούτε, βοών τον Θεόν ημών εις τούς αιώνας.

Νίκη σοι Χριστός υπάρχει Μάρτυς, όν ταίς αικίαις τής σαρκός, εδόξασας κραυγάζων, Πάντες υπερυψούτε, Χριστόν, τόν Θεόν ημών εις τούς αιώνας.

Θεοτοκίον

Τόν εκ τής Αγνής τεχθέντα Λόγον, καί δωρησάμενον ζωήν, τώ γένει τών ανθρώπων, Παίδες υπερυψούτε Χριστόν, τόν Θεόν ημών εις τούς αιώνας.

Ο Ειρμός

«Τόν εν τώ Σταυρώ προσηλωθέντα, καί αποδείξαντα ημίν, όπλον εις σωτηρίαν, Παίδες υπερυψούτε Χριστόν, τόν Θεόν ημών εις τούς αιώνας».

Ωδή θ'

Ο τόκος σου άφθορος

Τριάδος θεράπων ανεδείχθης, λατρεύσας Λεόντιε αμέμπτως, ώ καί πάν γόνυ κάμπτει, ουρανίων επιγείων καταχθονίων, όν ανυμνούντες, ως Σωτήρα μεγαλύνομεν.

Ιδείν εφιέμενος αϋλως, προσώπω ανακεκαλυμμένω, τού Κυρίου τήν δόξαν, τάς αρχάς απεξεδυσω καί εξουσίας, μίαν κηρύξας, Τρισυπόστατον θεότητα.

Ευφράνθη τή σή ομολογία, καί σέ ωμολόγησεν αξίως, τού Πατρός εναντίον, ο Σωτήρ, όν εξιλέωσε, Αθλοφόρε, πάσι τοίς πίστει, μεγαλύνουσι τήν μνήμην σου.

Θεοτοκίον

Φανείσα τών Αγγέλων ανωτέρα, ως πάντων τεκούσα τόν Σωτήρα, Παναγία Παρθένε, σώσον οικτίρησον λαόν ημαρτηκότα, καί τή σκέπη τών πτερύγων σου προστρέχοντα.

Ο Ειρμός

«Ο τόκος σου άφθορος εδείχθη, Θεός εκ λαγόνων σου προήλθε,

σαρκοφόρος ως ώφθη επί γής, καί τοίς ανθρώποις συνανεστράφη, σέ Θεοτόκε, διό πάντες μεγαλύνομεν».

Η λοιπή, Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΘ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Αποστόλου Ιούδα.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'
Πανεύφημοι Μάρτυρες

Ιούδα μακάριε Χριστού, Μαθητής γεγένησαι, τού σαρκωθέντος Θεού ημών, υφ' ού ως πρόβατον, μέσον λύκων όντως, απεστάλης λόγω σου, τήν τούτων μεταπλάττων δυσσέβειαν, πρός τήν ευσέβειαν, καί τήν ένθεον επίγνωσιν, τής Τριάδος, όθεν ευφημούμέν σε.

Ιούδα θαυμάσιε βολίς, απεστάλης πλήττουσα, καί παντελώς αφανίζουσα, δαιμόνων φάλαγγας, καί τούς υπ' εκείνων, πληγωθέντας χάριτι, τού μόνου θεραπεύων Θεού ημών, όν νύν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Ιούδα θεόπνευστε ακτίς, τού ηλίου γέγονας, τού εκ Παρθένου εκλάμψαντος, καί κατεφώτισας, ευσεβών καρδίας, καί τόν επικείμενον, τή κτίσει σκοτασμόν απεδίωξας, καί νύν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Δόξα... Ήχος πλ. β'

Ιούδα, οι αδελφοί σου σέ επαινέσουσιν, αδελφόν φανέντα Λόγου τού πρό αιώνων, εξ αϊδίου αναλάμψαντος τού Γεννήτορος, καί επ' εσχάτων τών χρόνων, αφράστως σαρκωθέντος, εκ τής Αγίας Παρθένου, καί ενανθρωπήσαντος, όν Απόστολε εκτενώς ικέτευε, δωρηθήναι ειρήνην τώ κόσμω, καί ημίν τοίς τιμώσί σε, τών πταισμάτων ιλασμόν, καί τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον Ήχος πλ. β'

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής, Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Η Σταυροθεοτοκίον

Η Πάναγνος ως ειδέ σε, επί Σταυρού κρεμάμενον, θρηνωδούσα ανεβόα μητρικώς, Υιέ μου καί Θεέ μου, γλυκύτατόν μου τέκνον, πώς φέρεις πάθος επονείδιστον;

Απολυτίκιον Ήχος γ'

Απόστολε Άγιε Ιούδα, πρέσβευε τώ ελεήμονι Θεώ, ίνα πταισμάτων άφεσιν παράσχη ταίς ψυχαίς ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τού Αποστόλου ο ακόλουθος, ού η Ακροστιχίς.

Μέλπειν Ιούδαν τόν θεόπτην σπουδάσω.
Θεοφάνους.

Ωδή α' Ήχος πλ. α'
Ίππον καί αναβάτην

Μύστα τών ουρανίων, Ιούδα πάνσοφε, μαθητά τού Σωτήρος, καί κοινωνέ τής ζωής, τήν γλώσσάν μου κίνησον, καί τόν λόγον ίθυνον, πρός τούς ύμνους σου παμμακάριστε.

Έλκων τόν τού Σωτήρος, ζυγόν Απόστολε, καί τήν αύλακα τέμνων, καί νεουργών τή χάριτι, τόν σπόρον κατέβαλες, καί πολύχουν ήνεγκας, τώ καλέσαντι παμμακάριστε.

Λόγον τόν σαρκωθέντα, ευρών διδάσκαλον, καί ταίς τούτου θεόπτα, μαρμαρυγαίς πυρούμενος, εγένου φώς δευτερον, ταίς τού πρώτου λάμψεσι, συμμορφούμενος αξιάγαστε.

Θεοτοκίον

Πίστις ηγείσθω μόνη, καί μή απόδειξις, τών υπέρ νούν θαυμάτων, Θεογεννήτορ πάναγνε, τόν γάρ ακατάληπτον, Θεόν Λόγον τέτοκας, ενδυσάμενον τό ανθρώπινον.

Ωδή γ'
Ο πήξας επ' ουδενός

Επήρθη τών Μαθητών, Χριστού η ευπρέπεια, υπεράνω πάσης μεγαλειότητος, ούτοι γάρ γεγόνασιν αυτού, φίλοι τε καί οικείοι, καί συμφυλέται καί συνέστιοι, καί τών μυστηρίων εκφάντορες.

Ιουδα οί αδελφοί σου σέ επαινέσουσιν, αδελφόν φανέντα καί νομιζόμενον, τού φανερωθέντος εν σαρκί, Λόγου τού πρό αιώνων, συναϊδίου αναλάμψαντος, εκ τού αϊδίου Γεννήτορος.

Νεκρώσας τά επί γής σου μέλη συνώκησας, τή ζωή τών όλων Χριστώ Πανόλβιε, καί τής ζωηφόρου βιοτής, πάση τή οικουμένη, καταγγελεύς σύ εχρημάτισας, ρήματα τής ζωής προϊέμενος.

Θεοτοκίον

Ιδού σύ υπέρ πάσας Αγνή κεχαρίτωσαι, υπερέβης πάσας τή αγιότητι, πάσας υπερήρας καί πασών, ώφθης υψηλοτέρα, τών ουρανίων σαφώς δυνάμεων,

Μήτηρ τού Θεού χρηματίσασα.

Ο Ειρμός

«Ο πήξας επ' ουδενός, τήν γήν τή προστάξει σου, καί μετεωρίσας ασχέτως βρίθουσαν, επί τήν ασάλευτον Χριστέ, πέτραν τών εντολών σου, τήν Εκκλησίαν σου στερέωσον, μόνε αγαθέ καί φιλάνθρωπε».

Κάθισμα  Ήχος πλ. δ'

Τήν σοφίαν

Τού τεχθέντος Δεσπότου καί αδελφού, χρηματίσαντος πάντων τών εκλεκτών, Ιούδα μακάριε, αδελφός εχρημάτησας, καί υπ' αυτού Απόστολος, εις πάντα τά πέρατα, απεστάλης πανεύφημε, τόν λόγον τής πίστεως, πάσι κατασπείρων, καί φωτίζων τούς σκότει, αγνοίας δουλεύοντας, πονηρώ κοσμοκράτορι, Διά τούτο βοώμέν σοι, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Θεοτοκίον

Πειρασμοίς πολυπλόκοις περιπεσών, εξ εχθρών αοράτων καί ορατών, τώ σάλω συνέχομαι, τών αμέτρων πταισμάτων μου, καί ως έχων αντίληψιν, καί σκέπην σε Άχραντε, τώ λιμένι προστρέχω, τής σής αγαθότητος, Όθεν Παναγία, τόν εκ σού σαρκωθέντα, ασπόρως ικέτευε, υπέρ πάντων τών δούλων σου, τών απαύστως υμνούντων σε, πρεσβεύουσα αυτώ εκτενώς, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς προσκυνούσιν εν πίστει, τόν τόκον σου άχραντε.

Η Σταυροθεοτοκίον

Τόν αμνόν καί ποιμένα καί λυτρωτήν, η αμνάς θεωρούσα εν τώ Σταυρώ, ωλόλυζε δακρύουσα, καί πικρώς εκβοώσα, ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήνπερ υπομένεις, διά σπλάγχνα ελέους, Μακρόθυμε, Κύριε, τού ελέους ή άβυσσος, καί πηγή αγαθότητος, σπλαγχνίσθητι καί δώρησαι ούν, τών πταισμάτων άφεσιν τοίς δούλοις σου, τοίς ανυμνούσί σου πίστει, τά θεία παθήματα.

Ωδή δ'

Τήν θείαν εννοήσας σου

Ο μέγας τού Κυρίου Απόστολος, τής εμφανείας τού Θεού, ηξιωμένος ηγάπηται, καί τής αυτού θεωρίας, τήν αίγλην καί τό κάλλος τεθέαται.

Υπάρχων χαρισμάτων ανάπλεως, καί δωρεών τών εκ Θεού, δεδωρημένων Απόστολε, πρός σωτηρίας λιμένα, τούς σέ υμνολογούντας οδήγησον.

Δυνάμει αηττήτω τού Πνεύματος, τού παναγίου Λειτουργέ, τών απορρήτων φραξάμενος, τής πονηρίας διώκεις, πνεύματα τώ λόγω τής χάριτος.

Θεοτοκίον

Αφράστως συλλαβούσα πανάμωμε, τόν Ποιητήν σου καί Θεόν, δυσώπει σώσαι κινδύνων ημάς, καί ψυχικήν σωτηρίαν, βραβεύσαι τοίς υμνούσί σε

Δέσποινα.

Ωδή ε'

Ο αναβαλλόμενος

Νόμου παρωσάμενος, τά προσκιάσματα, τόν χαρακτήρα τής αληθείας, τηλαυγώς εκήρυξας, αυτήν κεκτημένος, οδηγόν τήν αλήθειαν.

Τό τού νόμου πρόσταγμα, πληρών Απόστολε, τά έθνη πάντα ταίς διδαχαίς σου, μαθητεύων έδραμες, καί ταύτα βαπτίζων, Τριάδος επικλήσεσιν.

Όμβρος ως ουράνιος, ως δρόσος άνωθεν, ο θείος φθόγγος σου θεοκήρυξ, τόν αυχμόν διέλυσε, τής πολυθεϊας, ενός Θεού κηρύγματι.

Θεοτοκίον

Νέκρωσον τά πάθη μου, Θεογεννήτρια, καί τήν ψυχήν μου τήν νεκρωθείσαν, αμαρτίας δήγματι, ανάστησον Μήτηρ, τής όντως αναστάσεως.

Ωδή ς'

Μαινομένην κλύδωνι

Θεωρίας δόγματι, πολιτείας πράξεσι φαιδραίς, τού Χριστού Απόστολε λαμπόμενος, τούς εν βυθώ τής αγνωσίας εφώτισας.

Επιστέλλεις άπασι, τοίς ανθρώποις τήν φωτιστικήν, καί δογμάτων έμπλεων τού Πνεύματος επιστολήν, Ιεροφάντα θεσπέσιε.

Ο θεόπτης φθέγγεται, ουρανός τις ώσπερ λογικός, τού Θεού τήν δόξαν διηγούμενος, τού δι' ημάς σαρκί φανέντος τά θαύματα.

Θεοτοκίον

Παναγία Δέσποινα, Θεοτόκε ρύσαί με φθοράς, καί παθών τόν τάραχον κατεύνασον, η τήν πηγήν τής απαθείας κυήσασα.

Ο Ειρμός

«Μαινομένην κλύδωνι, ψυχοφθόρω Δεσποτα Χριστέ, τών παθών τήν θάλασσαν κατεύνασον, καί εκ φθοράς ανάγαγέ με ως εύσπλαγχνος».

Κοντάκιον  Ήχος α'

Χορός Αγγελικός

Εκ ρίζης ευκλεούς, θεοδώρητον κλήμα, ανέτειλας ημίν, τού Κυρίου αυτόπτα, Απόστολε θεάδελφε, τού Χριστού κήρυξ πάνσοφε, τρέφων άπαντα, κόσμον καρποίς σου τών λόγων, τήν ορθόδοξον, πίστιν Κυρίου διδάσκων, ως μύστης τής χάριτος.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΘ' τού αυτού μηνός, Μνήμη τού Αγίου Αποστόλου Ιούδα.

Στίχοι

- Καί συγγενεία καί χορώ αυχείν έχεις.
- Χριστού μαθητών ώ Ιούδα, καί πάθει.

- Εννεακαιδεκάτη βελέεσσιν Ιούδας θνήσκει.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Ζωσίμου.

Στίχοι

- Ψυχήν υπέρ σού Ζώσιμος θείς φιλτάτην,
- Ξίφει θανών, ζή ψυχικήν ζωήν, Λόγε.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Ζήνωνος.

Τή αυτή ημέρα, Μνήμη τού οσίου Παϊσίου του Μεγάλου.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Ο υπερυψουμενος

Τόν θεοειδέστατον, μεθέξει θεότητος, γενόμενον άπαντες,, Ιούδαν υμνήσωμεν, ενθέως μελωδούντες, ο Θεός ευλογητός εί.

Η πνευματοκίνητος, καί θεόπνους γλωσσά σου, τόν κόσμον επέστρεψε, Χριστού τώ κηρύγματι, ώ πάντες μελωδούμεν, ο Θεός ευλογητός εί.

Νέμει σοι ουράνιον, κληρουχίαν Κύριος, καί θρόνον υπέρλαμπρον, εν ώ καθεδούμενος, ενθέως μελωδήσεις, ο Θεός ευλογητός εί.

Θεοτοκίον

Στόματι καί γνώμη σε, Θεοτόκον άπαντες, κηρύττομεν πάναγνε, Θεόν γάρ εγέννησας, ώ πάντες μελωδούμεν, ο Θεός ευλογητός εί.

Ωδή η'

Σοί τώ παντουργώ

Πλούτον τών εθνών, καί βασιλέων γέρας, εύκλειαν απείληφας, βοών Απόστολε, Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Όλην τήν αυγήν, τού Παρακλήτου Μάκαρ, εδέξω φοιτήσασαν, κραυγάζων ένδοξε, Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ύμνοις οι πιστοί, τήν σοί δοθείσαν αίγλην, Ιούδα γεραίρομεν, προθύμως ψάλλοντες, Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Δεύτε καλλονήν, τού Ιακώβ υμνώμεν, Μαρίαν τήν άχραντον, συμφώνως κράζοντες, Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Σοί τώ Παντουργώ, εν τή καμίνω Παίδες, παγκόσμιον πλέξαντες, χορείαν έμελπον, Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ'
Ησαϊα χόρευε

Απαστράπτων ένδοξε, φωτοχύτω Πνεύματος αυγή, θαυμάτων τάς αστραπάς, τών υπερφυών, τοίς πάσιν απέπεμπες, ως μαθητής τού Εμμανουήλ, όν μεγαλύνοντες, σέ θεόπτα μακαρίζομεν.

Σύν Αγγέλων τάξεσι, παρεστώτες οι θεοειδείς, αυτόπται καί θεωροί, τού μονογενούς, τού σάρκα πτωχεύσαντος, υπέρ ημών, τούτον εκτενώς, νύν ικετεύσατε, τού σωθήναι τάς ψυχάς ημών.

Θεοτοκίον

Ως τεκούσα Πάναγνε, τών κτισμάτων τόν Δημιουργόν, κατά παντός γεννητού, φέρεις τήν αρχήν, ασύγκριτον έχουσα, υπεροχήν καί υπερφερή, όθεν τόν τόκον σου, προσκυνούντές, σε δοξάζομεν.

Ο Ειρμός

«Ησαία χόρευε, η Παρθένος έσχεν εν γαστρί, καί έτεκεν υιόν τόν Εμμανουήλ, Θεόν τε καί άνθρωπον, Ανατολή όνομα αυτώ, όν μεγαλυνοντες, τήν Παρθένον μακαρίζομεν».

Καί η λοιπή Ακολουθία, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Κ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Ιερομάρτυρος Μεθοδίου, Επισκόπου Πατάρων.

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'
Έδωκας σημείωσιν

Μέθοδον η μνήμη σου, ημίν σωτήριον φέρουσα, Ιεράρχα Μεθόδιε, λαμπρώς επεδήμησεν, εν αυτή διό σε, ανυμνολογούμεν, ανακηρύττοντες τούς σούς, φαιδρούς αγώνας καί τά παλαίσματα, δι' ών τό πολυμήχανον, καί πονηρόν κατεπάλαισας, καί τής νίκης διάδημα, ανεπλέξω γηθόμενος.

Λόγοις κατεφώτισας, τής Εκκλησίας τό πλήρωμα, θεοφαντορ Μεθόδιε, άθλων δέ λαμπρότητι, τής πολυθεϊας, εμείωσας ζόφον, καί μεταβέβηκας πρός φώς, Ιεροφάντα νύν τό ανέσπερον, διό σου τήν πανέορτον, καί φωτοφόρον πανήγυριν, εορτάζομεν σήμερον, ευσεβεία λαμπόμενοι.

Αίμασιν επέχρωσας, τήν Ιεράν διπλοϊδα σου, θεοφάντορ Μεθόδιε, μεθ' ής εις τά άγια, τών αγίων μάκαρ, εχώρησας χαίρων, καί κατοπτεύεις τηλαυγώς, τήν τής Τριάδος θείαν λαμπρότητα, μυούμενος τρανότερον, τά υπέρ νούν καί

διάνοιαν, καί θεούμενος άριστα, Ιεράρχα πανόλβιε.

Δόξα... Καί νύν... Θεοτοκίον

Σέ τό καθαρώτατον, τού Βασιλέως παλάτιον, δυσωπώ πολυϋμνητε, Τόν νούν μου καθάρισον, τόν εσπιλωμένον, πάσαις αμαρτίαις, καί καταγώγιον τερπνόν, τής υπερθέου Τριάδος ποίησον, όπως τήν δυναστείαν σου, καί τό αμέτρητον έλεος, μεγαλύνω σωζόμενος, ο αχρείος οικέτης σου.

Η Σταυροθεοτοκίον

Σταυρούμενον βλέπουσα, καί τήν πλευράν ορυττόμενον, υπό λόγχης η Πάναγνος, Χριστόν τόν φιλάνθρωπον, έκλαιε βοώσα, Τί τούτο Υιέ μου; τί σοι αχάριστος λαός, ανταποδίδωσιν ών πεποίηκας, καλών αυτοίς, καί σπεύδεις με, ατεκνωθήναι παμφίλτατε; Καταπλήττομαι ένδοξε, σήν εκούσιον σταύρωσιν.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τού Αγίου ούτος, ού η Ακροστιχίς.

Τής αρετής μέθοδόν με, πανόλβιε μύστα, δίδαξον.

Θεοφάνους.

### Ωδή α' Ήχος βαρύς

Νεύσει σου πρός γεώδη

Τρίβου συντονωτάτης, πρός τόν Θεόν με φερούσης, δεικνύων τήν μέθοδον, Ιερομύστα δίδαξον, όπως τής ατελευτήτου, τύχοιμι ζωής, ταίς πρεσβείαις σου πάνσοφε.

Ήστραψας φωτοφόρος, εν τή τού Χριστού Εκκλησία, διτταίς λαμπρυνόμενος, Ιεροφάντα χάρισιν, όθεν διπλοίς σε στεφάνοις, ιεροπρεπώς ο Χριστός εστεφάνωσε.

Στέφει τού μαρτυρίου, Ιερωσύνης τε μύρω, Παμμάκαρ κοσμούμενος, διαμφοτέρων ήστραψας, όθεν τής αληθεστάτης, καί θεοειδούς κληρουχίας τετύχηκας.

Άμωμος ως θυσία, καί Ιερά τώ Δεσπότη, καί ζώσα καί έμψυχος, ιερουργήθης ένδοξε, όθεν θυσιαστηρίω, τώ εν ουρανοίς προσεδέχθης Μεθόδιε.

Θεοτοκίον

Ρύστην βροτείου γένους, καί λυτρωτήν καί Σωτήρα, Χριστόν ημίν τέτοκας, Παρθενομήτορ άχραντε, όθεν σαφώς σε ειδότες, πρόξενον ζωής αιωνίου δοξάζομεν.

### Ωδή γ'

Ο κατ' αρχάς τούς ουρανούς

Επιπολάζουσαν ιδών, τήν τού Ωριγένους απάτην, ως υπάρχων άριστος

ποιμήν, τώ θείω πυρί συντόμως έφλεξας, πάσαν εκείνου τήν αχλύν, τήν απαστράπτουσαν αίγλην, άψας τής σοφίας θεόληπτε.

Τής παρθενίας τό σεπτόν, καί τής αγνείας τό κάλλος, διά πείρας, Ένδοξε μαθών, σοφία τή σή καί λόγων χάριτι, πάσι τήν τούτων καλλονήν, υποδεικνύεις θεόφρον, καί τήν αιωνίζουσαν φαιδρότητα.

Η τών σών λόγων αστραπή, καί η τής γνώσεως σάλπιγξ, καί δογμάτων εύσημος φθογγή, εις πάσαν τήν γήν εξήλθεν Όσιε, πάντας καλούσα τούς πιστούς, πρός μετουσίαν παμμάκαρ, τών επουρανίων απολαύσεων.

Στερεωτέρας εδωδής, πνευματικών συμποσίων, οι πλησθέντες Πάνσοφε τών σών, τήν όντως τρυφήν εκείθεν τρέφονται, τήν διαμένουσαν αεί, συμφυομένην αρρεύστως, καί συναυξουμένην τοίς μετέχουσι.

Θεοτοκίον

Μετά τού θείου Γαβιρήλ, ευλογημένη τό Χαίρε, σοί Παρθένε κράζομεν αεί, χαράς γάρ ημίν αιτία γέγονας, καί ευφροσύνης αληθούς, τόν Λυτρωτήν καί Σωτήρα, πάντων μετά σώματος κυήσασα.

Ο Ειρμός

«Ο κατ' αρχάς τούς ουρανούς, παντοδυνάμω σου λόγω, στερεώσας Κύριε Σωτήρ, καί τώ παντουργώ καί θείω Πνεύματι, πάσαν τήν δύναμιν αυτών, εν ασαλεύτω με πέτρα, τής ομολογίας σου στερέωσον».

Κάθισμα  Ήχος δ'

Ο υψωθείς

Θυσιαστήριον τερπνόν τήν καρδίαν, αποτελέσας εν αυτώ αναιμάκτους, Ιερουργέ προσήγαγες θυσίας Θεώ, αθλήσας δέ στερρότατα, καί τυθείς προσηνέχθης, θυσία ώ Μεθόδιε, δι' ημάς τώ τυθέντι, όν εκτενώς ικέτευε αεί, πάντας σωθήναι, τούς πόθω υμνούντάς σε.

Θεοτοκίον

Τή Θεοτόκω εκτενώς νύν προσδράμωμεν, αμαρτωλοί καί ταπεινοί, καί προσπέσωμεν, εν μετανοία κράζοντες, εκ βάθους ψυχής, Δέσποινα βοήθησον, εφ' ημίν σπλαγχνισθείσα, σπεύσον απολλύμεθα, υπό πλήθους πταισμάτων, μή αποστρέψης σούς δούλους κενούς, σέ γάρ καί μόνην, ελπίδα κεκτήμεθα.

Η Σταυροθεοτοκίον

Η παναμώμητος αμνάς καί Παρθένος, όν απεκύησεν Υιόν ηπλωμένον, επί Σταυρού ως έβλεψεν οδύναις τήν ψυχήν, καιρίαις κατεπλήττετο, καί εβόα θρηνούσα, Πού σου τέκνον φίλτατον, δωρεών καί θαυμάτων, μνήμη ών απήλαυσεν, ο αχάριστος δήμος; αλλ' εις τό σώσαι γένος τών βροτών, ταύτα νύν πάσχεις, Υμνώ σου τό εύσπλαγχνον.

Ωδή δ'

Ο πατρικούς κόλπους

Εις αρετών σύ περιωπήν, μαρτυρικώς τελειωθείς διέδραμες, μεγαλόδωρον

αντίδοσιν, τής Ιερουργίας σου, κομισάμενος Παμμακάριστε.

Θρόνον λαχών ιεραρχικόν (ιερωτάτην γάρ ζωήν εκέκτησο), τήν ορθόδοξον εκήρυξας, πίστιν Πανσεβάσμιε, καί εδίδαξας σού τό ποίμνιον.

Ο γλυκασμός ο ψυχωφελής, τών σών δογμάτων ως πηγή προέρχεται, τούς μετέχοντας ευφραίνουσα, καί καταγλυκαίνουσα, τά τής ψυχής ημών αισθητήρια.

Διαφανές ως έσοπτρον Θεού, θείας εμφάσεις απλανώς δεχόμενος, αναδέδειξαι Μεθόδιε, δι' ευτονωτέρας γάρ, σεαυτόν σπουδής απεστίλβωσας.

Ο πατρικούς κόλπους μή λιπών, καί εκ Παρθένου σαρκωθείς, Χριστός ο Θεός, διαφύλαξον τήν ποίμνην σου, τής οικονομίας σου, προσκυνούσαν τά θεία σύμβολα.

Ωδή ε'

Κύριε ο Θεός μου

Νέκρωσιν ζωηφόρον, ενεδύσω Πάτερ πρό τελευτής σου, καί ξίφει τεμνόμενος, τώ τού μαρτυρίου σου, πρός ζωήν απειροπλασίως, μετετέθης ένδοξε κρείττονα.

Μύστα τών απορρήτων, κοινωνέ τής άνω χοροστασίας, τούς πόθω τιμώντάς σε, σώσον Παναοίδιμε, πειρασμών δεινών τάς εφόδους, διαλύων ταίς ικεσίαις σου.

Έχων πρός τόν Δεσπότην, παρρησίαν Πάτερ, ού καί τό πάθος, προθύμως εζήλωσας, διά τών αγώνων σου, τοίς πιστοίς τήν θείαν ειρήνην, καί γαλήνην αίτησαι πάνσοφε.

Πρώτον Ιερουργήσας, τόν αμνόν Θεού τόν τάς αμαρτίας, τού κόσμου καθαίροντα, ύστερον θυόμενος, λογική καί ζώσα θυσία, προσηνέχθης τούτω Μεθόδιε.

Θεοτοκίον

Άχραντε Θεοτόκε, τήν εμήν ψυχήν τήν εσκοτισμένην, δοχείον υπάρξασα, τού ακαταλήπτου φωτός, καί ναός τής θείας ακτίνος, τώ φωτί σου λάμπρυνον δέομαι.

Ωδή ς'

Ναυτιών τώ σάλω

Νυσταγμόν βλεφάροις, καί τοίς οφθαλμοίς δέ σου ύπνον, Παμμάκαρ ουκ έδωκας έως πάντων, τών παθημάτων σαυτόν ηλευθέρωσας καί χωρητικόν ναόν ειργάσω, τής ακτινοβόλου αστραπής τού Πνεύματος.

Ολικώς τή θεία, καί θεοειδεί λαμπηδόνι, θεόφρον ενούμενος τής ενθέου,

Ιερωσύνης κανών εχρημάτισας, καί πρός τόν Θεόν μεσίτης, ώφθης, πάσης Εκκλησίας τών πιστών Μεθόδιε.

Λαμπροτάτω βίω, η φωτιστική συνελθούσα, τών όντων κατάληψις θεορρήμον, φωτός λαμπτήρα τώ κόσμω σε έδειξε, τήν αιρετικήν αδολεσχίαν, καί τής αθεϊας τήν αχλύν διώκοντα.

Θεοτοκίον

Βασιλίδα πάντων, σέ τών γεγονότων ειδότες, Θεόν ως γεννήσασαν, Θεομήτορ τόν εκ μή όντων, τά πάντα ποιήσαντα, τήν χαρμονικήν υμνολογίαν, μετά τού αγγέλου Γαβριήλ σοι κράζομεν.

Ο Ειρμός

«Ναυτιών τώ σάλω, τών βιωτικών μελημάτων, συμπλόοις ποντούμενον αμαρτίαις, καί ψυχοφθόρω θηρί προσριπτούμενον, ως ο Ιωνάς Χριστέ βοώ σοι, Εκ θανατηφόρου με βυθού ανάγαγε».

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Κ' τού αυτού μηνός, Μνήμη τού Αγίου Ιερομάρτυρος Μεθοδίου, Επισκόπου Πατάρων.

Στίχοι

- Μέθοδον Μεθόδιος βίου πρός βίον,
- Μεθείς οδεύει, ού μέθοδος ού πέλει.
- Εικάδι αρχιθύτην Μεθόδιον άορ κατέπεφνεν.

Ταίς αυτού αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Οι εν καμίνω τού πυρός

Ιερωμένος θεόφρον, καί Μαρτύρων τής αληθείας, φαιδρώς εκλάμπων εν αίματι, σύν αυτοίς τώ Δεσπότη μέλπεις απαύστως, Ευλογητός εί Κύριε, ο Θεός ο τών Πατέρων ημών.

Εστηριγμένος τή πίστει, τών ειδώλων έσβεσας φλόγα, ροαίς αγίων αιμάτων σου, διά τής μαρτυρίας ούτω κραυγάζων, Ευλογητός εί Κύριε, ο Θεός ο τών Πατέρων ημών.

Μεμυημένος τά θεία, θεωρία τή ανωτάτη, τόν νούν πανσόφως ετράνωσας, τοίς πιστώς μελωδούσι συνανακράζων, Ευλογητός εί Κύριε, ο Θεός ο τών Πατέρων ημών.

Θεοτοκίον

Υμνολογίαις δοξάζει, τόν σόν τόκον πάσα κτίσις, Θεόν Παρθένε γινώσκουσα, καί σεπτώς προσκυνούσα τούτω κραυγάζει, Ευλογητός εί Κύριε, ο Θεός ο τών Πατέρων ημών.

Ωδή η'

Τόν μόνον άναρχον

Σέ τόν αόρατον, ως ορών εκαρτέρει, τούς τών τυράννων αικισμούς ο θεόφρων, καί στέφανον ανεδήσατο μέλπων, Υμνείτε ίερείς, λαός υπερυψούτε, αυτόν εις τούς αιώνας.

Τήν αδιάδοχον, τού Χριστού βασιλείαν, ειλικρινώς επιποθών Ιεράρχα, τήν ταύτην σοι προξενούσαν οδεύεις τρίβον, κραυγάζων τώ Χριστώ, Λαός υπερυψούτε, αυτόν εις τούς αιώνας.

Απειροπλάσιον, ο Χριστός σοι παρέσχε, τών σών καμάτων τόν μισθόν θεοφόρε, διάνοιαν υπερβαίνοντα πάσαν, υμνούντι ευσεβώς, αυτού τήν βασιλείαν, εις πάντας τούς αιώνας.

Δογμάτων πέλαγος, καί πυξίον δογμάτων, καί θεωρίας υψηλόν θησαυρόν σε, γινώσκομεν καί αισθήσεως θρόνον, υμνούντες ευσεβώς, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Ικέτης Πάναγνε, σοί προσέρχομαι πίστει, τή συλλαβούση τόν τών όλων Δεσπότην, Νύν σώσόν με διωγμών καί κινδύνων, υμνούντα ευσεβώς, Θεόν τόν σαρκωθέντα, εκ σού ανερμηνεύτως.

Ο Ειρμός

«Τόν μόνον άναρχον, Βασιλέα τής δόξης, όν ευλογούσιν ουρανών αι Δυνάμεις, καί φρίττουσι τών Αγγέλων αι τάξεις, υμνείτε Ιερείς, λαός υπερυψούτε, αυτόν εις τούς αιώνας».

## Ωδή θ'

Μήτηρ Θεού καί Παρθένος

Διαπαντός τόν Χριστόν ικέτευε, θεομακάριστε Πάτερ, τών αιρέσεων παύσαι, τά καθημών μηχανουργήματα, καί τόν νύν ζόφον εκ μέσου ποιήσαι, ως γάρ Ιεράρχης, δυνατός πρέσβυς πέφηνας.

Από τής γής πρός τήν επουράνιον, διαγωγήν μετετέθης, λειτουργίας γέρας, τούτο λαβών, καί τής αθλήσεως, ένθα ζωής ακηράτου μετέχων, συνδιαιωνίζειν τώ Χριστώ κατηξίωσαι.

Ξύλου ζωής τόν καρπόν ετρύγησας, τής αθανάτου Παμμάκαρ, τής ζωής τών ανθρώπων, τόν αρχηγόν εμπορευσάμενος, ού τής χαράς απολαύων πλουσίως, υπέρ τών υμνούντων σε, πιστώς εκδυσώπησον.

Όλον τόν νούν ανατείνων Όσιε, διά χρηστότητος βίου, τής Χριστού θεωρίας, καί τής τερπνής αγαλλιάσεως, κατηξιώθης ως Ιερομάρτυς, ως υφηγητής τής ευσεβείας καί πρόμαχος.

Θεοτοκίον

Νόμου καινού κιβωτόν καλούμέν σε, καί θεοχάρακτον πλάκα, εν ή ο Λόγος εγράφη, ο τού Θεού βροτός γενόμενος, διά τό σώσαι τόν κόσμον εκ πλάνης, κεχαριτωμένη Θεοτόκε πανύμνητε.

Ο Ειρμός

«Μήτηρ Θεού καί Παρθένος τε κούσα, καί παρθενεύουσα πάλιν, ουχί φύσεως έργον, αλλά Θεού συγκαταβάσεως, όθεν ως μόνην τών θείων θαυμάτων, καταξιωθείσάν σε αεί μεγαλύνομεν».

Καί τά λοιπά, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΑ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Μάρτυρος Ιουλιανού τού Ταρσέως.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσι

Φωταυγή σε ως ήλιον, τά τού κόσμου πληρώματα, νοηταίς λαμπρότησι καταυγάζοντα, καί αθεΐας εξαίροντα, τήν νύκτα μακάριε, Μάρτυς Ιουλιανέ, εγνωκότες τήν μνήμην σου, εορτάζομεν, τήν φωσφόρον καί θείαν, καί τήν κόνιν, τών λειψάνων προσκυνούμεν, ρώσιν ψυχών αρυόμενοι.

Καί τυπτόμενος μάστιξι, καί δεινώς πτερνιζόμενος, καί φρουρά Μακάριε καθειργνύμενος, τόπους αμείβων θλιβόμενος, θηρσί συγκλειόμενος, καί βυθώ προσομιλών, καί θαλάσση ποντουμενος, καί δεξάμενος, τό μακάριον τέλος, ουκ ηρνήσω, τόν Δεσπότην τών απάντων, κλέος Μαρτύρων πανόλβιε.

Θαλαττίων εκ κόλπων σε, πρός τή χέρσω γενόμενον, κυβερνήσει Πνεύματος ως εώρακε, τό ιερώτατον γύναιον, πιστώς υπεδέξατο, Μάρτυς Ιουλιανέ, καί ταφή παραδέδωκε, σού τό άμωμον, καί πολύαθλον σώμα, τό νικήσαν, διαβόλου τυραννίδα, τή συνεργία τής χάριτος.

Δόξα... Καί νύν... Θεοτοκίον

Πεπτωκότων ονόρθωσις, τεθνεώτων ανάστασις, σύ εδείχθης τέξασα τόν Υιόν τού Θεού, τόν τώ Πατρί συννοούμενον, τήν θείαν τε γέννησιν, ανασχόμενον εκ σού, εν σαρκί καθ' υπόστασιν, όν ικέτευε, πειρασμών λυτρωθήναι καί κινδύνων, τούς εν πίστει Παναγία, ειλικρινώς σε δοξάζοντας.

Η Σταυροθεοτοκίον

Ως εώρακε Κύριε, η Παρθένος καί Μήτηρ σου, εν Σταυρώ κρεμάμενον εξεπλήττετο, καί ατενίζουσα, έλεγε, Τί σοι ανταπέδωκαν, οι πολλών σοι δωρεών, απολαύσαντες Δέσποτα; Αλλά δέομαι, Μή με μόνην εάσης εν τώ κόσμω, αλλά σπεύσον αναστήναι, συνανιστών τούς προπάτορας.

Απολυτίκιον  Ήχος δ'

Ο μάρτυς σου Κύριε, εν τή αθλήσει αυτού, τό στέφος εκομίσατο, τής αφθαρσίας εκ σού τού Θεού ημών, έχων γάρ τήν ισχύν σου, τούς τυράννους

καθείλεν, έθραυσε καί δαιμόνων τά ανίσχυρα θράση, Αυτού ταίς ικεσίαις Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία καί οι Κανόνες τής Οκτωήχου καί τού Αγίου ο παρών, ού η Ακροστιχίς. (Άνευ τών Θεοτοκίων).

Ιουλιανόν ύμνοισι Μάρτυρα στέφω.
Ιωάννου Μοναχού.

### Ωδή α' Ήχος πλ. δ'
Άσωμεν τώ Κυρίω

Ιεροίς ευφημείσθω, ύμνοις Αθλητά σου η αοίδιμος, καί υπέρτιμος μνήμη, απροσίτω γάρ δόξη δεδόξασται.

Όλισθον ουχ υπέστης, διηγωνισμένος τό μαρτύριον, τού Χριστού στρατιώτα, ασθενεία σαρκός μέχρις αίματος.

Υπέρ αϊγλην χρυσίου, τοίς μαρτυρικοίς εναγλαϊζεται, αικισμοίς απαστράπτων, καί πολύτιμον λίθον ο Άγιος.

Θεοτοκίον

Άχραντε Θεοτόκε, η σεσαρκωμένον τόν αϊδιον, καί υπέρθεον Λόγον, υπέρ φύσιν τεκούσα, υμνούμέν σε.

### Ωδή γ'
Σύ εί τό στερέωμα

Λίθοις ού προστέταγμαι, θεολατρείν χειρών έργοις, Ιουλιανός, τώ φρενοβλαβούντι, δικαστή απεφθέγγετο.

Ίστασο πρό βήματος, τυραννικού Χριστού Μάρτυς, Ιουλιανέ, ως Κριτή τών ζώντων, καί νεκρών παριστάμενος.

Άφρων ου γεγένημαι, ομολογών Θεόν έφη, Ιουλιανός, ένα εν τριάδι, αμερίστως υμνούμενον.

Θεοτοκίον

Δός ημίν βοήθειαν, ταίς ικεσίαις σου Πάναγνε, τάς προσβολάς, αποκρουομένη, τών δεινών περιστάσεων.

Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

### Κάθισμα Ήχος α'
Τόν τάφον σου Σωτήρ

Υδάτων πνιγμονή, τό μακάριον τέλος, δεξάμενος Σοφέ, τόν πολύμορφον

όφιν, εν τούτοις εναπέπνιξας, καί τήν νίκην απείληφας, όθεν πόθω σου, τήν αξιέπαινον μνήμην, εορτάζοντες, υπέρ ημών σε πρεσβεύειν, Χριστώ ικετεύομεν.

Θεοτοκίον

Ελπίς Χριστιανών, Παναγία Παρθένε, όν έτεκες Θεόν, υπέρ νούν τε καί λόγον, απαύστως ικέτευε, σύν ταίς άνω Δυνάμεσι, δούναι άφεσιν, αμαρτιών ημίν πάσι, καί διόρθωσιν, βίου τοίς πίστει καί πόθω, αεί σε δοξάζουσιν.

Η Σταυροθεοτοκίον

Η άσπιλος αμνάς, τόν αμνόν καί ποιμένα, κρεμάμενον νεκρόν, επί ξύλου ορώσα, θρηνούσα εφθέγγετο, μητρικώς ολολύζουσα, πώς ενέγκω σου, τήν υπέρ λόγον Υιέ μου, συγκατάβασιν, καί τά εκούσια πάθη, Θεέ υπεράγαθε;

## Ωδή δ'

### Εισακήκοα Κύριε

Νιφετώδεσι μάστιξιν, Ιουλιανός τό σώμα προδίδωσιν, ανεπαίσθητος τών πόνων γάρ, τού Χριστού τώ πόθω εφυλάττετο.

Ουρανίου υπέρτιμε, Ιουλιανέ χλιδής εφιέμενος, τοίς διώκταις τήν επίγειον, ως Χριστού θεράπων καταλέλοιπας.

Νικητήν δεισιδαίμονος, πλάνης ου σαρκός η ρώμη Πανέντιμε, αλλά πόθος ο αήττητος, τών Χριστού παθών σε απειργάσατο.

Υπερέπτης ως πτέρυξι, τούς τής ασεβείας βρόχους στερρότητι, καί τού Πνεύματος τή χάριτι, πρός σκηνάς Μαρτύρων επαγόμενος.

Θεοτοκίον

Θεοτόκον σε Πάναγνε, οι πεφωτισμένοι πάντες κηρύττομεν, τόν γάρ ήλιον εκύησας, τής δικαιοσύνης αειπάρθενε.

## Ωδή ε'

### Ορθρίζοντες βοώμέν σοι

Μιμούμενος εν πάσι Πανεύφημε, τόν Δεσπότην, έστης επί βήματος, παρανομούντων κρινόμενος.

Νομίμως ηγωνίσω καί τέθυσαι, τώ Δεσπότη, ως αρνίον άκακον, χερσίν ανόμων Μακάριε.

Οσίως μαρτυρήσας αοίδιμε, επεγνώσθης, Ιουλιανέ μακάριε, υπό Θεού Παντοκράτορος.

Θεοτοκίον

Παρθένον μετά τόκον υμνούμέν σε, Θεοτόκε, σύ γάρ τόν Θεόν Λόγον, σαρκί τώ χόσμω εκύησας.

## Ωδή ς'

### Χιτώνά μοι παράσχου

Ικρίω προσπαγέντος σου Χριστέ, ο κλεινός θεράπων σου, ουκ επαισχύνεται, αλλ' ως δόξης κοινωνός εναβρύνεται.

Σεσίγηται τής πλάνης τά αισχρά, θεηγόρων γλώσση δέ, θεία μυστήρια, τών Μαρτύρων τού Χριστού εκκαλύπτεται.

Ιάματα παθών παντοδαπών, καί πταισμάτων άφεσιν, αίτησαι ένδοξε, Αθλητά τού Σωτήρος τοίς υμνούσί σε.

Θεοτοκίον

Ο Λόγος τού Θεού σε τοίς βροτοίς, Θεοτόκε έδειξεν, ουράνιον κλίμακα, διά σού γάρ πρός ημάς καταβέβηκε.

Ο Ειρμός

«Χιτώνά μοι παράσχου φωτεινόν, ο αναβαλλόμενος φώς ώσπερ ιμάτιον, πολυέλεε Χριστέ ο Θεός ημών».

Συναξάριον

Τή ΚΑ' τού αυτού μηνός, Μνήμη τού Αγίου Μάρτυρος Ιουλιανού τού εν Κιλικία.

Στίχοι

- Φέρων τι χρήμα σάκκος άξιον πόλου,
- Ιουλιανόν, βάλλεται πόντου μέσον.
- Σάκκω Ιουλιανός βυθόν εισέδυ εικάδι πρώτη.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος, Αφροδισίου.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Τερεντίου, Επισκόπου Ικονίου.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Παίδες Εβραίων

Μύρον ευώδες, αποστάζει, η αοίδιμος καί ενδοξός σου μνήμη, στρατιώτα Χριστού, τοίς ψάλλουσιν απαύστως, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Άρρητος δόξα περιστέφει, τούς πρός αίνεσιν τήν σήν συνειλεγμένους, στρατιώτα Χριστού, καί ψάλλοντας απαύστως, Ευλογητός εί κυριε, ο Θεός εις τούς αιώνας.

Ρήσει τυράννου απειθήσας, ουκ ελάτρευσας Αοίδιμε τή κτίσει, αλλ' ή μόνω Θεώ, τώ ζώντι αναμέλπων, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Τύφον κατέβαλες τυράννου, στηλιτευσας τήν ανόμων αφροσύνην, καί τήν δόξαν Χριστού, εκήρυττες κραυγάζων, Ευλογητός εί Κύριε, ο Θεός εις τούς

αιώνας.

Θεοτοκίον

Χαίροις πανάμωμε Παρθένε, ότι έτεκες Θεόν σαρκί τώ κόσμω, τόν εκ πλάνης αγνή, λυτρούμενον τούς πίστει, σέ Θεοτόκον Δέσποινα, αληθή δοξολογούντας.

## Ωδή η'

Μουσικών οργάνων

Υπεθώπευε μέν ο αλάστωρ, καί βασάνοις σε εξεκαλείτο, πρός πλάνην Ιουλιανέ, αυτός δέ ανεβόας, Τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ρωμαλεωτέρως ώσπερ λέων, μετά τάς αικίας τοίς τυράννοις, προσβάλλεις Ιουλιανέ, κραυγάζων \/ηφαλέως, Τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Αρετής απάσης έμπνους στήλη, ασεβείας θρίαμβος ωράθης, εν πόλεσι περιαχθείς, εβόας αναμέλπων, Τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Σοβαρού πυρός ουκ απειλή με, ουδ' ακμή τού ξίφους αποστήσει, τού πλαστουργήσαντος Θεού, εβόας αναμέλπων, Τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Ως τών όλων Κύριον τεκούσα, καί Παρθένος μείνασα Μαρία, καί μετά τόκον οι πιστοί, αξίως ανυμνούντες, τό Χαίρέ σοι βοώμεν, καί υπερυψούμεν, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Μουσικών οργάνων συμφωνούντων, καί λαών απείρων προσκυνούντων, είκονι τή εν Δεειρά, τρείς Παίδες μή πεισθέντες, τόν Κύριον ανύμνουν, καί εδοξολόγουν, εις πάντας τούς αιώνας».

## Ωδή θ'

Τήν Αγνήν ενδόξως

Τού τυράννου τύφον κατέβαλες, Χριστού στρατιώτα, καί ανδρείως ηγώνισαι κατά κράτος, εκνευρίσας τούτον, διό σε μακαρίζομεν.

Επηρμένον όμμα κατέβαλες, Θεού στρατιώτα, ασωμάτου αλάστορος, προσπαλαίσας μετά σαρκός ανδρείως, Χριστόν μεγαλύνων αεί.

Φωλεούς εξέφυγες δράκοντος, εχθρού αρχεκάκου, θαλαττίοις Μακάριε κενεώσιν, εμβεβλημένος, όθεν σε ύμνοις μεγαλύνομεν.

Ως καλώς τοίς άθλοις ηγώνισαι, υπέρ τού Δεσπότου! ως ωραίως κατέστεψαι, δεξιά δεσποτική! διό σε αξίως μεγαλύνομεν.

Θεοτοκίον

Ο Μωσής εν βάτω κατείδέ σε, Αγνή εν τώ όρει, δεχομένην τό άστεκτον, τής θεότητος πύρ αφλέκτως, όθεν σε πάντες μεγαλύνομεν.

Ο Ειρμός

«Τήν Αγνήν ενδόξως τιμήσωμεν, λαοί Θεοτόκον, τήν τό πύρ τής θεότητος, δεξαμένην εν γαστρί αφλέκτως, εν ύμνοις μεγαλύνομεν».

Καί η λοιπή Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΒ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Ιερομάρτυρος Ευσεβίου, Επισκόπου Σαμοσάτων.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'

Τί υμάς καλέσωμεν

Τί σε ονομάσωμεν ένδοξε; Ιεράρχην αληθή, καί Ιερόν δογματιστήν, ορθοδόξων στηριγμόν, καί Εκκλησίας οφθαλμόν, φωστήρα, νοητόν φώς απαστράπτοντα, Μαρτύρων, ευκληρία διαπρέποντα, τής αληθείας υπέρμαχον, μέγαν τού ψεύδους κατήγορον, ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Τί σε Ιεράρχα προσφθέγξωμαι; ποταμόν τής νοητής, εκπορευόμενον Εδέμ, καταρδεύοντα τήν γήν, επιρροαίς πνευματικαίς, κρατήρα, θείου νάματος πληρούμενον, Αρείου, τούς ομόφρονας βυθίζοντα, στύλον πυρός προηγούμενον, νέου λαού θεία χάριτι, ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Τί σε ονομάσω Ευσέβιε; εύσεβειας ποριστήν, καί ασεβείας μειωτήν, αθλοφόρων καλλονήν, καί Ιερέων χαρμονήν, δρεπάνην, τά ζιζάνια εκτέμνουσαν, τόν σίτον, τόν ουράνιον συνάγουσαν, πηγήν θαυμάτων αέναον, νόσων εξαίρουσαν καύσωνα, ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Τίνι ωμοιώθης ταλαίπωρε, πρός μετάνοιαν ουδόλως, ανανεύουσα ψυχή, καί τό πύρ μή δειλιώσα, τών κακών επιμονή; Ανάστα, καί τήν μόνην πρός αντίληψιν, ταχείαν, επικάλεσαι καί βοήθησον, Τόν σόν Υιόν καί Θεόν ημών, μή διαλίπης πρεσβεύουσα, ρυσθήναί με, τών παγίδων τού αλάστορος.

Η Σταυροθεοτοκίον

Άρνα η αμνάς ως εώρακεν, επί ξύλου ηπλωμένον, εκουσίως σταυρικού, ανεβόα μητρικώς, οδυρομένη εν κλαυθμώ, Υιέ μου, τί τό ξένον τούτο θέαμα, ο πάσι, τήν ζωήν νέμων ως Κύριος, πώς θανατούσαι μακρόθυμε, βροτοίς παρέχων ανάστασιν, Δοξάζω σου, τήν πολλήν Θεέ μου συγκατάβασιν.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τού Αγίου ούτος, ού η Ακροστιχίς.

Τής ευσεβείας τόν φερώνυμον σέβω. Ιωσήφ.

Ωδή α' Ήχος πλ. δ'
Η κεκομμένη

Τώ ακροτάτω φωτί ελλαμπόμενος, καί Ιερέων χοροίς, μάκαρ συνταττόμενος, καί ταίς μαρτυρικαίς ευκλείαις εγκοσμούμενος, τούς πίστει εορτάζοντας τήν σήν, Ευσέβιε μακάριε, μνήμην περιφύλαττε, Χριστόν εξιλεούμενος.

Ήδη τώ πόθω Χριστού πυρπολούμενος, από νεότητος σήν, σάρκα καθυπέταξας, παμμάκαρ τής Ψυχής ταίς ιεραίς δυνάμεσι, καί σκεύος Ιερόν αποδειχθείς, λαόν εν οσιότητι, Όσιε εποίμανας, χρισθείς μύρω τής χάριτος.

Σέ ποιμενάρχην τό Πνεύμα προβάλλεται, αιρετιζόντων αχλύν, λόγοις σελασφόροις σου, σκεδάζοντα σοφέ, καί προφανώς δεικνύοντα, τήν τρίβον τήν ορθήν, τοίς εν αυτή οσίως επιβαίνουσι, μέγιστε Ευσέβιε, φωστήρ τών καρδιών ημών.

Θεοτοκίον

Ευλογημένη Θεόν η κυήσασα, τούς ευλογούντάς σε νύν, Άχραντε ευλόγησον, καί πρός τάς αγαθάς εισόδους χειραγώγησον, καί έμπλησον ενθέων αρετών, καί ψάλλειν ενδυνάμωσον, Τώ Κυρίω άσωμεν, ενδόξως γάρ δεδόξασται.

Ωδή γ'
Τόν φόβον σου Κύριε

Υπήρξας πράος καί ανεξίκακος, ταπεινόφρων καί μέτριος, καί αγάπης θείας έμπλεως, Μαρτύρων επί τέλει, κοσμηθείς στεφάνω.

Στολαίς ταίς εξ αίματος Ευσέβιε, Ιερώτατε λαμπόμενος, εις τά Άγια ανέδραμες, φαιδρώς τά τών Αγίων, δόξη εστεμμένος.

Ελέγχων Αρείου τούς ομόφρονας, διωγμούς Μάκαρ υπήνεγκας, βιαιότατόν τε θάνατον, διό τής αθανάτου δόξης ηξιώθης.

Θεοτοκίον

Βουλήσει Πατρός τόν Λόγον τέτοκας, επελεύσει Πνεύματος, Παναγία Μητροπάρθενε, Αρχιερέων δόξα, όθεν σε υμνούμεν.

Ο Ειρμός

«Τόν φόβον σου Κύριε εμφύτευσον, εν ταίς καρδίαις τών δούλων σου, καί γενού ημίν στερέωμα, τών σέ εν αληθεία επικαλουμένων».

Κάθισμα Ήχος δ'
Ταχύ προκατάλαβε

Φαιδρύνας τόν βίον σου, τών αρετών καλλοναίς, Ποιμήν ανηγόρευσαι, καί Ιεράρχης σεπτός, παμμάκαρ Ευσέβιε, αίματι δέ Μαρτύρων, σεαυτόν ωραϊσας, άνω πρός τάς αΰλους, μετετέθης χορείας, μεθ' ών υπέρ ημών τόν Χριστόν Πάτερ ικέτευε.

Θεοτοκίον

Ελπίς ακαταίσχυντε, τών πεποιθότων εις σέ, η μόνη κυήσασα, υπερφυώς εν σαρκί, Χριστόν τόν Θεόν ημών, τούτον σύν τοίς Αγίοις, Αποστόλοις δυσώπει, δούναι τή οικουμένη, ιλασμόν καί ειρήνην, καί πάσιν ημίν πρό τέλους, βίου διόρθωσιν.

Η Σταυροθεοτοκίον

Παρθένε πανάμωμε, μήτερ Χριστού τού Θεού, ρομφαία διήλθέ σου, τήν παναγίαν ψυχήν, ηνίκα σταυρούμενον, έβλεψας εκουσίως, τόν Υιόν καί Θεόν σου, όνπερ ευλογημένη, δυσωπούσα μή παύση, συγχώρησιν πταισμάτων, ημίν δωρήσασθαι.

Ωδή δ'

Εξ όρους κατασκίου

Έστησας σοφέ, τής πλάνης σηπεδόνα, άλατι τών σών, νοστίμων διδαγμάτων, καί τούς νοσούντας αιρέσει κακοπιστίας, μάκαρ υγείωσας Ευσέβιε.

Ίθυνας λαόν, πρός όρμον σωτηρίας Αρειανικήν, βυθίσας απιστίαν, τή τών αιμάτων πλημμύρα, Ποιμήν καί Μάρτυς, Αρχιερέων εγκαλλώπισμα.

Άστρον φαεινόν, ανέτειλας εν κόσμω, φέγγει Ιερών, δογμάτων καταυγάζων, τάς διανοίας Παμμάκαρ τών ορθοδόξων, όθεν πιστώς σε μακαρίζομεν.

Θεοτοκίον

Στόματι Αγνή, καί γλώσση καί καρδία, καθομολογώ, τού Κτίστου σε Μητέρα, καί δυσωπώ σε, Καταύγασον τήν ψυχήν μου, εσκοτισμένην πλημμελήμασιν.

Ωδή ε'

Ο εκ νυκτός αγνοίας

Ταίς διδαχαίς σου Μάκαρ, τών ορθοδόξων στηρίζων τό φρόνημα, υπέρ τής ευσεβείας, τάς υπερορίας υπήνεγκας.

Ορθοδοξίας στήλην, καί ιαμάτων πηγήν σε γινώσκομεν, πάνσοφε Ιεράρχα, καί τής Εκκλησίας εδραίωμα.

Νομοθεσίαις θείαις, τούς ανομούντας στηρίζων εν χάριτι, υπό χειρός ανόμου, άδικον υπέμεινας θάνατον.

Θεοτοκίον

Φωτιστική λυχνία, Θεοκυήτορ τό θείον λαμπάδιον, φέρουσα εγνωρίσθης, πάντα καταυγάζον τά πέρατα.

Ωδή ς'

Τήν δέησιν, εκχεώ

Εκήρυξας, ομοούσιον Λόγον, καί συνάναρχον Πατρί τόν Σωτήρα, τής βδελυράς, τού Αρείου μανίας, εξαφανίσας τό μάταιον φρόνημα, Ευσέβιε των ευσεβών, αρραγές καί στερρόν περιτείχισμα.

Ραντίσματι, τών σεπτών σου αιμάτων, πορφυρίδα σεαυτώ επιχρώσας, βασιλικήν, προσεχώρησας Πάτερ, μετ' ευφροσύνης εις θεία βασίλεια, παρίστασθαι τώ βασιλεί, τών αιώνων παμμάκαρ Ευσέβιε.

Ως ρόδον, ως ευωδέστατον κρίνον, ως Παράδεισος Θεού ανεδείχθης, μέσον ζωής, κεκτημένος τό ξύλον, τόν φυτουργόν τών απάντων καί Κύριον, Ευσέβιε καί νύν ημάς, ευωδίας πληροίς θείου Πνεύματος.

Θεοτοκίον

Νοήσαντες, θεηγόροι Προφήται, μυστηρίου σου τό άπειρον βάθος, τούτο σαφώς, προεδήλωσαν Κόρη, δι' αινιγμάτων καί θείων προρρήσεων, τόν Λόγον γάρ τόν τού Πατρός, υπέρ λόγον Αγνή εσωμάτωσας.

Ο Ειρμός

«Τήν δέησιν, εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών η ψυχή μου επλήσθη, καί η ζωή μου τώ Άδη προσήγγισε, καί δέομαι ως, Ιωνάς, Εκ φθοράς ο Θεός με ανάγαγε».

Συναξάριον

Τή ΚΒ' τού αυτού μηνός, Μνήμη τού Αγίου Ιερομάρτυρος Ευσεβίου, Επισκόπου Σαμοσάτων.

Στίχοι

- Κέραμος, Ευσέβιε Μάρτυς Κυρίου,
- Ευθύς δέ καί στέφανος εν τή σή κάρα.
- Εικάδι δευτερίη κεφαλήν θλάσαν Ευσεβίοιο.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Ζήνωνος καί Ζηνά.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Παίδες Εβραίων

Ύμνοις σχολάζων Ιεράρχα, καί δεήσεσιν, εκοίμισας τά πάθη, καί ημών τών Πιστών, άγρυπνος ώφθης φύλαξ, τών ευσεβώς υμνούντων σε, καί τελούντων σου τήν μνήμην.

Μάρτυς δειχθείς καί, Ιεράρχης, τά ουράνια, ενθέως εκληρώσω, καί τώ θρόνω βοών παρ ίστασαι τού Κτίστου, Ευλογητός εί Κύριε, ο Θεός εις τους αιώνας.

Όρθρος ανέτειλας κηρύττων, τόν εκλάμψαντα Πατρός πρό εωσφόρου, Ιησούν τόν Χριστόν, φωστήρ τής Εκκλησίας, Ιεραρχών αγλάϊσμα, αθλοφόρων ωραιότης.

Θεοτοκίον

Νόμους τής φύσεως Παρθένε, τή κυήσει σου, καινίζεις παραδόξως, καί φθαρέντας ημάς, κακίστη παραβάσει, αναχωνεύεις, όθεν σε, κατά χρέος ευφημούμεν.

Ωδή η'

Οι θεορρήμονες Παίδες

Σύν Ιεράρχαις καί Μάρτυσι δυσώπει, ως Ιεράρχης καί Μάρτυς Ιεροκήρυξ Ευσέβιε, τόν Σωτήρα τών όλων, ευρείν ημάς έλεος.

Εν αγαθή συνειδήσει διαπρέπων, καί βακτηρία τών λόγων, τό Ιερόν νέμων ποίμνιον, τής αιρέσεως θήρας, Παμμάκαρ απήλασας.

Βεβαρυμμένους τή μέθη τής απάτης, τούς αιρετίζοντας μάτην, σύ διελέγχων Ευσέβιε, υπ' αυτών ανηρέθης, αθλήσας στερρότατα.

Θεοτοκίον

Ως ανωτέρα τών θείων υψωμάτων ύψιστον έτεκες Λόγον, τόν από τής γής ανυψώσαντα, τήν πεσούσαν ουσίαν ανθρώπων Πανύμνητε.

Ο Ειρμός

«Οι θεορρήμονες Παίδες εν τή καμίνω, σύν τώ πυρί καί τήν φλόγα, καταπατούντες υπέψαλλον, Ευλογείτε τά έργα Κυρίου, τόν Κύριον».

Ωδή θ'

Κυρίως Θεοτόκον

Ιδείν κατηξιώθης, Πάτερ τά μακρόθεν, τή Ιερά σου ψυχή ελπιζόμενα, καί πρός ανέσπερον φέγγος, χαίρων εσκήνωσας.

Ωραίος απεφάνθης, ταίς θεηγορίαις, καί αγαθαίς εργασίαις Ευσέβιε, καί ταίς παντίμοις τών άθλων, μάκαρ λαμπρότησι.

Στησώμεθα χορείαν, εν αγγαλλιάσει, τόν Ιερόν ευφημούντες Ευσέβιον, τής ευσεβείας τώ κάλλει αγλαϊζόμενον.

Η θήκη σου μυρίζει, χάριν ιαμάτων, η δέ αγία σου μνήμη Ευσέβιε, καταφωτίζει τόν Κόσμον, ως μέγας ήλιος.

Θεοτοκίον

Φιλάγαθε Παρθένε, τήν κεκακωμένην, τή αμαρτία ψυχήν μου αγάθυνον, η τόν πανάγαθον Λόγον, σαρκί κυήσασα.

Ο Ειρμός

«Κυρίως Θεοτόκον, σέ ομολογούμεν, οι διά σού σεσωσμένοι Παρθένε αγνή, σύν ασωμάτοις χορείαις, σέ μεγαλύνοντες».

Καί τά λοιπά, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

**ΤΗ ΚΓ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τής Αγίας Μάρτυρος Αγριππίνης.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'
Έδωκας σημείωσιν

Ρώμη σε προβάλλεται, ώσπερ λειμών ρόδον εύοσμον, Αγριππίνα πολύαθλε, πιστών τήν διάνοιαν, κατευωδιάζον, οδμαίς εναρέτοις, καί τό δυσώδες τών παθών, αποδιώκον χάριτι πάντιμε, Μαρτύρων εγκαλλώπισμα, τής Εκκλησίας εδραίωμα, τών παρθένων τό καύχημα, τών θαυμάτων τό πέλαγος.

Όλβον ως πολύτιμον, τή Σικελία σέ δίδωσιν, εν τή Ρώμη αθλήσασαν, Χριστός ο Θεός ημών, ένθα γενομένη, αοίδιμε Μάρτυς, τήν τών δαιμόνων πονηράν, πληθύν διώκεις επιστασία σου, διό σε μακαρίζομεν, καί τήν αγίαν σου σήμερον, εορτάζομεν άθλησιν, Αγριππίνα πολύαθλε.

Έφερον επ' ώμων σε, Βάσσα καί Παύλα προστάξεσι, τού τά σύμπαντα φέροντος, τόπους διαμείβουσαι, καί μακρά πελάγη, Μάρτυς Αγριππίνα, θαυματουργίας φοβεράς, επιτελούσαν τή θεία χάριτι, κατέπαυσας εν τόπω δέ, εν ώ Θεός ωκονόμησε, κεκμηκότων ανάπαυσις, γενομένη πανεύφημε.

Δόξα... Καί νύν... Θεοτοκίον

Σέ τό καθαρώτατον, τού Βασιλέως παλάτιον, δυσωπώ πολυΰμνητε, Τόν νούν μου καθάρισον, τόν εσπιλωμένον, πάσαις αμαρτίαις, καί καταγώγιον τερπνόν, τής υπερθέου Τριάδος ποίησον, όπως τήν μεσιτείαν σου, καί τό αμέτρητον έλεος, μεγαλύνω σωζόμενος, ο αχρείος ικέτης σου.

Η Σταυροθεοτοκίον

Σέ ως εθεάσατο, επί Σταυρού ανυψούμενον, η τεκούσα Φιλάνθρωπε, κραυγάζουσα έλεγε, Πώς εθελουσίως, πάθος υπομένεις, ο απαθώς εκ τής εμής, γαστρός εκλάμψας ως παντοδύναμος, καί λύσας τήν κατάκριτον, φύσιν βροτών κατακρίσεως; Ανυμνώ σου τήν άμετρον, νύν Υιέ συγκατάβασιν.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Οι Κανόνες τής Οκτωήχου, καί τής Αγίας ο παρών, ού η Ακροστιχίς (άνευ τών Θεοτοκίων).

Τήν Χριστονύμφην Αγριππίνην αινέσω.

Ωδή α'  Ήχος δ'
Ανοίξω τό στόμα μου

Τώ φέγγει τής χάριτος, τής αστραψάσης σοι άνωθεν, τόν ζόφον απέλασον τής αγνωσίας μου, καί παράσχου μοι, ευχαίς σου Αγριππίνα, χάριν ανυμνήσαί σου, Μάρτυς τά θαύματα.

Ηλίου φαιδρότερον, ως αληθώς εξανέτειλας, εν τώ στερεώματι τής Εκκλησίας Χριστού, καί κατηύγασας, ακτίσι τών αγώνων, Μάρτυς καί θαυμάτων σου, κόσμου τά πέρατα.

Νυμφίον αθάνατον, τόν ζωοδότην ποθήσασα, ως μνήστρα τήν άθλησιν, τούτω προσήνεγκας, καί αντέλαβες, ουρανών Βασιλείαν, καί στέφανον άφθαρτον, Μάρτυς αοίδιμε.

Χειρί τού Δεσπότου σου, κυβερνωμένη διέπλευσας, τήν άστατον θάλασσαν, τής ασεβείας σεμνή, καί προσώρμισας, λιμένι Αγριππίνα, τής άνω λαμπρότητος, θεομακάριστε.

Θεοτοκίον

Παρθένε πανάμωμε, η τόν Σωτήρα κυήσασα, καί τούτον αγκάλαις σου, θείαις κατέχουσα, κυριώνυμε, διάλυσον τόν γνόφον, ψυχής μου καί φώτισον, ταύτην γεραίρειν σε.

## Ωδή γ'

Τόξον δυνατών

Ράβδοις τυπτομένη έχαιρε, τούτοις τά οστά τής ασεβείας συντρίβουσα, καί βοώσα, Τής σής ουδέν με, αγαπήσεως χωρίσει Χριστέ.

Ίνα τών εχθρών τήν γύμνωσιν, Μάρτυς στηλιτεύσης, τού χιτώνος γεγύμνωσαι, διά τούτο τής αφθαρσίας, τήν στολήν Χριστός σοι δίδωσι.

Στόμα τό λαλούν παράνομα, τής ευνομωτάτης, κατά σού Χριστομάρτυρος, ενεφράγη, τά μεγαλεία τού Σωτήρος κηρυττούσης σου.

Τείνας επί γής τό σώμά σου, ο τής ασεβείας υπουργός μεματαίωται, τεταμένην πρός τόν Δεσπότην, τήν διάνοιαν εχούσης σου.

Θεοτοκίον

Ρήσις ευσεβής πεπλήρωται, η τού Ησαϊου, Παρθένος γάρ τέτοκε, σαρκωθέντα τόν ζωοδότην, καί Σωτήρα τών Ψυχών ημών.

Ο Ειρμός

«Τόξον δυνατών ησθένησε, καί οι ασθενούντες, περιεζώσαντο δύναμιν, διά τούτο εστερεώθη, εν Κυρίω η καρδία μου».

## Κάθισμα  Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ

Τόν ωραιότατον Χριστόν αγαπήσασα, καί παρθενία τήν ψυχήν ωραϊσασα, διά παντοίων πόνων τε καί θλίψεων, τούτω κατηγγύησαι, ως Παρθένος καί Μάρτυς, όθεν σε ηξίωσεν, ουρανίων θαλάμων, υπέρ ημών πρεσβεύουσαν αυτώ, τών σέ τιμώντων, σεμνή παμμακάριστε.

Θεοτοκίον

Τή Θεοτόκω εκτενώς νύν προσδράμωμεν, αμαρτωλοί καί ταπεινοί καί

προσπέσωμεν, εν μμμιετανοία κράζοντες εκ βάθους ψυχής, Δέσποινα βοήθησον, εφ' ημίν σπλαγχνισθείσα, σπεύσον απολλόμεθα, υπό πλήθους πταισμάτων, μή αποστρέψης σούς δούλους κενούς, σέ γάρ καί μόνην, ελπίδα κεκτήμεθα.

Η Σταυροθεοτοκίον

Τόν εξ ανάρχου τού Πατρός γεννηθέντα, η επ' εσχάτων σε σαρκί τετοκυία, επί Σταυρού κρεμάμενον ορώσά σε Χριστέ, Οίμοι! ποθεινότατε, Ιησού ανεβόα, πώς ο δοξαζόμενος, ως Θεός υπ' Αγγέλων, υπό ανόμων νύν βροτών Υιέ, θέλων σταυρούσαι; Υμνώ σε μακρόθυμε.

Ωδή δ'

Ο καθήμενος εν δόξη

Ο τό θέλημα τών τούτον, φοβουμένων ποιούμενος, δι' Αγγέλου Μάρτυς, λύει σε δεσμών καί στρεβλώσεων, τήν διαλύσασαν πάσαν τήν ασέβειαν, τώ δεσμώ τής αγάπης Χριστού τού νυμφίου σου.

Νεκρωθείσα δι' αγάπην, τού νεκρώσαντος άπασαν, τήν ισχύν θανάτου, χάριν αναβλύζεις αείζωον, τούς εκ παθών νεκρωθέντας θεραπεύουσα, Αγριππίνα, Μαρτύρων Χριστού εγκαλλώπισμα.

Υπερβάσα τή αγάπη, τού νυμφίου σου άπαντα, τής σαρκός τόν πόθον, έφερες στερρώς εν τώ τύπτεσθαι, τάς αλγηδόνας βοώσα, Ού χωρίσει με, τής στοργής σου Χριστέ, τών παθών η επίτασις.

Μακαρίας ξυνωρίδος, τής Τριάδος τώ έρωτι, υπεραθλησάσης, Βάσσης Αγριππίνης τε σώφρονος, τίς τήν ανδρείαν εξείποι; όπως έδειξαν, αδρανή τών ειδώλων ισχύν κραταιότατα.

Θεοτοκίον

Η Βασίλισσα Παρθένος, διαχρύσω στολίσματι, ωραϊζομένη, Υιώ Βασιλεί νύν παρίσταται, η ασυγκρίτως Αγγέλους υπερέχουσα, τούς κραυγάζοντας, Δόξα Χριστέ τή δυνάμει σου.

Ωδή ε'

Σύ Κύριέ μου φώς

Φώς άδυτον τώ σώ, ενσκηνώσαν σκηνώματι, εδείκνυ σε τοίς ορώσιν, εν νυκτί ως ημέραν, βολάς θαυμάτων πέμπουσαν.

Η άσπιλος αμνάς, τού ποιμένος τοίς ίχνεσι, βαδίζουσα Ιερείον, ώσπερ άμωμον τούτω, ενθέως προσενήνεκται.

Νούν έχουσα φωτός, προφητείας ανάπλεων, τά μέλλοντα, ως παρόντα, η αοίδιμος Βάσσα, προλέγειν κατηξίωται.

Θεοτοκίον

Ω Μήτερ τού Θεού, τής ψυχής μου τήν κάκωσιν, θεράπευσον η τεκούσα, τόν πανάγαθον Λόγον, τόν πάντας αγαθύνοντα.

Ωδή ς'

Θύσω σοι, μετά φωνής

Αστράψαν, εκ τής Ρώμης ως άδυτον ήλιον, η Σικελία τό σώμα, τής Αγίας Μάρτυρος δεξαμένη, τής ζοφώδους, τών δαιμόνων λυτρούται δεινότητος.

Γενναίως, αι τρισόλβιοι Άγιαι Μαρτυρες, αι πρό θανάτου θανούσαι, εν τή προσδοκία τού μαρτυρίου, νεκρωθέν σου, ζωηφόρον τό σώμα κομίζουσι.

Ρομφαίαι, τού εχθρού επί σέ εξησθένησαν, καί γάρ ως πόλεις καθείλες, αθεμελιώτους τούτου τά θράση, Αγριππίνα, τώ μοχλώ τών ενδόξων αγώνων σου.

Ιάται, τή προσψαύσει αιμόρρους τού, σκήνους σου, λεπροί καθαίρονται πίστει, δραπετεύει άλλη δέ πάσα νόσος, τή προσκλήσει, τού Αγίου σου Μάρτυς ονόματος.

Θεοτοκίον

Ρήμασι, τού Γαβριήλ Παρθένε πανάμωμε, νύν κεχρημένοι βοώμεν, Χαίρε Μήτηρ μόνη ευλογημένη, Χαίρε πύλη, δικαιοσύνης ήλιον έχουσα.

Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ Δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΓ' τού αυτού μηνός, μνήμη τής Αγίας Μάρτυρος Αγριππίνης.

Στίχοι

- Πλησθείσα δεινών τραυμάτων εκ τυμμάτων,
- Πολλών μετέσχε στεμμάτων Αγριππίνα.
- Εικάδι θεινομένη τριτάτη θάνεν Αγριππίνα,

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων, Αριστοκλέους Πρεσβυτέρου, καί Δημητρίου Διακόνου καί Αθανασίου Αναγνώστου.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Ο διασώσας εν πυρί

Περιστερά οία χρυσή, όπλω τού Σταυρού φραττομένη, Αγαρηνούς τούς εν νυκτί, τώ φρουρίω τώ σώ προσεγγίσαντας, εξηφάνισας σώσασα, τούς πιστούς μιαιφονίας, τής τούτων Μάρτυς.

Πολυειδείς διά, Χριστόν, πόνους υπομείνασα Μάρτυς, άπονον εύρες εν αυτώ, καί αθάνατον λήξιν κραυγάζουσα, Υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Ιερουργός ο θαυμαστός, καί θαυματουργίαις εκλάμπων, σού τά θαυμάσια ορών, Αγριππίνα Θεόν εμεγάλυνε, καί γηθόμενος έψαλλεν, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Νενευρωμένω λογισμώ, σού τό ρωστικόν παθημάτων, διακομίζουσαι σώμα, γυναικείας ουδόλως ησθάνοντο, ασθενείας κραυγάζουσαι, αι παρθένοι τώ Δεσπότη, Ευλογητός εί.

Θεοτοκίον

Κυοφορήσασα Θεόν, μένεις μετά τόκον παρθένος, καί γαλουχείς μητροπρεπώς, τόν τροφέα τού κόσμου Πανάμωμε, όν υμνούντες κραυγάζομεν, ο Θεός ο τών Πατέρων ευλογητός εί.

## Ωδή η'

Παίδας ευαγείς

Η νύξ ως ημέρα καθωράτο, τοίς φέρουσι Μάρτυς σου τό λείψανον, τόπος ευωδίαστος, άπας σε δεχόμενος, δαιμονική παράταξις, σφοδρώς ηλαύνετο, ιάσεων απέρρει πλημμύρα, τοίς υπερυψούσι, Χριστόν εις τούς αιώνας.

Νυμφίον αθάνατον ποθούσα, Οπίσω τών μύρων τούτου έδραμες, τούτου τά παθήματα, Μάρτυς καί τόν θάνατον, εκμιμουμένη ένδοξε, καί ανακράζουσα, Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ανύστακτον έχουσα τήν πίστιν, ελαίω τε φαιδρυνθείσαν τών αιμάτων σου, Μάρτυς τήν λαμπάδα σου, ένδον εισελήλυθας, εις τόν νυμφώνα χαίρουσα, τής ουρανίου χαράς, Τόν Κύριον υμνείτε βοώσα, καί υπερυψούτε, αυτόν εις τούς αιώνας.

Ιδείν τήν τερπνότητα Κυρίου, τόν τούτου ναόν τε επισκέψασθαι, ποθούσα ως άρματι, αίματι οικείω σύ, εποχουμένη ψάλλουσα πρός τούτον έφθασας, Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Η βάτος τό πρίν προδιετύπου, τό ξένον τού τόκου σου μυστήριον, άκαυστος τώ φλέγεσθαι, μένουσα πανάμωμε, καί γάρ τό πύρ εκύησας, τό τής θεότητος, καί άφλεκτος διέμεινας Κόρη, όθεν σε υμνούμεν, πιστοί εις τούς αιώνας.

Ο Ειρμός

«Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν, Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνα».

## Ωδή θ'

Λίθος αχειρότμητος

Νεύσει τού τά πάντα ποιούντος, τού μαρτυρίου πρός τό πέρας, η Αγαθονίκη σύν Βάσσα, ομού καί Παύλα προθύμως σπεύδουσαι, ως αληθώς κατάλληλον, εύρον τού πόθου τό συμπέρασμα.

Εν επουρανίοις θαλάμοις, κατασκηνώσασα Παρθένε, καί τών αθεάτων τά κάλλη, κατανοούσα καί απολαύουσα, τής τού Θεού λαμπρότητος, τούς σέ υμνούντας καταφαίδρυνον.

Στέφανος ετέθη χαρίτων, τή κορυφή σου Αγριππίνα, ως τελειωσάσης τόν δρόμον, καί τηρησάσης τήν πίστην άσυλον, καί τών δικαίων τάγματα, περιχαρώς σε υπεδέξαντο.

Ως παρισταμένη τώ θρόνω, εν παρρησία τού Δεσπότου, μάρτυς Αγριππίνα σύν πάσι, τοίς απ' αιώνος Αγίοις αίτησαι, αμαρτιών τήν λύτρωσιν, τοίς σέ υμνούσι καλλιπάρθενε.

Θεοτοκίον

Ως τόν τού παντός δεδραγμένον, μητροπρεπώς ταίς σαίς αγκάλαις, φέρουσα Παρθένε Μαρία, χειρός με ρύσαι τού πολεμήτορος, όπως τήν σήν σωζόμενος, ανευφημώ μεγαλειότητα.

Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας, τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Καί η λοιπή Ακολουθία καί, Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΔ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Τό Γενέσιον τού τιμίου ενδόξου Προφήτου Προδρόμου καί Βαπτιστού Ιωάννου.

ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια τά εξής τρία, δευτερούντες τό α'.

Ήχος δ'
Ο εξ υψίστου κληθείς

Εκ στειρευούσης γεγέννηται νηδύος, ο λύσας τήν στείρωσιν τών καρδιών ημών, καί ευτεκνίαν εν πίστει τε καί αληθεία, ψυχαίς ακάρποις λόγον δωρούμενος, ο ένδοξος Πρόδρομος τής παρουσίας Χριστού, φωνή τού Λόγου η εύσημος, τής μετανοίας, ο προσημάντωρ ο μεγαλόφωνος, καί Παλαιάς τε καί τής Νέας, θείος μεσίτης σαφώς γνωριζόμενος, ού τήν γέννησιν πόθω, εορτάσωμεν γηθόμενοι.

Ο σιτευτός νύν τής εγκρατείας μόσχος, εκ στείρας γεγέννηται, υποδεικνύων ημίν, τόν εκ Παρθένου νεάνιδος, αμνόν τεχθέντα, καί τά τού κόσμου αίροντα πταίσματα, τρυγών η φιλέρημος, σαφώς επέφανε, τό θείον έαρ μηνύουσα, δι'

ού επαύθη, τής αθεϊας χειμων βαρύτατος, καί τού νυμφίου φίλος γνήσιος, περιφανώς επεδήμησεν, Ιωάννης πρεσβεύων, τού σωθήναι τάς ψυχάς ημών.

Ο κατά θείαν τεχθείς επαγγελίαν, ότε ο παμμέγιστος θείος, Αρχάγγελος, εν τώ ναώ τώ γεννήτορι, σού δεομένω, ευηγγελίσατο τήν σήν γέννησιν, τότε απιστήσαντι καί αντιλέξαντι, τώ Ιερεί καθώς γέγραπται, τήν αφωνίαν, ο Γαβριήλ επήγαγε καί τήν κώφευσιν, άχρι τού τόκου, σύ δέ Πρόδρομε, τόν πατέρα τεχθείς τών τής γλώττης δεσμών, ηλευθέρωσας μάκαρ, καί πρεσβεύεις υπέρ πάντων ημών.

Δόξα... Ήχος πλ. δ'

Πρέπει τώ Ιωάννη η ευωδία, πρέπει τώ Βαπτιστή, τών ασμάτων η τερπνότης, ούτος γάρ εκήρυξε τήν απαρχήν τής ημών σωτηρίας, ο σκιρτών εν κοιλία, καί βοών εν ερήμω, Μετανοείτε, τού Βασιλέως ο στρατιώτης, ο Πρόδρομος τής χάριτος, ο τόν αμνόν προμηνυων, καί τόν Σωτήρα πρεσβεύων, υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον
Ήχος πλ. δ'

Δέσποινα πρόσδεξαι, τάς δεήσεις τών δούλων σου, καί λύτρωσαι ημάς, από πάσης ανάγκης καί θλίψεως.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος β'
Οίκος τού Εφραθά

Τράνωσόν σου λαμπρώς, τήν γλώσσαν Ζαχαρία, Προφήτης τό παιδίον, Υψίστου έσται λέγων, καί Θεού Λόγου Πρόδρομος.

Στίχ. Ευλογητός Κύριος ο Θεός τού Ισραήλ, ο ποιών θαυμάσια μόνος.

Ώφθης εκ μητρικών, λαγόνων Ιωάννη, Θεώ ηγιασμένος, εγήγερται γάρ μείζων, βροτών ουδείς σου πώποτε.

Στίχ. Καί σύ παιδίον, Προφήτης Υψίστου κληθήση.

Λύεις τήν τού πατρός, Παμμάκαρ αφωνίαν, ως απαιδίας κλείθρα, διέλυσας τεκούσης, τεχθείς εκ θείας χάριτος.

Δόξα... Καί νύν... Θεοτοκίον

Μόνη Χριστιανών, ελπίς καί προστασία, Αγνή σύν τώ Προδρόμω, δυσώπει τόν Υιόν σου, υπέρ οικείων δούλων σου.

Απολυτίκιον Ήχος δ'

Προφήτα καί Πρόδρομε, τής παρουσίας Χριστού, αξίως ευφημήσαί σε ουκ ευπορούμεν ημείς, οι πόθω τιμώντές σε, στείρωσις γάρ τεκούσης, καί πατρός αφωνία, λέλυνται τή ενδόξω, καί σεπτή σου γεννήσει, καί σάρκωσις Υιού τού Θεού, κόσμω κηρύτεται.

Δόξα... Καί νύν...

Ήχος δ’ Θεοτοκίον

Τό απ' αιώνος απόκρυφον, καί αγγέλοις άγνωστον Μυστύριον, διά σού Θεοτόκε τοίς επί γής πεφανέρωται, Θεός εν ασυγχύτω ενώσει σαρκούμενος, καί Σταυρόν εκουσίως υπέρ ημών καταδεξάμενος, δι’ ού αναστήσας τόν Πρωτόπλαστον, έσωσεν εκ θανάτου τάς ψυχάς ημών.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Στιχολογούμεν τήν α' στάσιν τού, Μακάριος ανήρ. Εις δέ τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους η' καί ψάλλομεν Στιχηρά Ιδιόμελα τά εξής, δευτερούντες τό α'.

Ήχος δ'

Ιωάννου Μοναχού

Λύει τού Ζαχαρίου τήν σιωπήν, γεννηθείς ο Ιωάννης, καί γάρ ουδέ έπρεπε τόν πατέρα σιωπάν, προελθούσης τής φωνής, αλλ' ώσπερ απιστηθείσαν, πρώην τήν γλώτταν έδησεν, ούτω φανερωθείσαν, δούναι τώ πατρί τήν ελευθερίαν, ώ καί ευηγγελίσθη, καί εγεννήθη φωνή τού Λόγου, καί φωτός Πρόδρομος, πρεσβεύων υπέρ τών ψυχών ημών.

Ο αυτός

Σήμερον η φωνή τού Λόγου, τήν φωνήν δι' απιστίαν κρατουμένην, λύει τήν πατρικήν, καί τής Εκκλησίας εμφαίνει τήν ευτεκνίαν, δεσμά τής στειρώσεως λύουσα μητρικά, ο λύχνος τού φωτός προέρχεται, η αυγή τού ηλίου τής δικαιοσύνης, μηνύει τήν έλευσιν, εις ανάπλασιν πάντων, καί σωτηρίαν τών ψυχών ημών.

Ανατολίου

Ο αυτός

Θεού Λόγου μέλλοντος εκ Παρθένου τίκτεσθαι, Άγγελος εκ στειρωτικών ωδίνων προέρχεται, ο μέγας εν γεννητοίς γυναικών, καί Προφήτου περισσότερος, έδει γάρ θείων πραγμάτων, παραδόξους είναι τάς αρχάς, παρ' ηλικίαν τό γόνιμον, καί άνευ σποράς σύλληψις, ο ποιών θαυμάσια, εις σωτηρίαν ημών δόξα σοι.

Ανδρέου Κρήτης

Ο αυτός

Επέφανε σήμερον ο μέγας Πρόδρομος, εξ αγόνων λαγόνων, τής Ελισάβετ προελθών, ο μείζων πάντων τών Προφητών Προφήτης, ού έτερος ουκ έστιν, ουδέ εγήγερται, ότι τώ Προδρόμω λύχνω, τό φώς άκολουθεί τό υπέρλαμπρον καί τή φωνή ο Λόγος, καί τώ νυμφαγωγώ ο νυμφίος, κατασκευάζοντι Κυρίω λαόν περιούσιον, καί προκαθαίροντι επί τό Πνεύμα διά τού ύδατος, τού Ζαχαρίου ο βλαστός, καί τής ερήμου τό κάλλιστον θρέμμα, τής μετανοίας ο κήρυξ, ή κάθαρσις τών αμπλακημάτων, ο τοίς εν Άδη ευαγγελιζόμενος, τήν εκ νεκρών Ανάστασιν, καί πρεσβεύων υπέρ τών ψυχών ημών.

Ο αυτός

Προφήτης καί Πρόδρομος, από γαστρός ανεδείχθης τού Χριστού Ιωάννη,

σκιρτών καί αγαλλόμενος, εν τή νηδύϊ τής μητρός, ορών τήν Βασιλίδα ελθούσαν πρός τήν δούλην, φέρουσαν τόν άχρονον, καί εκ Πατρός αμήτορα, πρός σέ τόν εκ στείρας, καί τού πρεσβύτου κατ' επαγγελίαν ανατείλαντα. Αυτόν ικέτευε, ελεηθήναι τάς ψυχάς ημων.

Ο αυτός

Ω τού παραδόξου θαύματος, ο τώ λόγω τού Αγγέλου μή πεισθείς, λέγοντος. Ότι συλλήψεται η Ελισάβετ, καί τέξεται υιόν, ο λέγων. Πώς αύτη τέξεται; ότι καγώ προέβην, κακείνης τά μέλη νενέκρωται, ο καταδικασθείς σιωπάν διά τήν απιστίαν, σήμερον ορά τικτόμενον το επαγγελθέν, καί σιωπής λυθείς, ευφροσύνην εισοικίζει, Ευλογητός βοών Κύριος, ο Θεός τού Ισραήλ, ότι επεσκέψατο, καί εποίησε λύτρωσιν τώ λαώ αυτού, ο παρέχων τώ κόσμω τό μέγα έλεος.

Ο αυτός

Ιωάννη πανεύφημε, καί οικουμενικέ Απόστολε, τό τού Γαβριήλ ευαγγέλιον, καί τής στείρας τό βλάστημα, καί τής ερήμου τό κάλλιστον θρέμμα, καί γνήσιε φίλε τού νυμφίου Χριστού, αυτόν ικέτευε, ελεηθήναι τάς ψυχάς ήμων.

Δόξα... Ήχος πλ. β'

Τού Βυζαντίου

Σήμερον τού φωτός ο λύχνος, προοδοποιείται τήν έλευσιν Θεού τού Λόγου ως αστήρ φαεινός. Σήμερον Ζαχαρίας γλώτταν ετράνωσε, σιωπήν εξασκήσας, Αγγέλου προστάξαντος, έπρεπε γάρ ούτω, τόν πατέρα τής φωνής, μή σιωπήν φυλάττειν, προελθούσης εκ γαστρός στειρωτικής, καί παντός τού κόσμου τήν λύτρωσιν ευαγγελιζομένης, εν παρρησία πολλή.

Καί νύν... Ο αυτός

Η Ελισάβετ συνέλαβε τόν Πρόδρομον τής χάριτος, η δέ Παρθένος τον Κύριον τής δόξης. Ησπάσαντο αλλήλας αι μητέρες, καί τό βρέφος εσκίρτησεν, ένδοθεν γάρ ο δούλος ήνει τόν Δεσπότην, θαυμάσασα η μήτηρ τού Προδρόμου, ήρξατο βοάν. Πόθεν μοι τούτο, ίνα η Μήτηρ τού Κυρίου μου έλθη πρός με; ίνα σώση λαόν απεγνωσμένον. Ο έχων τό μέγα έλεος, δόξα σοι.

Είσοδος. Τό Προκείμενον τής ημέρας, καί τά Αναγνώσματα.

Γενέσεως τό Ανάγνωσμα

(Κεφ. 17,15-17,19 & 18,11-14 & 21,1-2,4-8)

Είπε Κύριος ο Θεός τώ Αβραάμ. Σάρα η γυνή σου, ου κληθήσεται τό όνομα αυτής Σάρα, αλλά Σάρρα έσται τό όνομα αυτής. Ευλογήσω δέ αυτήν, καί δώσω σοι εξ αυτής τέκνον, καί ευλογησω αυτό, καί έσται εις έθνη, καί βασιλείς εθνών εξ αυτού εξελεύσονται. Καί έπεσεν Αβραάμ επί πρόσωπον αυτού, και εγέλασε, καί είπεν εν τή διανοία αυτού, λέγων. Εί τώ εκατονταετεί γεννήσεται υιός; καί ει η Σάρρα εννενήκοντα ετών ούσα τέξεται; Είπε δέ ο Θεός τώ Αβραάμ. Ναί, Ιδού Σάρρα η γυνή σου τέξεταί σοι υιόν, καί καλέσεις τό όνομα αυτού Ισαάκ, καί στήσω τήν διαθήκην μου πρός αυτόν εις διαθήκην αιώνιον, Αβραάμ δέ καί Σάρρα πρεσβύτεροι προβεβηκότες ημερών. Εγέλασε δέ Σάρρα εν εαυτή λέγουσα. Ούπω μέν μοι γέγονεν έως τού νύν, ο δέ κύριός μου πρεσβύτερος. Καί είπε Κύριος ο Θεός τώ Αβραάμ, Τί ότι εγέλασε Σάρρα

εν εαυτή λέγουσα Άρά γε αληθώς τέξομαι; εγώ δέ γεγήρακα, μή αδυνατήση παρά τώ Θεώ πάν ρήμα; Καί Κύριος επεσκέψατο τήν Σάρραν, καθά ελάλησε, καί συλλαβούσα, έτεκε τώ Αβραάμ υιόν εις τό γήρας, εις τόν καιρόν, καθά ελάλησεν αυτώ Κύριος. Περιέτεμε δέ αυτόν τή ημέρα τή ογδόη, καθά ενετείλατο αυτώ Κύριος ο Θεός. Καί Αβραάμ ήν ετών εκατόν, ηνίκα εγένετο αυτώ Ισαάκ ο υιός αυτού. Είπε δέ Σάρρα. Γέλωτά μοι εποίησε Κύριος, ός γάρ άν ακούση συγχαρείταί μοι. Καί είπε. Τίς αναγγελεί τώ Αβραάμ, ότι θηλάζει παιδίον Σάρρα, ότι έτεκον υιόν εν τώ γήρα μου; Καί ηυξήθη τό παιδίον, καί απεγαλακτίσθη, καί εποίησεν Αβραάμ δοχήν μεγάλην, η ημέρα απεγαλακτίσθη Ισαάκ ο υιός αυτού.

Κριτών τό Ανάγνωσμα

(Κεφ. 13, 2-8, 13-14, 17-18, 21)

Εν ταίς ημέραις εκείναις, εγένετο ανήρ εκ τής φυλής τού Δάν, καί όνομα αυτώ Μανωέ, καί η γυνή αυτού στείρα, καί ουκ έτικτε. Καί ώφθη Άγγελος Κυρίου πρός τήν γυναίκα καί επε πρός αυτήν. Ιδού σύ στείρα, καί ου τέτοκας, καί συλλήψη υιόν, Καί νύν φύλαξαι δή, καί μή πίης οίνον καί σίκερα, καί μή φάγης πάν ακάθαρτον. Ότι ιδού σύ εν γαστρί έξεις, καί τέξη υιόν, καί σίδηρος ουκ αναβήσεται επί τήν κεφαλήν αυτού, ότι Ναζηραίον τώ Θεώ έσται τό παιδάριον από της γαστρός. Καί ήλθεν η γυνή, καί είπε τώ ανδρί αυτής, λέγουσα. Άνθρωπος τού Θεού ήλθε πρός με, καί η όρασις αυτού ως όρασις Αγγέλου τού Θεού, επιφανής σφόδρα, καί είπεν. Ιδού σύ εν γαστρί έξεις, καί τέξη υιόν, καί νύν φύλαξαι, καί μή πίης οίνον καί σίκερα, καί μή φάγης πάν ακάθαρτον, ότι Ναζηραίον Θεού έσται τό παιδάριον από γαστρός, έως ημέρας θανάτου αυτού, Καί εδεήθη Μανωέ τού Κυρίου, καί είπεν. Εν εμοί, Κύριε, ο άνθρωπος τού Θεού, όν απέστειλας, ελθέτω δή έτι πρός ημάς, καί φωτισάτω ημάς, τί ποιήσωμεν τώ παιδαρίω τώ τικτομένω. Ήλθε δέ ο Άγγελος πρός Μανωέ καί είπεν. Από πάντων ών είπον πρός τήν γυναίκά σου, φυλαξάσθω. Από παντός, ο εκπορεύεται εξ άμπέλου, ου φάγεται, καί οίνον καί σίκερα μή πιέτω. Καί είπε Μανωέ πρός τόν Άγγελον Κυρίου. Τί όνομά σοι; ίνα όταν έλθη τό ρήμά σου, δοξάσωμέν σε. Καί είπεν αυτώ ο Άγγελος Κυρίου. Ίνα τί ερωτάς τό όνομά μου; καί αυτό εστι θαυμαστόν. Καί ου προσέθηκεν έτι ο Άγγελος Κυρίου οφθήναι πρός Μανωέ, καί πρός τήν γυναίκα αυτού.

Προφητείας Ησαϊου τό Ανάγνωσμα

(Κεφ. 40,1-5, 9 & 41,17-18 & 45,8 & 48,20-21 & 54,1)

Τάδε λέγει Κύριος, Παρακαλείτε, παρακαλείτε τόν λαόν μου λέγει ο Θεός. Οι Ιερείς λαλήσατε εις τήν καρδίαν Ιερουσαλήμ, παρακαλέσατε αυτήν, ότι επλήσθη η Ταπείνωσις αυτής, λέλυται γάρ αυτής η αμαρτία, ότι εδέξατο εκ χειρός Κυρίου διπλά τά αμαρτήματα αυτής. Φωνή βοώντος εν τή ερήμω. Ετοιμάσατε τήν οδόν Κυρίου, ευθείας ποιείτε τάς τρίβους αυτού, πάσα φάραγξ πληρωθήσεται, καί πάν όρος καί βουνός ταπεινωθήσεται, καί έσται τά σκολιά εις ευθείαν, καί αι τραχείαι εις οδούς λείας, καί όψεται πάσα σάρξ τό σωτήριον τού Θεού. Επ' όρους υψηλού ανάβηθι ο ευαγγελιζόμενος Σιών, ύψωσον εν ισχύϊ τήν φωνήν σου, ο ευαγγελιζόμενος Ιερουσαλήμ, υψώσατε, μή φοβείσθε. Εγώ Κύριος ο Θεός, εγώ επακούσομαι, ο Θεός Ισραήλ, καί ουκ εγκαταλείψω αυτούς. Αλλά ανοίξω επί τών ορέων ποταμούς, καί μέσω

πεδίωνπηγάς, ποιήσω τήν έρημον εις έλη, καί τήν διψώσαν γήν εν υδραγωγοίς. Ευφρανθήτω ο ουρανός άνωθεν, καί αι νεφέλαι ρανάτωσαν δικαιοσύνην, ανατειλάτω η γή, καί βλαστησάτω έλεος, καί δικαιοσύνην ανατειλάτω άμα. Φωνήν ευφροσύνης αναγγείλατε έως εσχάτου τής γής, καί ακουστόν γενέσθω τούτο. Λέγετε, ότι ερρύσατο Κύριος τόν δούλον αυτού Ιακώβ. Καί εάν διψήσωσι δι' ερήμου, εξάξει αυτοίς ύδωρ εκ πέτρας. Ευφράνθητι στείρα η ου τίκτουσα, ρήξον καί βόησον η ουκ ωδίνουσα, ότι πολλά τά τέκνα τής ερήμου μάλλον ή τής εχούσης τόν άνδρα.

Εις τήν Λιτήν, Στιχηρά Ιδιόμελα.

Ήχος α'

Σταλάξατε τά όρη γλυκασμόν, καί οι βουνοί ως αρνία σκιρτήσατε, ότι ετέχθη εκ τής Ελισάβετ, ο μέλλων εφ' ημάς αυλίζεσθαι, ο τού Κυρίου Πρόδρομος, ο λύσας εν τώ τίκτεσθαι, τού πατρός τήν αφωνίαν, διό καί ημείς βοώμεν αυτώ, Βαπτιστά τού Χριστού, πρέσβευε σωθήναι τάς ψυχάς ημών.

Ο αυτός

Η θεοσήμαντος φωνή, τού φωτός ο λύχνος, ο τού Κυρίου Πρόδρομος, ο χριστομαρτύρητος πρώτος τών Προφητών, τάς υπέρ τού κόσμου πρεσβείας ποιούμενος, εξαιρέτως τήν ποίμνην σου, ικέτευε τού σώζεσθαι άτρωτον.

Ο αυτός

Κήρυξ γέγονας τού αμνού τού Θεού καί Λόγου, Ιωάννη Προφήτα καί Πρόδρομε, Προφητεύεις τά μέλλοντα, καί προλέγεις τοίς πέρασιν, Ίδε ο αμνός τού Θεού, ο αίρων τού κόσμου τήν αμαρτίαν, καί παρέχων τοίς πάσι το μέγα έλεος.

Δόξα... Ήχος πλ. α'

Ανδρέου Κρήτης

Τόν εν Προφήταις όρον, καί αρχήν Αποστόλων, τόν επίγειον άγγελον, καί ουράνιον άνθρωπον, τήν φωνήν τού Λόγου, τόν στρατιώτην καί Πρόδρομον Χριστού, τόν εξ επαγγελίας προσκιρτήσαντα, καί προκηρύξαντα Πρό τόκου τόν ήλιον τής δικαιοσυνης, σήμερον η Ελισάβετ τίκτει καί χαίρει, καί θαυμάζεται Ζαχαρίας παρά τής γερουσίας, τήν σιωπήν ως κλοιόν υποθέμενος, καί ως γεννήτωρ τής φωνής προφητεύει σαφέστατα, Σύ γάρ, παιδίον, Προφήτης Υψίστου κληθήση, καί προπορεύση οδούς ετοιμάσαι αυτώ, Διό Άγγελε, Προφήτα, Απόστολε, Στρατιώτα, Πρόδρομε, Βαπτιστά, καί Κήρυξ τής μετανοίας, καί οδηγέ τού φωτός, ως φωνή τού Λόγου, απαύστως πρέσβευε υπέρ ημών, τών πιστώς σου τελούντων τό μνημόσυνον.

Καί νύν... Θεοτοκίον

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καί δοξάζομέν σε, οι πιστοί κατά χρέος, τήν πόλιν τήν άσειστον, τό τείχος τό άρρηκτον, τήν αρραγή προστασίαν, καί καταφυγήν τών ψυχών ημών.

Εις τόν Στίχον, Στιχηρά Ιδιόμελα.

Ήχος β'

Τόν εκ Προφήτου Προφήτην, καί τής στείρας τό βλάστημα, τόν εν γεννητοίς γυναικών υπέρ άπαντας, τόν τής ερήμου πολίτην, Ιωάννην τόν ένδοξον, ψαλμοίς καί ύμνοις, καί ωδαίς πνευματικαίς ευφημήσωμεν, βοώντες πρός αυτόν, Βαπτιστά τού Σωτήρος καί Πρόδρομε, ως έχων παρρησίαν, εν τή σεπτή σου γεννήσει, δυσώπησον Χριστόν, δωρηθήναι ειρήνην τώ κόσμω καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Στίχ. Ευλογητός Κύριος ο Θεός τού Ισραήλ.

Ήλθεν η φωνή τής χάριτος τού Λόγου, ο τού ηλίου κήρυξ, γεννηθείς σήμερον, εκ στείρας τής αγόνου εξ επαγγελίας, Ιωάννης ο Πρόδρομος, λαοί αγαλλιάσθε, Ήλθεν ευτρεπίσαι τήν οδόν ημίν τής σωτηρίας, όν καί σκιρτήσας προσεκύνησεν, εν τή νηδύϊ όντα τής μητρός, τόν αμνόν τόν αίροντα, τήν αμαρτίαν τού κόσμου, καί παρέχοντα ημίν τό μέγα έλεος.

Στίχ. Καί σύ παιδίον, Προφήτης Υψίστου κληθήση.

Ο εκ κοιλίας μητρός αγιασθείς, καί τής προφητείας δεξάμενος τό πλήρωμα, σήμερον εκ στείρας γεγέννηται, τού Κυρίου τήν έλευσιν κηρύττων τρανώς, Μετανοείτε, ήγγικε γάρ η βασιλεία τών ουρανών.

Δόξα... Ήχος πλ. δ'

Κασσίας Μοναχής

Ησαΐου νύν τού Προφήτου η φωνή, σήμερον εν τή τού μείζονος Προφητών κυήσει Ιωάννου πεπλήρωται, Ιδού γάρ φησιν αποστελώ τόν Άγγελόν μου πρό προσώπου σου, ός κατασκευάσει τήν οδόν σου, Ούτος ούν ο τού επουρανίου Βασιλέως στρατιώτης προδραμών, ως αληθώς ευθείας εποίει, τάς τρίβους τού Θεού ημών, άνθρωπος μέν τή φύσει, Άγγελος δέ τόν βίον υπάρχων, αγνείαν γάρ παντελή, καί σωφροσύνην ασπασάμενος, είχε μέν τό κατά φύσιν, έφυγε δέ τό παρά φύσιν, υπέρ φύσιν αγωνισάμενος, Αυτόν άπαντες πιστοί, εν αρεταίς μιμούμενοι, πρεσβεύειν υπέρ ημών δυσωπήσωμεν, εις τό σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Ο αυτός

Βλέπε τήν Ελισάβετ, πρός τήν Παρθένον Μαριάμ διαλεγομένην, Τί παραγέγονας πρός με, η Μήτηρ τού Κυρίου μου; σύ Βασιλέα βαστάζεις, καγω στρατιώτην, σύ τόν νομοδότην, καγώ τόν νομοθέτην, σύ τόν Λόγον, καγώ τήν φωνήν, τήν κηρύξασαν τήν βασιλείαν τών ουρανών.

Απολυτίκιον Ήχος δ'

Προφήτα καί Πρόδρομε, τής παρουσίας Χριστού, αξίως ευφημήσαί σε ουκ ευπορούμεν ημείς, οι πόθω τιμώντές σε, στείρωσις γάρ τεκούσης, καί πατρός αφωνία, λέλυνται τή ενδόξω, καί σεπτή σου γεννήσει, καί σάρκωσις Υιού τού Θεού, κόσμω κηρύτεται.

Δόξα... Καί νύν...

Ήχος δ’ Θεοτοκίον

Τό απ' αιώνος απόκρυφον, καί αγγέλοις άγνωστον Μυστύριον, διά σού Θεοτόκε τοίς επί γής πεφανέρωται, Θεός εν ασυγχύτω ενώσει σαρκούμενος, καί Σταυρόν εκουσίως υπέρ ημών καταδεξάμενος, δι' ού αναστήσας τόν Πρωτόπλαστον, έσωσεν εκ θανάτου τάς ψυχάς ημών.

καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος δ'
Κατεπλάγη Ιωσήφ

Νύν εβλάστησεν ημίν, τού Ζαχαρίου ο βλαστός, καί ευφραίνει νοητώς, τάς διανοίας τών πιστών, τό τής ερήμου καλλώπισμα, καί Προφητών η κρηπίς, όθεν τού Χριστού εδείχθη Πρόδρομος, καί Μάρτυς αψευδής, τής παρουσίας αυτού, Πνευματικοίς ούν άσμασι, συμφώνως τώ Βαπτιστή εκβοήσωμεν, Προφήτα Κήρυξ, τής αληθείας, πρέσβευε τού σωθήναι ημάς.

Δόξα... Καί νύν... Θεοτοκίον

Κατεπλάγη Ιωσήφ, τό υπέρ φύσιν θεωρών, καί ελάμβανεν εις νούν, τόν επί πόκον υετόν, εν τή ασπόρω συλλήψει σου Θεοτόκε, βάτον εν πυρί ακατάφλεκτον, ράβδον Ααρών τήν βλαστήσασαν, καί μαρτυρών ο Μνήστωρ σου καί φύλαξ τοίς Ιερεύσιν εκραύγαζε, Παρθένος τίκτει, καί μετά τόκον, πάλιν μένει Παρθένος.

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος πλ. δ'
Τήν Σοφίαν καί Λόγον

Τής Χριστού παρουσίας η απαρχή, παραδόξως ετέχθης ως αληθώς, Ιωάννη πανεύφημε, τών Προφητών τό κεφάλαιον, καί ως φωνή τού Λόγου, υπάρχων εκραύγαζες, Μετανοείτε, ήγγικεν, ουρανών τό Βασίλειον, όθεν ετοιμάσας, τήν οδόν τού Κυρίου, τής χάριτος Πρόδρομος, ανεδείχθης τοίς πέρασι, Βαπτιστά καί Απόστολε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Καί νύν... Θεοτοκίον

Παναγία Παρθένε Μήτηρ Θεού, τής ψυχής μου τά πάθη τά χαλεπά, ίασαι δέομαι, καί συγγνώμην παράσχου μοι, τών εμών πταισμάτων, αφρόνως ών έπραξα, τήν ψυχήν καί τό σώμα, μολύνας ο άθλιος, Οίμοι! τί ποιήσω, εν εκείνη τή ώρα, ηνίκα οι Άγγελοι, τήν ψυχήν μου χωρίζουσιν, εκ τού αθλίου μου σώματος; τότε Δέσποινα βοήθειά μοι γενού, καί προστάτις θερμότατος, σέ γάρ έχω ελπίδα, ο ανάξιος δούλός σου.

Μετά τόν Πολυέλεον

Κάθισμα Ήχος πλ. δ'
Τό προσταχθέν μυστικώς

Αγαλλιάσθω ο πατήρ, μήτηρ ευφραίνου, ότι Προφήτην επί γής, έτεκες σήμερον, τόν θεόκλητον Πρόδρομον εξ επαγγελίας, Η στείρα βρέφος θηλάζει τόν Βαπτιστήν, καί χαίρει ο Ζαχαρίας τώ τοκετώ, λέγων, Γλώσσά μου λέλυται, τή σή προόδω εν γή, Λύχνε τού μεγάλου φωτός, Όντως θαύμα παράδοξον!

Δόξα... Καί νύν... Θεοτοκίον

Τό προσταχθέν μυστικώς λαβών εν γνώσει, εν τή σκηνή τού Ιωσήφ σπουδή επέστη, ο Ασώματος λέγων τή Απειρογάμω, Ο κλίνας τή καταβάσει τούς ουρανούς, χωρείται αναλλοιώτως όλος εν σοί, όν καί βλέπων εν μήτρα σου, λαβόντα δούλου μορφήν, εξίσταμαι κραυγάζειν σοι, Χαίρε Νύμφη ανύμφευτε.

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί Αντίφωνον Α'

- Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.
- Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον Ήχος δ'

Καί σύ, Παιδίον, Προφήτης Υψίστου κληθήση, προπορεύση γάρ πρό προσώπου Κυρίου, ετοιμάσαι οδούς αυτού.
Στίχ. Ευλογητός Κύριος ο Θεός τού Ισραήλ.

Πάσα πνοή

Ευαγγέλιον κατά Λουκάν

Εν ταίς ημέραις εκείναις, συνέλαβεν Ελισάβετ...

Ο Ν'

Δόξα... Ταίς τού σού Προδρόμου...
Καί νύν... Ταίς τής Θεοτόκου...

Στίχ. Ελέησόν με ο Θεός, καί τό...

Στιχηρόν Ήχος β'

Ο εκ κοιλίας μητρός αγιασθείς, καί τής προφητείας δεξάμενος τό πλήρωμα, σήμερον εκ στείρας γεγέννηται, τού Κυρίου τήν έλευσιν κηρύττων τρανώς, Μετανοείτε, ήγγικε γάρ η βασιλεία τών ουρανών.

Ο παρών, ποίημα Ιωάννου τού Δαμασκηνού, φέρων Ακροστιχίδα.

Τώ Προδρόμου γέγηθα νύν Γενεθλίω.

Ωδή α'  Ήχος δ'
Ο Ειρμός

«Τριστάτας κραταιούς, ο τεχθείς εκ Παρθένου, απαθείας εν βυθώ, ψυχής τό τριμερές, καταπόντισον δέομαι, όπως σοι ώς εν τυμπάνω, τή νεκρώσει τού σώματος, επινίκιον άσω μελώδημα».

Ως όρθρος ευπρεπής, τού ηλίου προτρέχων, στειρευούσης ο βλαστός, κηρύττει εμφανώς, τής Παρθένου τό κύημα, πάση νύν τή οικουμένη, αναλάμπειν τοίς πέρασι, φωτισμόν ευσεβείας καί χάριτος.

Προφήτης αληθώς, τού Υψίστου κληθήση, προπορεύση γάρ Χριστού, βοά σοι τώ υιώ, Ιωάννη πανεύφημε, Πνεύματι ο Ζαχαρίας, παναγίω φερόμενος, τήν οδόν ετοιμάσαι τού κτίσαντος.

Ρημάτων Γαβριήλ, Ζαχαρίας ακούσας, αγγελίας θεϊκής, εδείχθη απειθής, καί σιγήν κατακρίνεται, λύεται δέ άφνω ταύτης, η φωνή γάρ γεγέννηται, Ιωάννης τού Λόγου ο Πρόδρομος.

Θεοτοκίον

Η πόλις τού Θεού, τό τού παμβασιλέως, θεοδόχον ευαγές, Κειμήλιον σεπτόν, Θεοτόκε πανάμωμε, φρούρησον σήν κληρουχίαν, τήν αεί ευφημούσάν σε, καί γεραίρουσαν πίστει τόν τόκον σου.

Έτερος. Κανών. Ήχος ο αυτός, ού η Ακροστιχίς.

Κοινής χαράς Πρόδρομον ευφημιώ πόθω.
Εν δέ τοίς Θεοτοκίοις.
Γεωργίου.

Ωδή α'
Ανοίξω τό στόμα μου

Κοσμείται τήν χάριν νύν, η Εκκλησία τού Πνεύματος, καί καταφαιδρύνεται καί ωραϊζεται, τήν γενέθλιον, ημέραν τού Προδρόμου, ευφροσύνως άγουσα, καί αναμέλπουσα.

Ο Κήρυξ τής χάριτος, καί εωσφόρου φαιδρότερος, τής δόξης τόν Ήλιον, μηνύει σήμερον, καί τήν έλλαμψιν, αυτού νύν προκηρύττει, εν πάσι τοίς πέρασιν, αυγάζειν μέλλουσαν.

Νύξ τής αθεότητος, εν τή γεννήσει σου Πρόδρομε, εκ γής απελαύνεται, καί αι τής χάριτος, εν τοίς πέρασιν, ακτίνες εφαπλούνται, σύ γάρ τόν ανέσπερον, μηνύεις ήλιον.

Θεοτοκίον

Γνώσιν τής συλλήψεως, τής σής δεικνύει η κύησις, τής στείρας Πανάχραντε, προκαταγγέλλουσα, καί μηνύουσα, τόν άσπορόν σου τόκον, καρπόν εξ ακάρπου γάρ, νηδύος ήνεγκε.

Καταβασία

Ανοίξω τό στομα μου, καί πληρωθήσεται Πνεύματος, καί λόγον ερεύξομαι, τή Βασιλίδι Μητρί, καί οφθήσομαι, φαιδρώς πανηγυρίζων, καί άσω γηθόμενος, ταύτης τά θαύματα.

Ωδή γ'  Ο Ειρμός

«Ουκ εν σοφία, καί δυνάμει καί πλούτω καυχώμεθα, αλλ' εν σοί τή του Πατρός, ενυποστάτω σοφία Θεού, ού γάρ εστιν Άγιος, πλήν σου φιλάνθρωπε».

Δεσποτική μέν, εκ Παρθένου τελείται η γέννησις, αλλ' οικέτου προσφιλούς, εκ γηραλέας καί στείρας μητρός, εικότως προτρέχει γάρ, θαύμα τού θαύματος.

Ρυσσή καί στείρα, τήν Παρθένον μητέρα ασπάζεται, επιγνούσα αψευδώς, τώ ταύτης τόκω ως λέλυται, δεσμά τής στειρώσεως, θείω βουλήματι.

Θεοτοκίον

Απειρογάμως, η Θεόν σαρκωθέντα κυήσασα, τών παθών ταίς προσβολαίς, κλονούμενόν με στερέωσον, ου γάρ εστιν Άχραντε, πλήν σου βοήθεια.

Έτερος

Τούς σούς υμνολόγους

Ήχος τής εκ στείρας σου προόδου, δεσμά διαλύσας πατρικής, φωνής κηρύττει Ένδοξε, λαμπρώς τής υπέρ έννοιαν, Χριστού συγκαταβάσεως, τά θεία νύν προμηνύματα.

Στείρας εξ ακάρπου εκβλαστήσας, ο τής ευκαρπίας μηνυτής, τής εν Χριστώ εξέτεμε, τήν άγονον καί άκαρπον, αξίνη τού κηρύγματος, αγνωμοσύνην Ιουδαίων λαού.

Χάριτος τής νέας αι ακτίνες, εξέλαμψαν σήμερον φαιδρώς, τή σή γεννήσει Πρόδρομε, καί παλαιά αινίγματα, καί οι σκιώδεις γράμματος, μεταχωρείν τύποι απήρξαντο.

Θεοτοκίον

Έλυσεν ο τόκος σου Παρθένε, δεσμά καταδίκης τών βροτών, καί εαυτώ συνέδησεν, ημάς διά τής χάριτος, επευλογήσας άπαντας, τούς Θεοτόκον σε γεραίροντας.

Καταβασία

Τούς σούς υμνολόγους Θεοτόκε, ως ζώσα καί άφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικόν στερέωσον, καί εν τή θεία δόξη σου, στεφάνων δόξης αξίωσον.

Κάθισμα  Ήχος δ'
Κατεπλάγη Ιωσήφ

Ώσπερ ήλιος φαιδρός, τής Ελισάβετ εκ γαστρός, εξανέτειλεν ημίν, τού Ζαχαρίου ο υιός, καί τού Πατρός διαλύει τήν αφωνίαν, καί πάσι τοίς λαοίς, εν παρρησία πολλή, Ευθύνατε βοά, τάς τού Κυρίου οδούς, καί γάρ αυτός ελεύσεται καί σώσει, τούς πρός αυτόν επιστρέφοντας, όν προκηρύξας ώ Ιωάννη, ικέτευε τού σωθήναι τάς ψυχάς ήμών.

Δόξα... Καί νύν... Θεοτοκίον

Κατεπλάγησαν Αγνή, πάντες Αγγέλων οι χοροί, τό μυστήριον τής σής, κυοφορίας τό φρικτόν, πώς ο τά πάντα συνέχων νεύματι μόνω, αγκάλαις ως βροτός, ταίς σαίς συνέχεται, καί δέχεται αρχήν ο Προαιώνιος, καί γαλουχείται, σύμπασαν, ο τρέφων πνοήν αφάτω χρηστότητι! καί σέ ως όντως, Θεού Μητέρα, ευφημούντες δοξάζουσι.

Ωδή δ'  Ο Ειρμός

«Ο καθήμενος εν δόξη, επί θρόνου θεότητος, εν νεφέλη κούφη, ήλθεν Ιησούς ο υπέρθεος, τή ακηράτω παλάμη καί διέσωσε, τούς κραυγάζοντας, Δόξα Χριστέ τή δυνάμει σου».

Μυστηρίων απορρήτων, προοδεύει μυστήριον, τή καινοτομία, τής θεσμοθεσίας τής φύσεως, τής αρρωστίας η λύσις προμηνύουσα, τήν διόρθωσιν, ταύτης Χριστέ καί τήν θέωσιν.

Ο Ησαίας πατρόθεν, τώ Υιώ προεφήτευσε, σαρκωθησομένω, Άγγελον βροτόν τόν Ισάγγελον, Ιδού εγώ αποστέλλω πρό προσώπου σου, προκραυγάζοντα, Δόξα Χριστέ τη δυνάμει σου.

Υπηρετήσαι ως δούλος τώ Δεσπότη γεγέννημαι, εις αυτό γάρ ήκω, τούτου καταγγείλαι τήν έλευσιν, ως τής Παρθένου τόν τόκον προπιστώσηται, παραδόξως στειρεύουσα, γραύς εκβλαστήσασα.

Θεοτοκίον

Η Αγία Θεοτόκος, ήν οικήσαι ηυδόκησεν, ως ευώδη οίκον, Λόγος τού Πατρός ο υπέρθεος, ού διεφθάρη τήν μήτραν, ουκ ωδίνησε, καί γάρ τέτοκεν, Εμμανουήλ τόν Θεάνθρωπον.

Έτερος

Τήν ανεξιχνίαστον

Ρείθρα ετοιμάζουσιν οι ποταμοί, καί ο Ιορδάνης τά νάματα, προευτρεπίζει, τώ Δεσπότη εαυτού, τόν Βαπτιστήν θεώμενος, τούτον νύν εκ στείρας τικτόμενον.

Αι τής αγαθότητος τού Ποιητού, δωρεαί προκύπτουσιν άνωθεν, τού εωσφόρου, διανίσχοντος εν γή, καί τήν αυτού επίλαμψιν, καί επιδημίαν κηρύττοντος.

Σάλπιγξ μεγαλόφωνος επί τής γής, σήμερον εκ στείρας προέρχεται ο Ιωάννης, καί μηνύει τοίς βροτοίς, τόν Βασιλέα Κύριον, εξ αγνής αφράστως Τικτομενον.

Θεοτοκίον

Ως ούσαν εκπλήρωμα τών εν σκιά, τύπων καί συμβόλων Πανάχραντε, πάντες Προφήται, σέ ανύμνησαν φωναίς, προμηνυούσαις άπασι τά σά μεγαλεία καί θαύματα.

Καταβασία

Τήν ανεξιχνίαστον θείαν βουλήν, τής εκ τής Παρθένου σαρκώσεως, σού τού Υψίστου, ο Προφήτης, Αββακούμ, κατανοών εκραύγαζε. Δόξα τή δυνάμει σου Κύριε.

Ωδή ε'  Ο Ειρμός

«Νύν αναστήσομαι, προφητικώς έφη ο Θεός, νύν υψωθήσομαι, νύν δοξασθήσομαι, τόν πεσόντα προσλαβών εκ τής Παρθένου, καί πρός φώς τό θαυμαστόν, ανυψών τής εμής θεότητος».

Γή εξανέτειλε, παναληθή κήρυκα, φωνήν πάσι κηρύττουσαν, γλώσση τού Πνεύματος, τής Παρθένου τόν Υιόν, δικαιοσύνην ουρανόθεν εφ' ημάς, διακύπτουσαν ύλη σώματος.

Έθετο Κύριος, παναληθή λύχνον σε Χριστού, πάντας φωτίζοντα, μόνους ενδύοντα, τούς εχθραίνοντας αυτώ ως διπλοΐδα, τήν αισχύνην αψευδώς, Θεού Λόγον Υιόν κηρύττοντα.

Γήθεται άπασα, κτίσις τώ σώ τόκω θεϊκώς, σύ γάρ επίγειος, άγγελος Πρόδρομε, καί ουράνιος βροτός αναδειχθήση, τόν ουράνιον Θεόν, προμηνύων ημίν σαρκούμενον.

Θεοτοκίον

Σού τά θαυμάσια, προφητικαί έφησαν φωναί, όρος καλούντές σε, καί πύλην άχραντε, καί λυχνίαν φαεινήν, εξ ής τό φέγγος αληθώς τό θαυμαστόν φρυκτωρεί, Αγνή κόσμον άπαντα.

Έτερος

Εξέστη τά σύμπαντα

Ρώννυται η πρότερον, φύσις εξασθενήσασα, πρός τήν τών καλών καρπογονίαν, εκ τής ακάρπου μήτρας τεχθέντος σου, καί βροτοίς, κηρύττεται ζωή, εν τή αποτέξει σου, παναοίδιμε Πρόδρομε.

Ο λύχνος ο άσβεστος, εκ στείρας προερχόμενος, μηνύει τόν ήλιον τής δόξης, εκ τής Παρθένου εξανατέλλοντα, πάντας τούς ανθρώπους τώ φωτί, τής συγκαταβάσεως, καταυγάζοντα χάριτι.

Δεσμούνται πολύφθογγοι, γλώσσαι τής αθεότητος, καί χείλη πλατύνονται εις δόξαν, τής παρουσίας τού τών απάντων Θεού, τού Προδρόμου ταύτην εν τή γή, σήμερον μηνύοντος, καί τρανώς προκηρύττοντος.

Θεοτοκίον

Ρήμασι τήν δόξαν σου, ή Ελισάβετ Άχραντε, τοίς προφητικοίς δοξολογούσα, τά μεγαλεία τού θείου τόκου σου, χαίρουσα εκήρυττε τρανώς, σύ υπάρχεις πάντων γάρ, ευφροσύνη καί καύχημα.

Καταβασία

Εξέστη τά σύμπαντα, επί τή θεία δόξη σου, σύ γάρ απειρόγαμε Παρθένε, έσχες εν μήτρα, τόν επί πάντων Θεόν, καί τέτοκας άχρονον Υιόν, πάσι τοίς υμνούσί σε, σωτηρίαν βραβεύοντα.

Ωδή ς'  Ο Ειρμός

«Ήλθον εις τά βάθη τής θαλάσσης, καί κατεπόντισέ με, καταιγίς πολλών αμαρτημάτων, αλλ' ως Θεός, εκ φθοράς ανάγαγε, τήν ζωήν μου ως φιλάνθρωπος».

Θεόν Λόγον έγνως ως Προφήτης, εν μητρική νηδύϊ, καί τή ταύτης χρησάμενος γλώττη, θεολογείς, σκοτεινώ θεώμενος, εν θαλάμω φώς απρόσιτον.

Ασιγήτως ως φωνή βοώντος, τόν Λυτρωτήν τού κόσμου Βαπτιστά, ικετεύων μή παύση, τήν ψυχικήν διαλύσαι στείρωσιν, τών υμ νούντων σου τήν γέννησιν.

Θεοτοκίον

Αστέκτου θεότητος χωρίον, η καθαρά νηδύς σου, αναδέδεικται ώ Θεοτόκε, ή αδεώς, ουρανών τά τάγματα, ατενίζειν ου δεδύνηνται.

Έτερος

Τήν θείαν ταύτην

Ρομφαίαν Πρόδρομε δίστομον, τήν γέννησιν τήν σήν ο πολέμιος, εχθρός εδέξατο, σύ γάρ τήν τούτου αναίρεσιν, καί τήν ανθρώπων ζώωσιν ανεκήρυξας.

Ο θείος πλούτος διέκυψεν, εξ ύψους θεϊκού εις τά σύμπαντα, τής τών βροτών εμφανώς, υιοθεσίας καί χάριτος, τού ταύτης τικτομένου σήμερον κήρυκος.

Μύρα ευώδη η έρημος, εκβλύζει νοητώς τά μηνύματα, εν τή γεννήσει σου, τή εκ τής στείρας Πανεύφημε, τού ακενώτου μύρου εισδεχομένη Χριστού.

Θεοτοκίον

Γνωρίσας μόνην σε Δέσποινα, Μητέρα τού Θεού προεσκίρτησεν, ο θείος Πρόδρομος, εν τή μητρώα νηδύϊ Αγνή, καί τά σά μεγαλεία προανεκήρυξε.

Καταβασία

Τήν θείαν ταύτην καί πάντιμον, τελούντες εορτήν οι θεόφρονες, τής

Θεομήτορος, δεύτε τάς χείρας κροτήσωμεν, τόν εξ αυτής τεχθέντα Θεόν δοξάζοντες.

### Κοντάκιον Ήχος γ'
### Η Παρθένος

Η πρίν στείρα σήμερον, Χριστού τόν Πρόδρομον τίκτει, καί αυτός τό πλήρωμα, πάσης τής προφητείας, όνπερ γάρ, προανεκήρυξαν οι Προφήται, τούτον δή, εν Ιορδάνη χειροθετήσας, ανεδείχθη Θεού Λόγου, Προφήτης Κήρυξ ομού καί Πρόδρομος.

### Ο Οίκος

Ευφημήσωμεν νύν τόν τού Κυρίου Πρόδρομον, όν περ τώ ιερεί η Ελισάβετ έτεκεν, εκ μήτρας ακάρπου, αλλ' ουχί ασπόρου, Χριστός γάρ μόνος χώραν διώδευσεν αδιόδευτον, άσπορον, τόν Ιωάννην στείρα εγέννησεν, άνευ δέ ανδρός τούτον ουκ έτεκε, τόν δέ Ιησούν επισκιάσει Πατρός καί Πνεύματος θείου, Παρθένος έτεκεν αγνή, αλλά τού εκ Παρθένου ανεδείχθη ο εκ στείρας, Προφήτης Κήρυξ ομού καί Πρόδρομος.

### Συναξάριον

Τή ΚΔ' τού αυτού μηνός, τό Γενέθλιον εορτάζομεν τού τιμίου καί ενδόξου Προφήτου, Προδρόμου καί Βαπτιστού Ιωάννου.

### Στίχοι

- Ζαχαρία, χόρευε σύν τή συζύγω
- Ου πολλά μέν τίκτοντες, έν δέ καί μέγα.
- Πρόδρομον αμφί τετάρτην εικάδα γείνατο μήτηρ.

Ταίς αυτού Αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

### Ωδή ζ' Ο Ειρμός

«Νέοι τρείς εν Βαβυλώνι, πρόσταγμα τυραννικόν, εις φλήναφον θέμενοι, εν μέσω πυρός ανεβόων, Ευλογητός εί Κύριε, ο Θεός ο τών Πατέρων ημών».

Υπήρχε τό πρίν εσκοτισμένη, άπασα τών γηγενών, η φύσις ώ Πρόδρομε, αλλ' όρθρος βοών ανεφάνης, Ευλογητός εί Κύριε, ο Θεός ο τών Πατέρων ημών.

Νοσούσαν ιάσατο τήν φύσιν, άπασαν η ευκλεής, εκ στείρας σου γέννησις, διδάξασα Πρόδρομε μέλπειν, Ευλογητός εί Κύριε, ο Θεός ο τών Πατέρων ημών.

Γεγέννησαι Πρόδρομε εκ στείρας, ήλθε γάρ παναληθώς, τού νόμου στειρεύοντος, η χάρις Χριστώ μελωδούσα, Ευλογητός εί Κύριε, ο Θεός ο τών Πατέρων ημών.

### Θεοτοκίον

Παρθένε αγνή ευλογημένη, πρέσβευε υπέρ ημών, τών ικετευόντων σε εις σέ γάρ ελπίζομεν πάντες, καί σοί βοώμεν, Δέσποινα μή παρίδης τούς δούλους σου.

Έτερος

Ουκ ελάτρευσαν τή κτίσει
Ο ποιών πάντα τώ Πνεύματι ως Κύριος, καί Ποιητής τού παντός, εκ στειρευούσης καρπόν, παρήγαγε σήμερον, μητρός τόν Πρόδρομον, προμηνύοντα, καρποφορείν τήν άκαρπον, τών βροτών φύσιν τά θεία.

Νεκρωθείσαν τήν μητρώαν ως εζώωσε, μήτραν τώ τόκω σου, ο ζωοδότης Χριστός, διά τού κηρύγματος τού σού ανέστησε, καί ανέρρωσε, νενεκρωμένας Πρόδρομε, τών βροτών τάς προσδοκίας.

Υπέρ ήλιον η έρημος φωστήρά σε, θείον Πανεύφημε, εισδεχομένη τερπνώς, διά σού φαιδρύνεται καί ωραϊζεται, καί σύν άπασιν, υμνολογεί τόν Κύριον, καί Θεόν εις τούς αιώνας.

Θεοτοκίον

Ιδείν άχραντε τήν δόξαν σου οι Δίκαιοι, πάλαι εζήτησαν, ήν καθορώμεν ημείς, καί πιστώς γεραίρομεν σέ καί κραυγάζομεν, Υπερένδοξε, ευλογημένος Δέσποινα, ο καρπός τής σής κοιλίας.

Καταβασία

Ουκ ελάτρευσαν τή κτίσει οι θεόφρονες, παρά τόν Κτίσαντα, αλλά πυρός απειλήν; ανδρείως πατήσαντες, χαίροντες έψαλλον. Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Ωδή η'  Ο Ειρμός

«Ευεργέτα Χριστέ Παντοδύναμε, τούς εν μέσω φλογός ευσεβήσαντας, συγκαταβάς εδρόσισας, καί εδίδαξας μέλπειν, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον».

Νομοθέτης οικέτης υπήρχε Μωσής, Ιησούς δέ Θεός Διαθήκης Καινής, νύν δέ αμφοίν ο Πρόδρομος, μελωδεί ως μεσίτης, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον.

Εξ ερήμου γαστρός τρυγών πάρεστιν, ήν θεόφυτον νύν άλσος ήγαγε, τή Εκκλησία Πρόδρομος, τού Χριστού καί επάδει, πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον.

Θεοφόρος λαός έθνος άγιον, τήν τρυγόνα Χριστού εκμιμήσασθε, καί μελιρρύτως άσατε, σωφροσύνη συζώντες, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον.

Θεοτοκίον

Τήν Αγνήν καί Παρθένον τιμήσωμεν, τήν τόν άναρχον Λόγον καί άκτιστον, υπερφυώς κυήσασαν, εις ημών σωτηρίαν, ώ καί βοώμεν, Ευλογείτε τά έργα τόν Κύριον.

Έτερος

Παίδας ευαγείς

Φίλος καί Απόστολος τού Κτίστου καί κήρυξ καί Βαπτιστής καί θείος Πρόδρομος, μάρτυς καί διδάσκαλος, μεσίτης καί άγγελος, καί λειτουργός καί πρεσβευτής ημών πανεύφημε, υπάρχων, εκ τής στείρας προήλθες, ταύτα προμηνύων, εν λόγοις τε καί έργοις.

Η νοικται ταμεία τών χαρίτων, τής Νέας τε Διαθήκης Χριστού Πρόδρομε, καί θυσιών έθιμα, εν τή αποτέξει σου, τών παλαιών εκλείσθησαν καί απεπαύθησαν, ο νέος δέ λαός αναμέλπει, καί υπερυψοί τόν Χριστόν εις τούς αιώνας.

Ως άνθη τερπνά τού θείου λόγου, συμπλέξαντες εγκωμίων σοί τόν στέφανον, σήμερον προσάγομεν, Πρόδρομε πανεύφημε, καί ευχαρίστως κράζομεν τώ στεφοδότη Χριστώ, Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε αυτόν εις τούς αιώνας.

Θεοτοκίον

Ο πρώην δεσμός τής αφωνίας, ελύθη Παρθένε τή κυήσει σου, καί χείλη ηνοίγησαν, εις αίνον τού τόκου σου, αυτίκα τών ποθούντων σε, καί εκβοώντων αυτώ, Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Καταβασία

Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ωδή θ'  Ο Ειρμός

«Λόγου Θεού άφραστον εν σοί τελείται, εμφανώς Μυστήριον, Παρθένε άχραντε, καί γάρ Θεός, εκ σού σεσωμάτωται δι' ευσπλαγχνίαν, διό σε ως Θεοτόκον μεγαλύνομεν».

Ιδού φωνή πρόδρομος ταίς στειρευούσαις, καί ερήμοις πάρεστι καρδίαις μέλπουσα, Οδόν Χριστού νυνί ετοιμάσατε, ότι εν δόξη έρχεται, ώ πειθαρχούντες μεγαλύνομεν.

Ως πάλαι εν Πνεύματι τώ παναγίω, εμφανώς εκήρυξας τόν Υιόν Πρόδρομε, αμνόν Θεού, τού κόσμου τόν αίροντα τήν αμαρτίαν, τή ποίμνη σου τών πταισμάτων λύσιν αίτησαι.

Θεοτοκίον

Η πάντων δεσπόζουσα τών ποιημάτων, τώ λαώ σου δώρησαι τά νίκης τρόπαια, τόν δυσμενή τιθείσα υπόσπονδον τή Εκκλησία, ίνα σε ως Θεοτόκον μεγαλύνωμεν.

Έτερος

Άπας γηγενής

Πύλαι τού φωτός, τού θείου ανοίγεσθαι, σήμερον άρχονται, καί εναποκλείεσθαι, ταμεία σκότους προκαταγγέλλεται, ο κήρυξ γάρ καί Πρόδρομος Χριστού εις φώς προελθών, τό τού βίου, ταύτα ανεκήρυξε, καί πατρώα φωνή εβεβαίωσεν.

Όμβρος νοητός, ανίκμου νεφέλης δέ, ραγείς ο Πρόδρομος, ρείθρον τό ουράνιον, τού τής ειρήνης πάσιν εκήρυξε, ποταμού παραγίνεσθαι εις ανακαίνισιν, τής ανθρώπων, φύσεως εν Πνεύματι, τούς καρπούς πληθυνούσης τής χάριτος.

Ώσπερ ουρανός, άστροις καταυγάζεται καί ωραϊζεται, τού Προδρόμου σήμερον, η Εκκλησία ταίς θείαις χάρισι, καί ευφημεί τήν γέννησιν αυτού δοξάζουσα, καί αινούσα, τόν τών όλων Κύριον, δωρεών τών κρειττόνων ως πρόξενον.

Θεοτοκίον

Ύδωρ τής ζωής, εκ σού Θεονύμφευτε βλύσαν ο Κύριος, έπλυνεν ηγίασεν, ημάς τούς πίστει εισδεξαμένους αυτόν, καί κληρονόμους έδειξε τής βασιλείας αυτού, ανυμνούντας, τήν αυτού χρηστότητα, καί σέ πόθω θερμώς μεγαλύνοντας.

Καταβασία

Άπας γηγενής, σκιρτάτω τώ πνεύματι λαμπαδουχούμενος, πανηγυριζέτω δέ, αϋλων Νόων φύσις γεραίρουσα, τήν ιεράν πανήγυριν, τής Θεομήτορος, καί βοάτω. Χαίροις παμμακάριστε, Θεοτόκε Αγνή αειπάρθενε.

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Τό τού Προδρόμου σήμερον, χαροποιόν Γενέθλιον, τό σκυθρωπόν διαλύει, τής τού πατρός αφωνίας, καί τής τεκούσης στείρωσιν, μηνύει δέ τήν μέλλουσαν, χαράν καί αγαλλίασιν, διό καί πάσα η κτίσις, αυτό φαιδρώς εορτάζει.

Θεοτοκίον

Προφήται προεκήρυξαν, Απόστολοι εδίδαξαν, καί Μάρτυρες θεοφρόνως, τόν σόν Υιόν Θεοτόκε, τρανώς καθωμολόγησαν, Θεόν τών όλων πάναγνε, μεθ' ών σε μεγαλύνομεν, οι διά σού λυτρωθέντες, τής παλαιάς καταδίκης.

Εις τούς Αίνους, Στιχ. Προσόμοια.

Ήχος πλ. δ'

Ω τού παραδόξου θαύματος

Ω τού παραδόξου θαύματος! εκ γηραλέας μητρός, Θεού Λόγου προάγγελος, Ιωάννης σήμερον, προελθείν κατεπείγεται, τήν δεσμευθείσαν γλώσσαν τρανότατα, διά τού τόκου εύλαλον δείκνυσιν. Ω τής αφάτου σου, προμηθείας

Δέσποτα! δι' ής Χριστέ, σώσον τάς ψυχάς ημών, ως μόνος εύσπλαγχνος.

Ω τού παραδόξου θαύματος! εν γεννητοίς γυναικών, Προφητών τε υπέρτερος, μητρικής στειρώσεως, διαλύει τό έγκλημα, ο εν πνεύματι, καί δυνάμει ελθών Ηλιού, οδόν Κυρίου ετοιμαζόμενος. Ω τής αφράστου σου, ευσπλαγχνίας Δέσποτα! δι' ής Χριστέ, σώσον τάς ψυχάς ημών, ως μόνος εύσπλαγχνος.

Ω τού παραδόξου θαύματος! ο προκηρύξας Χριστού, πρός ανθρώπους τήν κένωσιν, υπεράνω δείκνυται, πάντων αυτού τή φωνή, Καί τή τεκούση λύει τήν στείρωσιν, δυνάμει θεία καί Ζαχαρίου φωνήν. Ω τών μεγάλων σου, θαυμασίων Δέσποτα! δι' ών Χριστέ, σώσον τούς τιμώντάς σου, τόν μέγαν Πρόδρομον.

Ω τού παραδόξου θαύματος! εν γεννητοίς γυναικών, ο Προφήτης καί Πρόδρομος, υπεράνω δείκνυται, Προφητών τε υπέρτερος, καί παρουσίας Χριστού προάγγελος, ο προσκιρτήσας εν τή νηδύϊ μητρός. Ώ τών μεγίστων σου, δωρεών φιλάνθρωπε! δι' ών Χριστέ, σώσον τάς ψυχάς ημών, ως παντοδύναμος.

Δόξα... Ήχος πλ. β'

Ανατολίου

Αστήρ αστέρων Πρόδρομος, στειρωτικής εκ νηδύος, επί γής τίκτεται σήμερον, Ιωάννης ο θεοπόθητος, καί Χριστού επιφαίνει τήν αυγήν ανατολήν τήν εξ ύψους, εις ευθείαν πιστοίς διάβασιν.

Καί νύν... Θεοτοκίον

Ήχος πλ. β'

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής. Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Δοξολογία μεγάλη, καί Απόλυσις

Δίδοται καί άγιον έλαιον τοίς αδελφοίς.

Εις τήν Λειτουργίαν, Τυπικά, καί εκ τών Κανόνων τού Αγίου, Ωδή γ' καί ς'.

Κοινωνικόν

Εις μνημόσυνον αιώνιον έσται Δίκαιος. Αλληλούια.

---

Αρχή

**ΤΗ ΚΕ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τής Αγίας Οσιομάρτυρος Φεβρωνίας.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Ιδιόμελα τού Προδρόμου γ'.

Ήχος δ'
Ιωάννου Μοναχού

Λύει τού Ζαχαρίου τήν σιωπήν, γεννηθείς ο Ιωάννης, καί γάρ ουδέ έπρεπε τόν πατέρα σιωπάν, προελθούσης τής φωνής, αλλ' ώσπερ απιστηθείσαν, πρώην τήν γλώτταν έδησεν, ούτω φανερωθείσαν, δούναι τώ πατρί τήν ελευθερίαν, ώ καί ευηγγελίσθη, καί εγεννήθη, φωνή τού Λόγου, καί φωτός Πρόδρομος, πρεσβεύων υπέρ τών ψυχών ημών.

Ο αυτός

Σήμερον η φωνή τού Λόγου, τήν φωνήν δι' απιστίαν κρατουμένην, λύει τήν πατρικήν, καί τής Εκκλησίας εμφαίνει τήν ευτεκνίαν, δεσμά τής στειρώσεως λύονται μητρικά, ο λύχνος τού φωτός προέρχεται, η αυγή τού ηλίου τής δικαιοσύνης, μηνύει τήν έλευσιν, εις ανάπλασιν πάντων, καί σωτηρίαν τών ψυχών ημών.

Ανατολίου ο αυτός

Θεού Λόγου μέλλοντος εκ Παρθένου τίκτεσθαι, Άγγελος εκ στειρωτικών ωδίνων προέρχεται, ο μέγας εν γεννητοίς γυναικών, καί Προφήτου περισσότερος, έδει γάρ θείων πραγμάτων, παραδόξους είναι τάς αρχάς, παρ' ηλικίαν τό γόνιμον, καί άνευ σποράς σύλληψις, ο ποιών θαυμάσια, εις σωτηρίαν ημών δόξα σοι.

Καί τής Αγίας Προσόμοια γ'

Ήχος δ'
Έδωκας σημείωσιν

Άθλησιν υπέμεινας, τή σή παλαίστρα κατάλληλον, Φεβρωνία πανεύφημε, ιδρώσιν ασκήσεως, μαρτυρίου αίμα, συγκερασαμένη, όθεν καί στέφανον διπλούν, ο ευεργέτης σοι εχαρίσατο, πρός όν καί ανελήλυθας, πεποικιλμένη λαμπρότητι, ως Παρθένος πανάμωμος, καί ως Μάρτυς αήττητος.

Κάλλει τό τού σώματος, η ωραιότης η ένθεος, τής ψυχής σου συνέδραμεν, ως κρίνον γάρ έλαμψας, εν μοναίς όσιαις, εκλελευκασμένη, καί ταίς τού αίματος ροαίς, πεφοινιγμένη Νύμφη πανάμωμε, διό σε καί ουράνιος, τερπνός εδέξατο θάλαμος, καί παστάς ακατάλυτος, ως Παρθένον καί Μάρτυρα.

Κύκλω παρενέβαλε, σού Φεβρωνία πανεύφημε, ο ρυόμενος Άγγελος, εκ βρέφους γάρ Κύριον, φοβουμένη ώφθης, καί ανακειμένη, ώσπερ ανάθημα τερπνόν, τετηρημένον τώ παντοκράτορι, εντεύθεν κατεπάτησας, τήν τού Σελήνου παράνοιαν, καί στεφθείσα ανέδραμες, πρός Χριστόν τόν νυμφίον σου.

Δόξα... Καί νύν... Ήχος πλ. β'

Η Ελισάβετ συνέλαβε τόν Πρόδρομον τής χάριτος, η δέ Παρθένος τόν Κύριον τής δόξης, Ησπάσαντο αλλήλας αι μητέρες, καί τό βρέφος εσκίρτησεν, ένδοθεν γάρ ο δούλος ήνει τόν Δεσπότην, θαυμάσασα η μήτηρ τού Προδρόμου, ήρξατο βοάν, Πόθεν μοι τούτο, ίνα η Μήτηρ τού Κυρίου μου έλθη πρός με; ίνα σώση λαόν απεγνωσμένον, Ο έχων τό μέγα έλεος δόξα σοι.

Εις τόν Στίχον, τής Οκτωήχου

Δόξα... Καί νύν... Ήχος πλ. δ'

Βλέπε τήν Ελισάβετ, πρός τήν Παρθένον Μαριάμ διαλεγομένην, Τί παραγέγονας πρός με, η Μήτηρ τού Κυρίου μου; σύ βασιλέα βαστάζεις, καγώ στρατιώτην, σύ τόν νομοδότην, καγώ τόν νομοθέτην, σύ τόν λόγον, καγώ τήν φωνήν, τήν κηρυξασαν τήν βασιλείαν τών ουρανών.

Απολυτίκιον τού Προδρόμου

Ήχος δ'

Προφήτα καί Πρόδρομε, τής παρουσίας Χριστού, αξίως ευφημήσαί σε ουκ ευπορούμεν ημείς, οι πόθω τιμώντές σε, στείρωσις γάρ τεκούσης, καί πατρός αφωνία, λέλυνται τή ενδόξω, καί σεπτή σου γεννήσει, καί σάρκωσις Υιού τού Θεού, κόσμω κηρύτεται.

Απολυτίκιον τής Αγίας

Ήχος δ’ Κατεπλάγη Ιωσήφ

Η αμνάς σου Ιησού, κράζει μεγάλη τή φωνή, Σέ Νυμφίε μου ποθώ, καί σέ ζητούσα αθλώ, καί συσταυρούμαι καί συνθάπτομαι τώ βαπτισμώ σου, καί πάσχω διά σέ, ως βασιλεύσω σύν σοί, καί θνήσκω υπέρ σού, ινακαί ζήσω ενσοί, αλλ' ως θυσίαν άμωμον, προσδέχου τήν μετά πόθου τυθείσάν σοι, Αυτής πρεσβείαις, ως ελεήμων, σώσον τάς ψυχάς ημών.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τού Προδρόμου είς, καί τής Αγίας ο παρών, ού η Ακροστιχίς.

Ύμνοις σε μέλπω προσφόρως Φεβρωνία.

Ποίημα Θεοφάνους.

Ωδή α' Ήχος πλ. δ'

Υγράν διοδεύσας

Υπέρμαχε δόξης τής τού Χριστού, παράσχου μοι χάριν, Φεβρωνία καί φωτισμόν, τήν σήν ευφημήσαι φωτοφόρον, καί σεβασμίαν πανήγυριν άσμασι.

Μελέτη θανάτου διηνεκεί, λαμπρύνασα Μάρτυς, Φεβρωνία σού τήν ψυχήν, έδραμες πρός ύψος μαρτυρίου, διά βασάνων πολλών προσαχθείσα Χριστώ.

Νεώσασα πόνοις ασκητικοίς, τήν άρουραν Μάρτυς, τής καρδίας σου τηλαυγώς, Μαρτύρων εδρέψω τούς στεφάνους, αθλητικώς τώ Θεώ ημών

άδουσα.

Ο νεύματι πάντα δημιουργών, εκ σού Θεομήτορ, εσαρκώθη, όν ευσεβώς, ποθήσασα κόρη Φεβρωνία, μαρτυρικώς εν αυτώ προσενήνεκται.

### Ωδή γ'
### Σύ εί τό στερέωμα

Ίσχυσας τώ Πνεύματι, καταβαλείν οφρύν ένδοξε, τυραννικήν, καί πολυθεϊας, Φεβρωνία τό άθεον.

Σύ νύν εστερέωσας, τή κραταιά χειρί Δέσποτα, μαρτυρικώς, αγωνιζομένην, Φεβρωνίαν τήν ένδοξον.

Σώμά σου τεμνόμενον, υπέρ Χριστού αγνή πάνσοφε, μαρτυρικώς, σύ τού Παραδείσου, εγεώργεις απόλαυσιν.

### Θεοτοκίον

Εύρέ σε βοήθειαν, τήν Θεομήτορα Πάναγνε, η ευκλεής, Μάρτυς Φεβρωνία, καί τυράννους κατήσχυνε.

### Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών Προστρεχόντων σοι Κύριε, σύ εί τό φώς τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

### Κάθισμα τού Προδρόμου
### Ήχος α'  Τόν τάφον σου Σωτήρ

Ο πάλαι ταίς ροαίς, Ιορδάνου βαπτίσας, την κάθαρσιν παντός, Ιωάννη τού κόσμου, πολλοίς με βυθιζόμενον, πλημμελήμασιν έλκυσον, καί απόπλυνον, από παντοίας κηλίδος, τόν Φιλάνθρωπον, διά παντός ικετεύων, ως πρέσβυς ευπροσδεκτος.

### Δόξα... τής Αγίας

Ποθήσασα Χριστόν, τόν ωραίον εν κάλλει, εχώρησας τομώς, πρός μεγίστους αγώνας, δι' ών τόν αρχέκακον, παντελώς εθανάτωσας, ού με λύτρωσαι, τών πολυπλόκων παγίδων, οδηγούσά με, ταίς σαίς ευχαίς Φεβρωνία, πρός θείαν μετάνοιαν.

### Καί νύν... Θεοτοκίον

Νηδύϊ μητρική, Ιωάννης σκιρτήσας, φερόμενον αγνή, τόν Θεόν εν γαστρί σου, επέγνω θεία χάριτι, καί πιστώς προσεκύνησεν, αλλά δέομαι, σύν τώ Προδρόμω Παρθένε, καθικέτευσον, όν εσωμάτωσας Λόγον, σωθήναι τόν δούλόν σου.

### Ωδή δ'
### Σύ μου ισχύς Κύριε

Μώμος εν σοί, όλως ουκ έστι πανεύφημε, Φεβρωνία, σύ γάρ αμφοτέρωθεν, τώ λυτρωτή σου καί εραστή, τώ πεποθημένω ευαρεστήσαι εσπούδασας, ασκήσεως εν πόνοις, καί μαρτύρων εν άθλοις, κοσμουμένη θεόφρον πανόλβιε.

Εξ απαλών, Μάρτυς ονύχων επόθησας, τής αγάπης, πηγήν τήν αέναον, τήν εφετήν πάσι λογικοίς, ής ορεγομένη βασάνων πόνους υπέμεινας, πυρί φλογιζομένη, καί μελών στερουμένη, Φεβρωνία παρθένων τό καύχημα.

Λόγοις Θεού, εντεθραμμένη θεόσοφε, τοίς ποθούσι, λόγον τόν σωτήριον τάς Ιεράς, βίβλους Ιερώς, εγχειριζομένη, ενθέως Μάρτυς εξήπλωσας, καί τής διδασκαλίας, τούς μισθούς εκομίσω, τών Μαρτύρων τήν δόξαν πλουτήσασα.

Θεοτοκίον

Πύλη φωτός, πάσιν εδείχθης Πανάμωμε, τοίς εν σκότει, φώς τό απερίγραπτον, περιγραπτώ σώματι Χριστόν, τής δικαιοσύνης τόν ήλιον απαστράψασα, ού νύν ταίς φρυκτωρίαις, Φεβρωνία ρωσθείσα, τών Μαρτύρων τό κλέος εκτήσατο.

Ωδή ε'

Ίνα τί με απώσω

Ωραιώθης πορφύρα, Μάρτυς εξ αιμάτων σου εξθφανθείση σοι, εγυμνώθης σώμα, καί παθών τών χιτώνα απέρριψας, πρό βημάτων στάσα, δικαστικών ώ Φεβρωνία, τού Χριστού μιμουμένη τήν γύμνωσιν.

Πυρωθείσα τώ πόθω, Μάρτυς τού νυμφίου σου τού νοητού τήν ψυχήν, καί θελχθείσα τούτου, καλλοναίς ακηράτοις υπέμεινας, τεμνομένη χείρας, καί τών πληγών τάς αλγηδόνας, Φεβρωνία Μαρτύρων τό καύχημα.

Ροή τών σών αιμάτων, τής πολλυθεϊας τήν φλόγα κατέσβεσεν, οι δέ σοί οδόντες, εκριζούμενοι πάσαν ανέσπασαν, τών ειδώλων πλάνην, καί τής τρυφής σοι Φεβρωνία, τήν αιώνιον τέρψιν ειργάσαντο.

Θεοτοκίον

Οι σοί πόδες τμηθέντες, θείων μαρτυρίων τήν τρίβον διώδευσαν, καί πρός τόν τεχθέντα, εκ Παρθένου αγίας μετέβησαν, εμπεριπατούντες, χαρμονικώς εν Παραδείσω, Φεβρωνία παρθένε Θεόνυμφε.

Ωδή ς'

Τήν δέησιν εκχεώ πρός Κύριον

Σελήνου τού δυσσεβούς η άθεος, καί θρασεία κατεβλήθη ωμότης, τής τού Θεού, περί πάντων προνοίας, εκζητησάσης τό αίμά σου, Ένδοξε, καί σέσωσται διά τής σής, καρτερίας ο θείος Λυσίμαχος.

Φωστήρα θεολαμπή σε έδειξεν, η σοφή καί θεοφόρος Βρυαίνη, ταίς διδαχαίς εκβιβάσασα κόρη, καί τής ελπίδος ουδόλως διήμαρτε, παρέστησε γάρ τώ Χριστώ, Φεβρωνία σε νύμφην αμόλυντον.

Θεοτοκίον

Ο έμψυχος τού Δεσπότου θάλαμος, ο λαμπραίς τής παρθενίας ακτίσι, φωτοειδώς, ώσπερ κρίνον εκλάμπων, τής ακανθώδους εν μέσω συγχύσεως, η πάναγνος καί ευπρεπής, Θεοτόκος αξίως δοξάζεται.

### Ο Ειρμός

«Τήν δέησιν εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών, η ψυχή μου επλήσθη, καί η ζωή μου τώ Άδη προσήγγισε, καί δέομαι ως Ιωνάς, Εκφθοράς ο Θεός με ανάγαγε».

### Κοντάκιον Ήχος γ'
### Η Παρθένος

Η πρίν στείρα σήμερον, Χριστού τόν Πρόδρομον τίκτει, καί αυτός τό πλήρωμα, πάσης τής προφητείας, όνπερ γάρ, προανεκήρυξαν οι Προφήται, τούτον δή, εν Ιορδάνη χειροθετήσας, ανεδείχθη Θεού Λόγου, Προφήτης Κήρυξ ομού καί Πρόδρομος.

### Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΕ' τού αυτού μηνός, Μνήμη τής Αγίας Οσιομάρτυρος καί πολυάθλου Φεβρωνίας.

### Στίχοι

- Προίξ τή γυναικών καλλονή Φεβρωνία.
- Τομή κεφαλής, ως καλή σοι προίξ γύναι!
- Δώκε δέ Φεβρωνίη ξίφει αυχένα εικάδι πέμπτη.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Ορεντίου, καί τών έξ γνησίων αδελφών αυτού, ών τά ονόματα Φαρνάκιος, Έρως, Φίρμος, Φιρμίνος, Κυριακός καί Λογγίνος.

### Στίχοι

- Εκδύς θαλάσσης ζών Ορέντιος βάθους,
- Εν γή τελευτά καί πρός ουρανόν τρέχει.
- Άρας ο Φαρνάκιος εκ γής πηλίνης,
- Ανήλθεν εις έδαφος οίκου Κυρίου.
- Ερών υπήρχεν ουρανών κάλλους Έρως,
- Πρός ούς μεταστάς, ώσπερ ήρα χαιρέτω.
- Θρόνοι νοητοί Φιρμίνός τε καί Φίρμος,
- Οίς εγκάθηται Βασιλεύς τών Αγγέλων.
- Κυριαχόν, Λογγίνον ως Ισαγγέλους,
- Θεός τίθησιν ισοτίμους Αγγέλοις.

Τή αυτή ημέρα, η ανάμνησις τής υπέρ λόγον καί πάσαν ελπίδα δοθείσης ημίν βοηθείας παρά τού μεγάλου Θεού καί Σωτήρος ημών Ιησού Χριστού, διά τών πρεσβείων τής ασπόρως αυτόν τεκούσης, κατά τών διά γής τε καί θαλάσσης, κυκλωσάντων τήν καθ' ημάς Βασιλίδα τών πόλεων, καί πανωλεθρία παραδοθέντων τελείω αφανισμώ.

Ταίς τής Θεοτόκου καί πάντων σου τών Αγίων πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

## Ωδή ζ'

### Παίδες Εβραίων

Ρείθρα πηγάζεις ιαμάτων, τοίς προστρέχουσιν εν πίστει τώ ναώ σου, Φεβρωνία σεμνή, καί τώ Χριστώ βοώσιν, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Ω τής καλής σου πραγματείας! σαρκός αίματος θεόφρον αντηλλάξω, βασιλείαν Θεού, πανεύφημε βοώσα, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

### Θεοτοκίον

Στίφει παρθένων συγχορεύεις, αξιάγαστε παρθένε Φεβρωνία, τή Παρθένω καί Θεομήτορι βοώσα, Ευλογημένος πάναγνε, ο καρπός τής σής κοιλίας.

## Ωδή η'

### Επταπλασίως καμινον

Φωτοφανώς η μνήμη σου, Φεβρωνία τελείται νύν, ταίς φωτοειδέσιν αστραπαίς πυρσεύουσα, φωτί γάρ ωμίλησας, καί φωτοφόρος γέγονας, Τόν φωτοποιόν, καί φωτοδότην βοώσα, οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Εθαυμαστώθης πρότερον, εν ασκήσει πανεύφημε, καί μαρτυρικώς, κατεκοσμήθης ύστερον, οπίσω γάρ έδραμες, τού εραστού νεάνις φαιδρά, καί σού τούς μαστούς, τούς αγαθούς υπέρ οίνον, ετμήθης Φεβρωνία, υπέρ τής ευσεβείας, οσμή δέ σου τών μύρων, πιστούς εύωδιαζεις.

Βεβαρυμμένος πταίσμασι, Φεβρωνία πανεύφημε, καί ταίς τρικυμίαις, τών παθών κυκλούμενος, προσφεύγω τή σκέπη σου, τών αμφοτέρων λύσιν ζητών, αλλ' ως θαυμαστή, καί εκλεκτή τώ Δεσπότη, βοώντα μή παρίδης, αλλά με σαίς πρεσβείαις, εξαρπασον θεόφρον, εκ βρόχων ψυχοφθόρων.

### Θεοτοκίον

Ρητορευόντων γλώσσαί σε, ανυμνήσαι ου σθένουσιν, ώ Θεογεννήτορ, Μαριάμ Θεόνυμφε, Θεόν γάρ εγέννησας, τόν επί πάντων Κόρη άγνή, εκ παρθενικής, απειρογάμου νηδύος, ώ νύν η Φεβρωνία, μελωδούσα κραυγάζει, Λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

### Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν, εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, τόν Δημιουργόν καί Λυτρωτήν ανεβόα, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

## Ωδή θ'

### Εξέστη επί τούτω ο ουρανός

Ω θεία τού Δεσπότου περιστερά, περιηργυρωμένη λαμπρότητι, παρθενική, σώμα λαμπρυνθείσα ασκητικώς, κεχρυσωμένη πτέρυγας, ταίς χλωροειδέσι μαρμαρυγαίς, τής σής ομολογίας, καί θείων σου αιμάτων, τούς σέ υμνούντας

καταφαίδρυνον.

Νοί προσομιλούσα γυμνώ τώ νώ, Φεβρωνία θεόφρον κατέλαβες, τών ορεκτών, έσχατον καί τέλους, μακαριστού, επιτυχείν ηξίωσαι, νύν συμβασιλεύουσα τώ Χριστώ, λαμπρώς τώ σώ νυμφίω, αφράστοις εν θαλάμοις, εν ευφροσύνη διαμένουσα.

Ιάσεις αναβρύεις ως ποταμός, ροιζηδόν τοίς εν πίστει προστρέχουσι, σού τή σεπτή, θήκη Φεβρωνία θεοειδές, τής παρθενίας άγαλμα, άνθος τό τής φύσεως τό τερπνόν, θυγάτηρ Βασιλέως, η ένδον κεκτημένη, τής θείας δόξης τό αγλάϊσμα.

Θεοτοκίον

Ανώρθωσας Παρθένε τών γυναικών, τό ολίσθημα Λόγον κυήσασα, τόν ανορθούν, τούς κατερραγμένους, ως αγαθόν, καί κραταιόν δυνάμενον, όν η Φεβρωνία η ευκλεής, ποθήσασα συντόνως, οπίσω σου δραμούμαι, αγαλλομένη ανεβόησεν.

Ο Ειρμός

«Εξέστη επί τούτω ο ουρανός, καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι μεγαλύνουσι».

Εξαποστειλάριον τού Προδρόμου

Γυναίκες ακουτίσθητε

Τό τού Προδρόμου σήμερον, χαροποιόν Γενέθλιον, τό σκυθρωπόν διαλύει, τής τού πατρός αφωνίας, καί τής τεκούσης στείρωσιν, μηνύει δέ τήν μέλλουσαν, χαράν καί αγαλλίασιν, διό καί πάσα η κτίσις, αυτό φαιδρώς εορτάζει.

Θεοτοκίον

Προφήται προεκήρυξαν, Απόστολοι εδίδαξαν, καί Μάρτυρες θεοφρόνως, τόν σόν Υιόν Θεοτόκε, τρανώς καθωμολόγησαν, Θεόν τών όλων πάναγνε, μεθ' ών σε μεγαλύνομεν, οι διά σού λυτρωθέντες, τής παλαιάς καταδίκης.

Εις τόν Στίχον, τής Οκτωήχου

Δόξα... Τού Προδρόμου

Ήχος πλ. δ'

Πρέπει τώ Ιωάννη η ευωδία, πρέπει τώ Βαπτιστή τών ασμάτων η τερπνότης, ούτος γάρ εκήρυξε τήν απαρχήν τής ημών σωτηρίας, ο σκιρτών εν κοιλία, καί βοών εν ερήμω, Μετανοείτε, τού Βασιλέως ο στρατιώτης, ο Πρόδρομος τής χάριτος, ο τόν αμνόν προμηνύων, καί τόν Σωτήρα πρεσβεύων, υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

Ήχος πλ. δ’

Δέσποινα πρόσδεξαι, τάς δεήσεις τών δούλων σου, καί λύτρωσαι ημάς, από πάσης ανάγκης καί θλίψεως.

Καί η λοιπή Ακολουθία καί, Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Δαυίδ τού εν Θεσσαλονίκη.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'

Ω τού παραδόξου θαύματος

Πάτερ Δαυϊδ παμμακάριστε, δι' εγκρατείας τόν νούν, λαμπρυνόμενος άριστα, πρός τό πρώτον αίτιον, τών καλών ανεπτέρωσας, καί στύλος ώφθης, φωτοειδέστατος, φωτίζων πάντας, λόγοις καί θαύμασι, τούς προσιόντας σοι, διανοία πάντοτε θεοπρεπεί, όθεν σε γεραίρομεν, καί μακαρίζομεν.

Καθάπερ όρνις ευκέλαδος, εν αναβάσει φυτού, καλιάν Πάτερ έπηξας, τώ κρύει πηγνύμενος, καί τώ θέρει φλεγόμενος, χρυσάς εντεύθεν έλαβες πτέρυγας, τής απαθείας, καί τελειότητος, καί πρός ουράνιον, ύψος κατεσκήνωσας υπέρ ημών, πάντοτε δεόμενος, τών ευφημούντων σε.

Θείω απαθείας άνθρακι, φλέξας σαρκός ηδονάς, ακατάφλεκτος έμεινας, εν χερσί τούς άνθρακας, πρό προσώπου θεόπνευστε, τού Βασιλέως κατέχων, Όσιε, εκπληττομένου τήν σήν λαμπρότητα, όθεν παρέσχε σοι, τάς αιτήσεις μέγιστον πρός τόν Θεόν, πρέσβυν σε μακάριε.

Δόξα... Καί νύν... Θεοτοκίον

Πάντοτε πράττων τά άποπα, τόν Ποιητήν μου Θεόν, παροργίζω ο άθλιος, καί πτοούμαι πάναγνε, τήν αιώνιον κόλασιν, καί τού πυρός τήν φλόγα τήν άσβεστον, καί τών σκωλήκων τήν αγριότητα, ών με εξάρπασον, Δέσποινα πανύμνητε, τόν σόν Υιόν, λόγοις τόν φιλάνθρωπον, καθικετεύουσα.

Η Σταυροθεοτοκίον

Ως έβλεψέ σε σταυρούμενον, εν τώ Κρανίω Σωτήρ, ηλλοιούτο η συμπασα, κτίσις καί συνείχετο, δονουμένη μή φέρουσα, αδίκως πάσχοντα υπεράγαθε, η δέ Παρθένος αγνή καί Μήτηρ σου, Οίμοι! εφθέγγετο, τέκνον μου γλυκύτατον, τί τό καινόν, τούτο καί παράδοξον, καί ξένον θέαμα;

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Ωκτωηχου, καί τού Αγίου ο παρών, ού η Ακροστιχίς.

Υμνώ μάκαρ σου τόν βίον θείοις λόγοις. Ιωσήφ.

Ωδή α'  Ήχος πλ. α'
Ίππον καί άναβάτην

Ύμνοις τήν φωτοφόρον, καί θείαν μνήμην σου, συνελθόντες τιμώμεν, Δαυϊδ μακαριώτατε, φωτός εγνωκότες σε, καί ημέρας, Όσιε, κληρονόμον εν θείω Πνεύματι.

Μέλη νεκρώσας Πάτερ, εν γή τού σώματος, την ζωήν ενοικούσαν, εν τή καρδία έσχηκας, Χριστόν τόν νεκρώσαντα, διαβόλου δύναμιν, τού νεκρώσαντος τό ανθρώπινον.

Νόμοις τοίς τού Δεσπότου, υπείκων Όσιε, τόν σταυρόν σου επ' ώμων, ανέλαβες τοίς ίχνεσι, τοίς τούτου επόμενος, καί καθείλες έπαρσιν, τού αλάστορος ταπεινούμενος.

Θεοτοκίον

Ώφθης ωραϊσμένη, τώ κάλλει τών αρετών, καί Χριστόν τόν ωραίον, Παρθένε απεκύησας, βροτούς ωραϊσαντα, τοίς ωραίοις κάλλεσι, τής θεότητος αειπάρθενε.

Ωδή γ'
Ο πήξας επ' ουδενός

Μαράνας δι' εγκρατείας, κάλλος τού σώματος, τάς αυγάς εδέξω τού θείου Πνεύματος, καί τής απαθείας φωταυγείς, απήστραψας ακτίνας, καί ιαμάτων τά χαρίσματα, Πάτερ τού Προφήτου ομώνυμε.

Αγίων ιχνηλατών, τούς βίους μακάριε, όλος ηγιάσθης ταίς θείαις πράξεσιν, όθεν αγιάζεις μυστικώς, τούς πίστει τήν αγίαν, επιτελούντάς σου πανήγυριν, Πάτερ θεοφόρε πανόλβιε.

Κοιμίσας τάς ηδονάς, τού σώματος, Όσιε, προσευχαίς αγρύπνοις καί αγωνίσματι, Πάτερ εν ειρήνη αληθώς, υπνώσας εκοιμήθης, όθεν σε άγρυπνον κεκτήμεθα, φύλακα οι πόθω τιμώντές σε.

Θεοτοκίον

Αγγέλων τιμιωτέρα, ώφθης κυήσασα, τόν αυτούς Παρθένε δημιουργήσαντα, όθεν ικετεύω σε αγνή, αγίασον τόν νούν μου, καί τήν καρδίαν φωταγώγησον, νέφη τών παθών εκδιώκουσα.

Ο Ειρμός

«Ο πήξας επ' ουδενός, τήν γήν τή προστάξει σου, καί μετεωρίσας ασχέτως βρίθουσαν, επί τήν ασάλευτον Χριστέ, πέτραν τών εντολών σου, τήν Εκκλησίαν σου στερέωσον, μόνε αγαθέ καί φιλάνθρωπε».

Κάθισμα  Ήχος πλ. δ'
Τήν σοφίαν καί Λόγον

Εγκρατεία τά πάθη τά τής σαρκός, τή ψυχή υποτάξας Πάτερ σοφέ, ωράθης μακάριε, μετά σώματος Άγγελος, καλιάν δέ πήξας, ως όρνις ευκέλαδος, εν φυτώ εις ύψος, τόν νούν ανεπτέρωσας, όθεν τών θαυμάτων, ενεργείας πλουτήσας, μετήλθες πρός Κύριον, όν εκ βρέφους επόθησας, διά τούτο βοώμέν σοι, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω τήν αγίαν μνήμην σου.

Θεοτοκίον

Παναγία Παρθένε Μήτηρ Θεού, τής ψυχής μου τά πάθη τά χαλεπά, ίασαι δέομαι, καί συγγνώμην παράσχου μοι, τών εμών πταισμάτων, αφρόνως ών έπραξα, τήν ψυχήν καί τό σώμα, μολύνας ο άθλιος, Οίμοι! Τί ποιήσω, εν εκείνη τή ώρα, ηνίκα οι Άγγελοι, τήν ψυχήν μου χωρίζουσιν, εκ τού αθλίου μου σώματος; Τότε Δέσποινα βοήθειά μοι γενού, καί προστάτις θερμότατος, σέ γάρ έχω ελπίδα, ο ανάξιος δούλός σου.

Η Σταυροθεοτοκίον

Τόν αμνόν καί ποιμένα καί λυτρωτήν, η αμνάς θεωρούσα εν τώ Σταυρώ, ωλόλυζε δακρύουσα, καί πικρώς εκβοώσα, ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταυρωσιν, ήνπερ υπομένεις, διά σπλάγχνα ελέους, Μακρόθυμε Κύριε, τού ελέους η άβυσσος, καί πηγή αγαθότητος, σπλαγχνίσθητι καί δώρησαι ούν, τών πταισμάτων άφεσιν τοίς δούλοις σου, τοίς ανυμνούσί σου πίστει, τά θεία παθήματα.

Ωδή δ'

Τήν θείαν εννοήσας σου

Ρημάτων ζωηρύτων τού Πνεύματος, καθυπακούσας αλμυράν, τού βίου θάλασσαν έλιπες, καί τοίς κρουνοίς τών δακρύων, παθών εναπεξήρανας ρεύματα.

Συνέσεως καί χάριτος έμπλεως, Πάτερ γενόμενος Δαυϊδ, εν ησυχία εζήτησας, τόν ευεργέτην τών όλων, καί τούτου τής ελλάμψεως έτυχες.

Ο βίος σου τή βία τής φύσεως, περιφανής αναδειχθείς, καί συνεργεία τού Πνεύματος, βιαιοτάτης κακίας, ανθρώπους ελυτρώσατο Όσιε.

Θεοτοκίον

Υμνούμέν σε πανύμνητε Δέσποινα, τόν υπερύμνητον Θεόν, ανερμηνεύτως κυήσασαν, τήν τούς χορούς τών Αγγέλων, τώ κάλλει ασυγκρίτως νικήσασαν.

Ωδή ε'

Ο αναβαλλόμενος

Τείνας σου τά όμματα, καί τά νοήματα πρός τόν εν ξύλωαναρτηθέντα, φυτώ ενεκαρτέρησας, φλεγόμενος Πάτερ, καί νιφετοίς πηγνύμενος.

Όλος αστραπόμορφος, ωράθης Όσιε, τό πύρ παλάμαις Δαυϊδ κατέχων, καί τόν βασιλεύοντα θυμιών συνθέτω, παμμάκαρ θυμιάματα.

Νύν ουκ εν αινίγματι, ουδέ φαντάσματι, τό θείον κάλλος οράς Παμμάκαρ, πρόσωπον δέ, Όσιε, πρός πρόσωπον μάλλον, λυθεισών τών εμφάσεων.

Βότρυς ωραιότατος, τής θείας, Όσιε Δαυΐδ αμπέλου, εφάνης βλύζων, οίνον κατανύξεως, τοίς εκ μέθης Πάτερ, παθών παραφρονήσασι.

Θεοτοκίον

Ίθυνον τόν βίον μου, καί τά κινήματα, τής διανοίας αγνή Παρθένε, πρός το θείον βούλημα, τού εκ σού αρρήτως, ημίν επιδημήσαντος.

## Ωδή ς'

Μαινομένην κλύδωνι

Οίκος θείου Πνεύματος, εγνωρίσθης Όσιε Δαυΐδ, εν μικρώ οικίσκω συγκλειόμενος, καί τήν στενήν τής ευρυχώρου ελόμενος.

Νόμοις καθυπέκλινας, τού Δεσπότου Πάτερ τήν ψυχήν, καί φωτός ανάπλεως γεγένησαι, καί δεκτικός τών χαρισμάτων τού Πνεύματος.

Θαύμασιν ο βίος σου, θεοφόρε Πάτερ αληθώς, καθωραϊζόμενος τοίς πέρασι, διεδόθη, όθεν πιστώς ευφημούμέν σε.

Θεοτοκίον

Εξ αγνών αιμάτων σου, εξυφάνθη σάρξ υπερφυώς, τώ δημιουργήσαντι τόν άνθρωπον, Θεοτόκε, όθεν αξίως υμνούμέν σε.

Ο Ειρμός

«Μαινομένην κλύδωνι, ψυχοφθόρω Δέσποτα Χριστέ, τών παθών τήν θάλασσαν κατεύνασον, καί εκ φθοράς ανάγαγέ με ως εύσπλαγχνος».

## Συναξάριον

Τή ΚΣΤ' τού αυτού μηνός, Μνήμη τού Οσίου πατρός ημών Δαυΐδ, τού εν Θεοσαλονίκη.

Στίχοι

- Δαυΐδ συνήφθης τώ πάλαι Δαυΐδ νέε,
- Άλλον Γολιάθσαρκικά κτείνας πάθη.
- Εκτη εξεπέρησε πύλας βίου εικάδι Δαυΐδ.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημων Ιωάννου Επισκόπου Γοτθίας.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

## Ωδή ζ'

Ο υπερυψούμενος.

Ίστασο ακλόνητος, φυτού κλόνοις Όσιε, αρδείαις δακρύων σου, συχνώς ποτιζόμενος, καί μέλπων ασιγήτως, ο Θεός ευλογητός εί.

Όλην σου τήν έφεσιν, πρός Θεόν ανέτεινας, όλην τήν καρδίαν σου, δοχείον

ετέλεσας, τών θείων χαρισμάτων, θεοφόρε εις αιώνας.

Ίθυνας τόν βίον σου, πρός τό θείον θέλημα, έφθασας ως ήλπισας, τήν άνω μητρόπολιν, εν ή τό σόν εκτήσω, πολίτευμα θεόφρον.

Σέ φωτοειδέστατον, Πάτερ χρηματίσαντα, άνθρακας κατέχοντα, παλάμαις ως έβλεψεν, ο άναξ κατεπλάγη, καί πεσών σοί προσεκύνει.

Θεοτοκίον

Λέλυται τώ τόκω σου, αράς τό ανθρώπινον, μόνη παντευλόγητε, διό σε δοξάζομεν, ως κεχαριτωμένην, Θεοτόκε εις αιώνας.

## Ωδή η'

Σοί τώ παντουργώ

Όρθρος φαεινός, τοίς εν τώ σκότει ώφθης, τού βίου Μακάριε, φώς επιγνώσεως, πάσιν αυγάζων, τοίς πόθω σε υμνούσι, καί υπερυψούσι, Χριστον εις τούς αιώνας.

Γέγονας ευθύς, καί ταπεινός καί πράος, Δαυϊδ τόν συνώνυμον, εξεικονίζων πιστώς, όθεν σύν τούτω, τήν γήν τήν τών πραέων, Πάτερ εκληρώσω, εις πάντας τούς αιώνας.

Ο θεοφεγγής, τών μοναζόντων στύλος Δαυϊδ ο μακάριος, Προφήτης ένθεος, άλλος εδείχθη, τά μέλλοντα προλέγων, θεία επιπνοία, τού Πνεύματος τού θείου.

Ιεροπρεπής, ιερωμένος όλως, ημερών τού πνεύματος πλήρης γενόμενος, Πάτερ εν γήρα οσίως βαθυτάτω, έλιπες τόν βίον, καί ζής εις τους αιώνας.

Θεοτοκίον

Σέ τήν καλλονήν, τού Ιακώβ Παρθένε, Θεός ήν ηγάπησε, καί εξελέξατο, πάντες ως μόνην, αεί ευλογημένην ανυμνολογούμεν, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Σοί τώ παντουργώ, εν τή καμίνω Παίδες, παγκόσμιον πλέξαντες, χορείαν έμελπον, Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

## Ωδή θ'

Ησαϊα χόρευε

Ιεράν πανήγυριν, συνελθόντες σήμερον πιστώς, τελέσωμεν Ιερού, άπαντες Πατρός, ασκήσει εκλάμψαντος, καί εαυτόν, όλον τώ Θεώ, καθιερώσαντος, διά βίου τελειότητος.

Ώσπερ δένδρον τέθηλας, εφ' υδάτων, Όσιε ροαίς, πνευματικών αρετών, φέρων τούς καρπούς, φυτώ δέ πηξάμενος, ως αετός, Πάτερ καλιάν, πρός τά ουράνια, τάς σάς φρένας εξεπέτασας.

Σού προφητικώτατα, θεωρήσας Όσιε Δαυϊδ, τήν έξοδον προφωνείς, ταύτην τοίς λαοίς, ηνίκα στελλόμενος, τήν κατ' αυτών έστησας σοφέ, τού βασιλεύοντος, σφοδροτάτην αγανάκτησιν.

Η αγία μνήμη σου, αγιάζει σήμερον ημάς, τελούντας ταύτην πιστώς, Όσιε Δαυϊδ, αγίως γάρ ήνυσας, τήν σεαυτού, Άγιε ζωήν, καί μετά κοίμησιν, τοίς Αγίοις συναγάλλη αεί.

Θεοτοκίον

Φωτοφόρον πύλην σε, προεώρα, Ιεζεκιήλ, δι' ής διήλθε τό φώς, τό αληθινόν, Χριστός ο Θεός ημών, όν εκτενώς, αίτησαι Αγνή, τής μετανοίας μοι, διανοίξαι πύλας δέομαι.

Ο Ειρμός

«Ησαϊα χόρευε, η Παρθένος, έσχεν εν γαστρί, καί έτεκεν υιόν τόν Εμμανουήλ, Θεόν τε καί άνθρωπον, ανατολή, όνομα αυτώ, όν μεγαλύνοντες, τήν Παρθένον μακαρίζομεν».

Καί τά λοιπά τού Όρθρου, ως σύνηθες. Καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΖ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Σαμψών τού Ξενοδόχου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'

Πανεύφημοι μάρτυρες

Πάτερ πανεύφημε σαρκός, τάς ορμάς ασκήσεως, καταμαράνας πυρσεύμασιν, έρημον ώκησας, ως Ηλίας πάλαι, τόν νούν καθαιρόμενος, απαύστοις πρός τό θείον συννεύσεσι, καί νύν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Πάτερ θεόσοφε Σαμψών, ασκηταίς ηρίθμησαι, τή απαθεία κοσμούμενος, καί κατεσκήνωσας, εν μοναίς οσίαις, ένθα φώς τό άδυτον, τό ξύλον τής ζωής όπου πέφυκε, καί νύν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Πάτερ θεόπνευστε Σαμψών, φωστήρ εχρημάτισας, φωταγωγών τήν υφήλιον, θαυμάτων λάμψεσι, ψυχοφθόρων νόσων, απευλαύνων ζόφωσιν, δαιμόνων εκμειών αμαυρότητα, καί νύν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Μαρία τό άμωμον καί νούν, πάντα υπερκείμενον, τή καθαρότητι όχημα, περικρατούμενον, πολλαίς αμαρτίαις, καί στενοχωρούμενον, πρός πλάτος

μετανοίας με ίθυνον, πανσθενεστάτη σου, προστασία, καί γάρ δύνασαι, οία Μήτηρ, τού πάντα ισχύοντος.

Η Σταυροθεοτοκίον

Τόν ίδιον άρνα η αμνάς, καί άμωμος Δέσποινα, εν τώ Σταυρώ, ως εώρακεν, είδος ουκ έχοντα, ουδέ κάλλος, Οίμοι! θρηνωδούσα έλεγε, τό κάλλος πού σου έδυ γλυκύτατε; πού η ευπρέπεια; πού η χάρις η αστράπτουσα, τής μορφής σου, Υιέ μου παμφίλτατε;

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τού Αγίου ο παρών, ού η Ακροστιχίς.

Υμνώ σε Σαμψών πίστεως θείοις λόγοις, Ιωσήφ.

### Ωδήα' Ήχος πλ. β'

Δεύτε λαοί

Ύμνοις τήν σήν, φαεινοτάτην πανήγυριν, ανευφημείν ορμήσαντι, φώς μοι κατάπεμψον, παρεστώς στεφηφόρος, τώ θρόνω τού Δεσπότου Μακαριώτατε.

Μόνα ποθών, τά πρός ζωήν οδηγούντά σε, κόσμου τερπνά παρέδραμες, καί υπερκόσμιον, κληρουχίαν εκτήσω, διό σε συνελθόντες Σαμψών γεραίρομεν.

Νόμω Θεού, υποκλιθείς, Αξιάγαστε, πρός αρετής ακρώρειαν, χαίρων ανέδραμες, ελεήμων εν πάσι, γενόμενος, διό σε νύν μακαρίζομεν.

Ώφθης πτωχών, συμπαθεστάτη βοήθεια, καί ασθενούντων Όσιε, ιατρός άριστος, καί καταπονουμένων αντίληψις, διό σε Θεός εδόξασε.

Θεοτοκίον

Σέ τού Θεού, τήν υπέρ λόγον λοχεύτριαν, ως κραταιάν αντίληψιν, πάντων Πανάμωμε, τών καταπονουμένων, δοξάζομεν απαύστως καί μακαρίζομεν.

### Ωδή γ'

Στερέωσον ημάς

Ελέω τού Θεού τό θείον έλεος, εκτήσω καί τής φωνής επακούσαι, ηξιώθης τής καλούσης σε, πρός τόν θείον νυμφώνα Αξιάγαστε.

Σαμψών τόν Ιερόν ανευφημήσωμεν, Θεού γάρ μιμούμενος ευσπλαγχνίαν, συμπαθής νοσούσι γέγονε, γυμνουμένων τε πάντων περιβόλαιον.

Αγίως καί σεπτώς τόν θείον βίον σου, ανύσας Αγίοις συνηριθμήθης, καί μονάς οσίων έφθασας, φωτισμού απορρήτου αξιούμενος.

Μακάριος εί σύ, καί εύ σοι γέγονε, τούς θείους τηρήσαντι Πάτερ νόμους, τού Κυρίου καί Θεού ημών, όν ικέτευε σώζεσθαι τήν ποίμνην σου.

Θεοτοκίον

Ψυχής μου καί νοός Αγνή απέλασον, τό σκότος καί δίδου ως εν ημέρα, ευσχημόνως πολιτεύεσθαι, τά σωτήρια πράττοντα προστάγματα.

Ο Ειρμός

«Στερέωσον ημάς εν σοί Κύριε, ο ξύλω νεκρώσας τήν αμαρτίαν, καί τόν φόβον σου εμφύτευσον, εις τάς καρδίας ημών τών υμνούντων σε».

Κάθισμα Ήχος α'

Τόν τάφον σου Σωτήρ

Κτησάμενος ψυχήν, ελεήμονα Πάτερ, επήρκεσας πτωχοίς, δαψιλεί χορηγία, καί νύν μεταβέβηκας, πρός τά άνω βασίλεια, τών καμάτων σου, τάς αντιδόσεις λαμβάνων, διά τούτό σε εν ευφροσύνη καρδίας, Σαμψών μακαρίζομεν.

Θεοτοκίον

Η μόνη τών πιστών, κραταιά προστασία, όν έτεκες Θεόν, υπέρ νούν τε καί λόγον, απαύστως ικέτευε, τάς ψυχάς ημών ρύσασθαι, πάσης θλίψεως, καί συμφορών καί κινδύνων, Μητροπάρθενε, αμαρτωλών προστασία, τού κόσμου βοήθεια.

Η Σταυροθεοτοκίον

Η άσπιλος αμνάς, τόν αμνόν καί ποιμένα, κρεμάμενον νεκρόν, επί ξύλου ορώσα, θρηνούσα εφθέγγετο, μητρικώς ολολύζουσα, πώς ενέγκω σου, τήν υπέρ λόγον Υιέ μου, συγκατάβασιν, καί τά εκούσια πάθη, Θεέ υπεράγαθε;

Ωδή δ'

Εισακήκοα Κύριε

Ως αστήρ φαεινότατος, πάντων ημών, φωτίζεις τάς καρδίας, τών αξιοχρέως μακαριζόντων σε.

Νυσταγμόν εκ βλεφάρων σου, αποβαλών, ηγρύπνησας καί πάσας, ηδονάς εκοίμισας τάς τού σώματος.

Πενομένοις επήρκεσας, διά Χριστόν καί εϊληφας τήν άνω, κληρουχίαν Όσιε αγαλλόμενος.

Ιερώς πεπολίτευσαι, επί τής γής, παμμάκαρ θεοφόρε, καί τών αιωνίων τερπνών επέτυχες.

Θεοτοκίον

Σέ πανάμωμε Δέσποινα, τό φωτεινόν, παλάτιον τού Λόγου, ανυμνολογούμεν καί μακαρίζομεν.

Ωδη ε'

Ο τού φωτός χορηγός

Τό καθαρώτατον φώς, αναπαυσάμενον εν σοί, Όσιε, φωτοειδή, ετέλεσε Πάτερ, φωτίζοντα πιστούς, ταίς τών αρετών σου, φαιδραίς επιλάμψεσιν.

Εν συμπαθεία πολλή, τοίς πενομένοις πλουτισμός γέγονας, καί ιατρός τοίς εν ασθενείαις, εγείρας προφανώς, τούτοις ιατρείον, καθαίρον νοσήματα.

Ώφθης ναός καθαρός, τού παναγίου καί σεπτού Πνεύματος, τής τών παθών ιλύος, καθάρας σεαυτόν ως αληθώς, Πάτερ θεοφόρε, διό ευφημούμέν σε.

Θεοτοκίον

Σέ Παναγία Αγνή, τήν καλλονήν τού Ιακωβ πίστεως, θείαις φωναίς, ανυμνολογούμεν, κυήσασαν ημίν, Θεόν σαρκοφόρον, όν τρέμει τά σύμπαντα.

## Ωδή ς'

Εν αβύσσω πταισμάτων

Θησαυρούς ουρανίους επλούτησας, στέργων τήν συμπάθειαν, Σαμψών αοίδιμε, καί υπανοίγων πένησι, σού τά σπλάγχνα τελείω φρονήματι.

Εδομήσω εις δόξαν Θεού ημών, οίκον Ιερώτατον, εν ώ προστρέχοντες, πολυειδών καθαίρονται, νοσημάτων πιστοί Παμμακάριστε.

Ιερώς σου τόν βίον διήνυσας, καί μετά Οσίων οσίως εσκήνωσας, υπέρ ημών δεόμενος, τών πιστώς σε τιμώντων θεόπνευστε.

Θεοτοκίον

Ουρανός υψηλός εχρημάτισας, τού παμβασιλέως Θεού Παναμώμητε, καί καθαρόν παλάτιον, καί παστάς φωτεινή θεία χάριτι.

Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, Εκ φθοράς ο Θεός με ανάγαγε».

## Κοντάκιον Ήχος δ'

Ως ιατρόν πανάριστον, καί λειτουργόν ευπρόσδεκτον, οι τή σορώ σου τή θεία προστρέχοντες, Σαμψών θεόφρον Όσιε, συνελθόντες σε ύμνοις, καί ψαλμοίς ανυμνούμεν, Χριστόν δοξάζοντες, τόν τοιαύτην σοι χάριν παρέχοντα τών ιάσεων.

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΖ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Σαμψών τού Ξενοδόχου.

Στίχοι

- Εξήγεν ο πρίν εκ γνάθου Σαμψών πόμα.
- Ο νύν δέ Σαμψών μύρον εκ τάφου βρύει.
- Εικάδι εβδομάτη Σαμψών θάνε, βλύσέ τε μύρα.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Ανέκτου.

Στίχοι

- Ουκ ήν ανεκτόν τώ Ανέκτω μή στέργειν
- Τόν διά Χριστόν θάνατον μέχρι τέλους.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

## Ωδή ζ'

### Εικόνος χρυσής

Ισχύν τόν Χριστόν, κραταιάν εν πειρασμοίς έχων παμμάκαρ, βίου διέβης τό κλυδώνιον, ακαταπόντιστος Όσιε, καί πρός γαληνότατον όρμον, προσωρμίσθης γηθόμενος, Ευλογητός εί εκβοών, ο τών Πατέρων Θεός.

Σοφία πολλή, καί στοργή πνευματική Πάτερ κινούμενος, οίκον εδείμω μάκαρ μέγιστον, εν ώ προσφευγοντες Όσιε, ίασιν κομίζονται πάντες, οι βοώντες καί λέγοντες, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Λαμπτήρ φαεινός, αρετών θείω φωτί λελαμπρυσμένος, Σαμψών ωράθης καί κατηύγασας, τής οικουμένης τά πέρατα, όθεν συνελθόντες σε πίστει, μακαρίζοντες ψάλλομεν, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ήμών.

### Θεοτοκίον

Ο πόκος ποτέ, προεδήλου τήν αγνήν Σεμνή γαστέρα σου, εισδεξαμένην τήν ουράνιον, δρόσον τήν πάντας δροσίζουσαν, τούς κεκρατημένους τή δίψη, τής αμαρτίας κραυγάζοντας, Ευλογημένη η Θεόν, σαρκί κυήσασα.

## Ωδή η'

### Τόν εν καμίνω τού πυρός

Γλώσσαν κινών χαρμονικώς, εις Θεού Πάτερ Σαμψών ύμνους, τά πάθη τής σαρκός εγκρατεία, κατεδουλώσω ψυχή, καί δούλος Χριστού γνησιώτατος, ώφθης καί τής άνω, πόλεως κληρονόμος.

Ο καθαρώτατός σου νούς, φρυκτωρίαις θεϊκαίς ηγλαϊσμένος, φωτεινότατος ώφθη, καί δεκτικός καθαρών Παμμάκαρ θείων επιλάμψεων, όθεν σε τιμώμεν, εν ύμνοις θεοφόρε.

Ιερωτάτην εσχηκώς, τήν ζωήν πανευκλεώς Σαμψων παμμάκαρ, προφανώς εδοξάσθης, πρός τόν Θεόν μετελθών, Ιδού γάρ μένει τό μνημόσυνον, τό σόν εις αιώνας, καί η δικαιοσύνη.

### Θεοτοκίον

Στήσον παθών μου τό δεινόν, νύν κλυδώνιον αγνή ευλογημένη, καί πολέμησον πάντας, τούς αφειδώς τή εμή, πτωχεία Κόρη επεμβαίνοντας, δυσμενείς ασάρκους, όπως πιστώς υμνώ σε.

### Ο Ειρμός

«Τόν εν καμίνω τού πυρός, τών Εβραίων τοίς Παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον, μεταβαλόντα Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

## Ωδή θ'

### Τόν εκ Θεού Θεόν Λόγον

Ιδού η μνήιμη σου Πάτερ, ώσπερ ήλιος πάσιν, ανέτειλε φωτίζουσα φαιδρώς, τούς εν αυτή σέ δοξάζοντας, ως θεράποντα θείον, Χριστού καί κληρονόμον τής αυτού, βασιλείας καί πάντων, Οσίων συναρίθμιον.

Ως φωταυγής σου ο βίος, ως μεγίστη η δόξα, ως όλβιος ο τάφος σου Σοφέ, ένθα τό τίμιον σώμά σου, κατακείμενον ρώσιν, πηγάζει τοίς προστρέχουσι πιστώς, καί τήν σήν εξαιτούσι, βοήθειαν εκάστοτε.

Σού τό περίδοξον Πάτερ, ιατρείον ο πόνοις, εκτήσω επισκέπτεσθαι αεί, μή διαλίπης δεόμεθα, εν πολλή συμπαθεία, απαύστως προϊστάμενος ημών, καί κουφίζων οδύνας καί πόνους τών ψυχών ημών.

Ηλιακάς απαστράπτων, τοίς τιμώσί σε Πάτερ, ακτίνας φωταγώγησον ημών, τά τής ψυχής αισθητήρια, καί λαμπρότητος θείας, μετόχους καταξίωσον ημάς, ταίς πρεσβείαις σου μάκαρ, γενέσθαι δυσωπούμέν σε.

Θεοτοκίον

Φαεινοτάταις λαμπάσι, τού εκ σού σαρκωθέντος, Παρθένε Παναγία υπέρ νούν, οι Θεοτόκον ειδότες σε, φωτιζόμεθα πίστει, καί σκότους εκλυτρούμεθα παθών, καί κινδύνων παντοίων, καί βίου περιστάσεων.

Ο Ειρμός

«Τόν εκ Θεού Θεόν Λόγον, τόν αρρήτω σοφία, ήκοντα καινουργήσαι τόν Αδάμ, βρώσει φθορά πεπτωκότα δεινώς, εξ Αγίας Παρθένου, αφράστως σαρκωθέντα δι' ημάς, οι πιστοί ομοφρόνως, εν ύμνοις μεγαλύνωμεν».

Εξαποστειλάριον

Ο ουρανόν τοίς άστροις

Εσκόρπισας τόν πλούτον, τοίς πένησι θεαρέστως, καί ολικώς ανετέθης, ώ Σαμψών τώ Κυρίω, όν εκδυσώπει απαύστως, παθών ημάς εκλυτρούσθαι.

Θεοτοκίον

Τή κραταιά σου σκέπη, από εχθρών επιβουλής, ημάς Αγνή τούς σούς δούλους, φύλαττε πάντας αβλαβείς, σέ γάρ κεκτήμεθα μόνην, καταφυγήν εν ανάγκαις.

Καί η λοιπή τού Όρθρου Ακολουθία καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΗ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΌΣ

Μνήμη τής Ανακομιδής τών Λειψάνων τών Αγίων καί θαυματουργών Αναργύρων, Κύρου καί Ιωάννου.

Ε ΙΣ ΤΟΝ ΕΣ ΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'

Ως γενναίον εν Μάρτυσι

Τήν δυάδα τιμήσωμεν, τών Μαρτύρων εν άσμασι, τής Τριάδος έχουσαν τήν λαμπρότητα, τούς θεμελίους τής πίστεως, τά άνθη τά πνέοντα, τήν οσμήν τήν αληθή, τής Θεού επιγνώσεως, Κύρον άπαντες, καί σύν τούτω τόν μέγαν Ιωάννην, ως πρεσβεύοντας απαύστως, υπέρ ημών τόν φιλάνθρωπον.

Διά βίου λαμπρότητος, καί ασκήσεως έλαμψας, καί αθλήσει ύστερον κατεκόσμησας, τήν σήν ψυχήν Κύρε ένδοξε, στρατείαν δέ έλιπες, τήν επίγειον σοφέ, Ιωάννη καί εύρηκας, τήν ουράνιον, ικετεύσατε άμφω τόν Σωτήρα, υπέρ τών επιτελούντων, υμών τήν μνήμην μακάριοι.

Ιατροί ανεδείχθητε, ασθενούντων μακάριοι, καί φωστήρες άδυτοι θείας πίστεως, ομολογίας συνήγοροι, Μαρτύρων συμμέτοχοι, τούς στεφάνους αληθώς, εκ Θεού ανεδήσασθε, Κύρε ένδοξε, καί σοφέ Ιωάννη εν αινέσει, δυσωπείτε τόν Σωτήρα, υπέρ τών πίστει υμνούντων υμάς.

Δόξα... Καί νύν... Θεοτοκίον

Πεπτωκότων ανόρθωσις, τεθνεώτων ανάστασις, σύ εδείχθης τέξασα τόν Υιόν τού Θεού, τόν τώ Πατρί συννοούμενον τήν θείαν τε γέννησιν, ανασχόμενον, εκ σού, εν σαρκί καθ' υπόστασιν, όν ικέτευε, πειρασμών καί κινδύνων λυτρωθήναι, τούς εν πίστει Παναγία, ειλικρινεί σε δοξάζοντας.

Η Σταυροθεοτοκίον

Ως εώρακε Κύριε, η Παρθένος καί Μήτηρ σου, εν Σταυρώ κρεμάμενον, εξεπλήττετο, καί ατενίζουσα, έλεγε, Τί σοι ανταπέδωκαν, οι πολλών σου δωρεών, απολαύσαντες Δέσποτα; Αλλά δέομαι, Μή με μόνην εάσης εν τώ κόσμω, αλλά σπεύσον αναστήναι, συνανιστών τούς προπάτορας.

Απολυτίκιον  Ήχος πλ. α'

Τά θαύματα τών Αγίων σου Μαρτύρων, τείχος ακαταμάχητον ημίν δωρησάμενος, Χριστέ ο Θεός, ταίς αυτών ικεσίαις, βουλάς εθνών διασκέδασον, τής βασιλείας τά σκήπτρα κραταίωσον, ως μόνος αγαθός καί φιλάνθρωπος.

Δόξα... Καί νύν... Θεοτοκίον

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τών Αγίων ο παρών, ού η Ακροστιχίς.

Καλών δοτήρες, τών Κακών ρύσασθέ με. Ιωσήφ.

Ωδή α'  Ήχος β'

Δεύτε λαοί

Κράτος εχθρού, τή κραταιά διαλύσαντε, τού Παρακλήτου χάριτι, θεομακάριστοι, κραταιώσατε πάντας, κατά τών τυραννούντων παθών

δεόμεθα, Αθλητικώς, τόν δυσμενή διωλέσατε, χάριν Σοφοί δεξάμενοι, πάθη ανίατα, θεραπεύειν, διό μου, τά πάθη τής καρδίας νύν ιατρεύσατε.

Λόγοις υμάς, τούς επί γής μακαρίζοντας, παθών αλόγων ρύσασθε, ταίς προσευχαίς υμών, Κύρε καί Ιωάννη, τού προανάρχου Λόγου θείοι θεράποντες.

Θεοτοκίον

Ως τά ημών, υπερβολή αγαθότητος, οικειουμένη Πάναγνε, θεοχαρίτωτε, αμαυρώσεως πάσης, καί ζάλης καί κινδύνων πάντας διάσωσον.

Ωδή γ'

Στερέωσον ημάς

Νομίμως τώ Χριστώ ως στρατευσάμενοι, ανόμους ησχύνατε Αθλοφόροι, αλλ' αιτούμαι Παμμακάριστοι, αιωνίου αισχύνης με λυτρώσασθε.

Δοτήρες αγαθών, σωτήρες πάντοτε, τών πίστει πρός υμάς καταφευγόντων, τήν ψυχήν μου διασώσατε, καί τού σώματος πάθη θεραπεύσατε.

Οδούς τάς πρός ζωήν φερούσας Άγιοι, οδεύειν σθενώσατέ με καί πάσης, τών εχθρών αποπλανήσεως, προσευχαίς υμών θείαις εκλυτρώσασθε.

Θεοτοκίον

Τάς νόσους τών βροτών τόν αφαιρούμενον, τεκούσα πανύμνητε Παναγία, τής ψυχής μου τά συντρίμματα, καί σαρκός τά νοσήματα θεράπευσον.

Ο Ειρμός

«Στερέωσον ημάς εν σοί Κυριε, ο ξύλω νεκρώσας τήν αμαρτίαν, καί τόν φόβον σου εμφύτευσον, εις τάς καρδίας ημών τών υμνούντων σε».

Κάθισμα Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ

Τάς χαμαιζήλους ηδονάς συμπατούντες, πρός μαρτυρίου αθληταί θείον ύψος, περιφανώς επήρθητε εν χάριτι, Κύρε Ιωάννη τε, οικουμένης φωστήρες, όθεν ικετεύομεν, σκοτασμού αμαρτίας, καί νοσημάτων ρύσασθε ημάς, τόν επί πάντων Θεόν ικετεύοντες.

Θεοτοκίον

Τών ακαθάρτων λογισμών μου τά πλήθη, καί τών ατόπων εννοιών τάς νιφάδας, τίς εξειπείν δυνήσεται Πανάμωμε; τάς επαναστάσεις δέ, τών ασάρκων εχθρών μου, τίς εκδιηγήσεται, καί τήν τούτων κακίαν, Αλλά τή σή πρεσβεία αγαθή, τούτων μοι πάντων, τήν λύτρωσιν δώρησαι.

Η Σταυροθεοτοκίον

Τόν εξ ανάρχου τού Πατρός γεννηθέντα, η επ' εσχάτων σε σαρκί τετοκυία, επί Σταυρού κρεμάμενον ορώσά σε Χριστέ, Οίμοι! ποθεινότατε, Ιησού ανεβόα, πώς ο δοξαζόμενος, ως Θεός υπ' Αγγέλων, υπό ανόμων νύν βροτών Υιέ, θέλων σταυρούσαι; Υμνώ σε μακρόθυμε.

Ωδη δ'

Υμνώ σε, ακοή γάρ Κύριε

Ηλίου, νοητού λαμπρότησιν, αυγαζόμενοι Αθλοφόροι τού σκότους τόν άρχοντα ωλέσατε, εξ ού τής βλάβης ημάς, δυσωπούμεν εκλυτρώσασθε, φωταγωγούντες πάντων τά νοήματα.

Ρομφαίαι, ασεβείς σαφώς συγκόπτουσαι, εγνωρίσθητε Αθλοφοροι, συντρίψαντες χάριτι, τάς τού εχθρού δεινάς ρομφαίας, διό τών βελών ατρώτους ρύσασθε, τών εναντίων πάντων προσευχαίς υμών.

Εκ πλήθους, χαλεπών συμπτώσεων, νοσημάτων εις πλήθος ήλθον, καί δέομαι Άγιοι, υμών τού πλήθους τού ελέους τυχείν, διά τάχους τής ιάσεως, διό τής προσευχής μου επακούσατε.

Θεοτοκίον

Συνήθως, εφ' ημάς τά πλούσια, σού ελέη Παρθένε ράνον, νοσήματα παύουσα, καί πάθη λύουσα ποικίλα ψυχών, τών εν πίστει προσιόντων σοι, τή τών καλών αιτία πολυϋμνητε.

Ωδή ε'

Ο τού φωτός χορηγός

Τοίς σπαραγμοίς τών μελών, κατασπαράξαντες εχθρών άνοιαν, θεοειδείς Μάρτυρες Κυρίου, τήν σπαραττομένην υπό τής κακίας, ψυχήν μου ιάσασθε.

Ω μακαρία δυάς, ιερονίκων Αθλητών αίτησαι, αμαρτιών πολλών ημίν λύσιν, καί τών ασθενειών, ίασιν τελείαν, πιστώς δυσωπούμέν σε.

Νόσω συνέχομαι, αμαρτημάτων χαλεπων Άγιοι, καί τής σαρκός χειμάζομαι πόνοις, εξ ών ρύσασθέ με, τόν αγαθοδότην Χριστόν ικετεύοντες.

Θεοτοκίον

Κύματα πράϋνον, τής παναθλίας μου ψυχής δέομαι, καί τής σαρκός παύσον τάς οδύνας, η μόνη τεκούσα, άνευθεν ωδίνων Θεόν σωμοτούμενον.

Ωδή ς'

Εν αβύσσω πταισμάτων

Αρραγείς Εκκλησίας θεμέλιοι, πάσαις μεθοδείαις εχθρού σαλευόμενον, τό τής ψυχής μου οίκημα, ταίς υμών ικεσίαις στηρίξατε.

Καί ψυχών καί σωμάτων θεράποντες, θείοι χρηματίζοντες, Μάρτυρες ένδοξοι, τάς τής ψυχής καί σώματος, ασθενείας ημών θεραπεύσατε.

Ως λιμένι τώ οίκω προσέδραμον, Μάρτυρες υμών τω αγίω καί δέομαι, τρικυμιών με ρύσασθε, ασθενείας καί θλίψεως Άγιοι.

Θεοτοκίον

Νοερών ανωτέρα Δυνάμεων, πάσης με κακίας τού πλάνου ανώτερον, ταίς σαίς πρεσβείαις ποίησον, ευχαρίστως αεί σε δοξάζοντα.

Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, Εκ φθοράς ο Θεός με ανάγαγε».

Κοντάκιον Ήχος γ'
Η Παρθένος

Εκ τής θείας χάριτος, τήν δωρεάν τών θαυμάτων, ειληφότες, Άγιοι, θαυματουργείτε εν κόσμω, άπαντα, ημών τά πάθη τή χειρουργία, τέμνετε, τή αοράτω Κύρε θεόφρον, σύν τώ θείω Ιωάννη, υμείς γάρ θείοι, ιατροί υπάρχετε.

Ο Οίκος

Εαυτούς τώ Θεώ αναθέμενοι Άγιοι, πάσανπείραν δεινών δι' αυτόν υπεμείνατε, θανόντες προθύμως Μάρτυρες γενναίοι, καί μετά τέλος πάσι πηγαζετε τά θεία χαρίσματα, τοίς εν ποικίλαις νόσοις υπάρχουσι, καί υπό πολλών εταζομένοις κακών, ών είς καί πρώτός ειμι ο τάλας, τό σώμα γάρ καί τήν ψυχήν υπό τραυμάτων χαλεπών οδυνώμαι, καί πίστει βοώ, ιάσασθέ με, υμείς γάρ θείοι ιατροί υπάρχετε.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΗ' τού αυτού μηνός, Μνήμη τής ευρέσεως τών τιμίων Λειψάνων τών Αγίων καί θαυματουργών Αναργύρων, Κύρου καί Ιωάννου.

Στίχοι

- Οστά φανέντα Μαρτύρων Αναργύρων,
- Βλύζουσι κρουνούς θαυμάτων αναργύρως.
- Εικάδι ογδοάτη Κύρος φάνη ηδ' ομόαθλος.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Παππίου.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'
Εικόνος χρυσής

Ρεόντων φοράν, παρωσάμενοι νοϊ τελείω Μάρτυρες, πρός τούς αγώνας απεδύσασθε, καί καθελόντες τόν τύραννον, χάριν ιαμάτων εξ ύψους, αναβοώντες εδέξασθε, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Υμών τή θερμή προστασία Αθληταί πολλοίς πυρούμενος νύν καταφεύγω αρρωστήμασι, καί εν οδύνη καρδίας μου δέομαι, Ταχείαν μοι δότε, μελωδούντι τήν ίασιν, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Σαρκός βλαβεραίς, αρρωστίαις ομιλών τήν ψυχήν έχων, σκοτιζομένην ενθυμήσεσι, καί αμαρτίαις καί πάθεσι, Κύρε αθλητών ωραιότης καί Ιωάννη πανεύφημε, σπεύσατε τάχος δυσωπώ, τού εξελέσθαι με.

Θεοτοκίον

Ανθρώπων δεινών, καί δαιμόνων πονηρών καί τής τού βίου, κακοπραγίας καί συμπτώσεως, καί πάσης άλλης κακώσεως, ρύσαί με Αγία Παρθένε, καί συντήρησον ψάλλοντα, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

## Ωδή η'
### Τόν εν καμίνω τού πυρός
Σών επιδόσει πρεσβειών, παμμακάριστε δυάς ευλογημένη, αφ' ημών πάσαν νόσον, καί μαλακίαν ψυχής, βοώμεν καί σώματος δίωξον, όπως σε Τιμώμεν, εις πάντας τούς αιώνας.

Θαυματουργοί καί ιατροί, ιατρεύσατε ημών τάς αaθενείας, Κύρε καί Ιωάννη, καί τάς ορμάς τών παθών, εις τρίβους ενθέους ιθύνατε, όπως κατά χρέος, ημάς ανευφημώμεν.

Εν αμελεία τήν ζωήν, δαπανών τήν φοβεράν πτοούμαι δίκην, εν ή λυτρώσασθέ με, τής καταδίκης θερμοί προστάται, μάρτυρες γενόμενοι, τής αμαυρωθείσης τοίς πάθεσι ψυχής μου.

Τριαδικόν

Μονάδα φύσει σε υμνώ, καί Τριάδα προσκυνώ τοίς χαρακτήρσι, Πάτερ Λόγε καί Πνεύμα, τών Αθλητών η χαρά, καί πάντων ανθρώπων κραταίωμα, τών ακαταπαύστοις, φωναίς σε ανυμνουντων.

Θεοτοκίον

Εν ομοιώματι σαρκός, ο υπέρθεος Αγνή εκ σού ωράθη, όν απαύστως δυσώπει, ελεηθήναι ημάς, κακία συζώντας καί τρέμοντας, τάς αιωνιζούσας, Παρθένε τιμωρίας.

Ο Ειρμός

«Τόν εν καμίνω τού πυρός, τών Εβραίων τοίς Παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον, μεταβαλόντα Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

## Ωδή θ'
### Τόν εκ Θεού Θεόν Λόγον
Ιερωτάταις χορείαις, Ιερών Αθλοφόρων, συνόντες καί ταίς θείαις καλλοναίς, ωραϊζόμενοι Άγιοι, τόν ωραίον εν κάλλει, αιτείσθε Ιησούν διαπαντός, ωραιώσαι καρδίας, ημών Μάρτυρες ένδοξοι.

Ως ευωδέστατα κρίνα, νοητού Παραδείσου, υπάρχοντες Κυρίου Αθληταί, πάσαν ψυχήν κατοσφραίνετε, Ιεραίς ευωδίαις, διό μου τό δυσώδες τών παθών, απελάσατε ρώσιν, καί χάριν μοι δωρούμενοι.

Στήσατε Μάρτυρες θείοι, τών παθών μου τήν ρώσιν, ως πάλαι τών αιμάτων οχετοίς, πλάνης πλημμύραν αλλόκοτον, καί αιτήσασθε χύσιν, δοθήναί μου δακρύων ψυχικών, δι' ής ρύπου παντοίου αμαρτιών πλυθήσομαι.

Ηλιακών λαμπηδόνων, ο ναός υμών πλέον, ιάσεων εκπέμπων τάς αυγάς, σκότος παθών πονηρότατον, εκδιώκει, εν ώ με, φωτίσατε προστρέχοντα πιστώς, Κύρε καί Ιωάννη, θαυματουργοί πανθαύμαστοι.

Θεοτοκίον

Φωτοειδής ως νεφέλη, τόν τής δικαιοσύνης, Κατέχουσα αγκάλαις σου Αγνή, ήλιον άδυτον πέφυκας, διά τούτο βοώ σοι, Πολλοίς εσκοτισμένον με κακοίς, φωταγώγησον Κόρη, απαύστως σε γεραίροντα.

Ο Ειρμός

«Τόν εκ Θεού Θεόν Λόγον, τόν αρρήτω σοφία ήκοντα, καινουργήσαι τόν Αδάμ, βρώσει φθορά πεπτωκότα δεινώς, εξ αγίας Παρθένου, αφράστως σαρκωθέντα δι' ημάς, οι πιστοί ομοφρόνως, εν ύμνοις μεγαλύνομεν».

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΘ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων ενδόξων καί πανευφήμων Αποστόλων καί Πρωτοκορυφαίων, Πέτρου καί Παύλου.

### ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους δ', καί ψάλλομεν Στιχηρά Προσόμοια τά εξής τρία, δευτερούντες τό α'.

Ήχος δ'

Έδωκας σημείωσιν

Έδωκας καυχήματα, τή Εκκλησία φιλάνθρωπε, τούς σεπτούς Αποστόλους σου, εν ή υπερλάμπουσι, νοητοί φωστήρες, Πέτρος τε καί Παύλος, ώσπερ αστέρες λογικοί, τήν οικουμένην περιαυγάζοντες, δι' ών εφωταγώγησας, τήν δυτικήν αμαυρότητα, Ιησού παντοδύναμε, ο Σωτήρ τών ψυχών ημών. (Δίς)

Έδωκας στηρίγματα, τή Εκκλησία σου Κύριε, τήν τού Πέτρου στερρότητα, καί Παύλου τήν σύνεσιν, καί λαμπράν σοφίαν, καί τήν εκατέρων, θεηγορίαν αληθή, τής αθεϊας πλάνην διώκουσαν, διό μυσταγωγούμενοι, παρ' αμφοτέρων υμνούμέν σε, Ιησού παντοδύναμε, ο Σωτήρ τών ψυχών ημών.

Έδωκας υπόδειγμα, επιστροφής αμαρτάνουσι, τους διττούς Αποστόλους σου, τόν μέν αρνησάμενον, εν καιρώ τού πάθους, καί μετεγνωκότα, τόν δέ κηρύγματι τώ σώ, αντιταξάμενον καί διώξαντα, καί άμφω τού συστήματος, πρωτοστατούντας τών φίλων σου, Ιησού παντοδύναμε, ο Σωτήρ τών ψυχών ημών.

Δόξα... Ήχος β'

Γερμανού

Πέτρε, κορυφαίε τών ενδόξων Αποστόλων, η πέτρα τής πίστεως, καί Παύλε θεσπέσιε, τών Αγίων, Εκκλησιών, ο ρήτωρ καί φωστήρ, τώ θείω θρόνω παριστάμενοι, υπέρ ημών Χριστώ πρεσβεύσατε.

Καί νύν... Θεοτοκίον Ήχος β’

Τήν πάσαν ελπίδα μου εις σέ ανατίθημι, Μήτηρ τού Θεού, φύλαξόν με υπό τήν σκέπην σου.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος πλ. β'
Τριήμερος ανέστης Χριστέ

Απόστολοι Χριστού Μαθηταί, καί κήρυκες πανένδοξοι, οί τόν δρόμον, τόν καλόν επί τής γής, τελέσαντες πρεσβείαν, μή παύσητε ποιούντες, υπέρ τών πίστει ανυμνούντων υμάς.

Στίχ. Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών.

Τού βίου εν τώ κλύδωνι, απαύστως χειμαζόμενοι, εκβοώμεν, Σώσον πάντας Αγαθέ, πρεσβείαις τών σοφών σου, καί θείων Αποστόλων, τών κορυφαίων υπεράγαθε.

Στίχ. Οι ουρανοί διηγούνται δόξαν Θεού ποίησιν δέ χειρών αυτού αναγγέλλει τό στερέωμα.

Οι θείοι καί σεπτοί Μαθηταί, καί μύσται καί διδάσκαλοι, Πέτρε Παύλε, Αποστόλων η κρηπίς, τόν Κτίστην τών απάντων, καί Κύριον τής δόξης, υπέρ ημών αείπρεσβεύσατε.

Δόξα... Καί νύν... Θεοτοκίον

Παρθένε Θεοτόκε αγνή, δυσώπησον τόν Κύριον, όπως πάσι, ταίς πρεσβείαις σου αγνή, συγχώρησιν πταισμάτων, δωρήσηται καί σώση, ως ελεήμων καί φιλάνθρωπος.

Απολυτίκιον Ηχος δ'

Οι τών Αποστόλων πρωτόθρονοι, καί τής Οικουμένης διδάσκαλοι,
τώ Δεσπότη τών όλων πρεσβεύσατε, ειρήνην τή οικουμένη δωρήσασθαι, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Ήχος δ' Θεοτοκίον

Τό απ' αιώνος απόκρυφον, καί αγγέλοις άγνωστον Μυστύριον, διά σού Θεοτόκε τοίς επί γής πεφανέρωται, Θεός εν ασυγχύτω ενώσει σαρκούμενος, καί Σταυρόν εκουσίως υπέρ ημών καταδεξάμενος, δι' ού αναστήσας τόν Πρωτόπλαστον, έσωσεν εκ θανάτου τάς ψυχάς ημών.

Καί Απόλυσις

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Στιχολογούμεν τήν α' στάσιν τού, Μακάριος ανήρ. Εις δέ τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν τά εξής γ' Ιδιόμελα Στιχηρά, δευτερούντες αυτά.

Ήχος β' Αυτόμελον
Ανδρέου Πυρού

Ποίοις ευφημιών στέμμασιν, αναδήσωμεν Πέτρον καί Παύλον; τούς διηρημένους τοίς σώμασι, καί ηνωμένους τώ Πνεύματι, τούς θεοκηρύκων πρωτοστάτας, τόν μέν, ως τών Αποστόλων προεξάρχοντα, τόν δέ, ως υπέρ τούς άλλους κοπιάσαντα, τούτους γάρ όντως αξίως, αθανάτου δόξης, διαδήμασι στεφανοί, Χριστός ο Θεός ημών, ο έχων τό μέγα έλεος. (Δίς)

Ποίοις υμνωδιών κάλλεσιν, ανυμνήσωμεν Πέτρον καί Παύλον, τής θεογνωσίας τάς πτέρυγας, τάς διαπτάσας τά πέρατα, καί πρός ουρανόν ανυψωθείσας, τάς χείρας, Ευαγγελίου τού τής χάριτος, τούς πόδας, τής αληθείας τού κηρύγματος, τούς ποταμούς τής σοφίας, τού Σταυρού τά κέρατα, δι' ών δαιμόνων οφρύν, Χριστός καταβέβληκεν, ο έχων τό μέγα έλεος. (Δίς)

Ποίοις πνευματικοίς άσμασιν, επαινέσωμεν Πέτρον καί Παύλον; τά τήν αθεότητα σφάττοντα, καί μή αμβλυνόμενα στόματα, τής φρικτής τού Πνεύματος μαχαίρας, τά Ρώμης, περιφανή εγκαλλωπίσματα, τά πάσης τής οικουμένης εντρυφήματα, τάς τής Καινής Διαθήκης, θεογράφους πλάκας, νοουμένας άς εν Σιών, Χριστός εξεφώνησεν, ο έχων τό μέγα έλεος. (Δίς)

Δόξα... Ήχος δ'
Ιωάννου Μοναχού

Τώ τριττώ τής ερωτήσεως, τώ, Πέτρε φιλείς με, τό τριττόν τής αρνήσεως, ο Χριστός διωρθώσατο, διό καί πρός τόν κρυφιογνώστην ο Σίμων, Κύριε, πάντα γινώσκεις, τά πάντα επίστασαι, σύ οίδας όι φιλώ σε, Όθεν πρός αυτόν ο Σωτήρ, Ποίμαινε τά πρόβατά μου, ποίμαινε τήν εκλογάδα μου, ποίμαινε τά αρνία μου, ά εν τώ ιδίω αίματι περιεποιησάμην εις σωτηρίαν, Αυτόν ικέτευε, θεομακάριστε Απόστολε, δωρηθήναι ημίν τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Ο διά σέ θεοπάτωρ προφήτης Δαυϊδ, μελωδικώς περί σού προανεφώνησε, τώ μεγαλεία σοι ποιήσαντι, Παρέστη η Βασίλισσα εκ δεξιών σου, Σέ γάρ μητέρα πρόξενον ζωής ανέδειξεν, οαπάτωρ εκ σού ενανθρωπήσαι ευδοκήσας Θεός, ίνα τήν εαυτού αναπλάση εικόνα, φθαρείσαν τοίς πάθεσι, καί τό πλανηθέν ορειάλωτον ευρών πρόβατον, τοίς ώμοις αναλαβών, τώ Πατρί προσαγάγη, καί τώ ιδίω θελήματι ταίς ουρανίαις συνάψη Δυνάμεσι, καί σώση Θεοτόκε, τόν κόσμον, Χριστός ο έχων τό μέγα, καί πλούσιον έλεος.

Είσοδος. Φώς ιλαρόν. Τό προκείμενον τής ημέρας, καί τά Αναγνώσματα.

Καθολικής α' Επιστολής Πέτρου
τό Ανάγνωσμά (Κεφ. 1, 3-9)

Αδελφοί, ευλογητός ο Θεός, καί Πατήρ τού Κυρίου ημών Ιησού Χριστού, ο κατά τό πολύ αυτού έλεος αναγεννήσας ημάς εις ελπίδα ζώσαν, δι' αναστάσεως Ιησού Χριστού εκ νεκρών, εις κληρονομίαν άφθαρτον, καί

αμίαντον, καί αμάραντον, τετηρημένην εν ουρανοίς εις ημάς τούς εν δυνάμει Θεού φρουρουμένους διά πίστεως, εις σωτηρίαν ετοίμην αποκαλυφθήναι εν καιρώ εσχάτω εν ώ αγαλλιάσθε, ολίγον άρτι ( εί δέον εστί ) λυπηθέντες εν ποικίλοις πειρασμοίς, ίνα τό δοκίμιον υμών τής πίστεως, πολύ τιμιώτερον χρυσίου τού απολλυμένου, διά πυρός δέ δοκιμαζομένου, ευρεθή εις έπαινον καί τιμήν καί δόξαν, εν αποκαλύψει Ιησού Χριστού, Όν ουκ ειδότες αγαπάτε, εις όν άρτι μή ορώντες, πιστεύοντες δέ, αγαλλιάσθε χαρά ανεκλαλήτω καί δεδοξασμένη, κομιζόμενοι τό τέλος τής πίστεως υμών, σωτηρίαν ψυχών.

Καθολικής α' Επιστολής Πέτρου
τό Ανάγνωσμα (Κεφ. 1, 13-19)

Αγαπητοί, αναζωσάμενοι τάς οσφύας τής διανοίας υμών, νήφοντες, τελείως ελπίσατε επί τήν φερομένην υμίν χάριν, εν αποκαλύψει Ιησού Χριστού, ως τέκνα υπακοής, μή συσχηματιζόμενοι ταίς πρότερον εν τή αγνοία υμών επιθυμίαις, αλλά, κατά τόν καλέσαντα ημάς Άγιον, καί αυτοί Άγιοι εν πάση αναστροφή γενήθητε. Διότι γέγραπται. Άγιοι γίνεσθε, ότι εγω Άγιός ειμι. Καί, εί Πατέρα επικαλείσθε τόν απροσωπολήπτως κρίνοντα κατά τό εκάστου έργον, εν φόβω τόν τής παροικίας υμών χρόνον αναστράφητε, ειδότες, ότι ου φθαρτοίς, αργυρίω ή χρυσίω, ελυτρώθητε εκ τής ματαίας υμών αναστροφής πατροπαραδότου, αλλά τιμίω αίματι, ως αμνού αμώμου καί ασπίλου Χριστού.

Καθολικής α' Επιστολής Πέτρου
τό Ανάγνωσμα (Κεφ. 2, 11-24)

Αγαπητοί, παρακαλώ υμάς, ως παροίκους καί παρεπιδήμους, απέχεσθαι τών σαρκικών επιθυμιών, αίτινες στρατεύονται κατά τής ψυχής τήν αναστροφήν υμών εν τοίς έθνεσιν έχοντες καλήν, ίνα, εν ώ καταλαλούσιν υμών ως κακοποιών, εκ τών καλών έργων εποπτεύσαντες, δοξάσωσι τόν Θεόν εν ημέρα επισκοπής. Υποτάγητε ούν πάση ανθρωπίνη κτίσει διά τόν Κύριον, είτε Βασιλεί, ως υπερέχοντι, είτε Ηγεμόσιν, ως δι' αυτού πεμπομένοις εις εκδίκησιν μέν κακοποιών, έπαινον δέ αγαθοποιών, ότι ούτως εστί τό θέλημα τού Θεού, αγαθοποιούντας φιμούν τήν τών αφρόνων ανθρώπων αγνωσίαν ως ελεύθεροι, καί μή ως επικάλυμμα έχοντες τής κακίας τήν ελευθερίαν, αλλ' ως δούλοι Θεού. Πάντας τιμήσατε, τήν αδελφότητα αγαπάτε, τόν Θεόν φοβείσθε, τόν Βασιλέα τιμάτε. Οι οικέται, υποτασσόμενοι εν παντί φόβω τοίς δεσπόταις, ού μόνον τοίς αγαθοίς καί επιεικέσιν, αλλά καί τοίς σκολιοίς. Τούτο γάρ χάρις, εί διά συνείδησιν Θεού υποφέρει τις λύπας, πάσχων αδίκως. Ποίον γάρ κλέος, εί αμαρτάνοντες καί κολαφιζόμενοι υπομενείτε; αλλ' εί αγαθοποιούντες καί πάσχοντες υπομενείτε, τούτο χάρις παρά Θεώ, εις τούτο γάρ εκλήθητε, ότι καί Χριστός απέθανεν υπέρ ημών, ημίν υπολιμπάνων υπογραμμόν, ίνα επακολουθήσητε τοίς ίχνεσιν αυτού. Ος αμαρτίαν ουκ εποίησεν, ουδέ ευρέθη δόλος εν τώ στόματι αυτού. Ος λοιδορούμενος, ουκ αντελοιδόρει, πάσχων ουκ ηπείλει, παρεδίδου δέ τώ κρίνοντι δικαίως. Ος τάς αμαρτίας ημών αυτός ανήνεγκεν εν τώ σώματι αυτού επί τό ξύλον, ίνα ταίς αμαρτίαις απογενόμενοι, τή δικαιοσύνη ζήσωμεν.

Εις τήν Λιτήν, Στιχηρά Ιδιόμελα.

Ήχος β'
Ανδρέου Ιεροσολυμίτου

Δεύρο δή μοι σήμερον, τό τών πιστών ευθύμως καλλιέρημα, χοροστατήσαντες άμα, τούς τής χάριτος εκλόγους υφάντας, Πέτρον καί Παύλον πρέπουσιν εγκωμίοις στεφανώσωμεν, ότι αφθόνως πάσι τόν λόγον κατασπείραντες, σύν τούτοις καί τήν χάριν τού Πνεύματος κατεπλούτησαν, καί τής αληθινής αμπέλου υπάρχοντες κλήματα, βότρυν ημίν πέπειρον εξεπέπαναν, ευφραίνοντα τάς καρδίας ημών. Πρός ούς βοήσωμεν, ανακεκαλυμμένω προσώπω, καί καθαρώ συνειδότι, λέγοντες. Χαίρετε πορθμευταί τών αλόγων, καί υπουργοί τών εν λόγω. Χαίρετε τού παντός ποιητού καί κηδεμόνος εκλόγια τερπνά. Χαίρετε πρόξενοι τών αγαθών, καί διώκται τών δολερών. Ούς ικετεύσωμεν πρεσβεύειν αεί, ειρήνην σταθηράν τώ κόσμω δωρήσασθαι, πρός τόν Κτίστην καί Διδάσκαλον, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Αρσενίου  Ο αυτός

Τούς Μαθητάς τού Χριστού, καί θεμελίους τής Εκκλησίας, τους αληθείς στύλους καί βάσεις, καί σάλπιγγας ενθέους, τών τού Χριστού δογμάτων καί παθημάτων, τούς κορυφαίους Πέτρον καί Παύλον, άπας ο κόσμος ως προστάτας ευφημήσωμεν, Ούτοι γάρ διαδραμόντες τό κλίτος όλον τής γής, ώσπερ αρότρω έσπειραν τήν πίστιν, καί πάσι τήν θεογνωσίαν ανέβλυσαν, τής Τριάδος δεικνύντες λόγον, Ω Πέτρε, πέτρα καί κρηπίς, καί Παύλε, σκεύος εκλογής, οί καί ζευκτοί βόες τού Χριστού, πάντας είλκυσαν πρός τήν θεογνωσίαν, έθνη πόλεις τε καί νήσους, Εβραίους δέ πάλιν πρός τόν Χριστόν επανήγαγον, καί πρεσβεύουσι τού σωθήναι τάς ψυχάς ημών.

Γερμανού  Ο αυτός

Πέτρε, κορυφαίε τών ενδόξων Αποστόλων, η πέτρα τής πίστεως, καί Παύλε θεσπέσιε, τών Αγίων Εκκλησιών ο ρήτωρ καί φωστήρ, τώ θείω θρόνω παριστάμενοι, υπέρ ημών Χριστώ πρεσβεύσατε.

Ο αυτός

Παύλε, στόμα Κυρίου, η κρηπίς τών δογμάτων, ο ποτέ μέν διώκτης, Ιησού τού Σωτήρος, νύν δέ καί πρωτόθρονος, τών Αποστόλων γενόμενος μακάριε, όθεν άρρητα είδες σοφέ, εως τρίτου ουρανού αναβάς, καί έκραζες, Δεύτε σύν εμοί, καί τών αγαθών μή υστερηθώμεν.

Ήχος γ'  Ιωάννου Μοναχού

Οι τής άνω Ιερουσαλήμ πολίται, η πέτρα τής πίστεως, ο ρήτωρ τής Εκκλησίας τού Χριστού, η τής Τριάδος δυάς, τού κόσμου οι σαγηνευταί, καταλιπόντες σήμερον τά επί γής, επορεύθησαν εν αθλήσει πρός Θεόν, καί πρεσβεύουσιν αυτώ εν παρρησία, τού σωθήναι τάς ψυχάς ημών.

Δόξα... Ήχος πλ. α'  Βυζαντίου

Η σοφία τού Θεού, ο συναΐδιος Λόγος τού Πατρός, καθώς εν Ευαγγελίοις προέφη, τά εύφορα κλήματα, υμείς εστε πανεύφημοι Απόστολοι, οι τόν βότρυν τόν πέπειρον καί τερπνόν, εν τοίς κλάδοις υμών φέροντες, όν οι πιστοί εσθίοντες, επιστοιχούμεν γεύσιν πρός ευφρόσυνον, Πέτρε, η πέτρα τής πίστεως, καί Παύλε, καύχημα τής οικουμένης, στηρίξατε ποίμνην, ήν εκτήσασθε διδαχαίς υμών.

Καί νύν... Θεοτοκίον

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καί δοξάζομέν σε οι πιστοί κατά χρέος, τήν πόλιν τήν άσειστον, τό τείχος τό άρρηκτον, τήν αρραγή προστασίαν, καί καταφυγήν των ψυχών ημών.

Εις τόν Στίχον, Στιχηρά Ιδιόμελα.

Ήχος α'

Ανδρέου Κρήτης

Τά κατά πόλιν δεσμά καί τάς θλίψεις σου, τίς διηγήσεται, ένδοξε Απόστολε Παύλε; ή τίς παραστήσει τούς αγώνας καί τούς κόπους σου, ούς εκοπίασας εν τώ Ευαγγελίω τού Χριστού, ίνα πάντας κερδήσης, καί Χριστώ προσαγάγης τήν Εκκλησίαν, Αλλά ταύτην αίτησαι, φυλάττειν τήν καλήν σου ομολογίαν, μέχρι τελευταίας αναπνοής, Παύλε Απόστολε, καί διδάσκαλε τών Εκκλησιών.

Στίχ. Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών.

Τά κατά πόλιν δεσμά καί τάς θλίψεις σου, τίς διηγήσεται, ένδοξε Απόστολε Παύλε, τούς κόπους, τούς μόχθους, τάς αγρυπνίας, τάς εν λιμώ καί δίψει κακοπαθείας, τάς εν ψύχει καί γυμνότητι, τήν σαργάνην, τούς ραβδισμούς, τούς λιθασμούς, τήν περίοδον, τόν βυθόν, τά ναυάγια; θέατρον εγένου καί Αγγέλοις καί ανθρώποις, Πάντα ούν υπέμεινας εν τώ ενδυναμούντί σε Χριστώ, ίνα κόσμον κερδίσης, εν Χριστώ Ιησού τώ Κυρίω σου, Διό δυσωπούμέν σε, οι τελούντες τήν μνήμην σου πιστώς, αδιαλείπτως ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Στίχ. Οι ουρανοί διηγούνται δόξαν Θεού ποίησιν δέ χειρών αυτού αναγγέλλει τό στερέωμα.

Τούς φωστήρας τούς μεγάλους τής Εκκλησίας, Πέτρον καί Παύλον ευφημήσωμεν, υπέρ ήλιον γάρ έλαμψαν, εν τώ τής πίστεως στέρεώματι, καί τά έθνη ταίς ακτίσι τού κηρύγματος, εκ τής αγνοίας εις τήν θείαν γνώσιν επανήγαγον, ο μέν τώ σταυρώ προσηλωθείς, πρός ουρανόν τήν πορείαν εποιήσατο, ένθα τής βασιλείας, παρά Χριστού τάς κλείς εγκεχείριστο, ο δέ τώ ξίφει αποτμηθείς, πρός τόν Σωτήρα εκδημήσας, επαξίως μακαρίζεται, καί αμφότεροι τόν Ισραήλ καταγγέλλουσιν, ως εις αυτόν τόν Κύριον, χείρας αδίκως εκτείναντα, Διό ευχαίς αυτών, Χριστέ ο Θεός ημών, τούς καθ' ημών κατάβαλε, καί τήν ορθόδοξον πίστιν κράτυνον, ως φιλάνθρωπος.

Δόξα... Ήχος πλ. β'

Εφραίμ Καρίας

Εορτή χαρμόσυνος, επέλαμψε τοίς πέρασι σήμερον, η πάνσεπτος μνήμη τών σοφωτάτων Αποστόλων, καί κορυφαίων Πέτρου καί Παύλου, διό καί Ρώμη συγχαίρει χορεύουσα, Εν ωδαίς καί ύμνοις εορτάσωμεν καί ημείς αδελφοί, τήν πανσεβάσμιον ταύτην ημέραν, βοώντες πρός αυτούς, Χαίρε, Πέτρε

Απόστολε, καί γνήσιε φίλε, τού σού διδασκάλου Χριστού τού Θεού ημών, Χαίρε Παύλε παμφίλτατε, καί κήρυξ τής πίστεως, καί διδάσκαλε τής οικουμένης, Ως έχον παρρησίαν, ζεύγος αγιόλεκτον, Χριστόν τόν Θεόν ημών ικετεύσατε, σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Ήχος πλ. β'

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής. Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Απολυτίκιον Ήχος δ'

Οι τών Αποστόλων πρωτόθρονοι, καί τής Οικουμένης διδάσκαλοι, τώ Δεσπότη τών όλων πρεσβεύσατε, ειρήνην τή οικουμένη δωρήσασθαι, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Ήχος δ' Θεοτοκίον

Τό απ' αιώνος απόκρυφον, καί αγγέλοις άγνωστον Μυστύριον, διά σού Θεοτόκε τοίς επί γής πεφανέρωται, Θεός εν ασυγχύτω ενώσει σαρκούμενος, καί Σταυρόν εκουσίως υπέρ ημών καταδεξάμενος, δι' ού αναστήσας τόν Πρωτόπλαστον, έσωσεν εκ θανάτου τάς ψυχάς ημών.

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν πρώτην Στιχολογίαν

Κάθισμα τού Πέτρου

Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Τόν βυθόν τής αλιείας καταλιπών, ουρανόθεν εδέξω παρά Πατρός, τήν θείαν αποκάλυψιν, τής τού Λόγου σαρκώσεως, καί παρρησία πάσιν, εβόας τώ Κτίστη σου, τού Θεού σε γινώσκω, Υιόν όμοούσιον, Όθεν επαξίως, αληθώς ανεδείχθης, η πέτρα τής πίστεως, καί κλειδούχος τής χάριτος, Πέτρε Απόστολε, πρέσβευε Χριστώ τώ Θεώ τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Καί νύν... Θεοτοκίον

Ενθυμούμαι τήν κρίσιν καί δειλιώ, τήν εξέτασιν φρίττω τήν φοβεράν, τρέμω τήν απόφασιν, καί πτοούμαι τήν κόλασιν, τήν τού πυρός οδύνην, τό σκότος, τόν τάρταρον, Οίμοι! τί ποιήσω εν εκείνη τή ώρα, όταν τίθωνται θρόνοι, καί βίβλοι ανοίγωνται, καί αι πράξεις ελέγχωνται; Τότε Δέσποινα, βοήθειά μοι γενού, καί προστάτις θερμότατος, σέ γάρ έχω ελπίδα ο δούλός σου.

Μετά τήν β' Στιχολογίαν

Κάθισμα τού Παύλου

Τήν Σοφίαν καί Λόγον

Ουρανόθεν τήν κλήσιν παρά Χριστού, κομισάμενος ώφθης κήρυξ φωτός, πάσι τοίς τής χάριτος, καταλάμψας διδάγμασι, τήν γάρ τού νόμου ξέσας, λατρείαν τού γράμματος, τοίς πιστοίς κατήστραψας, τήν γνώσιν τού Πνεύματος, όθεν καί εις τρίτον, ουρανόν επαξίως, επήρθης μετάρσιος, καί Παράδεισον έφθασας, Παύλε Απόστολε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Καί νύν... Θεοτοκίον

Χαριστήριον αίνον χρεωστικώς, ως η χήρα εκείνη δύο λεπτά, προσφέρω σοι Δέσποινα, υπέρ πασών τών χαρίτων σου, σύ γάρ ώφθης σκέπη, ομού καί βοήθεια, πειρασμών καί θλίψεων, αεί με εξαίρουσα, όθεν ως εκ μέσης φλογιζούσης δώρησαι, καμίνου, ρυσθείς τών θλιβόντων με, εκ καρδίας κραυγάζω σοι, Θεοτόκε βοήθει μοι, πρεσβεύουσα τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς προσκυνούσιν εν πίστει, τόν τόκον σου Άχραντε, Μετά τόν Πολυέλεον.

Κάθισμα αμφοτέρων

Τήν Σοφίαν καί Λόγον

Κορυφαίους οφθέντας τών μαθητών, τούς μεγάλους φωστήρας καί φαεινούς, Πέτρον ευφημήσωμεν, καί τόν πάνσοφον Παύλον, τώ γάρ πυρί τού θείου εκλάμψαντες Πνεύματος, τήν αχλύν τής πλάνης, κατέφλεξαν άπασαν, όθεν καί τής άνω, βασιλείας πολίται, αξίως εδείχθησαν, καί τής χάριτος σύνθρονοι, Διά τούτο βοήσωμεν, Απόστολοι Χριστού τού Θεού, τών πταισμάτων άφεσιν αιτήσασθε, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Τήν Σοφίαν καί Λόγον εν σή γαστρί, συλλαβούσα αφράστως Μήτηρ Θεού, τώ κόσμω εκύησας, τόν τόν κόσμον κατέχοντα, καί εν αγκάλαις έσχες, τόν πάντα συνεχοντα, καί εκ μαζών εθήλασας, τόν πάντας εκτρέφοντα, όθεν δυσωπώ σε, Παναγία Παρθένε, ρυσθήναι πταισμάτων μου, όταν μέλλω παρίστασθαι, πρό προσώπου τού Κτίστου μου, Δέσποινα Παρθένε αγνή, τήν σήν βοήθειαν τότε μοι καί γάρ δύνασαι, όσα θέλεις πανύμνητε.

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί  Αντίφωνον Α'

- Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.
- Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον  Ήχος δ'

Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών.

Στίχ. Οι ουρανοί διηγούνται δόξαν Θεού ποίησιν δέ χειρών αυτού αναγγέλλει τό στερέωμα.

Τό, Πάσα πνοή

Ευαγγέλιον Εωθινόν ια'. ο Ν'.

Δόξα... Ταίς τών Αποστόλων...
Καί νύν... Ταίς τής Θεοτόκου...

Στίχ. Ελέησόν με ο Θεός.

Καί τό Ιδιόμελον  Ήχος β'

Πέτρε, κορυφαίε τών ενδόξων Αποστόλων, η πέτρα τής πίστεως, καί Παύλε θεσπέσιε, τών Αγίων Εκκλησιών ο ρήτωρ καί φωστήρ, τώ θείω θρόνω παριστάμενοι, υπέρ ημών Χριστώ πρεσβεύσατε.

Οι Κανόνες, αμφότεροι. Ποίημα Ιωάννου Μοναχού.

Ο Κανών τού Αγίου Πέτρου.

Ωδή α'  Ήχος δ'  Ο Ειρμός

«Ουκ έστι σοι όμοιος, δεδοξασμένε Κύριε, εν χειρί γάρ κραταιά, ελυτρώσω τόν λαόν, όν εκτήσω φιλάνθρωπε».

Τόν κορυφαιότατον, τών Αποστόλων σήμερον, πρωτοκλήτου αδελφόν, θεοπνευστοις εν ώδαίς, επαξίως υμνήσωμεν.

Σέ ο προαιώνιος, προεγνωκώς προώρισε, παμμακάριστε Πέτρε, ως προστάτην Εκκλησίας καί πρόεδρον.

Ού σάρξ ουδέ αίμά σοι, αλλ' ο Πατήρ ενέπνευσε, τον Χριστόν θεολογείν, Υιόν Θεού αληθινόν τού υψίστου Απόστολε.

Θεοτοκίον

Τό όρος τό άγιον, τό υπέρ έννοιαν όχημα, τήν Μητέρα τού Θεού, καί Παρθένον αληθώς μετά τόκον υμνήσωμεν.

Ο Κανών τού Αγίου Παύλου.

Ωδή α'  Ήχος πλ. δ'
Η κεκομμένη

Ο ώσπερ όντα καλών τά ανύπαρκτα, Χριστός τή θεία γνώσει, Παύλε

παμμακάριστε, αυτός εκ μητρικής γαστρός σε εξελέξατο, βαστάσαι, εναντίον τών εθνών, αυτού τό θείον όνομα, τό υπέρ πάν όνομα, ενδόξως γάρ δεδόξασται

Τήν εσομένην μηνύων σοι έλλαμψιν, τής ευσεβείας Παύλε, καί πλάνης τήν καθαίρεσιν, Χριστός επιφανείς, εν όρει αστραπόμορφος, τό δμμα μέν σκοτίζει τής σαρκός, τήν ψυχήν συνετίζει δέ, τής Τριάδος τή γνώσει, ενδόξως γάρ δεδόξασται.

Περιτομήν μέ τελών οκταήμερον, καί ζηλωτής πατρώων Παύλε παραδόσεων, Εβραίων εκ σποράς φυλής Βενιαμίτιδος, εν νόμω Φαρισαίός τε δειχθείς, ηγήσω πάντα σκύβαλα, καί Χριστόν εκέρδησας, ενδόξως γάρ δεδόξασται.

Θεοτοκίον

Άχραντε Μήτηρ Θεού παντοκράτορος, η βασιλίδος φυλής, Δέσποινα βλαστήσασα, καί μόνη τον Θεόν, τον πάντων βασιλεύοντα, γεννήσασα σαρκί υπερφυώς, κινδύνων με διάσωσον, τώ Υιώ σου ψάλλοντα Ενδόξως γάρ δεδόξασται.

Καταβασία

Ανοίξω τό στομα μου, καί πληρωθήσεται Πνεύματος, καί λόγον ερεύξομαι, τή Βασιλίδι Μητρί, καί οφθήσομαι, φαιδρώς πανηγυρίζων, καί άσω γηθόμενος, ταύτης τά θαύματα.

Τού Πέτρου

Ωδή γ' Ο Ειρμός

«Ουκ εν σοφία, καί δυνάμει καί πλούτω καυχωμεθα, αλλ' εν σοί τή τού Πατρός, ενυποστάτω σοφία Χριστέ, ου γάρ εστιν Άγιος πλήν σου φιλάνθρωπε».

Μακάριόν σε, τό γλυκύτατον στόμα Χριστού τού Θεού, καί ταμίαν ασφαλή, τής βασιλείας ανέδειξε, διό ανυμνούμέν σε Πέτρε Απόστολε.

Επί τήν πέτραν, τής σής θεολογίας επήξατο, ο Δεσπότης Ιησούς, τήν Εκκλησίαν ακλόνητον, εν ή σε Απόστολε Πέτρε δοξάζομεν.

Ως υπέρτερος, τών Αγγέλων ο Πέτρος εν σώματι, εν γάρ τή επιφανεί, ελεύσει τούτον Χριστός ο Θεός, κριτήν τε καί σύνεδρον, έσεσθαι έφησεν.

Θεοτοκίον

Απειρόγαμε, ή Θεόν σαρκωθέντα κυήσασα, τών παθών ταίς προσβολαίς, κλονούμενόν με στερέωσον, ου γάρ εστιν Άχραντε, πλήν σου βοήθεια.

Τού Παύλου

Σύ εί τό στερέωμα

Σύ λίθον θεμέλιον, ταίς τών πιστών ψυχαίς τέθεικας, πολυτελή,

ακρογωνιαίον, τόν Σωτήρα καί Κύριον.

Πάντοτε τήν νέκρωσιν, τού Ιησού εν τώ σώματι, ειλικρινώς, Παύλε περιφέρων, ηξιώθης τής όντως ζωής.

Παύλε παμμακάριστε, τώ θεμελίω σου πρέσβευε, τών αρετών εποικοδομείσθαι, ευσεβών τήν λαμπρότητα.

Θεοτοκίον

Σέ νύν μακαρίζουσιν, ως προεφήτευσας Πάναγνε, αι γενεαί, πάσαι τών ανθρώπων, διά σού νύν σωζόμεναι.

Καταβασία

Τούς σούς υμνολόγους Θεοτόκε, ως ζώσα καί άφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικόν στερέωσον, καί εν τή θεία δόξη σου, στεφάνων δόξης αξίωσον.

Η Υπακοή

Ήχος πλ. δ'

Ποία φυλακή ουκ έσχε σε δέσμιον; ποία δέ Εκκλησία ουκ έχει σε Ρήτορα; Δαμασκός μέγα φρονεί επί σοί Παύλε, είδε γάρ σε σκελισθέντα φωτί, Ρώμη σου τό αίμα δεξαμένη, καί αυτή κομπάζει, αλλ' η Ταρσός πλέον χαίρει, καί πόθω τιμά σου τά σπάργανα, Αλλ' ώ Παύλε Απόστολε, τό καύχημα τής οικουμένης, προφθάσας ημάς στήριξον.

Ιστέον ότι, ότε λέγεται Υπακοή, Κάθισμα ου λέγεται.

Τού Πέτρου

Ωδή δ' Ο Ειρμός

«Ούτος ο Θεός ημών, ο εκ Παρθένου σαρκωθείς, καί τήν φύσιν θεώσας, όν υμνούντες βοώμεν, Δόξα τή δυνάμει σου Κύριε».

Βροτών αλιέα σε, ως επηγγείλατο Χριστός, απειργάσατο θείον, τής αυτού Εκκλησίας, πρώτω εγχειρίσας τούς οίακας.

Πρός σού δυσωπούμενος, ο ζωοδότης, Ιησούς, ο δεσμείν τε καί λύειν, δεδωκώς σοι ευθύνας, Πέτρε γενηθήτω μοι ίλεως.

Χριστού τά βασίλεια, ανεωχθλήναι εκτενώς, καθικέτευσον Πέτρε, τοίς τήν θείαν σου μνήμην, πίστει αδιστάκτω γεραίρουσι.

Θεοτοκίον

Κυρία πανύμνητε Θεοκυήτορ, τούς εμούς λογισμούς, σαίς πρεσβείαις εκκαθάρασα, δείξον ευκαρπόν με, Μήτηρ τού πάντων Θεού.

Τού Παύλου

Επέβης εφ' ίππους

Επέβη ως λέων, αγριωπώς λυμαινόμενος, τήν Χριστού Εκκλησίαν ο Σαύλος ποτέ, τιθασευθείς δέ θεία φωνή τού αμνού τού Θεού, ήν εδίωκε ποίμνην, οίά περ ποιμήν εγχειρίζεται.

Ο μέλλων φωτίζειν, τήν οικουμένην σκοτίζεται, Ανανίας δέ τούτω απέσταλται, τό τής ψυχής φέγγος διδούς καί τού σώματος, εκ θείας εμφανείας, σκεύος εκλογής διδαχθείς αυτόν.

Τώ Παύλω αξίως, η Δαμασκός εναβρύνεται, εκ γάρ ταύτης, ως εκ Παραδείσου ποτέ, ναμάτων θείων, ούτος προήλθε μεγίστη πηγή, καί εμέθυσε πάσαν, τή θεογνωσία αφθόνως τήν γήν.

Θεοτοκίον

Καθείλε δυνάστας, από τών θρόνων ο Κύριος, η Παρθένος καί η Μήτηρ, ως έφησε, τούς δέ πεινώντας, θείων αγαθών ενέπλησε, τούς πίστει μελωδούντας, Δόξα τή δυνάμει σου Κύριε.

Καταβασία

Τήν ανεξιχνίαστον θείαν βουλήν, τής εκ τής Παρθένου σαρκώσεως, σού τού Υψίστου, ο Προφήτης, Αββακούμ, κατανοών εκραύγαζε. Δόξα τή δυνάμει σου Κύριε.

Τού Πέτρου

Ωδή ε'  Ο Ειρμός

«Ο κτησάμενος ημάς, περιούσιον λαόν, τώ αίματί σου, Κύριε, τήν εν ομονοία σήν ειρήνην δός ημίν, φυλάττων τήν ποίμνην σου.

Τήν εκ πόθου ειληφώς, παρρησίαν πρός Θεόν, αξίως εθαυμάζετο, ο αλιεύς καί αγροίκος, τερατουργών παραδόξως τή χάριτι.

Ου χρυσίον διά σέ, ουκ αργύριον Χριστέ, ο θείός σου Απόστολος, αλλ' αρετήν κτησάμενος, τήν τών θαυμάτων επλούτησε δύναμιν.

Κατηρτίζοντο σφυρά, καί αι βάσεις τών χωλών, τώ ενεργεί σου ρήματι, διά γάρ θείου Πνεύματος, απετελείτο παράδοξα πράγματα.

Θεοτοκίον

Σεσωμάτωται Θεός, καθ' υπόστασιν Αγνή, εκ σού σαρκί ενούμενος, μεμενηκώς ουκ έλαττον, κατά τήν θείαν ουσίαν ασώματος.

Τού Παύλου

Φώτισον ημάς

Σύ τό αληθές, εξελέξω Παύλε καύχημα, τόν Σταυρόν τού Βασιλέως Χριστού, αεί βαστάζων, ώσπερ τρόπαιον Απόστολε.

Σοί τό ζήν Χριστός, τό θανείν δέ κέρδος άριστον, τώ γάρ πόθω συνεσταύρωσαι, τώ σταυρωθέντι δι' ημάς, ώ Παύλε ένδοξε.

Χαίροις αληθώς, εν Κυρίω Παύλε τίμιε, εκδημήσας εκ τού σώματος, καί ενδημήσας πρός Χριστόν, τόν ζωοδότην Θεόν.

Θεοτοκίον

Χαίροις αληθώς, παρθενίας τό κειμήλιον, η τής προμήτορος ανάκλησις, καί τής κατάρας, η λύσις τού προπάτορος.

Καταβασία

Εξέστη τά σύμπαντα, επί τή θεία δόξη σου, σύ γάρ απειρόγαμε Παρθένε, έσχες εν μήτρα, τόν επί πάντων Θεόν, καί τέτοκας άχρονον Υιόν, πάσι τοίς υμνούσί σε, σωτηρίαν βραβεύοντα.

Τού Πέτρου

Ωδή ς' Ο Ειρμός

«Εν κήτει Χριστέ τριημερεύσας, Ιωνάς προέγραψέ σε τόν αθάνατον, ως νεκρόν εκουσίως, εν τή κοιλία τής γής τριημερεύσαντα».

Ως πάλαι Χριστέ τή δεξιά σου, εν υγρά πεζεύοντα Πέτρον διέσωσας, καμέ βυθιζόμενον, σάλω δεινών πειρασμών υπεξάγαγε.

Αφήκας ώ Πέτρε τά μή όντα, καί τά όντα έφθασας, ώσπερ τις έμπορος, καί σαφώς ηλίευσας, τόν μαργαρίτην Χριστόν τόν πολύτιμον.

Πειράζειν αφρόνως οιηθέντας, Πνεύμα τό πανάγιον, Πέτρε ενέκρωσας, ο εθεολόγησας πρώτος, τρανώσας Θεόν παμμακάριστε.

Θεοτοκίον

Τόν πάσης επέκεινα ουσίας, Λόγον Θεού τέτοκας, σεσαρκωμένον ημίν, διό σε Θεοτόκον, χείλεσί τε καί ψυχή καταγγέλλομεν.

Τού Παύλου

Τήν δέησιν εκχεώ

Απάντων περιφρονήσας τών τερπνών, βεβλημένος τού Δεσπότου τώ φίλτρω, καί τής κοινής, σωτηρίας τής πόθω, διαμαρτείν αυτού αιρετισάμενος, ώ Παύλε μακάριε καί νύν, υπέρ τής οικουμένης ικέτευε.

Αξίως σοι εδωρήσατο Χριστός, τό πολίτευμα Απόστολε Παύλε, εν ουρανοίς, μένουσαν γάρ ενταύθα, ουκ επεπόθησας πόλιν μακάριε, πιστός υπηρέτης γεγονώς, οικονόμος τε τών μυστηρίων αυτού.

Ως άριστος τού Δεσπότου μιμητής, καί αυτόν ενδεδυμένος ο Παύλος, ειλικρινώς, πάσι γέγονε πάντα, ίνα τούς πάντας κερδήση καί σώση λαούς, καί έσωσεν ως αληθώς, τώ Χριστώ σαγηνεύσας τά πέρατα.

### Θεοτοκίον

Επέβλεψεν επί σοί ο Κύριος, τήν εμήν ανακαινίζων ουσίαν, ως δυνατός, μεγαλεία ποιήσας, Θεογεννήτορ ως έφης πανάμωμε, καί έσωσέ με διά σού, εκ φθοράς ο Θεός μου ως εύσπλαγχνος.

### Καταβασία

Τήν θείαν ταύτην καί πάντιμον, τελούντες εορτήν οι θεόφρονες, τής Θεομήτορος, δεύτε τάς χείρας κροτήσωμεν, τόν εξ αυτής τεχθέντα Θεόν δοξάζοντες.

### Κοντάκιον

### Ήχος β'  Αυτόμελον

Τούς ασφαλείς καί θεοφθόγγους κήρυκας, τήν κορυφήν τών Μαθητών σου Κύριε, προσελάβου εις απόλαυσιν, τών αγαθών σου καί ανάπαυσιν, τούς πόνους γάρ εκείνων καί τόν θάνατον, εδέξω υπέρ πάσαν πλοκάρπωσιν, ο μόνος γινώσκων τά εγκάρδια.

### Ο Οίκος

Τράνωσόν μου τήν γλώτταν Σωτήρ μου, πλάτυνόν μου τό στόμα, καί πληρώσας αυτό, κατάνυξον τήν καρδίαν μου, ίνα οίς λέγω ακολουθήσω, καί ά διδάσκω, ποιήσω πρώτος, πάς γάρ ποιών καί διδάσκων, φησίν, ούτος μέγας εστίν, εάν γάρ λέγω μή πράττων, ως χαλκός ηχών λογισθήσομαι, Διό λαλείν μοι τά δέοντα, καί ποιείν τά συμφέροντα δώρησαι, ο μόνος γινώσκων τά εγκάρδια.

### Συναξάριον

Τή ΚΘ' τού αυτού μηνός, Μνήμη τών Αγίων ενδόξων καί πανευφήμων Αποστόλων καί πρωτοκορυφαίων, Πέτρου καί Παύλου.

### Στίχοι

- Σταύρωσις είλε κήρυκα Χριστού Πέτρον,
- Τομή δέ Παύλον, τόν τεμόντα τήν πλάνην.
- Τλή ενάτη Σταυρόν Πέτρος εικάδ' άορ δέ γε Παύλος.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

### Τού Πέτρου

### Ωδή ζ'  Ο Ειρμός

«Ο εν αρχή άναρχος Λόγος, σύν Πατρί καί τώ Πνεύματι, Υιός μονογενής, ευλογημένος εί καί υπερυψούμενος, ο Θεός ο τών Πατέρων ημών».

Τό συμπαθές θεία προνοία, τού Χριστού παιδευόμενος, εκμιμείσθαι συγχωρή, τό Πρό τού πάθους Πέτρε τής αρνήσεως, υποστήναι κλυδώνιον.

Σοί ο Χριστός πρώτω κληθέντι, καί σφοδρώς αγαπήσαντι, ως προέδρω ευκλεώς, τών Αποστόλων, πρώτω εμφανίζεται, αναστάς εκ τού μνήματος.

Σού τό τρισσόν τής πρό τού πάθους, εξαλείφων αρνήσεως, ο Δεσπότης τώ τρισσώ τής θεοφθόγγου ερωτήσεως, βεβαιοί τήν αγάπησιν.

Τής πρός Χριστόν Πέτρε φιλίας, προετίθεσο μάρτυρα, τόν τά πάντα ως Θεόν ειδότα Λόγον, όθεν καί τό φίλτατον, εγχειρίζει σοι ποίμνιον.

Θεοτοκίον

Τήν εν γαστρί τόν πρό αιώνων, εκ Πατρός ανατείλαντα, Θεόν Λόγον εν σαρκί συνειληφυίαν, πάντες μακαρίσωμεν, ως Μητέρα τού πάντων Θεού.

Τού Παύλου

Εν πεδίω Δεειρά

Εχρημάτισε Χριστέ, σφραγίς καί στέφανος τών Αποστόλων σου, ο επ' εσχάτων κληθείς τών χρόνων, σπουδή πάντας υπερβάλλων δέ, μεθ' ού ο λαός τής Εκκλησίας ψάλλει σοι, ο τών Πατέρων ημών, Θεός Ευλογητός εί.

Ει καί εδίωξε τό πρίν, τήν Εκκλησίαν σου Παύλος ο δέσμιος, αλλ' υπερέβη τήν πάλαι τόλμαν, τώ σώ ζήλω τώ επ' εσχάτων, συνήγαγε γάρ Χριστέ, τά έθνη κράζοντα, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Σύ εξ Ιερουσαλήμ κηρύξας, άπασι τό Ευαγγέλιον, περιλαβων δέ εν κύκλω πάσαν τήν γήν, μέχρι τερμάτων Παύλε τού Ιλλυρικού, διδάσκων ανεκραύγαζες, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Εν εκστάσει επαρθείς, τόν τρίτον έφθασας πόλον Πανόλβιε, καί επακούσας αρρήτων λόγων βοάς, Δόξα τώ ανωτάτω Πατρί, καί τώ Υιώ απαυγάσματι συνθρόνω, τώ ερευνώντι σαφώς Πνεύματι Θεού τά βάθη.

Θεοτοκίον

Ως επί πόκον υετός, εν σοί κατέβη Παρθένε Χριστός ο Θεός, καί σαρκοφόρος εκ σού προήλθεν, ενών τά πρίν διεστηκότα, ειρήνην εν γή, καί ουρανώ δωρούμενος, ο τών Πατέρων ημών, Θεός ευλογημένος.

Καταβασία

Ουκ ελάτρευσαν τή κτίσει οι θεόφρονες, παρά τόν Κτίσαντα, αλλά πυρός απειλήν; ανδρείως πατήσαντες, χαίροντες έψαλλον. Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Τού Πέτρου

Ωδή η'  Ο Ειρμός

«Ο τά σύμπαντα φέρων, τή απορρήτω σου δυνάμει Χριστέ, τούς οσίους σου Παίδας, εν τή φλογί εδρόσισας κράζοντας, Ευλογείτε τά έργα Κυρίου τόν Κύριον».

Εκτενούσί σου χείρας, καί σταυρώ σε περιζώσουσιν, ο Δεσπότης προφητεύων, Πέτρε προστάττει έπεσθαι κράζοντα, Ευλογείτε τά έργα Κυρίου

τόν Κύριον.

Τώ τής χάριτος λόγω, τόν μέν Αινέαν παρειμένον δεινών, Ταβιθάν δέ θανούσαν, τερατουργών ανέστησας κράζοντας, Ευλογείτε τά έργα Κυρίου τόν Κύριον.

Ο τώ Πέτρω τά έθνη, κεκαθαρμένα αποφήνας Χριστέ, τή τού Πνεύματος αίγλη, καμού τάς φρένας κάθαρον κράζοντος, Ευλογείτε τά έργα Κυρίου τόν Κύριον.

Θεοτοκίον

Εν μιά σοι σκηνούσα, τών εαυτής αγίων υποστάσεων, η θεότης Παρθένε, όλη μοι όλω ήνωται, όθεν σε ώς Μητέρα, τού Θεού ημών μακαρίζομεν.

Τού Παύλου

Τόν εν όρει αγίω

Συνεκράθη τώ πόθω σου ο Παύλος, τήν καλήν δέ αλλοίωσιν εξέστη, ουχ εαυτώ γάρ έζη ο αοίδιμος, είχε δέ οικτίρμον, ζώντα εν αυτώ σε, εις πάντας τούς αιώνας.

Σύ ηρμόσω ως νύμφην παραστήσαι, τώ νυμφίω Χριστώ τήν Εκκλησίαν, νυμφαγωγός γάρ ταύτης αναδέδειξαι, Παύλε θεοφόρε, όθεν κατά χρέος, τήν μνήμην σου γεραίρει.

Ηγωνίσω τόν κάλλιστον αγώνα, καί τελέσας τόν δρόμον σου νομίμως, Χριστώ προσήλθες χαίρων παναοίδιμε, όθεν τών στεφάνων, Παύλε ηξιώθης, τών τής δικαιοσύνης.

Θεοτοκίον

Χαίρε θρόνε πυρίμορφε Κυρίου, χαίρε νύμφη ανύμφευτε Παρθένε, Χαίρε νεφέλη ήλιον εκλάμψασα, τής δικαιοσύνης, όν υπερυψούμεν, εις πάντας τούς αιώνας.

Καταβασία

Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Τού Πέτρου

Ωδή θ' Ο Ειρμός

«Σέ τήν υπερένδοξον νύμφην, καί Παναγίαν Θεοτόκον, τήν τόν Κτίστην τεκούσαν, τών ορατών τε πάντων καί αοράτων, εν ύμνοις μεγαλύνομεν».

Σού η υπερβάλλουσα χάρις, δημοσιεύεται αξίως, τής σκιάς σου τά πάθη τών ασθενούντων, Πέτρε φυγαδευούσης, διό σε μεγαλύνομεν.

Φάσμασι τόν Σίμωνα μάγον, τόν θεομάχον επαρθέντα, πρός αιθέριον ύψος, καταβαλών αρρήτω θεία δυνάμει, ο Πέτρος μακαρίζεται.

Τών πλημμελημάτων τήν λύσιν, ταίς ικεσίαις σου παράσχου, φωτισμόν τε καρδίας, καί ευφροσύνην πνεύματος τοίς υμνούσι, τήν μνήμην σου Απόστολε.

Θεοτοκίον

Θεόν συλλαβούσα Παρθένε, Κυριοτόκος ονομάζη, κατ' αξίαν διό σε, οι πιστοί συμφώνως δοξολογούντες, εν ύμνοις μεγαλύνομεν.

Τού Παύλου

Όρους παρήλθες τής φύσεως

Σού προσκυνούμεν τήν άλυσιν, ήν υπέρ Χριστού ως κακούργος εφόρεσας, τά στίγματά τε Παύλε περιπτυσσόμεθα, ά εν τώ ευκλεεί σου, καί νικηφόρω φέρεις σώματι.

Νύν αναλύσας Απόστολε, πρός τόν υπό σού αενάως ποθούμενον, αυτώ τε ως θεράπων συναυλιζόμενος, απαύστοις ικεσίαις, τούς σούς ικέτας πρός σέ έλκυσον.

Νύν ουδαμώς εν αινίγματι, ουδέ εν εσόπτρω Χριστός σοι οπτάνεται, πρός πρόσωπον δέ μάλλον οράται πρόσωπον, τελείαν σοι τήν γνώσιν αποκαλύπτων τής θεότητος.

Θεοτοκίον

Λόγον εδέξω τόν άσαρκον, φύσιν τήν εμήν αναπλάσαι βουλόμενον, καί τούτον σαρκωθέντα Παρθένε τέτοκας, διό σε Θεοτόκε, ακαταπαύστως μεγαλύνομεν.

Καταβασία

Άπας γηγενής, σκιρτάτω τώ πνεύματι λαμπαδουχούμενος, πανηγυριζέτω δέ, αϋλων Νόων φύσις γεραίρουσα, τήν ιεράν πανήγυριν, τής Θεομήτορος, καί βοάτω. Χαίροις παμμακάριστε, Θεοτόκε Αγνή αειπάρθενε.

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Τών Αποστόλων άπαντες, τήν κορυφήν υμνήσωμεν, Πέτρον καί Παύλον τούς θείους, τής οικουμένης φωστήρας, τούς κήρυκας τής πίστεως, τάς θεολόγους σάλπιγγας, δογμάτων τούς εκφάντορας, τής Εκκλησίας τούς στύλους, καί καθαιρέτας τής πλάνης.

Θεοτοκίον

Τό μέγα καί παράδοξον, τού τόκου σου μυστήριον, θεοχαρίτωτε Κόρη, καί Θεομήτορ Παρθένε, Προφήται προεκήρυξαν, Απόστολοι εδίδαξαν, Μάρτυρες ωμολόγησαν, Άγγελοι δέ ανυμνούσι, καί άνθρωποι προσκυνούσιν.

Εις τούς Αίνους, Στιχηρά Προσομοια.

Ήχος δ'
Ο εξ υψίστου κληθείς

Ο ουρανόθεν τήν χάριν δεδεγμένος, ότε τήν ερώτησιν πρός τόν χορόν ο Σωτήρ, τόν δωδεκάριθμον έφησε, τών Αποστόλων, Τίνα με λέγουσιν είναι άνθρωποι; τότε δή ο πρόκριτος, Πέτρος Χριστού Μαθητών, θεολογών ανεκήρυξε, τρανώς βοήσας, Σύ εί Χριστός, τού ζώντος Θεού Υιός, Όθεν αξίως μακαρίζεται, ως εξ ύψους λαβών αποκάλυψιν, καί δεσμείν τε καί λύειν, τάς ευθύνας κομισάμενος.

Ο εξ υψίστου κληθείς, ουκ απ' ανθρώπων, ότε τό επίγειον σκότος ημαύρωσε, τούς οφθαλμούς σού τού σώματος, τής ασεβείας, δημοσιεύον τήν σκυθρωπότητα, τότε τό ουράνιον, φώς περιήστραψε, σής διανοίας τά όμματα, τής ευσεβείας ανακαλύπτον τήν ωραιότητα, όθεν επέγνως τόν εξάγοντα, φώς εκ σκότους Χριστόν τόν Θεον ημών, όν ικέτευε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

Σύ επαξίως πέτρα προσηγορεύθης, εν ή τήν ακράδαντον πίστιν ο Κύριος, τής Εκκλησίας εκράτυνεν, αρχιποιμένα, τών λογικών προβάτων ποιήσας σε, εντεύθεν κλειδούχόν σε, τών ουρανίων πυλών, ως αγαθός εγκατέστησεν, ανοίγειν πάσι, τής μετά πίστεως προσεδρεύουσιν, Όθεν αξίως κατηξίωσαι, σταυρωθήναι καθως ο Δεσπότης σου, όν ικέτευε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

Ο χριστοκήρυξ Σταυρού καύχημα φέρων, σύ τήν πολυέραστον θείαν αγάπησιν, ως τούς ερώντας συνδέουσαν, τώ ποθουμένω, ειλικρινώς απάντων προέκρινας, εντεύθεν καί δέσμιος, προσηγορεύθης Χριστού, τών πειρασμών τήν δυσχέρειαν, ως γλυκυτέραν, τρυφής απάσης αιρετισάμενος, καί τής τιμίας αναλύσεως, ηξιώθης συνων τώ Δεσπότη σου, όν ικέτευε σώσαι καί φωτίσαι τάς ψυχάς ημών.

Δόξα... Ήχος πλ. β'
Κοσμά Μοναχού

Η πάνσεπτος τών Αποστόλων, επεδήμησεν εορτή, τή Εκκλησία Χριστού, προξενούσα σωτηρίαν ημίν, μυστικώς ούν κροτήσαντες τούτοις προσείπωμεν. Χαίρετε φωστήρες τών εν σκότει, τού ηλίου ακτίνες υπάρχοντες. Χαίρετε Πέτρε καί Παύλε, δογμάτων τών θείων θεμέλιοι αρραγείς, φίλοι τού Χριστού, σκεύη τίμια, Πάρεστε μέσον ημών αοράτως, καταξιούντες δωρεών αϋλων, τούς τήν ημών εορτήν, ευφημούντας άσμασι.

Καί νύν... Θεοτοκίον
Ήχος πλ. β'

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής. Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Δοξολογία μεγάλη, καί Απόλυσις

Εις τήν Λειτουργίαν, Τυπικά, καί εκ τών Κανόνων, Ωδή γ' καί ς'.

Ο Απόστολος, τό Ευαγγέλιον

Κοινωνικόν
Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών, καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών. Αλληλούϊα.

Στιχηρά Ιδιόμελα τών Αποστόλων, ψαλλόμενα εις τήν διάδοσιν τού Αγίου Ελαίου.

Ήχος δ'
Χριστός η πέτρα, τών Αποστόλων πρόκριτε, διά σού εν εαυτώ τήν Εκκλησίαν εθεμελίωσεν, ής πύλαι, Άδου ού κατισχύσουσιν, αιρετικών γλωσσαλγίαι, ουδ' ου μή πορθήσουσι βαρβάρων φρυάγματα, Ταύτην ούν ρύσαι πειρασμών καί κινδυνων, ταίς σαίς ικεσίαις παμμακάριστε.
Ο αυτός  Ιωάννου Μοναχού
Χριστός σε πρώτον εν τή εκλογή Πέτρε κρηπίδα τής πίστεως εστεφάνωσε, σοί ο τού παντός Δεσπότης προέφησε, μακάριος εί Σίμων βάρ, Ιωνά, ότι ου σάρξ καί αίμα, ουθ' έτερον, θεοκήρυκά μοι σέ πεποίηκεν, αλλ' ο εμός Πατήρ ο εν ουρανοίς, Αυτόν ικέτευε θεομακάριστε Απόστολε, δωρηθήναι ημίν τό μέγα έλεος.
Ήχος πλ. β'  Θεοφάνους
Τούς τής ευσεβείας αληθείς κήρυκας, καί τής Εκκλησίας υπερφυείς αστέρας, ύμνοις εγκωμίων τιμήσωμεν, Πέτρον τήν πέτραν τής πίστεως, καί Παύλον τόν αληθή διδάσκαλον, καί μύστην τού Σωτήρος Χριστού, ούτοι γάρ τόν τής αληθείας λόγον σπείραντες, εν ταίς καρδίαις τών πιστών, πάσι καρποφορίαν διένειμαν, καί πρεσβεύουσι Χριστώ, τού σωθήναι τάς ψυχάς ημών.
Δόξα... Ήχος πλ. δ'
Ιωάννου Μοναχού
Υβριστής καί διώκτης τής Εκκλησίας γέγονας, Παύλε παμμακάριστε, ουρανόθεν δέ κληθείς, υπερήσπισας ταύτης παραδόξως, ήν ικέτευε ρυσθήναι εκ κινδύνων, καί σωθήναι τάς ψυχάς ημών.

---

Αρχή

**ΤΗ Λ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Η Σύναξις τών Αγίων Ενδόξων καί πανευφήμων Αποστόλων τών ΙΒ'.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τών Κορυφαίων γ'.

Ήχος δ'
Έδωκας σημείωσιν

Έδωκας καυχήματα, τή Εκκλησία φιλάνθρωπε, τούς σεπτούς Αποστόλους, σου εν ή υπερλάμπουσι νοητοί φωστήρες, Πέτρος τε καί Παύλος, ως περ αστέρες, λογικοί, τήν οικουμένην περιαυγάζοντες, δι' ών εφωταγώγησας, τήν δυτικήν αμαυρότητα, Ιησού παντοδύναμε, ο Σωτήρ τών ψυχών ημών.

Έδωκας στηρίγματα, τή Εκκλησία σου Κύριε, τήν τού Πέτρου στερρότητα, καί Παύλου τήν σύνεσιν, καί λαμπράν σοφίαν, καί τήν εκατέρων, θεηγορίαν αληθή, τής αθεϊας πλάνην διώκουσαν, διό μυσταγωγούμενοι, παρ' αμφοτέρων υμνούμέν σε, Ιησού παντοδύναμε, ο Σωτήρ τών ψυχών ημών.

Έδωκας υπόδειγμα, επιστροφής αμαρτάνουσι, τούς διττούς Αποστόλους σου, τόν μέν αρνησάμενον, εν καιρώ τού πάθους, καί μετεγνωκότα, τόν δέ κηρύγματι τώ σώ, αντιταξάμενον καί διώξαντα, καί άμφω τού συστήματος, πρωτοστατούντας τών φίλων σου, Ιησού παντοδύναμε, ο Σωτήρ τών ψυχών ημών.

Καί τών ιβ' τά παρόντα γ'

Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Ως αυτόπται καί μάρτυρες, τής τού Λόγου σαρκώσεως, Μαθηταί πανόλβιοι μακαρίζεσθε, ως αστραπαί γάρ εκλάμποντες, τώ κόσμω εφάνατε, καί ως όρη νοητά, γλυκασμόν εσταλάξατε, ως αέναοι, ποταμοί Παραδείσου μερισθέντες, τών εθνών τάς Εκκλησίας, θείοις ποτίζετε νάμασιν.

Ως βολίδες αστρώπτουσαι, ταίς ακτίσι τού Πνεύματος, εις τόν κόσμον άπαντα διεπέμφθητε, τήν τών θαυμάτων ενέργειαν, αφθόνως παρέχοντες, λειτουργοί τών τού Χριστού, μυστηρίων γενόμενοι, καί θεόγραφοι, θείας χάριτος πλάκες γεγραμμέναι, θεοδίδακτον τόν νόμον, Ιερομύσται πανόλβιοι.

Αλιέων ο κάλαμος, φιλοσόφων τό φρύαγμα, καί ρητόρων ρεύματα διετάραξε, θεοσοφίας διδάγματα, χαράττων καί δόγματα, καί μυρίων αγαθών, τηλαυγώς εκτιθέμενος, ευαγγέλιον, καί τρυφής αϊδίου μετουσίαν, καί Αγγέλων απολαύσεις, καί διαμένουσαν εύκλειαν.

Δόξα... Ήχος πλ. β'
Κοσμά Μοναχού

Η πάνσεπτος τών Αποστόλων, επεδήμησεν εορτή, τή Εκκλησία Χριστού, προξενούσα σωτηρίαν ημίν, μυστικώς ούν κροτήσαντες, τούτοις προσείπωμεν, Χαίρετε φωστήρες τών εν σκότει, τού ηλίου ακτίνες υπάρχοντες, Χαίρετε Πέτρε καί Παύλε, δογμάτων τών θείων θεμέλιοι αρραγείς, φίλοι τού Χριστού, σκεύη τίμια, Πάρεστε μέσον ημών αοράτως, καταξιούντες δωρεών αϋλων, τούς τήν υμών εορτήν, ευφημούντας άσμασι.

Καί νύν... Θεοτοκίον

Τίς μή μακαρίσει σε, Παναγία Παρθένε; τίς μή ανυμνήσει σου τόν αλόχευτον τοκον; ο γάρ αχρόνως εκ Πατρός εκλάμψας Υιός μονογενής, ο αυτός εκ σού τής Αγνής προήλθεν, αφράστως σαρκωθείς, φύσει Θεός υπάρχων, καί φύσει γενόμενος άνθρωπος δι' ημάς, ουκ εις δυάδα προσώπων τεμνόμενος, αλλ' εν δυάδι φύσεων ασυγχύτως γνωριζόμενος, Αυτόν ικέτευε, σεμνή παμμακάριστε, ελεηθήναι τάς ψυχάς ημών.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος δ'
Ο εξ υψίστου κληθείς

Ουρανόθεν τήν χάριν δεδεγμένος, ότε τήν ερώτησιν πρός τόν χορόν ο Σωτήρ, τόν δωδεκάριθμον έφησε, τών Αποστόλων, Τίνα με λέγουσιν είναι άνθρωποι; τότε δή ο πρόκριτος, Πέτρος Χριστού Μαθητών, θεολογών ανεκήρυξε, τρανώς βοήσας, Σύ εί Χριστός, τού ζώντος Θεού Υιός, όθεν αξίως μακαρίζεται, ως εξ ύψους λαβών αποκάλυψιν, καί δεσμείν τε καί λύειν, τάς ευθύνας κομισάμενος.

Στίχ. Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών.

Ο εξ υψίστου κληθείς, ουκ απ' ανθρώπων, ότε τό επίγειον σκότος ημαύρωσε, τούς οφθαλμούς σού τού σώματος, τής ασεβείας, δημοσιεύον τήν σκυθρωπότητα, τότε τό ουράνιον, φώς περιήστραψε, σής διανοίας τά όμματα, τής ευσεβείας, ανακαλύπτον τήν ωραιότητα, όθεν επέγνως τόν εξάγοντα, φώς εκ σκότους Χριστόν τόν Θεόν ημών, όν ικέτευε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

Στίχ. Οι ουρανοί διηγούνται δόξαν Θεού ποίησιν δέ χειρών αυτού αναγγέλλει τό στερέωμα.

Σύ επαξίως πέτρα προσηγορεύθης, εν ή τήν ακράδαντον πίστιν ο Κύριος, τής Εκκλησίας εκράτυνεν, αρχιποιμένα, τών λογικών προβάτων ποιήσας σε, εντεύθεν κλειδούχον σε τών ουρανίων πυλών, ως αγαθός εγκατέστησεν, ανοίγειν πάσι, τοίς μετά πίστεως προσεδρεύουσιν, όθεν αξίως κατηξίωσαι, σταυρωθήναι καθώς ο Δεσπότης σου, όν ικέτευε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

Δόξα... Ήχος πλ. β'
Εφραίμ Καρίας

Εορτή χαρμόσυνος, επέλαμψε τοίς πέρασι σήμερον, η πάνσεπτος μνήμη τών σοφωτάτων Αποστόλων, καί κορυφαίων Πέτρου καί Παύλου, διό καί Ρώμη συγχαίρει χορεύουσα, Εν ωδαίς καί ύμνοις εορτάσωμεν καί ημείς αδελφοί, τήν πανσεβάσμιον ταύτην ημέραν, βοώντες πρός αυτούς, Χαίρε, Πέτρε Απόστολε, καί γνήσιε φίλε, τού σού διδασκάλου Χριστού τού Θεού ημών, Χαίρε, Παύλε παμφίλτατε, καί κήρυξ τής πίστεως, καί διδάσκαλε τής

οικουμένης, ως έχων παρρησίαν, ζεύγος αγιόλεκτον, Χριστόν τόν Θεόν ημών ικετεύσατε, σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Ήχος πλ. β'

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής. Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Απολυτίκιον Ήχος δ'

Οι τών Αποστόλων πρωτόθρονοι, καί τής Οικουμένης διδάσκαλοι,
τώ Δεσπότη τών όλων πρεσβεύσατε, ειρήνην τή οικουμένη δωρήσασθαι, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Δόξα... Ήχος γ'

Απόστολοι Άγιοι, πρεσβεύσετε τώ ελεήμονι Θεώ ίνα πταισμάτων άφεσιν, παράσχη ταίς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον Ήχος γ'

Σέ τήν μεσιτεύσασαν τήν σωτηρίαν τού γένους ημών, ανυμνούμεν Θεοτόκε Παρθένε, εν τή σαρκί γάρ τή εκ σού προσληφθείση, ο Υιός σου καί Θεός ημών, τό διά Σταυρού καταδεξάμενος πάθος, ελυτρώσατο ημάς, εκ φθοράς ως φιλάνθρωπος.

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, Καθίσματα τών Κορυφαίων κατά σειράν, καί ζήτει αυτά εκεί. Ο Ν' καί οι Κανόνες τών Κορυφαίων καί τών ΙΒ'. Ο Κανών τών Κορυφαίων, ού η' Ακροστιχίς.

Πέτρον γεραίρω, Παύλον υμνώ προφρόνως.

Ωδή α' Ήχος δ'

Ανοίξω τό στόμα μου

Παράσχου μοι Κύριε, τού παναγίου σου Πνεύματος, σταγόνα χαρίσματος, λόγον τόν εύσημον, καί τερφθήσομαι, πιστώς εγκωμιάζων, τών πρωταποστόλων σου τά κατορθώματα.

Έλιπες πανεύφημε, Πέτρε προθύμως τά πρόσκαιρα, καί Χριστού τοίς ίχνεσιν επηκολούθησας, Τήν δυσπείθειαν, απέλιπες δέ Παύλε, καί τώ σέ καλέσαντι, προσεκολλήθης Χριστώ.

Τήν χάριν Απόστολοι, ουσιωδώς ενδημησασαν, ημίν εισδεξάμενοι, τού θείου Πνεύματος, διενείμασθε, τής γής απάσης Πέτρε, καί Παύλε διδάσκοντες, πάντα τά πέρατα.

Θεοτοκίον

Ρητόρων πολύφθογγοι, καί μουσικών λίαν εύηχοι, γλώσσαί σε ου σθένουσι, τιμάν ή μέλπειν Αγνή, υπέρ άνθρωπον, καί γάρ τό πεπραγμένον, εν σοί μόνη πέφυκε, θείον μυστήριον.

Ο Κανων τών ΙΒ', ού η Ακροστιχίς.

Χριστού γεραίρω τούς σοφούς Αποστόλους.
Θεοφάνους.

Ωδή α' Ήχος δ'
Θαλάσσης τό ερυθραίον
Χορείαν τών Αποστόλων μέλπειν μοι, προθυμουμένω Χριστέ, ταίς ικεσίαις τούτων ως Θεός, τήν ακτίνα τού Πνεύματος, τού Παναγίου δώρησαι, καί τήν λαμπάδα τής σοφίας σου.

Ρωσθέντες ρώμη τή σή καί χάριτι, Χριστέ τήν δύναμιν, τών εναντίων έθραυσαν εχθρών, οι σεπτοί σου, Απόστολοι, θεοειδείς γενόμενοι, ταίς ανενδότοις πρός σέ νεύσεσιν.

Ιάσεις επιτελούντες Δέσποτα, τώ σώ ονόματι, τά τών εθνών συστήματα τή σή, επιγνώσει εζώγρησαν, οι ευκλεείς Απόστολοι, καί τώ φωτί σου κατελάμπρυναν.

Σοφία μαθητευθέντες ένδοξοι, Χριστού Απόστολοι, τή ουρανίω πάσαν προφανώς, τών σοφών εμωράνατε, πολυλογίαν άχρηστον, τή συντονία τού κυρύγματος.

Θεοτοκίον
Τριάδος τής υπερθέου Πάναγνε, τόν ένα τέτοκας, εκ σού σαρκί φανέντα καθ' ημάς, ευδοκία τού φύσαντος, καί συνεργεία Πνεύματος, τού παναγίου Μητροπάρθενε.

Καταβασία
Ανοίξω τό στομα μου, καί πληρωθήσεται Πνεύματος, καί λόγον ερεύξομαι, τή Βασιλίδι Μητρί, καί οφθήσομαι, φαιδρώς πανηγυρίζων, καί άσω γηθόμενος, ταύτης τά θαύματα.

Τών Κορυφαίων

Ωδή γ'
Τούς σούς υμνολόγους
Ο σύγγονος Πέτρε σοι Ανδρέας, προφαίνει Μεσσίαν τόν Χριστόν, ώ πίστει προσεπέλασας, Καί σύ Παύλε θεσπέσιε, τώ θεουργώ Βαπτίσματι, δι' Ανανίου πεφώτισαι.

Νωθρώς τούς τώ γράμματι τού Νόμου, Προσσπταίοντας γόνους, Ισραήλ, τώ φωτισμώ τής χάριτος, ο Πέτρος προσενήνοχε, Τάς τών εθνών αγέλας δέ, ο

Παύλος πλάνης ερρύσατο.

Γυμνούς καί αόπλους εις τά έθνη, απέστειλας σού τούς Μαθητάς, ανθ' όπλων σού το όνομα, βαστάζοντας το άγιον, καί τόν τής πλάνης πόλεμον, Χριστέ τή πίστει διέλυσαν.

Θεοτοκίον

Επλήσθη Απόστολοι τού γνώναι, τόν Κύριον σύμπασα η γή, τόν εκ Παρθένου λάμψαντα, καί κόσμον καταυγάσαντα, θείω υμών κηρύγματι, Πέτρε καί Παύλε πανεύφημοι.

Τών ΙΒ'

Ευφραίνεται επί σοί

Ουράνια καί σεπτά, θεηγορούντες επί γής δόγματα, γλώσσαις πυρός φθεγγόμενοι, κήρυκες Χριστού παρεδώκατε.

Υπέδειξας ουρανούς, τούς Μαθητάς σου λογικούς, Δέσποτα, δόξαν τήν σήν άπασιν, εκδιηγουμένους τοίς πέρασι.

Γραφέντες εν ουρανοίς, καί δεδειγμένοι τού Χριστού σύσκηνοι, τούς νύν ημάς Πάνσοφοι, σέβοντας προθύμως φρουρήσατε.

Θεοτοκίον

Εσκήνωσεν εν ημίν, ο εν υψίστοις κατοικών Πάναγνε, άνευ σποράς σάρκα γάρ, εκ σού προσλαβών πεφανέρωται.

Καταβασία

Τούς σούς υμνολόγους Θεοτόκε, ως ζώσα καί άφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικόν στερέωσον, καί εν τή θεία δόξη σου, στεφάνων δόξης αξίωσον.

Κάθισμα Ήχος δ'

Ο υψωθείς

Κατοικισθέντες εν φωτί απροσίτω, ως οικητήρια φωτός πεφυκότες, οίκον υμών τόν άγιον φωτίζετε αεί, θείαις προσφοιτήσεσιν, όθεν πίστει βοώμεν, Σκότους ημάς ρύσασθε, Καί Παντοίων κινδύνων, καί χαλεπών εθνών επιδρομής, εκδυσωπούντες τόν Κτίστην Απόστολοι.

Θεοτοκίον

Ου σιωπήσομεν ποτέ Θεοτόκε, τάς δυναστείας σου λαλείν οι ανάξιοι, εί μή γάρ σύ προϊστασο πρεσβεύουσα, τίς ημάς ερρύσατο εκ τοσούτων κινδύνων, τίς δέ διεφύλαξεν έως νύν ελευθέρους; Ουκ αποστώμεν Δέσποινα εκ σού, σούς γάρ δούλους σώζεις αεί, εκ παντοίων δεινών.

Τών Κορυφαίων

Ωδή δ'

Τήν ανεξιχνίαστον

Ρωμαλεωτάτοις μέν οι ασθενείς, ρητορικωτάτοις δέ μέροψιν, οι ιδιώται, συμπλακέντες ευσεβώς, Πέτρος καί Παύλος ήραντο, νίκος τού Χριστού οι Απόστολοι.

Αποστάτην Σίμωνα μάγον δεινόν, ως φιλοχρυσότατον ήλεγξεν, ο θείος Πέτρος, ο δέ Παύλος ο σοφός, τον τρίβους διαστρέφοντα, τού Χριστού Ελύμαν επήρωσεν.

Ιδιωτικώτατον ο αλιεύς, καί ο σκηνουργός λόγον έχοντες, αλλ' ηρτυμένον, θείω άλατι ψυχάς, τών φιλοσόφων ήδυναν, καί Χριστού τή πίστει προσήγαγον.

Θεοτοκίον

Ρήσει θεοπνεύστω λαλών Αββακούμ, όρος σε δασύ καί κατάσκιον, ο θείος έφη, τον ελθόντα εκ θαιμάν, καί βροτωθέντα Δέσποινα, διά σού μηνύων σαφέστατα.

Τών ΙΒ'

Επαρθέντα σε ιδούσα

Ρημάτων θείων ο φθόγγος τών Αποστόλων, πυρσοφανώς διήλθε, τήν οικουμένην πάσαν, πλάνης μέν τήν ύλην εμπιπρών, φωτίζων δέ χάριτι, τά τών ευσεβούντων συστήματα.

Αμαυρωθέντα τώ ζόφω τής ασεβείας, θεοφεγγείς φωστήρες, οι Μαθηταί φανέντες, κόσμον κατελάμπρυναν, ακτίσι τής χάριτος, καί μαρμαρυγαίς τού κηρύγματος.

Ιερωτάταις λαμπάσιν ηγλαϊσμένοι, τού νοητού ηλίου, ως αστέρες τόν κόσμον, λάμπετε Πανόλβιοι, φωτί τής θεότητος, πλάνης τήν αχλύν εκδιώκοντες.

Ράβδον δυνάμεως έχοντες τόν Σταυρόν σου, τήν αλμυράν τού βίου, οι αυτόπται σου Λόγε, θάλασσαν διέτεμον, ως ίπποι ταράσσοντες, τής πολυθεΐας τά κύματα.

Θεοτοκίον

Ωραϊσμένος ποικίλη φωτοχυσία, ο ουρανός ο έμψυχος, σού τού Βασιλέως, τών βασιλευόντων Χριστέ, Παρθένος η άχραντος, νύν ως Θεοτόκος δοξάζεται.

Καταβασία

Τήν ανεξιχνίαστον θείαν βουλήν, τής εκ τής Παρθένου σαρκώσεως, σού τού Υψίστου, ο Προφήτης, Αββακούμ, κατανοών εκραύγαζε. Δόξα τή δυνάμει σου Κύριε.

Τών Κορυφαίων

Ωδή ε'

Εξέστη τά σύμπαντα
Ως όντα στερρότατον, Χριστός σε πέτρα κέκληκε, Πέτρε, καί εν σοί τήν Εκκλησίαν, ής Άδου πύλαι ου κατισχύσουσι, Σέ δέ Παύλε σκεύος εκλογής, έφη τούτου φέρειν σε, εθνών έμπροσθεν τούνομα.

Πέτρος αρνησάμενος, εκ τρίτου τόν διδάσκαλον, τριττή τού φιλείν συγκαταθέσει, προσωκ ειώθη, Παύλος δ' ο πρίν βλασφημών, σοβαρώς τε θλίβων τούς πιστούς, ύστερον εκήρυττεν, όν εδίωκε πρότερον.

Ακήρατον εύκλειαν, καί δόξαν τήν αϊδιον, Πέτρε πρός Χριστόν σύν Παύλω εύρες, τάς κλείς αυτός μέν των ουρανών πιστευθείς, ο δέ εις Παράδεισον αχθείς, ρήματά τε άρρητα, μυηθείς υπέρ άνθρωπον.

Θεοτοκίον
Υπό θείου Πνεύματος, ο Ησαίας έμπλεως, τόκον τόν απάτορα προείπε, σού εκ Παρθένου τεχθέντος Εμμανουήλ, ός εστι Θεός ο μεθ' ημών, όν Αγνή εκύησας, υπέρ λόγον καί έννοιαν.

Τών ΙΒ'

Σύ Κύριέ μου φώς
Τούς θείους σου Χριστέ, καί πανσόφους θεράποντας, ως έδειξας εν τώ κόσμω, σέ τό άδυτον φέγγος, τοίς πάσι καταγγέλλοντας.

Οι πάσαν αρετήν, προφανώς εξασκήσαντες, Απόστολοι τής ποικίλης, τών δαιμονων κακίας, τούς βρόχους διελύσατε.

Υπέφηναν ημίν, τής Τριάδος τήν έλλαμψιν, θεότητος εν μονάδι, οι πυρίναις εν γλώσσαις, φθεγγόμενοι Απόστολοι.

Θεοτοκίον
Σέ όπλον αρραγές, κατ' εχθρών προβαλλόμεθα, σέ άγκυραν καί ελπίδα, τής ημών σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

Καταβασία
Εξέστη τά σύμπαντα, επί τή θεία δόξη σου, σύ γάρ απειρόγαμε Παρθένε, έσχες εν μήτρα, τόν επί πάντων Θεόν, καί τέτοκας άχρονον Υιόν, πάσι τοίς υμνούσί σε, σωτηρίαν βραβεύοντα.

Τών Κορυφαίων

Ωδή ς'

Τήν θείαν ταύτην
Λαμπρά τού Πέτρου τά θαύματα σεπτά δέ καί τού Παύλου τά τέρατα, τά γάρ σουδάρια, σκιαί τε τούτων νοσήματα, τών ασθενών ιώνται προσεπεγγίζοντα.

Ο Πέτρος όντως ο ένδοξος, καί Παύλος αληθώς ο θεσπέσιος, δυάς η ένθεος, καί τής σεπτής καταγώγια, ζωαρχικής Τριάδος, απάντων μνήσθητε.

Νοσούντων ψυχάς καί σώματα, ως θείος ιατρός καί πανάριστος, Πέτρος ιάσατο, Παύλος δέ έθνη κατηύγασε, καί τώ φωτί Κυρίου εσημειώσατο.

Θεοτοκίον

Υμνείν σε χρέος οφείλομεν, αλλ' όμως κατ' αξίαν ου σθένομεν, διό υμνούντές σε, σιγή τιμώμεν τό άφραστον, τό επί σοί Παρθένε πραχθέν μυστήριον.

Τών ΙΒ'

Θύσω σοι, μετά φωνής

Στηρίξας, τούς μαθητάς, σοφία καί χάριτι, δυνατωτέρους εlργάσω, τής Ελλήνων Σώτερ ερεσχελίας, καί τά τούτων, απατηλά κατήργησας δόγματα.

Οι θείοι ποταμοί, τής σοφίας επλήρωσαν,τών σωτηρίων ναμάτων, τάς κοιλάδας πάσας τής Εκκλησίας, σωτηρίου, εκ τών πηγών τά ρείθρα πλουτήσαντες.

Φανέντες, ζωτικοί, ως αστέρες Πανόλβιοι, διεσκεδάσατε πάσαν, τήν ζοφώδη πλάνην, ταίς φωτοβόλοις, λαμπηδόσι, θεογνωσίας φέγγος αστράπτοντες.

Θεοτοκίον

Όλην σε, τήν πλησίον καλήν τε καί άμωμον, καί καθαρόν ευρων κρίνον, καί κοιλάδων άνθος ώ Θεομήτορ, ο Νυμφίος, ο νοητός εν σοί κατεσκήνωσε.

Καταβασία

Τήν θείαν ταύτην καί πάντιμον, τελούντες εορτήν οι θεόφρονες, τής Θεομήτορος, δεύτε τάς χείρας κροτήσωμεν, τόν εξ αυτής τεχθέντα Θεόν δοξάζοντες.

Κοντάκιον Ήχος β'

Τούς ασφαλείς καί θεοφθόγγους κήρυκας, τήν κορυφήν τών Μαθητών σου Κύριε, προσελάβου εις απόλαυσιν, τών αγαθών σου καί ανάπαυσιν, τούς πόνους γάρ εκείνων καί τόν θάνατον, εδέξω υπέρ πάσαν ολοκάρπωσιν, ο μόνος γινώσκων τά εγκάρδια.

Ο Οίκος

Τράνωσόν μου τήν γλώτταν Σωτήρ μου, πλάτυνόν μου τό στόμα, καί πληρώσας αυτό, κατάνυξον τήν καρδίαν μου, ίνα οίς λέγω ακολουθήσω, καί ά διδάσκω, ποιήσω πρώτος, πάς γάρ ποιών καί διδάσκων, φησίν, ούτος μέγας εστίν, εάν γάρ λέγω, καί μή πράττω, ως χαλκός ηχών λογισθήσομαι, Διό λαλείν μοι τά δέοντα, καί ποιείν τά συμφέροντα δώρησαι, ο μόνος γινώσκων τά εγκάρδια.

Συναξάριον

Τή Λ' τού αυτού μηνός, η Σύναξις τών Αγίων ενδόξων καί πανευφήμων Αποστολων τών ΙΒ', καί δήλωσις όπως καί πού έκαστος αυτών εκήρυξε καί ετελειώθη.

Στίχοι

- Τιμώ θεόπτας δώδεκα Χριστού φίλους,
- Ήρωας άνδρας καί θεούς τολμώ λέγειν.
- Δώδεκα ευκλεέας τριακοστή αγείρει μύστας.

Ταίς τών Αγίων καί πανευφήμων Αποστόλων πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τών Κορυφαίων

Ωδή ζ'

Ουκ ελάτρευσαν

Μεμακάρισται, ο Πέτρος παρά τού Χριστού, ως τούτον φάμενος, Υιόν τού ζώντος Θεού, Παύλος δέ τετίμηται, ως σκεύος εύχρηστον, καί αμφότεροι, συμμελωδούντες έψαλλον, ο Θεός ευλογητός εί.

Νομολάτρας μέν, ο Πέτρος εσυνέτιζεν, ως προσετέτακτο, ο Παύλος δέ εθνικούς, τούτους τε τή χάριτι, Χριστού προσέφερον, ανακράζοντες, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Ως πανάριστος, ο Πέτρος τού Χριστού ποιμήν, τήν ποίμνην είληφε, τής δ' Εκκλησίας αυτού, ο Παύλος διδάσκαλος, ένθεος γέγονεν, άμφω κράζοντες, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Θεοτοκίον

Παναμώμητε, Παρθένε καί ασύγκριτε τή αγιότητι, η τόν Θεόν εν σαρκί, αφράστως κυήσασα, καί γαλουχήσασα, αυτώ πρέσβευε, παντοίων ημάς ρύεσθαι, πειρασμών τε καί σκανδάλων.

Τών ΙΒ'

Εν τή καμίνω

Υιοθετήσας, τούς μαθητάς σου πρίν ο φύσει Υιός, θέσει κληρονόμους έδειξας πατρικής, κληρουχίας Υπεράγαθε, καί συνεδρεύειν σοι, τώ Θεώ καί τώ Δεσπότη ευδόκησας.

Σοφίας χύμα, καρδίας πλάτος, γλώσσαν εύλαλον, Λόγε παρασχών τοίς θείοις σου Μαθηταίς, εξαπέστειλας κηρύττοντας, τό Ευαγγέλιον, τής βασιλείας πάσι τοίς έθνεσιν.

Αναφανέντες, ώσπερ νεφέλαι πλήρεις θείου φωτός, πάσιν επομβρίζουσιν ύδωρ ζωοποιόν, οι Απόστολοι κραυγάζοντες, Ευλογημενος, εί, εν τώ Ναώ τής δόξης σου Κύριε.

Θεοτοκίον

Πεποικιλμένη, τή θεία δόξη ώφθης άχραντε, μόνη εξ αιώνος Λόγον τόν τού Πατρός, δεξαμένη Μητροπάρθενε, Ευλογημένη σύ εν γυναιξίν, υπάρχεις πανάμωμε.

Καταβασία

Ουκ ελάτρευσαν τή κτίσει οι θεόφρονες, παρά τόν Κτίσαντα, αλλά πυρός απειλήν; ανδρείως πατήσαντες, χαίροντες έψαλλον. Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Τών Κορυφαίων

Ωδή η'

Παίδας ευαγείς

Ρώμη κρατυνθείς ο Πέτρος θεία, θανούσαν τήν Ταβιθάν ευχή ανέστησε, Παύλος δέ τόν Εύτυχον, ύψους ολισθήσαντα, καί νεκρωθέντα ήγειρεν, άμφω κραυγάζοντες, Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, αυτόν εις τούς αιώνας.

Οράσει φρικτή καί θαυμασία, ο Πέτρος καταφωτίζει τόν Κορνήλιον, Παύλος δέ τόν Γάϊον, Κρίσπον καί Πανέστιον, τόν Στεφανάν εβάπτισεν, άμφω κραυγάζοντες, Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, αυτόν εις τούς αιώνας.

Φρουρούμενον Πέτρον δεδεμένον, Αγγέλου επιστασία Χριστός έλυσε, Παύλον σύν τώ Σίλα δέ, αύθις προσευχόμενον, κολαστηρίω πόδας τε, δεινώς τεινόμενον, ανήκε, τήν φρουράν διασείσας, όθεν γεγηθότες αυτόν εδοξολόγουν.

Θεοτοκίον

Ρύσαι τών παθών τών ολεθρίων, σειράς τε αμαρτιών ημών διάρρηξον, αίς έκαστος σφίγγεται, πάντες γάρ ημάρτομεν, καί ιλασμόν αιτούμεθα, όντες υπεύθυνοι, όν δίδου Θεοτόκε λιταίς σου, τοίς υπερυψούσι, Χριστόν εις τούς αιώνας.

Τών ΙΒ'

Χείρας εκπετάσας Δανιήλ

Ο θείος καί πάνσοφος χορός, τών Αποστόλων Χριστού, πυρί τού Πνεύματος, ως ύλην εύπρηστον έφλεξε, τών δαιμόνων τά σεβάσματα, καί τάς καρδίας τών πιστών εφωταγώγησε, τών βοώντων, Πάντα τά έργα υμνείτε τον Κύριον.

Σύμφώνως τούς θείους μαθητάς, καί Αποστόλους Χριστού, τούς τά ουράνια, ημίν βροντήσαντας δόγματα, τούς λειμώνας τούς τής πίστεως, τούς ευεργέτας τούς κοινούς τής ανθρωπότητος, τού Σωτήρος, τούς υπηρέτας εν ύμνοις τιμήσωμεν.

Τά πάνσεπτα καί χωρητικά, δοχεία τού φωτος, τάς τών βροτών απαρχάς, τάς τού κηρύγματος σάλπιγγας, τούς χειμάρρους τής αφθάρτου ζωής, τάς θεοφόρους αστραπάς, τάς ιαμάτων πηγάς, τούς νοερούς πόδας τού Ευαγγελίου δοξάσωμεν.

Θεοτοκίον

Ο πλήρης κενούται δι' ημάς, ίνα πληρώσεως, αυτού μετάσχωμεν, τήν γάρ πανάχραντον μήτραν σου, υποδύς ο απερίληπτος, τών πατρικών ουκ αποστάς κόλπων σεσάρκωται, όθεν πάντες, σέ ευλογούμεν Μαρία Θεόνυμφε.

Καταβασία

Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Τών Κορυφαίων

Ωδή θ'

Άπας γηγενής

Όλον πανταχού, τόν κόσμον διήλθετε, ώσπερ υπόπτεροι, καί τό Ευαγγέλιον, φυλαίς απάσαις γλώσσαις καί έθνεσι, τό τού Χριστού κηρύξαντες, πάντας ειλκύσατε, πρός τήν πίστιν, Πέτρε παμμακάριστε, καί θεσπέσιε Παύλε Απόστολε.

Νεύσας εις βαθύ, τό γήρας καί φύσεως, τό χρέος Πέτρε πληρών, τή τού διδασκάλου σου, Χριστού μιμήσει σταυρόν υπέμεινας, σύ δέ τμηθείς τήν κάραν σου, Παύλε, ώ θαύμα φρικτόν! αντί λύθρου, γάλακτος ανέβλυσας, οχετούς καί απίστους επέστρεψας.

Ω θεία δυάς, κόσμου τό σωτήριον, η πιστευθείσα παντός, καί πρός θεοσέβειαν, εξ ασεβείας μεταρρυθμίσασα, καί μετά πότμον σώζουσα, έτι πιστών τας ψυχάς, καί ημών νύν μνήσθητε καί πρόστητε, τού Χριστού κορυφαίοι Απόστολοι.

Θεοτοκίον

Σώτερ αγαθέ, ο φύσει φιλάνθρωπος καί πολυεύσπλαγχνος, ταίς τής πανυμνήτου σου, Μητρός Παρθένου θείαις εντεύξεσι, Πέτρου πρεσβείαις Παύλου τε, τών Αποστόλων τών σών, τά ελέη, σού καί τήν βοήθειαν, ουρανόθεν ημίν εξαπόστειλον.

Τών ΙΒ'

Λίθος αχειρότμητος

Λύειν τάς σειράς τών πταισμάτων, τήν εξουσίαν ειληφότες, παρά τού Δεσπότου θεόπται, τάς αμαρτίας τών ανυμνούντων υμάς, συμπαθώς εξαλείψατε, καί σωτηρίας αξιώσατε.

Όλην τήν τού Πνεύματος αίγλην, ουσιωδώς υμίν φανείσαν, πάντες υπεδέξασθε Σοφοί, εν υπερώω μυσταγωγούμενοι, τά θψηλά διδάγματα, καί νύν αξίως μακαρίζεσθε.

Υμίν ο Χριστός νύν τοίς φίλοις, αναπαυσαμένοις βραβεύει, τούς αμαραντίνους στεφάνους, καί θεωρίας θείας εμπίπλησιν, όνπερ νύν δυσωπήσατε, τάς Εκκλησίας διασώσασθαι.

Θεοτοκίον

Σαρκί επιδημήσαι θελήσας, ο διακοσμήσας πάντα Λόγος, εν σοί κατεσκήνωσε μόνην, αγιωτέραν πάντων ευράμενος, καί Θεοτόκον έδειξεν, επ' αληθείας Θεονύμφευτε.

Καταβασία

Άπας γηγενής, σκιρτάτω τώ πνεύματι λαμπαδουχούμενος, πανηγυριζέτω δέ, αϋλων Νόων φύσις γεραίρουσα, τήν ιεράν πανήγυριν, τής Θεομήτορος, καί βοάτω. Χαίροις παμμακάριστε, Θεοτόκε Αγνή αειπάρθενε.

Εξαποστειλάριον

Τών Μαθητών ορώντων σε

Τών Μαθητών τήν πάντιμον δωδεκάδα, χαρμονικώς συνδράμωμεν ευφημήσαι, Χαίρετε τήν σύμπασαν κυκλώσαντες, καί τών εθνών ζωγρήσαντες, τάς Κακοπίστους αγέλας, μαθητευθέντων τά θεία.

Θεοτοκίον

Ημείς εν σοί καυχώμεθα Θεοτόκε, καί εις Θεόν σε έχομεν προστασίαν, Εκτεινον τήν χείρά σου τήν άμαχον, καί θραύσον τούς εχθρούς ημών, σοίς εξαπόστειλον δούλοις, βοήθειαν εξ Αγίου.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ', καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'

Ο εξ υψίστου κληθείς

Η κορυφαία κρηπίς τών Αποστόλων, τά πάντα κατέλιπες καί ηκολούθησας, τώ Διδασκάλω βοών αυτώ, σύν Σοί θανούμαι, ίνα καί ζήσω τήν μακαρίαν ζωήν, Διό μεμακάρισαι καί αναδέδειξαι, τής παμμεγίστου τών πόλεων, δόξα καί κλέος, καί Εκκλησίας, Πέτρε εδραίωμα, καί πύλαι, Άδου ού κατίσχυσαν, όντως ταύτης Χριστός ως προεφήτευσεν, όν ικέτευε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

Ο εκ κοιλίας μητρός αφωρισμένος, υλώδους εμφάσεως, βάρος απάσης φυγών, ανεπτερώθης τώ έρωτι, όντως τής θείας, Παύλε αγάπης πρός ύψος ένθεον, ένθα τόν υπέρφωτον, γνόφον τού θείου φωτός, υπεισελθών ως τις άσαρκος, τήν τών αρρήτων, κατεπλουτίσθης ρημάτων μύησιν, καί απεστάλης τοίς τυφλώττουσι, φώς μηνύων Χριστόν τόν Θεόν ημών, όν ικέτευε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

Ο φώς υπάρχων πρό πάντων τών αιώνων, ότε κατηξίωσας πρός με τόν άνθρωπον, επιδημήσαι δι' άφατον, φιλανθρωπίαν, καί σάρξ γενέσθαι δι' αγαθότητα, τότε φώτα δεύτερα τής σής λαμπρότητος, καί αστραπής αποστίλβοντα, τούς Αποστόλους, καί μαθητάς σου Σώτερ ανέδειξας, οί καί

Πεμφθέντες κτίσιν άπασαν, τώ φωτί σου τώ θείω κατηύγασαν, δυσωπούντές σε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

Πέτρε καί Παύλε τού Λόγου αροτήρες, Ανδρέα, Ιάκωβε, καί Ιωάννη σοφέ, Βαρθολομαίε καί Φίλιππε, θωμά Ματθαίε, Σίμων Ιούδα, θείε Ιάκωβε, παγκόσμιε πάντιμε, τών Μαθητών δωδεκάς, οι εν τώ κόσμω κηρύξαντες, τήν παναγίαν, Τριάδα φύσει Θεόν αϊδιον, τής Εκκλησίας οι αλάξευτοι, όντως πύργοι καί στύλοι ασάλευτοι, τώ Δεσπότη τών όλων, ικετεύσατε σωθήναι ημάς.

Δόξα... Ήχος πλ. δ'

Κοσμά Μοναχού

Ήν διήλθετε κτίσιν φωτίσαντες, οι τού Σωτήρος Μαθηταί, τήν πλάνην τών ειδώλων, ως ύλην καταφλέξαντες τοίς διδάγμασιν υμών, τά έθνη εξ αγνωσίας βυθού, πρός τήν θείαν γνώσιν, σαγηνεύσαντες εσώσατε, καί νύν πρεσβεύσατε Χριστώ, όπως ίλεως γένηται ημίν, εν τή ημέρα τής κρίσεως.

Καί νύν... Θεοτοκίον

Ήχος πλ. δ'

Δέσποινα πρόσδεξαι, τάς δεήσεις τών δούλων σου, καί λύτρωσαι ημάς, από πάσης ανάγκης καί θλίψεως.

Δοξολογία Μεγάλη, καί Απόλυσις

Εις τήν Λειτουργίαν, Τυπικά, καί εκ τού Κανόνος τών Κορυφαίων, Ωδή γ', καί εκ τών Δώδεκα, Ωδή ς'.

Κοινωνικόν

Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών, καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών. Αλληλούϊα.

---

Αρχή

**Τίτλος**

**Ιούλιος_1 Ιούλιος_2 Ιούλιος_3 Ιούλιος_4 Ιούλιος_5 Ιούλιος_6 Ιούλιος_7 Ιούλιος_8 Ιούλιος_9 Ιούλιος_10 Ιούλιος_11 Ιούλιος_12 Ιούλιος_13 Ιούλιος_13-19 Ιούλιος_14 Ιούλιος_15a Ιούλιος_15b Ιούλιος_16 Ιούλιος_17 Ιούλιος_18 Ιούλιος_19 Ιούλιος_20 Ιούλιος_21 Ιούλιος_22 Ιούλιος_23 Ιούλιος_24 Ιούλιος_25 Ιούλιος_26 Ιούλιος_27 Ιούλιος_28 Ιούλιος_29 Ιούλιος_30 Ιούλιος_31**

---

Αρχή

## ΤΗ Α' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων καί θαυματουργών Αναργύρων Κοσμά καί Δαμιανού, τών εν Ρώμη μαρτυρησάντων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ει βούλει εορτάσαι τούς Αγίους τούτους, μετά τόν Προοιμιακόν, ειπέ τήν α' στάσιν τού Μακάριος ανήρ. Ει δέ τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια γ' δευτερούντες αυτά.

Ήχος πλ. β' Αυτόμελον

Όλην αποθέμενοι, εν ουρανοίς τήν ελπίδα, θησαυρόν ασύλητον, εαυτοίς οι Άγιοι εθησαύρισαν, δωρεάν έλαβον, δωρεάν διδούσι, τοίς νοσούσι τά ιάματα, χρυσόν ή άργυρον, ευαγγελικώς ουκ εκτήσαντο, ανθρώποις τε καί κτήνεσι, τάς ευεργεσίας μετέδωκαν, ίνα διά πάντων, υπήκοοι γενόμενοι Χριστώ, εν παρρησία πρεσβεύωσιν, υπέρ τών ψυχών ημών.

Ύλην εβδελύξαντο, τήν επί γής φθειρομένην, ουρανοπολίται δέ, εν σαρκί ισάγγελοι εχρημάτισαν, η ομόφρων συσκηνος, ξυνωρίς ομότροπος, τών Αγίων καί ομόψυχος, διό τοίς κάμνουσι, πάσι τάς ιάσεις βραβεύουσιν, ανάργυρον παρέχοντες, τήν ευεργεσίαν τοίς χρήζουσιν, Ούς εν ετησίοις, τιμήσωμεν αξίως εορταίς, εν παρρησία πρεσβεύοντας, υπέρ τών ψυχών ημών.

Όλην εισοικίσασα, εν εαυτή τήν Τριάδα, δυάς η αοίδιμος, Κοσμάς καί Δαμιανός οι θεόφρονες, ως κρουνοί βλύζουσιν, εκ πηγής νάματα, ζωηφόρου τών ιάσεων, ών καί τά λείψανα, πάθη δι' αφής θεραπεύουσι, καί μόνα τά ονόματα, νόσους εκ βροτών απελαύνουσι, πάντων τών προσφύγων, σωτήριοι τελούντες, τώ Χριστώ, εν παρρησία πρεσβεύουσιν, υπέρ τών ψυχων ημών.

Δόξα... Ήχος πλ. β'
Ανατολίου

Ατελεύτητος υπάρχει τών Αγίων η χάρις, ήν παρά Χριστού εκομίσαντο, όθεν αυτών καί τά λείψανα, εκ θείας δυνάμεως, διηνεκώς ενεργούσι τοίς θαύμασιν, ών καί τά ονόματα μόνα, εκ πίστεως επιβοώμενα, τών ανιάτων άλγηδόνων απαλλάττουσι, Δι' ών Κύριε καί ημάς, τών τής ψυχής καί τού σώματος παθών ελευθέρωσον, ως φιλάνθρωπος.

Καί νύν... Θεοτοκίον

Τίς μή μακαρίσει σε, Παναγία Παρθένε; τίς μή ανυμνήσει σου τόν αλόχευτον τόκον, ο γάρ αχρόνως εκ Πατρός εκλάμψας Υιός μονογενής, ο αυτός εκ σού τής αγνής προήλθεν, αφράστως σαρκωθείς, φύσει Θεός υπάρχων, καί φύσει γενόμενος άνθρωπος δι' ημάς, ουκ εις δυάδα προσώπων τεμνόμενος, αλλ' εν δυάδι φύσεων ασυγχύτως γνωριζόμενος, Αυτόν ικέτευε, σεμνή παμμακάριστε, ελεηθήναι τάς ψυχάς ημών.

Είσοδος. τό, Φώς ιλαρόν, καί τό Προκείμενον τής ημέρας. Ει βούλει ειπείν καί Αναγνώσματα.

Προφητείαις Ησαϊου τό Ανάγνωσμα
(Κεφ. 43, 9-14)

Τάδε λέγει Κύριος, Πάντα τά έθνη συνήχθησαν άμα καί συναχθήσονται

άρχοντες εξ αυτών, Τίς αναγγελεί ταύτα εν αυτοίς; ή τά εξ αρχής, τίς ακουστά ποιήσει ημίν, Αγαγέτωσαν τούς μάρτυρας αυτών, καί δικαιωθήτωσαν, Καί ειπάτωσαν αληθή, Γίνεσθέ μοι μάρτυρες, καί εγώ μάρτυς Κύριος ο Θεός, καί ο παίς, όν εξελεξάμην, ίνα γνώτε καί Πιστεύσητε, καί συνήτε, ότι εγώ ειμι, Εμπροσθέν μου ουκ εγένετο άλλος Θεός, καί μετ εμέ ουκ έσται, Εγώ ειμι ο Θεός, καί ουκ έστι πάρεξ εμού ο σώζων. Εγώ ανήγγειλα καί έσωσα, ωνείδισα, καί ουκ ήν εν ημίν αλλότριος. Υμείς εμοί μάρτυρες, καί εγώ Κύριος ο Θεός, ότι απ' αρχής εγώ ειμι, καί ουκ έστιν ο εκ τών χειρών μου εξαιρούμενος. Ποιήσω, καί τίς αποστρέψει αυτό. Ούτω λέγει Κύριος ο Θεός, ο λυτρούμενος ημάς, ο Άγιος Ισραήλ.

## Σοφίας Σολομώντος τό Ανάγνωσμα
## (Κεφ. 3, 1-9)

Δικαίων ψυχαί εν χειρί Θεού, καί ου μή άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι. Καί ελογίσθη κάκωσις η έξοδος αυτών, καί η αφ' ημών πορεία σύντριμμα, οι δέ εισιν εν ειρήνη. Καί γάρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Καί ολίγα παιδευθέντες, μεγάλα ευεργετηθήσονται, ότι ο Θεός επείρασεν αυτούς, καί εύρεν αυτούς αξίους εαυτού. Ως χρυσόν εν χωνευτηρίω εδοκίμασεν αυτούς, καί ως ολοκάρπωμα θυσίας προσεδέξατο αυτούς. Καί εν καιρώ επισκοπής αυτών αναλάμψουσι, καί ως σπινθήρες εν καλάμη διαδραμούνται. Κρινούσιν έθνη, καί κρατήσουσι λαών καί βασιλεύσει αυτών Κύριος εις τούς αιώνας, οι πεποιθότες επ' αυτόν, συνήσουσιν αλήθειαν, καί οι πιστοί έν αγάπη προσμενούσιν αυτώ, ότι χάρις καί έλεος εν τοίς οσίοις αυτού, καί επισκοπή εν τοίς εκλεκτοίς αυτού.

## Σοφίας Σολομώντος τό Ανάγνωσμα
## (Κεφ. 5, 15-23 & 6, 1-3)

Δίκαιοι εις τόν αίωνα ζώσι, καί εν Κυρίω ο μισθός αυτών, καί η φροντίς αυτών παρά Υψίστω. Διά τούτο λήψονται τό βασίλειον τής ευπρεπείας, καί τό διάδημα τού κάλλους εκ χειρός Κυρίου, ότι τή δεξιά αυτού σκεπάσει αυτούς, καί τώ βραχίονι υπερασπιεί αυτών. Λήψεται πανοπλίαν, τόν ζήλον αυτού, καί οπλοποιήσει τήν κτίσιν εις άμυναν εχθρών. Ενδύσεται θώρακα, δικαιοσύνην, καί περιθήσεται κόρυθα, κρίσιν ανυπόκριτον. Λήψεται ασπίδα ακαταμάχητον, οσιότητα, οξυνεί δέ απότομον οργήν εις ρομφαίαν. Συνεκπολεμήσει αυτώ ο κόσμος επί τούς παράφρονας, πορεύσονται εύστοχοι βολίδες αστραπών, καί ως από ευκύκλου τόξου τών νεφών, επί σκοπόν αλούνται, καί εκ πετροβόλου θυμού πλήρεις ριφήσονται χάλαζαι. Αγανακτήσει κατ' αυτών ύδωρ θαλάσσης, ποταμοί δέ συγκλύσουσιν αποτόμως. Αντιστήσεται αυτοίς πνευμαδυνάμεως, καί ως λαίλαψ εκλικμήσει αυτούς, καί ερημώσει πάσαν τήν γήν ανομία, καί η κακοπραγία περιτρέψει θρόνους δυναστών. Ακούσατε ούν, Βασιλείς, καί σύνετε, μάθετε, δικασταί περάτων γής, ενωτίσασθε οι κρατούντες πλήθους, καί γεγαυρωμένοι επί όχλοις εθνών, ότι εδόθη παρά Κυρίου η κράτησις υμίν, καί η δυναστεία παρά Υψίστου.

## Εις τήν Λιτήν, Στιχηρά Ιδιόμελα.

Ήχος β'

Η πηγή τών ιαμάτων, ένα καί μόνον εθεράπευε τού έτους, η σκηνή τών Αναργύρων, άπαν τό πλήθος θεραπεύει τών νοσούντων, ανενδεής γάρ υπάρχει, καί αδαπάνητος ο πλούτος τών Αγίων, Ταίς αυτών ικεσίαις Χριστέ, ελέησον ημάς.

Ο αυτός  Θεοφάνους

Πόθω θείω, καί έρωτι τών μελλόντων, πρακτικώς πολιτευσάμενοι, τάς σωτηρίους οδούς διηνύσατε, όθεν τό καθαρόν τής ψυχής ακηλίδωτον τηρήσαντες, τών ενύλων τελείως απέστητε, Πνεύματι δέ θείω χρυσωθέντες, αχρύσως τάς ιάσεις τοίς νοσούσι παρέχετε, δυάς ιερά, φωταυγής ξυνωρίς, πεφωτισμένον θείον ζεύγος, Ανάργυροι, εν θλίψεσι καί νόσοις επισκεπτόμενοι ημάς, καί τών ψυχών ημών τάς νόσους, αναργύρως ιώμενοι.

Ο αυτός  Γερμανού

Μεγάλων αξιωθέντες δωρεών πανεύφημοι, εν ταπεινότητι βίου εν τή γή επολιτεύσασθε, καί διερχόμενοι πανταχού, δωρεάν τών νοσούντων τά πάθη ιώμενοι, ώφθητε Αγγέλων συνόμιλοι, Κοσμά σύν Δαμιανώ τώ σοφώ, αδελφοί τερπνότατοι, καί ημών τά πάθη, ταίς ευχαίς ημών ιάσασθε.

Ο αυτός

Αγάλλεται ο χορός τών Αγίων εις αιώνας, βασιλείαν γάρ ουρανών εκληρονόμησαν, Γή τά Λείψανα αυτών δεξαμένη, ευωδίαν διέπνευσε, Δούλοι Χριστού γεγόνασι, κατασκηνώσαντες εις ζωήν τήν αιώνιον.

Ο αυτός

Ιατροί τών ασθενούντων, θησαυροί τών ιαμάτων, σωτήριοι τών πιστών, Ανάργυροι πανευκλεείς, τούς εν ανάγκαις κράζοντας, καί οδυνωμένους ιάσασθε, ικετεύοντες Θεόν τόν αγαθόν, λυτρώσασθαι ημάς τών παγίδων τού εχθρού.

Δόξα... Ήχος πλ. β'

Ανδρέου Πυρού

Φαιδρά καί επίφωτος ανέτειλε σήμερον, η μνήμη τών Αναργύρων Χριστού, λαμπρώς καταλάμπουσα ταίς ακτίσι τών θαυμάτων, Δεύτε ούν φιλέορτοι, πιστώς πανηγυρίσωμεν, δεύτε, τή σορώ τών Αγίων, προθύμως πάντες προσδράμωμεν, όπως τήν ταχίστην ίασιν αφθόνως παρ' αυτών κομισώμεθα, αναργύρως γάρ παρέχουσι πάσι, τή ενεργεία τού Αγίου Πνεύματος, τών ιαμάτων τά χαρίσματα.

Καί νύν... Θεοτοκίον

Θεοτόκε σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής, σέ ικετεύομεν, Πρέσβευε Δέσποινα, μετά τών Αναργύρων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος α'

Τών ουρανίων Ταγμάτων

Τών Αναργύρων τή μνήμη πάντες συνδράμωμεν, εν καθαρά καρδία, καί αγνώ συνειδότι, αυτοίς συνεκβοώντες, Χαίροις δυάς, τών ασθενούντων η

ίασις, ότι υμείς απειλήφατε εκ Θεού, τήν εξουσίαν τών ιάσεων.

Στίχ. Τοίς Αγίοις τοίς εν τή γή αυτού εθαυμάστωσεν ο Κύριος.

Τάς εντολάς τού Κυρίου καλώς φυλάξαντες, φιλαργυρίας νόσον, εκτεμόντες πανσόφως, ιάσθε αναργύρως, όθεν υμών, τήν πανσέβαστον κοίμησιν, αξιοχρέως Τιμώμεν θαυματουργοί, ικετεύσατε σωθήναι ημάς.

Στίχ. Ιδού δή τί καλόν, ή τί τερπνόν, αλλ' ή τό κατοικείν αδελφούς επί τό αυτό.

Ως παρρησίαν λαβόντες παρά τού μόνου Θεού, τού ελεείν καί σώζειν, εκ ποικίλων κινδύνων, λυτρώσασθε τούς πίστει υμνούντας υμάς, θεοφόροι Ανάργυροι, καί έκ παθών καί κινδύνων καί πειρασμών, ψυχής άμα καί τού σώματος.

Δόξα... Ήχος πλ. β'

Πάντοτε έχοντες Χριστόν, ενεργούντα εν υμίν, Άγιοι Ανάργυροι, θαυματουργείτε εν κόσμω, ασθενούντας θεραπεύετε, καί γάρ τό ιατρείον υμών, πηγή υπάρχει ανεξάντλητος, αντλουμένη δέ, μάλλον υπερεκβλύζει, καί χεομένη περισσεύεται, καθ' εκάστην κενουμένη καί πληθυνομένη, πάσι χορηγούσα καί μή λειπομένη, καί οι αρυόμενοι κορέννυνται ιάματα, καί αύτη διαμένει αδαπάνητος, Τί ούν υμάς καλέσωμεν, θεράποντας ιατρούς ψυχών τε καί σωμάτων, Ιατήρας παθών ανιάτων, δωρεάν ιωμένους άπαντας, ειληφότας χαρίσματα, παρά τού Σωτήρος Χριστού, του παρέχοντος ημίν τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Τριήμερος ανέστης Χριστέ

Μετάνοιαν ου κέκτησαι, ψυχή αμετανόητε, Τί βραδύνεις; τού θανάτου η τομή, εγγίζει καί τό τέλος, εφέστηκεν ως κλέπτης, τή Θεοτόκω δράμε πρόσπεσον.

Απολυτίκιον  Ήχος πλ. δ'

Άγιοι Ανάργυροι καί θαυματουργοί, επισκέψασθε τάς ασθενείας ημών, δωρεάν ελάβετε, δωρεάν δότε ημίν.

Δόξα... Καί νύν... Θεοτοκίον

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα  Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Ουρανόθεν θαυμάτων τήν δωρεάν, παραδόξως λαβόντες παρά Χριστού, πάντα θεραπεύετε, αενάως τά πάθη, εν υμίν γάρ ώφθη, η χάρις τού Πνεύματος, ενεργούσα θείων ιάσεων δύναμιν, όθεν καί αφθάρτων, αγαθών ευπορίαν, τή πίστει εκτήσασθε, αναργύρω φρονήματι, θεοφόροι Ανάργυροι, Πρεσβεύσατε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς

εορτάζουσι πόθω, τήν αγίαν μνήμην υμών.

Δόξα... Καί νύν... Θεοτοκίον

Ως Παρθένον καί μόνην εν γυναιξί, σέ ασπόρως τεκούσαν Θεόν σαρκί, πάσαι μακαρίζομεν γενεαί τών ανθρώπων, τό γάρ πύρ εσκήνωσεν, εν σοί τής θεότητος, καί ως βρέφος θηλάζεις, τόν Κτίστην καί Κύριον, όθεν τών Αγγέλων, καί ανθρώπων τό γένος, αξίως δοξάζομεν, τόν πανάγιον τόκον σου, καί συμφώνως βοώμέν σοι, Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς καταφεύγουσι πίστει, τή σκέπη σου, Άχραντε.

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος δ'

Επεφάνης σήμερον

Τήν φαιδράν πανήγυριν, τών Άναργύρων, οι πιστοί τελέσωμεν, καθικετεύοντες αυτούς, ίνα ημάς απαλλάττωσι, παντοίων νόσων, ψυχής τε καί σώματος.

Δόξα... Καί νύν... Θεοτοκίον

Προστασία άμαχε, τών θλιβομένων, καί θερμή αντίληψις, τών πεποιθότων επί σέ, εκ τών κινδύνων με λύτρωσαι, σύ γάρ υπάρχεις, η πάντων βοήθεια.

Ο Ν' καί οι Κανόνες τής Θεοτόκου καί τών Αγίων. Ψάλλομεν δέ καί Καταβασίας, Ανοίξω τό στόμα μου.

Ο Κανών τών Αγίων, ού η Ακροστιχίς.

Κλεινούς ιατρούς τών βροτών μέλπειν θέμις. Ιωσήφ.

Ωδή α' Ήχος πλ. β'

Ως εν ηπείρω πεζεύσας

Καταστραπτόμενοι δόξη τή θεϊκή φωταυγείς Ανάργυροι, καταυγάσατε ημών, τάς ψυχάς, σκεδάζοντες παθών, τήν αχλύν, όπως υμάς πίστει γεραίρωμεν.

Λυμαντικών καθαρθέντες πρώην παθών, πόνων επιδόσεσιν, εκκαθαίρετε ημών, χαλεπά νοσήματα σοφοί, καί τούς πόνους τών ψυχών επικουφίζετε.

Εκ τού τών όλων Δεσπότου τάς δωρεάς, ειληφότες Άγιοι, τών θαυμάτων δωρεάν, τά ημών ιάσασθε πολλά, καί δυσίατα σαρκός πάθη δεόμεθα.

Θεοτοκίον

Νόμου τής φύσεως δίχα τίκτεις Αγνή, τόν τού νόμου πάροχον, Ιησούν τόν λυτρωτήν, όν δυσώπει ρύσασθαι ημάς, Θεοτόκε τών πολλών ανομιών ημών.

Ωδή γ'

Ουκ έστιν Άγιος ως σύ

Ο κόσμος άδει τάς υμών, Άγιοι καθ' εκάστην, πολλάς ευεργεσίας καί

θαυμάτων τήν πληθύν, θαυματουργοί Ιατροί, τών Αγγέλων όντως ισοστάσιοι.

Υμάς τούς δύο φωταυγείς, δυσωπούμεν αστέρας, τούς εν ύψει κειμένους, Εκκλησίας μυστικώς, Κοσμά καί Δαμιανέ, τάς καρδίας, πάντων καταυγάζετε.

Ιδού συνήθροισται λαός, Άγιοι πανταχόθεν, τού υμών ανυμνήσαι τάς μεγίστας δωρεάς, εν τώ τεμένει υμών, αλλά πάντων, τάς ευχάς πληρώσατε.

Θεοτοκίον

Αγία Δέσποινα αγνή, υπεράγιον Λόγον, σωματωσασα λόγω, τών αλόγων με παθών, υμνούντά σε ευσεβώς, θείοις λόγοις, λύτρωσαι πανάμωμε.

Κάθισμα Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Ιαμάτων δοτήρες θαυματουργοί, καί θαυμάτων λαμπτήρες φωταγωγοί, πάσιν ανεδείχθητε, τή τού Πνεύματος χάριτι, τών γάρ παθών τήν φλόγα, τή πίστει δροσίζοντες, τών πιστών εν ταύτη, τό φρόνημα θάλπετε, όθεν ιατρείον, τών ψυχών κεκτημένοι, τόν θείον ναόν υμών, εν αυτώ καταφεύγομεν, θεοφόροι Ανάργυροι, Πρεσβευσατε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην υμών.

Θεοτοκίον

Πειρασμοίς πολυπλόκοις περιπεσών, εξ εχθρών αοράτων καί ορατών, τώ σάλω συνέχομαι τών αμέτρων πταισμάτων μου, καί ως έχων αντίληψιν, καί σκέπην σε άχραντε, τώ λιμένι προστρέχω, τής σής αγαθότητος, όθεν Παναγία, τόν εκ σού σαρκωθέντα, ασπόρως ικέτευε, υπέρ πάντων τών δούλων σου, τών απαύστως υμνούντων σε, πρεσβεύουσα αυτώ εκτενώς, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς προσκυνούσιν εν πίστει, τόν τόκον σου, Άχραντε.

Ωδή δ'

Χριστός μου δύναμις

Τά θεία κλήματα, τά όντως εύκαρπα, Τής αμπέλου τής θείας τόν μυστικόν, οίνον αποστάζοντα, εν ευφροσύνη τούς σοφούς, Αναργύρους ευφημήσωμεν.

Ρομφαία ώφθητε, κατατιτρώσκοντες, δυσμενείς αοράτους, ών καί ημάς, τών βελών λυτρώσασθε, περιποιούμενοι ημών, τήν ζωήν σοφοί Ανάργυροι.

Ουκ έστιν άνθρωπος, όστις ου κέκτηται, αγαθούς υμάς πρέσβεις πρός τόν Χριστόν, Άγιοι Ανάργυροι, όν δυσωπήσατε πυρός, αιωνίου λυτρωθήναί με.

Θεοτοκίον

Σκηνώσας κυριος, αγνή εν μέσω σου, τήν σκηνήν τήν αγίαν, πηγήν πολλών, δείκνυσιν ιάσεων, καί καθαρτήριον παθών, Θεοτόκε αειπάρθενε.

Ωδή ε'

Τώ θείω φέγγει σου Αγαθέ

Τόν θείον είλκυσαν φωτισμόν, τών απαυγασμάτων τήν πηγήν, ολο καρδίως

ποθήσαντες, καί φωταγω γούσιν ημάς εκάστοτε, θαυμάτων δαδουχίαις οι μεγαλώνυμοι.

Ωραίον ζεύγος όντες σοφοί, αύλακας εργάζεσθε ψυχών, θεοσημείαις εκάστοτε, τέμνοντες τά πάθη ώσπερ ζιζάνια, καί ρώσεως τόν στάχυν εκατοστεύοντες.

Νενευρωμένοι σθένει Χριστού, τού εν τή κακία δυνατού, πάσαν ισχύν διωλέσατε, ού τής τυραννίδος ημάς λυτρώσασθε, ακοίμητοι προστάται ημών Ανάργυροι.

Θεοτοκίον

Ρυσαί με Δέσποινα αγαθή, τών πειρατηρίων τού εχθρού, τής εν γεέννη κολάσεως, καί τής συνεχούσης αιχμαλωσίας με, καί μή με καταισχύνης υμνολογούντά σε.

## Ωδή ς'

### Τού βίου τήν θάλασσαν

Οικούντες Ανάργυροι, εν χαρά τούς ουρανούς, εν τώ σεπτώ ναώ υμών, παραγενέσθαι σπεύσατε και ημών, τάς νόσους τού σώματος, καί καρδίας τά πάθη εξοικίσατε.

Τήν θείαν ευπρέπειαν, στολισθέντες ευπρεπώς, ως διπλοϊδα Άγιοι, γυμνούς ημάς υπάρχοντας αρετών, ενθέως στολίσατε, καί παθών ατιμίας εκγυμνώσατε.

Ως κόσμον τά θαύματα, περικείμενοι παντός, σωτήρες κόσμου ώφθητε, τής κοσμικής ούν βλάβης πάντας ημάς, λυτρώσασθε Άγιοι, καί παθών ατιμίας καί κολάσεως.

Θεοτοκίον

Μή φλέξας τήν μήτραν σου, πύρ υπάρχων Ιησούς, εκ σού σαρκί προέρχεται, τούτον αγνή δυσώπησον τού πυρός, καί πάσης κολάσεως, λυτρωθήναι τούς πίστει ανυμνούντάς σε.

### Κοντάκιον Ήχος β'

Οι τήν χάριν λαβόντες τών ιαμάτων, εφαπλούτε τήν ρώσιν τοίς εν ανάγκαις, Ιατροί θαυματουργοί ένδοξοι, Αλλά τή ημών επισκέψει, καί τών πολεμίων τά θράση καταβάλλετε, τόν κόσμον ιώμενοι εν τοίς θαύμασι.

### Ο Οίκος

Πάσης συνέσεως καί σοφίας, υπέρκειται ο λόγος τών σοφών ιατρών, καί πάσι γνώσιν παρέχουσι, τού γάρ Υψίστου χάριν λαβόντες, αοράτως τήν ρώσιν δωρούνται πάσιν, όθεν καμοί διηγήσεως χάριν δεδώρηνται, υμνήσαι ως θεοφόρους, ευαρέστους Χριστού καί θεράποντας, ιαμάτων πλήθη παρέχοντας αλγηδόνων γάρ πάντας λυτρούνται, τόν κόσμον ιώμενοι εν τοίς θαύμασι.

Συναξάριον

Τή Α' τού αυτού μηνός, Μνήμη τών Αγίων καί θαυματουργών Αναργύρων Κοσμά καί Δαμιανού, τών εν Ρώμη τελειωθέντων.

Στίχοι

- Βολαίς αδελφούς ου διέσπων οι λίθοι,
- Ως εις έν, άμφω συμπεπηγότας λίθον.
- Πρώτη Ιουλίοιο λίθοισιν Ανάργυροι ήθλουν.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Βασιλείου, τού συστησαμένου τήν Μονήν τού Βαθέος Ρύακος.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πέτρου, πατρικίου γενομένου εν τοίς Ευάνδρου.

Ο όσιος Λέων ο ερημίτης, γυμνός διάγων, εν ειρήνη τελειοϋται.

Οι άγιοι δισχίλιοι μάρτυρες ξίφει τελειούνται.

Οι άγιοι είκοσι πέντε μάρτυρες οι εν Νικομηδεία πυρί τελειούνται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Δροσοβόλον μέν τήν κάμινον

Επτερώσατε τόν νούν πρός τά ουράνια, καλών ταίς επιδόσεσι, καί γενόμενοι, κοινωνοί τών θείων δωρεών, υπόπτεροι όντες αετοί, πάσαν διέρχεσθε τήν γήν, θαυματουργούντες αεί.

Λαμπρυνθέντες ώσπερ όρυζον Ανάργυροι, χρυσίον θεία χάριτι, επλουτήσατε, ιαμάτων χάριν δαψιλώς, διό οικτιρήσατε ημάς, χειμαζομένους χαλεπών, επαγωγαίς πειρασμών.

Παραθέμενοι Κυρίω καθαρά υμών, τά πνεύματα Ανάργυροι, τά ακάθαρτα, εκδιώκειν χάριν παρ αυτού, εδέξασθε πνεύματα αεί, ών τής κακίας τής πικράς, ρύσασθε πάντας ημάς.

Εκοιμήθητε δικαίοις οφειλόμενον, ύπνον σοφοί Ανάργυροι, καί ακοίμντοι πρεσβευταί υπάρχετε πιστών, διό τών ψυχών ημών αεί, καί τών σωμάτων τά δεινά πάθη κοιμίσατε.

Θεοτοκίον

Ικετεύουσα μή παύση τόν φιλάνθρωπον, Θεόν ημών Παναμωμε, όπως λάβωμεν, παντελή συγχώρησιν κακών, καί τύχωμεν τών εν ουρανοίς, ητοιμασμένων αγαθών τοίς αγαπώσιν αυτόν.

Ωδή η'

Εκ φλογός τοίς Οσίοις

Νοσημάτων παντοίων όντες πολέμιοι, συμμαχία τού θείου Πνεύματος Άγιοι, παύσατε ημών, τών ψυχών τά νοσήματα, καί τάς τών σωμάτων, κουφίσατε οδύνας.

Θεωροί τού Κυρίου νύν τής τερπνότητος, χρηματίζοντες όντως προσεπισκέπτεσθε, τούτον τόν τερπνόν, θεοφόροι ναόν υμών, καί πηγήν θαυμάτων, πολλών επιτελείτε.

Εκ πηγής Παραδείσου εκπορευόμενοι, ποταμοί ώσπερ δύο άπαν αρδεύετε, πρόσωπον τής γής, ιαμάτων τοίς νάμασι, καί τών νοσημάτων, ξηραίνετε τους όμβρους.

Μακαρίων ελπίδων επιλαβόμενοι, υπό πάντων αξίως νύν μακαρίζεσθε, ως εκπληρωταί, μακαρίου Θεού ημών, θείων θελημάτων, Ανάργυροι δειχθέντες.

Ιατροί ανιάτων παθών Αναργυροι, τά ανίατα πάθη ημών ιάσασθε, καί τών πειρασμών, τόν χειμώνα πραύνατε, καί τής αθυμίας, σκεδάσατε τά νέφη.

Τριαδικόν

Σύν αγίοις Αγγέλοις υμνολογήσωμεν, τόν Πατέρα καί Λόγον καί Πνεύμα Άγιον, μίαν εν τρισί, χαρακτήρσι θεότητα, μίαν βασιλείαν, καί μίαν εξουσίαν.

Ωδή θ'

Θεόν ανθρώποις

Ιδού ο οίκος υμών τοίς θαύμασι, πανευπρεπώς, ως άστροις φωταυγέσι λαμπρύνεται, καί συμφώνως υμάς αγαλλόμενος, πάντοτε μακαρίζει, καί τήν σεπτήν υμών, μνήμην εορτάζει ευσεβώς, σεπτοί Ανάργυροι.

Ως φώς ως δύο μεγάλοι ήλιοι, τό νοητόν στερέωμα κοσμείτε Ανάργυροι, καί σημείων ακτίσι λαμπρύνετεπάντων πιστών καρδίας, όθεν κραυγάζομεν, Λύσατε τό σκότος, τών παθών ημών δεόμεθα.

Σκηνάς τάς άνω οικούντες Άγιοι, μέσον ημών γενέσθαι αοράτως σπλαγχνίσθητε, τών εν μέσω τής θείας σκηνής υμών, ύμνους αναπεμπόντων, τώ παντοκράτορι, καί μακαριζόντων, εκτενώς υμάς πανευφήμοι.

Η γή τοίς άνω συνεπαγάλλεται, εν τή φαιδρά καί θεία εορτή υμών Άγιοι, ήν τελούντας ημάς εκλυτρώσατε, σκότος αρρωστημάτων, πάσης στενώσεως, καί τής εν τώ Άδη, χαλεπής σοφοί κολάσεως.

Θεοτοκίον

Φρικτήν λοχείαν έχουσα Πάναγνε, εν τή φρικτή ημέρα τής ετάσεως δέομαι, τής φρικτής αποφάσεως ρύσαί με, καί τής τών σωζομένων στάσεως μέτοχον, ποίησον υμνούντα, σέ πιστώς θεοχαρίτωτε.

Εξαποστειλάριον

Εν πνεύματι τώ Ιερώ

Τήν χάριν τών ιάσεων, εκ Θεού ειληφότες, Ανάργυροι μακάριοι, ιατρεύετε νόσους, καί θεραπεύετε πάντας, τούς πιστώς προστρέχοντας, τώ θείω υμών τεμένει διά τούτο συμφώνως, μακαρίζομεν αξίως, τήν σεπτήν υμών μνήμην.

Θεοτοκίον

Εκύησας Πανάχραντε, τόν Θεού Θεόν Λόγον, τώ κόσμω τήν σωτήριον, εκτελούντα πανσόφως, οικονομίαν αρίστην, διά τούτό σε πάντες, υμνολογούμεν αξίως, ως πρεσβεύουσαν τούτω, λυτρωθήναι ημάς νόσων, καί παντοίων κινδύνων.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια τά εξής γ' δευτερούντες τό α'.

Ήχος δ'

Έδωκας σημείωσιν

Νάμασι τού Πνεύματος, ως ποταμοί προσκλυζόμενοι, καί σαφώς πελαγίζοντες, τήν κτίσιν αρδεύετε, ταίς θεοσημείαις, καί ταίς παραδόξοις, τών ιαμάτων παροχαίς, καί ψυχοφθόρα πάθη ξηραίνετε, καί νόσους θεραπεύετε, καί φυγαδεύετε πνεύματα, θεοφόροι Ανάργυροι, πρεσβευταί τών ψυχών ημών.

Πάθη αλογώτατα, καθυποτάξαντες Άγιοι, ψυχικαίς ταίς δυνάμεσιν, ανθρώποις καί κτήνεσι, τάς ευεργεσίας, επιχορηγείτε, παρά Χριστού τήν δωρεαν, τών ιαμάτων καταπλουτήσαντες, διό τήν Ιεράν υμών, καί φωτοφόρον πανήγυριν, εκτελούντες αιτούμεθα, φωτισμόν ταίς ψυχαίς ημών.

Ο θείος ναός υμών, ως ουρανός αναδέδεικται, φωταυγής καί ουράνιος, ως άστρα τά θαύματα, τά σωτηριώδη, νύν προσκεκτημένος, καί ώσπερ ήλιον φαιδρόν, τών ιαμάτων θείαν ενέργειαν, Κοσμά μακαριώτατε, Δαμιανέ παναοίδιμε, τού Κυρίου θεράποντες, πρεσβευταί τών ψυχών ημών.

Δόξα... Ήχος δ'

Πηγήν ιαμάτων έχοντες, Άγιοι Ανάργυροι, τάς ιάσεις παρέχετε πάσι τοίς δεομένοις, ως μεγίστων δωρεών αξιωθέντες, παρά τής αενάου πηγής τού Σωτήρος Χριστού, Φησί γάρ πρός υμάς ο Κύριος, ως ομοζήλους τών Αποστόλων, Ιδού δέδωκα υμίν τήν εξουσίαν, κατά πνευμάτων ακαθάρτων, ώστε αυτά εκβάλλειν, καί θεραπεύειν πάσαν νόσον, καί πάσαν μαλακίαν, Διό τοίς προστάγμασιν αυτού καλώς πολιτευσάμενοι, δωρεάν ελάβετε, δωρεάν παρέχετε, ιατρεύοντες τά πάθη τών ψυχών, καί τών σωμάτων ημών.

Καί νύν... Θεοτοκίον

Εκ παντοίων κινδύνων τούς δούλους σου φύλαττε, ευλογημένη Θεοτόκε, ίνα σε δοξάζωμεν, τήν ελπίδα τών ψυχών ημών.

Δοξολογία μεγάλη, καί Απόλυσις

Εις τήν Λειτουργίαν, Τά τυπικά, οι Μακαρισμοί, καί εκ τού Κανόνος τών

Αγίων η γ' καί στ' Ωδή.

Κοινωνικόν

Εις μνημόσυνον αιώνιον έσται Δίκαιος. Αλληλούια.

---

Αρχή

## ΤΗ Β' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής εν Βλαχέρναις Καταθέσεως τής τιμίας Εσθήτος τής Υπεραγίας Θεοτόκου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια γ' αυτά, δευτερούντες.

Ήχος δ'
Εδωκας σημείωσιν

Έδωκας φιλάνθρωπε, τήν σήν Μητέρα βοήβειαν, τοίς σοίς δούλοις ως εύσπλαγχνος, δι' ής τήν απόρρητον, καί φρικτήν ειργάσω, σήν οικονομίαν, καί τό πρωτόκτιστον ημών, επανωρθώσω θείον αξίωμα, διό τήν πανσεβάσμιον, ταύτης τιμώντες πανήγυριν, ανυμνούμεν τό κράτος σου, Ιησού παντοδύναμε.

Πόλιν τήν τιμώσάν σε, καί κατά χρέος δοξάζουσαν, περιέπεις πανύμνητε, Εσθήτι τιμία σου, εξ αθεωτάτων, άχραντε βαρβάρων, από λιμού τε καί σεισμού, καί εμφυλίου πολέμου πάντοτε, Παρθένε απειρόγαμε, καί διά τούτο δοξάζει σε, Παναγία Θεόνυμφε, τών ανθρώπων βοήθεια.

Εσθήτα τιμίαν σου, θεοχαρίτωτε Δέσποινα, εδωρήσω τή πόλει σου, πλούτον αναφαίρετον, σκέπην τε καί κλέος, καί άρρηκτον τείχος, καί ιαμάτων θησαυρόν, καί τών θαυμάτων πηγήν αένναον, λιμένα τε σωτήριον, χειμαζομένοις εκάστοτε, διά τούτο υμνούμέν σε, υπερύμνυτε Δέσποινα.

Δόξα... Καί νύν... Ήχος β'

Φρένα καθαραντες καί νούν, σύν τοίς Αγγέλοις καί ημείς πανηγυρίσωμεν, φαιδρώς εξάρχοντες, δαυιτικήν μελωδίαν, τή νεάνιδι νύμφη τού Βασιλέως Χριστού τού Θεού ημών, Ανάστηθι, Κύριε, λέγοντες εις τήν ανάπαυσίν σου, σύ καί η κιβωτός τού αγιάσματός σου, ως γάρ παλάτιον τερπνόν, ταύτην κατεκόσμησας, καί κατεκλήρωσας αυτήν τή πόλει σου Δέσποτα, περιποιείσθαι καί σκέπειν, εκ πολεμίων βαρβάρων, τή κραταιά δυνάμει σου, ταίς ικεσίαις αυτής.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος α'
Πανεύφημοι Μάρτυρες

Παλάτιον έμψυχον Θεού, μόνη εχρημάτισας, καί τήν τιμίαν Εσθήτά σου, οίκω

αγίω σου, τεθησαυρισμένην, τοίς πιστοίς αγίασμα, καί τείχος εδωρήσω απόρθητον, δι' ής η πόλις σου, Θεομήτορ διασώζεται, ανυμνούσα, τό ένθεον κράτος σου.

Στιχ. Ανάστηθι Κύριε εις τήν ανάπαυσίν σου σύ καί η κιβωτός τού αγιάσματός σου.

Εσθήτα τιμίαν σου τό σόν, τίμιον καί άγιον, σώμα σεμνή περιστείλασαν, δόξης θησαύρισμα, εδωρήσω πάσι, καί πηγήν πηγάζουσαν, τής χάριτος αείζωα νάματα, ής εορτάζομεν, τήν κατάθεσιν τιμώντές σε, Θεοτόκε, τήν πάντας τιμήσασαν.

Στιχ. Τό πρόσωπόν σου λιτανεύσουσιν οι πλούσιοι τού λαού.

Ο οίκός σου Δέσποινα τό σόν, ιερόν μαφόριον, ως θησαυρόν αγιάσματος, φέρων εκάστοτε, αγιάζει πάντας, ημάς τούς προστρέχοντας, καί σέ χρεωστικώς μακαρίζοντας, εν τούτω έχοντας, τήν ελπίδα τών ψυχών ημών, καί βεβαίαν, σκέπην καί κραταίωμα.

Δόξα... Καί νύν... Ήχος β'

Ως στέφανον υπέρλαμπρον, πανάχραντε Θεοτόκε, Εσθήτά σου τήν αγίαν, η Εκκλησία τού Θεού περιέθετο, καί φαιδρύνεται χαίρουσα σήμερον, καί μυστικώς χορεύει, Δέσποινα εκβοώσά σοι, Χαίρε διάδημα τίμιον, καί στέφανε τής θείας δόξης αυτού, Χαίρε η μόνη δόξα τού πληρώματος, καί αιώνιος ευφροσύνη, Χαίρε τών εις σέ προστρεχόντων, λιμήν καί προστασία, καί σωτηρία ημών.

Απολυτίκιον Ήχος πλ. δ'

Θεοτόκε αειπάρθενε, τών ανθρώπων η σκέπη, Εσθήτα καί Ζώνην τού αχράντου σου σώματος, κραταιάν τή πόλει σου περιβολήν εδωρήσω, τώ ασπόρω τόκω σου άφθαρτα διαμείναντα, επι σοί γάρ καί φύσις καινοτομείται καί χρόνος, διό δυσωπούμέν σε, ειρήνην τή οικουμένη δωρήσασθαι, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος δ'
Επεφάνης σήμερον

Τής σεπτής Εσθήτός σου, τή καταθέσει, εορτάζει σήμερον ο σός πανύμνητε λαός, καί εκτενώς ανακραζει σοι, Χαίρε Παρθένε, Χριστιανών τό καύχημα. (Δίς)

Μετά τήν β' Στιχολογίαν

Κάθισμα  όμοιον

Εορτάζει σήμερον, η οικουμένη, τήν σεπτήν κατάθεσιν, τής σής Εσθήτος ώ σεμνή, καί μετά πόθου κραυγάζει σοι, Χαίρε Παρθένε, πιστών η βοήθεια. (Δίς)

Οι δύο Κανόνες τής Υπεραγίας Θεοτόκου, ών ο παρων φέρει Ακροστιχίδα τήνδε.

Εσθήτα τιμώ τής πανάγνου Παρθένου. Ιωσήφ.

Ωδή α'  Ήχος δ'

Τριστάτας κραταιούς

Εσθήτά σου σεπτήν, Θεοτόκε Παρθένε, τώ τιμώντί σε λαώ, δεδώρησαι αεί, Ιερόν περιτείχισμα, όθεν πάσαν εναντίων, επανάστασιν πάντοτε, εκτρεπόμεθα σθένει τού Πνεύματος.

Σαρκί τού δι' ημάς, εξ αγνών σου αιμάτων, γνωρισθέντος επί γής, Εσθήτα ιεράν, επαφή καθηγίασας, σώματός σού τε προσψαύσει, δι' ής πάντας τούς δούλους σου, αγιάζεις Παρθένε υμνούντάς σε.

Θησαύρισμα σεπτόν, τοίς πιστώς σε τιμώσιν, εδωρήσω αγαθή, Παρθένε αληθώς, τήν τιμίαν Εσθήτά σου, άπαντας καταπλουτούσα, δωρεαίς θείου Πνεύματος καί θαυμάτων πολλαίς επιδείξεσιν.

Η άσπιλος αμνάς τόν αμνόν η τεκούσα, τού Θεού υπερφυώς δεδώρησαι ημίν, τήν τιμίαν Εσθήτά σου, σπίλον όντως καί ρυτίδα, εκκαθαίρουσαν πάντοτε, τών αυτήν προσκυνούντων Πανάμωμε.

Έτερος Κανών

Ήχος ο αυτός

Θαλάσσης τό ερυθραίον

Λαμπάδα, φωτοφανή καί άδυτον ο τής Πανάγνου ναός, ως ουρανός ευράμενος φαιδρός, τήν τιμίαν Εσθήτα αυτής, τήν οικουμένην σήμερον, ταίς τών χαρίτων αιθριάζει αυγαίς.

Ισχύν τε, καί ασφαλείας σύνδεσμον, τήν σήν Πανάχραντε, Έσθήτα θείαν όντως αληθώς, περιέχει η πόλις σου, ως κράτος αδιάσπαστον, διό καί χαίρει καυχωμένη εν σοί.

Τής πάλαι, ως αληθώς υπέρτιμος, η σή σορός Κιβωτού, Θεογεννήτορ ώφθη τοίς εν γή, ου τά σύμβολα φέρουσα, αλλά πιστώς φυλάττουσα, τής αληθείας τά γνωρίσματα.

Ωδή γ'

### Ότι στείρα έτεκεν

Τό τερπνόν αγίασμα, τήν επουράνιον πύλην, τήν τού Θεού Μητέρα υμνήσωμεν, καί τήν αυτής Εσθήτα θεία βρύουσαν χαρίσματα, ήν πόθω ασπασώμεθα.

Αφθαρσίας ένδυμα, τούς τή φθορά γυμνωθέντας, σού τώ αφθόρω τόκω, πάντας ενέδυσας Σεμνή, οίς τήν σεπτήν Εσθήτά σου, δεδώρησαι όλβον αναφαίρετον.

Τόν νεφέλαις, Άχραντε, προσεπενδύοντα όλον, τόν Ουρανόν Εσθήτί σου, περιέστειλας σεπτή, ήν προσκυνούντες, πίστει σε δοξάζομεν, σκέπη τών ψυχών ημών.

Ιατρείον άμισθον, τοίς ασθενούσιν υπάρχει, ο θείος ούτος οίκος, τήν γάρ Εσθήτά σου αγνή, πηγήν απαύστως βρύουσαν, ιάματα κέκτηται Πανάμωμε.

### Έτερος

### Ευφραίνεται επί σοί

Τιμήσωμεν οι πιστοί, ως συναφείας πρός Θεόν σύνδεσμον, τήν τής Αγνής σήμερον, Έσθήτα πιστώς ευλαβούμενοι.

Ιάματα τοίς πιστοίς, η πολυτίμητος ημίν σήμερον, τής υπερτίμου αγνής, Εσθής αναβρύει εν χάριτι.

Ως δρόσος εωθινή, η ευφροσύνη σου Αγνή ρέουσα, τήν τών παθών κάμινον, τών σέ ανυμνούντων κομίζει αεί.

### Ο Ειρμός

«Εφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα, Σύ μου ισχύς Κύριε, καί καταφυγή, καί στερέωμα».

### Κάθισμα  Ήχος δ'
### Ο υψωθείς εν τώ Σταυρώ

Οι τών θαυμάτων ποταμοί Θεοτόκε, εκ τής πανσέπτου σου σορού προερχόμενοι, ως εξ Εδέμ ποτίζουσι τό πρόσωπον τής γής, χάριτας προχέοντες, τοίς πιστώς σε τιμώσιν, όθεν ανυμνούμέν σε, καί σεπτώς ευφημούμεν, καί ευχαρίστως κράζομεν αεί, Χαίρε η μόνη, ελπίς τών υμνούντων σε.

### Ωδή δ'
### Δι' αγάπησιν οικτίρμον

Μεγαλύνωμεν τήν μόνην ευλογημένην, καί τήν αυτής Εσθήτα, προσπτυξώμεθα πίστει, όπως αρυσώμεθα τήν χάριν τού Πνεύματος.

Ως πολύτιμον θησαύρισμα κεκτημένη, η σέ τιμώσα πόλις, τήν Εσθήτά σου

Κόρη, πίστει κατασπάζεται, καί χάριν κομίζεται.

Τήν Εσθήτά σου, ως βρύουσαν αφθαρσίαν, καταστολήν τε δόξης, χρηματίζουσαν πάσι, τοίς υμνολογούσί σε, τιμώμεν Πανάμωμε.

Η Πανάμωμος καί μόνη αγιωτέρα, τών Χερουβίμ φανείσα, τάς ψυχάς ημών σώσον, πάσης περιστάσεως, τών πίστει τιμώντων σε.

Έτερος

Επαρθέντα σε ιδούσα

Ως υπέρτιμον στερέωμα Θεοτόκε, ο ποιητής καί κτίστης σέ πηξάμενος, ώσπερ, άστροις κατεκόσμησε, ταίς θείαις ελλάμψεσιν, αίς καταφαιδρύνεις τά πέρατα.

Από γής ημάς ανέλκει Θεογεννήτορ, πρός ουρανόν η θεία, Εσθής σου τώ πόθω σεμνή, ταύτης αναφθέντας θερμώς, διό σε δοξάζομεν, ως αιτίαν δόξης τής κρείττονος.

Ιδού χάρις ανεξάντλητος, δεύτε πάντες, ειλικρινεί καρδία, αρύσασθε θεία, νάματα πηγάζοντα, αφθόνως φιλέορτοι, τής σεπτής σορού τής πανάγνου Μητρός.

Ωδή ε'

Σύ Κύριέ μου φώς

Σύ Δέσποινα ημίν, τοίς σοίς δούλοις δεδώρησαι, κραταίωμα τήν Εσθήτα, καί τιμίαν σου Ζώνην, καί θείον περιτείχισμα.

Παράδεισος τερπνός, ευωδίαν τού Πνεύματος, πανάχραντε αποπέμπων, ο ναός ο κατέχων, τήν σήν Εσθήτα δέδεικται.

Αγίασον ημών, τάς ψυχάς καί τά σώματα, τών πίστει σου τήν αγίαν, Παναγία Εσθήτα, τιμώντων ως υπέρτιμον.

Ναούς ημάς Θεού, τού εν σοί ενοικήσαντος, ανάδειξον Θεοτόκε, τούς τώ θείω ναώ σου, πιστώς σε μακαρίζοντας.

Έτερος

Ο αυτός Ειρμός

Σύ, Κύριε τήν σήν, Μητέρα εμεγάλυνας, σύ ύψωσας υπέρ πάσας νοεράς εξουσίας, ασυγκρίτως τήν δόξαν αυτής.

Η χάρις τού Θεού νύν αφθόνως παρέχεται, πανάχραντε Θεοτόκε, εκ τιμίας σορού σου, τοίς πόθω προσκυνούσί σε.

Σέ δύναμιν πιστοί, Βασιλείς περιζώννυνται, σέ σύνδεσμον Θεοτόκε, η σή έχουσα πόλις, Εσθήτί σου σεμνύνεται.

Ωδή ς'
Εβόησε, προτυπών
Ανέδειξας, τή πασών Βασιλίδι τών πόλεων, η τεκούσα, Βασιλέα τών όλων καί Κύριον, αρραγές ως τείχος, τήν σεπτήν καί αγίαν Εσθήτά σου.

Γηθόμενοι, τής Παρθένου τήν χάριν δοξάσωμεν, καί τήν ταύτης, παναγίαν Εσθήτα τιμήσωμεν, εξ ής πάσα ρώσις, ασθενούσιν απαύστως προέρχεται.

Ναμάτων σε, ζωηρύτων πηγήν επιστάμεθα, Θεοτόκε, καί τιμώμεν τήν θείαν Εσθήτά σου, εξ ής τάς ιάσεις, καθ' εκάστην πιστοί αρυόμεθα.

Ο Κύριος, μετά σού Θεοτόκε γενόμενος, τών ανθρώπων, εαυτώ τήν ουσίαν ωκείωσε, καί τού αλλοτρίου, εξ αυτής πάσαν βλάβην εξώρισεν.

Έτερος

Θύσω σοι, μετά φωνής
Όλην σε, υπερφυώς εδόξασε Κύριος, όλην ελάμπρυνε Κόρη, όλην σε ετίμησεν υπέρ λόγον, Θεοτόκε, τώ ναώ σου, σύν τή Ζώνη, Εσθήτι καί θεία Σορώ.

Ισχύν σε, οι πιστοί κεκτημένοι καί καύχημα, περιζωννύονται δόξαν, τήν σεπτήν σου Ζώνην Θεοκυήτορ, κατέχοντες, ως υπέρλαμπρον κόσμον καί τίμιον.

Ιδείν σου, Θεοτόκε τήν δόξαν τήν άφατον, πάλαι ωδίνησαν θείως, οι Προφήται πάντες, αλλ' επ' εσχάτων, ημίν ώφθη, τών ημερών ο χρόνων επέκεινα.

Ο Ειρμός
«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Κοντάκιον Ήχος δ'
Ο υψωθείς εν τώ Σταυρώ
Περιβολήν πάσι πιστοίς αφθαρσίας, θεοχαρίτωτε Αγνή εδωρήσω, τήν Ιεράν Εσθήτά σου, μεθ' ής τό ιερόν, σώμά σου εσκέπασας, σκέπη θεία ανθρώπων, ήσπερ τήν κατάθεσιν, εορτάζομεν πόθω, καί εκβοώντες κράζομεν πιστώς, Χαίρε Παρθένε, Χριστιανών τό καύχημα.

Ο Οίκος
Τήν καθαράν καί αληθή σκηνήν τού Θεού Λόγου, τήν έμψυχον νεφέλην, καί στάμνον τήν τού Μάννα, τήν Θεοτόκον Μαριάμ, πάντες οι σωθέντες διά τού

τόκου αυτής εν πίστει μακαρίσωμεν, καί τήν σεπτήν, Εσθήτα προσπτυξώμεθα, ήπερ τόν Δεσπότην περισχούσα, ως βρέφος εβάστασε φορέσαντα σάρκα, δι' ήσπερ τών βροτών η φύσις επήρθη πρός μετάρσιον ζωήν καί βασιλείαν, όθεν γεγηθότες, κραυγάζομεν μεγαλοφώνως, Χαίρε Παρθένε, Χριστιανών τό καύχημα.

Συναξάριον

Τή Β' τού αυτού μηνός, Μνήμην ποιούμεθα τής εν τή Αγία σορώ καταθέσεως τής τιμίας Εσθήτος τής υπεραγίας Θεοτόκου, εν Βλαχέρναις, επί Λέοντος τού μεγάλου, καί Βηρίνης τής αυτού γυναικός.

Στίχοι

- Χιτών μέν Υιού Χριστοφρουροίς δημίοις.
- Εσθής δέ Μητρός χριστοφρουρήτω πόλει.
- Δευτερίη κατέθεντο σορώ Εσθήτα Πανάγνου.

Τή αυτή ημέρα, Μνήμη τής Αθλήσεως τού Μάρτυρος Κοϊντου, καί μνήμη τού εν αγίοις Πατρός ημών Ιουβεναλίου, Αρχιεπισκόπου Ιεροσολύμων.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Αβραμιαίοι ποτέ

Υψηλοτάτω νοϊ, καί ταπεινή καρδία, τού Βασιλέως υψηλότατον, τόν θρόνον δοξάσωμεν, τήν παναγίαν Κόρην, καί κεχαριτωμένην.

Παστάς Θεού εκλεκτή, εν τή σεπτή σου ταύτη, παστάδι πίστει τήν Εσθήτά σου, κειμένην σεβόμεθα, ως κιβωτόν αγίαν, καί ευσεβούντων σκέπην.

Ανακαινίζεται πάς, ο προσιών εν πίστει, καί τήν αγίαν ασπαζόμενος, σορόν τήν κατέχουσαν, τήν σήν αγνή Παρθένε, φωτοειδή Εσθήτα.

Ρύπου παντός ψυχικού, καθαρτική υπάρχει, η σή Παρθένε παναμώμητε, σορός η καλύπτουσα, τήν τό σεπτόν σου σώμα, καλύψασαν Εσθήτα.

Θεογεννήτορ αγνή, τήν σέ τιμώσαν πόλιν, λιμού σεισμού τε καί κακώσεως, απάσης περίσωζε, καί εθνικής εφόδου, καί εναντιας βλάβης.

Έτερος

Εν τή καμίνω Αβραμιαίοι

Σύ ως ήλιος, δικαιοσύνης μόνος ών Αγαθέ, θείως τόν ναόν εφαίδρυνας τής Σεμνής, τοίς ποικίλοις σου χαρίσμασιν, εν ή ανίσχουσα, τας ακτίνας εκπέμπει Εσθήτος αυτής.

Υπερβλύζουσιν, οι τών θαυμάτων θείοι Πάναγνε, χάριν αληθώς κρατήρές σου

τοίς πιστοίς, καί αφθόνως τοίς τιμώσί σε, τής σορού προχέονται, ως εξ άλλης Εδέμ νοητοί ποταμοί.

Νύν προσέλθετε, μετ' ευφροσύνης πάντες οι επί γής, δεύτε, η σορός προτρέπεται μυστικώς, τής Κυρίας περιπτύξασθε, τήν υπερένδοξον, εν εμοί θησαυρισθείσαν ζώνην αυτής.

Ωδή η'

Λυτρωτά τού παντός

Ευχαρίστοις φωναίς ανυμνούμέν σε, τήν παντοίων καλών ημίν πρόξενον, καί τήν σεπτήν Εσθήτά σου, ασπαζόμεθα Κόρη αναβοώντες, Ευλογείτε τά έργα τόν Κύριον.

Νοητόν ως λαμπάδιον έχοντες, εν λυχνία τραπέζη προκείμενον, τό ιερόν μαφόριον, τής πανάγνου Παρθένου, τάς τής καρδίας, φωτιζόμεθα κόρας εκάστοτε.

Ουδαμώς αμοιρούντας κατέλιπες, Ιεράς σου Παρθένε προσψαύσεως, τούς αναξίους δούλους σου αντί σώματος γάρ σου τού ζωηφόρου, τήν Εσθήτά σου πάσι δεδώρησαι.

Ύμνω δίαις ενθέοις τιμήσωμεν, τού Θεού τό ευρύχωρον σκήνωμα, τήν εν μητράσι Πάναγνον, τήν ουράνιον πύλην, δι' ής εκλείσθη, η πρός θάνατον πύλη απάγουσα.

Έτερος

Χείρας εκπετάσας Δανιήλ

Άγγελοι πανάχραντε Αγνή, νύν συγχορεύουσιν, εν τώ σεπτώ σου ναώ, καί περιέπουσι Δέσποινα, τήν τιμίαν καί αγίαν σου, Εσθήτα πόθω καί χαρά, καί ευφροσύνη πολλή προσκυνούντες, καί ανυμνούντες τήν δόξαν τού γένους ημών.

Ράβδος η τό άνθος τής ζωής, αναβλαστήσασα, σύ εί ή πάντων χαρά, ή πολυτίμητος άχραντε, μυροθήκη η τού Πνεύματος, ο θησαυρός τών αγαθών, τών αρωμάτων πηγή, εξ ής μύρα τών ιαμάτων, εκβλύζει η θεία σορός.

Υμνούσι πανάχραντε Αγνή, τά μεγαλεία σου, αί νοεραί στρατιαί ανακηρύττουσιν άπαντες, Πατριάρχαι καί Προφήται τρανώς, καί Αποστόλων ο χορός, Μαρτύρων πλήρωμα, καί Οσίων άπαν τό πλήθος μεθ' ών προσκυνούμέν σε.

Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε πάντα τά έργα, Κυρίου τόν Κύριον».

## Ωδή θ'

## Εύα μέν τώ τής παρακοής

Ιδού σε τήν κλίνην Σολομών, γεραίρομεν, χαρμοσύνοις μελωδήμασι, καί τήν τιμίαν σου, Εσθήτα, ως άλλην κιβωτόν αγιάσματος, κυκλούντες τάς ιάσεις λαμβάνομεν, τάς σωτηρίους Αειπάρθενε.

Ώφθη νύν η θεία σου σορός, κατέχουσα, τήν Εσθήτα τήν τιμίαν σου, ώσπερ πηγή φωτός Παρθένε, ακτίνας ιαμάτων εκπέμπουσα, καί σκότος νοσημάτων διώκουσα, ήν μετά πόθου ασπαζόμεθα.

Σήμερον συγχαίρουσιν ημίν, πανάμωμε, προσκυνήσει τής Εσθήτός σου, πάσαι ουράνιαι Δυνάμεις, Απόστολοι, Προφήται καί Μάρτυρες, καί Όσιοι καί Δίκαιοι άπαντες, Δέσποινα μόνη αειπάρθενε.

Η γίασται άπασα η γή, πανάγιον, τού Δεσπότου καταγώγιον, τή καταθέσει τής Εσθήτος τής σής, καί ο Δαυϊδ επαγάλλεται, τής πάλαι κιβωτού προτυπούσης σε, τή καταπαύσει Αειπάρθενε.

Φαιδρόν περιβόλαιον τό σόν, μαφόριον, εδωρήσω καί προτείχισμα, τή σέ τιμώση Βασιλίδι, τών πόλεων πασών ως Βασίλισσα, απάντων ποιημάτων τυγχάνουσα, Θεοκυήτορ Μητροπάρθενε.

## Έτερος

## Λίθος αχειρότμητος όρους

Θάλαμος υπέρτιμος ούτος, Θεογεννήτορ η σορός σου, ώφθη τήν τιμίαν σου Ζώνην, καί τήν Εσθήτα παρθενικήν, ως στολήν, καί νυμφικήν ως έχουσα, καί συντηρούσα ως ζωής θησαυρόν.

Ναόν εκμιμούμενον πάσαν, τών ουρανών τήν ευκοσμίαν, σήμερον πιστοί τής Παρθένου, κατειληφότες ταίς τών θαυμάτων αυγαίς, ώσπερ άστρασι λάμπουσι, καταυγαζόμεθα τή χάριτι.

Έχει τήν αγίαν σου Ζώνην, Θεογεννήτορ η σή πόλις, καί τήν σήν Εσθήτα ως τείχος, καί τών δογμάτων θείαν ενότητα, καί ορθοδόξων καύχημα, καί Βασιλέων τροπαιούχημα.

Υμνούμεν τήν άφατον δόξαν, καί τήν ανείκαστόν σου χάριν, σύ γάρ εί πηγή τής σοφίας, εξ ής ο λόγος, πάσι προέρχεται, τοίς σέ τιμώσιν, Άχραντε, καί μεγαλύνουσι τόν τόκον σου.

## Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, έξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Εξαποστειλάριον
Φώς αναλλοίωτον Λόγε

Μόνη καί φύσιν καί χρόνον, εκαίνισας Θεομήτορ, άφθορος γάρ σου ο τόκος, άφθαρτος καί η Εσθής, δι' ής τήν πόλιν σου σκέπεις, ή καί τά σκήπτρα, τής ευσεβείας κρατύνεις. (Δίς)

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια γ', δευτερούντες τό α'.

Ήχος δ
Ως γενναίον εν Μάρτυσιν

Η σορός η κατέχουσα, τήν Εσθήτα σου Άχραντε, κιβωτός τοίς δούλοις σου αγιάσματος, καί Ιερόν περιτείχισμα, καί δόξα καί καύχημα, καί ιάσεων πηγή, καθ' εκάστην γνωρίζεται, ένθα σήμερον, Ιερώς αθροισθέντες, ανυμνούμεν, τά πολλά σου μεγαλεία, καί τών θαυμάτων τό πέλαγος. (Δίς)

Ιδε τόπος περίδοξος, ίδε οίκος αείφωτος, εν ώ τεθησαύρισται τής θεόπαιδος, Εσθής τιμία τή χάριτι, Προσέλθετε άνθρωποι, φωτισμόν καί ιλασμόν, εξ αυτής απαρύσασθαι, καί βοήσατε, ευχαρίστω καρδία, Παναγία, ευλογούμέν σε Παρθένε, οι σεσωσμένοι τώ τόκω σου.

Τήν αγίαν κατάθεσιν, τής Εσθήτός σου Δέσποινα, εορτήν κεκτήμεθα, ευφραινόμενοι, ότι τή πόλει σου σήμερον, δοθήναι ηξίωσας, ιεράν περιβολήν, φυλακτήριον άσυλον, δώρον τίμιον, αναφαίρετον πλούτον ιαμάτων ποταμόν πεπληρωμένον, τών χαρισμάτων τού Πνεύματος.

Δόξα... Καί νύν... Ήχος β'

Φρένα καθάραντες καί νούν, σύν τοίς Αγγέλοις, καί ημείς πανηγυρίσωμεν, φαιδρώς εξάρχοντες, δαυιτικήν μελωδίαν, τή νεάνιδι Νύμφη τού Βασιλέως Χριστού τού Θεού ημών, Ανάστηθι Κύριε, λέγοντες, εις τήν ανάπαυσίν σου, σύ καί η κιβωτός τού αγιάσματός σου, ως γάρ παλάτιον τερπνόν ταύτην κατεκόσμησας, καί κατεκλήρωσας αυτήν τή πόλει σου Δέσποτα, περιποιείσθαι καί σκέπειν, εκ πολεμίων βαρβάρων, τή κραταιά δυνάμει σου, ταίς ικεσίαις αυτής.

Δοξολογία μεγάλη, καί Απόλυσις

Εις τήν Λειτουργίαν, τά Τυπικά, οι Μακαρισμοί, καί εκ τού Κανόνος η γ' καί ς' Ωδή.

Κοινωνικόν

Ποτήριον σωτηρίου λήψομαι, καί τό όνομα Κυρίου επικαλέσομαι. Αλληλούϊα.

---

Αρχή

## ΤΗ Γ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Μάρτυρος Υακίνθου.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'
Τί υμάς καλέσωμεν Άγιοι;

Ώφθης διαυγεία τού Πνεύματος, ώσπερ λίθος διαυγής, τής βασιλείας τού Χριστού, εναθλήσας αθλητά, υπέρ τής πίστεως στερρώς, καί τρέψας τών αθέων τήν παράταξιν, καί νίκην κατ' αυτών Μάρτυς αράμενος, διό σε πίστει δοξάζομεν, ως στρατιώτην αήττητον, ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Κύματα τής πλάνης παρέδραμες, κυβερνώμενος Χριστού, τή αηττήτω δεξιά, καί λιμένι νοητώ, εγκαθωρμίσθης αθλητά, γαλήνης μή ληγούσης εμφορούμενος, καί δόξης μή ρεούσης αξιούμενος, Μάρτυς θεόφρον Υάκινθε, διαπαντός ευφραινόμενος, ικέτευε τού σωθήναι τάς ψυχάς ημών.

Μέλεσιν οικείοις εδόξασας, τόν αθάνατον Θεόν, θανατωθείς υπέρ αυτού, αθανάτων δωρεών, όθεν σε μέτοχον σοφέ, δεικνύει, καί δοξάζει σε Υάκινθε, σημείοις, καί δυνάμεσιν εκάστοτε, καί γάρ πηγή αγιάσματος, η σή σορός πάσι πρόκειται, ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Τίνι ωμοιώθης ταλαίπωρε, πρός μετάνοιαν ουδόλως, ανανεύουσα ψυχή, καί τό πύρ μή δειλιώσα, τών κακών επιμονή; Ανάστα, καί τήν μόνην πρός αντίληψιν, ταχείαν, επικάλεσαι καί βόησον, τόν σόν Υιόν καί Θεόν Αγνή, μή διαλίπης πρεσβεύουσα, ρυσθήναί με, τών παγίδων τού αλάστορος.

Η Σταυροθεοτοκίον

Άρνα η αμνάς ως εώρακεν, επί ξύλου ηπλωμένον, εκουσίως σταυρικού, ανεβόα μητρικώς, οδυρομένη εν κλαυθμώ, Υιέ μου, τί τό ξένον τούτο θέαμα! ο πάσι, τήν ζωήν νέμων ως Κύριος, πώς θανατούσαι μακρόθυμε, βροτοίς παρέχων ανάστασιν, Δοξάζω σου, τήν πολλήν Θεέ μου συγκατάβασιν.

Απολυτίκιον  Ήχος δ'

Ο μάρτυς σου Κύριε, εν τή αθλήσει αυτού, τό στέφος εκομίσατο τής αφθαρσίας, εκ σού τού Θεού ημών, έχων γάρ τήν ισχύν σου, τούς τυράννους καθείλεν, έθραυσε καί δαιμόνων τά ανίσχυρα θράση, Αυτού ταίς ικεσίαις Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν. Οι Κανόνες τής Οκτωήχου, καί τού Αγίου ο παρών, ού η Ακροστιχίς.

Σέ τόν διαυγή, Μάρτυς, αινέσω λίθον.

Θεοφανους.

Ωδή α' Ήχος πλ. δ'
Υγράν διοδεύσας
Σέ τόν διαυγεία μαρτυρική, πολύτιμον λίθον, γεγονότα θείου ναού, νύν επικαλούμαι συνεργάτην, τών εγκωμίων σου γενέσθαι μοι.

Επίγειον δόξαν καταλιπών, ουράνιον κλέος εκληρώσω διηνεκώς, συνών τώ Δεσπότη τών απάντων, στεφανηφόρος Μάρτυς ένδοξε.

Τό τής ηλικίας νεανικόν, καί τής διανοίας τό γενναίον υπέρ Χριστού, απέδειξας Μάρτυς αθλοφόρε, κατά τής πλάνης άνδρισαμενος.

Θεοτοκίον
Ο πάντων τών όντων Δημιουργός, διά σωτηρίαν, τών ανθρώπων έν σή γαστρί, σκηνώσας σαρκούται Θεομήτορ, τό καθ' ημάς δημιουργούμενος.

Ωδή γ'
Σύ εί τό στερέωμα
Νέος καθιστάμενος, πρεσβυτικήν σαφώς φρόνησιν, Μάρτυς Χριστού, ώφθης κεκτημένος, καί συνέσει κοσμούμενος.

Δρόμον συντονώτατον, αθλητικώς δραμών έφθασας, μαρτυρικών ανδραγαθημάτων, τήν τιμίαν ανάρρησιν.

Θεοτοκίον
Ίθυνον πρεσβείαις σου, πρός τήν ουράνιον άνοδον, τούς ευσεβώς, Κεχαριτωμένη, Θεοτόκον φρονούντάς σε.

Ο Ειρμός
«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Κάθισμα Ήχος γ'
Θείας πίστεως
Λίθος τίμιος, τής Εκκλησίας, φυλαττόμενος, εν τοίς ταμείοις, τοίς ουρανίοις υπάρχων Υάκινθε, τούς προσκυνούντας τούς λίθους διήλεγξας, καί μαρτυρίου ποτήριον έπιες, Μάρτυς ένδοξε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Θεοτοκίον
Θεία γέγονας, σκηνή τού Λόγου, μόνη πάναγνε, Παρθενομήτορ, τή καθαρότητι Αγγέλους υπεράρασα, τόν υπέρ πάντας εμέ γούν γενόμενον, ρερυπωμένον σαρκός πλημμελήμασιν, αποκάθαρον, πρεσβειών σου ενθέοις νάμασι, παρέχουσα σεμνή τό μέγα έλεος.

Η Σταυροθεοτοκίον
Η αμίαντος, αμνάς τού Λόγου, η ακήρατος, Παρθενομήτωρ, εν τώ Σταυρώ θεασαμένη κρεμάμενον, τόν εξ αυτής ανωδίνως βλαστήσαντα, μητροπρεπώς θρηνωδούσα εκραύγαζεν, Οίμοι τέκνον μου! πώς πάσχεις θέλων ρύσασθαι,

παθών τής ατιμίας τόν άνθρωπον;

Ωδη δ'

Εισακήκοα Κύριε

Αθλητής εννομώτατος, πόνοις ευσεβείας εγγυμνασάμενος, αναδέδειξαι Πανόλβιε, τών τυράννων θράσος μη πτοούμενος.

Υακίνθινον στέφανον, ουρανοβαφή θεόφρον δεξάμενος, συγχορεύειν κατηξίωσαι, τοίς επουρανίοις ως ουράνιος.

Γεγηθότι φρονήματι, τόν τής ευσεβείας λόγον εκήρυξας, καί τόν τύραννον διήλεγξας, απτοήτω γνώμη δυναμούμενος.

Θεοτοκίον

Η Θεόν παντοκράτορα, μόνη δεξαμένη θεομακάριστε, από πάσης περιστάσεως, καί κινδύνων ρύσαι τούς υμνούντάς σε.

Ωδή ε'

Ορθρίζοντες βοώμέν σοι

Μαινόμενον τόν τύραννον ήλεγξας Αθλοφόρε, δύναμιν αήττητον, παρά Χριστού ενδυσάμενος.

Αθάνατον εκτήσω τήν εύκλειαν, Στεφηφόρε, θάνατον εκούσιον, διά Χριστόν προσηκάμενος.

Θεοτοκίον

Ρυσθείημεν πρεσβείαις σου Πάναγνε, τών παγίδων, τού εχθρού οι σέβοντες, τήν υπέρ λόγον σου γέννησιν.

Ωδή ς'

Ιλάσθητί μοι Σωτήρ

Ταίς στρέβλαις τών ασεβών, ο Μάρτυς πάσχων ηγάλλετο, καί πάθει τού απαθούς, τόν νούν κραταιούμενος, ενίκα τούς άφρονας, πρός τόν αθλοθέτην, ανενδότως επειγόμενος.

Υάκινθος ως φαιδρός, σκηνήν τήν θείαν εφαίδρυνας, ως κόκκινον εκλεκτόν, αθλήσεως αίματι, ανάθημα γέγονας, τής τών πρωτοτόκων, Εκκλησίας παναοίδιμε.

Θεοτοκίον

Σωθείημεν διά σού, κινδύνων καί περιστάσεων, Θεογεννήτορ αγνή, καί τύχοιμεν πάναγνε, τής θείας ελλάμψεως, τού εκ σού αφράστως, σαρκωθέντος Υιού τού Θεού.

Ο Ειρμός

«Ιλάσθητι μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν με, ο Θεός τής σωτηρίας μου».

Κοντάκιον Ήχος δ'
Επεφάνης σήμερον

Υακίνθω σήμερον, έξ υακίνθων, αμαράντων πλέξωμεν, στέφανον πάντες οι πιστοί, μεγαλοφώνως κραυγάζοντες, Χαίροις μαρτύρων, τό κλέος Υάκινθε.

Ο Οίκος

Υπέρ πολλούς υμνήσωμεν Μάρτυρας, τόν τής πόλεως ημών προϊστάμενον, ός τήν πόλιν ημών ως γυμνάσιον, τής ιδίας φυλάττων αθλήσεως, ως παρρησίαν οπλισάμενος, καί τόν πέλεκυν έχων τής αληθείας, δι' ής απέτεμε τό τής πλάνης φυτόν, συνεγείρει καί ημάς πρός εργασίαν τών καλών, Εκβοώμεν ούν σύν αυτώ, χαίροις μαρτύρων τό κλέος Υάκινθε.

Συναξάριον

Τή Γ' τού αυτού μηνός, Μνήμη τού Αγίου Μάρτυρος Υακίνθου τού Κουβικουλαρίου (θαλαμηπόλου).

Στίχοι

- Εξ αρετής μέν Υάκινθος ως λίθος,
- Λαμπρός πλέον δέ εκ ροής τών αιμάτων.
- Ουλομένω τριτάτη Υάκινθος κάτθανε λιμώ.

Τή αυτή ημέρα, Μνήμη τού εν Αγίοις Πατρός ημών Ανατολίου, Αρχιεπισκόπου Κωνσταντινουπόλεως.

Στίχοι

- Δύνας, Ανατόλιε τού βίου τέλει.
- Τώ μή δύνοντι προσπελάζεις ηλίω.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Θεοδότου, Θεοδότης, Διομήδους, Ευλαμπίου, Ασκληπιάδου καί Δολινδούχ.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'
Οι εκ τής Ιουδαίας

Αυτοκράτορα φέρων, τών παθών αριδήλως τόν ευσεβή λογισμόν, τροφήν τών παρανόμων, κατέπτυσας Παμμάκαρ, θείω λόγω τρεφόμενος, ο τών Πατέρων βοών, Θεός ευλογητός εί.

Ιερώτατον θύμα, σεαυτόν τώ Κυρίω καί αγιώτατον, προσήνεγκας θεόφρον, ψυχής ειλικρινεία, καί νοός καθαρότητι, ο τών Πατέρων βοών, Θεός ευλογητός εί.

Θεοτοκίον

Νεμομένης τό γένος, τών ανθρώπων Παρθένε τής τού θανάτου φθοράς, πηγήν αθανασίας, καί ζωής ακηράτου, συλλαβούσα κατέπαυσας, τόν τών Πατέρων Θεόν, αγνή ευλογημένη.

## Ωδή η'

### Επταπλασίως κάμινον

Εκ χαλεπής στενώσεως, καί φρουράς πρός ευρύχωρον, πλάτος Παραδείσου, καί τερπνόν κατήντησας, Αγίων οψόμενος, φωτοειδείς λαμπρότητας, καί τάς τών Αγγέλων, εποπτεύσων χορείας, Θεώ παρισταμένας, καί βοώσας απαυστως, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Σύ τόν Θεόν ηγάπησας, εκ ψυχής μέχρις αίματος, πρός τήν αμαρτίαν, Αθλητά μακάριε, αντικαθιστάμενος, καί δυσμενείς τρεπόμενος, καί νικητικοίς, κεκοσμημένος στεφάνοις, προθύμως ανακράζεις, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ως ευπρεπές ανάθημα, διαυγής ως Υάκινθος, ως ωραιοτάτη, αλουργίς εκόσμησας, ναόν τόν ουράνιον, τα τών Αγίων Αγια, ταίς μαρτυρικαίς, μαρμαρυγαίς ωραϊσας, απαύστως ανακράζων, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

### Θεοτοκίον

Λόγον Θεού τόν άναρχον υπέρ λόγον γεγέννηκας, επί λογικής ευεργεσία φύσεως, δι' ού ελυτρώθημεν, φθοροποιού νεκρώσεως, καί ζωοποιόν, υπεδεξάμεθα Πνεύμα, διό σε Θεοτόκον, αληθώς καί κυρίως, δοξάζομεν Παρθένε, εις πάντας τούς αιώνας.

### Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, Τώ Δημιουργώ καί Λυτρωτή ανεβόα, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

## Ωδή θ'

### Σέ τήν απειρόγαμον Θεού Μητέρα

Ίλεων απέργασαι, ταίς σαίς πρεσβείαις τόν Δεσπότην, πάσι τοίς πιστώς υμνούσί σου, τήν ανίκητον άθλησιν, δι' ής τών ειδώλων τήν απάτην κατήργησας, τόν δέ λόγον, τής αληθείας διετράνωσας.

Θέαμα τερπνότατον, ταίς τών Αγγέλων στρατηγίαις, ουρανοβαφής Υάκινθε, κεχρωσμένος εν αίματι, τής υπέρ Χριστού ομολογίας καί πίστεως, καί στεφάνω μαρτυρικώ κατακοσμούμενος.

Όλος εχρημάτισας, Θεού πανίερον δοχείον, σώμα γάρ καί ψυχήν ηγίασεν, η ανένδοτος ένστασις, πρός τυραννικήν παραφοράν, καί παράνοιαν γενομένη, διό σε πάντες μακαρίζομεν.

### Θεοτοκίον

Νέκρωσόν μου, Δέσποινα, τήν έτι ζώσαν αμαρτίαν ζώωσον ψυχής τήν νέκρωσιν, ενεργεία τής όντως, ζωής, τής γεγεννημένης εκ γαστρός σου, δι' άφατον εύσπλαγχνιαν, τοίς ευσεβώς σε μεγαλύνουσιν.

### Ο Ειρμός

«Σέ τήν απειρόγαμον, Θεού Μητέρα καί Παρθένον, σέ τήν υπέρ νούν κυήσασαν, διά λόγου τόν όντως Θεόν, τήν υψηλοτέραν τών αχράντων Δυνάμεων, ασιγήτοις δοξολογίαις μεγαλύνομεν».

Καί η λοιπή Ακολουθία, καί Απόλυσις

---

Αρχή

**ΤΗ Δ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τού εν Αγίοις Πατρός ημών Ανδρέου Κρήτης, τού Ιεροσολυμίτου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'
Τί υμάς καλέσωμεν Αγιοι;

Τί σε νύν Ανδρέα καλέσωμεν, ασκητήν, τών παθη μάτων αμαυρούντα τάς ορμάς, λειτουργόν, ιερουργούντα Ευαγγέλιον Χριστού, κιθάραν, μελωδούσαν τά τού Πνεύματος, κινύραν, καταθέλγουσαν τά σύμπαντα, νέον Δαυϊδ γνωριζόμενον, τής κιβωτού προσκιρτήσαντα, τής χάριτος, καί τής Νέας Διαθήκης σοφέ.

Τί σε νύν Ανδρέα προσείπωμεν, μιμητήν τών ανδρικώς, ηγωνισμένων εκλεκτών, επαινέτην τών Μαρτύρων, τών Αγίων αψευδή, αλείπτην, αρετής πρός επανάληψιν, ζωγράφον, τής τού βίου ματαιότητος, υφηγητήν ακριβέστατον, δογματιστήν αληθέστατον, ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Τί σε νύν Ανδρέα προσφθέγξωμαι; τών Αγίων ιεροσολύμων, βλάστημα τερπνόν, τών δογμάτων τών Ορθών, τής ευσεβείας στηριγμόν, τής Κρήτης, ιεράρχην ιερώτατον, τόν κόσμον, φρυκτωρίαις καταυγάζοντα, Ανατολής εξορμώμενον, φωτίζοντα τά Εσπέρια, ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Τίνι ωμοιώθης ταλαίπωρε, πρός μετάνοιαν ουδόλως, ανανεύουσα ψυχή, καί τό πύρ μή δειλιώσα τών κακών επιμονή; Ανάστα, καί τήν μόνην πρός αντίληψιν, ταχείαν, επικάλεσαι καί βόησον, Τόν σόν Υιόν καί Θεόν Αγνή, μή διαλίπης πρεσβεύουσα, ρυσθήναί με, τών παγίδων τού αλάστορος.

Η Σταυροθεοτοκίον

Άρνα η αμνάς ως εώρακεν, επί ξύλου ηπλωμένον, εκουσίως σταυρικού, ανεβόα μητρικώς, οδυρομένη εν κλαυθμώ, Υιέ μου, τί τό ξένον τούτο θέαμα; ο πάσι, τήν ζωήν νέμων ως Κύριος, πώς θανατούσαι μακρόθυμε, βροτοίς παρέχων ανάστασιν; Δοξάζω σου, τήν πολλήν Θεέ μου συγκατάβασιν.

Απολυτίκιον  Ήχος πλ. δ'

Ορθοδοξίας οδηγέ, ευσεβείας διδάσκαλε καί σεμνότητος, τής οικουμένης ο

φωστήρ, Αρχιερέων θεόπνευστον εγκαλλώπισμα, Ανδρέα σοφέ, ταίς διδαχαίς σου πάντας εφώτισας, λύρα τού Πωεύματος, Πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τού Αγίου ο παρών, ού η Ακροστιχίς.

Ύμνοις κροτώμεν ανδρικοίς τόν Ανδρέαν.
Θεοφάνους.

Ωδή α' Ήχος πλ. α'
Ίππον καί αναβάτην

Ύπνον από βλεφάρων, εκτιναξάμενος, σεαυτόν τώ Δεσπότη, δι' αρετής ητοίμασας, φαιδρόν καταγώγιον, θεοφάντορ, Όσιε, όθεν ώφθης Θεού ενδιαίτημα.

Μέλει παναρμονίω, τήν σήν κινύραν κινών, τήν Χριστού, Εκκλησίαν, υμνολογών εφαίδρυνας, Ανδρέα θεσπέσιε, τού Αγίου Πνεύματος, ενηχούμενος θεία χάριτι.

Νόμω τώ θεογράφω, σοφώς πειθόμενος, τά τού σώματος πάθη, ασκητικώς ενέκρωσας, τόν νούν δέ επτέρωσας, τώ σφοδρώ σου έρωτι, άδων άσματα θεία Πάνσοφε.

Θεοτοκίον

Όλος επιθυμία, καί άχραντος γλυκασμός, ο Υιός καί Θεός σου, τών αγαθών τό πλήρωμα, υπάρχει Πανάμωμε, όν δυσώπει ρύσασθαι, τούς εν πίστει νύν σοι προστρέχοντας.

Ωδή γ'
Ο πήξας επ' ουδενός

Ιθύνας δι' αρετής τόν βίον σου Όσιε, καί τώ θείω πόθω Θεώ ενούμενος, όργανον εδείχθης λογικόν, πάσαν τήν οικουμένην, καταλαμπρύνων μελωδήμασι, θείων θησαυρών αρυόμενος.

Σοφίας τής ουρανίου γέγονας έμπλεως, τής ψυχής γάρ τό στόμα πλατύνας Όσιε, πάσαν εισεδέξω προφανώς, αίγλην τήν φωτοφόρον, τού τρισηλίου αμαρύγματος, ως Ιερουργός Ιερώτατος.

Κρατύνας τάς ψυχικάς δυνάμεις σου Όσιε, καί σαρκός κρατήσας ασκήσει, γέγονας, όλος φαεινότατος αστήρ, τέρπων τήν Εκκλησίαν, τοίς ορθοδόξοις σου διδάγμασι, καί αρμονικοίς μελωδήμασι.

Θεοτοκίον

Ρυσθήναι τών παθημάτων αιχμαλωσίας με, δυσωπώ σε Μήτηρ Θεού

πανάμωμε, καί τής αμαρτίας τάς ουλάς, πάσας εξαλειφθήναι τήν αμαρτίαν, η τόν αίροντα, κόσμου παραδόξως κυήσασα.

Ο Ειρμός

«Ό πήξας επ' ουδενός, τήν γήν τή προστάξει σου, καί μετεωρίσας ασχέτως βρίθουσαν, επί τήν ασαλευτον Χριστέ, πέτραν τών εντολών σου, τήν Εκλησίαν σου στερέωσον, μόνε αγαθέ, καί φιλάνθρωπε».

Κάθισμα Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Λαμπρυνθείς τήν καρδίαν θείω φωτί, εξηρεύξω δογμάτων φωτοειδή, μακάριε λόγια, καί τόν κόσμον εφώτισας, γεγονώς δέ θείον, τού Πνεύματος όργανον, ηδυτάτοις φθόγγοις, ηδύνεις εκάστοτε, πάντων τάς καρδίας, ανυμνών τήν Τριάδα, Αγίων τά τάγματα, καί Παρθένον τήν άχραντον, ώ Ανδρέα πανεύφημε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Θεοτοκίον

Ως Παρθένον καί μόνην εν γυναιξί, σέ ασπόρως τεκούσαν Θεόν σαρκί, πάσαι μακαρίζομεν, γενεαί τών ανθρώπων, τό γάρ πύρ εσκήνωσεν, εν σοί τής θεότητος, καί ως βρέφος θηλάζεις, τόν κτίστην καί Κύριον, όθεν τών Αγγέλων, καί ανθρώπων τό γένος, αξίως δοξάζουσι, τόν πανάγιον τόκον σου, καί συμφώνως βοώμέν σοι, Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς καταφεύγουσι πίστει, τή σκέπη σου Άχραντε.

Η Σταυροθεοτοκίον

Τόν αμνόν καί ποιμένα καί λυτρωτήν, η αμνάς θεωρούσα εν τώ Σταυρώ, ωλόλυζε δακρύουσα, καί πικρώς εκβοώσα, ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήνπερ υπομένεις, διά σπλάγχνα ελέους, Μακρόθυμε Κύριε, τού ελέους η άβυσσος, καί πηγή αγαθότητος, σπλαγχνίσθητι καί δώρησαι ούν, τών πταισμάτων άφεσιν τοίς δούλοις σου, τοίς ανυμνούσί σου πίστει, τά θεία παθήματα.

Ωδή δ'

Τήν θείαν εννοήσας σου

Ο λόγος σου τώ βίω κοσμούμενος, θεολογίας ακριβούς, κανών εδείχθης θεσπέσιε, τής πανυμνήτου Τριάδος, τήν δόξαν σαφηνίζων τρανότατα.

Τήν πράξιν θεωρίας επίβασιν, επιδειξάμενος σοφέ, καί θεωρία χρησάμενος, τής πολιτείας σφραγίδι, Ανδρέα θεηγόρε διέπρεψας.

Ως θείος Ιεράρχης πανόλβιε, ποιμαντικώς προπολεμών, τής Εκκλησίας απήλασας, τάς τών λεόντων εφόδους, Ανδρέα τής ανδρίας φερώνυμε.

Μεγίστων εγκωμίων υπόθεσιν, τήν Θεοτόκον ευρηκώς, σπουδήν εδείκνυς κατάλληλον, τήν υπερτέραν επαίνων, επαίνοις πολυτρόποις γεραίρων Σοφέ.

Θεοτοκίον

Εκτός μέν συναφείας συνέλαβες, αδιαφθόρως εν γαστρί, πρίν ωδινήσαι δέ τέτοκας, καί μετά τόκον Παρθένος, Θεόν σαρκί, τεκούσα πεφύλαξαι.

Ωδή ε'

Ο αναβαλλόμενος

Νύν οι σεμνυνόμενοι, τοίς σοίς διδάγμασι, καί μελωδίαις ταίς θεοπνεύστοις, Ιερώς ηδόμενοι, Ανδρέα παμμάκαρ, τήν μνήμην σου γεραίρομεν.

Αίγλη λαμπρυνόμενος, τού θείου Πνεύματος, τάς τών Αγίων χοροστασίας, παναγίως ήνεσας, μεθ' ών νύν αγάλλη, Ανδρέα παμμακάριστε.

Νύν ούν δι' αισθήσεων, φθαρτών τού σώματος, ου φαντασίαις οράς τά θεία, νεορώς δέ Πάνσοφε, ψυχής ενεργείαις, ενούμενος τώ κρείττονι.

Θεοτοκίον

Δάκρυσι προσπίπτω σοι, σφοδρώς δεόμενος, εμών πταισμάτων νύν λυτρωθήναι, διά σού Πανάμωμε, καί τής αιωνίου, χαράς γενέσθαι άξιον.

Ωδή ς'

Μαινομένην κλύδωνι

Ρητορευων ήλεγξας, τούς αθέους στόματι λαμπρώ τών σεπτών Εικόνων γάρ ετράνωσας, παναληθώς, Ιερομύστα προσκύνησιν.

Ιερώς εκόσμησας, τήν σήν Πάτερ ένδοξε ζωήν, τών παθών γάρ τάραχον κατέσβεσας, καί πρός ζωήν, τής απαθείας προσώρμισαι.

Καλλοναίς τών λόγων σου, καί δογμάτων πάντες οι πιστοί, ευσεβώς ηδόμενοι αγάλλονται, αιρετικών, τάς γλωσσαλγίας τρεπόμενοι.

Θεοτοκίον

Ολικώς ενούταί μοι, ο ανάρχως λάμψας εκ Πατρός, διά τής σαρκώσεως πανάμωμε, τής διά σού, γεγενημένης Θεόνυμφε.

Ο Ειρμός

«Μαινομένην κλύδωνι, ψυχοφθόρω Δέσποτα Χριστέ, τών παθών τήν θάλασσαν κατεύνασον, καί εκ φθοράς, ανάγαγέ με ως εύσπλαγχνος».

Κοντάκιον Ήχος β'

Τά άνω ζφών

Σαλπίσας τρανώς, τά θεία μελωδήματα, εδείχθης φωστήρ, τώ κόσμω τηλαυγέστατος, τώ φωτί λαμπόμενος, τής Τριάδος Ανδρέα Όσιε, όθεν πάντες βοώμέν σοι, Μή παύση πρεσβεύων τού σωθήναι ημάς.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Δ' τού αυτού μηνός, Μνήμη, τού εν Αγίοις Πατρός ημών Ανδρέου Κρήτης, τού Ιεροσολυμίτου.

Στίχοι

- Θανών εφεύρε τών πόνων στέφος μέγα,

- Κρήτης ο ποιμήν, ού πόνος Κανών μέγας.
- Τή δέ τετάρτη αρχιθύτην μόρος Ανδρέαν είλε.

Αι άγιαι μάρτυρες Κυπρίλλα, Αρόα καί Λουκία ξίφει τελειούνται.

Η αγία Ασκληπιάς η θαυματουργός εν ειρήνη τελειούται.

Ο άγιος Ιερομάρτυς θεόφιλος καί ο όσιος Μένιγγος εν Κυρίω τελειούνται.

Τή αυτή ημέρα, Μνήμη τής αθλήσεως τού Αγίου Ιερομάρτυρος Θεοδώρου, Επισκόπου Κυρήνης.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Ιερομάρτυρος Θεοδότου, καί τού Αγίου Δονάτου, Επισκόπου Λιβύης, καί τής οσίας Μαρίας, μητρός τού Αγίου Συμεών, τού εν τώ θαυμαστώ, Όρει.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Ο υπερυψούμενος

Ίνα τήν λαμπρότητα, τών Αγίων Όσιε, θεάση εν πνεύματι, τοίς έργοις ελάμπρυνας, τόν βίον σου, κραυγάζων, ο Θεός ευλογητός εί.

Σώμα περικείμενος, ασωμάτων τάγματα, εζήλωσας Όσιε, εν οίς αγαλλόμενος, συμφώνως αναμέλπεις, ο Θεός ευλογητός εί.

Τά Ιεροσόλυμα, νύν λαμπρώς ευφραίνεται, φωστήρα πολύφωτον, τώ κόσμω εκπέμψαντα, σέ Μάκαρ μελωδούντα, ο Θεός ευλογητός εί.

Θεοτοκίον

Ο πρίν μέν ασώματος, σωματούται Πάναγνε, δι' οίκτον αμέτρητον, εκ μήτρας αγίας σου, ώ πάντες μελωδούμεν, ο Θεός ευλογητός εί.

Ωδή η'

Σοί τώ παντουργώ

Νέας κιβωτού, τής Εκκλησίας Πάτερ, φαιδρώς προεσκίρτησας, χορούς στησάμενος, Πάντα τά έργα Χριστόν βοών υμνείτε, καί υπερ υψούτε, εις πάντας τούς αιώνας.

Άσμα τό καινόν, εν Εκκλησία Πάτερ, Οσίων εκραύγαζες, τω Παντοκράτορι, Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Νέμων αρετή, θεοπρεπώς τά έργα, τούς άθλους ανύμνησας, Ανδρέα πάνσοφε, πάντων Αγίων, τών πρίν θαυμαστωθέντων, καί τελειωθέντων, Χριστώ εις τούς αιώνας.

Θεοτοκίον

Δεύτε τήν αγνήν, καί Θεοτόκον Κόρην, υμνήσωμεν λέγοντες, ενθέοις άσμασι, Χαίρε Παρθένε, δι' ής χαρά εδόθη, φύσει τών ανθρώπων υπερευλογημένη.

Ο Ειρμός

«Σοί τώ παντουργώ, εν τή καμίνω Παίδες, παγκόσμιον πλέξαντες, χορείαν έμελπον, Πάντα τά έργα, τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ'

Ησαϊα χόρευε

Ρημάτων ο φθόγγος σου, διά πάσης έδραμε τής γής, δογμάτων τε τό τερπνόν, καί ειλικρινές, Ανδρέα μακάριε, διό Χριστός, ο παμβασιλεύς, σέ εστεφάνωσεν, ευπρεπείας διαδήματι.

Εν ενώσει κρείττονι, απολαύων αίγλης τριλαμπούς, Ανδρέα μυσταγωγέ, τών υπερφυών, τούς πόθω τελούντάς σου τήν Ιεράν, μνήμην Ιερώς, νύν ταίς πρεσβείαις σου, εκ κινδύνων διαφύλαττε.

Ασωμάτων τάξεσι, συνευφραίνη νύν εν ουρανοίς, τόν τούτων επί τής γής, βίον ακλινώς, ως πολιτευσάμενος, καί ορθής πίστεως φανείς, κήρυξ πανάριστος, θεορρήμον αξιάγαστε.

Θεοτοκίον

Νεμομένην έστησας, τού θανάτου άσχετον ορμήν, τεκούσα σωματικώς όντως υπέρ νούν, ζωήν τήν αιώνιον, ή προσβαλών, στόματι πικρώ, Άδης κατήργηται, Θεοτόκε Μητροπάρθενε.

Ο Ειρμός

«Ησαϊα χόρευε, η Παρθένος έσχεν εν γαστρί καί έτεκεν υιόν, τόν Εμμανουήλ, Θεόν τε καί άνθρωπον, Ανατολή, όνομα αυτώ, όν μεγαλύνοντες, τήν Παρθένον μακαρίζομεν».

Η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Ε' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου καίθεοφόρου Πατρός ημών Αθανασίου τού εν τώ Άθω, καί τού Οσίου Πατρός ημών Λαμπαδού τού θαυματουργού.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους στ' καί ψάλλομεν Στιχηρά Προσόμοια αμφοτέρων τών Αγίων. Στιχηρά τού Αγίου Αθανασίου.

Ήχος β'

Ποίοις ευφημιών

Ποίων ευφημιών έπαινον, προσενέγκωμεν Αθανασίω; τώ πεποικιλμένω ταίς

πράξεσι, καί ευθηνουμένω ταίς χάρισιν, τής θεολαμπούς φωτοχυσίας, τώ ξίφει, τώ διατέμνοντι παθών τάς ορμάς, τώ στύλω, τώ θεωρία απαστράπτοντι, τής εγκρατείας τώ λύχνω, τώ εν τή λυχνία αυγάζοντι τής ψυχής, Θεού τά προστάγματα, τού πάσι ζωήν παρέχοντος.

Ποίοις οι ευτελείς στέμμασιν, Αθανάσιον στέψωμεν λόγων, τόν αιθεροδρόμον Ιέρακα, τόν ουρανοφοίτως αιρόμενον, τών θεωριών πτέρυξι θείαις, τόν πύργον, τής ταπεινώσεως τόν άρρηκτον, τό τείχος, τής διακρίσεως τό άσειστον, τής τών ηθών ευκοσμίας, τήν σεμνήν ευπρέπειαν τόν υπέρ τών τέκνων αυτού, Χριστόν τόν Θεόν, εκδυσωπούντα τόν μόνον εύσπλαγχον.

Όρθρος αειφανής Όσιε, ανεδείχθης πυρσώ χαρισμάτων, τούς παθών αχλύϊ τυφλώττοντας, έλκων πρός αυγήν τήν ανέσπερον, Πάτερ Αθανάσιε θεόφρον, διό περ, ως επαυξήσαντα, τό τάλαντον, ψυχών σε, θεραπευτήν Χριστός ανέδειξε τών ανιάτων μωλώπων, σηπεδόνας ξίφει, τώ τών λόγων τέμνοντα, καί ρώσιν σωτήριον, παρέχοντα τοίς προσιούσί σοι.

Στιχηρά τού Οσίου Λαμπαδού

Ήχος πλ. δ'
Ώ τού παραδόξου θαύματος

Πάτερ Λαμπαδέ μακάριε, δι' εγκρατείας πολλής, καί συντόνου δεήσεως, τής σαρκός τό φρόνημα, τή ψυχή καθυπέταξας, καί χαρισμάτων, έμπλεως γέγονας, τού παναγίου Πνεύματος Όσιε, ώ στηριζόμενος, τών πνευμάτων φάλαγγας τών πονηρών πάσας καθυπέταξας, καί κατηδάφισας.

Πάτερ Λαμπαδέ θεόπνευστε, ως κεκρυμμένος ημίν, θησαυρός πεφανέρωσαι, εν σπηλαίοις κείμενος, καί σημείοις καί τέρασιν, ευωδιάζων, ψυχάς τών πίστει σοι, προσερχομένων, θεομακάριστε, όθεν βοώμέν σοι, καί ημάς εξάρπασον τών δυσχερών, σού ταίς παρακλήσεσιν, ανευφημούντάς σε.

Πάτερ Λαμπαδέ θεόσοφε ασκητικαίς αγωγαίς, τώ Θεώ προσκολλώμενος, καί ταίς τούτου λάμψεσιν, Ιερώς φωτιζόμενος, λαμπράς εδείχθης πάσιν αυγάζουσα, σωτηριώδεις αρετάς πάντοτε, όθεν τήν μνήμην σου, τήν φωσφόρον σήμερον, χαρμονικώς, πίστει εορτάζομεν θεομακάριστε.

Δόξα... Ήχος πλ. β'

Ως ένθεος η ζωή σου, καί πανίερόν σου τό τέλος, Πάτερ, Αθανάσιε, εν αυτώ γάρ πάσα η τού Όρους πληθύς συναχθείσα, ως έβλεψεν άπνουν εν κλίνη σε ρήμασι γοεροίς ανεβόα, Δός τελευταίον λόγον τοίς δούλοις σου Άγιε, δίδαξον, πού καταλείπεις τά τέκνα σου Πάτερ, ά ώκτιρας ως Πατήρ, όντως συμπαθής καί φιλόστοργος, Όμως κάν ώδε τώ τάφω καλύπτη, άνω σε πάντες πλουτούμεν προστάτην καί πρεσβευτήν πρός Θεόν, οι πόθω τιμώντές σε.

Καί νύν... Θεοτοκίον

Τίς μή μακαρίσει σε, Παναγία Παρθένε; τίς μή ανυμνήσει σου τόν αλόχευτον τόκον, ο γάρ αχρόνως, εκ Πατρός εκλάμψας Υιός μονογενής ο αυτός εκ σού

τής Αγνής προήλθεν αφράστως σαρκωθείς, φύσει Θεός υπάρχων καί φύσει γενόμενος άνθρωπος δι' ημάς, ουκ εις δυάδα προσώπων τεμνόμενος, αλλ' εν δυάδι φύσεων ασυγχύτως γνωριζόμενος, Αυτόν ικέτευε, σεμνή παμμακάριστε ελεηθήναι τάς ψυχάς ημών.

## Εις τήν Λιτήν, Στιχηρά ιδιόμελα.

### Ήχος α'
### Τούς φωστήρας τούς μεγάλους

Τόν ανέσπερον φωστήρα τής οικουμένης μέλψωμεν Όσιον Αθανάσιον, υπέρ ήλιον γάρ έλαμψεν εν τώ τής πίστεως στερεώματι, καί πιστών ταίς φρυκτωρίαις τά συστήματα, πρός αρετήν εχειραγώγησε, τό μέν, θεοπνεύστοις διδαχαίς, καί σωτηρίων ρημάτων εισηγήσεσιν, άσπερ, αφθονωτάτους οία κρουνούς, από χειλέων επήγαζε, τό δέ, τή πράξει τή θαυμαστή, καί ισαγγέλω πολιτεία, πρός ζήλον εφελκόμενος, καί αμφότερα, βίον καί λόγον υπέρλαμπρον, ως παιδοτρίβης άριστος θεοπρεπώς επιδεικνύμενος, Αυτού ταίς ικεσίαις Χριστέ ο Θεός ημών, τήνδε τήν ποίμνην φρούρησον, καί τήν ορθόδοξον πίστιν κράτυνον ως φιλάνθρωπος.

### Ήχος β'
### Τόν υιόν τής βροντής

Τόν Χριστού εραστήν, τόν επώνυμον τής αθανασίας, τόν αληθή μύστην τού Σωτήρος, καί κλέος καί καύχημα, τών μονοτρόπων πάντων καί ποδηγέτην, τόν ηγιασμένον από τού βρέφους τώ Κυρίω, χοροί Πατέρων συνελθόντες ευφημήσωμεν, Ούτος γάρ έρωτα θείον εν εαυτώ συλλαβών, τήν Ιμέν τού κόσμου έλιπεν απάτην, ήρε δέ τόν ζυγόν τού Χριστού επωμάδιον, καί τά στίφη τών δαιμόνων ετρέψατο ανδρείως, δεικνύς ημίν πρακτικώς, τής θείας αγάπης τόν άριστον δρόμον, τόν αυτόν γάρ καί αυτός διαδραμών, εν σπουδή πέφθακε, τό φώς τό αληθές, τής Τριάδος τής παντουργού, Ώ θαύματος εκστατικού, καί πράγματος θεοπρεπούς! ότι γήϊνος ών εν τή φύσει, ίσος γέγονε ταίς νοεραίς ουσίαις, δόξαν καί τιμήν θεόθεν άπλετον λαμβάνων, καί πρεσβευτής ημίν γίνεται, ως άν τύχοιμεν τών αιωνίων αγαθών, εν τή ημέρα τής κρίσεως.

### Ήχος δ'
### Εξέλθετε έθνη

Εξέστησε νόας, εξέπληξε καί βροτούς, τά πανθαύμαστα σκάμματα τής εν ασκήσει σου βιοτής, ώσπερ γάρ άσαρκος σχεδόν, εν σαρκίω γεηρώ, εχθροίς τοίς αοράτοις προσεπάλαισας, Γενεαί γούν σε πάσαι μέλπουσι τών ευσεβών, εξαιρέτως δέ η ση τιμία ποίμνη, τό λαμπρόν σου τών πόνων στηλογράφημα, ήν ανέδειξας ως πόλιν εν ερήμω τερπνήν ήν οικητήριον στίφους μοναζόντων ευπρεπές κατέστησας, ή καθάπερ εν ενδύμασι πολυτίμοις, τοίς σοίς καθωραϊζεται θαυμασίοις, καί τοίς γενναίοις σου άθλοις, καί σαίς λιταίς Αθανάσιε, καί πρεσβείαις εξαιτείται, πρός Χριστού περιφρουρείσθαι, τού έχοντος τό μέγα έλεος.

### Δόξα... Ήχος πλ. α'

Σαλπίσωμεν εν σάλπιγγι ασμάτων, η χάρις γάρ τού Πνεύματος, πάσης

σάλπιγγος ευηχέστερον, πάντας πρός ύμνον συγκαλεί τού θεοφόρου Πατρός, Βασιλείς καί άχροντες θαυμαζέτωσαν, τού παμβασιλέως τόν γνήσιον οικέτην, τόν τού κοσμοκράτορος τάς αρχάς καί εξουσίας, Πνεύματος θείου πανοπλία τροπωσάμενον, Ποιμένες καί διδασκαλοι, τόν τής αρίστης όντως κανόνα τε καί τύπον, ποιμασίας ευφημήσωμεν, τόν εν δόγμασιν ακραιφνή, τόν εν τή πίστει γενναίον, τόν εν θεωρίαις υψίνουν, εν πράξεσιν υπερνεφή, εν διδάγμασι τής τρυφής χειμάρρουν, τόν ποδηγέτην τών πλανωμένων, τόν εδραστήρα τών κλονουμένων, τόν πάσι τοίς ασθενούσι συμπαθέστατον, Άθω τό μέγα κλέος, εγκωμιάζοντες πάντες είπωμεν, Πατέρων κορωνίς Αθανάσιε, πρόστηθι τών σών οικετών, διά παντός ημών Πάτερ, καί σώσον τήν ποίμνην σου ταίς ικεσίαις σου.

Καί νύν... Θεοτοκίον

Σαλπίσωμεν εν σάλπιγγι ασμάτων, προκύψασα γάρ άνωθεν η παντάνασσα Μητροπάρθενος, ταίς ευλογίαις καταστέφει τούς ανυμνούντας αυτήν, Βασιλείς καί άρχοντες συντρεχέτωσαν, καί τήν Βασιλίδα κροτείτωσαν εν ύμνοις, Βασιλέα τέξασαν, τούς θανάτω κρατουμένους πρίν, απολύσαι φιλανθρώπως ευδοκήσαντα, Ποιμένες καί διδάσκαλοι, τήν τού καλού ποιμένος υπέραγνον Μητέρα, συνελθόντες ευφημήσωμεν, τήν λυχνίαν τήν χρυσαυγή, τήν φωτοφόρον νεφέλην, τήν τών ουρανών πλατυτέραν, τήν εμψυχόν τε κιβωτόν, τόν πυρίμορφον τού Δεσπότου θρόνον, τήν μανναδόχον χρυσέαν στάμνον, τήν κεκλεισμένην τού Λόγου πύλην, απάντων Χριστιανών τό καταφύγιον, άσμασι θεηγόροις, εγκωμιάζοντες ούτως είπωμεν, Παλάτιον τού Λόγου, αξίωσον τούς ταπεινούς ημάς, τής ουρανών βασιλείας, ουδέν γάρ αδύνατον τή μεσιτεία σου.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος πλ. α'

Χαίροις ασκητικών

Χαίροις αγγελικαίς ομιλών, χοροστασίαις Αθανάσιε Όσιε, τόν βίον γάρ τούτων Πάτερ, επί τής γής αληθώς, αρετήν ασκήσας πεπολίτευσαι, φανείς καθαρότητος, ακηλίδωτον έσοπτρον, ακτινοβόλους, αστραπάς εισδεχόμενος, τάς τού Πνεύματος, τού Αγίου πανόλβιε, όθεν καταυγαζόμενος, εώρας τά μέλλοντα, πάντα προλέγων εκ θείας, φωτοφανείας μυούμενος, Χριστού, όν δυσώπει, ταίς ψυχαίς ημών δοθήναι τό μέγα έλεος.

Στίχ. Τίμιος εναντίον Κυρίου ο θάνατος τού Οσίου αυτού.

Χαίροις τών Ασκητών αρχηγός, γεγενημένος, καί αήττητος πρόμαχος, παθών γάρ τεμών τάς ρίζας, καί τών δαιμόνων ορμάς, υποστάς ανδρείως, Αθανάσιε, αυτών εθριάμβευσας, τήν ψυχόλεθρον πλάνησιν, τήν τού Σταυρού δέ, τού Σωτήρος ενέργειαν, καί ανίκητον, εφανέρωσας δύναμιν, ήν καί περιζωσάμενος, ενίκησας άπαντας, τούς αθετούντας τήν θείαν, διά σαρκός επιφάνειαν, Χριστού, όν δυσώπει, ταίς ψυχαίς ημών δοθήναι τό μέγα έλεος.

Στίχ. Μακάριος ανήρ ο φοβούμενος τόν Κύριον, εν ταίς εντολαίς αυτού θελήσει σφόδρα.

Στύλος φωτοειδής αρετών, εστηριγμένος, καί νεφέλη σκιάζουσα, σύ ώφθης τών εν τώ Άθω, πρός ουρανόν από γής, τών Θεόν ορώντων προηγούμενος, Σταυρού βακτηρία, τήν τών παθών ρήξας θάλασσαν, τόν νοητόν δέ, Αμαλήκ τροπωσάμενος, ανεμπόδιστον, τήν ουράνιον άνοδον, εύρες θεομακάριστε, καί κλήρον ακήρατον, σύν, Ασωμάτοις τώ θρόνω, περιχαρώς παριστάμενος, Χριστού, όν δυσώπει, ταίς ψυχαίς ημών δοθήναι τό μέγα έλεος.

Δόξα... Ήχος πλ. β'

Τήν τών Πατέρων καλλονήν, τών ασκητών τό κλέος, τήν βρύσιν τών θαυμάτων, καί πρός θεόν πρεσβευτήν ακαταίσχυντον, συνδραμόντες, ώ φιλέορτοι, ασματικοίς εγκωμίοις υμνήσωμεν, λέγοντες, Χαίροις ο τού μονήρους βίου κανών καί χαρακτήρ, καί τύπος ακριβέστατος, Χαίροις φωστήρ τηλαυγέστατε, ο δαδουχών τήν σύμπασαν, αρετών τοίς πυρσεύμασι, Χαίροις τών εν οδύναις ο μέγας παρακλήτωρ, καί θερμός προστάτης τών περιστατουμένων, Σύ τοιγαρούν Αθανάσιε, μή παύση πρεσβεύων Χριστώ τώ Θεώ, υπέρ τής ποίμνης σου ταύτης, καί πάντων πιστών, τών τιμώντων σου τήν σεβάσμιον κοίμησιν.

Καί νύν... Θεοτοκίον
Ήχος πλ. β'

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής. Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Απολυτίκιον Ήχος γ'
Τήν ωραιότητα

Τήν εν σαρκί ζωήν, σού κατεπλάγησαν, Αγγέλων τάγματα, πώς μετά σώματος, πρός αοράτους συμπλοκάς, εχώρησας πανεύφημε, καί κατετραυμάτισας, τών δαιμόνων, τάς φάλαγγας, όθεν Αθανάσιε, ο Χριστός σέ ημείψατο, πλουσίαις δωρεαίς, Διό Πάτερ, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Δόξα... Καί νύν...
Θεοτοκίον Ήχος γ'

Σέ τήν μεσιτεύσασαν τήν σωτηρίαν τού γένους ημών, ανυμνούμεν Θεοτόκε Παρθένε, εν τή σαρκί γάρ τή εκ σού προσληφθείση, ο Υιός σου καί Θεός ημών, τό διά Σταυρού καταδεξάμενος πάθος, ελυτρώσατο ημάς, εκ φθοράς ως φιλάνθρωπος.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος δ'
Κατεπλάγη, Ιωσήφ

Επί τών ώμων τόν Σταυρόν, αναλαβών τόν τού Χριστού, ηκολούθησας αυτώ, διά τών έργων ευσεβώς, τών τής ασκήσεως όσιε Αθανάσιε, καί πάσι μονασταίς, ενασκουμενοις σεμνώς, γεγένησαι κανών, καί τύπος ένδοξε, Αλλά τοίς θείοις σκάμμασι, τά άνω απολαβών νύν βασίλεια, μή διαλίπης, καθικετεύων, τού σώζεσθαι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Μή εισέλθης μετ' εμού, ως ο Προφήτης σοι βοώ, εις κριτήριον Χριστέ, εγώ γάρ οίδα τά εμά, κατηγορούντά με πταίσματα, καί σοί κραυγάζω, Ελέησον ευχαίς τής τεκούσης σε, εμέ τόν ταπεινόν καί ανάξιον, ως τόν Ληστήν καί Πόρνην καί τόν, Άσωτον, καί τόν Τελώνην φιλάνθρωπε, ου γάρ δικαίους, ήλθες τού σώσαι, αλλά μάλλον τούς πταίσαντας.

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος δ'

Επεφάνης σήμερον

Τώ Κυρίω Όσιε, ευαρεστήσας, διά θείων πράξεων, καί πολιτείας καθαράς, τής κληρουχίας ηξίωσαι, τών ασωμάτων, σοφέ Άθανασιε.

Δόξα... Καί νύν... Θεοτοκίον

Προστασία άμαχε, τών εν ανάγκαις, καί πρεσβεία έτοιμος, τών ελπιζόντων επί σέ, από κινδύνων με λύτρωσαι, καί μή παρίδης, η πάντων βοήθεια.

Ο Ν' καί οι Κανόνες

Ο Κανών τού αγίου Αθανασίου, ού η ακροστιχίς.

Αθανάσιον υμνών, αρετήν επαινέσω. Αμήν.

Ωδή α' Ήχος πλ. δ'

Αρματηλάτην Φαραώ

Αθανασίας γεγονώς επώνυμος, έτι εν βίω τελών, τής αληθούς ώφθης Πάτερ, Αθανάσιε, αθανασίας μέτοχος, μεταστάς τών προσκαίρων, Αλλά Χριστώ παριστάμενος, μέμνησο ημών μεμνημένων σου.

Θεοσεβή εξ απαλών γενόμενον, ονύχων Όσιε, πρός αρετής κτήσιν, γεννητόρων στέρησις, σέ ουδαμώς εκώλυσεν, αλλά πάντα τόν πόθον, ολοσχερώς καί τήν έφεσιν, έτρεψας πρός μόνον τόν Κτίσαντα.

Από χειλέων ρυπαρών τήν αίνεσιν, τολμήσας άδω σοι, τώ περί σέ πόθω, κάτοχος γενόμενος, καί τή αγάπη δέσμιος, Αλλά Πάτερ συγγνώμων, γενού καί δός κατ' αξίαν σοι, τούτον προσκομίσαι τόν έπαινον.

Θεοτοκίον

Νέον παιδίον υπέρ λόγον τέτοκας, τόν παλαιόν ημερών, νέας εν γή τρίβους, αρετής δεικνύμενον, ού ο κλεινός θεράπων σου, Αθανάσιος Κόρη, τώ έρωτι τιτρωσκόμενος, τούτόν σοι τόν οίκον εδείματο.

## Ο Κανών τού Αγίου Λαμπαδού

### Ωδή α'  Ήχος β'
Δεύτε λαοί

Αρδευτικαίς, τών προσευχών επιδόσεσι, τήν ψυχικήν λαμπάδα μου, Πάτερ κατάρδευσον, Λαμπαδέ θεοφόρε, καί λόγον ανυμνείν σε, έμπνευσον Όσιε.

Σύ τόν σταυρόν, τών σών επ' ώμων αράμενος, τώ διά σέ τήν σταύρωσιν, τήν εθελούσιον, υπομείναντι Πάτερ, νεκρώσας σου τήν σάρκα, κατηκολούθησας.

Ασκητικώς, τώ δυσμενεί συμπλεκόμενος, καί τήν εξ ύψους δύναμιν επικαλούμενος, εταπείνωσας τούτον, καί νίκης ανεπλέξω, Πάτερ διάδημα.

Θεοτοκίον

Τίς εξειπείν, σού κατ' αξίαν δυνήσεται, τήν υπέρ λόγον σύλληψιν, Θεόν γάρ τέτοκας, εν σαρκί Παναγία, ημίν απιφανέντα, σωτήρα πάντων ημών.

Τού Αθανασίου

### Ωδή γ'
Ο στερεώσας κατ' αρχάς

Από παιδός τή πρός Θεόν, αγάπη συνειλημμένος, τούς ομήλικας τών παίδων αθροίζων, καί χορείαν συνιστών, πνευματικώς ερρύθμιζες, τών παιδικών πανσόφως, τούτους εθών εξαιρούμενος.

Σοφίας έρωτι βληθείς, πρός τήν ευδαίμονα πόλιν, Κωνσταντίνου παραγίνη θεόφρον, καί ως μέλιττα σοφή, καί μελουργός τά καίρια τών λόγων συναθροίσας, τά περιττά καταλέλοιπας.

Ιστίω Πάτερ τού Σταυρού, τήν ψυχικήν σου ολκάδα, κυβερνήσας ευσταλώς τε καί κούφως, τήν τού βίου χαλεπήν ποντοπορίαν ήνυσας, καί πρός γαλήνης θείους, ήχθης λιμένας μακάριε.

Θεοτοκίον

Ο πρό αιώνων γεννηθείς, εκ τού Πατρός απορρήτως, επ' εσχάτων εκ γαστρός σου προήλθε, καί εθέωσεν ημών, τήν φύσιν Μητροπάρθενε, τούς τών Οσίων δήμους, περιφανώς επαγόμενος.

Τού Λαμπαδού

Σύ τώ λόγω σου Κύριε

Η συχάζων έν όρεσι, καί σπηλαίοις κρυπτόμενος, χάριν θεϊκήν εκομίσω, θεόφρον μακάριε.

Ταπεινώσει υψούμενος, τή αγάπη πτερούμενος, πρός τάς νοητάς καταπαύσεις, μετέβης Πατήρ ημών.

Εγκρατεία συνέζησας, θεοφόρε Πατήρ ημών, όθεν τού εχθρού τήν κακίαν, θεόφρον διέφυγες.

Θεοτοκίον

Τούς εις σέ καταφεύγοντας, από πάσης δεόμεθα, ρύσαι απειλής η τεκούσα, Χριστόν τόν Θεόν ημών.

Κάθισμα Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Εκ νεότητος πάντα καταλιπών, τά τού βίου επίκηρα καί τερπνά, προθύμως ηκολούθησας, τώ καλούντί σε Όσιε, καί επ' ώμων άρας, Σταυρόν ως ακήκοας, εν νηστείαις Πάτερ, τό σώμα κατέτηξας, όθεν καί Ποιμένα, τών οικείων προβάτων, καλώς προχειρίζεται, ο πανάγαθος Κύριος, Αθανάσιε Όσιε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Θεοτοκίον

Τήν Σοφίαν καί Λόγον εν σή γαστρί, συλλαβούσα αφλέκτως Μήτηρ Θεού, τώ κόσμω εκύησας, τόν τόν κόσμον συνέχοντα, καί εκ μαζών εθήλασας, τόν πάντας εκτρέφοντα, καί εν αγκάλαις έσχες, τόν πάντα βαστάζοντα, όθεν δυσωπώ σε, Παναγία Παρθένε, ρυσθήναι πταισμάτων μου, όταν μέλλω παρίστασθαι, πρό προσώπου τού Κτίστου μου, Δέσποινα Παρθένε αγνή, τήν σήν βοήθειαν τότε μοι δώρησαι, σέ γάρ έχω ελπίδα ο δούλός σου.

Τού Αθανασίου

Ωδή δ'

Σύ μου ισχύς Κύριε

Νούν τών παθών, καθηγεμόνα ποιούμενος, και ενθέοις, έργοις ποδηγούμενος, σύ τήν καλήν, ήνυσας οδόν, καί τάς τών δαιμόνων, ενέδρας καί πανουργεύματα, καί τάς ραδιουργίας ευσεβώς απεκρούσω, ως εχέφρων τό κρείττον ελόμενος.

Υπεισελθών, τόν ελαφρόν τού Κυρίου ζυγόν, καί τώ θείω, φόβω στοιχειούμενος, καί καθαρθείς, σώμα καί ψυχήν, γέγονας αγνείας, καί σωφροσύνης υπόθεσις, καί όρος εγκρατείας, καί σφραγίς απαθείας, καί αγάπης εικών Αθανάσιε.

Μετεσχηκώς, τής καθ' ημάς καί τής θύραθεν, σύ παιδείας, εμφιλοσοφώτατα, τό προσφυές καί λυσιτελούν, εκάστης διείλες, δικαιοσύνη φραττόμενος, φρονήσει, ταπεινώσει, συνέσει καί ανδρεία, καί τοίς άλλοις εμπρέπων χαρίσμασι.

Θεοτοκίον

Νώτοις φρικτώς, χερουβικοίς εποχούμενος, ο Δεσπότης, θρόνον ώσπερ πύρινον, τήν σήν Αγνή, ώκησε νηδύν, καί σαρκός προσλήψει, τήν ανθρωπίνην εθέωσεν, ουσίαν ως διδάσκει, ο κλεινός εν Οσίοις, Αθανάσιος

μόνη πανύμνητε.

Τού Λαμπαδού
Εισακήκοα Κύριε
Ευωδία γενόμενος, εν τώ Χριστώ, ταίς θείαις αρεταίς σου, ιαμάτων μύρα βρυεις θεόπνευστε.

Φανερούσαι κρυπτόμενος, υπό Θεού, εις δόξαν τουτου Πάτερ, επί χρόνοις πλείστοις μακαριώτατε.

Τών λειψάνων σου έχοντες, νύν τήν σορόν, εκ ταύτης εξαντλούμεν, Λαμπαδέ τάς ρώσεις ανευφημούντές σε.

Θεοτοκίον
Δυσωπούμέν σε, Άχραντε, τήν τόν Θεόν, ασπόρως συλλαβούσαν, τού αεί πρεσβεύειν υπέρ τών δούλων σου.

Τού Αθανασίου

Ωδή ε'
Ίνα τί με απώσω
Ώφθης ώσπερ μαγνήτης, έλκων τή γλυκύτητι Πάτερ τών λόγων σου, πρός διδασκαλίαν, καί αφόασιν τών παραινέσεων, τούς εφιεμένους, διηνεκώς οράν καί βλέπειν, τό σεπτόν καί χαρίεν σου πρόσωπον.

Νόμοις θείοις υπείκων, καί ταίς προσταγαίς πειθαρχών τού ποιήσαντος, νομοθέτης ώφθης, μοναστών καί κανών ακριβέστατος, παιδευτής αφρόνων, καί οδηγός πεπλανημένων, καί φωστήρ τών εν σκότει Αοίδιμε.

Αρετών εκμαγείον, καί τών χαρισμάτων δοχείον τού Πνεύματος, τού Αγίου πέλων, Ιερόν καί τερπνόν φροντιστήριον, εδομήσω πάσαν, διαγωγήν καί πολιτείαν, προσφυή μονασταίς εκτιθέμενος.

Θεοτοκίον
Ρητορεύον ου σθένει, στόμα κατ' αξίαν σε μέλπειν Πανύμνητε, ανωτέραν ούσαν, Χερουβίμ καί απάσης τής κτίσεως, διό σύν τώ θείω, Αθανασίω τόν Δεσπότην, υπέρ πάντων ημών καθικέτευε.

Τού Λαμπαδού

Ο τού φωτός χορηγός
Ταίς θεϊκαίς αστραπαίς, λαμπαδουχούμενος αεί ήστραψας, φωτιστικήν αίγλην ιαμάτων, φωτίζων τούς πιστούς, ταύτην σου τήν μνήμην, γεραίροντας Όσιε.

Κλήσει κατάλληλον, πράξιν δεικνύμενος λαμπάς πέφυκας, τώ θεϊκώ προσαναπτομένη, τού Πνεύματος πυρί, καί τής αμαρτίας τήν ύλην συμφλέγουσα.

Μύρον ηδύπνοον, εξ αενάων θησαυρών Όσιε, τών θεϊκών πηγών αναβλύζεις, διώκων τών παθών, πάσαν δυσωδίαν, εις δόξαν Θεού ημών.

Θεοτοκίον

Σοί τή τεκούση Χριστόν, τόν τού παντός Δημιουργόν κράζομεν, Χαίρε αγνή, χαίρε η τό φώς, ανατείλασα ημίν, χαίρε η χωρήσασα, Θεόν τόν αχώρητον.

Τού Αθανασίου

Ωδή ς'

Ιλάσθητί μοι Σωτήρ

Ενέκρωσας σαρκικάς, επιθυμίας τοίς πόνοις σου, εσταύρωσας σεαυτόν, κόσμω καί τοίς πάθεσι, νηστείαις καί δάκρυσι, προσευχαίς καί ύμνοις, ανενδότοις προσεδρεύων Θεώ.

Τών μοναστών αρχηγός τών εν τώ όρει τού, Άθωνος, καί τύπος καί χαρακτήρ, εναρέτων πράξεων, υπάρχων εκόσμησας, τά εκείσε πάντα, τών αζύγων καταγώγια.

Ηδύς, ευθύς καί χρηστός, επιεικής τε καί μέτριος, ευπρόσιτος προσηνής, ελεήμων πέφυκας, συμπαθής καί εύσπλαγχνος, ιλαρός τοίς τρόποις, χριστομίμητος τοίς ήθεσι.

Θεοτοκίον

Νέος καθάπερ Μωσής, αναφανείς κατεσκεύασας, οιά περ άλλην σκηνήν, μάνδραν Πανσεβάσμιε, ήν καί υπερηύξησας, πόνοις καί ιδρώσι, καί ανέθου τή Μητρί τού Θεού.

Τού Λαμπαδού

Εν αβύσσω πταισμάτων

Διελθών τό τού βίου κλυδώνιον, αύραις θείου Πνεύματος οιακιζόμενος, πρός τούς λιμένας έφθασας, τής εκεί καταπαύσεως Όσιε.

Μοναστών υποτύπωσις γέγονας, τήν γάρ Ηλιού εξεικόνισας έρημον, εφησυχάζων Όσιε, καί τά πάθη ξηραίνων τού σώματος.

Ο βυθός τών δακρύων σου γέγονε, πάντων τών δαιμόνων Μακάριε όλεθρος, καί φωτισμός τής ποίμνης σου, τής αεί σε τιμώσης πανόλβιε.

Θεοτοκίον

Συμπαθείας τής σής με αξίωσον, η τόν συμπαθέστατον Λόγον κυήσασα, τόν τώ οικείω αίματι, εκ φθοράς τούς ανθρώπους ρυσάμενον.

Κοντάκιον  Ήχος πλ. δ'

Τή υπερμάχω

Ως τών αϋλων ουσιών θεωρόν άριστον, καί πρακτικόν υφηγητήν

παναληθέστατον, ευφημούμέν σε η ποίμνη σου, καί βοώμεν, Μή ελλίπης ικετεύειν πρός τόν Κύριον, λυτρωθήναι πειρασμών καί περιστάσεων, τούς βοώντάς σοι, Χαίροις Πάτερ, Αθανάσιε.

Ο Οίκος

Ανωθέν σου τήν κλήσιν, ειληφώς παραδόξως, αθάνατον ζωήν εκληρώσω, μετά σώματος γάρ επί γής, ασωμάτων βίον μετελθών, γέγονας τοίς πάθεσιν ανάλωτος, διό σε ευφημούμεν Πάτερ.

- Χαίροις, φαιδρόν μοναζόντων κλέος, χαίροις, λαμπρά σωφροσύνης στήλη.
- Χαίροις, τής ανδρείας αρίδηλον γνώρισμα, χαίροις, τής πανσόφου φρονήσεως ένδειξις.
- Χαίροις, στάθμη ισοστάσιος δικαιοσύνης ακριβούς, χαίροις, λόγω καταρτίσας σου τών πρακτέων τάς ορμάς.
- Χαίροις, νούς απολαύων εννοιών απορρήτων, χαίροις, πάσαν τήν κτίσιν ευσεβώς διαθρήσας.
- Χαίροις, δι' ού ησχύνθησαν δαίμονες, χαίροις, δι' ού πάν πάθος νενέκρωται.
- Χαίροις, λιμήν τών εν ζάλη τού βίου, χαίροις, σωτήρ τών πιστώς σοι βοώντων.
- Χαίροις, Πάτερ Αθανάσιε.

Σ υ ν α ξ α ρ ι ο ν

Τή Ε' τού αυτού μηνός, Μνήμη τού Οσίου καί θεοφόρου Πατρός ημών Αθανασίου τού εν τώ Άθω.

Στίχοι

- Μέγας μέν Αντώνιος, αρχή Πατέρων.
- Θείος δ' Αθανάσιος ένθεον τέλος.
- Κάν' Αθανάσιος ύστερος χρόνοις,
- Αλλ' υπερέσχε καί παλαιούς τοίς πόνοις.
- Αθανασίω καί μαθητών εξάδι,
- Ναοί λύονται σωμάτων ναού λύσει.
- Πέμπτη δ' Αθανάσιον άγον νόες άστυ θεοίο.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Λαμπαδού.

Στίχοι

- Άρδων ελαίω Λαμπαδός τήν λαμπάδα
- Έτοιμος εγγίσαντος ήν τού Νυμφίου.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τού Αθανασίου

Ωδή ζ'

Θεού συγκατάβασιν

Εις πάσαν διέδραμε, σχεδόν τήν κτίσιν τής πολιτείας σου, καί τών κατορθωμάτων ο φθόγγος Πάτερ, καί εις περίδοξον, έφθασας ύψος Θεού σε δοξάσαντος, καί περιβόητόν σε πάσι ποιήσαντος.

Πενήτων προμήθεια, χηρών προστάτης, προνοητής ορφανών, λυπουμένων ταχεία παραμυθία, κινδυνευόντων λιμήν, αδικουμένων αντίληψις γέγονας, τόν σόν μιμούμενος Πάτερ διδάσκαλον.

Αστέρα παγκόσμιον, καί μοναζόντων φωστήρα άδυτον, βοηθόν εν ανάγκαις, αμαρτανόντων μέγα προσφύγιον, ειδώς μεσίτην καί πρέσβυν προβάλλομαι, πρός τόν Δεσπότην Χριστόν σε πανσεβάσμιε.

Θεοτοκίον

Ιδείν εφιέμενος, ο σός θεράπων τού σού Υιού καί Θεού, τήν απόρρητον δόξαν Θεογεννήτορ, τούτου τόν τίμιον Σταυρόν λαβών ηκολούθησε, τοίς ζωηφόροις αυτού καί θείοις ίχνεσιν.

Τού Λαμπαδού

Ο τήν κάμινον πάλαι

Τάς βραζούσας καμίνους, τών παθών κατασβέσας, εγκρατείας τή δρόσω, Μακάριε εβόας, Ευλογητός εί ο Θεός ο τών Πατέρων ημών.

Φωτοβόλοις λαμπάσι, τών εν σοί χαρισμάτων, καταυγάζεις καρδίας, τών πίστει μελωδούντων, Ευλογητός εί ο Θεός ο τών Πατέρων ημών.

Ταπεινός τή καρδία, υψηλός πολιτεία καί εν θαύμασι Πάτερ, εδείχθης αναμέλπων, Ευλογητός εί ο Θεός ο τών Πατέρων ημών.

Θεοτοκίον

Ο εν μήτρα οικήσας, καί τεχθείς εκ Παρθένου, ο τόν Άδην σκυλεύσας, καί τά έθνη φωτίσας, ευλογητός εί ο Θεός ο τών Πατέρων ημών.

Τού Αθανασίου

Ωδή η'

Επταπλασίως κάμινον

Νεανικώς τροπούμενος, τάς αρχάς Αθανάσιε, καί τάς εξουσίας, τάς τού σκότους μέγιστος, διδάσκαλος πέφυκας, καί οδηγός σωτήριος, τάς επιβουλάς, καί τάς ενέδρας καί δόλους, αυτών ανακαλύπτων, καί τήν ποίμνην σου πάσης, δαιμόνων κακουργίας, αποίμαντον φυλάττων.

Επί τής γής ως άνθρωπος, περιών τό πολίτευμα, εν τοίς ουρανοίς, ως αληθώς εκέκτησο, Αγγέλοις εφάμιλλος, αναφανείς τήν διαγωγήν, καί τήν πολιτείαν, εκτελών τήν εκείνων, μεθ' ών νύν αναμέλπεις, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Σέ συνελθόντες σήμερον, επαξίως γεραίρομεν, καί τήν τών λειψάνων σου, τιμώμεν λάρνακα, παθών απολύτρωσιν, αμαρτημάτων άφεσιν, πάσης συμφοράς, καί περιστάσεως λύσιν, αιτούμενοι ευχαίς σου, τήν αγίαν σου μνήμην, πιστώς καί χαρμοσύνως, τελούντες εις αιώνας.

Θεοτοκίον

Ως Ηλιού τό πρότερον, τό Καρμήλιον ώκησεν, ούτω καί αυτός, τώ Όρει τώ τού Άθωνος, σχολάζων επόθησας καθ' εαυτόν συνείναι Θεώ, καί θεαρχικαίς καταυγασθείς θεωρίαις, θεράπων ανεδείχθης, τής αγνής Θεοτόκου, βοών αυτή τό Χαίρε, μετά τού Αρχαγγέλου.

Τού Λαμπαδού

Τόν εν καμίνω τού πυρός

Αποκαλύψεσι φρικταίς, καί σημείοις φοβεροίς Πάτερ θεόφρον, αγνοούσιν εγνώσθης, καί επί χρόνοις πολλοίς, εφάνης παμμάκαρ κρυπτόμενος, μύρα ιαμάτων, ημίν αναπηγάζων.

Χάριν αέναον ημίν, αναβλύζεις εκ πηγών τού σωτηρίου, αρδευόμενος Μάκαρ, καί διασώζεις ημάς, κινδύνων καί παθών καί θλίψεων, τούς επιτελούντας, τήν σήν αγίαν μνήμην.

Αγγελικώς επί τής γής, διανοία καθαρά επολιτεύσω, καί Αγγέλοις συνήφθης, απολυθείς τής σαρκός, Υμνείτε βοών τόν φιλάνθρωπον, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Τόν εκ Πατρός μονογενή, γεννηθέντα θεϊκώς πρό τών αιώνων, επ' εσχάτων τεχθέντα, εκ τής Παρθένου σαρκί, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε, αυτόν εις τούς αιώνας.

Τού Αθανασίου

Ωδή θ'

Εξέστη επί τούτω

Αγνείαν, σωφροσύνην καί καθαράν, πολιτείαω καί βίον ακίβδηλον, καί αγωγήν, άσαρκος καθάπερ επί τής γής, τετελεκώς ανέδραμες, πρός τάς ουρανίους διατριβάς, καί πάσι συναγάλλη, οσίοις καί δικαίοις, καθικετεύων υπέρ πάντων Χριστόν.

Μεγάλως μεγαλύνας επί τής γής, τόν οικείον Δεσπότην καί μέλεσι, τοίς σεαυτού, διά θεωρίας καί πρακτικής, τούτον δοξάσας ένδοξος, ώφθης καί περίβλεπτος παωταχού, εγένου θεοφόρε, τήν αρετήν γάρ οίδεν, όντως αιδείσθαι καί πολέμιος.

Ηνώθης Ασωμάτων ταίς στρατιαίς, καί Οσίων χοροίς συνηρίθμησαι, καί εκλεκτοίς, πάσι συγχορεύεις μετεσχηκώς, τής αληθούς θεώσεως, καί τής

αθανάτου Πάτερ ζωής, μεθ' ών υπέρ τής ποίμνης, τής σής αδιαλείπτως, τόν σόν Δεσπότην καθικέτευε.

Θεοτοκίον

Ναός ηγιασμένος χωρητικός, τού ενός τής Τριάδος υπάρχουσα, ναόν ο σός, Δέσποινα θεράπων καί ευαγές, σεμνείον Αθανάσιος, ήγειρεν εις δόξαν σου καί Τιμήν, εν ώ ακαταπαύστως, μή παύση δωρουμένη, τήν συμμαχίαν ταίς πρεσβείαις σου.

Τού Λαμπαδού

Τόν εκ Θεού Θεόν Λογον

Ο δι' ημάς εν σπηλαίω, γεννηθείς εκ Παρθένου, σπηλαίω κεκρυμμένην Ιερώς, λαμπαδουχια τού Πνεύματος, Λαμπαδέ θεοφόρε, πιστοίς αποκαλύπτει τήν σεπτήν, τών λειψάνων σου θήκην, πηγάζουσαν ιάματα.

Ασκητικώς ηγωνίσω, τόν αγώνα τελέσας, καί πάσας τάς παγίδας τού εχθρού, πατήσας διασώζεις εκ φθοράς, τούς τιμώντάς σε πόθω, παμμάκαρ θεοφόρε Λαμπαδέ, οδηγών ημάς Πάτερ, πρός τρίβον τήν ουράνιον.

Θεοτοκίον

Φείσαί μου Κύριε φείσαι, όταν μέλλης με κρίναι, καί, μή καταδικάσης με εις πύρ, μή τώ θυμώ σου ελέγξης με, Δυσωπεί σε Παρθένος, η σέ κυοφορήσασα Χριστέ, τών Αγγέλων τά πλήθη, καί τών Οσίων τάγματα.

Εξαποστειλάριον

Τών Μαθητών ορώντων σε

Ως τηλαυγής ανέτειλας εκ κλιμάτων, Εώας φαεσφόρος καί Εσπερίων, μέρη, Αθανάσιε εφώτισας, σών αρετών λαμπρότησιν, αλλά μή παύση πρεσβεύων, υπέρ τού κόσμου Κυρίω.

Θεοτοκίον

Πανευαγής Παντάνασσα ικεσίαις, τού σού τιμιωτάτου Αθανασίου, φύλαττε τήν ποίμνην σου απρόσψαυστον, πάσης εναντιότητος, διαπαντός σε υμνούσαν, τήν προστασίαν τού κόσμου.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια τά εφεξής γ', δευτερούντες τό α'.

Ήχος πλ. δ'

Ω τού παραδόξου θαύματος

Τίμιος όντως ο θάνατος, τού σού Οσίου Χριστέ, εναντίον σου πέφυκεν, ιδού γάρ ανέβλυσεν, εκ ποδός ο θεράπων σου, πηγήν αιμάτων καί μετά θάνατον, παντοίας νόσους αποδιώκουσαν, καί φυγαδεύουσαν, πονηρίας πνεύματα, οίς έτι ζών, αντιπαρετάξατο, καί μέχρις αίματος. (Δίς)

Πηγήν θαυμάτων ανέδειξε, καί ποταμόν δωρεών, τήν σορόν τών λειψάνων σου, τοίς βροτοίς ο Κύριος, Αθανάσιε πάνσοφε, τυφλοίς τό βλέπειν αύτη

δεδώρηται, ελεφαντίδα λέπραν εκάθηρε, συνεχομένους τε ακαθάρτοις πνεύμασιν, εκ τής αυτών, εξουσίας ρύεται, καί σωφρονούντας ποιεί.

Χαίροις ασκητών αγλάϊσμα, τών μοναζόντων αστήρ, τών ποιμένων, τό καύχημα, Πάτερ Αθανάσιε, τών Οσίων ομόσκηνε, χαίρε αγάπης καί σωφροσύνης πηγή, χαίρε Τριάδος τό καταγώγιον, χαίρε λαμπρότατε, λύχνε διακρίσεως, χαίρε κανών, αρετών ευθύτατε, καί στήλη έμψυχε.

Δόξα... Ήχος πλ. β'

Πρός τό, Χριστού τόν Ιεράρχην

Τόν τής Αθανασίας επώνυμον, άπαντες ευφημήσωμεν, τόν εν τώ Άθω, ανδρικώς καί γενναίως ασκήσαντα, ός καί τήν ποίμνην συνήγαγε ταύτην, καί οίκον Κυρίω ανήγειρε πόθω, καί τή Μητρί του Θεού ανέθετο, ή καί πρεσβεύει υπέρ ημών, τών εν πίστει τελούντων τήν μνήμην αυτού.

Καί νύν... Θεοτοκίον

Ήχος πλ. β'

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής. Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Δοξολογία μεγάλη, καί Απόλυσις

Εις τήν Λειτουργίαν. Τά Τυπικά, οι Μακαρισμοί, καί εκ τού Κανόνος τού Αγίου Αθανασίου η γ' καί ς' Ωδή.

**ΤΗ ΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τού Οσίου Πατρός ημών Σισώη τού Μεγάλου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'
Έδωκας σημείωσιν

Φαιδρά εξανέτειλε, καθάπερ ήλιος Όσιε, η πανέορτος μνήμη σου, ακτίσιν αστράπτουσα, τών σών εναρέτων, πράξεων παμμάκαρ, καί καταυγάζουσα πιστών, τάς διανοίας φέγγει θαυμάτων σου, Αυτήν ούν εορτάζοντες, περιχαρώς σε γεραίρομεν, καί πιστώς μακαρίζομεν, μοναζόντων τό καύχημα.

Άγγελος επίγειος, οίά περ άλλος εβίωσας, εγκρατεία τό σωμά σου, μαράνας πανόλβιε, καί ταίς αγρυπνίαις, καί μνήμην θανάτου, διηνεκώς εμμελετών, τά θεία Πάτερ επαυξανόμενος, μεγίσταις αναβάσεσι, πρός εφετών τό ακρότατον, όθεν όντως κατήντησας, επ' αυτήν τήν ακρώρειαν.

Θαύμα υπέρ έννοιαν, εν τή κοιμήσει σου γέγονεν, οσιόφρον θεσπέσιε, ηνίκα ο θίασος, τών αγίων Πάτερ, επέστη αθρόον, ώσπερ, γάρ ήλιος σοφέ, τό πρόσωπόν σου εξανατέταλκε, δηλούν τήν αστραπόμορφον, τής σής ψυχής καθαρότητα, καί πιστούμενον άπαντας, οίου τέλους τετύχηκας.

Δόξα... Καί νύν... Θεοτοκίον

Σέ τό καθαρώτατον, τού Βασιλέως παλάτιον, δυσωπώ Πολυϋμνητε, τόν νούν μού καθάρισον, τόν εσπιλωμένον, πάσαις αμαρτίαις, καί καταγώγιον τερπνόν, τής υπερθέου Τριάδος ποίησον, όπως τήν μεσιτείαν σου, καί τό αμέτρητον έλεος, μεγαλύνω σωζόμενος, ο αχρείος ικέτης σου.

Η Σταυροθεοτοκίον

Έφερες Πανάμωμε, εν τή καρδία σου δίστομον, Συμεών σοι ως έφησε, ρομφαίαν καί τέτρωσαι, εν αυτή τά σπλάγχνα, καί τάς διαθέσεις, ως εθεάσω σόν Υιόν, επί τού ξύλου σεμνή κρεμάμενον, διό καί ανεκραύγαζες, Τέκνον εμόν μή παρίδης με, αλλά σπεύσον ανάστηθι, ως προείπας μακρόθυμε.

Απολυτίκιον Ήχος α'

Τής ερήμου πολίτης καί εν σώματι Άγγελος, καί θαυματουργός ανεδείχθης θεοφόρε Πατήρ ημών Σισώη, νηστεία, αγρυπνία, προσευχή, ουράνια χαρίσματα λαβών, θεραπεύεις τούς νοσούντας, καί τάς ψυχάς τών πίστει προστρεχόντων σοι, Δόξα τώ δεδωκότι σοι ισχύν, δόξα τώ σέ στεφανώσαντι, δόξα τώ ενεργούντι διά σού πάσιν ιάματα.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, οι Κανόνες τής Οκτωήχου, καί τού Οσίου

ούτος.

Ωδή α' Ήχος πλ. δ'
Άσωμεν τώ Κυρίω

Πάθεσι νεκρωθέντα, ζώωσόν με Πάτερ ταίς πρεσβείαις σου, τή ζωή νύν τών ζώντων παρρησία πολλή παριστάμενος.

Έρωτι Πάτερ θείω, έρωτας σαρκός αποκρουσάμενος, ηκολούθησας πόθω, τώ καλούντι Σισώη μακάριε.

Αίγλην άϋλον Πάτερ, ένδον εν καρδία εισδεξάμενος, εφωτίσθης καί πάσαν, τών παθών τήν αχλύν εξηφάνισας.

Θεοτοκίον

Σώσόν με τόν εν ζάλη, πασών ηδονών κλυδωνιζόμενον, τόν Σωτήρα τεκούσα, τού παντός τήν γαλήνην πανάμωμε.

Ωδή γ'
Σύ εί τό στερέωμα

Σάρκα καθυπέταξας, τώ λογισμώ στερρώς Όσιε, τήν δέ ψυχήν έδειξας δουλεία, τών παθών αταπείνωτον.

Πόνοις σου τήν άρουραν, τήν τής ψυχής σοφώς Όσιε, καλλιεργών, στάχυν απαθείας, καί θαυμάτων εξήνθησας.

Νέκρωσιν ενδέδυσαι, ζωοποιόν Χριστόν ένδοξε, ιχνηλατών, όθεν ανιστάν σοι, καί νεκρούς χάριν δίδωσι.

Θεοτοκίον

Τόπον αγιάσματος, καί νοητήν Αγνή τράπεζαν, άρτον Χριστόν, τήν ζωήν τών όλων, δεξαμένην υμνούμέν σε.

Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Κάθισμα Ήχος α'
Τόν τάφον σου Σωτήρ

Σαρκός τάς ηδονάς, εγκρατείας τώ τόνω, ενέκρωσας σοφέ, αρετών εμμελεία, διό ταίς αναβάσεσιν, αυξανόμενος άριστα, Πάτερ έφθασας, πρός τήν ουράνιον τρίβον, καί παρίστασαι, αεί Χριστώ σύν Αγγέλοις, Σισώη Πατήρ ημών.

Θεοτοκίον

Θεού σε καί τροφόν, καί Μητέρα εκάλει, εκ γλώσσης μητρικής, ο τής χάριτος κήρυξ, Θεόν τόν εν σπλάγχνοις σου, εγνωκώς διά Πνεύματος, καί αμνόν τεχθείς, αυτόν εδείκνυ δακτύλω, κόσμου αίροντα, τάς αμαρτίας Παρθένε, προσλήψει τού χείρονος.

Η Σταυροθεοτοκίον

Ορώσά σε Χριστέ, η πανάμωμος Μήτηρ, νεκρόν επί Σταυρού, ηπλωμένον εβόα, Υιέ μου συνάναρχε, τώ Πατρί καί τώ Πνεύματι, τίς η άφατος, οικονομία σου αύτη, δι' ής έσωσας, τό τών αχράντων χειρών σου, σοφόν δημιούργημα;

Ωδή δ'

Εισακήκοα Κύριε

Επομβρία τής χάριτος, Πάτερ ποταμπύς θαυμάτων ανέβλυσας, μολυσμών αποκαθαίροντας, τούς εν πίστει μάκαρ σοί προστρέχοντας.

Ολυνύκτοις δεήσεσι, καί ταίς πανημέροις Όσιε στάσεσι, τήν ψυχήν προκαθηράμενος, τής Τριάδος οίκον ταύτην έδειξας.

Εν ερήμοις εμάκρυνας, Πάτερ φυγαδεύων καί προσδεχόμενος, σέ τόν σώζοντα μακάριε, ολιγοψυχίας καί κακώσεως.

Θεοτοκίον

Αλατόμητον όρος σε, πάλαι Αββακούμ προείδε Πανάμωμε, ο Θεός εξ ού επέφανε, καί ημάς φθαρέντας ανεκαίνισεν.

Ωδή ε'

Ορθρίζοντες βοώμέν σοι

Ναός τής τρισηλίου θεότητος, χρηματίσας παθών τά ινδάλματα, τής σής ψυχής εξεμείωσας.

Νεκρώσας τής σαρκός σου τό φρόνημα, θεοφόρε, νεκρούς εξανέστησας, τή συνεργεία τής χάριτος.

Θεοτοκίον

Τόν ήλιον τεκούσα τής χάριτος, Θεοτόκε, Παρθένε τόν άδυτον, εσκοτισμενον με φώτισον.

Ωδή ς'

Ιλάσθητί μοι Σωτήρ

Τού κήτους τού νοητού, πανωλεθρίαν διέφυγες, εγκράτειαν προσευχήν, αγάπην ανόθευτον, κραταιάν ταπείνωσιν, καί στοργήν βεβαίαν, πρός Χριστόν Πάτερ κτησάμενος.

Χριστός σου τά πρός αυτόν, κατεύθυνε διαβήματα, ο δυνατός δυνατόν, σαφώς απειργάσατο, πατούντα επ' όφεων, καί σκορπίων κάρας, θεοφόρε Παμμακάριστε.

Τή νεύσει τή πρός Θεόν, Θεός σαφώς εχρημάτισας, τή πρός τό φώς ολική, στοργή φώς γεγένησαι, Άγγελος επίγειος, θεοφόρε Πάτερ, επουράνιός τε άνθρωπος.

Θεοτοκίον

Μαρία τό καθαρόν, τής παρθενίας κειμήλιον, καθάρισόν μου τόν νούν, παθών αμαυρώσεως, καί πλήρωσον χάριτος, καί δικαιοσύνης, τήν καρδίαν μου

Πανάμωμε.

Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγέ δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΣΤ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Σισώη τού μεγάλου.

Στίχοι

- Θεού τεθνηκως πυξίω προσεγράφη,
- Θείου Σισώης Πνεύματος τό πυξίον.
- Βή δέ Σισώης γήθεν εις ουρανόν έκτη αμύμων.

Τή αυτή ημέρα, Μνήμη τής Αθλήσεως τής Αγίας Μάρτυρος Λουκίας τής Παρθένου, καί Ρήξου Βικαρίου καί άλλων πλείστων παθόντων εν Καμπανία.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Ιερομάρτυρος Αστίου (ή Αστείου), Επισκόπου Δυρραχίου.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Αποστόλων Αρχίππου, Φιλήμονος καί Ονησίμου, καί τών Αγίων Μαρτύρων Απολλωνίου, Αλεξανδρίωνος καί Επιμάχου.

Οι άγιοι εικοσιτέσσαρες μάρτυρες, οι τή Λουκία καί τώ Ρήξω μαρτυρήσαντες, ξίφει τελειούνται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Παίδες Εβραίων

Όλην τού Πνεύματος τήν αίγλην, αποδέδεξαι νοϊ κεκαθαρμένω, καί φωστήρ τών πιστώς, βοώντων χρηματίζεις, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Θείω πυρί τής εγκρατείας, επυρπόλησας ακάνθας αμαρτίας, καί πρός φώς νοητόν, μετήλθες ανακράζων, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Θεοτοκίον

Σώσόν με Μήτερ τού Σωτήρος, συνεχόμενον βυθώ αμαρτημάτων, καί παντοίας εχθρού, εξάρπασον κακίας, ίνα τήν σήν σωζόμενος, μεγαλύνω προστασίαν.

Ωδή η'

Επταπλασίως κάμινον

Διηνεκέσι χρώμενος, προσευχαίς καί δεήσεσι, λύμην εκ ψυχής, τήν τών

παθών απήλασας, καί τής διανοίας σου, τό οπτικόν εκάθηρας, όθεν προοράν, προφητικώς ηξιώθης, τά μέλλοντα Σισώη, ευσεβώς αναμέλπων, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Αγγελικώς εβίωσας, μετά σώματος Όσιε, καί τάς εναντίας, ετροπώσω φάλαγγας, εντεύθεν εις άϋλον, μετ' ευφροσύνης Πάτερ ζωήν, όπου τών Αγγέλων κατεσκήνωσας τάξεις, μεθ' ών νύν ανάκράζεις, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Υλομανούσαν πάθεσι, τήν ψυχήν μου καθάρισον, σού ταίς πρός τό θείον Ιεραίς εντεύξεσι, καί τής συνεχούσης με, αιχμαλωσίας λύτρωσαι, Πάτερ θεοφόρε, καθαρώς ίνα ψάλλω, Οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Αγιασθείσα Πνευματι, υπεδέξω εν μήτρα σου, τόν Δημιουργόν τής, ανθρωπίνης φύσεως, καί τούτον εκύησας, ανερμηνεύτως Κόρη αγνή, όν ακαταπαύστως, ανυμνούντες βοώμεν, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν, εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι περισωθέντας τούτους ιδών, τώ Δημιουργώ, καί Λυτρωτή ανεβόα, Οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αι ώνας.

## Ωδή θ'

Εφριξε πάσα ακοή

Δέδεικται θαύμα φοβερόν, κατ' αυτόν σου τόν καιρόν τής κοιμήσεως, υπέρ τόν ήλιον, τού σού προσώπου, Πάτερ αστράψαντος, ότε παρέστησαν χοροί, Αγίων τό πνεύμά σου, παραληψόμενοι, καί Θεώ τώ ποιητή προσκομίσοντες.

Ταίς θείαις Μάκαρ καλλοναίς, ενηδόμενος καί θέσει θεούμενος, καί λαμπρυνόμενος, ταίς φανοτάταις εκείθεν λάμψεσι, τήν φωτοφόρον σου πιστώς, μνήμην τούς γεραίροντας, ταίς ικεσίαις σου, αχλυώδους τών παθών λύμης λύτρωσαι.

Δίκαιος, άμεμπτος παντός, απεχόμενος κακού Πάτερ γέγονας, όσιος άκακος, Θεώ λατρεύσας εν οσιότητι, επανεπαύσατο διό, Τριάς τή καρδία σου, ής νύν τρανότερον, απολαύεις τηλαυγώς αξιάγαστε.

Θεοτοκίον

Εξ έργων όλως εν εμοί, σωτηρία ουχ υπάρχει Πανάμωμε, τήν εναντίαν γάρ, οδεύων τρίβον σκότους πεπλήρωμαι, αλλ' η τό φώς τό εκ φωτός, ημίν ανατείλασα, φώτισον σώσόν με, μή παρίδης με δεινώς απολλύμενον.

Ο Ειρμός

«Έφριξε πάσα ακοή, τήν απόρρητον Θεού συγκατάβασιν, όπως ο Ύψιστος, εκών κατήλθε μέχρι καί σώματος, παρθενικής από γαστρός, γενόμενος

άνθρωπος, διό τήν άχραντον, Θεοτόκον οι πιστοί μεγαλύνομεν».

Καί η λοιπή Ακολουθία, τού Όρθρου καί Απόλυσις

---

Αρχή

## ΤΗ ΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Σισώη τού Μεγάλου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'
Έδωκας σημείωσιν

Φαιδρά εξανέτειλε, καθάπερ ήλιος Όσιε, η πανέορτος μνήμη σου, ακτίσιν αστράπτουσα, τών σών εναρέτων, πράξεων παμμάκαρ, καί καταυγάζουσα πιστών, τάς διανοίας φέγγει θαυμάτων σου, Αυτήν ούν εορτάζοντες, περιχαρώς σε γεραίρομεν, καί πιστώς μακαρίζομεν, μοναζόντων τό καύχημα.

Άγγελος επίγειος, οίά περ άλλος εβίωσας, εγκρατεία τό σωμά σου, μαράνας πανόλβιε, καί ταίς αγρυπνίαις, καί μνήμην θανάτου, διηνεκώς εμμελετών, τά θεία Πάτερ επαυξανόμενος, μεγίσταις αναβάσεσι, πρός εφετών τό ακρότατον, όθεν όντως κατήντησας, επ' αυτήν τήν ακρώρειαν.

Θαύμα υπέρ έννοιαν, εν τή κοιμήσει σου γέγονεν, οσιόφρον θεσπέσιε, ηνίκα ο θίασος, τών αγίων Πάτερ, επέστη αθρόον, ώσπερ, γάρ ήλιος σοφέ, τό πρόσωπόν σου εξανατέταλκε, δηλούν τήν αστραπόμορφον, τής σής ψυχής καθαρότητα, καί πιστούμενον άπαντας, οίου τέλους τετύχηκας.

Δόξα... Καί νύν... Θεοτοκίον

Σέ τό καθαρώτατον, τού Βασιλέως παλάτιον, δυσωπώ Πολυϋμνητε, τόν νούν μού καθάρισον, τόν εσπιλωμένον, πάσαις αμαρτίαις, καί καταγώγιον τερπνόν, τής υπερθέου Τριάδος ποίησον, όπως τήν μεσιτείαν σου, καί τό αμέτρητον έλεος, μεγαλύνω σωζόμενος, ο αχρείος ικέτης σου.

Η Σταυροθεοτοκίον

Έφερες Πανάμωμε, εν τή καρδία σου δίστομον, Συμεών σοι ως έφησε, ρομφαίαν καί τέτρωσαι, εν αυτή τά σπλάγχνα, καί τάς διαθέσεις, ως εθεάσω σόν Υιόν, επί τού ξύλου σεμνή κρεμάμενον, διό καί ανεκραύγαζες, Τέκνον εμόν μή παρίδης με, αλλά σπεύσον ανάστηθι, ως προείπας μακρόθυμε.

Απολυτίκιον Ήχος α'

Τής ερήμου πολίτης καί εν σώματι Άγγελος, καί θαυματουργός ανεδείχθης θεοφόρε Πατήρ ημών Σισώη, νηστεία, αγρυπνία, προσευχή, ουράνια χαρίσματα λαβών, θεραπεύεις τούς νοσούντας, καί τάς ψυχάς τών πίστει προστρεχόντων σοι, Δόξα τώ δεδωκότι σοι ισχύν, δόξα τώ σέ στεφανώσαντι, δόξα τώ ενεργούντι διά σού πάσιν ιάματα.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, οι Κανόνες τής Οκτωήχου, καί τού Οσίου ούτος.

Ωδή α' Ήχος πλ. δ'
Άσωμεν τώ Κυρίω

Πάθεσι νεκρωθέντα, ζώωσόν με Πάτερ ταίς πρεσβείαις σου, τή ζωή νύν τών ζώντων παρρησία πολλή παριστάμενος.

Έρωτι Πάτερ θείω, έρωτας σαρκός αποκρουσάμενος, ηκολούθησας πόθω, τώ καλούντι Σισώη μακάριε.

Αίγλην άϋλον Πάτερ, ένδον εν καρδία εισδεξάμενος, εφωτίσθης καί πάσαν, τών παθών τήν αχλύν εξηφάνισας.

Θεοτοκίον

Σώσόν με τόν εν ζάλη, πασών ηδονών κλυδωνιζόμενον, τόν Σωτήρα τεκούσα, τού παντός τήν γαλήνην πανάμωμε.

Ωδή γ'
Σύ εί τό στερέωμα

Σάρκα καθυπέταξας, τώ λογισμώ στερρώς Όσιε, τήν δέ ψυχήν έδειξας δουλεία, τών παθών αταπείνωτον.

Πόνοις σου τήν άρουραν, τήν τής ψυχής σοφώς Όσιε, καλλιεργών, στάχυν απαθείας, καί θαυμάτων εξήνθησας.

Νέκρωσιν ενδέδυσαι, ζωοποιόν Χριστόν ένδοξε, ιχνηλατών, όθεν ανιστάν σοι, καί νεκρούς χάριν δίδωσι.

Θεοτοκίον

Τόπον αγιάσματος, καί νοητήν Αγνή τράπεζαν, άρτον Χριστόν, τήν ζωήν τών όλων, δεξαμένην υμνούμέν σε.

Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Κάθισμα Ήχος α'
Τόν τάφον σου Σωτήρ

Σαρκός τάς ηδονάς, εγκρατείας τώ τόνω, ενέκρωσας σοφέ, αρετών εμμελεία, διό ταίς αναβάσεσιν, αυξανόμενος άριστα, Πάτερ έφθασας, πρός τήν ουράνιον τρίβον, καί παρίστασαι, αεί Χριστώ σύν Αγγέλοις, Σισώη Πατήρ ημών.

Θεοτοκίον

Θεού σε καί τροφόν, καί Μητέρα εκάλει, εκ γλώσσης μητρικής, ο τής χάριτος

κήρυξ, Θεόν τόν εν σπλάγχνοις σου, εγνωκώς διά Πνεύματος, καί αμνόν τεχθείς, αυτόν εδείκνυ δακτύλω, κόσμου αίροντα, τάς αμαρτίας Παρθένε, προσλήψει τού χείρονος.

Η Σταυροθεοτοκίον

Ορώσά σε Χριστέ, η πανάμωμος Μήτηρ, νεκρόν επί Σταυρού, ηπλωμένον εβόα, Υιέ μου συνάναρχε, τώ Πατρί καί τώ Πνεύματι, τίς η άφατος, οικονομία σου αύτη, δι' ής έσωσας, τό τών αχράντων χειρών σου, σοφόν δημιούργημα;

Ωδή δ'

Εισακήκοα Κύριε

Επομβρία τής χάριτος, Πάτερ ποταμπύς θαυμάτων ανέβλυσας, μολυσμών αποκαθαίροντας, τούς εν πίστει μάκαρ σοί προστρέχοντας.

Ολυνύκτοις δεήσεσι, καί ταίς πανημέροις Όσιε στάσεσι, τήν ψυχήν προκαθηράμενος, τής Τριάδος οίκον ταύτην έδειξας.

Εν ερήμοις εμάκρυνας, Πάτερ φυγαδεύων καί προσδεχόμενος, σέ τόν σώζοντα μακάριε, ολιγοψυχίας καί κακώσεως.

Θεοτοκίον

Αλατόμητον όρος σε, πάλαι Αββακούμ προείδε Πανάμωμε, ο Θεός εξ ού επέφανε, καί ημάς φθαρέντας ανεκαίνισεν.

Ωδή ε'

Ορθρίζοντες βοώμέν σοι

Ναός τής τρισηλίου θεότητος, χρηματίσας παθών τά ινδάλματα, τής σής ψυχής εξεμείωσας.

Νεκρώσας τής σαρκός σου τό φρόνημα, θεοφόρε, νεκρούς εξανέστησας, τή συνεργεία τής χάριτος.

Θεοτοκίον

Τόν ήλιον τεκούσα τής χάριτος, Θεοτόκε, Παρθένε τόν άδυτον, εσκοτισμενον με φώτισον.

Ωδή ς'

Ιλάσθητί μοι Σωτήρ

Τού κήτους τού νοητού, πανωλεθρίαν διέφυγες, εγκράτειαν προσευχήν, αγάπην ανόθευτον, κραταιάν ταπείνωσιν, καί στοργήν βεβαίαν, πρός Χριστόν Πάτερ κτησάμενος.

Χριστός σου τά πρός αυτόν, κατεύθυνε διαβήματα, ο δυνατός δυνατόν, σαφώς απειργάσατο, πατούντα επ' όφεων, καί σκορπίων κάρας, θεοφόρε Παμμακάριστε.

Τή νεύσει τή πρός Θεόν, Θεός σαφώς εχρημάτισας, τή πρός τό φώς ολική, στοργή φώς γεγένησαι, Άγγελος επίγειος, θεοφόρε Πάτερ, επουράνιός τε

άνθρωπος.

Θεοτοκίον

Μαρία τό καθαρόν, τής παρθενίας κειμήλιον, καθάρισόν μου τόν νούν, παθών αμαυρώσεως, καί πλήρωσον χάριτος, καί δικαιοσύνης, τήν καρδίαν μου Πανάμωμε.

Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγέ δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΣΤ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών Σισώη τού μεγάλου.

Στίχοι

- Θεού τεθνηκως πυξίω προσεγράφη,
- Θείου Σισώης Πνεύματος τό πυξίον.
- Βή δέ Σισώης γήθεν εις ουρανόν έκτη αμύμων.

Τή αυτή ημέρα, Μνήμη τής Αθλήσεως τής Αγίας Μάρτυρος Λουκίας τής Παρθένου, καί Ρήξου Βικαρίου καί άλλων πλείστων παθόντων εν Καμπανία.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Ιερομάρτυρος Αστίου (ή Αστείου), Επισκόπου Δυρραχίου.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Αποστόλων Αρχίππου, Φιλήμονος καί Ονησίμου, καί τών Αγίων Μαρτύρων Απολλωνίου, Αλεξανδρίωνος καί Επιμάχου.

Οι άγιοι εικοσιτέσσαρες μάρτυρες, οι τή Λουκία καί τώ Ρήξω μαρτυρήσαντες, ξίφει τελειούνται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Παίδες Εβραίων

Όλην τού Πνεύματος τήν αίγλην, αποδέδεξαι νοϊ κεκαθαρμένω, καί φωστήρ τών πιστώς, βοώντων χρηματίζεις, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Θείω πυρί τής εγκρατείας, επυρπόλησας ακάνθας αμαρτίας, καί πρός φώς νοητόν, μετήλθες ανακράζων, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Θεοτοκίον

Σώσόν με Μήτερ τού Σωτήρος, συνεχόμενον βυθώ αμαρτημάτων, καί παντοίας εχθρού, εξάρπασον κακίας, ίνα τήν σήν σωζόμενος, μεγαλύνω προστασίαν.

## Ωδή η'

### Επταπλασίως κάμινον

Διηνεκέσι χρώμενος, προσευχαίς καί δεήσεσι, λύμην εκ ψυχής, τήν τών παθών απήλασας, καί τής διανοίας σου, τό οπτικόν εκάθηρας, όθεν προοράν, προφητικώς ηξιώθης, τά μέλλοντα Σισώη, ευσεβώς αναμέλπων, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Αγγελικώς εβίωσας, μετά σώματος Όσιε, καί τάς εναντίας, ετροπώσω φάλαγγας, εντεύθεν εις άϋλον, μετ' ευφροσύνης Πάτερ ζωήν, όπου τών Αγγέλων κατεσκήνωσας τάξεις, μεθ' ών νύν ανάκράζεις, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Υλομανούσαν πάθεσι, τήν ψυχήν μου καθάρισον, σού ταίς πρός τό θείον Ιεραίς εντεύξεσι, καί τής συνεχούσης με, αιχμαλωσίας λύτρωσαι, Πάτερ θεοφόρε, καθαρώς ίνα ψάλλω, Οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

### Θεοτοκίον

Αγιασθείσα Πνευματι, υπεδέξω εν μήτρα σου, τόν Δημιουργόν τής, ανθρωπίνης φύσεως, καί τούτον εκύησας, ανερμηνεύτως Κόρη αγνή, όν ακαταπαύστως, ανυμνούντες βοώμεν, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

### Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν, εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι περισωθέντας τούτους ιδών, τώ Δημιουργώ, καί Λυτρωτή ανεβόα, Οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αι ώνας.

## Ωδή θ'

### Εφριξε πάσα ακοή

Δέδεικται θαύμα φοβερόν, κατ' αυτόν σου τόν καιρόν τής κοιμήσεως, υπέρ τόν ήλιον, τού σού προσώπου, Πάτερ αστράψαντος, ότε παρέστησαν χοροί, Αγίων τό πνεύμά σου, παραληψόμενοι, καί Θεώ τώ ποιητή προσκομίσοντες.

Ταίς θείαις Μάκαρ καλλοναίς, ενηδόμενος καί θέσει θεούμενος, καί λαμπρυνόμενος, ταίς φανοτάταις εκείθεν λάμψεσι, τήν φωτοφόρον σου πιστώς, μνήμην τούς γεραίροντας, ταίς ικεσίαις σου, αχλυώδους τών παθών λύμης λύτρωσαι.

Δίκαιος, άμεμπτος παντός, απεχόμενος κακού Πάτερ γέγονας, όσιος άκακος, Θεώ λατρεύσας εν οσιότητι, επανεπαύσατο διό, Τριάς τή καρδία σου, ής νύν τρανότερον, απολαύεις τηλαυγώς αξιάγαστε.

### Θεοτοκίον

Εξ έργων όλως εν εμοί, σωτηρία ουχ υπάρχει Πανάμωμε, τήν εναντίαν γάρ, οδεύων τρίβον σκότους πεπλήρωμαι, αλλ' η τό φώς τό εκ φωτός, ημίν

ανατείλασα, φώτισον σώσόν με, μή παρίδης με δεινώς απολλύμενον.

Ο Ειρμός

«Έφριξε πάσα ακοή, τήν απόρρητον Θεού συγκατάβασιν, όπως ο Ύψιστος, εκών κατήλθε μέχρι καί σώματος, παρθενικής από γαστρός, γενόμενος άνθρωπος, διό τήν άχραντον, Θεοτόκον οι πιστοί μεγαλύνομεν».

Καί η λοιπή Ακολουθία, τού Όρθρου καί Απόλυσις

---

Αρχή

## ΤΗ Ζ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου θωμά τού εν Μαλεώ, καί τής Αγίας Μάρτυρος Κυριακής.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια αμφοτέρων.

Στιχηρά τού Αγίου

Ήχος α'
Τών ουρανίων ταγμάτων

Θεοφεγγή σε φωστήρα, Πάτερ επέγνωμεν, ταίς νοηταίς ακτίσι, καταυγάζοντα κόσμον, καί σκότος εκμειούντα τής πονηράς, τών δαιμόνων συγχυσεως, τήν φωτοφόρον σου μνήμην, όθεν πιστώς, εορτάζομεν μακάριε.

Περιφανής εν τώ βίω, πάλαι γενόμενος, πλούτω καί δυναστεία, μοναζόντων τό σχήμα, οσίως ημφιάσω, Πάτερ θωμά, τήν πτωχείαν μιμούμενος, τού δι' ημάς σαρκωθέντος, όθεν πολλοίς, σέ χαρίσμασιν επλούτισε.

Στύλω πυρός ορατώς σε, Θεός ωδήγησε, πρός σωτηρίαν Πάτερ, πρός γαλήνης λιμένα, πρός όρμον απαθείας, ύδωρ τή σή, προσευχή δέ ανέιβλυσε, καί αβλεπτούσι τό βλέπειν, καί τοίς χωλοίς, ευδρομίαν εδωρήσατο.

Στιχηρά τής Αγίας

Ήχος β'
Ότε, εκ ξύλου σε

Μάρτυς, αθληφόρε τού Χριστού, έστης πρό βημάτων ανδρείως, Χριστόν κηρύττουσα, σταύρωσιν εκούσιον καταδεξάμενον, καί δεσμοίς ομιλήσασα, καί πάσαις αικίαις, χαίρουσα ανέδραμες πρός τά ουράνια, δήμοις απ' αιώνος Μαρτύρων, συναριθμηθείσα καί δόξης, διαιωνιζούσης απολαύουσα.

Λόγου, τού φανέντος επί γής, νύμφη εκλεκτή ανεδείχθης, Κυριακή αληθώς, κάλλει διαλάμπουσα, ενθέων πράξεων, καί τής θείας αθλήσεως, φαιδραίς

αγλαΐαις, όθεν τόν ουράνιον θάλαμον ώκησας, ένθα, ως Παρθένος καί Μάρτυς, πάντοτε χορεύουσα πάντων, τών μνημονευόντων σου μνημόνευε.

Ρίζης, ευκλεούς Κυριακή, κλάδος ωραιότατος ώφθης, καρπόν σωτήριον, φέρων τής αθλήσεως, τά κατορθώματα, καί μαραίνων εν χάριτι, φυτά ασεβείας, όθεν τήν πανίερον, μνήμην σου σέβομεν, πόθω καί λειψάνων τήν θήκην, νύν περιπτυσσόμεθα χάριν, εξ αυτής ιάσεων λαμβάνοντες.

Δόξα... Ήχος πλ. β'

Εκ δεξιών τού Σωτήρος, παρέστη η παρθένος, καί αθληφόρος καί Μάρτυς, περιβεβλημένη ταίς αρεταίς τό αήττητον, καί πεποικιλμένη ελαίω τής αγνείας, καί τώ αίματι τής αθλήσεως, καί βοώσα πρός αυτόν, εν αγαλλιάσει τήν λαμπάδα κατέχουσα, Εις οσμήν μύρου σου έδραμον, Χριστέ ο Θεός, ότι τέτρωμαι τής σής αγάπης εγώ, μή χωρίσης με νυμφίε επουράνιε, Αυτής ταίς ικεσίαις κατάπεμψον ημίν, παντοδύναμε Σωτήρ τά ελέη σου.

Καί νύν... Θεοτοκίον

Τριήμερος ανέστης Χριστέ

Πανύμνητε κατάβαλε, εχθρών μιαιφονούντων ισχύν, καί τήν λύπην, τού λαού σου εις χαράν, μετάβαλε Παρθένε, καί έλεος παράσχου, όπως σωθέντες ανυμνώμέν σε.

Η Σταυροθεοτοκίον

Εν ξύλω τήν ζωήν ημών, ορώσα η πανάμωμος, Θεοτόκος, Κρεμαμένην μητρικώς, ωδύρετο βοώσα, Υιέ μου καί Θεέ μου, σώσον τούς πόθω ανυμνούντάς σε.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος β'

Εν πόλει τού Θεού ημών, εν όρει αγίω αυτού, εκεί κατεσκήνωσεν η Αγία, τήν λαμπάδα άσβεστον τηρήσασα, Ακούσωμεν τής Παρθένου εγκώμιον, Ώ Παρθενία, ναός Θεού! ώ Παρθενία, Μαρτύρων Δόξα! ώ Παρθενία, Αγγέλων συνόμιλε.

Καί νύν... Θεοτοκίον

Τήν πάσαν ελπίδα μου, εις σέ ανατίθημι, Μήτερ τού Θεού, φύλαξόν με υπό τήν σκέπην σου.

Η Σταυροθεοτοκίον

Ότε, εκ ξύλου σε

Πόνους, υπομείνασα πολλούς, εν τή τού Υιού καί Θεού σου σταυρώσει Άχραντε, έστενες δακρύουσα, καί ολολύζουσα, Οίμοι! τέκνον γλυκύτατον, αδίκως πώς πάσχεις, πάντας θέλων ρύσασθαι τούς εξ Αδάμ γηγενείς; Όθεν Παναγία Παρθένε, σέ παρακαλούμεν εν πίστει, ίλεων ημίν τούτον απέργασαι.

Απολυτίκιον Ήχος πλ. α'

Τόν συνάναρχον Λόγον

Καλλιέρημα ώφθης καί θύμα άγιον, προσενεγκούσα τώ Πλάστη τήν καθαράν σου ψυχήν, εν εδόξασε Χριστός, ώ καρτερόψυχε, Όθεν καί βρύει διά σού, τοίς

τιμώσί σε πιστοίς, τάς χάριτας υπέρ ψάμμον, Κυριακή αθλοφόρε, ως ελεήμων καί φιλάνθρωπος.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν οι Κανόνες τής Οκτωήχου, καί τών Αγίων οι παρόντες δύο.

### Ο Κανών τού Αγίου

Ωδή α' Ήχος β'
Δεύτε λαοί

Τόν φωτισμόν, τής θείας χάριτος Ένδοξε, εν τή ψυχή δεξάμενος, ως άλλην Αίγυπτον, τών παθών τήν ομίχλην, κατέλιπες καί βίον, έσχες ουράνιον.

Περιφανής, Πάτερ εν βίω γενόμενος, κατά βαρβάρων έστησας, άπειρα τρόπαια, καί μονάσας οσίως τό στίφος τών δαιμόνων, κατετραυμάτισας.

Ασκητικώς, τώ δυσμενεί συμπλεκόμενος, συμμαχία Όσιε, τού θείου Πνεύματος, εταπείνωσας τούτον, καί νίκης ουρανόθεν, στέφανον είληφας.

Θεοτοκίον

Μόνη Θεόν, πάσι τόν όντα αχώρητον, σοί χωρητόν γενόμενον, δι' αγαθότητα, απεκύησας Κόρη, όν αΐτησαι σωθήναι, τούς ανυμνούντάς σε.

### Ο Κανών τής Αγίας, ού η Ακροστιχίς,

Χαίρων κροτώ σε, Μάρτυς, ευσεβοφρόνως. Ιωσήφ.

Ήχος β' καί Ειρμός ο αυτός

Χαρμονικώς, επί τή μνήμη χορεύσωμεν, τής αθληφόρου Μάρτυρος, καί εκβοήσωμεν, Ταίς αυτής ικεσίαις, Χριστέ Σωτήρ οικτίρμον, σώζε τόν κόσμον σου.

Αίγλη τή σή, φωτιζομένη η ένδοξος, Κυριακή φιλάνθρωπε, σκότος διέφυγε, πολυθέου απάτης, καί πάσιν ιαμάτων, φέγγος απήστραψεν.

Ίνα Χριστώ, τώ αθανάτω νυμφίω σου, ευαρεστήσης θάνατον, καί πύρ καί βάσανα, εις ουδέν ελογίσω, διό τής αθανάτου, δόξης ηξίωσαι.

Θεοτοκίον

Ρύμην Αγνή, τήν τού θανάτου ανέστειλας, αθανασίας πρόξενον, Χριστόν κυήσασα, όν ο Άδης θανέντα, βουλήσει εκουσία, ιδών ετρόμαξεν.

### Τού Αγίου

Ωδή γ'

Στερέωσον ημάς

Ταίς σαίς επικαμφείς Θεός δεήσεσι, χειρί σε Προφήτου δεσμών αφήκε, καί πορεύεσθαι ευώδωσε, πρός επίπονον σκάμμα τής ασκήσεως.

Οστύλω Ισραήλ ποτέ τήν έρημον, Παμμάκαρ διέρχεσθαι ευδοκήσας, διά στύλου σε πυρός ωδήγει, προειδως τής ψυχής σου τήν ευγένειαν.

Θεοτοκίον

Χρυσούν ως αληθώς θυμιατήριον, καί στάμνον τού μάννα καί θείον όρος, καί παλάτιον τερπνότατον τού Θεού σε Παρθένε ονομάζομεν.

Τής Αγίας

Ο αυτός

Ο λόγος τού Θεού αγνήν σε άφθορον, ωραίαν τώ κάλλει Μάρτυς δειχθείσαν, εαυτώ νύμφην προσήκατο, ερασθείς σου δι' άκραν αγαθότητα.

Τά κάλλη τά εκτός καταμαράνασα, τήν ένδον υπέδειξας ευμορφίαν, τώ γινώσκοντι τά κρύφια, διά τούτό σε Μάρτυς εμνηστεύσατο.

Ως κλάδος ιερός ωραία τεθηλας, εκ ρίζης αγίας Παρθενομάρτυς, καί καρπούς ωραίους ήνεγκας, τήν τρυφήν τήν αγήρω προξενούντάς σοι.

Θεοτοκίον

Σοφίαν τού Θεού τήν ενυπόστατον, τεκούσα Παρθένε, τού σοφιστού με, τής κακίας ελευθέρωσον, μεσιτεία σου μόνη παναμώμητε.

Ο Ειρμός

«Στερέωσον ημάς εν σοί Κύριε, ο ξύλω νεκρώσας τήν αμαρτίαν, καί τόν φόβον σου εμφύτευσον, εις τάς καρδίας ημών τών υμνούντων σε».

Κάθισμα  Ήχος δ'

Επεφάνης σήμερον

Τώ Κυρίω Όσιε, ευαρεστήσας, διά θείων πράξεων, καί πολιτείας καθαράς, τής κληρουχίας ηξίωσαι, τών Ασωμάτων, θωμά παμμακάριστε.

Δόξα... Τής Αγίας ο αυτός

Ταχύ προκατάλαβε

Αγνείας στιλπνότητι, κρίνον ως εύοσμον, κοιλάσιν εξήνθησας, Κυριακή τώ Χριστώ, μαρτύρων πανεύφημε, Λάμψεσιν εφωτίσθης, επιγνώσεως θείας, πλάνης δυσωδεστάτης, απελαύνουσα βλάβην, διό καί εορτάζομεν, Μάρτυς τήν μνήμην σου.

Καί νύν... Θεοτοκίον

Ηστείρα τήν έλευσιν, προκατιδούσα τήν σήν, καί τών ασπασμών φωνήν, ενηχηθείσα ωσίν, ηπόρει τώ πράγματι, ένδοθεν εγνωκυία, ασπασμοίς σοίς Παρθένε, εσκίρτα γάρ τό βρέφος, εν αυτής τή νηδύϊ, διό τού εν γαστρί σου Θεού έγνω τήν σάρκωσιν.

Η Σταυροθεοτοκίον

Σταυρώ σε υψούμενον, ως εθεάσατο, η άχραντος Μήτηρ σου, Λόγε Θεού

μητρικώς, θρηνούσα εφθέγγετο, Τί τό καινόν καί ξένον, τούτο θαύμα Υιέ μου; πώς η ζωή τών όλων, ομιλείς τώ θανάτω; ζωώσαι τούς τεθνεώτας θέλων, ως εύσπλαγχνος.

Τού Αγίου

Ωδή δ'
Εισακήκοα Κύριε
Εγκρατείας ενέπρησας, θείω πυρί, ακάνθας αμαρτίας, καί θαυμάτων φέγγος, Πάτερ απήστραψας.

Τής ψυχής σου τά όμματα, τής τών παθών, ιλύος εκκαθάρας, αβλεπτούσας κόρας, Μάκαρ διήνοιξας.

Σεαυτόν ηλλοτρίωσας, τών κοσμικών, θορύβων θεοφόρε, καί υπερκοσμίου γαλήνης έτυχες.
Θεοτοκίον
Απειρόγαμε Δέσποινα, η τόν Θεόν, αφράστως συλλαβούσα, πειρασμών καί θλίψεων πάντας λύτρωσαι.

Τής Αγίας

Ο αυτός
Επί βήματος ίστασο, Κυριακή, αδίκως κρινομένη, καί κριτή δικαίω ενατενίζουσα.

Μέλη σώματος έδωκας, εις αικισμούς, καί αίματος Παρθένε, ταίς οαίς ασάρκους εχθρούς εβύθισας.

Αταπείνωτος έμεινας, Κυριακή, βασάνοις ομιλούσα, καί τήν επηρμένην οφρύν κατέβαλες.
Θεοτοκίον
Ρύσαι πάσης κακώσεως, τού δυσμενούς, Παρθένε τούς ειδότας, αληθώς Θεού σε Μητέρα πάναγνε.

Τού Αγίου

Ωδή ε'
Ο τού φωτός χορηγός
Χειραγωγούντά σε, πρός τάς ερήμους ευσεβώς έσχηκας, τόν Ηλιού Πάτερ τόν θεσβίτην, φαινόμενον νυκτός, καί μυσταγωγούντα τά θειά τε Όσιε.

Ως άλλον Κάρμηλον, τό Μαλεού Όρος σοφέ ώκησας, Οπτασιών, θείων απολαύων, καί θαυματουργιών, χάριν παραδόξως, θωμά κομιζόμενος.
Θεοτοκίον

Τήν πληγωθείσάν μου, ταίς προσβολαίς τού δυσμενούς Άχραντε, ως συμπαθής, ίασαι καρδίαν, η τόν επί Σταυρού, σαρκί προσηλωθέντα αρρήτως κυήσασα.

Τής Αγίας

Ο αυτός

Τήν καθαράν σου ψυχήν, ναόν Θεού παναληθή δείξασα, Κυριακή, ναούς τών ειδώλων ηδάφισας, Χριστόν, επικαλουμένη, τόν σέ δυναμώσαντα.

Ύψωσας χείρας καί νούν, πρός τόν Χριστόν Κυριακή ένδοξε, καί φοβερώ, σεισμώ τούς αθέους κατέπληξας εις γήν, κατανενευκότας, καί βλέπειν μή σθένοντας.

Σέ ο τών όλων Θεός, θαρσοποιεί ζώση φωνή άνωθεν, τούς αικισμούς, φέρειν τών ανόμων, γενναίω λογισμώ, όπως αναδήση, τής νίκης τόν στέφανον.

Θεοτοκίον

Έλυσας Άχραντε, τών προπατόρων τήν αράν τέξασα, άνευ σαρκός, σεμνή θελημάτων, τόν πάντα τώ αυτού, θελήματι θείω, σαφώς ουσιώσαντα.

Τού Αγίου

Ωδή ς'

Εν αβύσσω πταισμάτων

Εν ερήμω ανύδρω κατώκησας, καί τών προσευχών επομβρία σου Όσιε, ύδωρ εν ταύτη πλούσιον, τόν Δεσπότην πηγάσαι ηξίωσας.

Αβραάμ ώσπερ πάλαι ο δίκαιος, τής ενεγκαμένης σαυτόν απεμάκρυνας, καί τώ Θεώ προσήγγισας, καί εις γήν τών πραέων εσκήνωσας.

Μοναστής αληθής εχρημάτισας, καί μετά ταφήν ιαμάτων χαρίσματα, Πάτερ θωμά τοίς χρήζουσιν, αναβλύζεις δυνάμει τού Πνεύματος.

Θεοτοκίον

Ο βουλήσει τό πάν εργαζόμενος, μήτραν βουληθείς απειρόγαμον ώκησε, τούς τή φθορά νοσήσαντας, αξιών αφθαρσίας ως εύσπλαγχνος.

Τής Αγίας

Ο αυτός

Υπερέβης τούς όρους τής φύσεως, εν τή υπέρ φύσιν αθλήσει, Πανεύφημε, καί τόν τήν Εύαν τρώσαντα, τοίς μεγίστοις σου πόνοις κατέτρωσας.

Σταλαγμοίς τών αιμάτων σου Πάνσεμνε, τής πολυθεϊας βυθόν απεξήρανας, καί ιαμάτων πέλαγος, τοίς πιστώς προσιούσιν ανέβλυσας.

Επί βήματος θήρες ηδέσθησαν, σέ τήν αδιάφθορον αμνάδα ένδοξε, Κυριακή καί σέβας σοι, ως Χριστόν σεβομένη απένειμαν.

Θεοτοκίον

Βασιλέα κυήσασα Κύριον, οία περ Βασίλισσα θεοχαρίτωτε, τούς επί σοί προστρέχοντας, ουρανών βασιλείας αξίωσον.

Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, Εκ φθοράς ο Θεός με ανάγαγε».

Κοντάκιον Ήχος β'

Τά άνω ζητών

Η Μάρτυς Χριστού, ημάς συνεκαλέσατο, τούς άθλους αυτής, τούς θείους καί παλαίσματα, εγκωμίοις άσαι νύν, φερωνύμως αύτη γάρ πέφηνεν, ως ανδρεία τώ φρονήματι, κυρία νοός τε, καί παθών απρεπών.

Ο Οίκος

Τής τών ειδώλων πλάνης κρατούσης ανά πάσαν τήν γήν, καί περιπολούσης, φιλόχριστοι, Μέδοντός τε δυσσεβούς καί απανθρώπου όντος παρά πάντας ανθρώπους, προσεκυνείτο η τών αθέων μιαρά καί δυσώνυμος αίρεσις, τή τούτου γάρ αθεωτάτη φωνή τά πλήθη υπήκουεν, ως τοίς μή είκουσι τή αυτού ασεβεία θάνατον απειλούση σφοδρόν τε καί δύσμορον, Αλλ' η Μάρτυς Χριστού, τάς τών τυράννων αθέους προσταγάς τε καί απειλάς καταπτύσασα, καί Χριστόν τόν Θεόν εν μέσω τού σταδίου κηρυξασα, τόν εχθρόν κατεπάτησεν, όθεν ώφθη αληθώς κυρία νοός τε, καί παθών απρεπών.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Ζ' τού αυτού μηνός, Μνήμη τού Οσίου Πατρός ημών θωμά τού εν τώ Μαλεώ.

Στίχοι

- Διείς πτέρυγας, είπεν άν Μωσής, Πάτερ,
- Ως αετός τις εξανέπτης πρός πόλον.
- Εβδομάτη θωμάν θάνατος μέλας έμφρονα είλεν.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος Κυριακής.

Στίχοι

- Κυριακή θανούσα τήν τομήν φθάνει
- Προαιρέσει, πλήν καί τελειούται ξίφει.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Περεγρίνου, καί τών συν αυτώ, Λουκιανού, Πομπηϊου, Ησυχίου, Παππίου, Σατορνίνου καί Γερμανού.

Οι άγιοι νεομάρτυρες Πολύκαρπος καί Ευάγγελος ξίφει τελειούνται.

Ο άγιος Ιερομάρτυς Ευστάθιος πυρί τελειούται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τού Αγίου

Ωδή ζ'
Εικόνος χρυσής

Τυφλοίς τό οράν, καί χωλοίς Πάτερ θωμά τήν ευδρομίαν, ενοχλουμένοις απολύτρωσιν, καί ασθενούσι τήν ίασιν, επιχορηγών τή δυνάμει τού Χριστού ανεκραύγαζες, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Η σύχως τήν σήν, διετέλεσας ζωήν Πάτερ παμμάκαρ, ακτημοσύνη λαμπρυνόμενος, καί εγκρατεία κοσμούμενος, μέλπων κατανύξει καρδίας, τώ Δεσπότη πανόλβιε, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Παρθένε σεμνή, απειρόγαμε αγνή ευλογημένη, Καταπιπτόντων επανόρθωσις, αμαρτανόντων η λύτρωσις, σώσόν με τόν άσωτον, σώσον, τώ Υιώ σου κραυγάζοντα, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Τής Αγίας

Ο αυτός

Ο νούς σου φωτί, αγαπήσεως Θεού λελαμπρυσμένος, μέσον καμίνου ισταμένης σου, φλογιζομένης ουδόλως δέ, άτρεπτος παρθένε εδείχθη, μελωδούσης τώ Κτίστη σου, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Φλογίζει τούς τρείς, νεανίας ουδαμώς τό πρίν η κάμινος, ουδέ τήν Μάρτυρα, ευχομένη γάρ, μέσον ακλόνητος ίστασο, δρόσον θεϊκήν δεχομένη, καί εν αινέσει κραυγάζουσα, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Ρομφαία τής σής, παρρησίας τόν εχθρόν της αληθείας, Παρθενομάρτυς εθανάτωσας, κληρονομήσαι ποθήσασα, τήν διαιωνίζουσαν δόξαν, Κυριακή καί κραυγάζουσα, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Ο μόνος Θεός, μόνην εύρε καθαράν τήν σήν γαστέρα, καί σωματούται καί γνωρίζεται, άνθρωπος σώζων τόν άνθρωπον, όθεν τών καλών ως αιτίαν, σέ επιστάμενοι ψάλλομεν, Ευλογημένη η Θεόν σαρκί κυήσασα.

Τού Αγίου

Ωδή η'
Τόν εν καμίνω τού πυρός

Πάθη δυσκάθεκτα ψυχής, εγκρατείας χαλινώ καθυποτάξας, τοίς αϋλοις, Αγγέλοις, εξωμοιώθης βοών, Υμνείτε τά έργα τόν Κύριον, καί υπερυψούτε, αυτόν εις τούς αιώνας.

Τόν τού θεσβίτου Ηλιού, ανιχνεύων Ιερόν παμμάκαρ βίον, πρός τό όρος ανήλθες, προσομιλείν τώ Θεώ, νηστεία τόν νούν καθαιρόμενος, μέλπων, Ευλογείτε, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Ζώσα υπάρχουσα πηγή, ως τό ύδωρ τής ζωής αποτεκούσα, τήν ψυχήν μου τακείσαν, τής αμαρτίας φλογμώ, Παρθένε Θεοτόκε πότισον, ίνα σε δοξάζω, εις πάντας τούς αιώνας.

Τής Αγίας

Ο αυτός

Νύμφη Χριστού παρθενικαίς, καλλοναίς Κυριακή πεποικιλμένη, εγνωρίσθης, διό σε, επουρανίων αυτός, θαλάμων αξίως ηξίωσεν, ανυμνολογούσαν, αυτόν εις τούς αιώνας.

Ως Δανιήλ μέσον θηρών, ενεβλήθης τόν Χριστόν δοξολογούσα, καί τήν τούτων Παρθένε, θηριωδίαν σαφώς, τώ θείω μετέβαλες Πνεύματι, όθεν σε τιμώμεν, εις πάντας τούς αιώνας.

Σέ ως αμνάδα πρός σφαγήν, διά πόθον τού αμνού Θεού καί Λόγου, αγομένην οικτίρας, ως συμπαθής φωτεινούς, εκπέμπει Αγγέλους τού σώματος, λύοντάς σε Μάρτυς, πρό τής τομής τού ξίφους.

Θεοτοκίον

Ο υπερούσιος Θεός, ουσιώθη καθ' ημάς εκ σού Παρθένε, καί ωράθη ως βρέφος, ο πρό αιώνων Πατρί, καί θείω συνυπάρχων Πνεύματι, όθεν ως αυτού σε, δοξάζομεν Μητέρα.

Ο Ειρμός

«Τόν εν καμίνω τού πυρός, τών Εβραίων τοίς παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον, μεταβαλόντα Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Τού Αγίου

Ωδή θ'

Τόν εκ Θεού Θεόν λόγον

Πνεύματι Πάτερ πτωχεύσας, ουρανών βασιλείαν, απείληφας σύν πάσιν εκλεκτοίς, δόξης αρρήτου πληρούμενος, καί τών πόνων αξίως, δεχόμενος θωμά τάς αμοιβάς, διά τούτό σε πίστει, καί πόθω μακαρίζομεν.

Η τών λειψάνων σου θήκη, τοίς πιστώς προσιούσι, πηγάζει ιαμάτων ποταμούς, πάθη ψυχών κατακλύζοντας, καί σωμάτων οδύνας, εξαίροντας μακάριε θωμά, πρεσβευτά τών εν πίστει, αεί μακαριζόντων σε.

Συναγελάζων Οσίων, φανοτάταις αγέλαις, καί φέγγει ανεσπέρω νοητώς, Πάτερ θωμά αυγαζόμενος, τούς τήν θείαν σου μνήμην, τελούντας

φωταγώγησον πιστώς, καί τυχείν σωτηρίας, πρεσβείαις σου αξίωσον.

Θεοτοκίον

Υπεραστράπτουσα πάσι, τών θαυμάτ, ων τή αίγλη, τών σών θεοχαρίτωτε Αγνή, τήν τών παθών καί τών θλίψεων, απελαύνεις ομίχλην, καί φώς τής ευφροσύνης νοητώς, εφαπλοίς τοίς Μητέρα, Θεού σε μεγαλύνουσιν.

Τής Αγίας

Ο αυτός

Ισχυροτάτη Παρθένε, πρός Θεόν πεποιθήσει, θηρίων τάς ορμάς καί τού πυρός, καί τών βασάνων τού σώματος, τό επίπονον Μάρτυς, εξέκλινας γενναίω λογισμώ, διά τούτό σε πίστει, καί πόθω μακαρίζομεν.

Ωραιοτάτω νυμφίω, ωραιότατον κάλλος, της σής διευτρεπίζουσα ψυχής, τήν παρθενίαν ακήρατον, διετήρησας Μάρτυς, καί τούτω τών μελών τούς αικισμούς, ώσπερ προίκα προσήξας, Κυριακή πανεύφημε.

Σού τό πολύαθλον σώμα, επί γής τεθαμμένον, ιάσεων πηγάζει ποταμούς, τοίς ευσεβώς προσπελάζουσι, καί παθών απελαύνει, τόν ρύπον καί βυθίζει πονηράς, τών δαιμόνων εφόδους, Κυριακή Θεόνυμφε.

Η παναγία σου μνήμη, ώσπερ ήλιος Μάρτυς, ανέτειλεν ημίν Κυριακή, νέφη παθών απελαύνουσα, καί φωτίζουσα πάντας, τούς πίστει αληθεί περιχαρώς, σέ τιμώντας Παρθένε, καί πόθω μακαρίζοντας.

Θεοτοκίον

Φαεινοτάταις λαμπάσι, τού εκ σού σαρκωθέντος, Παρθένε Παναγία υπέρ νούν, οι Θεοτόκον ειδότες σε, φωτιζόμεθα πίστει, καί σκότους εκλυτρούμεθα παθών, καί παντοίων κινδύνων, καί πάσης περιστάσεως.

Ο Ειρμός

«Τόν εκ Θεού Θεόν Λόγον, τόν αρρήτω σοφία ήκοντα καινουργήσαι τόν Αδάμ, βρώσει φθορά πεπτωκότα δεινώς, εξ Αγίας Παρθένου, αφράστως σαρκωθέντα δι' ημάς, οι πιστοί ομοφρόνως, εν ύμνοις μεγαλύνωμεν».

Καί η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Η' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου καί ενδόξου Μεγαλομάρτυρος Προκοπίου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν τά εφεξής Στιχηρά Προσόμοια.

Ήχος α'

Τών ουρανίων ταγμάτων

Αφωρισμένος υπάρχων, από κοιλίας μητρός, υπό Θεού πανσόφως, ουρανόθεν τήν κλήσιν, έσχες κατά Παύλον, όθεν μαθών, τά εκούσια πάθη Χριστού, κήρυξ αυτού ανεδείχθης καί ζηλωτής, αληθώς Μάρτυς Προκόπιε.

Τή μυστική παντευχία, καθωπλισμένος σοφέ, νικοποιώ τροπαίω, τού Χριστού τώ σημείω, Προκόπιε θεόφρον, θράση εχθρών, δυσμενών εξηφάνισας, καί τών ειδώλων τά ξόανα καθελών, μέχρις αίματος ενήθλησας.

Ως τό στρατόπεδον πάλαι, σύν ταίς πισταίς γυναιξί, τώ ουρανίω Μάρτυς, Βασιλεί καί Δεσπότη, προσήγαγες Κυρίω, ούτω καί νύν, τούς τελούντας τήν μνήμην σου, ταίς σαίς πρεσβείαις προσάγαγε τώ Χριστώ, ώ Μαρτυρων εγκαλλώπισμα.

Έτερα Στιχηρά Προσόμοια

Ήχος δ'

Έδωκας σημείωσιν

Άστρον, ανατέταλκας, εκ τής Εώας πολύφωτον, καταυγάζων Προκόπιε, τού κόσμου τά πέρατα, ταίς θεοσημίαις, καί τή Καρτερία, τών αλγεινών ως αληθώς, καί ταίς τών άθλων μεγίσταις λάμψεσι, διό σου τήν πανέορτον, καί φωτοφόρον πανήγυριν, εορτάζομεν σήμερον, αθλοφόρε Προκόπιε.

Σωμά σου Προκόπιε, καταξεόμενον ένδοξε, καί πυρί δαπανώμενον, ειρκταίς συγκλειόμενον, ομιλούν παντοίαις, ιδέαις βασάνων, ξίφει τεμνόμενον σοφέ, τήν βασιλείαν σοι προεξένησε, παμμάκαρ τήν ου ράνιον, εν ή χορεύεις γηθόμενος, αθλοφόρε πολύαθλε, τών Αγγέλων συμμέτοχε.

Δήμον προσενήνοχας τώ Ποιητή διά πίστεως, Ιερώς εναθλήσαντα, θεόφρον Προκόπιε, μεθ' ών τών Μαρτύρων, χοροίς ηριθμήθης, καταβαλών τόν δυσμενή, ανδρειοφρόνως αξιοθαύμαστε, διό σε μακαρίζομεν, ως στρατιώτην αήττητον, ως γενναίον αδάμαντα, ως τής πίστεως πρόμαχον.

Δόξα... Ήχος πλ. β'

Εξέλαμψε σήμερον, η ένδοξος μνήμη σου, Προκόπιε πολύαθλε, συγκαλούσα ημάς τους φιλεόρτους, πρός ευφημίαν καί δόξαν Χριστού τού Θεού ημών, Όθεν καί προστρέχοντες, εν τή σορώ τών λειψάνων σου, ιαμάτων χαρίσματα λαμβάνομεν, καί τόν σέ στεφανώσαντα Σωτήρα Χριστόν, ανυμνούμεν εις αιώνας, ακαταπαύστως δοξάζοντες.

Καί νύν... Θεοτοκίον

Τριήμερος ανέστης Χριστέ

Τό όμμα τής καρδίας μου, εκτείνω πρός σέ Δέσποινα, Μή παρίδης, τόν πικρόν μου στεναγμόν, εν ώρα, όταν κρίνη, ο σός Υιός τόν κόσμον, γενού μοι σκέπη καί βοήθεια.

Η Σταυροθεοτοκίον

Εν ξύλω τήν ζωήν ημών, ορώσα η πανάμωμος, Θεοτόκος, κρεμαμένην

μητρικώς, ωδύρετο βοώσα, Υιέ μου καί Θεέ μου, σώσον τούς πόθω ανυμνούντάς σε.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσι

Ουρανόθεν η κλήσίς σου, ως τού κήρυκος γέγονε, τών εθνών Προκόπιε παναοίδιμε, καί φωτισθείς τήν διάνοιαν, τό σκότος κατέλιπες, τών ειδώλων καί φωστήρ, τών πιστών εχρημάτισας, θείαις λάμψεσι, τών σεπτών σου αγώνων καταυγάζων, τά πληρώματα τού κόσμου, κλέος μαρτύρων καί καύχημα.

Στίχ. Θαυμαστός ο Θεός εν τοίς αγίοις αυτού ο Θεός Ισραήλ αυτός δώσει δύναμιν καί κραταίωσιν τώ λαώ αυτού ευλογητός ο Θεός.

Εγκρατεία τό πρότερον, τής σαρκός τά κινήματα, χαλινώσας ύστερον πρός τήν άθλησιν, ανδρειοφρόνως εχώρησας, παμμάκαρ Προκόπιε, αφειδήσας τής σαρκός, τή δυνάμει τού Πνεύματος, όθεν άπασαν, υπομείνας ιδέαν τών βασάνων, στεφηφόρος πρός τάς άνω, χοροστασίας ανέδραμες.

Στίχ. Τοίς Αγίοις τοίς εν τή γή αυτού εθαυμάστωμεν πάντα τά θέλημα αυτού εν αυτοίς.

Στρατηγός ως αήττητος, τώ Σταυρώ οπλισάμενος, ταίς ροαίς τού αίματος πάσαν δύναμιν, τών εναντίων εβύθισας, καί όμβρους ανέβλυσας, ιαμάτων δαψιλώς, εκ πηγών αρυόμενος, αξιάγαστε, τού σωτήρος καί πάντας καταρδεύων, τούς φλογμώ τών παθημάτων, συνεχομένους θεόπνευστε.

Δόξα... Ήχος πλ. δ' Προκοπίου
Χαρτοφύλακος

Ταίς μυστικαίς λαμπηδόσι, τής υπερφώτου Τριάδος καταυγαζόμενος, μάρτυς Προκόπιε γενναιόφρον, θέσει Θεός χρηματίζεις, θεούμενος εν μεθέξει, όθεν τούς πίστει τελούντάς σου τήν φωσφόρον εορτήν, εκ πειρασμών πολυτρόπων, περίσωζε σαίς πρεσβείαις.

Καί νυν... Θεοτοκίον
Ώ τού παραδόξου θαύματος

Χαίρε πυρίμορφον όχημα, χαίρε αυγή μυστική, η τώ κόσμω εισάξασα τόν λαμπρόν καί άδυτον, καί ανέσπερον ήλιον, χαίρε κογχύλη, πορφύραν βάψασα, εκ τών αιμάτων, τώ βασιλεί τού παντός, Χαίρε πανάχραντε, χαίρε φυλακτήριον, πάντων πιστών τών προσκαλουμένων σε, εν πεποιθήσει ψυχής.

Η Σταυροθεοτοκίον

Τί τό ορώμενον θέαμα, ό τοίς εμοίς οφθαλμοίς, καθοράται ώ Δέσποτα; ο συνέχων άπασαν, κτίσιν ξύλω ανήρτησαι, καί θανατούσαι ο πάσι νέμων ζωήν, Η Θεοτόκος, κλαίουσα έλεγεν, ότε εώρακεν, εν Σταυρώ κρεμάμενον,

τόν εξ αυτής, αρρήτως εκλάμψαντα, Θεόν καί άνθρωπον.

Απολυτίκιον Ήχος δ'

Ο μάρτυς σου, Κύριε, εν τή αθλήσει αυτού τό στέφος εκομίσατο τής αφθαρσίας εκ σού τού Θεού ημών, έχων γάρ τήν ισχύν σου, τούς τυράννους καθείλεν, έθραυσε καί δαιμόνων τά ανίσχυρα θράση, Αυτού ταίς ικεσίαις, Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, οι Κανόνες τής Οκτωήχου καί τού Αγίου ούτος.

Ποίημα Θεοφάνους.

Ωδή α' Ήχος δ'

Θαλάσσης, τό ερυθραίον

Πλουσίαις, μαρμαρυγαίς τού Πνεύματος, περιχεόμενος, τούς τήν φωσφόρον ταύτην καί σεπτήν, εορτήν σου γεραίροντας, παθών αχλύος λύτρωσαι, καί πειρασμών Μάρτυς Προκόπιε.

Η κλήσις, ουκ απ' ανθρώπων γέγονεν, η σή Προκόπιε, αλλ' ουρανόθεν Παύλον ως τό πρίν, ο Χριστός εσαγήνευσε, παθών οικείων Μάρτυρα, παναληθή σε εργαζόμενος.

Στρατείας, τής επικήρου πάνσοφε, τήν αιωνίζουσαν, ως νουνεχής ηλλάξω καί θνητού, βασιλέως αθάνατον, καί βασιλείαν άφθορον, σοί παρεχόμενον Προκόπιε.

Θεοτοκίον

Τόν φύσει, Δημιούργον εκύησας, ημάς θεώσαντα, τή υπέρ νούν ενώσει αληθώς, Θεοτόκε πανύμνητε, όν εκτενώς ικέτευε, φωταγωγήσαι τούς υμνούντάς σε.

Ήχος γ'

Ουκ εν σοφία

Σταυρού εν μέσω, παραδόξως Χριστός σοι οπτάνεται, εκδιδάσκων εμφανώς, τήν πρός ημάς συγκατάβασιν, καί σέ πρός τήν άθλησιν, προσεκκαλούμενος.

Ναόν καί στήλην, ανεγείρας σαυτόν θείου Πνεύματος, ζήλου πνέων θεϊκού, ναούς καί άψυχα ξόανα, δαιμόνων κατέαξας, Μάρτυς Προκόπιε.

Συναπεβάλου, δερματίνους χιτώνας τώ, ξέεσθαι, αφθαρσιας δέ στολήν, περιεβάλου Προκόπιε, καί τόν πολυμήχανον, Μάρτυς εγύμνωσας.

Θεοτοκίον

Ρύσαί με πάσης, προσβολής εναντίας του όφεως, Μητροπάρθενε αγνή, καί

τήν καρδίαν μου φώτισον, πίστει σε δοξάζοντος, τήν παναμώμητον.

Ο Ειρμός

«Ουκ εν σοφία, καί δυνάμει καί πλούτω καυχώμεθα, αλλ' εν σοί τή τού Πατρός, ενυποστάτω σοφία Χριστέ, ού γάρ έστιν άγιος, πλήν σου φιλάνθρωπε».

Κάθισμα  Ήχος α'

Τόν τάφον σου Σωτήρ

Τόν Παύλον ως τό πρίν, ο Χριστός ουρανόθεν, Προκόπιε σοφέ, σέ καλεί πρός τήν πίστιν, τό κάλλος τό ένθεον, προειδώς τής καρδίας σου, όθεν ήθλησας, ανδρειοτάτως κηρύττων, τά παθήματα, καί τήν αυτού πρός ανθρώπους, παμμάκαρ επέλευσιν.

Θεοτοκίον

Ελπίς Χριστιανών, Παναγία Παρθένε, όν έτεκες Θεόν, υπέρ νούν τε καί λόγον, απαύστως ικέτευε, σύν ταίς άνω Δυνάμεσι, δούναι άφεσιν, αμαρτιών ημίν πάσι, καί διόρθωσιν, βίου τοίς πίστει καί πόθω, αεί σε δοξάζουσιν.

Η Σταυροθεοτοκίον

Η άσπιλος αμνάς, τόν αμνόν καί ποιμένα, κρεμάμενον ωεκρόν, επί ξύλου ορώσα, θρηνούσα εφθέγγετο, μητρικώς ολολύζουσα, Πώς ενέγκω σου, τήν υπέρ λόγον Υιέ μου, συγκατάβασιν, καί τά εκούσια πάθη, Θεέ υπεράγαθε;

Ωδή δ'

Επαρθέντα σε ιδούσα

Επαιρόμενον τώ κράτει τής ασεβείας, τόν αλαζόνα Τύραννον, ταίς πρός τόν Δεσπότην, θείαις ανυψώσεσι, κραυγάζων κατέρραξας, δόξα τή δυνάμει σου Κύριε.

Επιφαίνεται φρουρά σοι εγκεκλεισμένω ο Λυτρωτής Προκόπιε, θάρσους εμπιπλών σε, φέγγει τε λαμπρύνων σε, καί κλήσιν κατάλληλον, σού τή προκοπή παρεχόμενος.

Τό τή χάριτι τή θεία λελαμπρυσμένον, σού κατιδόντες πρόσωπον, οι τής απιστίας, ζόφω καλυπτόμενοι, τό φέγγος τής πίστεως, θεία επινεύσει κομίζονται.

Θεοτοκίον

Βεβαρυμμενοντώ ύπνω τής ραθυμίας, πρός μετανοίας όρθρον με, τή σή ακοιμήτω, Δέσποινα εξέγειρον, πρεσβεια καί σώσόν με, μόνη τόν Σωτήρα κυήσασα.

Ωδή ε'

Ασεβείς ουκ όψονται

Τώ φωτί τών λόγων σου, στρατόν θεοπειθή προσενήνοχας τώ Χριστώ, μαρτυρίου αίματι, κληρονομήσαντα, μετά σού Προκόπιε, βασιλείαν τήν ασάλευτον.

Τής συγκλήτου ώφθησαν, τής άνω κοινωνοί, γυναικών αι Συγκλητικαί, γένους περιφάνειαν, απαρνησάμεναι, καί θανείν ελόμεναι, υπέρ σού Λόγε αθάνατε.

Τώ πυρί φλεγόμεναι, τώ θείω τήν ψυχήν, φλεγομένου καί αφειδώς, ξεομένου σώματος περιεφρόνησαν, αι τήν σήν ποθήσασαι, βασιλείαν πολυέλεε.

Θεοτοκίον

Συλλαβούσα τετοκας, Θεόν Εμμανουήλ, εις ανάπλασιν τών βροτών, Παναγία άχραντε, σάρκα γενόμενον, όν αεί ικέτευε, τού σωθήναι τάς ψυχάς ημών

Ωδή ς'

Θύσω σοι, μετά φωνής

Έρρει σου, η μελίρρυτος γλώσσα διδάγματα, μελισταγή καί πικρίας, αθεϊας όντως απελυτρούτο, ευπειθώς σοι, τούς προστρέχοντας Μάρτυς Προκόπιε.

Μητέρα, τήν ευσέβειαν Μάρτυς κτησάμενος, τής δυσσεβείας εξαίρεις, σού τήν κατά σάρκα σεμνήν μητέρα, καί προσάγεις, ουρανίω Πατρί δι' αθλήσεως.

Τάς όψεις, αποξέων σιδήρω ό Τύραννος, τού λογισμού σου τόν τόνον, Μάρτυς ουκ εσάλευσεν ηδρασμένον τή αγάπη τού τά πάθη σαρκί υπομείναντος.

Θεοτοκίον

Άγιον, τών Αγίων αρρήτως εκύησας, υπεραγία Παρθένε, τούς πιστούς αεί αγιάζοντα, καί μαρτύρων, τούς χορούς τοίς Αγγέλοις συνάπτοντα.

Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Κοντάκιον Ήχος β'

Τά άνω ζητών

Τώ ζήλω Χριστού, τώ θείω πυρπολούμενος, καί εν τώ Σταυρώ, τώ τιμίω φρουρούμενος, τών εχθρών τό φρύαγμα, καί τά θράση καθείλες Προκόπιε, καί τήν σεπτήν Εκκλησίαν ύψωσας, τή πίστει προκόπτων, καί φωτίζων ημάς.

Ο Οίκος

Στόμα συνέσεώς μοι παράσχου ό προάναρχος Λόγος, βουλομένω υμνείν τόν σόν οπλίτην Προκόπιον, έχεις γάρ πλούτον τής ευσπλαγχνίας, εν απείρω Χριστέ μου πελάγει τών σών κριμάτων, ίνα καγώ τής ψυχής τό ζοφώδες καθαρθώ, τού νού δέ πάσαν κηλίδα αποσμήξας, καί ναός αγιάσματος τοίς θείοις έργοις γενόμενος, επάξια μέλψω τώ Μάρτυρι, ός τήν σεπτήν Εκκλησίαν ύψωσε, τή πίστει προκόπτων καί φωτίζων ημάς.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Η' τού αυτού μηνός Μνήμη τού Αγίου Μεγαλομάρτυρος Προκοπίου.

Στίχοι

- Έοικε Προκόπιος, αυχένα κλίνων,
- Λέγειν, Κοπείτω, τή πλάνη γάρ ου θύω.

- Ογδοάτη Προκοπίου αρηϊθόου κράτα κέρσαν.

Τή αυτή ημέρα, η Αγία Θεοδοσία η μήτηρ τού Αγίου Προκοπίου, ξίφει τελειούται.

Αι άγιαι δώδεκα γυναίκες αι Σύγκλητικαί ξίφει τελειούνται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'
Εν τή καμίνω

Βάρει μολύβδου, τόν σόν αυχένα συντριβόμενος, μάρτυς ουκ ησθάνου, φέρειν γάρ τόν ζυγόν, επαυχένιον επόθησας, τόν ελαφρότατον, τού δι' οίκτον ομιλήσαντος.

Χάριν εξ ύψους, τών ιαμάτων κομισαμενος, νόσους απελαύνεις, Μάρτυς καί πονηρά, εκβοών διώκεις πνεύματα, Ευλογητός εί ο Θεός μου, κραυγάζων καί Κύριος.

Τάς νιφετώδεις, τών δυσμενών πληγάς δεχόμενος, Μάκαρ καί πυρί, φλεγόμενος καρτερώς, τήν ασέβειαν κατέφλεξας, Ευλογητός εί ο Θεός μου, κραυγάζων, καί Κύριος.

Θεοτοκίον

Κόρης αφθόρου, υπερφυώς αποτίκτεται, Λόγος ο τώ λόγω πάντα δημιουργών, αλογίας θέλων ρύσασθαι, τούς τήν εκούσιον δοξολογούντας, αυτού συγκατάβασιν.

Ωδή η'
Χείρας εκπετάσας

Λαμπάσι φλεγόμενος δεινώς, τοίς οβελίσκοις τε κατακεντούμενος, καί τοίς χρονίοις σου μώλωψιν, αναξέσεις εισδεχόμενος, καί αλγεινόμενος σφοδρώς, Μάρτυς εκραύγαζες, Ευλογείτε πάντα τά έργα Κυρίου τόν Κύριον.

Τή σή δεξιά τά ζοφερά, δαιμόνων πρόσωπα, Μάκαρ ερράπισας, ταύτην γάρ άνθραξιν ένδοξε, καταφλέγεσθαι υπέδειξας, παρανομούντι δικαστή, αντιταττόμενος καί κραυγάζων, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον.

Τήν πέτραν Χριστόν τήν αρραγή, παμμάκαρ ένδοξε, έχων θεμέλιον, λίθοις Προκόπιε έχαιρες, ωμοτάτως βαρυνόμενος, πρός αβαρή σε χαρμονήν ανακουφίζουσαν, εκβοώντα, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον.

Θεοτοκίον

Ιδού πάσαι Κόρη γενεαί, ως προεφήτευσας, σέ μακαρίζουσι, Θεόν μακάριον τέξασαν, μακαρίους εργαζόμενον, τούς τοίς προστάγμασιν αυτού ακολουθούντας πιστώς, καί βοώντας, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον.

Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε Πάντα τά έργα Κυρίου τόν Κύριον».

Ωδή θ'

Λίθος αχειρότμητος

Τού πεποθημένου σοι τέλους, επιτυχών μεγαλοφρόνως, έκλινας Θεώ τόν αυχένα, κρουσθείς δέ ξίφει ώσπερ εν άρματι, τώ σω επέβης αίματι, καί πρός αυτόν Μάρτυς ανέδραμες.

Βρύεις ποταμούς ιαμάτων, πηγή γενόμενος θαυμάτων, παύεις δέ φλογμούς παθημάτων, δαιμονικάς τε βυθίζεις φάλαγγας, τή πανσθενεί τού Πνεύματος, θεία δυνάμει Αξιάγαστε.

Τούς τήν παναγίαν σου μνήμην, περιχαρώς επιτελούντας, πάσης απειλής, πάσης νόσου, παντός κινδύνου σώζε Προκόπιε, ταίς πρός τόν Κτίστην Κύριον, Ιερωτάταις σου δεήσεσι.

Θεοτοκίον

Φώς ημίν ανέτειλε Κόρη, εκ φωτοφόρου σου νηδύος, ο δημιουργός τού ηλίου, καί τών αστέρων καί πάσης κτίσεως, όν εκτενώς ικέτευε, φωταγωγήσαι τούς υμνούντάς σε.

Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός, συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Εξαποστειλάριον

Φώς αναλλοίωτον Λόγε

Εξ ουρανού ως τώ Παύλω, εγένετό σοι η κλήσις, ή φερωνύμως προκόπτων, Προκόπιε τώ Κυρίω, χορούς προσήξας Μαρτύρων, μεθ' ών πρεσβεύεις, υπέρ τών σέ ευφημούντων.

Θεοτοκίον

Σού τό πολίτευμα Λόγε, κραταίωσον εν πολέμοις, τοίς βασιλεύσι τό νίκος, κατά βαρβάρων παρέχων, τής Θεοτόκου πρεσβείαις, ήν εδωρήσω, Χριστιανοίς προστασίαν.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν τά Ιδιόμελα ταύτα.

Ήχος β'  Βυζαντίου

Ως προκόπτων εν Θεώ πάντας πρέσβευε αθλοφόρε, προκόπτειν εν αυτώ, Μαρτύρων κλέος μέγιστε Προκόπιε, ως παρρησίαν έχων πρός αυτόν, καί τώ τούτου θρόνω αεί παριστάμενος, εν θεαρέστοις οδοίς καί θείαις πράξεσιν, ευαρεστούντας αυτώ καί σέ μακαρίζοντας.

Ήχος γ'  Γερμανού

Νεανικήν άγων τήν ηλικίαν, ώσπερ ο θεσπέσιος Παύλος, εκ τών υψίστων τό θείον χάρισμα εδέξω, καί τού δεινού πολεμήτορος τά θράση, τή πανοπλία τού Σταυρού κατέβαλες, Μαρτύρων τό καύχημα, αθλοφόρε, Προκόπιε, υπέρ ημών πρός Κύριον ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Ήχος δ' Κυπριανού

Αίνος τώ Θεώ εκ χοϊκών χειλέων προσάδεται, επί τή θεία μνήμη σου, Προκόπιε πολύαθλε, σύ γάρ ώφθης ακραιφνής στρατιώτης, τού λόγου τής πίστεως, φαυλίσας εν τώ σκάμματι ειδώλων τάς μορφάς, καί νύν προσήρείσθης τώ φέγγει τής Τριάδος, καταπυρσεύων ημών τάς διανοίας ταίς πρεσβείαις σου.

Ήχος πλ. α'

Η Εκκλησία σήμερον, στολισαμένη τοίς άθλοις σου, Μάρτυς τού Χριστού, ευφραίνεται, καί τήν σήν παγγέραστον μνήμην, κατ' αξίαν ευφήμως κραυγάζει γεραίρουσα, Χαίροις ο τόν Παύλον ζηλώσας, καί τόν Σταυρόν τού Χριστού αράμενος, καί τάς παγίδας συντρίψας τού αντιπάλου, Χαίροις Μαρτύρων τό καύχημα, καί Βασιλέων κραταίωμα, Προκόπιε πολύαθλε, υπέρ ημών πρός Κύριον, μή διαλίπης πρεσβεύων, ως παρρησίαν έχων, αθλοφόρων εγκαλλώπισμα.

Δόξα... Ήχος πλ. δ'

Ανατολίου

Ώσπερ ο Παύλος τήν κλήσιν, εκ τού Θεού δεξάμενος, μάρτυς Προκόπιε, καί προκόπτων εν Θεώ, τή τού Σταυρού πεποιθήσει, τών τυρράνων τό δυσσεβές, καί τών βασάνων τό απηνές, ανδρείως κατήσχυνας, Διό καί μέχρις αίματος αντικατέστης πρός τήν αμαρτίαν, πρός αοράτους εχθρούς ανταγωνισάμενος, καί πρεσβεύεις απαύστως τώ λυτρωτή καί Θεώ, δωρηθήναι τή οικουμένη ειρήνην, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Δέσποινα πρόσδεξαι, τάς δεήσεις τών δούλων σου, καί λύτρωσαι ημάς, από πάσης ανάγκης καί θλίψεως.

Εί βούλει, Δοξολογία Μεγάλη καί Απόλυσις.

Εις τήν Λειτουργίαν. Τά τυπικά, οι Μακαρισμοί, καί εκ τού Κανόνος τού Αγίου η γ' καί ς' Ωδή.

Κοινωνικόν

Εις μνημόσυνον αιώνιον έσται Δίκαιος. Αλληλούια.

---

Αρχή

## ΤΗ Θ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Ιερομάρτυρος Παγκρατίου Επισκόπου Ταυρομενίας.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος β'
Ότε, εκ τού ξύλου σε νεκρό

Ότε, η κρηπίς τών Μαθητών, περιερχομένη τόν κόσμον, όλον εστήριξε, τότε ευραμένη σε λίθον ως έντιμον, Εκκλησίας θεμέλιον, προβάλλεται μάκαρ, στήλας καταστρέφοντα, ειδωλικάς καί ναούς, θεία δυναστεία τού Λόγου, τού διά σαρκός ομιλήσαι, Πάτερ τοίς ανθρώποις ευδοκήσαντος.

Λόγω, φυγαδεύων πσνηρά, πνεύματα κακίας, ετέλεις, πνευματικούς τούς λαούς, Πνεύματος τή χάριτι, Μάρτυς Παγκράτιε, ανατέμνων τήν αύλακα, τής τούτων καρδίας, καί καταβαλλόμενος, σπόρον τόν ένθεον, όνπερ, γεωργώ προσηγάγου, τώ επουρανίω πρεσβεύων, υπέρ τών πιστώς ανευφημούντων σε.

Δύσιν, φρυκτωρίαις νοηταίς, σύ ανατολήν απειργάσω, ήλιον φέρουσαν, θείας επιγνώσεως, τού εκ Παρθένου ημίν, υπέρ νούν ανατείλαντος, καί δύσας αθλήσει, Πάτερ εξανέτειλας, πρός φώς ανέσπερον, ένθα, τών εσόπτρων λυθέντων, βλέπεις τό ποθούμενον κάλλος, τού αγωνοθέτου σου Παγκράτιε.

Δόξα... Καί νύν... Θεοτοκίον

Πάντων, προστατεύεις αγαθή, τών καταφευγόντων εν πίστει, τή κραταιά σου χειρί, άλλην γάρ ουκ έχομεν, αμαρτωλοί πρός Θεόν, εν κινδύνοις καί θλίψεσιν, αεί μεσιτείαν, οι κατακαμπτόμενοι υπό πταισμάτων πολλών, Μήτερ τού Θεού τού υψίστου, όθεν σοι προσπίπτομεν ρύσαι, πάσης περιστάσεως τούς δούλους σου.

Η Σταυροθεοτοκίον

Ύβρεις, υπομείναντα πολλάς, καί επί Σταυρού υψωθέντα, τόν τού Παντός Ποιητήν, βλέπουσα Πανάχραντε, έστενες λέγουσα, Υπερύμνητε Κύριε, Υιέ καί Θεέ μου, πώς τιμήσαι θέλων σου τό πλάσμα Δέσποτα, φέρεις, εν σαρκί ατιμίαν, Δόξα τή πολλή ευσπλαγχνία, καί συγκαταβάσει σου φιλάνθρωπε.

Απολυτίκιον Ήχος δ'

Καί τρόπων μέτοχος, καί θρόνων διάδοχος, τών Αποστόλων γενόμενος, τήν πράξιν εύρες θεόπνευστε, εις θεωρίας επίβασιν διά τούτο τόν λόγον τής αληθείας ορθοτομών καί τή πίστει ενήθλησας μέχρι αίματος, Ιερομάρτυς Παγκράτιε, Πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τού Αγίου ο παρών.

Ποίημα Θεοφάνους.

Ωδή α' Ήχος α'
Ωδήν επινίκιον

Υπέρτιμον λίθον σε, η Εκκλησία, γνωρίζει Παγκράτιε, εδρασμώ τών λόγων σου, στηριζομένη αεί, καί διά τούτό σου τιμά, τήν μνήμην σήμερον.

Μονάδα τρισάριθμον, ενιζομένην, ταυτότητι φύσεως, καταγγέλλων έσβεσας, τής αθεϊας αχλύν, καί φωτοβόλοις διδαχαίς, λαούς εφώτισας.

Νεώσας αρότρω σου, τών θείων λόγων, καρδίας Παγκράτιε, χερσωθείσας πρότερον, κακοπιστίας αυχμώ, γονίμους έδειξας σαφως, διά τής πίστεως.

Θεοτοκίον

Εκ σού ανατέταλκεν, ο φωτοδότης, φωτίζων τά πέρατα, Ιησούς ο Κύριος, άχραντε Δέσποινα, δι' ού οι εν σκότει καί σκιά φώς εθεάσαντο.

## Ωδή γ'

Στερεωθήτω η καρδία μου

Υπό τού Πνεύματος σθενούμενος, πονηρά εδίωξας πνεύματα, καί τώ μοχλώ τών προσευχών, τά τεμένη ηδάφισας, τών ειδώλων, Εκκλησίας ανιστών αξιάγαστε.

Τώ τμντικώ σου λογω έτεμες, δυσφημίας Όσιε άκανθαν, καί κατεφυτευσας ψυχαίς, τά σωτήρια δόγματα, αρετών ευθυνομέναις, τή αυξήσει Παγκράτιε.

Σκεύος ευρών σε θείου Πνεύματος, καθαράς ακτίνας δεχόμενον, ο Κορυφαίος μαθητής, πρός τήν δύσιν απέστειλεν, αθεϊας εκμειώσαι, τήν αχλύν πανσεβάσμιε.

Θεοτοκίον

Σέ τήν νεφέλην τήν ολόφωτον, καί Θεού τήν στάμνον τήν πάγχρυσον, καί πλατυτέραν ουρανού, καί μετάρσιον κλίμακα, απειρόγαμε Παρθένε, οι πιστοί μακαρίζομεν.

Ο Ειρμός

«Στερεωθήτω η καρδία μου, εις τό θέλημά σου Χριστέ ο Θεός, ο εφ' υδάτων ουρανόν στερεώσας τόν δεύτερον, καί εδράσας εν τοίς ύδασι, τήν γήν Παντοδύναμε».

## Κάθισμα  Ήχος δ'

Επεφάνης σήμερον

Ευσεβείας πρόμαχος, τροποιοφόρος, Ιερέ Παγκράτιε, αναδειχθείς εν ουρανοίς, σύν Ασωμάτοις παρίστασαι, νύν τώ Κυρίω, πρεσβεύων σωθήναι ημάς.

Θεοτοκίον

Εν τή σκέπη άχραντε, τή σή Παρθένε, προσφυγόντων δέησιν, προσδεξαμένη παρ' ημών, μή διαλίπης πρεσβεύουσα, πρός τόν Υιόν σου, σωθήναι τούς δούλους σου.

Η Σταυροθεοτοκίον

Επί ξύλου βλέπουσα, προσηλω μένον, σόν Υιόν καί Κύριον, καί θρηνω δούσα μητρικώς, οδυρομένη εκραύγαζες, Οίμοι! πώς πάσχεις, Υιέ μου

παμφίλτατε!

Ωδη δ'

Εν πνεύματιπροβλέπων

Πυρί τού Παρακλήτου, πυρίπνοος δειχθείς, τήν απάτην έφλεξας, Παγκράτιε σοφέ, καί αναλάμψας ως λύχνος, τούς εν θαλάσση, βυθιζομένους τής αγνοίας, πρός λιμένας θείου εμβιβάζεις θελήματος.

Εκ πέτρας ακροτόμου, ο Πέτρος αρδευθείς, καί πλησθείς ως άλλον σε, εκπέμπει ποταμόν, κεχερσωμένας αρδεύειν ψυχάς θεόφρον, καί ασεβείας ποταμούς αποξηραίνειν, ρεύμασι τού θείου κηρύγματος.

Ο βίος σου ταίς θείαις αστράπτων καλλοναίς, πάντων απημαύρωσε, δαιμόνων τάς ορμάς, καί διαλύσας τό σκότος τής αθεϊας, Υιούς ημέρας εναπέδειξας, τους πόθω σού ταίς διδαχαίς ευπειθήσαντας

Θεοτοκίον

Σαρκούμενον τόν Λόγον, ουσίαις εν δυσί, Κόρη καί θελήμασιν, εκύησας αγνή, τόν τάς εισόδους γνωρίσαντα παραδόξως, τής σωτηρίας, τοίς τή πλάνη δουλωθείσιν, άχραντε Παρθένε πανύμνητε.

Ωδή ε'

Τήν σήν ειρήνην δός ημίν

Θαυμάτων επιδείξεσιν, εζώγρησας λαούς, λόγω δέ ναούς κατηδάφισας, καί εδομήσω Ιερώτατε, Εκκλησιών τά κάλλη, εις καινισμόν ανθρώπων.

Τοίς αίμασιν εφοίνιξας στολήν τήν Ιεράν, λύθρον δέ δαιμόνων εξήρανας, καί νικηφόρος ανελήλυθας, πρός ουρανόν τής νίκης, απολαβείν τό στέφος.

Ερράγη πρό προσώπου σου, φραγμός ειδωλικός, θύρα δέ ηνοίχθη τοίς έθνεσι, καί διεδόθη χάρις ενΘεός, ταίς τών πιστών καρδίαις, ιερομύστα Πάτερ.

Θεοτοκίον

Ως όμβρος εν τή μήτρα σου, κατήλθεν ο Χριστός, Άχραντε καί όμβρους εξήρανε, πολυθεϊας καί επήγασε, θεογνωσίας ύδωρ, τοίς εν φλογμώ απάτης.

Ωδή ς'

Τόν Προφήτην Ιωνάν

Χαριτώσας σου τόν νούν, καί λαμπρύνας δαψιλώς, Ιησούς ο φωτισμός, τών απάντων καί Θεός, τώ λόγω σου, τής αλογίας λαούς ερρύσατοο.

Ραντισμών ειδωλικών, καί αιμάτων εναγών, ελυτρώσω τούς λαούς, καί τυθείς ώσπερ αμνός, Παγκράτιε, θυσία ζώσα Θεώ προσήνεξαι.

Ιερουργήσας Θεού, Ευαγγέλιον σοφέ, τάς ενθέους διδαχάς, σφραγισάμενος λαμπρώς, τώ αίματι, ιερομύστα, Μάρτυς Παγκράτιε.

Θεοτοκίον

Συμπνιγέντα προσβολαίς, τών ακάρπων λογισμών, επανάγαγε πρός φώς, σωτηρίας καί ζωής, Πανάμωμε, η τόν Σωτήρα Χριστόν κυήσασα.

Ο Ειρμός

«Τόν Προφήτην Ιωνάν, εκμιμούμενος βοώ, Τήν ζωήν μου, αγαθέ, ελευθέρωσον φθοράς, καί σώσόν με, Σωτήρ τού κόσμου, κράζοντα, δόξα σοι».

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Θ' τού αυτού μηνός, Μνήμη τού Αγίου Ιερομάρτυρος Παγκρατίου Επισκόπου Ταυρομενίας.

Στίχοι

- Προθείς εαυτόν Παγκράτιος ως βάθρον,
- Αθλήσεως ήγειρεν οίκον εκ λίθων.
- Παγκράτιος δ' ενάτη δώμ' έδρακε παγκρατέοντος.

Οι άγιοι μάρτυρες Ανδρέας καί Πρόβος πυρί τελειούνται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Τούς εν καμίνω Παίδας

Εν αίματι βεβάπτισται τώ σώ, Παγκράτιε, πρότερον εν ύδατι λαούς βεβαπτικώς, καί πρός Χριστόν μετήλθες χαίρων, μεθ' ού αυλιζόμενος, θέσει θεούσαι λαμπρώς αειμακάριστε.

Τούς άλμη συγχωσθέντας τών δεινών, αγκίστρω σου τών λόγων ανηγάγου Ιερέ, καί προσευχών Ιερωτάτη επομβρία, θολερόν εξήρανας, κακοπιστίας βυθόν Ιερομύστα Χριστού.

Η πέτρα σε η όντως αρραγής, θεμέλιον έθετο καί βάσιν αρραγή, τής Ιεράς Ιεροφάντορ Εκκλησίας, εν ή εδαφίζεται, πάσα κακία σοφέ τού νηπιώδους εχθρού.

Θεοτοκίον

Καθαρωτάτην μόνην σε ευρών, πανάμωμε, Λόγος καθαρώτατος Θεού, σού εκ γαστρός αποτεχθείς πιστούς καθαίρει, μολυσμού Θεόνυμφε, προσγενομένου ημίν εξ ακρασίας κακών.

Ωδή η'

Όν φρίττουσιν Αγγελοι

Πυρί λιπαινόμενος, ποικίλων πειρασμών, ανάλωτος έμεινας, στομούμενος τόν νούν, λαμπραίς θεωρίαις, καί ωράθης Σοφέ, ξίφος διακόπτον, ύλην πολυθεΐας.

Λαούς εις επίγνωσιν, προσάγων τού Χριστού, σημεία καί τέρατα, ετέλεις

εμφανώς, προλέγων τό μέλλον, ως προφήτης Θεού, ταίς τού Παρακλήτου, θεόφρον επιπνοίαις.

Εικόνα τού κτίσαντος, δεικνύων τοίς λαοίς, εκών ήν εφόρεσεν, ενούμενος ημίν, σημείων δυνάμεις, δι' αυτής εκτελείς, τής πολυθεϊας, τό μίσος αναστέλλων.

Θεοτοκίον

Ως όμβρος εν μήτρα σου, κατήλθεν ο Χριστός, καί πάσαν κατήρδευσε, τήν κτίσιν αληθώς, ξηράνας Παρθένε, θολερούς ποταμούς, ειδωλομανίας, ο μόνος ευεργέτης.

Ο Ειρμός

«Ον φρίττουσιν Άγγελοι, καί πάσαι στρατιαί, ως Κτίστην καί Κύριον, υμνείτε Ιερείς, δοξάσατε παίδες, ευλογείτε λαοί, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

## Ωδή θ'

Τήν ζωοδόχον πηγήν

Τοίς φωτοβόλοις τού Πέτρου πυρσεύμασι, καταυγασθείς καί ψυχήν καί διάνοιαν, ως αστήρ πολύφωτος, πρός τήν δύσιν έφθασας, φωταγωγών διδαχαίς τούς πεπτωκότας, εις αγνωσίας Παγκράτιε βάραθρα.

Τήν τής είκονος τιμήν διαβαίνουσαν, εις τό πρωτότυπον σύ επιστάμενος, πανταχού τήν άχραντον, ανεστήλους Ένδοξε, τού Ιησού καί Θεού ημών εικόνα, εις ινδαλμάτων δαιμόνων καθαίρεσιν.

Ιερωτάταις εμπρέπων λαμπρότησι, μαρτυρικαίς διαλάμπεις φαιδρότησιν, ορών καί ορώμενος, Ιερέ Παγκράτιε, αγαλλομένη ψυχή, Θεού τήν δόξαν, Ιεραρχών καί Μαρτύρων αγλάϊσμα.

Θεοτοκίον

Φείσαι ημών τών υμνούντων σου Κύριε, τήν εκ Παρθένου ανέκφραστον γέννησιν, πειρασμών ρυόμενος καί παθών καί θλίψεων, ταίς ικεσίαις αυτής τούς σούς ικέτας, ως ευεργέτης καί μόνος φιλάνθρωπος.

Ο Ειρμός

«Τήν ζωοδόχον πηγήν τήν αέναον, τήν φωτοφόρον λυχνίαν τήν πάγχρυσον, τήν σκηνήν τήν έμψυχον, τού ουρανού καί τής γής τήν πλατυτέραν, τήν Θεοτόκον εν ύμνοις τιμήσωμεν».

## Εξαποστειλάριον

Φώς αναλλοίωτον

Πέτρος η πίστεως πέτρα, Παγκράτιε κραταιάν σε, κρηπίδα Μάρτυς καί βάσιν, καθίστησιν, Εκκλησίας, μεθού καί σύ τήν σήν ποίμνην, φύλαττε Πάτερ, εκ τών τής Αγαρ αβλαβή.

Θεοτοκίον

Πάντες πιστοί σε μεσίτιν, πρός τόν Υιόν καί Θεόν σου, νύν προβαλλόμεθα μόνην, οι συσταυρούμενοι τούτω, διό μή παύση πρεσβεύειν Θεογεννήτορ,

υπέρ τών πίστει σε ανυμνούντων.

Καί η λοιπή, Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Ι' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων τεσσαράκοντα πέντε Μαρτύρων τών εν Νικοπόλει τής Αρμενίας.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κυριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'
Πανεύφημοι Μάρτυρες

Πανεύφημοι Μάρτυρες υμείς, λίθοις συντριβόμενοι, Χριστόν τήν πέτραν τήν άρρηκτον, ουκ εξηρνήσασθε, αλλά νικηφόροι, χάριτι γενόμενοι, Αγγέλων τοίς χοροίς συναγάλλεσθε, μεθ' ών πρεσβεύσατε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Καλλίνικοι μάρτυρες φρουραίς, άμα συγκλειόμενοι, ως εντολών θείων φύλακες, καί εκτηκόμενοι, δίψει ουρανόθεν, δρόσον εκομίσασθε, υμάς πνευματικώς αναψύχουσαν, διό πρεσβεύσατε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Αήττητοι Μάρτυρες ζωήν, αληθή ποθήσαντες, καί εις αεί διαμένουσαν, θάνατον άδικον, παρανόμω ψήφω, χαίροντες υπέστητε, καί νύν μετά Μαρτύρων ευφραίνεσθε, μεθ' ών πρεσβεύσατε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Συνέχομαι πάντοθεν δεινοίς, καί πού φύγω Δέσποινα, ο δυστυχής καί πανάθλιος; ειμή πρός σέ αγνή, καταφεύγω μόνην, τήν εμήν βοήθειαν, ελπίς απηλπισμένων Θεόνυμφε, καί μή παρίδης με, τόν ανάξιον οικέτην σου, θλιβομένων, ετοίμη βοήθεια.

Η Σταυροθεοτοκίον

Ρομφαία διήλθεν ώ Υιέ, η Παρθένος έλεγεν, επί τού ξύλου ως έβλεψε, Χριστόν κρεμάμενον, τήν εμήν καρδίαν, καί σπαράττει Δέσποτα, ως πάλαι Συμεών μοι προέφησεν, Αλλά ανάστηθι, καί συνδόξασον αθάνατε, τήν Μητέρα, καί δούλην σου δέομαι.

### ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τών Αγίων ούτος, ού η Ακροστιχίς.

Θεοστεφή φάλαγγα μέλπω Μαρτύρων.

Ιωάννου Μοναχού.

Ωδή α' Ήχος πλ. α'
Τώ Σωτήρι Θεώ

Θεοφρόνως πιστοί, τούς στρατιώτας Χριστού, τούς αθλοφόρους ανυμνήσωμεν, ως καθαιρέτας τής πλάνης, καί Τροπαιούχους φαιδρούς, Θεώ επινίκιον, ύμνον αναμέλποντας.

Επί γής αθληταί, ηγωνισμένοι λαμπρώς, καί τάς βασάνους υπομείναντες, εν ουρανοίς τούς στεφάνους υπεδέξασθε, συμφώνως αναμέλποντες, ύμνον επινίκιον.

Ομονοία ψυχής, συνδεδεμένοι πιστώς, κατά τής πλάνης εχωρήσατε, καί νικηταί στεφανηφόροι ανεδείχθητε, συμφώνως αναμέλποντες, ύμνον επινίκιον.

Θεοτοκίον

Άχραντε Μήτερ Θεού, τόν σαρκωθέντα εκ σού, καί εκ τών κόλπων τού Γεννήτορος, μή εκφοιτήσαντα Θεόν, απαύστως πρέσβευε, εκ πάσης περιστάσεως, σώσαι ούς έπλασεν.

Ωδή γ'
Δυνάμει τού Σταυρού σου

Συνέσει στρατιώται Χριστού, κεκοσμημένοι τόν αλάστορα, αρχαίον όφιν επνίξατε, εν τοίς ρείθροις τών αιμάτων υμών.

Τό σώμα παραδόντες Πικραίς, καί αφορήτοις Αξιάγαστοι, βασάνοις θείαν ειλήφατε, κληρουχίαν διά πίστεως.

Εν λίθων Αθλοφόροι βολαίς, τυράννου γνώμη συνθλαττόμενοι, τής ευσεβείας τήν άγκυραν, ασφαλώς διεφυλάξατε.

Θεοτοκίον

Ικέτευε απαύστως Αγνή, τόν προελθόντα εκ λαγόνων σου, ρυσθήναιπλάνης διαβόλου, τούς υμνούντάς σε Μητέρα Θεού.

Ο Ειρμός

«Δυνάμει τού Σταυρού σου Χριστέ, στερέωσόν μου τήν διάνοιαν, εις τό υμνείν καί δοξάζειν σου, τά σωτήρια παθήματα».

Κάθισμα Ήχος δ'
Ο υψωθείς

Οι στρατιώται τού Χριστού οι γενναίοι, αγωνισάμενοι καλώς τόν Βελίαρ, ολοτελώς εβύθισαν αιμάτων ροαίς, λίθοις γάρ συν, θλώμενοι, και τεμνόμενοι ξίφει, πυρί εκκαιόμενοι, καί εις ύδωρ βληθέντες, στεφανηφόροι ώφθησαν σαφώς, όθεν τιμώνται καί πίστει δοξάζονται.

Θεοτοκίον

Τών ακαθάρτων λογισμών μου τά πλήθη, καί τών ατόπων εννοιών τάς νιφάδας, τίς εξειπείν δυήσεται Πανάμωμε; τάς επαναστάσεις δέ, τών ασάρκων εχθρών μου, τίς εκδιηγήσεται, καί τήν τούτων κακίαν; Αλλά τή σή πρεσβεία αγαθή, τούτων μοι πάντων, τήν λύτρωσιν δώρησαι.

Η Σταυροθεοτοκίον

Τόν εξ ανάρχου τού Πατρός γεννηθέντα, η επ' εσχάτων σε σαρκί τετοκυία, επί Σταυρού κρεμάμενον ορώσα Χριστέ, Οίμοι! ποθεινότατε Ιησού ανεβόα, πώς ο δοξαζόμενος, ως Θεός υπ' Αγγέλων, υπό Υιέ, θέλων βροτών ανόμων νύν σταυρούσαι; Υμνώ σε μακρόθυμε.

Ωδή δ'

Εισακήκοα τήν ακοήν

Φιλοθέου αγάπης, κεκρατημένος τοίς θεσμοίς, τόν αντίθεον εχθρόν, τών Αθλοφόρων ο χορός ετροπώσατο, κράτει τού Χριστού κρατυνόμενος.

Η θεόκλητος φάλαγξ, τών Αθλοφόρων τού Χριστού, τήν αντίθεον πληθύν τών ασεβών, ανατρέπει άναμέλπουσα, Δόξα τή δυνάμει σου Κύριε.

Φώς απρόσιτον ιδόντες, οι Αθλοφόροι εν φρουρά, τήν πολύθεον αχλύν, ειδωλικής παροινίας διεσκέδασαν, θεία δυναστεία νευρούμενοι.

Ατενίζοντες τώ κάλλει τών ακηράτων αγαθών, τήν αβέβαιον φοράν, τών ανθρωπίνων πραγμάτων, ο αοίδιμος δήμος τών Μαρτύρων απώσατο.

Θεοτοκίον

Επεσκίασεν η τού Υψίστου, Κόρη δύναμις εν σοί, καί παράδεισον ειργάσατο Τρυφής, ζωής ξύλον έχουσαν, μέσον τόν μεσίτην καί Κύριον.

Ωδή ε'

Ορθρίζοντες βοώμέν σοι

Λογίοις τεθραμμένοι τού Πνεύματος τού Αγίου, ειδώλων οι Μάρτυρες, τήν αλογίαν κατήργησαν.

Αστέρες φαεσφόροι γεγόνατε Αθλοφόροι, καί άνθη τής πίστεως, τήν ευωδίαν εκπέμποντα.

Γεώργιον πεφήνατε Άγιοι τού Υψίστου, δρεπάναις τεμνόμενον, τού Μαρτυρίου πανεύφημοι.

Θεοτοκίον

Μή παύση δυσωπούσα όν έτεκες Θεοτόκε, σώσαι τάς ψυχάς ημών, τών εκτενώς ανυμνούντων σε.

Ωδή ς'

Εκύκλωσέ με άβυσσος

Γηθόμενοι οι μάρτυρες, εβόων, Εις χείράς σου Δέσποτα, προσδέχου τά

πνεύματα, ημών καί ανάπαυσον, σέ γάρ ποθούμεν, τόν μόνον πολυέλεον.

Αγγέλων συνομόσκηνος, φάλαγξ τών σών εχρημάτισε, Μαρτύρων Φιλάνθρωπε, τόν δρόμον τελέσασα, καί νύν πρεσβεύει, σωθήναι τάς ψυχάς ημών.

Μαρτύρων η πανεύκλεια, Μαρτύρων χορεία θεολεκτος, Μαρτύρων ευπρέπεια, θερμώς δυσωπήσατε, σωθήναι πάντας, τούς πρός ημάς προσφεύγοντας.

Θεοτοκίον

Συλλήψεως ασπόρου σου, τίς λόγος ο φράσαι δυνάμενος, τό θαύμα Πανάμωμε; Θεόν γάρ συνέλαβες, δι' ευσπλαγχνίαν, ημίν επιδημήσαντα.

Ο Ειρμός

«Εκύκλωσέ με άβυσσος, ταφή μοι τό κήτος εγένετο, εγώ δέ εβόησα, πρός σέ τόν φιλάνθρωπον, καί έσωσέ με, η δεξιά σου Κύριε».

Συναξάριον

Τή Ι' τού αυτού μηνός, Μνήμη τών Αγίων τεσσαράκοντα πέντε Μαρτύρων τών εν Νικοπόλει τής Αρμενίας μαρτυρησάντων.

Στίχοι

- Παρεμβολή τις ευρέθη Θεώ νέα,
- Τόλμη παρεμβάλλουσα καί πυρός μέσον.
- Κτείνεν ερισθενέας δεκάτη πύρ Νικοπολίτας.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Βιάνορος καί Σιλουανού.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Απολλωνίου, τού εκ Σάρδεων.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων μυρίων Πατέρων, ούς διά πυρός θανάτω βιαίω παρέδωκε Θεόφιλος ο Επίσκοπος Αλεξανδρείας, διά Ισίδωρον τόν Πρεσβύτερον.

Τή αυτή ημέρα, η σύναξις τού Αγίου Ιωάννου τού θεολόγου εν τοίς Βεάτου (εν άλλ Βιάτου ή Βιώτου).

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Ο εν καμίνω πυρός

Εν τή καμίνω Χριστέ, οι Αθλοφόροι εμελώδουν, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Λελαμπρυσμένοι φωτί, τώ τής Τριάδος Αθλοφόροι, μετ' ευφροσύνης υμών, τάς ψυχάς παρεδώκατε.

Παρεστηκότες Θεώ, στεφανηφόροι Αθλοφόροι, υπέρ υμών εκτενώς, αεί πρεσβεύετε.

Ως αληθείας πυρσοί, ως ευσεβείας όντες πύργοι, περιφανείς, Αθληταί, πιστοίς εδείχθητε.

Θεοτοκίον

Ως σωτηρίαν ημών, σέ Θεοτόκε δυσωπούμεν, Εξευμενίζου ημίν, τόν σαρκωθέντα εκ σού.

Ωδή η'

Τόν εκ Πατρός πρό αιώνων

Μετά Μαρτύρων γενέσθω, τά αιτήματα ημών τών πιστών, καί τής αυτών κληρουχίας, κοινωνοί αξιωθείημεν, τόν Χριστόν υμνούντες, καί υπερυψούντες, εις πάντας τούς αιώνας.

Αγαλλιάσει καρδίας, ο χορός τών καρτερών αθλητών, παρά Χριστού τούς στεφάνους, ευπρεπώς απολαμβάνουσι, καί φαιδρώς ανυμνούσι, καί υπερυψούσιν, αυτόν εις τούς αιώνας.

Ρείθροις ιδίων αιμάτων, φοινιχθέντες Αξιάγαστοι, εν ουρανοίς τώ Χριστώ συμβασιλεύετε, ευσεβώς υμνούντες, καί υπερυψούντες αυτόν εις τούς αιώνας.

Τούς καρτερούς στρατιώτας, τούς λαμπτήρας τού ασβέστου πυρός, τούς κοινωνούς τών φωτίδων (ίσως φωστήρων), τούς αστέρας αεί λάμποντας, ευσεβώς υμνούμεν, Χριστόν υπερυψούντες, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Τών Χερουβίμ ύπερτέρα, ανεδείχθης Θεοτόκε αγνή, εν τή γαστρί σου τόν τούτοις εποχούμενον βαστάσασα, όν σύν Ασωμάτοις, βροτοί δοξολογούμεν, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Τόν εκ Πατρός πρό αιώνων, γεννηθέντα Υιόν καί Θεόν, καί επ' εσχάτων τών χρόνων, σαρκωθέντα εκ Παρθένου Μητρός, ιερείς υμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ'

Σέ τήν υπέρ νούν καί λόγον

Υπέρ τής κοινής, σωτηρίας πρεσβεύσατε, παναοίδιμοι Μάρτυρες, Χριστώ παριστάμενοι, δι' όν καί τούς αγώνας υπεμείνατε.

Ρώμη κραταιά, τό τής πλάνης οχύρωμα, καθελόντες αήττητοι, οικίαν ουράνιον, κατοικείν σύν Αγγέλοις ηξιώθητε.

Ως αειφανείς, δεδειγμένοι φωστήρες ημίν, οι καλλίνικοι Μάρτυρες, απαύστως

αυγάζουσι, φωτοβόλοις λάμψεσι τάς ψυχάς ημών.

Νόμοις καί θεσμοίς, μαρτυρίου νικήσαντες, τόν αλάστορα τύραννον, στεφάνους εδέξασθε, τούς τής δικαιοσύνης Πανσεβάσμιοι.

Θεοτοκίον

Χαίρε Θεοτόκε, μήτηρ Χριστού τού Θεού, όν εκύησας αίτησαι, πταισμάτων τήν άφεσιν, δωρηθήναι τοίς πίστει ανυμνούσί σε.

Ο Ειρμός

«Σέ τήν υπέρ νούν, καί λόγον μητέρα Θεού, τήν εν χρόνω τόν άχρονον, αφράστως κυήσασαν, οι πιστοί ομοφρόνως μεγαλύνομεν».

Εξαποστειλάριον

Ο ουρανόν τοίς άστροις

Πολυχειρία γνώμης, καί εν ανδρεία τής ψυχής, οι τεσσαράκοντα πέντε, Μάρτυρες πάντας τούς εχθρούς, συνδιεσπάραξαν Σώτερ, ών ταίς ευχαίς ημάς σώσον.

Θεοτοκίον

Σέ προστασίαν πάντες, έχομεν οι αμαρτωλοί, ώ Παναγία Παρθένε, σύ ευδιάλλακτον ημίν, απέργασαι τόν Υιόν σου, τή μητρική παρρησία.

Καί τά λοιπά τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΑ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής Αγίας Μεγαλομάρτυρος καί πανευφήμου Ευφημίας.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Μετά τόν Προοιμιακόν, στιχολογούμεν τήν α' στάσιν τού, Μακάριος ανήρ.

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τά επόμενα.

Ήχος πλ. δ'

Ώ τού παραδόξου θαύματος

Ώ τού παραδόξου θαύματος! η τού Κυρίου αμνάς, τήν αυτού εθελούσιον, μιμουμένη νέκρωσιν, διά πόνων αθλήσεως, κειμένη τάφω, αίματος πρόσχυσιν, αναπηγάζει σθένει τού Πνεύματος, ο αρυόμενοι, εις ψυχών καθάρσιον, τώ τού παντός, αίνεσιν προσάγομεν, Θεώ εκάστοτε.

Μάρτυς αληθώς πανεύφημε, θηρών επέσχες ορμάς, Δανιήλ ως τό πρότερον, καί πυρός εν χάριτι, ευχερώς κατετόλμησας, καί πάσαν άλλην, βάσανον στέρξασα, εδέξω στέφος, νίκης αμάραντον, καί ανελήλυθας, πρός τόν σοί ποθούμενον, περιχαρώς, όθεν σε γεραίρομεν, καί μακαρίζομεν.

Θείων Πατέρων συνάθροισμα, πίστεως Όρον τή σή, κορυφή επιτίθεται, όνπερ Πανασοίδιμε, ηγκαλίσω φυλάττουσα, τήν θείαν πίστιν απαρασάλευτον, εκτρεπομένη, άπασαν αίρεσιν, καί καταισχύνουσα, τούς τού ψεύδους ένδοξε, προασπιστάς, όθεν σε γεραίρομεν, καί μακαρίζομεν.

Έτερα Στιχηρά

Ήχος δ'
Ως γενναίον εν μάρτυσι

Τήν σορόν τών λειψάνων σου, καθορώντες Πανεύφημε, ρώσιν αρυόμεθα αδαπάνητον, καί τάς ψυχάς φωτιζόμεθα, καί νούν ελλαμπόμεθα, καθαρθέντες νοητώς, ταίς ακτίσι τού Πνεύματος, μεσιτείαις σου, Ιεραίς Ευφημία, διά τούτο, μετά πόθου, ευφημούμεν, τήν Ιεράν σου πανήγυριν.

Καί πυρί προσωμίλησας, καί θηρίοις εκδέδοσαι, καί εν λάκκω βέβλησαι καλλιπάρθενε, καί τοίς τροχοίς επιτέθεισαι, εξ ών σε ερρύσατο, ο τών όλων ποιητής, καταισχύνας τόν ταύτά σοι, μηχανώμενον, καί δοξάσας σε Μάρτυς Ευφημία, τήν κηρύξασαν τόν ένα, Χριστόν εν δύο ταίς φύσεσιν.

Ευτυχή καί Διόσκορον, καί τούς τούτοις ομόφρονας, ακεφάλους άμα τε καί παράφρονας, τούς ανιάτως νοσήσαντας, εις τό τέλος κατήσχυνεν, Ευφημία η σεπτή, καί Χριστόν ανεκήρυξε, ταίς θελήσεσιν, ενεργείαις τε άμα διπλούν όντα, καθ' υπόστασιν δέ ένα, ως οι Πατέρες ετράνωσαν.

Δόξα... Ήχος πλ. β'

Εκ δεξιών τού Σωτήρος, παρέστη η παρθένος καί αθληφόρος καί Μάρτυς, περιβεβλημένη ταίς αρεταίς τό αήττητον, καί πεποικιλμένη ελαίω τής αγνείας, καί τώ αίματι τής αθλήσεως, καί βοώσα πρός αυτόν εν αγαλλιάσει, τήν λαμπάδα κατέχουσα, Εις οσμήν μύρου σου έδραμον, Χριστέ ο Θεός, ότι τέτρωμαι τής σής αγάπης εγώ, μή χωρίσης με νυμφίε επουράνιε, Αυτής ταίς ικεσίαις κατάπεμψον ημίν, παντοδύναμε Σωτήρ τά ελέη σου.

Καί νύν... Θεοτοκίον

Τίς μή μακαρίσει σε, Παναγία Παρθένε; τίς μή ανυμνήσει σου τόν αλόχευτον τόκον; ο γάρ αχρόνως εκ Πατρός εκλάμψας Υιός μονογενής, ο αυτός εκ σού τής Αγνής προήλθεν, αφράστως σαρκωθείς, φύσει Θεός υπάρχων, καί φύσει γενόμενος άνθρωπος δι' ημάς, ουκ εις δυάδα προσώπων τεμνόμενος, αλλ' εν δυάδι φύσεων, ασυγχύτως γνωριζόμενος, Αυτόν ικέτευε, σεμνή παμμακάριστε, ελεηθήναι τάς ψυχάς ημών.

Είσοδος. τό, Φώς ιλαρόν, καί τό Προκείμενον τής ημέρας. Ει βούλει ειπείν καί Αναγνώσματα.

Προφητείαις Ησαϊου τό Ανάγνωσμα
(Κεφ. 43, 9-14)

Τάδε λέγει Κύριος, Πάντα τά έθνη συνήχθησαν άμα καί συναχθήσονται

άρχοντες εξ αυτών, Τίς αναγγελεί ταύτα εν αυτοίς; ή τά εξ αρχής, τίς ακουστά ποιήσει ημίν, Αγαγέτωσαν τούς μάρτυρας αυτών, καί δικαιωθήτωσαν, Καί ειπάτωσαν αληθή, Γίνεσθέ μοι μάρτυρες, καί εγώ μάρτυς Κύριος ο Θεός, καί ο παίς, όν εξελεξάμην, ίνα γνώτε καί Πιστεύσητε, καί συνήτε, ότι εγώ ειμι, Εμπροσθέν μου ουκ εγένετο άλλος Θεός, καί μετ εμέ ουκ έσται, Εγώ ειμι ο Θεός, καί ουκ έστι πάρεξ εμού ο σώζων. Εγώ ανήγγειλα καί έσωσα, ωνείδισα, καί ουκ ήν εν ημίν αλλότριος. Υμείς εμοί μάρτυρες, καί εγώ Κύριος ο Θεός, ότι απ' αρχής εγώ ειμι, καί ουκ έστιν ο εκ τών χειρών μου εξαιρούμενος. Ποιήσω, καί τίς αποστρέψει αυτό. Ούτω λέγει Κύριος ο Θεός, ο λυτρούμενος ημάς, ο Άγιος Ισραήλ.

Σοφίας Σολομώντος τό Ανάγνωσμα
(Κεφ. 3, 1-9)

Δικαίων ψυχαί εν χειρί Θεού, καί ου μή άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι. Καί ελογίσθη κάκωσις η έξοδος αυτών, καί η αφ' ημών πορεία σύντριμμα, οι δέ εισιν εν ειρήνη. Καί γάρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Καί ολίγα παιδευθέντες, μεγάλα ευεργετηθήσονται, ότι ο Θεός επείρασεν αυτούς, καί εύρεν αυτούς αξίους εαυτού. Ως χρυσόν εν χωνευτηρίω εδοκίμασεν αυτούς, καί ως ολοκάρπωμα θυσίας προσεδέξατο αυτούς. Καί εν καιρώ επισκοπής αυτών αναλάμψουσι, καί ως σπινθήρες εν καλάμη διαδραμούνται. Κρινούσιν έθνη, καί κρατήσουσι λαών καί βασιλεύσει αυτών Κύριος εις τούς αιώνας, οι πεποιθότες επ' αυτόν, συνήσουσιν αλήθειαν, καί οι πιστοί έν αγάπη προσμενούσιν αυτώ, ότι χάρις καί έλεος εν τοίς οσίοις αυτού, καί επισκοπή εν τοίς εκλεκτοίς αυτού.

Σοφίας Σολομώντος τό Ανάγνωσμα
(Κεφ. 5, 15-23 & 6, 1-3)

Δίκαιοι εις τόν αίωνα ζώσι, καί εν Κυρίω ο μισθός αυτών, καί η φροντίς αυτών παρά Υψίστω. Διά τούτο λήψονται τό βασίλειον τής ευπρεπείας, καί τό διάδημα τού κάλλους εκ χειρός Κυρίου, ότι τή δεξιά αυτού σκεπάσει αυτούς, καί τώ βραχίονι υπερασπιεί αυτών. Λήψεται πανοπλίαν, τόν ζήλον αυτού, καί οπλοποιήσει τήν κτίσιν εις άμυναν εχθρών. Ενδύσεται θώρακα, δικαιοσύνην, καί περιθήσεται κόρυθα, κρίσιν ανυπόκριτον. Λήψεται ασπίδα ακαταμάχητον, οσιότητα, οξυνεί δέ απότομον οργήν εις ρομφαίαν. Συνεκπολεμήσει αυτώ ο κόσμος επί τούς παράφρονας, πορεύσονται εύστοχοι βολίδες αστραπών, καί ως από ευκύκλου τόξου τών νεφών, επί σκοπόν αλούνται, καί εκ πετροβόλου θυμού πλήρεις ριφήσονται χάλαζαι. Αγανακτήσει κατ' αυτών ύδωρ θαλάσσης, ποταμοί δέ συγκλύσουσιν αποτόμως. Αντιστήσεται αυτοίς πνευμαδυνάμεως, καί ως λαίλαψ εκλικμήσει αυτούς, καί ερημώσει πάσαν τήν γήν ανομία, καί η κακοπραγία περιτρέψει θρόνους δυναστών. Ακούσατε ούν, Βασιλείς, καί σύνετε, μάθετε, δικασταί περάτων γής, ενωτίσασθε οι κρατούντες πλήθους, καί γεγαυρωμένοι επί όχλοις εθνών, ότι εδόθη παρά Κυρίου η κράτησις υμίν, καί η δυναστεία παρά Υψίστου.

Εις τήν Λιτήν, Στιχηρά Ιδιόμελα.

Ήχος α'

Δεύτε πάντες οι πιστοί, τήν ετήσιον μνήμην, τής πανευφήμου Ευφημίας, μετ' εγκωμίων υμνήσωμεν, λέγοντες, χαίροις αθληφόρε καί Μάρτυς, η τών τυράννων τά θράση καταργήσασα, καί τών κακοδόξων τήν άνοιαν απελάγξασα, Χαίροις, τής Χαλκηδόνος τό κάλλιστον.

Θρέμμα, καί τών ορθοδόξων τό άσειστον έρεισμα, Χαίροις, η διά Χριστόν τόν νυμφίον σου, τήν μέν ακμήν τού σώματος ταίς βασάνοις Καταναλώσασα, τήν δέ ψυχήν ταίς ακτίσι τού Πνεύματος εκλαμπρύνασα, Χαίροις, η πρεσβεύουσα πάντοτε, υπέρ τών πίστει καί πόθω τελούντων σου τά μνημόσυνα.

Ήχος β'

Ώ τού παραδόξου θαύματος! ώσπερ ζώσα η Μάρτυς, καί θανούσα εν λάρνακι, ταίς τιμίαις αυτής χερσί, τόν ημέτερον Τόμον επέφερε, τόν δέ τών αιρετικών τοίς ποσί κατεπάτησεν, εκφαυλίζουσα τούτον τό κακόνουν καί βλάσφημον, τών δέ πιστών κρατύνουσα τό ορθόν καί ακίβδηλον, ένα μέν καθ' υπόστασιν τόν Χριστόν κηρυττόντων, διπλούν δέ κατά φύσιν καί θέλησιν, Ής ταίςπρεσβείαις, Χριστέ ο Θεός, ειρήνην ταίς εκκλησίαις σου δώρησαι, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Ήχος γ'

Τούς τής αθλήσεως Μάρτυς αγώνας καί τής πίστεως, ούς υπέρ Χριστού ηγωνίσω, εν ασθενεί τού θήλεος φύσει, επαξίως τίς διηγήσεται; ή τίς εξειπείν κατισχύσει τών αρετών σου τά προτερήματα, καί τών σών θαυμάτων τά πλήθη, Ευφημία πανεύφημε; τό τε στερρόν τών ορθών δογμάτων, καί ορθοδοξίας τό μόνιμον, διό καί υπό τών θείων Πατέρων, τόν τής πίστεως Όρον, ως ζηλωτής ταύτης πεπίστευσαι, όν καί φυλάττεις διά παντός απαράτρεπτον, καί πρεσβεύεις υπέρ τών ψυχών ημών.

Ήχος δ'

Μαρτυρικήν πανήγυριν, επί γής τελουμένην κατοπτεύοντες σήμερον, ευφρανθώμεν τώ πνεύματι, καί σκιρτήσωμεν αγαλλόμενοι, συνεκάλεσε γάρ ημάς Ευφημία η σεπτή, διά τού Ιερού καί καλού τής εκκλησίας ποιμένος, καί προθείσα ημίν εαυτήν, συγχωρεί εκάστω τόν αγιασμόν απαρύσασθαι, Προσέλθωμεν δή εν πίστει, καί αδιστάκτω διανοία, μηδέν υφορώμενοι, ίνα εκ τής αγίας σορού απαντλήσωμεν, αφθόνως τών νοσημάτων τήν ίασιν, αιτούμενοι συγχώρησιν παρά Χριστού τού Θεού, καί τό μέγα έλεος.

Δόξα... Ήχος πλ. α'

Σήμερον τού επουρανίου Βασιλέως η αμίαντος νύμφη, συγκαλείται ημάς πρός εστίασιν πνευματικήν, Ευφημία η πάνσεπτος, Δεύτε ούν φιλέορτοι πάντες, μυστικώς ευφρανθώμεν, εν τή πανσέπτω αυτής καί λαμπρά πανδαισία, καθαρθέντες τώ νοϊ, εν φαιδραίς ταίς στολαίς κατηγλαϊσμένοι τού θείου Πνεύματος, αύτη γάρ ως αγνή περιστερά, τώ τής παρθενίας κάλλει, τώ Υιώ νυμφευθείσα, ολικώς τήν αγίαν Τριάδα εν εαυτή εισωκίσατο, Πατέρα καί Υιόν καί Πνεύμα Άγιον, τόν ένα Θεόν, όν καί ποθούσα καί ζητούσα ενήθλησε, διό καί συμβασιλεύει αυτώ εις τούς αιώνας, εν τοίς επουρανίοις σκηνώμασι.

Καί νύν... Θεοτοκίον

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καί δοξάζομέν σε, οι πιστοί κατά χρέος,

τήν πόλιν τήν άσειστον, τό τείχος τό άρρηκτον, τήν αρραγή προστασίαν, καί καταφυγήν τών ψυχών ημών.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος β'
Ότε, εκ τού ξύλου σε νεκρόν

Δεύτε, καθαρθώμεν άδελφοί, χείλεσι ψυχή καί καρδία, καί αρυσώμεθα, πλούτον αδαπάνητον εκ τής αγίας σορού, δωρεάν προχεόμενον νύν τής Πανευφήμου, μέσον προκειμένης τε, καί ορωμένης τρανώς, ήν περ μακαρίζοντες πόθω, καί, πιστώς γεραίροντες πάντες, θείοις εγκωμίοις καταστέψωμεν.

Στίχ. Υπομένων υπέμεινα τόν Κύριον, καί προσέσχε μοι.

Έστης, πρό βημάτων καρτερώς, δυσσεβών τυράννων ως άκμων, πόνοις ανάλωτος, Μάρτυς καλλιπάρθενε, Χριστόν κηρύττουσα, Θεόν είναι παντέλειον, καί σάρκα λαβόντα, εν δυσί ταίς φύσεσι, καί ταίς θελήσεσιν, όθεν εις σούς πόδας τόν τόμον, τών αιρετικών απορρίπτεις, ζήλω τόν ημέτερον κατέχουσα.

Στίχ. Καί έστησεν επί πέτραν τούς πόδας μου, καί κατεύθυνε τά διαβήματά μου.

Μάρτυς, Ευφημία τού Χριστού, πάντες ευφημούμεν εν πίστει, καί μακαρίζομεν, Ιερείς εν άσμασι καί μελωδήμασι, τήν σεπτήν σου πανήγυριν, εις έν συνελθόντες, ούς τό νύν συνήθροισεν ο Βυζαντίων ποιμήν, όνπερ φρούρει φύλαττε σκέπε, καί ημάς παντοίας εκ βλάβης, λύτρωσαι πρεσβείαις σου πανεύφημε.

Δόξα... Ήχος πλ. β'

Η διηνθισμένη ταίς αρεταίς, καί πεφωτισμένη τόν λογισμόν, η μύρα προχέουσα εν ταίς καρδίαις τών πιστών, η εκ τής εώας ανατείλασα ως αστήρ φαεινός, καί αθροισμόν ποιήσασα, διά τής τού Αγίου Πνεύματος επιφοιτήσεως τών θείων Πατέρων, μή διαλίπης υπέρ ημών δυσωπούσα πρός Κύριον, Ευφημία πανεύφημε, σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Θεοτόκε σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής, σέ ικετεύομεν, Πρέσβευε Δέσποινα, μετά τών Αναργύρων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Απολυτίκιον  Ήχος γ'
Θείας πίστεως

Λίαν εύφρανας τούς ορθοδόξους, καί κατήσχυνας τούς κακοδόξους, Ευφημία Χριστού καλλιπάρθενε, τής γάρ Τετάρτης Συνόδου εκύρωσας, ά οι Πατέρες καλώς εδογμάτισαν, Μάρτυς ένδοξε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι

ημίν τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Σέ τήν μεσιτεύσασαν τήν σωτηρίαν τού γένους ημών, ανυμνούμεν Θεοτόκε Παρθένε, εν τή σαρκί γάρ τή εκ σού προσληφθείση, ο Υιός σου καί Θεός ημών, τό διά Σταυρού καταδεξάμενος πάθος, ελυτρώσατο ημάς, εκ φθοράς ως φιλάνθρωπος.

## Ε ΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος α'

Τόν τάφον σου Σωτήρ

Η νύμφη καί αμνάς, τετρωμένη τώ πόθω, Χριστέ τού εαυτής, ουρανίου νυμφίου, οπίσω σου έδραμε, τήν λαμπάδα κατέχουσα, τήν δι' έλαιον, τών αρετών ανημμένην. Ταύτης άπαντας, ρύσαι παντοίων κινδύνων, πρεσβείαις ως εύσπλαγχνος.

Θεοτοκίον

Ελπίς Χριστιανών, Παναγία Παρθένε, όν έτεκες Θεόν, υπέρ νούν τε καί λόγον, απαύστως ικέτευε, σύν ταίς άνω Δυνάμεσι, δούναι άφεσιν, αμαρτιών ημίν πάσι, καί διόρθωσιν, βίου τοίς πίστει καί πόθω αεί σε δοξάζουσι.

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος δ'

Κατεπλάγη Ιωσήφ

Κατησχύνθησαν αισχρώς, αιρετιζόντων η πληθύς, καί τά πρόσωπα αυτών, ύβρεως πέπλησται πολλής, ότε εώρων ποσί σου κατερριμμένον, τόν Τόμον εαυτών, τόν δέ ημέτερον, τιμίαις σου χερσί, κατεχόμενον, κατηγορούντα άνοιαν ενδίκως, τών κακοδόξων, καί κράζοντα, Χριστός ετέχθη, διπλούς τή φύσει, διπλούς δέ καί ταίς θελήσεσι.

Θεοτοκίον

Κατεπλάγη, Ιωσήφ, τό υπέρ φύσιν θεωρών, καί ελάμβανεν εις νούν, τόν επί πόκον υετόν, εν τή ασπόρω συλλήψει σου Θεοτόκε, βάτον εν πυρί, ακατάφλεκτον, ράβδον Ααρών τήν βλαστήσασαν, καί μαρτυρών ο μνήστωρ σου καί φύλαξ, τοίς ιερεύσιν εκραύγαζε, Παρθένος τίκτει, καί μετά τόκον, πάλιν μένει Παρθένος.

Μετά τόν Πολυέλεον

Κάθισμα Ήχος πλ. δ'

Τό προσταχθέν μυστικώς

Εν τή ευσήμω εορτή τής Πανευφήμου, μετ' εγκωμίων ψαλμικώς πιστών ο δήμος, ευφημήσωμεν πόθω Χριστού τήν παρθένον, δογμάτων γάρ ανεδείχθη τών πατρικών, προστάτις, καί μετά τέλος θαύμα φρικτόν! Ευτυχή καί

Διόσκορον, ελέγξασα τούς κακώς, νοσήσαντας εις δόγμα Χριστού, όν ομνούντες δοξάζομεν.

Θεοτοκίον

Ευχαριστούμέν σοι αεί Θεοτόκε, καί μεγαλύνομεν Αγνή καί προσκυνούμεν ανυμνούντες τόν τόκον σου κεχαριτωμένη, βοώντες ακαταπαύστως, σώσον ημάς, Παρθένε Παντελεήμον, ως αγαθή, καί δαιμόνων εξάρπασον, λογοθεσίου φοβερού, έν ώρα τής ετάσεως, μή αισχυνθώμεν οι δούλοί σου.

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί Αντίφωνον Α'

- Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.
- Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον Ήχος δ'

Υπομένων υπέμεινα τόν Κύριον, καί προσέσχε μοι.
Στίχ. Δίκαιος ως φοίνιξ ανθήσει καί ωσεί κέδρος η εν τώ Λιβάνω πληθυνθήσεται.

Ευαγγέλιον κατά Μάρκον

Τώ καιρώ εκείνω ηκολούθειτώ Ιησού όχλος πολύς, καί συνέθλιβον αυτόν...

Ζήτει Νοεμβ. ΚΕ'

Ο Ν'

Δόξα... Ταίς τής Αθληφόρου...
Καί νύν... Ταίς τής Θεοτοκου...

Στίχ. Ελέησόν με ο Θεός...

Ήχος πλ. β'

Εκ δεξιών τού Σωτήρος, παρέστη η παρθένος καί αθληφόρος καί Μάρτυς, περιβεβλημένη ταίς αρεταίς τό αήττητον, καί πεποικιλμένη ελαίω τής αγνείας, καί τώ αίματι τής αθλήσεως, καί βοώσα πρός αυτόν εν αγαλλιάσει, τήν λαμπάδα κατέχουσα, Εις οσμήν μύρου σου έδραμον, Χριστέ ο Θεός, ότι τέτρωμαι τής σής αγάπης εγώ, μή χωρίσης με νυμφίε επουράνιε, Αυτής ταίς ικεσίαις κατάπεμψον ημίν, παντοδύναμε Σωτήρ τά ελέη σου.

Ο Κανών τής Θεοτόκου.

Υγράν διοδεύσας.

Καί τής Αγίας, ο παρών.

Ωδή α'  Ήχος δ'
Ανοίξω τό στόμα μου

Ανοίξω τό στόμα μου, καί πληρωθήσεται πνεύματος, καί άσω μελώδημα, τή Αθληφόρω Χριστού, καί οφθήσομαι, φαιδρώς ανακηρύττων, τούς πόνους ούς ήνεγκε, καί τά παλαίσματα.

Ιάσεων άφθονα, ημίν προχέεις χαρίσματα, τοίς πίστει προστρέχουσιν, έν τώ ναώ σου Σεμνή, καί αιτούσί σε, εκ βάθους καρδίας, καί πόθω τήν μνήμην σου, πανηγυρίζουσι.

Ναός εχρημάτισας, κατά τόν θείον Απόστολον, εν ώπερ ηυδόκησε, Χριστός ο Κύριος, ενοικήσαί τε, καί εμπεριπατήσαι, ψυχής καθαρότητι, Μάρτυς πολύαθλε.

Θεοτοκίον

Ου κρύπτομεν Δέσποινα, τού σού ελέους τήν άβυσσον, καί βρύσιν τήν άφθονον, τών τεραστίων σου, καί τό πέλαγος, τών ευεργεσιών σου, ών πάσι δι' έλεον πολύν εξέχεας.

Ωδή γ'
Τούς σούς υμνολόγους Θεοτόκε

Ω! πώς εν τώ μέσω τού σταδίου, αθλούσα η Μάρτυς τού Χριστού, τόν τύραννον εξέστησε, δι' άκραν καρτερότητα, ανδρείως γάρ υπήνεγκε, τά τών δεινών κολαστήρια.

Πανεύφημε μάρτυς Ευφημία, ευφήμοις εν άσμασιν αεί, σήν μνήμην σου γεραίρομεν, τήν σήν πλουτούντες λάρνακα, τό λείψανόν σου φέρουσαν, τό ιερόν καί σεβάσμιον.

Ανδρείως κατέβαλες τόν όφιν, τόν μέγαν Σεμνή τόν νοητόν, δυναμωθείσα χάριτι, Πατρός Υιού καί Πνεύματος, τής ασυγχύτου φύσεως, καί τρισηλίου θεότητος.

Θεοτοκίον

Υμνήσωμεν πάντες κατά χρέος, Μαρίαν τήν Δέσποιναν αγνήν, τήν μόνην αειπάρθενον, αύτη γάρ τό κεφάλαιον, τής σωτηρίας γέγονεν, ημών δι' άκραν καθαρότητα.

Κάθισμα  Ήχος δ'
Ο υψωθείς εν τώ Σταυρώ

Τόν νυμφίον σου Χριστόν αγαπήσασα, τήν λαμπάδα σου φαιδρώς ευτρεπίσασα, ταίς αρεταίς διέλαμψας Πανεύφημε, όθεν εισελήλυθας, σύν αυτώ εις τούς γάμους, στέφος τής αθλήσεως, παρ αυτού δεξαμένη. Αλλ' εκ κινδύνων λύτρωσαι ημάς, τούς εκτελούντας εν πίστει τήν μνήμην σου.

Δόξα... Καί νύν... Θεοτοκίον

Τή Θεοτόκω εκτενώς νύν προσδράμωμεν, αμαρτωλοί καί ταπεινοί καί προσπέσωμεν, εν μετανοία κράζοντες εκ βάθους ψυχής, Δέσποινα βοήθησον, εφ' ημίν σπλαγχνισθείσα, σπεύσον απολλύμεθα, υπό πλήθους πταισμάτων, μή αποστρέψης σούς δούλους κενούς, σέ γάρ καί μόνην ελπίδα κεκτήμεθα.

Ήχος δ'

Τήν ανεξιχνίαστον

Όλβον εθησαύρισας τόν αληθή, όν περ σής καί βρώσις ού δύναται, εξαφανίσαι, Καλλιπάρθενε σεμνή, ού γάρ εν γή κατέκρυψας, τοίς δεομένοις δέ εσκόρπισας.

Θάμβους επληρώθησαν καί χαρμονής, όντως τών Πατέρων ο σύλλογος, εν ταίς χερσί σου, καθορώντες ώ Σεμνή, τόν τόμον τόν ορθόδοξον, ενδέ τοίς ποσί τόν αλλότριον.

Ύβρεως επλήσθησαν σφόδρα πολλής, οι περί Διόσκορον άπαντες, καί, Ευτυχέα, οι νοσήσαντες κακώς, ούς επί τέλους ήσχυνας, μάρτυς Ευφημία πανεύφημε.

Θεοτοκίον

Νόες επουρανιοι τό επί σοί, όντως Θεοτόκε μυστήριον, κατανοούντες, εξεπλάγησαν, διό, ιλιγγιώσι Δέσποινα, ύμνον κατ' αξίαν προσφέρειν σοι.

Ωδή ε'

Εξέστη τά συμπαντα

Μερίδα Πανεύφημε, τήν αγαθήν προέκρινας, πάντα παριδούσα τά τού βίου, δόξαν καί πλούτον, ενός γάρ χρεία εστί, μέριμναν καί τύρβην τών πολλών, σύ απεσκοράκισας, τήν Μαρίαν ζηλώσασα.

Ω ξένον τεράστιον! νεκρά μέν εν τώ μνήματι, θαυματα τελεί δ' ώσπερ τίς ζώσα, κρείττονα λίαν ή κατά άνθρωπον, αιμάτων εκβλύζουσα κρουνούς, εις ένδειξιν μείζονα, ότι ζώσιν οι δίκαιοι.

Συνούσα τώ Κτίστη σου, εν ουρανοίς πανεύφημε, έντευξιν ποιού υπέρ τών πίστει, ανευφημούντων τήν θείαν μνήμην σου, μάρτυς Ευφημία τού Χριστού, υπέρ ού τό αίμά σου, ώσπερ θύμα εξέχεας.

Θεοτοκίον

Ανύμφευτε Δέσποινα, τών Προφητών η πρόρρησις, όντως επί σοί πέρας λαωβάνει, καί γάρ συνέλαβες εν τή μήτρα τή σή, τόν Λόγον τόν άναρχον Πατρός, ως ο θείος σύλλογος, τουτωνί προεκήρυξε.

Ωδή ς'

Τήν θείαν ταύτην

Ως άνθος χόρτου η πάνσεμνος, ορώσα Ευφημία ρεόμενα, πάντα τά γήϊνα,

δίκην σκυβάλων κατέπτυσεν, ίνα Χριστόν κερδήση, όνπερ επόθησε.

Καθείλες Κόρη τόν δράκοντα, τόν μέγαν καί πολλά επαιρόμενον, καί κατεβύθισας, εν τοίς κρουνοίς τών αιμάτων σου, τόν καθ' ημών δολίως μηχανευόμενον.

Ορώντες Μάρτυς ως ήδυσμα, εν μέσω σου τό λείψανον κείμενον, τό ιερώτατον, πνευματικώς ευωχούμεθα, αγιασμόν καί ρώσιν απαρυόμενοι.

Θεοτοκίον

Ξενίζεις πάντας τώ τόκω σου, Παρθένε Παναγία Θεόνυμφε, ώ! πώς απείρανδρος, ούσα πρό τόκου γεγέννηκας, καί μετά τόκον πάλιν έμεινας άφθορος.

Κοντάκιον Ήχος β'

Αγώνας εν αθλήσει, αγώνας εν τή πίστει κατεβάλου θερμώς υπέρ Χριστού τού νυμφίου σου, αλλά καί νύν, ως τάς αιρέσεις, καί τών εχθρών τό φρύαγμα, εν τοίς ποσί τών βασιλέων ημών υποταγήναι πρέσβευε διά τής Θεοτόκου, η υπό εξακοσίων τριάκοντα θεοφόρων Πατέρων Όρον λαβούσα, καί φυλάττουσα πανεύφημε.

Ο Οίκος

Τί τών σών αθλημάτων, ή τί τών σών κατορθωμάτων, ή τί τής σής παρθενίας, ή τού βίου τού αμέμπτου σου θαυμάσειέ τις πρότερον; σύ γάρ εύφρανας τόν Πατέρα, ως τώ Υιώ νυμφευθείσα, τώ Πνεύματι τώ Αγίω σαυτήν κατακοσμήσασα, Τίς ικανοί πρός ταύτα, τίς λέγειν νύν ισχύσειεν, όσαι σε περιλάμπουσιν αρεταί μή υποδύουσαι; ως εξ ανατολής γάρ εκ τάφου ανατέλλουσα, παντί φαίνεις, καί ακτινοβολείς εν γή καί θαλάσση, καί επί πάσαν ήπειρον αγιάζεις καί μυρίζεις τά πέρατα, διό Τόμον πεπίστευσαι, υπό εξακοσίων τριάκοντα θεοφόρων Πατέρων Όρον λαβούσα, καί φυλάττουσα Πανεύφημε.

Συναξάριον

Τή ΙΑ' τού αυτού μηνός, Μνήμη τής Αγίας Μεγαλομάρτυρος καί πανευφήμου Ευφημίας.

Στίχοι

- Δίκαζε μάρτυς τοίς όροις, καί κειμένη,
- Κυρούσα πίστιν, ής ενήθλησας πόθω.
- θέσκελον ενδεκάτη Όρον εμπεδοί Ευφημίη.

Τή αυτή ημέρα, Μνήμη τού αγίου μάρτυρος Κινδέου τού πρεσβυτέρου.

Ο όσιος Λέων, ο εν τή μάνδρα, εν ειρήνη τελειούται.

Οι άγιοι μάρτυρες Μαρκιανός καί Μαρτυροκλής ο μέν μαχαίρα, ο δέ τοξευθείς τελειούνται.

Ο όσιος Νικόδημος, ο εν τοίς Ορίοις τής τού Βατοπεδίου Ιεράς μονής ασκήσας, καί διδασκαλος τού θείου Γρηγορίου τού Παλαμά χρηματίσας, διά τής κατά Χριστόν φιλοσοφίας εν ειρήνη τελειούται.

Ων ταίς πρεσβείαις είημεν άπαντες περιφρουρούμενοι. Αμήν.

Ωδή ζ'

Ουκ ελάτρευσαν

Ράον έφερες, βασάνων τήν δριμύτητα, Μάρτυς πανεύφημε, εν στερροτάτω νοϊ, εξ ύψους λαμβάνουσα θείαν βοήθειαν, όθεν έψαλλες, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Η πανεύφημος, Αμνάς καί καλλιπάρθενος, πάντας εκάλεσε, πρός ευωχίαν αυτής, διό καί ευφράνθητε πανηγυρίζοντες, καί κραυγάσατε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Σύ διήλεγξας, τού Ευτυχούς τήν άνοιαν, τού δυστηχήσαντος, περί το σέβας κακώς, δεινού Διοσκόρου τε Μάρτυς πανεύφημε, αναμέλπουσα, Ο τών Πατέρων Κύριος, καί Θεός ευλογητος εί.

Θεοτοκίον

Ιλεών μοι, τον Υιόν σου Παναμώμητε, ποίησον δέομαι, καί μή παρίδης σεμνή, δεήσεις καί δάκρυα θερμώς προχέοντι, καί κραυγάζοντι, Ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Ωδή η'

Παίδας ευαγείς

Έστης πρό βημάτων Ευφημία, τυράννων παρανομούντων ανδρικώτατα, τόν Χριστόν κηρύττουσα, Θεόν τε καί άνθρωπον, διπλούν εν ταίς θελήσεσιν άμα καί φύσεσι, καί κράζουσα, Υμνείτε τά έργα, καί υπερυψούτε, αυτόν εις τούς αιώνας.

Ύλην γεηράν απεποιήσω, Χριστόν τον νυμφίον σου επιποθήσασα, ούτινος τοίς ίχνεσι, Μάρτυς ηκολούθησας, διό καί συναγάλλη νύν, αυτώ κραυγάζουσα, τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Φρίττω κατά νούν αναλαμβάνων, τούς πόνους σου τούς δεινούς καί τά παλαίσματα, οίς ενεκαρτέρησας, γυναικείω σώματι, διά πολλήν αγάπησιν, Μάρτυς πανεύφημε, Πατρός τε καί Υιού καί τού θείου, Πνεύματος τού μόνου, Θεού τρισυποστάτου.

Θεοτοκίον

Όρμος γαληνός μόνη εδείχθης, Παρθένε χειμαζομένων καί προσφύγιον, ένθα καταφεύγοντες, οι κλυδωνιζόμενοι, εν τώ τού βίου κλύδωνι περισωζόμεθα, διό σε κατά χρέος υμνούμεν, καί δοξολογούμεν, εις πάντας τούς αιώνας.

Ωδή θ'
Άπας γηγενής

Νούς ουκ εξαρκεί, καί λόγος ανθρώπινος εκδιηγήσασθαι, τάς υπερφυείς τιμάς, καί δόξας Μάρτυς άσπερ απείληφας, συμβασιλεύειν άληκτα Χριστώ πανεύφημε, κατ' αξίαν, άθλων δέ κεκλήρωσαι, ακηράτου τρυφής απολαύουσα.

Μύρω νοητώ, εχρίσθης Πανεύφημε του θείου Πνεύματος, καί μυρίζεις πάντοτε, τών προσιόντων σοι μετά πίστεως, ψυχάς ομού καί σώματα, καί πάσαν αίσθησιν, δι' ής πόρρω, αποσκορακίζεται, ο δυσώδης εχθρός καί παμπόνηρος.

Ιεροπρεπώς, τήν σήν αξιάγαστον πανηγυρίζομεν, καί φαιδράν πανήγυριν, εν τώ πανσέπτωναώσου σήμερον, εν ώπερ συνηθροίσθημεν, χειραγωγία πολλή, τού ποιμένος, τού καλού πανεύφημε, υπέρ ού εκδυσώπει τόν Κύριον.

Άναρχε Τριάς, τούς θεολογούντάς σε σκέπε καί φύλαττε, έχεις γάρ πρεσβεύουσαν, περί τήν δόξαν τής σής λαμπρότητος, μετά Μαρτύρων πάντοτε, τήν καλλιπάρθενον, Ευφημίαν ήσπερ τά μνημόσυνα, εκτελούντες πιστώς ευφραινόμεθα.

Θεοτοκίον

Φωνήν σοι αγνή, προσάγομεν Δέσποινα, πόθω βοώντές σοι, Χαίρε θρόνε πύρινε, υψίστου χαίρε Θεού παλάτιον, ό ο Δαυϊδ προέγραψεν, όρος πιώτατον, Αποστόλων, χαίρε η ευπρέπεια, καί ημών τών ψυχών τό διάσωσμα.

Εξαποστειλάριον
Επεσκέψατο ημάς

Καί θανούσα ζωηρόν, αιμάτων μύρον έβλυσας, ως εν Θεώ ζώντι ζώσα, καί τών δογμάτων τού Χριστού, τάς πλάκας ταίς αγκάλαις σου, Ευφημία κατέχεις, διό ευφημούμέν σε.

Θεοτοκίον

Ο Θεός ημών Αγνή, καταφυγήν καί δύναμιν, καί βοηθον σε παρέσχεν, εν ταίς θλίψεσιν ημών, καί εν ταίς περιστάσεσι, πάντας ούν ημάς ρύσαι, εκ τών αναγκών ημών.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια γ', δευτερούντες τό α'.

Ήχος πλ. α'
Χαίροις ασκητικών αληθώς

Χαίροις παρθενομάρτυς Χριστού, η εξ Εώας ωσαστήρ ανατείλασα, καί πάσαν τήν οικουμένην φωταγωγούσα φαιδρώς, ψυχής διαυγεία καί φαιδρότητι, δι' ής θείον θέσπισμα, τών Πατέρων κεκύρωται, καί κατηργήθη, Ευτυχούς γλώσσα βλάσφημος Διοσκόρου τε, τού δεινού καί παράφρονος, Χαίροις η

αποστάζουσα, κρουνούς τών αιμάτων σου, καθαρτικούς μολυσμάτων, εκ τών αγίων λειψάνων σου, Χριστού τή δυνάμει, τού παρέχοντος τώ κόσμω, τό μέγα έλεος. (Δίς)

Δεύτε τής Αθλοφόρου Χριστού, μετ' εγκωμίων τελουμένην πανήγυριν, ορώντες συνευφρανθώμεν, πνευματικώς εν χαρά, καί πανευφροσύνως εορτάσωμεν, αυτή γάρ κατέβαλε, τό αγέρωχον φρόνημα, τών τυραννούντων, τή δυνάμει τού Πνεύματος, όθεν ήρατο, κατ' αυτών μέγα τρόπαιον, Ταύτην γούν ευφημήσωμεν, ευφήμοις εν άσμασι, τήν καλλιπάρθενον κόρην, τής ευφημίας φερώνυμον, Χριστόν δυσωπούντες, τού δωρήσασθαι τώ κόσμω, τό μέγα έλεος.

Όρους παραλαβούσα σεμνή, ένδον τού τάφου, ευσεβών κακοδόξων τε, κατείχες εν ταίς χερσί σου, όν οι Πατέρες καλώς, άνωθεν πνευσθέντες συνεξέθεντο, τόν δέ κατεπάτησας, ως ψευδή καί αντίθεον, τών κακοδόξων, ούς εις τέλος κατήσχυνας, όθεν άπαντες, ευσεβώς ευφημούμέν σε, χαίροντες εν τή μνήμη σου, ούς μάρτυς ο πρόεδρος, ο Ιερός Βυζαντίων, επισυνήγαγε σήμερον, διό τόν Σωτήρα, εκδυσώπησον δοθήναι, τό μέγα έλεος.

Δόξα... Ήχος πλ. δ'

Πάσα γλώσσα κινείσθω πρός ευφημίαν, τής πανευφήμου Ευφημίας, άπαν γένος καί ηλικία πάσα, νεανίσκοι καί παρθένοι, τήν Χριστού παρθενομάρτυρα, εγκωμίοις καταστέψωμεν, νομίμως γάρ ανδρισαμένη, καί τό χαύνον τού θήλεος απορρίψασα, δι' αθλητικών πόνων, τόν τύρανον εχθρόν καταβέβληκεν, ουρανίω δέ καί θείω στέφει κοσμηθείσα, αιτείται τω νυμφίω καί Θεώ, δωρηθήναι ημίν τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Ήχος πλ. δ’

Δέσποινα πρόσδεξαι, τάς δεήσεις τών δούλων σου, καί λύτρωσαι ημάς, από πάσης ανάγκης καί θλίψεως.

Δοξολογία μεγάλη καί Απόλυσις

Εις τήν Λειτουργίαν, τά Τυπικά, καί εκ τού Κανόνος η γ' καί ς' Ωδή.

Ο Απόστολος

Αδελφοί, συνεργούντες παρακαλούμεν...

Ζήτει τή δεκάτη έκτη Κυριακή

Ευαγγέλιον κατά Λουκάν

Τώ καιρώ εκείνω, ηρώτα τις τών Φαρισαίων τόν Ιησούν, ίνα φάγη μετ' αυτού...

Ζήτει τή Δευτέρα τής Δ' Εβδομάδος

Κοινωνικόν

Εις μνημόσυνον αιώνιον έσται Δίκαιος. Αλληλούια.

Αρχή

**ΤΗ ΙΒ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τών Αγίων Πατέρων Πρόκλου καί Ιλαρίου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'
Τών ουρανίων ταγμάτων

Πολυειδέσι βασάνοις εγκαρτερήσαντες, φωτοειδείς στεφάνους, εκομίσασθε άμφω, Ιλάριε καί Πρόκλε, όθεν υμών, τήν πανέορτον μνήμην πιστώς, επιτελούμεν δεόμενοι εκτενώς, τού πρεσβεύειν υπέρ πάντων ημών.

Τούς σπαραγμούς τής σαρκός σου Πρόκλε υπήνεγκας, τήν δι' αιώνος λήξιν, προορώμενος μάκαρ, καί τήν τού Παραδείσου διαγωγήν, καί τό φώς τό ανέσπερον, εν ώ υπάρχων ικέτευε καί ημάς, φωτισθήναι τους τιμώντάς σε.

Καθάπερ δύο φωστήρες κόσμον φωτίζετε, τή τών θαυμάτων αίγλη, αθλοφόροι Κυρίου, Ιλάριε καί Πρόκλε, τόν σκοτασμόν, τών παθών εκδιώκοντες, όθεν ημάς ανυμνούμεν περιχαρώς, εορτάζοντες τήν μνήμην υμών.

Δόξα... Καί νύν... Θεοτοκίον

Θεομακάριστε Κόρη τάς ικεσίας ημών, ως ευμενής προστάτις, τών πιστών Θεοτόκε, προσάγουσα τώ Κτίστη, τόν ιλασμόν, διαμείβου τοίς δούλοις σου, ως παντελής σωτηρία καί ιλασμός, τών ψυχών ημων Θεόνυμφε.

Η Σταυροθεοτοκίον

Εν τώ Σταυρώ παρεστώσα τού σού Υιού καί Θεού, καί τήν μακροθυμίαν, τούτου αποσκοπούσα, έλεγες θρηνούσα, Μήτερ αγνή, Οίμοι! τέκνον γλυκύτατον, τί ταύτα πάσχεις αδίκως Λόγε Θεού, ίνα σώσης τό ανθρώπινον.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, οι Κανόνες τής Οκτωήχου, καί τών Αγίων, ού η Ακροστιχίς.

Σεπτοίς Αθληταίς σεπτόν εισφέρω μέλος. Ιωσήφ.

Ωδή α' Ήχος δ'
Τριστάτας κραταιούς

Συνόντες τώ Θεώ, καί ταίς θείαις ακτίσι, πυρσευόμενοι αεί, γενναίοι Αθληταί, τήν ψυχήν μου φωτίσατε, μέλποντος τήν φωτοφόρον, καί σεπτήν υμών άθλησιν, κατανύξει καρδίας μακάριοι.

Επτέρωσεν υμάς, ο ουράνιος πόθος, όθεν πάντα τά τερπνά, τού βίου Αθληταί, ελογίσασθε σκύβαλα, νεύσεσι ταίς πρός τό θείον, θεωθέντες καί άπασαν, τών αθέων ισχύν ταπεινώσαντες.

Πυρί θεαρχικής, αναφθέντες Τριάδος, δυσσεβείας τήν πυράν, εσβέσατε Σοφοί, τών αιμάτων τοίς ρεύμασιν, όθεν ταίς τών ιαμάτων, καθαραίς επομβρήσεσι, τών παθών ημών ρύπον εκπλύνατε.

Τήν άλυπον ζωήν, τήν ουράνιον δόξαν, Παραδείσου τήν τρυφήν, τό φώς τό νοητόν, τήν τερπνήν αγαλλίασιν, Μάρτυρες επιζητούντες, τών δεινών υπηνέγκατε, τρικυμίαν γενναίω φρονήματι.

Ουράνιοι χοροί, τήν υμών καρτερίαν, κατεπλάγησαν σοφοί, αικίσεις γάρ σαρκός, καί πολύπλοκα βάσανα, Μάρτυρες γενναιοφρόνως, υπηνέγκατε χαίροντες, καί εχθρού τήν κακίαν συντρίβοντες.

Θεοτοκίον

Ιόν τών ακοών, τής προμήτορος Εύας, Γαβριήλ σοι προσφωνών, τό Χαίρε αληθώς, εξετίναξε Δέσποινα, μόνη γάρ τόν αναιρέτην, τής κακίας τού όφεως, υπέρ νούν τε καί λόγον εκύησας.

## Ωδή γ'

Ουκ εν σοφία, καί δυνάμει

Σοφία λόγον, θεϊκών τούς ασόφους διήλεγξας, καί στρεβλώσεις τής σαρκός, ισχύϊ Πνεύματος ήνεγκας, Πρόκλε παμμακάριστε, μάρτυς θεόπνευστε.

Αναρτηθέντα, ωμοτάτους κελεύει σε ξέεσθαι, ο παράφρων πρός Θεόν, ψυχής τά όμματα τείνοντα, καί τή καρτερία σου, καλλωπιζόμενον.

Θλάσιν ανδρείως, τών μελών καθυπέμεινας πάνσοφε, αίματι δέ τήν πυράν, τής ασεβείας απέσβεσας, Πρόκλε δυναμούμενος, τή θεία χάριτι.

Θεοτοκίον

Λύσον Παρθένε, τόν δεσμόν τών κακών μου συνδέουσα, τή στοργή με τού εκ σού, τεχθέντος Λόγου πανάμωμε, καί σώσόν με Δέσποινα, ταίς ικεσίαις σου.

Ο Ειρμός

«Ουκ εν σοφία, καί δυνάμει καί πλούτω καυχώμεθα, αλλ' εν σοί τή τού Πατρός, ενυποστάτω σοφία Χριστέ, ου γάρ εστιν Άγιος, πλήν σου φιλάνθρωπε».

## Κάθισμα Ήχος α'

Τόν τάφον σου Σωτήρ

Ιλάριον πιστοί, καί τόν ένδοξον Πρόκλον, αθλήσαντας στερρώς, καί εχθρόν καθελόντας, συμφώνως τιμήσωμεν, τόν Χριστόν μεγαλύνοντες, ούτοι θαύμασι, τών παθημάτων τό σκότος, εκδιώκουσι, φωταγωγούντες τούς πίστει, αυτοίς προσπελάζοντας.

Θεοτοκίον

Ελπίς Χριστιανών, Παναγία Παρθένε, όν έτεκες Θεόν, υπέρ νούν τε καί λόγον, απαύστως ικέτευε, σύν ταίς άνω Δυνάμεσι, δούναι άφεσιν αμαρτιών ημίν πάσι, καί διόρθωσιν, βίου τοίς πίστει καί πόθω, αεί σε δοξάζουσιν.

Η Σταυροθεοτοκίον

Η άσπιλος αμνάς, τόν αμνόν καί ποιμένα, κρεμάμενον νεκρόν, επί ξύλου ορώσα, θρηνούσα εφθέγγετο, μητρικώς ολολύζουσα, Πώς ενέγκω σου, τήν υπέρ λόγον Υιέ μου, συγκατάβασιν, καί τά εκούσια πάθη, Θεέ υπεράγαθε;

Ωδή δ'

Ο καθήμενος εν δόξη

Η κολούθει σού τοίς λόγοις, τό τού πράγματος βέβαιον, ο γάρ αιμοβόρος, είργετο προβαίνειν τοίς έμπροσθεν, έως Χριστόν τόν τών όλων μόνον Κύριον, ωμολόγησε, Πρόκλε Θεόν υπεράγαθον.

Τεταμένος σύ τώ ξύλω, καί ιμάσι πεδούμενος, καί ποικιλοτρόπως, Μάρτυς ταίς αικίαις βαλλόμενος, θεοίς αψύχοις τό σέβας ου προσένειμας, εν Κυρίω Θεώ σου, σαφώς δυναμούμενος.

Αηττήτω παρρησία, καί γενναίω φρονήματι, αθλοφόρε Πρόκλε, έστης πρό βημάτων τήν σάρκωσιν, διαπρυσίως κηρύττων τού κενώσαντος, εαυτόν μέχρι δούλου, μορφής Λυτρωτού ημών.

Ιταμός μέν ο διώκτης, τοίς σοφοίς επεδείκνυε, τών βασάνων είδη, καί τόν βιαιότατον θάνατον, ακαταπλήκτους δέ βλέπων καταπλήττετο, καί τήν ήτταν ορών εαυτού εμωραίνετο.

Θεοτοκίον

Συντριβέν τή παραβάσει, τών χειρών σου τό ποίημα, κατοικτείρων Λόγε, μήτραν απειρόγαμον ώκησας, καί εν δυσί ταίς ουσίαις προελήλυθας, αφθαρσίας καινίζων, οδούς τοίς ειδόσι σε.

Ωδή ε'

Σύ Κύριέ μου φώς

Σύ Κύριε Ισχύς, τών Μαρτύρων καί στήριγμα, σύ Άγιε τοίς Αγίοις, αδιάσειστον τείχος, αθλούσι προθυμότατα.

Ερωτι θεϊκώ, τήν ψυχήν πυρακτούμενος, υπέφερες ταίς λαμπάσι, φλογιζόμενος Πρόκλε, παμμάκαρ αξιάγαστε.

Πύρ μονον δειλιώ, τό αιώνιον έκραζες, φλεγόμενος μάρτυς Πρόκλε, προσταγαίς τού τυράννου, καί γνώμη θανατούμενος.

Θεοτοκίον

Τίς δύναται τό σόν, ερμηνεύσαι μυστήριον, ώ Δέσποινα Θεοτόκε; τόν γάρ Κτίστην τών όλων, αφράστως εσωμάτωσας.

Ωδή ς'

## Ήλθον εις τά βάθη

Ού πύρ οθδέ μάστιγες ου θήρες, ουδέ θανάτου πείρα, γενναιότατοι υμάς χωρίσαι, τής τού Θεού καθαράς αμώμου τε, αγαπήσεως κατίσχυσε.

Νόμοις εγκωμίων ου δουλεύει, η τών Μαρτύρων όντως, μέχρι αίματος ανδραγαθία, μόνος αυτους, ο δοξάζων Κύριος, μεγαλύνειως θεράποντας.

Ευπλόως τό πέλαγος περώντες, τών χαλεπών βασάνων, προσωρμίσθητε πρός θείον όρμον, τής εν Χριστώ, αθλοφόροι Μάρτυρες, αϊδίου απολαύσεως.

## Θεοτοκίον

Ιδού η Παρθένος ανεβόα, ο Ησαϊας πάλαι, βουλής Άγγελον μεγάλης τίκτει, Εμμανουήλ, τόν Θεόν καί Κύριον, καί Σωτήρα τών ψυχών ημών.

## Ο Ειρμός

«Ήλθον εις τά βάθη τής θαλάσσης, καί κατεπόντισέ με, καταιγίς πολλών αμαρτημάτων, αλλ' ως Θεός, εκ φθοράς ανάγαγε, τήν ζωήν μου πολυέλεε».

## Συναξάριον

Τή ΙΒ' τού αυτού μηνός, Μνήμη τών Αγίων μαρτύρων Πρόκλου καί Ιλαρίου.

## Στίχοι

- Ήνεγκε γυμνός πυκνά ο Πρόκλος βέλη.
- Ξίφει δέ Ιλάριος ετμήθη κάραν.
- Δωδεκάτη βέλος είλε Πρόκλον, ξίφος Ιλάριόν τε.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Μιχαήλ τού Μαλεϊνου, ός εχρημάτισε Πατήρ πνευματικός τού Αγίου Αθανασίου τού εν τώ Άθω.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου μάρτυρος Σεραπίωνος, καί τών Αγίων μαρτύρων Ανδρέου τού στρατηλάτου, Ηρακλείου, Φαύστου, Μηνά, καί τής συνοδείας αυτών, καί τού Αγίου μάρτυρος Μάμαντος, πέραν εν τώ Σίγματι.

Η αγία Βερονίκη η αιμορροούσα, ήν Ιάσατο ο Χριστός, εν ειρήνή τελειούται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

## Ωδή ζ'

## Αβραμιαίοι ποτέ

Σώματα τοίς αικισμοίς, εκδεδωκότες πόθω, τού σαρκωθέντος Λόγου Μάρτυρες, πρός τούτου τόν στέφανον, τόν τής δικαιοσύνης εδέξασθε εικότως.

Φωτί τώ θείω τόν νούν, πεφωτισμένοι πίστει, βασανων σκότος παρεδράμετε, βοώντες πανεύφημοι, ο τών Πατέρων ημών Θεός ευλογητός εί.

Έρρει χειλέων τών σών, μελισταγών λογίων, παμμάκαρ Πρόκλε θείον ίαμα, ποτίζον τούς μέλποντας, ο τών Πατέρων ημών Θεός ευλογητός εί.

Ρώμη τή θεία τόν νούν, οχυρωθείς βασάνων, πικράς ιδέας εκαρτέρησας, κραυγάζων Ιλάριε, ο τών Πατέρων ημων Θεός ευλογητός εί.

Θεοτοκίον

Ως τών κτισμάτων Αγνή, αγιωτέρα κύεις, τόν πάντων Κτίστην διαμένουσα, Παρθένος αμίαντος, ευλογημένη αεί, Μήτηρ δεδοξασμένη.

## Ωδή η'

### Λυτρωτά τού παντός

Μετά πλείστας βασάνους τοξεύμασιν, ανημέροις εχθρός σε προδίδωσιν, υφ' ών κατατεμνόμενος, παναοίδιμε Πρόκλε, χαίρων εις χείρας, τού Θεού εναπέθου τό πνεύμά σου.

Επληγώθη τό τίμιον σώμά σου, ανενδότοις τοξεύμασιν Άγιε, καί ανιάτως έπληξε, δυσμενείς ασωμάτους μή μελωδούντας, Ευλογείτε τά έργα τόν Κύριον.

Λαμπρυνόμενος αίγλη τής χάριτος, ώσπερ λίθος εν γή κυλιόμενος, συνέτριψας Ιλάριε, οχυρώματα πλάνης μέλπων συντόνως, Ευλογείτε υμνείτε τόν Κύριον.

Οι κρουνοί τών αιμάτων σου ρεύσαντες, ασεβείας τό πύρ εναπέσβεσαν, τούς δέ πιστούς κατήρδευσαν, μελωδούντας απαύστως, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον.

Θεοτοκίον

Σαρκωθείς εξ αχράντων αιμάτων σου, ο Θεός ο ποιήσας καί πλάσας με, Θεοκυήτορ Δέσποινα, ανεκτήσατο κόσμον ούτω βοώντα, Ευλογείτε υμνείτε τόν Κύριον.

Ο Ειρμός

«Λυτρωτά τού παντός παντοδύνα με, τούς εν μέσω φλογός ευσεβήσαντας, συγκαταβάς εδρόσισας, καί εδίδαξας μέλπειν, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον».

## Ωδή θ'

### Εύα μέν τώ τής παρακοής

Ίδε φωταυγής καί Ιερά καί εύσημος, τών Μάρτύρων μνήμη έλαμψε, πάσαν τήν γήν φωταγωγούσα, τόν ζόφον τής κακίας εξαίρουσα, καί νέφη τών ψυχών απελαύνουσα, καί ιαμάτων χάριν βρύουσα.

Ως δύο μαζοί πνευματικοί προχέετε, ιαμάτων γάλα Αγιοι, πάσαν εκτρέφοντες καρδίαν, πικρίαν νοσημάτων διώκοντες, καί πάθη χαλεπά θεραπεύοντες, όθεν αξίως μακαρίζεσθε.

Σταγόσιν αιμάτων Αθληταί φοινίξαντες, αλουργίδα παναοίδιμοι, ταύτην ωραίως τε φορούντες, Χριστώ συμβασιλεύετε πάντοτε, τώ μόνω Βασιλεί καί Θεώ ημών, υπέρ τού κόσμου ικετεύοντες.

Η γή επευλόγηται υμών τοίς αίμασι, καί λειψάνων καταθέσεσι, τών πρωτοτόκων δ' Εκκλησία, τοίς πνεύμασιν ενθέως φαιδρύνεται, εν ή μετά Μαρτύρων ως Μάρτυρες, υπέρ τού κόσμου ικετεύσατε.

Θεοτοκίον

Φωτός οικητήριον αγνή γεγένησαι, Παναγία Μητροπάρθενε, τού διά σου επιφανέντος, εν ύλη ορωμένη τού σώματος, καί πάντας τούς εν σκότει φωτίσαντος, όθεν σε πίστει μακαρίζομεν.

Ο Ειρμός

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, συ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν».

Καί η λοιπή, Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΓ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Η Σύναξις τού Αρχαγγέλου Γαβριήλ, καί τού Οσίου Πατρός ημών Στεφάνου τού Σαββαϊτου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά προσόμοια αμφοτέρων ανά γ'.

Στιχηρά τού Αρχαγγέλου

Ήχος α'

Πανεύφημοι Μάρτυρες

Γαβριήλ ο μέγιστος ο νούς, ο θεοειδέστατος, ο φωταυγής καί σωτήριος, φώς το τρισήλιον, καθορά καί μέλπει, σύν ταίς άνω τάξεσι, το θείον καί φρικώδες μελώδημα, καθικετεύει τε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Τό μέγα μυστήριον τό πρίν, τοίς Αγγέλοις άγνωστον, καί πρό αιώνων τηρούμενον, μόνος πεπίστευσαι, Γαβριήλ καί τούτο, τή μόνη τεθάρρηκας, Αγνη εις Ναζαρέτ αφικόμενος, μεθ' ής ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί το μέγα έλεος.

Φωτός ών ανάπλεως αεί, καί ποιών το θέλημα, καί εκτελών τά προστάγματα, τού Παντοκράτορος, αρχηγέ Αγγέλων, Γαβριήλ πανάριστε, τούς πόθω σε τιμώντας περίσωζε, αεί αιτούμενος, δωρηθήναι ταίς ψυχαίς ημών, τήν

ειρήνην, καί τό μέγα έλεος.

## Στιχηρά τού Οσίου

### Ήχος πλ. δ'
### Ώ τού παραδόξου

Πάτερ θεοφόρε Στέφανε, θεία φρονήσει τόν νούν, οχυρώσας λαμπρότατα, τόν θυμόν ανδρεία τε, σωφροσύνη τήν έφεσιν, δικαιοσύνη άπασαν δύναμιν, ψυχής ιθύνας φιλοσοφώτατα, άρμα τερπνότατον, αρετών συνήρμοσας, ού επιβάς, χαίρων ανελήλυθας, πρός ύψος ένδοξε.

Πάτερ θεηγόρε Στέφανε, θεολογία τόν νούν, κατελάμπρυνας Όσιε, δορυφόρον οιά περ, τόν θυμόν προτεινόμενος, κατά βλασφήμων μάκαρ αιρέσεων, επιθυμία τρυφής τής άνωθεν, ής κατηξίωσε, μετασχείν θεσπέσιε, παρεστηκώς, θρόνω τού Παντάνακτος, καί Παντοκράτορος.

Πάτερ θεορρήμον Στέφανε, δι' εγκρατείας τόν νούν, πιεζόμενος πάντοθεν, πρός τό πρώτον αίτιον, ανατρέχειν ανέπεισας, καί κατευνάσας, κόσμου τον τάραχον, καί τούς θορύβους αποσεισάμενος, νού καθαρότητι, συνεκράθης πάντοτε, πρός εφετών, όντως τό ακρότατον, θεόφρον Όσιε.

## Τής Αγίας Μάρτυρος

### Ήχος πλ. δ'
### Ώ τού παραδόξου θαύματος

Άστρον ημίν φαεινότατον, εκ τής Περσίδος σεμνή, Γολινδούχ εξανέτειλας, αρετών λαμπρότησι, καί τών άθλων φαιδρότησι, τήν οικουμένην, περιαυγάζουσα, καί αθεΐας νύκτα διώκουσα όθεν τήν μνήμην σου, τήν φωσφόρον σήμερον, περιχαρώς, πίστει εορτάζοντες, υμνολογούμέν σε.

Θείαις σεμνή εισηγήσεσιν, έγνως Χριστόν τόν Θεόν, τοίς εν γή ενδημήσαντα, καί τής διανοίας σου, φωτισθείσα τά όμματα, πρός πάσαν πάλνη, τομώς εχώρησας, τών αοράτων, εχθρών καί ώλεσας, τούτων τό φρύαγμα, όθεν διαδήμασι, νικητικοίς, έστεψέ σε Κύριος, ο υπεράγαθος.

Άπληγον τόν νούν ετήρησας, εν τώ πληγαίς ομιλείν, καί χρονίαις καθείρξεσιν, Αθληφόρε ένδοξε, κατωτάτω εν λάκκω δέ, απορριφείσα, ημέραις πλείοσι, τροφήν ετρέφου, μή διαρρέουσαν, δράκοντα δόλιον, κεκτημένη σύνοικον, εκ τής αυτού, βλάβης ανενόχλητος, Μάρτυς προσμείνασα.

### Δόξα... Ήχος πλ. β'

Συγχάρητε ημίν άπασαι αι τών Αγγέλων ταξιαρχίαι, ο πρωτοστάτης γάρ υμών, καί ημέτερος προστάτης, ο μέγας Αρχιστράτηγος, τήν σήμερον ημέραν, εν τώ σεπτώ αυτού τεμένει, παραδόξως εποπτανόμενος αγιάζει,

Όθεν κατά χρέος ανυμνούντες αυτόν βοήσωμεν, Σκέπασον ημάς εν τή σκέπη τών πτερύγων σου, μέγιστε Γαβριήλ Αρχάγγελε.

Καί νύν... Θεοτοκίον

Ουδείς προστέχων επί σοί, κατησχυμμένος από σού εκπορεύεται, αγνή Παρθένε Θεοτόκε, αλλ' αιτείται τήν χάριν, καί λαμβάνει τό δώρημα, πρός τό συμφέρον τής αιτήσεως.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια τού Αρχαγγέλου.

Ήχος δ'

Έδωκας σημείωσιν

Νούς ο προαιώνιος, φώς υπεστήσατο δεύτερον, Γαβριήλ σε μεθέξεσιν, ενθέοις φωτίζοντα, πάσαν οικουμένην, καί τό απ' αιώνος, ανακαλύπτοντα ημίν, θείον καί μέγα όντως μυστήριον, εν μήτρα σωματούμενον, παρθενική τόν ασώματον, καί γενόμενον άνθρωπον, εις τό σώσαι τόν άνθρωπον.

Στίχ. Ο ποιών τούς Αγγέλους αυτού πνεύματα, καί τούς λειτουργούς αυτού πυρός φλόγα

Θρόνω παριστάμενος, τής τρισηλίου θεότητος, καί πλουσίως λαμπόμενος, ταίς θείαις λαμπρότησι, ταίς εκπεμπομέναις, απαύστως εκείθεν, τούς επί γής χαρμονικώς, χοροστατούντας καί ευφημούντάς σε, παθών αχλύος λύτρωσαι, καί φωτισμώ καταλάμπρυνον, Γαβριήλ Αρχιστράτηγε, πρεσβευτά τών ψυχών ημών.

Στίχ. Ευλόγει η ψυχή μου, τόν Κύριον· Κύριε ο Θεός μου εμεγαλύνθης σφοδρα.

Θραύσον τά φρυάγματα, τών εκ τής Άγαρ τή ποίμνη σου, συνεχώς επερχόμενα, Κόπασον τά σχίσματα, τά τής Έκκλησίας, Πράϋνον τόν σάλον, τών αμετρήτων πειρασμών, Ρύσαι κινδύνων καί περιστάσεων, τούς πόθω σε γεραίροντας, καί σού τή σκέπη προστρέχοντας, Γαβριήλ Αρχιστράτηγε, πρεσβευτά τών ψυχών ημών.

Δόξα... Καί νύν... Ήχος πλ. δ'

Ως Ταξιάρχης καί πρόμαχος, καί τών Αγγέλων αρχηγός Αρχιστράτηγε, πάσης ανάγκης καί θλίψεως, νόσων καί δεινών αμαρτημάτων ελευθέρωσον, τούς ειλικρινώς ανυμνούντας, καί αιτουμένους σε ένδοξε, εναργώς ως άϋλος τόν άϋλον καθορών, καί τώ απροσίτω φωτί τής τού Δεσπότου δόξης κακαταλαμπόμενος, Αυτός γάρ φιλανθρώπως, σάρκα δι' ημάς εκ Παρθένου προσείληφε, σώσαι βουληθείς τό ανθρώπινον.

Απολυτίκιον  Ήχος δ'

Τών Ουρανίων στρατιών Αρχιστράτηγε, δυσωπούμέν σε αεί ημείς οι ανάξιοι, ίνα ταίς σαίς δεήσεσι τειχίσης ημάς, σκέπη τών πτερύγων τής αϋλου σου δόξης, φρουρών ημάς προσπίπτοντας, εκτενώς καί βοώντας, Εκ τών

κινδύνων λύτρωσαι ημάς, ως ταξιάρχης τών άνω Δυνάμεων.

Δόξα... Καί νύν... Θεοτοκίον

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, οι Κανόνες τού Αρχαγγέλου, καί τού Οσίου.

Ο Κανων τού Αρχαγγέλου, ού η Ακροστιχίς.

Ως παμμέγιστον τόν Γαβριήλ αινέσω. Ιωσήφ.

Ωδή α' Ήχος δ'
Ανοίξω τό στόμα μου

Ως φώς χρηματίζοντα, ταίς πρός τό φώς τό άκρότατον, αϋλοις μεθέξεσι, θείον καί άϋλον, ικετεύω σε, Αρχάγγελε τόν νούν μου, φωτίσαι πρεσβείαις σου, όπως υμνήσω σε.

Στησώμεθα σήμερον, χορούς ενθέους γηθόμενοι, τόν πρώτον γεραίροντες, τών ασωμάτων Νοών, τόν τήν άρρητον, χαράν μεμηνυκότα, εν κόσμω φοιτησασαν, δι' αγαθότητα.

Προστάτην σε μέγιστον, καί πρός Θεόν αντιλήπτορα, καί τείχος καί στήριγμα, Γαβριήλ έχοντες, οι ποθούντές σε, ρυόμεθα κινδύνων, καί βλάβης τού όφεως, ανευφημούντές σε.

Θεοτοκίον

Αγνήν σε πανάμωμε, ο Γαβριήλ ως εώρακε, τό Χαίρε σοι Δέσποινα, λαμπρώς εβόησεν, απειρόγαμε, βροτών η σωτηρία, Αγγέλων τό καύχημα, καί σεμνολόγημα.

Ο Κανών τού Οσίου, ού η Ακροστιχίς.

Σοί Στέφανε στέφανόν σοι ομώνυμον οίσομεν ύμνον.
Θεοφάνους.

Ήχος β'
Εν βυθώ κατέστρωσε

Σοί τής σής Παμμάκαρ διδαχής, χρέος προσκομίζοντες, τήν αμοιβήν αποτείνομεν στέφανον, εγκωμίων πλέκοντες, σύ δέ ίλεως δεδεγμένος πανόλβιε, ταίς σαίς ικεσίαις, χάριν μοι παράσχου τήν τού Πνεύματος.

Ολεθρίων όρμημα παθών, Πάτερ κατεμάρανας, ως λογισμόν κεκτημένος θεόφρονα, ευμενής γάρ γέγονας, ευπροσήγορος, προσηνής τε καί κόσμιος, λόγω τής σοφίας, Στέφανε καί γνώσεως στεφόμενος.

Ιερώς εκόσμησας σαυτόν, Πάτερ διά γνώσεως, καί πρακτικής ενεργείας χαρίσματος, θεορρήμον Στέφανε, εφιέμενος, τών στεφάνων τής δόξης Χριστού, όθεν τής ελπίδος, άριστα παμμάκαρ ου διήμαρτες.

Θεοτοκίον

Τών κτισμάτων σύ ως αληθώς, υπερτέρα πέφηνας, τών ορατών καί αοράτων Πάναγνε, τόν γάρ Κτίστην τέτοκας ως ηυδόκησε, σαρκωθήναι εν μήτρα σου, ώ συν παρρησία, πρέσβευε σωθήναι τάς ψυχάς ημών.

Ο Κανών, ού η Ακροστιχίς.

Χαίροις Γολινδούχ, Μάρτυς ωραϊσμένη. Ιωσήφ.

Ωδή α' Ήχος πλ. β'

Ως εν ηπείρω

Χαρμονικώς τώ Δεσπότη εν ουρανώ παρεστώσα ένδοξε καί ταίς θείαις αστραπαίς, λαμπομένη πάντοτε ημάς ευπροσδέκτοις σου ευχαίς, Μάρτυς καταύγασον.

Άποφυγούσα τό σκότος τό περσικον ως αστήρ ανέλαμψας, ευσεβείας φαεινός, καί πολλών εφώτισας ψυχάς επιγνώσει θεϊκή, θεομακάριστε.

Ιχνηλατούσα τό πάθος τού απαθούς, Γολινδούχ πανεύφημε, μαρτυρίου καλλοναίς, σεαυτήν ωράϊσας καί νύν, εις νυμφώνα νοητόν εισήλθες χαίρουσα.

Θεοτοκίον

Ρύπου κακίας τήν φύσιν ο πλαστουργός, τήν ημών βουλόμενος, εκκάθαραι εκ τής σής, καθαράς σεσάρκωται γαστρός, Θεοτόκε, διό πάντες σε δοξάζομεν.

Τού Αρχαγγέλου

Ωδή γ'

Τούς σούς υμνολόγους

Μεθέξει φωτός αϋλοτάτου, ως άϋλος όντως Γαβριήλ, αϋλως φωτιζόμενος, φώς καθοράσαι δεύτερον, τούς υλικούς εκάστοτε, βροτούς φωτίζων υμνούντάς σε.

Μεγίστης ευκλείας ηξιώθης, τό μέγα μυστήριον ημίν, ανακαλύψας μέγιστε, Αγγέλων δι' ού ήρθημεν, οι από γής πρός μέγιστον, ύψος μεγάλως τιμώντές σε.

Επίφανον πάσιν ουρανόθεν, τοίς πόθω ζητούσί σε αεί, καί παύσον τό κλυδώνιον, τό καθ' ημών κινούμενον, τών πειρασμών καί θλίψεων, ώ Γαβριήλ Αρχιστράτηγε.

Θεοτοκίον

Γνωρίζων τό πάλαι κεκρυμμένον, μυστήριον Κόρη σοι ποτέ, ο Γαβριήλ εκραύγαζε, Χαίρε Θεού παλάτιον, εν ώ οικήσας άπαντας, βροτούς θεώσει ως εύσπλαγχνος.

Τού Οσίου

Εξήνθησεν η έρημος

Εξέλαμψεν ο βίος σου, θεοφόρε Στέφανε, ολολαμπής ως ήλιος, εν τώ κόσμω καί κατεφώτισε, τούς σοί πίστει καί πόθω προσανέχοντας.

Φωτίζονται τά πέρατα, διδαχαίς σου Όσιε, ως γάρ φωστήρ εξέλαμψας, θεοφόρε τή Εκκλησία Χριστού, εν ή εστερεώθη η καρδία σου.

Αδούλωτον ετήρησας, τήν ψυχήν σου πάθεσι, καί ηδοναίς τού σώματος, θεοφόρε Στέφανε τίμιε, διό νύν επαξίως ευφημούμέν σε.

Θεοτοκίον

Εφάνης καθαρότητι, ωσεί κρίνον Δέσποινα, τών ακανθών εκλάμψασα, λαμπηδόσι τής παρθενίας σου, εν μέσω Θεοτόκε πανσεβάσμιε.

Ο Ειρμός

«Εξήνθησεν η έρημος, ωσεί κρίνον Κύριε, η τών Εθνών στειρεύουσα, Εκκλησία τή παρουσία σου, εν ή εστερεώθη η καρδία μου».

Τής Αγίας Μάρτυρος

Ωδή γ'

Ουκ έστιν Άγιος ως σύ

Ο νούς σου νεύσει πρός Θεόν, όλως πεφωτισμένος, εμυήθη τά θεία, Γολινδούχ καί ασφαλώς, βεβαιωθείς εν αυτοίς, απιστίας, σκότος απεκρούσατο.

Ισχύν θεμένη τόν Χριστόν, τή θεογενεσία προσεχώρησας Μάρτυς, καί τήν κλήσιν ευσεβώς, ώσπερ τήν πίστιν τήν σήν ενηλλάξω, θείαις επινευσεσι.

Σοφών λογίων Ιεραίς, αναπτύξεσι πίστει, επιμένουσα Μάρτυς, εμυήθης εν αυτοίς, τήν πρός ημάς τού Χριστού παραδόξως, θείαν επιφάνειαν.

Θεοτοκίον

Γνωστώς κατείδομεν Θεόν, σαρκωθέντα Παρθένε, εξ αγνών σου αιμάτων, δι' οίκτον νύν τήν ημών, αναλαβόντα μορφήν, διά τούτο, πίστει σε δοξάζομεν.

Κάθισμα Ήχος α'

Τόν Τάφον σου Σωτήρ

Ο μέγας Γαβριήλ, αρχηγός τών Αγγέλων, δεικνύμενος αεί, συν αυτοίς ανακράζει, τό θείον μελώδημα, τή Τριάδι γηθόμενος, Τούτον άπαντες,

μεγαλοφώνως εν πίστει, ανυμνήσωμεν, καί καθαρά διανοία, αισίως δοξάσωμεν.

Δόξα... Τού Οσίου

Τό αίμά σου σοφέ, μυστικώς ανεβόα, εκ γής πρός τόν Θεόν, ως τού Άβελ θεόφρον, τρανώς γάρ εκήρυξας, τήν Τριάδα τήν άκτιστον, όθεν Όσιε, ποιμαντικώς διαπρέψας, απεδίωξας, τούς τής αιρέσεως λύκους, σφενδόνη τού Πνεύματος.

Καί νύν... Θεοτοκίον

Ανύμφευτε αγνή, Θεοτόκε Παρθένε, η μόνη τών πιστών, προστασία καί σκέπη, κινδύνων καί θλίψεων, καί δεινών περιστάσεων, πάντας λύτρωσαι, τούς επί σοί τάς ελπίδας, Κόρη έχοντας, καί τάς ψυχάς ημών σώσον, ταίς θείαις πρεσβείαις σου.

Τού Αρχαγγέλου

Ωδή δ'

Τήν ανεξιχνίαστον

Ίστατο μεθέξεσι θεαρχικαίς, πάλαι Γαβριήλ αξιάγαστε, καταφαιδρύνων, τόν Προφήτην Δανιήλ, καί εντιθείς τήν δήλωσιν, τών αγνοουμένων εν πνεύματι.

Στόμασι πηλίνοις σε χαρμονικώς, πύρινον τήν φύσιν υπάρχοντα, ανευφημούμεν, εξελού ημάς πυρός, διηνεκώς φλογίζοντος, θείαις Γαβριήλ μεσιτείαις σου.

Τήν υπέρ τόν ήλιον θείαν στολήν, δόξη απροσίτω αστράπτουσαν, ημφιεσμένος, στρατηγέ τών Λειτουργών, τώ Βασιλεί παρίστασαι, τώ επουρανίω γηθόμενος.

Θεοτοκίον

Όλην σε τώ Πνεύματι ο Γαβριήλ, περιηγνισμένην Πανάμωμε, κατανοήσας, εκβοά σοι εμφανώς, Χαίρε αράς η λύτρωσις, καί τών προπατόρων ανάκλησις.

Τού Οσίου

Ελήλυθας, εκ Παρθένου

Σύ Στέφανε, μοναζόντων εγένου στεφανωμα, ως λίθον πολύτιμον, τήν αρετήν περικείμενος, ώφθης γάρ μακάριε, θεοχαρίτωτον όντως εγκαλλώπισμα.

Τήν ένθεον, θεοφόρε σοφίαν τετίμηκας, διό τών χαρίτων σε, αύτη στεφάνοις ελάμπρυνε, δόξαν τήν αιώνιον, σοί προξενήσασα Πάτερ πανσεβάσμιε.

Αμάραντον, ο Δεσπότης Παμμάκαρ σοι στέφανον, ως δίκαιος έπλεξε, τής αρετής αμειβόμενος, Σάββα τού θεόφρονος, σύ μαθητής γάρ εγένου γνησιώτατος.

Θεοτοκίον

Νεκρώσεως τόν καρπόν μοι η Εύα προσήνεγκε, ζωήν δέ γεννήσασα, τήν ενυπόστατον Παναγνε, αύθίς με ανώρθωσας, διό κραυγάζω σοι, Χαίρε αειπάρθενε Δέσποινα.

Τής Αγίας Μάρτυρος

Ωδή δ'

Χριστός μου δύναμις

Οι σοί πανεύφημε, κατευθυνόμενοι, πρός τόν Κύριον βρόχοις τοίς τού εχθρού, πόδες ου κεκώλυνται, υποσκελίζοντες αυτού, τάς πορείας θείω Πνεύματι.

Λυθήναι σπεύδουσα, παθών συγχύσεως καί δολίας απάτης Μάρτυς δεσμοίς, χαίρουσα ωμίλησας, καταδεσμούσα εν αυτοίς, πάσαν πλάνην τού αλάστορος.

Ισχύν σοι δίδωσι, Χριστός ο Κύριος, υπομείναι βασάνους καί πονηράς, στρέβλας αξιάγαστε, δι' ών κατήργησας εχθρού, πάντα Κόρη μηχανήματα.

Θεοτοκίον

Δεσμόν διέλυσας, τής παραβάσεως, τών καλών τόν δοτήρα υπερβολή, τέξασα χρηστότητος, Παρθενομήτορ, οι πιστοί, διά τούτό σε δοξάζομεν.

Τού Αρχαγγέλου

Ωδή ε'

Εξέστη τά σύμπαντα

Νοός κατά μέθεξιν, τού πρώτου φωτιζόμενος, δεύτερον ωράθης φώς κραυγάζων, σύν ταίς απείροις Αγγέλων τάξεσιν, Άγιος Πατήρ ο παντουργός, ο Υιός συνάναρχος, καί τό Πνεύμα τό σύνθρονον.

Τό είδός σου πύρινον, τό κάλλος υπερθαύμαστον, άπασαν διάνοιαν εκπλήττον, μέγα τό κλέος Γαβριήλ μέγιστε, θείων Ασωμάτων αρχηγέ, πάντων εγκαλλώπισμα, τών πιστώς ανυμνούντων σε.

Ο θείος ως ειδέ σε, καιρώ τού θυμιάματος, πάλαι συνεστώτα Ζαχαρίας, μένει κωφεύων, ου γάρ επίστευσε, σού τή αγγελία τή φρικτή, ήπερ εξεφώνησας, Γαβριήλ, Αρχιστράτηγε.

Θεοτοκίον

Ναός αγιάσματος, υπάρχουσα Πανάμωμε, φωνή Γαβριήλ τού Αρχαγγέλου, τόν εν Αγίοις αναπαυόμενον, τέτοκας πανάγιον Θεόν, πάντας αγιάζοντα, καί δεινών εξαιρούμενον.

Τού Οσίου

Μεσίτης Θεού

Ορμήν τών παθών, απαθείας έρωτι, κατέσβεσας, θεοφόρε Στέφανε, καί ταίς θεωρίαις τε καί πράξεσι, κατελάμπρυνας Πάτερ, τήν τής ψυχής κατάστασιν.

Νοϊ καθαρώ, ταίς γραφαίς ωμίλησας τού Πνεύματος, θεορρήμον Στέφανε, καί τής θεωρίας καί τής πράξεως, συνελέξω τόν πλούτον, θεόφρον Πάτερ Όσιε.

Σοφίας βυθόν, ερευνήσας Στέφανε κατέλαβες, ευρείν όσον χρήσιμον, καί τόν μαργαρίτην τόν πολύτιμον, διά πόνων εκτήσω, παμμάκαρ τόν τής γνώσεως.

Θεοτοκίον

Ιδού εν γαστρί, Θεοτόκε πάναγνε Χριστόν τόν Θεόν, υπέρ λόγον έσχηκας, ώσπερ Ησαΐας προηγόρευσεν, υπέρ φύσιν τε τούτον, Θεογεννήτορ τέτοκας.

Τής Αγίας Μάρτυρος

Ωδή ε'

Τώ θείω φέγγει σου Αγαθέ

Οχυρωθείσα τόν λογισμόν, εν οχυρωτάταις φυλακαίς, χρόνον πολύν εκαρτέρησας, φύλαξ δεικνυμένη διαταγμάτων Χριστού, αγλάϊσμα Μαρτύρων, Μάρτυς πανεύφημε.

Υπό Αγγέλου φωτοειδούς, τών περικειμένων σοι δεσμών, απολυθείσα εξέδραμες, πρός αγιωτάτου ανδρός απάντησιν, πρός σέ παρά Κυρίου σταλέντος Ένδοξε.

Χαίρουσα ώκησας σκοτεινόν, λάκκον καί βαθύτατον Σεμνή, ως Δανιήλ ο θαυμάσιος, δράκοντι συνούσα, όστις ηδέσθη σε, Χριστού τών παθημάτων επιγνούς μάρτυρα.

Θεοτοκίον

Μεμολυσμένος τόν λογισμόν, καί ηχρειωμένος ταίς πολλαίς, Μήτηρ Θεού παραβάσεσι, σέ καθικετεύω μόνη αμόλυντε, οικτίραί με καί σώσαι τή μεσιτεία σου.

Τού Αρχαγγέλου

Ωδή ς'

Τήν θείαν ταύτην

Γεώδεις γλώσσαι γεραίρειν σε, τόν νούν τόν φωταυγή καί ουράνιον, ουκ εξισχύουσι, περιφανώς λαμπρυνόμενον, ταίς υπέρ νούν καί λόγον, θείαις λαμπρότησιν.

Ακτίς ηλίου πολύφωτε, πυρίνων Λειτουργών Αρχιστράτηγε, ταίς σελασφόροις σου, πρός τόν Δεσπότην δεήσεσι, τούς υμνητάς σου σκότους, παθών εξάρπασον.

Βουλάς εθνών διασκέδασον, τήν πίστιν τήν ορθόδοξον κράτυνον, παύσον τά

σχίσματα, τής Εκκλησίας Αρχάγγελε, ταίς πρός τόν Κτίστην πάντων, σού παρακλήσεσι.

Θεοτοκίον

Ρημάτων θείων υπήκοος, Αγνή τού Γαβριήλ εχρημάτισας, καί τόν προάναρχον, Λόγον σαρκί απεκύησας, τής αλογίας κόσμον, απολυτρούμενον.

Τού Οσίου

Εν αβύσσω πταισμάτων

Οικουμένης φωστήρ φαεινότατος, Πάτερ αναδέδειξαι λόγων λαμπρότησι, καταφωτίζων Στέφανε, τούς σοί πίστει καί πόθω προστρέχοντας.

Μακαρίως τόν βίον διέδραμες, μύσας τάς αισθήσεις γάρ έξω γεγένησαι, τής κοσμικής συγχύσεως, καί Θεώ προσωμίλησας Στέφανε.

Ως καλός ως ωραίος ο στέφανος, ώ νύν εστεφάνωσαι πάνσοφε Στέφανε, ταίς αρεταίς στεφόμενος, καί παθών βασιλεύσας πανάριστε.

Θεοτοκίον

Υπέρ φύσιν Παρθένε εκύησας, καί διαιωνίζεις Παρθενος εμφαίνουσα, τής αληθούς θεότητος, τού Υιού καί Θεού σου τά σύμβολα.

Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλού εύμενος, τήν ανεξιχνίαστον της σπλαγχνίας σου, επικαλούμαι άβυσσον, Εκ φθοράς ο Θεός με ανάγαγε».

Τής Αγίας Μάρτυρος

Ωδή ς'

Τού βίου τήν θάλασσαν

Απέρριψαν λάκκω σε, κατωτάτω δυσμενείς, εν ώ ημέραις πλείοσι, βρώσιν ουδόλως είληφας εκ χειρός, ανθρώπων, ετρέφου γάρ, θείω άρτω, τόν Κτίστην μεγαλύνουσα.

Ρημάτων υπάρχουσα, φύλαξ Μάρτυς θεϊκών, πολυχρονίαν κάθειρξιν, κατεδικάσθης πάσαις ασκητικαίς, το σώμα συντρίβουσα, αγωγαίς καί τά πάθη υποτάττουσα.

Τελείως ηλόγησας, τής αγίας σου σαρκός, εν τώ ροπάλοις τύπτεσθαι, καί τά οστά συντρίβεσθαι αφειδώς, τοίς λίθοις Πανεύφημε, θεϊκός γάρ σε πόθος επερρώννυεν.

Θεοτοκίον

Υφάνας ο Ύψιστος, εαυτώ περιβολήν, εκ τών αγνών αιμάτων σου, τούς γυμνωθέντας θείαις καταστολαίς, εφαίδρυνεν Άχραντε, διά τούτό σε πόθω μακαρίζομεν.

Κοντάκιον Ήχος δ'
Ο υψωθείς εν τώ Σταυρώ

Τών ασωμάτων Λειτουργών ως πρωτεύων, τό πρό αιώνων ορισθέν όντως μέγα, σύ Γαβριήλ πεπίστευσαι μυστήριον, τόκον τόν απόρρητον, τής Αγίας Παρθένου, Χαίρε προσφωνών αυτή, η κεχαριτωμένη, Χρεωστικώς σε όθεν οι πιστοί, εν ευφροσύνη αεί μακαρίζομεν.

Συναξάριον

Τή ΙΓ' τού αυτού μηνός, η Σύναξις τελείται τού Αρχαγγέλου Γαβριήλ.

Στίχοι

- Τών σών άγαθών ώσπερ ουκ έχω κόρον,
- Ως ουδ' εορτών, Γαβριήλ Άρχων Νόων.
- Τή δεκάτη δέ τρίτη συναγήοχεν ώδε Γαβριήλ.

Τή αυτή ημέρα, Μνήμη τού οσίου Πατρός ημών Στεφάνου τού Σαββαϊτου.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος Γολινδούχ, τής μετονομασθείσης Μαρίας.

Στίχοι

- Σκηνοίς Γολινδούχ εις Εδέμ, σκηναί δε σοι,
- Τό τού Βαλαάμ, ως σκιάζουσαι νάπαι.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τού Αρχαγγέλου

Ωδή ζ'
Ουκ ελάτρευσαν

Ιωάννου τόκον ένδοξε εμήνυσας, τώ Ζαχαρία ποτέ, ένδον τού θείου ναού, εστώτι καί ψάλλοντι, τώ Λυτρωτή καί Θεώ, Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Η περίδοξος τού οίκου σου ευπρέπεια, περιφανώς Γαβριήλ, καθαγιάζει ψυχάς, πιστών καί προτρέπεται, μεγαλοφώνως βοάν, Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Λαμπρυνόμενος μεθέξει Αρχιστράτηγε, πρώτου φωτός μυστικώς, δεύτερον φώς αληθώς, ωράθης τούς μέλποντας, φωτίζων πάντοτε, Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Θεοτοκίον

Απεστάλη Γαβριήλ ο Αρχιστράτηγος, χαράν μηνύων σοι, Παρθενομήτορ αγνή, δι' ής λύπη πέπαυται, καί η αρά αληθώς, απεστείρωται, καί ευλογία ήνθησε, τοίς πιστοίς εις τούς αιώνας.

Τού Οσίου

Αντίθεον πρόσταγμα

Μυρίζουσιν Όσιε, τών σών δογμάτων, οι λόγοι τή χάριτι, τοή Πνεύματος λαμπόμενοι, θεότητα μίαν γαρ, σέβων εν προσώποις τρισί, Λόγου τε τήν σάρκωσιν υμνών, ευωδιάζεις ημάς πανόλβιε.

Ο βίος τώ λόγω σου, συνδραμών Πάτερ, διπλούν σοι τόν στέφανον, παμμάκαρ προεξένησε, σοφίας γάρ όργανον, Πάτερ πανέντιμε, γέγονας τώ Κτίστη σουβοών, Ευλογητός εί καί υπερένδοξος.

Νοός καθαρότητι, καί διανοίας, θεόφρον λαμπρότητι, τόν βίον διελήλυθας, αγνεία τε σώματος, καί παρθενία σεπτή, άριστον ανάθημα φανείς, τώ παντεπόπτη καί παντοκράτορι.

Θεοτοκίον

Ιθύνουσα Πάνσεμνε τόν εμόν βίον, πρός τόν σόν πανεύδιον, λιμένα καθοδήγησον, Θεόν η κυήσασα, τών αγαθών τήν πηγήν, τόν πάσι παρέχοντα πιστοίς, τήν αφθονίαν τής αγαθότητος.

Τής Αγίας Μάρτυρος

Ωδή ζ'

Δροσοβόλον μέν

Σέ γυμνούντες περιέφερον οι άφρονες, παικτικώς πόλιν άπασαν, ορωμένης δέ, ουδαμώς εφρόντισας Σεμνή, αισχύνης, τήν δόξαν τήν εκεί, αποκειμένην γάρ νοός όμμασιν έβλεπες.

Ώσπερ άσαρκος υπήνεγκας τάς μάστιγας, Μάρτυς θεομακάριστε, εδυνάμου γάρ, ο Χριστός σε σάρκα δι' ημάς, φορέσας συνών σοι καί τηρών, τήν σήν καρδίαν Γολινδούχ, άτρεπτον θεία στοργή.

Ρωμαλέως τήν χρονίαν εκαρτέρησα, κάθειρξιν αξιάγαστε, ώσπερ κόσμον δέ, τά κλοιά προσφέρουσα σεπτών, Χριστού παθημάτων κοινωνός, ως καί τής δόξης τής αυτού, Γολινδούχ γέγονας.

Αναγέννησιν κομίζεται δι' ύδατος, καί πνεύματος Πανεύφημε, η τεκούσά σε, νουθεσίαις είξασα ταίς σαίς, Θεού καταυγάσαντος αυτής, αποκαλύψεσι φρικταίς, τόν λογισμόν εμφανώς.

Θεοτοκίον

Ιλαστήριον κεκτήμεθα Πανάμωμε, πρός τόν Θεόν σε πάντοτε, Εξελού, ημάς τών εκεί βασάνων φοβερών, καί λύτρωσαι πάσης απειλής, επιβουλής τέ ορατών, καί αοράτων εχθρών.

Τοή Αρχαγγέλου

Ωδή η'

Παίδας ευαγείς

Ιερολογίαις ιεραίς σε, λαός Ιερός υμνει γηθόμενος, σύ γάρ τόν παναίτιον, Λόγον σωματούμενον, τό καθ' ημάς, Αρχάγγελε, τή εξ ημών προσφωνείς, Παρθένω υπέρ νοήν τε καί λόγον, όθεν σε τιμώμεν, εις πάντας τούς αιώνας.

Νοϊ τώ μεγάλω τε καί πρώτω, αϋλως Αρχάγγελε ενούμενος, στόματι πυρίνω σου, μέλπεις τό μελώδημα, τό φοβερόν ο μέλπουσι, πάντες Αγγέλων χοροί, Τόν Κύριον υμνείτε κραυγάζων, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ευκλείαις σαφώς πεποικιλμένος, ταίς θείαις διέρχη τά ουράνια, είτα τά επίγεια, αποπεραιούμενος, τά Ιερά θελήματα, Χριστού τού πάντων Θεού,, Αγγέλων Γαβριήλ αρχηγέτα, κλέος τών εν πίστει αεί σε ευφημούντων.

Σαρκί καθ' υπόστασιν ο Λόγος, ανθρώποις προσομιλήσαι προελόμενος, έσχε σε προτρέχοντα, καί προασπιζόμενον, τό ιερόν παλάτιον, ώ Ιερέ Γαβριήλ, καί Κύριον υμνείτε βοώντα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Ως θρόνον τερπνόν τού Βασιλέως, ως πάντων τών ποιημάτων υπερέχουσαν, ως τόν υπερούσιον, μόνην ουσιώσασαν, καί τοίς βροτοίς ενώσασαν, ενώσει κρείττονι, γεννήσεως αρρήτου καί ξένης, τήν ευλογημένην, υμνήσωμεν Παρθένον.

Τού Οσίου

Κάμινος ποτέ

Στέφος ευπρεπές, Χριστός ο ζωοδότης, τή κορυφή σου επιτέθεικε, φερώνυμε Στέφανε, τών σών ιδρώτων ένεκα, τών απείρων τε καμάτων σου, ούς χαίρων ηγωνίσω, τώ τούτου πόθω πυρούμενος.

Όλην υπερβάς, τήν αίσθησιν παμμάκαρ, νοϊ τώ πρώτω προσωμίλησας, ψυχής καθαρότητι, πολιτείας τε σεμνότητι, στεφανηφόρε Στέφανε, κράζων, Υπερυψούτε, πάντα τά έργα τόν Κύριον.

Έρωτι σφοδρώ, παμμάκαρ κατιχνεύσας, τού θεοφόρου Σάββα Στέφανε, τόν βίον τόν ένθεον, πολιτείας τε σεμνότητι, εζήλωσας πανεύφημε, γέγονας εκμαγείον, τούτου γάρ όντως πανάριστον.

Θεοτοκίον

Νούς ο απαθής, εν μήτρα σου ενούται, τώ ανθρωπίνω νοϊ Πάναγνε, σαρκός τε παχύτητι, υπό χρόνον τε γενόμενος, αιώνων ο υπέρτερος, όθεν σε Θεοτόκον, πίστει καί πόθω δοξάζομεν.

Ο Ειρμός

«Κάμινος ποτέ, πυρός εν Βαβυλώνι, τάς ενεργείας διεμέριζε, τώ θείω, προστάγματι, τούς Χαλδαιους καταφλέγουσα, τούς δέ πιστούς δροσίζουσα,

ψάλλοντας, Ευλογείτε, πάντα τά έργα τόν Κυριον».

Τής Αγίας Μάρτυρος

Ωδή η'
Εκ φλογός τοίς Οσίοις

Σέ μεγίστοις αγώσιν εγκαρτερήσασαν, καί χρονία καθείρξει δεσμών απέλυσε, θεία προτροπή, δυσμενής πονηρότατος, Μάρτυς αθληφόρε, φαιδρώς δεδοξασμένη.

Μετά πόνους μυρίους τής εναθλήσεως, ακροτάτη ασκήσεισαυτήν εκδέδωκας, θέκλαν αληθώς, τήν σεπτήν Πρωτομάρτυρα, μάρτυς μιμουμένη, μεθ' ής σε ευφημούμεν.

Επτερώθης τώ πόθω τού Παντοκράτορος, καί τά θήρατρα πάντα τού πολεμήτορος, ως περιστερά τού Χριστού αξιάγαστε, Μάρτυς υπερέβης, καί τώ Θεώ ηνώθης.

Νοερώς ενουμένη τώ θείω έρωτι, τάς εκείθεν πλουσίας αυγάς εισδέδεξαι, αίς καί νύν ημάς, καταυγάζεσθαι πρέσβευε, Μάρτυς τούς τελούντας, τήν σήν αγίαν μνήμην.

Θεοτοκίον

Ή τώ τόκω σου πάσαν αποστειρώσασα, τήν κακίαν τού πλάνου, πάσης στειρεύουσαν, πράξεως Αγνή, αγαθής τήν καρδίαν μου, δείξον καρποφόρον, Θεόν ιλεουμένη.

Τού Αρχαγγέλου

Ωδή θ'
Άπας γηγενής

Ίσταται φρικτώς, τώ θρόνω τής χάριτος, διακονούμενος, καί καταστραπτόμενος, φωτοχυσίαις ταίς υπέρ έννοιαν, καί ιερώς θεούμενος, καί φώς ορώμενος, καί φωτίζων, πίστει τούς τιμώντάς σε, ιερέ Γαβριήλ Αρχιστράτηγε.

Ώσπερ ουρανός, οράσαι κατάστερος, θείαις λαμπρότησιν, ώσπερ στρατηγέτης δέ, χερσί κατέχεις σκήπτρον υπέρλαμπρον, καί διαθέεις άπασαν, τήν γήν τό βούλημα τού Δεσπότου, πάντοτε ποιούμενος, καί δεινών τούς πιστούς εξαιρούμενος.

Στήσον τό δεινόν, βαρβάρων κλυδώνιον, επεγειρόμενον, πάντοτε τοίς δούλοις σου, τής Εκκλησίας παύσον τά σχίσματα, τοίς υμνηταίς σου βράβευσον, πταισμάτων λύτρωσιν, βασιλεί τε δώρησαι τά τρόπαια, Γαβριήλ τή θερμή προστασία σου.

Η περικαλής, δυάς καί περίδοξος, Μιχαήλ καί Γαβριήλ, θρόνω παριστάμενοι, τής θείας δόξης πάσιν αιτήσασθε, αμαρτιών συγχώρησιν, απαλλαγήν τών δεινών, ως προστάται, ως τήν αγαθότητα, τού Δεσπότου εν πάσι μιμούμενοι.

Θεοτοκίον

Φέγγος αστραπής, τού τόκου σου έλαμψε, καί κατεφαίδρυνε, πάσαν τήν υφήλιον, καί τόν προστάτην τού σκότους ώλεσε, Θεογεννήτορ πάναγνε, Αγγέλων καύχημα, καί ανθρώπων, πάντων τόν διάσωσμα, τών απαύστοις φωναίς ανυμνούντωνσε.

Τού Οσίου

Ανάρχου Γεννήτορος

Υπέρτιμε Στέφανε, νύν καθαρώς ηδόμενος, καί τρυφής απολαύων τής υπέρ έννοιαν, ένθα τών Αγίων οι δήμοι, περί Θεόν, χορεύουσι μάκαρ, τούς σέ νύν γεραίροντας, μεσιτεύων πρός σέ έλκυσον.

Μετέστης γηθόμενος, πρός εφετών τό ακρότατον, πρός τό μόνον τώ όντι σαφώς μακάριον, πρός τό πανυπέρτατον κάλλος, πρός τήν ζωήν τήν όντως αγήρω, πρός φώς τό ανέσπερον, θεοφόρε Πάτερ Στέφανε.

Ως ήλιος έλαμψας, εν μοναστών συστήμασιν, απαλών εξ ονύχων καθιερούμενος, καί ώσπερ ακτίνας εκπέμπων, τάς αρετάς, τής σής πολιτείας, γλυκύτατε Στέφανε, θεοφόρε Πάτερ Όσιε.

Θεοτοκίον

Νοήσαντες πόρρωθεν, προφητικοίς εν όμμασιν, οι προφήταί σε πάντες προανεφώνησαν, μέλλουσαν φανείσθαι Μητέρα, τού παντουργού, καί πάντων Δεσπότου, διό σε πανύμνητε, Θεοτόκον καταγγέλλομεν.

Ο Ειρμός

«Αμάρχου Γεννήτορος, Υιός Θεός καί Κύριος, σαρκωθείς εκ Παρθένου ημίν επέφανε, τά εσκοτισμένα φωτίσαι, συναγαγείν τά εσκορπισμένα, διό τήν πανύμνητον, Θεοτόκον μεγαλύνομεν».

Τής Αγίας Μάρτυρος

Ωδή θ'

Θεόν ανθρώποις

Ιδείν θεόφρον νοός λαμπρότητι, τά αγαθά τά μένοντα εκείσε ηξίωσαι, ενδημούσα εισέτι τώ σώματι, ών νύν εν μετουσία, θεία υπάρχουσα, τούτων καί ημάς, επιτυχείν Κυρίω πρέσβευε.

Ως φώς, ως ήλιος εναπήστραψεν, η καρτερά καί θεία καί γενναία σου άθλησις, καί πιστών τάς καρδίας εφώτισε, φέγγει θεογνωσίας, καί απεμείωσε, πάντα τόν τής πλάνης, σκοτασμόν θεομακάριστε.

Σαυτήν ενδύμασι περιέστειλας, σών ιερών αιμάτων βεβαμμένοις

λαμπρότησι, τό δέ σόν ημαγμένον ιμάτιον, Μάρτυς, πηγήν θαυμάτων, έδειξας χάριτι, τοίς καθαρωτάτω λογισμώ τούτου προσψαύουσιν.

Ή σή δεδόξασται θεία κοίμησις, αγγελικών ταγμάτων σε λαβόντων πρός Κύριον, διά τούτο τελούμεν τήν μνήμην σου, πάντες εν ευφροσύνη, πανηγυρίζοντες, Μάρτυς αθληφόρε τού Χριστού αξιοθαύμαστε.

Θεοτοκίον

Φωνή Αγγέλου Αγνή συνέλαβες, Λόγον Πατρός ημίν ομοιωθήναι θελήσαντα, όν δυσώπει ευρείν ημάς έλεος, καί τών αμαρτημάτων, λύσιν πανάμωμε, όθεν ευχαρίστοις σε φωναίς αεί δοξαζομεν.

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Αρρήτως πυρσευόμενος, ταίς θεϊκαίς ελλάμψεσι, τής υπερφώτου τριάδος, διέρχη πάσαν τήν κτίσιν, ως αστραπή Αρχάγγελε, πληρών τό θείον πρόσταγμα, Γαβριήλ αστραπόμορφε, φρουρών φυλάττων καί σκέπων, τούς σέ φαιδρώς ανυμνούντας.

Θεοτοκίον

Εικόνος ής μετέλαβον, θεουργικώς τής κρείττονος, εξώσθην, οίμοι! ο τάλας, δι' ακρασίας τής πάλαι, συ δέ Χριστέ ως εύσπλαγχνος, αρρήτως κοινωνήσας μοι, τού χείρονος μετείληφας, καινοποιήσας με Λόγε, παρθενικών εξ αιμάτων.

Εις τούς Αίνους ψάλλομεν Στιχηρά προσόμοια τού Αρχαγγέλου τρία, δευτερούντες τό πρώτον.

Ήχος α'

Πανεύφημοι μάρτυρες

Γαβριήλ Αρχάγγελε Θεού, θείος Αρχιστράτηγος, καί υπουργός ανεδέδειξαι, καί ταίς λαμπρότησι, καί ταίς φρυκτωρίαις, τούτου αυγαζόμενος, αμέσως κατα μέθεξιν δεύτερον, φώς εχρημάτησας, καί φωτίζεις τήν περίγειον, εξαστράπτων, τώ κάλλει τής δόξης αυτού.

Γαβριήλ πρωτάγγελε τό σόν, κλέος περιβόητον, καί θαυμαστή σου η δύναμις, η χάρις ένθεος, η μορφή ωραία, τό είδος σου πύρινον, η τάξις υψηλή καί υπέρτιμος, η φαύσις άϋλος, η ροπή αμετακίνητος, πρός τό χείρον, τή νεύσει τού κρείττονος.

Γαβριήλ Ταξίαρχε χαράς, μυστικής προάγγελε, ο νυμφοστόλος ο ένδοξος, τής Θεομήτορος, σύν αυτή τώ Κτίστη, πάντων καθικέτευε, λυτρούσθαι τών δεινών καί τών θλίψεων, τούς σέ γεραίροντας, καί τά θεία Ευαγγέλια, σού εν πίστει δεχομένους πάντοτε.

Δόξα... Ήχος πλ. α'

Ο που επισκιάσει η χάρις σου Αρχάγγελε, εκείθεν τού διαβόλου διώκεται η δύναμις, ου φέρει γάρ τώ φωτί σου προσμένειν, ο πεσών Εωσφόρος, Διό αιτούμέν σε, τά πυρφόρα αυτού βέλη, τά καθ' ημών κινούμενα απόσβεσον, τή

μεσιτεία σου λυτρούμενος ημάς, εκ τών σκανδάλων αυτού, αξιύμνητε, Γαβριήλ Αρχάγγελε.

Καί νύν... Θεοτοκίον

Σέ δυσωπούμεν ως Θεού Μητέρα ευλογημένη, πρέσβευε τού σωθήναι τάς ψυχάς ημών.

Ει βούλει, ποίησον Δοξολογίαν Μεγάλην. Ειδ' ού, εις τόν Στίχον τά τής Οκτωήχου.

Εις δέ τήν Λειτουργίαν, ζήτει άπαντα Σεπτεμβρίου ς'.

---

Αρχή

## ΤΗ ΙΓ' ΈΩΣ ΙΘ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Τή Κυριακή τών αγίων Πατέρων τής Δ' Οικουμενικής Συνόδου, τών εν Χαλκηδόνι συνελθόντων.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Η συνήθης Στιχολογία. Εις δέ τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ι' καί ψάλλομεν Στιχηρά Αναστάσιμα τής Οκτωήχου γ' καί Ανατολικά γ' καί τών Αγίων Πατέρων τά παρόντα δ' προσόμοια.

Ήχος πλ. β'
Όλην αποθέμενοι

Σέ τόν απερίγραπτον, καί ανερμήνευτον Λόγον, σάρκα χρηματίσαντα, δι' ημάς φιλάνθρωπε ανεκήρυξε, τό σεπτόν σύστημα, τών σοφών Πατέρων, Θεόν τέλειον καί άνθρωπον, διπλούν ταίς φύσεσι, καί ταίς ενεργείαις υπάρχοντα, διπλούν καί ταίς θελήσεσιν, ένα τόν αυτόν καθ' υπόστασιν, όθεν σύν Πατρί τε, καί Πνεύματι γινώσκοντες Θεόν, ένα πιστώς προσκυνούμένσε, τούτους μακαρίζοντες.

Πύρρον τε καί Σέργιον, καί τόν Ονώριον άμα, Ευτυχή Διόσκορον, καί δεινόν Νεστόριον κατεστρέψατε, τών κρημνών ένδοξοι, τό Χριστού ποίμνιον, εκατέρων διασώσαντες, διπλούν ταίς φύσεσιν, ίνα τόν Χριστόν καθ' υπόστασιν, λαμπρώς ανακηρύξαντες, μόναις ενεργείαις δεικνύμενον, όν καί προσκυνούντες, ως άνθρωπον, καί τέλειον Θεόν, σύν τώ Πατρί καί τώ Πνεύματι, νύν υμάς δοξάζομεν.

Άκτιστον εκήρυξαν, οι θεοφόροι συμφώνως, τήν θείαν ενέργειαν, καί τήν θείαν θέλησιν τού πτωχεύσαντος, τόν εμόν άνθρωπον, τή σαρκί νείμαντες, τό κτιστόν τής ενεργείας τε, καί τής θελήσεως, φύσεως φυγόντες τήν σύγχυσιν, εμφρόνως οι μακάριοι, υποστατικήν τε διαίρεσιν, ούς εν ετησίοις, τιμώντες οι πιστοί ταίς εορταίς, Χριστόν συμφώνως δοξάζομεν, τόν αυτούς δοξάσαντα.

Τριάδα τήν άκτιστον, οι θεοφόροι Πατέρες, Θεόν ένα Κύριον, ομοφρόνως

σήμερον ανεκήρυξαν, τό απλούν άπασι, τής μιάς φύσεως, καταλλήλως υποδείξαντες, κοινώ θελήματι, καί τής ενεργείας απλότητι, άναρχον ατελεύτητον, τούτον διά πάντων γνωρίσαντες, όθεν ανυμνούμεν, αυτούς ως Αποστόλων μιμητάς, καί τό εκείνων διδάξαντας, πάντας Ευαγγέλιον.

Δόξα... Ήχος πλ. β'

Τάς μυστικάς σήμερον τού Πνεύματος σάλπιγγας, τούς θεοφόρους Πατέρας ανευφημήσωμεν, τούς μελωδήσαντας εν μέσω τής εκ κλησίας, μέλος εναρμόνιον θεολογίας, Τριάδα μίαν απαράλλακτον, ουσίαν τε καί θεότητα, τούς καθαιρέτας τής πλάνης, καί ορθοδόξων προμάχους, τούς πρεσβεύον, τας πάντοτε Κυρίω, ελεηθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον
Τό α' τού Ήχου

Είσοδος, τό Προκείμενον τής ημέρας καί τά Αναγνώσματα.

Γενέσεως τό Ανάγνωσμα
(Κεφ. 14, 14-20)

Ακούσας Άβραμ, ότι ηχμαλώτευται Λώτ ο αδελφιδούς αυτού, ηρίθμησε τούς ιδίους οικογενείς αυτού, τριακοσίους δέκα καί οκτώ, καί κατεδίωξεν οπίσω αυτών έως Δάν, καί επέπεσεν επ' αυτούς τήν νύκτα αυτός, καί οι Παίδες αυτού μετ' αυτού καί επάταξεν αυτούς καί κατεδίωξεν αυτούς έως Χοβάλ, ή εστιν εν αριστερά ο Δαμασκού, καί απέστρεψε πάσαν τήν ίππον Σοδόμων, καί Λωτ τόν αδελφιδούν αυτού απέστρεψε, καί πάντα τά υπάρχοντα αυτού, καί τάς γυναίκας, καί τόν λαόν, Εξήλθε δέ βασιλεύς Σοδόμων εις συνάντησιν αυτώ ο μετά τό υποστρέψαι αυτόν από τής κοπής τού Χοδολλογόμορ καί τών βασιλέων τών μετ' αυτού, εις τήν κοιλάδα τού Σαβύ, τούτο ήν πεδίον Βασιλέως, καί Μελχισεδέκ, βασιλεύς Σαλήμ, εξήνεγκεν άρτους καί οίνον, ήν δέ Ιερεύς τού Θεού τού Υψίστου, καί ευλόγησε τόν Αβραμ, καί είπεν. Ευλογημένος Άβραμ τώ Θεώ τώ Υψίστω, ός έκτισε τόν ο ουρανόν καί τήν γήν. Καί ευλογητός ο Θεός ο Ύψιστος, ός παρέδωκε τούς εχθρούς σου υποχειρίους σοι.

Δευτερονομίου τό Ανάγνωσμα
(Κεφ. 1, 8-11, 15-17)

Έλιπε Μωσής πρός τούς υιούς, Ισραήλ ίδετε, παρέδωκα ενώπιον υμών τήν γήν, εισελθόντες κληρονομήσατε τήν γήν, ήν ώμοσε Κύριος τοίς πατράσιν υμών, τώ Αβραάμ καί τώ Ισαάκ καί τώ Ιακώβ, δούναι αυτοίς καί τώ σπέρματι αυτών μετ' αυτούς. Καί είπον πρός υμάς εν τώ καιρώ εκείνω, λέγων ου δυνήσομαι μόνος φέρειν υμάς. Κύριος ο Θεός ημών επλήθυνεν υμάς, καί ιδού εστε σήμερον ωσεί τά άστρα τού ουρανού τώ πλήθει. Κύριος ο Θεός τών Πατέρων υμών προσθείη υμίν, ως εστέ χιλιοπλασίως, καί ευλογήσαι υμάς, καθότι ελάλησεν υμίν. Καί έλαβον εξ υμών άνδρας σοφούς, καί επιστήμονας, καί συνετούς, καί κατέστησα αυτούς ηγείσθαι εφ' ημών, χιλιάρχους καί εκατοντάρχους, καί πεντηκοντάρχους, καί δεκάρχους, καί γραμματοεισαγωγείς τοίς κριταίς υμών. Καί ενετειλάμην τοίς κριταίς υμών εν

τώ καιρώ εκείνω, λέγων. Διακούετε αναμέσον τών αδελφών υμών, καί Κρίνατε δικαίως αναμέσον ανδρός καί αναμέσον τού αδελφού αυτού. Καί τού προσηλύτου αυτού. Ουκ επιγνώσει πρόσωπον εν κρίσει, κατά τόν μικρόν καί κατά τόν μέγα κρινείς, ου μή υποστείλη πρόσωπον ανθρώπου, ότι η κρίσις τού Θεού εστι.

Δευτερονομίου τό Ανάγνωσμα
(Κεφ. 10, 14-21)

Είπε Μωσής πρός τούς υιούς Ισραήλ, ιδού, Κυρίου τού Θεού σου ο ουρανός, καί ο ουρανός τού ουρανού, η γή καί πάντα όσα εστίν εν αυτή. Πλήν τούς πατέρας υμών προείλετο Κύριος αγαπάν αυτούς, καί εξελέξατο τό σπέρμα αυτών μετ' αυτούς, υμάς παρά πάντα τά έθνη, κατά τήν ημέραν ταύτην. Καί περιτεμείσθε τήν σκληροκαρδίαν υμών, καί τόν τράχηλον υμών ου σκληρυνείτε έτι, ο γάρ Κύριος ο Θεός υμών, ούτος Θεός τών Θεών, καί Κύριος τών Κυρίων, ο Θεός ο μέγας, καί ισχυρός, καί φοβερός, ός τις ου θαυμάζει πρόσωπον, ουδ' ου μή λάβη δώρον, ποιών κρίσιν προσηλύτω καί ορφανώ καί χήρα, καί αγαπά τόν προσήλυτον, δούναι αυτώ άρτον καί ιμάτιον. Κύριον τόν Θεόν σου φοβηθήση, καί αυτώ μόνω λατρεύσεις, καί πρός αυτόν κολληθήση, καί επί τώ ονόματι αυτού ομή, αυτός Καύχημά σου, καί αυτός Θεός σου, ός τις εποίησέ σοι τά μεγάλα καί τά ένδοξα ταύτα, ά είδον οι οφθαλμοί σου.

Εις τόν Στίχον, Στιχηρά Αναστάσιμα.

Δόξα... Ήχος γ'

Αποστολικών παραδόσεων, ακριβείς φύλακες γεγόνατε, Άγιοι Πατέρες, τής γάρ Αγίας Τριάδος τό ομοούσιον, ορθοδόξως δογματίσαντες, Αρείου τό βλάσφημον συνοδικώς κατεβάλετε, Μεθ' όν καί Μακεδόνιον πνευματομάχον απελέγξαντες, κατεκρίνατε Νεστόριον, Ευτυχέα καί Διόσκορον, Σαβέλλιόν τε, καί Σεβήρον τόν Ακέφαλον, Ών τής πλάνης αιτήσασθε ρυσθέντας ημάς, ακηλίδωτον ημών τόν βίον, διατηρείν εν τή πίστει δεόμεθα.

Καί νύν... Θεοτοκίον

Ασπόρως εκ θείου Πνεύματος, βουλήσει δέ, Πατρός, συνείληφας Υιόν τόν τού Θεού, εκ Πατρός αμήτορα πρό τών αιώνων υπάρχοντα, δι' ημάς δέ εκ σού απάτορα γεγονότα, σαρκί απεκύησας, καί βρέφος εγαλούχησας, Διό μή παύση πρεσβεύειν, τού λυτρωθήναι κινδύνων τάς ψυχάς ημών.

Απολυτίκιον Αναστάσιμον

Δόξα... τών Πατέρων
Ήχος πλ. δ'

Υπερδεδοξασμένος εί, Χριστέ ο Θεός ημών, ο φωστήρας επί γής τούς Πατέρας ημών θεμελιώσας, καί δι' αυτών πρός τήν αληθινήν πίστιν, πάντας ημάς οδηγήσας, Πολυεύσπλαγχνε δόξα σοι.

Καί νύν... Θεοτοκίον

Ο δι' ημάς γεννηθείς εκ Παρθένου, καί σταύρωσιν υπομείνας αγαθέ, ο

θανάτω τόν θάνατον σκυλεύσας, καί Έγερσιν δείξας ως Θεός, μή παρίδης ούς έπλασας τή χειρί σου, δείξον τήν φιλανθρωπίαν σου ελεήμον, δέξαι τήν τεκούσάν σε Θεοτόκον πρεσβεύουσαν υπέρ ημών καί σώσον Σωτήρ ημών, λαόν απεγνωσμένον.

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία καί οι Κανόνες.

Ο Αναστάσιμος εις δ' τής Θεοτόκου εις β' καί τών Αγίων Πατέρων εις η'.

Οι δύο Κανόνες τών Πατέρων ών ο πρώτος έχει Ακροστιχίδα.

Πλάνης ανυμνώ δεξιούς καθαιρέτας.

Εν δέ τοίς Θεοτοκίοις.
Φιλόθεος.

Ωδή α'  Ήχος α'
Σού η τροπαιούχος

Πλάνης καθαιρέτας δεξιούς, νύν ανυμνήσαι προθέμενος Δέσποτα, χάριν τήν σήν άνωθεν, τήν πανσθενή καλώ καί τήν ενέργειαν, δεξιά γάρ όντως, σύ τού Πατρός τε καί δύναμις.

Λόγοις Προφητών τών Ιερών, Ευαγγελίων τε νόμοις επόμενοι, τού Θεού τό άγνωστον, καί τό γνωστόν σαφώς ημάς εδίδαξαν, οι σοφοί Πατέρες, τής πλάνης πάντας ρυσάμενοι.

Άνωθεν χορός προφητικός, καί, Αποστόλων ο θείος κατάλογος, ένα τρισυπόστατον, Θεόν τρανώς καί πανσθενή εδίδαξαν, όν σεπτοί Πατέρες, σαφώς ημίν εξεκάλυψαν.

Νόμοις πειθαρχούντες θεϊκοίς, οι θεοφόροι Πατέρες εδίδαξαν, κατ' ουσίαν άγνωστον, τον ποιητήν απάντων χρηματίζοντα, ενεργείαις μόναις, καλώς νοείσθαι τοίς βλέπουσι.

Θεοτοκίον

Φώς τό τριλαμπές θεουργικώς, εν τή γαστρί σου χωρήσασα Δέσποινα, τάς καρδίας φώτισον, ως αγαθή τών ευσεβώς υμνούντων σε, φώς γάρ σύ καί δόξα, καί σωτηρία αιώνιος.

Δεύτερος Κανών

Ήχος πλ. δ'

### Αρματηλάτην Φαραώ

Η τών Πατέρων, ευσεβής ομήγυρις, η κροτηθείσα ποτέ, κατ' Ευτυχούς όντως, τόν Σωτήρα ώρισεν, αδιαιρέτοις φύσεσιν, εν δυσί τοίς τού θείου Πατρός Κυρίλλου διδάγμασι, βαίνουσα σαφώς καί εμμένουσα.

Εξακοσίων, ο αριθμός τριάκοντα, ευσεβεστάτων ανδρών, τήν Ευτυχούς πλάνην, καί Σεβήρου αίρεσιν, καταβαλόντες έφασαν, Εν δυσί ταίς ουσίαις, Χριστόν κηρύττομεν, βαίνοντες έπεσι Κυρίλλου τού μάκαρος.

Ο μή κηρύττων, εν δυσί ταίς φύσεσι, καί ενεργείαις Χριστόν, τόν τού Πατρός Λόγον, σχοίη τό ανάθεμα, η γάρ τετάρτη Σύνοδος, τών Αγίων Πατέρων, εμφρόνως ούτως εθέσπισε, Πάντες ούν αυτούς μακαρίσωμεν.

### Θεοτοκίον

Δεδοξασμένα, περί σού λελάληνται, εν γενεαίς γενεών, η τον Θεόν Λόγον, εν γαστρί χωρήσασα, αγνή δέ διαμείνασα, Θεοτόκε Μαρία, διό σε πάντες γεραίρομεν, τήν μετά Θεόν προστασίαν ημών.

### Καταβασία

Ανοίξω τό στομα μου, καί πληρωθήσεται Πνεύματος, καί λόγον ερεύξομαι, τή Βασιλίδι Μητρί, καί οφθήσομαι, φαιδρώς πανηγυρίζων, καί άσω γηθόμενος, ταύτης τά θαύματα.

### Ωδή γ'

### Ο μόνος ειδώς

Η πρώτη πηγή τών αγαθών, η χάρις η τού Πνεύματος, ως ποταμους υμάς ανεστόμωσε, τήν πλάνην Ένδοξοι κατασύροντας, καί πιστούς ποτίζοντας, ευσεβείας νάματα, Προφητών Αποστόλων τό κήρυγμα.

Σέργιον καί Πύρρον τούς δεινούς, προστάτας τής αιρέσεως, Παύλον καί Πέτρον καί τόν Θεόδωρον, γενναίως άμα Σοφοί καθείλετε, τήν σεπτήν στηρίξαντες, Εκκλησίαν ένδοξοι, Αποστόλων Πατέρων τοίς δόγμασιν.

Ανάρχου θεότητος τρανώς, ενέργειαν συνάναρχον, οι θεοφόροι ανακηρύξαντες, κτιστήν εδίδαξαν τήν ενέργειαν, τού κτιστού προσλήμματος, εν διπλόη φύσεων, Υιόν ένα Χριστόν καταγγείλαντες.

### Θεοτοκίον

Ιδείν οι ποθούντες τάς αυγάς, τής χάριτος τού Πνεύματος, καί τήν ανέσπερον θείαν έλλαμψιν, πηγή προσδράμωμεν τή τής χάριτος, τή μητρί τού κτίσαντος, εν αυτή γάρ άπαντα τοίς πιστοίς χορηγείται τά βέλτιστα.

### Έτερος

### Ο στερεώσας κατ' αρχάς

Οι τής Σεβήρου αναιδώς εναβρυνόμενοι λόγοις, τοίς ιού θανατηφόρου εμπλέοις, καταισχύνθητε αεί, αποχωρούντες άπαντες, τής Εκκλησίας ώσπερ λύκοι καί κύνες αρπάκτορες.

Οι θιασώται καί πιστοί, τόν παντουργόν καί Σωτήρα, εν δυσίν αδιαιρέτοις ουσίαις, καί θελήσεσι διτταίς, καί ενεργείαις σέβομεν, τήν τού Σεβήρου πλάνην, όθεν εις τέλος τροπούμεθα.

Δεύτε Σεβήρου Έυτυχούς, καί Ιακώβου τήν πλάνην, Θεοδώρου Διοσκόρου σύν τούτοις, αποθώμεθα τρανώς, τήν δέ τετάρτην Σύνοδον, τών ευσεβών Πατέρων, μέλψωμεν θείοις εν άσμασι.

Θεοτοκίον

Τών Χερουβίμ καί Σεραφίμ, εδείχθης υψηλοτέρα, Θεοτοκε, σύ γάρ μόνη εδέξω, τόν αχώρητον Θεόν, εν σή γαστρί αμόλυντε, διό πιστοί σε πάντες, ύμνοις αγνή μακαρίζομεν.

Καταβασία

Τούς σούς υμνολόγους Θεοτόκε, ως ζώσα καί άφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικόν στερέωσον, καί εν τή θεία δόξη σου, στεφάνων δόξης αξίωσον.

Κάθισμα  Ήχος δ'

Ταχύ προκατάλαβε

Φωστήρες υπέρλαμπροι, τής αληθείας Χριστού, τώ κόσμω εδείχθητε, επί τής γής αληθώς, Πατέρες μακάριοι, τήξαντες τάς αιρέσεις, τών δυσφήμων γλωσσάλγων, σβέσαντες τάς φλογώδεις, τών βλασφήμων συγχύσεις, διό ως Ιεράρχαι Χριστού, πρεσβεύσατε σωθήναι ημάς.

Θεοτοκίον

Ταχύ δέξαι Δέσποινα, τάς ικεσίας ημών, καί ταύτας προσάγαγε, τώ σώ Υιώ καί Θεώ, Κυρία πανάμωμε, λύσον τάς περιστάσεις, τών εις σέ προστρεχόντων, πράϋνον μηχανάς τε, καί κατάβαλε θράσος, τών οπλιζομένων αθέων κατά τών δούλων σου.

Ωδή δ'

Όρος σε τή χάριτι

Νόμους τούς τού Πνεύματος, μελέτην ποιούμενοι, τούς πρακτικούς νόμους Σοφοί, καταπεμφθέντας πρός υμάς, εκ Ρώμης εδέξασθε, καί αναπτύξαντες φωτι τώ τού Πνεύματος, τήν Έκκλησίαν καλώς εστηρίξατε.

Ύμνοις καταστέψωμεν, τήν θείαν θεοφόρων οι πιομήγυριν, τών στοί, τόν σαρκωθέντα Λόγον γάρ, Θεόν τε καί άνθρωπον, ταίς ενεργείαις άμα καί τοίς θελήμασι, τοίς καταλλήλοις ημίν ανεκήρυξαν.

Μέγιστα φυσώμενον, Ονώριον πάνσοφοι, επί τώ θρόνω καί αρχή, Ρώμης ποτέ τής παλαιάς, καλώς Κατεστρέψατε, καί μετά τέλος τούτον αποκηρύξαντες, ως τής αρχής καί τού θρόνου ανάξιον.

Θεοτοκίον

Λόγον ενυπόστατον, Παρθένε γεννήσασα, Θεού καί φώς αληθινόν, τούς οφθαλμούς μου τής ψυχής, διάνοιξον δέομαι, καί τής εκείθεν αϊγλης μέτοχον

ποίησον, σύ γάρ μεσίτις αυτού τε καί πρύτανις.

Έτερος

Σύ μου Χριστέ Κύριος

Φράσον ημίν, άφρον Σεβήρε καί μάταιε, μίαν φύσιν, σύνθετον τόν άναρχον, φώς τού Πατρός Λόγον καί Υιόν, εί γάρ ούτως είποις, καί άλλην φύσιν εσήμανας, η σάρξ γάρ καί ο Λόγος, ουχί μία ουσία, αλλά δύο υπάρχουσιν άθλιε.

Μίαν ειπών, φύσιν τού Λόγου επήγαγε, σαρκωθείσαν, φύσιν ανθρωπότητος, άνευ τροπής, όλως καί φυρμού, ο Αλεξανδρέων, διδάσκαλός τε καί πρόεδρος, τρανώς τάς δύο φύσεις, καί θελήσεις διδάσκων, τούς φρονείν ορθοδόξως εθέλοντας.

Δύο Χριστού, άπαντες φύσεις κηρύττομεν, ασυγχύτως, πάσαν τήν δυσσέβειαν, τού Έυτυχούς, άρδην οι πιστοί, καί τού Διοσκόρου, τού άφρονος στηλιτεύοντες, επόμενοι τώ όρω, τών Αγίων Πατέρων, καί Κυρίλλου τού θείου τής έπεσι.

Θεοτοκίον

Χερουβικόν, όχημα σύ Θεομήτορ αγνή, σύ χωρίον, σύ καί ενδιαίτημα, τού πατρικού, Λόγου καί Θεού, τού εκ σών αχράντων, λαγόνων σάρκα φορέσαντος, διό διτταίς ουσίαις, τόν εκ σού σαρκωθέντα, προσκυνούντες απαύστως δοξάζομεν.

Καταβασία

Τήν ανεξιχνίαστον θείαν βουλήν, τής εκ τής Παρθένου σαρκώσεως, σού τού Υψίστου, ο Προφήτης, Αββακούμ, κατανοών εκραύγαζε. Δόξα τή δυνάμει σου Κύριε.

Ωδή ε'

Ο φωτίσας τή ελλάμψει

Νομοθέτας θεοφόροι Χριστός υμάς έδειξεν, οδηγούντας ως Μωσής, Ισραήλ νέον άριστα, Φαραώ τόν έχθιστον, βυθώ δεινώ τής απωλείας, ώσπερ εκείνος ποντίσαντας.

Ως καλλίστη καί λαμπρά τών Πατέρων η Σύνοδος, τόν απλούν γάρ, Ιησούν εκμαθούσα καί σύνθετον, ως Θεόν καί άνθρωπον, διπλάς αυτού τάς ενεργείας, πάσι κηρύττει τοίς πέρασι.

Δώρον θείον τάς εκ Ρώμης γραφάς λογισάμενοι, επ' εκείναις ευσεβείας τόν πύργον εστήριξαν, οι σοφοί Διδάσκαλοι, διττάς Χριστού τάς ενεργείας, ως καί τάς φύσεις κηρύξαντες.

Εξηλέγχθη Παύλος Πέτρος ομού καί Θεόδωρος, σύν τώ Πύρρω καί Σεργίω, Ονώριος συγχυσιν τού Χριστού τών φύσεων, τής ενεργείας τή συγχύσει,

κατασκευάζοντες αίσχιστα.

Θεοτοκίον

Όλη Κόρη φωτισμός σύ υπάρχεις καί έλλαμψις, τού αδύτου φωτισμού χρηματίσασα τέμενος, διά τούτο δέομαι, φωτί τώ σώ Θεογεννήτορ, ψυχής τάς κόρας μου φώτισον.

Έτερος

Ίνα τί με απώσω

Ω Σεβήρε τάς φύσεις, τού Χριστού μή συγχέης δεινώς παράνομε, οι γάρ θιασώται, καί παμμάκαρες πάντες Διδάσκαλοι, εν δυσίν ουσίαις, καί εν ενί Χριστόν προσώπω, καταγγείλαντες πάσιν εξέθεντο.

Προσελάβετο φύσιν, τήν τής ανθρωπότητος σαφώς ο άναρχος, τού Πατρός ο Λόγος, ως φιλάνθρωπος, θέλων οικτίραι ημάς, τούς απολωλότας, όθεν αυτόν ανακηρύττω, εν ουσίαις δυσί καί θελήμασι.

Τόν Σεβήρον καθείλεν, η τετάρτη Σύνοδος καί τόν Διόσκορον, Χριστόν βλασφημούντας, βεβαιούσα τόν τόμον τού Λέοντος, τού Προέδρου Ρώμης, πάνυ καλώς τάς δύο φύσεις, τού Σωτήρος ατμήτως ορίζοντα.

Θεοτοκίον

Μητρικήν παρρησίαν, τήν πρός τόν Υιόν σου κεκτημένη Πάναγνε, συγγενούς προνοίας, τής ημών μή παρίδης δεόμεθα, ότι σέ καί μόνην, Χριστιανοί πρός τόν Δεσπότην, ιλασμόν ευμενή προβαλλόμεθα.

Καταβασία

Εξέστη τά σύμπαντα, επί τή θεία δόξη σου, σύ γάρ απειρόγαμε Παρθένε, έσχες εν μήτρα, τόν επί πάντων Θεόν, καί τέτοκας άχρονον Υιόν, πάσι τοίς υμνούσί σε, σωτηρίαν βραβεύοντα.

Ωδή ς'

Σπλάγχνων Ιωνάν

Ξένην καί καινήν, σύγχυσιν τών φύσεων, Χριστού τό δεινόν όντως συνέδριον, εξηρεύξαντο, τάς διττάς ενεργείας συγχέαντες, εις ενέργειαν τήν μίαν καί αλλόκοτον, ήνπερ ορθοδόξων πλήρωμα, Ιερών περιβόλων απήλασεν.

Ίνα τόν δεινόν, εκφύγη Νεστόριον, δυάδα υιών κακώς εισάγοντα, τό συνέδριον, τό τής πλάνης εκ βόθρου εις βάραθρον, εξωλίσθησε θελήσεων καί φύσεων, μάτην δογματίζον σύγχυσιν, αλλά θείοις Πατράσι διήλεγκται.

Όνπερ τώ Πατρί, Υιόν ομοούσιον, Πατέρες τό πρίν τρανώς εκήρυξαν, σύν τώ Πνεύματι, Διδασκάλων ενθέων ο σύλλογος, ενεργείαις θεϊκαίς πάντας εδίδαξαν, μίαν φυσικήν γνωρίσαντες, τήν ενέργειαν άμα καί θέλησιν.

Υποστατικήν, φρονούντες τήν θέλησιν, εισήγον κακώς σύν ταίς θελήσεσι, καί τά πρόσωπα, τών θελόντων τής πλάνης οι πρόμαχοι, ούσπερ κάλλιστα

Πατέρες εξελέγξαντες, φύσει συμφυή διδάσκουσι, τήν κατάλληλον ταύτης ενέργειαν.

Θεοτοκίον

Θύρα θεϊκής, ακτίνος σύ Δέσποινα, πηγή τε φωτός, αδύτου γέγονας, τό γάρ πλήρωμα, τής θεότητος άπαν εσκήνωσεν, απορρήτως εν τή μήτρα σου πανάμωμε, ούπερ φυσικήν ενέργειαν, καί τήν αίγλην βραβεύεις τοίς χρήζουσιν.

Έτερος

Ιλάσθητί μοι Σωτήρ

Αι δύο επιστολαί, Κυρίλλου αι πρός τόν Σούκενσον, αποσταλείσαι ποτέ, Εώας τόν πρόεδρον, ελέγχουσιν άπασαν, τήν Σεβήρου πλάνην, ευσεβώς Χριστόν κηρύττουσαι.

Ο Κύριλλος τόν Χριστόν, κηρύττει εν δύο φύσεσι, καί ενεργείαις διτταίς, Σεβήρου τήν αίρεσιν, τού άνου τρεπόμενος, διό πάντες τούτου, τοίς διδάγμασιν εμμένομεν.

Θεοτοκίον

Παρθένον σε καί αγνήν, Θεογεννήτορα ένδοξον, Μαρία οι ευσεβείς, κυρίως κηρύττομεν, εμφράττοντες δύσφημον Νεστορίου στόμα, Διοσκόρου τε κακόνοιαν.

Καταβασία

Τήν θείαν ταύτην καί πάντιμον, τελούντες εορτήν οι θεόφρονες, τής Θεομήτορος, δεύτε τάς χείρας κροτήσωμεν, τόν εξ αυτής τεχθέντα Θεόν δοξάζοντες.

Κοντάκιον Ήχος πλ. δ'
Αυτόμελον

Τών Αποστόλων τό κήρυγμα, καί τών Πατέρων τά δόγματα, τή Εκκλησία μίαν τήν πίστιν εκράτυνεν, ή καί χιτώνα φορούσα τής αληθείας, τόν υφαντόν εκ τής άνω θεολογίας, ορθοτομεί καί δοξάζει, τής ευσεβείας τό μέγα Μυστήριον.

Ο Οίκος

Εν υψηλώ κηρύγματι τής τού Θεού Εκκλησίας ακούσωμεν βοώσης, ο διψών ερχέσθω πρός με καί πινέτω, ο κρατήρ, όν φέρω, κρατήρ εστι τής σοφίας, Τούτο τό πόμα αληθείας λόγω κεκέρακα, ύδωρ ου προχέω αντιλογίας, αλλ' ομολογίας, ής πίνων ο νύν Ισραήλ, Θεόν Ορά φθεγγόμενον, Ίδετε, ίδετε, ότι αυτός εγώ ειμι, καί ουκ ηλλοίωμαι, Εγώ Θεός πρώτος, εγω καί μετά ταύτα, καί πλήν μου άλλος ουκ έστιν όλως, Εντεύθεν οι μετέχοντες πλησθήσονται, καί αινέσουσι τής ευσεβείας τό μέγα μυστήριον.

Συναξάριον

Τή αυτή ημέρα, Μνήμην επιτελούμεν τών Αγίων εξακοσίων τριάκοντα θεοφόρων Πατέρων τής εν Χαλκηδόνι Αγίας καί Οικουμενικής τετάρτης Συνόδου.

Στίχοι

- Πόλου νοητού αστέρες σελασφόροι,
- Ακτίσιν υμών φωτίσατέ μοι φρένας.

Ταίς τών αγίων Πατέρων πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Σέ νοητήν Θεοτόκε

Σέ τόν Υιόν, τού Θεού καί άνθρωπον, κατανοήσαντες χοροί, θεολόγων Δέσποτα πρίν, κόσμω σε εκήρυξαν, διπλούν ταίς θελήσεσι, καί ενεργείαις φιλάνθρωπε, σού τό διπλούν εκατέρων, τών φύσεων πιστούμενοι.

Κόσμος λαμπρός, Εκκλησίας ώφθητε, τών Αποστόλων γάρ καλώς, εκδεξάμενοι τούς θεσμούς, πάντας εδιδάξατε, λόγον τόν τής πίστεως, τριαδικόν ενα Κύριον, δημιουργόν ενεργόν, θελητικόν παντοδύναμον.

Άκτιστον φώς, καί ζωήν αθάνατον, κατανοήσαντες Θεόν, υπέρ ταύτα τούτον καλώς, πάσιν εκηρύξατε, φύσεως κατώτερα, τα φυσικά ιδιώματα, τα συμφυή εγνωκότες ομού καί αδιαίρετα.

Θείου φωτός, αστραπάς εξέπεμψεν, υμάς εις κόσμον ο Χριστός, τούς τής πλάνης δημιουργούς, άρδην καταφλέγοντας, πάσαν δέ φωτίζοντας, τήν Εκκλησίαν μακάριον, τόν αινετόν ανυμνούντας, Θεον καί παντοδύναμον.

Θεοτοκίον

Έλαμψε φώς, ο Χριστός ανέσπερον, εκ σής νηδύος προελθών, καί τόν κόσμον έσωσε πρίν, ο υπερυψούμενος, όνπερ καθικέτευε, Θεογεννήτορ φωτίσαι μου, τής σκοτισθείσης καρδίας, τά νοούμενα όμματα.

Έτερος

Θεού συγκατάβασιν

Δυσί μέν εν φύσεσι, καί ενεργείαις ομολογούντες Χριστόν, ασυγχύτως ατρέπτως, τήν τού Σεβήρου πλάνην τροπούμεθα, όθεν τό πάθος προσλήψει υποίσαντι σαρκός, βοώμεν αυτώ, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Ένα επιστάμεθα, τόν επί ξύλου καί εν τοίς κόλποις Πατρός, ως Θεόν εν υψίστοις, καί εν μνημείω ως συνημμένον σαρκί, ώ μελωδούμεν, συμφώνως κραυγάζοντες, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Αρείου τήν κένωσιν, κατατομήν τε τού σμικροθέου, πιστοί τήν συναίρεσιν αύθις, τού Σαβελλίου, τών τής Τριάδος εχθρών μεμισηκότες, Τριάδι κραυγάζομεν, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Τριαδικόν

Απάντων μέν Κύριον, ενός δέ μόνου μονογενούς Υιού, ορθοδόξως Πατέρα, θεολογούντές σε Καταγγέλλομεν, καί έν ειδότες, σού εκπορευόμενον, Πνεύμα

ευθές συμφυές, καί συναϊδιον.

Καταβασία

Ουκ ελάτρευσαν τή κτίσει οι θεόφρονες, παρά τόν Κτίσαντα, αλλά πυρός απειλήν; ανδρείως πατήσαντες, χαίροντες έψαλλον. Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Ωδή η'

Εν καμίνω Παίδες Ισραήλ

Αποστόλων τε καί Προφητών, ως εξ ορμητηρίου, Πατερες κεκινημένοι, τής ενθέου διδαχής, εκήρυξαν λέγοντες, Είς υπάρχει Κύριος πάντων, Χριστός εν υποστάσει, διπλούς τάς φύσεις, ομού καί ενεργείας.

Ίνα πλάνην πάσαν αναιδή, καλώς καί βλασφημίαν, Πατέρες τής Εκκλησίας, εξορίσωσιν ομού, ενέργειαν θέλησιν ουσιώδη, άκτιστον φέρειν τόν Κύριον ανείπον, τήν κτιστήν δέ πάλιν, ως Άνθρωπον καί Κτίστην.

Ρήμα θείον σχόντες εν χερσί, Πατέρες ώσπερ ξίφος, εχθρούς τούς τής ευσεβείας κατεπλήξατε καλώς, ενέργειαν θέλησιν τού Σωτήρος, πάντα τε τούτου τά φυσικά προσφόρως, διπλά προσειπόντες, καθάπερ καί τάς φύσεις.

Θεοτοκίον

Ολή Κόρη όλη εί καλή, όλη φωτοειδής τε φωσφόρος καί θεοφόρος, όλη μόνη καί λαμπρά, διό μου τά όμματα τής καρδίας φώτισον, πνέοντος Δέσποινα, τήν δόξαν σου καί τετρωμένου, τώ πρός εκείνην πόθω.

Έτερος

Επταπλασίως κάμινον

Καταισχυνέσθω πρόσωπα, καί φιμούσθω τά στόματα, τών μή κηρυττόντων, εν δυσί ταίς φύσεσιν, ατμήτως ατρέπτως τε, καί ασυγχύτως ένα Υιόν, οι γάρ ευσεβείς, πάντες κοινώς συμφρονούμεν, κατ' άλλο μέν καί άλλο, ενεργείν τε καί θέλειν, Χριστόν ου μήν προσώποις, κατ' άμφω δέ τάς φύσεις.

Οι Ιακώβου έχοντες τού Κεντόνου επίκλησιν, όνομά τε τούτου, εαυτοίς εγγράφοντες, ημίν αποφήνατε, Ει εν τή κλήσει τούτου υμείς, εν τή κολυμβήθρα, εβαπτίσθητε πάλαι, διό αυτού πρός χάριν, τού Χριστού αποστάντες, ληρείτε ως εκείνος, σαφώς αναισχυντούντες.

Εν Χαλκηδόνι Σύνοδος, η τετάρτη Διόσκορον, Ευτυχή Σεβήρον, τούς δεινούς κατέβαλεν, εις τέλος εξώσασα, τήν ακανθώδη πλάνην αυτών, τήν συγχυτικήν, τών ουσιών τού Σωτήρος, τής θείας Εκκλησίας, τού Χριστού καί Δεσπότου, μεθ' ής ορθοδοξούντες, μισήσωμεν δή τούτους.

Τριαδικόν

Τρισσοφαή θεότητα, ενιαίαν εκλάμπουσαν, αίγλην εκ μιάς, τρισυποστάτου φύσεως, Γεννήτορα άναρχον, όμοφυά τε Λόγον Πατρός, καί συμβασιλεύον, ομοούσιον Πνεύμα, οι παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε,

εις πάντας τούς αιώνας.

Καταβασία

Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

## Ωδή θ'

Τύπον τής αγνής

Έχοντες Χριστόν μακάριοι εν εαυτοίς, τά θεία πάλαι λαλήισαντα, καί νύν καθαρώς, τώ καθαρώ συναπτόμενοι, τήν αυτού Εκκλησίαν στηρίξατε, ήν πόνοις καί ιδρώσι, μεγίστοις όντως συνεστήσατε.

Τύπος καί κανών γεγόνατε, τή Εκκλησία πάση Θεού Τρισόλβιοι, σάρκωσιν Χριστού, θεολογείν εκδιδάξαντες, τής ακτίστου μιάς τε θεότητος, τήν νύν τε γλωσσαλγίαν, προφητικώς αποκρουσάμενοι.

Άπαν δυσσεβείας πρόβλημα, προφητικώς Πατέρες καλώς ελύσατε, τήν διαφοράν, τής ενεργείας διδάξαντες, φυσικήν αδιαίρετον άκτιστον, αξίως προσειπόντες, καί παντουργόν καί παντοδύναμον.

Στόμα τού Θεού γενόμενοι, ταίς ενεργείαις μόναις καί ταίς εκλάμψεσι, μεθεκτόν αυτόν, ως αγαθόν εκηρύξατε, τόν τή φύσει απρόσιτον Άγιοι, όθεν υμάς αξίως, ως ευεργέτας μακαρίζομεν.

Θεοτοκίον

Σύ μοι τής ωδής πανύμνητε, καί κορωνίς χρυσή καί θείον συμπέρασμα ήνπερ τής φυγής, επανελθών νύν ανέθηκα, τώ Υιώ σου σεμνή ευχαριστήριον, τόν ύμνον σοι συνάγων, ως τών καλών αιτία Πάναγνε.

Έτερος

Εξέστη επί τούτω ο ουρανός

Διήλθεν ο Σεβήρος τήν τού Χριστού, ευαγή Εκκλησίαν ο δόλιος, καί τήν ποινήν, ψήφω τών Πατέρων τών ευσεβών, της βλασφημίας ένεκα, καί τής στωμυλίας τής εαυτού, εδέξατο δικαίως, καί έρριπται συλλόγου, τών Διδασκάλων ο κατάκριτος.

Τάς φύσεις τί συγχέεις τάς τού Χριστού, καί φυρμόν αντεισάγεις καί σύγκρασιν, τό τού Σταυρού, πάθος προσαρμόττων καί τήν ταφήν, τή απαθεί θεότητι, τού μονογενούς Λόγου τού Θεού, ώ δείλαιε Σεβήρε; διόπερ τήν μεγίστην, σού βλασφημίαν βδελυττόμεθα.

Θεοτοκίον

Οφρύν καί θράσος άμα τών δυσμενών, ο τεχθείς εκ Παρθένου κατάβαλε, καί τάς βουλάς, τών κακοδοξούντων Δημιουργέ, τών δέ πιστών τό σύστημα, στήριξον ακράδαντον ως Θεός, το κέρας ανυψώσας, καί πίστει κραταιώσας,

ίνα σε πάντες μεγαλύνωμεν.

Καταβασία

Άπας γηγενής, σκιρτάτω τώ πνεύματι λαμπαδουχούμενος, πανηγυριζέτω δέ, αϋλων Νόων φύσις γεραίρουσα, τήν ιεράν πανήγυριν, τής Θεομήτορος, καί βοάτω. Χαίροις παμμακάριστε, Θεοτόκε Αγνή αειπάρθενε.

Εξαποστειλάριον, τό Αναστάσιμον
Είθ' ούτω τών Αγίων Πατέρων
Γυναίκες ακουτίσθητε

Πατέρων θείων σήμερον, τήν μνήμην εορτάζοντες, ταίς παρακλήσεσι τούτων, δεόμεθα Πανοικτίρμον, Πάσης βλάβης αιρέσεων, ρύσαι λαόν σου Κύριε, καί πάντας καταξίωσον, Πατέρα Λόγον δοξάζειν, καί τό Πανάγιον Πνεύμα.

Θεοτοκίον

Εν δύο ταίς θελήσεσι, καί φύσεσι Πανάμωμε, μιά δέ τή υποστάσει, τίκτεις Θεόν απορρήτως, τόν δι' ημάς πτωχεύσαντα, μέχρι Σταυρού θελήματι, καί ημίν χαρισάμενον, τόν τής θεότητος πλούτον, τή εκ νεκρών Αναστάσει.

Εις τούς Αίνους, ιστώμεν Στίχ. η' καί ψάλλομεν Στιχηρά Αναστάσιμα δ' καί Ανατολικόν έν, καί τών Αγίων Πατέρων τά παρόντα γ' Προσόμοια.

Ήχος πλ. β'
Όλην αποθέμενοι

Όλην συγκροτήσαντες, τήν τής ψυχής επιστήμην, καί τώ θείω Πνεύματι, συνδιασκεψάμενοι τό μακάριον, καί σεπτόν σύμβολον, οι σεπτοί Πατέρες, θεογράφως διεχάραξαν, εν ώ σαφέστατα, τώ Γεγεννηκότι συνάναρχον, τόν Λόγον εκδιδάσκουσι, καί παναληθώς Ομοούσιον, ταίς τών Άποστόλων, επόμενοι προδήλως διδαχαίς, οι ευκλεείς καί πανόλβιοι, όντως καί θεόφρονες.

Στίχ. Ευλογητός εί Κύριε ο Θεός ο τών Πατέρων ημών.

Όλην εισδεξάμενοι, τήν νοητήν λαμπηδόνα, τού Αγίου Πνεύματος, τό υπερφυέστατον χρησμολόγημα, τό βραχύ ρήματι, καί πολύ συνέσει, θεοπνεύστως απεφθέγξαντο, ως χριστοκήρυκες, εηαγγελικών προϊστάμενοι, δογμάτων οι Μακάριοι, καί τών ευσεβών παραδόσεων, άνωθεν λαβόντες, τήν τούτων αποκάλυψιν σαφώς, καί φωτισθέντες εξέθεντο, όρον θεοδίδακτον.

Στίχ. Συναγάγετε αυτώ τούς Οσίους αυτού, τούς διατιθεμένους τήν διαθήκην αυτού.

Όλην συλλεξάμενοι, ποιμαντικήν επιστήμην, καί θυμόν κινήσαντες, νύν τόν δικαιότατον ενδικώτατα, τούς βαρείς ήλασαν, καί λοιμώδεις λύκους, τή σφενδόνη τή τού Πνεύματος, εκσφενδονίσαντες, τού τής Εκκλησίας πληρώματος, πεσόντας ως πρός θάνατον, καί ως ανιάτως νοσήσαντας, οι θείοι Ποιμένες, ως δούλοι γνησιώτατοι Χριστού, καί τού ενθέου κηρύγματος,

μύσται Ιερώτατοι.

Δόξα... Ήχος πλ. δ'
Γεωργίου Νικομηδείας

Τών Αγίων Πατέρων ο χορός, εκ τών τής οικουμένης περάτων συνδραμών, Πατρός καί Υιού καί Πνεύματος Αγίου, μίαν ουσίαν εδογμάτισε καί φύσιν, καί τό μυστήριον τής θεολογίας, τρανώς Παρέδωκε τή Εκκλησία, ούς ευφημούντες εν πίστει, μακαρίσωμεν λέγοντες, Ώ θεία παρεμβολή, θεηγόροι οπλίται, παρατάξεως Κυρίου, αστέρες πολύφωτοι, τού νοητού στερεώματος, τής μυστικής Σιών οι ακαθαίρετοι πύργοι, τά μυρίπνοα άνθη τού Παραδείσου, τά πάγχρυσα στόματα τού Λόγου, Εκκλησίας τό καύχημα, οικουμένης αγλάϊσμα, εκτενώς πρεσβεύσατε, υπέρ τών ψυχών ημών.

Καί νύν...

Υπερευλογημένη υπάρχεις, Θεοτόκε Παρθένε, διά γάρ τού εκ σού σαρκωθέντος, ο Άδης ηχμαλώτισται, ο Αδάμ ανακέκληται, η κατάρα εξωποιήθημεν, διό ανυμνούντες βοώμεν. Ευλογητός Χριστός ο Θεός ημών, ο ούτως ευδοκήσας, δόξα σοι.

Δοξολογία Μεγάλη, καί Απόλυσις.

Εις τήν Λειτουργίαν

Τά τυπικά, καί οι Μακαρισμοί τής Οκτωήχου, καί εκ τού Κανόνος τών Αγίων η ς' Ωδή.

Ο Απόστολος
Τέκνον Τίτε, Πιστός ο λόγος...
Ζήτει Οκτωβρίου ια'

Ευαγγέλιον κατά Ματθαίον
Είπεν ο Κύριος τοίς εαυτού μαθηταίς, Υμείς εστε τό φώς τού κόσμου...
Ζήτει Νοεμβρίου ιβ'

Κοινωνικόν
Αινείτε τόν Κύριον εκ τών ουρανών, Αινείτε αυτόν εν τοίς υψίστοις. Αλληλούϊα.

---

Αρχή

**ΤΗ ΙΔ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τού Αγίου Αποστόλου Ακύλα, ενός τών εβδομήκοντα.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'
Τών ουρανίων ταγμάτων

Παύλος ο μέγας θεόφρον, τού κόσμου ήλιος, ώσπερ φαιδράν ακτίνα, εις τήν σύμπασαν κτίσιν, σέ μάκαρ επαφήκε, φωτιστικαίς, σού, τών λόγων λαμπρότησι, καταφωτίζειν τούς πάλαι εν τή νυκτί, τής αγνωσίας κινδυνεύοντας.

Της καθαράς σου καρδίας, τού θείου Πνεύματος, φωτιστικαίς ακτίσιν, αυγασθείσης πλουσίως, Ακύλα θεηγόρε, φωτοειδής, αληθώς εχρημάτισας, καί τών Ελλήνων τό σκότος τό χαλεπόν, θεία χάριτι διέλυσας.

Οι τώ ναώ σου τώ θείω πίστει προστρέχοντες, καί εν αυτώ σε μάκαρ, δυσωπούντες Ακύλα, λυτρούνται νοσημάτων παντοδαπών, καί κινδύνων καί θλίψεων, ταίς ιεραίς σου πρεσβείαις καί πρός Θεόν, μεσιτείαις Ιερώτατε.

Δόξα... Καί νύν... Θεοτοκίον

Θεομακάριστε Κόρη τάς ικεσίας ημών, ως ευμενής προστάτις, τών πιστών, Θεοτόκε, προσάγουσα τώ Κτίστη, τόν ιλασμόν, ανταμείβου τοίς δούλοις σου, ως παντελής σωτηρία καί ιλασμός, τών ψυχών ημών πανάμωμε.

Η Σταυροθεοτοκίον

Εν τώ Σταυρώ παρεστώσα, τού σού Υιού καί Θεού, καί τήν μακροθυμίαν, τούτου αποσκοπούσα, έλεγες θρηνούσα, Μήτερ αγνή, Οίμοι! Τέκνον γλυκύτατον, τί ταύτα πάσχεις αδίκως Λόγε Θεού, ίνα σώσης τό ανθρώπινον;

Απολυτίκιον Ήχος γ'

Απόστολε Άγιε Ακύλα, πρέσβευε τώ ελεήμονι Θεώ ίνα πταισμάτων άφεσιν, παράσχη ταίς ψυχάς ημών.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν. οι Κανόνες τής Οκτωήχου, καί τού Αγίου ο παρών, ού η Ακροστιχίς.

Τόν κλεινόν υμνήσωμεν Ακύλαν πόθω. Ιωσήφ.

Ωδή α' Ήχος β'

Δεύτε λαοί

Τόν ιερόν, Ιερωτάτοις υμνήσωμεν, Ακύλαν μελωδήμασι, καί εκβοήσωμεν, Ταίς αυτού ικεσίαις, οικτίρμον πάντας σώσον, ως υπεράγαθος.

Όλον σαυτόν, Μάκαρ δοχείον τού Πνεύματος, φωτοειδές ετέλεσας, καταστραπτόμενος, ταίς αυτού φωταυγίαις, διό τούς εν τώ σκότει, εφωταγώγησας.

Νόμοις Χριστού, οχυρωθείς τήν διάνοιαν, τό τών ανόμων φρύαγμα, όλον κατέλαβες, καί ειδώλων τεμένη, κατέστρεψας αθλήσας θεομακάριστε.

Καθαρτικαίς, σών πρεσβειών επιδόσεσι, τά τών σωμάτων Ένδοξε, καί τών ψυχών ημών, αποκάθαρον πάθη, πιστώς επιτελούντων, τήν θείαν μνήμην σου.

Θεοτοκίον

Λόγω σεμνή, Λόγον εν μήτρα συνέλαβες, τόν διά λόγου άπαντα, δημιουργήσαντα, διά τούτό σε λόγοις, ενθέοις ανυμνούμεν, θεοχαρίτωτε.

Ωδή γ'

Στερέωσον ημάς

Επόθησας Θεόν ως θέμις Ένδοξε, τόν μόνον Δεοπότην καί Βασιλέα, καί αυτού τό θείον βούλημα, αδιστάκτω καρδία εξετέλεσας.

Ισχύϊ τού σεπτού καί θείου Πνεύματος, Ακύλα πανεύφημε τού Βελίαρ, τήν ισχύν πάσαν κατέβαλες, εναθλήσας γενναίως ιερώτατε.

Νοΐ σου καθαρώ ενοπτριζόμενος, τήν δόξαν Κυρίου, ταύτης μετέσχες, τελεώτερον Μακάριε, μεταστάς τών προσκαίρων πρός τά μένοντα.

Θεοτοκίον

Ο μόνος καθαρός, ο μόνος Κύριος, σέ μόνην ως έγνω καθαρωτέραν, πάσης κτίσεως Πανάμωμε, εξ αγνών σου αιμάτων σεσωμάτωται.

Ο Ειρμός

«Στερέωσον ημάς εν σοί Κύριε, ο ξύλω νεκρώσας τήν αμαρτίαν, καί τόν φόβον σου εμφύτευσον, εις τάς καρδίας ημών τών υμνούντων σε».

Κάθισμα Ήχος δ'

Ταχύ προκατάλαβε

Τού Παύλου τοίς ρήμασι, καταυγασθείς τήν ψυχήν, ως ήλιος έλαμψας, θεογνωσίας φωτί, Ακύλα μακάριε, στέφος δέ μαρτυρίου, ανεπλέξω νομίμως, όθεν αναπηγάζεις, ποταμούς ιαμάτων, τοίς πίστει εορτάζουσι, μάκαρ τήν μνήμην σου.

Θεοτοκίον

Ταχύ δέξαι Δέσποινα, τάς ικεσίας ημών, καί ταύτας προσάγαγε, τώ σώ Υιώ καί Θεώ, Παρθένε παναχραντε, όλεσον κατά κράτος, τών βαρβάρων τά θράση, γνώτωσαν τήν ισχύν σου, φιλοπόλεμα έθνη, τώ νεύματί σου πάντας ημάς διαφύλαξον.

Η Σταυροθεοτοκίον

Σταυρώ σε υψούμενον, ως εθεάσατο, η άχραντος Μήτηρ σου, Λόγε Θεού μητρικώς, θρηνούσα εφθέγγετο, Τί τό καινόν καί ξένον, τούτοθαύμα Υιέμου; πώς η ζωή τών όλων, ομιλείς τώ θανάτω; ζωώσαι τούς τεθνεώτας, θέλων ως εύσπλαγχνος.

Ωδή δ'

Εισακήκοα Κύριε

Νυσταγμώ τούς καθεύδοντας, τής πονηράς,, Ακύλα δυσσεβείας πρός τής

ευσεβείας τό φώς εξήγειρας.

Υπερήφανον φρύαγμα, τού δυσμενούς, κατέβαλες Ακύλα, ταπεινώσει θεία θωρακιζόμενος.

Μακαρίως ενήθλησας, υπέρ Χριστού, τό αίμά σου κενώσας, Ιερεύ καί Μάρτυς τών παθημάτων αυτού.

Θεοτοκίον

Νοητόν σε παλάτιον, καί υψηλόν, τού Βασιλέως θρόνον, Θεοτόκε Δέσποινα ονομάζομεν.

Ωδή ε'

Ο τού φωτός χορηγός

Ήδιστον λόγον αεί, αναπηγάζων ευσεβώς πάνσοφε τών εν πικρά, πλάνη υπαχθέντων, ενήδυνας ψυχάς, ως ιερομύστης, Ακύλα πανεύφημε.

Σοί τούς επαίνους Λουκάς, ο θεηγόρος αληθώς έγραψε, τού Ιερού Παύλου μαθητής γάρ, καί θείος ξεναγός, εγένου τά θεία, σοφώς παιδευόμενος.

Ώσπερ αστέρα φαιδρόν, φωτοβολούντα τό σεπτόν κήραγμα, τόν ιερόν ευράμενος Παύλον, πρός τούτου τάς αυγάς, εδέξω τού Λόγου, στερρώς λαμπρυνόμενος.

Θεοτοκίον

Μήτηρ καί δούλη Χριστού, τού σαρκωθέντος δι' ημάς γέγονας, όν εκτενώς, πάντοτε δυσώπει, τού σώζεσθαι ημάς, τούς σέ Θεοτόκον αγνήν ονομάζοντας.

Ωδή ς'

Εν αβύσσω πταισμάτων

Εξεχύθη σου χάρις τοίς χείλεσι, μάκαρ ιερώτατε καί σέ ευλόγησεν, ο τών απάντων Κύριος, εις αιώνας Ακύλα θεόπνευστε.

Νοσημάτων Παντοίων αλέξημα, καί αμαρτανόντων ψυχών ιλαστήριον, η σή πρεσβεία πέφυκε, θεοφόρε Ακύλα μακάριε.

Αι πορείαί σου θείως τελούμεναι, καί προς τάς οδούς τού Θεού ευθυνόμεναι, τοίς πλανωμένοις ώφθησαν, οδηγία καί τρίβος σωτήριος.

Θεοτοκίον

Κυριώνυμε Κόρη πανάμωμε, τόν αγαθοδότην Θεόν η κυήσασα, τούς σέ υμνούντας πάντοτε, πειρασμών πολυτρόπων διάσωσον.

Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, Εκ φθοράς ο Θεός με ανάγαγε».

Κοντάκιον Ήχος δ'

Επεφάνης σήμερον

Αποστόλων σύνθρονος, καί συνοδίτης, γεγονώς Απόστολε, τήν οικουμένην διδαχαίς, καί θαυμασίοις κατηύγασας, στέφανον δόξης, Ακύλα δεξάμενος.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΔ' τού αυτού μηνός, Μνήμη τού Αγίου Αποστόλου Ακύλα.

Στίχοι

- Ήπλωσε Παύλος, ως σαγήνην, τούς λόγους,
- Ήγρευσε δ' ως θήραμα θείον Ακύλαν.
- Ακύλαν δεκάτη γε τετάρτη τύμβος έκρυψεν.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Ιούστου.

Στίχοι

- Μή θύμα βαλείν εις τό βωμού πύρ θέλων,
- Εις πύρ Ιούστος θύμα βάλλεται ξένον.

Τή αυτή ημέρα, Μνήμη τού οσίου Πατρός ημών καί θαυματουργού Ονησίμου.

Στίχοι

- Ελαφρόν ήρα φορτίον σόν ηδέως,
- Μεθ' ού σός Ονήσιμος ήκω σοι, Λόγε.

Τή αυτή ημέρα, Μνήμη τού εν Αγίοις Πατρός ημών Ιωσήφ, Αρχιεπισκόπου Θεσσαλονίκης.

Στίχοι

- Αφείς, Ιωσήφ καθέδραν τήν γηίνην,
- Παρίσταται νύν τώ θρόνω τού Κυρίου.

Οι άγιοι μάρτυρες Ακύλας καί Ιλάριος ξίφει τελειούνται.

Ο άγιος μάρτυς Πέτρος ο νέος, τούς πόδας εκκοπείς, τελειούται.

Ο άγιος μάρτυς Ηράκλειος, ροπάλοις τυπτόμενος, τελειούται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Εικόνος χρυσής

Υφάνας σαυτώ, αφθαρσίας στολισμόν τώ θείω Πνεύματι, όλος ωραίος εχρημάτισας, καί τόν εχθρόν απεγύμνωσας, καί τούς επ' εκείνου Ακύλα, γυμνωθέντες ενέδυσας, καταστολήν φωτοειδή, καί φώς σωτήριον.

Λιμώ νοητώ, κρατουμένους τούς λαούς καί κινδυνεύοντας, άρτω τών λόγων Αξιάγαστε, τής σής σοφίας διέθρεψας, καί τής ουρανίου τραπέζης, κοινωνούς απετέλεσας, ιερομύστης πεφυκώς θεοειδέστατος.

Αγίω ναώ οι προστρέχοντες τώ σώ, ρώσιν κομίζονται, καί παθημάτων απολύονται, καί νοσημάτων καθαίρονται, ανυμνολογούντές σε πόθω, καί βοώντες πανεύφημε, Ευλογητός εί ο Θεός ο τών Πατέρων ημών.

Θεοτοκίον

Νεκρούται τό πρίν, ο Αδάμ φθοροποιώ βρώσει πανάμωμε, σύ δέ τεκούσα τήν ζωήν ημών, τούτον Παρθένε εζώωσας, όθεν ως καλών σε αιτίαν, ανυμνούντες κραυγάζομεν, Ευλογημένη η Θεόν σαρκί κυήσασα.

Ωδή η'

Τόν εν καμίνω τού πυρός

Περιχαρώς τούς ουρανούς, σύν τοίς θείοις μαθηταίς καί υπηρέταις, καί αυτόπταις τού Λόγου, χαρμονικώς κατοικών, Ακύλα καί θέσει θεούμενος, μέμνησο τών πίστει, καί πόθω σε τιμώντων.

Οι τών ιδρώτων σου κρουνοί, ποταμούς πάσιν υμίν θείων θαυμάτων, αναβλύζουσι Μάκαρ, καί επηρείας παθών, ατόπων ξηραίνουσι πάντοτε, καί τάς παρατάξεις, βυθίζουσι τού πλάνου.

Θέσει θεούμενος αεί, ο εγγίζων τώ Θεώ νοϊ αϋλω, όλος φώς χρηματίζεις, απολυθείς τής σαρκός, καί βλέπεις ά βλέπουσιν Άγγελοι, ένδοξε Ακύλα, Χριστού ιερομύστα.

Θεοτοκίον

Ως τόν παναίτιον Θεόν, υπέρ πάσαν αληθώς Αγνή αιτίαν, εν γαστρί συλλαβούσα, καί δι' ημάς καθ' ημάς, οφθέντα τεκούσα πανάμωμε, τούτον εκδυσώπει, υπέρ τών σέ υμνούντων.

Ο Ειρμός

«Τόν εν καμίνω τού πυρός, τών Εβραίων τοίς Παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον, μεταβαλόντα Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ'

Τόν εκ Θεού Θεόν Λόγον

Ιερωτάτοις σε ύμνοις, Ιερόν πεφυκότα, κειμήλιον τού Λόγου καί σεπτόν, τούτου τε πάνσοφον κήρυκα, καί τού κόσμου φωστήρα, καί στήριγμα τής πίστεως ημών, συνελθόντες Ακύλα, συμφώνως μακαρίζομεν.

Ως καθαιρέτης τής πλάνης, καί εθνών ποδηγέτης, καί θείος τού Σωτήρος αθλητής, καί συμπολίτης καί σύσκηνος, τών Αγίων Αγγέλων, Ακύλα θεηγόρε σύν αυτοίς, τόν Δεσπότην δυσώπει, σωθήναι τάς ψυχάς ημών.

Σέ φοιτητήν μέν τού Παύλου, επιγνόντες Ακύλα, τού κόσμου δέ φωστήρα απλανή, καί Ιερώτατον Μάρτυρα, καθαιρέτην ειδώλων, καί γνώσεως Θεού εισηγητήν, ευσεβεί διανοία, θεόφρον μακαρίζομεν.

Η παναγία σου μνήμη, ανατείλασα κόσμω, ως ήλιος φωτίζει τάς ψυχάς, των ευσεβώς ευφημούντων σε, εν ή πρέσβευε Μάκαρ, δοθήναι ιλασμόν αμαρτιών, καί ειρήνην βαθείαν, καί μέγα πάσιν έλεος.

Θεοτοκίον

Φωτιστικήν σε λυχνίαν, προεώρα Προφήτης, τό φώς τό ανατείλαν εκ φωτός, Παρθενομήτορ βαστάζουσαν, τό φωτίσαν πλουσίως, τά πρίν εσκοτισμένα ταίς αυγαίς, τής αυτού ανεκφράστου, πανάμωμε θεότητος.

Ο Ειρμός

«Τόν εκ Θεού Θεόν Λόγον, τόν αρρήτω σοφία, ήκοντα καινουργήσαι τόν Αδάμ, βρώσει φθορά πεπτωκότα δεινώς, εξ αγίας Παρθένου, αφράστως σαρκωθέντα δι' ημάς, οι πιστοί ομοφρόνως, εν ύμνοις μεγαλύνομεν».

Καί τά λοιπά τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΕ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Μαρτύρων Κηρύκου καί Ιουλίττης τής μητρός αυτού.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'

Ως γενναίον εν Μάρτυσι

Νηπιόφρονα τύραννον, εν τελείω φρονήματι, ατελεί τε σώματι, μάρτυς Κήρυκε, ανδρειοφρόνως κατήσχυνας, διό πρό βημάτων σε, απηνώς δικαστικών, καταβάλλει θανάτω σε, μνηστευόμενος, τήν ζωήν τήν αγήρω, ής επέβης, εν ατμίζοντι εισέτι, περιρρεόμενος αίματι.

Ως κατάκαρπος άμπελος, ταίς αρδείας τού Πνεύματος, Ιουλίττα ένδοξε, τόν εκ σπλάγχνων σου, αναβλαστήσαντα Κήρυκον, προσάγεις θυόμενον, καί ληνοίς μαρτυρικοίς, αληθώς εκθλιβόμενον, μεθ' ού βλύσασα, κατανύξεως οίνον, τάς καρδίας κατευφραίνετε τών πίστει, επιτελούντων τήν μνήμην υμών.

Αικισμοίς ομιλήσασα, καί ποικίλαις κολάσεσιν, ανδρικώς υπέμεινας Αξιάγαστε, τοίς οφθαλμοίς ενορώσα δέ, υιού τήν τελείωσιν, τό μαρτύριον διπλούν, Ιουλίττα διήνυσας, όθεν νέμει σοι, καί διπλούς τούς στεφάνους, αθλοθέτης, ο τήν νίκην τοίς αθλούσιν, παντοδυνάμως δωρούμενος.

Δόξα... Ήχος πλ. β'

Δεύτε καί θεάσασθε άπαντες ξένον θέαμα καί παράδοξον, Τίς εώρακε νήπιον, τριετή όντα, τύραννον αισχύναντα; ώ τού θαύματος! Μητέρα εθήλαζε, καί τιθηνούμενος τή γαλουχώ εβόα, Μή πτοού μήτέρ μου, τάς απειλάς τού δεινού κοσμοκράτορος, Χριστός γάρ εστιν η ελπίς τών πιστευόντων εις αυτόν.

Καί νύν... Θεοτοκίον

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής. Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Η Σταυροθεοτοκίον

Τριήμερος ανέστης Χριστέ

Εν ξύλω τήν ζωήν ημών, ορώσα η πανάμωμος, Θεοτόκος, κρεμαμένην μητριΚώς, ωδύρετο βοώσα, Υιέ μου καί Θεέ μου, σώσον τούς πόθω ανυμνούντάς σε.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος πλ. δ'

Ο τριετής τήν Τριάδα εκήρυττε, καί γαλουχών τήν μητέρα εστήριζε, Παύσον ώ μήτέρ μου, τόν Οδυρμόν τών δακρύων, άνωθεν ο Κτίστης βλέπει, καί σώζει τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Δέσποινα πρόσδεξαι, τάς δεήσεις τών δούλων σου, καί λύτρωσαι ημάς, από πάσης ανάγκης καί θλίψεως.

Η Σταυροθεοτοκίον

Οι Μάρτυρές σου Κύριε

Η δάμαλις η άσπιλος, τόν μόσχον βλέπουσα επί τού ξύλου, προσαναρτώμενον υπό ανόμων, οδυρομένη γοερώς, Οίμοι! ανεβόα ποθεινότατον, τέκνον, τί σοι δήμος ανταπέδωκεν, αχάριστος Εβραίων, θέλων με ατεκνώσαι, εκ σού παμφίλτατε;

Απολυτίκιον Ποίημα Πατριάρχου Κωνσταντινουπόλεως Κυρίλλου ς'.

Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ

Η λογική Χριστού αμνάς, Ιουλίττα, σύν Τριετεί αμνώ αυτής τώ Κηρύκω, δικαστικού πρό βήματος παρέστησαν, ευθαρσώς κηρύττοντες, τήν Χριστώνυμον κλήσιν, ουδόλως επτοήθησαν απειλάς τών τυράννων, καί στεφηφόροι νύν εν ουρανοίς, αγγαλιώνται Χριστώ παριστάμενοι.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τών Αγίων ο παρών, ού η Ακροστιχίς.

Κήρυκον υμνώ σύν τή τεκούση προφρόνως. Ιωσήφ.

Ωδή α' Ήχος πλ. δ'

Υγράν διοδεύσας

Κηρύξαντες Λόγον τόν εκ Πατρός, σαφώς γεννηθέντα, σαρκωθέντα τε εκ μητρός, μάρτυρες τών τούτου παθημάτων, διά παθών καί θανάτου γεγόνατε.

Η ένθεος Μάρτυς ως φωταυγής, σελήνη συνούσα, τώ Ηλίω τώ εξ αυτής, τεχθέντι Κηρύκω πάσαν κτίσιν, ταίς τών θαυμάτων ακτίσι φωτίζουσι.

Ρεόντων ηλλάξω τά μηδαμώς, Κινούμενα Μάρτυς, καί αγκάλαις τόν σόν υιόν, φέρουσα συν τούτω τών ανόμων, καί διαβόλου την πλάνην ημαύρωσας.

Υπάρχουσα γένους περιφανούς, διά μαρτυρίου, καί βασάνων πολυειδών, μάρτυς Ιουλίττα Βασιλέως, τού αθανάτου θυγάτηρ γεγένησαι.

Θεοτοκίον

Κατήργηται θάνατος διά σού, καί Αδου τό κέντρον, ηφανίσθη Μήτηρ αγνή, σύ γάρ τόν αθάνατον Δεσπότην, θανατωθέντα σαρκί απεκύησας.

## Ωδή γ'

Ουρανίας αψϊδος

Ουρανίων θαλάμων, καί φωταυγούς λήξεως, διαιωνιζούσης τε δόξης κατηξιώθητε, Μάρτυρες ένδοξοι, τού διαβόλου τά κέντρα, πόνοις τής αθλήσεως, εξαφανίσαντες.

Νεοττός ως ωραίος, περιστεράς σώφρονος, ταύτην εμιμήσω, τώ πλάνω αντιταττόμενος, ένδοξε Κήρυκε, θυπευτικώς προσελθόντι, καί συλήσαι σπεύδοντι, σέ τόν αήττητον.

Υπερήφανον όφιν, εις Ουρανούς θέμενον, στόμα καί τήν γήν εξαλείφειν κατακαυχώμενον, νήπιον άκακον, τή τού Σταυρού πανοπλία, παντελώς ηδάφισε, καί εξηφάνισε.

Θεοτοκίον

Μή κενώσας τούς κόλπους τούς πατρικούς, Άχραντε, Λόγος ό τό πάν ουσιώσας, σού τήν πανάμωμον, γαστέρα ώκησε, καί σάρξ ατρέπτως ωράθη, καί βροτούς εθέωσεν, ο υπερούσιος

Ο Ειρμός

«Ουρανίας αψίδος, οροφουργέ Κύριε, καί τής Εκκλησίας δομήτορ, σύ με στερέωσον, εν τή αγάπη τή σή, τών εφετών η ακρότης, τών πιστών τό στήριγμα, μόνε φιλάνθρωπε».

## Κάθισμα Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Φιλομάρτυρες δεύτε τούς νοητούς, μαργαρίτας Κυρίου καί αθλητάς, Κήρυκον υμνήσωμεν, καί τήν τούτου μητέρα, τή τριετεί γάρ τούτον εκθρέψασα γάλακτι, τώ Θεώ θυσίαν, προσήγαγεν άμωμον, όθεν καί τής νίκης, σύν αυτώ τούς στεφάνους, εδέξατο άνωθεν, καί Χριστώ συναγάλλονται, πρός ούς πίστει βοήσωμεν, Πρεσβεύσατε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς ερτάζουσι πόθω, τήν αγίαν μνήμην υμών.

Θεοτοκίον

Πειρασμοίς πολυπλόκοις περιπεσών, εξ εχθρών αοράτων καί ορατών, τώ

σάλω συνέχομαι, τών αμέτρων πταισμάτων μου, καί ως θερμήν αντίληψιν, καί σκέπην γινώσκων σε, τώ λιμένι προστρέχω, τής σής αγαθότητος, όθεν Παναγία, τόν εκ σού σαρκωθέντα, ασπόρως ικέτευε, υπέρ πάντων τών δούλων σου, τών απαύστως υμνούντων σε, πρεσβεύουσα αυτώ εκτενώς, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς προσκυνούσιν εν πίστει, τόν άχραντον τόκον σου.

Η Σταυροθεοτοκίον

Τόν αμνόν καί ποιμένα καί λυτρωτήν, η αμνάς θεωρούσα εν τώ Σταυρώ, ωλόλυζε δακρύουσα, καί πικρώς εκβοώσα, ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήνπερ υπομένεις, διά σπλάγχνα ελέους, Μακρόθυμε Κύριε, τού ελέους η άβυσσος, καί πηγή αγαθότητος, σπλαγχνίσθητι καί δώρησαι ούν, τών πταισμάτων άφεσιν τοίς δούλοις σου, τοίς ανυμνούσί σου πίστει, τά θεία παθήματα.

## Ωδή δ'

Εισακήκοα Κύριε

Νηπιάζοντι σώματι, καί τελειοτάτω Μάρτυς φρονήματι, τόν αρχέκακον κατέβαλες, τόν τήν πονηρίαν κακουργήσαντα.

Ως κατάκαρπος άμπελος, μάρτυς, Ιουλίττα βότρυν εξήνθησας, τόν γενναίον όντως Κήρυκον, μαρτυρίου γλεύκος αποστάζοντα.

Συμπαθώς ενητένιζες, οιά περ αμνάς αρνίω τώ Μάρτυρι, Ιουλίττα αξιάγαστε, σφαγιαζομένη μάρτυς ένδοξε.

Υπερήφανον τύραννον, θεία ταπεινώσει περιφραττόμενοι, Αθλοφόροι κατεβάλετε, καί στεφάνους νίκης εκομίσασθε.

Θεοτοκίον

Νόμοι φύσεως Πάναγνε, εν τή υπέρ φύσιν κυοφορία σου, εναλλάττονται, τόν Πλάστην γάρ, υπέρ νούν λόγον απεκύησας.

## Ωδή ε'

Ίνα τί με απώσω

Τεινομένη θεόφρον, μάστιξι τό σώμά σου δαπανωμένη τε, τής φθοράς τό πάχος εξεδύσω, στολήν ενεδύσω δέ, ήν ο εκ Παρθένου, Μονογενής σάρκα φορέσας, τούς ανθρώπους θεώσας ενέδυσεν.

Εγθμνώθης τό σώμα, Μάρτυς παναοίδιμε Καταφρονήσασα, σαρκικής αισχύνης, καί εχθρόν τόν τήν Εύαν γυμνώσαντα, Ιουλίττα πάλαι, καρτερικώς ανδρισαμένη, αιωνίαν αισχύνην ενέδυσας.

Κεφαλήν εκτμηθείσα, κάραν τήν τού όφεως Μάρτυς συνέθλασας, στερηθείσα πλούτου, τόν ουράνιον όλβον κεκλήρωσαι, μή σαλευομένην, παραλαβούσα βασιλείαν, μετά πάντων Μαρτύρων Πανεύφημε.

Θεοτοκίον
Ο Θεού Θεός Λόγος, σάρκα ανελάβετο έννουν καί έμψυχον, εκ σού Παναγία, καί δι' οίκτον εγένετο άνθρωπος, καί εθέωσέ με, τόν παραβάσει απωσθέντα, όν ικέτευε σώσαι τά σύμπαντα.

Ωδή ς'
Τήν δέησιν εκχεώ
Υπέπλευσαν τών απείρων βασάνων, οι πανεύφημοι τό άστατον ύδωρ, τή τού Σταυρού, κυβερνήσει καί όρμω, γαληνοτάτω σαφώς προσωρμίσθησαν, βυθίσαντες τόν Φαραώ, τόν αόρατον αίματος ρεύμασι.

Σκιρτά σε, Ικονιέων η πόλις, θρεψαμένη, καί κομπάζει τή μνήμη, σού τή σεπτή, η Ταραός Ιουλίττα, τού μαρτυρίου εν ταύτη γάρ ήνυσας, τό στάδιον σύν τώ υιώ, καί στέφανων τής νίκης ηξίωσαι.

Η λόγησας πολυπλόκων βασάνων, καί τρυγών ωραιοτάτη εδείχθης, σύν νεοττώ, αναπτάσα καί πάντων, υπεραρθείσα παγίδων τού όφεως, Πανεύφημε καί εις μονάς, ουρανίους πανσόφως κατέπαυσας.
Θεοτοκίον
Προρρίζους τώ τμητικώ σου δρεπάνω τής πρεσβείας εναπόκοψον Κόρη, τούς πονηρούς, λογισμούς τής ψυχής μου, καί καρποφόρον ανάδειξον δέομαι, απάντων γάρ τόν φυτουργόν, τόν Θεόν καί Σωτήρα εκύησας.
Ο Ειρμός
«Τήν δέησιν εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών, η ψυχή μου επλήσθη, καί η ζωή μου τώ Άδη προσήγγισε, καί δέομαι ως Ιωνάς, Εκ φθοράς ο Θεός με ανάγαγε».

Κοντάκιον Ήχος δ'
Επεφάνης σήμερον
Εν αγκάλαις φέρουσα, η χριστομάρτυς, Ιουλίττα Κήρυκον, εν τώ σταδίω μητρικώς, αγαλλομένη εκραύγαζε, Σύ τών Μαρτύρων, Χριστέ το κραταίωμα.
Ο Οίκος
Τόν νούν μου φώτισον, Χριστέ φωτί τών εντολών σου, όπως επαξίως εξισχύσω υμνήσαι τούς Αγίους σου, καί τούς αγώνας εξειπείν, Ποία δέ γλώσσα εκλαλήσαι δυνήσεται τούς άθλους, ούς υπέμειναν, καί τά έπαθλα; Διό ούν σοι προσπίπτω φιλάνθρωπε, Άνεσιν παράσχου τή αθλία νύν ψυχή μου, δωρούμενός μοι καιρόν μετανοίας, εις τούτο γάρ εκών έλαβες σάρκα, ίνα πάντας πρός ζωήν επαναγάγης, ής οι Αθληταί τυχόντες, απαύστως μέλπουσι, Συ τών μαρτύρων Χριστέ τό κραταίωμα.

Σ υ ν α ξ ά ρ ι ο ν
Τή ΙΕ' τού αυτού μηνός, Μνήμη τών Αγίων Μαρτύρων Κηρύκου καί Ιουλίττης.
Στίχοι
- Ιουλίττα συναθλος υιώ Κηρύκω,

- Η λαιμότμητος τώ κάραν τεθλασμενω, Πέμπτη.
- Ιουλίτταν δεκάτη τάμον, υία δ' έαξαν.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου μάρτυρος Λολλιανού.

Στίχοι

- Ποσί προθύμοις έδραμε τρίβον τέλους.
- Ο Λολλιανός, ού ποσίκρουστον τέλους,

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Αβουδίμου.

Στίχοι

- Αβουδίμω μάχαιρα πρόξενος τέλους,
- Αύτη δέ τούτω πρόξενος καί τού στέφους.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Παίδες Εβραίων

Ράβδοις συντρίβων σου τό σώμα, ο παράνομος θεόφρον Ιουλίττα, λογισμού τό στερρόν, εσάλευσεν ουδόλως, ράβδον καί γάρ δυνάμεως, τόν Σταυρόν Χριστούκατείχες.

Όμβροις αιμάτων εκχυθείσιν, εγκατέσβεσαν τό πύρ τής αθεϊας, οι Χριστού Αθληταί, κραυγάζοντες προθύμως, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Φέρουσα Μάρτυς εν αγκάλαις, όν εκύησας επέστης τώ σταδίω, καί διπλούν τόν καλόν, ετέλεσας αγώνα, αναβοώσα, Κύριε, ο Θεός ευλογητός εί.

Θεοτοκίον

Ρήμασι σοίς ακολουθούντες, μακαρίζομεν γενεαί πάσαι Κόρη, μακαρίου Θεού, Μητέρα σε δειχθείσαν, τούς εις αυτόν πιστεύοντας, μακαρίους εκτελούντα.

Ωδή η'

Νικηταί τυράννου

Οι φαιδροί αστέρες, εν τώ στερεώματι τής Εκκλησίας, απλανώς πηχθέντες, καί τήν γήν τοίς θαύμασι φωταγωγούντες, ευσεβώς τιμώνται, υπό πάντων σήμερον, τών υμνολογούντων, Χριστόν εις τούς αιώνας.

Νέον ώσπερ κλάδον, ρίζα θεοφύτευτος ούσα θεόφρον, τόν σεπτόν σου γονον, φέρουσα, εμάρανας τής ασεβείας, τά φυτά βοώσα, σύν αυτώ καί λέγουσα, Σέ υπερυψούμεν, Χριστέ εις τούς αιώνας.

Ώσπερ μόσχον νέον, δάμαλις υπάρχουσα ωραιοτάτη, Ιουλίττα φέρεις, Κήρυκον τόν ένδοξον θυσίαν ζώσαν, τώ εκ τής Παρθένου αμνώ ανατείλαντι,

καί αφαγιασθέντι, δι' άκραν ευσπλαγχνίαν.

Θεοτοκίον

Σαρκωθείς ο Λόγος, εκ τών Παναχράντων σου αιμάτων Κόρη, τούς προνενευκότας, πρός τά αλογώτατα τής σαρκός πάθη, επιγνώσει θεία, εθέωσεν άχραντε, Όν υπερυψούμεν, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Νικηταί τυράννου, καί φλογός τή χάριτί σου γεγονότες, οι τών εντολών σου, σφόδρα αντεχόμενοι, Παίδες εβόων, Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ'

Έφριξε πάσα ακοή

Ίαμα φέρει η σορός, τών ενδόξων, Αθλοφόρων τή χάριτι, τού θείου Πνεύματος, επαρδομένη, δεύτε αρύσασθε, καί αγιάσθητε ψυχάς, καί νόσων καθάρθητε, οι φιλομάρτυρες, τόν δοτήρα τών καλών μεγαλύνοντες.

Ως ρόδα ταίς μαρτυρικαίς, εξηνθήσατε κοιλάσι Μακάριοι, ως κρίνα εύοσμα, ως Παραδείσου θεία βλαστήματα, μυρεψικήν ως αληθώς, στάζοντα τερπνότητα, καί τών πιστών τάς ψυχάς, ευωδία μυστική κατευφραίνοντα.

Στίγμασι τοίς μαρτυρικοίς, ωραιώθητε καλλίνικοι Μάρτυρες, καί τοίς Αγγέλοις σαφώς, όμοιωθέντες Θεώ παρίστασθε, νίκης διάδημα Τερπνόν, λαμπρώς περικείμενοι, καί τοίς τιμώσιν υμάς, ιλασμόν αμαρτιών εξαιτούμενοι.

Η Μάρτυς οία περ αμνάς, ώσπερ άρνα τόν υιόν αυτής φέρουσα, λύκων ανάλωτος, μέσον διήλθε, καί εις ουράνιον, μάνδραν εσκήνωσεν αεί, Τούτων παρακλήσεσι, Κύριε σώσον ημάς, τούς αυτών τήν ιεράν μνήμην σέβοντας.

Θεοτοκίον

Φώτισον πύλη τού φωτός, τήν τυφλώττουσαν ψυχήν μου τοίς πάθεσι, καί πονηροίς λογισμοίς, αμαυρωθείσαν καί κινδυνεύουσαν, καί εξελού με πειρασμών, κινδύνων καί θλίψεων, ίνα δοξάζω σε, τήν ελπίδα τών πιστών καί κραταίωμα.

Ο Ειρμός

«Έφριξε πάσα ακοή, τήν απόρρητόν Θεού συγκατάβασιν, όπως ο ύψιστος εκών, κατήλθε μέχρι καί σώματος, Παρθενικής από γαστρός, γενόμενος άνθρωπος, διό τήν άχραντον Θεοτόκον οι πιστοί μεγαλύνομεν».

Εξαποστειλάριον

Εν πνεύματι τώ Ιερώ

Τήν ηλικίαν ατελής, εν φρονήσει τελεία, υπήρξας θαυμαστότατα, Κήρυκε Αθλοφόρε, σύν μητρί τε γαλουχώ, Ιουλίττη ήρασθε, τό τής αθλήσεως στέφος, μετά πάντων Αγίων, ών ταίς πρεσβείαις καί ημείς, τύχοιμεν τού ελέους.

Θεοτοκίον

Χαίρε παλάτιον τερπνόν, Χαίρε θρόνε Κυρίου, Χαίρε σκήπτρον πανθαύμαστον, Χαίρε κούφη νεφέλη, χρυσούν θυμιατήριον, Χαίρε Μήτηρ

άχραντε, τού Βασιλέως καθέδρα, Χαίρε εύδιε λιμήν, καί προστάτις απάντων, Θεοκυήτορ Παρθένε.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά. Ιδιόμελα γ', δευτερούντες τό α'.

Ήχος α' Γερμανού

Τόν γενναίον Αθλητήν, καί κήρυκα τής πίστεως, σύν μητρί θεόφρονι, επαξίως μακαρίσωμεν, ούτοι γάρ καρτερώς εναθλήσαντες, τόν αρχέκακον εχθρόν, τή δυνάμει τού Σταυρού, ανδρείως κατέβαλον, Διό στεφάνους έλαβον παρά τού αθλοθέτου Θεού, καί πρεσβεύουσιν αυτώ, εν παρρησία ακαταπαύστως, σωθήναι τούς εν πίστει ανυμνούντας, τήν Ιεράν αυτών άθλησιν. (Δίς)

Ήχος β' Βυζαντίου

Δεύτε Πιστοί, τοίς επαίνοις συνελθόντες, στέψωμεν δυάδα παναγίαν, Τριάδος σέβας κατέχουσαν, τών γάρ ειδώλων τήν πλάνην, καί τών τυράννων τήν απόνοιαν, τοίς εαυτών ποσί κατεπάτησαν, Τούτους ανευφημούντες ανακράξωμεν, λέγοντες, Χαίροις Ιουλίττα πανσεβάσμιε, η τήν γυναικείαν ασθένειαν απορριψαμένη, καί ανδρικώς αγωνισαμένη, Χαίροις Κύρηκε παμμακάριστε, ο τριετής τή ηλικία, καί τόν πολυμήχανον εχθρόν καταβαλών, Χαίρετε το ημέτερον κλέος καί καύχημα, τών εν πίστει εορταζόντων τήν ιεράν υμών άθλησιν, ούς ικετεύομεν πρεσβεύειν αεί τόν τών όλων Κύριον, τώ κόσμω δωρηθήναι ειρήνην, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Ο αυτός

Τού Μαυρολέοντος

Ο εκ σπαργάνων πεπληρωμένος χάριτος, καί εσχηκως πεπολιωμένον φρόνημα, εν τή νίκη τών αγώνων σου μάρτυς Κήρυκε, αίτησαι σύν τή μητρί σου Χριστόν τόν Θεόν, δωρηθήναι ειρήνην τώ κόσμω, ως τής Τριάδος μέγας ομολογητής.

Δόξα... Ήχος ο αυτός

Τού αυτού

Νήπιος ανεφάνης εν Μάρτυσι, τέλειος εδείχθης τώ φρονήματι, αφ' ού τόν άναρχον Λόγον εδέξω Πανεύφημε, τό πύρ ουκ εδειλίασας τών παρανόμων, Σύν τή μητρί σου τον Κτίστην ικέτευε, ίνα σώση ως Σωτήρ τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Τήν πάσαν ελπίδα μου, εις σέ ανατίθημι, Μήτηρ τού Θεού, φύλαξόν με υπό τήν σκέπην σου.

Η Σταυροθεοτοκίον

Ότε, εκ τού ξύλου

Ότε, η αμίαντος αμνάς, έβλεψε τόν ίδιον άρνα, επί σφαγήν ως βροτόν, θέλοντα ελκόμενον, θρηνούσα έλεγεν, Ατεκνώσαι νύν σπεύδεις με, Χριστέ τήν τεκούσαν, τί τούτο πεποίηκας, ο λυτρωτής τού παντός; Όμως, ανυμνώ καί δοξάζω, σού τήν υπέρ νούν τε καί λόγον, άκραν αγαθότητα φιλάνθρωπε.

Εις τόν Στίχον, τής Οκτωήχου.

Δόξα... Ήχος δ'
Ανατολίου

Αγάλλου τέρπου καί ευφραίνου, ικονιέων η πόλις, ότι εκ σού ανεβλάστησε καρπός ευκλεής, Ιουλίττα η πανεύφημος καί καλλίνικος μάρτυς, καί εξ αυτής ο τίμιος παίς, Κήρυκος ο φερώνυμος, πάσαν γάρ μηχανήν, τού τυράννου Βελίαρ, ανδρικώς καταπατήσαντες, τούς στεφάνους τής νίκης αξίως εκομίσαντο, κηρύξαντες λαοίς, σέβεσθαι καί προσκυνείν τήν Αγίαν Τριάδα, Όθεν καί ημείς παρρησία βοώμεν, τώ τούτους δοξάσαντι Χριστώ τώ Θεώ ημών, ειρηνεύσαι τόν κόσμον, καί σώσαι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Εκ παντοίων κινδύνων τους δούλους σου φύλαττε, ευλογημενη Θεοτόκε, ίνα σε δοξάζωμεν, τήν ελπίδα τών ψυχών ημών.

Η Σταυροθεοτοκίον
Έδωκας σημείωσιν

Έφερες Πανάμωμε, εν τή καρδία σου δίστομον, Συμεών σοι ως έφησε, ρομφαίαν καί τέτρωσαι, εν αυτή τά σπλάγχνα, καί τάς διαθέσεις, ως εθεάσω σόν Υιόν, επί τού ξύλου σεμνή κρεμάμενον, διό καί ανεκραύγαζες, Τέκνον εμόν μή παρίδης με, αλλά σπεύσον ανάστηθι, ως προέφης μακρόθυμε.

Καί η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

Εις τήν Λειτουργίαν. Οι Μακαρισμοί τής Οκτωήχου, καί εκ τού Κανόνος τών Αγίων η ς' Ωδή.

Ο Απόστολος
Πρός Κορινθίους α' Επιστολής

Αδελφοί, ότε ήμην νηπιος...

Ευαγγέλιον κατά Λουκάν
Ζήτει Σάββατον ι'

Κοινωνικόν

Αγαλλιάσθε δίκαιοι εν Κυρίω, τοίς ευθέσι πρέπει αίνεσις. Αλληλούϊα.

---

Αρχή

## ΤΗ ΙΕ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Μαρτύρων Κηρύκου καί Ιουλίττης τής μητρός αυτού.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια γ', δευτερούντες αυτά.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Νηπιόφρονα τύραννον, εν τελείω φρονήματι, ατελεί τε σώματι, μάρτυς Κήρυκε, ανδρειοφρόνως κατήσχυνας, διό πρό βημάτων σε, απηνώς δικαστικών, καταβάλλει θανάτω σε, μνηστευόμενος, τήν ζωήν τήν αγήρω, ής επέβης, εν ατμίζοντι εισέτι, περιρρεόμενος αίματι.

Ως κατάκαρπος άμπελος, ταίς αρδείας τού Πνεύματος, Ιουλίττα ένδοξε, τόν εκ σπλάγχνων σου, αναβλαστήσαντα Κήρυκον, προσάγεις θυόμενον, καί ληνοίς μαρτυρικοίς, αληθώς εκθλιβόμενον, μεθ' ού βλύσασα, κατανύξεως οίνον, τάς καρδίας κατευφραίνετε τών πίστει, επιτελούντων τήν μνήμην υμών.

Αικισμοίς ομιλήσασα, καί ποικίλαις κολάσεσιν, ανδρικώς υπέμεινας Αξιάγαστε, τοίς οφθαλμοίς ενορώσα δέ, υιού τήν τελείωσιν, τό μαρτύριον διπλούν, Ιουλίττα διήνυσας, όθεν νέμει σοι, καί διπλούς τούς στεφάνους, αθλοθέτης, ο τήν νίκην τοίς αθλούσιν, παντοδυνάμως δωρούμενος.

Δόξα... Ήχος πλ. β'

Δεύτε καί θεάσασθε άπαντες ξένον θέαμα καί παράδοξον, Τίς εώρακε νήπιον, τριετή όντα, τύραννον αισχύναντα; ώ τού θαύματος! Μητέρα εθήλαζε, καί τιθηνούμενος τή γαλουχώ εβόα, Μή πτοού μήτέρ μου, τάς απειλάς τού δεινού κοσμοκράτορος, Χριστός γάρ εστιν η ελπίς τών πιστευόντων εις αυτόν.

Καί νύν... Θεοτοκίον

Τίς μή μακαρίσει σε, Παναγία Παρθένε; τίς μή ανυμνήσει σου τόν αλόχευτον τόκον, ο γάρ αχρόνως εκ Πατρός εκλάμψας Υιός μονογενής, ο αυτός εκ σού τής Αγνής προήλθεν, αφράστως σαρκωθείς, φύσει Θεός υπάρχων, καί φύσει γενόμενος άνθρωπος δι' ημάς, ουκ εις δυάδα προσώπων τεμνόμενος, αλλ' εν δυάδιφύσεων ασυγχυτως γνωριζόμενος, Αυτόν ικέτευε, σεμνή Παμμακάριστε, ελεηθήναι τάς ψυχάς ημών.

## Εις τήν Λιτήν, Στιχηρά Ιδιόμελα.

Ήχος α'

Τόν γενναίον Αθλητήν, καί κήρυκα τής πίστεως, σύν μητρί θεόφρονι, επαξίως μακαρίσωμεν, ούτοι γάρ καρτερώς εναθλήσαντες, τόν αρχέκακον εχθρόν, τή δυνάμει τού Σταυρού, ανδρείως κατέβαλον, Διό στεφάνους έλαβον, παρά τού αθλοθέτου Θεού, καί πρεσβεύουσιν αυτώ, εν παρρησία ακαταπαύστως, σωθήναι τούς εν πίστει ανυμνούντας, τήν Ιεράν αυτών άθλησιν.

Ήχος β' Βυζαντίου

Δεύτε πιστοί, τοίς επαίνοις συνελθόντες, στέψωμεν δυάδα παναγίαν, Τριάδος σέβας κατέχουσαν, τών γάρ ειδώλων τήν πλάνην, καί τών τυράννων τήν απόνοιαν, τοίς εαυτών ποσί κατεπάτησαν, Τούτους ανευφημούντες ανακράξωμεν, λέγοντες, Χαίροις Ιουλίττα πανσεβάσμιε, η τήν γυναικείαν ασθένειαν απορριψαμένη, καί ανδρικώς αγωνισαμένη, Χαίροις Κήρυκε παμμακάριστε, ο τριετής τή ηλικία, καί τόν πολυμήχανον εχθρόν καταβαλών, Χαίρετε τό ημέτερον κλέος καί καύχημα, τών εν πίστει εορταζόντων τήν Ιεράν υμών άθλησιν, ούς ικετεύομεν πρεσβεύειν αεί τόν τών όλων Κύριον, τώ κόσμω δωρηθήναι ειρήνην, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

ο αυτός
Τού Μαυρολέοντος
Ο εκ σπαργάνων πεπληρωμένος χάριτος, και εσχηκώς πεπολιωμένον φρόνημα, εν τή νίκη τών αγώνων σου μάρτυς Κήρυκε, αίτησαι σύν τή μητρί σου Χριστόν τόν Θεόν, δωρηθήναι ειρήνην τώ κόσμω, ως τής Τριάδος μέγας ομολογητής.
Δόξα... Ήχος ο αυτός
Τού αυτού
Νήπιος ανεφάνης εν Μάρτυσι, τέλειος εδείχθης τώ φρονήματι, Αφ' ού τόν άναρχον Λόγον εδέξω πανεύφημε, τό πύρ ουκ εδειλίασας τών παρανόμων, Σύν τή μητρί σου τόν Κτίστην ικέτευε, ίνα σώση ως σωτήρ τάς ψυχάς ημών.
Καί νύν... Θεοτοκίον
Τήν πάσαν ελπίδα μου, εις σέ ανατίθημι, Μήτηρ τού Θεού, φύλαξόν με υπό τήν σκέπην σου.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος α'
Τών ουρανίων ταγμάτων
Ο τριετής μέν τό σώμα, τήν δέ ψυχήν πολιός, ο φερωνύμως κήρυξ, γεγονώς τού Δεσπότου, μητρώων αποσπάται εξ αγκαλών, καί θυσία προσφέρεται, ως τριετίζουσα δάμαλις σύν μητρί, Ιουλίττη τή θεόφρονι.

Στίχ. Θαυμαστός ο Θεός εν τοίς Αγίοις αυτού.

Τή Ιερά ξυνωρίδι, μητρός ομού καί παιδός, τή αγωνισαμένη, καρτερώς καί γενναίως, προσάξωμεν δεήσεις, όπως Χριστώ, αδιαλείπτως Πρεσβεύωσιν, υπέρ ημών τών εν πίστει τήν Ιεράν, τούτων μνήμην εκτελούντων αεί.

Στίχ. Τοίς Αγίοις τοίς εν τή γή αυτού εθαυμάστωσεν ο Κύριος.

Δεύτε φιλέορτοι πάντες ανευφημήσωμεν, αρρενόφρονα γνώμην, γυναικεία εν φύσει, στερρώς αντεχομένην της εις Χριστόν, ευσεβείας καί πίστεως, καί καταβάλλουσαν τύραννον δυσσεβή, σύν αθέω τώ φρονήματι.
Δόξα... Ήχος πλ. δ'
Ο τριετής τήν Τριάδα εκήρυττε, καί γαλουχών τήν μητέρα εστήριζε, Παύσον ώ μήτέρ μου, τόν Οδυρμόν τών δακρύων, άνωθεν ο Κτίστης βλέπει, καί σώζει τάς ψυχάς ημών.
Καί νύν... Θεοτοκίον
Δέσποινα πρόσδεξαι, τάς δεήσεις τών δούλων σου, καί λύτρωσαι ημάς, από πάσης ανάγκης καί θλίψεως.

Απολυτίκιον Ποίημα Πατριάρχου Κωνσταντινουπόλεως Κυρίλλου ς'.

Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ

Η λογική Χριστού αμνάς, Ιουλίττα, σύν Τριετεί αμνώ αυτής τώ Κηρύκω, δικαστικού πρό βήματος παρέστησαν, ευθαρσώς κηρύττοντες, τήν Χριστώνυμον κλήσιν, ουδόλως επτοήθησαν απειλάς τών τυράννων, καί στεφηφόροι νύν εν ουρανοίς, αγγαλιώνται Χριστώ παριστάμενοι.

Δόξα... Καί νύν... Θεοτοκίον

Τό απ' αιώνος απόκρυφον, καί αγγέλοις άγνωστον Μυστύριον, διά σού Θεοτόκε τοίς επί γής πεφανέρωται, Θεός εν ασυγχύτω ενώσει σαρκούμενος, καί Σταυρόν εκουσίως υπέρ ημών καταδεξάμενος, δι' ού αναστήσας τόν Πρωτόπλαστον, έσωσεν εκ θανάτου τάς ψυχάς ημών.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος α'

Τόν τάφον σου Σωτήρ

Εξέστη η πληθύς, τών αϋλων Αγγέλων, ορώσα τήν λαμπράν, ήν ετέλεσας νίκην, αήττητε Κήρυκε, νηπιάζοντι σώματι, πώς τώ δράκοντι, τώ νοητώ συνεπλάκης, καί Κατέρραξας, τούτου συνθλάσας τήν κάραν, τή πέτρα τής πίστεως.

Δόξα... Καί νύν... Θεοτοκίον

Μαρία τό σεπτόν, τού Δεσπότου δοχείον, ανάστησον ημάς, πεπτωκότας είς χάος, δεινής απογνώσεως, καί πταισμάτων καί θλίψεων, σύ γάρ πέφυκας, αμαρτωλών σωτηρία, καί βοήθεια, καί κραταιά προστασία, καί σώζεις τούς δούλους σου.

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος γ'

Τήν ωραιότητα

Πώς τούς αγώνάς σου, Μάρτυς υμνήσωμεν, πώς τάς οδύνας σου, επαίνοις στέψωμεν, ούς, Ιουλίττα καρτερώς, ανέτλης υπέρ τού Κτίστου; τό γάρ σώμα είασας, αικισμοίς καταξαίνεσθαι, τήν ψυχήν δέ βέλεσι, συμπαθείας εμπείρεσθαι, τήν θλάσιν τού υιού σου ορώσα, μεθ' ού σωθήναι ημάς ικέτευε.

Δόξα... Καί νύν... Θεοτοκίον

Τήν ωραιότητα τής παρθενίας σου, καί τό υπέρλαμπρον τό τής αγνείας σου, ο Γαβριήλ καταπλαγείς, εβόα σοι Θεοτόκε, Ποίόν σοι εγκώμιον, προσαγάγω επάξιον, τί δέ ονομάσω σε; απορώ, καί εξίσταμαι, διό ως προσετάγην βοώ σοι, Χαίρε η Κεχαριτωμένη.

Ο Ν' καί Οι Κανόνες

Κανών τής Θεοτόκου

Ήχος πλ. δ'  Ωδή α'
Ο Ειρμός
Υγράν διοδεύσας ωσεί ξηράν, καί τήν αιγυπτίαν μοχθηρίαν διαφυγών, ο Ισραηλίτης ανεβόα, Τώ Λυτρωτή καί Θεώ ημών άσωμεν.

Πολλοίς συνεχόμενος πειρασμοίς, πρός σέ καταφεύγω, σωτηρίαν επιζητών, Ώ Μήτερ τού Λόγου καί Παρθένε, τών δυσχερών καί δεινών με διάσωσον.

Παθών με ταράττουσι προσβολαί, πολλής αθυμίας, εμπιπλώσαί μου τήν ψυχήν, ειρήνευσον, Κόρη, τή γαλήνη, τή τού Υιού καί Θεού σου, Πανάμωμε.
Δόξα...
Σωτήρα τεκούσάν σε καί Θεόν, δυσωπώ, Παρθένε, λυτρωθήναί με τών δεινών, σοί γάρ νύν προσφεύγων ανατείνω, καί τήν ψυχήν καί τήν διάνοιαν.
Καί νύν...
Νοσούντα τό σώμα καί τήν ψυχήν, επισκοπής θείας, καί προνοίας τής παρά σού, αξίωσον, μόνη Θεομήτορ, ώς αγαθή αγαθού τε λοχεύτρια.

Τών Αγίων ο παρών, ού η Ακροστιχίς.

Κήρυκον υμνώ σύν τή τεκούση προφρόνως. Ιωσήφ.

Ωδή α'  Ήχος πλ. δ'
Υγράν διοδεύσας
Κηρύξαντες Λόγον τόν εκ Πατρός, σαφώς γεννηθέντα, σαρκωθέντα τε εκ μητρός, μάρτυρες τών τούτου παθημάτων, διά παθών καί θανάτου γεγόνατε.

Η ένθεος Μάρτυς ως φωταυγής, σελήνη συνούσα, τώ Ηλίω τώ εξ αυτής, τεχθέντι Κηρύκω πάσαν κτίσιν, ταίς τών θαυμάτων ακτίσι φωτίζουσι.

Ρεόντων ηλλάξω τά μηδαμώς, Κινούμενα Μάρτυς, καί αγκάλαις τόν σόν υιόν, φέρουσα συν τούτω τών ανόμων, καί διαβόλου την πλάνην ημαύρωσας.

Υπάρχουσα γένους περιφανούς, διά μαρτυρίου, καί βασάνων πολυειδών, μάρτυς Ιουλίττα Βασιλέως, τού αθανάτου θυγάτηρ γεγένησαι.
Θεοτοκίον
Κατήργηται θάνατος διά σού, καί Αδου τό κέντρον, ηφανίσθη Μήτηρ αγνή, σύ γάρ τόν αθάνατον Δεσπότην, θανατωθέντα σαρκί απεκύησας.

Τής Θεοτόκου

Ωδή γ'  Ο Ειρμός
Ουρανίας αψίδος, οροφουργέ Κύριε, καί τής Εκκλησίας δομήτορ, σύ με στερέωσον, εν τή αγάπη τή σή, τών εφετών η ακρότης, τών πιστών τό στήριγμα, μόνε φιλάνθρωπε.

Προστασίαν καί σκέπην, ζωής εμής τίθημι, Σέ, Θεογεννήτορ, Παρθένε, σύ με κυβέρνησον, πρός τόν λιμένα σου, τών αγαθών η αιτία, τών πιστών τό στήριγμα, μόνη πανύμνητε.

Ικετεύω, Παρθένε, τόν ψυχικόν τάραχον, καί τής αθυμίας τήν ζάλην, διασκεδάσαι μου, σύ γάρ, Θεόνυμφε, τόν αρχηγόν τής γαλήνης, τόν Χριστόν εκύησας, μόνη πανάχραντε.

Δόξα...

Ευεργέτην τεκούσα, τόν τών καλών αίτιον, τής ευεργεσίας τόν πλούτον, πάσιν ανάβλυσον, πάντα γάρ δύνασαι, ώς δυνατόν εν Ισχύϊ, τόν Χριστόν κυήσασα, Θεομακάριστε.

Καί νύν....

Χαλεπαίς αρρωστίαις, καί νοσεροίς πάθεσιν, εξεταζομένω, Παρθένε, σύ μοι βοήθησον, τών Ιαμάτων γάρ, ανελλιπή σε γινώσκω, θησαυρόν, Πανάμωμε, τόν αδαπάνητον.

Τών Αγίων

Ωδή γ'

Ουρανίας αψΐδος

Ουρανίων θαλάμων, καί φωταυγούς λήξεως, διαιωνιζούσης τε δόξης κατηξιώθητε, Μάρτυρες ένδοξοι, τού διαβόλου τά κέντρα, πόνοις τής αθλήσεως, εξαφανίσαντες.

Νεοττός ως ωραίος, περιστεράς σώφρονος, ταύτην εμιμήσω, τώ πλάνω αντιταττόμενος, ένδοξε Κήρυκε, θυπευτικώς προσελθόντι, καί συλήσαι σπεύδοντι, σέ τόν αήττητον.

Υπερήφανον όφιν, εις Ουρανούς θέμενον, στόμα καί τήν γήν εξαλείφειν κατακαυχώμενον, νήπιον άκακον, τή τού Σταυρού πανοπλία, παντελώς ηδάφισε, καί εξηφάνισε.

Θεοτοκίον

Μή κενώσας τούς κόλπους τούς πατρικούς, Άχραντε, Λόγος ό τό πάν ουσιώσας, σού τήν πανάμωμον, γαστέρα ώκησε, καί σάρξ ατρέπτως ωράθη, καί βροτούς εθέωσεν, ο υπερούσιος

Ο Ειρμός

«Ουρανίας αψίδος, οροφουργέ Κύριε, καί τής Εκκλησίας δομήτορ, σύ με στερέωσον, εν τή αγάπη τή σή, τών εφετών η ακρότης, τών πιστών τό στήριγμα, μόνε φιλάνθρωπε».

Κάθισμα  Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Φιλομάρτυρες δεύτε τούς νοητούς, μαργαρίτας Κυρίου καί αθλητάς, Κήρυκον υμνήσωμεν, καί τήν τούτου μητέρα, τή τριετεί γάρ τούτον εκθρέψασα γάλακτι, τώ Θεώ θυσίαν, προσήγαγεν άμωμον, όθεν καί τής νίκης, σύν αυτώ τούς

στεφάνους, εδέξατο άνωθεν, καί Χριστώ συναγάλλονται, πρός ούς πίστει βοήσωμεν, Πρεσβεύσατε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς ερτάζουσι πόθω, τήν αγίαν μνήμην υμών.

Θεοτοκίον

Πειρασμοίς πολυπλόκοις περιπεσών, εξ εχθρών αοράτων καί ορατών, τώ σάλω συνέχομαι, τών αμέτρων πταισμάτων μου, καί ως θερμήν αντίληψιν, καί σκέπην γινώσκων σε, τώ λιμένι προστρέχω, τής σής αγαθότητος, όθεν Παναγία, τόν εκ σού σαρκωθέντα, ασπόρως ικέτευε, υπέρ πάντων τών δούλων σου, τών απαύστως υμνούντων σε, πρεσβεύουσα αυτώ εκτενώς, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς προσκυνούσιν εν πίστει, τόν άχραντον τόκον σου.

Η Σταυροθεοτοκίον

Τόν αμνόν καί ποιμένα καί λυτρωτήν, η αμνάς θεωρούσα εν τώ Σταυρώ, ωλόλυζε δακρύουσα, καί πικρώς εκβοώσα, ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήνπερ υπομένεις, διά σπλάγχνα ελέους, Μακρόθυμε Κύριε, τού ελέους η άβυσσος, καί πηγή αγαθότητος, σπλαγχνίσθητι καί δώρησαι ούν, τών πταισμάτων άφεσιν τοίς δούλοις σου, τοίς ανυμνούσί σου πίστει, τά θεία παθήματα.

Τής Θεοτόκου

Ωδή δ'

Εισακήκοα, Κύριε, τής οικονομίας σου τό μυστήριον, κατενόησα τά έργα σου, καί εδόξασά σου τήν θεόητα.

Τών παθών μου τόν τάραχον, η τόν κυβερνήτην τεκούσα Κύριον, καί τόν κλύδωνα κατεύνασον, τών εμών πταισμάτων, Θεονύμφευτε.

Ευσπλαγχνίας τήν άβυσσον, επικαλουμένω τής σής παράσχου μοι, η τόν εύσπλαγχνον κυήσασα, καί Σωτήρα πάντων, τών υμνούντων σε.

Δόξα...

Απολαύοντες, Πάναγνε, τών σών δωρημάτων ευχαριστήριον, αναμέλπομεν εφύμνιον, οι γινώσκοντές σε Θεομήτορα.

Καί νύν...

Οι ελπίδα καί στήριγμα, καί τής σωτηρίας τείχος ακράδαντον, κεκτημένοι σε, Πανύμνητε, δυσχερείας πάσης, εκλυτρούμεθα.

Τών Αγίων

Ωδή δ'

Εισακήκοα Κύριε

Νηπιάζοντι σώματι, καί τελειοτάτω Μάρτυς φρονήματι, τόν αρχέκακον κατέβαλες, τόν τήν πονηρίαν κακουργήσαντα.

Ως κατάκαρπος άμπελος, μάρτυς, Ιουλίττα βότρυν εξήνθησας, τόν γενναίον όντως Κήρυκον, μαρτυρίου γλεύκος αποστάζοντα.

Συμπαθώς ενητένιζες, οιά περ αμνάς αρνίω τώ Μάρτυρι, Ιουλίττα αξιάγαστε, σφαγιαζομένη μάρτυς ένδοξε.

Υπερήφανον τύραννον, θεία ταπεινώσει περιφραττόμενοι, Αθλοφόροι κατεβάλετε, καί στεφάνους νίκης εκομίσασθε.

Θεοτοκίον

Νόμοι φύσεως Πάναγνε, εν τή υπέρ φύσιν κυοφορία σου, εναλλάττονται, τόν Πλάστην γάρ, υπέρ νούν λόγον απεκύησας.

## Τής Θεοτόκου

### Ωδή ε'

Φώτισον ημάς, τοίς προστάγμασί σου, Κύριε, καί τώ βραχίονί σου τώ υψηλώ, τήν σήν ειρήνην, παράσχου ημίν, φιλάνθρωπε.

Εμπλησον, Αγνή, ευφροσύνης τήν καρδίαν μου, τήν σήν ακήρατον διδούσα χαράν, τής ευφροσύνης, η γεννήσασα τόν αίτιον.

Λύτρωσαι ημάς, εκ κινδύνων, Θεοτόκε Αγνή, η αιωνίαν τεκούσα λύτρωσιν, καί τήν ειρήνην, τήν πάντα νούν υπερέχουσαν.

Δόξα...

Λύσον τήν αχλύν, τών πταισμάτων μου, Θεόνυμφε, τώ φωτισμώ τής σής λαμπρότητος, η φώς τεκούσα, τό θείον καί προαιώνιον.

Καί νύν...

Ίασαι Αγνή, τών παθών μου τήν ασθένειαν, επισκοπής σου αξιώσασα, καί τήν υγείαν, τή πρεσβεία σου παράσχου μοι.

## Τών Αγίων

### Ωδή ε'

Ίνα τί με απώσω

Τεινομένη θεόφρον, μάστιξι τό σώμά σου δαπανωμένη τε, τής φθοράς τό πάχος εξεδύσω, στολήν ενεδύσω δέ, ήν ο εκ Παρθένου, Μονογενής σάρκα φορέσας, τούς ανθρώπους θεώσας ενέδυσεν.

Εγθμνώθης τό σώμα, Μάρτυς παναοίδιμε Καταφρονήσασα, σαρκικής αισχύνης, καί εχθρόν τόν τήν Εύαν γυμνώσαντα, Ιουλίττα πάλαι, καρτερικώς ανδρισαμένη, αιωνίαν αισχύνην ενέδυσας.

Κεφαλήν εκτμηθείσα, κάραν τήν τού όφεως Μάρτυς συνέθλασας, στερηθείσα πλούτου, τόν ουράνιον όλβον κεκλήρωσαι, μή σαλευομένην, παραλαβούσα βασιλείαν, μετά πάντων Μαρτύρων Πανεύφημε.

Θεοτοκίον

Ο Θεού Θεός Λόγος, σάρκα ανελάβετο έννουν καί έμψυχον, εκ σού Παναγία, καί δι' οίκτον εγένετο άνθρωπος, καί εθέωσέ με, τόν παραβάσει απωσθέντα, όν ικέτευε σώσαι τά σύμπαντα.

## Τής Θεοτόκου

### Ωδή ς'

Την δέησιν εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών η ψυχή μου επλήσθη, καί η ζωή μου τώ Άδη προσήγγισε, καί δέομαι ώς Ιωνάς, Εκ φθοράς, ο Θεός με ανάγαγε.

Θανάτου καί τής φθοράς ώς έσωσεν, εαυτόν εκδεδωκώς τώ θανάτω, τήν τή φθορά καί θανάτω μου φύσιν, κατασχεθείσαν, Παρθένε, δυσώπησον, τόν Κύριόν σου καί Υιόν, τής εχθρών κακουργίας με ρύσασθαι.

Προστάτιν σε τής ζωής επίσταμαι, καί φρουράν ασφαλεστάτην, Παρθένε, τών πειρασμών διαλύουσαν όχλον, καί επηρείας δαιμόνων ελαύνουσαν, καί δέομαι διαπαντός, εκ φθοράς τών παθών μου ρυσθήναί με.

Δόξα...

Ως τείχος καταφυγής κεκτήμεθα, καί ψυχών σε παντελή σωτηρίαν, καί πλατυσμόν εν ταίς θλίψεσι, Κόρη, καί τώ φωτί σου αεί αγαλλόμεθα. Ώ Δέσποινα, καί νύν ημάς, τών παθών καί κινδύνων διάσωσον.

Καί νύν...

Εν κλίνη νύν ασθενών κατάκειμαι, καί ουκ έστιν ίασις τή σαρκί μου, αλλ' η Θεόν καί Σωτήρα τού κόσμου, καί τόν λυτήρα τών νόσων κυήσασα, σού δέομαι τής αγαθής, εκ φθοράς νοσημάτων ανάστησον.

## Τών Αγίων

### Ωδή ς'

Τήν δέησιν εκχεώ

Υπέπλευσαν τών απείρων βασάνων, οι πανεύφημοι τό άστατον ύδωρ, τή τού Σταυρού, κυβερνήσει καί όρμω, γαληνοτάτω σαφώς προσωρμίσθησαν, βυθίσαντες τόν Φαραώ, τόν αόρατον αίματος ρεύμασι.

Σκιρτά σε, Ικονιέων η πόλις, θρεψαμένη, καί κομπάζει τή μνήμη, σού τή σεπτή, η Ταραός Ιουλίττα, τού μαρτυρίου εν ταύτη γάρ ήνυσας, τό στάδιον σύν τώ υιώ, καί στέφανων τής νίκης ηξίωσαι.

Η λόγησας πολυπλόκων βασάνων, καί τρυγών ωραιοτάτη εδείχθης, σύν νεοττώ, αναπτάσα καί πάντων, υπεραρθείσα παγίδων τού όφεως, Πανεύφημε καί εις μονάς, ουρανίους πανσόφως κατέπαυσας.

Θεοτοκίον

Προρρίζους τώ τμητικώ σου δρεπάνω τής πρεσβείας εναπόκοψον Κόρη,

τούς πονηρούς, λογισμούς τής ψυχής μου, καί καρποφόρον ανάδειξον δέομαι, απάντων γάρ τόν φυτουργόν, τόν Θεόν καί Σωτήρα εκύησας.

Ο Ειρμός

«Τήν δέησιν εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών, η ψυχή μου επλήσθη, καί η ζωή μου τώ Άδη προσήγγισε, καί δέομαι ως Ιωνάς, Εκ φθοράς ο Θεός με ανάγαγε».

Κοντάκιον Ήχος δ'

Επεφάνης σήμερον

Εν αγκάλαις φέρουσα, η χριστομάρτυς, Ιουλίττα Κήρυκον, εν τώ σταδίω μητρικώς, αγαλλομένη εκραύγαζε, Σύ τών Μαρτύρων, Χριστέ το κραταίωμα.

Ο Οίκος

Τόν νούν μου φώτισον, Χριστέ φωτί τών εντολών σου, όπως επαξίως εξισχύσω υμνήσαι τούς Αγίους σου, καί τούς αγώνας εξειπείν, Ποία δέ γλώσσα εκλαλήσαι δυνήσεται τούς άθλους, ούς υπέμειναν, καί τά έπαθλα; Διό ούν σοι προσπίπτω φιλάνθρωπε, Άνεσιν παράσχου τή αθλία νύν ψυχή μου, δωρούμενός μοι καιρόν μετανοίας, εις τούτο γάρ εκών έλαβες σάρκα, ίνα πάντας πρός ζωήν επαναγάγης, ής οι Αθληταί τυχόντες, απαύστως μέλπουσι, Συ τών μαρτύρων Χριστέ τό κραταίωμα.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΕ' τού αυτού μηνός, Μνήμη τών Αγίων Μαρτύρων Κηρύκου καί Ιουλίττης.

Στίχοι

- Ιουλίττα συναθλος υιώ Κηρύκω,
- Η λαιμότμητος τώ κάραν τεθλασμενω, Πέμπτη.
- Ιουλίτταν δεκάτη τάμον, υία δ' έαξαν.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου μάρτυρος Λολλιανού.

Στίχοι

- Ποσί προθύμοις έδραμε τρίβον τέλους.
- Ο Λολλιανός, ού ποσίκρουστον τέλους,

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Αβουδίμου.

Στίχοι

- Αβουδίμω μάχαιρα πρόξενος τέλους,
- Αύτη δέ τούτω πρόξενος καί τού στέφους.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τής Θεοτόκου

Ωδή ζ'

Οι εκ τής ιουδαίας, καταντήσαντες Παίδες εν Βαβυλώνι ποτέ, τή πίστει τής Τριάδος, τήν φλόγα τής καμίνου, κατεπάτησαν ψάλλοντες, Ο τών Πατέρων ημών Θεός, ευλογητός εί.

Τήν ημών σωτηρίαν, ώς ηθέλησας Σώτερ, οικονομήσασθαι, εν μήτρα τής Παρθένου, κατώ κησας τώ κόσμω, ήν προστάτιν ανέδειξας, Ο τών Πατέρων ημών Θεός, ευλογητός εί.

Θελητήν τού ελέους, όν εγέννησας, Μήτερ αγνή δυσώπησον, ρυσθήναι τών πταισμάτων, ψυχής τε μολυσμάτων, τούς εν πίστει κραυγάζοντας, Ο τών Πατέρων ημών Θεός, ευλογητός εί.

Δόξα...

Θησαυρόν σωτηρίας, καί πηγήν αφθαρσίας, τήν σέ κυήσασαν, καί πύργον ασφαλείας, καί θύραν μετανοίας, τοίς κραυγάζουσιν έδειξας, Ο τών Πατέρων ημών Θεός, ευλογητός εί.

Καί νύν...

Σωμάτων μαλακίας, καί ψυχών αρρωστίας, Θεογεννήτρια, τών πόθω προσιόντων, τή σκέπη σου τή θεία, θεραπεύειν αξίωσον, η τόν Σωτήρα Χριστόν, ημίν αποτεκούσα.

## Τών Αγίων

### Ωδή ζ'

Παίδες Εβραίων

Ράβδοις συντρίβων σου τό σώμα, ο παράνομος θεόφρον Ιουλίττα, λογισμού τό στερρόν, εσάλευσεν ουδόλως, ράβδον καί γάρ δυνάμεως, τόν Σταυρόν Χριστούκατείχες.

Όμβροις αιμάτων εκχυθείσιν, εγκατέσβεσαν τό πύρ τής αθεϊας, οι Χριστού Αθληταί, κραυγάζοντες προθύμως, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Φέρουσα Μάρτυς εν αγκάλαις, όν εκύησας επέστης τώ σταδίω, καί διπλούν τόν καλόν, ετέλεσας αγώνα, αναβοώσα, Κύριε, ο Θεός ευλογητός εί.

Θεοτοκίον

Ρήμασι σοίς ακολουθούντες, μακαρίζομεν γενεαί πάσαι Κόρη, μακαρίου Θεού, Μητέρα σε δειχθείσαν, τούς εις αυτόν πιστεύοντας, μακαρίους εκτελούντα.

## Τής Θεοτόκου

### Ωδή η'

Τόν Βασιλέα τών ουρανών, όν υμνούσι στρατιαί τών Αγγέλων, υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Τούς βοηθείας τής παρά σού δεομένους, μή παρίδης Παρθένε, υμνούντας, καί υπερυψούντάς σε, Κόρη, εις αιώνας.

Τών Ιαμάτων τό δαψιλές, επιχέεις τοίς πιστώς υμνούσί σε Παρθένε, καί υπερυψούσι τόν άφραστόν σου τόκον.

Δόξα...

Τάς ασθενείας μου τής ψυχής ιατρεύεις, καί σαρκός τάς οδύνας, Παρθένε, ίνα σέ δοξάζω τήν Κεχαριτωμένην.

Καί νύν...

Τών πειρασμών σύ τάς προσβολάς εκδιώκεις, καί παθών τάς εφόδους Παρθένε, όθεν σε υμνούμεν εις πάντας τούς αιώνας.

## Τών Αγίων

### Ωδή η'

Νικηταί τυράννου

Οι φαιδροί αστέρες, εν τώ στερεώματι τής Εκκλησίας, απλανώς πηχθέντες, καί τήν γήν τοίς θαύμασι φωταγωγούντες, ευσεβώς τιμώνται, υπό πάντων σήμερον, τών υμνολογούντων, Χριστόν εις τούς αιώνας.

Νέον ώσπερ κλάδον, ρίζα θεοφύτευτος ούσα θεόφρον, τόν σεπτόν σου γονον, φέρουσα, εμάρανας τής ασεβείας, τά φυτά βοώσα, σύν αυτώ καί λέγουσα, Σέ υπερυψούμεν, Χριστέ εις τούς αιώνας.

Ώσπερ μόσχον νέον, δάμαλις υπάρχουσα ωραιοτάτη, Ιουλίττα φέρεις, Κήρυκον τόν ένδοξον θυσίαν ζώσαν, τώ εκ τής Παρθένου αμνώ ανατείλαντι, καί αφαγιασθέντι, δι' άκραν ευσπλαγχνίαν.

Θεοτοκίον

Σαρκωθείς ο Λόγος, εκ τών Παναχράντων σου αιμάτων Κόρη, τούς προνενευκότας, πρός τά αλογώτατα τής σαρκός πάθη, επιγνώσει θεία, εθέωσεν άχραντε, Όν υπερυψούμεν, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Νικηταί τυράννου, καί φλογός τή χάριτί σου γεγονότες, οι τών εντολών σου, σφόδρα αντεχόμενοι, Παίδες εβόων, Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

## Τής Θεοτόκου

### Ωδή θ'

Κυρίως Θεοτόκον, σέ ομολογούμεν, οι διά σού σεσωσμένοι, Παρθένε αγνή, σύν Ασωμάτων χορείαις, σέ μεγαλύνοντες.

Ροήν μου τών δακρύων, μή αποποιήσης, η τόν παντός εκ προσώπου πάν δάκρυον, αφηρηκότα Παρθένε, Χριστόν κυήσασα.

Χαράς μου τήν καρδίαν, πλήρωσον, Παρθένε, η τής χαράς δεξαμένη τό πλήρωμα, τής αμαρτίας τήν λύπην, εξαφανίσασα.

Λιμήν καί προστασία, τών σοί προσφευγόντων, γενού Παρθένε, καί τείχος ακράδαντον, καταφυγή τε καί σκέπη, καί αγαλλίαμα.

Δόξα...

Φωτός σου ταίς ακτίσι, λάμπρυνον, Παρθένε, τό ζοφερόν τής αγνοίας διώκουσα, τούς ευσεβώς Θεοτόκον, σέ καταγγέλλοντας.

Καί νύν...

Κακώσεως εν τόπω, τώ τής ασθενείας, ταπεινωθέντα, Παρθένε, θεράπευσον, εξ αρρωστίας εις ρώσιν, μετασκευάζουσα.

## Τών Αγίων

### Ωδή θ'

Έφριξε πάσα ακοή

Ίαμα φέρει η σορός, τών ενδόξων, Αθλοφόρων τή χάριτι, τού θείου Πνεύματος, επαρδομένη, δεύτε αρύσασθε, καί αγιάσθητε ψυχάς, καί νόσων καθάρθητε, οι φιλομάρτυρες, τόν δοτήρα τών καλών μεγαλύνοντες.

Ως ρόδα ταίς μαρτυρικαίς, εξηνθήσατε κοιλάσι Μακάριοι, ως κρίνα εύοσμα, ως Παραδείσου θεία βλαστήματα, μυρεψικήν ως αληθώς, στάζοντα τερπνότητα, καί τών πιστών τάς ψυχάς, ευωδία μυστική κατευφραίνοντα.

Στίγμασι τοίς μαρτυρικοίς, ωραιώθητε καλλίνικοι Μάρτυρες, καί τοίς Αγγέλοις σαφώς, όμοιωθέντες Θεώ παρίστασθε, νίκης διάδημα Τερπνόν, λαμπρώς περικείμενοι, καί τοίς τιμώσιν υμάς, ιλασμόν αμαρτιών εξαιτούμενοι.

Η Μάρτυς οίά περ αμνάς, ώσπερ άρνα τόν υιόν αυτής φέρουσα, λύκων ανάλωτος, μέσον διήλθε, καί εις ουράνιον, μάνδραν εσκήνωσεν αεί, Τούτων παρακλήσεσι, Κύριε σώσον ημάς, τούς αυτών τήν ιεράν μνήμην σέβοντας.

Θεοτοκίον

Φώτισον πύλη τού φωτός, τήν τυφλώττουσαν ψυχήν μου τοίς πάθεσι, καί πονηροίς λογισμοίς, αμαυρωθείσαν καί κινδυνεύουσαν, καί εξελού με πειρασμών, κινδύνων καί θλίψεων, ίνα δοξάζω σε, τήν ελπίδα τών πιστών καί κραταίωμα.

Ο Ειρμός

«Έφριξε πάσα ακοή, τήν απόρρητόν Θεού συγκατάβασιν, όπως ο ύψιστος εκών, κατήλθε μέχρι καί σώματος, Παρθενικής από γαστρός, γενόμενος άνθρωπος, διό τήν άχραντον Θεοτόκον οι πιστοί μεγαλύνομεν».

### Εξαποστειλάριον

Εν πνεύματι τώ Ιερώ

Τήν ηλικίαν ατελής, εν φρονήσει τελεία, υπήρξας θαυμαστότατα, Κήρυκε Αθλοφόρε, σύν μητρί τε γαλουχώ, Ιουλίττη ήρασθε, τό τής αθλήσεως στέφος,

μετά πάντων Αγίων, ών ταίς πρεσβείαις καί ημείς, τύχοιμεν τού ελέους.

Θεοτοκίον

Χαίρε παλάτιον τερπνόν, Χαίρε θρόνε Κυρίου, Χαίρε σκήπτρον πανθαύμαστον, Χαίρε κούφη νεφέλη, χρυσούν θυμιατήριον, Χαίρε Μήτηρ άχραντε, τού Βασιλέως καθέδρα, Χαίρε εύδιε λιμήν, καί προστάτις απάντων, Θεοκυήτορ Παρθένε.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά προσόμοια γ', δευτερούντες τό α'.

Ήχος πλ. δ'

Ώ τού παραδόξου θαύματος

Ώ τού παραδόξου θαύματος! τόν υπερήφανον νούν, καί αρχέκακον δράκοντα, εις χούν καταβέβληκε, καί εις κόνιν ελέπτυνε, τριετές βρέφος μητροφορούμενον, δυνάμει θεία, Χριστού ρωννύμενον, καί εξουθένησεν, ανδρικώ φρονήματι, ως αδρανές, στρουθίον παιζόμενον, τόν πολυμήχανον. (Δίς)

Μάρτυς Ιουλίττα ένδοξε, σύ ταίς μητράσι λαμπρόν, ευσεβείας προβέβλησαι, ακραιφνούς υπόδειγμα, καί γάρ έφερες ήδιστα, τόν εκ λαγόνων σου συναθλούντά σοι, οράν τώ αίματι βαπτιζόμενον, εγκαρτερήσασα, μητρικά σπαράγματα, διά Χριστόν, ώ συμβασιλεύουσα, ημών μνημόνευε.

Μάρτυρες Χριστού αήττητοι, τήν καρτερίαν υμών, κατεπλάγησαν Άγγελοι, δαίμονες κατέπτηξαν, καί ειδώλων οι πρόμαχοι, θεομαχούντες υμίν αντέστησαν, καί εκλυθέντες, αισχρώς ηττήθησαν, όθεν εγείραντες, ευσεβείας τρόπαιον, παρά Χριστού, νίκης διαδήματι, λαμπρώς εστέφθητε.

Δόξα... Ήχος δ'

Ανατολίου

Αγάλλου τέρπου καί ευφραίνου, ικονιέων η πόλις, ότι εκ σού ανεβλάστησε καρπός ευκλεής, Ιουλίττα η πανεύφημος καί καλλίνικος μάρτυς, καί εξ αυτής ο τίμιος παίς, Κήρυκος ο φερώνυμος, πάσαν γάρ μηχανήν, τού τυράννου Βελίαρ, ανδρικώς καταπατήσαντες, τούς στεφάνους τής νίκης αξίως εκομίσαντο, κηρύξαντες λαοίς, σέβεσθαι καί προσκυνείν τήν Αγίαν Τριάδα, Όθεν καί ημείς παρρησία βοώμεν, τώ τούτους δοξάσαντι Χριστώ τώ Θεώ ημών, ειρηνεύσαι τόν κόσμον, καί σώσαι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Εκ παντοίων κινδύνων τους δούλους σου φύλαττε, ευλογημενη Θεοτόκε, ίνα σε δοξάζωμεν, τήν ελπίδα τών ψυχών ημών.

Καί η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

Εις τήν Λειτουργίαν. Τά Τυπικά, οι Μαλαρισμοί, καί εκ τού Κανόνος τών Αγίων η γ' καί ς'. Ωδή, κλπ.

Ο Απόστολος
Πρός Κορινθίους α' Επιστολής

Αδελφοί, ότε ήμην νήπιος...

Ευαγγέλιον κατά Λουκάν
Ζήτει Σάββατον ι'

Κοινωνικόν

Αγαλλιάσθε δίκαιοι εν Κυρίω, τοίς ευθέσι πρέπει αίνεσις. Αλληλούϊα.

---

Αρχή

## ΤΗ ΙΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήιμη τού Αγίου Ιερομάρτυρος, Αθηνογένους.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. δ
Ώ τού παραδόξου θαύματος

Αθηνογένης ο ένδοξος, ιερωσύνης φαιδρόν, προκείμενος ένδυμα, ταίς βαφαίς τού αίματος, Ιερώτερον έδειξε, Μεθού εισήλθεν εις ναόν άγιον, τώ παντεπόπτη εμφανιζόμενος, καί λειτουργών αυτώ, σύν αϋλοις τάξεσι, καί μετοχή, θεία λαμπρυνόμενος, όν μακαρίσωμεν.

Αθηνογένης ο πάνσοφος, χορόν προσήξε Χριστώ, αθλητών διά πίστεως, καρτερώς αθλήσαντα, καί τόν δρόμον τελέσαντα, μεθ' ών νικήσας τόν πολυμήχανον, χοροίς Μαρτύρων, αναλαμβάνεται θέσει θεούμενος, καί πρεσβεύων πάντοτε, υπέρ ημών, τών τήν Ιεράν αυτού, μνήμην τελούντων αεί.

Δεκάς μαθητών θεόλεκτος, ασκητικαίς αγωγαίς, τών παθών τά σκιρτήματα, καθελούσα ήθλησε, καί τόν όφιν ενέκρωσεν, Αθηνογένην, καθηγητήν Ιερόν, ενθέω σθένει καταπλουτήσασα, Ταύτης δεήσεσι, σώσον ημάς εύσπλαγχνε, τούς επί σέ, πάντοτε ελπίζοντας, τόν υπεράγαθον.

Δόξα... Καί νύν... Θεοτοκίον

Σέ δυσωπούμεν Πανάχραντε, τήν προστασίαν ημών, συσχεθέντες εν θλίψεσι, Μή παρίδης τέλεον, απολέσθαι τούς δούλους σου, αλλά τάχυνον τού εξελέσθαι ημάς, τής ενεστώσης οργής καί θλίψεως, ώ παμμακάριστε, Παναγία Δέσποινα, συ γάρ ημών, τείχος καί βοήθεια, ακαταμάχητος.

Η Σταυροθεοτοκίον

Τί τό ορώμενον θέαμα, ο τοίς εμοίς οφθαλμοίς, κοθαράται ώ Δέσποτα; Ο συνέχων άπασαν, κτίσιν ξύλω ανήρτησαι, καί θανατούσαι, ο πάσι νέμων ζωήν, η Θεοτόκος, κλαίουσα έλεγεν, ότε εώρακεν, εν Σταυρώ κρεμάμενον, τόν εξ αυτής, αρρήτως εκλάμψαντα, Θεόν καί άνθρωπον.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, οι Κανόνες τής Οκτωήχου, καί τών Αγίων ο παρών, ού η Ακροστιχίς.

Τών σών Αθλητών, Χριστέ, μέλπω τό κλέος. Ιωσήφ.

### Ωδή α' Ήχος πλ. δ'
Άσωμεν τώ Κυρίω

Τάξεσιν Ασωμάτων, νύν περιπολεύων αξιάγαστε, Ιεράρχα καί Μάρτυς, τούς υμνούντάς σε πίστει περίσωζε.

Ώσπερ άμωμον θύμα, ολοκαυτωθείς θεομακάρ ιστε, τώ πυρί τών βασάνων, προσηνέχθης Θεώ διά πίστεως.

Νόμοις τοίς τού Δεσπότου, δήμος πειθαρχών ο πανσεβάσμιος, τών Χριστού αθλοφόρων, τών ανόμων βουλάς απεκρούσατο.

Θεοτοκίον

Σάρκα γεγενημένον, εκ τών σών αιμάτων απειρόγαμε, τόν αιώνιον Λόγον, υπέρ νούν τε καί λόγον εκύησας.

### Ωδή γ'
Στερέωσον ημών τόν νούν

Λύσας τού εχθρού δεινάς μηχανουργίας, τή πρός τόν Θεόν αλύτω διαθέσει, αθηνογένης ο μάρτυς καί Ιεράρχης, σύν μαθηταίς δόξης ηξίωται.

Ήμβλυναν εχθρού τά βέλη καί τά κέντρα, ταίς μαρτυρικαίς ενστάσεσιν οι θείοι, καί καταυγάζουσι πάντων τάς διανοίας, ταίς φωτοβόλοις αυτών λάμψεσιν.

Τείνας τούς στερρούς ιμάσιν ο παράφρων, ξέει απηνώς, μαστίζων άνενδότως, αλλ' ουκ εσάλευσε τούτων τής διανοίας, τήν ακατάπληκτον στερρότητα.

Θεοτοκίον

Ώφθης ουρανών Αγνή υψηλοτέρα, Καί τών Σεραφίμ αεί αγιωτέρα, ως τόν απάντων Δεσπότην καί Βασιλέα, υπερφυώς κυοφορήσασα.

Ο Ειρμός

«Στερέωσον ημών τόν νούν καί τήν καρδίαν, ο τούς ουρανούς τώ λόγω στερεώσας, εις τό υμνείν καί δοξάζειν σε τόν Σωτήρα, καί λυτρωτήν καί πανοικτίρμονα».

### Κάθισμα Ήχος δ'
Ταχύ προκατάλαβε

Ασκήσει τό πρότερον, προκαθαρθείς τήν ψυχήν, αθλήσει τό δεύτερον, τελειοτάτω νοϊ, Θεώ ευηρέστησας, θύτης αυτού καί μάρτυς, γεγονώς

θεοφόρε, στίφος δέ προσηγάγου, μαθητών τώ Δεσπότη, μεθ' ών υπέρ ημών εκτενώς πρέσβευε ένδοξε.

Θεοτοκίον

Η μόνη κυήσασα, τόν Ποιητήν τού παντός, η μόνη κοσμήσασα, τήν ανθρωπότητα, τώ τόκω σου Άχραντε, ρύσαί με τών παγίδων, τού δολίου Βελίαρ, στήσόν με επί πέτραν, τών Χριστού θελημάτων, αυτόν δυσωπούσα εκτενώς, όν εσωμάτωσας.

Η Σταυροθεοτοκίον

Ταχύ προκατάλαβε, πρίν δουλωθήναι ημάς, εχθροίς βλασφημούσί σε, καί απειλούσιν ημίν, Χριστέ ο Θεός ημών, άνελε τώ Σταυρώ σου, τούς υμάς πολεμούντας, γνήτωσαν πώς ισχύει, Ορθοδόξων η πίστις, πρεσβείαις τής Θεοτόκου, μόνε φιλάνθρωπε.

Ωδή δ'

Εισακήκοα Κύριε

Νούν τόν πάντων επέκεινα, θείαις αναβάσεσι φανταζόμενοι, τής σαρκός ουκ εδειλίασαν, τάς πικράς αικίσεις οι θεόφρονες.

Αριστοκήρυξ θεόληπτος, καί Ιερομάρτυς ακαταγώνιστος, χρηματίσας κατηξίωται, ο Αθηνογένης θείας χάριτος.

Ρητορεύοντες Μάρτυρες, σάρκωσιν τού Λόγου καθυπεμείνατε, τάς αικίσεις καί τόν θάνατον, πρός αθανασίαν μεταβαίνοντες.

Θεοτοκίον

Ισοδύναμον σύνθρονον, τώ γεγεννηκότι τόν υπερούσιον, εσωμάτωσας Πανάμωμε, τοίς βροτοίς δι' οίκτον ομιλήσαντα.

Ωδή ε'

Ορθρίζοντες βοώμέν σοι

Στομώσας απαθεία τό φρόνημα, παθοκτόνον, πάθος εξεικόνισας, τού απαθούς Αξιάγαστε.

Ταίς θείαις προτροπαίς προσενήνοχε, τώ Δεσπότη, μαθητών ομήγυριν, Αθηνογένης ο ένδοξος.

Εφαίδρυνε τήν μνήμην σου μάρτυς, ο φωτοδότης, πληρών τάς αιτήσεις σου, εν τοίς πιστώς σοι προστρέχουσι.

Θεοτοκίον

Μητέρα καί Παρθένον ειδότες σε, Παναγία, συμφώνως γεραίρομεν, καί ευσεβώς μακαρίζομεν.

Ωδή ς'

Ιλάσθητί μοι σωτήρ

Ευκλείας μαρτυρικής, Αθηνογένης επέτυχε, καί σύν αυτώ μαθητών, χορός εστεφάνωται, ασκήσας τό πρότερον, καί τήν τών δαιμόνων, τροπωσάμενος

απόνοιαν.

Λαμπρύνει σου τό σεπτόν, Ιμνημόσυνον ο Δεσπότης σου, πληρών σου τάς πρός αυτόν, εντεύξεις Μακάριε, ιδού γάρ ή έλαφος, τόν αυτής σοι γόνον, προσκομίζει θείω νεύματι.

Παράδεισος νοητός, εδείχθητε, Αξιάγαστοι, τό ξυλον τό τής ζωής, εν μέσω κατέχοντες, τάς αισθήσεις πάντων τε, τή θείων ανθέων, ευωδία καθηδύνοντες.

Θεοτοκίον

Ως νοητή κιβωτός, τόν νομοδότην εβάστασας, λυχνία ως φωταυγής, τό φώς απεκύησας, ως ρίζα απότιστος, τής ζωής τόν βότρυν, Θεοτόκε ανεβλάστησας.

Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

## Σ υ ν α ξ ά ρ ο ν

Τή ΙΣΤ' τού αυτού μηνός, Μνήμη τού Αγίου Ιερομάρτυρος Αθηνογένους, Επισκόπου Πηδαχθόης.

Στίχοι

- Αθηνογένης εκ ξίφους ανηρέθη,
- Ψευδή θέαι ναν τήν Αθηνάν ου σέβων.
- Έκτη καί δεκάτη Αθηνογένη τάμε χαλκός.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Μάρτυρος Φαύστου.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου μάρτυρος Αντιόχου, αδελφού τού αγίου μάρτυρος Πλάτωνος.

Οι άγιοι δεκαπεντακισχίλιοι μάρτυρες, οι εν Πισιδία ξίφει τελειούνται.

Ο άγιος μάρτυς Αθηνογένης διά πυρός, καί πολλαί μάρτυρες γυναίκες, ξίφει τελειούνται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

## Ωδή ζ'

Τών Χαλδαίων η κάμινος

Τοίς κρουνοίς τών αιμάτων σου, πλάνης έσβεσας φλόγα, τώ πυρί τών αγώνων σου, απετέφρωσας ύλην, κακίας Μακάριε, Ευλογητός βοών ο Θεός, ο τών Πατέρων ημών.

Οι σαρκός τά σκιρτήματα, τής εγκρατείας πόνοις, καί τής Μάνης σεβάσματα,

τοίς τών αιμάτων όμβροις, μειώσαντες Μάρτυρες, ως στρατιώται Χριστού ανευφημείσθωσαν.

Κεφαλάς εκτεμνόμενοι, παρανόμω προστάξει, καί τάς σάρκας ξεόμενοι, πολυπλόκοις βασάνοις, ως πύργοι ακλόνητοι, ουκ εσαλεύθητε Οσιομάρτυρες.

Θεοτοκίον

Λυτρωθέντες Πανάμωμε, διά σού τής αρχαίας, τών προγόνων εκπτώσεως, τό Χαίρέ σοι βοώμεν, καί πίστει δοξάζομεν, τόν διά σού εκ φθοράς ημάς ρυσάμενον.

## Ωδή η'

Οι θεορρήμονες Παίδες

Ενατενίζων ταίς θείαις φωταυγίαις, ειδωλικής αξαπάτης Αθηνογένης διέλυσε, τό βαθύτατον σκότος, καί φώς εχρημάτισεν.

Ο τών Αγγέλων χορός καί τών Μαρτύρων, Ιεραρχών καί Οσίων, επί τή μνήμη ευφραίνεται, τών σεπτών Αθλοφόρων, δοξάζων τόν Κύριον.

Συνηριθμήθης Μαρτύρων ταίς αγέλαις, μαθητευσάντων δεκάδα, μαρτυρικήν επαγόμενος, Ιεράρχα μεθ' ών σε, πιστώς μακαρίζομεν.

Θεοτοκίον

Ον απεκύησας Λόγον υπέρ λόγον, Θεογεννήτορ Μαρία, υπέρ ημών εκδυσώπησον, τών Πιστών σε υμνούντων, καί μακαριζόντων σε άχραντε.

Ο Ειρμός

«Οι θεορρήμονες παίδες εν τή καμίνω, σύν τώ πυρί καί τήν φλόγα, καταπατούντες υπέψαλλον, Ευλογείτε τά έργα Κυρίου τόν Κύριον».

## Ωδή θ'

Τόν προδηλωθέντα

Ίδε φωταυγής σήμερον ημέρα, Μαρτύρων, απαστράπτουσα θαύμασι, καί θείαις αγλαϊαις, καταυγάζουσα τών πιστών τάς καρδίας, Δεύτε φωτισμόν απαρυσώμεθα.

Ώσπερ προσφοραί, καί άμωμοι ως άρνες, προσηνέχθητε Μάρτυρες, τώ δι' ημάς τυθέντι, παρ' αυτού τούς στεφάνους τής νίκης, ως αγωνοθέτου κομισάμενοι.

Στάζουσιν οι σοί γλυκασμόν Αθλοφόρεπόνοι, καί πικρίαν πάσαν, παθών καθαίρουσι τών πίστει, τώ τεμένει σου προστρεχόντων καί πόθω, σού εορταζόντων τό μνημόσυνον.

Ημεροφαείς ως αστέρες αναδειχθέντες, στερεώματι Μάρτυρες τής σεπτής Εκκλησίας, καταυγάζετε πάσαν τήν Οικουμένην, σκότος πειρασμών αποδιώκοντες.

Θεοτοκίον

Φέρεις εν αγκάλαις Θεόν τόν φέροντα πάντα, τρέφεις τόν τροφέα, ημίν αγνή ομοιωθέντα, Όν ικέτευε τώ λαώ σου δοθήναι, πάντων δυσχερών τήν απολύτρωσιν.

Ο Ειρμός

«Τόν προδηλωθέντα, εν όρει τώ νομοθέτη, εν πυρί καί βάτω, τόκον τόν τής Αειπαρθένου, εις ημών πιστών σωτηρίαν, ύμνοις ασιγήτοις μεγαλύνωμεν».

Εξαποστειλάριον

Επεσκέψατο ημάς

Πληρών τό αίτημα Χριστέ, τού σού Ιερομάρτυρος, Αθηνογένους φαιδρύνεις, νύν τής ελάφου τώ νεβρώ, μνήμην αυτού ετήσιον, σύν μαθητών τή δεκάδι, σοί Λόγε πρεσβεύοντος.

Θεοτοκίον

Αγία Δέσποινα αγνή, Θεόν όν εσωμάτωσας, εκ παναχράντων σών σεμνή, καί παναγίων αίματων, τούτον αεί εκδυσώπει, τού οικτιρήσαι καί σώσαι, ημάς τούς υμνούντάς σε.

Καί η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΖ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής Αγίας Μεγαλομάρτυρος Μαρίνης.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'

Ώ τού παραδόξου θαύματος

Ώ τού παραδόξου θαύματος! τήν επηρμένην οφρύν, τού τήν γήν καί τήν θάλασσαν, εξαλείφειν φάσκοντος, πρός τήν γήν εταπείνωσεν, απαλή κόρη καί παναμώμητος, τάς πανουργίας αυτού νικήσασα, Ώ τής δυνάμεως, τού Σταυρού καί χάριτος! ήτις ημών, πάσαν υπεστήριξε, σαφώς ασθένειαν. (Δίς)

Μάρτυς Μαρίνα πανένδοξε, τάς ουρανίους μονάς, επαξίως οικήσασα, σύν παρθένων τάγμασι, καί Μαρτύρων στρατεύμασι, τούς εκτελούντας πίστει τήν μνήμην σου, καί προσιόντας πιστώς τή σκέπη σου, σώζε πρεσβείαις σου, καί πταισμάτων άφεσιν παρά Θεού, αίτησαι καί λύτρωσιν, καί μέγα έλεος. (Δίς)

Μάρτυς Μαρίνα Πανεύφημε, ούτε βασάνων τό πύρ, ου τρυφής η απόλαυσις, ου τού κόσμου χάριτες, ου τερπνότης νεότητος, τής πρός Χριστόν αγάπης εχώρισεν, εφιεμένην τής ωραιότητος, τής υπέρ έννοιαν, τού σεπτού νυμφίου σου, επιτυχείν, ήσπερ κατηξίωσαι, θεομακάριστε. (Δίς)

Δόξα... Ήχος β'

Εν φωνή αγαλλιάσεως, καί εν ψαλμοίς αλαλαγμού, ανυμνήσωμεν Μαρϊναν τήν μάρτυρα, ότι καθείλεν επί γής τών ειδώλων τήν πλάνην, καί τόν αντίπαλον εχθρόν ανδρείως εν τοίς ποσίν αυτής κατεπάτησε, διό καί τελειωθείσα, εις ουρανούς ανίπταται, τήν κάραν στεφηφορούσα καί ανακράζουσα, Σέ νυμφίξ μου ποθώ, καί τό τού πόθου φίλτρον έχουσα, υπέρ σού τάς σάρκας μου τώ πυρί παρέδωκα, κατασκηνώσω ούν εις τάς αιωνίους σου μονάς, ένθα εστί τών ευφραινομένων η κατοικία.

Καί νύν... Θεοτοκίον

Τήν πάσαν ελπίδα μου εις σέ ανατίθημι, Μήτηρ τού Θεού, φύλαξόν με υπό τήν σκέπην σου.

Εις τήν Λιτήν, Στιχηρά Ιδιόμελα.

Ήχος α'

Ως εν πέτρα στερρά, τής ομολογίας Χριστού προσερεισθείσα, Μαρίνα πανεύφημε, τόν παλαμναίον εχθρόν εις χάος εβύθισας, καί στέφος τής νίκης επάξιον απείληφας.

Ο αυτός

Μετά τών άνω ταγμάτων, συνηριθμήθης ένδοξε, κόσμον λιπούσα, καί τόν Χριστόν ποθήσασα, Μαρίνα πάνσεμνε, αιτούσα ημίν τό μέγα έλεος.

Ήχος β'

Ως αλάβαστρον μύρου, τό αίμα, σου προσενήνοχας τώ σώ νυμφίω Χριστώ, Μαρίνα μάρτυς αθληφόρε αήττητε, αντάμειψιν δέ είληφας στέφος άφθαρτον, παρ' αυτού αξιάγαστε, όθεν καί τόν αρχέκακον εχθρόν, ωραίοις σου ποσί κατεπάτησας, τή επικλήσει τού σωτηρίου ονόματος τού Σωτήρος Χριστού, διό καί ουρανίων θαλάμων ηξιώθης, ως παρθένος, καί μάρτυς Χριστού πολύαθλε.

Ήχος δ'

Δοξάζομέν σου Χριστέ, τήν πολλήν ευσπλαγχνίαν καί τήν αγαθότητα, τήν εις ημάς γενομένην, ότι καί γυναίκες κατήργησαν τήν πλάνην τής ειδωλομανίας, δυνάμει τού Σταυρού σου φιλάνθρωπε, Τύραννον ουκ επτοήθησαν, τόν δόλιον κατεπάτησαν, ίσχυσαν δέ οπίσω σου ελθείν, εις οσμήν μύρου σου έδραμον, πρεσβεύουσαι υπέρ τών ψυχών ημών.

Δόξα... Ήχος πλ. α'

Τή παρθενική σου θελχθείς ωραιότητι, ο Βασιλεύς τής δόξης Χριστός, ως αμώμητον νύμφην εαυτώ σε ηρμόσατο, ακηράτω συναφεία, εν γάρ τώ θελήματι αυτού παρασχόμενος τώ κάλλει σου δύναμιν, κατ' εχθρών τε καί παθών, αήττητον έδειξεν, εγκαρτερήσασαν δέ αικίαις πικραίς, καί βασάνοις δριμυτάταις, διπλώ στέφει δισσώς σε κατέστεψε, καί παρέστησεν εκ δεξιών αυτού, ως βασίλισσαν πεποικιλμένην, Αυτόν δυσώπησον, παρθενομάρτυς Μαρίνα πανεύφημε, τοίς υμνηταίς σου δοθήναι σωτηρίαν, καί ζωήν, καί μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καί δοξάζομέν σε, οι πιστοί κατά χρέος, τήν πόλιν τήν άσειστον, τό τείχος τό άρρηκτον, τήν αρραγή προστασίαν, καί

καταφυγήν τών ψυχών ημών.

Εις τόν Στίχον, Στιχήρά Προσόμοια.

Ήχος β'
Ότε, εκ τού ξύλου σε νεκρόν
Δεύτε, φιλομάρτυρες πιστώς, τήν υπέρ τού πάντων Δεσπότου στερρώς αθλήσασαν, μάρτυρα τιμήσωμεν, Μαρίναν νύμφην Χριστού, παρθενίας χιτώνι γάρ, τό σώμα κοσμούσα, χρύσεον ως ύφασμα, τούτω επέθηκεν, αίμα, τού σεπτού μαρτυρίου, καί διπλοίς κοσμείται στεφάνοις, καί τώ στεφανίτη νύν παρίσταται.

Στίχ. Θαυμαστός ο Θεός έν τοίς αγίοις αυτού.

Μέγα, τό κατόρθωμα τό σόν, μέγα καί πανάριστον όντως, σού τό εκνίκημα, φύσις γάρ ευπτόητος, καί ευταπείνωτος, τόν αόρατον δράκοντα, τό όρος τό μέγα, νούν τόν πολυμήχανον, Μαρίνα σύ αληθώς, είλες ευτελές ως στρουθίον καί καταπατούσα χορεύεις, νύν μετά Αγγέλων αξιάγαστε.

Στίχ. Υπομένων υπέμεινα τόν Κύριον, καί προσέσχε μοι.

Λόγου, τού φανέντος επί γής νύμφη εκλεκτή ανεδείχθης, Μαρίνα σύ αληθώς, κάλλει διαλάμπουσα, ενθέων πράξεων, καί μαραίνουσα χάριτι, φυτά αθεΐας, όθεν τήν πανίερον μνήμην σου σέβομεν, πόθω, καί λειψάνων τήν θήκην, νύν περιπτυσσόμεθα χάριν, εξ αυτής ιάσεων λαμβάνοντες.
Δόξα... Ήχος πλ. β'
Εκ δεξιών τού Σωτήρος, παρέστη η παρθένος, καί αθληφόρος καί Μάρτυς, περιβεβλημένη ταίς αρεταίς τό αήττητον, καί πεποικιλμένη ελαίω τής αγνείας, καί τώ αίματι τής αθλήσεως, καί βοώσα πρός αυτόν εν αγαλλιάσει, τήν λαμπάδα κατέχουσα, Εις οσμήν μύρου σου έδραμον, Χριστέ ο Θεός, ότι τέτρωμαι τής σής αγάπης εγώ, μή χωρίσης με νυμφίε επουράνιε, Αυτής ταίς ικεσίαις κατάπεμψον ημίν, παντοδύναμε Σωτήρ, τά ελέη σου.
Καί νύν... Θεοτοκίον
Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής. Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Απολυτίκιον Ήχος δ'
Η αμνάς σου Ιησού κράζει μεγάλη τή φωνή, Σέ Νυμφίε μου ποθώ, καί σέ ζητούσα αθλώ, καί συσταυρούμαι καί συνθάπτομαι τώ βαπτισμώ σου, καί πάσχω διά σέ, ως βασιλεύσω σύν σοί, καί θνήσκω υπέρ σού, ίνα καί ζήσω εν σοί, αλλ' ως θυσίαν άμωμον, προσδέχου τήν μετά πόθου τυθείσάν σοι, Αυτής πρεσβείαις, ως ελεήμων, σώσον τάς ψυχάς ημών.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, οι Κανόνες, πρώτον ο τής Θεοτόκου, «Ανοίξω τό στόμα μου», ει βούλει, εί δέ μή, τής Οκτωήχου. Είτα οι δύο παρόντες τής Αγίας.

Κανών πρώτος τής Αγίας, ού η Ακροστιχίς.

Χριστού Παρθενομάρτυρα νυμφην άσμασι μέλπω.
Ποίημα Θεοφάνους.

Ωδή α' Ήχος πλ. δ'
Υγράν διοδεύσας

Χορεύουσα Μάρτυς περί Θεόν, καί τών λαμπηδόνων, πληρουμένη τών παρ' αυτού, αίγλην μοιπαράσχου φωτοφόρον, ταίς σαίς πρεσβείαις καλλιπάρθενε.

Ρεόντων τό άστατον καί φθαρτόν σοφή διανοία, κεχρημένη Μάρτυς Χριστού, παρείδες εμφρόνως καί δικαίως, κατηξιώθης τής άνω λαμπρότητος.

Ικέτης προσέρχομαι σοί σεμνή, ταίς σαίς ικεσίαις, τών τού βίου με δυσχερών, διάσωσον Μάρτυς αθληφόρε, καί τών παθών μου κατεύνασον τάραχον.

Σοφία καί χάριτι λαμπρυνθείς, ο νούς σου Μαρίνα, τών τυράννων τάς απειλάς, ουκ έπτηξε μάρτυς τού Σωτήρος, θεία δυνάμει κρατυνόμενος.

Θεοτοκίον

Τήν τρίβον υπέδειξας τής ζωής, ζωήν ουσιώδη συλλαβούσα καί σαρκικώς, κυήσασα ταύτην Θεομήτορ, καί τά δεσμά τού θανάτου διέρρηξας.

Κανών δεύτερος, ού η Ακροστιχίς εντή θ' Ωδή.

Ιωσήφ.

Ωδή α' Ήχος δ'
Θαλάσσης, τό ερυθραίον

Μαρτύρων, περιφανώς λαμπρότησι, περιαστράπτουσα, περί Θεόν χορεύεις ιερώς, θεουμένη Πανεύφημε, καί φωτισμόν πρεσβείαις σου, παρεχομένη τοίς υμνούσί σε.

Αθλήσει, τήν ψυχικήν νεώσασα, θεόφρον άρουραν, τού μαρτυρίου στάχυν γεωργείς, γεωργώ συντηρούμενον, τώ τήν ισχύν σοι πνεύσαντι, Παρθενομάρτυς αξιάγαστε.

Πορφύραν, σών εξ αιμάτων βάψασα, καί στολισθείσα φαιδρώς, περιφανώς τά άνω κατοικείς, ως παρθένος βασίλεια, καί θεϊκαίς λαμπρότησι, μάρτυς Μαρίνα κατηγλάϊσαι.

Ρωσθείσα, τού παντουργού πανεύφημε, δυνάμει Πνεύματος, τόν ισχυρόν ανδρείως συμπλοκαίς, εταπείνωσας τύραννον, μεγαλαυχία χρώμενον, καί σοίς ποσί Μάρτυς υπέταξας.

Θεοτοκίον

Δοχείον, χωρητικόν γεγένησαι τής θείας χάριτος, Θεογεννήτορ άχραντε, διό, σέ Μαρίνα ποθήσασα, παρθενικώς οπίσω σου, τώ σω Υιώ προσαπενήνεκται.

Ωδή γ'

Ουκ έστιν Άγιος, ως ο Θεός

Ου πύρ ουδέ μάστιγες, ουδέ ξίφουςάκμή, ου τυράννων ωμότητες, ουδέ θάνατος, ου θηρών αγριότης, τής θείας εχώρισεν, αγάπης σε Πανόλβιε.

Υπήρξας άσειστος καί ασάλευτος, εν καιρώ περιστάσεως, πύργος πανένδοξε, ευσεβείας κρηπίδα, θεμένη τής πίστεως, εν πέτρα Παμμακάριστε.

Παρθένος εν μάρτυσιν εχρημάτισας, εν παρθένοις αήττητος, Μάρτυς γεγένησαι, τώ Χριστώ νυμφευθείσα, διπλούν σοι παρέχοντι, τόν στέφανον πανόλβιε.

Αγίων αιμάτων σου Καλλιπάρθενε, οι κρουνοί προχεόμενοι, πάσαν κατέσβεσαν, τών ειδώλων τήν πλάνην, καί δήμον προσήγαγον, Μαρτύρων τώ νυμφίω σου.

Θεοτοκίον

Ρωσθέντες τή χάριτι, Θεοτόκον σε ομοφρόνως δοξάζομεν, σάρκα γενόμενον, τόν τό είναι τοίς πάσι, διδούντα γάρ τέτοκας, καί κόσμον ανεκαίνισας.

Έτερος

Ευφραίνεται επί σοί

Τοπάθοςτού απαθούς, τού νεκρωθέντος δι' ημάς νέκρωσιν, Μάρτυς σεμνή στέργουσα, τόν μαρτυρικόν θνήσκεις θάνατον.

Μεγίστων επιτυχείν, εφιεμένη δωρεών Πάνσεμνε, πόνους σαρκός έφερες, ως εν αλλοτρίω τώ σώματι.

Αιμάτων σου σταλαγμοίς, τής άθεϊας τήν πυράν έσβεσας, καί τών πιστών ήρδευσας, ώ Μαρίνα μάρτυς τό φρόνημα.

Ως μάρτυς μαρτυρικήν, ενδεικνυμένη καρτερώς ένστασιν, τόν πτερνιστήν πτέρναις σου, ταίς ωραιοτάταις συνέτριψας.

Θεοτοκίον

Κυρίως καί αληθώς, σέ Θεοτόκον οι πιστοί σέβομεν, σύ γάρ Θεόν τέτοκας, σάρκα γεγονότα Πανάμωμε.

Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα, Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

## Κάθισμα Ήχος δ'
## Κατεπλάγη Ιωσήφ

Μαρίνα μάρτυς τού Χριστού, ανευφημούμέν σε πιστοί, ότι τόν τύραννον εχθρόν, εν τή δυνάμει τού Σταυρού, εν τοίς ποσί κατεπάτησας γενναιοφρόνως, καί γέγονας ημίν, ανδρεία πίστεως, πάσαν τού εχθρού, πατούσα δύναμιν, καί ουρανόθεν έλαβες τόν στέφανον, τή κορυφή σου αοίδιμε, Χριστόν δυσώπει, σωθήναι πάντας, τούς τελούντας τήν μνήμην σου.

### Θεοτοκίον

Κατεπλάγη, Ιωσήφ, τό υπέρ φύσιν θεωρών, καί ελάμβανεν εις νούν, τόν επί πόκον υετόν, εν τή ασπόρω συλλήψει σου Θεοτόκε, βάτον εν πυρί ακατάφλεκτον, ράδον Ααρών τήν βλαστήσασαν, καί μαρτυρών ο Μνήστωρ σου καί φύλαξ, τοίς Ιερεύσιν εκραύγαζε, Παρθένος τίκτει, καί μετά τόκον, πάλιν μένει Παρθένος.

## Ωδή δ'
## Σύ μου ισχύς Κύριε

Θεοπρεπής, γέγονεν όντως ο βίος σου, τοίς Αγγέλοις, ώφθη ποθεινότατος, τών δέ δαιμόνων τή στρατιά, καί τοίς υπηρέταις, εκείνων τής αγριότητος, απρόσιτος εδείχθη, τώ Χριστώ γάρ εβόας, Τή δυνάμει σου δόξα φιλάνθρωπε.

Επί τής γής, ηγωνισαμένη πανόλβιε, καί προσκαίρους, πόνους υπομείνασα, εν ουρανοίς, νύν τάς αμοιβάς, παρά τού Δεσπότου, κομίζη Μάρτυς αοίδιμε, απείρους εις αιώνας, σύν Αγγέλοις βοώσα, Τή δυνάμει σου δόξα φιλάνθρωπε.

Νύν επί σοί, χαίρει Παρθένων τό καύχημα, νύν Μαρτύρων, όμιλος ευφραίνεται, νύν καί τό πλήθος τών ευσεβών, επισυναχθέντες, χορεύουσιν αγαλλόμενοι, βοώντες τώ Δεσπότη, εν φωναίς ασιγήτοις, Τή δυνάμει σου δόξα φιλάνθρωπε.

Όλη καλή, πέφηνας κόρη καί άσπιλος, ώφθης όλη, νύμφη παναμώμητος, τώ τών ψυχών, κάλλους εραστή, διά γάρ βασάνων, πυρώσεως Παμμακάριστε, εφάνης λαμπροτέρα, τώ Χριστώ μελωδούσα, Τή δυνάμει σου δόξα φιλάνθρωπε.

### Θεοτοκίον

Μόνη αγνή, καί μετά τόκον διέμεινας, σύ γάρ Λόγον, μόνη ενυπόστατον, τόν τώ Πατρί, σύνθρονον Υιόν, εκ σού σαρκωθέντα, γεγέννηκας Θεονύμφευτε, καί φέρεις εν αγκάλαις, τόν αχώρητον πάσι, καί τόν πάντων τό κράτος κατέχοντα.

### Έτερος

Επαρθέντα σε ιδούσα

Μαρτυρίου διαλάμπουσα λαμπηδόσι, καί αφθαρσίας στέφανον, αναδησαμένη, χαίρουσα παρίστασαι, Χριστώ τώ νυμφίω σου, ώ Μαρίνα μάρτυς πανεύφημε.

Τόν πτερνίσαντα απάτη τήν πρώτην Εύαν, μαρτυρικαίς ενστάσεσι, τρέψασα καθείλες, δείξασα ανίσχυρον, καί χαίρουσα έκραζες, Δόξα τή δυνάμει σου Κύριε.

Σέ τήν άσπιλον αμνάδα καθάπερ λύκοι, οι δυσμενείς σπαράττοντες, Μάρτυς ταίς αικίαις, άμωμον ολόκληρον, Θεού απετέλεσαν, θείον Ιερείον καί σφάγιον.

Τού ποιμένος θείοις ίχνεσιν επομένη, τό δι' αυτόν υπέμεινας, εκούσιον πάθος, Μάρτυς καί εσκήνωσας, εις μάνδραν ουράνιον, ένθα τών Μαρτύρων τά τάγματα.

Θεοτοκίον

Η πανάμωμος καί μόνη αγιωτέρα, τών Χερουβίμ φανείσα, τάς ψυχάς ημών σώσον, πάσης περιστάσεως, τών πίστει υμνούντων σε, άχραντε Παρθένε Θεόνυμφε.

Ωδή ε'

Ίνα τί με απώσω

Αθλητών εν σταδίω, δρόμον συντονώτατον κόρη διηνυσας, ο γάρ θείος πόθος, τό τού θήλεος χαύνον επτέρωσε, προφανώς δεικνύων, τόν λογισμόν τών παθημάτων, αυτοκράτορα Μάρτυς υπάρχοντα.

Ρανίδες σών αιμάτων, Μάρτυς αποστάζουσαι χλαίναν πολύτιμον, καί τής ακηράτου, ευφροσύνης χιτώνα εξύφαναν, όνπερ νύν θεόφρον, εν ουρανοίς ενδεδυμένη, νοητώ σου νυμφίω παρίστασαι.

Τοίς δεσμοίς τών ευχών σου, Κόρη τόν μεγάλαυχον όφιν εδέσμευσας, καί οφρύν τήν πρώην, επηρμένην πρός γήν εταπείνωσας, εκτελείν γάρ οίδεν, ως αγαθός ο παντεπόπτης, τών αυτόν φοβουμένων τό θέλημα.

Υπερτέρας σε δόξης, θείοις διαδήμασιν όντως εκόσμησεν, ο νυμφίος Λόγος, δι' αυτόν εναλθούσαν θεώμενος, καί πυρός τήν φλόγα, καί αικισμών τάς αλγηδόνας, καρτερώς υπομένουσαν Ένδοξε.

Θεοτοκίον

Ρυπτομένην ορώντες, τώ τής παρθενίας σου τόκω Πανάμωμε, τών βροτών τήν φύσιν, τής κατάρας τής πρώην δοξάζομεν, τόν εκ σού τεχθέντα, μόνη αγνή δι' ευσπλαγχνίαν, όν δυσώπει Παρθένε σωθήναι ημάς.

Έτερος

Σύ Κύριέ μου φώς

Φώς γέγονας φωτί, τώ μεγάλω τρανότερον, εγγίζουσα καί φωτίζεις, φωτοφόρον τήν μνήμην, τήν σήν τούς εορτάζοντας.

Σού μόνου καλλοναίς, ως παρθένος ενήδομαι, σέ Κύριε αγαπώσα, σφαγιάζομαι ξίφει, Μαρίνα ανεκραύγαζε.

Ρούν Μάρτυς δυσσεβών, αθεϊας εξήρανας, τοίς ρεύμασι τών αιμάτων, τών αδίκως χυθέντων, καί πύρ απάτης έσβεσας.

Ολόκληρον σαυτήν, τώ Θεώ προσενήνοχας, ερύθημα παρθενίας, ταίς βαφαίς τών αιμάτων, λαμπρότερον τελέσασα.

Θεοτοκίον

Ρούς έστη τής φθοράς, η Παρθένος αφθόρως γάρ, γεγέννηκε τόν τήν φύσιν, τών ανθρώπων φθαρείσαν, φθορός ελευθερώσαντα.

Ωδή ς'

Ιλάσθητί μοι Σωτήρ

Απόθετον τώ Χριστώ, εφάννς κάλλος καί άσπιλον, καί ως πηγή διαυγής, καί κήπος πολύκαρπος, Μαρίνα πανένδοξε, καί γνησία νύμφη, καί Παράδεισος ασύλητος.

Νεάνις πανευπρεπής, όπίσω σου ηκολούθησε, δραμούσα πρός τήν οσμήν, τών μύρων σου Δέσποτα, τό άχραντον Πάθος σου, διά καρτερίας, μιμουμένη τό σεβάσμιον.

Υπέμεινας ανδρικώς, αγώνας Μάρτυς πολύαθλε, καί τόν πρίν φρενοβλαβώς, μεγάλα καυχώμενον, μετ' ήχου απώλεσας, Σταυρού τή δυνάμει, ώ Μαρίνα κυριώνυμε.

Θεοτοκίον

Μαρία τό καθαρόν, καί πάνσεπτον ενδιαίτημα, τού πάντων Δημιουργού, ψυχής καθαρτήρια, παράσχου μοι δάκρυα, καί επάκουσόν μου, τής δεήσεως πανάμωμε.

Έτερος

Θύσω σοι, μετά φωνής

Αιμάτων, τή πλημμύρα θαλάσσας εξήρανας, Κακοπιστίας, Χριστού δέ, τήν σεπτήν κατήρδευσας Εκκλησίαν, ώ Μαρίνα αθληφόρε, παρθένων τό καύχημα.

Αβρόχως, τών βασάνων διήλθες κλυδώνιον, ακαταπόντιστος όθεν, εις λιμένα άκλυστον καθωρμίσθης, καί τής όντως, απολαύεις γαλήνης, Αοίδιμε.

Τύπτεσθαι, ανηλεώς καί ράβδοις συντρίβεσθαι, τήν τού Κυρίου αμνάδα, πονηρός διώκτης προσέταττέ σε, τεταμένην, πρός Χριστόν τήν διάνοιαν

έχουσαν.

Ώρθρισας, πρός Χριστόν τάν ανέσπερον ήλιον, καί ταίς αυτού φρυκτωρίαις, τήν ψυχήν θεόφρον σού κατηυγάσθης, Αθληφόρε, καί πρός φώς μετετέθης αϊδιον.

Θεοτοκίον

Θάλασσαν, σπαργανώσας αμίχλη βουλήματι, κυοφορείται ο Κτίστης, εκ Παρθένου Κόρης απειρογάμου, ώσπερ βρέφος, καί σπαργάνοις αρρήτως ειλίσσεται.

Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως κυριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Κοντάκιον Ήχος γ'

Η Παρθένος σήμερον

Παρθενίας κάλλεσι, πεποικιλμένη παρθένε, μαρτυρίου στίγμασι, στεφανωθείσα Μαρίνα, αίμασιν αθλητικοίς τε ρεραντισμένη, θαύμασι καταλαμφθείσα τών ιαμάτων, ευσεβώς Μάρτυς εδέξω, βραβεία νίκης τής σής αθλήσεως.

Ο Οίκος

Τώ νυμφίω Χριστώ, έρωτι τής καρδίας σου από βρέφους σεμνή πυρποληθείσα, έδραμες, δορκάς ως διψώσα πηγαίς αειρύτοις, Παρθενομάρτυς, καί τή αθλήσει σεαυτήν συντηρήσασα, εν τώ αφθάρτω όντως τού Κτίστου σου, νύμφη ευκλεής, θαλάμω έφθασας εστολισμένη, πεποικιλμενη, στεφανηφόρος, νικητής λαμπαδηφόρος, ευθαλής, αφθάρτου νυμφώνος τυχσύσα, καί δεξαμένη ως χρυσίον, βραβεία νίκης τής σής αθλήσεως.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΖ' τού αυτού μηνός, Μνήμη τής Αγίας Μεγαλομάρτυρος Μαρίνης.

Στίχοι

- Χείρ δημίου τέμνει σε Μαρίνα ξίφει,
- Χείρ Κυρίου χάριτι θεία δέ στέφει.
- Εβδομάτη δεκάτη Μαρίνα δειροτομήθη.

Μνήμη τών αγίων μαρτύρων Σπεράτου καί Βηρονίκης.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Παίδες Εβραίων

Φώς τό απρόσιτον Μαρίνα, κατεφώτισεν αξίως τήν ψυχήν σου, καί λαμπάσι φωτός κατηύγασε βοώσαν, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Ήρθης πρός θείον όντως ύψος, υψηλήν γάρ σου εκέκτησο τήν γνώμην, καί

νυμφώνα λαμπρόν κατώκησας βοώσα, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Νύμφη γνησία τού Δεσπότου, αναδέδειξαι Μαρίνα θεοφόρε, καί ως μάρτυς αυτώ αήττητος κραυγάζεις, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Θεοτοκίον

Άρχων ουκ έτι εξ Ιούδα, αλλ' εξέλιπεν, εκ σού γάρ ο Δεσπότης, τών εθνών η ελπίς ανέτειλεν αφράστως, όν ευλογούσιν άπασαι, γενεαί φυλαί καί γλώσσαι.

Έτερος

Εν τή καμίνω

Πυρί τώ θείω, φλεγομένη πυρός ουκ εφρόντισας, όθεν επομβρίζεις πάντοτε τοίς πιστοίς, ιαμάτων θεία νάματα, παθών επήρειαν, αθληφόρε Μαρίνα ξηραίνουσα.

Πολυειδέσιν, αικισμοίς εκφοβών σε ο τύραννος, εύρε τήν ψυχήν σου πέτρας ως αληθώς, στερροτέραν, ανεβόας γάρ, Ευλογημένος εί, εν τώ ναώ τής δόξης σου Κύριε.

Σύ τώ νυμφίω, καθάπερ προίκα προσήγαγες, δήμον καί λαόν πιστεύσαντα εις Θεόν, καί τής πλάνης αμαυρότητα, ταίς φωτοβόλοις σου, θαυματουργίαις αποκρουσάμενον.

Θεοτοκίον

Παρθένε μόνη, ως καθαράν σε αδιάφθορον, Λόγος καθαρός ηγάπησε καί εκ σού, ανεπλάσατο σαρκούμενος, κόρη τόν άνθρωπον, ο Μαρίναν δοξάσας τοίς θαύμασι.

Ωδή η'

Μουσικών οργάνων συμφωνούννων

Σταθηράν τήν γνώμην κεκτημένη, σταθερώς τούς άθλους εκαρτέρεις, καί στέμμασι νικητικοίς, εστέφθης μελωδούσα, Τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Μυστικήν Μαρίνα σοι παστάδα, ο ψυχών νυμφίος Θεός Λόγος, ηυτρέπισεν εν ουρανοίς, όν βλέπουσα κραυγάζεις, Τόν Κύριον υμνείτε, καί υπερυωούτε, εις πάντας τούς αιώνας.

Αρεταίς ποικίλαις κοσμουμένη, δωρεών πλειόνων ηξιώθης, τό έσχατον τών ορεκτών, ορώσα καί βοώσα, Τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Σωτηρίας ώφθης αθληφόρε, τοίς πολλοίς αιτία καί μαρτύρων, προσήγαγες δήμον Χριστώ, συμφώνως μελωδούσα, Τόν Κύριον υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Ιλασμός ημίν Θεογεννήτορ, διά σού εδόθη, σύ γάρ μόνη, απέτισας τήν οφειλήν, τόν πάντων συλλαβούσα, Θεόν τε καί Δεσπότην, άχραντε Παρθένε, εις πάντων σωτηρίαν.

Έτερος

Χείρας εκπετάσας Δανιήλ

Παρθένον καί σώμα καί ψυχήν, Θεώ διέσωσας, καί προσενήνοχας, ως προίκα πάντιμον Ένδοξε, τήν αοίδιμόν σου άθλησιν, καί εις νυμφώνα νοητόν εισήχθης μέλπουσα, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ρήμασι τυράννου δυσμενούς, υπηρετούμενοι, πυρός επάξιοι, οι ματαιόφρονες ζώσάν σε, τή πυρά Μάρτυς ενέβαλον, αλλ' ουκ εφλέχθης τώ πυρί, τής τού νυμφίου στοργής, θεοφόρε δροσιζομένη, καί τούτον γεραίρουσα.

Ίστασο πρό βήματος Χριστόν, ανακηρύττουσα, Θεόν αθάνατον, καθυπομείναντα σταύρωσιν, καί τήν πλάνην θανατώσαντα, καί τήν αθάνατον ζωήν πιστοίς παρέχοντα, τοίς βοώσι, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Θεοτοκίον

Ώφθης υπερτέρα ουρανών, Θεόν ουράνιον αποκυήσασα, τόν ουρανώσαντα Πάναγνε, γηγενών όλον τό φύραμα, καί τής Μαρίνης τήν σεπτήν, μνήμην φαιδρύναντα, ώ βοώμεν, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκωέφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβίας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Ωδή θ'

Έφριξε πάσα ακοή

Μαρίνα μάρτυς τού Χριστού, τήν αιώνιον ζωήν καί ανώλεθρον, εν Παραδείσω τρυφής, επιτηδείως όντως ετρυγησας, τήν στρεφομένην αβλαβώς, ρομφαίαν διέβης γάρ, μαρτυρων αίμασι, λαμπομένη τηλαυγώς καλλιπάρθενε.

Έφλεξε πάσαν υλικήν, καί φιλόκοσμόν σου Μάρτυς διάνοιαν, έρως ο ένθεος, καί στερροτάτην μάρτυρα έδειξε, παρθενικαίς μαρμαρυγαίς, τό πρίν διαλάμπουσαν, Μαρίνα πάνσεμνε, διό πάντες σε πιστώς μακαρίζομεν.

Λύσόν μου νύμφη εκλεκτή, τών πταισμάτων τάς σειράς ταίς πρεσβείαις σου, καί τό χειρόγραφον, τής αμαρτίας Μάρτυς διάρρηξον, παρισταμένη ευπρεπώς, Χριστώ τώ νυμφίω σου, τώ παντοικτίρμονι, καί παθών μου τήν αχλύν διασκέδασον.

Πέπαυται φρύαγμα δεινόν, τού αλάστορος, Ιδού γάρ νεάνιδες, επιλαθόμεναι,

τής γυναικείας φύσεως ήθλησαν, καί κατ' αυτού περιφανώς, τήν νίκην αράμεναι, νύν τής προμήτορος, ανεκτήσαντο σαφώς τήν Παράπτωσιν.

Θεοτοκίον

Ώριμον δρέπομαι ζωήν, μή βλαπτόμενος τώ ξύλω τής γνώσεως, σύ γάρ Πανάχραντε, ζωής τό ξύλον, Χριστόν εβλάστησας, τόν τάς εισόδους τής ζωής, τοίς πάσι γνωρίζοντα, διό σε πάναγνε, Θεοτόκον ευσεβώς καταγγέλλομεν.

Έτερος

Λίθος αχειρότμητος

Τών Αντιοχέων η πόλις, σού τοίς σπαργάνοις καί τοίς άθλοις, Μάρτυς εγκαυχάται, τών άνω, η Εκκλησία τών πρωτοτόκων δέ, μετά δικαίων έχει σου, πνεύμα τό θείον ευφραινόμενον.

Ιδόντες σου μάρτυς Μαρίνα, τούς υπέρ πίστεως αγώνας, Άγγελοι εθαύμασαν όπως, εν γυναικεία φύσει κατήσχυνας τόν πρίν τήν σήν προμήτορα, εν Παραδείσω θανατώσαντα.

Ως περικαλής αθληφόρος, καί περιδέξιος παρθένος, στέφος αναπλέξω νομίμως, δικαιοσύνης, καταπατήσασα, μετά σαρκός τόν άσαρκον, καί νικηφόρος χρηματίσασα.

Σέ τήν νοητήν χελιδόνα, καί αδιάφθορον αμνάδα, καί περιστεράν χρυσαυγούσαν, τώ μαρτυρίω έχουσαν πτέρυγας, καί πρός Θεόν πετάσασαν, καί καταπαύσασαν γεραίρομεν.

Ήνθησας κοιλάσιν ως κρίνον, ταίς τών μαρτύρων Αθληφόρε, ώ μάρτυς Μαρίνα ως ρόδον, τήν παρθενίαν εύοσμον φέρουσα, καί τώ τερπνώ νυμφίω σου, θείον οσφράδιον γεγένησαι.

Θεοτοκίον

Φώς ημίν ανέτειλας μήτρας, εξ απειράνδρου σου Παρθένε, ού ταίς φρυκτωρίαις ενθέως, καταυγασθείσα φώς εχρημάτισεν, η τής χαράς επώνυμος, Θεοκυήτορ Μητροπάρθενε.

Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Εξαποστειλάριον

Ο ουρανόν τοίς άστροις

Μαρίνα μάρτυς Κυρίου, καί καλλιπάρθενε νύμφη, ρύσαι λαόν σου καί πόλιν, εκδυσωπούσα τόν Θεόν, όπως ρυσθώμεν οι πάντες, φθοράς οργής καί κινδύνων.

Θεοτοκίον

Χρυσοπλοκώτατε πύργε, καί δωδεκάτειχε πόλις, ηλιοστάλακτε θρόνε, καθέδρα τού Βασιλέως, ακατανόητον θαύμα, πώς γαλουχείς τόν Δεσπότην.

Εις τούς Αίνους, ψάλλομεν Στιχηρά Προσόμοια, δευτερούντες τό α'.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσι

Πολυώδυνα βάσανα υποστήναι πανένδοξε, ανδρικώ φρονήματι ηυτομόλησας, καί τών Ελλήνων σεβάσματα, ως κόνιν ελέπτυνας, καί τόν τύραννον εχθρόν, αθληφόρε πανεύφημε τόν καυχώμενον, υπεράνωθεν άστρων θρόνον θείναι, σύ κατήσχυνας Μαρίνα, καί τούς λαούς κατεφώτισας. (Δίς)

Τόν αρχέκακον δράκοντα, τόν τήν Εύαν γυμνώσαντα, παραβάσει πρότερον, Μάρτυς ένδοξε, διά Σταυρού απενέκρωσας, αγώσι δεσμεύσασα, τοίς σεπτοίς σου ευσεβώς, Χριστόν δύναμιν έχουσα, όν ικέτευε, εκ φθοράς καί κινδύνων λυτρωθήναι, τούς εν πίστει εκτελούντας, τήν αεισέβαστον μνήμην σου.

Ώσπερ προίκα πολύτιμον, τώ νυμφίω προσήγαγες, Αθληφόρε ένδοξε δήμον άγιον, τοίς θαυμασίοις πιστεύσαντα, οίς πίστει ετέλεσας, ανωτέρα καί ποινών, καί πυρός καταφλέγοντος, καί στρεβλώσεων, εν Χριστώ δεικνυμένη τώ τήν νίκην, ουρανόθεν σοι παρθένε, θεουργικώς χορηγήσαντι.

Δόξα... Ήχος πλ. β'

Αθλητικήν οδεύσασα οδόν, προγονικήν εξέφυγες βουλήν, Μαρίνα πανσεβάσμιε, καί ως μέν παρθένος φρονίμη, λαμπαδηφόρος εισήλθες εις τάς αυλάς τού Κυρίου σου, ως δέ μάρτυς ανδρεία, χάριν έλαβες απελαύνειν πάσαν νόσον εξ ανθρώπων, Αλλά καί ημάς τούς υμνούντάς σε, ψυχικών αλγηδόνων ελευθέρωσον, ταίς πρός Θεόν ικεσίαις σου.

Καί νύν... Θεοτοκίον

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής. Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Ει βούλει, ποίησον Δοξολογίαν μεγάλην, καί Απόλυσις.

Εις τήν Λειτουργίαν. Τά Τυπικά, καί εκ τού Κανόνος τής Αγίας η γ' καί ς' Ωδή.

Ο Απόστολος Πρός Γαλάτας

Αδελφοί, πρό τού ελθείν τήν πίστιν...

Ευαγγέλιον κατά Μάρκον

Τώ καιρώ εκείνω, ηκολούθει τώ Ιησού όχλος πολύς...

Κοινωνικόν

Εις μνημόσυνον αιώνιον έσται Δίκαιος. Αλληλούια.

---

Αρχή

**ΤΗ ΙΗ' ΤΟΓ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τού Αγίου Μάρτυρος Αιμιλιανού.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Είς τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'
Έδωκας σημείωσιν

Ενέδυσας Κύριε, τόν αθλοφόρον σου δύναμιν, τήν εξ ύψους αήττητον, καί τούτον ενίσχυσας, διά σέ βασάνους, εξ εχθρών ανόμων, υπενεγκείν αθλητικώς, καί μαρτυρίου στέφανον δέξασθαι, δι' ού ημίν συγχώρησιν, αμαρτημάτων κατάπεμψον, Ιησού παντοδύναμε, ο Σωτήρ τών ψυχών ημών.

Σταυρόν οπλισάμενος, ο αθλοφόρος σου Κύριε, καί σώ ζήλω πυρούμενος, ειδώλων ενέπρησε, τά τεμένη πάντα, καί τάς παρατάξεις, τού αρχεκάκου καθελών, Αιμιλιανός ο ένδοξος, βραβεία νίκης Δέσποτα, τήν βασιλείαν απείληφε, παρά σού τήν ουράνιον, καί πρεσβεύει σωθήναι ημάς.

Αστέρα υπέρλαμπρον, τή Εκκλησία ανέδειξας, Αιμιλιανόν τόν μάρτυρα, οπλίτην τε άριστον, δαδουχούντα πάσαν, νύν τήν οικουμένην, θαυματουργίαις μυστικαίς, καί αθεΐας σκότος ελαύνοντα, υφ' ού φωταγωγούμενοι, θεοπρεπώς ανυμνούμέν σε, Ιησού παντοδύναμε, ο Σωτήρ τών ψυχών ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Τόν ρύπον απόσμηξον, τής ταλαιπώρου καρδίας μου, Θεοτόκε πανύμνητε, καί πάντα τά τραύματα, καί τά έλκη ταύτης, τά εξ αμαρτίας, εναποκάθαρον αγνή, καί τού νοός μου στήσον τό άστατον, όπως τήν δυναστείαν σου, καί τήν μεγάλην αντίληψιν, μεγαλύνω ο άθλιος, καί αχρείος ικέτης σου.

Η Σταυροθεοτοκίον

Νεκρούμενον βλέπουσα, Χριστόν η πάναγνος Δέσποινα, καί νεκρούντα τόν δόλιον, ως Δεσπότην κλαίουσα, ύμνει τόν εκ σπλάγχνων, αυτής προελθόντα, καί τό μακρόθυμον αυτού, αποθαυμάζουσα ανεκραύγαζε, Τέκνον μου ποθεινότατον, μή επιλάθη τής δούλης σου, μή βραδύνης φιλάνθρωπε, τό εμόν καταθύμιον.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν. Οι Κανόνες τής Οκτωήχου, καί τού Αγίου ο παρών, ού η Ακροστιχίς.

Αιμιλιανού μάρτυρος μέλπω κλέος. Ιωσήφ.

## Ωδή α'  Ήχος δ'
## Ανοίξω τό στόμα μου

Αινέσωμεν σήμερον, τόν επί πάντων Θεόν ημών, καί τούτου τόν Μάρτυρα, ανευφημήσωμεν, εναθλήσαντα, νομίμως καί τής νίκης, τό στέφος αράμενον, σθένει τού Πνεύματος.

Ισχύν ενδυσάμενος, τού τήν ημών αγαθότητι, ασθένειαν ένδοξε, Μάρτυς φορέσαντος, απεγύμνωσας, ειδώλων ασθενείας, τό ιμάταιον φρύαγμα, θεομακάριστε.

Μονάδα τρισάριθμον, ενιζομένην ταυτότητι, αοίδιμε φύσεως, χαίρων εκήρυξας, καί πολύθεον, διέλυσας απάτην, αθλήσας στερρότατα, Αξιοθαύμαστε.

### Θεοτοκίον

Ισχύς μου καί ύμνησις, καί φωτισμός τής καρδίας μου, υπάρχει πανάμωμε, Χριστός ο Κύριος, όν εκύησας, εν δύο ταίς ουσίαις, μιά υποστάσει δέ, κατανοούμενον.

## Ωδή γ'
## Τούς σούς υμνολόγους

Λύχνος τοίς ποσί σου εγενήθη, καί φώς σού ταίς τρίβοις αληθώς, ο νόμος τού Θεού ημών, δι' ού καθυπεσκέλισας, παρανομούντων βήματα, μαρτυρικώς κλεϊζόμενος.

Ιθύνας νοός σου τάς πορείας πρός θείου θελήματος Σοφέ, λιμένα γαληνότατον, πολυθεϊας θάλασσαν, Κυματουμένην πνεύματι, τής πονηρίας διέφυγες.

Αιμιλιανού τούς θείους άθλους, τήν πίστιν καί μέχρι τελευτής, ανδρείαν κατεπλάγησαν, Δυνάμεις αι ουράνιαι, όπως σαρκί τόν άσαρκον, ταπεινωθείς καταβέβληκε.

### Θεοτοκίον

Νόμους τούς τής φύσεως λαθούσα, εν τώ υπέρ φύσιν τοκετώ, Παρθένος μετά γέννησιν, Παρθενομήτορ έμεινας, τόν πλαστουργόν γάρ άχραντε, απάσης κτίσεως τέτοκας.

### Ο Ειρμός

«Τούς σούς υμνολόγους Θεοτόκε, ως ζώσα καί άφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικόν στερέωσον, καί εν τή θεία δόξα σου, στεφάνων δόξης αξίωσον».

## Κάθισμα  Ήχος γ'
## Θείας πίστεως

Πυρπολούμενος, τώ θείω ζήλω, πύρ ομόδσυλον, ουκ επτοήθης, αλλ υπελθων απτοήτω θελήματι, τήν αναφθείσαν πυράν ωλοκαύτωσαι, καί τώ

Δεσπότη, ως θύμα προσήνεξαι, Μάρτυς ένδοξε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Θεοτοκίον

Θείας φύσεως, ουκ εχωρίσθη, σάρξ γενόμενος, εν τή γαστρί σου, αλλά Θεός ενανθρωπήσας μεμένηκεν, ο μετά τόκον Παρθένον φυλάξας σε, ως πρό τού τόκου Μητέρα πανάμωμον, μόνος Κύριος, αυτόν εκτενώς ικέτευε, σωθήναι δεόμεθα τάς ψυχάς ημών.

Η Σταυροθεοτοκίον

Η αμίαντος, αμνάς τού Λόγου, η ακήρατος Παρθενομήτωρ, εν τώ Σταυρώ θεασαμένη κρεμάμενον, τόν εξ αυτής ανωδινως εκλάμψαντα, μητροπρεπώς, θρηνωδούσα εκραύγαζεν, Οίμοι! Τέκνον μου, πώς πάσχεις θέλων ρύσασθαι, παθών τής ατιμίας τόν άνθρωπον.

Ωδή δ'

Ο καθήμενος εν δόξη

Ο Θεού σε θείος έρως, παραδόξως ανέφλεξε, όθεν τών μαστίγων, τό πικρόν καί πυράν εκαρτέρησας, καί τούς θεούς τών αθέων ενεπύρισας, καί ψυχάς, Παμμάκαρ, τών πιστών κατεδρόσισας.

Υπερείδες τά παρόντα, διά μόνα τά μένοντα, καί τώ θείω πόθω, όλην την ψυχήν σου προσέδησας, τής ασεβείας τό κράτος όθεν έλυσας, αθλοφόρε Αιμιλιανέ αξιάγαστε.

Μίαν φύσιν μίαν δόξαν, τρισηλίου θεότητος, ευσεβώς δοξάζων, Αιμιλιανέ πρός τό στάδιον, ως στρατιώτης γενναίος εισελήλυθας, καί τόν δράκοντα, τόν ισχυρόν κατηδάφισας.

Θεοτοκίον

Αγιάσματός σε τόπον, τού ημάς αγιάσαντος, Παναγία Κόρη, μόνην ευρεθείσαν δοξάζομεν, δι' ού οι γήν κατοικούντες ουρανώθημεν, καί ζωής αληθινής ηξιώθημεν.

Ωδή ε'

Εξέστη τά σύμπαντα

Ρανίσι κατέσβεσας, τών ιερών αιμάτων σου, Αιμιλιανέ πύρ αθεϊας, όθεν θαυμάτων πηγήν ανέβλυσας, λίμνας αναστέλλουσαν παθών, νόσους κατακλύζουσαν, καί βυθίζουσαν δαίμονας.

Ταθέντα σε τύπτεσθαι, ο δυσσεβής προσέταττεν, όθεν σπαραττόμενος τήν σάρκα, καί ταίς αικίαις τραυματιζόμενος, τού τραυματισθέντος εν Σταυρώ, πάθος εξεικόνισας, Αθλητά τό μακάριον.

Υπάρχων ανάπλεως, τών δωρεών τού Πνεύματος, νόσους ανιάτους θεραπεύεις, αρρωστημάτων παύεις τόν καύσωνα, πνεύματα διώκεις πονηρά, πάσι τοίς εν θλίψεσι, βοηθείς Αξιάγαστε.

Θεοτοκίον

Ρομφαία τρωθέντα με, τής αμαρτίας ίασαι, τώ δραστικωτάτω σου φαρμάκω, η τόν Σωτήρα Χριστόν κυήσασα, λόγχη τόν τρωθέντα δι' εμέ, Άχραντε καί τρώσαντα, τήν καρδίαν τού όφεως.

Ωδή ς'
Ήλθον εις τά βάθη
Όλβιος καί πλήρης θείας δόξης, τώ μαρτυρίω Μάκαρ, εχρημάτισας καί μετ' Αγγέλων, τούς ουρανούς, κατοικείς δεόμενος, τού σωθήναι τάς ψυχάς ημών.

Σώματος θνητού σύ ουκ εφείσω, αθανασίαν όθεν, διαμένουσαν κατεκληρώσω, θανατωθεις, διά πόθον Ένδοξε, τού τά πάθη θανατώσαντος.

Μύρον αναβλύζει οία ρείθρον, η τών λειψάνων θήκη, σού πανόλβιε γενναίε Μάρτυς, καί καταργεί, τά δυσώδη πάντοτε, τών ανθρώπων αρρωστήματα.
Θεοτοκίον
Εύα μέν ετρύγησε τού ξύλου, καρπόν θανατηφόρον, σύ δέ Πάναγνε ζωής τό ξύλον, καρπογονείς, ού η γεύσις άπαντας, τούς θανόντας ανεζώωσεν.
Ο Ειρμός
«Ήλθον εις τά βάθη τής θαλάσσης, καί κατεπόντισέ με, καταιγίς πολλών αμαρτημάτων, αλλ' ως Θεός, εκ βυθού ανάγαγε, τήν ζωήν μου ως φιλάνθρωπος».

Σ υ ν α ξ ά ρ ι ο ν
Τή ΙΗ' τού αυτού μηνός, μνήμη τού Αγίου μάρτυρος Αιμιλιανού.
Στίχοι
- Αιμιλιανός εις πυράν βεβλημένος,
- Χριστώ παραστάς, τέρπεται σύν Αγγέλοις.
- Ογδοάτη δεκάτη φλογί Αιμιλιανός εβλήθη.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Παύλου, θεής καί Ουαλεντίνης.

Μνήμη τού αγίου μάρτυρος Υακίνθου τού εν Αμάστριδι.

Ο άγιος μάρτυς Μάρκελλος εν κραβάτω πυρακτωθέντι απλωθείς τελειούται.

Οι άγιοι μάρτυρες Δάσιος καί Μάρων ξίφει τελειούνται.

Ο όσιος Παμβώ εν ειρήνη τελειούται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς, Αμήν.

Ωδή ζ'
Ουκ ελάτρευσαν

Λαμπρυνόμενος, τή χάριτι Μακάριε, τού θείου Πνεύματος, τήν τής καμίνου πυράν, υπήλθες καί έψαλλες, Μάρτυς θεόπνευστε, Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Πυρακτούμενος, τώ έρωτι Μακάριε, τού εραστού σου Χριστού, τό πύρ ουκ έπτηξας, εν ώ δροσιζόμενος, πνεύματι έψαλλες, Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Ωραιότητι, τών άθλων εξωμοίωσαι τοίς ασωμάτοις Σοφέ, ωραιοτάτω Χριστώ, μεθ' ών παριστάμενος, μέλπεις γηθόμενος, Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Θεοτοκίον

Κυριώνυμε, Θεόνυμφε τό Χαίρέ σοι, πίστει κραυγάζομεν, καί γάρ εκύησας, χαράν ανεκλάλητον, Χριστόν τόν Κύριον, ώ κραυγάζομεν, Ο τών Πατέρων Κύριος, καί ευλογητός εί.

## Ωδή η'

Παίδας ευαγείς εν τή καμίνω

Λύσας τά σεβάσματα τής πλάνης, δεσμοίς αντί σού τόν κατεχόμενον, Πάνσοφε απέλυσας, καί πρός τό μαρτύριον, αυτοθελώς εχώρησας, βοών πανεύφημε, Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ευρέθην ιδού τοίς μή ζητούσι, μή επερωτώσιν επεφάνην δέ, έκραζες αοίδιμε, σύνετε παράνομοι, ως γάρ αρνίον άκακον, τυθήναι έσπευσας, Τόν Κύριον υμνείτε Κραυγάζων, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ο μέγας ημάς πρός ευωχίαν, Αιμιλιανός συνεκαλέσατο, προθείς ως εδέσματα, τά αυτού παλαίσματα, πνευματικώς τρυφήσωμεν, Πιστοί καί μέλψωμεν, Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Σταγόνα μοι όμβρισον ελέους, πηγήν τού ελέους η κυήσασα, καί τής αμαρτίας μου, ξήρανον ομβρήματα, καί τής ψυχής μου πράϋνον, άγρια κύματα, Παρθένε Θεοτόκε Μαρία, ίνα σε δοξάζω, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν, Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

## Ωδή θ'

Εύα μέν τώ τής παρακοής

Ιδείν εφιέμενος, Θεού τήν άρρητον, ευφροσύνην καί τερπνότητα, πάντων τερπνών τών εν τώ βίω, ηδέως Κατεφρόνησας Ένδοξε, καί χαίρων τό

μαρτύριον ήνυσας, όθεν σε πόθω μακαρίζομεν.

Ως θύμα οπτώμενος πυρί πανεύφημε, τού τυθέντος ώσπερ πρόβατον, θεία τραπέζη προσηνέχθης, οσμή πνευματική συντηρούμενος, καί, δόξης αληθούς αξιούμενος, όθεν σξ πάντες μακαρίζομεν.

Σήμερον η μνήμη σου ημίν εξέλαμψεν, Αθλοφόρε υπέρ ήλιον, πάσαν ευφραίνουσα καρδίαν, πιστών τάς διανοίας φωτίζουσα, καί σκότος νοσημάτων διώκουσα, ήν επαξίως μακαρίζομεν.

Η τών πρωτοτόκων εκλεκτή πμήγυρις, συμπολίτην σε εκτήσατο, μάρτυρες πάντες σύν αυτοίς σε, χορεύοντα ορώντες αγάλλονται, μεθ' ών τών μεμνημένων σου μέμνησο, Μεγαλομάρτυς μεγαλώνυμε.

Θεοτοκίον

Φωτί με καταύγασον τώ σώ Πανύμνητε, τόν εν σκότει πορευόμενον, δίδου μοι χείρα βοηθείας, τά νέφη τής ψυχής μου απέλασον, παθών μου τό κλυδώνιον κόπασον, απεγνωσμένων καταφύγιον.

Ο Ειρμός

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν».

Καί η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόκυσις.

---

Αρχή

## ΤΗ ΙΘ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής Οσίας Μακρίνης, αδελφής τού Μεγάλου Βασιλείου, καί τού Οσίου Πατρός ημών Δίου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια αμφοτέρων τών Αγίων ανά τρία.

Στιχηρά τής Οσίας

Ήχος δ'

Έδωκας σημείωσιν

Εμφιλοσοφώτατα, τό τής ψυχής αυτοκίνητον, καί αθάνατον έδειξας, διό καί εσπούδασας, αμιγής κηλίδων, τών τής αμαρτίας, καί καθαρά ρύπου παντός, απαλλαγήναι δεσμών τού σώματος, μηδένα σπίλον έχουσα, μηδέ ρυτίδα θεόληπτε, αλλ' αγνή καί πανάμωμος, τώ νυμφίω παρίστασθαι.

Άφθορον ετήρησας, τήν παρθενίαν καί άσπιλον, καθαρώς βιοτεύσασα, καί πλούτον διένειμας, τού Χριστού πληρούσα, τήν νομοθεσίαν, ώ ηκολούθησας

τήν γήν, καταλιπούσα καί τά περίγεια, διό σοι τά ουράνια, καί ουρανόν εχαρίσατο, Ιησούς ο φιλάνθρωπος, καί Σωτήρ τών ψυχών ημών.

Αίγλη κατελάμπετο, φωτοειδεί σου τό πρόσωπον, καί θανούσης Πανεύφημε, Χριστού σε δοξάσαντος, ως αυτού παρθένον, θεοειδεστάτην, ως ελεήμονα φαιδράν, ως συμπαθή τε καί θεορρήμονα, ζωήν γάρ τήν ισάγγελον, επί τής γής Πεπολίτευσαι, καί Θεώ ευηρέστησας, διά βίου λαμπρότητος.

Στιχηρά τού Οσίου

Ως γενναίον εν Μάρτυσι

Ως αστέρα παγκόσμιον, νοητώς ανατείλαντα, τώ τής Εκκλησίας σε στερεώματι, ανευφημούμεν μακάριε, ταίς θείαις σου λάμψεσι, φωτιζόμενοι αεί, καί ψυχήν καί διάνοιαν, οι τιμώντές σου, τήν φωσφόρον ημέραν ετησίως, Ιερέ θαυματοφόρε, τών μονσστών εγκαλλώπισμα.

Ααρών ώσπερ δεύτερος, τώ τής ράβδου βλσστήματι, θείον ιεράτευμα Πάτερ γέγονας, καί ως Μωσής ύδωρ Όσιε, εκ πέτρας εξήγαγες, ως Ηλίας δέ νεκρόν, προσευχή σου εξήγειρας, θαυμαζόμενος, τοίς μεγίστοις σημείοις, καί ταίς θείαις, λαμπρυνόμενος ευκλείαις, Δίε θεόφρον πανόλβιε.

Τήν τού πνεύματος έλλαμψιν, προφανώς κληρωσάμενος, πονηρίας πνεύματα απεδίωξας, καί ιερόν φροντιστήριον, ψυχών κατεσκεύασας, εν ώ σώζεται πληθύς, καθ' εκάστην τιμώσά σου, τά μνημόσυνα, τούς ανδρείους αγώνας, καί θαυμάτων, τά παράδοξα εν πίστει, Δίε Πατέρων τό καύχημα.

Δόξα... Καί νύν... Θεοτοκίον

Κατακρίσεως λύτρωσαι, Παναγία Θεόνυμφε, καί δεινών πταισμάτων με, τόν ανάξιον, καί τού θανάτου απάλλαξον, ευχαίς σου καί δώρησαι, δικαιώσεως τυχείν, εν ημέρα ετάσεως, ής επέτυχον, τών Αγίων οι δήμοι μετανοία, καθαρθέντα με πρό τέλους, καί τών δακρύων ταίς χύσεσιν.

Η Σταυροθεοτοκίον

Η αμνάς η κυήσασα, τό αρνίον τό άκακον, τό τήν αμαρτίαν ελθόν ιάσασθαι, παντός τού κόσμου πανάμωμε, οικείω εν αίματι, τό σφαγέν υπέρ ημών, καί ζωώσαν τά σύμπαντα, συ με ένδυσον, γυμνωθέντα τής πάλαι αφθαρσίας, εξ ερίου τού σού τόκου, περιβολήν θείας χάριτος.

Απολυτίκιον τής Οσίας

Ήχος πλ. δ'

Εν σοί Μήτερ ακριβώς διεσώθη τό κατ' εικόνα, λαβών γάρ τόν σταυρόν, ηκολούθησας τώ Χριστώ, καί πράττων εδίδασκες, υπερoράν μέν σαρκός, παρέρχεται γάρ επιμελείσθαι δέ ψυχής, πράγματος αθανάτου, διό καί μετά Αγγέλων συναγάλλεται, οσία Μακρίνα τό πνεύμά σου.

Απολυτίκιον τού Οσίου

Ήχος πλ. δ'

Εν σοί Πάτερ ακριβώς διεσώθη τό κατ' εικόνα, λαβών γάρ τόν σταυρόν,

ηκολούθησας τώ Χριστώ, καί πράττων εδίδασκες, υπεροράν μέν σαρκός, παρέρχεται γάρ επιμελείσθαι δέ ψυχής, πράγματος αθανάτου, διό καί μετά Αγγέλων συναγάλλεται, Όσιε Δίε τό πνεύμά σου.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, οι Κανόνες τής Οκτωήχου, καί τών Αγίων οι επόμενοι δύο.

Ο κανών τής Αγίας, ού η Ακροστιχίς.

Νύμφην αγνήν Χριστού σε Μακρίνα στέφω.
Θεοφάνους.

Ωδή α' Ήχος δ'
Ανοίξω τό στόμα μου

Νυμφίον τόν άχραντον, τής τών ψυχών ωραιότητος, Μακρίνα πανένδοξε, όν επεπόθησας, όν ηγάπησας, εξ όλης τής καρδίας, φωτίσαι δυσώπησον, τούς ανυμνούντάς σε.

Υπάρχων η άβυσσος, τής υπέρ νούν αγαθότητος, Χριστέ σού τήν άσπιλον, νύμφην εδόξασας, τήν τώ έρωτι, τώ σώ καθηλουμένην, Μακρίναν τήν άμωμον, καί παναοίδιμον.

Μακρίνα πανεύφημε, τής παρθενίας τό καύχημα, θερμώς διετήρησας, αδιαλώβητον, δι' ασκήσεως, τής σής καί πολιτείας, τήν σάρκα τώ πνεύματι, καθυποτάξασα.

Θεοτοκίον

Φωσφόρος ανέτειλεν, εν ταίς καρδίαις Πανάμωμε, τών πίστει τιμώντων σε, τήν Θεομύτορα, καί διηύγασεν, ημέρα σελασφόρος, Χριστός ο εκ μήτρας σου, λάμψας Θεόνυμφε.

Ο κανών τού Οσίου, φέρων Ακροστιχίδα.

Δόξης κροτώ σε τόν φερώνυμον μάκαρ. Ιωσήφ.

Ήχος δ'
Θαλάσσης, τό ερυθραίον πέλαγος

Διόλου, ταίς πρός τό θείον νεύσεσι, καλλωπιζόμενος, τόν σόν Σταυρόν ανέλαβες σοφέ, καί Χριστώ ηκολούθησας, τό τής σαρκός σου φρόνημα, Δίε νεκρώσας δι' ασκήσεως.

Ορθρίσας, πρός τόν τής δόξης άδυτον, Ήλιον Όσιε, ολοφανής γεγένησαι

αστήρ, καί πιστούς κατεφώτισας, τών αρετών μακάριε, καί τών θαυμάτων σου λαμπρότησι.

Ξενώσας, τόν λογισμόν σου Πάνσοφε, τών εν τώ κόσμω τερπνών, υπερκοσμίου δόξης εραστής, αληθέστατος γέγονας, μετά σαρκός τόν άσαρκον, καταπαλαίσας θεία χάριτι.

Θεοτοκίον

Ηλίου τού νοητού Πανάμωμε, σκήνωμα γέγονας, ταίς θεϊκαίς λαμπρότησιν ημάς, ευσεβώς καταυγάσαντος, καί τήν αχλύν διώξαντος, τής αγνωσίας αειπάρθενε.

Τής Οσίας

Ωδή γ'

Ουκ εν σοφία

Ηγλαϊσμένη, καλλονή θεοσδόω καί χάριτι, καί Μαρτύρων ευκλεώς, καταγομένη τό γένος Σεμνή, τόν τρόπον εζήλωσας, τούτων τόν ένθεον.

Νόμω τώ θείω, πειθαρχούσα Παρθένε κατέλιπες, τήν τού βίου ταραχήν, καί τούς θορύβους διέφυγες, νηστείαις δεήσεσι, πόθω σχολάζουσα.

Αγιωσύνην, απαλών εξ ονύχων επόθησας, οφθαλμοίς τε μητρικοίς, τετηρημένη διέμεινας, Μακρίνα πανάφθορος, καί παναμώμητος.

Θεοτοκίον

Γήν σε παρθένον, Παναγία Παρθένε γινώσκομεν, ως τόν στάχυν τής ζωής, ημίν ασπόρως βλαστήσασα, δι' ού στηριζόμενοι, σέ μακαρίζομεν.

Τού Οσίου

Ευφραίνεται επί σοί

Ταίς θείαις μαρμαρυγαίς, καταστραπτόμενος φωστήρ γέγονας, φωταγωγών πίστει σοι, τούς προσερχομένους μακάριε.

Ωδήγησας πρός ζωήν, τούς επομένους σοι καλώς Όσιε, τά τής σαρκός πάθη γάρ, θεία δυναστεία ενέκρωσας.

Συνήφθης θεοπρεπώς, τοίς ουρανίοις, επί γής βίον γάρ, αγγελικόν έζησας, Δίε θεοφόρε Πατήρ ημών.

Θεοτοκίον

Ενώκησεν επί σοί, ο κατοικών τούς ουρανούς Άχραντε, όν εκτενώς αίτησαι, σώσαι τάς ψυχάς τών υμνούντων σε

Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα, Σύ μου Ισχύς Κύριε, καί καταφυγή, καί στερέωμα».

Κάθισμα τής Οσίας
Ήχος α'
Τόν τάφον σου Σωτήρ

Η άμωμος αμνάς, καί αγνή τώ Κυρίω, συνήφθης μυστικώς, εν σεμνότητι βίου, τώ κάλλει τής χάριτος, σεαυτήν ωραϊσασα, όθεν είληφας, τών ιαμάτων τήν χάριν, ιατρεύουσα, τά αρρωστήματα πάντα, δυνάμει τού Πνεύματος.

Τού Οσίου Ήχος πλ. δ'
Τήν Σοφίαν καί Λόγον

Τώ Θεώ από βρέφους ανατεθείς, καί αυτώ μέχρι τέλους ακολουθών, Πατήρ ημών Όσιε, χαρισμάτων τετύχηκας, καί τών δαιμόνων πλήθη, διώξας τή χάριτι, εις τού Κυρίου αίνον, μονήν ωκοδόμησας, όθεν παραδόξως, καί νεκρούς ηξιώθης, εγείραι πανεύφημε, αδιστάκτω δεήσει σου, διά τούτο βοώμέν σοι, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοις εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Θεοτοκίον

Πειρασμοίς πολυπλόκοις περιπεσών, εξ εχθρών αοράτων καί ορατών, τώ σάλω συνέχομαι τών αμέτρων πταισμάτων μου, καί ως θερμήν αντίληψιν, καί σκέπην γινώσκων σε, τώ λιμένι προστρέχω, τής αγαθότητος, όθεν Παναγία, τόν εκ σού σαρκωθέντα, ασπόρως ικέτευε, υπέρ πάντων τών δούλων σου, τών απαύστως υμνούντων σε, πρεσβεύουσα αυτώ εκτενώς, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς προσκυνούσιν εν πίστει, τόν άχραντον τόκον σου.

Η Σταυροθεοτοκίον

Τής πλευράς λογχευθείσης σου πλαστουργέ, τού τήν μήτραν αλόχευτον τήν εμήν, τηρήσαντος τώ τόκω σου, καί λογχεύσαντος τύραννον, αναπλάττις Εύαν, τήν θείαν ανάπλασιν, πλαστουργηθείς τή φύσει, Αδάμ πρώτου δεύτερος, όθεν αφυπνώσας, τόν φυσίζωον ύπνον, ζωήν πάσι δέδωκας, ως εξ ύπνου γάρ ήγειρας, πάντας Λόγε υπνώσει σου, εμού δέ τήν καρδίαν δεινώς, κατελόγχευσας Τέκνον τώ πάθει σου, καί τή σή αφυπνώσει, ζωής με εστέρησας.

Τής Οσίας

Ωδή δ'
Ο καθήμενος εν δόξη

Νεκρωθείσα νύν τώ κόσμω, καί τού κόσμου τοίς πράγμασι, τώ Θεώ ζήν μόνω, πόθω θεϊκώ εδικαίωσας, τού σού νυμφίου τό κάλλος διασώζουσα, αδιάφθορον, καί καθαρόν Πανσεβάσμιε.

Η ζηλώσασα τήν θέκλαν, τήν σεπτήν πρωτομάρτυρα, καί τόν θείον ταύτης, βίον μιμουμένη τής πίστεως, εξ επιπνοίας ενθέου, ταύτης άνωθεν, καί τό όνομα, συμβολικώς υπεδέξατο.

Νυμφαγωγούσα παρθένους, σύ Μακρίνα προσήγαγες, τώ παρθένω Λόγω, τώ εκ τής Παρθένου εκλάμψαντι, τώ απαθεί γάρ οικείαν καί αρμόδιον, τήν απάθειαν, ταύταις σαφώς υπεδείκνυες.

Θεοτοκίον

Χαρισμάτων θεία ρείθρα, καί πηγαί τών ιάσεων, καί τού θείου πλούτου, αι διανομαί διαδίδονται, ζωαρχικής εκ παλάμης Θεονύμφευτε, τού τεχθέντος, εκ τής σής γαστρός χαριτώνυμε.

Τού Οσίου

Επαρθέντα σε ιδούσα

Τή τού Πνεύματος αϋλω λαμπαδουχία, τόν νούν σου φωτιζόμενος, σαρκός τήν απάτην, όνειρον λελόγισαι, τήν άνω σε μένουσαν, πόλιν θεοφόρε σκοπούμενος.

Ομβροτόκος ως νεφέλη τή Βυζαντίδι, επιφανείς κατήρδευσας, ταύτην ταίς αρδείαις, τής διδασκαλίας σου, ψυχών φροντιστήριον, Δίε ανεγείρας λαμπρότατον.

Νεκρωθείς τή αμαρτία δι' εγκρατείας, νεκροίς τό ζήν δεδώρησαι, θεία συμμαχία, ύδωρ δέ ανέβλυσας ημίν κατανύξεως, Δίε τοίς τελούσι τήν μνήμην σου.

Θεοτοκίον

Φωτοφόρον σε λυχνίαν τό θείον φέγγος, εν σή γαστρί βαστάσασαν, έγνωμεν, Παρθένε, όθεν δυσωπούμέν σε, φωτί σου καταύγασον, πάντων τάς ψυχάς τών υμνούτων σε.

Τής Οσίας

Ωδή ε'

Ασεβείς ουκ όψονται

Ρυπωθήναι πάθεσι, τό κάλλος τό σεπτόν, τής ψυχής καί θεοειδές, ουκ ηνέσχου πάνσοφε, κάλλος τό άφραστον, τού σεπτού Νυμφίου σου, εννοούσα Καλλιπάρθενε.

Ισχυράν παράκλησιν, πλουτούσα τόν Χριστόν, ασφαλή τε καί αρραγή, τών παθών ενέκρωσας, τό πολυτάραχον, εκ νυκτός ορθρίζουσα, καί δοξάζουσα τόν Κύριον.

Σταθηράν ετήρησας, τήν γνώμην τώ Χριστώ, επ' αυτώ γάρ από γαστρός, επερρίφης άμωμε, ώ καί ανέθηκας, καί ψυχήν καί σώμά σου, εκ νεότητος ασκήσασα.

Θεοτοκίον

Τόν Χριστόν εγέννησας, τόν Κτίστην τού παντός, τόν ημάς πρός διαφθοράν, εκουσίως ρεύσαντας, αναμορφώσαντα, καί πρός δόξαν άφραστον, Θεομήτορ ανυψώσαντα.

Τού Οσίου

Σύ Κύριέ μου φώς

Εν όρει Ιεράς, πολιτείας ιστάμενος, τών βάσεων τής καρδίας, υπελύσω τά πάθη, καί τώ Θεώ ωμίλησας.

Ράβδου ως Ααρών, ξενοτρόπω βλαστήματι, γεγένησαι θεοφόρε, Ιερόν τού Δεσπότου, καί θείον Ιεράτευμα.

Ωθείων δωρεών, εκ Θεού δωρουμένων σοι! δικέλλη γάρ προσευχών σου, ύδωρ ζων εκ λαγόνων τής γής, Πάτερ εξήγαγες.

Θεοτοκίον

Νούς ουκ αγγελικός, ουκ ανθρώπινος δύναται, Πανάμωμε ερμηνεύσαι, τής φρικτής σου λοχείας, τό βάθος τό απόρρητον.

Τής Οσίας

Ωδή ς'

Θύσω σοι, μετά φωνής

Ο πόθος, τού Χριστού ενακμάζων σαφέστατα, τή διανοία σου πάσαν, αρετής ιδέαν διαφερόντως, εμφυτεύει, καί ευσεβείας θεία διδάγματα.

Υμνούσα, τόν Θεόν ταίς απαύστοις δεήσεσι, τήν καρτεράν επεσπάσω παρ' αυτού Παρθένε επικουρίαν, καί ενθέου, παρθενίας τήν χάριν απείληφας.

Στεφάνω, τών χαρίτων Χριστός εστεφάνωσεν, ως καθαράν σε Παρθένον, καί χορού παρθένων καθηγουμένην, καί θαλάμοις, ουρανίοις θεόφρον εσκήνωσεν.

Θεοτοκίον

Ενώσει, τά τό πρίν διεστώτα συνέδραμε, δυό γάρ φύσεις αλλήλαις, ηνωμένας έτεκες απορρήτως, Θεόν Λόγον, αληθώς σαρκωθέντα Πανάμωμε.

Τού Οσίου

Ειρμός ο αυτός

Ύψωσας, πρός Θεόν τής καρδίας τόν έρωτα, καί εταπείνωσας πάθη, καί οφρύν δαιμόνων κατέβαλες, θεοφόρε, μοναστών αδιάσειστον έρεισμα.

Μαστίξας, εγκρατείας πληγαίς Πάτερ Όσιε, γήν τών παθών ελυτρώσω, τής αυτών δουλείας πλήθος αζύγων, καί μιγάδων, ευσεβώς επομένων σοι ένδοξε.

Όλβιος, αρετών καί θαυμάτων λαμπρότησι, γεγενημένος μετέβης, πρός τήν άνω πόλιν Δίε θεόφρον, καί πρεσβεύεις, λυτρωθήναι κινδύνων τήν ποίμνην σου.

Θεοτοκίον

Νέκρωσον, τής ψυχής μου τά πάθη πανάμωμε, η τήν ζωήν τών απάντων, απορρήτω λόγω κυήσασα, καί τόν νούν μου, ταρασσόμενον Κόρη ειρήνευσον.

Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Κοντάκιον Ήχος β'

Τά άνω ζητών

Αγνεία ψυχής, ενθέως οπλισάμενος, καί άπαυστον ευχήν, ως λόγχην χειρισάμενος, κραταιώς διέκοψας, τών δαιμόνων Δίε τάς φάλαγγας, θαυματουργέ Πατήρ ημών, πρεσβεύων απαύστως υπέρ πάντων ημών.

Ο Οίκος

Πώς επαινέσω τούς σούς αγώνας, Όσιε Πάτερ, ο τάλας; τών δακρύων δέ πώς τό πέλαγος εξερεύξομαι; σύ γάρ τώ βίω ενδιαπρέπων, τών Αγγέλων κατέλαβες τήν χορείαν, πάντα σχεδόν τά πάθη εγκρατεία νεκρώσας σοφέ, καί σάρκα δουλαγωγήσας, καθυπέταξας ταύτην τώ πνεύματι, ευχήν δέ έχων ως μάχαιραν, τόν τού σκότους προστάτην κατέβαλες, πρεσβεύων απαύστως υπέρ πάντων ημών.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΘ' τού αυτού μηνός, Μνήμη τής οσίας Μακρίνης, αδελφής τού Μεγάλου Βασιλείου.

Στίχοι

- Φρονούσ' αδελφά τοίς αδελφοίς Μακρίνα,
- Τούτοις αδελφά συγκατοικείς καί πόλον.
- Τή δ' ενάτη δεκάτη Μακρίναν νόες ένθεν άειραν.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Πατρός ημών Δίου τού θαυματουργού.

Στίχοι

- Γεύη τελευτής καί σύ, παμμάκαρ Δίε,
- Ένδοξε κλήσιν, αλλά καί πράξιν πλέον.

Τή αυτή ημέρα, οι άγιοι τέσσαρες συνασκηταί εν ειρήνη τελειούνται.

Μνήμη τού εν αγίοις πατρός ημών Θεοδώρου, τού κατά τήν Λαύραν τού αγίου Σάββα ασκήσαντος, καί έπειτα αρχιεπισκόπου Εδέσσης γεγονότος.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τής Οσίας

Ωδή ζ'

Ο διασώσας εν πυρί

Μόνον ποθούσα τόν Χριστόν, καί τελειοτάτης αγάπης, ως τετρωμένη προφανώς, ανεβόας, Δραμούμαι οπίσω σου, υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Απωσαμένη τών παθών, τάς πολυταράχους κινήσεις, τής απαθείας τόν φαιδρόν, ενεδύσω χιτώνα κραυγάζουσα, Υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Καταλαβούσα τήν οφρύν, τήν θηριωδώς επηρμένην, τού αρχεκάκου δυσμενούς, τό βραβείον τής νίκης απείληφας, Αξιάγαστε ψάλλουσα, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Θεοτοκίον

Ρήξον πταισμάτων τάς σειράς, τή σή μητρική παρρησία, τών ευσεβώς τε καί πιστώς, μελωδολυντων τώ τόκω σου Πάναγνε, Υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Τού Οσίου

Εν τή καμίνω

Μονήν Τριάδος, τήν σήν καρδίαν απετέλεσας, όθεν μοναστών ανήγειρας ευαγές, θεοφόρε φροντιστήριον, Ευλογημένος εί ο Θεός μου, κραυγάζων καί Κύριος.

Αναστομώσας, σού τήν πηγήν τών θαυμάτων Πάτερ Όσιε, ύδωρ σωτηρίας έβλυσας, τοίς πιστώς εκτελούσί σου τήν κοίμησιν, Δίε θαυμάσιε, τών μοναστών φωστήρ διαυγέστατε.

Κατακοσμήσας, ταίς αρεταίς τόν βίον σου γέγονας, όλος φωταυγής, καί στύλος φωτοειδής, τών ψαλλόντων προηγούμενος, Ευλογημένος εί εν τώ ναώ, τής δόξης σου Κύριε.

Θεοτοκίον

Αγιωτέραν, τών Χερουβίμ σέ απειργάσατο κόρη, ο Θεός ο Άγιος εμφανώς, αγιάζων τούς κραυγάζοντας, Ευλογημένη σύ εν γυναιξίν, υπάρχεις πανάμωμε.

Τής Οσίας

Ωδή η'

Παίδας ευαγείς

Ιεροπρεπεί σου πολιτεία, καί βίω κεκαθαρμένω διαπρέπουσα, άσυλον ανάθημα, κάλλος τε απόθετον, θεοειδές αγλάϊσμα, ώφθης Πανεύφημε, τόν Κύριον υμνείτε βοώσα, καί υπερυψούτε, αυτόν εις τούς αιώνας.

Νέκρωσιν παθών ενδεδυμένη, πρός θείαν αθανασίαν μεταβέβηκας, άριστα

διδάξασα, καί φιλοσοφώτατα, τό τής ψυχής αθάνατον, καί αυτοκίνητον, Τόν Κύριον υμνείτε βοώσα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Αίγλη τριλαμπούς φωτοχυσίας, τόν νούν λαμπομένη καί τό πρόσωπον, ύπνωσας Πανόλβιε, ύπνον τόν μακάριον, μετ' ευφροσύνης βλέπουσα τόν σοί ποθούμενον, καί Κύριον υμνείτε βοώσα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Σέ τήν κιβωτόν τήν παναγίαν, τήν επισκιαζομένην θείω Πνεύματι, τήν τόν προαιώνιον, Λόγον καί αϊδιον, δι' ευσπλαγχνίαν άφατον, ενανθρωπήσαντα, τεκούσαν Θεομήτορ, υμνούμεν, καί υπερυψούμεν, εις πάντας τούς αιώνας.

Τού Οσίου

Χείρας εκπετάσας Δανιήλ

Ράβδου σου βλαστήματι Θεός τήν σήν κατάκαρπον, ψυχήν εδήλου Σοφέ, καταφυτεύουσαν έγκαρπα, λογικά φυτά θεία ροπή, εν Παραδείσω τής τρυφής, τών μοναστών τήν πληθύν, τών βοώντων, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Ο νούς σου ταίς θείαις καλλοναίς, καταστραπτόμενος, ωραίος πέφυκε, καί νύν τό έσχατον έφθασε, τών καλών ως καθαρώτατος, θέσει θεούμενος αεί, καί μέλπων πάντοτε, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ίνα σε φωναίς χαρμονικώς, πανηγυρίζοντες, Δίε γεραίρωμεν, σώσον τήν ποίμνην σου πάντοτε, τήν σήν μνήμην εορτάζουσαν, καί καθοδήγει πρός Θεού, εισόδους ψάλλουσαν, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Θεοτοκίον

Ώφθης πλατυτέρα ουρανών, Θεόν χωρήσασα, Μαρία πάναγνε, όν καθικέτευε Δέσποινα, τών παθών τών συνεχόντων με, καί τής μελλούσης φοβεράς δίκης με ρύσασθαι, τόν βοώντα, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Τής Οσίας

Ωδή θ'

Εύα μέν τώ τής παρακοής

Τό έλεος όντως τού Θεού τό πλούσιον, μιμουμένη διετέλεσας, τρέφουσα πάντας τούς πενία, καταπεπονημένους πανεύφημε, εντεύθεν ο ελεήμων εδόξασε, σέ τήν φανείσαν ελεήμονα.

Ενώπιον έστης τού Θεού Πανένδοξε, φωτοφόρον φώς γάρ γέγονας, βίω καί

λόγω κοσμουμένη, καί τοίς παντοδαποίς προτερήμασι, καί γένους τήν ευδοξίαν λαμπρύνουσα, ταίς υπερτάταις αναβάσεσι.

Φανότατον ώκησας παστόν, καί θάλαμον, ώ Μακρίνα επουράνιον, ένθα παρθένε γενομέν, σύν τοίς Αχιερεύσι συγγόνοις σου, δυσώπει παρρησία τόν Κύριον πάντας, σωθήναι τους υμνούντάς σε.

Θεοτοκίον

Ωραίος εν κάλλει ο καρπός καί έκλαμπρος, παρά πάντας τής κοιλίας σου, σύ γάρ Παρθένε Θεοτόκε, Θεόν σεσαρκωμένον εγέννησας, φανέντα εις τό σώσαι τόν άνθρωπον, όθεν σε πάντες μεγαλύνομεν.

Τού Οσίου

Λίθος αχειρότμητος όρους

Σέ τών αρετών ευμορφία, Πάτερ ως Άγγελον φανέντα, καί πρός ουρανούς αναπτάντα, κεχρυσωμένας έχοντα πτέρυγας, περιχαρώς γεραίρομεν, καί ευσεβώς εγκωμιάζομεν.

Ήλιος πολύφωτος ώσπερ, εκ τής Εώας ανατείλας, Δίε Πανταχού τάς ακτίνας, τών άρετών τε καί τών θαυμάτων σου, περιφανώς εξήπλωσας, φωταγωγών κόσμου τά πέρατα.

Φέγγος πρός ανέσπερον Πάτερ, φωτοειδής γεγενημένος, τή τών αρετών φωταυγία, μετέβης χαίρων καί κατεσκήνωσας, όπου Οσίων πνεύματα, υπέρ τής ποίμνης σου δεόμενος.

Θεοτοκίον

Φείσαί μου Χριστέ όταν έλθης, κρίναι τόν κόσμον μετά δόξης, έχων δυσωπούσάν σε Λόγε, τήν Θεοτόκον τήν αειπάρθενον, τά τών Αγγέλων τάγματα, καί τών Οσίων τήν ομήγυριν.

Ο Ειρμός

«Λίθος αχειρότμντος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Καί η λοιπή, Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Κ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Ενδόξου Προφήτου Ηλιού τού Θεσβίτου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'
Τών ουρανίων ταγμάτων
Ο τόν Θεσβίτην Ηλίαν, πυρίνω άρματι, από τής γής οικτίρμον, μεταθέμενος Λόγε, ταίς τούτου ικεσίαις, σώσον ημάς τούς πιστώς σε δοξάζοντας, καί τήν αυτού εκτελούντας χαρμονικώς, θείαν μνήμην καί σεβάσμιον. (Δίς)

Ου συσσεισμώ αλλ' εν αύρα, λεπτή τεθέασαι, Θεού τήν παρουσίαν,' Ηλιού θεομάκαρ, φωτίζουσάν σε πάλαι, άρματι δέ, εποχούμενος τέθριππος, τόν ουρανόν διϊππεύεις ξενοπρεπώς, θαυμαζόμενος θεόπνευστε. (Δίς)

Τούς Ιερείς τής αισχύνης, ξίφει κατέσφαξας, τόν ουρανόν τή γλώττη, επί γής τού μή βρέχειν, επέσχες ζήλω θείω πυρπολυθείς, Ελισαίον δέ έπλησας, τής μηλωτής επιδόσει διπλής σοφέ, Ηλιού ενθέου χάριτος. (Δίς)
Δόξα... Ήχος πλ. β'
Βυζαντίου
Δεύτε τών ορθοδόξων τό σύστημα, συναθροισθέντες σήμερον, εν τώ πανσέπτω ναώ τών θεηγόρων Προφητών, ψαλμικώς άσωμεν εναρμόνιον μέλος, τώ τούτους δοξάσαντι, Χριστώ τώ Θεώ ημών, καί εν χαρά καί αγαλλιάσει αναβοήσωμεν, Χαίροις επίγειε άγγελε, καί ουράνιε άνθρωπε, Ηλία μεγαλώνυμε, Χαίροις ο διπλήν τήν χάριν Παρά Θεού κομισάμενος, Ελισαίε πανσεβάσμιε, Χαίρετε αντιλήπτορες θερμοί, καί προστάται καί ιατροί, τών ψυχών καί τών σωμάτων τού φιλοχρίστου λαού, από πάσης προσβολής εναντίας καί περιστάσεως, καί παντοίων κινδύνων λυτρώσασθε, τούς πιστώς εκτελούντας, τήν πανέορτον μνήμην υμών.
Καί νύν... Θεοτοκίον
Τίς μή μακαρίσει σε, Παναγία Παρθένε; τίς μή ανυμνήσει σου τόν αλόχευτον τόκον, ο γάρ αχρόνως εκ Πατρός, εκλάμψας Υιός μονογενής, ο αυτός εκ σού τής Αγνής προήλθεν, αφράστως σαρκωθείς, φύσει Θεός υπάρχων, καί φύσει γενόμενος άνθρωπος δι' ημάς, ουκ εις δυάδα προσώπων τεμνόμενος, αλλ' εν δυάδι φύσεων ασυγχύτως γνωριζόμενος, Αυτόν ικέτευε, σεμνή παμμακάριστε, ελεηθήναι τάς ψυχάς ημών.

Είσοδος. Τό Προκείμενον τής ημέρας, καί τά Αναγνώσματα.

Βασιλειών γ' τό Ανάγνωσμα
(Κεφ. 17, 1-24)
Εγένετο λόγος Κυρίου πρός Ηλιού τόν Προφήτην, καί είπε πρός Αχαάβ, Ζή Κύριος ο Θεός τών δυνάμεων, ο Θεός Ισραήλ ώ παρέστην ενώπιον αυτού σήμερον, ει έσται τά έτη ταύτα δρόσος καί υετός, εί μή διά στόματός μου. Καί εγένετο ρήμα Κυρίου πρός Ηλιου, λέγον, Πορεύου εντεύθεν κατ' ανατολάς, καί κρύβηθι εν τώ χειμάρρω Χορράθ, τώ επί προσώπου Ιορδάνου, καί έσται εκ τού χειμάρρου πίεσαι ύδωρ, καί τοίς κόραξιν εντελούμαι τού διατρέφειν σε εκεί. Καί επορεύθη, καί εκάθισεν εν τώ χειμάρρω Χορράθ, επί πρόσωπον τού Ιορδάνου, καί οι κόρακες έφερον αυτώ άρτους τό πρωϊ, καί κρέας τό δείλης, καί εκ τού χειμάρρου έπινεν ύδωρ. Καί εγένετο μεθ' ημέρας, καί εξηράνθη ο

χείμαρρος, ότι ουκ εγένετο υετός επί τής γής. Καί εγένετο ρήμα Κυρίου πρός Ηλιού, λέγων, Ανάστηθι καί πορεύθητι εις Σαρεφθά τής Σιδωνίας, καί καθίση εκεί, καί ιδού εντελούμαι γυναικί χήρα τού διατρέφειν σε. Καί ανέστη, καί επορεύθη εις Σαρεφθά, εις τόν πυλώνα τής πόλεως. Καί ιδού εκεί γυνή χήρα συνέλεγε ξύλα, καί εβόησεν Ηλιού οπίσω αυτής, καί είπεν αυτή. Λάβε δή μοι ολίγον ύδωρ εις άγγος, καί πίομαι. Καί επορεύθη λαβείν. Καί εβόησεν Ηλιού Οπίσω αυτής, καί είπε. Λήψη δή μοι καί ψωμόν άρτου εν τή χειρί σου. Καί είπεν η γυνή, Ζή Κύριος ο Θεός σου, εί έστι μοι εγκρυφίας, αλλ' ή όσον δράξ αλεύρου εν τή υδρία, ηκαί ολίγον έλαιον εν τώ καμψάκη, καί ιδού συλλέγω δύο ξυλάρια, καί εισελεύσομαι, καί ποιήσω αυτό εμαυτή καί τοίς τέκνοις μου, καί φαγόμεθα καί αποθανούμεθα. Καί είπεν Ηλιού πρός αυτήν, θάρσει, είσελθε, καί ποίησον κατά τό ρημά σου, αλλά ποίησόν μοι εκείθεν εγκρυφίαν μικρόν εν πρώτοις, καί εξοίσεις μοι, σεαυτή δή καί τοίς τέκνοις σου ποιήσεις επ' εσχάτων, ότι τάδε λέγει Κύριος ο Θεός Ισραήλ, Η υδρία τού αλεύρου ουκ εκλείψει καί ο καμψάκης τού ελαίου ουκ ελαττονήσει έως ημέρας τού δούναι Κύριον τόν Θεόν υετόν επί προσώπου πάσης τής γής. Καί επορεύθη η γυνή, καί εποίησε κατά τό ρήμα Ηλιού, καί ήσθιεν αυτός καί αυτή, καί τά τέκνα αυτής. Καί από τής ημέρας ταύτης η υδρία τού αλεύρου ουκ εξέλιπε, και ο καμψάκης τού ελαίου ουκ ελαττονήθη, κατά τό ρήμα Κυρίου, ο ελάλησεν εν χειρί Ηλιού. Καί εγένετο μετά τά ρήματα ταύτα, καί η ρρώστησεν ο υιός τής γυναικός, τής κυρίας τού οίκου, καί η αρρωστία αυτού κραταιά σφόδρα, έως ουχ υπελείφθη εν αυτώ πνεύμα. Καί είπεν η γυνή πρός Ηλιού, τί εμοί καί σοί, άνθρωπε τού Θεού; εισήλθες πρός με τού αναμνήσαι τάς αμαρτίας μου, καί θανατώσαι τόν υιόν μου; Καί είπεν Ηλιού πρός αυτήν. Δός μοι τόν υιόν σου. Καί έλαβεν αυτόν εκ τού κόλπου αυτής, καί ανήνεγκεν αυτόν επί τό υπερώον, εν ώ αυτός εκάθητο εκεί, καί εκοίμισεν αυτόν επί τής κλίνης αυτού. Καί ανεβόησεν Ηλιού, καί είπεν. Οίμοι! Κύριε, ο μάρτυς τής χήρας, μεθ' ής εγώ κατοικώ μετ' αυτής, σύ εκάκωσας τού θανατώσαι τόν υιόν αυτής, Καί ενεφύσησε τώ παιδαρίω τρίς, καί επεκαλέσατο τόν κυριον, καί είπε, Κύριε ο Θεός μου, επιστραφήτω δή η ψυχή τού παιδαρίου τούτου εις αυτό. Καί εγένετο ούτω, καί ανεβόησε, καί ήκουσε Κύριος ενφωνή Ηλιού, καί επεστράφη η ψυχή τού παιδαρίου πρός έγκατον αυτού, καί έζησε. Καί έλαβεν Ηλίας τό παιδάριον, καί κατήγαγεν αυτό από τού υπερώου εις τόν οίκον, καί έδωκεν αυτό τή μητρί αυτού, καί είπεν Ηλιού, Βλέπε, ζή ο υιός σου. Καί είπεν η γυνή πρός Ηλιού, Ιδού τούτο έγνωκα, ότι σύ άνθρωπος εί τού Θεού, καί ρήμα Κυρίου εν τώ στόματί σου αληθινόν.

### Βασιλειών γ' τό Ανάγνωσμα
### (Κεφ. 18, 1, 17-46 & 19, 1-16)

Εγένετο ρήμα Κυρίου πρός Ηλιού τον Θεσβίτην εν τώ ενιαυτώ τώ τρίτω, λέγον, Πορεύθητι, καί όφθητι τώ Αχαάβ, καί δώσω τόν υετόν επί προσώπου τής γής. Καί εγένετο, ως είδεν Αχαάβ τόν Ηλιού, καί είπε πρός αυτόν. Σύ εί αυτός ο διαστρέφων τόν Ισραήλ; Καί είπεν Ηλιού. Ου διαστρέφω εγώ τόν Ισραήλ, αλλ' ή σύ, καί ο οίκος τού πατρός σου, εν τώ καταλιμπάνειν υμάς Κύριον τόν Θεόν ημών, καί επορεύθητε οπίσω τού Βάαλ. Καί νύν απόστειλον, καί συνάθροισον πρός με πάντα, Ισραήλ εις τό όρος τό Καρμήλιον, καί τούς

προφήτας τού Βάαλ, τετρακοσίους καί πεντήκοντα, καί τούς προφήτας τών αλσών τετρακοσίους, εσθίοντας τράπεζαν Ιεζάβελ. Καί απέστειλεν Αχαάβ εις πάντα Ισραήλ, καί επισυνήγαγε πάντας τούς προφήτας εις το όρος τό Καρμήλιον. Καί είπεν αυτοίς Ηλιού. Έως πότε υμείς χωλανείτε επ' αμφοτέραις ταίς ιγνύαις υμών. Εί έστι Κύριος ο Θεός, πορεύεσθε οπίσω αυτού, ει δέ ο Βάαλ αυτός, πορεύεσθε οπίσω αυτού. Καί είπεν Ηλιού πρός τόν λαόν. Εγώ υπολέλειμμαι προφήτης τού Κυρίου μονώτατος, καί οι προφήται τού άλσους σφόδρα πολλοί. Δότωσαν ούν ημίν δύο βόας καί εκλεξάσθωσαν εαυτοίς τόν ένα, καί μελισάτωσαν, καί επιθέτωσαν επί τών ξύλων, καί πύρ μή επιθέτωσαν. Καί εγώ ποιήσω τόν βούν τόν άλλον, καί πύρ μή επιθώ. Καί βοάτε εν ονόματι τού Θεού υμών καί εγώ επικαλέσομαι εν τώ ονόματι Κυρίου τού Θεού μου. Καί έσται ο Θεός δς άν ακούση εν πυρί, ούτος Θεός. Καί απεκρίθη πάς ο λαός καί είπε, καλόν τό ρήμα, ο ελάλησας σήμερον. Καί είπεν Ηλιού τοίς προφήταις τής αισχυνης, Εκλέξασθε εαυτοίς τον μόσχον τόν ένα, καί ποιήσατε πρώτοι, καί επικαλείσθε εν ονόματι Θεού υμών, καί πύρ μή επιθήτε. Καί έλαβον τόν μόσχον, καί εποίησαν ούτω, καί επεκάλουν τό όνομα τού Βάαλ εκ πρωϊας έως μεσημβρίας, λέγοντες. Επάκουσον ημών, ο Βάαλ, επάκουσον ημών, καί ουκ ήν φωνή, καί ουκ ήν ακρόασις, καί διέτρεχον επί τού θυσιαστηρίου, ού εποίησαν. Καί εγένετο μεσημβρία, καί εμυκτήρισεν αυτούς Ηλιού ο Θεσβίτης, καί είπεν. Επικαλείσθε εν φωνή μεγάλη, ότι αδολεσχία εστί τώ Θεώ υμών. Καί εγένετο, ως ο καιρός έστη τού αναβήναι τήν θυσίαν, καί ουκ ήν, ελάλησεν Ηλιού ο Θεσβίτης πρός τούς προφήτας τών προσοχθισμάτων, λέγων. Μετάστητε από τού νύν, καί εγώ ποιήσω τό ολοκαύτωμά μου. Καί είπεν Ηλιού πρός τόν λαόν, Προσαγάγετε πρός με, καί προσήγαγε πρός αυτόν πάς ο λαός. Καί έλαβεν Ηλιού δώδεκα λίθους κατά αριθμόν τών δώδεκα φυλών τού Ισραήλ, ως ελάλησε πρός αυτόν Κύριος, λέγων, Ισραήλ έσται τό όνομά σου. Καί ωκοδόμησε τούς λίθους, καί ιάσατο τό θυσιαστήριον Κυρίου τό κατεσκαμμένον, καί εποίησε θαλαά, χωρούσαν δύο μετρητάς σπέρματος κύκλωθεν τού θυσιαστηρίου. Καί επέθηκε τάς σχίδακας επί τό θυσιαστήριον ο εποίησε, καί εμέλισε τό ολοκαύτωμα, καί επέθηκεν εις τάς σχίδακας, καί εστοίβασεν επί τό θυσιαστήριον. Καί είπεν Ηλιού. Λάβετέ μοι δύο υδρίας ύδατος, καί επιχεέτωσαν επί τό θυσιαστήριον, επί τό ολοκαύτωμα καί επί τάς σχίδακας. Καί είπεν, Δευτερώσατε, καί εδευτέρωσαν. Τρισσεύσατε, καί ετρίσευσαν Καί διεπορεύετο τό ύδωρ κύκλω τού θυσιαστηρίου, καί τήν θαλαά έπλησεν ύδατος, καί ανεβόησεν Ηλιού εις τόν ουρανόν, καί είπε, Κύριε ο Θεός, Αβραάμ, καί Ισαάκ καί Ιακώβ, επάκουσόν μου σήμερον εν πυρί. Καί γνώτωσαν ο λαός ούτος, ότι σύ εί μόνος Κύριος, ο Θεός Ισραήλ, καί εγώ δούλος σός, καί διά σέ πεποίηκα ταύτα πάντα, καί σύ επέστρεψας τήν καρδίαν τού λαού τούτου οπίσω σου. Καί έπεσε πύρ παρά Κυρίου εκ τού ουρανού, καί κατέφαγε τό ολοκαύτωμα καί τάς σχίδακας, καί τό ύδωρ τό εν τή θαλαά, καί τούς λίθους, καί τόν χούν εξέλειξε τό πύρ. Καί έπεσε πάς ο λαός επί πρόσωπον αυτών, καί είπεν, Αληθώς Κύριος ο Θεός, αυτός εστιν ο Θεός. Καί είπε Ηλιού πρός τόν λαόν. Συλλάβετε τούς προφήτας τού Βάαλ, μηδείς σωθήτω εξ αυτών. Καί συνέλαβον αυτούς, καί κατήγαγεν αυτούς Ηλιού εις τόν χειμάρρουν Κισσών, καί εκεί αυτούς απέκτεινε. Καί είπεν

Ηλιού μετά ταύτα τώ Αχαάβ. Φωνή ποδών τού υετού, ζεύξον τό άρμα σου καί κατάβηθι, μή καταλάβη σε ο υετός. Καί Ηλιού ανέβη επί τόν Κάρμηλον, καί έκυψεν επί τήν γήν, καί έθηκε τό πρόσωπον αυτού αναμέσον τών γονάτων αυτού, καί ηύξατο πρός Κύριον. Καί ο ουρανός συνεσκότασεν εν νεφέλαις, καί πνεύματι, καί εγένετο υετός μέγας. Καί επορεύετο Αχαάβ έως Ιεσράελ. Καί ανήγγειλεν Αχαάβ Ιεζάβελ τή γυναικί αυτού πάντα, όσα εποίησεν Ηλιού, καί απέστειλεν Ιεζάβελ πρός Ηλιού, καί είπεν. Αύριον θύσομαι τήν ψυχήν σου ως ένα εξ αυτών. Καί ήκουσεν Ηλιού καί εφοβήθη. Καί ανέστη καί απήλθε κατά τήν ψυχήν αυτού, καί έρχεται εις Βηρσαβεέ, γήν Ιούδα καί αφήκε τό παιδάριον αυτού εκεί. Καί αυτός επορεύθη εν τή ερήμω οδόν ημέρας καί ήλθε, Καί εκάθισεν υποκάτω αρκεύθου, καί εκοιμήθη καί ύπνωσεν εκεί υπό τό φυτόν, καί ιδού τις ήψατο αυτού, καί είπεν αυτώ. Ανάστηθι φάγε καί πίε, ότι πολλη από σού η οδός. Καί επέβλεψεν Ηλιού, καί ιδού πρός κεφαλής αυτού εγκρυφίας ολυρίτης, καί καμψάκης ύδατος. Καί ανέστη καί έφαγε καί έπιε, καί επιστρέψας εκοιμήθη. Καί επέστρεψε ο Άγγελος Κυρίου εκ δευτέρου, καί ήψατο αυτού καί είπεν αυτώ. Ανάστηθι, φάγε καί πίε ότι πολλή από σού η οδός. Καί ανέστη καί έφαγε καί έπιε, καί επορεύθη, εν τή ισχύϊ τής βρώσεως εκείνης, τεσσαράκοντα ημέρας, καί τεσσαράκοντα νύκτας έως όρους Χωρήβ, καί εισήλθεν εκεί εις τό σπήλαιον, καί κατέλυσεν εκεί. Καί ιδού ρήμα Κυρίου πρός αυτόν, καί είπε, Τί σύ ενταύθα; Καί είπεν Ηλιού. Ζηλών εζήλωσα τώ Κυρίω παντοκράτορι, ότι εγκατέλιπον τήν διαθήκην σου οι υιοί Ισραήλ, τά θυσιαστήριά σου κατέσκαψαν καί τούς προφήτας σου απέκτειναν εν ρομφαία, καί υπολέλειμμαι εγώ μονώτατος, καί ζητούσι τήν ψυχήν μου λαβείν αυτήν. Καί είπε Κύριος πρός αυτόν. Πορεύου καί ανάστρεφε εις τήν οδόν σου, καί ήξεις εις οδόν ερήμου Δαμασκού, καί χρίσεις τόν Ελισαιέ υιόν Σαφάτ, αντί σού, εις προφήτην.

### Βσσιλειών γ' τό Ανάγνωσμα
### (Κεφ. 19, 19-21& Δ' Βασ. 2, 1, 6-14)

Εγένετο ημέρα, καί ευρίσκει Ηλιού τόν Ελισαιέ υιόν Σαφάτ, Καί αυτός ηροτρία εν βουσί. Καί απήλθεν Ηλιού επ' αυτόν, καί επέρριψε τήν μηλωτήν αυτού επ' αυτόν. Καί κατέλιπεν Ελισαιέ τούς βόας καί έδραμεν οπίσω Ηλιού, καί ελειτούργει αυτώ. Καί εγένετο, εν τώ ανάγειν τόν Κύριον Ηλιού εν συσσεισμώ ως εις τόν ουρανόν, καί επορεύθη Ηλιού καί Ελισαιέ εν Γαλγάλοις. Καί είπεν Ηλίας τώ Ελισαιέ. Κάθου δή ενταύθα, ότι Κύριος απέσταλκέ με έως τού Ιορδάνου. Καί είπεν Ελισαιέ, Ζή Κύριος καί ζή η ψυχή σου, εί εγκαταλείψω σε. Καί επορεύθησαν αμφότεροι. καί πεντήκοντα άνδρες από τών υιών τών προφητών ήλθον, καί έστησαν εξ εναντίας μακρόθεν, αμφότεροι δέ έστησαν επί τόν Ιορδάνην. Καί έλαβεν Ηλίας τήν μηλωτήν αυτού, καί είλησεν αυτήν, καί επάταξεν εν αυτή τά ύδατα, καί διηρέθη τό ύδωρ ένθεν καί ένθεν, καί διέβησαν αμφότεροι διά ξηράς. Καί εγένετο, ως διήλθον, είπεν Ηλίας τώ Ελισαιέ. Αίτησόν με τί ποιήσω σοι, πρίν αναληφθήναί με από σού. Καί είπεν Ελισαιέ. Γενηθήτω δή τό πνεύμα τό επί σοί δισσώς επ' εμέ. Καί είπεν Ηλίας, εσκλήρυνας τού αιτήσασθαι. Πλήν εάν ίδης με αναλαμβανόμενον από σού, έσται σοι ούτως, εάν δέ μή, ίδης, ου μή γένηται. Καί εγένετο αυτών πορευομένων καί λαλουντων, καί ιδού άρμα πυρός καί ίπποι πυρός, καί

διεχώρισεν αναμέσον αμφοτέρων, καί ανελήφθη Ηλίας έν συσσεισμώ ως εις τόν ουρανόν. Καί Ελισαιέ εώρα, καί αυτός εβόα. Πάτερ, Πάτερ, άρμα Ισραήλ, καί ιππεύς αυτού, καί ουκ είδεν αυτόν ουκ έτι, καί εκράτησεν Ελισαιέ τού ιματίου αυτού, καί διέρρηξεν αυτό εις δύο. Καί ανείλετο τήν μηλωτήν Ηλιού Ελισαιέ, τήν πεσούσαν επάνωθεν αυτού. Καί επέστρεψεν Ελισαιέ καί έστη επί τό χείλος τού Ιορδάνου. Καί έλαβεν Ελισαιέ τήν μηλωτήν Ηλιού, τήν πεσούσαν επάνωθεν αυτού, καί επάταξε τά ύδατα καί ου διηρέθη. Καί είπεν Ελισαιέ. Πού δή εστιν ο Θεός Ηλιού Απφώ. Καί ούτως επάταξε τά ύδατα εκ δευτέρου, καί διηρέθη τά ύδατα καί διήλθε διά ξηράς.

Εις την Λιτήν, Στιχηρά Ιδιόμελα.

Ήχος α'  Γερμανού

Ηλίας ο ζηλωτής, καί τών παθών αυτοκράτωρ, αεροβάτης εδέρκετο σήμερον, τής παγκοσμίου μυητής σωτηρίας προχειριζόμενος, Ώ δόξης ακραιφνούς, ής ηξίωται ο υψιπέτης Προφήτης, καί Προφητών εξαίρετον εγκαλλώπισμα! ούτος γάρ εν σώματι άγγελος, καί άσαρκος άνθρωπος δέδεικται τοίς κατορθώμασιν, Όν επαινούντες είπωμεν, Αντιλαβού ημών σοφέ, εν τή ημέρα τής κρίσεως.

Ο αυτός

Δαυϊτικώς σήμερον πιστοί, τόν Προφήτην Κυρίου ύμνοις τιμήσωμεν, Ηλίαν τόν Θεσβίτην, καί ζηλωτήν τόν υπέρλαμπρον, ούτος γάρ εν τή γλώσση τόν ουρανόν ως σίδηρον εχάλκευσε, καί τήν γήν τήν έγκαρπον, άκαρπον εποίησεν, Ώ τού θαύματος! ο πήλινος άνθρωπος, ουρανούς τού δούναι υετόν ουκ είασεν, Ώ τού θαύματος! ο φθαρτός άνθρωπος, αφθαρσίαν ενδέδυται, καί ουρανούς ανατρέχει εν πυρίνω άρματι, τή μηλωτή Ελισαίω διπλής τήν χάριν χαριζόμενος, Βασιλείς ελέγχει, καί λαόν απειθή λιμώ διαφθείρει, Τούς ιερείς τής αισχύνης πάντας κατήσχυνε, καί τής χήρας τόν υιόν λόγω ανέστησεν, Αυτού ταίς ικεσίαις, Χριστέ ο Θεός ημών, εν ειρήνη διαφύλαξον τούς ορθοδόξους Βασιλείς ημών, καί τά τής νίκης τρόπαια κατά βαρβάρων αυτοίς δώρησαι.

Ο αυτός  Γερμανού

Πνευματικοίς άσμασι τούς Προφήτας τού Χριστού άπαντες ευφημήσωμεν, Ηλίας γάρ ο Θεσβίτης, ουρανοδρόμος γέγονε, καί μηλωτή Ελισαίος, τήν χάριν εδέξατο διπλήν παρά Θεού, καί φωστήρες φαιδροί τή οικουμένη ανεδείχθησαν, πρεσβεύοντες απαύστως υπέρ τών ψυχών ημών.

Ήχος β'

Ιωάννου Μοναχού

Φωστήρες ανέτειλαν τή οικουμένη δύο παμφαείς Ηλίας καί Ελισαίος, ο μέν θείω λόγω, ουρανίους σταγόνας απεκλεισε, καί βασιλείς διήλεγξεν, άρματι δέ πυρίνω εις ουρανούς ανήλθεν, ο δέ, ατεκνούντα ιάσατο ύδατα, καί διπλήν δεξάμενος χάριν, Ιορδάνου τά ρείθρα επέζευσε, καί νύν μετ' Αγγέλων χορεύοντες, υπέρ ημών πρεσβεύουσι, σωθήναι τάς ψυχάς ημών.

Ο αυτός  Τού αυτού

Τό εξάραν άρμα σε πυρφόρον, ως εν συσσεισμώ εις ουρανούς, τήν πυρίπνοον χάριν σοι παρέσχετο, Ηλία Θεσβίτα, τού μή ιδείν θάνατον, έως άν

κηρύξης τήν τών πάντων συντέλειαν, διό πάρεσο διδούς ημίν, τών σών κατορθωμάτων τήν μύησιν.

Δόξα... Ήχος δ'  Αρσενίου

Εν πυρίνω άρματι επιδίφριος αρθείς, εις χώραν φωτοειδή μετετέθης, ώ Θεσβίτα Ηλιού, αισχύνης δέ προφήτας κατήσχυνας, ο τόν ουρανόν λόγω δεσμεύσας, ωσαύτως λύσον καί ημών τά πταίσματα, ταίς πρός Κύριον πρεσβείαις σου, καί σώσον τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Εκ παντοίων κινδύνων τούς δούλους σου φύλαττε, ευλογημένη Θεοτόκε, ίνα σε δοξάζωμεν, τήν ελπίδα τών ψυχών ημών.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος δ'

Ο εξ υψίστου κληθείς

Ο πρό συλλήψεως ών ηγιασμένος, ο ένσαρκος Άγγελος, ο νούς ο πύρινος, ο επουράνιος άνθρωπος, ο τής δευτέρας, Χριστού ελεύσεως θείος πρόδρομος, Ηλίας ο ένδοξος, τών Προφητών η κρηπίς, πνευματικώς συνεκάλεσε, τούς φιλέορτους, πανηγυρίσαι τήν θείαν μνήμην αυτού, Ού ταίς πρέσβείαις διαφύλαξον, τόν λαόν σου Χριστέ ο Θεός ημών, από βλάβης παντοίας, τού δολίου ανενόχλητον.

Στίχ. Μή άπτεσθε τών χριστών μου, καί εν τοίς Προφήταις μου μή πονηρεύεσθε.

Ο ουρανόφρων Ηλίας ο Προφήτης, θεώμενος άπαντα από Κυρίου Θεού, τόν Ισραήλ εκπορνεύσαντα, καί τοίς ειδώλοις, προστετηκότα ζήλω πυρούμενος, νεφέλας συνέστειλε, καί γήν εξήρανε, καί ουρανούς λόγω έκλεισεν, ειπών, ουκ έσται, σταγών εν γή, εί μή εμού διά στόματος, Αυτός υπάρχει εστιάτωρ νύν, ως αφθόνως ημίν παρεχόμενος, ανεκλάλητον χάριν, τοίς πιστώς αυτόν γεραίρουσι.

Στίχ. Σύ ιερεύς εις τόν αιώνα κατά τήν τάξιν Μελχισεδέκ.

Ο τών αρρήτων επόπτης μυστηρίων, σύ τά Ιορδάνια ρείθρα διέρρηξας, σύ τήν απάτην ετέφρωσας, τήν τών ειδώλων, τή αστραπή τών θείων ρημάτων σου, σύ παρανομήσαντα ήλεγξας άνακτα, καί ιερείς εθανάτωσας, τής ανομίας, καί τήν θυσίαν ευχή ενέπρησας, καί τούς φλογώδεις, τού λαού σου νύν, τών παθημάτων καί θλίψεων άνθρακας, Ηλιού σής πρεσβείας τώ πυρί εναπομάρανον.

Δόξα... Ήχος πλ. β'

Προφήτα κήρυξ Χριστού, τού θρόνου τής μεγαλωσύνης ουδέποτε χωρίζη, καί εκάστω ασθενούντι αεί παρίστασαι, εν τοίς υψίστοις λειτουργών, τήν οικουμένην ευλογείς, πανταχού δοξαζόμενος, Αίτησαι ιλασμόν ταίς ψυχαίς ημών.

Καί νύν... Θεοτοκίον

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής. Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Απολυτίκιον  Ήχος δ'
Ταχύ προκατάλαβε

Ο ένσαρκος άγγελος, τών Προφητών η κρηπίς, ο δεύτερος Πρόδρομος τής παρουσίας Χριστού, Ηλίας ο ένδοξος, άνωθεν καταπέμψας, Ελισαίω τήν χάριν, νόσους αποδιώκει, καί λεπρούς καθαρίζει, διό καί τοίς τιμώσιν αυτόν βρύει ιάματα.

Δόξα... Καί νύν... Θεοτοκίον

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα  Ήχος α'
Τόν τάφον σου Σωτήρ

Φωστήρα παμφαή, διφρηλάτην πυρφόρον, καί άγγελον σαρκί, ζήλου πνέοντα θείου, δυσσέβειαν τρέποντα, παρανόμους ελέγχοντα, κορυφαίόν τε, τών Προφητών σε συμφώνως καταγγέλλομεν, μάκαρ θεόπτα Ηλία, διό ημας φρούρησον.

Δόξα... Καί νύν... Θεοτοκίον

Μαρία τό σεπτόν, τού Δεσπότου δοχείον, ανάστησον ημάς, πεπτωκότας εις χάος, δεινής απογνώσεως, καί πταισμάτων καί θλίψεων, σύ γάρ πέφυκας, αμαρτωλών σωτηρία, καί βοήθεια, καί κραταιά προστασία, καί σώζεις τούς δούλους σου.

Μετά τήν β' Στιχολογίαν

Καθισμα  Ήχος ο αυτός

Θεώ δι' αρετής, ακραιφνούς ωκειώθης, ουράνιον ζωήν, επί γής βιωτεύσας, ζωήν δέ τής χάριτος, κεκτημένος μακάριε, σοίς φυσήμασι, παίδα θανόντα εγείρεις, μένεις δ' άφθαρτος, κρείττων εισέτι θανάτου, Ηλία θεόπνευστε.

Δόξα... Καί νύν... Θεοτοκίον

Μητέρα σε Θεού, επιστάμεθα πάντες, Παρθένον αληθώς, καί μετά τόκον φανείσαν, οι πόθω καταφεύγοντες, πρός τήν σήν αγαθότητα, σέ γάρ έχομεν, αμαρτωλοί προστασίαν, σέ κεκτήμεθα, εν πειρασμοίς σωτηρίαν, τήν μόνην πανάμωμον.

Οι Κανόνες, ο τής Θεοτόκου, καί τού Αγίου οι δύο παρόντες.

Ο πρώτος Κανών Ιωάννου Μοναχού, φέρων Ακροστιχίδα τήν δε άνευ τών Θεοτοκίων.

Αινώ χορεύων Ηλιού τά θαύματα.

Ωδή α'  Ήχος β'
Άσωμεν τώ Κυρίω

Άδειν προηρημένοι, τών Ηλιού θαυμάτων, τήν πυρίπνοον δύναμιν, τής πυρομόρφου καί σεπτής, γλώσσης τής τού Πνεύματος, τό σθένος επαξίως επικεκλήμεθα.

Ίλαθι θεοφόρε, καί τής απόρου γλώσσης, τό στενόν τε καί δύσηχον, τή ενεργεία τού εν σοί, Πνεύματος διάνοιξον, καί τράνωσον, πρός ύμνον τών θαυμασίων σου.

Νέμεις τά υπέρ φύσιν, τοίς πειθαρχούσι Λόγε, τοίς σεπτοίς σου προστάγμασι, καί υποτάττεις υετού, πύλας διά Πνεύματος, σθενούμενον τόν λόγον απεργαζόμενος.

Θεοτοκίον

Μόνη ευλογημένη, τό καθαρόν καί θείον, τής αγνείας κειμήλιον, τής ακαθάρτου τών παθών, κάθαρον ιλύος με, αιτούσα συγχώρησιν τών πταισμάτων μου.

Δεύτερος Κανών, ού η Ακροστιχίς.

Νέμοις μάκαρ μοι θείαν Ηλιού χάριν. Ιωσήφ.

Ωδή α'  Ήχος πλ. δ'
Αρματηλάτην Φαραώ

Νενεκρωμένην τήν ψυχήν μου ζώωσον, ως τόν τής χήρας υιόν, καί αρεταίς θείαις, Μάκαρ καταλάμπρυνον, καί πρός ζωήν οδήγησον, καί τής αιωνιζούσης, τρυφής ανάδειξον μέτοχον, σού κατατρυφάν εφιέμενον.

Εν τώ σέ τίκτεσθαι ο σός μεμύηται, γεννήτωρ μέγιστον, ως αληθώς θαύμα, πύρ γάρ σιτιζόμενον, φλογί τε σπαργανούμενον, σέ τεθέαται μάκαρ, διό ταίς σαίς παρακλήσεσι, ρύσαί με πυρός αιωνίζοντος.

Μεγαλυνθείς ταίς πρός Θεόν σου νεύσεσι, ζηλών εζήλωσας, ως αληθώς Μάκαρ, τώ Κυρίω πάντοτε, διό με ενδυνάμωσον, ζήλου θείου πλησθέντα, τό ένθεον πράττειν βούλημα, ίνα σε γεραίρω σωζόμενος.

Θεοτοκίον

Ουπερούσιος Θεός Πανάμωμε, εκ σού σεσάρκωται, καί δι' ημάς ώφθη, καθ' ημάς ως άνθρωπος, όν εκτενώς ικέτευε, υπέρ πάντας ανθρώπους, ημαρτηκότα με πάναγνε, σώσαι καί κολάσεως ρύσασθαι.

## Ωδή γ'
### Εν πέτρα με τής πίστεως

Ως άριστος προφήτα ο εστιάτωρ, ο κόραξι τελών σοι τήν πανδαισίαν, ο μόνος εμπιπλών πάν ζώον ευδοκίας, ώ πάντες κράζομεν, Σύ εί Θεός ημών, καί ουκ έστιν Άγιος πλήν σου Κύριε.

Χάρις τώ ευεργέτη καί κηδεμόνι, τώ χήραν καί Προφήτην αλληλοτρόφους, αρρήτω εκτελέσαντι προμηθεία, ώ πάντες κράζομεν, Σύ εί Θεός ημών, καί ουκ έστιν Αγιος πλήν σου Κύριε.

Ο κλείσας ομβροτόκους νεφέλας ύειν, τροφής ηπορημένη τή Σαραφθία, τά λείψανα τής βρώσεως ανενδότως, ψεκάζειν έδρασας, διό καί έκραζες, Ως ουκ έστιν, Άγιος πλήν σου Κύριε.

### Θεοτοκίον

Σύ μόνη παρά πάντας τούς απ' αιώνος, μεγάλων ηξιώθης καί υπέρ φύσιν, Θεόν γάρ τόν αχώρητον πάση κτίσει, εν μήτρα ήνεγκας, καί εσωμάτωσας, όθεν Θεοτόκον σε πίστει σέβομεν.

### Έτερος

### Ουρανίας αψίδος

Ιερείς τής αισχύνης, ως δυσμενείς έκτεινας, ένδοξε Προφητα, ζήλω Θεού πυρπολούμενος, όθεν κραυγάζω σοι, Τών τής αισχύνης με έργων, καί διαιωνίζοντος πυρός εξάρπασον.

Σέ προβάλλομαι πρέσβυν, πρός τόν Θεόν μέγιστον, σώζειν με δυνάμενον, πάσης Μάκαρ κακώσεως, προσεπικάμφθητι, τή ταπεινή μου δεήσει, καί μή υπερίδης με, παρακαλούντά σε.

Μεγαλύνει Θεός σε, ο παντουργός ένδοξε, πάλαι Ηλιού, δι' ορνέου τρέφων Προφήτά σε, όν εκδυσώπησον, τής αιωνίου τρυφής με, καί φωτός τού μέλλοντος, ποιήσαι μέτοχον.

### Θεοτοκίον

Αδιόδευτε πύλη, η πρός Θεόν φέρουσα, πύλας μετανοίας μοι Κόρη, άνοιξον δέομαι, αποκαθαίρουσα, αμαρτιών μου τόν ρύπον, όμβροις τού ελέους σου, θεοχαρίτωτε.

### Κάθισμα  Ήχος πλ. δ'
### Τήν Σοφίαν καί Λόγον

Ως Προφήτης τού όντως θείου φωτός, τούς προφήτας τού ψεύδους καταβαλών, εν τούτω διήλεγξας, Αχαάβ ανομήσαντα, μή προσκυνείν διδάξας, τώ Βάαλ πανένδοξε, καί ευχή αιτήσας, εξ ύψους τά νάματα, όθεν καί πυρίνω, ανελήφθης Ηλία, οχήματι μετάρσιος, διφρηλάτης πρός Κύριον, διά τούτο βοώμέν σοι, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν

δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Θεοτοκίον

Ως Παρθένον καί μόνην εν γυναιξί, σέ ασπόρως τεκούσαν Θεόν σαρκί, πάσαι μακαρίζομεν, γενεαί τών ανθρώπων, τό γάρ πύρ εσκήνωσεν, εν σοί τής θεότητος, καί ως βρέφος θηλάζεις, τόν Κτίστην καί Κύριον, όθεν τών Αγγέλων, καί ανθρώπων τό γένος, αξίως δοξάζουσι, τόν πανάγιον τόκον σου, καί συμφώνως βοώμέν σοι, Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς προσκυνούσιν εν πίστει, τόν άσπορον τόκον σου.

Ωδή δ'

Εισακήκοα Κύριε τήν ακοήν

Ριζοτόμος μέν ώφθης, κακίας σαφώς Προφήτα, αρετής δέ φυτοκόμος, διό τιμώμέν σε.

Ελοιδορείτο λόγοις σε, χήρα τροφός, τόν θάνατον Προφήτα, τού παιδός τήν έγερσιν επισπεύδουσα.

Υπεσημήνω δόξαν Τριάδος σαφώς, εμπνεύσει τρισαρίθμω τή μητρί τόν παίδα ζώντα δωρούμενος.

Θεοτοκίον

Ως κατάκαρπος άμπελος, βότρυν Αγνή, τής σωτηρίας οίνον, πάσιν αναβλύζειν εκυοφόρησας.

Έτερος

Σύ μου ισχύς, Κύριε

Κάμπει τόν σόν, ζήλον Θεός πυρακτούμενον, καί πρός χήραν, πέμπει διατρέφεσθαι, τόν γυναικός, πάλαι απειλή, Ηλιού φυγάδα, γεγενημένον θεσπέσιε διό σε ικετεύω, τήν ψυχήν μου πεινώσαν, διαθρέψαι ενθέοις χαρίσμασιν.

Αμαρτιών, νέφη δεινά συγκαλύπτει με, τρικυμίαι, βίου με χειμάζουσι, καί επιπνέουσι χαλεπώς, κατά τής ψυχής μου, τής πονηρίας τά πνεύματα, Προφήτα θεηγόρε, κυβερνήτης γενού μοι, σωτηρίας πρός όρμον ιθύνων με.

Ρώσιν ψυχής, ρώσιν παράσχου μοι σώματος, τόν τάς νόσους, πάντων αφαιρούμενον, εκδυσωπών, μάκαρ Ηλιού, Κύριον τής δόξης, καί αβλαβώς διατρέχειν με, τά σκάνδαλα τού βίου, κατευόδωσον, σέ γάρ, αγαθόν μου προστάτην προβάλλομαι.

Θεοτοκίον

Μετά πασών, τών ουρανίων Δυνάμεων, μετά πάντων, Δέσποινα πανάμωμε, τών Προφητών, καί τών Αθλητών, καί τών Αποστόλων καί τών Οσίων ικέτευε, τυχείν με σωτηρίας, τόν πολλά αμαρτόντα, καί ρυσθήναι μελλούσης κολάσεως.

## Ωδή ε'

### Ο τού φωτός χορηγός

Νόμος πατρώός σε, ως πρεσβευτήν παναληθή έδειξε, τερατουργόν, εκτρέποντα φύσεις, στοιχείων Ηλιού, καί όσιον θύμα, φλογίζοντα νάμασιν.

Ήσχυνας άριστα, ως αλνθείας λατρευτής Όσιε, τής εναγούς προφήτας αισχύνης, παμμάκαρ Ηλιού, σαφώς υπογράψας, Τριάδος τήν δύναμιν.

Λόγω τής χάριτος, ιερατεύων Ηλιού τέθυκας, τούς ιερείς, τών προσοχθισμάτων, αθώοις σου χερσί, καθάπερ ποδήρει, τώ ζήλω κοσμούμενος.

### Θεοτοκίον

Σοί τή τεκούση Χριστόν, τόν τού παντός Δημιουργόν κράζομεν, Χαίρε αγνή, Χαίρε η τό φώς ανατείλασα ημίν, Χαίρε η χωρήσασα Θεόν τόν αχώρητον.

### Έτερος

### Ίνα τί με απώσω

Ομβροτόκους νεφέλας, είργεις πυρακτούμενος ζήλω τής πίστεως, αλλά δέομαί σου,, Ηλιού Ιεραίς μεσιτείαις σου, τήν φλογμώ τακείσαν τών ηδονών ψυχήν μου θείαις, επομβρίαις αρδεύσαι καί σώσαί με.

Ιερεύς δεδειγμένος τέθυκας, αθώοις σου χερσί πανόλβιε, τών προσοχθισμάτων, Ιερείς ενεργούντας τά άτοπα, αλλά δέομαί σου, πάσης ατόπου αμαρτίας αβλαβή με Προφήτα συντήρησον.

Θαυμαστούσαι Προφήτα, θείαις επικλήσεσι φλέγων τά θύματα, εκτελέσας πίστει, διά τούτο απαύστως σου δέομαι, τή εμή καρδία, τόν Ιερόν ανάψαι πόθον, τά υλώδη μου πάθη συμφλέγοντα.

### Θεοτοκίον

Επί σέ ώσπερ όμβρος, Λόγος καταβέβηκεν ο υπερούσιος, όν δυσώπει Κόρη, επομβρίσαι μοι νύν κατανύξεως, καθαράς σταγόνας, αποπλυνούσας πάντα ρύπον, τών αμέτρων κακών μου πανάμωμε.

## Ωδή ς'

### Άβυσσος αμαρτημάτων

Ίνδαλμα θεοσεβείας, καί βίου ακραιφνεστάτου, φυτουργός αγνείας εγένου, Αγγέλων τε μίμημα θεσπέσιε, Ηλιού θεοφόρε.

Οιστρός σε προφητοκτόνου, γυναίου εκδειματώσας, τόν δεσμείν καί λύειν λαχόντα, όμβρων επίβλυσιν θεσπέσιε, Ηλιού φυγαδεύει.

Ύψωσας γονυπετή σας, νοός μετάρσιον όμμα, δι' ικετηρίας ιεράς, λύσιν ποιούμενος, καί αϋλακας, γής εμέθυσας όμβρω.

### Θεοτοκίον

Βάτος σε εν τώ Σιναίω, αφλέκτως προσομιλούσα, τώ πυρί προγράφει Μητέρα, τήν αειπάρθενον, ανύμφευτε Θεοτόκε Μαρία.

Έτερος

Ιλάσθητί μοι Σωτήρ

Ιλάσθητί μοι Σωτήρ, πολλά σοι αφρόνως πταίσαντι, καί τής μενούσης εκεί, κολάσεως λύτρωσαι, έχων δυσωπούντά σε, Ηλιού τόν μέγαν, καί τήν άχραντον Μητέρα σου.

Αγνείας ως φυτουργός, αγνόν ψυχή με συντήρησον, ως ζηλωτής Ηλιού, ζήλου θείου πλήρωσον, τήν εμήν διάνοιαν, όπως τής Κακίας, τάς εφόδους αποκρούσωμαι.

Νηστεύεις βρώσει μιά, οδόν τεσσαρακονθήμερον, ανύων θεία ροπή, διό ικετεύω σε, πάσης παραβάσεως, εγκρατεύσθαί με, θεοφόρε ενδυνάμωσον.

Θεοτοκίον

Η πύλη η τού Θεού, εισόδους θείας υπάνοιξον, τή ταπεινή μου ψυχή, εν αίς εισελεύσομαι, εξομολογούμενος, καί κακών τήν λύσιν, Θεοτόκε απολήψομαι.

Κοντάκιον  Ήχος β'

Αυτόμελον

Προφήτα καί προόπτα τών μεγαλουργιών τού Θεού, Ηλία μεγαλώνυμε, ο τώ φθέγματί σου στήσας τά υδατόρρυτα νέφη, πρέσβευε υπέρ ημών, πρός τόν μόνον φιλάνθρωπον.

Ο Οίκος

Τήν πολλήν τών ανθρώπων ανομίαν, Θεού δέ τήν άμετρον φιλανθρωπίαν, θεασάμενος ο Προφήτης Ηλίας, εταράπτετο θυμούμενος, καί λόγους ασπλαγχνίας πρός τόν εύσπλαγχνον εκίνησεν, Οργίσθητι βοήσας, επί τούς αθετήσαντάς σε, Κριτά δικαιότατε, Αλλά τά σπλάγχνα τού αγαθού, ουδόλως παρεκίνησε πρός τό τιμωρήσασθαι τούς αυτόν αθετήσαντας αεί γάρ τήν μετάνοιαν πάντων αναμένει, ο μόνος φιλάνθρωπος.

Σ υ ν α ξ α ρ ι ο ν

Τή Κ' τού αυτού μηνός, Μνήμη τής εις ουρανούς πυρφόρου αναβάσεως τού Αγίου ενδόξου Προφήτου Ηλιού τού Θεσβίτου.

Στίχοι

- Επέσχεν όμβρον, πύρ τρίτον φέρων κάτω,
- Σχίζει δέ ρείθρον Ηλίας τρέχων άνω.
- Δίφρω ανηρπάγης περί εικάδα, Ηλία ιππεύ.

Ταίς αυτού αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Βάτος εν όρει πυρί

Τήν παραδόξως θεόθεν σοι, σχεδιασθείσαν δυναμιν ενδεδυκώς, τροφή μιά τεσσαρακονθήμερον, Ηλιού θεσπέσιε, τήν δολιχήν καταλέλυκας οδόν, διό εν Χωρήβ χορεύων έψαλλες, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Αύρα πραεία υπέδειξε, καί λεπτοτάτη Κύριον σοί Ηλιού, Θεώ ζηλούντι παντοκράτορι, ουχί πνεύμα βίαιον, ου συσσεισμός, ουδέ πύρ εκδειματούν, διό Ιησού τώ πράω ψάλλομεν, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Θεοφανείας ηξίωσαι, καί προφητείας ώσπερ ο μέγας Μωσής, προφήτας χρίων διά Πνεύματος, Ηλιού θεσπέσιε καί βασιλείς, καί τής δόξης εν θαβώρ, Χριστού θεατής γενόμενος βοάς, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Θεοτοκίον

Μήτραν τήν σήν ο πανάγαθος, Λόγος οικήσας Άχραντε υπερφυώς, Θεού Πατρός, ημάς ανέπλασε, καί ζωής ηξίωσε τής εν Εδέμ, διό Θεοτόκον σε πάντες πιστοί, προσκυνούντες αναμέλπομεν, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Έτερος

Θεού συγκατάβασιν

Λαόν απολλύμενον, κατοικτιρήσας, ζήλω τής πίστεως, επικλήσεσι θείαις, πύρ κατηγάγου φλογίζον Ένδοξε, όσιον θύμα, διό ικετεύω σε, Τής αιωνίου φλογός, ρύσαι καί σώσόν με.

Ιδείν κατηξίωσαι, θαβώρ εν όρει, Θεού τό πρόσωπον, όν δυσώπει Προφήτα, τού παραβλέψαι τάς αμαρτίας μου, καί εν ημέρα τής δίκης θεάσασθαι, ακαταγνώστω ψυχή, αυτού τό πρόσωπον.

Οδόν πορευόμενος, τού βίου πλάνας πολλάς υφίσταμαι, Αγαθέ μου προστάτα, κυβέρνησόν με τή προστασία σου, επιστηρίζων γνώμη σαλευόμενον, καί πρός σαρκός ηδονάς Ηλιού νεύοντα.

Θεοτοκίον

Υμνώ σε Πανύμνητε, καί μεγαλύνω θεοχαρίτωτε, τήν αγνήν σου λοχείαν, βοήθησόν μοι βίου τοίς κύμασι, χειμαζομένω, καί δίδου κατάνυξιν, τή Ταπεινή μου ψυχή, καθαρτικήν μολυσμών.

Ωδή η'

Έφριξε Παίδων ευαγών

Άριστα εύρεν Αχαάβ, τήν τού γένους ευπρεπή πανωλεθρίαν, Προφήτου ελεγμώ, μιαιφόνου μύσους αντέκτισιν, ο Θεσβίτης δέ εκ πυριπνόου φρενός, τώ Ζωοδότη ύμνον ανεμέλπετο, Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Ύει σοι πύρ εξ ουρανού, καταφλέγον Ηλιού επιθεμένους, πεντήκοντα δισσούς, ως Θεού αρίστω θεράποντι, τώ κρατούντι γάρ της αειζώου ζωής,

θεοπρεπώς τόν ύμνον ανεκραύγαζες, Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Θεοτοκίον

Μύστην σε έδειξε Χριστός, ως αγνείας φυτουργόν ο τής Παρθένου, υπέρθεος βλαστός, εν θαβώρ τής θείας σαρκώσεως, τής θεότητος τό ακατάληπτον φώς, εν τή αυτού σαρκί δεικνύς σοι κράζοντι, Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Έτερος

Επταπλασίως κάμινον

Χωρητικόν δοχείόν σε, θείου Πνεύματος έγνωμεν, άγγελον εν γή, πύρ ζήλου θείου πνέοντα, δυσσέβειαν τρέποντα, καί βασιλείς ελέγχοντα, χρίοντα προφήτας, Ηλιού καί αισχύνης, συγκόπτοντα μαχαίρα ιερείς, διά τούτο, βοώμέν σοι, Μελλούσης ημάς αισχύνης ρύσαι.

Άρμα πυρός σε έλαβεν, από γής πυρακτούμενον, ζήλω Ηλιού, τώ θεϊκώ θεόπνευστε, διό ικετεύω σε, τών εν τή γή με πάντων κακών τών σών αρετών, επικουφίζειν τόν νούν μου, τεθρίππω, καί πρός νύσσαν, ουρανίαν με φθάσαι, τόν πάντων εκδυσώπει, Θεόν καί Βασιλέα.

Ρήματι ζώντι έκλεισας, ουρανόν υετίζοντα, ρήματί σου νύν, πνευματικώ διανοιξον, τάς πύλας μοι δέομαι, τής μετανοίας Άγιε, πέμπων τή ψυχή μου, κατανύξεως όμβρους, καί σώσόν με βοώντα Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Τριαδικόν

Ισοσθενή ομότιμον, ομοούσιον, σύνθρονον, σέβοντες Τριάδα, εν μιά θεότητι, Πατέρα δοξάζομεν, Υιόν καί Πνεύμα, Άγιον, άδυτον αυγήν, ομοβασίλειον κράτος, καί μέλπομεν συμφώνως, Ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Νομοθετών ευσέβειαν, καί διδάσκων μετάνοιαν, ο Εμμανουήλ, εκ σού τεχθείς επέφανεν, όν νύν εκδυσώπησον, υπεραγία Δέσποινα, τής δικαιοσύνης, υπανοίξαί μοι πύλας, καί σώσαί με βοώντα, Ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Ωδή θ'

Η τόν πρό ηλίου φωστήρα

Άτρεπτον ανθρώποις πορείαν επί γής πολιτευσάμενος, τή μηλωτή τόν ρούν τόν Ιορδάνιον, ο Θεσβίτης περαιωθείς, διφρηλάτης αιθέριος, ουρανοδρόμον ήνυσε, ξένην πορείαν διά Πνεύματος.

Τής θεοσεβείας τώ ζήλω, ο Θεσβίτης πυρπολούμενος, εν πυριμόρφω άρματι επαίρεται, μηλωτήν δέ επιβαλών, όν λαθείν ού δεδύνηται, Ελισαιέ δισσούμενον, καταλιμπάνει θεία χάριτι.

Αποδεδειγμένος θεόπτης, ο Θεσβίτης σύν Μωσή καθορά, ά οφθαλμός ουκ είδε, καί ούς ουκ ήκουσε, καί ανθρώπων τών γηγενών, καρδία ού λελόγισται, σεσαρκωμένον Κύριον, εν τώ θαβώρ τόν παντοκράτορα.

Θεοτοκίον

Τήν τής αποτόμου αρχαίας, αναιρέτιν αποφάσεως, καί τής προμήτορος τήν επανόρθωσιν, τήν τού γένους τής πρός Θεόν αιτίαν οικειώσεως, τήν πρός τόν Κτίστην γέφυραν, σέ Θεοτόκε μεγαλύνομεν.

Έτερος

Εξέστη επί τούτω ο ουρανός

Ιδείν εν λεπτοτάτη αύρα Θεόν, ως ιδείν δυνατόν κατηξίωσαι, ασκητικαίς, πρότερον τό σώμα διαγωγαίς, καταλεπτύνας Ένδοξε, όθεν δυσωπώ σε σαίς προσευχαίς, τό πάχος τού νοός μου, λεπτύνας μετανοίας, μαρμαρυγαίς θείαις καταύγασον.

Ως πάλλαι Ιορδάνην τή μηλωτή, διαρρήξας διέβης πανόλβιε, ούτω καμού, τών αμαρτημάτων τών χαλεπών, τάς διεκχύσεις ξήρανον, όμβρους επιπέμπων μου τή ψυχή, δακρύων καθ' εκάστην, Προφήτα θεηγόρε, τρυφής χειμάρρουν προξενούντάς μοι.

Σκανδάλων τών εν βίω πολυειδών, ανομούντων εχθρών πάσης θλίψεως, σωματικής, νόσου ψυχικής τε παρατροπής, ταίς προσευχαίς σου ρύσαί με, ένδοξε Προφήτα ως αγαθός, προστάτης μου βοώ σοι, καί τής εν τή γεέννη, αιωνιζούσης κατακρίσεως.

Ηρπάγης πρός τό ύψος Ελισαιέ, δισσουμένην τήν χάριν τού Πνεύματος, καταλιπών, ένδοξε αιτήσαντι Ηλιού, μεθ' ού απαύστως αίτησαι, νίκην ουρανόθεν τώ Βασιλεί, καί άφεσιν πταισμάτων, προστάτην σε πλουτούντι, πρός τόν Δεσπότην ακαταίσχυντον.

Θεοτοκίον

Φωνάς τών οικετών σου ως αγαθή, μή παρίδης πανάμωμε Δέσποινα, αλλ' εκτενώς, αίτησαι τόν πάντων Δημιουργόν, τώ Βασιλεί τά τρόπαια, καί τήν ευρωστίαν τήν ψυχικήν, δωρήσασθαι Παρθένε, καί θείας βασιλείας, τήν μετουσίαν καί λαμπρότητα.

Εξαποστειλάριον

Φώς αναλλοίωτον Λόγε

Φώς εν πυρίνω τεθρίππω, ουρανοδρόμον σε δείξαν, αρματηλάτην Ηλία, ου κατηνάλωσεν όλως, πύρ γάρ εν γλώσση πηλίνη, είλκυσας κάτω, καί ανεξήρανας όμβρους.

Θεοτοκίον

Φώς η Τεκούσα Παρθένε, δυσώπησον σαίς πρεσβείαις, τόν σόν Υιόν Θεοτόκε, τού οικτιρήσαι καί σώσαι, τού αιωνίου με σκότους, τόν πεποιθότα,

τή σή σεπτή αντιλήψει.

Εις τούς Αίνους, ψάλλομεν Στιχηρά Προσόμοια γ' δευτερούντες τό α'.

Ήχος πλ. δ'
Τί υμάς καλέσωμεν Άγιοι

Ότε σύ Προφήτα θεσπέσιε, τώ Θεώ δι' αρετής, καί πολιτείας ακραιφνούς, συνεκράθης παρ' αυτού, τήν εξουσίαν ειληφώς, τήν κτίσιν, κατά γνώμην μετερρύθμισας, καί πύλας, υετού θέλων απέκλεισας, καί άνωθεν πύρ κατήγαγες, καί δυσσεβείς κατηνάλωσας, ικέτευε, τού σωθήναι τάς ψυχάς ημών. (Δίς)

Ζήλω τού Κυρίου πυρούμενος, παρανόμους βασιλείς σύ διεξήλεγξας σφοδρώς, τής αισχύνης ιερείς, σύ εθανάτωσας θερμώς, ανήψας, πύρ εν ύδατι παράδοξον, τροφήν δέ, αγεώργητον επήγασας, καί νάματα Ιορδάνια, τή μηλωτή σου διέτεμες, ικέτευε, τού σωθήναι τάς ψυχάς ήμων.

Ότε σύ Προφήτα κατέδειξας, επί γής ως αληθώς, τήν επουράνιον ζωήν, τήν ζωήν εν σεαυτώ, τήν ενυπόστατον πλουτών, θανόντα, σοίς φυσήμασιν ανέστησας, θανάτου, κρείττων έτι σύ διέμεινας, άρμα πυρός επιβέβηκας, αιθέριος ανυψούμενος, ικέτευε, τού σωθήναι τάς ψυχάς ήμων.

Δόξα... Ήχος πλ. δ'

Τών Προφητών τούς ακραίμονας, καί παμφαείς φωστήρας τής οικουμένης, εν ύμνοις τιμήσωμεν πιστοί, Ηλίαν καί Ελισαίον καί Χριστώ εκβοήσωμεν χαρμονικώς, Εύσπλαγχνε Κύριε, παράσχου τώ λαώ σου, ικεσίαις τών Προφητών σου, άφεσιν αμαρτιών, καί τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Δέσποινα πρόσδεξαι, τάς δεήσεις τών δούλων σου, καί λύτρωσαι ημάς, από πάσης ανάγκης καί θλίψεως.

Δοξολογία μεγάλη, καί Απόλυσις

Εις τήν Λειτουργίαν. Τά Τυπικά καί εκ τών Κανόνων τού Αγίου η γ' καί ς' Ωδή.

Ο Απόστολος
Καθολικής Επιστολής Ιακώβου

Αδελφοί, υπόδειγμα λάβετε...

Ευαγγέλιον κατά Λουκάν

Τώ καιρώ εκείνω, εθαύμαζον οι όχλοι...

Κοινωνικόν

Αγαλλιάσθε δίκαιοι εν Κυρίω, τοίς ευθέσι πρέπει αίνεσις. Αλληλούϊα.

---

Αρχή

## ΤΗ ΚΑ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Οσίων Πατέρων ημών Ιωάννου καί Συμεών, τού διά Χριστόν Σαλού.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'
Έδωκας σημείωσιν

Έρημον οικήσαντες, εν ομονοία μακάριοι, τής σαρκός τά κινήματα, ταίς θείαις δεήσεσι, καί ταίς θεωρίαις, ταίς φαεινοτάταις, κατεμαράνατε σοφώς, τήν δέ καρδίαν κατελαμπρύνατε, δοχείον εργασάμενοι, πνευματικών διαδόσεων, Συμεών Ιωάννη τε, μοναζόντων ερείσματα.

Μωραίς προσποιήσεσι, τόν σοφιστήν απεμώρανας, τής κακίας μακάριε, τελών τά παράδοξα, ενεργών σημεία, δαίμονας διώκων, φωταγωγών τούς εν νυκτί, τής αμαρτίας πάτερ υπάρχοντας, καί νούν ανεπιθόλωτον, μέσον θορύβων ετήρησας, Συμεών τήν απάθειαν, εκ Θεού κομισάμενος.

Μέτριος τό φρόνημα, καί συμπαθής καί φιλόθεος, καί αγάπης ανάπλεως, ωράθης θεόπνευστε, ταπεινός καί πράος, άγγελος καθάπερ, επί τής γής περιπατών, καί πολιτείαν έχων ουράνιον, διό επανεπαυσατο, ως καθαρώ σοι μακάριε, Συμεών, ο Πατήρ Υιός, καί τό Πνεύμα τό Άγιον.

Δόξα... Καί νύν... Θεοτοκίον

Χαίροις ηλιόμορφε, ηλίου άδυτον όχημα, η τόν ήλιον λάμψασα, τόν απειρινόητον, Χαίρε νούς αστράπτων, θείαις φρυκτωρίαις, η λαμπηδών τής αστραπής, η διαυγάζουσα γής τά πέρατα, η όντως χρυσαυγίζουσα, η παγκαλής καί πανάμωμος, η τό φώς τό ανέσπερον, τοίς πιστοίς εξαστράπτουσα.

Η Σταυροθεοτοκίον

Σταυρούμενον βλέπουσα, καί τήν πλευράν ορρυτόμενον, υπό λόγχης η Πάναγνος, Χριστόν τόν φιλάνθρωπον, έκλαιε βοώσα, Τί τούτο Υιέ μου; τί σοι αχάριστος λαός, αποτιννύει ανθ' ών πεποίηκας, καλών αυτοίς καί σπεύδει με, ατεκνωθήναι παμφίλτατε; καταπλήττομαι εύσπλαγχνε, σήν εκούσιον Σταύρωσιν.

Απολυτίκιον  Ήχος δ'

Ο Θεός τών Πατέρων ημών ο ποιών αεί μεθ' ημών κατά τήν σήν επιείκειαν, μή αποστήσης τό έλεος σου αφ' ημών, αλλά ταίς αυτών ικεσίας , εν ειρήνη κυβέρνησον τήν ζωήν ημών.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, οι Κανόνες τής Οκτωήχου, και τών Αγίων ο παρών, ού η Ακροστιχίς.

Μέλπω, Πάτερ, σού τούς δρόμους καί τούς κόπους.

Ωδή α' Ήχος δ'
Θαλάσσης, τό ερυθραίον

Μεθέξει, τή πρός τό θείον Όσιε, φώς εχρημάτισας, καί πρός αυτό χωρήσας Συμεών, εφετών τό ακρότατον, τών αγαθών ελπίδων σου, Πάτερ τό πλήρωμα κατείληφας.

Εφέσει, τή πρός Θεόν πυρούμενος πάντα κατέλιπες, συνοδοιπόρον Πάτερ ευρηκώς, Ιωάννην τόν ένδοξον, μεθ' ού τήν τρίβον ήνυσας, τής σωτηρίας αγαλλόμενος.

Λαμπτήρα, φωτοειδέσι λάμψεσι, καταστραπτόμενον, τού παναγίου Πνεύματος σοφέ, Συμεών σε εγνώρισεν η Εκκλησία, όθεν σου, τή φωτοφόρω μνήμη γέγηθε.

Πλουτήσαι, τά μηδαμώς κενούμενα, επιποθήσαντες, πλούτον καί δόξαν πρόσκαιρον Σοφοί, καί τρυφήν διαρρέουσαν, καί κοσμικόν αξίωμα, γενναιοφρόνως απεκρούσασθε.

Θεοτοκίον

Ωραίαν, καί εκλεκτήν καί πάνσεμνον, κατανοήσας σε, ο τού Θεού Πανάμωμε Υιός, σός Υιός εχρημάτισεν, υιοθετήσας χάριτι, τούς Θεοτόκον σε γεραίροντας.

Ωδή γ'
Ευφραίνεται επί σοί

Προθύμως πρός νοητά, εναπεδύσω Συμεών σκάμματα, τρέπων εχθρού φάλαγγας, θεία συμμαχία τού Πνεύματος.

Ανάλωτος ηδονών, αναδειχθείς πυρκαϊάς έφλεξας, ύλην παθών άνθραξι, θείων προσευχών Αξιάγαστε.

Ταίς μάστιξι τών ευχών, καί εγκρατείας ταίς πληγαίς Όσιε, τήν τών παθών Αίγυπτον, Πάτερ Ιωάννη εμάστιξας.

Ενέκρωσαν τόν εχθρόν, οι ασκηταί σου Ιησού νέκρωσιν, περιχαρώς Δέσποτα, σού τήν ζωηφόρον ποθήσαντες.

Θεοτοκίον

Ρυόμενον τούς βροτούς, παρακοής τού χαλεπού πτώματος, τόν τού παντός αίτιον, άχραντε Πανάμωμε τέτοκας.

Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα, Σύ μου ισχύς Κύριε,

καί καταφυγή καί στερέωμα».

Κάθισμα  Ήχος α'
Τόν τάφον σου Σωτήρ

Τήν τρίβον τήν στενήν, πλατυνόμενοι πίστει, διώδευσαν ομού, οι Πατέρες οι θείοι, απάσας στενώσαντες μεθοδείας τού δράκοντος, τούτους άπαντες, ευσεβοφρόνως τιμώμεν, εορτάζοντες, τήν Ιεράν αυτών μνήμην, εις δόξαν Χριστού τού Θεού.

Θεοτοκίον

Ελπίς Χριστιανών, Παναγία Παρθένε, όν έτεκες Θεόν, υπέρ νούν τε καί λόγον, απαύστως ικέτευε, σύν ταίς άνω Δυνάμεσι, δούναι άφεσιν, αμαρτιών ημίν πάσι, καί διόρθωσιν, βίου τοίς πίστει καί πόθω, αεί σε δοξάζουσιν.

Η Σταυροθεοτοκίον

Η άσπιλος αμνάς, τόν αμνόν καί ποιμένα, κρεμάμενον νεκρόν, επί ξύλου ορώσα, θρηνούσα εφθέγγετο, μητρικώς ολολύζουσα, Πώς ενέγκω σου, τήν υπέρ λόγον Υιέ μου, συγκατάβασιν, καί τά εκούσια πάθη, Θεέ υπεράγαθε;

Ωδή δ'
Επαρθέντα σε ιδούσα

Συνωθούμενοι πρός τρίβους δικαιοσύνης, τού θεοφόρου Νίκωνος, θείας πρός επαύλεις, Όσιοι κατήχθητε, σωτήριον έλλαμψιν, τούτου νουθεσίαις πλουτήσαντες.

Ο μοτρόπους καί τά αίσια συμφρονούντας, ο θεοφόρος Όσιοι, υμάς θεωρήσας, θείαις εισηγήσεσι, τώ θείω ενδύματι, τώ τών μοναστών κατεκόσμησεν.

Υπερήστραψεν η χάρις τή σή καρδία, τού Παναγίου Πνεύματος, απλότητι τρόπων, σέ καλλωπιζόμενον, ευρούσα μακάριε, πάτερ Συμεών αξιάγαστε.

Τήν καρδίαν σου πυξίον κεκαθαρμένον, η τού Αγίου Πνεύματος, χάρις ευραμένη, Πάτερ κατεγράψατο, τελείαν απάθειαν, πίστιν καί αγάπην ανόθευτον.

Θεοτοκίον

Ο καθήμενος εν θρόνω τώ επηρμένω, Χερουβικόν ως θρόνον σε, έσχεν εν αγκάλαις, σού αναπαυσάμενος, Μαρία πανύμνητε, ο δεδοξασμένος Θεός ημών.

Ωδή ε'
Σύ Κύριέ μου φώς

Υπέρφωτον αυγήν, Ιωάννη δεξάμενος, ως ήλιος καθωράθης, τών δαιμόνων τό σκότος, μειώσας αξιάγαστε.

Σώ έρωτι Χριστέ, πτερωθέντες οι Όσιοι, τούς έρωτας τών σωμάτων, ως αφρούς θαλαττίους, εμφρόνως απεκρούσαντο.

Δυνάμει θεϊκή, τάς ψυχάς δυναμούμενοι, τήν έρημον κατοικείτε, ερημούντες τά πάθη, Πατέρες ουρανόφρονες.

Θεοτοκίον

Ρούς έστη τής φθοράς, η Παρθένος αφθόρως γάρ, εκύησε Θεον Λόγον, υπέρ φύσιν καί λόγον, Παρθένος διαμείνασα.

Ωδή ς'

Θύσω σοι, μετά φωνής

Ο νούς σου, ολικώς πρός τό θείον τεινόμενος, ταίς ανενδότοις μελέταις, σαρκικής στοργής ηφείδησε πάσης, αγαθών σοι, προξενών Συμεών τήν οικείωσιν.

Μωρίαν, προσποιήσει σοφώς υποκρίνεται, τόν σοφιστήν τής κακίας, Συμεών μωραίνων σεσοφισμέναις, ενεργείαις τού τά πάντα, σοφίζοντος Πνεύματος.

Ου σπίλους, ου ρυτίδας προσδέχη Μακάριε, κόσμου εν μέσω διάγων, καθαραίς δέ μάλλον δεήσεσιν, εκκαθαίρεις, ψυχικών μολυσμών τούς προστρέχοντας.

Υπάρχων, σαρκικών φρονημάτων ανώτερος, τόν λογισμόν ουκ ετρώθης, γυναικών εν μέσω γυμνούμενος, απαθείας, Συμεών, τήν στολήν γάρ ενδέδυσαι.

Θεοτοκίον

Στόματι, λογισμώ καί καρδία πανάχραντε, σέ Θεοτόκον κηρύττω διά σού Θεώ γάρ προσκατηλλάγην, απωσμένος, παραβάσει τό πρίν τού προπάτορος.

Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι σίματι».

Κοντάκιον Ήχος α'

Χορός Αγγελικός

Τόν βίον ευσεβώς, εκτελέσαντες πίστει, δοχεία καθαρά, τής Τριάδος δειχθέντες, Συμεών Ιωάννη τε, θεοφόροι Πανεύφημοι, νύν αιτήσασθε, τόν ιλασμόν καί ειρήνην, ταίς ψυχαίς ημών, καταπεμφθήναι πλουσίως, Πατέρες πανόλβιοι.

Ο Οίκος

Τής θείας αμπέλου βλαστήματα υπάρχοντες, παιδιόθεν εδέξασθε σοφίαν τήν επουράνιον, ή καί συνοικισθέντες, από γής εχωρίσθητε, καί πρός ύψος εδράμετε, εξ αϋλων τε ανθέων πλέξαντες στέφανον, καί υμών επιθέντες τσίς ηγιασμέναις κάραις πανεύφημοι, ώφθητε κεκοσμημένοι, όθεν εξιλεώσασθε τό θείον, τού δοθήνσί μοι σοφίαν λόγου επαξίως, όπως ανυμνήσω υμών τόν βίον ένδοξοι, όν υπερεδόξασε Χριστός ο Θεός ημών, Πατέρες πανόλβιοι.

Συναξάριον

Τή ΚΑ' τού αυτού μηνός, Μνήμη τών Αγίων Πατέρων ημών Ιωάννου καί Συμεών, τού διά Χριστόν Σαλού.

Στίχοι

- Έμφρων σύ μωρός, ός βίον παίζων Πάτερ,
- Όφιν φρόνιμον λανθάνεις τέλους άχρι.
- Έρημον είλου, ώ Ιωάννη μάκαρ,
- Δι' ής έρημα ειργάσω σαρκός πάθη.
- Ψευδαέφρων περίφρων Συμεών θάνεν εικάδι πρώτη.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου μάρτυρος, Ακακίου εν τώ Επτασκάλω, Καί τής αθλήσεως τών Αγίων Θεοφίλου, Ιούστου, Τροφίμου καί Ματθαίου, Καί η Σύναξις τής Υπεραγίας Θεοτόκου εν ταίς Αρματίου.

Οι άγιοι τρείς Μάρτυρες οι εν Μελιτηνή κατά πετρών συρόμενοι, καί οι άγιοι μάρτυρες Γεώργιος, Θεόδωρος καί Ευγένιος, ξίφει τελειούνται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Εν τή καμίνω Αβραμιαίοι

Κεκρατημένος, θεομιμήτως Πάτερ θεία στοργή, άλλους εις τό σώζειν όλον περιχαρώς, σεαυτόν βοών εξέδωκας, Ευλογημένος εί έν τώ ναώ τής δόξης σου Κύριε.

Απ' ουρανών σοι χορηγουμένην Πάτερ δέχη τροφήν, ταύτη δέ εκτρέφεις πάντας τούς ευπειθώς δεχομένους σου τό πρόσταγμα, καί τήν χαμαίζηλον αμαρτίαν λιπόντας μακάριε.

Ιχνηλατήσας τούς τών Πατέρων όρους Σοφέ, λύμην Ωριγένους φεύγειν τού δυσσεβούς, εγγυή σώ τούς κραυγάζοντας, Ευλογημένος εί εν τώ ναώ τής δόξης σου Κύριε.

Θεοτοκίον

Τό τού Υψίστου ηγιασμένον θείον σκήνωμα χαίρε, διά σού γάρ δέδοται η χαρά, Θεοτόκε τοίς κραυγάζουσιν, Ευλογημένη σύ εν γυναιξίν υπάρχεις πανάμωμε.

Ωδή η'

Χείρας εκπετάσας Δανιήλ

Ολόφωτος πέφυκας αστήρ, τούς εν βορβόρω παθών, χειραγωγών πρός ζωήν, ποιείς γάρ γύναια άσεμνα, σωφροσύνη πολιτεύεσθαι, καί εκδιώκεις χαλεπά, βοών νοσήματα, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Υπάρχων ακέραιος τόν νούν, εν αποκρύψει σοφών, θαυμάτων Όσιε, πολλούς εξώγρησας παίζεσθαι, διά Κύριον ελόμενος, καί μυκτηρίξεσθαι, βοών

καθαρωτάτη ψυχή, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Σύ τεσσαράκοντα ημερών, νήστις τόν δίαυλον, ανύων Όσιε, είχες Θεόν σε σιτίζοντα ουρανίαν αγαλλίασιν, ώ γεγηθότι Συμεών έκραζες πνεύματι, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Θεοτοκίον

Κυήσασα Λόγον τού Πατρός, ημάς ρυόμενον, Παρθένε άχραντε, αυτόν ικέτευε πάντοτε, τού φωτίσαι τούς υμνούντάς σε, καί περιστάσεως ημάς απολυτρώσασθαι, εκβοώντας, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

## Ωδή θ'

Λίθος αχειρότμητος όρους

Όλη τή Τριάδι προμύθως, ανατεθέντες τή καρδία, καί τάς εξ αυτής μαρμαρυγάς, αγαθοδότως υποδεξάμενοι, φωτοειδείς γεγόνατε, καί τοίς Αγγέλοις συγχορεύετε.

Πόθω θεϊκώ συνημμένοι, καί τή ασκήσει λαμπρυνθέντες, τών ελπιζομένων αγαθών, εν μετουσία ήδη γεγόνατε, καί μακαρίαν εύρατε, θεομακάριστοι απόλαυσιν.

Οι τάς τού εχθρού μεθοδείας, ασκητικώς καταβαλόντες, οι τών μοναζόντων φωστήρες, καλών ιδέαις καταστραπτόμενοι, πρός ουρανούς εχώρησαν, κατατρυφώντες τής Θεώσεως.

Υμών διεδέξατο πόνους, καί τούς ιδρώτας ευφροσύνη, πέρας ουδαμώς κεκτημένη, εν ή τρυφώντες Συμεών Όσιε, καί Ιωάννη ένδοξε, ημών απαύστως μνημονεύετε.

Θεοτοκίον

Σώσόν με τόν πάντων Τεκούσα, καί λυτρωτήν καί ευεργέτην, λύσον τής ψυχής μου τά νέφη, κυρία πάντων Αγία Δέσποινα, καί δυνατόν απέργασαι, κατά παθών τών πολεμούντων με.

Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλόνομεν».

## Εξαποστειλάριον

Ο ουρανόν τοίς άστροις

Μίαν ψυχήν Πατέρες, σώμασι φέροντες δυσί, καί σκοπόν είχετε ένα, εν διαφόροις τοίς τρόποις, ώ Συμεών Ιωάννη, διό υμάς ευφημούμεν.

Θεοτοκίον

Ο γλυκασμός τών Αγγέλων, τών θλιβομένων η χαρά, Χριστιανών η προστάτις, παρθένε Μήτηρ Κυρίου, αντιλαβού μου καί ρύσαι, τών αιωνίων βασάνων.

Καί η λοιτή Ακολουθία τού Όρθρου, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΒ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής Αγίας Μυροφόρου καί Ισαποστόλου Μαρίας τής Μαγδαληνής.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'
Πανεύφημοι μάρτυρες

Μύρα προσεκόμισας Χριστώ, τεθειμένω μνήματι, καί τοίς νεκροίς την ανάστασιν, πάσιν εμπνέοντι, καί ιδούσα τούτον, πρώτη προσεκύνησας, Μαρία θεοφόρε δακρύουσα, Διό ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Σταυρώ καθηλούμενον Χριστόν, καθορώσα έκλαιες, Μαγδαληνή καί εκραύγαζες, Τί τό ορώμενον, η ζωή πώς θνήσκει, καί η κτίσις βλέπουσα κλονείται, καί φωστήρες σκοτίζονται; Διό ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Επλήσθης συνέσεως πολλής, αληθούς τε γνώσεως, εν τώ συνείναι τώ κτίσαντι, Μαρία ένδοξε, καί αυτού τά πάθη, καί τήν συγκατάβασιν, εκήρυξας λαοίς παναοίδιμε, Διό ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Δόξα... Ήχος πλ. β'
Ανατολίου

Πρώτη Κατιδούσα τήν θείαν Ανάστασιν, Μαρία η Μαγδαληνή, τού πρώτου τών αγαθών αιτίου, τού τήν ημετέραν ευσπλάγχνως φύσιν Θεώσαντος, πρώτη καί ευαγγελίστρια εδείχθης, βοώσα τοίς Αποστόλοις, Τήν αθυμίαν αποθέμενοι, τήν ευθυμίαν αναλάβετε, καί δεύτε κατοπτεύσατε Χριστόν εξαναστάντα, καί κόσμω παρέχοντα τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Ουδείς προστρέχων επί σοί, κατησχυμμένος από σού εκπορεύεται, αγνή Παρθένε Θεοτόκε, αλλ' αιτείται τήν χάριν, καί λαμβάνει τό δώρημα, πρός τό συμφέρον τής αιτήσεως.

Η Σταυροθεοτοκίον
Τριήμερος ανέστης Χριστέ

Η πάναγνος ως ειδέ σε, επί Σταυρού κρεμάμενον, θρηνωδούσα, ανεβόα μητρικώς, Υιέ μου καί Θεέ μου, γλυκύτατόν μου τέκνον, πώς φέρεις πάθος επονείδιστον;

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'
Ώ τού παραδόξου θαύματος

Χριστού φανέντος τοίς ίχνεσιν, ακολουθούσα σεμνή, καί αυτόν θεραπεύουσα, γνώμης προθυμότατα, Μυροφόρε ευθύτητι, ουδέ θανόντα τούτον κατέλιπες, αλλ' απελθούσα μύρα σύν δάκρυσι, τούτω προσήνεγκας, συμπαθώς πανεύφημε, όθεν τήν σήν, μνήμην τήν πανίερον, πανηγυρίζομεν.

Στίχ. Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών.

Σύ ώ Μαρία υπέρλαμπρε, βλέψαι ποθούσα ζωήν, νεκρωθείσαν εν μνήματι, νυκτός παραγέγονας, καί Αγγέλων ακήκοας, καθώς προέφη, Χριστός εγήγερται, Σπουδή τοίς τούτου, Μαθηταίς φάσκουσα, καί τήν κατήφειαν, εκ ψυχής απώσασα, αντί κλαυθμού, χαράν ανεκλάλητον, σεμνή ανείληφας.

Στίχ. Θαυμαστός ο Θεός εν τοίς αγίοις αυτού ο Θεός Ισραήλ αυτός δώσει δύναμιν καί κραραίωσιν τώ λαώ αυτού ευλογητός ο Θεός.

Σήμερον πιστοί γηθόμενοι, επί τή μνήμη τή σή, Μυροφόρε δοξάζομεν τόν σέ νύν δοξάζοντα, υπεράγαθον Κύριον, όν εκδυσώπει, απαύστως πάνσεμνε, αιωνιζούσης, δόξης τυχείν ημάς, καί τής λαμπρότητος, τών Αγίων έχουσα τήν πρός αυτόν, παρρησίαν πάντοτε, θεομακάριστε.

Δόξα... Ήχος πλ. δ'
Βύζαντος

Τώ εκουσίως πτωχεύσαντι τήν πτωχείαν τήν εμήν, υπερβολή ευσπλαγχνίας, Χριστώ τώ Θεώ, η Μαγδαληνή Μαρία, ως μαθήτρια πιστώς διακονήσασα, επί ξύλου ταθέντα, καί τάφω συγκλεισθέντα, κατιδούσα εβόα δακρυρροούσα, Τί τό ξένον θέαμα; ο νεκρούς ζωοποιών, πώς νεκρός λογίζεται; Ποία μύρα κομίσω, τώ απαλλάξαντί με δυσωδίας τών δαιμόνων; Ποία δάκρυα χέω, τώ δακρύων τήν εμήν μεταμφιάσαντι προμήτορα; Αλλ' ο τού σύμπαντος Άναξ, ως Παραδείσου φύλαξ φανείς, δροσισμώ τών αυτού ρημάτων τόν καύσωνα αφανίζει, λέξας πρός αυτήν, Τοίς αδελφοίς μου πορευθείσα, ευαγγέλια χαράς αναβόησον, Αναβαίνω πρός τόν Πατέρα μου, καί Πατέρα υμών, καί Θεόν μου καί Θεόν υμών, όπως παράσχω τώ κόσμω τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Τά ουράνια υμνεί σε, κεχαριτωμένη Μήτηρ ανύμφευτε, καί ημείς δοξολογούμεν, τήν ανεξιχνίαστόν σου γέννησιν, Θεοτόκε πρέσβευε σωθήναι τάς ψυχάς ημών.

Η Σταυροθεοτοκίον

Τί υμάς καλέσωμεν

Άρνα η αμνάς ως εώρακεν, επί ξύλου ηπλωμένον, εκουσίως σταυρικού, ανεβόα μητρικώς, οδυρομένη εν κλαυθμώ, Υιέ μου, τί τό ξένον τούτο θέαμα; ο πάσι, τήν ζωήν νέμων ως Κύριος, πώς θανατούσαι μακρόθυμε, βροτοίς παρέχων ανάστασιν, Δοξάζω σου, τήν πολλήν Θεέ μου συγκατάβασιν.

Απολυτίκιον Ήχος α'

Τόν τάφον σου Σωτήρ

Χριστώ τώ δι' ημάς, εκ Παρθένου τεχθέντι, Σεμνή Μανδαληνή, ηκολούθεις Μαρία, αυτού τά δικαιώματα, καί τούς νόμους φυλάττουσα, όθεν σήμερον, τήν παναγίαν σου μνήμην, εορτάζοντες, ανευφημούμέν σε πίστει, καί πόθω γεραίρομεν.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τής Αγίας ο παρών, ού η Ακροστιχίς.

Τήν Μαγδαληνήν Μαρίαν μέλπω πόθω.

Θεοφάνους.

Ωδή α' Ήχος πλ. δ'

Υγράν διοδεύσας

Ταίς θείαις εμπρέπουσα καλλοναίς, καί φωτοχυσίαις, λαμπομένη ταίς θεϊκαίς, τήν αμαυρωθείσάν μου καρδίαν, ταίς σαίς πρεσβείαις Μαρία καταύγασον.

Ηγίασέ σε Λόγος ο τού Πατρός, πνευμάτων κακίας, λυτρωσάμενος εμφανώς, ώ μαθητευθείσα χαρισμάτων, τού παναγίου πεπλήρωσαι Πνεύματος.

Ναμάτων πλησθείσα ζωοποιών, πηγής εξ αφθόνου, τού δι' οίκτον επί τής γής, φανέντος Δεσπότου αμαρτίας, τα θολερά απεξήρανας ρεύματα.

Θεοτοκίον

Μητέρα τού φύσει Δημιουργού, υμνούμέν σε Κόρη, καταλλάξασαν τώ Θεώ, προσκρούσασαν φύσιν τών ανθρώπων, Θεογεννήτορ πανάμωμε Δέσποινα.

Ωδή γ'

Ουρανίας αψίδος

Αγαπήσασα πρώτον, τών αγαθών αίτιον, τό τήν ημετέραν ευσπλάγχνως φύσιν Θεώσαντα, κατηκολούθησας, αυτώ προθύμως Μαρία, τοίς αυτού υπείκουσα, θείοις προστάγμασι.

Γεγηθυία τόν τάφον, τού Λυτρωτού έφθασας, πρώτη κατιδούσα θείαν Κόρη Ανάστασιν, εύαγτην γελίστρια, όθεν εδείχθης βοώσα, ο Χριστός εγήγερται, χείρας κροτήσατε.

Θεοτοκίον

Διασώζει με Λόγος, ο σαρκωθείς Πάναγνε, σού εκ των πανάγνων αιμάτων, πλούτω χρηστότητος, λύων απόφασιν, τής παλαιάς καταδίκης, όν απαύστως αίτησαι, σώσαι τήν ποίμνην σου.

Ο Ειρμός

«Ουρανίας αψίδος, οροφουργέ Κύριε, καί τής Εκκλησίας δομήτορ, σύ με στερέωσον, εν τή αγάπη τή σή, τών εφετών η ακρότης, τών πιστών τό στήριγμα, μόνε φιλάνθρωπε».

Κάθισμα  Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Τώ πτωχεύσαντι Λόγω υπερβολή, ευσπλαγχνίας Μαρία Μαγδαληνή, σαφώς ως μαθήτρια, αληθώς διηκόνησας, καθορώσα δέ τούτον, Σταυρώ αναρτώμενον, καί εν τάφω τεθέντα, εθρήνεις δακρύουσα, Όθεν σε τιμώμεν, καί τήν σήν εκτελούμεν, εν πίστει πανήγυριν, Μυροφόρε αοίδιμε, καί συμφώνως βοώμέν σοι, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Θεοτοκίον

Ως Παρθένον καί μόνην εν γυναιξί, σέ ασπόρως τεκούσαν Θεόν σαρκί, πάσαι μακαρίζομεν, γενεαί τών ανθρώπων, τό γάρ πύρ εσκήνωσεν, εν σοί τής θεότητος, καί ως βρέφος θηλάζεις, τόν Κτίστην καί Κύριον, όθεν τών Αγγέλων, καί ανθρώπων τό γένος, αξίως δοξάζουσι, τό πανάγιον τόκον σου, καί συμφώνως βοώμέν σοι, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς Προσκυνούσιν αξίως, τόν τόκον σου Άχραντε.

Η Σταυροθεοτοκίον

Εν Σταυρώ καθορώσά σε Ιησού, η Παρθένος καί Μήτηρ σου εν κλαυθμώ, εβόα δακρύουσα, Οίμοι! Τέκνον γλυκύτατον, πώς σε επί ξύλου, αδίκως ανήρτησαν, τών Εβραίων παίδες, οι όντως αχάριστοι! Όμως ως οικτίρμων, ταύτα πάσχεις Υιέ μου, Θεέ ανεξίκακε, πολυέλεε Κύριε, τή σαρκί ως ηυδόκησας, ίνα σου τό πλάσμα δεινής, εκ δουλείας ρύση τού αλάστορος, Διό υμνώ σου τήν άκραν, Λόγε συγκατάβασιν.

Ωδή δ'

Εισακήκοα Κύριε

Ανενόχλητον φέρουσα, κόσμου ματαιότητος τήν διάνοιαν, τώ ελθόντι κόσμον άπαντα, διασώσαι πλάνας διηκόνησας.

Λελουμένη τοίς δάκρυσι, τάφον τής ζωής προφθάσασα Άγγελον, εθεάσω καταγγέλλοντα, τού Χριστού Μαρία τήν Ανάστασιν.

Η καρδία σου άμωμος, εν τοίς διΚαιώμασι Χριστού γέγονε, καί αυτόν μόνον επόθησας, τόν ωραίον κάλλει Αξιάγαστε.

Θεοτοκίον

Νυσταγμώ αμελείας με, ύπνος αμαρτίας Κόρη υπέλαβε, τή αγρύπνω ικεσία σου, διανάστησόν με προς μετάνοιαν.

Ωδή ε'

Ίνα τί με απώσω

Η προμήτωρ τόν ταύτην, λόγοις δελεάσαντα καί εξοικίσαντα, Παραδείσου πάλαι, καθορώσα ποσί συμπατούμενον, ιερών γυναίων, γνώμην ανδρείαν κεκτημένων, σύν αυταίς αιωνίως αγάλλεται.

Νεκρωθέντι καί τάφω, επανακλιθέντι τώ πάσι ζωήν εμπνέοντι, τετρωμένη πόθω, τής γλυκείας αυτού αγαπήσεως, προσκομίζεις μύρα, Μαγδαληνή σεμνή Μαρία, καί δακρύων προχέεις αρώματα.

Μετά Πάθος τό θείον, μετά τήν φρικτήν τού Σωτήρος Ανάστασιν, διαθέεις λόγον, πανταχού τόν σεπτόν διαγγέλλουσα, καί πολλούς ζωγρούσα, απατηθέντας αγνωσία, ως τού Λόγου Μαθήτρια ένδοξε.

Θεοτοκίον

Ανορθεί με πεσόντα, πρός τής αμαρτίας πολύπλοκα βάραθρα, ο εκ σού τεχθήναι, ευδοκήσας δι' άμετρον έλεος, Παναγία Κόρη, όν εκδυσώπει πάσης βλάβης, λυτρωθήναι τούς πίστει υμνούντάς σε.

Ωδή ς'

Ιλάσθητί μοι Σωτήρ

Ρημάτων σου δροσισμώ, τής αθυμίας τόν καύσωνα, εξήρας τών Μαθητών, Σεμνή ως εβόησας, ο Χριστός εγήγερται, η ζωή εφάνη, ο φαιδρός ήστραψεν ήλιος.

Ιδού σου η φωταυγής, Μαρία, μνήμη εξέλαμψε, φωτίζουσα τούς πιστώς, εν ταύτη υμνούντάς σε, καί σκότος διώκουσα, πονηρών δαιμόνων, επηρείας αξιάγαστε.

Θεοτοκίον

Αγίασμα νοητόν, καί άψαυστον ιλαστήριον, λυχνία φωτοειδής, ωράθης καί γέφυρα, πρός Θεόν μετάγουσα, τούς υμνολογούντας, Θεοτόκον σε πανάμωμε.

Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

Κοντάκιον  Ήχος δ'

Ο υψωθείς

Ο υπερούσιος Θεός εν τώ κόσμω, μετά σαρκός επιφοιτών Μυροφόρε, σέ αληθή Μαθήτριαν προσήκατο, όλην σου τήν έφεσιν, πρός αυτόν κεκτημένην, όθεν καί ιάματα, απετέλεσας πλείστα, καί μεταστάσα νύν εν ουρανοίς, υπέρ τού κόσμου πρεσβεύεις εκάστοτε.

Ο Οίκος

Τό φώς τού κόσμου ο Χριστός, ανύστακτον ιδών σου, τής πίστεως τό όμμα, αγάπης τε τό φίλτρον τό αναπόσπαστον Σεμνή, πρώτη εμφανίζει εαυτόν σοι,

αναστάς εκ τού μνημείου, ώκιστα ελθούση μετά μύρων, καί προσιούση σύν δάκρυσι τώ απροσπελάστω, καί αυτός σοι αμειβόμενος, τήν τού Πνεύματος θείαν ενέργειαν δωρείται, καί τής πρός τόν άναρχον Πατέρα ανόδου εμφανίζει σοι βουλήν, καί πέμπει δέ σε, θεία ευαγγέλια τοίς κατεπτηχόσι Μύσταις τής αυτού εγέρσεως απαγγείλαι, Διό μεγίστην πρός αυτόν έχουσα παρρησίαν, υπέρ τού κόσμου πρεσβεύεις εκάστοτε.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΒ' τού αυτού μηνός, Μνήμη τής Αγίας Μυροφόρου καί Ισαποστόλου Μαρίας τής Μαγδαληνής.

Στίχοι

- Αφαίς αϋλοις άπτεταί σου, Χριστέ μου,
- Μή μου, πρός ήν έφησας, άπτου, Μαρία.
- Δευτερίη Μαρίη μύσεν εικάδι Μαγδαληνή.

Τή αυτη ημέρα, Μνήμη τής αγίας οσιομάρτυρος Μαρκέλλης.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Παίδες Εβραίων

Νόσους εδίωξας ποικίλας, συνεργούντά σοι, τόν Λόγον κεκτημένη, ώ παρίστασαι νύν, βοώσα Μυροφόρε, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Μόνη κατείδες πρό τών άλλων, τήν ζωήν ημών, Χριστόν εγηγερμένον, κηπουρόν δέ αυτόν, υπέλαβες βοώσα, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Θεοτοκίον

Έστησας ρύμην τού θανάτου, τόν αθάνατον Θεόν ως συλλαβούσα, καί τεκούσα Αγνή, ώ πάντες μελωδούμεν, Ευλογημένος Πάναγνε, ο καρπός τής σής κοιλίας.

Ωδή η'

Επταπλασίως κάμινον

Λαμπροφανής ο βίος σου, ταίς αυγαίς αστραπτόμενος, ώ Μαγδαληνή, τών εναρέτων πράξεων, τού θείου κηρύγματος, τής πρός τό θείον νεύσεως, καί μαρμαρυγαίς, τής πρός τόν Κτίστην αγάπης, ώ μέλπεις σύν Αγγέλοις, Ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Πρός τώ Σταυρώ παρίστασαι, καθορώσα τήν άδικον, ένδοξε σφαγήν τού εαυτόν κενώσαντος, δι' άφατον έλεος, καί στεναγμοίς καί δάκρυσι, περιαντλουμένη, Τί τό ξένον εβόας, Μαρία τούτο θαύμα; πώς νεκρούται καί θνήσκει, ο θάνατος νεκρώσας, ζωή υπάρχων φύσει;

Θεοτοκίον

Ως τού Θεού μητέρα σε, ομοφρόνως δοξάζομεν, καί τών ποιημάτων, υπερτέραν Πάναγνε, εν σοί γάρ κατάκριμα, τό εξ Αδάμ ηφάνισται, καί η απωσθείσα, ωκειώθη ανθρώπων, ουσία μελωδούσα, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Επλαπλασίως κάμινον, τών Χαλδαίων ο Τύραννος, τοίς θεοσεβέσιν εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, τώ Δημιουργώ, καί Λυτρωτή ανεβόα, Οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ'

Εξέστη επί τούτω

Πρός θείαν μετετέθης νύν χαρμονήν, Παραδείσου πρός πλάτος ευρύχωρον, πρός νοητάς, καί υπερκοσμίους διαμονάς, όπου οσίων τάγματα, ήχος ένθα πέφυκε καθαρός, λαμπρώς εορταζόντων, Μαρία Μυροφόρε, διό σε πάντες μακαρίζομεν.

Ουδέν προετιμήσω τών επί γής, τής Χριστού τού Θεού αγαπήσεως, αλλά αυτού, μόνου τετρωμένη ταίς καλοναίς, καί ταίς αμέσως Πάνσεμνε, επιπεμπομέναις μαρμαρυγαίς, τοίς, ίχνεσι τοίς τούτου, εβόας επομένη, Σέ μεγαλύνω πολυέλεε.

Θεώσεως τυχούσα θεοποιού, καί χειμάρρουν τρυφώσα τής χάριτος, καί αμοιβάς, πόνων δεχομένη θεαρχικώς, καί Αποστόλων τάγμασι, συναριθμουμένη Μαγδαληνή, μαθήτρια τού Λόγου, τούς πόθω σε τιμώντας, σαίς ικεσίαις διαφύλαττε.

Θεοτοκίον

Ως μήτηρ τού παθόντος υπέρ ημών, ψυχοφθόρων παθών με διάσωσον, ως συμπαθής, λύσον τών πταισμάτων μου τάς σειράς, ως αγαθή αγάθυνον, νύν κεκαμωμένην μου τήν ψυχήν, δαιμόνων επηρείαις, Παρθένε Θεοτόκε, ίνα υμνώ σε τήν πανάμωμον.

Ο Ειρμός

«Εξέστη επί τούτω ο ουρανός, καί τής γής κατεπλαγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι μεγαλύνουσι».

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Μαρία κυριώνυμε, καί τού Χριστού Μαθήτρια, σύν ταίς λοιπαίς Μυροφόροις, καί τή Παρθένω Μαρία, καί μόνη θεομήτορι, απαύστως καθικέτευε, τόν σταυρωθέντα Κύριον, υπέρ ημών Μυροφόρε, τών σέ τιμώντων εκ πόθου.

Καί η λοιπή Ακολουθία τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΓ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Ιερομαρτυρος Φωκά.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'
Τών ουρανίων ταγμάτων

Αθλητικών εξ αιμάτων, κρατήρα πλήσας πιστοίς, ιάσεις επαρδεύει, καί τάς νόσους ελαύνει, Φωκάς ο χριστομαρτυς, εν υψηλώ, μαρτυρίας κηρύγματι, πάντα καλών, οι διψώντες δεύτε πιστώς, ποταμούς χαρίτων δρέψασθε.

Τής αθεϊας τήν πλάνην, θεία ενστάσει σου, πολυθεϊας ζάλην, τής Τριάδος δυνάμει, Φωκά μάρτυς εκτρέψας, ξίφους ακμήν, τού πυρός τε τήν έκκαυσιν, καί νιφετούς τών βασάνων βέλη σαφώς, ως νηπίων εκαρτέρησας.

Τού ζωοδότου σύ κήρυξ, Θεού γενόμενος, τυράννων καθαιρέτης, Αθλητά ανεδείχθης, καί θείος αθλοφόρος, όθεν ζωήν, τώ αθανάτω πιστούμενος, πρός τήν ανέσπερον έβης μαρμαρυγήν, τού Θεού Φωκά μακάριε.

Δόξα... Ήχος δ'

Εκ βρέφους εγένου τού Κυρίου εραστής, Φωκά παμμακάριστε, Ιερομάρτυς σοφέ, τό γάρ όπλον τού Σταυρού επ' ώμων αράμενος, ακλινώς επορεύθης τήν οδόν τής αληθείας, δι' ής τών Αγγέλων υφέστιος γέγονας, δαιμόνων αντίπαλος, καί τού κόσμου πρεσβευτής, ώφθης διαπρύσιος.

Καί νύν... Θεοτοκίον

Εκ παντοίων κινδύνων τούς δούλους σου φύλαττε, ευλογημένη Θεοτόκε, ίνα σε δοξάζωμεν, τήν ελπίδα τών ψυχών ημών.

Η Σταυροθεοτοκίον
Ως γενναίον εν Μάρτυσιν

Ως εώρακε Κύριε, η Παρθένος καί Μήτηρ σου, εν Σταυρώ κρεμάμενον, εξεπλήττετο, καί ατενίζουσα έλεγε, Τί σοι ανταπέδωκαν, οι πολλών σου δωρεών, απολαύσαντες Δέσποτα; Αλλά δέομαι, Μή με μόνην εάσης εν τώ κόσμω, αλλά σπεύσον αναστήναι, συνανιστών τούς προπάτορας.

Απολυτίκιον Ήχος δ'

Καί τρόπων μέτοχος, καί θρόνων διάδοχος, τών Αποστόλων γενόμενος, τήν πράξιν εύρες θεόπνευστε, εις θεωρίας επίβασιν, διά τούτο τόν λόγον τής αληθείας ορθοτομών, καί τή πίστει ενήθλησας μέχρις αίματος, Ιερομάρτυς Φωκά, Πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τού Αγίου ο

παρών, ού η Ακροστιχίς (άνευ τών Θεοτοκίων).

Φωκάς ο Φωστήρ πάσιν εκλάμπει χάριν.

Ωδή α'  Ήχος δ'
Θαλάσσης, τό ερυθραίον

Φωτός σε, τής θεϊκής κατηύγασαν ακτίνες, Ένδοξε, υπερφυούς προνοίας εξ αυτών, τών ωδίνων μακάριε, διό φωστήρ υπέρλαμπρος, Φωκά εδείχθης εν τοίς πέρασιν.

Ως φοίνιξ, υψιτενής ανέδραμες, εκ βρέφους ένδοξε, τών αρετών εις ύψος νοητόν, καί καρπούς τούς τών άθλων σου, πληθύνας κατεγλύξανας, πάντας μεθέξει τών θαυμάτων σου.

Καθείλες, τά τών βωμών ιδρύματα, τής αθεότητος, τή μηχανή τών λόγων σου Σοφέ, καί Χριστού διετήρησας, τήν Εκκλησίαν άσειστον, κατοχυρώσας τοίς διδάγμασιν.

Αφ' ύψους, τής απονοίας έρριψας, νούν υπερήφανον, εν τή απλή τών λόγων καθελών, τούτον χάριτι Όσιε, καί κατ' αυτού τά τρόπαια, αθλητικαίς νίκαις κεκλήρωσαι.

Θεοτοκίον

Γεννήτωρ, εν Παραδείσω γέγονε, φθόνος θανάτου βροτοίς, όν γεννηθείς Πανάχραντε εκ σού, ο Υιός τού Θεού καί Πατρός, μετ ήχου εξηφάνισεν, αθανασίαν δούς τώ γένει ημών.

Ωδή γ'
Ευφραίνεται επί σοί

Συνήρμοσας τών πιστών, τήν συμφωνίαν εις Χριστού αίνεσιν, καί αθεϊας φωνάς, Μάρτυς τή ενστάσει συνέχεας.

Ο πόθος σε τού Θεού, τών από γής πρός ουρανόν είλκυσε, καί νοεραίς τάξεσιν, εν σαρκί αθλούντα ηρίθμησεν.

Φωτίσας ταίς αστραπαίς, τών σών θαυμάτων τούς πιστούς, έσβεσας, τής αθεϊας πυρσούς, εν τοίς όμβροις Μάκαρ τών λόγων σου.

Ως χρώμασι φαεινοίς, ιερωσύνης τήν στολήν έβαψας, αθλητικοίς αίμασι, καί Χριστώ φωτί ιερούργησας.

Θεοτοκίον

Ερράγη τό τής αράς, ημών μεσότοιχον αγνή Δέσποινα, τώ υπέρ νούν τόκω σου, καί τή θεία φύσει συνήφθημεν.

Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ, κράζουσα, Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

Κάθισμα  Ήχος δ'
Ταχύ προκατάλαβε

Θυσίαν αναίμακτον, Χριστώ προσφέρων Φωκά, θυσίαν προσήνεγκας, σαυτόν δι' αίματος, Ιεράρχα θεόληπτε, όθεν εν ευφροσύνη, αυλιζόμενος Πάτερ, μνήσθητι τών εν πίστει, εκτελούντων τήν θείαν, καί εύσημον ημέραν τής σής αθλήσεως.

Θεοτοκίον

Η μόνη κυήσασα, τόν Ποιητήν τού παντός, η μόνη κοσμήσασα, τήν ανθρωπότητα, τώ τόκω σου Πάναγνε, ρύσαί με τών παγίδων, τού δολίου Βελίαρ, στήσόν με επί πέτραν, τών Χριστού θελημάτων, αυτόν εκδυσωπούσα αεί, όν εσωμάτωσας.

Η Σταυροθεοτοκίον

Υψούμενος ύψωσας, τούς πεπτωκότας ποτέ, εμέ δέ κατέβαλες, τή ανυψώσει τή σή, Ώ φώς τών ομμάτων μου, δέχου Υιέ τό πάθος, δι' ημάς εκουσίως, Φέρε Σταυρόν τούς Ήλους, καί τόν Σπόγγον τήν Λόγχην, δι' ών τής απαθείας χάριν εβράβευσας.

Ωδή δ'
Επαρθέντα σε ιδούσα

Σύ σαλεύουσαν πελάγει τής ασεβείας, τήν Εκκλησίαν είλκυσας, Φωκά εις λιμένας, τούς τής ευσεβείας Χριστού, απαύστως κραυγάζουσαν, Δόξα τή δυνάμει σου Κύριε.

Τό γεώδες εκτινάξας ζωής σαρκώδους, καί βιοτεύων ένδοξε, εν σαρκί πορείαν, άϋλον διήνυσας, Φωκά, όθεν χάριτι, άγγελος εν σώματι πέφυκας.

Η ακένωτος πηγή σε τού Παρακλήτου, τών νοητών επλήρωσε, καί θείων θαυμάτων, Ιεράρχα ένδοξε, καί πάσι προτέθεικε, ποταμόν χαρίτων αείρυτον.

Θεοτοκίον

Ως παράδοξα καί άρρητα Θεοτόκε, τά τού καινού σου τόκου, αληθώς υπάρχει, ξένα καί παράδοξα, εν οίς η διάνοια, καί ο νούς ηττάται πανάχραντε.

Ωδή ε'
Σύ Κύριέ μου φώς

Πορθήσας τά εχθρού, ώ Φωκά όχυρώματα, δυνάμει τή τών θαυμάτων, τούς ρυσθέντας Κυρίω, ως σκύλα προσενήνοχας.

Αντώθησας Σοφέ, κατά σού τά πεμπόμενα, τοξεύματα εις καρδίας, τών βαλλόντων, αυτός δέ, εσώθης απαράτρωτος.

Συνέθλασας Φωκά, κεφαλήν τήν τού δράκοντος, πατήσας τούτον γενναίως, τή ενθέω δυνάμει, τής στερράς σου αθλήσεως.

Θεοτοκίον

Ρανάτω ουρανός, ευφροσύνην καί χάριν εν γή, ανέδωκε νύν γάρ αύτη,

ευφροσύνην εις ύψος, τήν μόνην Θεομήτορα.

### Ωδή ς'

### Θύσω σοι, μετά φωνής

Ιλύος, καί βυθού αθεότητος Ένδοξε, τήν σήν ανείλκυσας ποίμνην, ήν αποκαθάρας, υιοθεσίας, τώ ύδατι, πρός το φώς το τής χάριτος ύψωσας.

Νέφεσιν, ο τιθείς εαυτού τήν επίβασιν, αεροδρόμω πορεία, σέ Φωκά εδόξασε τού προφθάνειν, τούς αιτούντας, εν κινδύνοις θαλάσσης καί θλίψεως.

Έλυσας, συμπλοκάς τάς τού ψεύδους καί έδησας, ματαιορρήμονας γλώσσας, τοίς τής αληθείας δεσμοίς θεόφρον, καί εν κόσμω, τόν τής πίστεως λόγον εκήρυξας.

### Θεοτοκίον

Ενώσεως, ακηράτου καρπόν ανεβλάστησας, Θεοκυήτορ τώ Κόσμω, αειζώου πρόξενον αφθαρσίας, δεικνυμένης, τοίς εν πίστει καί πόθω τιμώσί σε.

### Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

### Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΓ' τού αυτού μηνός, Μνήμη τού Αγίου Ιερομάρτυρος Φωκά.

### Στίχοι

- Φώς Κυρίου, ένδοξε Φωκά, φωτίσαν,
- Σήν καρδίαν, έδειξε φωτός δοχείον.
- Εικάδι τή τριτάτη Φωκά νεκρός αμφεκομίσθη.

Μνήμη τής Οσίας Άννης, τής εν τώ Λευκαδίω ή Λευκάτη.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου Προφήτου, Ιεζεκιήλ.

### Στίχοι

- Ιεζεκιήλ εβράϊζε κάν πόλω,
- Αδωναϊ βλέπω σε, φάσκων Κυρίω.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων Μαρτύρων Απολιναρίου καί Βιταλίου, Επισκόπων Ραβέννης, καί Απολλωνίου Ρώμης, καί τών εν Καρχηδόνι επτά Μαρτύρων, καί Ανάμνησις τών εν Βουλγαρία τελειωθέντων Χριστιανών επί Νικηφόρου τού Βασιλέως.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

### Ωδή ζ'

### Εν τή καμίνω Αβραμιαίοι

Καθηλωθέντα, τώ τού Χριστού σε πόθω Μάρτυς σοφέ, πλήθη φοβερών

βασάνων καί απειλών, ου κατέσεισαν ουχ είλκυσαν, εκ γενναιότητος, τής πρός αυτόν συναφείας καί σχέσεως.

Λύτρον τώ δόντι, υπέρ ημών τό αίμα τό εαυτού, αίμα τό οικείον Μάρτυς ως προσφοράν, αντιδέδωκας καί έψαλλες, Ευλογητός εί ο Θεός μου κραυγάζων καί Κύριος.

Αποβαλόντα, δι' αρετής τό βάρος τό γεηρόν, θείοι τού Χριστού σε, Άγγελοι Αθλητά, δι' αέρος μετεκόμιζον, αυτού προστάγματι, ως τό πρίν Αββακούμ συνιπτάμενον.

Θεοτοκίον

Άγγελοι είδον, Θεογεννήτορ ξένα τώ τόκω σου, φύσιν τήν φθαρτήν τού γένους τού χοϊκού, πρός ακήρατον καί άφθαρτον, παλινδρομήσασαν, κατοικίαν καί δόξαν ουράνιον.

## Ωδή η'

### Χείρας εκπετάσας Δανιήλ

Πύρ απαύστως έχων εν ψυχή, τό τής αγάπης Χριστού, Φωκά μακάριε, τόν δρόμον άσχετον ήνυσας, πρός αυτόν τόν δι' αθλήσεως δι' ής τυχών τού εφετού, σύν Ασωμάτοις βοάς, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Έρρει τών Ελλήνων τά σαθρά, πλάνης σεβάσματα, καί σεσιγήκασι, τής ματαιότητος άπασαι, αι διπλόαι καί τό ψεύδος αυτών, ηλέγχθη γνώσει αληθεί, τών αθλοφόρων Χριστού, κηρυττόντων, είναι σοφίαν Θεού ενυπόστατον.

Ισχύν απροσμάχητον Φωκά, περιζωσάμενος, Αγίου Πνεύματος, ακαταγώνιστον ένστασιν, καί άν δρείαν απερίτρεπτον, προπολεμών υπέρ τής σής, ποίμνης ενδέδειξαι, καί νικήσας, σύν τοίς Αγγέλοις υμνείς τόν τών όλων Θεόν.

Χάριν θείαν άφθονον Χριστός, σοί εδωρήσατο, Φωκά αοίδιμε, τοίς εξαιτούσί σε άπασι, καταλλήλως παρεχόμενον, τάς τών θαυμάτων δωρεάς, απαύστως κράζουσιν, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Θεοτοκίον

Ο φύσει απρόσιτος παντί, Υιός καί Λόγος Θεού, εν σοί σκηνώσας Αγνή, καί ενδυσάμενος άχραντε, τό ημέτερον ως εύσπλαγχνος, ώφθη ευπρόσιτος σαρκί, καί ανεστράφη ημίν, διά τούτο, πόθω πολλώ σε υμνώ καί τιμώ καίαινω.

Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

## Ωδή θ'

### Λίθος αχειρότμητος όρους

Άρμα ως πυρίμορφον έχων, τάς φωτοφόρους αρετάς σου, καί τήν τών αγώνων διφρείαν, πρός ουρανίους ανέπτης Όσιε, μονάς εν αίς κατέπαυσας, σύν Ασωμάτοις αυλιζόμενος.

Ρύσει τής ενθέου σοφίας, καί πλημμυρήσει τή τών λόγων, έλυσας τού ψεύδους τήν ύλην, καί ευσεβούντων ψυχάς κατήρδευσας, καί καρποφόρους έδειξας, ενθέων έργων διά πίστεως.

Ίδες τήν υπέρφωτον αίγλην, τήν νοουμένην θεωρίαν, εν τή τών αγώνων σου πάλη, τού ποθουμένου αγωνοθέτου Χριστού, καί φθάσαι ταύτην έσπευσας, Μάρτυς τώ τέλει τών αθλήσεων.

Νύν ως τρανοτέρως τήν δόξαν, ενοπτριζόμενος τού Κτίστου, υπέρ τών εκ πόθου Φωκά σε, ανευφημούντων αυτός δυσώπησον, τού μετασχείν τής κρείττονος, τούτου καί δόξης καί λαμπρότητος.

Θεοτοκίον

Υμνώ σου τήν χάριν Παρθένε, καί μεγαλύνω σου τήν δόξαν, σύ γάρ φωτισμός τής ψυχής μου, υπάρχεις όντως καί η παράκλησις, τών σέ τιμώντων Δέσποινα, καί άνυμνούντων πάντων δούλων σου.

Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Καί η λοιπή Ακολουθία τού Όρθρου, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΔ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής Αγίας Μεγαλομάρτυρος Χριστίνης.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'

Έδωκας σημείωσιν

Θείαις επιγνώσεσι, τήν καθα ράν σου διάνοιαν, καταυγάσας ο Κύριος, αγνοίας λυτρούταί σε, βαθυτάτου σκότους, ήλιος υπάρχων, δικαιοσύνης αληθούς, Μάρτυς Χριστίνα θεομακάριστε, εντεύθεν τά σεβάσματα, τής πονηρίας συνέτριψας, καί Χριστού τά παθήματα, καρτερώς εξεικόνισας.

Πόνους καρτερήσασα, τούς τής σαρκός πρός τήν άπονον, μεταβέβηκας χαίρουσα, Χριστίνα απόλαυσιν, ένθα γενομένη, καθωραϊσμένη, οίά περ νύμφη εκλεκτή, τού Βασιλέως Χριστού πανεύφημε, τών πίστει τό μνημόσυνον, επιτελούντων σου μέμνησο, όπως εύρωμεν έλεος, καί δεινών

απολύτρωσιν.

Ώσπερ ωραϊσματα, τά τής σαρκός σου σπαράγματα, νυμφικώς περιστέλλουσα, πορφύραν εξ αίματος, λαμπρώς βεβαμμένην, Μάρτυς ενεδύσω, καί τώ νυμφίω σου Χριστώ, πεποικιλμένη θείαις λαμπρότησι, Χριστίνα νύν παρίστασαι, περιχαρώς τής Θεώσεως, απολαύουσα πάντοτε, σύν Παρθένοις καί Μάρτυσι.

Δόξα... Ήχος β'

Ανατολίου

Ως αλάβαστρον μύρου, τό αίμά σου προσενήνοχας, τώ σώ νυμφίω Χριστώ, Χριστίνα μάρτυς αθληφόρε αήττητε, αντάμειψιν δέ είληφας, στέφος άφθαρτον παρ' αυτού αξιάγαστε, όθεν τόν θανόντα τοίς δήγμασι τών ιοβόλων όφεων, τώ ρήματί σου ζώντα ήγειρας, τή επικλήσει τού παναγίου Πνεύματος, διό καί ουρανίων θαλάμων σε κατηξίωσεν, Ιησούς ο φιλάνθρωπος, καί Σωτήρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

Διάσωσον από κινδύνων τούς δούλους σου Θεοτόκε, ότι πάντες μετά Θεόν εις, σέ καταφεύγομεν, ως άρρηκτον τείχος καί προστασίαν.

Η Σταυροθεοτοκίον

Ότε, εκ τού ξύλου σε

Πόνους, υπομείνασα πολλούς, εν τή τού Υιού καί Θεού σου σταυρώσει άχραντε, έστενες δακρύουσα, καί ολολύζουσα, Οίμοι! τέκνον γλυκύτατον, αδίκως πώς πάσχεις, πάντας θέλων ρύσασθαι, τούς εξ Αδάμ γηγενείς; Όθεν, παναγία Παρθένε, σέ παρακαλούμεν εν πίστει, ίλεων ημίν τούτον απέργασαι.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος β'

Γεωργίου

Τή χριστωνύμω σου κλήσει, τήν πράξιν κατάλληλον έδειξας ως αληθής, τή παρθενική σου καθαρότητι, νυμφευθείσα τώ Χριστώ, ευδοκία τού Πατρός, καί συνεργεία τού Πνεύματος, μαρτυρίου δέ παλαίσμασιστερροίς, υπερήστραψας λαμπρότερον τών ηλιακών ακτίνων, Διό ως θυσία καθαρά καί άμωμος, τή ουρανίω προσηνέχθης τραπέζη, τών Παρθένων καί Μαρτύρων ταίς χορείαις εις αιώνας συνηδομένη, μεθ' ών αίτησαι χριστίνα φερώνυμε, δωρηθήναι τοίς τιμώσί σε, ειρήνην καί τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Ότε, εκ τού ξύλου σε

Χαίροις, ήν εώρακέ ποτε, πύλην κεκλεισμένην ο βλέπων, θείω εν Πνεύματι, μόνος ήν διώδευσε πάντων ο αίτιος, Χαίρε έξοχον άκουσμα, παράδοξον θαύμα, Χαίρε στάμνε πάγχρυσε, τό μάννα φέρουσα, Σκέπη, καί αντίληψις πάντων, τών Χριστιανών χαίρε μόνη, κραταιόν προσφύγιον τών δούλων σου.

Η Σταυροθεοτοκίον

Βότρυν, τόν παμπέπειρον αγνή, όν αγεωργήτως εν μήτρα εκυοφόρησας, ξύλω ως εώρακας, τούτον κρεμάμενον, θρηνωδούσα ώλόλυξες, καί έκραζες,

Τέκνον, γλεύκος εναπόσαξον, τό πάσαν μέθην Παθών, αίρον παντελώς ευεργέτα, δι' εμού τής σέ τετοκυίας, σού τήν ευσπλαγχνίαν ενδεικνύμενος.

Απολυτίκιον Ήχος δ'

Η αμνάς σου Ιησού, κράζει μεγάλη τή φωνή, Σέ Νυμφίε μου ποθώ, καί σέ ζητούσα αθλώ, καί συσταυρούμαι καί συνθάπτομαι τώ βαπτισμώ σου, καί πάσχω διά σέ, ως βασιλεύσω σύν σοί, καί θνήσκω υπέρ σού, ίνα καί ζήσω εν σοί, αλλ' ως θυσίαν άμωμον, προσδέχου τήν μετά πόθου τυθεί, σάν σοι, Αυτής πρεσβείαις, ως ελεήμων, σώσον τάς ψυχάς ημών.

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, οι Κανόνες τής Οκτωήχου, καί τής Αγίας ο παρών, ού η Ακροστιχίς.

Χριστού σε μέλπω τήν επώνυμον, Κόρη. Ιωσήφ.

Ωδή α' Ήχος πλ. δ'
Υγράν διοδεύσας

Χαίροις αθληφόρε πανευκλεής, η Μάρτυς οφθείσα, τού Σωτήρος ημών Χριστού, Χριστίνα καί πάσαν εκλιπούσα, πατρώαν πλάνην καί ασέβειαν.

Ραγέντα καί κείμενον πρό ποδών, Κόρης αθληφόρου, καθορώντες τόν δυσμενή, αίνον τώ Σωτήρι δώμεν πάντες, τώ νικηφόρον αυτήν αναδείξαντι.

Ιδείν τού νυμφίου τού καθαρού, κάλλος τό ωραίον, επεθύμησας καθαρώς, όθεν θείοις άθλοις Αθληφόρε, περιφανώς σεαυτήν καθωράϊσας.

Θεοτοκίον

Συνέλαβες Λόγον τόν τού Πατρός, σαρκί ενωθέντα, υπέρ λόγον Μήτερ αγνή, όν επιποθήσασα Χριστίνα, τού μαρτυρίου τό κλέος εκτήσατο.

Ωδή γ'
Σύ εί τό στερέωμα

Τείνασα τά όμματα, καί τήν διάνοιαν Ένδοξε, εις ουρανόν, διά τών κτισμάτων, τόν σόν Κτίστιν επέγνωκας.

Όλβον αναφαίρετον, τήν πρός τόν Κύριον έσχηκας, πίστιν Σεμνή, όθεν τήν πενίαν, τών ειδώλων κατέλιπες.

Ύμνον χαριστήριον, τώ ποιητή Χριστώ έμελπες, ξύλω δεινώς, Μάρτυς προσδεθείσα, και ξεσμούς υποφέρουσα.

Θεοτοκίον

Στήσόν μου τόν τάραχον, τών λογισμών αγνή Δέσποινα, παύσον ψυχής,

πάσαν αθυμίαν, τόν Χριστόν η κυήσασα.

Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πεύμά μου».

Κάθισμα Ήχος α'

Τόν τάφον σου Σωτήρ

Τό αίμά σου Σεμνή, ως αλάβαστρον μύρου, ενήνοχας Χριστώ, τώ νυμφίω σου πόθω, αντάμειψιν δέ είληφας, παρ' αυτού αξιάγαστε, στέφος άφθαρτον, καί ιαμάτων τήν χάριν, πάσαν φάλαγγα, αποσοβούσα δαιμόνων, δυνάμει τού Πνεύματος.

Θεοτοκίον

Ελπίς Χριστιανών, Παναγία Παρθένε, όν έτεκες Θεόν, υπέρ νούν τε καί λόγον, απαύστως ικέτευε, σύν ταίς άνω Δυνάμεσι, δούναι άφεσιν, αμαρτιών ημίν πάσι, καί διόρθωσιν, βίου τοίς πόθω καί πίστει, αεί σε δοξάζουσιν.

Η Σταυροθεοτοκίον

Η άσπιλος αμνάς, τόν αμνόν καί ποιμένα, κρεμάμενον νεκρόν, επί ξύλου ορώσα, θρηνούσα εφθέγγετο, μητρικώς ολολύζουσα, Πώς ενέγκω σου, τήν υπέρ λόγον Υιέ μου, συγκατάβασιν, καί τά εκούσια πάθη, Θεέ υπεράγαθε;

Ωδή δ'

Εισακήκοα Κύριε

Ενετρύφας ταίς μάστιξι, θείαις ηδομένη Μάρτυς χριστώνυμε, θεωρίαις τού νυμφίου σου, καί αυτού τώ κάλλει ατενίζουσα.

Μή ενέγκας τόν πόθον σου, τόν πρόν τόν Χριστόν Χριστίνα ο δείλαιος, σός πατήρ καί αθεώτατος, αικισμούς βασάνων επηπείλει σοι.

Εκολλήθην οπίσω σου, πόθω τετρωμένη σής αγαπήσεως, νικηφόρον με ανάδειξον, εν τώ πάσχειν Μάρτυς ανεκραύγαζες.

Λαμπρυνθέν σου τό πρόσωπον, ταίς καλλοποιαίς τών άθλων λαμπρότησι, ωραιότητα απέπεμπε, καί ενθέου δόξης αγαλλίασιν.

Θεοτοκίον

Προφητών σε ο ένδοξος, πάλαι Ησαϊας ράβδον ωνόμασεν, άνθος φέρουσαν τόν Κύριον, Θεοτόκε Μήτηρ αειπάρθενε.

Ωδή ε'

Ορθρίζοντες βοώμέν σοι Κύριε

Ως άγγελον εν σώματι Μάρτυς, γεγενημένην, ουράνιοι Άγγελοι, τροφή Αγγέλων σε έτρεφον.

Τήν πέτραν τής ζωής ουκ ηρνήσω, Χριστίνα, όθεν πέτρα σε προσδήσαντες, εχθροί τοίς ύδασιν έρριψαν.

Ηρπάγης πρός τό ύψος πετάσασα, ώσπερ, τρυγών, πτεροίς θείου Πνεύματος, καί πρός τόν Κτίστην κατέπαυσας.

Θεοτοκίον

Νεκρόν τή αμαρτία γενόμενον, ζωωσόν με, ζωήν αναμάρτητον, αγνή Παρθένε κυήσασα.

Ωδή ς'

Τήν δέησιν εκχεώ

Εθέλχθη σου καλλοναίς η Καρδία, γλυκυτάτου εραστού Αθληφόρε, καί εις οσμήν, τών αυτού παθημάτων, αναδραμούσα εκραύγαζες, Φλέγομαι τώ πόθω σου Παμβασιλεύ, καί αγάπη τή σή σφαγιάζομαι.

Πατέρα σε τόν ουράνιον Μάρτυς, ο γεννήτορ κατιδών αγαπώσαν, βαρβαρικήν, επεδείξατο γνώμην, καί πολυτρόπω κολάσει υπέβαλε, τούς όρους γάρ ο δυσσεβής, τής οικείας ηγνόησε φύσεως.

Ως κρίνον ταίς τών Μαρτύρων κοιλάσιν, ως ηδύπνοον εξήνθησας ρόδον, μυρεψικήν, αποστάζουσα χάριν, καί τών πιστών τάς καρδίας εμύρισας, Χριστώνυμε Μάρτυς σεμνή, τών Αγίων Αγγέλων συνόμιλε.

Θεοτοκίον

Νοήσαντες θεηγόροι Προφήται, μυστηρίου σου Παρθένε τό βάθος, προφητικώς, προκατήγγειλαν θείω, καταλαμπόμενοι πόρρωθεν Πνεύματι, Μητέρα σε παναληθή, τού Δεσπότου τών όλων γενήσεσθαι.

Ο Ειρμός

«Τήν δέησιν εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών η ψυχή μου επλήσθη, καί η ζωή μου τώ Άδη προσήγγισε, καί δέομαι ως Ιωνάς, Εκ φθοράς ο Θεός με ανάγαγε».

Κοντάκιον Ήχος δ'

Ο υψωθείς

Φωτοειδής περιστερα εγνωρίσθης, έχουσα πτέρυγας χρυσάς, καί πρός ύψος, τών ουρανών κατέπαυσας Χριστίνα σεμνή, όθεν σου τήν ένδοξον, εορτήν εκτελούμεν, πίστει προσκυνούντές σου, τών λειψάνων τήν θήκην, εξ ής πηγάζει πάσιν αληθώς, ίαμα θείον, ψυχής τε καί σώματος.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΔ' τού αυτού μηνός, Μνήμη τής Αγίας Μεγαλομάρτυρος Χριστίνης.

Στίχοι

- Τήν Χριστίναν ήνωσε Χριστώ νυμφίω,
- Νύμφην άμωμον, αίμα τού μαρτυρίου.
- Εικάδι βλήτο τετάρτη Χριστίνα οξέσι πέλταις.

Τή αυτή ημέρα, οι άγιοι Μάρτυρες Καπίτων, Υμέναιος καί Ερμογένης ξίφει τελειούνται.

Ταίς αυτών αγίαις πρεσβείαις ο Θεός, ελέησον ημάς. Αμήν.

### Ωδή ζ'

### Παίδες Εβραίων

Ύμνον τώ παντων ευεργέτη, τώ παφλάζοντι πυρί προσομιλούσα, ανεβόας τώ σήν δροσίζοντι καρδίαν, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Μόνου Θεού τυχείν ποθούσα, ουκ εφρόντισας μελών φλογιζομένων, ουκ ηρνήσω Χριστόν, Παρθένε μελωδούσα, Ευλογητός εί κυριε, ο Θεός εις τούς αιώνας.

Όμβροις αιμάτων σου τά ρείθρα, απεξήρανας τής ειδωλομανίας, επομβρίζεις δέ νύν, ιάσεων πελάγη, Παρθενομάρτυς παύουσα, τόν φλογμόν τών παθημάτων.

### Θεοτοκίον

Νόμους Παρθένε υπερβάσα, τούς τής φύσεως τή θεία σου συλλήψει, υπέρ φύσιν Θεόν, εκύησας βοώσα, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

### Ωδή η'

### Επταπλασίως κάμινον

Κυμαινομένην θάλασσαν, πειρασμών καί κολάσεων, θεία κυβερνήσει, αβλαβώς διέπλευσας, τόν όφιν βυθίσασα, τών σών αγώνων Μάρτυς βυθώ, όθεν Παραδείσου, τούς ακλύστους λιμένας, κατέλαβες βοώσα, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Όφιν δεινόν ενέκρωσας, ζωτικοίς αγωνίσμασι, καί τών προσευχών σου, επωδαίς ανήμερα, θηρία εκοίμισας, καί τής εκ τούτων βλάβης εκτός, έμεινας τώ Κτίστη μελωδούσα Χριστίνα, Οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ρήματι ζώντι ήγειρας, τόν θανέντα τοίς δήγμασι, Μάρτυς αθληφόρε, Ιοβόλων όφεων, Χριστός γάρ τόν θάνατον, καταπατήσας θεία ταφή, σού τών προσευχών, καθυπακουει Χριστίνα, πρός όν βοάς απαύστως, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αίωνας.

### Θεοτοκίον

Η κραταιά βοήθεια, τών πιστών, Αειπάρθενε, ρύσαί με τής πλάνης, τού δολίου δράκοντος, δεινώς πολεμούντός με, καί ταπεινώσαι σπεύδοντος, σύ γάρ απλανής, τών επί σοί πεποιθότων, υπάρχεις οδηγία, τών βοώντων απαύστως, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

### Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, τώ Δημιουργώ, καί Λυτρωτή ανεβόα, Οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ'

Κυρίως Θεοτόκον

Ιδείν κατηξιώθης, κατηγλαϊσμένη, καί μαρτυρίου στολαίς εξαστράπτουσα, τόν σόν νυμφίον, Χριστίνα Μάρτυς πολύαθλε.

Ωραίόν σου τό κάλλος, όπερ αγαπήσας, ο υπέρ άπαντας κάλλει ωραίος Χριστός, επουρανίων θαλάμων σέ κατηξίωσε.

Συνήφθης ασωμάτων, ένδοξε χορείαις, καί αθλητών ομηγύρει συντέταξαι, υπέρ ημών δυσωπούσα τόν Πανοικτίρμονα.

Ηλίου λαμπροτέρα, ώφθη σου ή μνήμη, μαρμαρυγαίς χαρισμάτων τού Πνεύματος, τούς σέ τιμώντας Χριστίνα καταφαιδρύνουσα.

Θεοτοκίον

Φιλάγαθε Παρθένε, τήν κεκακωμένην, ταίς αμαρτίαις ψυχήν μου αγάθυνον, καί αιωνίου φλογός με ρύσαι πρεσβείαις σου.

Ο Ειρμός

«Κυρίως Θεοτόκον, σέ ομολογούμεν, οι διά σού σεσωσμένοι Παρθένε αγνή, σύν ασωμάτοις χορείαις σέ μεγαλύνοντες».

Εξαποστειλάριον

Εν Πνεύματι τώ ιερώ

Ως εύχρηστον καί τίμιον, τού Δεσπότου σε σκεύος, Χριστίνα χρηματίσασαν, κατά χρέος Τιμώμεν, υπήρξας γάρ ως αληθώς, τών Μαρτύρων καύχημα, καί τών Παρθένων η δόξα, ιατήρ τε δαψιλής, ανεδείχθης πρός Θεού, τοίς βρέφεσι τοίς νηπίοις.

Θεοτοκίον

Γεραίρουσι τόν τόκον σου, Ασωμάτων αι τάξεις, χαράς γάρ τά επίγεια, σύ πεπλήρωκας μόνη, διό σε τήν πανάμωμον, οι πιστοί δοξάζομεν, εν ύμνοις δοξολογούντες, φώς γάρ σύ τοίς έν σκότει, εξανατέλλον ως όρθρος, ανέτειλας τής ημέρας.

Εις τούς Αίνους, ψάλλομεν Στιχηρά Ιδιόμελα δ'.

Ήχος δ'  Βυζαντίου

Δοξάζομέν σου Χριστέ, τήν πολλήν ευσπλαγχνίαν καί τήν αγαθότητα, τήν εις ημάς γενομένην, ότι καί γυναίκες κατήργησαν τήν πλάνην τής ειδωλομανίας, δυνάμει τού Σταυρού σου φιλάνθρωπε, Τύραννον ουκ επτοήθησαν, τόν δόλιον κατεπάτησαν, ίσχυσαν δέ οπίσω σου ελθείν, εις οσμήν μύρου σου έδραμον, πρεσβεύουσαι υπέρ τών ψυχών ημών.

Ο αυτός

Όλβον λιπούσα πατρικόν, Χριστόν δέ ποθούσαι ειλικρινώς, δόξαν εύρατο η Μάρτυς, καί πλούτον ουράνιον, καί τή παντευχία περιπεφραγμένη τής χάριτος, τώ όπλω τού Σταυρού κατεπάτησε τόν τύραννον, όθεν Άγγελοι τούς αγώνας θαυμάζοντες, έλεγον, Πέπτωκεν ο εχθρός, υπό γυναικός ηττηθείς,

στεφανίτις ανεδείχθη η Μάρτυς, καί Χριστός εις τούς αιώνας βασιλεύει ως Θεός, ο παρέχων τώ κόσμω τό μέγα έλεος.

Ο αυτός

Εθαυματούργησε Χριστέ, τού Σταυρού σου η δύναμις, ότι καί Χριστίνα η μάρτυς, αθλητικόν αγώνα ηγωνίσατο, όθεν τό ασθενές τής φύσεως απορριψαμένη, γενναίως αντέστη κατά τών τυράννων, Διό καί τά βραβεία τής νίκης κομισαμένη, πρεσβεύει υπέρ τών ψυχών ημών.

Ο αυτός

Σταυρόν ως όπλον κραταιόν, Χριστίνα Μάρτυς κατέχουσα χερσί, τήν πίστιν ως θώρακα, ελπίδα θυρεόν, αγάπην τόξον, τών τυράννων τάς τιμωρίας ενίκησας ανδρείως, τών δαιμόνων τάς Πανουργίας κατήργησας ενθέως, τήν κεφαλήν δέ τμηθείσα, χορεύεις εν Χριστώ, αδιαλείπτως πρεσβεύουσα υπέρ τών ψυχών ημών.

Δόξα... Ήχος πλ. α'

Τή παρθενική σου θελχείς ωραιότητι, ο Βασιλεύς τής δόξης Χριστός, ως αμώμητόν σε νύμφην εαυτώ ηρμόσατο, συναφεία ακηράτω, Εν γάρ τώ θελήματι αυτού, παρασχόμενος τώ κάλλει σου δύναμιν, κατ' εχθρών τε καί παθών αήττητον έδειξεν, εγκαρτερήσασαν δέ αικίαις πικραίς, καί βασάνοις δριμυτάταις, διπλώ στέφει δισσώς σε κατέστεψε, καί παρέστησεν εκ δεξιών αυτού, ως βασίλισσαν πεποικιλμένην, Αυτόν δυσώπησον, Παρθενομάρτυς Χριστώνυμε, τοίς υμνηταίς σου δοθήναι σωτηρίαν, καί ζωήν, καί μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καί δοξάζομέν σε οιπιστοί κατά χρέος, τήν πόλιν τήν άσειστον, τό τείχος τό άρρηκτον, τήν αρραγή προστασίαν, καί καταφυγήν τών ψυχών ημών.

Η Σταυροθεοτοκίον

Χαίροις ασκητικών

Λύτρον υπέρ ημών καί τιμήν, τό πανυπέρτιμον καί άχραντον αίμά σου, Χριστέ μου, ο πάντας θέλων, τής σωτηρίας τυχείν, κατεδέξω δούναι αναμάρτητε, Διόπερ ορώσά σε, προσηλωμένον η Μήτηρ σου, οδυρομένη, παρειάς κατεξαίνετο, Τέκνον, λέγουσα, ο αμνός ο πανάμωμος, κόσμον ο θέλων ρύσασθαι, τιμίω σου αίματι, εξ οφθαλμών μου πώς έδυς, Σώτερ ο άδυτος ήλιος; ο πάσι παρέχων, φωτισμόν καί τήν ειρήνην, καί μέγα έλεος.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος α'

Κυπριανού

Μετά τών άνω ταγμάτων συνηριθμήθης ένδοξε, κόσμον λιπούσα, καί τόν Χριστόν ποθήσασα, Χριστίνα πανεύφημε, αιτούσα ημίν τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Αμαρτωλών τάς δεήσεις προσδεχομένη, καί θλιβομένων στεναγμόν, μη παρορώσα, πρέσβευε τώ εξ αγνών λαγόνων σου, σωθήναι ημάς, Παναγία Παρθένε.

Η Σταυροθεοτοκίον

Πανεύφημοι Μάρτυρες

Ρομφαία διήλθεν, ώ Υιέ, η Παρθένος έλεγεν, επί τού ξύλου ως έβλεψε, Χριστόν κρεμάμενον, τήν εμήν καρδίαν, καί σπαράττει Δέσποτα, ως πάλαι Συμεών μοι προέφησεν, Αλλά ανάστηθι, καί συνδόξασον αθάνατε, τήν Μητέρα, καί δούλην σου δέομαι.

Καί η λοιπή, Ακολουθία, τού Όρθρου, ως σύνηθες, καί Απόλυσις.

Εις τήν Λειτουργίαν. Ζήτει Απόστολον καί Ευαγγέλιον τής Δ' Δεκεμβρίου.

---

Αρχή

## ΤΗ ΚΕ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής Κοιμήσεως τής Αγίας Άννης, Μητρός τής Υπεραγίας Θεοτόκου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τά επόμενα.

Ήχος α'
Τών ουρανίων ταγμάτων

Μνήμην τελούντες Δικαίων, τών Προπατόρων Χριστού, Ιωακείμ καί Άννης, τών φαιδρών καί αγίων, δοξάζομεν απαύστως, ωδαίς μυστικαίς, τόν οικτίρμονα Κύριον, τόν αναδείξαντα τούτους εις τήν ημών, σωτηρίαν ακλινείς πρεσβευτάς.

Η πρώην άγονος στείρα, η εκβλαστήσασα, τήν απαρχήν τού γένους, τής ημών σωτηρίας, σήμερον μετέστη πρός τήν ζωήν, τήν εκείθεν αιτούσα Χριστόν, τού δωρηθήναι πταισμάτων τόν ιλασμόν, τοίς εν πίστει ανυμνούσιν αυτόν.

Μνήμην Δικαίων τελούντες, σέ ανυμνούμεν Χριστέ, τόν παραδόξως Άνναν, εκ ζωής τής προσκαίρου, πρός άληκτον καί θείαν, μεταστήσαντα νύν, ως Μητέρα υπάρχουσαν, τής σέ τεκούσης ασπόρως υπερφυώς, Θεοτόκου καί Παρθένου Μητρός.

Έτερα προσόμοια

Ήχος ο αυτός
Ώ τού παραδόξου θαύματος

Ίδε φωταυγής πανήγυρις, καί φαιδρά ημέρα, καί κοσμοχαρμόσυνος, η κοίμησις η σεπτή καί αξιέπαινος, τής Άννης τής ευκλεούς, εξ ής ετέχθη Ζωήν η κυήσασα, η έμψυχος Κιβωτός, η τόν αχώρητον Λόγον χωρήσασα, η τής

αθυμίας λύσις, καί χαράς η πρόξενος, η παρέχουσα πάσι, τοίς πιστοίς τό μέγα έλεος.

Ω τού παραδόξου θαύματος! η ζωής τήν πηγήν, θαυμαστώς κυήσασα, τήν μόνην εν γυναιξίν, ευλογημένην Αγνήν, μεθίσταται εκ ζωής, τής επικήρου πρός τήν ατελεύτητον, η Άννα η ευκλεής, γήθεν αρθείσα πρός τά ουράνια, συνευφραινομένη δήμοις, τών Αγγέλων σήμερον, ήσπερ νύν τήν αγίαν, εορτάζομεν πανήγυριν.

Σήμερον φαιδράν πανήγυριν, τών πιστών χορείαι, τή σεπτή κοιμήσει σου, τελούμεν πανευλαβώς, εν θείω Πνεύματι, εφέστηκε γάρ ημίν, τών ιαμάτων αστράπτουσα χάριτας, καί φλέγουσα πονηρά, εν αερίων πνευμάτων συστήματα, καί φωταγωγούσα φρένας, τών πιστώς υμνούντων σου, αξιάγαστε, Άννα, τήν σεβάσμιον μετάστασιν.

Δόξα... Καί νύν... Ήχος πλ. δ'

Ανατολίου

Οι εξ ακάρπων λαγόνων, ράβδον αγίαν τήν Θεοτόκον βλαστήσαντες, εξ ής η σωτηρία τώ κόσμω ανέτειλε, Χριστός ο Θεός, τό ζεύγος τό άμωμον, η ξυνωρίς η αγία, Ιωακείμ καί Άννα, ούτοι μεταστάντες πρός ουρανίους σκηνάς, αυτών θυγατρί, υπερασύν τή χράντω Παρθένω, μετ' Αγγέλων χορεύουσιν, υπέρ τού κόσμου πρεσβείαν ποιούμενοι, ούς καί ημείς συνελθόντες, ευσεβώς υμνούντες λέγομεν, οι διά τής θεόπαιδος καί πανάγνου Μαρίας, προπάτορες Χριστού χρηματίσαντες, πρεσβευσατε υπέρ τών ψυχών ημών.

Είσοδος. Φώς ιλαρόν, τό Προκείμενον τής ημέρας, καί τά Αναγνώσματα.

Σοφίας Σολομώντος τό Ανάγνωσμα

(Κεφ. 5, 15-23 & 6, 1-3)

Δίκαιοι εις τόν αιώνα ζώσι, καί εν Κυρίω ο μισθός αυτών, καί η φροντίς αυτών παρά Υψίστω. Διά τούτο λήψονται τό βασίλειον τής ευπρεπείας, καί τό διάδημα τού κάλλους εκ χειρός Κυρίου, ότι τή δεξιά αυτού σκεπάσει αυτούς, καί τώ βραχίονι υπερασπιεί αυτών. Λήψεται πανοπλίαν, τόν ζήλον αυτού, καί οπλοποιήσει τήν κτίσιν εις άμυναν εχθρών. Ενδύσεται θώρακα, δικαιοσύνην, καί περιθήσεται κόρυθα, κρίσιν ανυπόκριτον. Λήψεται ασπίδα ακαταμάχητον, οσιότητα, οξυνεί δέ απότομον οργήν εις ρομφαίαν, συνεκπολεμήσει αυτώ ο κόσμος επί τούς παράφρονας. Πορεύσονται εύστοχοι βολίδες αστραπών, καί ως από ευκύκλου τόξου τών νεφών, επί σκοπόν αλούνται, καί εκ πετροβόλου θυμού πλήρεις ριφήσονται χάλαζαι. Αγανακτήσει κατ' αυτών ύδωρ θαλάσσης, ποταμοί δέ συγκλύσουσιν αποτόμως. Αντιστήσεται αυτοίς πνεύμα δυνάμεως καί λαίλαψ εκλικμήσει αυτούς, καί ερημώσει πάσαν τήν γήν ανομία, καί η κακοπραγία περιτρέψει θρόνους δυναστών. Ακούσατε ούν βασιλείς καί σύνετε, μάθετε δικασταί περάτων γής. Ενωτίσασθε οι κρατούντες πλήθους, καί γεγαυρωμένοι επί όχλοις εθνών. Ότι εδόθη παρά Κυρίου η κράτησις υμίν, καί η δυναστεία παρά Υψίστου.

Σοφίας Σολομώντος τό Ανάγνωσμα

(Κεφ. 3, 1-9)

Δικαίων ψυχαί εν χειρί Θεού, καί ου μή άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι, καί ελογίσθη κάκωσις η έξοδος αυτών, καί η αφ' ημών πορεία σύντριμμα, οι δέ εισιν εν ειρήνη. Καί γάρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Καί ολίγα παιδευθέντες, μεγάλα ευεργετηθήσονται, ότι ο Θεός επείρασεν αυτους, καί εύρεν αυτούς αξίους εαυτού. Ως χρυσόν εν χωνευτηρίω εδοκίμασεν, αυτούς, καί ως ολοκαρπωμα θυσίας προσεδέξατο αυτούς. Καί εν καιρώ επισκοπής αυτών αναλάμψουσι, καί ως σπινθήρες εν καλάμη διαδραμούνται. Κρινούσιν έθνη, καί κρατήσουσι λαών, καί βασιλεύσει αυτών Κύριος εις τούς αιώνας. Οι πεποιθότες επ' αυτόν συνήσουσιν αλήθειαν, καί οι πιστοί εν αγάπη προσμενούσιν αυτώ, ότι χάρις καί έλεος εν τοίς οσίοις αυτού, καί επισκοπή εν τοίς εκλεκτοίς αυτού.

Σοφίας Σολομώντος τό Ανάγνωσμα

(Κεφ. 4, 7-15)

Δίκαιος, εάν φθάση τελευτήσαι, εν αναπαύσει έσται. Γήρας γάρ τίμιον ού τό πολυχρόνιον, ουδέ αριθμώ ετών μεμέτρηται. Πολιά δέ εστι φρόνησις ανθρώποις, καί ηλικία γήρως βίος ακηλίδωτος. Ευάρεστος Θεώ γενόμενος, ηγαπήθη, καί ζών μεταξύ αμαρτωλών, μετετέθη. Ηρπάγη, μή κακία αλλάξη σύνεσιν αυτού, ή δόλος απατήση ψυχήν αυτού, βασκανία γάρ φαυλότητος αμαυροί τά καλά, καί ρεμβασμός επιθυμίας μεταλλεύει νούν άκακον. Τελειωθείς εν ολίγω, επλήρωσε χρόνους μακρούς, αρεστή γάρ ήν Κυρίω η ψυχή αυτού, διά τούτο έσπευσεν εκ μέσου πονηρίας. Οι δέ λαοί ιδόντες καί μή νοήσαντες, μηδέ θέντες επί διανοία τό τοιούτον, ότι χάρις καί έλεος εν τοίς οσίοις αυτού, καί επισκοπή εν τοίς εκλεκτοίς αυτού.

Εις τήν Λιτήν, Ιδιόμελα.

Ήχος α'

Τήν απαρχήν τής ημών σωτηρίας, φαιδρώς η γεννήσασα, σήμερον εκ γής μεθίσταται, Άννα η πανσεβάσμιος, Δεύτε ούν φιλέορτοι καί φιλόχριστοι, τά τών ασμάτων άνθη αναλαβόντες, πρός αυτήν ανακράξωμεν, Σώφρον Άννα, μακαρία η κοιλία σου, η τήν Μητέρα τού Θεού Λόγου βαστάσασα, καί οι μαστοί σου ωραίοι, οίς αυ εθήλασας, καί γάρ αύτη τετην κούσα ασπόρως τόν ζωοδότην, σύν αυτώ ηξίωται βασιλεύειν, καί σέ νύν μεταστήσας, πρός άληκτον καί θείαν ζωήν, τή Μητρί αυτού οικείν καί συναγάλλεσθαι κατηξίωσεν, Όθεν δυσωπούμέν σε, οι τελούντες τήν μνήμην σου Πιστώς, σύν αυτή πρεσβεύειν, τού σωθήναι τάς ψυχάς ημών.

Ήχος β'

Δεύτε φιλοπάρθενοι πάντες, καί τής αγνείας ερασταί, δεύτε εορτάσωμεν Άννης τήν σεβάσμιον κοίμησιν, καί γάρ έτεκεν υπερφυώς τήν πηγήν τής ζωής, Μαρίαν τήν θεόπαιδα, εξ ής ετέχθη ο Λυτρωτής, ο φωτίζων, καί αγιάζων τάς ψυχάς ημών.

Ο αυτός

Τίς ο δήμος τών συναθροισθέντων παραγίνεται, εν τώ πανσέπτω ναώ τών Προπατόρων ευλαβώς; συγχάρητε κραυγάζοντες, μερόπων γένος σήμερον, ότι η Άννα από γής μεθίσταται πρός Κύριον, αυτώ παρεστώσα, καί ημίν αιτούσα τού δοθήναι ιλασμόν, τοίς πίστει τελούσι ταύτης τήν κοίμησιν.

Ήχος δ'

Δεύτε άπαντες πιστοί, τήν τών Δικαίων μνήμην φαιδρώς εορτάσωμεν, Ιωακείμ καί Άννης τών Προπατόρων σήμερον, ότι έτεκον υμίν τήν Μητέρα τού Σωτήρος, Μαρίαν τήν αμώμητον, Όθεν πρός αυτούς ανακράξωμεν, Ζεύγος αγιόλεκτον, ξυνωρίς αγία καί Θεοτίμητε, τόν εκ τής οσφύος υμών ανατείλαντα Χριστον τόν Θεόν, αυτόν ικετεύσατε, ελεηθήναι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Ήχος πλ. α'

Ώ μακαρία δυάς, υμείς πάντων γεννητόρων υπερήρθητε, ότι τήν τής κτίσεως πάσης υπερέχουσαν εβλαστήσατε, όντως μακάριος εί Ιωακείμ, τοιαύτης παιδός χρηματίσας πατήρ, Μακαρία η μήτρα σου Άννα, ότι τήν Μητέρα τής ζωής ημών εβλάστησας, Μακάριοι οι μαστοί, οίς εθήλασας τήν γαλακτοτροφήσασαν τόν τρέφοντα πάσαν πνοήν, όν δυσωπείν ημας παμμακάριστοι αιτούμεθα, ελεηθήιναι τάς ψυχάς ημών.

Εις τον Στίχον, Στιχηρα Προσόμοια.

Ήχος πλ. α'

Χαίροις ασκητικών αληθώς

Χαίροις η νοητή χελιδών, έαρ τής χάριτος ημίν η γνωρίσασα, αμέμπτως εν σωφροσύνη βιωσαμένη καλώς, καί τής παρθενίας τό κειμήλιον σεμνώς ωδινήσασα, Θεοτόκον τήν άμωμον, Αμνάς τιμία, η κυήσασα δάμαλιν, τόν εξαίροντα, αμνόν κόσμου τά πταίσματα, Λόγον λόγω γεννήσασαν, τήν μόνην απείρανδρον, Άννα προμήτορ Κυρίου, τού σέ εκ γής μεταστήσαντος, όν νύν εκδυσώπει, ταίς ψυχαίς υμών δοθήναι τό μέγα έλεος.

Στίχ. Αγαλλιάσθε δίκαιοι εν Κυρίω, τοίς ευθέσι πρέπει αίνεσις.

Χαίροις πεποθημένη Θεώ, εκλελεγμένη αγιότητος, λάμψεσι, τού νόμου δυάς τιμία, η τάς εμφάσεις καλώς, εν τή θεία χάριτι μεθαρμόσασα, Χριστόν τήν τεκούσαν, τόν αρχηγόν τής ζωής ημών, αυτοί τεκόντες, Ιωακείμ ο θεόληπτος, καί η ένθεος, Άννα η πανσεβάσμιος, λύχνοι οι ανατείλαντες, λαμπάδα τήν άσκιον, οι ευθηνούντες τήν χάριν, τήν Θεοτόκον τήν άχραντον, μεθ' ής δυσωπείτε, ταίς ψυχαίς ημών δοθήναι τό μέγα έλεος.

Στίχ. Μακάριοι πάντες οι φοβούμενοι τόν Κύριον.

Χαίροις ευλογημένη η γή, η τήν θεόβλαστον τώ κόσμω ανθήσασα, η νόμω αδιαλείπτως, εμμελετώσα Θεού, καί τήν χάριν πάσιν υπογράψασα, δεσμά τής στειρώσεως η φυγούσα τώ τόκω σου, καί τώ θανάτω, τήν φθοράν ανταμείψασα, καί πρός ένθεον, μεταστάσα λαμπρότητα, Άννα θεομακάριστε, Προμήτορ Χριστού τού Θεού, η φωτοφόρον λυχνίαν, τήν Θεοτόκον κυήσασα,

μεθ' ής εκδυσώπει, ταίς ψυχαίς ημών δοθήναι τό μέγα έλεος.

Δόξα... Καί νύν... Ήχος πλ. δ'

Δεύτε πάσα η κτίσις, εν κυμβάλοις ψαλμικοίς, ευφημήσωμεν Άνναν τήν θεόφρονα, τήν τό θείον όρος αποκυήσασαν εκ λαγόνων αυτής, καί πρός όρη νοητά, καί Παραδείσου σκηνώματα, σήμερον μεταβεβηκυίαν, καί πρός αυτήν βοήσωμεν, Μακαρία η κοιλία σου, η βαστάσασα αληθώς, τήν τό φώς τού κόσμου ένδον εν κοιλία βαστάσασαν, καί οι μαστοί σου ωραίοι, οι θηλάσαντες τήν θηλάσασαν Χριστόν, τήν τροφόν τής ζωής ημών, όν καθικέτευε τού ρυσθήναι ημάς από πάσης θλίψεως, καί προσβολής τού εχθρού, καί σωθήναι τάς ψυχάς ημών.

Απολυτίκιον  Ήχος δ'
Ταχύ προκατάλαβε

Ζωήν τήν κυήσασαν, εκυοφόρησας, αγνήν Θεομήτορα, θεόφρον Άννα, διό πρός λήξιν ουράνιον, ένθα ευφραινομένων, κατοικία εν δόξη, χαίρουσα νύν μετέστης, τοίς τιμώσί σε πόθω, πταισμάτων αιτουμένη, ιλασμόν αειμακάριστε.

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα  Ήχος γ'
Τήν ωραιότητα

Η ευκλεέστατος καί αξιέπαινος, Άννα η ένθεος, καί πανσεβάσμιος, γήθεν αρθείσα εκ ζωής, προσκαίρου διαιωνίζει, εις ζωήν αθάνατον, μετ' Αγγέλων χορεύουσα, σύν τή θυγατρί αυτής, καί αχράντω Μητρί τού Θεού, πρεσβεύουσα απαύστως σωθήναι, τούς πίστει ταύτην μακαρίζοντας.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα  Ήχος α'
Τόν τάφον σου Σωτήρ

Τάς νόμου εντολάς, θεαρέστως τηρούσα, μητέρας Ισραήλ, υπερήρας απάσας, τήν μόνην αειπάρθενον, Θεοτόκον κυήσασα, αγιόλεκτε, Άννα Προμήτορ Κυρίου, μεταστάσα δέ, εκ γής πρός θείον νυμφώνα, Δικαίων υπέρκεισαι.

Δόξα... Καί νύν... Τό αυτό

Ο Ν' καί Οι Κανόνες

Κανών τής Θεοτόκου

Ήχος πλ. δ'  Ωδή α'
Ο Ειρμός
Υγράν διοδεύσας ωσεί ξηράν, καί τήν αιγυπτίαν μοχθηρίαν διαφυγών, ο Ισραηλίτης ανεβόα, Τώ Λυτρωτή καί Θεώ ημών άσωμεν.

Πολλοίς συνεχόμενος πειρασμοίς, πρός σέ καταφεύγω, σωτηρίαν επιζητών, Ώ Μήτερ τού Λόγου καί Παρθένε, τών δυσχερών καί δεινών με διάσωσον.

Παθών με ταράττουσι προσβολαί, πολλής αθυμίας, εμπιπλώσαί μου τήν ψυχήν, ειρήνευσον, Κόρη, τή γαλήνη, τή τού Υιού καί Θεού σου, Πανάμωμε.
Δόξα...
Σωτήρα τεκούσάν σε καί Θεόν, δυσωπώ, Παρθένε, λυτρωθήναί με τών δεινών, σοί γάρ νύν προσφεύγων ανατείνω, καί τήν ψυχήν καί τήν διάνοιαν.
Καί νύν...
Νοσούντα τό σώμα καί τήν ψυχήν, επισκοπής θείας, καί προνοίας τής παρά σού, αξίωσον, μόνη Θεομήτορ, ώς αγαθή αγαθού τε λοχεύτρια.

Κανών τής Αγίας

Ωδή α'  Ήχος δ'
Ανοίξω τό στόμα μου
Πταισμάτων συγχώρησιν, καί τών κακών απολύτρωσιν, καί βίου διόρθωσιν, καί θείαν έλλαμψιν, νύν μοι αίτησαι, τήν σήν φωσφόρον μνήμην, γεραίροντι σήμερον, Άννα πανεύφημε.

Ζωήν τήν κυήσασαν, θεοπρεπώς απεκύησας, διό πρός αείζωον, ζωήν μεθέστηκας, απολαύουσα, χαράς ανεκλαλήτου, φωτός ανεσπέρου τε, Άννα θεόκλητε.

Η χάρις η ένθεος, πρός τήν χαράν μεταβέβηκεν, ασπόρως ήν έτεκε, θυγάτηρ ταύτης αγνή, καί παρίσταται, πολλή σύν παρρησία, Κυρίω πρεσβεύουσα, σωθήναι πάντας ημάς.
Θεοτοκίον
Εκ σού ημίν έλαμψε, δικαιοσύνης ο Ήλιος, καί πάσαν κατηύγασε, θεογνωσία τήν γήν, καί διέλυσεν, αχλύν τής αθεϊας, Αγνή παναμώμητε, καί παμμακάριστε.
Καταβασία
Ανοίξω τό στομα μου, καί πληρωθήσεται Πνεύματος, καί λόγον ερεύξομαι, τή Βασιλίδι Μητρί, καί οφθήσομαι, φαιδρώς πανηγυρίζων, καί άσω γηθόμενος, ταύτης τά θαύματα.

Τής Θεοτόκου

Ωδή γ'  Ο Ειρμός

Ουρανίας αψίδος, οροφουργέ Κύριε, καί τής Εκκλησίας δομήτορ, σύ με στερέωσον, εν τή αγάπη τή σή, τών εφετών η ακρότης, τών πιστών τό στήριγμα, μόνε φιλάνθρωπε.

Προστασίαν καί σκέπην, ζωής εμής τίθημι, Σέ, Θεογεννήτορ, Παρθένε, σύ με κυβέρνησον, πρός τόν λιμένα σου, τών αγαθών η αιτία, τών πιστών τό στήριγμα, μόνη πανύμνητε.

Ικετεύω, Παρθένε, τόν ψυχικόν τάραχον, καί τής αθυμίας τήν ζάλην, διασκεδάσαι μου, σύ γάρ, Θεόνυμφε, τόν αρχηγόν τής γαλήνης, τόν Χριστόν εκύησας, μόνη πανάχραντε.

Δόξα...

Ευεργέτην τεκούσα, τόν τών καλών αίτιον, τής ευεργεσίας τόν πλούτον, πάσιν ανάβλυσον, πάντα γάρ δύνασαι, ώς δυνατόν εν Ισχύϊ, τόν Χριστόν κυήσασα, Θεομακάριστε.

Καί νύν....

Χαλεπαίς αρρωστίαις, καί νοσεροίς πάθεσιν, εξεταζομένω, Παρθένε, σύ μοι βοήθησον, τών Ιαμάτων γάρ, ανελλιπή σε γινώσκω, θησαυρόν, Πανάμωμε, τόν αδαπάνητον.

Τής Αγίας

Ωδή γ'

Ουκ εν σοφία

Τήν συλλαβούσαν, τόν συνέχοντα πάντα συνέλαβες, καί εκύησας Χριστόν, τήν υπέρ λόγον κυήσασαν, διό σου τήν κοίμησιν, Άννα γεραίρομεν.

Μετ' εγκωμίων, εκτελείται η ένδοξος μνήμη σου, ότι έτεκες ημίν, τήν εγκωμίων επέκεινα, αγνήν Θεομήτορα, Άννα θεόκλητε.

Ήλιος ώσπερ τή σελήνη τή Άννη ενούμενος, ο κλεινός Ιωακείμ, τής παρθενίας ακτίνα γεννά, δι' ής τής θεότητος, αυγή επέλαμψε.

Θεοτοκίον

Σέ προστασίαν, ασφαλή Θεομήτορ κεκτήμεθα, τάς ελπίδας επί σοί, ανατιθέντες σωζόμεθα, πρός σέ καταφεύγοντες, περιφρουρούμεθα.

Καταβασία

Τούς σούς υμνολόγους Θεοτόκε, ως ζώσα καί άφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικόν στερέωσον, καί εν τή θεία δόξη σου, στεφάνων δόξης αξίωσον.

Κάθισμα  Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Τής μητρός τού Δεσπότου καί Ποιητού, μήτηρ γέγονας Άννα πανευκλεής, αυτού τά προστάγματα, ανενδότως φυλάττουσα, διά τούτο θανούσα, ζωήν

πρός αθάνατον, μετετέθης όντως, καί φώς πρός ανέσπερον, όθεν τήν φωσφόρον, καί αγίαν σου μνήμην, τελούντες εν πνεύματι, φωτιζόμεθα πάντοτε, καί συμφώνως βοώμέν σοι, Πρέσβευε Χριστώ τώ Θεώ τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Καί νύν... Τό αυτό

Τής Θεοτόκου

Ωδή δ'

Εισακήκοα, Κύριε, τής οικονομίας σου τό μυστήριον, κατενόησα τά έργα σου, καί εδόξασά σου τήν θεόητα.

Τών παθών μου τόν τάραχον, η τόν κυβερνήτην τεκούσα Κύριον, καί τόν κλύδωνα κατεύνασον, τών εμών πταισμάτων, Θεονύμφευτε.

Ευσπλαγχνίας τήν άβυσσον, επικαλουμένω τής σής παράσχου μοι, η τόν εύσπλαγχνον κυήσασα, καί Σωτήρα πάντων, τών υμνούντων σε.

Δόξα...

Απολαύοντες, Πάναγνε, τών σών δωρημάτων ευχαριστήριον, αναμέλπομεν εφύμνιον, οι γινώσκοντές σε Θεομήτορα.

Καί νύν...

Οι ελπίδα καί στήριγμα, καί τής σωτηρίας τείχος ακράδαντον, κεκτημένοι σε, Πανύμνητε, δυσχερείας πάσης, εκλυτρούμεθα.

Τής Αγίας

Ωδή δ'

Ο καθήμενος εν δόξη

Τά εν νόμω γεγραμμένα, μελετώσα ετέλεσας, καί τού νομοθέτου, μήτηρ τής μητρός εχρημάτισας, διό νύν πάσα η κτίσις εποφείλει σοι, εκτελούσά σου, χαρμονικώς τό μνημόσυνον.

Μακαρία η κοιλία αληθώς η βαστάσασα, τήν τό φώς τού κόσμου, ένδον εν κοιλία βαστάσασαν, καί οι μαστοί σου ωραίοι, ως θηλάσαντες, τήν θηλάσασαν, Άννα Χριστόν τήν τροφήν ημών.

Ως βιώσασα αμέμπτως, τήν αμέμπτως κυήσασαν, Θεοτόκον Κόρην, Λόγον τού Πατρός απεκύησας, καί πρός αυτόν μετά δόξης προσεχώρησας, θεουμένη, σεπταίς μετοχαίς αληθέστατα.

Θεοτοκίον

Τής παρθένου η κοιλία, θημωνία ως άλωνος, αληθώς εδείχθη, στάχυν αγεώργητον έχουσα, δι' ού εκτρέφεται πάσα κτίσις, κράζουσα, Παντοδύναμε, Δόξα Χριστέ τή δυνάμει σου.

Καταβασία

Τήν ανεξιχνίαστον θείαν βουλήν, τής εκ τής Παρθένου σαρκώσεως, σού τού Υψίστου, ο Προφήτης, Αββακούμ, κατανοών εκραύγαζε. Δόξα τή δυνάμει σου Κύριε.

Τής Θεοτόκου

Ωδή ε'

Φώτισον ημάς, τοίς προστάγμασί σου, Κύριε, καί τώ βραχίονί σου τώ υψηλώ, τήν σήν ειρήνην, παράσχου ημίν, φιλάνθρωπε.

Εμπλησον, Αγνή, ευφροσύνης τήν καρδίαν μου, τήν σήν ακήρατον διδούσα χαράν, τής ευφροσύνης, η γεννήσασα τόν αίτιον.

Λύτρωσαι ημάς, εκ κινδύνων, Θεοτόκε Αγνή, η αιωνίαν τεκούσα λύτρωσιν, καί τήν ειρήνην, τήν πάντα νούν υπερέχουσαν.

Δόξα...

Λύσον τήν αχλύν, τών πταισμάτων μου, Θεόνυμφε, τώ φωτισμώ τής σής λαμπρότητος, η φώς τεκούσα, τό θείον καί προαιώνιον.

Καί νύν...

Ίασαι Αγνή, τών παθών μου τήν ασθένειαν, επισκοπής σου αξιώσασα, καί τήν υγείαν, τή πρεσβεία σου παράσχου μοι.

Τής Αγίας

Ωδή ε'

Ασεβείς ουκ όψονται

Ουρανόν εκύησας, εν γή ως αληθώς, τήν τεκούσαν τόν ουρανού, ποιητήν τόν σήμερον, σέ μεταθέμενον, πρός τά επουράνια, μετά δόξης Άννα Ένδοξε.

Ταίς αϋλοις τάξεσιν, αϋλω τώ νοϊ, συγχορεύεις περιχαρώς, πληρουμένη λάμψεως, τής πλουτοδότιδος, αλλ' ημών μνημόνευε, τών εν πίστει μεμνημένων σου.

Ιεσσαί βλαστήσασαν, εκ ρίζης εμφανώς, ευθαλή ράβδον τήν Αγνήν, εκβλαστάνεις ένδοξε, τήν εκβλαστήσασαν, άνθος τό αμάραντον, Ιησούν τόν Λυτρωτήν ημών.

Θεοτοκίον

Επί σέ κατέφυγον, τήν μόνην κραταιάν, τών πιστών σκέπην, επί σοί τήν ελπίδα τίθημι, τής σωτηρίας μου, Παναγία Δέσποινα, Θεοτόκε μη παρίδης με.

Καταβασία

Εξέστη τά σύμπαντα, επί τή θεία δόξη σου, σύ γάρ απειρόγαμε Παρθένε, έσχες εν μήτρα, τόν επί πάντων Θεόν, καί τέτοκας άχρονον Υιόν, πάσι τοίς υμνούσί σε, σωτηρίαν βραβεύοντα.

Τής Θεοτόκου

Ωδή ς'

Την δέησιν εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών η ψυχή μου επλήσθη, καί η ζωή μου τώ Άδη προσήγγισε, καί δέομαι ώς Ιωνάς, Εκ φθοράς, ο Θεός με ανάγαγε.

Θανάτου καί τής φθοράς ώς έσωσεν, εαυτόν εκδεδωκώς τώ θανάτω, τήν τή φθορά καί θανάτω μου φύσιν, κατασχεθείσαν, Παρθένε, δυσώπησον, τόν Κύριόν σου καί Υιόν, τής εχθρών κακουργίας με ρύσασθαι.

Προστάτιν σε τής ζωής επίσταμαι, καί φρουράν ασφαλεστάτην, Παρθένε, τών πειρασμών διαλύουσαν όχλον, καί επηρείας δαιμόνων ελαύνουσαν, καί δέομαι διαπαντός, εκ φθοράς τών παθών μου ρυσθήναί με.

Δόξα...

Ως τείχος καταφυγής κεκτήμεθα, καί ψυχών σε παντελή σωτηρίαν, καί πλατυσμόν εν ταίς θλίψεσι, Κόρη, καί τώ φωτί σου αεί αγαλλόμεθα. Ώ Δέσποινα, καί νύν ημάς, τών παθών καί κινδύνων διάσωσον.

Καί νύν...

Εν κλίνη νύν ασθενών κατάκειμαι, καί ουκ έστιν ίασις τή σαρκί μου, αλλ' η Θεόν καί Σωτήρα τού κόσμου, καί τόν λυτήρα τών νόσων κυήσασα, σού δέομαι τής αγαθής, εκ φθοράς νοσημάτων ανάστησον.

Τής Αγίας

Ωδή ς'

Θύσω σοι, μετά φωνής

Κυρίου, Ιησού τού Θεού οι προπάτορες, Ιωακείμ τε καί, Άννα, οι δικαιοσύνη κεκοσμημένοι, επαξίως, εν ωδαίς ευφημείσθωσαν σήμερον.

Απάντων, εγκωμίων η Άννα υπέρκειται, ότι παντός εγκωμίου, τήν υπερκειμένην εκύησε, διά τούτο, εν χορώ τών Αγίων αυλίζεται.

Φωσφόρος, καί λαμπρότητος πλήρης η μνήμη σου, μαρμαρυγάς τοίς εν κόσμω, τάς σωτηριώδεις εκπέμπουσα, σώφρον Άννα, χαρισμάτων παντοίων ανάπλεως.

Θεοτοκίον

Εξ, Άννης, η τού κόσμου ετέχθης Βασίλισσα, τόν τού παντός Βασιλέα, καί τεκούσα καί παρθενεύουσα, μετά τόκον, Χερουβίμ ανωτέρα Πανάμωμε.

Καταβασία

Τήν θείαν ταύτην καί πάντιμον, τελούντες εορτήν οι θεόφρονες, τής Θεομήτορος, δεύτε τάς χείρας κροτήσωμεν, τόν εξ αυτής τεχθέντα Θεόν δοξάζοντες.

Κοντάκιον  Ήχος β'

Τά άνω ζητών

Προγόνων Χριστού, τήν μνήμην εορτάζομεν, τήν τούτων πιστώς, αιτούμενοι βοήθειαν, τού ρυσθήναι άπαντας, από πάσης θλίψεως, τούς κραυγάζοντας, ο Θεός γενού μεθ' ημών, ο τούτους δοξάσας ως ηυδόκησας.

Ο Οίκος

Προφητικώς συνέλθωμεν πάντες, τού αξίως υμνήσαι τής προγόνου Χριστού τήν παναγίαν μετάστασιν, Σήμερον γάρ εκ τής προσκαίρου μεταστάσα ζωής, εν τοίς επουρανίοις μετά χαράς τήν πορείαν ποιουμένη αγάλλεται, καί ως ούσα Μήτηρ τής όντως αληθούς Θεοτόκου, κραυγάζει πιστώς, Μεγαλύνει η ψυχή μου τόν Κύριον, ότι έτεκον τήν τούτου Μητέρα εν τή γή, Γένοιτο ούν μεθ' ημών, ο τούτους δοξάσας ως ηυδόκησε.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΕ' τού αυτού μηνός, Μνήμη τής Κοιμήσεως τής Αγίας Άννης, μητρός τής Υπεραγίας Θεοτόκου.

Στίχοι

- Μήτηρ τελευτά Μητροπαρθένου Κόρης,
- Η τών κυουσών μητέρων σωτηρία.
- Πέμπτη εξεβίωσε μογοστόκος εικάδι Άννα.

Τή αυτή ημέρα, Μνήμη τών Αγίων 165 Πατέρων, τών εν τή πέμπτη Οικουμενική Συνόδω συνελθόντων καί τά Ωριγένους δόγματα καθελόντων.

Στίχοι

- Λόγοι Βελίαρ οι λόγοι Ωριγένους,
- Ούσπερ καθείλον προσκυνηταί τού Λόγου.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τής Θεοτόκου

Ωδή ζ'

Οι εκ τής ιουδαίας, καταντήσαντες Παίδες εν Βαβυλώνι ποτέ, τή πίστει τής Τριάδος, τήν φλόγα τής καμίνου, κατεπάτησαν ψάλλοντες, Ο τών Πατέρων ημών Θεός, ευλογητός εί.

Τήν ημών σωτηρίαν, ώς ηθέλησας Σώτερ, οικονομήσασθαι, εν μήτρα τής Παρθένου, κατώ κησας τώ κόσμω, ήν προστάτιν ανέδειξας, Ο τών Πατέρων ημών Θεός, ευλογητός εί.

Θελητήν τού ελέους, όν εγέννησας, Μήτερ αγνή δυσώπησον, ρυσθήναι τών πταισμάτων, ψυχής τε μολυσμάτων, τούς εν πίστει κραυγάζοντας, Ο τών Πατέρων ημών Θεός, ευλογητός εί.

Δόξα...

Θησαυρόν σωτηρίας, καί πηγήν αφθαρσίας, τήν σέ κυήσασαν, καί πύργον ασφαλείας, καί θύραν μετανοίας, τοίς κραυγάζουσιν έδειξας, Ο τών Πατέρων ημών Θεός, ευλογητός εί.

Καί νύν...

Σωμάτων μαλακίας, καί ψυχών αρρωστίας, Θεογεννήτρια, τών πόθω προσιόντων, τή σκέπη σου τή θεία, θεραπεύειν αξίωσον, η τόν Σωτήρα Χριστόν, ημίν αποτεκούσα.

## Τής Αγίας

### Ωδή ζ'

Ο διασώσας εν πυρί

Ως τής ζωής τής αληθούς, Άννα τήν μητέρατεκούσα, πρός τήν ζωήν τήν αληθή, μετετέθης πιστώς ανακράζουσα, Υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Η τής μητρός τού Λυτρωτού, μήτηρ χρηματίσασα Άννα, από τής γής πρός ουρανόν, αρεταίς κοσμουμένη ανέδραμες, εν αινέσει κραυγάζουσα, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Πρός ατελεύτητον ζωήν, πρός ευρυχωρότατον πλάτος, τού Παραδείσου τής τρυφής, πρός ανέσπερον φώς εξεδήμησας, θεοφόρε κραυγάζουσα, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Θεοτοκίον

Ωραϊσμένη καλλοναίς, ταίς τών αρετών τόν ωραίον, υπέρ υιούς τών γηγενών, απεκύησας Λόγον Πανάμωμε, τόν τερπναίς ωραιότησι, τούς αυτόν υμνολογούντας κατακοσμούντα.

Καταβασία

Ουκ ελάτρευσαν τή κτίσει οι θεόφρονες, παρά τόν Κτίσαντα, αλλά πυρός απειλήν; ανδρείως πατήσαντες, χαίροντες έψαλλον. Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

## Τής Θεοτόκου

### Ωδή η'

Τόν Βασιλέα τών ουρανών, όν υμνούσι στρατιαί τών Αγγέλων, υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Τούς βοηθείας τής παρά σού δεομένους, μή παρίδης Παρθένε, υμνούντας, καί υπερυψούντάς σε, Κόρη, εις αιώνας.

Τών Ιαμάτων τό δαψιλές, επιχέεις τοίς πιστώς υμνούσί σε Παρθένε, καί υπερυψούσι τόν άφραστόν σου τόκον.

Δόξα...

Τάς ασθενείας μου τής ψυχής ιατρεύεις, καί σαρκός τάς οδύνας, Παρθένε, ίνα σέ δοξάζω τήν Κεχαριτωμένην.

Καί νύν...

Τών πειρασμών σύ τάς προσβολάς εκδιώκεις, καί παθών τάς εφόδους Παρθένε, όθεν σε υμνούμεν εις πάντας τούς αιώνας.

## Τής Αγίας

### Ωδή η'

Παίδας ευαγείς εν τή καμίνω

Η μήτηρ τής μόνης Θεοτόκου, η στείρα το πρίν, νύν δέ προμήτωρ Χριστού, ώσπερ τής στειρώσεως, ούτω τής νεκρώσεως, εκδυσαμένη ένδυμα, εν χώρα ζώντων βοά, τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Χριστός σοι τάς πύλας εκπετάσας, τάς άνω περιχαρώς καθυπεδέξατο, πύλην ότι έτεκες, ήν αυτός διώδευσε, καί κεκλεισμένην έδειξε, μετά τήν πάροδον, θεόφρον αξιάγαστε Άννα, όθεν σε Τιμώμεν, εις πάντας τούς αιώνας.

Αγίως τόν βίον εκτελούσα, Αγίας αειπαρθένου Μήτηρ γέγονας, ήτις τόν πανάγιον, Λόγον απεκύησεν, αγιασμόν καί λύτρωσιν ημίν παρέχοντα, θεόφρον αξιάγαστε Άννα, όθεν σε τιμώμεν, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Πολλοίς συνεχόμενον κινδύνοις, καί σάλω τής αμαρτίας κινδυνεύοντα, όρμον πρός ακύμαντον, αύραις ταίς τού Πνεύματος, Θεογεννήτορ Δέσποινα, νύν καθοδήγησον, λιμήν Χριστιανών γάρ υπάρχεις, όθεν σε υμνούμεν, εις πάντας τούς αίωνας.

Καταβασία

Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

## Τής Θεοτόκου

### Ωδή θ'

Κυρίως Θεοτόκον, σέ ομολογούμεν, οι διά σού σεσωσμένοι, Παρθένε αγνή, σύν Ασωμάτων χορείαις, σέ μεγαλύνοντες.

Ροήν μου τών δακρύων, μή αποποιήσης, η τόν παντός εκ προσώπου πάν δάκρυον, αφηρηκότα Παρθένε, Χριστόν κυήσασα.

Χαράς μου τήν καρδίαν, πλήρωσον, Παρθένε, η τής χαράς δεξαμένη τό πλήρωμα, τής αμαρτίας τήν λύπην, εξαφανίσασα.

Λιμήν καί προστασία, τών σοί προσφευγόντων, γενού Παρθένε, καί τείχος ακράδαντον, καταφυγή τε καί σκέπη, καί αγαλλίαμα.

Δόξα...

Φωτός σου ταίς ακτίσι, λάμπρυνον, Παρθένε, τό ζοφερόν τής αγνοίας διώκουσα, τούς ευσεβώς Θεοτόκον, σέ καταγγέλλοντας.

Καί νύν...

Κακώσεως εν τόπω, τώ τής ασθενείας, ταπεινωθέντα, Παρθένε, θεράπευσον, εξ αρρωστίας εις ρώσιν, μετασκευάζουσα.

Τής Αγίας

Ωδή θ'

Εύα μέν τώ τής παρακοής

Εύα μεν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, σύ δέ στειρώσεως κατάρας, λυθείσα ευλογίαν τήν τέξασαν, εκύησας αγνήν Θεομήτορα, ή συγχορεύεις αξιάγαστε.

Εκ γής τής γαστρός σου αληθώς γεγέννηται, γή αγία αγεώργητος, στάχυν βλαστήσασα ασπόρως, τού κόσμου τόν τροφέα καί Κύριον, τόν σέ πρός τήν τρυφήν τήν αδάπανον, Άννα πανσόφως μεταστήσαντα.

Εδέξατο άλυπος ζωή καί άφθαρτος, μετά τέλος σέ Πανεύφημε, ξύλου ζωής νυνί μετέχεις, Δικαίων συνευφραίνη συστήματι, καί θείων Ασωμάτων στρατεύμασιν, όθεν σε πάντες μακαρίζομεν.

Η μνήμη σου σήμερον ημίν ανέτειλε, τού ηλίου τηλαυγέστερον, φέγγει πλουσίων χαρισμάτων, ημάς καταφαιδρύνουσα Πάνσεμνε, καί ζόφον παθημάτων εξαίρουσα, ήν εκτελούντας ημάς φύλαττε.

Θεοτοκίον

Μαρία κυρία τού παντός, παντοίοις με δουλωθέντα πλημμελήμασι, σύ ελευθέρωσον, αυτή γάρ, τόν ελευθερωτήν πάντων τέτοκας, δουλείας τόν ημάς λυτρωσάμενον, τής αμαρτίας θείω νεύματι.

Καταβασία

Άπας γηγενής, σκιρτάτω τώ πνεύματι λαμπαδουχούμενος, πανηγυριζέτω δέ, αΰλων Νόων φύσις γεραίρουσα, τήν ιεράν πανήγυριν, τής Θεομήτορος, καί βοάτω. Χαίροις παμμακάριστε, Θεοτόκε Αγνή αειπάρθενε.

Εξαποστειλάριον

Τοίς Μαθηταίς

Χρεωστικώς υμνήσωμεν, τήν θεόκλητον Άνναν, τήν Θεοτόκον αύτη γάρ, τήν Παρθένον Μαρίαν, κυήσασα παρ' ελπίδα, αγχιστεύς κατά σάρκα, Χριστού τού Λυτρωτού ημών, ανεδείχθη τού ταύτην, θεοπρεπώς, προσλαβόντος σήμερον εν υψίστοις, υπέρ ημών πρεσβεύουσα, καί ειρήνης τού κόσμου.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά προσόμοια

γ', δευτερούντες τό α'.

Ήχος α'
Τών ουρανίων ταγμάτων
Μνήμην τελούντες αισίαν, σέ ανυμνούμεν Χριστέ, τόν παραδόξως Άνναν, εκ ζωής τής προσκαίρου πρός τήν άληκτον δόξαν, μεταστήσαντα νύν, ως μητέρα υπάρχουσαν, τής σέ τεκούσης ασπόρως υπερφυώς, Θεοτόκου καί Παρθένου Μητρός. (Δίς)

Μνήμην αγίαν τελούντες, τών Προπατόρων Χριστού, Ιωακείμ καί Άννης, τών σεπτών καί αμέμπτων, δοξάζομεν απαύστως, τόν λυτρωτήν, καί οικτίρμονα Κύριον, τόν μεταστήσαντα τούτους πρός τήν ζωήν, τήν αγήρω καί ανώλεθρον.

Πρός τάς αϋλους χορείας, καί τών Δικαίων σκηνάς, ένθα Αγγέλων τάξεις, ένθα δήμος Αγίων, χαρά εορταζόντων άγεται νύν, τών Δικαίων τά πνεύματα, Ιωακείμ καί τής Άννης, ούς ευσεβώς, ευφημούντες μακαρίσωμεν.
Δόξα... Καί νύν... Ήχος β'
Δεύτε φιλοπάρθενοι πάντες, καί τής αγνείας ερασταί, δεύτε εορτάσωμεν, Άννης τήν σεβάσμιον κοίμησιν, καί γάρ έτεκεν υπερφυώς τήν πηγήν τής ζωής, Μαρίαν τήν θεόπαιδα, εξ ής ετέχθη ο Λυτρωτής, ο φωτίζων καί αγιάζων τάς ψυχάς ημών.

Δοξολογία μεγάλη, καί Απόλυσις.

Εις τήν Λειτουργίαν, Τά Τυπικά, καί εκ τού Κανόνος τής Αγίας Ωδή γ' καί ς'.

Ο Απόστολος, Πρός Γαλάτας
Αδελφοί, Αβραάμ δύο Υιούς έσχεν...

Ευαγγέλιον κατά Λουκάν
Είπεν ο Κύριος. ουδείς λύχνον άψας...
Ζήτει Σαββάτω ς'

Κοινωνικόν
Αγαλλιάσθε δίκαιοι εν Κυρίω, τοίς ευθέσι πρέπει αίνεσις. Αλληλούϊα.

---

Αρχή

## ΤΗ ΚΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Ιερομάρτυρος Ερμολάου, καί τών σύν αυτώ Ερμίππου καί Ερμοκράτους, καί τής Αγίας Οσιομάρτυρος Παρασκευής.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά προσόμοια αμφοτέρων.

Προσόμοια τών Αγίων

Ήχος πλ. δ'
Ώ τού παραδόξου θαύματος

Μάρτυς αθλητά Ερμόλαε, Ιερωτάτην ζωήν, Ιερώς επεπόθησας, Ιερεύς γενόμενος, Ιησού Παντοκράτορος, καί ανιέρου σκοτασμού έσωσας, σεπτοίς σου λόγοις λαούς, εν χάριτι, καί μεταβέβηκας, πρός τά υπερκόσμια τών σθλητών, αίματι λουσάμενος, θεομακάριστε.

Μάρτυς αθλητά Ερμόλαε, διά τόν φόβον ποτέ, τών ανόμων κρυπτόμενος, φανεροίς γηθόμενος, κεκρυμμένον μυστήριον, τώ αθλοφόρω Παντελεήμονι, τής ευσεβείας καί επιγνώσεως, καί φανερούμενος, θνήσκεις προθυμότατα, διά Χριστόν, τόν δι' αγαθότητα, παθείν ελόμενον.

Ερμιππόν τε καί Ερμόλαον, καί Ερμοκράτην πιστώς, τού Κυρίου τούς μάρτυρας, θαυμαστώς αθλήσαντας, καί τόν δόλιον κτείναντας, καί λουσαμένους λουτρόν μηδέποτε, δευτέροις ρύποις επιθολούμενον, ανευφημήσωμεν, ιερώς δοξάζοντες, καί τήν αυτών, μνήμην εορτάζοντες πανηγυρίσωμεν.

Προσόμοια τής Αγίας, όμοια

Ω τού παραδόξου θαύματος!

Παρασκευή η σοφή, Αντωνίνου τό φρύαγμα, ανδρικώς κατέβαλες, προθύμως εναθλήσασα, καί τών βραβείων τής άνω κλήσεως, καί τών στεφάνων αξιωθείσα σεμνή, υπέρ τών δούλων σου, τών πιστώς τιμώντων σε, μνείανποιού, πάντοτε πρός Κύριον, ελεηθήναι ημάς.

Μάρτυς τού Χριστού Πανεύφημε, η τόν Δεσπότην Χριστόν, ολοψύχως ποθήσασα, τών βασάνων ήνεγκας, τάς πληγάς καρτερώτατα, καί ξεομένη πλευράς ταίς μάστιξιν, αικίας πάσας, διά τόν σόν εραστήν, καθυπομένουσα, τών στεφάνων έτυχες, τών παρ' αυτού, όθεν ευφημούμέν σε θεομακάριστε.

Οσιομάρτυς πανένδοξε, τίς εξισχυσειειπείν, τών σών πόνων τά έπαθλα, καί τού μαρτυρίου σου, τά ανδρεία τεράστια, υπομονήν τε καί τήν πραότητα, ήν ενεδείξω Σεμνή ως άσαρκος; όθεν συνόμιλος, τών Αγγέλων γέγονας, Παρασκευή, νύμφη τού Παντάνακτος, σκεύος τού Πνεύματος.

Δόξα... Ήχος πλ. β'

Παρθενομάρτυς αθληφόρε, Παρασκευή πανένδοξε, τούς την άθλησιν τήν σήν εορτάζοντας αξίως, αίτησαι ρυσθήναι πειρασμών καί θλίψεων, ταίς πρός Θεόν πρεσβείαις σου, καί τής μελλούσης κρίσεως, Μάρτυς παναοίδιμε.

Καί νύν... Θεοτοκίον

Τίς μή μακαρίσει σε, Παναγία Παρθένε; τίς μή ανυμνήσει σου τόν αλόχευτον τόκον, ο γάρ αχρόνως εκ Πατρός εκλάμψας Υιός μονογενής, ο αυτός εκ σού τής Αγνής προήλθεν, αφράστως σαρκωθείς, φύσει Θεός υπάρχων, καί φύσει γενόμενος άνθρωπος δι' ημάς, ουκ εις δυάδα προσώπων τεμνόμενος, αλλ' εν δυάδι φύσεων, ασυγχύτως γνωριζόμενος, Αυτόν ικέτευε, Σεμνή, παμμακάριστε, ελεηθήναι τάς ψυχάς ημών.

Εις τόν Στίχον Στιχηρά προσόμοια τής Αγίας.

Ήχος δ'
Ως γενναίον ε Μάρτυσι

Πολυώδυνα βάσανα, υποστήναι Πανένδοξε, ανδρικώ φρονήματι ηυτομόλησας, καί τών Ελλήνων σεβάσματα, ως κόνιν ελέπτυνας, τώ γάρ σθένει τού Σταυρού, τόν αντίπαλον έκτεινας, τόν καυχώμενον, υπεράνωθεν άστρων θρόνον θείναι, πρό ποδών σου γάρ ερράγη, ώσπερ στρουθίον παιζόμενος.

Στιχ. Υπομένων υπέμεινα τόν Κύριον, καί προσέσχε μοι.

Τής πλακός τήν βαρύτητα, καί πυρός τήν κατάκαυσιν, θεϊκή προνοία Άγγελος τάχιστα, τήν μέν ως φύλλον ανέδειξε, τήν δέ αύραν ένδροσον, οία πάλαι τοίς παισί, τού τετάρτου η όρασις, μεθ' ών έκραζες, Σού τό έλεος μέγα Πανοικτίρμον, όθεν σέβω γηθομένη, σού τό πανύμνητον όνομα.

Στίχ. Καί έστησεν επί πέτραν τούς πόδας μου καί κατεύθυνε τά διαβήματά μου.

Καθαρότητα σώματος, καί ψυχής τήν λαμπρότητα, κτησαμένη πάντοτε ώφθης άμωμος, σύ γάρ νυμφίον ποθήσασα, κατ' ίχνος εβάδισας, νοητού μύρου Σεμνή, Παρασκευή αοίδιμε, καί νύν πρέσβευε, τόν Σωτήρα τών όλων λύσιν δούναι, οφλημάτων τοίς εν πίστει, επιτελούσι τήν μνήμην σου.

Δόξα... Ήχος πλ. β'

Δεύτε πάντα τής γής τά πέρατα, πνευματικήν χορείαν επικροτήσωμεν, καί τήν Χριστού Παρθενομάρτυρα ευφημήσωμεν λέγοντες, Χαίροις, Παρασκευή Οσία Καί θεοτίμητε, Χαίροις, η τό μαρτύριΟν καλώς υποδεξαμένη, Χαίροις τών μαρτύρων ισοστάσιε, καί τών Οσίων ομόσκηνε, μεθ' ών ικέτευε, τού σωθήναι τάς ψυχάς ημων.

Καί νύν... Θεοτοκίον

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής. Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Απολυτίκιον Ήχος δ'

Οι Μάρτυρές σου Κύριε, εν τή αθλήσει αυτών, στεφάνους εκομίσαντο τής αφθαρσίας εκ σού τού Θεού ημών, σχόντες γάρ τήν ισχύν σου, τούς

τυράννους καθείλον, έθραυσαν καί δαιμόνων, τά ανίσχυρα θράση, Αυτών ταις ικεσίαις Χριστέ ο Θεός, σώσον τάς ψυχάς ήμων.

Δόξα... Τής Αγίας
Ήχος α'

Τήν σπουδήν σου τή κλήσει κατάλληλον, εργασαμένη φερώνυμε, τήν ομώνυμόν σου πίστιν εις κατοικίαν κεκλήρωσαι, Παρασκευή αθλοφόρε, όθεν προχέεις ιάματα, καί πρεσβεύεις υπέρ τών ψυχών ημών.

Καί νύν... Θεοτοκίον

Τού Γαβριήλ φθεγξαμένου σοι Παρθένε τό χαίρε, σύν τή φωνή εσαρκούτο ο τών όλων Δεσπότης, εν σοί τή αγία κιβωτώ, ως έφη ο δίκαιος Δαυϊδ, εδείχθης πλατυτέρα τών ουρανών, βαστάσασα τόν Κτίστην σου, Δόξα τώ ενοικήσαντι εν σοί, δόξα τώ προελθόντι εκ σού, δόξα τώ ελευθερώσαντι ημάς, διά τού τόκου σου.

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα τής Αγίας
Ήχος δ'
Ο υψωθείς εν τώ Σταυρώ

Τόν ωραιότατον Χριστόν αγαπήσασα, καί δι' αγνείας τήν ψυχήν ωραϊσασα, διά παντοίων πόνων τε καί θλίψεων, τούτω κατηγγύησαι, ώσπερ άμωμος νύμφη, όθεν σε ηξίωσεν, ουρανίων θαλάμων, υπέρ ημών πρεσβεύουσαν αυτώ, τών σέ τιμώντων Παρασκευή πανεύφημε.

Δόξα... Καί νύν... Θεοτοκίον

Ου σιωπήσομεν ποτέ Θεοτόκε, τάς δυναστείας σου λαλείν οι ανάξιοι, Ει μή γάρ σύ προϊστασο πρεσβεύουσα, τίς ημάς ερρύσατο, εκ τοσούτων κινδύνων, τίς δέ διε, φύλαξεν έως νύν ελευθέρους; Ουκ αποστώμεν Δέσποινα εκ σού, σούς γάρ δούλους σώζεις αεί, εκ παντοίων δεινών.

Μετά τήν β' Στιχολογίαν

Κάθισμα τής Αγίας
Ήχος α'
Τόν τάφον σου Σωτήρ

Ως άμωμος αμνάς, καί αγνή τώ Κυρίω, συνήφθης μυστικώς, εν σεμνότητι βίου, τώ κάλλει τής αθλήσεως, σεαυτήν ωραϊσασα, όθεν είληφας, τών ιαμάτων τήν χάριν, ιατρεύουσα τά αρρωστήματα πάντα, δυνάμει τού Πνεύματος.

Δόξα... Καί νύν... Θεοτοκίον

Μητέρα σε Θεού, επιστάμεθα πάντες, Παρθένον αληθώς, καί μετά τόκον φανείσαν, οι πόθω καταφευγοντες, πρός τήν σήν αγαθότητα, σέ γάρ έχομεν,

αμαρτωλοί προστασίαν, σέ κεκτήμεθα, εν πειρασμοίς σωτηρίαν, τήν μόνην πανάμωμον.

Οι Κανόνες, τών Αγίων, καί τής Αγίας οι επόμενοι δύο.

Ο Κανων τών Αγίων, ού η Ακροστιχίς.

Ύμνοις γεραίρω τούς Ερμολάου πόνους. Ιωσήφ.

Ωδή α' Ήχος πλ. δ'
Άσωμεν τώ Κυρίω

Ύμνοις τήν φωτοφόρον, καί πανευκλεή καί υπερένδοξον, επαινέσωμεν μνήμην, Ερμολάου Χριστόν μεγαλύνοντες.

Μέγιστόν σοι τό κλέος, πέφυκεν Ερμόλαε πανεύφημε, τού μεγάλου Θεού γάρ, ανεδείχθης θεράπων θερμότατος.

Νόμιμον διανύσας, Ένδοξε αγώνα κατεπάτησας, ανομούντων τά θράση, παναοίδιμε Μάρτυς Ερμόλαε.

Όλβιος απεφάνθης, πλούτον τόν Χριστόν έχων ακένωτον, καί πλουτίζων καρδίας, πενομένας παμμάκαρ Ερμόλαε.

Θεοτοκίον

Ιλεών μοι Παρθένε, τόν Χριστόν απέργασαι πανάμωμε, εν ημέρα τής δίκης, φοβεράς καταδίκης εξαίρουσα.

Ο Κανών τής Αγίας, ού η Ακροστοχίς (άνευ τών Θεοτοκίων).

Ύμνοις γεραίρω τήν πανεύφημον Κόρην.
Θεοφάνους.

Ωδή α' Ήχος δ'
Θαλάσσης, τό ερυθραίον

Υμνούσι, τήν φωτοφόρον μνήμην σου, Μάρτυς πανεύφημε, χάριν δοθήναι αίτησαι ημίν, καί πταισμάτων τήν άφεσιν, Παρασκευή αοίδιμε, ταίς πρός τόν Κύριον δεήσεσι.

Μαρτύρων, η καλλονή σύ πέφηνας, τάς τού εχθρού μηχανάς, καταβαλούσα όπλω τού Σταυρού, καί τυράννων ωμότητα, αθλητικώς παλαίσασα, θεοσεβή πίστιν εκήρυξας.

Νομίσας, τής καρτερίας λύειν σου, Μάρτυς τό εύτονον, ο τοίς ξοάνοις τύραννος δεινώς, απονέμων προσκύνησιν, αλλά σοφοίς σου ρήμασι, τούτου τό θράσος άπαν λέλυται.

Θεοτοκίον

Ο Λόγος, εκ σών αχράντων Δέσποινα, αιμάτων τίκτεται, εμψυχωμένην σάρκα ειληφως, καί ημάς ολισθήσαντας, απατεώνος δήγματι, τώ θείω κράτει ανεπλάσατο.

Τών Αγίων

Ωδή γ'
Σύ εί τό στερέωμα

Σθένει δυναμούμενος, τού παντουργού σοφέ Πνεύματος, τού δυνατού, Πάτερ εν κακία, τήν ισχύν καταβέβληκας.

Γνώριμος γεγένησαι, τώ Παντοκράτορι Άγιε, πάντας γνωστούς, λόγω σου τώ θείω, εν αυτώ εργαζόμενος.

Έγνω διδασκόμενος, υπό τού σού Σοφέ πνεύματος, τόν Ποιητήν, ο Παντελεήμων, καί νομίμως ενήθλησεν.

Θεοτοκίον

Ρυσαί με Πανάμωμε, αμαρτιών δεινού κλύδωνος, καί λογισμών, τών επεμβαινόντων, αφειδώς τή καρδία μου.

Τής Αγίας

Ευφραίνεται επί σοί

Ενεύρου τό ασθενές, τό θείον Πνεύμα καί φαιδρόν δέδειχεν, εξεικονίζον άριστα, τής σής ακραιφνούς ψυχής έλλαμψιν.

Ρωσθείσα σθένει Χριστού, τάς τών βουνεύρων αφειδώς μάστιγας, Μάρτυς Χριστού υπέφερες, οίά τις αδάμας στερρότατος.

Αγάπη τή πρός Θεόν, εν τώ σταδίω καρτερώς ήνεγκας, τόν σκορπισμόν τού σώματος, καί τούς ανυποίστους πικρούς αικισμούς.

Θεοτοκίον

Σύ μόνη τοίς επί γής, τών υπέρ φύσιν αγαθών πρόξενος, Μήτηρ Θεού γέγονας, όθεν σοι τό Χαίρε κραυγάζομεν.

Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα, Σύ μου ισχύς Κύριε, καί καταφυγή καί στερέωμα».

Κάθισμα τού Αγίου
Ήχος πλ. δ'
Τήν Σοφίαν καί Λόγον

Ιερώς τήν ζωήν σου διατελών, Ιερεύς ανεδείχθης τού Λυτρωτού, φωτίζων τούς πίστει σοι, προσιόντας εκάστοτε, καί επί τέλει μάκαρ ενθέως απήστραψας, μαρτυρίου φέγγος, καί κόσμον κατηύγασας, όθεν τήν φωσφόρον, καί αγίαν σου μνήμην, τελούντες υμνούμέν σε, καί πιστώς

μακαρίζομεν, αθλοφόρε Ερμόλαε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω τήν αγίαν μνήμην σου.

Δόξα... Τής Αγίας

Εκ σπαργάνων μητρώων σύ τώ Χριστώ, σεαυτήν αναθείσα διηνεκώς, αυτώ ευηρέστησας τώ Σωτήρι τών όλων, καίτυράννων θράση, στερρώς κατεπάτησας, καί βασάνους όντως, ανδρείως υπέμεινας, όθεν ο Χριστός σοι, τοίς στεφάνοις κοσμήσας, ενδόξως εισήγαγεν, εις νυμφώνα ουράνιον, Παρασκευή αξιάγαστε, πρέσβευε Χριστώ τώ Θεώ τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Καί νύν... Θεοτοκίον

Ως παρθένον καί μόνην εν γυναιξί, σέ ασπόρως τεκούσαν Θεόν σαρκί, πάσαι μακαρίζομεν γενεαί τών ανθρώπων, τό γάρ πύρ εσκήνωσεν, εν σοί τής θεότητος, καί ως βρέφος θηλάζεις, τόν Κτίστην καί Κύριον, όθεν τών Αγγέλων, καί ανθρώπων τό γένος, αξίως δοξάζομεν, τόν πανάγιον τόκον σου, καί συμφώνως βοώμέν σοι, Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς προσκυνούσιν εν πίστει, τόν άσπορον τόκον σου.

Τών Αγίων

Ωδή δ'

Εισακήκοα Κύριε

Αι πορείαί σου Πνεύματι, θείω ευοδούμεναι υπεσκέλισαν, τάς πορείας τού αλάστορος, καί όδός ευθεία πολλοίς ώφθησαν.

Ιερεύς Ιερώτατος, Μάρτυς αληθέστατος εχρημάτισας, αξιάγαστε Ερμόλαε, διά τούτο πάντες ευφημούμέν σε.

Ρωμαλέω φρονήματι, τώ παρανομούντι αντιταξάμενος, μαρτυρίου στέφος είληφας, ανδρικώς αθλήσας Ιερώτατε.

Θεοτοκίον

Ώσπερ θρόνος πυρίμορφος, φέρεις τόν Δεσπότην θεοχαρίτωτε, όν ικέτευε σωθήναι ημάς, αμαρτίας σάλω κινδυνεύοντας.

Τής Αγίας

Επαρθέντα σε ιδούσα

Ιαμάτων εντυχούσα καί χαρισμάτων, καί οπτασίας Ένδοξε, τάς θείας πηγάζεις, χάριτας εκάστοτε, τοίς πίστει γεραίρουσι, καί τώ σώ τεμένει προστρέχουσι.

Ρυτίδα όντως καί σπίλον μηδόλως σχούσα, αγιασμόν τε σώματος, επικτησαμένη, Αγγέλους τεθέασαι, μεθ' ών ανεκραύγαζες, Δόξα τή δυνάμει σου Κύριε.

Ως κατάπληκτον σημείον, φρικτής ημέρας, τού σωτηρίου πάθους γάρ, εξεικονισθείσης, γυναιΚείω σώματι, Σταυρόν τε καί Κάλαμον, Στέφανον καί Σπόγγον τεθέασαι.

Θεοτοκίον

Απειρογάμως εκύησας ώ Παρθένε, καί μετά τόκον ώφθης, παρθενεύουσα πάλιν, όθεν ασιγήτοις φωναίς, τό Χαίρέ σοι Δέσποινα, πίστει αδιστάκτω κραυγάζομεν.

Τών Αγίων

Ωδή ε'

Ο εκ νυκτός αγνοίας

Τούς εν νυκτί απάτης κεκρατημένους, πρός φώς καθωδήγησας, καί μισθόν εκομίσω, τό τελειωθήναι δι' αίματος.

Οι τού Χριστού οπλίται Ερμιππός τε, καί ο θείος Ερμόλαος, άμα τώ Ερμοκράτει, ιερολογίαις δοξάζονται.

Υπέρ σεπτής Τριάδος, οι τρείς Ομού εναθλήσαντες Μάρτυρες, μυριάσιν Αγγέλων, νύν εν ουρανοίς συναγάλλονται.

Θεοτοκίον

Σέ προστασίαν πάντες, καταφυγήν καί βεβαίαν αντίληψιν, κεκτημένοι Παρθένε, ρυσθείημεν διά σού πάσης θλίψεως.

Τής Αγίας

Σύ Κύριε μου φώς

Ηγώνισαι Σεμνή, καί τόν τύραννον έκτεινας, ρητρεύσεσι ταίς πανσόφοις, πρό βημάτων εμφρόνως, τόν Χριστόν καταγγέλλουσα.

Νούν έχουσα στερρόν, απτοήτω φρονήματι, κατήσχυνας τών ειδώλων, τά σεβάσματα πάντα, γραφικαίς αποδείξεσι.

Παστάδος νοητής, καί νυμφώνος ηξίωσαι, χορεύουσα σύν Παρθένοις, ταίς φρονίμοις ενθέως, Παρασκευή αοίδιμε.

Θεοτοκίον

Σέ όπλον αρραγές, κατ' εχθρών προβαλλόμεθα, σέ άγκυραν καί ελπίδα, τής ημών σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

Τών Αγίων

Ωδή ς'

Τήν δέησιν εκχεώ

Ερμόλαος ο γενναίος οπλίτης, Ερμοκράτης τε καί Έρμιππος άμα, μίαν

στερρώς επεδείξαντο γνώμην, ένα, Θεόν επί πάντων κηρύξαντες, θανόντες τε διά Χριστόν, ουρανίους στεφάνους εδέξαντο.

Ρανίσι τών εκχυθέντων αιμάτων, εαυτοίς περιφοινίξαντες χλαίναν, θεοπρεπή, αθλοφόροι Κυρίου, τώ Βασιλεί τών αιώνων παρίστασθε, δεόμενοι υπέρ ηνών, σύν απάσαις ταίς άνω Δυνάμεσι.

Μεμύηται τήν εν Πνεύματι θείω, διά σού Παντελεήμων ο μέγας, πίστιν ορθήν, καί αθλήσας νομίμως, τού μαρτυρίου σοι πρόξενος γέγονεν, Ερμόλαε, μεθ' ού Χριστόν, τόν Θεόν υπέρ πάντων ικέτευε.

Θεοτοκίον

Ο κλύδων με τών αμέτρων πταισμάτων, συνταράττει καί βυθώ παραπέμπει, διηνεκώς, απογνώσεως Κόρη, Αλλά προφθάσασα χείρά μου όρεξον, καί δίδου μοι πρός γαληνούς, μετανοίας λιμένας ορμίζεσθαι.

## Τής Αγίας

Θύσω σοι, μετά φωνής

Αγγέλου, παρουσία τήν στέρνοις τεθείσάν σοι, μεγίστην πάνσεμνε πλάκα, καί χειρών τούς ήλους ένδοξε Μάρτυς, ο Δεσπότης, ροπή θεία θάττον ηφάνισε.

Νέαν σε, πρωτομάρτυρα Θέκλαν δοξάζομεν, οια κηρύξασαν πάσι, καί πολλούς φωτίσασαν θείω λόγω, καί απίστους, πρός τήν ένθεον πίστιν ρυθμίσασαν.

Έρρει σου, τών ενθέων δογμάτων ο σύλλογος, μελισταγών εκ χειλέων, καί τήν γνώσιν πάντων εδίδασκες, παρρησία Παρασκευή Μαρτύρων αγλάϊσμα.

Θεοτοκίον

Ώ θαύμα, τών απαντων θαυμάτων και νότερον! ότι Παρθένος εν μήτρα, τόν τά σύμπαντα περιέποντα, απειράνδρως, συλλαβούσα ουκ εστενοχώρησεν.

Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Κοντάκιον Ήχος δ'

Επεφάνης σήμερον

Τόν ναόν σου πάνσεμνε, ως ιατρείον ψυχικόν ευράμενοι, εν τουτώ πάντες οι πιστοί, μεγαλοφώνως τιμώμέν σε, Οσιομάρτυς Παρασκευή αοίδιμε.

Ο Οίκος

Η τού νυμφίου σε φωνή καλέσασα ως νύμφην, στεφάνω αφθαρσίας εκόσμησε, θεόφρον Παρασκευή πανευκλεής, καί μετά αθλοφόρων καί μαρτύρων τών σεπτών αξίως συνηρίθμησε, μεθ' ών ευφραινομένη, μέμνησο τών εκτελούντων τήν αγίαν εορτήν σου, καί συνελθόντων ένδον τού ναού σου, εν αυτώ γάρ νυνί παρεστώτες από ψυχης προσφερομέν σοι τούς ύμνους, Οσιομάρτυς Παρασκευή αοίδιμε.

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΣΤ' τού αυτού μηνός, Μνήμη τών Αγίων Ιερομαρτύρων Ερμολάου, Ερμίππου καί Ερμοκράτους.

Στίχοι

- Ερμιππος, Ερμόλαος ήδ' Ερμοκράτης
- Ερμήν σέβοντας ήσχυναν παρρησία.
- Ερμόλεως έκτη τε καί εικάδι δειροτομήθη.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Οσιομάρτυρος τού Χριστού Παρασκευής.

Στίχοι

- Θεώ παρεσκεύασας αγνόν ως δομον,
- Σαυτήν άγουσα, Σεμνή, εις κατοικίαν.
- Παρασκευήν έκτανεν εικάδι χαλκός εν έκτη.

Μνήμη τής αγίας μάρτυρος Ωραιοζήλης.

Τή αυτή ημέρα, Μνήμη τού Οσίου Ιγνατίου τού Στειρωνίτου, καί τών εγκαινίων τού ναού τού, Αρχαγγέλου Γαβριήλ, πέραν εν Χάλδαις, καί τών Αγίων Αππίωνος καί Ιερουσαλήμ.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

### Τών Αγίων

### Ωδή ζ'

Οι εκ τής Ιουδαίας

Λαμπρυνθείς τώ αδύτω, φωτισμώ τής ενθέου πίστεως Όσιε, πρός φώς θεογνωσίας, πληθύν τών σωζομένων, μελωδούσαν ωδήγησας, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Αδελφά συμφρονούντες, Ερμοκράτης ο μέγας καί θείος Έρμιππος, Ερμόλαε παμμάκαρ, σύν σοί τό μαρτυρίου, πόμα πίνουσι ψάλλοντες, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Ορεκτών ακροτάτω, προσεπέλασας Μάρτυς θέσει θεούμενος, καί νύν μετά Μαρτύρων, γηθόμενος κραυγάζεις, τώ Δεσπότη Ερμόλαε, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Υπερθέου Τριάδος, εκκαιόμενοι πόθω, Μάρτυρες Ένδοξοι, τό πύρ τής αθεϊας, αιμάτων ταίς ρανίσι, κατεσβέσατε ψάλλοντες, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Θεοτοκίον

Παναγία Παρθένε, η Θεόν σαρκοφόρον αποκυήσασα, εκ πάσης αμαρτίας, καί θλίψεως βοώντα, τόν λαόν σου περίσωζε, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Τής Αγίας

Εν τή καμίνω Αβραμιαίοι

Υπό Κυρίου, σύ φρουρουμένη πρό βήματος ασεβών, Μάρτυς, τάς μασχάλας έστεγες, καρτερώς φλεγομένη καί υπέψαλλες, Ευλογητός εί ο Θεός μου βοώσα καί Κύριος.

Φλέξαν μηδόλως, τούς παρανόμους καίει μάλλον τό πύρ, Κόρη, ο Χριστός δέ φυλάττει σε αβλαβή, καθώς πάλαι διεσώσατο, πυρός τού βρέμοντος, αδεείς Νεανίας χειρί κραταιά.

Ήπειρον πάσαν, σαφώς καί πόλον μή τεκτηνάμενοι, όντως, τά δαιμόνια ξόονα καί θεοί, απολέσθωσαν εκραύγαζες, Χριστός δέ κυριος, πλαστουργός εστι πάντων εκήρυττες.

Θεοτοκίον

Τό τού Υψίστου, ηγιασμένον θείον σκήνωμα, χαίρε, διά σού γάρ δέδοται η χαρά, Θεοτόκε τοίς κραυγάζουσιν, Ευλογημένη σύ εν γυναιξίν, υπάρχεις Πανάμωμε.

Τών Αγίων

Ωδή η'

Επταπλασίως κάμινον

Ο ιερός Ερμόλαος, Ιερώς φωτιζόμενος, τώ δι' ευσπλαγχνίαν, δι' ημάς ως πρόβατον, τυθέντι αναίμακτον, θυσίαν προσενήνοχε, καί σφαγιασθείς υπέρ αυτού εκουσίως, ευπρόσδεκτος θυσία, προσηνέχθη κραυγάζων, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Νενεκρωμένος πρόσεισιν, απιστία τό πρότερον, ο Παντελεήμων, καί τό ζήν δρεψάμενος, σεπτή παραινέσει σου, ζωοποιώ προσκλήσει Χριστού, τόν θανατωθέντα, αναστήσας πρός ύψος, ανήλθε μαρτυρίου, μετά σού τόν Σωτήρα, δοξάζων εις αιώνας, Ερμόλαε τρισμάκαρ.

Ο Ιερός Ερμόλαος, ο παμμέγιστος Έρμιππος, καί ο Ερμοκράτης, οι στερροί αδάμαντες, σαρκός ουκ εφείσαντο, ου τοίς γλυπτοίς επέθυσαν, θύματα δεκτά δέ, εαυτούς τώ Δεσπότη, προσήγαγον βοώντες, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Υπό Χριστού ρωννύμενος, ο θεόφρων Ερμόλαος, αποκεκρυμμένον, γενεαίς μυστήριον, πιστοίς απεκάλυπτεν, εγκεκρυμμένος φόβω εχθρών, καί φανερωθείς, τόν φανερώς υπέρ πάντων, τυθέντα Θεόν Λόγον, καταγγέλλει

καί θνήσκει, καί ζή μετά Μαρτύρων, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Σέ τό τερπνόν παλατιον, καί φαιδρόν ενδιαίτημα, τού Παμβασιλέως, Παναγία Δέσποινα, υμνούμεν δεόμενοι, Ναούς ημάς ανάδειξον, τού εκ σού τεχθέντος, καθαρεύσαντας πάσης, κακίας εναντίας, καί βοώντας απαύστως, Λαός υπερυψούται, Χριστόν εις τούς αιώνας.

Τής Αγίας

Χείρας εκπετάσας Δανιήλ

Ουκ όντας θεούς αλλά ψευδή, δαιμόνων φάσματα, Μάρτυς απέδειξας, καί κατηδάφισας τέλεον, καί εις τέλος κατελέπτυνας, εν ευφροσύνη τώ Χριστώ, απαύστως μέλπουσα, Έυλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Ναού δονηθέντος επί γής, επιφοιτήσει σου, Απόλλων πέπτωκε, καί κατηκόντισται ξόανα, ενεργεία τού αχράντου Σταυρού, δι' ού φραχθείσα μυστικώς, εν παρρησία πολλή, ανεβόας, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Κάλλους καί τού πόθου σου Χριστέ, Παρασκευή η αγνή, τρωθείσα έφερε, πυρός τήν έκκαυσιν κράζουσα, εις Οσμήν τού θείου μύρου σου, νύν εναθλούσα καρτερώς, δραμούμαι άληκτα, σού οπίσω, επευλογούσα τό θείόν σου όνομα.

Θεοτοκίον

Σύ μόνη εν πάσαις γενεαίς, Παρθένε άχραντε, Μήτηρ εδείχθης Θεού, σύ τής θεότητος γέγονας, ενδιαίτημα πανάμωμε, μή φλογισθείσα τώ πυρί, τού απροσίτου φωτός, όθεν πάντες, σέ ευλογούμεν Μαρία Θεόνυμφε.

Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

Τών Αγίων

Ωδή θ'

Έφριξε πάσα ακοή

Ίστασο έναντι εχθρών, τόν Χριστόν ομολογών παναοίδιμε, ομολογήσαντα, ομολογίαν επί Πιλάτου καλήν, καί απαχθείς πρός τήν σφαγήν, τήν γήν μέν ηγίασας, τώ θείω αίματι, ουρανούς δέ τή ψυχή κατελάμπρυνας.

Ώφθητε τρίφωτος λαμπάς, θείου Πνεύματος πυρί αναπτόμενοι, Έρμιππε ένδοξε, σύν Ερμοκράτει τώ Ερμολάω τε, καταφαιδρύνοντες ψυχάς, πιστών θεία χάριτι, καί εκδιώκοντες, δυσσεβείας τήν αχλύν παναοίδιμοι.

Στόματι άπαντες λαμπρώ, γεγηθότι τε φρονήματι μέλψωμεν, τούς Αθλοφόρους Χριστού, τήν θείαν δόξαν ώσπερ ιμάτιον, εστολισμένους

ευπρεπώς, καί νύν τά ουράνια, περιπολεύοντας, καί θαυμάτων ποταμούς αναβλύζοντας.

Ήλιε άδυτε Χριστέ, Ερμολάου ιεραίς παρακλήσεσι, Παντελεήμονος, καί Ερμοκράτους καί τών συνάθλων αυτού, μή αποστήσης αφ' ημών, Λόγε τά ελέη σου, αλλά συνήθως ημάς, οικτιρήσας τών Κακών απολύτρωσαι.

Θεοτοκίον

Φείσαί μου Σώτερ ο τεχθείς, καί φυλάξας, τήν τεκούσάν σε άφθορον, μετά τήν κύησιν, όταν καθίσης κρίναι τά σύμπαντα, τάς ανομίας παρορών, καί τάς αμαρτίας μου, ως αναμάρτητος, ελεήμων ως Θεός καί φιλάνθρωπος.

## Τής Αγίας

Λίθος αχειρότμητος όρους

Ρευστής βιοτής καί προσκαίρου, Μάρτυς τήν μέλλουσαν ηλλάξω, κάλλος τό αμήχανον Οράν, τού σού νυμφίου επειγομένη τρανώς, όθεν στεφάνων έτυχες, τών ακηράτων καλλιπάρθενε.

Ήκουσας φωνής βεβαιούσης, Παρασκευή σού τάς αιτήσεις, θείας ουρανόθεν καί τόν δρόμον, προθύμως Μάρτυς σεμνή διήνυσας, καί πρός αυτόν ανέδραμες, κάραν τμηθείσα τήν ερίτιμον.

Νίκην κατ' εχθρών δωρηθήναι, Παρασκευή Χριστόν εξαίτει, πάσι τοίς τώ θείω ναώ σου, προσερχομένοις εν θερμοτάτη πίστει, καί τών πταισμάτων άφεσιν, καί τών δεινών τήν απολύτρωσιν.

Θεοτοκίον

Ώφθης Χερουβίμ ανωτέρα, καί ουρανών υψηλοτέρα, άχραντε Παρθένε Μαρία, βουλής μεγάλης τεκούσα Άγγελον, τόν τώ Πατρί συνάναρχον, κριτήν απάντων ελευσόμενον.

Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

## Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Ρωσθείσα καλλιπάρθενε, Σταυρώ τώ τού Κυρίου σου, τυράννων έλυσας θράσος, αθλούσα Μάρτυς γενναίως, καί πρός Χριστού απείληφας, βραβεία νίκης πάνσοφε, Παρασκευή πανθαύμαστε, υπέρ ημών δυσωπούσα, τών σέ τιμώντων εκ πόθου.

Θεοτοκίον

Μαρία καθαρώτατον, χρυσούν θυμιατήριον, τής αχωρήτου Τριάδος, δοχείον γεγενημένη, εν ώ Πατήρ ηυδόκησεν, ο δέ Υιός εσκήνωσε, καί Πνεύμα τό πανάγιον, επισκιάσαν σοι Κόρη, ενέδειξε Θεοτόκον.

Εις τούς Αίνους, ψάλλομεν Στιχηρά Προσόμοια γ', δευτερούντες τό α'.

Ήχος α'
Τών ουρανίων ταγμάτων

Εν ταίς αυλαίς τού Κυρίου, χοροβατούσα σεμνή, άμα Παρθένοις Μάρτυς, ταίς φρονίμοις εκείναις, εκείθεν εκομίσω χάριν σοφή, τού ιάσθαι νοσήματα, αποδιώκειν τε πνεύματα μυσαρά, εκ τών πίστει προσιόντων σοι. (Δίς)

Ρήξασα κράτος τυράννων, αθεωτάτων σεμνή, καί πρός Θεόν τάς βάσεις, αναθείσα Παρθένε, ουδόλως επτοήθης, ούτε κρουσμόν, μολυβδίνων σφυρών, ούτε πύρ, ούτε ξεσμούς τών σαρκών σου, ούτε βρασμόν, τών λεβήτων, ούτε ξίφους σφαγήν.

Ασκήσει πρώην τό σώμα, τήξασα Ένδοξε, τό δεύτερον αθλήσει, στομωθείσα τήν φρένα, τοίς πάσιν ανεδείχθης, Μάρτυς Χριστού, ουρανοχάλκευτον φάσγανον, ώσπερ χρυσός εν χωνεία δοκιμασθέν, ταίς αικίαις καλλιπάρθενε.

Δόξα... Ήχος β'

Εν πόλει τού Θεού ημών, εν όρει αγίω αυτού, εκεί κατεσκήνωσεν η Αγία, τήν λαμπάδα άσβεστον τηρήσασα, Ακούσωμεν τής παρθένου εγκώμιον, Ώ Παρθενία, ναός Θεού! ώ Παρθενία, Μαρτύρων δόξαι ώ Παρθενία, Αγγέλων συμμέτοχε.

Καί νύν... Θεοτοκίον

Τήν πάσαν ελπίδα μου εις σέ ανατίθημι, Μήτηρ τού Θεού, φύλαξόν με υπό τήν σκέπην σου.

Καί η λοιπή Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

Εις τήν Λειτουργίαν, ζήτει τά ελλείποντα τή Δ' Δεκεμβρίου.

---

Αρχή

**ΤΗ ΚΖ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τού Αγίου Μεγαλομάρτυρος καί ιαματικού Παντελεήμονος.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Στιχολογούμεν τήν α' στάσιν τού Μακάριος ανήρ. Εις δέ τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά προσόμοια γ' δευτερούντες αυτά.

Ήχος δ'
Ο εξ υψίστου κληθείς

Ο επαξίως κληθείς Παντελεήμων, ότε τό φιλάνθρωπον πάσιν εφήπλωσας, τήν τών ψυχών επιμέλειαν, καί τών σωμάτων, τήν θεραπείαν επιδεικνύμενος, τότε τήν φερώνυμον κλήσιν επλούτησας, τής αρετής τήν αντίδοσιν, καί ευσεβείας, αντιμισθίαν Μάρτυς ευράμενος, στεφανηφόρος καί αήττητος,

στρατιώτης δειχθείς τού Θεού ημών, όν ικέτευε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών. (Δίς)

Ο ιαμάτων τήν χάριν δεδεγμένος, ότε τήν ευσέβειαν πάντων προέκρινας, τής μητρικής αντεχόμενος, θεοσεβείας, καί πατρικήν μισήσας δυσσέβειαν, τότε σου τήν ένθεον αίγλην δεδώρηται, τών φωτισμάτων η άβυσσος, ο φωτοδότης, τού Θεού Λόγος ο μεγαλόδωρος, θεία προγνώσει προειδώς σου, Παντελεήμον σοφέ τήν λαμπρότητα, ήν υπέδειξας πάσιν, ευσεβώς, πολιτευσάμενος. (Δίς)

Ο εξ αύλων πηγών τού σωτηρίου, τών θείων ιάσεων αεί τήν χάριν αντλών, καί δαψιλώς αρυόμενος, καί διανέμων, τοίς προσιούσί σοι παμμακάριστε, πάντας τούς τήν ένδοξον σού καί πανίερον, καί φωτοφόρον πανήγυριν, πιστώς τελούντας, χάριτι θεία τούτους καταύγασον, θεομιμήτω κεχρημένος, προσωνυμία σαφώς καί χρηστότητι, ήν δυσώπησον πάσι, δωρηθήναι τοίς υμνούσί σε. (Δίς)

Δόξα... Ήχος πλ. β'
Βυζαντίου

Εξέλαμψε σήμερον, η σεβάσμιος μνήμη τού Αναργύρου, τούς πιστούς συγκαλούσα πρός ευωχίαν μυστικήν, καί πρός πανήγυριν εόρτιον άγουσα, τών φιλεόρτων τά συστήματα, Επέστη γάρ ημίν θαυματουργός Ιατρός, τάς νόσους πάντων ιώμενος, Παντελεήμων ο στερρός αθλητής, καί πρεσβεύει εκτενώς τώ Κυρίω, εις τό σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Τίς μή μακαρίσει σε, Παναγία Παρθένε; τίς μή ανυμνήσει σου τόν αλόχευτον τόκον, ο γάρ αχρόνως εκ Πατρός εκλάμψας Υιός μονογενής, ο αυτός εκ σού τής Αγνής προήλθεν, αφράστως σαρκωθείς, φύσει Θεός υπάρχων, καί φύσει γενόμενος άνθρωπος δι' ημάς, ουκ εις δυάδα προσώπων τεμνόμενος, αλλ' εν δυάδι φύσεων ασυγχύτως γνωριζόμενος, Αυτόν ικέτευε, σεμνή παμμακάριστε, ελεηθήναι τάς ψυχάς ημών.

Είσοδος. τό, Φώς ιλαρόν, καί τό Προκείμενον τής ημέρας. Ει βούλει ειπείν καί Αναγνώσματα.

Προφητείαις Ησαϊου τό Ανάγνωσμα
(Κεφ. 43, 9-14)

Τάδε λέγει Κύριος, Πάντα τά έθνη συνήχθησαν άμα καί συναχθήσονται άρχοντες εξ αυτών, Τίς αναγγελεί ταύτα εν αυτοίς; ή τά εξ αρχής, τίς ακουστά ποιήσει ημίν, Αγαγέτωσαν τούς μάρτυρας αυτών, καί δικαιωθήτωσαν, Καί ειπάτωσαν αληθή, Γίνεσθέ μοι μάρτυρες, καί εγώ μάρτυς Κύριος ο Θεός, καί ο παίς, όν εξελεξάμην, ίνα γνώτε καί Πιστεύσητε, καί συνήτε, ότι εγώ ειμι, Εμπροσθέν μου ουκ εγένετο άλλος Θεός, καί μετ εμέ ουκ έσται, Εγώ ειμι ο Θεός, καί ουκ έστι πάρεξ εμού ο σώζων. Εγώ ανήγγειλα καί έσωσα, ωνείδισα, καί ουκ ήν εν ημίν αλλότριος. Υμείς εμοί μάρτυρες, καί εγώ Κύριος ο Θεός, ότι απ' αρχής εγώ ειμι, καί ουκ έστιν ο εκ τών χειρών μου εξαιρούμενος. Ποιήσω,

καί τίς αποστρέψει αυτό. Ούτω λέγει Κύριος ο Θεός, ο λυτρούμενος ημάς, ο Άγιος Ισραήλ.

Σοφίας Σολομώντος τό Ανάγνωσμα
(Κεφ. 3, 1-9)

Δικαίων ψυχαί εν χειρί Θεού, καί ου μή άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι. Καί ελογίσθη κάκωσις η έξοδος αυτών, καί η αφ' ημών πορεία σύντριμμα, οι δέ εισιν εν ειρήνη. Καί γάρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Καί ολίγα παιδευθέντες, μεγάλα ευεργετηθήσονται, ότι ο Θεός επείρασεν αυτούς, καί εύρεν αυτούς αξίους εαυτού. Ως χρυσόν εν χωνευτηρίω εδοκίμασεν αυτούς, καί ως ολοκάρπωμα θυσίας προσεδέξατο αυτούς. Καί εν καιρώ επισκοπής αυτών αναλάμψουσι, καί ως σπινθήρες εν καλάμη διαδραμούνται. Κρινούσιν έθνη, καί κρατήσουσι λαών καί βασιλεύσει αυτών Κύριος εις τούς αιώνας, οι πεποιθότες επ' αυτόν, συνήσουσιν αλήθειαν, καί οι πιστοί έν αγάπη προσμενούσιν αυτώ, ότι χάρις καί έλεος εν τοίς οσίοις αυτού, καί επισκοπή εν τοίς εκλεκτοίς αυτού.

Σοφίας Σολομώντος τό Ανάγνωσμα
(Κεφ. 5, 15-23 & 6, 1-3)

Δίκαιοι εις τόν αίωνα ζώσι, καί εν Κυρίω ο μισθός αυτών, καί η φροντίς αυτών παρά Υψίστω. Διά τούτο λήψονται τό βασίλειον τής ευπρεπείας, καί τό διάδημα τού κάλλους εκ χειρός Κυρίου, ότι τή δεξιά αυτού σκεπάσει αυτούς, καί τώ βραχίονι υπερασπιεί αυτών. Λήψεται πανοπλίαν, τόν ζήλον αυτού, καί οπλοποιήσει τήν κτίσιν εις άμυναν εχθρών. Ενδύσεται θώρακα, δικαιοσύνην, καί περιθήσεται κόρυθα, κρίσιν ανυπόκριτον. Λήψεται ασπίδα ακαταμάχητον, οσιότητα, οξυνεί δέ απότομον οργήν εις ρομφαίαν. Συνεκπολεμήσει αυτώ ο κόσμος επί τούς παράφρονας, πορεύσονται εύστοχοι βολίδες αστραπών, καί ως από ευκύκλου τόξου τών νεφών, επί σκοπόν αλούνται, καί εκ πετροβόλου θυμού πλήρεις ριφήσονται χάλαζαι. Αγανακτήσει κατ' αυτών ύδωρ θαλάσσης, ποταμοί δέ συγκλύσουσιν αποτόμως. Αντιστήσεται αυτοίς πνευμαδυνάμεως, καί ως λαίλαψ εκλικμήσει αυτούς, καί ερημώσει πάσαν τήν γήν ανομία, καί η κακοπραγία περιτρέψει θρόνους δυναστών. Ακούσατε ούν, Βασιλείς, καί σύνετε, μάθετε, δικασταί περάτων γής, ενωτίσασθε οι κρατούντες πλήθους, καί γεγαυρωμένοι επί όχλοις εθνών, ότι εδόθη παρά Κυρίου η κράτησις υμίν, καί η δυναστεία παρά Υψίστου.

Εις τήν Λιτήν, Στιχηρά Ιδιόμελα.

Ήχος α'
Βυζαντίου

Αγώνα καλόν ηγωνίσω, καί δρόμον τετέλεκας τού μαρτυρίου σου, Μάρτυς Παντελεήμον, διό εν υψίστοις μετ' Αγγέλων χορεύεις, αντάξια τών πόνων σου, ειληφώς τά άνω βασίλεια, Αλλά πρέσβευε, Ιατρέ παμμακάριστε, δωρηθήναι ημίν τό μέγα έλεος.

Ήχος β'
Ανατολίου

Αναργύρως τήν χάριν παρέχεις τοίς ανθρώποις, Παντελεήμον Μάρτυς ένδοξε, καί πνεύματα διώκεις, τή επικλήσει Χριστού, καί τυφλοίς αναβλέπειν δεδώρησαι, ως αυτού θεράπων γνήσιος, Αλλά πρέσβευε Ιατρέ, παμμακάριστε, τού δωρηθήναι τώ κόσμω, ειρήνην σταθηράν, καί τοίς σέ ποθούσι μέγα έλεος.

Ο αυτός  Τού αυτού

Απεσείσω τήν πλάνην τού πατρός πανένδοξε, καί τούς λόγους τής μητρός εμφρόνως δεξάμενος, υπέρ χρυσίον εκαρποφόρησας, κατά τήν τού Κυρίου φωνήν, καί Ιατρός άριστος εδείχθης, Παντελεήμον Μάρτυς ένδοξε, Βαίνων δέ εν χάριτι εν τή οδώ, εύρες κείμενον χαμερπές νήπιον, υπό εχίδνης δηχθέν, καί πρός Θεόν ευξάμενος, καί εκτενώς δυσωπήσας, ευθύς τόν παίδα ανέστησας, καί τό θηρίον διεσπάραξας, Διό μνημόνευε καί ημών, τών εν πίστει σου τελούντων τό μνημόσυνον.

Ο αυτός  Τού αυτού

Μητρός ευσεβούς επιποθήσας πίστιν, τού πατρός διωρθώσω τήν ασέβειαν, ταίς γάρ Ερμολάου στηριχθείς διδασκαλίαις, εν τούτω καί τό Βάπτισμα ετέλεσας, Παντελεήμον Μάρτυς ένδοξε, τού ελεήμονος Θεού, τών νοσούντων θεραπευτά, καί τών παθών διώκτα, Πρέσβευε λυτρωθήναι εκ περιστάσεως, τούς εν πίστει τελούντας, τήν αεισέβαστον Μνήμην σου.

Ήχος πλ. α'

Γερμανού

Η παμφαής τού Μάρτυρος μνήμη, λάμπει ως ήλιος τοίς πέρασι, καί απαύστως δαδουχεί τοίς πιστοίς τά ιάματα, νόσους αποσοβούσα, καί πάθη θεραπεύουσα, ικετεύει γάρ αεί Παντελεήμων τώ Χριστώ, δωρηθήναι ταίς ψυχαίς ημών τό μέγα έλεος.

Δόξα... Ήχος ο αυτός

Βυζαντίου

Δεύτε φιλομάρτυρες, ομοφρόνως άπαντες ευφημήσωμεν, τόν τού Χριστού, Αθλοφόρον, τόν υπέρ τής ευσεβείας καλώς αγωνισάμενον, καί τό βραβείον τής νίκης αναδησάμενον, τόν φωστήρα τής οικουμένης, καί αειλαμπή αστέρα τής Εκκλησίας, διό καί πρός αυτόν βοώντες είπωμεν, Παντελεήμον Μάρτυς ένδοξε, γενού ημών ψυχών τε καί σωμάτων σωτηρία, καί σκέπη ασάλευτος, πρεσβεύων πρός Κύριον υπέρ ημών αδιαλείπτως, εις τό σωθήναι ημάς.

Καί νύν... Θεοτόκιον

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καί δοξάζομέν σε, οι πιστοί κατά χρέος, τήν πόλιν τήν άσειστον, τό τείχος τό άρρηκτον, τήν αρραγή προστασίαν, καί καταφυγήν τών ψυχών ήμων.

Εις τόν Στίχον

Στιχ. Προσόμοια

Ήχος α'

Τών ουρανίων ταγμάτων

Παντελεήμονος μνήμην, τού ελεήμονος, μετ' εγκωμίων άγειν, φιλομάρτυσι χρέος, ούτος γάρ τόν μόνον εν οικτιρμοίς, καί ελέει ανείκαστον, τή συμπαθεία

ζηλώσας τήν παρ' αυτού, θείαν χάριν εκομίσατο.

Στίχ. Δίκαιος ως φοίνιξ ανθήσει καί ωσεί κέδρος η εν τώ Λιβάνω πληθυνθήσεται.

Τήν κατά γνώμην σύ χάριν, εφιλοσόφησας, εμμελετών τή πράξει, ήν επίβασιν εύρες, μάκαρ θεωρίας τής αληθούς, ευεργέτης γενόμενος, τών κακουμένων εν νόσοις παντοδαπαίς, Χριστόν έχων θείον φάρμακον.

Στίχ. Πεφυτευμένοι εν τώ οίκω Κυρίου, εν ταίς Θεού ημών εξανθήσουσι.

Τίς άν αξίως τούς άθλους εκδιηγήσαιτο, Παντελεήμον Μάρτυς, ούς ανέτλης γενναίως, άπασαν ιδέαν τιμωριών, απελέγξας ανίσχυρον, πρός τόν ενόντα σοι πόθον υπέρ Χριστού, τού σέ νύν αντιδοξάζοντος.

Δόξα... Ήχος πλ. δ'

Βυζαντίου

Μητρικήν αγαπήσας ευσέβειαν, τήν τού πατρός διωρθώσω ασέβειαν, τώ ιατρώ τών ψυχών στρατευσάμενος, ιατρικώς σεαυτόν εξεπαίδευσας, καί θεία χάριτι εν αμφοτέροις ευδοκιμών, τών παθών ολοθρευτής, καί τών ψυχών θεραπευτής αναδέδειξαι, Αλλ' ως εν άθλοις τό εύτονον, καί εν πρεσβείαις τό έμμονον κεκτημένος, Παντελεήμον Μάρτυς τού Χριστού, εκτενώς ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Τά ουράνια υμνεί σε, Κεχαριτωμένη Μήτηρ ανύμφευτε, καί ημείς δοξολογούμεν, τήν ανεξιχνίαστόν σου γέννησιν, Θεοτόκε πρέσβευε, σωθήναι τάς ψυχάς ημών.

Απολυτίκιον  Ήχος γ'

Αθλοφόρε άγιε, καί ιαματικέ Παντελεήμον, πρέσβευε τώ ελεήμονι Θεώ, ίνα πταισμάτων άφεσιν, παράσχη ταίς ψυχαίς ημών.

Καί νύν... Θεοτόκιον

Σέ τήν μεσιτεύσασαν τήν σωτηρίαν τού γένους ημών, ανυμνούμεν Θεοτόκε Παρθένε, εν τή σαρκί γάρ τή εκ σού προσληφθείση, ο Υιός σου καί Θεός ημών, τό διά Σταυρού καταδεξάμενος πάθος, ελυτρώσατο ημάς, εκ φθοράς ως φιλάνθρωπος.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα  Ήχος α

Τόν τάφον σου Σωτήρ

Μητρός τό ευσεβές, αγαπήσας παμμάκαρ, πατρός τό ασεβές, ευσεβώς

διωρθώσω, όθεν καί χάριν είληφας, εκ Θεού παντοκράτορος, τά νοσήματα, τών ασθενών θεραπεύειν, Μάρτυς ένδοξε, Παντελεήμον τών πίστει, θερμή προστρεχόντων σοι.

Δόξα... Καί νύν... Θεοτοκίον

Ελπίς Χριστιανών, Παναγία Παθένε, όν έτεκες Θεόν, υπέρ νούν τε καί λόγον, απαύστως ικέτευε, σύν ταίς άνω Δυνάμεσι, δούναι άφεσιν, άμαρτιών ημίν πάσι, καί διόρθωσιν, βίου τοίς πίστει καί πόθω, αεί σε δοξάζουσι.

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ

Ως στρατιώτην τού Χριστού ακαθαίρετον, καί αθλοφόρον οι πιστοί γενναιότατον, σέ ευφημούμεν άπαντες, Μαρτύρων καλλονή πίστει εορτάζοντες, τήν αγίαν σου μνήμην, Μάρτυς παναοίδιμε, τούς σεπτούς δέ αγώνας, μελωδικώς δοξάζομεν σοφέ, καί τόν Σωτήρα Χριστόν μεγαλύνομεν.

Δόξα... Καί νύν... Θεοτοκίον

Τών ακαθάρτων λογισμών μου τά πλήθη, καί τών ατόπων εννοιών τάς νιφάδας, τίς εξειπείν δυνήσεται Πανάμωμε; τάς επαναστάσεις δέ, τών ασάρκων εχθρών μου, τίς εκδιηγήσεται, καί τήν τούτων κακίαν, Αλλά τή σή πρεσβεία αγαθή, τούτων μοι πάντων τήν λύτρωσιν δώρησαι.

Μετά τόν Πολυέλεον

Κάθισμα Ήχος ο αυτός

Επεφάνης σήμερον

Εορτάζει σήμερον η οικουμένη, τούς σεπτούς αγώνάς σου Παντελεήμον αθλητά, τόν ζωοδότην δόξάζουσα, τόν σέ προστάτην θερμόν αναδείξαντα.

Δόξα... Καί νύν... Θεοτοκίον

Τάς αχράντους χείράς σου, Παρθενομήτορ, εφαπλούσα σκέπασον, τούς πεποιθότας επί σέ, καί τώ Υιώ σου κραυγάζοντας, Πάσι παράσχου Χριστέ τά ελέη σου.

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί Αντίφωνον Α'

- Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.
- Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον Ήχος δ'

Δίκαιος ως φοίνιξ ανθήσει καί ωσεί κέδρος η εν τώ Λιβάνω πληθυνθήσεται.
Στίχ. Πεφυτευμένοι εν τώ οίκω Κυρίου, εν ταίς Θεού ημών εξανθήσουσι.

Πάσα πνοή. Ευαγγέλιον. Ο Ν'.

Δόξα... Ταίς τού Αθλοφόρου...
Καί νύν... Ταίς τής Θεοτόκου...

Πεντηκοστάριον Ήχος β'
Ελεήμονα Χριστόν, Παντελεήμον νύν εκδυσώπει, θείε Ιατρέ, απαλλάξαι με παθών καί ελεήσαί με.

Οι Κανόνες τής Θεοτόκου, καί τού Αγίου.

Ο Κανων τής Θεοτόκου κατά, Αλφάβητον αντίστροφον.
Ποίημα Θεοφάνους.

Ωδή α'
Ήχος β' Ο Ειρμός
«Εν βυθώ κατέστρωσε ποτέ, τήν Φαραωνίτιδα, πανστρατιάν η υπέροπλος δύναμις, σαρκωθείς ο Λόγος δέ, τήν παμμόχθηρον αμαρτίαν εξήλειψεν, ο δεδοξασμένος Κύριος, ενδόξως γάρ δεδόξασται».

Ως ωραίαν ως περικαλή, όλην ως αμώμητον, εν γυναιξί Θεός σέ εκλεξάμενος, σού τήν μήτραν ώκησε, τήν αμώμητον, όν δυσώπει Πανάμωμε, μώμου εγκλημάτων, άπαντας ρυσθήναι τούς υμνούντάς σε.

Ψαλμικώς Αγνή εκ δεξιών, οιά περ Βασίλισσα, τού εκ τής σής νηδύος αναλάμψαντος, Βασιλέως έστηκας, όν ικέτευε, δεξιόν παραστάτην με, δείξαι εν ημέρα, τής ανταποδόσεως Θεόνυμφε.

Χερσωθείσαν φύσιν τών βροτών, πάσιν ατοπήμασι, τόν υετόν τεκούσα τόν ουράνιον, όλην ανεκαίνισας, Αλλά δέομαι, τής ψυχής μου τήν αύλακα, αποχερσωθείσαν, δείξον καρποφόρον Θεονύμφευτε.

Ο Κανών τού Αγίου, ού η Ακροστιχίς.

Παντελεήμονα τόν πανάριστον Μάρτυρα μέλπω.
Θεοφάνους.

Ωδή α'
Ήχος καί Ειρμός ο αυτός
Προσελθών προθύμως τώ Χριστώ, Πρό τής τελειώσεως, τής εν Χριστώ, τόν νεκρόν πρώην ήγειρας, νύν δέ με πανόλβιε, νεκρωθέντα τής αμαρτίας τώ δήγματι, ταίς σαίς ικεσίαις, ώ Παντελεήμον ζωοποίησον.

Ανατείλας οίά περ' αστήρ, φέρων εν νεότητι, πρεσβυτικήν καί θεόφρονα σύνεσιν, καλλονή τε σώματος, τήν ευπρέπειαν τής ψυχής επικτώμενος, τώ δεδοξασμένω, Λόγω καθωράθης ωραιότατος.

Νεκρωθείς τώ κόσμω καί Χριστόν, Μάκαρ ενδυσάμενος, διά λουτρού τού Βαπτίσματος γέγονας, θεοφόρον όργανον, καί δοχείον τής ενεργείας τού Πνεύματος, πάντας θεραπεύων, πάντων ιατρεύων τά νοσήματα.

Τήν σοφίαν φίλην σεαυτώ, περιποιησάμενος, καί κοινωνόν τής ζωής επαγόμενος, υπ' αυτής τετίμησαι, καί στεφάνω τώ τών χαρίτων κεκόσμησαι, θείας αγλαΐας, Μάκαρ αποστίλβων τή λαμπρότητι.

Θεοτοκίον

Ευλογίαις Πάναγνε σεμνή, φύσιν τήν επάρατον, παρακοή γενομένην τού Κτίσαντος, τόν Χριστόν γεννήσασα, εστεφάνωσας, καί φθοράς ηλευθέρωσας, όθεν γεγηθότες, πάντες οι πιστοί σέ μακαρίζομεν.

Καταβασία

«Χοροί Ισραήλ, ανίκμοις ποσί, πόντον ερυθρόν, καί υγρόν βυθόν διελάσαντες, αναβάτας τριστάτας, δυσμενείς ορώντες εν αυτώ υποβρυχίους, εν αγαλλιάσει έμελπον, Άσωμεν τώ Θεώ ημών, ότι δεδόξασται».

Τής Θεοτοκου

Ωδή γ'  Ο Ειρμός

«Εξήνθησεν η έρημος, ωσεί κρίνον Κύριε, η τών Εθνών στειρεύουσα, Εκκλησία τή παρουσία σου, εν ή εστερεώθη η καρδία μου».

Φορέσας με τόν άνθρωπον, εκ γαστρός σου πρόεισιν, ο Ποιητής Πανάμωμε, αφθαρσίας στολήν δωρούμενος, τοίς πολλοίς γυμνωθείσαν ατοπήμασιν.

Υπέρτιμον εκύησας, Θεόν Λόγον Δέσποινα, όν εκτενώς ικέτευε, οικτιρήσαι τήν ταπεινήν μου ψυχήν, ηδονών ατιμίαις σκυθρωπάζουσαν.

Τά τραύματα θεράπευσον, τής ψυχής μου, Άχραντε, τήν ταπεινήν καρδίαν μου, φαρμαχθείσαν ιώ τού όφεως, δραστικώ σου φαρμάκω περιποίησαι.

Τού Αγιου

Ο αυτός

Λογίων τών τού Πνεύματος, επακούσας γέγονας, ως γή καλή καί εύκαρπος, δεξαμένη σπόρον πολύτιμον, καί τεκούσα τρισμάκαρ σωτηρίαν ψυχών.

Ενέκρωσας τό φρόνημα, δρακοντείου δήγματος, καί τήν ψυχήν εζώωσας, θεοπνεύστως αναγεννώμενος, καί Βασιλεί τών όλων παριστάμενος.

Ηλλοίωσας τό άθεον, τών τυράννων πρόσταγμα, καί τώ Χριστώ προσέδραμες, αντί πάντων τούτον κτησάμενος, καί γέγονας θεόφρον μεγαλέμπορος.

Μητρός σου τήν ευσέβειαν, αγαπήσας, Ένδοξε, τήν πατρικήν εμίσησας, αθείαν τήν πολυτάραχον, ως εχέφρων τό κρείττον εκλεξάμενος.

Θεοτοκίον

Ο φέρων θείω νεύματι, πάσαν κτίσιν Κύριος, εν ταίς χερσί βαστάζεται, σού Παρθένε, όν νύν δυσώπησον, ρυσθήναι εκ κινδύνων τάς ψυχάς ημών.

Καταβασία

«Τόξον δυνατών ησθένησε, καί οι ασθενούντες, περιεζώσαντο δύναμιν, διά τούτο εστερεώθη, εν Κυρίω η καρδία μου».

Κάθισμα Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Μαρτυρήσας γενναίως υπέρ Χριστού, καί τήν πίστιν κηρύξας τώ σώ πατρί, ανείλκυσας πανεύφημε, τού βυθού τής αγνοίας, καί τυράννων μή πτήξας, τό άθεον φρόνημα, τών δαιμόνων κατήσχυνας, τό ανίσχυρον θράσος, όθεν καί τήν χάριν, εκ Θεού εκομίσω, ιάσθαι νοσήματα, τής ψυχής καί τού σώματος, Παντελεήμον πανεύφημε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Καί νύν... Θεοτοκίον

Τήν Σοφίαν καί Λόγον εν σή γαστρί, συλλαβούσα αφλέκτως Μήτηρ Θεού, τώ κόσμω εκύησας, τόν τόν κόσμον συνέχοντα, καί εκ μαζών εθήλασας, τόν πάντας εκτρέφοντα, καί εν αγκάλαις έσχες, τόν πάντα βαστάζοντα, όθεν δυσωπώ σε, Παναγία Παρθένε, ρυσθήναι πταισμάτων μου, όταν μέλλω παρίστασθαι, πρό προσώπου τού Κτίστου μου, Δέσποινα Παρθένε αγνή, τήν σήν βοήθειαν τότε μοι δώρησαι, σέ γάρ έχω ελπίδα ο δούλός σου.

Τής Θεοτόκου

Ωδή δ' Ο Ειρμός

«Ελήλυθας, εκ Παρθένου ου πρέσβυς ουκ, Άγγελος, αλλ' αυτός ο Κύριος, σεσαρκωμένος καί έσωσας, όλον με τόν άνθρωπον, διό κραυγάζω σοι, Δόξα τή δυνάμει σου Κύριε».

Σταγόνα μοι, κατανύξεως όμβρισον Δέσποινα, εξαίρουσαν άπαντα, τόν τής καρδίας μου καύσωνα, καί τής αθυμίας μου, τάς βλαβεράς επικλύσεις αναστέλλουσαν.

Ρομφαία με, ηδονής πληγωθέντα καί κείμενον, τραυματίαν, Άχραντε, μή υπερίδης, αλλ' ίασαι, λόγχη καί τώ αίματι, τού σταυρωθέντος Υιού σου καί Θεού ημών.

Πλουτήσασα, δεσποτείαν απάσης τής κτίσεως, δεινώς με πτωχεύσαντα,

χάριτος θείας αξίωσον, όπως μεγαλύνω σε, ως αγαθήν μου προστάτιν Παναμώμητε.

Τού Αγίου

Ο αυτός

Νυττόμενος, τού Δεσπότου τώ πόθω διέσπειρας, τόν πλούτον τοίς πένησι, σαυτόν γυμνάζων πρός άθλησιν, ήνπερ καί διήνυσας, τάς δι' αιώνος ελπίδας προορώμενος.

Αινέσεως, τώ Θεώ τήν θυσίαν προσήνεγκας, σαφώς βδελυξάμενος, τά τών ειδώλων σεβάσματα, όλον δέ τό φρύαγμα, τών ασεβών Αθλοφόρε κατεπάτησας.

Τετρωμένοις, βασκανία καί φθόνω μαχόμενος, τήν ακαταμάχητον, τούτοις αντέστησας δύναμιν, Μάρτυς καί νενίκηκας, τήν δυσσεβή τυραννίδα τροπωσάμενος.

Ο πρεσβύτου, Συμεών εν αγκάλαις κρατούμενος, πρεσβύτου σε ρήμασι, Παντελεήμον εζώγρησε, θείαν πρός επίγνωσιν, καί πρός πολλών σωτηρίαν καί εκλύτρωσιν.

Θεοτοκίον

Νεάνιδες, καί παρθένοι οπίσω σου έδραμον, Παρθένον νεάνιδα, σέ καί Μητέρα θεώμεναι, μόνη γάρ αμφότερα, εις εν συνήψας αφράστως Θεονύμφευτε.

Καταβασία

«Εισακήκοα τήν ένδοξον οικονομίαν σου Χριστέ ο Θεός, ότι ετέχθης εκ τής Παρθένου, ίνα εκ πλάνης ρύση τούς κραυγάζοντας, Δόξα τή δυνάμει σου Κύριε».

Τής Θεοτόκου

Ωδή ε'  Ο Ειρμός

«Μεσίτης Θεού, καί ανθρώπων γέγονας, Χριστέ ο Θεός, διά σου γάρ Δέσποτα τήν πρός τόν αρχίφωτον Πατέρα σου, εκ νυκτός αγνωσίας, προσαγωγήν εσχήκαμεν».

Οδόν τής ζωής, η τεκούσα Άχραντε οδήγησον, οδόν εις ευθείάν με, νύν εις ανοδίας τε καί βάραθρα, χαλεπών συμπτωμάτων, αλόγως κρημνιζόμενον.

Ξενώσας φρενί, εμαυτόν αγνώμονι Παρθένε αγνή, ασώτως εβίωσα, χώραν εις μακράν παθών πλανώμενος, αλλ' επίστρεψον σώσον, ταίς σαίς με παρακλήσεσιν.

Ναμάτων τών σών, ζωηρύτων πότισον τόν δούλόν σου, φλογμώ

συγκαιόμενον, τών αμαρτιών καί φλογιζόμενον, προσβολαίς τών δαιμόνων, Παρθενομήτορ άχραντε.

Τού Αγίου

Ο φωτισμός

Περιχαρώς, τούς αγώνας υπέδυς τού μαρτυρίου, περιπεφραγμένος δυνάμει θεία, καί καρτερία σταθερά τάς βασάνους, υπομένων, χαίρων εκραύγαζες, Έτερον εκτός σου, Θεόν ουκ επίσταμαι.

Αθλητικών, προϊστάμενος Μάκαρ αγωνισμάτων, θεία δυναστεία περιεγένου, τής των αθέων δυσσεβούς τυραννίδος, καί μανίας τής δεισιδαίμονος, τόν αγωνοθέτην, Χριστόν ενδυσάμενος.

Νεανικήν, σύ τήν ένστασιν έχων καί ρωμαλέον, ψυχής τό ανάστημα κεκτημένος, πάσαν αικίαν ρωμαλέως υπέστης, καί ανδρείω Μάκαρ φρονήματι, χάριτι τού θείου, Σταυρού κρατυνόμενος.

Ασυμφανή, διεκρούσατο λέσχην τών πλανωμένων, τή επουρανίω διδασκαλία, ο Αθλοφόρος, καί πολλοίς σωτηρίας, παραδόξου γέγονε αίτιος, τή σή συνεργεία Χριστέ δυναμούμενος.

Θεοτοκίον

Ρήσεις σοφών, καί αινίγματα πάντων δεδοξασμένη, καί τών Προφητών αι προαγορεύσεις, σέ προετύπουν, προφανώς επ' εσχάτων, εσομένην Θεού γεννήτριαν, άλλην γάρ εκτός σου, αγνήν ου γινώσκομεν.

Καταβασία

«Ο τού φωτός διατμήξας τό πρωτόγονον χάος, ως εν φωτί τά έργα υμνεί σε Χριστέ, τόν Δημιουργόν, εν τώ φωτί σου, τάς οδούς ημών εύθυνον».

Τής Θεοτόκου

Ωδή ς'  Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευ σπλαγχνίας σου, επικαλούμαι άβυσσον, Εκ φθοράς ο Θεός με ανάγαγε».

Μή με δείξης δαιμόνων επίχαρμα, εν τώ κριτηρίω τώ μέλλοντι Δέσποινα, αλλ' ευμενώς προσβλέψαι μοι, τόν Κριτήν καί Υιόν σου δυσώπησον.

Λογισμοίς παροργίζων σε Κύριε, καί ταίς πονηραίς καί αθέσμοις μου πράξεσιν, εις ιλασμόν προσάγω σοι, τήν Μητέρα σου, Οίκτειρον σώσόν με.

Κατακρίσεως ρύσαί με Δέσποινα, τόν αυτοκατάκριτον όντα τοίς πταίσμασιν, ως τόν Κριτήν κυήσασα, καί Θεόν τών απάντων καί Κύριον.

Τού Αγίου

Ο αυτός
Ινδαλμάτων τής πλάνης κατέπτυσας, καί κορυφουμένην απάτην κατήργησας, θαυματουργών εξαίσια, καί τελών τάς ιάσεις θεόσοφε.

Στεφανίτης εδείχθης πανάριστος, σύ διά πυρός γάρ διήλθες καί ύδατος, καί εν τροχώ τεινόμενος, παραδόξως ανείλες τούς άφρονας.

Τών τυράννων τό θράσος κατέβαλες, τάς δυσφορωτάτας αικίας τού σώματος, τή τής ψυχής στερρότητι, διαθλήσας θεόφρον εν χάριτι.

Θεοτοκίον
Ο κατέχων τόν γύρον τής γής ως Θεός, εν ταίς σαίς αγκάλαις Αγνή περιέχεται, περιγραφή τού σώματος, ο τή θεία μορφή απερίγραπτος.

Καταβασία
«Εν τώ θλίβεσθαίμε, εβόησαπρός Κύριον, καί επήκουσέ μου, ο Θεός τής σωτηρίας μου».

Κοντάκιον

Ήχος πλ. α'
Μιμητής υπάρχων τού Ελεήμονος, καί ιαμάτων τήν χάριν παρ' αυτού κομισάμενος, αθλοφόρε καί Μάρτυς Χριστού τού Θεού, ταίς ευχαίς σου, τάς ψυχικάς ημών νόσους θεράπευσον, απελαύνων τού αεί πολεμίου τά σκάνδαλα, εκ τών βοώντων απαυστως, Σώσον ημάς Κύριε.

Ο Οίκος
Τού Αναργύρου τήν μνήμην, τού γενναίου τήν άθλησιν, τού πιστού τάς Ιατρείας, ευσεβώς υμνήσωμεν φιλόχριστοι, ίνα λάβωμεν έλεος, μάλιστα οι βορβορώσαντες, ως καγώ, τούς εαυτών ναούς, ψυχών γάρ καί σωμάτων ομού τήν θεραπείαν περέχει, Σπουδάσωμεν ούν, αδελφοί, εν ταίς καρδίαις ημών έχειν τούτον ασφαλώς, τόν ρυόμενον εκ πλάνης τούς βοώντας απαύστως, Σώσον ημάς Κύριε.

Συναξάριον
Τή ΚΖ' τού αυτού μηνός, Μνήμη τού Αγίου ενδόξου Μεγαλομάρτυρος καί ιαματικού Παντελεήμονος.

Στίχοι
- Γαλακτόμικτον, Μάρτυς, αίμα σής κάρας,
- Δι' ήν υδατόμικτον ο Χριστός χέει.
- Φάσγανον εβδομάτη λάχεν εικάδι Παντελεήμων.

Μνήμη τής όσίας μητρός ημών Ανθούσης τής ομολογητρίας, τής εν τή αγιωτάτη μονή τού Μαντινέου.

Οι άγιοι πεντήκοντα τρείς μάρτυρες, οι εκ τής θράκης, εν τή θαλάσση τελειούνται.

Ο όσιος Μανουήλ εν ειρήνη τελειούται.

Τή αυτή ημέρα, ο υπό τού Αγίου Παντελεήμονος ιαθείς τυφλός ξίφει τελειούται.

Στίχοι

- Αυγήν εφευρών σαρκικών τυφλός λύχνων,
- Καί ψυχικήν ήθρησεν αυγήν εκ ξίφους.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τής Θεοτόκου

Ωδή ζ' Ο Ειρμός

«Αντίθεον πρόσταγμα παρανομούντος, τυράννου μετάρσιον, τήν φλόγα ανερρίπισε, Χριστός δέ εφήπλωσε, θεοσεβέσι Παισί, δρόσον τήν τού Πνεύματος, ο ων ευλογημένος καί υπερένδοξος».

Ισχύς μου καί ύμνησις καί σωτηρία, βεβαία αντίληψις, καί τείχος απροσμάχητον, υπάρχουσα Δέσποινα, τούς πολεμούντάς με δαίμονας πολέμησον αεί, επιζητούντας τού θανατώσαί με.

Θεόν σωματώσασα παρθενικών σου, αίμα των εθέωσας, Παρθένε, τό ανθρώπινον, διό με τοίς πάθεσι καταρρυπούμενον, καί καταφθειρόμενον εχθρού ταίς μεθοδείαις, ρύσαι πρεσβείαις σου.

Η κάμινος γέννησιν προδιετύπου, τήν σήν Παναμώμητε, τούς Παίδας γάρ ουκ έφλεξεν, ως ούδέ τήν μήτραν σου τό πύρ τό άστεκτον, όθεν ικετεύω σε, πυρός τού αιωνίου ρύσαι τόν δούλόν σου.

Τού Αγίου

Εικόνος χρυσής

Νομίμως αθλών, καί νικήσας τόν εχθρόν, λιμήν πανεύδιος, τοίς εν θαλάσση Παναοίδιμε, χειμαζομένοις γεγένησαι, φώς δέ τοίς εν σκότει τού βίου, ούς καί μέλπειν εδίδαξας, Ευλογητός εί ο Θεός ο τών Πατέρων ημών.

Μακάριος εί, καί καλώς σοι έσται νύν, Μακαριώτατε, απολαβόντι τήν τρισόλβιον, καί μακαρίαν ελπίδα σου, τήν αποκειμένην τοίς πίστει, τώ Κυρίω κραυγάζουσιν, Ευλογητός εί ο Θεός ο τών Πατέρων ημών.

Αγίων ψυχαί, καί Δικαίων οι χοροί καί η ασώματος, τάξις Αγγέλων προσεδέξαντο, συγχορευτήν σε Μακαριε, ξίφει γάρ τμηθείς τόν αυχένα, μελωδείς αγαλλόμενος, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Ρομφαία τό πρίν, η τού ξύλου τής ζωής, ήιμας χωρίσασα, νύν στρεφομένη

υποδέχεται, τούς σημανθέντας τώ αίματι, τώ εκ τής πλευράς τού Υιού σου, προελθόντι Πανάμωμε, ευλογημένη η Θεόν σαρκί κυήσασα.

Καταβασία

«Αβραμιαίοι ποτέ, εν Βαβυλώνι Παίδες, καμίνου φλόγα κατεπάτησαν, εν ύμνοις κραυγάζοντες, ο τών Πατέρων Θεός ευλογητός εί».

Τής Θεοτόκου

Ωδή η' Ο Ειρμός

«Κάμινος ποτέ, πυρός εν Βαβυλώνι, τάς ενεργείας διεμέριζε, τώ θείω προστάγματι, τούς Χαλδαίους καταφλέγουσα, τούς δέ πιστούς δροσίζουσα, ψάλλοντας, Ευλογείτε πάντα τά έργα τόν Κύριον».

Ζήλου τά καλά, κακών μακρυνομένη, δι' εμμελείας θείων πράξεων, ψυχή μου πρεσβεύουσαν, υπύρ σού τήν Θεομήτορα, καί πάντων ακαταίσχυντον, έχουσαν προστασίαν, ως συμπαθή καί φιλάνθρωπον.

Έλυσας δεσμού, τής πάλαι καταδίκης, Θεοκυήτορ τό ανθρώπινον, όθεν ικετεύω σε, διαλύσαι πάντα σύνδεσμον, κακίας τής καρδίας μου, άχραντε συνδεσμούσα, θεία στοργή με τού Κτίσαντος.

Δόξης τού Πατρός, απαύγασμα τεκούσα, τήν αδοξία σκυθρωπάζουσαν, πταισμάτων καρδίαν μου, Θεοτόκε καταφαίδρυνον, καί δόξης με ανάδειξον, μέτοχον αϊδίου, όπως εν πίστει δοξάζω σε.

Τού Αγίου

Τόν εν καμίνω τού πυρός

Τό περιδέξιον τής σής, ευφυϊας ψυχικήν αμβλυωπίαν, τού πατρός θεραπεύει, αποδιδούσης τό φώς, τοίς πίστει Παμμάκαρ προστρέχουσι, καί πρός τόν Σωτήρα Χριστόν καθοδηγούσης.

Υπέρ Χριστού σφαγιασθείς, πρός αιώνιον ζωήν διεβιβάσθης, καί θεόκλητος ώφθης, προσηγορία Χριστού, τή θεία, θεόφρον τιμωμενος, καί υπερυψών τόν Χριστόν εις τούς αιώνας.

Ρητορικήν αποβαλών, καί δεινήν τών σοφιστών, αδολεσχίαν, τή Χριστού επικλήσει, τών επωδύνων παθών, τάς ρίζας εκτέμνεις ιώμενος, τούς υπερυψούντας Χριστόν είς τούς αιώνας.

Θεοτοκίον

Αθανασίας διαυγή, επιστάμεθα πηγήν σε Θεοτόκε, ως τεκούσαν τόν Λόγον, τού αθανάτου Πατρός, τόν πάντας θανάτου λυτρούμενον, τούς υπερυψούντας αυτόν εις τούς αιώνας.

Καταβασία

«Οι εν Βαβυλώνι Παίδες, τώ θείω πυρπολούμενοι ζήλω, τυράννου καί φλογός

απειλήν, ανδρείως κατεπάτησαν, καί μέσον πυρός εμβληθέντες, δροσιζόμενοι έψαλλον, Ευλογείτε πάντα τά έργα Κυρίου τόν Κύριον».

Τής Θεοτόκου

Ωδή θ'  Ο Ειρμός

«Ανάρχου Γεννήτορος, Υιός Θεός καί Κύριος, σαρκωθείς εκ Παρθένου ημίν επέφανε, τά εσκοτισμένα φωτίσαι, συναγαγείν τά εσκορπισμένα, διό τήν πανύμνητον, Θεοτόκον μεγαλύνομεν».

Γευσάμενος βρώσεως, μή προσηκούσης θάνατον, ο Αδάμ εκ τού ξύλου πικρώς ετρύγησε, ξύλω δέ παγείς ο Υιός σου, τόν γλυκασμόν τής αθανασίας, επήγασεν, Άχραντε, διά τούτό σε γεραίρομεν.

Βασίλισσα πέφυκας, τόν Βασιλέα Κύριον, υπέρ λόγον τεκούσα τόν διαλυ' σαντα, Άδου τά βασίλεια Κόρη, δν εκτενώς δυσώπει τής άνω, βασιλείας άπαντας, αξιώσαι τούς τιμώντάς σε.

Αγάθυνον Δέσποινα, τήν ταπεινήν καρδίαν μου, ηδονών κακωθείσαν ταίς επικλύσεσιν, ως τόν αγαθόν τετοκυία, καί αγαθή υπάρχουσα όλη, καί πρός μετανοίας με αγαθάς πύλας εισάγαγε.

Τού Αγίου

Ο αυτός

Μετέστης γηθόμενος, πρός ορεκτών τό έσχατον, ένθα κατασκηνώσας Μακαριώτατε, τό μακαριώτατον τέλος απολαβείν όντως ηξιώθης, συνών τώ Δεσπότη σου, εις αιώνα τόν απέραντον.

Εφέσεως έτυχες, καί πόθου σου πληρώσεως, συσταζόμενος έτι θερμώ τώ αίματι, τώ υπέρ Χριστού κενωθέντι, καί δι' αυτόν παμμάκαρ χυθέντι, παρ' ού χαίρων είληφας, τούς στεφάνους τών αγώνων σου.

Λεόντων τά χάσματα, καί τών θηρών τά στόματα, Δανιήλ ώσπερ πάλαι σύ εχαλίνωσας, οίδε γάρ αιδείσθαι Μαρτύρων, τήν αρετήν καί άλογος φύσις, διό σε Πανεύφημε, συνελθόντες μακαρίζομεν.

Πλουσίαν χρηστότητα, σοί ο Χριστός χαρίζεται, θησαυρόν ιαμάτων ημίν δωρούμενος, καί Παντελεήμονα θέσει, σέ παρασχων παντί θλιβομένω, λιμένα τε εύδιον, καί προστάτην καί συλλήπτορα.

Θεοτοκίον

Ως πόκος Πανάμωμε, τόν όμβρον τόν ουράνιον, εν γαστρί συλλαβούσα ημίν εκτέτοκας, τόν τήν αμβροσίαν διδούντα, τοίς ως Θεόν αυτόν ανυμνούσι, καί σέ τήν πανύμνητον, Θεοτόκον καταγγέλλουσιν.

Καταβασία

«Ο τόκος σου άφθορος εδείχθη, Θεός εκ λαγόνων σου προήλθε, σαρκοφόρος, ός ώφθη επί γής, καί τοίς ανθρώποις συνανεστράφη, σέ Θεοτόκε, διό πάντες μεγαλύνομεν».

Εξαποστειλάριον

Τοίς Μαθηταίς συνέλθωμεν

Παντελεήμον πάνσοφε, τών σεπτών Αναργύρων, τό ιερόν αγλάϊσμα, καί τών θείων Μαρτύρων, καί χριστωνύμων τό κλέος, ουρανόθεν τάς νίκας, τώ Βασιλεί πρυτάνευσον, καί ειρήνην τώ κόσμω, καί τοίς πιστώς, σέ υμνούσιν, Άγιε, σωτηρίαν, μετά τής Θεομήτορος, υπέρ πάντων πρεσβεύων.

Εις τούς Αίνους, ιστώμεν Στίχ. δ' καί ψάλλομεν Στιχηρά προσόμοια γ', δευτερούντες τό α'.

Ήχος πλ. δ'

Ώ τού παραδόξου θαύματος

Έλεος Θεού μιμούμενος, Παντελεήμων σαφώς, ωνομάσθης κατάλληλον, προσλαβών τό όνομα, καί συμβαίνον τώ πράγματι, ως συμπαθής γάρ, ελεείς άπαντας, διπλήν παρέχων τούτοις τήν ίασιν, τρέφων ιώμενος, καί πρός γνώσιν, Ένδοξε, καθοδηγών, θείαν καί υπέρλαμπρον, Χριστού πανόλβιε. (Δίς)

Έργον προνοίας τής άνωθεν, τό επί σοί γεγονός, τηλαυγώς αναδέδεικται, τών σωμάτων πάθη γάρ, θεραπεύειν σαφέστατα, Παντελεήμον εκδιδασκόμενος, ψυχών εδείχθης ιατρός έτοιμος, λόγω τής χάριτος, ιατρεύων άπαντας, καί ζοφεράς, πλάνης εκλυτρούμενος, τούς σοί προστρέχοντας.

Κάλλει θεόφρον τού σώματος, τήν ψυχικήν καλλονήν, εθυυβόλως αντέθηκας, καί φρενών ευπρέπειαν, τής σαρκός ωραιότητι, καί τούς ορώντας Μάρτυς κατέπληξας, τερατουργίαις λάμπων καί θαύμασιν, άνθει νεότητος, πρεσβυτέρων σύνεσιν, προσειληφώς, πίστει τε καί χάριτι, καταλαμπόμενος.

Δόξα... Ήχος δ'

Βυζαντίου

Σήμερον εξέλαμψε, τού Αθλοφόρου η μνήμη, Δεύτε πιστοί πνευματικώς ευφρανθώμεν, καί τοίς άσμασι τούτον καταστέψωμεν, τόν γάρ αόρατον εχθρόν, τή δυνάμει τού Σταυρού ανδρικώς ετροπώσατο, καί τών τυράννων τάς απείρους βασάνους μή δειλιάσας, νομίμως τό βραβείον εδέξατο τής άνω κλήσεως, καί νύν μετ' Αγγέλων εις αιώνας συναγάλλεται, Αλλ' ώ Μάρτυς τού Χριστού Παντελεήμον, Ιατρέ τών νοσούντων, καί λιμήν τών χειμαζομένων, μή διαλίπης πρεσβεύων τώ ελεήμονι Θεώ, σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Εκ παντοίων κινδύνων τούς δούλους σου φύλαττε, ευλογημένη Θεοτόκε, ίνα σέ δοξάζωμεν, τήν ελπίδα τών ψυχών ημών.

Δοξολογία μεγάλη, καί Απόλυσις

Εις τήν Λειτουργίαν. Τά Τυπικά, καί εκ τού Κανόνος τού Αγίου η γ' καί ς' Ωδή.

Ο Απόστολος
Τέκνον Τιμόθεε, ενδυναμού...
Ζήτει τή ΚΣΤ' Οκτ.

Ευαγγέλιον κατά Ιωάννην
Είπεν ο κυριος, ταύτα εντέλλομαι υμίν...

Κοινωνικόν
Εις μνημόσυνον αιώνιον έσται Δίκαιος. Αλληλούια.

---

Αρχή

## ΤΗ ΚΗ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Αποστόλων καί Διακόνων Προχόρου, Νικάνορος, Τίμωνος καί Παρμενά.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'
Τών ουρανίων ταγμάτων

Εν εκλογή θεοκρίτω προετιμήθητε, διακονείν ταίς χρείαις, τών Αγίων ως όντες, σοφίας θείας πλήρεις, καί φωτισμού, καί τής χάριτος Ένδοξοι, καί νύν οικείτε απαύστως τούς ουρανους, σύν Αγγέλοις ευφραινόμενοι.

ΦωτιστιΚαί ως λαμπάδες Πνεύματος χάριτι, αποδειχθέντες κόσμω, τό τής γνώσεως φέγγος, ή στράψατε πλουσίως, καί τήν αχλύν, τής κακίας επαύσατε, καί μεταστάντες, Απόστολοι πρός τό φώς, εσκηνώσατε τό άδυτον.

Ανευφημείσθω Νικάνωρ ο ιερώτατος, καί Παρμενάς καί Τίμων, καί σύν τούτοις τιμάσθω, ο Πρόχορος ο θείος, οι πληρωταί, τών τού Λόγου προστάξεων, καί πλουτισταί τών απόρων καί πρεσβευταί, πρός Θεόν ημών θερμότατοι.

Δόξα... Καί νύν... Θεοτοκίον

Θεομακάριστε Κόρη τάς ικεσίας ημών, ως ευμενής προστάτις, τών πιστών Θεοτόκε, προσάγουσα τώ Κτίστη, τόν ιλασμόν, αανταμείβου τοίς δούλοις σου, ως παντελής σωτηρία καί ιλασμός, τών ψυχών ημών Πανάμωμε.

Η Σταυροθεοτοκίον

Εν τώ Σταυρώ παρεστώσα, τού σού Υιού καί Θεού, καί τήν μακροθυμίαν, τούτου αποσκοπούσα, έλεγες θρηνούσα, Μήτερ αγνή, Οίμοι! Τέκνον γλυκύτατον, τί ταύτα πάσχεις αδίκως Λόγε Θεού! ίνα σώσης τό αθρώπινον.

Απολυτίκιον

Απόστολοι άγιοι, πρεσβεύσατε τώ ελεήμονι Θεώ, ίνα πταισμάτων άφεσιν, παράσχη ταίς ψυχαίς ημών.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η Συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τών Αγίων ο παρών, ού η Ακροστιχίς.

Μέλπω τάς αυγάς τού νοητού Ηλίου. Ιωσήφ.

Ωδή α' Ήχος δ'

Θαλάσσης, τό ερυθραίον

Μεθέξει, τή πρός τό θείον Πάνσοφοι, φώς χρηματίσαντες, τούς τήν υμών φωσφόρον καί σεπτήν, εορτήν εορτάζοντας, παθών αχλύος ρύσασθε, καί φωτισμού καταξιώσατε.

Εθέλχθητε, γλυκυτάτω έρωτι, Χριστού Μακάριοι, καί τά τερπνά τού βίου τού φθαρτού, ευσεβώς παρωσάμενοι, αυτώ ηκολουθήσατε, μαθητευθέντες αληθέστατα.

Λαμπτήρες, Ανατολής ορμώμενοι τής φωτοδότιδος, φωταγωγοί γεγόνασι ψυχών, Παρμενάς τε καί Πρόχορος, καί Τίμων ο θαυμάσιος, καί ο Νικάνωρ ο θεόπνευστος.

Θεοτοκίον

Πορείαι, αι τού Θεού Πανάμωμε εν σοί εγνώσθησαν, γεγεννημέναι ξένω τοκετώ, ασυγκρίτω ενώσει τε, όθεν ως πάντων Δέσποιναν, τών ποιημάτων σέ δοξάζομεν.

Ωδή γ'

Ευφραίνεται επί σοί

Ως όντες πνευματικαί, νεφέλαι ύδωρ αληθούς γνώσεως, τοίς επί γής Ένδοξοι, εν αγιασμώ εσταλάξατε.

Τού Πνεύματος εκλογή, ως πεπλησμένοι τής αυτού χάριτος, διακονείν Πάνσοφοι, χορείαις τών Αγίων ετάχθητε.

Αινέσωμεν Παρμενάν, τόν ευκλεή καί τόν σοφόν Τίμωνα, καί τόν σεπτόν Πρόχορον, καί τόν υψηλόνουν Νικάνορα.

Θεοτοκίον

Σταλάζοντα γλυκασμόν, καί απολύτρωσιν κακών τέτοκας, τόν αγαθόν Κύριον, άχραντε Παρθένε πανάμωμε.

Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα, Σύμου ισχύς Κύριε,

καί καταφυγή καί στερέωμα».

Κάθισμα  Ήχος α'
Τόν τάφον σου Σωτήρ

Διάκονοι σεπτοί, καί αυτόπται τού Λόγου, καί σκεύη εκλογής, ανεδείχθητε πίστει, Νικάνορ καί Πρόχορε, Παρμενά, Τίμων ένδοξε, όθεν σήμερον, τήν ιεράν υμών μνήμην, εορτάζομεν, εν ευφροσύνη καρδίας, υμάς μακαρίζοντες.

Θεοτοκίον

Ανύμφευτε αγνή, Θεοτόκε Παρθένε, η μόνη τών πιστών, προστασία καί σκέπη, Κινδύνων καί θλίψεων, καί δεινών περιστάσεων, πάντας λύτρωσαι, τούς επί σοί τάς ελπίδας, Κόρη έχοντας, καί τάς ψυχάς ημών σώσον, ταίς θείαις πρεσβείαις σου.

Η Σταυροθεοτοκίον

Ορώσά σε Χριστέ, η πανάμωμος Μήτηρ, νεκρόν επί Σταυρού, ηπλωμένον εβόα, Υιέ μου συνάναρχε, τώ Πατρί καί τώ Πνευματι, τίς η άφατος, οικονομία σου αύτη, δι' ής έσωσας, τό τών αχράντων χειρών σου, σοφόν δημιούργημα;

Ωδή δ'
Επαρθέντα σε ιδούσα

Αναλάμψαντες τώ ύψει τής Εκκλησίας, ώσπερ αστέρες άδυτοι, τόν τής δυσσεβείας, σκοτασμόν διέλυσαν, καί κόσμον εφώτισαν, οι τού Ευεργέτου Απόστολοι.

Υπουργών τώ κατά χάριν Ευαγγελίω, Νικομηδείας γέγονας, Πρόχορε παμμάκαρ, άριστος διδάσκαλος, καί θείος πρωτόθρονος, ποίμνης τού Χριστού προϊστάμενος.

Γέρας θείον εκληρώσω Νικάνορ μάκαρ, σφαγιασθείς ως πρόβατον, σύν τοίς δισχιλίοις, εις Χριστόν ελπίζουσι, καθ' ήν τετελείωται, Στέφανος ημέραν ο πρώταθλος.

Θεοτοκίον

Απειρογάμως εκύησας Θεόν Λόγον, σωματοθέντα Πάναγνε, υπέρ νούν καί λόγον, όθεν κατά χρέος σε, Παρθένον δοξάζομεν, καί χρεωστικώς μακαρίζομεν.

Ωδή ε'
Σύ Κύριέ μου φώς

Σύ Κύριε τούς σους, Μαθητάς ώσπερ σάλπιγγας, απέστειλας εγειρούσας, εκ μνημάτων απάτης, ψυχάς υμνολογούσας σε.

Τίμων ο ιερός, ποιμήν Βόστρων γενόμενος, ηνέγκατο μαρτυρίου, τό μακάριον τέλος, πυρί καταφλεγόμενος.

Ο μέγας Παρμενάς, Αποστόλων επ' όψεσι, κεκοίμηται εκτελέσας, σύν σπουδή θερμοτάτη, τό θείον διακόνημα.

Θεοτοκίον

Υμνούμέν σε δι' ής, τής φθοράς ελυτρώθημεν, Πανάμωμε, τού θανάτου, καί τής πρίν τυραννούσης, κακίας τού αλάστορος.

Ωδή ς'

Θύσω σοι μετά φωνής

Νικάνωρ, τήν ζωήν καταγγέλλων τήν άληκτον, καί τόν Σταυρόν καί τά πάθη, τού δι' ευσπλαγχνίαν σαρκί παθόντος, θανατούται, Ιουδαίων χερσίν αναιρούμενος.

Ο μέγας εξαπτόμενος Τίμων τώ έρωτι, τής τού Κυρίου αγάπης, προσταγαίς ανόμων πυρός εν μέσω, τελειούται, ολοκαύτωμα θείον γενόμενος.

Η θεία, καί φωσφόρος καί χάριτος έμπλεως, υμών Απόστολοι μνήμη, αγιάζει πάντων τάς διανοίας, τών εν πίστει, επιτελούντων ταύτην μακάριοι.

Θεοτοκίον

Τάξεις σε, ασωμάτων Αγγέλων γεραίρουσι, καί Αποστόλων χορείαι, καί Μαρτύρων δήμοι Θεοκυήτορ, τόν γάρ πάντων, Βασιλέα αφράστως εκύησας.

Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΗ' τού αυτού μηνός, Μνήμη τών Αγίων Αποστόλων καί Διακόνων, Προχόρου, Νικάνορος, Τίμωνος καί Παρμνεά.

Στίχοι

- Τετράς Μαθητών, τού θεανθρώπου Λόγου,
- Τριάδα σεπτήν πάσι κηρύττει λόγω.
- Εικάδι ογδοάτη Μυστών ξυνελήλυθε τετράς.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου μάρτυρος Ευσταθίου τού εν Αγκύρα.

Μνήμη τής οσίας μητρός ημών Ειρήνης τής εκ Καππαδοκίας, ασκησάσης εν τή μονή τού Χρυσοβαλάντου.

Η αγία μάρτυς Δροσίς, εν χώνη χρυσή βληθείσα, τελειούται.

Ο όσιος Παύλος ο Ξηροποταμηνός, ο ιδρύσας τάς δύο μονάς, τήν τού Ξηροποτάμου καί τήν τού αγίου Παύλου, ήτοι τήν τού αγίου Γεωργίου, εν Αγίω Όρει, καί εκ γένους βασιλικού, εν ειρήνη τελειούται.

Τή αυτή ημέρα, Μνήμη τού Αγίου μάρτυρος Ακακίου, καί ανάμνησις τών Εγκαινίων τού ναού τής Υπεραγίας Θεοτόκου εν τοίς Διακονίσσης.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

## Ωδή ζ'

### Εν τή καμίνω Αβραμιαίοι

Ολικωτάτη, διανοία Χριστόν αγαπήσαντες, μόνον τόν εν κάλλει όντα ως αληθώς, Παναοίδιμοι ασύγκριτον, κλήρον ειλήφατε, τήν βασιλείαν τήν επουράνιον.

Υπό τού Λόγου, τού εκ Παρθένου ημίν ανατείλαντος, λόγω τιμηθέντες έργοις τε ιεροίς, των πιστών σωτήρες ώφθητε, τούτους μετάγοντες, πρός τήν ομολογίαν θεόληπτοι.

Ήθλησας ξένως, μάκαρ Νικάνορ αναιρούμενος, γνώμη δυσσεβών Εβραίων, καί τώ Χριστώ, ως αρνίον προσαγόμενος, Ευλογημένος εί ο Θεός μου, κραυγάζων καί Κύριος.

### Θεοτοκίον

Λόγω τόν Λόγον, τόν τού Πατρός Κόρη τέτακας, λόγω ουρανόν ποιήσαντα καί τήν γήν, καί δοξάζειν τούτον πάναγνε, λόγον παρέχοντα, τοίς καθαρώς αυτώ νύν πιστεύουσιν.

## Ωδή η'

### Χείρας εκπετάσας Δανιήλ

Ιλύος ερρύσασθε παθών, καί ματαιότητος, τούς πειθαρχήσαντας, υμών διδάγμασι Πάνσοφοι, καί πρός ύψος τούτους γνώσεως, ανεβιβάσατε Θεώ, ευαρεστούντας καλώς καί βοώντας, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Ο θείος τιμάσθω Παρμενάς, ενθέοις άσμασιν, άμα τώ Τίμωνι, καί ο πανεύφημος Πρόχορος, καί Νικάνωρ ο θαυμάσιος, ως μαθηταί τού Ιησού, καί πλουτισταί τών εθνών, τών βοώντων, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Υμάς μετά Πέτρον καί λοιπούς, προκρίτους Κύριος, μαθητάς είλετο, συνταττομένους μέν Ένδοξοι, τοίς λεχθείσιν Εβδομήκοντα, εκλελεγμένους δέ καλώς, ως πλήρεις πίστεως τών Αγίων, διακονήσαι ταίς χρείαις πανεύφημοι.

### Θεοτοκίον

Ιδού θεηγόρων αι φωναί, πέρας εδέξαντο, αποτεκούσης σου, τόν υπερούσιον Κύριον, υπ' εκείνων τόν δηλούμενον, εις σωτηρίαν τών πιστών θεοχαρίτωτε, τών βοώντων, Πάντα τά έργα υμνείτε τόν Κύριον.

### Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον».

## Ωδή θ'

### Λίθος αχειρότμητος όρους

Ωράθητε σκεύη τού Λόγου, πάσαν χωρήσαντα τήν αίγλην, πρόκριτοι σεπτοί Διακόνων, Αγίων χρείαις διακονήσαντες, καί σύν τώ Λόγω πάνσοφοι, δόξης

αρρήτου απολαύοντες.

Σήμερον η σύμπασα κτίσις, υμών τήν μνήμην εορτάζει, Τίμων, Παρμενά καί Νικάνορ, σύν τώ Προχόρω τώ χριστοκήρυκι, αξίως μακαρίζουσα, υμάς θεόπται παμμακάριστοι.

Ήρθητε πρός μέγιστον κλέος, ως Μαθηταί Θεού τού Λόγου, καί σύν Αποστόλων χορείαις, καί ασωμάτων νύν επαγάλλεσθε, μεθ' ών αεί πρεσβεύσατε, ελεηθήναι ημάς ένδοξοι.

Θεοτοκίον

Φωνήν σοι βοώμεν Παρθένε, περιχαρώς τού Αρχαγγέλου, Χαίρε η χαρά τών Αγγέλων, καί Αποστόλων τό σεμνολόγημα, καί Προφητών τό κήρυγμα, καί τών Μαρτύρων τό στεφάνωμα.

Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Καί η λοιπή Ακολουθία τού Όρθρου, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΘ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Μάρτυρος Καλλινίκου, καί τής Αγίας Μάρτυρος Θεοδότης.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά προσόμοια αμφοτέρων.

Στιχηρά τού Αγίου

Ήχος πλ. δ'
Ώ τού παραδόξου θαύματος

Μάρτυς Θεόφρον Καλλίνικε, υπέρ τό ζήν τό θανείν, ευσεβώς προελόμενος, τού Χριστού τόν θάνατον, αληθώς εξεικόνισας, αθανασίας όθεν επέτυχες, καί ανεσπέρου μακαριότητος, ένθα τά τάγματα, τών Αγγέλων πέφυκε, καί αθλητών, πάντων αγαλλόμενος, σκηνώσας ένδοξε.

Μάρτυς παμμάκαρ Καλλίνικε, πρός αοράτους εχθροός, τόν αόρατον Κύριον, συμμαχίαν άμαχον, κεκτημένος ανέστησας, αθανασίας μεγάλα τρόπαια, τόν εξαλείφειν γήν τε καί θάλασσαν, κατακαυχώμενον, τή πυγμή τών άθλων σου, καταβαλών, καί τή τών αιμάτων σου, καταποντίσας ροή.

Τόν τής ευσεβείας πρόμαχον, καί καθαιρέτην εχθρού, καί Μαρτύρων

συνόμιλον, καί ναόν τού Πνεύματος, τού Αγίου γενόμενον, τόν στρατιώτην τού Βασιλέως Χριστού, τών ιαμάτων τό αδαπάνητον, όντως θησαύρισμα, τών πιστών τό στήριγμα, τόν θαυμαστόν, σήμερον Καλλίνικον, ύμνοις τιμήσωμεν.

Στιχηρά τής Αγίας

Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Ως παρθένον καί Μάρτυρα, ως Θεού νύμφην άφθορον, ως τώ θείω Πνεύματι διαλάμπουσαν, ως τόν Χριστόν αγαπήσασαν, εχθρόν δέ αισχύνασαν, ως αθλήσασαν στερρώς, καί πολύπλοκα βάσανα, υπομείνασαν, ευφημούμέν σε πίστει Θεοδότη, καί τήν μνήμην σου τελούμεν, τήν φωταυγή καί σωτήριον.

Νυμφευθείσα εν Πνεύματι, τώ Χριστώ διά πίστεως, ώσπερ προίκα πάνσεμνε προσενήνοχας, τών σών μελών τήν κατάφλεξιν, τούς πόνους τήν άθλησιν, τούς απείρους αικισμούς, τήν τού αίματος πρόσχυσιν, καί πρός θάλαμον, είσω κίσθης τόν θείον στεφηφόρος, Θεοδότη υπέρ πάντων, τών σέ τιμώντων πρεσβεύουσα.

Ως γενναίον αδάμαντα, ως θεόφρονα Μάρτυρα, ως τήν πλάνην λύσασαν τού αλάστορος, καί τόν τής Εύας πολέμιον, γενναίω φρονήματι, συμπατήσασαν είς γήν, ευφημούμέν σε ένδοξε, καί χωρήσασαν, Παραδείσου πρός πλάτος Θεοδότη, Θεωθείσαν καί τυχούσαν, επιτηδείου μεθέξεως.

Δόξα... Καί νύν... Θεοτοκίον

Φωτοφόρον παλάτιον, τού Θεού χαίρε Δέσποινα, καί Αγγέλων χαίρε τό αγαλλίαμα, Χαίρε Αδάμ η ανάκλησις, καί Εύας η λύτρωσις, Χαίρε κλίμαξ νοητή, τούς θνητούς η μετάγουσα, πρός ουράνιον, καί ακήρατον δόξαν, Χαίρε κράτος, ορθοδόξων Βασιλέων, καί αρραγές φυλακτήριον.

Η Σταυροθεοτοκίον

Ως εώρακε Κύριε, η Παρθένος καί Μήτηρ σου, εν Σταυρώ κρεμάμενον εξεπλήττετο, καί ατενίζουσα έλεγε, Τί σοι ανταπέδωκαν, οι πολλών σου δωρεών, απολαύσαντες Δέσποτα, Αλλά δέομαι, Μή με μόνην εάσης εν τώ κόσμω, αλλά σπεύσον αναστήναι, συνανιστών τούς Προπάτορας.

Απολυτίκιον  Ήχος δ'

Οι Μάρτυρές σου Κύριε, εν τή αθλήσει αυτών, στεφάνους εκομίσαντο τής αφθαρσίας, εκ σού τού Θεού ημών, σχόντες γάρ τήν ισχύν σου, τούς τυράννους καθείλον, έθραυσαν καί δαιμόνων, τά ανίσχυρα θράση, Αυτών ταίς ικεσίαις Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τών Αγίων.

Λανων τού Αγίου Καλλινίκου, ού η Ακροστιχίς.

Αθλητά Καλλίνικε, τήν ωδήν δέχου ευμενώς.

Ωδή α'  Ήχος δ'
Άρματα Φαραώ

Άρματι νοητώ, επιβάς ως αληθώς, τριστάτας επόντισας, τού νοητού Αιγυπτίου, εν τή τών αιμάτων σου ερυθρά, Μαρτύρων κλέος Καλλίνικε.

Θείαν περιβολήν, ενδυσάμενος, Σοφέ, στολήν τήν επίγειον, απεξεδύσω παμμάκαρ, καί πρός τόν αγώνα ώρμησας, καί τόν εχθρόν εθριάμβευσας.

Λύσας τάς τού εχθρού, πολυπλόκους μηχανάς, δεσμείς εν τοίς άθλοις σου, καί ανενέργητον τούτον, έρριψας εις γήν Καλλίνικε, καί τοίς ποσί σου συνέτριψας.

Θεοτοκίον

Ήνπερ τών Προφητών, προεώρακε χορός, ως πύλην ουράνιον, καί βάτον ακατάφλεκτον, σέ Παρθενομήτορ άχραντε, Θεόν τεκούσαν επέγνωμεν.

Κανών τής Αγίας Θεοδότης, ου η Ακροστιχίς.

Τήν πρός Θεόν μοι Μάρτυς ίθυνον τρίβον.

Ωδή α'  Ήχος δ'
Θαλάσσης, τό ερυθραίον

Τής θείας, φωτοδοσίας χάριτι, καταλαμπρύνεσθαι, τούς υμνητάς σου μάρτυς τού Χριστού, Θεοδότη δυσώπησον, μαρτυρική λαμπρότητι, καί παρθενία διαλάμπουσα.

Η θείω, δυναμωθείσα Πνεύματι, καί καταισχύνασα, τών πονηρών πνευμάτων τήν πληθύν, Θεοδότη πανεύφημε, πνευματικαίς φαιδρότησι, τούς σέ υμνούντας καταφαίδρυνον.

Νομίμως, πρός τούς αγώνας ένδοξε, Μάρτυς εχώρησας, τών θεοπνεύστων λόγων διδαχαίς, κοσμουμένη λαμπρότατα, καί τάς βουλάς εμώρανας, τών ασεβούντων παναοίδιμε.

Θεοτοκίον

Παρθένος, τώ Βασιλεί παρίστασθαι, σύ απηνέχθης Χριστώ, τής εκλεκτής οπίσω καί σεπτής, υπέρ νούν Θεομήτορος, καί ιερόν ανάθημα, επουρανίου ναού γέγονας.

Τού Αγίου

Ωδή γ'
Ο στερεών βροντήν

Τή τού Χριστού αγάπη τετρωμένος, ο Μάρτυς ανέκραζεν, εν τοίς αγώσιν εγκαρτερών, Εις οσμήν δραμούμαι μύρων, ακολουθών τώ Πάθει σου, τή

αθλήσει τή δι' αίματος.

Ανεπιβούλευτος διετηρήθης, έκ τών βελών τού όφεως, τήν σήν γάρ πτέρναν ο σοφιστής, εν τοίς ήλοις διατρήσας, τήν κεφαλήν συντρίβεται, Καλλίνικε τοίς άθλοις σου.

Κατατεμών τής πλάνης τάς ακάνθας, μαχαίρα τή τού Πνεύματος, τήν τού Χριστού πίστιν απλανώς, εγεώργησας Παμμάκαρ, εις εκατόν τούς πόνους, προσάξας τώ Δεσπότη σου.

Θεοτοκίον

Ανερμηνεύτου τόκου καί λοχείας, σύ μόνη μήτηρ γέγονας, εν τή νηδύϊ σου τόν πρό σού, συλλαβούσα Θεόν Λόγον, καί γαλουχούσα Παρθένος, ως βρέφος τόν προάναρχον.

Τής Αγίας

Ευφραίνεται επί σοί

Ρημάτων σου ταίς πλοκαίς, περισχεθείς ο δυσσε&ής τύραννος, ταίς φυλακαίς ώετο, αντικατασχείν τήν ανδρείαν σου.

Ο πόθος ο τού Θεού, τήν προθυμίαν τής ψυχής εύτονον, Μάρτυς Χριστού έδειξε, καί η τού Σωτήρος επίπνοια.

Σαρκός μέν περιφρονείν, επιμελείσθαι δέ ψυχής έσπευσας, όθεν δειναίς μάστιξι, κατατεμνομένη υπέφερες.

Θεοτοκίον

Θυμίαμα προσηνές, επιτεθέν μαρτυρικοίς άνθραξι, τώ νοητώ άνθρακι, τώ εκ τής Παρθένου σύ γέγονας.

Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα, Σύ μου ισχύς Κύριε, καί καταφυγή, καί στερέωμα».

Κάθισμα  Ήχος γ'

Θείας πίστεως

Ζήλον ένθεον, εν τή ψυχή σου, έχων ένδοξε, τούς ανομούντας, διακενής καρτερικώς διήλεγξας, καί ομιλήσας βασάνοις διήνυσας, τόν σόν αγώνα γενναίω φρονήματι, Μάρτυς Καλλίνικε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Δόξα... Τής Αγίας

Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ

Τόν ωραιότατον Χριστόν αγαπήσασα, καί δι' αγνείας τήν ψυχήν ωραϊσασα, διά παντοίων πόνων τε καί θλίψεων, τούτω κατηγγύησαι, ώσπερ άμωμος νύμφη, όθεν σε ηξίωσεν, ουρανίων θαλάμων, υπέρ ημών πρεσβεύουσαν αυτώ, τών σέ τιμώντων σεμνή Παμμακάριστε.

Καί νύν... Θεοτοκίον

Τή Θεοτόκω εκτενώς νύν προσδράμωμεν, αμαρτωλοί καί ταπεινοί καί προσπέσωμεν, εν μετανοία κράζοντες εκ βάθους ψυχής, Δέσποινα βοήθησον, εφ' ημίν σπλαγχνισθείσα, Σπεύσον, απολλύμεθα, υπό πλήθους πταισμάτων, Μή αποστρέψης σούς δούλους κενούς, σέ γάρ καί μόνην ελπίδα κεκτήμεθα.

Η Σταυροθεοτοκίον

Η παναμώμητος αμνάς καί Παρθένος, όν απεκύησεν Υιόν ηπλωμένον, επί Σταυρού ως έβλεψεν Οδύναις τήν ψυχήν, καιρίαις κατεπλήττετο, καί εβόα θρηνούσα, Πού σου Τέκνον φίλτατον, δωρεών καί θαυμάτων, μνήμη ών απήλαυσεν, ο αχάριστος δήμος; Αλλ' εις τό σώσαι γένος τών βροτών, ταύτα νύν πάσχεις, Υμνώ σου τό εύσπλαγχνον.

Τού Αγίου

Ωδή δ'

Εισακήκοα ο Θεός

Λελουμένος εν ταίς ροαίς, τών σών αιμάτων, παμμάκαρ ώφθης, καθαρώτατος τώ πνεύματι, καί εις λήξιν έφθασας, τών Ασωμάτων Μάρτυς Καλλίνικε.

Λίθος έντιμος αληθώς, ωκοδομήθης τή Εκκλησία, καί ναούς ειδώλων έσεισας, καί εις γήν κατέβαλες, τή ακλινεί ενστάσει τών άθλων σου.

Ιοβόλους τάς τών εχθρών, θωπείας όντως απώσω Μάρτυς, εν τοίς λόγοις δέ τού Πνεύματος, τήν ψυχήν ρωννύμενος, κατά τής πλάνης έστησας τρόπαιον.

Θεοτοκίον

Νύν σε βάτον τήν εν Σινά, προδιαγράφων Μωσής ο μέγας, ακατάφλεκτον εώρακε, τό πύρ τής θεότητος, εν τή νηδύϊ φέρουσαν Άχραντε.

Τής Αγίας

Δι' αγάπησιν Οικτίρμον

Επτερωμένη τώ έρωτι τού Δεσπότου, τών αλγεινών βασάνων, ουκ ησθάνου θεόφρον, τόν νούν μεταστήσασα, πρός τόν σοί ποθούμενον.

Ο απατήσας τήν Εύαν εν Παραδείσω, καταπατείται Κόρης, υπό πόδας ωραίους, Θεοδότης μάρτυρος ως ούσης θεόφρονος.

Νενυμφευμένη Νυμφίω τώ αθανάτω, διά σαρκός θανάτου, πρός ζωήν μετετέθης, αιωνίας λήξεως τυχούσα Πανεύφημε.

Θεοτοκίον

Μεμυημένη τά θεία τώ εκ Παρθένου, καί Θεοτόκου Κόρης, σαρκωθέντι εβόας, Συ μου εί φιλάνθρωπε, ισχύς τε καί ύμνησις.

Τού Αγίου

Ωδή ε'

Ανάτειλόν μοι Κύριε

Ιλύϊ περιέπεσον, ανυποστάτω Κύριε, καί εν βυθώ τής αμαρτίας τε, καί τή καταιγίδι τών δεινών μου πράξεων, εμπαγείς κραυγάζω σοι, Σύ γενού μοι βοηθός.

Κρηπίσι καθηλούμενος, τούς πόδας Μάρτυς έψαλλες, Εν τή οδώ τών μαρτυρίων σου, πλουσίως κατετέρφθην, αθλοθέτα Δέσποτα, υπομένων στίγματα, τή ελπίδι τών μισθών.

Ελαίω σώ τόν έλεον, καλώς εμπορευσάμενος, τού μαρτυρίου τήν λαμπάδα σου, εφαίδρυνας Παμμάκαρ, δι' ής όλος γέγονας, ιερείον άμωμον, ολοκαύτωμα δεκτόν.

Θεοτοκίον

Τών Προφητών τό κήρυγμα, καί Αποστόλων καύχημα, καί τών Μαρτύρων εγκαλλώπισμα, υπάρχεις Θεοτόκε, Θεόν Λόγον φέρουσα, υπέρ λόγον Πάναγνε, τόν πρό αιώνων εκ Πατρός.

Τής Αγίας

Σύ Κύριέ μου φώς

Ο νούς σου ευσεβώς, τή αγάπη τού Κτίσαντος, ενούμενος Θεοδότη, τών τού κόσμου ηδέων, ευτόνως κατεφρόνησεν.

Ιθύνουσα τόν σόν, λογισμόν πρός τήν μέλλουσαν, αιώνιον ευφροσύνην, αθυμίας βασάνων, καί πόνων ουκ εφρόντισας.

Μακρότης ημερών, καί τερπνή αγαλλίασις, δεδώρηταί σοι θεόφρον, αντί κόπων ών είδες, καί πόνων τών κολάσεων.

Θεοτοκίον

Αι θείαι δωρεαί, ταίς παρθένοις καί μάρτυσι, πηγάζουσιν εκ Παρθένου, τού Χριστού γεννηθέντος, τής μόνης Θεομήτορος.

Τού Αγίου

Ωδή ς'

Τών πταισμάτων τή ζάλη

Η τής ποίμνης σου μάνδρα ανεπίβατος, εκ τών θηρίων ετηρήθη τών αιρέσεων, τών σών γάρ άθλων Ένδοξε, κατέχουσα τήν στερράν βακτηρίαν, τών λύκων ώφθη διώκτρια.

Νύξ ηλάθη τής πλάνης τή αθλήσει σου, καί τό τής πίστεως κάλλος εξανέτειλεν, εν τή ομολογία σου Πανένδοξε, τής Τριάδος οπλίτα, ως ήλιος εν

τοίς πέρασιν.

Ως τής πίστεως κήρυξ ακριβέστατος, τώ ασεβούντι εβόας ετοιμότατα, Τί απειλείς τώ έχοντι αδάμαντος, τήν ψυχήν στερροτέραν, τά δέλη γάρ τών αθέων κούφα.

Θεοτοκίον

Διαμένεις εκ τόκου απειρόγαμος, ως πρό τού τόκου καί ανέπαφος, τό γάρ εν σοί μυστήριον Θεόνυμφε, υπέρ έννοιαν πάσαν, καί πάντα λόγον γνωρίζεται.

Τής Αγίας

Θύσω σοι, μετά φωνής

Ρομφαίαι, αι τού εχθρού εις τέλος εξέλιπον, νύν γάρ νεάνιδες τούτον, καί παρθένοι κόραι καταπατούσι, τή δυνάμει, τή τού Σταυρού προδήλως ρωννύμεναι.

Τήν πτώσιν, τής προμήτορος Εύας ανώρθωσαν, αι θυγατέρες αι ταύτης, τοίς τής νίκης άθλοις στεφανωθείσαι, καί ποικίλα, περιφονώς εγείρασαι τρόπαια.

Υπέστης, τήν τού πυρός δριμύτητα πάνσοφε, τού σού νυμφίου τώ πόθω, Θεοδότη μάρτυς πυρπολουμένη, καί τήν φλόγα, τής απάτης ανδρείως κατέσβεσας.

Θεοτοκίον

Στόματι, θεολόγω καί γλώσση θεόφρονι, τάς τών τυράννων θωπείας, απεκρούσω Μάρτυς τόν εκ Παρθένου, σαρκωθέντα, θεολογούσα τής Θεομήτορος.

Ο Ειρμός

«Θύσω σοι μετά φωνής αινέσεως Κύριε, η Εκκλησία Βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τω δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Συναξάριον

Τή ΚΘ' τού αυτού μηνός, Μνήμη τού Αγίου μάρτυρος Καλλινίκου

Στίχοι

- Βληθείς ο Καλλίνικος εν τή καμίνω,
- Τό νικοκαλές εύρε καί θείον στέφος.
- Εικάδι αμφενάτη φλόξ Καλλίνικον κατέδαψε.

Τή αυτή ημέρα, Μνήμη τής λγίας μάρτυρος Θεοδότης, καί τών τέκνων αυτής.

Στίχοι

- Θεώ δοτήν τίθησι τήν Θεοδότην.
- Τό πύρ καμίνου σύν τρισί τέκνοις φίλοις.

Οι άγιοι μάρτυρες πατήρ καί μήτηρ μετά δύο τέκνων αυτών, πυρί

τελειούνται.

Τή αυτή ημέρα Μνήμη τών Αγίων μαρτύρων Μάμαντος καί Βασιλίσκου, εν τοίς Δαρείου, καί τών Αγίων Βενιαμίν καί Βηρίου, πλησίον τών Παλατίων τού Εβδόμου, Καί μνήμη τού μακαρίου Ιωάννου τού Στρατιώτου, καί Κωνσταντίνου Πατριάρχου Κωνσταντινουπόλεως, καί τού ευσεβούς Βασιλέως Θεοδοσίου τού Νέου.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τού Αγίου

Ωδή ζ'
Πύρ φλέγον Άγγελος

Ηδονής μοι πρόξενα, τά τών κολάσεων υπάρχουσι φόβητρα, ου γάρ πύρ ου, μάστιγες, τού αληθούς εραστού μου, ο Μάρτυς εβόα, χωρίσει με.

Νευρούμενος Ένδοξε, τή συμμαχία Χριστού, εις γήν τόν αντίπαλον, εκπαλαίσας έρριψας, καί φερωνύμως εδείχθης, κατά τών τυράννων καλλίνικος.

Διάβολον ήσχυνας, Αγγέλους εύφρανας, τοίς άθλοις σου, Ένδοξε, καί Χριστώ εκραύγαζες, Ευλογητός εί ο μόνος, υπάρχων Θεός τών Πατέρων ημών.

Θεοτοκίον

Έλυσας τώ τόκω σου, Παρθένε άχραντε, Εύας της προμήτορος, τήν αράν, υπάρχεις γάρ, Μήτηρ τού πάντων Δεσπότου, τοίς πάσι χαράν προξενήσασα.

Τής Αγίας

Εν τή καμίνω Αβραμιαίοι

Ιμειρομένη τής Βασιλείας Μάρτυς τών ουρανών, τρίβον, τήν στενήν διώδευσας ακλινώς, δι' αθλήσεως κραυγάζουσα, Ευλογημένος εί εν τώ ναώ τής δόξης σου Κύριε.

Θηριωδίας τής ωμοτάτης απεδείξατο, έργον, Θεοδότη μάρτυς ο δυσσεβής, κατατέμνων σε ταίς μάστιξιν, Ευλογημένος εί αναβοώσα, Θεέ μου καί Κύριε.

Υπομονής σου, καί καρτερίας τε επίχειρα, δόξαν, καί τρυφήν ανώλεθρον ο Χριστός, Θεοδότη εδωρήσατο, Ευλογημένος εί αναβοώση, Θεέ μου καί Κύριε.

Θεοτοκίον

Νενεκρωμένην, τήν ανθρωπίνην φυσιν ήγειρας, μόνη, σύ ζωήν αθάνατον τόν Χριστόν, Θεονύμφευτε γεννήσασα, Ευλογημένη σύ εν γυναιξίν, υπάρχεις πανάμωμε Δέσποινα.

Τού Αγίου

## Ωδή η'

### Τά σύμπαντα Δέσποτα

Χαίροις εντρύφημα, τών αθλητών τής αληθείας, Χαίροις τό καλλώπισμα τής πίστεως καί κλέος, Χαίροις ο λαμπρότατος τών μαρτύρων φωσφόρος, ο τήν πλάνην σκεδάσας τή αθλήσει σου, καί τό φώς αναλάμψας τώ κόσμω, Καλλίνικε πάνσοφε.

Ο τύραννος ησχύνθη, τή τών αγώνων σου ενστάσει, ηττήθησαν δήμιοι τοίς μώλωψί σου Μάκαρ, τοίς ήλοις τής πτέρνης σου κατετρώθη η πλάνη, κατεφλέχθη δέ πάντα καί ηφάνισται, τών ειδώλων τεμένη, πυρί εναθλούντός σου.

Υπέρ τών τιμώντων σε, τή πρός Θεόν σου παρρησία, Καλλίνικε χρώμενος, ικέτευε απαύστως, τής ποίμνης σου πρόστηθι, εξαιρούμενος ταύτην, τών ποικίλων παγίδων τού αλάστορος, καί στηρίζων τή πίστει, εν σοί γάρ αυχεί καί κρατύνεται.

### Θεοτοκίον

Εν Πνεύματι Προφήται, σέ τήν Παρθένον προτυπούσι, σκηνήν τε καί τράπεζαν, καί στάμνον καί λυχνίαν, καί όρος πανάγιον, καί νεφέλην καί πλάκα, κιβωτόν τε καί ράβδον, πύλην ένθεον, δι' ής πάσιν ανθρώποις, ηνοίχθη ο πάλαι Παράδεισος.

## Τής Αγίας

### Χείρας εκπετάσας Δανιήλ

Ουδέν Αθληφόρε τών δεινών, ού πύρ ου μάστιγες, ουδέ στρεβλώσεις μελών, αλλ' ουδέ θάνατος ίσχυσε, διαρρήξαι τήν συνάφειαν, πρός τόν Δεσπότην καί στοργήν, δι' ής εκραύγαζες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Νυμφώνα τερπνόν καί καθαρόν, ο σός νυμφίος Χριστός, σοί νύν δεδώρηται, διπλαίς εκλάμπουσαν χάρισι, καθορών σε πανσεβάσμιε, όνπερ ποθήσασα θερμώς, χαίρουσα έψαλλες, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Τώ πόθω κατάλληλον ισχύν, ο εραστής σου Χριστός, σαφώς ενέπνευσε, δι' ής τήν άστεκτον ήλεγξας, αθεότητα Πανόλβιε, καί τούς ποικίλους πειρασμούς, έφερες ψάλλουσα, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

### Θεοτοκίον

Ρήμασιν επόμενοι τοίς σοίς, σέ μακαρίζομεν θεομακάριστε, μακαριότητος ένθεον, ευρηκότες σε υπόθεσιν, τήν τόν μακάριον ημίν, Λόγον γεννήσασαν, ώ βοώμεν, Πάντα τά έργα υμνείτε τόν Κύριον.

### Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, Παίδες κραυγάζοντες, Ευλογείτε, πάντα τά έργα Κυρίου τον Κύριον».

## Τού Αγίου

### Ωδή θ'

Τόν άσπορον τόκον σου

Υφάνθη σοι άνωθεν, ο χιτών τής πίστεως, δι' ού απεγύμνωσας τόν εχθρόν εν σταδίω, Μάρτυς ένδοξε.

Μεμηνώς ο τύραννος, υπεκλύειν ώετο, θωπείαις τόν Μάρτυρα, αλλ' αυτός τή πίστει εστερέωτο.

Ευθές ολοκαύτωμα, καί δεκτόν θυμίαμα, Καλλίνικε ένδοξε, τώ πυρί τών αγώνων προσηνέχθης Θεώ.

Νέον σε Παράδεισον, οι πιστοί γνωρίσαντες, τοίς πόνοις τών άθλων σου, ως εκ θείων ναμάτων ποτιζόμεθα.

Ωραίοι οι πόδες σου, αθλητά Καλλίνικε, τοίς ήλοις πειρώμενοι, καί πρός κήρυγμα θείον πορευόμενοι.

Θεοτοκίον

Σκέπην σε κεκτήμεθα, καί λιμένα Πάναγνε καί όπλον καί άγκυραν, καί βεβαίαν ελπίδα εν κινδύνοις αεί.

## Τής Αγίας

Λίθος αχειρότμητος όρους

Ίλεων γενέσθαι θεόφρον, τόν σόν αθάνατον Νυμφίον, υπέρ τών υμνούντων σε πόθω, δυσώπει Μάρτυς αξιοθαύμαστε, διά παντός εκλάμπουσα, ταίς λαμπηδόσι ταίς τής χάριτος.

Βήματι παρέστηκας όντως, σύν παρρησία τού Δεσπότου, οια ευσεβής τε καί Μάρτυς, δι' αμφοτέρων ευαρεστήσασα, τώ τήν ισχύν σοι πνεύσαντι, καί πλουτοδότως στεφανώσαντι.

Όλη εί καλή Θεοδότη, πεποθημένη τώ Δεσπότη, όλη φωτοφόρος υπάρχεις, καί μώμος όλως Μάρτυς ουκ έστιν εν σοί, σύ γάρ διπλαίς ταίς χάρισι, διαφερόντως κεχαρίτωσαι.

Θεοτοκίον

Νύμφη καί γεννήτρια ώφθης, τού απάντων Βασιλέως, συ γάρ των απ' αιώνος εφάνης, αγιωτέρα πάσης τής κτίσεως, καί διά σού σωζόμενοι, σέ Θεοτόκε μεγαλύνομεν.

Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Εξαποστειλάριον
Επεσκέψατο ημάς

Καί θανούσα ζωηρόν, αιμάτων μύρον έβλυσας, ως εν Θεώ ζώντι ζώσα, καί διαθήκης τής αυτού, κληρονόμος ηξίωσαι, Θεοδότη φρουρούσα, τούς πόθω υμνούντάς σε.

Θεοτοκίον

Η πλατυτέρα ουρανών, πρός ουρανόν απάρασα, μή καταλίπης Αγαθή, ημάς τούς κάτω γηγενείς, πρός τόν εύσπλαγχνον Κύριον, χείρας εις μεσιτείαν, τού Κόσμου εφάπλωσον.

Καί η λοιπή Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Λ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Αποστόλων εκ τών Εβδομήκοντα, Σίλα, Σιλουανού, Κρήσκεντος, Επαινετού καί Ανδρονίκου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Αστραπαίς φωτιζόμενοι, ταίς τού Πνευματος πάνσοφοι, τά τής γής πληρώματα περιήλθετε, καί τούς πιστούς εφωτίσατε, τόν ζόφον μειώσαντες, αγνωσίας τού βυθού, ως τού Λόγου Απόστολοι, όθεν σήμερον, γεγηθότες τελούμεν τήν αγίαν, καί φωσφάρον υμών μνήμην, αγιασμόν κομιζόμενοι.

Ως νεφέλαι μακάριοι, επί πάντα τά πέρατα, υετόν ερράνατε τόν ουράνιον, καί τας ψυχάς κατηρδεύσατε, πιστών θεία χάριτι, άποπνίξαντες δεινά, αθεϊας ζιζάνια, καί τελέσαντες, τάς ψυχάς καρποφόρους τών ανθρώπων, διά τούτο εν αινέσει, υμάς τιμώμεν Απόστολοι.

Συνελθόντες τιμήσωμεν, καί πιστώς μακαρίσωμεν, Σίλαν τόν πανάριστον, καί Ανδρόνικον, Επαινετόν τε καί Κρήσκεντα, καί πόθω τιμήσωμεν, σύν αυτοίς Σιλουανόν, τούς τής πίστεως κήρυκας, τούς προχέοντας, ποταμούς ιαμάτων, καί παντοίων, παθημάτων επηρείας, Πνεύματι θείω εξαίροντας.

Δόξα... Καί νύν... Θεοτοκίον

Κατακρίσεως λύτρωσαι, Παναγία Θεόνυμφε, καί δεινών πταισμάτων, τήν ταπεινήν μου ψυχήν, καί τού θανάτου απάλλαξον, ευχαίς σου καί δώρησαι, δικαιώσεως τυχείν, εν ημέρα ετάσεως, ής επέτυχον, τών Αγίων οι δήμοι, μετανοία, καθαρθέντα με προ τέλους,καί τών δακρύων ταίς χύσεσιν.

Η Σταυροθεοτοκίον

Η αμνάς η κυήσασα, τό αρνίον τό άκακον, τό τήν αμαρτίαν ελθόν ιάσασθαι,

παντός τού κόσμου Πανάχραντε, Οικείω εν αίματι, τό σφαγέν υπέρ ημών, καί ζωώσαν τά σύμπαντα, σύ με ένδυσον, γυμνωθέντα απάσης αφθαρσίας, εξ ερίου τού σού τόκου, περιβολήν θείας χάριτος.

Απολυτίκιον Ήχος γ'

Απόστολοι άγιοι, πρεσβεύσατε τώ ελεήμονι Θεώ, ίνα πταισμάτων άφεσιν, παράσχη ταίς ψυχαίς ημών.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, οι Κανόνες τής Οκτωήχου, καί τών Αποστόλων ο Παρών, ού η Ακροστιχίς.

Πανευκλεείς μαθητάς υμνώ τού Λόγου. Ιωσήφ.

Ωδή α' Ήχος β'
Τώ τήν άβατον

Παριστάμενοι, θρόνω τώ θείω πάντοτε, φέγγει τε λαμπρυνόμενοι, αδύτω Άγιοι, φωτισμόν πνευματικόν, άπασιν αιτήσασθε, εκ τού τών φώτων Πατρός, καταπεμφθήναι ημίν, πιστώς υμάς γεραίρουσιν.

Αναλάμψαντα, δικαιοσύνης ήλιον, Ένδοξοι θεασάμενοι, Κόρης θεόπαιδος, εκολλήθητε αυτώ, θείαν Κατά μέθεξιν, φώς χρηματίζοντες, καί απηλάσατε, απάτης ζόφον άπαντα.

Νόμον ένθεον, επί τής γλώττης φέροντες, πάσαν τήν γήν διήλθετε, τήν ανομίαν αυτής, υπεξαίροντες σοφοί, Κρήσκη, Ανδρόνικε, Σίλα καί Σιλουανε, καί κατασπείραντες, τήν γνώσιν τήν σωτήριον.

Επαινέσωμεν, Επαινετόν τόν ένδοξον, Καρθαγενέων καύχημα, θείον γενόμενον, καί τού Λόγου Μαθητήν, καί τών ιαμάτων, πηγήν καί μέγαν κήρυκα, τών υπέρ έννοιαν, καί πίστεως εδραίωμα.

Θεοτοκίον

Υπερύμνητον, Θεόν αρρήτως τέτοκας, σάρκα εκ σού φορέσαντα, δι' αγαθότητα, υπερύμνητε Αγνή, όθεν εν φωναίς, ευχαριστηρίοις υμνολογούμέν σε, καί μακαρίζομεν, ως πάλαι προεφήτευσας.

Ωδή γ'
Εν πέτρα με τής πίστεως

Κηρύξαντες τήν σάρκωσιν τού Δεσπότου, καί λύσαντες τόν σύνδεσμον τής κακίας, τούς πάλαι δεδεμένους τή απιστία, Σοφοί ελύσατε, μεγαλοκήρυκες, καί Θεώ προσήξατε διά πίστεως.

Λαμπτήρες τής αδύτου φωτοχυσίας, γενόμενοι τό σκότος τής ασεβείας ηλάσατε δεικνύοντες τοίς ανθρώποις, τής επιγνώσεως τό φώς Πανεύφημοι,

διά τούτο πάντοτε μακαρίζεσθε.

Εις πάσαν εξελήλυθε καθώς ψάλλει, Δαυϊδ τών Αποστόλων ο θείος φθόγγος, διδάσκων τά Παθήματα τού Σωτήρος, καί τήν Ανάστασιν, δι' ής ανέστημεν, εκ μνημάτων άπαντες τής ματαιότητος.

Θεοτοκίον

Ευρών σε τών Αγγέλων καθαρωτέραν, υπέδυ τήν γαστέρα σου τήν αγίαν, ο φώς οικών απρόσιτον Θεοτόκε, καί ώφθη άνθρωπος, εκ σού σαρκούμενος, εν δυσί ταίς φύσεσι γνωριζόμενος.

Ο Ειρμός

«Εν πέτρα με τής πίστεως στερεώσας, επλάτυνας τό στόμα μου επ' εχθρούς μου, ηυφράνθη γάρ τό πνεύμά μου εν τώ ψάλλειν, Ουκ έστιν Άγιος, ως ο Θεός ημών, καί ουκ έστι δίκαιος, πλήν σου Κύριε».

Κάθισμα Ήχος δ'

Επεφάνης σήμερον

Ως αστέρες μέγιστοι τήν οικουμένην, ευσεβείας λάμψεσι, φωταγωγούντες ευσεβώς, εις τόν αιώνα δοξάζεσθε, θαυματοφόροι Κυρίου Απόστολοι.

Θεοτοκίον

Τάς αχράντους χείράς σου Παρθενομήτορ, εφαπλούσα σκέπασον, τούς πεποιθότας επί σοί, καί τώ Υιώ σου κραυγάζοντας, Πάσι περάσχου Χριστέ τά ελέη σου.

Η Σταυροθεοτοκίον

Επί ξύλου βλέπουσα, αναρτηθέντα, τόν Υιόν σου Πάναγνε, σπλάγχνα μητρώα γοερώς, σπαραττομένη εκραύγαζες, Οίμοι! πώς έδυς, τό φώς μου τό άχρονον;

Ωδή δ'

Υμνώ σε ακοή γάρ Κύριε,

Ισχύϊ, τού τά πάντα Κτίσαντος, διελθόντες τήν οικουμένην, καθά περ υπόπτεροι, εσώσατε τούς εν πελάγει, δεινώς θεοφόροι κινδυνεύοντας, καί γαληνόν πρός όρμον ωδηγήσατε.

Στηρίζων, παρειμένας ένδοξε, διανοίας τώ λόγω Σίλα, σύν Παύλω τώ κήρυκι, πεπόρευσαι εις πάντα κόσμον, πολλοίς πειρασμοίς περιαντλούμενος, καί τόν Σωτήρα άπασι κηρύττων τρανώς.

Μεγίστοις αγαθοίς κοσμούμενος, συμπεπόρευσαι εξ Εώας, μέχρις αυτής Δύσεως, ώσπερ ακτίς, τώ Παύλω Σίλα σοφέ, φωταυγής ηλίω πέλοντι, καί τών εθνών καρδίας εφωτίσατε.

Αινείσθω, Κρήσκης καί Ανδρόνικος, καί σύν Σίλα μεγαλυνέσθω, Σιλουανός σήμερον, Επαινετός τε επαινείσθω Χριστού, τής αμπέλου χρηματίζοντες βότρυες, γλεύκος στάζοντες σωτήριον.

Θεοτοκίον

Θαυμάτων, υπερέχον πέφυκε, τό εν σοί γενόμενον θαύμα, νομίμων γάρ άνευθεν, τής φύσεως τόν νομοδότην Χριστόν, αποτίκτεις, τήν παράβασιν τών προπατόρων, λύοντα Πανάμωμε.

Ωδή ε'

Ο φωτισμός

Ήρθη τών σών, Μαθητών υπεράνω τών ουρανίων, η μεγαλοπρέπεια κηρυττόντων, τοίς επί γής σου, τήν σεπτήν παρουσίαν, καί τά πάθη καί τήν ανάστασιν, Λόγε τού Θεού, Ιησού υπεράγαθε.

Τό διαυγές, καί υπέρλαμπρον σκεύος τού Παρακλήτου, τών πεπλανημένων τήν οδηγίαν, Θεσσαλονίκης τό περίδοξον εύχος, Αποστόλων τό εγκαλλώπισμα, τόν Σιλουανόν τόν σοφόν ευφημήσωμεν.

Ανδρειωθείς, φερωνύμως τού Λόγου τή συμμαχία, πάνσοφε Ανδρόνικε διαθεεις, επιστηρίζων παρεθείσας καρδίας, επηρείαις τού πολεμήτορος, καί φωταγωγών εις Θεού κατανόησιν.

Θεοτοκίον

Σέ ο Δαυϊδ, προδιέγραψεν όρος τετυρωμένον, όρος τού Θεού ημών, όρος πίον, εν σοί γάρ Κόρη, εγνωρίσθησαν τούτου, αι πορείαι σάρκα πτωχεύσαντος, καί πρός τό αρχαίον ημάς επανάξαντος.

Ωδή ς'

Πρός Κύριον εκ κήτους

Υψούμενοι πρός Κύριον, καθαραίς συννεύσεσι, τούς κατανεύσαντας, απωλείας πρός τά βάραθρα, ειλκύσατε σοφοί, ύψος πρός ουράνιον, υψηλής θεωρίας καί πράξεως.

Μονάδα μέν ουσία, χαρακτήρσι Τριαδα δέ, θεομακάριστοι, εν τοίς πέρασι κηρύξαντες, πολύθεον αχλύν, παντελώς ελύσατε, καί φωστήρες ψυχών ανεδείχθητε.

Νευρώσας σου Χριστός τόν λογισμόν, Κρήσκη πάνσοφε, τής εν Γαλλία σε, Καρχηδόνος Αρχιποίμενα, ως τούτου μαθητήν, ευσεβώς απέδειξε, πλανωμένοις τήν τρίβον δεικνύοντα.

Θεοτοκίον

Ωραίαν σε κάλλει, ο Ποιητής ευράμενος, εν σοί εσκήνωσε, καί ωραίος υπέρ άπαντας, υιούς τών γηγενών, ώφθη σωματούμενος, Παναγία Παρθένε πανύμνητε.

Ο Ειρμός

«Πρός Κύριον εκ κήτους, ο Ιωνάς εβόησε, Σύ με ανάγαγε, εκ πυθμένος Άδου δέομαι, ίνα ως Λυτρωτή, εν φωνή αινέσεως, αληθείας τε πνεύματι θύσω σοι».

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Λ' τού αυτού μηνός, Μνήμη τών Αγίων Αποστόλων εκ τών

Εβδομήκοντα, Σίλα, Σιλουανού, Κρήσκεντος, Επαινετού καί Ανδρονίκου.

Στίχοι

- Επαινετός Κρήσκης τε καί Σιλουανός,
- Σίλας καί Ανδρόνικος, αινείσθων άμα.
- Πέντ' έβαν εκ βιότου μύσται Θεού εν τριακοστή.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας Μάρτυρος Ιουλίττης τής εκ Καισαρείας.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Ρήτορες ανεδείχθησαν

Τά σκεύη τά χωρήσαντα πάσαν, τού Παρακλήτου τήν χάριν, καί τούς δοχεία τής πλάνης γεγενημένους, αποτελέσαντα δεκτούς Θεώ, Σίλαν καί Σιλουανόν, υμνήσωμεν ενθέως.

Ουκ έστιν ικανός τις επαινείν, Επαινετόν τόν θαυμαστόν, συνεμορφώθη γάρ Χριστώ' τά δι' αυτόν υποστάς παθήματα, βασιλείας τε συμμετέσχε τής αυτού, καλώς ηγωνισμένος.

Υμνείσθω Κρήσκης άσμασι θείοις, ο κεκρυμμένας τάς οδούς, τάς τού Χριστού υποδείξας, καί κατακρίνας εν τή σαρκί αυτού, τήν κατάκριτον αμαρτίαν, καί πολλούς ακατακρίτους δείξας.

Θεοτοκίον

Λύσόν μου τάς σειράς τών πταισμάτων, τή μεσιτεία σου Αγνή, καί τή αγάπη τελείως τού αγαθού Υιού σου πρόσδησον, μακρυνόμενον καθ' εκάστην εξ αυτού, ηδονών ατόπων.

Ωδή η'

Τώ δόγματι τώ τυραννικώ

Ουκ έδωκαν ύπνον οφθαλμοίς, οι άγρυπνοι τού Λόγου υπηρέται, έως ού ύπνου βαρέος πιστούς, πλάνης ελυτρώσαντο, καί φωτός καί ημέρας, υιούς εναπέδειξαν.

Γενόμενοι άρμα τού Θεού, εκτήσασθε αυτόν ηνιοχούντα, πρός επουράνιον νύσσαν ημάς, Απόστολοι ένδοξοι, καί τά άρματα πάντα τής πλάνης συντρίβοντα.

Ο πάνσοφος Σίλας ως Χριστού, διάκονος αξίως επαινείσθω, καί σύν αυτώ δοξαζέσθω πιστώς, Κρήσκης καί Ανδρόνικος, οι φωστήρες, οι πάντα τά έθνη φωτίσαντες.

Τριαδικόν

Υμνήσωμεν τήν ζωαρχικήν, Τριάδα χαρακτήρσι τρισσουμένην, γνωριζομένην δέ φύσει μιά, καί ψάλλοντες είπωμεν, Ευλογείτε τά έργα Κυρίου τόν Κύριον.

Ο Ειρμός

«Τώ δόγματι τώ τυραννικώ, οι όσιοι τρείς Παίδες μή πεισθέντες, εν τή καμίνω βληθέντες, Θεόν ωμολόγουν ψάλλοντες, Ευλογείτε τά έργα Κυρίου τόν Κύριον».

Ωδή θ'

Η τόν πρό Ηλίου

Ιατροί ψυχών τε, καί σωμάτων γεγόνατε σωτήριοι, πνευματικοίς φαρμάκοις εκκαθαίροντες, τούς νοσούντας καί υγιείς, δεικνύντες αμφοτέρωθεν, θεοφεγγείς Απόστολοι, όθεν αξίως μακαρίζεσθε.

Ώφθητε τή ζέσει, τού Πνεύματος ανάπτοντες ως άνθρακες, καί τόν κρυμόν τής πλάνης διελύσατε, καί καρδίας τάς πηγνυμένας πίστει κατεθάλψατε, καί πρός τό έαρ Πάνσοφοι, τής σωτηρίας ωδηγήσατε.

Στησώμεθα χορείαν, εν οίκω τού Θεού ημών δοξάζοντες, Σιλουανόν καί Σίλαν καί Ανδρόνικον, καί τόν μέγαν Επαινετόν, καί Κρήσκεντα τόν πάνσοφον, ως αληθείας κήρυκας, καί πρεσβευτάς ημών υπάρχοντας.

Η αγιωτάτη καί πλήρης, χαρισμάτων θείου Πνεύματος, καί ιερά καί όντως αξιέπαινος, υμών μνήμη θεουργικαίς, ακτίσι καταυγάζουσα, τών ευσεβών τό πλήρωμα, υμνείν υμάς σοφοί προτρέπεται.

Θεοτοκίον

Φείσαί μου ο μέλλων εν δόξη, πάλιν έρχεσθαι θεότητος, κρίναι τήν οικουμένην παντοδύναμε, ικεσίαις τής απειράνδρως, Δέσποτα τεκούσης σε, καί μή εις πύρ εκπέμψης με, κατεγνωσμένον αμαρτήμασιν.

Ο Ειρμός

«Η τόν πρό Ηλίου φωστήρα, τόν Θεόν εξανατείλαντα, σωματικώς ημίν επιδημήσαντα, εκ λαγόνων παρθενικών, αφράστως σωματώσασα, ευλογημένη πάναγνε, σέ Θεοτόκε μεγαλύνομεν».

Καί η λοιπή, Ακολουθία τού Όρθρου, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΛΑ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου καί δικαίου Ευδοκίμου, καί Προεόρτια τής προελεύσεως τού Τιμίου Σταυρού.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά προσόμοια τού Σταυρού γ'.

Ήχος α'

Τών ουρανίων ταγμάτων

Σύμπασα φύσις ανθρώπων νύν προεόρταζε, χαρμονικώς καί σκίρτα, τού Σταυρού γάρ τό ξυλον, μέλλει προτεθήναι πάσι πιστοίς, ιατρείον αδάπανον, καί νοσημάτων λυτήριον καί παθών, καί παντοίων περιστάσεων.

Δεύτε κατίδωμεν ξένον πιστοί τεράστιον, πώς τού Σταυρού τό ξύλον, καταπαύει φλογώσεις, κοιμίζει αλγηιδόνας, πάθους παντός, απαλλάττει τούς κάμνοντας, Προεορτάσωμεν τοίνυν, καί τή αυτού, προελεύσει νύν σκιρτήσωμεν.

Ζώντες όμού καί θανόντες προευτρεπίσθητε, τής γάρ ζωής τό ξύλον, τό τόν Άδην νεκρώσαν, ο φύλαξ τών ανθρώπων, η τών νεκρών εξανάστασις έρχεται, πάσι τήν άφθονον χάριν νύν παρασχείν, τοίς αιτούσι μετά πίστεως.

Καί τού Αγίου γ' Όμοια

Μακαριώτατον τέλος εύρες Ευδόκιμε, ευδοκιμήσας θείαις, αρεταίς φερωνύμως, καί κόσμου ταίς απάταις μή συγχωσθείς, αλλά λάμψας φαιδρότερον, τών τού ηλίου ακτίνων καί τών πιστών, καταυγάσας τά συστήματα.

Η ελεήμων καρδία καί ευσυμπάθητος, ο τής αγάπης λύχνος, ορφανών ο προστάτης, γυμνών καί πενομένων ο σκεπαστής, σωφροσύνης τό άγαλμα, τών εντολών τού Κυρίου ο πληρωτής, ευφημείσθω νύν Ευδόκιμος.

Τή καθαρά σου καρδία Θεόν εζήτησας, καί τά τού κόσμου πάντα, εβδελύξω ηδέα, Ευδόκιμε θεόφρον, όθεν πιστώς, καί τών κόπων αντάμειψιν, παρά Θεού εκομίσω παναληθώς, ως εν τέλει πεφανέρωται.

Δόξα... Τού Αγίου Ήχος β'

Παντός Δικαίου μνήμη μετ' εγκωμίων γίνεται, μεθ' ών καί η σή, θεράπον Χριστού Ευδόκιμε, όπλον γάρ έσχες Σταυρόν, καί κράτος αήττητον, Τριάδος ομοουσίου πίστιν, διά τούτο μετ' Αγγέλων, συναναπαύη αείμνηστε.

Καί νύν... Τού Σταυρού

Ο αυτός

Σύ μου σκέπη κραταιά υπάρχεις, ο τριμερής Σταυρός τού Χριστού, αγίασόν με τή δυνάμει σου, ίνα πίστει καί πόθω προσκυνώ καί δοξάζω σε.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Καί νύν... Τού Σταυρού

Ήχος πλ. β'

Σταυρέ τού Χριστού, Χριστιανών η ελπίς, πεπλανημένων οδηγέ, χειμαζομένων λιμήν, εν πολέμοις νίκος, οικουμένης ασφάλεια, νοσούντων ιατρέ, νεκρών η ανάστασις, ελέησον ημάς.

Απολυτίκιον Ήχος δ'

Ταχύ προκατάλαβε

Εκ γής ο καλέσας σε, πρός αιωνίους μονάς, τηρεί καί μετά θάνατον

αδιαλώβητον, τό σώμά σου, Άγιε, σύ γάρ εν σωφροσύνη, καί σεμνή πολιτεία, μάκαρ επολιτεύσω, μή μολύνας τήν σάρκα, διό εν παρρησία Χριστώ, πρέσβευε σωθήναι ημάς.

Δόξα... Καί νύν...

Σώσον Κύριε τόν λαόν σου, καί ευλόγησον τήν κληρονομίαν σου, νίκας τοίς βασιλεύσι σου κατά βαρβάρων δωρούμενος, καί τό σόν φυλάττων, διά τού Σταυρού σου πολίτευμα.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τών Αγίων ο παρών, ού η Ακροστιχίς.

Υμνώ μάκαρ σού τούς πανευσεβείς τρόπους. Ο Ιωσήφ.

Ωδή α'  Ήχος β'
Εν βυθώ κατέστρωσε

Ύψηλον τόν βίον εσχηκώς, καί ταίς αναβάσεσι, ταίς θεϊκαίς ολολαμπής γενόμενος, φωτισμόν μοι αίτησαι, ευφημούντί σου, τά σεπτά πποτερήματα, οίς ευδοκιμήσας, έτυχες ών ήλπισας Ευδόκιμε.

Μυριπνόους στέργων διδαχάς, καί ταίς αναπτύξεσι, τών ιερών, Γραφών ενασχολούμενος, ηδονών εξέκλινας, Παμμακάριστε, το δυσώδες καί άτιμον, καί ευωδιάσθης, θείαις αρεταίς καλλωπιζόμενος.

Νυσταγμόν βλεφάρων εκ ψυχής, Μάκαρ απεδίωξας, επαγρνπνών καί Θεώ συγγινόμενος, ταίς παννύχοις στασεσι, μή καμπτόμενος ταίς ανάγκαις τής φύσεως, όθεν πρός ημέραν, όντως τήν ανέσπερον κατήντησας.

Θεοτοκίον

Ως παστάδα έμψυχον Θεού, καί θυμιατήριον, τού νοητού καί φωτοφόρου άνθρακος, τήν αειμακάριστον, ανυμνήσωμεν, Θεοτόκον κραυγάζοντες, Χαίρε η αιτία, τής σωτηριώδους αναπλάσεως.

Ωδή γ'
Εν πέτρα με τής πίστεως

Ρημάτων ζωηρύτων πηγαίς προσέχων, εξέπιες τό νάμα τής σωτηρίας, εμέσας τήν κατάπικρον αμαρτίαν, καί ψάλλων έλεγες, Θεώ Ευδόκιμε, Ως ουκ έστιν, Άγιος πλήν σου Κύριε.

Συμπάθειαν εκτήσω χριστομιμήτως, διενείμας τον πλούτον τοίς δεομένοις, ουράνιον τόν όλβον σοι προξενούντα, ούπερ καί έτυχες, βοών Ευδόκιμε, Ως ουκ έστιν Άγιος πλήν σου Κύριε.

Οικειωθείς τώ Κτίστη αγάπη θεία, εδέξω τήν ουράνιον κληρουχίαν, τού ξύλου τής ζωής δέ Μάκαρ μετέχεις, θέσει θεούμενος, καί μέλπων ένδοξε, Ως ουκ έστιν Άγιος πλήν σου Κύριε.

Θεοτοκίον

Υπάρχουσα Αγγέλων τιμιωτέρα, τόν Κτίστην τών Αγγέλων τή σή νηδύϊ, εβάστασας καί τέτοκας Θεομήτορ, βροτών εις λύτρωσιν, τών μελωδούντων σοι, ως ουκ έστιν άχραντος πλήν σου Δέσποινα.

Ο Ειρμός

«Εν πέτρα με της πίστεως στερεώσας, επλάτυνας τό στόμα μου επ' εχθρούς μου, ευφράνθη γάρ τό πνεύμά μου εν τώ ψάλλειν, Ουκ έστιν Άγιος, ως ο Θεός ημών, καί ουκ έστι δίκαιος πλήν σου Κύριε».

Κάθισμα Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ

Ευδοκιμήσας αγαθαίς εργασίαις, εδοκιμάσθης ως χρυσός εν Καμίνω, τοίς πειρασμοίς Ευδόκιμε αοίδιμε, όθεν μετά θάνατον, αναβλύζεις πλουσίως, θαύματα ως νάματα, καί νοσήματα παύεις, υπέρ ημών αεί εκδυσωπών, όπως πταισμάτων συγχώρησιν λάβωμεν.

Δόξα... Καί νύν... Θεοτοκίον

Ο επί θρόνου Χερουβίμ καθεζόμενος, καί εν τοίς κόλποις τού Πατρός αυλιζόμενος, ως επί θρόνου κάθηται αγίου αυτού, Δέσποινα εν κόλποις σου σαρκικώς, ο Θεός γάρ, όντως εβασίλευσεν, επι πάντα τά έθνη, καί συνετώς νύν ψάλλομεν αυτώ, όν εκδυσώπει σωθήναι τούς δούλους σου.

Ωδή δ'

Ελήλυθας εκ Παρθένου

Τά δόγματα τών Πατέρων φυλάττων αλώβητα, ορθόδοξον φρόνημα, σύ εκ νεότητος έσχηκας, βίον ακηλίδωτον, καί ευσυμπάθητον γνώμην Αξιάγαστε.

Ού σύγχυσις κοσμική ουκ αρχής επικράτεια, ου δόξα επίκηρος, σού τόν πρός Κύριον έρωτα, ήμβλυνεν Ευδόκιμε, αλλ' ευδοκίμησας όντως θείαις πράξεσιν.

Υψούμενος ταίς ενθέοις μελέταις εκάστοτε, εχθρόν εταπείνωσας, καί ιαμάτων ενέργειαν, είληφας Ευδόκιμε, κρίσει δικαία τού πάντα διευθύνοντος.

Σταλάζουσα γλυκασμόν η σορός, τών λειψάνων σου, πλουσίων ιάσεων, πάθη καθαίρει Ευδόκιμε, πίστει τών τιμώντων σε, καί καταφλέγει δαιμόνων πάσας φάλαγγας.

Θεοτοκίον

Πανύμνητε στρατηγίαις τόν άνω υμνούμενον, Θεόν απεκύησας, άνθρωπον όντως γενόμενον, όν υπέρ τών δούλων σου, εκδυσωπούσα μη παύση αειπάρθενε.

Ωδή ε'

Ο φωτισμός

Αίγλη σεπτή, τής αγνείας θεόφρον λελαμπρυσμένος, νόμω, τε τώ ταύτης συμπεφραγμένος, νύκτα τούβίου απροσκόπτως διέβης, θεωρίαις θείαις πτερούμενος, Μάκαρ καί πρός θείαν, ζωήν κατεσκήνωσας.

Νύν επί σοί, θαύμα μέγα οράται, καί θάμβους πλήρες, πώς μετά κηδείαν όντως χρονίαν, διατηρείται αδιάλυτον Μακαρ, σού τό σώμα εν τάφω κείμενον, κρίμασιν οίς οίδε, Θεός ο δοξάζων σε.

Εύγε τής σής, πρός Θεόν παρρησίας, εύγε τού πόθου, ούπερ εκ καρδίας πρός τούτον έσχες, ευδοκιμήσας φερωνύμως, καί λάμψας παραδόξως θείαις λαμπρότησι, καί καταφαιδρύνας, πιστών τά συστήματα.

Θεοτοκίον

Υπέρ ημών, τόν εκ σού σαρκωθέντα Παρθενομήτορ, πάντοτε δυσώπει τών σέ υμνούντων, τού λυτρωθήναι εκ παθών, καί κινδύνων, ψυχοφθόρων κακών καί θλίψεων, καί αιωνιζούσης, φλογός καί κολάσεως.

## Ωδή ς'

Εν αβύσσω πταισμάτων

Σταλαγμούς γλυκυτάτους εστάλαξαν, Μάκαρ οι ιδρώτές σου, καί αγαλλίασιν, καί ιαμάτων έλλαμψιν, εις Χριστού τού Θεού ημών αίνεσιν.

Εν αύλαίς τού Θεού ανεβλάστησας, άμπελος πολύφορος, ευκληματήσασα, καί αρετών τούς βότρυας, γεωργώ τών ψυχών εθησαύρισας.

Βασιλείαν Θεού επεπόθησας, καί κατά παθών βασιλεύσας Αοίδιμε, κατ' ευδοκίαν κρείττονα, τής χαράς τών Δικαίων επέτυχες.

Θεοτοκίον

Εκλεκτή τώ Θεώ εχρημάτισας, ως ωραιοτάτη χωρίον ευρύχωρον, τούτου Παρθένε γέγονας, καί παστάς καί λυχνία καί τράπεζα.

Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, Εκ φθοράς ο Θεός με ανάγαγε».

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΛΑ' τού αυτού μηνός, Μνήμη τού Αγίου καί Δικαίου Ευδοκίμου.

Στίχοι

- Τόν θείον Ευδόκιμον, ώ βίος γέλως,
- Τό θείον ευδόκησεν εκστήναι βίου.
- Δέχνυται Ευδόκιμον πρώτη τάφος εν τριακοστή.

Ο άγιος Ιωσήφ ο από Αριμαθαίας, ο κηδευτής τού Δεσπότου Χριστού, εν ειρήνη τελειούται.

Οι άγιοι δώδεκα μάρτυρες οι Ρωμαίοι ξίφει τελειούνται.

Τή αυτή ημέρα, η ανάμνησις τών Εγκαινίων τού σεβασμίου οίκου τής υπεραγίας Δεσποίνης ημών Θεοτόκου τού εν Βλαχέρναις, ένθα απόκειται η Αγία Σορός.

Καί προεόρτια τού τιμίου καί ζωοποιού Σταυρού, ήτοι η εξέλευσις αυτού εκ τού βασιλικού Παλατίου εις τήν πόλιν.

Στίχοι

- Οίκου προελθών, Σταυρος τών Βασιλέων,
- Οίκοις εορτάς προξενεί τοίς εν πόλει.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

## Ωδή ζ'

### Αντίθεον πρόσταγμα

Ισχυϊ ρωννύμενος, τού Ζωοδότου, σαρκός κατεκράτησας, ορέξεων Πανόλβιε, καί νούν ανεπτέρωσας πρός τά ουράνια, μέλπων συντονώτατα, ο ών ευλογημένος καί υπερένδοξος.

Σαυτόν εξευγένισας, εεγενεστάτους, τούς Τρόπους κτησάμενος, νοός ακεραιότητι, μελέτη σχολάζων δέ, τών θεοπνεύστων Γραφών, όλην σου τήν έφεσιν Θεώ, τώ παντεπόπτη Μάκαρ ανέτεινας.

Τά άνω βασίλεια, τήν άνω πόλιν, Θεού τόν Παράδεισον, Δικαίων τήν απόλαυσιν, τρυφήν τήν ανόθευτον, όλβον τόν άσυλον, φέγγος τό ανέσπερον ευρείν, κατηξιώθης Μάκαρ Ευδόκιμε.

Ρεόντων τό άστατον κατανοήσας, ψυχής τά κινήματα, Θεόν προς μόνον ίθυνας, εξ ού ελλαμπόμενος θείαις λαμπρότησι, βίου τά προσκόμματα Σοφέ, ανεμποδίστως όντως παρέδραμες.

Θεοτοκίον

Ον έτεκες Δέσποινα αεί δυσώπει, δουλείας ρυσθήναί με, παθών, καί κατακρίσεως, καί τής συνεχούσης με δεινής πωρώσεως, καί τής τών θλιβόντων με αεί, επικρατείας θεοχαρίτωτε.

## Ωδή η'

### Τόν εν καμίνω τού πυρός

Πύρ εννοών τό φοβερόν, πρό τού θρόνου τού Θεού μέλλον εκχείσθαι, κατανύξει καρδίας, θερμούς εκχέεις κρουνούς, δακρύων εναποτεφρούντάς σοι, τών παθών καμίνους, Ευδόκιμε θεόφρον.

Όλον μετέθηκας σαυτού, πρός τόν Κύριον Σοφέ ψυχής τόν πόθον, καί αυτώ εκολλήθης αναβοών ψαλμικώς, Χριστέ μου, ιλύος με λύτρωσαι, τών θανατηφόρων παθών εις τούς αιώνας.

Υπομονή καρτερικός, καί καρδία ταπεινός, σύ καθωράθης, συμπαθής

δεομένοις, ήθος προσφέρων χρηστόν, καί τρόπους εναρέτους Πάντιμε, οίς ευδοκιμήσας, θαυμάτων βρύεις χάριν.

Σύνεσιν έχων θεϊκήν, πληρωτής Δεσποτικών ώφθης λογίων, δεξιάς στέργων τρίβους, τάς ευωνύμους σαφώς, εκκλίνας ως έννους καί φρόνιμος, υπερευλογών τόν Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Ο τού Αδάμ Δημιουργός, εξ αιμάτων σου αγνών δημιουργείται, καί γαλακτοτροφείται ο διατρέφων πνοήν, Παρθένε Θεοτόκε άπασαν, όθεν ως Θεού σε δοξάζομεν Μητέρα.

Ο Ειρμός

«Τόν εν καμίνω τού πυρός τών Εβραίων τοίς Παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον μεταβαλόντα Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε εις πάντας τούς αιώνας».

Ωδή θ'

Ανάρχου Γεννήτορος

Ιδείν εφιέμενος, τήν δόξαν τού Θεού ημών, αρετών ευμορφία σαυτόν εκάλλυνας, καί λαμπαδηφόρος εισήλθες εις φωτεινούς, νυμφώνας Αγγέλων, συνών τώ Δεσπότη σου, απολαυων τής θεώσεως.

Ως όρθρος ως ήλιος, ανέτειλεν η μνήμη σου, τάς εν ζόφω καρδίας καταφωτίζουσα, σύ γάρ καί φωτός καί ημέρας, ως αληθώς υιός εγνωρίσθης, θεόφρον Ευδόκιμε, διά τούτό σε γεραίρομεν.

Σοφία κοσμούμενος, καί γνώσει λαμπρυνόμενος, ταπεινώσει Καρδίας ωραϊζόμενος, ύψει πολιτείας εμπρέπων, πρός νοητάς, επέβης επαύλεις, μεθ' ών ημών μνήσθητι, τών τιμώντων σε Ευδόκιμε.

Ημέραν εορτιον, καί ωφελείας πρόξενον, τήν σεπτήν σου τελούμεν εκ γής μετάστασιν, σύ γάρ τού Κυρίου θεράπων, καί τών αυτού, εντολών εργάτης, ώφθης ανεπαίσχυντος, αξιάγαστε Ευδόκιμε.

Θεοτοκίον

Φωτός ενδιαίτημα, τού πάντας καταυγάσαντος, καί σκηνή καθωράθης θεοχαρίτωτε, γέφυρα καί κλίμαξ πρός ύψος τούς γηγενείς, ανάγουσα Κόρη, διό σε γεραίρομεν, καί Πιστώς σε μακαρίζομεν.

Ο Ειρμός

«Ανάρχου Γεννήτορος, Υιός Θεός καί Κύριος, σαρκωθείς εκ Παρθένου ημίν επέφανε, τά εσκοτισμένα φωτίσαι, συναγαγείν τά εσκορπισμένα, διό τήν πανύμνητον, Θεοτόκον μεγαλύνομεν».

Εξαποστειλάριον τού Αγίου

Ο ουρανόν τοίς άστροις

Καί ζών Ευδόκιμος ώφθης, κατά παθών παντοδαπών, καί νύν εισέτι υπάρχεις, πηγή θαυμάτων τηλαυγής, εξ ής καθαίρονται πάθη, ψυχών ομού

καί σωμάτων.

Τού Σταυρού
Γυναίκες ακουτίσθητε

Σταυρός προεορτάζεται, καί κόσμος αγιάζεται, τάξεις Αγγέλων υμνούσι, τόν δι' ημάς σταυρωθέντα, καί συμπανηγυρίζουσιν, ημίν καί συναγάλλονται, δαυϊτικώς κραυγάζοντες, Ειργάσατο σωτηρίαν, εν μέσω γής ο Δεσπότης.

Καί η λοιπή Ακολουθία τού Όρθρου, κατά τήν τάξιν, καί Απόλυσις.

---

Αρχή
**Τίτλος**
**Αύγουστος_1 Αύγουστος_2 Αύγουστος_3 Αύγουστος_4 Αύγουστος_5 Αύγουστος_6 Αύγουστος_7 Αύγουστος_8 Αύγουστος_9 Αύγουστος_10 Αύγουστος_11 Αύγουστος_12 Αύγουστος_13 Αύγουστος_14 Αύγουστος_15 Αύγουστος_16 Αύγουστος_17 Αύγουστος_18 Αύγουστος_19 Αύγουστος_20 Αύγουστος_21 Αύγουστος_22 Αύγουστος_23 Αύγουστος_24 Αύγουστος_25 Αύγουστος_26 Αύγουστος_27 Αύγουστος_28 Αύγουστος_29 Αύγουστος_30 Αύγουστος_31**

---

Αρχή

## ΤΗ Α' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων επτά Μαρτύρων τών Μακκαβαίων, καί τού διδασκάλου αυτών Ελεαζάρου, καί τής μητρός αυτών Σολομονής, καί η Πρόοδος τού τιμίου καί ζωοποιού Σταυρού.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις το, Κύριε εκέκραξα, ιστώμεν στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τού τιμίου Σταυρού γ' καί τών Αγίων γ'.

Στιχηρά τού τιμίου Σταυρού

Ήχος δ'
Ως γενναίον εν Μάρτυσι

Ως κοινόν φυλακτήριον, ως πηγήν αγιάσματος, τόν Σταυρόν τόν τίμιον ασπασώμεθα, καί γάρ κοιμίζει, παθήματα, καί παύει νοσήματα, καί Παντοίων αλγεινών, απαλλάττει τούς κάμνοντας, υπέρ άβυσσον, πελαγίζων τά ρείθρα τών θαυμάτων, τοίς πιστώς αυτού, τόν τύπον, καί προσκυνούσι καί σέβουσιν.

Οι τού βίου τοίς κύμασι, θαλαττεύοντες άνθρωποι, παθημάτων ζάλη τε κυμαινόμενοι, ως εις ολκάδα σωτήριον, τό ξύλον τό τίμιον, καταφύγωμεν πιστώς, καί σιγήσει τά κύματα, καί τά πνεύματα, καί ραγήσεται πάθη, καί πρός όρμον, ακυμάντου σωτηρίας, χαρμονικώς κατεντήσομεν.

Υπέρ ήλιον έλαμψεν, ο Σταυρός ο πανάγιος, ως ακτίνας θαύματα προβαλλόμενος, καί ως βολίδας ιάματα, προσέλθωμεν άνθρωποι, οι τώ σκότει τών δεινών, συνεχόμενοι πάντοτε, καί ληψόμεθα, φωτοπάροχον χάριν ιαμάτων, τόν εν τούτω προσπαγέντα, σαρκί Θεόν μεγαλύνοντες.

Στιχηρά τών Αγίων

Ήχος α'
Πανεύφημοι Μάρτυρες

Τού νόμου τόν όροφον επτά, στύλοις επαιρόμενον, η τυραννίς ου κατέσεισε, τήν γάρ αλόγιστον, τού διώκτου λύσσαν, ανδρικώς υπέμειναν, τό σώμα παραδόντες τοίς τέμνουσιν, οι ευγενέστατοι, νεανίαι καί ομαίμονες, τών Μωσέως, θεσπισμάτων φύλακες.

Υπέρ τά ορώμενα τόν νούν, όντως ανυψώσαντες, μέλη σαρκός κατετέμνοντο, οι ευσεβέστατοι, καί γενναίοι Παίδες, σύν μητρί θεόφρονι, μεγίσταις εν ελπίσι νευρούμενοι, ών νύν επέτυχον, Αβραάμ αναπαυσάμενοι, εν τοίς κόλποις, τού αυτών προπάτορος.

Ψυχής εν νεότητι στερρώς, εαυτούς οπλίσαντες, καί τόν θυμόν ώσπερ θήξαντες, πρός τόν αντίπαλον, σταθερώς εχώρουν, ευσεβείας ένεκα, καί νόμου τού πατρώου τηρήσεως, ο ιερώτατος, Ελεάζαρ καί οι πάνσοφοι, νεανίαι, σύν μητρί θεόφρονι.

Δόξα... Ήχος πλ. δ'
Ιωάννου Μοναχού

Οι Άγιοι Μακκαβαίοι τώ τυράννω έλεγον, Ημίν ώ Αντίοχε, εις Βασιλεύς ο Θεός, παρ' ού γεγόναμεν, καί πρός όν επιστρέφομεν, Κόσμος μένει άλλος ημίν, τού ορωμένου υψηλότερος καί μονιμώτερος, πατρίς δέ ημών Ιερουσαλήμ, η κραταιά καί ανώλεθρος, πανήγυρις δέ, η μετά Αγγέλων διαγωγή, Κύριε, πρεσβείαις αυτών, ελέησον καί σώσον ημάς.

Καί νύν... ο αυτός

Όνπερ πάλαι Μωϋσής, προτυπώσας εν εαυτώ, τόν Αμαλήκ καταβαλών ετροπώσατο, καί Δαυϊδ ο μελωδός, υποπόδιόν σοι βοών, προσκυνείσθαι διετάξατο, τίμιον Σταυρόν σου Χριστέ ο Θεός, σήμερον αμαρτωλοί προσκυνούμεν, χείλεσιν αναξίοις, σέ τόν καταξιώσαντα παγήναι εν αυτώ, ανυμνούντες δεόμεθα, Κύριε, σύν τώ Ληστή τής βασιλείας σου αξίωσον ημάς.

Εις τόν Στίχον Στιχηρά Προσόμοια τού Σταυρού.

Ήχος α'
Τών ουρανίων ταγμάτων

Τή τού Σταυρού προελεύσει, δεύτε φιλέορτοι, τήν εορτήν ποιούντες, φαιδρυνθώμεν βοώντες, εν πίστει αδιστάκτω, Σταυρέ τού Χριστού, ημάς αγίασον χάριτι, τού επί σέ υψωθέντος, καί εξελού, πάσης βλάβης τή δυνάμει σου.

Στίχ. Υψούτε Κύριον τόν Θεόν ημών, καί προσκυνείτε τώ υποποδίω τών ποδών αυτού.

Τάς ουρανίους πορείας, Σταυρός ο τίμιος, εξευτρεπίζει πάσι, τοίς αυτόν προσκυνούσιν, εν φόβω καί αγάπη καί τοίς χοροίς, τών αϋλων Δυνάμεων, ός εν αυτώ προσηλώθη συναριθμεί, τούς εκ πόθου ανυμνούντας αυτόν.

Στίχ. Ο δέ Θεός Βασιλεύς ημών πρό αιώνων ειργάσατο σωτηρίαν εν μέσω τής γής.

Οι προσκυνούντες εν πίστει, Σταυρόν τόν τίμιον, τόν έν αυτώ παγέντα, προσκυνούμεν Δεσπότην, ού τή επινεύσει χείλη ομού, καί ψυχάς αγνιζόμεθα, καί ταίς ελλάμψεσι τούτου ταίς νοηταίς, φαιδρυνόμεθα αινούντες αυτόν.

Δόξα... Ήχος πλ. δ'

Κοσμά Μοναχού

Ψυχαί δικαίων εν χειρί Κυρίου, καθάπερ Αβραάμ, καί Ισαάκ, καί Ιακώβ, οι πρό νόμου προπάτορες, καί Μακκαβαίων πρόγονοι, τών νύν ευφημουμένων παρ' ημών, Ούτοι γάρ οι καρτερόψυχοι, Αβραμιαίοι υπάρχοντες, την πίστιν εζήλωσαν, τού εαυτών προπάτορος Αβραάμ, καί μέχρι θανάτου ηγωνίσαντο δι' ευσέβειαν, ευσεβώς γάρ συντραφέντες, καί εννόμως συναθλήσαντες, τήν ασέβειαν διήλεγξαν τού επαράτου Αντιόχου, καί μηιδέν προτιμήσαντες τών τής παρούσης ζωής, διά τήν αιώνιον, πάντα Θεώ ανέθεντο, ψυχήν, ανδρείαν, αίσθησιν, σώμα απαλόν, καί αμοιβάς τών άγνεία τεθραμμένων, Ώ ρίζης ευσεβούς! εξ ής υμείς εβλαστήσατε Μακκαβαίοι, Ώ μητρός αγίας! τής τετοκυίας τόν ισάριθμον τής εβδομάδος αριθμόν, Αλλ' ικετεύομεν υμάς Μακκαβαίοι, σύν τή μητρί υμών Σολομονή, καί τώ σοφώ ιερεί Ελεαζάρω, ως παριστάμενοι Χριστώ τώ Θεώ, δι' όν κεκοπιάκατε, τούς πόνους τών καρπών υμών απολαύοντες, εκτενή ικεσίαν ποιήσατε υπέρ τής ανθρωπότητος, ποιεί γάρ όσα βούλεται, καί πληροί τά θελήματα υμών, τών φοβουμένων αυτόν.

Καί νύν... Ο αυτός

Η φωνή τού Προφήτου σου Μωϋσέως, ο Θεός, πεπλήρωται η λέγουσα, Όψεσθε τήν ζωήν υμών κρεμαμένην, απέναντι τών οφθαλμών υμών, Σήμερον Σταυρός υψούται, καί κόσμος εκ πλάνης ελευθερούται, Σήμερον τού Χριστού η Ανάστασις εγκαινίζεται, καί τά πέρατα τής γής αγάλλονται, εν κυμβάλοις Δαυϊτικοίς, ύμνον σοι προσφέροντα καί λέγοντα, Ειργάσω σωτηρίαν έν μέσω τής γής ο Θεός, Σταυρόν καί τήν Ανάστασιν, δι' ών ημάς έσωσας αγαθέ καί φιλάνθρωπε, Παντοδύναμε, Κύριε δόξα σοι.

Απολυτίκιον τών Αγίων

Ήχος α'

Τάς αλγηδόνας τών Αγίων, άς υπέρ σού έπαθον, δυσωπήθητι Κύριε, καί πάσας ημών τάς οδύνας, ίασαι φιλάνθρωπε δεόμεθα.

Τού Σταυρού Ήχος ο αυτός

Σώσον Κύριε τόν λαόν σου, καί ευλόγησον τήν κληρονομίαν σου, νίκας τοίς

Βασιλεύσι, κατά βαρβάρων δωρούμενος, καί τό σόν φυλάττων, διά τού Σταυρού σου πολίτευμα.

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος α'
Τόν τάφον σου Σωτήρ

Η φύσις τών βροτών, συνεόρταζε πάσα, καί σκίρτα μυστικώς, τού Σταυρού γάρ τό ξύλον, προτίθεται σήμερον, ιατρείον αδάπανον, τοίς προστρέχουσι, μετ' ευλαβείας καί πόθου, καί δοξάζουσι τόν εν αυτώ προσπαγέντα, Χριστόν τόν φιλάνθρωπον.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος δ'
Επεφάνης σήμερον

Ευφροσύνης πρόξενος, τή νύν ημέρα, τού Σταυρού η πρόοδος, καθαγιάζει γάρ ημών, ψυχάς ομού καί τά σώματα, τών προσκυνούντων αυτόν μετά πίστεως.

Δόξα... Καί νύν... Τό αυτό

Οι Κανόνες τού Σταυρού, καί τών Αγίων.

Ο Κανών τού Σταυρού, ού η Ακροστιχίς.

Τό προσκυνητόν πάντες υμνούμεν Ξύλον.
Ποίημα Ιωσήφ.

Ωδή α' Ήχος πλ. δ'
Αρματηλάτην Φαραώ

Τόν τού Κυρίου ζωηφόρον σήμερον, Σταυρόν νοΐ καθαρώ, καί ευσεβεί γνώμη, πάντες προσκυνήσωμεν, πρόκειται γάρ δωρούμενος, τοίς αυτώ προσιούσιν, αγιασμόν καί σωτήριον, έλλαμψιν καί δόξαν καί έλεος.

Ο ζωοδώρητος Σταυρός προκείμενος, καί καθορώμενος, φωτοειδή αίγλην, αποπέμπει χάριτος, προσέλθωμεν καί λάβωμεν, φωτισμόν ευφροσύνης, καί σωτηρίαν καί άφεσιν, αίνεσιν Κυρίω προσάγοντες.

Πρόκειται ξένον τοίς ορώσι θέαμα, Σταυρός ο τίμιος, καί ως πηγή βρύει, ψυχικά χαρίσματα, καί παύει αμαρτήματα, καί νοσήματα λύει, καί τά φρονήματα ρώννυσι, τών ειλικρινώς προσκυνούντων αυτόν.

Ράβδος ετύπου τού Σταυρού τό τρόπαιον, θάλασσαν τέμνουσα, δι' ού ημείς πίστει, απoντίστως πλέομεν, τού βίου ύδωρ άστατον, καί τά ρεύματα πάντα, τής αμαρτίας εκφεύγομεν, καί θείας γαλήνης πληρούμεθα.

Η Σταυροθεοτοκίον

Ότε σε τέκνον απορρήτως έτεκον, ωδίνας έφυγον, καί πώς νυνί όλη, οδυνών πεπλήρωμαι; Ορώ γάρ σε κρεμάμενον, ως κακούργον εν ξύλω, τήν γήν ασχέτως κρεμάσαντα, έλεγεν η Πάναγνος κλαίουσα.

## Ο Κανών τών Αγίων Ανδρέου Κρήτης.

### Ωδή α' Ήχος α'

Ωδήν επινίκιον

Μωσέως τά δόγματα, πάνσοφοι Παίδες, νομίμως φυλάξαντες, καί Χριστού τόν θάνατον, ζηλώσαντες ευσεβώς, πρεσβεύσατε αεί, σωθήναι πάντας ημάς.

Τίς είδε, τίς ήκουσεν, οίους αγώνας, στερρώς επεδείξαντο, οι τού νόμου φύλακες, οι Σολομονής υιοί, αθλήσαντες μιά ψυχή, ενί φρονήματι;

Αλλήλους οτρύνοντες, ούτως εβόων, Νομίμως αθλήσωμεν, καί προθύμως θάνωμεν, υπέρ πατρώων εθών, οι Σολομονής τής σεπτής, Άγιοι επτά.

Ησχύνθη ο τύραννος, στώμεν ανδρείως, ησθένησαν βάσανοι, ο Βελίαρ ήττηται, τό πύρ εσβέσθη λοιπόν, μηδείς ούν έξω αδελφοί, στήτω τού σκάμματος.

Ημίν ώ Αντίοχε, υπέρ πατρώων, εθών ο αγών εστιν (οι Παίδες έκραζον εν τώ σταδίω γυμνοί), υπέρ ών μάλλον τό θανείν, τού ζήν προκρίνομεν.

Τάς σάρκας τοίς όνυξιν, έν τώ σταδίω ξεόμενοι, έκραζον οι τού νόμου φυλακες, Ημίν ώ Αντίοχε, γλυκείς οι πόνοι καί τό πύρ, διά τήν πάντων ζωήν.

Δόξα...

Τριάδα δοξάσωμεν, τήν εν Μονάδι ουσίαν αϊδιον, συμφυή καί σύνθρονον, καί ομοδύναμον, Πατέρα άναρχον Υιόν, καί Πνεύμα Άγιον.

Καί νύν... Θεοτοκίον

Τόν βότρυν τόν πέπειρον, εν τή γαστρί, σου αφράστως βλάστήσασα, ζωηφόρος άμπελος, τή Εκκλησία Χριστού, εδείχθης Μήτηρ Θεού, πάντας ευφραίνουσα.

Καταβασία

«Σταυρόν χαράξας Μωσής, επ' ευθείας ράβδω, τήν Ερυθράν διέτεμε, τώ Ισραήλ πεζεύσαντι, τήν δέ επιστρεπτικώς, Φαραώ τοίς άρμασι, κροτήσας ήνωσεν, επ' εύρους διαγράψας τό αήττητον όπλον, Διό Χριστώ άσωμεν τώ

Θεώ ημών, ότι δεδόξασται».

Τού Σταυρού

Ωδή γ'
Ο στερεώσας
Σταυρός απάντων τών καλών, παρεκτικός καθοράται, προσκυνούμενος, καί πάσα η κτίσις, εορτάζει εν χαρά, φωτιζομένη χάριτι, τού εν αυτώ βουλήσει, ανυψωθέντος Θεού ημών.

Καταυγαζόμενοι φωτί, τών τού Σταυρού λαμπηδόνων, ολικώς οι εν αυτώ πεποιθότες, σκοτασμόν αμαρτιών, εκφύγωμεν καί κράξωμεν, ο φωτισμός τών όλων, εύσπλαγχνε Κύριε, δόξα σοι.

Υμνολογούμέν σε Σταυρέ, καί προσπτυσσόμεθα πίστει, εξαιτούμενοι τήν σήν δυναστείαν, Εξελού ημάς εχθρού, παγίδων καί κυβέρνησον, πρός όρμον ημάς πάντας, τής σωτηρίας υμνούντάς σε.
Η Σταυροθεοτοκίον
Νενεκρωμένην τήν ζωήν, επί Σταυρού θεωρούσα, καί μή φέρουσα τών σπλάγχνων τόν πόνον, εδονείτο η σεμνή, Παρθένος ανακράζουσα, Οίμοι! Υιέ μου τί σοι, δήμος ανόμων πεποίηκεν;

Τών Αγίων

Λίθον όν απεδοκίμασαν
Παίδες ιερώς βλαστήσαντες, καί συναυξηθέντες, πάντες κατά νόμον, παιδαγωγηθέντες υπό Ελεαζάρου, νομίμως ηθλήσατε, καί Αντιόχου τάς βουλάς, πάσας εις γήν κατεπατήσατε.

Σπεύδε ανεβόων τύραννε, οι Αβραμιαίοι, ποίει άπερ θέλεις, καί οργίζου πλέον, ημείς τοίς δόγμασί σου, ουδόλως πειθόμενοι, τούς τών βασάνων αικισμούς, πόθω Θεού μάλλον αιρούμεθα.

Μήτις υστερείτω σήμερον, τού καλού αγώνος, μήτις θηρευθήτω, υπό τού μανιώδους, σοφός εστιν ο δράκων, αλλήλους παρώτρυναν, τής Σολομονής οι υιοί, μήτις ημών γένηται βρώμα αυτού.

Δεύτε οι τού νόμου φύλακες, ομού αικισθώμεν, δεύτε ανδρυνθώμεν, οι Παίδες ανεβόων, αλλήλους οτρύνοντες, πρός τούς αγώνας ευσεβώς, ούς καί ημείς ζηλοτυπήσωμεν.
Δόξα...
Μίαν οι πιστοί δοξάσωμεν, τού Θεού ουσίαν, μίαν δεσποτείαν, μίαν βασιλείαν, ενούντες ασυγχύτως, τήν μίαν θεότητα, καί διαιρούντες ευσεβώς, ταύτην τρισί ταίς υποστάσεσι.
Καί νύν... Θεοτοκίον

Βάτος προεγνώσθης άφλεκτος, εν Σινά τώ όρει όρος δέ τό θείον, Δανιήλ εφάνης εξ ού αχειροτμήτως, ετμήθη ο άτμητος, Χριστός η πέτρα τής ζωής, εις ών Υιός, Θεογεννήτορ εκ σού.

Καταβασία

«Ράβδος εις τύπον τού μυστηρίου παραλαμβάνεται, τώ βλαστώ γάρ προκρίνει τόν ιερέα, Τή στει ρευουση δέ πρώην, Εκκλησία νύν εξήνθησε, ξύλον Σταυρού, εις κράτος καί στερέωμα».

Κάθισμα τού Σταυρού

Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ εκουσίως, τή επωνύμω σου καινή πολιτεία, τούς οικιτμούς σου δώρησαι Χριστέ ο Θεός, εύφανον εν τή δυνάμει σου, τούς πιστούς βασιλείς ημών, νίκας χορηγών αυτοίς, κατά τών πολεμίων, τήν συμμαχίαν έχοιεν τήν σήν, όπλον ειρήνης, αήττητον τρόπαιον.

Είτα Κάθισμα

Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Ευσεβώς συντραφέντες Παίδες σοφοί, μαρτυρικώς τού τυράννου τάς απειλάς, ανδρείως κατησχύνατε, ως τού νόμου υπέρμαχοι, καί τού πατρός ακόλουθοι, γενόμενοι Άγιοι, σύν μητρί θεόφρονι, προθύμως ηθλήσατε, όθεν καί θανάτω, τήν ουράνιον όντως, ζωήν ωνησάμενοι, αιωνίως αγάλλεσθε, Μακκαβαίοι στερρόψυχοι. Πρεσβεύσατε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω τήν αγίαν μνήμην υμών.

Δόξα... Καί νύν...

Ήχος πλ. β'

Ο Σταυρός σου Κύριε ηγίασται, εν αυτώ γάρ γίνονται ιάματα, τοίς ασθενούσιν έν αμαρτίαις, Δι' αυτού σοι προσπίπτομεν, ελέησον ημάς.

Τού Σταυρού

Ωδή δ'

Σύ μου ισχύς Κύριε

Η κραταιά, σκέπη τε καί επανόρθωσις, τών ανθρώπων, τό ακαταμάχητον όπλον τής πίστεως ο Σταυρός, ο σωτηριώδης, ιδού οράται Προκείμενος, καί πάντων τάς καρδίας, τών πιστώς προσιόντων, αγιάζων φωτίζει εν χάριτι.

Τών ευσεβών, φρουρός ο μέγας προκείμενος, εν τώ μέσω, πάντων Υπεράγαθε, Σταυρός ο τίμιος μέσον γής, εν ώ ανυψώθης, εθελουσίω θελήσει σου, τόν κόσμον αγιάζει, τή αυτού προσκυνήσει, καί διώκει δαιμόνων τάς φάλαγγας.

Ο ουρανός, πάση τή γή συνευφραίνεται, αθλοφόροι, Μάρτυρες, Απόστολοι, ψυχαί Δικαίων περιχαρώς, νύν αγαλλιώνται, τό πάντας σώζον θεώμενοι, προκείμενον εν μέσω, ζωοδώρητον ξύλον, καί Πιστούς αγιάζον εν χάριτι.

Νόμους τούς σους, Κύριε ο ασυνείδητος, μή φυλάξας, μέλλω κατακρίνεσθαι, ηνίκα έλθης εξ ουρανού, κρίναι τών ανθρώπων τά έργα, όθεν κραυγάζω σοι, Δυνάμει τού Σταυρού σου, επιστρέψας με σώσον, μετανοίας παρέχων μοι δάκρυα.

Σταυροθεοτοκίον

Παρθενικής, τέκνον εκ μήτρας σε έτεκον, καί ορώσα, ξύλω νύν κρεμάμενον, επαπορώ, καί ού συνορώ, ύψος μυστηρίου, καί βάθος πολλών κριμάτων σου, η Πάναγνος εβόα, ήν φωναίς ασιγήτοις, ως μητέρα Θεού μακαρίζομεν.

Τών Αγίων

Εν Πνεύματι προβλέπων

Ευφραίνου Ελεάζαρ, ορών τούς Ιερούς, φοιτητάς σου σήμερον, αθλούντας ευσεβώς, υπέρ πατρώων νομίμων τε προσταγμάτων, καί Αντιόχου τού διώκτου τήν μανίαν, λόγοις τοίς σοφοίς διελέγχοντας.

Σολομονή αγάλλου, ορώσα τούς επτά, κλάδους συνακμάσαντας, τού νόμου τούς καρπούς, εξ ών τρυγώσα η άμεμπτος Εκκλησία, τούς κληρονόμους τής εν χάριτι λατρείας, τρέφει καθ' ημέραν ως μήτηρ ημάς.

Σκιρτάτε Πατριάρχαι, κροτήσατε χερσί, τούς τού νόμου φύλακας, ορώντες ευσεβώς, υπεραθλούντας τής κατά νόμον λατρείας, καί διά πάντων αικισμών δοκιμασθέντας, μήπως τών πατρώων εκστώσιν εθών.

Χορεύσατε νομίμως, υπέρμαχοι στερροί, καί συνεορτάσατε, τοίς Μάρτυσι Χριστού, ως πρό εκείνων αθλήσαντες υπέρ νόμου, καί μετ' εκείνων ευφημουμενοι εννόμως, πάση τή Χριστού Εκκλησία φαιδρώς.

Δόξα...

Τριάδα εν Μονάδι, δοξάζομεν πιστοί, ασιγήτοις στόμασι, βοώντες πρός αυτήν, Η εν Μονάδι τριάς συμπροσκυνουμένη, καί εν Τριάδι τών Προσώπων υμνουμένη, δόξα σοι τιμή καί προσκύνησις.

Καί νύν... Θεοτοκίον

Υμνούμεν σε Παρθένε, Θεόνυμφε σεμνή, ως Θεογεννήτριαν, καί τείχος τών πιστών, σύ γάρ τήν φύσιν ανέστησας τήν πεσούσαν, καί τήν εικόνα ανενέωσας τεκούσα, μόνη τόν προόντα Θεόν τού Αδάμ.

Καταβασία

«Εισακήκοα Κύριε, τής οικονομίας σου τό μυστήριον, κατενόησα τά έργα σου, καί εδόξασά σου τήν θεότητα».

Τού Σταυρού

Ωδή ε'

Ινα τί με απώσω

Αλαλάξατε έθνη, άσατε σκιρτήσατε φυλαί καί ψάλατε, τώ Θεώ τώ δόντι, τόν Σταυρόν αδιάσειστον έρεισμα, ού νύν τή προθέσει, πάντες πιστοί

αγαλλιώμεν, δι' αυτού τών καλών απολαύοντες.

Νοεραί στρατιαί σε, πάσαι περιέπουσι, Σταυρέ πανάγιε, καί βροτοί πηλίνοις, σού προσψαύοντες χείλεσι σήμερον, απαντλούμεν πόθω' αγιασμόν καί ευλογίαν, τόν εν σοί προσπαγέντα δοξάζοντες.

Τής ψυχής μου τά πάθη, ίασαι τά χρόνια, εύσπλαγχνε Κύριε, καί ως προσκυνούντα, τόν τίμιον Σταυρόν σου περίσωζε, ού τή δυναστεία, πάν εμποδών αποσοβείται, καί κακών απαθείς διαμένομεν.

Σταυροθεοτοκίον

Εν Σταυρώ καθορώσα, τόν δι' αγαθότητα, εκ σού Πανάμωμε, υπέρ νούν τεχθέντα, εδονήθης τά σπλάγχνα καί έλεγες, Οίμοι! θείον τέκνον, πώς υπέρ πάντων οδυνάσαι; Προσκυνώ σου τό εύσπλαγνον Κύριε.

Τών Αγίων

Τήν σήν ειρήνην δός ημίν

Ζηλώσωμεν φιλόχριστοι, τούς Παίδας τούς επτά, ούς ημίν Μωσής νομίμως εθρέψατο, καί Ελεάζαρ προεβίβασεν, εν τώ πατρώω νόμω, δι' ευσεβούς θρησκείας.

Μή νόμιζε Αντίοχε, διώκτα τών πιστών, ότι σού τό πύρ φοβήσει καιόμενον, πρός ταύτα σφάζε ανομώτατε, ποίει λοιπόν ο βούλει, οι Παίδες ανεβόων.

Νομίμως εναθλήσωμεν, αλλήλοις οι στερροί, μάρτυρες Χριστού, Μωσέως τά δόγματα, παρηγγυώντο μή παράψασθαι, τών μιαρών όψων, οι Παίδες ανεβόων.

Δόξα...

Προάναρχε, συνάναρχε, ομόθρονε Τριάς, Πατήρ καί Υιέ καί Πνεύμα τό Άγιον, Μονάς Αγία τρισυπόστατε, τούς εξ Αδάμ σώζε, πιστώς σε ανυμνούντας.

Καί νύν... Θεοτοκίον

Χριστέ ο μόνος εύσπλαγχνος, ειρήνευσον ημάς, σέ γάρ δυσωπεί η άχραντος Μήτηρ σου, σύν τοίς Αγίοις τοίς αθλήσασιν, υπέρ εθών πατρώων, καί τού Μωσέως νόμου.

Καταβασία

«Ω τρισμακάριστον ξύλον! εν ώ ετάθη Χριστός, ο Βασιλεύς καί Κύριος, δι' ού πέπτωκεν ο ξύλω απατήσας, τώ εν σοί δελεασθείς, Θεώ τώ προσπαγέντι σαρκί, τώ παρέχοντι, τήν ειρήνην ταίς ψυχαίς ημών».

Τού Σταυρού

Ωδή ς'

Ιλάσθητί μοι Σωτήρ

Σταυρού παγέντος εν γή, δαιμόνων πτώσις εγένετο, όν νύν ορώντες ημείς, ενδόξως προκείμενον, καί κατασπαζόμενοι, τής τών συμπτωμάτων, αμαρτίας

ανιστάμεθα.

Υμνούντές σε τόν Θεόν, καί Βασιλέα καί Κύριον, όν εδωρήσω ημίν, Σταυρόν τείχος άρρηκτον, νύν περιπτυσσόμεθα, εν αγαλλιάσει, καί δεινών απαλαττόμεθα.

Μεγάλα πάσιν ημίν, δωρήματα παρεχόμενος, ο τού Κυρίου Σταυρός, οράται προκείμενος, Προσέλθωμεν άνθρωποι, φωτισμόν καρδίας, καί ψυχής απαρυόμενοι.

Θεοτοκίον

Νηστεύειν ημάς Αγνή, κακίας πάσης ενίσχυσον, καί φαύλων καί πονηρών, απέσχεσθαι πράξεων, αεί ενδυνάμωσον, προστασία πάντων, τών ανθρώπων χρηματίζουσα.

Τών Αγίων

Τόν Προφήτην Ιωνάν

Η σοφία τού Θεού, ωκοδόμησε ναόν, καί υπήρεισεν αυτόν, επτά στύλοις λογικοίς, προγράφουσα τούς Παίδας τούτους, ως νόμου φύλακας.

Η σοφή Σολομονή, υιούς έτεκεν επτά, ούς εθρέψατο καλώς, Ελεάζαρ ο σοφός, καί έστεψεν, η θεία χάρις, στερρώς αθλήσαντας.

Τί βραδύνεις δικαστά; πρός Αντίοχον φησίν, εν τώ μέσω τών δεινών, η επτάκλωνος σειρά, τιμώρησον, συντόμως σφάττε, ποίει ά θέλεις λοιπόν.

Προενήθλησε πατήρ, συναθλούσι καί υιοί, εφεπέσθω σύν ημίν, καί η μήτηρ δικαστά, καί γένοιτο, προσθήκη τέκνοις, καί σεμνολόγημα.

Κάν τά σώματα ημών, αναλώσης τώ πυρί, ο επτάδελφος χορός, ανεβόα τολμηρώς, Αντίοχε, μή όλως οίου, νικάν κάν ένα ημών.

Δόξα...

Τόν Πατέρα καί Υιόν, καί τό Πνεύμα τό ευθές, εν θεότητι μιά προσκυνήσωμεν πιστώς, κραυγάζοντες, Τριάς Αγία, σώ ζετόνκόσμον σου.

Καί νύν... Θεοτοκίον

Πώς εγέννησας Υιόν, όν ουκ έσπειρε Πατήρ; πώς διέμεινας Αγνή, μετά τόκον ώσπερ ής; Θεός οίδεν, ο πάντα πράττων, όπως αν βούληται.

Καταβασία

«Νοτίου θηρός εν σπλάγχνοις, παλάμας, Ιωνάς, σταυροειδώς διεκπετάσας, τό σωτήριον πάθος προ, διετύπου σαφώς, Όθεν τριήμερος εκδύς, τήν υπερκόσμιον Ανάστασιν υπεζωγράφησε, τού σαρκί προσπαγέντος Χριστού τού Θεού, καί τριημέρω εγέρσει τόν κόσμον φωτίσαντος».

Κοντάκιον Ήχος β'

Τά άνω ζητών

Σοφίας Θεού, οι στύλοι οι επτάριθμοι, καί θείου φωτός, οι λύχνοιοι επτάφωτοι, Μακκαβαίοι πάνσοφοι, πρό Μαρτύρων μέγιστοι Μάρτυρες, σύν αυτοίς τώ πάντων Θεώ, αιτείσθε σωθήναι τούς υμνούντας υμάς.

### Ο Οίκος

Αίνει θερμώς Σιών τόν Θεόν σου, ότι ενίσχυσεν όντως σών πυλών τούς μοχλούς, καί τούς υιούς σου ευλόγησεν, Ούτοι στρατός γάρ ως τροπαιούχος, φάλαγξ όντως γενναία καί κραταιόφρων, πρός μηχανάς δυσσεβών θεοφρόνως ανθέστηκεν, Αλλ' ως νίκης στεφάνους ουρανίας Σιών απολαύοντες, καί τώ θείω θρόνω πελάζοντες, υπέρ πάντων απαύστως δεόμενοι, αιτείσθε σωθήναι τούς υμνούντας υμάς.

### Συναξάριον

Τή Α' τού αυτού μηνός, μνήμη τών Αγίων επτά μαρτύρων τών Μακκαβαίων, Αβείμ, Αντωνίου, Γουρία, Ελεαζάρου, Ευσεβωνά, Αχείμ καί Μαρκέλλου, καί τής μητρός αυτών Σολομονής, καί Ελεαζάρου τού διδασκάλου αυτών.

### Στίχοι

- Πρώτος πρό Χριστού πύρ στέγων Ελεάζαρ,
- Αθλήσεως προύθηκε τοίς άλλοις ίχνη.
- Πρώταθλον άλλην καί πρό τής θέκλης έχω,
- Τήν Σολομονήν, ήν πρό Χριστού πύρ φλέγει.
- Εξ εβδόμης πέμπουσι Παίδων επτάδα,
- Αρθρέμβολα, πύρ, καί τροχοί πρός ογδόην.
- Καύσαν ενί πρώτη Σολομώνην, επτά τε υίας.

Τή αυτή ημέρα, μνήμη τών Αγίων εννέα μαρτύρων, τών εν Πέργη τής Παμφυλίας αθλησάντων, Λεοντίνου, Άττου, Αλεξάνδρου, Κινδέου, Μνησιθέου, Κυριακού, Μηναίου, Κατούνου, καί Ευκλέου.

### Στίχοι

- Εκ Παμφυλίας εννάς ετ μήθη ξίφει,
- Μίαν φυλήν ζητούσα, τήν τών Μαρτύρων.

Τή αυτή ημέρα, ο Άγιος Πάπας ο Νέος, εις σάκκον βληθείς, καί θίβη εγκλεισθείς, καί εις θάλασσαν ριφθείς, τελειούται.

### Στίχοι

- Σάκκος Πάπαν έκρυψε, καί σάκκον θίβη,
- Καί τήν θίβην ρούς, καί Πάπας Θεού πέλας.

Τή αυτή ημέρα, ο Αγιος Μάρτυς Ελεάζαρος, πυρί τήν κεφαλήν φλεχθείς, τελειούται.

### Στίχοι

- Καυτηριασθείς Ελεάζαρος κάραν,
- Ψυχοβλαβών απήλθε κρείττων ρευμάτων.

Τή αυτή ημέρα, ο Αγιος Μάρτυς Κήρυκος ξίφει τελειούται.

Στίχοι

- Τού δημίου φήσαντος, ου τμηθής θύων.
- Κλίνας κάραν Κήρυκος, είπεν, Ού θύω.

Τή αυτή ημέρα, ο Άγιος Μάρτυς Θεόδωρος ξίφει τελειούται.

Στίχοι

- Τώ Θεοδώρω θείος ενσκήπτει πόθος,
- Τυχείν ποθεινών δωρεών διά ξίφους.

Τή αυτή ημέρα, ο Άγιος Πολύευκτος, εν κοπρία χωσθείς, τελειούται.

Στίχοι

- Ιώβ καθέδραν, φη' μί δή τήν κοπρίαν,
- Ο Πολύευκτος είχεν εις τιμωρίαν.

Τή αυτή ημέρα, μνήμη τών Αγίων Μαρτύρων Μήνου, Μηναίου, καί τών λοιπών εν τώ Βιγλεντίω, πλησίον τού χαλκού Τετραπύλου.

Τή αυτή ημέρα, μνήμη τού εν Αγίοις Πατρός ημών Τιμοθέου, Επισκόπου Προκοννήσου (Προικοννήσου), τού θαυματουργού.

Στίχοι

- Τόν Τιμόθεον, τόν Προκοννήσου θύτην,
- Τιμά Θεός πρίν, νύν τε θαυματουργίαις.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

## Τού Σταυρού

### Ωδή ζ'

Θεού συγκατάβασιν

Ο χρόνων επέκεινα, εν χρόνω σάρκα φορέσας δείκνυται, καί τά χρόνια πάθη, ημών ιάται δι' αγαθότητα, σαρκός ομού τε καί πνεύματος, ήδη δέ, τώ θείω αυτού Σταυρώ, καθαγιάζει ημάς.

Υμνούμεν καί δοξάζομεν, καί προσκυνούμεν καί μεγαλύνομεν, τό σόν Κύριε κράτος, ότι παρέσχου ημίν τοίς δούλοις σου, Σταυρόν τόν θείον, τρυφήν αδαπάνητον, καί φύλακα τών ψυχών, καί τών σωμάτων ημών.

Μή δείξης με Κύριε, εν τή ημέρα τής διαγνώσεως, κατεγνωσμένον κακοίς, μή απορρίψης εκ τού προσώπου σου, κατησχυμμένον, αλλ' οίκτιρον σώσόν με, τώ σώ τιμίω Σταυρώ, ως υπεράγαθος.

Ετύπου τήν χάριν σου, Σταυρέ γλυκαίνων Μωσής τά ύδατα, τά πικρότατα ξύλω, καί γάρ πικρίας Κακών ερρύσθημεν, τή σή δυνάμει, διό ημάς γλύκανον,

ασπαζομένους σε νύν, εν κατανύξει ψυχής.

Θεοτοκίον

Νοός μου τήν στένωσιν, τή σή πρεσβεία πλάτυνον Δέσποινα, η στενώσασα πάσας, τάς μεθοδείας τού πολεμήτορος, καί δι' οδού με στενής κατευόδωσον, πρός τόν πλατυσμόν τής ζωής, βαδίζειν Μήτηρ Θεού.

Τών Αγίων

Τούς εν καμίνω

Οι τού πατρώου νόμου ζηλωταί, οι σύμψυχοι φύλακες τού νόμου ακλινείς, ένα Θεόν πανευσεβώς καθωμολόγουν, τρισίν υποστάσεσιν, ενοποιούντες πιστώς, καί διαιρούντες ευσεβώς.

Τί επιμένεις τύραννε λοιπόν; οι Μάρτυρες έκραζον τώ πλάνω δικαστή, ένα Θεόν ημείς ομολογούμεν, καί πατρίδα έχομεν, τήν άνω Ιερουσαλήμ, τήν θρεψαμένην ημάς.

Ού μιαροφαγήσομεν φασίν, ου θύσομεν, ουδέ γόνυ κάμψομεν εις γήν, ένα Θεόν ημείς ομολογούμεν, καί αυτόν φοβούμεθα, παρ' ού γεγόναμεν, καί πρός όν σπεύδομεν.

Δόξα...

Τριαδικήν υμνήσωμεν ωδήν, δοξάζοντες άναρχον Πατέρα καί Υιόν, Πνεύμα ευθές, μοναδικήν μίαν ουσίαν, ήν τρισσώς υμνήσωμεν, Άγιος, Άγιος, Άγιος κράζοντες.

Καί νύν... Θεοτοκίον

Χαίρε τό τείχος πάντων καί χαρά, Πανύμνητε, χαίρε τών περάτων η ελπίς, χαίρε βροτών η καλλονή, καί τών Αγγέλων η τερπνότης άχραντε, σύ γάρ τόν μόνον Θεόν σαρκί εκύησας.

Καταβασία

«Έκνοον πρόσταγμα τυράννου, δυσσεβούς λαούς εκλόνησε, πνέον απειλής, καί δυσφημίας θεοστυγούς, Όμως τρείς Παίδας ουκ εδειμάτωσε, θυμός θηριώδης, ου πύρ βρόμιον, αλλ' αντηχούντι δροσοβόλω πνεύματι, πυρί συνόντες έψαλλον, ο υπερύμνητος τών Πατέρων καί ημών, Θεός ευλογητός εί».

Τού Σταυρού

Ωδή η'

Επταπλασίως κάμινον

Ξύλω ποτέ ανείλκυσε, ποταμού τό σιδήριον, θείος Ελισσαίος, σέ προγράφων πόρρωθεν, Σταυρέ πανσεβάσμιε, εκ τού βυθού τής πλάνης καί γάρ, διά σού πρός πίστιν, αναχθέντες βεβαίαν, τήν σήμερον ημέραν, αξιούμεθα βλέπειν, καί πίστει προσκυνείν σε, εις πάντας τούς αιώνας.

Υποσημαίνει πόρρωθεν, σέ Σταυρέ πανσεβάσμιε, εν ταίς ευλογίαις Ιακώβ

τρανότατα, ημείς δέ εν χάριτι, αξιωθέντες βλέπειν σε, πίστει αδιστάκτω, προσερχόμεθα πάντες, καί ψάλλομεν πλουσίως, ευλογίαν τρυγώντες, καί φώς καί σωτηρίαν, καί τών πταισμάτων λύσιν.

Λευχειμονούντες πράξεσιν, εναρέτοις προσέλθωμεν, εν αγαλλιάσει, τώ Χριστώ κραυγάζοντες, Πανάγαθε Δέσποτα, τώ σώ υψίστω θείω Σταυρώ, ύψωσον ημών, τού χριστωνύμου λαού σου, τό κέρας, ίνα πίστει, καί ειρήνη βαθεία, υμνήταί σου τό κράτος, εις πάντας τούς αιώνας.

Τριαδικόν

Ομοφυή συνάναρχον, συναϊδιον σύνθρονον, φύσιν μέν απλήν, διαιρετήν προσώποις δέ, Πατέρα αγέννητον, Υιόν καί Πνεύμα Άγιον, άκτιστον ουσίαν, καί θεότητα πάντες, υμνούντες μελωδούμεν, Ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Η Σταυροθεοτοκίον

Νύν ως αρνίον άκακον, καθορώσα κρεμάμενον, καί υπό ανόμων τώ Σταυρώ πηγνύμενον, Υιέ μου προάναρχε, καί οδυρμοίς συγκόπτομαι, καί ταίς μητρικαίς περιστατούμαι οδύναις, ή Πάναγνος εβόα, ήν φωναίς ασιγήτοις, υμνούμεν θεοφρόνως, εις πάντας τούς αιώνας.

Τών Αγίων

Τόν εν σοφία τούς ουρανούς

Οι τών πατρώ ων εθών νομοφύλακες, καί τής Μωσέως διαταγής προκήρυκες, ως επτά φωστήρες εν κόσμω φαίνοντες, ταίς ακτίσι τών άθλων, ημάς καταλάμπουσιν, οι νοεροί λαμπτήρες.

Οι κατά νόμον Θεού αριστεύσαντες, καί τάς Αντιόχου βουλάς καταπτύσαντες, τολμηρώς εβόων, Ημάς Αντίοχε, ου θηρία ού ξίφη, ού πύρ ουδέ μάστιγες, όλως χωρίσει Θεού.

Οι τήν Μωσέως καθέδραν κοσμήσαντες, καί τούς πατρώους θεσμούς συντηρήσαντες, ως επτά αστέρες έν κόσμω λάμποντες, τούς πλανήτας αστέρας, λοιπόν απημαύρωσαν, τή πίστει φαιδρυνθέντες.

Τής ευσεβούς Σολομονής βλαστήματα, καί τού πιστού Ελεάζαρ τά θρέμματα, οι επτά φωστήρες ως λύχνοι φαίνοντες, τή τού νόμου λυχνία, σαφώς επετέθησαν επί τή σκηνή τού Θεού.

Δόξα...

Δόξα πατρί καί Υιώ καί τώ Πνεύματι, τή εν Τριάδι προσώπων θεότητι, καί Μονάδι φύσεως, υποστάσεσιν, υμνουμένη απαύστως, υπό πάσης κτίσεως καί εις πάντας τούς αιώνας.

Και νύν... Θεοτοκίον

Τής πατρικής ευδοκίας θησαύρισμα, τής τού Υιού παρουσίας εναύλισμα, τού Αγίου Πνεύματος ενδιαίτημα, ανεδείχθης Μαρία, Τριάδος τήν έμφασιν εν σοί ανατυπούσα.

## Καταβασία

«Ευλογείτε Παίδες, τής Τριάδος ισάριθμοι, Δημιουργόν Πατέρα Θεόν, υμνείτε τόν συγκαταβάντα Λόγον, καί τό πύρ εις δρόσον μεταποιήσαντα, καί υπερυψούτε, τό πάσι ζωήν παρέχον, Πνεύμα πανάγιον εις τούς αιώνας».

## Τού Σταυρού

### Ωδή θ'

### Εξέστη επί τούτω

Ιάσω υπεράγαθε τήν εμήν, συντριβήν εν Σταυρώ προσπηγνυμενος, ήλοις ποτέ, πόδας τε καί χείρας Παμβασιλεύ, καί τήν πλευράν νυττόμενος, όξος ποτιζόμενος καί χολήν, η πάντων ευφροσύνη, ο γλυκασμός η δόξα, η αιωνία απολύτρωσις.

Ωραίος υπέρ σάπφειρον καί χρυσόν, φωταυγής ώσπερ ήλιος πέφυκας, θείε Σταυρέ, κείμενος μέν τόπω περιγραπτός, καί νοεραίς Δυνάμεσι, πάντοτε κυκλούμενος φανερώς, ακτίσι δέ τής θείας, δυνάμεως φωτίζων, τής οικουμένης τά πληρώματα.

Σταυρός χειμαζομένων εστί λιμήν, οδηγός πλανωμένων καί στήριγμα, δόξα Χριστού, σθένος Αποστόλων καί Προφητών, τών Αθλητών κραταίωμα, πάντων τών ανθρώπων καταφυγή, αυτόν εν μέσω πάντες, προκείμενον ορώντες, μετ' ευλαβείας ασπασώμεθα.

Η νίκα μέλλεις έρχεσθαι επί γής, κρίναι κόσμον όν έπλασας Κύριε, Αγγελικών, προπορευομένων σών στρατιών, καί τού Σταυρού προλάμποντος, υπέρ τάς αυγάς τάς ηλιακάς, τή τούτου δυναστεία, οικτίρησόν με σώσον, τόν υπέρπάντας βροτούς πταίσαντα.

### Η Σταυροθεοτοκίον

Φθοράς σε δίχα τέτοκα εκ γαστρός, πρό αιώνων Πατήρ όν εγέννησε, καί πώς φθορείς, άνθρωποι σπαράττουσί σε Υιέ, καί τήν πλευράν ορύττουσι, λόγχη καί τάς χείρας σύν τοίς ποσίν, ηλούσιν απανθρώπως; η Πάναγνος εβόα, ήν επαξίως μεγαλύνομεν.

## Τών Αγίων

### Τήν φωτοφόρον νεφέλην

Οι κατά νόμον τραφέντες, καί υπέρ νόμου θανόντες, Ελεαζάρου φοιτηταί, Σολομονής δέ Παίδες, καί τού Μωσέως ζηλωταί, ελκόμενοι έκραζον, Αντίοχε τί βραδύνεις, τί μέλλεις, τί ου πράττεις, ά βουλεύη καθ' ημών.

Οι ταξιάρχαι τού νόμου, τής Αντιόχου ανοίας, καταφρονήσαντες στερρώς, ταίς βασάνοις ενήθλουν, ζηλοτυπούντες εαυτούς, αλλήλους προτρέποντες, καί σπεύδοντες, προαρπάζειν τούς πόνους, καί τούς άθλους, καί θανείν υπέρ τό ζήν.

Ώσπερ Ολυμπιονίκη, ανδρεία τις καί γενναία, η Σολομονή τούς υιούς, εσφαγμένους ορώσα, ουκ εσαλεύθη τήν ψυχήν, αλλ' έκραζεν, Άκουε, Αντίοχε, καμέ πρόσθες τοίς τέκνοις, είπερ όλως, εστί χάρις παρ' εχθρών.

Ω γυναικός αριστείας! ώ γενναιότητος άκρας! η τόν επτάκλωνον χορόν, τών υιών υπέρ νόμου, αφιερώσασα Θεώ, προθύμως ηνδρίσατο καί δέδωκεν, εαυτήν ταίς βασάνοις, εις προσθήκην, τών θανόντων νύν υιών.

Οι τής σεπτής εβδομάδος, τύπον επέχοντες Παίδες, εν τώ θανάτω τήν ζωήν, θησαυρίζειν ποθούντες, ταίς τού διώκτου απειλαίς, γενναίως αντέστησαν, καί ήσχυναν, τή τού νόμου λατρεία, τάς εκείνου, παμβεβήλους μηχανάς.

Τούς αριστέας τού νόμου, ούς Ελεάζαρ εκθρέψας, τύπον κατέλιπε καλόν, εαυτόν προενέγκας, τοίς τών Αγίων αικισμοίς, ενδόξως τιμήσωμεν, πρεσβεύοντας, τού δοθήναι τώ κόσμω, τήν ειρήνην, καί ημίν τόν ιλασμόν.

Τούς εκτελούντας τήν μνήμην, τών ιερών ημών άθλων, Παίδες τού νόμου τού Θεού, ταίς υμών ικεσίαις, εκ πάσης νόσου καί φθοράς, λυτρώσασθε Άγιοι, δωρούμενοι, τή Μονή ημών ταύτη τήν ειρήνην, καί κακών απαλλαγήν.

Δόξα...

Φώς τόν Πατέρα δοξάζω, φώς τόν Υιόν μεγαλύνω, φώς καί τό Πνεύμα προσκυνώ, τήν Αγίαν Τριάδα, αλλ' εν προσώποις μέν τρισί, μιά δέ θεότητι, αϊδιον, ατελεύτητον κράτος, εκ μή όντων, τά πάντα παραγαγόν.

Καί νύν... Θεοτοκίον

Πώς, ειπέ, τίκτεις Παρθένε; πώς εκ μαζών σου τό γάλα; πώς τού απάτορος εκ σού, καί αμήτορος άνω, εκ τού Πατρός μονογενούς, γεννήτρια γέγονας, θηλάζουσα, τόν τροφέα τού κόσμου; πώς; Ως οίδεν, ως ηυδόκησεν αυτός.

Καταβασία

«Μυστικώς εί Θεοτόκε Παράδεισος, αγεωργήτως βλαστήσασα Χριστόν, υφ' ού τό τού Σταυρού, ζωηφόρον εν γή, πεφυτουργηται δένδρον, Διό νύν υψουμένου, προσκυνούντες αυτόν σέ μεγαλύνομεν».

«Ο διά βρώσεως τού ξύλου, τώ γένει προσγενόμενος θάνατος, διά Σταυρού κατήργηται σήμερον, τής γάρ προμήτορος η παγγενής κατάρα διαλέλυται, τώ βλαστώ τής Αγνής Θεομήτορος, ήν πάσαι αι Δυνάμεις τών ουρανών μεγαλύνουσιν».

Εξαποστειλάριον Ήχος β'

Τών Μαθητών

Τούς θαυμαστούς υμνήσωμεν Μακκαβαίους, Ελεαζάρου παίδας Σολομονής τε, ούτοι γάρ καθείλον τά φρυάγματα, τού αρχεκάκου δράκοντος, καί τή τού νόμου λατρεία, εγένοντο στεφανίται.

Τού Σταυρού

Σταυρός ο φύλαξ πάσης τής οικουμένης, Σταυρός η ωραιότης τής Εκκλησίας,

Σταυρός βασιλέων τό κραταίωμα, Σταυρός πιστών τό στήριγμα, Σταυρός Αγγέλων η δόξα, καί τών δαιμόνων τό τραύμα.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν τρία Στιχηρά Προσόμοια τού Σταυρού.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Εν φωναίς αλαλάξωμεν, εν ωδαίς μελωδήσωμεν, τόν Σταυρόν τόν τίμιον ασπαζόμενοι, καί πρός αυτόν εκβοήσωμεν, Σταυρέ παμμακάριστε, καθαγίασον ημών, τάς ψυχάς καί τά σώματα, τή δυνάμει σου, καί Παντοίας εκ βλάβης εναντίων, διατήρησον ατρώτους, τούς ευσεβώς προσκυνούντάς σε.

Προσελθόντες αρύσασθε, μή κενουμενα νάματα, τού Σταυρού τής χάριτος προερχόμενα, ιδού προκείμενον βλέποντες, τό ξυλον τό Άγιον, χαρισμάτων τήν πηγήν, αρδομένην τώ Αίματι, καί τώ Ύδατι, τού Δεσπότου τών όλων, τού εν τούτω, εκουσίως υψωθέντος, καί τούς βροτούς ανυψώσαντος.

Εκκλησίας εδραίωμα, Μοναζόντων αγλάϊσμα, Ιερέων καύχημα καί διάσωσμα, σύ εί Σταυρέ πανσεβάσμιε, διό προσκυνούμέν σε, καί καρδίας καί ψυχάς, φωτιζόμεθα σήμερον, θεία χάριτι, τού εν σοί προσπαγέντος, καί τό κράτος, τού δολίου καθελόντος, καί τήν αράν αφανίσαντος.

Καί τρία Ιδιόμελα τών Αγίων
Ήχος α'

Η πολύαθλος μήτηρ, πρός αγώνας συγκαλούσα τούς Οικείους παίδας έλεγε, Τή Αβραμιαία πολιά ακολουθήσατε, ίνα τή σφαγή τού Ισαάκ συγκοινωνήσητε, Αυτοί δέ προελάμβανον τήν οδηγούσαν, προέπεμπον τήν νουθετούσαν, επαλλήλαις τιμωρίαις, τάς βασάνους βλέποντες, Ών ταίς ευχαίς ο Θεός ελέησον ημάς.

Στίχ. Θαυμαστός ο Θεός εν τοίς Αγίοις αυτού.

Ήχος δ'

Επτά στύλοι εκλεκτοί, εκ μιάς πέτρας λογικής λατομηθέντες, ασάλευτον έδειξαν τόν τού νόμου πύργον, δι' ών ευδόκησον Σωτήρ, εν ειρήνη φυλαχθήναι τάς ψυχάς ημών.

Στίχ. Τοίς αγίοις τοίς εν τή γή αυτού εθαυμάστωσεν.

Ήχος πλ. α'

Οι τού νόμου φύλακες, καί τής Σολομονής υιοί, εν σταδίω αθλούντες, πρός Αντίοχον εβόων, Ημείς, ώ Αντίοχε, υπέρ πατρώων νόμων εγκαρτερούμεν, ου χωρίσει δέ ημάς, ου πύρ, ου ξίφος, ου θήρες, ου μάστιγες, αλλ' ομού τεθνηξόμεθα, σύν μητρί γηραλέα καί διδασκάλω πατρί, ζώντες καί συγχαίροντες εις τούς ατελευτήτους αιώνας.

Δόξα... Ήχος δ'

Τόν κατά Μακκαβαίων συγκροτηθέντα πόλεμον, δεύτε θεασώμεθα πιστοί, καί

τήν τούτων ανδρείαν, τύραννος γάρ Βασιλεύς, πάντων τών εθνών κρατήσας, αντεκρατείτο υπό γέροντος, καί παίδων επτά, καί μιάς γυναικός, Διό ευχαίς αυτών, ο Θεός ελέησον ημάς.

Καί νύν... Ήχος ο αυτός

Ο συμμαχήσας Κύριε τώ πραοτάτω Δαυϊδ, υποτάξαι τόν αλλόφυλον, τώ πιστώ ημών Βασιλεί συμπολέμησον, καί τώ όπλω τού Σταυρού κατάβαλε τούς εχθρούς ημών, δείξον εύσπλαγχνε εις ημάς, τά αρχαία ελέη σου, καί γνώτωσαν αληθώς, ότι, σύ εί Θεός, καί εν σοί πεποιθότες νικώμεν, πρεσβευούσης συνήθως τής αχράντου σου Μητρός, δωρηθήναι ημίν τό μέγα έλεος.

Δοξολογία μεγάλη

Μετά δέ τήν συμπλήρωσιν αυτής γίνεται Είσοδος μετά τού τιμίου Σταυρού, καί εφεξής τούτου προσκύνησις, κατά τόν τύπον τής τρίτης Κυριακής τών Νηστειών.

Γινομένης δέ τής προσκυνήσεως, ψάλλομεν τό Ιδιόμελον Στιχηρόν τούτο.

Ήχος β'

Δεύτε πιστοί, τό ζωοποιόν ξύλον προσκυνήσωμεν, εν ώ Χριστός ο Βασιλεύς τής δόξης, εκουσίως χείρας εκτείνας, ύψωσεν ημάς εις τήν αρχαίαν μακαριότητα, ούς πρίν ο εχθρός, δι' ηδονής συλήσας, εξορίστους Θεού πεποίηκε, Δεύτε πιστοί, ξύλον προσκυνήσωμεν, δι' ού ηξιώθημεν τών αοράτων εχθρών συντρίβειν τάς κάρας, Δεύτε πάσαι αί πατριαί τών εθνών, τόν Σταυρόν τού Κυρίου ύμνοις τιμήσωμεν, Χαίροις Σταυρέ, τού πεσόντος Αδάμ η τελεία λύτρωσις, Εν σοί οι πιστότατοι Βασιλείς ημών καυχώνται, ως τή σή δυνάμει Ισμαηλίτην λαόν, κραταιώς υποτάττοντες, Σέ νύν μετά φόβου Χριστιανοί ασπαζόμενοι, τόν εν σοί προσπαγέντα Θεόν δοξάζομεν λέγοντες, Κύριε, ο εν αυτώ προσπαγείς, ελέησον ημάς ως αγαθός καί φιλάνθρωπος.

Η λοιπή Ακολουθία ως σύνηθες, καί Απόλυσις.

Εις τήν Λειτουργίαν

Αντί τού Τρισαγίου ψάλλομεν

Τόν Σταυρόν σου προσκυνούμεν δέσποτα, καί τήν αγίαν σου Ανάστασιν δοξάζομεν.

---

Αρχή

## ΤΗ Β' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής Ανακομιδής τού λειψάνου τού Αγίου Πρωτομάρτυρος καί Αρχιδιακόνου Στεφάνου.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσι

Τή τού Πνεύματος χάριτι, λαμπρυνθείς τήν διάνοιαν, τή μορφή ως άγγελος ώφθης Στέφανε, διαδοθείσης τώ σώματι, τής ένδον λαμπρότητος, καί τήν αίγλην τής ψυχής, φανερούσης τοίς βλέπουσι, δι' ής έτυχες, καί φωτός θεωρίας ουρανών σοι, παραδόξως ανοιγέντων, αρχή Μαρτύρων καί καύχημα.

Ως βαθμίδες καί κλίμακες, πρός ουράνιον άνοδον, αι τών λίθων νιφάδες σοί γεγόνασιν, ών επιβαίνων τεθέασαι, εστώτα τόν Κύριον, τού Πατρός εκ δεξιών, σοί ομώνυμον στέφανον, προτεινόμενον, δεξιά ζωηφόρω, ού πλησίον, ως καλλίνικος παρέστης, καί Αθλητών ακροθίνιον.

Εν σημείοις καί τέρασιν, απαστράπτων καί δόγμασι, παρανόμων έσβεσας τό συνέδριον, καί υπ' αυτών αναιρούμενος, καί λίθοις βαλλόμενος, υπέρ τής τών φονευτών, σύ προσηύχου αφέσεως, εκμιμούμενος, τήν φωνήν τού Σωτήρος, ού εις χείρας, εναπέθου σου τό πνεύμα, τό ιερώτατον Στέφανε.

Καί Ιδιόμελα γ'

Ήχος β'

Πρώτος εν Διακόνοις, πρώτος καί εν Μάρτυσιν εδείχθης, πανάγιε Στέφανε, οδός γάρ εγένου τοίς Αγίοις, καί πολλούς τώ Κυρίω προσήγαγες Μάρτυρας, διό ουρανός σοι ηνοίγη, καί Θεός σοι εφάνη, Αυτόν ικέτευε σωθήναι τάς ψυχάς ημών.

Ο αυτός

Τόν Πρωτομάρτυρα, καί γενναίον τού Χριστού θεράποντα, Στέφανον τόν Πρωτοδιάκονον, επαξίως τιμήσωμεν, Ούτος εστώς εν μέσω παρανόμων, εν δεξιά Πατρός, Υίόν εθεάσατο.

Ο αυτός

Αγιωσύνην ενεδύσω, Στέφανε μακάριε, Πρωτομάρτυς καί Πρωτοδιάκονε, τών Αγγέλων συμμέτοχε, δυσωπήθητι καί πρέσβευε υπέρ ημών, πρός τόν Σωτήρα Κύριον τόν αναμάρτητον.

Δόξα... Ήχος β'

Πρώτος εν Μάρτυσιν εδείχθης, καί εν Διακόνοις, Στέφανε μακάριε, τών Αθλητών τό εγκαλλώπισμα, τών Πιστών τό στήριγμα, η δόξα τών Δικαίων, Τοίς τήν σεπτήν σου εορτάζουσι μνήμην, αίτησαι, ως παριστάμενος τώ θρόνω Χριστού τού παντάνακτος, τών πταισμάτων ιλασμόν, καί βασιλείας ουρανών αξιωθήναι.

Καί νύν... Θεοτοκίον

Μεταβολή τών θλιβομένων, απαλλαγή τών ασθενούντων υπάρχουσα, Θεοτόκε Παρθένε, σώζε πόλιν καί λαόν, τών πολεμουμένων η ειρήνη, τών χειμαζομένων η γαλήνη, η μόνη προστασία τών Πιστών.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος πλ. β'

Χαίροις εν Κυρίω, στεφανηφόρε Στέφανε, ο μιμητής τού Δεσπότου, διότι καί Πρωτομάρτυς γέγονας Χριστού τού Βασιλέως ημών, καί τήν πλάνην τών ανόμων Ιουδαίων κατήργησας, Πρέσβευε υπέρ ημών πρός Κύριον.

Καί νύν...

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής. Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Απολυτίκιον Ήχος δ'

Ταχύ προκατάλαβε

Βασίλειον διάδημα, εστέφθη σή κορυφή, έξ άθλων ών υπέμεινας, υπέρ Χριστού τού Θεού, μαρτύρων Πρωτόαθλε, σύ γάρ τήν Ιουδαίων απελέγξας μανίαν, είδές σου τόν Σωτήρα, τού Πατρός δεξιόθεν, Αυτόν ούν εκδυσώπει αεί, υπέρ τών ψυχών ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, οι Κανόνες τής Οκτωήχου καί τού Αγίου, ο παρών, ού η Ακροστιχίς.

Άσματι τόν πρώτον τών μαρτύρων εύ στεφανώσω.

Θεοφάνους.

Ωδή α' Ήχος πλ. δ'

Αρματηλάτην Φαραώ

Ακτινοβόλοις αστραπαίς τού Πνεύματος καταλαμπόμενος, υπερφυών άθλων, καί στερράς αθλήσεως τούς σέ υμνούντας φώτισον, παρεστώς τώ Δεσπότη στεφανηφόρος πανόλβιε, Στέφανε Μαρτύρων στεφάνωμα.

Σταδιοδρόμων απαρχή γενόμενος, καί ακροθίνιον, μαρτυρικού στέφους, καθοράν ηξίωσαι, τόν αθλοθέτην ένδοξε, δεξιά ζωηφόρω, θεόπλοκόν σοι προτείνοντα, στέφανον θεσπέσιε Στέφανε.

Μόνος υπάρχων θησαυρός χρηστότητος, Σώτερ ανέδειξας, εκ τών τής γής κόλπων, θησαυρόν πολύτιμον, πλούτον μή δαπανώμενον, αναφαίρετον όλβον, περιουσίαν ανώλεθρον, Στέφανον τόν σόν Πρωτομάρτυρα.

Αγγελομόρφω προφανώς λαμπρότητι, καταυγαζόμενος, Αγγελικοίς ύμνοις, Πρωτομάρτυς Στέφανε, καί Διακόνων πρόκριτε, κεκρυμμένος ως ώφθης, αξίως όντως τετίμησαι, ένδοξε Μαρτύρων αγλάϊσμα.

Θεοτοκίον

Σωματωθέντα δι' ημάς Πανάμωμε, τόν πρίν ασώματον, θεαρχικόν Λόγον, τού Πατρός γεγέννηκας, ως παρθενίας σκήνωμα, καί δοχείον αγνείας, καί τέμενος καθαρότητος, Δέσποινα τού κόσμου Θεόνυμφε.

Ωδή γ'

Ο στερεώσας κατ' αρχάς

Ιερολόγος Ιερός, καί θεολόγος εδείχθης, συμπλεκόμενος Εβραίων τοίς δήμοις, διελέγχων ασφαλώς, τήν τούτων αθεότητα, καί θεομάχον γνώμην, Στέφανε μάρτυς πανάριστε.

Τόν Πρωτομάρτυρα Χριστού, καί Διακόνων τόν πρώτον, τόν τοίς Μάρτυσι τού δρόμου τήν νύσσαν, υποδείξαντα λαμπρώς, Αγγέλων τόν συνόμιλον, δεύτε συμφώνως πάντες ύμνοις, ενθέως τιμήσωμεν.

Ο κεκρυμμένος θησαυρός, υπό τήν γήν φανερούται, καί τόν κόσμον ευωδίας ενθέου, καί πλουσίων δωρεών, τήν οικουμένην έπλησεν, ο τών Μαρτύρων πρώτος, καί Διακόνων ο πρόκριτος.

Νενεκρωμένον μου τόν νούν, τή τής ζωής ενεργεία, διά σού τής κηρυχθείσης εμφρόνως, εξανάστησον υμνείν, τήν ισήν σεπτήν πανήγυριν, καί σού κατ' ίχνος βαίνειν, Στέφανε μάκαρ αξίωσον.

Θεοτοκίον

Πύλη εδείχθης νοητή, ανατολής τής εξ ύψους, τής εν γή φανερωθείσης Παρθένε, διά σού γάρ πρός ημάς, ο Λόγος εισελήλυθεν, επί τό σώσαι πάντας, τής αλογίας πανάχραντε.

Ο Ειρμός

«Ο στερεώσας κατ' αρχάς, τούς ουρανούς εν συνέσει, καί τήν γήν επί υδάτων εδράσας, εν τή πέτρα με Χριστέ, τών εντολών σου στήριξον, ότι ουκ έστι πλήν σου, άγιος μόνε φιλάνθρωπε».

Κάθισμα  Ήχος πλ. α'

Τόν συνάναρχον

Τή τού Πνεύματος αίγλη καταλαμπόμενος, καί τή όντως σοφία συνανυφούμενος, τών Ιουδαίων τήν αχλύν απημαύρωσας, καί εν σταδίω τόν εχθρόν, αθλητικώς καταβαλών, Μαρτύρων στέφανος ώφθης, Αλλά πρέσβευε τώ Κυρίω, ελεηθήναι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Η θερμή προστασία καί απροσμάχητος, η ελπίς η βεβαία, καί ακαταίσχυντος, τείχος καί σκέπη καί λιμήν τών προστρεχόντων σοι, αειπαρθενε Αγνή, τόν Υιόν σου καί Θεόν ικέτευε σύν Αγγέλοις, ειρήνην δούναι τώ κόσμω καί

σωτηρίαν καί μέγα έλεος.

Ωδή δ'

Σύ μου ισχύς, Κύριε

Ρείθρον ημίν, σήμερον μύρου ανέβλυσεν, ευωδίας, κρήνη εκπεπόρευται, καί ποταμούς θείων αγαθών, καί τρυφής χειμάρρους, επέκλυσεν ο αοίδιμος, ο πρώτος τών Μαρτύρων, ο τής πίστεως πλήρης, καί δυνάμεως θείας καί χάριτος.

Ως ιερά, καί φαιδροτάτη καί εύσημος, η ημέρα, η τού Πρωτομάρτυρος, πλήρης φωτός, καί πνευματικής, όντως ευφροσύνης, τή Βασιλίδι επέφανε, φυλάττουσα τό κράτος, τής σεπτής Εκκλησίας, καί βαρβάρων τό θράσος διώκουσα.

Τήν αγαθήν κληρονομίαν απείληφας, επαξίως Στέφανε μακάριε, ένθα Χριστός, ο παμβασιλεύς, σοί κατασκηνώσας, αυτού γάρ ώφθης Διάκονος, σημείων καί τεράτων, εκτελών τάς δυνάμεις, καί παρέχων νοσούσι τήν ίασιν.

Ο ακλινής, τής Εκκλησίας καί άσειστος, καί εδραίος, στύλος ανατέταται, από τής γής, έως ουρανού, αίγλη ευσεβείας, φωτίζων πάντα τά πέρατα, ο Στέφανος ο μέγας, αληθείας ο κήρυξ, τής αθλήσεως όντως ο πρόβολος.

Θεοτοκίον

Νέος, Αδάμ, διά τόν πρώτον σύ γέγονας, εκ Παρθένου, διά τήν Προμήτορα, ο Λυτρωτής πάντων καί Σωτήρ, κατά τού θανάτου, ζωή η όντως αθάνατος, διό σε τήν τεκούσαν Θεοτόκον ειδότες, επαξίως αυτήν μακαρίζομεν.

Ωδή ε'

Ίνα τί με απώσω

Τών ανόμων Εβραίων, τό τής ματαιότητος, όντως συνέδριον, καρτερώς ελέγξας, υπ' αυτών θεηγόρε χωννύμενος, ταίς βολαίς τών λίθων, εις ουρανούς ως νικηφόρος, ανυψώθης τώ πνεύματι Στέφανε.

Ως ωραίος ως όρθρος, κόσμω πεφανέρωσαι, ένδοξε Στέφανε, τήν αχλύν διώκων, καί δαιμόνων ελαύνων τά φασματα, καί νοσούντων πάθη, καί ψυχικών αρρωστημάτων, θεραπεύων τά έλκη θεόπνευστε.

Νοερώς σύν Αγγέλοις, Μάκαρ αγαλλόμενος, κόσμου τά πέρατα, αγιάζεις όντως, τή σή επιδημία καί χάριτι, ευωδίας μύροις, πνευματικοίς ευωδιάζων, καί κινδύνων καί ζάλης ρυόμενος.

Θεοτοκίον

Μητρικήν παρρησίαν, τήν πρός τόν Υιόν σου, κεκτημένην Πάναγνε, συγγενούς προνοίας, τής ημών μή παρίδης δεόμεθα, ότι σέ καί μόνην, Χριστιανοί πρός τόν Δεσπότην, ιλασμόν ευμενή προβαλλόμεθα.

Ωδή ς'

Ιλάσθητί μοι Σωτήρ

Αγγέλων ως μιμητής, τή προαιρέσει γενόμενος, τό είδος αγγελικόν, εκτήσω Μακάριε, μεθών αγαλλόμενος, καί περιπολεύων, τούς υμνούντάς σε περίσωζε.

Ρημάτων μάκαρ τών σών, τών θεοπνεύστων η δύναμις, ως ήχος ο τής βροντής, τά ώτα θεόληπτε, σαφώς κατεβρ όντησε, τά τών παρανόμων, καί τάς όψεις απημαύρωσε.

Τήν δόξαν τήν Πατρικήν, θεάσασθαι κατηξίωσαι, καί ταύτης τό συμφυές, απαύγασμα Στέφανε, τών άθλων μηνύον σοι, τούς λαμπρούς στεφάνους, θεηγόρε πανσεβάσμιε.

Θεοτοκίον

Υιός ο μονογενής, ο πρό αιώνων αόρατος, εσχάτων εφ' ημερών, Πρωτότοκος γέγονεν, ορώμενος σώματι, εκ σού Θεομήτορ, ο Θεός τής σωτηρίας μου.

Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

Κοντάκιον Ήχος πλ. δ'

Πρώτος εσπάρης επί γής υπό τού ουρανίου Γεωργού πανεύφημε, πρώτος τό αίμα επί γής διά Χριστόν εξέχεας μακάριε, πρώτος υπ' αυτού τόν τής νίκης στέφανον ανεβήσω εν ουρανώ, ως Αθλητών προοίμιον, Στεφανίτα τών Μαρτύρων ο Πρώταθλος.

Ο Οίκος

Τού Παραδείσου τά άνθη ορών, τή ευοσμία αυτών τή τερπνή, πληρούντα πάσαν τήν οικουμένην, τό ξένον αυτών καταπλήττομαι θέαμα, εν παγετώ γάρ χειμώνος, πλέον ανθούσι μάλλον, όπερ ξένον εν άνθεσιν, ως ο Μάρτυς τού Χριστού, ο εξανθήσας πρώτος, καί θύρα γεγονώς τών νομίμως αθλούντων, καί ανθούντων κρυμώ τών κολάσεων, ο δείξας τρίβον απλανή τοίς βουλομένοις αθλείν, ο καλός σταδιάρχης, ο τοίς πόνοις αναλάμψας, Στεφανίτης τών Μαρτύρων ο Πρώταθλος.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Β' τού αυτού μηνός, Μνήμη τής Ανακομιδής τού λειψάνου τού Αγίου Πρωτομάρτυρος, καί Αρχιδιακόνου Στεφάνου.

Στίχοι

- Έχεις Σιών πάμπολλα θεία καί ξένα.
- Νεκρόν Στεφάνους δός πόλει Κωνσταντίνου.
- Δευτερίη νέκυος Στεφάνου γένετ' Ανακομιδή.

Τή αυτή ημέρα, μνήμη τής ευρέσεως τών λειψάνων τών αγίων μαρτύρων Μαξίμου, Δάδα καί Κυντιλιανού.

Στίχοι

- Τρείς εκφέρουσα γή νεκρούς ζωηφόρους,
- Πόλω λέγειν έοικε. Σύ κρύψας έχε.

Τή αυτή ημέρα, μωήμη τών Εγκαινίων τού θείου Ναού τού Αγίου Αποστόλου καί Ευαγγελιστού, Ιωάννου τού θεολόγου, πλησίον τής αγιωτάτης μεγάλης Εκκλησίας.

Τή αυτή ημέρα, μνήμη τού Αγίου Μάρτυρος Φωκά, καί τού εν ευσεβεί μνήμη γενομένου Βασιλέως Ιουστινιανού εν τοίς αγίοις Αποστόλοις.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Θεού συγκατάβασιν

Ροή τών αιμάτων σου, τάς ουρανίους πύλας ηνέωξε, καί τόν Αγωνοθέτην, παρεστηκότα καί προτεινόμενον, σοί τούς στεφάνους υπέδειξε κράζοντι, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Ως θήρες αρπάσαντες, οι θεοκτόνοι τόν θεοφάντορα, μιαιφόνοις παλάμαις, τούτον ανήρουν υπερευχόμενον, τών αναιρούντων συντόνως καί ψάλλοντα, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Νομίμως διήλεγξας, τούς παρανόμους ο εννομώτατος, μιμητής του Σωτήρος, καί θεομάχους τούτους απέδειξας, υφ' ών τοίς λίθοις βαλλόμενος έψαλλες, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Θεοτοκίον

Εν χρόνω τόν άχρονον, απειρογάμως Αγνή γεγέννηκας, τόν πρίν άσαρκον Λόγον, σαρκός προσλήψει Παρθένε τέτοκας, ώ μελωδούμεν συμφώνως κραυγάζοντες, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Ωδή η'

Επταπλασίως κάμινον

Υπερφυεί λαμπόμενος, φωταυγία πανάριστε, καί τήν τού προσώπου σου μορφήν ισάγγελον, εδείκνυς τής χάριτος, διαδοθείσης Στέφανε, τής εν τή ψυχή σου, κεκρυμμένης πλουσίως, εντεύθεν ανεβόας, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Στεφανηφόρε Στέφανε, τής ψυχής μου τά τραύματα, καί τής αμαρτίας τάς ουλάς εξάλειψον, ρανίσιν αιμάτων σου, πρός γάρ τήν σήν αντίληψιν, καί τήν συμπαθή καί χριστομίμητον γνώμην, προσφεύγων ανακράζω, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Τόν τών χαρίτων ένδοξε, σοί ομώνυμον στέφανον, τή σή σεβασμία, κορυφή επέθηκε, Κριτής ο αδέκαστος, όν ευσεβώς εκήρυξας, Κτίστην καί Θεόν, καί Βασιλέα τών όλων, βοών αδιαλείπως, Ιερείς ευλογείτε, λαός υπερυψούτε, εις

πάντας τούς αιώνας.

Εν ταίς χερσί τού κτίσαντος, εναπέθου τό πνεύμά σου, αί τών ουρανών γάρ, στρατιαί συνόμιλον, εδέξαντο χαίρουσαι, τόν πρίν εν γή ισάγγελον, νύν δέ ταίς αυτών, συντεταγμένος χορείαις, βοάς αδιαλείπτως, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Φωτός αδύτου γέγονας, ενδιαίτημα Πάναγνε, φώς γάρ τοίς εν σκότει, καί σκιά γεγέννηκας, φωτίζον τά πέρατα, θεογνωσίας χάριτι, ώ ακαταπαύστως οι πιστοί μελωδούμεν, Οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο Τύραννος, τοίς θεοσεβέσιν, εμ' μανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, τώ Δημιουργώ, καί Λυτρωτή, ανεβόα, Οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ'

Εξέστη επί τούτω

Αθλήσεως Μαρτύρων η απαρχή, ο λαμπρώς υποδείξας τοίς Μάρτυσι, τήν απλανή, τρίβον όδηγούσαν εις ουρανούς, ο πρωτομάρτυς Στέφανος, πάντας προσκαλείται πνευματικώς, πρός θείαν ευφροσύνην, φωτός πρός μετουσίαν, καί κοινωνίαν αγιότητος.

Νευρούμενος αγάπη τή τού Χριστού, καί τήν τούτου ζηλώσας πραότητα, καί τήν φωνήν, έλεγες, Μή στήσης τοίς φονευταίς, τήν αμαρτίαν Κύριε, δέξαι δέ τό πνεύμά μου αγαθέ, καί θείας βασιλείας, τρυφήσαι τής αφράστου, καί τής παρά σού με καταξίωσον.

Ωραίος καί τό είδος αγγελικόν, καί σοφίας καί πίστεως έμπλεως, καί θεϊκής, αίγλης αποστίλβων μαρμαρυγάς, καί θεηγόρω στόματι, θεορρημοσύνης, ως ποταμός, ενθέως ρητορεύων, τής άνω κληρουχίας, θεομακάριστε τετύχηκας.

Στεφάνω τών χαρίτων στεφανωθείς, καί χορείαις μαρτύρων κυκλούμενος, καί τώ Χριστώ, τώ αγωνοθέτη παρεστηκώς, υπέρ ημών δυσώπησον, τών επιτελούντων ειλικρινώς, τήν όντως φωτοφόρον, πανήγυρίν σου Μάρτυς, καί τών κινδύνων απολύτρωσαι.

Θεοτοκίον

Ως πάντων προστασία Χριστιανών, Θεομήτορ Παρθένε πανάμωμε, ως συμπαθής, λύτρωσαι κινδύνων καί πειρασμών, τούς θλιβομένους δούλους σου, καί οδυνωμένους ταίς χαλεπαίς, πταισμάτων αλγηδόσι, καί πόνοις τών μαστίγων, αλγεινομένους περιποίησαι.

Ο Ειρμός

«Εξέστη επί τούτω ο ουρανός, καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί ή γαστήρ σου γέγονεν, ευρυχωροτέρα

τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι μεγαλύνουσι».

Εξαποστειλάριον
Ήχος β'  Τών Μαθητών

Ο πρώτος τών Μαρτύρων τρίβους ανύσας, καί Διακόνων πρόκριτος χρηματίσας, Στέφανος, ο χάριτος πεπλησμένος, ιδού ανακομίζεται, πρός τήν Βασίλειον πόλιν, θαυμάτων βρύων τήν χάριν.

Θεοτοκίον

Όνπερ αί άνω τάξεις πολλώ σύν τρόμω, παρίστανται μή φέρουσαι κατοπτεύσαι, αίγλην τής αρρήτου αυτού ουσίας, Χριστόν γαστρί εχώρησας, λαβόντα σάρκα Παρθένε, εκ σών τιμίων αιμάτων.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια γ' δευτερούντες τό α'.

Ήχος δ'
Έδωκας σημείωσιν

Άγγελος επίγειος, ο πρωτομάρτυς γενόμενος, πρός ουρανούς ανερχόμενος, επήρθη μετάρσιος, καί τήν θείαν είδεν, ως εχώρει δόξαν, τής απροσίτου μυηθείς, καί υπέρ νούν Τριάδος μυστήρια, διό τήν ακατάληπτον, ανακηρύττει σου δύναμιν, Ιησού παντοδύναμε, ο Σωτήρ τών ψυχών ημών. (Δίς)

Ωραίος επέφανας, τή επανόδω σου Στέφανε, πρωτομάρτυς πανένδοξε, ακτίσι κοσμούμενος, χαρισμάτων θείων, καί τών ιαμάτων, διό καί πάντας τούς πιστούς, καταφαιδρύνεις, τοίς θαυμασίοις σου, εν πίστει τόν φιλάνθρωπον, υμνολογούντας καί λέγοντας, Ιησού παντοδύναμε, ο Σωτήρ τών ψυχών ημών.

Κάλαμος υπέρτιμος, οξυγραφών τήν ευσέβειαν, ανεδείχθη η γλώσσά σου, δι' ής κατεφώτισας, Πρωτομάρτυς πάντας, ταίς διδασκαλίαις, καί επανήγαγες ημάς, εξ αγνωσίας πρός τήν ευσέβειαν, διό σου τήν ετήσιον, επιτελούντες πανήγυριν, ανυμνούμεν γεραίροντες, τούς αγώνάς σου Στέφανε.

Δόξα... Ήχος δ'

Στέφανος, η καλή απαρχή τών μαρτύρων, ο πλήρης χάριτος καί δυνάμεως, ο ποιών σημεία καί τέρατα μεγάλα έν τώ λαω, υπό ανόμων ελιθάζετο, αλλ' εξέλαμψεν ως άγγελος, καί θεωρεί τήν δόξαν, σού τού σταυρωθέντος υπέρ ημών, εν δεξιά τής δυνάμεως, καί τώ Πνεύματι τής χάριτος εις ουρανούς ελαμβάνετο, καί διά τούτο, ταίς χοροστασίαις τών Αγγέλων συναυλιζόμενος, πρέσβευε σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Εκ παντοίων κινδύνων, τούς δούλους σου φύλαττε, ευλογημένη Θεοτόκε, ίνα σε δοξάζωμεν, τήν ελπίδα τών ψυχών ημών.

Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος πλ. α'

Πρωτομάρτυς Απόστολε, καί Πρωτοδιάκονε, η πύλη τών Μαρτύρων, η δόξα τών Δικαίων, τών Αποστόλων τό καύχημα, σύ ουρανούς εθεάσω ανεωγμένους, εν τώ σταδίω εστώς, καί τόν Υιόν τού Θεού εκ δεξιών εστώτα τού αοράτου Πατρός, διό ως άγγελος εκλάμψας τώ προσώπω, εν χαρά ανεκραύγαζες υπέρ τών λιθαζόντων, Μή στήσης αυτοίς τήν αμαρτίαν ταύτην, καί νύν αίτησαι τοίς εκ πόθου ευφημούσί σε, ιλασμόν αμαρτιών, καί τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καί δοξάζομέν σε, οι πιστοί κατά χρέος, τήν πόλιν τήν άσειστον, τό τείχος τό άρρηκτον, τήν αρραγή προστασίαν, καί καταφυγήν τών ψυχών ημών.

Καί τά λοιπά ως συνήθως καί Απόλυσις.

Εις τήν λειτουργίαν

Ο Απόστολος

Εν ταίς ημέραις εκείναις, Στέφανος πλήρης πίστεως καί δυνάμεως...

Ζήτει τή β' τής γ' Εβδομάδος τού Πάσχα.

Ευαγγέλιον κατά Μάρκον

Είπεν ο Κύριος τήν παραβολήν ταύτην, Άνθρωπός τις εφύτευσεν αμπελώνα...

Ζήτει τή ς' τής ιε' Εβδομάδος τού Λουκά.

Κοινωνικόν

Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών, καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών. Αλληλούϊα.

---

Αρχή

**ΤΗ Γ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τού Οσίου Πατρός ημών Ισαακίου, Δαλμάτου καί Φαύστου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'

Οι μάρτυρές σου Κύριε

Οι Οσιοί σου Κύριε, εξομοιούμενοι τοίς Ασωμάτοις, διά δεήσεως καί εγκρατείας, πάθη εμείωσαν σαρκός, καί τή απαθεία διαλάμψαντες, πάντων τάς καρδίας κατεφώτισαν, αυτών ταίς ικεσίαις, δώρησαι τώ λαώ σου τό μέγα έλεος.

Δαλμάτιος καί Ισάκιος, ζήλον ενάρετον αναλαβόντες, Αρείου αίρεσιν καί Νεστορίου, καταβεβλήκασι σαφώς, καί τοίς ορθοδόξοις συμμαχήσαντες, κλέος παρά πάντων απηνέγκαντο, αυτών Χριστέ πρεσβείαις, δώρησαι τώ λαώ σου τό μέγα έλεος.

Αστέρες στερεώματι, τώ τής ασκήσεως αναφανέντες, κατεφωτίσατε τών μοναζόντων, Πατέρες Όσιοι ψυχάς, σκότος τών δαιμόνων απελάσαντες, όθεν μετά τέλος μακαρίζεσθε, πρεσβεύοντες σωθήναι, άπαντας τούς τελούντας τήν θείαν μνήμην υμών.

Δόξα... Καί νύν... Θεοτοκίον

Οι λογισμοί ακάθαρτοι, τά χείλη δόλια, τά έργα δέ μου, εισί παμμίαρα, καί τί ποιήσω; πώς υπαντήσω τώ Κριτή; Δέσποινα Παρθένε Καθικέτευσον, τόν Υιόν καί πλάστην σου καί Κύριον, όπως εν μετανοία, δέξηταί μου τό πνεύμα, ως μόνος εύσπλαγχνος.

Η Σταυροθεοτοκίον

Η δάμαλις η άσπιλος, τόν μόσχον βλέπουσα επί τού ξύλου, προσαναρτώμενον υπό ανόμων, Οδυρομένη γοερώς, Οίμοι! ανεβόα ποθεινότατον, τέκνον, τί σοι δήμος ανταπέδωκεν, αχάριστος Εβραίων, θέλων με ατεκνώσαι, εκ σού παμφίλτατε;

Απολυτίκιον Ήχος δ'

Ο Θεός τών Πατέρων ημών ο ποιών αεί μεθ' ημών κατά τήν σήν επιείκειαν, μή αποστήσης τό έλεος σου αφ' ημών, αλλά ταίς αυτών ικεσίας , εν ειρήνη κυβέρνησον τήν ζωήν ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, οι Κανόνες τής Οκτωήχου, καί τών Αγίων ο παρών, ού η Ακροστιχίς.

Φαιδρούς ανυμνώ τών μοναστών αστέρας. Ο Ιωσήφ.

Ωδή α' Ήχος πλ. δ'
Η κεκομμένη

Φωτί τώ θείω φαιδρώς παριστάμενοι, καί τρισηλίου αυγής πάντοτε πληρούμενοι, καί θέσει αληθώς, θεούμενοι Μακάριοι, τούς πίστει εορτάζοντας υμών τήν μνήμην τήν πανίερον, τώ Κυρίω ψάλλοντας, ενθέως καταυγάσατε.

Αποσκοπούντες εις μόνα τά μένοντα, τήν τών ρεόντων φοράν, πάσαν απεκρούσασθε, καί όλω τώ νοϊ, Κυρίω προσκολλώμενοι, ελίπετε σαρκός τάς ηδονάς, Πατέρες πανσεβάσμιοι, όθεν πρός ανέσπερον, αυγήν μετεβιβάσθητε.

Ιερωτάταις μελέταις πτερούμενος, Δαλμάτε Πάτερ σοφέ, καί καλλωπιζόμενος ταίς θείαις διδαχαίς, Ισακίου τού μάκαρος, ανέδραμες, πρός ύψος αρετών, καί

στύλος καί εδραίωμα, μοναζόντων γέγονας, διό σε μακαρίζομεν.

Θεοτοκίον

Δεδοξασμένη Θεόν η κυήσασα, τής αδοξίας με τών παθών απάλλαξον, καί δός μοι λογισμόν, Παρθένε κατανύξεως, καί λάμψον μετανοίας φωτισμόν, Αγνή εν διανοία μου, όπως μεγαλύνω σε τήν πάντας μεγαλύνασαν.

## Ωδή γ'

Ουρανίας αψίδος

Απλανή σε αστέρα, ανατολής, Όσιε, Πάτερ ωρμημένον, Ισάκιε πάντες έγνωμεν, πικράς αιρέσεως, εξαφανίζοντα σκότος, καί πιστούς τοίς λόγοις σου καταφαιδρύνοντα.

Νοητώς ανατείλας, ταίς καθαραίς λάμψεσι, Φαύστε τών αγώνων σου, Πάτερ φώς εχρημάτισας, φωτίζων άπαντας, τούς καθορώντάς σε μάκαρ, καί πιστώς τόν βίον σου εξεικονίζοντας.

Ύμνω δίαις απαύστοις, καί προσευχαίς, Όσιοι, πάντα τού σώματος πάθη, κατακοιμίσαντες, χάριν ακοίμητον, καί αναφαίρετον πλούτον, εκ Θεού ειλήφατε μακαριώτατοι.

Μακροτάτη νηστεία, ως Μωϋσής, Όσιε, σού τήν καρτερίαν, Δαλμάτε πάσιν υπέδειξας, ωραϊζόμενος, τοίς υπερλάμπροις σου πόνοις, καί καλλωπιζόμενος τή πολιτεία σου.

Θεοτοκίον

Νοητήν σε λυχνίαν, καί φωταυγή έγνωμεν, ένδον δεξαμένην Παρθένε, τό πύρ τό άστεκτον, θείον παλάτιον, καί υψηλότατον θρόνον, εν ώ ανεπαύσατο ο υπερούσιος.

Ο Ειρμός

«Ουρανίας αψίδος, οροφουργέ Κύριε, καί τής Εκκλησίας δομήτορ, σύ με στερέωσον, εν τή αγάπη τή σή, τών εφετών η ακρότης, τών πιστών τό στήριγμα, μόνε φιλάνθρωπε».

## Κάθισμα Ήχος πλ. δ'

Τήν Σοφίαν

Τώ φωτί τής τριάδος περιφανώς, πυρσευθέντες Πατέρες φωτοειδείς, τό σκότος ελίπετε, ηδονών τό βαθύτατον, καί φωστήρες έργοις, ενθέοις πυρσεύοντες, τών πιστών καρδίας, μακάριοι ώφθητε, όθεν τήν φωσφόρον, καί σεπτήν υμών μνήμην, γεραίρομεν σήμερον, καί συμφώνως κραυγάζομεν, θεοφόροι πανόλβιοι, πρεσβεύσατε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην υμών.

Δόξα... Καί νύν... Θεοτοκίον

Τήν Σοφίαν καί Λόγον εν σή γαστρί, συλλαβούσα αφλέκτως Μήτηρ Θεού, τώ κόσμω εκύησας, τόν τόν κόσμον συνέχοντα, καί εν αγκάλαις έσχες, τόν πάντα διέποντα, καί εκ μαζών τεθήλακας τόν πάντα εκτρέφοντα, όθεν δυσωπώ σε, Παναγία Παρθένε, ρυσθήναι πταισμάτων μου, όταν μέλλω παρίστασθαι, πρό

προσώπου τού Κτίστου μου, Δέσποινα Παρθένε αγνή, τήν σήν βοήθειαν τότε μοι δώρησαι, καί γάρ δύνασαι, όσα θέλεις πανάμωμε.

Η Σταυροθεοτοκίον

Τόν αμνόν καί ποιμένα καί λυτρωτήν, η αμνάς θεωρούσα εν τώ Σταυρώ, αδίκως υψούμενον, θρηνωδούσα εκραύγαζεν, ο μέν κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήν περ υπομένεις, διά σπλάγχνα ελέους, Μακρόθυμε Κύριε, τού ελέους η άβυσσος, καί πηγή αγαθότητος, σπλαγχνίσθητι καί δώρησαι ούν, τών πταισμάτων άφεσιν τοίς δούλοις σου, τοίς ανυμνούσί σου πίστει, τά θεία παθήματα.

Ωδή δ'

Εισακήκοα Κύριε

Ως πολύφορα κλήματα, τής αληθινής αμπέλου γεγόνατε, οίνον βλύσαντες σωτήριον, καθαράς τοίς πάσι κατανύξεως.

Τής Συνόδου συνήγορον, Όσιε Δαλμάτε σε πάντες έγνωμεν, τήν ευσέβειαν κρατύνοντα, καί τούς αλαζόνας εκκρουόμενον.

Ως τών πάντων προλάμποντα, πάντων υπερέχειν φροντιστηρίων σε, θεία Σύνοδος εθέσπισεν, αρεταίς ενθέοις κλεϊζόμενον.

Θεοτοκίον

Νυσταγμώ αμελείας με, ύπνος αμαρτίας Αγνή κατέλαβε, τή αγρύπνω ικεσία σου, διανάστησόν
με πρός μετάνοιαν.

Ωδή ε'

Ίνα τί με απώσω

Μετανάστης Εώας, πρός τήν Βασιλίδα τών πόλεων γέγονας, καί τώ θείω σπόρω, τά γεννήματα ταύτης επλήθυνας, εκριζώσας πάσαν, τήν πονηράν Αρείου λύμην, ιερώτατε Πάτερ Ισάκιε.

Οπαδός, Ισακίου, ώσπερ Ηλιού Ελισσαίος γεγένησαι, Ιερέ Δαλμάτε, μηλωτή χαρισμάτων τού Πνεύματος, διαρρήσσων ύδωρ, τής πονηράς δαιμόνων βλάβης, καί πιστοίς ομαλίζων τήν πάροδον.

Νόμοις θείοις πειθήσας, νόμους αμαρτίας εις τέλος εξέκλινας, καί ωράθης στύλος, προηγούμενος θείου συστήματος, θεοφόρε Φαύστε, καί μοναστών κανών καί τύπος, καί πιστών αδιάσειστον έρεισμα.

Θεοτοκίον

Αληθή Θεοτόκον, πάσαι γενεαί σε δοξάζουσιν άχραντε, τήν αγιωτέραν, τών Αγγέλων σαφώς χρηματίσασαν, Παναγία Κόρη, διό βοώ, Αγίασόν μου, τήν ψυχήν μολυνθείσαν τοίς πάθεσι.

Ωδή ς'

Τήν δέησιν εκχεώ

Συνόμιλος ανεδείχθης Αγγέλων, τόν εκείνων γάρ εζήλωσας βίον, επί τής γής, διοδεύων Δαλμάτε, καί εγκρατεία λεπτύνας τό σώμά σου, αλείπτης τε τών μοναστών, καί κανών αληθής ακριβέστατος.

Τώ ζήλω τής τού Κυρίου αγάπης, ως Ηλίας πυρακτούμενος Μάκαρ, ως Αχαάβ, τόν προστάτην τού ψεύδους, εν παρρησία, Ισάκιε ήλεγξας, νοσήσαντα τήν πονηράν, τού Αρείου αφρόνως διαίρεσιν.

Ωράθητε οδηγοί πλανωμένων, καί λιμένες τών πιστών σωζομένων, θαυματουργοί, θεοφόροι Πατέρες, Φαύστε Δαλμάτε καί θείε Ισάκιε, θεράποντες τού Ιησού, μοναζόντων φωστήρες αείφωτοι.

Θεοτοκίον

Νοσούσάν μου τήν ψυχήν αμαρτίαις, καί παντοιαις τών εχθρών επηρείαις, επισκοπή, Παναγία Παρθένε, σωτηριώδει σου τάχος επίσκεψαι, καί ίασαι ως αγαθή, Θεοτόκε ελπίς μου πανύμνητε.

Ο Ειρμός

«Τήν δέησιν εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών η ψυχή μου επλήσθη, καί η ζωή μου τώ Άδη προσήγγισε, καί δέομαι ως Ιωνάς, εκ φθοράς ο Θεός με ανάγαγε».

Κοντάκιον Ήχος β'

Τήν εν πρεσβείαις

Τούς εν ασκήσει εκλάμψαντας εν τώ κόσμω, καί τάς αιρέσεις ανατρέψαντας τή πίστει, ύμνοις, Ισάκιον ευφημήσωμεν, σύν τώ Δαλμάτω Φαύστον, ως τού Χριστού θεράποντας, αυτοί γάρ βοώσιν υπέρ πάντων ημών.

Ο Οίκος

Τίς ικανός εξειπείν ανθρώπων, τών Οσίων Πατέρων τάς φαιδράς αρετάς, καί τά σκάμματα, ζήλον τόν θείον, τήν παρρησίαν, τό καθαρόν τού βίου, τάς θείας πράξεις, άς επί γής εξετέλεσαν ούτοι ως Άγγελοι; αλλ' όμως σύν τούτοις τιμώμεν τήν Τριάδα πιστώς, αυτοί γάρ ταύτην αεί φαιδρώς σύν Αγγέλων χοροίς λιτανεύουσιν, Αυτοί γάρ βοώσιν υπέρ πάντων ημών.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Γ' τού αυτού μηνός, μνήμη τών Οσίων Πατέρων ημών Δαλμάτου, Φαύστου καί Ισακίου.

Στίχοι

- Κυκλούσιν άνδρες είς δύο τρείς σόν θρόνον,
- Ύψιστε, Φαύστος, Ισάκιος, Δαλμάτος, Δαλμάτος,
- Ισάκιος τριτάτη θάνον, ηδέγε Φαύστος.

Τή αυτή ημέρα, μνήμη τού Αγίου μάρτυρος Στεφάνου, Πάπα Ρώμης.

Τή αυτή ημέρα, μνήμη τού Οσίου Πατρός ημών καί Ομολογητού Ιωάννου, Ηγουμένου Μονής τής Παταλαραίας.

Τή αυτή ημέρα, η Αγία Σαλώμη, η Μυροφόρος, εν ειρήνη τελειούται.

Στίχοι

- Τής σαρκός οίον εκκυλισθείσης λίθου,
- Ορά Σαλώιμη Χριστόν, ου Χριστού τάφον.

Τή αυτή ημέρα, η Οσία θεοκλητώ εν ειρήνη τελειούται.

Στίχοι

- Θεοκλητώ τήν κλήσιν έργω δεικνύει,
- Κλητή Θεώ φανείσα σαρκός εκδύσει.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Παίδες Εβραίων

Άνθρακες ώφθητε τώ θείω, αναπτόμενοι πυρί τού Παρακλήτου, καταφλέγοντες μέν τήν ύλην τής κακίας, τούς δέ πιστούς φωτίζοντες, θεοφόροι εις αιώνας.

Σάρκα δυσήνιον νηστείαις, καθυπέταξας τώ πνεύματι Δαλμάτε, καί κακίαν εχθρού, κατέκλυσας τοίς όμβροις, τών ψυχικών δακρύων σου, θεοφόρε εις αιώνας.

Τέλος μακάριον εύροντες, τήν ουράνιον οικείτε βασιλείαν, καί Οσίων χοροίς, συνήφθητε Πατέρες, μεθ' ών βοάτε, Κύριε ο Θεός ευλογητός εί.

Θεοτοκίον

Έστησας ρύμην τού θανάτου, τόν αθάνατον τεκούσα Θεόν μόνη, Θεοτόκε αγνή, ώ πίστει μελωδούμεν, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Ωδή η'

Επταπλασίως κάμινον

Ράβδω Σταυρού τήν θάλασσαν, τών παθών διαρρήξαντες, πάσαν Φαραώ τού νοητού τήν δύναμιν, ωλέσατε Άγιοι, καί μοναστών πλυθύν ιεράν, γήν πρός απαθείας, μελωδούντες απαύστως, ειλκύσατε Πατέρες, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Αιρετιζόντων έπαρσιν, προφανών εταπείνωσας, πόρρωθεν προβλέψας, τήν αυτών κατάλυσιν, πτωχοίς επεκούρησας, καί οδηγός εγένου τυφλών, γήρους βακτηρία, καί χηρών προστασία, Δαλμάτε ανακράζων, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Σύ πρός τρισί τριάκοντα, εν ημέραις νενήστευκας, αυθίς τε τοσαύτας, υπέρ φύσιν ύπνωσας, εγρήγορον έχων σου, τό τής καρδίας όμμα σοφέ, καί τή τού Θεού φωταγούμενος αίγλη, πρός όν βοάς Δαλμάτε, Ιερείς Ευλογείτε, λαος

υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Ο κατοικήσας Κύριος, τήν αμόλυντον μήτραν σου, όλην καθαράν, καί φωταυγή σε έδειξε, διό μολυνθέντα με, τοίς Ιοβόλοις δήγμασι, καί ταίς βλαβεραίς τών εναντίων εφόδοις, καθάρισον Παρθένε, καί αξίωσον ψάλλειν, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν, εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τού τους ιδών, τώ Δημιουργώ καί Λυτρωτή ανεβόα, Οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Ωδή θ'

Έφριξε πάσα ακοή

Ίσχυσαν σθένει τού Θεού, δυναμούμενοι ανίσχυρον φρύαγμα, τού πολεμήτορος, καταπαλαίσαι οι ουρανόφρονες, τών μοναζόντων αρχηγοί, καί νύν κλεϊζόμενοι, μεταβεβήκασι, πρός επαύλεις νοητάς ευφραινόμενοι.

Ώφθητε τρίφωτος λαμπάς, τήν ανέσπερον αυγήν αποπέμποντες, ρόδα αμάραντα, τού Παραδείσου ευωδιάζοντα, τάς διανοίας τών πιστών, Πατέρες τρισόλβιοι, διό τήν μνήμην υμών τήν πανέορτον, πιστώς εορτάζομεν.

Στέφανον ώσπερ ευπρεπή, περικείμενοι σοφοί τήν απάθειαν, καί στολισάμενοι, θείας αγάπης τά κατορθώματα, εις τόν νυμφώνα τού Χριστού, χαίροντες εισήλθετε, αναπαυόμενοι, καί τών φόνων αμοιβάς κομιζόμενοι.

Ήστραψε φέγγει νοητώ, καταυγάζουσα πιστών τά συστήματα, η θεία μνήμη υμών, Μάκαρ Δαλμάτε Φαύστε Ισάκιε, τών μοναζόντων αρχηγοί, φωστήρες παγκόσμιοι, διό φωτίσατε, καί ημών τά τής ψυχής αισθητήρια.

Θεοτοκίον

Φώτισον πύλη τού φωτός, την καρδίαν μου κακία τυφλώττουσαν, καί μή εις θάνατον παραχωρήσης νύν αφυπνώσαί με, τόν ακαθάρτοις λογισμοίς, αεί σκοτιζόμενον, ίνα δοξάζω σε, ευχαρίστως Θεοτόκε πανάμωμε.

Ο Ειρμός

«Έφριξε πάσα ακοή, τήν απόρρητον Θεού συγκατάβασιν, όπως ο Ύψιστος εκών, κατήλθε μέχρι καί σώματος, Παρθενικής από γαστρός, γενόμενος άνθρωπος, διό τήν άχραντον Θεοτόκον οι πιστοί μεγαλύνομεν».

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Πατέρες ουρανόφρονες, καί τών, Αγγέλων σύσκηνοι, Δαλμάτε Φαύστε συνάμα, τώ θαυμαστώ Ισακίω, μνείαν ημών πρός Κύριον, ποιείτε ώ παρίστασθε, αδιαλείπτως Άγιοι, τών τήν υμών εκτελούντων, λαμπράν καί πάμφωτον μνήμην.

Θεοτοκίον

Μαρία κυριώνυμε, πολλοίς κυριευθέντα με, πάθεσι νύν ψυχοφθόροις, σύ ελευθέρωσον τάχος, καί πρός δουλείαν έλκυσον, τήν σήν τε καί τού τόκου σου, ίνα υμνώ σε άχραντε, χρεωστικώς Θεοτόκε, Χριστιανών τήν ελπίδα.

Η Σταυροθεοτοκίον

Παρισταμένη Πάναγνε, εν τώ Σταυρώ καί βλέπουσα, τόν σόν Υιόν επί ξύλου, ταθέντα άπνουν εθρήνεις, καί μητρικώς ωλόλυζες, δακρύουσα καί λέγουσα, τί τούτο τό παράδοξον, ότι ο Κτίστης τού κόσμου, Σταυρώ ταθήναι ηνέσχου;

Καί η λοιπή τού Όρθρου Ακολουθία, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Δ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων επτά Παίδων τών έν Εφέσω.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'

Ως γενναίον εν Μάρτυσιν

Παρανόμου προστάγματος, τώ Θεώ πειθαρχήσαντες, Παίδες οι μακάριοι κατεφρόνησαν, καί δεσμευθέντες διέλυσαν, τής πλάνης τόν σύνδεσμον, καί αξίαν κοσμικήν, απωσάμενοι έλαβον, τό αξίωμα, τό αυτούς περιδόξους εκτελέσαν, καί τήν άνω προξενήσαν, τής βασιλείας απόλαυσιν.

Εαυτούς πρός τά σκάμματα, τής αθλήσεως Άγιοι, καρτερώς γυμνάσαντες κατεκρύπτεσθε, έν τώ σπηλαίω δεήσεσιν, απαύστοις τόν Κύριον, ικετεύοντες ισχύν, χορηγήσαι καί δύναμιν, οίς δέ κρίμασιν, ο φιλάνθρωπος οίδεν αφυπνώσαι, εν ειρήνη υμάς πάντας, θεαρχικώς εγκελεύεται.

Μυστηρίων μυστήριον, τοίς Αγίοις προτίθεται, ως γάρ τελευτήσαντες, ουκ ησθάνοντο, ούτω καί νύν εγειρόμενοι, σαφώς κατεπλήττοντο, εις γάρ πίστωσιν νεκρών, Αναστάσεως γέγονε, τό τελούμενον, όπως γνόντες οι ταύτην αθετούντες, αποφράττωνται εν πίστει, δοξολογούντες τούς Μάρτυρας.

Δόξα... Καί νύν... Θεοτοκίον

Κατακρίσεως λύτρωσαι, Παναγία Θεόνυμφε, καί δεινών πταισμάτων τήν ταπεινήν μου ψυχήν, καί τού θανάτου απάλλαξον, ευχαίς σου καί δώρησαι, δικαιώσεως τυχείν, εν η μέρα ετάσεως, ής επέτυχον, τών Αγίων οι δήμοι μετανοία, καθαρθέντα με πρό τέλους, καί τών δακρύων ταίς χύσεσι.

Η Σταυροθεοτοκίον

Τόν αμνόν καί ποιμένα σε, επί ξυλου ως έβλεψεν, αμνάς η κυήσασα, επωδύρετο, καί μητρικώς σοι εφθέγγετο, Υιέ ποθεινότατε, πώς εν ξύλω τού Σταυρού, ανηρτήθης μακρόθυμε; πώς τάς χείράς σου, καί τούς πόδας σου Λόγε προσηλώθης, υπ' ανόμων καί τό αίμα, τό σόν εξέχεας Δέσποτα;

Απολυτίκιον Ήχος δ'

Οι μάρτυρές σου Κύριε, εν τή αθλήσει αυτών, στεφάνους εκομίσαντο τής αφθαρσίας, εκ σού τού Θεού ημών, σχόντες γάρ τήν ισχύν σου, τούς τυράννους καθείλον, έθραυσαν καί δαιμόνων, τά ανίσχυρα θράση, Αυτών ταίς ικεσίαις, Χριστέ ο Θεός, σώσον τάς ψυχάς ημών.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τών Αγίων ο παρών, ού η Ακροστιχίς.

Τοίς επτά Παισίν αίνον άδω προσφόρως.

Εν δέ τοίς Θεοτοκίοις «Κλήμεντος, ελλείποντος τού Λ' διά τό οκτάριθμον τών Ωδών.

Ωδή α' Ήχος β'

Δεύτε λαοί, άσωμεν

Τούς αριθμώ, λάμποντας τιμίους λίθους επτά, δεύτε πιστώς τιμήσωμεν, ότι πυρσεύουσι τήν Χριστού Εκκλησίαν, τής επταφώτου κρείττον λυχνίας τής νομικής.

Οι τής σαρκός, πρότερον νεκρώσει ζώντες Χριστώ, Παίδες επτά ανέθορον, ως ύπνον θάνατον, παραδόξως λαβόντες, κρατύνοντες τό δόγμα τής Αναστάσεως.

Ιεριχώ, πέπτωκε βοή σαλπίγγων επτά, η δέ τής πλάνης έπαρσις, τή επταφώτω νύν, πίστει τών Αθλοφόρων, κατήλθεν έως Άδου καί διαλέλυται.

Στέφος διπλούν, Άγιοι Παίδες επτά αληθώς, εδέξασθε πορθήσαντες, πλάνην καί άρνησιν, τής εγέρσεως πάντων, τήν μέν πρό τού θανάτου, τήν δέ εγέρσει υμών.

Θεοτοκίον

Καινοπρεπή, τόκον καινίζεις Ανύμφευτε, ο γάρ Πατρί συνάναρχος εν θείω Πνεύματι, συναΐδιος Λόγος, εκ σού εσωματώθη, χωρίς τροπής καί φυρμού.

Ωδή γ'

Στερέωσον ημάς εν σοί Κύριε

Αστέρες απλανείς επτά ώφθητε, τή πίστει αστράπτοντες, Αθλοφόροι, καί τούς πλάνης νηχομένους βυθώ, πρός λιμένα σωτήριον ιθύνατε.

Πρό βήματος στερρώς εστώτες Άγιοι, τυράννου ως πάλαι οι Μακκαβαίοι, τής στρατείας διημείψατε, τήν επίκηρον δόξαν στρατευθέντες Χριστώ.

Αξίως τώ Χριστώ δεκτή εδείχθητε, θυσία προσευχής Άγιοι Παίδες, καί οσμή

πανευωδέστατος, τό δυσώδες ελέγχοντες τής πλάνης στερρώς.

Θεοτοκίον

Η βάτος εν Σινά προδιετύπωσε, Παρθένε τό παράδοξον τού σού τόκου, τό γάρ πύρ τό τής θεότητος, ουκ εφλέχθης εν μήτρα δεξαμένη πιστώς.

Ο Ειρμός

«Στερέωσον ημάς εν Σοί Κύριε, ο ξύλω νεκρώσας τήν αμαρτίαν, καί τόν φόβον σου εμφύτευσον, εις τάς καρδίας ημών τών υμνούντων σε».

Κάθισμα Ήχος δ'

Ο υψωθείς

Οι τά τού κόσμου ως φθαρτά παριδόντες, καί τάς αφθάρτους δωρεάς ειληφότες, αποθανόντες έμειναν εκτός καταφθοράς, όθεν εξανίστανται, μετά πλείονας χρόνους, άπασαν ενθάπτοντες, δυσμενών απιστίαν, ούς εν αινέσει σήμερον πιστοί, ανευφημούντες Χριοτόν ανυμνήσωμεν.

Δόξα... Καί νύν... Θεοτοκίον

Φιλαμαρτήμων πεφυκώς δυσωπώ σε, τόν αναμάρτητον Θεόν τετοκυία, τόν αμαρτίας αίροντα τού κόσμου Σεμνή, τήν πολυαμάρτητον, οικτιρήσαι ψυχήν μου, καί τάς αμαρτίας μου, τάς πολλάς εξαλείψαι αμαρτωλών αύτη γάρ ιλασμός, καί σωτηρία πιστών καί αντίληψις.

Η Σταυροθεοτοκίον

Τόν εξ ανάρχου τού Πατρός γεννηθέντα, η επ' εσχάτων σε σαρκί τετοκυία, επί Σταυρού κρεμάμενον ορώσα Χριστέ, Οίμοι! ποθεινότατε, Ιησού ανεβόα, πώς ο δοξαζόμενος ως Θεός υπ' Αγγέλων, υπό ανόμων νύν βροτών Υιέ, θέλων σταυρούσαι; Υμνώ σε μακρόθυμε.

Ωδή δ'

Εισακήκοα Κύριε

Ιερώτατον σύνταγμα, τώ αριθμώ επτά τετιμημένον, τούς επτά τιμίους Παίδας υμνήσωμεν.

Σοφιζόμενον μάταια, τόν δυσσεβή τής πλάνης, βασιλέα, Εφεσίων Παίδες έδειξαν άφρονα.

Ιερεία πανάμωμα, ως αληθώς καί θύματα Κυρίου, εν τή πίστει ώφθητε Παίδες άγιοι.

Νεκρωθέντες τώ σώματι, πρό τής κοινής εγέρσεως αφράστως, αναστάντες Παίδες, δόξη εστέφθητε.

Θεοτοκίον

Μή παρίδης πρεσβεύουσα, υπέρ ημών αεί ευλογημένη, λυτρωθήναι πάσης θλίψεως Άχραντε.

Ωδή ε'

Ο τού φωτός χορηγός

Ανεπαισθήτως τό πρίν, κοινόν θανέντες επί γής θάνατον, υπερφυώς

ανέστητε αύθις, πιστούμενοι σαφώς, Εφέσιοι Παίδες, νεκρών τήν Ανάστασιν.

Ιερωθέντες Θεώ, ομολογία αληθεί πίστεως, ως αθληταί νόμιμοι Κυρίου, ερρύσθητε σοφοί, κλοιών καί μαστίγων, καί στέφανον ήρασθε.

Νενικηκότες στερρώς, ειδώλων πλάνην, ευκλεείς μάρτυρες, καί ασεβούς αιρέσεως δόγμα, φυλάττετε αεί, τούς ομολογούντας, νεκρών τήν Ανάστασιν.

Θεοτοκίον

Εν δύο ταίς φύσεσι, καί υποστάσει δέ μιά πέφηνας, τέλειος ών, βροτός ασυγχύτως, καί τέλειος Θεός, τεχθείς εξ Αγίας Μητρός Υπερούσιε.

## Ωδή ς'

### Εν αβύσσω πταισμάτων

Οι τής θείας σοφίας ισάριθμοι, στύλοι ευφημείσθωσαν Άγιοι Παίδες επτά, λόγοις ως λίθοις θλάσαντες, τών τυράννων τό άθεον πρόσταγμα.

Νόμω θείας προνοίας φρουρούμενοι, σχέδιον εδέξασθε ταφήν τό σπήλαιον, εν ώ νεκροί καί άφθαρτοι, πολυχρόνιοι Άγιοι ώφθητε.

Αφθαρσία συνέστιοι Μάρτυρες, πίστιν εκδιώκετε φθοροποιόν καί νεκράν, καί τώ Θεώ πρεσβεύετε, υπέρ τών ελπιζόντων Ανάστασιν.

Θεοτοκίον

Νύν η φύσις τού θήλεος γέγηθε, νύν η λύπη πέπαυται, χαρά δέ ήνθησεν, ότι Μαρία τέτοκε, τήν χαράν τόν Σωτήρα καί Κύριον.

Ο Ειρμός

«Εν αβύσσω πταισμάτων κυκλούμενος, τήν ανεξιχνίαστον τής ευσπλαγχνίας σου, επικαλούμαι άβυσσον, Εκ φθοράς ο Θεός με ανάγαγε».

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή Δ' τού αυτού μηνός, μνήμη τών Αγίων επτά Παίδων τών εν Εφέσω, Μαξιμιλιανού, Εξακουστωδιανού, Ιαμβλίχου, Μαρτινιανού, Διονυσίου, Ιωάννου καί Κωνσταντίνου.

Στίχοι

- Τόν επτάριθμον τιμώ χορόν Μαρτύρων,
- Δείξαντα Ανάστασιν νεκρών τώ κόσμω.
- Τή δέ τετάρτη νεκροέγερτοι ξύνθανον επτά.

Τή αυτή ημέρα, μνήμη τής ανακομιδής τών λειψάνων τής οσίας μητρός ημών καί Μάρτυρος Ευδοκίας.

Στίχοι

- Οσμή! τί τούτο; Σώμα τής Ευδοκίας,
- Αθλητικών απόζον ήκει χαρίτων.
- Πότνια Ευδοκίη, νεκρά ήχθη αμφί τετάρτην.

Τή αυτή ημέρα, ο Άγιος Μάρτυς Θαθουήλ, εν μηλέα κρεμασθείς τελειούται.

Στίχοι

- Θνήσκε κρεμασθείς, Θαθουήλ, εν μηλέα,
- Ως άν τρυγήσης τής Εδέμ μήλα ξένα.

Τή αυτή ημέρα, μνήμη τής Αγίας Μάρτυρος Ίας καί τών σύν αυτή.

Στίχοι

- Οσμήν ίων έπνευσεν η Μάρτυς Ία,
- Ερυθροβαφών αιμάτων ατμοπνόων.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον καί σώσον ημάς. Αμήν.

Ωδή ζ'

Εικόνος χρυσής

Δοχεία Χριστού, καθαρά καί εκλεκτά οι Παίδες ώφθησαν, δι' ών τό δόγμα τής αιρέσεως, τής Εκκλησίας διώκεται, καί ορθοδοξία εκλάμπει, ότι έσται Ανάστασις, πάσης ψυχής τε καί σαρκός καθά γεγένηται.

Ως όντως στερροί, πρό θανάτου αληθώς εν τή αθλήσει υμών Άγιοι Παίδες αύθις ώφθητε, καί μετά νέκρωσιν ζήσαντες, δόξη κραταιούμενοι θεία, ευσεβώς πιστωσάμενοι, εν εαυτοίς τό αληθές τής Αναστάσεως.

Πνευμάτων ομού, καί σωμάτων αισθητών έσται ανάστασις, ως γάρ ουκ έφυ άνευ σώματος, ψυχή εν κόσμω προέρχεσθαι, ούτως ουδέ σώματος πάρεξ, οι Πανεύφημοι έλεγον, ή δοξασθήσεται ψυχή ή ετασθήσεται.

Θεοτοκίον

Τεκούσα Θεόν, τόν Σωτήρα τού παντός Μαρία γέγονας, απεγνωσμένων επανόρθωσις, πεπλανημένων αντίληψις, καί απηλπισμένων ελπίς τε, καί ψαλλόντων βοήθεια, Ευλογημένος ο καρπός ο τής κοιλίας σου.

Ωδή η'

Τόν εν καμίνω τού πυρός

Ρίζαν πικρίας ασεβών, αναφύουσαν δεινώς οι θείοι Παίδες, εκτεμόντες τής πλάνης, καί τής αιρέσεως νύν, κομώσι καρπώ τώ τής πίστεως, ζώντες καί ταφέντες, πιστώς καί αναστάντες.

Οι Εφεσίων αρχηγοί, Παίδες Άγιοι επτά καί αθλοφόροι, τής Χριστού Εκκλησίας, καί βασιλείας πιστώς, ενθέως εδείχθησαν στήριγμα, ούς υπερυψούμεν εις πάντας τούς αιώνας.

Στερροί φανέντες αθληταί καί ισάριθμοι δειχθέντες τών αστέρων, απλανή τήν πορείαν, τής ευσεβείας ομού οι Παίδες ποιούμενοι έκραζον, Σέ υπερυψούμεν Χριστέ εις τούς αιώνας.

Φώς καί ανάστασις ζωής, τοίς Παισίν εν τώ σπηλαίω παραδόξως, εκ Θεού εχαρίσθη, καί αναστάντες οι πρίν θανέντες, ως ζώντες εκραύγαζον, Σώσον ο Θεός τούς εν πίστει σε υμνούντας.

Θεοτοκίον

Ουδείς απώλετο αγνή, τάς τής πίστεως ελπίδας κεκτημένος, επί σοί ορθοδόξως, Παρθένε Μήτηρ Θεού, ή μόνον οι φθόνω αρνούμενοι, σού μή προσκυνείν τήν μορφήν τής εμφερείας.

Ο Ειρμος

«Τόν εν καμίνω τού πυρός, τών Εβραίων τοίς παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον, μεταβαλόντα Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε εις πάντας τούς αιώνας».

Ωδή θ'

Η τόν πρό ηλίουφωστήρα

Όλβος μυστηρίων καί θείων, θαυμασίων αποκάλυψις, η τών Αγίων ώφθη νύν ανάστασις, οι γάρ πάλαι τόν φυσικόν, σαρκί θανόντες θάνατον, αφθάρτως νύν ανέστησαν, ημφιεσμένοι ως υπνώττοντες.

Ρώσεως ταμείον, καί πίστεως βεβαίας αποσφράγισμα, τό τών Αγίων ώφθη σπήλαιον, προμηνύον τό τής μελλούσης, κλέος Αναστάσεως ού τεταρταίον Λάζαρον, αλλ' αιωνίους αναστήσειν νεκρούς.

Ως τετιμημένοι οι Παίδες, αριθμώ τε καί τή πίστει Χριστού, τής Εκκλησίας ώφθησαν πιστώς οφθαλμοί, υπερτέρως τού Ζοροβάβελ, λίθου απαστράπτοντες, ών περ τά θεία πνεύματα, πνευματικώς ανευφημήσωμεν.

Στέφος μαρτυρίου, αθλήσαντες νομίμως ανεδήσασθε, Παίδες επτά καί στύλοι τής σοφίας Θεού, καί δογμάτων ορθοδοξίας έγερσις εδείχθητε, ως Εκκλησίας πρόμαχοι, καί πρεσβευταί τών ευφημούντων υμάς.

Θεοτοκίον

Σώμα καί ψυχήν σου, αμόλυντα Θεώ διατηρούσης αγνή, ο Βασιλεύς ηράσθη τού σού κάλλους Χριστός, καί Μητέρα τής εαυτού σαρκώσεως ανέδειξε, Μαρία υπερένδοξε, τήν σωτηρίαν μου αεί εκπληρών.

Ο Ειρμός

«Η τόν πρό ηλίου φωστήρα, τόν Θεόν εξανατείλαντα, σωματικώς ημίν επιδημήσαντα, εκ λαγόνων παρθενικών, αφράστως σωματώσασα, ευλογημένη πάναγνε, σέ Θεοτόκε μεγαλύνομεν».

Εξαποστειλάριον

Τοίς μαθηταίς συνέλθωμεν

Τυραννικού πρό βήματος τόν Χριστόν παρρησία, Παίδες επτά καί Μάρτυρες, εκηρύξατε πάντων, Θεόν Σωτήρα καί Κτίστην, υμείς γάρ θεία προνοία, σπηλαίω χρόνοις πλείοσι, κατά φύσιν θανόντες, υπερφυώς, αύθις εξανίστασθε ως εξ ύπνου, αιρετικών τά στοματα, αποφράττοντες πάντων.

Θεοτοκίον

Σύν Ιαμβλίχω μέλψωμεν, Ιωάννην, Μαρτίνον καί Κωνσταντίνον άσμασι, Μαξιμιλιανόν τε καί Διονύσιον άμα, κλεινώ Εξακουστωδίω, φαιδρώς πανηγυρίζοντες, τήν φαιδράν τούτων μνήμην, όπως ευχαίς τούτων καί πρεσβείαις τής Θεοτόκου, πταισμάτων λύσιν εύρωμεν, πρός Χριστού τού Σωτήρος.

Καί η λοιπή, Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Ε' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Τά Προεόρτια τής Αγίας Μεταμορφώσεως τού Κυρίου καί Θεού καί Σωτήρος ημών Ιησού Χριστού, καί μνήμη τού Αγίου Μάρτυρος Ευσιγνίου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια προεόρτια γ'.

Ήχος δ'
Έδωκας σημείωσιν

Δεύτε συνανέλθωμεν, τώ Ιησού αναβαίνοντι, εις τό όρος τό άγιον, κακεί ακουσώμεθα, φωνής Θεού ζώντος, Πατρός προανάρχου, διά νεφέλης φωτεινής, προσμαρτυρούσης εν θείω Πνεύματι, αυτού τήν γνησιότητα, τής αϊδίου Υιότητος, καί τόν νούν φωτιζόμενοι, έν φωτί φώς οψώμεθα.

Δεύτε προχορεύσωμεν, καί εαυτούς εκκαθάρωμεν, καί πιστώς ετοιμάσωμεν, πρός θείαν ανάβασιν, τής υψηλοτάτης, Θεού πολιτείας, όπως επόπται τής αυτού, μεγαλειότητος εποφθείημεν, καί δόξης επιτύχοιμεν, ήν κατιδείν ηξιώθησαν Αποστόλων οι πρόκριτοι, μυστικώς εν τώ όρει Θαβώρ.

Δεύτε νύν τήν κρείττονα, αλλοιωθέντες αλλοίωσιν έαυτούς εις τήν αύριον, Καλώς ευτρεπίσωμεν, εν όρει προσβήναι, Θεού τώ αγίω, τήν αναλλοίωτον Χριστού, δόξαν αστράπτουσαν κατοπτεύσοντες, λαμπρώς υπέρ τόν ήλιον, καί τό τρισσόν αυγαζόμενοι, φώς εν τούτω δοζάσωμεν, τήν αυτού συγκατάβασιν.

Καί τού Αγίου γ'

Ήχος δ'
Ως γενναίον εν Μάρτυσι

Φοινιχθείσαν εν αίματι τής σαρκός σου ενδέδυσαι, πορφυρίδα ένδοξε θεία χάριτι, καί κορυφή σή διάδημα, επαναδησάμενος, αφθαρσίας καί ζωής, τού Σταυρού τε τό τρόπαιον, Μάρτυς πάνσοφε, δεξιά περιφέρων ως περ σκήπτρον, τώ Χριστώ συμβασιλεύεις, διά παντός ευφραινόμενος.

Στρατιώτης αήττητος, εγνωρίσθης Ευσίγνιε, τού Σταυρού τώ όπλω γάρ συμφραξάμενος, πρός συμπλοκήν εξελήλυθας, εχθρού πολεμήτορος, καί κατέρραξας αυτόν, αριστεύσας λαμπρότατα, καί τόν στέφανον, ειληφώς τόν τής νίκης εκ τού μόνου, αθλοθέτου καί Δεσπότου, καί εις αεί βασιλεύοντος.

Τοίς τιμίοις σου πάθεσι, πάθος τίμιον ένδοξε, αθλητά Ευσίγνιε εξεικόνισας, καί νικηφόρος γενόμενος, τήν άνω μητρόπολιν, μετά πάντων κατοικείς, αθλοφόρων γηθόμενος, καί θεούμενος κατά μέθεξιν θείαν, διά τούτο, τήν σεπτήν σου καί αγίαν, επιτελούμεν πανήγυριν.

Δόξα... Καί νύν... Ήχος πλ. α'

Δεύτε αναβώμεν εις τό όρος Κυρίου, καί εις τόν οίκον τού Θεού ημών καί θεασώμεθα τήν δόξαν τής Μεταμορφώσεως αυτού, δόξαν ως μονογενούς παρά Πατρός, φωτί προσλάβωμεν φώς, καί μετάρσιοι γενόμενοι τώ πνεύματι, Τριάδα ομοούσιον υμνήσωμεν εις τούς αιώνας.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος β'

Οίκος τού Εφραθά

Φέγγει τών αρετών, εκλάμποντες προσβώμεν, εν όρει τώ αγίω, οψόμενοι τήν θείαν, Κυρίου Μεταμόρφωσιν.

Στίχ. Σοί εισιν οι ουρανοί, καί σή εστιν η γή.

Σήμα θεοπρεπές, θεότητος δεικνύει, πρό τού Σταυρού τοίς μύσταις, ως ήλιος εκλάμψας, Χριστός εν όρει σήμερον.

Στίχ. Θαβώρ καί Ερμών εν τώ ονόματί σου αγαλλιάσονται.

Φύσιν τήν εξ Αδάμ, Χριστός αμείψαι θέλων; εν όρει νύν απαίρει, Θαβώρ παραγυμνώσων, τοίς μύσταις τήν θεότητα.

Δόξα... Καί νύν... Ήχος β'

Ο εν τώ όρει τώ Θαβώρ μεταμορφωθείς εν δόξη Χριστέ ο Θεός, καί υποδείξας τοίς Μαθηταίς σου τήν δόξαν τής σής θεότητος, καταύγασον καί ημάς, τώ φωτί τής σής επιγνώσεως, καί οδήγησον εν τή τρίβω τών εντολών σου, ως μόνος αγαθός καί φιλάνθρωπος.

Απολυτίκιον Ήχος δ'

Χριστού τήν Μεταμόρφωσιν προϋπαντήσωμεν, φαιδρώς πανηγυρίζοντες τά προεόρτια, πιστοί καί βοήσωμεν, Ήγγικεν η ημέρα τής ενθέου ευφροσύνης, άνεισιν εις τό όρος τό Θαβώρ ο Δεσπότης, τής θεότητος αυτού απαστράψαι τήν ωραιότητα.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν οι Κανόνες ο Προεόρτιος, καί ο τού Αγίου.

Κανων Προεόρτιος, ού Ακροστιχίς η Αλφάβητος.

Ωδή α'  Ήχος δ'
Ανοίξω τό στόμα μου

Αστράφθητι κάτωθεν, φώς ουρανού υπέρ ήλιον, καί γή ακουτίσθητι, ρήματα ζώντος Θεού, τήν Υιότητα, τώ μεταμορφουμένω, Πατήρ μαρτυρήσει γάρ, επί τού όρους Θαβώρ.

Βροτός τό ορώμενον, αλλά Θεός τό κρυπτόμενον, επί τό Θαβώριον, Χριστός ανέρχεται, τής θεότητος, αυγήν παραγυμνώσαι, ταίς υπέρ τόν ήλιον, δόξης λαμπρότησι.

Γνωστώς νύν προέρχεται, εμφανισθήναι Μωσή Χριστός, καί δόξαν τήν άρρητον, δείξαι έν όρει Θαβώρ, τή πρός πρόσωπον, αμέσως ομιλία, Γηθόμενοι σήμερον προεορτάσωμεν.

Κανών τού Αγίου, ού η Ακροστιχίς.

Τόν κλεινόν Ευσίγνιον δοξάζειν θέμις. Ιωσήφ.

Ωδή α'  Ήχος πλ. δ'
Άσωμεν τώ Κυρίω

Ταίς πανευκλεεστάταις, τάξεσιν Αγγέλων Παναοίδιμε, συνυπάρχων απαύστως, τούς δοξάζοντας σώζε τήν μνήμην σου.

Οίκος τού Παρακλήτου, η ηγιασμένη σου διάνοια, Αθλοφόρε εδείχθη, διά τούτό σε πίστει γεραίρομεν.

Νέκρωσιν ζωηφόρον, τού σαρκί παθόντος εξεικόνισας, τή σαρκί σου Παμμάκαρ, καί τής όντως ζωής κατηξίωσαι.

Κράτος παρανομούντων, κρατυνθείς τώ Πνεύματι κατέβαλες, καί τούς νόμους Κυρίου, παναοίδιμε Μάρτυς εκράτυνας.

Θεοτοκίον

Λέλυται η κατάρα, πέπαυται η λύπη τή κυήσει σου, παντευλόγητε Κόρη, τών πιστών ευφροσύνη πανάμωμε.

Είθ' ούτω τό τριώδιον

Ωδή α'  Ήχος δ'
Άσομαί σοι Κύριε ο Θεός μου

Ταύτην προεόρτιον τήν ημέραν, επιτελούντες οί πιστοί, τής Μεταμορφώσεως,

Χριστού τού Λυτρωτού ημών, κροτήσωμεν εν άσμασι.

Τήν είσοδον φθάσαντες τής Αγίας, Μεταμορφώσεως Χριστού, καί ημείς αστράψωμεν, ταίς θείαις αλλοιώσεσιν, αυτήν κατασπαζόμενοι.

Όρος υψηλότατον τήν καρδίαν, κεκαθαρμένην εκ παθών, έχοντες οψόμεθα, Χριστού τήν Μεταμόρφωσιν, φωτίζουσαν τόν νούν ημών.

Δόξα...

Τριάδα προσώπων τή διαιρέσει, Μονάδα φύσιν θεϊκήν, πάντες προσκυνήσωμεν, Πατέρα, τόν άναρχον, Υιόν καί Πνεύμα Άγιον.

Καί νύν... Θεοτοκίον

Τήν άμωμον Κόρην εξ ής προήλθε, μετά σαρκός άνευ τροπής, Χριστός ο Θεός ημών, υμνήσωμεν άπαντες, ως όντως Θεοτόκον πιστοί.

Προεόρτιος

Ωδή γ'

Τους σούς υμνολόγους

Δεσπόζων τής κτίσεως απάσης, ωράθης μορφήν δούλου λαβών, εν ή τό τής θεότητος, απρόσιτον απαύγασμα, τοίς Μαθηταίς παρέδειξας, καθώς εχώρουν θεάσασθαι.

Εν όρει επείγεται αστράψαι, τής δόξης ο ήλιος Χριστός, καί τόν εξ ύψους λάμποντα, φωστήρα αμαυρώσαι φωτί, ού ταίς αυγαίς λαμπόμενοι, προεορτάσωμεν σήμερον.

Ζωής αιωνίου εκπληρώσων, τά ρήματα πάρεστι Χριστός, άπερ δεικνύων πράγματα, τοίς φίλοις επιγνώσεσθαι, εν εαυτώ ηυδόκησε, τήν πατρικήν δόξαν αστράπτουσαν.

Τού Αγίου

Σύ εί τό στερέωμα

Έστης πρό τού βήματος, υμνολογών Θεόν άνακτα, Μάρτυς σοφέ, σάρκα ειληφότα, καί βροτούς αναπλάσαντα.

Ιερείον άμωμον, ολοκαυτούμενος άνθραξι, μαρτυρικοίς, τώ εκ τής Παρθένου, προσενήνεξαι άνθρακι.

Νάμασι τού Πνεύματος, περικλυζόμενος Ένδοξε, τά θολερά, τής πολυθεΐας, απεξήρανας ρεύματα.

Θεοτοκίον

Όλην μου τήν έφεσιν, πρός σέ κινώ αγνή Δέσποινα, τών σαρκικών, επιθυμιών με, διά τάχους απάλλαξον.

Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Κάθισμα τού Αγίου
Ήχος πλ. α'
Τόν συνάναρχον Λόγον

Εναντίον ανόμων καθωμολόγησας, τόν τών όλων Δεσπότην Θεόν καί Κύριον, μή φεισάμενος σαρκός, αικιζομένης σφοδρώς, Στρατιώτα τού Χριστού, τών ουρανίων στρατιών, συνόμιλε καί τής δόξης, τής αληθούς κληρονόμε, διό ικέτευε σωθήναι ημάς.

Δόξα... Καί νύν... Προεόρτιον
Ήχος δ'
Επεφάνης σήμερον

Επεφάνη ήστραψε, τοίς εν τώ σκότει, ο τής δόξης Ήλιος, τάς τής θεότητος αυγάς, εν τώ Θαβώρ ανερχόμενος, ού τήν φωσφόρον, τιμήσωμεν έλευσιν.

Προεόρτιος

Ωδή δ'
Ο καθήμενος εν δόξη

Η ουράνιος χορεία, τοίς γηϊνοις συγγέγηθε, καί προεορτάζει, τήν τού Φωτοδότου επίλαμψιν, ήν ασυγκρίτως αστράψει αμειβόμενος, τήν βροτείαν μορφήν, εν Θαβώρ ως ηυδόκησε.

Θεανθρώπω παρουσία τοίς ανθρώποις ωμίλησας, καί θαυμάτων πλήθει, κόσμον μυστικώς κατεφώτισας, εξαστραπτούση δέ δόξα τής θεότητος, υπερέλαμψας εν τώ Θαβώρ απροσίτω φωτί.

Ιησούς Ναυή ο γόνος, πρίν τόν ήλιον έστησε, προτυπών ημέραν, τήν τού θείου Πάθους, σύ δέ Σωτήρ, πρό τού Τιμίου Σταυρού σου, σέλας έκρυψας τού ηλίου, αυγή τού Προσώπου σου Κύριε.

Τού Αγίου

Εισακήκοα Κύριε

Νυσταγμόν απωσάμενος, τόν τής ραθυμίας Μάρτυς Ευσίγνιε, εγρηγόρως πρός τήν άθλησιν, αδιστάκτω πίστει ηυτομόλησας.

Εν Κυρίω Σωτήρί σου, Μάρτυς αγαλλόμενος αξιάγαστε, τάς βασάνους τάς τού σώματος, ως τρυφήν ηδείαν σύ λελόγισαι.

Υπερήφανον φρόνημα, τού διά κακίαν κατολισθήσαντος, Αθλοφόρε καταβέβληκας, τοίς ενθέοις τρόποις ταπεινούμενος.

Στρατιώτης αήττητος, ώφθης εν πολέμοις αγωνιζόμενος, υπελθών δέ τό

Μαρτύριον, δυσμενείς ασάρκους εξωλόθρευσας.

Θεοτοκίον

Ισοδύναμον σύνθρονον, τέτοκας τόν Λόγον Πατρί καί Πνεύματι, όν ικεύτευε σωθήναί με, Παναγία Κόρη αειπάρθενε.

Προεόρτιος

Ωδή ε'

Εξέστη τά σύμπαντα

Κυρίω γηθόμενοι, πιστώς ακολουθή σωμεν, ιδού γάρ ανέρχεται πρός όρος, μύστας προκρίτους συνεπαγόμενος οίς εν απροσίτω καλλονή, λάμψας υπέρ ήλιον, υποδείξει τήν δόξαν αυτού.

Λαμπρύνθητι σήμερον, ο ουρανός φαιδρότερον, άνεισιν ιδού γάρ πρός τό όρος, όθεν αστράψει Χριστός απλέτω φωτί, τάς ηλιακάς μαρμαρυγάς, δόξη τής θεότητος, αμαυρών ως φωτός χορηγός.

Μυστήριον δείκνυσι, Χριστός τοίς Μαθηταίς εν Θαβώρ, λάμψας υπέρ αίγλην τώ προσώπω, τώ στολισμώ δέ τών ιματίων αυτού, λευκανθείς φαιδρώς ώσπερ χιών, ο αναβαλλόμενος, ως ιμάτιον φώς ψαλμικώς.

Τού Αγίου

Ορθρίζοντες βοώμέν σοι Κύριε

Γνησίως προσκολλώμενος πάνσοφε, τώ Δεσπότη σαυτόν απεμάκρυνας, τής πονηρίας Ευσίγνιε.

Νεκροίς ξοάνοις σέβας ουκ ένειμας, θεομάακαρ, Θεόν ζώντα Κύριον, εν ουρανοίς επιστάμενος.

Ικρίω αναρτώμενος Μάρτυς γενναιοφρόνως, πάθος εξεικόνισας, τού απαθούς διά πίστεως.

Θεοτοκίον

Ο λόγος εν τή νηδύϊ σου Άχραντε σωματούται, αλόγων τού σώματος, παθών τόν κόσμον ρυόμενος.

Προεόρτιος

Ωδή ς'

Τήν θείαν ταύτην

Νυμφώνα δόξης μελλούσης χαράς, τοίς φίλοις ευτρεπίζων ανέρχεται, επί τό όρος Χριστός, πρός Πολιτείαν μετάρσιον, εκ βίου χαμαιζήλου, ανακομίζων αυτούς.

Ξενίζων φρένας Χριστός Μαθητών, Ουράνιον εν γή σέλας ήστραψε, νόμου

καί Προφητών, δουλοπρεπώς παριστών αρχηγούς, υφ' ών νεκρών καί ζώντων, προσμαρτυρείται Θεός.

Ολύχνος φάναι νύν άρχεται, Χριστός εν αυχμηρώ τόπω φαύσεσι, τής θεϊκής αστραπής, ού πρός τήν λάμψιν οδεύσωμεν, εν αίγλη τού προσώπου, αυτού γηθόμενος.

Τού Αγίου

Τήν δέησιν εκχεώ

Νοήματα αληθή εν καρδία, ευγενέσιν εκτιθέμενος τρόποις, ουκ αγνοών, τά νοήματα Μάρτυς, τού δυσμενούς εις τό στάδιον έδραμες, καί ώλεισας τή τού Σταυρού, συμμαχία τά τούτου στρατεύματα.

Δαιμόνων οι λατρευταί λατρευτήν σε, τής Τριάδος εγνωκότες βασάνοις, καί φυλακαίς, καί αδίκω θανάτω, καθυποβάλλουσι μάρτυς Ευσίγνιε, αλλ' ήττηνται τή παρά σού, αηττήτω ενστάσει πανόλβιε.

Οι χείμαρροι τών αιμάτων σου Μάρτυς, θολερούς, τής ανομίας χειμάρρους, καί ποταμούς, αιεϊας δολίου, καί πονηρά απεξήραναν ρεύματα, ιάσεων δέ τοίς πιστοίς, ανεξάντλητον πέλαγος ώφθησαν.

Θεοτοκίον

Ξηράνασα τά φυτά τής κακίας, τή εν σοί αναβλαστήσει τού λόγου, Μήτηρ αγνή, εκ ριζών τής ψυχής μου, τάς πονηράς ενθυμήσεις απόκοψον, καί φύτευσον τών αρετών, τά ωραία Παρθένε βλαστήματα.

Ο Ειρμός

«Τήν δέησιν εκχεώ πρός Κύριον, καί αυτώ απαγγελώ μου τάς θλίψεις, ότι κακών η ψυχή μου επλήσθη, καί η ζωή μου τώ Άδη προσήγγισε, καί δέομαι ως, Ιωνάς, Εκ φθοράς ο Θεός με ανάγαγε».

Κοντάκιον Προεόρτιον

Ήχος δ'

Επεφάνης σήμερον

Εν τή θεία σήμερον Μεταμορφώσει, η βροτεία άπασα, φύσις προλάμπει θεϊκώς, εν ευφροσύνη κραυγάζουσα, Μεταμορφούται Χριστός, σώζων άπαντας.

Έτερον τού Αγίου

Ήχος πλ. δ'

Ως απαρχάς

Ως ευσεβείας μάρτυρα, καί αληθή θεόφρονα, η Εκκλησία γεραίρει δοξάζουσα, τούς θείους άθλους σήμερον, τού σοφού Ευσιγνίου, ακαταπαύστως βοώσα, Ταίς αυτού ικεσίαις, τούς δούλους σου συντήρησον Πολυέλεε.

Ο Οίκος

Ο χορός τών πιστών συναγάλλεται, Ευσιγνίου τήν μνήμην γεραίροντες, Βασιλείς, Πατριάρχαι καί άρχοντες, ξένοι, δούλοι, πτωχοί καί αυτόχθονες, επί

τοίς θαύμασι τού Μάρτυρος δράμετε, η σορός εκβλύζει θαυμάτων χάριν, καί πιστώς οι λαοί απαρύονται, καί Θεόν ανυμνούσι τρανώς βοώντες, ταίς αυτού ικεσίαις, τούς δούλους σου συντήρησον Πολυέλεε.

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή Ε' τού αυτού μηνός, προεόρτια τής Αγίας Μεταμορφώσεως τού Κυρίου καί Θεού καί Σωτήρος ημών Ιησού Χριστού, καί μνήμη τού Αγίου Μάρτυρος Ευσιγνίου.

Στιχοι

- Ευσίγνιον τέμνουσι τόν Χριστού φίλον,
- Τομής μέχρι κράζοντα, Χριστός μοι σέβας.
- Πέμπτη Ευσιγνίοιο κάρη κονίησιν εμίχθη.

Τή αυτή ημέρα, οι Άγιοι δύο Μάρτυρες καί αυτάδελφοι, Καττίδιος καί Καττιδιανός, λιθοβολιθέντες τελειούνται.

Στιχοι

- Βουνούς λίθων έστησαν υψηλούς Λόγε,
- Δι' ών ανήλθον πρός σέ σύγγονοι δύο.

Τή αυτή ημέρα, η Αγία Νόννα, η μήτηρ τού Αγίου Γρηγορίου τού θεολόγου, εν ειρήνη τελειούται.

Στιχοι

- Νόννη θανούση τή καλή καλός γόνος,
- Καλόν δίδωσιν εντάφιον τούς λόγους.

Τή αυτή ημέρα ο Άγιος Μάρτυς Σόλεβ ο Αιγύπτιος, βέλει τοξευθείς, τελειούται.

Στιχοι

- Άν συλλαβισθής εξόπισθεν ώ Σόλεβ,
- Βέλος συνάξεις όργανον τού σού τέλους.

Τή αυτή ημέρα, ο Άγιος Φάβιος, Αρχιεπίσκοπος Ρώμης, ξίφει τελειούται.

Στιχοι

- Κείται Φάβιος νεκρός ο Χριστού θύτης,
- Χριστώ προσαχθείς θύμα καινόν εκ ξίφους.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

## Προεόρτιος

### Ωδή ζ'

Ουκ ελάτρευσαν

Πρός μετάρσιον ψυχής ύψος ανάγοντι, τών Μαθητών εκλογήν,

ακολουθήσωμεν νύν, Χριστώ κατοπτεύσοντες ξένα θεάματα, θαμβηθέντες δέ, σύν αυτοίς εκβοήσωμεν, ο Θεός ευλογητός εί.

Ρυπωθείσαν εκκαθάρας φύσιν βρότειον, ύδατί τε καί πυρί, εν τή οικεία σαρκί, τήν ταύτης λαμπρότητα υποδεικνύεις Σωτήρ, τώ προσώπω σου, λάμψας υπέρ τόν ήλιον, εις μελλούσης δόξης τύπον.

Συνανέλθωμεν Χριστώ εις όρος άγιον, συναναφέροντι, τούς Ζεβεδαίου υιούς, καί Πέτρον τόν πρόκριτον, ούς εξελέξατο, δόξης μάρτυρας, τής εαυτού κραυγάζοντας, ο Θεός ευλογητός εί.

Τού Αγίου

Παίδες Εβραίων

Αίμασι Μάρτυς εκχυθείσι, δι' αγάπησιν Χριστού σαρκωθέντος, λαμπρυνθείς τήν ψυχήν, πρός τούτον μετετέθης, αναβοών γηθόμενος, ο Θεός ευλογητός εί.

Ζέων τώ πόθω τού Σωτήρος, υπεξέφυγες κρυμόν τής αθεϊας, καί χειμώνα δεινόν, υπήνεγκας βασάνων, αναβοών Ευσίγνιε, ο Θεός ευλογητός εί.

Έτι σταζόμενος τοίς όμβροις, Παναοίδιμε τών θείων σου αιμάτων, τώ Δεσπότη Χριστώ, παρέστης αναμέλπων, Ευλογητός εί κυριε, ο Θεός εις τούς αιώνας.

Ίνα τής θείας βασιλείας, τήν αιώνιον ζωήν κληρονομήσης, τής προσκαίρου ζωής, τήν δόξαν εβδελύξω, αναβοών Ευσίγνιε, ο Θεός ευλογητός εί.

Θεοτοκίον

Νέον εκύησας Παιδίον, όν εγέννησε Πατήρ πρό τών αιώνων, Θεοτόκε αγνή, ώ πάντες μελωδούμεν, Ευλογητός εί Κύριε, ό Θεός εις τούς αιώνας.

Προεόρτιος

Ωδή η'

Παίδας ευαγείς

Τίς μή εκπλαγή παντάναξ Λόγε, τήν μεγαλοπρέπειαν, τής δόξης σου; ήν μεταμορφούμενος, έδειξας τοίς φίλοις σου, ταίς θεϊκαίς λαμπρότησι, περιαστράψας αυτούς, μεθ' ών προεορτάζοντας πίστει, λάμπρυνον φωτί σου, ημάς τούς σέ υμνούντας.

Ύψος ουρανίου πολιτείας, καί δόξης τής αϊδίου θείαν έλλαμψιν, δώρησαι τοίς δούλοις σου, νύν προεορτάζουσι, τής σής Μεταμορφώσεως λαμπράν πανήγυριν, εν ή φώς απαστράπτων φαιδρυνεις, τούς σέ ανυμνουντας, Χριστόν τόν φωτοδότην.

Φωτός χορηγός καί φώς υπάρχων, απρόσιτον καί αϊδιον προάναρχε, ο αναβαλλόμενος, φώς ώσπερ ιμάτιον, φώς εν τώ κόσμω έλαμψας, μετά σαρκός προελθών, καί φώς επί τού όρους αστράπτεις, δόξης τής πατρώας, δεικνύς τόν χαρακτήρα.

Τού Αγίου

Νικηταί τυράννου

Θυρεώ Παμμάκαρ, ευσεβείας πάντοθεν συμπεφραγμένος, τούς παρανομούντας, ετροπώσω χάριτι μέλπων απαύστως, Ευλογείτε πάντα τά έργα τόν Κύριον.

Εν τώ θλίβεσθαί σε, πρός Θεόν εκέκραξας τόν ευεργέτην, καί εισήκουσέ σου, καί δεινών ερρύσατο αναβοώντα, Ευλογείτε πάντα τά έργα τόν Κύριον.

Μή θεοίς αψυχοις, σέβας αλογώτατον Μάρτυς προσάξας, καθαρά θυσία, τώ Θεώ προσήνεξαι μέλπων απαύστως, Ευλογείτε πάντα τά έργα τόν Κύριον.

Ίνα τής μελλούσης, επιτύχης πάνσοφε ζωής καί δόξης, ενεκρώθης κόσμω, καί βοών Ευσίγνιε εθανατώθης, Ευλογείτε πάντα τά έργα τόν Κύριον.

Θεοτοκίον

Συμπαθής Παρθένε, Θεόν συμπαθέστατον αποτεκούσα, συμπαθείας θείας, πάντας καταξίωσον τούς μελωδούντας, Ευλογείτε πάντα τά έργα τόν Κύριον.

Τού Τριωδίου

Ειρμός άλλος

Τόν Βασιλέα Χριστόν

Τής τού Κυρίου λαμπράς, Μεταμορφώσεως η παρούσα ημέρα, τώ κόσμω προαυγάσασα, προτρέπεται, βοάν, Πάντα τά έργα υμνείτε, καί υπερυψούτε Χριστόν εις τούς αιώνας.

Τή διανοία πιστοί, δεύτε απίωμεν πρός τό άγιον όρος, ιδείν τήν Μεταμόρφωσιν, Χριστού τήν παμφαή, πάντας γάρ φωτίζει, τούς δοξολογούντας αυτήν εις τούς αιώνας.

Σήμερον τής τού Χριστού, Μεταμορφώσεως καθαρά τή καρδία, προϋπαντήν ποιήσωμεν, καί κράξωμεν αυτώ, Πάντα τά έργα υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Δόξα...

Τήν εν προσώποις τρισί, μίαν θεότητα συνθεολογουμένην, Πατέρα Υιόν καί Πνεύμα τό πανάγιον ομού, πάντα τά έργα υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Καί νύν... Θεοτοκίον

Ω τεραστίου φρικτού! πώς παρθενεύουσα μητράζεις θεόπαις, τόν ουρανού

καί γής Δεσπότην τίκτουσα Θεόν, όν πάντα τά έργα υμνούμεν, καί υπερυψούμεν εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Τόν Βασιλέα Χριστόν, όν ωμολόγησαν οί αιχμάλωτοι Παίδες, εν τή καμίνω λέγοντες μεγάλη τή φωνή, Πάντα τά έργα υμνείτε, καί υπερυψούτε εις πάντας τούς αιώνας».

Προεόρτιος

Ωδή θ'

Άπας γηγενής

Χαίρει ουρανός, εκ γής ανατέλλοντα νύν προαισθόμενος, Ήλιον τόν άδυτον, καί θεία δόξη αμβλύναι μέλλοντα ηλιακάς φαιδρότητας, γή δέ χορεύει φαιδρώς, ουρανίω αίγλη καί λαμπρότητι, λαμπομένη καί φώς χρηματίζουσα.

Ψάλλων ο Δαυϊδ, τήν σήν Μεταμόρφωσιν προανεφώνησε, Τίς ομοιωθήσεται, σοί τώ Κυρίω, λέγων υιοίς εν Θεού; σύ γάρ ενδοξαζόμενος εν ταίς Αγίων βουλαίς, μέγας ώφθης εν τοίς περικύκλω σου, φοβερός εν τή δόξη τής θείας μορφής.

Ω Λόγε Θεού, σοφία καί δύναμις, καί χαρακτήρ τού Πατρός, ώ Θεέ νοούμενε, πιστοίς καί άνθρωπε γνωριζόμενε, τής σής Μεταμορφώσεως ημάς αξίωσον, εκτελέσαι, τήν φαιδράν πανήγυριν, εν φωτί καλών έργων εκλάμποντας.

Τού Αγίου

Έφριξε πάσα ακοή

Ισχύϊ Μάρτυς τού Χριστού, τόν ανίσχυρον εχθρόν εθανάτωσας, κατεπαιρόμενον καί μάτην όντως νύν φρυαττόμενον, καί τή τού ξίφους εκτομή, τήν κάραν υπέκλινας, καί καθηγίασας, τή τού αίματος ροή τήν γήν άπασαν.

Ως κόσμος πάντων αθλητών, ως μαρτύρων ωραιότης Ευσίγνιε, ως στύλος άσειστος, τής Εκκλησίας, ως περιτείχισμα, τών ευσεβών περιφανές, ως θείον αγλάϊσμα τών προστρεχόντων σοι, ως ολόφωτος αστήρ μεμακάρισαι.

Στάζουσι μύρον οι ατμοί, τών ιδρώτων σου ευώδες Ευσίγνιε, καί τάς καρδίας ημών, τών σέ τιμώντων ευωδιάζουσι, καί τό δυσωδες τών παθών, κινδύνων καί θλίψεων αποδιώκουσιν, αθλοφόρε τού Χριστού γενναιότατε.

Ήλιε δόξης, Ιησού, ο φαιδρύνας τό μνημόσυνον σήμερον, τού Αθλοφόρου σου, αυτού πρεσβείαις φώτισον δέομαι, τήν σκοτισθείσάν μου ψυχήν, απάτη τού όφεως, ίνα δοξάζω σε, ως Θεόν αληθινόν καί φιλάνθρωπον.

Θεοτοκίον

Φώτισον πύλη τού φωτός, τής καρδίας μου τά όμματα δέομαι, ταίς

αμαυρότησι τής αμαρτίας αποτυφλούμενα, καί δεκτικά τών θεϊκών, δείξον επιλάμψεων, ίνα γεραίρω σε, εν φωναίς αγγελικαίς Παναμώμητε.

Τού Τριωδίου

Ειρμός άλλος
Σέ τήν απειρόγαμον

Ταύτην προεισόδιον τήν ημέραν, τής σής Κύριε τελούντες πανενδόξου, καί παμφαούς Μεταμορφώσεως, ύμνοις σε μεγαλύνομεν.

Τήν καλήν αλλοίωσιν αλλοιωθέντες, τή Χριστού Μεταμορφώσει, ευρεθώμεν φωτοφανείς, ταίς ευπραγίαις ημών, ταύτην μεγαλύνοντες.

Προθύροις ιστάμενοι τής ενδόξου, Μεταμορφώσεως Κυρίου, αυγασθώμεν πνευματικώς τάς διανοίας ημών, ταύτην μεγαλύνοντες.

Δόξα...

Σέ τήν Τριάδι καί Μονάδι, παντεξουσίαρχον ουσίαν, τόν Πατέρα καί Υιόν, καί Πνεύμα Άγιον, ύμνοις μεγαλύνομεν.

Καί νύν... Θεοτοκίον

Σέ τήν υπεραγίαν Θεοτόκον, τήν ανωτέραν τών άνω τάξεων, μόνη Αγνή, καί πάσης κτίσεως, ύμνοις μεγαλύνομεν.

Ο Ειρμός

«Σέ τήν απειρόγαμον Θεοτόκον, τήν ουράνιον παστάδα, τήν τεκούσαν τόν αρχηγόν τής σωτηρίας ημών, εν ύμνοις μεγαλύνομεν».

Εξαποστειλάριον
Τοίς μαθηταίς συνέλθωμεν

Θωρακισθείς Ευσίγνιε, τήν Χριστού πανοπλίαν, τάς παρατάξεις έτρεψας, τών αθέων τυράννων, καί ήρας νίκης βραβεία, ανδρικώς εναθλήσας, Μεγαλομάρτυς ένδοξε, όθεν νύν τή Τριάδι, παρεστη κώς, σύν Αγγέλοις πάνσοφε μή ελλίπης, υπέρ ημών δεόμενος τών Τιμώντων σε πόθω.

Προεόρτιον

Οι δόξης εφιέμενοι, ολικώς τής ενθέου, τό νέφος διακόψωμεν, τού γεώδους σαρκίου, μετάρσιοι πρός τό όρος, τό Θαβώρ ανελθόντες, καί Μωϋσεί Ηλία τε, Μαθητών τοίς πρωτάρχαις συμμετασχείν, θεϊκής ελλάμψεως απροσίτου, αξιωθήναι σπεύσωμεν, φώς φωτί προσλαβόντες.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια τής εορτής.

Ήχος α'
Τών ουρανίων ταγμάτων

Τής παναγίας ενδόξου Μεταμορφώσεως, προϋπαντήν ποιούντες, τή παρούση ημέρα, Χριστόν δοξολογούμεν τόν τήν ημών, τώ πυρί τής θεότητος, αναμορφώσαντα φυσιν, καί ως τό πρίν, αφθαρσίαν απαστράψαντα.

Στίχ. Έλεος καί αλήθεια συνήντησαν.

Επί τό άγιον όρος δεύτε απίωμεν, καί τήν παμφαεστάτην, Μεταμόρφωσιν πίστει, κατίδωμεν Κυρίου, τούτον πιστώς, προσκυνούντες καί λέγοντες, Σύ εί Θεός ημών μόνος, ο σαρκωθείς, καί θεώσας τό ανθρώπινον.

Στίχ. Κύριε, εν τώ φωτί τού προσώπου σου πορεύσονται.

Αύτη εστίν η ημέρα, η προεόρτιος, μεθ' ήν μεταμορφούται, ο Χριστός συμπαρόντων, Μωσέως καί Ηλία, καί τών αυτού Μαθητών εν τώ όρει Θαβώρ, φωνής δέ θείας λαλούσης, Ούτός εστιν, αληθώς ο εκλεκτός μου Υιός.

Δόξα... Καί νύν...

Ήχος πλ. α'

Νόμου καί Προφητών σε Χριστέ, ποιητήν καί πληρωτήν εμαρτύρησαν, ορώντες εν τή νεφέλη, Μωϋσής ο θεόπτης, καί Ηλίας ο έμπυρος αρματηλάτης καί άφλεκτος ουρανοδρόμος, επί τής Μεταμορφώσεώς σου, μεθών καί ημάς τού σού φωτισμού αξίωσον Δέσποτα, υμνείν σε εις τούς αιώνας.

Καί Απόλυσις

---

Αρχή

## ΤΗ ΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Ανάμνησις τής Αγίας Μεταμορφώσεως τού Κυρίου καί Θεού καί Σωτήρος ημών Ιησού Χριστού.

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσομοια γ', δευτερούντες τό πρώτον.

Ήχος δ'

Έδωκας σημείωσιν

Δεύτε νύν τήν κρείττονα, αλλοιωθέντες αλλοίωσιν, ουρανόφρονες σήμερον, Χριστώ συμμορφούμενοι, ευσεβώς καί γήθεν, εφ' υψηλοτάτην, τών αρετών περιωπήν, ανενεχθέντες αγαλλιώμεθα, δι' οίκτον γάρ τόν άμορφον, μεταμορφούμενος άνθρωπον, εν Θαβώρ κατελάμπρυνεν, ο Σωτήρ τών ψυχών ημών. (Δίς)

Ω φιλοθεάμονες, τών υπέρ νούν καί φιλήκοοι, μυστικώς εποπτεύσωμεν, Χριστόν εξαστράψαντα, θεϊκαίς ακτίσι, καί ενηχηθώμεν, τήν τού γεννήτορος φωνήν, ηγαπημένον ανακηρύττουσαν, Υιόν τόν καταυγάσαντα, τήν ανθρωπίνην ασθένειαν, εν Θαβώρ καί πηγάσαντα, φωτισμόν ταίς ψυχαίς ημών.

Άπαν νύν εγκόσμιον, καί υπερκόσμιον σύστημα, συγκινείσθω πρός αίνεσιν, Χριστού τού Θεού ημών, τού νεκρών καί ζώντων, κεκυριευκότος, θεοπρεπώς γάρ εαυτώ, μεταμορφούμενος συμπαρίστησι, τού νόμου καί τής χάριτος, τούς πρωτοστάτας καί κήρυκας, εν Θαβώρ ως ηυδόκησεν, ο Σωτήρ τών ψυχών ημων.

Δόξα... Καί νύν... Ήχος πλ. δ'

Τόν γνόφον τόν νομικόν, η φωτεινή τής Μεταμορφώσεως διεδέξατο νεφέλη, εν ή Μωϋσής καί Ηλίας γενόμενοι, καί τής υπερφώτου δόξης αξιωθέντες, Θεώ έλεγον, Σύ εί Θεός ημών, ο Βασιλεύς τών αιώνων.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια

Ήχος β'

Οίκος τού Εφραθά

Σήμερον ο Χριστός, εν όρει Θαβωρίω, τήν τού Αδάμ αμείψας, αμαυρωθείσαν φύσιν, λαμπρύνας εθεούργησεν.

Στίχ. Σοί είσιν οι ουρανοί, καί σή εστιν η γή.

Φέγγει τών αρετών, εκλάμποντες προσβώμεν, εν όρει τώ αγίω, οψόμενοι τήν θείαν, Κυρίου Μεταμόρφωσιν.

Στίχ. Θαβώρ καί Ερμων εν τώ ονόματί σου αγαλλιάσονται.

Ήλιος μέν τήν γήν, φαιδρύνων αύθις δύνει, Χριστός δέ μετά δόξης, αστράψας εν τώ όρει, τόν κόσμον κατεφώτισεν.

Δόξα... Καί νύν... Όμοιον

Είδον εν τώ Θαβώρ, Μωσής τε καί Ηλίας, τόν εκ παρθένου Κόρης, Θεόν σεσαρκωμένον, βροτών εις απολύτρωσιν.

Απολυτίκιον Ήχος βαρύς

Μετεμορθώθης εν τώ όρει Χριστέ ο Θεός, δείξας τοίς Μαθηταίς σου τήν δόξαν σου, καθώς ήδυναντο, Λάμψον καί ημίν τοίς αμαρτωλοίς, τό φώς σου τό αΐδιον, πρεσβείαις τής Θεοτόκου, φωτοδότα δόξα σοι.

Όρα τούτο εις τόν Μέγαν Εσπερινόν, καί Απόλυσις.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Στιχολογία ού γίνεται. Εις δέ τό. Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Ιδιόμελα δ' δευτερούντες τά δύο πρώτα.

Ήχος δ'

Κοσμά Μοναχού

Πρό τού σού Σταυρού Κύριε, όρος ουρανόν εμιμείτο, νεφέλη ως σκηνή

εφηπλούτο, Σού μεταμορφουμένου, υπό Πατρός δέ μαρτυρουμένου, παρήν ο Πέτρος σύν Ιακώβω καί Ιωάννη, ως μέλλοντες συνείναί σοι, καί εν τώ καιρώ τής παραδόσεώς σου, ίνα θεωρήσαντες τά θαυμάσιά σου, μή δειλιάσωσι τά παθήματά σου, ά προσκυνήσαι ημάς, έν ειρήνη καταξίωσον, διά τό μέγα σου έλεος. (Δίς)

Πρό τού Σταυρού σου Κύριε, παραλαβών τούς Μαθητάς εις όρος υψηλόν, μετεμορφώθης έμπροσθεν αυτών, ακτίσι δυνάμεως καταυγάζων αυτούς, ένθεν φιλανθρωπία, εκείθεν εξουσία, δείξαι βουλόμενος τής Αναστάσεως τήν λαμπρότητα, ής καί ημάς ο Θεός, εν ειρήνη καταξίωσον, ως ελεήμων καί φιλάνθρωπος. (Δίς)

Εις όρος υψηλόν μεταμορφωθείς ο Σωτήρ, τούς κορυφαίους έχων τών Μαθητών, ενδόξως εξέλαμψας, δηλών, ότι οι τώ ύψει τών αρετών διαπρέψαντες, καί τής ενθέου δόξης αξιωθήσονται, Συλλαλούντες δέ τώ Χριστώ, Μωϋσής καί Ηλίας εδείκνυον, ότι ζώντων καί νεκρών κυριεύει, καί ο πάλαι διά νόμου, καί Προφητών λαλήσας υπήρχε Θεός, ώ καί φωνή τού Πατρός, εκ νεφέλης φωτεινής, εμαρτύρει λέγουσα, Αυτού ακούετε, τού διά Σταυρού τόν, Άδην σκυλεύσαντος, καί νεκροίς δωρουμένου, ζωήν τήν αιώνιον.

Όρος τό ποτέ ζοφώδες καί καπνώδες, νύν τίμιον καί άγιόν εστιν, εν ώ οι πόδες σου έστησαν Κύριε, πρό αιώνων γάρ κεκαλυμμένον μυστηριον, επ' εσχάτων εφανέρωσεν η φρικτή σου Μεταμόρφωσις, Πέτρω Ιωάννη καί Ιακώβω, οίτινες τήν ακτίνα τού προσώπου σου μή φέροντες, καί τήν λαμπρότητα τών χιτώνων σου, επί πρόσωπον, εις γήν κατεβαρύνοντο, οί καί τή εκστάσει συνεχόμενοι, εθαύμαζον βλέποντες, Μωϋσήν καί Ηλίαν συλλαλούντάς σοι τά μέλλοντα συμβαίνειν σοι, καί φωνή εκ τού Πατρός, εμαρτύρει λέγουσα. Ούτός εστιν ο Υιός μου ο αγαπητός, εν ώ ευδόκησα, αυτού ακούετε, ός τις καί δωρείται τώ κόσμω τό μέγα έλεος.

Δόξα... Καί νύν... Ήχος πλ. β'

Ανατολίου

Προτυπών τήν Ανάστασιν τήν σήν, Χριστέ ο Θεός, τότε παραλαμβάνεις τούς τρείς σου μαθητάς, Πέτρον καί Ιάκωβον καί Ιωάννην, εν τώ Θαβώρ ανελθών, Σού δέ Σωτήρ μεταμορφουμένου, τό Θαβώριον όρος φωτί εσκέπετο, Οι Μαθηταί σου Λόγε, έρριψαν εαυτούς εν τώ εδάφει τής γής, μή φέροντες οράν, τήν αθέατον μορφήν, Άγγελοι διηκόνουν φόβω καί τρόμω, ουρανοί έφριξαν, γή ετρόμαξεν, ορώντες επί γής, τής δόξης τόν Κύριον.

Είσοδος, Φώς ιλαρόν. Προκείμενον ημέρας, καί τά Αναγνώσματα.

Τής Εξόδου τό Ανάγνωσμα

(Κεφ. 24, 12-18)

Είπε Κύριος πρός Μωϋσήν, Ανάβηθι πρός με εις τό όρος, καί στήθι εκεί, καί δώσω σοι τά πυξία τά λίθινα, τόν νόμον καί τάς εντολάς, άς έγραψα

νομοθετήσαι αυτοίς. Καί αναστάς Μωϋσής, καί Ιησούς ο παρεστηκώς αυτώ, ανέβησαν επί τό όρος τού Θεού. Καί τοίς πρεσβυτέροις είπεν, Ησυχάσατε αυτού, έως άν επιστρέψωμεν πρός υμάς, καί ιδού Ααρων καί Ώρ μεθ' υμών, εάν τινι συιμβή κρίσις, προσπορευέσθωσαν αυτοίς. Καί ανέβη Μωϋσής εις τό όρος, καί εκάλυψεν η νεφέλη τό όρος, καί κατέβη η δόξα τού Θεού επί τό όρος τό Σινά, καί εκάλυψεν αυτό η νεφέλη έξ ημέρας, καί εκάλεσε Κύριος τόν Μωϋσήν τή ημέρα τή εβδόμη εκ μέσου τής νεφέλης. Τό είδος τής δόξης τού Κυρίου, ωσεί πύρ φλέγον επί τής κορυφής τού όρους, εναντίον τών υιών Ισραήλ. Καί εισήλθε Μωϋσής εις τό μέσον τής νεφέλης, καί ανέβη εις τό όρος, καί ήν εν τώ όρει τεσσαράκοντα ημέρας, Καί τεσσαράκοντα νύκτας.

## Τής Εξόδου τό Ανάγνωσμα
## (Κεφ. 33, 11-23 & 34, 46, 8)

Ελάλησε Κύριος πρός Μωϋσήν ενώπιος εννπίω, ως εί τίς λαλήσει πρός τόν εαυτού φίλον, καί απελύετο εις τήν παρεμβολήν, ο δέ θεράπων Ιησούς υιός Ναυή νέος, ουκ εξεπορεύετο εκ τής σκηνής. Καί είπε Μωϋσής προς Κύριον, ιδού σύ μοι λέγεις. Ανάγαγε τόν λαόν τούτον, σύ δέ ουκ εδήλωσάς μοι, όν συναποστελείς μετ' εμού, σύ δέ μοι είπας, Οίδάς σε παρά πάντας, καί χάριν έχεις παρ' εμοί. Ει ούν εύρηκα χάριν εναντίον σου, εμφάνισόν μοι σεαυτόν, ίνα γνωστώς ίδω σε, όπως άν ώ ευρηκώς χάριν ενώπιόν σου, καί, ίνα γνώ, ότι λαός σου τό έθνος τό μέγα τούτο. Καί λέγει αυτώ Κύριος, Εγώ αυτός προπορεύσομαί σου, καί καταπαύσω σε. Καί είπε πρός αυτόν Ειμή σύ αυτός συμπορεύη μεθ' ημών, μή με αναγάγης εντεύθεν. Καί πώς γνωστόν έσται αληθώς, ότι εύρηκα χάριν παρά σοί εγώ τε καί ο λαός σου, αλλ' ή συμπορευομένου σου μεθ' ημών, καί ενδοξασθησόμεθα εγώ τε καί ο λαός σου παρά πάντα τά Έθνη, όσα άν επί τής γής εστιν. Είπε δέ Κύριος πρός Μωϋσήν. Καί τούτόν σοι τόν λόγον, όν είρηκας, ποιήσω, εύρηκας γάρ χάριν ενώπιον εμού, καί οίδά σε παρά πάντας. Καί λέγει Μωϋσής, Δείξόν μοι τήν σεαυτού δόξαν. Καί είπεν. Εγώ παρελεύσομαι πρότερός σου τή δόξη μου, καί καλέσω τώ ονόματί μου, Κύριος εναντίον σου, καί ελεήσω, όν άν ελεώ, καί οικτιρήσω όν άν οικτίρω. Καί είπεν, Ου δυνήση ιδείν τό πρόσωπόν μου, ου γάρ μή ίδη άνθρωπος τό πρόσωπόν μου καί ζήσεται. Καί είπε Κύριος, Ιδού τόπος παρ' εμοί, καί στήθι επί τής πέτρας. Ηνίκα δ' άν παρέλθη ή δόξα μου, καί θήσω σε εις οπήν τής πέτρας, καί σκεπάσω τή χειρί μου επί σέ, έως άν παρέλθω, καί αφελώ τήν χείρά μου, καί τότε όψει τά οπίσω μου, τό δέ πρόσωπόν μου ουκ ο φθήσεταί σοι. Καί ορθρίσας Μωϋσής τό πρωϊ, ανέβη εις τό όρος τό Σινά, καθά συνέταξεν αυτώ Κύριος. Καί κατέβη Κύριος εν νεφέλη καί παρέστη αυτώ εκεί, καί εκάλεσε τώ ονόματι Κυρίου, καί παρήλθε Κύριος πρό προσώπου αυτού καί εκάλεσε. Κύριος ο Θεός οικτίρμων καί ελεήμων μακρόθυμος, καί πολυέλεος, καί αληθινος. Καί σπεύσας Μωϋσής, κύψας επί τήν γήν, προσεκύνησε τώ Κυρίω.

## Βασιλειών τρίτης τό ανάγνωσμα
## (Κεφ. 19, 39, 11-13, 15-16)

Εν ταίς ημέραις εκείναις, έρχεται Ηλιού εις Βηρσαβεέ, ή εστι τού Ιούδα, καί αφήκε τό παιδάριον αυτού εκεί. Καί αυτός επορεύθη εν τή ερήμω οδόν ημέρας, καί ήλθε καί εκάθισεν υποκάτω αρκεύθου, καί εκοιμήθη, καί ύπνωσεν

εκεί υπό τό φυτόν. Καί ιδού τις ήψατο αυτού, καί είπεν αυτώ, Ανάστηθι, φάγε, καί πίε. Καί επέβλεψεν Ηλιού, καί ιδού πρός κεφαλής αυτού εγκρυφίας όλυρίτης καί καμψάκης ύδατος. Καί ανέστη, καί έφαγε, καί έπιε, καί επιστρέψας έκοιμήθη. Καί επέστρεψεν ο Άγγελος Κυρίου εκ δευτέρου, καί ήψατο αυτού καί είπεν αυτώ. Ανάστηθι, καί φάγε, καί πίε, ότι πολλή από σού η Οδός. Καί ανέστη, καί έφαγε, καί έπιε, καί επορεύθη εν τή ισχύϊ τής βρώσεως εκείνης τεσσαράκοντα ημέρας καί τεσσαράκοντα νύκτας, έως όρους Χωρήβ. Καί εισήλθεν εκεί εις τό σπήλαιον, καί κατέλυσεν εκεί, καί ιδού ρήμά Κυρίου πρός αυτόν, καί είπεν αυτώ Κύριος. Εξελεύση, καί στήση έν τώ όρει ενώπιον Κυρίου, καί ιδού Κύριος παρελεύσεται, καί πνεύμα μέγα κραταιόν διαλύον όρη, καί συντρίβον πέτρας ενώπιον Κυρίου, ουκ εν τώ πνεύματι Κύριος, καί μετά τό πνεύμα συσσεισμός, ουκ έν τώ συσσεισμώ Κύριος, καί μετά τόν συσσεισμόν πύρ, ουκ εν τώ πυρί Κύριος, καί μετά τό πύρ φωνή αύρας λεπτής, καί εκεί Κύριος, Καί εγένετο ως ήκουσεν Ηλιού, επεκάλυψε τό πρόσωπον αυτού εν τή μηλωτή αυτού, καί εξήλθε καί έστη παρά τό σπήλαιον. Καί είπε Κύριος πρός αυτόν. Πορεύου, καί ανάστρεφε εις τήν οδόν σου, καί ήξεις εις οδόν ερήμου Δαμασκού, καί χρίσεις τόν Ελισσαιέ υιόν Σαφάτ, αντί σού εις Προφήτην.

Εις τήν Λιτήν, Στιχηρά Ιδιόμελα.

Ήχος β'

Ο φωτί σου άπασαν τήν οικουμένην αγιάσας, εις όρος υψηλόν μετεμορφώθης αγαθέ, δείξας τοίς Μαθηταίς σου τήν δυναστείαν σου, ότι κόσμον λυτρούσαι εκ παραβάσεως, διό βοώμέν σοι, Εύσπλαγχνε Κύριε, σώσον τάς ψυχάς ημών.

Ο αυτός

Ο εν τώ όρει τώ Θαβώρ, μεταμορφωθείς έν δόξη Χριστέ ο Θεός, καί υποδείξας τοίς Μαθηταίς σου, τήν δόξαν τής σής θεότητος, καταύγασον καί ημάς τώ φωτί τής σής επιγνώσεως, καί οδήγησον έν τή τρίβω τών εντολών σου, ως μόνος αγαθός καί φιλάνθρωπος.

Ο αυτός

Τό προήλιον σέλας Χριστός, σωματικώς επί τής γής περιπολεύων, καί πρίν τού Σταυρού, άπαντα τά τής φρικτής οικονομίας τελέσας θεοπρεπώς, σήμερον έν Θαβώρ τώ όρει, μυστικώς τής Τριάδος τόν τύπον υποδείκνυσι, τούς γάρ προκρίτους, τρείς τών Μαθητών, Πέτρον καί Ιάκωβον καί Ιωάννην, σύν αυτώ αγαγών κατ' ιδίαν, καί μικρόν υποκρύψας τής σαρκός τό πρόσλημμα, μετεμορφώθη έμπροσθεν αυτών, εμφαίνων τού αρχετύπου κάλλους τήν ευπρέπειαν, καί ταύτην ουχ ολόκληρον, τό μέν πληροφορών αυτούς, τό δέ καί φειδόμενος, μήπως σύν τή οράσει καί τό ζήν απολέσωσιν, αλλ' ως ηδύναντο χωρείν τούς σωματικούς οφθαλμούς περιφέροντες. Καί προφητών τούς ακραίμονας, Μωϋσήν καί Ηλίαν ηνέγκατο, αναλόγως μαρτυρούντας αυτού τήν θεότητα, καί ότι αυτός εστι τό αληθινόν τής πατρικής ουσίας αapαύγασμα, ο κυριεύων ζώντων καί νεκρών. Διό καί νεφέλη καθάπερ σκηνή, περιέσχεν αυτούς, καί φωνή άνωθεν τού Πατρός εκ τής

νεφέλης, ηχητικώς προσμαρτυρούσα καί λέγουσα. Ούτός εστιν όν αρρεύστως εκ γαστρός, πρό εωσφόρου εγέννησα, Υιός ο αγαπητός μου, όν απέστειλα σώσαι, τούς εις Πατέρα καί Υιόν, καί Πνεύμα Άγιον βαπτιζομένους, καί ομολογούντας πιστώς, ως αδιαίρετόν εστιν έν τό κράτος τής θεότητος, αυτού ακούετε. Αυτός ούν φιλάνθρωπε Χριστέ ο Θεός, καί ημάς καταύγασον, έν τώ φωτί τής ααπροσίτου σου δόξης, καί αξίους ανάδειξον κληρονόμους, τής ατελευτήτου βασιλείας σου, ως υπεράγαθος.

Δόξα... Ήχος πλ. α'

Δεύτε αναβώμεν εις τό όρος Κυρίου, καί εις τόν οίκον τού Θεού ημών, καί θεασώμεθα τήν δόξαν τής Μεταμορφώσεως αυτού, δόξαν ως μονογενούς παρά Πατρός, φωτί προσλάβωμεν φώς, καί μετάρσιοι γενόμενοι τώ πνεύματι, Τριάδα ομοούσιον υμνήσωμεν εις τούς αιώνας.

Καί νύν... Ο αυτός

Νόμου καί Προφητών σε Χριστέ, ποιητήν καί πληρωτήν εμαρτύρησαν, ορώντες εν τή νεφέλη, Μωϋσής ο θεόπτης καί Ηλίας ο έμπυρος αρματηλάτης, καί άφλεκτος ουρανοδρόμος, επί τής Μεταμορφώσεώς σου, μεθ' ών καί ημάς, τού σού φωτισμού αξίωσον Δέσποτα, υμνείν σε εις τούς αιώνας.

Εις τόν Στίχον, ψάλλομεν τά Ιδιόμελα ταύτα.

Ήχος α'

Ο πάλαι τώ Μωσεί συλλαλήσας, επί τού όρους Σινά διά συμβόλων, Εγώ ειμι, λέγων ο Ών, σήμερον επ' όρος Θαβώρ, μεταμορφωθείς επί τών μαθητών, έδειξε τό αρχέτυπον κάλλος τής εικόνος, εν εαυτώ τήν ανθρωπίνην, αναλαβούσαν ουσίαν, καί τής τοιαύτης χάριτος, μάρτυρας παραστησάμενος Μωϋσήν καί Ηλίαν, κοινωνούς εποιείτο τής ευφροσύνης, προμηνύοντας τήν ένδοξον διά Σταυρού, καί σωτήριον Ανάστασιν.

Στίχ. Σοί εισιν οι ουρανοί, καί σή εστιν η γή.

Τήν σήν τού μονογενούς Υιού Προορώμενος, εν Πνεύματι διά σαρκός, πρός ανθρώπους επιδημίαν, ο θεοπάτωρ Δαυϊδ, πόρρωθεν πρός ευφροσύνην συγκαλείται τήν κτίσιν, καί προφητικώς ανακράζει, Θαβώρ καί Ερμών εν τώ Ονόματί σου αγαλλιάσονται, Εν τούτω γάρ επιβάς τώ όρει Σωτήρ μετά τών μαθητών σου, τήν αμαυρωθείσαν εν Αδάμ φύσιν, μεταμορφωθείς, απαστράψαι πάλιν πεποίηκας, μεταστοιχειώσας αυτήν, εις τήν σήν τής θεότητος δόξαν τε καί λαμπρότητα, διό βοώμέν σοι, Δημιουργέ τού παντός, Κύριε δόξα σοι.

Στίχ. Θαβώρ καί Ερμών εν τώ ονόματί σου αγαλλιάσονται.

Τό άσχετον τής σής φωτοχυσίας, καί απρόσιτον τής θεότητος, θεασάμενοι τών Αποστόλων οι πρόκριτοι, επί τού όρους τής Μεταμορθώσεως, άναρχε Χριστέ, τήν θείαν ηλλοιώθησαν έκστασιν, καί νεφέλη περιλαμφθέντες φωτεινή, φωνής ήκουον Πατρικής, βεβαιούσης τό μυστήριον τής σής

εναnθρωπήσεως, ότι εις υπάρχεις καί μετά σάρκωσιν, Υιός μονογενής καί Σωτήρ τού κόσμου.

Δόξα... Καί νύν...

Ήχος πλ. β'

Πέτρω καί Ιακώβω καί, Ιωάννη, τοίς προκρίτοις μαθηταίς σου Κύριε, σήμερον υπέδειξας εν τώ όρει τώ Θαβώρ, τήν δόξαν τής θεϊκής σου μορφής έβλεπον γάρ τά ιμάτιά σου, αστράψαντα ως τό φώς καί τό πρόσωπόν σου υπέρ τόν ήλιον καί μή φέροντες οράν τό άστεκτον τής σής ελλάμψεως, εις γήν κατέπιπτον, μηδόλως ατενίσαι ισχύοντες, Φωνής γάρ ήκουον μαρτυρούσης άνωθεν, Ούτός εστιν ο Υιός μου ο αγαπητός, ο ελθών εις τόν κόσμον σώσαι τόν άνθρωπον.

Απολυτίκιον  Ήχος βαρύς

Μετεμορθώθης εν τώ όρει Χριστέ ο Θεός, δείξας τοίς Μαθηταίς σου τήν δόξαν σου, καθώς ήδυναντο, Λάμψον καί ημίν τοίς αμαρτωλοίς, τό φώς σου τό αϊδιον, πρεσβείαις τής Θεοτόκου, φωτοδότα δόξα σοι.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά την α' Στιχολογίαν

Κάθισμα  Ήχος δ'

Κατεπλάγη, Ιωσήφ

Τήν τών βροτών εναλλαγήν, τήν μετά δόξης σου Σωτήρ, εν τή δευτέρα καί φρικτή, τής σής ελεύσεως δεικνύς, επί τού όρους Θαβώρ μετεμορφώθης, Ηλίας καί Μωσής συνελάλουν σοι, τούς τρείς τών Μαθητών συνεκάλεσας, οί κατιδόντες Δέσποτα τήν δόξαν σου, τή αστραπή σου εξέστησαν, ο τότε τούτοις, τό φώς σου λάμψας, φώτισον τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Τό αυτό

Μετά την β' Στιχολογίαν

Κάθισμα όμοιον

Επί τό όρος τό Θαβώρ, μετεμορφώθης, Ιησού, καί νεφέλη φωτεινή, εφηπλωμένη ως σκηνή, τούς Αποστόλους τής δόξης σου κατεκάλυψεν, όθεν καί εις γήν εναπέβλεπον, μή φέροντες οράν τήν λαμπρότητα, τής απροσίτου δόξης τού προσώπου σου, άναρχε Σώτερ Χριστέ ο Θεός, ο τότε τούτοις, τό φώς σου λάμψας, φώτισον τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τόν Πολυέλεον

Κάθισμα  Ήχος δ'
Ο υψωθείς εν τώ Σταυρώ

Ο ανελθων σύν Μαθηταίς εν τώ όρει, καί εν τή δόξη τού Πατρός απαστράψας, σύν Μωϋσή Ηλίας σοι παρίστανται, Νόμος καί Προφήται γάρ ως Θεώ λειτουργούσιν, ώ καί τήν Υιότητα τήν φυσικήν ο Γεννήτωρ, ομολογών εκάλεσεν Υιόν, όν ανυμνούμεν σύν σοί καί τώ Πνεύματι.

Δόξα... Καί νύν... Τό αυτό

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί  Αντίφωνον Α'

- Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.
- Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον  Ήχος δ'

Θαβώρ καί Ερμών εν τώ ονόματί σου αγαλλιάσονται.
Στίχ. Σοί εισιν οι ουρανοί, καί σή εστιν η γή.

Πάσα πνοή. Ευαγγέλιον κατά Λουκάν. Ο Ν'.

Δόξα... Ταίς τών Αποστόλων...
Καί νύν... Ταίς τής Θεοτόκου...

Στιχηρόν Ιδιόμελον

Ήχος β'

Ο φωτί σου άπασαν τήν οικουμένην αγιάσας, εις όρος υψηλόν μετεμορφώθης αγαθέ, δείξας τοίς Μαθηταίς σου τήν δυναστείαν σου, ότι κόσμον λυτρούσαι εκ παραβάσεως, διό βοώμέν σοι, Εύσπλαγχνε Κύριε, σώσον τάς ψυχάς ημών.

Είθ' ούτως οι δύο Κανόνες τής Εορτής.

Πρώτος Κανών, ού η, Ακροστιχίς.

Χριστός ενί σκοπιή σέλας άπλετον είδεος ήκε.
Ποίημα Κοσμά Μοναχού.

### Ωδή α'  Ήχος δ'  Ο Ειρμός

«Χοροί Ισραήλ, ανίκμοις ποσί, πόντον ερυθρόν, καί υγρόν βυθόν διελάσαντες, αναβάτας τριστάτας, δυσμενείς ορώντες εν αυτώ υποβρυχίους, εν αγαλλιάσει έμελπον, Άσωμεν τώ Θεώ ημών, ότι δεδόξασται».

Ρήματα ζωής τοίς φίλοις Χριστός, καί περί τής θείας δημηγορών βασιλείας έφη, Εν εμοί τόν Πατέρα επιγνώσεσθε, φωτί ως εξαστράψω απροσίτω, εν αγαλλιάσει μέλποντες, Άσωμεν τώ Θεώ ημών, ότι δεδόξασται.

Ισχύν τών εθνών κατέδεσθε, φίλοι Μαθηταί, θαυμασθήσεσθε δέ τώ πλούτω αυτών, ότι δόξης πληρούσθε, ως οφθήσομαι, λαμπρότερος ηλίου εξαστράπτων, έν αγαλλιάσει μέλποντες, Άσωμεν τώ Θεώ ημών, ότι δεδόξασται.

Σήμερον Χριστός εν όρει Θαβώρ, λάμψας αμυδρώς, θεϊκής αυγής ως υπέσχετο, Μαθηταίς παρεγύμνου χαρακτήρα, σελασφόρου δέ πλησθέντες θείας αίγλης, εν αγαλλιάσει έμελπον, Άσωμεν τώ Θεώ ημών, ότι δεδόξασται.

Δεύτερος Κανών, φέρων Ακροστιχίδα.

Μωσής Θεού πρόσωπον εν Θαβώρ είδε.

Ποίημα Ιωάννου τού Δαμασκηνού

### Ωδή α'  Ήχος πλ. δ'
### Υγράν διοδεύσας

Μωσής εν θαλάσση προφητικώς, ιδών εν νεφέλη καί εν στύλω πάλαι πυρός, τήν δόξαν Κυρίου ανεβόα, Τώ Λυτρωτή καί Θεώ ημών άσωμεν.

Ως πέτρα τώ σώματι σκεπασθείς, τώ τεθεωμένω, τόν αόρατον καθορών, Μωσής ό θεόπτης ανεβόα, Τώ Λυτρωτή καί Θεώ ημών άσωμεν.

Σύ επί τού όρους τού νομικού, καί εν Θαβωρίω, καθωράθης τώ Μωϋσή, εν γνόφω τό πάλαι, εν φωτί δέ, νύν απροσίτω τής θεότητος.

### Καταβασία

«Χοροί Ισραήλ, ανίκμοις ποσί, πόντον ερυθρόν, καί υγρόν βυθόν διελάσαντες, αναβάτας τριστάτας, δυσμενείς ορώντες εν αυτώ υποβρυχίους, εν αγαλλιάσει έμελπον, Άσωμεν τώ Θεώ ημών, ότι δεδόξασται».

### Ωδή γ'

### Ο Ειρμός

«Τόξον δυνατών ησθένησε, καί οι ασθενούντες, περιεζώσαντο δύναμιν, διά τούτο εστερεώθη, εν Κυρίω η καρδία μου».

Όλον τόν Αδάμ φορέσας Χριστέ, τήν αμαυρωθείσαν αμείψας ελάμπρυνας πάλαι φύσιν, καί αλλοιώσει τής μορφής σου εθεούργησας.

Στύλω πυριμόρφω καί νεφέλη πάλαι, ο εν τή ερήμω τόν Ισραήλ άγων, σήμερον εν τώ όρει Θαβώρ αρρήτως, εν φωτί Χριστός εξέλαμψεν.

Έτερος Κανών

Ουρανίας αψίδος

Η σκιάζουσα δόξα, εν τή σκηνή πρότερον, καί τώ Μωϋσή ομιλούσα, τώ σώ θεράποντι, τύπος γεγένηται, τής αστραψάσης αρρήτως, εν Θαβώρ σου Δέσποτα Μεταμορφώσεως.

Συνανήλθέ σοι Λόγε, μονογενές ύψιστε, η τών Αποστόλων ακρότης, επί τού όρους Θαβώρ, καί συμπαρέστησαν ό,τε Μωσής καί Ηλίας, ως Θεού θεράποντες, μόνε φιλάνθρωπε.

Θεός όλος υπάρχων, όλος βροτός γέγονας, όλη τή θεότητι μίξας τήν ανθρωπότητα, εν υποστάσει σου, ήν εν δυσί ταίς ουσίαις, Μωϋσής Ηλίας τε, είδον εν όρει Θαβώρ.

Καταβασία

«Ράβδος εις τύπον τού μυστηρίου παραλαμβάνεται, τώ βλαστώ γάρ προκρίνει τόν ιερέα, Τή στειρευούση δέ πρώην, Εκκλησία νύν εξήνθησε, ξύλον Σταυρού, εις κράτος καί στερέωμα».

Κάθισμα  Ήχος δ'

Κατεπλάγη Ιωσήφ

Επί τό όρος τό Θαβώρ, μετεμορφώθης ο Θεός, αναμέσον Ηλιού, καί Μωϋσέως τών σοφών, σύν Ιακώβω καί Πέτρω καί Ιωάννη, ο Πέτρος δέ συνών, ταύτά σοι έλεγε, Καλόν ώδέ εστι, ποιήσαι τρείς σκηνάς, μίαν Μωσεί, καί μίαν Ηλία, καί μίαν σοί τώ Δεσπότη Χριστώ, ο τότε τούτοις, τό φώς σου λάμψας, φώτισον τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Τό αυτό

Ωδή δ'  Ο Ειρμός

«Εισακήκοα τήν ένδοξον οικονομίαν σου Χριστέ ο Θεός, ότι ετέχθης εκ τής Παρθένου, ίνα εκ πλάνης ρύση τούς κραυγάζοντας, Δόξα τή δυνάμει σου Κύριε».

Νόμον εν Σινά τώ γράμματι, διατυπούμενος, Χριστέ ο Θεός, εν τή νεφέλη πυρί, καί γνόφω καί εν θυέλλη, ώφθης εποχούμενος, Δόξα τή δυνάμει σου Κύριε.

Ίνα πιστώση τήν ένδοξον, οικονομίαν σου, Χριστέ ο Θεός, ως προϋπάρχων

πρό τών αιώνων, καί ο αυτός εν νέφει τήν επίβασιν θείς, εν τώ Θαβώρ αρρήτως εξέλαμψας.

Συλλαλούντες παρειστήκεισαν δουλοπρεπώς, σοί τώ Δεσπότη Χριστώ, οίς εν πυρός ατμίδι καί γνόφω, καί λεπτοτάτη αύρα προσωμίλησας, Δόξα τή δυνάμει σου Κύριε.

Κατεμήνυον τήν έξοδον, τήν εν Σταυρώ σου εν Θαβώρ παρόντες, ο εν πυρί σε καί βάτω πάλαι, Προκατιδών Μωσής, καίο μετάρσιος δίφρω, εν πυρίνω Ηλίας Χριστέ.

Έτερος Κανών

Ο Ειρμός

«Εκ σαρκός σου βολίδες θεότητος, εξεπορεύοντο, Προφητών καί Αποστόλων, όθεν οι πρόκριτοι, μέλποντες ανεβόων, Δόξα τή δυνάμει σου Κύριε».

Ο τήν βάτον φυλάξας αλώβητον, προσομιλούσαν πυρί, τώ Μωσεί θεολαμπούσαν σάρκα υπέδειξας, Δέσποτα μελωδούντι, Δόξα τή δυνάμει σου Κύριε.

Υπεκρύβη ακτίσι θεότητος, αισθητός ήλιος, ως εν όρει Θαβωρίω, είδέ σε μεταμορφούμενον Ιησού μου, Δόξα τή δυνάμει σου Κύριε.

Πύρ μή φλέγον τήν ύλην τού σώματος, ωράθης άϋλον, ως Μωσεί καί Αποστόλοις, ώφθης Ηλία τε, Δέσποτα εις εκ δύο, εν δυσί τελείαις ταίς φύσεσιν.

Καταβασία

«Εισακήκοα Κύριε, τής οικονομίας σου τό μυστήριον, κατενόησα τά έργα σου, καί εδόξασά σου τήν θεότητα».

Ωδή ε'  Ο Ειρμός

«Ο τού φωτός διατμήξας τό πρωτόγονον χάος, ως εν φωτί τά έργα υμνείσε Χριστέ, τόν Δημιουργόν, εν τώ φωτί σου τάς οδούς ημών εύθυνον».

Προσενωπίω σοι ώραι υπεκλίθησαν, φώς γάρ καί πρό ποδών, υψίδρομον σέλας Χριστέ, ήλιος είκε μορφήν βροτείαν, ως αμείψαι ευδόκησας.

Ιδού Σωτήρ ανεβόων, Μωϋσής καί Ηλίας τών Μαθητών, εν όρει αγίω Θαβώρ ενηχουμένων, Χριστός όν πάλαι, προηγγείλαμεν όντα Θεόν.

Η αναλλοίωτος φύσις, τή βροτεία μιχθείσα, τής εμφερούς αϋλου θεότητος, φώς παραγυμνούσα τοίς Αποστόλοις, απορρήτως εξέλαμψε.

Σέ τό αϊδιον φέγγος, εν πατρώα τή δόξη, οι Μαθηταί, ως είδον εκλάμψαν Χριστέ, σοί ανεβόων, Εν τώ φωτί σου, τάς οδούς ημών εύθυνον.

Έτερος Κανών

Ίνα τί με απώσω

Ρητορεύουσα γλώσσα, σού τά μεγαλεία ού δύναται φθέγξασθαι, ο κρατών ζωής γάρ, καί θανάτου δεσπόζων παρέστησας, εν Θαβώρ τώ όρει, τόν Μωϋσήν καί τόν, Ηλίαν, μαρτυρήσοντάς σου τήν θεότητα.

Ο χερσίν αοράτοις, πλάσας κατ' εικόνα σου Χριστέ τόν άνθρωπον, τό αρχέτυπον σου, εν τώ πλάσματι κάλλος υπέδειξας, ουχ ως εν εικόνι, αλλ' ως αυτός εί κατ' ουσίαν, ο Θεός χρηματίσας καί άνθρωπος.

Συγκραθείς ασυγχύτως, άνθρακα υπέδειξας ημίν θεότητος, καταφλέγοντα μέν αμαρτίας, ψυχάς δέ φωτίζοντα, εν Θαβώρ τώ όρει, ώ Μωϋσήν καί τόν Ηλίαν, Μαθητών τε εξάρχους εξέστησας.

Καταβασία

«Ω τρισμακάριστον ξύλον! εν ώ ετάθη Χριστός, ο Βασιλεύς καί Κύριος, δι ού πέπτωκεν ο ξύλω απατήσας, τώ εν σοί δελεασθείς, Θεώ τώ προσπαγέντι σαρκί, τώ παρέχοντι, τήν ειρήνην ταίς ψυχαίς ημών».

Ωδή ς' Ο Ειρμός

«Εν τώ θλίβεσθαί με, εβόησα πρός Κύριον, καί επήκουσέ μου, ο Θεός τής σωτηρίας μου».

Λαμπηδόνος πλέον, ηλίου φώς τρανότερον, εν Θαβώρ εκλάμψας, ο Χριστός ημάς εφώτισεν.

Ανελθών εν όρει, Θαβώρ μετεμορφώθης Χριστέ, καί τήν πλάνην πάσαν, αμαυρώσας φώς εξέλαμψας.

Σέ Θεόν επέγνων, οι ένδοξοι Απόστολοι, εν Θαβώρ Χριστέ δέ, εκπλαγέντες γόνυ έκλιναν.

Έτερος Κανών

Ιλάσθητί μοι Σωτήρ

Ως μέγα καί φοβερον, ωράθη θέαμα σήμερον! εξ ουρανού αισθητός, εκ γής δέ ασύγκριτος, εξήστραψεν ήλιος, τής δικαιοσύνης, νοητός επί τού όρους Θαβώρ.

Παρήλθε μέν η σκιά, τού νόμου εξασθενήσασα, ελήλυθε δέ σαφώς, Χριστός η αλήθεια, Μωσής ανεβόησεν, εν τώ Θαβωρίω, κατιδών σου τήν θεότητα.

Ο στύλος τώ Μωϋσεί, Χριστόν τόν μεταμορφουμενον, η δέ νεφέλη σαφώς, την χάριν τού Πνεύματος, την επισκιάσασαν, εν τώ Θαβώρίω, παρεδήλου εμφανέστατα.

Καταβασία

«Νοτίου θηρός εν σπλάγχνοις, παλάμας Ιωνάς, σταυροειδώς διεκπετάσας, τό σωτήριον πάθος προδιετύπου σαφώς, Όθεν τριήμερος εκδύς, τήν υπερκόσμιον Ανάστασιν υπεζωγράφησε, τού σαρκί προσπαγέντος Χριστού τού Θεού, καί τριημέρω εγέρσει τόν κόσμον φωτίσαντος».

Κοντάκιον

Αυτόμελον Ήχος βαρύς

Επί τού όρους μετεμορφώθης, καί ως εχώρουν οι Μαθηταί σου τήν δόξαν σου, Χριστέ ο Θεός εθεάσαντο, ίνα όταν σε ίδωσι σταυρούμενον, τό μέν πάθος νοήσωσιν εκούσιον, τώ δέ κόσμω κηρύξωσιν, ότι σύ υπάρχεις αληθώς, τού Πατρός τό απαύγασμα.

Ο Οίκος

Εγέρθητε οι νωθείς, μή πάντοτε χαμερπείς, οι συγκάμπτοντες εις γήν τήν ψυχήν μου λογισμοί, επάρθητε καί άρθητε εις ύψος θείας αναβάσεως, προσδράμωμεν Πέτρω καί τοίς Ζεβεδαίου, καί άμα εκείνοις τό Θαβώριον όρος προφθάσωμεν, ίνα ίδωμεν σύν αυτοίς τήν δόξαν τού Θεού ημών, φωνής δέ ακούσωμεν, ής περ άνωθεν ήκουσαν, καί εκήρυξαν, τού Πατρός τό απαύγασμα.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΣΤ' τού αυτού μηνός, Ανάμνησις τής θείας Μεταμορφώσεως τού Κυρίου καί Θεού καί Σωτήρος ημών Ιησού Χριστού.

Στίχοι

- Θαβώρ υπέρ πάν γής εδοξάσθη μέρος,
- Ιδόν Θεού λάμψασαν εν δόξη φύσιν
- Μορφήν ανδρουμένην κατά έκτην Χριστός αμείψε.

Αυτώ η δόξα καί τό κράτος εις τούς αιώνας. Αμήν.

Ωδή ζ' Ο Ειρμός

«Αβραμιαίοι ποτέ, εν Βαβυλώνι Παίδες, καμίνου φλόγα κατεπάτησαν, καί υμνούντες έψαλλον, ο τών Πατέρων Θεός ευλογητός εί».

Περιχυθέντες φωτί, τής απροσίτου δόξης, Θαβώρ εν όρει οι Απόστολοι, Χριστέ ανεβόησαν, ο τών Πατέρων Θεός ευλογητός εί.

Λαίλαπι θείας ηχής, καί δροσοβόλω νεφέλη, Χριστέ καί αίγλη σου ηδόμενοι, οι Απόστολοι έψαλλον, ο τών Πατέρων Θεός ευλογητός εί.

Εν απροσίτω φωτί, ως σέ κατείδε Πέτρος, Θαβώρ εν όρει εξαστράψαντα, Χριστέ ανεβόησεν, ο τών Πατέρων Θεός ευλογητός εί.

Τώ αρχηγώ τής γής, Χριστώ συνόντες παίδες, οι Ζεβεδαίου ως απέπεμψε, μορφής φώς εβρόντησαν, ο τών Πατέρων Θεός ευλογητός εί.

Έτερος Κανών

Παίδες Εβραίων εν καμίνω

Νύν καθωράθη Αποστόλοις, τά αθέατα, θεότης εν σαρκίω, εν τώ όρει Θαβώρ, αστράπτουσα βοώσιν, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Έφριξαν φόβω εκπλαγέντες, τήν ευπρέπειαν τής θείας βασιλείας, εν τώ όρει Θαβώρ, Απόστολοι βοώντες, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Νύν τά ανήκουστα ηκούσθη, ο απάτωρ γάρ Υιός εκ τής Παρθένου, τή πατρώα φωνή, ενδόξως μαρτυρείται, οία Θεός καί άνθρωπος, ο αυτός εις τούς αιώνας.

Θέσει ου γέγονας Υψίστου, τή ουσία δέ Υιός ηγαπημένος, προϋπάρχων ημίν, ωμίλησας ατρέπτως, Ευλογητός εί κράζουσιν, ο Θεός εις τούς αιώνας.

Καταβασία

«Έκνοον πρόσταγμα τυράννου, δυσσεβούς, λαούς εκλόνησε, πνέον απειλής, καί δυσφημίας θεοστυγούς, Όμως τρείς Παίδας ουκ εδειμάτωσε θυμός θηριώδης, ου πύρ βρόμιον, αλλ' αντηχούντι δροσοβόλω πνεύματι, πυρί συνόντες έψαλλον, ο υπερύμνητος τών Πατέρων καί ημών, Θεός ευλογητός εί».

Ωδή η' Ο Ειρμός

«Οι εν Βαβυλώνι Παίδες, τώ θείω πυρπολούμενοι ζήλω, τυράννου καί φλογός απειλήν, ανδρείως κατεπάτησαν, καί μέσον πυρός εμβληθέντες, δροσιζόμενοι έψαλλον, Ευλογείτε πάντα τά έργα Κυρίου τόν Κύριον».

Νεύματι τό πάν ο φέρων, ποσίν αχράντοις όρους επέβη Θαβώρ, εν ώ ηλίου μάλλον αυγής, εξαστράψας τό πρόσωπον, νόμου προκρίτους, καί τής χάριτος έδειξε μέλποντας, Ευλογείτε πάντα τά έργα Κυρίου τόν Κύριον.

Εν τή απροσίτω δόξη, κατ' όρος εκφανθέν απορρήτως Θαβώρ, τό άσχετον καί άδυτον φώς, τού Πατρός τό απαύγασμα, τήν κτίσιν φαιδρύναν, τούς ανθρώπους εθέωσε μέλποντας, Ευλογείτε πάντα τά έργα Κυρίου τόν Κύριον.

Ιεροπρεπώς εστώτες, Μωσής τε καί Ηλίας εν όρει Θαβώρ, τής θείας χαρακτήρα, τρανώς υποστάσεως βλέποντες, Χριστόν εν πατρώα, εξαστράψαντα δόξη, ανέμελπον, Ευλογείτε πάντα τά έργα Κυρίου τόν Κύριον.

Διά τής εν γνόφω θείας ομφής, τό πρόσωπον ποτέ εδοξάσθη Μωσής, Χριστός δέ ως ιμάτιον, φώς καί δόξαν αναβάλλεται, φωτός αυτουργός γάρ

πεφυκώς καταυγάζει τούς μέλποντας, Ευλογείτε πάντα τά έργα Κυρίου τόν Κύριον.

Εκ φωτογενούς νεφέλης, Χριστόν οι μαθηταί αμπεχόμενον, ορώντες εν Θαβώρ, καί πρηνείς επί γής κατανεύσαντες, τόν νούν ελλαμφθέντες, σύν Πατρί τούτον ύμνουν καί Πνεύματι, Ευλογείτε πάντα τά έργα Κυρίου τόν Κύριον.

### Έτερος Κανών

### Επταπλασίως κάμινον

Ακηκοότες Δέσποτα, εκ Πατρός μαρτυρούμενον, καί ως ανθρωπίνης, στερροτέραν όψεως, Οράν τού προσώπου σου τήν αστραπην μή φέροντες, σού οι μαθηταί, επί τήν γήν κατέπιπτον, εν φόβω μελωδούντες, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Βασιλευόντων πέφυκας, Βασιλεύς ωραιότατος, καί τών πανταχού κυριευόντων Κύριος, δυνάστης μακάριος, καί φώς οικών απρόσιτον, ώ οι Μαθηταί, καταπλαγέντες εβόων, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε Χριστόν εις τούς αιώνας.

Ως ουρανού δεσπόζοντι, καί τής γής βασιλεύοντι, καί καταχθονίων, τήν κυρείαν έχοντι, Χριστέ σοι παρέστησαν, εκ μέν τής γής Απόστολοι, ως έξ ουρανού δέ ο θεσβίτης Ηλίας, Μωϋσής δέ εκ νεκάδων, μελωδούντες συμφώνως, Λαός υπερυψούτε Χριστόν εις τούς αιώνας.

Ραθυμοτόκοι μέριμναι, επί γής κατελείφθησαν, τή τών Αποστόλων, εκλογή φιλάνθρωπε, ως σοί ηκολούθησαν, πρός τήν εκ γής μετάρσιον, θείαν πολιτείαν, όθεν καί επαξίως, τής σής θεοφανείας, εμελώδουν τυχόντες, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

### Καταβασία

«Ευλογείτε Παίδες, τής Τριάδος ισάριθμοι, Δημιουργόν Πατέρα Θεόν, υμνείτε τόν συγκαταβάντα Λόγον, καί τό πύρ εις δρόσον μεταποιήσαντα, καί υπερυψούτε, τό πάσι ζωήν παρέχον, Πνεύμα πανάγιον εις τούς αιώνας.».

### Ωδή θ'  Ο Ειρμός

«Ο τόκος σου άφθορος εδείχθη, Θεός εκ λαγόνων σου προήλθε, σαρκοφόρος, ός ώφθη επί γής, καί τοίς ανθρώποις συνανεστράφη, σέ Θεοτόκε, διό πάντες μεγαλύνομεν».

Σύντρομοι καινή φωτοχυσία, αθρόως οι Μαθηταί ελλαμφθέντες, πρός αλλήλους εώρων, καί πρηνείς εις γήν καταπεσόντες, σοί τώ Δεσπότη τών απάντων προσεκύνησαν.

Ήχος εκ νεφέλης ανεπέμπετο, θεόκτυπος βεβαιών τό θαύμα, ο Πατήρ γάρ

τών φώτων, Ούτός εστιν Υιός ο αγαπητός μου, τοίς Αποστόλοις ανεβόα, ού ακούετε.

Καινά κατιδόντες καί παράδοξα, φωνής πατρικής ενωτισθέντες, εν Θαβώρ οι τού Λόγου υπηρέται, εκμαγείον τού αρχετύπου, Ούτος υπάρχει ανεβόων ο Σωτήρ ημών.

Εικών απαράλλακτε τού όντος, ακίνητε σφραγίς αναλλοίωτε, Υιέ Λόγε σοφία καί βραχίων, δεξιά Υψίστου σθένος, σέ ανυμνούμεν, σύν Πατρί τε καί τώ Πνεύματι.

## Έτερος Κανών

### Ο Ειρμός

«Έφριξε πάσα ακοή, τήν απόρρητον Θεού συγκατάβασιν, όπως ο Ύψιστος, εκών κατήλθε μέχρι καί σώματος, Παρθενικής από γαστρός, γενόμενος άνθρωπος, διό τήν Άχραντον, Θεοτόκον οι πιστοί μεγαλύνομεν».

Ίνα σου δείξης εμφανώς, τήν απόρρητον δευτέραν κατάβασιν, όπως ο Υψιστος Θεός, οφθήση εστώς εν μέσω θεών, τοίς Αποστόλοις εν Θαβώρ, Μωσεί σύν Ηλία τε, αρρήτως έλαμψας, διό πάντες σε Χριστέ μεγαλύνομεν.

Δεύτέ μοι πείθεσθε λαοί, αναβάντες εις τό όρος τό Άγιον, τό επουράνιον αϋλως στώμεν εν πόλει ζώντος Θεού, καί εποπτεύσωμεν νοϊ θεότητα άϋλον, Πατρός καί Πνεύματος, εν Υιώ μονογενεί απαστράπτουσαν.

Έθελξας πόθω με Χριστέ, καί ηλλοίωσας τώ θείω σου έρωτι, αλλά κατάφλεξον, πυρί αϋλω τάς αμαρτίας μου, καί έμπλησθήναι τής εν σοί τρυφής καταξίωσον, ίνα τάς δύο σκιρτών, μεγαλύνω αγαθέ παρουσίας σου.

### Καταβασία

«Μυστικός εί Θεοτόκε Παράδεισος, αγεωργήτως βλαστήσασα Χριστόν, υφ' ού τό τού Σταυρού ζωηφόρον εν γή, πεφυτούργηται δένδρον, Διό νύν υψουμένου προσκυνούντες αυτόν, σέ μεγαλύνομεν».

«Ο διά βρώσεως τού ξύλου, τώ γένει προσγενόμενος θάνατος, διά Σταυρού κατήργηται σήμερον, τής γάρ προμήτορος ή παγγενής κατάρα διαλέλυται, τώ βλαστώ τής Αγνής Θεομήτορος, ήν πάσαι αί δυνάμεις τών ουρανών μεγαλύνουσιν».

## Εξαποστειλάριον
### αυτόμελον (Εκ γ' )

Φώς αναλλοίωτον Λόγε, φωτός Πατρός αγεννήτου, έν τώ φανέντι φωτί σου, σήμερον έν Θαβωρίω, φώς είδομεν τόν, Πατέρα, φώς καί τό Πνεύμα, φωταγωγούν πάσαν Κτίσιν.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν τρία Στιχηρά Προσόμοια δευτερούντες τό α'.

Ήχος δ'
Ο εξ υψίστου κληθείς

Πρό τού τιμίου Σταυρού σου καί τού πάθους, λαβών ούς προέκρινας τών Ιερών Μαθητών, πρός τό Θαβώριον Δέσποτα, ανήλθες όρος, δείξαι θελήσας τούτοις τήν δόξαν σου, οί καί κατιδόντες σε μεταμορφούμενον, καί υπέρ ήλιον λάμψαντα, πρηνείς πεσόντες, τήν δυναστείαν σου κατεπλάγησαν, αναβοώντες, Σύ τό άχρονον, φώς υπάρχεις Χριστέ καί απαύγασμα, τού Πατρός, εί καί θέλων, σάρξ ωράθης αναλλοίωτος. (Δίς)

Ο πρό αιώνων υπάρχων Θεός Λόγος ο φώς ως ιμάτιον περιβαλλόμενος, μεταμορφούμενος έμπροσθεν, τών μαθητών σου, υπέρ τόν ήλιον Λόγε έλαμψας, Μωσής καί Ηλίας δέ, σοί παρειστήκεισαν, νεκρών καί ζώντων σε Κύριον, δηλοποιούντες, καί σού δοξάζοντες τήν απόρρητον, οικονομίαν καί τό έλεος, καί τήν πολλήν συγκατάβασιν, δι' ής έσωσας κόσμον, αμαρτίαις απολλύμενον.

Παρθενικής εκ νεφέλης σε τεχθέντα, καί σάρκα γενόμενον, καί πρός τό όρος Θαβώρ, μεταμορφούμενον Κύριε, καί τή νεφέλη, τή φωτεινή σε περικυκλούμενον, φωνή τού Γεννήτορος, αγαπητόν σε Υιόν, τών μαθητών συμπαρόντων σοι, σαφώς εδήλου, ως ομοούσιον καί ομόθρονον, όθεν ο Πέτρος εκπληττόμενος, Καλόν ώδέ εστιν είναι έλεγε, μή είδως ο ελάλει, Ευεργέτα πολυέλεε.

Δόξα... Καί νύν...
Ήχος πλ. δ' Βύζαντος

Παρέλαβεν ο Χριστός, τόν Πέτρον καί Ιάκωβον καί Ιωάννην, εις όρος υψηλόν κατ' ιδίαν, καί μετεμορφώθη έμπροσθεν αυτών, καί έλαμψε τό πρόσωπον αυτού ως ο Ήλιος, τά δέ ιμάτια αυτού, εγένετο λευκά ως τό φώς, Καί ώφθησαν Μωϋσής καί Ηλίας μετ' αυτού συλλαλούντες, καί νεφέλη φωτεινή επεσκίασεν αυτούς, καί ιδού φωνή εκ τής νεφέλης λέγουσα, Ούτός εστιν ο Υιός μου ο αγαπητός, εν ώ ηυδόκησα, αυτού ακούετε.

Δοξολογία μεγάλη, καί Απόλυσις

Δίδοται καί άγιον έλαιον τοίς αδελφοίς.

Εις τήν Λειτουργίαν

Ψάλλομεν τά παρόντα Αντίφωνα

Αντίφωνον Α'

Στίχος α'. Μέγας Κύριος καί αινετός σφόδρα εν πόλει τού Θεού ημών.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχος β'. Ετοιμάζων όρη εν τή ισχύϊ αυτού.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχος γ'. Ο αναβαλλόμενος φώς ως ιμάτιον.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχος δ'. Τά όρη αγαλλιάσονται από προσώπου Κυρίου.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Δόξα... Καί νύν...

Ταίς πρεσβείαις τής Θεοτόκου...

Αντίφωνον Β'

Στίχος α'. Οι θεμέλιοι αυτού εν τοίς όρεσι τοίς αγίοις.

Σώσον ημάς Υιέ Θεού, ο εν τώ όρει τώ Θαβώρ μεταμορφωθείς, ψάλλοντάς σοι Αλληλούϊα.

Στίχος β'. Αγαπά Κύριος τάς πύλας Σιών, υπέρ πάντα τά σκηνώματα, Ιακώβ.

Σώσον ημάς Υιέ Θεού, ο εν τώ όρει τώ Θαβώρ μεταμορφωθείς...

Στίχος γ'. Δεδοξασμένα ελαλήθη περί σού, η πόλις τού Θεού.

Σώσον ημάς Υιέ Θεού, ο εν τώ όρει τώ Θαβώρ μεταμορφωθείς...

Στίχος δ'. Μήτηρ Σιών, ερεί άνθρωπος. καί άνθρωπος εγεννήθη εν αυτή.

Σώσον ημάς Υιέ Θεού, ο εν τώ όρει τώ Θαβώρ μεταμορφωθείς...

Δόξα... Καί νύν...

Ο μονογενής Υιός καί Λόγος...

Αντίφωνον Γ'

Στίχος α'. Τά έλέη σου, Κύριε, εις τόν αιώνα άσομαι.

Ήχος βαρύς

Μετεμορθώθης εν τώ όρει Χριστέ ο Θεός, δείξας τοίς Μαθηταίς σου τήν δόξαν

σου, καθώς ήδυναντο, Λάμψον καί ημίν τοίς αμαρτωλοίς, τό φώς σου τό αϊδιον, πρεσβείαις τής Θεοτόκου, φωτοδότα δόξα σοι.

Στίχος β'. Εξομολογήσονται οι ουρανοί τά θαυμάσιά σου, Κύριε.

Μετεμορφώθης εν τώ όρει Χριστέ ο Θεός...

Στίχος γ'. Μακάριος ο λαός ο γινώσκων αλαλαγμόν.

Μετεμορφώθης εν τώ όρει Χριστέ ο Θεός...

Στίχος δ'. Κύριε εν τώ φωτί τού προσώπου σου πορεύσονται, καί εν τώ ονόματί σου αγαλλιάσονται όλην τήν ημέραν.

Μετεμορφώθης εν τώ όρει Χριστέ ο Θεός...

Εισοδικόν

Θαβώρ καί Ερμών εν τώ ονόματί σου αγαλλιάσονται. Σώσον ημάς Υιέ Θεού, ο εν τώ όρει τώ Θαβώρ μεταμορφωθείς, ψάλλοντάς σοι Αλληλούϊα.

Κοινωνικόν

Εν τώ φωτί τής δόξης τού προσώπου σου, Κύριε, πορευσόμεθα εις τόν αιώνα. Αλληλούϊα.

---

Αρχή

## ΤΗ Ζ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Οσιομάρτυρος Δομετίου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ'.

Ήχος δ'
Ο εξ υψίστου κληθείς

Πρό τού τιμίου Σταυρού σου καί τού πάθους, λαβών ούς προέκρινας τών Ιερών Μαθητών, πρός τό Θαβώριον Δέσποτα, ανήλθες όρος, δείξαι θελήσας τούτοις τήν δόξαν σου, οί καί κατιδόντες σε μεταμορφούμενον, καί υπέρ ήλιον λάμψαντα, πρηνείς πεσόντες, τήν δυναστείαν σου κατεπλάγησαν, αναβοώντες, Σύ τό άχρονον, φώς υπάρχεις Χριστέ καί απαύγασμα, τού Πατρός, εί καί θέλων, σάρξ ωράθης αναλλοίωτος.

Ο πρό αιώνων υπάρχων Θεός Λόγος ο φώς ως ιμάτιον περιβαλλόμενος, μεταμορφούμενος έμπροσθεν, τών μαθητών σου, υπέρ τόν ήλιον Λόγε έλαμψας, Μωσής καί Ηλίας δέ, σοί παρειστήκεισαν, νεκρών καί ζώντων σε

Κύριον, δηλοποιούντες, καί σού δοξάζοντες τήν απόρρητον, οικονομίαν καί τό έλεος, καί τήν πολλήν συγκατάβασιν, δι' ής έσωσας κόσμον, αμαρτίαις απολλύμενον.

Παρθενικής εκ νεφέλης σε τεχθέντα, καί σάρκα γενόμενον, καί πρός τό όρος Θαβώρ, μεταμορφούμενον Κύριε, καί τή νεφέλη, τή φωτεινή σε περικυκλούμενον, φωνή τού Γεννήτορος, αγαπητόν σε Υιόν, τών μαθητών συμπαρόντων σοι, σαφώς εδήλου, ως ομοούσιον καί ομόθρονον, όθεν ο Πέτρος εκπληττόμενος, Καλόν ώδέ εστιν είναι έλεγε, μή είδως ο ελάλει, Ευεργέτα πολυέλεε.

### Τού Αγίου Προσόμοια γ'

### Ήχος πλ. β'
### Όλην αποθέμενοι

Όλην αποθέμενος, τήν μαγικήν γοητείαν, καί Περσών μιάσματα, καί τά μυσαρώτατα τερατεύματα, τώ Θεώ προσέδραμες, τή σοφή προνοία, κυβερνώντι τά ουράνια, ού τό ονόματι, αποστολικώς εθεράπευσας, αλόγων αρρωστήματα, καί τά τών ανθρώπων νοσήματα, τών προσερχομένων, προθύμως σοι θεράπον τού Χριστού, όν παρρησία δυσώπησον, υπέρ τών ψυχών ημών.

Όλην ανατέθεικας, τήν σήν ζωήν τώ Κυρίω, καί θερμώς εχώρησας, πρός τόν τής ασκήσεως δρόμον Όσιε, προσευχήν αθόλωτον, αγρυπνίαν πάννυχον, υμνωδίαν ακατάπαυστον, καί βίον άμεμπτον, καί αγγελικόν ενδεικνύμενος, εντεύθεν τήν ενέργειαν, τήν τών θαυμασίων επλούτησας, οίδε γάρ δοξάζειν, ο Κύριος τούς δούλους εαυτού, όν παρρησία δυσώπησον, υπέρ τών ψυχών ημών.

Όλην ενδυσάμενος, τήν τού Σταυρού πανοπλίαν, καί τόν αδιάρρηκτον, θυρεόν τής πίστεως περιθέμενος, φοβερός γέγονας, ταίς αντικειμέναις, τών Δαιμόνων παρατάξεσιν, ούς καί εδίωξας, μάστιγι τή πίστει χρησάμενος, καί θείαις επικλήσεσι, καί τούς οδοιπόρους διέσωσας, βλάβης τής εκείνων, Δομέτιε θεράπον τού Χριστού, όν παρρησία δυσώπησον, υπέρ τών ψυχών ημών.

### Δόξα... Καί νύν... Τής Εορτής
### Ήχος πλ. β'

Προτυπών τήν Ανάστασιν τήν σήν, Χριστέ ο Θεός, τότε παραλαμβάνεις τούς τρείς σου Μαθητάς, Πέτρον καί Ιάκωβον καί Ιωάννην εν τώ Θαβώρ ανελθών, Σού δέ Σωτήρ μεταμορφουμένου, τό θαβώριον όρος φωτί εσκέπετο, οι Μαθηταί σου Λόγε, έρριψαν εαυτούς εν τώ εδάφει τής γής, μή φέροντες οράν τήν αθέατον μορφήν, Άγγελοι διηκόνουν φόβω καί τρόμω ουρανοί έφριξαν, γή ετρόμαξεν, ορώντες επί γής τής δόξης τόν Κύριον.

### Είσοδος, Φώς ιλαρόν

Προκείμενον
Ήχος βαρύς
Ο Θεός ημών εν τώ ουρανώ καί έν τή γή πάντα όσα ηθέλησεν εποίησεν.
Στίχ. Εν εξόδω Ισραήλ εξ Αιγύπτου.
Στίχ. Η θάλασσα είδε καί έφυγεν.
Στίχ. Τί σοί εστι θάλασσα ότι έφυγες.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος β'
Οίκος τού Εφραθά
Σήμερον ο Χριστός, εν όρει Θαβωρίω, τήν τού Αδάμ αμείψας, αμαυρωθείσαν φύσιν, λαμπρύνας εθεούργησε.

Στίχ. Σοί εισιν οι ουρανοί, καί σή εστιν η γή.

Είδον εν τώ Θαβώρ, Μωσής τε καί Ηλίας, τόν εκ Παρθένου Κόρης, Θεόν σεσαρκωμένον, βροτών εις απολύτρωσιν.

Στίχ. Θαβώρ καί Ερμων εν τώ ονόματί σου αγαλλιάσονται.

Σήμα θεοπρεπές, θεότητος δεικνύει, πρό τού Σταυρού τοίς Μύσταις, ως ήλιος αστράψας, Χριστός εν όρει σήμερον.
Δόξα... Καί νύν... Ήχος πλ. α'
Τής θεότητός σου Χριστέ, αμυδράν αυγήν παραγυμνώσας, τοίς συναναβάσί σοι επί τού όρους, τής υπερκοσμίου σου δόξης εποίησας κοινωνούς, όθεν ενθεαστικώς εκραύγαζον, Καλόν εστιν ημάς ώδε είναι, Μεθ' ών καί ημείς, σέ τόν μεταμορφωθέντα Σωτήρα Χριστόν, ανυμνούμεν εις τούς αιώνας.

Απολυτίκιον τής Εορτής
Ήχος βαρύς
Μετεμορθώθης εν τώ όρει Χριστέ ο Θεός, δείξας τοίς Μαθηταίς σου τήν δόξαν σου, καθώς ήδυναντο, Λάμψον καί ημίν τοίς αμαρτωλοίς, τό φώς σου τό αϊδιον, πρεσβείαις τής Θεοτόκου, φωτοδότα δόξα σοι.

Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα τής Εορτής
Ήχος δ'  Επεφάνης σήμερον
Εορτή υπέρλαμπρος, η τού Δεσπότου, ήλθε, δεύτε άπαντες, επί τώ όρει

νοερώς, προκαθαρθέντες ανέλθωμεν, τώ θαβωρίω Χριστόν εποψόμενοι.

Δόξα... Καί νύν... Το αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα τής Εορτής
Ήχος δ' Κατεπλάγη Ιωσήφ

Τήν μεθέορτον πιστοί, ημέραν σήμερον φαιδρώς, τής ενδόξου καί φρικτής, Μεταμορφώσεως Χριστού, επιτελούντες βοήσωμεν ομοφρόνως, Τό φύραμα ημών, ανεμορφώσω Σωτήρ, τή θεία σου σαρκί, συναπαστράψας αυτώ, καί αποδούς τό πρώτιστον αξίωμα, τής αφθαρσίας ως εύσπλαγχνος, διό σε πάντες, δοξολογούμεν, τόν μόνον θεόν ημών.

Δόξα... Καί νύν... Τό αυτό

Είτα είς Κανών τής Εορτής, καί τού Αγίου ο παρών, ού η Ακροστιχίς.

Πρέσβυν σε Χριστώ προφέρω στεφηφόρε.
Θεοφάνους.

Ωδή α' Ήχος πλ. β'
Ως εν ηπείρω

Πρός τόν Θεόν εκδημήσας μαρτυρική, διαλάμπων χάριτι, τοίς υμνούσί σε Πιστώς, φωτοφόρον έμπνευσον αυγήν, ικετεύων τόν Χριστόν θεομακάριστε.

Ρήξας τούς βρόχους τής πλάνης ειλικρινώς, τώ Χριστώ προσέδραμες, διανοία καθαρά, τά Περσών σεβάσματα λιπών, καί τών Μάγων εκφυγών τήν αθεότητα.

Επιστημόνως σκοπήσας ως ου Θεός, ως κτιστός ο ήλιος, ως ουδέν τών ορατών, επί τόν αόρατον Θεόν, ωδηγήθης λογισμώ σοφώ χρησάμενος.

Θεοτοκίον

Σέ Παναγία Παρθένε τήν τόν Υιόν τού Θεού γεννήσασαν, γεγονότα καθ' ημάς, δι' ημάς κηρύττομεν αγνή, Θεομήτορα πιστοί καί μακαρίζομεν.

Ωδή γ'
Ουκ έστιν Άγιος ως σύ

Βεβαία πίστει στηριχθείς, ως ακλονητος πύργος, απερίτρεπτος ώφθης, ου λογοις τοίς μαγικοίς, ου γνώσεως Περσικής, γοητείαις περιεργαζόμενος.

Ιόν ψυχολεθρον φυγών, τού τή κτίσει λατρεύειν, καί τόν ήλιον σέβειν, τόν όντως όντα Θεόν, ως πάντων Δημιουργόν, ευσεβείας πόθω εξεζήτησας.

Ναμάτων θείων μετασχών, τής παλιγγενεσίας, τήν ψυχήν κατηυγάσθης, καί

γέγονας αληθώς, υιός χάριτι Θεού, κληρονόμος θείων απολαύσεων.

Θεοτοκίον

Σοφία οίκον εαυτή, ωκοδόμησε θείον, υπέρ νούν τε καί λόγον, σκηνώσασα τήν αγνήν, γαστέρα σου τήν σεπτήν, καθαρθείσαν Πνεύματι Πανύμνητε.

Ο Ειρμός

«Ουκ έστιν Άγιος ως σύ, Κύριε ο Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου αγαθέ, καί στε ρεώσας ημάς, εν τή πέτρα τής ομολογίας σου».

Κάθισμα Ήχος γ'

Τήν ωραιότητα

Τήν ωραιότητα Χριστού επόθησας, καί δι' ασκήσεως πάθη ενέκρωσας, καί εναθλήσας καρτερώς, τήν πλάνην απετέφρωσας, Ένδοξε Δομέτιε, τών Αγγέλων συν, όμιλε, όθεν καί ιάσεων, ρείθρα βρύεις τοίς πίστει σου, τήν μνήμην επιτελούσι τήν θείαν, Μάρτυς αξιοθαύμαστε.

Δόξα... Καί νύν... Τής Εορτής

Τής θείας δόξης σου, όντως απαύγασμα, καθώς ηδύναντο, έδειξας Λόγε Θεού, τοίς μαθηταίς σου εν Θαβώρ, όρει μεταμορφούμενος, οίς συνελλαμφθείημεν, καί ημείς οι υμνούντές σε, μόνε αναλλοίωτε, Ιησού παντοδύναμε, εν πίστει σοι συμφώνως βοώντες, Δόξα Χριστέ τή βασιλεία σου.

Ωδή δ'

Χριστός μου δύναμις

Επέγνως ένδοξε, τό φύσει άγνωστον, λογικώς εκζητήσας καί ευρηκώς, τούτον επεπόθησας, καί προσεκύνησας χαρά, τήν αυτού μεγαλειότητα.

Χορεία σώφρονι, θερμώς προσέδραμες, μοναζόντων Αγίων καί αρετής, ζήλω πυρπολούμενος, επολιτεύσω καθαρώς, εν νηστείαις καί δεήσεσιν.

Ραδίως έλυσε, δεσμά τής φύσεως, ο θεόφρων σου πόθος καί τών παθών, έσβεσε τήν κάμινον, τώ δροσοβόλω φωτισμώ, τού Αγίου Πάτερ Πνεύματος.

Θεοτοκίον

Ισχύς μου πέφυκε, Θεός καί Κύριος, Θεοτόκε Παρθένε ο σαρκωθείς, Λόγος ο υπέρθεος, ακηράτου σου γαστρός, τήν ζωήν ημίν δωρούμενος.

Ωδή ε'

Τώ θείω φέγγει σου αγαθέ

Συνέσει θεία διαπρεπής, Μάκαρ πεφυκώς, τών ορωμένων απάντων προέκρινας, τήν τών αοράτων αϊδιότητα, τώ φέγγει τής αγνείας καταλαμπόμενος.

Τής θείας γευσάμενος αρετής, τό τής ησυχίας καί αναχωρήσεως έστερξας, τήν τής διανοίας ανεπιθόλωτον, κατάστασιν φυλάττων, Πάτερ Δομέτιε.

Ως όντως μέγα καί θαυμαστόν, τής επί τό κρείττον μεταβολής σου, τό

πάνσοφον φρόνημα, τής γάρ τού Υψίστου χειρός αλλοίωσις, καί χάριτος τής θείας έργον εγένετο.

Θεοτοκίον

Παρθένος έμεινας ασινής, καί τά τών μητέρων, επιδεικνύεις πανάμωμε Δέσποινα, τή γάρ παρθενία τόκον συνήρμοσας, καί φέρεις αμφοτέρων τά ιδιώματα.

Ωδή ς'

Τού βίου τήν θάλασσαν

Ραγδαίως φερόμενον, τού εχθρού καί δυσμενούς, τόν πειρασμόν υπέμεινας, καί ποικίλως Παμμάκαρ δοκιμασθείς, τώ φθόνω μαχόμενος, νικητής ανεδείχθης αξιάγαστε.

Ο βίος σου ένθεος, η ζωή θεοειδής, καί φωτοφόρος γέγονε, τά τού κόσμου τερπνά γάρ καταλιπών, τήν θείαν ευπρέπειαν, εκαρπώσω θεόφρον καί τερπνότητα.

Σημεία καί τέρατα, ηξιώθης εκτελείν, υπερφυώς αοίδιμε, τή δυνάμει τή θεία καθοπλισθείς, καί έχων τήν άνωθεν, συνεργούσάν σοι χάριν αξιάγαστε.

Θεοτοκίον

Φωτός οικητήριον, καί νυμφών θεοπρεπής, τής υπέρ νούν σαρκώσεως, τού τών όλων Παρθένε Δημιουργού, σύ γάρ μόνη πέφυκας, αξιόθεον τούτου ενδιαίτημα.

Ο Ειρμός

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι, Ανάγαγε, εκ φθοράς τήν ζωήν μου Πολυέλεε».

Κοντάκιον τής Εορτής

Αυτόμελον Ήχος βαρύς

Επί τού όρους μετεμορφώθης, καί ως εχώρουν οι Μαθηταί σου τήν δόξαν σου, Χριστέ ο Θεός εθεάσαντο, ίνα όταν σε ίδωσι σταυρούμενον, τό μέν πάθος νοήσωσιν εκούσιον, τώ δέ κόσμω κηρύξωσιν, ότι σύ υπάρχεις αληθώς, τού Πατρός τό απαύγασμα.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Ζ' τού αυτού μηνός, μνήμη τού Αγίου Οσιομάρτυρος Δομετίου τού Πέρσου.

Στίχοι

- Υπέρ τά πάντα σοί συναθλείν εκ λίθων,
- Μύστας Πάτερ σούς, εξεπαίδευσας τάχα.
- Σύν δυσίν εβδομάτη Δομέτιος ελεύσθη μύσταις.

Ο όσιος Δομέτιος ο σημειοφόρος, ο εν τοίς ορίοις τής τού Φιλοθέου μονής ασκήσας, εν ειρήνη τελειούται.

Μνήμη τού οσίου καί θεοφόρου πατρός ημών Νικάνορος τού θαυματουργού, τού εν τώ τού Καλλιστράτου όρει αναλάμψαντος.

Τή αυτή ημέρα, ο Όσιος, Ώρ εν ειρήνη τελειούται.

Στίχοι

- Εκ γής απελθών, Ώρ εμός λέγει.
- Χάρις, Υπέρ τόν Ώρ πέφυκε τόν σόν, ώ Νόμε.

Τή αυτή ημέρα, οι Όσιοι μύριοι Ασκηταί οι θηβαίοι εν ειρήνη τελειούνται.

Στίχοι

- Γής εξελαύνεις, εις τό Δαυïδ χρή λέγειν,
- Τό μυριοπλάσιον άρμα σου Λόγε.

Τή αυτή ημέρα, η Οσία Ποταμία η θαυματουργός ξίφει τελειούται.

Στίχοι

- Υπέρ Χριστού κτανθείσα θαυμαστή ξίφει,
- Χέει ποταμούς θαύμα των Ποταμία.

Τή αυτή ημέρα, ο Άγιος Νάρκισσος, Αρχιεπίσκοπος Ιεροσολύμων, εν ειρήνη τελειούται.

Στίχοι

- Ηδύ πνέων, Νάρκισσε, ναρκίσσου πλέον,
- Ευωδιάζεις τής Εδέμ τό χωρίον.

Τή αυτή ημέρα, ο Όσιος Αστέριος ο θαυματουργός ξίφει τελειούται.

Στίχοι

- Τράχηλον Αστέριος εκκοπείς ξίφει,
- Χοροίς αθλητών, οίον αστήρ εμπρέπει.

Τή αυτή ημέρα, ο Άγιος Σώζων, ο εκ Νικομηδείας, εις πύρ βληθείς, καί αβλαβής εξελθών, εν ειρήνη τελειούται.

Στίχοι

- Υπήρχεν άλλη σαλαμάνδρα πρός φλόγα,
- Σώζων ο Μάρτυς, ού τέλος πυρός δίχα.

Τή αυτή ημέρα, ο Άγιος Υπερέχιος εν ειρήνη τελειούται.

Στίχοι

- Υπερέχιος, κάν τάφω κατεκρύβη,
- Πέφυκεν ίσος Τοις χοροίς τών Αγγέλων.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Δροσοβολον μέν τήν κάμινον

Επί σέ Πάτερ η παμφωτος τού Πνεύματος, χάρις επανεπαύσατο, καί ενεργείας παραδόξους έδειξεν εν σοί, βοώντι καί ψάλλοντι πιστώς, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Ρωμαλέω τώ φρονήματι διήνυσας, τόν δρόμον τής ασκήσεως, καί επί τέλει τών αγώνων, Μάρτυς αληθώς, εγένου κραυγάζων τώ Χριστώ, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Ώσπερ παίδές σοι οι μύσται χρηματίσαντες, πατρί συνηγωνίζοντο, καί εν σπηλαίω καρτερούντες, ήθλησαν σύν σοί, συμφώνως κραυγάζοντες Χριστώ, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Θεοτοκίον

Σωτηρίας ως λιμένα σε πλουτήσαντες, ζάλης διασωζόμεθα, καί τήν ελπίδα τήν εις σέ ως άγκυραν ψυχών, κατέχοντες κράζομεν Χριστώ, Ευλογητός εί ο Θεός, ο τών Πατέρων ημών.

Ωδή η'

Εκ φλογός τοίς Οσίοις

Τετρωμένος αγάπη Πάτερ τού κτίσαντος, τών κτισμάτων απώσω πάσαν προσπάθειαν, Πνεύματι Θεού, σαφώς κατευθυνόμενος, όν υπερυψούμεν εις πάντας τούς αιώνας.

Επιγείους φροντίδας αποσεισάμενος, ουρανίους ελπίδας Πάτερ επλούτησας, τήν εν τώ Χριστώ, μακαριότητα Όσιε, ής νύν απολαύεις εις πάντας τούς αιώνας.

Φωτοβόλους ακτίνας Πάτερ δεξάμενος, τού Αγίου καί θείου πάνσοφε Πνεύματος, οφθαλμοφανώς, τούτο Μάκαρ τεθέασαι, θείοις μυστηρίοις φρικτώς επιφοιτήσαν.

Θεοτοκίον

Η θεόφθογγος λύρα τού σού Προπάτορος, κιβωτόν σε αγίαν προδιετύπωσε, φέρουσαν Θεόν, σάρκα Αγνή φορέσαντα, όν υπερυψούμεν εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Εκ φλογός τοίς Οσίοις δρόσον επήγασας, καί δικαίου θυσίαν ύδατι έφλεξας, άπαντα γάρ δράς, Χριστέ μόνω τώ βούλεσθαι, Σέ υπερυψούμεν εις πάντας τούς αιώνας».

Ωδή θ'

Θεόν ανθρώποις ιδείν

Φωτί αϋλω καταυγαζόμενος, φωτοειδής αξίως φωτοφόρε γεγένησαι, πολιτείαν άμεμπτον κτησάμενος, Πάτερ καί παναγίαν, νύν δέ παρίστασαι, πρέσβυς τώ Δεσπότη, καί Θεώ υπέρ τής ποίμνης σου.

Οι σοί αγώνες οι τής ασκήσεως, μαρτυρικοίς αγώσιν επαξίως εστέφθησαν, καί διπλούν τό έπαθλον απείληφας, τών ανδραγαθημάτων, ών επιδέδειξαι, καί τών αιωνίων, αγαθών εύρες πόλαυσιν.

Ρωσθείς δυνάμει θεία καί χάριτι, διαφανής τοίς πάσιν ανεδείχθης διδάσκαλος, ευσεβείας θαύμασι κοσμούμενος, πάντας υποστηρίζων, πάντας ιώμενος, τούς προσερχομένους, σοί πιστώς θεομακάριστε.

Θεοτοκίον

Εν σοί επράχθη τά υπέρ άνθρωπον, υπερφυή Παρθένε Θεότοκε μυστήρια, τού Θεού γάρ γέγονας λοχεύτρια, φέρουσα εν αγκάλαις, καί διατρέφουσα, τόν ταίς ουρανίαις, στρατιαίς υμνολογούμενον.

Ο Ειρμός

«Θεόν ανθρώποις ιδείν αδύνατον, όν ου τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ Πάναγνε ωράθη βροτοίς, Λόγος σεσαρκωμένος, όν μεγαλύνοντες, σύν ταίς ουρανίαις στρατιαίς σέ μακαρίζομεν».

Εξαποστειλάριον

Τοίς Μαθηταίς συνέλθωμεν

Εκ Περσικής ορμώμενος, χώρας τής πυρσολάτρου, τή τού Χριστού προσέδραμες, εκ παιδός θεία πίστει, Δομέτιε θεοκήρυξ, όθεν Πάτερ εν ύμνοις, ως ασκητήν τιμώμέν σε, καί ως μάρτυρα θείον καί τών φρικτών, μυστηρίων ένθεον Ιερέα, καί πρέσβυν τών τελούντων σου, τήν σεβάσμιον μνήμην.

Τής Εορτής όμοιον

Πρό τού Σταυρού σου Κύριε, μαθητών τούς προκρίτους, λαβών μετεμορφώθης νύν, εν Θαβώρ τώ αγίω, εν ώ Μωσής καί Ηλίας, παρειστήκεισαν τρόμω, δουλοπρεπώς σοι Δέσποτα, συλλαλούντες, μεθ' ών σε, Χριστέ Σωτήρ, σύν Πατρί καί Πνεύματι προσκυνούμεν, τόν εκ Παρθένου λάμψαντα, εις βροτών σωτηρίαν.

Εις τόν Στίχον τών Αίνων, Στιχηρά Προσόμοια.

Ήχος β'

Οίκος τού Εφραθά

Φύσιν τήν εξ Αδάμ, Χριστέ αμείψαι θέλων, εν όρει νύν απαίρεις Θαβώρ, παραγυμνώσων, τοίς μύσταις τήν θεότητα.

Στίχ. Σοί εισιν οι ουρανοί, καί σή εστιν η γή.

Ωφθης τό πρίν Χριστέ, Μωσεί τε καί Ηλία, εν γνόφω καί θυέλλη, καί αύρα λεπτοτάτη, νύν δέ φωτί τής δόξης σου.

Στίχ. Θαβώρ καί Ερμων εν τώ ονόματί σου αγαλλιάσονται.

Σέλας τό τριλαμπές, αστράψας απορρήτως, τής θεϊκής σου δόξης, Θαβώρ εν

όρει Σώτερ, τήν σύμπασαν εφαίδρυνας.

Δόξα... Καί νύν... Ήχος πλ. α'

Νόμου καί Προφητών σε Χριστέ, ποιητήν καί πληρωτήν εμαρτύρησαν, ορώντες έν τή νεφέλη Μωσής ο θεόπτης, καί Ηλίας ο έμπυρος αρματηλάτης, καί άφλεκτος ουρανοδρόμος, επί τής Μεταμορφώσεώς σου, Μεθ' ών καί ημάς, τού σού φωτισμού αξίωσον Δέσποτα, υμνείν σε εις τούς αιώνας.

Καί η λοιπή Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Η' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Αιμιλιανού, Επισκόπου Κυζίκου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ' καί τού Αγίου γ'.

Τής Εορτής Ήχος δ'
Έδωκας σημείωσιν

Σήμερον υπέδειξας, τήν σην θεότητα Κύριε, τοίς σεπτοίς Αποστόλοις σου, Μωσεί σύν Ηλία τε, ως Θεός τού νόμου, καί χάριτος πέλων, ο λυτρωσάμενος ημάς, έκ τού θανάτου νύν τής χειρώσεως, μεθ' ών σου τήν φιλάνθρωπον, οικονομίαν δοξάζομεν, Ιησού παντοδύναμε, ο Σωτήρ τών ψυχών ημών.

Σήμερον εξέλαμψας, φωτοειδής υπέρ ήλιον, τηλαυγώς εν όρει Θαβώρ, δεικνύων τοίς φίλοις σου, ότι σύ υπάρχεις, απαύγασμα δόξης, ο τήν ουσίαν τών βροτών, δι' ευσπλαγχνίαν φορέσας Κύριε, διό σου τήν φιλάνθρωπον, οικονομίαν δοξάζομεν, Ιησού παντοδύναμε, ο Σωτήρ τών ψυχών ημών.

Σήμερον αγάλλονται, οι επουράνιοι Άγγελοι, σύν βροτοίς εορτάζοντες, Χριστέ σου τήν έλλαμψιν, τήν φρικτήν καί θείαν, τήν εν θαβωρίω εν ώ παρέστησας Μωσήν, καί τόν Ηλίαν Σωτήρ φιλάνθρωπε, καί Πέτρον καί Ιάκωβον, καί Ιωάννην υμνούντάς σε, Ιησού Παντοδύναμε, ο Σωτήρ καί Θεός ημών.

Τού αγίου Ήχος ο αυτός
Ο εξ υψίστου κληθείς

Ο τήν Εικόνα Χριστού σαφώς τιμήσας, ότε τό λεόντειον θράσος εμαίνετο, καί τούς λαούς διεκλόνησεν, ανακαινίζον, τού Κοπρωνύμου άθεον αίρεσιν, τότε τούτο Πάνσοφε, σαφώς διήλεγξας, σή παρρησία χρησάμενος, συνηθροισμένης, Αρχιερέων τής συνελεύσεως, όθεν εγνώσθης γενναιότατος, στρατιώτης Χριστού παμμακάριστε, όν ικέτευε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

Ο ουρανίαις μοναίς ενωκισμένος, ότε τήν ατίθασον γνώμην καί άθεον, ο δυσσεβής ενεδείξατο, υπερορίαις, καταδικάσας τήν σήν στερρότητα, τότε τόν

Παράδεισον, όθεν πεπτώκαμεν μόνην πατρίδα θεσπέσιε, σαφώς γινώσκων, μετ' ευφροσύνης χαίρων υπέμεινας, όθεν δικαίως τήν ακήρατον, ηξιώθης ζωήν κατοπτεύσαι Χριστόν, όν ικέτευε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

Πυρίνη γλώσση πανσόφως κεχρημένος, ότε μιξοβάρβαρον νόμον εθέσπισε, μή προσκυνείσθαι κελεύοντα, τήν σεβασμίαν, Χριστού Εικόνα Λέων ο τύραννος, τότε σύ τόν ένθεον νόμον αντέθηκας, ως διαβαίνει προσκύνησις, η τής εικόνος, ώς πού τις έφη πρός τό αρχέτυπον, καί τώ σώ λόγω ως εμβρόντητος, απεφάνθη ο θήρ ο δυσώνυμος, πανσεβάσμιε Πάτερ, θεορρήμον ιερώτατε.

Δόξα... Καί νύν... Ήχος α'

Ο πάλαι τώ Μωσεί συλλαλήσας, επί τού όρους Σινά διά συμβόλων, Εγώ ειμι, λέγων ο Ών, σήμερον επ' όρους Θαβώρ, μεταμορφωθείς επί τών Μαθητών, έδειξε τό αρχέτυπον κάλλος τής εικόνος, εν εαυτώ τήν ανθρωπίνην αναλαβούσαν ουσίαν, καί τής τοιαύτης χάριτος, μάρτυρας παραστησάμενος Μωϋσήν καί Ηλίαν, κοινωνούς εποιείτο τής ευφροσύνης, προμηνύοντας τήν ένδοξον διά Σταυρού, καί σωτήριον Ανάστασιν.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια τής Εορτής.

Ήχος πλ. β'

Τριήμερος ανέστης Χριστέ

Μορφούμενος δι' οίκτον Χριστέ, Αδάμ τόν πρώτον άνθρωπον, εκ Παρθένου, ώφθης δεύτερος, Αδάμ, εν όρει δέ Σωτήρ μου, Θαβώρ μετεμορφώθης, παραγυμνών σου τήν θεότητα.

Στίχ. Σοί εισιν οι ουρανοί, καί σή εστιν η γή.

Εξέστησαν ορώντες τήν σήν, τής χάριτος οι πρόκριτοι, καί τού νόμου Μεταμόρφωσιν Χριστέ, εν όρει θαβωρίω, μεθ' ών σε προσκυνούμεν, σύν τώ Πατρί σου καί τώ Πνεύματι.

Στίχ. Θαβώρ καί Ερμων εν τώ ονόματί σου αγαλλιάσονται.

Λαμπρύνεται η κτίσις φαιδρώς, τή σή Μεταμορφώσει Χριστέ, ήν τοίς θείοις Αποστόλοις εν Θαβώρ, Μωσεί τε καί Ηλία, υπέδειξας Θεός ών, αρρήτως λάμψας υπέρ ήλιον.

Δόξα... Καί νύν... Ήχος α'

Τήν σήν τού μονογενούς Υιού προορώμενος, εν Πνεύματι διά σαρκός, πρός ανθρώπους επιδημίαν, ο θεοπάτωρ Δαυϊδ, πόρρωθεν πρός ευφροσύνην συγκαλείται τήν κτίσιν, καί προφητικώς ανακράζει, Θαβώρ καί Ερμών εν τώ ονόματί σου αγαλλιάσονται, Εν τούτω γάρ επιβάς τώ όρει Σωτήρ, μετά τών Μαθητών σου, τήν αμαυρωθείσαν εν Αδάμ φύσιν, μεταμορφωθείς, απαστράψαι πάλιν πεποίηκας, μεταστοιχειώσας αυτήν, εις τήν σήν τής θεότητος, δόξαν τε καί λαμπρότητα, διό βοώμέν σοι, Δημιουργέ τού παντός,

Κύριε δόξα σοι.

Απολυτίκιον τής Εορτής
Ήχος βαρύς

Μετεμορθώθης εν τώ όρει Χριστέ ο Θεός, δείξας τοίς Μαθηταίς σου τήν δόξαν σου, καθώς ήδυναντο, Λάμψον καί ημίν τοίς αμαρτωλοίς, τό φώς σου τό αϊδιον, πρεσβείαις τής Θεοτόκου, φωτοδότα δόξα σοι.

Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα  Ήχος δ'
Κατεπλάγη Ιωσήφ

Τήν τών βροτών εναλλαγήν, τήν μετά δόξης σου Σωτήρ, εν τή δευτέρα καί φρικτή, τής σής ελεύσεως δεικνύς, επί τού όρους Θαβώρ μετεμορφώθης, Ηλίας καί Μωσής συνελάλουν σοι, τούς τρείς τών Μαθητών συνεκάλεσας, οί κατιδόντες Δέσποτα τήν δόξαν σου, Ιτή αστραπή σου εξέστησαν, ο τότε τούτοις, τό φώς σου λάμψας, φώτισον τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα όμοιον

Εν τώ όρει τώ Θαβώρ, μεταμορφούμενος Σωτήρ, τοίς προκρίτοις Μαθηταίς, δείξας τήν δόξαν σου Χριστέ, τό αναλλοίωτον ήστραψας τής θεότητος, Νεφέλη δέ φωτός, συνεκάλεσας, Ηλίαν καί Μωσήν συλλαλούντάς σοι, διό καί Πέτρος έλεγεν, Οικτίρμον, καλόν εστιν ώδε είναι σύν σοί, ο τότε τούτοις, τό φώς σου λάμψας, φώτισον τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Τό αυτό

Είτα είς Κανών τής Εορτής, καί τού Αγίου ούτος, ού η Ακροστιχίς.

Τόν μέγαν Αιμιλιανόν εν άσμασιν έξοχα μέλπω.
Θεοφάνους.

Ωδή α'  Ήχος α'
Σού η τροπαιούχος

Ταίς υπερκοσμίαις συνοικών, ταξιαρχίαις θεόφρον μακάριε, τούς επιτελούντάς σου, χαρμονικώς τήν ποθητήν πανήγυριν, Πάτερ εποπτεύων, τής σωτηρίας αξίωσον.

Όλος τώ Δεσπότη συγκραθείς, καί τοίς εκείθεν αστράψας πυρσεύμασι, πάσαν κατεφώτισας, σαίς διδαχαίς θεοσεβή πανήγυριν, ως ιεροφάντωρ, φανείς θεόφρον θεόληπττε.

Νούν καθηγεμόνα τών παθών, δι' αρετής Ιεράρχα κατέστησας, οία δικαιότατος, διαιτητής τή τε ψυχή καί τώ σώματι, Πάτερ διανέμων, τοίς εκατέροις τά πρόσφορα.

Μύστης ακριβής τών υπέρ νούν, τής Εκκλησίας σαφώς προϊστάμενος, ώφθης πανaοίδιμε, καί κραταιός τής αληθείας πρόμαχος, μύλας τών λεόντων, συνθλών καί φράττων τά στόματα.

Θεοτοκίον

Ένα εκατέραις ευσεβώς, τόν εκ γαστρός σου τεχθέντα γινώσκομεν, φύσεσι Πανάμωμε, Θεόν ομού υπερφυώς καί άνθρωπον, έχοντα τελείως εκάστης τά ιδιώματα.

Ωδή γ'

Ο μόνος ειδώς τής τών βροτών

Ικέτην θεόφρονα Χριστού, πιστοίς σε προβαλλόμεθα, τόν δι' αυτόν λαμπρώς αριστεύσαντα, καί τήν εικόνα τούτου τιμήσαντα, τού σεπτού κηρύγματος, καί τήν άνωθεν πίστιν φυλάξαντα.

Μαρτύρων στερρότητα δεικνύς, θεόφρον αξιάγαστε, τήν δυσσεβή οφρύν εξεφαύλισας, τής Εκκλησίας εκφανείς πρόβολος, αρραγής ακλόνητος, καί μεσίτης ένθεος, καρτερώς διελέγχων τούς άφρονας.

Τόν τής αιρέσεως πιών, εις κόρον ο παμπόνηρος, διδακτικώ σου λόγω διήλεγκται, φωτί γάρ σκότος εξαφανίζεται, καί γυμνούται πλάσματα, πονηρού βουλεύματος τής ενθέου σοφίας ταίς λάμψεσι.

Θεοτοκίον

Λαμπρά σε φωνή νύν εκ ψυχής, κυρίως Θεομήτορα, τήν τόν Θεόν τεκούσαν κηρύττομεν, σεσαρκωμένον εκ σού τόν άσαρκον, εν ημίν σκηνώσαντα, ού τροπήν δεξάμενον, ού φυρμώ συγχυθέντα Πανάμωμε.

Ο Ειρμός

«Ο μόνος ειδώς τής τών βροτών, ουσίας τήν ασθένειαν, καί συμπαθώς αυτήν μορφωσάμενος, περίζωσόν με εξ ύψους δύναμιν, τού βοάν σοι, Άγιος ο ναός ο έμψυχος, τής αφράστου σου δόξης Φιλάνθρωπε».

Κάθισμα τού Αγίου

Ήχος γ' Θείας πίστεως

Θείω Πνεύματι πεφωτισμένος, ανεκήρυξας εν παρρησία, ορθοδοξίας παμμάκαρ τά δόγματα, καί βασιλέα κατήσχυνας άνομον, υπερορίαις αδίκως στελλόμενος, Πάτερ Όσιε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Δόξα... Καί νύν... Τής Εορτής

Ήχος γ'  Τήν ωραιότητα

Τής θείας δόξης σου, όντως απαύγασμα, καθώς ηδύναντο, έδειξας Λόγε Θεού, τοίς Μαθηταίς σου εν Θαβώρ, όρει μεταμορφούμενος, οίς συνελλαμφθείημεν, καί ημείς οι υμνούντές σε, μόνε αναλλοίωτε, Ιησού παντοδύναμε, καί πίστει σοι συμφώνως βοώντες, Δόξα Χριστέ τή βασιλεία σου.

Ωδή δ'

Όρος σε τή χάριτι

Ίσχυσας οφρύν καταβαλείν τού αλάστορος, οικειωθείς δι' αρετής, παμμάκαρ Αιμιλιανέ, τώ πάντα ισχύοντι, καί δυνατώ έν τοίς πολέμοις πανόλβιε, καίνύν κραυγάζεις, Δόξα τή δυνάμει σου Κύριε.

Ανέτλης μακράς υπερορίας στελλόμενος, καρτερικός αναδειχθείς θεόφρον Αιμιλιανέ, τό πρίν προτερήμασιν, Αρχιερεύς, Ιερομάρτυς δέ ύστερον, αναδειχθείς θεοφόρε πανάριστε.

Νομίμως εφάνης εκ παιδός ιερούμενος, ασκητικώς εκλαμπρυνθείς, τρισμάκαρ Αιμιλιανέ, τώ λόγω τής χάριτος, περιφραχθείς ιερομύστα θεσπέσιε, Θεώ κραυγάζων, Δόξα τή δυνάμει σου Κύριε.

Θεοτοκίον

Ο πάσης επέκεινα νοούμενος κτίσεως, τής υπέρ νούν ζωαρχικής, θεοπλαστίας επί γής, εκτελών μυστήριον, παρθενικαίς ηγλαϊσμένην λαμπρότησι, τήν σήν γαστέρα κατώκησεν, Άχραντε.

Ωδή ε'

Θεός ών ειρήνης

Νοήσας προγνώσει, τή θεία Χριστός, τής μεγάλης ψυχής σου τήν πρόθεσιν, μεγάλοις προτερήμασιν, εκόσμησε σαφώς στολαίς Ιερωσύνης, αυτήν καταγλαϊσας, καί μαρτύρων έν άθλοις, Ιερομύστα πανσεβάσμιε.

Ελκύσας τήν χάριν, τού Πνεύματος πρίν, ποταμούς διδαγμάτων ανέβλυσας, Παμμάκαρ Ιερώτατε, τή ποίμνη τού Χριστού, όθεν καί τήν εικόνα, Χριστού τιμάν μαθόντες, τών Αγίων τε πάντων, τούς θεομάχους καταισχύνομεν.

Νεκρώσας σαρκός σου, τό φρόνημα πρίν, εν ασκήσεως πόνοις πανόλβιε, τή αίγλη τή τού Πνεύματος εζώωσας τόν νούν, όθεν δι' αμφοτέρων, εκλάμψας Ιεράρχα, Θεώ ευηρέστησας, Ιερομάρτυς αξιάγαστε.

Θεοτοκίον

Αγίων Αγία, Παρθένε αγνή, τών Αγίων τόν Άγιον τέτοκας, τόν πάντας αγιάζοντα, Χριστόν τόν λυτρωτήν, διό σε Βασιλίδα, καί Δέσποιναν τού κόσμου, ως τεκούσαν τόν Κτίστην, τών ποιημάτων μεγαλύνομεν.

Ωδή ς'

Σπλάγχνων Ιωνάν

Στήσαι βουληθείς, νομήν τής αιρέσεως, προθύμως χωρείς πρός τούς κινδύνους σοφέ, καί διήλεγξας παρρησία μεγάλη χρησάμενος, τήν γνώμην τού κρατούντος σύ τήν άθεον, πρώτος τού λαλείν αρξάμενος, ηθροισμένης Συνόδου θεόφρονος, Μόνου τού Χριστού, θερμώς ορεγόμενος, καί τούτου τυχείν θείας ελλάμψεως, εφιέμενος, Ιεράρχα Κυρίου θεόληπτε, μαρτύρων ενεδείξω τήν στερρότητα, λάμψας τό πρώην δι' ασκήσεως, καί διπλούς τούς στεφάνους κομίζη σαφώς.

Άνω σου τόν νούν, Θεώ συγγινόμενον, καί θείαις αυγαίς, μάκαρ λαμπόμενον, έχων Όσιε, κούφως βίον διέπλεις τήν θάλασσαν, καί όρμοις ουρανίοις νύν καθώρμισαι, αύραις τού Αγίου Πνεύματος, κυβερνώμενος σθένει τού Πνεύματος.

Θεοτοκίον

Σώσαι τών βροτών, τήν φύσιν ως εύσπλαγχνος, φθαρείσαν Αγνή, φθόνω τού όφεως, ο υπέρθεος, ευδοκήσας τήν μήτραν σου ώκησε, καί σάρξ αναλλοιώτως εχρημάτισε, μόνην καθαράν ευράμενος, Θεοτόκε Παρθένε πανάχραντε.

Ο Ειρμός

«Σπλάγχνων Ιωνάν, έμβρυον απήμεσεν, ενάλιος θήρ οίον εδέξατο, τή Παρθένω δέ, ενοικήσας ο Λόγος, καί σάρκα λαβών, διελήλυθε φυλάξας αδιάφθορον, ής γάρ ουχ υπέστη ρεύσεως, τήν τεκούσαν κατέσχεν απήμαντον».

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Η' τού αυτού μηνός, μνήμη τού Οσίου Πατρός ημών Αιμιλιανού, Επισκόπου Κυζίκου, τού ομολογητού.

Στίχοι

- Ψυχής πολύν θείς Αιμιλιανός λόγον,
- Τής σαρκος ηλόγησεν άχρι καί τέλους.
- Ογδόη Αιμιλιανού οστέα δέξατ' άρουρα.

Τή αυτή ημέρα, μνήμη τού Αγίου Μύρωνος, Επισκόπου Κρήτης, τού θαυματουργού.

Στίχοι

- Μύρων ο θείος αρετής μύρου πνέων,
- Ευωδίας πρόσεισιν οσμή Κυρίω.

Τή αυτή ημέρα, μνήμη τού οσίου Πατρός ημών Θεοδώρου Ηγουμένου Ορόβων.

Τή αυτή ημέρα, μνήμη τών Αγίων μαρτύρων Ελευθερίου καί Λεωνίδου, διά πυρός τελειωθέντων.

Στίχοι

- Αμφοίν αθλητών, ου θυόντων τή πλάνη,
- Ποινήν κατακρίνουσιν οι πλάνοι φλόγα.

Τή αυτή ημέρα, οι Άγιοι δέκα ασκηταί, οι εξ Αιγύπτου, εν ειρήνη τελειούνται.

Στίχοι

- Βλαστήματα θνήσκουσιν Αιγύπτου δέκα,
- Πληγαίς εκείναις ισάριθμοι ταίς δέκα.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Σέ νοητήν Θεοτόκε κάμινον

Ιεραρχών, ευπρεπές αγλάϊσμα, Πάτερ υπήρχες αληθώς, βασιλεύσας γάρ τών παθών, πύργος ακαθαίρετος, ώφθης αξιάγαστε, τής Εκκλησίας καί πρόβολος, τόν αινετόν ανυμνών Θεόν τόν υπερένδοξον.

Νέος Δαυϊδ, ημίν αναδέδειξαι καί αλλοφύλους διδαχάς, τή σφενδονη καταβαλών, τών ευστοχωτάτων σου, λόγων παναοίδιμε, καί διδαγμάτων τοξεύμασι, τόν αινετόν ανυμνών, Θεόν καί υπερένδοξον.

Έστης λαμπρώς, Πάτερ επί βήματος, δικαστικού δία Χριστόν, καί τούς λόγους ώς εκ πηγής θείας ανεβλύστανες, πάσι γάρ εκήρυξας, τήν τών Εικόνων προσκύνησιν, σαφώς είδως διαβαίνειν, αυτήν πρός τό πρωτότυπον.

Θεοτοκίον

Ξενοπρεπώς, παρθενεύεις τίκτουσα, τόν τών απάντων Ποιητήν, τόν εν θρόνω χερουβικώ, επαναπαυόμενον, μόνη παμμακάριστε, Παρθενομήτορ πανύμνητε τόν αινετόν τών Πατέρων, Θεόν τόν υπερένδοξον.

Ωδή η'

Θαύματος υπερφυούς

Όλην νοητώ πυρί τήν φρυγανώδη, τής αιρέσεως έφλεξας ύλην, επικλήσει θεία τε ως Ηλίας, τούς Ιερείς, τής αισχύνης ξίφει Πνεύματος κατέσφαξας, καί νύν αναμέλπεις ευφραινόμενος, Ευλογείτω η κτίσις πάσα τόν κυριον, καί υπερυψούτω εις πάντας τούς αιώνας.

Χάριτός τε καί δυνάμεως ενθέου, πεπλησμένος ωράθης Παμμάκαρ, σωφροσύνης κάλλει κεκοσμημένος, διαπρεπεί, ευσεβείας ανενδότως αντεχόμενος, μεθ' ής νύν τώ Δεσπότη παριστάμενος, Ευλογείτω η κτίσις κραυγάζεις τόν Κύριον, καί υπερυψούτω εις πάντας τούς αιώνας.

Άνωθεν τούς υμνητάς σου εποπτεύεις, Ιερώτατε Πάτερ θεόφρον, ευμαρίζων τρίβον ημίν ευθείαν, σαίς προσευχαίς, καί συντρίβων τών αιρέσεων φρυάγματα, ίνα γεγηθότες αναμέλπωμεν, Ευλογείτω ή κτίσις πάσα τόν

Κύριον, καί υπερυψούτω εις πάντας τούς αιώνας.

Θεοτοκίον

Μώμος εν τώ κάλλει σου όλως ουκ έστι, σύ γάρ μόνη πανάχραντος ώφθης, εξ αιώνος Πάναγνε, παρθενίας μαρμαρυγαίς, Καταυγάσασα τόν κόσμον καί αγνείας φωτί, διό ανυμνούντές σε κραυγάζομεν, Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Θαύματος υπερφυούς η δροσοβόλος, εξεικόνισε κάμινος τύπον, ου γάρ ούς εδέξατο φλέγει Νέους, ως ουδέ πύρ τής θεότητος, Παρθένου ήν υπέδυ νηδύν, Διό ανυμνούντες αναμέλψωμεν, Ευλογείτω η κτίσις πάσα τόν Κύριον, καί υπερυψούτω εις πάντας τούς αιώνας».

Ωδή θ'

Τύπον τής αγνής λοχείας σου

Εύρες τά τών πόνων έπαθλα, εν ουρανίοις θεοφόρε σκηνώμασιν, Αιμιλιανέ, νύν κατοικείν αξιούμενος, τών μαρτύρων σύν θείοις στρατεύμασιν, ως θείος Ιεράρχης, Ιερομάρτυς υπερθαύμαστος.

Λόγου καί σοφίας άριστε, κεκοσμημένος καθωράθης τοίς δόγμασιν, Αιμιλιανέ, διό Χριστός εστεφάνωσε, τήν τιμίαν σου κάραν πανόλβιε, καί νύν εκδυσωπείται, υπέρ ημών σού ικετεύοντος.

Πύλας ουρανίους Όσιε, αναπετάσας ο Δεσπότης εδέξατο, Αιμιλιανέ, τήν σήν ψυχήν αναψύξεως, καταπαύσας εν τόποις ως δίκαιος, καί νύν περιπολεύεις, περί τόν θρόνον τού Παντάνακτος.

Θεοτοκίον

Ω τών υπέρ νούν θαυμάτων σου! σύ γάρ Παρθένε μόνη πάναγνε Δέσποινα, πάσι δέδωκας, κατανοείν τό καινότατον, θαύμα παναγνε τής σής κυήσεως, διό άκαταπαύστως, σέ Θεοτόκε μεγαλύνομεν.

Ο Ειρμός

«Τύπον τής αγνής λοχείας σου, πυρπολουμένη βάτος έδειξεν άφλεκτος, καί νύν καθ' ημών, τών πειρασμών αγριαίνουσαν, κατασβέσαι αιτούμεν τήν κάμινον, ίνα σε Θεοτόκε, ακαταπαύστως μεγαλύνωμεν».

Εξαποστειλάριον

Τοίς Μαθηταίς συνέλθωμεν

Ότε ο θήρ εφώρμησε, κατά τής Εκκλησίας, Λέων ο μιξοβάρβαρος ο ακόρεστος Άδης, μή προσκυνείσθαι κελεύσας, τάς πανσέπτους Εικόνας, τότε στερρώς διήλεγξας, μάκαρ Αιμιλιανέ, τήν βδελυράν, θεόμαχον αίρεσιν τού τυράννου, υφ' ού πικράς υπήνεγκας, εξορίας καί θλίψεις.

Τής Εορτής, όμοιον

Πρό τού Σταυρού σου Κύριε, Μαθητών τούς προκρίτους, λαβών με τεμορφώθης νύν, εν Θαβώρ τώ αγίω, εν ώ Μωσής καί Ηλίας, παρειστήκεισαν τρόμω, δουλοπρεπώς σοι Δέσποτα, συλλαλούντες, μεθ' ών σε, Χριστέ Σωτήρ, σύν Πατρί καί Πνεύματι προσκυνούμεν, τόν εκ Παρθένου λάμψαντα,

εις βροτών σωτηρίαν.

Εις τόν Στίχον τών Αίνων, Στιχηρά τής Εορτής Προσόμοια.

Ήχος β'
Οίκος τού Εφραθά

Έλαμψας Χριστέ, λευκός υπέρ χιόνα, τήν σήν παραγυμνών σου, τοίς Μαθηταίς ουσίαν, τής απροσίτου δόξης σου.

Στίχ. Σοί εισιν οι ουρανοί, καί σή εστιν η γή.

Είξε σών πρό ποδών, υψίδρομον ηλίου, σέλας Χριστέ Σωτήρ μου, δεικνύον σε Δεσπότην, καί Ποιητήν τής κτίσεως.

Στίχ. Θαβώρ καί Ερμων εν τώ ονόματί σου αγαλλιάσονται.

Δείξαι τοίς Μαθηταίς, θελήσαντος σήν δόξαν, σύν Μωϋσή Ηλία, εν όρει θαβωρίω, ως είδον Σώτερ έφριξαν.

Δόξα... Καί νύν... Ήχος α'

Τό άσχετον τής σής φωτοχυσίας, καί απρόσιτον τής θεότητος, θεασάμενοι τών Αποστόλων οι πρόκριτοι, επί τού όρους τής Μεταμορφώσεως, άναρχε Χριστέ, τήν θείαν ηλλοιώθησαν έκστασιν, καί νεφέλη περιλαμφθέντες φωτεινή φωνής ήκουον Πατρικής, βεβαιούσης τό μυστήριον τής σής ενανθρωπήσεως, ότι είς υπάρχεις καί μετά σάρκωσιν, Υιός μονογενής καί Σωτήρ τού κόσμου.

Καί τά λοιπά, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Θ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Αποστόλου Ματθία.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ' καί τού Αγίου γ'.

Στιχηρά τής Εορτής

Ήχος α'
Τών ουρανίων ταγμάτων

Τής παναγίας ενδόξου Μεταμορφώσεως, τήν εορτήν ποιούντες, τή παρούση ημέρα, Χριστόν δοξολογούμεν, τόν τήν ημών, τώ πυρί τής θεότητος, αναμορφώσαντα φύσιν, καί ως τό πρίν, αφθαρσία καταστράψαντα.

Επί τό άγιον όρος δεύτε ανέλθωμεν, καί τήν παμφαεστάτην, Μεταμόρφωσιν

πίστει, κατίδωμεν Κυρίου, τούτω πιστώς, εκβοώντες καί λέγοντες, Σύ εί Θεός ημών μόνος, ο σαρκωθείς, καί θεώσας τό ανθρώπινον.

Αύτη εστίν η ημέρα η πανσεβάσμιος, καθ' ήν μεταμορφούται, ο Χριστός συμπαρόντων, Μωσέως καί Ηλία καί τών αυτού, Μαθητών εν τώ όρει Θαβώρ, φωνή δέ θεία προήλθεν, Ούτός εστιν, αληθώς ο εκλεκτός μου Υιός.

Στιχηρά τού Αγίου

Ήχος ο αυτός
Πανεύφημοι μάρτυρες

Ματθία μακάριε Εδέμ, νοητής εξέβλυσας, ως ποταμός προσκλυζόμενος, ενθέοις ύδασι, καί τήν γήν αρδείαις, μυστικαίς κατήρδευσας, καί ταύτην καρποφόρον ανέδειξας, διό ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Ματθία Απόστολε χορόν, θείον ανεπλήρωσας, εξ ού Ιούδας εκπέπτωκε, καί θείαις αστραπαίς, τών σοφών σου λόγων, σκότος απεδίωξας, τής ειδωλομανίας εν Πνεύματι, καί νύν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Ματθία θεόπνευστε τροχώ, τώ τού κόσμου έφαναν, αι αστραπαί τών δογμάτων σου, πάντας φωτίζουσαι, πάντας οδηγούσαι, θείαν πρός επίγνωσιν, δοχεία τού φωτός εργαζόμεναι, τούς πρίν καθεύδοντας, εν νυκτί τής ματαιότητος, καί εν σκότει, πάσης αθεότητος.

Δόξα... Καί νύν... Ήχος β'

Ο φωτί σου άπασαν, τήν οικουμένην αγιάσας, εις όρος υψηλόν μετεμορφώθης, Αγαθέ, δείξας τοίς Μαθηταίς σου τήν δυναστείαν σου, ότι κόσμον λυτρούσαι εκ παραβάσεως, διό βοώμέν σοι, Εύσπλαγχνε Κύριε, σώσον τάς φυχάς ημών.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος πλ. β'
Αι Αγγελικαί

Λάμψας υπέρ νούν, εκ Παρθένου Παναγίας, Λόγε τού Θεού, τόν, Αδάμ όλον φορέσας, τήν πρίν αμαυρωθείσαν, φύσιν πάσαν ελάμπρυνας, θεία τής μορφής σου αλλοιώσει, μεταμορφωθείς επί τού όρους, Θαβώρ Δέσποτα, πρό τού τιμίου σου Σταυρού, Χριστέ ο Θεός ημών.

Στίχ. Σοί εισιν οι ουρανοί, καί σή εστιν η γή.

Όρος τό ποτέ, όν ζοφώδες καί καπνώδες, τίμιον ιδού, νύν καί άγιον υπάρχει, ο πρίν τόν Ισραήλ γάρ, οδηγήσας ως γέγραπται, στύλω πυριμόρφω καί νεφέλη, σήμερον εξέλαμψεν αρρήτως, υπέρ ήλιον, Χριστέ εν τούτω ως Θεός,

φαιδρύνας τά σύμπαντα.

Στίχ. Θαβώρ καί Ερμών εν τώ ονόματί σου αγαλλιάσονται.

Νύν δουλοπρεπώς, συλλαλούντες τώ Δεσπότη, βλέπων ο Κηφάς, εν Θαβώρ τούς δύο άνδρας, Καλόν εστιν εβόα, ώδε είναι, ποιήσωμεν, τρείς σκηνάς εί θέλεις ανά μέρος, σοί Χριστέ Μωσεί τε καί Ηλία, τοίς οικέταις σου, όπερ ελάλει μή ειδώς, θάμβει γάρ συνείχετο.

Δόξα... Καί νύν... Ήχος β'

Ο εν τώ όρει τώ Θαβώρ, μεταμορφωθείς εν δόξη Χριστέ ο Θεός, καί υποδείξας τοίς Μαθηταίς σου, τήν δόξαν τής σής θεότητος, καταύγασον καί ημάς, τώ φωτί τής σής επιγνώσεως, καί οδήγησον εν τή τρίβω τών εντολών σου, ως μόνος αγαθός καί φιλάνθρωπος.

Τού Αποστόλου Ήχος γ’

Απόστολε Άγιε Ματθία, πρέσβευε τώ ελεήμονι Θεώ ίνα πταισμάτων άφεσιν, παράσχη ταίς ψυχάς ημών.

Καί τής Εορτής

Απολυτίκιον Ήχος βαρύς

Μετεμορθώθης εν τώ όρει Χριστέ ο Θεός, δείξας τοίς Μαθηταίς σου τήν δόξαν σου, καθώς ήδυναντο, Λάμψον καί ημίν τοίς αμαρτωλοίς, τό φώς σου τό αϊδιον, πρεσβείαις τής Θεοτόκου, φωτοδότα δόξα σοι.

Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος δ'

Κατεπλάγη Ιωσήφ

Επί τό όρος τό Θαβώρ, μετεμορφώθης Ιησού, καί νεφέλη φωτεινή, εφηπλωμένη ως σκηνή, τούς Αποστόλους τής δόξης σου Κατεκάλυψεν, όθεν καί εις γήν εναπέβλεπον, μή φέροντες οράν τήν λαμπρότητα, τής απροσίτου δόξης τού προσώπου σου, τής θεϊκής υπεράγαθε, ο τότε τούτοις, τό φώς σου λάμψας, φώτισον τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα όμοιον

Τή απροσίτω Ιησού, δόξη τού θείου σου φωτός, μεταμορφούμενος τοίς σοίς, έλαμψας θείοις Μαθηταίς, τώ Ιωάννη καί Πέτρω καί Ιακώβω, εξέστησας αυτούς, τή θεία χάριτι, φωνής γάρ πατρικής, αγαπητόν σε Υιόν,

προσμαρτυρούσης ήκουον, καί είδον, τήν τού προσώπου σου δόξαν φρικτήν, Σωτήρ ο πάντας, θέλων σωθήναι, φώτισον τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Τό αυτό

Είτα οι Κανόνες, ο πρώτος τής Εορτής καί τού Αγίου ούτος, ού η Ακροστιχίς.

Ύμνοις σε μέλπω Ματθία Χριστού φίλε.
Θεοφάνους.

Ωδή α' Ήχος πλ. δ'
Άσωμεν τώ Κυρίω

Ύμνοις σου τήν φωσφόρον, μέλποντα Ματθία νύν πανήγυριν, ουρανόθεν μοι αίγλην, σωτηρίας δοθήναι ικέτευε.

Μέγας ήλιος ώφθης, φωτί τώ μεγάλω αξιάγαστε, μεθ' ημών γενομένω, ομιλήσας αμέσως, Απόστολε.

Νόμοις τοίς τού Δεσπότου, Μάκαρ καθυπείκων τή σαγήνη σου, συλλαμβάνεις τής γλώττης, εκ βυθού αγνωσίας τά πέρατα.

Θεοτοκίον

Όλον με διασώζει, Λόγος ο υπέρθεος χρηστότητι, βουληθείς εκ γαστρός σου, σαρκωθήναι αγνή Μητροπάρθενε.

Ωδή γ'
Σύ εί τό στερέωμα

Ίσχυσας σθενούμενος, ζωαρχικώ σοφέ νεύματι, τού ισχυρού σκύλα διαρπάσαι, καί δουλώσαι τή χάριτι.

Στέργων τόν Διδάσκαλον, καθυπουργών αυτού νεύμασι, παντουργικοίς πλάνης διασώζεις, τούς βροτούς αξιάγαστε.

Σέ τόν δωδεκάριθμον, τών Μαθητών χορόν άγιον, τό παντουργόν, Πνεύμα συμπληρούντα, θεορρήμον εκλέγεται.

Θεοτοκίον

Έχων σε βοήθειαν, τών δυσμενών ορμάς Άχραντε, ού δειλιώ, έχων σε προστάτιν, τάς αυτών τρέπω φάλαγγας.

Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Κάθισμα Ήχος πλ. δ'
Τήν Σοφίαν

Ατραπαίς σου τών λόγων τών θεϊκών, καταφλέξας τήν πλάνην τήν πονηράν,

πιστούς κατεφώτισας, ανυμνείν τήν εν σώματι, παρουσίαν Μάκαρ, τού πάντων δεσπόζοντος, καί αυτού τό πάθος τό θείον εζήλωσας, όθεν συνελθόντες, τήν αγίαν σου μνήμην, τελούμεν γηθόμενοι, καί συμφώνως βοώμέν σοι, Ματθία Απόστολε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Καί νύν... Τής Εορτής

Ήχος δ'  Επεφάνης σήμερον

Εορτή υπέρλαμπρος, η τού Δεσπότου, ήλθε, δεύτε άπαντες, επί τώ όρει νοερώς, προκαθαρθέντες ανέλθωμεν, τώ θαβωρίω Χριστόν εποψόμενοι.

Ωδή δ'

Εισακήκοα Κύριε

Μίαν φύσιν θεότητος, μίαν βασιλείαν καί κυριότητα, καταγγέλλων παμμακάριστε, τών εθνών αγέλας εσαγήνευσας.

Επεβίβασε Κύριος, σέ εν τή θαλάσση τού βίου πάνσοφε, ώσπερ, ίππον συνταράσσοντα, τής πολυθεΐας πικρά ύδατα.

Λόγω θείω ενέωσας, τάς κεχερσωμένας καρδίας πάνσοφε, κατασπείρας τήν ευσέβειαν, καί τής αληθείας τήν επίγνωσιν.

Θεοτοκίον

Παρθενίας κειμήλιον, καί τής αχωρήτου φύσεως σκήνωμα, τήν ψυχήν μου φωταγώγησον, τήν εσκοτισμένην πολλοίς πάθεσιν.

Ωδή ε'

Ίνα τί με απώσω

Ως πολύφορον κλήμα, η αληθινή σε εξέτεινεν άμπελος, γεωργούντα βότρυν, τόν προχέοντα οίνον σωτήριον, όν πιόντες Μάκαρ, οι συσχεθέντες αγνωσία, τής απάτης τήν μέθην απέρριψαν.

Μαθητών δωδεκάδος, ώφθης συμπληρών τόν χορόν τόν μακάριον, εξ ού ό προδότης, εαυτόν απορρίψας εκέρδησε, τήν Πικράν αγχόνην, κατά Χριστού επάρας πτέρναν, μυστολέκτα Ματθία Απόστολε.

Άλας θείον εβλήθης, Μάκαρ εις τόν κόσμον Ματθία Απόστολε, σηπεδόνα πλάνης, εκκαθαίρων νοστίμοις διδάγμασιν, εκδιώκων νόσους, καί απελαύνων μαλακίας, τών ψυχών καί τών σωμάτων πανεύφη με.

Θεοτοκίον

Τούς αμόρφους χιτώνας, καί τήν παλαιάν εξεδύσατο νέκρωσιν, ο Αδάμ Παρθένε, τώ αχράντω σου τόκω Θεόνυμφε, καί στολήν αγίαν, αληθινήν μετημφιέσθη, μηδαμώς ρυπουμένην παθήμασιν.

Ωδή ς'

Ιλάσθητί μοι Σωτήρ

Θεός εγένου θετός, ενώσει θεία θεούμενος, καί πρωτουργώς εκ Θεού,

ακτίνας δεξάμενος, πιστούς κατεφώτισας, καί τήν γήν αχλύος, τών ειδώλων εξεκάθηρας.

Ιδού σοι υποχωρεί, τώ Μαθητή πάσα πρόρρησις, τών ιερών Προφητών, αυτόπτης εγένου γάρ, ού πάλαι προήγγειλαν, υπουργός Ματθία, μιμητής τε καί Απόστολος.

Θεοτοκίον

Αγίασμα νοητόν, καί άψαυστον ιλαστήριον, λυχνίαν χρυσοειδή, καί τράπεζαν έμψυχον, τό άρτον βαστάσασαν, τής ζωής Παρθένε, οι πιστοί σε ονομάζομεν.

Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

Συναξάριον

Τή Θ' τού αυτού μηνός, μνήμη τού Αγίου Αποστόλου Ματθία.

Στίχοι

- Εξήλθεν αρθείς, Ιούδος επί βρόχου,
- Εισήλθεν αρθείς, Ματθίας επί ξύλου.
- Ήρθη αμφ' ενάτη ξύλω ηϊθεος Ματθίας.

Τή αυτή ημέρα, μνήμη τών Αγίων δέκα μαρτύρων, τών διά τήν Αγίαν Εικόνα τού Σωτήρος ημών Ιησού Χριστού τού Θεού, τήν εν τή Χαλκή πύλη, αθλησάντων, Ιουλιανού, Μαρκιανού, Ιωάννου, Ιακώβου, Αλεξίου, Δημητρίου, Φωτίου, Πέτρου, Λεοντίου, καί Μαρίας τής Πατρικίας.

Στίχοι

- Εχθρόν Θεού κτείναντες άνδρες εννέα,
- Φίλοι γίνονται τώ Θεώ διά ξίφους.
- Εμού τραχήλου Σώτερ αίμα προσδέχου,
- Μαρία φησίν, ως τό μύρον Μαρίας.

Τή αυτή ημέρα, μνήμη τής Αθλήσεως τού Αγίου μάρτυρος Αντωνίου.

Ο όσιος ημών Ψόης ευχόμενος τελειούται.

Τή αυτή ημέρα, μνήμη τής ευρέσεως τής αχειροποιήτου καί σεβασμίας Εικόνος τών Καμουλιανών, ήπερ εύρεσις συνεγράφη παρά τού εν Αγίοις Γρηγορίου Επισκόπου Νύσσης.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Παίδες Εβραίων εν καμίνω

Χύσιν εξήρανας απάτης, τή πλημμύρα σου τών λόγων τής σοφίας, καί

χειμάρρους τρυφής, επότισας τούς πίστει, αναβοώντας ένδοξε, ο Θεός ευλογητός εί.

Ρώμη Θεού παντοδυνάμω, εξησθένησαν εχθρού μηχανουργίαι, πρό προσώπου τής σής, Απόστολε πορείας, καί διεθρύβη όρη τε, καί βουνοί τής αθεϊας.

Θεοτοκίον

Ίδε ήν έφησε Παρθένον, εν τώ Πνεύματι ο μέγας Ησαϊας, εν γαστρί τό Θεόν, συνέλαβε καί τίκτει, ώ μελωδούμεν, Κύριε, ο Θεός ευλογητός εί.

### Ωδή η'

Επταπλασίως κάμινον

Στόμα Θεού γενόμενος, εκ τού φάρυγγος ήρπασας, τού ανθρωποκτόνου, ούς δεινώς κατέπιε, καί βρώμα ειργάσατο, τής εαυτού κακίας σοφέ, καί διά λουτρού, αναγεννήσεως τούτους, προσήγαγες Κυρίω, μελωδούντας απαύστως, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Τούς τής απάτης άξονας, τής κακίας τά άρματα, άρμα γεγονώς, Θεού τού Λόγου ένδοξε, εις τέλος ελέπτυνας, ειδωλικούς, προρρίζους τε, στήλας καί ναούς θεία δυνάμει καθείλες, ναούς δέ τούς βοώντας, τής Τριάδος ειργάσω, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ολογικός επέφανεν, ουρανός διηγούμενος, τού μονογενούς, Θεού δόξαν τήν άρρητον, Ματθίας ο πάνσοφος, η αστραπή τού Πνεύματος ο σαγηνευτής, τών πλανωμένων ο λύχνος, τής θείας φωταυγίας, τών αρρήτων ο μύστης, αυτόν εν ευφροσύνη, υμνήσωμεν συμφώνως.

Θεοτοκίον

Υπερφυώς συνέλαβες, υπέρ λόγον εκύησας, τόν Δημιουργόν, τής ανθρωπίνης φύσεως, γενόμενον άνθρωπον, τόν τού Πατρός αχώριστον Δέσποινα αγνή, ώ μελωδεί πάσα κτίσις, οι παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, τώ Δημιουργώ, καί Λυτρωτή ανεβόα, οι παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας».

### Ωδή θ'

Εφριξε πάσα ακοή

Φίλον σε έφη ο Σωτήρ, τοίς αυτού καθυπουργούντα προστάγμασι, Μάκαρ Απόστολε, καί κληρονόμον τής βασιλείας αυτού, εν τή μελλούση φοβερά, ημέρα συγκάθεδρον, Ματθία πάνσοφε, δωδεκάδος Μαθητών τό συμπλήρωμα.

Ιστίω Μάκαρ τού Σταυρού, διελθων τήν αγριαίνουσαν θάλασσαν, τού βίου

έφθασας, πρός τούς λιμένας τής αναπαύσεως, καί ακροτάτω εφετών, χαίρων νύν παρίστασαι, σύν Αποστόλων χορώ, δυσωπών υπέρ ημών τόν φιλάνθρωπον.

Λυχνία όντως χρυσαυγής, θρυαλλίδι τή τού Πνεύματος λάμπουσα, ώφθη η γλώσσά σου, καταπιμπρώσα έκφυλα δόγματα, κατασβεννύουσα σοφέ, τό πύρ τό αλλότριον, φώς απαστράπτουσα, τοίς εν σκότει αγνωσίας καθεύδουσιν.

Θεοτοκίον

Έπαυσας μόνη γυναικών, τήν αράν τών πρωτοπλάστων Θεόνυμφε, τόν απερίγραπτον, σαρκί τεκούσα περιγραφόμενον, εκαινοτόμησας θεσμούς φύσεως αμόλυντε, τά διεστώτα πρίν, παραδόξω μεσιτεία σου ήνωσας.

Ο Ειρμός

«Έφριξε πάσα ακοή, τήν απόρρητον Θεού συγκατάβασιν, όπως ο Ύψιστος, εκών κατήλθε μέχρι καί σώματος, Παρθενικής από γαστρός, γενόμενος άνθρωπος, διό τήν άχραντον, Θεοτόκον οι πιστοί μεγαλύνομεν».

Εξαποστειλάριον

Τοίς μαθηταίς συνέλθωμεν

Ιούδας ο παράνομος, αυθαιρέτω τή γνώμη, απορραγείς εκπέπτωκε, δωδεκάδος τής θείας, τών Ιερών Αποστόλων, εκλογή δέ τή θεία, Ματθίας ο πανεύφημος, προκριθείς αντεισήχθη, ως Μαθητής, ως Χριστού Απόστολος, καί ως πάσαν, τήν γήν λαμπρύνας δόγμασι, τής Αγίας Τριάδος.

Καί τής Εορτής

Πρό τού Σταυρού σου Κύριε, Μαθητών τούς προκρίτους, λαβών μετεμορφώθης νύν, εν Θαβώρ τώ αγίω εν ώ Μωσής καί Ηλίας, παρειστήκεισαν τρόμω, δουλοπρεπώς σοι Δέσποτα, συλλαλούντες, μεθ' ών σε, Χριστέ Σωτήρ, σύν Πατρί καί Πνεύματι προσκυνούμεν, τόν εκ Παρθένου λάμψαντα, εις βροτών σωτηρίαν.

Εις τόν Στίχον τών Αίνων, Στιχηρά Προσόμοια.

Ήχος β'

Οίκος τού Εφραθά

Εν ορειτώ Θαβώρ, η τής Τριάδος δόξα, αναφανδόν εγνώσθη, σού μεταμορφουμένου, Σωτήρ μου υπεράγαθε.

Στίχ. Σοί εισιν οι ουρανοί, καί σή εστιν η γή.

Νεφέλη φωτεινή, φαιδρώς εφαπλωθείσα, εν τή Μεταμορφώσει, κατέπληττε τούς θείους, τών Μαθητών ακραίμονας.

Στίχ. Θαβώρ καί Ερμων εν τώ ονόματί σου αγαλλιάσονται.

Ηλίας σύν Μωσεί, παρέστησάν σοι Λόγε, εν τή Μεταμορφώσει, Πατήρ δέ

εμαρτύρει, εξ ουρανού φθεγγόμενος.

Δόξα... Καί νύν... Όμοιον

Είδον εν τώ Θαβώρ, Μωσής τε καί Ηλίας, τόν εκ Παρθένου Κόρης, Θεόν σεσαρκωμένον, βροτών εις απολύτρωσιν.

Καί η λοιπή ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ Ι' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Μάρτυρος καί Αρχιδιακόνου Λαυρεντίου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσομοια.

Τής Εορτής γ'

Ήχος δ'

Έδωκας σημείωσιν

Δεύτε νύν τήν κρείττονα, αλλοιωθέντες αλλοίωσιν, ουρανόφρονες σήμερον, Χριστώ συμμορφουμενοι, ευσεβώς καί γήθεν, εφ' υψηλοτάτην, τών αρετών περιωπήν, ανενεχθέντες αγαλλιώμεθα, δι' οίκτον γάρ τόν άμορφον, μεταμορφούμεν ός άνθρωπον, εν Θαβώρ κατελάμπρυνεν, ο Σωτήρ τών ψυχών ημών.

Ω φιλοθεάμονες, τών υπέρ νούν καί φιλήκοοι, μυστικώς εποπτεύσωμεν, Χριστόν εξαστράψαντα, θεϊκαίς ακτίσι, καί ενηχηθώμεν, τήν τού Γεννήτορος φωνήν, ηγαπημένον ανακηρύττουσαν, Υιόν τόν καταυγάσαντα, τήν ανθρωπίνην ασθένειαν, εν Θαβώρ καί πηγάσαντα, φωτισμόν ταίς ψυχαίς ημών.

Άπαν νύν εγκόσμιον, καί υπερκόσμιον σύστημα, συγκινείσθω πρός αίνεσιν, Χριστού τού Θεού ήμων, τού νεκρών καί ζώντων, κεκυριευκότος, θεοπρεπώς γάρ εαυτώ, μεταμορφούμενος συμπαρίστησι, τού νόμου καί τής χάριτος, τούς πρωτοστάτας καί κήρυκας, εν Θαβώρ ως ηυδόκησεν, ο Σωτήρ τών ψυχών ημών.

Καί τού Αγίου γ'

Όμοια

Ανθρακά σοι έδωκε, Μάρτυς πυρός εις βοήθειαν, ο Δεσπότης καί Κύριος, υφ' ού πυρακτούμενος, τό γεώδες σκήνος, θάττον εξεδύσω, καί τήν αθάνατον ζωήν, καί βασιλείαν εκληρονόμησας, διό σου τήν χαρμόσυνον, χαρμονικώς εορτάζομεν, εορτήν παμμακάριστε στεφηφόρε Λαυρέντιε.

Ανθρακας εμάρανας, πλάνας ειδώλων μακάριε, επ' ανθράκων οπτώμενος, υφ' ών λεπτυνόμενος, τό παχύ σαρκίον, ως βαρύ φορτίον, απετινάξω καί τόν χούν, τής τών προγόνων ημών νεκρώσεως, εντεύθεν ακατάσβεστος, άνθραξ ημίν εχρημάτισας, καταυγάζων φαιδρότητι, τούς τιμώντας τήν μνήμην σου.

Άνθρακι ανήφθησαν, από Θεού οία φαίνοντες, οι αήττητοι Μάρτυρες, τή αίγλη τού Πνεύματος, τήν αχλύν τής πλάνης, καί τής αθεΐας, καταδιώκοντες θερμώς, καί ευσεβείας πυρσόν ανάπτοντες, εν οίς καί ο Λαυρέντιος, ο αληθής καί σεβάσμιος, τού Σωτήρος διάκονος, διαπρέπει τοίς θαύμασιν.

Δόξα... Καί νύν... Ήχος δ'

Πρό τού Σταυρού σου Κύριε, όρος ουρανόν εμιμείτο, νεφέλη ως σκηνή εφηπλούτο, Σού μεταμορφουμένου, υπό Πατρός δέ μαρτυρουμένου, παρήν ο Πέτρος σύν Ιακώβω καί Ιωάννη, ως μέλλοντες συνείναί σοι, καί εν τώ καιρώ τής παραδόσεώς σου, ίνα θεωρήσαντες τά θαυμάσιά σου, μή δειλιάσωσι τά παθήματά σου, ά προσκυνήσαι ημάς, εν ειρήνη καταξίωσον, διά τό μέγα σου έλεος.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος β'

Οίκος τού Εφραθά

Έδειξεν αμυδρώς, ο Κύριος τήν δόξαν, τήν θεϊκήν εν όρει, τώ θαβωρίω άρτι, τοίς μύσταις οίς ηθέλησεν.

Στίχ. Σοί εισιν οι ουρανοί, καί σή εστιν η γή.

Δεύτε τοίς Μαθηταίς, συνδράμωμεν οι πάντες, τών αρετών εις ύψος, ως άν αξιωθώμεν, σύν τούτοις καί τής χάριτος.

Στίχ. Θαβώρ καί Ερμών εν τώ ονόματί σου αγαλλιάσονται.

Πάντες οι γηγενείς, καθάρωμεν καρδίας, ως άν ευθέτως έλθη, καί πρός ημάς η δόξα, τής τρισηλίου χάριτος.

Δόξα... Καί νύν... Ήχος δ'

Πρό τού Σταυρού σου Κύριε, παραλαβων τούς Μαθητάς εις όρος υψηλόν, μετεμορφώθης έμπροσθεν αυτών, ακτίσι δυνάμεως καταυγάζων αυτούς, ένθεν φιλανθρωπία, εκείθεν εξουσία, δείξαι βουλόμενος τής Αναστάσεως τήν λαμπρότητα, ής καί ημάς, ο Θεός εν ειρήνη καταξίωσον, ως ελεήμων καί φιλάνθρωπος.

Απολυτίκιον τής Εορτής

Ήχος βαρύς

Μετεμορθώθης εν τώ όρει Χριστέ ο Θεός, δείξας τοίς Μαθηταίς σου τήν δόξαν σου, καθώς ήδυναντο, Λάμψον καί ημίν τοίς αμαρτωλοίς, τό φώς σου τό

αϊδιον, πρεσβείαις τής Θεοτόκου, φωτοδότα δόξα σοι.

Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος δ'
Κατεπλάγη Ιωσήφ

Μετεμορφώθης Ιησού, επί τό όρος τό Θαβώρ, καί νεφέλη φωτεινή, εφηπλωμένη ως σκηνή, τούς Αποστόλους τή δόξη σου κατεκάλυψεν, όθεν καί εις γήν εναπέβλεπον, μή φέροντες οράν τήν λαμπρότητα, τής απροσίτου δόξης τού προσώπου σου, άναρχε Λόγε Χριστέ ο Θεός, ο τότε τούτοις, τό φώς σου λάμψας, φώτισον τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα όμοιον

Εν τώ όρει τώ Θαβώρ, μεταμορφούμενος Σωτήρ, τοίς προκρίτοις Μαθηταίς, δείξας τήν δόξαν σου Χριστέ, τό αναλλοίωτον ήστραψας τής θεότητος, νεφέλη δέ φωτός συνεκάλεσας, Ηλίαν καί Μωσήν συλλαλούντάς σοι, διό καί Πέτρος έλεγεν, Οικτίρμον, καλόν εστιν ώδε είναι σύν σοί, ο τότε τούτοις, τό φώς σου λάμψας, φώτισον τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Τό αυτό

Είτα είς Κανων τής Εορτής, καί τού Αγίου ούτος, ού η Ακροστιχίς.

Λαυρέντιον κράτιστον υμνώ προφρόνως.

Ωδή α' Ήχος δ'
Τριστάτας κραταιούς

Λειμώνι τής τρυφής, ως Χριστού στρατιώτης, επαξίως εντρυφών, καί ταίς αγγελικαίς, συγχορεύων Δυνάμεσιν, έλλαμψίν μοι φωτοφόρον, δωρηθήναι δυσώπησον, ανυμνούντί σε Μάκαρ Λαυρέντιε.

Αγώνας υποδύς, τού σεπτού μαρτυρίου, νικηφόρος αθλητής, στερρότητι ψυχής, ανεδείχθης Λαυρέντιε, στέφανον δικαιοσύνης, ευπρεπώς ενδυσάμενος, καί διάδημα επινίκιον.

Υιός ως πεφυκώς, καί φωτός καί ημέρας, παραδόξως εκ δυσμών, ως ήλιος ημίν, αισθητός ανατέταλκας, αίγλη τή φαεινοτάτη, καταυγάζων τά πέρατα,

παναοίδιμε Μάρτυς Λαυρέντιε.

Θεοτοκίον

Ρυσθέντες τώ σεπτώ, τοκετώ σου Παρθένε, τών τού Άδου καί φθοράς δεσμών, καί κοσμικής κατακρίσεως άχραντε, Χαίρε κεχαριτωμένη, ευχαρίστως βοώμέν σοι, η σωτήριος πύλη τής χάριτος.

Ωδή γ'

Τόξον δυνατών ησθένησε

Έχων τού Σταυρού τό τρόπαιον, πρός τούς αντιπάλους, ρωμαλέως εχώρησας, καί νικήσας στεφανηφόρος, ανεδείχθης αξιάγαστε.

Νόμω τού Χριστού φραξάμενος, τή νομοθεσία τών δυσσεβών ως αήττητος, αντετάξω γενναιοτάτη, καρτερία παμμακάριστε.

Τόνω θεϊκώ νευρούμενος, τής πολυθεϊας, τήν ασθένειαν έλυσας, τού Χριστού δέ τήν πρό αιώνων, διετράνωσας θεότητα.

Θεοτοκίον

Ίσος τώ Πατρί καί Πνεύματι, φύσει καί ουσία, καί θεότητι γέγονε, τοίς ανθρώποις ίσος ο Λόγος, σαρκωθείς εκ σού Πανάμωμε.

Ο Ειρμός

«Τόξον δυνατών ησθένησε, καί οι ασθενούντες, περιεζώσαντο δύναμιν, διά τούτο εστερεώθη, εν Κυρίω η καρδία μου».

Κάθισμα Ήχος πλ. δ'

Τήν Σοφίαν

Τόν ουράνιον πλούτον συναγα γών, καί τοίς πένησι τούτον προσαγαγών, εσκόρπισας έδωκας, δεομένοις τόν άρτον σου, καί δι' αυτού κτησάμενος, ζωήν τήν ακήρατον, εν τώ Χριστού μαρτυρίω, διέπρεψας ένδοξε, όθεν αριστεύσας, καί νομίμως αθλήσας, τόν στέφανον είληφας, εκ Θεού τών καμάτων σου, Αθλοφόρε Λαυρέντιε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Καί νύν... Τής Εορτής

Ήχος δ' Επεφάνης σήμερον

Εορτή υπέρλαμπρος, η τού Δεσπότου, ήλθε, δεύτε άπαντες, επί τώ όρει νοερώς, προκαθαρθέντες ανέλθωμεν, τώ θαβωρίω εποψόμενοι.

Ωδή δ'

Ο καθήμενος εν δόξη

Ο διάκονος τού Λόγου, καί τώ λόγω κοσμούμενος, τώ τού Λόγου πόθω, γνώμη τής ψυχής σφαγιάζεται, καί σύν τώ Λόγω δικαίως βασιλεύει νύν, ευφροσύνης, καί δόξης αυτού εμφορούμενος.

Νυσταγμόν τής ασεβείας, ευσεβώς ουκ ενύσταξας, εγρηγόρσει θεία τής μαρτυρικής σου ενστάσεως, από βλεφάρων τόν ύπνον τόν εις θάνατον,

απωσάμενος, Μάρτυς Χριστού ιερώτατε.

Κατά τής τών πλανωμένων, δυσσεβούς υπολήψεως, αληθείας όπλοις, καί θεοσεβείας φραξάμενος, ταύτης εις τέλος καθείλες τό μνημόσυνον, διά πίστεως, καί γνωμικής διαθέσεως.

Θεοτοκίον

Ρύπον πάντα τής προτέρας, αποθέμενοι βρώσεως, τής ζωής τόν άρτον, εκ τού ουρανού σιτιζόμεθα, τόν εκ τής γής τής Παρθένου ανατείλαντα, ήν ως πρόξενον, τών αγαθών μεγαλύνομεν.

Ωδή ε'

Ασεβείς ουκ όψονται

Ακλινεί τώ βλέμματι, ταίς θείαις καλλοναίς, ενορών πάντων τών τερπνών, τών εν γή Λαυρέντιε καταπεφρόνηκας, καί δεινών τού σώματος, αλγηδόνων αξιάγαστε.

Τόν Χριστόν διάκονον, γενόμενον ημίν, δωρεών τών εκ τού Πατρός, επιγνούς διάκονος τούτου γεγένησαι, πρός αυτόν δι' αίματος, εκδημήσας Παμμακάριστε.

Ιερόν ανάθημα, καί κόσμος ευπρεπής, τώ Χριστώ μάκαρ προσαχθείς, τήν σκηνήν εφαίδρυνας τήν επουράνιον, ένθα νύν γενόμενος, απολαύεις τής ελλάμψεως.

Θεοτοκίον

Συμφυής καί σύμμορφος, υπάρχων τώ Πατρί, ο Υιός ο μονογενής, τοίς ανθρώποις γέγονε θέλων Ομόφυλος, σαρκωθείς ο Ύψιστος, εκ γαστρός σου Μητροπάρθενε.

Ωδή ς'

Ήλθον εις τά βάθη

Τό άϋλον πύρ σε κατοπτήσαν, τώ Βασιλεί τών όλων, κατεσκεύασεν ήδιστον βρώμα, τώ τήν ημών, σωτηρίαν στέργοντι, καί πεινώντι Παναοίδιμε.

Όλω τώ φωτί προσομιλήσας, τής αρχικής Τριάδος, ως Διάκονος ταύτης υπάρχων, φωτοειδής, Αθλοφόρε γέγονας, καταυγάζων τούς υμνούντάς σε.

Νευρούμενος θεία δυναστεία, ταίς τού πυρός εσχάραις, επικείμενος έφερες Μάρτυς, πόθω Χριστού, τήν ψυχήν πυρούμενος, καί τή δρόσω τή τού Πνεύματος.

Θεοτοκίον

Υπήρξας Θεού Παρθενομήτορ, χωρητικόν δοχείον, θρόνος έμψυχος, άγιον όρος, καί κιβωτός, καί σκηνή θεότευκτος, καί λυχνία χρυσαυγίζουσα.

Ο Ειρμός

«Ήλθον εις τά βάθη τής θαλάσσης, καί κατεπόντισέ με, καταιγίς πολλών αμαρτημάτων, αλλ' ως Θεός, εκ φθοράς ανάγαγε, τήν ζωήν μου πολυέλεε».

## Κοντάκιον Ήχος β'
### Τά άνω ζητών

Πυρί θεϊκώ, φλεχθείς τήν καρδίαν σου, τό πύρ τών παθών, εις τέλος απετέφρωσας, αθλητών εδραίωμα, θεοφόρε Μάρτυς Λαυρέντιε, καί αθλών εβόας πιστώς, Ουδείς με χωρίσει τής αγάπης Χριστού.

### Ο Οίκος

Τόν διαλάμψαντα ως φωστήρα απλανή εν τώ κόσμω, συνελθόντες πιστοί, εν ωδαίς ασμάτων τιμήσωμεν, Λαυρέντιον τόν αθλοφόρον, καί μύστην τών απορρήτων, όπως ταίς αυτού πρεσβείαις, ρυσθώμεν πταισμάτων δεινών, τού νού δέ πάσαν κηλίδα καθαρθέντες, κατίδωμεν Χριστόν, τόν τούτον υπερδοξάσαντα, κραταιώς εναθλούντα καί λέγοντα, Ουδείς με χωρίσει τής αγάπης Χριστού.

## Συναξάριον

Τή Ι' τού αυτού μηνός, μνήμη τών Αγίων μαρτύρων Λαυρεντίου Αρχιδιακόνου, Ξύστου Πάπα Ρώμης καί Ιππολύτου.

### Στίχοι

- Τόν Λαυρέντιον λαύρακα Χριστού λέγω,
- Επ' εσχάρας άνθραξιν εξωπτημένον.
- Τέλους αθλητών καί κλέους τυχείν θέλων,
- Ήθλησας άθλον, Ξύστε, τόν διά ξίφους.
- Τόν Ιππόλυτον ιπποδέσμιον βλέπω,
- Εναντίαν πάσχοντα τή κλήσει πάθος.
- Ώπτησαν δεκάτη Λαυρέντιον ηϋτε ιχθύν.

Τή αυτή ημέρα ο άγιος Ήρων ο φιλόσοφος εν ειρήνη τελειούται.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

## Ωδή ζ'
### Ο διασώσας εν πυρί

Μυσταγωγήσαι προκριθείς, καί διακονήσαι τώ λόγω σκεύος εδείχθης ιερόν, ουρανίου ναού καί ανάθημα, μελωδών τώ ποιήσαντι, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Νόμω ζωής τής εν Χριστώ, περιτειχιζόμενος Μάρτυς, τοίς τού θανάτου καί φθοράς, νομοθέταις τόν νούν ουχ υπέκλινας, αναμέλπων Λαυρέντιε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Ως τις ανάλγητος σαφώς, σώμα περικείμενος Μάρτυς, γενναιοτάτω λογισμώ, τού παμφάγου πυρός κατετόλμησας, ανακράζων πανόλβιε, Ο Θεός ο τών Πατέρων ευλογητός εί.

### Θεοτοκίον

Πύλη εδείχθης νοητή, τής ανατολής τής εξ ύψους, επιφανείσης επί τής γής, τοίς ανθρώποις εκ σού Θεονύμφευτε, υπέρ λόγον καί έννοιαν, τού Θεού τού τών Πατέρων ευλογημένου.

## Ωδή η'

### Λυτρωτά τού παντός

Ρωμαλέω φρονήματι γέγονας, τής αστέκτου φλογός ευτονώτερος, καί ως εν άλλω σώματι, πυρακτούμενος Μάκαρ, Πάντα τά έργα, ευλογείτε εβόας τόν Κύριον.

Ο τούς Παίδας τούς τρείς εκμιμούμενος, καί πυρός κατασβέσας τούς άνθρακας, δρόσω τής θείας χάριτος, ανακράζει καί μέλπει, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον.

Φωτισμός ο Χριστός σοι γενόμενος, την αυτού σε Ισχύν περιέζωσε, καί πρός αυτόν ανήγαγεν ευσεβώς μελωδούντα, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον.

### Θεοτοκίον

Ρίζης τού Ιεσσαί ράβδος πέφυκας, καί Χριστόν τόν Θεόν μου καί Κύριον, υπερφυώς εξήνθησας, τής θεότητος άνθος, πάντα τά έργα, διά τούτο υμνούμέν σε Δέσποτα.

### Ο Ειρμός

«Λυτρωτά τού παντός παντοδύναμε, τούς εν μέσω φλογός ευσεβήσαντας, συγκαταβάς εδρόσισας, καί εδίδαξας μέλπειν, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον».

## Ωδή θ'

### Εύα μέν τώ τής παρακοής

Ολόκληρον θύμα καί δεκτόν θυμίαμα, τώ Δεσπότη προσενήνεξαι, ώσπερ χρυσίον εν καμίνω, πυρί δοκιμασθείς τής αθλήσεως, καί κόσμος τής Εκκλησίας γενόμενος, τών πρωτοτόκων αξιάγαστε.

Νεύσει ακλινεί πρός τόν Θεόν θεούμενος, καί ενώσει τή αμείνονι, λόγω καί θεία θεωρία, φωτί τώ ακροτάτω Λαυρέντιε, κραθήναί σοι τηλαυγώς εξεγένετο, όθεν σε πάντες μακαρίζομεν.

Ως ήλιος Μάκαρ εκ δυσμών ανέτειλας, θαύμα μέγα καί παράδοξον, πάσαν φωτίζων Εκκλησίαν, ταίς σαίςμαρμαρυγαίς αξιάγαστε, καί θάλπων πάντας τή ζέσει τής πίστεως, όθεν σε πάντες μεγαλύνομεν.

### Θεοτοκίον

Σύμβολα Πανάμωμε τής σής γεννήσεως, οι Προφήται προεκήρυξαν, πόρρωθεν ταύτα μυηθέντες, εκ θείας επιπνοίας τού Πνεύματος, καί κόσμω διαπρυσίως εκηρυξαν, ών τάς εκβάσεις νύν θαυμάζομεν.

### Ο Ειρμός

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, σύ δέ

Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν».

Εξαποστειλάριον
Τοίς Μαθηταίς συνέλθωμεν

Αγγελικαίς δυνάμεσι, καί Μαρτύρων χορείαις, Μεγαλομάρτυς ένδοξε, συγχορεύων τώ θρόνω, τής υπερφώτου Τριάδος, καί λαμπραίς ταίς εκείθεν, αυγαίς περιχεόμενος, αίτει φώς καί ειρήνην, τοίς ευσεβώς, εκτελούσι μνήμην σου τήν φωσφόρον, καί σέ φαιδρώς δοξάζουσιν, ώ Λαυρέντιε Μάκαρ.

Καί τής εορτής

Πρό τού Σταυρού σου Κύριε, Μαθητώντούς προκρίτους, λαβών μετεμορφώθης νύν, εν Θαβώρ τώ αγίω, εν ώ Μωσής καί Ηλίας, παρειστήκεισαν τρόμω, δουλοπρεπώς σοι Δέσποτα, συλλαλούντες, μεθών σε, Χριστέ Σωτήρ, σύν Πατρί καί Πνεύματι προσκυνούμεν τόν έκ Παρθένου λάμψαντα, εις βροτών σωτηρίαν.

Εις τόν Στίχον τών Αίνων, Στιχηρά Προσόμοια.

Ήχος β'
Οίκος τού Εφραθά

Φωνή σοι πατρική, ουρανόθεν ήκούσθη, Ούτός εστι βοώσα, Υιός ο αγαπητός μου, αυτού πάντες ακούετε.

Στίχ. Σοί εισιν οι ουρανοί, καί σή εστιν η γή.

Ανέλθωμεν πιστοί, νοητώς εν τώ όρει, τής θεωρίας όπως τήν δόξαν τού Σωτήρος, Θεού ημών κατίδωμεν.

Στίχ. Θαβώρ καί Ερμών εν τώ ονόματί σου αγαλλιάσονται.

Γράφων ο Ψαλμωδός, Θαβώρ Χριστέ Σωτήρ μου, καί Ερμών ανεβόα, εν τώ ονόματί σου, σαφώς αγαλλιάσονται.

Δόξα... Καί νύν... Όμοιον

Παντάναξ Βασιλεύ, ειρήνευσον τόν κόσμον, πρεσβείαις τής αχράντου, Παρθένου παντανάσσης, καί πάντων τών Αγίων σου.

Καί η λοιπή τού Όρθρου Ακολουθία, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΑ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Μάρτυρος Εύπλου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά

Προσόμοια τής εορτής γ' καί τού Αγίου γ'.

Τής εορτής

Ήχος πλ. β'
Τριήμερος ανέστης
Μορφούμενος δι' οίκτον Χριστέ, Αδάμ τόν πρώτον άνθρωπον, εκ Παρθένου, ώφθης δεύτερος Αδάμ, εν όρει δέ Σωτήρ μου, Θαβώρ μετεμορφώθης, παραγυμνών σου τήν θεότητα.

Εξέστησαν ορώντες τήν σήν, τής χάριτος οι πρόκριτοι, καί τού νόμου, Μεταμόρφωσιν Χριστέ, εν όρει τώ αγίω, μεθ' ών σε προσκυνούμεν, σύν τώ Πατρί σου καί τώ Πνεύματι.

Λαμπρύνεται η κτίσις φαιδρώς, τή σή Μεταμορφώσει Χριστέ, ήν τοίς θείοις, Αποστόλοις εν Θαβώρ, Μωσείτε καί Ηλία, υπέδειξας Θεός ών, αρρήτως λάμψας υπέρ ήλιον.

Τού Αγίου

Ήχος α'
Πανεύφημοι Μάρτυρες
Εύπλε παναοίδιμε εχθρού, δυσμενούς κατέβαλες, τάς μηχανάς ανδρειότατε, στερρά αθλήσει σου, προσπαλαίσας τούτον, καί Χριστώ τώ Κτίστη σου, θυσία καθαρά καί ευπρόσδεκτος, καθιερώθης νύν, τώ τών όλων βασιλεύοντι, δι' αιώνος συναγαλλιώμενος.

Εύπλε παναοίδιμε Σταυρώ τού Χριστού φραξάμενος, τά τής ψυχής αισθητήρια, πρός τόν αντίπαλον, εκουσία γνώμη, καρτερώς εχώρησας, καί τούτον προφανώς τροπωσάμενος, συμβασιλεύεις νύν, τώ, τών όλων βασιλεύοντι, δι' αιώνος συναγαλλιώμενος.

Εύπλε παναοίδιμε Χριστόν, αρωγόν κτησάμενος, τών υλικών κατεφρόνησας, καί σώμα δι' αυτόν, τώ διώκτη Μάρτυς, παραδούς εις μάστιγας, αντέστης εναθλών μέχρις αίματος, διό στεφάνω σε, τώ τής νίκης κατεκόσμησεν, ο Δεσπότης καί Σωτήρ καί Κύριος.
Δόξα... Καί νύν... Ήχος δ'
Όρος τό ποτέ ζοφώδες καί καπνώδες, νύν τίμιον καί άγιόν εστιν, εν ώ οι πόδες σου έστησαν Κύριε, πρό αιώνων γάρ κεκαλυμμένον μυστήριον, επ' εσχάτων εφανέρωσεν η φρικτή σου Μεταμόρφωσις, Πέτρω Ιωάννη καί Ιακώβω, οίτινες τήν ακτίνα τού προσώπου σου μή φέροντες, καί τήν λαμπρότητα τών χιτώνων σου, επί πρόσωπον εις γήν κατεβαρύνοντο, οί καί τή εκστάσει συνεχόμενοι, εθαύμαζον βλέποντες, Μωϋσήν καί Ηλίαν, συλλαλούντάς σοι τά μέλλοντα συμβαίνειν σοι, Καί φωνή εκ τού Πατρός εμαρτύρει λέγουσα, Ούτός εστιν ο Υιός μου ο αγαπητός, έν ώ ευδόκησα,

αυτού ακούετε, όστις καί δωρείται τώ κόσμω τό μέγα έλεος.

Εις τόν Στίχον, Στιχηρά τής Εορτής Προσόμοια.

Ήχος β'
Οίκος τού Εφραθά
Φύσιν τήν εξ' Αδάμ, Χριστέ αμεϊψαι θέλων, εν όρει νύν απαίρεις, Θαβώρ παραγυμνώσων, τοίς Μύσταις τήν θεότητα.

Στίχ. Σοί εισιν οι ουρανοί, καί σή εστιν η γή.

Σέλας τό τριλαμπές, αστράψαν απορρήτως, τής θεϊκής σου δόξης, Θαβώρ εν όρει Σώτερ, τήν σύμπασαν εφαίδρυνεν.

Στίχ. Θαβώρ καί Ερμών εν τώ ονόματί σου αγαλλιάσονται.

Αίφνης οι Μαθηταί, τό έξαλλον ιδόντες, τό τής στολής καί πάσης, διαρτίας σου Λόγε, πρηνείς εις γήν κατέπιπτον.
Δόξα... Καί νύν... Ήχος δ'
Εις όρος υψηλόν μεταμορφωθείς ο Σωτήρ, τούς κορυφαίους έχων τών Μαθητών, ενδόξως εξέλαμψας δηλών ότι οι εν ύψει τών αρετών διαπρέψαντες, καί τής ενθέου δόξης αξιωθήσονται, Συλλαλούντες δέ τώ Χριστώ, Μωϋσής καί Ηλίας εδείκνυον ότι ζώντων καί νεκρών κυριεύει, καί ο πάλαι διά νόμου, καί, Προφητών λαλήσας υπήρχε Θεός, ώ καί φωνή τού Πατρός, εκ νεφέλης φωτεινής εμαρτύρει λέγουσα, Αυτού ακούετε, τού διά Σταυρού τόν, Άδην σκυλεύσοντος, καί νεκροίς δωρουμένου ζωήν τήν αιώνιον.

Απολυτίκιον τής Εορτής
Ήχος βαρύς
Μετεμορθώθης εν τώ όρει Χριστέ ο Θεός, δείξας τοίς Μαθηταίς σου τήν δόξαν σου, καθώς ήδυναντο, Λάμψον καί ημίν τοίς αμαρτωλοίς, τό φώς σου τό αϊδιον, πρεσβείαις τής Θεοτόκου, φωτοδότα δόξα σοι.

Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος δ'
Επρφάνης σήμερον
Εορτή υπέρλαμπρος η τού Δεσπότου, ήλθε, δεύτε άπαντες, επί τώ όρει νοερώς, προκαθαρθέντες ανέλθωμεν, τώ θαβωρίω, Χριστόν εποψόμενοι.

Δόξα... Καί νύν... Τό αυτο

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος πλ. α'
Τόν συνάναρχον Λόγον

Ο ομότιμος Λόγος Πατρί καί Πνεύματι, σαρκωθείς εκ Παρθένου εις σωτηρίαν ημών, ανεστράφη τοίς εν γή καθάπερ γέγραπται, καί ανελθών εν τώ Θαβώρ, σύν προκρίτοις Μαθηταίς, ενδόξως μετεμορφώθη, διό υμνούμεν αυτού την θείαν, καί παναγίαν συγκατάβασιν.

Δόξα... Καί νύν... Τό αυτό

Είτα ο πρώτος Κανών τής Εορτής καί τού Αγίου ο παρών, ού η Ακροστιχίς.

Τόν κλεινόν Εύπλον ευσεβώς επαινέσω. Ιωσήφ.

Ωδή α' Ήχος δ'
Τριστάτας κραταιούς

Τώ όπλω τού Σταυρού, ευπλοήσας εισήλθες, εις λιμένα τής ζωής, εν ώ περιχαρώς, αυγαζόμενος ένδοξε, κόπασόν μου τής καρδίας, πολυτάραχον κλύδωνα, γαληνώς τού δοξάζειν τήν μνήμην σου.

Ολόφωτος αστήρ, αρετών δαδουχίαις, καταυγάζων τούς πιστούς, ανέτειλας σοφέ, τώ σεπτώ στερεώματι, Εύπλε τώ τής Εκκλησίας, καί τόν ζόφον απήλασας, τών δαιμόνων δυνάμει τού Πνεύματος.

Νευρούμενος σοφέ, θεϊκή δυναστεία, θαρσαλέω λογισμώ, Θεόν τόν εκ Θεού, γεννηθέντα εκήρυξας, σταύρωσιν εθελουσίως, υπομείναντα ένδοξε, καί θανάτω τόν θάνατον λύσαντα.

Κινείσθω πρός τήν σήν, ευφημίαν πάν στόμα, ότι στόματος εχθρού, ενθέοις διδαχαίς, θεοφόρε εξήρπασας, πάντας τούς ευπειθεστάτως, δεξαμένους τούς λόγους σου, αθλοφόρε Χριστού γενναιότατε.

Θεοτοκίον

Λαμπρύνας σου Χριστός, τήν νηδύν την φωσφόρον, τή καθόδω τή φρικτή, ως ήλιος Αγνή, τοις εν κόσμω ανέτειλε, λύων τής πολυθεϊας, τήν αχλύν τήν καχέσπερον, καί φωτίζων τού κόσμου τά πέρατα.

Ωδη γ'
Ότι στείρα έτεκεν

Εαυτόν εξέδωκας, ώσπερ αμνός εκουσίως, σφαγιασθήναι θέλων, υπέρ Χριστού τού διά σέ, εθελοντί πτωχεύσαντος καί σφαγέντος, Εύπλε παμμακάριστε.

Ιερείον άμωμον, ευωδεστάτη θυσία, καί προσφορά τελεία, προσανηνέχθης τώ Θεώ, περιχαρώς μακάριε, αναμέλπων, Άγιος εί Κύριε.

Νόμοις κρατυνόμενος, Ευαγγελίου θεόφρον, μέσον ανδρών ανόμων, επέστης κράζων εμφανώς, Τοίς μή ζητούσι πάρειμι, διελέγξαι τούτων τήν δυσσέβειαν.

Θεοτοκιον

Ο Θεός εν μέσω σου, κατασκηνώσας, ουδόλως τής παρθενίας κλείθρα, τής σής εσάλευσεν Αγνή όν εκτενώς ικέτευε, στηριχθήναι πάντας τους υμνούντάς σε.

Ο Ειρμός

«Ότι στείρα έτεκεν, ή εξ εθνών Εκκλησία, καί η πολλή εν τέκνοις, ησθένησε συναγωγή, τώ θαυμαστώ Θεώ ήμων βοήσωμεν Άγιος εί Κύριε».

Κάθισμα Ήχος α'

Τόν τάφον σου Σωτήρ

Τούς νόμους τού Χριστού, εν χερσί περιφέρων, επέστης εκβοών, τοίς εχθροίς εν σταδίω, Αυτόκλητος πάρειμι, εναθλήσων στερρότατα, όθεν κλίνας σου, περιχαρώς τόν αυχένα, υποδέδεξαι, τήν εκτομήν τήν τού ξίφους, τελέσας τόν δρόμον σου.

Δόξα... Καί νύν... Τής Εορτής

Ήχος δ' Κατεπλάγη Ιωσήφ

Τή απροσίτω Ιησού, δόξη τού θείου σου φωτός, μεταμορφούμενος τοίς σοίς, έλαμψας θείοις Μαθηταίς, τώ Ιωάννη καί Πέτρω καί, Ιακώβω, εξέστησας αυτούς, τή θεία χάριτι, φωνής γάρ πατρικής, αγαπητόν σε Υιόν, προσμαρτυρούσης ήκουον, καί είδον τήν τού προσώπου σου δόξαν φρικτήν, Σωτήρ ο πάντας, θέλων σωθήναι, φώτισον τάς ψυχάς ημών.

Ωδή δ'

Δι' αγάπησιν Οικτίρμον

Ναός έμψυχος Τριάδος τής παναγίας, ως αληθώς εδείχθης καί ναούς τών ειδώλων, Εύπλε κατηδάφισας, τώ όπλω τής πίστεως.

Ενηδόμενος τώ κάλλει τώ θείω Εύπλε, τών αικισμών καί πόνων, τών απείρων βασάνων, μάκαρ κατεφρόνησας, καί χαίρων ενήθλησας.

Υψηλόφρονα καρδίαν τού παλαμναίου, ταπεινωθείς θεόφρον, εταπείνωσας μάρτυς, καί πρός τόν υψώσαντα, βροτούς ανελήλυθας.

Πυρακτούμενος τώ φίλτρω τώ τού Δεσπότου, πάσαν τήν πλάνην μάρτυς, ενεπύρισας όντως, καί πρός τό μαρτύριον, προθύμως εχώρησας.

Θεοτοκίον

Λιτανεύουσιν οι πλούσιοι τού λαού σου, σέ τήν Τεκούσαν Κόρη, τόν πλουτίσαντα πάντας, θείαις επιγνώσεσι, Χριστόν τόν Θεόν ημών.

## Ωδή ε'
### Ασεβείς ουκ όψονται

Ολικώς ταίς νεύσεσι, ταίς θείαις λαμπρυνθείς, καί ανδρεία όχυρω θείς, ώσπερ λέων άριστε, σύ πρός τό στάδιον, πεποιθώς εισέδραμες, τήν δυσσέβειαν τροπούμενος.

Νέμει σοι τήν άλυπον, ζωήν ο λυτρωτής, δι' αυτόν θάνατον πικρόν, αθλοφόρε ένδοξε, καθυπομείναντι, καί χοροίς συνάπτει σε, τών μαρτύρων αριστεύσαντα.

Έκλινας αυχένα σου, προθύμω λογισμώ, καί τήν κάραν αφαιρεθείς, τώ Χριστώ τρανότερον, καί καθαρώτερον, συνεδέθης Όσιε, απολαύων τής θεώσεως.

### Θεοτοκίον

Υπερτέρα πέφηνας, Αγγέλων αληθώς, τών Αγγέλων τόν ποιητήν, υπέρ νούν κυήσασα, τόν δοξάσαντα τούς Αγίους μάρτυρας, Παναγία Μητροπάρθενε.

## Ωδή ς
### Ήλθον εις τά βάθη

Σταζόμενος αίματι παρέστης, τώ σώ αγωνοθέτη, γενναιότατα Εύπλε θεόφρον, καί παρ' αυτού, τούς στεφάνους είληφας, τούς τής νίκης αγαλλόμενος.

Έστης πρό τού βήματος ανδρείως, τούς τού Δεσπότου νόμους, ταίς αγκάλαις σου Εύπλε κατέχων, καί προφανώς, τούς ανόμους Όσιε, διελέγχων προθυμότατα.

Βασάνων πληθύν μή δειλιάσας, μή φοβηθείς τό ξίφος, τήν αλήθειαν σύ πρό βημάτων δικαστικών, ευσεβώς εκήρυξας, καί τήν πλάνην εθανάτωσας.

### Θεοτοκίον

Ώ θαύμα παράδοξον, πώς τίκτεις, πείραν ανδρός μή γνούσα; πώς θηλάζεις δέ Παρθενομήτορ, τόν χορηγόν, αληθώς τού γάλακτος, καίτροφέα πάσης κτίσεως;

### Ο Ειρμός

«Ήλθον εις τά βάθη τής θαλάσσης, καί κατεπόντισέ με, καταιγίς πολλών αμαρτημάτων, αλλ' ως Θεός, εκ φθοράς ανάγαγε, τήν ζωήν μου Πολυέλεε».

### Συναξάριον

Τή ΙΑ' τού αυτού μηνός, μνήμη τού Αγίου Μεγαλομάρτυρος Εύπλου τού Διακόνου.

### Στίχοι

- Εκ τής στολής μέν, σεπτός Εύπλος Λευΐτης.
- Εκ τής τομής δέ, στερρός όντως οπλίτης.
- Πλήγη ενδεκάτη ξίφει Εύπλος κοπήεντι.

Τή αυτή ημέρα, μνήμη τών Εγκαινίων τού σεβασμίου καί περικαλλούς οίκου καί θείου Ναού τής Υπεραγίας Δεσποίνης ημών Θεοτόκου τής Ελεούσης.

Τή αυτή ημέρα, Διήγησις περί τής αχειροποιήτου Εικόνος τού Κυρίου καί Θεού καί Σωτήρος ημών Ιησού Χριστού.

Μνήμη τών αγίων μαρτύρων Νεοφύτου, Ζήνωνος, Δαϊου, Μάρκου, Μακαρίου καί Δαϊανού, διά πυρός τελειωθέντων.

Ο Όσιος Πασσαρίων εν ειρήνη τελειούται.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Νέοι τρείς εν Βαβυλώνι

Στάξαν σου εν γή τό αίμα, απέσβεσε τήν πυράν, τής πλάνης πανόλβιε, τήν δέ τού Χριστού Εκκλησίαν, πλουσιωτάτως ήρδευσεν, ευσεβώς ανυμνούσάν σε.

Έχων φρόνημα γενναίον, καί άσειστον λογισμόν, τήν πλάνην κατέσεισας, καί προϊσταμένους τού ψεύδους, τοίς αψευδέσιν ήλεγξας, διδαχαίς Εύπλε πάνσοφε.

Πύλη σοι τού Παραδείσου, Εύπλε μάρτυς τού Χριστού, ηνοίχθη μακάριε, κεκαλλωπισμένον ιδούσα τώ θείω πάθει, καί τώ νικητικώ διαδήματι.

Άνθρακι κεκαθαρμένος, θείω μάρτυς τήν ψυχήν, άνθρακας κατέσβεσας, τής πολυθεϊας κραυγάζων, Ευλογητός εί Κύριος ο Θεός ο τών πατέρων ημών.

Θεοτοκίον

Ίνα σου τήν θείαν μήτραν, κάμινος η Περσική, τυπώση Πανάμωμε, σώζει Νεανίας αφλέκτους αναβοώντας, Κύριε ο Θεός ευλογητός εί.

Ωδή η'

Λυτρωτά τού παντός

Νοσημάτων παντοίων καθάρσιον, καί πνευμάτων δεινών ελατήριον, τό σόν υπάρχει Λείψανον, ο κυκλούντες βοώμεν, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον.

Επί σοί τών πιστών δήμος γέγηθε, πρός Χριστόν σε μεσίτην κτησάμενος, καί πρεσβευτην θερμότατον, καί προστάτην παμμάκαρ Εύπλε Λευίτα, τών Αγίων Αγγέλων συνόμιλε.

Συνελθόντες αρύσασθε άνθρωποι, νοσημάτων κατάλληλον ίαμα, εκ τής σορού τού μάρτυρος, καί βοήσατε πίστει, Πάντα τά εργα, ευλογείτε υμνείτε τόν Κύριον.

Θεοτοκίον

Ωραιώθης Αγνή παναμώμητε, υπέρ πάσαν Αγγέλων ευπρέπειαν, τόν ποιητήν κυήσασα, τών βροτών καί Αγγέλων, ώ μελωδούμεν, Ευλογείτε τά έργα τόν Κύριον.

Ο Ειρμός

«Λυτρωτά τού παντός, Παντοδύναμε, τούς έν μέσω φλογός ευσεβήσαντας, συγκαταβάς εδρόσισας, καί εδίδαξας μέλπειν, Πάντα τά έργα, ευλογείτε, υμνείτε τόν Κύριον».

Ωδή θ'

Εύα μέν τώ τής παρακοής

Ιδείν ηξιώθης αληθώς πανόλβιε, τά μακρόθεν σοι ποθούμενα, έστης εφέσεως ως φθάσας, αυτό τών ορεκτών τό ακρότατον, τού πόθου σου σαφώς τό συμπέρασμα, Εύπλε Λευίτα αξιάγαστε.

Ως σκήπτρον κατέχων τόν Σταυρόν μακάριε, τή χειρί σου τήν πορφύραν δέ, ήν εξ αιμάτων ιερών σου, εφοίνιξας λαμπρώς περικείμενος, Χριστώ τώ Βασιλεί νύν παρίστασαι, Εύπλε μαρτύρων ακροθίνιον.

Σήμερον Κατάνη η σεπτή μητρόπολις, πολιούχον ταύτης άριστον, σέ κεκτημένη εορτάζει, τήν θείαν εκτελούσά σου άθλησιν, σύν πάσαις επαρχίαις καί πόλεσιν, ήν περιέποις σαίς δεήσεσιν.

Ήλιος ολόφωτος σαφώς γεγένησαι, καί πρός φέγγος κατεσκήνωσας, Μάρτυς τό θείον τή μεθέξει, θεούμενος τή θεία μακάριε, καί νύν φωταγωγείς τούς υμνούντάς σου, τήν φωτοφόρον μάκαρ άθλησιν.

Θεοτοκίον

Φωτός, τού εν σοί μαρμαρυγαίς Θεόνυμφε, τήν ψυχήν μου φωταγώγησον, κείμενον βόθρω απωλείας, ανάστησον, εχθρούς Καταισχύνουσα, τούς θλίβοντας αεί τήν καρδίαν μου, καί πρός τά πάθη συνωθούντάς με.

Ο Ειρμός

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν».

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Διόλου ανακείμενος, Θεώ τώ παντοκράτορι, καί αστραπαίς ταίς εκείθεν, λαμπόμενος αθλοφόρε, τών εκτελούντων μέμνησο, τήν φωτοφόρον μνήμην σου, καί σέ τιμώντων Αγιε, ώς τού Χριστού Μυστηρίων, Διάκονον μάρτυς Εύπλε.

Καί τής Εορτής

Φώς αναλλοίωτον Λόγε, φωτός Πατρός αγεννήτου, εν τώ φανέντι φωτί σου, σήμερον εν θαβωρίω, φώς είδομεν τόν Πατέρα, φώς καί τό Πνεύμα, φωταγωγούν πάσαν κτίσιν.

Εις τόν Στίχον τών Αίνων, Στιχηρά Προσόμοια.

Ήχος β'
Οίκος τού Εφραθά

Χαίρετε ή τριάς, τών θείων Αποστόλων, ή τής Τριάδος είδες, τόν κατ' ουσίαν ένα, εις όρος τό θαβώριον.

Στίχ. Σοί εισιν οι ουρανοί, καί σή εστιν η γή.

Εύγέ σοι τώ Θαβώρ, τώ πρίν ζοφωδεστάτω, φωτός γάρ ηξιώθης, ουκ αισθητού ηλίου, τής άνω δέ λαμπρότητος.

Στίχ. Θαβώρ καί Ερμών εν τώ ονόματί σου αγαλλιάσονται.

Φωτί μέν τώ τού σού, προσώπου ελλαμφθέντες, οι Μαθηταί σου Σώτερ, μή φέροντες τήν αίγλην, εις γήν άφνω κατέπιπτον.

Δόξα... Καί νύν... Όμοιον

Είδον εν τώ Θαβώρ, Μωσής τε καί Ηλίας, τόν εκ Παρθένου Κόρης, Θεόν σεσαρκωμένον, βροτών εις απολύτρωσιν.

Η λοιπή Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΒ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Μαρτύρων Φωτίου καί Ανικήτου.

ΕΙΔΗΣΙΣ. Εν ταύτη τή ημέρα ψάλλεται καί η Ακολουθία τού Οσίου Πατρός ημών Μαξίμου τού Ομολογητού, διά τό εν τή ιγ' αποδίδοσθαι τήν Εορτήν τής Μεταμορφώσεως.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά προσόμοια τών Αγίων Μαρτύρων γ'.

Ήχος δ'
Έδωκας σημείωσιν

Πύρ ουκ επτοήθητε, ού κατατέμνοντα όργανα, ου θυμόν αλογώτατον, αφρόνως δικάζοντος, ουχ ορμάς λεόντων, ου βράσεις λεβήτων, ου τών μελών τάς εκκοπάς, ουδέ θανάτου πικράν απόφασιν, υμάς αθανατίζουσαν, καί πρός Θεόν τόν αθάνατον, ευκλεώς παραπέμπουσαν, αθληταί γενναιότατοι.

Τό μακαριώτατον, καί κατά πάντα σεβάσμιον, καί αξίοις ποθούμενον, τέλος

απειλήφατε, καί τάς δι' αιώνος, γενναίοι ελπίδας, καί αναβλύζετε ημίν, κρουνούς θαυμάτων φλογμόν εξαίροντας, παθών ψυχής καί σώματος, τών ευσεβώς τήν ετήσιον, εορτήν υμών πάντοτε, εκτελούντων Πανεύφημοι.

Φώτιος ο ένδοξος, καί ο θεόφρων Ανίκητος, η δυάς η πανάριστος, Τριάδος λαμπρότησι, κατηγλαϊσμένοι, καί πεποικιλμένοι, ταίς τών στιγμάτων καλλοναίς, μετά Αγγέλων αεί αγάλλονται, τοίς πίστει δέ τήν ένδοξον, καί Ιεράν αυτών άθλησιν, εορτάζουσι νέμουσι, φωτισμόν τε καί έλεος.

Καί τού Οσίου Μαξίμου γ'

Ήχος ο αυτός

Ως γενναίον εν Μάρτυσι

Τόν δι' οίκτον γενόμενον, ως ευδόκησεν άνθρωπον, εν δυσί θελήσεσιν ενεργείαις τε, κατανοούμενον Όσιε, εκήρυξας Μάξιμε, αποφράττων μιαρών τά απύλωτα στόματα, μονοθέλητον, μονενέργητον, τούτον δοξαζόντων, επηρεία διαβόλου, τού τήν κακίαν τεκτήναντος.

Ταίς νευραίς τών δογμάτων σου, Πύρρον Πάτερ απέπνιξας, ληρωδούντα Μάξιμε τόν κακόφρονα, καί διωγμούς εκαρτέρησας, καί θλίψεις αοίδιμε, μαστιζόμενος σφοδρώς, καί τήν γλώτταν τεμνόμενος, καί τήν πάντοτε, πρός Θεόν αιρομένην θείαν χείρα, δι' ής γράφων διετέλεις, τά υψηλότατα δόγματα.

Οξυγράφου ως κάλαμος, τεθηγμένη τώ Πνεύματι, η αγία γέγονε Μάκαρ γλώσσά σου, καλλιγραφούσα εν πνεύματι, πλαξί καρδιών ημών, νόμον θείων αρετών, καί δογμάτων ακρίβειαν, καί τήν σάρκωσιν, τού εν δύο ουσίαις τοίς ανθρώποις, καί μιά τή υποστάσει, εμφανισθήναι θελήσαντος.

Δόξα... Ήχος πλ. δ'

Τών μοναστών τά πλήθη, τόν καθηγητήν σε τιμώμεν, Πατήρ ημών Μάξιμε, διά σού γάρ τήν τρίβον, τήν όντως ευθείαν, πορεύεσθαι έγνωμεν, Μακάριος εί, τώ Χριστώ δουλεύσας, καί εχθρού θριαμβεύσας τήν δύναμιν, Αγγέλων συνόμιλε, Οσίων συμμέτοχε καί Δικαίων, μεθ' ών πρέσβευε τώ Κυρίω, ελεηθήναι τάς ψυχάς ημών.

Καί νύν... Ήχος ο αυτός

τής Εορτής

Τόν γνόφον τόν νομικόν, η φωτεινή τής Μεταμορφώσεως, διεδέξατο νεφέλη, εν ή Μωϋσής καί Ηλίας γενόμενοι, καί τής υπερφώτου δόξης αξιωθέντες, Θεώ έλεγον, Σύ ο εί Θεός ημών, Βασιλεύς τών αιώνων.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια τής Εορτής.

Ήχος β'

Οίκος τού Εφραθά

Όρει εν τώ Θαβώρ, προσέλθωμεν προθύμως, θεάσασθαι τήν δόξαν, τού πάντων βασιλέως, Χριστού τού λυτρωτού ημών.

Στίχ. Σοί εισιν οι ουρανοί, καί σή εστιν η γή.

Ώφθης σύν Μωϋσή, Ηλία τε Σωτήρ μου, καί Μαθητών προκρίτοις, εν όρει θαβωρίω, αστράψας υπέρ ήλιον.

Στίχ. Θαβώρ καί Ερμών εν τώ ονόματί σου αγαλλιάσονται.

Ήκουον πατρικής, φωνής προσβεβαιούσης, τήν δόξαν σου Σωτήρ μου, οι Μαθηταί καί φόβω, πρηνείς εις γήν κατέπιπτον.

Δόξα... Ήχος πλ. β' Τού Οσίου

Όσιε Πάτερ, εις πάσαν την γήν εξήλθεν ο φθόγγος τών κατορθωμάτων σου, δι' ών εν τοίς ουρανοίς, εύρες μισθόν τών καμάτων σου, Τών δαιμόνων έτρεψας τάς φάλαγγας, τών Αγγέλων έφθασας τά τάγματα, ών τόν βίον αμέμπτως εζήλωσας, Παρρησίαν έχων πρός Χριστόν τόν Θεόν, ειρήνην αίτησαι ταίς ψυχαίς ημών.

Καί νύν... Ήχος πλ. δ' Τής Εορτής

Τής θεότητός σου Χριστέ, αμυδράν αυγήν παραγυμνώσας, τοίς συναναβάσί σοι επί τού όρους, τής υπερκοσμίου σου δόξης εποίησας κοινωνούς, όθεν ενθεαστικώς εκραύγαζον, Καλόν εστιν ημάς ώδε είναι, Μεθ' ών καί ημείς, σέ τόν μεταμορφωθέντα Σωτήρα Χριστόν, ανυμνούμεν εις τούς αιώνας.

Απολυτίκιον τού Οσίου

Ήχος πλ. δ'

Ορθοδοξίας οδηγέ, ευσεβείας διδάσκαλε, καί σεμνότητος, τής οικουμένης ο φωστήρ, τών μοναζόντων θεόπνευστον εγκαλλώπισμα, Μάξιμε σοφέ, ταίς διδαχαίς σου πάντας εφώτισας, Λύρα τού Πνεύματος, πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Απολυτίκιον τής Εορτής

Ήχος βαρύς

Μετεμορθώθης εν τώ όρει Χριστέ ο Θεός, δείξας τοίς Μαθηταίς σου τήν δόξαν σου, καθώς ήδυναντο, Λάμψον καί ημίν τοίς αμαρτωλοίς, τό φώς σου τό αϊδιον, πρεσβείαις τής Θεοτόκου, φωτοδότα δόξα σοι.

Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος δ'

Κατεπλάγη Ιωσήφ

Τήν τών βροτών εναλλαγήν, τήν μετά δόξης σου Σωτήρ, εν τή δευτέρα καί φρικτή, τής σής ελεύσεως δεικνύς, επί τού όρους Θαβώρ μετεμορφώθης, Ηλίας καί Μωσής συνελάλουν σοι, τούς τρείς τών Μαθητών συνεκάλεσας, οί

κατιδόντες Δέσποτα τήν δόξαν σου, τή αστραπή σου εξέστησαν, ο τότε τούτοις, τό φώς σου λάμψας, φώτισον τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα όμοιον

Εν τώ όρει τώ Θαβώρ, μεταμορφούμενος Σωτήρ, τοίς προκρίτοις Μαθηταίς, δείξας τήν δόξαν σου Χριστέ, τό αναλλοίωτον ήστραψας τής θεότητος, Νεφέλη δέ φωτός συνεκάλεσας, Ηλίαν καί Μωσήν συλλαλούντάς σοι, διό καί Πέτρος έλεγεν, Οικτίρμον, καλόν εστιν ώδε είναι σύν σοί, ο τότε τούτοις, τό φώς σου λάμψας, φώτισον τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Τό αυτό

Είτα οι Κανονες, ο πρώτος τής Εορτής, καί οι δύο επόμενοι τών Αγίων.

Κανών τών Μαρτύρων, ού η Ακροστιχίς.

Τερπνήν επαινώ Μαρτύρων ξυνωρίδα. Ιωσήφ.

Ωδή α' Ήχος δ'

Θαλάσσης τό ερυθραίον

Τοίς πόνοις τοίς τής σαρκός πανεύφημοι, εγκαρτερήσαντες, ευσθενεστάτη πίστει λογισμού, πρός τήν άπονον χαίροντες, ζωήν μετεβιβάσθητε, υπερ ημών αεί πρεσβεύοντες.

Ενθέοις οχυρωθείς Ανίκητε, όπλοις τής πίστεως, πρός συμπλοκήν ασάρκων δυσμενών, ρωμαλέως εχώρησας, καί τά αυτών στρατεύματα, θεία δυνάμει εξηφάνισας.

Ρητόρων αδολεσχίαν ένδοξε, καί νούν αδόκιμον, Ελληνιστών φρονήσει θεϊκή, λαμπρυνόμενος ήσχυνας, καί σεαυτόν Ανίκητε, όλον πρός άθλησιν εκδέδωκας.

Θεοτοκίον

Παρθένος καί πρό τόκου Άχραντε, καί μετά γέννησιν, ως αληθώς εδείχθης, τόν Θεόν, υπέρ λόγον γάρ έτεκες, τόν τούς Αγίους μάρτυρας, ενηθληκότας στεφανώσαντα.

Κανών τού Οσίου, ού η Ακροστιχίς. (άνευ τών Θεοτοκίων).

Ο παμμέγιστος Μάξιμος δοξάζεται.

Ιωάννου Μοναχού.

Ωδή α' Ήχος πλ. δ'
Άσωμεν τώ Κυρίω

Όλην μοι τήν θεόπνουν, εκ τής μελιρρύτου καί ηδείας σου, εναπόσταξον γλώττης, θείε Μάξιμε χάριν τού Πνεύματος.

Πύρ καιόμενον ώφθης, κατά τών αιρέσεων μακάριε, ως καλάμην γάρ ταύτας, κατηνάλωσας ζήλω τού Πνεύματος.

Άλογον προετέθη, εκ δυσσεβεστάτης προαιρέσεως, μονοθέλητον δόγμα, τοίς δέ λόγοις σου Πάτερ διήλεγκται.

Θεοτοκίον

Άχραντε Θεοτόκε, η σεσαρκωμένον τόν αϊδιον, καί υπέρθεον Λόγον, υπέρ φύσιν τεκούσα υμνούμέν σε.

Τών Μαρτύρων

Ωδή γ'
Ευφραίνεται επί σοί

Νικήσας μετά Χριστού, τάς παρατάξεις τού εχθρού στέφανον, νικητικόν έλαβες, Μάρτυς αθλοφόρε Ανίκητε.

Ηλόγησαν τής σαρκός, ως φθειρομένης οι Χριστού μάρτυρες, καί χαλεπά βάσανα, γνώμη ρωμαλέα υπήνεγκαν.

Ναμάτων ζωοποιών, πεπληρωμένοι θολερά ρεύματα, πλάνης σοφοί μάρτυρες, ρεύμασιν αιμάτων επαύσατε.

Θεοτοκίον

Ενώκησεν επί σοί, ο κατοικών τούς ουρανούς Κύριος, καί εξ ημών άπασαν, πλάνην Θεοτόκε εξώκισεν.

Τού Οσίου

Σύ εί τό στερέωμα

Μέγιστος ο Μάξιμος, τής ευσεβούς Χριστού πίστεως, παναληθής, κήρύξ τε καί μάρτυς, ανεδείχθη δι' αίματος.

Μάξιμε μακάριε, συ δι' ασκήσεως γέγονας, θεοπρεπές, τής φιλοσοφίας, καί σοφόν ενδιαίτημα.

Έβλυσεν η γλώσσά σου, ποταμηδόν Χριστού δόγματα, πανευσεβή, Μάξιμε παμμάκαρ, τής σοφίας ο τρόφιμος.

Θεοτοκίον

Σέ πάντες κεκτήμεθα, καταφυγήν καί τείχος ημών, Χριστιανοί, σέ δοξολογούμεν, ασιγήτως Πανυμνητε.

Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Κοντάκιον τής Εορτής

Τού Οσίου Ήχος πλ. β'
Τήν υπέρ ημών

Φώς τό τριλαμπές, Οικήσαν εν τή ψυχή σου, σκεύος εκλεκτόν ανέδειξέ σε παμμάκαρ, σαφηνίζεις καί γάρ τά θεία τοίς πέρασι, δυσεφίκτων νοημάτων τε τήν δήλωσιν μακάριε, τήν Τριάδα πάσι Μάξιμε, ανακηρύττων τρανώς, υπερούσιον άναρχον.

Ο Οίκος

Τών Ιερέων η κρηπίς, η βάσις τών δογμάτων, η σάλπιγξ τής σοφίας, Μαρτύρων η ακρότης, καί τών πιστών ο στηριγμός, κόσμω προανίσχει Μάξιμος ο θαυμαστός, διά τής θείας αυτού μνήμης σήμερον, Τούτου ούν πρός τήν λάμψιν ανάστητε πάντες, τήν παρρησίαν καίτόν ζήλον ευφημούντες, όν έδειξεν υπέρ ευσεβείας, δι' ήν αληθώς ως ποιμήν, υπέρ ποίμνης παρετάξατο στερρώς κατά τών λύκων, ούς καταβαλών βραβείοις νίκης εστέφθη, τήν Τριάδα πάσιν ανακηρύττων τρανώς, υπερούσιον άναρχον.

Κάθισμα τών Αγίων Ήχος δ'
Ο υψωθείς ήν τώ Σταυρώ

Καταβαλόντες τού εχθρού τάς επάρσεις, τή καρτερία τών δεινών αθλοφόροι, τόν ουρανόν ωκήσατε γηθόμενοι, Φώτιε αοίδιμε, καί Ανίκητε μάκαρ, όθεν μακαρίζεσθε, εις αιώνας αιώνος, υπέρ ημών πρεσβεύοντες Χριστώ, τών εκτελούντων υμών τά μνημόσυνα.

Δόξα... Τού Οσίου
Ήχος γ' Τήν ωραιότητα

Τά κατορθώματα τής πολιτείας σου, πάντων φωτίζουσι τά διαβήματα, Μάξιμε Πάτερ αληθώς, τών πίστει μιμουμένων σε, όθεν τούς εκ πόθου σε, μακαρίζοντας πάντοτε, σώζε ταίς πρεσβείαις σου, από πάσης στενώσεως, Χριστόν τόν αγαθόν ικετεύων, μάκαρ αξιοθαύμαστε.

Καί νύν... Τής Εορτής όμοιον

Τής θείας δόξης σου, όντως απαύγασμα, καθώς ηδύναντο, έδειξας Λόγε Θεού, τοίς Μαθηταίς σου εν Θαβώρ, όρει μεταμορφούμενος, οίς συνελλαμφθείημεν, καί ημείς οι υμνούντές σε, μόνε αναλλοίωτε, Ιησού παντοδύναμε, καί πίστει σοι συμφώνως βοώντες, Δόξα Χριστέ τή βασιλεία σου.

Τών Μαρτύρων

Ωδή δ'
Επαρθέντα σε ιδούσα

Πυρακτούμενοι αγάπη Θεού προθύμως, φλόγα πυρός υπήλθετε, μένοντες τή δρόσω άφλεκτοι τού Πνεύματος, αήττητοι μάρτυρες, θείοι πρεσβευταί τών

ψυχών ημών.

Απηρνήσαντο τό σώμα Ποικιλοτρόπως, οι Αθληταί ξεόμενοι, όλω τώ νοϊ γάρ, τώ Θεώ ητένιζον, τω τούτοις παρέχοντι τήν υπομονήν διά πίστεως.

Ισχυρότατοι ως πύργοι τής ευσεβείας, τείχη εχθρού καθείλετε, καί πόλεως θείας, μάρτυρες κραυγάζοντες, πολίται γεγόνατε, Δόξα τή δυνάμει σου Κύριε.

Νυσταγμόν ουκ ενυστάξατε δυσσεβείας, αλλ' εγρηγόρσει μάρτυρες θεία, τούς υπνούντας, πάντοτε εις θάνατον, πρός φώς εξεγείρετε, τής θεογνωσίας εν χάριτι.

Θεοτοκίον

Ως ωραία απεκύησας τόν ωραίον, Παρθενομήτορ άχραντε, τόν ωραιοτάτους, δείξαντα τούς μάρτυρας, στερρώς εναθλήσαντας, καί τήν αθεϊαν μειώσαντας.

Τού Οσίου

Εισακήκοα Κύριε

Γηγενείς σε γεραίρουσι, καί τών ουρανίων τάξεις θαυμάζουσι, τή φιλία τής σοφίας γάρ, ανεδείχθης Πάτερ ώσπερ άσαρκος.

Ιταμός μέν ο τύραννος, αλλ' η καρτερία σου ακατάπληκτος, όθεν σύ μέν μεμακάρισαι, εκείνος δέ Πάτερ εξωστράκισται.

Συναθλούσί σοι Μάξιμε, η τών μαθητών δυάς η πανόλβιος, σοί τών άθλων, κοινωνήσαντες, διό καί επάθλων ίσων έτυχον.

Τή ροή σου τού αίματος, καταρδευομένη η Χριστού Εκκλησία, εξανθεί πατροπαράδοτον, τού θείου σου σπόρου δόγμα Όσιε.

Θεοτοκίον

Η τόν στάχυν βλαστήσασα, τόν ζωοποιόν ανήροτος άρουρα, τόν παρέχοντα τώ κόσμω ζωήν, Θεοτόκε σώζε τούς υμνούντάς σε.

Τών Μαρτύρων

Ωδή ε'

Σύ κυριέ μου φώς

Μυρίοις αικισμοίς, νεκρωθέν τό σαρκίον σου, Ανίκητε τήν αγήρω, καί αθάνατον δόξαν, παμμάκαρ προεξένησεν.

Ανάλωτος πυρί, κατακαίοντι γέγονας, ώ Φώτιε θείου φέγγους, κοινωνέ καί ημέρας, αδύτου τέκνον γνήσιον.

Ρεόντων τήν φθοράν, παντελώς απεκρούσαντο, ποθή σαντες τών μενόντων, τό τερπνόν ολοψύχως, οι Μάρτυρες οι ένδοξοι.

Θεοτοκίον

Τίς δύναται τό σόν, ερμηνεύσαι μυστήριον, ώ Δέσποινα Θεοτόκε;υπέρ νούν γάρ καί λόγον, Θεόν αφράστως τέτοκας.

Τού Οσίου

Ορθρίζοντες βοώμέν σοι

Ο γνώσιν γηϊνων αθροίσας, καί ουρανίων, ενδίκως φιλόσοφος, κατονομάζεται Μάξιμος.

Σοφίας τής αμείνω τώ έρωτι, τού Χριστού σου, μιμητής πανάριστος, ώφθης αοίδιμε Μάξιμε.

Μανία υπερόριος γέγονας, τού τυράννου, εύρες δέ μακάριε, τόν, Ιησούν παραμύθιον.

Θεοτοκίον

Κατεύνασον τόν άστατον κλύδωνα, τών παθών μου, η Θεόν κυήσασα, τόν κυβερνήτην καί Κύριον.

Τών Μαρτύρων

Ωδή ς'

Θύσω σοι μετά φωνής

Υψώθης, ανηλεώς εν ξύλω ξεόμενος, τό τής νεκρώσεως πάθος, απορρίπτων, θείαν καταστολήν τε, ουρανόθεν, ενδυόμενος Μάρτυς Ανίκητε.

Ρήξαντες, τούς δεσμούς τής απάτης οι Άγιοι, εν τώ δεσμείσθαι ευτόνως, τής υπομονής τε καί καρτερίας, θείοις βρόχοις, τόν προστάτην τού σκότους απέπνιξαν.

Ώφθητε, ως μεγάλοι φωστήρες φωτίζοντες, μαρμαρυγαίς ιαμάτων, καί ακτίσι θείων αγωνισμάτων, πάσαν κτίσιν, Αθλοφόροι Χριστού γενναιότατοι.

Θεοτοκίον

Νομίμων, απεκύησας δίχα Πανάμωμε, τόν αληθή νομοθέτην, όν δυσώπει νόμω τής αμαρτίας, τήν ψυχήν μου, τροπουμένην οικτίραι καί σώσαί με.

Τού Οσίου

Χιτώνά μοι παράσχου

Ανένδοτον προσφέρων τώ Θεώ, θεοφόρε δέησιν, ψυχής τε καί σώματος, τών παθών καί τής φθοράς ημάς λύτρωσαι.

Ξηραίνεται αιρέσεως πηγή, βορβορώδους άπασα, αοίδιμε Μάξιμε, φραττομένη τή ηδύτητι τής γλώττης σου.

Ιλάσθητί μοι μόνε αγαθέ, καί πηγήν τής χάριτος Χριστέ τή καρδία μου, ταίς λιταίς τού σού Οσίου ανάβλυσον.

Θεοτοκίον

Η μόνη διά λόγου εν σαρκί, τόν Λόγον κυήσασα, ρύσαι δεόμεθα, τών παγίδων τού εχθρού τάς ψυχάς ημών.

Ο Ειρμός

«Χιτώνά μοι παράσχου φωτεινόν, ο αναβαλλόμενος, φώς ως ιμάτιον, πολυέλεε Χριστέ ο Θεός ημών».

Κοντάκιον τών Αγίων

Ήχος β' Τά άνω ζητών

Τούς θείους πιστοί, οπλίτας ευφημήσωμεν, τό ζεύγος Χριστού, τής δόξης εγκωμιάσωμεν, καί στερρούς ως κήρυκας, ευσεβείας άπαντες φίλαθλοι, καί Θεού όντως εραστάς, εν ύμνοις ασμάτων καταστέψωμεν.

Ο Οίκος

Γή καί σποδός, σαπρία τε καί σκώληξ, δι' αισχρών καί βεβήλων έργων καί λογισμών υπάρχων, μόνε φιλάνθρωπε, σέ ικετεύω, καί σοί προσπίπτω, εκκαθαραί με τώ σπόγγω τών οικτιρμών σου, Χριστέ, τού ρύπου, όν εν έργοις καί λόγοις συνήθροισα, φωτίσαι δέ τό ζοφώδες τού νοός μου τή αίγλη τής σής χάριτος, ίνα αξίως τήν ένστασιν τών μαρτύρων Σωτήρ μου εξείποιμι, εν ύμνοις ασμάτων καταστέφων αυτούς.

Σ υ ν α ξ ά ρ ι ο ν.

Τή ΙΒ' τού αυτού μηνός, μνήμη τών Αγίων Μαρτύρων Φωτίου καί Ανικήτου.

Στίχοι

- Πύρ Ανίκητον συμφλέγει τώ Φωτίω,
- Ούς φωτός οίκος ως ανικήτους φέρει.
- Πύρ κατά δωδεκάτην κτάνε Φώτιον ηδ' Ανίκητον.

Οι όσιοι Κάστωρ καί Παλάμων, εν ειρήνη τελειούνται.

Οι άγιοι δώδεκα στρατιώται μάρτυρες, οι εκ Κρήτης ορμώμενοι, ξίφει τελειούνται.

Τή αυτή ημέρα, μνήμη τών Αγίων μαρτύρων Παμφίλου καί Καπίτωνος, ξίφει τελειωθέντων.

Στίχοι

- Οι κείμενοι γή, καί λύθρω πεφυρμένοι,
- Ξίφος μετήλθον, Πάμφιλος καί Καπίτων.

Τή αυτή ημέρα, μνήμη τών οσίων Σεργίου καί Στεφάνου εν ειρήνη τελειωθέντων.

Στίχοι

- Ίσων ιδρώτων, Σεργίω καί Στεφάνω,
- Ίσοι στέφανοι, καί γάρ ούτω τό πρέπον.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τών Μαρτύρων

Ωδή ζ'
Εν τή καμίνω

Ξένον αγώνα, διηνυκότες ξένοι ώφθητε, όντως φρονημάτων ένδοξοι τής σαρκός, τών Αγγέλων συμπολίται δέ, κληρονόμοι τε τού Χριστού, μεγαλώνυμοι μάρτυρες.

Υπομονή τε, καί καρτερία ενικήσατε, πάντων δυσμενών αθέων επιβουλάς, καί φαιδροί πόνοις γενόμενοι, πρός φέγγος άδυτον, μετεβιβάσθητε, παναοίδιμοι.

Ναός Τριάδος, τής υπερθέου γενόμενος, στήλας καί ναούς ηδάφισαν ανδρικώς, τών αθέων οι πανεύφημοι, καί πρός ουράνιον, λαόν μετεβιβάσθη σαν αγαλλόμενοι.

Θεοτοκίον

Ως πλατυτέρα, τών ουρανών Αγνή υποδέδεξαι, Λόγον μηδαμού χωρούμενον υπέρ νούν, στενωτάτην τούς οδεύοντας, οδόν πανάμωμε, πρός πλατυσμόν, εισάγοντα θείας ζωής.

Τού Οσίου

Οι εκ τής Ιουδαίας

Μίαν φύσιν Τριάδος, μίαν θέλησιν έφης, μίαν ενέργειαν, Θεού δέ σαρκωθέντος, δύο φύσεις, θελήσεις, ενεργείας εκήρυξας, ο τών Πατέρων βοών, Θεός ευλογητός εί.

Ού θελήματα δύο, διαιρούμενα γνώμης εναντιότητι, ποιότητι δέ μάλλον, ανεκήρυξας Πάτερ, φυσική διαφέροντα, ο τών Πατέρων βοών, Θεός ευλογητός εί.

Στήλην Ορθοδοξίας, τούς ενθέους σου λόγους Πάτερ κατέχοντες, τόν ένα τής Τριάδος, εν δυσί ταίς ουσίαις, καί θελήσεσι σέβομεν, τόν τών Πατέρων ημών, Θεόν τόν σαρκωθέντα.

Δύο Πάτερ ειδότες, ενεργείας τού οίκτω σεσαρκωμένου Θεού, δισσάς αυτεξουσίως, θελήσεις διδαχθέντες, υπό σού αναμέλπομεν, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Τών Μαρτύρων

## Ωδή η'

## Χείρας εκπετάσας

Ρωμαλέον φρόνημα σοφοί, επιδεικνύμενοι, θηρών ορμήματα, ουκ επτοήθητε βράσματα, τών λεβήτων ουκ επτήξατε, ου τών μελών τάς εκτομάς, ου βασάνων ποινάς, εκβοώντες, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Ιάσθε τά πάθη τών πιστών, εξεικονίσαντες, πάθος μακάριον, υμών τοίς πάθεσιν Άγιοι, καί καθαίρετε νοσήματα, καί φυγαδεύετε δεινά βοώντες πνεύματα, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

Δυάς αθλητών περικαλλής, Τριάδα άκτιστον, καθωμολόγησε, καί μυριόλεκτον ώλεσε, πολεμίων όντως φάλαγγα, καί μυριάσι νοηταίς συνήφθη μέλπουσα, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

### Θεοτοκίον

Αγία Παρθένε η Θεόν, τόν υπεράγιον, αποκυήσασα, τόν στεφανώσαντα χάριτι, τούς Αγίους τούτους μάρτυρας, σώ σον αγίασον ημάς, προθύμως μέλποντας, Ευλογείτε, πάντα τά έργα Κυρίου τόν Κύριον.

## Τού Οσίου

## Νικηταί τυράννου

Ολικώς ποθήσας, τόν υπερποθήσαντα γένος ανθρώπων, τόν σταυρόν σου ήρας, καί αυτώ μακάριε συνεσταυρώθης, Ευλογείτε κράζων, τά έργα τόν Κύριον, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Ξενωθείς απάσης, ηδονής μακάριε θανατηφόρου, σεαυτόν ειργάσω, όλον ακηλίδωτον έσοπτρον θείον, Ευλογείτε μέλπων, τά έργα τόν Κύριον, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Απηνούς τυράννου, δυσσεβούς ωμότητα ου κατεπλάγης, αλλ' ως πύργος έστης, ακλινής ακλόνητος ορθοδοξίας, Ευλογείτε μέλπων, τά έργα τόν Κύριον, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Ζωηφόρον αίγλην, εκ μιάς θεότητος τρισυποστάτου, δεδεγμένος ώφθης, τοίς εν σκότει ήλιος καί πλανωμένοις, Ευλογείτε μέλπων, τά έργα τόν Κύριον, καί υπερυψούτε εις πάντας τούς αιώνας.

### Θεοτοκίον

Τού Αδάμ Παρθένε, τού παραπεσόντος μέν ώφθης θυγάτηρ, τού Θεού δέ μήτηρ, τού ανακαινίσαντός μου τήν ουσίαν, όν υμνούμεν πάντα τά έργα ως Κύριον, καί υπερυψούμεν εις πάντας τούς αιώνας.

### Ο Ειρμός

«Νικηταί τυράννου, καί φλογός τή χάριτί σου γεγονότες, οι τών εντολών σου, σφόδρα αντεχόμενοι Παίδες εβόων, Ευλογείτε πάντα τά έργα τόν Κύριον, καί υπερυψούτε εις πάντας τούς αιώνας».

Τών Μαρτύρων

Ωδή θ'

Λίθος αχειρότμητος

Ιδού η φαιδρά καί φωσφόρος, καί πλήρης χάριτος ημέρα, έλαμψε Φωτίου τού θείου, καί Ανικήτου πάντας φωτίζουσα, τούς εν αυτή γεραίροντας, τά φωταυγή τούτων παθήματα.

Ωφθητε ως άνθρακες πάσαν, ύλην κακίας εμπιπρώντες, ώφθητε ως τίμιοι άρνες, εθελουσίως κατασφαττόμενοι, καί τώ Αμνώ τώ αίροντι, τάς αμαρτίας προσαγόμενοι.

Στίγματα υμών Αθλοφόροι, καί τά παθήματα καί πόνους, καί τήν υπέρ νούν καρτερίαν, καί τούς αγώνας, καί τήν τελείωσιν, πανευκλεώς δοξάζοντες, σήμερον πάντες ευφραινόμεθα.

Ήνθησαν κοιλάσιν οσίως, μαρτυρικαίς καθάπερ ρόδα, οι περικαλλείς, Αθλοφόροι, καί τάς καρδίας ευωδιάζουσι τών ευσεβών εν πνεύματι, δυσώδη πλάνην εκμειώσαντες.

Θεοτοκίον

Φώτισον ημάς η τεκούσα, φώς τό απρόσιτον Παρθένε, έμπλησον ημάς ευφροσύνης, καί θυμηδίας καί θείας γνώσεως, τούς Καθαρά καρδία σε, ευσεβοφρόνως μακαρίζοντας.

Τού Οσίου

Τόν προδηλωθέντα

Έτι σου ως Άβελ, τό αίμα καί εις αιώνας, τά θεόπνευστα Ιδόγματα, φωνή διαπρυσίω, η Χριστού Εκκλησία κηρύττει, Μάξιμε παμμάκαρ καί παμμέγιστε.

Τέτμηται η χείρ σου, γράφει δέ θείω δακτύλω, ως καλάμω καί μέλανι, τετμημένη τή γλώσση, τώ σώ αίματι τώ οσίω Παμμάκαρ, πίστιν εν καρδίαις τήν ορθόδοξον.

Άδεται εν κόσμω, η ένθεος παρρησία, καί τό πύρ τό εγκάρδιον, τής ενθέου αγάπης, δι' ήν Όσιε τήν τού αίματος χύσιν, Μάξιμε υπέστης προθυμότατα.

Ίστασο πρό βήματος, θείου μετά μαρτύρων, οίς τού ξύλου τής πίστεως, εκοινώνησας Πάτερ, καί ημάς οικειών τώ Δεσπότη, καί σού μιμητάς απεργαζόμενος.

Θεοτοκίον

Σύ εί Θεοτόκε, τά όπλα ημών καί τείχος, σύ εί η αντίληψις, τών εις σέ προστρεχόντων, σέ καί νύν εις πρεσβείαν κινούμεν, ίνα λυτρωθώμεν τών εχθρών ημών.

O Ειρμός

«Τόν προδηλωθέντα, εν όρει τώ νομοθέτη, εν πυρί καί βάτω, τόκον τόν τής Αειπαρθένου, εις ημών τών πιστών σωτηρίαν, ύμνοις ασιγήτοις μεγαλύνομεν».

Εξαποστειλάριον τού Οσίου

Γυναίκες ακουτίσθητε

Τά βάθη τών κριμάτων σου, ηρεύνηται τώ Πνεύματι, τά δέ τού Πνεύματος Σώτερ, έν πνεύματι καί δυνάμει, Μάξιμος εξηρεύνησεν, ως ένδικος φιλόσοφος, θελήσεις ενεργείας τε, ανακηρύττων σου δύο, διό λαμπρώς νύν τιμάται.

Τών Μαρτύρων

Φώς αναλλοίωτον Λόγε

Φώς η Φωτίου τοίς όχλοις, εγένετο μαρτυρία, τού Ανικήτου νικώντος, εν ταίς βασάνοις τήν πλάνην, Χριστού τάς δύο γεννήσεις, θεολογούντων, ούς ευφημήσωμεν άμα.

Καί τής Εορτής

Φώς αναλλοίωτον Λόγε, φωτός Πατρός αγεννήτου, εν τώ φανέντι φωτί σου, σήμερον εν θαβωρίω, φώς είδομεν τόν Πατέρα, φώς καί τό Πνεύμα, φωταγωγούν πάσαν Κτίσιν.

Εις τόν Στίχον τών Αίνων, Στιχηρά Προσόμοια.

Τής Εορτής

Ήχος β'

Οίκος τού Εφραθά

Παρήλθεν η σκιά, ελήλυθεν η χάρις, εν τώ Θαβώρ τώ όρει, Μωσής εβόα Σώτερ, ιδών σου τήν θεότητα.

Στίχ. Σοί εισιν οι ουρανοί, καί σή εστιν η γή.

Ηλίας καί Μωσής, εν τώ Θαβώρ τώ όρει, τήν έξοδον ελάλουν, ήν έμελλες πληρώσειν, υπέρ ημών Φιλάνθρωπε.

Στίχ. Θαβώρ καί Ερμών εν τώ ονόματί σου αγαλλιάσονται.

Τής θείας σου μορφής, οι τρείς τών Μαθητών σου, οράν μή δυνηθέντες, τήν αστραπήν εν φόβω, Σωτήρ εις γήν κατέπιπτον.

Δόξα... Καί νύν... Όμοιον

Ύψωσον ευσεβών, βασιλέων τό κέρας, Παμβασιλεύ οικτίρμον, καί νίκας δίδου Σώτερ, πρεσβείαις τής τεκούσης σε.

Καί τά λοιπά τής Ακολουθίας, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΓ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Μαξίμου τού Ομολογητού. Η απόδοσις τής Εορτής.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Στιχολογία ού γίνεται. Εις δέ τό. Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Ιδιόμελα δ' δευτερούντες τά δύο πρώτα.

Ήχος δ'
Κοσμά Μοναχού

Πρό τού σού Σταυρού Κύριε, όρος ουρανόν εμιμείτο, νεφέλη ως σκηνή εφηπλούτο, Σού μεταμορφουμένου, υπό Πατρός δέ μαρτυρουμένου, παρήν ο Πέτρος σύν Ιακώβω καί Ιωάννη, ως μέλλοντες συνείναί σοι, καί εν τώ καιρώ τής παραδόσεώς σου, ίνα θεωρήσαντες τά θαυμάσιά σου, μή δειλιάσωσι τά παθήματά σου, ά προσκυνήσαι ημάς, έν ειρήνη καταξίωσον, διά τό μέγα σου έλεος. (Δίς)

Πρό τού Σταυρού σου Κύριε, παραλαβών τούς Μαθητάς εις όρος υψηλόν, μετεμορφώθης έμπροσθεν αυτών, ακτίσι δυνάμεως καταυγάζων αυτούς, ένθεν φιλανθρωπία, εκείθεν εξουσία, δείξαι βουλόμενος τής Αναστάσεως τήν λαμπρότητα, ής καί ημάς ο Θεός, εν ειρήνη καταξίωσον, ως ελεήμων καί φιλάνθρωπος. (Δίς)

Εις όρος υψηλόν μεταμορφωθείς ο Σωτήρ, τούς κορυφαίους έχων τών Μαθητών, ενδόξως εξέλαμψας, δηλών, ότι οι τώ ύψει τών αρετών διαπρέψαντες, καί τής ενθέου δόξης αξιωθήσονται, Συλλαλούντες δέ τώ Χριστώ, Μωϋσής καί Ηλίας εδείκνυον, ότι ζώντων καί νεκρών κυριεύει, καί ο πάλαι διά νόμου, καί Προφητών λαλήσας υπήρχε Θεός, ώ καί φωνή τού Πατρός, εκ νεφέλης φωτεινής, εμαρτύρει λέγουσα, Αυτού ακούετε, τού διά Σταυρού τόν, Άδην σκυλεύσαντος, καί νεκροίς δωρουμένου, ζωήν τήν αιώνιον.

Όρος τό ποτέ ζοφώδες καί καπνώδες, νύν τίμιον καί άγιόν εστιν, εν ώ οι πόδες σου έστησαν Κύριε, πρό αιώνων γάρ κεκαλυμμένον μυστηριον, επ' εσχάτων εφανέρωσεν η φρικτή σου Μεταμόρφωσις, Πέτρω Ιωάννη καί Ιακώβω, οίτινες τήν ακτίνα τού προσώπου σου μή φέροντες, καί τήν λαμπρότητα τών χιτώνων σου, επί πρόσωπον, εις γήν κατεβαρύνοντο, οί καί τή εκστάσει συνεχόμενοι, εθαύμαζον βλέποντες, Μωϋσήν καί Ηλίαν συλλαλούντάς σοι τά μέλλοντα συμβαίνειν σοι, καί φωνή εκ τού Πατρός, εμαρτύρει λέγουσα. Ούτός εστιν ο Υιός μου ο αγαπητός, εν ώ ευδόκησα, αυτού ακούετε, ός τις καί δωρείται τώ κόσμω τό μέγα έλεος.

Δόξα... Καί νύν... Ήχος πλ. β'
Ανατολίου

Προτυπών τήν Ανάστασιν τήν σήν, Χριστέ ο Θεός, τότε παραλαμβάνεις τούς τρείς σου μαθητάς, Πέτρον καί Ιάκωβον καί Ιωάννην, εν τώ Θαβώρ ανελθών, Σού δέ Σωτήρ μεταμορφουμένου, τό Θαβώριον όρος φωτί εσκέπετο, Οι Μαθηταί σου Λόγε, έρριψαν εαυτούς εν τώ εδάφει τής γής, μή φέροντες οράν, τήν αθέατον μορφήν, Άγγελοι διηκόνουν φόβω καί τρόμω, ουρανοί έφριξαν, γή ετρόμαξεν, ορώντες επί γής, τής δόξης τόν Κύριον.

Εις τόν Στίχον, ψάλλομεν τά Ιδιόμελα ταύτα.

Ήχος α'

Ο πάλαι τώ Μωσεί συλλαλήσας, επί τού όρους Σινά διά συμβόλων, Εγώ ειμι, λέγων ο Ών, σήμερον επ' όρος Θαβώρ, μεταμορφωθείς επί τών μαθητών, έδειξε τό αρχέτυπον κάλλος τής εικόνος, εν εαυτώ τήν ανθρωπίνην, αναλαβούσαν ουσίαν, καί τής τοιαύτης χάριτος, μάρτυρας παραστησάμενος Μωϋσήν καί Ηλίαν, κοινωνούς εποιείτο τής ευφροσύνης, προμηνύοντας τήν ένδοξον διά Σταυρού, καί σωτήριον Ανάστασιν.

Στίχ. Σοί εισιν οι ουρανοί, καί σή εστιν η γή.

Τήν σήν τού μονογενούς Υιού Προορώμενος, εν Πνεύματι διά σαρκός, πρός ανθρώπους επιδημίαν, ο θεοπάτωρ Δαυϊδ, πόρρωθεν πρός ευφροσύνην συγκαλείται τήν κτίσιν, καί προφητικώς ανακράζει, Θαβώρ καί Ερμών εν τώ Ονόματί σου αγαλλιάσονται, Εν τούτω γάρ επιβάς τώ όρει Σωτήρ μετά τών μαθητών σου, τήν αμαυρωθείσαν εν Αδάμ φύσιν, μεταμορφωθείς, απαστράψαι πάλιν πεποίηκας, μεταστοιχειώσας αυτήν, εις τήν σήν τής θεότητος δόξαν τε καί λαμπρότητα, διό βοώμέν σοι, Δημιουργέ τού παντός, Κύριε δόξα σοι.

Στίχ. Θαβώρ καί Ερμών εν τώ ονόματί σου αγαλλιάσονται.

Τό άσχετον τής σής φωτοχυσίας, καί απρόσιτον τής θεότητος, θεασάμενοι τών Αποστόλων οι πρόκριτοι, επί τού όρους τής Μεταμορθώσεως, άναρχε Χριστέ, τήν θείαν ηλλοιώθησαν έκστασιν, καί νεφέλη περιλαμφθέντες φωτεινή, φωνής ήκουον Πατρικής, βεβαιούσης τό μυστήριον τής σής ενανθρωπήσεως, ότι εις υπάρχεις καί μετά σάρκωσιν, Υιός μονογενής καί Σωτήρ τού κόσμου.

Δόξα... Καί νύν...

Ήχος πλ. β'

Πέτρω καί Ιακώβω καί, Ιωάννη, τοίς προκρίτοις μαθηταίς σου Κύριε, σήμερον υπέδειξας εν τώ όρει τώ Θαβώρ, τήν δόξαν τής θεϊκής σου μορφής έβλεπον γάρ τά ιμάτιά σου, αστράψαντα ως τό φώς καί τό πρόσωπόν σου υπέρ τόν ήλιον καί μή φέροντες οράν τό άστεκτον τής σής ελλάμψεως, εις γήν κατέπιπτον, μηδόλως ατενίσαι ισχύοντες, Φωνής γάρ ήκουον μαρτυρούσης άνωθεν, Ούτός εστιν ο Υιός μου ο αγαπητός, ο ελθών εις τόν κόσμον σώσαι τόν άνθρωπον.

Απολυτίκιον  Ήχος βαρύς

Μετεμορθώθης εν τώ όρει Χριστέ ο Θεός, δείξας τοίς Μαθηταίς σου τήν δόξαν σου, καθώς ήδυναντο, Λάμψον καί ημίν τοίς αμαρτωλοίς, τό φώς σου τό αϊδιον, πρεσβείαις τής Θεοτόκου, φωτοδότα δόξα σοι.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά την α' Στιχολογίαν

Κάθισμα  Ήχος δ'

Κατεπλάγη Ιωσήφ

Τήν τών βροτών εναλλαγήν, τήν μετά δόξης σου Σωτήρ, εν τή δευτέρα καί φρικτή, τής σής ελεύσεως δεικνύς, επί τού όρους Θαβώρ μετεμορφώθης, Ηλίας καί Μωσής συνελάλουν σοι, τούς τρείς τών Μαθητών συνεκάλεσας, οί κατιδόντες Δέσποτα τήν δόξαν σου, τή αστραπή σου εξέστησαν, ο τότε τούτοις, τό φώς σου λάμψας, φώτισον τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Τό αυτό

Μετά την β' Στιχολογίαν

Κάθισμα όμοιον

Επί τό όρος τό Θαβώρ, μετεμορφώθης, Ιησού, καί νεφέλη φωτεινή, εφηπλωμένη ως σκηνή, τούς Αποστόλους τής δόξης σου κατεκάλυψεν, όθεν καί εις γήν εναπέβλεπον, μή φέροντες οράν τήν λαμπρότητα, τής απροσίτου δόξης τού προσώπου σου, άναρχε Σώτερ Χριστέ ο Θεός, ο τότε τούτοις, τό φώς σου λάμψας, φώτισον τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τόν Πολυέλεον

Κάθισμα  Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ

Ο ανελθων σύν Μαθηταίς εν τώ όρει, καί εν τή δόξη τού Πατρός απαστράψας, σύν Μωϋσή Ηλίας σοι παρίστανται, Νόμος καί Προφήται γάρ ως Θεώ λειτουργούσιν, ώ καί τήν Υιότητα τήν φυσικήν ο Γεννήτωρ, ομολογών εκάλεσεν Υιόν, όν ανυμνούμεν σύν σοί καί τώ Πνεύματι.

Δόξα... Καί νύν... Τό αυτό

Είθ' ούτως οι δύο Κανόνες τής Εορτής.

Πρώτος Κανών, ού η, Ακροστιχίς.

Χριστός ενί σκοπιή σέλας άπλετον είδεος ήκε.
Ποίημα Κοσμά Μοναχού.

Ωδή α'  Ήχος δ'  Ο Ειρμός
«Χοροί Ισραήλ, ανίκμοις ποσί, πόντον ερυθρόν, καί υγρόν βυθόν διελάσαντες, αναβάτας τριστάτας, δυσμενείς ορώντες εν αυτώ υποβρυχίους, εν αγαλλιάσει έμελπον, Άσωμεν τώ Θεώ ημών, ότι δεδόξασται».

Ρήματα ζωής τοίς φίλοις Χριστός, καί περί τής θείας δημηγορών βασιλείας έφη, Εν εμοί τόν Πατέρα επιγνώσεσθε, φωτί ως εξαστράψω απροσίτω, εν αγαλλιάσει μέλποντες, Άσωμεν τώ Θεώ ημών, ότι δεδόξασται.

Ισχύν τών εθνών κατέδεσθε, φίλοι Μαθηταί, θαυμασθήσεσθε δέ τώ πλούτω αυτών, ότι δόξης πληρούσθε, ως οφθήσομαι, λαμπρότερος ηλίου εξαστράπτων, έν αγαλλιάσει μέλποντες, Άσωμεν τώ Θεώ ημών, ότι δεδόξασται.

Σήμερον Χριστός εν όρει Θαβώρ, λάμψας αμυδρώς, θεϊκής αυγής ως υπέσχετο, Μαθηταίς παρεγύμνου χαρακτήρα, σελασφόρου δέ πλησθέντες θείας αίγλης, εν αγαλλιάσει έμελπον, Άσωμεν τώ Θεώ ημών, ότι δεδόξασται.

Δεύτερος Κανών, φέρων Ακροστιχίδα.

Μωσής Θεού πρόσωπον εν Θαβώρ είδε.

Ποίημα Ιωάννου τού Δαμασκηνού

Ωδή α'  Ήχος πλ. δ'
Υγράν διοδεύσας
Μωσής εν θαλάσση προφητικώς, ιδών εν νεφέλη καί εν στύλω πάλαι πυρός, τήν δόξαν Κυρίου ανεβόα, Τώ Λυτρωτή καί Θεώ ημών άσωμεν.

Ως πέτρα τώ σώματι σκεπασθείς, τώ τεθεωμένω, τόν αόρατον καθορών, Μωσής ό θεόπτης ανεβόα, Τώ Λυτρωτή καί Θεώ ημών άσωμεν.

Σύ επί τού όρους τού νομικού, καί εν Θαβωρίω, καθωράθης τώ Μωϋσή, εν γνόφω τό πάλαι, εν φωτί δέ, νύν απροσίτω τής θεότητος.
Καταβασία
«Χοροί Ισραήλ, ανίκμοις ποσί, πόντον ερυθρόν, καί υγρόν βυθόν διελάσαντες, αναβάτας τριστάτας, δυσμενείς ορώντες εν αυτώ υποβρυχίους, εν αγαλλιάσει έμελπον, Άσωμεν τώ Θεώ ημών, ότι δεδόξασται».

## Ωδή γ'

### Ο Ειρμός

«Τόξον δυνατών ησθένησε, καί οι ασθενούντες, περιεζώσαντο δύναμιν, διά τούτο εστερεώθη, εν Κυρίω η καρδία μου».

Όλον τόν Αδάμ φορέσας Χριστέ, τήν αμαυρωθείσαν αμείψας ελάμπρυνας πάλαι φύσιν, καί αλλοιώσει τής μορφής σου εθεούργησας.

Στύλω πυριμόρφω καί νεφέλη πάλαι, ο εν τή ερήμω τόν Ισραήλ άγων, σήμερον εν τώ όρει Θαβώρ αρρήτως, εν φωτί Χριστός εξέλαμψεν.

### Έτερος Κανών

### Ουρανίας αψίδος

Η σκιάζουσα δόξα, εν τή σκηνή πρότερον, καί τώ Μωϋσή ομιλούσα, τώ σώ θεράποντι, τύπος γεγένηται, τής αστραψάσης αρρήτως, εν Θαβώρ σου Δέσποτα Μεταμορφώσεως.

Συνανήλθέ σοι Λόγε, μονογενές ύψιστε, η τών Αποστόλων ακρότης, επί τού όρους Θαβώρ, καί συμπαρέστησαν ό,τε Μωσής καί Ηλίας, ως Θεού θεράποντες, μόνε φιλάνθρωπε.

Θεός όλος υπάρχων, όλος βροτός γέγονας, όλη τή θεότητι μίξας τήν ανθρωπότητα, εν υποστάσει σου, ήν εν δυσί ταίς ουσίαις, Μωϋσής Ηλίας τε, είδον εν όρει Θαβώρ.

### Καταβασία

«Ράβδος εις τύπον τού μυστηρίου παραλαμβάνεται, τώ βλαστώ γάρ προκρίνει τόν ιερέα, Τή στειρευούση δέ πρώην, Εκκλησία νύν εξήνθησε, ξύλον Σταυρού, εις κράτος καί στερέωμα».

### Κάθισμα  Ήχος δ'
### Κατεπλάγη Ιωσήφ

Επί τό όρος τό Θαβώρ, μετεμορφώθης ο Θεός, αναμέσον Ηλιού, καί Μωϋσέως τών σοφών, σύν Ιακώβω καί Πέτρω καί Ιωάννη, ο Πέτρος δέ συνών, ταύτά σοι έλεγε, Καλόν ώδέ εστι, ποιήσαι τρείς σκηνάς, μίαν Μωσεί, καί μίαν Ηλία, καί μίαν σοί τώ Δεσπότη Χριστώ, ο τότε τούτοις, τό φώς σου λάμψας, φώτισον τάς ψυχάς ημών.

### Δόξα... Καί νύν... Τό αυτό

## Ωδή δ'  Ο Ειρμός

«Εισακήκοα τήν ένδοξον οικονομίαν σου Χριστέ ο Θεός, ότι ετέχθης εκ τής Παρθένου, ίνα εκ πλάνης ρύση τούς κραυγάζοντας, Δόξα τή δυνάμει σου Κύριε».

Νόμον εν Σινά τώ γράμματι, διατυπούμενος, Χριστέ ο Θεός, εν τή νεφέλη πυρί, καί γνόφω καί εν θυέλλη, ώφθης εποχούμενος, Δόξα τή δυνάμει σου Κύριε.

Ίνα πιστώση τήν ένδοξον, οικονομίαν σου, Χριστέ ο Θεός, ως προϋπάρχων πρό τών αιώνων, καί ο αυτός εν νέφει τήν επίβασιν θείς, εν τώ Θαβώρ αρρήτως εξέλαμψας.

Συλλαλούντες παρειστήκεισαν δουλοπρεπώς, σοί τώ Δεσπότη Χριστώ, οίς εν πυρός ατμίδι καί γνόφω, καί λεπτοτάτη αύρα προσωμίλησας, Δόξα τή δυνάμει σου Κύριε.

Κατεμήνυον τήν έξοδον, τήν εν Σταυρώ σου εν Θαβώρ παρόντες, ο εν πυρί σε καί βάτω πάλαι, Προκατιδών Μωσής, καίο μετάρσιος δίφρω, εν πυρίνω Ηλίας Χριστέ.

## Έτερος Κανών

### Ο Ειρμός

«Εκ σαρκός σου βολίδες θεότητος, εξεπορεύοντο, Προφητών καί Αποστόλων, όθεν οι πρόκριτοι, μέλποντες ανεβόων, Δόξα τή δυνάμει σου Κύριε».

Ο τήν βάτον φυλάξας αλώβητον, προσομιλούσαν πυρί, τώ Μωσεί θεολαμπούσαν σάρκα υπέδειξας, Δέσποτα μελωδούντι, Δόξα τή δυνάμει σου Κύριε.

Υπεκρύβη ακτίσι θεότητος, αισθητός ήλιος, ως εν όρει Θαβώρίω, είδέ σε μεταμορφούμενον Ιησού μου, Δόξα τή δυνάμει σου Κύριε.

Πύρ μή φλέγον τήν ύλην τού σώματος, ωράθης άϋλον, ως Μωσεί καί Αποστόλοις, ώφθης Ηλία τε, Δέσποτα εις εκ δύο, εν δυσί τελείαις ταίς φύσεσιν.

### Καταβασία

«Εισακήκοα Κύριε, τής οικονομίας σου τό μυστήριον, κατενόησα τά έργα σου, καί εδόξασά σου τήν θεότητα».

### Ωδή ε'  Ο Ειρμός

«Ο τού φωτός διατμήξας τό πρωτόγονον χάος, ως εν φωτί τά έργα υμνείσε Χριστέ, τόν Δημιουργόν, εν τώ φωτί σου τάς οδούς ημών εύθυνον».

Προσενωπίω σοι ώραι υπεκλίθησαν, φώς γάρ καί πρό ποδών, υψίδρομον σέλας Χριστέ, ήλιος είκε μορφήν βροτείαν, ως αμείψαι ευδόκησας.

Ιδού Σωτήρ ανεβόων, Μωϋσής καί Ηλίας τών Μαθητών, εν όρει αγίω Θαβώρ ενηχουμένων, Χριστός όν πάλαι, προηγγείλαμεν όντα Θεόν.

Η αναλλοίωτος φύσις, τή βροτεία μιχθείσα, τής εμφερούς αϋλου θεότητος, φώς παραγυμνούσα τοίς Αποστόλοις, απορρήτως εξέλαμψε.

Σέ τό αϊδιον φέγγος, εν πατρώα τή δόξη, οι Μαθηταί, ως είδον εκλάμψαν Χριστέ, σοί ανεβόων, Εν τώ φωτί σου, τάς οδούς ημών εύθυνον.

Έτερος Κανών

Ίνα τί με απώσω

Ρητορεύουσα γλώσσα, σού τά μεγαλεία ού δύναται φθέγξασθαι, ο κρατών ζωής γάρ, καί θανάτου δεσπόζων παρέστησας, εν Θαβώρ τώ όρει, τόν Μωϋσήν καί τόν, Ηλίαν, μαρτυρήσοντάς σου τήν θεότητα.

Ο χερσίν αοράτοις, πλάσας κατ' εικόνα σου Χριστέ τόν άνθρωπον, τό αρχέτυπον σου, εν τώ πλάσματι κάλλος υπέδειξας, ουχ ως εν εικόνι, αλλ' ως αυτός εί κατ' ουσίαν, ο Θεός χρηματίσας καί άνθρωπος.

Συγκραθείς ασυγχύτως, άνθρακα υπέδειξας ημίν θεότητος, καταφλέγοντα μέν αμαρτίας, ψυχάς δέ φωτίζοντα, εν Θαβώρ τώ όρει, ώ Μωϋσήν καί τόν Ηλίαν, Μαθητών τε εξάρχους εξέστησας.

Καταβασία

«Ω τρισμακάριστον ξύλον! εν ώ ετάθη Χριστός, ο Βασιλεύς καί Κύριος, δι ού πέπτωκεν ο ξύλω απατήσας, τώ εν σοί δελεασθείς, Θεώ τώ προσπαγέντι σαρκί, τώ παρέχοντι, τήν ειρήνην ταίς ψυχαίς ημών».

Ωδή ς' Ο Ειρμός

«Εν τώ θλίβεσθαί με, εβόησα πρός Κύριον, καί επήκουσέ μου, ο Θεός τής σωτηρίας μου».

Λαμπηδόνος πλέον, ηλίου φώς τρανότερον, εν Θαβώρ εκλάμψας, ο Χριστός ημάς εφώτισεν.

Ανελθών εν όρει, Θαβώρ μετεμορφώθης Χριστέ, καί τήν πλάνην πάσαν, αμαυρώσας φώς εξέλαμψας.

Σέ Θεόν επέγνων, οι ένδοξοι Απόστολοι, εν Θαβώρ Χριστέ δέ, εκπλαγέντες γόνυ έκλιναν.

Έτερος Κανών

Ιλάσθητί μοι Σωτήρ

Ως μέγα καί φοβερον, ωράθη θέαμα σήμερον! εξ ουρανού αισθητός, εκ γής

δέ ασύγκριτος, εξήστραψεν ήλιος, τής δικαιοσύνης, νοητός επί τού όρους Θαβώρ.

Παρήλθε μέν η σκιά, τού νόμου εξασθενήσασα, ελήλυθε δέ σαφώς, Χριστός η αλήθεια, Μωσής ανεβόησεν, εν τώ Θαβωρίω, κατιδών σου τήν θεότητα.

Ο στύλος τώ Μωϋσεί, Χριστόν τόν μεταμορφουμενον, η δέ νεφέλη σαφώς, την χάριν τού Πνεύματος, την επισκιάσασαν, εν τώ Θαβώρίω, παρεδήλου εμφανέστατα.

Καταβασία

«Νοτίου θηρός εν σπλάγχνοις, παλάμας Ιωνάς, σταυροειδώς διεκπετάσας, τό σωτήριον πάθος προδιετύπου σαφώς, Όθεν τριήμερος εκδύς, τήν υπερκόσμιον Ανάστασιν υπεζωγράφησε, τού σαρκί προσπαγέντος Χριστού τού Θεού, καί τριημέρω εγέρσει τόν κόσμον φωτίσαντος».

Κοντάκιον

Αυτόμελον  Ήχος βαρύς

Επί τού όρους μετεμορφώθης, καί ως εχώρουν οι Μαθηταί σου τήν δόξαν σου, Χριστέ ο Θεός εθεάσαντο, ίνα όταν σε ίδωσι σταυρούμενον, τό μέν πάθος νοήσωσιν εκούσιον, τώ δέ κόσμω κηρύξωσιν, ότι σύ υπάρχεις αληθώς, τού Πατρός τό απαύγασμα.

Ο Οίκος

Εγέρθητε οι νωθείς, μή πάντοτε χαμερπείς, οι συγκάμπτοντες εις γήν τήν ψυχήν μου λογισμοί, επάρθητε καί άρθητε εις ύψος θείας αναβάσεως, προσδράμωμεν Πέτρω καί τοίς Ζεβεδαίου, καί άμα εκείνοις τό Θαβώριον όρος προφθάσωμεν, ίνα ίδωμεν σύν αυτοίς τήν δόξαν τού Θεού ημών, φωνής δέ ακούσωμεν, ής περ άνωθεν ήκουσαν, καί εκήρυξαν, τού Πατρός τό απαύγασμα.

Συναξάριον

Τή ΙΓ' τού αυτού μηνός, μνήμη τής μεταθέσεως τού λειψάνου τού Οσίου Πατρός ημών Μαξίμου τού Ομολογητού.

Στίχοι

- Κινούσί σου Μάξιμε πιστοί τήν κόνιν,
- Δηλούντες, ως ζής, εξαμείβων καί τόπους.
- Μαξίμου αμφί τρίτην νεκρόν δεκάτην μεταθήκαν.

Τή αυτή ημέρα, μνήμη τής αοιδίμου καί Παμμακαρίστου Βασιλίσσης καί κτιτορίσσης τής σεβασμίας μονής τού Παντοκράτορος Σωτήρος Χριστού, Ειρήνης, τής διά τού Αγίου καί Αγγελικού σχήματος μετονομασθείσης Ξένης Μοναχής.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Αβραμιαίοι ποτέ, εν Βαβυλώνι Παίδες, καμίνου φλόγα κατεπάτησαν, καί υμνούντες έψαλλον, ο τών Πατέρων Θεός ευλογητός εί».

Περιχυθέντες φωτί, τής απροσίτου δόξης, Θαβώρ εν όρει οι Απόστολοι, Χριστέ ανεβόησαν, ο τών Πατέρων Θεός ευλογητός εί.

Λαίλαπι θείας ηχής, καί δροσοβόλω νεφέλη, Χριστέ καί αίγλη σου ηδόμενοι, οι Απόστολοι έψαλλον, ο τών Πατέρων Θεός ευλογητός εί.

Εν απροσίτω φωτί, ως σέ κατείδε Πέτρος, Θαβώρ εν όρει εξαστράψαντα, Χριστέ ανεβόησεν, ο τών Πατέρων Θεός ευλογητός εί.

Τώ αρχηγώ τής γής, Χριστώ συνόντες παίδες, οι Ζεβεδαίου ως απέπεμψε, μορφής φώς εβρόντησαν, ο τών Πατέρων Θεός ευλογητός εί.

Έτερος Κανών

Παίδες Εβραίων εν καμίνω

Νύν καθωράθη Αποστόλοις, τά αθέατα, θεότης εν σαρκίω, εν τώ όρει Θαβώρ, αστράπτουσα βοώσιν, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Έφριξαν φόβω εκπλαγέντες, τήν ευπρέπειαν τής θείας βασιλείας, εν τώ όρει Θαβώρ, Απόστολοι βοώντες, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Νύν τά ανήκουστα ηκούσθη, ο απάτωρ γάρ Υιός εκ τής Παρθένου, τή πατρώα φωνή, ενδόξως μαρτυρείται, οία Θεός καί άνθρωπος, ο αυτός εις τούς αιώνας.

Θέσει ου γέγονας Υψίστου, τή ουσία δέ Υιός ηγαπημένος, προϋπάρχων ημίν, ωμίλησας ατρέπτως, Ευλογητός εί κράζουσιν, ο Θεός εις τούς αιώνας.

Καταβασία

«Έκνοον πρόσταγμα τυράννου, δυσσεβούς, λαούς εκλόνησε, πνέον απειλής, καί δυσφημίας θεοστυγούς, Όμως τρείς Παίδας ουκ εδειμάτωσε θυμός θηριώδης, ου πύρ βρόμιον, αλλ' αντηχούντι δροσοβόλω πνεύματι, πυρί συνόντες έψαλλον, ο υπερύμνητος τών Πατέρων καί ημών, Θεός ευλογητός εί».

Ωδή η'  Ο Ειρμός

«Οι εν Βαβυλώνι Παίδες, τώ θείω πυρπολούμενοι ζήλω, τυράννου καί φλογός απειλήν, ανδρείως κατεπάτησαν, καί μέσον πυρός εμβληθέντες, δροσιζόμενοι έψαλλον, Ευλογείτε πάντα τά έργα Κυρίου τόν Κύριον».

Νεύματι τό πάν ο φέρων, ποσίν αχράντοις όρους επέβη Θαβώρ, εν ώ ηλίου μάλλον αυγής, εξαστράψας τό πρόσωπον, νόμου προκρίτους, καί τής χάριτος έδειξε μέλποντας, Ευλογείτε πάντα τά έργα Κυρίου τόν Κύριον.

Εν τή απροσίτω δόξη, κατ' όρος εκφανθέν απορρήτως Θαβώρ, τό άσχετον καί άδυτον φώς, τού Πατρός τό απαύγασμα, τήν κτίσιν φαιδρύναν, τούς ανθρώπους εθέωσε μέλποντας, Ευλογείτε πάντα τά έργα Κυρίου τόν Κύριον.

Ιεροπρεπώς εστώτες, Μωσής τε καί Ηλίας εν όρει Θαβώρ, τής θείας χαρακτήρα, τρανώς υποστάσεως βλέποντες, Χριστόν εν πατρώα, εξαστράψαντα δόξη, ανέμελπον, Ευλογείτε πάντα τά έργα Κυρίου τόν Κύριον.

Διά τής εν γνόφω θείας ομφής, τό πρόσωπον ποτέ εδοξάσθη Μωσής, Χριστός δέ ως ιμάτιον, φώς καί δόξαν αναβάλλεται, φωτός αυτουργός γάρ πεφυκώς καταυγάζει τούς μέλποντας, Ευλογείτε πάντα τά έργα Κυρίου τόν Κύριον.

Εκ φωτογενούς νεφέλης, Χριστόν οι μαθηταί αμπεχόμενον, ορώντες εν Θαβώρ, καί πρηνείς επί γής κατανεύσαντες, τόν νούν ελλαμφθέντες, σύν Πατρί τούτον ύμνουν καί Πνεύματι, Ευλογείτε πάντα τά έργα Κυρίου τόν Κύριον.

## Έτερος Κανών

### Επταπλασίως κάμινον

Ακηκοότες Δέσποτα, εκ Πατρός μαρτυρούμενον, καί ως ανθρωπίνης, στερροτέραν όψεως, Οράν τού προσώπου σου τήν αστραπην μή φέροντες, σού οι μαθηταί, επί τήν γήν κατέπιπτον, εν φόβω μελωδούντες, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Βασιλευόντων πέφυκας, Βασιλεύς ωραιότατος, καί τών πανταχού κυριευόντων Κύριος, δυνάστης μακάριος, καί φώς οικών απρόσιτον, ώ οι Μαθηταί, καταπλαγέντες εβόων, οι Παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε Χριστόν εις τούς αιώνας.

Ως ουρανού δεσπόζοντι, καί τής γής βασιλεύοντι, καί καταχθονίων, τήν κυρείαν έχοντι, Χριστέ σοι παρέστησαν, εκ μέν τής γής Απόστολοι, ως έξ ουρανού δέ ο θεσβίτης Ηλίας, Μωϋσής δέ εκ νεκάδων, μελωδούντες συμφώνως, Λαός υπερυψούτε Χριστόν εις τούς αιώνας.

Ραθυμοτόκοι μέριμναι, επί γής κατελείφθησαν, τή τών Αποστόλων, εκλογή φιλάνθρωπε, ως σοί ηκολούθησαν, πρός τήν εκ γής μετάρσιον, θείαν πολιτείαν, όθεν καί επαξίως, τής σής θεοφανείας, εμελώδουν τυχόντες, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

### Καταβασία

«Ευλογείτε Παίδες, τής Τριάδος ισάριθμοι, Δημιουργόν Πατέρα Θεόν, υμνείτε τόν συγκαταβάντα Λόγον, καί τό πύρ εις δρόσον μεταποιήσαντα, καί υπερυψούτε, τό πάσι ζωήν παρέχον, Πνεύμα πανάγιον εις τούς αιώνας.».

## Ωδή θ'  Ο Ειρμός

«Ο τόκος σου άφθορος εδείχθη, Θεός εκ λαγόνων σου προήλθε, σαρκοφόρος, ός ώφθη επί γής, καί τοίς ανθρώποις συνανεστράφη, σέ Θεοτόκε, διό πάντες μεγαλύνομεν».

Σύντρομοι καινή φωτοχυσία, αθρόως οι Μαθηταί ελλαμφθέντες, πρός αλλήλους εώρων, καί πρηνείς εις γήν καταπεσόντες, σοί τώ Δεσπότη τών απάντων προσεκύνησαν.

Ήχος εκ νεφέλης ανεπέμπετο, θεόκτυπος βεβαιών τό θαύμα, ο Πατήρ γάρ τών φώτων, Ούτός εστιν Υιός ο αγαπητός μου, τοίς Αποστόλοις ανεβόα, ού ακούετε.

Καινά κατιδόντες καί παράδοξα, φωνής πατρικής ενωτισθέντες, εν Θαβώρ οι τού Λόγου υπηρέται, εκμαγείον τού αρχετύπου, Ούτος υπάρχει ανεβόων ο Σωτήρ ημών.

Εικών απαράλλακτε τού όντος, ακίνητε σφραγίς αναλλοίωτε, Υιέ Λόγε σοφία καί βραχίων, δεξιά Υψίστου σθένος, σέ ανυμνούμεν, σύν Πατρί τε καί τώ Πνεύματι.

## Έτερος Κανών

## Ο Ειρμός

«Έφριξε πάσα ακοή, τήν απόρρητον Θεού συγκατάβασιν, όπως ο Ύψιστος, εκών κατήλθε μέχρι καί σώματος, Παρθενικής από γαστρός, γενόμενος άνθρωπος, διό τήν Άχραντον, Θεοτόκον οι πιστοί μεγαλύνομεν».

Ίνα σου δείξης εμφανώς, τήν απόρρητον δευτέραν κατάβασιν, όπως ο Υψιστος Θεός, οφθήση εστώς εν μέσω θεών, τοίς Αποστόλοις εν Θαβώρ, Μωσεί σύν Ηλία τε, αρρήτως έλαμψας, διό πάντες σε Χριστέ μεγαλύνομεν.

Δεύτέ μοι πείθεσθε λαοί, αναβάντες εις τό όρος τό Άγιον, τό επουράνιον αϋλως στώμεν εν πόλει ζώντος Θεού, καί εποπτεύσωμεν νοϊ θεότητα άϋλον, Πατρός καί Πνεύματος, εν Υιώ μονογενεί απαστράπτουσαν.

Έθελξας πόθω με Χριστέ, καί ηλλοίωσας τώ θείω σου έρωτι, αλλά κατάφλεξον, πυρί αϋλω τάς αμαρτίας μου, καί έμπλησθήναι τής εν σοί τρυφής καταξίωσον, ίνα τάς δύο σκιρτών, μεγαλύνω αγαθέ παρουσίας σου.

## Καταβασία

«Μυστικός εί Θεοτόκε Παράδεισος, αγεωργήτως βλαστήσασα Χριστόν, υφ' ού τό τού Σταυρού ζωηφόρον εν γή, πεφυτούργηται δένδρον, Διό νύν υψουμένου προσκυνούντες αυτόν, σέ μεγαλύνομεν».

«Ο διά βρώσεως τού ξύλου, τώ γένει προσγενόμενος θάνατος, διά Σταυρού κατήργηται σήμερον, τής γάρ προμήτορος ή παγγενής κατάρα διαλέλυται, τώ βλαστώ τής Αγνής Θεομήτορος, ήν πάσαι αί δυνάμεις τών ουρανών μεγαλύνουσιν».

Εξαποστειλάριον
αυτόμελον (Εκ γ' )

Φώς αναλλοίωτον Λόγε, φωτός Πατρός αγεννήτου, έν τώ φανέντι φωτί σου, σήμερον έν Θαβωρίω, φώς είδομεν τόν, Πατέρα, φώς καί τό Πνεύμα, φωταγωγούν πάσαν Κτίσιν.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν τρία Στιχηρά Προσόμοια δευτερούντες τό α'.

Ήχος δ'
Ο εξ υψίστου κληθείς

Πρό τού τιμίου Σταυρού σου καί τού πάθους, λαβών ούς προέκρινας τών Ιερών Μαθητών, πρός τό Θαβώριον Δέσποτα, ανήλθες όρος, δείξαι θελήσας τούτοις τήν δόξαν σου, οί καί κατιδόντες σε μεταμορφούμενον, καί υπέρ ήλιον λάμψαντα, πρηνείς πεσόντες, τήν δυναστείαν σου κατεπλάγησαν, αναβοώντες, Σύ τό άχρονον, φώς υπάρχεις Χριστέ καί απαύγασμα, τού Πατρός, εί καί θέλων, σάρξ ωράθης αναλλοίωτος. (Δίς)

Ο πρό αιώνων υπάρχων Θεός Λόγος ο φώς ως ιμάτιον περιβαλλόμενος, μεταμορφούμενος έμπροσθεν, τών μαθητών σου, υπέρ τόν ήλιον Λόγε έλαμψας, Μωσής καί Ηλίας δέ, σοί παρειστήκεισαν, νεκρών καί ζώντων σε Κύριον, δηλοποιούντες, καί σού δοξάζοντες τήν απόρρητον, οικονομίαν καί τό έλεος, καί τήν πολλήν συγκατάβασιν, δι' ής έσωσας κόσμον, αμαρτίαις απολλύμενον.

Παρθενικής εκ νεφέλης σε τεχθέντα, καί σάρκα γενόμενον, καί πρός τό όρος Θαβώρ, μεταμορφούμενον Κύριε, καί τή νεφέλη, τή φωτεινή σε περικυκλούμενον, φωνή τού Γεννήτορος, αγαπητόν σε Υιόν, τών μαθητών συμπαρόντων σοι, σαφώς εδήλου, ως ομοούσιον καί ομόθρονον, όθεν ο Πέτρος εκπληττόμενος, Καλόν ώδέ εστιν είναι έλεγε, μή είδως ο ελάλει, Ευεργέτα πολυέλεε.

Δόξα... Καί νύν...
Ήχος πλ. δ' Βύζαντος

Παρέλαβεν ο Χριστός, τόν Πέτρον καί Ιάκωβον καί Ιωάννην, εις όρος υψηλόν κατ' ιδίαν, καί μετεμορφώθη έμπροσθεν αυτών, καί έλαμψε τό πρόσωπον αυτού ως ο Ήλιος, τά δέ ιμάτια αυτού, εγένετο λευκά ως τό φώς, Καί ώφθησαν Μωϋσής καί Ηλίας μετ' αυτού συλλαλούντες, καί νεφέλη φωτεινή επεσκίασεν αυτούς, καί ιδού φωνή εκ τής νεφέλης λέγουσα, Ούτός εστιν ο Υιός μου ο αγαπητός, εν ώ ηυδόκησα, αυτού ακούετε.

Δοξολογία μεγάλη, καί Απόλυσις

Δίδοται καί άγιον έλαιον τοίς αδελφοίς.

Εις τήν Λειτουργίαν

Ψάλλομεν τά παρόντα Αντίφωνα

Αντίφωνον Α'

Στίχος α'. Μέγας Κύριος καί αινετός σφόδρα εν πόλει τού Θεού ημών.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχος β'. Ετοιμάζων όρη εν τή ισχύϊ αυτού.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχος γ'. Ο αναβαλλόμενος φώς ως ιμάτιον.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχος δ'. Τά όρη αγαλλιάσονται από προσώπου Κυρίου.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Δόξα... Καί νύν...

Ταίς πρεσβείαις τής Θεοτόκου...

Αντίφωνον Β'

Στίχος α'. Οι θεμέλιοι αυτού εν τοίς όρεσι τοίς αγίοις.

Σώσον ημάς Υιέ Θεού, ο εν τώ όρει τώ Θαβώρ μεταμορφωθείς, ψάλλοντάς σοι Αλληλούϊα.

Στίχος β'. Αγαπά Κύριος τάς πύλας Σιών, υπέρ πάντα τά σκηνώματα, Ιακώβ.

Σώσον ημάς Υιέ Θεού, ο εν τώ όρει τώ Θαβώρ μεταμορφωθείς...

Στίχος γ'. Δεδοξασμένα ελαλήθη περί σού, η πόλις τού Θεού.

Σώσον ημάς Υιέ Θεού, ο εν τώ όρει τώ Θαβώρ μεταμορφωθείς...

Στίχος δ'. Μήτηρ Σιών, ερεί άνθρωπος. καί άνθρωπος εγεννήθη εν αυτή.

Σώσον ημάς Υιέ Θεού, ο εν τώ όρει τώ Θαβώρ μεταμορφωθείς...

Δόξα... Καί νύν...

Ο μονογενής Υιός καί Λόγος...

Αντίφωνον Γ'

Στίχος α'. Τά έλέη σου, Κύριε, εις τόν αιώνα άσομαι.

Ήχος βαρύς

Μετεμορθώθης εν τώ όρει Χριστέ ο Θεός, δείξας τοίς Μαθηταίς σου τήν δόξαν σου, καθώς ήδυναντο, Λάμψον καί ημίν τοίς αμαρτωλοίς, τό φώς σου τό αϊδιον, πρεσβείαις τής Θεοτόκου, φωτοδότα δόξα σοι.

Στίχος β'. Εξομολογήσονται οι ουρανοί τά θαυμάσιά σου, Κύριε.

Μετεμορφώθης εν τώ όρει Χριστέ ο Θεός...

Στίχος γ'. Μακάριος ο λαός ο γινώσκων αλαλαγμόν.

Μετεμορφώθης εν τώ όρει Χριστέ ο Θεός...

Στίχος δ'. Κύριε εν τώ φωτί τού προσώπου σου πορεύσονται, καί εν τώ ονόματί σου αγαλλιάσονται όλην τήν ημέραν.

Μετεμορφώθης εν τώ όρει Χριστέ ο Θεός...

Εισοδικόν

Θαβώρ καί Ερμών εν τώ ονόματί σου αγαλλιάσονται. Σώσον ημάς Υιέ Θεού, ο εν τώ όρει τώ Θαβώρ μεταμορφωθείς, ψάλλοντάς σοι Αλληλούϊα.

Κοινωνικόν

Εν τώ φωτί τής δόξης τού προσώπου σου, Κύριε, πορευσόμεθα εις τόν αιώνα. Αλληλούϊα.

---

Αρχή

## ΤΗ ΙΔ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Προεόρτια τής Κοιμήσεως τής Υπεραγίας Θεοτόκου καί αειπαρθένου Μαρίας, καί μνήμη τού Αγίου Προφήτου Μιχαίου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τών Προεορτίων γ'.

Ήχος δ'
Ως γενναίον εν Μάρτυσιν

Εν κυμβάλοις ηχήσωμεν, εν ωδαίς αλαλάξωμεν, Εορτήν εξόδιον προεξάρχοντες, καί επιτύμβια άσματα, φαιδρώς εκβοήσωμεν, η γάρ Μήτηρ τού Θεού, κιβωτός τε η πάγχρυσος, ετοιμάζεται, νύν εκ γής πρός τά άνω μεταβήναι, πρός παλίνζωον καί θείαν, μεθισταμένη λαμπρότητα.

Αποστόλων ο θίασος, παράδόξως αθροίσθητε, εκ περάτων σήμερον, η γάρ έμψυχος, πόλις τού πάντων δεσπόζοντος, απαίρειν επείγεται, πρός τά κρείττω ευκλεώς, συγχορεύειν βασίλεια, τώ Υιώ αυτής, ής τή θεία κηδεία ομοφρόνως, σύν ταίς άνω στρατηγίαις, ύμνον εξόδιον άσατε.

Ιερέων ο σύλλογος, βασιλείς τε καί άρχοντες, σύν παρθένων τάγμασι νύν προφθάσετε, άπας λαός τε συνδράμετε, ωδήν επιτάφιον, αναπέμποντες ομού, η γάρ πάντων δεσπόζουσα, μέλλει αύριον, τήν ψυχήν παραθέσθαι εις τάς χείρας, τού Υιού μεθισταμένη, πρός αιωνίαν κατοίκησιν.

Καί τού Προφήτου γ'

Ήχος ο αυτός
Εδωκας σημείωσιν

Όρος προηγόρευσας, τό εμφανές καί περίοπτον, τού Σωτήρος τό κήρυγμα, επ' άκρων φανήσεσθαι, τών ορέων Μάκαρ, τήν υψηλοτάτην, θεογνωσίαν προδηλών, εφ' ήν τά έθνη πίστει συντρέχοντα, προθύμως καταφεύγουσι, καί τήν ωδήν εκδιδάσκονται, τού Κυρίου καί σώζονται, σωτηρίαν αιώνιον.

Άρχων εξελεύσεται, καί ποιμανεί τόν λαόν αυτού, Βηθλεέμ εξορμώμενος, προέφης θεσπέσιε, Προφητών Μιχαία, γλώσση θεοπνεύστω, ού απ' αρχής εξ ημερών, τών τού αιώνος εισίν αι έξοδοι, τανύν δέ σου τήν πρόρρησιν, εκβεβηκυίαν θεώμενοι, διά σού τόν λαλήσαντα, θεοφρόνως δοξάζομεν.

Θρόνω παριστάμενος, Θεού Προφήτα σεβάσμιε, καί χαράς αξιούμενος, καί δόξαν θεώμενος, καί τρυφής ενθέου, θείως απολαύων, καί χαρμονής πνευματικής, καί ευφροσύνης αναπιμπλάμενος, τούς πίστει νύν τήν μνήμην σου, επιτελούντας επόπτευε, πειρασμών εκλυτρούμενος, ταίς απαύστοις πρεσβείαις σου.

Δόξα... Καί νύν... Ήχος δ'

Τήν πάνσεπτόν σου Κοίμησιν, Παναγία Παρθένε αγνή, τών Αγγέλων τά πλήθη εν ουρανώ, καί ανθρώπων τό γένος επί τής γής μακαρίζομεν, ότι Μήτηρ γέγονας τού ποιητού τών απάντων Χριστού τού Θεού, Αυτόν ικετεύουσα, υπέρ ημών μή παύση δεόμεθα, τών εις σέ μετά Θεόν τάς ελπίδας θεμένων, Θεοτόκε πανύμνητε καί απειρόγαμε.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος β'
Οίκος τού Εφραθά

Ώ θαύματος καινού! ώ τεραστίου ξένου! πώς νέκρωσιν υπέστη, η ζωηφόρος Κόρη, καί τάφω νύν καλύπτεται;

Στίχ. Απενεχθήσονται τώ Βασιλεί παρθένοι οπίσω αυτής.

Πάσα τών γηγενών, η φύσις χορευέτω, ιδού γάρ η Παρθένος, η τού Αδάμ θυγάτηρ, πρός ουρανόν μεθίσταται.

Στίχ. Ώμοσε Κύριος τώ Δαυϊδ αλήθειαν, καί ου μή αθετήσει αυτήν.

Λάβε μοι κατά νούν, τήν κλίνην τής Παρθένου, χοροίς τών Αποστόλων, ευκόσμως κυκλουμένην, άδουσι τόν εξόδιον.

Δόξα... Καί νύν... Ήχος β'

Η τών ουρανών υψηλοτέρα υπάρχουσα, καί τών Χερουβίμ ενδοξοτέρα, καί πάσης κτίσεως τιμιωτέρα, η δι' υπερβάλλουοαν καθαρότητα, τής αϊδίου ουσίας δοχείον γεγενημένη, εν ταίς τού Υιού χερσί, σήμερον τήν παναγίαν παρατίθεται ψυχήν, καί συν αυτή πληρούται τά συμπαντα χαράς, καί ημίν δωρείται τό μέγα έλεος.

Απολυτίκιον Προεόρτιον
Ήχος δ' Ταχύ προκατάλαβε

Λαοί προσκιρτήσατε, χείρας κροτούντες πιστώς, καί πόθω αθροίσθητε, σήμερον χαίροντες, καί φαιδρώς αλαλάζοντες, πάντες εν ευφροσυνη, τού Θεού γάρ η Μήτηρ, μέλλει τών επιγείων, πρός τά άνω απαίρειν, ενδόξως ήν εν ύμνοις αεί, ως Θεοτόκον δοξάζομεν.

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα τής Θεοτόκου
Ήχος γ' Τήν ωραιότητα

Εις τά ουράνια, μετά τήν κοίμησιν, ανήλθες Πάναγνε, ψυχή καί σώματι, τού σού Υιού θεοπρεπώς, άνωθεν καταβάντος, τόν δέ εφορμήσαντα, ανατρέψαι σόν φέρετρον, ανοσιουργότροπον, θεία δίκη επέταξε, Διό σύν τώ Αγγέλω βοώμέν σοι, Χαίρε η Κεχαριτωμένη.

Δόξα... Καί νύν... Τό αυτο

Μετά τήν β' Στιχολογίαν

Κάθισμα τής Θεοτόκου
Ήχος δ'  Κατεπλάγη Ιωσήφ

Σέ χερσί τού δι' ημάς, ενανθρωπήσαντος εκ σού, παραθεμένην τήν ψυχήν, ως πλαστουργός σου καί Θεός, πρός τήν ζωήν τήν ακήρατον μετέστησενόθεν νύν σεπτώς μακαρίζομεν, τήν μόνην καθαράν καί αμόλυντον, καί Θεοτόκον άπαντες κυρίως, ομολογούντες κραυγάζομεν, Χριστόν δυσώπει, πρός όν μετέστης, σώσαι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Τό αυτό

Ο Προεόρτιος Κανών τής Θεοτόκου, καί τού Προφήτου.

Κανών Προεόρτου ού η Ακροστιχίς.

Αινώ γεγηθώς τού Θεού τήν Μητέρα Ιωσήφ.

Ωδή α'  Ηχος πλ. δ'
Ο Ειρμός

«Άσωμεν τώ Κυρίω, τώ διαγαγόντι τόν λαόν αυτού εν Ερυθρά θαλάσση, ωδήν επινίκιον, ότι δεδόξασται».

Άσωμεν τώ Κυρίω, τώ εν χώρα ζώντων μεταστήσαντι, τήν αυτού κατά σάρκα, Παναγίαν Μητέρα τήν άχραντον.

Ίνα τό κάλλος βλέπης, καί καταπολαύης ωραιότητος, τού Υιού σου Παρθένε, πρός αυτόν μεταστάσα ανέδραμες.

Νέκρωσιν πώς υπέστης, η τόν νέκρω τήν Άδου κυήσασα, καί νεκροίς τοίς ανθρώποις, διά σού τήν ζωήν χαρισάμενον.

Ώφθης καθαρωτέρα, πάντων τόν καθαίροντα κυήσασα, αμαρτίας Παρθένε, διά τούτο σε πίστει δοξάζομεν.

Κανών τού Προφήτου, ού η' Ακροστιχίς.

Ως χρησμολέκτην τόν Μιχαίαν αινέσω.

Ωδή α'  Ήχος πλ. δ'
Υγράν διοδεύσας

Ως έσοπρον όντως ειλικρινές, Θεού καί τών θείων, χρηματίζων τώ Πλαστουργώ, παρίστασαι Μάκαρ όν δυσώπει, κινδύνων σώσαι τούς πίστει υμνούντάς σε.

Συνέσεως πλήρης πνευματικής, υπάρχων Μιχαία, καί σοφίας παρά Θεού, τήν τών εσομένων εμυήθης, ως καθαρός γνώσιν πανάριστε.

Χρησμούς εκτιθέμενος ευσεβώς, τόν Κύριον έφης, ουρανόθεν επί τής γής, φανήναι Παμμάκαρ διαγράφων, τήν πρός ημάς αυτού φανέρωσιν.

Θεοτοκίον

Ρυόμενος ώφθη επί τής γής, τούς πρίν αιχμαλώτους, επ' εσχάτων τών ημερών, σαρκός εν προσλήψει Θεομήτορ, ο πρό αιώνων, γνωριζόμενος.

Προεόρτιος

Ωδή γ'

Σύ εί τό στερέωμα

Γή καί τά ουράνια, τή Μεταστάσει σου χαίρουσι, Μήτηρ Θεού, διά σού τυχόντα, παραδόξου ενώσεως.

Έχαιρον ουράνιοι, υποδεχόμενοι Άγγελοι, σέ από γής, αναφερομένην, Θεοτόκε Πανύμνητε.

Γέγονε παράδοξος, ώσπερ η κύησις Άχραντε, σού αληθώς, ούτω καί η θεία, καί σεπτή σου Μετάστασις.

Ήρθης πρός σκηνώματα, τά επουράνια πάναγνε, ούσα Θεού, άχραντε Παρθένε, καθαρώτατον τέμενος.

Τού Προφήτου

Ο αυτός  Ειρμός

Ηση γλώσσα καλαμος, τού θείου Πνεύματος γέγονε, δι' ής ημίν, τήν τών εσομένων, εφανέρωσας έκβασιν.

Σύ τόν προαιώνιον, σάρκα γενόμενον έδειξας, εν Βηθλεέμ, άρχοντα τών όλων, καί Σωτήρα ηγούμενον.

Μύστης ακριβέστατος, τών υπέρ νούν ημίν γέγονας, προφητικοίς, ένδοξε Προφήτα, φωτισμοίς αυγαζόμενος.

Θεοτοκίον

Όρος εμφανέστατον, συ εχρημάτισας Πάναγνε, ού επιβάς, Κύριος εφάνη, εφ' όν νύν καταφεύγομεν.

Ο Ειρμος

«Σύ εί τό στερέωμα, τών προστρεχοντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Κάθισμα τού Προφήτου

Ήχος πλ. α'

Τόν συνάναρχον Λόγον

Σέ δοχείον ευρούσα αγνόν καί άμωμον, η τού Πνεύματος χάρις εν σοί

εσκήνωσε, καί τά μέλλοντα σαφώς, ως ενεστώτα ειπείν, τήν σήν διήγειρε ψυχήν, Προφήτα κήρυξ τού Χριστού, διό μή παύση πρεσβεύων, υπέρ ημών τών τιμώντων, σού επαξίως μνήμην τήν ένδοξον.

Δόξα... Καί νύν... Προεόρτιον

Ήχος γ' Τήν ωραιότητα

Τά προεόρτια τής Μεταστάσεως, πανηγυρίζοντες τής Θεομήτορος, αγαλλιώμενοι φαιδρώς, πρός αυτήν ανακράξωμεν, Χαίρε η απαίρουσα, από γής πρός ουράνια, χαίρε η τά πέρατα, τή Κοιμήσει ζωώαασα, διό νύν μεταβαίνουαα μέμνησο, τού κόσμου η Κεχαριτωμένη.

Προεόρτιος

Ωδή δ'

Εισακήκοα Κύριε

Θάμβος είχε καί έκστασις, τούς τού Λόγου, μυστας ορώντας Άχραντε, σέ νεκράν ούσαν καί άφωνον, τής ζωής Μητέρα χρηματίζουσαν.

Ώ κηδείας! ώ χάριτος! ώ τής υπέρ λόγον τότε υμνήσεως! ήν προσήγον οι θεόφρονες, σέ περιεστώτες Παμμακάριστε.

Σύ χωρίον ευρύχωρον, γέγονας τού Λόγου, όθεν μετήρέ σε, πρός ευρύχωρον καί άγιον, Θεοτόκε λήξιν καί αιώνιον.

Τήν αγίαν σου Κοίμησιν, Άγγελοι καί άνθρωποι μακαρίζουσι, πάντων πέλεις Βασίλισσα, Βασιλέα πάντων η κυήσασα.

Τού Προφήτου

Ο αυτός

Λαμπηδόσι τής άνωθεν, τής θείας επιπνοίας, καταυγαζόμενος, τά εσόμενα εμήνυσας, ως παρόντα βλέπων αξιάγαστε.

Εκ Σιών εξελήλυθε, νόμος ως προέφης θεομακάριστε, καί διέδραμε τά πέρατα, τού Χριστού ο λόγος κηρυττόμενος.

Κυριεύειν επέφανεν, οίκου Ιακώβ τών όλων ο κύριος, καί εν δόξη τού ονόματος, ως ποιμήν ποιμαίνει τόν λαόν αυτού.

Θεοτοκίον

Τού Αδάμ η απόγονος, Μήτηρ τού Θεού καί Κτίστου πεπίστευται, σάρκα τούτον γάρ γενόμενον, εξ αυτής αφράστως απεκύησεν.

Προεόρτιος

Ωδή ε'

Ορθρίζοντες βοώμέν σοι

Ο τάφος σου κηρύττει Πανάμωμε, τήν ταφήν σου, καί τήν μετά σώματος, πρός ουρανούς νύν Μετάστασιν.

Υμνήσατε παρθένοι δοξάσατε, νεανίσκοι, πρεσβύται καί άρχοντες, τής Θεοτόκου τήν Κοίμησιν.

Θανούσα αθανάτους μετέβης, πρός κατοικίας εχθρόν θανατώσασα, τώ τοκετώ σου Πανάμωμε.

Εκύκλουν θεολήπτων ανδρών σε, χοροστασίαι, εξοδίοις ρήμασιν, υμνολογούντές σε Δέσποινα.

Τού Προφήτου

Ο αυτός

Ηγάπησας οπίσω πορεύεσθαι, τού Κυρίου έτοιμος γενόμενος εν ταίς οδοίς αυτού πάνσοφε.

Νενόηκας τήν μέλλουσαν έσεσθαι, σωτηρίαν, άπασι τοίς έθνεσιν, εξ Ιουδαίων θεσπέσιε.

Τήν χάριν θεωρών προεκήρυξας, θεοφάντορ, εφ' ήν καταφεύξονται, εθνών αγέλαι σωζόμεναι.

Θεοτοκίον

Ο τόπος τού Κυρίου σύ πέφηνας, Θεομήτορ, εξ ού εκπεπόρευται, ο τόν κόσμον πλάνης ρυσάμενος.

Προεόρτιος

Ωδή ς'

Τήν δέησιν εκχεώ

Ο οίκος τόν τού παντός συνοχέα, ο χωρήσας μεταβαίνει οικήσαι, πρός ουρανούς, ουρανός δεδειγμένος, Χριστού καί θρόνος καί μέγα παλάτιον, η πάναγνος περιστερά, ής τήν θείαν υμνήσωμεν Κοίμησιν.

Υπόπτεροι εν νεφέλαις αρθέντες, αετοί ως υψιπέται τού Λόγου, Γεθσημανή, συνελθόντες Παρθένε, σέ επεφώνουν απαίρειν τήν μέλλουσαν, πανύμνητε πρός ουρανόν, ούς ως τέκνα Υιού σου ηυλόγησας.

Τίς αύτη η αναβαίνουσα πέλει, Κοσμικών από κοιλάδων, τίς αύτη η προπομπή, καί προπόρευσις ξένη; τί τό ορώμενον μέγα μυστήριον; Η πάντων εστί Βασιλίς, καί Κυρία καί δόξα καί καύχημα.

Ηλάλαζεν Αποστόλων ο δήμος, καί δακρύων επληρώθη ηνίκα, σού τήν ψυχήν, τήν αγίαν λιπούσαν, τό θεοδόχον τεθέαται σκήνωμα, καί ύμνησε

θεοπρεπώς, σού τήν θείαν Πανάμωμε Κοίμησιν.

## Τού Προφήτου

### Χιτώνά μοι παράσχου

Νόμων αντεχόμενος Θεού, διήλεγξας άπαντας, τούς παραβαίνοντας, τήν τού νόμου φυλακήν παναοίδιμε.

Μιχαία τό θείον καί σεπτόν, τού Πνεύματος όργανον, ταίς ικεσίαις σου, εκ κινδύνων τούς πιστούς διαφύλαξον.

### Θεοτοκίον

Ιούδα τόν οίκον εμφανή, Παρθένε πεποίηκας, τόν ανατείλαντα, εξ αγίας σου γαστρός φανερώσασα.

### Ο Ειρμός

«Χιτώνά μοι παράσχου φωτεινόν, ο αναβαλλόμενος φώς ως ιμάτιον, πολυέλεε Χριστέ ο Θεός ήμών».

## Κοντάκιον Προεόρτιον

### Ήχος δ'  Επεφάνης σήμερον

Τή ενδόξω μνήμη σου η οικουμένη, τώ αϋλω Πνεύματι, πεποικιλνημένη νοερώς, εν ευφροσύνη κραυγάζει σοι, Χαίρε Παρθένε, Χριστιανών τό καύχημα.

### Ο Οίκος

Νύν ευφραινέσθω ουρανός, σκιρτάτω πάσα κτίσις, ιδού γάρ η Παρθένος από γής απαίρει, καί πρός Παράδεισον μολεί, πάσι σωτηρία επεφάνη εκ Θεού, πρεσβεύουσα καί σκέπουσα, Διό καί Αποστόλων επέδραμε πάσα η χορεία, εκ περάτων αθροισθείσα, νεφέλαι γάρ εφάνησαν άφνω αρπάσασαι αυτούς, επέστησαν άμα τή Μητρί καί τώ Υιώ, καί ανεβόων, Χαίρε θησαυρέ τού Μάννα τής διαθήκης, Χαίρε Παρθένε, Χριστιανών τό καύχημα.

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΔ' τού αυτού μηνός, μνήμη τού Αγίου Προφήτου Μιχαίου.

### Στίχοι

- Εκ γής μέν ήρθην, ειδέ καί πόλον φθάσω,
- Χάριν Μιχαίας είσομαί σοι τώ ξύλω.
- Μιχαίας δεκάτη ξύλω ήρθη ηδέ τετάρτη.

Τή αυτή ημέρα, μνήμη τού Αγίου Ιερομάρτυρος Μαρκέλλου Επισκόπου Απαμείας.

### Στίχοι

- Κνίσσαις νοηταίς τόν Θεόν καθηδύνας,
- Καί σαρκός αυτόν ηδύνεις κνίσση Πάτερ.

Τή αυτή ημέρα, μνήμη τής εις τό παλάτιον ανακομιδής τού τιμίου

Σταυρού.

Στίχοι

- Λογους ανάψας, αντί φαιδρών λαμπάδων,
- Σταυρόν προπέμπω τών ανακτόρων έσω.

Τή αυτή ημέρα, μνήμη τού Αγίου Ιερομάρτυρος Ουρσικίου.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Προεόρτιος

Ωδή ζ'

Παίδες Εβραίων

Νόμους τής φύσεως λαθούσα, τή κυήσει σου τώ ανθρωπίνω νόμω, θνήσκεις μόνη Αγνή, ζωώσασα τούς πάλαι, νενεκρωμένους άχραντε, τοκετώ σου.

Μένει κενός ο θείος τάφος, σού τού σώματος, τής χάριτος δέ πλήρης, ποταμούς γάρ ημίν, πηγάζει ιαμάτων, καί αποπαύει ρεύματα, Παναγία Θεοτόκε.

Ήρθη τό σώμα μέν τού τάφου παραμένει δέ ημίν η ευλογία, σού Παρθένε αγνή, τυφλούς φωταγούσα, καί σού τό ευσυμπάθητον, υπεμφαίνουσα πλουσίως.

Τόμε καινέ εν ώ ο Λόγος, αναγέγραπται συνόδω ξενωτάτη, βίβλω πάντας ζωής, ικέτευε γραφήναι, τούς τήν σεπτήν σου Κοίμησιν, καί παράδοξον υμνούντας.

Τού Προφήτου

Οι εκ τής Ιουδαίας

Χρησιμώτατος ώφθης, τώ Δεσπότη τών όλων καί δραστικώτατος, τό θράσος τών κρατούντων, ελέγχων καί διδάσκων, καί βοών αξιάγαστε, ο τών Πατέρων ημών Θεός ευλογητός εί.

Απαστράπτων ακτίσι, πολιτείας ενθέου καί καθαρότητος, προφήτης ανεδείχθης, τής θείας εμφανείας, αναμέλπων μακάριε, ο τών Πατέρων ημών Θεός ευλογητός εί.

Θεοτοκίον

Ισουργός τώ τεκόντι, ισοδύναμος Λόγος καί συναΐδιος, εν μήτρα τής Παρθένου, Πατρός τή ευδοκία, πλαστουργείται ως άνθρωπος, ο τών Πατέρων ημών Θεός ευλογητός εί.

Προεόρτιος

Ωδή η'

Οι θεορρήμονες Παίδες

Εκ τών περάτων ελθόντες, οι περάτων φωτοειδέστατοι στύλοι πρός τήν Σιών παρεγένοντο, πέρας βίου λαβούσαν, κηδεύσαί σε Άχραντε.

Ρητορευόντων ού σθένει πάσα γλώσσα, ουδέ Αγγέλων αξίως, ανευφημήσαί σε τάγματα, ασυγκρίτως γάρ πάντων, υπέρκεισαι Δέσποινα.

Αγαλλιάσθω η κτίσις αι νεφέλαι εν τή παρούση ημέρα, δικαιοσύνην ρανάτωσαν, τής Παρθένου τιμώσαι, τήν θείαν Μετάστασιν.

Θεοτοκίον

Ίδε ο θρόνος Κυρίου υπερέχων, τά Χερουβίμ καί τούς θρόνους, γήθεν υψούται τεθήσεσθαι, εις βασίλεια θεία, η μόνη πανάμωμος.

Τού Προφήτου

Μουσικών οργάνων

Απ' αρχής υπάρχων εξ αιώνος, τού Θεού ο Λόγος επεφάνη, λυτρούμενος τούς εξ Αδάμ, Μιχαίας ως προέφη, τόν Κύριον υμνούντας, καί υπερυψούντας, αυτόν εις τούς αιώνας.

Νοερώς μυούμενος εβόας, θελητής ελέους ο Δεσπότης, ως εύσπλαγχνος μετανοών, επί ταίς αδικίαις, τών πίστει μελωδούντων, καί υπερυψούντων αυτόν, εις τούς αιώνας.

Αστραπής ως φέγγος απεφάνθης, τού Θεού τήν αίγλην δεδεγμένος, ως έσοπτρον διαφανές γενόμενος Μιχαία, Τον Κύριον υμνείτε, καί υπερυψούτε, βοών εις τούς αιώνας.

Θεοτοκίον

Ισχυράν παράκλησιν Παρθένε, τόν εκ σού τεχθέντα κεκτημένοι, κρατούμεν αποστολικώς, σεπτής ομολογίας, ως Κύριον υμνούντες, καί υπερυψούντες, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Μουσικών οργάνων συμφωνούντων, καί λαών απείρων προσκυνούντων, εικόνι τή εν Δεηρά, τρείς Παίδες μή πεισθέντες, τόν Κύριον ανύμνουν, καί εδοξολόγουν, εις πάντας τούς αιώνας».

Προεόρτιος

Ωδή θ'

Κυρίως Θεοτόκον

Ως πάντων φαιδροτέρα, τών επουρανίων, τούς υμνητάς τής φαιδράς σου Κοιμήσεως, τών σών χαρίτων τώ φέγγει, φαίδρυνον φώτισον.

Σκιρτήσατε καρδίαι, πάντων ευσεβούντων, εν τή Κοιμήσει τής μόνης

θεόπαιδος, τή ακοιμήτω πρεσβεία ταύτης σωζόμενα.

Η γή πανηγυρίζει, Άγγελοι σκιρτώσιν, αγαλλιώνται δέ πάντες οι Δίκαιοι, εν τή Κοιμήσει σου Κόρη υμνολογούντές σε.

Φιλάγαθε Παρθένε, ράνον επί πάντας, τά αγαθά σου ελέη, καί σώσον ημάς, η τόν πανάγαθον Λόγον αποκυήσασα.

Τού Προφήτου

Ο αυτός

Νοϊ τώ ακηράτω καί καθαρωτάτω, μαρμαρυγαίς ευσεβείας λαμπόμενος, υπέρ τού κόσμου πρεσβεύων αεί παρίστασαι.

Επέστη η φωσφόρος, μνήμη σου Προφήτα, προφητικών χαρισμάτων ανάπλεως, καί ποταμούς μετανοίας αναπηγάζουσα.

Σωτήρα τόν τού κόσμου, παραγεγονότα, κατά τήν σήν προφητείαν θεώμενος, τής υπέρ νούν ευφροσύνης Μάκαρ απόλαυε.

Θεοτοκίον

Ως πάντων υπερτέρα, καί καθαρωτέρα, τόν μολυσμόν τής ψυχής μου καθάρισον, η τόν Θεόν συλλαβούσα τόν υπεράγαθον.

Ο Ειρμός

«Κυρίως Θεοτόκον, σέ ομολογούμεν, οι διά σού σεσωσμένοι Παρθένε αγνή, σύν ασωμάτοις χορείαις, σέ μεγαλύνοντες».

Εξαποστειλάριον τού Προφήτου

Ήχος β'  Γυναίκες ακουτίσθητε

Προσφόρως εξελευσεται, άρχων τε καί ηγούμενος, ός ποιμανεί εν ειρήνη, λαόν αυτού σύ προέφης, Θεού Προφήτα Μιχαία, Βηθλεέμ εξορμώμενος, ού αληθώς αι έξοδοι, εξ ημερών τού αιώνος, δι' ού εσώθη μεν πάντες.

Προεόρτιον, όμοιον

Σού τής σεπτής Κοιμήσεως, τήν μνήμην τήν υπέρλαμπρον, πανηγυρίζοντες πόθω, εξάδομεν Θεοτόκε, σύ δέ ως Μήτηρ άχραντε, πρός τόν Υιόν απαίρουσα, εν δόξη σου καί Κύριον, Χριστιανών υπερεύχου, τών πίστει σε ανυμνούντων.

Εις τόν Στίχον τών Αίνων Στιχηρά Προσόμοια τών Προεορτίων.

Ήχος β'

Οίκος τού Εφραθά

Δήμος τών Μαθητών, αθροίζεται κηδεύσαι, Μητέρα Θεοτόκον, ελθόντες εκ περάτων, παντοδυνάμω νευματι.

Στίχ. Ανάστηθι Κύριε εις τήν ανάπαυσίν σου.

Νύμφη η τού Θεού, Βασίλισσα Παρθένος, τών εκλεκτών η δόξα, καύχημα τών παρθένων, πρός τόν Υιόν μεθίσταται.

Στίχ. Ώμοσε Κύριος τώ Δαυϊδ αλήθειαν.

Ήθροισται ο χορός, Μαθητών παραδόξως, εκ τών περάτων κόσμου, κηδεύσαί σου τό σώμα, τό θείον καί ακήρατον.

Δόξα... Καί νύν... Όμοιον

Δέσποινα αγαθή, τάς αγίας σου χείρας, πρός τόν Υιόν σου άρον, τόν φιλόψυχον πλάστην, οικτιρήσαι τούς δούλους σου.

Καί η λοιπή, Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΕ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής Κοιμήσεως τής Υπεραγίας Δεσποίνης ημών Θεοτόκου καί αειπαρθένου Μαρίας.

### ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια γ' δευτερούντες τό α'.

Ήχος β'

Ποίοις ευφημιών στέμμασι

Ποίοις οι ευτελείς χείλεσι, μακαρίσωμεν τήν Θεοτόκον; τήν τιμιωτέραν τής κτίσεως, καί αγιωτέραν υπάρχουσαν, Χερουβίμ καί πάντων τών Αγγέλων, τόν θρόνον, τού Βασιλέως τόν ασάλευτον, τόν οίκον, εν ώ κατώκησεν ο Ύψιστος, τήν σωτηρίαν τού κόσμου, τού Θεού αγίασμα, τήν παρέχουσαν τοίς πιστοίς, εν τή θεία μνήμη αυτής, πλουσίως τό μέγα έλεος. (Δίς)

Τίνα τά φοβερά άσματα, ά προσήξάν σοι τότε Παρθένε; κύκλω τής σής κλίνης ιστάμενοι, πάντες οι τού Λόγου Απόστολοι, καί θαμβητικώς αναβοώντες, Απαίρει, τού Βασιλέως τό παλάτιον, υψούται, η κιβωτός τού αγιάσματος, πύλαι επάρθητε όπως, τού Θεού η πύλη, εν πολλή εισέλθη χαρά, τώ κόσμω απαύστως, αιτουμένη τό μέγα έλεος.

Ποία πνευματικά άσματα, νύν προσάξωμέν σοι Παναγία; τή γάρ αθανάτω Κοιμήσει σου, άπαντα τόν κόσμον ηγίασας, καί πρός υπερκόσμια μετέβης, τό κάλλος, κατανοείν τού Παντοκράτορος, καί τουτω, οίά περ Μήτηρ συναγάλλεσθαι, Αγγελικών σε ταγμάτων, δορυφορησάντων αγνή, καί ψυχών Δικαίων, μεθ' ών αίτησαι ημίν, ειρήνην καί μέγα έλεος.

Δόξα... Καί νύν... Ήχος β'

Η τών ουρανών υψηλοτέρα υπάρχουσα, καί τών Χερουβίμ ενδοξοτέρα, καί

πάσης κτίσεως τιμιωτέρα, η δι' υπερβάλλουσαν καθαρότητα, τής αϊδίου ουσίας δοχείον γεγενημένη, εν ταίς τού Υιού χερσί, σήμερον τήν παναγίαν παρατίθεται ψυχήν, καί σύν αυτή πληρούται τά σύμπαντα χαράς, καί ημίν δωρείται τό μέγα έλεος.

Εις τόν Στίχον Στιχηρά Προσόμοια.

Ήχος β'
Οίκος τού Εφραθά

Δήμος τών Μαθητών, αθροίζεται κηδεύσαι, Μητέρα Θεοτόκον, ελθόντες εκ περάτων, παντοδυνάμω νεύματι.

Στίχ. Ανάστηθι κυριε εις τήν ανάπαυσίν σου.

Νύμφη η τού Θεού, Βασίλισσα Παρθένος, τών εκλεκτών η δόξα, καύχημα τών παρθένων, πρός τόν Υιόν μεθίσταται.

Στίχ. Ώμοσε Κύριος τώ Δαυϊδ αλήθειαν.

Ήθροισται ο χορός, Μαθητών παραδόξως, εκ τών περάτων κόσμου, κηδεύσαί σου τό σώμα, τό θείον καί ακήρατον.

Δόξα... Καί νύν... Όμοιον

Δέσποινα αγαθή, τάς άγίας σου χείρας, πρός τόν Υιόν σου άρον, τόν φιλόψυχον πλάστην, οικτιρήσαι τούς δούλους σου.

Απολυτίκιον Ήχος α'

Εν τή Γεννήσει τήν παρθενίαν εφύλαξας, έν τή Κοιμήσει τόν κόσμον ού κατέλιπες Θεοτόκε, Μετέστης πρός τήν ζωήν, μήτηρ υπάρχουσα τής ζωής, καί ταίς πρεσβείαις ταίς σαίς λυτρουμένη, εκ θανάτου τάς ψυχάς ημών.

Καί Απολυσις

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Στιχολογούμεν τού, Μακάριος ανήρ, τήν α' στάσιν.

Εις δέ τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τρία, δευτερούντες αυτά.

Ήχος α' Αυτόμελον

Ώ τού παραδόξου θαύματος! η πηγή τής ζωής, εν μνημείω τίθεται, καί κλίμαξ πρός ουρανόν, ο τάφος γίνεται, Ευφραίνου Γεθσημανή, τής Θεοτόκου τό άγιον τέμενος, Βοήσωμεν οι πιστοί, τόν Γαβριήλ κεκτημένοι ταξίαρχον, Κεχαριτωμένη χαίρε, μετά σού ο Κύριος, ο παρέχων τώ κόσμω διά σού τό μέγα έλεος. (Δίς)

Βαβαί τών σών μυστηρίων αγνή! τού Υψίστου θρόνος, ανεδείχθης Δέσποινα, καί γήθεν πρός ουρανόν, μετέστης σήμερον, Η δόξα σου ευπρεπής, θεοφεγγέσιν εκλάμπουσα χάριτι, Παρθένοι σύν τή Μητρί τού Βασιλέως πρός ύψος επάρθητε, Κεχαριτωμένη χαίρε, μετά σού ο Κύριος, ο παρέχων τώ κόσμω, διά σού τό μέγα έλεος. (Δίς)

Τήν σήν δοξάζουσι Κοίμησιν, Εξουσίαι θρόνοι, Αρχαί Κυριότητες, Δυνάμεις καί Χερουβίμ, Καί τά φρικτά Σεραφίμ, Αγάλλονται γηγενείς επί τή θεία σου δόξη κοσμούμενοι, Προσπίπτουσι βασιλείς, σύν Αρχαγγέλοις Αγγέλοις καί μέλπουσι, Κεχαριτωμένη χαίρε, μετά σού ο Κύριος, ο παρέχων τώ κόσμω, διά σού τό μέγα έλεος. (Δίς)

Δόξα... Καί νύν... Ήχος α'

Θεαρχίω νεύματι, πάντοθεν οι θεοφόροι Απόστολοι, υπό νεφών μεταρσίως αιρόμενοι.

Ήχος πλ. α'

Καταλαβόντες τό πανάχραντον, καί ζωαρχικόν σου σκήνος, εξόχως ησπάζοντο.

Ήχος β'

Αι δέ υπέρτατοι τών ουρανών Δυνάμεις, σύν τώ οικείω Δεσπότή παραγενόμεναι.

Ήχος πλ. β'

Τό θεοδόχον καί ακραιφνέστατον σώμα προπέμπουσι, τώ δέει κρατούμεναι, υπερκοσμίως δέ προώχοντο, καί αοράτως εβόων, ταίς ανωτέραις ταξιαρχίαις, ιδού η παντάνασσα θεόπαις παραγέγονεν.

Ήχος γ'

Άρατε πύλας, καί ταύτην υπερκοσμίως υποδέξασθε, τήν τού αενάου φωτός Μητέρα.

Ήχος βαρύς

Διά ταύτης γάρ η παγγενής τών βροτών σωτηρία γέγονεν, ή ατενίζειν ουκ ισχύομεν, καί ταύτη άξιον γέρας απονέμειν αδύνατον.

Ήχος δ'

Ταύτης γάρ τό υπερβάλλον, υπερέχει πάσαν έννοιαν.

Ήχος πλ. δ'

Διό άχραντε Θεοτόκε, αεί σύν ζωηφόρω Βασιλεί, καί τόκω ζώσα, πρέοβευε διηνεκώς, περιφρουρήσαι καί σώσαι, από πάσης προσβολής εναντίας τήν νεολαίαν σου, τήν γάρ σήν προστασίαν κεκτήμεθα.

Ήχος α'

Εις τούς αιώνας, αγλαοφανώς μακαρίζοντες.

Είσοδος τό Φώς ιλαρόν, τό Προκείμενον, καί τά Αναγνώσματα.

Γενέσεως τό Ανάγνωσμα
(Κεφ. 28, 10-17)

Εξήλθεν Ιακώβ από τού φρέατος τού όρκου καί επορεύθη εις Χαρράν. Καί

απήντησε τόπω, καί εκοιμήθη εκεί, έδυ γάρ ο ήλιος, καί έλαβεν από τών λίθων τού τόπου, καί εθηκεπρός κεφαλής αυτού, καί εκοιμήθη εν τώ τόπω εκείνω, καί ενυπνιάσθη. Καί ιδού κλίμαξ εστηριγμένη εν τή γή, ής η κεφαλή αφικνείτο εις τόν Ουρανόν, καί οι Άγγελοι τού Θεού ανέβαινον καί κατέβαινον επ' αυτής. Ο δέ Κύριος επεστήρικτο επ' αυτής, καί είπεν. Εγώ ειμι ο Θεός Αβραάμ τού πατρός σου, καί ο Θεός Ισαάκ, μή φοβού, η γή, εφ' ής σύ καθεύδεις επ' αυτής, σοί δώσω αυτήν, καί τώ σπέρματί σου. Καί έσται τό σπέρμα σου ωσεί άμμος τής γής καί πλατυνθήσεται επί θάλασσαν, καί λίβα, καί βορράν, καί επί ανατολάς, καί ενευλογηθήσονται εν σοί πάσαι αι φυλαί τής γής, καί εν τώ σπέρματί σου. Καί ιδού εγώ ειμι μετά σού, διαφυλάσσων σε εν τή οδώ πάση, ού εάν πορευθής, καί επιστρέψω σε εις τήν γήν ταύτην, ότι ου μή σε εγκαταλίπω, έως τού ποιήσαι με πάντα όσα ελάλησά σοι. Καί εξηγέρθη Ιακώβ εκ τού ύπνου αυτού καί είπεν. Ότι εστί Κύριος εν τώ τόπω τούτω, εγώ δέ ουκ ήδειν. Καί εφοβήθη, καί είπεν. Ως φοβερός ο τόπος ούτος! Ουκ έστι τούτο, αλλ' ή οίκος Θεού, καί αύτη η πύλη τού ουρανού.

## Προφητείας, Ιεζεκιήλ τό Ανάγνωσμα
## (Κεφ. 43, 27 & 44, 1-4)

Έσται από τής ημέρας τής ογδόης καί επέκεινα, ποιήσουσιν οι Ιερείς επί τό θυσιαστήριον τά ολοκαυτώματα υμών, καί τά τού σωτηρίου υμών, καί προσδέξομαι υμάς, λέγει Κύριος (μδ' 1). Καί επέστρεψέ με κατά τήν οδόν τής πύλης τών Αγίων τής εξωτέρας τής βλεπούσης κατά ανατολάς, καί αύτη ήν κεκλεισμένη. Καί είπε Κύριος πρός με. Η πύλη αύτη κεκλεισμένη έσται, ουκ ανοιχθήσεται, καί ουδείς ου μή διέλθη δι' αυτής, ότι Κύριος ο Θεός, Ισραήλ εισελεύσεται δι' αυτής, καί έσται κεκλεισμένη. Διότι ο Ηγούμενος ούτος κάθηται επ' αυτήν τού φαγείν άρτον ενώπιον Κυρίου, κατά τήν οδόν τού Αιλάμ τής πύλης εισελεύσε ται, καί κατά τήν οδόν αυτού εξελεύσεται. Καί εισήγαγέ με κατά τήν οδόν τής πύλης τών Αγίων τής πρός βορράν, κατέναντι τού οίκου, καί είδον καί ιδού πλήρης δόξης ο οίκος Κυρίου.

## Παροιμιών τό Ανάγνωσμα
## (Κεφ. 9, 1-11)

Η σοφία ωκοδόμησεν εαυτή οίκον καί υπήρεισε στύλους επτά. Έσφαξε τά εαυτής θύματα, καί εκέρασεν εις κρατήρα τόν εαυτής οίνον, καί ητοιμάσατο τήν εαυτής τράπεζαν. Απέστειλε τούς εαυτής δούλους, συγκαλούσα μετά υψηλού κηρύγματος, ως επί κρατήρα, λέγουσα. Ός εστιν άφρων, εκκλινάτω πρός με, καί τοίς ενδεέσι φρενών είπεν. Έλθετε φάγετε τόν εμόν άρτον, καί πίετε οίνον, όν κεκέρακα υμίν, απολίπετε αφροσύνην, καί ζήσεσθε, καί ζητήσατε φρόνησιν, ίνα βιώσητε, καί κατορθώσητε σύνεσιν εν γνώσει, ο παιδεύων κακούς, λήψεται εαυτώ ατιμίαν, ελέγχων δέ τόν ασεβή, μωμήσεται εαυτόν, (οι γάρ έλεγχοι τώ ασεβεί, μώλωπες αυτώ). Μή έλεγχε κακούς, ίνα μή μισήσωσί σε, έλεγχε σοφόν καί αγαπήσει σε. Δίδου σοφώ αφορμήν, καί σοφώτερος έσται, γνώριζε δικαίω, καί προσθήσει τού δέχεσθαι. Αρχή σοφίας, φόβος Κυρίου, καί βουλή Αγίων, σύνεσις, (τό γάρ γνώναι Νόμον, διανοίας εστίν αγαθής), τούτω γάρ τώ τρόπω πολύν ζήσεις χρόνον, καί προστεθήσεταί σοι έτη ζωής.

Εις τήν Λιτήν. Στιχηρά Ιδιόμελα.

Ήχος α'

Έπρεπε τοίς αυτόπταις τού Λόγου καί υπηρέταις, καί τής κατά σάρκα Μητρός αυτού, την Κοίμησιν εποπτεύσαι, τελευταίον ούσαν επ' αυτή μυστήριον, ίνα μή μόνον τήν από γής τού Σωτήρος ανάβασιν θεάσωνται, αλλά καί τής Τεκούσης αυτόν τή μεταθέσει μαρτυρήσωσι, Διόπερ πάντοθεν, θεία δυνάμει περαιωθέντες, τήν Σιών κατελάμβανον, καί πρός ουρανόν επει γομένην, προέπεμπον τήν ανωτέραν τών Χερουβίμ, ήν καί ημείς, σύν αυτοίς προσκυνούμεν, ως πρεσβεύουσαν υπέρ τών ψυχών ημών.

Ήχος β'  Ανατολίου

Ή τών ουρανών υψηλοτέρα υπάρχουσα, καί τών Χερουβίμ ενδοξοτέρα, καί πάσης κτίσεως τιμιωτέρα, η δι' υπερβάλλουσαν καθαρότητα, τής αϊδίου ουσίας δοχείον γεγενημένη, εν ταίς τού Υιού χερσί, σήμερον τήν παναγίαν παρατίθεται ψυχήν, καί σύν αυτή πληρούται τά σύμπαντα χαράς, καί ημίν δωρείται τό μέγα έλεος.

Ο αυτός Ιωάννου

Ή πανάμωμος νύμφη, καί Μήτηρ τής ευδοκίας τού Πατρός, η Θεώ προορισθείσα εις εαυτού κατοίκησιν, τής ασυγχύτου ενώσεως, σήμερον τήν άχραντον ψυχήν, τώ Ποιητή καί Θεώ παρατίθεται, ήν Ασωμάτων δυνάμεις, θεοπρεπώς υποδέχονται, καί πρός ζωήν μετατίθεται, η όντως μήτηρ τής ζωής, η λαμπάς τού απροσίτου φωτός, η σωτηρία τών πιστών, καί ελπίς τών ψυχών ημών.

Ήχος γ'  Γερμανού

Δεύτε άπαντα τά πέρατα τής γής, τήν σεπτήν Μετάστασιν τής Θεομήτορος μακαρίσωμεν, εν χερσί γάρ τού Υιού, τήν ψυχήν τήν άμωμον εναπέθετο, όθεν τή Αγία Κοιμήσει αυτής, ο κόσμος ανεζωοποιήθη, ψαλμοίς καί ύμνοις, καί ωδαίς πνευματικαίς μετά τών Ασωμάτων, καί τών Αποστόλων εορτάζων φαιδρώς.

Δόξα... Ήχος πλ. α'
Θεοφάνους

Δεύτε φιλεόρτων τό σύστημα, δεύτε καί χορείαν στησώμεθα, δεύτε καταστέψωμεν άσμασι τήν, Εκκλησίαν, τή καταπαυσει τής Κιβωτού τού Θεού, Σήμερον γάρ ουρανός εφαπλοί τούς κόλπους, δεχόμενος τήν τετοκυίαν τόν επί πάσι μή χωρουμενον, καί η γή τήν πηγήν τής ζωής αποδιδούσα, τήν ευλογίαν στολίζεται καί ευπρέπειαν, Άγγελοι χοροστατούσι σύν' Αποστόλοις, περιδεώς ενατενίζοντες, εκ ζωής εις ζωήν μεθισταμένης, τής τεκούσης τόν αρχηγόν τής ζωής, Πάντες προσκυνήσωμεν αυτήν δεόμενοι, Συγγενούς οικειότητος μή επιλάθη Δέσποινα, τών πιστώς εορταζόντων, τήν παναγίαν σου Κοίμησιν.

Καί νύν... Ο αυτός

Άσατε λαοί, τή Μητρί τού Θεού ημών άσατε, σήμερον γάρ τήν Ολόφωτον ψυχήν αυτής, εις τάς αχράντους παλάμας, τού εξ αυτής σαρκωθέντος άνευ σποράς, παρατίθησιν, ώ καί πρεσβεύει αδιαλείπτως, δωρηθήναι τή οικουμένη ειρήνην, καί τό μέγα έλεος.

Εις τόν Στίχον Ιδιομελα.

Ήχος δ'

Δεύτε ανυμνήσωμεν λαοί, τήν Παναγίαν Παρθένον αγνήν, εξ ής αρρήτως προήλθε, σαρκωθείς ο Λόγος τού Πατρός, κράζοντες καί λέγοντες, Ευλογημένη σύ εν γυναιξί, Μακαρία η γαστήρ, η χωρήσασα Χριστόν, Αυτού ταίς αγίαις χερσί, τήν ψυχήν παραθεμένη, πρέσβευε άχραντε, σωθήναι τάς ψυχάς ημών.

Στίχ. Ανάστηθι Κύριε εις τήν ανάπαυσίν σου.

Τήν πάνσεπτόν σου Κοίμησιν, Παναγία Παρθένε αγνή, τών Αγγέλων τά πλήθη εν ουρανώ, καί ανθρώπων τό γένος επί τής γής μακαρίζομεν, ότι Μήτηρ γέγονας τού ποιητού τών απάντων Χριστού τού Θεού, Αυτόν ικετεύουσα, υπέρ ημών μή παύση δεόμεθα, τών εις σέ μετά Θεόν, τάς ελπίδας θεμένων, Θεοτόκε πανύμνητε, καί απειρόγαμε.

Στίχ. Ώμοσε Κύριος τώ Δαυϊδ αλήθειαν, καί ου μή αθετήσει αυτήν.

Δαυϊτικήν ωδήν σήμερον λαοί, άσωμεν Χριστώ τώ Θεώ, Απενεχθήσονται φησί, τώ Βασιλεί παρθένοι οπίσω αυτής, απενεχθήσονται εν ευφροσύνη καί αγαλλιάσει, Η γάρ εκ σπέρματος Δαυϊδ, δι' ής ημείς εθεώθημεν, εν ταίς χερσί τού εαυτής Υιού καί Δεσπότου, ενδόξως καί υπέρ λόγον μετατίθεται, ήν ως Μητέρα Θεού ανυμνούντες βοώμεν καί λέγομεν, Σώσον ημάς, τούς ομολογούντας σε Θεοτόκε, από πάσης περιστάσεως, καί λύτρωσαι κινδύνων τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Ήχος δ'

Ότε εξεδήμησας Θεοτόκε Παρθένε, πρός τόν εκ σού τεχθέντα αφράστως, παρήν Ιάκωβος ο Αδελφόθεος, καί πρώτος, Ιεράρχης, Πέτρος τε η τιμιωτάτη κορυφαία τών θεολόγων ακρότης, καί σύμπας ο θείος τών Αποστόλων χορός, εκφαντορικαίς θεολογίαις υμνολογούντες, τό θείον καί εξαίσιον, τής Χριστού τού Θεού οικονομίας μυστήριον, καί τό ζωαρχικόν, καί θεοδόχον σου σώμα κηδεύσαντες, έχαιρον πανύμνητε, ΄Υπερθεν δέ αί πανάγιαι καί πρεσβύταται τών Αγγέλων Δυνάμεις, τό θαύμα εκπληττόμεναι, κεκυφυίαι αλλήλαις έλεγον, Άρατε υμών τάς πύλας, καί υποδέξασθε τήν τεκούσαν, τόν ουρανού καί γής Ποιητήν, δοξολογίαις τε ανυμνήσωμεν, τό σεπτόν καί άγιον σώμα, τό χωρήσαν τόν ημίν αθεώρητον καί Κύριον, Διόπερ καί ημείς τήν μνήμην σου εορτάζοντες, εκβοώμέν σοι Πανύμνητε, Χριστιανών τό κέρας ύψωσον, καί σώσον τάς ψυχάς ημών.

Απολυτίκιον  Ήχος α'

Εν τή Γεννήσει τήν παρθενίαν εφύλαξας, έν τή Κοιμήσει τόν κόσμον ού κατέλιπες Θεοτόκε, Μετέστης πρός τήν ζωήν, μήτηρ υπάρχουσα τής ζωής, καί ταίς πρεσβείαις ταίς σαίς λυτρουμένη, εκ θανάτου τάς ψυχάς ημών.

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα  Ήχος δ'
Κατεπλάγη Ιωσήφ

Αναβόησον Δαυϊδ, τίς η παρούσα Εορτή; Ήν ανύμνησα φησίν, εν τώ βιβλίω τών Ψαλμών, ως θυγατέρα θεόπαιδα καί Παρθένον, μετέστησεν αυτήν, πρός τάς εκείθεν μονάς, Χριστός ο εξ αυτής, άνευ σποράς γεννηθείς, καί διά τούτο χαίρουσι, μητέρες καί θυγατέρες καί νύμφαι Χριστού, βοώσαι, Χαίρε, η μεταστάσα πρός τά άνω βασίλεια.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα  Ήχος α'
Τόν τάφον σου Σωτήρ

Ο πάντιμος χορός, τών σοφών Αποστόλων, ηθροίσθη θαυμαστώς, τού κηδεύσαι ενδόξως, τό σώμά σου τό άχραντον, Θεοτόκε Πανύμνητε, οίς συνύμνησαν, καί τών Αγγέλων τά πλήθη, τήν Μετάστασιν, τήν σήν σεπτώς ευφημούντες, ήν πίστει εορτάζομεν.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τόν Πολυέλεον

Κάθισμα  Ήχος γ'
Τήν ωραιότητα

Εν τή Γεννήσει σου, σύλληψις άσπορος, έν τή Κοιμήσει σου, νέκρωσις άφθορος, θαύμα εν θαύματι διπλούν, συνέδραμε Θεοτόκε, πώς γάρ η απείρανδρος, βρεφοτρόφος αγνεύουσα; πώς δέ η μητρόθεος, νεκροφόρος μυρίζουσα; Διό σύν τώ Αγγέλω βοώμέν σοι, Χαίρε η Κεχαριτωμένη.

Δόξα... Καί νύν... Τό αυτό

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί  Αντίφωνον Α'

- Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.
- Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί

έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον Ήχος δ'

Μνησθήσομαι τού ονόματός σου εν πάση γενεά καί γενεά.

Στίχ. Άκουσον, θύγατερ, καί ίδε, καί κλίνον τό ούς σου, καί επιλάθου τού λαού σου, καί τού οίκου τού πατρός σου, καί επιθυμήσει ο Βασιλεύς τού κάλλους σου.

Πάσα πνοή. Μετά δέ τό Ευαγγέλιον. καί τόν Ν'.

Δόξα... Ταίς τής Θεοτόκου...

Καί νύν... Τό αυτο...

Πεντηκοστάριον Στιχηρόν Ιδιόμελον

Ήχος πλ. β' Βύζαντος

Ότε η Μετάστασις τού αχράντου σου σκήνους ηυτρεπίζετο, τότε οι Απόστολοι, περικυκλούντες τήν κλίνην τρόμω εώρων σε, καί οι μέν ατενίζοντες τώ σκήνει, θάμβει συνείχοντο, ο δέ Πέτρος σύν δάκρυσιν εβόα σοι, Ώ Παρθένε, ορώ σε τρανώς ηπλωμένην υπτίαν, τήν ζωήν τών απάντων, καί καταπλήττομαι, εν ή εσκήνωσε τής μελλούσης ζωής η απόλαυσις, Αλλ' ώ άχραντε, ικέτευε εκτενώς τόν Υιόν σου καί Θεόν, τού σώζεσθαι τήν πόλιν σου άτρωτον.

Ψάλλονται οι δύο Κανόνες, ο α' μετά τών Ειρμών εις η' καί ο δ' εις ς', ύστερον δέ πάλιν οι Ειρμοί, κανών πρώτος, ού η Ακροστιχίς.

Πανηγυριζέτωσαν οι θεόφρονες.

Ποίημα τού Κυρίου Κοσμά.

Ωδή α' Ήχος α' Ο Ειρμός

«Πεποικιλμένη τή θεία δόξη, η ιερά καί ευκλεής Παρθένε μνήμη σου, πάντας συνηγάγετο, πρός ευφροσύνην τούς πιστούς, εξαρχούσης Μαριάμ, μετά χορών καί τυμπάνων τώ σώ, άδοντας Μονογενεί, ενδόξως ότι δεδόξασται».

Αμφεπονείτο αϋλων τάξις, ουρανοβάμων εν Σιών τό θείον σώμά σου, άφνω δέ συρρεύσασα, τών Αποστόλων η πληθύς, εκ περάτων Θεοτόκε, σοί παρέστησαν άρδην, μεθ' ών άχραντε, σού τήν σεπτήν, Παρθένε μνήμην δοξάζομεν.

Νικητικά μέν βραβεία ήρω, κατά τής φύσεως Αγνή, Θεόν κυήσασα, όμως μιμουμένη δέ, τόν ποιητήν σου καί Υιόν, υπέρ φύσιν υποκύπτεις, τοίς τής φύσεως νόμοις, διό θνήσκουσα, σύν τώ Υιώ εγείρη διαιωνίζουσα.

## Κανών δεύτερος

## Ποίημα Ιωάννου τού Δαμασκηνού.

### Ωδή α'  Ήχος δ'  Ο Ειρμός

«Ανοίξω τό στόμα μου, καί πληρωθήσεται Πνεύματος, καί λόγον ερεύξομαι τή Βασιλίδι Μητρί, καί οφθήσομαι, φαιδρώς πανηγυρίζων, καί άσω γηθόμενος, ταύτης τήν Κοίμησιν».

Παρθένοι νεάνιδες, σύν Μαριάμ τή Προφήτιδι, ωδήν τήν εξόδιον νύν αλαλάξατε, η Παρθένος γάρ, καί μόνη Θεοτόκος, πρός λήξιν ουράνιον διαβιβάζεται.

Αξίως ως έμψυχον, σέ ουρανόν υπεδέξαντο, ουράνια Πάναγνε, θεία σκηνώματα, καί παρέστηκας, φαιδρώς ωραϊσμένη, ως νύμφη πανάμωμος, τώ Βασιλεί καί Θεώ.

### Ωδή γ'  Ο Ειρμός

«Η δημιουργική, καί συνεκτική τών απάντων, Θεού σοφία καί δύναμις, ακλινή ακράδαντον, τήν Εκκλησίαν στήριξον Χριστέ, μόνος γάρ εί άγιος, ο εν αγίοις αναπαυόμενος».

Γυναίκά σε θνητήν, αλλ' υπερφυώς καί Μητέρα, Θεού ειδότες Πανάμωμε, οι κλεινοί Απόστολοι, πεφρικυίαις ήπτοντο χερσί, δόξη απαστράπτουσαν, ως θεοδόχον σκήνος θεώμενοι.

Υπέφθασε χερσί, ταίς υβριστικαίς τού αυθάδους, τομήν η δίκη επάξασα, τού Θεού φυλάξαντος, τό σέβας τή εμψύχω κιβωτώ, δόξη τής θεότητος, εν ή ο Λόγος σάρξ εχρημάτισε.

## Κανών δεύτερος

### Ο Ειρμός

«Τούς σούς υμνολόγους Θεοτόκε, η ζώσα καί άφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικόν στερέωσον, καί εν τή θεία δόξη σου, στεφάνων δόξης αξίωσον».

Θνητής εξ οσφύος προαχθείσα, τή φύσει κατάλληλον Αγνή, τήν εξοδον διήνυσας, Τεκούσα δέ τήν όντως ζωήν, πρός τήν ζωήν μεθέστηκας, τήν θείαν καί ενυπόστατον.

Δήμος θεολόγων εκ περάτων, εξ ύψους Αγγέλων δέ πληθύς, πρός τήν Σιών ηπείγοντο, παντοδυνάμω νεύματι, αξιοχρέως Δέσποινα, τή σή ταφή λειτουργήσοντες.

## Η Υπακοή
## Ήχος πλ. α'

Μακαρίζομέν σε πάσαι αι γενεαί, Θεοτόκε Παρθένε, εν σοί γάρ ο αχώρητος Χριστός ο Θεός ημών, χωρηθήναι ευδόκησε, Μακάριοι εσμέν καί ημείς προστασίαν σε έχοντες, ημέρας γάρ καί νυκτός πρεσβεύεις υπέρ ημών, καί τά σκήπτρα τής βασιλείας, ταίς σαίς ικεσίαις κρατύνονται, Διό ανυμνούντες βοώμέν σοι Χαίρε Κεχαριτωμένη, ο Κύριος μετά σού.

## Ωδή δ'  Ο Ειρμός

«Ρήσεις Προφητών καί αινίγματα, τήν σάρκωσιν υπέφηναν, τήν εκ Παρθένου σου Χριστέ, φέγγος αστραπής σου, εις φώς εθνών εξελεύσεσθαι, καί φωνεί σοι άβυσσος, εν αγαλλιάσει, τή δυνάμει σου δόξα Φιλάνθρωπε».

Ίδετε λαοί καί θαυμάσατε, τό όρος γάρ τό άγιον, καί εμφανέστατον Θεού, τών επουρανίων βουνών, εφύπερθεν αίρεται, ουρανός επίγειος, εν επουρανίω, καί αφθάρτω χθονί οικιζόμενος.

Ζωής αϊδίου καί κρείττονος, ο θάνατός σου γέγονε, διαβατήριον Αγνή, εκ τής επικήρου πρός θείαν όντως καί άρρευστον, μεθιστών σε άχραντε, εν αγαλλιάσει, τόν Υιόν καθοράν σου καί Κύριον.

Επήρθησαν πύλαι ουράνιαι, καί Άγγελοι ανύμνησαν, καί υπεδέξατο Χριστός, τό τής παρθενίας αυτού, μητρώον κειμήλιον, Χερουβίμ υπείξέ σοι, εν αγαλλιάσει, Σεραφίμ δέ δοξάζει σε χαίροντα.

## Κανων δεύτερος

## Ο Ειρμός

«Τήν ανεξιχνίαστον θείαν βουλήν, τής εκ τής Παρθένου σαρκώσεως, σού τού Υψίστου, ο Προφήτης Αββακούμ, κατανοών εκραύγαζε, Δόξα τή δυνάμει σου Κύριε».

Θάμβος ήν θεάσασθαι τόν ουρανόν, τού Παμβασιλέως τόν έμψυχον, τούς κενεώνας, υπερχόμενον τής γής, Ως θαυμαστά τά έργα σου Δόξα τή δυνάμει σου Κύριε.

Εν τή Μεταστάσεισου Μητέρθεού, τό ευρυχωρότατον σώμά σου καί θεοδόχον, τών Αγγέλων στρατιαί, Ιερωτάταις πτέρυξι, φόβω καί χαρά συνεκάλυπτον.

Ει ο ακατάληπτος ταύτης καρπός, δι' όν ουρανός εχρημάτισε, ταφήν υπέστη, εκουσίως ως θνητός, πώς τήν ταφήν αρνήσεται, η απειρογάμως κυήσασα.

## Ωδή ε'  Ο Ειρμός

«Τό θείον καί άρρητον κάλλος, τών αρετών σου Χριστέ διηγήσομαι, εξ αϊδίου γάρ δόξης συναϊδιον, καί ενυπόστατον λάμψας απαύγασμα, Παρθενικής από γαστρός, τοίς εν σκότει καί σκιά, σωματωθείς ανέτειλας ήλιος».

Ως επί νεφέλης Παρθένε, τών Αποστόλων ο δήμος οχούμενος, πρός την Σιών εκ περάτων λειτουργήσαί σοι, τή νεφέλη τή κούφη ηθροίζετο, αφ' ής ο Ύψιστος Θεός, τοίς εν σκότει καί σκιά, δικαιοσύνης έλαμψεν ήλιος.

Σαλπίγγων θεόληπτοι γλώσσαι, τών θεολόγων ανδρών ευηχέστερον, τή Θεοτόκω εβόων τόν εξόδιον, ενηχούμεναι ύμνον τώ Πνεύματι, Χαίροις ακήρατε πηγή, τής τού Θεού ζωαρχικής, καί σωτηρίου πάντων σαρκώσεως.

Κανών δεύτερος

Ο Ειρμός

«Εξέστη τά σύμπαντα, επί τή θεία δόξη σου, σύ γάρ απειρόγαμε Παρθένε, γήθεν μετέστης πρός αιωνίους μονάς, καί πρός ατελεύτητον ζωήν, πάσι τοίς υμνούσί σε, σωτηρίαν βραβεύουσα».

Κροτείτωσαν σάλπιγγες, τών θεολόγων σήμερον, γλώσσα δέ πολύφθογγος ανθρώπων, νύν ευφημείτω, περιηχείτω αήρ, απείρω λαμπόμενος φωτί, Άγγελοι υμνείτωσαν, τής Παρθένου τήν Κοίμησιν.

Τό σκεύος διέπρεπε, τής εκλογής τοίς ύμνοις σοι, όλος εξιστάμενος Παρθένε, έκδημος, όλως, Ιερωμένος Θεώ, τοίς πάσι θεόληπτος καί ών, όντως καί δεικνύμενος, Θεοτόκε πανύμνητε.

Ωδή ς'  Ο Ειρμός

«Άλιον ποντογενές, κητώον εντόσθιον πύρ, τής τριημέρου ταφής σου ήν προεικόνισμα, ού Ιωνάς υποφήτης αναδέδεικται, σεσωσμένος γάρ ως καί προυπέποτο, ασινής εβόα, θύσω σοι μετά φωνής αινέσεως Κύριε».

Νέμει σοι τά υπέρ φύσιν, Άναξ ο πάντων Θεός, εν γάρ τώ τίκτειν, Παρθένον ώσπερ εφυλαξεν, ούτως εν τάφω τό σώμα διετήρησεν, αδιάφθορον, καί συνεδόξασε, θεία μεταστάσει, γέρα σοι ώσπερ Υιός Μητρί χαριζόμενος.

Όντως σε ως φαεινήν λυχνίαν, αϋλου πυρός, θυμιατήριον θείου χρύσεον άνθρακος, εν τοίς Αγίων Αγίοις κατεσκήνωσε, στάμνον ράβδον τε πλάκα θεόγραφον, κιβωτόν αγίαν, τράπεζαν άρτου ζωής, Παρθένε ο τόκος σου.

Κανών δευτερος

Ο Ειρμός

«Τήν θείαν ταύτην καί πάντιμον, τελούντες εορτήν οι θεόφρονες, τής Θεομήτορος, δεύτε τάς χείρας κροτήσωμεν, τόν εξ αυτής τεχθέντα Θεόν

δοξάζοντες».

Εκ σού ζωή ανατέταλκε, τάς κλείς τής παρθενίας μή λύσασα, πώς ούν τό άχραντον, ζωαρχικόν τε σου σκήνωμα, τής τού θανάτου πείρας γέγονε μέτοχον.

Ζωής υπάρξασα τέμενος, ζωής τής αϊδίου τετύχηκας, διά θανάτου γάρ, πρός τήν ζωήν μεταβέβηκας, η τήν ζωήν τεκούσα τήν ενυπόστατον.

Κοντάκιον Ήχος πλ. β'
Αυτόμελον

Τήν εν πρεσβείαις ακοίμητον Θεοτόκον, καί προστασίαις αμετάθετον ελπίδα, τάφος καί νέκρωσις ουκ εκράτησεν, ως γάρ ζωής Μητέρα, πρός τήν ζωήν μετέστησεν, ο μήτραν οικήσας αειπάρθενον.

Ο Οίκος

Τείχισόν μου τάς φρένας Σωτήρ μου, τό γάρ τείχος τού κόσμου ανυμνήσαι τολμώ, τήν άχραντον Μητέρα σου, εν πύργω ρημάτων ενίσχυσόν με, καί εν βάρεσιν εννοιών οχύρωσόν με, σύ γάρ βοάς τών αιτούντων πιστώς τάς αιτήσεις πληρούν, Σύ ούν μοι δώρησαι γλώτταν, προφοράν, καί λογισμόν ακαταίσχυντον, πάσα γάρ δόσις ελλάμψεως παρά σού καταπέμπεται φωταγωγέ, ο μήτραν οικήσας αειπάρθενον.

Συναξάριον

Τή ΙΕ' τού αυτού μηνός, μνήμη τής πανσέπτου Μεταστάσεως τής υπερενδόξου Δεσποίνης ημών καί αειπαρθένου Μαρίας.

Στίχοι

- Ου θαύμα θνήσκειν κοσμοσώτειραν Κόρην,
- Τού κοσμοπλάστου σαρκικώς τεθνηκότος.
- Ζή αεί Θεομήτωρ, κάν δεκάτη θάνε πέμπτη.

Ής ταίς αγίαις πρεσβείαις, ο Θεός, ελέησον καί σώσον ημάς, ως αγαθός καί φιλάνθρωπος.

Ωδή ζ' Ο Ειρμός

«Ιταμώ θυμώ τε καί πυρί, θείος έρως αντιταττόμενος, τό μέν πύρ εδρόσιζε, τώ θυμώ δέ εγέλα, θεοπνεύστω λογική, τή τών οσίων τριφθόγγω λύρα αντιφθεγγόμενος, μουσικοίς οργάνοις εν μέσω φλογός, ο δεδοξασμένος, τών Πατέρων καί ημών Θεός ευλογητός εί».

Θεοτεύκτους πλάκας Μωϋσής, γεγραμμένας τώ θείω Πνεύματι, εν θυμώ συνέτριψεν, αλλ' ο τούτου Δεσπότης, τήν τεκούσαν ασινή, τοίς ουρανίοις φυλάξας δόμοις, νύν εισωκίσατο, Σύν αυτή σκιρτώντες βοώμεν Χριστώ, ο δεδοξασμένος, τών Πατέρων καί ημών, Θεός ευλογητός εί.

Εν κυμβάλοις χείλεσιν αγνοίς, μουσική τε καρδίας φόρμιγγι, εν ευήχω

σάλπιγγι, υψηλής διανοίας, τής Παρθένου καί αγνής, εν τή ευσήμω κλητή ημέρα τής Μεταστάσεως, πρακτικαίς κροτούντες βοώμεν χερσίν, ο δεδοξασμένος, τών Πατέρων καί ημών, Θεός ευλογητός εί.

Ο θεόφρων ήθροισται λαός, τής γάρ δόξης Θεού τό σκήνωμα, εν Σιών μεθίσταται πρός ουράνιον δόμον, ένθα ήχος καθαρός εορταζόντων, φωνή αφράστου αγαλλιάσεως, καί εν ευφροσύνη βοώντων Χριστώ, ο δεδοξασμένος, τών Πατέρων καί ημών, Θεός ευλογητός εί.

## Κανών δεύτερος

### Ο Ειρμός

«Ουκ ελάτρευσαν τή κτίσει οι θεόφρονες, παρά τόν κτίσαντα, αλλά πυρός απειλήν, ανδρείως πατήσαντες, χαίροντες έψαλλον, Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί».

Νεανίσκοι καί παρθένοι τής Παρθένου τε, καί Θεομήτορος, τήν μνήμην σέβοντες, πρεσβύται καί άρχοντες, καί βασιλείς σύν κριταίς, μελωδήσατε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Σαλπισάτωσαν τή σάλπιγγι τού Πνεύματος, όρη ουράνια, αγαλλιάσθωσαν νύν, βουνοί καί σκιρτάτωσαν θείοι, Απόστολοι, η Βασίλισσα, προς τόν Υιον μεθίσταται, σύν αυτώ αεί κρατούσα.

Η πανίερος Μετάστασις τής θείας σου, καί ακηράτου Μητρός, τά υπερκόσμια, τών άνω Δυνάμεων, ήθροισε τάγματα, συνευφραίνεσθαι, τοίς επί γής σοι μέλπουσιν, ο Θεός ευλογητός εί.

### Ωδή η'  Ο Ειρμός

«Φλόγα δροσίζουσαν Οσίους, δυσσεβείς δέ καταφλέγουσαν, Άγγελος Θεού ο πανσθενής, έδειξε Παισί, ζωαρχικήν δέ πηγήν ειργάσατο τήν Θεοτόκον, φθοράν θανάτου, καί ζωήν βλυστάνουσαν τοίς μέλπουσι, τόν Δημιουργόν μόνον υμνούμεν, οι λελυτρωμένοι, καί υπερυψούμεν εις πάντας τούς αιώνας».

Ρήμασιν είχοντο τής θείας, κιβωτού τού αγιάσματος, πάσα η πληθύς τών θεολόγων εν τή Σιών, Πού νύν απαίρεις σκηνή κραυγάζοντες, Θεού τού ζώντος; Μή διαλίπης εποπτεύουσα, τούς πίστει μέλποντας, τόν Δημιουργόν μόνον υμνούμεν, οι λελυτρωμένοι, καί υπερυψούμεν εις πάντας τούς αιώνας.

Όπως υψώσασα τάς χείρας, εκδημούσα η πανάμωμος, χείρας τάς Θεόν ηγκαλισμένας, σωματικώς εν παρρησία, ως Μήτηρ έφησε πρός τον τεχθέντα, ούς μοι εκτήσω, εις αιώνας φύλαττε βοώντάς σοι, τόν Δημιουργόν μόνον υμνούμεν, οι λελυτρωμένοι, καί υπερυψούμεν εις πάντας τούς αιώνας.

## Κανών δεύτερος

### Ο Ειρμός

«Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν, τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Τήν μνήμην σου άχραντε Παρθένε, Αρχαί τε καί Εξουσίαι σύν Δυνάμεσιν, Άγγελοι, Αρχάγγελοι, θρόνοι Κυριότητες, τά Χερουβίμ δοξάζουσι, καί τά φρικτά Σεραφίμ, ανθρώπων δέ τό γένος υμνούμεν, καί υπερυψούμεν εις πάντας τούς αιώνας.

Ο ξένως οικήσας Θεοτόκε, εν τή αχράντω νηδυϊ σου σαρκούμενος, ούτος τό πανίερον, πνεύμά σου δεξάμενος, εν εαυτώ κατέπαυσεν, ως οφειλέτης Υιός, διό σέ τήν Παρθένον υμνούμεν, καί υπερυψούμεν εις πάντας τούς αιώνας.

Ώ τών υπέρ έννοιαν θαυμάτων, τής αειπαρθένου καί Θεομήτορος! τάφον γάρ οικήσασα, έδειξε Παράδεισον, ώ παρεστώτες σήμερον, χαίροντες ψάλλομεν, τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε εις πάντας τούς αιώνας.

## Ωδή θ'

Μεγαλυνάριον, όπερ στιχολογείται εν εκάστω τροπαρίω τής παρούσης Ωδής.

Αι γενεαί πάσαι, μακαρίζομέν σε, τήν μόνην Θεοτόκον.

### Ο Ειρμός

«Νενίκηνται τής φύσεως οι όροι, εν σοι Παρθένε άχραντε, παρθενεύει γάρ τόκος, καί ζωήν προμνηστεύεται θάνατος, Η μετά τό κον Παρθένος, καί μετά θάνατον ζώσα, σώζοις αεί, Θεοτόκε, τήν κληρονομίαν σου».

Εξίσταντο Αγγέλων αι δυνάμεις, εν τή Σιων σκοπούμεναι, τόν οικείον Δεσπότην, γυναικείαν ψυχήν χειριζόμενον, τή γάρ αχράντως τεκούση, υιοπρεπώς προσεφώνει, Δεύρο Σεμνή, τώ Υιώ καί Θεώ συνδοξάσθητι.

Συνέστειλε χορός τών Αποστόλων, τό θεοδόχον Σώμά σου, μετά δέους ορώντες, καί φωνή λιγυρά προσφθεγγόμενοι, Εις ουρανίους θαλάμους, πρός τόν Υιόν εκφοιτώσα, σώζοις αεί, Θεοτόκε την κληρονομίαν σου.

## Κανών δεύτερος

Μεγαλυνάριον στιχολογούμενον καί αυτό ως τό ανωτέρω.

Άγγελοι τήν Κοίμησιν τής Παρθένου, ορώντες εξεπλήττοντο, πώς η

Παρθένος απαίρει, από τής γής εις τά άνω.

Ο Ειρμός

«Άπας γηγενής, σκιρτάτω τώ πνεύματι, λαμπαδοχούμενος, πανηγυριζέτω δέ, αϋλων Νόων φύσις γεραίρουσα, τήν Ιεράν πανήγυριν τής Θεομήτορος, καί βοάτω, Χαίροις παμμακάριστε, Θεοτόκε αγνή αειπάρθενε».

Δεύτε εν Σιών, τώ θείω καί πίονι, όρει τού ζώντος Θεού, αγαλλιασώμεθα, τήν Θεοτόκον ενοπτριζόμενοι, πρός γάρ τήν λίαν κρείττονα, καί θειοτέραν σκηνήν, ως Μητέρα, ταύτην εις τά Άγια, τών Αγίων Χριστός μετατίθησι.

Δεύτε οι πιστοί, τώ τάφω προσέλθωμεν, τής Θεομήτορος, καί περιπτυξώμεθα, καρδίας χείλη όμματα μέτωπα, ειλικρινώς προσάπτοντες, καί αρυσώμεθα, ιαμάτων, άφθονα χαρίσματα, εκ πηγής αενάου βλυστάνοντα.

Δέχου παρ' ημών, ωδήν τήν εξόδιον, Μήτερ τού ζώντος Θεού, καί τή φωτοφόρω σου, καί θεία επισκίασον χάριτι, τώ Βασιλεί τά τρόπαια, τώ φιλοχρίστω λαώ, τήν ειρήνην, άφεσιν τοίς μέλπουσι, καί ψυχών σωτηρίαν βραβεύουσα.

Εξαποστειλάριον

Ήχος γ'  εκ τρίτου

Απόστολοι εκ περάτων, συναθροισθέντες ενθάδε, Γεθσημανή τώ χωρίω, κηδεύσατέ μου τό σώμα, καί σύ Υιέ καί Θεέ μου, παράλαβέ μου τό πνεύμα.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια δευτερούντες τό α'.

Ήχος δ'

Ως γενναίον έν Μάρτυσι

Τή ενδόξω Κοιμήσει σου, ουρανοί επαγάλλονται, καί Αγγέλων γέγηθε τά στρατεύματα, πάσα η γή δέ ευφραίνεται, ωδήν σοι εξόδιον προσφωνούσα τή Μητρί, τού τών όλων δεσπόζοντος, απειρόγαμε, Παναγία Παρθένε, η τό γένος τών ανθρώπων ρυσαμένη, προγονικής αποφάσεως. (Δίς)

Εκ περάτων συνέδραμον, Αποστόλων οι πρόκριτοι, θεαρχίω, νεύματι τού κηδεύσαί σε, καί από γής αιρομένην σε, πρός ύψος θεώμενοι, τήν φωνήν τού Γαβριήλ, εν χαρά ανεβόων σοι, Χαίρε όχημα, τής θεότητος όλης, χαίρε μόνη, τά επίγεια τοίς άνω, τώ τοκετώ σου συνάψασα.

Τήν ζωήν η κυήσασα, πρός ζωήν μεταβέβηκας, τή σεπτή Κοιμήσει σου τήν αθάνατον, δορυφορούντων Αγγέλων σοι, Αρχών καί Δυνάμεων, Αποστόλων Προφητών, καί απάσης τής κτίσεως, δεχομένου τε, ακηράτοις παλάμαις τού Υιού σου, τήν αμώμητον ψυχήν σου, Παρθενομήτορ Θεόνυμφε.

Δόξα... Καί νύν... Ήχος πλ. β'

Τή αθανάτω σου Κοιμήσει, Θεοτόκε Μήτηρ τής ζωής, νεφέλαι τούς

Αποστόλους, αιθερίους διήρπαζον, καί κοσμικώς διεσπαρμένους, ομοχώρους παρέστησαν τώ αχράντω σου σώματι, οί καί κηδεύσαντες σεπτώς, τήν φωνήν τού Γαβριήλ, μελωδούντες ανεβόων, Χαίρε κεχαριτωμένη, Παρθένε Μήτηρ ανυμφευτε, ο Κύριος μετά σού, Μεθ' ών ως Υιόν σου καί Θεόν ημών, ικέτευε σωθήναι τάς ψυχάς ημών.

Δοξολογία μεγάλη

Δίδοται καί άγιον έλαιοντοίς αδελφοίς.

Εις τήν Λειτουργίαν. Τά Τυπικά, οι Μακαρισμοί, καί εκ τών κανόνων τής Εορτής Ωδή γ' καί ς'.

Εί δέ βούλει, ειπέ τά παρόντα Αντίφωνα.

Αντίφωνον Α'

Στίχος α'. Αλαλάξατε τώ Θεώ πάσα η γή.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχος β'. Εξομολογείσθε αυτώ, αινείτε τό όνομα αυτού.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχος γ'. Εν πόλει Κυρίου τών δυνάμεων, εν πόλει Θεού ημών.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχος δ'. Εγενήθη εν ειρήνη ο τόπος αυτού, καί τό κατοικητήριον αυτού εν Σιών.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Δόξα... Καί νύν...

Ταίς πρεσβείαις τής Θεοτόκου...

Αντίφωνον Β'

Στίχος α'. Αγαπά Κύριος τάς πύλας Σιών, υπέρ πάντα τά σκηνώματα Ιακώβ.

Σώσον ημάς Υιέ Θεού, ο εν Αγίοις θαυμαστός, ψάλλοντάς σοι. Αλληλούϊα.

Στίχος β'. Δεδοξασμένα ελαλήθη περί σού, η πόλις τού Θεού.

Σώσον ημάς Υιέ Θεού...

Στίχος γ'. Ο Θεός εθεμελίωσεν αυτήν εις τόν αιώνα.

Σώσον ημάς Υιέ Θεού...

Στίχος δ'. Ηγίασε τό σκήνωμα αυτού ο Ύψιστος.

Σώσον ημάς Υιέ Θεού...

Δόξα... Καί νύν...

Ο μονογενής Υιός καί Λόγος...

### Αντίφωνον Γ'

Στίχος α'. Ετοίμη η καρδία μου, ο Θεός, ετοίμη η καρδία μου.

Ήχος α'

Εν τή Γεννήσει τήν παρθενίαν εφύλαξας, έν τή Κοιμήσει τόν κόσμον ού κατέλιπες Θεοτόκε, Μετέστης πρός τήν ζωήν, μήτηρ υπάρχουσα τής ζωής, καί ταίς πρεσβείαις ταίς σαίς λυτρουμένη, εκ θανάτου τάς ψυχάς ημών.

Στίχος β'. Τί ανταποδώσω τώ Κυρίω περί
πάντων ών ανταπέδωκέ μοι;

Εν τή Γεννήσει τήν παρθενίαν...

Στίχος γ'. Ποτήριον σωτηρίου λήψομαι, καί τό όνομα Κυρίου επικαλέσομαι.

Εν τή Γεννήσει τήν παρθενίαν...

### Εισοδικόν

Δεύτε προσκυνήσωμεν, καί προσπέσωμεν Χριστώ. Σώσον ημάς Υιέ Θεού, ο εν αγίοις θαυμαστός, ψάλλοντάς σοι. Αλληλούϊα.

### Απολυτίκιον  Ήχος α'

Εν τή Γεννήσει τήν παρθενίαν εφύλαξας, έν τή Κοιμήσει τόν κόσμον ού κατέλιπες Θεοτόκε, Μετέστης πρός τήν ζωήν, μήτηρ υπάρχουσα τής ζωής, καί ταίς πρεσβείαις ταίς σαίς λυτρουμένη, εκ θανάτου τάς ψυχάς ημών.

### Κοντάκιον  Ήχος πλ. β'

Αυτόμελον

Τήν εν πρεσβείαις ακοίμητον Θεοτόκον, καί προστασίαις αμετάθετον ελπίδα, τάφος καί νέκρωσις ουκ εκράτησεν, ως γάρ ζωής Μητέρα, πρός τήν ζωήν μετέστησεν, ο μήτραν οικήσας αειπάρθενον.

### Εις τό, Εξαιρέτως

Ήχος α'

Αι γενεαί πάσαι, μακαρίζομέν σε, τήν μόνην Θεοτόκον.

Ο Ειρμός

«Νενίκηνται τής φύσεως οι όροι, εν σοι Παρθένε άχραντε, παρθενεύει γάρ τόκος, καί ζωήν προμνηστεύεται θάνατος, Η μετά τό κον Παρθένος, καί μετά θάνατον ζώσα, σώζοις αεί, Θεοτόκε, τήν κληρονομίαν σου».

Κοινωνικόν

Ποτήριον σωτηρίου λήψομαι, καί τό όνομα Κυρίου επικαλέσομαι. Αλληλούϊα.

---

Αρχή

## ΤΗ ΙΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής εξ Εδέσσης ανακομιδής τής αχειροποιήτου Εικόνος τού Κυρίου ήμών Ιησού Χριστού, ήτοι τού Αγίου Μανδηλίου, καί τού Αγίου Μάρτυρος Διομήδους.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τής Αγίας Εικόνος τρία.

Ήχος β'

Ποίοις ευφημιών

Ποίοις οι γηγενείς όμμμιμασιν εποψόμεθά σου τήν εικόνα; ήν τά τών Αγγέλων στρατεύματα, βλέπειν αδεώς, ου δεδύνηνται, θεϊκώ φωτί αστραπτομένην, απαίρει γάρ από γής απίστων σήμερον, καί πόλιν πρός Βασιλίδα καί λαόν ευσεβή, επιδημεί θεία νεύσει, ής περ τή εισόδω, επευφραίνονται Βασιλείς, προσπίπτοντες ταύτη, μετά φόβου Χριστέ καί πίστεως.

Ποίαις οι χοϊκοί ψαύσομεν, τής Εικόνος σου Λόγε παλάμαις; οι ρερυπωμένοι τοίς πταίσμασι, τού αναμαρτήτου Θεού ημών; οι εν μολυσμοίς, τού απροσίτου; Καλύπτει τά Χερουβίμ τάς όψεις τρέμοντα, ού φέρει τά Σεραφίμ οράν τήν δόξαν σου, φόβω δουλεύει σοι κτίσις, Μή ούν κατακρίνης αναξίως σου τήν μορφήν, Χριστέ τήν φρικτήν, ασπαζομένους ημάς εκ πίστεως.

Πάλιν Δεσποτικής πάρεστι, πανηγύρεως θεία ημέρα, ο γάρ εν υψίστοις καθήμενος, νύν ημάς σαφώς επεσκέψατο, διά τής σεπτής αυτού Εικόνος, ο άνω τοίς Χερουβίμ ων αθεώρητος, οράται διά γραφής οίς περ ωμοίωται, Πατρός αχράντω δακτύλω, μορφωθείς αρρήτως, καθ' ομοίωσιν τήν αυτού, ήν πίστει καί πόθω, προσκυνούντες άγιαζόμεθα.

Καί τού Αγίου Τρία

Ήχος δ'

Ως γενναίον εν Μάρτυσιν

Ιατρεύειν παθήματα, φυγαδεύειν νοσήματα, απελαύνειν πνεύματα πονηρότατα, τή συνεργεία τού Πνεύματος, παμμάκαρ ηξίωσαι, αφανίσας ανδρικώς, τά εκείνων σεβάσματα, ταίς ενστάσεσι, τής αθλήσεως Μάρτυς στεφηφόρε, συμπολίτα τών Αγγέλων, τών αθλοφόρων ομόσκηνε.

Τόν αγώνα ηγώνισαι, καί τόν δρόμον ετέλεσας, καί τήν πίστιν ένδοξε συνετήρησας, καί πρός Θεόν προσεχώρησας βραβείον τά θαύματα, παρ' αυτού απολαβών, καί τής νίκης τόν στέφανον, τόν αμάραντον, ως αήττητος Μάρτυς ως τής άνω, βασιλείας κληρονόμος, υπέρ τού κόσμου δεόμενος.

Εν οδώ μαρτυρίου σου, ως εν πλούτω τερπόμενος, Διομήδης Κύριε τή βουλήσει σου, αυτού τό πνεύμα εις χείράς σου, Χριστέ παραδέδωκεν, εκτμηθείς τήν κεφαλήν, μετά τέλος μακάριον, καί γενόμενος, οδηγός αληθείας τοίς αθέοις, πηρωθείσι παραδόξως, καί διά πίστεως βλέψασι.

Δόξα... Καί νύν... Ήχος πλ. β'

Δεύτε τήν παγκόσμιον Κοίμησιν, τής παναμώμου Θεοτόκου εορτάσωμεν, σήμερον γάρ Άγγελοι πανηγυρίζουσι, τήν σεπτήν Μετάστασιν τής Θεομήτορος, καί πρός ευωχίαν ημάς τούς γηγενείς συγκαλούσι τού βοάν ασιγήτω φωνή, Χαίρε, η μεταστάσα από γής, καί πρός ουρανίους μονάς μετοικήσασα, Χαίροις η τών Μαθητών τόν χορόν, διά νεφέλης κούφης εις έν συναγαγούσα, Χαίροις η ελπίς καί προστασία ημών, Σέ γάρ Χριστιανών τό γένος, απαύστως μακαρίζομεν.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια τής Εορτής.

Ήχος β'

Οίκος τού Εφραθά

Δήμος τών Μαθητών, ήθροισται εκ περάτων, Γεθσημανή χωρίω, Μήτερ Θεού κηδεύσαι, τό θεοδόχον σώμά σου.

Στίχ. Ανάστηθι Κύριε εις τήν ανάπαυσίν σου.

Ω τών υπερφυών, Αγνή σου μυστηρίων! τού Θεού γάρ ως Μήτηρ, πρός τούτον Θεοτόκε, λαμπρώς νύν εξεδήμησας.

Στίχ. Ώμοσε Κύριος τώ Δαυϊδ αλήθειαν, καί ου μή αθετήσει αυτήν.

Κλίμαξ πρός ουρανόν, ο τάφος τής Παρθένου, καί Θεοτόκου πέλει, ανάγουσα τούς πίστει, αυτήν αεί δοξάζοντας.

Δόξα... Καί νύν... Όμοιον

Ότε πρός τόν εκ σού, τεχθέντα μετετέθης, συνήλθον εν νεφέλαις, τό σώμά σου κηδεύσαι, Παρθένε οι Απόστολοι.

Απολυτίκιον τής Αγίας Εικόνος

Ήχος β'

Τήν άχραντον Εικόνα σου, προσκυνούμεν αγαθέ, αιτούμενοι συγχώρησιν τών πταισμάτων ημών, Χριστέ ο Θεός, βουλήσει γάρ ηυδόκησας σαρκί, ανελθείν εν τώ Σταυρώ, ίνα ρύση ούς έπλασας, εκ τής δουλείας τού εχθρού, όθεν ευχαρίστως βοώμέν σοι, Χαράς επλήρωσας τά πάντα, ο Σωτήρ ημών, παραγενόμενος εις τό σώσαι τόν κόσμον.

Καί τής Εορτής

Απολυτίκιον Ήχος α'

Εν τή Γεννήσει τήν παρθενίαν εφύλαξας, έν τή Κοιμήσει τόν κόσμον ού κατέλιπες Θεοτόκε, Μετέστης πρός τήν ζωήν, μήτηρ υπάρχουσα τής ζωής, καί ταίς πρεσβείαις ταίς σαίς λυτρουμένη, εκ θανάτου τάς ψυχάς ημών.

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος δ'

Κατεπλάγη Ιωσήφ

Καθορώσαι αληθώς, αι τών Αγγέλων στρατιαί, τήν Μετάστασιν τήν σήν, άχραντε Μήτερ τού Θεού, ευλογημένη πανύμνητε Παναγία, έχοντες βουλήν, τού τεχθέντος εκ σού, στίφος Μαθητών συναθροίσασαι, έν ευφροσύνη έφερον τό τίμιον, εις τόν Παράδεισον σώμά σου, Χριστόν υμνούσαι, τόν ζωοδότην, όντα εις τούς αιώνας.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογίαν

Καθισμα όμοιον

Εν χερσί τού δι' ημάς, ενανθρωπήσαντος εκ σού, παραθεμένην τήν ψυχήν, ως πλαστουργός σου καί Θεός, πρός τήν ακήρατον μετέστησεν ευφροσύνην, όθεν σε σεπτώς μακαρίζομεν, τήν μόνην καθαράν καί αμόλυντον, καί Θεοτόκον άπαντες κυρίως, ομολογούντες κραυγάζομεν, Χριστόν δυσώπει, πρός όν μετέστης, σώσαι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Τό αυτό

Οι Κανόνες τής Εορτής, τής Αγίας Εικόνος, καί τού Αγίου.

Ο Κανών τής Αγίας Εικόνος, ού η Ακροστιχίς.

Σής εκσφράγισμα Σώτερ όψεως σέβω. Γερμανού Πατριάρχου.

Ωδήα' Ήχος πλ. β'

Ως εν ηπείρω πεζεύσας

Σωματικώς μορφωθήναι το καθ' ημάς, ο τό πρίν ασώματος, ευδοκία πατρική, μή απανηνάμενος μορφής, εχαρίσατο ημίν θείον εκτύπωμα.

Η απαράλλακτος φύσις ο τού Πατρός, όρος ακριβέστατος, τήν βροτείαν υπελθών, σάρκα Ιδιώματα εν γή, καταλέλοιπεν ημίν εις ουρανούς ανελθών.

Σαλευομένην απάτη τού δυσμενούς, την κληρονομίαν σου, εδικαίωσας Χριστέ, τοίς σεπτοίς σου πάθεσιν αυτήν, εδραιώσας, καί μορφής τώ εκτυπώματι.

Θεοτοκίον

Εκ τών αγνών σου λαγόνων υπερφυώς, σάρκα δανεισάμενος, ο τό είναι παρασχών, πάσι Παναμώμητε βροτοίς, καθωράθη, ουκ εκστάς ού ήν τό πρότερον.

## Κανών τού Αγίου

### Ωδή α'  Ήχος δ'

Ανοίξω τό στόμα μου

Φωτί αυγαζόμενος, τώ τρισηλίω διάλυσον, τόν ζόφον μακάριε τής αγνωσίας μου, τήν φωσφόρον σου, όπως υμνήσω μνήμην, καί τά κατορθώματα, τής πολιτείας σου.

Παθών ανεπίδεκτον, τόν λογισμόν εργασάμενος, δοχείον αοίδιμε, ώφθης τού Πνεύματος, καί ανέβλυσας, ιάσεων πελάγη, πάσαν κατακλύζοντα, νόσων επήρειαν.

Ζωής εφιέμενος, ατελευτήτου ποτήριον, θανάτου πανεύφημε, πιείν κατέσπευσας, καί επέτυχες, ως είδεν ο καλών σε, πρός στέφος αμάραντον, Μάρτυς αήττητε.

Θεοτοκίον

Η πόλις η έμψυχος, τού Βασιλέως πανύμνητε, η ξένην καί γέννησιν, καί θείαν κοίμησιν, επιδείξασα, τήν πόλιν σου εκ πάσης, σεισμού καταπτώσεως, δείξον αλώβητον.

## Τής Αγίας Εικόνος

### Ωδή γ'

Ουκ έστιν Αγιος ως σύ

Καταστολή τών αρετών, περιέδησας Σώτερ, τήν σεπτήν Εκκλησίαν, κινήσας βασιλικήν, καρδίαν συνασπισμόν, εκζητήσαι σού τό αφομοίωμα.

Συλήσαι θέλων τά καλά, καί χρόνω μειώσαι, ο τού φθόνου γεννήτωρ, χερσί βεβήλοις αυτά, περέδωκεν αναιδώς, αλλ' ηλέγχθη, μάτην λογιζόμενος.

Φαιδρώς ηγάλλετο ποτέ, ο Δαυϊδ προχορεύων, Κιβωτού τής αγίας, καί νύν ο σκήπτρα λαχών, ιθύνειν βασιλικά, πλέον χαίρει, θείω εκτυπώματι.

Θεοτοκίον

Ριζόθεν πάσαν εκτεμείν, τού προπάτορος θέλων, ο Υιός σου Παρθένε, φυείσαν παρακοήν, εκ τής γαστρός σου αγνή, προσλαμβάνει, όλον τό ανθρώπινον.

Τού Αγίου

Τούς σούς υμνολόγους

Αρρήτω καί θεία χειρουργία καθαίρων τά πάθη τών βροτών, πρός τού Θεού δεδώρησαι, πιστοίς ιατρός άριστος, καί πρεσβευτής θερμότατος, τών σέ τιμώντων πανόλβιε.

Οδόν μαρτυρίου σου δραμούμαι, καί σού εκμιμήσομαι στερρώς, τό πάθος τό εκούσιον, ο Μάρτυς ανεκραύγαζεν, επί σφαγήν ελκόμενος, πρός σέ τόν μόνον Θεόν ημών.

Ο ένδοξος Μάρτυς Διομήδης, ημάς συγκαλέσας μυστικώς, πρός ευωχίαν σήμερον, προτίθεται τούς άθλους αυτού, ως καρυκείαν άϋλον, δεύτε πιστοί απολαύσατε.

Θεοτοκίον

Τήν πόλιν σου ταύτην από πάσης, σεισμού καταπτώσεως Αγνή, ως σοί θεοχαρίτωτε, ανακειμένην λύτρωσαι, καί εν ειρήνη φύλαττε, καί ομονοία τήν ποίμνην σου.

Ο Ειρμός

«Τούς σούς υμνολόγους Θεοτόκε, ως ζώσα καί άφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικόν στερέωσον, καί εν τή θεία δόξη σου, στεφάνων δόξης αξίωσον».

Κάθισμα τής Αγίας Εικόνος

Ήχος α'

Τόν τάφον σου Σωτήρ

Εδέσσης βασιλεύς, Βασιλέα τών όλων, ου σκήπτρα καί στρατόν, αλλά πλήθη θαυμάτων, τώ λόγω προφέροντα, επιγνούς σε ικέτευε, τόν θεάνθρωπον, τού πρός αυτόν αφικέσθαι, Εκμαγείον δέ, ως σού ορών ανεβόα, Θεός σύ καί Κύριος.

Δόξα... τού Αγίου Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Ιαμάτων τήν χάριν παρά Θεού, κομισάμενος Μάρτυς ώφθης σοφέ, κοινόν εργαστήριον, τών νοσούντων μακάριε, υπό Πνεύματος θείου, παρέχων ιάματα, τοίς προστρέχουσι πίστει, τή θεία εντεύξει σου, όθεν παραδόξως, καί δαιμόνων τά πλήθη, ελαύνεις εκάστοτε, ιατρέ αξιάγαστε, αθλοφόρε Διόμηδες, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Καί νύν... Τής Εορτής

Η Θεόν συλλαβούσα άνευ σποράς, σαρκωθέντα τεκούσα δίχα φθοράς, τήν νέαν αμφιέννυσαι, αφθαρσίαν τού Πνεύματος, ως γάρ ζωής σύ Μήτηρ, καί πάντων Βασίλισσα, πρός τήν ζωήν μετέστης, Παρθένε τήν άϋλον, όθεν επαξίως, αληθώς ανεδείχθης, νεφέλη πηγάζουσα, τής ζωής ημών νάματα, Θεομήτορ πανάμωμε, πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς προσκυνούσιν εν πίστει, τήν θείαν σου Κοίμησιν.

Τής Αγίας Εικόνος

Ωδή δ'

Χριστός μου δύναμις

Απανιστάμενον, τής πρός ανίσχοντα, καί πρός τήν ημετέραν τό ιερόν, Σώτερ εκμαγείόν σου, νύν ο θεόφρων Βασιλεύς, πλησιάσαν υποδέχεται.

Γλυκύ μέν ήλιος, αυγάζων όμμασι, γλυκυτέρα δέ όψις η σή Χριστέ, τού αφομοιώματος, ότι ο μέν τά αισθητά, αύτη δέ τά νοητά φωταυγεί.

Ισχύς εξέλιπεν, Ισμαηλίτιδος, δεξιάς, τώ γάρ όπλω τώ τού Σταυρού, πάσαν τήν περίβολον, ο κραταιόφρων Βασιλεύς, τήν αυτής εις γήν κατέβαλεν.

Θεοτοκίον

Συντηρηθήναί σου, τήν πόλιν Άχραντε, ασινή εξ εφόδου βαρβαρικής, πρέσβευε δεόμεθα, ίδε γάρ οία κατ' αυτής, οι αλάστορες τεκταίνουσιν.

Τού Αγίου

Τήν ανεξιχνίαστον

Λόγον θείας γνώσεως ως ποταμόν, φέρων εν καρδία κατέκλυσε, πλάνης χειμάρρους, καί ειδώλων τήν ισχύν, ολοτελώς εβύθισε, Μάρτυς Διομήδης ο ένδοξος.

Έλαμψεν ως ήλιος επί τής γής, αίγλη αρετών, τών θαυμάτων τε, περιουσία, καί εφώτισε πιστών, τά ευσεβή συστήματα, Μάρτυς Διομήδης ο πάνσοφος.

Τό μακαριώτατον τέλος ευρών, καί τής ποθουμένης σου έκπαλαι, δόξης αρρήτου, εν χαρά επιτυχών, τών σε τιμώντων μέμνησο, Μάρτυς αθλοφόρε πανόλβιε.

Θεοτοκίον

Ξένη σου η γέννησις ως η σεπτή, Κοίμησις εδείχθη Πανάμωμε, ευλογημένη, ήν η ποίμνη σου τιμά, βαρβαρικάς εκφεύγουσα, βλάβας τή θερμή προστασία σου.

Τής Αγίας Εικόνος

Ωδή ε'

Τώ θείω φέγγει σου

Μικρά σοι πόλις υποδοχήν, πρώην κατηυτρέπιζε Χριστέ, ήν η θαδδαίου επέλευσις, νόσων απαλλάττει, καί τής χειρός σου γραφήν, καί θείον απεικόνισμα τού προσώπου σου.

Αι τών χαρίτων σου δωρεαί, υπερεπληθύνθησαν Χριστέ, ά γάρ τό πρώην η Έδεσσα, εγκολπωσαμένη ενεκαυχήσατο, η Νέα δεχομένη Ρώμη αγάλλεται.

Θεοτοκίον

Στήσον Παρθένε τών δυσμενών, τάς επαναστάσεις τάς Πυκνάς, λύσον αυτών τά βουλεύματα, τή κληρονομία τή σή βοήθησον, οράς γάρ απειρήκαμεν ταίς κακώσεσιν.

Τού Αγίου

Εξέστη τά σύμπαντα

Άνευ ώφθης αίματος, Μάρτυς αξιοθαύμαστος, άνευ αλγηδόνων στεφανίτης, άνευ μωλώπων νικητής άριστος, στίφος δυσμενών καταβαλών, σού τοίς αγωνίσμασι, γενναιόφρον Διόμηδες.

Φώς σοι ανατέταλκεν, όντι δικαίω άσβεστον, τούτου τε η σύζυγος θεόφρον, σοί ευφροσύνη επηκολούθησεν, ως ευθείαν έχοντι ψυχήν, πάσι καθυπείκουσαν, τού Σωτήρος προστάγμασιν.

Φωτός υστερούνται μέν, τού σώματος οι τύραννοι, σού τήν κεφαλήν μετά τό τέλος αποτεμόντες, αλλά ψυχής τηλαυγώς, κόρας διανοίγονται Χριστώ, πίστει προσερχόμενοι, ώ παμμάκαρ Διόμηδες.

Θεοτοκίον

Προπύργιον έχουσα, η Βασιλίς τών πόλεων, σέ τήν Βασιλίδα καί Κυρίαν, τρέπει βαρβάρων τάς θηριώδεις ορμάς, ρύεται παντοίων πειρασμών, αύξει καί κρατύνεται, Θεομήτορ πανάμωμε.

Τής Αγίας Εικόνος

Ωδή ς'

Συνεσχέθη

Ωραιώθης, κάλλει παρά πάντας, Σώτερ τούς υιούς τών βροτών, κάν γάρ ουκ είδος είχες, ουδέ κάλλος εν καιρώ τού πάθους, αλλά τώ όντι πάντα κατεφώτιζες, καί δηλοί σου τής μορφής η θέα, ής τό Ομοίωμα, ράκει εκτυπωθέν, ώσπερ θησαυρός ημίν δεδώρηται.

Τής ισχύος, προσαφαιρεθείσα, τών Αγαρηνών η πληθύς, ώσπερ εξ αλλοφύλων, κιβωτόν, Ισραηλίτη νέω, τό τού προσώπου νύν προσέτι δέδωκεν, εκμαγείόν σου Χριστέ καί δόξαν, ήν προσεκτήσατο, ουδέ γάρ θεμιτόν, Άγια προσεπιρρίπτεσθαι.

Θεοτοκίον

Εκ χειρός σου, Σώτερ τής ισχύος, νύν υπεξέλιπον εγώ, αλλά τάς μάστιγάς σου, αποστήσας απ' εμού πρεσβείαις, τής απειράνδρως Λόγε κυησάσης σε, μή τώ κλύδωνι τής αμαρτίας καταποντίζεσθαι, καί δεινώς ναυτιάν, μόνε λυτρωτά εγκαταλίπης με.

Τού Αγίου

Τήν θείαν ταύτην

Τών σών αγώνων τοίς ρεύμασιν, εβύθισας εχθρόν τόν ασώματον, καί τών θαυμάτων σου, τή αναβλύσει εκπλύνεις παθών, πολυειδείς κηλίδας, αξιοθαύμαστε.

Ταίς θείαις αύραις κινούμενος, τή άνωθεν ροπή κυβερνώμενος, πρός γαληνότατον, όρμον ευθέτως κατήντησας, υπέρ ημών πρεσβεύων, Μάρτυς πανεύφημε.

Παθών πιστοί εκκαθαίρονται, αρρήτω χειρουργία σου ένδοξε, καί απελαύνεται, φάλαγξ δαιμόνων τή θεία σου, επιστασία Μάκαρ, αξιοθαύμαστε.

Θεοτοκίον

Εν σοί Παρθένε καυχώμεθα, εν σοί τών δυσχερών εκλυτρούμεθα, τή πεποιθήσει σου, επιδρομάς ου πτοούμεθα, τών δυσμενών βαρβάρων, οι ανυμνούντές σε.

Ο Ειρμός

«Τήν θείαν ταύτην καί πάντιμον, τελούντες Εορτήν οι θεόφρονες, τής Θεομήτορος, δεύτε τάς χείρας κροτήσωμεν, τόν εξ αυτής τεχθέντα, Θεόν δοξάζοντες».

Κοντάκιον τής Εορτής

Ήχος πλ. β'  Αυτόμελον

Τήν εν πρεσβείαις ακοίμητον Θεοτόκον, καί προστασίαις αμετάθετον ελπίδα, τάφος καί νέκρωσις ουκ εκράτησεν, ως γάρ ζωής Μητέρα, πρός τήν ζωήν μετέστησεν, ο μήτραν οικήσας αειπάρθενον.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΙΣΤ' τού αυτού μηνός, μνήμη τού Αγίου Μάρτυρος Διομήδους.

Στίχοι

- Ηθλησε καί ζών, καί θανών Διομήδης,
- Προαιρέσει ζών, καί νεκρός τομή κάρας.
- Έκτη καί δεκάτη νέκυς ετμήθη Διομήδους.

Τή αυτή ημέρα, ο Όσιος Χαιρήμων εν ειρήνη τελειούται.

Στίχοι

- Λήξει βίου σου χαίρε, Χαιρήμων μάκαρ.
- Αρχήν γάρ είδες τής αμοιβής τών πόνων.

Τή αυτή ημέρα, μνήμη τών Αγίων τριακοντατριών μαρτύρων τών εκ Παλαιστίνης, ξίφει τελειωθέντων.

Στίχοι

- Στερρός στρατός τε καί συνασπισμός μέγας,
- Ξίφει πεσών, στράτευμα δαιμόνων πρέπει.

Τή αυτή ημέρα, ανάμνησις τής εισόδου τής αχειροτεύκτου Μορφής τού Κυρίου καί Θεού καί Σωτήρος ημών Ιησού Χριστού, εκ τής Εδεσσηνών πόλεως, εις ταύτην τήν θεοφύλακτον καί Βασιλίδα τών πόλεων ανακομισθείσης.

Στίχοι

- Εν σινδόνι ζών εξεμάξω σήν θέαν,
- Ο νεκρός εισδύς έσχατον τήν σινδόνα.

Εις τό Κεράμιον

- Αχειρότευκτον χειρότευκτος σόν τύπον.
- Φέρει κέραμος παντοτεύκτα χριστέ μου.

Ηκουσταί μοι τά περί σού καί τών σών ιαμάτων, τών άνευ φαρμάκων υπό σού γινομένων, ως γάρ λόγος, τυφλούς αναβλέπειν ποιείς, χωλούς περιπατείν κατασκευάζεις, λεπρούς καθαρίζεις, καί ακάθαρτα πνεύματα καί δαίμονας ελαύνεις, καί τους εν μακρονοσία βασανιζομένους θεραπεύεις, καί νεκρούς εγείρεις, καί ταύτα πάντα ακούσας περί σού, κατά νούν εθέμην τό έτερον τών δύο, ή ότι Θεού Υιός εί, ποιών ταύτα, ή Θεός, Διά τούτο τοίνυν γράψας εδεήθην σου σκυλήναι καί ελθείν πρός με, ίνα καί τό πάθος, ο έχω θεραπεύσης, καί μετ' εμού ενταύθα συνέση, καί γάρ ήκουσα, ότι καί οι Ιουδαίοι καταγογγύζουσί σου, καί βούλονται κακώσαί σε, Πόλις δέ σμικροτάτη μοι εστί καί σεμνή, ήτις αρκέσει αμφοτέροις ημίν τού κατοικείν εν ειρήνη.

Μακάριος εί, Αύγαρε, πιστεύσας εν εμοί καί μή εωρακώς με, γέγραπται γάρ περί εμού, τούς εωρακότας μή πιστεύειν εν εμοί, ίνα οι μή εωρακότες με, αυτοί πιστεύσωσι καί ζήσωνται, Περί δέ ού εγραψάς μοι ελθείν πρός σέ, δέον εστί πάντα δι' ά απεστάλην, πληρώσαί με, καί μετά τό πληρώσαι, αναληφθήναι πρός τόν αποστείλαντά με Πατέρα, καί επειδάν αναληφθώ, αποστελώ σοι ένα τών Μαθητών μου, ονόματι Θαδδαίον, όστις καί τό πάθος σου θεραπευσει, καί ζωήν αιώνιον, σοί τε καί τοίς σύν σοί, καί ειρήνην παρέξει, καί ποιήσει τή πόλει σου τό ικανόν, πρός τό μηδένα τών εχθρών κατισχύσαι αυτής.

Τή αυτή ημέρα, ανάμνησιν ποιούμεθα τής περί ημάς τού Θεού μεγίστης καί ανυπερβλήτου φιλανθρωπίας, ήν εδείξατο τότε αποστρέψας μετ' αισχύνης τούς αθέους Αγαρηνούς, μεσιτεία τής Υπεραγίας Δεσποίνης ημών Θεοτόκου, καί αειπαρθένου Μαρίας.

Τή αυτή η μέρα, η εν τώ ναώ τής Ζωοδόχου Πηγής εξάντλησις τού αγιάσματος, καί αύθις ανάδοσις.

Στίχοι

- Πηγή κενούται θαυματουργών υδάτων,
- Πληρουμένη δέ, θαυματουργεί καί πλέον.

Τή αυτή ημέρα, μνήμη γίνεται τής καί μετά οικτιρμών επενεχθείσης ημίν εν τοίς καιροίς εκείνοις φοβεράς απειλής τού σεισμού, ού παρ' ελπίδα ελυτρώσατο ημάς ο φιλάνθρωπος Θεός.

Αυτώ η δόξα καί τό κράτος εις τούς αιώνας. Αμήν.

Τής Αγίας Είκονος

Ωδή ζ'

Οι παίδες εν Βαβυλώνι

Ρήματι μέν πάσαν νόσον, Λόγε Θεού εφυγάδευσας, επί γής ένδημών, αλλά θώκους πρός πατρικούς ανερχόμενος, διά τού Εκτυπώματος, θεραπεύεις τάς νόσους ημών.

Ο κτίσας λόγω τά πάντα, καί μορφωθείς τό αλλότριον, τής ιδίας μορφής, καταλέλοιπεν ημίν ιδιώματα, άπερ υποδεχόμενοι, εν χαρά ευφραινόμεθα.

Ψυχής έξ όλης ζητήσας, τής σής ιδέας εκσφράγισμα, ο πιστός Βασιλεύς ως εζήτησεν, ούτως έτυχε Κύριε, κατάλληλον ευράμενος, θείου πόθου τό πλήρωμα.

Θεοτοκίον

Ελύθη τής καταδίκης, τής παλαιάς τό ανθρώπινον, τή κυήσει τή σή, σέ γάρ μόνην πλατυτέραν ευράμενος, τών ουρανών Πανάμωμε, ο Θεός κατεσκήνωσεν.

Τού Αγίου

Ουκ ελάτρευσαν

Η τμηθείσα, κεφαλή σου φώς απήστραψε, τοίς ματαιόφροσιν, ήν ώσπερ ζώσαν ιδών, ηδέσθη ο τύραννος, νενεκρωμένος τόν νούν, ου συνήκε δέ, αναβοάν Πανένδοξε, ο Θεός ευλογητός εί.

Απεδύσω, τής νεκρώσεως αοίδιμε, χιτώνα δύσμορφον, αθανασίας στολήν, ωραίαν εν χάριτι, όθεν ενδέδυσαι τώ Δεσπότη σου, αναβοών γηθόμενος, ο Θεός ευλογητός εί.

Τώ πυρί, τής καρτερίας απετέφρωσας, υλώδη πλάνην εχθρών, θεολαμπής δέ αστήρ, εφάνης ιάσεων Μάρτυς αστράπτων βολάς, τοίς κραυγάζουσιν, ο τών

Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Θεοτοκίον

Η Βασίλισσα, τού κόσμου η κυήσασα, τόν Βασιλέα Χριστόν, ρύσαι φθοράς καί σεισμού, εθνών επηρείας τε, τήν βασιλεύουσαν πόλιν ψάλλουσαν, Ευλογητός Πάναγνε, ο καρπός τής σής κοιλίας.

Τής Αγίας Εικόνος

Ωδή η'

Νόμων πατρώων

Ώσπερ εν όψει, σέ τόν Κύριον, ελπίζων ενδημήσαι πάς ο τής πόλεως, λαός έκκριτος υπάντησιν, θαυμαστήν σοι ποιείται, Αρχιερέων θείον επαγόμενος χορόν, ών επ' ώμων οχούμενος, καί πρός κληρονομίαν, εισβαλών τήν οικείαν Οικτίρμον, εν τώ τής Μητρός σου, κατέπαυσας τεμένει.

Στόματα παίδων, τών ακάκων σε, πρός τήν προφητοκτόνον πόλιν οδεύοντα, υμνολόγουν, αλλ' η άνομος, συναγωγή Εβραίων, φονώσαν χείρα, ώπλιζε λυττώσα κατά σού, νύν δέ πόλις η έννομος, πανδημεί προχυθείσα, ως οίά σε τόν Κτίστην ορώσα, χαίρει δεχομένη τόν τύπον τής μορφής σου.

Θεοτοκίον

Σάρκα φορέσαι προελόμενος, τής τού Πατρός, μεγάλης βουλής ο Άγγελος, εν νηδύϊ σου Πανάχραντε, ετελεσιουργήθη, καί σέ Μητέρα κάτω, απεγράψατο σεμνή, καί φθαρείσαν εκαίνισε τήν βροτείαν ουσίαν, όν πάντες ευλογούμεν ως Κτίστην, καί υπερυψούμεν εις πάντας τούς αιώνας.

Τού Αγίου

Παίδας ευαγείς

Πόδες οι σεπτοί σου αθλοφόρε, πρός τρίβους τού μαρτυρίου κατηυθύνθησαν, εμπεριπατούσι δέ νύν επαγαλλόμενοι, εν χώρα ζώντων πάνσοφε, εν Παραδείσω τρυφής, διό καί συνελθόντες τιμώμεν, ανυμνολογούντες Χριστόν εις τούς αιώνας.

Επλάκη σοι στέφος αφθαρσίας, στερρώς αγωνισαμένω καί νικήσαντι, όφιν τόν αρχέκακον, Μάρτυς αξιάγαστε, καί αθλητών ομήγυρις σέ υπεδέξατο, Τόν Κύριον υμνείτε βοώντα, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Θαυμάτων εκπέμπεις λαμπηδόνας, τήν θείαν ενδεδυμένος Μάρτυς δύναμιν, παύεις αρρωστήματα, λύεις τε νοσήματα, αποδιώκεις πνεύματα, τής πονηρίας βοών, Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε εις πάντας τούς αιώνας.

Θεοτοκίον

Πολλαίς προσβολαίς αμαρτημάτων, κλονούμενοι σού πρός τήν ακλόνητον, σκέπην καταφεύγομεν, Στήριξον τούς δούλους σου, κατά παθών ενίσχυσον, καί εκ σεισμού καί λιμού, εθνών επιδρομής τε παρθένε, ρύσαί σου τήν πόλιν,

ως σοί ανακειμένην.

Ο Ειρμός

«Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν, Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Τής Αγίας Εικόνος

Ωδή θ'

Ξενίας δεσποτικής

Έξεμηνε κατά σού, λαός ασύνετος Σώτερ, καί αντ' ευεργεσίας, σοί τά ανήκεστα, τολμηρώς επανετείνετο, αλλ' ημείς οι μακράν απωσθέντες, τοίς σοίς πάθεσι Σώτερ υιοθετήθημεν.

Βοήθειαν κατ' εχθρών, τοίς ευσεβέσι παράσχου, καί πιστοίς βασιλεύσιν, ότι τά σύμβολα τής σαρκός σου, ώσπερ άμαχον φρούριον, Δέσποτα κεκτημένοι, δι' αυτών αφορώσι τήν σωτηρίαν αυτών.

Θεοτοκίον

Ωράθη τοίς επί γής, σωματοφόρος ο Λόγος, διπλούς κατά τήν φύσιν εκ σού Πανάμωμε, αντιδόσει τής θεότητος, υποστάσει μιά αφύρτως, ενωθείς τώ φυράματι, όν δοξάζομεν.

Τού Αγίου

Άπας γηγενής

Εύρες αμοιβήν, καμάτων τήν άνω σοι, ετοιμασθείσαν τρυφήν, ένθα αυλιζόμενος, ωραϊσμένος μαρτυρι καίς καλλοναίς, κατατρυφάς τού Κτίστου σου τής ωραιότητος, ικετεύων, δούναι τοίς τιμώσί σε, ιλασμόν καί κακών απολύτρωσιν.

Στήλη αρετών, καί πίστεως έρεισμα, καί στύλος άσειστος, πύργος τε ακλόνητος, εδείχθης Μάρτυς τής Εκκλησίας Χριστού, καί ποταμός ιάσεων, αναβλυστάνων κρουνούς, ιατρείον, άμισθον τοίς πόθω σου, εκτελούσι τήν μνήμην Διόμηδες.

Έδυς από γής, ειδώλων τήν άθεον εξαφανίσας αχλύν, καί πρός τήν ανέσπερον, αυγήν μετήλθες τής αρχιφώτου ζωής, ής τάς εμφάσεις ένδοξε, πρώην εκέκτησο, ταίς εκείθεν, λάμψεσι λαμπόμενος, καί χαράς αϊδίου πληρουμενος.

Θεοτοκίον

Πόλις τού Θεού, αυτός ήν κατώκησεν, η όντως άσειστος, λύτρωσαι τήν πόλιν σου, σεισμού Παρθένε τής καταπτώσεως, βαρβαρικής αλώσεως, πυρός μαχαίρας εχθρών, από πάσης, Πάναγνε κακώσεως, τή θερμή πρός Θεόν παρρησία σου.

Ο Ειρμός

«Άπας γηγενής, σκιρτάτω τώ πνεύματι, λαμπαδουχούμενος, πανηγυριζέτω δέ, αϋλων Νόων φύσις γεραιρουσα, τήν ιεράν πανήγυριν τής Θεομήτορος, καί βοάτω, Χαίροις παμμακάριστε, Θεοτόκε αγνή αειπάρθενε».

Εξαποστειλάριον τού Αγίου

Γυναίκες ακουτίσθητε

Ενθέως επορφύρωσας, μεγαλομάρτυς ένδοξε, τήν τού Χριστού Εκκλησίαν, τοίς τών αιμάτων σου ρείθροις, απάτην δέ κατέσβεσας, ειδωλικήν ψυχόλεθρον, Διόμηδες πανόλβιε, καί νύν πρεσβεύων μή παύση, υπέρ ημών τώ Κυρίω.

Καί τής Εορτής

Ο ουρανόν τοίς άστροις

Τών Αποστόλων ο δήμος, συναθροισθείς εν νεφέλαις, αξιοχρέως κηδεύει, τήν τού Κυρίου Μητέρα, παρόντος καί τού Σωτήρος, σύν μυριάσιν Αγγέλων.

Εις τόν Στίχον τών Αίνων, Στιχηρά Προσόμοια.

Τής Εορτής Ήχος β'

Οίκος τού Εφραθά

Ύμνοις σου τό σεπτόν, καί θεοδόχον σώμα, προπέμποντες οι θείοι, εβόων θιασώται, Πού νύν απαίρεις Δέσποινα;

Στίχ. Ανάστηθι Κύριε εις τήν ανάπαυσίν σου.

Δεύτε οι γηγενείς, στησώμεθα χορείαν, εξόδια βοώντες, επί τή Μεταστάσει, τής Θεοτόκου σήμερον.

Στίχ. Ώμοσε Κύριος τώ Δαυϊδ αλήθειαν.

Γή μέν τή σή ταφή, ευλόγηται Παρθένε, αήρ δέ τή ανόδω, ηγίασται τή ξένη, νόμω θανούσης φύσεως.

Δόξα... Καί νύν... Ήχος α'

Έπρεπε τοίς αυτόπταις τού Λόγου καί υπηρέταις, καί τής κατά σάρκα Μητρός αυτού, τήν Κοίμησιν εποπτεύσαι, τελευταίον ούσαν επ' αυτή μυστήριον, ίνα μή μόνον τήν από γής τού Σωτήρος ανάβασιν θεάσωνται, αλλά καί τής τεκούσης αυτόν τή μεταθέσει μαρτυρήσωσι, Διό περ πάντοθεν, θεία δυνάμει παραιωθέντες, τήν Σιών κατελάμβανον, καί πρός ουρανόν επειγομένην, προέπεμπον τήν ανωτέραν τών Χερουβίμ, Ήν καί ημείς, σύν αυτοίς προσκυνούμεν, ως πρεσβεύουσαν υπέρ τών ψυχών ημών.

Καί η λοιπή Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

**ΤΗ ΙΖ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τού Αγίου Μάρτυρος Μύρωνος.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τρία τής Εορτής, καί τρία τού Αγίου.

### Τής Εορτής

Ήχος β'
Ποίοις ευφημιών

Ποίοις οι ευτελείς χείλεσι, μακαρίσωμεν τήν Θεοτόκον, τήν τιμιωτέραν τής κτίσεως, καί αγιωτέραν υπάρχουσαν, Χερουβίμ καί πάντων τών Αγγέλων, τόν θρόνον, τού Βασιλέως τόν ασάλευτον, τόν οίκον, εν ώ κατώκησεν ο Ύψιστος, τήν σωτηρίαν τού κόσμου, τού Θεού αγίασμα, τήν παρέχουσαν τοίς πιστοίς, εν τή θεία μνήμη αυτής, πλουσίως τό μέγα έλεος.

Ποία πνευματικά άσματα, νύν προσάξωμέν σοι Παναγία, τή γάρ αθανάτω Κοιμήσει σου, άπαντα τόν κόσμον ηγίασας, καί πρός υπερκόσμια μετέβης, τό κάλλος, κατανοείν τού Παντοκράτορος, καί τούτω, οίά περ Μήτηρ συναγάλλεσθαι, αγγελικών σοι ταγμάτων, δορυφορησάντων αγνή, καί ψυχών δικαίων, μεθ' ών αίτησαι ημίν, ειρήνην καί μέγα έλεος.

Τίνα τά φοβερά άσματα, ά προσήξάν σοι τότε Παρθένε; κύκλω τής σής κλίνης ιστάμενοι, πάντες οι τού Λόγου Απόστολοι, καί θαμβητικώς αναβοώντες; Απαίρει, τού Βασιλέως τό παλάτιον, υψούται, η κιβωτός τού αγιάσματος, Πύλαι επάρθητε όπως, τού Θεού η πύλη, εν πολλή εισέλθη χαρά απαύστως τώ κόσμω, αιτουμένη τό μέγα έλεος.

### Τού Αγίου

Ο αυτός
Ότε, εκ τού ξύλου σε

Ότε αθεΐας η πυρά, πάσαν κατενέμετο χώραν μακαριώτατε, τότε εξαπτόμενος ζέσει τού Πνεύματος, τόν εκ Κόρης θεόπαιδος, εκήρυξας Λόγον, σάρκα ενδυσάμενον δι' αγαθότητα, όθεν καί πυρός καί βασάνων, ήνεγκας δεινάς τιμωρίας, σθένει δυναμούμενος τού Πνεύματος.

Ότε ο δυσώνυμος εχθρός, έσπευδε θωπείαις συλήσαι, τήν σήν διάνοιαν, τότε γενναιότητι καλλωπιζόμενος, αντετάξω στερρότατα, καί ήνεγκας πόνους, άπονον πρός λήξίν σε διαβιβάζοντας, μάρτυς αξιάγαστε Μύρων, τοίς εν ουρανοίς βασιλείας, καί τής δι' αιώνος απολαύσεως.

Ότε τοίς βουνεύροις ο εχθρός, έτυπτε ξεσμοίς ανενδότως, εκδαπανώμενον, μάρτυς τό σαρκίον σου τό ιερώτατον, πρός Χριστόν ενητένιζες, τόν

αγωνοθέτην, χείρά σοι προτείνοντα θείας δυνάμεως, όθεν εκτελέσας τον δρόμον, έτυχες μεγίστων επάθλων, Μύρων αθλοφόρε γενναιότατε.

Δόξα... Καί νύν... Ήχος β'

Η τών ουρανών υψηλοτέρα υπάρχουσα, καί τών Χερουβίμ ενδοξοτέρα, καί πάσης κτίσεως τιμιωτέρα, η δι' υπερβάλλουσαν καθαρότητα, τής αϊδίου ουσίας δοχείον γεγενημένη, εν ταίς τού Υιού χερσί, σήμερον τήν παναγίαν παρατίθεται ψυχήν, καί σύν αυτή πληρούται τά σύμπαντα χαράς, καί ημίν δωρείται τό μέγα έλεος.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος β'

Οίκος τού Εφραθά

Δήμος τών Μαθητών, ηθροίσθη εκ περάτων, σύν τοίς σεπτοίς Αγγέλοις, Μήτηρ Θεού κηδεύσαι, τό θεοδόχον σώμά σου.

Στίχ. Ανάστηθι Κύριε εις τήν ανάπαυσίν σου.

Δεύτε οι γηγενείς, σήμερον σύν Αγγέλοις, στησώμεθα χορείαν, φαιδράν εν τή Κοιμήσει, τής μόνης Θεομήτορος.

Στίχ. Ώμοσε Κύριος τώ Δαυϊδ αλήθειαν.

Σώμά σου τή φθορά, απρόσιτον υπήρξε, καί πρός ταφήν εδόθη, τής φύσεως τώ νόμω, μένει δέ αδιάφθορον.

Δόξα... Καί νύν... Ήχος β'

Η πανάμωμος νύμφη καί Μήτηρ τής ευδοκίας τού Πατρός, η Θεώ προορισθείσα εις εαυτού κατοίκησιν, τής ασυγχύτου ενώσεως, σήμερον τήν άχραντον ψυχήν, τώ Ποιητή καί Θεώ παρατίθεται, ήν Ασωμάτων δυνάμεις, θεοπρεπώς υποδέχονται, καί πρός ζωήν μετατίθεται, η όντως Μήτηρ τής ζωής, η λαμπάς τού απροσίτου φωτός, η σωτηρία τών πιστών, καί ελπίς τών ψυχών ημών.

Απολυτίκιον  Ήχος α'

Εν τή Γεννήσει τήν παρθενίαν εφύλαξας, έν τή Κοιμήσει τόν κόσμον ού κατέλιπες Θεοτόκε, Μετέστης πρός τήν ζωήν, μήτηρ υπάρχουσα τής ζωής, καί ταίς πρεσβείαις ταίς σαίς λυτρουμένη, εκ θανάτου τάς ψυχάς ημών.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα τής Εορτής

Ήχος γ'  Τήν ωραιότητα

Από τού σκήνους σου, τήν νοεράν σου ψυχήν, από τού τάφου δέ, τήν

καθαράν σου σκηνήν, παραλαβών ο σός Υιός, μετέστησε Θεοτόκε, εις τά επουράνια, αποδούς τά επίχειρα, τοίς αποτολμήσασι, περιτρέψαι σόν σκίμποδα, όν τούς εν πίστει ασπαζομένους, σώζε πανάχραντε πρεσβείαις σου.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα τής Εορτής
Ήχος δ'  Κατεπλάγη Ιωσήφ

Σέ χερσί τού δι' ημάς, ενανθρωπήσαντος εκ σού, παραθεμένην τήν ψυχήν, ως πλαστουργός σου καί Θεός, πρός τήν ζωήν τήν ακήρατον μετέστησεν, όθεν σε σεπτώς μακαρίζομεν, τήν μόνην Καθαράν καί αμόλυντον, καί Θεοτόκον άπαντες κυρίως, ομολογούντες κραυγάζομεν, Χριστόν δυσώπει, πρός όν μετέστης, σώσαι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Τό αυτό

Οι Κανόνες, ο πρώτος τής Εορτής, καί τού Αγίου ο παρών, ού η Ακροστιχίς.

Άδω Μύρων σου τήν μυρίπνοον χάριν. Ιωσήφ.

Ωδή α'  Ήχος β'
Δεύτε λαοί

Αίνον Θεώ, επί τή μνήμη χορεύοντες, τού αθλοφόρου Μύρωνος, άσωμεν άπαντες, ενισχύσαντι τούτον, τό κράτος διολέσαι, τού πολεμήτορος.

Δώρον σαυτόν, τώ ευεργέτη προσήγαγες, καί ιερόν ανάθημα, καί καλλιέρημα, καί ευώδη θυσίαν, νομίμως εναθλήσας, μάρτυς πολύαθλε.

Ως νουνεχής, ως καθαρός ναός ένδοξε, τού εκ Παρθένου λάμψαντος, τόν εφορμήσαντα, συνταράξαι τήν θείαν, αγέλην ψυχοφθόρον, λύκον εδίωξας,

Θεοτοκίον

Μόνη Θεόν, απειρογάμως εκύησας, όν αθλοφόροι μάρτυρες, ομολογήσαντες, ημίν ομοιωθέντα, κατήργησαν τήν πλάνην, άχραντε Δέσποινα.

Ωδή γ'
Εν πέτρα με τής πίστεως

Υψώσας σου τόν έρωτα τής καρδίας, πρός Κύριον Σταυρώ τόν ανυψωθέντα, υψώθης επί ξύλου ώ αθλοφόρε, καταξεόμενος, προθύμως μέλπων τε, Ως ουκ έστι δίκαιος, πλήν σου Κύριε.

Ρημάτων σου τά βέλη ηκονημένα, κατέπηξας τυράννου εν τή καρδία, γενναίε

στρατιώτα τού Βασιλέως, Χριστού πανεύφημε, καί ψάλλων έλεγες, Ως ουκ έστι δίκαιος, πλήν σου Κύριε.

Ως όρθρος ως ημέρα επανατείλας, διέλυσας τόν ζόφον τής αγνωσίας, εφώτισας τούς ψάλλοντας καθ' εκάστην, Μύρων πολύαθλε, Σύ εί Θεός ημών, καί ουκ έστι δίκαιος, πλήν σου Κύριε.

Θεοτοκίον

Νοσούσαν αθεϊα τήν πάσαν κτίσιν, Θεόν κυοφορήσασα ιατήρα, Παρθένε εθεράπευσας παραδόξως, ευχαριστούντές σοι, διό κραυγάζομεν, Ως ουκ έστιν άμωμος, πλήν σου Δέσποινα.

Ο Ειρμός

«Εν πέτρα με τής πίστεως στερεώσας, επλάτυνας τό στόμα μου επ' εχθρούς μου, ηυφράνθη γάρ τό πνεύμά μου εν τώ ψάλλειν, Ουκ έστιν Άγιος, ως ο Θεός ημών, καί ουκ έστι δίκαιος, πλήν σου Κύριε».

Κοντάκιον τής Εορτής

Ήχος πλ. β'  Αυτόμελον

Τήν εν πρεσβείαις ακοίμητον Θεοτόκον, καί προστασίαις αμετάθετον ελπίδα, τάφος καί νέκρωσις ουκ εκράτησεν, ως γάρ ζωής Μητέρα, πρός τήν ζωήν μετέστησεν, ο μήτραν οικήσας αειπάρθενον.

Κάθισμα τού Αγίου

Ήχος δ'  Επεφάνης σήμερον

Μυριπνόοις άσμασι, καί υμνωδίαις, συνελθόντες στέψωμεν, τόν ιερόαθλον πιστοί, Μύρωνα πάντες τόν ένδοξον, ρώσιν διδόντα, παντοίων κακώσεων.

Δόξα... Καί νύν...

Τής Εορτής  Όμοιον

Τήν σεπτήν Μετάστασιν, σού Παναγία, εορτήν στησάμενοι, σέ ανυμνούμεν ευσεβώς, Θεογεννήτορ πανύμνητε, μή ούν παρίδης τούς πόθω υμνούντάς σε.

Ωδή δ'

Υμνώ σε, ακοήν γάρ Κύριε

Σωτήρα, καί Θεόν καί Κύριον, τόν εκλάμψαντα εκ Παρθένου, ομολογών ένδοξε, σταδίου μέσον τών τυράννων οφρύν, καρτερία εταπείνωσας, καί τήν πολυθεϊαν εξηφάνισας.

Ουδόλως, υπενδύς ξεόμενος, καί τυπτόμενος γενναιόφρον, Αγγέλους κατέπληξας, ορώντάς σου τήν καρτερίαν, δι' ής δυσμενείς ασάρκους ώλεσας, καί νικηφόρος μάρτυς εχρημάτισας.

Υπάρχων, θείας δρόσου έμπλεως, υπεισήλθες γενναιοφρόνως, τήν τού πυρός κάμινον, ορώμενος εν ταύτη Μύρων, σοφέ σύν Αγγέλοις αγαλλόμενος, καί μηδαμώς παμμάκαρ φλογιζόμενος.

Θεοτοκίον

Τό μέγα, καί φρικτόν Μυστήριον, τής λοχείας σου καταπλήττει, πάσαν Αγνή έννοιαν, ότι Θεός ενανθρωπήσαι εκ σού, αγαθότητι ευδόκησεν, εις σωτηρίαν κόσμου καί ανάπλασιν.

Ωδή ε'

Ο φωτισμός

Η θεαυγής, καί φωσφόρος σου μνήμη, τή τού Αγίου Πνεύματος δυνάμει, εις πάντα κόσμον εφαπλουμένη, φωτισμόν ευσεβείας, καταυγάζει τούς ταύτην σέβοντας, καί τάς αριστείας τάς σάς καταγγέλλοντας.

Νεανικώς, τάς πικράς τιμωρίας όντως υπέστης, άσαρκος καθάπερ γενναίε μάρτυς, αφαιρεθείς γάρ, τήν δοράν εκαρτέρεις, ώσπερ άλλου πάσχοντος ένδοξε, σθένει αοράτω σαφώς δυναμούμενος.

Μύρον οι σοί, εναπέσταξαν πόνοι μάρτυς ευώδες, πάσαν δυσωδίαν αποδιώκον, τής αθεΐας, τήν Χριστού δέ Αγίαν Εκκλησίαν, ευωδιάζον αεί, πίστει σε καί πόθω σαφώς μακαρίζουσαν.

Θεοτοκίον

Υπέρ ημών, τόν εκ σού σαρκωθέντα αρρήτω λόγω, Πάναγνε δυσώπει ευλογημένη, όπως ρυσθώμεν ορωμένων καί πάντων αοράτων, εχθρών πανάμωμε, οι σέ Θεοτόκον αγνή καταγγέλλοντες.

Ωδή ς'

Πρός κύριον εκ κήτους

Ρανίσι σου, αιμάτων ιερών κατεπόντισας, δαιμόνων φάλαγγας, στρατιώτα γενναιότατε, καί στεφανηφορών, πρός Θεόν ανέδραμες, νικηφόρος γενόμενος άριστος.

Ιδόντες σου, τό πρόσωπον λαμπρυνθέν οι τύραννοι, θείαις λαμπρότησιν, αθλοφόρε κατεπλάγησαν, μή γνόντες δέ Θεόν, σκότος προσελάβοντο, αιωνία κολάσει πεμπόμενοι.

Προστάξεσιν, ωμοτάτου τυράννου υπέφερες, δοράς τήν αφαίρεσιν, υπέρ φύσιν αξιάγαστε, δεικνύς τήν πρός Θεόν, καθαράν σου έφεσιν, καί διόλου παμμάκαρ ανάνευσιν.

Θεοτοκίον

Νόμοι εν σοί, καινίζονται παρθένε τής φύσεως, υπέρ γάρ φύσιν σύ, τόν τή φύσει ακατάληπτον, Θεόν Εμμανουήλ, παραδόξως τέτοκας, εις ημών τών πιστών αναγέννησιν.

Ο Ειρμός

«Πρός Κύριον, εκ κήτους ο Ιωνάς εβόησε, Σύ με ανάγαγε, εκ πυθμένος, Άδου δέομαι, ίνα ως λυτρωτή, εν φωνή αινέσεως, αληθείας τε πνεύματι θύσω σοι».

Κοντάκιον  Ήχος β'

Τά άνω ζητών

Εκ βρέφους Χριστόν, ποθήσας παναοίδιμε, καί τούτου τηρών, τά θεία παραγγέλματα, πρός αυτόν ανέδραμες, ολοκλήρως Μύρων καί κατέπαυσας, σύν Αγγέλοις δοξάζων αυτόν, αιτούμενος πάσι θείαν άφεσιν.

Ο Οίκος

Τόν εκ κοιλίας ηγιασμένον ανυμνήσωμεν πάντες, ως ευώδες Χριστού μύρον παναληθέστατον, όντως γάρ τοίς προσιούσιν εν πίστει θερμή, τάς ιάσεις παρέχει τών νοσημάτων, τή γάρ αγάπη τού Κτίστου πυρούμενος, συμπάσχει τοίς εν ανάγκαις, καί λυτρούται δεινών ο πανόλβιος, μυρίζων πάντας τή χάριτι, τή δοθείση αυτώ εκ τού Πνεύματος, αιτούμενος πάσι θείαν άφεσιν.

Συναξάριον

Τή ΙΖ' τού αυτού μηνός, μνήμη τού Αγίου μάρτυρος Μύρωνος.

Στίχοι

- Τί μοι κεφαλής η τομή, Μύρων λέγει.
- Πρός τό στέφειν μέλλον με πάντιμον στέφος;
- Εβδομάτη δεκάτη Μύρωνα τάμε ξίφος οξύ.

Τή αυτή ημέρα, μνήμη τών Αγίων μαρτύρων Στράτωνος, Φιλίππου, Ευτυχιανού καί Κυπριανού.

Στίχοι

- Εθεντό με βδέλυγμα, φησίν ο Στράτων,
- Άνδρες βδελυκτοί, καί πυρί κτείνουσί με.
- Φιλών Θεόν, Φίλιππε, καί ψυχής πλέον
- Κατακριθείς πύρ, ού φιλόψυχος γίνη.
- Ευτυχιανός εις κάμινον ημμένην,
- Ως ίππος εις πεδίον ήν, τό τού λόγου.
- Πύρ Κυπριανός καρτερήσας καμίνου
- Εξώτερον πύρ, ο Γραφή λέγει, φύγε.

Τή αυτή ημέρα, μνήμη τών Αγίων μαρτύρων Παύλου καί Ιουλιανής τής αδελφής αυτού.

Τή αυτή ημέρα, μνήμη τών Αγίων μαρτύρων θύρσου, Λευκίου, Κορωνάτου καί τής συνοδίας αυτών, καί η σύναξις τής Υπεραγίας Δεσποίνης ημών Θεοτόκου καί αειπαρθένου Μαρίας εν τοίς Αρματίου.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Εικόνος χρυσής

Ο νούς σου φαιδρός, πυρακτούμενος σοφέ τώ θείω πόθω ηγαλλιάτο καί ευφραίνετο, μέσον φλογός ισταμένου σου, ώσπερ τών τριών ποτε Παίδων, μεθών πιστώς ανεκραύγαζες, Ευλογητός εί ο Θεός ο τών Πατέρων ημών.

Ορώντες φλογός, συνεστώτάς σοι σοφέ μέσον Αγγέλους, μορφή αρρήτω εξαστράπτοντας, οι θεωροί κατεπλήττοντο, καί πρός υμνωδίαν τραπέντες, τώ Δεσπότη εκραύγαζον, Ευλογητός εί ο Θεός ο τών Πατέρων ημών.

Νοϊ καθαρώ, συνεστώς τοίς νοεροίς ύμνοις Αγγέλοις, μέσον καμίνου αγαλλόμενος, τόν υπεράγαθον Κύριον, ώσπερ χαλινούντα τήν φλόγα, καί μελωδούντά σε σώζοντα, Ευλογητός εί ο Θεός ο τών Πατέρων ημών.

Θεοτοκίον

Χωρίον Θεού, καί παλάτιον τερπνόν καί θείος θρόνος, εν ώ ο καθίσας ητοιμάσατο, πάσι καθέδραν ουράνιον, ώφθης Παναγία Παρθένε, διά τούτό σοι κράζομεν, Ευλογημένη η Θεόν σαρκί κυήσασα.

## Ωδή η'

### Τόν εν καμίνω τού πυρός

Ακαταγώνιστον ορών, ό παράφρων δικαστής σέ γενναιόφρον, εν τώ λωροτομείσθαι, μέχρις οστέων αυτών, προσάγει όνυξι σπαράττων σε, πληγάς αφορήτους, πληγωθείς ανιάτως.

Ρήμα Θεού εξ ουρανού, εις υπήκοον παντός τού πλήθους μάρτυς, προσηνέχθη σοι Μύρων, πρός τάς εκείσε καλούν, αρρήτους καταπαύσεις ένδοξε, καί τάς τών Αγγέλων, τερπνάς χοροστασίας.

Ίστασο ώσπερ Δανιήλ, εν τώ μέσω τών θηρών ευλαβουμένων, τό μακάριον πάθος, καί τών αγώνων τών σών, παμμάκαρ τό άπειρον μέγεθος, ζώση τε φωνή σου, αντιλαμβανομένων.

Θεοτοκίον

Νυγείς τώ βέλει τού εχθρού, τήν ψυχήν ολοτελώς ετραυματίσθην, καί ανίατα πάσχων, η τόν Σωτήρα Χριστόν, αρρήτως τεκούσα Πανάμωμε, ίασαί με σώσον, ελπίς απηλπισμένων.

Ο Ειρμός

«Τόν εν καμίνω τού πυρός, τών Εβραίων τοίς Παισί συγκαταβάντα, καί τήν φλόγα εις δρόσον, μεταβαλόντα Θεόν, υμνείτε τά έργα ως Κύριον, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

## Ωδή θ'

### Τόν εκ Θεού Θεόν Λόγον

Ίνα τήν μέλλουσαν δόξαν, καί τό άφραστον κάλλος, Χριστού τού αθλοθέτου κατιδείν, αξιωθής γενναιότατε, υποκλίνεις αυχένα, καί δέχη τήν τού ξίφους εκτομήν, καί χαράς τών μαρτύρων, πληροίς τάς θείας φάλαγγας.

Ώσπερ ηδύπνοον μύρον, αξιάγαστε Μύρων, μυρίζουσα καρδίας τών πιστών, η αξιάγαστος μνήμη σου, τοίς ποθούσιν επέστη, εν ή πανηγυρίζοντας ημάς, ευωδίας ενθέου, ταίς σαίς πρεσβείαις πλήρωσον.

Σού Αχαϊα καυχάται, τοίς σπαργάνοις καί άθλοις, γενναίε τού Κυρίου αθλητά,

πλέον δέ τέρπεται Κύζικος, τό πολύαθλον σώμα, κατέχουσα ως όλβον αληθή, καί πηγήν ιαμάτων, καί νόσων καθαρτήριον.

Η τών Αγίων απάντων, εκλεκτή εν υψίστοις, μητρόπολις Σιών η νοητή, τών πρωτοτόκων ως γέγραπται, η σεπτή Εκκλησία, ως μάρτυρα αεί υπέρ ημών, δυσωπούντά σε έχει, μαρτύρων ακροθίνιον.

Θεοτοκίον

Φωνήν βοώμέν σοι πάντες, τού Αγγέλου Παρθένε, παλάτιον καί θρόνε τού Θεού, Χαίρε, δι' ής ηξιώθημεν ουρανών βασιλείας, οι πάλαι απωσθέντες τή φθορά, καί τό κάλλος τό πρώτον αφρόνως απολέσαντες.

Ο Ειρμός

«Τόν εκ Θεού Θεόν Λόγον, τόν αρρήτω σοφία, ήκοντα καινουργήσαι τόν Αδάμ, βρώσει φθορά, πεπτωκότα δεινώς, εξ Αγίας Παρθένου, αφράστως σαρκωθέντα δι' ημάς, οι πιστοί ομοφρόνως, εν ύμνοις μεγαλύνομεν».

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Μυρίπνοον ως ρόδον σε, η Εκλησία κέκτηται, Μύρων πολύαθλε μάρτυς, τού γάρ Χριστού ευωδία, εδείχθης παναοίδιμε, υπέρ ού χαιρων ήθλησας, παρ' ού καί δόξης έτυχες, πρός όν αεί μνημονεύεις, τών σέ τιμώντων εκ πόθου.

Καί τής Εορτής

Ο ουρανόν τοις άστροις

Μετά βροντής εν νεφέλαις, τούς Αποστόλους ο Σωτήρ, πρός τήν τεκούσαν εκπέμπει, πόθω κηδεύσοντας αυτήν, κατέρχεται δέ καί ούτος, δορυφορούντων Αγγέλων.

Είς τόν Στίχον τών Αίνων, Στιχηρά Προσόμοια.

Ήχος β'

Οίκος τού Εφραθά

Νύμφην σε τού Θεού, η άνω βασιλεία, τών εκλεκτών η δόξα, προσδέχεται Παρθένε, πρός σόν Υιόν χωρήσασαν.

Στίχ. Ανάστηθι Κύριε εις τήν ανάπαυσίν σου.

Δήμος τών Μαθητών, αθροίζεται κηδεύσαι, Μητέρα Θεοτόκον, ελθόντες εκ περάτων, παντοδυνάμω νεύματι.

Στίχ. Ώμοσε Κύριος τώ Δαυίδ αλήθειαν.

Δόξα εν ουρανώ, επί γής ευφροσύνη, η γάρ τού Κτίστου, Μήτηρ, χερσί ταίς τού Δεσπότου, ψυχήν νύν παρατίθησι.

Δόξα... Καί νύν...

Ήχος πλ. δ'

Λέοντος Δεσπότου

Πιστούμενος Ιησούς, ο Υιός σου Θεοτόκε καί Θεός ημών, τάς δύο φύσεις αυτού, ως μέν άνθρωπος θνήσκει, ως δέ Θεός εξανίσταται, καί σέ Θεομήτορ, νόμω φύσεως θανείν ευδόκησεν, ίνα μή τοίς απίστοις, φαντασία νομισθή ή οικονομία, Μετέβης δέ πρός ουρανούς η επουράνιος νύμφη, ως εκ παστού τού σκήνους σου, γήθεν απάρασα, Ηγιάσθη ο αιθήρ έν τή ανόδω σου, ως εφωτίσθη η γή εν τώ τόκω σου, Προπέμπουσιν Απόστολοι καί Άγγελοι υποδέχονται, Όθεν κηδεύσαντες τό πανάχραντον σώμά σου, καί επιτάφιον ύμνον εξάδοντες, μετάρσιον έβλεπον, καί φόβω έλεγον, Αύτη η αλλοίωσις τής δεξιάς τού Υψίστου, αυτός γάρ εν μέσω σου, καί ου σαλευθήση, Αλλ' ώ πολυύμνητε Κόρη, μή διαλίπης ημάς εποπτεύουσα, ημείς γάρ λαός σου, καί πρόβατα νομής σου, καί τό όνομά σου επικεκλήμεθα, αιτούμενοι διά σού σωτηρίαν, καί μέγα έλεος.

Απόλυσις

---

Αρχή

## ΤΗ ΙΗ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Μαρτύρων Φλώρου καί Λαύρου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ' καί τών Αγίων γ'.

Τής Εορτής

Ήχος δ'
Έδωκας σημείωσιν

Ουχ άρμα πυρίμορφον, τών από γής σε μετέστησεν, ως Ηλίαν τόν δίκαιον, αλλ' αυτός ο Ήλιος, τής δικαιοσύνης, εν χερσίν οικείαις, τήν παναγίαν σου ψυχήν, ως υπεράμωμον προσλαβόμενος, εν εαυτώ κατέπαυσε, καί παραδόξως σε Άχραντε, μεταστήσας ετίμησεν, εν χαρά υπέρ έννοιαν.

Δεύτε ώ φιλέορτοι, τής Θεομήτορος σήμερον, τήν αγίαν Μετάστασιν, φαιδρώς εορτάσωμεν, εν χερσί γάρ όντως, τού εξ ακηράτου, Πατρός εκλάμψαντος τό πρίν, καί επ' εσχάτων εκ τής νηδύος αυτής, τήν θείαν καί πανάχραντον, ψυχήν παρέθετο χαίρουσα, Ιησού τού Θεού ημών, καί πρεσβεύει σωθήναι ημάς.

Θαύμα φρικωδέστατον, η εν γαστρί τόν αχώρητον, Βασιλέα βαστάσασα, τάφω κατατίθεται, καί Αγγέλων δήμοι, σύν τοίς Αποστόλοις, φόβω κηδεύουσιν αυτής, τό θεοδόχον Σώμα καί τίμιον, καί τούτο δέ μετάρσιον, εις ουρανούς ανεβίβασεν, Ιησούς ο Υιός αυτής, καί Σωτήρ τών ψυχών ημών.

Στιχηρά τών Αγίων

Όμοια

Λίθοι τελειότατοι, τώ μαρτυρίω τεμνόμενοι, καί ποιναίς λαξευόμενοι, οι Άγιοι ώφθησαν, οικοδομηθέντες, εις ναόν Κυρίου, καί τών ειδώλων τούς βωμούς, καί τά τεμένη κατεδαφίσαντες, Αυτούς ούν μακαρίσωμεν, ως Παραδείσου οικήτορας, ως ναού αναθήματα, ουρανίου υπάρχοντας.

Χάριν απαντλήσατε, καί φωτισμόν απαρύσασθε, ευφροσύνην καί έλεος, λειψάνοις προσψαύοντες, ιερών μαρτύρων, Φλώρου τε καί Λαύρου, εξ ών πηγάζει δαψιλώς, τών ιαμάτων θεία ενέργεια, καί τούτους μακαρίζοντες, ως τού Κυρίου θεράποντας, εκτενώς εκβοήσωμεν, ο Θεός ημών δόξα σοι.

Λάκκω συγκλειόμενοι, καί υπό γήν καλυπτόμενοι, απηνεία δικάζοντος, θείαις εισηγήσεσι, καί αποκαλύψει, Πνεύματος Αγίου, εφανερώθητε ημίν, ώσπερ αστέρες εναπαστράπτοντες, σημεία καί τεράστια, καί ιαμάτων χαρίσματα, αθλοφόροι αυτάδελφοι, τών Αγγέλων ομόσκηνοι.

Δόξα... Καί νύν... Ήχος δ'

Δεύτε ανυμνήσωμεν λαοί, τήν Παναγίαν Παρθένον αγνήν, εξ ής αρρήτως προήλθε, σαρκωθείς ο Λόγος τού Πατρός, κράζοντες καί λέγοντες, Ευλογημένη σύ εν γυναιξί, Μακαρία η γαστήρ, η χωρήσασα Χριστόν, Αυτού ταίς αγίαις χερσί, τήν ψυχήν παραθεμένη, πρέσβευε Άχραντε, σωθήναι τάς ψυχάς ημών.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος β'

Οίκος τού Εφραθά

Πύλαι τών ουρανών, ανοίχθητε, ιδού γάρ, η τού Υψίστου Μήτηρ, η πάναγνος Παρθένος, θανούσα παραγίνεται.

Στίχ. Ανάστηθι Κύριε εις τήν ανάπαυσίν σου.

Ήθροισται ο χορός, Μαθητών παραδόξως, εκ τών περάτων κόσμου, κηδεύσαί σου τό σώμα, τό θείον καί ακήρατον.

Στίχ. Ώμοσε Κύριος τώ Δαυϊδ αλήθειαν.

Ύμνον αι ουρανών, εξάρξατε Δυνάμεις, σύν τοίς εκ τών περάτων, τού Λόγου μύσταις άμα, τή μόνη Θεομήτορι.

Δόξα... Καί νύν... Ήχος δ'

Δαυϊτικήν ωδήν σήμερον λαοί, άσωμεν Χριστώ τώ Θεώ, Απενεχθήσονται, φησί τώ Βασιλεί παρθένοι οπίσω αυτής, απενεχθήσονται εν ευφροσύνη καί αγαλλιάσει, η γάρ εκ σπέρματος Δαυϊδ, δι' ής ημείς εθεώθημεν, εν ταίς χερσί τού εαυτής Υιού καί Δεσπότου, ενδόξως καί υπέρ λόγον μετατίθεται, Ήν ως Μητέρα Θεού ανυμνούντες, βοώμεν καί λέγομεν, Σώσον ημάς, τούς

ομολογούντάς σε Θεοτόκον, από πάσης περιστάσεως, καί λύτρωσαι κινδύνων τάς ψυχάς ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα  Ήχος δ'
Επεφάνης σήμερον

Τή ενδόξω μνήμη σου ή οικουμένη, τώ αϋλω Πνεύματι, πεποικιλμένη νοερώς, έν ευφροσύνη κραυγάζει σοι, Χαίρε Παρθένε, Χριστιανών τό καύχημα.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα  Ήχος δ'
Ταχύ προκατάλαβε

Κελεύσει τού Κτίστου σου, τού γεννηθέντος εκ σού, νεφέλη συνήθροισας τούς Αποστόλους τήν σήν, ιδέσθαι Μετάστασιν, όθεν καί μετά δόξης, καί πολλής ευφροσύνης, εκήδευσαν ανυμνούντες, τό πανάχραντον σώμα, τής σής μακαριότητος, Μήτηρ Χριστού τού Θεού.

Δόξα... Καί νύν... Τό αυτό

Είτα ο πρώτος Κανών τής Εορτής, καί τών Αγίων ο παρών, ού η Ακροστιχίς.

Τερπνήν ανυμνώ μαρτύρων ξυνωρίδα. Ιωσήφ.

Ωδή α'  Ήχος πλ. δ'
Αρματηλάτην Φαραώ

Ταίς φωταυγέσιν αστραπαίς τού Πνεύματος, περιλαμπόμενοι, τά ζοφερά νέφη, τής ψυχής μου λύσατε, τήν φωτοφόρον Άγιοι, καί σεπτήν υμών μνήμην, όπως υμνήσω γηθόμενος, μάρτυρες Χριστού γενναιότατοι.

Επί τήν πέτραν τής αμώμου πίστεως, οικοδομήσαντες, δι' αρετών θείων, εαυτούς μακάριοι, περικαλής εδείχθητε, καί τερπνότατος οίκος, εν ώ Πατήρ κατεσκήνωσε, καί Υίός καί Πνεύμα τό Άγιον.

Ριζοτομούντες τήν τής πλάνης άκανθαν, οι μεγαλώνυμοι, τώ τμητικώ λόγω, τής ενθέου πίστεως, καρδίας κατενέωσαν χερσωθείσας απάτη, καί καρποφόρους ανέδειξαν, πίστιν βλαστανούσας αμώμητον.

Θεοτοκίον

Παρθενικής από γαστρός εβλάστησας, ρίζα απότιστε, τόν φυτουργόν

πάντων, άνθρωπον γενόμενον, καί πάθη υπομείναντα, όν ποθούντες οι θείοι, πιστώς ενήθλησαν μάρτυρες, άχραντε Παρθένε πανύμνητε.

Ωδή γ'

Ουρανίας αψίδος

Νόμον θείον πληρούντες, πανευκλεείς μάρτυρες, πένησι πλουσίως, τόν άρτον εχορηγήσατε, καί πρός ευσέβειαν, καθωδηγήσατε θείαν, σωτηρίας πρόξενοι, τούτοις γενόμενοι.

Ή δυάς η φωσφόρος, τών αθλητών λάμψασα, ταίς τών θαυμασίων ακτίσι, σκότος απήλασε, πλάνης πολύθεον, καί πλανωμένους πρός φέγγος, τής ενθέου πίστεως, πάντας ωδήγησε.

Νηπιάζοντα δήμον, πανευσεβώς μάρτυρες, θείαις υποθήκαις, πρός τρίβον ενθέου γνώσεως, καθωδηγήσατε, καί τούς βωμούς τών δαιμόνων, προσευχή μακάριοι, κατηδαφίσατε.

Θεοτοκίον

Απειρόγαμε Κόρη, δι' ής ημίν έλαμψε, Λόγος ο επέκεινα πάσης, αρχής νοούμενος, σώζε τήν πόλιν σου, καί πάσαν πόλιν καί χώραν, πάσης περιστάσεως, θεοχαρίτωτε.

Ο Ειρμός

«Ουρανίας αψίδος, οροφουργέ Κύριε, καί τής Εκκλησίας δομήτορ, σύ με στερέωσον, εν τή αγάπη τή σή, τών εφετών η ακρότης, τών πιστών τό στήριγμα, μόνε φιλάνθρωπε».

Κάθισμα Ήχος πλ. δ'

Τήν Σοφίαν

Τούς σοφούς αριστέας καί αθλητάς, εν ωδαίς κατα χρέος πάντες πιστοί, Φλώρον ευφημήσωμεν, καί τόν πάνσοφον Λαύρον, τόν γάρ Χριστόν εκήρυξαν, Θεόν προαιώνιον, καί τών ειδώλων τήν πλάνην, αθλήσει κατήργησαν, όθεν τούς τυράννους, καταισχύναντες πίστει, τής δόξης επέτυχον, τής αφθάρτου τή χάριτι, Διά τούτο βοήσωμεν, Πρεσβεύσατε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην υμών.

Δόξα... Καί νύν...

Τής Εορτής όμοιον

Η Θεόν συλλαβούσα άνευ σποράς, σαρκωθέντα τεκούσα δίχα φθοράς, τήν νέαν αμφιέννυσαι, αφθαρσίαν τού Πνεύματος, ως γάρ ζωής σύ Μήτηρ, καί πάντων Βασίλισσα, πρός τήν ζωήν μετέστης, Παρθένε τήν άϋλον, όθεν επαξίως, αληθώς ανεδείχθης, νεφέλη πηγάζουσα, τής ζωής ήμών νάματα, Θεομήτορ πανάμωμε, Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς προσκυνούσιν εν πίστει, τήν θείαν σου Κοίμησιν.

Ωδή δ'

Σύ μου ισχύς Κύριε

Νεανικώς, τώ δυσμενεί συμπλεκόμενοι, οι γενναίοι, τούτον κατηδάφισαν, τώ τού Σταυρού, όπλω κραταιώς, καί τούς συντριβέντας, ευσεβώς μελωδούντας, Τή δυνάμει σου δόξα Φιλάνθρωπε.

Υπό Χριστού, λίθου τμηθέντος, ως γέγραπται, από όρους Κόρης τής θεόπαιδος, δυναμωθέντες πανευκλεώς, Άγιοι, ειδώλων τήν συντριβήν απειργάσασθε, καί ήρθητε πρός ύψος, εμφανές σωτηρίου, καί Αγγέλοις σαφώς ωμοιώθητε.

Μίαν αυγήν, τής τρισηλίου θεότητος, τοίς αθέοις, χαίρουσα κατήγγειλε, δυάς σεπτή, η τών αθλητών, Φλώρός τε καί Λαύρος, καί μαρτυρίου ποτήριον, εξέπιε προθύμως, τώ Χριστώ μελωδούσα, Τή δυνάμει σου δόξα Φιλάνθρωπε.

Νόμω Θεού, υποκλιθέντες υπέκλιναν, ανομούντας, τούτον μόνον σέβεσθαι, τή υπανοίξει τών Οφθαλμών, τάς τής διανοίας, αυτών οράσεις φωτίσαντες, οι μάρτυρες οι θείοι, οι φωστήρες οι δύο, οι τά πέρατα κόσμου φωτίζοντες.

Θεοτοκίον

Ως καθαράν, τών γενεών εξελέξατο, Θεοτόκε, σέ τήν αειπάρθενον, ο πλαστουργός πάντων καί Θεός, καί τήν σήν γαστέρα, παλάτιον απειργάσατο, αμόλυντον ο μόνος, Βασιλεύς τών αιώνων, καί εκ σού τοίς ανθρώποις επέφανε.

## Ωδή ε'

Ίνα τί με απώσω

Μερισμόν ουχ υπέστη, θεία ξυνωρίς τών μαρτύρων αυτάδελφος, τή γάρ αμερίστω, καί Αγία Τριάδι πιστεύσασα, εν μιά ελπίδι, τούς μερισμώ πλάνης ατόπου, συσχεθέντας συνήψεν εν χάριτι.

Αληθείας σπαρτίω, τώ λαξευτηρίω τε τής θείας γνώσεως, τάς λιθώδεις φρένας, ευσεβώς αθλοφόροι λαξεύοντες, ναούς τής Τριάδος, πανευσεβώς ενθέω σθένει, απειργάσασθε λάμψει τού Πνεύματος.

Ριζοτόμοι κακίας, πάσης ανεδείχθητε μάρτυρες ένδοξοι, φυτουργοί δέ πάσης, ευσεβείας καί λόγοις καί πράγμασι, τόν εκφύντα κλάδον, τού Ιεσσαί εκ ρίζης θείας, εν αβάτοις καρδίαις φυτεύσαντες.

Θεοτοκίον

Τό πρό πάντων αιώνων, Κόρη αποκείμενον μέγα μυστήριον, όπερ ουκ εγνώσθη, γενεαίς προλαβούσαις πανάμωμε, διά σού εφάνη, Λόγος Πατρός ο πρό αιώνων, σαρκωθείς καί γενόμενος άνθρωπος.

## Ωδή ς'

Ιλάσθητί μοι Σωτήρ

Υπομονή ακλινεί, τούς ανομούντας τροπούμενοι, οι έννομοι αθληταί, Χριστού αξιέπαινον, τέλος απηνέγκαντο, μή καταχωσθέντες, ασεβείας ματαιότητι.

Ρομφαία τού δυνατού, αναδεικνύμενοι Πνεύματος, ετρώσατε δυσμενείς, ασάρκους μακάριοι, καί πάθος μακάριον, τού πλευράν τρωθέντος, ευσεβώς εξεικονίσατε.

Ως δύο περικαλείς, μαστοί αοίδιμοι ώφθητε, τής Εκκλησίας Χριστού, ού γάλα προχέοντες, αλλά χάριν άφθονον, καί σωτηριώδη, ιαμάτων αναβλύζοντες.

Θεοτοκίον

Νοσούσάν μου τήν ψυχήν, τή αμαρτία θεράπευσον, τόν ιατρόν τών ψυχών, κυήσασα Πάναγνε, όν οι θείοι μάρτυρες, καθομολογούντες, ιατροί παθών εδείχθησαν!

Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

Συναξάριον

Τή ΙΗ' τού αυτού μηνός, μνήμη τών Αγίων μαρτύρων Φλώρου καί Λαύρου.

Στίχοι

- Δίψει τελευτής τής υπέρ Θεού Λόγου,
- Χωρούσι Φλώρος καί Λαύρος πρός τό φρέαρ
- Φλώρω άμ' όγδοάτη δεκάτη φρέαρ εισέδυ Λαύρος.

Τή αυτή ημέρα, η Αγία τών πενήτων πληθύς, η τά είδωλα συντρίψασα, πυρί ετελειώθη

Στίχοι

- Πένητες άνδρες πλούτον εύρον αθρόον,
- Τό σύντροφον δός, εις τό πύρ λελοιπότες.

Τή αυτή ημέρα, μνήμη τών Αγίων μαρτύρων Έρμου, Σεραπίωνος καί Πολυαίνου.

Στίχοι

- Έρμω βιαίως εν πέτραις συρομένω,
- Υπήρξε πέτρα προσφυγή λαγώ πόλος.
- Τόν εκ πέτρας πάνδεινον ελκυσμόν φέρει,
- Καί Σεραπίων, ο πλέον στερρός πέτρας.
- Ο Πολύαινος αίμα χεί συρείς πέτραις,
- Υπέρ Χριστού, χέαντος εκ πέτρας ύδωρ.

Τή αυτή ημέρα, μνήμη τής αγίας μάρτυρος Ιουλιανής πλησίον τού Στροβίλου, καί τού Αγίου μάρτυρος Λέοντος, ός ήθλησε παρά τήν θάλασσαν, πλησίον Μύρων τής Λυκίας.

Τή αυτή ημέρα, οι εν τή ερήμω τέσσαρες ασκηταί εν ειρήνη τελειούνται.

Στίχοι

- Αδελφότης τέθνηκεν ανδρών τεσσάρων,
- Τά κώλα θέντες εις ερημίαν μίαν.

Τή αυτή ημέρα, μνήμη τών εν Αγίοις Πατέρων ημών, Πατριαρχών Κωνσταντινουπόλεως, Ιωάννου καί Γεωργίου.

Στίχοι

- Ο Γεώργιος «Ως κελεύεις Χριστέ μου»,
- Έφασκε θνήσκων «έρχομαι κληθείς άνω».
- Σκυθρωπά τά πρόσωπα τής Εκκλησίας, Στέρησιν ού φέροντα τήν Ιωάννου.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Θεού συγκατάβασιν

Ξυλίνους λιθίνους τε, θεούς αθέων καταστρεψάμενοι, στήλας θεογνωσίας, Λαύρος καί Φλώρος οι μεγαλώνυμοι, τοίς μελωδούσιν εαυτούς ανέστησαν, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Υπάρχοντες έμπλεοι, πυρός τού θείου μάρτυρες Πνεύματος, τούς καμίνω βληθήναι, οσίους άνδρας, κατακριθέντας δεινώς, ταίς έπομβρίαις τών θείων ευχών υμών, διετηρήσατε ασινείς ένδοξοι μάρτυρες.

Νοσούσι τήν ίασιν, αδικουμένοις τήν απολύτρωσιν, κινδυνεύουσι πάσι, τήν σωτηρίαν αεί παρέχουσι, Φλώρος καί Λαύρος βοώντες οι μάρτυρες, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Θεοτοκίον

Ως ρόδον κοιλάδων σε, τού βίου Κόρη Θεός εκλέγεται, καί εν σοί κατοικήσας, σαρκί προήλθεν ευωδιάζων ημάς, θεογνωσίας πνοαίς παναμώμητε, τούς Θεοτόκον αεί ομολογούντάς σε.

Ωδή η'

Επταπλασίως κάμινον

Ρήματι ζώντι τρέφοντες, τάς ψυχάς παναοίδιμοι, τάς λιμώ τακείσας, σωτηρίου βρώσεως, πενήτων προμήθεια, καί ορφανών εδείχθητε, πάσιν επαρκούντες καί Χριστόν μελωδούντες, Οι παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Ιερωτάτην έχοντες, καί ζωήν καί τελείωσιν, χρόνον επί μήκιστον, σοφοί κρυπτόμενοι, εκ γής ανεδόθητε, υπέρ αυγάς ηλίου ημίν, λάμψαντες ακτίνας παραδόξων θαυμάτων, τοίς πίστει μελωδούσιν, ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Δύο φωστή ρες ώφθητε, νοητώ στερεώματι, τώ τής Εκκλησίας, ιερώς εμπρέψαντες, καί πάσαν φωτίζετε, περιφανώς τήν κτίσιν αεί, θαυματοποιίαις, αθλοφόροι βοώντες, Οι παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Αγιωτέρα πέφυκας, τών Αγγέλων κυήσασα, Κόρη παναγία, τών Αγίων Άγιον, δι' οίκτον γενόμενον, όπερ εσμέν αφύρτως βροτόν, σώσαι τούς αυτόν αναβοώντας απαύστως. Οι παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, τώ Δημιουργώ, καί Λυτρωτή ανεβόα, Οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

## Ωδή θ'

Εξέστη επί τούτω ο ουρανός

Ιδού δή ανεβόα πάλαι Δαυϊδ, Τί καλόν καί τερπνόν καί σωτήριον, αλλ' ή σαφώς, θείους αδελφούς επί τό αυτό, τό κατοικείν εν πνεύματι, αγωνισαμένους περιφανώς, καί νίκην αραμένους, κατά τού διαβόλου, ούς επαξίως μακαρίσωμεν.

Ωραίοι απεφάνθητε οφθαλμοί, τής σεπτής Εκκλησίας εν χάριτι, καί οφθαλμούς πάλαι πηρωθέντας σκότει δεινώ, καί πρό θανάτου Άγιοι, καί μετά τό τέλος τό ιερόν, ηνοίξατε εις δόξαν, τού πάντων ευεργέτου, Φλώρε καί Λαύρε αξιάγαστοι.

Σημείοις εναργέσι καί φοβεροίς, ο Χριστός τήν ταφήν υμών Άγιοι, καί τήν σορόν, πάλαι ως προέφησε φανεροί, εν ή τά καρτερώτατα, σώματα κατέκειντο ιερώς, ακτίνας ιαμάτων, εκπέμποντα πλουσίως, καί ευωδίαν αξιέπαινον.

Η θεία καί φωσφόρος όντως δυάς, Λαύρε Φλώρε καλλίνικοι μάρτυρες, εν ουρανοίς, πάντοτε Τριάδι τή παντουργώ, παρεστηκότες λύτρωσιν, τών αμαρτημάτων καί τών δεινών, αιτήσασθε τοίς πίστει, υμών τήν θείαν μνήμην, επί τής γής πανηγυρίζουσι.

Θεοτοκίον

Φρικτή σου ή λοχεία Μήτηρ αγνή, ουρανών γάρ όν τρέμει τά τάγματα, Λόγον Θεού, άνθρωπον γενόμενον επί γής, υπερφυώς εκύησας, μείνασα παρθένος ώσπερ τό πρίν, διό σε Θεοτόκον, καί γλώσση καί καρδία, ομολογούντες μεγαλύνομεν.

Ο Ειρμός

«Εξέστη επί τούτω ο ουρανός, καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα

τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι μεγαλύνουσιν».

Εξαποστειλάριον
Γυναίκες ακουτίσθητε

Ρωννύμεθα προσψαύοντες, τοίς ιεροίς πανόλβιοι, υμών λειψάνοις εν πίστει, κατ άμφω Λαύρε καί Φλώρε, Αλλ' ώ μεγαλομάρτυρες, μνείαν ημών πρός Κύριον, ποιείτε ώ παρίστασθε, τών τήν υμών εκτελούντων, λαμπράν καί πάμφωτον μνήμην.

Καί τής Εορτής
Ο ουρανόν τοίς άστροις

Τών Αποστόλων ο δήμος, συναθροισθείς εν νεφέλαις, αξιοχρέως κηδεύει, τήν τού Κυρίου Μητέρα, παρόντος καί τού Σωτήρος, σύν μυριάσιν Αγγέλων.

Εις τόν Στίχον τών Αίνων, Στιχηρά Προσόμοια τής Εορτής.

Ήχος β'
Οίκος τού Εφραθά

Χαίρε Γεθσημανή, τό τέμενος τό θείον, τής μονής Θεοτόκου, έν ώπερ ανεκλίθη, απάντων ή Βασίλισσα.

Στίχ. Ανάστηθι Κύριε εις τήν ανάπαυσίν σου.

Η Μήτηρ Θεού, η μόνη Θεοτόκος, υπερευλογημένη, μεθίσταται ενδόξως, εκ γής πρός τά ουράνια.

Στίχ. Ώμοσε Κύριος τώ Δαυϊδ αλήθειαν.

Πάσαι τών ουρανών, υμνήσατε χορείαι, η γάρ Παρθένος Μήτηρ, μετέστη παραδόξως, εκ γής πρός τά ουράνια.

Δόξα... Καί νύν... Ήχος δ'

Τήν πάνσεπτόν σου Κοίμησιν, Παναγία Παρθένε αγνή, τών Αγγέλων τά πλήθη εν ουρανώ, καί ανθρώπων τό γένος επί τής γής μακαρίζομεν, ότι Μήτηρ γέγονας τού ποιητού τών απάντων Χριστού τού Θεού, Αυτόν ικετεύουσα, υπέρ ημών μή παύση δεόμεθα, τών εις σέ μετά Θεόν τάς ελπίδας θεμένων, Θεοτόκε Πανύμνητε καί απειρόγαμε.

Καί τά λοιπά τής τού Όρθρου Ακολουθίας, καί Απόλυσις.

---

Αρχή

**ΤΗ ΙΘ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τών Αγίων Μαρτύρων Ανδρέου τού Στρατηλάτου καί τών σύν αυτώ δισχιλίων πεντακοσίων ενενήκοντα τριών.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ' καί τού Αγίου γ'.

Στιχηρά τής Εορτής

Ήχος πλ. β'
Τριήμερος ανέστης Χριστέ

Ρημάτων τού σεπτού Γαβριήλ, τό Χαίρέ σοι βοώμεν αγνή μεμνημένοι, αλλ' ώ άχραντε σεμνή, καί Μήτηρ τού Κυρίου, πρός τούτον μεταστάσα, μνείαν ποιού τών ανυμνούντων σε.

Η άπειρος Σοφία Θεού, τόν οίκον εαυτής υπέρ νούν, Θεοτόκε, ωκοδόμησεν εκ σού, εν Πνεύματι Αγίω, καί νύν σε πρός αϋλους, σκηνάς μετέθηκε πανύμνητε.

Ικέτης νύν προσέρχομαι, σοί τή Μητρί τού πάντων Θεού, λυτρωθήναι, εκ παντοίων πειρασμών, αλλ' ώ Θεογεννήτορ, συνούσα τώ Υιώ σου, Χριστιανών τό γένος φύλαττε.

Τού Αγίου

Ήχος α'
Πανεύφημοι μάρτυρες

Ανδρείας υπόδειγμα δειχθείς, δήμον παρεθάρρυνας, καθυπεισδύναι τό στάδιον, τό τής αθλήσεως, οία στρατηγέτης, τούτου προηγούμενος, Ανδρέα αθλοφόρε πανόλβιε, πιστοίς δέ πάντοτε, ιαμάτων βρύεις νάματα, ουρανόθεν χάριν κομισάμενος.

Ανδρείας επώνυμος δειχθείς, ανδρικώς ηρίστευσας, τώ δυσμενεί συμπλεκόμενος, καί τούτον ώλεσας, Φαραώ ως άλλον, ρείθροις τών αιμάτων σου, βυθίσας πανστρατί αξιάγαστε, καί νύν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην καί τό μέγα έλεος.

Όπλον απροσμάχητον Σταυρόν, μάκαρ ενδυσάμενος, ως θυρεόν τε καί θώρακα, πίστιν ενδέδυσαι καί τοίς εναντίοις, ώφθης φοβερώτατος, τροπούμενος τά τούτων στρατεύματα, διό ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην καί τό μέγα έλεος.

Δόξα... Καί νύν... Ήχος δ'

'Οτε εξεδήμησας Θεοτόκε Παρθένε, πρός τόν εκ σού τεχθέντα αφράστως, παρήν Ιάκωβος ο αδελφόθεος, καί πρώτος Ιεράρχης, Πέτρος τε η τιμιωτάτη κορυφαία τών θεολόγων ακρότης, σύμπας ο θείος τών Αποστόλων χορός, εκφαντορικαίς θεολογίαις, υμνολογούντες, τό θείον καί εξαίσιον, τής Χριστού τού Θεού οικονομίας μυστήριον, καί τό ζωαρχικόν, καί θεοδόχον σου σώμα κηδεύσαντες, έχαιρον πανύμνητε, Ύπερθεν δέ αι πανάγιαι, καί πρεσβύται

τών Αγγέλων Δυνάμεις, τό θαύμα εκπληττόμεναι κεκυφυίαι αλλήλαις έλεγον, Άρατε υμών τάς πύλας, καί υποδέξασθε τήν τεκούσαν τόν ουρανού καί τής γής Ποιητήν, δοξολογίαις τε ανυμνήσωμεν τό σεπτόν καί άγιον σώμα, τό χωρήσαν τόν ημίν αθεώρητον καί Κύριον, Διόπερ καί ημείς, τήν μνήμην σου εορτάζοντες, εκβοώμέν σοι πανύμνητε, Χριστιανών τό κέρας ύψωσον, καί σώσον τάς ψυχάς ημών.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος β'
Οίκος τού Εφραθά

Πύλαι τών ουρανών, ανοίχθητε, ιδού γάρ, η τού Υψίστου Μήτηρ, η πάναγνος Παρθένος, θανούσα παραγίνεται.

Στίχ. Ανάστηθι Κύριε εις τήν ανάπαυσίν σου.

Η θροισται ο χορός, Μαθητών παραδόξως, εκ τών περάτων κόσμου, κηδεύσαί σου τό σώμα, τό θείον καί ακήρατον.

Στίχ. Ώμοσε Κύριος τώ Δαυϊδ αλήθειαν.

Πόλις νέα Σιών, χαίρε, ο Βασιλεύς σου, ελήλυθεν εν δόξη, μορφής τού θεανθρώπου, αϋλως ήν εμόρφωσεν.

Δόξα... Καί νύν... Ήχος πλ. α'

Δεύτε φιλεορτων τό σύστημα, δεύτε καί χορείαν στησώμεθα, δεύτε καταστέψωμεν άσματι τήν Εκκλησίαν, τή καταπαύσει τής Κιβωτού τού Θεού, Σήμερον γάρ ουρανός εφαπλοί τούς κόλπους, δεχόμενος τήν τετοκυίαν τόν έν πάσι μή χωρούμενον, καί η γή τήν πηγήν τής ζωής αποδιδούσα, τήν ευλογίαν στολίζεται καί ευπρέπειαν, Άγγελοι χοροστατούσι σύν Αποστόλοις, περιδεώς ενατενίζοντες εκ ζωής εις ζωήν μεθισταμένης, τής τεκούσης τόν αρχηγόν τής ζωής, Πάντες προσκυνήσωμεν αυτήν δεόμενοι, συγγενούς οικειότητος μή επιλάθη Δέσποινα, τών πιστώς εορταζόντων, τήν παναγίαν σου Κοίμησιν.

Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος δ'
Κατεπλάγη Ιωσήφ

Καθορώσαι αληθώς, αι τών Αγγέλων στρατιαί, τήν Μετάστασιν τήν σήν, άχραντε Μήτερ τού Θεού, ευλογημένη πανύμνητε Παναγία, έχοντες βουλήν τού τεχθέντος εκ σού, στίφος Μαθητών συναθροίσασαι, εν ευφροσύνη έφερον τό τίμιον, εις τόν Παράδεισον σώμά σου, Χριστόν υμνούσαι, τό

ζωοδότην, όντα εις τούς αιώνας.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα όμοιον

Εν χερσί τού δι' ημάς, ενανθρωπήσαντος εκ σού, παραθεμένην τήν τήν ψυχήν, ως πλαστουργός σου καί Θεός, πρός τήν ακήρατον μετέστησεν ευφροσύνην, όθεν σε σεπτώς μακαρίζομεν, τήν μόνην καθαράν καί αμόλυντον, καί Θεοτόκον άπαντες κυρίως, ομολογούντες κραυγάζομεν, Χριστόν δυσώπει, πρός όν μετέστης, σώσαι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Τό αυτό

Είτα ο πρώτος Κανών τής Εορτής, καί τού Αγίου ο παρών, ού η Ακροστιχίς.

Υμνοις κροτώ σε, Ανδρέα στρατηλάτα. Ιωσήφ.

Ωδή α' Ήχος δ'

Θαλάσσης τό ερυθραίον

Υμνήσαι τήν ιεράν πανήγυριν, σού προθεμένου μου, φωτιστικαίς τού Πνεύματος αυγαίς, τήν ψυχήν μου καταύγασον, καί τήν αχλύν απέλασον, τής αγνωσίας μάρτυς ένδοξε.

Μαρτύρων περιφανώς λαμπρότητα, μάκαρ επλούτησας, ανδρειοφρόνως σθένει θεϊκώ, συμπατήσας τόν δόλιον, καί νικητής γενόμενος, μάρτυς Ανδρέα μεγαλώνυμε.

Νεκρώσας τά επί γής φρονήματα, μάρτυς πολύαθλε, τώ νεκρωθέντι Λόγω διά σέ, ανδρικώς ηκολούθη σας, καί πρός ζωήν ανώλεθρον, διά θανάτου μεταβέβηκας.

Θεοτοκίον

Ο σάρκα υπερβολή χρηστότητος, εκ σού πανάμωμε, είς σωτηρίαν πάντων τών πιστών, αληθώς ενδυσάμενος, Θεός ομού καί άνθρωπος, διπλούς ταίς φύσεσι γνωρίζεται.

Ωδή γ'

Ευφραίνεται επί σοί

Ιστίω τώ τού Σταυρού, τών πειρασμών διεκπερών πέλαγος, τούς δυσμενείς ένδοξε, ρείθροις σών αιμάτων εβύθισας.

Σκανδάλων τού πονηρού, καί τών εκείθεν μηχανών ύπερθεν, ως νικητής άριστος, μάρτυς χρηματίσας δεδόξασαι.

Κοσμούμενος ευπρεπεί, στεφάνω μάρτυς τώ Χριστώ πάντοτε, σύν εκλεκτοίς μάρτυσιν, εν αγαλλιάσει παρίστασαι.

Θεοτοκίον

Ρυόμενον τούς βροτούς, τής τυ ραννίδος τού εχθρού τέτοκας, τόν τού παντός κύριον, Δέσποινα Παρθένε Θεόνυμφε.

Ο Ειρμός

«Ευφραίνεται επί σοί, η Εκκλησία σου Χριστέ κράζουσα, Σύ μου ισχύς Κύριε, Καί καταφυγή καί στρέωμα».

Κάθισμα Ήχος α'

Τόν τάφον σου Σωτήρ

Ανδρεία τήν ψυχήν, κραταιούμενος μάρτυς, ηφάνισας εχθρού, τό ανίσχυρον θράσος, καί χαίρων ενήθλησας, καί Θεώ ευηρέστησας, όθεν άπαντες, τήν παναγίαν σου μνήμην, εορτάζομεν εν ευφροσύνη καρδίας, Ανδρέα πανόλβιε.

Δόξα... Καί νύν...

Ο πάντιμος χορός, τών σοφών Αποστόλων, ηθροίσθη θαυμαστώς, τού κηδεύσαι ενδόξως, τό σώμά σου τό άχραντον, Θεοτόκε Πανύμνητε, οίς συνύμνησαν, καί τών Αγγέλων τά πλήθη, τήν Μετάστασιν, τήν σήν σεπτώς ευφημούντες, ήν πίστει εορτάζομεν.

Ωδή δ'

Επαρθέντα σε ιδούσα

Ο χυρώτατον ως τείχος η Εκκλησία, σέ κεκτημένη πάνσοφε, εχθρών εναντίαις, προσβολαίς κραυγάζουσα, ακλόνητος σώζεται, Δόξα τή δυνάμει σου Κύριε.

Τοίς ενθέοις υποδείγμασιν οχυρώσας τήν τών μαρτύρων φάλαγγα, οία στρατηγέτης, σώματος ως φθείρεσθαι, μακάριε μέλλοντος, φείδεσθαι μηδόλως παρέπεισας.

Ως ρομφαίαν οπλισάμενος τήν ανδρείαν, καί ώσπερ ξίφος δίστομον, Ανδρέα παμμάκαρ, τόν Σταυρόν τό τίμιον, εχθρούς εξηφάνισας, οία στρατηγός γενναιότατος.

Σέ τόν πρόμαχον τής πίστεως ευφημούμεν, ως αθλητήν αήττητον, καί επουρανίου, μέτοχον λαμπρότητος, καί κρήνην πηγάζουσαν, νάματα θαυμάτων τοίς χρήζουσιν.

Θεοτοκίον

Ευφημούμέν σε τό καύχημα τών μαρτύρων, καί τών πιστών διάσωσμα, πάσαι τών ανθρώπων, γλώσσαι παναμώμητε, Θεόν γάρ εκύησας, μείνασα Παρθένος αμόλυντος.

Ωδή ε'

Σύ Κύριέ μου φώς

Ανδρείας αληθούς, χρηματίσας επώνυμος, εδίωξας τούς εχθρούς σου, καί εις τέλος Ανδρέα, παμμάκαρ εξηφάνισας.

Νάματα τοίς πιστοίς, ιαμάτων εκάστοτε, πανεύφημε αναβλυζεις τήν σωτήριον χάριν, πλουτήσας τήν τού Πνεύματος,

Διέδραμεν εις γήν, επί πάσαν θεόπνευστε, τό κλέος σου τών θαυμάτων, καί σεπτής μαρτυρίας, τό φέγγος θεία χάριτι.

Θεοτοκίον

Ρομφαίαι τού εχθρού, νύν εις τέλος εξέλιπον, τεκούσης σου Θεοτόκε, τόν τή λόγχη τρωθέντα, καί κόσμον αναπλάσαντα.

Ωδή ς'

Θύσω σοι, μετά φωνής

Έθραυσας, τού πονηρού τά κέντρα τοίς πόνοις σου, καί πρός τήν άπονον δόξαν, μετετέθης χαίρων μάρτυς Ανδρέα, στρατηλάτα, μαρτυρικής τιμίας τε φάλαγγος.

Αίμασι, βραχυτάτοις ηλλάξω λαμπρότητα, διαιωνίζουσαν μάκαρ, καί χαράν μηδέποτε τελευτώσαν, καί στεφάνους, ουρανίους καί φέγγος ανέσπερον.

Στρατός σοι, πολυάριθμος μάρτυς συνήθλησε, καί τοίς χοροίς τών Αγγέλων, ηριθμήθη μάκαρ σύν σοί αξίως, γηθοσύνως, τώ Δεσπότη τών όλων παρίστασθαι.

Θεοτοκίον

Τέτοκας, απορρήτως Πατρός τόν συνάναρχον, ομοιωθέντα ανθρώποις, υπέρ νούν καί λόγον Θεογεννήτορ, όν δυσώπει, λυτρωθήναι κινδύνων τούς δούλους σου.

Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, η Εκκλησία βοά σοι, εκ δαιμονων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Συναξάριον

Τή ΙΘ' τού αυτού μηνός, μνήμη τού Αγίου μεγαλομάρτυρος Ανδρέου τού Στρατηλάτου, καί των σύν αυτώ τελειωθέντων δισχιλίων πεντακοσίων ενενήκοντα τριών.

Στίχοι

- Έστησε τμηθείς αιμάτων λίμνας όχλος,
- Σοί τώ παραστήσαντι λίμνας υδάτων.
- Εννεακαιδεκάτη τάμον Ανδρέου αυχένα λαμπρόν.

Τή αυτή ημέρα, μνήμη τών Αγίων μαρτύρων Τιμοθέου, Αγαπίου καί θέκλης.

Στίχοι

- Πυρείον η κάμινος, εν μέσω φέρον,
- Άρωμα Τιμόθεον εύοσμον μάλα.
- Αγάπιος τό δήγμα τού θηρός φέρει,
- Καί ψυχοδηκτης δάκνεται θήρ τήν καρδίαν.
- Έμοιγε κλήσις θέκλα, πατρίς Βιζύη.
- Γάζης τόπος θέατρον, άθλον θηρ δάκνων.

Τή αυτή ημέρα, μνήμη τών Αγίων μαρτύρων Ευτυχιανού τού στρατιώτου καί Στρατηγίου, διά πυρός τελειωθέντων.

Ο όσιος θεοφάνης ο νέος καί θαυματουργός, ο εν τώ όρει τής κατά Μακεδονίαν Ναούσης ασκήσας, ού καί τό λείψανον εν τή Ναούση ήδη εστίν, έν ειρήνη τελειούται.

Στίχοι

- Ευτυχιανός καίεται, κρίνας μέγα
- Τήν καύσιν ευτύχημα, μικρόν τό πάθος.
- Ο Στρατήγιος, Χριστόν ως όπλον φέρων,
- Κατεστρατήγει καί πυράς διηρμένης.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Εν τή καμίνω

Ροαίς αιμάτων, πηγήν εκβλύσαι πεποίηκας, πάσαν νοσημάτων μάρτυς ως αληθώς, αλγηδόνα θεραπεύουσαν, τών προσιόντων σοι, εν αδιστάκτω πίστει θεόπνευστε.

Άγιον δήμον, τώ παναγίω Λόγω, μάρτυς σοφέ, όλον προσηγάγω αίματι τήν ζωήν, τήν αγήρω κληρωσάμενον, μεθών δυσώπησον, υπέρ ημών Χριστόν τόν Θεόν ήμων.

Τώ θείω λύθρω, τών σων αιμάτων χλαίναν σεαυτώ, μάρτυς πορφυρώσας, ταύτην τε στολισθείς, τών όλων βασιλεύοντι, συμβασιλεύεις νύν, νικητικώ στεφάνω κοσμούμενος.

Θεοτοκίον

Η τούς ανθρώπους, τώ υπέρ φύσιν θείω τόκω σου, Κόρη προφανώς θεώσασα ως Θεόν, απορρήτως σωματώσασα, ευλογημένη σύ έν γυναιξίν, υπάρχεις πανάμωμε.

Ωδή η'

Χείρας εκπετάσας Δανιήλ

Λεόντων αγρίων τάς ορμάς, επέσχες ένδοξε, στερροίς αγώσί σου, τυράννων άθεον φρύαγμα, θείω σθένει εταπείνωσας, καί νικητής πρός ουρανούς βοών ανέδραμες, Ευλογείτε πάντα τά έργα, Κυρίου τό Κύριον.

Αγίων λαμπρότητας ιδείν, Καί κατοικείν εν χαρά μάρτυς ηξίωσαι αγωνισάμενος άριστα, καί τελέσας τόν αγώνά σου, τή διά ξίφους εκτομή, καί νύν βοάς εν χαρά, Ευλογείτε πάντα τά έργα, Κυρίου τόν Κύριον.

Τώ θείω προστρέχοντες ναώ, θείου μάρτυρος, φώς κομιζόμεθα, τή θεία ψαύοντες πάντοτε, τών λειψάνων τούτου λάρνακι, αγιασμού παρεκτικήν, χάριν λαμβάνομεν, εκβοώντες, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Θεοτοκίον

Αγία Παρθένε η Θεόν, τόν υπεράγιον, αρρήτως τέξασα, όν οι πανάγιοι μάρτυρες, εν σταδίω ωμολόγησαν, αγιασμόν καί φωτισμόν, ημίν κατάπεμψον τοίς βοώσι, Πάντα τά έργα υμνείτε τόν Κύριον.

Ο Ειρμός

«Χείρας εκπετάσας Δανιήλ, λεόντων χάσματα, εν λάκκω έφραξε, πυρός δέ δύναμιν έσβεσαν, αρετήν περιζωσάμενοι, οι ευσεβείας ερασταί, παίδες κραυγάζοντες, Ευλογείτε πάντα τά έργα, Κυρίου τό Κύριον».

Ωδή θ'

Λίθος αχειρότμητος όρους

Ίδε φωταυγούς αθλοφόρου, μνήμη εξέλαμψε φωσφόρος, σκότος τών δαιμόνων μειούσα, πιστούς δέ πάντας καταφωτίζουσα, ταύτην λαμπρώς τελέσωμεν, τούτον αξίως μακαρίζοντες.

Ώφθης ώσπερ ήλιος μέγας, μέσον Ανδρέα τών συνάθλων, τούτους πρός ανέσπερον φέγγος, τής ουρανίου μάρτυς λαμπρότητος, καθοδηγών τώ λόγω σου, μεθ' ών σε πίστει μακαρίζομεν.

Σέ τόν φρυκτωρία θαυμάτων, πάσαν φωτίζοντα τήν κτίσιν, σέ τόν ακλινή στεφανίτην, τής Εκκλησίας στύλον γενόμενον, καί τών πιστών κραταίωμα, μάρτυς Ανδρέα μακαρίζομεν.

Ήνθησας λειμώνος εν μέσω, τών αθλοφόρων ώσπερ ρόδον, φέρων μυστικήν ευωδίαν, καί κατευφραίνων Πιστών τό πλήρωμα, καί τήν δυσώδει πάνσοφε, πλάνην διώκων θεία χάριτι.

Θεοτοκίον

Φέρουσα Χριστόν εν αγκάλαις, νεύματι φέροντα τά πάντα, τούτον εκδυσώπει χειρός με τού αλλοτρίου, ρύσασθαι Δέσποινα, τόν ορθοδόξω πίστει σε, ακαταπαύστως μεγαλύνοντα.

Ο Ειρμός

«Λίθος αχειρότμητος όρους, εξ αλαξεύτου σου Παρθένε, ακρογωνιαίος ετμήθη, Χριστός συνάψας τάς διεστώσας φύσεις, διό επαγαλλόμενοι, σέ Θεοτόκε μεγαλύνομεν».

Εξαποστειλάριον

Τοίς μαθηταίς συνέλθωμεν

Ανδρέας ο πανευφημος, στρατηλάτης καί μάρτυς, Σταυρού τή θεία χάριτι, θράσος τύραννον είλε, καί στέφος ήρατο δόξης, τούτω δέ συνεκλάμπει, μαρτύρων δήμος ένθεος, φάλαγξ τροπαιοφόρος, συνασπισμός, αρραγής αήττητος, ών τήν μνήμην, φαιδρώς πανηγυρίζοντες, τόν Χριστόν ανυμνούμεν.

Καί τής Εορτής

Ο ουρανόν τοίς άστροις

Μετά βροντής εν νεφέλαις, τούς Αποστόλους π Σωτήρ, πρός τήν τεκούσαν εκπέμπει, πόθω κηδεύσοντας αυτήν, κατέρχεται δέ καί ούτος, δορυφορούντων Αγγέλων.

Εις τόν Στίχον τών Αίνων, Στιχηρά Προσόμοια.

Ήχος β'

Οίκος τού Εφραθά

Ω τών υπερφυών, Αγνή σου μυστηρίων! τού Θεού γάρ ως μήτηρ, πρός τούτον Θεοτόκε, λαμπρώς νύν εξεδήμησας.

Στίχ. Ανάστηθι Κύριε εις τήν ανάπαυσίν σου.

Κλίμαξ πρός ουρανόν, ο τάφος τής πανάγνου, καί Θεοτόκου πέλει, ανάγων τούς υμνούντας, τήν θείαν αυτής Κοίμησιν.

Στίχ. Ώμοσε Κύριος τώ Δαυϊδ αλήθειαν.

Ότε πρός τόν εκ σού, τεχθέντα μετετέθης, συνήλθον εν νεφέλαις, τό σώμά σου κηδεύσαι, Παρθένε οι Απόστολοι.

Δόξα... Καί νύν... Όμοιον

Πάντες οι γηγενείς, προσδράμωμεν προθύμως, μετά τών ασωμάτων, κηδεύσαι τήν τεκούσαν, τόν Ποιητήν τής κτίσεως.

Καί η λοιπή Ακολουθία, ως σύνηθες καί Απόλυσις.

---

Αρχή

## ΤΗ Κ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Προφήτου Σαμουήλ.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τής Εορτής γ' καί τού Προφήτου γ'.

Τής Εορτής

Ήχος πλ. α'

Χαίροις ασκητικών

Ότε ο δι' ημάς καθ' ημάς, εκ τών πανάγνων σου αιμάτων γενόμενος, εκ κόσμου σε μεταστήσαι, καί πρός αυτόν ως αγνήν, προσλαβέσθαι ξένως επευδόκησεν, αυτού απεσύναξε, τούς ιδίους κηδεύσαί σε, διά νεφέλης, οπαδούς τούτου νεύματι, παραστήσας σοι, εις τιμήν τής εξόδου σου, οίτινες θεασάμενοι, τής χάριτος έμπλεοι, γεγενημένοι Παρθένε, σέ ιερώς προσεκύνησαν, πιστώς εκβοώντες, Χαίρε Κόσμω η τεκούσα τό μέγα έλεος.

Πόθεν τό επιγνώναι υμάς, τήν εκ τού σώματός μου έξοδον, έφησεν, η πάναγνος Θεοτόκος, τοίς ιεροίς Μαθηταίς, τί τό ξένον τούτο, τέκνα θέαμα; οι δέ Άφνω έφησαν, εν νεφέλαις επήρθημεν, καί καθώς βλέπεις, τή σκηνή σου επέστημεν, προσκυνήσαί σε, ώσπερ θρόνον πυρίμορφον, βλέψαι τε σού τήν ένδοξον, καί θείαν Μετάστασιν, καί ταίς παλάμαις κηδεύσαι, τό θεοδόχον σου σκήνωμα, σκηνή Παναγία, δι' ής εύρατο ο κόσμος τό μέγα έλεος.

Κλίνην περιεστώτες τήν σήν, οι Μαθηταί τού Λυτρωτού, καί προπέμποντες, πρός τάφον φύσεως νόμω, σέ Παναγία αγνή, εξοδίους ύμνους προσεφώνουν σοι, Σεμνή χαίρε, λέγοντες, τού Θεού τό παλάτιον, χαίρε ετοίμη, τών ανθρώπων βοήθεια, χαίρε όχημα, καθαρόν τής θεότητος, Άπιθι καί μετάβαινε, πρός όρη αιώνια, σκήνωμα δόξης πρός θεία, νύν κατασκήνου σκηνώματα, πιστοίς αιτουμένη, τήν ανέκλειπτον ειρήνην καί μέγα έλεος.

## Στιχηρά τού Προφήτου

Ήχος δ'

Έδωκας σημείωσιν

Δώρον ευαπόδεκτον, εκ μητρικών σε ανέθετο, αγκαλών η κυήσασα, ευχής γονιμώτατον, Σαμουήλ καρπόν σε, προσκληρωσαμένη, καί αποδούσα τώ Θεώ, τώ ευεργέτη καθάπερ ηύξατο, διό σοι ανεπαύσατο, χάρις τού Πνεύματος ένδοξε, ακακία συναύξοντι, καί φρονήσει εμπρέποντι.

Χρίσμα ιερώτατον, ως ιερεύς περικείμενος, προβλέπεις τά έμπροσθεν, καί προστάξει θεία, χρίεις βασιλέας, καί τά εσόμενα δηλοίς, κρίνων δικαίως Ισραηλίτην λαόν, απαύστως παραβαίνοντα, καί τού Θεού μακρυνόμενον, Σαμουήλ αξιάγαστε, θεοφόρε πανόλβιε.

Νύν ουκ εν αινίγμασιν, ουδέ σκιαίς ως τό πρότερον, πρός δέ πρόσωπον πρόσωπον, οράς ο επόθησας, τής σαρκός τόν γνόφον, καί τήν βαρύτητα, υπεξελθών καί ουρανούς, περιπολεύων καί αγαλλόμενος, Προφήτα πανσεβάσμιε, τών προφητών ισοστάσιε, τών δικαίων συνόμιλε, τών Αγγέλων συμμέτοχε.

Δόξα... Καί νύν...

Ήχος πλ. β' Τής Εορτής

Τή αθανάτω σου Κοιμήσει, Θεοτόκε Μήτηρ τής ζωής, νεφέλαι τούς Αποστόλους, αιθερίους διήρπαζον, καί κοσμικώς διεσπαρμένους, ομοχώρους παρέστησαν τώ αχράντω σου σώματι, οί καί κηδεύσαντες σεπτώς, τήν

φωνήν τού Γαβριήλ, μελωδούντες ανεβόων, Χαίρε κεχαριτωμένη, Παρθένε Μήτηρ ανύμφευτε, ο Κύριος μετά σού, Μεθών ως Υιόν σου καί Θεόν ημών, ικέτευε σωθήναι τάς Ψυχάς ημών.

Εις τόν Στίχον Στιχηρά Προσόμοια.

Ήχος β'
Οίκος τού Εφραθά
Ύμνοις σου τό σεπτόν, καί θεοδόχον σώμα, προπέμποντες οι θείοι, εβόων θιασώται, Πού νύν απαίρεις Δέσποινα;

Στίχ. Ανάστηθι Κύριε εις τήν ανάπαυσίν σου.

Δεύτε οι γηγενείς, στησώμεθα χορείαν, εξόδια βοώντες, επί τή Μεταστάσει, τής Θεοτόκου σήμερον.

Στίχ. Ώμοσε Κύριος τώ Δαυίδ αλήθειαν.

Πύλαι τών ουρανών, επάρθητε ορώσαι, τήν πύλην τού Υψίστου, χωρούσαν μετά δόξης, πρός τόν Υιόν καί Κύριον.

Δόξα... Καί νύν... Όμοιον

Γή μέν τή σή ταφή, ευλόγηται Παρθένε, αήρ δέ τή ανόδω, ηγίασται τή ξένη, νόμω θανούσης φύσεως.

Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα τής Εορτής
Ήχος γ'  Τήν ωραιότητα
Εις τά ουράνια, η νοερά σου ψυχή, εις τόν Παράδεισον, η καθαρά σου σκηνή, μετατεθείσα έκ φθοράς, αγάλλεται Παναγία, Όθεν ανταπέδωκε, τοίς ανόμοις ο Κύριος, δόλον γάρ ειργάσαντο, τώ τιμίω Λειψάνω σου, Διό σύν Αποστόλοις βοώμεν, Χαίρε η Κεχαριτωμένη.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα  Ήχος δ'
Κατεπλάγη Ιωσήφ
Εν χερσί τού δι' ημάς, ενανθρωπήσαντος εκ σού, παραθεμένην τήν ψυχήν, ως πλαστουργός σου καί Θεός, πρός τήν ζωήν τήν ακήρατον μετέστησεν,

όθεν σε σεπτώς μακαρίζομεν, τήν μόνην καθαράν καί αμόλυντον, καί Θεοτόκον άπαντες κυρίως, ομολογούντες κραυγάζομεν, Χριστόν δυσώπει, πρός όν μετέστης, σώσαι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Τό αυτό

Είτα ο πρώτος Κανών τής Εορτής, καί τού Προφήτου ο παρών, ού η Ακροστιχίς.

Τό τού Βλέποντος Σαμουήλ μέλπω κλέος. Ιωσήφ.

Ωδή α' Ήχος δ'
Τριστάτας κραταιούς

Τήν στείράν μου ψυχήν, αρετών ευτεκνίαν, εκβλαστάνειν σαίς ευχαίς, αξίωσον σοφέ, στειρευούσης τό βλάστημα, όπως σου ανευφημήσω, τήν φωσφόρον πανήγυριν, ιεροίς Σαμουήλ μελωδήμασιν.

Ο πάλαι τήν νηδύν, διανοίξας τής Σάρρας, τήν τής Άννης προσευχήν, πληροί περιφανώς, καί τήν άγονον γόνιμον, χάριτι άποτελέσας Σαμουήλ ως αστέρα σε, εξ αυτής ανατείλαι ηυδόκησεν.

Τή θεία ιερώς, συνακμάσας παμμάκαρ, διπλοϊδι τήν ψυχήν, ακτίσι μυστικαίς εφωτίσθης τού Πνεύματος, πάσαν μύησιν θεόφρον μυηθείς, καί ως Άγγελος, λειτουργήσας Θεώ παντοκράτορι.

Θεοτοκίον

Ο ών σύν τώ Πατρί, ως Υιός πρό αιώνων, επ' εσχάτων σαρκωθείς, Υιός σου αληθώς, εχρημάτισεν Άχραντε, άπαντας υιοθετήσας, τώ Θεώ διά πίστεως, δουλωθέντας δεινώ πολεμήτορι.

Ωδή γ'
Ουκ εν σοφία

Υψηλοτάτως, τώ Θεώ προσκολλώμενος ένδοξε, ηγαπήθης παρ' αυτού, φρονήσει θεία κοσμούμενος, καί ακεραιότητι, καλλωπιζόμενος.

Βίον Αγγέλων, επί γής Σαμουήλ ενδεικνύμενος, συλλαλούντας εμφανώς, Αγγέλους έσχες μακάριε, καί τά υπέρ έννοιαν, μυσταγωγούντάς σε.

Λαμπρόν τό όμμα, τής ψυχής ιερώς προσκτησάμενος, βλέπεις όντως τά μακράν, ως ενεστώτα μακάριε, Προφήτης δεικνύμενος, τού Παντοκράτορος.

Θεοτοκίον

Εκ σού προήλθεν, Ιησούς ο Χριστός σωματούμενος, καί εθέωσεν ημάς, σαρκός προσλήψει πανάμωμε, όθεν ως Μητέρα σε, τούτου γεραίρομεν.

Ο Ειρμός

«Ουκ εν σοφία, καί δυνάμει καί πλούτω καυχώμεθα, αλλ' εν σοί τή τού Πατρός, ενυποστάτω σοφία Χριστέ, ου γάρ εστιν Άγιος, πλήν σου

φιλάνθρωπε».

Κάθισμα  Ήχος γ'
Θείας Πίστεως

Νόμου κρίμασιν εντεθραμμένος, χρίσμα τίμιον εισδεδεγμένος, ως Ααρών ιερωσύνη διέπρεψας, καί λαμπρυνθείς τήν καρδίαν τώ Πνεύματι, ως ενεστώτα τά πόρρω διέβλεψας, ιερώτατε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Δόξα... Καί νύν... Τής Εορτής
Τήν ωραιότητα

Εν τή Γεννήσει σου, σύλληψις άσπορος, έν τή Κοιμήσει σου, νέκρωσις άφθορος, θαύμα εν θαύματι διπλούν, συνέδραμε Θεοτόκε, πώς γάρ η απείρανδρος, βρεφοτρόφος αγνεύουσα; πώς δέ η Μητρόθεος, νεκροφόρος μυρίζουσα, διό σύν τώ Αγγέλω βοώμέν σοι, Χαίρε η Κεχαριτωμένη.

Ωδή δ'
Ο καθήμενος εν δόξη

Περιβλέπτω πολιτεία, ιερώς εγκοσμούμενος, τού Θεού τούς νόμους, τούς σωτηριώδεις πεπίστευσαι, τώ Ισραήλ διαγγέλλειν παραβαίνοντι, καί τόν εύσπλαγχνον, διηνεκώς παροργίζοντι.

Ο Ηλεί παρανομούντων, τών υιών κατακρίνεται, καί δικαία ψήφω, θείας λειτουργίας απείργεται, ο ιερός Σαμουήλ δέ ως υπήκοος, τού καλούντος, απλάστω ψυχή εισοικίζεται.

Νομικών διαταγμάτων, προϊστάμενος άριστα, Ααρών ως πάλαι, τώ Παμβασιλεί ελειτούργησας, καί τάς εννόμους θυσίας προσενήνοχας, προτυπούσας, Χριστού τήν σφαγήν τήν σωτήριον.

Τώ παράφρονι λαώ σου, Σαμουήλ μή εμμένοντι, τού Παμβασιλέως, θείαις προσταγαίς χρίεις νεύματι, θεουργικώ βασιλέα ως ητήσατο, κερτομούντα, αυτού τήν βουλήν τήν υπέρφρονα.

Θεοτοκίον

Ο τούς κόλπους μή κενώσας, τού Πατρός εν τοίς κόλποις σου, νέον ώσπερ βρέφος, επανακλιθήναι ευδόκησεν, επ' ανακλήσει Παρθένε τών ψυχών ημών, ώ κραυγάζομεν, Δόξα Χριστέ τή δυνάμει σου.

Ωδή ε'
Ασεβείς ουκ όψονται

Σοφισθείς τώ Πνεύματι, τώ θείω εκ παιδός, λειτουργός γέγονας Θεού, τώ ελαίω ένδοξε τώ τής χρίσεως, βασιλείς εν χάριτι, χρίων θείαις επινεύσεσιν.

Σοβαρώς εμμένοντι, προέφης τώ Σαούλ, ταίς ατάκτοις μεταβολαίς, Σαμουήλ μακάριε, τό θείον βούλημα, καί τήν εγκατάλειψιν, προφανώς τού θείου Πνεύματος.

Ακακία πάντοτε σύ ζών, τού Ισραήλ τήν κακίστην μεταβολήν, προφανώς διήλεγχες, σύ διορθούμενος, ιερεύς ως ένθεος, ως Προφήτης αληθέστατος.

Θεοτοκίον

Μεθ' ημών γενόμενος, δι' οίκτον ο Σωτήρ, εξ αιμάτων σου ιερών, υπέρ νούν Πανάμωμε σεσωμάτωται, καί Θεός καί άνθρωπος, ο φιλάνθρωπος γνωρίζεται.

Ωδή ς'

Εβόησε, προτυπών

Ο λόγος σου, τή τού Λόγου θεούμενος χάριτι, προεδήλου τά μακράν, ως εγγύς συμβησόμενα, Σαμουήλ Προφήτα, ενδιαίτημα θείον τού Πνεύματος.

Υψούμενος, υψηλαίς θεωρίαις καί πράξεσιν, ως Προφήτης καί Θεού, Ιερεύς παντοκράτορος, νομικαίς λατρείαις, καθαγνίζεις αξιάγαστε.

Ηχρείωται, ο Σαούλ παραβάτης γενόμενος, καί Θεός σοι, αντ' εκείνου Δαυϊδ τόν πραότατον, Σαμουήλ θεόφρον, εγκελεύεται χρίσαι τώ χρίσματι.

Θεοτοκίον

Λελύτρωται, τών ώδίνων ή Εύα Πανάμωμε, ανωδίνως, σού τεκούσης Χριστόν τόν Θεόν ημών, τόν τά πάθη πάντων, καί οδύνας σαφώς θεραπεύσαντα.

Ο Ειρμός

«Εβόησε, προτυπών τήν ταφήν τήν τριήμερον, ο Προφήτης, Ιωνάς, εν τώ κήτει δεόμενος, Εκ φθοράς με ρύσαι, Ιησού Βασιλεύ τών δυνάμεων».

Συναξάριον

Τή Κ τού αυτού μηνός, μνήμη τού Αγίου καί ενδόξου Προφήτου Σαμουήλ.

Στίχοι

- Μύσας τελευτή καί Σαμουήλ ο βλέπων,
- Τό ζών αεί φώς καί τελευτή σας βλέπει.
- Βή δ' ορόων μέλλοντα Σαμουήλ εικάδι ένθεν.

Τή αυτή ημέρα, μνήμη τών Αγίων τριάκοντα επτά μαρτύρων, τών εν Βιζύη τής θράκης μαρτυρησάντων.

Στίχοι

- Τρείς ενδέουσι πρός τό τούς κεκαυμένους.
- Χάριν Τριάς σού, τετράκις τελείν δέκα.

Τή αυτή ημέρα, μνήμη τών Αγίων μαρτύρων Σεβήρου καί Μέμνονος Κεντυρίωνος.

Στίχοι

- Ξίφει παθών Σεβήρος εύρεν αξίως,
- Επαθλα λαμπρά τού διά ξίφους πάθους.

- Εχει τό πύρ σε πρός βραχύν Μέμνον χρόνον,
- Μένει δέ σε στέφανος εις αεί μένων.

Τή αυτή ημέρα, μνήμη τής Αγίας μάρτυρος Φωτεινής, έξω τής πόρτης τών Βλαχερνών, καί τού Αγίου μάρτυρος Λουκίου τού Βουλευτού.

Στίχοι

- Βουλάς όλας παρήλθες τάς Αχιτόφελ,
- Βουλή μιά Λούκιος αθλήσας ξίφει.

Τή αυτή ημέρα μνήμη τών Αγίων μαρτύρων Ηλιοδώρου καί Δοσαί (ή Δοσά ή Σοδά).

Ταίς τών αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Νέοι τρείς εν Βαβυλώνι

Μέγιστόν σε η τεκούσα, δώρον τώ Παμβασιλεί, προσάγει μακάριε, ευχήν ιεράν εκπληρούσα, καί μελωδούσα, Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Ένδον όντα τού ναού σε, καί κατά τού Ααρών, τήν τάξιν λατρεύοντα, τώ επουρανίω Δεσπότη, η θεία χάρις ένδοξε, Σαμουήλ κατελάμπρυνεν.

Λόγω θείω κρίνεις μάκαρ, τόν λαόν τού Ισραήλ, τούτω τό δικαίωμα, πάντοτε Θεού διαγγέλλων, καί αποστρέφων πάσαν βλάβην, εχθρών προσευχή εκτενεί.

Πάσαν ύλην εκκενώσας, ένδοξε τού σού νοός, έσοπρον τού Πνεύματος, εδείχθης βοών ασιγήτως, Ευλογητός εί Κύριε, ο Θεός ο τών Πατέρων εις τούς αιώνας.

Θεοτοκίον

Ώφθης άφλεκτος τεκούσα, πάναγνε ως αληθώς, τό πύρ τής θεότητος, διό τά υλώδη μου πάθη, Θεοκυήτορ φλέξον, ως συμπαθής καί φιλάγαθος.

Ωδή η'

Λυτρωτά τού παντός

Κοσμηθείς Ααρών τώ ενδύματι, τών Αγίων εισήλθες εις Αγια, θυσίαις παμμακάριστε Ισραήλ αφαγνίζων προμηνυούσαις τήν σφαγήν τού Αμνού τήν σωτήριον.

Λογισμώ καθαρώ εισδεχόμενος, τάς αυγάς Σαμουήλ τάς τού Πνεύματος, οία Προφήτης ένθεος, προμηνύεις τά πόρρω ως ενεστώτα, διά τούτο πιστώς ευφημούμέν σε.

Εκλεκτός ο Δαυϊδ εχρημάτισεν, εν υιοίς Ιεσσαί ως εδήλωσας χρίων αυτόν τώ χρίσματι, Σαμουήλ τώ αγίω καί ανακράζων, Ευλογείτε τά έργα τόν Κύριον.

Οι τήν σήν εκτελούντες πανήγυριν, Σαμουήλ τών Δικαίων συνόμιλε ταίς σαίς πρεσβείαις τύχοιμεν, βασιλείας τής άνω αναβοώντες Ευλογείτε τά έργα τό Κύριον.

Θεοτοκίον

Συμπαθείας τής σής με αξίωσον, συμπαθής καί φιλάγαθε Δέσποινα, καί τής γεέννης ρύσαί με, καί τού σκότους εκείνου τού εξωτέρου, ίνα πίστει καί πόθω γεραίρω σε.

Ο Ειρμός

«Λυτρωτά τού παντός παντοδύναμε, τούς εν μέσω φλογός ευσεβήσαντας, συγκαταβάς εδρόσισας, καί εδίδαξας μέλπειν, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον».

## Ωδή θ'

Εύα μέν τώ τής παρακοής

Ιστάμενος οία λειτουργός, επίπροσθεν, τού Δεσπότου καί Θεού ημών, μάκαρ αμέμπτω πολιτεία, κοσμούμενος αυτώ ελειτούργησας, τάς θείας εκφαντορίας δεχόμενος, καί προφητεύων εμφανέστατα.

Ώφθης εκ νηδύος μητρικής, αοίδιμε τού Αγίου σκεύος Πνεύματος, τώ ιερώ συναυξηθείς δέ, ενδύματι Θεόν εθεράπευσας, πραότητι καρδίας πανόλβιε, καί διανοίας ωραιότητι.

Σήμερον η μνήμη σου ημίν, ως ήλιος θεοφόρε ανατέταλκε, φέγγει πλουσίω χαρισμάτων, φωτίζουσα ψυχάς τών τιμώντων σε, ομίχλην τε δεινών απελαύνουσα, όθεν σε πάντες μεγαλύνομεν.

Ήρθης πρός μονάς φωτοειδείς, καί έλαμψας τού ηλίου τηλαυγέστερον, βλέπεις ά βλέπουσι Προφήται, Απόστολοι καί άπαντες Δίκαιοι, θεούμενος μεθέξει θεόπνευστε όθεν σε πάντες μακαρίζομεν.

Θεοτοκίον

Φθοράν μή γνωρίσασα ανδρός, τόν άφθαρτον εν νηδύϊ υποδέδεξαι, Λόγον ημάς καταφθαρέντας, ρυόμενον πολλοίς παραπτώμασι, τώ πάθει τής αφθάρτου σαρκός αυτού, άφθορε μόνη Παναμώμητε.

Ο Ειρμός

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας όθεν σε πάντες μεγαλύνομεν».

## Εξαποστειλάριον

Ο ουρανόν τοίς άστροις

Ο Σαμουήλ υμνείσθω, ο πρό συλλήψεως δοθείς, δοτός Θεώ τώ Ύψίστω υπό μητρός πανευκλεούς, καί βασιλείς χρίων ούτος, ως Ιερεύς καί Προφήτης.

Καί τής Εορτής

Απόστολοι εκ περάτων, συναθροισθέντες ενθάδε, Γεθσημανή τώ χωρίω, κηδεύσατέ μου τό σώμα, καί σύ Υιέ καί Θεέ μου παράλαβέ μου τό πνεύμα.

Εις τόν Στίχον τών Αίνων, Στιχηρά Προσόμοια.

Ήχος β'

Οίκος τού Εφραθά

Ότε πρός τόν εκ σού, τεχθέντα μετετέθης, συνήλθον εν νεφέλαις, τό σώμά σου κηδεύσαι, Παρθένε οι Απόστολοι.

Στίχ. Ανάστηθι Κύριε εις τήν ανάπαυσίν σου.

Ω τών υπερφυών, αγνή σου μυστηρίων! τού Θεού γάρ ως Μήτηρ, πρός τούτον μεταβαίνεις, λαμπρώς θεομακάριστε.

Στίχ. Ώμοσε Κύριος τώ Δαυϊδ αλήθειαν.

Στίφος τών Μαθητών, καί θείων Αποστόλων, αθροίσθητε κηδεύσαι, τό θεοδόχον σώμα, τής μόνης Θεομήτορος.

Δόξα... Καί νύν...

Ότε πρός τόν εκ σού, τεχθέντα μετετέθης, συνήλθον εν νεφέλαις, τό σώμά σου κηδεύσαι, Παρθένε οι Απόστολοι.

Καί η λοιπή τού Όρθρου Ακολουθία, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΑ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Αποστόλου Θαδδαίου καί τής Αγίας Μάρτυρος Βάσσης.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τού Αποστόλου τρία.

Ήχος πλ. δ'

Ώ τού παραδόξου θαύματος

Μάκαρ Θαδδαίε Απόστολε, προσομιλήσας φωτί, ακροτάτω φώς δεύτερον, κατά θείαν μέθεξιν, αληθώς εχρημάτισας, καί διαλύσας νύκτα πολύθεον, ψυχάς προσήξας τώ Παντοκράτορι, όθεν γηθόμενοι, τήν λαμπράν καί εύσημον καί φωταυγή, μνήμην σου γεραίροντες, Χριστόν δοξάζομεν.

Μάκαρ Θαδδαίε Απόστολε, μετά τήν θείαν Χριστού, καί φωσφόρον Ανάστασιν, καί τήν πρός ουράνια, παναγίαν Ανάληψιν, Εδέσση πόλει τό θείον

κήρυγμα, κατεπιστεύθης, εν ή γενόμενος, λόγοις καί θαύμασι, τόν Τοπάρχην Αύγαρον, καί σύν αυτώ, πάντας εβεβαίωσας, πρός τήν αλήθειαν.

Μάκαρ Θαδδαίε Απόστολε, τυφλοίς τό βλέπειν τή σή, επαφή θεία δέδοται, καί χωλοίς αρτίωσις, καί νοσούσιν υγίωσις, καί παρειμένοις αύθις ανόρθωσις, καί αμυήτοις γνώσις σωτήριος, σύ γάρ ανάπλεως, χαρισμάτων πέφυκας, τού παντουργού, Πνεύματος πανόλβιε, όθεν υμνούμέν σε.

Καί τής Μάρτυρος γ'

Ήχος δ'
Έδωκας σημείωσιν
Άθλησιν ποθήσασα, πολλάς βασάνους πανεύφημε, σταθερώς εκαρτέρησας, εντεύθεν πρός άπονον, μετετέθης λήξιν, καί άδυτον φέγγος, καί φανοτάτην χαρμονήν καί δι' αιώνος θείαν απόλαυσιν, διό σε μακαρίζομεν, καί τήν αγίαν σου σήμερον, εκτελούμεν πανήγυριν, αθληφόρε θεόληπτε.

Μετά πολυώδυνα, καί πολυποίκιλα βάσανα, εν θαλάσση βληθείσάν σε, Θεός διεσώσατο, ο Σωτήρ τών όλων, θεία δυναστεία, καταπατούσαν τήν ισχύν, τού αλλοτρίου Βάσσα πολύαθλε, εντεύθεν κατεφώτισας, τών ευσεβών τά φρονήματα, εκτελούσα τεράστια, υπέρ νούν καί διάνοιαν.

Όρνις ως ευκέλαδος, επί τό άλσος φωνήσασα, τής ωραίας αθλήσεως, τούς σούς συνεκάλεσας, νεοττούς ωραίους, θήρατρα τής πλάνης, διαφυγούσα σύν αυτοίς, Βάσσα θεόφρον αξιοθαύμαστε, μεθ' ών καί κατεσκήνωσας, πρός καλιάς παμμακάριστε, ουρανίους πρεσβεύουσα, υπέρ πάντων εκάστοτε.
Δόξα... Καί νύν... Ήχος πλ. α'
Δεύτε τήν παγκόσμιον Κοίμησιν, τής παναμώμου Θεοτόκου εορτάσωμεν, σήμερον γάρ Άγγελοι πανηγυρίζουσι, τήν σεπτήν Μετάστασιν τής Θεομήτορος, καί πρός ευωχίαν ημάς τούς γηγενείς συγκαλούσι, τού βοάν ασιγήτω φωνή, Χαίρε, η μεταστάσα από γής, καί πρός ουρανίους μονάς μετοικήσασα, Χαίροις, η τών Μαθητών τόν χορόν, διά νεφέλης κούφης εις έν συναγαγούσα, Χαίροις, η ελπίς καί προστασία ημών, Σέ γάρ Χριστιανών τό γένος απαύστως μακαρίζομεν.

Εις τόν Στίχον Στιχηρά Προσόμοια

Ήχος β'
Οίκος τού Εφραθά
Δήμος τών Μαθητών, ήθροισται εκ περάτων, Γεθσημανή χωρίω, Μήτερ Θεού κηδεύσαι, τό θεοδόχον σώμά σου.

Στίχ. Ανάστηθι Κύριε εις τήν ανάπαυσίν σου.

Δεύτε οι γηγενείς, σήμερον σύν Αγγέλοις, στησώμεθα χορείαν, φαιδράν εν τή

Κοιμήσει, τής μόνης Θεομήτορος.

Στίχ. Ώμοσε Κύριος τώ Δαυϊδ αλήθειαν.

Σώμά σου τή φθορά, απρόσιτον υπήρξε, καί πρός ταφήν εδόθη, τής φύσεως τώ νόμω μένει δέ αδιάφθορον.

Δόξα... Καί νύν... Ήχος β'

Η πανάμωμος νύμφη, καί Μήτηρ τής ευδοκίας τού Πατρός, η Θεώ προορισθείσα εις εαυτού κατοίκησιν, τής ασυγχύτου ενώσεως, σήμερον τήν άχραντον ψυχήν, τώ Ποιητή καί Θεώ παρατίθεται, ήν Ασωμάτων δυνάμεις, θεοπρεπώς υποδέχονται, καί πρός ζωήν μετατίθεται, η όντως Μήτηρ τής ζωής, η λαμπάς τού απροσίτου φωτός, η σωτηρία τών πιστών, καί ελπίς τών ψυχών ημών.

Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα  Ήχος δ'

Ταχύ προκατάλαβε

Τήν σήν εορτάζομεν, Κοίμησιν Άχραντε, εν ή παραγέγονεν ο διά σού σαρκωθείς, Χριστός ο Θεός ημών, μετά δόξης αφάτου, προσλαβείν τό σόν πνεύμα, καί μετέστης εν δόξη, μή λιπούσα τόν κόσμον, πρεσβείαις σου Θεοτόκε, σκέπουσα τούς υμνούντάς σε.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα  Ήχος πλ. α'

Τόν συνάναρχον Λόγον

Τών Αγγέλων τά πλήθη δοξολογούσί σε, τών ανθρώπων τό γένος πιστώς υμνούμέν σε, ότι μετέστης από γής πρός ουράνια, καί πρεσβεύεις εκτενώς, τώ Υιώ σου καί Θεώ, ρυσθήναι εκ τών κι νδύνων, τούς πίστει ανευφημούντας, τήν σήν Παρθένε Μετάστασιν.

Δόξα... Καί νύν... Τό αυτο

Οι Κανόνες, ο πρώτος τής Εορτής, ο τού Αποστόλου, καί ο τής Μάρτυρος.

Κανών τού Αποστόλου, ού η Ακροστιχίς.

Θαδδαίον υμνώ τόν σοφόν θεηγόρον. Ιωσήφ.

Ωδή α'  Ήχος πλ. δ'
Άσωμεν τώ Κυρίω

Θρόνω τώ τού Δεσπότου πάνσοφε, Θαδδαίε παριστάμενος, φωτισμόν μοι παράσχου, τήν φωσφόρον σου μέλψαι πανήγυριν.

Άχρονον φώς εν χρόνω, μεθήμών οφθείς ο Υπερούσιος, ως ακτίνά σε μάκαρ, επαφήκε τόν κόσμον φωτίζουσαν.

Δύναμιν περιζώσας, σέ ο εν ισχΰϊ απροσμάχητος, τού αλάστορος πάσαν, τήν ισχύν αφανίσαι ενίσχυσεν.

Θεοτοκίον

Δέσποινα τών απάντων, ώφθης τών κτισμάτων, τόν δεσπόζοντα, απορρήτως τεκούσα, Θεοτόκε Παρθένε πανύμνητε.

Κανών τής Μάρτυρος, φέρων Ακροστιχίδα.

Τούς σούς αγώνας, Βάσσα, τιμώ προφρόνως. Ιωσήφ.

Ωδή α'  Ήχος πλ. δ'
Υγράν διοδεύσας

Τήν σήν ευφημούντι χαρμονικώς, πανένδοξε μνήμην, ουρανόθεν μοι φωτισμόν, δοθήναι δυσώπει μακαρία, καί ψυχοφθόρων πταισμάτων συγχώρησιν.

Ουκ έφριξας δόγμα θεοστυγές, τώ φόβω Κυρίου, πεφραγμένη σου τήν ψυχήν, μαστίγων ποικίλων καί κινδύνων, διό ανδρείως κατετόλμησας.

Υπέστης βασάνους πολυειδείς, τρισί σύν υιέσιν, αθληφόρε καρτερικώς, μεθ' ών ανεπλέξω τούς στεφάνους, τής αφθαρσίας Τριάδα δοξάζουσα.

Θεοτοκίον

Συνέλαβες Λόγον τόν τού Πατρός, άνευθεν ωδίνων, Παναγία τών μητρικών, καί τούτον αρρήτως υπέρ λόγον, εις σωτηρίαν ημών απεκύησας.

Τού Αποστόλου

Ωδή γ'
Σύ εί τό στερέωμα

Αίγλη θείας χάριτος, φωταγωγών λαούς ένδοξε, φώς καθαρόν, ώφθης τοίς εν σκότει, τών δεινών ενυπάρχουσιν.

Ίασιν καί λύτρωσιν, θεουργικαίς σοφέ νεύσεσι, τώ βασιλεί, ήγαγες Αυγάρω, πρός αυτόν αφικόμενος.

Οίκους απετέλεσας, τού παντουργού σοφέ Πνεύματος, τούς γηγενείς, τά τής απωλείας, καταστρέψας οικήματα.

Θεοτοκίον

Νόμου προχαράγματα, καί Προφητών φωναί Δέσποινα, σού τόν φρικτόν τόκον αριδήλως, Θεομήτορ εδήλωσαν.

Τής Μάρτυρος

Ουρανίας αψίδος

Αναφθείσα τή πίστει, καί τώ θερμώ έρωτι, τής υπερβαλλούσης αγάπης, Χριστού πανεύφημε, πύρ απετέφρωσας, επιστασία Αγγέλου, καί λαόν αγνώμονα, άρδην Κατέφλεξας.

Γενεά τών ευθέων, ευλογητή πέφυκε, σού εκ τής γαστρός τών λαμψάντων Βάσσα πανένδοξε, συναθλησάντων σοι, καί αχλυώδη λυσάντων, παρανόμων ένστασιν, γνώμης στερρότητι!

Ώ μητρός υπερβάσης, νόμους ρευστής φύσεως, τή τών υπέρ φύσιν ενώσει! Ώ πώς υπήνεγκεν, άδικον θάνατον, αλληλοτρόπως ορώσα, ών ετιθηνήσατο, πίστει καί γάλακτι.

Θεοτοκίον

Νεκρωθέντα με βρώσει, παρακοής έσωσας, μόνη τήν ζωήν τετοκυία, τήν ενυπόστατον, Κόρη πανάμωμε, αξιοχρέως διό σε, τήν αειμακάριστον νύν μακαρίζομεν.

Ο Ειρμός

«Ουρανίας αψίδος, οροφουργέ Κύριε, καί τής Εκκλησίας δομήτορ, σύ με στερέωσον, εν τή αγάπη τή σή, τών εφετών η ακρότης, τών πιστών τό στήριγμα, μόνε φιλάνθρωπε».

Κάθισμα τού Αποστόλου

Ήχος πλ. δ'

Τήν Σοφίαν καί Λόγον

Προσπελάσας Ηλίω τώ νοητώ, παρ' αυτού τάς ακτίνας τάς μυστικάς, εδέξω καί γέγονας, ως αστήρ φαεινότατος, καταυγάζων πάσης, τής γής τά πληρώματα, καί σκεδάζων πλάνης, ομίχλην μακάριε, όθεν την φωσφόρον καί αγίαν σου μνήμην, πιστώς εορτάζομεν, καί συμφώνως βοώμέν σοι, Θαδδαίε, Απόστολε, πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Τής Αγίας  όμοιον

Πτερωθείσα τή πίστει τή θεϊκή, ως τρυγών σύν τοίς τέκνοις πρός καλιάς, αϋλους κατέπαυσας, Ιερώς εναθλήσασα, αθληφόρε Βάσσα, Αγγέλων συνόμιλε, καί θαυμάτων ρείθρα, πηγάζεις τοίς χρήζουσιν, όθεν Κατά χρέος, τήν αγίαν σου μνήμην, τελούντες τιμώμέν σε, τόν Σωτήρα δοξάζοντες, καί συμφώνως βοώμέν σοι, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Καί νύν... Τής Εορτής  όμοιον

Ή θεόν συλλαβούσα άνευ σποράς, σαρκωθέντα τεκούσα δίχα φθοράς, τήν νέαν αμφιέννυσαι, αφθαρσίαν τού Πνεύματος, ως γάρ ζωής σύ Μήτηρ, καί πάντων Βασίλισσα, πρός τήν ζωήν μετέστης, Παρθένε τήν άϋλον, όθεν επαξίως, αληθώς ανεδείχθης, νεφέλη πηγάζουσα, τής ζωής ημών νάματα, Θεομήτορ πανάμωμε, Πρέσβευε τώ σώ Υιώ καί Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς προσκυνούσιν εν πίστει, τήν θείαν σου Κοίμησιν.

Τού Αποστόλου

Ωδή δ'

Εισακήκοα Κύριε

Ύψηλήν τήν διάνοιαν, έχων υπεδέξω θεία νοήματα, καί τού Πνεύματος χαρίσματα, Μαθητά Θαδδαίε τού Παντάνακτος.

Μυστηρίων πανόλβιε, θείων εν μυήσει μάκαρ γενόμενος, αμυήτους κατεφώτισας, τήν Τριάδα σέβειν ομοούσιον.

Νόμον θείον εχάραξας, μάκαρ εν καρδίαις, λαιάνας πρότερον, αγνωσίας τά χαράγματα, καί τής δυσσεβείας τά ινδάλματα.

Θεοτοκίον

Ως τόν Κτίστην κυήσασα, πάντων ποιημάτων ώφθης Βασίλισσα, διά τούτό σε δοξάζομεν, Θεοτόκε μόνη αειπάρθενε.

Τής Μάρτυρος

Ο αυτός Ειρμός

Ανενδοίαστον έχουσα, σού τόν λογισμόν πρός πάλην εχώρησας, τού δολίου πολεμήτορος, καί βυθώ αιμάτων τούτον ώλεσας.

Σέ βυθός κολπωσάμενος, καταδικασθείσαν θάνατον άδικον, κατηδέσθη καί διέσωσεν, αθληφόρε Βάσσα θείω νεύματι.

Βασιλείαν ασάλευτον, σύν τοίς ευκλεέσιν υιοίς σου ένδοξε, εκληρώσω καί ουράνιον, αληθώς νυμφώνα καί φώς άδυτον.

Θεοτοκίον

Αλατόμητον όρος σε, πάλαι Αββακούμ προείδεν εν Πνεύματι, ο Θεός εξ ού επέφανε, καί ημάς Παρθένε διεσώσατο.

Τού Αποστόλου

Ωδή ε'

Ο εκ νυκτός αγνοίας

Τό τού Δεσπότου θείον, επιφερόμενος μάκαρ ομοίωμα, τώ Τοπάρχη Αυγάρω, θείος ιατρός επεδήμησας.

Ο Ιερός θωμάς σε, μετά τήν θείαν τού Λόγου Ανάληψιν, κήρυκα αποστέλλει, πάνσοφε Θαδδαίε, τοίς χρήζουσιν.

Νόσους δραπετευούσας, καί ιωμένας καρδίας θεώμενος, Αύγαρος επληρώθη, θείου φωτισμού μεσιτείαις σου.

Θεοτοκίον

Σεσαρκωμένον Λόγον, διπλήν εωέργειαν φέροντα τέτοκας, απειρόγαμε Κόρη, μείνασα Παρθένος αμίαντος.

Τής Μάρτυρος

Ίνα τί με απώσω

Συνεχόμενος δίψη, ένδοξε Αγάπιε θεομακάριστε, τής Χριστού αγάπης, τήν κακίαν εις τέλος εμίσησας, καί στερρώς υπέστης, τάς αλγηδόνας τών βασάνων, καί δοράς σαρκικής τήν αφαίρεσιν.

Στρεβλωθείς σου τά στέρνα, όνυξι ξεόμενος μάκαρ θεόγνιε, επεγνώσθης πλέον, ως επόθεις σοφέ καθαρώτερον, τώ Θεώ τών όλων πρός όν ανήλθες μετά δόξης, ταίς τών άθλων αστράπτων λαμπρότησι.

Αδιστάκτω τή πίστει, πάνσοφε Πιστέ υπελθών τό μαρτύριον, τών απίστων μάκαρ, ασυνέτους καρδίας κατέπληξας, έν τώ καταθλάσθαι, σού τά οστά καί αρμονίας, διαλύσασθαι πάσας τού σώματος.

Θεοτοκίον

Τής προμήτορος Εύας, νύν ανεκαλέσω τήν ήτταν κυήσασα, Λυτρωτήν τών όλων, καί Σωτήρα καί Κτίστην καί Κύριον, Θεομήτορ μόνη, εν γυναιξίν ευλογημένη, διά τούτό σε πίστει δοξάζομεν.

Τού Αποστόλου

Ωδή ς'

Τόν Ιωνάν εν τώ κήτει

Ο φωτισμός τού Αγίου Πνεύματος, σκηνώσας εν καρδία σου, φωστήρα κόσμου σε Θαδδαίε, ειργάσατο αληθή, τόν σκοταομόν τής απάτης λύοντα.

Φέρων σαρκί τού Χριστού τά στίγματα, Θαδδαίε τά σωτήρια, ως κόσμον πάσης ακοσμίας, λαούς ερρύσω σοφέ, καί πρός χαράν ήρθης υπερκόσμιον.

Όρθρος ημίν εφάνης τόν ήλιον, δικαιοσύνης ένδοξε δεικνύων, εν ώ φωτισθέντες, υιοί φωτός δι' αυτού, οι γηγενείς Θαδδαίε γεγόναμεν.

Θεοτοκίον

Νέον ημίν βρέφος απεκύησας, Πατρός τόν όμοούσιον, φθαρείσαν φύσιν τών ανθρώπων, πρός τό αρχαίον Αγνή, κάλλος αυτήν πάλιν επανάγοντα.

## Τής Μάρτυρος

## Ιλάσθητί μοι Σωτήρ

Ιδρύματα μιαρών, θεών εις τέλος ελέπτυνας, εδράσασα τήν ψυχήν, Θεού πρός τήν άφατον, αγάπην καί γέγονας, αθλοφόρε Βάσσα, τών Αγγέλων ομοδίαιτος.

Μεγάλους υπέρ Χριστού, αγώνας μάρτυς διήνυσας, μεγάλα καί παρ' αυτού, εδέξω τά έπαθλα, αθάνατον εύκλειαν, καί παστάδα θείαν, καί τρυφήν μή διαρρέουσαν.

Ως πάλαι τόν Ιωνάν, βυθού θαλάσσης διέσωσε, Θεός σε παντουργική, δυνάμει πανεύφημε, έν σοί θαυμαζόμενος, ο βουλαίς Αγίων, καθ' εκάστην δοξαζόμενος.

## Θεοτοκίον

Πελάγη αμαρτιών, καί κύματα απογνώσεως, χειμάζουσί μου τόν νούν, σπλαγχνίσθητι Δέσποινα, καί χείρά μοι έκτεινον, καί διάσωσόν με, τόν Σωτήρα η κυήσασα.

## Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αί ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

## Κοντάκιον τού Αποστόλου

## Ήχος γ'

## Ή Παρθένος σήμερον

Εορτή χαρμόσυνος, τού Αποστόλου επέστη, ευφροσύνως σήμερον, επιτελέσωμεν ταύτην, νέμει γάρ, τοίς αυτόν πίστει αεί τιμώσι, λύτρωσιν αμαρτημάτων, καί ρώσιν θείαν, καί γάρ έχει παρρησίαν, ως θείος μύστης Χριστού τής χάριτος.

## Ο Οίκος

Τόν Χριστού Μαθητήν άπαντες ευφημήσωμεν, τόν αυτόπτην τού Λόγου τιμήσωμεν σήμερον, Ούτος γάρ τώ κόσμω εκήρυξε τό πάνσεπτον Ευαγγέλιον, καί τά έθνη σαγηνεύσας εκ τού βυθού τής πλάνης ανήγαγε, τήν δέ οδόν τής αληθείας υποδείξας, δι' αυτής ανάγει τούς πιστούς πρός πατρίδα ουράνιον, καί τώ θείω θρόνω λαμπρώς παριστάμενος, φωτισμόν παρέχει δαψιλώς τοίς αυτόν εκ πόθου γεραίρουσι, Καί γάρ έχει παρρησίαν, ως θείος μύστης Χριστού τής χάριτος.

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΑ' τού αυτού μηνός, μνήμη τού Αγίου Αποστόλου Θαδδαίου.

## Στίχοι

- Θαδδαίε! ποίον άλλο σοι πλέξω στέφος,
- Ή αυτόπτην λέγειν σε, καί μύστην Λόγου;
- Εικάδι πρώτη Θαδδαίος βιότοιο απέπτη.

Τή αυτή ημέρα, μνήμη τής Αγίας μάρτυρος Βάσσης, καί τών τέκνων αυτής θεογνίου, Αγαπίου καί Πιστού.

Στίχοι

- Μητρός μιάς κάλλιστα παιδία τρία,
- Συν μητρί Βάσση πρός τομήν ψυχή μία.
- Βάσσαν σύν τεκέεσσι τάμε ξίφος εικάδι πρώτη.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τού Αποστόλου

Ωδή ζ'

Παίδες θεοσεβείς

Θαύματα εκτελών τή επικλήσει, Κυρίου φανέντος ύλη σώματος, επεσπάσω λαούς τε, καί πόλεις πανεύφημε, εις βεβαίαν πίστιν κραυγάζοντας, Ευλογητός ο Θεός ο τών πατέρων ημών.

Έστησας σηπεδόνα αθεΐας, νοστίμων σου λόγων θείω άλατι, καί ιάσω καρδίας, τώ βέλει τού όφεως, πληγωθείσας μάκαρ Απόστολε, Ευλογητός εκβοών ο τών Πατέρων Θεός.

Ήρθης πρός ύψος θεωρίας, πλησθείς ώ Θαδδαίε θείου Πνεύματος, καί σωτήριον λόγον, ενθέως επλούτησας, καί λαούς βοάν εξεπαίδευσας, Ευλογητός ο Θεός ο τών Πατέρων ημών.

Θεοτοκίον

Γνώμη οικεία ολισθαίνων, καί πράξεις ατόπους περικείμενος, επί σέ καταφεύγω, βοήθει μοι Δέσποινα, μετανοίας τρόπους παρέχουσα, τή ταπεινή μου ψυχή, ίνα δοξάζω σε.

Τής Μάρτυρος

Οι εκ τής Ιουδαίας

Ρώμη θείατήν φλόγα, τού πυρός διελθούσα μάρτυς απήμαντος, πυρί τών σών αιμάτων, ως ύλην τήν απάτην, εκβοώσα κατέφλεξας, ο τών Πατέρων ημών Θεός ευλογητός εί.

Ο λεόντων πεδήσας, τάς ορμάς εν τώ λάκκω σώζων τόν σόν Δανιήλ, ανάλωτον δεικνύεις, θηρών τήν Αθληφόρον μελωδούσάν σοι Δέσποτα, ο τών Πατέρων ημών Θεός ευλογητός εί.

Φανοτάταις ακτίσι, τού Σταυρού λαμπομένη Βάσσα η ένδοξος, τό σκότος τής απάτης, απείραστος διέβη, καί πρός φώς εξεδήμησεν αναβοώσα, Χριστέ, ο Θεός ευλογητός εί.

Θεοτοκίον

Ρήξον τάς πολυπλόκους, τών εμών εγκλημάτων σειράς Θεόνυμφε, τόν αίροντα τού κόσμου Θεόν τήν αμαρτίαν, υπέρ λόγον κυήσασα, ευλογημένη αγνή αεί δεδοξασμένη.

Τού Αποστόλου

Ωδή η'

Νικηταί τυράννου

Ουρανός εφάνης, δόξαν διηγούμενος Θεού Θαδδαίε, καί εθνών εγένου, φωτισμός πρός πίστωσιν θείαν ενάγων, τούς θερμώς βοώντας, Υμνείτε τόν Κύριον, καί υπερυψούτε αυτόν εις τούς αίωνας.

Ρώσιν ασθενούσι, καί τυφλοίς ανάβλεψιν καί παρειμένοις, ευδρομίαν μάκαρ, χορηγών τού Πνεύματος τή δυναστεία πόλεως Εδέσσης, φωστήρ εχρημάτισας, τής αεί πιστώς σε, Θαδδαίε ευφημούσης.

Ο περιουσία, θαυμασίων άπιστον έθνος εις πίστιν, επινεύσει θεία, μεταποιησάμενος, καί εξ ειδώλων, πλάνης διασώσας τούς αυτώ προστρέχοντας, πίστει κατά χρέος, δοξάζεται Θαδδαίος.

Θεοτοκίον

Νόμου τό σκιώδες απεπαύθη Δέσποινα, σού κυησάσης, νόμου τόν δοτήρα, χάριτι φωτίζοντα τήν οικουμένην, όν αεί δυσώπει, νόμω με επόμενον, τώ τής αμαρτίας οικτίραι διά τάχους.

Τής Μάρτυρος

Επταπλασίως κάμινον

Ο τήν ημών ασθένειαν εαυτώ περιθέμενος, σού τό ασθενές περιφανώς επτέρωσε, καί σέ απειργάσατο, δυνατωτέραν μάρτυς πυρός, ύδατος θηρών καί πριστηρίων οργάνων, πιστώς αναβοώσαν, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Νεανικώς ηρίστευσαν, καί ανδρείως ενίκησαν, παίδες οι σεπτοί τήν εναντίων ένστασιν, ο θείος θεόγνιος, ο ιερός Αγάπιος, άμα τώ Πιστώ, έργω καί λόγω δειχθέντι, καί νίκης τούς στεφάνους, πρός Θεού δεδεγμένοι, αυτόν υπερυψούσιν, εις πάντας τούς αιώνας.

Ωσεί ελαία εύκαρπος, ως πολύφορος άμπελος, κλήμασι τρισίν ευθηνουμένη τέθηλας, μεθ' ών εγεώργησας, ομολογίας βότρυας, οίνον μαρτυρίου, αναβλύζοντας Βάσσα, ευφραίνοντα καρδίας, ευσεβώς τών βοώντων, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Σύν ασωμάτοις τάξεσι, σύν μαρτύρων στρατεύμασι, θρόνω παρεστώτες, τού Θεού πανεύφημοι, καί δόξης καί χάριτος, καί φωτισμού πληρούμενοι, λύσατε ημών, τών εγκλημάτων τόν ζόφον, τών πίστει εκτελούντων, τήν φωσφόρον

καί θείαν, καί πλήρη χαρισμάτων, υμών αισίαν μνήμην.

Θεοτοκίον

Ο ουρανούς τώ νεύματι, καί τήν γήν τώ βουλήματι, Λόγος τού Θεού δημιουργήσας άχραντε, καί πλάσας τόν άνθρωπον, εκ σού σαφώς ηνέσχετο, σάρκα εαυτώ, οικοδομήσαι τήν φύσιν, ημών αναχωνεύων, συντριβείσαν απάτη, τού όφεως Παρθένε, ο μόνος ελεήμων.

Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, τώ Δημιουργώ καί Λυτρωτή ανεβόα, οι Παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

## Τού Αποστόλου

### Ωδή θ'

Κυρίως Θεοτόκον

Ιδών τάς δι' αιώνος, θείας αντιδόσεις, καί εφετών ακροτάτω τρανότερον, μάκαρ εγγίζων, Θαδδαίε, τέρπου καί χόρευε.

Ως κέρδος ως μεγίστη, ένδοξε Θαδδαίε, ταίς αρεταίς ανυψώθης κυπάρισσος, ευωδιάζων καρδίας, τών εύφη μούντων σε.

Συνήφθης Αποστόλων, μάκαρ καί μαρτύρων, καί Ασωμάτων χορείαις γηθόμενος, μεθ' ών δυσώπει σωθήναι, τούς σέ γεραίροντας.

Η μνήμη σου πλουσίως, φέγγει χαρισμάτων, τάς τών πιστών διανοίας φωτίζουσα, ανευφημείν σε Θαδδαίε, πάντας προτρέπεται.

Θεοτοκίον

Φιλάγαθε Παρθένε, τήν κεκακωμένην, ταίς αμαρτίαις ψυχήν μου αγάθυνον, η τόν πανάγαθον Λόγον, αποκυήσασα.

## Τής Μάρτυρος

Εξέστη επί τούτω

Ιδείν εφιεμένη ά οφθαλμός, γηγενούς αληθώς ουχ εώρακε, τά τής σαρκός, έφερες επίπονα ανδρικώς, θλάσιν μελών πανεύφημε, όρμημα θηρίων, καύσιν πυρός, θαλάσσης τρικυμίαν, αϋλω φωταυγία, φαιδρυνομένη παμμακάριστε.

Ως όντως φωτοφόρος καί ευπρεπής, θεοφόρε σελήνη ανέτειλας, θείον χορόν, οία περ αστέρων φωτοφανών, επαγομένη χάριτι, σού τών προελθόντων εκ τής γαστρός, καί νύν τήν οικουμένην, αϋλω φωταυγία, καταφαιδρύνετε μακάριοι.

Στηρίξαντες εν πέτρα υπομονής, διανοίας τάς βάσεις μακάριοι, τών πειρασμών, ταίς πολυειδέσιν επαγωγαίς, ως αληθώς ακλόνητοι, ώφθητε καί

νίκην μετά Χριστού, αράμενοι σύν τούτω, αεί συμβασιλεύειν, κατηξιώθητε γηθόμενοι.

Ή όντως ακεραία περιστερά, η τρυγων τόν Θεόν αγαπήσασα, η χελιδών, θείοις αναπτάσα σύν νεοσσοίς, πρός ουρανούς εσκήνωσε, κράτος πρός τό θείον καί νοερόν, χειμώνα διαδράσα, καί θήρατρα δαιμόνων, Βάσσα ήν πόθω μακαρίζομεν.

Θεοτοκίον

Φιλάνθρωπον τεκούσα καί λυτρωτήν, θαυμαστή καί φιλάγαθε Δέσποινα, αμαρτιών, λύτρωσίν μοι δίδου σαίς προσευχαίς, καί τήν ψυχήν μου πάναγνε, τήν κεκακωμένην τοίς λογισμοίς, αγάθυνον καί δείξον, παθών θανατηφόρων, λελυτρωμένην παναμώμητε.

Ο Ειρμός

«Εξέστη επί τούτω ο ουρανός, καί τής γής κατεπλάγη τά πέρατα, ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι μεγαλύνουσιν».

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Εδέσσης εχρημάτισας, φωστήρ Θαδδαίε πάνσοφε, εν ή κηρύξας τήν θείαν, οικονομίαν τού Λόγου, καί τόν Τοπάρχην Αύγαρον, καί σύν αυτώ δέ άπαντας, φωτίσας λάτρας έδειξας, τής υπερφώτου Τριάδος, Απόστολε Θεοκήρυξ.

Καί τής Εορτής

Ο ουρανόν τοίς άστροις

Τών Αποστόλων ο δήμος, συναθροισθείς εν νεφέλαις, αξιοχρέως κηδεύει, τήν τού Κυρίου Μητέρα, παρόντος καί τού Σωτήρος, σύν μυριάσιν Αγγέλων.

Εις τόν Στίχον τών Αίνων. Στιχηρά Προσόμοια.

Ήχος β'

Οίκος τού Εφραθά

Μνήσθητι εκτενώς, τών σέ παρακαλούντων, Παρθένε Θεοτόκε, καί πόθω ανυμνούντων, τήν ιεράν σου Κοίμησιν.

Στίχ. Ανάστηθι Κύριε εις τήν ανάπαυσίν σου.

Δεύρό μοι Μαθητών, τό στίφος τή Παρθένω, εξόδιον τόν ύμνον, εις έκαστος φερέτω, τή εορτή αρμόδιον.

Στίχ. Ώμοσε Κύριος τώ Δαυϊδ αλήθειαν.

Στίφος τών Μαθητών, προθύμως εν νεφέλαις, αθροίσθητε κηδεύσαι, τό θεοδόχον σώμα, τής μόνης Θεομήτορος.

Δόξα... Καί νύν... Όμοιον

Πύλαι τών ουρανών, επάρθητε ορώσαι, τήν πύλην τού Υψίστου, χωρούσαν μετά δόξης, πρός τόν Υιόν καί Κύριον.

Καί η λοιπή Ακολουθία, ως σύνηθες, καί Απολυσις.

---

Αρχή

## ΤΗ ΚΒ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Μάρτυρος Αγαθονίκου.

ΕΙΔΗΣΙΣ. Εν ταύτη τή ημέρα ψάλλεται καί η Ακολουθία τού Αγίου μάρτυρος Λούππου, διά τό εν τή κγ' αποδίδοσθαι τήν Εορτήν.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις το, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσομοια.

Τού Αγίου Αγαθονίκου τρία

Ήχος δ'
Έδωκας σημείωσιν

Πρώτην αγαθότητα, καί υπέρ νούν ωραιότητα, εκζητών Αγαθόνικε, χαίρων προσεχώρησας, πρός τούς προκειμένους, γενναίους αγώνας, καί συμπλακείς τώ δυσμενεί, ανδρειοτάτως εις γήν κατέρραξας, καί νίκης τό φαιδρότατον, προσανεπλέξω διάδημα, δυσωπών τόν φιλάνθρωπον, υπέρ τών ανυμνούντων σε.

Σοφία κοσμούμενος, λόγον ζωήρρυτον έβλυσας, επιστρέφων τούς άφρονας, ελέγχων τόν τύραννον, τής πολυθείας, ζάλην κατευνάζων, επιστηρίζων τούς πιστούς, προσεπιμένειν τή θεία χάριτι, διό τά χαλεπώτατα, υπενεγκών πειρατήρια, πρός τά άνω βασίλεια, στεφηφόρος ανέδραμες.

Αίματι σταζόμενος, τής καρτεράς σου αθλήσεως, τώ Δεσπότη παρέστηκας, θύμα ευωδέστατον, καθαρά θυσία, ευπρόσδεκτον δώρον, ιερωτάτη προσφορά, καί ιερείον τέλειον άμωμον, διό ταίς ικεσίαις σου, τής Εκκλησίας τό πλήρωμα, εν ειρήνη συντήρησον, αθλητά Αγαθόνικε.

Τού Αγίου Λούππου τρία, όμοια

Λούππος ο μακάριος, τής αθεϊας διέλυσε, τόν κρυμόν τόν βαρύτατον, θέρμη θείου Πνεύματος, καί τμηθείς τώ ξίφει, ιάσεως ρείθρα, αναπηγάζει καί ψυχάς, κατατακείσας δροσίζει χάριτι, αυτόν ανευφημήσωμεν, ως πρεσβευτήν ημών άριστον, καί θερμόν αντιλήπτορα, ευσεβώς φιλομάρτυρες.

Ελλήνων σεβάσματα, βυθώ υδάτων παρέδωκας, καί αθέους κατέπληξας,

ορώντας τά θαύματα, τά τή σή παμμάκαρ, τελούμενα πίστει, μέσον εκείνων δέ εστώς, λουτρόν τό θείον εξ ύψους δέδεξαι, Θεού σε μεγαλύνοντος, ως γνησιώτατον μάρτυρα, καί γενναίον αδάμαντα, καί Αγγέλων συμμέτοχον.

Πειρώμενοι τέμνειν σε, εχθροί αλλήλους κατέτεμνον, καί τοίς βέλεσι βάλλοντες, αλλήλους ετίτρωσκον, αθλοφόρε Λούππε, καί πρίζειν δοκούντες, δένδρω προσήξαν τήν πληγήν, εσκοτισμένοι μάκαρ υπάρχοντες, εφρούρει γάρ σε Κύριος, δι' όν τό πάσχειν προήρησο, πρεσβευτά τών ψυχών ημών, τών Αγγέλων συνόμιλε.

Δόξα... Ήχος α'

Ανατολίου

Φερωνύμως εκλήθης, τής αγαθής νίκης επώνυμος, Αγαθόνικε πολύαθλε, τώ γάρ θείω έρωτι τρωθείς, ειδωλικήν απάτην, καί τυραννικήν πλάνην απαρνησάμενος, πρός ζωήν τήν αμείνω παραδόξως μεταβέβηκας, διό εν τή ενδόξω σου μνήμη, παρρησίαν έχων πρός αυτόν, ικέτευε σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Ήχος ο αυτός

Τής Εορτής

Έπρεπε τοίς αυτόπταις τού Λόγου καί υπηρέταις, καί τής κατά σάρκα Μητρός αυτού, τήν Κοίμησιν εποπτεύσαι, τελευταίον ούσαν επ' αυτή μυστήριον, ίνα μή μόνον τήν από γής τού Σωτήρος ανάβασιν θεάσωνται, αλλά καί τής τεκούσης αυτόν τή μεταθέσει μαρτυρήσωσι, Διόπερ πάντοθεν θεία δυνάμει περαιωθέντες, τήν Σιών κατελάμβανον, καί πρός ουρανόν επειγομένην, προέπεμπον τήν ανωτέραν τών Χερουβίμ, ήν καί ημείς, σύν αυτοίς προσκυνούμεν, ως πρεσβεύουσαν υπέρ τύν ψυχών ημών.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος β'

Οίκος τού Εφραθά

Δήμος τών Μαθητών, αθροίζεται κηδεύσαι, Μητέρα Θεοτόκον, ελθόντες εκ περάτων, παντοδυνάμω νεύματι.

Στίχ. Ανάστηθι Κύριε εις τήν ανάπαυσίν σου.

Νύμφη η τού Θεού, Βασίλισσα Παρθένος, τών εκλεκτών η δόξα, καύχημα τών παρθένων, πρός τόν Υιόν μεθίσταται.

Στίχ. Ώμοσε Κύριος τώ Δαυϊδ αλήθειαν.

Ήθροισται ο χορός, Μαθητών παραδόξως, εκ τών περάτων κόσμου, κηδεύσαί σου τό Σώμα, τό θείον καί ακήρατον.

Δόξα... Ήχος πλ. δ'

Φερωνύμως τήν κλήσιν δεξάμενος, τών αγαθών θησαυρών, ναόν σεαυτόν καθιέρωσας, μάρτυς Αγαθόνικε, τώ τών απάντων βασιλεί, καί εν βασάνοις

νομίμως αγωνισάμενος, τού δεινού Βελίαρ καθείλες τήν δύναμιν, καί νίκης άρας τρόπαιον, στεφανηφόρος εν υψίστοις Θεώ παρίστασαι, ώ καί πρεσβεύων μή ελλίπης, υπέρ τών σέ γεραιρόντων, μαρτύρων εγκαλλώπισμα.

Καί νύν...

Ήχος ο αυτός, τής Εορτής

Παρθενικαί χορείαι σήμερον, μυστικώς τή κλίνη τής Παρθένου καί Μητρός, κύκλω παρίστανται, καί ψυχαί δικαίων περιιπτάμεναι, τήν Βασιλίδα γεραίρουσιν, αι μέν, ως προίκα τήν παρθενίαν, αντί μύρου κομίζουσαι, αί δέ, τήν άϋλον υμνωδίαν, τά τής αρετής προσάγουσαι, πρέπει γάρ τή Μητρί τού Θεού, ως Βασιλίδα, ταίς βασιλικαίς τών αρετών δορυφορείσθαι λαμπροφορίαις, Αίς καί ημείς, βίον καθαρόν συνεισενεγκόντες, εξέλθωμεν πρός κηδείαν, τής όντως Μητρός τού Θεού ημών, ύμνοις καί ωδαίς πνευματικαίς, αυτήν συμφώνως μακαρίζοντες.

Απολυτίκιον τής Εορτής

Ήχος α'

Εν τή Γεννήσει τήν παρθενίαν εφύλαξας, έν τή Κοιμήσει τόν κόσμον ού κατέλιπες Θεοτόκε, Μετέστης πρός τήν ζωήν, μήτηρ υπάρχουσα τής ζωής, καί ταίς πρεσβείαις ταίς σαίς λυτρουμένη, εκ θανάτου τάς ψυχάς ημών.

Απόλυσις

Μετά τήν α' Στιχολογίαν

Κάθισμα  Ήχος δ'

Κατεπλάγη Ιωσήφ

Πλατυτέρα ουρανών, αναδειχθείσα επί γής, η τεκούσα εν σαρκί, τόν τού παντός Δημιουργόν, νύν εις αυτά τά ουράνια εκ γής μετέστης, Δικαίων δέ ψυχαί καθορώσαί σε, Αγγέλων οι χοροί κατοπτεύοντες, ως Βασιλίδι αίνεσιν αξίως, διά παντός σοι προσάγουσι, Διό πρεσβεύειν, μή διαλίπης, υπέρ τών ανυμνούντων σε.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα  όμοιον

Αποστόλων ο χορός, διεσπαρμένος εν τή γή, συνηθροίσθη εν Σιών, ίνα προπέμψη από γής, τήν Θεοτόκον πρός τόν Ύψιστον, όν περ έτεκε, Δυνάμεις ουρανών, αι υπερκόσμιαι, προέτρεχον ομού, καί συνεχόρευον, πνευματικώς κραυγάζουσαι, Ευφραίνεσθε, οι ουρανοί προσδεχόμενοι, Θεού Μητέρα, δι' ού δεσπόζει, ορατά καί αόρατα.

Δόξα... Καί νύν... Τό αυτό

Ο πρώτος κανών τής Εορτής καί οι δύο παρόντες τών Αγίων.

Ο Κανών τού Αγίου Αγαθονίκου, ού η Ακροστιχίς.

Αγαθονίκου τούς πόνους μέλπειν θέμις. Ιωσήφ.

Ωδή α' Ήχος α'
Ωδήν επινίκιον

Αγάθυνον Άγιε κεκακωμένην, ψυχήν μου τοίς πάθεσιν, αγαθός γενόμενος, τού αγαθού μιμητής, καί λόγον δίδου τήν σεπτήν, δοξάσαι μνήμην σου.

Γνωστός τώ γινώσκοντι τά πάντα μάρτυς, εγένου θεόπνευστε, καί τήν τούτου σάρκωσιν, εθνών ενώπιον, εκήρυξας τόν τής σαρκός, μη πτήξας θάνατον.

Ανέστησας λόγω σου τούς πεπτωκότας, καί τής Αναστάσεως, κοινωνούς ανέδειξας, καί τής λαμπρότητος, τής αιωνίου ευσεβώς, μάρτυς πολύαθλε.

Θεοτοκίον

Θαυμάτων επέκεινα τό μέγα θαύμα, Σεμνή τής λοχείας σου, καθοράται, τίκτεις γάρ, εν ομοιώματι σαρκός γενόμενον Χριστόν, δίχα τροπής καί φυρμού.

Ο Κανων τού Αγίου Λούππου, έχων τήν δε τήν Ακροστιχίδα.

Υμνώ σε, Λούππε, μάρτυς ηγλαϊσμένε. Ιωσήφ.

Ωδή α' Ήχος δ'
Τριστάτας κραταιούς

Υμνούντι τήν φαιδράν, καί φωσφόρον σου μνήμην, στρατιώτα τού Χριστού, γενναίε αθλητά, τήν ψυχήν μου καταύγασον, λάμψεσι ταίς ανεσπέροις, αυγαζόμενος πάντοτε, καί τώ θείω φωτί παριστάμενος.

Μαρτύρων υπελθών, τούς ανδρείους αγώνας, ωμολόγησας Θεόν, οφθέντα επί γής, καί τήν φύσιν θεώσαντα, πάνσοφε τήν ανθρωπίνην, καί θεούς εξηφάνισας, τών Ελλήνων δυνάμει τού Πνεύματος.

Ναμάτων ζωτικών, πληρωθείς τήν καρδίαν, ώσπερ θείος ποταμός, τά ρεύματα σοφέ, τής απάτης εξήρανας, πίστει δέ τάς διανοίας, τών ανθρώπων κατήρδευσας, βλαστανούσας καρπόν έπουράνιον.

Θεοτοκίον

Ως όρθρος ευπρεπής, εκ λαγόνων ανίσχεις, Ιησούν τόν φωτισμόν, απάντων καί Θεόν, απειρόγαμε Δέσποινα, νύκτα τής πολυθεϊας, εκμειούντα καί λάμψεσιν, ανεσπέροις τόν κόσμον φωτίζοντα.

Τού Αγίου Αγαθονίκου

Ωδή γ'

Στερεωθήτω η καρδία μου

Ο ματαιόφρων ταις θωπείαις σε, δολερώς συλήσαι επήλπιζεν, εματαιώθη δέ αυτού, τό αλλόκοτον φρόνημα, ηδρασμένου σου εν πέτρα, αψευδούς μάρτυς πίστεως.

Υπερνηξάμενος τό πέλαγος, αλγεινών καί πόνων τού σώματος, τή κυβερνήσει τού Χριστού, αθλητά Αγαθόνικε, προσωρμίσθης πρός λιμένας, νοητούς αγαλλόμενος.

Τομαί στρεβλώσεις τε τού σώματος, επ' εμέ ερχέσθωσαν σήμερον, ξίφη καί τήγανα καί πύρ, καί θηρία καί θάνατον, ού πτοούμαι ανεβόας, αθλητά Αγαθόνικε.

Θεοτοκίον

Ο κατά φύσιν απερίγραπτος, μορφωθείς εκ σού τό ημέτερον, περιγραφήν σωματικώς, υπεδέξατο Δέσποινα, εν ουσίαις καί θελήσεσι, διτταίς γνωριζόμενος.

Τού Αγίου Λούππου

Ότι στείρα έτεκεν

Στηριχθείς τού Πνεύματος, τή αηττήτω δυνάμει, πρός τούς αγώνας μάρτυς, εναπεδύσω ανδρικώς, καί τό τής πλάνης φρύαγμα κατήργησας, Λούππε παμμακάριστε.

Επιγνούς σε μάρτυρα, τών τού Χριστού παθημάτων, ο απηνής διώκτης, θωπείαις σου τόν λογισμόν, εξαπατήσαι ήλπιζεν, εψεύσθη δέ όμως ο παμπόνηρος.

Λύρα ώσπερ Πνεύματι, τώ παντουργώ κρουομένη, αναφωνείς τυράννων, ενώπιον χαρμονικώς, μέλος ενθέου γνώσεως, καταθέλξας πίστει τούς προστρέχοντας.

Θεοτοκίον

Ο Θεός εν μέσω σου, κατασκηνώσας ως οίδε, τής παρθενίας κλείθρα, ού παρεσάλευσεν Αγνή, εν ασαλεύτω πέτρα δέ, τής πίστεως πάντας εστερέωσεν.

Ο Ειρμός

«Ότι στείρα έτεκεν, η εξ εθνών Εκκλησία, καί η πολλή εν τέκνοις ησθένησε Συναγωγή, τώ θαυμαστώ Θεώ ημών βοήσωμεν, Αγιος εί Κύριε».

Κάθισμα τού Αγίου Αγαθονίκου

Ήχος α'

Τόν τάφον σου Σωτηρ

Αθλήσει λαμπρυνθείς, ως χρυσός εν καμίνω, εξήστραψας σοφέ, ιαμάτων ακτίνας, καί σκότος εμείωσας, τών δαιμόνων εν χάριτι, όθεν άπαντες, τήν παναγίαν σου μνήμην, εορτάζομεν, θεομακάριστε μάρτυς, αθλητά Αγαθόνικε.

Δόξα... Τού Αγίου Λούππου
Ήχος δ'
Ο υψωθείς εν τώ Σταυρώ

Τό οπτικόν σου τής ψυχής εκκαθάρας, καθυπεδέξω την αυγήν τής Τριάδος, καί τάς εν ζόφω πάνσοφε εφώτισας ψυχάς, αίγλη θείων λόγων σου, Λούππε μάρτυς Κυρίου, όθεν πρός ανέσπερον, μεταβέβηκας φέγγος, υπέρ ημών απαύστως δυσωπών, τών σέ τιμώντων, καί πίστει υμνούντων σε.

Καί νύν... Τής Εορτής
Ήχος ο αυτός
Κατεπλάγη Ιωσήφ

Αναβόησον Δαυϊδ, τίς η παρούσα Εορτή; Ήν ανύμνησα φησίν, εν τώ Βιβλίω τών Ψαλμών, ως θυγατέρα θεόπαιδα καί Παρθένον, μετέστησεν αυτήν, πρός τάς εκείθεν μονάς, Χριστός ο εξ αυτής, άνευ σποράς γεννηθείς, καί διά τούτο χαίρουσι, μητέρες καί θυγατέρες, καί νύμφαι Χριστού, βοώσαι, Χαίρε, η μεταστάσα, πρός τά άνω βασίλεια.

Τού Αγίου Αγαθονίκου

Ωδή δ'
Εν Πνεύματι προβλέπων

Υπήλθες τών μαρτύρων, τό στάδιον σοφέ, όπλω θείας πίστεως, λαμπρώς περιφραχθείς, περιπλακείς δέ, τώ δυσμενεί κατά κράτος, τούτον νικήσας, καθυπέταξας ποσί σου, μάρτυς αθλητά Αγαθόνικε.

Σοφία σου τών λόγων, καί έργων ιερών, θείαις επιδείξεσιν, εξέπληξας εχθρούς, υπολαβόντας τό καρτερόν τού νοός σου, καταπαλαίσαι, καί πρός πλάνην καθελκύσαι, μάρτυς τού Χριστού Αγαθόνικε.

Πυρί ολοκαυτώσας, αγάπης θεϊκής, σού τόν νούν αοίδιμε, τό πύρ τών δυσσεβών, ούκ επτοήθης, αλλ' ανάψας ως άνθραξ, τής αθεΐας, ενεπύρισας τήν ύλην, μάρτυς Ιερέ Αγαθόνικε.

Θεοτοκίον

Ονώτοις επιβαίνων, Αγνή χερουβικοίς, σαρκωθείς ως άνθρωπος, εκ σού θεοπρεπώς, σού ταίς αγκάλαις καθέζεται, ώσπερ βρεφος, καί νηπιάζει, νηπιόφρονα τόν πάλαι, σώζων γεγονότα πρωτόπλαστον.

Τού Αγίου Λούππου

Ο καθήμενος εν δόξη

Υπερβάς τής ανθρωπίνης, ασθενείας μακάριε, τούς γεώδεις όρους, έφερες πληγάς ραβδιζόμενος, ράβδον δυνάμεως φέρων τόν σωτήριον, παναοίδιμε, Λούππε Σταυρόν τού Θεού ημών.

Πεποιθώς καθάπερ όρος, επί Κύριον έμεινας, αθλοφόρε Λούππε, θεία συμμαχία ασάλευτος, τούς σπαραγμούς τών μελών σου, όθεν ήνεγκας,

ανυψούμενος, πρός ουρανόν θείω έρωτι.

Πλήρης πίστεως υπάρχων, καί σοφίας καί χάριτος, ανομούντων μέσον, Λόγον τού Θεού ωμολόγησας, τών πεμπομένων βελών δέ ουκ εφρόντισας, ειργομένων, δυνάμει Χριστού προσεγγίσαι σοι.

Θεοτοκίον

Επί σέ καθάπερ όμβρος, τής σοφίας ή άβυσσος, Ιησούς κατήλθε, μόνην καθαράν σε ευράμενος, Θεογεννήτορ Παρθένε καί κατέκλυσεν, ασεβείας, χειμάρρους δεινούς θεία χάριτι.

Τού Αγίου Αγαθονίκου

Ωδή ε'

Τό φαεινόν ημίν

Νόμοις αντέθηκας τού αλάστορος, νόμον σωτήριον, εννομώτατος ως μάρτυς ένδοξε, τού νομοδότου πάντων καί δεσπόζοντος, Χριστού τού Θεού ημών.

Ο περιβόητος καί περίδοξος, μάρτυς γενόμενος, Αγαθόνικος νύν μακαρίζεται, σύν ουρανίαις πάντοτε Δυνάμεσι, φαιδρώς αγαλλόμενος.

Υπέρ τό ζήν θανείν είλου ένδοξε, όπως τήν μέλλουσαν, ως αϊδιον καί αιωνίζουσαν ζωήν κερδήσης, όθεν ξίφει τέμνοντι, κλίνεις τόν αυχένα σου.

Θεοτοκίον

Σού τά θαυμάσια προορώμενος, θείω εν Πνεύματι, Ησαϊας ανεκραύγαζεν, Ιδού εν μήτρα έξεις τόν αχώρητον, σαρκούμενον Άχραντε.

Τού Αγίου Λούππου

Ασεβείς ουκ όψονται

Μεληδόν ηπείλησαν, συγκόπτειν σε εχθροί, εαυτούς μάλλον δέ σοφέ, θεϊκαίς προστάξεσι κατατέμνοντες, ασινή καί άτρωτον, κατενόουν φυλαττόμενον.

Απαιωρήσας ένδοξε, τό όμμα τής ψυχής, πρός τήν πέτραν τήν αρραγή, ουδαμώς τοίς κύμασι μάρτυς σεσάλευσαι, τών πικρών κολάσεων, θεία ρώμη δυναμούμενος.

Ραντισμοίς αιμάτων σου, πυράν ειδωλικήν, εναπέσβεσας αθλητά, καί πυρί τών άθλων σου πάσαν κατέφλεξας, τήν απάτην Πνεύματι, τώ Αγίω πυρακτούμενος.

Θεοτοκίον

Τήν αγνήν αγνεύοντι, τιμήσωμεν νοϊ, καλλονήν τήν τού Ιακώβ, καί ενθέοις πράξεσι καλλυνόμενοι, ευσεβώς υμνήσωμεν, ως μητέρα τού Θεού ημών.

Τού Αγίου Αγαθονίκου

## Ωδή ς'
### Τόν Προφήτην Ιωνάν

Μυριόλεκτον πληθύν, Αιθιόπων νοητών, κατεπάλαισας σοφέ, ασθενεία τής σαρκός, καί ήνωσαι, ταίς μυριάσι, τών νοερών λειτουργών.

Επορεύθης ανδρικώς, μαρτυρίου τήν οδόν, καί εστένωσας οδούς, τής κακίας αθλητά, καί έφθασας τάς ευρυχώρους, σκηνώσεις τών ουρανίων νοών.

Λαμπρυνθείς ώσπερ χρυσός, τή χωνεία τών δεινών, παθημάτων τού Χριστού, Αγαθόνικε σοφέ, εκσφράγισμα εδείχθης, θείοις αποτεθείς θησαυροίς.

### Θεοτοκίον

Παρθενεύεις ως τό πρίν, καί τεκούσα τόν Χριστόν, γαλουχείς πάσι τροφήν, τόν παρέχοντα Αγνή, παράδοξον, σεμνή τό θαύμα καί ακατάληπτον.

## Τού Αγίου Λούππου

### Εβόησε προτυπών

Υπέφερες, τής σαρκός τάς βασάνους στερρότατα, βασανίζων, ανομούντων φρονήματα άθεα, καί πικρώς μαστίζων, τών δαιμόνων πληθύν αξιάγαστε.

Συνέσεισας, καί ως χούν τούς θεούς κατελέπτυνας, τών αθέων, σεαυτόν δέ ανέστησας έμψυχον, ευσεβείας στήλην, καί εικόνα ανδρείας θεόπνευστε.

Ηγάλλετο, εντρυφών ταίς βασάνοις ο ένδοξος, αθλοφόρος, προορών τούς στεφάνους εν πνεύματι, καί τήν δι' αιώνος, εσομένην τοίς μάρτυσιν εύκλειαν.

### Θεοτοκίον

Γεγέννηκας, όν Πατήρ πρό αιώνων γεγέννηκε, προανάρχως, καί μαστοίς τόν τροφέα εθήλασας, υπέρ νούν τό θαύμα, υπέρ λόγον Αγνή τό μυστήριον.

### Ο Ειρμός

«Εβόησε, προτυπών τήν ταφήν τήν τριήμερον, ο Προφήτης Ιωνάς, εν τώ κήτει δεόμενος, Εκ φθοράς με ρύσαι, Ιησού Βασιλεύ τών Δυνάμεων».

## Κοντάκιον Ήχος α'
### Χορός αγγελικός

Τήν κλήσιν αγαθήν, κεκτημένος θεόφρον, ανδρών τών πονηρών, απεστράφης τό σέβας, μή πτήξας κολάσεων, είδος πάν, Αγαθόνικε, όθεν γέγονας, τών αγαθών κληρονόμος, καί απείληφας, σύν τοίς συνάθλοις αξίως, τόν άφθαρτον στέφανον.

### Ο Οίκος

Τόν αγαθόν καί φιλάνθρωπον καθικέτευε, Αγαθόνικε πάνσοφε, τού αγαθύναι τήν κάκωσιν τής εμής καρδίας, καί δωρήσασθαι λόγον μοι, τού αξίως υμνήσαί σου τούς αγώνας, ούς ήθλησας υπέρ τής πίστεως τού Χριστού καί Θεού ημών, πώς πανταχόθεν περιεσκόπεις οία περ ποιμήν, μάρτυς, καί τούς λύκους εκδιώκων εποδήγεις σου τήν ποίμνην πρός γήν αληθείας, βοών εν

παρρησία, Ως πρόβατα εγνώσθημεν σφαγής, διό θάνωμεν, ίνα κομισώμεθα τόν άφθαρτον στέφανον.

## Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΒ' τού αυτού μηνός, μνήμη τού Αγίου Μάρτυρος Αγαθονίκου καί τών σύν αυτώ, Ζωτικού Ζήνωνος, θεοπρεπίου, Ακινδύνου καί Σεβηριανού.

Στίχοι

- Αγαθονίκου κλήσις αψευδεστάτη,
- Χρηστήν βοώσα τούδε νίκην εκ ξίφους.
- Τρείς καρτερούντες μηχανήματος βίαν,
- Τάς μηχανάς λύουσι τού παμμηχάνου.
- Εν μάρτυσι τμηθείσιν αυχένα ξίφει,
- Σεβηριανός τάττεται τμηθείς ξίφει.
- Ιδού παρ ημίν καί Κυρηναίος νέος,
- Ουκ αγγαρευθείς, αλλ' είκων Σταυρόν φέρων.
- Έκτανε δευτερίη ξίφος εικάδι Αγαθόνικον.

Τή αυτή ημέρα, Μνήμη τής Αγίας μάρτυρος Ανθούσης καί Αθανασίου Επισκόπου, τού βαπτίσαντος αυτήν, καί Χαρησίμου καί Νεοφύτου τών οικετών αυτής.

Στίχοι

- Ανθήσαν εκ γής τής Σελευκείας ρόδον,
- Ανθούσαν εδρέψαντο χείρες Αγγέλων.
- Αθανάσιος κάν τεθνήξωμαι ξίφει,
- Τοίς ζώσι Χριστού ζών τετάξομαι φίλοις.
- Δούλοι δύο τμηθέντες, εύρον οι δύο
- Τήν ευγένειαν, ήν απώλεσαν πάλαι.

Τή αυτή ημέρα, οι Άγιοι μάρτυρες Ειρηναίος, Ώρ καί Όροψις ξίφει τελειούνται.

Στίχοι

- Ξίφει τριάς τμηθείσα, τριστάτας πλάνης,
- Βυθώ καλύπτει τών εαυτής αιμάτων.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

## Τού Αγίου Αγαθονίκου

### Ωδή ζ'

Τούς εν καμίνω Παίδάς σου

Επουρανίου δόξης κοινωνός γεγένησαι, πάντα τά εν γή παραδραμών, καί εκ ψυχής τόν ουρανού καί γής Δεσπότην, αγαπήσας ένδοξε, όθεν τιμώμεν τήν σήν, αγίαν μνήμην πιστώς.

Ιχνηλατών τό πάθος τού Χριστού, τού βλύσαντος πάσι τήν απάθειαν πιστοίς, υπέμεινας ονειδισμούς καί θλίψεις μάρτυς, καί θάνατον άδικον, ξίφει τήν σήν κεφαλήν, αποτμηθείς εν χαρά.

Νεκροίς ξοάνοις σέβας ουδαμώς, απένειμας σέβων τόν αθάνατον Θεόν, τόν δι' ημάς νεκρόν οφθέντα, καί τού πλάνου τήν ισχύν νεκρώσαντα, όθεν ζωής αληθούς, έτυχες μάρτυς σοφέ.

Θεοτοκίον

Θεός εκ σού εγένετο βροτός, τό φύραμα Άχραντε θεώσας τών βροτών, καί κοινωνούς φύσεως θείας εκτελέσας, τούς σέ μακαρίζοντας, εν γυναιξίν αληθώς, ευλογημένη Αγνή.

## Τού Αγίου Λούππου

Ο διασώσας εν πυρί

Λελαμπρυσμένος καλλοναίς, τών καλλοποιών παθημάτων, επί Σταυρού τώ δι' ημάς, ενεγκόντι παθήματα ένδοξε, γεγηθώς νύν παρίστασαι, αυγαζόμενος ταίς θείαις φωτοχυσίαις.

Απ' ουρανού σοι φανερώς, ύδωρ εκχυθέν παραδόξως, φωταγωγεί καί δυναμοί, τήν ψυχήν σου βοάν προτρεπόμενον, Υπερύμνητε Κύριε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Ίστασο μέσον τών εχθρών, πύργος απερίτρεπτος ώσπερ, ού σαλευόμενος τόν νούν, πολυτρόπων βασάνων αοίδιμε, αθλητά μηχανήμασι, καταράσσων δέ τήν πλάνην μεγαλοφρόνως.

Θεοτοκίον

Σέ καλλονήν τού Ιακώβ, μόνην εξελέξατο μόνος, ο κατοικών τούς ουρανούς, καί οικήσας εν μέσω σου Άχραντε, ουδαμώς παρεσάλευσε, παρθενίας σου τά κλείθρα ευλογημένη.

## Τού Αγίου Αγαθονίκου

Ωδή η'

Όν φρίττουσιν Άγγελοι

Εκ τόπου συρόμενος, εις τόπον αθλητά, τήν γήν καθηγίασας, τοίς βήμασι τοίς σοίς, καί κλίνας αυχένα ξίφει τέμνοντι σαρκός διεζεύχθης, καί τώ Θεώ ηνώθης.

Μαστίγων παντοίων τε, βασάνων τής σαρκός, ηλόγησας έρωτι, φλεγόμενος Θεού, καί χαίρων συνήφθης τόν αγώνα καλώς, τόν σόν εκτελέσας, ταίς άνω μυριάσιν.

Ισχύς καταβέβληται, ασάρκου δυσμενούς, σαρκός ασθενεία γάρ, οι μάρτυρες Χριστού, ετρέψαντο τού, τον δυναμούμενοι, τή παντοδυνάμω, ισχύϊ τού

Δεσπότου.

Θεοτοκίον

Σκηνήν σε καί τράπεζαν, καί θείαν κιβωτόν, καί στάμνον χωρήσασαν, τό μάννα τής ζωής, καί άγιον όρος ονομάζομεν, Παρθένε Μαρία, αεί ευλογημένη.

## Τού Αγίου Λούππου

Λυτρωτά τού παντός

Μετά πλείστας βασάνους μακάριε, τώ Θεώ τόν αυχένα υπέκλινας, ξίφει καρατομούμενος, κεφαλάς δέ συγκόπτων ως εν εκστάσει, παρανόμων ανδρών διά πίστεως.

Εαυτόν πρός σφαγήν εθελούσιον, ως αρνίον εκδέδωκας άκακον, Αμνόν Θεού τόν αίροντα, εικονίζων τού κόσμου τήν αμαρτίαν, ουκ ερίζοντα ουδέ κραυγάζοντα.

Νοσημάτων παντοίων αλέξημα, ιατρείον ψυχών αδαπάνητον, σού η σορός γεγένηται, πρός Θεού δέ τήν χάριν τών ιαμάτων, κατεπλούτησας Λούππε πανεύφημε.

Θεοτοκίον

Ευλογεί πάσα κτίσις τόν τόκον σου, ευλογίαις ημάς στεφανώσαντα, καί τήν αράν εξάραντα, παντευλόγητε μόνη δεδοξασμένη, η τό γένος ημών χαριτώσασα.

Ο Ειρμός

«Λυτρωτά τού παντός Παντοδύναμε, τούς εν τώ μέσω φλογός ευσεβήσαντας, συγκαταβάς εδρόσισας, καί εδίδαξας μέλπειν, Πάντα τά έργα, ευλογείτε υμνείτε τόν Κύριον».

## Τού Αγίου Αγαθονίκου

Ωδή θ'

Τήν φωτοφορον νεφέλην

Ιερωτάταις χορείαις, τών Ιερών Αποστόλων, καί συναυλίαις Αθλητών, καί Οσίων αγέλαις, καί Προφητών αριθμηθείς, σοφέ Αγαθόνικε, γηθόμενος, σύν αυτοίς τή Τριάδι, στεφηφόρος, νύν παρίστασαι φαιδρώς.

Ως θαυμαστός σου ο ζήλος, ως σταθερά σου η πίστις, ως αγαθή η πρός Θεόν, σού πεποίθησις μάρτυς, ως φωταυγής σου η ζωή, ως χάριτος έμπλεως ο θάνατος, αθανάτου σε δόξης, αθλοφόρε, εκτελέσας κοινωνόν.

Σε τού Χριστού τό αρνίον, τό Ιερώτατον θύμα, τών αθλητών τήν καλλονήν, τών θαυμάτων τήν βρύσιν, τής Εκκλησίας τό τερπνόν, θεόφρον αγλάϊσμα, τό στήριγμα, τών πιστών ευφημούμεν, κατά χρέος, Αγαθόνικε σοφέ.

Η παναγία σου μνήμη, καθαγιάζουσα κόσμον, νύν επεδήμησεν ημίν, παναοίδιμε μάρτυς, εν ή δεόμεθα τυχείν, τής σής αντιλήψεως, τιμώντές σε, Αγαθόνικε πόθω, ως τού Λόγου, αγαθόν θεραπευτήν.

Θεοτοκίον

Φιλαμαρτήμονα γνώμην, καί αδιόρθωτον βίον, καί πλημμελήσασαν ψυχήν, καί καρδίαν ρυπώσαν, έχων ο άσωτος εγώ, προσπίπτω σοι Δέσποινα, βοήθει μοι, καί διόρθωσιν δίδου, πρίν με φθάση, τού θανάτου η τομή.

Τού Αγίου Λούππου

Εύα μέν τώ τής παρακοής

Ώφθης ως πολύφωτος αστήρ τόν ήλιον, καταγγέλλων τοίς καθεύδουσι, μάρτυς εν σκότει απωλείας, υφ' ού καταυγασθέντες εδείχθησαν, ημέρας κοινωνοί διά πίστεως, τής ανεσπέρου αξιάγαστε.

Σήμερον η μνήμη σου ημίν εξέλαμψε, τού ηλίου τηλαυγέστερον, πάσαν τήν γήν φωταγωγούσα, τά νέφη τών ψυχών απελαύνουσα, καί ζόφον τών παθημάτων εξαίρουσα, ήν ετησίως εορτάζομεν.

Η άνω Σιών τών εκλεκτών μητρόπολις, σού τό πνεύμα φέρει χαίρουσα, τών πρωτοτόκων Εκκλησία, φαιδρύνεται, πιστοί δέ τιμώμέν σε, αιτουμενοι σωθήναι πρεσβείαις σου, Λούππε θεόφρον παμμακάριστε.

Θεοτοκίον

Φωτός τού εν σοί μαρμαρυγαίς Θεόνυμφε, τήν ψυχήν μου φωταγώγησον, κείμενον βόθρω απωλείας, ανάστησον εχθρούς καταράσσουσα, τούς θλίβοντας αεί τήν καρδίαν μου, καί πρός τά πάθη συνωθούντάς με.

Ο Ειρμος

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μακαρίζομεν».

Εξαποστειλάριον

Τοίς μαθηταίς συνέλθωμεν

Αγαθονίκου μάρτυρος, τήν υπέρφωτον μνήμην, λαμπροφανώς τελέσωμεν, ήν συνήψεν η χάρις, τή τής Πανάγνου Κοιμήσει, Ούτος γάρ ο γενναίος, τυράννους μέν κατήσχυνεν, εναθλών στερροψύχως, τώ δέ Χριστώ, χαίρων νύν παρίσταται στεφηφόρος, υπέρ ημών δεόμενος, τών αυτόν ευφημούντων.

Τής Εορτής

Ο ουρανόν τοίς άστροις

Απόστολοι εκ περάτων, συναθροισθέντες ενθάδε, Γεθσημανή τώ χωρίω, κηδεύσατέ μου τό σώμα, καί σύ, Υιέ καί Θεέ μου, παράλαβέ μου τό πνεύμα.

Εις τόν Στίχον τών Αίνων, Στιχηρά Προσόμοια.

Ήχος β'

Οίκος τού Εφραθά

Γή μέν τή σή ταφή, ηὐλόγηται Παρθένε, αήρ δέ τή ανόδω, ηγίασται τή ξένη, νόμω θανούσης φύσεως.

Στίχ. Ανάστηθι Κύριε εις τήν ανάπαυσίν σου.

Ύμνοις σου τό σεπτόν, καί θεοδόχον σώμα, προπέμποντες οι θείοι, Απόστολοι εβόων, Πού νύν απαίρεις Δέσποινα;

Στίχ. Ώμοσε Κύριος τώ Δαυϊδ αλήθειαν.

Σώμά σου τή φθορά, απρόσιτον υπήρξε, καί πρός ταφήν εδόθη, τής φύσεως τώ νόμω, μένει δέ αδιάφθορον.

Δόξα... Καί νύν... Όμοιον

Πάντες οι γηγενείς, συνδράμωμεν προθύμως, μετά τών Ασωμάτων, κηδεύσαι τήν τεκούσαν, τόν Ποιητήν τής κτίσεως.

Καί η λοιπή Ακολουθία τού Όρθρου, κατά τό σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΙΕ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

## ΤΗ ΚΓ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Μάρτυρος Λούππου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις δέ τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τρία, δευτερούντες αυτά.

Ήχος α'  Αυτόμελον

Ώ τού παραδόξου θαύματος! η πηγή τής ζωής, εν μνημείω τίθεται, καί κλίμαξ πρός ουρανόν, ο τάφος γίνεται, Ευφραίνου Γεθσημανή, τής Θεοτόκου τό άγιον τέμενος, Βοήσωμεν οι πιστοί, τόν Γαβριήλ κεκτημένοι ταξίαρχον, Κεχαριτωμένη χαίρε, μετά σού ο Κύριος, ο παρέχων τώ κόσμω διά σού τό μέγα έλεος. (Δίς)

Βαβαί τών σών μυστηρίων αγνή! τού Υψίστου θρόνος, ανεδείχθης Δέσποινα, καί γήθεν πρός ουρανόν, μετέστης σήμερον, Η δόξα σου ευπρεπής, θεοφεγγέσιν εκλάμπουσα χάριτι, Παρθένοι σύν τή Μητρί τού Βασιλέως πρός ύψος επάρθητε, Κεχαριτωμένη χαίρε, μετά σού ο Κύριος, ο παρέχων τώ κόσμω, διά σού τό μέγα έλεος. (Δίς)

Τήν σήν δοξάζουσι Κοίμησιν, Εξουσίαι θρόνοι, Αρχαί Κυριότητες, Δυνάμεις καί Χερουβίμ, Καί τά φρικτά Σεραφίμ, Αγάλλονται γηγενείς επί τή θεία σου

δόξη κοσμούμενοι, Προσπίπτουσι βασιλείς, σύν Αρχαγγέλοις Αγγέλοις καί μέλπουσι, Κεχαριτωμένη χαίρε, μετά σού ο Κύριος, ο παρέχων τώ κόσμω, διά σού τό μέγα έλεος. (Δίς)

Δόξα... Καί νύν... Ήχος α'

Θεαρχίω νεύματι, πάντοθεν οι θεοφόροι Απόστολοι, υπό νεφών μεταρσίως αιρόμενοι.

Ήχος πλ. α'

Καταλαβόντες τό πανάχραντον, καί ζωαρχικόν σου σκήνος, εξόχως ησπάζοντο.

Ήχος β'

Αι δέ υπέρτατοι τών ουρανών Δυνάμεις, σύν τώ οικείω Δεσπότή παραγενόμεναι.

Ήχος πλ. β'

Τό θεοδόχον καί ακραιφνέστατον σώμα προπέμπουσι, τώ δέει κρατούμεναι, υπερκοσμίως δέ προώχοντο, καί αοράτως εβόων, ταίς ανωτέραις ταξιαρχίαις, ιδού η παντάνασσα θεόπαις παραγέγονεν.

Ήχος γ'

Άρατε πύλας, καί ταύτην υπερκοσμίως υποδέξασθε, τήν τού αενάου φωτός Μητέρα.

Ήχος βαρύς

Διά ταύτης γάρ η παγγενής τών βροτών σωτηρία γέγονεν, ή ατενίζειν ουκ ισχύομεν, καί ταύτη άξιον γέρας απονέμειν αδύνατον.

Ήχος δ'

Ταύτης γάρ τό υπερβάλλον, υπερέχει πάσαν έννοιαν.

Ήχος πλ. δ'

Διό άχραντε Θεοτόκε, αεί σύν ζωηφόρω Βασιλεί, καί τόκω ζώσα, πρέοβευε διηνεκώς, περιφρουρήσαι καί σώσαι, από πάσης προσβολής εναντίας τήν νεολαίαν σου, τήν γάρ σήν προστασίαν κεκτήμεθα.

Ήχος α'

Εις τούς αιώνας, αγλαοφανώς μακαρίζοντες.

Εις τόν Στίχον Ιδιομελα.

Ήχος δ'

Δεύτε ανυμνήσωμεν λαοί, τήν Παναγίαν Παρθένον αγνήν, εξ ής αρρήτως προήλθε, σαρκωθείς ο Λόγος τού Πατρός, κράζοντες καί λέγοντες, Ευλογημένη σύ εν γυναιξί, Μακαρία η γαστήρ, η χωρήσασα Χριστόν, Αυτού ταίς αγίαις χερσί, τήν ψυχήν παραθεμένη, πρέσβευε άχραντε, σωθήναι τάς ψυχάς ημών.

Στίχ. Ανάστηθι Κύριε εις τήν ανάπαυσίν σου.

Τήν πάνσεπτόν σου Κοίμησιν, Παναγία Παρθένε αγνή, τών Αγγέλων τά πλήθη εν ουρανώ, καί ανθρώπων τό γένος επί τής γής μακαρίζομεν, ότι Μήτηρ γέγονας τού ποιητού τών απάντων Χριστού τού Θεού, Αυτόν

ικετεύουσα, υπέρ ημών μή παύση δεόμεθα, τών εις σέ μετά Θεόν, τάς ελπίδας θεμένων, Θεοτόκε πανύμνητε, καί απειρόγαμε.

Στίχ. Ώμοσε Κύριος τώ Δαυϊδ αλήθειαν, καί ου μή αθετήσει αυτήν.

Δαυϊτικήν ωδήν σήμερον λαοί, άσωμεν Χριστώ τώ Θεώ, Απενεχθήσονται φησί, τώ Βασιλεί παρθένοι οπίσω αυτής, απενεχθήσονται εν ευφροσύνη καί αγαλλιάσει, Η γάρ εκ σπέρματος Δαυϊδ, δι' ής ημείς εθεώθημεν, εν ταίς χερσί τού εαυτής Υιού καί Δεσπότου, ενδόξως καί υπέρ λόγον μετατίθεται, ήν ως Μητέρα Θεού ανυμνούντες βοώμεν καί λέγομεν, Σώσον ημάς, τούς ομολογούντας σε Θεοτόκε, από πάσης περιστάσεως, καί λύτρωσαι κινδύνων τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Ήχος δ'

Ότε εξεδήμησας Θεοτόκε Παρθένε, πρός τόν εκ σού τεχθέντα αφράστως, παρήν Ιάκωβος ο Αδελφόθεος, καί πρώτος, Ιεράρχης, Πέτρος τε η τιμιωτάτη κορυφαία τών θεολόγων ακρότης, καί σύμπας ο θείος τών Αποστόλων χορός, εκφαντορικαίς θεολογίαις υμνολογούντες, τό θείον καί εξαίσιον, τής Χριστού τού Θεού οικονομίας μυστήριον, καί τό ζωαρχικόν, καί θεοδόχον σου σώμα κηδεύσαντες, έχαιρον πανύμνητε, Ύπερθεν δέ αί πανάγιαι καί πρεσβύταται τών Αγγέλων Δυνάμεις, τό θαύμα εκπληττόμεναι, κεκυφυίαι αλλήλαις έλεγον, Άρατε υμών τάς πύλας, καί υποδέξασθε τήν τεκούσαν, τόν ουρανού καί γής Ποιητήν, δοξολογίαις τε ανυμνήσωμεν, τό σεπτόν καί άγιον σώμα, τό χωρήσαν τόν ημίν αθεώρητον καί Κύριον, Διόπερ καί ημείς τήν μνήμην σου εορτάζοντες, εκβοώμέν σοι Πανύμνητε, Χριστιανών τό κέρας ύψωσον, καί σώσον τάς ψυχάς ημών.

Απολυτίκιον Ήχος α'

Εν τή Γεννήσει τήν παρθενίαν εφύλαξας, έν τή Κοιμήσει τόν κόσμον ού κατέλιπες Θεοτόκε, Μετέστης πρός τήν ζωήν, μήτηρ υπάρχουσα τής ζωής, καί ταίς πρεσβείαις ταίς σαίς λυτρουμένη, εκ θανάτου τάς ψυχάς ημών.

Καί Απόλυσις

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος δ'

Κατεπλάγη Ιωσήφ

Αναβόησον Δαυϊδ, τίς η παρούσα Εορτή; Ήν ανύμνησα φησίν, εν τώ βιβλίω τών Ψαλμών, ως θυγατέρα θεόπαιδα καί Παρθένον, μετέστησεν αυτήν, πρός τάς εκείθεν μονάς, Χριστός ο εξ αυτής, άνευ σποράς γεννηθείς, καί διά τούτο χαίρουσι, μητέρες καί θυγατέρες καί νύμφαι Χριστού, βοώσαι, Χαίρε, η μεταστάσα πρός τά άνω βασίλεια.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος α'
Τόν τάφον σου Σωτήρ

Ο πάντιμος χορός, τών σοφών Αποστόλων, ηθροίσθη θαυμαστώς, τού κηδεύσαι ενδόξως, τό σώμά σου τό άχραντον, Θεοτόκε Πανύμνητε, οίς συνύμνησαν, καί τών Αγγέλων τά πλήθη, τήν Μετάστασιν, τήν σήν σεπτώς ευφημούντες, ήν πίστει εορτάζομεν.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τόν Πολυέλεον

Κάθισμα Ήχος γ'
Τήν ωραιότητα

Εν τή Γεννήσει σου, σύλληψις άσπορος, έν τή Κοιμήσει σου, νέκρωσις άφθορος, θαύμα εν θαύματι διπλούν, συνέδραμε Θεοτόκε, πώς γάρ η απείρανδρος, βρεφοτρόφος αγνεύουσα; πώς δέ η μητρόθεος, νεκροφόρος μυρίζουσα; Διό σύν τώ Αγγέλω βοώμέν σοι, Χαίρε η Κεχαριτωμένη.

Δόξα... Καί νύν... Τό αυτό

Ψάλλονται οι δύο Κανόνες, ο α' μετά τών Ειρμών εις η' καί ο δ' εις ς', ύστερον δέ πάλιν οι Ειρμοί, κανών πρώτος, ού η Ακροστιχίς.

Πανηγυριζέτωσαν οι θεόφρονες.
Ποίημα τού Κυρίου Κοσμά.

Ωδή α' Ήχος α' Ο Ειρμός

«Πεποικιλμένη τή θεία δόξη, η ιερά καί ευκλεής Παρθένε μνήμη σου, πάντας συνηγάγετο, πρός ευφροσύνην τούς πιστούς, εξαρχούσης Μαριάμ, μετά χορών καί τυμπάνων τώ σώ, άδοντας Μονογενεί, ενδόξως ότι δεδόξασται».

Αμφεπονείτο αϋλων τάξις, ουρανοβάμων εν Σιών τό θείον σώμά σου, άφνω δέ συρρεύσασα, τών Αποστόλων η πληθύς, εκ περάτων Θεοτόκε, σοί παρέστησαν άρδην, μεθ' ών άχραντε, σού τήν σεπτήν, Παρθένε μνήμην δοξάζομεν.

Νικητικά μέν βραβεία ήρω, κατά τής φύσεως Αγνή, Θεόν κυήσασα, όμως μιμουμένη δέ, τόν ποιητήν σου καί Υιόν, υπέρ φύσιν υποκύπτεις, τοίς τής φύσεως νόμοις, διό θνήσκουσα, σύν τώ Υιώ εγείρη διαιωνίζουσα.

Κανών δεύτερος

Ποίημα Ιωάννου τού Δαμασκηνού.

Ωδή α'  Ήχος δ'  Ο Ειρμός

«Ανοίξω τό στόμα μου, καί πληρωθήσεται Πνεύματος, καί λόγον ερεύξομαι τή Βασιλίδι Μητρί, καί οφθήσομαι, φαιδρώς πανηγυρίζων, καί άσω γηθόμενος, ταύτης τήν Κοίμησιν».

Παρθένοι νεάνιδες, σύν Μαριάμ τή Προφήτιδι, ωδήν τήν εξόδιον νύν αλαλάξατε, η Παρθένος γάρ, καί μόνη Θεοτόκος, πρός λήξιν ουράνιον διαβιβάζεται.

Αξίως ως έμψυχον, σέ ουρανόν υπεδέξαντο, ουράνια Πάναγνε, θεία σκηνώματα, καί παρέστηκας, φαιδρώς ωραϊσμένη, ως νύμφη πανάμωμος, τώ Βασιλεί καί Θεώ.

Ωδή γ'  Ο Ειρμός

«Η δημιουργική, καί συνεκτική τών απάντων, Θεού σοφία καί δύναμις, ακλινή ακράδαντον, τήν Εκκλησίαν στήριξον Χριστέ, μόνος γάρ εί άγιος, ο εν αγίοις αναπαυόμενος».

Γυναίκά σε θνητήν, αλλ' υπερφυώς καί Μητέρα, Θεού ειδότες Πανάμωμε, οι κλεινοί Απόστολοι, πεφρικυίαις ήπτοντο χερσί, δόξη απαστράπτουσαν, ως θεοδόχον σκήνος θεώμενοι.

Υπέφθασε χερσί, ταίς υβριστικαίς τού αυθάδους, τομήν η δίκη επάξασα, τού Θεού φυλάξαντος, τό σέβας τή εμψύχω κιβωτώ, δόξη τής θεότητος, εν ή ο Λόγος σάρξ εχρημάτισε.

Κανών δεύτερος

Ο Ειρμός

«Τούς σούς υμνολόγους Θεοτόκε, η ζώσα καί άφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικόν στερέωσον, καί εν τή θεία δόξη σου, στεφάνων δόξης αξίωσον».

Θνητής εξ οσφύος προαχθείσα, τή φύσει κατάλληλον Αγνή, τήν εξοδον διήνυσας, Τεκούσα δέ τήν όντως ζωήν, πρός τήν ζωήν μεθέστηκας, τήν θείαν καί ενυπόστατον.

Δήμος θεολόγων εκ περάτων, εξ ύψους Αγγέλων δέ πληθύς, πρός τήν Σιών ηπείγοντο, παντοδυνάμω νεύματι, αξιοχρέως Δέσποινα, τή σή ταφή λειτουργήσοντες.

Η Υπακοή

Ήχος πλ. α'

Μακαρίζομέν σε πάσαι αι γενεαί, Θεοτόκε Παρθένε, εν σοί γάρ ο αχώρητος Χριστός ο Θεός ημών, χωρηθήναι ευδόκησε, Μακάριοι εσμέν καί ημείς προστασίαν σε έχοντες, ημέρας γάρ καί νυκτός πρεσβεύεις υπέρ ημών, καί τά σκήπτρα τής βασιλείας, ταίς σαίς ικεσίαις κρατύνονται, Διό ανυμνούντες βοώμέν σοι Χαίρε Κεχαριτωμένη, ο Κύριος μετά σού.

Ωδή δ' Ο Ειρμός

«Ρήσεις Προφητών καί αινίγματα, τήν σάρκωσιν υπέφηναν, τήν εκ Παρθένου σου Χριστέ, φέγγος αστραπής σου, εις φώς εθνών εξελεύσεσθαι, καί φωνεί σοι άβυσσος, εν αγαλλιάσει, τή δυνάμει σου δόξα Φιλάνθρωπε».

Ίδετε λαοί καί θαυμάσατε, τό όρος γάρ τό άγιον, καί εμφανέστατον Θεού, τών επουρανίων βουνών, εφύπερθεν αίρεται, ουρανός επίγειος, εν επουρανίω, καί αφθάρτω χθονί οικιζόμενος.

Ζωής αϊδίου καί κρείττονος, ο θάνατός σου γέγονε, διαβατήριον Αγνή, εκ τής επικήρου πρός θείαν όντως καί άρρευστον, μεθιστών σε άχραντε, εν αγαλλιάσει, τόν Υιόν καθοράν σου καί Κύριον.

Επήρθησαν πύλαι ουράνιαι, καί Άγγελοι ανύμνησαν, καί υπεδέξατο Χριστός, τό τής παρθενίας αυτού, μητρώον κειμήλιον, Χερουβίμ υπείξέ σοι, εν αγαλλιάσει, Σεραφίμ δέ δοξάζει σε χαίροντα.

Κανών δεύτερος

Ο Ειρμός

«Τήν ανεξιχνίαστον θείαν βουλήν, τής εκ τής Παρθένου σαρκώσεως, σού τού Υψίστου, ο Προφήτης Αββακούμ, κατανοών εκραύγαζε, Δόξα τή δυνάμει σου Κύριε».

Θάμβος ήν θεάσασθαι τόν ουρανόν, τού Παμβασιλέως τόν έμψυχον, τούς κενεώνας, υπερχόμενον τής γής, Ως θαυμαστά τά έργα σου Δόξα τή δυνάμει σου Κύριε.

Εν τή Μεταστάσεισου Μητέρθεού, τό ευρυχωρότατον σώμά σου καί θεοδόχον, τών Αγγέλων στρατιαί, Ιερωτάταις πτέρυξι, φόβω καί χαρά συνεκάλυπτον.

Ει ο ακατάληπτος ταύτης καρπός, δι' όν ουρανός εχρημάτισε, ταφήν υπέστη, εκουσίως ως θνητός, πώς τήν ταφήν αρνήσεται, η απειρογάμως κυήσασα.

Ωδή ε' Ο Ειρμός

«Τό θείον καί άρρητον κάλλος, τών αρετών σου Χριστέ διηγήσομαι, εξ αϊδίου γάρ δόξης συναϊδιον, καί ενυπόστατον λάμψας απαύγασμα, Παρθενικής από

γαστρός, τοίς εν σκότει καί σκιά, σωματωθείς ανέτειλας ήλιος».

Ως επί νεφέλης Παρθένε, τών Αποστόλων ο δήμος οχούμενος, πρός την Σιών εκ περάτων λειτουργήσαί σοι, τή νεφέλη τή κούφη ηθροίζετο, αφ' ής ο Ύψιστος Θεός, τοίς εν σκότει καί σκιά, δικαιοσύνης έλαμψεν ήλιος.

Σαλπίγγων θεόληπτοι γλώσσαι, τών θεολόγων ανδρών ευηχέστερον, τή Θεοτόκω εβόων τόν εξόδιον, ενηχούμεναι ύμνον τώ Πνεύματι, Χαίροις ακήρατε πηγή, τής τού Θεού ζωαρχικής, καί σωτηρίου πάντων σαρκώσεως.

Κανών δεύτερος

Ο Ειρμός
«Εξέστη τά σύμπαντα, επί τή θεία δόξη σου, σύ γάρ απειρόγαμε Παρθένε, γήθεν μετέστης πρός αιωνίους μονάς, καί πρός ατελεύτητον ζωήν, πάσι τοίς υμνούσί σε, σωτηρίαν βραβεύουσα».

Κροτείτωσαν σάλπιγγες, τών θεολόγων σήμερον, γλώσσα δέ πολύφθογγος ανθρώπων, νύν ευφημείτω, περιηχείτω αήρ, απείρω λαμπόμενος φωτί, Άγγελοι υμνείτωσαν, τής Παρθένου τήν Κοίμησιν.

Τό σκεύος διέπρεπε, τής εκλογής τοίς ύμνοις σοι, όλος εξιστάμενος Παρθένε, έκδημος, όλως, Ιερωμένος Θεώ, τοίς πάσι θεόληπτος καί ών, όντως καί δεικνύμενος, Θεοτόκε πανύμνητε.

Ωδή ς'  Ο Ειρμός
«Άλιον ποντογενές, κητώον εντόσθιον πύρ, τής τριημέρου ταφής σου ήν προεικόνισμα, ού Ιωνάς υποφήτης αναδέδεικται, σεσωσμένος γάρ ως καί προυπέποτο, ασινής εβόα, θύσω σοι μετά φωνής αινέσεως Κύριε».

Νέμει σοι τά υπέρ φύσιν, Άναξ ο πάντων Θεός, εν γάρ τώ τίκτειν, Παρθένον ώσπερ εφυλαξεν, ούτως εν τάφω τό σώμα διετήρησεν, αδιάφθορον, καί συνεδόξασε, θεία μεταστάσει, γέρα σοι ώσπερ Υιός Μητρί χαριζόμενος.

Όντως σε ως φαεινήν λυχνίαν, αϋλου πυρός, θυμιατήριον θείου χρύσεον άνθρακος, εν τοίς Αγίων Αγίοις κατεσκήνωσε, στάμνον ράβδον τε πλάκα θεόγραφον, κιβωτόν αγίαν, τράπεζαν άρτου ζωής, Παρθένε ο τόκος σου.

Κανών δευτερος

Ο Ειρμός
«Τήν θείαν ταύτην καί πάντιμον, τελούντες εορτήν οι θεόφρονες, τής Θεομήτορος, δεύτε τάς χείρας κροτήσωμεν, τόν εξ αυτής τεχθέντα Θεόν δοξάζοντες».

Εκ σού ζωή ανατέταλκε, τάς κλείς τής παρθενίας μή λύσασα, πώς ούν τό άχραντον, ζωαρχικόν τε σου σκήνωμα, τής τού θανάτου πείρας γέγονε μέτοχον.

Ζωής υπάρξασα τέμενος, ζωής τής αϊδίου τετύχηκας, διά θανάτου γάρ, πρός τήν ζωήν μεταβέβηκας, η τήν ζωήν τεκούσα τήν ενυπόστατον.

Κοντάκιον  Ήχος πλ. β'
Αυτόμελον

Τήν εν πρεσβείαις ακοίμητον Θεοτόκον, καί προστασίαις αμετάθετον ελπίδα, τάφος καί νέκρωσις ουκ εκράτησεν, ως γάρ ζωής Μητέρα, πρός τήν ζωήν μετέστησεν, ο μήτραν οικήσας αειπάρθενον.

Ο Οίκος

Τείχισόν μου τάς φρένας Σωτήρ μου, τό γάρ τείχος τού κόσμου ανυμνήσαι τολμώ, τήν άχραντον Μητέρα σου, εν πύργω ρημάτων ενίσχυσόν με, καί εν βάρεσιν εννοιών οχύρωσόν με, σύ γάρ βοάς τών αιτούντων πιστώς τάς αιτήσεις πληρούν, Σύ ούν μοι δώρησαι γλώτταν, προφοράν, καί λογισμόν ακαταίσχυντον, πάσα γάρ δόσις ελλάμψεως παρά σού καταπέμπεται φωταγωγέ, ο μήτραν οικήσας αειπάρθενον.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΓ' τού αυτού μηνός, Μνήμη τού Αγίου Μάρτυρος Λούππου.

Στίχοι

- Υπήρχε Λούππος δούλος, εκ δέ τού ξίφους
- Ελεύθερος προσήλθε τώ Χριστώ φίλος.
- Εικάδι εν τριτάτη πέφνε Λούππον φασγάνου ακμή.

Τή αυτή ημέρα, μνήμη τού Αγίου ιερομάρτυρος Ειρηναίου, Επισκόπου Σιρμίου.

Στίχοι

- Τμηθείς μετέσχε νεκρικών ο Σιρμίου,
- Λουτρών σχεδίων αιμάτων ποταμίων.

Τή αυτή ημέρα, μνήμη τού Αγίου Ιερομάρτυρος Ειρηναίου, Επισκόπου Λουγδούνων.

Στίχοι

- Σπεύδει λιπείν γήν εκ ξίφους Ειρηναίος.
- Ερωτιά γάρ τώ πρός ουρανούς πόθω.

Τή αυτή ημέρα, μνήμη τού οσίου Πατρός ημών Καλλινίκου, Πατριάρχου Κωνσταντινουπόλεως.

Στίχοι

- Καλλίνικος μένουσαν ηδονήν μένων,
- Πρός τήν τελευτήν ουκ αηδώς ήν έχων.

Τή αυτή ημέρα, οι Άγιοι τριάκοντα οκτω μάρτυρες, οι εν θράκη, ξίφει τελειούνται.

Στίχοι

- Ήνεγκε τριπλή μαρτύρων δεκάς ξίφος,
- Έχουσα καί σύναθλον απλήν οκτάδα.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'  Ο Ειρμός

«Ιταμώ θυμώ τε καί πυρί, θείος έρως αντιταττόμενος, τό μέν πύρ εδρόσιζε, τώ θυμώ δέ εγέλα, θεοπνεύστω λογική, τή τών οσίων τριφθόγγω λύρα αντιφθεγγόμενος, μουσικοίς οργάνοις εν μέσω φλογός, ο δεδοξασμένος, τών Πατέρων καί ημών Θεός ευλογητός εί».

Θεοτεύκτους πλάκας Μωϋσής, γεγραμμένας τώ θείω Πνεύματι, εν θυμώ συνέτριψεν, αλλ' ο τούτου Δεσπότης, τήν τεκούσαν ασινή, τοίς ουρανίοις φυλάξας δόμοις, νύν εισωκίσατο, Σύν αυτή σκιρτώντες βοώμεν Χριστώ, ο δεδοξασμένος, τών Πατέρων καί ημών, Θεός ευλογητός εί.

Εν κυμβάλοις χείλεσιν αγνοίς, μουσική τε καρδίας φόρμιγγι, εν ευήχω σάλπιγγι, υψηλής διανοίας, τής Παρθένου καί αγνής, εν τή ευσήμω κλητή ημέρα τής Μεταστάσεως, πρακτικαίς κροτούντες βοώμεν χερσίν, ο δεδοξασμένος, τών Πατέρων καί ημών, Θεός ευλογητός εί.

Ο θεόφρων ήθροισται λαός, τής γάρ δόξης Θεού τό σκήνωμα, εν Σιών μεθίσταται πρός ουράνιον δόμον, ένθα ήχος καθαρός εορταζόντων, φωνή αφράστου αγαλλιάσεως, καί εν ευφροσύνη βοώντων Χριστώ, ο δεδοξασμένος, τών Πατέρων καί ημών, Θεός ευλογητός εί.

Κανών δεύτερος

Ο Ειρμός

«Ουκ ελάτρευσαν τή κτίσει οι θεόφρονες, παρά τόν κτίσαντα, αλλά πυρός απειλήν, ανδρείως πατήσαντες, χαίροντες έψαλλον, Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί».

Νεανίσκοι καί παρθένοι τής Παρθένου τε, καί Θεομήτορος, τήν μνήμην σέβοντες, πρεσβύται καί άρχοντες, καί βασιλείς σύν κριταίς, μελωδήσατε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Σαλπισάτωσαν τή σάλπιγγι τού Πνεύματος, όρη ουράνια, αγαλλιάσθωσαν νύν, βουνοί καί σκιρτάτωσαν θείοι, Απόστολοι, η Βασίλισσα, προς τόν Υιον μεθίσταται, σύν αυτώ αεί κρατούσα.

Η πανίερος Μετάστασις τής θείας σου, καί ακηράτου Μητρός, τά υπερκόσμια, τών άνω Δυνάμεων, ήθροισε τάγματα, συνευφραίνεσθαι, τοίς επί γής σοι μέλπουσιν, ο Θεός ευλογητός εί.

### Ωδή η'  Ο Ειρμός

«Φλόγα δροσίζουσαν Οσίους, δυσσεβείς δέ καταφλέγουσαν, Άγγελος Θεού ο πανσθενής, έδειξε Παισί, ζωαρχικήν δέ πηγήν ειργάσατο τήν Θεοτόκον, φθοράν θανάτου, καί ζωήν βλυστάνουσαν τοίς μέλπουσι, τόν Δημιουργόν μόνον υμνούμεν, οι λελυτρωμένοι, καί υπερυψούμεν εις πάντας τούς αιώνας».

Ρήμασιν είχοντο τής θείας, κιβωτού τού αγιάσματος, πάσα η πληθύς τών θεολόγων εν τή Σιών, Πού νύν απαίρεις σκηνή κραυγάζοντες, Θεού τού ζώντος; Μή διαλίπης εποπτεύουσα, τούς πίστει μέλποντας, τόν Δημιουργόν μόνον υμνούμεν, οι λελυτρωμένοι, καί υπερυψούμεν εις πάντας τούς αιώνας.

Όπως υψώσασα τάς χείρας, εκδημούσα η πανάμωμος, χείρας τάς Θεόν ηγκαλισμένας, σωματικώς εν παρρησία, ως Μήτηρ έφησε πρός τον τεχθέντα, ούς μοι εκτήσω, εις αιώνας φύλαττε βοώντάς σοι, τόν Δημιουργόν μόνον υμνούμεν, οι λελυτρωμένοι, καί υπερυψούμεν εις πάντας τούς αιώνας.

### Κανών δεύτερος

### Ο Ειρμός

«Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν, τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Τήν μνήμην σου άχραντε Παρθένε, Αρχαί τε καί Εξουσίαι σύν Δυνάμεσιν, Άγγελοι, Αρχάγγελοι, θρόνοι Κυριότητες, τά Χερουβίμ δοξάζουσι, καί τά φρικτά Σεραφίμ, ανθρώπων δέ τό γένος υμνούμεν, καί υπερυψούμεν εις πάντας τούς αιώνας.

Ο ξένως οικήσας Θεοτόκε, εν τή αχράντω νηδυϊ σου σαρκούμενος, ούτος τό πανίερον, πνεύμά σου δεξάμενος, εν εαυτώ κατέπαυσεν, ως οφειλέτης Υιός, διό σέ τήν Παρθένον υμνούμεν, καί υπερυψούμεν εις πάντας τούς αιώνας.

Ώ τών υπέρ έννοιαν θαυμάτων, τής αειπαρθένου καί Θεομήτορος! τάφον γάρ οικήσασα, έδειξε Παράδεισον, ώ παρεστώτες σήμερον, χαίροντες ψάλλομεν, τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε εις πάντας τούς αιώνας.

### Ωδή θ'

Μεγαλυνάριον, όπερ στιχολογείται εν εκάστω τροπαρίω τής παρούσης

Ωδής.

Αι γενεαί πάσαι, μακαρίζομέν σε, τήν μόνην Θεοτόκον.

Ο Ειρμός

«Νενίκηνται τής φύσεως οι όροι, εν σοι Παρθένε άχραντε, παρθενεύει γάρ τόκος, καί ζωήν προμνηστεύεται θάνατος, Η μετά τό κον Παρθένος, καί μετά θάνατον ζώσα, σώζοις αεί, Θεοτόκε, τήν κληρονομίαν σου».

Εξίσταντο Αγγέλων αι δυνάμεις, εν τή Σιων σκοπούμεναι, τόν οικείον Δεσπότην, γυναικείαν ψυχήν χειριζόμενον, τή γάρ αχράντως τεκούση, υιοπρεπώς προσεφώνει, Δεύρο Σεμνή, τώ Υιώ καί Θεώ συνδοξάσθητι.

Συνέστειλε χορός τών Αποστόλων, τό θεοδόχον Σώμά σου, μετά δέους ορώντες, καί φωνή λιγυρά προσφθεγγόμενοι, Εις ουρανίους θαλάμους, πρός τόν Υιόν εκφοιτώσα, σώζοις αεί, Θεοτόκε την κληρονομίαν σου.

Κανών δεύτερος

Μεγαλυνάριον στιχολογούμενον καί αυτό ως τό ανωτέρω.

Άγγελοι τήν Κοίμησιν τής Παρθένου, ορώντες εξεπλήττοντο, πώς η Παρθένος απαίρει, από τής γής εις τά άνω.

Ο Ειρμός

«Άπας γηγενής, σκιρτάτω τώ πνεύματι, λαμπαδοχούμενος, πανηγυριζέτω δέ, αϋλων Νόων φύσις γεραίρουσα, τήν Ιεράν πανήγυριν τής Θεομήτορος, καί βοάτω, Χαίροις παμμακάριστε, Θεοτόκε αγνή αειπάρθενε».

Δεύτε εν Σιών, τώ θείω καί πίονι, όρει τού ζώντος Θεού, αγαλλιασώμεθα, τήν Θεοτόκον ενοπτριζόμενοι, πρός γάρ τήν λίαν κρείττονα, καί θειοτέραν σκηνήν, ως Μητέρα, ταύτην εις τά Άγια, τών Αγίων Χριστός μετατίθησι.

Δεύτε οι πιστοί, τώ τάφω προσέλθωμεν, τής Θεομήτορος, καί περιπτυξώμεθα, καρδίας χείλη όμματα μέτωπα, ειλικρινώς προσάπτοντες, καί αρυσώμεθα, ιαμάτων, άφθονα χαρίσματα, εκ πηγής αενάου βλυστάνοντα.

Δέχου παρ' ημών, ωδήν τήν εξόδιον, Μήτερ τού ζώντος Θεού, καί τή φωτοφόρω σου, καί θεία επισκίασον χάριτι, τώ Βασιλεί τά τρόπαια, τώ φιλοχρίστω λαώ, τήν ειρήνην, άφεσιν τοίς μέλπουσι, καί ψυχών σωτηρίαν βραβεύουσα.

Εξαποστειλάριον

Ήχος γ'  εκ τρίτου

Απόστολοι εκ περάτων, συναθροισθέντες ενθάδε, Γεθσημανή τώ χωρίω, κηδεύσατέ μου τό σώμα, καί σύ Υιέ καί Θεέ μου, παράλαβέ μου τό πνεύμα.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια δευτερούντες τό α'.

Ήχος δ'
Ως γενναίον έν Μάρτυσι

Τή ενδόξω Κοιμήσει σου, ουρανοί επαγάλλονται, καί Αγγέλων γέγηθε τά στρατεύματα, πάσα η γή δέ ευφραίνεται, ωδήν σοι εξόδιον προσφωνούσα τή Μητρί, τού τών όλων δεσπόζοντος, απειρόγαμε, Παναγία Παρθένε, η τό γένος τών ανθρώπων ρυσαμένη, προγονικής αποφάσεως. (Δίς)

Εκ περάτων συνέδραμον, Αποστόλων οι πρόκριτοι, θεαρχίω, νεύματι τού κηδεύσαί σε, καί από γής αιρομένην σε, πρός ύψος θεώμενοι, τήν φωνήν τού Γαβριήλ, εν χαρά ανεβόων σοι, Χαίρε όχημα, τής θεότητος όλης, χαίρε μόνη, τά επίγεια τοίς άνω, τώ τοκετώ σου συνάψασα.

Τήν ζωήν η κυήσασα, πρός ζωήν μεταβέβηκας, τή σεπτή Κοιμήσει σου τήν αθάνατον, δορυφορούντων Αγγέλων σοι, Αρχών καί Δυνάμεων, Αποστόλων Προφητών, καί απάσης τής κτίσεως, δεχομένου τε, ακηράτοις παλάμαις τού Υίού σου, τήν αμώμητον ψυχήν σου, Παρθενομήτορ Θεόνυμφε.

Δόξα... Καί νύν... Ήχος πλ. β'

Τή αθανάτω σου Κοιμήσει, Θεοτόκε Μήτηρ τής ζωής, νεφέλαι τούς Αποστόλους, αιθερίους διήρπαζον, καί κοσμικώς διεσπαρμένους, ομοχώρους παρέστησαν τώ αχράντω σου σώματι, οί καί κηδεύσαντες σεπτώς, τήν φωνήν τού Γαβριήλ, μελωδούντες ανεβόων, Χαίρε κεχαριτωμένη, Παρθένε Μήτηρ ανυμφευτε, ο Κύριος μετά σού, Μεθ' ών ως Υιόν σου καί Θεόν ημών, ικέτευε σωθήναι τάς ψυχάς ημών.

Δοξολογία μεγάλη

Δίδοται καί άγιον έλαιοντοίς αδελφοίς.

Εις τήν Λειτουργίαν. Τά Τυπικά, οι Μακαρισμοί, καί εκ τών κανόνων τής Εορτής Ωδή γ' καί ς'.

Εί δέ βούλει, ειπέ τά παρόντα Αντίφωνα.

Αντίφωνον Α'

Στίχος α'. Αλαλάξατε τώ Θεώ πάσα η γή.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχος β'. Εξομολογείσθε αυτώ, αινείτε τό όνομα αυτού.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχος γ'. Εν πόλει Κυρίου τών δυνάμεων, εν πόλει Θεού ημών.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Στίχος δ'. Εγενήθη εν ειρήνη ο τόπος αυτού, καί τό κατοικητήριον αυτού εν Σιών.

Ταίς πρεσβείαις τής Θεοτόκου...

Δόξα... Καί νύν...

Ταίς πρεσβείαις τής Θεοτόκου...

## Αντίφωνον Β'

Στίχος α'. Αγαπά Κύριος τάς πύλας Σιών, υπέρ πάντα τά σκηνώματα Ιακώβ.

Σώσον ημάς Υιέ Θεού, ο εν Αγίοις θαυμαστός, ψάλλοντάς σοι. Αλληλούϊα.

Στίχος β'. Δεδοξασμένα ελαλήθη περί σού, η πόλις τού Θεού.

Σώσον ημάς Υιέ Θεού...

Στίχος γ'. Ο Θεός εθεμελίωσεν αυτήν εις τόν αιώνα.

Σώσον ημάς Υιέ Θεού...

Στίχος δ'. Ηγίασε τό σκήνωμα αυτού ο Ύψιστος.

Σώσον ημάς Υιέ Θεού...

Δόξα... Καί νύν...

Ο μονογενής Υιός καί Λόγος...

## Αντίφωνον Γ'

Στίχος α'. Ετοίμη η καρδία μου, ο Θεός, ετοίμη η καρδία μου.

Ήχος α'

Εν τή Γεννήσει τήν παρθενίαν εφύλαξας, έν τή Κοιμήσει τόν κόσμον ού κατέλιπες Θεοτόκε, Μετέστης πρός τήν ζωήν, μήτηρ υπάρχουσα τής ζωής, καί ταίς πρεσβείαις ταίς σαίς λυτρουμένη, εκ θανάτου τάς ψυχάς ημών.

Στίχος β'. Τί ανταποδώσω τώ Κυρίω περί
πάντων ών ανταπέδωκέ μοι;

Εν τή Γεννήσει τήν παρθενίαν...

Στίχος γ'. Ποτήριον σωτηρίου λήψομαι, καί τό όνομα Κυρίου επικαλέσομαι.

Εν τή Γεννήσει τήν παρθενίαν...

Εισοδικόν

Δεύτε προσκυνήσωμεν, καί προσπέσωμεν Χριστώ. Σώσον ημάς Υιέ Θεού, ο εν αγίοις θαυμαστός, ψάλλοντάς σοι. Αλληλούϊα.

Απολυτίκιον Ήχος α'

Εν τή Γεννήσει τήν παρθενίαν εφύλαξας, έν τή Κοιμήσει τόν κόσμον ού κατέλιπες Θεοτόκε, Μετέστης πρός τήν ζωήν, μήτηρ υπάρχουσα τής ζωής, καί ταίς πρεσβείαις ταίς σαίς λυτρουμένη, εκ θανάτου τάς ψυχάς ημών.

Κοντάκιον Ήχος πλ. β'

Αυτόμελον

Τήν εν πρεσβείαις ακοίμητον Θεοτόκον, καί προστασίαις αμετάθετον ελπίδα, τάφος καί νέκρωσις ουκ εκράτησεν, ως γάρ ζωής Μητέρα, πρός τήν ζωήν μετέστησεν, ο μήτραν οικήσας αειπάρθενον.

Εις τό, Εξαιρέτως

Ήχος α'

Αι γενεαί πάσαι, μακαρίζομέν σε, τήν μόνην Θεοτόκον.

Ο Ειρμός

«Νενίκηνται τής φύσεως οι όροι, εν σοι Παρθένε άχραντε, παρθενεύει γάρ τόκος, καί ζωήν προμνηστεύεται θάνατος, Η μετά τό κον Παρθένος, καί μετά θάνατον ζώσα, σώζοις αεί, Θεοτόκε, τήν κληρονομίαν σου».

Κοινωνικόν

Ποτήριον σωτηρίου λήψομαι, καί τό όνομα Κυρίου επικαλέσομαι. Αλληλούϊα.

---

Αρχή

## ΤΗ ΚΔ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Αγίου Ιερομάρτυρος Ευτυχούς, μαθητού τού Αγίου Ιωάννου τού θεολόγου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'

Ώ τού παραδόξου θαύματος

Μάρτυς Ευτυχή μακάριε, μαθητευθείς ιερώς, τώ τού Λόγου σεπτώ μαθητή, θεολόγω κήρυκι, πρός αυτού πάσαν μύησιν, Ιερωτάτην ήδη μεμύησαι, καί φώς ωράθης, φωτίζων χάριτι, πάσαν διάνοιαν, ταίς θεολογίαις σου ταίς

Ιεραίς, όθεν τήν αγίαν σου, μνήμην γεραίρομεν.

Πλάνης καθείλες οχύρωμα, αναμοχλεύσει στερράς, καρτερίας πανόλβιε, καί δεσμά υπήνεγκας, καί αοίδιμον θάνατον, αθανασίας όθεν επέτυχες, χοροίς μαρτύρων, Αγγέλων τάξεσι, συναυλιζόμενος, καί μεθέξει κρείττονι θεοπρεπώς, κάλλιστα θεούμενος, καί τελεώτατα.

Εν τή φρουρά κεκλεισμένος ών, άρτον εδέξω ζωής, ουρανόθεν αοίδιμε, εμβληθείς εις φλόγα δέ, αδιάφλεκτος έμεινας, πληγάς υπέστης, δεινώς ξεόμενος, ορμάς θηρίων, ευχαίς επράϋνας, ξίφει τήν κάραν σου, απετμήθης αίματι πρός ουρανόν, ανακουφιζόμενος, ως θείω άρματι.

Δόξα... Καί νύν... Θεοτοκίον

Δεύρο ψυχή μου στενάζουσα, καί τών δακρύων κρουνούς, εκ καρδίας πηγάζουσα, τή Παρθένω βόησον, καί Μητρί τού Θεού ημών, Διά τό πλήθος, τών οικτιρμών σου Αγνή, τής φοβεράς με, ρύσαι κολάσεως, καί κατασκήνωσον, ένθα η ανάπαυσις καί η χαρά, η διαιωνίζουσα, καί η απόλαυσις.

Η Σταυροθεοτοκίον

Ήλιος τέκνον ημαύρωται, καί η σελήνη τό φώς, εις ζοφώδες ιμάτιον, γνοφερώς μετέβαλε, γή κλονείται καί ρήγνυται, τό τού ναού σου δή καταπέτασμα, καγώ πώς τέκνον, ού διαρρήξομαι, σπλάγχνα καί όμματα; παρειάς γλυκύτατε καταξανώ, αδίκως σε θνήσκοντα, βλέπουσα Σώτέρ μου.

Απολυτίκιον Ήχος δ'

Καί τρόπων μέτοχος, καί θρόνων διάδοχος, τών Αποστόλων γενόμενος, τήν πράξιν εύρες θεόπνευστε, εις θεωρίας επίβασιν, διά τούτο τόν λόγον τής αληθείας ορθοτομών, καί τή πίστει ενήθλησας μέχρις αίματος, Ιερομάρτυς Ευτυχή, Πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες τής Οκτωήχου, καί τού Αγίου ούτος, ού η Ακροστιχίς.

Τήν Ευτυχούς μέλψωμεν ένθεον χάριν. Ιωσήφ.

Ωδή α' Ήχος πλ. δ'

Αρματηλάτην Φαραώ

Τών Αποστόλων καί μαρτύρων σύσκηνος, αποδεικνύμενος, καί θεϊκής αίγλης, πάντοτε πληρούμενος, τούς τήν σεπτήν σου σήμερον, εορτήν εκτελούντας, φωτός μετόχους ανάδειξον, μάρτυς Ευτυχή αξιάγαστε.

Ηγαπημένω μαθητή μακάριε, μαθητευθείς ευσεβώς, καί τούς αυτού τρόπους,

άγαν μιμησάμενος, τόν Κύριον ηγάπησας, τούς αυτού θείους νόμους, πληρώσας καί τά παθήματα, τούτου Ευτυχή μιμησάμενος.

Νόμω τώ θείω ευσεβώς πειθόμενος, σάρκα ενέκρωσας, ασκητικοίς πόνοις, κόσμου μακρυνόμενος, καί όρεσιν αοίδιμε, διαιτώμενος μάρτυς, καί τήν ψυχήν καθαιρόμενος, καί θεοειδής γνωριζόμενος.

Θεοτοκίον

Εν σοί Παρθένε τήν ελπίδα τίθημι, τής σωτηρίας μου, αμαρτιών ρύπου, όλον με απόπλυνον, καί καθαρόν απέργασαι, τώ Υιώ σού αρίστως, ευαρεστούντα καί πράττοντα, τούτου τό πανάγιον θέλημα.

Ωδή γ'

Ο στερεώσας κατ' αρχάς

Υπεραστράπτοντα φωτί, κηρύγματος τού πανσόφου, ώσπερ ήλιον ευράμενος Παύλον, συμπεπόρευσαι αυτώ, αστήρ καθάπερ μέγιστος, φωταγωγών καρδίας, μάκαρ θεόφρον εν Πνεύματι.

Τών θεολόγων η κρηπίς, τών Μαθητών η ακρότης, Ιωάννης ο στερέμνιος φίλος, τού Σωτήρος από γής, ενθέως μεθιστάμενος, σοί τού Θεού τήν ποίμνην, μάκαρ ποιμαίνειν παρέθετο.

Υπερκαλής καί φωταυγής, καί πλήρης Πνεύματος θείου, τώ δικάζοντι ανόμως παρέστης, διελέγχων τήν αυτού, δυσσέβειαν πανόλβιε, καί τού Χριστού τήν θείαν, όμολογών ενανθρώπησιν.

Θεοτοκίον

Χαίρε η μόνη τήν χαράν, ανερμηνεύτως τεκούσα, χαίρε άρμα καί νεφέλη τού Λόγου, χαίρε θρόνε τού Θεού, Παρθένε απειρόγαμε, χαίρε Οσίων δόζα, χαίρε μαρτύρων στεφάνωμα.

Ο Ειρμός

«Ο στερεώσας κατ' αρχάς, τούς ουρανούς εν συνέσει, καί τήν γήν επί υδάτων εδράσας, εν τή πέτρα με Χριστέ, τών εντολών σου στήριξον, ότι ούκ έστι πλήν σου, Άγιος μόνε Φιλάνθρωπε».

Κάθισμα Ήχος γ'

Θείας πίστεως

Φέγγος ήστραψας θεογνωσίας, σκότος έλυσας πολυθεϊας, μαρτυρικώς εκτελέσας τόν δρόμον σου, καί ιαμάτων πηγάζων χαρίσματα, τών προσιόντων καθαίρεις νοσήματα, μάρτυς ένδοξε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Θεία γέγονας σκηνή τού Λόγου, μόνη πάναγνε Παρθενομήτορ, τή καθαρότητι Αγγέλους υπερέχουσα, τόν υπέρ πάντας εμέ γούν γενόμενον, ρερυπωμένον σαρκός πλημμελήμασιν, αποκάθαρον, πρεσβειών σου ενθέοις νάμασι, παρέχουσα σεμνή τό μέγα έλεος.

Η Σταυροθεοτοκίον

Η αμίαντος αμνάς τού Λόγου, η ακήρατος Παρθενομήτωρ, εν Σταυρώ θεασαμένη κρεμάμενον, τόν εξ αυτής ανωδίνως βλαστήσαντα, μητροπρεπώς θρηνωδούσα εκραύγαζεν, Οίμοι! τέκνον μου, πώς πάσχεις; θέλων ρύσασθαι, παθών τής ατιμίας τόν άνθρωπον!

Ωδή δ'

Σύ μου ισχύς, Κύριε

Όλω νοϊ, αποδημών πρός τόν Κύριον, ουκ ησθάνου, πάντοθεν τυπτόμενος, καί σπαραττόμενος χαλεπώς, οία δέ ευώδες, θυμίαμα αξιάγαστε, οσμής τούς παρεστώτας, απεπλήρωσας θείας, ενεργεία θεόφρον τού Πνευματος.

Υπό Θεού, μάρτυς θεόφρον φρουρούμενος, εν φρουρά τε, δέσμιος καθήμενος, άρτον ουράνιον ορατώς, χαίρων υπεδέξω, Θεού σε παραθαρρύνοντος, τού μόνου αθλοθέτου, Ευτυχή αθλοφόρε, ού τό πάθος τό θείον εζήλωσας.

Σού τό σεπτόν, στόμα ανοίξας εν Πνεύματι, πρό βημάτων, πάνσοφε ιστάμενος, δικαστικών τήν αληθινήν, πίστιν τής Τριάδος, ετράνωσας εμφανέστατα, ειδώλων δέ τήν πλάνην, εστηλίτευσας μάκαρ, καί τυράννων αθέων φρονήματα.

Μετά πολλάς, άλλας αικίας τού σώματος, θείω πόθω, μάκαρ πυρπολούμενος, τήν εξαφθείσαν φλόγα πυρός, χαίρων υπεισήλθες, αποτομία δικάζοντος, εφλέχθης δέ ουδόλως, η γάρ θεία σε δρόσος, Ευτυχή ουρανόθεν εδρόσιζεν.

Θεοτοκίον

Εν γυναιξί, μόνη Παρθένος διέμεινας, καί πρό τόκου, καί μετά τήν γέννησιν, Θεός γάρ ήν ο καινοτομών, φύσεις υπέρ λόγον, εκ σού αρρήτως σαρκούμενος, ο άνω πρό αιώνων, καί εν γή εις τά τέλη, γεννηθείς τών αιώνων Πανάμωμε.

Ωδή ε'

Ίνα τί με απώσω

Λόγον θείον πλουτήσας, άπασι τοίς χρήζουσι μάκαρ μετέδωκας, καί Χριστού τήν ποίμνην, Ιερεύς δεδεγμένος εποίμανας, νουθετών διδάσκων, καθοδηγών πρός σωτηρίαν, Ευτυχή αθλοφόρε πολύαθλε.

Ψυχολέτειραν πλάνην, σθένει θείου Πνεύματος αποσεισάμενος, τώ Χριστώ προσήλθες, καί πληθύν τούτω μάρτυς προσήγαγες, σωζομένων πίστει, σού ταίς σεπταίς θεηγορίαις, Ευτυχή αθλητών εγκαλλώπισμα.

Ως ωραίοι οι πόδες σου, μακαριώτατε τρίβον οδεύσαντες, μαρτυρίου θείου, καί εν τούτω καλώς βηματίσαντες, καί πρός πλάτος μέγα, τής ουρανίου βασιλείας, καταντήσαντες μάρτυς αοίδιμε.

Θεοτοκίον

Μητροπάρθενε Κόρη, η τόν απερίληπτον Λόγον κυήσασα, τών Αγγέλων δόξα, καί δαιμόνων τό τραύμα Θεόνυμφε, τήν εμήν καρδίαν, τραυματισθείσαν αμαρτίαις, θεραπείας ενθέου αξίωσον.

Ωδή ς'

Ιλάσθητί μοι Σωτήρ

Εφέσει κατασχεθείς, τής εν Χριστώ τελειώσεως, εξ Εφεσίων σοφέ, δεσμώτης εξώρμησας, καί πρός τήν πατρίδα σου, Σεβαστήν τοίς άθλοις, εγκοσμούμενος κατέπαυσας.

Ναός υπάρχων Θεού, ωραίος καί καθαρώτατος, ναούς ειδώλων αισχρούς, κατέστρεψας χάριτι, καί πρός επουράνιον, ναόν ανηνέχθης, Ευτυχή Θεώ παρίστασθαι.

Ενίσχυσέ σε οδώ, βαδίζοντα θείος Άγγελος, προλέγων σοι εμφανώς, τό μέλλον τρανότατα, Ευτυχή πανόλβιε, ισαγγέλω όντι, καί σαρκός έξω εν Πνεύματι.

Θεοτοκίον

Νοός μου τάς εκτροπάς, καί τής ψυχής τά κινήματα, τά εμπαθή καί δεινά, Παρθένε διόρθωσον, καί σώσόν με φύλαξον, εκ τών καθ' εκάστην, αφειδώς επεμβαινόντων μοι.

Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΔ' τού αυτού μηνός, μνήμη τού Αγίου μάρτυρος Ευτυχούς, μαθητού τού Αγίου Ιωάννου τού θεολόγου, καί τού Αγίου Αποστόλου Παύλου.

Στίχοι

- Ως ευτυχώς σύ ευτύχησας τρισμάκαρ,
- Θείας τετευχως Ευτυχή κληρουχίας.
- Εικάδι Ευτυχέ αμφεκάλυψε λίθος γε τετάρτη

Τή αυτή ημέρα, μνήμη τού Αγίου μάρτυρος Τατίωνος.

Στίχοι

- Έλξει μετρήσας πολλά πολλά γής πλέθρα,
- Εδέμ λάβοις άμετρα πλέθρα, Τατίων.

Τή αυτή ημέρα, μνήμη τού οσίου Πατρός ημών καί ομολογητού Γεωργίου τού Λιμνιώτου.

Στίχοι

- Κοινώ τελευτών Γεώργιος τώ τέλει,
- Σημείον άθλου ρίνα τμηθείσαν φέρει.

Τή αυτή ημέρα, τήν ανάμνησιν ποιούμεθα τής ανακομιδής τού σεπτού Λειψάνου τού εν Αγίοις Πατρός ημών Διονυσίου, Αρχιεπισκό που Αιγίνης, καί τής τούτου εκ Στροφάδων εις Ζάκυνθον επανόδου.

Στίχοι

- Γόνοιο βίου νύν τυχούσα αφθάρτου,
- Ζάκυνθε τέρπου, γηθοσύνως ούν κάρτα.
- Εικάδι ήκε δέμας ακεσίμβροτον έν γε τετάρτη.

Ο άγιος νέος Ιερομάρτυς καί ισαπόστολος Κοσμάς, ο εν Αλβανία μαρτυρήσας κατά τό 1779, αγχόνη τελειούται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Θεού συγκατάβασιν

Θεού επινεύσεσι, τό πύρ εσβέσθη τό εις απώλειαν, εξαφθέν σοι θεόφρον, εξ ουρανού γάρ βροντή ηκούετο, καί χιονώδεις σταγόνες επέμποντο, τούς αγνοούντας αυτόν κατακαλύπτουσαι.

Ευτόνως ξεόμενος, ευώδη μύρα μάρτυς απέπεμπες, εις οσμήν παθημάτων, τού κενωθέντος καί γάρ επέδραμες, Λόγου καί Κτίστου, πρός όν ανεκραύγαζες, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Ο βίος σου άμωμος, η μαρτυρία σοφέ πανθαύμαστος, καί σωτήριος πάσι, τοίς προσιούσιν η τών λειψάνων σου, αγία θήκη, ιάσεις πηγάζουσα, καί μολυσμού τών παθών πολλούς εξαίρουσα.

Θεοτοκίον

Νοήσαντες πόρρωθεν, σεπτοί Προφήται τού μυστηρίου σου, τό απόρρητον βάθος, ποικιλοτρόπως πάσιν ετράνωσαν, τήν σήν λοχείαν Παρθένε κραυγάζοντες, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Ωδή η'

Επταπλασίως κάμινον

Χείρας πετάσας ένδοξε, πρός Χριστόν τόν Θεόν ημών, μέσον τού πεδίου, προσπαλαίων λέουσιν, απήμαντος έμεινας, ως ό Προφήτης πρίν Δανιήλ, Άγγελον αεί, περιφρουρούντά σε έχων, καί μέλπων ανενδότως, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Αλογωτάτως βλέπων σε, υπ' ανόμων κρινόμενον, θήρ ο πρός την σήν, ευτρεπισθείς απώλειαν, τρανώς αποφθέγγεται, παντοδυνάμω νεύματι, καί τά μεγαλεία, τού Σωτήρος κηρύττει, εκπλήττων τούς βοώντας, Ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ρώμη Θεού καί χάριτι, τόν αγώνα τόν μέγιστον, μάρτυς διανύσας, τών

στεφάνων έτυχες, τής νίκης γηθόμενος, καί τοίς χοροίς ηρίθμησαι, πάντων Αποστόλων, καί Αγίων μαρτύρων, μεθ' ών βοάς απαύστως, Ιερείς ευλογείτε, λαος υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ιχνηλατών πανεύφημε, τού Χριστού τά παθήματα, ήθλησας νομίμως, ως Χριστού διάκονος, καί χλαίναν εφοίνιξας, μαρτυρικού εξ αίματος, ήν περ στολισθείς, βασιλικώς εις τά άνω, βασίλεια μετέστης, εν χαρά αναμέλπων, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Νενεκρωμένην δήγματι, τήν Ψυχήν μου τού όφεως, μόνη προφανώς, η τήν ζωήν κυήσασα, πανάμωμε ζώωσον, καί ενεργείν ευόδωσον, τά τού δι' ημάς, εκ σού τεχθέντος Παρθένε, θελήματα, βοώσαν, ιερείς ευλογείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι περισωθέντας τούτους ιδών, τώ Δημιουργώ, καί Λυτρωτή ανεβόα, οι παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

## Ωδή θ'

Εξέστη επί τούτω

Ιάσεις αναβλύζεις παντοδαπάς, καί νοσήματα παύεις βαρύτατα, πρό τού Χριστού, χάριν κομισάμενος αληθή, καλώς αγωνισάμενος, καί καταπαλαίσας τούς δυσμενείς, θεόφρον αθλοφόρε, Αγγέλων συμπολίτα, καί τών μαρτύρων ακροθίνιον.

Ωραίος τοίς αγώσιν αποφανθείς, πρός ωραίους νυμφώνας εσκήνωσας, αποτμηθείς, ξίφει τήν αγίαν σου κεφαλήν, ήν Ιησούς κατέστεψε, νίκης διαδήματι ευπρεπεί, φωστήρ τής Εκκλησίας, κραταίωμα καί κλέος, τών ευσεβώς μακαριζόντων σε.

Συνέτριψας τό κράτος τού πονηρού, Ευτυχή αθλοφόρε πανεύφημε, καί κατ' αυτού τρόπαιον εστήσω νεανικώς, καί νικητής πανάριστος, ήδη χρηματίζεις εν ουρανοίς, τώ θρόνω τής Τριάδος, πολλή σύν παρρησία, λελαμπρυσμένος παριστάμενος.

Η μνήμη σου η θεία καί φωταυγής, υπέρ ήλιον πάσιν εξέλαμψε, φωτιστικαίς, λάμψεσι φωτίζουσα τούς πιστώς, καί ευσεβώς εκάστοτε, ταύτην εορτάζοντας Ευτυχή, εν ή σε δυσωπούμεν, ως έχων παρρησίαν, τήν σωτηρίαν ημών αίτησαι.

Θεοτοκίον

Φωνήν σοι προσφωνούμεν τού Γαβριήλ, Χαίρε γή εκλεκτή, Χαίρε τράπεζα, χρυσοειδής, Χαίρε τών ανθρώπων καταφυγή, Χαίρε μαρτύρων καύχημα, Χαίρε τών Αγγέλων η χαρμονή, Αγία Θεοτόκε, κραταίωμα τών πίστει, ειλικρινώς μακαριζόντων σε.

Ο Ειρμός

«Εξέστη επί τούτω ο ουρανός, καί τής γής κατεπλάγη τά πέρατα ότι Θεός, ώφθη τοίς ανθρώποις σωματικώς, καί η γαστήρ σου γέγονεν, ευρυχωροτέρα τών ουρανών, διό σε Θεοτόκε, Αγγέλων καί ανθρώπων, ταξιαρχίαι μεγαλύνουσιν».

Καί η λοιπή Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΕ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής επανόδου τού Λειψάνου Αγίου Αποστόλου Βαρθολομαίου, καί μνήμη τού Αγίου Αποστόλου Τίτου.

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τού Αγίου Βαρθολομαίου τρία.

Ήχος δ'

Ως γενναίον εν μάρτυσι

Τόν πολύφωτον ήλιον, τόν αστέρα τόν άδυτον, ουρανόν τόν έμψυχον διηγούμενον, δόξαν Θεού τήν σωτήριον, τό ένθεον κήρυγμα, τόν φωστήρα τών εθνών, ποταμόν τόν προχέοντα, ρείθρα γνώσεως, καί αρδεύοντα πάντων τάς καρδίας, μακαρίσωμεν γνησίως, Βαρθολομαίον τόν ένδοξον.

Αι πορείαί σου ώφθησαν, εν θαλάσση Απόστολε, υπέρ νούν ανθρώπινον φανερούμεναι, απορριφείς γάρ σύν λάρνακι, πρός Δύσιν εξέδραμες, εξ Εώας ευκλεών, επομένων μαρτύρων σοι, εκατέρωθεν, καί τιμήν ποιουμένων επινεύσει, τού Δεσπότου τών απάντων, Βαρθολομαίε Απόστολε.

Τήν υγράν επιβάσεσι, θαυμασίαις ηγίασας, καί πρός νήσον έφθασας τής Λιπάρεως, μύρα πηγάζων αοίδιμε, καί πάθη ανίατα, θεραπεύων καί σωτήρ, τών εκείσε γενόμενος, καί προσφύγιον, καί προστάτης καί ρύστης πρός τόν πάντων, Βασιλέα καί Σωτήρα, Βαρθολομαίε Απόστολε.

Καί τού Αγίου Τίτου τρία

Έδωκας σημείωσιν

Μίαν τρισυπόστατον, ανακηρύττων θεότητα, τήν πολύθεον θάλασσαν, εθνών διετάραξας, καί γαληνοτάτους, μάκαρ πρός λιμένας, τούς νηχομένους τώ βυθώ, τής αθεϊας σύ εγκαθώρμισας, εντεύθεν τήν ουράνιον, αντιμισθίαν απείληφας, δυσωπών τόν φιλάνθρωπον, υπέρ τών ανυμνούντων σε.

Θείαις αναλάμψεσι, καταυγασθείς τήν διάνοιαν, ως ακτίς συμπεπόρευσαι, ηλίω φωτίζοντι, τά εσκοτισμένα, Παύλω θείω Τίτε, καί σύν αυτώ πάσαν τήν

γήν, τής βαθυτάτης νυκτός απήλλαξας, διό σε μακαρίζομεν, ως Ιεράρχην θεόληπτον, ως Απόστολον ένθεον, πρεσβευτήν ως θερμότατον.

Κρήτης εξορμώμενος, καί εν αυτή αφικόμενος, αρραγής ως θεμέλιος, εν ή εστερέωτο, ορθοτάτη πίστει, τή οικοδομία, επωκοδόμησε πιστούς, τής ουρανίου θείας δυνάμεως, ο Τίτος, ο μακάριος, ο τής πατρίδος πρωτόθρονος, ο τού Παύλου συνέκδημος, τών πιστών η παράκλησις.

Δόξα... Ήχος πλ. β'

Έστησας εν θαλάσση τό όρμημα, πολυχρόνιος νεκρός, καί τήν τρίβον σου εν ύδασι πολλοίς, Βαρθολομαίε πανεύφημε, Ανατολής εξορμώμενος, Δίκαιοι γάρ εις αιώνα ζώσι, προνοία τού σού Διδασκάλου, Χριστού τού Θεού ημών, όν ικέτευε Απόστολε, δωρηθήναι ημίν τό μέγα έλεος.

Καί νύν... Θεοτοκίον

Ήχος πλ. β'

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής. Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Εις τόν Στίχον Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος πλ. β'

Τού Αγίου Τίτου

Τής εκλογής τού σκεύους, Παύλου θεοκήρυκος, φοιτητής γενόμενος, καί μυηθείς τά θεία παρ αυτού διδάγματα, εις τά έθνη πρός πίστιν απεστάλης, επιστρέφειν καί φωτίζειν, τή αίγλη τών λόγων σου, όθεν εις τά πέρατα διέδραμες, Απόστολε Τίτε, ευαγγελιζόμενος πάσι τόν σαρκωθέντα Θεόν, όν καθικέτευε, τού σωθήναι τούς εν πίστει εκτελούντας, τήν αεισέβαστον μνήμην σου.

Καί νύν... Θεοτοκίον

Τριήμερος ανέστης

Παρθένε παναμώμητε, ικέτευε όν έτεκες, οικτιρήσαι, τήν αθλίαν μου ψυχήν, καί τή μερίδι τάξαι, τών εκλεκτών εν ώρα τής δίκης άκρα αγαθότητι.

Απολυτίκιον  Ήχος γ'

Απόστολοι Άγιοι, πρεσβεύσατε τώ ελεήμονι Θεώ, ίνα πταισμάτων άφεσιν, παράσχη ταίς ψυχαίς ημών.

Δόξα... Καί νύν...

Θεοτοκίον  Ήχος γ'

Σέ τήν μεσιτεύσασαν τήν σωτηρίαν τού γένους ημών, ανυμνούμεν Θεοτόκε Παρθένε, εν τή σαρκί γάρ τή εκ σού προσληφθείση, ο Υιός σου καί Θεός ημών, τό διά Σταυρού καταδεξάμενος πάθος, ελυτρώσατο ημάς, εκ φθοράς ως φιλάνθρωπος.

Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, οι Κανόνες τής Οκτωήχου, καί τών Αγίων οι παρόντες δύο, ποίημα Θεοφάνους αμφότεροι.

Ο Κανων τού Αγίου Βαρθολομαίου. ού η Ακροστιχίς.

Ύμνοις γεραίρω τόν καλόν μου προστάτην.

Ωδή α' Ήχος δ'
Ανοίξω τό στόμα μου

Υπέρτιμον λίθον σε, ζωής η πέτρα ανέδειξεν, εν ώ εδομήσατο, τήν Εκκλησίαν αυτού, Βαρθολομαίε, Απόστολε θεόπτα, όθεν σε γεραίρομεν, καί μακαρίζομεν.

Μεγάλως μυούσάν σε, τά υπέρ νούν καί διάνοιαν, σοφίαν ευράμενος, τήν ενυπόστατον, απεμώρανας, Ελλήνων τήν σοφίαν, σοφίσας τά πέρατα, θείοις διδάγμασιν.

Νεκρός επιτύμβιος, θαλασσοπόρος γεγένησαι, ταίς θείαις προστάξεσι καταπειθόμενος, καί ως ήλιος, πρός Δύσιν εξ Εώας, Απόστολε έφθασας, καταφωτίζων αυτήν.

Θεοτοκίον

Ο πλήρης κεκένωται, ο προαιώνιος άρχεται, εκ Κόρης θεόπαιδος αποτικτόμενος, όν εκήρυξας, εν δύο ταίς ουσίαις, μιά υποστάσει δέ, Θεομακάριστε.

Ο Κανών τού Αγίου Τίτου, έχων Ακροστιχ. ταύτην.

Παύλου μαθητήν Τίτον υμνώ προφρόνως.

Ήχος καί Ειρμός ο αυτός

Παντοίοις χαρίσμασι, καταπλουτίσασα χάρις σε, τού Πνεύματος κήρυκα, θείον Απόστολον, εις τά πέρατα, κηρύττοντα, εκπέμπει, τού Λόγου τήν σάρκωσιν, Τίτε αοίδιμε.

Αυγήν θείας χάριτος, εισδεδεγμένος εξήστραψας, ως ήλιος πάνσοφε, ταίς εν τώ σκότει ψυχαίς, άς εφώτισας, εξαίρων αμαρτίας, δουλείας λυτρούμενος, πλάνης μακάριε.

Υπάρχων ανάπλεως, τών χαρισμάτων τού Πνεύματος, ο παύλος ο πάνσοφος, σέ προχειρίζεται, καί διάκονον, καί θείον υποφήτην, καί πίστεως κήρυκα, Τίτε θεσπέσιε.

Θεοτοκίον

Λυτρούμενος έλαμψε, σού εκ νηδύος ο Κύριος, τού κόσμου τά πέρατα,

πλάνης Θεόνυμφε, όν ικέτευε, καί πάντοτε δυσώπει, σωθήναι τούς πίστει σε, Κόρη γεραίροντας.

Τού Αγίου Βαρθολομαίου

Ωδή γ'
Τούς σούς υμνολόγους

Ισχυράν παράκλησίν σε εύρον, καί φώς καί δεινών απαλλαγήν, Βαρθολομαίε πάνσοφε, οι πλάνη συνεχόμενοι, καί αθεΐας ζόφωσιν, φρενοβλαβώς περικείμενοι.

Στόμα γεγονώς Θεού τού Λόγου, εκ στόματος λύκου νοητού, λαούς ερρύσω έωδοξε, προσαγαγών τώ Κτίσαντι, διά λουτρού Βαπτίσματος, Βαρθολομαίε αοίδιμε.

Γλώσση σου πυρίνη καταφλέξας, τής πλάνης τήν ύλην τήν πικράν, κεχερσωμένας πάνσοφε, καρδίας κατενέωσας, καί γεωργείν ουράνια, νοήματα παρεσκεύασας.

Θεοτοκίον

Εκ σού υπέρ λόγον Θεός Λόγος, τεχθήναι ευδόκησε σαρκί, Παρθενομήτορ άχραντε, μαθητήν εκλεξάμενος, καί υπηρέτην γνήσιον, Βαρθολομαίον τόν ένδοξον.

Τού Αγίου Τίτου

Ουκ εν σοφία

Ουκ εν σοφία, μωραινούση αυτή τούς προσέχοντας, αλλά γνώσει αληθεί, τήν αγνωσίαν μακάριε, ψυχών απεδίωξας, τών προστρεχόντων σοι.

Υλομανούσαν, αθεΐας ακάνθαις τήν άρουραν, παγκληρίας τών εθνών, δρεπάνη θεία εκάθηρας, γνώσεως τά σπέρματα, καταβαλλόμενος.

Μίαν κηρύττων, εν τρισί τοίς προσώποις θεότητα, απεδίωξας αχλύν, πολυθεΐας μακάριε, θείαν πρός επίγνωσιν, άγων τά πέρατα.

Θεοτοκίον

Αγιωτέραν, τών Αγγέλων καί πάσης τής κτίσεως, ανωτέραν ο εκ σού, σαρκί τεχθείς σε ειργάσατο, όθεν σε ως Δέσποιναν, πάντων γεραίρομεν.

Ο Ειρμός

«Ουκ εν σοφία, καί δυνάμει καί πλούτω καυχωμεθα, αλλ' εν σοί τή τού Πατρός, ενυποστάτω σοφία Χριστέ, ού γάρ εστιν Άγιος, πλήν σου φιλάνθρωπε».

Κάθισμα τού Αγίου Βαρθολομαίου
Ήχος α'
Τόν Τάφον σου Σωτήρ

Η κάθοδος τών σών, παναγίων Λειψάνων, υπόθεσις ημίν, εορτής φαιδροτάτης, πανεύφημε γέγονε, τού Κυρίου Απόστολε, ήν γεραίροντες, ευσεβοφρόνως τιμώμεν, σέ τόν άδυτον, Βαρθολομαίε λαμπτήρα, Χριστόν μεγαλύνοντες.

Δόξα... Τού Αγίου

Ήχος πλ. δ'  Τήν σοφίαν

Ώσπερ άστρον ηλίω συμπορευθείς, παναοίδιμε Τίτε Παύλω σαφώς, τήν γήν εφωτίσατε, καί τό σκότος ελύσατε, έν τή Κρητών δέ νήσω, εισδύσας μακάριε, διά θανάτου πάσιν, αδύτους κατέλιπες, θείας ως ακτίνας, τούς σούς πόνους καί λόγους, υφ' ών ελλαμπόμενοι, ευσεβώς σε γεραίρομεν, καί συμφώνως βοώμέν σοι, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Καί νύν... Θεοτοκίον

Χαίρε θρόνε πυρίμορφε τού Θεού, χαίρε Κόρη καθέδρα βασιλική, κλίνη πορφυρόστρωτε, χρυσοπόρφυρε θάλαμε, χλαμύς αλουργόχροε, τιμαλφέστατον τέμενος, αστραπηφόρον άρμα, λυχνία πολύφωτε, χαίρε Θεοτόκε, δωδεκάτειχε πόλις, καί πύλη χρυσήλατε, καί παστάς αγλαόμορφε, αγλαόχρυσε τράπεζα, Θεοκόσμητον σκήνωμα, χαίρε ένδοξε νύμφη ηλιοστάλακτε, χαίρε μόνη ψυχής μου διάσωσμα.

Τού Αγίου Βαρθολομαίου

Ωδή δ'

Τήν ανεξιχνίαστον

Ρήσις πέρας είληφε προφητική, φώς γάρ εις εθνών περιποίησιν, ο θεηγόρος, επορεύθη μαθητής, καταφωτίζων άπαντα, τά τής οικουμένης πληρώματα.

Αίγλη φωτιζόμενος θεαρχική, θείαν κατά μέθεξιν δεύτερον, φώς καθωράθης λειτουργήσας προφανώς, τώ δι' ημάς παχύτητι, σώματος φανέντι Απόστολε.

Ίνα διαβάσεσιν αγιασθή, θάλασσα λιθίνη εν λάρνακι, ταύτη επέβης, εξ Εώας πρός Δυσμάς, τάς θαυμαστάς κινήσεις σου, ώ Βαρθολομαίε ποιούμενος.

Θεοτοκίον

Ως τόν ανερμήνευτον υπερβολή, πλούτου ευσπλαγχνίας κυήσασα, ανερμηνεύτως τούς πτωχεύσαντας ημάς τή αμαρτία Πάναγνε, θείαις δωρεαίς καταπλούτισον.

Τού Αγίου Τίτου

Ο καθήμενος εν δόξη

Θησαυρών εξ ακενώτων, αρυόμενος πάνσοφε, πενομένας φρένας, πλούτου αληθείας ενέπλησας, ναρκωμένας καρδίας ανεζώωσας, αγνωσίας, διώκων αχλύν παναοίδιμε.

Ή τού Παύλου σε σαγήνη, τή προνοία τής χάριτος, σαγηνεύει Τίτε, μέλλοντα

προθύμως εις ύστερον, σού τώ αγκίστρω τού λόγου έθνη πάμπολλα, ανελκύσειν, απάτης βυθού πρός ευσέβειαν.

Τώ κλεινώ ώσπερ αρνίον, θείω Παύλω επόμενος, τούς βαρείς εκ μέσου, λύκους θεηγόρε απήλασας, τά τών ειδώλων τεμένη κατηδάφισας, καί ναούς Θεού, τούς γηγενείς απετέλεσας.

Θεοτοκίον

Η Αγία Θεοτόκος, η σκηνή η αμόλυντος, τού φωτός η πύλη, τράπεζα καί στάμνος η πάγχρυσος, τό αλατόμητον όρος καί κατάσκιον, ως χωρήσασα, τόν Πλαστουργόν μακαρίζεται.

Τού Αγίου Βαρθολομαίου

Ωδή ε'

Εξέστη τά σύμπαντα

Τούς πόδας κτησάμενος, ωραίους τώ κηρύγματι, πάσιν αγαθά ευηγγελίσω, πάσιν ειρήνην μάκαρ εκήρυξας, έχθρας παλαιάς αλλοτριών, θείαις εισηγήσεσι, τού Σωτήρος Απόστολε.

Ο λόγος σου ίαμα, τοίς δεξαμένοις γέγονεν, όφεως ιόν θανατηφόρον, Βαρθολομαίε, γή δέ κατέστραπται, η τών ασεβών προφητικώς, ταίς αναμοχλεύσεσι, τών πανσόφων δογμάτων σου.

Νεκρός πολυήμερος, ζωήν πηγάζων άφθονον, νώτοις εποχούμενος θαλάσσης, Βαρθολομαίε θείοις σύν μάρτυσιν, άπειρα πελάγη διελθών, νήσω τής Λιπάρεως, προσωρμίσθης θεόπνευστε.

Θεοτοκίον

Κυρίως δοξάζω σε, Θεού Μητέρα πάναγνον, Χαίρέ σοι κραυγάζων τού Αγγέλου, ευλογημένη Θεοχαρίτωτε, άκουσμα καί λάλημα φρικτόν, ξένον ενδιαίτημα, τού Δεσπότου τής κτίσεως.

Τού Αγίου Τίτου

Ασεβείς ουκ όψονται

Νεμομένην έστησας, κακίας τήν πληγήν, τών εθνών μάκαρ τάς ψυχάς, τώ νοστίμω άλατι, τών θείων λόγων σου, ιατρός ως άριστος, ως τής χάριτος διάκονος.

Ταίς τού Παύλου νεύσεσιν, υπείκων ευμενώς, σύν αυτώ τήν υπ' ουρανόν, διατρέχεις πάνσοφε, λόγον τής γνώσεως, ευαγγελιζόμενος, Θεοκήρυξ πανσεβάσμιε.

Ισουργόν ομόθρονον, τόν Λόγον τώ Πατρί, εκδιδάσκων οία σοφός, θεηγόρε έπεισας, τούς μετριόφρονας, τών ειδώλων άπασαν, τήν απάτην αποκρούσασθαι.

Θεοτοκίον

Τήν αγνήν αγνεύοντι, τιμήσωμεν νοϊ, καλλονήν τήν τού Ιακώβ, καί ενθέοις πράξεσι καλλυνόμενοι, ευσεβώς υμνήσωμεν, ως μητέρα τού Θεού ημών.

Τού Αγίου Βαρθολομαίου

Ωδή ς'

Τήν θείαν ταύτην

Ακτίς Ηλίου τού λάμψαντος τώ κόσμω διά σώματος γέγονας, ταίς σελασφόροις σου διδασκαλίαις Απόστολε, επιδιώκων νύκτα, πλάνης πολύθεον.

Λαοίς Θεού τό σωτήριον, ετράνωσας σαρκός ομοιώματι, εμφανιζόμενον διά πολλήν αγαθότητα, Βαρθολομαίε κήρυξ, εθνών Απόστολε.

Οδόν τήν θάλασσαν έσχηκας, καί τρίβους εφ' υδάτων πεποίηκας καί ουκ εγνώσθη σου, τούτοις τά ίχνη εν Πνεύματι, ως Δαυϊδ προέφη, μάκαρ Απόστολε.

Θεοτοκίον

Ναός τής δόξης γεγένησαι, καί πύλη τού φωτός εχρημάτισας, Όρος κατάσκιον, τέρας Προφήταις αδόμενον, Παρθενομήτορ Κόρη, Θεοχαρίτωτε.

Τού Αγίου Τίτου

Θύσω σοι, μετά φωνής

Ο Παύλος, ο τού κόσμου ανέσπερος ήλιος, σέ ως ακτίνα εκπέμπει, φωτοβόλον μάκαρ τάς εν τώ σκότει, τής αγνοίας, καθευδούσας καρδίας φωτίζουσαν.

Ναμάτων, ζωηρύτων υπάρχων ανάπλεως, ρείθροις ενθέων δογμάτων, τούς χειμάρρους μάκαρ τής αγνωσίας, κατακλύζεις, καταρδεύων εθνών τά συτήματα.

Θεοτοκίον

Υμνούσι, γενεαί γενεών σε πανύμνητε, τόν υπερύμνητον Λόγον, τού Θεού γάρ έτεκες υπέρ λόγον, όν δοξάζει, καί βροτών καί Αγγέλων τά τάγματα.

Ο Ειρμός

«Θύσω σοι, μετά φωνής αινέσεως Κύριε, ή Εκκλησία βοά σοι, εκ δαιμόνων λύθρου κεκαθαρμένη, τώ δι' οίκτον, εκ τής πλευράς σου ρεύσαντι αίματι».

Κοντάκιον τού Αγιου Βαρθολομαίου

Ήχος δ' Επεφάνης σήμερον

Ώφθης μέγας ήλιος, τή οικουμένη, διδαγμάτων λάμψεσι, καί θαυμασίων φοβερών, φω ταγωγών τούς τιμώντάς σε, Βαρθολομαίε, Κυρίου Απόστολε.

Έτερον τού Αγίου Τίτου

Ήχος β' Τά άνω ζητών

Τού Παύλου δειχθείς, συνόμιλος Απόστολε, σύν τούτω ημίν, τόν λόγον προκατήγγειλας, τής ενθέου χάριτος, μυστολέκτα Τίτε μακάριε, διά τούτο βοώμέν σοι, Μή παύση Πρεσβεύων υπέρ πάντων ημών.

Ο Οίκος

Τόν επί γής οφθέντα Σωτήρα καταγγείλας εν κόσμω, τής αυτού αψευδούς θεότητος εχρημάτισας φίλος οικείος καί κληρονόμος, όθεν πίστει προσπίπτων, σέ ικετεύω, όπως ταίς σαίς ικεσίαις παράσχης μοι άφεσιν, διώκων τήν αχλυώδη τής ψυχής μου σκοτόμαιναν ένδοξε, τού επαξίως υμνήσαί σε, καί βοάν σοι απαύστως Απόστολε, Μή παύση πρεσβεύων υπέρ πάντων ημών.

Συναξάριον

Τή ΚΕ' τού αυτού μηνός, μνήμη τής επανόδου τού Λειψάνου τού Αγίου ενδόξου Αποστόλου Βαρθολομαίου.

Στίχοι

- Ίνα τρυγώμεν άφθονον πιστοί χάριν,
- Βαρθολομαίος ευρέθη κεκρυμμένος.
- Σόν νέκυν εικάδι Βαρθολομαίε εφεύρον πέμπτη.

Τή αυτή ημέρα, μνήμη τού Αγίου Αποστόλου Τίτου, Επισκόπου Γορτύνης τής κατά Κρήτην, μαθητού τού Αγίου Αποστόλου Παύλου.

Στίχοι

- Ίτω παρ' ημών καί Τίτω βραχύς τίτλος,
- Τούτου τελευτήν τήν εν ειρήνη φέρων.
- Ουράνιον δάπεδον λάχες εικάδι Τίτ' ενί πέμπτη.

Τή αυτή ημέρα, μνήιμη τών Αγίων Πατέρων ημών Μηνά, Επιφανίου, Γενναδίου καί Ιωάννου Αρχιεπισκόπου Κωνσταντινουπόλεως.

Στίχοι

- Ο κόσμος εκλέλοιπε τής Εκκλησίας.
- Μηνάς γάρ εκλέλοιπεν εκ τών ενθάδε,
- Σπάσας τελευτής Επιφάνιος μέθυ,
- Κείται τραπείς εις ύπνον ευθύς τώ κάρω.
- Επιφανίω, Γενναδίω ποιμέσι
- Χριστού, Ιωάννη τε ύμνον προσφέρω.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Τού Αγ. Βαρθολομαίου

Ωδή ζ'

Ουκ ελάτρευσαν

Μωρανθείσαν, τή κακία παναοίδιμε, τήν ανθρωπότητα, νοστίμω άλατι, ίασω τών λόγων του, καί ψάλλειν έπεισας, Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί

Θεός ευλογητός εί.

Ουρανός ως υψηλότατος γενόμενος, δόξαν Θεού νοητώς, υψηλοτάτη φωνή, κηρύττεις ως ένθεος, μάκαρ Απόστολος, ώ κραυγάζομεν, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Υφαντόν τής θείας χάριτος ιμάτιον, μάκαρ ενέδυσας, τούς γυμνωθέντας το πρίν, κακία τού όφεως, καί ψάλλειν έπεισας, Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Θεοτοκίον

Προστασίαν σε καί τείχος καί αντίληψιν, καταπλουτήσαντες, Θεογεννήτορ αγνή, οι δούλοί σου πάντοτε, πίστει βοώμέν σοι, Χαίρε γέφυρα, ή πρός Θεόν μετάγουσα, τούς εκ γής ευλογημένη.

Τού Αγίου Τίτου

Ο διασώσας εν πυρί

Μίαν θεότητα υμνείν, μίαν κυριότητα σέβειν, Τίτος διδάσκων τούς βροτούς, πολυθέου μανίας απήλλαξεν, ευσεβώς ανακράζοντας, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Νενεκρωμένη τή ψυχή, άψυχον οι σέβοντες ύλην, τόν νεκρωθέντα δι' ημάς, ζωοδότην Θεόν κατενόησαν, υπό σού παιδευόμενοι, μαθητά καί μυστολέκτα τών απορρήτων.

Ως αληθείας υπουργός, ψεύδους καθαιρέτης εφάνης, καί ως τού Παύλου μαθητής, διωγμούς καί κινδύνους υπέμεινας, σύν αυτώ μέλπων ένδοξε, ο Θεός ο τών Πατέρων ευλογητός εί.

Θεοτοκίον

Πεποικιλμένη αρεταίς, τού Παμβασιλέως παρέστης, εκ δεξιών τού εκ τών σών, σαρκωθέντος αιμάτων Ανύμφευτε, εκτενώς ικετεύουσα, λυτρωθήναι από πάσης ημάς ανάγκης.

Τού Αγ. Βαρθολομαίου

Ωδή η'

Παίδας ευαγείς

Ρείθροις προσκλυζόμενος ενθέοις, Εδέμ ποταμός ως εκπεπόρευσαι, άρδων τήν υφήλιον, ταίς διδασκαλίαις σου, καί τά τής πλάνης ύδατα, ξηραίνων χάριτι, καί κράζων, Τόν Σωτήρα υμνείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Ο Λόγος ως θείον θεολόγον, τά λόγου επέκεινα μυήσας σε, βέλος ως σωτήριον, κόσμω εξαπέστειλε, κατατιτρώσκων σύστημα, δυσμενές ένδοξε, καί σώζων τούς πιστώς μελωδούντας, καί υπερυψούντας, αυτόν εις τούς

αιώνας.

Σταλάζον ως όρος ανεφάνης, τόν θείον γλυκασμόν αξιοθαύμαστε, θάλασσαν διέσχισας, τρίβον μετά θάνατον, ταίς θεϊκαίς δυνάμεσι προσπεραιούμενος, τά ταύτης απoντίστως πελάγη, σέ δορυφορούντων, γενναίων αθλοφόρων.

Θεοτοκίον

Τούς νόμους τής φύσεως λαθούσα, καί τίκτεις καί μένεις αειπάρθενος, Λόγον γάρ εκύησας, άνθρωπον γενόμενον, υπερβολή χρηστότητος, ώ πάντες κράζομεν, τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Τού Αγίου Τίτου

Ο αυτός Ειρμός

Ρανίσιν αιμάτων σου εσβέσθη, τό πύρ τής απάτης τό αλλότριον, νόσοι εδιώχθησαν, δαίμονες ήλάθησαν, τή πρός Θεόν δεήσει σου, Τίτε' Απόστολε, διό σε ως θεράποντα θείον, τού παμβασιλέως, Χριστού ανευφημούμεν.

Όλος τώ Θεώ ιερωμένος, καί θείαις ηγλαϊσμένος Τίτε χάρισι, Λόγον τόν σωτήριον, πάσι διετράνωσας, τόν αλογίας πάνσοφε, ημάς ρυσάμενον, τούς πίστει αληθεί ευλογούντας, καί υπερυψούντας, αυτόν εις τούς αιώνας.

Φωτός καθαρώτατον δοχείον, εγένου καταφωτίσας τήν υφήλιον, θείοις αμαρύγμασι, Τίτε αξιάγαστε, καί αμαυρώσας έντασιν, παρανομούντων έχθρών, τόν Κύριον υμνείτε εβόας, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Θεοτοκίον

Ρομφαία η πάλαι στρεφομένη, τά νώτα Παρθένε νύν μοι δίδωσι, Λόγον ότι έτεκες, σάρκα περικείμενον, καί εν δυσί ταίς φύσεσι κατανοούμενον, όν τρέμουσιν Αγγέλων αι τάξεις, καί δοξολογούσι, βροτοί εις τούς αιώνας.

Ο Ειρμός

«Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν, τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας».

Τού Αγίου Βαρθολομαίου

Ωδή θ'

Άπας γηγενής

Άγει εορτήν, τή μνήμη σου σήμερον, τών Αποστόλων χορός, μάρτυρες αγάλλονται, καί τών δικαίων πάντων τά πνεύματα, οι δέ πιστοί τοίς ύμνοις σε καταγεραίρομεν, καί βοώμεν, Πάσης ημάς θλίψεως, μαθητά τού Χριστού απολύτρωσαι.

Τό διά Σταυρού, μακάριον ένδοξε, τέλος δεξάμενος, σύμμορφος γεγένησαι,

τών παθημάτων τού Διδασκάλου σου, καί κοινωνός λαμπρότατος, καί θείας δόξης αεί, σύν Αγγέλοις τούτω παριστάμενος, καί αρρήτου φωτός αξιούμενος.

Ή πλησιφαής, καί εύσημος μνήμη σου, ημίν επέλαμψεν, άπαντας φωτίζουσα, Χριστού αυτόπτα Βαρθολομαίε σοφέ, εν ή παρακαλούμέν σε, μνήσθητι πάντων ημών, εναντίας πάσης περιστάσεως, ταίς ευχαίς σου ημάς εκλυτρούμενος.

Θεοτοκίον

Νέκρωσον ημών, σαρκός τά φρονήματα, Θεοκυήτορ αγνή, στήσον τών παθών ημών, τήν καταιγίδα, παύσον τόν κλύδωνα, καί λογισμοίς οχύρωσον ενθέοις άχραντε, τάς καρδίας πίστει τών τιμώντων σε, προστασία ημών ακαταίσχυντε.

Τού Αγίου Τίτου

Εύα μέν τώ τής παρακοής

Όλην σου τήν πρός τόν Λυτρωτήν αγάμενος, καί αγάπην καί πεποίθησιν, έλκει συνέκδημον ο Παύλος, σύν σοί τό ιερόν Ευαγγέλιον, τοίς έθνεσι κηρύττων Απόστολε, όθεν σύν τούτω σε γεραίρομεν.

Νόσους εκδιώκεις τών πιστών, δαιμόνια, απελαύνεις θεία χάριτι, Κρήτης ο μέγας πολιούχος, πρωτόθρονός τε ταύτης ο ένθεος, φωστήρ ο διαυγής καί ουράνιος, Τίτε θεόφρον αξιάγαστε.

Ως ήλιος έλαμψεν ημίν η μνήμη σου, φρυκτωρίαις ταίς τού Πνεύματος, όλη φαιδρώς ωραϊσμένη, τά νέφη τών παθών εκδιώκουσα, ήν πίστει τούς τελούντας διάσωζε, Τίτε παμμάκαρ αξιάγαστε.

Θεοτοκίον

Σειράς τών πταισμάτων μου Αγνή διάλυσον, μεσιτεία σου πανάμωμε, λύσον τό σκότος τής ψυχής μου, τόν σάλον τών παθών μου κατεύνασον, τούς μάτην πολεμούντάς με σύντριψον, σώσόν με σώσον Αειπάρθενε.

Ο Ειρμός

«Εύα μέν τώ τής παρακοής νοσήματι, τήν κατάραν εισωκίσατο, σύ δέ Παρθένε Θεοτόκε, τώ τής κυοφορίας βλαστήματι, τώ κόσμω τήν ευλογίαν εξήνθησας, όθεν σε πάντες μεγαλύνομεν».

Εξαποστειλάριον

τού Αγίου Βαρθολομαίου

Τοίς Μαθηταίς συνέλθωμεν

Τήν ιεράν κατάθεσιν, τού σεπτού σου λειψάνου, Βαρθολομαίε πάνσοφε, εορτάζοντες πόθω, ανευφημούμέν σε πίστει, εξ Εώας γάρ μάκαρ, πρός νήσον τής Λιπάρεως, παραδόξως εκπλεύσας, ταίς θαυμασταίς, σού πορείαις άπασαν τήν Εσπέραν, εφώτισας Απόστολε, τού Χριστού Θεοκήρυξ.

Τού Αγίου Τίτου  Όμοιον

Μύστα τής θείας χάριτος, καί Απόστολε Τίτε, σύν Παύλω τώ θεόφρονι, πρέσβευε τή Τριάδι, υπέρ ειρήνης τού κόσμου, καί ημίν τοίς τελούσι, τήν παναγίαν μνήμην σου, καί σέ πόθω τιμώσι, τών δυσχερών, καί πταισμάτων λύσιν καί σωτηρίαν, καί δόξαν καί λαμπρότητα, ουρανών βασιλείας.

Θεοτοκίον

Σύν ασωμάτοις τάξεσι, σύν μαρτύρων χορείαις, σύν Αποστόλων τάγμασι, σύν Προφήταις καί πάσι, Δικαίοις ώ Θεομήτορ, ανυμνούμέν σε Κόρη, καί γάρ Θεόν εγέννησας, τόν αρρήτω σοφία, διά Σταυρού, καθελόντα Άδου τήν τυραννίδα, καί σώσαντα πανύμνητε, άπαν βρότειον γένος.

Εις τους Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια τέσσαρα.

Ήχος δ'

Έδωκας σημείωσιν

Θείον επαφήκέ σε, ως ποταμόν παμμακάριστε, η πηγή τής ζωής ημών, ύδατα ξηραίνοντα, τής πολυθεΐας, άρδοντα τόν κόσμον, ρείθροις ενθέων διδαχών, Βαρθολομαίε καί κατακλύζοντα, τής πλάνης τά ζιζάνια, καί τών δεινών εξαιρούμενον, τούς πιστώς πειθομένους σοι, τού Κυρίου Απόστολε.

Ήλιον καθάπερ σε, Ανατολής εξορμώμενον, καί πρός Δύσιν δυόμενον, πορείαις αοίδιμε, ταίς επί υδάτων, σαφώς γενομέναις, επεγνωκότες οι πιστοί, τής παραδόξου επιδημίας σου, ανάμνησιν ετήσιον, επιτελούμεν γεραίροντες, τά πολλά σου θαυμάσια, τού Κυρίου Απόστολε.

Νεκρός επιτύμβιος, θαλασσοπόρος γεγένησαι, εξ Εώας ορμώμενος, σύν μάρτυσι πάνσοφε, καί πρός Δύσιν φθάνων, άδυτε φωσφόρε, τής Εκκλησίας τού Χριστού, Βαρθολομαίε θεομακάριστε, εν ή αναπαυσάμενος, πάσι τών κόπων ανάπαυσις, καί δεινών απολύτρωσις, θαυμαστώς εχρημάτισας.

Θείαις αναλάμψεσι, καταυγασθείς τήν διάνοιαν, ως ακτίς συμπεπόρευσαι, ηλίω φωτίζοντι, τά εσκοτισμένα, Παύλω θείω Τίτε, καί σύν αυτώ πάσαν τήν γήν, τής βαθυτάτης νυκτός απήλλαξας, διό σε μακαρίζομεν, ως Ιεράρχην θεόληπτον, ως Απόστολον ένθεον, πρεσβευτήν ως θερμότατον.

Δόξα... Ήχος πλ. α'

Η σοφία τού Θεού, ο συναΐδιος Λόγος τού Πατρός, καθώς εν Ευαγγελίοις προέφη, τά εύφορα κλήματα, υμείς έστε πανεύφημοι Απόστολοι, οι τόν βότρυν τόν πέπειρον καί τερπόν, εν τοίς κλάδοις υμών φέροντες, όν οι πιστοί εσθίοντες, επιστοιχούμεν γεύσιν πρός ευφρόσυνον, Βαρθολομαίε θεόληπτε, καί Τίτε καύχημα, τής Κρήτης, εκτενώς πρεσβεύσατε, υπέρ τών ψυχών ημών.

Καί νύν...

Θεοτοκίον  Ήχος πλ. α’

Μακαρίζομέν σε, Θεοτόκε παρθένε, καί δοξάζομέν σε οι πιστοί κατά χρέος, τήν πόλιν τήν άσειστον, τό τείχος τό άρρηκτον, τήν αρραγή προστασίαν, καί καταφυγή τών ψυχών ημών.

Δοξολογία μεγάλη, καί Απόλυσις

Εις τήν Λειτουργίαν

Ο Απόστολος
Πρός Κορινθ. α' Επιστ.
Αδελφοί, ο Θεός ημάς τούς Αποστόλους...
Ζήτει Κυριακή Δεκάτη

Ευαγγέλιον
Κατά Ματθαίον
Είπεν ο Κύριος, Υμείς εστε τό φώς τού Κόσμου...

Κοινωνικόν
Εις πάσαν τήν γήν εξήλθεν ο φθόγγος αυτών, καί εις τά πέρατα τής οικουμένης τά ρήματα αυτών. Αλληλούϊα.

---

Αρχή

**ΤΗ ΚΣΤ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τών Αγίων Μαρτύρων Αδριανού καί Ναταλίας.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος δ'
Ως γενναίον εν μάρτυσιν
Τήν υπέρτιμον άθλησιν, τά γενναία παλαίσματα, τών μαρτύρων ένδοξε θεασάμενος, αυτομολείς πρός τά σκάμματα, ανδρείω φρονήματι, αφειδήσας τής σαρκός, δι' αγάπην τήν ένθεον, όθεν ήνυσας, τούς γενναίους αγώνας, ταπεινώσας, τήν οφρύν τού αντιπάλου, Αδριανέ καρτερώτατε.

Ταίς ειρκταίς συγκλειόμενος, τοίς βουνεύροις τυπτόμενος, τοίς κλοιοίς αοίδιμε βαρυνόμενος, καί τοίς μοχλοίς συνθλιβόμενος, σύν πλείοσι μάρτυσι, σύν αυτοίς τών αγαθών, ουρανίων επέτυχες, επαλείφουσαν, τήν ομόζυγον έχων Ναταλίαν, τήν Θεώ πεποθημένην, Αδριανέ γενναιότατε.

Τόν Αδάμ η ομόζυγος, Παραδείσου εξώρισε, συμβουλία όφεως, Ναταλία δέ, Αδριανόν πρός Παράδεισον, πανσόφως εισήγαγεν, ιεραίς προσλαλιαίς, νουθετούσα διδάσκουσα, τά επίπονα, τής αθλήσεως φέρειν ουρανίους, αντιδόσεις προξενούντα, καί αιωνίζουσαν εύκλειαν.
Δόξα... Ήχος α'
Εφραίμ Καρίας

Ζήλος ανδρός ευσεβούς, είλκυσε γυναίκα θεοφιλή, πρός παραίνεσιν φαιδράν, Αδριανός γάρ ο πανάριστος, Ναταλίας τών ρημάτων υπαχθείς, αθλήσεως τόν δρόμον εκτετέλεκεν, Ὠ γυναικός θεοφιλούς! ουχ ως γάρ Εύα τώ, Αδάμ ήνεγκε φθοράν, αλλά ζωήν άληκτον τώ συζύγω προεξένησε, Ταύτην σύν τώ ανδρί επαινούντες, βοήσωμεν Χριστώ, Δός ημίν βοήθειαν, ταίς πρεσβείαις τών Αγίων σου.

Καί νύν... Θεοτοκίον

Τών ουρανίων ταγμάτων

Εκ τής αγίας εικόνος τής σής Πανάχραντε, ιάσεις ιαμάτων, χορηγούνται αφθόνως, τοίς πίστει προσιούσιν, όθεν καμού, τάς ασθενείας επίσκεψαι, καί τήν ψυχήν μου ελέησον αγαθή, καί τό σώμά μου θεράπευσον.

Η Σταυροθεοτοκίον

Σέ τόν αμνόν καί ποιμένα επί τού ξύλου Σωτήρ, η σέ αγνώς τεκούσα, ως εώρα Θεέ μου, θρηνούσα ανεβόα, Τέκνον εμόν, φώς τού κόσμου γλυκύτατον, πώς επί ξύλου ορώ σε τού σταυρικού, ως κακούργον αναρτώμενον.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος α'

Πανεύφημοι μάρτυρες

Πορφύραν εξ αίματος τού σού, μάρτυς κατεφοίνιξας, στολήν μεθ' ής τώ Δεσπότη σου, ως η υπόσχεσις, νύν συμβασιλεύεις, άθλων ταίς λαμπρότησι, καί θείαις καλλοναίς σεμνυνόμενος, Χριστόν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Στίχ. Θαυμαστός ο Θεός εν τοίς αγίοις αυτού ο Θεός Ισραήλ αυτός δώσει δύναμιν καί κραταίωσιν τώ λαώ αυτού ευλογητός ο Θεός.

Αδριανέ μάρτυς τάς οδούς, τών παθών εξέκλινας, τώ σωτηρίω αγόμενος, δρόμω πανεύφημε, καί πρός τάς αφθάρτους, μονάς κατεσκήνωσας, σύν πάσι τοίς Χριστώ πειθαρχήσασι, μεθ' ών ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Στίχ. Τοίς Αγίοις τοίς εν τή γή αυτού εθαυμάστωμεν πάντα τά θέλημα αυτού εν αυτοίς.

Ὠ θαύμα καινόν καί αληθώς, μέγα καί παράδοξον! πώς Ναταλία η πάνσοφος, τόν ταύτης σύζυγον, πείθει υπομείναι, ξίφη κατατέμνοντα: τίς είδέ τι τοιούτον, τίς ήκουσεν, όν περ εκέκτητο, οφθαλμόν βίου πρός θάνατον, επεπόθει, προδούναι σωτήριον.

Δόξα... Ήχος πλ. β'

Ὠ ζεύγος άμωμον, καί εκλεκτόν τώ Κυρίω! ώ πεποθημένη δυάς, καί πεφιλημένη Χριστώ, ωσυζυγία αρίστη καί μακαρία! Τίς ουκ εκπλαγή εν τούτω ακουτισθείς, τάς τούτων υπέρ άνθρωπον πράξεις! πώς τό θήλυ ηνδρίσατο κατά τού πικρού τυράννου, καί τόν ταύτης σύνευνον ενεύρωσε, μή

υπενδούναι τοίς δεινοίς, αλλ' υπέρ τής πίστεως ελέσθαι, τό θανείν υπέρ τό ζήν, Ώ θεοπλόκων ρημάτων Ναταλίας τής σοφής! ώ παραινέσεων θείων, τούς ουρανούς διασχουσών, καί πρός αυτόν τόν θρόνον τού μεγάλου βασιλέως, Αδριανόν τόν ένδοξον γνώριμον καταστη σασών! Αλλ' ώ ξυνωρίς αγία, υπέρ ημών τώ Θεώ ικετεύσατε, τών εκ πόθου τελούντων τήν μνήμην υμών, πειρασμών ρυσθήναι καί πάσης θλίψεως.

Καί νύν... Θεοτοκίον

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής. Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Η Σταυροθεοτοκίον

Τριήμερος ανέστης

Ορώσά σε σταυρούμενον, Χριστέ η σέ κυήσασα, ανεβόα, Τί τό ξένον ό ορώ, μυστήριον Υιέ μου: πώς επί ξύλου θνήσκεις, σαρκί κρεμάμενος ζωής χορηγέ:

Απολυτίκιον  Ήχος γ'

Θείας πίστεως

Αναφαίρετον όλβον ηγήσω, τήν σωτήριον πίστιν τρισμάκαρ, καταλιπών τήν πατρώαν ασέβειαν, καί τώ Δεσπότη κατ' ίχνος επόμενος, κατεπλουτίσθης ενθέοις χαρίσμασιν, Αδριανέ ένδοξε, Χριστόν τόν Θεόν ικέτευε, σωθήναι τάς ψυχάς ημών.

Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, λέγονται οι Κανόνες τής Οκτωήχου, καί τών Αγίων ο παρών.

Ποίημα Θεοφάνους.

Ωδή α'  Ήχος πλ. β'

Ως εν ηπείρω

Εν τή νυκτί με τού βίου ύπνω δεινώ συσχεθέντα πράξεσι, μετανοίας πρός τό φώς, ο Θεός εξέγειρον ευχαίς, τών μαρτύρων σου Χριστέ, ίνα δοξάζω σε.

Από χειλέων σταζόντων τόν γλυκασμόν τής ενθέου γνώσεως, γλυκανθείς Αδριανέ, τόν ιόν εξήμεσας τής πρίν αγνωσίας αληθώς θεομακάριστε.

Ανατολής λαμπροτέραν ηλιακής, τήν ψυχήν ως έχουσα, τής αθλήσεως πρός φώς, συνωθείς ομόζυγον τόν σόν, Ναταλία, γυναικών τό εγκαλλώπισμα.

Θεοτοκίον

Τόν σεαυτής δεξαμένη Δημιουργόν, ως αυτός ηθέλησεν, εξ ασπόρου σου γαστρός, υπέρ νούν σαρκούμενον Αγνή, τών κτισμάτων, αληθώς εδείχθης Δέσποινα.

Ωδή γ'
Ουκ έστιν Άγιος ως σύ

Δεσμά φυγών ειδωλικής, ματαιότητος μάρτυς, συνεδέθης τώ πόθω, τής αγάπης τού Χριστού, καί τοίς δεσμοίς τών αυτού, αθλοφόρων, χαίρων εκοινώνησας.

Μοχλώ τά σκέλη σιδηρώ, συνθλαττόμενοι πάντες, αθλοφόροι Κυρίου, ασεβείας τά οστά, υπομονής τώ μοχλώ, καί ανδρείας, όντως συνετρίψατε.

Πυρί αγάπης θεϊκής, τήν ψυχήν φλεγομένη, τού συζύγου εξήψας, τόν έρωτα εις Χριστόν, τόν πόθον τόν τής σαρκός Ναταλία, τέλεον μιμήσασα.

Θεοτοκίον

Τού θείου τόκου σου Αγνή πάσαν φύσεως τάξιν, υπερβαίνει τό θαύμα, Θεόν γάρ υπερφυώς, συνέλαβες εν γαστρί, καί τεκούσα, μένεις αειπάρθενος.

Ο Ειρμός

«Ουκ έστιν Άγιος ως σύ, Κύριε ο Θεός μου, ο υψώσας τό κέρας, τών πιστών σου αγαθέ, καί στερεώσας ημάς, εν τή πέτρα τής ομολογίας σου».

Κάθισμα  Ήχος πλ. δ'
Τήν Σοφίαν

Τών μαρτύρων τοίς πόνοις περιπλακείς, καί ανδρείως τή πίστει καθοπλισθείς, προθύμως ανέθηκας, σεαυτόν τώ Κυρίω σου, καί τού εχθρού κατέβαλες, τό θράσος τή χάριτι, Αδριανέ παμμάκαρ, Χριστού μάρτυς ένδοξε, όθεν Ναταλία, εναθλούντα ορώσα, επήλειφε λόγοις σε, σωτηρίοις πανεύφημε, Διά τούτο βοώμέν σοι, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Καί νύν... Θεοτοκίον

Παναγία Παρθένε Μήτηρ Θεού, τής ψυχής μου τά πάθη τά χαλεπά, θεράπευσον δέομαι, καί συγγνώμην παράσχου μοι, τών εμών πταισμάτων, αφρόνως ών έπραξα, τήν ψυχήν καί τό σώμα, μολύνας ο άθλιος, Οίμοι! τί ποιήσω, έν εκείνη τή ώρα, ηνίκα οι Άγγελοι, τήν ψυχήν μου χωρίζουσιν, εκ τού αθλίου μου σώματος: Τότε Δέσποινα, βοήθειά μου γενού, καί προστάτης θερμότατος, σέ γάρ έχω ελπίδα, ο δούλός σου άχραντε.

Η Σταυροθεοτοκίον

Τόν αμνόν καί ποιμένα καί λυτρωτήν, η αμνάς θεωρούσα εν τώ Σταυρώ αδίκως υψούμενον, θρηνωδούσα εκραύγαζεν, ο μέν Κόσμος αγάλλεται, δεχόμενος τήν λύτρωσιν, τά δέ σπλάγχνα μου φλέγονται, ορώσης σου τήν σταύρωσιν, ήν περ υπομένεις, διά σπλάγχνα ελέους, Μακρόθυμε Κύριε, τού ελέους η άβυσσος, καί πηγή αγαθότητος, σπλαγχνίσθητι καί δώρησαι ούν, τών πταισμάτων άφεσιν τοίς δούλοις σου, τοίς ανυμνούσί σου πίστει, τά θεία παθήματα.

Ωδή δ'
Χριστός μου δύναμις

Χριστόν οι μάρτυρες, ισχύν τιθέμενοι, τό ανίσχυρον θράσος τών διωκτών, όντως κατεπάτησαν, και τά βραβεία τής νίκης, ουρανόθεν εκομίσαντο.

Οικείοις αίμασι, στολήν εξύφανας, σεαυτώ αφθαρσίας αποβαλών, τής φθοράς τό ένδυμα, καί τώ Θεώ Αδριανέ, μετά δόξης νύν παρίστασαι.

Ιχώρσι πάντοθεν, περιρρεόμενον, τών Αγίων τό αίμα, μύρον Θεώ, όντως προσενήνεκται, τήν σηπεδόνα τής πλάνης, εκκαθαίρον κραταιότατα.

Δολίοις ρήμασιν, Αδάμ πεπλάνηται, τής συζύγου, τοίς σοίς δέ Αδριανός, πλάνης απαλλάττεται, καί πρός Παράδεισον χαρά, Ναταλία εισοικίζεται.

Θεοτοκίον

Ως όντως άφθεγκτα, καί ακατάληπτα, τά τής σής Θεοτόκε θεοπρεπούς, πέφυκε κυήσεως, τοίς επί γής καί ουρανού, αειπαρθένε μυστήρια.

## Ωδή ε'

### Τώ θείω φέγγει σου αγαθέ

Δεκάς διπλή η τών αθλητών, ούν απλή τριάδι τώ Χριστώ νύν συνδεόμενοι έλυσαν, δέσιν ασεβείας όντως ανίσχυρον, ισχύϊ τής Τριάδος οι γενναιότατοι.

Ήλιος ώσπερ μέσον εστώς, άστρων φαεινών, Αδριανέ τών σών συνάθλων απήστραψας, φέγγος ευσεβείας, τής ασεβείας αχλύν, διώξας καί φωτίσας κόσμου τά πέρατα.

Δρόσος ρημάτων σου τών σεπτών, ίαμα τών πόνων αληθώς, τού σού συζύγου γεγένηται, απογενομένων τή τών κρειττόνων στοργή, θεόφρον Ναταλία μαρτύρων σύσκηνε.

Θεοτοκίον

Τούς Θεοτόκον σε εκ ψυχής, Δέσποινα τού κόσμου αγαθή, υμνολογούντας διάσωσον, σέ γάρ προστασίαν ακαταμάχητον, κεκτήμεθα, τήν όντως Θεογεννήτριαν.

## Ωδή ς'

### Τού βίου τήν θάλασσαν

Χριστού κυβερνώμενοι, τή παλάμη αβλαβώς, τής αθεϊας πέλαγος, διήλθετε καί όρμω τώ γαληνώ, τής άνω λαμπρότητος, αθληταί τού Κυρίου προσωρμίσθητε.

Ως άνθη μυρίζουσι, τών αγώνων σου σοφέ, τά υπέρ φύσιν έπαθλα, καί γάρ Θεού εδείχθης, Αδριανέ, ευώδες θυμίαμα, τώ πυρί τών βασάνων πυρπολούμενος.

Τώ κάλλει τής πίστεως, η αγία σου ψυχή, ωραϊσμένη πάνσεμνε, καί τό κάλλος ζητούσα, ως αληθώς, Χριστού τό αμήχανον, Ναταλία τού πόθου ού διήμαρτες.

Θεοτοκίον

Η πάναγνος Δέσποινα, η τεκούσα τοίς βροτοίς, τόν κυβερνήτην Κύριον, τών παθών μου τόν άστατον καί δεινόν, κατεύνασον τάραχον, καί γαλήνην παράσχου τή καρδία μου.

Ο Ειρμός

«Τού βίου τήν θάλασσαν, υψουμένην καθορών, τών πειρασμών τώ κλύδωνι, τώ ευδίω λιμένι σου προσδραμών, βοώ σοι, Ανάγαγε, εκ φθοράς τήν ζωήν μου Πολυέλεε».

Κοντάκιον Ήχος δ'

Επεφάνης σήμερον

Γυναικός θεόφρονος τούς θείους λόγους, εν Καρδία θέμενος, Αδριανέ μάρτυς Χριστού, εν τοίς βασάνοις προσέδραμες, σύν τή συζύγω τό στέφος δεξάμενος.

Ο Οίκος

Καιρός επέστη τοίς πιστοίς, χαρμόσυνος ημέρα, Αδριανού τού θείου ενθέως ευφρανθώμεν, αναβοώντες πρός αυτόν, Μάρτυς τού Κυρίου, ο τόν αγώνα τόν καλόν σαφώς αγωνισάμενος, καί στέφος ουρανόθεν δεξάμενος τής δικαιοσύνης, από πάσης επηρείας τού αλλοτρίου ημάς ρύσαι πάντας, ιασίν τε ψυχών καί τών σωμάτων εξαπόστειλον ημίν, καί τήν κηλίδα πάσαν τού νοός εκκάθαρον ουρανόθεν, σύν τή συζύγω τό στέφος δεξάμενος.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΣΤ' τού αυτού μηνός, μνήμη τών Αγίων μαρτύρων, Αδριανού καί Ναταλίας καί τής συνοδίας αυτών.

Στίχοι

- Αδριανού τέμνουσι χείρας καί πόδας
- Χείρες πονηρών, ών φονοδρόμοι πόδες.
- Εν τώ βίω σύνευνος, εν δέ τώ πόλω
- Αδριανώ σύσκηνος η Ναταλία.
- Αδριανός τμήθη χείρας πόδας εικάδι έκτη.

Τή αυτή ημέρα οι συναθλήσαντες τώ Αγίω Αδριανώ ξίφει τελειούνται.

Στίχοι

- Τέμνουσιν ανδρών εικοσιτριών άκρα,
- Τά τετράκις τοσαύτα χείρας καί πόδας.

Τή αυτή ημέρα, μνήμη τών Αγίων μαρτύρων Αττικού καί Σισινίου καί τού Οσίου Πατρός ημών Ιβιστίωνος.

Στίχοι

- Συσταδιοδρομούσιν αθληταί δύο,
- Ξίφους δραμόντες στάδιον κουφοδρόμως.
- Ρυψθείς υσσώπω δακρύων, Ιβιστίων,
- Εύθυμος εις άδακρυ χωρείς χωρίον.

Τή αυτή ημέρα, μνήμη ετέρου μάρτυρος Αδριανού.

Στίχοι

- Αδριανόν τμηθέντα κοσμήσει στέφος,
- Εν τή μεγίστη τών στεφάνων ημέρα.

Τή αυτή ημέρα, μνήμη τού Οσίου Ιωάσαφ, υιού Αβενήρ τού Βασιλέως.

Στίχοι

- Ζήλω τά βασίλεια Παμβασιλέως,
- Ώκησεν υιός γηΐνου βασιλέως.

Τή αυτή ημέρα, ο Όσιος Τιθόης εν ειρήνη τελειούται.

Στίχοι

- Ουκ είχεν, οίμαι, σάρκα Τιθόης όλως.
- Κάν είχε, τήξας, ουκ εά βρώσιν τάφω.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Δροσοβόλον μέν τήν κάμινον

Ακαθαίρετοι ως πύργοι ανεδείχθητε, Σιών τής άνω μάρτυρες, εδαφίσαντες, ελεπόλεις πάσας τού εχθρού, μοχλώ τής αθλήσεως υμών, διό τιμώμεν ευσεβώς υμών τήν μνήμην αεί.

Βοηθός, Αδριανώ ή Ναταλία ως καί σύμψυχος, παρά Θεού δεδώρηται, ανελκύουσα, εμπαρέντα τούτον τώ βυθώ, τής πλάνης καί πείθουσα βοάν, Ευλογητός εί ο Θεός ο τών Πατέρων ημών.

Ως πολύτιμον θησαύρισμα τού μάρτυρος, τήν χείρα θησαυρίσασα, ου προέδωκας, σωφροσύνης σου τόν θησαυρόν, συλήσαι Τοίς σπεύδουσι Σεμνή, κυβερνωμένη τή χειρί τού τών απάντων Θεού.

Θεοτοκίον

Νεανίας τρείς η κάμινος ουκ έφλεξε, γέννησιν προτυπούσα τήν σήν, τό γάρ θείον πύρ σε μή φλέξαν, ώκησεν εν σοί, καί πάντας εφώτισε βοάν, Ευλογητός εί ο Θεός ο τών Πατέρων ημών.

Ωδή η'

Εκ φλογός τοίς Οσίοις

Τώ πυρί τών βασάνων ολοκαυτούμενοι, ασεβείας τήν φλόγα πάσαν εσβέσατε, αίμασιν υμών, αθλοφόροι κραυγάζοντες, Σέ υπερυψούμεν, Χριστέ εις τούς αιώνας.

Οι κρουνοί τών αιμάτων τών αθλοφόρων σου, ποταμοί ιαμάτων κόσμω γεγόνασι, θάλασσαν δεινών, παθημάτων ξηραίνοντες, ούς ανευφημούντες,

Χριστέ σέ ευλογούμεν.

Γυναικός θαυμασίας τίς ου θαυμάσειε, το πρός Κύριον φίλτρον, όπως εμίσησεν, έρωτα σαρκός, καί τόν σύζυγον έπεισε, σέβειν καί δοξάζειν, Χριστόν εις τούς αιώνας.

Θεοτοκίον

Εκ φωτός φωτοδότην Λόγον συνέλαβες, καί τεκούσα αφράστως τούτον δεδόξασαι, Πνεύμα γάρ εν σοί, Κόρη θείον εσκήνωσεν, όν υπερυψούμεν, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Εκ φλογός τοίς Οσίοις δρόσον επήγασας, καί Δικαίου θυσίαν ύδατι έφλεξας, άπαντα γάρ δράς, Χριστέ μόνω τώ βουλεσθαι, Σέ υπερυψούμεν, εις πάντας τούς αιώνας».

Ωδή θ'

Θεόν ανθρώποις

Μελών στρεβλώσεις δεινών επίτασις, ξίφος ου πύρ ού θάνατος, σαρκός ο επίκηρος, τού Χριστού τής αγάπης χωρίσαι υμάς, ένδοξοι αθλοφόροι, όλως ουκ ίσχυσεν, όθεν εις αιώνας, σύν αυτώ αεί ευφραίνεσθε.

Στρατός εχθροίς πάσιν απροσμάχητος, πόλις Θεού, καί κατωχυρωμένον βασίλειον, κεκλεισμένος Παράδεισος άσυλος, φάλαγξ τροπαιοφόρος, δήμος θεόλεκτος, στύλοι Εκκλησίας, αρραγείς μάρτυρες ώφθητε.

Λαμπάς θεόφωτος άστρα φαίνοντα, λύχνος ημίν τό φώς τής ευσεβείας πυρσεύοντες, τού ηλίου τής δόξης αυγάσματα, τέκνα τής ανεσπέρου μακαριότητος, μάρτυρες εδείχθητε, Χριστού σεβασμιώτατοι.

Πηγή ναμάτων πλήρης τού Πνεύματος, καί ποταμός ενθέων, χαρισμάτων πληρούμενος, καί κρατήρ αθλήσεως, προχέων κρουνούς, πέλαγος σωτηρίας, μάρτυρες ώφθητε, ζάλης πειρασμών, παντοδαπών ημάς λυτρούμενοι.

Χοροίς μαρτύρων Χριστού πανεύφημε, παρεστηκως τώ θρόνω, τού τών όλων δεσπόζοντος, τούς τελούντας σήν μνήμην περίσωζε, πίστει καί προθυμία, πάντων λυτρούμενος, τών παρενοχλούντων, πειρασμών ταίς ικεσίαις σου.

Θεοτοκίον

Νεκροίς ανάστασις νύν δεδώρηται, διά τής σής αφράστου, καί αρρήτου κυήσεως, Θεοτόκε πάνσεμνε, ζωή γάρ εκ σού, σάρκα περικειμένη, πάσιν εξέλαμψε, καί τό τού θανάτου, αμειδές σαφώς διέλυσεν.

Ο Ειρμός

«Θεόν ανθρώποις ιδείν αδύνατον, όν ου τολμά Αγγέλων ατενίσαι τά τάγματα, διά σού δέ πάναγνε, ωράθη βροτοίς Λόγος σεσαρκωμένος, όν μεγαλύνοντες, σύν ταίς ουρανίαις, στρατιαίς σέ μακαρίζομεν».

Εξαποστειλάριον
Τοίς Μαθηταίς συνέλθωμεν

Αδριανός ο πάνσοφος, καί αήττητος μάρτυς, ως αθλητών εδραίωμα, παρ' ημών δοξαζέσθω, σύν τή σεπτή Ναταλία, τούτοις τε συνεκλάμπει, μαρτύρων δήμος Άγιος, φάλαγξ τροπαιοφόρος, ών τήν λαμπράν, εκτελούντες μνήμην τούτους υμνούμεν, καί γάρ αυτοί πρεσβεύουσι, τώ Χριστώ υπέρ πάντων.

Θεοτοκίον

Σέ προστασίαν άμαχον, καί φρουράν Παναγία, καί σκέπην καί κραταίωμα, καί απόρθητον τείχος, καί αρραγή σωτηρίαν, καί οχύρωμα θείον, ο κόσμος άπας κέκτηται, έν ανάγκαις, ποικίλαις, Αλλ' ώ Θεού, τού παμβασιλέως Μήτηρ καί δούλη, σώζοις καμέ τόν δούλόν σου, εκ παντοίων κινδύνων.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια τρία, δευτερούντες τό πρώτον.

Ήχος πλ. δ'
Ώ τού παραδόξου

Αδριανέ γενναιότατε, τής τού Δεσπότου φωνής, πληρωτής εχρημάτισας, κοσμικήν τερπνότητα, αποθέμενος άπασαν, καί τόν Σταυρόν επ' ώμων αράμενος, τών παθών τούτου κοινωνός γέγονας, εν αμφοτέροις γάρ, ώφθης όντως δόκιμος, όθεν πιστοί, σήμερον γεραίρομεν, τήν θείαν μνήμην σου. (Δίς)

Αδριανέ καρτερώτατε, πελάγει τών αικισμών, συνεχώς κυματούμενος, πηδαλιουχούσάν σε, σού τήν σύνοικον έσχηκας, καί πρός γαλήνης, όρμον ιθύνουσαν, τή άνω πόλει προσεμβιβάζουσαν, εν ή πανεύφημε, μάρτυς αυλιζόμενος, υπέρ ημών, πρέσβευε δεόμεθα, τών ευφημούντων σε.

Μέχρι δεσμών καί στρεβλώσεων, καί τών μελών εκκοπής, καρτερώς ανθιστάμενοι, τάς ψυχάς τώ Κτίσαντι, αποδόντες ειλήφατε, τήν αιωνίαν όντως ανάπαυσιν, καί τήν αγήρω μακαριότητα, Ώ ής ετύχατε, θείας αντιδόσεως παρά Χριστού, μάρτυρες πανένδοξοι, σεβασμιώτατοι!

Δόξα... Ήχος β'

Ο πάντα προγινώσκων Κύριος, αρρήτω προμηθεία σε μάρτυς, ως εύκαρπον κλήμα προσήκατο, ξίφει μαρτυρίου ποικίλως τεμνόμενον, καρτερίας δαψιλούς επιφέροντα καρπούς, εξ ών τρέφονται πιστών καρδίαι, τών ευφημούντων σε πόθω, Αδριανέ ένδοξε.

Καί νύν... Θεοτοκίον Ήχος β'

Τήν πάσαν ελπίδα μου εις σέ ανατίθημι, Μήτηρ τού Θεού, φύλαξόν με υπό τήν σκέπην σου.

Εις τόν Στίχον τών Αίνων, Στιχηρά τής Οκτωήχου.

Καί η λοιπή Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΖ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Ποιμένος.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'
Τί υμάς καλέσωμεν

Τί σε νύν Ποιμήν ονομάσωμεν, μοναστών υπογραμμόν, καί ιαμάτων αυτουργόν, εγκρατείας ταίς πληγαίς, πάθη μαστίξαντα ψυχής, πολίτην, τών Αγγέλων καί συνόμιλον, τής άνω, μητροπόλεως οικήτορα, τών αρετών ενδιαίτημα, τόν τής ερήμου κοσμήτορα, ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Τί σε νύν Ποιμήν πρεσφθεγξώμεθα; τής ερήμου πολιστήν, καί ησυχίας εραστήν, τών παθών εκμειωτήν, καί μοναστών καθηγητήν, πλημμύραν, διδαγμάτων θείου Πνεύματος, φωστήρα, διακρίσεως ακοίμητον, θαυματουργόν αληθέστατον, πάθη ποικίλα ιώμενον, ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Λύχνος διακρίσεως γέγονας, καταυγαζων τάς ψυχάς τών προσιόντων σοι πιστώς, καί τήν τρίβον τής ζωής, υποδεικνύς αυτοίς σοφέ, διό σε εν αινέσει μακαρίζομεν, τελούντες, τήν αγίαν σου πανήγυριν, Ποιμήν Πατέρων τό καύχημα, ασκητών εγκαλλώπισμα, ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Τίνι ωμοιώθης ταλαίπωρε, πρός μετάνοιαν ουδόλως, ανανεύουσα ψυχή, καί τό πύρ μή δειλιώσα, τών κακών επιμονή: Ανάστα, καί τήν μόνην πρός αντίληψιν, ταχείαν, επικάλεσαι καί βόησον, Παρθενομήτορ δυσώπησον, τόν σόν Υιόν καί Θεόν ημών, ρυσθήναί με, τών παγίδων τού αλάστορος.

Η Σταυροθεοτοκίον

Άρνα η αμνάς ως εώρακεν, επί ξύλου ηπλωμένον, εκουσίως σταυρικού, ανεβόα μητρικώς, οδυρομένη εν κλαυθμώ, Υιέ μου, τί τό ξένον τούτο θέαμα: ο πάσι, τήν ζωήν νέμων ως Κύριος, πώς θανατούσαι μακρόθυμε, βροτοίς παρέχων ανάστασιν, Δοξάζω σου, τήν πολλήν Θεέ μου συγκατάβασιν.

Απολυτίκιον
Ήχος πλ. δ'

Ταίς τών δακρύων σου ροαίς, τής ερήμου τό άγονον εγεώργησας, καί τοίς εκ βάθους στεναγμοίς, εις εκατόν τούς πόνους εκαρποφόρησας, καί γέγονας φωστήρ τή οικουμένη λάμπων τοίς θαύμασι, Ποιμήν Πατήρ ημών Όσιε, Πρέσβευε Χριστώ τώ Θεώ, σωθήναι τάς ψυχάς ημών.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν οι Κανόνες τής Οκτωήχου, καί τού Αγίου ο παρών.

Ωδή α' Ήχος πλ. δ'
Άσωμεν τώ Κυρίω

Θέρμη τού Παρακλήτου, Πάτερ θαλπομένη η καρδία σου, τόν κρυμόν τών δαιμόνων, καί παθών τόν χειμώνα διέλυσεν.

Άνθρακι θείου φόβου, φλέξας τών παθών τήν ύλην γέγονας, διακρίσεως λύχνος, απαθείας πυρσός τε μακάριε.

Φέρων επί τών ώμων, Πάτερ τόν σταυρόν σου ηκολούθησας, τώ καλέσαντι πόθω, καί φωστήρ μοναστών εχρημάτισας.

Θεοτοκίον

Όλος με διασώζει, Λόγος ο υπέρθεος χρηστότητι, βουληθείς εκ γαστρός σου, σαρκωθήναι αγνή Μητροπάρθενε.

Ωδή γ'
Σύ εί τό στερέωμα

Στάσιν τήν παννύχιον, σού κατεπλάγησαν Άγγελοι, καί γάρ αυτούς, έσχες συνεργούντας, ταίς πρός Θεόν εντεύξεσιν.

Λύμνης απεκάθηρας, τής διανοίας τά όμματα, τής τών παθών, ενοπτρίζη, καθαρώς τόν Αόρατον.

Γάλακτι ασκήσεως, ως εκτραφείς Ποιμήν Όσιε, εις αρετών ύψος ανηνέχθης, εις τελείαν απάθειαν.

Θεοτοκίον

Έχων σε βοήθειαν, τών δυσμενών ορμάς Άχραντε, ού δειλιώ, έχων σε προστάτιν, τάς αυτών τρέπω φάλαγγας.

Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Κάθισμα Ήχος γ'
Θείας πίστεως

Ποιμαινόμενος υπό Κυρίου, τούτου πρόβατον, ωράθης πράον, εναντίους λύκους μάκαρ τροπούμενος, καί εκτελέσας τόν θείον αγώνά σου, πρός τήν ουράνιον μάνδραν εσκήνωσας, Πάτερ Όσιε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Θείας φύσεως ουκ εχωρίσθη, σάρξ γενόμενος εν τή γαστρί σου, αλλά Θεός ενανθρωπήσας μεμένηκεν, ο μετά τόκον Μητέρα Παρθένον σε, ως πρό τού τόκου φυλάξας πανάμωμον, μόνος Κύριος, Αυτόν εκτενώς ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Η Σταυροθεοτοκίον

Η αμίαντος αμνάς τού Λόγου, η ακήρατος Παρθενομήτωρ, εν τώ Σταυρώ θεασαμένη κρεμάμενον, τόν εξ αυτής ανωδίνως βλαστήσαντα, μητροπρεπώς θρηνωδούσα εκραύγαζεν, Οίμοι! τέκνον μου, πώς πάσχεις; θέλων ρύσασθαι, παθών τής ατιμίας τόν άνθρωπον.

Ωδή δ'

Εισακήκοα Κύριε

Ακηλίδωτον έσοπτρον, τάς τού Παρακλήτου αυγάς δεχόμενον, θεοφόρε εχρημάτισας, καί δοχείον αναβάσεων.

Αρδευόμενος δάκρυσι, δένδρον καθωράθης Πάτερ υψίκομον, εγκρατεία καλλυνόμενον, καί καρποίς ενθέοις ευθηνούμενον.

Γηπονήσας τήν άρουραν, σού τής διανοίας πόνοις ασκήσεως, αρετών στάχυν πολύφορον, καί θαυμάτων χάριν εγεώργησας.

Θεοτοκίον

Παρθενίας κειμήλιον, καί τής αχωρήτου φύσεως σκήνωμα, τήν ψυχήν μου φωταγώγησον, τήν εσκοτισμένην Θεονύμφευτε.

Ωδή ε'

Ορθρίζοντες βοώμέν σοι

Τόν καύσωνα βαστάσας αοίδιμε, τής ημέρας, χαράς κατηξίωσαι, τής τού Κυρίου σου Όσιε.

Ασκήσεως λειμώνι ηδύπνοον, έφυς ρόδον, οσμαίς θείας γνώσεως, ευωδιάζον τά πέρατα.

Τόν πρίν μεγαλαυχία χρησάμενον, Πάτερ όφιν, πρός γήν εταπείνωσας, τή ταπεινώσει φραξάμενος.

Θεοτοκίον

Παρθένον μετά τόκον υμνούμέν σε, Θεοτόκε, σύ γάρ τόν Θεόν Λόγον σαρκί, τώ κόσμω εκύησας.

Ωδή ϛ'

Χιτώνά μοι παράσχου

Νεκρώσας τάς τού σώματος ορμάς, πολλοίς αγωνίσμασι, ζωήν πρός αθάνατον, εξεδήμησας Ποιμήν αξιάγαστε.

Εγκράτειαν αέναον καί ευχήν, αγάπην αθόλωτον, κτησάμενος Όσιε, ακηλίδωτον Θεού ώφθης έσοπτρον.

Ερήμοις εν αβάτοις προσφοιτών, παθών ερημώσεως, σαυτόν απεγύμνωσας, καί πολίτης ουρανών εχρημάτισας.

Θεοτοκίον

Η μόνη διά λόγου εν σαρκί, τόν Λόγον κυήσασα, ρύσαι δεόμεθα, τών παγίδων τού εχθρού τάς ψυχάς ημών.

Ο Ειρμός

«Χιτώνά μοι παράσχου φωτεινόν, ο αναβαλλόμενος φώς ως ιμάτιον, πολυέλεε Χριστέ ο Θεός ημών».

Κοντάκιον Ήχος δ'

Επεφάνης σήμερον

Τών λαμπρών αγώνων σου, Όσιε Πάτερ, η αγία σήμερον, επέστη μνήμη τάς ψυχάς, τών ευσεβών κατευφραίνουσα, Ποιμήν θεόφρον, Πατήρ ημών Όσιε.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΖ' τού αυτού μηνός, μνήμη τού Οσίου Πατρός ημών Ποιμένος.

Στίχοι

- Ως εκ λύκου χαίνοντος ηρπάγη βίου,
- Ποιμήν, τό θρέμμα τού μεγίστου ποιμένος.
- Ποιμένα εις μέγαν εβδόμη εικάδι ώχετο Ποιμήν.

Τή αυτή ημέρα, μνήμη τού Οσίου Πατρός ημών καί Ομολογητού Λιβερίου Πάππα Ρώμης.

Στίχοι

- Τόν πλούτον αντλείν Λιβέριος νύν έχει,
- Όν ουρανοίς ήν εμφρόνως θησαυρίσας.

Τή αυτή ημέρα, μνήμη τού Αγίου Πατρός ημών Οσίου, Επισκόπου Κουδρούβης.

Στίχοι

- Τήν κλήσιν ειπών Όσιε τήν σήν μόνην
- Πληρώ θανόντι επαινόν σοι τό χρέος.

Τή αυτή ημέρα, μνήμη τής υπό τού Αγίου Φιλίππου βαπτίσεως τού Αιθίοπος Ευνούχου.

Στίχοι

- Ανήρ ελέγχει τήν παροιμίαν Σπάδων.
- Λευκαίνεται γάρ, καί πεφυκώς Αιθίοψ.

Τή αυτή ημέρα, ή Αγία Ανθούσα η Νέα, τρίχινον ράκος ενδυθείσα καί εις φρέαρ ριφθείσα, τελειούται.

Στίχοι

- Ο μανδύας σοι πίλος, η πόρπη πέτρα.
- Μεθ' ών υπήλθες, Ανθούσα, βαθύ φρέαρ.

Μνήμη τού Αγίου μάρτυρος Φανουρίου αναφανέντος εν έτει 1500.

Ταίς τών Αγίων σου πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Παίδες Εβραίων

Θείαις σχολάζων θεωρίαις, λαμπρυνόμενος αϋλοις θεαυγίαις, καί ημέρας υιός, καί φώς τών εν σκότει, ως αληθώς γεγένησαι, εεοφόρε εις αιώνας.

Ήρθης πρός ύψος απαθείας, μετά σώματος Αγγέλους εμιμήσω, Παραδείσου τρυφής, εγένου κληρονόμος, αναβοών μακάριε, ο Θεός ευλογητός εί.

Λάμπων ακτίσιν απαθείας, απημαύρωσας δαιμόνων επηρείας, καί τής τούτων πολλούς, κακώσεως ερρύσω, αναβοώντας Όσιε, ο Θεός ευλογητός εί.

Θεοτοκίον

Ίδε ήν έφησε Παρθένον, εν τώ Πνεύματι ο μέγας Ησαϊας, εν γαστρί τόν Θεόν, συνέλαβε καί τίκτει, ώ μελωδούντες κράζομεν, ο Θεός ευλογητός εί.

Ωδή η'

Τόν άναρχον Βασιλέα

Ανύστακτον τής ψυχής τήν λαμπάδα, ελαίω σου τών αγώνων τηρήσας, εισήλθες εν χαρά, εις άφθαρτον νυμφώνα, καί ζής εις τούς αιώνας.

Ουκ έσεισαν τής ψυχής σου τόν πύργον, οι άνεμοι ακαθάρτων πνευμάτων, εστήρικτο καί γάρ, τής πίστεως εν πέτρα, παμμάκαρ θεοφόρε.

Τό δύσμορφον τών παθών εξεδύσω, χιτώνιον, ενεδυσω δέ Πάτερ, ωραίαν τήν στολήν, τής θείας απαθείας, Χριστώ συμβασιλεύων.

Θεοτοκίον

Ως έντιμον καί υπέρτατον θρόνον, υπάρχουσαν τού Θεού τού Υψίστου, υμνήσωμεν λαοί, τήν αγίαν Παρθένον, αυτήν υπερυψούντες, εις πάντας τούς αιώνας.

Ο Ειρμός

«Τόν άναρχον Βασιλεα τής δόξης, όν τρέμουσιν ουρανών αι δυνάμεις, καί φρίττουσι τών Αγγέλων αι τάξεις, υμνείτε Ιερείς, λαός υπερυψούτε, εις πάντας τούς αιώνας ».

Ωδή θ'

Έφριξε πάσα ακοή

Έδυς μέν οίά περ αστήρ, από κόσμου πρός Χριστόν δέ ανέτειλας, τόν νοητόν αληθώς, δικαιοσύνης παμμάκαρ ήλιον, καί ως ακτίνας τοίς πιστοίς, τάς σάς καταλέλοιπας, φωτοειδείς αρετάς, ελαυνούσας τήν ψυχών αμαυρότητα.

Τίμιος έναντι Θεού, σού ο θάνατος αοίδιμε γέγονε, καί γάρ οσίως εν γή, επολιτεύσω τούτου προστάγματα, καί δικαίωμα Ποιμήν, τηρήσας αλώβητα, όθεν ανέτειλεν, ως δικαίω σοι τό φώς τό ανέσπερον.

Ταίς θείαις Πάτερ καλλοναίς, ενηδόμενος καί θέσει θεούμενος, καί τώ μεγάλω φωτί, πεφωτισμένος νύν παριστάμενος, καί ακροτάτω εφετώ, εγγίζων τρανότερον, τών σέ τιμώντων Ποιμήν, καί τελούντων σου τήν μνήμην μνημόνευε.

Θεοτοκίον

Έπαυσας μόνη γυναικών, τήν αράν τών πρωτοπλάστων Θεόνυμφε, τόν απερίγραπτον, σαρκί τεκούσα περιγραφόμενον, εκαινοτόμησας θεσμούς, φύσεως αμόλυντε, τά διεστώτα τό πρίν, παραδόξω μεσιτεία σου ήνωσας.

Ο Ειρμός

«Έφριξε πάσα ακοή, τήν απόρρητον Θεού συγκατάβασιν, όπως ο Ύψιστος, εκών κατήλθε μέχρι καί σώματος, παρθενικής από γαστρός, γενόμενος άνθρωπος, διό τήν άχραντον, Θεοτόκον οι πιστοί μεγαλύνομεν».

Εξαποστειλάριον

Τοίς Μαθηταίς συνέλθωμεν

Όλην σαφώς δεξάμενος, τήν τρισήλιον αίγλην, τής θεαρχίας πάνσοφε, νύν Θεός χρηματίζεις, Θεού τού φύσει μεθέξει, όν δυσώπει ρυσθήναι, κινδύνων τε καί θλίψεων, τούς τιμώντάς σε Πάτερ, καί τήν σεπτήν, καί φωσφόρον μνήμην σου εκτελούντας, Ποιμήν θεόφρον Όσιε, ασκητών ωραιότης.

Θεοτοκίον

Σέ ο πατήρ ηρέτισεν, ως πολύευκτον κρίνον, Θεοκυήτορ πάναγνε, διά Πνεύματος θείου, πρός τήν Υιού κατοικίαν, αναμέσον ευρών σε, τών ακανθών πανάμωμε, αποστίλβουσαν κάλλει, παρθενικώ, διό δή Θεόνυμφε σέ υμνούμεν, καί πόθω μακαρίζομεν, διά σού οι σωθέντες.

Καί ή λοιπή τού Όρθρου ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΗ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τού Οσίου Πατρός ημών Μωσέως τού Αιθίοπος.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος πλ. δ'

Οι μάρτυρές σου Κύριε

Μωσής ο πολυθρύλητος, κόσμου τερπνότητα, λιπών εμφρόνως, πόνοις ασκήσεως συντονωτάτοις, πάθη υπέταξε σαρκός, καί καταβαλών τόν πολυμήχανον, νίκης τούς στεφάνους εκομίσατο, Αυτού ταίς ικεσίαις Κύριε, δίδου τό μέγα έλεος.

Εγκράτειαν ασύγκριτον, στάσιν παννύχιον, άγρυπνον όμμα, νούν φανταζόμενον τό θείον κάλλος, έσχες μακάριε Μωσή, όθεν ιαμάτων χάριν είληφας, πάθη θεραπεύειν χαλεπώτατα, Διό σε δυσωπούμεν, Αίτησαι πάσι

Πάτερ τό μέγα έλεος.

Δαιμόνων πανουργεύματα, καί τά τοξεύματα, καί τάς ενέδρας, θεία σκεπόμενος Μωσή παλάμη, Πάτερ διήλθες αβλαβώς, καί τή απαθεία σεμνυνόμενος, πάσι τοίς Οσίοις συνηρίθμησαι, πρεσβεύων δωρηθήναι, πίστει τοίς σέ τιμώσι τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Οι λογισμοί ακάθαρτοι, τά χείλη δόλια, τά έργα δέ μου, εισί παμμίαρα, καί τί ποιήσω; πώς υπαντήσω τώ Κριτή; Δέσποινα Παρθένε καθικέτευσον, τόν Υιόν καί πλάστην σου καί Κύριον, όπως εν μετανοία δέξηταί μου τό πνεύμα, ως μόνος εύσπλαγχνος.

Η Σταυροθεοτοκίον

Η δάμαλις η άσπιλος, τόν μόσχον βλέπουσα, επί τού ξύλου, προσαναρτώμενον εθελουσίως, οδυρομένη γοερώς, Οίμοι! ανεβόα, ποθεινότατον τέκνον, τί δήμος ανταπέδωκεν, αχάριστος Εβραίων, θέλων με ατεκνώσαι, εκ σού παμφίλτατε;

Απολυτίκιον  Ήχος α'

Τής ερήμου πολίτης, καί έν σώματι Άγγελος, καί θαυματουργός ανεδείχθης θεοφόρε Μωσή πατήρ ημών, νηστεία αγρυπνία, προσευχή, ουράνια χαρίσματα λαβών, θεραπεύεις τούς νοσούντας, καί τάς ψυχάς τών πίστει προστρεχόντων σοι, Δόξα τώ δεδωκότι σοι ισχύν, δόξα τώ σέ στεφανώσαντι, δόξα τώ ενεργούντι διά σού πάσιν ιάματα.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν συνήθη Στιχολογίαν, οι Κανόνες τής Οκτωήχου, καί τού Αγίου ο παρών.

Ποίημα Θεοφάνους.

Ωδή α'  Ήχος πλ. δ'

Άσωμεν τώ Κυρίω

Δήγματι αμαρτίας, μεμελανωμένην τήν καρδίαν μου, καταλεύκανον Πάτερ, μετανοίας τοίς όμβροις πρεσβείαις σου.

Φόβω τώ τού Δεσπότου, σάρκα καθηλώσας άπαν νόημα, εμπαθές εκ καρδίας, θεοφόρε παμμάκαρ εξήλειψας.

Αύλαξι διανοίας, κρύψας τά τού λόγου Πάτερ σπέρματα, εγεώργησας σίτον, θησαυροίς ακενώτοις τηρούμενον.

Θεοτοκίον

Όλον μέ διασώζει, Λόγος ο υπέρθεος χρηστότητι, βουληθείς εκ γαστρός σου, σαρκωθήναι αγνή Μητροπάρθενε.

Ωδή γ'

Σύ εί τό στερέωμα

Πνεύματι κινούμενος, πνευματικαίς σοφέ πράξεσιν, εγκαρτερών, τά τής πονηρίας, καθυπέταξας πνεύματα.

Σθένει δυναμούμενος, θεαρχικώ Μωσή Όσιε, τόν ισχυρόν, άσαρκος καθάπερ, εταπείνωσας δράκοντα.

Όμβροις τών δακρύων σου, πυρκαϊάν παθών έσβεσας, καί ποταμός, ώφθης χαρισμάτων, πεπλησμένος τού Πνεύματος.

Θεοτοκίον

Έχων σε βοήθειαν, τών δυσμενών ορμάς Άχραντε, ου δειλιώ, έχων σε προστάτιν, τάς αυτών τρέπω φάλαγγας.

Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Κάθισμα  Ήχος γ'

Θείας πίστεως

Φέγγος άδυτον εισδεδεγμένος, απημαύρωσας τών νοουμένων, Αιθιόπων θεοφόρε τά πρόσωπα, καί τάς αυτών κακουργίας διέλυσας, ταίς πρός τό θείον απαύστοις σου νεύσεσι Πάτερ Όσιε, Χριστόν τόν Θεόν ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Δόξα... Καί νύν... Θεοτοκίον

Θείας φύσεως ουκ εχωρίσθη, σάρξ γενόμενος, εν τή γαστρί σου, αλλά Θεός ενανθρωπήσας μεμένηκεν, ο μετά τόκον Παρθένον Μητέρα σε, ως πρό τού τόκου φυλάξας πανάμωμον, μόνος Κύριος, Αυτόν εκτενώς ικέτευε, δωρήσασθαι ημίν τό μέγα έλεος.

Η Σταυροθεοτοκίον

Η αμίαντος αμνάς τού Λόγου, η ακήρατος Παρθενομήτωρ εν τώ Σταυρώ θεασαμένη κρεμάμενον, τόν εξ αυτής ανωδίνως βλαστήσαντα, μητροπρεπώς θρηνωδούσα εκραύγαζεν, Οίμοι τέκνον μου! πώς πάσχεις θέλων ρύσασθαι, παθών τής ατιμίας τόν άνθρωπον.

Ωδή δ'

Εισακήκοα Κύριε

Τόν φιλόσαρκον δαίμονα, ταίς αδιαλείπτοις Πάτερ δεήσεσι, καί πόνων επιδόσεσιν, εκ ψυχής των παμμάκαρ απεδίωξας.

Μεταθείς τήν διάνοιαν, πρός τά υπέρ νούν τε καί λόγον Όσιε, τής ασκήσεως τόν καύσωνα, ώσπερ θείαν δρόσον καθυπέφερες.

Θεωρίαις καί πράξεσιν, εκλελαμπρυσμένη Πάτερ πανόλβιε, η καρδία σου τού Πνεύματος, καθαρόν εδείχθη ενδιαίτημα.

Θεοτοκίον

Παρθενίας κειμήλιον, καί τής αχωρήτου φύσεως σκήνωμα, τήν ψυχήν μου φωταγώγησον, τήν εσκοτισμένην Θεονύμφευτε.

Ωδή ε'

Ορθρίζοντες βοώμέν σοι

Τώ άνθρακι πυρούμενος, μάκαρ τής απαθείας, ύλην ευκατάπρηστον, τήν τών παθών απετέφρωσας.

Αστήρ τής εγκρατείας, υψώμασι διαπρέπων, ώφθης τάς ψυχάς ημών, καταφωτίζων αοίδιμε.

Τεθρίππω αρετών επιβέβηκας, καί πρός νύσσαν, έφθασας ουράνιον, Πάτερ Μωσή αξιάγαστε.

Θεοτοκίον

Παρθένον μετά τόκον υμνούμέν σε, Θεοτόκε, σύ γάρ τόν Θεόν Λόγον, σαρκί τώ κόσμω εκύησας.

Ωδη ς'

Ιλάσθητί μοι Σωτήρ

Νυκτί με αμαρτιών, καί ηδονών αμαυρότητι, κυκλούμενον ταίς έν σοί, τού Πνεύματος λάμψεσιν, όλον φωταγώγησον, όλον πρός λιμένα, σωτηρίας Πάτερ ίθυνον.

Ως μέλισσα φιλεργός, τώ σίμβλω τής διανοίας σου, τά άνθη τών αρετών, αθροίσας ανέβλυσας, γλυκασμόν αθάνατον, τήν πικρίαν Πάτερ, τών δαιμόνων απελαύνοντα.

Ερήμοις εγκαρτερών, τήν άνω πόλιν κεκλήρωσαι, τήν σάρκα δουλαγωγών, νηστείαις θαυμάσιε, τρυφήν πρός αδάπανον, καί πρός Παραδείσου, τάς σκηνώσεις εξεδήμησας.

Θεοτοκίον

Αγίασμα νοητόν, καί άψαυστον ιλαστήριον, λυχνίαν χρυσοειδή, καί τράπεζαν έμψυχον, τόν άρτον βαστάσασαν, τής ζωής Παρθένε, οι πιστοί σε ονομάζομεν.

Ο Ειρμός

«Ιλάσθητί μοι Σωτήρ, πολλαί γάρ αι ανομίαι μου, καί εκ βυθού τών κακών, ανάγαγε δέομαι, πρός σέ γάρ εβόησα, καί επάκουσόν μου, ο Θεός τής σωτηρίας μου».

Κοντάκιον Ήχος δ'

Επεφάνης σήμερον

Αιθιόπων πρόσωπα, απορραπίσας, νοητών ανέλαμψας, καθάπερ ήλιος φαιδρός, φωταγωγών τάς ψυχάς ημών, τών σέ τιμώντων, Μωσή παμμακάριστε.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή ΚΗ' τού αυτού μηνός, μνήμη τού Οσίου Πατρός ημών Μωσέως τού Αιθίοπος.

Στίχοι

- Φήσεις τό ρητόν καί θανών, Μωσή μέλα.
- «Άνθρωπος όψιν, καί Θεός τήν καρδίαν».
- Θάψαν εν εικάδι Μωσήν ογδόη Αιθιοπήα.

Τή αυτή ημέρα, μνήμη τού Αγίου μάρτυρος Ακακίου τού Νέου.

Στίχοι

- Τράχηλον Ακάκιος εκτμηθείς ξίφει,
- Ψυχής τό λευκόν μηνύων, βλύζει γάλα.

Τή αυτή ημέρα, μνήμη τών Αγίων μαρτύρων Διομήδους καί Λαυρεντίου.

Στίχοι

- Διττοίς αθληταίς προσδεθείσι πλατάνω,
- Ταθέντα τόξα, πλατάνων κενοί ψόφοι.

Τή αυτή ημέρα, ο δίκαιος Εζεκίας ο Βασιλεύς εν ειρήνη τελειούται.

Στίχοι

- Εί δακρύσας ήν Εζεκίας, ως πάλαι,
- Ζωής άν άλλην εύρε προσθήκην πάλιν.

Τή αυτή ήμέρα, μνήμη τής Αγίας Άννης, τής θυγατρός Φανουήλ.

Στίχοι

- Ού γής απήρεν η Φανουήλ θυγάτηρ,
- Εως εφ' αυτής είδε τόν Θεόν βρέφος.

Οι άγιοι τριάκοντα τρείς μάρτυρες, οι εξ Ηρακλείας, πυρί τελειούνται.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός, ελέησον ημάς. Αμήν.

Ωδή ζ'

Παίδες Εβραίων

Λύμης παθών κεκαθαρμένος, τάς τού Πνεύματος αστράπτων λαμπηδόνας, πρός τό φώς αληθώς, τό άϋλον μετέβης, ένθα χοροί μακάριε, ασκητών εις τούς αιώνας.

Πάσαν εξέφυγες κακίαν, ωκειώσω δέ καλών τήν μετουσίαν, καί τερπνώ εφετώ, αϋλω συνε κράθης, αναβοών μακάριε, ο Θεός ευλογητός εί.

Πόνοις ασκήσεως αμέτροις, τήν επίπονον εξήρανας απάτην, θεοφόρε διό, τήν άπονον εφεύρες, τών αγαθών απόλαυσιν, ευλογών σου τόν Δεσπότην.

Θεοτοκίον

Ίδε ήν έφησε Παρθένον, εν τώ Πνεύματι ο μέγας Ησαΐας, εν γαστρί τόν Θεόν, συνέλαβε καί τίκτει, ώ μελωδούμεν, Κύριε, ο Θεός ευλογητός εί.

### Ωδή η'
### Επταπλασίως κάμινον

Ταίς προσευχαίς νευρούμενος, ταπεινώσει υψούμενος, τή δικαιοσύνη, τήν ψυχήν λαμπόμενος, αγάπη κοσμούμενος, πρός αρετών ακρώρειαν, πρός περιφανές Πάτερ ανέδραμες ύψος, κραυγάζων, τόν Δεσπότην, Ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

Ο μελανός μέν τώ σώματι, τήν ψυχήν φαιδροτέραν δέ, τών ηλιακών μαρμαρυγών κτησάμενος, δαιμόνων ημαύρωσεν, εζοφωμένα πρόσωπα, τάς δέ τών πιστών, καταλαμπρύνει καρδίας, αυτού τή εκμιμήσει, τών θερμώς μελωδούντων, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

Τή ταπεινώσει πάντοθεν, πεφραγμένος διέφυγες, Πάτερ Αιθιόπων, νοητών τοξεύματα, αλείπτης δέ γέγονας, τών μοναστών πρός πάλην εχθρών, έργοις τε καί λόγοις, σύν αυτοίς ανακράζων, Οι παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

### Θεοτοκίον

Υπερφυώς συνέλαβες, υπέρ λόγον εκύησας, τόν Δημιουργόν τής ανθρωπίνης φύσεως, γενόμενον άνθρωπον, τόν τού Πατρός αχώριστον, Δέσποινα αγνή, ώ μελωδεί πάσα κτίσις, Οι παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας.

### Ο Ειρμός

«Επταπλασίως κάμινον, τών Χαλδαίων ο τύραννος, τοίς θεοσεβέσιν εμμανώς εξέκαυσε, δυνάμει δέ κρείττονι, περισωθέντας τούτους ιδών, τώ Δημιουργώ, καί Λυτρωτή ανεβόα, Οι παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

### Ωδή θ'
### Έφριξε πάσα ακοή

Εν έργοις όντως τήν ζωήν, αγαθοίς διατελέσας απέλαβες, τών αγαθών τήν πηγήν, καί τού σού πόθου πέρας κατέλαβες, εορταζόντων δέ εν ώ, η φωνή μετ' αινέσεως, χαίρων εσκήνωσας, αξιάγαστε Μωσή Πάτερ Όσιε.

Στάζουσι Πάτερ γλυκασμόν, ωφελείας οι τών πόνων ιδρώτές σου, καί τήν πικρίαν ημών τών παθημάτων αποδιώκουσιν, αναβλυστάνουσιν ημίν ιάσεις τά λείψανα, καί σηπεδόνας κακών, καί ψυχών τόν μολυσμόν εκκαθαίρουσιν.

Στεφάνοις έστεψε Χριστός, αμαράντοις σου τήν κάραν θεσπέσιε, νενικηκότος στερρώς, τάς παρατάξεις τού κοσμοκράτορος, καί τών Οσίων τοίς χοροίς, οσίως ηρίθμησε, μεθ' ών ικέτευε, λυτρωθήναι πειρασμών τούς τιμώντάς σε.

### Θεοτοκίον

Έπαυσας μόνη γυναικών, τήν αράν τών προπατόρων Θεόνυμφε, τόν

απερίγραπτον, σαρκί τεκούσα περιγραφόμενον, εκαινοτόμησας θεσμούς, φύσεως αμόλυντε, τά διεστώτα τό πρίν, παραδόξω μεσιτεία σου ήνωσας.

Ο Ειρμός

«Έφριξε πάσα ακοή, τήν απόρρητον Θεού συγκατάβασιν, όπως ο Ύψιστος, εκων κατήλθε μέχρι καί σώματος, παρθενικής από γαστρός, γενόμενος άνθρωπος, διό τήν άχραντον, Θεοτόκον οι πιστοί μεγαλύνομεν».

Εξαποστειλάριον

Τοίς μαθηταίς συνέλθωμεν

Τών νοητών διέκοψας, κεφαλάς Αιθιόπων, Πάτερ Μωσή μακάριε τή μαχαίρα τών θείων, σού προσευχών θεοφόρε, νίκης όθεν βραβεία, παρά Χριστού απείληφας, ώ καί νύν σύν Αγγέλοις, παρεστηκώς, απαθείας λάμπων φωτοχυσία σούς υμνητάς καί πρόσφυγας, λάμπρυνον σαίς πρεσβείαις.

Θεοτοκίον

Ζήσας αισχρώς απώλεσα, τής ψυχής τό ωραίον, καί ωμοιώθην κτήνεσιν, ανοήτοις ο τάλας, ά ουκ εξόν ποιείν πράττων, Δέσποινα Θεοτόκε, λαμπρύνασά με κάθαρον τού φωτός σου ταίς θείαις, μαρμαρυγαίς, καί υσσώπω Κόρη τής μετανοίας, καί δείξόνμε τόν δούλόν σου, σκεύος εύχρηστον θείον.

Καί τά λοιπά, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

## ΤΗ ΚΘ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τής αποτομής τής τιμιας Κεφαλής τού αγίου, ενδόξου Προφήτου, Προδρόμου καί Βαπτιστού, Ιωάννου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Μετά τόν προοιμιακόν ψαλμόν, στιχολογούμεν τήν α' στάσιν τού, Μακάριος ανήρ.

Εις δέ τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Ιδιόμελα τέσσαρα, δευτερούντες τά δύο πρώτα.

Ήχος πλ. β'

Ιωάννου Μοναχού

Γενεθλίων τελουμένων, τού αναιδεστάτου Ηρώδου, τής ασελγούς ορχηστρίδος, επληρούτο η διάθεσις τού όρκου, τού γάρ Προδρόμου η κεφαλή αποτμηθείσα, ως οψώνιον εφέρετο, επί πίνακι τοίς ανακειμένοις, Ώ συμποσίου μισητού, ανοσιουργήματος καί μιαιοφονίας πλήρους! Αλλ' ημείς τόν Βαπτιστήν, ως εν γεννητοίς γυναικών μείζονα, επαξίως τιμώντες μακαρίζομεν.

Ο αυτός

Ωρχήσατο η μαθήτρια, τού παμπονήρου διαβόλου, καί τήν κεφαλήν σου

Πρόδρομε, μισθόν αφείλετο, Ώ συμποσίου πλήρους αιμάτων! Είθε μή ώμοσας Ηρώδη άνομε, ψεύδους έκγονε, ει δέ καί ώμοσας, μή ευώρκησας, κρείττον γάρ ψευσάμενον ζωής επιτυχείν, καί μή αληθεύσαντα, τήν κάραν τού Προδρόμου αποτεμείν, Αλλ' ημείς τόν Βαπτιστήν, ως εν γεννητοίς γυναικών μείζονα, επαξίως τιμώντες μακαρίζομεν.

Ο αυτός

Ουκ έδει σε ώ Ηρώδη, τόν τής μοιχείας έλεγχον, δι' έρωτα σατανικόν, καί οίστρον θηλυμανίας, θανάτω κατακρίναι, ουκ έδει σε τούτου τήν πάντιμον κάραν, παρανόμω γυναικί, δι' όρκον ορχήσεως, παραδούναι σφαλερώς, Ώ! πώς ετόλμησας τοιούτον φόνον τελέσαι; πώς δέ ού κατεφλέχθη η ασελγής ορχήστρια, εν μέσω τού συμποσίου επί πίνακι βαστάζουσα ταύτην, Αλλ' ημείς τόν Βαπτιστήν, ως εν γεννητοίς γυναικών μείζονα, επαξίως τιμώντες μακαρίζομεν.

Ο αυτός

Πάλιν Ηρωδιάς μαίνεται, πάλιν ταράττεται, Ώ όρχημα δόλιον, καί πότος μετά δόλου! ο Βαπτιστής απετέμνετο, καί Ηρώδης εταράττετο, Πρεσβείαις Κύριε τού σού Προδρόμου, τήν ειρήνην παράσχου ταίς ψυχαίς ημών.

Δόξα...

Γενεθλίων τελουμένων, τού αναιδεστάτου Ηρώδου, τής ασελγούς ορχηστρίδος, επληρούτο η διάθεσις τού όρκου, τού γάρ Προδρόμου η κεφαλή αποτμηθείσα, ως οψώνιον εφέρετο, επί πίνακι τοίς ανακειμένοις, Ώ συμποσίου μισητού, ανοσιουργήματος καί μιαιοφονίας πλήρους! Αλλ' ημείς τόν Βαπτιστήν, ως εν γεννητοίς γυναικών μείζονα, επαξίως τιμώντες μακαρίζομεν.

Καί νύν... Θεοτοκίον

Τίς μή μακαρίσει σε, Παναγία Παρθένε; τίς μή ανυμνήσει σου τόν αλόχευτον τόκον; ο γάρ αχρόνως εκ Πατρός εκλάμψας Υιός μονογενής, ο αυτός εκ σού τής αγνής προήλθεν, αφράστως σαρκωθείς, φύσει Θεός υπάρχων, καί φύσει γενόμενος άνθρωπος δι' ημάς, ουκ εις δυάδα προσώπων τεμνόμενος, αλλ' εν δυάδι φύσεων ασυγχύτως γνωριζόμενος, Αυτόν ικέτευε, σεμνή Παμμακάριστε, ελεηθήναι τάς ψυχάς ημών.

Είσοδος, Φώς ιλαρόν, τό Προκείμενον τής ημέρας καί τά Αναγνώσματα.

Προφητείας Ησαϊου τό Ανάγνωσμα
(Κεφ. 40, 1 καί εκλογή)

Τάδε λέγει Κύριος, Παρακαλείτε, παρακαλείτε τόν λαόν μου, λέγει ο Θεός. Οι Ιερείς λαλήσατε εις τήν καρδίαν Ιερουσαλήμ. Παρακαλέσατε αυτήν, ότι επλήσθη η ταπείνωσις αυτής, λέλυται γάρ αυτής η αμαρτία, ότι εδέξατο εκ χειρός Κυρίου διπλά τά αμαρτήματα αυτής. Φωνή βοώντος εν τή ερήμω. Ετοιμάσατε τήν οδόν Κυρίου, ευθείας ποιείτε τάς τρίβους τού Θεού ημών. Πάσα φάραγξ πληρωθήσεται, καί πάν όρος καί βουνός ταπεινωθήσεται, καί έσται τά σκολιά εις ευθείαν, καί αι τραχείαι εις οδούς λείας, καί όψεται πάσα σάρξ τό σωτήριον τού Θεού. Επ' όρους υψηλού ανάβηθι ο ευαγγελιζόμενος Σιών, ύψωσον εν ισχύϊ τήν φωνήν σου ο ευαγγελιζόμενος Ιερουσαλήμ,

υψώσατε, μή φοβείσθε. Εγώ Κύριος ο Θεός, εγώ επακούσομαι, ο Θεός, Ισραήλ, καί ουκ εγκαταλείψω αυτούς, αλλά ανοίξω εκ τών ορέων ποταμούς, καί εν μέσω πεδίων πηγάς. Ποιήσω τήν έρημον εις έλη, καί τήν διψώσαν γήν εν υδραγωγοίς. Ευφρανθήτω ο ουρανός άνωθεν, καί νεφέλαι ρανάτωσαν δικαιοσύνην, Ανατειλάτω η γή, καί βλαστησάτω έλεος καί δικαιοσύνην ανατειλάτω άμα. Φωνήν ευφροσύνης αναγγείλατε έως εσχάτου τής γής, καί ακουστόν γενέσθω τούτο. Λέγετε ότι ερρύσατο Κύριος τόν δούλον αυτού Ιακώβ. Καί εάν διψήσωσι δι' ερήμων, εξάξει αυτοίς ύδωρ εκ πέτρας. Ευφράνθητι στείρα η ού τίκτουσα, ρήξον καί βοήθησον η ουκ ωδίνουσα, ότι πολλά τά τέκνα τής ερήμου μάλλον, ή τής εχούσης τόν άνδρα.

## Προφητείας Μαλαχίου τό ανάγνωσμα
## (Κεφ. 3 & 4, εκλογή)

Τάδε λέγει Κύριος παντοκράτωρ, Ιδού εγώ εξαποστελώ τόν Άγγελόν μου πρό προσώπου σου, ός κατασκευάσει τήν οδόν σου εμπροσθέν σου, Καί ήξει εις τόν ναόν εαυτού Κύριος, όν υμείς ζητείτε. Καί τίς υπομενεί ημέραν εισόδου αυτού; ή τίς υποστήσεται εν τή οπτασία αυτού; Διότι αυτός εισπορεύεται ως πύρ εν χωνευτηρίω καί ως πόα πλυνόντων. Καί καθιείται χωνεύων, καί καθαρίζων ως τό αργύριον καί τό χρυσίον. Καί προσελεύσεται πρός ημάς εν κρίσει, καί έσται μάρτυς ταχύς επί τούς πονηρούς, καί επί τάς μοιχαλίδας, καί επί τούς ομνύοντας τώ ονόματι αυτού επί ψευδή, καί τούς μή φοβουμένους αυτόν, λέγει Κύριος παντοκράτωρ. Διότι εγώ Κύριος ο Θεός, υμών, καί ουκ ηλλοίωμαι καί υμείς υιοί, Ιακώβ εξεκλίνατε νόμιμα, καί ουκ εφυλάξατε. Διά τούτο επιστρέψατε πρός με, καί επιστραφήσομαι πρός υμάς, λέγει Κύριος παντοκράτωρ. Καί μακαριούσιν υμάς πάντα τά έθνη, καί γνώσεσθε ότι εγώ Κύριος, επιβλέπων αναμέσον δικαίου καί αναμέσον ανόμου, εν τή ημέρα εκείνη ή εγώ ποιώ εις περιποίησιν τών αγαπώντων με. Επίγνωτε ούν, καί μνήσθητε τού νόμου Μωσή τού δούλου μου, καθότι ενετειλάμην αυτώ εν Χωρήβ, πρός πάντα τόν Ισραήλ, προστάγματα καί δικαιώματα. Καί ιδού εγώ αποστελώ υμίν Ηλίαν τόν θεσβίτην, πρίν ή ελθείν τήν ημέραν Κυρίου τήν μεγάλην καί επιφανή, ός αποκαταστήσει καρδίαν πατρός πρός υιόν, καί καρδίαν ανθρώπου πρός τόν πλησίον αυτού, μή ελθών πατάξω τήν γήν άρδην, λέγει Κύριος παντοκράτωρ, ο Θεός Άγιος Ισραήλ.

## Σοφίας Σολομώντος τό ανάγνωσμα
## (Κεφ. 4, εκλογή, & 5, 17)

Δίκαιος εάν φθάση τελευτήσαι εν αναπαύσει έσται. Κατακρινεί δίκαιος αποθανών τούς ζώντας ασεβείς, όψονται γάρ τελευτήν δικαίου, καί ού μή συνήσουσι τί εβουλεύσαντο περί αυτού. Ότι ρήξει Κύριος τούς ασεβείς αφώνους πρηνείς, καί σαλεύσει αυτούς εκ θεμελίων, καί έως εσχάτου χερσωθήσονταιι εν οδύνη, καί η μνήμη αυτών απολείται. Ελεύσονται γάρ εν συλλογισμώ αμαρτημάτων αυτών δειλοί, καί ελέγξει αυτούς εξ εναντίας τά ανομήματα αυτών. Τότε στήσεται εν παρρησία πολλή ο δίκαιος κατά πρόσωπον τών θλιψάντων αυτόν, καί τών αθετούντων τούς πόνους αυτού, ιδόντες ταραχθήσονται φόβω δεινώ, καί εκστήσονται επί τώ παραδόξω τής σωτηρίας αυτού. Ερούσι γάρ εν εαυτοίς μετανοούντες καί διά στενοχωρίαν στενάξουσι καί ερούσιν. Ούτος ήν, όν εσχομέν ποτε εις γέλωτα καί εις

παραβολήν ονειδισμού οι άφρονες; Τόν βίον αυτού ελογισάμεθα μανίαν, καί τήν τελευτήν αυτού άτιμον. Πώς δέ κατελογίσθη έν υιοίς Θεού, καί εν αγίοις ο κλήρος αυτού εστιν. Άρα επλανήθη, μεν από οδού αληθείας, καί τό τής δικαιοσύνης φώς ουκ επέλαμψεν ημίν, καί ο ήλιος ουκ ανέτειλεν ημίν. Ανομίας ενεπλήσθημεν τρίβους καί απωλείας, καί ωδεύσαμεν τρίβους αβάτους, τήν δέ οδόν Κυρίου ουκ έγνωμεν.

Εις τήν Λιτήν, Στιχηρά Ιδιόμελα.

Ήχος α'
Γερμανού Πατριάρχου

Τί σε καλέσωμεν Προφήτα; Άγγελον, Απόστολον, ή Μάρτυρα; Άγγελον, ότι ως ασώματος διήγαγες, Απόστολον, ότι εμαθήτευσας τά έθνη, Μάρτυρα δέ, ότι σού η κεφαλή υπέρ Χριστού ετμήθη. Αυτόν ικέτευε, ελεηθήναι τάς ψυχάς ημών.

Ο αυτός

Τής αποτμηθείσης κεφαλής τού Προδρόμου, τά μνημόσυνα τελέσωμεν, ποτέ μέν επί πίνακι εκβλυζούσης αίματα, νυνί δέ εν τοίς πέρασι προχεούσης ιάματα.

Ο αυτός

Σήμερον η ανοσιουργότροπος μήτηρ τού φόνου, τήν εξ ανόμου συμπλοκής, αυτής πανασελγή θυγατέρα, Κατά τού πάντων τών Προφητών, θεοπροκρίτου μείζονος, φονοτρόπω συμβουλή εσκευώρητο, Τού γάρ εχθίστου Ηρώδου τελούντος συμπόσιον τού Εαυτού αθεμίτου γενεθλίου, μεθ' όρκου αιτήσασθαι παρεσκεύασε, τήν θαυματόβρυτον τού θεοκήρυκος τιμίαν κεφαλήν, ο καί τετέλεκεν ο παράφρων, θυμελικού ορχήματος δούς αυτήν αντίμισθον, ευορκίας χάριν, όμως ουκ επαύσατο ο μύστης τής Χριστού παρουσίας, τήν θεοστυγή μίξιν αυτών, καί μετά τό τέλος στηλιτεύειν, αλλ' ελέγχων εβόα, Ουκ έξεστί σοι, λέγων, μοιχεύειν τού αδελφού σου Φιλίππου τήν γυναίκα, Ώ γενεθλίου προφητοκτόνου, καί αιμάτων γέμοντος συμποσίου! Ημείς δέ ευσεβοφρόνως, εν τή αποτομή τού Προδρόμου, λευχειμονούντες εορτάσωμεν, ως εν ευσήμω ημέρα αγαλλιώμενοι, καί αιτησώμεθα τούτον, εξευμενίσαι τήν Τριάδα, τών παθών τής ατιμίας ρύσασθαι ημάς, καί σώσαι! τάς ψυχάς ημών.

Δόξα... Ήχος πλ. α'
Ιωάννου Μοναχού

Τής ανόμου πράξεως, τούς ελέγχους εκφυγείν ο Ηρώδης βουληθείς, τήν κεφαλήν σου Πρόδρομε, παρανόμω γυναικί παρεδίδου σφαλερώς, ού γάρ επέγνω ο δείλαιος στηλιτεύων εαυτόν, επί δίσκου περιφέρων αυτήν, Αλλ' ως αγνείας πρακτικός διδάσκαλος, καί μετανοίας οδηγός σωτήριος, πρέσβευε Βαπτιστά τώ Χριστώ, εκ τών παθών τής ατιμίας λυτρώσασθαι ημάς.

Καί νύν... Θεοτοκίον

Μακαρίζομέν σε, Θεοτόκε παρθένε, καί δοξάζομέν σε οι πιστοί κατά χρέος, τήν πόλιν τήν άσειστον, τό τείχος τό άρρηκτον, τήν αρραγή προστασίαν, καί καταφυγή τών ψυχών ημών.

Εις τόν Στίχον, Στιχηρά, Ιδιόμελα.

Ήχος β'

Τής μετανοίας ο κήρυξ, Ιωάννη Βαπτιστά, εκτμηθείς σου τήν κάραν, τήν, γήν ηγίασας, ότι τόν νόμον τού Θεού τοίς πιστοίς ετράνωσας, καί παρανομίαν εξηφάνισας, Ως παρεστηκώς τώ θρόνω τού επουρανίου Βασιλέως Χριστού, αυτόν ικέτευε, ελεηθήναι τάς ψυχάς ημών.

Στίχ. Δίκαιος ως φοίνιξ ανθήσει καί ωσεί κέδρος η εν τώ Λιβάνω πληθυνθήσεται.

Διά τόν νόμον Κυρίου, τήν κεφαλήν απετμήθης, ώ πανάγιε Ιωάννη, Ήλεγξας βασιλέα δυσσεβή παρανομήσαντα, παρρησία, αμέμπτω, διό θαυμάζουσί σε στρατιαί τών Αγγέλων, δοξάζουσί σε χοροί τών Αποστόλων καί Μαρτύρων, τιμώμέν σου καί ημείς τήν ετήσιον μνήμην πανένδοξε, δοξάζοντες τήν Αγίαν Τριάδα, τήν σέ στεφανώσασαν Πρόδρομε μακάριε.

Στίχ. Ευφρανθήσεται δίκαιος εν Κυρίω, καί ελπιεί επ' αυτόν καί επαινεσθήσονται πάντες οι ευθείς τή καρδία.

Ο εκ Προφήτου Προφήτης, καί μείζων Προφητών γενόμενος, εκ κοιλίας μητρός ο ηγιασμένος, εις υπουργίαν Κυρίου, σήμερον υπ' ανόμου βασιλέως, τήν κάραν απετμήθη, καί τήν ασέμνως ορχησαμένην κόρην, τρανώς καί πρό τής εκτομής, καί μετά τήν εκτομήν διελέγξας, ήσχυνε τής αμαρτίας τήν φάλαγγα, καί διά τούτο βοώμεν, Βαπτιστά Ιωάννη, ως έχων παρρησίαν, εκτενώς ικέτευε, υπέρ τών ψυχών ημών.

Δόξα... Ήχος πλ. δ'

Πρόδρομε τού Σωτήρος, σύ βασιλείς ήλεγξας, παρανομίαν μή εργάζεσθαι, διό παίγνιον ανόμου γυναικός, έπεισε τόν Ηρώδην άποτεμείν σου τήν κεφαλήν, καί διά τούτο από ανατολών ηλίου μέχρι δυσμών, αινετόν τό όνομά σου, Παρρησίαν έχων πρός Κύριον, εκτενώς ικέτευε, τού σωθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Ανύμφευτε Παρθένε, η τόν Θεόν αφράστως συλλαβούσα σαρκί, Μήτηρ Θεού τού υψίστου, σών οικετών παρακλήσεις δέχου πανάμωμε, η πάσι χορηγούσα καθαρισμόν τών πταισμάτων, νύν τάς ημών ικεσίας προσδεχομένη, δυσώπει σωθήναι πάντας ημάς.

Απολυτίκιον Ήχος β'

Μνήμη Δικαίου μετ' εγκωμίων, σοί δέ αρκέσει η μαρτυρία τού Κυρίου Πρόδρομε, ανεδείχθης γάρ όντως καί Προφητών σεβασμιώτερος, ότι καί εν ρείθροις βαπτίσαι κατηξιώθης τόν κηρυττόμενον, Όθεν τής αληθείας υπεραθλήσας, χαίρων ευηγγελίσω καί τοίς εν Άδη, Θεόν φανερωθέντα εν σαρκί, τόν αίροντα τήν αμαρτίαν τού κόσμου, καί παρέχοντα ημίν τό μέγα

έλεος.

Θεοτοκίον

Πάντα υπέρ έννοιαν, πάντα υπερένδοξα, τά σά Θεοτόκε μυστήρια, τή αγνεία εσφραγισμένη, καί παρθενία φυλαττομένη, Μήτηρ εγνώσθης αψευδής, Θεόν τεκούσα αληθινόν, Αυτόν ικέτευε, σωθήναι τάς ψυχάς ημών.

Καί Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος πλ. α'
Τόν συνάναρχον Λόγον

Τόν μεσίτην συμφώνως νόμου καί χάριτος, οι πιστοί συνελθόντες ανευφημήσωμεν, ότι μετάνοιαν ημίν προεκήρυξε, καί Ηρώδην εμφανώς, στηλιτεύσας ευθαρσώς, τήν κάραν αυτού ετμήθη, καί άρτι ζών μετ' Αγγέλων, Χριστώ πρεσβεύει τού σωθήναι ημάς.

Δόξα... Καί νύν... Θεοτοκίον

Τό εξαίσιον θαύμα τό τής συλλήψεως, καί ο άφραστος τόκος ο τής λοχείας σου, εν σοί εγνώρισται αγνή Αειπάρθενε, καταπλήττει μου τόν νούν, καί εξιστά τόν λογισμόν, η δόξα σου Θεοτόκε, τοίς πάσιν εφαπλουμένη, πρός σωτηρίαν τών ψυχών ημών.

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος πλ. α'
Τόν συνάναρχον Λόγον

Τόν εκ μήτρας Προφήτην αναδειχθέντα ημίν, καί εκ στείρας φωστήρα τή οικουμένη φαιδρώς, προελθόντα εν ωδαίς ανυμνήσωμεν, τού Χριστού τόν Βαπτιστήν, καί νικηφόρον αθλητήν, τόν Πρόδρομον Ιωάννην, πρεσβεύει γάρ τώ Κυρίω, ελεηθήναι τάς ψυχάς ημών.

Δόξα... Καί νύν... Θεοτοκίον

Τήν ταχείάν σου σκέπην καί τήν βοήθειαν, Καί τό έλεος δείξον επί τόν δούλόν σου, καί τά κύματα αγνή καταπράϋνον, τών ματαίων λογισμών, καί τήν πεσούσάν μου ψυχήν, ανάστησον Θεοτόκε, οίδα γάρ οίδα Παρθένε, ότι ισχύεις όσα καί βούλοιο.

Μετά δέ τόν Πολυέλεον

Κάθισμα Ήχος πλ. δ'
Τήν Σοφίαν καί Λόγον

Εκ τής στείρας εκλάμψας ψήφω Θεού, καί δεσμά διαρρήξας γλώσσης πατρός, έδειξας τόν ήλιον, εωσφόρον αυγάζοντα, καί λαοίς εν ερήμω, τόν Κτίστην εκήρυξας, τόν αμνόν τόν αίροντα, τού κόσμου τά πταίσματα, όθεν καί

πρός ζήλον, βασιλέα ελέγξας, τήν ένδοξον κάραν σου, απετμήθης αοίδιμε, Ιωάννη πανεύφημε, Πρέσβευε Χριστώ τώ Θεώ, τών πταισμάτων άφεσιν δωρήσασθαι, τοίς εορτάζουσι πόθω, τήν αγίαν μνήμην σου.

Δόξα... Καί νύν... Θεοτοκίον

Παναγία Παρθένε Μήτηρ Θεού, τής ψυχής μου τά πάθη τά χαλεπά, θεράπευσον, δέομαι, καί συγγνώμην παράσχου μοι, τών εμών πταισμάτων, αφρόνως ών έπραξα, καί τό σώμα, μολύνας τήν ψυχήν ο άθλιος, Οίμοι! τί ποιήσω, εν εκείνη τή ώρα, ηνίκα οι Άγγελοι, τήν ψυχήν μου χωρίζουσιν, εκ τού αθλίου μου σώματος; Τότε Δέσποινα βοήθειά μου γενού, καί προστάτης θερμότατος, σέ γάρ έχω ελπίδα ο δούλός σου άχραντε.

Οι Αναβαθμοί, τό α' Αντίφωνον τού δ' Ήχου.

Οι Αναβαθμοί  Αντίφωνον Α'

- Εκ νεότητός μου πολλά πολεμεί με πάθη, αλλ' αυτός αντιλαβού, καί σώσον Σωτήρ μου.
- Οι μισούντες Σιών, αισχύνθητε από τού Κυρίου, ως χόρτος γάρ, πυρί έσεσθε απεξηραμμένοι.

Δόξα... Καί νύν...

Αγίω Πνεύματι πάσα ψυχή ζωούται, καί καθάρσει υψούται λαμπρύνεται, τή τριαδική Μονάδι ιεροκρυφίως.

Προκείμενον  Ήχος δ'

Τίμιος εναντίον Κυρίου ο θάνατος τού Οσίου αυτού.
Στίχ. Τί ανταποδώσωμεν τώ Κυρίω.

Ευαγγέλιον κατά Ματθαίον

Τώ καιρώ εκείνω, ήκουσεν Ηρώδης...

Ζήτει τούτο τή γ' τής ζ' εβδομάδος.

Ο Ν'

Δόξα... Τοίς τού σού Προδρόμου...
Καί νύν... Ταίς τής Θεοτόκου...

Τό Στιχηρόν Ιδιόμελον

Ήχος β'

Τής μετανοίας ο κήρυξ, Ιωάννη Βαπτιστά, εκτμηθείς σου τήν κάραν, τήν, γήν ηγίασας, ότι τόν νόμον τού Θεού τοίς πιστοίς ετράνωσας, καί παρανομίαν εξηφάνισας, Ως παρεστηκώς τώ θρόνω τού επουρανίου Βασιλέως Χριστού, αυτόν ικέτευε, ελεηθήναι τάς ψυχάς ημών.

Μετά τούτο ψάλλονται οι Κανόνες, ο τής Θεοτόκου εις ς' καί τού Αγίου οι δύο παρόντες εις η' Κανών πρώτος τού Αγίου.

Ποίημα Ιωάννου Μοναχού.

Ωδή α'  Ήχος πλ. δ'
Υγράν διοδεύσας

Τόν από νηδύος στειρωτικής, φανέντα Προφήτην, τού εκ μήτρας παρθενικής, κυοφορηθέντος απορρήτως, τόν Ιερόν ανυμνήσωμεν Πρόδρομον.

Τούς όρους τής φύσεως υπερβάς, τής δικαιοσύνης, συνετήρησας τούς θεσμούς, παράνομον μίξιν διελέγχων, μή δεδοικώς βασιλέων θρασύτητα.

Τού νόμου τώ γάλακτι εκτραφείς, τήν νομοθεσίαν, συναφείας τής νομικής, ως νόμου σφραγίς επισφραγίζων, αντικατέστης πρός μίσος ακόλαστον.

Θεοτοκίον

Τάξεις σε Αγγέλων καί τών βροτών, ανύμφευτε Μήτερ, ευφημούσιν ανελλιπώς, τόν Κτίστην γάρ τούτων ώσπερ βρέφος, εν ταίς αγκάλαις σου εβάστασας.

Κανών δεύτερος
Ήχος πλ. δ'
Τόν Ισραήλ εκ δουλείας

Τόν υπέρ πάντας ανθρώπους, μαρτυρηθέντα υπό Χριστού, ως Πρόδρομον καί φίλον αυτού, Ιωάννην άπαντες, τόν θείον ευφημήσωμεν.

Τόν τής ερήμου πολίτην, καί τών Αγγέλων σύσκηνον, τό καύχημα τού νέου λαού, Ιωάννην άπαντες, τόν θείον ευφημήσωμεν.

Επί τή μνήμη τού Προδρόμου, αγγελικώς χορεύσωμεν, καί τώ Χριστώ βοήσωμεν, Αυτού ταίς ικεσίαις Χριστέ, ειρήνευσον τόν κόσμον σου.

Θεοτοκίον

Διά παντός Θεοτόκε, τόν εκ σού ικέτευε, αρρήτω λόγω σαρκωθέντα Θεόν, πάσης περιστάσεως, λυτρώσασθαι τούς δούλους σου.

Καταβασία

Σταυρόν χαράξας Μωσής, επ' ευθείας ράβδω, τήν Ερυθράν διέτεμε, τώ Ισραήλ πεζεύσαντι, τήν δέ επιστρεπτικώς, Φαραώ τοίς άρμασι, κροτήσας ήνωσεν, επ' εύρους διαγράψας τό αήττητον όπλον, Διό Χριστώ άσωμεν τώ Θεώ ημών, ότι δεδόξασται.

Ωδή γ'
Σύ εί τό στερέωμα

Πανάσεμνον κόριον, τού μεθυσμού πλησθέν έφησε, Δός μοι, τανύν, κάραν Ιωάννου, ώ Ηρώδη εν πίνακι.

Η παίς εξωρχήσατο, καί ως παράνομον τέρψασα, τόν Ηρώδην, πρός φόνον ανθέλκει, τού Προδρόμου καί κήρυκος.

Ώ σής αθλιότητος, Ηρώδη άφρον καί άνομε! ποία τόλμη, κόρης ασελγούσης, φόνον άδικον έπραξας.

Θεοτοκίον

Δός ημίν βοήθειαν, ταίς ικεσίαις σου Πάναγνε, τάς προσβολάς, αποκρουομένη, τών δεινών περιστάσεων.

Έτερος

Ουρανίας αψίδος

Παλαιάς ως μεσίτης, καί τής Καινής Πρόδρομος, ευαγγελικών κηρυγμάτων σύ προϊστάμενος, μίξιν παράνομον, τυραννικήν διελέγξας, ευκλεώς τόν θάνατον χαίρων διήνυσας.

Εκ μητρός παρανόμου, προβιβασθέν κόριον, εκβεβακχευμένον τή μέθη, Ηρώδη έφησε, Δός επί πίνακι, τήν κεφαλήν Ιωάννου, τή μητρί χαρίσασθαι, δώρον ποθούμενον.

Τούς ελέγχους μή φέρων, ο αναιδής τύραννος, τής θεοφρουρήτου σου γλώττης, ένδοξε Πρόδρομε, κόρη προδίδωσι, θυμελικών ορχημάτων, τήν σεπτήν σου έπαθλον, κάραν αοίδιμε.

Θεοτοκίον

Ενοικήσας Παρθένω, σωματικώς Κύριε, ώφθης τοίς ανθρώποις, ως έπρεπε θεαθήναί σε, ήν καί ανέδειξας, ως αληθή Θεοτόκον, καί πιστών βοήθειαν, μόνε φιλάνθρωπε.

Καταβασία

Ράβδος εις τύπον τού μυστηρίου παραλαμβάνεται, τώ βλαστώ γάρ προκρίνει τόν ιερέα, Τή στει ρευουση δέ πρώην, Εκκλησία νύν εξήνθησε, ξύλον Σταυρού, εις κράτος καί στερέωμα.

Κάθισμα Ήχος α'

Τόν τάφον σου Σωτήρ

Τόν Πρόδρομον Χριστού, Βαπτιστήν καί Προφήτην, Τιμήσωμεν πιστοί, καθαρώ συνειδότι, ως ένδοξον κήρυκα, μετανοίας διδάσκαλον, καί ως μάρτυρα, παναληθή τού Σωτήρος, τήν γάρ άνοιαν, τήν τού Ηρώδου ελέγξας, τήν κάραν εκτέμνεται.

Δόξα... Ήχος δ'

Κατεπλάγη Ιωσήφ

Νύν επέφανεν ημίν, ο τού Σωτήρος Βαπτιστής, καί ευφραίνει νοητώς, τάς διανοίας τών πιστών, τό τής ερήμου καλλώπισμα, καί Προφητών η σφραγίς, όθεν τού Χριστού εδείχθη Πρόδρομος, καί μάρτυς αψευδής, τής παρουσίας αυτού, Πνευματικοίς ούν άσμασι συμφώνως, τώ Ιωάννη βοήσωμεν, Προφήτα κήρυξ, τής αληθείας, πρέσβευε τού σωθήναι ημάς.

Καί νύν... Θεοτοκίον

Κατεπλάγησαν Αγνή, πάντες Αγγέλων οι χοροί, τό μυστήριον τής σής, κυοφορίας τό φρικτόν, πώς ο τά πάντα συνέχων νεύματι μόνω, αγκάλαις ως

βροτός, ταίς σαίς συνέχεται, καί δέχεται αρχήν, ο προαιώνιος, καί γαλουχείται σύμπασαν, ο τρέφων, πνοήν αφάτω χρηστότητι; καί σέ ως όντως, Θεού Μητέρα, ευφημούντες δοξάζουσιν.

## Ωδή δ'

### Συ μου ισχύς Κύριε

Ουκ ενεγκών, τό τών ελέγχων απότομον, ο τού νόμου, ταίς ποιναίς υπεύθυνος, ου' παρρησίαν θεοσεβή, ο ταίς ασελγείαις τών ηδονών συμφυρόμενος, δεσμήσας συνετήρει, τόν αϋλως τοίς άνω, πρό τού τέλους χοροίς συναπτόμενον.

Ψυχοβλαβή, μέθην καί οίστρον ακόλαστον, εκνοσήσας, έκδοτος ο δείλαιος, τοίς χορικοίς, κρότοις τών ποδών, αποδεδειγμένος, φονεύς Προφήτου γεγένηται, συνέλαβε γάρ μέθην, ασωτίας μητέρα, καί δεινήν ανομίαν απέτεκεν.

Όντως εν σοί, ου διεψεύσθη η θεία φωνή, τών Προφητών, σύ γάρ πέλεις περισσότερος, ως προφητείαις αξιωθείς, εξ αυτής νηδύος, εν ατελεί τώ τού σώματος, καί τόν προφητευθέντα, υπό σού Θεόν Λόγον, καί ιδών καί βαπτίσας εν σώματι.

### Θεοτοκίον

Σύ τών πιστών, καύχημα πέλεις ανύμφευτε, σύ προστάτις, σύ καί καταφύγιον, Χριστιανών τείχος καί λιμήν, πρός γάρ τόν Υιόν σου, εντεύξεις φέρεις Πανάμωμε, και σώζεις εκ κινδύνων τούς εν πίστει καί πόθω, Θεοτόκον αγνήν σε γινώσκοντας.

### Έτερος

### Εξ όρους κατασκίου

Ουκ έφερε τούς σούς ελέγχους ο Ηρώδης, θεράπον τού Χριστού, παμμάκαρ, Ιωάννη, όθεν οπλίζει τόν άδικον πρός σέ φόνον, ουκ αιδεσθείς σου τό σεβάσμιον.

Οίστρω καί τή μέθη, ομού βεβακχευμένος, ο άδικος βασιλεύς, σέ παμμάκαρ παρανόμως, θανατηφόρω απάγει ψήφω Προφήτα, ουκ αιδεσθείς σου τό σεβάσμιον.

Τής κόρης ο δεινός, υπαχθείς τοίς λόγοις, Ηρώδης δυσσεβής, τή μοιχαλίδι δώρον τήν κεφαλήν σου, Προφήτα όντως περέχει, αφ' ής πηγάζεις χάριν πάσιν ημίν.

### Θεοτοκίον

Χαίροις παρ ημών, αγία Θεοτόκε, χαίρε η χαράν, κυήσασα τώ κόσμω, χαίρε η μόνη αντίληψις τών ανθρώπων, ευλογημένη Θεοτόκε αγνή.

### Καταβασία

Εισακήκοα Κύριε, τής οικονομίας σου τό μυστήριον, κατενόησα τά έργα σου, καί εδόξασά σου τήν θεότητα.

## Ωδή ε'

### Ίνα τί με απώσω

Μητρικαίς υποθήκαις, άθλον τής ορχήσεως τής κακοδαίμονος, τής ωμής λεαίνης, ο ωμότερος σκύμνος ητήσατο, ήν καί θήρες πάντες, εν ερημίαις ηυλαβούντο, κεφαλήν τού Προδρόμου καί κήρυκος.

Ώ τών σών ανεφίκτων, καί ακαταλήπτων κριμάτων φιλάνθρωπε! ότι τού εκ μήτρας, πεφηνότος δοχείον τού Πνεύματος, καί συναυξηθέντος, τή σωφροσύνη καί αγνεία, ασελγές, κατωρχήσατο κόριον.

Προσφιλές καί οικείον, τώ τήν συζυγίαν τήν άσεμνον στέργοντι, γενεσίων πότοις, καί Προφήτου συνάψαι αναίρεσιν, καί κρατήρα πλήρη, προφητικών τοίς φιληδόνοις, καί αγίων αιμάτων κεράσασθαι.

### Θεοτοκίον

Μητρικήν παρρησίαν, τήν πρός τόν Υιόν σου κεκτημένη Πάναγνε, συγγενούς προνοίας, τής ημών μή παρίδης δεόμεθα, ότι σέ καί μόνην, Χριστιανοί πρός τόν Δεσπότην, ιλασμόν ευμενή προβαλλόμεθα.

### Έτερος

### Ορθρίζοντες βοώμέν σοι

Ορχήσεως εδίδοτο μίσθωμα, δι' απάτης, τή κόρη εν πίνακι, Προδρόμου κάρα, ώ άνοια!

Τώ λύθρω σταζομένης τής κάρας σου, Θεοκήρυξ, μοιχαλίς ετέρπετο, φρονούσα μέγα, ώ άνοια!

Σιγάν σου μέν τήν γλώτταν υπέλαβεν, ο Ηρώδης, η δέ καί σιγήσασα, πλέον ελέγχει πανεύφημε.

### Θεοτοκίον

Παρθένον μετά τόκον υμνούμέν σε, Θεοτόκε, σύ γάρ τόν Θεόν Λόγον, σαρκί τώ κόσμω εκύησας.

### Καταβασία

Ώ τρισμακάριστον ξύλον! εν ώ ετάθη Χριστός, ο Βασιλεύς καί Κύριος, δι' ού πέπτωκεν ο ξύλω απατήσας, τώ εν σοί δελεασθείς, Θεώ τώ προσπαγέντι σαρκί, τώ παρέχοντι, τήν ειρήνην ταίς ψυχαίς ημών.

## Ωδή ς'

### Ιλάσθητί μοι Σωτήρ

Τού νόμου τών εντολών, προκινδυνεύων μακάριε, ελέγχοις παιδαγωγείς, τόν παρανομήσαντα, ού γάρ έφυς κάλαμος, δυσμενών πνευμάτων, ριπιζόμενος προσπνεύσεσι.

Τώ λύθρω τώ τής σφαγής, η κεφαλή σταζομένη, ηνέχθη τών πορνικών αγώνων εις μίσθωμα, Ηρώδην ελέγχουσα, καί μετά τό τέλος, ως τήν φύσιν

συνθολώσαντα.

Ερήμους περιπολών, θριξί καμήλου σκεπόμενος, τάς μέν ως φωτολαμπές, κατώκεις ανάκτορον, τάς δέ ως βασίλειον, περιφέρων κόσμον, σών παθών κατεβασίλευσας.

Θεοτοκίον

Ρυσθείημεν τών δεινών, πταισμάτων ταίς ικεσίαις σου, Θεογεννήτορ αγνή, καί τύχοιμεν πάναγνε, τής θείας ελλάμψεως, τού εκ σού αφράστως, σαρκωθέντος Υιού τού Θεού.

Έτερος

Χιτώνά μοι παράσχου

Επήγασας τώ πλήθει τών πιστών, Ιωάννη ένδοξε, θεία διδάγματα, τόν αμνόν τόν τού Θεού καταγγείλας ημίν.

Σεμνότητος καί βίου ακριβούς, αψευδές υπόδειγμα, μέμνησο Πρόδρομε, τών υμνούντων σε Χριστώ παρ ιστάμενος.

Πρεσβείαις σου Προφήτα τού Χριστού, Βαπτιστά καί Πρόδρομε, κόσμον ειρήνευσον, διασώζων εκ κινδύνων τάς ψυχάς ημών.

Θεοτοκίον

Η μόνη διά λόγου εν γαστρί, τόν Λόγον κυήσασα, ρύσαι δεόμεθα, τών παγίδων τού εχθρού τάς ψυχάς ημών.

Καταβασία

Νοτίου θηρός εν σπλάγχνοις, παλάμας, Ιωνάς, σταυροειδώς διεκπετάσας, τό σωτήριον πάθος προ, διετύπου σαφώς, Όθεν τριήμερος εκδύς, τήν υπερκόσμιον Ανάστασιν υπεζωγράφησε, τού σαρκί προσπαγέντος Χριστού τού Θεού, καί τριημέρω εγέρσει τόν κόσμον φωτίσαντος.

Κοντάκιον  Ήχος πλ. α'

Η τού Προδρόμου ένδοξος αποτομή, οικονομία γέγονέ τις θεϊκή, ίνα καί τοίς εν' Άδη τού Σωτήρος κηρύξη τήν έλευσιν, θρηνείτω ούν Ηρωδιάς, άνομον φόνον αιτήσασα, ου νόμον γάρ τόν τού Θεού, ού ζώντα αιώνα ηγάπησεν, αλλ' επίπλαστον πρόσκαιρον.

Ο Οίκος

Τά γενέσιια τού Ηρώδου πάσιν εφάνησαν ανόσια, ότι εν μέσω τών τρυφώντων, η κεφαλή τού νηστεύοντος παρετέθη ώσπερ έδεσμα, Τή χαρά συνήφθη λύπη, καί τώ γέλωτι εκράθη πικρός οδυρμός, ότι τήν κάραν τού Βαπτιστού πίνακι φέρουσα, επί πάντων εισήλθεν, ως είπεν, η παίς, καί διά οίστρον, θρήνος επέπεσε πάσι τοίς αριστήσασι τότε σύν τώ βασιλεί, ου γάρ έτερψεν εκείνους, ούτε Ηρώδην αυτόν, φησί, καί ελυπήθησαν λύπην ουκ αληθινήν, αλλ' επίπλαστον πρόσκαιρον.

Σ υ ν α ξ ά ρ ι ο ν

Τή Κθ' τού αυτού μηνός, μνήμη τής αποτομής τής τιμίας κεφαλής τού

αγίου ενδόξου Προφήτου Προδρόμου καί Βαπτιστού Ιωάννου.

Στίχοι

- Τέμνει κεφαλήν χείρ μιαιφόνος ξίφει,
- Τού χείρα θέντος εις κεφαλήν Κυρίου.
- Εικάδι αμφ' ενάτη Προδρόμου τάμεν αυχένα χαλκός.

Τή αυτή ημέρα, μνήμη τής οσίας Θεοδώρας τής εν Θεσσαλονίκη, τής εξ Αιγίνης καταγομένης.

Ταίς τού σού Προδρόμου Χριστέ πρεσβείαις, ελέησον καί σώσον ημάς. Αμήν.

Ωδή ζ'

Θεού συγκατάβασιν

Ακόλαστον όρεξιν, δεινήν τε μέθην καθοπλισάμενος, προσβαλών κατερράγης, πρός εγκρατείας πύργον ακλόνητον, καί σωφροσύνης πρός πόλιν απόρθητον, τόν τού Χριστού Βαπτιστήν, Ηρώδη άνομε.

Ουκ έφριξε Πρόδρομε, ου συνεστάλη ού κατενάρκησεν, η μεμαθητευμένη τώ διαβόλω, τήν σήν προσφέρουσα, τιμίαν κάραν, αναιδώς εν πίνακι, προβιβασμοίς μητρικοίς, εκμοχλευθείσα τόν νούν.

Ως λύχνος προέλαμψας, προαπεστάλης δέ ώσπερ Άγγελος, ως Προφήτης κηρύττεις, αμνόν Θεού τόν φανέντα Χριστόν, ως μάρτυς ξίφει κεφαλήν εκτέτμησαι, προκαταγγέλλων αυτόν, καί τοίς εν Άδη νεκροίς.

Θεοτοκίον

Ρυσθέντες τώ τόκω σου, τής καταδίκης τού πάλαι πτώματος, τήν φανείσαν αιτίαν, ελευθερίας σέ Μητροπάρθενε, σύν τώ Υιώ σου τώ δόντι αντίλυτρον, υπέρ ημών εαυτόν αεί δοξάζομεν.

Έτερος

Παίδες Εβραίων

Δούλος Δεσπότου παρουσίαν, εωσφόρος τε ήλιον προμηνύων, Ιωάννης εις Άδου, ανέδραμε κραυγάζων, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Ώ τής Ηρώδου αφροσύνης! τόν ισάγγελον εν σώματι αϋλω, τώ ασέμνω γυναίω, ως παίγνιον δωρείται, Ευλογητός εί κράζοντα, ο Θεός εις τούς αιώνας.

Δέξαι με Άγιε Αγίων, λιτανεύοντα υπέρ τής Εκκλησίας, τώ Δεσπότη βοά, ο Πρόδρομος κραυγάζων, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

Θεοτοκίον

Έστησας ρύμην τού θανάτου, τόν αθάνατον Θεόν ως συλλαβούσα, καί τεκούσα Αγνή, ώ πάντες μελωδούμεν, Ευλογητός εί Κύριε, ο Θεός εις τούς αιώνας.

## Καταβασία

Έκνοον πρόσταγμα τυράννου, δυσσεβούς λαούς εκλόνησε, πνέον απειλής, καί δυσφημίας θεοστυγούς, Όμως τρείς Παίδας ουκ εδειμάτωσε, θυμός θηριώδης, ου πύρ βρόμιον, αλλ' αντηχούντι δροσοβόλω πνεύματι, πυρί συνόντες έψαλλον, ο υπερύμνητος τών Πατέρων καί ημών, Θεός ευλογητός εί.

## Ωδή η'

## Επταπλασίως κάμινον

Ο προδραμών τού τόκου σου, καί τού θείου παθήματος, εν τοίς κατωτάτοις, διά ξίφους γίνεται, Προφήτης καί Άγγελος, καί τής εκεί εισόδου σου, ως φωνή τού Λόγου, Ιωάννης κραυγάζων, Νεκροί τόν ζωοδότην, τυφλοί τόν φωτοδότην, αιχμάλωτοι τόν ρύστην, Χριστόν υπερυψούτε.

Παρθενικής γεννήσεως, προσδραμών εκ στειρώσεως, νύν τής εκουσίου, τού τά πάντα κτίσαντος, υπήρξας σταυρώσεως, προοδευτής εκτιμήσεως, τής κεφαλικής, τοίς έν τώ, Άδη κραυγάζων, Νεκροί τόν ζωοδότην, τυφλοί τόν φωτοδότην, αιχμάλωτοι τόν ρύστην Χριστόν υπερυψούτε.

Τής κεφαλής τού σώματος, εκτμηθείσης σου Πρόδρομε, η τής σής σαρκός ψυχή ηγεμονεύουσα, εκ ταύτης διήρητο, αλλ' η θεότης εκ τής σαρκός, τού Εμμανουήλ ού διηρέθη εντεύθεν, οστούν ου συνετρίβη τού Θεού καί Δεσπότου, διό υπερυψούμεν, αυτόν εις τούς αιώνας.

## Θεοτοκίον

Κυριοτόκε δέσποινα, τής ψυχής μου τά τραύματα καί τάς ωτειλάς, τή συμπαθεί πρεσβεία σου, Παρθένε εξάλειψον, καί πεπτωκότα έγειρον, σώσόν με πανάμωμε, τόν άσωτον σώσον, σύ γάρ μου εί προστάτις, καί αντίληψις μόνη, αγνή ευλογημένη, εις πάντας τούς αιώνας.

## Έτερος

## Ειρμός ο αυτός

Παρανομών ο τύραννος, Ηρώδης ο αλάστωρ ποτέ, καί εις ευωχίαν, γενεσίων παρατραπείς, τήν παίδα ορχήσασθαι, παρασκευάζει όρκοις, αυτήν πείσας πάσαν αίτησιν αυτής, εκπληρώσαι, η δέ εκβιβασθείσα, διδαχαίς ταίς μητρώαις, εν πίνακι αιτείται, τήν κάραν τού Προδρόμου.

Μιαιφονίας έγκλημα, εαυτώ κληρωσάμενος, κόλασιν απέραντον, Ηρώδης ο άθλιος, ο άναξ εισπράττεται, παρανομήσας άθεσμα, έδεσμα γάρ ώσπερ, τή τραπέζη προσάγει, τήν κάραν τού Προδρόμου, απελέγχουσαν τούτον, σύν τή Ηρωδιάδι, εις πάντας τούς αιώνας.

Ο φαεινός, Απόστολος, τού Κυρίου καί Πρόδρομος, μάκαρ Ιωάννη, Προφητών ο πρόκριτος, λιταίς σου περίσωζε, τούς εκτελούντας πόθω σου, μνήμην τήν φαιδράν, καί φωτοφόρον βοώντας, οι παίδες ευλογείτε, ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

### Θεοτοκίον
Αγιωτέρα πέφυκας, τών Αγγέλων κυήσασα, Κόρη Παναγία, τόν Αγίοις Άγιον, δι' οίκτον γενόμενον, όπερ εσμέν αφυρτως βροτοί, σώσαι τούς αυτώ, αναβοώντας απαύστως, Οι παίδες ευλογείτε, Ιερείς ανυμνείτε, λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

### Καταβασία
Ευλογείτε Παίδες, τής Τριάδος ισάριθμοι, Δημιουργόν Πατέρα Θεόν, υμνείτε τόν συγκαταβάντα Λόγον, καί τό πύρ εις δρόσον μεταποιήσαντα, καί υπερυψούτε, τό πάσι ζωήν παρέχον, Πνεύμα πανάγιον εις τούς αιώνας.

### Ωδή θ'
### Έφριξε πάσα ακοή
Έφριξε φάλαγξ Πονηρά, καί ο ταύτης πρωτοστάτης διάβολος, τήν θεολόγον σου, Προφήτα γλώσσαν Χριστόν κηρύττουσαν, καί διά κόρης ασελγούς, Ηρώδην ανέπεισε, καρατομήσαί σε, αλλ' ημείς σε οι πιστοί μεγαλύνομεν.

Φάραγξ μέν φύσις ταπεινή, ανυψώθη καί βουνός τεταπείνωται, η τού θανάτου οφρύς, φωνή βοώντος γάρ ανακέκραγεν, εν τοίς ερήμοις τού φωτός, τού, Άδου σκηνώμασι, Τάς πύλας άρατε, Βασιλεύς γάρ δυνατός εισελεύσεται.

Φρίττουσι πάθη τών βροτών, καί τώ φόβω δραπετεύουσι δαίμονες, τήν επισκίασιν, τής εκ Θεού σοι δοθείσης χάριτος, αλλ' αμφοτέρων πειρασμών, τήν ποίμνην σου φύλαττε, Κυρίου Πρόδρομε, τήν εν πίστει σε αεί μεγαλύνουσαν.

### Θεοτοκίον
Έντεινε καί κατευοδού, καί βασίλευε Υιέ Θεομήτορος, Ισμαηλίτην λαόν, καθυποτάσσων τόν πολεμούντα ημάς, τώ ορθοδόξω βασιλεί, νίκας χαριζόμενος, κατά βαρβάρων εχθρών, ταίς πρεσβείαις τής τεκούσης σε Λόγε Θεού.

### Έτερος
### Εξέστη επί τούτω
Φωνή βοώντες έφυς ώ Βαπτιστά, εκ Προφήτου Προφήτης γάρ έλαμψας, εν τή ερήμω, Μετανοείτε πάσι βοών, καί τόν Ηρώδην ήλεγξας, πράττοντα ασέμνως τά ασελγή, διό καί τοίς εν Άδη προέδραμες κηρύττων, τήν βασιλείαν τού Θεού ημών.

Μητρός Ηρωδιάδος εκβιασθέν, αναιδέστατον κόριον ήτησε, του Βαπτιστού, κάραν εκτμηθήναι τήν ιεράν, τότε Ηρώδης τάχιστα, έδεσμα καθάπερ παρατεθέν, προστάττει εν τρυβλίω, δοθήναι ώσπερ δώρον, τούτου ελέγχουσαν άνοιαν.

Ως μάρτυς καί Προφήτης καί Βαπτιστής, ως φωνή τε καί λύχνος καί Άγγελος, υπό Θεού, μείζων Προφητών τε μαρτυρηθείς, δυσώπησον τόν Κύριον, ρύσασθαι παντοίων εκ πειρασμών, καί βλάβης εναντίας, τούς πόθω

εκτελούντας, σού τήν φωσφόρον μνήμην Πρόδρομε.

Θεοτοκίον

Ωράθης ώ Παρθένε Μήτηρ Θεού, υπέρ φύσιν τεκούσα εν σώματι, τόν αγαθόν, Λόγον εκ καρδίας τής εαυτού, όν ο Πατήρ ηρεύξατο, πάντων πρό αιώνων ως αγαθός, όν νύν καί τών σωμάτων, επέκεινα νοούμεν, εί καί τό σώμα περιβέβληται.

Καταβασία

Μυστικώς εί Θεοτόκε Παράδεισος, αγεωργήτως βλαστήσασα Χριστόν, υφ' ού τό τού Σταυρού, ζωηφόρον εν γή, πεφυτουργηται δένδρον, Διό νύν υψουμένου, προσκυνούντες αυτόν σέ μεγαλύνομεν.

Εξαποστειλάριον

Τών Μαθητών

Τόν εν Προφήταις μείζονα γνωρισθέντα, καί Αποστόλων πρόκριτον γεγονότα, ύμνοις εγκωμίων στεφανώσωμεν, τόν Πρόδρομον τής χάριτος, τήν κεφαλήν γάρ ετμήθη, διά τόν νόμον Κυρίου.

Έτερον

Ο ουρανόν τοίς άστροις

Ο ασελγής Ηρώδης, τόν τής αγνείας φυτουργόν, σέ Βαπτιστά τού Σωτήρος, καρατομήσας δολερώς, σού τούς ελέγχους τής γλώττης, τεμείν ουκ ίσχυσεν όλως.

Θεοτοκίον

Η τήν αράν τού κόσμου, τώ θείω τόκω σου σεμνή, εξαφανίσασα ποίμνην, σέ λιτανεύουσαν πιστώς, από παντοίων κινδύνων, ρύσαι πρεσβείαις σου Κόρη.

Εις τούς Αίνους, ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια τρία δευτερούντες τό πρώτον.

Ήχος πλ. δ'

Ώ τού παραδόξου θαύματος

Ώ τού παραδόξου θαύματος! τήν ιεράν κεφαλήν, καί Αγγέλοις αιδέσιμον, ασελγές ακόλαστον, περιέφερε κόριον, την ελέγξασαν, γλώσσαν παράνομον, τή μοιχαλίδι μητρί προσέφερεν, Ώ τής αφάτου σου, ανοχής φιλάνθρωπε! δι' ής Χριστέ, σώσον τάς ψυχάς ημών, ως μόνος εύσπλαγχνος. (Δίς)

Ώ τής Ηρώδου πωρώσεως! ο ατιμάσας Θεόν, ταίς τού νόμου εκλύσεσι, τήν τών όρκων τήρησιν, δολερώς υποκρίνεται, καί τή μοιχεία φόνον προστίθησιν, ο σκυθρωπάζειν σχηματιζόμενος, Ώ τής αφάτου σου, συμπαθείας Δέσποτα! δι' ής Χριστέ, σώσον τάς ψυχάς ημών, ως μόνος εύσπλαγχνος.

Ώ τής υπέρ νούν εκπλήξεως! τών Προφητών η σφραγίς, ο επίγειος Άγγελος, πορνικής ορχήσεως, αναδείκνυται έπαθλον, η θεολόγος γλώσσα προπέμπεται, καί τοίς εν Άδη, Χριστού προάγγελος, Ώ τής αρρήτου σου, προμηθείας Δέσποτα! δι' ής Χριστέ, σώσον τάς ψυχάς ημών, ως μόνος εύσπλαγχνος.

Δόξα... Ήχος πλ. β'

Πάλιν Ηρωδιάς μαίνεται, πάλιν ταράττεται, Ώ όρχημα δόλιον, καί πότος μετά δόλου! ο Βαπτιστής απετέμνετο, καί Ηρώδης εταράττετο, Πρεσβείαις Κύριε, τού σού Προδρόμου, τήν ειρήνην παράσχου ταίς ψυχαίς ημών.

Καί νύν... Θεοτοκίον

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής. Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

Δοξολογία Μεγάλη

Δίδοται καί άγιον έλαιον τοίς Αδελφοίς, εν ώ καί ψάλλομεν τά, Ιδιόμελα ταύτα.

Ήχος δ'

Γενέσιον αθέμιτον, καί συμπόσιον αναιδέστατον, Ηρώδης απετέλεσεν, ακολασία γάρ γυναικεία θελγόμενος, καί ασεβεί θηλυμανία κεντούμενος, απέτεμε κεφαλήν Προδρομικήν, αλλ' ουκ εξέτεμε γλώσσαν Προφητικήν, ελέγχουσαν αυτού τήν παράνοιαν, Εξέχεεν αίμα αθώον, καλύψαι θέλων αμαρτίαν άθεσμον, αλλ' ουκ εν τούτω απέκρυψε φωνήν, βοώντος πάσι μετάνοιαν, Εκείνος μέν συνευφραίνετο φόνω, ημείς δέ συνεορτάσωμεν πόθω, τού Βαπτιστού Ιωάννου τήν μακαρίαν σφαγήν, προέλαβε γάρ εν Άδου τήν ζωήν κηρύξαι, τοίς εν σκότει καί σκιά θανάτου καθημένοις, τήν εξ ύψους ανατολήν, Χριστόν τόν Θεόν ημών, τόν μόνον πολυέλεον.

Ο αυτός

Τόν Προφήτην καί Μάρτυρα, καί Βαπτιστήν τού Σωτήρος, δεύτε λαοί ευφημήσωμεν, Ούτος γάρ εν σαρκί Άγγελος υπάρχων, τόν Ηρώδην διήλεγξε, τής παρανόμου μοιχείας τήν πράξιν κατακρίνας αυτού, καί δι' ανόμου ορχήσεως, τήν τιμίαν κεφαλήν αποτέμνεται, ο τοίς εν, Άδη ευαγγελιζόμενος, τήν εκ νεκρών Ανάστασιν, καί πρεσβεύων εκτενώς τώ Κυρίω, σωθήναι τάς ψυχάς ημών.

Δόξα... Ήχος ο αυτός

Τόν Προφήτην καί Βαπτιστήν τού Σωτήρος, δεύτε πιστοί ευφημήσωμεν, ότι φυγαδεύων, εν τή ερήμω ηυλίζετο, μέλι άγριον καί ακρίδας εσθίων, καί βασιλέα παρανομούντα ήλεγξε, ημών δέ τήν ολιγοψυχίαν παρεκάλει, λέγων, Μετανοείτε, ήγγικε γάρ η βασιλεία τών ουρανών.

Καί νύν... Θεοτοκίον

Εκ παντοίων κινδύνων τούς δούλους σου φύλατε, ευλογημένη Θεοτόκε, ίνα σε δοξάζωμεν, τήν ελπίδα τών ψυχών ημών.

Καί Απόλυσις

Εις τήν Λειτουργίαν

Τά Τυπικά καί οι Μακαρισμοί μετά τής γ' καί ς' Ωδής τών Κανόνων.

Απόστολος Πράξεων τών Αποστόλων

Εν ταίς ημέραις εκείναις, ως επλήρου ο Ιωάννης...

Ευαγγέλιον κατά Μάρκον

Τώ καιρώ εκείνω ήκουσεν Ηρώδης ο βασιλεύς...

Κοινωνικόν

Εις μνημόσυνον αιώνιον έσται Δίκαιος. Αλληλούια.

---

Αρχή

## ΤΗ Λ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

Μνήμη τών Αγίων Πατριαρχών Κωνσταντινοπόλεως, Αλεξάνδρου, Ιωάννου καί Παύλου τού νέου.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια τού Προδρόμου γ' καί τών Αγίων γ'.

Στιχηρά τού Προδρόμου

Ήχος δ'
Ο εξ υψίστου κληθείς

Ο Παλαιάς καί Καινής θείος μεσίτης, Προφήτης καί Πρόδρομος, Άγγελος ένσαρκος, παρανομίας ο έλεγχος, τής στειρευούσης, βλαστός νηδύος, στόμα πυρίπνοον, Ηρώδην διήλεγξας, άθεσμα πράττοντα, ο δέ μή φέρων τόν έλεγχον, αποτμηθήναι, τήν κεφαλήν σου διακελεύεται, καί προσηνέχθης ώσπερ έδεσμα, εγκρατείας τό θείον εντρύφημα, επί πίνακι πλέον, στηλιτεύων τόν ακόλαστον.

Εκ παρανόμου μητρός συνωθουμένη, θυγάτηρ παράνομος, σού τήν αοίδιμον, καί τοίς Αγγέλοις αιδέσιμον, αιτείται κάραν, τούς γάρ ελέγχους ταύτης ουκ έφερεν, όθεν επί πίνακι, ταύτην προσφέρουσα, καί τοίς ποσίν άμα παίζουσα, τών δαιτυμόνων, τήν ευφροσύνην εις πένθος έτρεψεν, αλλ' επί πλέον διελέγχεις, ακολασίας τό μίσος μακάριε, τόν Χριστόν ικετεύων, τού σωθήναι τάς ψυχάς ημών.

Βεβακχευμένος τή μέθη ο Ηρώδης, νόθοις επικλέπτεται, κατορχουμένης φωναίς, καί πρός τώ όρκω τόν άδικον, τεκταίνει φόνον, σού τού δικαίου Προφήτα ένδοξε, αλλά σου ο θάνατος, τοίς προθανούσι σαφώς, αθανασίαν εμήνυσε, καί γάρ εγένου, καί τοίς εν, Άδη κήρυξ πρωτάγγελος, τήν παρουσίαν τήν σωτήριον, προμηνύων Χριστού τού Θεού ημών, όν ικέτευε σώσαι, καί φωτίσαι τάς ψυχάς ημών.

## Στιχηρά τών Αγίων

### Ήχος α'
### Πανεύφημοι μάρτυρες

Παμμάκαρ Αλέξανδρε ποιμήν, Εκκλησίας γέγονας, ορθοδοξίας υπέρμαχος, Αρείου καθελών, τήν αλαζονείαν, προσευχαίς συντόνοις σου, τόν πάντων Λυτρωτήν εξαιτούμενος, καί νύν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Ιωάννη τίμιε σαρκός, τήν φθοράν εμίσησας, δι' εγκρατείας καί πίστεως, δι' αγρυπνίας τε, καί Ομολογίας, Άγγελος επίγειος, ευρέθης καί ουράνιος άνθρωπος, Χριστόν ικέτευε, δωρηθήναι ταίς ψυχαίς ημών, τήν ειρήνην, καί τό μέγα έλεος.

Παύλου θείοις δόγμασι σαφώς, όντως επειθάρχησας, μεθ' ού εις τρίτον ανέδραμες, ουρανόν Όσιε, αρετών τώ ύψει, καί ήκουσας ρήματα, τά άρρητα καί θεία τού Πνεύματος, Παύλε μακάριε, ορθοδόξων βάσις άσειστε, τόν Σωτήρα απαύστως ικέτευε.

### Δόξα... Ήχος πλ. β'

Γενεθλίων τελουμένων, τού αναιδεστάτου Ηρώδου, τής ασελγούς ορχηστρίδος, επληρούτο η διάθεσις τού όρκου, τού γάρ Προδρόμου η κεφαλή αποτμηθείσα, ως οψώνιον εφέρετο, επί πίνακι τοίς ανακειμένοις, Ώ συμποσίου μισητού, ανοσιουργήματος καί μιαιφονίας πλήρους! Αλλ' ημείς τόν Βαπτιστήν, ως εν γεννητοίς γυναικών μείζονα, επαξίως τιμώντες μακαρίζομεν.

### Καί νύν...

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τόν καρπόν τής ζωής. Σέ ικετεύομεν, πρέσβευε, Δέσποινα, μετά τών Αποστόλων, καί πάντων τών Αγίων, ελεηθήναι τάς ψυχάς ημών.

### Εις τόν Στίχον, Στιχηρά τής Οκτωήχου.

### Δόξα... Ήχος δ'

Γενέσιον αθέμιτον, καί συμπόσιον αναιδέστατον, Ηρώδης απετέλεσεν, ακολασία γάρ γυναικεία θελγόμενος, καί ασεβεί θηλυμανία κεντούμενος, απέτεμε κεφαλήν Προδρομικήν, αλλ' ουκ εξέτεμε γλώσσαν Προφητικήν, ελέγχουσαν αυτού τήν παράνοιαν, Εξέχεεν αίμα αθώον, καλύψαι θέλων αμαρτίαν άθεσμον, αλλ' ουκ εν τούτω απέκρυψε φωνήν, βοώντος πάσι μετάνοιαν, Εκείνος μέν συνευφραίνετο φόνω, ημείς δέ συνεορτάσωμεν πόθω, τού Βαπτιστού Ιωάννου τήν μακαρίαν σφαγήν, προέλαβε γάρ εν Άδου τήν ζωήν κηρύξαι, τοίς εν σκότει καί σκιά θανάτου καθημένοις, τήν εξ ύψους ανατολήν, Χριστόν τόν Θεόν ημών, τόν μόνον πολυέλεον.

### Καί νύν...

Εκ παντοίων κινδύνων τούς δούλους σου φύλατε, ευλογημένη Θεοτόκε, ίνα σε δοξάζωμεν, τήν ελπίδα τών ψυχών ημών.

Απολυτίκιον τού Προδρόμου
Ήχος β'

Μνήμη Δικαίου μετ' εγκωμίων, σοί δέ αρκέσει η μαρτυρία τού Κυρίου Πρόδρομε, ανεδείχθης γάρ όντως καί Προφητών σεβασμιώτερος, ότι καί εν ρείθροις βαπτίσαι κατηξιώθης τόν κηρυττόμενον, Όθεν τής αληθείας υπεραθλήσας, χαίρων ευηγγελίσω καί τοίς εν Άδη, Θεόν φανερωθέντα εν σαρκί, τόν αίροντα τήν αμαρτίαν τού κόσμου, καί παρέχοντα ημίν τό μέγα έλεος.

Δόξα...
Τών Αγίων  Ήχος δ'

Ο Θεός τών Πατέρων ημών ο ποιών αεί μεθ' ημών κατά τήν σήν επιείκειαν, μή αποστήσης τό έλεος σου αφ' ημών, αλλά ταίς αυτών ικεσίας , εν ειρήνη κυβέρνησον τήν ζωήν ημών.

Καί νύν... Θεοτοκίον

Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Η συνήθης Στιχολογία, καί οι Κανόνες, εις τής Οκτωήχου καί οι δύο παρόντες, τού Προδρόμου καί τών Αγίων.

Κανών τού Προδρόμου, ού η Ακροστιχίς.

Τόν θεομαρτύρητον Πρόδρομον μέλπω.

Ωδή α'  Ήχος πλ. δ'

Ανοίξω τό στόμα μου τόν λύχνον τόν πάμφωτον, τής οικουμένης τόν κήρυκα, τόν θείον Απόστολον, καί υπηρέτην Χριστού, τίς ισχύσειεν, αξίως ευφημήσαι, τόν θεομαρτύρητον, Κυρίου Πρόδρομον.

Ο θείος ταξιαρχος, τών ασωμάτων Δυνάμεων, πρός θείον αφίκετο, ναόν Θεού Ιερόν, ευαγγέλια, κομίζων τώ πρεσβύτη, Κυρίου τόν Πρόδρομον, τέξη πρεσβύτατε.

Νηδύς ένδον έχουσα, στείρα καί γραύς τόν πανάριστον, Προφήτην καί Πρόδρομον, από κοιλίας μητρός, προσεκύνησε, Χριστόν, ώ ξένον θαύμα! γαστρί εμφερόμενον τής Θεομήτορος.

Θεοτοκίον

Θεού Αρχιστράτηγος, Παρθένε, έφη, Θεόνυμφε, πρός δρόμους πορεύθητι, τής Ελισάβετ σπουδή, καί γάρ έγκυον, ταύτην ευρούσα γνώση, όν περ καταγγέλλω σοι τόκον τόν άρρητον.

Κανών τών Αγίων

Ωδή α' Ήχος πλ. δ'
Άσωμεν τώ Κυρίω

Τρίφωτος τών Πατέρων, σήμερον ανέτειλε διαύγεια, η πανένδοξος μνήμη, ή πιστώς εντρυφώντες χορεύσωμεν.

Έλυσας Ιεράρχα, τών Αιρετικών τά οχυρώματα, ευσεβεί παρρησία, καταγγείλας Τριάδα Αλέξανδρε.

Παύλω τώ θεσπεσίω, κοινωνήσας κλήσεως αοίδιμε, τών εκείνου εδείχθης, αρετών απεικόνισμα ένθεον.

Κάλαμός σου η γλώσσα, θεογραφικώς προαναδέδεικται, Πνεύματος Πάτερ θείου, Ιωάννη τήν πίστιν τρανώσασα.

Θεοτοκίον

Άσωμεν τώ Κυρίω, τώ εκ τής Παρθένου ευδοκήσαντι, σαρκωθήναι ασπόρως, εις ημών σωτηρίαν καί λύτρωσιν.

Τού Προδρόμου

Ωδή γ'
Τούς σούς υμνολόγους

Εκ στείρας τεχθείς ο Ιωάννης, τήν γλώτταν διέλυσε πατρός, εικότως καί γάρ πέφυκε, φωνή τού Λόγου εύηχος, καί ευλογών εφθέγγετο, Σύ μόνος Άγιος Κύριος.

Ουδέν τών παρόντων αγαπήσας, τήν έρημον τρέχων παροικείς, ως πόλιν θείω Πνεύματι, δυναμωθείς πανένδοξε, αΰλως δέ εβίωσας, ως Ηλιού ο θεσπέσιος.

Μή φέρων τού βίου τούς θορύβους, ως όρνις εμάκρυνας σοφέ, ερήμοις αυλιζόμενος, ευρές τε αναψύχοντα, τόν σώζοντά σε Κύριον, έκ καταιγίδος καί θλίψεως.

Θεοτοκίον

Απήλθε πρός οίκον Ελισάβετ, Παρθένος βαστάζουσα γαστρί, Θεόν Λόγον τόν άναρχον, αμφοίν ασπασαμένων δέ, γνούς παρευθύς ο Πρόδρομος, εκ τής γαστρός προσεκύνησεν.

Τών Αγίων

Σύ εί τό στερέωμα

Άριστα εποίμανας, τό τού δεσπότου σου ποίμνιον, Αρχιερεύ, όθεν αιωνίως, σέ δοξάζει Αλέξανδρε.

Ύδατα σωτήρια, διά τής γλώττης σου έβλυσας, τά ευσεβή, δόγματα σή

ποίμνη, Ιωάννη μακάριε.

Παύλε παμμακάριστε, τής εκλογής τής τού σκεύους σε, ως φανέντα, κλήσει τε καί βίω, νύν τιμώμεν ομοίωμα.

Θεοτοκίον

Σέ πάντες κεκτήμεθα, καταφυγήν καί σκέπην ημών, Χριστιανοί, σέ δοξολογούμεν, ασιγήτως, Θεόνυμφε.

Ο Ειρμός

«Σύ εί τό στερέωμα, τών προστρεχόντων σοι Κύριε, σύ εί τό φώς, τών εσκοτισμένων, καί υμνεί σε τό πνεύμά μου».

Κάθισμα  Ήχος α'

Τόν τάφον σου Σωτήρ

Τόν πρόδρομον Χριστού, Βαπτιστήν καί Προφήτην, τιμήσωμεν πιστοί, καθαρώ συνειδότι, ως ένδοξον κήρυκα, μετανοίας διδάσκαλον, καί ως μάρτυρα, παναληθή τού Σωτήρος, τήν γάρ άνοιαν, τήν τού Ηρώδου ελέγξας, τήν κάραν εκτέμνεται.

Δόξα... Τών Αγίων

Ήχος δ'

Ταχύ προκατάλαβε

Πατέρων ή τρίφωτος, λαμπάς ανέλαμψε, πιστών τά συστήματα, καταφαιδρύνουσα, πρός θείαν επίγνωσιν, λύοντες τών αθέων, τήν ασέβειαν πάσαν, δόγμασι καί σοφία, καί πολλή παρρησία, Αλέξανδρος καί Ιωάννης ομού, καί Παύλος ο ένδοξος.

Καί νύν... Θεοτοκίον

Ελπίς ακαταίσχυντε τών πεποιθότων εις σέ, η μόνη κυήσασα, υπερφυώς εν σαρκί, Χριστόν τόν Θεόν ημών, τούτον σύν Ιωάννη τώ Προδρόμω δυσώπει, δούναι τή οικουμένη, ιλασμόν τών πταισμάτων, καί πάσιν ημίν πρό τέλους βίου διόρθωσιν.

Τού Προδρόμου

Ωδή δ'

Τήν ανεξιχνίαστον

Ρίζας καί μελάγριον, όψον τερπνόν, ήσθιες μακάριε Πρόδρομε, καί τάς ακρίδας, εκ καμήλου δέ τριχών, στολήν επημφιέννυσο, υπέρ αλουργίδα βασίλειον.

Τόν δημιουργήσαντα λόγω τό πάν, πάσι γεωργόν μάκαρ ήγγειλας, ούτος γάρ εστιν, ο τό πτύον εν χειρί, κατέχων, καί τήν άλωνα, μάλα διακρίνων ως δίκαιος.

Ύπνον σοίς ουκ έδωκας μάκαρ σοφέ, όμμασιν ως άσαρκος ένδοξε, ούτε κροτάφοις, εις ανάπαυσιν σαρκός, εως ού ωκοδόμησας, οίκον σεαυτόν θείου Πνεύματος.

Θεοτοκίον

Ρήσις πέρας έλαβε τού Αββακούμ, επί σοί Παρθένε πανύμνητε, καί γάρ εξ όρους, κατασκίου ο Θεός εκ σού ήλθε σαρκούμενος, πλάνης τούς βροτούς εκλυτρούμενος.

Τών Αγίων

Εισακήκοα Κύριε

Εν δυσώδει διέρριψας, τόν κατά Ιούδαν τόπω προδότην Χριστού, τήν εκείνου γάρ Αλέξανδρε, αράν επαξίως εκληρώσατο.

Ως ελαία κατάκαρπος, εν τώ τού Θεού τεμένει ιστάμενος, τούς πιστεύοντας προσήγαγες, αυτώ Ιωάννη καρπόν ώριμον.

Ταπεινώσεως πτέρυξι, τάς τού δυσμενούς παγίδας εξέφυγες, όθεν Όσιε υψούμενος, ουρανοπολίτης Παύλε γέγονας.

Θεοτοκίον

Τήν Παρθένον υμνήσωμεν, τήν μετά τόν τόκον πάλιν Παρθένον αγνήν, ως κυήσασαν Χριστόν τόν Θεόν, τόν εκ πλάνης κόσμον λυτρωσάμενον.

Τού Προδρόμου

Ωδή ε'

Εξέστη τά σύμπαντα

Ισχύν θείου Πνεύματος, ενδεδυμένος ένδοξε, πάσιν ανεβόας τοίς παρούσι, Μετανοείτε, ιδού αξίνη σαφώς, τών δένδρων πρός ρίζαν κείται νύν, τέμνουσα τά άκαρπα, τά δ' εσθλά εκκαθαίρουσα.

Τήν γλώτταν ως σάλπιγγα, έχων Κυρίου Πρόδρομε, ευήχως εφώνεις τοίς παρούσιν, Εγώ εν ύδατι βαπτίζω υμάς, οπίσω μου δ' άλλος ισχυρός, βαπτίζων ελεύσεται, εν πυρί τε καί πνεύματι.

Ο θείος προέφησε Προφήτης, Ήξει Κύριος, Άγγελος αυτού δέ πρό προσώπου, στέλλεται τρίβους προετοιμάζων αυτού, ός σώσει λαόν τόν απειθή, καί κατασκευάσειεν, εις Θεού κλήρον άγιον.

Θεοτοκίον

Νηδύϊ φερόμενος, τή μητρική ο Πρόδρομος, τή παρθενική ως έγνω ένδον, τόν τούτου Κτίστην φρικτώς φερόμενον, Πνεύματι Αγίω φωτισθείς, ένδοθεν εσκίρτη σε, καί πεσών προσεκύνησεν.

Τών Αγίων

Ορθρίζοντες βοώμέν σοι

Τόν Μητροφάνους θρόνον Αλέξανδρε, κατακοσμών, καί πρό θρόνου έλαμψας, εν Ιεράρχαις τοίς δόγμασι.

Σύ εν ποιμέσι μάκαρ διέπρεψας θαυμασίως, ώφθης εν Νικαία γάρ, μέσον Πατέρων αγλάϊσμα.

Τών λόγων σου η χάρις εστήριξεν, Εκκλησίαν, Ιωάννη, στύλον γάρ ορθοδοξίας σε έχομεν.

Θεοτοκίον

Παρθένον μετά τόκον υμνούμέν σε, Θεοτόκε, σύ γάρ τόν Θεόν Λόγον, σαρκί τώ κόσμω εκύησας.

## Τού Προδρόμου

### Ωδή ς'

Τήν θείαν ταύτην

Πρός σέ λαός πονηρότατος, αφίκετο πειράζων καί φάσκων σοι, Σύ εί ο Κύριος, αυτός δέ έφης, ουκ έγωγε, άλλος δ' εστίν ός ήξει, οπίσω πρώτός μου.

Ρευστής εγώ πέλω φύσεως, ός έρχεται δ' οπίσω μου άρρευστος, πέλει καί άχρονος, καί ποιητής πάσης κτίσεως, ού ουκ ισχύω λύσαι, ουδέ τά πέδιλα.

Ορώντες πάντες συνέτρεχον, πόρνοι τε καί τελώναι καί άσωτοι, καί εβαπτίζοντο, εκ σού Προφήτα πανένδοξε, τήν πρός Χριστόν πορείαν εκδιδασκόμενοι.

Θεοτοκίον

Δεινών παντοίων τούς δούλους σου, εξάρπασον Παρθένε Θεόνυμφε, τούς προσφυγόντας σου, υπό τήν σκέπην τήν άμαχον, καί τής φρικτής μελλούσης ρύσαι κολάσεως.

## Τών Αγίων

Χιτώνα μοι παράσχου

Ανδρείως τού Χριστού προπολεμών Εκκλησίας έκτεινας, ευχής Πάτερ βέλεσι, τόν επώνυμον μανίας Ιερώτατε.

Ως κλήμα τής αμπέλου τής ζωής, Ιωάννη έντιμον, πλείστον εξήνθησας, τώ Δεσπότη σου καρπόν παμμακάριστε.

Η γείσθαι παρητήσω ευσεβώς, Βασιλίδος πόλεως, Εικόνων προσκύνησιν, αθετούσης παρανόμως Παύλε τίμιε.

Θεοτοκίον

Η μόνη διά λόγου εν σαρκί, τόν Λόγον κυήσασα, ρύσαι δεόμεθα, τών παγίδων τού εχθρού τάς ψυχάς ημών.

Ο Ειρμός

«Χιτώνά μοι παράσχου φωτεινόν, ο αναβαλλόμενος, φώς ως ιμάτιον, πολυέλεε Χριστέ ο Θεός ημών».

## Κοντάκιον τού Προδρόμου
## Ήχος πλ. α'

Η τού Προδρόμου ένδοξος αποτομή, οικονομία γέγονέ τις θεϊκή, ίνα καί τοίς εν' Άδη τού Σωτήρος κηρύξη τήν έλευσιν, θρηνείτω ούν Ηρωδιάς, άνομον φόνον αιτήσασα, ου νόμον γάρ τόν τού Θεού, ού ζώντα αιώνα ηγάπησεν, αλλ' επίπλαστον πρόσκαιρον.

## Συναξάριον

Τή Λ' τού αυτού μηνός, μνήμη τών Αγίων Πατριαρχών Κωνσταντινουπόλεως, Αλεξάνδρου, Ιωάννου καί Παύλου τού νέου.

## Στίχοι

- Σχοίνους διαδράς Αλέξανδρε σαρκίου,
- Σχοίνισμα κλήρου χρηματίζεις Κυρίου.
- Σκυθρωπά τά πρόσωπα τής Εκκλησίας,
- Στέρησιν ου φέροντα τήν Ιωάννου.
- Δρόμους ο Παύλος εκλιπων τούς τού βίου,
- Εύρηκε παύλαν τών πόνον τών τού βίου.
- Τριττύς τή Τριάδι τριακοστή νύν πάρα έστη.

Τή αυτή ημέρα, μνήμη τού οσίου καί θαυματουργού Φαντίνου.

## Στίχοι

- Καί γήν υπελθων θαυματουργός Φαντίνος,
- Άνωθεν ημίν μάννα θαυμάτων βρύει.
- Φαντίνος βιότου ανεχάζετο εν τριακοστή.

Τή αυτή ημέρα, μνήμη τών Αγίων δεκαέξ μαρτύρων τών θηβαίων.

Ταίς αυτών αγίαις πρεσβείαις, ο Θεός ελέησον ημάς. Αμήν.

## Τού Προδρομου

## Ωδή ζ'
## Ουκ ελάτρευσαν

Ρωμαλέως τώ Ηρώδη ανθιστάμενος, ένδοξε Πρόδρομε, τούτον ελέγχεις βοών, Ουκ έξεστιν έχειν σε ευνήν ομαίμονος, ως αθέμιτον, ο δέ μή ανασχόμενος, τήν σήν κάραν αποτέμνει.

Οία ένδοξος Προφήτης πρό γεννήσεως, έγνως τόν Κύριον, καί ως αμνόν τού Θεού, τοίς πάσιν υπέδειξας, πρός θεοσέβειαν, έλκων άπαντας, αναβοάν πρός Κύριον, ο Θεός ευλογητός εί.

Μέλλων τέλος τό μακάριον εκδέχεσθαι, Πρόδρομε ένδοξε, σούς μαθητάς πρός Χριστόν, τόν Θεόν απέστειλας, επερωτών αυτόν, Σύ εί Κύριε, τού

σώσαι ο ερχόμενος, ή έτερον προσδοκώμεν;

Ο Χριστός τοίς μαθηταίς προσαπεφθέγξατο, Άπιτε είπατε, τώ Ιωάννη, ιδού, νεκροί εξανίστανται, κωφοί ακούουσιν, εκκαθαίρονται λεπροί, καί ώσπερ έλαφος οι χωλοί περιπατούσιν.

## Τών Αγίων

### Οι εκ τής Ιουδαίας

Μυστιπόλος τής άνω, υπερθέου Τριάδος ώφθης πανένδοξε, αγνώς ταύτην λατρεύων, καί μέλπων ανενδότως, Ιεράρχα Αλέξανδρε, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Θησαυρον σε δογμάτων, καί πηγήν τών θαυμάτων, Χριστός ανέδειξε, πηγάζοντα τόν πλούτον, τόν τής θεογνωσίας, Ιωάννη τοίς κράζουσιν, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

Ως ισάγγελον βίον, κατά Παύλον τόν θείον, ως καί συνώνυμον, κτησαμένω παμμάκαρ, τόν πλούτόν σοι τών λόγων, Χριστός παρέχει άφθονον, Ευλογητός βοώντι, Χριστός εις τούς αιώνας.

### Θεοτοκίον

Παρθενικής εκ νηδύος, σαρκωθείς επεφάνης, εις σωτηρίαν ημών, διό σου τήν Μητέρα, ειδότες Θεοτόκον, ευχαρίστως κραυγάζομεν, ο τών Πατέρων ημών, Θεός ευλογητός εί.

## Τού Προδρόμου

### Ωδή η'

### Παίδας ευαγείς

Νόμου Παλαιάς τε καί τής Νέας, Προφήτης καί Προφητών πάντων υπέρτερος, υπάρχεις πανεύφημε, ού γάρ έφυς κάλαμος, πνεύμασι ριπιζόμενος, αλλ' έστης άσειστος, Τόν Κύριον βοών ευλογείτε, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

Μαινόμενος οίστρω ο Ηρώδης, μαχλώσης Ηρωδιάδος τό θυγάτριον, βλέπων κατορχούμενον, έφησεν ο άθλιος, Ό μοι αιτήσης δίδωμι, έως ημίσεος, τής εμής βασιλείας μεθ' όρκου, κακείνο εξαιτείται, τήν κάραν τού Προδρόμου.

Είχε μέν φρουρά τόν Ιωάννην, Ηρώδην δέ πότος ευφραινόμενον, τότε ή πανάσεμνος, κόρη κατωρχήσατο, αρέσασα δέ είληφε, κάραν τήν πάντιμον, Προδρόμου καί αγίαν ως ταύτην, τή μητρί προσάξει, τιμαλφέστατον δώρον.

### Θεοτοκίον

Λύτρωσαι τήν πόλιν σου Παρθένε, εκ πάσης απειλής τε καί κακώσεως, σεισμού καταπτώσεως, βαρβαρικής αλώσεως, καί φοβεράς κολάσεως, τού αιωνίου πυρός, σέ γάρ μετά Θεόν σωτηρίαν, άπαντες πλουτούμεν, Χριστιανοί

Παρθένε.

Τών Αγίων

Τόν εκ Πατρός πρό αιώνων

Τόν δυσσεβή προσευχή τή παναλκεί σου, Άρειον κτείνας Αλέξανδρε θεόφρον, εν τοίς βεβήλοις τόποις, υβρίσαντα ημύνω, βροχίσας ως Ιούδαν.

Ο θεομάχος Χριστού χιτώνα ρήξας, ως ο προδότης πρηνής λακήσας μέσον, νύν θρηνεί εν Άδη, ψυχών αδίκων μόρον, θανάτω τώ δικαίω.

Εν εγκρατείαις ως άσαρκος εφάνης, εν αγρυπνίαις μικρού δείν καί αναίμων, καί εν διδασκαλίαις, πηγή τού Παραδείσου, παμμάκαρ, Ιωάννη.

Θεοτοκίον

Τόν ανερμήνευτον τόκον σου Μαρία, τίς μή υμνήσει βροτών χοροστασία; ότι παρθενεύεις πρό τόκου, καί εν τόκω αεί ευλογημένη.

Ο Ειρμός

«Τόν εκ Πατρός πρό αιώνων γεννηθέντα, καί εκ Μητρός επ' εσχάτων σαρκωθέντα, Ιερείς ευλογείτε, λαός υπερυψούτε, εις πάντας τούς αιώνας».

Τού Προδρόμου

Ωδή θ'

Άπας γηγενής

Πότος βδελυρός, καί δείπνος πανάσεμνος, όρχησις άτερπνος, έθελξαν τόν δείλαιον, μάλα πρός οίστρον ακολασίας δεινής, καί τής μαινάδος μίσθωμα, κάραν εκδίδωσι, τού Προδρόμου, ής ουδέ αντάξιος, κόσμος άπας, Φρικτόν τό μυστήριον!

Ώ πώς ο δεινός, Ηρώδης ουκ έφριξε, Κριτήν αλάθητον! αλλ' εν τή ψυχή αυτού, ένδον δολίως φόνον ενέτρεφε, τού Βαπτιστού, μαινόμενος, ως ελεγχόμενος, καί μή φέρων, ευκαιρίαν ήθελε, καί ευρών, αποτέμνει τόν δίκαιον.

Όντως από γής, εισέδυς εις Άγια, οίά περ Άγγελος, ως αγγελικώς εν γή, σοφέ βιώσας Κυρίου Πρόδρομε, τών υμνητών σου μέμνησο, άνωθεν ένδοξε, καί πταισμάτων, αίτησαι τήν άφεσιν, καί ειρήνην παράσχου καί έλεος.

Θεοτοκίον

Ω Θεού Υιέ, μακρόθυμε Κύριε καί πολυέλεε, τού σού Βαπτιστού λιταίς, καί ικεσίαις τής κυησάσης σε, καί πάντων τών Αγίων σου, σώσον τούς δούλους σου, καί χορήγει, άνωθεν τά τρόπαια, βασιλεύσιν ημών, ως φιλάνθρωπος.

Τών Αγίων

Σέ τήν απειρόγαμον

Έννομος γενόμενος, ο θείος όντως φοιτητής σου, καί σοίς ζωηφόροις λόγοις, πειθαρχήσας Αλέξανδρος, Ιεράρχης πεφηνώς, Κύριε όσιος πράος, σώφρων, νύν επαξίως μακαρίζεται.

Μύστης άκριβέστατος, γέγονας πόθω τών αρρήτων, ώ θεομακάριστε Πατήρ ημών, Ιωάννη πανόλβιε, καί μυσταγωγός τών μυστηρίων, καί κήρυξ δογμάτων θείων, καί λατρευτής Τριάδος ένδοξε.

Σέ τόν ανεξίκακον, Πάτερ, καί όσιον ποιμένα, άμεπτον σεπτόν αμιαντον, κήρυκά τε τής πίστεως, τής ορθοδοξίας τόν διδάσκαλον, άπαντες επαξίως συμφώνως, Παύλε μακαρίζομεν.

Θεοτοκίον

Άχραντε πανάμωμε, τό σκεύος τό τής ευωδίας, αίτησαι Χριστόν όν έτεκες, βασιλεί μέν τά τρόπαια, τώ φιλοχρίστω δέ λαώ, δούναι τήν άφεσιν τών πταισμάτων, σέ γάρ απαύστως μεγαλύνομεν.

Ο Ειρμός

«Σέ τήν απειρόγαμον, Θεού Μητέρα καί Παρθένον, σέ τήν υπέρ νούν κυήσασαν, διά λόγου τόν όντως Θεόν, τήν υψηλοτέραν τών αχράντων Δυνάμεων, ασιγήτοις δοξολογίαις μεγαλύνομεν».

Εξαποστειλάριον

Τοίς Μαθηταίς

Ηρώδης ο παράνομος, τού Προδρόμου τήν θείαν, καί ιεράν απέτεμε, κεφαλήν τούς ελέγχους, μή φέρων ταύτης, ο άφρων! θρηνείτω ούν ο άθλιος, άνομον φόνον πράξας, ημείς δέ νύν, τήν τιμίαν κάραν ύμνοις τιμώντες, τόν Βαπτιστήν γεραίρομεν, τού Χριστού επαξίως.

Θεοτοκίον

Ει καί ηττάται Πάναγνε, λογική πάσα φύσις, πρός εγκωμίων έπαινον, σού Θεόν τής τεκούσης, καί γάρ σαφώς υπερτέρα, πάσης κτίσεως πέλεις, αλλ' ούν τό κατά δύναμιν, ουκ απόβλητον πάντως, όθεν καμού, δέχου τόν βραχύτατον ύμνον, ώσπερ ο σός Υιός εδέξατο, τά λεπτά πρίν τής χήρας.

Εις τόν Στίχον τών Αίνων, Στιχηρά τής Οκτωήχου.

Δόξα... Ήχος πλ. δ'

Πρόδρομε τού Σωτήρος, εί καί φόνω διέλυσεν ο Ηρώδης, σέ τόν τής αληθείας κήρυκα, αλλ' η τού στόματός σου φεγγοβόλος λαμπάς, καί τοίς εν, Άδη τό τής πίστεως φέγγος καλώς εδαδούχει, όθεν ικέτευε, ελεηθήναι τάς ψυχάς ημών.

Καί νύν... Θεοτοκίον

Δέσποινα πρόσδεξαι, τάς δεήσεις τών δούλων σου, καί λύτρωσαι ημάς, από πάσης ανάγκης καί θλίψεως.

Καί η λοιπή Ακολουθία, ως σύνηθες, καί Απόλυσις.

---

Αρχή

**ΤΗ ΛΑ' ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ**

Μνήμη τής καταθέσεως τής τιμίας Ζώνης τής υπεραγίας Θεοτόκου.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εις τό, Κύριε εκέκραξα, ιστώμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια γ' δευτερούντες αυτά.

Ήχος δ'
Ως γενναίον εν μάρτυσι

Ή σορός η κατέχουσα, Θεοτόκε τήν Ζώνην σου, κιβωτός τοίς δούλοις σου αγιάσματος, καί Ιερόν περιτείχισμα, καί δόξα καί καύχημα, καί ιάσεων πηγή, καθ' εκάστην γνωρίζεται, όθεν σήμερον, Ιερώς αθροισθέντες ανυμνούμεν, τά πολλά σου μεγαλεία, καί τών θαυμάτων τό πέλαγος. (Δίς)

Τήν αγίαν κατάθεσιν, Θεοτόκε τής Ζώνης σου, εορτήν κεκτήμεθα ευφραινόμενοι, ότι τή πόλει σου σήμερον, δοθήναι ηξίωσας ιεράν περιβολήν, φυλακτήριον άσυλον, δώρον τίμιον, αναφαίρετον πλούτον ιαμάτων, ποταμόν πεπληρωμένον, τών χαρισμάτων τού Πνεύματος. (Δίς)

Ήχος α'.

Ίδε τόπος περίδοξος, ίδε οίκος αείφωτος, εν ώ τεθησαύρισται τής θεόπαιδος, Ζώνη τιμία εν χάριτι, προσέλθετε άνθρωποι, φωτισμόν καί ιλασμόν, προφανώς απαρύσασθε, καί βοήσατε, ευχαρίστω καρδία, Παναγία, ευλογούμέν σε Παρθένε, οι σεσωσμένοι τώ τόκω σου. (Δίς)

Δόξα... Καί νύν... Ήχος β'

Ως στέφανον υπέρλαμπρον, πανάχραντε Θεοτόκε, τήν ζώνην σου τήν αγίαν, η Εκκλησία τού Θεού περιέθετο, καί φαιδρύνεται χαίρουσα σήμερον, καί μυστικώς χορεύει, Δέσποινα εκβοώσά σοι Χαίρε διάδημα τίμιον, καί στέφανε τής θείας δόξης, χαίρε η μόνη δόξα τού πληρώματος, καί αιώνιος ευφροσύνη, χαίρε τών εις σέ προστρεχόντων, λιμήν καί προστασία, καί σωτηρία ημών.

Εις τόν Στίχον, Στιχηρά Προσόμοια.

Ήχος δ'
Έδωκας σημείωσιν

Έδωκας τή πόλει σου, Ζώνην τήν σήν Υπερένδοξε, ασφαλέστατον σύνδεσμον, ταύτην περιέπουσαν, εκ παντός κινδύνου, θείαις ενεργείαις, καί απροσμάχητον εχθροίς, διατηρούσαν αυτήν κραυγάζουσαν, ισχύς μου καί κραταίωμα, καί ευπρεπές αγαλλίαμα, ο Υιός σου καί Κύριος, μόνος έστιν ο εύσπλαγχνος.

Στίχ. Ηγίασε τό σκήνωμα αυτού ο Ύψιστος.

Τίμιον διάδημα, οι ευσεβώς βασιλεύοντες, τήν σήν Ζώνην Πανάχραντε, φαιδρώς περικείμενοι, εν τοίς σοίς καυχώνται, θείοις μεγαλείοις, καί

φοβερώτατοι εχθροίς, τοίς πολεμούσιν αεί γνωρίζονται, καί σέ υμνούντες κράζουσι, τώ υπέρ λόγον τεχθέντι εκ σού, Ιησού παντοδύναμε, σώσον πάντας ως εύσπλαγχνος.

Στίχ. Τού ποταμού τά ορμήματα ευφραίνουσι τήν πόλιν τού Θεού.

Περίζωσον δύναμιν, ημάς Παρθένε τή Ζώνη σου, κατ' εχθρών ενισχύουσα, πάθη υποτάττουσα, κατατυραννούντα, καί εκπολεμούντα, καί νικητήρια ημίν, δι' απαθείας αεί παρέχουσα, τού καθαρώς δοξάζειν σε, καί τώ Υιώ σου βοάν εκτενώς, Ιησού παντοδύναμε, σώσον πάντας ως εύσπλαγχνος.

Δόξα... Καί νύν... Ήχος β'

Φρένα καθάραντες καί νούν τοίς Αγγέλοις καί ημείς πανηγυρίσωμεν, φαιδρώς εξάρχοντες Δαυϊτικήν μελωδίαν, τή νεάνιδι Νύμφη τού παμβασιλέως Χριστού τού Θεού ημών, Ανάστηθι Κύριε, λέγοντες, εις τήν ανάπαυσίν σου, σύ καί η κιβωτός τού αγιάσματός σου, Ως γάρ παλάτιον τερπνόν, ταύτην κατεκόσμησας, καί κατεκλήρωσας αυτήν, τή πόλει σου Δέσποτα, περιποιείσθαι καί σκέπειν, εκ πολεμίων βαρβάρων, τή κραταιά δυνάμει σου, ταίς ικεσίαις αυτής.

Απολυτίκιον Ήχος πλ. δ'

Θεοτόκε αειπάρθενε, τών ανθρώπων η σκέπη, Εσθήτα καί Ζώνην τού αχράντου σου σώματος, κραταιάν τή πόλει σου περιβολήν εδωρήσω, τώ ασπόρω τόκω σου άφθαρτα διαμείναντα, επί σοί γάρ καί φύσις καινοτομείται καί χρόνος, διό δυσωπούμέν σε, ειρήνην τή πολιτεία σου δώρησαι, καί ταίς ψυχαίς ημών τό μέγα έλεος.

Απόλυσις

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν

Κάθισμα Ήχος α'
Τόν τάφον σου Σωτήρ

Τήν Ζώνην τήν σεπτήν, τού αχράντου σου σκήνους, υμνούμεν οί πιστοί, Παναγία Παρθένε, εξ ής αρυόμεθα νοσημάτων τήν ίασιν, καί κραυγάζομεν, Μήτερ Θεού τού Υψίστου, σύ η λύτρωσις, τών σέ τιμώντων υπάρχεις, Μαρία Θεόκλητε.

Δόξα... Καί νύν... Τό αυτό

Μετά τήν β' Στιχολογίαν

Κάθισμα Ήχος δ'
Επεφάνης σήμερον

Τής τιμίας Ζώνης σου τή καταθέσει, εορτάζει σήμερον, ο σός πανύμνητε λαός, καί εκτενώς ανακράζει σοι, Χαίρε Παρθένε, Χριστιανών τό καύχημα.

Δόξα... Καί νύν... Τό αυτό

Οι παρόντες δύο Κανόνες τής Θεοτόκου.

Κανών πρώτος. Ποίημα τού Κυρίου Γεωργίου.

Ωδή α'  Ήχος δ'
θαλάσσης τό ερυθραίον

Λαμπάδα φωτοφανή καί άδυτον, ο τής Παρθένου ναός, ως ουρανός ευράμενος φαιδρός, τήν υπέρλαμπρον Ζώνην αυτής, τήν οικουμένην σήμερον, ταίς τών θαυμάτων αιθριάζει αυγαίς.

Ισχύν τε καί ασφαλείας σύνδεσμον, τήν σήν Πανάχραντε, θείαν ως όντως Ζώνην νοητώς, εζωσμένη η πόλις σου, τό κράτος αδιάσπαστον, έχει, διό καί εγκαυχάται εν σοί.

Τής πάλαι ως αληθώς υπέρτιμος, η σή σορός κιβωτού, Θεογεννήτορ ώφθη τοίς εν γή, ού τά σύμβολα φέρουσα, αλλά πιστώς φυλάττουσα, τής αληθείας τά γνωρίσματα.

Αρώματα μυστικά προχέονται, εν τώ ναώ τής Αγνής, εκ τής τιμίας σήμερον σορού, καί πληρούσι τού Πνεύματος, τής ευωδίας άπαντας, τούς μετά πόθου προσιόντας αυτή.

Κανών δεύτερος, ού η Ακροστιχίς.

Ισχύν με τήν σήν ζώσον, αγνή παρθένε. Ιωσήφ.

Ωδή α'  Ήχος πλ. δ'
Αρματηλάτην Φαραώ

Ισχύν με θείαν ευσεβώς περίζωσον, υμνολογούντά σου, τήν Ιεράν Ζώνην, θείον χρηματίζουσαν, τή πόλει σου περίζωμα, καί κραταίωμα Κόρη, καί αρραγές περιτείχισμα, άχραντε Παρθένε τή ποίμνη σου.

Σύ τόν Θεόν τόν δυνατόν εκύησας, περιζωννύοντα, τούς ευσεβείς πάντας, δύναμιν Πανάμωμε, διό σε μακαρίζομεν, καί τήν θείαν σου Ζώνην, περιχαρώς ασπαζόμενοι, χάριν απαντλούμεν καί έλεος.

Χαρμονικώς τή καταθέσει σήμερον, περιχορεύσωμεν, τής Ιεράς Ζώνης, τής αγνής θεόπαιδος, εξ ής ημίν περίζωμα, αφθαρσίας υφάνθη, καί αδιάρρηκτον ένδυμα, καί περιβολή αδιάσπαστος.

Υπό τήν σήν ο σός λαός Πανάμωμε, προστρέχει δύναμιν, υπό τήν σήν σκέπην, καταφεύγει πάντοτε, πάσι γενού βοήθεια, καί τά πρός σωτηρίαν τοίς πάσι δίδου αιτήματα, σώζουσα δεινών τάς ψυχάς ημών.

Καταβασία

Ανοίξω τό στομα μου, καί πληρωθήσεται Πνεύματος, καί λόγον ερεύξομαι, τή Βασιλίδι Μητρί, καί οφθήσομαι, φαιδρώς πανηγυρίζων, καί άσω γηθόμενος, ταύτης τά θαύματα.

Ώδή γ'

Ευφραίνεται επί σοί

Τιμήσωμεν οι πιστοί, ως συναφείας πρός Θεόν σύνδεσμον, τήν τής Αγνής σήμερον Ζώνην, καί πιστώς προσκυνήσωμεν.

Αέναοι οχετοί, εκ τής αχράντου σου σορού ρέοντες, τών χαρισμάτων Αγνή, πάντας τούς πιστούς καταρδεύουσιν.

Ιάματα τοίς πιστοίς, η πολυύμνητος ημίν σήμερον, τής υπερτίμου Αγνής, Ζώνη αναβρύει εν χάριτι.

Ως δρόσος εωθινή, η ευφροσύνη σου Αγνή ρέουσα, τήν τών παθών κάμινον, τών σέ ανυμνούντων κοιμίζει αεί.

Έτερος

Ουρανίας αψίδος

Νεουργείται καρδία, πίστει θερμή ψαύουσα, Ζώνη Ιερά τής Παρθένου, καί περιζώννυται, δύναμιν άμαχον, κατά παθών ακαθάρτων, δυσμενών ασάρκων τε, άτρωτος μένουσα.

Μένει άφθορος έτι, η Ιερά Ζώνη σου, ήτις σού τό άχραντον σώμα, Κόρη διέζωσε, καθαγιάζουσα, τούς ευσεβώς προσιόντας, καί φθοράς εξαίρουσα, νόσων καί θλίψεων.

Εχρημάτισας οίκος, περικαλής Άχραντε, Λόγου τού εκ σού σαρκωθέντος, καί εν αγίω σου οίκω ευδόκησας, Ζώνην τήν σήν εντεθήναι, ήν καί κατασπαζόμενοι αγιαζόμεθα.

Τήν τιμίαν σου Ζώνην, τιμητικώς άπαντες, εν αγαλλιάσει καρδίας, περιπτυσσόμεθα, τιμήν υπάρχουσαν, πάντων πιστών Θεοτόκε, ως τώ υπερτίμω σου, ψαύσασα σώματι.

Καταβασία

Τούς σούς υμνολόγους Θεοτόκε, ως ζώσα καί άφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικόν στερέωσον, καί εν τή θεία δόξη σου, στεφάνων δόξης αξίωσον.

Κάθισμα  Ήχος δ'

Ο υψωθείς εν τώ Σταυρώ

Τά καταθέσια τής σής θείας Ζώνης, η Εκκλησία σου φαιδρώς εορτάζει, καί εκτενώς κραυγάζει σοι Παρθένε Αγνή, Άπαντας περίσωζε, τής εχθρών δυναστείας, θραύσον τά φρυάγματα, τών αθέων βαρβάρων, καί τήν ημών κυβέρνησον ζωήν, πράττειν Κυρίου τά θεία θελήματα.

Δόξα... Καί νύν... Όμοιον

Οι τών θαυμάτων ποταμοί Θεοτόκε, εκ τής πανσέπτου σου σορού προερχόμενοι, ως εξ Έδεμ ποτίζουσι τό πρόσωπον τής γής, χάριτας προχέοντες, τοίς πιστώς σε τιμώσιν, όθεν ανυμνούμέν σε, καί σεπτώς ευφημούμεν, καί ευχαρίστως κράζομεν αεί, Χαίρε η μόνη ελπίς τών υμνούντων σε.

Ωδή δ'

Επαρθέντα σε ιδούσα

Ως υπέρτιμον στερέωμα Θεοτόκε, ο Ποιητής καί Κτίστης σε, πηξάμενος ώσπερ, άστροις κατεκόσμησε, ταίς θείαις ελλάμψεσιν, αίς καταφαιδρύνεις τά πέρατα.

Σέ κραταίωμα η πόλις σου Θεοτόκε, καί ασφαλή κρηπίδα, έχουσα τή θεία, Ζώνη σου συνέχεται, δεσμόν αδιάσπαστον, ταύτην εν πολέμοις προτείνουσα.

Από γής ημάς ανέλκει Θεογεννήτορ, πρός ουρανόν η θεία, Ζώνη σου σώ πόθω, ταύτης αναφθέντας θερμώς, διό σε δοξάζομεν, ως αιτίαν δόξης τής κρείττονος.

Ιδού χάρις ανεξάντλητος, δεύτε πάντες ειλικρινεί καρδία, αρύσασθε πίστει, νάματα πηγάζοντα, αφθόνως φιλέορτοι, τής σεπτής σορού τής πανάγνου Μητρός.

Έτερος

Σύ μου ισχύς Κύριε

Ήρθης πρός φώς, άδυτον μεταχωρήσασα, έλιπες δέ, τοίς σέ μακαρίζουσιν, αντί τού σώματός σου Αγνή, τήν τιμίαν Ζώνην, πηγήν θαυμάτων υπάρχουσαν, καί τόπον σωτηρίας, καί χαράκωμα ταύτης, τής τιμώσης σε πόλεως άχραντε.

Νέον ημείς, ως ουρανόν υπερχόμεθα, σού τόν οίκον, εν ώ τεθησαύρισται, καθάπερ ήλιος φωταυγής, σού η θεία Ζώνη, βολάς θαυμάτων εκπέμπουσα, καί πάντων τάς καρδίας, καταυγάζουσα Κόρη, καί παθών τήν ομίχλην διώκουσα.

Σύ κιβωτός, τού νοητού αγιάσματος χρηματίζεις, Άχραντε πανύμνητε, καί τήν τιμίαν ταύτην σορόν, έχουσαν τήν Ζώνην, ήν περιούσα εφόρεσας, περέχεις τώ λαώ σου, καταφύγιον πάσι, καί πηγήν ιαμάτων ακένωτον.

Ήκε τή σή, πόλει πολύολβον δώρημα, η τιμία Ζώνη σου πανύμνητε, καί κατετέθη περιφανώς, ταύτη τή ημέρα εν τούτω τώ θείω οίκω σου, καί γέγονε μεγίστης, εορτής Θεοτόκε, τοίς θερμώς σε ποθούσιν υπόθεσις.

Νόμου σκιαί, καί Προφητών τά αινίγματα, προεδήλουν, έσεσθαί σε Πάναγνε, Θεού Μητέρα παναληθή, δι' ής η κατάρα απεστειρώθη καί ήνθησε, τελεία ευλογία, καί σωτήριος χάρις, τοίς εν πίστει καί πόθω υμνούσί σε.

Καταβασία

Τήν ανεξιχνίαστον θείαν βουλήν, τής εκ τής Παρθένου σαρκώσεως, σού τού Υψίστου, ο Προφήτης, Αββακούμ, κατανοών εκραύγαζε. Δόξα τή δυνάμει σου Κύριε.

Ωδή ε'

Σύ Κύριέ μου φώς

Σύ Κύριε τήν σήν, Μητέρα εμεγάλυνας, σύ ύψωσας υπέρ πάσας νοεράς εξουσίας, ασυγκρίτως τήν δόξαν αυτής.

Η χάρις τού Θεού, νύν αφθόνως παρέχεται, πανάχραντε Θεοτόκε, εκ τιμίας σορού σου, τοίς πίστει προσκυνούσί σε.

Σέ δύναμιν Πιστοί, βασιλείς περιζώννυνται, σέ σύνδεσμον Θεοτόκε, η σή πόλις αυχούσα, τή Ζώνη σου σεμνύνεται.

Γνωστή σου αληθώς, η χάρις αναδέδεικται, Πανάχραντε παραδόξως, ενεργούσα δυνάμεις, καί τέρατα εν πάση τή γή.

Έτερος

Ίνα τί με απώσω

Ζώνης θείας τεθείσης, σήμερον εν οίκω σου θεοχαρίτωτε, συνεπανετέθη, αγαθών πάσα δόσις τοίς χρήζουσι, καί πληρούται πάς τίς, αγιασμού ο προσπελάζων, τάς αιτήσεις πιστώς κομιζόμενος.

Ωραιώθης Παρθένε, Λόγον ωραιότατον αποκυήσασα, καί τώ σώ ωραίω, τούτω οίκω τεθήναι ευδόκησας, τήν ωραίαν Ζώνην, ήτις τό σόν ωραίον σώμα, Θεοτόκε ωραίως διέζωσεν.

Σού ο Άγιος οίκος, άλλος ως Παράδεισος, πάσι γνωρίζεται, μέσον κεκτημένος, ώσπερ εύοσμον ρόδον τήν Ζώνην σου, ευωδίας θείας, αναπληρούσαν τάς καρδίας, τών πιστώς προσιόντων Πανάμωμε.

Όμβρου θείου νεφέλη, γέγονας Πανάμωμε, εναποστάζουσα, σωτηρίας ύδωρ, καί τήν γήν χερσωθείσαν εγκλήμασι, πρός καρποφορίαν, μεταγαγούσα ευσεβείας, διά τούτο πιστώς σε δοξάζομεν.

Καταβασία

Εξέστη τά σύμπαντα, επί τή θεία δόξη σου, σύ γάρ απειρόγαμε Παρθένε,

έσχες εν μήτρα, τόν επί πάντων Θεόν, καί τέτοκας άχρονον Υιόν, πάσι τοίς υμνούσί σε, σωτηρίαν βραβεύοντα.

### Ωδή ς'

### Θύσω σοι, μετά φωνής

Όλην σε, υπερφυώς εδόξασε Κύριος, όλην ανύψωσε μόνην, όλην σε ετίμησεν υπέρ λόγον, Θεοτόκε, τόν ναόν τε σύν τή Ζώνη καί θεία σορώ.

Νάουσιν, εκ πελάγους τά ρείθρα τής χάριτος, σού τής σορού τής αχράντου, καί τήν κτίσιν πάσαν περικυκλούσιν, αρδεύοντα, τούς πιστώς προσκυνούντας τόν τόκον σου.

Ισχύν σε, οι πιστοί κεκτημένοι καί καύχημα, περιζωννύονται δόξαν, τήν σεπτήν σου Ζώνην Θεοκυήτορ κατέχοντες, ως υπέρλαμπρον κόσμον καί τίμιον.

### Έτερος

### Άβυσσος αμαρτιών

Νέον τέτοκας ημίν, ως παιδίον τόν πρό πάντων αιώνων, καί καινουργείς καρδίας, αμαρτίας παλαίωσιν, δεξαμένας καινισμώ, τής καταθέσεως τής τιμίας, Ζώνης σου Κόρη αειπάρθενε.

Αγιός σου ο ναός, θαυμαστός δικαιοσύνη υπάρχει, όστις τήν θαυμαστήν σου Ζώνην, θαύματα βρύουσαν, κεκτημένος τοίς πιστοίς, πέλαγος δείκνυται ιαμάτων, Θεοκυήτορ Μητροπάρθενε.

Γέγηθε πάσα ψυχή, συνιούσα εν Αγίω ναώ σου, καί εν αυτώ ορώσα, Θεοτόκε τήν Ζώνην σου, ώσπερ ήλιον φαιδρόν, φέγγος αστράπτουσαν χαρισμάτων, τού παντουργού καί θείου Πνεύματος.

Νεύρωσον ημών Αγνή, τάς καρδίας παρεθείσας, παντοίων αμαρτιών ιδέαις, καί περίζωσον δύναμιν, τούς τήν Ζώνην σου πιστώς, ως πολυτίμητον κεκτημένους, καί αναφαίρετον θησαύρισμα.

### Ο Ειρμός

«Άβυσσος αμαρτιών, καί πταισμάτων καταιγίς με ταράττει, καί πρός βυθόν, βιαίως συνωθεί απογνώσεως, αλλ' αυτός τήν κραταιάν, χείρά μοι έκτεινον ως τώ Πέτρω, καί εκ φθοράς με ανακάλεσαι».

### Καταβασία

Τήν θείαν ταύτην καί πάντιμον, τελούντες εορτήν οι θεόφρονες, τής Θεομήτορος, δεύτε τάς χείρας κροτήσωμεν, τόν εξ αυτής τεχθέντα Θεόν δοξάζοντες.

### Κοντάκιον Ήχος β'

### Τήν εν πρεσβείαις

Τήν θεοδόχον γαστέρα σου Θεοτόκε, περιλαβούσα η Ζώνη σου η τιμία,

κράτος τή πόλει σου απροσμάχητον, καί θησαυρός υπάρχει, τών αγαθών ανέκλειπτος, η μόνη τεκούσα αειπάρθενος.

### Ο Οίκος

Τίς γηγενών τά σά μεγαλεία διηγήσεται λόγος; ποία γλώσσα βροτών; νούς γάρ ουδέ ουράνιος, αλλ' η τεκούσα τής συμπαθείας τό αμέτρητον πέλαγος, δέξαι καί νύν εξ ακάρπων χειλέων τά άσματα, καί δίδου μοι θείαν χάριν, ευφημήσαι τήν σήν Ζώνην Δέσποινα, δι' ής κόσμος αγάλλεται, σύν Αγγέλοις υμνών σου τά θαύματα, η μόνη τεκούσα αειπάρθενος.

### Συναξάριον

Τή ΛΑ' τού αυτού μηνός, ανάμνησις τής εν τή Αγία σορώ καταθέσεως τής τιμίας Ζώνης τής Υπεραγίας Θεοτόκου, εν τώ σεβασμίω αυτής οίκω, τώ όντι εν τοίς Χαλκοπρατείοις, ανακομισθείσης από τής Επισκοπής Ζήλας, επί Ιουστινιανού τού Βασιλέως, Έτι δέ καί τού γεγονότος θαύματος, διά τής επιθέσεως τής Τιμίας Ζώνης εις τήν βασιλίδα Ζωήν, τήν σύζυγον Λέοντος τού Βασιλέως.

### Στίχοι

- Χρυσήν κορωνίδ' οία, σεμνή Παρθένε,
- Τώ τού χρόνου τίθημι σήν Ζώνην τέλει.
- θέντο σορώ Ζώνην πρώτη Πανάγνου Τριακοστή.

Τή αυτή ημέρα, μνήμη τής ανακαινίσεως τού ναού τής Υπεραγίας Θεοτόκου εν τώ Νεωρίω.

Ταίς τής αχράντου Μητρός σου πρεσβείαις, Χριστέ ο Θεός ημών, ελέησον ημάς. Αμήν.

### Ωδή ζ'
### Εν τή καμίνω

Σύ ως ήλιος, δικαιοσύνης μόνος ών φωτουργέ, θείως τόν ναόν εφαίδρυνας τής Σεμνής, τοίς ποικίλοις σου χαρίσμασιν, εν ώ ανίσχουσα, τάς ακτίνας εκλάμπει η Ζώνη αυτής.

Χρυσήν ως στάμνον, τήν σήν σορόν κυκλούντες μόνη Αγνή, θείας αληθώς μετέχομεν νύν τρυφής, τών χαρίτων παντευλόγητε, καί τών συμβόλων σου, υπερτέραν ως ούσαν τιμώμεν αυτήν.

Υπερβλύζουσιν οι τών θαυμάτων Κόρη πάναγνε, χάριν αληθώς κρατήρές σου τοίς πιστοίς, καί αφθόνως τής τιμίας σου, σορού προέρχονται, ως εξ άλλης Εδέμ νοητοί ποταμοί.

Νύν προσέλθετε, μετ ευφροσύνης πάντες οι επί γής, δεύτε, η σορός προτρέπεται μυστικώς, τής Κυρίας περιπτύξασθε, υπερένδοξον, εν εμοί θησαυρισθείσαν Ζώνην αυτής.

Έτερος
Θεού συγκατάβασιν
Η πάντων Βασίλισσα, πρός ουρανίους σκηνάς απαίρουσα, καταλέλοιπεν όλβον, τή Βασιλίδι πασών τών πόλεων, τήν ταύτης Ζώνην, δι' ής περισώζεται, επιδρομής ορατών, καί αοράτων εχθρών.

Πηγή νύν προσέλθωμεν, αποσταζούση χάριν καί έλεος, τή σορώ τή τιμία, τή κατεχούση Ζώνην τήν πάντιμον, τής τιμησάσης ανθρώπων τό φύραμα, τιμίω τόκω αυτής, Παρθένου τε καί Μητρός.

Αινείτε τό Κύριον, Δυνάμεις πάσαι αι επουράνιαι, καί τήν τούτον τεκούσαν, ανθρώπων γλώσσαι πάσαι δοξάσατε, ότι τήν Ζώνην αυτής εδωρήσατο, καταφυγήν αληθή, καί σωτηρίαν πιστοίς.

Ρανάτωσαν άνωθεν, δικαιοσύνην νεφέλαι σήμερον, καταθέσει τής Ζώνης, τής σής νεφέλη θεοχαρίτωτε, καί μελωδείτω ψυχή πάσα χαίρουσα, Ευλογητός ο Θεός, ο τών Πατέρων ημών.

Καταβασία
Ουκ ελάτρευσαν τή κτίσει οι θεόφρονες, παρά τόν Κτίσαντα, αλλά πυρός απειλήν; ανδρείως πατήσαντες, χαίροντες έψαλλον. Υπερύμνητε, ο τών Πατέρων Κύριος, καί Θεός ευλογητός εί.

Ωδή η'
Χείρας εκπετάσας Δανιήλ
Πλάκας θείας πάλαι κιβωτός, χειρί γραφείσας Θεού, συνέσχε πάναγνε, η σή δέ άχραντε Δέσποινα, σεβασμία καί τιμία σορός, Ζώνην κατέχει τήν αυτόν, τόν νομοθέτην εν σοί, συγκατασχούσαν, Φρικτόν τό μυστήριον!

Άγγελοι πανάχραντε αγνή, νύν συγχορεύουσιν, εν τώ σεπτώ σου ναώ, καί περιέπουσι Δέσποινα, τήν τιμίαν καί αγίαν σου Ζώνην, ήν πόθω καί χαρά, καί ευφροσύνη πολλή, προσκυνούντες, σέ ανυμνούμεν, τήν δόξαν τού γένους ημών.

Ράβδος η τό άνθος τής ζωής, αναβλαστήσασα, σύ εί η πάντων χαρά, η πολυτίμητος Άχραντε, μυροθήκη η τού Πνεύματος, ο θησαυρός τών αγαθών, τών αρωμάτων πηγή, εξ ής μύρον, τών ιαμάτων εκβλύζει η θεία σορός.

Υμνούσι πανάχραντε Αγνή, τά μεγαλεία τά σά, αι νοεραί στρατιαί, ανακηρύττουσιν άπαντες, Πατριάρχαι καί Προφήται τρανώς, σύν Αποστόλοις ιεροίς, καί τών μαρτύρων χοροί, μεθ' ών πίστει, σέ προσκυνούντες δοξάζομεν.

Έτερος
Επταπλασίως κάμινον
Θρόνος καθάπερ άγιος, η σορός ανατίθεται, ένδον εν αδύτοις, Ιεροίς

φαιδρότατα, τής μόνης θεόπαιδος, καί Βασιλίδος πάντων αγνής, Ζώνην κεκτημένη, επαναπαυομένην, εξ ής τοις κοπιώσιν, εν πολλαίς αμαρτίαις, ανάπαυσις τελεία, προέρχεται αφθόνως.

Επί τής γής τόν Κύριον, Ιερώς εσωμάτωσας, καί χερσίν αγίαις, αληθώς διέζωσας, τόν περιζωννύοντα, τούς ευσεβούντας δύναμιν, νύν δέ αναβάσα, ουρανών υπεράνω, κατέλιπες ανθρώποις, τήν τιμίαν σου Ζώνην, Παρθένε Θεοτόκε, κραταίωμα καί σκέπην.

Νενοσηκόσιν ίαμα, ολισθαίνουσι στήριγμα, καί τοίς ραθυμούσιν, ευθυμία ένθεος, κυβέρνησις πλέουσι, πεπλανημένοις επιστροφή, η παρεπομένη τή Τιμία σου Ζώνη, αγνή Παρθένε χάρις, αληθώς χρηματίζει, ήν πίστει προσκυνούμεν, εις πάντας τούς αιώνας.

Επιτελούντες σήμερον, τήν αγίαν κατάθεσιν, Ζώνης σου τής θείας, Ιεράν πανήγυριν, οι δούλοί σου άγομεν, καί εν χαρά βοώμέν σοι, Χαίρε Θεοτόκε, η χαρά τών Αγγέλων, καί πάντων τών ανθρώπων, τών Πιστώς μελωδούντων, Λαός υπερυψούτε, Χριστόν εις τούς αιώνας.

### Καταβασία

Παίδας ευαγείς εν τή καμίνω, ο τόκος τής Θεοτόκου διεσώσατο, τότε μέν τυπούμενος, νύν δέ ενεργούμενος, τήν οικουμένην άπασαν, αγείρει ψάλλουσαν. Τόν Κύριον υμνείτε τά έργα, καί υπερυψούτε, εις πάντας τούς αιώνας.

## Ωδή θ'

### Λίθος αχειρότμητος

Θάλαμος υπέρτιμος όντως, Θεογεννήτορ ή σορός σου, ώφθη τήν αγίαν σου Ζώνην, παρθενικήν τε καί νυμφικήν ως στολήν, αξίως περιέχουσα, καί συντηρούσα ως ζωής θησαυρόν.

Ένθεν διάδημα κάλλους, η Εκκλησία Θεοτόκε, αναδησαμένη τήν θείαν, καί παναγίαν Ζώνην σου σήμερον, βασιλικώς ευφραίνεται, καί ωραϊζεται τή δόξη σου.

Ναόν εκμιμούμενον πάσαν, τών ουρανών τήν ευκοσμίαν, σήμερον πιστοί τής Παρθένου, κατειληφότες τών χαρισμάτων αυγαίς, ώσπερ αστέρων κάλλεσι, καταλαμπόμενοι φαιδρύνθητε.

Έχει τήν αγίαν σου Ζώνην, Θεογεννήτορ η σή πόλις, σύνδεσμον ειρήνης καί τείχος, καί τών δογμάτων θείαν ενότητα, καί ορθοδόξων καύχημα, καί Βασιλέων τροπαιούχημα.

Υμνούμεν τήν άφατον δόξαν, καί τήν ανείκαστόν σου χάριν, σύ γάρ εί πηγή τής σοφίας, εξ ής ο λόγος πάσι προέρχεται, τοίς σέ τιμώσιν Άχραντε, καί μεγαλύνουσι τόν τόκον σου.

Έτερος

Εξέστη επί τούτω ο ουρανός

Ιδού η θεία κλίνη τού Σολομών, δυνατοί ήν κυκλούσιν εξήκοντα, ρήσει Γραφών, οίά περ εν κλίνη βασιλική, σορώ τιμία σήμερον, Ζώνην ανακλίνει τήν εαυτής, ανάκλησιν εις πάντων, τών τεταπεινωμένων, καί ευσεβούντων περιποίησιν.

Ως πόλις Βασιλέως τών ουρανών, περί ής ελαλήθη παράδοξα, έθου τή σή, πόλει δώρον τίμιον καί σεπτόν, τήν παναγίαν Ζώνην σου, πάντων εις κραταίωμα τών πιστών, δι' ής οι στεφηφόροι, τροπούνται πολεμίους, ορθοδοξία διαλάμποντες.

Σταλάξατε τά όρη νύν γλυκασμόν, καί βουνοί ευφροσύνην αιώνιον, Πατριαρχών, δήμοι καί μαρτύρων πάντες χοροί, τών Προφητών ο σύλλογος, θείων Αποστόλων δήμος σεπτός, ευφράνθητε σύν πάσιν, ημίν τή καταθέσει, τής θείας Ζώνης τής θεόπαιδος.

Ηγίασας τά πάντα διά τής σής, Παναγία Παρθένε κυήσεως, καί νύν ημίν, δέδωκας εις πλείονα φωτισμόν, τήν παναγίαν Ζώνην σου, ής τή καταθέσει πάσα η γή, χορεύει καί γεραίρει, σέ τήν χαράς αρρήτου, αποπληρούσαν τό ανθρώπινον.

Φιλίας με δολίας τής τών παθών, καί εχθρού καθ' εκάστην πειράζοντος, αμαρτιών βάρει ραθυμίας τε χαλεπής, απαγωγής πανάχραντε, καί αιχμαλωσίας καί προνομής, τώ σώ προσπεφευγότα, ελέει διά τάχους, ως συμπαθής Αγνή απάλλαξον.

Καταβασία

Άπας γηγενής, σκιρτάτω τώ πνεύματι λαμπαδουχούμενος, πανηγυριζέτω δέ, αύλων Νόων φύσις γεραίρουσα, τήν ιερά θαυμάσια τής Θεομήτορος, καί βοάτω. Χαίροις παμμακάριστε, Θεοτόκε Αγνή αειπάρθενε.

Εξαποστειλάριον

Γυναίκες ακουτίσθητε

Ο πάντα υπέρ έννοιαν, τά σά ποιήσας, Άχραντε, τήν σήν Εσθήτα καί Ζώνην, ετίμησεν αφθαρσία, τή πόλει σου κραταίωμα, δούς ταύτην καί ασφάλειαν, ής καί νύν τήν κατάθεσιν, περιχαρώς εκτελούντες, πανηγυρίζομεν πόθω.

Έτερον όμοιον

Κυρία πάντων πέλουσα, τών ποιημάτων Δέσποινα, καί πλήρης όντως σοφίας, τής υπερφώτου ως Μήτηρ, Θεού τού παντοκράτορος, φωτός καί θείας γνώσεως, καί χάριτός με πλήρωσον, τή συμπληρώσει τών ύμνων, σού τής αγνής Θεοτόκου.

Εις τούς Αίνους ιστώμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια τρία, δευτερούντες τό α'.

Ήχος δ'
Ως γενναίον εν μάρτυσιν

Ως υπέρλαμπρον στέφανον, Θεοτόκε πανάχραντε, τήν αγίαν Ζώνην σου περιέθετο, η Εκκλησία καί χαίρουσα, φαιδρύνεται σήμερον, καί χορεύει μυστικώς, εκβοώσά σοι Δέσποινα, Χαίρε στέφανε, καί διάδημα θείον, χαίρε μόνη, τού πληρώματός μου δόξα, καί ευφροσύνη αιώνιος. (Δίς)

Σύ πανάχραντε Δέσποινα, κραταιόν περιτείχισμα, άρραγές τε στήριγμα καί διάσωσμα, τώ σώ λαώ καί τή πόλει σου, υπάρχουσα δέδωκας, ως φαιδράν περιβολήν, τήν υπέρτιμον Ζώνην σου, περισώζουσαν, συμφορών εκ παντοίων, τούς εν πίστει, καί ζεούση προθυμία, ταύτην τιμώντας Θεόνυμφε.

Ο ναός σου Πανάχραντε, ως πηγή ανεξάντλητος, τών θαυμάτων σήμερον αναδέδεικται, οι ποταμοί γάρ τής χάριτος, αφθόνως προχέονται, τής αγίας σου σορού, καί πιστών τήν διάνοιαν, κατευφραίνουσι, τών εν πίστει καί πόθω σοι βοώντων, Η χαρά καί ευφροσύνη, καί η ζωή σύ υπάρχεις ημών.

Δόξα... Καί νύν... Ήχος β'

Ως στέφανον υπέρλαμπρον, πανάχραντε Θεοτόκε, τήν Ζώνην σου τήν αγίαν, η Εκκλησία τού Θεού περιέθετο, καί φαιδρύνετα χαίρουσα σήμερον, καί μυστικώς χορεύει, Δέσποινα εκβοώσά σοι, Χαίρε διάδημα τίμιον, καί στέφανε τής θείας δόξης, χαίρε η μόνη δόξα τού πληρώματος, καί αιώνιος ευφροσύνη, χαίρε τών εις σέ προστρεχόντων, λιμήν καί προστασία, καί σωτηρία ημών.

Δοξολογία μεγάλη, καί Απόλυσις.

Εις τήν Λειτουργίαν. Τά Τυπικά, καί εκ τών Κανόνων η γ' καί ς' Ωδή.

Απόστολος

Αδελφοί, είχεν η πρώτη σκηνή δικαιώματα...

Ευαγγέλιον κατά Λουκάν

Αναστάσα Μαριάμ...

Κοινωνικόν

Ποτήριον σωτηρίου λήψομαι, καί τό όνομα Κυρίου επικαλέσομαι. Αλληλούϊα.

---

Αρχή
**Τίτλος**